BK1
B46

ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
026000347087



ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΑΓΓΕΛΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

SCHOLIA

IN HOMERI ILIADEM

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. .....

EX RECENSIONE

IMMANUELIS BEKKERI.

TOMUS PRIOR.

BEROLINI
TYPIS ET IMPENSIS GE. REIMERI
A. 1825.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΕΥΜΟΤΙΩΝ ΚΟΥΡΙΛΑ

PRAEFATIO.

Scholia primum a Villoisone edita aucta nunc et multis locis emendata prodeunt e tribus potissimum codicibus, (A) Veneto, (V) Victoriano, (L) Lipsiensi.

Venetus, qui inter Marcianos numeratur 454, membranaceus est, forma maxima, foliis 327, versibus Iliadis 25, scholiorum 63 - 4, litteris illic grandibus, hic minutis, in lemmatis et inter versus uncialibus, in principiis librorum auro et coloribus distinctis. foliorum secundum, tertium, quintum vacua sunt, candida, recentia: primo, quarto, sexto quae leguntur, eorum exemplum infra positum est.

fol. 1. Πρόκλου χρηστομαθίας γραμματικῆς τῶν εἰς δ' διῃρημένων τὸ α'.

Ὁμήρου χρόνοι, βίος, χαρακτήρ, ἀναγραφὴ ποιημάτων.

Ἐπῶν ποιηταὶ γεγόνασι πολλοί· τούτων δ' εἰσὶ κράτιστοι Ὅμηρος Ἡσίοδος Πείσανδρος Πανύασσις[1]) Ἀντίμαχος. Ὅμηρος μὲν οὖν τίνων γονέων ἢ ποίας ἐγένετο πατρίδος, οὐ ῥᾴδιον ἀποφήνασθαι· οὔτε γὰρ αὐτός τι λελάληκεν, ἀλλ' οὐδὲ οἱ περὶ αὐτοῦ εἰπόντες συμπεφωνήκασιν, ἀλλ' ἐκ τοῦ μηδὲν ῥητῶς ἐμφαίνειν περὶ τούτων τὴν ποίησιν αὐτοῦ μετὰ πολλῆς ἀδείας ἕκαστος οἷς ἠβούλετο ἐχαρίσατο. καὶ διὰ τοῦτο οἱ μὲν Κολοφώνιον αὐτὸν ἀνηγόρευσαν, οἱ δὲ Χῖον, οἱ δὲ Σμυρναῖον, οἱ δὲ Ἰήτην, ἄλλοι δὲ Κυμαῖον· καὶ καθόλου πᾶσα πόλις ἀντιποιεῖται τἀνδρός, ὅθεν εἰκότως ἂν κοσμοπολίτης λέγοιτο. οἱ μὲν οὖν Σμυρναῖον αὐτὸν ἀποφαινόμενοι Μαίονος μὲν πατρὸς λέγουσιν εἶναι, γεννηθῆναι δὲ ἐπὶ Μέλητος τοῦ ποταμοῦ, ὅθεν καὶ Μελησιγενῆ ὀνομασθῆναι· δοθέντα δὲ Χίοις εἰς ὁμηρείαν Ὅμηρον κληθῆναι. οἱ δὲ ἀπὸ τῆς τῶν ὀμμάτων πηρώσεως τούτου τυχεῖν αὐτόν φασι τοῦ ὀνόματος· τοὺς γὰρ τυφλοὺς ὑπὸ Αἰολέων ὁμήρους καλεῖσθαι. Ἑλλάνικος[2]) δὲ καὶ Δαμάστης καὶ Φερεκύδης εἰς Ὀρφέα τὸ γένος ἀνάγουσιν αὐτοῦ· Μαίονα γάρ φασι τὸν Ὁμήρου πατέρα καὶ Δῖον τὸν Ἡσιόδου γενέσθαι Ἀπέλλιδος[3]) τοῦ Μελανωποῦ τοῦ Ἐπιφραδέος τοῦ Χαριφήμου τοῦ Φιλοτερπέος τοῦ Ἰδμονίδα τοῦ Εὐκλέους τοῦ Δωρίωνος τοῦ Ὀρφέως. Γοργίας δὲ ὁ Λεοντῖνος εἰς Μουσαῖον αὐτὸν ἀνάγει. περὶ δὲ τῆς τελευτῆς αὐτοῦ λόγος τις φέρεται τοιοῦτος. ἀνελεῖν φασὶν αὐτῷ τὸν θεὸν χρωμένῳ περὶ ἀσφαλείας τάδε· „ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι." λέγουσιν οὖν αὐτὸν εἰς Ἴον πλεύσαντα διατρῖψαι μὲν παρὰ Κρεοφύλῳ, γράψαντα δὲ Οἰχαλίας ἅλωσιν τούτῳ χαρίσασθαι, ἥτις νῦν ὡς Κρεοφύλου περιφέρεται. καθεζόμενον δὲ ἐπί τινος ἀκτῆς, θεασάμενον ἁλιεῖς προσειπεῖν αὐτοὺς καὶ ἀνακρῖναι τοῖσδε τοῖς ἔπεσιν· „ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἆρ' ἔχομέν τι;" ὑποτυχόντα δὲ αὐτῶν ἕνα εἰπεῖν „οὓς ἕλομεν λιπόμεσθ', οὓς δ' οὐχ ἕλομεν φερόμεσθα." οὐκ ἐπιβάλλοντος δ' αὐτοῦ διελέσθαι τὸ αἴνιγμα, ὅτι ἐπὶ ἰχθυΐαν καταβάντες ἀφήμαρτον, φθειρισάμενοι δὲ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν ἀποκτείναντες ἀπολείπουσιν, ὅσοι δὲ αὐτοὺς διέφυγον τούτους ἀποκομίζουσιν, οὕτω δ' ἐκεῖνον ἀθυμήσαντα σύννουν ἀπιέναι τοῦ χρησμοῦ ἔννοιαν λαμβάνοντα, καὶ οὕτως ὀλισθέντα περιπταῖσαι λίθῳ καὶ τριταῖον τελευτῆσαι. ἀλλὰ δὴ ταῦτα μὲν πολλῆς ἔχεται ζητήσεως· ἵνα δὲ μηδὲ τούτων ἄπειρος ὑπάρχῃς, διὰ τοῦτο εἰς ταῦτα κατεχώρησα. τυφλὸν δὲ ὅσοι τοῦτον ἀπεφήναντο, αὐτοί μοι δοκοῦσι τὴν διάνοιαν πεπηρῶσθαι· τοσαῦτα γὰρ κατεῖδεν[4]) ἄνθρωπος ὅσα οὐδεὶς πώποτε. εἰσὶ δὲ οἵτινες ἀνεψιὸν αὐτὸν Ἡσιόδου παρέδοσαν ἀτριβεῖς ὄντες ποιήσεως· τοσοῦτον γὰρ ἀπέχουσι τοῦ γένει προσήκειν ὅσον ἡ ποίησις διέστηκεν αὐτῶν. ἄλλως δὲ οὐδὲ τοῖς χρόνοις συνέβαλον ἀλλήλοις. ἄθλιοι δὲ οἱ τὸ αἴνιγμα πλάσαντες τοῦτο „Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν, ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον." ἀλλὰ γὰρ ἐπλανήθησαν ἐκ τῶν Ἡσιοδείων ἡμερῶν· ἕτερον γάρ τι σημαίνει. τοῖς δὲ χρόνοις αὐτὸν οἱ μὲν περὶ τὸν Ἀρίσταρχόν φασι γενέσθαι κατὰ τὴν τῆς Ἰωνίας ἀποικίαν, ἥτις ὑστερεῖ τῆς Ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα, τὸ δὲ περὶ τοὺς Ἡρακλείδας λείπεται τῶν Τρωϊκῶν ἔτεσιν ὀγδοήκοντα· οἱ δὲ περὶ Κράτητα ἀνάγουσιν αὐτὸν εἰς τοὺς Τρωϊκοὺς χρόνους. φαίνεται δὲ γηραιὸς ἐκλελοιπὼς τὸν βίον· ἡ γὰρ ἀνυπέρβλητος ἀκρίβεια τῶν πραγμάτων προβεβηκυῖαν ἡλικίαν παρίστησιν. πολλὰ δὲ ἐπεληλυθὼς μέρη τῆς οἰκουμένης ἐκ τῆς πολυπειρίας τῶν τόπων εὑρίσκεται. τούτῳ δὲ προσυπονοητέον καὶ πλούτου πολλὴν περιουσίαν γενέσθαι· αἱ γὰρ μακραὶ ἀποδημίαι πολλῶν ἀναλωμάτων δέονται, καὶ ταῦτα κατ' ἐκείνους τοὺς χρόνους ὅτε πάντων πλεομένων ἀκινδύνως οὔτε ἐπιμισγομένων ἀλλήλοις πω[5]) τῶν ἀνθρώπων ῥᾳδίως. γέγραφε δὲ ποιήσεις δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν, ἣν Ξένων καὶ Ἑλλάνικος ἀφαιροῦνται αὐτοῦ. οἱ μέντοι γε ἀρχαῖοι καὶ τὸν κύκλον ἀναφέρουσιν εἰς αὐτόν, προστιθέασι δὲ αὐτῷ καὶ παίγνιά τινα, Μαργίτην[6]), βατραχομαχίαν ἢ μυομαχίαν, ἐντεπάκτιον, αἶγα, Κέρκωπας, κενούς.

[1]) ita codex. fallitur Thierschius Act. Monac. t. 2. p. 576. [2]) cod. et hic et infra ἑλλανικὸς. [3]) ἀπελλίδος apud Thierschium, minus vere. [4]) κατεῖδεν ὁ ἄνος Th. [5]) πῶς Th. [6]) οἱ δὲ λέγουσι τήγρητος τοῦ καρός margo rubrica.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

fol. 6. Πρόκλου χρηστομαθίας γραμματικῆς τὸ β'.

Ἐπιβάλλει δὲ τοῖς προειρημένοις ἐν τῇ πρὸ ταύτης βίβλῳ Ἰλιὰς Ὁμήρῳ, μεθ' ἣν ἐξιν Αἰθιοπίδος βιβλία ε' Ἀρκτίνῳ Μιλησίῳ, περιέχοντα τάδε. Ἀμαζὼν Πενθεσίλεια παραγίνεται Τρωσὶ συμμαχήσουσα, Ἄρεως μὲν θυγάτηρ, Θρᾴσσα [7]) δὲ τὸ γένος. καὶ κτείνει αὐτὴν ἀριστεύουσαν Ἀχιλλεύς, οἱ δὲ Τρῶες αὐτὴν θάπτουσι. καὶ Ἀχιλλεὺς Θερσίτην ἀναιρεῖ, λοιδορηθεὶς πρὸς αὐτὸν καὶ ὀνειδισθεὶς τὸν ἐπὶ τῇ Πενθεσιλείᾳ λεγόμενον ἔρωτα· καὶ ἐκ τούτου στάσις γίνεται τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. μετὰ δὲ ταῦτα Ἀχιλλεὺς εἰς Λέσβον πλεῖ, καὶ θύσας Ἀπόλλωνι καὶ Ἀρτέμιδι καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυσσέως. Μέμνων δὲ ὁ Ἠοῦς υἱός, ἔχων ἡφαιστότευκτον πανοπλίαν, παραγίνεται τοῖς Τρωσὶ βοηθήσων· καὶ Θέτις τῷ παιδὶ τὰ κατὰ τὸν Μέμνονα προλέγει. καὶ συμβολῆς γενομένης Ἀντίλοχος ὑπὸ Μέμνονος ἀναιρεῖται, ἔπειτα Ἀχιλλεὺς Μέμνονα κτείνει. καὶ τότε μὲν Ἠὼς παρὰ Διὸς αἰτησαμένη ἀθανασίαν δίδωσι· τρεψάμενος δ' Ἀχιλλεὺς τοὺς Τρῶας καὶ εἰς τὴν πόλιν συνεισπεσὼν ὑπὸ Πάριδος ἀναιρεῖται καὶ Ἀπόλλωνος. καὶ περὶ τοῦ πτώματος γενομένης ἰσχυρᾶς μάχης Αἴας ἀνελόμενος ἐπὶ τὰς ναῦς κομίζει, Ὀδυσσέως ἀπομαχομένου τοῖς Τρωσίν. ἔπειτα Ἀντίλοχόν τε θάπτουσι καὶ τὸν νεκρὸν τοῦ Ἀχιλλέως προτίθενται· καὶ Θέτις ἀφικομένη σὺν Μούσαις καὶ ταῖς ἀδελφαῖς θρηνεῖ τὸν παῖδα. καὶ μετὰ ταῦτα ἐκ τῆς πυρᾶς ἡ Θέτις ἀναρπάσασα τὸν παῖδα εἰς τὴν Λευκὴν νῆσον διακομίζει· οἱ δὲ Ἀχαιοὶ τὸν τάφον χώσαντες ἀγῶνα τιθέασι, καὶ περὶ τῶν Ἀχιλλέως ὅπλων Ὀδυσσεῖ καὶ Αἴαντι στάσις ἐμπίπτει.

Ἑξῆς δ' ἐξὶν Ἰλιάδος μικρᾶς βιβλία δ' Λέσχεω Μιτυληναίῳ, περιέχοντα τάδε. ἡ τῶν ὅπλων κρίσις γίνεται, καὶ Ὀδυσσεὺς κατὰ βούλησιν Ἀθηνᾶς λαμβάνει, Αἴας δὲ ἐμμανὴς γενόμενος τήν τε λείαν τῶν Ἀχαιῶν λυμαίνεται καὶ ἑαυτὸν ἀναιρεῖ. μετὰ ταῦτα Ὀδυσσεὺς κοχήσας Ἕλενον λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τότε Διομήδης ἐκ Λήμνου Φιλοκτήτην [8]) ἀνάγει. ἰαθεὶς δὲ ἔτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλεξάνδρῳ κτείνει· καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες. μετὰ δὲ ταῦτα Δηΐφοβος [9]) Ἑλένην γαμεῖ. καὶ Νεοπτόλεμον Ὀδυσσεὺς ἐκ Σκύρου ἀγαγὼν τὰ ὅπλα δίδωσι τὰ τοῦ πατρός· καὶ Ἀχιλλεὺς αὐτῷ φαντάζεται. Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν ἀποκτείνει Νεοπτόλεμος. καὶ οἱ Τρῶες πολιορκοῦνται. καὶ Ἐπειὸς κατ' Ἀθηνᾶς προαίρεσιν τὸν δούρειον ἵππον κατασκευάζει. Ὀδυσσεύς τε αἰκισάμενος ἑαυτὸν κατάσκοπος εἰς Ἴλιον παραγίνεται, καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλένης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντίθεται. κτείνας τέ τινας τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται. καὶ μετὰ ταῦτα σὺν Διομήδει τὸ Παλλάδιον ἐκκομίζει ἐκ τῆς Ἰλίου. ἔπειτα εἰς τὸν δούρειον ἵππον τοὺς ἀρίστους ἐμβιβάσαντες τάς τε σκηνὰς καταφλέξαντες οἱ λοιποὶ τῶν Ἑλλήνων εἰς Τένεδον ἀνάγονται. οἱ δὲ Τρῶες τῶν κακῶν ὑπολαβόντες ἀπηλλάχθαι τόν τε δούρειον ἵππον εἰς τὴν πόλιν εἰσδέχονται, διελόντες μέρος τι τοῦ τείχους, καὶ εὐωχοῦνται ὡς νενικηκότες τοὺς Ἕλληνας.

Ἑπεὶ δὲ τούτοις Ἰλίου πέρσις βιβλία β' Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε, ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες περισάντες βουλεύονται ὅ τι χρὴ ποιεῖν, καὶ τοῖς μὲν δοκεῖ κατακρημνίσαι αὐτόν, τοῖς δὲ καταφλέξαι, οἱ δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῇ Ἀθηνᾷ ἀνατεθῆναι· καὶ τέλος νικᾷ ἡ τούτων γνώμη. τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. ἐν αὐτῷ δὲ [10]) δύο δράκοντες ἐπιφανέντες τόν τε Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν. ἐπὶ δὲ τῷ τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην. καὶ Σίνων τὸν πυρσὸν ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος. οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ τοῦ δορείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις, καὶ πολλὰς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι. καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον ἐπὶ τὸν τοῦ Διὸς τοῦ ἑρκείου βωμὸν καταφυγόντα· Μενέλαος δὲ ἀνευρὼν Ἕλενον ἐπὶ τὰς ναῦς κατάγει, Δηΐφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας ὁ Ἰλέως [10 b]) πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς ξόανον. ἐφ' ᾧ παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βάλλουσι [11]) τὸν Αἴαντα· ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασώζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ
fol. 4. τὸ πέλαγος μηχανᾶται. καὶ Ὀδυσσέως Ἀστυάνακτα ἀνελόντος Νεοπτόλεμος Ἀνδρομάχην γέρας λαμβάνει, καὶ τὰ λοιπὰ λάφυρα διανέμονται. Δημοφῶν τε καὶ Ἀκάμας Αἴθραν εὑρόντες ἄγουσι μεθ' ἑαυτῶν. ἔπειτα ἐμπρήσαντες τὴν πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον.

Συνάπτει δὲ τούτοις τὰ τῶν Νόστων βιβλία ε' Ἀγίᾳ Τροιζηνίῳ, περιέχοντα τάδε. Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἰς ἔριν καθίζησι περὶ τῆς ἔκπλου. Ἀγαμέμνων μὲν ἐν τῷ τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει, Διομήδης δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν [12]) διασῴζονται. μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν διαφθαρεισῶν νεῶν ἐν τῷ πελάγει. οἱ δὲ περὶ Κάλχαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῇ πορευθέντες εἰς Κολοφῶνα Τειρεσίαν ἐνταῦθα τελευτήσαντα θάπτουσι. τῶν δὲ περὶ τὸν Ἀγαμέμνονα ἀποπλεύντων Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πειρᾶται διακωλύειν, προλέγον τὰ συμβησόμενα. εἶθ' ὁ περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ Αἴαντος φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δὲ Θέτιδος ὑποθεμένης πεζῇ ποιεῖται

[7]) cod. Θρᾶσα. [8]) cod. φιλόκτητον. [9]) cod. δηΐφοβος. [10]) cod. δὲ τ' duo, litteris sex septemve lacuna haustis. [10 b]) ita cod. [11]) cod. βουλεύονται. [12]) cod. οἰκίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν πορείαν, καὶ παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν τῇ Μαρωνείᾳ, τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ. καὶ τελευτήσαντα Φοίνικα θάπτει, αὐτὸς δὲ εἰς Μολοσσοὺς ἀφικόμενος ἀναγνωρίζεται Πηλεῖ... [13]) τὰ Ἀγαμέμνονος ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναιρεθέντος ὑπ' Ὀρέστου καὶ Πυλάδου τιμωρία, καὶ Μενέλαου εἰς τὴν οἰκείαν [14]) ἀνακομιδή.

Μετὰ ταῦτά ἐστιν Ὁμήρου Ὀδύσσεια. ἔπειτα Τηλεγονίας βιβλία δύο Εὐγάμμωνος Κυρηναίου, περιέχοντα τάδε. οἱ μνήστορες ὑπὸ τῶν προσηκόντων θάπτονται. καὶ Ὀδυσσεὺς θύσας νύμφαις εἰς Ἦλιν ἀποπλεῖ ἐπισκεψόμενος τὰ βουκόλια, καὶ ξενίζεται παρὰ Πολυξένῳ, δῶρόν τε λαμβάνει κρατῆρα καὶ ἐπὶ τούτῳ τὰ περὶ Τροφώνιον καὶ Ἀγαμήδην καὶ Αὐγέαν. ἔπειτα εἰς Ἰθάκην καταπλεύσας τὰς ὑπὸ Τειρεσίου ῥηθείσας τελεῖ θυσίας. καὶ μετὰ ταῦτα εἰς Θεσπρωτοὺς ἀφικνεῖται καὶ γαμεῖ Καλλιδίκην, βασιλίδα τῶν Θεσπρωτῶν. ἔπειτα πόλεμος συνίσταται τοῖς Θεσπρωτοῖς πρὸς Βρυγοὺς Ὀδυσσέως ἡγουμένου. ἐνταῦθα Ἄρης τοὺς περὶ τὸν Ὀδυσσέα τρέπεται, καὶ αὐτῷ εἰς μάχην Ἀθηνᾶ καθίσταται. τούτους μὲν Ἀπόλλων διαλύει· μετὰ δὲ τὴν Καλλιδίκης τελευτὴν τὴν μὲν βασιλείαν διαδέχεται Πολυποίτης Ὀδυσσέως υἱός, αὐτὸς δ' εἰς Ἰθάκην ἀφικνεῖται. κἀν τούτῳ Τηλέγονος [15]) εἰς ζήτησιν τοῦ πατρὸς πλέων, ἀποβὰς εἰς τὴν Ἰθάκην, τέμνει τὴν νῆσον. ἐκβοηθήσας δ' Ὀδυσσεὺς ὑπὸ τοῦ παιδὸς ἀναιρεῖται κατ' ἄγνοιαν. Τηλέγονος δ' ἐπιγνοὺς τὴν ἁμαρτίαν τό τε τοῦ πατρὸς σῶμα καὶ τὸν Τηλέμαχον καὶ τὴν Πηνελόπην πρὸς τὴν μητέρα μεθίστησιν. ἡ δὲ αὐτοὺς ἀθανάτους ποιεῖ, καὶ συνοικεῖ τῇ μὲν Πηνελόπῃ Τηλέγονος, Κίρκῃ [16]) δὲ Τηλέμαχος.

octavum haec habet: ἦ τὸ ἔφη. ὁ δὲ τοῦτο μὴ νοήσας, ἀλλὰ λαβὼν πάλιν τὸ φη ἀντὶ τοῦ ως, ὑπέταξεν ἐκ περισσοῦ „πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα". [17]) σημειοῦται δὲ πρὸς τὸν αὐτὸν ἀπεριστέρκτῳ [18]) διπλῇ τὰς ὁμωνυμίας ἁπάσας, ὅτι οὐ νοήσας τὸ τοιοῦτον ἔγραψεν ὁτὲ μὲν Πυλαιμένεα ὁτὲ δὲ Κυλαιμένεα. πρὸς μὲν δὴ Ζηνόδοτον αὐτῷ ἡ παράθεσις τῆς περιεστιγμένης διπλῆς πρὸς ἑκάστην γραφὴν ἀκριβέστερον θεωρεῖται. τὸν δὲ ὀβελὸν ἔλαβεν ἐκ τῆς Ζηνοδότου διορθώσεως· παρετίθει δὲ αὐτὸν τοῖς ἐκβαλλομένοις ἐκ τῆς ποιήσεως στίχοις ὡς τοῖς νεκροῖς τῶν ἀνθρώπων. τῆς δὲ ἀθετήσεως αὐτῷ διττὸς ὁ λόγος. ὁ μὲν γάρ ἐστι σημαίνων ὅτι οὐχ Ὁμήρου τὸ ἔπος, ὡς ἐλέγετο ἐπὶ τοῦ „τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβην" · [19]) ἀδύνατον γὰρ τὴν διηνεκῶς παρθένον παραδεδομένην γεγαμῆσθαι. ὁ δὲ αἰτίαν ἐπιφέρει ὡς τῶν ποιημάτων ἐν τῇ τάξει διημαρτημένων. ὅταν δ' ὁ Ἀγαμέμνων λέγῃ πρὸς τὸν Ἀχιλλέα „αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε", [20]) ἐνταῦθα ἠθετῆσθαί φησι, χάριν τοῦ βασιλέως ὀφείλοντος, εἰ τοιοῦτός ἐστιν ἐν πολέμῳ ὁ κατ' ἐπικουρίαν ἥκων. διόπερ ἐπὶ μὲν τοῦ λεγομένου ὑπ' Ἀγαμέμνονος ὀβελὸς παρακείσεται καὶ πρὸς τούτῳ ἀστερίσκος· δηλοῖ δὲ τοῦτο, ὅπου ἂν ᾖ κείμενος σὺν τῷ ὀβελῷ, ὅτι Ὁμήρου μέν ἐστι, φαύλως δ' ἐνταῦθα κεῖται. ἔστι δὲ καὶ ἕτερος τρόπος τῆς ἀθετήσεως, ὅταν τοῖς αὐτοῖς στίχοις πολλάκις χρῆται, ὁτὲ μὲν οἰκείοις περιτιθεὶς προσώποις τὰ λεγόμενα, ὁτὲ δὲ οὔ, ὡς ἔχει τὰ τοῦ Κύκλωπος τοῦ ἀνημερωτάτου ῥήματα ὑπὸ τοῦ συνετωτάτου Νέστορος λεγόμενα πρὸς Τηλέμαχον· „ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα; ἦ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε, οἷά τε ληϊστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται ψυχὰς παρθέμενοι". ταῦτα γὰρ ἥρμοζεν ὑπὸ τοῦ Κύκλωπος Ὀδυσσεῖ εἰρῆσθαι, οὐχ ὑπὸ Νέστορος Τηλεμάχῳ.

postremum noni paginae aversae nomina inscripta sunt rubrica: Ἀρίσταρχος, Ζηνόδοτος, Στασῖνος, Θεόπομπος, Πολέμων, Ἀπολλόδωρος, Ἡρωδιανός, Νικάνωρ, Πορφύριος, Ἀπολλώνιος, Σωσιγένης, Ἀριστοφάνης, Δίκτυς, Εὐριπίδης, Πτολεμαῖος ὁ Ὀροάνδου, Τυραννίων, Ζώϊλος, Χρύσιππος, Ἡσίοδος, Σέλευκος, Ἀλκμᾶν ὁ λυρικός, Φιλόξενος, Καλλίμαχος, Πίνδαρος, Ἀριστόνικος, Πάμφιλος, Θεαγένης, Δίδυμος, Σοφοκλῆς, Καλλίστρατος, Σιδώνιος, Ἰξίων, Θεόφραστος, Ὦρος (cod ἄρος), Ῥιανός.

Ilias cum scholiis incipit a f. 12: ultimo inest epigramma Hadriani in Hectorem (Analect. t. 2. p. 485). Huius mihi codicis Parisiis copia fuit ante annos quindecim.

Victorianum apud Wolfium excussi, commodatum e bibliotheca Monacensi. is chartaceus est, forma maxima, foliis 470, Petri Victorii, ut videtur, aetate scriptus, initio mutilus, post folium 470 scholiis in Theogoniam auctus.

Lipsiensis apographum Hamburgense, a sex septemve manibus scriptum, Gurlitti humanitas usibus meis impetravit. quod tali est indice: *scholiastes in Iliada Homeri ineditus, quem e bibliothecae Paulinae codice describere coepit a.* 1717. *Dec.* 10. *finivit* 1720. *m. Sept. Stephanus Berglerus.* paginas habet 1002, formam quadratam. scholia ad Il. 17, 38 deducta abrumpit, fol. 885, ubi *finis* ait *scriptoris merces consumta laboris. explicit in monasterio S. Bonifacii a.* 1720 *mense Sept. M. S. B.* sequuntur scholia Horneiana.

[13]) lacuna sex litterarum. [14]) cod. οἰκίαν. [15]) cod. τηλεγόμενος. [16]) cod. τὴν μὲν πηνελόπην τηλέγονος, κίρκην. [17]) Il. 14, 500. [18]) lege ἀπεριστίκτῳ, ut legit Th. [19]) Od. 11, 603. [20]) Il. 1, 177.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.....

Venetum alterum [illegible]m Bessarioneum, in bibliotheca S. Marci 453, membranaceum, forma maxima, foliis 338, et ipsum [illegible]exi. quem cum viderem pulcherrime scriptum lectuque facillimum, nolui dubitare de Villoisonis in de[illegible]ndo eo aut fide aut peritia. nunc ne a vero identidem aberraverit vir eruditior quam prudentior, sero vereor.

Denique quae scholia minora s. Didymi vocantur (D), ea sumpsi ex editionibus antiquissimis, Romana et Aldina, exclusis quae verbum verbo reddunt. in Wassenberghianis, quod operae pretium esset, non inveni. Leidensia et Moscuensia suis locis consului.

Varias lectiones facile erat apponere plurimas: quas omisi, ne onerarem magis quam ornarem librum sua mole gravem. tenendum autem pauca me de coniectura mutavisse, sed in digerendis scholiis et ad lemmata sua revocandis rationi quam auctoritati parere maluisse.

Scribebam Berolini calendis Iuliis a. 1825.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

ΕΙΣ ΤΗΝ Α.

1. Μῆνιν ἄειδε: ζητοῦσι διὰ τί ἀπὸ τῆς μήνιδος ἤρξατο, οὕτω δυσφήμου ὀνόματος. διὰ δύο ταῦτα, πρῶτον μέν, ἵν' ἐκ τοῦ πάθους ἀποκαθαριεύσῃ τὸ τοιοῦτο μόριον τῆς ψυχῆς, καὶ προσεκτικωτέρους τοὺς ἀκροατὰς ἐπὶ τοῦ μεγέθους ποιήσῃ, καὶ προεθίσῃ φέρειν γενναίως ἡμᾶς τὰ πάθη, μέλλων πολέμους ἀπαγγέλλειν· δεύτερον δέ, ἵνα τὰ ἐγκώμια τῶν Ἑλλήνων πιθανώτερα ποιήσῃ. ἐπεὶ δὲ ἔμελλε νικῶντας ἀποφαίνειν τοὺς Ἕλληνας, εἰκότως οὐ κατατρέχει ἀξιοπιστότερον, ἐκ τοῦ μὴ πάντα χαρίζεσθαι τῷ ἐκείνων ἐπαίνῳ. AL.

ἤρξατο μὲν ἀπὸ μήνιδος, ἐπείπερ αὕτη τοῖς πρακτικοῖς ὑπόθεσις γέγονεν. ἄλλως τε καὶ τραγῳδίαις τραγικὸν ἐξεῦρε τὸ προοίμιον· καὶ γὰρ προσεκτικοὺς ἡμᾶς ἡ τῶν ἀτυχημάτων διήγησις ἐργάζεται, καὶ ὡς ἄριστος ἰατρός, πρῶτον ἀναστέλλων τὰ νοσήματα τῆς ψυχῆς ὕστερον τὴν ἴασιν ἐπάγει. Ἑλληνικὸν δὲ τὸ πρὸς τέλει τὰς ἡδονὰς ἐπάγειν. AL.

Ἰστέον δὲ ὅτι ὥσπερ ἐπὶ συκῆς πρῶτον μέν ἐστιν ὄλυνθος, εἶτα φήληξ σῦκον ἰσχάς, οὕτω πρῶτον ὀργὴ θυμὸς χόλος κότος μῆνις. ὅμως ὁ ποιητὴς ὡς συνωνύμοις ὀνόμασιν ἐπὶ Ἀχιλλέως χρῆται. „ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν" (192)· „οὐδ' ὄθομαι κοτέοντος" (180)· „αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος" (488). A.

μῆνιν: παρὰ τὸ μένω μῆνις ὡς ἔνος ἦνις. οἱ δὲ περὶ Γλαύκωνα τὸν Ταρσέα ἠξίουν ὀξύνειν τὸ ὄνομα, οὐκ ὀρθῶς. AL.

Διὰ τί εὐθὺς ἀπὸ τῶν τελευταίων τοῦ πολέμου ἤρξατο; καί φαμεν ὅτι ἅπας μὲν ὁ χρόνος ὁ πρὸ τοῦ δεκάτου ἔτους οὐκ ἔσχεν οὕτω συνεχεῖς τὰς μάχας, διὰ τὸ καὶ τοὺς Τρῶας φόβῳ τοῦ Ἀχιλλέως ἐντὸς κατακεκλεῖσθαι τοῦ τείχους· τὸ δὲ δέκατον ἔτος πλείονας ἔσχε τὰς πράξεις καὶ τοὺς πολέμους ἰσοπαλεῖς, τοῦ Ἀχιλλέως ὀργιζομένου· ὁ δὲ ποιητὴς οἰκονομικῶς κἀν τούτῳ ἤρξατο μὲν ἀπὸ τῶν τελευταίων, διὰ δὲ τῶν σποράδην αὐτῷ λεχθέντων περιέλαβε καὶ τὰ πρὸ τούτων πραχθέντα. αὕτη γὰρ ἀρετὴ ποιήσεως, τὸ ἀπὸ τῶν μέσων ἄρξασθαι, προϊόντα δὲ καὶ τὴν ἀρχὴν διηγεῖσθαι κατὰ μέρος. AD.

Ζητεῖται διὰ τί ἀπὸ τῶν τελευταίων ἤρξατο καὶ μὴ ἀπὸ τῶν πρώτων ὁ ποιητής. καί φαμεν ὡς σποράδην οἱ πρὶν ἐγίνοντο πόλεμοι, καὶ οὐδὲ περὶ πόλεων μεγίστων. οἱ γὰρ Τρῶες Ἀχιλλέως παρόντος οὐδέποτε ἐξῄεσαν τῶν πυλῶν, καὶ σχεδὸν ἄπρακτοι τὴν ἐνναετίαν ἐτέλεσαν, τὰς δὲ ὁμορούσας πολίχνας οἱ Ἕλληνες διαστρέφοντες· περὶ ὧν ἀναγκαῖον αὐτῷ γράφειν οὐκ ἦν, μὴ παρούσης ὕλης τῷ λόγῳ. λέγουσι δὲ καὶ ἀρετὴν εἶναι ποιητικὴν τὸ τῶν τελευταίων ἐπιλαμβάνεσθαι καὶ περὶ τῶν λοιπῶν ἀνέκαθεν διηγεῖσθαι. Ἔτι ζητεῖται διὰ τί ἀπὸ δυσφήμου ὀνόματος τῆς μήνιδος ἄρχεται. ἐπιλύουσι δὲ αὐτὸ οἱ περὶ Ζηνόδοτον οὕτως, ὅτι πρέπον ἐστὶ τῇ ποιήσει τὸ προοίμιον, τὸν νοῦν τῶν ἀκροατῶν διεγεῖρον καὶ προσεχεστέρους ποιοῦν, εἰ μέλλοι πολέμους καὶ θανάτους διηγεῖσθαι ἡρώων.

Πάλιν ζητεῖται διὰ τί Ἀχιλλέως ὡς ἐπὶ τὸ πλεῖστον ἀριστεύοντος οὐκ Ἀχίλλειαν ὡς Ὀδύσσειαν ἐπέγραψε τὸ σωμάτιον. φαμὲν δ' ὅτι ἐκεῖ μέν, ἅτε μόνως ἐφ' ἑνὸς ἥρωος τοῦ λόγου πλακέντος, καλῶς καὶ τοὔνομα τέθειται· ἐνταῦθα δὲ εἰ καὶ μᾶλλον τῶν ἄλλων Ἀχιλλεὺς ἠρίστευσεν, ἀλλά γε καὶ οἱ λοιποὶ ἀριστεύοντες φαίνονται. οὐ γὰρ μόνον τοῦτον οἷος ἦν δηλῶσαι βούλεται, ἀλλὰ σχεδὸν ἅπαντας, ὅπου γε καὶ ἐξισοῖ τινὰς αὐτῷ. ἐκ τινὸς οὖν ὀνομάσαι μὴ ἔχων αὐτὸ ἀπὸ τῆς πόλεως ὀνομάζει, καὶ τὸ αὐτοῦ καλῶς ὑποφαίνει ὄνομα. BL.

ἄειδε θεά: ἔθος τοῦτο ποιητικόν, ὃ πάντες μικροῦ δεῖν ἐφυλάξαντο, καλεῖν τὰς Μούσας ἤτοι τὸ θεῖον ὡς ἐπικουρῆσον αὐτοῖς. καὶ ἐν Ὀδυσσείᾳ γάρ φησιν „ἄνδρα μοι ἔννεπε Μοῦσα," καὶ πάλιν ἐπάγει „τῶν ἀμόθεν γε θεά·" καὶ ἀλλαχοῦ (Od. 8, 499) „ὁ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ' ἀοιδήν." οἱ δὲ λέγοντες ὡς ἐχρῆν ἐπὶ τοῖς οὕτω δυσφήμοις λέγειν „ἄειδέ μοι ἠεροφοῖτις Ἐριννύς" τοῦ δέοντος ἁμαρτάνουσιν· οὐδὲ γάρ τι πρὸς γνῶσιν Ἐριννὺς συντελεῖ. ἐνθάδε μέντοι μίαν καλεῖ, ἐν δὲ τῇ ἀπαριθμήσει (Il. 2, 484) πάσας· „ἔσπετε νῦν μοι Μοῦσαι." BL.

ἄειδε: ὅτι κατὰ τὴν ποιητικὴν ἤτοι ἄδειαν ἢ συνήθειαν λαμβάνει τὰ προστακτικὰ ἀντὶ εὐκτικῶν. καὶ γὰρ Ἡσίοδός φησι „δεῦτε δὴ ἐννέπετε" (O. 2), καὶ Πίνδαρος „μαντεύεο Μοῦσα" (fr. 118), καὶ Ἀντίμαχος ὁ Κολοφώνιος „ἐννέπετε Κρονίωνος Διὸς μεγάλοιο θύγατρες." δεύτερον δέ, ὅτι οὐ κατὰ ἀλήθειαν ταῖς Μούσαις ἐπιτάσσουσιν, ἀλλ' ἑαυτοῖς. AL.

ἄειδε: ᾄδειν ποίει, μετωνυμικῶς, ὡς „πάντας μέν ῥ' ἔλπει" (Od. 2, 91). ᾖδον γὰρ αὐταί, καὶ εἰπεῖν θέλει δυσχερῆ ὄντα. περὶ δὲ τοῦ ῥήτορος λέγων (Od. 1, 1) ἔννεπέ φησιν.

ἄειδε, ἀπὸ τοῦ εἴδω τοῦ σημαίνοντος τὸ ἐπίσταμαι, καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀείδω, τὸ λίαν γινώσκω. L.

θεά: οὕτως εἴωθε τὴν Μοῦσαν καλεῖν. ἀμέλει καὶ ἐν Ὀδυσσείᾳ „ἄνδρα μοι ἔννεπε Μοῦσα." A.

κοινῷ μὲν ὀνόματι προσαγορεύει τὴν Μοῦσαν, τῇ δὲ ἰδιότητι τῆς πράξεως προεδήλωσεν ὡς οὐχ ἑτέραν λέγει θεάν· μόναι γὰρ ᾄδουσιν αἱ Μοῦσαι. οὐ προσέθηκε δὲ οὐδὲ ὄνομα Μούσης, πάσας διὰ τῆς μιᾶς καλῶν. D.

Ἀχιλῆος: οὕτως ἀναγνωστέον διὰ τοῦ ἑνὸς λ̄, καὶ διὰ ὡς μέτρον καὶ διὰ τὸ ἄχος (ὅ ἐστι λύπην) ἐπενεγκεῖν τοῖς Ἰλιεῦσιν. οἱ δὲ παρὰ τὸ μὴ θιγεῖν χείλεσι θήλης· ὅλως γὰρ οὐ μετέσχε γάλακτος. AL.

ὁ Κοτιαεὺς Ἀχιλῆος· διὰ τὸ μέτρον ἓν λ̄ γράφεται, ὡς Κάμανδρος ἀντὶ τοῦ Σκάμανδρος. A.

2. οὐλομένην: τὴν ὀλέσασαν ἢ τὴν ὀλεθρίαν. ὡς ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἰδίοις δὲ ἀλγῶν δυσφημεῖ αὐτ[illegible]. ὥρα δὲ τὰς ἐν ἀρχῇ ἀναφωνήσεις, ὅσον ὑποφαίνεσι τὸ πλῆθος τῶν ἐξορηθησομένων, ὡς καὶ ἐν Ὀδυσσείᾳ. ἔχει δὲ τὸν ῥητορικώτατος καὶ γενικώτατος τῶν τόπων τὸ προοίμιον· ποσόν, πολλάς· ποιόν, ἰφθίμους· ἀοίαν, ψυχάς· τόπον, Ἄϊδι· χρόνον, πρόταψεν. BL.

μυρί α: ἀορίστως ἀντὶ τοῦ πολλά. D. τινὲς θρηνητικά, παρὰ τὸ μυριάζω καὶ ἐπίθετον αὐτὸ τῶν ἀλγέων ἦκουσαν, ἐφ' οἷς μυριάζω καὶ τὸ κλαῦσαι. οὐδὲν δὲ ἄτοπον εἰ παρὰ Μυσῶν ταῦτα ἐρωτᾷ· φρόνησις μὲν γάρ ἐστιν ἡ πάντων εὐθησις, προαίρεσις δὲ ἀκριβὴς ἡ τῶν ἀμεινόνων πράξεων αἵρεσις. ABL.

Ἀ χ α ι ο ῖ ς: Ξάνθος ὁ Αἰόλου παῖς, ἀγαγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν· ὧν ὁ μὲν Ἴων ὤκησεν Ἀθήνας, ὁ δὲ Ἀχαιὸς φόνον ἐμφύλιον δράσας παρῴκησε εἰς Θεσσαλίαν, καὶ κυριεύσας τῆς χώρας τοὺς ὑποτεταγμένους ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἀχαιούς. Ἕλληνες δὲ κοινῶς πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν, ἀπὸ Ἕλληνος τοῦ Διός. πρῶτοι δὲν ὕστερον ἐλέγοντο οἱ ἐν Θεσσαλίᾳ ἄνθρωποι, καὶ ὕστερον ὁ πάντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει. ἔπειτα μεγάλα δυνηθέντος τοῦ Ἕλληνος καὶ τῶν τότε παίδων, ἀπ' αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες. AD.

ἄ λ γ ε' ἔθηκε: ῥητορικὴ ἡ μετάληψις. παρὸν γὰρ ἦν φάναι „ὃς μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν" ἀλλ' ὡς φιλέλλην οὐ τῷ ἥρωϊ ἐπάγει τὴν βλασφημίαν, ἀλλὰ τῷ πάθει. τὸ δὲ ἡ κατὰ δοτικήν τινες ἤκουσαν, οὐκ ὀρθῶς. BL.

3. π ο λ λ ὰ ς: κίνησιν οὐ τὴν τυχοῦσαν ἔχει τὸ προοίμιον, εἰ μέλλει διηγεῖσθαι θανάτας πολλῶν ἰφθίμων ἡρώων. BL.

ψ υ χ ά ς: Ἀπολλώνιος ὁ Ῥόδιος κεφαλάς γράφει. BL.

ὅτι κακῶς τινὲς μεταγράφουσι „πολλὰς δ' ἰφθίμους κεφαλάς," ἵνα περιφραστικῶς τοὺς ἀνδρείους καὶ ἀγαθοὺς λέγῃ κεφαλάς. A.

τὸ Ἄϊδι κατὰ μεταπλασμόν, Ἄϊδης Ἄϊδι, φησὶν Ἡρωδιανός. L. τῷ Ἅιδῃ, ἀπὸ εὐθείας τῆς Ἅϊς ὡς Πάρις. D.

Ἄ ϊ δ ι π ρ ο ΐ α ψ ε ν: ἐναντίον τῷ „μοῖραν δ' ἥ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν" (Il. 6, 488). ἀλλ' ὁ ταὐτὸν ἐκείνῳ τοῦτο. νῦν γὰρ δοκεῖ λέγειν ὡς ὁ διὰ τὴν Μοῖραν ἀλλὰ τὴν μῆνιν Ἀχιλλέως ἀπώλοντο. ῥητέον δὲν ὅτι μοῖραν ἐνταῦθα ἀκουστέον τὴν τελευτήν. πρεπώδης γὰρ ἀνθρώποις θάνατος ὁ ἐν γήρᾳ γινόμενος· „εἰσόκε γῆρας ἔλθῃ καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι πέλονται" (Od. 13, 59). πρόταψεν δν, ἤγουν προπέμψασα τῷ Ἅιδῃ πρὸ τῆς πρέποντος ἀνθρώποις θανάτου. ἢ περιττεύει ἡ πρό, ὡς τὸ „νῆάς τε προπάσας" (Il. 2, 493). L.

4. 5. ὅτι Ἡσιόδοτος τὰς δύο ἀθετεῖ· γινεῖ δὲ τὸ προοίμιον κόλον. καὶ πρὸς τὰς ψυχὰς ἀντιδιέζευκται τὸ αὐτοὺς δέ, ἐπὶ τῶν σωμάτων. A.

ἥρωας δέ φασι κληθῆναι ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὡς φησιν Ἡσίοδος „ἥέρα ἐσσάμενοι" (O. 124). ἢ ἀπὸ τῆς ἐράσεως, τιτέσι τῆς μίξεως τῶν θεῶν· οἱ γὰρ θεοὶ θνηταῖς γυναιξὶ συνερχόμενοι ἐποίουν τὸ τῶν ἡρώων γένος. ἢ ἀπὸ τῆς Ἥρας· Ἥρα δὲ ἡ γῆ κατὰ διάλεκτον, ἐκ δὲ τῆς γῆς ἐπλάσθη τὸ γένος τῶν ἀνθρώπων. AD.

α ὐ τ ο ὺ ς δ' ἑ λ ώ ρ ι α: δυσμενεῖς τοὺς ἀκροωμένους ἐργάζεσθαι βλασφημοῦντος ποιῶν, ὅτι τὰ σώματα μὲν ἐκήδευσαν ἀνελόμενοι· πλὴν οὐδὲ δι' ἀμέλειαν περιεῖδον ἀτάφους, ἀλλὰ καιρὸν τοῦ κηδεύειν οὐκ ἔχοντες. τεκμήριον δὲ τούτου· ἐν μὲν τῇ πρώτῃ μάχῃ, ἐν ᾗ Τρώων ἐκράτησαν, θάπτουσι τοὺς πεσόντας· τῇ δὲ μετ' αὐτὴν ἡττώμενοι διὰ τὴν Διὸς βούλησιν, ἐπιπολιζομένων ταῖς ναυσὶ τῶν βαρβάρων, οὐκέτι περὶ τῶν θάψαι τοὺς πεσόντας ἀλλὰ περὶ τῆς σφῶν αὐτῶν σωτηρίας φροντίζουσιν. εἶτα γράφει ἡμέραν εἰς τὴν τοῦ Πατρόκλου ἔξοδον τελευτῶσαν. τῇ δὲ ἐπιούσῃ Ἀχιλλεὺς ἔξεισι, καὶ τὰ ταύτῃ ἐχόμενα γράφει. εἶτα καταλαβόντος ἑσπέρας εἰς τὰ Ἕκτορος λύτρα ἡ Ἰλιὰς τελευτᾷ. δασύνεσθαι δὲ τὸ ἑλώρια, παρὰ τὸ ἴλωρ ἴλωρ, ὡς παρὰ τὸ πῖλος πῖλωρ, καὶ κτητικὸν τὸ ἑλώριον, ᾧ ἐχρήσατο ἀντὶ τοῦ ἴλωρ. χρειώδης δέ ἐστιν ἐνταῦθα καὶ ἡ τοῦ τεῖχος παράτασις. Εὐκλείδης φησὶ τὸ ἑξῆς, τεῦχε κύνεσσιν οἰωνοῖσί τε πᾶσι. L.

κ ύ ν ε σ σ ι: κυσίν. Αἰολὶς ἡ διάλεκτος. D.

5. ο ἰ ω ν ο ῖ σ ι: τοῖς σαρκοφάγοις ὄρνισι. λέγει δὲ γυψὶ καὶ κόραξιν. D. καὶ ἀλλαχοῦ „τάχα κέν σε γῦπες ἔδουσι" (Il. 22, 42). οἱ γὰρ γῦπες ἀντερείδοντες τοῖς ποσὶ βίᾳ τὰ πᾶν ἕλκουσι σῶμα. εἰ δὲ καὶ μὴ πάντες ἤσθιον, ἀλλ' ὅν ἀνέδην πᾶσι πρόκειντο. L.

Δ ι ὸ ς δ' ἐ τ ε λ ε ί ε τ ο β ο υ λ ή: Διὸς βουλὴν λέγει νῦν ὁ ποιητὴς τὴν ἐπαγγελίαν τὴν πρὸς Θέτιδα· „Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βάλετο κῦδος" (Il. 15, 347). Εὐκλείδης δέ φησιν ὅτι οὐχ ὡς ἐπόμενον τοῖς πρώτοις τοῦτο εἴρηται, ἀλλ' ὡς κεχωρισμένον καὶ καθ' ἑαυτὸ λεγόμενον· ἡ δὲ Διὸς ἐτελείετο βουλὴ τῷ τὰς ἠδικηκότας ἀξίαν δοῦναι δίκην ὧν ἠδίκησαν, ὅπερ ἐστὶ τέλος τῆς Ἰλιάδος, ὡς εἶναι τὸ μὲν ἀπ' Ἀχιλλέως εἰρημένον κοινὸν τῆς ὅλης φράσεως, τὸ πολλὰς δ' ἰφθίμους ψυχάς, τὸ δὲ ἐπὶ θεῦ κεχωρισμένον, ὅτι δίκην ἔδοσαν ἱκανῶς τῇ βουλῇ αὐτοῦ. L.

5. 6. Δ ι ὸ ς δ' ἐ τ ε λ ε ί ε τ ο β ο υ λ ή, ἐξ ἧς δὴ τὰ πρῶτα: Ἀρίσταρχος συνάπτει, ἵνα μὴ παρῇσά τις φαίνῃ βουλὴ καθ' Ἑλλήνων, ἀλλ' ἀφ' ἧς χρόνου ἐγένετο ἡ μῆνις, ἵνα μὴ τὰ παρὰ τοῖς νεωτέροις πλάσματα δεξώμεθα. A.

Διὸς βουλὴν οἱ μὲν τὴν εἱμαρμένην ἀπέδοσαν· ἄλλοι δὲ ἐξεδέξαντο ὄρῶν ἱερὰν μαντικὴν τῷ Διὶ ἐν Δωδωναίῳ ὄρει τῆς Θεσπρωτίας, ὡς αὐτὸς Ὅμηρος λέγει ἐν Ὀδυσσείᾳ „τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐσακούσαι" (Od. 14, 327). ἄλλοι δ' ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον. φασὶ γὰρ τὴν γῆν βαρυμένην ὑπ' ἀνθρώπων πολυπληθείας, μηθεμιᾶς ἀνθρώπων ὕβρεως εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τῷ ἄχθει· τὸν δὲ Δία πρῶτον μὲν εὐθὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι' ὃ πολλὰς πάνυ ἀπώλεσεν· ὕστερον δὲ πάλιν συμβάλλῃ τῷ Μώμῳ χρησάμενος, ἣν Διὸς βουλὴν Ὅμηρός φησιν, [ἐπειδὴ] οἷός τε ἦν κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθεῖραι. ὅπερ τῷ Μώμου κωλύσαντος, ὑποθεμένου δὲ αὐτῷ τὴν Θέτιδος θνητογαμίαν καὶ θυγατέρος καλῆς γέννων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησί τε καὶ βαρβάροις ἐγένετο, ἀφ' ἧς συνέβη κεφαλὰς τὴν γῆν, πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱστορία παρὰ Στασίνῳ τῷ τὰ Κύπρια πεποιηκότι, εἰπόντι ὧτις· „ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα πλαζόμενα βαρυσέρνα πλάτος αἴης. Ζεὺς δὲ ἰδὼν ἐλέησε, καὶ ἐν πυκιναῖς πραπίδεσσι σύνθετο κεφαλὰς ἀνθρώπων παμβώτορα γαῖαν, ῥιπίσας πολέμιο μεγάλην ἔριν Ἰλιακοῖο, ὄφρα κενώσειεν θανάτῳ βάρος. οἱ δ' ἐνὶ Τροίῃ ἥρωες κτείνοντο· Διὸς δ' ἐτελείετο βουλή." καὶ τὰ μὲν παρὰ τοῖς νεωτέροις ἱστορούμενα περὶ τῆς τοῦ Διὸς βουλῆς ἐξὶ τάδε. ἡμεῖς δέ φαμεν, κατὰ τὴν Ἀριστάρχου καὶ Ἀριστοφάνους δόξαν, τῆς Θέτιδος εἶναι βουλήν, ἣν ἐν τοῖς ἑξῆς φησὶ λιτανεύουσα τὸν Δία ἐκδικῆσαι τὴν τοῦ παιδὸς ἀτιμίαν, καθάπερ ἐν τῷ προοιμίῳ. AD.

βουλή: τινὲς σὺν τῷ ι κατὰ δοτικήν, οἷον τῇ βουλῇ τοῦ Διὸς ἐτελείετο. A.

6. διεστήτην: διέζησαν. ἡ δὲ τῶν δυϊκῶν κατάχρησις Ἀττική. L.

7. Ἀτρείδης: ἀντονομασία ὁ τρόπος, ἀντὶ τοῦ Ἀγαμέμνων, ὡς καὶ ἡ Τριτογένεια ἄλλο τι τῆς Ἀθηνᾶς. ἐπεὶ δὲ Ἀτρείδης καὶ τὸν Μενέλεων ἐδήλωσε, ἀντιδιαζέλλων προσέθηκεν ἄναξ ἀνδρῶν. L.

Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης, κατὰ δὲ Ἡσίοδον Πλεισθένης, τὸ γένος Μυκηναῖος, ὃς ἦγαγε ναῦς εἰς Ἴλιον. ἐκπορθήσας δὲ τὴν Ἴλιον καὶ ὑποσρέψας οἴκαδε ἀνῃρεῖθ ὑπὸ Αἰγίσθ τοῦ Θυέσ δόλῳ, ἐπὶ εὐωχίας· οὗτος γὰρ παρὰ τὸν καιρὸν τῆς ἀποδημίας ἐμοίχευε τὴν Ἀγαμέμνονος γυναῖκα Κλυταιμνήστραν. κατὰ δὲ τοὺς τραγικούς, αὐτὴν τὴν Κλυταιμνήστραν ἀνελεῖν αὐτὸν χιτῶνι μὴ ἔχοντι διέκδυσιν τραχήλ. ἔχε δ' ἐξ αὐτῆς υἱὸν μὲν Ὀρέστην, καὶ θυγατέρας τέσσαρας, Λαοδίκην Χρυσόθεμιν Ἰφιγένειαν καὶ Ἠλέκτραν. AD.

δῖος: θεῖος, εὐγενής, ἢ ἀπὸ Διὸς ἔχων τὸ γένος, ἔντιμος. ἀπὸ γὰρ Αἰγίνης τῆς Ἀσωπῷ τῷ ποταμῷ Θηβῶν Αἰακός, Αἰακοῦ δὲ Τελαμὼν καὶ Πηλεύς, Πηλέως δὲ Ἀχιλλεύς. D. δῖος ὁ ἔνδοξος, ἀπὸ τῆς τοῦ Διὸς ὑπεροχῆς. πολλαχῶς δὲ τὸ δῖός φησιν ἡ κατὰ συλλογισμὸν διήγησις· Ἀχιλλεὺς μὲν γὰρ πάντων χάριν, Ὀδυσσεὺς δὲ φρονήσεως, Ἀλέξανδρος δὲ καὶ Κλυταιμνήστρα κάλλους, Εὔμαιος εὐνοίας, θάλασσα δὲ καὶ Χάρυβδις μεγέθους. τὸν δ' Ἀχιλλέα καὶ διογενῆ, δίχα τοῦ κυρίου. L.

8. τίς τ' ἄρ': ἐπὶ τὸ διηγηματικὸν μετιὼν ὑποβάλλει τὰς διηγήσεις αὐτομάτας, ἵνα μὴ δοκῇ τοῖς ἀκούσι προσκορὴς εἶναι, ἀλλὰ διὰ πεύσεως καὶ ἀποκρίσεως τὸν τῶν ἀκροωμένων νῶν ἀναρτῶν, καὶ ὑψῶν αὐτὲς πρότερον τῇ πεύσει, εἶτα τὴν ἀπόκρισιν ἐπάγων. ἐν δὲ τῇ εἰσβολῇ τὸν λόγον ἀναρτήσας, φιλοτέχνως διηγεῖθ τὴν μῆνιν. τοιοῦτος δέ ἐξι, κεφαλαιώδεις τινὰς ἐκδιδὰς περιοχάς, καὶ ἐξ ἀναγροφῆς κατὰ μέρος διηγούμενος. L.

οἱ περὶ τὸν Σιδώνιον τῇ σφῶϊ ἀρέσκονται, ἃ καλῶς. ἡ γὰρ σφῶϊ δύο πτώσεις ἐπιδέχεθ, ὑμεῖς τε καὶ ὑμᾶς, ὧν ἐδέτερον ἁρμόττει. τὸ δὲ σφωέ μᾶλλον, τρίτῃ ἐξὶ δυϊκῇ προσώπῳ, καὶ σημαίνει τὸ αὐτούς. ὁ Ζηνόδοτος σφῶϊν ἔγραφεν. A.

τὸ ἔριδε ἀντὶ τῆ μετὰ ἔριδος, ὡς μεθ' ὅπλων. L.

ξυνέηκε: δασύνεθ τὸ ξυνέηκεν.

9. Λητοῦς καὶ Διὸς υἱός: Ζεὺς ἐραθεὶς Λητῆς τῆς Κοίε θυγατρός, ἑνὸς τῶν Τιτάνων, καὶ Φοίβης, ἔγκυον αὐτὴν ἐποίησεν· ἥτις δεκαμηνιαίῳ χρόνῳ διαγενομένῃ παραγένετο διὰ θαλάσσης εἰς Ἀστερίαν τὴν νῆσον, μίαν οὖσαν τῶν Κυκλάδων· ἐκεῖσέ τε ἐλθοῦσαν, καὶ ἅψαμένην δύο φυτῶν, ἐλαίας καὶ φοίνικος, διδύμους ἀποκυῆσαι λέγεθ παῖδας, Ἄρτεμιν καὶ Ἀπόλλωνα. καὶ τὴν νῆσον ἐκάλεσε Δῆλον, ὅτι ἐξ ἀδήλε βάσεως ἐρρίζώθη. A.

βασιλῆϊ: καλῶς ἐκ Ἀγαμέμνονι ἀλλὰ βασιλεῖ φησίν, ὡς ἐδὲν ὀνίνησι τύχη τὸς περὶ τὸ θεῖον πλημμελήσαντας. L.

10. ὦρσε: ψιλωτέον τὸ ὦρσεν· ἀπὸ γὰρ τοῦ ὄρω τὸ ὁρμῶ Αἰολικῶς γίνεθ. L.

λαοί: καίτοι τοῦ λαός περιλημματικοῦ ὄντος, ὅμως πρὸς πλείω ἔμφασιν τῷ πληθυντικῷ ἐχρήσατο. L.

11. τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα: διὰ τὴν τάξιν τοῦ ἄρθρε, τὸν ἀρητῆρα Χρύσην. A.

ὑπερβατόν, ἵν' ᾖ τὸν ἀρητῆρα Χρύσην. τὰ γὰρ ἐπιθετικώτερον συντασσόμενα κυρίοις ἢ προσηγορικοῖς τὰ ἄρθρα δέχονται, εἰ μὴ τὰ ῥήματα διαφόρων γνώσεων . . . . . διάφορον τὸ ἄρθρον. ἔχιν ὂν καθ' ὑπερβατόν, ὡς τὸ „ἀλλ' ὅτε δὴ τάχ' ὁ μοχλὸς ἐλάϊνος" (Od. 9, 378). Κατὰ συλλογισμὸν δὲ ἡ διήγησις. εἰ γὰρ θεοφιλεῖ τις ἀνδρὶ προσκρούων τοιαῦτα πάσχει, πόσῳ μᾶλλον θεῷ; καὶ εἰ βασιλεὺς ὤτω κολάζεθ, πόσῳ μᾶλλον ἰδιώτης; L.

12. 13. 14. ἀχερίσκοι· οὐ καλῶς γὰρ ἐν τοῖς ἑξῆς μετατέθησαν. A.

13. θύγατρα: ἐκ τοῦ θυγατέρα κατὰ συγκοπήν, ἀναδοθέντος καὶ τοῦ τόνε· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζεσι τὲς τόνες, ὡς τὸ ἁρμόσαντες ἄρσαντες, ὁμόπατρος ὅπατρος. γέγονε δὲ θυγάτηρ παρὰ τὸ θύω καὶ τὸ γαςήρ· λέγεθ γὰρ τὰ θήλεα τάχιον ἐν τῇ γαςρὶ κινεῖσθ. B.

φέρων τ' ἀπερείσι' ἄποινα: πανταχόθεν τὸν οἰκτον πεποιηθ, τῷ γήρᾳ, τῇ χηρώσει τῆς παιδός, τῇ πρὸς τὲς ἐχθρὲς παρόδῳ καὶ τῇ τῶν δώρων κομιδῇ. καὶ τὸ μὲν σέμνα κατέχει, τὰ δὲ δῶρα (χρυσὸς δὲ ταῦτα καὶ ἐωθῆς καὶ χαλκὸς ἦν) δι' οἰκετῶν προσῆγε· καὶ τὰ μὲν τῶν θεῶν δείκνυσι, καὶ παραινεῖ ὡς θεὲς τιμᾶν, τὰ δὲ δῶρα δίδωσιν, ἵνα κἂν τὴν ἀπὸ τέτων ἀντιδέξηθ φιλοφροσύνην. B.

εἰ μὲν θεοσεβεῖς, τὸ σέμνα, εἰ δὲ φιλοχρήματοι, τὰ ἄποινα, εἰ δὲ οἰκτίρμονες, τὸ γῆρας αἰδεσθήσονθ. A.

τὸ δὲ ἀπερείσι ἄποινα ἐ τὸ ἄπειρα τῷ πλήθει σημαίνει, ἀλλὰ πρὸς ἃ ἀπερειδόμενοι καὶ ἀντιλαμβάνοντες λύτρα τῶν εἱλημένων ἀπελύοντο τὲς αἰχμαλώτες. B.

14. στέμματ': ὅτι ἔθος αὐτῷ πληθυντικῶς ἀντὶ ἑνικοῦ λέγειν.

Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ Δάφνη ὑπῆρχε θυγάτηρ εὐπρεπεστάτη. ἐραθεὶς δ' αὐτῆς Ἀπόλλων καὶ βαλόμενος συγγενέσθ ἐδίωκε. καταλαμβανομένης δ' αὐτῆς ὑπὸ

τῷ θεῷ, φασὶν εὔξασθαι τῇ μητρὶ τῇ Γῇ χάσματι αὐτὴν δεχθῆναι. γενομένῃ δὲ τούτῳ, καὶ τῆς Γῆς ἀναδόσης ὁμώνυμον φυτόν, Ἀπόλλων θεασάμενος ἐξεπλάγη· καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου δάφνην προσηγόρευσεν ὁμωνύμως, λαβὼν δὲ τὸν κλάδον αὐτῆς ἐξέψατο. AD.

ἑκηβόλου: τοῦ ἑκάθεν ἐπιτυγχάνοντος· πλεῖστοι γὰρ ἑκάθεν βάλλουσιν, ἀλλ' ὁ τυγχάνουσι τῷ σκοπῷ· „ἐκ ἔβαλες τὸν ξεῖνον" (Od. 20, 305) ἀντὶ τοῦ ἐκ ἔτυχες βάλλειν γὰρ κυρίως τὸ ἐπιτυγχάνειν. B.

15. Ἀτρείδα δὲ μάλιστα: εἰώθασι συνάγεσθαι οἱ Ἀχαιοὶ „νηῒ παρὰ πρύμνῃ Ἀγαμέμνονος" (Il. 7, 383). B. τινὲς Ἀτρείδας. A.

16. Ἀτρεῖδαί τε: εἰώθεν ὑπεξαίρειν τὰ προὔχοντα πρόσωπα, ὡς τὸ „Τρῶάς τε καὶ Ἕκτορα" (Il. 13, 1). ἀπὸ τοῦ διηγηματικοῦ δὲ ἐπὶ τὸ μιμητικὸν μέτεισιν, ὡς τὸ „ἵππευσι μὲν πρώτοις ἐπετέλλετο" (Il. 4, 301). BL.

18. ὑμῖν μὲν θεοὶ δοῖεν: θεραπευτικὴ ἡ τοιαύτη ἔντευξις· τὸ ὑπερεύχεσθαι χειρώσασθαι τοὺς ἐχθροὺς καὶ τὸ εὐθεῖαν καὶ εὐάγωγον δοθῆναι ὁδόν. οἰκεία δέ ἐστιν ἡ ἱκετεία τῷ ἱερεῖ. ἅπασαν ἂν αὐτῶν ἐπιθυμίαν πληρωθῆναι ἐπεύχεσθαι, τὴν παῖδα πρὸ ὀφθαλμῶν βλέπων αἰχμάλωτον. καλῶς δὲ ἐκ ἀπὸ τῶν λυγρῶν ἤρξατο, ἵνα μὴ μᾶλλον αὐτὸς ἀπηνεστέρους ποιήσῃ. ἡ ἀνάγκη δὲ αὐτὸν ποιεῖ καὶ τοῖς οἰκείοις ἐπαρᾶσθαι. ἢ εἰκότως τοῖς Τρωσὶν ἀρᾶται, ἐπειδὴ αὐτοί καὶ αὐτῷ καὶ πᾶσι τοῖς ἀσυγγίτοσιν αἴτιοι κακῶν γεγόνασιν. ἰστέον δὲ ὡς εἰς Θήβας ἦκουσα ἡ Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος μὲν ἀδελφὴν Ἄκτορος δὲ θυγατέρα, θύουσαν Ἀρτέμιδι, ἦλω ὑπὸ Ἀχιλλέως. A.

Ἀπρεπὲς τὸ τὸν ἱερέα τοῖς μὲν οἰκείοις καταρᾶσθαι, τοῖς δὲ ἐχθροῖς εὔχεσθαι τὰ βέλτιστα. ἡ δὲ λύσις ἐκ τοῦ καιροῦ· τὸν γὰρ ἐν τοῖς πολεμίοις γενόμενον καὶ ὑπὲρ τῆς θυγατρὸς κινδυνεύοντα πῶς ἐκ εἰκὸς τοιούτοις λόγοις χρῆσθαι πρὸς τὸ συμφέρον αὐτῷ; A.

Διὰ τί ὁ Χρύσης κατὰ τῶν οἰκείων ηὔχετο; λέγομεν ὅτι πρῶτον μὲν ἔδει κολακεύειν τὸν τύραννον, καὶ ταῦτα λέγειν ἅπερ ἐπεθύμει δρᾶσαι. δεύτερον δὲ ὅτι διὰ τὰς Τρῶας ἀπολωλεκὲι τὴν θυγατέρα· ὅθεν εὐλόγως κέχρηται ταῖς ἀραῖς κατ' αὐτῶν. A.

Ὀλύμπια δώματ' ἔχοντες: ἐκ ἐν οὐρανῷ μόνον ἀλλὰ καὶ ἐπὶ γῆς τὰς θεὰς φησιν οἰκεῖν, ἵνα μὴ καταφρονῶσιν αὐτῶν ὡς μακρὰν ὄντων. BL. Ὄλυμπος δὲ κατὰ μὲν Ὅμηρον ὄρος τῆς Μακεδονίας μέγιστον, ἱερὸν τῶν θεῶν· κατὰ δὲ ἀλληγορίαν Ὄλυμπός ἐστιν ὁ οὐρανός, παρὰ τὸ ὁλολαμπὴς εἶναι. D.

19. ἱκέσθαι: μέσος ἀόριστος δεύτερος· διὸ παροξύνεται.

20. ἐμοὶ — φίλην —δέχεσθαι: ἀντιδιέζευκται πρὸς τὴν ὑμῖν· διὸ ὀρθοτονεῖται. ἐλλειπὴς δὲ ἡ προθήκη τῷ φίλην· δηλοῖ γὰρ τὴν μόνην. τὸ δὲ δέχεσθαι ἀντὶ προστακτικῷ ἀπαρέμφατον. BL.

21. ἑκηβόλον Ἀπόλλωνα: ἵνα μὴ δοκοῖεν ἔμπειροι τῆς τοξικῆς εἶναι, τὸν Ἀπόλλωνα πολεμοῦντα αὐτοῖς ὡς ἑκηβόλον εἰσάγει, διὰ τῶν τότε τόξων ἐκφοβῶν αὐτούς. BL.

22. ἐπευφήμησαν Ἀχαιοί: δεισιδαιμόνως τὸ πλῆθος καὶ μισοπόνηρον. BL.

Ἀχαιοί: ἰστέον ὅτι τὸ παλαιὸν ἡ Πελοπόννησος εἰς ε' διῃρεῖτο μοίρας, Ἀργολικήν, Πυλικήν, Λακωνικήν, Μεσσηνιακήν. ἰστέον δὲ ὅτι ἡ Πελοπόννησος τὸ ἀρχαῖον Αἰγιάλεια ἐκαλεῖτο, ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ Μελίας τῆς Ὠκεανοῦ. ὕστερον δὲ Ἀπία πάλιν ἐκλήθη, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως τοῦ Διός· εἶθ' οὕτως Ἄργος, ἀπὸ Ἄργου τοῦ πανόπτου· τελευταῖον δὲ πάντων Πελοπόννησος, ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας τὸν Ταντάλου υἱὸν Πέλοπα. A.

23. ἱερῆα: ὡς τιμῶντες μὲν οὗτοι ἱερεῖα καλοῦσι, λέγοντες ὡς ἐχρῆν τὸν ἱκέτην μετ' αἰδοῦς δέχεσθαι· ὁ δὲ καὶ γέροντα αὐτὸν ὀνομάζει. BL.

δέχθαι: ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.

24. ἀλλ' ἐκ Ἀτρείδη: ὅτι Ζηνόδοτος γράφει ἀλλ' ἐκ Ἀτρείδεω. ὁ δὲ ποιητὴς δοτικὴν ἀντὶ γενικῆς παραλαμβάνει. A.

ἀρχικὸν τὸ μὴ ἐπιτρέπειν τοῖς ἀρχομένοις τὰς κρίσεις. ἄλλως τε δὲ ἐκ ἐπεκηρυκεύσατο, ἀλλὰ τὸ τοῦ βασιλέως γέρας ᾔτει παρὰ τῶν ἀρχομένων. BL.

25. κακῶς: αὐστηρῶς, ἢ σὺν τῷ οἰκείῳ κακῷ ἤτοι τῇ ἀπραξίᾳ. τὸ δὲ κρατερὸν ἀντὶ τοῦ ἀπηνῆ, ὡς τὸ „ἀνδρὶ παρὰ κρατερῷ" (Il. 24, 212) „κρατερὴ ἄλγεα πάσχων" (Il. 2, 721). τὸ δὲ ἐξῆς ἐπέτελλεν. BL.

26. μή σε: μετὰ σπουδῆς ὁ Ἀγαμέμνων ἀπελαύνει τὸν Χρύσην, εἰδὼς ὅτι παρὼν δυσωπεῖ τοὺς Ἕλληνας. A.

γέρον: τὸ τοῖς ἄλλοις αἰδέσιμον γῆρας ἐπ' ὀνείδει προβάλλεται. BL.

κιχείω: ἀντὶ τοῦ κιχείομαι. A.

27. ἢ νῦν δηθύνοντ' ἢ ὕστερον αὖτις ἰόντα: ἢ γὰρ ἐπιμένοντες ἀνόμεν, ἢ πρὸς τὸ ὀξὺ ἐνδιδόαμεν, ὕστερον δὲ ὀχλοῦμεν· ὧν ἁπάντων αὐτὸν ἐκκόπτει. τὸ δὲ νῦν τὸν ἐνεστῶτα ἐσήμανεν, ἢ τὸν πλατικὸν χρόνον. BL.

28. μή νύ τοι οὐ χραίσμῃ: ἀναιρεῖ τὴν ἐλπίδα. καὶ ἔστι, μήποτε καὶ αὐτὸς ὁ θεὸς ἐκ ἀνεξόμενος τῆς σῆς ἀναιδείας περιόψεταί σε. ἢ ὡς πορθέμενον περιεῖδε, πάντως καὶ φονευόμενον. A.

29. 30. 31. ἀθετοῦνται, ὅτι ἀναλύσει τὴν ἐπίτασιν τοῦ νῦ καὶ τὴν ἀπειλήν. ἠσμένισε γὰρ καὶ ὁ Χρύσης εἰπόντος αὐτῆς τοῦ βασιλεῖ. ἀπρεπὲς δὲ καὶ τὸ τὸν Ἀγαμέμνονα τοιαῦτα λέγειν. A.

29. τὴν δ' ἐγὼ οὐ λύσω: πολλὰς περικοπὰς ἔχει ὁ λόγος, τὸ θυμικὸν ἐμφαίνων. BL.

πρίν μιν καὶ γῆρας ἔπεισι: ἐ τοῦτο λέγει, ὅτι γηράσασαν αὐτὴν τότε ἀποδώσει, ἀλλ' ὅτι πρότερον γηράσει ἢ ἐκείνῳ ἀποδοθήσεται. B. μᾶλλον γηράσει παρ' ἐμοὶ ἢ λυθήσεται. ἔστι δὲ ὡς τὸ „ὐδέποτ' ἐκπέρσει, πρίν μιν κύνες ἠδ' οἰωνοί" (Il. 18, 285). BL.

ἡμετέρῳ — πάτρης: καθ' ἑαυτὸ τοῦτο προφερόμενα καὶ γὰρ ἐμφατικώτερον.

κατ' ὀλίγον αὔξων τὰ τῆς διασάσεως λυπεῖ τὸν γέρον-

τα· ἔσι γάρ, ὡς πᾶ τὸ περὶ αὐτῆ ἐπίγραμμα δηλοῖ, βασιλεὺς μὲν ἀγαθός, κρατερὸς δ' αἰχμήτης (Il. 3, 179). διὸ παρὰ μὲν τῶν ὑπηκόων ὑβρίζεῖ, τοῖς δὲ πολεμίοις λίαν ἐσιν ἀπηνής, ὡς Ἀδράστῳ καὶ τοῖς Ἀντιμάχῃ παισίν. ABL.

31. ἰσὸν ἐποιχομένην: ταῦτα λέγων ὑπ' ὄψιν ἄγει τὰ τῆς Ἑλένης. BL.

ἐμὸν λέχος ἀντιόωσαν: τῆς ἐμῆς κοίτης μεταλαμβάνουσαν, ὡς τὸ „ἀντιόων ταύρων τε" (Od. 1, 25). ἐφύβριος δὲ ἡ παρὰ πολεμίοις μίξις. ὅτι δὲ ἐφ' ὕβρει φησὶν αὐτῇ χρῆσθαι, δηλοῖ διὰ τῆ ἐκφωνῆσαι τὸ ἰσὸν ἐποιχομένην καὶ τάτῳ τῷ λόγῳ συμπεριλαβεῖν τὸ λέχος. A.

Διὰ τί ἐπάγει τῇ γαμετῇ καὶ τοῖς τέκνοις τὴν αἰχμάλωτον; ῥητέον ἓν ὅτι ἀ δι' ἐπιθυμίαν αὐτὴν τοσῆτον ἐπάγει, ἀλλὰ πρὸς στρατιωτικὴν ὕβριν, ἵνα ἅπερ Μενέλαος ἐπεπόνθει, ταῦτα καὶ αὐτὸς δράσῃ, ὡς καὶ ὁ Νέστωρ φησὶ „τῷ μή τις πρὶν ἐπειγέσθω οἰκόνδε νέεσθαι, πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι" (Il. 2, 354). D.

Ἀπρεπὲς τὸ τὸν βασιλέα περὶ τῆς αἰχμαλώτε λέγειν, καὶ ταῦτα ἔχοντα γυναῖκα καὶ παῖδας ἐξ αὐτῆς. λύεῖ δὲ καθ' οὓς μὲν ἐκ τῆς λέξεως· τὸ γὰρ ἐμὸν λέχος ἀντιόωσαν ἀ πάντως δηλοῖ τὴν συγκοιμωμένην, ἀλλὰ καὶ ὑπηρετῆσαν πρὸς τὸ λέχος, οἷον θαλαμηπολῆσαν· καθ' ἑτέρας δὲ ἀπὸ τοῦ καιρῆ· ἐν γὰρ πολέμῳ καὶ στρατῷ τῶν Ἑλλήνων ὄντων, καὶ ταῖς αἰχμαλώτοις συνερχόμενον τὸν βασιλέα θέλει ἀποφῆναι, καὶ ἐκ ἀχήμονα τὴν πρὸς ταύτας φιλοσοργίαν, ὅπως ἂν μᾶλλον κατέχῃ τὸ πλῆθος. B.

32. μή μ' ἐρέθιζε: τὰ γὰρ ἀποθύμια ἐρεθισικὰ ἡγούμεθα εἶναι. πρῶτος δὲ Ὅμηρος τὴν δύναμιν τῆς Ἀδρασείας ἐνεδείξατο. ὁ γὰρ τὸν ἱκέτην ἀτιμάσας αὐτὸς ἱκετεύων ἀποτυγχάνει· ὁ δῶρα μὴ λαβὼν ἑτέρῳ δίδωσιν· ὁ κατασχὼν γέροντος θυγατέρα, διδὰς τὴν ἑαυτῆ πρὸς γάμιον ἀπαξιῆται. BL.

σαώτερος: ὅτι τὸ σαώτερος ἀντὶ τῆ ἁπλῆ.

33. καὶ ἐπείθετο μύθῳ: ἀντὶ τῆ ἐκ ἀντέπρασσε. διδάσκει δὲ ὁ ποιητὴς εἴκειν ταῖς ὑπεροχαῖς. οἰκείως δὲ τὸν ἠτιμασμένον καὶ φοβέμενον γέροντα καλεῖ καὶ οὐχ ἱερέα, πλέον οἰκτιζόμενος. BL.

34. ἀκέων παρὰ θῖνα: ἐκ ὀλιγώρας διὰ τὸν καιρόν. τὸ δὲ θῖνα νῦν μὲν θηλυκῶς εἴρηται, ἔσι δὲ καὶ ἀρσενικόν, ὡς τὸ „ἐκβάντες δ' ἐπὶ θῖνα βαθύν." B.

ἀκέων: ὅτι Ζηνόδοτος διὰ τῆ χ ἀχέων. A.

35. ἀπάνευθε κιών: ἵνα μὴ ἀκόσωσιν οἱ πολέμιοι. ἐπισύνηθες δέ ἐσι τοῖς καταδεεστέροις καταφύγειν ἐπὶ τὸ θεῖον ἀδικεμένες. BL.

36. Ἀπόλλωνι: ἐπὶ τῷ διχρόνῳ δεῖ ἐκτείνειν. A.

Ἀπόλλωνι ἄνακτι: τὸ ᾱ ἐκτείνει Ἀρίσαρχος διὰ τὸ μέτρον. τὸ δὲ ἄνακτι ἢ ὅτι αὐτός ἐσι τῶν φαινομένων καὶ γινομένων αἴτιος· ἢ ὡς μυσικὸν ἄνακτα αὐτὸν φησιν ὁ ποιητής· ἢ ἰδίῳ ἄνακτι. BL.

37. κλῦθί μευ: ἐν γενικῇ τὸ μεῦ, ἐκ ἐν δοτικῇ· καὶ ἔσιν ἀναλογῶν τὸ „τῆ δ' ἔκλυε Φοῖβος Ἀπόλλων" (43). BL.

ἀργυρότοξ': διὰ τὴν χρείαν τῶν βελῶν τοῦτό φησιν. ἔοικε δὲ μηδὲν διαφέρεσθαι περὶ τὸν ἄργυρον καὶ τὸν χρυσόν· „ἀμφὶ δ' ἄρ' ὤμοισι βάλετο ξίφος ἀργυρόηλον" (Il. 2, 45) καὶ „ἐν δέ οἱ ἧλοι χρύσειοι πάμφαινον" (Il. 11, 29). BL.

Χρύσην: ἀπόρθητος καὶ αὕτη καὶ ἡ Κίλλα· ἡ δὲ Τένεδος πεπορθημένη· „τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων" (Il. 11, 625). τὸ δὲ παρὸν ἕτοιμον πρὸς ὑπόμνησιν, ὡς πᾶ φησιν ἐν τῷ τῆς Ἰλιάδος ταύτης ἴῶτα (183) περὶ τῶν πρεσβευτῶν „πολλὰ μάλ' εὐχομένω γαιήοχῳ." ἃ γὰρ τὸν γέροντα πάσχειν ποιῆσι, καὶ αὐτοὶ ἀντιπάσχουσιν. BL.

ἀμφιβέβηκας: ὅτι κατὰ μεταφορὰν ἐκ τῶν τετραπόδων ὑπερμαχεῖς. A.

38. Κίλλαν τε ζαθέην: Πέλοψ ὁ Ταντάλε καὶ ....., κατὰ μισθὸν παιδικῆς ὥρας λαβὼν παρὰ Ποσειδῶνος ἵππες ἀδαμάσας σὺν τῷ ὀχήματι, ἔσπευσεν εἰς Πῖσαν τῆς Πελοποννήσε ἐπὶ τὸν Ἱπποδαμείας γάμον, τὸν μνησηροκτόνον αὐτῆς πατέρα Οἰνόμαον καταγωνίσασθαι ἐπιθυμῶν. γενομένῳ δὲ αὐτῷ περὶ Λέσβον Κίλλος ὁ ἡνίοχος τελευτᾷ τὸν βίον, ὃς καθ' ὕπνον ἐπιὼν τῷ Πέλοπι σφόδρα ὀδυνηρῶς ἐπ' αὐτῷ ἔχοντι ἀπωδύρετό τε τὴν ἑαυτῆ ἀπώλειαν καὶ περὶ κηδείας ἠξίᾳ. διόπερ ἀναστὰς ἐξερυπάρᾳ τὸ εἴδωλον διὰ πυρός, εἶθ' ὅτως ἔθαψε τὴν τέφραν ἐπιφανῶς τῆ Κίλλᾳ, ἡρῖον ἐπ' αὐτῷ ἐγείρας, καὶ πρὸς τῷ ἡρίῳ αὐτῆ ἐδείματο ἱερόν, Κιλλαίᾳ Ἀπόλλωνος προσαγορεύσας διὰ τὸ ἀἰφνιδίως τὸν Κίλλον ἀποθανεῖν. ᾠκίσε μὲν ἀλλὰ καὶ πόλιν κτίσας Κίλλαν ὠνόμασεν. ὁ μέντοι Κίλλος καὶ μετὰ θάνατον τῷ Πέλοπι δοκεῖ συλλαβέσθαι, ὅπως περιγένηται τῆ Οἰνομάᾳ περὶ τὸν δρόμον. ἡ ἱσορία παρὰ Θεοπόμπῳ. AD.

Κίλλος ἡνίοχος Πέλοπος, περὶ Λέσβον ἀποθανών. ἀθυμοῦντι δὲ αὐτῷ παρέσῃ κελεύων Κιλλαίῳ Ἀπόλλωνι θύειν διὰ τὸν αἰφνίδιον θάνατον, καὶ νικήσειν. ὅθεν καὶ τῆς ὀνομασίας ἔτυχεν ἡ πόλις. BL.

Τενέδοιό τε: καὶ τῆς Τενέδου. ἡ δὲ Τένεδος νῆσός ἐσι πρὸ τῆς Τροίας κειμένη. ὅπω δὲ πρότερον τοῦτο εἶχε τὸ ὄνομα· καὶ γὰρ ἀδελ Κύκνῳ τῷ Ποσειδῶνος Τέννης ἦν καὶ Λευκοθέᾳ· Λευκόφρυν δὲ αὐτὴν οἱ πρὶν ὠνόμαζον. ἐπειδὴ δὲ ἄρα τῷ Κύκνῳ ἐγεννήθη ὁ Τέννης καὶ ἡ Λευκοθέα, καὶ ἡ μὲν μήτηρ αὐτῶν ἀκέτι ἦν, ἐπέγημε δ' ὁ Κύκνος Φυλονόμην ἢ ὡς ἔνιοι Πολύβοιαν, ἡ Φυλονόμη (καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη ὁ Τέννης) ἐραθεῖσα αὐτῆ λόγες περὶ συνεσίας ἠνέγκατο πρὸς αὐτόν. τῆ δὲ τὰ πρὸς τὴν φύσιν δίκαια τηρήσαντος, κατηγορήσατο πρὸς τὸν πατέρα αὐτῆ ὅτι τεθνηκοι αὐτὴν βιάσαιτο. ὁ δὲ πιεύσας τῇ κατηγορίᾳ, συλλαβὼν τὸν παῖδα ἐνέβαλεν εἰς λάρνακα καὶ ἐῤῥῖψεν εἰς τὴν ὑποκειμένην θάλασσαν. ὃν διὰ σωφροσύνην καὶ διὰ τὸ εἶναι οἰωνὸν ἔσωσεν ὁ Ποσειδῶν· τὴν γὰρ λάρνακα προσενεχθῆναι τῇ Λευκόφρυϊ νήσῳ ἐποίησεν. ἣν οἱ ἐπιχώριοι θεασάμενοι, καὶ ἀφελόντες τὸ ἐπίθημα, μαθόντες τε τὸ γεγονός, ἐ μόνον ἑαυτῶν βασιλέα τὸν Τέννην κατεσήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτῆ Τένεδον τὴν νῆσον προσηγόρευσαν. AD.

Κύκνε καὶ Σκαμανδροδίκη Τέννης καὶ Ἡμιθέα· ὃς ἀπελαθεὶς ὑπὸ τοῦ πατρὸς σὺν τῇ ἀδελφῇ Ἡμιθέᾳ διὰ τὴν

ἐπιβουλὴν τῆς μητρυιᾶς Καλύκης ᾤκησε τὴν Λευκόφρυν, καὶ ἀφ' ἑαυτοῦ Τένεδον ὠνόμασεν. BL.

39. Σμινθεῦ: ἐπίθετον Ἀπόλλωνος· Σμίνθος γὰρ τύπος τῆς Τρῳάδος, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Σμινθίου ἀπὸ αἰτίας τῆσδε. ἐν Χρύσῃ, πόλει τῆς Μυσίας, Κρῖνίς τις ἱερεὺς ἦν τοῦ κεῖθι Ἀπόλλωνος. τούτῳ ὀργισθεὶς ὁ θεὸς ἔπεμψεν αὐτοῦ τοῖς ἀγροῖς μύας, οἵτινες τοὺς καρποὺς ἐλυμαίνοντο. βουληθεὶς δέ ποτε ὁ θεὸς αὐτῷ καταλλαγῆναι, πρὸς Ὄρδην τὸν ἀρχιβουκόλον αὐτοῦ παρεγένετο, παρ' ᾧ ξενισθεὶς ὁ θεὸς ὑπέχετο τῶν κακῶν ἀπαλλάξειν, καὶ δὴ παραχρῆμα τοξεύσας τοὺς μῦς διέφθειρεν. ἀπαλλασσόμενος οὖν ἐνετείλατο τὴν ἐπιφάνειαν αὐτοῦ δηλῶσαι τῷ Κρίνιδι. οὗ γενομένου ὁ Κρῖνις ἱερὸν ἱδρύσατο τῷ θεῷ, Σμινθέα αὐτὸν προσαγορεύσας, ἐπειδὴ κατὰ τὴν ἐγχώριον αὐτῶν διάλεκτον οἱ μύες σμίνθοι καλοῦνται. ἡ ἱστορία παρὰ Πολέμωνι. ἄλλοι δὲ οὕτως, ὅτι Κρῆτες ἀποικίαν στέλλοντες χρησμὸν ἔλαβον παρὰ τοῦ Ἀπόλλωνος, ὅπου αὐτοῖς ἐναντιωθῶσι γηγενεῖς — ἔλεγε δὲ περὶ μυῶν —, ἐκεῖ κτίσαι τὴν πόλιν. οἱ δὲ ἀπέστειλαν τοὺς ἀποίκους. ἐλθόντων δὲ εἰς τὸν Ἑλλήσποντον, καὶ νυκτὸς ἐπιγενομένης, μύες ἔκοψαν αὐτῶν τοὺς τελαμῶνας τῶν ὅπλων. πρωῒ δὲ ἀναστάντες καὶ θεασάμενοι τοῦτο, σοφισάμενοί τε καθ' ἑαυτούς, ἔκτισαν ἐκεῖ πόλιν, ἥντινα ἐκάλεσαν Σμινθίαν· οἱ γὰρ Κρῆτες τοὺς μύας σμίνθους καλοῦσιν. ἐκ τούτου καὶ Ἀπόλλων Σμίνθιος, διὰ τὸ ὑπερασπίζειν αὐτῆς. AD.

ἔρεψα: παρὰ τὸ ἐρέφω, ὅθεν καὶ εἰραφιώτης ὁ Διόνυσος λέγεται· ἐστέφετο γὰρ κισσῷ. ἢ ἀπὸ τοῦ ἐῤῥάφθαι αὐτὸν τῷ μηρῷ τοῦ Διός· ἢ παρὰ τὸ ἐρίφῳ αὐτὸν συνανατραφῆναι· ἢ παρὰ τὸ ἐρίῳ αὐτὸν πλέκεσθαι. ἰστέον ὅτι παρέλκει ἡ ἐπί ἐν τῷ ἐπὶ ἔρεψα. ABL.

40. μηρία: τὰ μηριαῖα ὀστᾶ. D.

41. ταύρων ἠδ' αἰγῶν: θυσίαις ταύρων καὶ αἰγῶν ἥδεται ὁ Ἀπόλλων· ὕλη γὰρ τοῖς τόξοις τὰ κέρατα αὐτῶν. BL.

ἠδ' αἰγῶν: ὅτι περιττὸς ὁ δὲ συνήθως αὐτῷ. A.

τόδε: Ἀρίσταρχος δύο μέρη λόγου τὸ δέ, Ἡρωδιανὸς ἕν.

42. τίσειαν: ὅτι Ζηνόδοτος τίσειεν. A.

τίσειαν Δαναοὶ ἐμὰ δάκρυα: μικρῷ λόγῳ μεγάλα αἰτεῖ· ἀνταποδοῖεν τοῖς βέλεσί σου ταῦτα τὰ δάκρυα, τουτέστι τοξεύων εἴσπραξαι αὐτοὺς ἃ ἐγὼ ἐξέχεα δάκρυα. ἐν σχήματι δὲ ὃ παρῆκεν ἔφρασεν, ὡς ἄρα ἔκλαιεν ὁ γέρων. πῶς δὲ Ἕλλησιν ἐπαρᾶται τοῖς εὐφημήσασι δοθῆναι αὐτῷ τὴν θυγατέρα, καὶ μὴ μᾶλλον Ἀγαμέμνονι; φαμὲν οὖν ὅτι εἰ ἀπέθανεν ὁ Ἀγαμέμνων, ἀνεκζήτητος ἂν ἔμεινεν ἡ αἰτία τοῦ λοιμοῦ καὶ πλεόντων ἐπὶ τὴν πατρίδα τῶν Ἑλλήνων ἀναπόδοτος ἐγένετο ἡ Χρυσηΐς· ἢ ὅτι αὐτοὶ Θήβας πορθήσαντες ἐξέδοντο αὐτὴν Ἀγαμέμνονι· καὶ ὅτι ἀποθανὼν μὲν Ἀγαμέμνων ἄλυπος ἦν, ζῶν δὲ καθ' ἡμέραν ἀποθνήσκει, βλέπων ἀπολλυμένους τοὺς ὄχλους· καὶ ὅτι συμπεριλαμβάνεται καὶ αὐτὸς τοῖς Δαναοῖς· καὶ ὅτι πᾶσιν ἀρᾶται, διότι μὴ πάντες ἐπέχον τὴν τοῦ βασιλέως ὕβριν· καὶ ὅτι ὡς βάρβαρος ὁ Χρύσης πᾶσιν Ἕλλησιν ἐχθρός ἐστιν. BL.

Ἄλλως. ἀπρεπὲς δοκεῖ κατὰ μὲν τοῦ ὑβρίσαντος Ἀγαμέμνονος μὴ ἀρᾶσθαι, ἀλλὰ κατὰ τῶν εὐφημησάντων Ἑλλήνων. λύεται δὲ ἐκ τῆς λέξεως, ὅτι ἐν τοῖς Δαναοῖς ἐμπεριέχεται Ἀγαμέμνων· ἐκ δὲ τοῦ προσώπου, ὅτι βάρβαρος καὶ πᾶσιν ἐχθρός· ἐκ δὲ τοῦ καιροῦ, ὅτι τὸν μὲν συνέφερεν αὐτῷ σώζεσθαι, τῶν δὲ νοσησάντων καὶ ἀπολαβεῖν ἦν τὴν θυγατέρα. B.

Διὰ τί δὲ ὁ Χρύσης οὐ κατὰ Ἀγαμέμνονος ηὔχετο τοῦ ὑβρίσαντος αὐτόν, ἀλλὰ κατὰ πάντων τῶν Ἑλλήνων; φαμὲν δὴ ὅτι Ἀγαμέμνονος μὲν ἀποθανόντος ὁ στρατὸς ἐλύετο καὶ Χρυσηΐς εἰς Ἑλλάδα ἀπήγετο, ἀναιρουμένων δὲ τῶν ὄχλων ζήτησις ἦν τοῦ πάθους, ἀπόδοσις δὲ τῆς κόρης. ἢ ὅτι πᾶσιν ἠράσατο ἀνθ' ὧν πάντες ὁμοῦ γενόμενοι οὐκ ἐπέχον τὴν τοῦ βασιλέως ὕβριν. δικαίως οὖν αὐτοὶ ἔπαχον· καὶ γὰρ Ἡσίοδός φησι „πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα" (O. 238). D.

Δαναοί: Ἕλληνες, οὕτως. Βῆλος ὁ Ἀγήνορος μὲν ἀδελφός, υἱὸς δὲ Ποσειδῶνος καὶ Λιβύης, ἀφ' ἧς ἡ χώρα ὠνομάσθη Λιβύη, βασιλεύων Αἰγυπτίων γαμεῖ Ἀγχινόην τὴν Νείλου θυγατέρα, καὶ γίνονται αὐτῷ παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός. καὶ Δαναὸν μὲν ὁ Βῆλος ἐν Λιβύῃ κατοικίζει, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ· ὃς καταστρεψάμενος τὴν τῶν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν πεντήκοντα παῖδες, Δαναῷ δὲ θυγατέρες πεντήκοντα. στασιασάντων δὲ αὐτῶν πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς, ὕστερον Δαναὸς τοὺς τοῦ Αἰγύπτου παῖδας, πλὴν ἑνὸς ἢ δυεῖν, διὰ τῶν θυγατέρων ἀνεῖλε δεδοικώς, καθότι καὶ ἐκ χρησμοῦ ἠκηκόει ὅτι φονευθήσεται ὑφ' ἑνὸς αὐτῶν. καὶ ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν πρῶτος κατεσκεύασε τὴν κληθεῖσαν ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ πεντηκόντορον, ἐν ᾗ τὰς κόρας ἐνθέμενος ἔφυγε. προσχὼν δὲ Ῥόδῳ τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. ἐντεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσιν Ἑλλάνωρ ὁ τότε βασιλεύων· αὐτὸς δὲ κρατήσας τῆς χώρας ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας Δαναοὺς ὠνόμασεν. ἱστορεῖ Ἀπολλόδωρος ἐν β'. AD.

43. τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων: συνητίμαστο γὰρ τῷ ἱερεῖ ἐν τῷ „μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο", καὶ ὅτι Τρωϊκός ἐστιν ὁ θεός. τὸ δὲ πρὸ τῆς εὐχῆς ἐπικουρῆσαι ἀπολίτευτον. διδάσκει δὲ ὅσον ἰσχύει εὐχὴ καθαρά, ὅσον δὲ ἀνωφελὴς μυσαρὰ θυσία, ὡς ἡ Αἰγίσθου. BL.

Φοῖβος: Φοῖβος οἱονεὶ ὁ φαόβιος, τουτέστιν ὁ λαμπρὸν βιὸν ἔχων ἤγουν τόξον· ὅθεν καὶ φοιβάζω τὸ λαμπρύνω. ἢ ἀπὸ Φοίβης μαμμωνυμικόν, ὡς καὶ Ἡσίοδος. Φοῖβον οὖν αὐτὸν ὀνομάζει ἀπὸ τῶν ἀκτίνων λαμπρὸν ὄντα, τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου κοινώσας Ἀπόλλωνι καὶ Μούσῃ. B.

44. Οὐλύμποιο κορήνων: ὅτι ὄρος ὁ Ὄλυμπος· τὰ γὰρ κάρηνα ἐπὶ ὄρους. A.

κῆρ: παρὰ τὴν καῦσιν. τὸ δὲ ἔμφυτον θερμόν φασιν εἶναι τὴν ψυχήν. B.

45. τόξ' ὤμοισιν: ἓν εἶχε τόξον· ἀλλὰ τῇ φωνῇ τὸ πλήθους τῶν δεινῶν ἐμφαίνει τὸ μέγεθος. BL.

46. ἔκλαγξαν δ' ἄρ' ὀϊστοί: ἐπιστρέφει πρὸς εὐσέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βειαν τὸ καὶ τὰ ἄψυχα τῆς τῶ θείω αἰσθάνεσθ δυνάμεως, ὡς κ ἐπ' Ἀχιλλέως „τὰ δ' ἀνέβραχεν" (Il. 19, 13). BL. Ἄλλως. φιλόσοφός ἐσι θεωρία ἐν τῷ εἴκω τῷ ἔκλαγξαν δ' ἄρ' ὀϊζοὶ ἐπ' ὤμων χωομένοιο, αὐτῶ κινηθέντος. εἰσὶ γάρ, εἰσί τινες ὀράνιοι μεθ' ἁρμονίας ἐμμελῶς ἦχοι, τὴν ᾠδὴν φορὰν ἀποφαλλόμενοι, μάλιστα τῆς ἡλιακῆς περιόδου συντόνως φερομένης. ἀγ' δήπου ῥάβδω μὲν ὑγρᾷ πλήξας τις εἰκῇ τὸν ἀέρα κ λίθος ἀπὸ σφενδόνης ἀφεὶς ῥοίζος ἀποτελεῖ κ συριγμὸν ὅτω βαρύφθογγον, τηλικούτων δὲ σωμάτων ἡ κυκλοπόρος βία δρόμοις ἀπ' ἀνατολῆς εἰς δύσιν ἁρματηλατεμένη μεθ' ἡσυχίας τὸν σφοδρὸν ὁδοιπορεῖ δρόμον. τούτους δὲ τοὺς διηνεκῶς ἐν τῷ ἀρανῷ τελεμένους φθόγγους ἀγνοοῦμεν ἢ διὰ τὴν ἀπὸ πρώτης γονῆς συνήθειαν, ἐνδελεχῶς ἐνοικοῦσαν ἡμῖν, ἢ διὰ τὴν ἄμετρον ὑπερβολὴν τῶ διαστήματος, ἐκλυομένου τῶ ψόφου τῷ διείργοντι μέτρῳ B.

46. 47. ὅτι Ζηνόδοτος ἀμφοτέρως ἠθέτηκεν, ὁ καλῶς. A.

47. ἦϊε: γίνεται ἐκ τοῦ εἶω τὸ πορεύομαι, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, ἐν διαλύσει ἔϊα, καὶ τροπῇ τοῦ ε εἰς η ἤϊα ἤϊας ἦϊε. B.

νυκτὶ ἐοικώς: τὰ φοβερὰ νυκτὶ εἰκάζει. B.

48. ἕζετ' — ἶον: ἐφεδρείαν δηλοῖ τὸ ἕζετο κ ἀναμονὴν ἐπιδέχεται. τοὺς δὲ ὀϊστοὺς διὰ τὸ βλαπτικὸν ἶους ἐκάλεσεν. B.

49. κλαγγή: λέγεται κ ἐπὶ ἐμψύχων, ὡς κ ἐπὶ Τρώων. ἐπὶ δὲ ἀνθρωπίνου τόξου ψιλῶς. ὡς τὸ „λίγξε βιός (Il. 4, 125)". B.

50. οὐρῆας μὲν πρῶτον: διὰ τί ἀπὸ τῶν κυνῶν κ τῶν ἡμιόνων ὁ λοιμὸς ἤρξατο, ἀπὸ τῶν Ἑλλήνων δὲ οὔ, οὐδὲ ἀπ' ἄλλου ζώου τινός; κ οἱ μὲν ῥητορικῶς λύοντές φασιν ὅτι φιλάνθρωπον ὂν τὸ θεῖον ἐβούλετο παιδεῦσαι τοὺς Ἕλληνας κ μὴ παντάπασιν ἀπολέσαι, κ διὰ τοῦτο πρότερον ἀπὸ τοιούτων ζώων ἤρξατο, μετάνοιαν τοῖς ἁμαρτήσασι διδούς. οἱ δὲ ἀληθέστερον κ φιλοσοφώτερον λύοντές φασιν ὅτι ἅπας μὲν λοιμὸς ἀπὸ ἐκφλογώσεως γίνεται, γῆθεν ἀναφερόμενος ἐξ ἀναθυμιάσεως. διὸ κ τὸν Ἀπόλλωνά φασιν αἴτιον εἶναι τῆς τοιαύτης ἀσθενείας, ἐπεὶ ὁ αὐτὸς εἶναι λέγεται τῷ ἡλίῳ τῷ καταφλέγοντι τὴν γῆν. ἐκ δὲ τῆς γῆς γιγνομένης τῆς νόσου, ἀναγκαῖον τοὺς κύνας πρώτους ἠσθῆσθαι τῆς βλάβης, ὅτι τε κ αἰσθητικώτερά εἰσι τὰ ἄλογα ζῶα φύσει τῶν ἀνθρώπων, καὶ ὅτι κάτω νεύουσι πρὸς τὴν γῆν καὶ ἀνιχνεύουσι. τοὺς δὲ ἡμιόνους ὁ διὰ τὸ κάτω νεύειν, ἀλλὰ τῷ ἐκ διαφόρων σωμάτων εἰληχέναι τὴν γένεσιν· παντελῶς γ' εὐδιάθαρτον τὸ τοιοῦτο. τῇ δεκάτης δὲ ἡμέρας γεγενῆσθαι φανερὸν τὸ νοσῶδες, εὐλόγως· κατ' αὐτὸν δὲ τὸν ποιητὴν τὸ θεώρημα δεῖ λύειν. τῇ δεκάτῃ φαίνεται τὸ νοσῶδες, τοῦ ἀέρος ἐν ταύτῃ πάντως καθιζαμένου, ὥσπερ κ αὐτὸς ὁ ποιητὴς δεδήλωκεν. ἡ Ἥρα, φησίν, ἐπὶ φρεσὶ θῆκε τῷ Ἀχιλλεῖ. Ἀχιλλεὺς γ' Χείρωνος ὢν μαθητής, κ τὴν ἰατρικὴν τέχνην σαφῶς ἐπισάμενος, ἐκ τῆς καταστάσεως τοῦ ἀέρος ἐπέγνω γινόμενον τὸ κακόν. τὸ γ' τῆς Ἥρας ὄνομα παρὰ τὸν ἀέρα πεποίηται, ἐπεί τινος ἕνεκα Νέστορ ἢ Ὀδυσσεὺς ἢ Μενέλαος, οὐδενὸς ἥττονα τῶν Ἑλλήνων φροντίζοντες, ἃ ζητοῦσιν, ἀλλὰ μόνος τῇ δεκάτῃ δ' ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς; AD.

Φιλάνθρωπος ὢν ὁ θεὸς πρῶτον τὰς ἡμιόνους καὶ τοὺς κύνας καὶ τὰ ἄλογα ζῶα ἀναιρεῖ, ἵνα διὰ τούτου εἰς δέος ἀγαγὼν τοὺς Ἕλληνας ἐπὶ τὸ εὐσεβεῖν παρασκευάσῃ. ἢ ὅτι αἱ ἡμίονοι κ οἱ κύνες τὴν αἴσθησιν τῆς ὀσφρήσεως ἐνεργέραν ἔχουσιν. οἱ μὲν γ' κύνες ἀπὸ τῆς ὀσφρήσεως τῶν ἰχνῶν ἐν αἰσθήσει τῶν θηρίων γίνονται, αἱ δὲ ἡμίονοι πολλάκις ἀπολειφθεῖσαι ἀνθρώπων ἀπὸ τῆς ὀσφρήσεως κ τὰς ὁδοὺς ἀνευρίσκουσιν. A.

ὅτι ἐκ ὀρθῶς τινὲς ἐρῆας τοὺς φύλακας· ἀντιδιαστέλλει γ' διὰ τοῦ αὐτοῖσι. A.

οὐρῆες λέγονται διὰ τὸ ἄγονον, ὡς οὔρια ἀὰ καλοῦμεν. εὐπαθῆ δὲ τὰ ζῶα ταῦτα κ εὐάλωτα ὑπὸ νόσου· σύμμικτος γ' οὖσα ἡ φύσις αὐτῶν, κ ἐκ διαφερόντων τοῖς εἴδεσιν, ὁ μεγάλης εἰς τὸ φθείρεσθ δεῖται ἀνάγκης, οὐδὲ ἀντέχει μέχρι πολλοῦ βλαπτομένη. οἱ δὲ κύνες καθαρῶ δέονται τοῦ ἀέρος, ὀξυτέρᾳ τῇ ὀσφρήσει χρώμενοι. ἀργὸς δὲ ἀκριβέον τὸς λευκούς, ὅτι ἀσθενέστερά ἐσι τὰ τοιαῦτα σώματα τῶν ἐναντίως ἐχόντων, ἀραιότερα ὄντα κ εὐπαθέστερα. εἰσὶ δὲ οἱ μὲν πρὸς γεωργίαν οἱ δὲ πρὸς θήραν χρειώδεις· ὅθεν μάλιστα τὰς τροφὰς ἐπορίζοντο. εἰ δὲ κ θεὸς ὢν κ πολέμιος καὶ ἠτιμασμένος ἕτω μακροθυμεῖ, τί δεῖ ποιεῖν τοὺς ἀνθρώπους; ABL.

51. αὐτὰρ: διαφέρει ὁ αὐτάρ τοῦ δέ, ὅτι ὁ μὲν αὐτάρ προτάσσεται, ὁ δὲ δὲ ὑποτάσσεται. A.

αὐτοῖσι: αὐτοῖς τοῖς Ἕλλησι. πρὶν ἢ δὲ τὸ ἄκρον καταλαβεῖν ἤτοι τὰς ἀρχηγάς, Ἀχιλλεὺς δημηγορεῖ. BL.

ἐχεπευκές: ἔχον πικρίαν. ἀπὸ τῆς πείκης ἡ μεταφορά· κ γ' ἡ πεύκη κοπεῖσα ἐκ ἀνίησι βλαστόν, κ τὸ δάκρυ αὐτῆς ἐσὶ πικρόν, ἡ πίσσα. AD.

52. βάλλ': ἀφιεὶς ἔβαλλεν, ὡς τὸ ᾤχετο [ἀπιών], κατὰ Ἰωνικὴν περίφρασιν. ἢ τὸ βάλλεν ἀντὶ τοῦ ἐφόνευσεν. BL.

πυραὶ νεκύων καίοντο: πῶς, φασίν, ὁ ποιητὴς ἐναντία ἑαυτῷ λέγει; προειπὼν γ' „αὐτὰς δὲ ἑλώρια τεῦχε κύνεσσιν" νῦν ἐπάγει „αἰεὶ δὲ πυραὶ νεκύων." ἐροῦμεν δὲ ὅτι ὁ λοιμὸς ηὔξε τὴν μῆνιν, ἡ μῆνις δὲ τὰς μετὰ ταῦτα μάχας· κ οἱ ἐν ταύταις πίπτοντες ἑλώρια κυνῶν ἐγίνοντο, οἱ δὲ ὑπὸ τοῦ λοιμοῦ φθειρόμενοι ἐκαίοντο. AD.

Τὸ παλαιὸν τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίετο διὰ τὸ ἀπέριττα γίνεσθ, εἶθ' ἕτως ἐθάπτετο ὑπὸ γῆν. ἡ δὲ αἰτία τοῦ καίεσθ τὰ σώματα παρὰ τοῖς Ἕλλησιν αὕτη. πρῶτος, φασίν, ἕτως ἐτάφη Ἀργεῖος ὁ Λικυμνίου δι' ἀνάγκην ὑπὸ Ἡρακλέους. συναγαγόντος γάρ, φασί, στρατιὰν ἐπὶ Ἴλιον Ἡρακλέους, διὰ τὸ Λαομέδοντα παρὰ σύνταξιν ποιῆσαι Ἡρακλεῖ σώσαντι τοῦ κήτους τὴν θυγατέρα αὐτοῦ Ἡσιόνην, κ μὴ δῶναι τοὺς ἵππους ὃς ὑποχόμενος ἦν αὐτῷ ὑπὲρ τῆς τοσαύτης εὐεργεσίας, ἐπεζήτει κ τὸν Ἀργεῖον ὡσανεὶ οἰκεῖον. Λικύμνιον δέ φασι τὸν πατέρα Ἀργείου, φοβάμενον ὅτι κ τὸν πρότερον αὐτοῦ υἱὸν ὀνόματι Οἰωνὸν ἀποσείλας εἰς Λακεδαίμονα μεθ' Ἡρακλέους ἀπέβαλεν, ὁ βέλεσθ προΐεσθ τοῦτον, ἕως Ἡρακλῆς ὤμοσεν ἀπάξειν πάλιν αὐτόν. τότε δ' ἐν συμπεσόντος τοῦ Ἀργείου τῆς τοῦ βίου τελευτῆς, διαπορηθεὶς ὁ Ἡρακλῆς πῶς ἂν ἐπιτελέσοι τὸν ὅρκον, ἑαυ-

σεν αὐτόν, καὶ πρῶτόν φασι τοῦτον τοιαύτης ἐπιμελείας τυχεῖν. ἡ ἱστορία παρὰ Ἀνδρωνι. ABD.

Θαμειαί: Πάμφιλος λέγει θαμιεῖαι ὡς ὀξεῖαι, Ἀρίσταρχος δὲ ὡς πυκναί· ὁμοίως δὲ καὶ τὸ ταρφειαί. BL.

53. ἐννῆμαρ: ἐχρῆν τὸ ἐννῆμαρ προπαροξύνειν, ὡς παρ' ἑδέτερον συγκείμενον. ἀλλ' ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· οὐδὲν γ' τῶν εἰς αρ συνετέθη οὐδετέρων. A.

ἐπὶ ἐννέα ἡμέρας, ὅτι οὐδὲ ἄλλως ἠδύνατο γνωσθῆναι τὸ τῆς νόσου ἴδιον, ὅτι τε λοιμικὴ καὶ φθαρτική, ἢ ἐν τοσούτῳ χρόνῳ. ὡς γ' ἐπὶ πλέον ἐν ταῖς ἐννέα ἡμέραις, καὶ μικρόν τι πρότερον ἢ ὕστερον, κρίνει τὰ τοιαῦτα νοσήματα ἢ ἀπόλλυσι τὸν νοσοῦντα. καλῶς ἂν καὶ ἡ Ἥρα μετὰ τὰς ἐννέα ἡμέρας ζητῆσαι τὸν λοιμὸν ἐπὶ νῆν τίθησιν Ἀχιλλεῖ. Ἥρα γ' ὁ ἀήρ, καὶ φθαρτὸν γενόμενον πρῶτος Ἀχιλλεύς, ὡς ὢν ἰατρὸς καὶ Χείρωνος μαθητής, τοῦτον συνέλαβε. λευκώλενος δέ, ὅτι διαφανής ἐστιν ὁ ἀὴρ καὶ παρόντος τοῦ φωτίζοντος λαμπρύνει. καὶ βοῶπις, ὅτι δι' αὐτοῦ ἡ τῆς ὄψεως ἐνέργεια ἐν νυκτὶ καὶ ἡμέρᾳ γνωρίζει. BL.

ᾤχετο: οὐκ εἶπεν ἐπέμπετο, ἀλλ' ὥσπερ ἐπὶ ἐμψύχῳ εἶδει, ἐπορεύετο. BL.

κῆλα: ὡς τὸ δόρυ κοινὸν ἐστι καὶ εἰδικόν, οὕτω καὶ τὸ κῆλον. ἢ κῆλα τὰ δείματά φησιν, ἢ τὰ καύσεως αἴτια. BL.

45. ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς: αὐτοκράτωρ γάρ, οὐ μισθωτὸς ἦν. τὴν δὲ στρατιὰν ὁ θέλων συνῆγε. συνάγει μὲν γ' Ὀδυσσεὺς ἐν τῇ Β καὶ Ἀχιλλεὺς ἐν τῇ Τ. ἄλλως τε καὶ αὐτὸς ἡγεῖτο τῆς ὑπαίθρου στρατιᾶς. ὅτι γ' ὁ τυραννὶς τοῦτο ἦν, ἐκ τῶν λόγων αὐτῶν δῆλον, καὶ μάλιστα τῶν ἐν ταῖς λιταῖς. BL.

55. θεὰ λευκώλενος Ἥρη: προϊὼν ἤδη καὶ τὰς ἐπικούρους θεὰς διασαφεῖ, τοῦτο μὲν τὸ προνοητικὸν τῶν θεῶν ἐνδεικνύμενος, τοῦτο δὲ καὶ φαντασίαν παρεντιθείς. BL.

56. κήδετο γὰρ Δαναῶν: εὐλόγως ἐφρόντιζε τῶν Ἑλλήνων ἡ Ἥρα, ὅτι τὸ Ἄργος ὅλον ἱερὸν αὐτῆς. ἄλλως τε καὶ ἦν ὑβριωθεῖσα ὑπὸ Ἀλεξάνδρου, ὡς καὶ ἡ Ἀθηνᾶ, ἐν τῇ τῶ μήλω κρίσει. ἤθελεν ἂν σώζεσθαι τοὺς Ἕλληνας, ἵνα γένωνται τοῖς Τρωσὶν ὄλεθρος. AL.

πῶς ἡ τῆς μήνιδος αἰτία γενομένη τότων ἐκήδετο; ῥητέον ὅτι συνέφερε τὸν Ἀχιλλέα μηνῖσαι, ἵνα θαρρήσαντες οἱ Τρῶες τῷ πεδίῳ προέλθωσι καὶ νικηθῶσιν ἐκ τοῦ ἴσα μαχόμενοι. εἰ γ' ἐν τῇ πόλει ἔμειναν πολιορκέμενοι, μακρὸς ἂν ἐγένετο ἢ ἀτελεύτητος ὁ πόλεμος. BL.

ῥα: δασυντέον τὸ ῥά· πάσης γ' λέξεως τὸ ρ ἀρχόμενον δασύνει, πλὴν τοῦ ῥάρος. BL.

ὁρᾶτο: ὅτι Ζηνόδοτος ὁρῆτο γράφει· ἀγνοεῖ δὲ ὅτι Δωρικόν γίνεται.

57. ἐπεὶ ὃν ἤγερθεν: κατ' ὀλίγον γ' συνιόντες πληθύνονται. BL.

58. ἀνιςάμενος: τὸ γ' παλαιόν, κἂν βασιλεὺς ἦν κἂν ἄλλης οἱασδήποτε τύχης λαμπρᾶς, ἐδημηγόρει δέ, ὀρθὸς ἵστατο. AD.

59. Ἀτρείδη: μετὰ τὸ Ἀτρείδη δεῖ ζίζειν, ἐπεὶ αἱ προσαγορευτικαὶ τῶν περιόδων αὐτοτελεῖς εἰσιν. A. κατ' ἰδίαν τὸ Ἀτρείδη· κλητικὴ γάρ ἐστι καὶ αὐτοτελής. ἐμέντοι ἐν τῷ „Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν" (Il. 2, 434). χεδὸν δὲ πᾶσαι μᾶς ἔχουσι συντάξεως. BL.

59. 60. παλιμπλαγχθέντας οὕτω ἂν ἀπονοσήσειν: εἰς τὸπίσω πλανηθέντας ἀπελθεῖν, μάτην ἐπανακάμψειν εἰς τὰ οἰκεῖα, ἐάν περ δὴ ὅλως τὸν θάνατον ὑπεκφύγοιμεν. ἐκ ἐκ ῥήματος δὲ ἡ σύνθεσις τῆς μετοχῆς, ἀλλὰ συντέθειται διὰ τὸ ἂν ἀπονοσήσειν. ἡ διπλῆ πρὸς τὴν τῶν νεωτέρων ἱστορίαν, ὅτι ἐντεῦθεν τὴν κατὰ Μυσίαν ἱστορίαν ἔπλασαν. A.

οἱ νεώτεροι ποιηταὶ ἐντεῦθεν σημειοῦνται ἱστοροῦντες τὰ περὶ τῆς Μυσίας τὸν τρόπον τοῦτον. ἐν Τροίᾳ πλέοντες οἱ Ἕλληνες Μυσίᾳ προσίσχουσιν, καὶ ἀγνοοῦντες αὐτὴν ἐπόρθουν, Τροίαν εἶναι νομίζοντες. Τήλεφος δὲ ὁ Ἡρακλέους καὶ Αὐγης τῆς Ἀλέου παῖς, βασιλεύων Μυσῶν καὶ ἰδὼν τὴν χώραν λεηλατουμένην, τοὺς Μυσοὺς καθοπλίσας, ἐπὶ τὰς ναῦς τοὺς Ἕλληνας συνδιώξας πολλοὺς ἀπέκτεινεν. ὁρμήσαντος δὲ ἐπ' αὐτὸν Ἀχιλλέως ὁ μείνας ἐδιώκετο· ἐν δὲ τῷ τρέχειν ἐμπλακεὶς ἀμπέλῳ κλήματι τὸν μηροῦ τιτρώσκει, νεμεσήσαντος αὐτῷ Διονύσου, ὅτι ἄρα ὑπὸ τότου τῶν τιμῶν ἀφήρητο. οἱ δὲ Ἕλληνες ὑπέρρεψαν εἰς τὸ Ἄργος· Τήλεφος δὲ ἀνίατον ἔχων τὸ τραῦμα, εἰπόντος θεοῦ μὴ δύναθαι αὐτὸν θεραπεῦσαι ἢ τὸν τρώσαντα, ἦλθεν εἰς Ἄργος, καὶ πίσιν δοὺς μὴ ἐπικουρήσειν Τρωσὶν ἐθεραπεύθη ὑπ' Ἀχιλλέως, καὶ αὐτὸς ἔδειξε τὸν ἐπὶ Τροίαν πλοῦν. ταῦτα οἱ νεώτεροι· ὁ δὲ ποιητὴς λέγει Κάλχαντα ἐφηγήσαθαι τὸν ἐπὶ Ἴλιον πλοῦν. A.

παλιμπλαγχθέντας: ὑφ' ἓν Ἀρίσταρχος τὸ παλιμπλαγχθέντας. τὸ πάλιν δὲ σημαίνει τὸ εἰς τὸπίσω, ἤτοι μάτην ἀπράκτους ὑποστρέψαντας, μόνον ἀχὶ πλάνην, ἐκ εἰσβολὴν ποιησαμένους. τὰ γ' περὶ Μυσίαν ἀγνοεῖ. BL.

60. εἴ κεν: ὅτι Ζηνόδοτος οἵ κεν γράφει, οὐ καλῶς· καλὴ γ' ἡ ἀπόγνωσις τῆς σωτηρίας. A.

62. ἀλλ' ἄγε δή: Πυθαγορικός ἐστι μᾶλλον φιλόσοφος ἤπερ στρατιώτης, ὡς δῆλον ἔκ τε τῶν νῦν καὶ ἐκ τοῦ „αὖριον ἱερὰ Διὶ ῥέξας" (Il. 9, 357) καὶ τῶν περὶ τοῦ δέπας τῆς Πατροκλείας (Π. 16, 225). πῶς ἔν κατὰ Κράτητα καὶ Περσαῖον ἔτε φρόνιμος ἔτε σώφρων οὔτε ἀνδρεῖος; πηγὴ γάρ τίς ἐστι τῆς ἄλλης ἀρετῆς τὸ δοκεῖν θεὸς εἶναι. BL.

63. μάντιν ἐρείομεν, ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον: μέχρι τοῦ ἐρείομεν διαφαλτέον, εἶτα ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον, ἵνα γενικὸν μὲν ᾖ τὸ μάντιν, εἴδη δὲ τὰ ἐπιφερόμενα. ἔτως Ἡρωδιανός. καὶ ὁ Νικάνωρ δὲ ἔτως λέγει· ἔστι γένος τι ἡ μαντική, διαιρουμένη εἰς εἴδη τρία, εἰς οἰωνοσκοπίαν, εἰς ἀεροσκοπίαν καὶ τὴν διὰ τῶν ὀνειράτων μαντείαν. Ἡρωδιανὸς τελείαν δίδωσι, καὶ κοινὸν τὸ μάντιν· ὁ δὲ Πορφύριος τὸν δι' οἰωνῶν ἢ σημείων ἢ τεράτων μαντευόμενον, ὀνειροπόλον δὲ τὸν ὀνειροκρίτην. A.

Ἡρωδιανὸς τελείαν δίδωσιν εἰς τὸ ἐρείομεν, ἵνα γενικὸν ᾖ τὸ μάντις· ὁ δὲ Πορφύριος τρία ἀποδέχεται, μάντιν λέ-

γων τὸν διὰ οἰωνῶν ἢ σημείων ἢ τεράτων μαντευόμενον, ἱερέα δὲ τὸν διὰ θυσιῶν, ὀνειροπόλον δὲ τὸν ὀνειροπολούμενον, θεατὴν ὀνείρου γεγονότα. BL.

ἢ διπλῆ, ὅτι μάντις γενικῶς, ἱερεὺς δὲ καὶ οἰωνοπόλος εἰδικῶς, εἴδη μάντεων. Ζηνόδοτος δὲ ἠθέτηκεν αὐτόν. μή ποτε δὲ ὀνειροκρίτην ὑπείληφεν, ἐκ ὀρθῶς. A.

Ἄλλως. ἄλογον ζητεῖν παρὰ ἱερέως πυθέσθαι περὶ τῶν μελλόντων· ἃ γὰρ δὴ μάντεις οἱ ἱερεῖς. οἱ δὲ ὀνειροπόλοι μηδενὸς ὀνείρου νῦν ζητουμένου παρέλκεσθαι. λύεται δὲ ἐκ τῆς λέξεως· τὸν γὰρ νῦν λεγόμενον θύτην ἱερέα φαίνονται καλοῦντες πάλαι, ὥσπερ καὶ ἑτέρωθεν· „εἰ μὲν γάρ τις μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν, ἢ οἳ μάντιές εἰσι θυοσκόοι ἢ ἱερῆες" (Il. 24, 220). ὁ δὲ ὀνειροπόλος αὐτὸς ὁρᾷ ὑπὲρ ἑτέρων ὀνείρους. B.

τ' ὄναρ: ἤτοι (τί?) τὸ τέλειον. ἐπεὶ δὲ τὸ ὄναρ σαθρόν ἐστιν, ὕψωσεν αὐτὸ τῇ προθήκῃ. L.

Διὰ τί διττὰς λέγων τὰς ὀνείρους, καὶ τὰς μὲν αὐτῶν ψευδεῖς τοὺς δὲ ἀληθεῖς, ὡς πάντων αὐτῶν ἀληθινῶν ὄντων φησὶν „ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν," ὡς τῶν ὀνείρων ἐκ πάντων Διὸς ὄντων; λύεται δὲ ἀπὸ τῆς συναλοιφῆς. ἃ γὰρ ὁ τέ σύνδεσμος συναλήλιπται, ἀλλὰ τὸ τί μόριον· ἔστι γὰρ πλῆρες καὶ γάρ τι ὄναρ ἐκ Διός ἐστι. τὸ δὲ ὀνειροπόλον ἃ σημαίνει τὸν ὀνειροκρίτην, ὃν τινες ἐξεδέξαντο, τὸν περὶ τὰς ὀνείρους διατρίβοντα (ἁδὲν γὰρ ὄναρ ὤφθη), ἀλλὰ σημαίνει τὸν ὀνειροπολούμενον, τὸν κάτοχον ὀνείρου καὶ θεατὴν ὀνείρου εἰς αὐτὸν ἐληλύθοντος γεγονότα. B.

καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν: τοῦτ' ἐστὶ συναλοιφή, καὶ γάρ τι ὄναρ· ἃ γὰρ πᾶν λέγει ἀληθές, ἐπεί φησιν ἃ πάντας εἶναι τὰς ὀνείρους ἀληθεῖς· „οἱ μὲν γὰρ κεράεσσι τετεύχαται, οἱ δ' ἐλέφαντι" (Od. 19, 563). A.

τὸ ἔστιν ἐγκλιτικόν ἐστιν, εἰ μὴ ἄρχεται ἢ μὴ προηγεῖται αὐτῇ ἡ ἃ ἀπόφασις. BL.

64. ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων; τῶν αἰφνιδίων θανάτων αἰτιόν φασι τὸν Ἀπόλλωνα. τῷ δὲ ὅ τι λείπει ἡ διά. BL.

65. εἴ' ταρ: ἤτοι ὀξεῖα εἰς τὸν εἴ· τὸ γὰρ τάρ ἐστιν ἐγκλιτικὸς σύνδεσμος ἐπιφερόμενος. καὶ ἃ δεῖ ἀπόσροφον βάλλειν εἰς τὸ τ· ἃ γάρ ἐστιν ὁ τέ σύνδεσμος· ἐπεφέρετο γὰρ ἂν ἕτερος τέ. A.

εὐχωλῆς: ὅτι ἐλλείπει ἡ περί. A. ὥσπερ παρὰ τὸ παύσω παυσωλή καὶ ἔλπω ἐλπωρή, ἤτω παρὰ τὸ εὔχω εὐχωλή. ἑκατόμβη δὲ ἀπὸ τῆ ἑκατόν καὶ τῆ βῆς. BL.

ἑκατόμβης: ἢ τῆς ἀπὸ ἑκατὸν βοῶν, ἢ ἀπὸ ἑκατὸν βημάτων, ὃ ἔστι κέ ζώων. A.

66. αἴ κέν πως: περισσὸς ὁ κέν, ἵν' ᾖ εἴ πως. ABL.

κνίσης: τῆ λίπει καὶ τῆς ἀναθυμιάσεως, τουτέστι τοῦ καπνῆ. εἴρηται δὲ κνίση ἀπὸ τῆ κνίζω κνίσω, ὃ σημαίνει τὸ λεπτύνω· λεπτότατος γάρ ἐστιν ὁ ἐπίπλους, τουτέστι τὸ λεγόμενον κνισάριον. τοιοῦτον δέ ἐστι καὶ τὸ „συκάμινα κνίζοντα", ὡσανεὶ τῷ ὄνυχι διακαθαίροντα. καὶ ἐν τῷ νόμῳ „ἀποκνιεῖ ὁ ἱερεὺς τὸ ὁλοκάρπωμα." B.

Ἀρίσαρχος τὸ κνίσης ἑνικῶς, κατὰ γενικὴν πτῶσιν, ἄνευ τοῦ τ. A.

τελείων: ἤτοι τὴν ἡλικίαν ὁλοκλήρων. λελωβημένον γὰρ ἃ θύεται, ἀλλ' ὑγιῆς ἡ τῶν τελειωμένων θυσία. D.

67. ἡμῖν: ὀρθοτονεῖται τὸ ἡμῖν· ἀρκτικὸν γάρ ἐστι κατὰ τὴν τῆς ἀπό σύνταξιν, ὅτι πρὸς τὸ ἀμῦναι ἡ ἀπόφερε. BL.

ἀπὸ λοιγὸν ἀμῦναι: τὸ ἐξῆς ἐστὶν ἀπαμῦναι· διὸ φυλάττει τὸν ἴδιον τόνον. ὅταν γὰρ πρόθεσις τὴν σύνταξιν ἔχῃ πρὸς τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει, ἅτε δὴ ἐπέχουσα τὴν τάξιν. A.

68. κατ' ἄρ' ἕζετο: ὅτι Ζηνόδοτος γράφει ἐκαθέζετο. ἐκ ἐᾷ δὲ ἑλληνίζειν τὸν Ὅμηρον· ὥσπερ γὰρ ἃδε λέγει ἐκατέβαινεν, ἕτως ἃδε ἐκαθέζετο. A.

69. Κάλχας Θεστορίδης: ὁρᾶ πῶς ἐν ἀρχῇ διασαφεῖ τὰ ὀνόματα, ὡς καὶ ἑτέρου ὑπάρχοντος. BL.

ὅτι Ζηνόδοτος γράφει μάντις Θεσορίδης. ἃ δύναται δὲ τῷ γένει τὸ εἶδος ἅμα συγκατατίθεσθαι. A.

70. ὃς ἤδη τά τ' ἐόντα: τὰς αἰτίας φησίν, ἐπεὶ τὸν λοιμὸν πάντες ἤδεσαν, ἃ μὴν τὴν αἰτίαν αὐτῆ. διὸ καὶ τρίποδα τίθησι τῷ θεῷ. BL. ἔστι δὲ τελείᾳ μάντεως τὸ ἐπίσασθαι τὰς τρεῖς χρόνους ἀκριβῶς. D.

71. νήεσσ' ἡγήσατ': διὰ τὰς διοσημίας· „πειθόμενοι γάρ" φησι „τεράεσσι θεῶν" (Il. 4, 408). BL.

ὅτι ἀντὶ τῆ νεῶν· καὶ ὅτι Κάλχας ἡγήσατο τοῖς Ἕλλησι, καὶ ἐχὶ Τήλεφος, ὥς τινες νεώτεροι. καὶ τὸ εἴσω ἀντὶ τῆ εἰς. A.

72. τήν οἱ πόρε Φοῖβος Ἀπόλλων: τὰς εἰς ἄκρον εὐεξίας θεῶν εἶναι δῶρά φησιν. BL.

Φοῖβον συνεχῶς εἰώθε ὀνομάζειν τὸν Ἀπόλλωνα, οὐκ ἀπὸ Φοίβης, ἣν Λητῶς φασὶν εἶναι μητέρα· σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι, τὰ δὲ μητέρων ἐκ ἂν εὕροις ὅλως παρ' αὐτῷ. Φοῖβον δὲ αὐτὸν ἀπὸ τῶν ἀκτίνων ὀνομάζει ὡς λαμπρόν, τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου κοινώσας Ἀπόλλωνι καὶ Μέσαις. B.

73. ὃ σφιν: ἕτως διὰ τῆ ἑνὸς σ. Ζηνόδοτος γράφει· ὃς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα. A.

εὐφρονέων: πρὸς τὴν τῆ βασιλέως ἀβελτηρίαν. BL.

ἀγορήσατο καὶ μετέειπεν: ἢ ἐκ παραλλήλου τὸ αὐτό, ἢ τὸ ἀγορήσατο ἀντὶ τῆ ἁπλῶς εἶπεν, τὸ δὲ μετέειπεν ἀντὶ τῆ κατὰ λεπτὸν ἐξηγήσατο. ὁ δὲ Πορφύριος τὸ μὲν ἀγορήσατο, ὅτι εἶπεν ἃ ἐγένοντο, τὸ δὲ μετέειπεν, τί μετὰ ταῦτα ὀφείλει γενέσθαι. L.

74. ὦ Ἀχιλεῦ: καὶ τῷ βασιλεῖ ἀπολογεῖται ὡς ἀναγκαζόμενος ὑπὸ Ἀχιλλέως, καὶ τῷ πλήθει ὡς δέει τῆ βασιλέως μὴ προείπων. BL.

76. τοιγάρ: ἐκ ἐστιν ἀντωνυμία ἡ τοί (ἃδέποτε γὰρ ἀρκτικὴ ἐστιν), ἀλλ' ἀντὶ τῆ δή. BL.

καί μοι ὄμοσσον: ἐκ ἀπιστῶν τῷ Ἀχιλλεῖ προβάλλει τὸν ὅρκον, ἀλλ' ἵνα σχῇ πρόφασιν πρὸς τὸν βασιλέα. ὁ συνεὶς Ἀχιλλεὺς ἐκ ἀγαναχτεῖ ἀπιστούμενος, ἀλλ' ἑτοίμως ὄμνυσι. BL.

77. ἦ μέν: ἀντὶ τοῦ ἦ μήν· ἔστι δὲ ἐπίρρημα ὁρκι-

κόν. διὸ βαρύνομεν τὸν ἦ. εἰ γὰρ περισπάσωμεν, ἔςαι βεβαιωτικός. BL.

ἠμέν μοι: ἐπὶ μὲν τȣ̃ προτέρȣ βαρεῖαν παραληπτέον κατὰ τὴν ἄρχȣσαν· κεῖϑ γ̓ ἀντὶ τοῦ ἠμήν, ὅπερ ἐςὶν ὁρκικὸν ἐπίῤῥημα, ὅπερ ὁ ποιητὴς ἀεὶ διὰ τȣ̃ ε̅ προφέρεται· „ἠμὲν τȣ̀ς ἵππȣς τε ϗ ἅρματα" „ἠμὲν ἐμοὶ δώσειν" (Il. 14, 275). τὸ δὲ „ἦ γ̓ ὀΐομαι" (78) περισπωμένῃ τάσει ἀναγνωςέον· διαβεβαιωτικὸς γ̓ ὁ σύνδεσμος. A.

78. ἦ γὰρ ὀΐομαι: ὡς ἐπιδιςάζων εἶπε τὴν ἐσομένην αὐτῷ μῆνιν. BL.

χολωσέμεν: τῶν Δωριέων· ἐκεῖνοι γὰρ τὰ εἰς ειν εἰς εν μεταποιȣ̃σι, τύψειν τυψέμεν. οἱ δὲ Αἰολεῖς εμμεναι λέγȣσι. L.

80. κρείσσων γὰρ βασιλεύς: μέλλων βαρύνειν τὸν βασιλέα προσαπολογεῖϑ αὐτῷ. Ζηνόδοτος δὲ κρείσσω γράφει. ἀθετεῖ δὲ καὶ τὸν ςίχον, κακῶς. BL. ὅτι Ζηνόδοτος χωρὶς τȣ̃ ν̅ γράφει. τὰ δὲ τοιαῦτα εὐσύγκριτα ἔχει ἐπὶ τῆς εὐθείας τὸ ν̅. A.

χέρηϊ: ὡς Ἄρηϊ. γέγονε δὲ ȣ̃τως. ἔςι τι χερείονος γενική, ϗ αἰτιατικὴ „χερείονά περ καταπέφνων" (Il. 17, 539). ὃν ȣ̃ν τρόπον τὴν χερείονα αἰτιατικὴν συγκόψας ἔφη „ἀλλὰ τὸν υἱὸν γείνατο εἷο χέρεια" (Il. 11, 400), πληθυντικῶς δὲ τὰ χερείονα χέρεια „χέρεια δὲ χείρονι δόσκεν" (Il. 14, 382), τȣ̃τον τὸν τρόπον ϗ χερείονι χέρειι· ϗ ἐπεὶ κακόφωνόν ἐςι, τροπὴ ἐγένετο τῆς ει διφθόγγȣ εἰς τὸ η̅. ȣ̃τως Ἡρωδιανός. A.

81. εἴπερ γάρ τε: πιθανῶς τὴν εἰς τὸ μετέπειτα σωτηρίαν αἰτεῖ· εἰκὸς γ̓ ἦν τὸ μὲν παρόν, αἰδεσθέντα τὸ πλῆθος, παριδεῖν αὐτόν, εἰς δὲ τὸ μετέπειτα τιμωρήσασθϑ. BL.

αὐτῆμαρ: ἐπίῤῥημα, ὡς τὸ ἐννῆμαρ καὶ ἑξῆμαρ. καὶ ἐχρῆν μὲν αὐτὸ ἀναπέμπειν τὸν τόνον, ὡς βȣ́κερως. ἀλλ' ἐπεὶ ȣ̓δὲν τῶν εἰς αρ συντέθειϑ ἢ μόνον τὸ ἦμαρ, πρὸς τὴν παρηλλαγμένην σύνθεσιν ἦν παρηλλαγμένος ϗ ὁ τόνος. δεῖ δὲ εἰδέναι ὡς μετὰ ἀκλίτων συντίθενται. L.

καταπέψῃ: ἤτοι δαπανήσῃ. ἡ μεταφορὰ ἀπὸ τῶν σιτίων τῶν ἐν τῇ γαςρὶ πλείω χρόνον κατεχομένων διὰ τὴν πέψιν τὴν ἐν αὐτῇ γινομένην. AL.

82. ἔχει κότον: ἔδειξε διαφορὰν κότȣ πρὸς χόλον. ὑποφαίνει δὲ διὰ πάντων τὸ ὕπȣλον μὲν Ἀγαμέμνονος, Ἀχιλλέως δὲ ἁπλȣ̃ν. BL.

83. φράσαι: ὅτι Ζηνόδοτος γράφει φράσον. μᾶλλον δὲ τὸ φράσαι ἁρμόζει. A.

85. θαρσήσας: ὡς ἀγαθὸς προκρίνει τὸ κοινῇ τοῦ ἰδίᾳ συμφέροντος. A.

μάλα: διαςαλτέον ἐπὶ τὸ μάλα. θεοπρόπιον δὲ τὸ ἐκ θεȣ̃ προειρημένον· τȣ̃το δὲ πρὸς δυσώπησιν τῶν ἀκȣόντων. θεοπρόπιον δὲ τὸ ἐκ θεοῦ μαντευόμενον, ἢ τὸ τοῖς θεοῖς πρέπον· ȣ̃τοι γάρ, ὡς πάντα ἐπιςάμενοι, λέγουσι τὰ τοῖς θεοῖς ἀρέσκοντα. BL. Ἄλλως. θεοπρόπιον ἐκ τȣ̃ θεοπρόπος, τȣ̃το ἐκ τȣ̃ θεοπρόπω. ἔςι δὲ παρασύνθετον ἐκ τοῦ θεός ϗ τȣ̃ προέπω τὸ λέγω, ὁ τὰ ἐκ θεȣ̃ προλέγων. ȣ̃τως ȣ̃ν ϗ θεοπρόπιον. B.

εἰπέ: τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα, ἐλθέ, εὑρέ, εἰπέ· ἰδίως δὲ ϗ μακρᾷ παραλήγονϑ. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυπαραλήκτων ὀξύνȣσι τὸ ἰδέ ϗ λαβέ. A.

οἶσθα: ὅτι οἶσθα χωρὶς τοῦ σ̅. οὕτως γὰρ λέγει διὰ παντός· „οἶσθα· τίη τοι ταῦτα" (Il. 1, 365)· „οἶσθα γέρον" (Od. 4, 465). A.

86. οὐ μά: ἡ ȣ̓ ἀπωμοτικῶς. πλεονάζει δὲ κατὰ Ἀττικὴν συνήθειαν. διαςαλτέον ἐπὶ τὸ μά. A.

μά: τȣ̃το Ὅμηρος ὡς συλλαβῆς τάξιν ἔχον τίθησι. ποτὲ μέντοι ἀντὶ τȣ̃ μά τῷ ναί κέχρηϑ, ὡς „ναὶ μὰ τόδε σκῆπτρον" (234), ὅτε ὄμνυσιν. ὅτε δὲ ἀπόμνυσί τι, συζεύγνυσι τὸ τῆς ἀποφάσεως, οἷον „ȣ̓ μὰ γ̓ Ἀπόλλωνα" ϗ ἐν Ὀδυσσείᾳ (20, 339) „ȣ̓ μὰ Ζῆν' Ἀγέλαος". ἡμεῖς δὲ τὸ μά ὡς μέρος λόγȣ ἀπομνύντες παραλαμβάνομεν, μὰ τὸν Δία λέγοντες. ἔςι δὲ ϗ ἐπίῤῥημα ἐπευκτικόν. μαγεία δέ ἐςιν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθȣ̃ τινὸς σύςασιν, ὡς τὰ τȣ̃ Ἀπολλωνίȣ τȣ̃ Τυανέως θεσπίσματα. γοητεία δὲ ἐπίκλησίς ἐςι δαιμόνων κακοποιῶν, περὶ τȣ̀ς τάφȣς γινομένη. φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρȣ πρὸς φίλτρον ἢ ἄλλως δοθῇ τισὶ διὰ ςόματος. ἡπατοσκοπία δὲ ἡ τῶν ἐγκάτων ἀνατομή, δι' ὧν προεμήνυον τὰ συμβησόμενα· ἀνατέμνοντες γ̓ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἥπασιν. B.

Κάλχαν: ὅτι Ζηνόδοτος χωρὶς τοῦ ν̅, Κάλχα. τὰ δὲ εἰς ας λήγοντα, διὰ τȣ̃ ντ κλινόμενα ἐπὶ τῆς γενικῆς, ἔχει τὴν κλητικὴν εἰς ν̅, Θόαν, Αἶαν. A.

88. ἐμεῦ ζῶντος: πεφυλαγμένος ϗ δεισιδαίμων ὁ ὅρκος· συνέβαινε γ̓ ἀποθανόντος ἢ ϗ ἀποδημȣ̃ντος τȣ̃ Ἀχιλλέως αἰκισθῆναι τὸν μάντιν. ABL.

89. σοί: τινὲς τὸ σοί τοῖς ἐπάνω προσδιδόασιν, ἵν' ᾖ σοι δερκομένοιο. βελτίων δὲ ἡ συνήθης ἀνάγνωσις. A.

βαρείας: τὰς ὅπλων βεβαρημένας. V.

90. οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς: ὁ τρόπος ὑπερβολή. ὃ δεδιὼς ἔσκεπεν ὁ μάντις, τȣ̃το θαρσύνων ἀπεκάλυψεν Ἀχιλλεύς. ȣ̓χ ὑβριςικῶς δὲ εἴρηϑ, ἀλλὰ φιλοφρόνως, ὡς ἂν ἐπιτρέποντος ϗ τȣ̃ βασιλέως τοιαύτην ἀσφαλῆ ποιεῖσθϑ ἐγγύην. τῇ δὲ ὑπερβολῇ θεραπεύει τὸν Ἀγαμέμνονα. BL.

91. ἐνὶ ςρατῷ: Ἀχαιῶν, οὐκ ἐνὶ ςρατῷ, αἱ Ἀριςάρχειοι. ὁμοίως ϗ ἡ Σωσιγένȣς ϗ ἡ Ἀριςοφάνους καὶ ἡ Ζηνοδότου. ALV.

93. οὔ ταρ: ȣ̃τως ὀξεῖαν ἐπὶ τȣ̃ ου· ὁ γ̓ τάρ ἐςι σύνδεσμος ἐπιφερόμενος ἐγκλιτικῶς, ὡς ϗ ἐπὶ τȣ̃ „εἴ ταρ ὅγ εὐχωλῆς" (65). οὐ γάρ ἐςιν ὁ τέ συμπλεκτικός· εἰ γ̓ ἦν ἐπεφέρετο ἂν πάλιν ὁ τέ μετὰ ἀποφάσεως, ȣ̓θ' ἑκατόμβης οὕτως γὰρ ἔστιν εὑρέσθαι τὸν τέ σύνδεσμον μετὰ τῆς οὐ ἀποφάσεως· „ἔνθα μὲν οὔτε ἄναξ ἐπιδευὴς ȣ̓τε τι ποιμήν" (Od. 4, 87). A.

οὐ δή. τέλειος δέ ἐςιν ὁ τάρ, ȣ̓κ ἐκ τȣ̃ τὲ ἄρ. προθεραπεύει δὲ τὸ πλῆθος, εἰς εὔνοιαν ἐπαγόμενος ὡς θυσίαν ȣ̓κ ὀφεῖλον BL.

εὐχωλῆς ἐπιμέμφεται: ὅτι ἐλλείπει τὸ περί, ϗ πι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρισσὸν τὸ ἐπιμέμφεσθαι. κατεκερμάτισε δὲ τὸν Ἀγαμέμνονος λόγον εἰς διαβολήν. A.

94. ἕνεκ' ἀρητῆρος: βραχὺ διαζευκτέον ἐπὶ τὸ ἑκατόμβης καὶ ἀρητῆρος. κοινὸν δὲ τὸ ἕνεκα· ὅτι εὐχωλῆς θεοῦ ἑκατόμβης ἕνεκα, ἀλλ' ἀρητῆρος ἕνεκα μέμφεται. A.

ἀθετεῖται, ὅτι περισσός· πρόκειται γὰρ „ἀλλ' ἕνεκ' ἀρητῆρος ὃν ἠτίμησ' Ἀγαμέμνων." τὸ δὲ ἐπιμέμφεται ἀπὸ κοινοῦ δεῖ λαμβάνειν. ABL.

95. ἄποινα: οἱ μὲν ἐκ τοῦ φόνος, ἄφονος ἄφοινος καὶ ἄποινος· οἱ δέ, ἐκ τῆ ποινή, ἡ τιμωρία, γίνεται ἄποινος. ἢ ἐκ τοῦ φονή, ὃ σημαίνει τὸν τόπον τῶν ἀναιρεμένων, ὡς τὸ „ἐν ἀργαλέῃσι φονῇσι" (Il. 10, 521).

97. λοιμοῖο βαρείας χεῖρας ἀφέξει: Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει. ὕτως αἱ Ἀρισάρχ. καὶ ἡ Μασσαλιωτικὴ δὲ καὶ ἡ Ῥιανῆ τὸν αὐτὸν ἔχει τρόπον. ἔοικεν ἂν ἡ ἑτέρα Ζηνοδότε εἶναι, ἡ οὐδ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει. A.

λέξεις ἐκ τῶν πρὸς Κωμανόν. τὸ μὲν ἀεικέα λοιγὸν ὄλεθρον ἀπεοικότα λέγειν· τοῦτο δέ ἐστιν ἀπεχθῆ· ἀπριάτην δὲ σαφὲς ὡς ἄνευ τῆ πρίασθαι καὶ ταὐτὸν τῷ νῦν λεγομένῳ δωρεάν. A.

98. ἐλικώπιδα: μελανόφθαλμον, ἀφ' ἧ εὐπρεπῆ, ὡς Καλλίμαχος „ὕδωρ μέλαν Λίσηπε" καὶ „Λίσηπον ἔχεις ἑλικώτατον ὕδωρ". ἢ τὴν ἐκ ἀτενῆ τὴν θέαν. ἢ τὴν ἀξιοθέατον, πρὸς ἣν πάντες ἐλίσσουσι τὴν θέαν. A. τὴν μελανόφθαλμον, ὡς Καλλίμαχος· ἢ τὴν οὐκ ἀτενιζὴν τῇ θέᾳ· ἢ τὴν ἀξιοθέατον· ἢ πρὸς ἣν οἱ νέοι τὰς ὄπας ἐλίσσουσιν. BL.

99. ἀπριάτην: ἐπιρρηματικῶς αὐτὸ ἀκέει Ἀπολλώνιος, ἵν' ᾖ τὸ χωρὶς πριασμῆ, ἀντὶ τῆ ἀπριάθην. ABL.

ὅτι ὁ κατὰ προσηγορίαν τὴν ἀπριάτην λέγει, ἀλλ' ἀντὶ τῆ ἀπρατί· καὶ παράλληλον τὸ ἀνάποινον· τὸ γὰρ αὐτὸ δὲ ἀμφοτέρων δηλοῖ. διαζευκτέον δὲ βραχὺ ἀπριάτην, ἀνάποινον, σικτέον δ' ἐς Χρύσην, ἐπεὶ κοινὸν κατὰ πάντων τὸ πρίν. A.

ἄγειν: τοῦτο ἐπὶ νηὸς καὶ ἅρματος, ὡς τὸ „ὃ οἴκοθεν ἦγ' ὁ γεραιός" (Il. 11, 632) καὶ „ἦγον δὲ Μαχάονα ποιμένα λαῶν" (Il. 11, 598). παράληψις δὲ ὁ τρόπος· ἐ γὰρ ἐπ' ἴσοις ἀπαλλάσσεσθαι δεῖ τὸς προαμαρτήσαντας. A. ἐ γὰρ ἐκ μόνης μεταμελείας, ἀλλὰ καὶ ἐκ κόπε καὶ προσφορᾶς τὸς προημαρτηκότας ἀπαλλάττεσθαι δεῖ. BL.

100. τότε κέν μιν: ὅτι Ζηνόδοτος γράφει αἴ κέν μιν. γελοῖον δὲ δισακτικῶς λέγειν τὸν μάντιν. ABL.

πεπίθοιμεν: ὁμοιόν ἐστι τῷ ῥηϊδίως πεπιθεῖν (Il. 9, 184). εἰώθε δὲ τὸς δευτέρους ἀορίστους ἀναδιπλασιάζειν. A.

103. ἀχνύμενος: ἐκ τῆ ἄχος ἄχω ἀχύω, καὶ πλεονασμῷ τῆ ν ἀχύνω, καὶ ἐν ὑπερθέσει ἀχνύω· καὶ ὁ ἐνεργὸς ἄχνυμι, καὶ τὸ παθητικὸν ἄχνυμαι. τοιοῦτον καὶ τὸ ἄγω τὸ κλῶ, ἄγνω ἀγνύω ἄγνυμι. BL.

μένεος: μένος σημαίνει τρία, τὸν θυμόν, ὡς ἐπὶ τούτου· τὴν ἰσχύν, ὡς τὸ „δῶκε μένος καὶ θάρσος" (Il. 5, 2)· τὴν ψυχήν, ὡς τὸ μένος Ἄρηος (Il. 18, 264) περιφραστικῶς ὁ Ἄρης. A.

ἐκκλίνειν δεῖ τὸν θυμὸν καὶ φυλάττεσθαι, ὅπε γε καὶ τοιοῦτὸ ἥρως περιεγένετο. BL.

φρένες ἀμφιμέλαιναι: ἡ ἀμφὶ πρὸς τὸ πίμπλαντο, ἀπὸ τῆς τῶν ὑδάτων μεταφορᾶς· ὡς γὰρ ἐκ κεραμίε ὑπερεχεῖτο ὁ θυμός. εἰσὶ δὲ τῶν ἐντοσθιδίων αἱ φρένες· „πλευρὰς ὑφ' ἧπαρ καὶ φρένας." ἤδη δὲ οἱ νεώτεροι μελαίνας τὰς φρένας φασίν. ABL.

μέλαιναι: αἱ ἐν βάθει κείμεναι, ἢ τεταραγμέναι διὰ τὴν ὀργήν. A.

τούτῳ τῷ εἴχῳ καὶ τῷ „πίμπλαντ' ὄσσε δέ οἱ" παράκειται ἀσερίσκος, ὅτι ἀμφότεροι εἰς τὴν Ὀδύσσειαν (4, 661) μετάκειται ἐκ ὀρθῶς. A.

104. ὄσσε: παρὰ τὸ ὄπτω ὄσσω, ὥσπερ παρὰ τὸ πέττω πέσσω· ἐκ δὲ τῆ ὄσσω γίνεται ὄνομα ὄσσος, τὸ δυϊκὸν ὄσσε, καὶ ἀφαιρέσει ὄσσε. BL.

ἄλλως. τὸ ὄσσε οὐκ ἔχειν ἀρσενικὸν δυϊκόν· φησὶ γὰρ ὁ ποιητὴς „τὼ δέ οἱ ὄσσε πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον" (Il. 13, 617), ἐχ αἱματόεντες. ἐδετέρας οὖν ληπτέον εὐθείαν, καὶ ἔξαι τὸ ὄσσος ὡς ἔρκος βέλος τεῖχος· τὸ δὲ πληθυντικὸν κατὰ Ἀθηναίες μὲν ἔρκη βέλη τείχη, κατὰ δὲ Ἴωνας ἕρκεα βέλεα τείχεα, καὶ δῆλον ὅτι ὄσσεα. τῶν εἰς ᾰ πληθυντικῶν τὰ δυϊκὰ ἐδέτερα εἰς ᾰ τελευτᾷ, οἷον ὄμματα ὄμματε, γράμματα γράμματε· καὶ Εὐριπίδης (Hipp. 387) „ἐκ ἂν δύ' ἤτην ταὐτ' ἔχοντε γράμματα," καὶ Ἀριστοφάνης ἐν Πλούτῳ (454) „γρύζειν καὶ τολμᾶτον ὦ καθάρματε." σαφὲς ὂν ὅτι καὶ τείχεε λέξεσι δυϊκῶς καὶ ὄσσεε, εἶτα κατὰ ἀφαίρεσιν ὄσσε. B.

λαμπετόωντι: ὥσπερ ἀπὸ τῆ εὔχω εὐχέτης, βάλλω βαλέτης, ὕτω καὶ ἐκ τῆ λάμπω λαμπέτης, καὶ ἐξ αὐτοῦ λαμπετῶ, ἡ μετοχὴ λαμπετῶν. ἔχει δὲ ἡ συζυγία τῶν περισπωμένων. ὁ ποιητὴς ἐπὶ ταύτης τῆς συζυγίας ἔθος ἔχει πλεονάζειν τῷ ο, ὡς τὸ „ὀρόων ἐπὶ οἴνοπα πόντον" (350). A.

εἴκτην: εἴκω εἶκα εἴκειν εἰκείτην, καὶ ἐν συγκοπῇ εἴκτην, ἐν διαλύσει ἔϊκτην. προδιατυποῖ δὲ τὰ λεχθησόμενα τῆς ὄψεως τὸ δεινόν, καὶ δοκεῖ τὸ ὑπόδρα ἰδὼν ἔχειν καὶ ἐπεξήγησιν. διὰ δὲ τῆ πρώτιστα σημαίνει τὸ καὶ ἐπ' ἄλλες μετάξοντα τὸν λόγον τῆς τοιαύτης ὀργῆς. BL.

105. κάκ' ὀσσόμενος: παρατηρητέον ὅτι ὅταν ἐκ προσώπε τινὸς ἐπάγειν μέλλῃ λόγες ὁ ποιητής, προσημαίνει οἷος ἔσαι ὁ λόγος· εἰπόντος γὰρ αὐτῷ τὸ τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη ὁ Ἀγαμέμνων, ὑβριστικές· καὶ πάλιν „καί μιν νεικείων" (Od. 18, 9), θεωρητέον εἰ οἱ μέλλοντες ἐπάγεσθαι λόγοι ἔχεσιν ὀνείδη. ὅταν δὲ τὸ „ὃ σφιν ἐὐφρονέων," φρονίμες προσδεκτέον λόγες· φρόνιμον γὰρ τὸ τὰς αἰτίας τῶν ἐνεχθέντων εἰπεῖν καὶ μετὰ ταῦτα ἐπάγειν τὰ ποιητέα. καὶ πάλιν ὅταν λέγῃ „καὶ τότε κεφότερον μετεφώνεε Φαιήκεσσι" (Od. 8, 201), δεῖ ἡμᾶς τῶν λεχθησομένων ὡς κέφων ἀκέειν, ἐπηρμένε καὶ ὑψηγορέντος Ὀδυσσέος διὰ τὴν νίκην. καὶ ἐνταῦθα τοίνυν προδιετύπωσε τὸς λόγες διὰ τῆ κακοσσόμενος, ἐχ, ὡς τινες οἴονται, κακῶς ὑποβλεψάμενος, ἀλλ' ὅτι κακόμαντιν ἀποκαλῶν. ἐπεὶ γὰρ ὅσσα ἐστὶν ἡ θεία φωνή, τῆς ὑπὸς δὲ τῶν θεῶν ἀκέεσιν οἱ μάντεις — „ὡς γὰρ

ἐγὼν ὄπ' ἄκουσα θεῶν" (Il. 7, 53) —, διὰ τοῦτο κακοφημίζει αὐτὸν εἰς τοῦτο, κακὸν ἄγγελον τῆς Διὸς ὄσσης ἀποκαλῶν. BL.

ὅτι ἀπὸ τῶν ὄσσων κακῶς ὑπιδόμενος, οὐκ ἀπὸ τῆς ὄσσης, τῆς φωνῆς, κακολογήσας· οὐ γὰρ χρῆται Ὅμηρος τῇ ὄσσῃ ψιλῶς ἐπὶ τῆς φωνῆς, μᾶλλον δὲ ἐπὶ τῆς θείας κληδόνος. A.

τὸ κακοσσόμενος οὐ σημαίνει τὸ κακῶς ὑποβλεψάμενος· οὐ γὰρ οἷόν τε τὸ κακῶς συναλεῖψαι διὰ τὸ σύμφωνον, οὐδ' ἔστιν ὅπου τὸ ὑποβλέψασθαι ὄσσεσθαι λέγει· ἀλλὰ σημαίνει τὸ κακοσσόμενος (ἐν συνθέτῳ γὰρ εἴρηται) κακόμαντις. ἐπεὶ γὰρ ὄσσα ἡ θεία φωνή, ἣν καὶ Διὸς ἄγγελον ἔφη — „μετὰ δέ σφισιν ὄσσα δεδήει, ὀτρύνουσ' ἰέναι, Διὸς ἄγγελος" (Il. 2, 93) —, Διὸς δὲ ἄγγελοι καὶ οἱ μάντεις, καὶ τῆς ὀπὸς τῶν θεῶν ἀκούουσιν, ἥτις ἐστὶν ὄσσα („ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν" Il. 7, 53), ἀπὸ τῆς ὄσσης πεποίηκε τὸ κακοσσόμενος, ἀντὶ τοῦ ὡς κακόμαντιν αὐτὸν ὀνειδίζων, ὡς εἰ ἔλεγε κακὸν ἄγγελον τῆς Διὸς ὄσσης ἀποκαλῶν. οὐδὲ γάρ ἐστιν ἁπλῶς κακολογῶν, ὅτι οὐδὲ ὄσσαν ἁπλῶς τὴν φωνὴν σημαίνει, ἀλλὰ τὴν θείαν· ἀλλ' ἔστιν ὡς ἐπὶ κακῷ χρώμενον τῇ θείᾳ φωνῇ λοιδορῶν. εἴρηται δὲ καὶ ἐν ἄλλῳ „οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω, ἀλλ' ἀγαθὰ φορέουσα" (Il. 24, 172), οὐ κακὸν κληδονιζομένη· καὶ „ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσί" (Od. 1, 115), σημαίνει ὁ ἐν αὑτῷ κληδονιζόμενος καὶ εὐχόμενος θείας τυχεῖν φήμης τῆς ἐπανόδου τοῦ πατρός. καὶ τὸ „οὔ ποτέ μοι θάνατον προτιόσσετο θυμός" (Od. 14, 219) ἀντὶ τοῦ προεμαντεύετο. καὶ ὅτι μᾶλλον ἀπὸ τῆς ὄσσης τὸ ὄσσεσθαι, αὐτὸς ἐδήλωσεν ἐπὶ τῶν μνηστήρων λέγων „τὰς πάντων κεφαλάς, ὄσσοντο δ' ὄλεθρον" (Od. 2, 152), τουτέστιν ἐμαντεύοντο τοῖς μνηστῆρσιν ὄλεθρον. τοῦτο ἐπ' ἄλλου ἐξηγήσατο, εἰπὼν „Ξάνθε τί μοι θάνατον μαντεύεαι" (Il. 19, 420). τὴν δὲ ὄσσαν ὅτι θεία φωνή, ἐξηγεῖται λέγων „ἢ ὄσσαν ἀκούσας ἐκ Διός" (Od. 1, 282). λέγει δὲ αὐτὴν καὶ κληδόνα· „ἤλυθον, εἴ τινά μοι καὶ κληδόνα πατρὸς ἐνίσποις" (Od. 4, 317). κληδὼν δὲ παρὰ τὸ κλέος διδόναι καὶ φέρειν· „ἢ ὄσσαν ἀκούσας, ἥ τε κλέος μάλιστα φέρει ἀνθρώποισι." καὶ αὐτὸς ὁ Τηλέμαχος „πατρὸς ἐμοῦ" φησὶ „κλέος εὐρὺ μετέρχομαι, ἤν που ἀκούσω" (Od. 3, 83). καὶ „ᾤχετο πευσόμενος μετὰ σὸν κλέος, εἴ που ἔτ' εἴης" (Od. 13, 415). καὶ ἡ μεγάλη καὶ ἔνδοξος φήμη καὶ κληδὼν μέγα κλέος· „πεύθετο γὰρ Κύπρονδε μέγα κλέος, οὕνεκ' Ἀχαιοὶ νήεσσ' ἐς Τροίαν ἀναπλεύσασθαι ἔμελλον" (Il. 11, 21). τὴν δὲ ὄσσαν, οὖσαν θείαν φήμην, καὶ ὀμφὴν προσαγορεύει· „θείη δέ μιν ἀμφέχυτ' ὀμφή" (Il. 2, 41). καὶ τὸ „ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί" (Il. 8, 250), ἐπειδὴ ἡ ὄσσα καὶ ἡ ὀμφὴ Διὸς ἄγγελός ἐστιν. ἔστι δέ τις ἄλλη ἡ Ἑρμοῦ φήμη, ἡ ὑπὸ τοῦ Ἑρμοῦ διαδιδομένη περί τινος ἀγγελία ὡς τὸ „εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φήμην" (Od. 16, 75) καὶ πάλιν ἰχαλεπὴ δ' ἔχε δήμου φήμη" (Od. 14, 239). καὶ ἀγορὰ πολύφημος (Od. 2, 150), ἐν ᾗ πολλὰ φατίζεται. ἤδη δὲ φήμην καὶ τὴν κληδόνα που εἴρηκεν· „φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρίς" (Od. 20, 105)· ὥστε ὄσσα μὲν καὶ ὀμφὴ καὶ κληδὼν ἐπὶ τοῦ αὐτοῦ, φήμη δὲ καὶ ἐπὶ τῆς θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαλαλήσεως. οἴεται γὰρ θείαν εἶναι φωνὴν Ὅμηρος, ἧς τοὺς μάντεις ἀκούειν· „ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν" (Il. 7, 53). B.

106. μάντι κακῶν: μετὰ τὸ κακῶν στικτέον. A. ἡ συνήθεια μετὰ τὸ κακῶν στίζει, καὶ ἔστι τὸ σημαινόμενον κακόμαντι, ἤτοι τὸ δύσφημον τοῦ Κάλχαντος καὶ ἀεὶ τοιοῦτον λοιδοροῦντος τοῦ Ἀγαμέμνονος, ἢ τὸ παρακολουθοῦν ἀεὶ τοῖς μάντεσιν ὡς ἴδιον ἁμάρτημα τῷ Κάλχαντι προστρίβοντος· μάντεως γὰρ τότε χρεία, ὅταν ἐν συμφορᾷ τινὲς ὦσιν. A.

ὁ ζητῶν τὸ τί κακὸν ἐμαντεύσατο, ὀργῆς οὐκ οἶδε φύσιν ἐπ' ἀλήθειαν οὐ φερομένην. τάχα δὲ καὶ κακόμαντιν αὐτόν φησι διὰ τὸ εἰπεῖν „τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν" (Il. 2, 329)· ᾤετο γὰρ ταχύτερον πορθήσειν αὐτὴν διὰ τὸ τὸν Δία ἐπιδέξια φαίνειν σήματα (Il. 2, 353). τὸ γὰρ Ἰφιγενείας ὄνομα οὐκ οἶδεν ὁ ποιητής. ἐπεὶ οὖν οὐ κατέγνωσται, οὐ ψευδῆ αὐτὸν ἀλλὰ κακόφημόν φησι διὰ τὴν ἀναβολὴν τῆς νίκης. εἰ γὰρ καὶ ἀληθεῖς αἱ τῶν φαύλων προγνώσεις, οὐδὲν ἧττον οἱ δυστυχοῦντες τοὺς προειρηκότας ὡς αἰτίους μισοῦσιν. BLV.

κρήγυον: ὅτι ἅπαξ εἴρηται τὸ κρήγυον, καὶ οὐκ ἔστιν ἀληθὲς ἀλλ' ἀγαθόν· ἀντιδιαστέλλει γοῦν ἐπὶ τὸ „αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα." A.

τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνές, ὃ ταὐτόν ἐστι τῷ θυμῆρες, τροπῇ τοῦ δ εἰς γ, ὡς γνοφερόν καὶ δνοφερόν, οἷον κρήδυνόν τι ὄν, τὸ ἡδῦνον τὸ κέαρ, ὅ ἐστι τὴν ψυχήν, οἷον τὸ θυμῆρες τῇ ψυχῇ μου. ABL.

τὸ δὲ εἶπες εἶπας Ἀρίσταρχος γράφει, κακῶς· εἰπὼν γὰρ ἀεὶ καὶ εἴποιμι λέγομεν. B.

108. ἐσθλὸν δ' οὐδέ τι πω: συντείνει τοῦτο εἰς τὸ δεκαετῆ μαντεύσασθαι αὐτὸν ἐν Αὐλίδι τὸν πόλεμον, ὅσον ἀπὸ τοῦ συμβόλου τῶν στρουθῶν. ἐντεῦθεν οἱ νεώτεροι ὁρμηθέντες ἱστοροῦσιν ὅτι τῶν Ἑλλήνων ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας ἀθροισθέντων καὶ ἀπλοίᾳ καταχεθέντων, Κάλχας ὁ μάντις ἐξεφώνησε μὴ δύνασθαι εἰς Ἴλιον ἄλλως ἐκπλεῦσαι αὐτούς, εἰ μὴ Ἀγαμέμνων Ἰφιγένειαν τὴν θυγατέρα αὐτοῦ σφαγιάσῃ Ἀρτέμιδι, διὰ τὸ φονεῦσαι αὐτὸν τὴν ἱερὰν αἶγα τὴν τρεφομένην ἐν τῷ ἄλσει αὐτῆς, καὶ πρὸς τούτῳ καυχησάμενον εἰπεῖν ὅτι οὔτε ἡ Ἄρτεμις οὕτως ἂν ἐτόξευσε. τοῦ δὲ Ἀγαμέμνονος διὰ τὴν πολλὴν ἀνάγκην παραστήσαντος τὴν κόρην τῷ βωμῷ, κατοικτειρήσασαν τὴν θεάν, καὶ ἔλαφον ἀντὶ τῆς παρθένου παραστήσασαν, σῶσαι, καὶ ἐν Ταύροις τῆς Σκυθίας εἰς τὸ ἱερὸν τῆς θεοῦ εἰπεῖν πεμφθῆναι αὐτήν. ἡ ἱστορία παρὰ πολλοῖς μὲν τῶν νεωτέρων, καὶ παρὰ Δίκτυϊ τῷ γράψαντι τὰ Τρωϊκά. A.

οὐδέ τι πω εἶπας ἔπος οὐδ' ἐτέλεσσας: οὕτως αἱ Ἀριστάρχου καὶ ἡ Ἀριστοφάνους. καὶ ἔστιν ἐμφατικὸν τὸ οὔτε δὶς λεγόμενον. A.

ἐμφαντικόν ἐστι τὸ οὐδὲ δὶς λεγόμενον, καὶ τὴν τῆς μαντείας τύχην λοιδορεῖ, ὡς εἴ τι καὶ χρηστὸν προείποι, οὐκ εἰς ἀγαθὸν τελευτᾷ. εὐτυχίας οὖν ἔργον καὶ τὴν τέχνην ἀμαυροῦν. BLV.

δυσκαταπαύστως δὲ ἔχουσι πρὸς τὰς κατηγορίας οἱ ὀργι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζόμενοι, ᾗ τὰ αὐτὰ ἐπαναλαμβάνουσιν, ὡς μὴ κατ' ἀξίαν εἰρηκότες. BL. cf. Hellad. ap. Phot. p. 532 a 30. ed. Berolin.

τὸ δὲ „ᾗ νῦν ἐν Δαναοῖσι" μᾶλλον αὐτὸν λυπεῖ, ἐπεὶ μὴ κατ' ἰδίαν ἐκοινώνησεν αὐτῷ. L.

110. ὡς δὴ τοῦδ' ἕνεκα: ἀθετεῖται, ὅτι αἰρομένῃ τάτῃ σύντομος γίνεται ἡ ἑρμηνεία ᾗ ἐδὲν ἐλλιπὲς ἔχουσα. AB.

113. Κλυταιμνήσρης: ἡ Κλυταιμνίστρα γυνὴ μὲν Ἀγαμέμνονος, Τυνδάρεω δὲ ᾗ Λήδας τῆς Θεστίου θυγάτηρ, Ἑλένης δὲ ἀδελφή. AD.

προβέβουλα: ἀπὸ τοῦ βάλω, μόνος ὀφθεὶς ἐν τοῖς ἐνεργητικοῖς. A.

διὰ τί ὁ Ἀγαμέμνων τὴν αἰχμάλωτον τῆς γαμετῆς προκρίνει; λέγει γὰρ Κλυταιμνήστρης προβέβουλα. ᾗ οἱ μέν φασιν ὅτι ἕνεκα τοῦ μὴ δοκεῖν Ἕλλησιν ἐφ' ὕβρει κατέχεσθαι τὴν κόρην· οἱ δὲ ὅτι ἐπαινεῖ τὴν Χρυσηΐδα, ἵνα μὴ τὰ τυχόντα τοῖς Ἕλλησιν ἀλλὰ τὰ μέγιστα δοκῇ χαρίζεσθαι· ἔνιοι δὲ ὅτι ἵνα ψευδόμενον ἀποδείξῃ τὸν Κάλχαντα· πῶς γὰρ ἂν ὀργίζοιτο ὁ θεὸς τῆς αἰχμαλώτου μηδὲν ἐφίβριζον παχύσης; AD. ἐξαίρει τὸν πόθον, ὅπως μείζην τοῖς Ἕλλησι δοκοίη καταθέσθαι χάριν· δημαγωγικώτατος γάρ ἐστιν, ἢ ὅτι περισπάδασος τοῖς ἐπ' ἀλλοδαπῆς ὁ τῶν γυναικῶν πόθος. ἀπάγων δὲ τὴς Ἕλληνας τοῦ τοιούτου πόθου, ἐπαινεῖ τὴν αἰχμάλωτον. BL.

114. οὔ ἑθεν: ἕτως ὀξυτονητέον τὴν οὔ ἀπόφασιν, ἵν' εἰς ἁπλῆν μεταληφθῇ ἀντωνυμίαν· τοῦτο γὰρ καὶ Ἀρίσαρχος παρήγγελεν. ἐὰν γὰρ ὀρθοτονήσωμεν, ἔσαι τὸ ἑαυτῆς σύνθετον, ἕτως ὡς τὸ „οἱ ἔθεν ὀτρύνοντα" (Il. 15, 199) ᾗ „ὃς ἔθεν εἶνεκ' ἔπαχον" (Il. 3, 128). A. τὸ μὲν πρῶτον ᾗ τὸ δεύτερον πρόσωπον τῇ ἕθεν ὀρθοτονεῖται, τὸ δὲ τρίτον δισσύν ἐσι τῷ τόνῳ· νῦν ἓν ἐγκλιτέον. BL.

115. δέμας: δέμας ὁ ποιητὴς τὸ ἔμψυχον εἴωθε λέγειν, παρὰ τὸ δεδέσθαι ᾗ συνεῆχθαι, οἷον „οὐ δέμας οὐδὲ φυήν" ᾗ πάλιν „δέμας δ' ἵκτο γυναικὶ καλῇ τε μεγάλῃ τε" (Od. 4, 796) ᾗ „ἐπεὶ ἕτως ἐδὲ ἔοικε θνητὰς ἀθανάτῃσι δέμας" (Od. 5, 212). σῶμα δὲ καλεῖ τὸ ἄψυχον, ἐπεὶ σῆμά τί ἐσι τῷ ποτὲ ζῶντος, οἷον „σῶμα δὲ οἴκαδ' ἐμόν" (Il. 7, 79)· ᾗ ἐπὶ τῆ Ἑλπήνορος πάλιν „σῶμα μὲν ἐν Κίρκης κατελείπομεν αὖθι ἡμεῖς ἄκλαυτον καὶ ἄθαπτον" (Od. 11, 53)· ᾗ ἔτι „ὧν ἔτι ᾗ νῦν σώματ' ἀκηδέα κεῖται" (Od. 24, 186). Εὐριπίδης μέντοι ἐνηλλαγμένως δέμας μὲν ἐπὶ τῆ νεκροῦ, λέγων „ἔκτον δὲ δὴ τόδ' ἦμαρ ἐξ ὅτε σφαγεῖς θανῆσα μήτηρ πυρὶ καθήγνισαι δέμας·" τὸ δὲ σῶμα ἐπὶ ἐμψύχε λαμβάνει, λέγων „δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰχύνομαι." A.

φυήν: τὸ δὲ ὅλε κάλλος· „φυήν γε μὲν οὐ κακὸς ἐσι, μηρύς τε κνήμας τε ᾗ ἄμφω χεῖρας" (Od. 8, 134). ἐν μονοσίχῳ δὲ πᾶσαν ἀρετὴν γυναικὸς ἐσήμανε. ᾗ ἀλλαχῆ „κάλλει καὶ ἔργοισιν ἰδὲ φρεσὶ πευκαλίμῃσιν" (Il. 13, 432?)· „καλῇ τε μεγάλῃ τε ᾗ ἀγλαὰ ἔργ' εἰδυίῃ" (Od. 13, 289). BL. τὴν τοῦ σώματος εὐφυΐαν ᾗ ἀρετήν. D.

116. καὶ ὡς: τὸ ὡς ὁπότε σημαντικόν ἐσι τοῦ ὅμως, περισπᾶται. A.

ἄμεινον: σικτέον ἐπὶ τὸ ἄμεινον· ψυχροὶ γὰρ οἱ ἐπὶ τὸ πάλιν σίζοντες. A.

117. βούλομ' ἐγὼ λαόν: ὅτι Ζηνόδοτος αὐτὸν ἠθέτηκεν ὡς τῆς διανοίας εὐήθους ὄσης. οὐ δεῖ δὲ αὐτὸν ἰδίᾳ προφέρεσθαι, ἀλλὰ συνάπτειν τοῖς ἄνω· ἐν ἤθει γὰρ λέγεται. A.

σόον ἔμμεναι ἢ ἀπολέσθαι: ἅπασαι σῶν εἶχον· ᾗ συνᾴδει τῷ „νῦν τοι σῶς αἰπὺς ὄλεθρος" (Il. 13, 773). ὁ δὲ ἢ διασαφητικός ἐσιν ἀντὶ τοῦ ἤπερ, ὡς τὸ „ἢ ἀφνειότεροι" (Od. 1, 165). ἔσι δὲ ᾗ μετὰ ἤθους. Πορφύριος δὲ παραδιαζευκτικόν, ἀντὶ τοῦ καί, οἷον ᾗ αὐτὸς ἀπολέσθαι. BLV.

οὕτως, σῶν, αἱ Ἀρισάρχου, οὐ διηρημένως σόον, ἀλλὰ σῶν. συνᾴδει καὶ τὸ „νῦν μοι σῶς αἰπὺς ὄλεθρος" (Od. 5, 305). ἔοθ' ὅπου δὲ καὶ διαιρεῖ· „σόον δ' ἀνένευσε" (Il. 16, 252). ὁ δὲ λόγος τοιοῦτος· θέλω, φησίν, ἐγὼ τὸν ὄχλον μᾶλλον σώζεσθαι ᾗ αὐτὸς ἀπολέσθαι· ὁ γὰρ ἢ σύνδεσμος ἀντὶ τοῦ καί παρείληπται τῷ ποιητῇ. Πορφύριος δὲ παραδιαζευκτικὸν ἀντὶ τοῦ ᾗ ἀπολέσθαι ἐγώ. A.

118. αὐτὰρ ἐμοὶ γέρας: ἀλλοιωτικῇ σάσει κέχρηται, μετατιθεὶς τὰ ὀνόματα πρὸς κόσμον ἑαυτοῦ. προσφυῶς δὲ πρὸς τὸν Ἀχιλλέα ἐπεισέρχεται. BL.

119. Ἀργείων: ἱκανὸν μὲν ἦν αὐτῷ καὶ τῶν ἀριστέων μόνον εἰπεῖν, ἀλλὰ διὰ τοῦτο πάντων ἔφη, ἵνα τὴν εἰς αὐτὸν ἀτιμίαν αὐξήσῃ. BL.

ἀγέρασος: ὡς ἀπείρασος ᾗ ἀβίαστος. ἵνα δὲ μὴ δοκῇ τοῦ μηδενὸς καταπεφρονηκέναι, τὸ ἴσον αἰτεῖ. BL.

120. τὸ λεύσσετε Ἀρίσαρχος γράφει διὰ δύο σ· ἐγὼ δὲ ἐνεσῶτα ἀπὸ τοῦ μέλλοντος, ὡς ἄξετε, οἴσετε, καταβήσεο δίφρε. A. Ἀρίσαρχος μέλλοντά φησιν, ἐγὼ δὲ ἐνεσῶτα ἀπὸ τοῦ μέλλοντος, ὡς τὸ ἄξετε, οἴσετε. τὸ δὲ ὃ ἀποκοπὴ τοῦ ὅτι. τὸ δὲ ἄλλῃ μετὰ τοῦ ῑ γράφομεν. BL.

ἄλλῃ: σὺν τῷ ῑ τὸ ἄλλῃ· καὶ ἔσιν ἄλλοσε, ὥσπερ τὸ πάντῃ. ὁ γοῦν τῶν λεγομένων τοιοῦτος· ἐμοὶ δὲ γέρας παρασκευάσατε, ὅπως μὴ ὑπολειφθῶ ἀγέρασος ἐν τοῖς Ἕλλησιν· ὁρᾶτε γὰρ δή μου τὸ γέρας ἀλλαχόσε ἀπερχόμενον. θαυμάσειε δ' ἂν τις Πτολεμαίου τὸν Ὀροάνδου τὴν ἀπειρίαν. ἐν γὰρ τῷ τρίτῳ τῶν Ὁμηρικῶν ὑποδειγμάτων παραδεικνὺς ὅτι ἀντὶ τοῦ ἑτέρου τοῦ ἄλλου ἔοθ' ὅπῃ καταχρῆται Ὅμηρος, καὶ τοῦτο φέρων ἐντέθεικε τὸ μαρτύριον „ὅ μοι γέρας ἔρχεται ἄλλῃ," ὡς ἐκεῖνο „πῦρ ἕτερον μὲν ὑπ' αἰθούσης εὐεργέος αὐλῆς, ἄλλο δ' ἐνὶ προδόμῳ" (Il. 9, 472) ᾗ „ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ" (Il. 9, 313). ἁπλῶς δ' ἔοικε νῦς ὑγιὴς μὴ ὑποφαίνεσθαι διὰ τῆς ἐκδοχῆς ταύτης· ᾗ εἰ ἄν τὸ παρόραμα οὐκ ἐπισήσαντος αὐτῷ τοῖς παραδείγμασιν. BL.

121. ποδαρκής: ὁ ἑαυτῷ τοῖς ποσὶν ἐπαρκῶν ᾗ τῇ ὀξύτητι τῶν ποδῶν ἀποφεύγων τοὺς πολεμίους, ἢ καὶ τοῖς ἄλλοις, ὡς τὸ λαοσσόος. BL.

122. φιλοκτεανώτατε: ὁ γὰρ γέρως Ἀγαμέμνων ἀλλὰ κέρδος ἀντεποιεῖτο. B.

123. πῶς γάρ τοι δώσουσι: ὡς ἐν ἀρχῇ προσκρούει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μετρίως, κατ' ὀλίγον ἐμφαίνων τὸ εἰρωνικόν. συνάξας δὲ τὴν ἐκκλησίαν, δικαίως ὑπὲρ ἁπάντων ϛασιάζει, ὡς καὶ τῆς λείας ἄρχων ὤν. ἔϛι δὲ καὶ τὸ μεγάθυμοι δημαγωγικόν. BL

124. οὐδέ τι πω: ὁ δὲ ἀντὶ τοῦ γάρ. αἱ πᾶσαι δὲ ποῦ ἔχουσιν. ὡς πρὸς ἐντροπὴν δὲ τὴν κοινὴν ἀπορίαν προβάλλεται. BL. διὰ τοῦ ο καὶ υ, πθ, ἀντὶ τοῦ πώ· ἔτως καὶ ἡ Σωσιγένης καὶ ἡ Ἀριϛοφάνης. A.

ἴδμεν: οἱ μὲν ἐκ τοῦ ἴϛημι, ἴϛαμεν, καὶ ἐν συγκοπῇ ἴϛμεν, καὶ τροπῇ τοῦ ϛ εἰς δ ἴδμεν· οἱ δὲ ἀπὸ τοῦ εἴδω τὸ γινώϛκω. ὁ δεύτερος ἀόριϛος ἶδον ἴδομεν, καὶ ἀποβολῇ τοῦ ο ἴδμεν. B.

οἴδαμεν ἦν, καὶ ἀφαιρέϛει τοῦ ο καὶ συγκοπῇ τοῦ α ἴδμεν. L.

ξυνήϊα κείμενα πολλά: τινὲς ἐπὶ τὸ κείμενα ϛίζουϛι, καὶ τὸ πολλά τοῖς ἑξῆς συνάπτουϛι, κακῶς. ξυνὸν δὲ ξυνεῖον ὡς κοινὸν κοινεῖον· καὶ διαιρέϛει Ἰωνικῇ καὶ τροπῇ τοῦ ε εἰς η ξυνήϊον. ABL.

125. ἀλλὰ τὰ μὲν πολίων: τὰ καθόλ. πᾶν δὲ ἄρθρον ἀντὶ ἀντωνυμίας λαμβανόμενον βαρύνεται. BL.

δέδαϛται: δαίω τὸ κόπτω καὶ μερίζω. ὁ μέλλων δαίϛω, καὶ ἐξ αὐτοῦ δέδαικα, καὶ ἀποβολῇ τοῦ ι δέδακα. ὁ παθητικὸς δέδαϛμαι δέδαϛται. L.

126. λαούς: παρὰ τὸ λᾶαν· λᾶας δὲ κατὰ διάλεκτον ὁ λίθος. Προμηθέως παῖς Δευκαλίων γίνεται. ἔτος βαϛιλεύων τῶν περὶ τὴν Φθίαν τόπων γαμεῖ Πύρρᾶν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλαϛαν οἱ θεοὶ τὴν πρώτην γυναῖκα. καὶ ἐπειδὴ Ζεὺς ἠθέλησε τὸ χαλκοῦν γένος ἀπολέϛαι, ὑποθεμένου Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος ἐν αὐτῇ, μετὰ Πύρρᾶς ἐνέβη. Ζεὺς δὲ πολὺν ὕετὸν ἀπ' ἀρανοῦ χέας τὰ πλεῖϛα μέρη τῆς Ἑλλάδος κατέκλυϛεν, ὥϛε διαφθαρῆναι πάντας ἀνθρώπους ὀλίγων χωρίς, οἵτινες συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ Θεϛαλίαν ϛενώματα διέϛη, καὶ τὰ ἐκτὸς Ἰαθμοῦ καὶ Πελοποννήϛου συνεχύθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάϛϛης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας ἴϛας τῷ Παρνάϛϛῳ περιέχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς ἔθυϛε Διὶ φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖϛθαι ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέϛθαι. καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλῆς ἔβαλλεν αἴρων τὰς λίθους· καὶ ὃς μὲν ἔβαλλεν ἔτος, ἄνδρες ἐγίνοντο, οὓς δὲ ἡ Πύρρα, γυναῖκες. ἡ ἱϛορία παρὰ Ἀπολλοδώρῳ. AD.

παλίλλογα: ἃ δίκαιόν ἐϛιν εἰς τὸ αὐτὸ πάλιν ϛυναγαγεῖν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάϛαντα αὐτοῖς διαμεριθῆναι χρήματα. παρὰ τὸ λέγω, ὅθεν καὶ τὸ ϛυλλέγω. AD.

ταῦτ': τὸ δὲ ταῦτ' Τυραννίων ὀξύνει, ἵν' ᾖ τὰ αὐτά. ABL.

127. θεῷ πρόες: πρὸς τὸ ἀναγκαῖον τῆς ἀποδόϛεως οὐκ εἶπε πατρὶ πρόες, οὐδ' Ἀχαιοῖς, ἀλλὰ τῷ θεῷ. BLV.

αὐτὰρ Ἀχαιοί: ὁ χάριν αἰτεῖ, ἀλλ' ὡς κακῷ δανειϛῇ κακίχρηϛται, καὶ διπλᾶ καὶ τριπλᾶ ἀποδώϛειν ἐπαγγέλλεται. A.

128. ἀποτίϛομεν: πιϛῶϛαι τὴν ὑπόχεϛιν ὡς ἐπὶ δανείῳ, καὶ ἑαυτὸν καθυπογράφει τῷ χρέει. ABL.

αἴ κέ ποθι Ζεύς: ὅτι μεθ' ὑπεξαιρέϛεως δεῖ ποιεῖϛθαι τὰς ὑποχέϛεις διὰ τὸ ἀθηλον τῆς τύχης. AB.

129. δῶϛί πόλιν Τροίην: Τρωϊκὴν πόλιν. λέγει δὲ τὴν Ἴλιον. D. ἔτως Ἀρίϛαρχος τρισυλλάβως, καὶ ἐνθάδε καὶ ἐν τῇ Α τῆς Ὀδυϛϛείας (510) „ἤτοι ὅτ' ἀμφὶ πόλιν Τροΐην φράζευ." καὶ ἐπείθη αὐτῷ ἡ παράδοϛις. ἔϛι δὲ καὶ τὸ τῆς χρήϛεως τῆς Ὁμηρικῆς ἰδίωμα παραφυλάξαι ἔτως, ὡς ὅτι εἴπε λέγει τὸ Τροία διϛυλλάβως, ἐδέποτε ἐπιφέρει τὸ πόλις, οἷον „εἰϛόκε περ Τροίην διαπέρϛομεν" (Il. 9, 46) καὶ „ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες" (Il. 16, 698) καὶ „Τροίῃ ἐν εὐρείῃ" (Il. 24, 256), καὶ ἀλλαχοῦ. ἐπὶ μέντοι τούτων τῶν δύο ὁμοιοπτώτως ἐπήνεγκε τὸ πόλιν Τροΐην· „δῶϛι πόλιν Τροΐην" καὶ τὸ „ἤτοι ἀμφὶ πόλιν Τροΐην" (Od. 11, 510). ταῦτα ὁ Ἡρωδιανός. A.

ὅτι Ζηνόδοτος γράφει Τροίην, ὡς ἐπὶ τὴν Ἴλιον βουλόμενος γενέϛθαι τὴν ἀναφοράν, ἀπιθάνως· ἄδηλον γὰρ ἦν εἰ ἔλθϛιν αὐτήν. ἔϛιν ὃν ὁ λόγος περὶ μιᾶς πόλεως τῶν περιοίκων· ταύτας γὰρ ἐπόρθει ὁ Ἀχιλλεύς. διὸ καὶ ἐν τρισὶ ϛυλλαβαῖς ἀναγινώϛκεται. A.

Ζωΐλος δὲ ὁ Ἀμφιπολίτης καὶ Χρύϛιππος ὁ Στωϊκὸς ϛολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικῆ πληθυντικῷ χρηϛάμενον ῥήματι· τὸ γὰρ δῶϛι φαϛι πληθυντικόν. ἀγνοοῦϛι δέ· ἔϛι γὰρ τὸ δῶ ἑνικὸν ἐκτεταμένον, ὡς τὸ λέγῃ λέγηϛι, φέρῃ φέρηϛι. τοιοῦτόν ἐϛι καὶ τὸ ἐν Ὀδυϛϛείᾳ (1, 168), τὸ „φῆϛιν ἐλεύϛεϛθαι," καὶ τὸ „εἰϛόκε μοι μάλα πάντα πατὴρ ἀποδῶϛιν ἑέθνα" (Od. 8, 318). κἀνταῦθα γὰρ ἀποδῶ· διὸ καὶ τὸ ι ἔχει προϛκείμενον, μέμνηται αὐτοῦ κἀν τῇ ὀρθογραφίᾳ Ἡρωδιανός. A. ἐξ ὑποτακτικοῦ τοῦ δῶ τρίτου προϛώπου, κατὰ ἐπέκταϛιν τῆς ϛι ϛυλλαβῆς, δῶϛι. ἔμφαϛιν δὲ ἔχει καὶ ἡ προθήκη τῆς ἐξ. BL.

εὐτείχεον: καλῶς τετειχιϛμένην, διὰ τὸ ὑπὸ θεῶν τετειχίϛθαι καθ' Ὅμηρον, Ποϛειδῶνος καὶ Ἀπόλλωνος. D.

ἐξαλαπάξαι: λάπαθος βοτάνη καθαρτική. καὶ γίνεται ἐξ αὐτοῦ λαπάζω, καὶ κατὰ πλεοναϛμὸν τοῦ α ἀλαπάζω. L.

131. ἀγαθός περ ἐών: ἀντειρωνεύεται πρὸς τὸ κύδιϛε· ὁ δὲ πέρ ἐναντιωματικός ἐϛιν. τὸ δὲ ἀγαθὸς ϛημαίνει καὶ τὸν ἀνδρεῖον καὶ τὸν φρόνιμον καὶ τὸν δίκαιον. BL.

ὅτι ἰδίως κέχρηται τῷ πέρ ϛυνδέϛμῳ, ἀντὶ τοῦ γέ ἢ τῷ δή. A.

θεοείκελ': θεοῖς τὸ εἶδος ὅμοιε, ὃ ἔϛι τὸ κάλλος. D. εὐειδὴϛ γὰρ παρὰ πάντας τοὺς ἥρωας ὁ Ἀχιλλεύς καὶ γυναικοπρόϛωπος, ὡς καὶ εἰς τὸν Λυκομήδους παρθενῶνα εἰϛελθόντα αὐτὸν ἀγνοηθῆναι ὅτι εἴη ἀνήρ. AD.

132. κλέπτε: τὸ κλέπτω ϛημαίνει καὶ τὸ παραλογίζομαι, καὶ τὸ ἀπατῶ, ὡς ἐνταῦθα, καὶ τὸ κυρίως κλέπτω, ὡς τὸ „κλέψαι δ' ὠτρύνεϛκον ἐῢϛκοπον Ἀργειφόντην" (Il. 24, 109). γίνεται δὲ ἐκ τοῦ χαλέπτω τὸ ὀργίζομαι· ὀργίζεται γὰρ ὁ κλέπτης ποιεῖ τοὺς ἀπολλύντας τι. ἢ παρὰ τὸ καλύπτω· καλύπτει γὰρ ὁ κλέπτης ἃ ἀφαιρεῖται. B.

οὐ παρελεύσεαι: ἀπὸ τῶν δρομέων. ὅτε τῷ κλέπτειν νικήσεις ὅτε πείσεις. BL.

133. 134. ἀθετοῦσι, ὅτι εὐτελεῖς τῇ συνθέσει καὶ τῇ διανοίᾳ, καὶ μὴ ἁρμόζοντες Ἀγαμέμνονι. A. ἐχημάτισεν οὐχ ὁμοίως, τῷ αὐτός ἐπενεγκὼν αὐτὰρ ἐμ' αὖτως. A.

133. ἦ ἐθέλεις: πράγματος προκειμένου περὶ κοινῆς σωτηρίας, μέτεισιν ἐφ' ἑτέραν παρασκευήν, ὡς ἐκ ἐξὸν Ἀχιλλεῖ λέγειν ὡς ὅτι βλάπτει τὸ κοινὸν ἐχόμενος τῆς παλλακῆς αὐτῦ. BL.

αὖτως: μάτην. καὶ ἔξιν ἐπίρρημα μεσότητος, καὶ ψιλοῦσι πρὸς ἀντιδιαστολὴν τῶ ἑτέρω τῶ σημαίνοντος τὸ ἔτως. καὶ ψιλοῦσι, διότι τὸ χρητικὸν ᾱ ψιλοῦσι. καὶ πῶς ἐστὶ χρητικόν; ἔξιν ἐτός, καὶ σημαίνει τὸν ἀληθῆ, ἐξ οὗ καὶ πλεονασμῷ τοῦ ἔ ἐτεός. τοῦτο παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἐμί. ἐξ αὐτοῦ γίνεται ἐτός ὁ ἀληθής· ὁ γὰρ ἀληθὴς ὑπάρχει, τὸ δὲ ψεῦδος οὐχ ὑπάρχει. καὶ μετὰ τῶ χρητικῶ ᾱ ἀετός, καὶ ἀνεβίβασε τὸν τόνον· τὰ γὰρ εἰς ος δισύλλαβα ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει. καὶ κλίνεται ἀέτου· τὸ πληθυντικὸν οἱ ἀέτοι, ἀέτων, καὶ ἐξ αὐτοῦ ἐπίρρημα μεσότητος ἀέτως, καὶ κράσει τῶ αε εἰς τὴν αυ δίφθογγον αὖτως, ὥσπερ ἀέρα αὔρα καὶ αἱ γρᾶες αἱ γραῦς καὶ αἱ νᾶες αἱ ναῦς. B.

134. κέλεαι: καὶ μὴν ὁ μάντις εἶπε „πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι" (98). ἀλλά γε αὐτὸς ἐκκλησιάζει. BL.

136. ἄρσαντες: ἁρμόσαντες κατὰ τὴν ψυχήν, τετέχνηκεν ἀρεσὸν καὶ θυμῆρες ποιήσαντες. D. Ἀρίσαρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, ἔ ὁ μέλλων Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ καὶ τὸ ε, πρὸ τοῦ ρ ὄντα, ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται. ἔοικε δὲ βασιλικὸν εἶναι τὸ ἐκλέγεσθαι τῆς λείας ὃ θέλοι. ABL.

137. εἰ δέ: Ἀττικὴ τῶν προτέρων ἡ παράλειψις, ὡς καὶ τὸ „κἂν μὲν ὁμολογῆτε μόνην ἀγαθῶν ἁπάντων ἔσαν αἰτίαν ἐμὲ ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή, ποιεῖτον ἤδη τοῦθ' ὃ ὑμῖν δοκεῖ" (Aristophan. Plut. 468). καὶ πάλιν „εἰ μὲν ἦν ἔξι τις· εἰ δὲ μή, ἡμεῖς τε καὶ τὰ δηλάρια τέφραν ποθὲν ληψόμεθα" (id. Thesmophor. 536). ἐπὶ γὰρ πάντων τὸ καλῶς ἂν ἔχοι, ὡς καὶ ἐνταῦθα, ἐλλείπει. B.

ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι: ὅτι περισσεύει ὁ κέ σύνδεσμος, καὶ τὸ ῥῆμα ἤλλακται, ἕλωμαι ἀντὶ τοῦ ἑλοίμην. ἔτως δὲ γίνεται περισσὸς ὁ ἄξω ἑλών. A.

138. ἦ τεὸν ἢ Αἴαντος: ἐνδεικνύμενος τὴν ἀρχὴν πᾶσιν ἀπεχθάνεται, μάλιστα δὲ τοῖς Ἀχιλλέως. Αἴαντος δὲ γέρας Τέκμησσα ἡ Τελεύταντος, Ὀδυσσέως δὲ Λαοδίκη ἡ Κύκνου. τούτων δὲ μέμνηται, ὅτι ὁ μὲν συγγενής, ὁ δὲ φίλτατος. ἀμέλει καὶ τελευτήσαντος αὐτοῦ μόνοι πρῦσησαν τῷ σώματος, καὶ μόνοι πρεσβεύονται πρὸς αὐτόν. BL.

Ἄλογον τὸ καὶ τούτους συνυβρίζειν τοὺς μηδὲν ἀδικήσαντας ἢ πλημμελήσαντας. ἡ λύσις ἐκ τῶ προσώπου· ὑπόκειται γὰρ Ἀχιλλέως φίλοι ἀμφότεροι. A.

Διὰ τί δὲ συνεχῶς ὁ Ἀγαμέμνων ἐν ταῖς πρὸς Ἀχιλλέα διαπληκτίσεσιν Αἴαντος καὶ Ὀδυσσέως μνημονεύει, καὶ ἐν τῇ ἀφαιρέσει τῶν τιμῶν „ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσῆος ἄξω ἑλών" καὶ μετ' ὀλίγον ἐφεξῆς (144), ὅτε δεῖ πέμψαι τὴν Χρυσηΐδα, φησὶν „εἰς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔσω, ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς, ἠὲ σὺ Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν". καὶ γὰρ ἀτιμάσειν ἀπειλῶν συγκαταλέγει Αἴαντα καὶ Ὀδυσσέα τῷ Ἀχιλλεῖ, καὶ ἀποξέλλειν πρὸς τὸν θεὸν ἐπαγγελλόμενος, ἐξ Αἴαντος καὶ Ὀδυσσέως καὶ Ἀχιλλέως φησὶν ἕνα ἀποξέλλειν, ὅτε μὲν ἀτιμάσαι ἀπειλεῖ, προθεὶς τὸν Ἀχιλλέα τῶν ἀτιμαζομένων „ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσῆος", ὅτε δὲ ὑπὲρ τῶν Ἑλλήνων θύειν ἔδει ἀπελθόντα, „ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς, ἠὲ σὺ Πηλείδη". λύσις, ὅτι ἔτοι ἐδόκουν μάλιστα φίλοι εἶναι Ἀχιλλέως. διὸ καὶ ὁ Νέστωρ αὐτός, καταλέγων πρεσβευτὰς πρὸς Ἀχιλλέα, τούτους αἱρεῖται· καὶ Ἀχιλλεὺς εὐμενεστάτως ὁρᾷ ἐλθόντας τούτους, καὶ δεξιοῦται, καὶ ὁμολογεῖ τὸ προϋπάρχον φίλτρον· „οἵ μοι σκυζομένῳ παρ' Ἀχαιῶν φίλτατοι ἐσόν" (Il. 9, 198), καὶ „χαίρετον, ἦ φίλοι ἄνδρες ἐκάνετον" (ib. 197). συνατιμάζει ἓν τούτοις καὶ συγκαταλέγει ὡς φίλους ὄντας τῷ Ἀχιλλεῖ τὰ μάλιστα. B.

γέρας: μέχρι τῶ γέρας δεῖ ἀναπαύειν τὸν λόγον, τὰ δὲ λοιπὰ τοῖς ἑξῆς ἐπιφέρειν, ἵνα μὴ παρενοχλεῖν δοκῇ δὶς τὸ ἑλών κείμενον. BL.

139. ἄξω ἑλών: ἀθετεῖται, ὅτι πλήρης ὁ λόγος, ἀλλαγῆς γενομένης τῶ ῥήματος, ἕλωμαι ἀντὶ τοῦ ἑλοίμην. καὶ εὔηθες τὸ προσκείμενον „ὃ δέ κεν κεχολώσεται"· πῶς γὰρ ἐκ ἔμελλε χολᾶσθαι; A.

ὃ δέ κεν κεχολώσεται: δοκεῖ ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι, τὸ διάφορον ἐκ εἰδὼς τῆς ἀφαιρέσεως. ALV.

140. ἀλλ' ἤτοι μὲν ταῦτα: εὐσεβῶς καὶ βασιλικῶς μεταφέρει τὸν λόγον· καὶ οἵδε μὲν εὖ ἔχουσαν τὴν παραίνεσιν, ἐπεὶ οὐκ ἂν ἔπραξεν, ἐπιφέρει δὲ τὴν δυχέρειαν κατὰ τῶν βουλευσάντων. BLV.

141. νῦν δ' ἄγε νῆα: καὶ ταῖς φωναῖς κυρίως κέχρηται, καὶ μίαν τὴν ὡρεὰν ἔσαν πολλὰς ἐν τῇ διαιρέσει ποιεῖ. ἔστι δὲ ἐν τῷ λόγῳ καὶ τὸ ὁμοιοτέλευτον καλούμενον σχῆμα. BL.

ἐρύσσομεν: ὅτι τὸ ἐρύσσομεν ἀντὶ τοῦ ἐρύσωμεν· συνέζευκται γάρ. A.

142. ἐς: διὰ τῶ ν Ἀρίσαρχος, ἐν δ' ἐρέτας. A.

ἐπιτηδές: τὸ ἐπιτηδες ὀξυντέον· ἀπὸ τοῦ ἐπιτηδεῖς γάρ, τὰ δὲ ὀνοματικὰ ἐπίρρηματα τὸν αὐτὸν τοῖς ὀνόμασι φυλάσσει τόνον. BL.

143. θείομεν: ὅτι Ζηνόδοτος αὐτὸν ἠθέτηκεν. ἀναγκαῖος δὲ ὁ περὶ τῆς Χρυσηΐδος λόγος· ταύτης γὰρ ἕνεκα ἐγένετο καὶ ὁ λοιμός. A.

144. ἀρχὸς ἀνὴρ βουληφόρος ἔσω: βραχὺ διαστεῖλαι ἐπὶ τὸ ἀρχός, ἵν' ᾖ ἀνὴρ βουληφόρος ἀρχὸς ἔσω. A.

βουληφόρος: ᾧ τὰ κοινὰ τῆς βουλῆς ἐπαναφέρεται. ἐκ τῶ ἀρχός δὲ τὸν ναύαρχον ἐδήλωσεν. BL.

145. ἦ Αἴας: θεραπεύει τοὺς δοκοῦντας σὺν τῷ Ἀχιλλεῖ διὰ τῆς ἀπειλῆς ὑβρίζειν, παρενθεὶς ἕνεκα τῶ μὴ δοκεῖν κολακεύειν τὸν Ἰδομενέα, ὃς ἐστὶ συγγενὴς αὐτῷ. παραφυλα-

κτέον δὲ ὅτι ὅτε ἀτιμάσαι ἀπειλεῖ, προτίθησι τῶν ἀτιμαζομένων τὸν Ἀχιλλέα „ἢ τεὸν, ἢ Αἴαντος" (138), ὅτε δὲ ὑπὲρ Ἑλλήνων θῦσαι ἔδει ἀπελθόντα, τελευταῖον αὐτὸν καταλέγει καὶ μετὰ ὕβρεως, ἐκπαγλότατε. ὑβριστικὸν γὰρ τὸ ἔκπαγλον καὶ ἀεικές. BLV.

146. ἦ σὺ Πηλείδη: ἵνα ἢ ἀπελθὼν ἠπιωθῇ, ἢ μὴ ἀπελθὼν τὴν τῶ λοιμῶ αἰτίαν αὐτὸς ἔχῃ. BLV.

ἐκπαγλότατ': μεταθέσει τῦ η εἰς ᾱ· παρὰ γὰρ τὸ πλήσσω. ἐπὶ μὲν ψυχικῦ πάθους διὰ τῦ ᾱ, ἐπὶ δὲ σωματικῦ πλήγματος διὰ τοῦ η· ἐπλάγην γὰρ καὶ ἐξεπλάγην ἐπὶ τῆς ψυχῆς. L.

147. ἦμιν: ἴτως ὀξυτόνως τὴν ἀρχοῦσαν τῦ ἦμιν· ἁπλῆ γάρ ἐστιν. ἐκτατέον δὲ καὶ τὴν τελευταίαν· δεῖ γὰρ ῥωννύναι μᾶλλον τὸ μέτρον. A.

ἀντὶ τῆς ἡμῖν ἀντωνυμίας· ἔστι γὰρ διαλέκτῳ ἴδιον Δωριέων. αἱ δὲ ἀντωνυμίαι ἡνίκα ὁρισμὸν δηλῶσι, μένουσιν ἐν τῷ αὐτῷ τόνῳ, οἷον „ἡμῖν τόδ' ἔφηνε" (Il. 2, 304) καὶ „ὑμῖν μὲν νεμεσσῶμαι περὶ κῆρι" (Il. 13, 119). ὅτε δὲ ἀπόλυτον ἔχουσι τὸ σημαινόμενον, ἐγκλίνονται· „εἰ δ' ὔμιν δοκέει τόδε λωΐτερον" (Od. 2, 141)· „σὺν δ' ἦμιν δαῖτα ταράξῃ" (Il. 1, 579), καὶ ὡς ἐνταῦθα. A.

148. τὸν δ' ἄρ' ὑπόδρα ἰδών: τὸ σημεῖον, ὅτι εἰκὸς ἦν διαπεπυρῶσθαι τὸν Ἀχιλλέα, ὅτε ἔλεγεν ὁ Ἀγαμέμνων „ἢ τεὺν ἢ Αἴαντος". ὁ δὲ ποιητὴς διασχηματικὸς ὢν οὐκ ἠδυνήθη εἰπεῖν, μέχρις οὗ συγκλείσῃ τὸν Ἀγαμέμνονος λόγον. A.

ὑπόδρα: ἐπίῤῥημα. πόθεν γίνεται; ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγάς, ὁ δὲ Ἡρωδιανὸς μίαν, ὡς ἀπὸ περισπωμένων, ἴτως. ὥσπερ γὰρ ἀπὸ τῦ ἠρεμῶ γίνεται ἠρέμα καὶ ἀπὸ τῦ σιγῶ σῖγα, ὡς Σοφοκλῆς „σὺ σῖγ' ἀνέξῃ μηδὲ δειλίαν ἀρεῖς;" οὕτω καὶ ἐκ τῦ ὁρῶ καὶ τῆς ὑπὸ προθέσεως γίνεται ὑπόρα, καὶ πλεονασμῷ τοῦ δ ὑπόδρα, τὸ ὑφορᾶσθαι. ἔστι δὲ καὶ ἄλλως. ἔστι γὰρ ὁρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ ἧς καὶ ὁρᾶσις καὶ ὁράμα. ἐκ τῦ ἐν ὁρῶ γίνεται ὁρᾶ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑπόδρα, τὸ ὑποβλέπειν· καὶ ὁραπέτης ἐν ἐξ αὐτῦ. ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τῦ ὑποδράξ γίνεται. ὀξύνεται δέ, ἐπειδὴ τὰ εἰς ξ λήγοντα ἐπιῤῥήματα, χωρὶς εἰ μὴ παρὰ πρόθεσιν γίνεται, ἅπαντα ὀξύνονται, οἷον „σῇ δ' εὐρὰξ σὺν δορὶ λαθών" (Il. 11, 251), ἀπρίξ, ἐναλλάξ, κορῖξ. εἶπε δέ, εἰ μὴ παρὰ πρόθεσιν γίνεται, διὰ τὸ πέριξ. τὸ γὰρ πάρεξ ἔχει μέν πλέον τι σημαινόμενον· ὅτε γὰρ ὀξύνεται, οὐ φαμεν εἶναι αὐτὸ ἐπίῤῥημα, ἀλλὰ δύο προθέσεις. σεσημείωται τὸ ἅπαξ· καὶ τοῦτο ὅπερ ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνθέσει, ἅπαξ ἁπλῶς – ἁπαξαπλῶς. τὸ δὲ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, ὥσπερ ἀνυσής ἀνύτης, δεσποσής δεσπότης. οὕτω καὶ ἐν τῷ ὑποδράξ· ἀποβαλὸν γὰρ τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον. B.

149. ὤ μοι ἀναιδείην ἐπιειμένε: διετύπωσε νέον φιλότιμον, ἥττονα δικαίᾳ θυμῷ, διὰ τῦ „ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην". τὸ δὲ ἐπιειμένε, οἱονεὶ προφανῆ τὴν ἀναίδειαν ἔχων, ἀπὸ μεταφορᾶς τῆς ἔξω καὶ πᾶσιν ὁρωμένης ἐσθῆτος. ἔστι δὲ φύσει τοιοῦτος ὁ φιλοχρήματος, καὶ τὴν οἰκείαν ἀναίδειαν εἰς πρᾶπτον δείκνυσιν. ἐάσας δὲ τὸ γέρας, ὃ ἄνω καὶ κάτω θρυλεῖ, κοινὰς ἀδικίας διέξεισι, φιλοτέχνως τὴν ἰδίαν ὕβριν κοινὴν ποιούμενος καὶ ἐπισείων αὐτῷ τὸ πλῆθος. BLV.

κερδαλεόφρον: παροξυντόνως ἡ κλητική. καὶ καθόλα τὰ παρὰ τὸ φρὴν συντεθέντα, εἰς ων καταλήξαντα, ἐπὶ κλητικῆς παροξύνεται, Λυκόφρον, „καρτερόθυμε δαΐφρον" Il. 5, 277). τὰ δὲ ἄλλα ἐπὶ κλητικῆς ἀναδίδωσι τὸν τόνον, ὁπότε ἐξ σύνθετα εἰς ων βαρύτονα, Ἀγάμεμνον, ὀλβιόδαιμον, Κυλλοπόδιον, Ποσείδαον. ἐνθα παράλογος ἡ Λακεδαῖμον προπερισπωμένη κλητική. ABL.

τὰ κέρδεα ἁπλᾶ μὲν ὄντα μέσα ἐστί, συντιθέμενα δὲ ψόγον δηλοῖ, ὡς ὄψα ἐσθίειν καὶ ὀψοφαγεῖν. φησὶ γοῦν „κέρδεά θ' οἵ κε πώ τιν' ἀκούομεν" (Od. 2, 118). ABL.

150. πῶς τίς τοι: τῦτο κατὰ ἀγανάκτησιν ἤτοι ἐπιτίμησιν. B.

151. ἢ ὀδὸν ἐλθέμεναι: φασὶ μέν τινες περὶ τῦ πλῦ λέγειν. ἐγὼ δὲ τὸν λόχον φημί, ἵνα δύο κινδύνους ὁρίζῃ ἐν ταὐτῷ, ὃν μὲν τῶν ἀριστέων ὡς ἴδιον, ὃν δὲ τῶν ὄχλων ὡς κοινόν, ὡς κἀκεῖ „ἠδέ ποτ' ἐς πόλεμον ἅμα λαῷ, ὅτ' ἐς λόχον ἷσαν" (226). BLV.

ἶφι: ἐχημάτισαι ἴτως. ἴς ἰνός ἰνόφι, ὡς χαλκός χαλκῦ χαλκόφι· καὶ κατὰ συγκοπὴν τῆς νυ συλλαβῆς ἶφι. A.

152. αἰχμητάων: ὁ ἔπαινος τῶν πολεμίων καὶ Ἀγαμέμνονα λυπεῖ καὶ Ἀχιλλεῖ φέρει δόξαν, ὡς ἐπ' ἀνδρείους στρατεύσαντι. BLV.

153. δεῦρο μαχησόμενος: βέλτιον ἐπὶ τὸ δεῦρο διαστέλλειν, ἵν' ᾖ ἦλυθον δεῦρο, ἐπεὶ σολοικόν ἐστι, τὴν εἰς τόπον χέσιν δηλῶντος τῦ ἐπιῤῥήματος. δύναται δ' ἴσως τις λέγειν ὡς καὶ τὴν ἐν τόπῳ χέσιν δηλοῖ ἐν Ὀδυσσείᾳ „πίνει δ' ὑπόρα, καὶ πλεονασμῷ τοῦ δ ὑπόδρα, τὸ ὑφορᾶσθαι. ἔστι δὲ καὶ ἄλλως. ἔστι γὰρ ὁρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ ἧς καὶ ὁρᾶσις καὶ ὁράμα. ἐκ τῦ ἐν ὁρῶ γίνεται ὁρᾶ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑπόδρα, τὸ ὑποβλέπειν· καὶ ὁραπέτης ἐν ἐξ αὐτῦ. ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τῦ ὑποδράξ γίνεται. ὀξύνεται δέ, ἐπειδὴ τὰ εἰς ξ λήγοντα ἐπιῤῥήματα, χωρὶς εἰ μὴ παρὰ πρόθεσιν γίνεται, ἅπαντα ὀξύνονται, οἷον „σῇ δ' εὐρὰξ σὺν δορὶ λαθών" (Il. 11, 251), ἀπρίξ, ἐναλλάξ, κορῖξ. εἶπε δέ, εἰ μὴ παρὰ πρόθεσιν γίνεται, διὰ τὸ πέριξ. τὸ γὰρ πάρεξ ἔχει μέν πλέον τι σημαινόμενον· ὅτε γὰρ ὀξύνεται, οὐ φαμεν εἶναι αὐτὸ ἐπίῤῥημα, ἀλλὰ δύο προθέσεις. σεσημείωται τὸ ἅπαξ· καὶ τοῦτο ὅπερ ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνθέσει, ἅπαξ ἁπλῶς – ἁπαξαπλῶς. τὸ δὲ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, ὥσπερ ἀνυσής ἀνύτης, δεσποσής δεσπότης. οὕτω καὶ ἐν τῷ ὑποδράξ· ἀποβαλὸν γὰρ τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον. B.

ἐλθέμεναι· ἐξαίρων τὴν χάριν διὰ τῦτων ἐπαινεῖ τὴν πατρίδα. BL.

156. ἐπεὶ ἦ: περισπαστέον τὸν η· ἔστι γὰρ βεβαιωτικός. A. καθόλα ὁ ἦ βεβαιωτικὸς περισπᾶται· „ἐπεὶ ἦ φατέ." BL.

157. οὔρεά τε σκιόεντα: ποιᾷ ἡ ἐκφώνησις τῶν ἐξ ὀρῶν καὶ γῆς καὶ θαλάττης διασημάτων. διὰ δὲ τῶν ἐπιθέτων τῶν μὲν ὀρέων τὸ ὕψος, τῆς δὲ θαλάσσης ἐδήλωσε τὴν τραχύτητα. BLV.

σκιόεντα: σκιόωντα διὰ τȣ̃ ω̃ Ἀρίςαρχος. ὁ λόγος, ȣ̓δέποτε ἠδίκησάν με οἱ Τρῶες, ἐπειδὴ μεταξὺ Φθίας καὶ Πελοποννήσȣ πολλά ἐςι μέγιςα ὄρη ϰ̀ πολλὴ θάλασσα, ὡς μήτε ὑπήκοόν μέ σοι εἶναι μήτε ἀςυγείτονα. A.

158. ὦ μέγ' ἀναιδές: μεταξὺ τῆς δικαιολογίας ἐντίθησι τὸ ἄτιμον, τȣ̃ θυμοῦ τὰς βλασφημίας παραφωνοῦντος. BLV.

159. τιμὴν ἀρνύμενοι Μενελάῳ: τὴν παρὰ τῶν Τρώων ἐκδίκησιν ἀπαιτȣ̃ντες Μενελάῳ. λεληθότως δέ φησιν ὅτι ταῦτα πάϰομεν οἱ διὰ σέ, Μενέλαε, ςρατεύσαντες. BL. τὸ δὲ ἀρνύμενοι ἐκ τȣ̃ ἀρνός ϰ̀ τȣ̃ ὑμήν τὸ δέρμα· οἱ γ̀ ἀρχαῖοι τὰ συναλλάγματα διὰ δερμάτων ἀρνῶν ἐποιȣ̃ντο. καταχρηςικῶς ȣ̓̃ν ἐνταῦθα. B.

ὅτι Ζηνόδοτος γράφει τιμὴν ἀρνύμενος; καὶ τὸν ἑξῆς ἠθέτηκεν. ἠγνόηκε δὲ ὅτι ἡ τιμὴ νῦν ἀντὶ τῆς τιμωρίας κεῖτ̀· ϰ̀ τὸ ἀρνύμενος ȣ̓κ ἔςι λαμβάνων, ἀλλ' ἀντὶ τȣ̃ εἰσπραττόμενος παρὰ Τρώων. A.

160. πρὸς Τρώων τῶν: τινὲς ἐπὶ τὸ Τρώων ςίζȣσι, ϰ̀ τὸ ἐπιφερόμενον μόριον ἐπὶ τὰ προειρημένα πράγματα, ȣ̓κ ἐπὶ τȣ̀ς Τρῶας ἔχειν τὴν ἀναφορὰν βȣ́λοντ̀. ἐὰν μέντοι ἐπὶ τὸ Τρώων ἀναφέρητ̀ ϰ̀ ἀντὶ ὑποτακτικȣ̃ τȣ̃ ὧν κέηται, βραχὺ διαςελȣ̃μεν ἐπὶ τὸ Τρώων, ὡς ἐπὶ τȣ̃ „ȣ̓λομένην ἣ μυρί' Ἀχαιοῖς". A.

τῶν: ἤτοι τῶν πεπραγμένων εἰς τὴν σὴν χάριν, ἢ τῶν ἀκολȣθησάντων. δύνατ̀ δὲ ϰ̀ ὑπὲρ τῶν Τρώων ἀκȣ́εσθ̀, ἵν' ᾖ ὧν ȣ̓κ ἀλεγίζεις τῶν ἐπικειμένων πολεμίων. A. τῶν ἀκολȣθησάντων, ἢ τῶν προπεπονημένων, ἢ τῶν Τρώων, ὧν ἀμελήσας περὶ παλλακιδίȣ διαλέγῃ. BL.

162. ᾧ ἔπι: ἐφ' ᾧ. ἀναςροφὴ ὁ τρόπος. ἀναςροφὴ δέ ἐςι δύο λέξεων τάξις ἐνηλλαγμένη, οἷον λέων ὥς - ὡς λέων, ὄρνιθες ὥς - ὡς ὄρνιθες, ᾧ ἔπι - ἐφ' ᾧ. D. ὃ ἄλλοι δικαίως ἐδωρήσαντο (ἔκαμον γάρ), σὺ ἀπειλεῖς ἀφαιρήσεσθ̀. BL.

ἐμόγησα: Ἰακῶς τὸ ἐμόγησα αἱ Ἀριςάρχȣ. A.

163. ἔχω: ἀντὶ τȣ̃ ἔϰον. ἐναργȣ̃ς δὲ ἀπαγγελίας τὰ γεγονότα ὡς γιγνόμενα ἀπαγγέλλειν. BLV.

ὁππότ' Ἀχαιοί: ὅτι Ζηνόδοτος γράφει οὐδ' ὅτ' Ἀχαιοί. ἠγνόηκε δὲ ὅτι ἤλλακτ̀ τὸ ἔχω ἀντὶ τȣ̃ ἔϰον. A.

τὰ ἑαυτȣ̃ ἀνδραγαθήματα ἐπὶ τȣ̀ς ἀκȣ́οντας φέρει, ὑποθωπεύων τȣ̀ς παρόντας, ἐπεὶ ϰ̀ ἱςάμενος ϰ̀ δικαιολογȣ́μενος ἦν. πρὸς δὲ τȣ̀ς πρέσβεις διαλεγόμενος ἀποτομώτερον φέρετ̀, καί φησι „δώδεκα δὴ σὺν νηυσὶ πόλεις" (Il. 9, 328). ἐξ ἐπιδρομῆς δὲ τῶν ἰδίων κατορθωμάτων μνησθεὶς εὔνοιαν, ȣ̓κ ἀπέχθειαν παρὰ τῶν ἀκȣόντων ἐπηγάγετο. ἄκρα δὲ Ἀγαμέμνονος πλεονεξία, ὃς ἐν τῷ δασμῷ τὸ δίκαιον ὑπερβαίνων ȣ̓δὲ τȣ́τῳ ἀρκεῖτ̀. BL.

164. Τρώων ἐκπέρσωσ': ὅτι φανερὸν ἐκ τȣ́τȣ ὡς ϰ̀ ἐν τοῖς ἐπάνω (129) περί τινος τῶν περιχώρων ἐςὶ πόλεων ὁ λόγος. καὶ ὅτι ὁ χρόνος ἤλλακται, ἐκπέρσωσιν ἀντὶ τοῦ ἐκπέρσȣσιν. A.

166. ἤν ποτε δασμὸς ἵκηται: ὡς ȣ̓κ ἀεὶ αὐτȣ̃ διανέμοντος, ἀλλὰ πάντα πολλάκις σφετεριζομένȣ. BL.

167. φίλον τε: φίλον διὰ τὸ ἐξ ἰδίων εἶναι κατορθωμάτων· αὕτη γ̀ ἡ κτῆσις εὐφραίνει, ἡ δὲ ἐναντία ἐλέγχει. ἐλεύθερον δὲ τὸ μὴ διὰ χρήματα ἀλλὰ δι' ἀρετὴν πονεῖν. BL.

168. ἔρχομ' — κεκάμω: ὅτι δύνατ̀ ὑφ' ἓν κεκάμω, δύνατ̀ ϰ̀ χωρίς κε κάμω· ϰ̀ ὅτι ἤλλακτ̀ ὁ χρόνος, ἔρχομαι ἀντὶ τȣ̃ ἠρχόμην. A.

Ἀρίςαρχος γράφει ἐπεί κε κάμω, ἵνα μὴ ᾖ διπλασιασμὸς ἐν τῷ ῥήματι· ϰ̀ ȣ̃τως ἡ συνήθης ἀνάγνωσις. ȣ̃τως δὲ ϰ̀ Ἡρωδιανός, φάσκων ὅτι τὸ ἐπήν ἔχει τὸν ἄν, ϰ̀ τίς χρεία ἐν δευτέρῳ αὐτὸν κεῖσθ̀; ȣ̓κ ἀγνοῶ δὲ ὅτι τινὲς ἐπήν κε γράφȣσιν. A. Ἡρωδιανὸς μὲν ϰ̀ Ἀρίςαρχος ἐπεί κε γράφȣσιν. οἱ δὲ γράφοντες ἐπήν τὸ κεκάμω ὑφ' ἓν ἀναγινώσκȣσιν ὡς τὸ λελάχωσι καὶ πεπίθωνται, ὅπερ καὶ ἄμεινον. εἰσὶ δὲ πολλάκις καὶ ἄμφω σύνδεσμοι, ὡς τὸ „ἃς οὔτ' ἄν κεν Ἄρης" (Il. 13, 127). BL.

169. Φθίηνδ': ȣ̃τως σὺν τῷ δ̄ αἱ Ἀριςάρχȣ, Φθίηνδ'. ϰ̀ ἡ Ζηνοδότȣ ὁμοίως. A.

ȣ̃τω συντακτέον· νῦν δ' εἶμι Φθίηνδε, ἐνθάδ' ἄτιμος ἐών. L. ὁ νȣ̃ς, ὑπερβατόν· νῦν δ' εἶμι Φθίηνδε σὺν νηυσὶ κορωνίσιν, ἐνθάδ' ἄτιμος ἐών, ἐπειὴ πολὺ φέρτερόν ἐςιν. ȣ̓χ ὑπολαμβάνω δέ σε, φησίν, ἐμȣ̃ ἀπόντος καταςρέψαι τὴν Ἴλιον ϰ̀ πλȣ̃τον πολὺν ϰεῖν. Ἄλλως. ὅτι ἡ πτῶσις ἐνήλλακτ̀· ἀντὶ γ̀ γενικῆς κέχρητ̀ ὀνομαςικῇ, ἀντὶ τȣ̃ ȣ̓χ ὑπονοῶ δὲ ἐνθάδε σȣ ὄντος ἀτίμȣ πλȣτήσειν. A.

170. κορωνίσιν: ἐπικαμπεῖς τὰς ἄκρας ἐχȣ́σαις, τȣτέςι τὰς πρύμνας. ἢ μελαίνας· κορὸν γ̀ τὸ μέλαν. D

171. ἄφενος καὶ πλοῦτον: ἄφενος καλεῖται ἡ ἀπὸ ἑνὸς ἐνιαυτȣ̃ περιȣσία, πλȣ̃τος δὲ ἡ ἀπὸ πολλῶν. AD. πικρῶς φησὶ σκοπὸν συναγωγῆς χρημάτων αὐτῷ τὸν πόλεμον ἐξευρεῖν. BL.

173. φεῦγε μάλ': τὴν ὑποχώρησιν φυγὴν ὀνομάζει, καταιϰύνων αὐτόν. γράφετ̀ δὲ ϰ̀ εἴ τοι θυμὸς ἐέλδεται. BL. διαςαλτέον βραχὺ ἤτοι ἐπὶ τὸ φεῦγε ἢ ἐπὶ τὸ μάλα. ἢ γ̀ φεῦγε μάλα, ἢ εἴ τοι μάλα θυμὸς ἐπέσσυτ̀, εἰ λίαν ὥρμησαι. ἢ τάχα περιττεύει τὸ μάλα. A.

θυμός: τȣ̃το τὸ ὄνομα παρὰ τῷ ποιητῇ σημαίνει πέντε, τὴν ὀργήν, ὡς ἐν τῷ „θυμὸς δὲ μέγας ἐςὶ διοτρεφέων βασιλήων" (Il. 2, 196)· τὴν ψυχήν, ὡς ὅταν εἴπῃ „μελιηδέα θυμὸν ἀπηύρα" (Il. 10, 495)· τὴν ἐπιθυμίαν, ὡς ἐν τῷ „ᾧ θυμῷ εἴξασα μίγη φιλότητι ϰ̀ εὐνῇ" (Od. 5, 126)· τὸν ἐπιλογισμόν, ὡς τὸ „ἕτερος δέ με θυμὸς ἀνῆκεν" (Od. 9, 302?)· τὴν ὁμόνοιαν, ὡς ἐπὶ τοῦ „ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ" (Od. 3, 128). ABDL.

ἔγωγε: ȣ̃τως προπαροξυτονητέον τὸ ἔγωγε, ἵν' ᾖ ἕν. A.

174. λίσσομαι εἵνεκ' ἐμεῖο μένειν: ταπεινὸν γ̀ ἦν τὸ δεῖσθ̀ μένειν, καὶ οὐκ ἂν ἐπένευσεν Ἀχιλλεὺς δεομένȣ. BL.

πάρ' ἔμοιγε: τὴν παρά πρόθεσιν κατὰ τὴν ἄρχȣσαν ὀξυτονητέον. ϰ̀ καθόλȣ ὁπότε σημαντικαί εἰσι ῥημάτων αἱ προθέσεις, τȣ̃τον τὸν τόνον ἀναδέχονται· „ἐπεὶ οὔ τοι ἔπι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέος" (515) ᾗ „ἐ γ' ἐπ' ἀνὴρ οἷος Ὀδυσσεύς" (Od. 2, 58). τὴν δὲ ἔμοιγε προπαροξυτονητέον· ἔχει γ' Ἀττική, ὡς καὶ ἡ ἔγωγε. A.

175. οἵ κέ με τιμήσουσι: ὅτι περισσὸς ὁ κέ σύνδεσμος, καὶ τὸ τιμήσουσιν ἀντὶ τῆ τιμήσειαν. A.

Θαρσύνει τὸς ἄλλος, παρατιθεὶς αὐτοῖς καὶ τὸν Δία ἀντὶ Ἀχιλλέως. τῇ δὲ πρὸς τὸν θεὸν κοινωνίᾳ οὐχ ὑπηρέτας αὐτὸς πεποίηκεν, εἰς δὲ τὴν ἰσόθεον εὐεργεσίαν ἐξῆρε τὸς Ἕλληνας. BL. ἐχ ὁμότιμοι. ἐκ εἶπε δὲ ὑπηρετήσουσι. προσώγεται ἐν τὸ πλῆθος. L.

μητίετα: ἔτως Ἀρίσαρχος τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις. καὶ ἴσως πλεονασμός ἐσι τῦ ε. A.

τὰ εἰς ης βαρύτονα βραχείᾳ παραληγόμενα, ἀπρόσληπτα τῦ σ κατὰ γενικήν, παροξυνόμενα, ἐν τῇ κλητικῇ φυλάττει τὸν τόνον. σεσημείωϑ τὸ δέσποτα καὶ εὐρύοπα καὶ μητίετα, προπαροξυτονούμενα. BL.

ἡ εὐθεῖα μητιέτης. γίνεϑ παρὰ τὸ μῆτις· τῦτο παρὰ τὸ μήδω τὸ βϐελεύομαι. ἐκ γᾶν τῆ μῆτις γίνεϑ μητίτης καὶ μητιέτης, μητιέτην, καὶ κατὰ μεταπλασμὸν μητιέτα. A. Βοιωτῶν καὶ Αἰολέων ὁ τοιῦτος τῶν ὀνομάτων μεταχηματισμός, οἷον „αὐτὰρ ὁ αὖτε Θυέξα" (Il. 2, 107) ἀντὶ τοῦ Θυέξης, καὶ ἱππηλάτα ἀντὶ τῦ ἱππηλάτης, καὶ νεφεληγερέτα ἀντὶ τοῦ νεφεληγερέτης, καὶ κυανοχαῖτα ἀντὶ τοῦ κυανοχαίτης. παρ' ἡμῖν δὲ οὐδὲν ὄνομα ἀρσενικὸν ἐπὶ τῆς εὐθείας εἰς α λήγει. ABDL.

τούτου τὸ ἄγαλμα ἱσοροῦσι καθήμενον, γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δὲ δεξιᾷ προτεῖνον ἀετόν. καὶ τὸ μὲν καθῆϑ τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς ἠρανίοις τῦ κόσμου μέρεσι· τὰ δὲ λοιπὰ σκέπεται, ὅτι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωσος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν σημαίνει τὸ ἐξουσιαστικόν, τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν δηλοῖ ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων. καὶ παροιμία „Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας" ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττυσι καλῶν ἢ κακῶν, ὅτι ἐκ ἀπρονόητά φησι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεϑ καί ποτε ἐπεξιέναι. B.

176. ἔχθιςος: τὸ ἔχθιςος ἀναγνωςέον ὡς τὸ „δικαιότατος Κενταύρων" (Il. 11, 832). BL. ὅτι συγκριτικῷ ἀντὶ ἁπλῦ ἐχρήσατο. A.

ἐσσί: ἔω τὸ ὑπάρχω, εἰμί, ἐσμί, ὅπερ ἐκ εὑρηϑ, καὶ τροπῇ τῦ μι εἰς σ ἐσσί. L.

διοτρεφέων βασιλήων: τῶν σὺν Διὸς γνώμῃ τεθραμμένων, ἐπεὶ τῆς αὐτῦ σειρᾶς εἰσίν, ὡς καὶ Ἡσίοδός φησιν (Th. 94) „ἐκ γ' τοι Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος ἄνδρες ἀοιδοὶ ἐπὶ χθονὶ καὶ κιθαρισαί, ἐκ δὲ Διὸς βασιλῆες". AD. οἱ βασιλεῖς ἐκ τῆς σειρᾶς τῦ Διός εἰσιν, οἱ δὲ κιθαρισαὶ καὶ μουσικοὶ καὶ ἀοιδοὶ ἐκ Μουσῶν καὶ τῦ Ἀπόλλωνος, ὡς ὁ Ἡσίοδός φησιν. B.

177. ἀεὶ γάρ τοι ἔρις: ἀσερίσκος ὅτι ἐνταῦθα ὀρθῶς εἴρηϑ, ἐν δὲ τῇ Ὀδυσσείᾳ ἔ. A.

τὰ πλεονεκτήματα τῦ ἀνδρὸς εἰς ὀνείδη μεθίςησιν, ὡς εἴ τις τὸν ἀνδρεῖον βίαιον καλεῖ καὶ τὸν σιωπηλὸν δόλιον. BLV.

178. ἐσσί: ἐπὶ τὸ ἐσσὶ ὑποςικτέον, ἵνα ςίζωμεν κατὰ τὸ τέλος τῦ εἶχε, τὰ δὲ ἑξῆς ἀπ' ἄλλης ἀρχῆς προφερώμεθα, οἵκαδ' ἰών. ἢ ὑποςικτέον καὶ ἐπὶ τὸ ἔδωκεν ἀνυποκρίτως, ὡς διὰ μέσου τὸ ἡμιςίχιον ἀναφωνεῖϑ, καὶ τὸ ἑξῆς εἶναι, εἰ μάλα καρτερός ἐσσι, οἵκαδ' ἰών. A.

θεός πού σοι τό γ' ἔδωκεν: εὐτυχίαν, ἐκ ἀρετὴν ἰδίαν αὐτῷ μαρτυρεῖ. πιθανῶς δὲ ἐπὶ μὲν τοῦ Ἀχιλλέως ἀορίσως ἔφη τὸ θεός, ἐπὶ δ' ἑαυτῦ ὡρισμένως φέρει τὸν Δία. BL.

180. Μυρμιδόνεσσιν ἄνασσε: Αἴγιναν τὴν Ἀσωπῦ ποταμοῦ Θηβῶν θυγατέρα ἁρπάσας Ζεὺς κατῆλθεν εἰς Φλιῦντα, καὶ φθείρας τὴν προειρημένην ἔγκυον ἐποίησεν, ἥτις Αἰακὸν ἐγέννησεν. Ἀσωπὸς δὲ τὴν θυγατέρα ζητῶν, ἔμαθεν παρὰ Σισύφῳ καὶ τὸν ἁρπάσαντα καὶ τὸν τόπον εἰς ὃν κατελήλυθει. μὴ μελλήσας ἦν ἔσπευσε. μέλλων δὲ ὁ Ζεὺς ἐπ' αὐτοφώρῳ καταλαμβάνεϑ τὴν μὲν Αἴγιναν μετεμόρφωσεν εἰς ὁμώνυμον νῆσον, αὐτὸς δὲ μετεβλήθη εἰς λίθον. ἐλθὼν δ' ὁ Ἀσωπὸς καὶ μηδ' ὄντινα καταλαβὼν ἔμπαλιν εἰς τὰς ἰδίας ὑπέςρεψε πηγάς. βουλόμενος δ' ὁ Ζεὺς τιμωρήσαϑ τὸν μηνύσαντα, ἠνάγκασεν αὐτὸν ἐν τοῖς ὑποχθονίοις τοσῦτο μέγεθος πέτρᾳ ἀνωθεῖν, ἐς ὅσον αὐτὸς μετεβλήθη. Αἰακῦ δὲ ἐν τῇ νήσῳ μόνῳ ὄντος, ὁ Ζεὺς κατοικτείρας τὲς αὐτόθι μύρμηκας μετέβαλεν εἰς ἀνθρώπες· ἀφ' ἧς αἰτίας Μυρμιδόνες ἐκλήθησαν. AD. φασὶν Αἰγίνης τῆς Ἀσωπῦ ἐραϑῆναι τὸν Δία, καὶ τῷ τῶν φίλων παρεικαϑῆναι, καὶ εἰς Φλιῦντα διακομίσαι, καὶ εἰϑ' ἕως αὐτῇ μιγῆναι. ἀδημονῦντος δὲ τῦ ἐκεῖσε βασιλεύοντος διὰ τὴν τῶν ἐνοικούντων σπάνιν, λέγεσι τὸν Δία τὲς αὐτόθι μύρμηκας ἀνδρωθῆναι ποιῆσαι, τῦ βασιλέως Αἴγιναν αἰτησαμένυ καὶ αὐτῆς τὸν Δία παραπεισάσης. ἔνθεν τὲς Μυρμιδόνας μυθολογῦσι γενέϑαι. B.

181. οὐδ' ὄθομαι: ἐ ταράσσομαι, παρὰ τὸν ὄτοβον τὸν τάραχον. AL.

ὧδε: ςικτέον ἐπὶ τὸ ὧδε καὶ ὑποςικτέον ἐπὶ τὸ Ἀπόλλων, ἵν' ἀπ' ἄλλης ἀρχῆς ᾖ τὸ ὡς ἔμ' ἀφαιρεῖται. A.

182. ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος: πιθανῶς ἐχ ὑπὸ τῶν Ἑλλήνων φησὶν ἀφαιρεῖϑαι τὸ γέρας, ἵνα μὴ ὡς μισῶν αὐτὸς ὕποπτος γένηται, διότι ἀποδίδωσιν, ἐδὲ ὑπὸ Ἀχιλλέως, ἵνα μὴ οἱ Ἕλληνες Ἀχιλλεῖ χάριν ἔχωσιν· ἀλλ' ὑπὸ τῦ θεῦ ἀφαιρεῖϑαί φησιν, ὡς ἐκ ἀνϑρώπων ἥττων ἀλλὰ θεῦ γενόμενος. εὖ δὲ καὶ τὸ καϑ' ἑαυτὸν ἠξησεν, ὡς τοσῦτον Ἀχιλλέως προὔχων ὁπόσον τοῦ θεῦ ἀπολείπεται. BL.

183. σὺν νηΐ τ' ἐμῇ: ἵνα μὴ δοκῇ ἐξ ἀνάγκης αὐτὴν ἀποπέμπειν, ὡς ἐ γνωριῶντος τῦ θεῦ τὸν αἴτιον τῆς ἀπωλείας. ὗτος δὲ ὁ λόγος ἤδη ἀποτίθειται τῶν φίλων τὸν Ἀχιλλέα. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

184. ἄγω: ὅτι τὸ ἄγω ἀντὶ τῆ ἄγοιμι. A.

Βρισηΐδα: Βρισηΐς ἀπὸ τῆ βρῖ, ἡ βαρεῖσα πάντας ἢ πάντα τῷ κάλλει. A.

185. αὐτὸς ἰών: ἐπειδὴ τὸ ἐγὼ ἠδύνατο καὶ διὰ τῶν θεραπόντων νοεῖσθαι, προσέθηκε τὸ αὐτὸς ἰών. ὁμοία δέ ἐστιν ἡ ἀπειλὴ τῇ „τὴν δ' ἐγὼ ἐ λύσω." BL.

βραχὺ διαστα-τέον ἐπὶ τὸ γέρας ᾗ σέθεν ᾗ φάσθαι· ἐπανάληψις γάρ ἐστιν ὑποτακτικῆ μέρους. καὶ τὸ ὄφρα κοινὸν κατὰ πάντων νοεῖται. A.

187. ἶσον ἐμοὶ φάσθαι: ἀναιρεῖ τὴν ἐν ταῖς ἐκκλησίαις ἰσηγορίαν. διὸ ᾗ οἱ Ἀχαιοὶ φεύγουσιν, οὐ δυνάμενοι δικαιολογεῖσθαι αὐτῷ. ὁ δὲ Διομήδης „ἦ θέμις ἐστίν, ἄναξ, ἀγορῇ" (Il. 9, 33) φησίν. BL.

188. ἦτορ: παρὰ τὸ ἀήτης ὁ ἄνεμος. τοῦτο ἐκ τοῦ ἄω τὸ πνέω· ἀῆτορ, ᾗ ἀφαιρέσει τῆ ᾱ ἦτορ. πνεῦμα γάρ ἐστιν ἡ ψυχή. BL.

189. σήθεσσιν λασίοισι: νῦν περὶ τῆ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησίν, ἀφ' ἧς λέγει σήθεσσιν· ὑπὸ γὰ τὰ σέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστὶ τὸ πυρῶδες ᾗ θερμὸν ᾗ μανικὸν τῆς ψυχῆς. σημαίνει δὲ ᾗ τοῖς θερμοῖς· ἡ θέρμη γὰ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν. ABDL.

λασίοισι: γίνεται ἐκ τῆ λα ἐπιτατικῆ μορίου ᾗ τῆ σεύω τὸ ὁρμῶ· ὀρθῶς γὰ ὁρμῶνται τὰ διὰ τοῦ νοήματος. BL.

διάνδιχα: ὅτι δύο ἐμερίμνησεν οὐκ ἐναντία ἀλλήλοις, ὅπερ ἐκλαβών τις προσέθηκεν „ἠὲ χόλον παύσειεν." βραχὺ δὲ διαστα-τέον ἐπὶ τὸ μερμήριξεν· ὁ γὰ λόγος, διχῶς ἐλογίσατο, τὸν μὲν ἀναξῆσαι, τὸν δ' Ἀγαμέμνονα ἀνελεῖν. A. θέλει εἰπεῖν ὡς δύο ἐβουλεύσατο, ἀναξῆσαι ἐκείνου ᾗ ἀνελεῖν Ἀγαμέμνονα· ὅθεν περισσόν φασι τὸν ἠὲ χόλον. ἀλλ' οὐχ ὅτως, ἀλλὰ τὸ μὲν ἐκείνους ἀναξῆσαι ᾗ ἀνελεῖν αὐτὸν ἓν θετέον, τὸ δὲ ἠὲ χόλον παύσειε δεύτερον. ὃ καὶ ἄμεινον. BL.

τὸ δὲ μερμήριξε παρὰ τὸ μερίζω· τοῦτο παρὰ τὸ μέρος· τοῦτο παρὰ τὸ μείρω μερῶ. μερίζω ᾗ μερμερίζω, ᾗ τροπῇ τῆ ε εἰς η μερμηρίζω, ἐκ τῆ ἐπὶ τάδε ᾗ τάδε μερίζεσθαι τὴν ψυχὴν τῆ μεριμνῶντος. ὅθεν ᾗ μερμήρας τὰς φροντίδας ᾗ μερίμνας ἔνιοι λέγουσιν. BL.

μερίζω μερμερίζω, καὶ ἐκτάσει μερμηρίζω, ὡς δάπτω δαρδάπτω. A.

190. ἠὲ — ἠέ: τὸν μὲν πρότερον σύνδεσμον βαρυντονητέον, τὸν δὲ δεύτερον περισπαστέον· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις. ᾗ ὅτως ἐν τῇ καθόλε. ABL.

φάσγανον: οἱ μὲν ἀπὸ τῆ φῶ τὸ φονεύω, οἱ δὲ ἀπὸ τῆ σφάζω, σφάγανον ᾗ φάσγανον. BL.

192. ἠὲ χόλον παύσειε: ὅτι ἐκλύεται τὰ τῆς ὀργῆς. διὸ ἀθετεῖται. A.

χόλον παύσειεν ἐρητύσειέ τε θυμόν: ἐπειδὴ τὸ μὲν διαχεόμενόν ἐστιν ὡς ἐπὶ ὕδατος ῥέοντος, εἶπε παύσειεν· ὁ δὲ θυμὸς ἐπειδὴ τὸ θῦον ἐστί, τῷ ἐρητύσειεν ἐχρήσατο. BL.

193. ἕως: τὸ δὲ ἕως νῦν ἀντὶ τῆ τέως, ὡς τὸ „εἵως μέν ῥ' ἐπέτοντο" (Od. 2, 148). ἐπεὶ πῆ ἡ ἀνταπόδοσις τῆ ἕως; ἢ γᾶν τῷ ἕλκετο χρὴ δοτέον τὸ καί. BL.

κατὰ φρένα καὶ κατὰ θυμόν: φρένα τὸν λογισμόν, θυμὸν δὲ τὸ θυμικόν. τὸ ἓν ἀναξῆσαι ἐκείνους ἀνελεῖν δὲ Ἀγαμέμνονα κατὰ τὸ θυμοειδὲς τῆς ψυχῆς μέρος ἐλογίζετο, τὸ δὲ ἠὲ χόλον παύσειε κατὰ τὴν φρένα BL. ἢ γὰ ὕβρις ἀνεζωπύρει, ἡ δὲ φρόνησις κατέσελλε. τοῦτο δὲ ὑποφαίνει διὰ τῆ κατὰ φρένα ᾗ κατὰ θυμόν. BL.

θυμόν: ἐνταῦθα μὲν ὑποσικτέον, ἐπὶ δὲ τὸ ξίφος ἤτοι ὑποσικτέον ἢ σικτέον. ἐὰν μὲν ἓν ὑποσίζωμεν, ὁ ἐπιφερόμενος σύνδεσμος περισσὸς ἔσαι, ἦλθε δ' Ἀθήνη· ἐὰν δὲ σίζωμεν, ἔτος μὲν καλῶς σίζεται (κεῖται?), ὁ δὲ πρότερος πλεονάζει ἐν τῷ ἕλκετο δ' ἐκ κολεοῖο. βέλτιον δὲ ὑποσίζειν ἀμφότερα· ἐν ὅσῳ γὰ λογίζεταί τε ᾗ σπᾶται, ἦλθεν ἡ Ἀθηνᾶ. A.

ἕλκετο — μέγα ξίφος: ἡ παράτασις τῆ χρόνε τὴν ἀπὸ τῶν ἐπιλογισμῶν ἔνεασιν δηλοῖ. τὸ δὲ μέγα καιρὸν δίδωσι καθόδε τῇ Ἀθηνᾷ. διδάσκει δὲ ὁ ποιητὴς μὴ ὑπερχρῆσθαι ταῖς ἐξουσίαις τὸς βασιλεῖς. BL.

κολεοῖο: κολεὸς ἐκ τῆ κοῖλον τὸ βαθύ· τοῦτο ἐκ τοῦ κεῖμαι, παρὰ τὸ κεῖσθαι ὕλον, κοιλεύς, ᾗ ἀφαιρέσει τῆ ο ἢ τροπῇ τῆ ι εἰς υ κυλεὸς ᾗ κολεός. BL.

ξίφος: παρὰ τὸ ὀξύνεσθαι πρὸς φόνον. γίνεται ἐκ τῆ ξύω ξύσω ξύφος ᾗ ξίφος. BL.

194. 195. ἦλθε δ' Ἀθήνη οὐρανόθεν: περισσὸς ὁ δὲ σύνδεσμος. A. διὰ τί φήσας πάντας τὸς θεὸς εἰς Αἰθιοπίαν ἀπεληλυθέναι „θεοὶ δ' ἅμα πάντες ἕποντο" (424), τὴν Ἀθηνᾶν ἐκ τῆ οὐρανῆ φησὶν ἐλθεῖν παρὰ τῆς Ἥρας πρὸς τὸν Ἀχιλλέα; μή ποτε δὲ συλληπτικῶς εἴρηται ἀπὸ τῆ πλείσε τὸ πᾶν. ὥσπερ γὰ ἐπὶ τῶν ἡγεμόνων τῶν Ἀχαιῶν εἰπὼν ὅτι πάντες ἐκάθευδον („ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν εὗδον παννύχιοι" Il. 10, 1), ὅμως ποιεῖ τὸν Ἀγαμέμνονα ἐγρηγορότα ᾗ τὸν Μενέλεων („ἀδὲ γὰ αὐτῷ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν" ib. 25), ὅτως ἐκ τῆ πλείσε τὸ πάντας ἠκολουθηκέναι τοὺς θεὸς τῷ Διὶ εἴρηκεν. ὁ γὰ δὴ θεῶν ἔρημος ἔμελλε καταλείπεσθαι ὁ οὐρανός. BL.

195. 196. ὄβελος σὺν ἀστερίσκῳ, ὅτι οὐκ ὀρθῶς ἐκ τοῦ ποιητικῆ προσώπε λέγεται. cf. 208. 209.

195. ἐκ τῆ οὐρανῆ, φησί, παρεγένετο ἡ Ἀθηνᾶ, ὅ ἐστιν ἡ φρόνησις· δεῖ γὰ ὅτως αὐτὴν καταβαίνειν, ὡς ᾗ τῆς κόμης αὐτὸν κρατῆσαι ᾗ ἐκ ἄλλε μέρους τῆ σώματος, ἀλλ' ἔνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος. εὐλόγως δὲ ᾗ οἱ μυθογράφοι φασὶν ὅτι ἔγκυος οὖσα ἡ Μῆτις κατεπόθη ὑπὸ τῆ Διός, ᾗ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ἐν τῷ ὡρισμένῳ τῆς ἀποκυήσεως χρόνῳ ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ ἐν πρώτῳ. ABDL.

Ἀθηνᾶ ἐστὶν ἡ τοῦ Διὸς σύνεσις, ἡ αὐτὴ οὖσα τῇ ἐν αὐτῷ προνοίᾳ· διὸ ᾗ Προνοίας Ἀθηνᾶς ἵδρυτο ναός. λέγεται δὲ γεννηθῆναι ἐκ τῆς κεφαλῆς τοῦ Διός, ὡς τῶν ἀρχαίων ὑπολαβόντων τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἡμῶν ἐνταῦθα εἶναι, ὡς ᾗ ἕτεροι μετὰ ταῦτα ἐδόξασαν. ἀμήτωρ δέ ἐστιν ἡ Ἀθηνᾶ διὰ τὸ ἀλλοίαν εἶναι τὴν τῆς ἀρετῆς γένεσιν ᾗ οὐχ

ὅλα τῶν ἐκ συνδυασμῶ γεννωμένων. λέγεται δὲ καὶ ὡς τὴν Μῆτιν καταπιὼν ὁ Ζεὺς ταύτην ἐγέννησε· μητιέτης γ' καὶ συνετὸς ὢν ἐδαμόθεν ἄλλοθεν ἢ ἐκ τῆς καθ' αὐτὸν βελῆς τὴν ἀρχὴν τῶ φρονεῖν ἔχει. ἐτυμολογεῖ δὲ ἡ Ἀθηνᾶ ἀπὸ τῶ ἀθρεῖν πάντα, ἤτοι Ἀθρηνᾶ τις ἔσα, ἢ Ἀθηλᾶ τις ἔσα διὰ τὸ καίπερ θήλεια ἔσα ἧκισα θηλύτητος καὶ ἐκλύσεως μετέχειν· τοιῶτοι γ' οἱ φρόνιμοι, ἀθρῶντες ἤτοι προβλέποντες τὰ μέλλοντα καὶ ἧκισα χαυνότητος μετέχοντες. παρθένος δέ ἐσι σύμβολον τῶ καθαρῶ καὶ ἀμιάντω ἤτοι τῆς ἀρετῆς. ὡπλισμένη δὲ πλάττεται, καὶ ἔτως ἰσορῶσιν αὐτὴν γεγονέναι, παρισάντες ἐκ τούτω ὅτι αὐτάρκης καὶ ὡπλισμένη ἐσὶν ἡ φρόνησις πρὸς τὰς μεγίσας καὶ δυσχερεσάτας πράξεις. διὰ ταύτην τὴν αἰτίαν καὶ τὸ γοργωπὸν ἔχει καὶ τὸ ἀνδρεῖον καὶ τὸ γλαυκῶπις λέγεσθαι· τῶν γ' θηρίων τὰ ἀλκιμώτατα, ὡς λέοντες καὶ παρδάλεις, τοιαῦτά εἰσιν. ἰσόρηται δὲ ἔχουσα πρωτομὴν Γοργόνος κατὰ τὸ μέσον σῆθος διὰ τὸ γοργὸν τῆς φρονήσεως, καὶ τὸ σῆθος ἔχουσα ἔξω καὶ προβεβλημένην τὴν γλῶσσαν, ὡς ἂν ἐκφανεσάτω ὄντος ἐν τῆ τῶν πάντων οἰκονομία τῶ λόγω. ἀνατίθεῖ δὲ αὐτῆ καὶ ἡ γλαῦκα διὰ τὸ ἐμφερὲς τῶν ὀνομάτων, καὶ οἱ δράκοντες· μερδαλέον γ' ὁ δράκων δέδορκε καὶ τὸ φυλακτικὸν ἔχει, τοιῶτος δὲ καὶ ὁ φρόνιμος. ἀλλὰ καὶ ἄγρυπνος ὁ δράκων καὶ ἐκ εὐθήρατός ἐσι· τοιῶτος δὲ καὶ ὁ φρόνιμος· „ἐ χρὴ" γ' „παννύχιον εὕδειν βαληφόρον ἄνδρα" (Il. 2, 24). λέγεῖ δὲ καὶ Ἀτρυτώνη ὡς μὴ τρυομένη καὶ καταπονεμένη ὑπ' ἐδενὸς πόνω· ἀκαταπόνητος γ' ὁ φρόνιμος. ἀλλὰ καὶ Τριτογένεια λέγεῖ ὡς τοῖς κακοῖς ἐγγεννῶσα τὸ τρεῖν καὶ φοβεῖσθαι (ἀεὶ γ' πολεμιός ἐσι πρὸς τὴν κακίαν), ἢ ὡς τὰ τρία γένη τῶν σκεμμάτων τῆς κατὰ φιλοσοφίαν θεωρίας γεννῶσα, τὸ φυσιολογικόν, τὸ θεολογικὸν καὶ μαθηματικόν. ἀλλὰ καὶ ἡ ἐλαία ταύτη ἀνάκειται διὰ τὸ ἀεὶ θάλλειν. L.

196. κηδομένη: τοῦ μέν, ἵνα μή τι πάθῃ δεινόν, τῶ δέ, ἵνα μή τι δράσῃ. εἰωθε δὲ εἰς τοσῶτον αὔξειν τὰς περιπετείας ὡς μὴ δύναῶῃ παύειν αὐτὰς ἄνθρωπον, ὡς καὶ ἐπὶ τῆς πείρας (Il. 2, 166) χρείαν πάλιν ἔσχε τῆς Ἀθηνᾶς. BLV.

197. ξανθῆς δὲ κόμης: τετέχιν ἐπελάβετο ἡ φρόνησις αὐτῶ τῶ ξανθοκόμα Ἀχιλλέως, καὶ κατέπαυσεν αὐτόν. ὑπογράφει δὲ ἡμῖν τὸν Ἀχιλλέα ἐν τούτοις ψυχῆ τε καὶ σώματι, ψυχῆ μέν, ὅτι θυμοειδής, ἐκ τῶ εἰπεῖν αὐτὸν ξανθόκομον· οἱ γ' ξανθόκομοι ὀξύχολοι ὡς ὑπερωπτημένον ἔχοντες τὸ αἷμα καὶ τὴν χολήν, πρὸς ἧς ποιέμεναι αἵ τε κόμαι καὶ τὰ σώματα χρώζονῦ, ὡς καὶ ἐκ τῆς μελαίνης χολῆς ὁμοίως πρὸς τὸ μελάντερον· κἀκεῖνοι δὲ ἄγριοί εἰσι καὶ βαρύθυμοι. καὶ ψυχικῶς μὲν ἔτω χαρακτηρίζει, σωματικῶς δὲ ἐκ τοῦ λέγειν ὅτι ἁπλῶς ξανθὸς καὶ πυῤῥός. τοιῶτος γ' ἦν Ἀχιλλεύς, μακροσκελής τε καὶ ὀξὺς καὶ εὐμήκης, λευκός τε καὶ ὑπεσπανισμένος τὸ γένειον. L.

κόμης ἕλε Πηλείωνα: ὅτι ἔτως λέγει, τὸν Πηλείωνα τῆς κόμης εἶλεν, ἐχὶ τῶ Πηλείωνος τὴν κόμην. ἀγνοήσαντες δέ τινες γράφεσι ξανθῆς δὲ κόμης ἕλε Πηλείωνος. διὰ τούτο δὲ αἰνίττεται τὸ θερμὸν καὶ ὀργίλον τῶ ἥρωος· οἱ γὰρ ξανθόχολοι τοιῶτοι. A.

198. οἷῳ φαινομένη: τοὺς γ' μεγαλοψύχους ὀργιζομένους ἐ παύειν δεῖ προφανῶς, τῶν ἐχθρῶν ὁρώντων. τὸ δὲ φαινομένη ἀντὶ τῶ φαντασομένη. γράφεται δὲ καὶ φανομένην. πολλὴ δὲ ἡ φαντασία, ὅτι καὶ ἐνεργείας ἐδέησε τῆ θεῷ. BL. μόνῳ αὐτῷ φαινομένη καὶ ὁρωμένη· μόνος γ' αὐτὸς τὸν οἰκεῖον δαίμονα καὶ τὴν ἐν αὐτῷ φρόνησιν ὁρᾷ. D.

ὁρῆτο: Ζηνόδοτος ἀγνοήσας τὸ τῆς διαλέκτω ἰδίωμα ὡς Ἰωνικὸν ἐξέθετο. ἔχι δὲ Δώριον· οἱ γ' Δωριεῖς τῆς δευτέρας τῶν περισπωμένων τὸ ᾶ εἰς ῆ τρέπουσιν. BL.

ὅτι Ζηνόδοτος γράφει ὁρῆτο. τῶτο δὲ Δώριον. A.

199. θάμβησεν: ἐκ τοῦ θάμβος. τοῦτο παρὰ τὸ θώπος· τῶτο παρὰ τὸ θήπω τὸ ἐκκλήττομαι. θαπῶ, καὶ πλεονασμῷ τοῦ μ καὶ τροπῆ τῶ π εἰς β θαμβῶ θαμβήσω. L.

ἔγνω: εἶδεν. ἢ ὅτι συνήθης αὐτῆς ἡ θέα τοῖς ἐπικαρσίοις Ἕλλησιν· ἢ ὅτι τοῖς διογενέσι δηλῶνται οἱ θεοί, ὡς τῆ Ἑλένῃ. καὶ Αἰνείας δὲ ἑκατηβόλον Ἀπόλλωνα ἔγνω εἰσαντα ἰδών (Il. 17, 334). BL.

200. Παλλάδ' Ἀθηναίην: Παλλάδα τὴν Ἀθηνᾶν ἐπιθετικῶς, ἤτοι ἀπὸ τῶ πάλλειν καὶ κραδαίνειν τὸ δόρυ (πολεμικὴ γ' ἡ θεός), ἢ ὅτι Πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν, ἢ ἀπὸ τῶ ἀναπαλθῆναι αὐτὴν ἀπὸ τῆς κεφαλῆς τῶ Διός, ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τῶ Διονύσω προσκομίσαι τῷ Διί. ABDL. Παλλὰς δὲ παρὰ τὰς παλάμας. ἢ ὅτι εὐκίνητος ὁ νῶς „ὡσεὶ πτερὸν ἠὲ νόημα" (Od. 7, 36). BL.

δεινὼ δέ οἱ ὄσσε φάανθεν: διὰ τῆς ἐκπλήξεως Ἀχιλλέως τὴν γλαυκῶπιν παρέστησεν Ἀθηνᾶν. τινὲς δὲ φάανθεν ἀντὶ τῶ ἐφωτίθησαν οἱ τῶ ἥρως ὀφθαλμοί. ὁ δὲ δέ ἀντὶ τῶ γάρ. ABL.

201. καί μιν: τὸ μὶν Ἰωνικόν. A. αὐτήν, ἀπὸ τοῦ τρίτω προσώπω πρωτοτύπω, ἐγώ, σύ, ἵ· τῶτο γ' τὸ ἵ ὡς τρίτον βραχυνόμενον πρόσωπον ἐφέλκει τὸ ν, ἔτυψε ἔτυψεν· καὶ πλεονασμῷ τῶ μ μίν, ὡς ἴα μία, χεράδιον χερμάδιον. σημαίνει δὲ τρία, αὐτόν, αὐτήν, αὐτό. L.

φωνήσας: προσκαλεσάμενος, ἢ τὸ ὄνομα αὐτῆς εἰπών. BL.

ἔπεα πτερόεντα: λόγους ταχεῖς· λόγου γὰρ οὐδὲν ταχύτερον. D.

202. αἰγιόχοιο: αἰγίδα ἔχοντος. αἰγὶς δέ ἐσιν ὅπλον Διὸς ἡφαιςότευκτον. D. τοῦ ἀπὸ τῆς αἰγὸς ὀχὴν λαβόντος· ὅθεν καὶ Ζεὺς τῆ Ἀμαλθείᾳ τὸ κέρας δίδωσι πάσης τροφῆς πορισικὸν τυγχάνον. πυνθανομένου δὲ μᾶλλον ἢ ὀργιζομένω ὁ λόγος. ABLV.

203. ἦ ἵνα ὕβριν ἴδῃ: δίχα σῶ σ, ἴδῃ. ὑψοῖ δὲ τὴν ὕβριν, ὡς καὶ θεὰς κινήσασαν εἰς θέαν. BL. ὅτι χωρὶς τῶ σ τὸ ἴδῃ. ἔτως καὶ ἡ Ἀρισάρχω. A.

204. ἐρέω, τὸ δὲ καὶ τετελέσθαι ὅτω: ἤτοι σικτέον ἐπὶ τὸ ἐρέω, ἢ βραχὺ διασαλτέον. ἐὰν μὲν οὖν σίζωμεν, ἔσται τὸ λεγόμενον, τῶτο καὶ τετελέσθῃ ὑπολαμβάνω· ἐὰν

δὲ διαστέλλωμεν, ἔςαι ὁ δέ κείμενος ἀντὶ τȣ̃ δή, ϗ τὸ τό ἀντὶ ὑποτακτικȣ̃ τȣ̃ ὅ. A.

ὅτι Ζηνόδοτος γράφει τὸ δὲ καὶ τετελεσμένον ἔσται. τȣ̃το δὲ τῇ Ἀθηνᾷ ἁρμόζει μᾶλλον διαβεβαιȣ̃ν. Ἀρίςαρχος δὲ γράφει τελέεσθ, ȣ̓ τετελέσθαι. ABL.

205. ᾗς ὑπεροπλίῃσι: πρὸ τῶν λόγων ἐνδέδωκε τῇ παρȣσίᾳ αὐτῆς. τὸ δὲ τάχα ἂν ταχέως, καὶ πλεονάζει τὸ ποτέ. ὑπ' ἐμοῦ δέ, φησίν, ἀπολεῖται. διό φησιν ἡ θεὸς „μηδὲ ξίφος ἕλκεο χειρί." BL.

207. αἴ κε πίθηαι: τὸ σφριγῶν τȣ̃ θυμȣ̃ μαλακοῖς ἰᾶται λόγοις. ὅμως ἐκδειματοῖ, καὶ τὸν ἐχθρὸν θεοφιλῆ εἶναι λέγουσα. οὐ πᾶς δὲ ὁ φιλῶν κήδεται, ὡς λύκος ἄρνα. ABL.

208. 209. ὅτι ἀμφοτέρȣς Ζηνόδοτος ἠθέτηκεν. οἰκείως δὲ μᾶλλον κεῖνται εἰς προτροπὴν τȣ̃ Ἀχιλλέως. A.

211. ἔπεσι μὲν ὀνείδισον: τεχνικῶς λίαν ȣ̓χ ἅμα πάσης αὐτὸν ἐκκόπτει τῆς ἐπιθυμίας, ἀλλ' ὡς ἰατρὸς οἶνον ἀπαγορεύων ὕδωρ δίδωσιν, ȣ̃τως διὰ τὸ τȣ̃ μείζονος ἐκτρέψαι τὸ ὀλίγον συγχωρεῖ, ὡς ϗ Ἡσίοδος „τȣ̃ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις" (O. 33). ἢ ὀνειδίσαι φησὶ τὸ ὑπομνῆσαι τῶν εὐεργεσιῶν, ὡς Πορφύριός φησιν, ἤτοι ὡς ἀχάριςον αἰτιάσασθ. Ἄλλως. τὸ ἔπεσι μὲν ὀνείδισον ἀπρεπὲς θεᾶς εἰς λοιδορίαν. ἡ δὲ λύσις ἐκ τῆς λέξεως· ὀνείδισον γ̓ ἔφη ἀντὶ τȣ̃ ὑπόμνησον τῶν εὐεργεσιῶν, ὡς ἐγένοντο. ὀνείδισον γ̓ ἔφη, οὐ λοιδόρησον. ὀνειδισμὸς δέ ἐςιν ἀνάμνησις εὐεργετημάτων, ὧν τις παρέσχετο. BL.

ἀναπαυςέον τὸν λόγον εἰς τὸ ὀνείδισον· τὸ δὲ „ὡς ἔσεταί περ, ὧδε γ̓ ἐξερέω" ἀναγνωςέον ἐν ταὐτῷ. BL. Πτολεμαῖος καὶ Σέλευκος ἐπὶ τὸ ὀνείδισον ςίζειν ἀξιȣ̃σι, ϗ ὑποςίζειν κατὰ τὸ τέλος τȣ̃ ςίχȣ, ἵν' ᾖ τὸ λεγόμενον, ὥσπερ γ̓ ἔςαι, ȣ̃τω καὶ ἐρῶ. ἐναντιȣ̃ται δὲ αὐτοῖς τό τε ὑπερβατὸν τȣ̃ πέρ συνδέσμȣ, ϗ τὸ διλογεῖσθ τὰ ἡμιςίχια ταῦτα, ὡς ἔσεταί περ καὶ ὡς τετελεσμένον ἔςαι. μή ποτε ȣ̓ν ἄμεινον ςίζειν ἐπὶ τὸ τέλος τȣ̃ ςίχȣ, ἵνα μὴ μόνον συμβȣλεύῃ ἀλλὰ ϗ μαντεύηται, ὃ θεοῖς μάλιςα πρέπει. A.

212. τὸ δὲ: δύο μέρη λόγου εἰσίν. A.

τετελεσμένον ἔςαι: ὅτι Ζηνόδοτος γράφει τετελέσθ ὀΐω. τȣ̃το δὲ Ἀχιλλεῖ ἥρμοζεν. A. εἰ μὲν ἄνθρωπός ἐςιν, ὀΐω φησίν, εἰ δὲ θεός, διαβεβαιȣ̃ται. BL.

213. τρὶς τόσσα: πρὸς τὴν ὕβριν ἡ σύγκρισις, ἢ τὴν κόρην. τὰς Λιτὰς δὲ οἰκονομεῖ. ἔτι δὲ τῷ ἐπ' ἀτιμίᾳ δυσχεραίνοντι τὴν ἐσομένην τιμὴν προβέβληθ. πόθεν δέ, φασίν, ἡ Ἀθηνᾶ οἶδεν ὅτι ὁ Ἀχιλλεὺς λήψεται πολλαπλάσια δῶρα; ȣ̓δέπω γ̓ τῇ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν ὑπέσχετο ὁ Ζεύς. ὅτι ȣ̓ μόνον θεὸς ἀλλὰ ϗ ὁ τυχὼν ἄνθρωπος γνοίη ὅτι οἱ τοὺς κρείττȣς ἀτιμήσαντες, εἰ κινδυνεύσειαν, ἐπὶ τȣ̀ς ὑβρισμένȣς καταφεύγȣσιν. L.

ἀγλαά: ἐκ τȣ̃ ἀγάλλω, ἐφ' οἷς τις ἀγάλλεθ. ἢ παρὰ τὴν αἴγλην, ὃ ἐςιν ἀπὸ τȣ̃ ἀΐσσειν· ὁρμᾶθ γ̓ ἡ λαμπηδών. L.

214. ὕβριος εἵνεκα τῆσδε: μαλάσσȣσα αὐτὸν συμφωνεῖ αὐτῷ ὡς ὑβρίσθη. τὸ δὲ ἡμῖν ὀρθοτονεῖθ· ἀντιδιέςαλται γάρ, ἀντὶ τȣ̃ ἡμῖν πείθȣ ϗ μὴ τῇ σῇ ὀργῇ. κακῶς ȣ̓ν Ἀρίςαρχος συςέλλει τὴν μιν. BL. ὅτι ὀρθοτονητέον, ἵν' ᾖ διαςαλτική. B.

216. σφωΐτερον: ὅτι πρὸς δύο ἀμείβεθ· τὸ γ̓ σφωΐτερόν ἐςι δυϊκόν. κακῶς ἄρα ἀθετεῖ Ζηνόδοτος τὸν πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη, ϗ τὸν ἄμφω ὁμῶς θυμῷ φιλέȣσά τε κηδομένη τε (208. 209). A.

τὸ δὲ χρή ὀξυνόμενον μὲν ϗ ἐν τῇ συντάξει βαρυνόμενον σημαίνει ἐπίῤῥημα τὸ δεῖ — „χρὴ μὲν σφωΐτερόν γε, θεά, ἔπος εἰρύσασθ" —, περισπώμενον δὲ ῥῆμα Ἀττικόν. ἀπὸ γ̓ τοῦ χρῶμαι τὸ δεύτερον τῆς κοινῆς διαλέκτου ἐςὶ χρᾷ, Ἰωνικῶς, Ἀττικὸν δὲ χρῇ, ὡς εἴρηται Ἀλεξάνδρῳ ἐν Διονύσῳ „ἰδȣ̀ κάτοπτρον. εἰπέ μοι τί χρῇ τȣ́τῳ;" A.

217. 218. ὁ λόγος αἱρεῖ ςίζειν ἐπὶ τὸ κεχολωμένον καὶ ἄμεινον· ἕκαςος γ̓ καθ' ἑαυτὸν λόγος ἀπηρτισμένος ἐςί. ϗ οἱ μὲν πρῶτοι δύο ὑπὸ τȣ̃ γάρ συνδέσμȣ συνηγμένοι εἰσίν· ὁ δὲ τρίτος „ὅς κε θεοῖς ἐπιπείθηται" ἀσύνδετός ἐςι πρὸς τὸν δεύτερον, διὸ τελείαν ἔχει τὴν πρὸ ἑαυτȣ̃ ςιγμήν. γέλοιος δ' ὁ Πτολεμαῖος, ὃς αἰτίαν ἡγεῖθ τῶν διαςολῶν ἐνθάδε τὸ γνωμικῶς λέγεσθ τὸν τελευταῖον ςίχον· ϗ γὰρ εἰ μὴ γνωμικὸς ἦν, οὐδαμῶς ἐδύνατο συνάπτεσθ τοῖς ἄνω, ἀσυνδετος ὤν, ὁ λόγος. A.

217. ἄμεινον: ςικτέον, εἶτα ἀπὸ ἄλλης ἀρχῆς „ὅς κε θεοῖς ἐπιπείθηθ, μάλα τ' ἔκλυον αὐτȣ̃." γνωμικώτερον γ̓ τὸ τοιȣ̃το εἴρηται. ȣ̃τως Ἡρωδιανός. A.

218. ἔκλυον: πρὸς τὸ χῆμα, ὅτι ȣ̓ κλύουσιν εἶπεν ἢ ἀκȣ́σονται. A.

219. ἦ: τȣ̃το τὸ ἦ ψιλῶς λεγόμενον καὶ περισπωμένως δηλοῖ σύνδεσμον παραπληρωματικὸν τὸν ἤτοι, ἴσον τῷ δή, οἷον „ἐπεὶ ἦ πολὺ φέρτερόν ἐςιν" (169), ϗ παραλλήλως „ἦ δὴ λοίγια ἔργα" (573). δηλοῖ δὲ καὶ ἀπορηματικὸν σύνδεσμον· „ἦ ȣ̓χ Ἑλένης ἕνεκ' ἠϋκόμοιο; ἦ μȣ̃νοι φιλέȣσ' ἀλόχȣς μερόπων ἀνθρώπων Ἀτρεῖδαι;" (Il. 9, 339). δηλοῖ δὲ ϗ τὸ ἔφη· „ἦ ϗ κυανέῃσιν" (528). ϗ σεσημείωθ Ἀρίςαρχος ὅτι ὁ μὲν Ὅμηρος ἀεὶ ἐπὶ προειρημένοις λόγοις ἐπιφέρει τὸ δηλȣ̃ν τὸ ἔφη, ὡς ἐπὶ τȣ̃ προκειμένȣ, ὁ δὲ Πλάτων μετ' αὐτὸν ἐπιφέρει τὸν λόγον. ψιλȣ́μενον δὲ ϗ βαρυτονȣ́μενον δηλοῖ σύνδεσμον διαζευκτικόν· „ἢ εὖ ἠὲ κακῶς" (Il. 2, 253). ἔςι δὲ ὅτε ϗ ἀντὶ συναπτικȣ̃ τȣ̃ εἴ τίθεθ, οἷον „ȣ̓δ' ἀφαμαρτοεπής, ἢ ϗ γένει ὕςερος ἦεν" (Il. 3, 215). ποτὲ δὲ παρέλκει· „ἀλλὰ τί ἤ με ταῦτα παρεξερέεσθ ἕκαςα;" (Il. 10, 432). δασυνόμενον δὲ ϗ ὀξυτονȣ́μενον ἄρθρον προτακτικὸν δηλοῖ· „ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ" (Il. 22, 151). δηλοῖ δὲ ϗ ἄρθρον ὑποτακτικόν, οἷον „ἣ μυρί' Ἀχαιοῖς" (2). δηλοῖ δὲ ϗ ἀναφορικὴν ἀντωνυμίαν· „ὡς ἥ γ' ἀμφιπόλοισι μετέπρεπεν" (Od. 6, 109). δηλοῖ δὲ ϗ τὴν σύναρθρον ἀντωνυμίαν τρίτȣ προσώπȣ, συζυγȣ̃σαν τῇ ἐμῇ σῇ. ὑποδείγματα δὲ ταύτης παρ' Ὁμήρῳ οὐχ εὑρίσκεται, ἐκ δὲ τοῦ ἀναλόγȣ νοεῖται· αἱ γ̓ πλάγιοι πᾶσαι δι' αὐτῆς παρ' Ὁμήρῳ σώζονται. A.

ἀργυρέῃ: τῇ ἀργυροήλῳ. κώπη δὲ τὸ κωπίον ἤγουν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ τῷ ξίφει λαβή. βαρεῖαν δὲ τὴν πρώην ἐπτερωμένην τῷ θράσει, ἢ τὴν ἑτέρας τοῖς ὅπλοις βαρύνεσαν. BL. κώπη. παρὰ τὸ κοπτικὸν τῶ ξίφους. A.

219. 220. Ζηνόδοτος μεταγράφει „ὡς εἰπὼν πάλιν ὦσε μέγα ξίφος ἐδ' ἀπίθησε" ᾗ τὼς δύο ἕνα ἐποίησεν. A.

220. κουλεόν: κελεὸν παρὰ τὸ κοιλὸν εἶναι, ξίφος παρὰ τὸ σκίπτω σκίφος καὶ ξίφος Δωρικῶς. A.

222. δώματ' ἐς αἰγιόχοιο Διός, μετὰ δαιμονας ἄλλους: βραχὺ διασαλτέον ἐπὶ τὸ Διός. δύναται μὲν ἀθετεῖσθαι· οἱ γὰρ θεοὶ πρὸ μιᾶς ἡμέρας εἰς Αἰθιοπίαν εἰσὶ κεχωρισμένοι· δύναται δὲ καὶ Ὁμηρικῷ τρόπῳ ἀκέσεσθαι, μετὰ δαίμονας ἄλλους, εἰς τὸν τῶν δαιμόνων τόπον, ὡς ἔεσσι παρήμενον (Od. 13, 407). AV. τὸν τῶν δαιμόνων τόπον μετωνυμικῶς ἐκάλεσεν. ἢ μόνας τοὺς ἀρσενάς φησι τῷ Διὶ πρὸς Αἰθιοπίαν ἕπεσθαι καὶ τὰς θηλείας καταλελεῖφθαι. ἢ ὅτι τὸ πάντες ἐκεῖσε ἀντὶ τοῦ οἱ πλείους τέτακται. BL.

Ἕτως δαίμονας καλεῖ τὰς θεάς, ἤτοι ὅτι δαίμονες (ἔμπειροι γὰρ καὶ ἴδριες πάντων αὐτοί εἰσιν), ἢ ὅτι διαιτηταί εἰσι καὶ διοικηταὶ τῶν ἀνθρώπων, ὡς Ἀλκμᾶν ὁ λυρικός φησιν „ὃς ἔθεν πάλοις ἔπαλεν δαίμονάς τ' ἐδάσσατο", *) τὰς μερισμούς, τὰς διαιρέσεις αὐτῶν. Ἡσίοδος δὲ δαίμονάς φησι τὰς ἐκ τοῦ ζῆν μεταξάντας, ὄντας δὲ ἐπὶ τῆς Κρόνου βασιλείας, τοῦ χρυσοῦ γένους, λέγων αὐτὰς φύλακας θνητῶν ἀνθρώπων (O. 122). ADL.

223. ἀταρτηροῖς: ἀτηροῖς, καὶ πλεονασμῷ τῆς ταρ συλλαβῆς ἀταρτηροῖς, ὡς τὸ τάρβοθος καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιτάρβοθος. B.

225. οἰνοβαρές: ὅτι Ζηνόδοτος τοῦτον τὸν τόπον ἠθέτηκεν, ἕως τοῦ ναὶ μὰ τόδε σκῆπτρον (234). καθ' ἑκάστην δὲ λοιδορίαν βραχὺ διασαλτέον, ἐπὶ δὲ τὸ τέλος σικτέον· προσαγορευτικὴ γὰρ ἡ περίοδος. ἢ δὲ ἐξῆς ῥηματική· διὸ ἀπ' ἄλλης ἀρχῆς „οὔ τέ ποτ' ἐς πόλεμον οὔτε λόχον." A.

κραδίην δ' ἐλάφοιο: λέγεται χολὴν ἐκ ἔχειν ἐν τῷ ἥπατι περικειμένην ἡ ἔλαφος. B. λέγει καρδίαν οὐκ ἔχειν τὸ ἐλάφιον. μᾶλλον δὲ χολὴν ἐκ ἔχει. V.

Ἰσοκράτης Κόνωνι τῷ Ἀθηναίων στρατηγῷ τρία μαρτυρεῖ, ἐπιμέλειαν, πίστιν, ἐμπειρίαν πολέμου. τούτων τὰ ἐναντία κατανοήσας Ἀγαμέμνονι ὀνειδίζει· ἐξ οἰνοποσίας μὲν γὰρ ἀμέλεια, ἀπιστία δὲ ἐξ ἀναιδείας· καὶ πολέμων ἀπειρίαν ἡ δειλία ἐργάζεται. φαίνεται δὲ ἐν Ἰλιάδι ἐπὶ τρίτου αὐτὸν λέγων δειλὸν διὰ τὸ „φεύγωμεν σὺν νηυσί" (Il. 2, 140. 9, 27), μέθυσον δὲ διὰ τὸ „πλεῖαί τοι οἴνου κλισίαι" (Il. 9, 71). μάλιστα δὲ τῷ ἀναιδεῖ ἐπιμένει, ὅπου μὲν λέγων „ἀλλὰ σοὶ ὦ μέγ' ἀναιδές" (158), ὅπου δὲ „ἀναιδείην ἐπιειμένε" (149)· πῇ δὲ κυνῶπα (159), ἐπεὶ προμεμαρτύρηται αὐτοῦ τὸ τῆς θέας ἰταμὸν ἐν τῷ πρὸς Κάλχαντα διαλόγῳ· „ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην" (104) καὶ „κάκ' ὀσσόμενος προσέειπεν" (105). φύσει δὲ ἀλλήλαις αἱ κακίαι, ὡς καὶ αἱ ἀρεταί, παρέπονται. ABL.

*) ε δάσσαντο A, qui ab initio cum D. ex pro ἕς.

Ἄλλως. διὰ τί ὁ Ἀχιλλεύς, λοιδορησάμενος Ἀγαμέμνονι τρία ταῦτα „οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο" ἔστε τῷ οἰνοβαρεῖ ἐπιμένει ἔστε τῷ κραδίην δ' ἐλάφοιο, ἀλλὰ μάλιστα τῷ κυνὸς ὄμματ' ἔχων, ποτὲ μὲν ἐπιφέρων „ἀναιδείην ἐπιειμένε," ποτὲ δὲ „ἀλλὰ σοὶ ὦ μέγ' ἀναιδὲς ἑσπόμεθα, ὄφρα σὺ χαίρῃς," αὖθις δὲ „τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε κυνῶπα;" ἡ δὲ λύσις ἐκ τῶν προειρημένων ἐν τῇ ἐκκλησίᾳ πρὸς τὸν Κάλχαντα, ἐνδειχθεισῶν τῶν τῆς ὁράσεως φλογώσεων· ἔφη γὰρ „ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην." τῆς γὰρ ἐμφανῶς πᾶσι γενομένης τῶν ὀφθαλμῶν μαρμαρυγῆς ἀναιδῶς ἐχόμενον τὸ τοῦ Ἀχιλλέως πάθος συνεχῶς ἐπιφέρει εἰς ὀνειδισμὸν τούτου πρὸς τοὺς τὰ ὅμοια ὁρῶντας ὡς πρὸς μάρτυρας. Ἰσοκράτης μὲν ἐν τρίᾳ περὶ τὸν στρατηγὸν ὑπάρχειν ἀγαθὰ μαρτυρεῖ κοινά, λέγων „ὃς ἦν ἐπιμελέστατος μὲν τῷ στρατηγῷ, πιστότατος δὲ τοῦ Ἕλληνος, ἐμπειρότατος τῶν πρὸς πόλεμον κινδύνων", Ὅμηρος δὲ κατηγορεῖ τὰς ἐναντίας ταῖς ἀρεταῖς ταύταις κακίας τοῦ Ἀγαμέμνονος. ἐν μὲν γὰρ τῷ λέγειν οἰνοβαρῆ πολλὴν ὀλιγωρίαν ὀνειδίζει (τί γὰρ ἐν μέθῃ ἐπιμελές;) ἐν δὲ τῷ πάντων ἀναιδέστατον τὴν ἀπιστίαν. ἡ δὲ ἀνανδρία πάντων μέγιστον ἐμπόδιον εἰς ἡγεμονίαν. A.

Ἄλλως. εἰώθασιν οἱ ἄνθρωποι τὰ πλεονεκτήματα πολλάκις ὡς ἐλαττώματα προάγειν· „σρεπτὴ γὰρ γλῶσσά ἐσι βροτῶν" (Il. 20, 248). ἐπεὶ γὰρ τοῖς βασιλεῦσι πλεῖον δέπας οἶνος παρέκειτο ἀξιώματος χάριν, μέθην ὀνειδίζει· τὸ δὲ διὰ τὸ μὴ περιφρονεῖσθαι ἰταμὸν ἀναίδειαν εἶπε· καὶ ὅτι ἐκ ἔξιν οἰκεῖον βασιλεῖ τῆς φάλαγγος προκινδυνεύειν, τοῦτο δειλίαν ὀνομάζει. ἐκ οἰητέον δὲ τοιοῦτον εἶναι τὸν Ἀγαμέμνονα οἷον νῦν λοιδορεῖ, ὃν οἱ Ἕλληνες ἐν τοῖς πρώτοις ἠρίθμουν· „ἢ Αἴαντα λαχεῖν ἢ Τυδέος υἱὸν ἢ αὐτὸν βασιλῆα" (Il. 7, 179). τρίτον δὲ αὐτὸν ἀριθμοῦσιν ἐχ ὅτι τὴν ἀρετὴν ἧττων ἐστίν, ἀλλ' ὡς ἧττον διὰ τὴν ἀρχὴν κινδυνεύειν ὀφείλοντα. εἴς τε τὸ πρὸς Ἕκτορα μονομάχιον „ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν" (Il. 7, 162). ἀλλὰ καὶ τὴν ἀριστείαν αὐτῷ ταῖς ἄλλαις παραβάλλων μείζονα εὗροι τις ἄν. Διομήδης μὲν γὰρ ἠρίστευσεν ἀγνοούντων ἔτι τῶν Τρώων τὴν μῆνιν Ἀχιλλέως, καὶ διὰ τὸ συνειδέναι σφίσιν αὐτοῖς τὴν τῶν ὅρκων παράβασιν κατεπτηχότων· τὸν δὲ Αἴαντα ὁ περὶ τῶν νεῶν κίνδυνος καὶ ἡ τῆς σωτηρίας ἀπόγνωσις διήγειρε· καὶ Πάτροκλος ἠρίστευσεν Ἀχιλλεὺς νομιζόμενος· Ἀχιλλεὺς δὲ αὐτοῖς φοβερὸς ὤφθη διὰ τὴν τῶν θείων ὅπλων εὐπρέπειαν. Ἀγαμέμνονι δὲ ἠσσήθησαν νικῶντες τῇ προτεραίᾳ καὶ ταῖς ναυσὶν ἐπαυλιζόμενοι. καὶ Ἕκτωρ Αἴαντι μὲν καὶ Πατρόκλῳ καὶ Ἀχιλλεῖ θαρρῶν εἰς μάχην ἔρχεται, Ἀγαμέμνονα δὲ ἐκλίνει. ἀλλὰ καὶ ὁ Ζεὺς αὐτῷ παραινεῖ „ὄφρα μέν κεν ὁρᾷς Ἀγαμέμνονα ποιμένα λαῶν ἐν προμάχοισι, τύφ' ὑπόεικε μάχης" (Il. 11, 202). BL.

ζητοῦσι δὲ πότερον διὰ ὕβρεως ἐξηνέχθη ὁ Ἀχιλλεὺς ὀργιζόμενος εἰς τοιαύτας λοιδορίας „οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο" ἢ ἀπό τινος αἰτίας προ-

ἀχθεὶς ὑπὸ τῆς ὀργῆς εἰς τοιαῦτα ἐμπέπτωκεν. λύσις. οἰνοβαρῆ μὲν ἐν αὐτὸν προήχθη εἰπεῖν, ἐπειδὴ φαίνεται σπεύδάζων περὶ πολλὴν οἰνα κτῆσιν. μόνῳ γὰρ αὐτῷ φησὶ Μενελάῳ χίλια μέτρα οἴνα Εὔνεως πέμπει (Il. 7, 468), ὅ τε Νέζωρ ἐκ τῶν πραττομένων ὑπ' αὐτοῦ τὸ πλῆθος εἰδὼς τῆς τοῦ οἴνα συναγωγῆς φησὶ „πλεῖαί τοι οἶνου κλισίαι, τὸν νῆες Ἀχαιῶν ἠμάτιαι Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουσιν" (Il. 9, 71). αὐτός τε ὁ Ἀγαμέμνων προτρεπόμενος ἐπὶ πόλεμον προφέρει ἣν φέρει τιμὴν διὰ τῶ „σὸν δὲ πλεῖον δέπας αἰεὶ ἔζηχ' ὥσπερ ἐμοί, πίέειν" (Il. 4, 262). ὅθεν καὶ ἐπισρεφέζερον ὀνειδίζων εἰς τὰ τοιαῦτα λέγει „πῇ ἔβαν εὐχωλαί," καὶ ἐπάγει „πίνοντες κρητῆρας ἐπισφέας οἴνοιο" (Il. 8, 232). καὶ πάλιν εἰκόνα λαμβάνων τὴν ἐκ τῶν συμποσίων „εἴπερ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε" ὁρκωμόσια ποιησάμενοι, εἶτα ἐπάγει „Τρώων αὖτε ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν, πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο" (Il. 2, 127). καὶ τὸ τελευταῖον καὶ τὸν θάνατον ἐν Ἅιδα ἀφηγεῖται, ὡς ἀμφὶ κρατῆρα τραπέζας τε πληθούσας ἀπώλετο (Od. 11, 418). τὸ δὲ „κυνὸς ὄμματ' ἔχων", ἐλέγομεν ὅτι ἐξ ὧν εἶδεν αὐτὸν ὀργιζόμενον· „ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην" καὶ „Κάλχαντα πρώτισα κάκ' ὀσσόμενος προσέειπεν." κραδίην δ' ἐλάφοιο ἀπὸ τῶ ἐπίφορον εἶναι εἰς τὸ λέγειν φεύγωμεν, καὶ τρὶς ἐν Ἰλιάδι φαίνεται τῶτο εἰρηκότα. BL.

226. οὔτε ποτ' ἐς πόλεμον: τῶτο δημοκρατικῶ βασιλέως καὶ δημαγωγικοῦ. AL.

227. οὔτε λόχονδ' ἰέναι: τῶτο ἀριζοκρατικῶ. ἅμα ἓν τῶν ἰδίων κατορθωμάτων ὑπομιμνήσκει· ὅτι γὰρ ἐλόχα, δῆλον ἀπὸ Λυκάονος (Il. 21, 35). καὶ „ἐς λόχον, ἔνθα μάλις' ἀρετὴ διαείδεται ἀνδρός" (Il. 13, 277). ABL.

228. τὸ δέ: ἐν δύο μέρεσι λόγε, ἵνα ᾖ τῶτο δέ σοι θάνατος νομίζεται. A.

229. ἦ —: περισπαζέον τὸν ἦ· κατ' ἀρχὴν γὰρ κεῖται, ἰσοδυναμῶν τῷ δή. δύναται δὲ βραχὺ διαζέλλεσθαι ἐπὶ τὸ εὐρύ, ἵν' ᾖ Ἀχαιῶν δῶρ' ἀποιρεῖσθαι. A. περισπαζέον τὸν ἦ· ἀρκτικὸς γάρ ἐζιν, ἀντὶ τῶ δή. ἀπολελυμένον δὲ τὸ χῆμα, καὶ πολλὰς ἔχον περικοπάς· ἄπλησον γάρ ἐζι πρὸς λοιδορίαν ὀργή. ὑποκιτέον δὲ εἰς τὸ εὐρύ. BL.

230. δῶρ': ἃ δωρεῖται οἱ Ἀχαιοί, ὡς τὸ „δόσαν δέ μοι υἷες Ἀχαιῶν" (162). LV.

ἀντίον εἶπε: ἐκ εἶπεν ἀδικήσει τις, ἀλλ' ὡς ἀναιρῶντα τὴν ἰσολογίαν διαβάλλει. ἐπεγείρει δὲ αὐτῷ τὸς στρατηγός. BL.

231. δημοβόρος βασιλεύς: καθ' ἑαυτὸ τῶτο ἀναγνωζέον, ὡς καὶ Φιλοξένῳ ἐν τῷ περὶ προσῳδιῶν δοκεῖ, ἵνα τὸ κομματικὸν τῆς προφορᾶς τὴν ὀργὴν μᾶλλον ἐμφαίνῃ. δύναται δὲ καὶ τὸ εἰ ῥῆμα λείπειν, ὑφ' ἓν ἡμῶν ὅλον προφερομένων τὸν ζίχον, ἵν' ᾖ δημοβόρος εἰ βασιλεύς, ἐπεὶ ἀτιδανοῖσιν ἀνάσσεις. ἀλλ' ἐκ ἐπείγει. A.

κινητικὰ ταῦτα τοῦ πλήθους· μεγίζη γὰρ κατηγορία τὸ ἀφετερίζεσθαι τὰ κοινά. BL.

ἀτιδανὲς φησι τὸς Ἕλληνας ὐχ ὡς ὑβρίζων αὐτές, ἀλλὰ παροτρύνων κατ' αὐτοῦ. L.

232. ἦ — λωβήσαιο: ὅτι τὸ εὐκτικὸν ἀντὶ παρεληλυθότος ὁριζικῶ τῶ ἐλωβήσω παρείληπται, ὡς „καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας" (Il. 5, 311). τὸν δὲ ᾖ περισπαζέον· βεβαιωτικὸς γάρ ἐζιν. A.

233. ἐπὶ μέγαν ὅρκον ὀμεῖται: ἐπόμνυσθαί ἐζι τὸ ὑπιχνούμενον ὁμόσαι, ἀπομνύναι δὲ τὸ ἀποφάσκειν. AD. ἐπιομεῖται. ἐπόμνυσθαί ἐζι τὸ ὁμόσαι καὶ ὑπιχνεῖσθαι, ἀπομνύναι δὲ τὸ ἀποφάσκειν. μέγαν δὲ λέγει ὅρκον τὸν ὡς ἀληθῶς παρ' αὐτῶ τελεσθησόμενον. BL. μέγαν δὲ ὅρκον ἢ τὸν κοινὸν τῶν ὅρκων ἢ τὸν τελεσθησόμενον. LV.

234. ναὶ μὰ τόδε: πεπλεόνακε τῷ μά ἀρνητικῷ ἦγεν ἀπωμοτικῷ μορίῳ κατὰ Ἀττικὸν ἔθος· ἤρκει γὰρ εἰπεῖν νὴ τῶτο τὸ σκῆπτρον. ἰζέον δὲ ὅτι διὰ τῶ σκήπτρου ὄμνυσιν αὐτὸν τὸν ἔφορον τῆς βασιλείας θεόν. AD.

τὸν τῆς βασιλείας ἔφορον ὄμνυσι θεόν, ὡς εἰ τράπεζαν ἢ πέλαγός τις ὁμόσαι ἢ τὰς ἰδίους δεσμάς. ἐν χήματι δὲ ἔφρασεν ὅτι δημιηγορῶντι αὐτῷ δέδοται τὸ σκῆπτρον. διὰ δὲ τῆς ἐκκοπῆς τὴν ἀπαλλαγὴν ἴσως τῆς συνηθείας αὐτῶ δηλοῖ· μόνος δὲ Ἀγαμέμνων ἐσκηπτροφόρει. BL.

234—240. ὅλη ἡ παρέκβασις διὰ μέσε, ἕως τῶ „ἦ ποτ' Ἀχιλλῆος ποθή." διὸ τὰ μεταξὺ διαζολαῖς τε καὶ ἀνυποκρίτοις ζιγμαῖς ἀναπαύσομεν. τὸ γὰρ ἐξῆς· ναὶ μὰ τόδε σκῆπτρον, ἦ ποτ' Ἀχιλλῆος. A.

μεταξὺ παρενείρει, ἅτε σκεπτόμενος ὅπως ὀμόσῃ, οὔτε ὁμοίως ἐὼν ὅλως κατὰ τῆς βεβαιότητος τῶ ὅρκε, ἀλλὰ δεικνὺς ἐν ἤθει ὅτι τιμιώτερον κατάξυλον τὸ σκῆπτρον, καθ' Ὅμηρον· διὸ καὶ ἐπιφέρει „ὃ δέ τοι μέγας ἔσσεται ὅρκος. A.

237. φλοιόν: ἐκ τῶ φλῶ τὸ ἀναδίδωμι καὶ ἀναπέμπω, φλᾶς, φλοός, καὶ φλοιός. L.

238. 239. οἵ τε θέμιζας πρὸς Διὸς εἰρύαται: εἰς δικαιοσύνην παρακαλεῖ τὲς ἄρχοντας, εἴ γε τὸ δίκαιον ἐγχειρίζει αὐτοῖς ὁ Ζεύς, παραφθειρομένε δὲ αὐτοῦ δίκας δώσουσι Διί. ἢ ὅτι ἔπω νομογραφίας οὔσης ὁ λόγος τῶν βασιλέων νόμος ἦν. BLV.

239. εἰρύαται: ῥύω τὸ φυλάττω, καὶ Ἀττικῶς ἐπενθέσει τῶ ε ἐρύω, ὡς τὸ ἐθέλω· ὅθεν εἴρυον ὁ παρατατικός, διὰ τῆς ει διφθόγγου πρὸς ἀντιδιαζολὴν τοῦ ἀρύω ἤρυον. κανονίζεται δὲ ἅπως· ἐρύω, ὁ μέλλων ἐρύσω, ὁ παρακείμενος εἴρυκα, εἴρυμαι εἴρυσαι εἶρυται εἰρύμεθα εἶρυσθε εἶρυνται, καὶ Ἰωνικῶς εἰρύαται. L.

ὁ δέ: ἄμεινον δύο μέρη λόγε ποιεῖν· „ὃ δέ τοι νημερτὲς ἐνίψει" (Od. 11, 148). A.

240. Ἀχιλλῆος ποθή: τὸ ποθὴ ὀξυτόνως. τῶτο φησὶ πεισθεὶς Ἀθηνᾶ. A.

241. τότε δ' οὔτι: ἅτως Ἀρίζαρχος, τότε δ' ἔτι. A.

242. Ἕκτορος ἀνδροφόνοιο: προσυνίζησιν ἡμῖν τὸν Ἕκτορα λελησθότως ὁ ποιητής, μέλλων αὐτῷ χρήσεσθαι πρὸς τὰ ἐπιφανῆ τῆς Ἰλιάδος ἔργα. πρὸς δὲ τὴν κατάπληξιν τῶν ἀκεόντων καὶ τὸ ἐπίθετον αὐτῶ δεδήλωκεν. BLV.

Διὰ τί τὸν Ἕκτορα ἀνδροφόνον προσηγόρευσε καὶ ὐ χαλκοκορυζὴν ἢ ἱππόδαμον; ῥητέον ὅτι ἀνδροφόνον αὐτὸν εἰ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρηκε πρὸς κατάπληξιν τῶν ἀκουόντων. εἰώθε δὲ τηρεῖν τὰ ἐπίθετα εὐσόχως. καὶ ἄλλως ῥητέον ὅτι ἐν ᾧ τίς ἐσι μέγας ἀεὶ καὶ εὐδοκιμῶν, ἐκ τούτου καὶ ἄλλως ἐπαινεῖ. καὶ γὰρ ὁ Ἀχιλλεὺς ἦδετο μὲν διογενὴς καλούμενος, ἐχ ἧττον δὲ ἐπέχαιρε καὶ τῇ ἀνδροφονίᾳ, κἀκ τούτου λέγει τὸν Ἕκτορα ἀνδροφόνον. D.

243. θνήσκοντες πίπτωσι: ἀναστροφὴ ὁ τρόπος· τὸ ἐναντίον γὰρ γίνεται. B.

244. ἄριστον Ἀχαιῶν: ἢ τὸν ἐν Ἀχαιοῖς ἀριστέα, ἢ τῶν Θεσσαλῶν· „Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί" (Il. 2, 684). B.

οὐδέν: πλεονάζει τὸ δέν· ἰσοδυναμεῖ γὰρ τῷ ἐκ ἔτισας. Ἀρίσταρχος παρέλκειν λέγει τὸ δέν, Ἀπολλόδωρος δὲ ἐν γλώσσαις εἶναι τὸ πλῆρες ὠδὲ ἔν. πολλοῖς γὰρ καὶ τῶν ἄλλων γραμματικῶν δοκεῖ τρία εἶναι μέρη λόγε, ἔ καὶ δέ καὶ ἔν. A.

245. ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ: ὁ θυμὸς τὰ μετὰ χεῖρας ἐχόμενα ῥίπτει. B.

νῦν μὲν τὸν Ἀχιλλέα, ἐν δὲ τῇ Ὀδυσσείᾳ (2, 80) τὸν Τηλέμαχον ποιεῖ τὸ σκῆπτρον ἀποτιθεμένης. καὶ ἐπ' ἐκείνῃ μὲν πλῆθος ἐξέχεε δακρύων (καὶ γὰρ νεώτερος καὶ αἱ συμφοραὶ δειναί)· ὁ δὲ Ἀχιλλεὺς ἀμάλα ὀλοφύρεται· οὔτε γὰρ ὁμοίως νέος καὶ περὶ γυναικὸς ἡ μάχη. BL.

247. ἑτέρωθεν: ἐκ τῆς ἑτέρας σάσεως. LV.

Νέσωρ: ἐσι μὲν ἔκγονος Ποσειδῶνος, ἐνενήκοντα δὲ ἄρχει νεῶν· γεραίτερος δὲ πάντων καὶ ἡδύγλωττος. οἱ περὶ Ὀδυσσέα γὰρ παραινοῦντες ἐδόκουν θωπεύειν πρὸς τὸ μὴ ἀφαιρεῖσθαι τῶ γέρως. ἀλλ' ὅτε Μενέλαος ἐδύνατο παραινεῖν· τῷ μὲν γὰρ ἀδελφῷ προστιθέμενος ἀπήχθετο Ἀχιλλεῖ τῷ δ' αὐτὸν προφρονήσαντι. τῷ δὲ Φοίνικι ταμιεύεται τὰς λιτάς. ἐν κινδύνοις ἦν παρεισάγων τὸν Νέσορα, πολλὴν αὐτῷ μαρτυρεῖ τῶν λόγων εἰδησιν, ἡδυεπῆ λέγων αὐτὸν καὶ λιγύν. προσυνίησι δὲ τὸ εἶδος τῶν λόγων ὡς προσηνὲς καὶ καταξέλλειν ὀργὴν δυνάμενον· ὁ γὰρ αἰσχρὸς λόγος θυμὸν ἀναζωπυρεῖ. BL.

248. ἡδυεπὴς ἀνόρουσε: καὶ ἐκ πατέρων ἔχων αὐτὸν ἐπαινεῖν, ἐκ ἀναγκαῖον ἡγήσατο· ἐδεὶς γὰρ λόγος εὐγενείας ὅσον λόγων δυνάμεως ἐν τοιούτῳ καιρῷ. τὸ δὲ προνοητικὸν τῶν ὁμοφύλων νεανικὴν αὐτῷ περιτίθησι κίνησιν. οὐδὲ γὰρ γέροντα κυβερνήτην μέμψαιτο ἄν τις ἐν καιρῷ τῷ κινδύνῳ ὑπὲρ τὸ δέον κινούμενον. BL. καὶ ἄλλως ῥητέον ὅτι εἰώθει ἀεὶ ἡ τῆς τιμῆς προυθήκη μὴ μόνον τοὺς νέους ἀλλὰ καὶ τοὺς γέροντας μεταπείθειν πρὸς τὸ καὶ παρὰ δύναμιν ἐγχειρεῖν τι ποιεῖν, μᾶλλον δὲ τὸν Νέσορα ἐν τῷ δημηγορεῖν διαφέροντα τῶν λοιπῶν καὶ εἰδότα μὴ ἀπαρεσκομένους τοὺς Ἕλληνας πρὸς τὰ λεγόμενα. D.

249. γλώσσης: ἡ γλῶσσα τρία σημαίνει, αὐτό τε τὸ σῶμα, καὶ τὴν διάλεκτον, καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων. BL.

μέλιτος γλυκίων ῥέεν αὐδή: μέλιτος διὰ τὸ πείθειν ἑτοίμως· ῥέειν πρὸς τὸ ἀνεμπόδιστον. ἔοικε δὲ ἀποτείνεσθαι εἰς ἑαυτὸν ὁ κατὰ συλλογισμὸν ἔπαινος. AB.

Ζηνόδοτος χωρὶς τῶ ν γράφει γλυκίω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἔχει τὸ ν. A.

250. τῷ δ' ἤδη δύο μὲν γενεαὶ: ὅ ἐσι, δύο τριακονταετηρίδες παρεληλύθεσαν ἐπ' αὐτῷ. ἡ γὰρ γενεὰ λ' ἔτη ἔχει· τελεία γὰρ αὕτη πρὸς γένεσιν ἡλικία. οἱ μὲν οὖν συντεχθέντες αὐτῷ ἀπολώλεσαν ὑπὸ Ἡρακλέες, οἱ δὲ συγγράσαντες ἢ συνεγράτευσαν (οἱ δὲ συντηρηθέντες συνεγράτευσαν αὐτῷ εἰς Βουπράσιον κἀκεῖ διώλοντο. BL.) αὐτὸς δὲ „ἅ μιν ἐπέτρεπε γήραϊ λυγρῷ" (Il. 10, 79). τῶν ἓν υἱῶν αὐτῶν ἦρχεν. ἔσιν ἓν ἑβδομηκονταέτης· δύο γὰρ γενεὰς πληρώσας εἰς τὴν τρίτην κατελέγετο. ἀμέλει τήν τε Ἑκαμήδην ἔχει καὶ μετὰ τὸν νόσον σύνεσι τῇ γυναικί. ABL. ἢ γενεάς φησι τὴν τε τῶν πατέρων ὑφ' ὧν ἐγεννήθη αὐτὸς καὶ οἱ αὐτῷ συνήλικες, καὶ τὴν τῶν ἀδελφῶν, οἳ ὑφ' Ἡρακλειδῶν ἐφθάρησαν. ἄρχει δὲ τῶν παίδων τῶν ἑαυτῷ καὶ τῶν ἄλλων, τῆς τρίτης αὐτῶν οὔσης γενεᾶς. καὶ γὰρ ὁ ληγούσης ἡμέρας ἐπιδημήσας καὶ τῇ τρίτῃ ἓξ ἑωθινῷ ἑξιὼν διὰ τρίτης ἀποδημεῖν λέγεται, καίτοι μίαν μόνην τελέσας τὴν μέσην. ἢ ὅτι ἐπειδὴ ἡ γενεὰ λ' ἔχει ἔτη, αὐτὸς δὲ δύο πληρώσας εἰς τὴν τρίτην κατελέγετο, ὥσε δύο γενεαὶ ἀνθρώπων ἐφθάρησαν. ἐχ ὅτι δὲ ἀνθρώπων δύο ἀπέθανον γένη, τοῦτό φησιν, ἀλλ' ὅτι δύο περιοδικαὶ γενεαὶ ἦτοι τριακονταετίαι. ἕτω δὲ τούτε φραθέντος, καίτοι εἰ ζῶσί τινες τῶν σὺν αὐτῷ γηρασάντων, ὅμως αἱ περιοδικαὶ δύο γενεαὶ διεφθάρησαν. αὐτὸς δὲ ναύαρχος ἦν τῶν ἐν τῇ τρίτῃ γενεᾷ γενομένων, οἳ ἦγον τὴν ερατεύσιμον ἡλικίαν καὶ πρὸς τὸ πολεμεῖν χρήσιμον. BL.

μερόπων: μεμερισμένην τὴν φωνὴν ἐχόντων, ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ὅ ἐσι μεριζομένην εἰς συλλαβὰς καὶ ἔναρθρον ἐχόντων τὴν ὄπα, τουτέσι τὴν φωνήν. ἢ ἀπὸ Μέροπος τοῦ Ὑαντος, ὃς μετὰ τὸν κατακλυσμὸν πρῶτος συνῴκισε τοὺς ἀνθρώπους. ἢ τῶν μοιρώντων περὶ τὴν ὄπα. οἱ δέ, τῶν παρεξηλλαγμένην ὄπα ἐχόντων. ABL.

251. οἵ οἱ: ὅτι Ζηνόδοτος γράφει αἵ οἱ. A. οἱ μὲν εὐθεῖαν ἀντὶ γενικῆς, ὡς τὸ „οἱ δὲ δύο σκοπελοί" (Od. 12, 73), ἵν' ᾖ οἵ τινες αὐτῶν, τῶν ἀνθρώπων δηλονότι· καὶ ἔσι τὸ δεύτερον οἱ ἀντὶ τοῦ αὐτῷ. οἱ δὲ πρὸς τὸ γενεαί, ὡς φάλαγγες ἰσάμενοι. BL.

ἅμα τράφεν ἠδ' ἐγένοντο: τὸ ἅμα ἐπὶ καιροῦ, τὸ ὁμοῦ ἐπὶ τόπε. γενέσθαι δὲ ἅμα τραφῆναί τε ἀδύνατον. A. ὡς ἀμφιέσασα καὶ λέσασα (Od. 5, 264), ἐσω εἰσήει (Od. 17, 30?) B.

252. ἐν Πύλῳ ἠγαθέῃ: τοῦτο καὶ τοῖς ἡγουμένοις καὶ τοῖς ἑπομένοις δύναται συντάττεσθαι. A.

τριτάτοισιν: τοῖς ἀπὸ τῆς αὐτῆ γενέσεως τρίτην ἡλικίαν ἄγουσιν. B.

254. ὦ πόποι: ὅταν το πρᾶγμα προοίμιον ᾖ τῷ μεγέθει καὶ τῷ πάθει, ἃ δεῖ πορίζειν ἑτέρωθεν τὰ προοίμια. ἔχει δὲ τὴν προσοχὴν ἀπὸ ὀλοφυρμοῦ ἀρξάμενος. δημηγορικῶς δὲ τὰς δύο παρίζησιν ἠπείρους αὐτοῖς, τὴν μὲν πενθήσουσαν τὴν δὲ χαρησομένην, πρὸς κατήφειαν ἄγων αὐτούς. BL.

255. ἦ κεν γηθήσαι Πρίαμος: ἐρεθιστικὸς ὁ τῶν ἐχθρῶν ἔπαινος· καὶ διὰ μὲν Πριάμε Ἀγαμέμνονα, διὰ δὲ Ἕκτορος Ἀχιλλέα ἐρεθίζει, ἃ τὸ ὄνομα ἐφυλάξατο, ἵνα μὴ δοκῇ συνηγορεῖν Ἀχιλλεῖ. BL.

ἕως τῇ μάχεσθ συναπτέον· βραχὺ δὲ διαχαλτέον παῖδες, θυμῷ, μαρναμένοιιν. περισπαστέον δὲ τὸν ἦ· βεβαιωτικὸς γάρ. τὸ δὲ γηθήσαι παροξυτονητέον, ἐπειδὴ εὐκτικόν ἐστιν, ἡ δὲ αι ἐν τοῖς εὐκτικοῖς μακρά ἐστιν. A.

257. τάδε πάντα: ἔμφασιν ἔχει καὶ αὔξησιν ἡ δεῖξις καὶ ὁ ἀριθμός. τὸ δὲ μαρναμένοιιν διὰ τὴν ξιφεκλίαν. BL.

258. οἳ περὶ μὲν βουλὴν: διὰ τῆ ν βελήν, οὐ διὰ τῆ τ. ἔτως Ἀρίσταρχος καὶ ἐν τῇ πολυστίχῳ, ἡ δὲ περὶ ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ· τὸν ἴδιον ἓν τόνον φυλάξει· πρόθεσις γὰ ἀντὶ ἑτέρας προθεσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει. ἔτως ἔχει καὶ τὸ „ἀλλ' δδ' ἀνὴρ ἐθέλει περὶ πάντων" (287). εἴτε τοῖς ἑξῆς συνάπτεται, ἀντὶ τῆ περίεσε, πάλιν φυλάξει τὸν ἴδιον τόνον· πάλιν γὰρ πᾶσα πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει, ὡς τὸ „νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤθιον" (Od. 1, 8). A.

φυλάττεται τῆς περί ὁ τόνος, κἂν τε ἀντὶ τῆς ὑπέρ ἐστι, κἂν τε πρὸς τὸ ἐσέ φέρηται. τὸ δὲ βελήν διὰ τῆ ν καὶ ἐ διὰ τῆ τ, ὥς φησιν Ἡρωδιανός. BL.

260. ἠέπερ ἡμῖν: ὅτι Ζηνόδοτος γράφει ἠέπερ ὑμῖν ἀντὶ τῆ ἡμῖν. ἐφύβρισος δὲ ὁ λόγος. διὰ δὲ τοῦ ἡμῖν καὶ ἑαυτὸν συγκαταριθμεῖ καὶ πάντας τὰς καθ' αὐτόν. A.

261. καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον: ἀνεπαχθὲς τοῦτο, παρὰ τὰς ἀθέρας, οἳ εἰς ὀδὸν συντελοῦντες ἀνεμόφθοροι γίνονται. σημαίνει δὲ τὸ ἀπεκήρυττον καὶ ἀδόκιμον ἔκρινον. μαλακτικώτατον δὲ τοῖς θυμουμένοις μῦθος, ὥσπερ καὶ Φοίνιξ φησι πρὸς Ἀχιλλέα. BL.

262. οὐδὲ ἴδωμαι: ἀπολογούμενος ὑπὲρ ὧν ἠλάττωσεν αὐτές, ὀδὲ ἔσεσθ τοιοῦτος λέγει· τοῖς γὰ ἀποθανοῦσιν ὀδεὶς φθονεῖ, ἐπειδὴ τὸ ἀπὸν ἀνεμποδίστως εὐνοίᾳ τετίμηται. οὐ παρέθετο δὲ τὰ ἐν Πελοποννήσῳ πεπραγμένα ἑαυτῷ ἐν τῷ πρὸς Ἠλείους πολέμῳ. ὁ γὰ ἔτω τὸν Ἀγαμέμνονα πείθειν προῃρεῖτο ὡς τὸν Ἀχιλλέα, ὃν εἰδε σπώμενον τὸ ξίφος. καλῶς οὖν ἀπὸ Θετταλικῶν παραινεῖ, ἐπειδὴ κἀκείνοις περὶ γυναικὸς ἦν ἡ ςάσις, ἵν' ἐξ ἑτοίμε τῷ μύθῳ τοῦτο πείσῃ αὐτόν. BL.

ὅτι παραλέλειπται ἡ μὴ ἀπαγόρευσις. ἔςι γὰ ὀδὲ μὴ ἴδωμαι, ὅμοιον τῷ „πληθὺν δ' ἐκ ἂν ἐγὼ μυθήσομαι ὀδ' ὀνομήνω" (Il. 2, 488). A.

263. Πειρίθοον: Πειρίθους ὁ Ἰξίονος γένει μὲν ἦν Ἀθηναῖος, ᾠκείωτο δὲ τοῖς Κενταύροις· πρὸς γάμιον δὲ ἀγόμενος Ἱπποβότειαν (Ἱπποδάμειαν D) τὴν Βέτα τὸς Κενταύρους συνεκάλεσεν εἰς εὐωχίαν, οἵτινες οἰνωθέντες ἐπεχείρουν ὑβρίζειν ὅσαι τῶν Ἑλληνίδων παῆσαν γυναικῶν· ὅθεν οἱ Λαπίθαι συςάδην μαχεσάμενοι διώκεσιν αὐτὲς εἰς Μαλέαν, ὄρος τῆς Πελοποννήσε. ἡ δέ τινι ἀναφερομένη μεταβαλόντι τὴν φύσιν εἰς ἵππον διεμίγη, καὶ τὸν προειρημένον ἐγέννησε Πειρίθεν, ὃς ὠνομάσθη ἀπὸ τῆ περιθεῖν ἵππῳ ὁμοιωθέντα τὸν Δία ἐν τῷ μίγνυσθ τῇ μητρὶ αὐτῆ. AD.

264. Καινέα: ὁ Καινεὺς Ἐλάτου μὲν παῖς, Λαπιθῶν δὲ βασιλεύς, πρότερον ἦν παρθένος εὐπρεπής. μιγέντος δὲ αὐτῇ Ποσειδῶνος, αἰτησαμένη μεταβαλεῖν εἰς ἄνδρα ἢ νεῦνις ἄτρωτος γένεθ, γενναιότατος τῶν καθ' αὐτὸν ὑπάρξας. καὶ δή ποτε πήξας ἀκόντιον ἐν τῷ μεσαιτάτῳ τῆς ἀγορᾶς θεὸν τᾶτο προσέταξεν ἀριθμεῖν. διὸ ἦν αἰτίαν ἀγανακτήσας ὁ Ζεὺς τιμωρίαν τῆς ἀσεβείας παῦ αὐτᾶ εἰσεπράξατο. μαχόμενον γὰ αὐτὸν τοῖς Κενταύροις καὶ ἄτρωτον ὄντα ὑποχείριον ἐποίησε· βαλόντες γὰ αὐτὸν οἱ προειρημένοι δρυσί τε καὶ ἐλάταις ἤρεισαν εἰς γῆν. μέμνηται δὲ αὐτᾶ καὶ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς (1, 59), λέγων ἔτως „Καινέα γὰ δὴ πρόσθεν ἔτι κλείεσιν ἀοιδοὶ Κενταύροισιν ὀλέσθ, ὅτε σφέας οἷος ἀπ' ἄλλων ἤλασ' ἀρισήων· οἱ δ' ἔμπαλιν ὁρμηθέντες ἅτε μιν ἀγκλῖναι προτέρω σθένον ἅτε δαΐξαι ἀλλ' ἄῤῥηκτος ἄκαμπτος ἐδύσατο νειόθι γαίης, θεινόμενος ςιβαρῇσι καταΐγδην ἐλάτῃσιν." AD.

Ἐξάδιον: παρὰ τῷ ποιητῇ ἀπὸ τῆ ε τὸ ὄνομα ἤρξατο, παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τῆ ε εὑρέθη, ὡς καὶ Οἰλεὺς μὲν παρὰ τῷ ποιητῇ καὶ παῦ Ἡσιόδῳ. εἰ δὲ χρὴ πρὸς τὸν χαρακτῆρά τι λέγειν, ἐκεῖνο ἔχομεν εἰπεῖν, ὡς ὅτι ἐχρῆν δασύνεσθ αὐτό· τὸ γὰ ε πρὸ τῆ ξ, ὑποσελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθ, ἕξις ἑξῆς ἕξω. χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι. A.

παρὰ μὲν τῷ ποιητῇ ἀπὸ τῆ ε ἄρχεται τὸ Ἐξάδιον, ὃ καὶ ἄμεινον, παρὰ δὲ τοῖς νεωτέροις ἀπὸ τῆ ξ. BL.

266. κάρτιοι δὴ κεῖνοι: κάρτιοι μὲν ἦτοι τῶν ἀνδρῶν· ἐκεῖνοι δὲ κράτιστοι πρὸς τὰ λοιπὰ συγκρινόμενοι θηρία. ἐκ Στίλβης μὲν ἦν τῆς Πηνειᾶ κόρης καὶ Ἀπόλλωνος γέγονε Λαπίθης, ἀφ' ὃ Λαπίθαι. ἐξήκοντα δὲ τὰς ἐπισημοτάτας αὐτῶν καταλέγει Πορφύριος. οἱ δὲ Κένταυροι κατὰ μὲν τὰς ποιητὰς λέγονται Ἰξίονος καὶ νεφέλης· τινὲς δὲ Δαναΐδι Ἰξίονα μιγῆναι, ἅμα δὲ καὶ Πήγασον τὸν πτερωτὸν κατὰ τὴν αὐτὴν νύκτα, ἐξ ὧν γενέσθ Κένταυρον, ἀφ' ὃ πολὺ πλῆθος γίνεται· ὁ δὲ Χείρων δοκεῖ ἐκ Κρόνε γεγενῆσθ. ἀσελγεῖς δὲ λίαν γεγόνασιν. ἐκ Φλόης δὲ αὐτὰς Ἡρακλῆς ἐδίωξεν· εἶτα ἦκον εἰς τὸ Πήλιον. BL.

268. Θηρσὶν: τοῖς Κενταύροις. Ἰξίων ὁ Φλεγύε παῖς, Δίαν τὴν Δηϊονέως γήμας, ἐλθόντα τὸν κηδεςὴν ἐπὶ τὰ ἕδνα δόλῳ καταπρήσας, μανεὶς καὶ ὑπὸ θεῶν καθαρθεὶς τὸν φόνον, Ἥρας ὕςερον ἠράσθη. Ζεὺς δὲ βεβλόμενος αὐτὸν δοκιμάσαι εἰ τῷ ὄντι τολμᾷ ποιῆσαι τᾶτο, νεφέλην ἀπεικάσας Ἥρᾳ παρέκλινεν αὐτῷ. ὁ δὲ μιγεὶς τῇ νεφέλῃ ὡσανεὶ τῇ Ἥρᾳ ἔσχε παῖδα Κένταυρον, ἀφ' ὃ τὸ τῶν Κενταύρων γένος. μετὰ δὲ θάνατον ἔλαβε δίκας παῦ αὐτᾶ ὁ Ζεύς, ποιήσας αὐτὸν ἐν τοῖς καταχθονίοις ςρέφεσθ μετὰ πολλῆς βίας ἐπὶ τροχᾶ σιδηροῦ. AD.

θηρσὶν Αἰολικῶς· ἢ φυηρέσιν, ἡρμοσμένοις τὰς φύσεις. L. ᾤκεν δὲ περὶ τὸ Πήλιον καὶ τὴν Οἴτην. τὸ δὲ ἀπώλοντο, ἵνα μὴ ζητῶμεν τὸ γένος αὐτῶν. BL.

ὀρεσκῴοισι: ἀπὸ τῆ κείω, τῆ σημαίνοντος τὸ κοιμῶμαι, γέγονεν ὀρέσκοιος, καὶ ἐκτάσει τῆ ο εἰς ω καὶ μεταθέσει τόνε ὀρεσκῷος. L. κείω κοῖος κῷος ὀρεσικῷος καὶ ὀρεσκῷος. A.

269. μέθ᾽: ἔτως Ἀρίσαρχος τὴν μετά φυλάσσειν τὸν τόνον. A.

ὁμίλεον: ἀκ εἶπεν ἐπεκέρασν ἀδὲ συνεμάχυν· ὁ γὰρ ἂν αὐτοῖς συνεμάχει μὴ ὢν παρόμοιος. BL.

270. τηλόθεν ἐξ-ἀπίης: ὅτι παραλλήλως τηλόθεν ἐξ ἀπίης. οἱ δὲ νεώτεροι ἐξεδέξαντο τὴν Πελοπόννησον. A. τῆς πόρρωθεν ἄσης, ἐκ τῶ ἴημι. B.

καλέσαντο γὰρ αὐτοί: ἐπεὶ ἐνδέχεται τὸν ἄποθεν οἰκοῦντα αὐτεπάγγελτον ἥκειν, δόξης ἕνεκέν φησιν ὅτι μετεπέμψαντο ᾗ ἔτως ἦκεν. BL. τοῦτό φησιν ὅτι καὶ μετάπεμπτος ἦκεν. V.

271. κατ᾽ ἔμ᾽ αὐτόν: ἔτως κατὰ παράθεσιν ἐν δύο τόνοις, ἐμὲ αὐτόν· σύνθετος γὰρ ἀντωνυμία παρὰ τῷ ποιητῇ ἐκ ἔξιν. A.

ὅτι Ζηνόδοτος γράφει κατ᾽ ἐμωυτόν. τὸ δὲ πλῆρες ἐμὲ αὐτόν. A.

κείνοισι δ᾽ ἄν οὔτις: παρεισάγει τὲς πάντας ἠσωμένες αὐτοῖς, ἵνα τῇ συμβολῇ δοκοῖτο ᾗ τῶν κρειττόνων περιγεγενῆθϑ. Πηλέως δὲ ἐκ ἐμνήσθη ὡς Ἀγαμέμνονος φίλος, ᾗ ἵνα μὴ δοκῇ Ἀχιλλέα μᾶλλον ἐλέγχειν, εἴ γε ὁ πατὴρ αὐτῦ τι πέπεισαι, αὐτὸς δὲ οὔ. BLV.

272. μαχέοιτο: ὅτι ἀντὶ τῦ μάχοιτο, οὐ κατὰ διαίρεσιν, ἀλλὰ κατὰ παρένθεσιν τοῦ ε. A.

273. ξύνιεν: ἔτως ἡ Ἀρισάρχειος διὰ τῦ ε, ξύνιεν, ὡς „αὐτὰρ ἐπεὶ κόσμηθεν" (Il. 3, 1). μέμνηται δὲ αὐτῦ ᾗ ἐν τῷ ιζ ὁ Ἡρωδιανός. A.

275. μήτε σὺ τόνδ᾽ ἀγαθός περ ἐών: διὰ τῆς δευτέρας συλλαβῆς δίδωσιν ὑπόνοιαν ὡς ἀδὲ τὸν ἄλλον ἀνϑέτητον ἐάσει. ἤρξατο δὲ ἀπὸ Ἀγαμέμνονος, ὅτι αὐτὸς ἦρξε τῆς ϛάσεως καὶ τὰ δοϑέντα ἀφῃρεῖτο, καὶ μᾶλλον συνήϑης ἦν τῶν ἄλλων τῷ Νέϛορι (διὸ παῤῥησιάζετ᾽), ᾗ διὰ τὸ ϑυμῶδες Ἀχιλλέως. προκαταστέλλει δὲ τὸν ϑυμὸν διὰ τῦ ἀγαθός, ὃ ἐϛι, μὴ ϑελήσῃς ἀνάξια σαυτῦ ποιῆσαι. B.

τόνδ᾽ ἀποαίρεο: ὅτι ἀρχαϊκῶς τόνδ᾽ ἀφαιρῶ, οὐχὶ τοῦδε. A.

276. ἔα: ἐκτατέον τὸ ἄλφα. A.

277. 278. Πηλείδη Θέλ᾽: Ἀρίσαρχος ὀξύνει τὴν δῆ, τὸ πλῆρες λέγων ἐθελε· ἀεὶ γὰρ τὸ ἐθέλω παρὰ τῷ ποιητῇ ἀπὸ τῦ ε ἄρχεται. ἐνταῦθα δὲ διὰ τὸ μέτρον ἀποκοπὴ μὲν τῦ ὀνόματος ἐγένετο, μετάβασις δὲ τῦ ε εἰς η. BL. ὅτι ἐγκεκλιμένως ἀναγνωϑέον, ἵνα διαλυϑῇ εἰς τὸ ἔθελε. A. Ἀρίσαρχος ἀποφαίνεϑ᾽ ὡς κατὰ τὴν Ὁμηρικὴν συνήθειαν τὸ ῥῆμα κατὰ τὸν ἐνεστῶτα ἀπὸ τῦ ε ἄρχεται. ἀλλὰ μὴν καὶ ἡ κίνησις ἡ τῦ παρατατικῦ· „ἀλλ᾽ ὅδ᾽ ἀνὴρ ἐθέλει" (287)· „ἤθελε Μηριόνης" (Il. 10, 229). ᾗ ἐνθάδε ἦν ἄμεινον τῇ συνηθεστέρᾳ ἀναγνώσει προσέχοντας ἐπὶ τὴν δῆ συλλαβὴν ὀξεῖαν παραλαμβάνειν, ἵνα κρῶσις ᾖ τῦ ἐθελε τρισυλλάβε γενομένε, ὡς καὶ σύνηθες ἐϛιν ὁ ποιητής. τὸ μέντοι ῥῆμα τῶν παραλόγων κατὰ τόνον ἐϛὶ τρισύλλαβον ὄν, ὡς δείκνυται ἐν τοῖς περὶ ῥημάτων. A.

ἐριζέμεναι βασιλῆϊ ἀντιβίην: πολλάκις πολλαχῦ ἀγαθὸν ἡ ἔρις· διὸ ἀντιδιαξέλλων ἐπήνεγκε τὸ ἀντιβίην, τὸ μετὰ βίας καὶ φιλονεικίας δηλῶσαι ϑέλων. ἐν γὰρ ταῖς μέσαις τῶν λέξεων τὸ μὲν ἀγαθὸν δίχα ἐπιθέτε φησί, τὸ δὲ φαῦλον μετὰ ἐπιθέτε. καὶ τὸ μὲν ἀγαθόν, ὡς τὸ „δῶκε μένος καὶ ϑάρσος" (Il. 5, 2), τὸ δὲ κακόν „καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε" (Il. 4, 339)· πρόσκειται γὰρ τὸ κακοῖσιν. ἔξι δὲ ᾗ ἄμφω εὑρεῖν ἐν ἑνὶ ϛίχῳ· „ἀλλ᾽ ἐπεὶ ἦν δὴ ἔργα κάκ᾽ ἔμαθεν, ὐκ ἐθελήσει ἔργον ἐποίχεωϑ" (Od. 17, 226)· ἰδοὺ γὰρ τὸ ἔργον χωρὶς ἐκτέθειται. BL.

279. σκηπτοῦχος βασιλεύς: τὰ μὲν Ἀχιλλέως πλεονεκτήματα πλείονα, τὸ δὲ Ἀγαμέμνονος ἕν, ὅπερ δὴ πολυλογῶν ἀντισηκοῖ τοῖς ἄλλοις. AL.

πῶς τῦτο ὁ Νέϛωρ εἴρηκεν; ἆρα δύναταί τις βασιλεῦσαι χωρὶς τῆς τῦ Διὸς βελῆς; ῥητέον ἦν ὅτι καλῶς τοῦτο εἴρηκεν· οὐ γὰρ ἅπαντες παρὰ τῦ Διὸς ἔχεσι τὸ σκῆπτρον ἀδὲ τὴν ἀρχὴν ταύτην, ἀλλὰ μόνοι οἱ ἀγαθοί. εὐλόγως δὲ εἶπεν ὅτι τὸ μὲν ἄρχειν ἀπὸ Διῦ ἐϛιν, ὁ μέντοι ᾗ πᾶς ἄρχων καταθύμιός ἐϛι τῷ Διῒ ὡς παραχρώμενος τῇ ἰδίᾳ ἐπιθυμίᾳ ἀπρεπῶς, τῦ Διὸς παραχωροῦντος αὐτῷ ᾗ ἀφροντιστοῦντος τῦ τοιούτε. BDL.

280. καρτερός: τὰ εἰς τερος τρισύλλαβα βαρύνεται, οἷον σφέτερος πρότερος κύντερος. πῶς οὖν κάρτερος κατὰ βαρεῖαν λέγομεν; ὅτι τῦτο ἐκ ἦν εἰς τερος ἀλλ᾽ εἰς ερος· τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν· ἦν γὰρ ἀπὸ τῦ κράτος. ὡς ἀπὸ τῦ βλάβος βλαβερός ὁ διὰ τῦ βερος ἡ παραγωγή (ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β), οὕτως καὶ ἀπὸ τῦ κράτος κρατερός διὰ τῦ ερος ἡ παραγωγή, ὁ διὰ τῦ τερος. A.

280. 281. ὑποσικτέον ἐπὶ τὸ ἐσσί καὶ μήτηρ, τῦ ἀλλὰ πρὸς μὲν τὴν σύνδεσιν πλεονάζοντος, μόνην δὲ ἐναντίωσιν παρισάντος. δύναϑ᾽ δὲ τὸ μὲν ἐσσί ὑποςίζειν, τὸ δὲ μήτηρ ςίζειν, ἵνα ὁ δέ περισσεύῃ, ἀπ᾽ ἄλλης δὲ ἀρχῆς ἀλλ᾽ ὅδε φέρτερός ἐϛιν. βέλτιον δὲ τὸ πρότερον. A.

281. ἀλλ᾽ ὅδε φέρτερός ἐστι: ὁ γὰρ γενναῖός τις ὢν ἢ εὐσθενὴς τε καὶ εὐγενὴς ἄρξει βασιλέως, τἐναντίον δέ, ἐπειδὴ καὶ ϑείας λήξεως ὁ βασιλεὺς τυγχάνει. BL.

282. αὐτὰρ ἔγωγε: πρὸς δυσώπησιν μὲν ἰδίαν ὁρίζεται χάριν, ὡς ὑπερέχοντα δὲ παρακαλεῖ. ὑψοῖ δὲ καὶ Ἀχιλλέα ὡς δίχα αὐτῦ ὄντων τῶν ἄλλων Ἀχαιῶν. BL.

283. 284. μέγα πᾶσιν ἔρκος: πιθανῶς προσέθηκε τὸ μέγα, ἐπεὶ ἔρκος φησὶ ᾗ τὸν Αἴαντα. BL.

286. ναὶ δὴ ταῦτά γε: καὶ διὰ τί μὴ πείθεται; ἢ ὅτι αἰδούμενοι τὴν πρόληψιν τὰς αἰτίας τοῖς ἥλας ὑπὸ φιλονεικίας τίθεμεν. εἴπομεν δ᾽ ἐν ἀρχῇ ὅσα δηλοῖ τὰ μοῖρα. V.

289. πᾶσι δὲ σημαίνειν: ἴδιον τῶν ϑυμωμένων ἐπανακυκλῶν τὰ αὐτά· ἀδέποτε γὰρ οἴονται ἱκανῶς εἰρηκέναι. καλεῖται δὲ τὸ σχῆμα ἐπιβολή, ἐν μιᾷ περιόδῳ ἀρχὰς πλείας ἐπιφερόμενον. ἔτως ἔχει ᾗ τὸ „ἐν δ᾽ ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ᾽ ὀλοὴ κήρ" (Il. 18, 535). ABL. ἐκτὸς εἰ μὴ τὸ κρατεῖν σημαίνει τὸ νικᾶν, ἄρχειν δὲ τὸ ἀνάϑεσιν, ἐπιτάσσειν δὲ τὸ σημαίνειν. κινεῖ δὲ τῷ Ἀχιλλεῖ φϑ

νον ὡς οὐχ ὑπὲρ τῆς Βρισηΐδος ἀλλ' ὑπὲρ τῆς ἀρχῆς πρὸς αὐτὸν διαφερομένῳ. BL.

οὐ πείσεσθαι ὀΐω: ἱκανὸν ἦθος ἔχει ὁ δισταγμός. B.

τὸ πείσεσθαι ἐνταῦθα ἑρμηνεύεται κατὰ μὲν τὴν πρώτην ἐπιβολήν, ἅτινα (τοῦ τινά πληθυντικῶς ἐκλαμβανομένου καὶ πρὸς τὸ ἃ συναρτωμένου) ἅτινα οὐ πείσεσθαι καὶ σχεῖν καὶ εὑρεῖν τὸν Ἀχιλλέα ὀΐω καὶ οἶμαι. τίνα ταῦτα; τὸ πάντων μὲν κρατέειν, πᾶσι δ' ἀνάσσειν καὶ πᾶσι σημαίνειν. διαφέρει ταῦτα. κρατέειν τὸ κράτος ἔχειν πάντων. καὶ κατὰ τί τοῦτο διαφέρει τοῦ βασιλεύειν; κατὰ τὴν ἐνέργειαν καὶ τὴν πρᾶξιν· πολλάκις γὰρ οἱ βασιλεῖς εἰσὶν ἀνενέργητοι, καὶ οἱ ἐνεργεῖς ἀντὶ τούτων πράττουσιν. οἱ δὲ σημαίνοντες παρὰ τούτους ἄλλοι εἰσίν, οἱ τῇ βουλῇ καὶ τῷ λόγῳ τῶν ἄλλων προηγούμενοι. καὶ τρία ταῦτά εἰσι τὰ μέγιστα, βασιλεία (ἢ καὶ ἐξουσία), καὶ κράτος χειρῶν, καὶ λόγος καὶ βουλή. ταῦτα οὔ φησιν Ἀγαμέμνων πάντα πείσεσθαι τὸν Ἀχιλλέα ἔχειν· ἀδύνατον γάρ φησι τὸν αὐτὸν τοῖς τρισὶ τιμηθῆναι ἐκ θεοῦ· ἄλλῳ γὰρ ἄλλο ἀγαθὸν ἐκ θεοῦ ἀπομεριζόμενον δίδοται, καὶ οὐ πάντα τῷ αὐτῷ. καὶ τοῦτο μὲν κατὰ πρώτην ἐπιβολήν. οἱ δὲ τὸ τινά ἑνικῶς ἐκλαμβάνονται, καὶ λέγουσιν, ἃ οὐκ οἶμαί τινα ἕνα ἄνθρωπον πείσεσθαι καὶ παθεῖν καὶ σχεῖν ἐν ταὐτῷ, ὡς ἄλλῳ ἄλλο διδόμενον παρὰ θεοῦ. ἢ οὕτως· οὐκ οἶμαι τὸν Ἀχιλλέα πείσεσθαι καὶ πείσειν τινὰ ὥστε ἔχειν αὐτὰ τὸν Ἀχιλλέα. τρόπον δέ τινα ἐνταῦθα Ἀγαμέμνων ἑαυτοῦ καὶ Ἀχιλλέως καὶ Νέστορος τὰς ἐκ θεοῦ δωρεὰς διέγραψεν, ὅτι Ἀχιλλεὺς μὲν ἔχει κράτος χειρός, ἐγὼ δὲ βασιλείαν, σὺ δὲ βουλήν· αὐτὸς δὲ ὁ Ἀχιλλεὺς βούλεται καὶ τὰ τρία ἔχειν. L.

290. 291. ὑποστικτέον ἐπὶ τὸ αἰὲν ἐόντες, ἐπὶ δὲ τὸ ὀνείδεα μυθήσασθαι στικτέον· οὐδὲν γὰρ ἐλλείπει, ὡς ᾠήθησάν τινες. ἀναφέρεται δὲ ταῦτα ἐπὶ τὸ „ὔποτ' ἐς πόλεμον" καὶ „ὔτε λόχονδ' ἰέναι" (226). τοῦ δευτέρου οὖν στίχου πευστικῶς ἀναγινωσκομένου γίνεται ὁ λόγος τοιοῦτος· εἰ δὲ πολεμικὸν αὐτὸν ἐποίησαν οἱ θεοί, ἆρα ὀφείλει διὰ τοῦτο ἄλλοις ὀνειδίζειν καὶ κακῶς λέγειν ἡμᾶς τοὺς βασιλεῖς; BL.

ἦθος ὑποφαίνει ὁ λόγος, εἰ κατ' ἐρώτησιν ἐκφέροιτο. BL.

ὅτι συνήθως ἑαυτῷ προθέουσι τὰ ὀνείδη. A.

292. ὑποβλήδην: ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεύς, καὶ μεσολαβήσας καὶ ὑποτεμὼν τὸν Ἀγαμέμνονος λόγον, πρὶν ἢ σιωπήσῃ αὐτὸς εἰπών. L. σύμβολον θυμοῦ μὴ ἀνέχεσθαι ἐξοδικῶς κατηγορίας. B.

293. δειλός: μέγιστον ὄνειδος ἄριστος ὢν οἴεται τὴν δειλίαν. BL.

οὐτιδανός: ὡς πευκεδανός, ληθεδανός. οἱ δέ, οὔτις οὐτιδανός ὡς οὐδάμινος. μέγιστον δὲ ὄνειδος ἡγεῖται τὴν δειλίαν. A.

294. εἰ δὴ σοί: οὕτως ὀρθοτονητέον τὴν ἀντωνυμίαν· ἀντιδιαστολικὴ γάρ ἐστιν. διδάσκει καὶ ἡ γραφὴ διὰ τοῦ σ̄ οὖσα· εἰ γὰρ ἦν ἐγκλιτική, ὁμοίως ἂν ἐγράφετο τῷ „εἰ δή τοι σοῦ πατρός" (Od. 2, 271) καὶ τῷ „καί τοι ἐγὼ συνέριθος" (Od. 6, 32). περὶ δὲ ταύτης τῆς ἀναγνώσεως ἐντελέστερον διαληψόμεθα ἐν τῇ Γ τῆς Ὀδυσσείας (50), ὅταν περὶ τῆς Ὀδυσσείου γραφῆς ἐπιζητῶμεν, πότερον „τοῦ ἕνεκα σοὶ προτέρῳ" ἢ „τοῦ ἕνεκά τοι." A. ὀρθοτονεῖ Ἡρωδιανὸς τὴν σοί· δῆλον γὰρ κἀκ τῆς γραφῆς. εἰ γὰρ ἦν ἐγκλιτική, ἐγράφετο ἂν διὰ τοῦ τ̄. BL.

295. ταῦτ': ταῦτα ἃ ἐμοὶ ἐπιτάττεις. τὸ δὲ ἐμοί διὰ τὴν ἀντιδιαστολὴν τοῦ ἄλλοισιν ὀφείλει ὀρθοτονεῖσθαι. BL.

296. κοινὸν τὸ ἐπιτέλλεο, καὶ ὁ γάρ περισσὸς ὁ ἑξῆς· διὸ ἀθετεῖται. A.

ἔγωγ' ἔτι: ἐὰν μὲν ἔτι, ἠθικῶς, ἐὰν δὲ τί, ἀποφατικῶς λέγει. ἄμεινον δὲ ἔτι διὰ τὸ καὶ τὸ ὀΐω ἠθικὸν εἶναι. BL.

298. οὔτοι ἔγωγε μαχέσσομαι: ἔγνω οὐκ ἐνδόντα Ἀγαμέμνονα, καὶ δὴ αὐτὸς μεγαλοφυῶς εἴκει· πέπεισται γὰρ μετανοήσειν αὐτόν. ἑτοίμως δὲ ἀποδιδοὺς διαβάλλει τὸν μόγις δόντα Χρυσηΐδα ὑπὲρ πάντων. BL. ὁ μὲν τυραννικὸν αὐτόν φησιν, ὁ δὲ τὸ ἐναντίον παύσεσθαί φησιν ὑπεικόμενος. L.

μαχήσομαι: οὕτως διὰ τοῦ η̄ μαχήσομαι, οὐ διὰ τοῦ ε̄σ̄ μαχέσσομαι, καὶ ἡ Μασσαλιωτικὴ καὶ ἡ Ἀργολικὴ καὶ ἡ Σινωπικὴ καὶ ἡ Ἀντιμάχου καὶ ἡ Ἀριστοφάνους. A. ὁ μὲν Ἀρίσταρχος διὰ τοῦ η̄ γράφει, ὁ δὲ Ἡρακλέων τὰ μὲν ὀνόματα διὰ τοῦ η̄, ὡς τὸ „μαχητὴς Τυδεύς" (Il. 5, 801), τὰ δὲ ῥήματα διὰ τοῦ ε̄ καὶ τῶν δύο σ̄σ̄, ὡς τὸ „Σολύμοισι μαχέσσατο" (Il. 6, 148)· ὃ καὶ ἄμεινον. BL.

299. οὔτε τῳ ἄλλῳ: ἵνα μὴ νομισθῇ πρὸς ἕνα μόνον ἀξιόχρεως εἶναι μάχεσθαι. ἢ ὡς κοινωνοὺς τῆς ὕβρεως τοὺς Ἕλληνας συμπεριείληφεν, οὐκ ἐπαμύνοντας αὐτῷ στερουμένῳ τῆς δωρεᾶς, καὶ πρὸς τὸ μὴ δοκεῖν βίᾳ ἀλλ' ἐθελοντὴς δεδωκέναι. B.

τὸ τ̄ω̄ σημαίνει πέντε, ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον αἰτιολογικὸν καὶ ῥῆμα. ὄνομα μὲν οὕτως „οὔτε σοὶ οὔτε τῳ ἄλλῳ·" ἔστι γὰρ ἀντὶ τοῦ τινί. ῥῆμα δέ, οἷον „Κύκλωψ τῇ, πίε οἶνον" (Od. 9, 347)· ἔστι γὰρ τὸ θέμα τῶ. (ἔστι γὰρ τὸ τῇ ἀντὶ τοῦ λαβέ. BDL.) ἄρθρον δὲ οὕτως „ἤτοι μὲν τά γ' ὄπισθε Μαχάονι πάντα ἔοικε τῷ Ἀσκληπιάδῃ" (Il. 11, 613). ἀντωνυμίαν δέ, ὡς ἐν τῷ „τῷ μιν ἐεισάμενος" (Il. 2, 22). σύνδεσμον δὲ αἰτιολογικὸν οὕτως „τῷ σε καὶ οὐ δύναμαι" (Od. 13, 351)· ἔστι γὰρ διό. ABDL. καὶ ὅταν μὲν ἄρθρον σημαίνῃ ἑνικὸν μόνης δοτικῆς πτώσεως, περισπᾶται, δυϊκὸν δὲ εὐθείας καὶ αἰτιατικῆς βαρύνεται. BDL.

ἐπεί μ' ἀφέλεσθέ γε δόντες: ἐπειδὴ δεδωκότες μοι αὐτὴν ἀφείλεσθε καὶ ὑβρίσατε ἑαυτούς, οὐκ ἐμέ. D.

ὅτι Ζηνόδοτος γράφει ἐπεί ῥ' ἐθέλεις ἀφελέσθαι. ἔργῳ δὲ κοινωνεῖ εἰς ἅπαντας. τὴν αἰτίαν τῆς ἀφαιρέσεως ἀγνοῶν. A.

300. τῶν δ' ἄλλων: διὰ τί ὁ Ἀχιλλεὺς τὴν μὲν Βρισηΐδα φησὶ δώσειν „χερσὶ μὲν οὔτι ἔγωγε μαχέσσομαι εἵνεκα κούρης," „τῶν δ' ἄλλων ἃ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ" οὐδὲν προΐεσθαί φησιν ἄνευ πολέμου, καίτοι περὶ τὴν Βρισηΐδα τῶν ἄλλων μᾶλλον σπουδάζων; ῥητέον οὖν ὅτι ὅπως μὴ ἀκρατὴς εἶναι δοκῇ, ἀποδοῦναι, εἰ καὶ πλείω τῶν ἄλλων, ὧν φησὶ φείδεσθαι, προσίετο· καὶ ὅτι νόμος ἦν τῷ βασιλεῖ ἐξαιρεῖσθαι τὰ πρῶτα. ἐγένετο δ' ἂν πάντα τὰ τῶν αἰχμαλωτίδων ἀναδάσιμα τῆς Χρυσηΐδος ἀποδοθείσης, ὥστε πα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρηνόμει μὴ δὲς τὴν αἱρεθεῖσαν ὑπὸ τῶ βασιλέως. ἐξῆν γὰρ αὐτῷ ὅτι βέλοιτο λαβεῖν· διό φησιν „ἢ τεὸν ἢ Αἴαντος ἢ Ὀδυσῆος," καὶ πάλιν „αὐτὰρ ἐμοὶ γέρας." ὥσπερ εἰς μὲν τὸ τῶν αἰχμαλωτίδων ἀναγκαῖον ἦν εἰκειν· τῶν δὲ ἄλλων εἴ τι ἐλάμβανεν, ὡς ὑβρίζοντι ἐκ ἐπέτρεπεν. οὔτε γὰρ ἀδικεῖν δεῖ ἔτε ἀδικεῖσθαι· τὸ μὲν γὰρ πονηρίας ἐστί, τὸ δὲ ἀνανδρίας. BL.

301. ἀνελών: ἓν ἐστὶ τὸ ἀνελών. A. ὑφ' ἓν τὸ ἀνελών· προείρηται γὰρ „ἐκ ἄν τι φέροις." Ἀττικοὶ δὲ περισσάκις ἐχρῶντο τῷ ἄν. BL.

ἀέκοντος: δασυντέον τὸ ἀέκοντος· κατὰ ζέρησιν γάρ ἐστι τὸ ᾱ. B.

302. εἰ δ' ἄγε μήν, πείρησαι: προπαροξυτονητέον τὸ πείρησαι, ἵνα ᾖ προστακτικόν, ὡς τὸ „σὺ δὲ φράσαι" (83), καίτοι πολλάκις τῶν τοιούτων τὸν τόνον ἐχόντων τῶν ἀπαρεμφάτων, λέγω δὲ τῶν εἰς ᾶι ληγόντων· „ἀλλά με κακκείαι σὺν τεύχεσι" „τῇ δὲ τόδε κρήδεμνον ὑπὸ ζέρνοιο τανύσσαι" (Od. 5, 346). ἐμέντοι τὸ τοιῦτο διηνεκές· ἔστι γὰρ ἃ καὶ ἐφύλαξαν τὸν ἴδιον τόνον· „ἀλλὰ σὺ μὲν κατάλεξαι" (Od. 19, 44) καὶ „νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι" (Il. 22, 285). καὶ τὸ τοιῦτο δόξει ἄν, ὅτι ἐπὶ τινῶν μὲν ἤλλαξαν τὸς τόνους, ἐπὶ τινῶν δ' ὄ. ἐνθάδε μέντοι κατὰ λόγον δοκεῖ ἡ προστακτικὴ ἀνάγνωσις κεῖσθαι· εἰ γὰρ πρόκειται τὸ ἄγε παρακελευσικὸν ἐπίρρημα, ὅπερ σημεῖόν ἐστι προστακτικῆς ἐγκλίσεως, οἰκείως καὶ τὰ τῆς ἀναγνώσεως ἐνεγένετο, ἄγε πείρησαι, ὡς καὶ ἐν ἑτέροις „δεῦρ' ἄγε καὶ σὺ ξεῖνε πείρησαι ἀέθλων" (Od. 8, 145). A. προπαροξύνεται· προστακτικὸν γάρ ἐστιν ὡς τὸ „σὺ δὲ φράσαι" (83). B.

303. αἶψα: ἐκ τῶ ἵπτω τὸ βλάπτω, ἴψω ἶψα, καὶ μετὰ τῶ ζερητικῶ ᾱ ἄϊψα, καὶ συναιρέσει αἶψα ἐπίρρημα· τὸ γὰρ ἀνεμπόδιζον ταχέως γίνεται. BL.

ἐρωήσει: παρὰ τὴν ἐρωήν, ἤτοι ὁρμήσει. ἐναργῶς δὲ πέφανται τὸ περὶ τὸ δόρυ μεθ' ὁρμῆς ἐκχεόμενον αἷμα. καὶ ταύτας ἐμψύχους ἔλεγεν εἶναι παρ' αὐτῷ λέξεις Ἀριστοτέλης. BL.

304. ὣς τώ γ': ὁ τρόπος παραγραφή· μετιὼν γὰρ ἐπὶ ἑτέραν διήγησιν τούτῳ χρῆται. BL.

μαχεσσαμένω: καὶ τοῦτο ὁμοίως τῷ προκειμένῳ διὰ τῆ ᾱ ἀξιοῖ Ἀρίσαρχος, ἵνα ᾖ μαχησαμένω. A.

305. ἀνσήτην: ὥσπερ ἀναχεθέειν ἀνχεθέειν, ἔτως ἀνασήτην ἀνσήτην. BL.

ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν: δύναταί τις διαζέλλειν βραχὺ ἐπὶ τὸ νηυσίν, ἵν' ᾖ τὸ ἐξῆς ἀγορὴν Ἀχαιῶν. A.

307. Μενοιτιάδη: ὅτι εἰπὼν τὸ πατρωνυμικὸν παρέλιπε τὸ κύριον. A.

εἰκότως τῷ Ἀχιλλεῖ θυμικῷ ὄντι ἤπιος ὢν Πάτροκλος πάρεσι πρὸς τὸν θυμὸν αὐτῆ μαλάσσειν. ὅτι δὲ πρᾶός ἐστι, δῆλον ἐξ ὧν οἰκτείρει τὸς Ἀχαιές· Εὐρύπυλον μὲν γὰ ἰᾶται, καὶ περὶ τῶν λοιπῶν Ἀχιλλεῖ παρακλαίει. καὶ Μενέλαος περὶ αὐτῆ φησὶ „νῦν τις ἐνηείης Πατροκλῆος" (Il. 17, 670). κατ' ἐξοχὴν δὲ ἰδιαζόντως εἶπε περὶ αὐτῆ καὶ νῦν, ἵνα ἀξιόχρεως ᾖ, ὅταν τελευταῖον αὐτὸν εἰς τὴν μάχην ἐγείρῃ. BL.

308. Ἀτρεΐδης δ' ἄρα: αὐτεπαγγέλτως ἔχουσι τὰς ἐννοίας οἱ ςίχοι, ὧν ἀφελών τι ἢ προσθεὶς μᾶλλον ἀδικήσεις. δῆλον δὲ ὅτι ἐκ ἐθαλάσσευόν τινες τῶν νεῶν, ἐπεὶ τίς χρεία νεᾶλκίας; ἔστι δὲ ὁμοιοτέλευτον τὸ χῆμα· προέρυσσεν, ἔκρινεν, βῆσεν, εἶσεν. BL.

309. ἐς δ' ἐρέτας: διὰ τῆ ν Ἀρίσαρχος, ἐν δ' ἐρέτας. A.

311. εἶσεν ἄγων: ἀναγαγὼν τὴν Χρυσηΐδα εἶσεν. ὃ μετὰ δώρων δὲ μὴ διδὲς αὐτὴν μετὰ προσθήκης ἀποδίδωσιν, ἐξυπηρετούμενος πρὸς δυσώπησιν τῆ θεᾶ. BL.

312. κέλευθα: παρὰ τὸ ἐλεύθω. ἔστι δὲ ὡς τὸ δίφρα λύχνα· γίνεται γὰρ μεταβολὴ γένες· ἀντὶ γὰρ θηλυκῶν τὰ ἀδέτερα εἶπεν. A.

γίνεται μεταβολὴ γένες εἰς ἕτερον γένος, ὡς ἀπὸ τῆ τραχήλου τὸ τράχηλον, ἔνθα πληθυντικὸν παρὰ Καλλιμάχῳ (fr. 98) τὰ τράχηλα γυμνάζειν. καὶ λύχνος λύχνα, δίφρος δίφρα, καὶ ἀπὸ τῆ ἐρετμός τὸ ἐρετμόν. Τάρταρος ἀρσενικῶς, καὶ κατὰ μεταβολὴν ἡ Τάρταρος παρὰ Πινδάρῳ (Pyth. 1, 15) „ὥς ἐν αἰνᾷ Ταρτάρῳ," καὶ ἀδέτερον τὸ Τάρταρον· Ἡσίοδος (Th. 119) „Τάρταρά τ' ἠερόεντα." τοιῦτόν ἐστι καὶ τὸ ὑγρὰ κέλευθα. A.

τὰς ὁδές. ὡς ἀπὸ τῆ δίφρος δίφρα, ἔτως ἀπὸ τοῦ κέλευθος κέλευθα· καὶ ἔστι μεταβολὴ γένες. διὰ τί δὲ μὴ καθαροὺς ἐκπέμπει; ὅτι προὐργιαιτέρα τῷ θεῷ ἡ ἀπόδοσις. ψυχαγωγεῖ δὲ διὰ τάτε καὶ τὸ πλῆθος, ὡς ἤδη καθαρθέντες εἶεν διὰ τὴν τοιαύτην ἀπόδοσιν. BL.

314. οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματα βάλλον: ἀπεκαθαίροντο καὶ εἰς τὴν θάλατταν τὰ περιττώματα καὶ καθάρματα ἔβαλλον. Ἰακῶς δέ ἐστι τὸ βάλλον, κατὰ ἀποκοπήν· τὸ δὲ ὄνομά ἐστιν ὁλόκληρον. BL.

τὰ περιττώματα εἰς τὴν ἀπερίττην θάλατταν βάλλεσι. φύσει γὰρ τὸ ὕδωρ τῆς θαλάσσης καθαρτικόν. καὶ Εὐριπίδης „θάλασσα κλύζει πάντ' ἀνθρώπων κακά" (Iph. Taur. 1193). A.

316. παρὰ θῖν': ἢ παρὰ τὸ ἔξω δηλοῖ, ὥσπερ καὶ παραπλεῖν τὸ ἔξω πλέειν. αἰγιαλὸς μὲν ἓν κοινῷ εἰρῆ ὀνόματι, ἔστι παρὰ τὸ αἶαν ἠγνὺς ἁλὸς ἔχειν· ἔχει δὲ διαφορὰς τρεῖς, ἀκτὴν ῥηγμῖνα καὶ θῖνα. ἀκτὴ μὲν ἓν εἴρηται ὁ πετρώδης αἰγιαλός, παρὰ τὸ ἄγεσθ καὶ κλᾶσθ ἐκεῖ τὰ κύματα· ῥηγμὶν δὲ ὁ πρὸς ἄνεμον αἰγιαλός, παρὰ τὸ ῥήσσεσθ ἐκεῖ τὰ κύματα· θὶν δὲ ὁ ἔνδιος καὶ ἡσύχιος αἰγιαλός, παρὰ τὸ μετὰ γαλήνης καὶ νηνεμίας ἐκεῖ τὰ κύματα ἀποτίθεσθαι. L.

ἀξιοπρεπὴς ἡ παρὰ τὸν αἰγιαλὸν θέα. μεγαλοφυεῖς δὲ καὶ αἱ ἐπιτελόμεναι θυσίαι· τοῦτο γὰρ δηλοῖ τὸ τελησάσας. BL.

ἀτρυγέτοιο: τῆς ἀκάρπε, ἢ τῆς ἀκαταπονήτε, ἢ τῆς ἐχέσης πολλὴν τρύγα ἤτοι ὑποσαθμήν. L.

317. κνίση δ' οὐρανὸν ἶκεν: δοκεῖ ἡ λέξις τέσσαρα σημαίνειν, ὡς καὶ τῷ Πορφυρίῳ δοκεῖ, αὐτό τε τὸ λίπος καὶ τὸν ἐπίπλεν καὶ τὸ κρέας καὶ τὴν ἀναθυμίασιν, ὅπερ νῦν φησίν· ἔστι δὲ παρὰ τὸ κνίσω. ὑπ' ὄψιν δ' ἤγαγεν ἅμα τῷ μέλανι τῇ καπνῇ συναναμισγομένην τὴν λευκότητα τῆς πιμελῆς φανταςικῶς. ἀπὸ ἓν τῷ κνίσω μέλλοντος γέγονε· πλεῖστοι

γ᾽ ὀνόματα ἀπὸ μελλόντων γέγονεν, οἷον ἄψω ἀψίς, λέξω λέξις, δόξω δόξα, ἄξω ἄξα καὶ ἄμαξα. ἔτως ἓν καὶ κνίσω κνῖσα. εἰ δέ τις εἴποι ὅτι πόθεν δῆλον ὅτι δίφθογγον οὐκ ἔχει, φαμὲν ὅτι κνίζω ἐξὶ καὶ ἔχει τὸ ῑ· τὰ γ᾽ διὰ τῆ ῐ̄ζω τὸ ῑ μόνον ἔχουσι. τὸ δὲ κνισμός ὁμοίως ἐκ τῆ κνίζω, κνίσω κνισμός ὡς λογίσω λογισμός. τὸ κνίσα καὶ τὸ ῑ καὶ τὸ ᾱ βραχύ, καὶ τὸ μὲν ῑ, ἐπειδὴ τὰ διὰ τῆ ῐ̄ζω τὸ ῑ βραχὺ ἔχει, τὸ δὲ ᾱ, ἐπειδὴ τὰ εἰς ᾱ θηλυκά, ἀπὸ μελλόντων ἢ ἐνεστώτων γινόμενα, βραχὺ ἔχει τὸ ᾱ, δόξω δόξα, ἄξω ἄξα καὶ ἄμαξα, μῶ μῶσα καὶ μῆσα. ἐκτέταται δὲ ποιητικῶς τὰ δύο· „κνίσῃ δ᾽ ἐρανὸν ἴκεν." ABL.

320. Εὐρυβάτην: ὅτι καὶ ἕτερος Εὐρυβάτης, Ὀδυσσέως κῆρυξ (Il. 2, 184). ἡ δὲ ἀναφορὰ πρὸς τὸν Πυλαιμένην (Il. 5, 576). A.

321. ὀτρηροί: ὀτρηρὸς ὁ ἐνεργός, ὁ μὴ ἀναμένων παροτρυνθῆναι παρά τινος. γέγονε δὲ παρὰ τὸ τρέω τὸ σημαῖνον τὸ φοβοῦμαι ὄνομα ῥηματικὸν τρεερός, ὡς φαίνω φανερός, καὶ κατὰ κρᾶσιν τῶν δύο ῎ε εἰς η τρηρός ὁ δειλός (ἐξ ἧ καὶ τρήρων παρωνύμως), καὶ μετὰ τῆ ερητικῆ ᾱ ἀτρηρός ὁ δραστικὸς καὶ μὴ δειλός, καὶ μεταβολῇ τῆ ᾱ εἰς ῡ ὀτρηρός. ἢ παρὰ τὸ ὄρω τὸ ὁρμῶ. θεράποντες δὲ οἱ τὰς κρείσσονας δι᾽ ὠφέλειαν θεραπεύοντες, ὡς Ἐτεωνεὺς καὶ Μηριόνης. ὁμωνύμως δὲ καὶ οἱ δῆλοι θεράποντες καλῶνται. ABL.

322. ἔρχεσθον κλισίην: ὑβριστικὸν τῶτο· ἐ γ᾽ ἐντυχεῖν Ἀχιλλεῖ κελεύει, ἀλλ᾽ ὡς ἑαυτῆ ἔσαν (ὡς κενῆς ἔσης τῆς σκηνῆς VL) ἄγειν. βασιλικὸν δὲ καὶ τὸ ἀπόλυτον τῆς φράσεως, καὶ τὸ δι᾽ ἄλλων πειρᾶσθαι, καὶ ἔτως ἐπιχειρεῖν. BLV.

κικτέον κατὰ τὸ τέλος τῆ σίχω· αὐτοτελὴς γ᾽ ὁ λόγος, καὶ ὁ ἑξῆς ὁμοίως. τὸ δὲ ἀγέμεν ἀντὶ προστακτικῆ τῆ ἄγε. A.

323. χειρὸς ἑλόντ᾽ ἀγέμεν: ὅτι χειρὸς ἑλόντε ἄγειν Ἀρισόνικος, ἵνα τὸ δυϊκὸν εὔδηλον ᾖ· ἀμφίβολον γ᾽ ἔσαι, ἐὰν κατὰ συναλοιφὴν ἀναγινώσκωμεν. A.

324. 325. δώῃσιν — ἕλωμαι: δώῃσιν ἀπὸ τῆ δώω, ἐπεὶ δύο δεῖ λαμβάνειν τὰς ἐπεκτάσεις, ἑάν ἐσιν ἀπὸ τοῦ δῶ, τό τε η καὶ τὴν σι συλλαβήν. AB.

πρὸς τὸ χῆμα, ὅτι ἕλωμαι ἀντὶ τοῦ ἑλῆμαι ἢ ἑλοίμην. ὑποσικτέον δὲ εἰς τὸ δώῃσι, σικτέον δὲ ἐπὶ τὸ πλεόνεσσι, ἵνα ὁ δέ περιττεύῃ. BL.

325. τὸ σὺν πλεόνεσσιν ἐ τῷ ἐλθών συντακτέον ἀλλὰ τῷ ἕλωμαι, ἵν᾽ ᾖ μετὰ πολλῶν καὶ ἄλλων κτημάτων αὐτὴν ἀφαιρήσομαι. D.

τό οἱ καὶ ῥίγιον ἔσαι: δύναται ὑπερβατὸν εἶναι· καὶ τῆτο αὐτῷ ῥίγιον ἔσαι. A.

βδελυρώτερον τὸ ἐπὶ πλειόνων ἀχημονεῖν· „πάντες δέ με πεφρίκασιν" (Il. 24, 775) ἀντὶ τῆ βδελύσσονται. BL.

326. πρόϊεν: ἀπὸ τῆ ἴω περισπωμένε. τὸ δὲ ἐπέτελλεν ἀντὶ τῆ συνεχῶς ἐπέταττεν. BL.

327. τὼ δ᾽ ἀέκοντε: εἰκότως· καὶ τὸν Ἀγαμέμνονα γ᾽ δεδοίκασι, καὶ πρὸς ὃν ἀποξέλλονται. BL.

329. παρά τε κλισίῃ: πλησίον τῆς σκηνῆς. BL.

νηῒ μελαίνῃ: διὰ τῆς μελαίνης νηὸς τὸ σκυθρωπὸν τῆς ἕδρας δηλοῖ. BL.

330. οὐδ᾽ ἄρα τώ γε ἰδὼν γήθησεν: ὅτι ἐκ τοῦ ἐναντίε τὸ ἐναντίον ἀκεξέον· ἐκ ἐγήθησεν ἀλλ᾽ ἐλυπήθη. A.

μεμετρημένη ἡ διάθεσις, οὔτε πλέον λυπεμένε, ἄγενὲς γάρ, ἔτε ἧττον, ἀσυμπαθὲς γάρ. εὖ δὲ τὸ αἰδεσθῆναι, καὶ μάλιστα τὲς ἐπὶ τοιαύτην χρείαν ἐληλυθότας. δύο δὲ ταῦτα συμβαίνειν περὶ τὲς χρησὲς ὁ ποιητὴς ἀεί, αἰδὼ καὶ φόβον, δηλοῖ· „αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε" (Il. 3, 172). τὸ δὲ ταρβήσαντε διὰ τὴν ξιφελκίαν. BL.

331. αἰδομένω: παρὰ τὸ αἰδῶ. οἰδὲ δὲ καὶ τὸ αἰδῶ· „ἀλλήλες τ᾽ αἰδεῖσθε" (Il. 5, 530). V.

332. οὐδέ τι: διὰ τῆ ῑ, ἐδέ τι, καὶ ἡ Κύπριος. A.

τὸ μὲν γ᾽ εἰπεῖν τι παροξυντικόν, τὸ δὲ θωπεῦσαι δελοπρεπές. πρῶτος δὲ Ὅμηρος πρόσωπα κωφὰ παρήγαγεν εἰς τὴν τραγῳδίαν. ABL.

334. κικτέον κατὰ τὸ τέλος τῆ σίχθ, καὶ βραχὺ διαζευκτέον ἐπὶ τῆ ἐπαίτιοι· ὡς γ᾽ ἀγγέλες σεμνύνων αὐτὲς εἶπεν. A.

Διὸς ἄγγελοι: ἄσυλον γ᾽ καὶ θεῖον τὸ γένος τῶν κηρύκων. Ἑρμῆς γ᾽ μιγεὶς Πανδρόσῳ τῇ Κέκροπος θυγατρὶ ἔσχε παῖδα ὀνόματι Κήρυκα, ἀφ᾽ ἑ τὸ τῶν κηρύκων γένος, ὡς ἱστορεῖ Πτολεμαῖος. A.

ἢ ὅτι τὰς ἑορτὰς αὐτῆ ἀγγέλλεσιν, ἢ ὅτι ἀπὸ Ἑρμῆ εἰσίν, ὃς ἄγγελος Διός. καλῶς δὲ ἐκ Ἀγαμέμνονος ἔφη, ἀλλὰ ἀνδρῶν καὶ Διός, οἷς δικαίως ὑπηρετᾶσι· τάτῳ γ᾽ ἀδίκως. κοινὸς δὲ ὁ νόμος μὴ ἀδικεῖαθ κήρυκα· ἱεροὶ γ᾽ ἔτοι καὶ τὰς θυσίας προετοιμάζοντες. BL.

335. ἄσσον ἴτ᾽: διὰ χήματος ἐδήλωσεν ὡς τῷ δέει ἐ προέκοψαν. τιμήσαντες ἂν ἀντιτιμῶνται. BL.

ὔμμες: ἔτως ψιλωτέον τὸ ῡ τῆ ὕμμες· ἡ γ᾽ λέξις Αἰολική. ἐπιμαρτυρεῖ καὶ ἡ συναλοιφή „αἴ κ᾽ ὔμμιν ὑπερχῇ χεῖρα Κρονίων" (Il. 4, 249). ABL.

ὔμμες ἐπαίτιοι: πεπαιδευμένως· ἐ γ᾽ δεῖ τὰς αἰτίας ἐφ᾽ ἑτέρες μετάγειν, ὡς κύνα κατὰ τῆ βεβλημένε λίθε. ABL.

336. ὃ σφῶϊ: διὰ τοῦ ἑνὸς σ ὃ σφῶϊ, ὁμοίως τῷ „καὶ Θώρηχ᾽, ὃ γὰρ ἦν οἱ" (Il. 18, 460). ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν̄, ὃ σφῶϊν. τῆτο δὲ σημαίνει ὑμῶν ἢ ὑμῖν, ὧν οὐδὲν ἁρμόζει τῷ λόγῳ, ἀλλὰ τὸ ὑμᾶς. AL.

337. Πατρόκλεις: ἀντὶ τῆ Πάτροκλε. ἐχημάτισαι γ᾽ τὸ ὄνομα οὐκ ἀπὸ τῆς Πάτροκλος εὐθείας, ἀλλ᾽ ἀπὸ τῆς Πατροκλῆς ὡς Ἡρακλῆς. A.

ἐξαίρει πάλιν τὸ πρόσωπον· τοῖς γὰρ τῶν φίλων γνησιωτάτοις εἰώθαμεν πιστεύειν τὰ γύναια. BL.

338. μάρτυροι ἔσων: μαρτυρεῖν αὐτὲς ἐγκελεύεθ, ὅπως μὴ δοκῇ προδότης εἶναι ὑπερορῶν τὲς Ἀχαιὲς ἀναιρεμένες. τὰ δὲ ἄλλα ἐκ ἄπτεθ Ἀγαμέμνονος, ὅπως μὴ δοκῇ μικροψυχεῖν ἐπὶ τῇ ἀφαιρέσει. BL.

340. καὶ πρὸς τοῦ βασιλῆος: ἵνα ἐγκαλέμενος καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων καὶ ὑπὸ Ἀγαμέμνονος, εὔλογον ἔχῃ τὴν ἀφορμὴν τῆς ἀπηνείας ἕνεκεν. ἐμφατικῶς δὲ τὸ θυμῶδες καὶ λυσσῶδες καὶ ἄλογον τῆς παραπληξίας αὐτῆ παρέσησεν. μάρτυρας ἓν τέτες ἔξω τῆς αὐτῆ ἀνοίας, ὅτι οὐδὲ σρατιᾶς οἶδε προνοῆσαι. L.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρότερον τῶν Πυθαγορικῶν Ὅμηρος μίσην ἀνθρώπου καὶ θεᾶ φύσιν ἀνθρωπίνην τέθεικεν. τὸν μὲν γὰ ἁπλῶς ἄνθρωπον τᾶ βασιλέως κατ' ἀμφότερά φησιν ἐλάττονα, καίπερ ἀνθρώπᾳ καὶ αὐτᾶ ὄντος· θεᾶ δὲ ἥττονα τὸν βασιλέα εἶναί φησι διὰ τὸ φθαρτόν. Ἄλλως. οἱ Πυθαγόρειοι κατὰ θεὸν ἢ κατὰ ἀνθρώπειον γένος ὅλον τρίτον ἐτίθεντο σεβάσμιον τὸν βασιλέα ἢ σοφὸν ἄνδρα, Ὁμήρᾳ πρώτου μεταξὺ θεῶν τε καὶ ἀνθρώπων ὄντος τὸν βασιλέα, καὶ πάλιν τὸν βασιλέα προτιμῶντα ποιήσαντος αὐτᾶ τὸν σοφὸν ἄνδρα. καὶ περὶ μὲν τᾶ βασιλέως τοιαῦτα λέγει· τὸ δὲ ἀπηνέος προσέθηκε διὰ τὴν ὀργήν. αὐτὸς δὲ ὁ βασιλεὺς ἐ μεταπέμπεται Νέζορα σκοπέμενον περὶ τῶν συμφερόντων, ἀλλ' αὐτὸς ἄπεισιν· „ἦδε δέ οἱ κατὰ θυμὸν ἀρίζη φαίνετο βαλή, Νέζορ' ἔπι πρῶτον Νηλήϊον ἐλθέμεν ἀνδρῶν" (Il. 10, 17). παρ' Ἰνδοῖς τε τὲς Βραχμᾶνας, οἵ πέρ εἰσι παρ' αὐτοῖς οἱ φιλόσοφοι, λόγος τὲς βασιλέας ἀπαντῶντας προσκυνεῖν BL.

ἀπηνέος: Σέλευκος ἐν τᾷ πολυσίχῳ γράφει ἀναιδέος· εὐεπίφορον γὰ εἶναι τὸν Ἀχιλλέα εἰς τὸ ἀναιδῆ καλεῖν τὸν Ἀγαμέμνονα· „αἰὲν ἀναίδειαν ἐπιειμένε, κερδαλεόφρον" (149). ἀπηνῆ δὲ καλεῖ τὸν Ἀγαμέμνονα διὰ τὰ εἰς αὐτὸν πεπραγμένα. διαζαλτέον δὲ μετὰ τὸ ἀπηνέος. A.

ἡ διπλῆ δέ, ὅτι τὸ ἄρθρον μετάκειτ· ἔδει δὲ καὶ παρὰ τοῦ βασιλῆος. καὶ ἄνω (11) κατὰ τὸ „ἕνεκα τὸν Χρύσην ἠτίμασ' ἀρητῆρα". A.

εἴ ποτε: καλῶς ἐκ εἶπεν ὁπότε· νεμεσητὸν γὰ ἦν. A.

341. χρειὼ: ὄνομά ἐστιν ὡς Κλειώ· ἢ γὰ χρειοῖ ἀναγκαίᾳ (Il. 8, 57) ὡς Κλειοῖ. ABL.

ἀεικέα: τὸ δὲ ἀεικέα τὸν ὑβριστικόν· „ἀεικίζει μενεαίνων" (Il. 24, 54). BL.

342. ὁλοιῇσι: πλεονασμῷ τᾶ ι̃. A.

343. νοῆσαι ἅμα πρόσσω: διαζαλτέον ἐπὶ τὸ ὀπίσσω, ἴσως δὲ ἢ ἐπὶ τὸ νοῆσαι, ἵν' ᾖ ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο ἅμα πρόσσω ἢ ὀπίσσω, καὶ νῦν ἢ ὕστερον. ἢ καὶ ἕτερος, ἐκ τῶν ἔμπροσθεν ζοχάσαιτο τὰ ὕστερα. ἢ ἐν ἀμφιβολίᾳ· κἀν τῇ Γ (109) ἐστὶν „οἵ δ' ὁ γέρων μετέῃσιν ἅμα πρόσσω καὶ ὀπίσσω." A.

δεῖ γὰ τὸν ὅλως ἔχοντα γνῶσιν μὴ τὰ παρόντα μόνον σκοπεῖν, ἀλλὰ καὶ τὰ μέλλοντα ἢ τὰ ἀποβησόμενα. μέγιζον δὲ τᾶτο πρὸς κατηγορίαν ἡ ἀπρονοησία καὶ τῷ ψιλῷ ἀνθρώπῳ, ὡς πέ φησι „νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες" (Od. 21, 85). BL.

344. μαχέοιντο: μάχοιντο. πλεονασμὸς δέ ἐστι τᾶ ι̃. B.

345. Πάτροκλος δὲ: τὶ ἦπιον αὐτᾶ διὰ τῆς σιωπῆς τῆς νῦν κἀν ὅλῃ τῇ στάσει καὶ τῷ μηνιθμῷ δεικνύει. καὶ νῦν δὲ ἐ φθέγγεται, ἵνα μὴ ᾖ παροξυντικός. BL.

346. καλλιπάρῃον: εὔκαιρον τὸ ἐπίθετον, τὴν τοῦ ἐρῶντας διάθεσιν ἐμφαῖνον τῷ δηλᾶν οἵας ἐρᾷ. BL.

347. τὼ δ' αὖτις ἴτην: ἅτε γὰ ἐπαινεῖν ἅτε ψέγειν εἶχον τὸ λεχθέν. οὐ λαβόμενοι δὲ τῆς χειρὸς ἦγον, ὡς προσετάχθησαν. BL.

348. ἀέκεσα: ἔζι γὰ φίλανδρος, ὡς ὁ τρόπος αὐτῆς δηλοῖ, ἢ ταύτην δευτέραν αἰχμαλωσίαν ὁρίζεται. διὰ μιᾶς δὲ λέξεως ὁλόκληρον ἡμῖν τᾶ προσώπᾳ τὸ ἦθος νοεῖν καταλέλοιπεν. BL.

349. δακρύσας: βραχὺ διαζαλτέον ἐπὶ τὸ δακρύσας· μᾶλλον γὰρ σαφηνίζει τὰ πράγματα. A.

ἕτοιμον τὸ ἡρωϊκὸν πρὸς δάκρυα. καὶ Ὀδυσσεὺς „ὡς δὲ γυνὴ κλαίῃσι" (Od. 8, 523). καὶ ἡ παροιμία „ἀεὶ δ' ἀριδάκρυες ἀνέρες ἐσθλοί." ἄλλως τε καὶ φιλότιμος ὢν ἀνιᾶται τῇ ἥβρει· παλαιᾶς τε γὰρ συνηθείας ζέρει, ἢ τὸ γύναιον ἀκεσίως ἀπαλλαττόμενον ἐλεεῖ. ἄκρως δὲ ἐρῶντα χαρακτηρίζει· ἔτοι γὰ ταῖς ἐρημίαις ἥδονται, ἵνα τῷ πάθει σχολάζωσιν ὑπὸ μηδενὸς ὀχλούμενοι. τὸ δὲ νόσφι, ὅπως μὴ γνώριμον τοῖς ἑτέροις ᾖ τὸ πρὸς τὴν μητέρα ἐντύχημα (ὅπως μὴ γελῷτο παρὰ τῶν ἑταίρων, ἢ πρὸς τὴν διάλεξιν τῆς μητρός V). τὸ δὲ ἄφαρ δηλοῖ καὶ τὸ ἔπειτα· „τό κεν ἦμιν ἄφαρ πολὺ λώϊον" (Od. 2, 169?). BLV.

350. θῖν' ἐφ' ἁλὸς πολιῆς, ὁρόων ἐπὶ οἰνοπα πόντον: οἰκεῖον τᾷ θινὶ τὸ πολιόν, τῷ δὲ πόντῳ τὸ ἄπειρον καὶ τὸ οἰνοψ. BL.

ἐπ' ἀπείρονα πόντον: οὕτως ἀπείρονα, ἐκ οἰνοπα, ἢ Ἀριστάρχου. A. γράφεται ἢ ἐπ' ἀπείρονα πόντον. LV.

ἱκανὴ παραμυθία τοῖς ἐπὶ ξένης λυπαμένοις ἀφορᾶν εἰς τὴν θάλατταν, δι' ἧς τῶν πατρίδων εἴργονται. ἢ Ὀδυσσεὺς „πόντον ἐπ' ἀτρύγετον δερκέσκετο" (Od. 5, 84). τάχα δὲ ὁ Ἀχιλλεὺς ἢ ὡς εἰς συγγενὲς τῇ μητρὶ χωρίον ἀφορᾷ τὴν θάλατταν. BLV.

351. χεῖρας ὀρέγνις: ὅτι Ζηνόδοτος γράφει χεῖρας ἀναπτάς A.: ὥσπερ ἀσπαζόμενος ὀρέγει τὼ χεῖρε τῇ μητρί. καὶ ἐπὶ Πολυφήμῳ „εὔχετο χεῖρ' ὀρέγων εἰς οὐρανόν" (Od. 9, 527). τινὲς ἀνασχών γράφεσιν. BL.

352. μιννυθάδιόν περ ἐόντα: τᾶτο μάλιζα δύναται λυπῆσαι μητέρα, ὀλιγοχρόνιος υἱός, ὃ πρῶτον προβάλλεται. τὸ δὲ ἐόντα ἐσόμενον. ᾔδει δὲ δι' ὧν εἶπεν αὐτῷ ἡ μήτηρ „διχθαδίας κῆρας" (Il. 9, 411). παιδευτικὸν δὲ τὸ μὴ εἰς ῥᾳσώνην ἀλλ' εἰς τὸ πρακτικὸν νεῦσαι τὸν ἥρωα. φιλοσοργία δὲ καὶ ἐλέῳ παρακαλεῖ τὴν μητέρα. ἐν κεφαλαίῳ δὲ τὴν εὐχὴν ἐκθέμενος ὕστερον λεπτολογήσει. ἔζι δὲ παρὰ τὸ μίννυθα. παραπληροῖ δὲ ὁ πέρ. BLV.

353. ὄφελλεν: ὄφειλεν ὄφελλεν, Αἰολικῶς, ὡς χεῖρες. A. ἡ μὲν ἀρχὴ Ἰακή, τὸ δὲ μέσον Αἰολικόν. L.

Ὀλύμπιος: ἄτω κατ' ἐξοχὴν τὸν Δία. καὶ Κρονίδης αὐτόν φησιν. BL.

ὁ Ὄλυμπος ὄρος τῆς Μακεδονίας, ὑψηλότατον, ἱερὸν καὶ οἰκητήριον τῶν θεῶν. ἀλληγορικῶς δὲ ὁ οὐρανός. A.

ἐγγυαλίξαι: κυρίως τὸ ἐγγυῆσαι, παρὰ τὸ γύον, κυρίως ἐπὶ χειρός. LV.

354. ὑψιβρεμέτης: ὁ ἐν ὕψει βρέμων διὰ τῶν βροντῶν ἢ τῶν ἀνέμων. BL. βρόμος κυρίως ὁ τᾶ πυρὸς ἦχος· ὅθεν καὶ τὸν ἀπὸ πυρὸς Διόνυσον βρόμιον καλῶσιν. A.

οὐδέ με τυτθόν: φιλεγκλήμονες δὲ κατὰ θεῶν ἀτυχεῖς. BL.

355. εὐρυκρείων: ποιητικὸν τὸ ἐπίθετον. BL.

356. ἔχει — αὐτὸς ἀπούρας: ἑλὼν ἔχει. L. ἀντὶ τῦ ἔλαβεν ὁ πειθοῖ ἀλλ' ἀπερίσσας· „ἄλλοι γάρ οἱ ἀπερίσσασιν ἀρέρας" (Il. 22, 489). συγκοπὴ ἔν ἐξίν. BLV. ἀπὸ τοῦ αὐρῶ τὸ ἀπολαύω, ὁ μέλλων αὐρήσω, ὁ ἀόριςος ηὔρησα, ἡ μετοχὴ ὁ αὐρήσας, κατὰ συγκοπὴν αὔρας, κ τροπῇ τῦ ᾱ εἰς ᾰ ἔρας, κ ἐν συνθέσει ἀπέρας. L.

τὸ δὲ ἠτίμησεν, τῶν πάνυ σπανίων ἡ τομὴ κατὰ τὸν ἕβδομον χρόνον. ABLV.

357. δακρυχέων: τὸ δακρυχέων ὑφ' ἓν ἀναγνωξέον· κ δακρυπλώειν γάρ πέ φησιν (Od. 19, 122). BLV.

πότνια: σεπτή· οἱ γ' σεβόμενοι προσπίπτουσι τοῖς ἕδεσι τῶν θεῶν. ἢ παρὰ τὸν πότμον, ἡ εὐτυχής· ὅς ἐςιν ἀπὸ τῦ πεσεῖν παρὰ ποσὶ γυναικός. κ ποτνιᾶσθ δὲ τὸ προσπίπτειν κ παρακαλεῖν. ABL.

358. πατρὶ γέροντι: τῷ Νηρεῖ. τὸν δὲ Νηρέα οἱ ποιηταὶ παριςῶσιν ἡμῖν δαίμονα θαλάσσιον, ἀφ' ἧ κ Δωρίδος τῆς Ὠκεανῦ αἱ Νηρεΐδες. A. τὸς ἐν θαλάσσῃ τιμωμένους ἁλίους γέροντάς φησιν, ὡς Πρωτέα Φόρκυνα Νηρέα. BL.

Νηρεὺς ἡ θάλασσα λέγεται ἀπὸ τῦ νεῖσθ δι' αὐτῆς. καλῶσι δὲ τὸν Νηρέα κ ἅλιον γέροντα διὰ τὸ ὥσπερ πολιὰν ἐπανθεῖν τοῖς κύμασι τὸν ἀφρόν· κ γ' ἡ Λευκοθέα τοιῶτόν τι ἐμφαίνει. ἢ κ ὅτι τὸ ὕδωρ πρῶτον τῶν ἄλλων ςοιχείων, ὡς ἐδόξασεν ὁ Θαλῆς. L.

359. καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς ἠΰτ' ὀμίχλη: ἀντὶ τῦ κραιπνῶς. ταχεῖα δὲ ἡ ἄνοδος ὡς μητρὸς κ θεοῦ. φαντασία δέ τις περίκειται τῇ θεῷ διὰ τῆς ὁμίχλης. ἢ ὅτι θαλασσία ἐςὶν ἡ θεός· τὴν γ' Ἥραν νῷ παρεικάζει· λεπτομερὴς γὰρ ὁ ἀὴρ ὡς πρὸς σύγκρισιν τῶν ὑδάτων. BL.

360. δακρυχέοντος: ἐκ ἐξίςαθ τῇ κλαυθμῷ, ἐπεὶ ἐ μεμπτέος· ἐδέν γ' ἄτοπον, εἰ κ ἄλκιμος ἦν, ὅτι λελύπηθ. ἐλεύθερος γ' ὢν κ ἁπλῶς τῦτο ποιεῖ, ἐ διὰ μικροψυχίαν. BL.

361. σικτέον ἐπὶ τὸ κατέρεξεν κ ἔφατ' κ ὀνόμαζεν· ἡ περίοδος γ' καθ' ἑαυτὴν ἑκάςη. A.

362. τέκνον τί κλαίεις: φυσικῶς φθέγγεται, καὶ τῶν κοινῶν ὀνομάτων ἐκ ἐξίςαθ· ἕνα γ' ἔχασα, καὶ τῦτον ἄθλιον, πῶς ἂν αὐτὸν ἄλλως καλέσειεν; ἔςι δὲ κ ἡ πεῦσις σύντομος, ὡς ἂν μαθεῖν ἐπειγομένης. BLV.

363. εἴδομεν: ἀνθ' ὑποτακτικῶ μέν ἐςιν, ἀλλ' ἡ συζολὴ ἀνέδωκε τὸν τόνον· ἐ γ' παροξύνομεν κατὰ τὸν Πάμφιλον. ἐν δὲ τῇ τοιαύτῃ τῶν λύγων ἀνακοινώσει καφίζεται τῷ βάρει ἡ ψυχή. BLV.

προπαροξύνεται τὸ εἴδομεν, ἀπὸ βαρυτόνε τῦ εἴδω. οὐ θαῦμα δέ, εἰ τὸ αὐτὸ κ ὡς βαρύτονον κ ὡς περισπώμενον κλίνει. ἢ ὅτι ἀνθ' ὑποτακτικῶ ἐςί, κ ἡ συζολὴ ἀνέδωκε τὸν τόνον· ἐ γ' παροξύνομεν κατὰ τὸν Πάμφιλον. A.

364. ξενάχων: ὁ Σιδώνιος περισπᾷ, ὁ δὲ Ἀρίςαρχος βαρύνει. τὰ πολλὰ γάρ, φησί, κινήματα ὡς ἀπὸ βαρυτόνε γέγονεν· „βαρὺ δὲ ξενάχοντος ἄκυσα" (Od. 8, 95)· „ἐπεξενάχοντο δ' ἑταῖροι" (Il. 4, 154). BL.

βαρύνεται ἡ μετοχή. διδασκόμεθα δὲ ἐξ ἐκείνε „τὰς δὲ βαρὺ ξενάχων μετέφη κρείων Ἀγαμέμνων, χειρὸς ἔχων Μενέλαον· ἐπεξενάχοντο δ' ἑταῖροι". ἡ γ' ἐπίζευξις τοῦ ἐπεξενάχοντο διδάσκει ὅτι καὶ τὸ ξενάχω βαρύνεται· εἰ γ' ἦν περισπώμενον, ἐξεναχῆντο ἐγίνετο ὡς ἐνενοῆντο. καὶ ἡ κλίσις δὲ τῦτο δείκνυσι· „βαρὺ δὲ ξενάχοντος ἄκυσα", ἐχὶ ξεναχῆντος. κ ἡ δοτικὴ „τῷ δὲ βαρὺ ξενάχοντι". A.

365. οἶσθα: ὅτι παλιλλογεῖν παρίτηθ. ἀλλότριοι ἄρα οἱ ἐπιφερόμενοι εἴχοι εἴκοσι ἑπτά. A.

οἶσθα; ἄκρως ἐνέφηνε τὸ βαρύθυμον διὰ τῆ προοιμίε. καὶ πρὸς εἰδότας δὲ ἔθος λέγειν ἐπικαφίζοντας τὴν ὀδύνην. BL.

366. ᾠχόμεθ': ὁ τρόπος ἀνακεφαλαίωσις. τέσσαρα δὲ διηγήσεων εἴδη, ἃ καὶ ἰδέαι· ὧν τὸ μὲν ὁμιλητικόν, ὡς ὅταν παρά τινός τις ἀκέσας πάλιν αὐτὰ διηγῆται ἃ ἤκεσεν, ὡς τὸ „πολλάκι γὰρ σέο πατρός" (396). τὸ δὲ ἀπαγγελτικόν, ὅταν ἃ παρ' ἑτέρε ἤκεσεν ἑτέρῳ διηγῆται, ὡς τὸ „ἀγγελίαν τινά τοι γαιήοχε" (Il. 15, 174). τὸ δὲ ὑποςατικόν, ὅταν τινὰ τῶν πραγμάτων ἀπαγγεῖλαι ὑποθέμενοι διηγώμεθα, ὡς τὸ „ὡς ὁπότ' Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη" (Il. 11, 671). τὸ δὲ μικτὸν ἐξ ὁμιλητικῆ κ ὑποςατικῆ, ὡς τὸ „ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν" (401). εἰ γ' ἦν ὁμιλητικὴ ἡ διήγησις, ἴτως ἂν εἶπεν, ἀλλὰ σὲ τῶν δεσμῶν αὐτὸν ἀπολῦσαι καλέσασαν τὸν ἑκατόγχειρον. ὁ δὲ ἐφ' ἑτέραν πτῶσιν μετελθών, ὡς ἴδιον ἤδη λόγον καὶ ἐχ ὡς παρ' ἐκείνης ἀκούσας διέξεισιν. ῥητορικὸς δὲ ὢν ὁ ποιητής, καὶ τρόπον ἀνακεφαλαιώσεως βελόμενος διδάξαι ἡμᾶς, ταὐτὰ πάλιν ἐξ ἀρχῆς διέξεισιν. ἡ δὲ Θήβη χωρίον ἔρημον πλησίον Λέσβου, ἀπὸ Θήβης τῆς Ἀδράμυος· ταύτην γ' ἆθλον ὁ πατὴρ πρᾶθετο τῷ πρᾶχοντι γυμνικῷ ἀγῶνι, λαβὼν δὲ αὐτὴν Ἡρακλῆς ἔκτισε τὴν πόλιν, ὀνομάσας ἐκ ταύτης. οἱ δὲ ἀθετῆντες τὰς ςίχας ἐκ ἐῶσι μαθεῖν ἡμᾶς ὅθεν ἦλω Χρυσηΐς. ἔπλει μὲν πορθήσων Χρῦσαν Ἀχιλλεύς, Ἀθηνᾶ δ' ἐκ εἶα, φάσκουσα μὴ αἱρήσειν δι' Ἀπόλλωνα. εἰς Θήβας δὲ ἦκουσα ἡ Χρυσηΐς πρὸς Ἰφινόην τὴν Ἠετίωνος ἀδελφὴν Ἕκτορος δὲ θυγατέρα, θύουσαν Ἀρτέμιδι, ἦλω ὑπὸ Ἀχιλλέως. μεγαλοφυῶς δὲ συντέμνει τὰ περισσὰ τῶν λόγων καὶ τῶν ἱςοριῶν. BL. ὁ δὲ τρόπος καὶ ὑπεροχὴ καὶ συνεκδοχή, ὑπεροχὴ μὲν καθὸ τὴν Θήβην μόνην ἐξέλαβε, τὴν μεγίςην πόλιν, συνεκδοχὴ δὲ καθὸ καὶ ἄλλας συνεδέξατο, τὴν Χρῦσαν κ τὴν Βρῖσαν καὶ τὰς ἄλλας. L.

νῦν λέγει τὰς Ὑποπλακίας, ὧν ἐβασίλευσεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ. B.

Κίλικες ἔθνος βάρβαρον τῆς ὑπὸ Πλάκῳ Θήβης· τῦτων ἦρχεν Ἠετίων ἔχων υἱὸς ἑπτά, θυγατέρα δὲ τὴν Ἀνδρομάχην τὴν γαμηθεῖσαν Ἕκτορι τῷ υἱῷ Πριάμε. κατὰ δὲ τὸς Τρωϊκὸς πολέμους ἐπιςρατεύσας Ἀχιλλεὺς τῇ Θήβῃ, καὶ τὴν πόλιν πορθήσας, τόν τε Ἠετίωνα ἀνεῖλε σὺν τοῖς τέκνοις, μεθ' ὧς Λυρνησσὸν πορθήσας καὶ τὴν πόλιν ἐξελὼν αἰχμάλωτον ἦγεν ἐκ Λυρνησσῦ μὲν Βρισηΐδα, ἣν γέ-

ρας αὐτῷ ἐψηφίσαντο Ἕλληνες, ἀπὸ δὲ τῆς Χρύσης Χρυσηΐδα τὴν Χρύσῃ τῇ ἱερέως τῇ Ἀπόλλωνος θυγατέρα, ἣν Ἀγαμέμνων κλήρῳ λαχὼν τῷ πατρὶ δεομένῳ οὐκ ἀπέδωκεν· ἐξ οὗ ὀργισθεὶς ὁ θεὸς ἔπεμψε τοῖς Ἕλλησι λοιμικὴν νόσον. ἔνιοι δέ φασιν ὅτι ἡ ἡ Χρυσηΐς ἐκ Θηβῶν ἐλήφθη· τῆς γὰρ Χρύσης, φασίν, ὅσης πολιχνίδ ἀτειχίστ καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέρᾳ καὶ μείζονι τῇ Θήβῃ οἱ ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον. τρεῖς γάρ εἰσι Θῆβαι, αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ Ζ, καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ Δ καὶ ἐν τῇ Ε, καὶ αἱ τῆς Αἰγύπτου, ὧν μνημονεύει ἐν τῇ Ι. Θῆβαι δὲ αὗταί εἰσι τὸ νῦν Ἀτραμύτιον καλούμενον. BD.

368. δάσσαντο μετὰ σφίσιν: κοινωνὸν μὲν ἑαυτὸν ἐν τοῖς κατορθώμασί φησιν, ἐν δὲ τῷ δάσσαντο χωρίζει. τὸ δὲ σφίσιν ὀρθοτονητέον, ἐπειδὴ ὡς σύνθετον παραλαμβάνεται, καὶ ὅτι προθέσει συντέτακται. B.

τῷ σφίσι τὴν πρώτην ὀξυτονητέον, ἐπειδήπερ εἰς σύνθετον ἡ μετάληψις, εἰ καὶ ἀκέτι διηνεκὴς ὁ λόγος· ἔστι γάρ τινα ἐναντιόμενα· „τὰς δ' ἄναγον ζωὰς σφίσιν ἐργάζεσθ ἀνάγκῃ" (Od. 17, 441) καὶ „σφίσι δ' αὐτοῖς δαῖτα πένεσθ" (Od. 4, 683). καὶ ὅτι μετὰ προθέσεώς ἐστιν. ὅταν μὲν πρόθεσις ᾖ μετὰ ἀντωνυμίας, ὀρθοτονεῖται ἡ ἀντωνυμία· „σὺν σοὶ δῖα θεά" (Il. 10, 290)· „προτὶ οἷ δ' ἔλαβ' ἔντεα" (Il. 20, 418)· „κατὰ σφέας μὲν μαχέοιντο" (Il. 2, 366)· „ἀπὸ ἕο κάββαλεν" (Il. 5, 343)· „ἀμφὶ ἑ παπτήνας" (Il. 4, 497), τὸ „ἄλτ' ἐπὶ οἷ μεμαώς" (Il. 21, 174) ζήτησιν ἔχοντος. A.

371. χαλκοχιτώνων: λαμπρὸν ἢ πορφυρᾶν ἐχόντων χιτῶνα. V.

374. λίσσετο: ἔτως Ἰακῶς λίσσετο. A.

ἐ προσέθηκε τὸς λόγους ἕς ἔτος ἔφησεν· ἐ μὲν ἀναγκαῖον νῦν. ἢ καὶ διὰ τὸ μῆκος ἀπέφυγεν. BL.

381. ἐπεὶ μάλα οἱ φίλος ἦεν: Σέλευκός φησιν ἐν τῇ Κυπρίᾳ καὶ Κρητικῇ, ἐπεὶ ῥά νύ οἱ φίλος ἦεν. ὁ Θεαγένης δ' οὕτως προφέρεται. ἀπίθανον μὲν τὸ ὁ δέ νυ λίαν φίλος ἦεν. A.

383. ἐπασσύτεροι: Αἰολικόν ἐστιν. ἄσσον ἀσσότερος ἀσσύτερος ὡς ὄνομα ὄνυμα, καὶ ἀσσύτερος. A. παρὰ τὸ ἄσσον ἀσσύτεροι ὡς ἀφάρτεροι, παροίτεροι. ἢ ἑκάτεροι. BL.

384. ἄμμι δὲ μάντις: οὐ προσέθηκεν ὡς αὐτὸς τὴν ἐκκλησίαν συνήγαγεν, ἀδὲ ὅλως ὕποπτον ἑαυτὸν καθίστησι τῇ μητέρι. ALV.

386. ἐγὼ πρῶτος: ὡς καὶ ἄλλων τῶτον ἐχόντων τὸν σκοπόν. BL.

388. ἀμφίβολος ἡ σιγμὴ διὰ τὸ μόριον, ἐπεὶ καὶ αὐτὸ ἀμφίβολον. ὅμως δὲ εἰς τὸ ὃς ὑποτακτικὸν ἄρθρον αὐτὸ μετιληπτέον. A.

392. κούρην Βρισῆος: ἔοικε πατρωνυμικῶς τὰ ὀνόματα αὐτῶν σχηματίζειν ὁ ποιητής, καὶ ὁ κυρίως· ὡς γὰρ ἄλλοι ἀρχαῖοι ἱστοροῦσιν, ἡ μὲν Ἀσυνόμη ἐκαλεῖτο, ἡ δὲ Ἱπποδάμεια. ὁ δὲ τρόπος ἀντωνομασία. AD.

393. εἰ δύνασαί γε: ἐ διεύζων ἀλλὰ χετλιάζων φησὶν· εἰ γέ σοι κἂν τῶτο χαρίεται ὁ Ζεύς. ἅμα δὲ καὶ κολακεύων αὐτήν, ὅπως ἐρεθίσῃ πρὸς τὸ αἰτούμενον, καὶ τὴν ἰσχὺν ἐνδείξηται ὡς δῆθεν τῆ παιδὸς ἀγνοῶντος. BL.

ὑποσιγτέον ἐπὶ τὸ γέ, σιγτέον δὲ κατὰ τὸ τέλος τῆ σίχ. A.

ἔῃος: ἀντὶ τοῦ τοῦ σοῦ· οἱ δὲ ἀγαθοῦ. προσηνοῦς ἢ ἰδίου. D. ὅτι Ζηνόδοτος γράφει ἑοῖο. A. ἀπὸ τοῦ ἔω ῥήματος τοῦ σημαίνοντος τὸ ὑπάρχω ὄνομα ῥηματικὸν ἕυς (σημαίνει δὲ τὸν ἀγαθόν) ὡς ἤδω ἡδύς. ἕυς, καὶ τροπῇ τῆ ε εἰς η ἠΰς ἠος, καὶ ἐν ὑπερθέσει τῆ ε ἑῆος. L.

394. λίσαι: ἀπὸ τῆ ἔλισα, ὅθεν καὶ ἐλισάμην. καὶ σφὶν μενοεικέα καὶ κῆρα λιτέσθαι (Il. 16, 47). BLV.

396. πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα: ἐν τοῖς τῆ πατρός μθ Πηλέως οἴκοις. ἐν θαλάσσῃ γὰ Πηλεὺς κατοικεῖν ἐκ ἠδύνατο. D. δικαίως ἡ αἰτία ἡμῖν εἰρῃ τῆς ἀποςάσεως Διός, ὅπως μὴ δοκῇ εἶναι μισέλλην ὁ Ζεύς· οἱ δὲ βασιλεῖς θεοποιοῦντες αὐτὲς τοιαῦτα περὶ θεῶν ἐφήμιζον, ὥςε ὅταν καὶ αὐτοὶ αὐχῶσι, μὴ ἀπιςοῖντο θεῶν εἶναι παῖδες. ἐσχάσατο δὲ πάντων Ὅμηρος, ἐν μὲν τῷ προσδιαλόγῳ ἐδὲν εἰπών, ὅπως μὴ ὀνειδίζειν δοκῇ, ὁ μὴν τὴν αἰτίαν ἐάσας ἄγνωσον. διαθρύπτον δὲ πρὸς τὲς ἄνδρας γυναῖκες, εἰ πά τι δράσασι θαυμαςόν. ἄξιον δὲ καὶ τῶτο παρασημήνασθ, ὅτι καθ' Ὅμηρον ὁ νεογνὸν κατέλιπεν Ἀχιλλέα ἡ Θέτις. Ἀρίσαρχος δὲ τὴν σέο ἐγκλίνει, λέγων ἁπλῆν τε εἶναι αὐτὴν καὶ ἀντιδιαζολὴν ἐκ ἔχειν. ὁ δὲ Ἡρωδιανὸς καίτοι, φησίν, ὀφείλεσα ὀρθοτονεῖσθ, ἵνα λέγῃ σᾶ ἐκ ἄλλης ἀκήκοα, ὅμως πειθαί φησι τὴν ἀνάγνωσιν Ἀρισάρχῳ. ὁ δὲ νοῦς οὗτος, πολλάκις σου ἐν τοῖς τῆ ἐμῆ πατρὸς δόμοις ἤκουσα εὐχομένης. BLV.

Ἀρίσαρχος ἐγκλιτικὴν παρέλαβε τὴν ἀντωνυμίαν σέο, λέγων τὸ δηλούμενον εἶναι τοιῶτο, πολλάκις γάρ σου ἐν τοῖς τῆ πατρός μου δόμοις ἤκουσα καυχωμένης. ἐὰν γάρ, φησί, κατ' ὀρθὸν τόνον ἀναγνῶμεν, ἔσαι ἐν τοῖς τῆ Νηρέως οἴκοις ὁ Ἀχιλλεὺς αὐτὴν ἀκηκοώς· ταύτην δὲ τὴν ἱσορίαν ἐκ οἶδεν Ὅμηρος. τοσαῦτα ὁ Ἀρίσαρχος καὶ οἱ ἀπ' αὐτῆ. Πτολεμαῖος δὲ συγκατατίθεται μὲν τῇ ἐγκλιτικῇ ἀναγνώσει, ἐ μὴν τῇ προκειμένῃ αἰτίᾳ, εἴ γε ἤδη καὶ αὐτὸς ὁ Ἀρίσαρχος τὸ τοιῶτο, φησί, παρεφύλασσεν, ὡς ὅτι ταῖς μὲν πρωτοτύποις ἔτως χρῆται κατὰ γενικήν, ἐμέο ἐμεῖο ἐμεῦ ἐμέθεν ὁμοίως καὶ ἐπὶ δευτέρᾳ καὶ τρίτῃ, ταῖς δὲ κτητικαῖς ἤτοι ἐμὴ ἠμοῖο, σᾶ σοῖο. ἐγίνετο ἂν, εἴπερ ἦν κτητική, σοῖο, ὥσπερ κἂν ὀρθοτονήσομεν τὴν σέο, ὁ δύνασθ ἀμφίβολος καθίσασθ ἡ γραφὴ διελέγχει ὅτι πρωτότυπός ἐστιν. ἐγένετο ἂν ἐγκλιτικὴ ἡ ἀνάγνωσις, ἐπειδήπερ ἁπλῆ ἐστι καὶ ἐκ ἔχει ἀντιδιασολήν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις. A.

ἡ διπλῆ δέ, ὅτι ἀπὸ τέτε τῆ σίχ ἕως τῆ τὸν καὶ ὑπέδεισαν (406) Ζηνόδοτος ἀθετεῖ. βραχὺ δὲ διασαλτέον μετὰ τὴν ἀντωνυμίαν· τὸ γὰ ἑξῆς ἐστι πολλάκι γάρ σε ἤκουσα. A.

397—400. διασαλτέον μετὰ τὸ εὐχομένης καὶ λοιγὸν ἀμῦναι, ἐπὶ δὲ τὸ Παλλὰς Ἀθήνη σιγμήν. ἐνδέχεται δὲ καὶ ἕτως, ἐπὶ μὲν τὸ λοιγὸν ἀμῦναι σίζειν, τὰ δὲ ἄλλα ἀπ' ἄλλης προφέρεσθ ἀρχῆς ἕως τῆ Ἀθήνη. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

397. κελαινεφεΐ: παρὰ τὸ μελαίνοντα τὸν ἀέρα νείφειν αὐτόν. A. τῷ τὰς νεφέλας μελαίνοντι, ὀμβροποιῷ. D.

399. ξυνδῆσαι: Ζεὺς παραλαβὼν τὴν ἐν ἀρανῷ διοίκησιν περισσῶς τῇ παῤῥησίᾳ ἐχρῆτο, πολλὰ αὐθάδη διαπρασσόμενος. Ποσειδῶν δὲ καὶ Ἥρα καὶ Ἀπόλλων καὶ Ἀθηνᾶ ἐβάλοντο αὐτὸν δήσαντες ὑποτάξαι. Θέτις δὲ ἀκέσασα παρὰ τῷ πατρὸς Νηρέως (ἦν γὰρ μάντις) τὴν Διὸς ἐπιβολὴν ἔσπευσε πρὸς αὐτόν, ἐπαγομένη Αἰγαιῶνα φόβητρον τῶν ἐπιβελευόντων θεῶν· ἦν δὲ θαλάσσιος δαίμων ἔτος, καὶ τὸν πατέρα Ποσειδῶνα κατερρύβευεν. ἀκέσας δὲ ὁ Ζεὺς Θέτιδος, τὴν μὲν Ἥραν ἐν τοῖς καθ' αὑτῦ δεσμοῖς ἐκρέμασε, Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι τὴν παρὰ Λαομέδοντι θητείαν ἐψηφίσατο, τῇ δὲ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν εἰς τὰ μετὰ ταῦτα ἐταμιεύσατο. ἱστορεῖ Δίδυμος. AD.

τί ποτε ἄρα βαλόμενος ταῦτα ἔπλασε, πολὺ ἔχοντα τὸ ἄλογον καὶ ἀνάρμοστον, εἴ γε Ἀθηνᾶ καὶ Ἥρα καὶ Ποσειδῶν ἐβάλοντο συνδῆσαι τὸν Δία, ἡ μὲν θυγάτηρ οὖσα, οἱ δὲ ἀδελφοί; διὸ καὶ ἀντὶ τῆς Ἀθηνᾶς τινὲς γράφουσι καὶ Φοῖβος Ἀπόλλων, ὥσπερ ἐ τῷ αὐτῷ μένοντος ἀτόπου. καὶ ἄλλοι πάλιν ἐναλλάσσουσι τὰ ἔπη· „οἵη ἐν ἀθανάτοισιν ἀείκεα λοιγὸν ἀμῦναι, Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη, ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι·" ἵνα οὗτοι μὲν οἱ θεοὶ φαίνωνται βοηθήσαντες αὐτῷ μετὰ τῆς Θέτιδος, ἄλλοι δέ τινες οἱ ξυνδῆσαι θέλοντες· καὶ μύθος δὲ λέγεσιν ἐπὶ τούτοις πολλούς. μάχεται δὲ τοῖς ἐναλλάσσουσι τὸ „οἵη ἐν ἀθανάτοισι·" πῶς γὰρ τῷ ποιητοῦ λέγοντος ὅτι μόνη, ἐνδέχεται καὶ ἄλλας ἐπεισάγειν βοηθούς; τίνα δὲ καὶ τὸν Βριάρεων χρὴ νοεῖν; καὶ πῶς ἦτος βίᾳ τῷ πατρὸς ἀμείνων; δεῖ τοίνυν φυσικόν τινα μᾶλλον ἐν τούτοις ὑπονοεῖν λόγον· Δία γάρ φησι τὴν ἄκρατον θερμασίαν, τὴν καὶ τῷ ζῆν καὶ τῷ εἶναι ἡμῖν αἰτίαν, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν, Βριάρεων τὸν ἥλιον (πάντων γὰρ τῶν ἄστρων φωτεινότατος ἐστι), Θέτιν δὲ τὴν θέσιν καὶ φύσιν τῷ παντός. τῷ ἡλίῳ τοίνυν ἀφισαμένῳ ἐπὶ τὰ μεσημβρινά, ψύξεως γινομένης ἐν τοῖς καθ' ἡμᾶς μέρεσι, συμβαίνει τὸν ἀέρα, φύσιν ἔχοντα μεταβάλλειν εἰς ὕδωρ, τότε μάλιστα ἐξυγραίνεσθαι πλέον καὶ δυσχείμερον γίνεσθαι. Ποσειδῶνα ἓν καὶ Ἥραν καὶ Ἀθηνᾶν διὰ τοῦτο βαλομένους συνδῆσαι τὸν Δία φησίν, ἐμφαίνων, ὡς ἔφην, τὴν χειμερινὴν κατάσασιν, ἐν ᾗ συμβαίνει τὸ ψυχρὸν ἐπικρατέστερον εἶναι τοῦ θερμοῦ. ἀλλ' ἡ Θέτις ἀνάγουσα τὸν ἥλιον ἐπὶ τὰ βόρεια φαίνεται ὥσπερ βοηθοῦσα τῷ Διΐ. εἰκότως δὲ ἑκατόγχειρον τοῦτόν φησιν, ὅτι πάντα τρέφει καὶ αὔξει καὶ φύει, καθάπερ πολλαῖς ὁμοῦ χερσὶν ἐργαζόμενος. ὃ πατρὸς δὲ ἀμείνων, τοῦ Διός· Ἀπόλλωνα γάρ φησι τὸν ἥλιον. BL.

ἄλλοι: οἱ Τίτανες. καὶ γὰρ ἐν ἄλλοις φησὶ „μάλα γὰρ κε μάχης ἐπέβαντο καὶ ἄλλοι, ὅππερ νέρτεροί εἰσι θεοὶ Κρόνον ἀμφὶς ἑόντες" (Il. 15, 225). D.

400. Παλλὰς Ἀθήνη: ὅτι Ζηνόδοτος γράφει Φοῖβος Ἀπόλλων. ἀφαιρεῖται δὲ τὸ πιθανόν· ἐπίτηδες γὰρ τοὺς τοῖς Ἕλλησι βοηθοῦντας θεοὺς ἠχθρευκέναι Διί φησιν, ἵνα μᾶλλον ἀκέοιτο Θέτις. BL.

τινὲς δὲ ἀντὶ τῆ Ἀθήνη γράφουσι καὶ Φοῖβος Ἀπόλλων· τοῦτον γὰρ εἰκὸς ἠχθρευκέναι Διί, μὴ φέροντα τὸν ζῆλον τῆς ἐκείνα τυραννίδος. ὅθεν Ἥραν μὲν δέει, τοὺς δὲ Λαομέδοντι ὑποτάσσει. οἱ δὲ Ἥραν μὲν διὰ τὸ πολλαῖς μίγνυσθαι, Ποσειδῶνα δὲ διὰ τὸ εἰς τὴν διανομὴν πεπλεονεκτῆσθαι, Ἀθηνᾶν δὲ διὰ τὸ ἀναγκασθῆναι ζευχθῆναι Ἡφαίστῳ. ἢ τὴν τῶν στοιχείων παλαιὰν σύγχυσιν δηλοῖ, Δία τὸ πῦρ, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν· ὀργανικὴ γάρ ἐστι καὶ ἐπινοητικὴ τῶν ἁπάντων. μόνον γὰρ τὸ πῦρ ἐν αὐτοῖς καθαρὰν καὶ ἀμιγῆ τὴν φύσιν ἔχει. BL.

401. συναπτέον τοῦτον τῷ ἑξῆς. βραχὺ δὲ διασαλτέον ἐπὶ τὸ Ὄλυμπον. A.

402. ἑκατόγχειρον: ἑκατόγχειρα Αἰολικῶς. τοὺς ἑκατόγχειρας δὲ γράφει Ἡσίοδος Οὐρανοῦ καὶ Γῆς γένος. D. ἑκατόγχειρον τὸν ἥλιον λέγει, ὅτι πάντα φύει καὶ τρέφει καὶ αὔξει, ὥσπερ εἰ πλείσαις χερσὶν ὁμοῦ εἰργάζετο. πατὴρ δὲ αὐτοῦ ὁ Ζεὺς ἤτοι ὁ αἰθήρ, οὗ ἰσχυρότερος οὗτος τῇ ἐνεργείᾳ τῶν ἀκτίνων. Θέτις ἡ πρόνοια καὶ διοίκησις τῶ παντός, ἣ τὸν ἥλιον περιέχουσα τὴν σύγχυσιν καταξέλλει καὶ ζόφωσιν, ἣν ἂν ἐν τῷ παντὶ ἐποιήσατο ἡ Ἥρα τε καὶ ὁ Ποσειδῶν καὶ ἡ Ἀθηνᾶ, ὁ ἀὴρ δηλονότι καὶ ἡ γῆ καὶ τὸ ὕδωρ, ἐπικρατήσαντες καὶ ὑπερισχύσαντες τῶ Διὸς ἤτοι τῶ αἰθέρος. L.

μακρὸν Ὄλυμπον: ὅτι μακρὸν τὸν Ὄλυμπον ὡς ὄρος· τὸν δὲ οὐρανὸν εὐρύν. A.

403. ὃν Βριάρεων: ὡς μεσοτραφῆς καὶ τὰς παρὰ θεοῖς ἐπίσαται λέξεις. ἢ τὰ τελεώτερα θεοῖς ἀνατίθησιν. BL.

τῶν διωνύμων τὸ μὲν πρότερον ὄνομα Ὅμηρος εἰς θεὺς ἀναφέρει, τὸ δὲ δεύτερον εἰς ἀνθρώπους, ὡς καὶ τὸ „χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν" (Il. 14, 291), καὶ περὶ τῶ ποταμῶ „ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον" (Il. 20, 74). A.

404. ὁ γὰρ αὖτε: ὅτι Ζηνόδοτος γράφει „ὃ γὰρ αὖτε βίῃ πολὺ φέρτατος ἁπάντων, ὁππόσοι ναίουσ' ὑπὸ Τάρταρον εὐρώεντα." ἐκ ἕξι δὲ τῶν Τιτάνων ὁ Αἰγεύς, ἀλλ' ἐνάλιος δαίμων· ἔτος γὰρ καὶ ἡ σύγκρισις λαμβανομένη πρὸς τὸν Ποσειδῶνα λόγον ἔξει. A.

βίῃ: ὁ διὰ τῶ ν, βίην, Ἀρίσαρχος. A.

405. ὅς ῥα παρὰ Κρονίωνι: ὅτι ἐντεῦθεν ἐπὶ τοῦ Ἄρεως λέγεται ἐκ ὀρθῶς „πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων" (Il. 5, 906). Ὅμηρος δέ, ὡς Στωϊκός, Ποσειδῶνος αὐτὸν εἶναί φησιν. ἢ ὅτι, φησί, παῦροι δέ τε πατρὸς ἀρείους (Od. 2, 277). AL.

καθ' ὑπεροχὴν αὐτὸν Κρονίδην καὶ Ὀλύμπιον ὀνομάζει. L.

407. μνήσασα: τὸ μνήσασα διὰ τὴν Ἥραν. διό φησιν αἴ κεν ἐπὶ Τρώεσσιν ἀρῆξαι. BLV.

λαβὲ γούνων: κεφαλῆς λαμβανόμεθα, ἐπεὶ ἡγεμονικόν· δεξιᾶς, ἐπεὶ πρακτικόν· γονάτων (δι' αὐτῶν γὰρ ἐπικλᾶται τὸ σῶμα) ἐπικλᾶν σπεύδοντες [οἰωνιζόμενοι LV] τὴν ψυχὴν τοῖς λόγοις. ABLV.

407 — 412. *βραχὺ διασαλτέον μνήσασα, παρέζεο, καὶ κτεινομένης, καὶ βασιλῆος, καὶ ἦν ἄτην· πάντα γ' ἤρτηται τῇ αἴ κέν πως ἐθέλῃσι.* A.

καὶ πῶς ταύτην ἐκ ἦτει τὴν χάριν κατὰ τῶν Τρώων, ὅτε φησὶ „πολλὰς ἀΰπνους νύκτας ἴανον" (Il. 9, 325); ἢ ὅτι ἡ δόξα τῆς νίκης εἰς Ἀγαμέμνονα ἀνέτρεχεν, ὡς φησιν „τούτῳ μὲν γ' κῦδος ὄμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον" (Il. 4, 415). τά τε τῆς νίκης ὡμολογήσατο διὰ τοῦ ἀστράπτειν τὸν Δία. εὐημερόντων τοίνυν τῶν οἰκείων ἐκ ἔδει χαρίτων ἀμοιβὰς αἰτεῖν παρὰ τῶ ἐπινεύσαντος τὴν ἧτταν τῶν πολεμίων, ὀργισθέντα δὲ τοῖς ἀδικήσασιν αὐτὸν μεταβαλεῖν τὴν Διὸς γνώμην. ἀλλ' εἴπερ, φησίν, ἔδει κατὰ φίλων ἀδικησάντων χρήσασθαι τῇ παρὰ Διὸς ἐπικουρίᾳ, κατὰ τῶ Ἀγομέμνονος δίκαιον ἦν δή πω. ἀλλ' εἰ Ἀγαμέμνων ἐκολάθη, ἀθῷοι ἀναπλεύσαντες οἱ Ἀχαιοὶ ἐκ ἐζήτησαν Ἀχιλλέα. μένει δὲ συγκολαζόμενος αὐτοῖς ἀχαρίστοις οὖσιν ὁ βασιλεύς, οἳ τῷ διὰ τὴν κοινὴν ὑβριωθέντι σωτηρίαν οὐκ ἐπήρκεσαν. BLV.

410. *ἐπαύρωνται: ὅτι ἐπὶ κακῶ τὸ ἀπολαῦσαι καὶ κατ' εἰρωνείαν εἴρηται παρ' αὐτῶ.* BLV. *τὸ δὲ ἐπαύρω ἐστὶ καὶ πρώτης καὶ δευτέρας συζυγίας. τὸ δὲ ἁμαρτῶ πρώτης. καὶ ἁμαρτών ἡ μετοχή.* LV.

412. *οὐδὲν: ὅτι τὸ δεν παρέλκει.* A.

414. *ὤ μοι: οὐκ εὐθὺς αὐτῷ τὴν διακονίαν ὑπιχνεῖται, προολοφύρεται δὲ εἰδυῖα τὴν αἴτησιν πρόξενον αὐτῷ ἔσαν θανάτου. τὸ δὲ ἔξῆς, αἰνὰ τεκοῦσα, ἐπεί νύ τοι αἶσα· τὸ δὲ αἴθ' ὄφελες διὰ μέσου. τὸ δὲ αἰνά ἀντὶ τῶ αἰνῶς, ἤτοι ματαίως καὶ ἀπράκτως.* BL.

415. *ὄφελες: ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμῶ φερόμενον· „ὡς δὴ μὴ ὄφελον νικᾶν" (Od. 11, 548) καὶ „ὡς μ' ὄφελ' Ἕκτωρ κτεῖναι" (Il. 21, 279) καὶ „Ἕκτορος ὠφέλετ' ἀντί" (Il. 24, 254). Καλλίμαχος δὲ ἐπίῤῥημα εὐκτικόν· „ὤφελε μηδ' ἐγένοντο θοαὶ νῆες" (Epigr. 18).* BL.

φησὶ δὲ ὅτι προεθέμην ἂν σε ἄπρακτον βίον ζῆσαι· ἐπὶ λύμῃ γ' ἐμῇ τεῦτον εἵλου τὸν βίον. διὸ καὶ δυσαριστοτόκειαν ἑαυτὴν ὀνομάζει. BL.

416. *μίνυνθα: ἐπ' ὀλίγον χρόνον, κατὰ ἀποκοπὴν τῶ μινυνθάδιος· „μινυνθάδιος δέ τοι αἰών" (Il. 4, 478). παιδευτικὸν δὲ τὸ μηδὲ τὸν ὀλίγον τῶν ἀνθρώπων βίον ἄλυπον εἶναι. ἔχει δὲ περίφρασις ὁ τρόπος ἐν τῷ εἴχω, ὡς τὸ „ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν" (Il. 3, 59).* BL.

417. *ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων: εἰ τοιαῦτα περὶ Ἀχιλλέως ὁ ποιητὴς φησί, τί περὶ τῶν ἄλλων εἴποιμεν; ὀϊζυρός, ταλαίπωρος. μετωνυμία.* BL.

λέγεται τὴν Θέτιν παρὰ Διὸς μαθεῖν τὰ περὶ Ἀχιλλέως, ὅτι εἰ μὲν μείνειεν ἐν τῇ Φθίᾳ μὴ συμπλεύσας τοῖς Ἕλλησιν εἰς τὴν Ἴλιον, πολλὴ μὲν ἔσται αὐτῷ ἡ ζωὴ ἄδοξος δέ, εἰ δὲ συνανέλθοι αὐτοῖς, ἔσαι ὀλιγοχρόνιος μὲν ἀλλ' ἀοίδιμος καὶ εὐκλεής. ὅθεν ὡς προειδυῖα ἡ Θέτις τεῦτο, ἵν' αὐτὸν παραθεμένη εἰς τὸν Λυκομήδους παρθενῶνα ὡς κόρην, ἐν τῇ Σκύρῳ ἔχει δὲ μία τῶν Κυκλάδων. AD.

418. *τῷ σε: δι' ἃ δὴ πάρεστι συλλογίσασθαι ὅτι ἐπὶ κακῇ σε μοίρᾳ ἐπὶ τὸν οἶκον ἔτεκον.* L.

419. *τοῦτο δέ τοι ἐρέουσα: διὰ τὴν περίεσιν μὲν ἐκ ἀντιπράσσει τῷ παιδί, καιρὸν δὲ μετανοίας αὐτῷ δίδωσι. τερπικεραύνῳ δὲ τῷ τρέποντι τοῖς κεραυνοῖς, καθ' ὑπέρθεσιν.* BL. *τερπομένῳ κεραυνοῖς, ἢ καταγωνιζομένῳ τὰς ἐναντίας καὶ τρέποντι κεραυνοῖς.* D.

420. *εἶμ': προπερισπᾶται, ὅτε ἐπὶ τοῦ πορεύομαι· ὅτε δὲ ἐπὶ τῶ ὑπάρχω, ὀξύνεται.* A.

πρὸς Ὄλυμπον: ἄλογον τὸ μὴ πορεύεσθαι εὐθὺς εἰς τὴν Αἰθιοπίαν. λύει δὲ ἐκ τῶ καιρῶ· τοῖς γ' θεοῖς εὐωχουμένοις ἄτοπον ἐνοχλεῖν. ἢ ἄλλως διὰ τὸ τὰς συμμάχους τῶν Ἑλλήνων ἐκεῖ τυγχάνειν. BL.

Διὰ τί ἡ Θέτις οὐκ ᾤχετο πρὸς τὸν Δία ἐν Αἰθιοπίᾳ ὄντα; ἢ γ' δὴ πόῤῥω Αἰθιοπία ἦν τῶ Ὀλύμπου· ἢ γ' πᾶς χῶρος ῥᾴδιος ἔσῃ θεῷ. ῥητέον ἓν ὅτι ἐδέη ἀναγκαῖον ἐπεγεσθαι ἐν τῇ ὀργῇ ἐκτελέσαι τὰ θυμῷ φίλα τῶ ὠργισμένου, ἀλλὰ μᾶλλον διδόναι μετανοίας τόπον. ἔπειτα ἐκ ἐπετήδειος ἦν ὁ τόπος περὶ ὧν ἔμελλε δεῖσθαι, παρόντων τῶν φίλων θεῶν τοῖς Ἀχαιοῖς, ἐπεὶ καὶ ὕστερον οὐ παραγενομένη ἀλλ' ὑποπτεύσασα ἡ Ἥρα ἐπίστασθαι ἐπειρᾶτο. ὅτι δὲ παρῆσαν, δηλοῖ· φησὶ γὰρ „θεοὶ δ' ἅμα πάντες ἕποντο." δοκεῖ δέ τισι ἢ ὅπως οἱ Τρῶες αἴσθωνται τῆς μήνιδος ὁ ποιητὴς ἐμβάλλειν τὰς ἡμέρας ταύτας, ἵνα θαρσήσαντες ἐξέλθωσι· πρότερον γὰρ οὐκ ἐξῆσαν „ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας" (Il. 9, 354). L.

ἀγάννιφον: τὸν λίαν νιφόμενον κατὰ τὰ ὑπὸ τοῖς νέφεσι μέρη. τὰ γὰρ ἄκρα τῶ Ὀλύμπου, ὡς ὑπερνεφῆ, ἔστι νείφεται ἔστε κατομβρεῖται, κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα. „Οὔλυμπόνδ', ἔθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ ἔμμεναι. ἔτ' ἀνέμοισι τινάσσεται, ἔτε ποτ' ὄμβρῳ δεύεται, ἔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη πέπταται ἄνεφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη" (Od. 6, 42). ἀγάννιφον ἓν ἤτοι τὸν πάνυ κατανιφόμενον, ἢ τὸν ἔστε ὅλως εἴπερ ἀπόςροφος εἰς τὸ γ τεθῇ. ADL.

τινὲς ἐπὶ τῶ ἀρανῶ, τὸν ἄγαν νίφοντα, ὡς βριήπυον γαιήοχον· τὰ γὰρ ὄρη νιφόεντα καλεῖ, ὡς Τήλεφος. τὸ αἴ κε πίθηται διὰ τὸ ἄδικα μέλλειν αἰτεῖν. BL.

τὸ νείφω σημαίνει τὸ βρέχω, ὅπερ γράφεται διὰ τῆς θ διφθόγγου, ἐξ οὗ νέφος καὶ νεφρός. νίφω τὸ χιονίζω διὰ τῶ ε ἐξ οὗ τὸ ἀγάννιφον. νήφω τὸ σπένδω διὰ τῶ η, ἐξ οὗ νηφάλια ξύλα. νήφω τὸ προσέχω· καὶ διὰ τῶ η τοῦτο ἢ τὸ νήφων προσεύχε. A.

421. *νῦν: τὸ νῦν ἀντὶ τῶ δή· διὸ καὶ Τυραννίων ἠξύνειν αὐτό, ἐκ εὖ.* ABL.

422. *μήνι': τῆς ὀργῆς αὐτὸν ἐκ ἐπέχει, εἰδυῖα τὸ οἰκεῖον αὐτῶ καὶ φιλότιμον. καλῶς δὲ λόγοις μὲν χαρίζεται αὐτῷ, ἔργοις δὲ ἀναβάλλεται.* ABL.

423. *Ὠκεανόν: νῦν μὲν τὸν ποταμὸν δηλοῖ, ἔστι δὲ ὅτε καὶ σωματοειδῆ τῶν θεῶν γένεσιν. ἢ δὲ ἐς ἀντι-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρός. BL. εὐσεβῶς δὲ φησι μηδὲ τῶν πόρρωθεν ἀνθρώπων ἀμελεῖν τοὺς θεούς. LV.

μετ' ἀμύμονας: Ἀρίσαρχος ἐπ' ἀμύμονας. ἢ μετὰ ἀντὶ τῆς ἐπί ἢ ἀντὶ τῆς ἐν· „γεροπὴν μετὰ χερσὶν ἔχων" (Il. 11, 184?). L.

Αἰθιοπῆας: Αἰθιοπῆας ὁμοιόν ἐστι τῷ ἡνιοχῆας. δισσοὶ δέ εἰσιν οἱ Αἰθίοπες, ὑπὸ Νείλῳ ὁριζόμενοι, ὡς ἡ Ἰθάκη καὶ αἱ λοιποὶ νῆσοι. τινὲς δὲ γράφουσι μετὰ Μέμνονας Αἰθιοπῆας· ἔθνος δὲ ἔτι. ABL.

Λέγει Ἀρίσαρχος ἐκ τοῦ α' τῆς Ἰλιάδος ὑπομνήματος, τὸ μὲν μετ' ἀμύμονας ἐπ' ἀμύμονας, ὃ ἐστι πρὸς ἀμώμους, ἀγαθούς, τὸ δὲ κατὰ δαῖτα ἀντὶ τοῦ ἐπὶ δαῖτα· ἔστω γὰρ νῦν Ὅμηρος τέθεικεν. ἔνιοι δὲ ποιοῦσι μετὰ δαῖτα, ὅπως ᾖ αὐτοῖς αὐτόθεν τὸ μετά ἐπί. χρῶνται δὲ καὶ πλείονες ἄλλοι τῶν ποιητῶν τῇ κατά ἀντὶ τῆς ἐπί. Σοφοκλῆς „ἐγὼ κατ' αὐτόν, ὡς ὁρᾷς, ἐξέρχομαι". ἔστω δὲ εὕρομεν καὶ ἐν τῇ Μασσαλιωτικῇ ᾗ Σινωπικῇ ᾗ Κυπρίᾳ ᾗ Ἀντιμαχείῳ ᾗ Ἀριστοφανείῳ. Καλλίστρατος δὲ ἐν τῷ πρὸς τὰς ἀθετήσεις· ὁμοίως ᾗ ὁ Σιδώνιος ᾗ ὁ Ἰξίων ἐν τῷ ς' πρὸς τὰς ἐξηγήσεις. ᾗ τὸ „θεοὶ δὲ πάντες ἕπονται" διὰ τῆς αι. A.

Ἀρίσαρχος γράφει ἐπὶ δαῖτα, οἱ δὲ ἄλλοι κατὰ δαῖτα. καὶ ἕποντο διὰ τῆς αι. L.

ἰσέον δὲ ὅτι τινὲς γράφουσι μετὰ δαίμονας ἄλλως· διὸ ἀθετεῖται. A.

424. χθιζὸς: ἐπιῤῥηματικῶς, ὡς καὶ τὸ τήμερος παρὰ τοῖς Ἀττικοῖς. τὸ δὲ πάντες συλληπτικῶς, ὡς τὸ „ἀρισῆες Παναχαιῶν εἶδον παννύχιοι" (Il. 10, 1). ᾗ γ' Ἀθηνᾶ πρὸ ὀλίγου ἐξ οὐρανοῦ κατῆλθε, πεμφθεῖσα ὑπὸ Ἥρας. BL.

425. δωδεκάτη: φασὶν ἐν Διοσπόλει μέγιστον εἶναι Διὸς ἱερόν, ἀφ' οὗ λαμβάνοντας τὸ ξόανον Αἰθίοπας μετὰ ᾗ τῶν ἄλλων ἐγχωρίων θεῶν κατά τινα χρόνον περινοστεῖν τὰ μέρη τῆς Λιβύης ᾗ πολυτελεῖς ποιεῖν πανηγύρεις ἐπὶ δώδεκα ἡμέρας, ὅτι καὶ τοσοῦτοι οἱ θεοί. ABL.

426. χαλκοβατὲς δῶ: τὸ στερεὸν ἔχον τὴν βάσιν. ἐκ ἄπεισι δὲ εἰς Αἰθιοπίαν ἡ Θέτις, ὅτι ἐκεῖ ἦσαν οἱ Ἀχαϊκοὶ θεοί· καὶ τῷ υἱῷ καιρὸν μετανοίας διδοῦσα, ᾗ αὐτοῖς τοῖς Ἕλλησι· καὶ ἵνα Τρῶες αἴσθωνται τῆς μήνιδος καὶ τολμήσωσι λοιπὸν εἰς τὴν μάχην. BL.

427. καί μιν πείσεσθαι ὀΐω: ἀπιοῦσα ἐν χρηστῇ ἐλπίδι καταλιμπάνει τὸν παῖδα. ὅμοιον δέ ἐστι τῷ „αἴ κε πίθηται." BL. ὡς ἀμφίβολον δὲ αὐτό φησι, διότι ᾔδει τὸ αὐτοπαθὲς τῆς Ἥρας. D.

429. ἐϋζώνοιο γυναικός: εὐζώστου, καλῆς ᾗ εὐχόλου, ἀφ' οὗ εὐειδοῦς, ἀπὸ μέρους. D. ὅτι ἐλλείπει ἡ περί· ἔστι γὰρ περὶ γυναικός. A.

430. τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων; ἐν τάξει ἀπολογίας τοῦτό φησιν, ὅτι ἐκ ἦν εὔλογον περὶ γυναικὸς θυμῶθῆ αὐτόν. ἄλλως τε τὴν ἰδίαν ἀποφαίνει γνώμην ὁ ποιητής, ἠδικῆσθαι αὐτὸν ὁμολογῶν. BL.

αὖτὰρ Ὀδυσσεύς: ὅπως μὴ τῇ τῆς Θέτιδος ἀπαλλαγῇ συνάψῃ τὴν ἐπάνοδον, διὰ μέσου βάλλει τὰ κατὰ τὸν Ὀδυσσέα, μόνον ἐκ λόγῳ καταμετρήσας τὸν ἐπὶ τὸν Χρύσην πλοῦν. ἑκατέροις δὲ μετρίως χρώμενος διαναπαύει τὸν ἀκροατήν, τῶν μὲν τὸν κόρον περιαιρῶν, τῶν δὲ τὴν ἐπιθυμίαν ἀποπληρῶν. BL.

Ζηνόδοτος τὸ προηγούμενον τῆς τοιαύτης ἐννοίας „ὡς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν" (318) ἐκεῖσε καταλιμπάνει τὸν Ὀδυσσέα. V.

432. λιμένος πολυβενθέος: ἤδη ᾗ λιμένων ἐπεσημήνατο φύσεις μιᾷ λέξει ὁ ποιητής. διαφέρει δὲ λιμὴν ὅρμου· λιμὴν μὲν γὰρ ἔστι τὸ πᾶν, ὅρμος δὲ τὸ πρὸς τὴν γῆν. BL.

ἐντός: Ἀρίσαρχος ἐγγύς, οἱονεὶ πλησίον, ἐκ ἐντός. A.

433. ἴσια: τῆς νηὸς ἡ ὀθόνη, ὃ ἐστι τὸ ἄρμενον, ἴσιον λέγεται, ἰσὸς δὲ τὸ μέγα ξύλον τὸ κατάρτιον λεγόμενον ὑπὸ τῶν ναυτικῶν. D.

434. ἰσοδόκῃ: τὸ κατὰ τὴν πρύμναν ἐξέχον ξύλον, καθ' ὃ κλίνεται ὁ ἱστός. τὰ δὲ παρὰ τὸ δέχω πάντα διὰ τοῦ κ, ξεινοδόχος, ἰσοδόκη. A. διὰ τῶ κ γράφεται, ἔστι δὲ παρὰ τὸ δέχω, ὡς ξεινοδόκος ᾗ πανδοκεῖον. τὸ δὲ πέλασαν πελασθῆναι ἐποίησαν, ὡς τὸ „πάντας μὲν ὀΐω ἔλπει" (Od. 2, 91)· ᾗ ἔστιν ὁ τρόπος μετωνυμία. BL.

ὑφέντες: Ἀρίσαρχος ἀφέντες, Ζηνόδοτος ὑφέντες. A. Ζηνόδοτος μὲν ὑφέντες, αἱ δ' ἄλλαι πᾶσαι ἐφέντες. πρότονοι δὲ τὰ ἀπὸ πρύμνης εἰς πρῷραν διήκοντα χοινία. προερύσσι δέ, ἐπειδὴ τῶν ἀνέμων ᾔδεσαν τὸ παλίμβολον. ἄλλως τε ἐν Ἰλιάδι ταύτην μόνην ἔχων ἔκπλοιαν, τρόπον ἐδίδαξε προσορμισμῶ. πολλὴν δὲ ἔχει τὴν ἡδονὴν ἡ τῆς προθέσεως ἐπαγωγή· τὸ δὲ χῆμά ἐστιν ἐπανάληψις. BL.

435. καρπαλίμως: βέλτιον τοῖς ἐπάνω προσδίδοσθαι τὸ καρπαλίμως. A.

προέρυσσαν: διὰ τῶ ε, προέρεσσαν, ᾗ διὰ τῶ υ, προέρυσσαν, ᾗ ἡ Ἀργολικὴ ᾗ ἡ Σινωπικὴ ᾗ ἡ Σωσιγένης. A.

436. ἐκ δ' εὐνάς: τὰ σίδηρα, παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλώμενα εἰς τὸ ὕδωρ ᾗ ποιεῖν ἵσαθι. τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὡς ὅταν λέγῃ „εὐνῇ ἔνι μαλακῇ" (Il. 9, 618)· τὴν ἄγκυραν, ὡς νῦν „ἐκ δ' εὐνὰς ἔβαλον" τὴν διατριβήν, ὡς τὸ „ὄθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς" (Il. 2, 783). ABL.

πρυμνήσια: τὰ ἀπόγεια σχοινία, οἷς ἐκ τῆς πρύμνης προσδεσμεῖται ἡ ναῦς πρὸς τῇ γῇ. D.

437. ἐπὶ ῥηγμῖνι θαλάσσης: ἀλλαχοῦ ἠρμήνευκεν αὐτὸ διὰ τῆ τῇ χέρσῳ ῥηγνύμενον μεγάλα βρέμειν (Il. 4, 425). πάντα δὲ ἐν ὀλίγῳ πέφρασαι. ABL.

440. πολύμητις Ὀδυσσεύς: τὰ ἐπίθετα Ὀδυσσέως δῖος Ὀδυσσεύς, πολύμητις Ὀδυσσεύς. ὅτε δὲ καιρὸς τῆς σοφίας, Διὶ μῆτιν ἀτάλαντόν φησι. προσάγει δὲ τὴν κόρην τῷ βωμῷ ὥσπερ ἀποδιδοὺς ἐπὶ θεοῦ μάρτυρος. ἡ δὲ ἐπί ἐστιν ἀντὶ τῆς παρά. ABL.

441. τίθει: ἐ μόνον τὸ τίθημι κέκλιται, ἀλλ' ἔστι καὶ περισπώμενον. καὶ ὅτι ἐκ ἐπὶ μόνων τῶν ἀψύχων τὸ τιθέναι. BL.

442. 443. πρό μ' ἔπεμψεν: τὴν εἰς τὸμπροσθεν δηλοῖ

χέσιν, οὐ χρονικήν. αὐτὰ δὲ τὰ ἀναγκαῖα συλλαβὼν λέγει ἁπλῶς· πανȣ̃ργον γ᾽ ȣ̓δὲν ἐπὶ θεȣ̃. τὸ δὲ σοί ὡς ἀντιδιαςελλόμενον τῷ Φοίβῳ δεῖ ὀρθοτονεῖν, ϗ διὰ τὸν τέ. BL.

ὅτι τὸ ἀγέμεν κοινόν, ὥςε γίνεσθ᾽ τὸν ἑξῆς περισσόν· διὸ ϗ ἀθετεῖται. A.

444. ῥέξαι: ϗ σφάξαι· τὸ δὲ θῦσαι ἐπὶ τοῦ θυσιάσαι μόνως φησί. τὸ δὲ ἱλασόμεσθα πλεονασμῷ τȣ̃ σ̄. BLV.

445. ὃς νῦν Ἀργείοισι πολύςονα κήδε᾽ ἐφῆκεν: ἐμφρόνως τὸ μὴ εἰπεῖν ὅτι Χρύσȣ εὐξαμένȣ ὁ λοιμὸς ἐπηνέχθη, ἵνα μὴ διατρέψῃ τὸν γέροντα ὡς κακῶν αἴτιον. καίτοι Ἀχιλλεύς φησι „τοῖο δ᾽ Ἀπόλλων εὐξαμένου ἤκȣσεν" (380). BL.

446—448. ὣς εἰπὼν — ἔςησαν: ὅτι Ζηνόδοτος ȣ̓́τως συντετμημένως „ὡς εἰπών· τοὶ δ᾽ ὦκα θεῷ ἱερὴν ἑκατόμβην ἑξείης ἔςησαν." τὴν δὲ ἀναγκαιοτάτην Χρυσηΐδα περιεῖλεν. A.

446. ὁ δ᾽ ἐδέξατο χαίρων: περιέτεμε τὸν λόγον τȣ̃ γέροντος· ȣ̓́τε γ᾽ ἐπαινεῖν ȣ̓́τε ψέγειν ἦν τȣ̀ς ἀποδόντας· τὸ μὲν γὰρ δουλοπρεπές, τὸ δὲ παροξυντικόν. ἀλλ᾽ οὐδὲ τοσαύτην κίνησιν ἔχει τὰ ἡδέα λεγόμενα ὁπόσην τὰ λυπηρά. BL.

447. κλειτήν: ἱερήν, ȣ̓ κλειτήν, εἶχον αἱ Ἀριςάρχȣ. A.

448. ἑξείης: οἶμαι τὴν ε̄ι πεπλεονακέναι ὡς ἐν τῷ ἀδελφειός. ἐΰδμητον δὲ ἐκ τȣ̃ δέμω δμῶ δμήσω δέδμηται, δμητός, ἐΰδμητος ὡς ἐΰννητος. BL.

449. χερνίψαντο δ᾽ ἔπειτα: δεῖ γ᾽ προσιόντα θεῷ κατὰ τὸ δυνατὸν εἰκάζειν αὑτὸν θεῷ. ἀπὸ δὲ τῆς χερὸς ἑνικῆς ἐςὶ χερνίψαντο. διὰ τί δὲ μετὰ τὸ δεῖπνον οὐ ποιεῖ τȣ̀ς ἀνθρώπȣς ἀπονίπτοντας τὰς χεῖρας; ὅτι οὐδὲ ὄψοις τοιȣ́τοις ἐχρῶντο ὥςε δεῖσθ᾽ ἀπονίψεως, καὶ ὅτι πανόμενοι τȣ̃ δειπνεῖν ἔσπενδον· μετὰ δὲ τὰς σπονδὰς ȣ̓ δεῖ ἀπονίπτεσθ᾽. ῥητέον δὲ καὶ τȣ̃το. ὅταν γ᾽ λέγῃ „χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα νίψασθ᾽" (Od. 1, 136), φήσομεν ȣ̓κ εἰς τὸ νίψασθ᾽ πρὸ τȣ̃ δείπνȣ μόνον· ἁπλῶς γ᾽ τὰς ἀρχὰς μηνύσας ȣ̓κέτι τὰ κατὰ μέρος ἐπέξεισιν, ὥςε παρέκειτο τὰ χειρόνιπτρα ὅτε βȣ́λοιντο νίπτεσθ᾽. ϗ γ᾽ ϗ ἡ τράπεζα ϗ τὰ ἄλλα ἄχρις ὅτȣ βȣ́λοιντο χρῆσθαι αὐτοῖς παρέκειτο. ȣ̓́τω καὶ τȣ̀ς Πυλίȣς ἐν τῷ κατάπλῳ Τηλεμάχȣ εὐωχȣμένȣς ȣ̓κέτι δεδήλωκεν ὅπως ἐκ τῆς ἠϊόνος ἀναςάντες ἀπηλλάγησαν. ϗ τὴν Ἀθηνᾶν Μέντῃ ὁμοιωθεῖσαν καὶ τὸ δόρυ δȣ̃σαν τῷ Τηλεμάχῳ, ȣ̓κέτι φησὶ πῶς τȣ̃το ἀπιοῦσα ἀπέλαβε. ϗ τὸ τόξον εἰς κατασκοπὴν ἀπιόντι Μηριόνης δίδωσιν Ὀδυσσεῖ· ὅπως δὲ τȣ̃το ἀπέδωκεν, ȣ̓κέτι ἐπεσημήνατο, διδȣ̀ς τοῖς ἀκροαταῖς καθ᾽ ἑαυτȣ̀ς λογίζεσθ᾽ τὰ ἀκόλȣθα. ϗ πολλὰ τοιαῦτα ἔςι γνῶναι παρ᾽ αὐτῷ· ȣ̓ γ᾽ μόνον τί εἴπῃ, ἀλλὰ καὶ τί μὴ εἴπῃ ἐφρόντισεν. BLV.

οὐλοχύτας: τινὲς τὰ κανᾶ δι᾽ ὧν ἐπέχεον τὰς ȣ̓λάς. ϗ κριθαὶ δὲ πρὸς ἀντιδιαςολὴν τῶν ψαιςῶν· πρὸ τῶν πυρῶν γ᾽ εὕρηνται, καὶ ἀπὸ τοῦ προκριθῆναι τῶν βαλάνων ȣ̓́τως ὠνομάσθησαν. κριθὰς δὲ μετὰ ἁλῶν μεμιγμένας ἐπέχεον τοῖς ἱερȣγȣμένοις ζώοις πρὸ τȣ̃ θύεσθ᾽, ἤτοι πολυπληθείας χάριν, ἢ μνήμην ποιούμενοι τῆς ἀρχαίας βρώσεως· ὡς γάρ φησι Θεόφραςος ἐν τῷ περὶ εὑρεμάτων, πρὶν ἢ μάθωσιν οἱ ἄνθρωποι ἀλεῖν τὸν Δημητριακὸν καρπόν, οὕτω σώας αὐτὰς ἤσθιον· ὅθεν ὅλας αὐτάς φησιν ὁ ποιητής. BDL. ὄνομα θηλυκόν, οὐλαὶ αἱ κριθαί, παρὰ τὸ ὅλον, ὡς παρὰ τὰς ἀληλεσμένας. L.

450. μεγάλ᾽ εὔχετο: μεγάλως ἀναχὼν τὰς χεῖρας· ἐπὶ σωτηρίᾳ γ᾽ εὐχόμενος παῤῥησίαν ἄγει. ὅτε δὲ κατηρᾶτο, ἡσυχῇ ηὔχετο· ἐπ᾽ ὀλέθρῳ γ᾽ ἀνθρώπων ἡ αἴτησις. BLV.

453. ἤδη μέν ποτ᾽ ἐμεῦ πάρος ἔκλυες: ἐλεύθερον ἅμα ϗ προσακτικὸν τὸ χάριτας εἰδέναι. φησὶν ȣ̓ν, εἰ προήκȣσάς μȣ, καὶ νῦν δίκαιος εἶ ἀκȣ̃σαι. BL.

454. ὅτι κατὰ τὴν Πατρόκλȣ ἔξοδον (Il. 16, 237) ȣ̓κ ὀρθῶς λέγεθ᾽, ἐντεῦθεν μεταχθείς. ȣ̓ γ᾽ εἰκότως Ἀχιλλεὺς ἐπιχαίρει τῇ ἥττῃ τῶν Ἑλλήνων. ὁ δὲ Χρύσης βάρβαρος καὶ μισέλλην. A.

457. τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων: δεξιὸν καὶ παιδευτικὸν τὸ παραχρῆμα μετατίθεσθαι εἰς ἔλεον τὸν θεόν. BL. οὐ πολλῆς ἐδέησεν εὐχῆς αὐτῷ· ἐλεῆμον γάρ ἐςι τὸ θεῖον. L.

458. προβάλοντο: προεβάλοντο εἰς τὸν βωμόν· ἔςι δὲ τὸ σχῆμα ὁμοιοτέλευτον. BL. οὐχ ὡς Ἀριςοφάνης (Pac. 960) „σείου σὺ ταχέως· εὖ δὲ πρότεινε τῶν λόγων." V.

459. αὐέρυσαν: εἰς τȣ̀πίσω ἀνέκλων τὸν τράχηλον τȣ̃ θυομένȣ ἱερείȣ, ὡς προσέχειν εἰς ȣ̓ρανὸν τοῖς θεοῖς οἱ ϗ ἐθύοντο, ὡς καὶ αὐτῶν ὄντων ἐν ȣ̓ρανῷ. πάλιν δὲ τοῖς ἥρωσιν, ὡς κατοιχομένοις, ἔντομα ἔθυον ἀποβλέποντες κάτω εἰς γῆν. AD. τὸ αὖ τὸ πάλιν δηλοῖ. ἢ ἅ ἔρυσαν, ἢ πλεονασμῷ τȣ̃ ῡ. Κυμαίων δὲ ἔθος τὸ αὐερύειν, αἰτȣ́των τὸν θεὸν ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω αὐτοὺς ἕλκειν. τηρεῖ δὲ τὰ Ἑλληνικὰ ἔθη. BLV.

460. μηρούς τ᾽ ἐξέταμον: ἐπεὶ ςάσεως αἴτια μᾶλλον τῶν ἄλλων ὀςῶν. τὸ δὲ λίπος ὡς λαμπρόν, ἢ διὰ καίεσθαι δι᾽ αὐτȣ̃ τὰ μηρία. B.

461. δίπτυχα ποιήσαντες: διπλώσαντες τὴν κνίσαν· νῦν δὲ λέγει τὸν ἐπίπλȣν. DL.

δίπτυχα ὡς ὑπόβρυχα. ὧν τῷ μὲν ἑνὶ ἐπετίθετο ὁ μηρός, θατέρῳ δὲ τὰ ἄκρα. BL.

ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν: ἀλλαχȣ̃ ἡρμήνευσεν ἐςι τὸ ὠμοθέτησαν· „ὁ δ᾽ ὠμοθέτει συβώτης, πάντου ἀρχόμενος μελέων ἐς πίονα δημόν" (Od. 14, 427). ἔτι πατȣ́του εἰς τὸ τέλος τοῦ Γ τῆς Ὀδυσσείας. BL.

ἀπὸ τῶν ὠμῶν ἱερείων ἀπαρξάμενοι ἔκοψαν μικρὸν ἀπαντὸς μέλȣς, ϗ ἐπέθηκαν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τȣ̃ ἱερείȣ καρπȣ̃σθ᾽· διὸ ἡ διπλῆ. ADL.

462. καῖε δ᾽ ἐπὶ σχίζῃς: ἠγνόησάν τινες τὸν θυσκόον, ἀποδιδόντες τὸν αὐτὸν μάντιν. δοκεῖ δέ μοι ἱερὰ αὐτὸν ἀποδιδόναι, ἀπὸ τοῦ καίειν τὰ θύη. λέγει γὰρ „καῖε δ᾽ ἐπὶ σχίζῃς ὁ γέρων." ὁ οὖν καίων τὰ τεμένα τοῖς θεοῖς θυησκόος· „θεοῖσι δὲ θῦσαι ἀνώγει πατροκλον" (Il. 9, 219)· καὶ „τὸν πῦρ κῆαι ἄνωγε" (Od. 5, 97)· καὶ „πῦρ μέγα κηάμενος" (Od. 23, 51). καὶ ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χρύσης λέγει „ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (40). ἀπὸ συμβεβηκότος ἂν θυοσκόος ὁ ἱερεύων τοῖς θεοῖς ἐκ τῶν ἰδίων, ἢ εἴ τις ἄλλος βάλοιτο. πῶς ἂν ὁ Λειώδης φησὶν „αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος ἐδὲν ἐοργὼς κείσομαι" (Od. 22, 318)· πρὸς ὃν ἀποκρίνεται „εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εἴχεαι εἶναι, πολλάκι μοι μέλλεις ἀρήμεναι ἐν μεγάροισι τηλῷ ἐμοὶ νόσοιο τέλος γλυκερὸῖο γενέσθαι." τὸν γὰρ ἱερέας ποιεῖ ἢ καταρωμένους, ὥσπερ τὸν Χρύσην, ἢ τοὺς μάντεις. ὅταν ἓν εἴπῃ „ἢ οὐ μάντιές εἰσι θυοσκόοι ἢ ἱερῆες" (Il. 24, 221), ἃ δεῖ συνάπτειν τῷ θυοσκόοι ἢ ἱερῆες, ἀλλ' ἢ θυοσκόοι ἢ ἱερῆες, ἵν' ᾖ ἐπίθετον τῶν ἱερέων τὸ θυοσκόοι, τὰ τεθυμένα καίοντες· ὁ γὰρ διαζευκτικὸς ἄλλους ἢ ἄλλως δηλοῖ, ὡς τὸ „ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον" (62). περὶ τριῶν γὰρ ἔφη, περὶ μάντεως, ὃς ἐκ σημείων ἢ τεράτων ἢ οἰωνῶν ἢ ἔκ τινων συμβόλων ἢ ἀποβάντων λέγει ἢ μαντεύεται, ὡς ὁ Κάλχας ἐκ τῆ λοιμῆ τὴν Ἀπόλλωνος μῆνιν, ἐκ τῆ δράκοντος ἢ τῶν σρουθῶν τὰ περὶ τὴν πόρθησιν τῆ Ἰλίου· ὁ δὲ Θεοκλύμενος ἐξ οἰωνῶν, ἀετὸν θεασάμενος τίλλοντα πέλειαν (Od. 15, 529)· καὶ ἡ Ἑλένη ἐπὶ τῶν ἁρπασάντων τὸν ἥμερον χῆνα ἐκ τῆς αὐλῆς „κλῦτέ μοι, αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ ἀθάνατοι βάλλεσιν" (Od. 15, 172). ὁ μὲν ἂν μάντις τοιοῦτος. ὁ δὲ ἱερεὺς ἀρᾶται ἢ εὔχεται τῷ θεῷ, ὅπερ ἢ τὴν ἱερωσύνην ἔχει, ὡς ὁ Χρύσης καταρᾶται μὴ τυχὼν τῆς θυγατρός, ἢ πάλιν τυχὼν ὑπερεύχεται. ὁ δ' ὀνειροπόλος ἔμπειρός ἐσιν ἀποκρίνεσθαι ὀνείρατα, ὥσπερ Πηνελόπη (Od. 19, 535) τὸν Ὀδυσσέα ἢ τὰς χῆνας ὁραθέντας ἐπερωτᾷ ἐνύπνια διελέσθαι ἢ σαφηνίσαι. καί τινα Εὐρυδάμαντα ὀνειροπόλον γέροντά φησι μὴ κρίνασθαι τοῖς ἑαυτῆ παισὶν ὀνείρας, ὁπότε ἤρχοντο ἐπὶ τὸν πόλεμον (Il. 5, 150), ἃ μιᾷ Δία θεασάμενος αὐτός. ἐδὲ μὴν ἐκείνας ἰδεῖν ἔφη, ἐξ ὧν ἢ ἔμελλεν ὁ πατὴρ κρίνειν αὐτοῖς τὸ μέλλον. ὅτι δὲ διίζευκται ὁ θυοσκόος ἱερεὺς τῆ μάντεως, δῆλον „τῶν οἳ μάντιές εἰσι θυοσκόοι ἢ ἱερῆες." L.

463. πεμπώβολα: διὰ τὸ μὴ συμπεσεῖν τῷ πεντώβολον. ἢ τὰς μὲν ἄλλας τρισὶν ὀβελοῖς πείρειν, Κυμαίας δὲ πέντε φασίν. BL.

464. μῆρ' ἑκάτη: Πτολεμαῖος τὸ ε̄ τελευταῖον λαμβάνει τῷ μῆρε, ἵνα ἀκώτερον ἐκδέξηται τὸ κάη· ἢ Ἀρίσαρχος δὲ ἕτως. δύναται δὲ καὶ ἑκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τῆ ῡ, ὥσπερ ἢ ἐπὶ τῆ ἐντελεξέρε αὐτῆ ὁρῶμεν „ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (40). τὸ δὲ τοιοῦτο πολὺ παρὰ τῷ ποιητῇ, λέγω δὲ τὸ καὶ τὸν χρόνον τὸν ἔξωθεν φυλάσσειν τὸ ῥῆμα ἢ συνάρχεσθαι τῷ ἐνεζῶτι. ἀπεφηνάμην δὲ ἐντελέσερον τὸ μηρίον τῆ μήρου ὄν· ἐκ γὰρ συγκοπῆς αὐτῆ ἐγεγόνει, ἐπεὶτοι εὐθύνεται ὁ τόνος. τὰ γὰρ εἰς ος λήγοντα, μεταπλασσόμενα εἰς ὐδέτερον γένος τὰ εἰς ον λῆγον, τὸν αὐτὸν τόνον φυλάσσει· ὁ ζυγὸς τὸ ζυγόν· τὰ ζυγά, δίφρος δίφρον δίφρα. ὅθεν εἰ ἢ μηρός, ἢ μηρόν ἢ μηρά, εἰ δὲ μῆρα, ἢ μήρους. εἰ δὲ δοίημεν ὅτι κυρίως τὰ ἁγιαζόμενα θεοῖς μῆρα καλεῖται, τὸ περὶ τῆ σημαινομένε ἢ τῆ περὶ τὸν τόνον ἁμαρτήματος τὴν λέξιν ἀπολύει. A. ἀπὸ τῆ μηρία συνεκόπη ἢ ἐγένετο μῆρα, ἢ κατὰ ἀποκοπὴν μῆρ'. δηλοῖ δὲ τὰ ἐναγίσματα τῶν θεῶν. B.

σπλάγχν' ἐπάσαντο: Ἀρίσαρχος Ἰακῶς πάσαντο. A. Ἰακῶς τὸ πάσαντο προενεκτέον. σπλάγχνα δὲ ἀντὶ τοῦ τῶν σπλάγχνων, ὃ ἐσι τῶν ἐντοσθιδίων, ἥπατος νεφρῶν καὶ τῶν ἐξῆς. τούτων δὲ πάντων ἀπεγεύοντο, ἀπὸ σπλάγχνων καὶ ψυχικῆς σπουδῆς δηλοῦντες τὴν θυσίαν ποιεῖν. BLV.

ἔσι μέσος ἀόριστος πρότερος· τὸ θέμα πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, ὁ μέλλων πατήσω καὶ κατὰ σύγκοπὴν πάσω. ἐντεῦθεν γέγονε ἢ φάτνη, ὁ τόπος ἐν ᾧ ἐσθίουσι τὰ ἄλογα. τὸ δὲ πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, γίνεται παρὰ τὸ μασσῶ τὸ μαλάσσω. ὅθεν ἢ πασσᾶσθαι παρὰ τὸ μασσᾶσθαι, τροπῇ τῆ μ̄ εἰς π̄, ἢ ἀναδρομῇ τῆ τόνε πάσασθαι. L.

465. μίσυλλόν τ' ἄρα τἄλλα: παρὰ τὸ μεῖον, μείως ἔτιλλον, ἢ κατὰ συγκοπὴν μίσυλλον. οὐκ ἔχει δὲ τὸ ε̄, ὡς ἐδὲ τὸ μικρόν, παρὰ τὸ μεῖον ὄν. τὸ δὲ τἄλλα κατὰ συναλοιφήν ἐσιν, ὡς τἄργα. ὁ δὲ Ἡρωδιανὸς τὸν τέ παραπληρωματικὸν ἀποδέχεται· ἢ λείπει τὸ ἄρθρον Ὁμηρικῷ ἔθει. BL.

466. ὥπτησάν τε περιφραδέως: ἐμπειρίας γὰρ προσδεῖ τοῖς ὀπτῶσι· καὶ ὀπτᾶν δὲ εἴρηται διὰ τὸ πυκνότερον ἐποπτεύειν τὸν ὀπτῶντα. BL.

467. πόνου: τῆ τῆς ἱερουργίας πόνε, ἤτοι τῆς ἐνεργείας· ἐδέποτε γὰρ πόνον τὴν ἀλγηδόνα φησὶν ὁ ποιητής. ἐνίοτε δὲ ἢ τὴν ταλαιπωρίαν δηλοῖ· „ἦ μὴν ἢ πόνος ἐσί" (Il. 2, 291). νῦν δὲ τὴν περὶ τὴν ἱεροποιίαν σπουδήν. BL.

τετύκοντο: τεύχω ἔτυχον ἐτυχόμην ἐτύχοντο· ποιητικὸς ἢ Ἰωνικὸς διπλασιασμὸς οἰκεῖος τοῖς δευτέροις ἀορίσοις μετὰ τροπῆς, καὶ γίνεται τετύκοντο, ὡς παρὰ τὸ χάζω κεχάδοντο· „κεχάροντο δὲ πάντες Ἀχαιοί" (Od. 4, 344). AB.

468. ἐΐσης: τῆς ὁμοίως πᾶσιν ἐπιγινομένης. ἢ τῆς μεριζομένης, ἐπεὶ κἂν τοῖς εὐτελέσι τὴν ἰσότητα ἐτήρων· δαιτρὸν γάρ φησι (Il. 4, 262) πίνεσιν. BLV.

469. πύσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο: ἀσικὸν δὲ τὸ μὴ φάναι ὅτι μέχρι κόρε ἤθιον· τοῦτο γὰρ δηλοπρεπές, ὡς ἐπὶ Εὐμαίου „πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος βῆ ῥ' ἴμεναι μετ' ὕας" (Od. 17, 603). λέγασι δὲ τὸ μὲν ἔρος ἐπὶ πάντων λέγεσθαι, τὸ δὲ ἔρως ἐπὶ μόνων τῶν ἀφροδισίων· ὃ ἔσι πιθανόν. Πίνδαρος „ἢ γὰρ ἑτέροις ἑτέρων ἔρως ἔκνιξε φρένας" (Pyth. 10, 60). BL.

τὸ μὲν ἔρον ὡς Αἰολικὸν ψιλωτέον, ἢ καθὸ τὸ ε̄ ἢ α πρὸ τῆ ρ̄ φωνήεντος ἐπιφερομένε ψιλᾶται. τὸ δὲ ἔντο δασυντέον· ἔσι γὰρ παρὰ τὸ ἵημι, καὶ ὁ δεύτερος ἀόριστος ἦν, καὶ εἷς ἡ μετοχὴ ἢ ἀφείς, ἕμαι, ἵμην ἕσο ἕτο ἕντο. ταῦτα δὲ καὶ πλεονάζεσι τῷ ῑ πολλαχῶ. ABL. ἢ ἕω τὸ πληρῶ, ἐξ ἓ ἢ ὅλον. ἀφ' ἓ παράγωγον ἔημι. L.

470. κοῦροι μὲν κρητῆρας: ἀρχαῖον ἔθος οἰνοχοεῖν τοὺς νέους· „οἰνοχόει δὲ νέος Μενελάε" (Od. 20, 255?)· „ἐπὶ δ' ἄνερες ἐσθλοὶ ὕροντο οἶνον ἐνοινοχοεύοντες" (Od. 3, 471).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ καὶ παῖδας μέχρι νῦν τὰς δύλας φαμέν· ᾗ Γανυμήδης ᾗ Ἥβη ὑπηρέται θεῶν εἰσίν. ABL.

ἐπεσέψαντο ποτοῖο: ὑπὲρ τὸ χεῖλος ἐπλήρωσαν, ὥσε δοκεῖν ἐξέφθαι τῷ ἐγρῷ· „κρητῆρας" γὰ „ἐπισχερὲας οἴνοιο" διέδωκαν (Il. 8, 232). BL.

471. νώμησαν: διέδωκαν. ἐπαρξάμενοι δέ, ἐπιχέαντες. ὁ δὲ νῆς ἔτως, τῇ οἰνοχοῇ ἐπιχέαντες τοῖς ποτηρίοις διέδωκαν πᾶσιν· ἢ ἀπαρξάμενοι σπονδὴν τοῖς θεοῖς, πᾶσιν ἐνώμησαν. νέμω δὲ νωμῶ ὡς τρέχω τρωχῶ. τὸ δὲ δεπάεσσι πλεονασμῷ τοῦ ε ὡς πλέοσι πλεόνεσσι. BLV.

472. παννημέριοι: ὅτι οὐ δι' ὅλης φησὶ τῆς ἡμέρας, ἀλλὰ τοῦ λείποντος τῆς ἡμέρας· καὶ γὰ τὸ μὲν πεπλεύκασι, τὸ δὲ λεῖπον εὐωχήθησαν. A. ἀντὶ τοῦ πᾶν τὸ λοιπὸν τῆς ἡμέρας εἰς τὴν ᾠδὴν ἀναλίσκοντες· ἢ γὰ δι' ὅλης τῆς ἡμέρας. ἡ δὲ μολπή ποτε καὶ ἐπὶ παιδιᾶς τίθεται· „ἤρχετο μολπῆς" (Od. 6, 101). κυνῶν τε μέλπηθρα τὰ ἐπιορχήματά φησιν (Il. 13, 233). BL.

473. καλὸν ἀείδοντες παιήονα: ὅτι παιήονα οὐ τὸν Ἀπόλλωνα, ἀλλὰ τὸν ἐπὶ καταλύσει λοιμοῦ ὕμνον. καὶ τὸ καλὸν ἀντὶ τοῦ καλῶς. A.

ἤτε τὸν Ἀπόλλωνα ἤτε τὸν ἰατρὸν τῶν θεῶν, ἀλλὰ τὸν ὕμνον· παιήων γὰ ᾗ παιὰν ὕμνοι εἰσὶν ἐπὶ καταπαύσει λοιμοῦ ᾀδόμενοι, πολλάκις ᾗ προσδοκωμένῳ τοῦ δεινοῦ, πέντε δὲ αἱ παρὰ τοῖς ἥρωσιν ᾠδαί, σωφρονιστικόν, ὡς τὸ τοῦ ἀοιδοῦ Κλυταιμνήστρας (Od. 3, 267)· ἐγκωμιαστικόν, οἷον Ἀχιλλεὺς εὕρηται ᾄδων (Il. 9, 189)· παιανικόν, ὡς νῦν· θρηνητικόν, ὅπερ ἐπὶ γυναικῶν μᾶλλον τάσσει· „ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο" (Il. 24, 725)· ᾗ ὑπορχηματικόν „κῆροι δ' ἐπλήκεον ἄλλοι" (Od. 8, 379). BLV.

474. ἀθετεῖται ὅτι νομίσας τις τὸν Ἀπόλλωνα Παιήονα εἰρῆσθαι προσέθηκεν αὐτόν. ᾗ γίνεται δισσολογία· προειρηκε γὰρ „οἱ δὲ παννημέριοι μολπῇ θεὸν ἱλάσκοντο." A.

ὁ δὲ φρένα τέρπετ' ἀκούων: ὡς μεσηγέτης, ἢ ὅτι κάλλιστος τῶν εἰς θεὰς δώρων ὁ λόγος. ἀθετεῖται δὲ ὁ στίχος. BL.

διδάσκει ἡμᾶς ὅτι πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ τοῖς οἰκείοις ἕκαστος ὕμνοις. ABD.

475. ἦμος δ' ἠέλιος: ὅρος τοῦ κατὰ φύσιν ὕπνου καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις ἡλίου δύσις, ᾗ ἄλλως „οὐ γὰ ἔοικε δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι" (Od. 3, 335). BL.

476. παρὰ πρυμνήσια νηός: ἵνα ἐὰν εὔφορος αὔρα γένηται, αἴθωνται κινηθείσης τῆς νεώς. B.

477. ἦμος δ' ἠριγένεια: ὅτι τῇ ἑξῆς ἐκ τῆς Χρύσης κατίρχονθ. ἡ δὲ ἀναφορὰ ἀπὸ τῆς σημειώσεως πρὸς τὸν τῶν ἡμερῶν ἀριθμόν. A.

ἠριγένεια: ἤτοι ἡ τὸν ὄρθρον γεννῶσα ἡμέρα ἢ ἡ ὑπὸ τοῦ ὄρθρου γεννωμένη. D. ἢ ἐκ τοῦ ἦρι γεννωμένη· „ἦρι μάλ' Ἑλλήσποντον" (Il. 9, 360)· ὡς λυκηγενής, τριτογενής· ὅλα γὰ ταῦτα εἰς πάθος ἀναλύειθ, ἐκ εἰς ἐνέργειαν. τί ἂν ἐξὶ τὸ „αἰθρηγενέος Βορέαο" (Il. 15, 171); τὸ δὲ ἦρι ὀνοματικὸν ἔξιν ἐπίρρημα. γίνεται δὲ ἐκ τοῦ ἀήρ ἄερος ἄέρι καὶ ἦρι. BLV.

ῥοδοδάκτυλος: συνεκδοχῇ· ἀπὸ γὰ τοῦ μέρους τὸ ὅλον καλεῖ. λέγει δὲ τὴν πολύφωτον· τὴν δὲ πολύσκοτον κροκόπεπλον. BL. πυρώδης γὰ ὁ ἀὴρ ὄρθρου γίνεται ἐν τῇ ἀνατολῇ, ἀπὸ δὲ τοῦ χήματος τῶν τῆς χειρὸς δακτύλων παρίσησι τὸ τῶν ἀκτίνων σχῆμα, συνεκδοχικῶς ἀπὸ μέρους τὸ ὅλον. τὴν δὲ πολὺ τοῦ φωτὸς ἔχουσαν οὕτως καλεῖ, τὴν δὲ πολὺ τοῦ σκότους κροκόπεπλον. A.

479. ἴκμενον: ἤτοι πορευτικόν, παρὰ τὸ ἱκνεῖσθαι, ἢ ὑγρόν, παρὰ τὴν ἰκμάδα· καὶ γὰ ἐν ἄλλοις φησὶν „ἀνέμων μένος ὑγρὸν ἀέντων" (Od. 5, 478). ἰκμάδος γὰρ ὑδάτων ἀτμιζομένης ἄνεμος γίνεται. διὸ ψιλωτέον· οὐ γὰ παρὰ τὸ ἱκνεῖσθ. ἅμα δὲ φύσιν ἀνέμων διδάσκει· τὸ γὰ ὑγρὸν τοῦ λοιμοῦ διασκεδάζει ὁ ἄνεμος. AB.

τὸ περὶ τὸν ἥλιον ἐσπουδακὼς ἰδίωμα δηλοῦν . . . ἄχρι γὰ οὐδέπω φλογώδης ἀθ' ἕμπυρος ὁ πρὸς μεσημβρίαν δρόμος αὐτοῦ νένευκεν, ἡ δροσώδης ἰκμὰς ὑγρὸν τὸ περιέχον ἀφεῖσα ἀμυδρὰ καὶ νωθῆ παραπέμπεται τὰ πρὸς ἕω πνεύματα. διὰ τοῦτο ὄρθριον ἥλιος αὐτὸς ἐναυστόλισεν ἱκανὸν ἀποσείλας ἄνεμον τὸν ἐκ τῆς ἰκμάδος πνέοντα. L.

481. ρῆσεν: ἐφύσησεν, ἐς κόλπον ἐνέπρησεν. ὑπέγραψε δὲ τὴν ἐριοδρομοῦσαν ναῦν. συγχαίρων δὲ αὐτοῖς νῦν καλλιγραφεῖ τὸν ἀπόπλουν, ἐχ ὅτε ἀπῆσαν, ὅπερ καὶ ἐπὶ Ποσειδῶνος. Ἀριστοτέλης φησὶν ὡς κινήσεως ὀνόματα γράφει ὁ ποιητής. L. ἔξιν ἰδεῖν λυόμενον ἄρμενον καὶ ὑπὸ τοῦ ἀνέμου ἐπαιρόμενον. BL.

482. στείρῃ: τῇ τροπίδι τῆς νεώς, ἐπεὶ στερεωτέρα τῶν σανίδων ὑπάρχει· ἐπὶ γὰ τὸ ξύλον τοῦτο, ὥσπερ εἰς θεμελίου τινα, ἐποικοδομεῖται τὰ ἄλλα ξύλα τῆς νεώς. A.

ἤτοι τὴν στερεὰν ᾗ ἄτονον (στερρά, καὶ κατὰ ἀποβολὴν τοῦ ἐνὸς ρ καὶ προσθέσει τοῦ ῑ στείρα), ἢ ἐν ᾗ στηρίζονται τὰ λοιπὰ πάντα τῆς νηός, ἢ τὴν στεῖραν ἔσαν, ὡς μὴ ἔχουσαν ἕτερον ξύλον ὅμοιον ταύτῃ. L.

483. κατὰ κῦμα: ἀντὶ τοῦ κατὰ κύματος. τὸ δὲ πρὸς κῦμα ἐναντίωσιν σημαίνει. B.

484. μετὰ στρατὸν: Ἀρίσαρχος κατά, οὐ μετά. καὶ „χθιζὸς ἔβη κατὰ δαῖτα" (424). A.

486. ὑψοῦ ἐπὶ ψαμάθοις: ψάμμου. καὶ ἡ ποταμία ἔτως καλεῖται· „κείμενον ἐν ψαμάθοις Αἰσήποιο." AB.

διδάσκει πολὺ ἀπὸ θαλάττης νεωλκεῖν ὑφορωμένους τὴν πλήμμυραν. BL.

ἕρματα: τὸ ἕρματα, εἰ ᾗ ἐκ τοῦ ἐρείσματα, οὐ ψιλῶται, ὡς τινες, ἐπεὶ τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα εἰς ρ ἐπιφερομένου τοῦ μ δασύνεται, ὅρμος ὥρμα Ἑρμῆς ὁρμαθος. ἐνθεν ἡ πλείων χρῆσις τὸ ἁρμοῖ δασύνει. τὸ μέντοι ἄρμενον ᾗ ὅρμενον ψιλὸν πνεῦμα ἀνεδέξατο. A.

Πορφυρίου. ἕρματά τινες ἐξηγοῦνται τὰ ὑπερείσματα. γέγονε δὲ ἀπὸ τοῦ ἐνεῖρθαι καὶ ἐρηρεῖῳ τῇ γῇ. ἔτως οὖν καὶ τὰ ἑλλόβια ἕρματα εἰρηθ, παρὰ τὸ ἐνεῖρθαι· „ἐν δ' ἄρα ἕρματα ἦκεν ἐὐτρήτοισι λοβοῖσιν" (Il. 15, 182). καὶ

ἑρμὶς ὁ κλινόπους, τὸ οἷον ἕρμα καὶ ἐρηρεισμένον κατὰ τῆς γῆς. καὶ „ἡμεῖς δ' ἕρμα πόληος ἀπέκταμεν" (Od. 23, 121). τὸ ἔρεισμα ἢ θεμέλιον, ἐκ τοῦ ἐρηρεῖσθαι ἐν τῇ ἕρᾳ. ἢ ὅρμος δὲ ὁ περιδέραιος κόσμος· „χρύσεον ὅρμον ἔχων." εἶτ' ἐτυμολογεῖ· „μετὰ δ' ἠλέκτροισιν ἔερτο" (Od. 15, 459). BL.

487. αὐτοὶ δ' ἐσκίδναντο: περισσὸν τὸ ἀποπρεσβεύεσθαι πρὸς Ἀγαμέμνονα· φανερὸν γὰρ ἦν ἀπὸ τῆς παύσεως τοῦ λοιμοῦ. BL.

488. αὐτὰρ ὁ μήνιε: ὅτι Ζηνόδοτος ἠθέτηκεν ἕως τοῦ, „αὖθι μένων" (492). τὸν δὲ „οὔτε ποτ' ἐς πόλεμον" οὐδὲ ἔγραφεν. A.

490. οὔτε ποτ' εἰς ἀγορὴν —: δύο οἶδεν ἀνδρῶν ἀρετάς, πρᾶξιν ἢ λόγον· προκρίνει δὲ τὸν λόγον. καὶ ἀλλαχοῦ „ἔργα ἔπω εἰδόθ' ὁμοίΐ πολέμοιο ἀδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν" (Il. 9, 440). BLV.

ἢ πρόληψίς ἐστιν, ἢ εἰκὸς κατὰ τὸ σιωπώμενον καὶ ἐκκλῆσίαν ἢ πόλεμον πρὸς τὰς περιοίκους γενέσθαι· ἐφ' ἑκάστης γὰρ συνῆσαν „νηῒ παρὰ πρυμνῇ Ἀγαμέμνονος" (Il. 8, 382). αὐτὸς δὲ ἦν ὁ ἐπὶ τὰς πολεμίους ἐξάγων, ὅπερ ἐκ ἐποίει νῦν. εὖ δὲ τῶν γενναίων ψυχῶν φθορὰν εἶπε τὴν ἀργίαν· τοῖς πρακτικοῖς γὰρ ἡ ἀργία φθορά ἐστι· καὶ „κεῖτο γὰρ ἐν νήεσσί" φησι (Il. 2, 688), καὶ „κεῖται ἀπομηνίσας" (ib. 772). BLV.

ποθέεσκε: ἐχθρὸς γὰρ τῆς ἀργίας ὁ ἥρως, φιλότιμος δὲ περὶ τὰς πράξεις. A.

493. ὅτε δή ῥ' ἐκ τοῖο: Ἀρίσαρχος ὁτεδή ὡς δηλαδὴ παραλόγως ἀνεγίνωσκε. Πάμφιλος δὲ τὸ ὅτε κατ' ἰδίαν ἀναφορικόν, ἀναλόγως· διαφέρει γὰρ τὸ ὅτε ὀξυνόμενον κατὰ τὴν πρώτην τοῦ ὁτέ ἀορίστου. ὥστε ἐὰν θελήσῃ ὁ Ἀρίσαρχος ἀναγινώσκειν ὁτεδή ὡς δηλαδή, πρῶτον τὴν μὴ ἐοῦσαν χρῆσιν παρὰ τῷ ποιητῇ παραλήψεται, δεύτερον τὸ σημαινόμενον παραφθερεῖ. τὸ δὲ τοῖο προπερισπαστέον· τὸ γὰρ τοῦ Θεσσαλικῶς παρεῦξηθὲν ἐγίνετο τοῖο ὡς καλοῦ καλοῖο. ἀποφήνασθαι δεῖ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ διαλαμβάνων περὶ τοῦ „ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο" λέγει ὅτι τὸ ὁτέ ὀξυτόνως ἀορίστου ἐκ ἔχει ἡ χρῆσις παρὰ τῷ ποιητῇ· ἐν μέντοι τῷ ἐννεακαιδεκάτῳ τῆς καθόλου τὸ „ὡς Ἕκτωρ ὁτὲ μὲν μετὰ πρώτοισι φάνεσκεν" (Il. 11, 64) ὀξυτόνως δεῖν φησὶν ἀναγινώσκεσθαι. A.

ἐκ τούτου λέγει τοῦ χρόνου, τοῦ τῆς μήνιδος. εἶπε γὰρ ἡ Θέτις „χθιζὸς ἔβη μετὰ δαῖτα" (424). B.

496. ἀνεδύσετο: παρατατικῶς παθητικῶς, ὡς ἀπὸ τοῦ δέω ἐνεδῶτος, τὸ παραγωγὸν δύμι, ὁ μέλλων δύσω, ᾧ ἐγένετο ὁ μέλλων ἐνεδώς, ᾧ ὁ παθητικὸς δύσομαι, ὁ παρατατικὸς ἐδυσόμην ἐδύσετο. ὥσπερ ᾧ ἐκ τοῦ βῶ βιβῶ βίβημι, ὁ μέλλων βήσω· ᾧ μετάγεται εἰς ἐνεσῶτα, ᾧ παθητικὸς βήσομαι, ὁ παρατατικὸς ἐβησόμην ἐβήσετο. A.

497. ἠερίη: ἐπιῤῥηματικῶς· διδάσκει δὲ ᾧ τῶν ἐντεύξεων τὸν καιρόν· ὁ γὰρ ἐωθινὸς ἥσυχος ᾧ νηφάλιος. BL.

οὐρανὸν: ἕτω ᾧ τὸ στερέωμα καλεῖ („οὐρανῷ ἐκκατέπαλτο" Il. 19, 351) καὶ τὸν ὑπερνέφιον τόπον. αἱ δὲ κορυφαὶ τῶν ὀρέων ὑπερνέφιοί εἰσιν. BL.

μέγαν οὐρανὸν Οὔλυμπόν τε: ὅτι ἕτως εἴρηκεν ἐχ ὡς τοῦ Ὀλύμπου ἐπ' οὐρανῷ ὄντος, ἀλλ' ἐπεὶ καὶ αἱ κορυφαὶ τοῦ ὄρους ὑπὲρ τὰ νέφη εἰσίν· ὁ δὲ ὑπὲρ τὰ νέφη τόπος οὐρανὸς καλεῖται ὁμωνύμως τῷ στερεμνίῳ, ἀλλὰ ᾧ ἐν οὐρανῷ ᾧ ἐν Ὀλύμπῳ γεγονέναι αὐτὴν λέγει. A.

ἰστέον δ' ὅτι ἐν τῷ ἄκρῳ τοῦ Ὀλύμπου ἐστὶν ὁμώνυμος πόλις Ὄλυμπος. A.

498. εὐρύοπα: ἤτοι μεγαλόφθαλμον, παρὰ τὰς ὤπας, ἢ μεγαλόφωνον, παρὰ τὴν ὄπα, ὃ ἐστι τὴν φωνήν. ABD.

ψιλῶς μεγαλόφωνον, ὡς τὸ ἐριβρεμέτης. ἢ μεγαλόφθαλμον, διὰ τὸ προνοητικόν. AB.

ἰδίᾳ δὲ κάθηται διὰ τὴν ἐξοχήν· „ὃ δ' ἀφήμενος οὐκ ἀλεγίζει" (Il. 15, 106). ἅμα δὲ ᾧ πρὸς τὸ παρόν. A.

499. πολυδειράδος Οὐλύμποιο: πολλὰς ἐξοχὰς ἔχοντος, πολυανχένου. D. „τρὶς δὲ τριηκόσιαι κορυφαὶ νιφόεντος Ὀλύμπου." A.

ὅτι ᾧ ἀρσενικῶς τὸ πολυδειράδος, ὡς ἐνταῦθα. L.

501. δεξιτερῇ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα: εἰκόνα δεομένῃ ὡς ἐν γραφῇ προέβαλεν. ἱκανὸν δὲ τὸ χῆμα ἐπικλάσαι αὐτόν. τὸ δὲ ὑπολαβοῦσα τὸν ἀνθερεῶνα ἀντιφράζων φησὶν „ἢ οἱ γένατ' ἔκυσσε καὶ λάβε χειρὶ γενείου" (Il. 8, 371). ἀγαθὰ δὲ λεχθῆναι οἰωνιζομένη τοῦ γενείου αὐτῇ προσελάβετο. BL.

ἀνθερεῶνος: τοῦ ὑπογενείου, παρὰ τὴν ἐξάνθησιν τῶν τριχῶν. DL.

503. ἀθανάτοισι: τὸ ἀθάνατον ἐπὶ ἐμψύχων, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων οἱ φιλόσοφοι τάττουσιν. ὁ δὲ Πλάτων, ἀθάνατον εἶναι λέγων τὴν ψυχήν, ἀθανάτοις ὁμώνυμον εἶναι ἐπιφέρει, διὸ τὸ μὲν κυρίως ἀθάνατον καὶ κατ' ἐσίαν καὶ κατ' ἐνέργειάν ἐστιν ἀμετάβλητον, τὴν δὲ ψυχὴν κατ' ἐσίαν μὲν οἶδεν ἀθάνατον, ἐκέτι δὲ ᾧ κατ' ἐνέργειαν. ἕτω δ' ἂν εἴποις ᾧ τὰ οὐράνια ἀθανάτοις ὁμώνυμα· μεταβάλλει γὰρ αὐτά, εἰ ᾧ μὴ κατ' ἐσίαν, ἀλλὰ κατὰ τόπον. ὅτι δὲ πάθος τῆς ζωῆς ἡ ἀθανασία ᾧ σύμπτωμά τι (ἐπὶ ὑποθέσει γάρ τινι δείκνυται ἐκ θνητοῦ ἀθάνατον γίγνεσθαι), προεγράφη ἐν τῷ περὶ πάθους. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος ξέρησιν θανάτου ἁμαρτάνει· οὐ γὰρ ξέρησις θανάτου ἡ ἀθανασία, ἀλλ' ἐν ἕξει καὶ διαθέσει. B.

ὄνησα: πεφεισμένως ὠφέλειαν εἶπε τὴν τῆς ἀρχῆς σωτηρίαν· καὶ ὑπέμνησε μὲν τῆς χάριτος, ἀλλ' οὐκ ὠνείδισεν. BL.

504. ἢ ἔπει ἢ ἔργῳ: ὅτι εἰ μὴ προϊζορήσαμεν τὰ περὶ τῶν δεσμῶν, ἐφ' ὧν ἡ Θέτις ἐβοήθησεν αὐτῷ, ἐζητοῦμεν ἂν τί αὐτὸν ὤνησεν. A.

ἔνιοι μέν φασιν ὅτι καὶ λόγῳ ὤνησε τὸν Δία καὶ ἔργῳ, λόγῳ μὲν βοηθὸν ἐλθεῖν πείσασα τὸν Βριάρεων, ἔργῳ δὲ μηκέτι δεθέντα. ἄμεινον δὲ φάσκειν ὅτι προσέθηκε τὸ λόγῳ ᾧ μὴ γενόμενον, ἵνα μὴ δοκῇ φανερῶς ὀνειδίζειν τὸ ἔργον. BL.

505. τίμησόν μοι υἱὸν ὃς ὠκυμορώτατος ἄλ-

λων: ἔλεον ἐπάγει τὴν ἀωρίαν τȣ̃ παιδὸς οἰκτισαμένη, ϗ δεικνύȣσα ὅτι βίȣ πολυχρονίȣ προκρίνας τιμὴν ϗ ταύτης συνεςέρη. ἐν βραχεῖ δὲ πάντα πέφρασται. καλῶς δὲ οὐκ εἶπε τίμησον Ἀχιλλέα· ἀγωγὸν γ̀ πειθȣ̃ς μᾶλλον τὸ τῆς φύσεως ὄνομα. ϗ ἐν τοῖς ἑξῆς „υἱὸν ἐμὸν τίσωσιν" (510). εἰ ἐγὼ ἀλλοτρίȣς ὠφέλησα, πῶς ȣ̀ δίκαιον ἐμὲ παρακαλεῖν ὑπὲρ τȣ̃ ἐμȣ̃ παιδός, καὶ ταῦτα ὑβρισθέντος καὶ δυςυχȣ̃ντος; BLV.

508. σύ περ: ἠθικὸν τὸ σύ· ὃν ἐκεῖνος ὕβρισε, σὺ μὴ ὑπερόψει (μὴ ἐξȣθενήσῃς L). BL.

μητίετα: βȣλευτικώτατε. ἐχρῆν αὐτὸ παροξύνειν, εἴγε τὰ εἰς τῆς λήγοντα βαρύτονα βραχείᾳ παραληγόμενα, ἀπρόσληπτα τοῦ σ̄, ἐπὶ γενικῆς καὶ κλητικῆς παροξύνεται, οἰκέτα φυλέτα εὐνέτα. παραλόγως ἄρα ἡ εὐρύοπα δέσποτα καὶ τὸ μητίετα. ἔςι δὲ εἰπεῖν ὅτι ἀπὸ τȣ̃ μητῖτα κατὰ πλεονασμὸν τȣ̃ ε̄ καὶ συςολῇ τȣ̃ ῑ, ἀπὸ εὐθείας τῆς μητίτης, κλητικὴ γέγονε μητίετα· ϗ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπȣ ἔμεινε μετὰ τὸν πλεονασμόν. οὕτως Ὧρος ϗ Ἀπολλώνιος ἐν τῷ περὶ παρωνύμων, καὶ ἀπὸ τȣ̃ μητῖτά φησι τὸ μητίετα. A.

509. τόφρα δ' —: ἐλάχιςον ὁρίζει καιρὸν πρὸς πειθώ. κακῶς δὲ τὸ ἀναφορικόν. ἀλλαχȣ̃ δέ „ὄφρα μὲν ἠέλιος, τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο" (Il. 16, 777). BLV.

509. 510. βραχὺ διαςαλτέον ἐπὶ τὸ κράτος ϗ τίσωσιν. A.

510. ὀφέλλωσιν: αὔξωσιν. ὅθεν ϗ ὄφλημα τὸ χρέος διὰ τὸν τόκον. A. αὐξήσωσιν αὐτὸν τιμῇ. εἰκότως δὲ τὸ τῆς τιμῆς ὄνομα πολλάκις ἀνακυκλεῖ· τοῖς γ̀ ἀγαθοῖς ἀνδράσι τιμὴ φίλον, ἀτιμία δ' ἐχθρόν. BL.

511. τὴν δ' ȣ̃ τι προσέφη νεφεληγερέτα Ζεύς: ὅτι μετ' ἐπισκέψεως ποιεῖσθ̣ τὰς ἀποκρίσεις δεῖ, ὅπȣ καὶ ὁ Ζεὺς σκέπτεται· ἅμα δὲ καὶ ὅτι περὶ πάσης ἐνθυμεῖται τῆς Ἰλιακῆς περιπετείας. τὸ δὲ τί περιττόν. BL.

512. ἀκέων: ἀντι τοῦ ἀκεόντως. LV.

ὡς ἥψατο γούνων: ὥσπερ, ἀναφορικῶς. διδάσκει δὲ ἡμᾶς ὁ ποιητὴς μὴ ἀποκάμνειν ἐν ταῖς ἱκεσίαις. BL.

ὑποςιγμὴ ἐν ὑποκρίσει ἐπὶ τὸ γȣ́νων διὰ τὸ ὡς μόριον A.

513. ὣς ἔχετ' ἐμπεφυυῖα: ȣ̃τως, ἀνταποδοτικῶς. ἐμφαντικὴ δὲ ἡ μεταφορά, ὥσπερ ἡνωμένης. διάςημα δὲ δίδωσιν, ἐπικλῶσα αὐτὸν εἰς ἔλεον καὶ τῷ χήματι καὶ τῷ λόγῳ. BL.

εἴρετο: ἔλεγεν· „εἴροντο δὲ κήδε' ἑκάςη" (Od. 11, 542). Δημήτριος ὁ Ἰξίων προπερισπᾷ, παραλαμβάνων τὸ τό ἄρθρον. A. ὁ Ἰξίων ϗ εἶρε τὸ δεύτερον, κακῶς. LV.

514. ὑπόσχεο καὶ κατάνευσον: δὶς τὸ αὐτὸ πέφρακεν ἐπιτάσεως χάριν. D.

515. ἐπεὶ ȣ̃ τοι ἔπι δέος: ἐπεί σύνδεσμος, ἔπι πρόθεσις ἀναςραφεῖσα. ȣ̀δένα φοβῇ ἀρνήσασθ̣ καὶ συγκαταθέσθ̣. τȣ̃το δὲ δυσωπητικόν· καὶ ὅτι ὁ τηλικαύτην ὀφειλήσας χάριν ȣ̀δὲ τὴν τυχȣ̃σαν χαριεῖται. BL.

516. ἀτιμοτάτη θεός εἰμι: ἣν ἔδει καὶ λίαν τιμιωτάτην εἶναι παρὰ σοί. πιθανῶς δὲ ȣ̀κ εἶπεν ὅσον ἀχάριςος περὶ πάντας εἶ, ἑαυτὴν δὲ ἀτιμοτάτην ἔσεσθαι. BL.

517. ὀχθήσας: εἰς ὕψος ἐπάρας τὸν θυμόν, παρὰ τȣ̀ς ὄχθȣς· ἢ μεγάλως ἀχθεσθείς, παρὰ τὸ ἄχθος. BL.

518. ἦ: περισπαςέον τὸν ἦ· ἔςι γ̀ βεβαιωτικὸς ἐν ἀρχῇ κείμενος, ὁμοίως τῷ „ἦ δὴ ἀλιτρός ἐςι" (Od. 5, 182). A. ἐντέχνως δὲ ἤυξησε τὴν χάριν, δι' αὐτὴν φάσκων τὴν εἰς τȣ̀ς φιλτάτȣς παρορᾶν τιμήν. BL.

519. Ἥρῃ, ὅτ' ἄν μ' ἐρέθῃσιν: Ἀρίςαρχος τὸ Ἥρη κατ' εὐθεῖάν φησιν, οὐ κατὰ δοτικήν, ἵν' ᾖ ὅταν με ἐρεθίσῃ ἡ Ἥρα, τότε ἐχθοδοπῆσαί με ἐφήσεις. AB.

τὸ δὲ ὅταν τρία μέρη λόγου ἐςίν. A. τὸ τέλειον ὅτε ἄν ἐςι, καὶ κατὰ συναλοιφὴν ὅτ' ἄν· ἐν δὲ τῇ συντάξει κεκοίμισται ἡ ὀξεῖα τοῦ ἄν, ὡς τὸ „οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων" (Il. 8, 455)· „ȣ̀κ ἂν δὴ μείνειας" (Il. 3, 52). ἀεὶ ȣ̀ν ȣ̃τως ὀφείλομεν ἀναγινώσκειν ἐπὶ τὴν ἄρχȣσαν ὀξεῖαν ποιοῦντες· „ὡς δ' ὅταν ὠδίνȣσαν" (Il. 11, 269). καὶ τοτὲ μὲν ἐν σημαινομένῳ ὀφείλομεν παραλαμβάνειν τὸν ἄν, ὅταν ὑποτακτικὸν ἐπιφέρῃ ἢ εὐκτικόν, τοτὲ δὲ παρέλκοντα, ὅταν μὴ ȣ̃τως ἔχῃ. πρόδηλον δὲ ἐκ τȣ̃ χαρακτῆρος ὅτι οὐ δύναται ἓν εἶναι, εἴ γε τὰ εἰς ᾱν ἐπιῤῥήματα οὐδέποτε συςέλλει τὸ ᾱ· τὸ γ̀ πάμπαν ȣ̀ φύσει ἐπίῤῥημα. ἀλλὰ μὴν ȣ̀δὲ σύνθετον δύναται εἶναι· οὐδέποτε γ̀ τὰ ἀναφορικὰ τῶν ἐπιῤῥημάτων κατ' ἀρχὴν συντίθεται. A.

Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς Νηρέως ἐδίωκεν αὐτὴν βȣλόμενος βιάσασθ̣. γενόμενος δὲ ἐπὶ τὸ Καυκάσιον ὄρος ἐκωλύθη ὑπὸ Προμηθέως, φήσαντος τὸν ἐκ Θέτιδος γενόμενον ἀμείνονα ἔσεσθ̣ τȣ̃ ἰδίȣ πατρός. δείσας ȣ̀ν ὁ Ζεὺς περὶ τῆς ἐν ȣ̀ρανῷ ἐπικρατείας αὐτὸς μὲν ἀπέχετο τῆς προειρημένης, εἰς τιμὴν δὲ τȣ̃ παιδὸς Αἰακȣ̃ ἔδωκεν αὐτὴν πρὸς γάμον Πηλεῖ· ἐξ ἧς ἐγένετο ὁ Ἀχιλλεύς, ὃς οὐ μόνον ὑπερέβαλε τῇ ἀνδρείᾳ τὸν ἑαυτȣ̃ πατέρα, ἀλλὰ καὶ τȣ̀ς κατ' ἐκεῖνο καιροῦ γενομένȣς πάντας ἥρωας. AD.

520. αὔτως: μάτην, ψευδῶς, ἐμȣ̃ μὴ ταῖς ἀληθείαις ἐπικȣρȣ̃ντος αὐτοῖς. ἄκρως δὲ γυναικεῖον ἦθος ἐξέθετο· ὑποπτεύȣσι γ̀ ἅπαντα, καὶ τοῖς ἀνδράσιν ὀνειδίζȣσιν ὡς οὐ πράττουσι τὰ αὐταῖς κεχαρισμένα. BLV.

522. μή σε: οὐχὶ μή σε, ἀλλὰ μή τι αἱ Ἀριςάρχȣ καὶ αἱ ἄλλαι χεδὸν πᾶσαι διορθώσεις. καὶ μήποτε ἐκ περισσȣ̃ τὸ τί πρόσκειται, ὡς ἐπὶ τȣ́των „μή τι φόβονδ' ἀγόρευε" (Il. 5, 252)· „μή τί μευ ἠΰτε παιδός" (Il. 7, 235)· μή τι σοι ταῦτα ἕκαςα διείρεο" (550). A.

523. ταῦτα μελήσεται: μελήσει δέ μοι πῶς ταῦτα τελέσω. τῆς δωρεᾶς δὲ ἐμφήνας τὸ μέγεθος, ὅτι τε τὸ γυναικὶ προσκρȣ́σει δι' αὐτήν, ὅμως ἐπὶ τέλει ἐπινεύει διδάσκοντος τȣ̃ ποιητȣ̃ ὡς μέγιςόν ἐςιν ἀποδιδόναι χάριν ὀφείλοντα. BL.

524. εἰ δ' ἄγε σοι: ἴδου δή σοι. L.

κεφαλῇ: τὸ λογιςικὸν περὶ τὴν κεφαλήν, τὸ θυμικὸν περὶ τὴν καρδίαν („κραδίη δέ οἱ ἔνδον ὑλάκτει" Od. 20, 13 καὶ „οἰδάνεται κραδίη χόλῳ" Il. 9, 646), τὸ ἐπιθυμητικὸν περὶ ἧπαρ· „ἧπαρ ἔκειρον" (Od. 11, 578). BLV.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατανεύσομαι: ὅτως κατανεύσομαι, οὐχὶ ἐπινεύσομαι Ἀρίςαρχος ἐν τοῖς πρὸς Φιλητᾶν προφέρεται. A.

526. *τέκμωρ* τὸ ἀποτέλεσμα, τέκμαρ τὸ τεκμήριον, τὸ σημεῖον. L.

526. 527. *οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον*: ὅτι περιώρικε τὰς τρόπους. ςικτέον δὲ ἐπὶ τὸ παλινάγρετον, τὰ δὲ ἄλλα συναπτέον. εἰ δέ τις ςίζοι ἐπὶ τὸ τέκμωρ, ὑγιεςέρα μὲν ἡ σύνταξις ἔςαι. A.

διὰ τοῦ παλινάγρετον ἐσήμανεν ὅτι βέβαιός ἐςιν· ὅτι φιλάγαθος, διὰ τοῦ ἀπατηλόν· ὅτι τελεσιουργός, διὰ τοῦ ἀτελεύτητον. A. ταῦτα παιδευτικὰ πρὸς πίςιν. τὰς δὲ αἰτίας εἶπε δι' ἃς οὐ τελοῦμεν τὰς ὑποχέσεις, ἢ μετανοήσαντες, ὅπερ δηλοῖ τὸ παλινάγρετον ἤτοι τὸ εὐμετάτρεπτον· ἢ παραλογιζόμενοι τοὺς δεηθέντας, ὅπερ ἐν τῷ ἀπατηλόν νοεῖται· ἢ οὐ δυνηθέντες ἐκτελεῖν τὰς ὑποχέσεις, ὅπερ εἶχε τὸ ἀτελεύτητον. BL.

παλινάγρετον: παλισύλλεκτον, εἰς τοὐπίσω ληπτόν, ἐξ οὗ ψευδὲς ἢ μεταμελητόν. D.

528. *ἦ*: ἔφη, εἶπεν. δηλοῖ δὲ πλείονα, καὶ τὸ ἥτις, ὡς ἐπὶ τοῦ „ἣ μυρί' Ἀχαιοῖς" (2), καὶ τὸν καί σύνδεσμον, ὡς ἐπὶ τοῦ „βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι" (117). δηλοῖ δὲ καὶ τὸ ὄντως καὶ ἀληθῶς, ὡς ἐπὶ τοῦ „ἦ δὴ λοίγια ἔργα" (573)· τὸ γὰρ ὄντως ἐπὶ τοῦ ἀληθοῦς λαμβάνεται. AD.

κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε: ἐπένευσε ταῖς ὀφρύσι· μέρος γὰρ καὶ αὗται τῆς κεφαλῆς. κυάνεαι δὲ αἱ μέλαιναι („κυάνεον· τοῦ δ' οὔ τι μελάντερον" Il. 24, 94), καὶ αἱ καταπληκτικαί („κυάνεαι σάκεσί τε καὶ ἔγχεσι" Il. 4, 282). BLV.

ταῖς ὀφρύσι συνεκδοχικῶς, ὡς ἀπὸ μέρους τὴν κεφαλήν· εὐθὺς γὰρ ἐπάγει „ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος κρατὸς ἀπ' ἀθανάτοιο." ἀπὸ τούτων δὲ λέγεται τῶν ςίχων Φειδίαν τὸν ἀγαλματοποιὸν ποιῆσαι τὸν ἐν Ἤλιδι χαλκοῦν ἀνδριάντα οὕτως καμπτόμενον καὶ συνωθούμενον. A.

Εὐφράνωρ Ἀθήνῃσι τοὺς ιβ' θεοὺς γράφων ἐν τῇ ςοᾷ, ὡς ἠπόρει ποῖον ἀρχέτυπον περιθείη Διί, παριὼν ἐν διδασκαλείῳ τῶν ἐπῶν ἤκουσε, κεκραγώς τε ὡς ἔχοι τὸ ἀρχέτυπον ἀπιὼν ἔγραψεν. ἴσως οὖν τοῦτο ἐνεφάνισεν αὐτῷ ἡ Ἥρα. LV.

530. *κρατός*: ὅτι Ζηνόδοτος γράφει κρητός. οὐκ ἔςι δὲ Ἰακόν· „ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος" (Od. 8, 92). A.

μέγαν δ' ἐλέλιξεν Ὄλυμπον: κατὰ συλλογισμὸν ὁ ἔπαινος· οἷος γάρ ἐςιν ὅλος κινούμενος, ὃς νεύματι τὸν Ὄλυμπον κινεῖ. περὶ δὲ τῆς Ἥρας μετριώτερον· „σείσατο δ' ἐνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον" (Il. 8, 199). τὸ μέντοι *μέγαν* οὐκ ἀργόν, ἀλλ' ὅτι καὶ τοσοῦτος ὢν τῷ νεύματι ἐσείσθη. τῷ δὲ τάχει τῶν συλλαβῶν τὸν τρόμον τοῦ ὄρους διαγράφει καὶ τὸ ταχὺ τῆς κινήσεως δηλοῖ. BL.

531. *διέτμαγεν*: αἱ πᾶσαι διὰ τοῦ ε̄. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν τεμνομένων σωμάτων. ABL.

532. *εἰς ἅλα*: πρὸς τὸν παῖδα γὰρ ἀπιοῦσα ὑπόνοιαν ἂν ἔδωκε τῇ Ἥρᾳ. BLV. εἰς τὴν θάλασσαν καθήλατο ἅτε δὴ οὖσα ἐνάλιος δαίμων. D.

ἆλτο: ψιλωτέον. καὶ τάχα μὲν ἀπέλαβε τὸ προοφειλόμενον πνεῦμα· ἠλόγητο γὰρ τὸ ἅλλομαι δασυνόμενον, εἴγε τὸ ᾱ πρὸ δύο λ̄ ἐψιλοῦτο, ἄλλος ἀλλότριος. τάχα δ', ὅπερ καὶ μᾶλλον, ἐπεὶ τὸ ᾱ καταλῆγον εἰς λ̄, ἐπιφερομένου ςοιχείου ἑνὸς τῶν τῆς τρίτης συζυγίας, ψιλοῦται· „Ἄλτεω ὃς Λελέγεσσι" (Il. 21, 86)· „ληΐου ἀλδήσκοντος" (Il. 23, 599)· „ἄλθετο χείρ" (Il. 5, 417). ἔνθεν τινὲς καὶ τὸ „ὃς τοῦτον τὸν ἄναλτον" (Od. 18, 113) ψιλῶς προφέρονται. A. τὸ ἆλτο ψιλωτέον· τὸ γὰρ ᾱ καταλῆγον εἰς λ̄, ἑνὸς τῶν τῆς τρίτης συζυγίας ἐπαγομένου, ψιλοῦται. BLV.

534. *ἐξ ἑδέων*: δασύνεται παρὰ τὸ ἕζω. οἱ δὲ μετὰ τοῦ ρ̄, ἐξ ἑδρέων. ἀπὸ τούτων τῶν δύο ςίχων λέγουσι μέρος τιμῆσαι τὸν Λυκοῦργον τὸν τῶν Λακεδαιμονίων, γράψαντα νόμον ἐπανίςασθαι τοὺς νέους τοῖς πρεσβυτέροις. ABL. ἔνθεν καὶ Λυκοῦργος ἐθέσπισεν ἐπανίςασθαι τοῖς γεραιτέροις. τοιοῦτος καὶ Τηλέμαχος. LV.

σφοῦ: τὸ σφοῦ ἀπὸ συγκοπῆς τοῦ σφετέρου. A.

535. *ἐπερχόμενον — ἔςαν*: ἀντὶ τοῦ ἐπερχομένου. ἄμεινον δὲ καὶ ἦλθον γράφειν· τοῦτο γὰρ ἐναντίον τῷ μεῖναι καὶ πλείονος τιμῆς ἐχόμενον. BL.

ἔςαν: ψιλωτέον τὸ ἔςαν, ἐπεὶ γίνεται „ςὰν δὲ μεταςοιχεί" (Il. 23, 358)· τὸ γὰρ αἰρόμενον ἐκ τοῦ ῥήματος ε̄ ἐν ψιλῷ πνεύματι. οὐ δασύνεται, ἐπεὶ οὐκ ἀποβάλλει τὸ ε̄· ὁ δὲ ἔςησα ψιλοῦται, ἐπεὶ γίνεται „ςῆσα δ' ἐν Ἀμνησῷ ποταμῷ" (Od. 19, 188). A.

538. *ἀργυρόπεζα*: κόσμον περὶ τὰς ὤας ἔχουσα· ἢ διὰ τοὺς αἰγιαλούς. BL. λαμπρόπους, ἀπὸ μέρους ὅλη καλή· πέζα γὰρ ὁ πούς. D.

ἁλίοιο γέροντος: ἄδηλον Πρωτέως ἢ Φόρκυνος, εἰ μὴ διὰ τὸ „κλῦτε κασίγνηται Νηρηΐδες" (Il. 18, 52). ABL. τοῦ θαλασσίου Νηρέως. D.

539. *αὐτίκα κερτομίοισι*: γυναικεῖα ἄμφω, τό τε ὑπονοῆσαι καὶ τὸ μὴ ἐπιχεῖν τοὺς λόγους. BL.

κερτομίοισι: ἐρεθιςικοῖς, χλευαςικοῖς. D. τοῖς τὸ κέαρ τέμνουσιν, ὅ ἐςι τὴν ψυχήν, καὶ λυποῦσιν, οἱονεὶ κεαροτομίοις, ἀποκοπῇ τοῦ ε̄. AB.

540. *δολομῆτα*: προπερισπαςέον τὸ δολομῆτα ὁμοίως τῷ „χέτλιε ποικιλομῆτα" (Od. 13, 293). καὶ καθόλου τὰ εἰς τῆς λήγοντα βαρύτονα, ὅτε ἐπὶ κλητικῆς εἰς ᾱ λήγει, προπερισπᾶται, ἀλῆτα πλανῆτα νικῆτα πεδῆτα αἰσυμνῆτα. ἔνθεν οὖν σημειωτέον τὸ ἀκάκητα. ABL.

541. *ἀπὸ νόσφιν ἐόντα*: τὸ ἑξῆς ἀπεόντα· διὸ οὐκ ἀναςρεπτέον τὴν ἀπό. ἡ δὲ φράσις συνήθης ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔρχεσθαι· „σφῶϊν μέντ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας" (Il. 4, 341) ἀντὶ τοῦ ἐοῦσιν. ABLV.

542. *δικαζέμεν*: τὸ δικαζέμεν ἀντὶ τοῦ πράττειν. τὸ δὲ πω ὀξύνεται διὰ τὴν μοί ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐςιν. A. ὀξυντέον τὸ πώ μοι. V.

δυσχεραίνουσιν αἱ γυναῖκες, εἰ μὴ πάντα ἀνακοινοῦσιν αὐταῖς οἱ ἄνδρες. ἀρχοντικὸν δὲ τὸ δικάζειν. AB.

544. *πατὴρ ἀνδρῶν τε θεῶν τε*: διὰ τί τὸν Δία

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόνον τῶν θεῶν ἔτω καλεῖ; ὅτι τὸ συναμφότερον ἔχει ἕτος μόνος· θεῶν μὲν γάρ ἐζι πατὴρ καθ' Ὅμηρον Ἀπόλλωνος, Ἡφαίζθ, Ἄρεως, Ἑρμῆ, Διονύζθ, Χαρίτων, Μουζῶν, Ἀφροδίτης, ἢ πολλῶν θνητῶν, Σαρπηδόνος, Αἰακῆ, Ζήθθ, Ἀμφίονος, Μίνωος, Ῥαδαμάνθυος, Ἡρακλέους, Περσέως καὶ ἑτέρων πολλῶν. οἱ δὲ ἄλλοι πολλοὶ καθ' Ὅμηρον πατέρες εἰζὶ μόνως ἢ θνητῶν ἢ ἀθανάτων, οἷον Κρόνος μὲν Διός, Ἥρας, Ἅιδθ, Ποζειδῶνος, θνητῆ δὲ ἑδενός· ἢ Ποζειδῶν πάλιν θεῆ μὲν οὐδενός, θνητοῦ δὲ Κύκλωπος, Ἐφιάλτου, Ὦτθ, Πελίθ, Νηλέως. ABLV.

545. μὴ δὴ πάντας: θεζπίζει μὴ πάντα ὀφείλειν αὐταῖς κοινῶζθαι, ὅπως εἰ καί τι μάθοιεν, ἀγαπῶεν. ἀκόλουθα δὲ τούτοις ἢ τὰ παρὰ Ἀγαμέμνονος πρὸς Ὀδυζζέα λεγόμενα „ἀλλὰ τὸ μὲν φάθζ ἔπος, τὸ δ' ἐνὶ φρεζὶ κεύθειν" (Od. 11,443). ALV.

547. ἀλλ' ὃν μέν κ' ἐπιεικές: ἀλλ' ὅντινα μὲν λόγον προσήκει σε παρ' ἐμῆ ἀκῶζαι, τῆτον ἑδεὶς πρὸ σῆ μάθῃ ἔτε θεῶν ἔτε ἀνθρώπων. AD.

πράως διαλεγόμενος ὡς τιμὴν αὐτῇ περιάπτει. ἔζι δὲ ἢ βιωτικῶν μιμητικά, πρῶτον ἠπίως ἀρξάμενον ἐπάγειν τὰς ἀπειλὰς ὕζερον. ABL.

552. ποῖον τὸν μῦθον: τὸν ποῖον μῦθον, Ἀττικῶς προσελθόντος τῆ ἄρθρα τῷ πύσματι. BL.

553. οὔτ' εἴρομαι οὔτε μεταλλῶ: ἔτως αἱ Ἀριζάρχθ καὶ ἡ Ῥιανῆ ἢ ἡ Ἀριζοφάνθς· ἢ ἔζιν ἐμφατικὸν δὶς λεγόμενον τὸ οὔτε. οἱ γράφοντες ἑδὲ μεταλλῶ κακῶς γράφθζιν. A.

ἄμφω διὰ τῆ τ, ἵν' ᾖ ἐμφαντικὸν δὶς λεγόμενον. ἢ ἐν τῇ ἀπολογίᾳ δὲ μέμφεται ὡς ἀεὶ ἰδιάζοντος αὐτοῦ. ἔθος δὲ γυναιξὶν ἀρνεῖζθαι ὅτι ποτὲ παρηνώχλησαν τοῖς ἀνδράζιν. BL.

554. εὔκηλος: τὸ εὔκηλος ψιλᾶται κατὰ δύο λόγθς, ἢ ὅτι τὸ ῦ ἐπεντιθέμενον ψιλοῖ τὰ δαζυνόμενα φωνήεντα, ὄρος ἄρος, ὅλος ἄλος, ἢ ὅτι ἡ εὐ δίφθογγος ἐπιφερομένου ζυμφώνθ ψιλᾶται, εὐνή εὐχή εὖρος. ἐναντιᾶται τὸ εὖδω ἢ εὑρίζκω· τὸ γὰρ εὖζεν δαζυνόμενον ἀπὸ θέματος τῆ εὖω. BL.

ἄζζ': ὁ μὲν Πτολεμαῖος δαζύνει, τρία λέγων ζημαίνειν τὸ ἄζζα, τό τε ἄτινα ἢ ὅζα ἢ τινά· ἢ ὅτε μὲν ἰζοδυναμεῖ τῷ ἄτινα, δαζύνεται· ἀλλὰ καὶ ὅτε τῷ ὅζα, ὡς ἐπὶ τῆ „ἄζζα ἐμοί περ αὐτῇ" (Od. 5, 188). ψιλοῖ δὲ ὅτε ἐπὶ τῆ τινά παραλαμβάνεται. A.

Ἀριζαρχός φηζι τρία ζημαίνειν τὴν λέξιν, τὸ τινά, τὸ ἄτινα, τὸ ὅζα. ἢ ἀεὶ ψιλᾶται, πλὴν τῆ ὅτε δηλοῖ τὸ ἄτινα· τότε γὰρ δαζύνεται, καὶ ἔζι κατὰ τὸν Ἡρωδιανὸν δύο μέρη λόγθ, τὸ ἄ ἄρθρον ἢ τὸ ζύ Μεγαρικόν, δηλῶν τὸ τινά. ἐν δὲ τῷ προκειμένῳ ζίχῳ ψιλοῖ τὸ ἄζζα, καὶ ἀξιοῖ δηλοῦν τὸ ὅζα. BL. ἢ ὁ μὲν Ἀριζαρχος ἔτως, ὁ δὲ Ζιδώνιος ὅττι. LV.

555. κατὰ φρένα: πάνυ ἐμφρόνως ἐκ ἐπήγαγε κατὰ θυμόν. L.

ἠθικῶς δεδοικέναι φηζὶ μὴ πλεονεκτηθῇ ὑπὸ Θέτιδος. L.

557. ἠερίη: καὶ τοῦτο καὶ τὸ κατανεῦζαι ἐλεγχούζης ἐζίν. LV.

558. διαζαλτέον ἐπὶ τὸ ἐτήτυμον, ἵν' ᾖ ἀληθὲς καταγενεγκέναι. A.

559. πολέας: Ζηνόδοτος πολεῖς. L.

560. τὴν δ' ἀπαμειβόμενος: γράφεται τὴν δὲ μέγ' ὀχθήζας. A.

561. δαιμονίη: νῦν κακὴ κεφαλή, ὁτὲ δὲ εὐδαίμων, μακαρία. D. μακαρία, ἐν ζαρκαζμῷ. τὸ δὲ ὀΐεαι ἀπὸ τοῦ οἴει· ἔχει δὲ διαιρέζεις δύο. BL.

562. ἀπὸ θυμοῦ ἔζεαι: ὡς τὸ ἐκ θυμῆ πεζέειν (Il. 23, 595). L.

563. ῥίγιον ἔζαι: ἢ γὰρ ἄγνοια ἀ τοζῆτον λυπεῖ ὅζον τὸ τὰ ἀποθύμια γινώζκειν. L.

564. εἰ δ' οὕτω: εἰ δὲ τῆτο ἔτως ἔχον ἐζίν, ἔοικε καὶ μοὶ προζφιλὲς εἶναι. λέγει δὲ προϋποχέζθαι τὴν Ἀχιλλέως τιμήν. AD. εἰ ζυνεθέμην δέ, πάντως τῆτο κατὰ τὸ ἐμοὶ ἀρέζκον ἐποίηζα. ἀρχοντικῶς δὲ οὔτε ζυντίθεται οὔτε ἀρνεῖ. BL.

μέλλει: ὅτι τὸ μέλλει ἐκ ἔχει χρονικόν, ἀλλ' ἀντὶ τῆ ἔοικεν. A.

565. κάθηζο: προπαροξυτόνως· τὰ γὰρ ζύνθετα προζτακτικὰ βραχυκατάληκτα ὡς ἐπὶ τὸ πλεῖζον ἀναπέμπει τὸν ἑαυτῶν τόνον, τὰ δὲ μακροκατάληκτα τὸν αὐτὸν τοῖς αὐτοῖς φυλάττει τόνον. βραχυκατάληκτα μὲν λέγε κατάλεγε, ζπεῖρε κατάζπειρε· ἔτως ἓν καὶ ἧζο κάθηζο. μακροκατάληκτα δὲ νοῆ διανοῆ, ποίει περιποίει. A.

τὴν πολυπραγμοζύνην αὐτῆς ἀναιρεῖ ἢ διὰ τοῦ „ἀλλ' εἰς οἶκον ἰοῦζα" (Od. 1, 356). A.

566. μή νύ τοι: νῦν μὲν λόγοις αὐτὴν ἀποκρύπτει, ἐτέρωθι δὲ ἢ ἔργῳ κολάζει, διδάζκοντος ἴζως τῆ ποιητῆ ὅτι ἀφόρητον ἂν εἴη γυνὴ μὴ καθ' ὥραν ἐπιτιμωμένη (μὴ ἐπηρεαζομένη LV). ἀποπαύει δὲ διὰ τότε ἢ τὴν τῶν λοιπῶν πολυπραγμοζύνην. BLV.

• εἰ σ': ἀπὸ τῆ εἰμί τῆ ζημαίνοντος τὸ ὑπάρχω πρῶτον πρόζωπον ἐμέν, ὡς τίθημι τίθεμεν τίθετε, ἢ τὸ τρίτον ἐζί, κατὰ πλεοναζμὸν τῆ ι εἰζί. μαρτυρεῖ τὸ ἔαζι τῇ διφθόγγῳ γραφῇ· ὥζπερ γὰρ ἐκ τῆ τιθέαζι τιθεῖζιν, ἔτως καὶ ἐκ τῆ ἔαζιν εἰζίν. A.

567. ἄζζον ἰόντ': ὅτι Ζηνόδοτος γράφει ἄζζον ἰόντι ἐκ ἔζι δέ, ἀλλ' ἀντὶ τῆ ἰόντος. ζυγχεῖ δὲ ἢ τὸ Διός (τὸ δυκόν?). Ἄλλως. ἀντὶ τῆ ἰόντος· δοτικῇ δὲ κέχρηται ἀντὶ γενικῆς. A. ἰόντι ἀντὶ τῆ ἰόντος. L.

ἀάπτους: ἔτως ψιλῶς προενεκτέον· ἔτως δὲ ἢ Ἀριζαρχος. ἦκε δὲ τὰς δεινὰς καὶ ἀπτοήτας. ὁ δὲ Ζηνόδοτος ἢ αὐτὸς ὁμοίως τῷ πνεύματι, εἰς τὰς ἰχυρὰς δὲ μετελάβανεν. ἐν δὲ ταῖς Ἀριζοφάνους γλώττταις διὰ τοῦ ε ἐγγραπτο ἀέπτες. εἰζὶ δὲ οἱ ἀπροζπελάζες ἀποδιδόαζιν, ἀπὸ τῆ ἅψαθαι, ὧν ἑδεὶς ἂν ἅψαιτο δι' ἰχύν. ἐμοὶ δὲ δοκεῖ ποὺ τὸ ἰάπτω γεγενῆζθαι, ὃ ζημαίνει τὸ διαφθείρω ἢ βλάπτω ἔνθεν τὸ „πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν." ἢ μέζον αὐτῆ κατ' ἔλλειψιν τῆ α „μέγα δ' ἔψαο λαὸν Ἀχαιῶν" (454). ἔνθεν ἢ ὁ ἴψ· ἔζι δὲ θηρίον διατρῶγον τὰ ξύλα. ἀπὸ δὴ τότε τῆ ἰάπτω τὸ ἀΐαπτες ἦν, καὶ κατ' ἔλλειψιν τῆ ι ἀάπτες, ἤτοι τὰς μὴ δυναμένας διαφθαρῆναι ἢ βλ-

βῆναι, ἢ κατ' ἐπίτασιν τὰς ἄγαν δυναμένας βλάψαι καὶ διαφθεῖραι. A.

Ἡρωδιανὸς παρὰ τὸ ἰάπτω, ὃ σημαίνει τὸ βλάπτω, κατ' ἔλλειψιν τῆ ι καὶ πλεονασμὸν τῆ α, ἀάπτες, ἃς ἐδεῖς βλάψαι δύναιτο, ἢ κατ' ἐπίτασιν τὰς δυναμένας μεγάλως βλάψαι. τινὲς δέ, ὧν ἐδεῖς ἅψαιτο. ἢ ἀπτοήτους. BLV.

αἱ πᾶσαι ἀέπτες ἔχουσιν. L.

ἀπροσίτες, ἀπροσπελάστους διὰ μέγεθος, ἀπτοήτες. πρὸς δὲ καὶ ἀέπτες, ἵν' ᾖ ἀῤῥήτες ἢ αἷς ἐ δύναταί τις ἔπεσθ. D.

569. καθῆσο: τῆ ἕζω ἐστὶν ἡ κλίσις, ἧσμαι ἥσμην ἧσο ἧσο, καὶ ἐν συνθέσει καθῆσο. εἰ γὰρ ἦν ἐκ τῆ ἧμαι, ὡς ἀπὸ τῶν εἰς μι, ἀνεδίδου τὸν τόνον. οἱ δὲ τοιῶτοι παρακείμενοι καὶ ὑπερσυντέλικοι δισύλλαβοι, ἔχοντες δύο σύμφωνα, ἐν τῆ συνθέσει φυλάσσουσι τὸν τόνον, εἴργμαι καθεῖργμαι, ἦγμαι κατῆγμαι. ὅτως ἔν καὶ τὸ καθῆσο. AL.

ἐπιγνάμψασα φίλον κῆρ: καταμαλάξασα. τὴν ἀκουσίως πειθεῖσαν δηλοῖ. φίλον δὲ τὸ ἴδιον, ὡς „φίλα εἵματα" (Il. 2. 261). διδάσκει δὲ ὡς καὶ τὰ λίαν ἀσθενῆ μὴ κολαζόμενα λίαν εἰσὶν ἀφόρητα. BLV.

570. βραχὺ διασαλτέον ἐπὶ τὸ Διός· ὁ γὰρ οἶκος Διός. A.

571. Ἥφαιστος: Ἥφαιστος ὁ θεὸς καὶ τὸ πῦρ. ὅτι Ἑρμοῦ βασιλεύσαντος εἰς Αἴγυπτον καὶ θανόντος Ἥφαιστος παραλαμβάνει τὴν βασιλείαν ἡμέρας μχπ, ὡς γίνεσθαι ἔτη δ', μῆνας ζ', ἡμέρας η'· ἐκ ἤδεισαν γὰρ τότε Αἰγύπτιοι ἐνιαυτὸς μετρῆσαι, ἀλλὰ τὴν περίοδον τῆς ἡμέρας ἐνιαυτὸν ἔλεγον. ἦν δὲ μυστικὸς καὶ πολεμικός, διὸ καὶ θεὸν αὐτὸν ἐκάλεν· ὅσις πολεμῶν ἐπλήγη τὸν πόδα καὶ γέγονε χωλός. ἔθηκε δὲ καὶ νόμον τοῖς Αἰγυπτίοις σωφροσύνης· ἐκ ἤδεισαν γὰρ μοναδρεῖν αἱ τότων γυναῖκες. ὑπὸ δὲ μυσικῆς εὐχῆς τὴν ὀξυλάβην ἀπὸ τῆ ἀέρος ἐδέξατο, δι' ἧς κατεσκεύασεν ἀπὸ σιδήρε ὅπλα πολεμικὰ καὶ γεωργικὰ ἐργαλεῖα· πρὸ γὰρ αὐτῆ μετὰ ῥοπάλων καὶ λίθων ἐπολέμουν. BL.

ὁ αἰθήρ, τὸ καθαρὸν καὶ διαυγὲς πῦρ, Ζεὺς ἐστι, τὸ δὲ ἐν χρήσει καὶ ἀερομιγὲς Ἥφαιστος, ἀπὸ τῆ ἧφθαι ὠνομασμένος. διὰ τοῦτο καὶ ἐκ Διὸς καὶ Ἥρας ἔφασάν τινες αὐτὸν γενέσθαι· οἱ δὲ ἐκ μόνης τῆς Ἥρας, διότι αἱ φλόγες παχυμερέστεραί πως ὄσαι ἐκ μόνε τῆ ἀέρος διακαιομένου τὴν ὑπόστασιν λαμβάνουσι. λέγεται δὲ καὶ κλυτοτέχνης· οἱ γὰρ πλείους τῇ Ἀθηνᾷ καὶ τῷ Ἡφαίστῳ τὰς τέχνας ἀνατιθέασι, τῇ μὲν Ἀθηνᾷ, ἐπεὶ φρόνησις καὶ ἀγχίνοια εἶναι δοκεῖ, τῷ δὲ Ἡφαίστῳ διὰ τὸ τὰς πλείστας τῶν τεχνῶν διὰ πυρὸς τὰ ἑαυτῶν ἔργα ἀποτελεῖν. L.

εἰ μὲν ἄνθρωποι ἦσαν, διὰ πρεσβυτικῆ προσώπου τὴν φάσιν ἐλυσεν· ἀλλ' ὅρα τὸ ἀξίωμα τῆ Διός. Ποσειδῶν μὲν γὰρ συμβουλεύων ἔδοξεν ἂν θωπεύειν δι' Ἕλληνας· ἄλλως τε καὶ αἰτίαν ἔχει εἰς Θέτιν. ὁμοίως καὶ Ἀθηνᾶ. βιωτικῶς ἂν διὰ τῆ παιδὸς λύει τὴν φάσιν καὶ τὸ κατηφὲς τῆ συμποσίε, γελώμενον παρεισάγων τὸν Ἥφαιστον. καιρὸν δὲ δίδωσι Διί, χάριτας εἰδὼς τῇ Θέτιδι· „εἰ μή μ' Εὐρυνόμη τε Θέτις θ' ὑπεδέξατο κόλπῳ" (Il. 18, 398). BLV.

572. ἐπίηρα φέρων: ὅτι ἐπίηρα τὴν μετὰ χάριτος ἐπικουρίαν. οἱ δὲ νεώτεροι ἀντὶ συνδέσμε αἰτιώδες χρῶνται, ἀντὶ τῆ χάριν, ἕνεκα. ἔχει δὲ παρὰ τὸ ἔρω ἔρανον ὡς ἔχω ὄχανον καὶ κόπτω κόπανον, καὶ τροπῇ τῆ ε εἰς η ἤρανον. ἡ εὐθεῖα τῆ πληθυντικῆ ἤρανα, εἶτα συγκοπῇ ἡ ἀποκοπῇ ἦρα. ἐν δὲ τῇ καθόλου ἔτως· ἔστιν ἤρ ἡ ἐπικουρία, καὶ ὀξύνεται ἡ γενική, ἠρός· καὶ ἡ αἰτιατικὴ ἦρα, καὶ ἐν συνθέσει ἐπίηρα. Ἀρίσαρχος δὲ ὑφ' ἕν, κατ' ὀρθὴν σημασίαν, τὸ ἐπίηρα καὶ ἐπεκράτησεν ἡ Ἀρισάρχε, καίτοι λόγον ἐκ ἔχουσα. A.

ἔρανον καὶ ἤρανον, ὡς ἔχω ὄχανον· τὰ ἤρανα, καὶ κατὰ ἀποκοπὴν ἦρα. Ἀρίσαρχος δὲ ὑφ' ἕν φησιν. ἀντὶ δὲ τοῦ λευκωλένῳ Ἥρῃ ὤφειλεν εἶναι τετιημένῃ ἦτορ. BL.

ἡ διπλῆ πρὸς τὸ αὐτό. A.

573. ἀνεκτά: διασαλτέον ἐπὶ τὸ ἀνεκτά· ἔχεται γὰρ τῶν ἑξῆς. A.

574. σφώ: πρωτόθετον αὐτήν φησιν Ἡρωδιανός, οὐκ ἀπὸ τῆς σφῶϊ· διὸ ὀξύνεται· τὸ γὰρ ῶ τῶν δυϊκῶν ἀπέρραπται τὴν περισπωμένην. τοῦτο δὲ πρὸς ἔμφασιν τῶν προσώπων. τὸ δὲ ἕνεκα θνητῶν πρὸς εὐτελισμὸν τῆς αἰτίας. τὸ δὲ ὧδε πρὸς τὴν αὔξησιν τῆς ἔριδος. BL.

575. κολῳόν: ἀπὸ τῆ κολοιός ἐγένετο τὸ κολῳός, τῆ ο τραπέντος εἰς τὸ ω· διὸ καὶ τὸ ι γράφεται, ὡς κλοιὸς κλῳός. ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ, ὃ ἐστι τὸ κλάζω, ἀπὸ τῆ κλῶ, κατὰ παραγωγήν· καὶ ἐ προσγράφει τὸ ι. A.

παρὰ τὸ κολοιός. ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ κλωός καὶ κολωός· καὶ ἐδὲ προσγράφει τὸ ι. τῆ δὲ κλῶ παραγωγὸν τὸ κλάζω. BDL.

ἀπὸ μεταφορᾶς τῆ κολοιῆ· θορυβῶδες γὰρ καὶ κραυγαστικὸν τὸ ὄρνεον. BDL.

ἐλαύνετον: ἐπιτείνετε, ὡς τὸ „ἤλασε τάφρῳ." L.

576. ἦδος: ψιλωτέον, ὡς τροχαϊκὸν τῶν εἰς ος ληγόντων. κατὰ σχηματισμόν ἐστι τὸ ἦδος τὸ ἡδονή· δασυνόμενον γὰρ μεταχηματίζεται εἰς τὸ ἧδος ψιλούμενον, ὡς τὸ ἡμέρα μεταχηματίζεται εἰς τὸ ἧμαρ ψιλέμενον καὶ τὸ ἅμα εἰς τὸ ἁμυδις. ὅτως Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ. A.

577. παράφημι: ὡς σύνθετον ἀνεβίβασε τὸν τόνον· τὰ γὰρ ὀξυνόμενα τῶν εἰς μι τοιαῦτα. A.

τὸ ἠμί φημί εἰμί ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. A.

καὶ αὐτῇ περ νοεούσῃ: ἐ δεομένῃ παραινέσεώς τινος. ὁ δὲ (ἀνθρωπίνως δὲ BL) κοινῇ μὲν ἀμφοτέροις ἐπιπλήττει ἕνεκεν ἀνθρώπων διαφερομένοις, ἰδίᾳ δὲ τῇ Ἥρᾳ εἴκειν τῷ Διὶ παραινεῖ. BLV.

579. ἥμιν: πιθανώτερον ὀξύνειν τὴν πρώτην τῆ ἡμῖν καὶ ἐκτείνειν τὴν τελευταίαν. A.

580 — 583. αἱ διορθώσεις τῶν σίχων τέτων διάφοροι. οἱ μὲν εἰς τὸ ἀσεροπητής ὑποσίζουσιν, καὶ τὸ συφελίξαι ὑποτελείαν σίζουσι σιγμήν, ἐκδεχόμενοι αὐτὸ εὐκτικὸν εἶναι ῥῆμα· ὁμοίως δὲ καὶ τὸ ἐσίν, καὶ τὸ μαλακοῖσι τελείαν. οἱ δὲ τὸ συφελίξαι ὑποσίξαντες, καὶ τὸ ἐσίν καὶ τὸ μαλακοῖσι, ἐκδεχόμενοι συνεκδοχικῶς ὑπακέσθαι τῷ σίχῳ τὸ ἐθέλεις, τοῦ ἀλλὰ παραλαμβανομένε ἀντὶ τοῦ δέ, ἵν' ᾖ ἡ ἔννοια αὕτη, σὺ δὲ τέτον ἐθέλεις θεραπεῦσαι· καὶ εἰς τὸ ἔσσεται ἡμῖν τε-

λείαν εἴζωσιν. ἄλλοι δὲ ὑποσίζοντες εἰς τὸ συφελίξαι ἢ τὸ ἐσίν, εἰς τὸ μαλακοῖσι τιθέωσι τὴν τελείαν, ἵν' ᾖ ἐλλεῖπον τῷ λόγῳ τὸ ὀφείλεις. A.

580. εἴπερ γάρ κ' ἐθέλῃσιν: θωπευτικῶς τὰ τῆς δυνάμεως αὐτῇ προβάλλεται· ἅμα δὲ ἢ πρὸς κατάπληξιν τῆς μητρός. τὸ δὲ ὅλον· εἰ θέλοι καταβαλεῖν ἡμᾶς ὁ Ζεύς (δυνήσεται γάρ), σὺ δὲ θωπεύσεις αὐτόν, εὐθέως ἡμερωθήσεται. A.

582. καθάπτεσθαι: καθάπτου. L.

583. ἱλαός: διὰ τῶ ἱλαός τοσαύτην ὑπεροχὴν δείκνυσι πρὸς θεὺς τῶ Διός, ὅση πρὸς ἀνθρώπους ἐγὶ θεῶν. BL.

584. ἀναΐξας: γέλωτα κινεῖ τὸ ἀναΐξας ἐπὶ χωλῶ τιθέμενον. γελοῖος γάρ ἐσι μιμούμενος τὰς καλλίσας οἰνοχόους, Ἥβην ἢ Γανυμήδεα, ἢ μεμνημένος πῶς ὁ Ζεὺς τῷ ποδὸς λαβόμενος ἔῤῥιψεν αὐτὸν ἀρανόθεν. BL.

βραχὺ διασαλτέον μετὰ τὴν μετοχήν. A.

δέπας: οἱονεὶ δέχας. καὶ „πλησάμενος οἴνοιο δέπας" (Il. 9, 224) ἢ „δεικανόωντο δέπασσιν" (Il. 15, 86). AL.

ἀμφικύπελλον: ἀμφίκυρτον, ἐξ ἧ τὸ περιφερές. L.

585. ἐν χειρὶ τίθει: ἤτως αἱ Ἀριςάρχε, ἐν χειρί, ἀ πληθυντικῶς ἐν χερσίν. ὁμοίως ἢ ἡ Μασσαλιωτικὴ καὶ ἡ Σωσιγένους ἢ ἡ Ἀριςοφάνες. συνᾴδει δὲ ἢ τὸ ἐπιφερόμενον „μειδήσασα δὲ παιδὸς ἑδέξατο χειρὶ κύπελλον" (596). A. πᾶσαι ἐνικῶς ἔχουσι τὸ χειρί, ἀ πληθυντικῶς. ἢ συνᾴδει τῷ „ἐδέξατο χειρὶ κύπελλον." L.

586. τέτλαθι μῆτερ ἐμή: ὅτε κατεπράϋνε τὸν θυμόν, τότε ἢ τὴν ἰδίαν παραίνεσιν ἐπήγαγεν. BL.

588. οὔτι δυνήσομαι: κωμικῶς τὴν ἰδίαν πήρωσιν προτίθησιν. LV.

589. ἀντιφέρεσθαι: ἐναντιῶθῃ, ἢ ἐξισῶθῃ. λείπει δὲ ἢ εἰς πρόθεσις. L.

590. ἤδη γάρ με: εἰς ἀπόδειξιν τῆς ἰσχύος τοῦ Διὸς λέγει. D. Ἡρακλῆς ἀνακομιζόμενος ἐξ Ἰλίου μετὰ τὴν γενομένην ὑπ' αὐτῶ πόρθησιν τῆς Ἰλίου ἐπὶ τῇ Λαομέδοντος ἀπάτῃ, παρ' ὅσον αὐτῷ ἀντὶ τῶν ἀθανάτων ἵππων ἃς ὑπέσχετο ἀντέδωκε θνητὰς ἀπατήσας, κατ' ἐκεῖνο καιρῶ προσέχε τῇ Κῷ τῆς Μεροπίδος, χειμῶνι κατεχόμενος κατὰ χόλον Ἥρας, μισάσης τὸν ἥρωα ἢ διὰ τῶτο πρότερον κατακοιμισάσης τὸν Δία. οἱ δὲ ἀπὸ τῆς Κῶ θεασάμενοι αὐτὸν ἢ ὡς ἄγριον φοβηθέντες ἐξήλασαν ἀπὸ τῆς πόλεως· ἐφ' ᾧ ἀγανακτήσας ὁ Ἡρακλῆς ἐξεπόρθησε τὴν Κῶ. ἐπὶ δὲ τῇ τῆς Ἥρας κατακοιμίσει ὁ Ζεὺς ὀργισθεὶς ἐν δεσμοῖς κατέχε τὴν Ἥραν· ἣν ἐπειρᾶτο τηνικαῦτα ὁ Ἥφαιςος λύειν, ἢ φωραθεὶς ἀπὸ τῶ Ὀλύμπε ἐξερῤῥίφη, ἢ εἰς Λῆμνον τὴν πρὸ τῆς Θρᾴκης νῆσον καταπεσὼν χωλὸς ἐγένετο, ὥς φησιν ὁ ποιητής· διὸ ἢ ἱερὰ τῶ θεῶ ἡ Λῆμνος. AD.

591. ῥῖψε ποδός: ὅτι ἀπὸ δυοῖν τόποιν συμπεπλήρωκε τὸν μῦθον. νῦν μὲν γάρ, ὅτι ἐῤῥίφη, κατὰ δὲ τὴν ὑπόμνησιν τῶν τῆς Ἥρας δεσμῶν (Il. 15, 18) καὶ τὸν καιρὸν καὶ τὴν αἰτίαν δι' ἣν ἐῤῥίφη. A.

δύο ῥίψεις Ἡφαίςω, προτέρα μὲν ἡ ὑπὸ τὴν γένεσιν τῆς Ἥρας, δευτέρα δὲ ἡ ὑπὸ Διὸς διὰ τοὺς τῆς Ἥρας δεσμούς. A.

ἐγκαλῶσιν Ὁμήρῳ περὶ τῆς τῶ Ἡφαίςου ῥίψεως, τὸ μὲν πρῶτον ὅτι χωλὸν αὐτὸν ὑφίςησι ἢ τὴν θείαν ἀκρωτηριάζει φύσιν, εἶθ' ὅτι ἢ παρὰ μικρὸν ἦκε κινδύνῳ· φησὶ γὰρ „πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν." καὶ τούτῳ οὖν ὑποκρύπτεταί τις Ὁμήρῳ φιλόσοφος νῶς. ἐ πλάσμασι γ' ποιητικοῖς τὸν ἀκόντας τέρπων αὐτίκα χωλὸν ἡμῖν παραδίδωκε τὸν Ἥφαιςον τὸν ἐξ Ἥρας καὶ Διὸς μυθέμενον παῖδα (τῶτο γ' ἀπρεπὲς ὄντως ἰσορεῖν περὶ θεῶν)· ἀλλ' ἐπειδὴ ἡ πυρὸς ὐσία διπλῆ, ἢ τὸ μὲν αἰθέριον, ὡς ἔναγχος εἰρήκαμεν, ἐπὶ τῆς ἀνωτάτω τῶ παντὸς αἰώρας ἐδὲν ὑςερῶν ἔχει πρὸς τὴν τελειότητα, τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη πρόσγειος ἔσα φθαρτὴ ἢ διὰ τῆς ὑποτρεφέσης παρ' ἕκαςα ζωπυρᾳμένη, διὰ τῶτο τὴν μὲν ὀξυτάτην φλόγα συνεχῶς ἡλιόν τε ἢ Δία προσαγορεύει, τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιςον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον. ὅθεν εἰκότως κατὰ σύγκρισιν ἐκεῖνα τῶ ὁλοκλήρω τῶτο νενόμικαι χωλὸν εἶναι τὸ πῦρ. ἄλλως τε ἢ πᾶσα ποδῶν πήρωσις ἀεὶ τῶ διαιρίζοντος ἐπιδεῖ βάκτρου, τὸ δὲ παρ' ἡμῖν πῦρ ἄνευ τῆς τῶν ξύλων ἐπιθέσεως ὐ δυνηθὲν ἂν ἐπὶ πλέον παραμεῖναι συμβολικῶς χωλὸν εἴρηται. τὸν γὲν Ἥφαιςον ἐκ ἀλληγορικῶς ἐν ἑτέροις ἀλλὰ διαῤῥήδην Ὅμηρος πῦρ εἶναί φησιν, ὡς τὸ „σπλάγχνα δ' ἄρ' ἐμπείραντες ὑπείρεχον Ἡφαίςοιο" (Il. 2, 426); μεταληπτικῶς ὑπὸ τῶ Ἡφαίςω τὰ σπλάγχνα φησὶν ὀπτᾶσθαι μὲν καὶ ἀπ' ἐρανῶ ὑφίςασθαι ῥιπτόμενον αὐτόν· φυσικῶς γ' κατ' ἀρχὰς ἐδέπω τῆς τῶ πυρὸς χρήσεως ἐπιπολαίσης ἀνθρώποι χρονικῶς χαλκοῖς τισὶν ὀργάνοις κατεσκευασμένοις ἐφειλκύσαντο τῶ ἀπὸ τῶν μετεώρων φερομένου σπινθῆρας, κατὰ τὴν μεσημβρίαν ἐναντία τῷ ἡλίῳ τὰ ὄργανα τιθέντες. ὅθεν οἶμαι ἢ Προμηθεὺς ἀπ' ἐρανῶ κλέπτει τὸ πῦρ, ἐπειδή περ τέχνῃ Προμηθέως ἐπενόησαν οἱ ἄνθρωποι τὴν ἐκεῖθεν ἀπόῤῥοιαν αὐτῶ. Λῆμνον δὲ πρώτως ἐκ ἀλόγως ἐμυθεύσαντο τὴν ἀποδεξαμένην τὸ θεοπρόβλητον πῦρ· ἐνταῦθα γ' ἀνιεῖ γηγενὲς πυρὸς αὐτόματοι φλόγες. δῆλος δὲ σαφῶς ὅτι τῶτο θεῤῥύτων ἐσι τὸ πῦρ ἐξ ὧν ἐπήνεγκε „ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν"· ἀπόλλυται γ' εὐθέως μαραινθέν, εἰ μὴ λάβοιτο τῆς διαφυλάττειν αὐτὸ δυναμένης προνοίας, καὶ ταῦτα μὲν περὶ Ἡφαίςου φιλοσοφητέον. ἐ γ' ἐπὶ τῶ παρόντος ὡς τερατώδη τὴν Κράτητος τοῦ Θηβαίου φιλοσοφίαν, ὅτι Ζεὺς ἀναμέτρησιν τῶ παντὸς γενέσθαι σπαδακὼς δύο πυρσοῖς ἰσοδρομῶσιν, Ἡφαίςῳ τε ἢ Ἡλίῳ διετεκμήρατο τῶ κύσμε τὰ διαςήματα, τὸν μὲν ἄνωθεν ἀπὸ τῶ βηλῶ καλεμένα ῥίψας, τὸν δ' ἀπ' ἀνατολῶν εἰς δύσιν μεθεὶς φέρεσθαι. διὰ τῶτ' ἀμφότεροι ἢ συνεχρόνισαν· ἅμα ἠελίῳ καταδύντι κάππεσεν Ἥφαιςος ἐν Λήμνῳ. τῶτο τοίνυν εἴτε κοσμικήν τις ἀναμέτρησιν εἴθ' (ὃ μᾶλλον ἀληθὲς ἐςιν) ἀλληγορικὴν τοῦ καθ' ἡμᾶς πυρὸς ἐνθρώποις εἰς παράδοσιν, ἐδὲν ἀσεβές ἐςιν ὑπὲρ Ἡφαίςου παρ' Ὁμήρῳ λεγόμενον. L.

τεταγών: τάγω τὸ τελῶ, ὁ μέλλων τάξω, ὁ μέσος παρακείμενος τέταγα, ὁ δεύτερος ἀόριστος ἔταγον, ἡ μετοχὴ ὁ ταγών, καὶ κατὰ ἀναδιπλασιασμὸν τεταγών. τινάξας, λαβών. L.

βηλοῦ: ἀπὸ τῆ βεβηκέναι τὲς θεὲς ἐπ' αὐτῷ, καὶ τοὺς ἀχέρας κεῖθι βαίνειν, ἤτως εἴρηϑ. τῷ δὲ τόνῳ, καθάπερ οἱ Ἀριστάρχειοι, βηλόν ὡς χωλόν καὶ πηλόν προφερόμενοι, ἀποδιδόντες τὸν τῶν Θεῶν βαθμόν. ἕτεροι δὲ βηλὸν εἶπον τὸν ἀνωτάτω πάγον καὶ περιέχοντα τὸν πάντα ἀέρα. ἄλλοι δὲ τὴν περίοδον τῆ αἰθέρος καὶ τῶν ἄστρων. κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν ϑόλον τῆς Θύρας, ὃ καλεῖται φλιά· ὁ γ' ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχειν. εἴρηται δὲ βηλὸς ἀπὸ τῆ βαίνεϑ, ὡς καὶ ὁδὸς ἀπὸ τῆ διοδεύεϑ. ABDL.

τινὲς δὲ κατὰ Χαλδαίους τὴν ἀνωτάτω τῆ οὐρανῆ περιφέρειαν, οἱ δὲ κατὰ Δρύοπας τὸν Ὄλυμπον. ἄμεινον δὲ τὸν πατῆρα λέγειν ἤτοι τὴν φλιάν, ἀπὸ τῆ βαίνειν. ABL.

βηλός ἐστιν ὁ ἀνωτάτω τόπος τῆ οὐρανῆ ἀπὸ γ' τῆ βεβηκέναι — ἀπὸ τοῦ ὁδεύεϑ. καὶ Παυάσις δὲ τὰ πέδιλα βηλὰ λέγει. Παρμενίων δὲ ὁ γλωσσογράφος φησὶν Ἀχαιὲς καὶ Δρύοπας καλεῖν τὸν οὐρανὸν βηλόν. Κράτης δὲ περισπῶν τὴν πρώτην συλλαβὴν Χαλδαϊκὴν εἶναι τὴν λέξιν ἀποδίδωσιν. Ἀγαθοκλῆς δὲ τὴν πάντων περιοχήν, καὶ βεβηκότας φέρειν τὲς ἀπλανεῖς ἀχέρας. BL.

592. πᾶν δ' ἦμαρ φερόμην: πῶς τῶν ἄλλων Θεῶν ἀπὸ τῆ οὐρανῆ φερομένων ῥιπῇ ἐπὶ γῆς, Ἥφαιστος δι' ὅλης ἡμέρας φέρεται; φαμὲν ἓν ὅτι τὸ πᾶν δ' ἦμαρ οὐ δηλοῖ τὸν ἀπὸ πρωΐας μέχρις ἑσπέρας καιρόν, ἀλλὰ τὴν πελάζουσαν τῇ νυκτὶ ὥραν, ὡς καὶ ἀλλαχοῦ (472) „οἱ δὲ παννημέριοι μολπῇ θεὸν ἱλάσκοντο" καὶ ἑξῆς· (601) „πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο." BLV.

593. κάππεσον ἐν Λήμνῳ: πρὸς τὰ περὶ Ὄλυμπον· παράκειται γ' ἡ Λῆμνος τῇ Θρᾴκῃ. τινὲς δὲ μεταπεσεῖσιν ἐς Λῆμνον· ἀλλ' ὁ ποιητὴς χρῆται τῷ τοιούτῳ σχήματι· „ἐν δ' ἔπεσ' Ὠκεανῷ" (Il. 8, 485)· „κάππεσεν ἐν κονίῃσι (Il. 15, 538)· „θοῇ ἐν νηῒ πέσῃσιν" (ib. 624). ἤτως Ἀρίσαρχος. A.

ἡ δὲ Λῆμνος νῆσός ἐστι Θρᾴκης ἱερὰ Ἡφαίστ, ἔχουσα δύο πόλεις, Ἡφαιστιάδα καὶ Μύριναν. D.

ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν: ἀντὶ τῆ ἐλειποψύχων βραχείας μοι τῆς ψυχῆς γενομένης. D. ὀλίγη δὲ ἰχὼς ἐνῆν μοι. εἰ ἐλαττῆϑ, φασί, τὸ ϑεῖον, καὶ τέλεον ἐπιλείψει, ἀγνοῦντες ὅτι πολλαὶ ἐν τῷ κόσμῳ φύσεις μειοῦϑ μέν, οὐκ ἐκλείπουσι δὲ τέλεον. καὶ γ' καὶ αὐχμῶν πλεοναζόντων μειοῦϑ τὸ ὑγρόν, ἀλλ' οὐκ ἐπιλείπει. καὶ Ἄρης „μόγις δ' ἐσαγείρατο θυμόν" (Il. 21, 417). BLV.

594. σίντιες: ἀπὸ τῆ σίνεσϑ καὶ βλάπτειν, ὄντας πειρατάς. ἢ ὅτι δοκοῦσιν αὐτοὶ πρῶτοι ἐπινενοηκέναι τὰ πρὸς τὸν πόλεμον ὅπλα· ταῦτα γ' ὁμολογουμένως βλάπτει. AD.

Φιλόχορός φησι Πελασγοὺς αὐτὲς ὄντας ὕστερον προσαγορευϑῆναι, ἐπεὶ πλεύσαντες εἰς Βραυρῶνα καινηφόρους παρϑένους ἥρπασαν, σίνεσϑ δὲ τὸ βλάπτειν λέγουσιν. Ἐρατοσθένης δέ, ἐπεὶ γόητες ὄντες εὗρον δηλητήρια φάρμακα. ὁ δὲ Πορφύριος, ἐπεὶ πρῶτοι τὰ πολεμιστήρια ἐδημιούργησαν ὅπλα, ἃ πρὸς βλάβην ἀνθρώπων συντελεῖ· ἢ ἐπεὶ πρῶτοι λῃστείαν ἐξεῦρον. BLV.

595. μείδησεν: παρὰ τὸ μειδιῶ· τὸ δὲ μειδιῶ παρὰ τὸ τὸν μέσον διιέναι γέλωτα. B.

596. παιδὸς ἐδέξατο: ὅτι λείπει ἡ παρά πρόθεσις, ἵν' ᾖ παρὰ παιδός. A.

κύπελλον: ἔκπωμα, ποτήριον, παρὰ τὴν κοιλότητα. D. ποτήριον. γίνεται δὲ παρὰ τὸ κύφος ἢ παρὰ τὸ κύπτω, τὸ κεκυρτωμένον καὶ περιφερές· ἢ παρὰ τὸ χύειν τὸν πηλόν, τετέσι τὸν οἶνον. πηλὸς γ' παρὰ Ἀττικοῖς ὁ οἶνος, παρὰ τὸ πάλλειν τὰς φρένας καὶ τὰς καρδίας τῶν πινόντων τῶτον πολύν· ἀφ' ὃ καὶ κάπηλος, παρὰ τὸ κακύνειν τὸν πηλὸν ἤγουν τὸν οἶνον. BL.

597. ἐνδέξια: ἀντὶ τοῦ ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενος. D.

598. οἰνοχόει: ἤτως οἰνοχόει Ἀρίσαρχος, Ἰακῶς· καὶ ἐν τῇ Ἀργολικῇ καὶ Μασσαλιωτικῇ καὶ Ἀντιμαχείῳ καὶ ἐν τῇ Ζηνοδότε καὶ Ἀριστοφάνες. A. οἰνοχόει Ἰακῶς πᾶσαι. L.

ἀντὶ τῆ ἐνέχει τὸ νέκταρ, ἐκίρνα. νέκταρ δέ ἐστι τὸ τῶν Θεῶν πόμα. D. κατάχρησις ὁ τρόπος. V.

νέκταρ: παρὰ τὸ νε ζερητικὸν καὶ τὸ κτῶ τὸ φονεύω, τὸ μὴ τοῖς κτεινομένοις ἀλλὰ τοῖς ἀθανάτοις διδόμενον. BL.

599. ἄσβεστος: ἀκατάπαυστος, πολύς. ἡ μεταφορὰ ἀπὸ τῆ πυρός. D.

600. Ἥφαιστον: δασύνεται διὰ τὴν ἐτυμολογίαν· παρὰ γ' τὸ ἅπτω ἐγένετο. A.

δασύνεϑ τὸ Ἥφαιστος· παρὰ γ' τὸ ἅπτω ἐστίν, ὅθεν καὶ Ἥβη. τὸ δὲ ποιπνύοντα ἐκ τῆ πονῶ, πονύω ποπνύω ποιπνύω. B.

ποιπνύσαντα αἱ πᾶσαι συντελικῶς. ἔστι δὲ παρὰ τὸ πονῶ, πονύω πνύω καὶ ποιπνύω. L.

601. πρόπαν ἦμαρ: τὸ ὑπόλοιπον πάσης τῆς ἡμέρας. τὸ δὲ „ἐς ἠέλιον καταδύντα" Ἀττικόν ἐστιν, ὡς τὸ ἐς τρίτην ἥκειν. BLV.

602. βραχὺ διαιαλτέον κατὰ τὸ τέλος τῆ στίχε, καὶ ἐν τῷ ἑξῆς κοινόν ἐστι τὸ ἐδεύετο. A.

603. ὁ λόγος· ὥσπερ τῆς εὐωχίας οὐκ ἦσαν ἐνδεεῖς οἱ θεοί, ἤτως ἐδὲ τῆς Ἀπόλλωνος μουσικῆς, ὁμοίως δὲ ἐδὲ τῆς τῶν Μουσῶν ᾠδῆς, αἵτινες καὶ αὐταὶ Ἀπόλλωνος κιθαρίζοντος ἐκ διαδοχῆς καὶ παρὰ μέρος ᾖδον. τέσσαρες δὲ ἀνατίθενται Ἀπόλλωνι τέχναι, μουσικὴ τοξικὴ μαντικὴ καὶ ἰατρική. ABDL.

604. μουσάων θ': εὖ τὸ μὴ ἀπειροκαλῶς ἐπιμηκῦναι τὴν ᾠδήν, ἀλλ' αὐτόν, εἶτα τὰς Μούσας ᾆσαι. BL.

τίνα ᾖδον αἱ Μοῦσαι; ὡς Ἡσίοδος „ἄειδόν δ' ὡς γαῖα καὶ οὐρανὸς εὐρὺς ἔτικτεν, οἵ τ' ἐκ τῶν ἐγένοντο." LV.

606. οἱ μὲν δὴ κείοντες: ἤτω πᾶσαι· καὶ ἔστιν ὅμοιον τῷ „κεῖον ἐς Θάλαμον" (Od. 19, 48). L.

ὅτι οἱ Θεοὶ καὶ οἱ ἄνθρωποι κατὰ τὸν ποιητὴν ἀναλύουσιν οἰκαδε καὶ κοιμῶνται. πρῶτος δὲ Ὅμηρος ἀφορμὴν ἔδωκε τοῖς ἀπὸ τῶν μαθημάτων εἰρηκόσιν ἕκαστον τῶν Θεῶν ἴδιον οἶκον ἔχειν. AD.

607. ἦχι: Ἀρίσαρχος τὸ ἦχι χωρὶς τοῦ ι γράφει, καὶ

Διονύσιος. παρατίθεται δὲ ὁ Διονύσιος τοὺς Δωριεῖς λέγοντας ἄχι. A.

τὸ ἦχι χωρὶς τῆ τ κελεύει γράφεσθ Διονύσιος, ᾗ παράγει Δωριεῖς ἄχι λέγοντας. BL.

ἀμφιγυήεις: ὁ ἀμφοτέρωθεν βεβλαμμένος, παρὰ τὸ γυῶ τὸ τὰ μέλη διαλύω, ἐπειδὴ τὸ πῦρ πολλῆς δεῖ τῆς ὕλης. BL.

ὁ ἀμφιγυήεις τῆ ἀμφιγυήεντος, διότι τὰ εἰς ΕΙΣ λήγοντα ἀρσενικὰ διὰ τῆ ΕΝΤΟΣ κλίνεται, οἷον τολμήεις τολμήεντος, τελήεις τελήεντος, χαρίεις χαρίεντος. ὅτως ἓν ᾗ ἀμφιγυήεις ἀμφιγυήεντος. AD.

χωλὸς Ἥφαιστος λέγεται διὰ τὸ μὴ δύνασθ προβαίνειν δίχα ξυλώδες τινὸς βάκτρου. τινὲς δέ φασι, διότι τὴν ἄνω κίνησιν τῆς κάτω πρὸς τὴν τροφὴν ἄνισον καὶ ἀνώμαλον ποιεῖ· βραδυτέρας δὲ αὐτῆς ἴσης χωλαίνειν αὐτὸν ἔφασαν. L.

608. ποίησεν ἰδυίῃσι: γράφε ποίησ' εἰδυίῃσι. A. Ἰωνικῶς διὰ τῆ ι. L.

609. πρὸς ὃν λέχος: ὅτι Ζηνόδοτος χωρὶς τῆ ν, πρὸς ὃ λέχος, ᾗ νοῶν ὅτι κοινόν ἐστι τὸ ὅν ἀρσενικῶ ᾗ ἑδετέρου. A. Ζηνόδοτος πρὸς ξ. L.

Κρόνου ᾗ Ῥέας ἐγένοντο υἱοὶ ἄῤῥενες τρεῖς, Ζεὺς Ποσειδῶν ᾗ Ἅιδης, θυγατέρες δὲ τρεῖς, Ἑστία Δημήτηρ Ἥρα. τούτων, φασίν, ἐπὶ τῆς Κρόνου δυναστείας ἠράσθησαν. τὸν δὲ Δία ᾗ Ἥραν ἐπὶ ἐνιαυτὸς τριακοσίους, ὡς φησι Καλλίμαχος ἐν δευτέρῳ αἰτίων „ὥσε Ζεὺς ἐράτιζε τριηκοσίους ἐνιαυτούς." λάθρᾳ δὲ τῶν γονέων ἀλλήλοις συνερχόμενοι ἔσχον υἱὸν Ἥφαιστον ἐξ ὁλόκληρον, ἑκατέρας δὲ τὰς πόδας χωλόν, ὡς φησιν αὐτὸν ἀμφιγυήεντα ὁ ποιητής. ὅτι δὲ λάθρᾳ τῶν γονέων συνήρχοντο ἀλλήλοις, μαρτυρεῖ καὶ ὁ ποιητὴς λέγων „εἰς εὐνὴν φοιτῶντε φίλης λήθοντο τοκῆας" (Il. 14, 296). μετὰ δὲ τὴν τῶν Τιτάνων ὑπὸ Διὸς καθαίρεσιν καταταρωθέντος Κρόνου Ζεὺς ᾗ Ἥρα διαδεξάμενοι τὴν ἐν οὐρανῷ βασιλείαν μέχρι τοῦ νῦν θεῶν τε ᾗ ἀνθρώπων βασιλεύουσιν, ἀλλήλοις ἡρμοσμένοι, τῆς Ἥρας τελείας ᾗ συζυγίας προσαγορευομένης, παρ' ὅσον ἀδελφὴ μόνη ἀνδρὸς ἔτυχε τοιούτου. ἔσχε δὲ Ἥβην θυγατέρα, ἣν οἰνοχόον θεῶν παρίσησιν ὁ ποιητής. AD.

βραχὺ διασαλτέον ἐπὶ τὸ Ὀλύμπιος ἀστεροπητής· τὸ γὰρ ἐπιφερόμενον ἔνθα τόπον σημαίνει. ἐν δὲ τῷ ἐξῆς σιγμὴν τελείαν θετέον ἐπὶ τὸ „γλυκὺς ὕπνος ἱκάνοι" πρεπωδέστερον γὰρ ἐκεῖ ἐκ τοῦ ἔνθα τὸ ἐνταῦθα σημαίνεσθαι. A.

611. ἔνθα καθεῦδ' ἀναβάς: ἀνέβη καθευδήσων, ἢ ἀντὶ τοῦ ἀνεκέκλιτο. τὸ δὲ καθεῦδε προπερισπωμένως· ἐφύλαξε γὰρ ἡ σύνθεσις τὸν τόνον. διδάσκει δὲ ὁ ποιητὴς μὴ χωρίζεσθαι ἄνδρα γυναικὸς ἐν κοίτῃ, ὡς μὴ τῇ ἀπεσίᾳ λυπήσῃ αὐτόν. B. προπερισπαστέον ὥστε μὴ προσακτικὸν εἶναι ἐνεργητικόν. D.

ὅτι Ζηνόδοτος γράφει ἔνθ' ἐκάθευδ' ἀναβάς. τὸ δὲ καθεῦδε προπερισπᾶται, ὅτι τὰ ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ῥήματα κατὰ τοὺς παρῳχημένους χρόνους ἐν ὁρισικοῖς, ἀπαθῆ ὄντα, φυλάσσει τὸν τόνον ἐν τῇ συνθέσει, εἶχον κατεῖχον· ὅθεν εἰ „εὗδε δ' ἀνακλιθείς" (Od. 4, 794), δῆλον ὅτι καθεῦδεν ὁμοτόνως ὀφείλομεν προφέρεσθαι. A.

χρυσόθρονος: ἡ χρυσᾶν θρόνον ἔχουσα βασιλίς. μᾶλλον δὲ ἐπειδὴ τὰ πρὸς τῷ αἰθέρι μέρη τῆ ἀέρος, γειτνιῶντα τῷ ἡλίῳ, πυρώδη ἐστίν. ὁ γὰρ ποιητὴς ἀλληγορῶν τὸν χρυσὸν λαμβάνει ἀντὶ τοῦ πυρός. ABD.

ἰσέον ὅτι ἡ ῥαψῳδία αὕτη μόνη παραβολὴν οὐκ ἔχει. D.

Παράκειται τὰ Ἀριζονίκου σημεῖα, καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας ᾗ Νικάνορος περὶ σιγμῆς. A.

ΕΙΣ ΤΗΝ Β.

1. Ἄλλοι: ὅτι Ζηνόδοτος γράφει ὦλλοι. ὁ δὲ ποιητὴς ἀσυνάρθρως ἐκφέρει. A. Ζηνόδοτος ὦλλοι γράφει, κακῶς· ἐλλείπει γὰρ ὁ ποιητὴς τοῖς ἄρθροις ἀεί. B.

θεοί τε καὶ ἀνέρες: ὅτι μετὰ θεὸν ἄνθρωπος· καὶ ἀπὸ τοῦ ἀνδρὸς τὸ λοιπὸν γένος ἅπαν. BL.

ἱπποκορυσταί: ἢ ἐφ' ἵπποις ὁπλιζόμενοι, ἢ ἵππους κορύσσοντες, τουτέστι πολεμικοί, ἢ ἀπὸ τῶν ἵππων μαχόμενοι. DL. ἱπποκορυστὰς φησιν, ὃς διὰ τὴν τοῦ πολέμου πρόνοιαν ἀγρυπνεῖν ἔδει. οἱ δὲ τοὺς βασιλεῖς ἤκουσαν. B.

2. Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος: ὅτι τὸ νήδυμος μετὰ τῆ ν, καὶ ἐχὶ ἥδυμος, ὡς ἔνιοι, παρὰ τὸ ἡδύς, ὡς δῆλον ἐκ τοῦ „νήδυμος ἀμφιχυθείς" (Il. 14, 253). οἱ δὲ μεθ' Ὅμηρον ᾗ χωρὶς τῆ ν λέγουσι· ᾗ Ἀντίμαχος „ἐπεί ῥα οἱ ἥδυμος ἐλθών," ᾗ Σιμωνίδης „ἕτος δέ τοι ἥδυμος ὕπνον ἔχων." ἴσως ἓν ἐνόμισαν ἀπὸ τοῦ ἡδὺς εἶναι παραγωγὸν τὸ ἥδυμος, ὡς ἔτυμος ἐτήτυμος. ὁ δὲ ποιητὴς ἐπὶ τοῦ ἀνεκδύτου τίθησι τὴν λέξιν. ᾗ δῆλον, φησὶν Ἀρίσαρχος, ὅτι παρὰ τὸ δύω ἢ δύνω ἐξέπιπτε ῥηματικὸν τὸ δύμος, ᾗ κατὰ σύρησιν (ᾗ ἐν ἐπεκτάσει BL) τοῦ νῆ ὁ νήδυμος ἐγίνετο· ὅθεν ᾗ οἱ δίδυμοι· δύο ἐκ μιᾶς καταδύσεως τῆς γαστρός. ᾗ οὐ παρὰ τὸ ἡδύς· λέξει γὰρ δασυνομένη οὐ συντίθησι τὸ νῆ. οἱ δέ, ὃν ἐ δυνατὸν ἀποδύσασθ, ἢ ὁ βαθύς, παρὰ τὴν νηδύν. ἢ ὁ ἀνώδυνος. ὅτι δὲ διὰ τῆ ν, φησί, νήδυμος ἀμφιχυθείς. ABLV.

Ἄλλως. ἀγνοοῦσί τινες, οἱ τὸν νήδυμον ὕπνον ἀποδιδόντες τὸν ἡδύν. ἔστι δὲ νήδυμος ὁ μὴ δύνων μηδὲ περιέχόμενος, ἀλλ' αὐτὸς περιέχων. ἐξηγήσατο γὰρ τὴν λέξιν εἰπὼν „νήδυμος ἀμφιχυθείς." ᾗ αὐτὸς ὁ Ὕπνος φησὶν „ἐπεὶ αὐτὸν ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα" (Il. 14, 359). ᾗ ἔτι „περὶ δ' ἀμβρόσιος κέχυθ' ὕπνος" (19)· „τοῖσι δ' ἐφ' ὕπνοι ἔχευε διάκτορος Ἀργειφόντης" (Il. 14, 445). διὸ ᾗ ἕτως λέγει „οὐδέ μιν ὕπνος ἥρει πανδαμάτωρ" (ib. 4). τὸ δὲ νῆ σερη-

τικὸν ϗ ἐν τῷ „νήγρετος, ἥδιςος, θανάτῳ ἄγχιςα ἐοικώς" (Od. 13, 80). ϗ περὶ ἄλλων δὲ περι εχόντων ϗ κατειληφότων τὸ ὅλον· „ἀμφὶ δέ μιν θάνατος χύτο" (Il. 16, 114)· „τὸν δ' ἄχεος νεφέλη ἐκάλυψεν" (Il. 17, 591)· „θείη δέ μιν ἀμφέχυτ' ὀμφή" (41). BL.

Πῶς ἐν τῇ Α εἰπὼν τὸν Δία καθεύδειν, νῦν φησὶ „Δία δ' ȣ̓κ ἔχε νήδυμος ὕπνος;" λέγομεν δὲ ἡμεῖς ὅτι ἐκάθευδε μέν, ἀλλ' ἐπ' ὀλίγον ἐκαθεύδησε, καὶ ȣ̓ διὰ πάσης τῆς νυκτός, ὡς οἱ ἄλλοι, μεριμνῶν. AD.

καὶ πῶς φησὶν „ἔνθα καθεῦδ' ἀναβάς;" λύοιτο δ' ἂν κατὰ λέξιν· τὸ γὰρ εὕδειν ἰαύειν κεῖσθϝ κοιμᾶσθϝ ϗ ἐπὶ ψιλῆς ἀνακλίσεως λαμβάνονται, οἷον „πολλὰς μὲν ἀΰπνȣς νύκτας ἴαυον" (Il 9, 325) ϗ „ἔνθ' Ὀδυσεὺς μνηςῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ κεῖτ' ἐγρηγορέων" (Od. 19, 6). ἢ οἱ μὲν ἄλλοι παννύχιοι εὗδον, Ζεὺς δὲ οὐ παννύχιος ἀλλ' ἐπ' ὀλίγον. BLV. διδαχὴ δέ ἐςιν ὅτι ϗ θεοῖς πρὸς σκέψιν εὔθετον νύξ, τούς τε ἄρχοντας ȣ̓ παννυχίζειν δεῖ („ȣ̓ χρὴ" γὰρ „παννύχιον εὕδειν βȣληφόρον ἄνδρα" 24), ἀλλὰ ϗ παντὶ τρόπῳ τὰς ὑποχέσεις πληρȣ̃ν. διὰ τȣ̃το οἱ μὲν περὶ Θέτιδα τȣ̃ Διὸς δεηθέντες καθεύδοντες αὐτῷ πεποίηνται, ἀγρυπνῶν δὲ ὁ ὑπεχημένος τιμῆσαι Ἀχιλλέα. ABLV.

3. μερμήριζε: ἐμερίμνα. L. διδάσκει δὲ μηδὲν ἀπερισκέπτως ποιεῖν, ὥσπερ αὐτὸς ὑπὸ Ἥρας ἐν τῷ Ξ ἁλίσκεται, ϗ τȣ̀ς ἄλλȣς, εἰ μὴ προγνοῖεν, ταὐτὸν πάσχειν οἰόμενος. (ὅτε γὰρ ἀμελεῖ, ἁλίσκεται, ὡς ἐν τῇ Ξ ἀπατᾶται ὑπὸ Ἥρας. ϗ ἐπὶ Ὀδυσσέως „ςάσκεν, ὑπαὶ δὲ ἴδεσκεν" Il. 3, 217). LV.) ϗ πρῶτον μὲν ἐδίςαζεν ἐπὶ Θέτιδος, εἰ πρακτέον· νῦν δὲ τὸ πῶς πρακτέον. τὸ δὲ μερμήριζεν ἀντὶ τοῦ ἐμερίζετο εἰς μέρη. ϗ διάνοια μὲν ἡ ἑδραία καλεῖται, μέριμνα δὲ ἡ μερίζȣσα (μεριζομένη L). BLV.

3. 4. κατὰ φρένα ὡς Ἀχιλῆα τιμήσῃ: βραχὺ διαςαλτέον μετὰ τὸ φρένας καὶ τιμήσῃ. A.

4. τιμήσῃ: ἄλλοι γράφȣσι τιμήσει. τȣ̃το εὐκτικόν, τὸ δὲ ὀλέσῃ ὑποτακτικόν. ὡς τὸ „λόχον τελέσει Ἀγαμέμνων" (Il. 4, 178). ABL.

πολέας: ὅτι Ζηνόδοτος γράφει πολῦς· μόνα δὲ τὰ εἰς υς μονογενῆ δύναται παρὰ τὴν ἔκτασιν ἢ συςολὴν ἑνικὰ ϗ πληθυντικὰ γίνεσθϝ, οἷον βότρυς βότρυς. A.

ἐπὶ νηυσὶν Ἀχαιῶν: ςικτέον ἐν τῷ νηυσίν (ἐν τῷ Ἀχαιῶν B)· μόνους γὰρ τούτους ἀνελεῖν ἤθελεν. διό φησιν „ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν" (Il. 16, 780) ὥςε διωχθῆναι μέχρι νηῶν. ABL.

5. ἀρίςη φαίνετο βουλή: βραχὺ διαςαλτέον κατὰ τὸ τέλος· μέρος γὰρ κατὰ τὸ ἐπιφερόμενον τῆς περιόδȣ. πολλὰ προσκεψάμενος ταύτην εὗρε χρειώδη βȣλήν. ἔςι δὲ ὡς τὸ „ἕτερος δέ με θυμὸς ἔρυκεν" (Od. 9, 302) ϗ „αἱ δεύτεραί πως φροντίδες σοφώτεραι." ABLV.

6. ἐπ' Ἀτρείδῃ: ȣ̓κ ἀναςρέφεται ἡ πρόθεσις· αἱ γὰρ συναλειφόμεναι ȣ̓κ ἀναςρέφονται, εἰς μονοσυλλαβίαν περιιςάμεναι. A.

οὖλον ὄνειρον: τȣ̃το κατὰ συμπάθειαν, ὡς ȣ̓λομένην (Il. 1, 2), ϗ ἵνα ποθοῖμεν μαθεῖν τί εἴργαςαι ὁ ȣ̓λος ὄνειρος. Ἕκτορι δὲ ἡ Ἶρις πέμπεται, ἀλλ' ȣ̓χὶ νῦν, ὅπως μὴ πρὸ τȣ̃ καταλόγȣ ἡ ναυμαχία γένηται. ἢ ȣ̓λον τὸν ἀσαφῆ καὶ ὕπȣλον· ϗ Τρῶας γὰρ ἀπώλεσε θαῤῥήσαντας ὑπομεῖναι τὸν Ἀχιλλέα. εἰ μὴ ἄρα τὸν μαλακὸν λέγει, ἐπεὶ ϗ πρὸς αὐτὸν διαλεγόμενος ȣ̃τω φησί „βάσκ' ἴθι ȣ̓λε ὄνειρε" (8). BLV. ποιητικὸν δὲ τὸ πλάσσειν ὀνείρους. LV.

ὅτι ȣ̓ τὸν μαλακὸν ἀλλὰ τὸν ὀλέθριον· πέμπεται γὰρ ἐπ' ἀπίςῳ καὶ κακῷ. A.

δηλοῖ ἡ λέξις ϗ τὸν προσηνῆ, ϗ τὸν ὁλόκληρον, ὡς ἐν Ὀδυσσείᾳ (17, 343) φησὶν „ȣ̓λον ἄρτον ἑλών" ϗ τὸν μαλακόν, ὡς τὸ „ȣ̓λων τε ταπήτων" (Il. 16, 224)· δηλοι δὲ ϗ τὴν τῶν τριχῶν δασύτητα ἢ διαςροφήν. ȣ̓λον δὲ ὄνειρον ȣ̓κ αὐτὸν ὀλέθριον ὄντα, ἀλλ' ἐπ' ὀλέθρῳ πεμπόμενον. ἢ ȣ̓λον τὸν ὑγιῆ, ὥσπερ λέγεται ȣ̓λὴ τραύματος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ὑγίαινε· „ȣ̓λέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τε ὄλβια δοῖεν" (Od. 24, 403). ABD.

7. καί μιν: τὸ μίν τριγενὲς νῦν ἀρσενικόν. θηλυκὸν δὲ ὡς τὸ „καί μιν ἔτισ' ὡς οὔ τις ἐπὶ χθονὶ τίεται ἄλλη" (Od. 7, 67). ϗ οὐδέτερον ὡς τὸ „νῦν αὖτέ μιν υἷες Ἀχαιῶν ἐν παλάμῃ φορέȣσι" (Il. 1, 237), τὸ σκῆπτρον. V.

8. βάσκ' ἴθι: Τυραννίων ὑφ' ἕν, ὡς ἄπιθι. παραιτητέον δέ· τὰ γὰρ εἰς μι λήγοντα μετὰ προθέσεως φιλεῖ συντίθεσθϝ, μετ' ἄλλων δὲ λέξεων ȣ̓κέτι. καὶ πάλιν τὰ διὰ τȣ̃ κ παραχθέντα κατ' ἀρχὴν ȣ̓ θέλει συντίθεσθϝ. καὶ ἄμεινον ταυτολογίαν εἶναι, ἐμφαίνȣσαν τὴν ἔπειξιν. ϗ ἀλλαχȣ̃ „ἔλθοι καὶ ἵκοιτο·" „ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν." καὶ πάνυ σφόδρα φασὶν Ἀττικοί. καὶ Ἡρωδιανὸς μέν φησι τὸ ἴθι ἐνεςῶτος νῦν, Ἐπαφρόδιτος δὲ ἀορίςȣ. δύναται δὲ τὸ ἴθι ϗ ἐπίῤῥημα παρακελεύσεως εἶναι, ἀντὶ τȣ̃ ἄγε, ὡς τὸ „ἴθι ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν" (Soph. Ai. 1003). ςικτέον δὲ κατὰ τὸ τέλος τȣ̃ ςίχȣ· περίοδον γὰρ αὐτοτελῆ ἔχει, ϗ τὸ πρέπον τῆς ἐγκελεύσεως διὰ τȣ̃ ἀσυνδέτȣ φαίνεται. ABL.

ἰςέον ὅτι παραλλήλως βάσκε καὶ ἴθι· ἰσοδυναμοῦσι γὰρ αἱ λέξεις. A.

10. πάντα μάλ' ἀτρεκέως: διδάσκει τȣ̀ς ἀγγέλους μὴ περαιτέρω τῶν ἀκȣομένων περιεργάζεσθϝ. ἀσύνδετος δέ ἐςι ϗ ἀρχοντικὸς ὁ λόγος. BL.

ἀγορευέμεν: Ἀττικῶς· „φάσκειν Μυκήνας" (Soph. El. init.). ἐπιτέλλω δὲ ἀντὶ τȣ̃ ἐπιςέλλω. V.

11. θωρῆξαί ἑ κέλευε: ἐγκλιτέον τὴν ἕ. θωρήσσεσθϝ ϗ κορύσσεσθϝ δὲ ἀπὸ τῶν ἡγεμονικῶν, ὡς „ὄμματα ϗ κεφαλήν, Ἄρει δὲ ζώνην" (478). καὶ ὁπλίζεσθαι δέ πού φησιν ὁ ποιητής. BL.

κάρη κομόωντες: ἕκαςος τὸ ἴδιον κάρα, ὡς „ἀπὸ βλεφάροιιν ὀλώλει" (Il. 10, 178). V.

τῶν Ἑλλήνων τὸ παλαιὸν ἀρετῆς ἕνεκα ϗ ἀνδρείας κομώντων τὰς κεφαλάς, λόγος πρῶτον Θησέα ἀποκειράμενον τὴν ἐμπροσθίαν κόμην εἰς Δῆλον ἀναθεῖναι τῷ Ἀπόλλωνι. AD. κομῶσι γὰρ Λάκωνες, ἀφ' ὧν τὸ πᾶν Ἑλληνικόν, ἢ διὰ τὸ πρὸς τȣ̀ς πολεμίȣς βλοσυρόν, ἢ πρὸς τὸ μὴ ὁμοιοῦσθϝ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς βαναύσοις, ἢ διὰ τὸ μὴ θλίβεσθαι ταῖς κόρυσι· Τρῶες γὰρ τιάρας ἐφόρουν. Σκύθαι δὲ πρῶτοι ἐκείραντο· διὸ καὶ ἀπεσκυθισμένοι εἴρηνται. BL.

12. πανσυδίῃ: ἔτως διὰ τῶν τὸ πανσυδίῃ ὁ Ἀρίσαρχος, καὶ τὰ παραπλήσια τούτοις „ἄνσησον" (Il. 10, 176) καὶ „τάχα δ' ἀνσήσεσθαι ἔμελλεν" (Il. 2, 694). κἂν ταῖς πλείοσι δὲ καὶ χαριεσέραις τῶν ἐκδόσεων πάντῃ κατὰ κρατόν ἔτως εἶχον. A. διὰ τῶν, ὡς ἀνσήτην (Il. 1, 305), κατὰ Ἀρίσαρχον. L.

νῦν: τὸ νῦν τὸν τρεῖς δηλοῖ χρόνους, ἐνεστῶτα „νῦν γὰρ δὴ γένος ἐσί" καὶ παρεληλυθότα „νῦν ὤλετο πᾶσα περὶ χθών" καὶ μέλλοντα „νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει" (Il. 20, 307). ABL.

ἕλοις: ὅτι Ζηνόδοτος χωρὶς τοῦ ο, ἕλοι. ἀπέστρεφε δὲ τὸν λόγον σχηματίσας, ὡς ἂν αὐτὸς ὁ ὄνειρος εἶποι πρὸς τὸν Ἀγαμέμνονα. A.

ἀπορῆσαί τινες πῶς ὁ Ἀγαμέμνων ἀκέσας „θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιοὺς πανσυδίῃ· νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν," καὶ πιστεύσας τῷ ὀνείρῳ „φῆ γὰρ ὅγ' αἱρήσειν Πριάμοιο πόλιν ἤματι κείνῳ" (37), ὡς τῶν πολεμίων ἁλίσκεσθαι μελλόντων καὶ τῆς πόλεως καταλαμβανομένης, τὰ μὲν πρὸς ἄλωσιν ἐ ποιεῖ ἐξαγαγὼν τὴν στρατιάν, ἐπὶ ὅρκας δὲ ἔρχεται καὶ συνθήκας, αἷς ἐπεφώνησεν „οἱ δ' ἐχάρησάν Ἀχαιοί τε Τρῶές τε, ἐλπόμενοι παύσασθαι ὀϊζυρὸ πολέμοιο" (Il. 3, 111). ῥητέον οὖν ὅτι μήποτε ἐ παντελῶς ἐπίστευσε τῇ περὶ τὸν ὄνειρον φαντασίᾳ· διόπερ εὐγνώμοσι τοῖς περὶ τῆς συνθήκης λόγοις ὑπάρχουσιν εἰκότως συγκατατίθεται. B.

Ἄλλως. ἀπρεπὲς δὲ τὸ λέγειν „πανσυδίῃ, νῦν γάρ κεν ἕλοις Τρώων πόλιν εὐρυάγυιαν·" τὸ γὰρ ψεύδεσθαι τὸν Δία αἱρήσειν μέλλοντα τὴν πόλιν ἄτοπον. ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· οἱ μέν, ὅτι τὸ νῦν δηλοῖ πλείω, ἐν οἷς περιέχεται ὁ μόνον τὸ τήμερον ἀλλὰ καὶ ἐν τέτῳ τῷ χρόνῳ· οἱ δέ, ὅτι τὸ πανσυδίῃ σημαίνει μετὰ πάντων, ὥστε παραλιπὼν τὸν Ἀχιλλέα ἥμαρτεν. οἱ δὲ ἀπὸ τῆς ἔθους· καὶ γὰρ στρατηγοῖς καὶ βασιλεῦσι συγκεχώρηται εἰς τὸ πρόσφορον ψεύδεσθαι. καὶ δὴ καὶ τὸν Δία εἰσάγει τοιῆτον, τῷ ἔθει ἑπόμενον. B.

Ἄλλως. ἀπορῆσαι πῶς καὶ ὁ Ζεὺς ἐκ ἀληθεύει ὑπισχνούμενος „νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν" καὶ ὁ Ἀγαμέμνων νήπιος, καὶ ὁ ὄνειρος ὀλούς. ὀλοὸς μὲν οὖν ὁ ὄνειρος, ὅτι ἐ σαφής· Ἀγαμέμνων δὲ νήπιος, ὅτι ἀφροσύνης ἡ ἀπάτη γίνεται· τὸ γὰρ „νῦν κεν ἕλοι Πριάμοιο πόλιν" εἰς μίαν περιεγιγμένην ἡμέραν. καὶ ὅτι ἔτως ὑπέλαβε καὶ ἦκεν τὸ νῦν, δηλοῖ τὸ ἐπιῤῥηθὲν αὐτῷ „φησὶ γὰρ ὅγ' αἱρήσειν Πριάμοιο πόλιν ἤματι κείνῳ, νήπιος" (37). Ζηνόδοτος δὲ παρισὰς τὴν τοῦ Διὸς ἀλήθειαν, φησὶ κατ' ἐκείνην ἑαλωκέναι τὴν ἡμέραν τὴν Ἴλιον· ὅτε γὰρ οἱ ὅρκοι συνεχύθησαν, ἡ πόλις ἀπώλετο· ἐν γὰρ τῷ παρασπονδῆσαι τὸ μηκέτι σωθῆναι κατεψηφίσθη. Ἀπίων δέ φησιν ὅτι πρότερον ἐνδοιάζων ὁ Ζεὺς κατ' ἐκείνην τὴν ἡμέραν ἐπέτρεψε τῇ Ἥρᾳ τὸν τῆς Τροίας ὄλεθρον· διὸ καὶ κατῆλθεν ἡ Ἀθηνᾶ, τῇ τῶν ὅρκων ἀνατροπῇ συναναστρέφουσα τὰς Τρῶας. ἔπειτα ἐῤῥήθη πανσυδίῃ ἐξάγειν τὰς Ἕλληνας· ὁ δὲ παρῆκεν ἐ μικρὰν μερίδα τὴν τῶ Ἀχιλλέως. πῶς ἐν ἀληθεύει καὶ ἐν τῷ „ἐπέγναμψε γὰρ ἅπαντας Ἥρη λισσομένη;" καὶ τοῦτο ἀληθές· πέπεικε γὰρ ἡ Ἥρα· φησὶ γὰρ „ὃς πρὶν ἔμοιγε καὶ Ἥρᾳ σεῦτ' ἀγορεύων Τρωσὶ μαχήσεσθαι" (Il. 5, 832). B.

13. 14. οὐ γὰρ ἔτ' ἀμφὶς — φράζονται: τετέσιν ἐκέτι γὰρ οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοὶ διχογνωμονοῦσι περὶ τῆς Ἰλίε ἤγουν διάφορα φρονοῦσιν, οἱ μὲν τὰ ὑπὲρ Τρώων, οἱ δὲ τὰ ὑπὲρ Ἑλλήνων. ABDL.

14. ἐπέγναμψεν γὰρ ἅπαντας: δῆλον ἐξ ὧν φησὶ περὶ Ἄρεως „ὃς πρῶτον μὲν ἐμοί τε καὶ Ἥρῃ σεῦτ' ἀγορεύων Τρωσὶ μαχήσεσθαι" (Il. 5, 832). καὶ Ἥρα Ἀπόλλωνι „κακῶν ἔταρ' αἰὲν ἄπισε" (Il. 24, 63). A.

19. ἀμβρόσιος: ἥδιστος αὐτῷ ἐστὶν ὁ ὕπνος διὰ τὴν ἀνάπαυσιν τῶ λοιμῶ, ἐπεὶ ἐν ταῖς χρείαις δεῖ ἀγρυπνεῖν. L.

20. στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς: ὑπὲρ κεφαλῆς ἴσα· ὡς ταῖς αἰσθήσεσι φθεγγόμενος· αἱ πλείονες δὲ αἰσθήσεις ἀπὸ τῆς βάσεως τῶ ἐγκεφάλε τὴν ἀρχὴν ἔχουσιν. ALV.

Νηλῆϊ υἱι: τῷ Νέσορι ὁμοίωται ὡς συμβούλῳ καὶ φιλεταίρῳ, ὡς Ναυσικάᾳ καὶ Πηνελόπῃ. τὸ υἱι διχῶς. L.

21. Νέσορι: μετὰ τὸ Νέσορι βραχὺ διασαλτέον, μετὰ δὲ τὸ τέλος τῶ σίχε τελείαν θετέον. A.

γερόντων: τῶν ἐντίμων, ἐν οἷς καὶ Διομήδης καὶ Αἴαντες. A.

22. θεῖος: γράφεται καὶ ἕλος. A.

23. δαΐφρονος: τῶ συνετῶ, παρὰ τὸ δαῆναι, ὡς „δαΐφρονι Πηνελοπείῃ" ἐπὶ δὲ Τυδέως (Il. 5, 181) πολεμικῶ. δυσωπεῖ δὲ τοῖς ἐγκωμίοις τῶ πατρός. ἢ ὅτι ἡ πατρωνυμία τὸς εὐγενεῖς ἥδει, ὡς τἐναντίον ἐ χρή. τῶν δὲ οἰκείων ἐστὶ τὸ ἐγκαλεῖν, ὡς καὶ ἀλλαχῶ γνωμολογεῖ ὁ Νέσωρ „τί πάννυχον ὕπνον ἀωτεῖς;" (Il. 10, 159). ταῦτα δὲ πρὸς τὸ πεῖσαι· „ἐλθὸν" γὰρ „καὶ τὸ τέτυκται" (Il. 15, 207). ἀλλ' ὀδὲ Νέσορι εἰκαθῆναι ἐκελεύθη. BL.

τελεία σιγμὴ κατὰ τὸ τέλος, ἐπεὶ ἀσύνδετος ὁ λόγος. τέσσαρας δ' αὕτη χρόνους σιωπᾷς δύναται. A.

26. ξύνες ὦκα: αὔξησιν ἔχει τὸ μὴ πολλὰ εἰπεῖν, ἀλλὰ δεῖξαι τὴν προσοχὴν ἣν ἐργάζεται τὸ τοῦ προστάσσοντος ἀξίωμα. BL.

ἄγγελος: τὴν λος ὀξυτονητέον διὰ τὸ εἰμί. A.

27. σεῦ: ὀρθοτονητέον τὴν σεῦ· ἀντιδιέξαλται γὰρ πρὸς τὸν Ἀχιλλέα. ἢ ὅτι πρόκειται τῶ ῥήματος ἡ ἀντωνυμία. ABL.

ἀξερίσκος σὺν ὀβελίσκῳ, ὅτι τῶτο ὀρθῶς πρὸς Πρίαμον Ἴρις λέγει (Il. 24, 174)· ἐπεὶ καὶ τίνος χάριν ἐλεεῖν αὐτὸν μέλλει; A. Ἄλλως. δυσωπεῖ τῶτον νυσάζοντα. ἐλεεῖ δὲ διὰ τὸν χρόνον, τῆς ξενιτείας, διὰ τὸν λοιμόν, διὰ τὴν πρὸς Ἀχιλλέα ςάσιν. BLV.

28. θωρῆξαί σε: τῶ θωρῆξαι τὴν τελευταίαν ὀξυτονητέον· ἀπολελυμένη γάρ ἐστιν ἡ σέ. A.

33. ἔχε — λήθη: τὸ ἔχε τὸ φύλασσε δηλοῖ. τὸ δὲ λήθη προτέθειται, ἵνα μὴ πύλιν τῷ ὕπνῳ μαλακιωθεὶς ἐπιλάθῃ. τῷ ἂν τέλει τῶ ὁράματος καὶ ἡ ἔγερσις ἕπεται, καὶ διὰ τῶτο πανυχίζειν αὐτὸν ἐκ εἴασεν. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

34. ἀνήῃ: διαίρεσίς ἐστι τῆς τῦ ῥήματος ἔω κλίσεως, ὡς καὶ Πλάτων „ἐπεὶ ἤδη με ἀνῆκεν ὁ ὕπνος" (Protag. p. 152, 2). BL.

35. ἀπεβήσετο: εἰ μὲν ἀντὶ τῦ ἀπέβαινε παρατατικῶς, διὰ τῦ ᾱ γραπτέον, ἀπεβήσατο. ὕτως Ἐπαφρόδιτος. A. ὁ μὲν Ζηνόδοτος διὰ τῦ ε̄ γράφει, ὃ καὶ ἄμεινον, οἱ δὲ ἄλλοι διὰ τοῦ ᾱ. B.

δὲ λίπ': ὕτως Ἰωνικῶς τὸ λίπε. A.

36. ἃ ῥ': δασυντέον τὸ ἃ· ἄρθρον γάρ ἐστι· καὶ δύο μέρη λόγυ, ἃ ῥα, ἃ δή. A.

ἔμελλον: ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ἔμελλον· ἡμεῖς δὲ ἐρῦμεν ἔμελλεν ἑνικῶς. καὶ ὅτι τὸ ἔμελλον ἀντὶ τῦ ἐώκεσαν. A. ἡ Ζηνοδότειος γραφὴ διὰ τῦ ε̄, οἱ δὲ διὰ τῦ ο̄. L. διδάσκει δὲ ὁ ποιητὴς μὴ ἐπαίρεσθαι ταῖς ὄψεσι τῶν ὀνείρων. B.

38. νήπιος: νήπιος ὁ Ἀγαμέμνων, ὅτι τὸ νῦν ἐπὶ μιᾶς ἡμέρας ἐνόμισεν. BL.

39. θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ': τὸ ἐξῆς ἐπιθήσειν ἄλγεα. ἡ δὲ προαναφώνησις ἐγερτική. πείθεται δὲ ὀνείρῳ ὁ Ἀγαμέμνων σφαλλόμενος ὑπὸ Διός. BL.

40. διὰ κρατερὰς ὑσμίνας: αἰτιατικὴ ἀντὶ γενικῆς, ἤτοι διὰ τῶν ὑσμινῶν. BL.

41. θείη δέ μιν ἀμφέχυτ' ὀμφή: ὅτι ὁμφὴ ἡ θεία κληδών, ἐ πᾶσα φήμη· διὸ καὶ ὁ Ζεὺς πανομφαῖος, ὁ κληδόνιος. ὁμφὴ δὲ ἡ τὸ ὂν φαίνεσα. λέγει δὲ ὅτι ἐναύλον εἶχε τὴν τῦ ὀνείρυ φωνήν. ἐμφαντικὸν δὲ τὸ ἀμφέχυτο πρὸς τὸ μηδὲν αὐτῆς ἐπιλελῆθθαι αὐτόν. ABDLV.

42. ὀρθωθείς: ὀρθωθεὶς ἐκ τῆς ἀνακλίσεως, ὡς τὸ „ὀρθωθεὶς δ' ἐπ' ἀγκῶνος" (Il. 10, 80). καὶ τὸ ἐπὶ γόνατα δὲ ἐνεχθῆναι ςῆναί φησιν (Il. 8, 329). BL.

χιτῶνα: χιτὼν τὸ λεπτότερον ἱμάτιον, ὃ προφέρεται παρὰ τὸ οἱονεὶ περιχεῖθθαι αὐτὸ τῷ σώματι. ἴςεον δὲ ὅτι ἐπὶ μὲν ἀνδρὸς χιτῶνα λέγει, ἐπὶ δὲ γυναικὸς πέπλον. ABDL.

43. νηγάτεον: ἢ ἀγέννητον, ἢ λεπτόν, ἢ τὸν νεωςὶ γεγονότα, νεογάτεόν τι ὄν. ἢ ὥσπερ παρὰ τὸ τείνω τατός, ὕτως γείνομαι γατός, νέγγατος, καὶ ὑπερθέσει τῦ ε̄ νηγάτεος. A. νεωςὶ κατεσκευασμένον ἢ νεηνσμένον. D. δηλοῖ δὲ ὁ χιτὼν καὶ τὸν σιδηρῶν παρ' αὐτῷ. BDL.

περὶ δὲ μέγα βάλλετο φᾶρος: τῷ τῶ ἱματίυ μεγέθει καὶ τὸ τῦ φορῆντος αὐτὸ συνεμφαίνει μέγεθος. πρεπώδης δὲ ἡ ςολὴ τῷ ἐπὶ βυλὴν ἐξιόντι· ἐπὶ δὲ κατασκοπὴν (Il. 10, 29) ἡ λεοντῆ καὶ τὸ δόρυ. ἀφαιρεῖται δὲ τὸν τύφον, ἑαυτοῖς λέγων διακονεῖθθαι· μὴ θαυμάσῃς Τηλέμαχον ὀρφανὸν ὄντα καὶ νησιώτην. φᾶρος δὲ παρὰ τὸ φέρεθθαι, ἢ τῇ ὑφῇ ἀρηρέναι. καὶ ἐπὶ γυναικὸς δὲ τάσσεται ταὐτό· „αὐτὴ δ' ἀργῆφεον φᾶρος" (Od. 5, 230). καὶ τὸ ἔθος δὲ καὶ ἡ λύπη ἐν διαφόροις γλώσσαις εἰσίν. ABLV.

44. λιπαροῖσι: λευκοῖς καὶ εὐτραφέσιν, ἢ προαλειφομένοις ἐν τῷ ὑποδεδέσθαι. D.

πέδιλα: παρὰ τὸ περιειλεῖθθαι αὐτὰ τοῖς ποσίν, ὃ ἐςὶ περιτίθεθθαι. AD. ἢ παρὰ τὴν ἕλην, τὰ τὰς πόδας θερμαίνοντα. A.

45. ξίφος ἀργυρόηλον: ἡ διπλῆ, ὅτι τὸ Ἀγαμέμνονος ξίφος νῦν μὲν ἀργυρόηλον, ἐν ἄλλοις δὲ (Il. 11, 29) χρυσόηλον. καὶ Εὐριπίδης σφυρὸν σιδηρᾶ κέντρα εἰπών, ἐν ἄλλοις φησὶ χρυσοδέτοις περόναις (Phoen. 26. 812). τὰ τοιαῦτα δὲ κυρίως ἀ λέγεθ, ἀλλὰ κατ' ἐπιφοράν ἐςι ποιητικῆς ἀρεσκείας. ὥσπερ δὲ τὰ περὶ τὸν θώρακα καὶ τὴν ἀσπίδα διαφορώτερον φράζει, ὕτω καὶ τὸ ξίφος κοσμεῖ. A. ἢ παρέλκει τὸ ἐπίθετον, ἢ μεμιγμένος ἔχον χρυσοῦς ἥλους. LV.

ξίφος τὴν καλουμένην σπάθην· ἥτις εἴρηται παρὰ τὸ σπᾶσθ αὐτὴν τῆς θήκης. D.

46. ἄφθιτον αἰεί: ἀδιάφθαρτον, αἰώνιον, ὅτι οὐκ ἐδόθη ἐκ τῦ γένυς ἑτέρῳ. D. τὸ μηδέπω φθαρέν· ὅπω γ' ἦν ὑπὸ τῶν Ἡρακλειδῶν ἠρημένον. ἢ ὅτι ἠφαιςότευκτον. ἐκ ἀκριβολογεῖθ δὲ νῦν περὶ αὐτᾶ, ἀλλ' ἐξῆς. ABL.

48. ἠώς: νῦν τὸν ὄρθρον λέγει. σημαίνει δὲ καὶ τὴν θεάν, ὡς τὸ „ἥρπασεν Ἠώς" (Od. 15, 250), καὶ τὸ ἐωθινὸν κατάςημα „ὄφρα μὲν ἠὼς ἦν" (Il. 8, 66), καὶ τὴν ἀνατολήν „πρὸς ἠῶ τ' ἠέλιόν τε" (Od. 9, 26), καὶ τὴν ἡμέραν „ἠὼς εἰσι δυσώνυμος" (Od. 19, 571). BL.

τὸν ὄνειρον εὐθὺς διεδέξατο ἡ ἡμέρα. οἱ δὲ πρὸς ἕω ὄνειροι ἀληθεῖς, πεπτομένων τῶν σιτίων. ABL.

πρὸς τὸν τῶν ἡμερῶν ἀριθμόν, ὅτι τρίτη καὶ εἰκοςή· δέκα μὲν μέχρι τῆς μηνιδος, δώδεκα τῶν θεῶν ἐν Αἰθιοπίᾳ ὄντων. ἢ δὲ ἀνατολὴ αὕτη τρίτη καὶ εἰκοςή ἐςιν. A.

μακρὸν Ὄλυμπον: ἰςέον ὅτι ἐνταῦθα ὄρος ὁ Ὄλυμπος· διὸ καὶ μακρός. προσεβήσατο Ὄλυμπον, ὅτι αἱ ἀκρώρειαι πρῶται φωτίζονται. BL.

49. φόως: τὸν ἥλιον· τῦτον γ' ἀγγέλλει, ὡς καὶ αὐτὴν ὁ ἑωσφόρος. κατ' ἐξοχὴν δὲ ὁ ἥλιος φῶς λέγεται. BL.

ἐρέουσα: ὅτι μεταφορικῶς τὸ ἐρέουσα ἀντὶ τοῦ σημαίνουσα. A.

50. κηρύσσειν: βοᾶν, συγκαλεῖν εἰς τὸν πόλεμον, νῦν δὲ εἰς τὸ συνέδριον. D.

52. ἐκήρυσσον: ἐπὶ τὸ κήρυσσον ἄνω πρώτη σιγμή, ἥτις δύο δύναται χρόνυς σιωπῆς. A.

μάλ' ὦκα: πάνυ σπεδαίως, διὰ τὸ εὐπειθές, ἢ πενσόμενοί τι περὶ Ἀχιλλέως. L.

βυλήν: αἱ πλείες καὶ χαριέζαται δίχα τοῦ ν̄, βυλή· καὶ ἡ Ἀριζοφάνης. ἐν δὲ ταῖς κοιναῖς ἐγέγραπτο καὶ τῇ Ζηνοδοτείῳ βυλήν. ἀςειοτέρα δὲ ἡ χωρὶς τοῦ ν̄, καὶ Ἀριςάρχειος. A.

αἱ πλείες καὶ χαριέζεραι δίχα τᾶ ν̄ γράφεσι, καὶ ἡ Ἀριςάρχ· ἡ δὲ σὺν τῷ ν̄ Ζηνοδότ. LV.

τὸ κενὸν τῆς συναγωγῆς τῦ πλήθυς ἀναπληροῖ. φθάνει δὲ τὴν τῶν Ἀκαιῶν πολιτείαν, βυλὴν γερόντων καὶ δύο βασιλεῖς λέγων. βυλὴν δὲ αἱ μὲν πλείες καὶ χαριέζεραι δίχα τᾶ ν̄ γράφεσιν, Ἀριςαρχος δὲ καὶ Ζηνόδοτος διὰ τοῦ ν̄. εἰσὶ δὲ Ἰδομενεὺς μὲν καὶ Αἴας Βοιωτοί, Φιλοκτήτης δὲ καὶ Πρωτεσίλαος Δολοπες, Ἔπειὸς δὲ Ἦλεῖος, Ἀθηναῖοι δὲ Μαχάων, Εὐρύπυλος, Μενέλαος, Ἀγαμέμνων, Νέςωρ, Ὀδυσσεύς, Διομήδης, συνεχῶς δὲ ὁ ποιητὴς τὲς γερασμίυς φησί, διδάσκων ὅτι δεῖ τὲς ἡγεμόνας ἐ μόνον καθ' ἡλικίαν.

ἀλλὰ καὶ πρὸ ἡλικίας φαίνεσθε γέροντας τοῖς ἤθεσι. τὸν δὲ ἔντιμον ἑνικῶς ἐδέποτε ὠνόμασεν. Ἀρίσαρχος δὲ τὸ ἶζεν ἐκτείνει· ἡ δὲ κοινὴ συστέλλει. BL.

54. Νεστορέῃ παρὰ νηΐ Πυλοιγενέος: εἰκότως παρὰ τῇ νηῒ Νέστορος· τούτῳ γὰρ ὁ ὄνειρος εἴκασαι. Πυλοιγενέος δὲ ὡς ὁδοιπόρος καὶ χοροιτύπος. σημαίνει δὲ τὸν ἐν Πύλῳ τὸ γένος ἔχοντα. BL.

55. τοὺς — βουλήν: ὅτι Ζηνόδοτος γράφει αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, τοῖσι δ' ἀνιζόμενος μετέφη κρείων Ἀγαμέμνων. ἀπίθανον δὲ ἐν ἑπτὰ ὀρθὸν δημηγορεῖν. A.

ἠρτύνετο: ἐκ τῆ ἀρτύω· τοῦτο δὲ παρὰ τὸ ἀρτῶ· τοῦτο παρὰ τὸ ἄρω τὸ ἁρμόζω· ὁ μέλλων ἀρῶ, Αἰολικῶς ἄρσω, καὶ ἀρτός. ἐκ γὰρ τῆ ἀρτύω ἀρτύνω· ἐξ ἧ καὶ τὸ „ἠρτύνθη μύχῃ" (Il. 11, 216). ὡς ὀργιζόμενος δὲ Κάλχαντι ἐκ ἀναφέρει αὐτῷ· ἢ ὡς αὐτοκρίτῳ (αὐτῆ κριτῆ L) ὄντος· ἢ ὅτι τῶν ὀνείρων τὰ χρησὰ τοῖς φίλοις λέγομεν. οὐκ ἄποθεν δὲ μαντικῆς ὁ γέρων Νέστωρ. BL.

56. κλῦτε φίλοι: τελεία σιγμὴ ἐπὶ τὸ φίλοι· αὐτοτελὴς γὰρ ὁ λόγος. A.

Θεῖός μοι ἐνύπνιον: ὅτι Ζηνόδοτος γράφει Θεῖόν μοι ἐνύπνιον. ἐ λέγει δὲ ὡς ἡμεῖς, ἀλλ' ἀντὶ τῆ κατὰ τὰς ὕπνους, ἐννυπνίως. ὁ δὲ ἀζερίσκος, ὅτι ἐν τῇ Ξ τῆς Ὀδυσσείας (495) κακῶς φέρεται. A.

ἐνύπνιον ὀνοματικὸν ἐπίῤῥημα, ἀντὶ τῆ ἐννυπνίως. ἔχει δὲ καὶ ὄνομα. δεῖ κρατεῖν ὡς δραπετεύοντα τὸν ἐνύπνιον*). BL.

57. ἀμβροσίην: διὰ τῆς θείας νυκτός. γίνεται δὲ ἀπὸ τῆ βροτός βροτίη, καὶ τροπῇ τῆ τ εἰς σ βροσίη καὶ ἀμβροσίη, ἐν ᾗ βροτοὶ ἐ πορεύονται. D. τὸ δὲ διὰ νύκτα ἀντὶ τῆ διὰ νυκτός. BL.

58. εἶδος ἐπὶ τοῦ προσώπου, μέγεθος ἐπὶ τοῦ σώματος, φυὴν δὲ τὸ ὅλον κάλλος ἤτοι τὴν τοῦ ὅλε σώματος εὐπρέπειαν. L.

τὸ ἐκ σωματικῆ καὶ ψυχικῆ εἴδες σύγκραμα φυὴν ἴσως ὀνομάζει. BL.

60 — 70. ὅτι Ζηνόδοτος συντέτμηκεν, ἔτως εἰπών „ἀνώγει σε πατὴρ ὑψίζυγος, αἰθέρι ναίων, Τρωσὶ μαχήσασθαι προτὶ Ἴλιον. ὣς ὁ μὲν εἰπὼν ᾤχετ' ἀποπτάμενος." τὰ δὲ ἀπαγγελτικὰ ἐξ ἀνάγκης δὶς καὶ τρὶς ἀναπολεῖται ταῖς αὐταῖς λέξεσι. καὶ οὐ δυσωπητέον· ἀναγκαῖον γὰρ καὶ τοῖς συγκεκλημένοις βεβλευταῖς διηγήσασθαι. A.

64. ὃς σεῦ: ἀζερίσκος σὺν ὀβελίσκῳ, ὅτι ὑπὸ τῆς Ἴριδος πρὸς Πρίαμον δεύντως λέγεται (Il. 24, 174). A.

65. θωρῆξαί σε κέλευε: γράφε θωρῆξαί σ' ἐκέλευε. A.

67. ἔχοντες: τὸ ἔχω σημαίνει ιγ', τὸ κρατῶ „ἐν δ' ἄρα οἱ ἔγχος ἔχεν δεκάπηχυ" (Il. 8, 493). τὸ καταλαμβάνω· „ἀλλ' ἐκ Ἀτρεΐδην Ἀγαμέμνονα ποιμένα λαῶν ὕπνος ἔχε γλυκερός" (Il. 10, 3). τὸ φυλάσσω· „ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον" (Il. 9, 1). τὸ ἐπιμελῶμαι· „ὅς μοι κῆπον ἔχει πολυδένδρεον" (Od. 4, 737). το συνοικῶ γυναικί „τὴν εἶχε κρείων Ἑλικάων" (Il. 3, 123). τὸ ἐλαύνω· „τὼ διὰ Σκαιῶν πεδίων ἔχον ὠκέας ἵππους" (ib. 263). τὸ κτῶμαι· „ἔχω δ' ἄχε' ἄκριτα θυμῷ" (ib. 412). τὸ πλησιάζω, ἐξ οὗ καὶ τὸ ἐγγύς, ὡς τὸ „ἐχομένῳ τρίβου σκάνδαλ' ἔθεντό μοι." τὸ οἰκῶ, ὡς ἐνταῦθα. τὸ κατέχω καὶ κρατῶ· „τοὺς δ' ἤδη κατέχεν φυσίζοος αἶα" (Il. 3, 243). τὸ βαστάζω· „τόξ' ὤμοισιν ἔχων ἀμφηρεφέα τε φαρέτρην" (Il. 1, 45). τὸ κρύπτω· „ἀλλὰ κὴ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ" (ib. 82). τὸ φορῶ· „τῶν δ' οἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ μαχαίρας" (Il. 13, 595). B.

70. σῆσιν ἔχε φρεσίν: ὅτι ἐ λέγει μηδενὶ εἴπῃς, ἀλλ' οἷον φύλαξον ταῖς φρεσὶ καὶ διαμνημόνευσον. A.

72. ἀλλ' ἄγετ' αἴ κέν πως: λείπει τὸ σκοπήσωμεν. οἶδε δὲ καὶ αὐτὸς τὸ δυσχερές. LV.

διεγερμὸς ὁ τρόπος. ἐ περιμένει δὲ κρίσιν· ἐ γὰρ ἐπὶ τούτῳ συνῆξεν αὐτός, ἀλλ' ὅπως εὐέλπιδας ποιήσῃ. BL.

Θωρήξομεν: ὅτι συνεξαλμένως θωρήξομεν ἀντὶ τοῦ θωρήξωμεν. A. Ἰώνων ἡ συζολή. D.

73. πειρήσομαι: ἀπόπειραν τῆ πλήθες λαμβάνει ὁ βασιλεὺς Ἀγαμέμνων κατά τι παλαιὸν ἔθος, βεβλόμενος μαθεῖν πότερον οἰκείᾳ πολεμῆσι προθυμίᾳ ἢ ἀνάγκῃ· ὃ τὸ πλῆθος μὴ νενοηκὸς πρὸς φυγὴν ἠὐτομόλησεν. BDLV.

καὶ ἄλλως. ἄλογον τὸ πειράζειν· εἰ γὰρ ἕτερος, ὥσπερ κὴ ἐγένετο, τὸ πλῆθος ἔνευσεν, ἀπώλετο ἂν πάντα τὰ πράγματα. λύεται δὲ ἐκ τῆς λέξεως· προησφάλισαι γάρ· „ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν (75)." συνέφερε γὰρ ἡ πεῖρα διὰ τὸν καιρόν, ἀφεσῶτος τῆ Ἀχιλλέως κὴ τῆ πλήθες ὑποπτευομένου. B.

οἶδεν αὐτὲς ἀποκαμόντας τῷ χρόνῳ κὴ τῷ λοιμῷ κὴ τῇ ἀποσάσει Ἀχιλλέως. παρακαλεῖν δ' ἐκ ἐνῆν τὸν πρώην φοβερὸν καὶ λέγοντα „συγέῃ δὲ καὶ ἄλλος ἴσον ἐμοὶ φάθῃ" (Il. 1, 186). ἀλλ' ὅτε ἐπιτάσσειν, μή πως ἀντιλεγόντων δευτέρα σάσις γένηται. ἄλλως τε τῇ παραδόξῳ καὶ χαρᾷ καὶ λύπῃ τὴν ποίησιν ἐκτραγῳδεῖ, φίλτρον τε πορίζεται ἑαυτῷ· μισεῖ γὰρ τὲς ῥιψοκινδύνες στρατηγὲς ὁ στρατός. καὶ εἰ μὲν κατεδέξαντο φυγεῖν, εἶργε διὰ τῶν βασιλέων, εἰ δὲ μή, ἐλάνθανε τὸ βούλημα. ἄλλως δ' ἀπέβη· βλάπτει γὰρ ὁ Ζεύς. ABLV.

Ἀριστοτέλους. διὰ τί ὁ Ἀγαμέμνων ἀποπειρᾶται τῶν Ἀχαιῶν, καὶ ἔτως ἔπραξεν ὥστε ὀλίγῳ τὰ ἐναντία συμβῆναι ἢ ἐβουλεύετο; καὶ τὸ κώλυμα ἀπὸ μηχανῆς· ἡ γὰρ Ἀθηνᾶ ἐκώλυεν· ἔστι δὲ ἀποίητον τὸ μηχάνημα λύειν ἄλλως εἰ μὴ ἐξ αὐτῆ τῆ μύθε. φησὶ δὲ ὁ Ἀριστοτέλης ποιητικὸν μὲν εἶναι τὸ μιμεῖσθαι τὰ εἰωθότα γίνεσθαι, καὶ ποιητῶν μᾶλλον τὸ κινδύνους παρεισάγειν. εἰκὸς δὲ καὶ ἐκ λοιμοῦ πεπονημένες καὶ τῷ μήκει τῆ χρόνε ἀπαυδήσαντας, κὴ τὶ Ἀχιλλέως μετὰ τῆς οἰκείας δυνάμεως ἀποσάντος, κὴ αὐτὲ ἀφαιρεῖσθαι ἐν τῇ ἐκκλησίᾳ τὴν Βρισηΐδα λέγοντος εἰς φόβον τῶν ἄλλων „συγέει δὲ καὶ ἄλλος ἴσον ἐμοὶ φάθῃ καὶ

*) κρατῖνος· Ὁράττει με τὸ ἐνύπνιον Par. et Amst. κράτιλος θράττει μὲν ἐνύπνιον V. κρατῖνος θράττει με ante lacunam litterarum 20 L.

ὁμοιωθήμεναι ἄντα," καὶ θορύβου τε ἐκ τῆς ἐξαναστάσεως τοῦ Ἀχιλλέως γεγονότος, μὴ εὐθὺς παρακαλεῖν πρὸς τὴν ἔξοδον, ἀλλὰ πειραθῆναι ἡγήσασθαι δεῖν εἰ οὕτως ἔχουσιν. εἰ γὰρ ἄνευ πείρας πολεμεῖν ἐκέλευε τοὺς οὕτω διακειμένους, συνέβη δὲ ἀντειπεῖν τινάς, ἀνάστατον ἐγίνετο τὸ πᾶν ἔργον καὶ μετανάστασις πάντων, καὶ λοιπὸν ἡ δέησις τοῦ βασιλέως, ἡ κόλασις τῶν ἀπειθούντων. ἀναγκαία οὖν ἡ πεῖρα μετὰ τοῦ ἐναντιοῦσθαι παραγγεῖλαι τοὺς ἡγεμόνας, ἐν ᾧ αὐτοὺς φθάσας ἐναντίους παρακαλεῖ γενέσθαι τῆς αὐτοῦ εἰς ἀπόστασιν τοῦ πολέμου πείρας. προληφθέντες γὰρ ταῖς πρὸς αὐτὸν ὁμολογίαις, ἄτοποι εὑρίσκονται μὴ κωλυταὶ γινόμενοι, ὥσπερ συνέθεντο, συμπράκτορες δὲ τῶν φευγόντων. ὅθεν καὶ τῷ Ὀδυσσεῖ εὐλόγως λείπεται ἡ πρὸς τοιούτους ἐπίπληξις, ἐπὰν λέγῃ „ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν οἷον ἔειπεν" (194). τὸ μὲν οὖν αὐτὸν παρακαλεῖν οὕτως ἔχοντας πολεμεῖν ἐπίφθονον ἦν· ἐκέλευσε δ' αὐτοῦ λέγοντος ὡς δεῖ ἀπιέναι, τοὺς ἄλλους κωλύειν· „ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν" (75). συνέβη δὲ ἃ εἰκὸς ἦν, διά τε τὸ ὀργᾶν καὶ τὸ μὴ εἰδέναι εἰ ἀπεπειρᾶτο, ἀσμένως ἀκοῦσαι καὶ φθάσαι ἀναστάντας πρίν τινα τῷ Ἀγαμέμνονι ἀντειπεῖν. ὁ οὖν Ἀγαμέμνων ὀρθῶς ἐβουλεύσατο· οὐ γὰρ δεῖ ἐκ τῶν ἀποβαινόντων κρίνειν τὸ ὀρθῶς, ἀλλ' ἐκ τοῦ πῶς κατὰ λόγον ἦν ἀποβῆναι· πολλὰ γὰρ παραλόγως ἐπιτυγχάνει, εἴπερ τε καὶ κατορθοῦται· καὶ οἱ Ἀχαιοὶ ἀνέστησαν πρίν τινα ἀντειπεῖν. τί γὰρ ἔφη; ἐγὼ μὲν ἐρῶ ὅτι δεῖ φεύγειν, ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἀντιλέγετέ μοι πρὸς τοῦτο· οὐ προσδοκήσας ὅτι πρὶν ἀντειπεῖν αὐτῷ ἔσται τι τῶν ἀτόπων, οὔθ' ὅτι τὸ πλῆθος καὶ ἅμα τῷ φάναι αὐτὸν ἀΐξει ἐπὶ τὸ ῥηθέν. ἅμα δὲ ὁ ποιητὴς ἀγωνιᾶσθαι πεποίηκε τὸν ἀκροατήν· τό τε γὰρ ἀποβῆναι καὶ τὸ πάλιν εἰς ὀρθὸν ἐλθεῖν τραγικόν, καὶ τοῦ ποιητοῦ ἐπιβολὴ ἔνογκος. ἡ δὲ λύσις οὐκ ἀπὸ μηχανῆς· ὅταν γὰρ διὰ τῶν εἰκότων γίγνηται, οὐ μηχανὴ τοῦτ' ἐστίν, ἁμ' ὅτε πρόσκειται θεός. ἀλλὰ τοῦτ' εἰπὼν ὃ εἰκὸς ἦν αὐτοῖς γίνεσθαι εἰς θεόν, ἀντέθηκε τὸν Ὀδυσσέα διανοηθῆναι ταῦτα δρᾶν ἃ πρᾶξαι ἂν εἰκός ἐστιν, ὡς τὸ „καὶ φεύγειν ἐν νηυσὶ πολυκλήϊσι κελεύσω· ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν." ἢ οὐ τοὺς φεύγοντας ἐρητύειν κελεύει (οὐδὲ γὰρ ἤλπιζε τοῦτ' ἔσεσθαι) ἀλλ' ἐμοὶ ἀντιλέγειν, ἐπέχειν καὶ μένειν συμβουλεύοντας, καὶ τοῦτο ποιοῦντας πρὸς ἐμὲ διδάσκειν ὡς χρὴ μένειν καὶ μὴ τοῖς ὑπ' ἐμοῦ ῥηθεῖσι περὶ φυγῆς πείθεσθαι. B.

ἡ θέμις ἐστί: τὸ ἡ δασυντέον· οὐ γάρ ἐστι σύνδεσμος ἀλλ' ἰσοδυναμοῦν τῷ ὡς ἐπίῤῥημα. A.

θέμις παρὰ τὸ τίθημι τίθεμαι, θέμος καὶ θέμις, καὶ θέμιτα καὶ θέμιστας κατὰ πλεονασμόν. L.

74. πολυκλήϊσι: πολυκαθέδροις, ἐξ οὗ πολυκώποις. κληῖδες γὰρ καλοῦνται αἱ τῶν ἐρεσσόντων καθέδραι. D. κληΐς παρὰ τὸ κλᾶσθαι ἐπ' αὐτῆς καθεζομένους. BDLV.

75. ἐρητύειν: οὐκ ἐκείνους φεύγοντας, ἀλλ' ἐμὲ ταῦτα λέγοντα· οὐ γὰρ ᾤετο τοσοῦτον ταχέως ἀναπτερωθῆναι πρὸς φυγὴν αὐτούς. BL.

ἄλλοθεν: τὸ ἄλλοθεν προπαροξύνεται, ὅτι ἀόριστον τόπον σημαίνει· τὰ γὰρ εἰς θεν λήγοντα ἐπιῤῥήματα, ἔχοντα πρὸ τοῦ τέλους τὸ ο μόνον, μὴ ὄντος ἑτέρου συμφώνου, παρωξύνετο, Κυπρόθεν Ἀβυδόθεν. ταῦτα δὲ προπαρωξύνετο, λέγω δὲ τὸ ἄλλοθεν πάντοθεν οἴκοθεν, καθότι ἀόριστον καὶ κοινὴν τόπου σημασίαν ἀναδέχεται. A.

76. ἤτοι ὅγ' ὡς: ἀπὸ τούτου ἕως τοῦ ἀλλ' ἄγετ' αἴ κέν πως (83) ἀθετοῦνται στίχοι ὀκτώ, καὶ ὅτι οὐκ ὀρθοῦ εἰρηκότος τοῦ Ἀγαμέμνονος λέγει „ἤτοι ὅγ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο," ὅπερ ἀπίθανον, καὶ ὅτι οὐδὲν περισσὸν λέγει ὁ Νέστωρ, ἀλλὰ καὶ εὔηθες τὸ εἰπεῖν „εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε, ψεῦδός κεν φαῖμεν·" οὐ γὰρ κατὰ διαφορὰν οἱ δυνατώτεροι ἀληθεῖς ὀνείρους ὁρῶσιν. αἰρομένων δὲ αὐτῶν ὀρθῶς ἐπὶ τοῦ Ἀγαμέμνονος ἐπενεχθήσεται „πείθοντό τε ποιμένι λαῶν" (85). μὴ παρόντος γὰρ τοῦ Ἀγαμέμνονος τὸν Νέστορα λέγει ποιμένα λαῶν. ἄτοπον γὰρ τούτῳ ἕπεσθαι τοὺς ἄλλους. A.

κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη: ἔθος γὰρ ἦν αὐτοῖς ἵστασθαι καὶ δημηγορεῖν. B. ἔθος γὰρ ὀρθοὺς λέγειν. L.

77. ἠμαθόεντος: παραθαλασσίας· ἢ Ἤμαθος (ἠμαθόης L) ποταμὸς Πύλου. BL.

μετὰ τὸ ὄνομα βραχὺ διαστάλτεον, μετὰ δὲ τὸ τέλος τοῦ στίχου τελείαν στιγμὴν θετέον. A.

79. μέδοντες: πρόβουλοι, παρὰ τὸ μήδεα. τὸ δὲ ῥῆμα καὶ ὡς περισπώμενον· „Ἴδηθεν μεδέων" (Il. 3, 276). BL.

81. νοσφιζοίμεθα: ἰστέον οὖν ὅτι τὸ μὲν νοσφίζεσθαι παρὰ μὲν Ὁμήρῳ λαμβάνεται ἀντὶ τοῦ χωρίζειν ἑαυτὸν τῶν ἄλλων, παρὰ δὲ τοῖς μεθύστερον ἀντὶ τοῦ ἰδιοποιεῖσθαι, ὡς τὸ νοσφίζεται τὰ ἀλλότρια, τουτέστι πρὸς ἑαυτὸν ἐπισπᾶται. εἰ γοῦν ὁ ἐπισπώμενος τὰ ἀλλότρια ἰδιοποιεῖται ταῦτα, ἄρα οὗτος χωρίζει ἀπὸ τοῦ ἔχοντος. L.

ἐχωριζόμεθα τῆς πίστεως. τὸ δὲ μᾶλλον ἢ Ἀττικῶς παρέλκει· ἢ ἐπεὶ φύσει ψευδεῖς οἱ ὄνειροι, ἐξαιρέτως ἂν ἐχωρίσθημεν. BL.

82. νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος: ἀληθῆ γὰρ δοκεῖ ὅσα ἢ θεοὶ ἢ ἀξιόλογοι ἄνδρες δοκοῦσι λέγειν. L. οἷς οἰκεῖον τὸ μεριμνᾶν, τούτοις ἀληθεῖς αἱ ἐμφάσεις· καὶ ᾧ ἡ ἀποτυχία κίνδυνον φέρει, οὐκ ἂν ψεύσαιτο. A.

ἀπρεπὲς εἶναι δοκεῖ τὸ οὕτω κολακεύειν ὡς τὰ μὲν τῶν ἄλλων ὀνείρατα ψευδῆ λέγειν, μόνον δὲ τὸ τοῦ Ἀγαμέμνονος ἀληθές. λύεται δὲ κατὰ λέξιν. οὐ γὰρ εἶπεν, εἴ τις εἶδεν, ὅτι ψευδὲς ἐθεάσατο, ἀλλ' εἴ τις εἶπε, τάχ' ἂν πρὸς χάριν ἐδόκει πλάττειν· νῦν δὲ αὐτὸς ἑαυτὸν οὐκ ἂν ἐξαπατῴη. B.

84. βουλῆς ἐξῆρχε νέεσθαι: ἐκ τοῦ βουλευτηρίου ὥστε νεῖσθαι. τοῦτο δὲ ἡ ἡλικία καὶ ἡ τιμὴ ἡ παρὰ Ἀγαμέμνονος αὐτῷ δίδωσιν. BL.

τῆς τοῦ βουλευτηρίου ἐξόδου προηγεῖτο. L.

85. οἱ δὲ πανέστησαν: ἀντὶ τοῦ πάντες ἀνέστησαν. BL. τινὲς δὲ ἐπανέστησαν. L.

διαστολὴ ἐπὶ τὸ ἀνέστησαν καὶ λαῶν. B.

ποιμένι λαῶν: δεῖ γὰρ τὸν ἄρχοντα τοσοῦτον εἶναι τῶν ἀρχομένων προνούστερον ὅσον ποιμένα προβάτων. λέγει δὲ τὸν Ἀγαμέμνονα. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

86. τὸ σκηπτοῦχοι βασιλῆες κατ' ἀμφοτέρων. οἱ γέροντες καὶ οἱ ἱερεῖς ἐσκηπτροφόρουν. ABL.

ἐπεσσεύοντο δὲ λαοί: ὁρῶντες ἤδη συνιόντας τοὺς ἐν τέλει ᾗ αὐτοὶ ἠκολάθουν ἅμα. BL.

εἰκτέον κατὰ τὸ λαοί, ἵνα ἀπ' ἄλλης ἀρχῆς ἡ παραβολὴ γενομένη ὑποζίζηται μέχρι τῶ αἱ δέ τε ἔνθα (90)· ἕτως γ' βέλτιον. A.

87. ἠΰτε: τὸ ἠΰτε ἐκ τῆ ὡς γίνεται. κανὼν δέ ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ως λήγοντα ἐπιῤῥήματα, συνυπάρχοντά τινι, εἰς η λήγει, ᾗ ὁμοτονούμενα αὐτοῖς, οἷον πάντως πάντῃ, ἄλλως ἄλλῃ, ἀδαμῶς ἀδαμῇ, δικῶς δικῇ. ἕτως οὖν ᾗ ἀπὸ τῆ ὡς ἦ, καὶ πλεονασμῷ τῆ υ ἦΰ. ψιλᾶται δὲ ὡς τῆ υ πλεονάσαντος. B.

ἔθνεα: πρὸς τοὺς εἰκαζομένους Ἕλληνας, ἐπεὶ σμήνεα ἔδει εἰπεῖν. πρώτη δὲ αὕτη παραβολὴ τῷ ποιητῇ. ABL.

παρυβολὴ παραδείγματος διαφέρει, καθὸ ἡ μὲν ἀπὸ τῶν καθ' ἑκάστην γινομένων λαμβάνεται, ὡς ἔχει τὸ ὥσπερ γὰρ οἱ τὴν γῆν ἐργαζόμενοι, τὸ δὲ ἀπὸ τῶν ἅπαξ γεγονότων, ὡς ἔχει τὸ τὸν Δημοσθένους ὅρα μοι βίον. ἔτι διαφέρουσι τῷ τὸ μὲν παράδειγμα ἀπὸ μόνων τῶν λογικῶν λαμβάνεσθαι, τὴν δὲ παραβολὴν ἀπὸ τῶν ἀλόγων καὶ ἀπὸ τῶν ἀψύχων ἔσθ' ὅτε. L.

μελισσάων: μελισσῶν. ἔχει δὲ τὸ χῆμα ἐπέκτασις. ἴδιον δὲ Ἰώνων. D. συγγενὲς δὲ ποιητικῇ τὸ ζῷον διὰ τὸν μόχθον ᾗ τὸ γλυκὺ καὶ τὴν σύνθεσιν τῆ κηρίς. ἡ μὲν ἓν φαλαγγηδὸν γινομένη πρόοδος εὖ ἔχει· ὡπλισμέναι δέ εἰσι κέντροις, ὑπήκοοί τε καὶ αὐταί εἰσι καὶ ἐπ' ἔργον ἐξίασιν, ὡς αἱ γέρανοι. φιλάλληλοί τέ εἰσι, μεταβαίνουσαί τε πολλὰς ἀρχὰς πτήσεως ποιοῦνται. BL.

εἰσι: τὸ εἰσι ᾗ ἐνικὸν δύναται εἶναι, ὡς τὸ „δῶρα σέσηπε" (135), καὶ πληθυντικὸν τρίτον, ὡς „σπάρτα λέλυνται." B.

ἀδινάων: δασυντέον τὸ ἀδινάων· ἀπὸ γ' τῆ ἄδην ᾗ ἀδηνός ἡ κίνησις. ABL.

88. γλαφυρῆς: γίνεται ἐκ τῆ γλάπτω τὸ διορύττω, ἐξ οὗ καὶ γλάφυ. σημαίνει δὲ τὸ σπήλαιον· „ᾗ γλάφυ πετρῆεν." ἔξιν ἓν γλάφω γλάψω ἔγλαψα, ὡς τὸ „ἐν ψαμάθοισι διαγλάψας ἁλίῃσιν" (Od. 4, 438). B.

αἰεὶ νέον ἐρχομενάων: οἱ μὲν πρὸς τὸ πλῆθος τῆτο εἰρῆσθ θέλουσιν, ὅτι συνεχῶς ἕτω προΐασι πολλαὶ ὡς νεωστὶ δοκεῖν αὐτὰς ἄρχεσθ τῆς ἐξόδ· οἱ δὲ νέον τὸ ἔαρ φασίν. ἄμεινον δὲ λέγειν ὅτι τοῖς μὲν ἄλλοις ζῴοις αἱ πτήσεις ἀποτεταμέναι γίνονται, αἱ δὲ μέλισσαι βραχεῖαν τὴν κίνησιν ποιησάμεναι (βραχύ τι πτᾶσαι L) ἐφιζάνουσι τοῖς ἄνθεσι, καὶ ἐπαρθεῖσαι πέτονται πάλιν, ᾗ πάλιν ἐφίζουσι. κατ' ὀλίγον οὖν ἡ πτῆσις αὐτῶν ὥσπερ ἄρτι ἀρχομένων γίνεται. ABL.

συμβεβήκει δὲ καὶ ἄλλο ταῖς μελίτταις, ὁμότονον ἀεὶ τὴν πτῆσιν ποιεῖσθ, ἀπ' ἀρχῆς ἕως πέρατος ἐκ ἀπολῃγέσαις κατ' ὀλίγον, ὥσπερ καὶ τὰ ἄλλα πτηνὰ καὶ χερσαῖα ζῷα. πάντα ἐν τὸν καιρὸν αὐτῶν τῆς πτήσεως ἐπισημαίνεται ὡς ἄρτι γινομένης. A.

τὸ νέον ἐρχομενάων ἀποδεδώκασιν ἀντὶ τῆ νεωστὶ ἐρχομένων ἀεί, ὡς τὸ „κεῖνος γὰρ νέον ἄλλοθεν εἰληλούθει" (Od. 3, 318). τὸ νεωστὶ ἐξηγέμενοι φασιν ὅτι τὰς πτήσεις ἐ διηνεκεῖς ποιῆνται ἀλλ' εἰς βραχύ, ὥστε φαντασίαν ἀεὶ παρέχεσθαι ὡς ἀρτίως ἐξορμωμένων. ἐμοὶ δὲ δοκεῖ τὴν ὥραν μηνύειν μᾶλλον ὅτε πέτονται· πέτονται δὲ τῆ ἦρος ἀεί· νέον δὲ τὸ ἔαρ ἐκάλουν, καὶ νέον ἔτος ἀπὸ τοῦ ἦρος προσηγόρευον. αὐτός τε ἐν ἄλλοις ἐκ πλήρης ἔφη „ἔαρος νέον ἱσαμένοιο" (Od. 19, 519)· πατέρα τε τῶν καιρῶν τὸν χειμῶνα Πυθαγόρας καλεῖ. αὗται ἓν κατὰ τὸ νέον ἔαρ ἄρχονται. ὅτι γὰρ τὸ νέον ἔαρ δηλοῖ, ἐπάγει „βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν." B.

89. βοτρυδὸν: συνεχραμμέναι καὶ συνηγμέναι ὡς ἐν βότρυος σχήματι. D. πυκναὶ ᾗ ἐξηρτημέναι ἀλλήλων ὡς ῥᾶγες. οὕτως δὲ ἵπτανται σκιάζειν θέλουσαι ἀλλήλαις αἱ μέλισσαι, ὀχλέμεναι ὑπὸ τῆ ἡλίε. ABDLV.

θαυμάσαι ἄν τις Ζηνόδοτον τὸ βοτρυδὸν ἐκλαβόντα ἐοικότως βότρυϊ τῷ ὀρνέῳ, ὅπερ αὐτὸ συστρέφει ἐν τῇ πτήσει· ἐδεὶς γ' τῶν παλαιῶν, ἐδ' Ἀριστοτέλης, βότρυν ζῷον ἔγραψε. κέχρηται δὲ Ὅμηρος ἐπ' ἀμπέλε τῷ βότρυος ὀνόματι· „μέλανες δ' ἀνὰ βότρυες ἦσαν" (Il. 18, 562). βοτρυδὸν ἐν τὸ ἐοικότως βότρυϊ σταφυλῆς· κατὰ συζροφὰς γ' πέτονται· τάχα δὲ ᾗ ὅτι ἐν χήματι βοτρύων ἐκκρέμανθ τῶν ἀνθέων, τῶν ῥαγῶν τὴν τραχύτητα μιμέμεναι τῷ πολλὰς καθ' ἑνὸς ἐκκρέμασθαι. ἐπὶ μὲν ἓν τῶν μελισσῶν τὸ βοτρυδὸν λέγει, ἐπὶ δὲ τῶν Ἑλλήνων, οἷς τὰς μελίσσας παραβέβληκεν, ἰλαδὸν εἰς ἀγορήν, κατὰ ἴλας ᾗ συζροφάς, ὅτι ὡς συνηθείας ᾗ τῆς πρὸς ἀλλήλες ἑταιρείας εἶχοντο. ἰσοδυναμεῖ ἓν ἄρα τὸ ἰλαδὸν τῷ βοτρυδόν. B.

ἐπ' ἄνθεσιν εἰαρινοῖσιν: ὅτι ἀντὶ τῆ ἐπ' ἄνθη· εἰαρινά, ὡς ἐν τῇ Δ (251) „ἦλθε δ' ἐπὶ Κρήτεσσιν" ἀντὶ τοῦ ἐπὶ τὲς Κρῆτας. A.

εἰαρινοῖσιν: τότε γ' γλυκέα ᾗ τῆς ἰκμάδος πλήρη τὰ ἄνθη διὰ τὸ εὔκρατον τῆ ἀέρος. L.

92. ἠϊόνος προπάροιθε βαθείης ἐσιχόωντο: ἠϊών, οὗ ἀκούεται τῶν κυμάτων ὁ κτύπος. οὐ λέγεται δ τῶν κυμάτων κτύπος, ἀλλ' αὐτὸς ὁ αἰγιαλός. βαθείης δὲ οἱ μὲν μακρᾶς, ἐπεὶ καὶ „φρείατα μακρὰ πάσσαι" (Il. 21, 197) ἀντὶ τῆ βαθέα· ᾗ ὅτι τοῖς μὲν ἀπὸ γῆς βαθεῖα δοκεῖ, τοῖς δὲ ἀπὸ θαλάσσης ὑψηλή· διό φησι προκρύσσω Ἀρίσαρχος. τὸ δὲ προπάροιθεν καὶ ἐπὶ τύπε ᾗ ἐπὶ χρόνε λαμβάνεται. καὶ ἐσιχόωντο ἐπορεύοντο· στείχω στιχῶ, ὡ πείθω πιθῶ, ὀφέλλω ὀφελῶ, φείδω φιδῶ. ALV.

93. ἰλαδόν: ὁμοίως τῷ βοτρυδόν, ᾧ ᾗ ἀκολεθεῖ· σημαίνει δὲ τὸ μετὰ συστροφῆς ᾗ εὐκινησίας. BL.

μετὰ δέ σφισιν: ἐν αὐτοῖς δέ θεία τις φήμη ἐξῆπτο ᾗ διηγείρετο, παρορμῶσα τὸν λαὸν ἐπὶ τὴν ἀγορήν. L.

ὄσσα: ὅτι ὅσσα ἡ θεία κληδών, οἱ δὲ νεώτεροι ψιλά ἐπὶ πάσης φωνῆς. A.

δεδήει: ἤτοι ἐφρυκτώρει, ἐλαμπαδέχει, ἐπυρσοβόλ

τινὲς δέ φασι τὸ δεδήει ἀντὶ τῆ διῆει ἤτοι διήρχετο, καὶ ἐν συγκοπῇ δήει, καὶ ἀναδιπλασιασμῷ δεδήει. L. ἀντὶ τοῦ ἐξήπτετο, παρὰ τὸ δαίω. B. δαίω τὸ καίω. ὁ μέλλων δαίσω, ὁ παρακείμενος δέδαικα, ὁ μέσος δέδαια καὶ τροπῇ τοῦ ᾱ εἰς ῑ δέδηα, ὁ μέσος ὑπερσυντέλικος ἐδεδήειν ἐδεδήεις ἐδεδήει, καὶ τὸ Ἰωνικὸν δεδήει. L.

94. Διὸς ἄγγελος: πανομφαῖος γὰρ ὁ Ζεὺς λέγεται, ὅτι τὰ αὐτομάτως γινόμενα εἰς αὐτὸν ἀναφέρεται. ἄγγελος δὲ ἡ θεία κληδών, ἢ περὶ ἀπόπλε λέγειν ἔμελλεν. B.

95. τετρήχει: ἐκ τῆ ταράσσω, οὗ παρακείμενος τετάραχα, καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν Ἰωνικὴν τῆ ᾱ εἰς ῆ τέτρηχα, ὁ ὑπερσυντέλικος ἐτετρήχειν. ἐτεθορύβητο ἦν καὶ ἀσύμφωνος ἦν. BL. ἀγορὴ δὲ τὸ πλῆθος. B.

ἤτοι στικτέον ἐπὶ τὸ ἀγορή, ἢ διαζαλτέον καὶ ἐπ' αὐτὸ ᾖ ἐπὶ τὸ γαῖα, ἵν' ᾖ κοινὸν τὸ λαῶν ἐζόντων. A.

96. ὅμαδος: ὁμαυδος ἡ ὁμοῦ αὐδή, ἢ ὄπαδος, παρὰ τὴν ὄπα. πιθανῶς δὲ ἐν μὲν ταύτῃ τῇ ἐκκλησίᾳ κήρυκές εἰσιν οἱ τὴν βοὴν παύοντες, ἐν δὲ τοῖς ἑξῆς τὴν Ἀθηνᾶν τῷ Ὀδυσσεῖ παρέσησε· πλείων γὰ ὁ Θόρυβος. ABL.

ἐννέα: τὸ ἐννέα ψιλοῦται, ὅτι πᾶν φωνῆεν καταλῆγον ἢ εἰς ν̄ ἢ εἰς γ̄, τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἀπὸ συμφώνου, ψιλοῦται, ἀντίος ἔγχος, τοῦ ἀνδάνω ὑπεξαιρουμένου. A. ἐννέα δὲ κήρυκες οἱ τῶν ἐννέα γερόντων, Ὀδίος Αἴαντος, οἱ περὶ Ταλθύβιον καὶ Εὐρυβάτην Ἀγαμέμνονος, Εὐρυβάτης Ὀδυσσέως, Ἀσφαλίων καὶ Ἐτεωνεὺς Μενελάε, Θοώτης καὶ Στέντωρ Νέστορος, Μηριόνης Διομήδους. BL.

99. σπουδῇ: μόγις. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ ταχέως· „σπουδῇ νῦν ἀνάβαινε" (Od. 15, 209). BL.

ὅτι σπεδῇ λέγει ἐχ οἷον ἐν τάχει, ἀλλὰ μόγις καὶ δυσχερῶς, ὡς τὸ „ὣς ἄρ' ἄτερ σπεδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς" (Od. 21, 409). A.

ἤτοι στικτέον ἐπὶ τὸ ἵζετο λαός, καὶ τὰ ἑξῆς συναπτέον ἕως κλαγγῆς· ἢ ὡς διὰ μέσα κειμένα τῆ ἐρήτυθεν δὲ καθ' ἕδρας ἀνυποκρίτως ὑποσικτέον ἐπὶ τὸ καθ' ἕδρας, ὅτε ἐξὶ διαζολὴ ἐπὶ τὸ λαός, ἵν' ᾖ τὸ ἑξῆς, σπουδῇ δ' ἵζετο λαὸς παυσάμενοι κλαγγῆς. καὶ τὸ χῆμα Ὁμηρικόν, καὶ ἡ διὰ μέσα ἀναφώνησις ὁμοίως. ὁ δὲ νῆς τῆ ἡμισιχίᾳ ἔτος, ἐρήτυθεν δὲ κατὰ τὰς ἕδρας, οἷον ἠρέμησαν καθίσαντες. A.

100. ἀνὰ: ἢ ἐπὶ βήματος, ἢ ἀναχὼν τὸ σκῆπτρον. L. τὸ ἑξῆς ἀνέζη. ἅμα δὲ καὶ τὸ σκῆπτρον ἀνέτεινε κατ' ἔθος. B.

101. κάμε τεύχων: καμὼν ἔτευξεν. ἀντισροφὴ ὁ τρόπος. DLV.

102. Ἥφαιστος μέν: ὁ μὲν Ἥφαιστος κατεσκεύασε τῷ Διὶ ὡς χειρῶναξ κελευόμενος· ὁ δὲ Ἑρμῆς εἵληφε παρὰ Διὸς κομίσαι κατὰ διακονίαν Πέλοπι· Πέλοψ δὲ κατέλιπεν Ἀτρεῖ πρεσβυτάτῳ ὄντι τῶν υἱῶν· Ἀτρεὺς δὲ ἐπὶ μικροῖς τελευτῶν τοῖς παισὶ διαδόχῳ χρῆται τῷ ἀδελφῷ, ὁ δὲ ἐδὲ τῷ ἑαυτῆ παιδὶ ζῶντι, τῷ Αἰγίσθῳ, τὴν ἀρχὴν ἐνεχείρισεν, ἀλλ' ὥσπερ ἀγαθὸς ἐπίτροπος διαφυλάξας ἀπέδωκεν Ἀγαμέμνονι. ἄχρι δὲ τῆ αὐτὰρ ὁ αὖτε Θυές' Ἀγαμέμνονι δῶκε φορῆναι καλεῖται κλῖμαξ· τὸ λῆγον γὰ τῆς διανοίας ἀρχὴ γίνεται τῷ ἑξῆς. ἕκαστος δὲ εἶχος τὸ γένος, τὸν δόντα, τὸν εἰληφότα φησι. μέγα δέ ἐστι θεῖον ὂν καὶ ὑπὸ θεῶν διακονούμενον. AB.

δίδωσι δὲ Ἥφαιστος τῷ μὲν Διὶ τὸ σκῆπτρον ὡς βασιλικόν· τῷ δὲ Ἑρμῇ πάλιν δίδωσιν ὡς κηρυκικόν. A.

103. αὐτὰρ ἄρα Ζεύς: καλῶς ὁτὲ μὲν ἀπὸ τῆ ὀνόματος ὁτὲ δὲ ἀπὸ τῆ συνδέσμου ἄρχεται, τὸ ὁμοειδὲς ἐκκλίνων. L.

διακτόρῳ: διάκτορι ὤφειλεν, ἀπὸ τῆ διάκτωρ· ἔχει δὲ μεταπλασμός. L. διάγοντι τὰς ἀγγελίας τὰς τῶν θεῶν, ἢ διατόρῳ ᾗ σαφεῖ κατὰ τὸ λέγειν, ἢ τῷ διαγγέλλοντι τὰς ἐργασίας. D.

ἀργειφόντῃ: ἀργῷ ᾗ καθαρῷ φόνῳ (εἰρηνικὸς γὰ ὁ θεός), ἢ ὡς τινες κατ' ἐπωνυμίαν, ὅ ἐστιν ἐξ αἰτίας τοιαύτης. Ἰῶς τῆς Ἰνάχε θυγατρός, τῆ Ἀργείων βασιλέως, Ζεὺς ἐραθείς, καὶ γνὺς αὐτήν, μετέβαλεν εἰς βοῦν διὰ τὸν τῆς Ἥρας ζῆλον. Ἥρα δὲ αἰτησαμένη αὐτὴν παρὰ Διὸς ᾗ λαβοῦσα, ἐπέζησεν αὐτῇ φύλακα Ἄργον τὸν πανόπτην καλούμενον, ἐπειδὴ κατὰ παντὸς τῆ σώματος εἶχεν ὀφθαλμούς. κελευσθεὶς δὲ ὁ Ἑρμῆς ὑπὸ τῆ Διὸς κλέψαι τὴν βᾶν, ἐπειδὴ λαθεῖν ἐκ ἠδύνατο τὸν Ἄργον, λίθῳ βαλὼν ἀπέκτεινε· ᾗ ἐντεῦθεν Ἀργειφόντης ἐκλήθη. τῇ δὲ Ἰοῖ ἡ Ἥρα ὠδανεῖ βοῒ οἶστρον ἐμβάλλει. ἡ δὲ ἐκ τῆς ὀδύνης πρῶτον ἦλθεν ἐπὶ τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον κληθέντα· ἔπειτα διὰ τῆ καλεμένε πρότερον Θρᾳκίε πόρε νῦν δὲ ἀπ' ἐκείνης Βοσπόρε ἐλθοῦσα, ᾗ ἄλλες δὲ διαφόρους τόπες πλανηθεῖσα, ἦλθεν εἰς Αἴγυπτον, ὅπε τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα τίκτει παρὰ τῷ Νείλῳ ποταμῷ παῖδα Ἔπαφον. ἡ δὲ ἱστορία πλατύτερον κεῖται παρὰ Ἀπολλοδώρῳ ἐν δευτέρῳ (ἐν τῇ α' D). AD.

ἀργῷ φόνου· „μὴ δέ τί τοι θάνατος καταθύμιος ἔσω τοῖον γάρ τοι πομπόν" (Il. 24, 152). καὶ δώτορα δὲ ἑάων αὐτόν φησιν. ἢ ἀεργοφόντης ᾗ ἀργεοφόντης καὶ ἀργειφόντης, ὡς πλέον πλεῖν, Νεάλαος Νείλεως· τὸν γὰ Ἰῶς ἔρωτα ἐκ οἶδεν ὁ ποιητής, πέπλασαι δὲ τοῖς νεωτέροις τὰ περὶ Ἄργον. ἐκ δὲ τῆ Πέλοπι πληξίππῳ ὁ ἱππικὸς ἀγὼν Πέλοπος καὶ Οἰνομάε δηλᾶται. τὸ δὲ ἐπίθετον Θυέσου, ὅτι πολύαρνος ἦν, ἐγίννησε τὸν μῦθον τὸν περὶ τῆς χρυσῆς ἀρνός. BL.

104. Ἑρμείας δέ: Ἑρμᾶ γάρ φησιν αὐτὸν ᾗ Καλύκης· ᾗ διὰ τὸν κύνα. πέπλασαι ἐν τοῖς νεωτέροις τὰ περὶ Οἰνόμαον καὶ τὴν χρυσῆν ἄρνα. L.

Ἑρμείας: Ἑρμείας Αἰνείας Αὐγείας διὰ τῆ ᾱ παρὰ τῷ ποιητῇ. ἄναξ δὲ ὁ θεός. L.

τὸν Ἑρμῆν ἡγεμόνα τῶν Χαρίτων παραδιδόασιν, ἐμφαίνοντες ὅτι εὐλόγως χαρίζεσθαι δεῖ καὶ μὴ εἰκῇ, ἀλλὰ τοῖς ἀξίοις· ὁ γὰ ἀχαρισηθεὶς ὀκνηρότερος γίνεται πρὸς τὸ εὐεργετεῖν. τυγχάνει δὲ ὁ Ἑρμῆς ὁ λόγος, ὃν ἀπέφειλαν πρὸς ἡμᾶς ἐξ ὁρανῆ οἱ θεοί, μόνον τὸν ἄνθρωπον τῶν ἐπὶ γῆς ζώων λογικὸν ποιήσαντες, ὃ παρὰ τὰ ἄλλα ἐξοχώτατον εἰ-

χον αὐτοί. ὠνόμαξαι δὲ ἀπὸ τῆ ἐρεῖν μήσαωθ, ὅ πέρ ἐσι λέγειν, ἢ ἀπὸ τῆ ἔρυμα ἡμῶν ϗ οἷον ὀχύρωμα. διάκτορος δὲ κέκληται ἀπὸ τῆ διάτορος εἶναι καὶ τρανός, ἢ ἀπὸ τῆ διάγειν τὰ διανοήματα ἡμῶν εἰς τὰς τῶν πλησίον ψυχάς. καθιερῆσι δὲ αὐτῷ ϗ τὰς γλώσσας. λέγεθ δὲ καὶ ἐριούνιος ἀπὸ τῆ μεγαλωφελής τις εἶναι, καὶ σῶκος ὡς σωτὴρ τῶν οἴκων. Ἀργειφόντης δὲ λέγεται οἱονεὶ ἀργεφάντης, ἀπὸ τῆ λευκῶς πάντα φαίνειν καὶ σαφηνίζειν· τὸ γὰρ λευκὸν ἀργυφον ἐκάλεν οἱ παλαιοί. ἢ ἀπὸ τῆς κατὰ τὴν φωνὴν ταχυτῆτος· ϗ γὰρ τὸ ταχὺ ἀργὸν λέγεται. χρυσόῤῥαπις δὲ λέγεθ ὅτι πολύτιμός ἐσιν ὁ ἐξ αὐτῆ ῥαπισμός· αἱ γὰρ εὐκαιροι νεθεσίαι πολλῆ ἄξιαί εἰσιν. λέγεται δὲ ϗ κῆρυξ θεῶν, ϗ διαγγέλλειν αὐτὸν ἔφασαν ἀπ' ἐκείνων τοῖς ἀνθρώποις, κῆρυξ μὲν ὅτι διὰ φωνῆς μεγίσης παριςᾷ τὰ κατὰ τὸν λόγον σημαινόμενα ταῖς ἀκοαῖς, ἄγγελος δὲ τῶν θεῶν ἐπεὶ τὸ βάλλημα τῶν θεῶν γινώσκομεν ἐκ τῶν ἐνδεδομένων ἡμῖν κατὰ λόγον ἐννοιῶν. φορεῖ δὲ πέδιλα πτερωτὰ ϗ δι' ἀέρος φέρεθ· πτερόεις γὰρ ὁ λόγος. διδόασι δὲ αὐτῷ ϗ ῥάβδον, ᾗ θέλγει τὰ ὄμματα τῶν ἀνδρῶν ἤτοι τὰς διανοίας. πλάττεθ δὲ ϗ ἄπεδ ϗ ἄχειρ ϗ τετράγωνος, τετράγωνος μὲν ὅτι ἑδραῖος ϗ ἀσφαλής, ἄχειρ δὲ ϗ ἄπεδ ὅτι ἔτε χειρῶν ἔτε ποδῶν δεῖθ εἰς τὸ ἀνύειν τὸ ἔργον. ἱδρύεται δ' ἐν ταῖς ὁδοῖς, ἐπεὶ πρὸς πᾶσαν πρᾶξιν ἡγεμόνι αὐτῷ χρώμεθα. ἐπεὶ δὲ κοινὸς καὶ ἀνθρώπων ϗ θεῶν, ϗ κοινὸν ἕρμαιον λέγεσιν. προσάπτεσι δὲ καὶ λίθες τῷ τότε ἀγάλματι, δηλοῦντες ὡς ἐκ μικρῶν μερῶν συνίςαται ὁ προφορικὸς λόγος. L.

Πέλοπι πληξίππῳ: πλήξιππόν φασιν εἰρῆθαι τὸν Πέλοπα διὰ τὸ μετὰ θάνατον Μυρτίλλου αὐτὸν ἡνιοχῆσαι τοὺς ἵππους ἀπὸ Εὐβοίας μέχρι Πελοποννήσου. BL. Ἱπποδάμεια ἡ Οἰνομάε θυγάτηρ, ἐραθεῖσα Πέλοπος, Μύρτιλλον τὸν Ἑρμῆ μὲν υἱὸν ἡνίοχον δὲ τοῦ ἑαυτῆς πατρὸς ἔπεισε τῇ κατὰ τῆ πατρὸς νίκῃ συνεργῆσαι καὶ τὰς ἵππας τῆς εἰς τὸ τρέχειν ὁρμῆς καταχεῖν, βελομένη τὸν Πέλοπα καὶ τὰς ἵππας λαβεῖν καὶ τὸν ἑαυτῆς γάμον· ἔκειτο γὰρ τῷ νικήσαντι ἔπαθλον ὁ ταύτης γάμος, νικηθέντι δὲ θάνατος. ἀγωνιζομένων δὲ αὐτῶν ὁ Οἰνόμαος ἐκπίπτει τῷ ἅρματος· ὁ γὰρ αἱ χοινικίδες τὰς ἐμβόλας κατέχον, τῆτο πανεργήσαντος τῷ Μυρτίλλε. γνὺς δὲ τὴν ἐπιβολὴν ὁ Οἰνόμαος ἀρὰς ἔθετο κατὰ Μυρτίλλε, ὅπως ἀπόληται ὑπὸ Πέλοπος· ὃ ϗ ἐγένετο. διαβαινόντων γὰρ αὐτῶν διὰ τῆ Αἰγαίε πόντε, ϗ διψησάσης τῆς Ἱπποδαμείας, καταβὰς ἐκ τοῦ ἅρματος ὁ Πέλοψ ἐζήτει ὕδωρ κατὰ τῆς ἐρήμε. κατ' ἐκεῖνο δὲ καιρῷ ἡ Ἱπποδάμεια ἐραθεῖσα Μυρτίλλε ἐδεῖτο μὴ ὑπεριδεῖν· ἀντειπόντος δὲ αὐτῇ, καὶ τῆ Πέλοπος παραγενομένε, φθάνει ἡ Ἱπποδάμεια κατηγορήσασα τῆ Μυρτίλλε ὡς βιασαμένου αὐτήν. ϗ Μύρτιλλον Πέλοψ ἀπὸ τῆ ἅρματος ὠθεῖ εἰς τὸ πέλαγος, αὐτὸς δὲ αὐτῇ ἡνιοχεῖ· ὅθεν τὸ μὲν πέλαγος Μυρτῷον ἀπὸ Μυρτίλλε, ὁ Πέλοψ δὲ πλήξιππος διὰ τὴν τῶν ἵππων αὐτεργίαν. AD.

105. Πέλοψ δῶκ' Ἀτρεΐ: Πέλοψ ἐκ προτέρας γυναικὸς ἔχων παῖδα Χρίσιππον ἔγημεν Ἱπποδάμειαν τὴν Οἰνομάε, ἐξ ἧς ἱκανὸς ἐπαιδοποίησεν. ἀγαπωμένε δὲ ὑπ' αὐτῆ σφόδρα τῆ Χρυσίππε, ἐπιφθονήσαντες ἥ τε μητρυιὰ ϗ οἱ παῖδες, μήπως καὶ τὰ σκῆπτρα αὐτῷ καταλείψῃ, θάνατον ἐπεβάλευσαν, Ἀτρέα καὶ Θυέςην τοὺς πρεσβυτάτους τῶν παίδων εἰς τῆτο προσησάμενοι. ἀναιρεθέντος ἐν τῆ Χρυσίππε Πέλοψ ἐπιγνοὺς ἐφυγάδευσε τὰς αὐτόχειρας τῆς σφαγῆς γενομένας παῖδας, ἐπαρασάμενος αὐτοῖς καὶ τῷ γένει δι' αὐτῶν ἀναιρεθῆναι. οἱ μὲν ἂν ἄλλοι ἀλλαχῇ ἐκπίπτεσι τῆς Πίσης· τελευτήσαντος δὲ τῆ Πέλοπος Ἀτρεὺς κατὰ τὸ πρεσβύτερον σὺν ςρατῷ πολλῷ ἐλθὼν ἐκράτησε τῶν τόπων. ἱςορεῖ Ἑλλάνικος. AD

φασὶν Ἀτρέα ϗ Θυέςην ἐπιβουλεύσαντας Χρυσίππῳ νόθῳ ἑαυτῶν ἀδελφῷ ἐκβεβλῆθ ὑπὸ τῆ πατρός, μετὰ δὲ θάνατον Πέλοπος Ἀτρέα ἐπιστρατηγήσαντα εἰς Ἦλιν κρατῆσαι τῶν σκήπτρων τοῦ πατρός. BL.

106. Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ: ὅτι Ὅμηρος οἶδεν αὐτοὺς ἄχρι τέλες ἀδελφικὴν εὔνοιαν φυλάξαντας· εἰ δὲ ἦν αὐτοῖς ἔχθρα, οὔθ' ὡς Αἴγισθον Ἀγαμέμνων κατήγετο, ἔτε ἂν οἱ θεοὶ ἐπέζελλον Αἰγίσθῳ μὴ ἀμύναθ Ἀγαμέμνονα· οὔτε Ὅμηρος πικρῶς ἔτως ἐλοιδόρει αὐτὸν ἄναλκιν καλῶν καὶ δολόμητιν, εἰ μὴ τὰ τῆς συγγενείας πρῶτος ἐλυμήνατο. Λικύμνιος δὲ παραδηλῶθαί φησι λεληθότως τὴν ἔχθραν, ἵνα μὴ λοιδορήσῃ τὸ γένος· τὸ μὲν γὰρ δῶκε φιλίας τεκμήριον, τὸ δὲ καταλιπεῖν ἀνάγκης, διὸ ἐφ' ὧν μὲν τῷ ἔδωκεν ἐχρήσατο, ἐφ' ὧν δὲ τῷ ἔλιπεν. BL.

Ἀτρεὺς βασιλεύων τῆς Πελοποννήσε, ἔχων ἐκ Κρεόσης τῆς .... ἢ ὥς τινες Ἀερόπης τῆς Ἀτρέως Ἀγαμέμνονα ϗ Μενέλαον, μέλλων δὲ τελευτᾶν τὸν βίον, σπεισάμενος πρὸς τὸν ἀδελφὸν τὴν ἔχθραν, παραδίδωσιν αὐτῷ τὴν βασιλείαν, ἵνα Ἀγαμέμνονι ἀνδρωθέντι ἀποδῷ. ὁ δὲ πιςῶς ποιήσας ἀποδίδωσιν. D.

πολύαρνι: ἐκ τῆ πολυάρην. πολυάρνῳ ὤφειλεν, ἀπὸ τῆ πολύαρνος. ἔςι δὲ ϗ τῆ τομεταπλασμός. LV.

Ἀτρεὺς ὁ Πέλοπος, βασιλεύων τῆς Πελοποννήσου, ἠῦξατό ποτε ὅ τι ἂν κάλλιςον ἐν τοῖς ποιμνίοις αὐτῆ γεννηθῇ, τῆτο Ἀρτέμιδι θῦσαι. γεννηθείσης δὲ αὐτῷ χρυσῆς ἀρνὸς τῆς εὐχῆς μετεμελήθη, καθείρξας δὲ εἰς λάρνακα φυλάττει. μέγα δέ τι φρονῆντα ἐπὶ τῷ κτήματι κομπάζειν κατὰ τὴν ἀγορήν. ἀνιώμενον δ' ἐπὶ τότῳ Θυέςην, ὑπελθόντα ὡς ἐρῶντα, πεῖσαι Ἀερόπην ἐκδῶναι αὐτῷ τὸ κτῆμα· λαβόντα δὲ ἀντειπεῖν τῷ ἀδελφῷ ὡς οὐ δεόντως περὶ τῆ τοιήτου κομπάζει· αὐτὸς δὲ ἔλεγεν ἐν τῷ πλήθει δεῖν τὴν βασιλείαν ἔχειν τὸν τὴν χρυσῆν ἄρνα ἔχοντα. τῆτο δὲ ὁμολογῆντος καὶ τῆ Ἀτρέως, Ζεὺς Ἑρμῆν πέμπει πρὸς Ἀτρέα, συνθέθ λέγων περὶ τῆς βασιλείας, καὶ δηλοῖ περὶ τῆς ἀνατολῆς, διότι μέλλει ποιεῖθ τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθεμένου δὲ περὶ τότων, ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὰς ἐποιήσατο· ὅθεν ἐκμαρτυρήσαντος τῆ δαιμονίου τὴν Θυέςε πλεονεξίαν, τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε καὶ Θυέςην ἐφυγάδευσεν. AD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

107. *Θυές᾽ Ἀγαμέμνονι*: ἡ διπλῆ ὅτι ἃ γινώσκει τὴν ἔχθραν Ἀτρέως καὶ Θυέστ, ἀλλὰ συμφωνοῦντας αὐτοὺς συνίςησιν. αὐτῷ γὰν παραδίδωσι τὸ σκῆπτρον ἢ τοῖς υἱοῖς ὁ Ἀτρεύς, καὶ ὁ Θυέστης ἃ τῷ υἱῷ αὐτοῦ Αἰγισθεῖ καταλείπει τὸ σκῆπτρον, ἀλλ᾽ Ἀγαμέμνονι. καὶ ὅτι κλητικὴ ἀντὶ τῆς ὀρθῆς, Θυέςα ἀντὶ τοῦ Θυέστης. A.

λεῖπε φορῆναι: μέγα πρὸς ἀρχὴν παρασκευὴ πολυχρόνιος καὶ παλαιὸν τροφῆς ἀξίωμα· ἐξῆρεν ἂν τὸν φορῶντα. φορῆναι δέ, ἐφόρη, φορῆναι. L.

108. *πολλῆσιν νήσοισι*: τάτῳ τᾶτο συνέβη διὰ τὴν ἐπὶ Ἴλιον ςρατείαν· Ῥόδιοι γὰ καὶ Αἰγινῆται καὶ οἱ λοιποὶ λαοὶ Ἀτρείδαι Ἀγαμέμνονος λέγονται. τινὲς δὲ ἐννέα κώμας φασὶν ἐν Ἄργει, αἳ ὑπέκειντο αὐτῷ, ἃς καλᾶσι καὶ νήσους. B.

Ἄργεϊ παντί: Ἄργους παντός, ὅλης τῆς Πελοποννήσου. D.

109. *ἐρεισάμενος*: ἀπερείδων ἑαυτὸν καὶ ἀναπαύων. B.

ἔπε᾽ Ἀργείοισι μετηύδα: ὅτι τὸ ἑξῆς ἐςὶ μετ᾽ Ἀργείοισιν ἔπεα ηὔδα. A.

110. *ἥρωες Δαναοί*: ὅτι πρὸς πάντας ἀποτεινόμενος τὸν λόγον ἥρωας λέγει. ἡ δὲ ἀναφορὰ πρὸς Ἴςορα λέγοντα μόνους τοὺς βασιλεῖς ἥρωας λέγεσθαι. A.

προεπαίρει τοῖς ἐγκωμίοις, ὅπως αἰδοῖντο φεύγειν. ἃ λέγει δὲ αὐτοῖς τὸ ὄναρ, ὅπως μὴ δοκῇ σκευώρημα εἶναι, ἢ ἑτέρως ἀποβῇ καὶ θεομισὴς εἶναι δόξῃ. BLV.

ςικτέον κατὰ τὸ τέλος· προσαγορευτικὴ γὰ ἡ περίοδος. A.

111. *Ζεύς με μέγα Κρονίδης*: ὅτι Ζηνόδοτος γράφει Ζεύς με μέγας Κρονίδης· καὶ ὅτι ἀπὸ τάτε ἕως τοῦ αἰχρὸν γὰ τόδε γ᾽ ἐςί (119) ἅτως συντέμνει „ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος· λώβη γὰ τάδε γ᾽ ἐςὶ καὶ ἐσσομένοισι πυθέσθαι, μάψ ἅτως.“ A.

*χολικὸν ἀγνύμα τὸ δοκεῖν Ζηνοδότειον εἶναι τὴν μετὰ τοῦ σ γραφήν, μέγας ἀντὶ τοῦ μέγα. καὶ δόξειεν ἂν ὑπὸ Διονυσίου τοῦ Θρακὸς ταῦτα δεδόχθαι· ἐν γὰ τῷ περὶ ποσοτήτων καθάπτεται Ζηνοδότου ὡς ἠγνοηκότος ὅτι τῷ μέγα ἀντὶ τοῦ μεγάλως Ὅμηρος ἀποχρῆται· παρ᾽ ὃ δὴ καὶ κατά τινα τῶν ὑπομνημάτων μετειλῆφθαι τὸ μέγα ἀντὶ τοῦ μεγάλως. τὸ δὲ ὃν ἔχει τἀκριβὲς ἅτως. εἰ γὰ τὰ συγγράμματα τῶν ὑπομνημάτων προτάττοιμεν, ἵνεκα γοῦν τἀκριβοῦς γράφοιμεν κατὰ Ἀρίςαρχον Ζεύς με μέγας. ἐν γοῦν τῷ πρὸς Φιλητᾶν συγγράμματι τῇ γραφῇ κέχρηται, δύο λέγων τὸ μέγας σημαίνειν, τοτὲ μὲν τὸ καθ᾽ αὑτό, καθάπερ νῦν „Ζεύς με μέγας Κρονίδης“ καὶ „κεῖτο μέγας μεγαλωςί, κελασμένος ἱπποσυνάων“ (Il. 16, 776)· τοτὲ δὲ αὐτὸ πρὸς τὴν κατὰ τὸν Αἴαντα τὸν ἕτερον διάκρισιν „Αἴας δ᾽ ὁ μέγας“ καὶ „αὐτὰρ ἔπειτ᾽ Αἴας τε μέγας“ (Il. 9, 169), ἔν τινι τῶν ἠκριβωμένων ποιημάτων γράφει ταῦτα κατὰ λέξιν· ἃ κατ᾽ ἐπίθετον λέγει μέγας, ἀλλὰ πρὸς ἀντιδιαςολὴν τοῦ ἑτέρου Αἴαντος. ὅταν δὲ λέγῃ Ζεύς με μέγας Κρονίδης, ἐκεῖ ὅτι καὶ ἕτερος μικρός ἐςιν. καὶ τὰς ἀπ᾽ αὐτοῦ δὲ χρωμένας ἔςιν εὑρεῖν τῇ γραφῇ, Διονυσόδωρον τὸν Ἀλεξανδρέα καὶ Ἀμμώνιον. ἐπιλέγουσι δὲ ἀδέν· διὸ καὶ τὰς μαρτυρίας αὐτῶν ἐκ ἐγράψαμεν. καὶ Καλλίςρατος δὲ ἐν τῷ περὶ Ἰλιάδος ἅτως προφέρεται, ὥςε ὅμοιον εἶναι τῷ „ἐπεὶ μέγας ὠδύσατο Ζεύς“ (Il. 18, 292). οὐδὲ ὁ ἐπιθέτης δὲ Πτολεμαῖος, τὰς Ζηνοδότου γραφὰς ἐκτιθέμενος, ταύτην ὁμολογεῖ Ζηνοδότ εἶναι. ταῦτα ὁ Δίδυμος. A.

ἄτῃ: ἄτη ἡ ἐκάσιος ἁμαρτία, καὶ ἀτηρός, καὶ ἴσα ἄτῃσιν. οἱ δὲ ζημία· τᾶτο δὲ ἀναπόδεικτον. L.

σχέτλιος: ὁ τῷ χετλιάζειν καὶ δυσφημεῖν τὰς ἀνθρώπους αἴτιος, λύπας αὐτοῖς διδάς. DL. τᾶτο καθ᾽ ἑαυτὸ προεκτέον, ὡς ἐν τοῖς ἄνω τὸ νήπιος· μᾶλλον γάρ, κομματικῶς λεγόμενον, ἐμφαίνει. A.

112. *ὑπέσχετο καὶ κατένευσεν*: προτρεπτικὸν τᾶτο πρὸς τὸ μένειν τοὺς Ἀχαιούς· ἃ γὰ ἀτελεύτητον ὅ τι κεν κεφαλῇ κατανεύσει (Il. 1, 527). ἀνάγει δὲ ἐπὶ τὰς νεοσσοὺς καὶ τὰς διοσημίας. BL.

113. *Ἴλιον*: Ἴλιον μὲν λέγει Ὅμηρος, Ἰλιεῖς δὲ οὐκέτι φησί· καὶ Εὔβοιαν, ἀλλ᾽ ἐκ Εὐβοεῖς. A.

ἐκπέρσαντ᾽: ἐκπέρσαντι τὸ ἐντελές, ὡς „χρυσείῃ κερκίδ᾽ ὕφαινεν“ (Od. 5, 62). BL.

114. *κακὴν ἀπάτην*: ἔςι γὰ καὶ δικαία, ὡς καὶ Αἰχύλος „ἀπάτης δικαίας ἐκ ἀποςατεῖ θεός.“ καὶ τίς πείθοιτο θεὸν ἐναντία ἑαυτῷ βεβουλεῦσθαι; ABLV.

115. *δυσκλέα*: ἐκ τῆ δυσκλεύς, δυσκλέα· ἔςι δὲ ἔλλειψις τοῦ ε, ἃ συναλοιφή. οἱ δὲ νεώτεροι ἐκτείνουσι καὶ περισπῶσιν ὡς ἀπὸ τοῦ δυσκλεής. τᾶτο δὲ εἶπεν οἰόμενος ὡς ἃ πείσονται οἱ Ἕλληνες δυσκλεῆς ὑποςρέψαι. BL.

ὅτι κατὰ συζυγὴν Ὁμηρικὴν τὰ τοιαῦτα ἐκφέρει, δυσκλέα καὶ ἀγακλέα, Ἰωνικῶς· οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι. A.

συζαλτέον τὴν τελευταίαν τοῦ δυσκλέα ὡς ἀμφιρεφέα, ὁμοίως τῷ ἀκλέα ἀνδρῶν, ἀκλέα ἐν μεγάρῳ (Od. 4, 728?). A.

ἐπεὶ πολὺν ὤλεσα λαόν: τὸ ἐπεὶ ἀντὶ τοῦ ὅτε ἢ ἀφ᾽ οὗ. L. οἰκειᾶται δὲ τὴν ἀπώλειαν τῷ ςρατῷ παραμυθίας ἕνεκα. BL.

116. ἡ διπλῆ πρὸς τὸ μέλλει, ὅτι ἀντὶ τοῦ ἔοικεν· ὁ δὲ ἀςερίσκος, ὅτι εἰς τὰς Λιτὰς (Il. 9, 23) οὐκ ὀρθῶς μετάκειται δίς. A.

μέλλει ἀντὶ τοῦ ἔοικε· διὰ τούτου δὲ δισάξιμον αὐτὸ ἐποίησεν. B.

ὑπερμενέϊ: μεγαλοδυνάμῳ L. τῷ ὑπερέχοντι τῇ δυνάμει πάντων θεῶν καὶ ἀνθρώπων. D. συζαλτέον τὸ ε τῷ ὑπερμενέϊ. A.

117. *ὃς δὴ πολλάων πολίων*: ἀδηλον εἴτε καθολικῶς αὐτὸ λέγει, εἴτε περὶ τῶν εἰκοσιτριῶν πόλεων ὧν περὶ Ἴλιον ἐπόρθησαν. ὑπόνοιαν δὲ δίδωσι καὶ περὶ Ἰλίου· πιθανὸν γὰρ ἐκ τῶν ὑποκειμένων τὴν δύναμιν δεῖξαι τοῦ Διός. BLV.

τὸ *πολλάων* ἐπέκτασις, καὶ ἴδιον Ἰώνων. AD.

118. *τοῦ γὰρ κράτος*: Πυθαγόρας ἐρωτηθεὶς τί ἐςι θεός, φησὶ τὸ πάντων κρατῆν, ὅς γε καὶ πολέμων ἔξοδον ἔχει. τίς ἂν ἂν εἴην ἐγώ, φησὶν Ἀγαμέμνων, πρὸς τὸ κράτος ἐκεῖνο; AB.

119. ἡ διπλῆ, ὅτι τὸ πυθέσθαι ἀντὶ τοῦ ἀκοῦσαι τίθησιν. A.

120. τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν: διὰ τῶν ἐγκωμίων μείζων ἡ κατηγορία· καὶ ὅτι ἄϊδιος ἔσαι αὐτοῖς ἡ ὕβρις, τὸν πόλεμον ἀτελῆ καταλιπῶσιν. BL.

121. πολεμίζειν: πολεμεῖν. τὸ δὲ τοιῶτον χῆμα παρωνομασία καλεῖται. D.

122. ἡ διπλῆ, ὅτι ἥσσονες κατὰ τὸν ἀριθμὸν οἱ βάρβαροι. A. οἱ μὲν Τρῶες, χωρὶς τῶν ἐπικούρων, ἦσαν ἀριθμῷ μυριάδες ε' (Il. 8, 558)· τὸ δὲ τῶν Ἑλλήνων πλῆθος τινὲς μέν φασι μυριάδας ιβ', ἄλλοι δὲ ιδ'. AL.

ταχεῖα ἂν ἡ ἐλπὶς τῆς νίκης, εἴ γε καὶ πλείους καὶ ἰσχυρότεροι καὶ Διὶ ἔχοντες σύμμαχον, καὶ τῆς ἥττης πολλὴ ἡ αἰσχύνη. B.

τέλος δ' οὔ πώ τι πέφανται: ὁ δὲ ἀντὶ τῆ γάρ. κρίσις γὰρ νίκης ἢ ἥττης ἐ πεφανέρωται. πῶς ἂν πρὸ τέλους ὑποχωρήσωσιν; ἐκδεκτέον ἂν τὸ τῆς μάχης πέρας. BL.

123. εἴπερ γάρ κ' ἐθέλοιμεν: ἕως τῆ ἐλοίμεθα οἰνοχοεύειν (127) ὑποσιγμαί εἰσιν ἐν ὑποκρίσει πᾶσαι, ἀριθμηθήμεναι ἄμφω, καὶ ὅσσοι ἔασιν, καὶ διακοσμηθεῖμεν Ἀχαιοί, καὶ ἐλοίμεθα οἰνοχοεύειν. τῆς δὲ ἀρνήσεως ὁ εἰ σύνδεσμος αἴτιος. A. τὸ χῆμα ὑποθετικόν. L.

ὅτι περισσὸς ὁ κέ σύνδεσμος. A.

124. ἀθετεῖται· ὃ γὰ ἐπ' ἀληθείας λέγεται ἀλλ' ὑπερβολικῶς τὰ τῶν δεκάδων· πρὸς τί ἂν ὅρκια; A.

ὅρκια πιστά: πρὸς τὸ συνελθεῖν. V.

125. Τρῶας μὲν λέξαθ' ἑφέσιοι ὅσσοι ἔασιν: ἀπὸ κοινῆ τὸ θελήσσουσιν. L. ἐχ ὁμοίως ἐχημάτισε τῷ Τρῶας τὸ ἡμεῖς· ἀντίστροφον δὲ τοῦτο καὶ κατὰ τὰς πτώσεις· „ἢ ἐθέλεις ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὖτως" (Il. 1, 133). τὸ δὲ λέξαθ' δηλοῖ ε', τὸ λέγειν, ὡς τὸ „λέξαθ' δὲ περὶ τῶν οὐ δύναται" τὸ κοιμᾶσθαι, ὡς τὸ „λέξομαι εἰς εὐνήν" (Od. 17, 102)· τὸ ἐκλέγεσθαι, ὡς τὸ „λέξασθαι κούρας" (Il. 21, 27)· τὸ ἀριθμεῖν, ὡς τὸ „λέγε κήτεσι" (Od. 4, 452)· τὸ οἰκοδομεῖν, ὡς τὸ „αἰμασιὰς λέξοντες" (Od. 24, 223). ἑφέσιοι δὲ οἱ ἔποικοι (ἐγκάτοικοι L), συναριθμεμένων παιδίων καὶ γερόντων· οὗτοι γάρ εἰσιν οἱ προθύμως ὑπὲρ τῆς σφετέρας ἀμυνόμενοι. BL.

Ἀρισάρχῃ λέξεις ἐκ τῶν ὑπομνημάτων. ἐὰν καὶ τὰ παιδία καὶ τὺς πρεσβύτας ἀριθμήσωσιν, ἃ μὴ γένωνται ὅσοι ἡμεῖς. τῦτο δέ ἐσι κατοικιτίδιοι καὶ ἐναυλοι. καὶ ἐν Ὀδυσσείᾳ (6, 265) „πᾶσιν γὰ ἐπ' ἰξιόν ἐσιν ἑκάστῳ," ὥσει κατύλυμα παρὰ τῇ νηΐ. ἡ διπλῆ δέ, ὅτι τὸ λέξαθ' νῦν ἅτε ἐπὶ τῶ κοιμηθῆναι ἅτε ἐπὶ τῶ καταριθμηθῆναι κεῖθ', ἀλλ' ἐπὶ τοῦ συλλεγῆναι καὶ ἀθροισθῆναι ἐν τῷ αὐτῷ· καὶ ὅτι ἑφέσιοι, ὅσοι ἑξίας (τετέσιν οἰκίας) αὐτύθι διανέμεσσιν. A.

126. ἐς δεκάδας διακοσμηθεῖμεν: ἔθος πλείονας τῶν δέκα μὴ συνεθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν Πολιτείαις φησίν. τὸ δὲ διακοσμηθῆμεν ἀντὶ τοῦ διακοσμηθῆναι, ἵν' ᾖ ἀπὸ κοινῆ τὸ ἐθελήσομεν. οἱ δὲ διακοσμηθεῖμεν, ἵν' ᾖ διακοσμηθείημεν εὐκτικόν. BL. ἀπὸ κοινῆ τὸ θελήσσουσιν. V.

127. ἕκασον: ὁ Ἰξίων διὰ τοῦ ν, ἕκασον. A. ὁ Ἰξίων διὰ τῆ ι, τινὲς δὲ διὰ τῆ ν. ἕκασοι ἑλοίμεθα οἱ ἐν τῇ δεκάδι ἕτως Ἰξίων. L.

οἰνοχοεύειν: πιθανῶς κἂν τῷ ἀριθμεῖν τὰ ἔθνη αἰχμαλωσίαν οἰωνίζεθ Τρωσίν. ἢ ὡς φιλοίνους, ἢ ὡς ἐν συμποσίοις ἀλαζονευομένους. ἢ διαπαίζει τὸν Γανυμήδους μῦθον. BL.

128. πολλαί κεν δεκάδες: ὑπερβολικῶς· Τρώων μὲν γὰ ἦσαν πόλεις ε', Ἑλλήνων δὲ ιβ'. L.

129. πλέας: ὅτι τὸ πλέας ἀπὸ τοῦ πλέονας συγκέκοπται. BL.

130. ἕως τῆ Ἰλίῳ ἐκπέρσαι (133) ἀθετῦνται εἴχοι τέτταρες, ὅτι καθόλα πάντας τὺς βαρβάρους σὺν τοῖς ἐπικούροις ἥσσονας τῶν Ἑλλήνων διὰ παντός φησιν εἶναι. A.

ἀλλ' ἐπίκουροι: καὶ γάρ φησι „κέκλυτε μυρία φῦλα περικτιόνων ἐπικούρων" (Il. 17, 220). ἐπίκουροι δὲ οἱ ἐξ ἀλλοδαπῆς ἥκοντες πρὸς συμμαχίαν. BL. οἱ ἀπὸ ξένης χώρας σύμμαχοι τῶν πολεμουμένων καὶ βοηθοί. D.

ἐπίκουροι λέγονται οἱ τοῖς πολεμουμένοις βοηθῦντες, σύμμαχοι δὲ οἱ τοῖς πολεμῦσιν. DL.

131. ἄνδρες ἔασιν: διὰ τύτε ὑποχωρεῖν κελεύει, καὶ ὀνειδίζει τῷ ἰδίῳ συμμαχικῷ. τὸ δὲ ἔασι τινὲς ἔνεισιν, ὡς τὸ ἔνειμεν. BLV.

ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστοαρχείων εὕρομεν ἔνεισιν· καὶ Καλλίστρατος ἕτως ἐν τῷ περὶ Ἰλιάδος γράφει, καθάπερ καὶ τὸ „ἡμεῖς δὲ μαχόμεθ' οἵπερ τ' ἐπίκουροι ἔνειμεν" (Il. 5, 477)· παρ' ὃ καὶ διχῆ γράφομεν. A.

ἐγχέσπαλοι: οἱ παλλόντες καὶ κινοῦντες τὰ δόρατα, πολεμικοί. ἔσιον δὲ αὐτὰ πρὸ τῆς ἀφέσεως, μή πε ἄρα εἶεν κλασθέντα. DL.

132. οἵ μεμέγα πλάζουσι: ἀποσφάλλουσι τῆς ὁρμῆς. εὖ δὲ τὸ οἰκειῦσθαι τὴν ἥτταν ἢ μὴ τὸ κοινὸν ἐλέγχειν. BL.

τὸ οἵ ἤτοι ἄρθρον ὑποτακτικόν ἐσι, ἢ ἀντὶ τῆς οὗτοι ἀντωνυμίας. πάλιν ἐν ἤτοι τελείαν σιγμὴν ἢ διαζολὴν θήσομεν ἐπὶ τὸ ἄνδρες ἔασιν· ἐπὶ δὲ τὸ πλάζουσι θετέον τὴν ἄνω δευτέραν σιγμήν, ἥτις ἕνα χρόνον δύναται σιωπῆς. A.

ἐθέλοντα: ἀντὶ τοῦ δυνάμενον. LV. Ἰὰς ἡ διάλεκτος. D.

133. Ἰλίου: ἐν ταῖς κατ' Ἀριστοφάνην ὑπομνήμασιν Ἀρισάρχῃ Ἴλιον ἐγέγραπτο, οὐκ Ἰλίη· καὶ μή ποτε ἄμεινον ἔχει. A.

ἄμεινον ἦν εἰπεῖν Ἴλιον ἧπερ Ἰλίη· ἀλλὰ συνωνυμικῶς εἶπεν, ὡς Ἀργῆς νηὸς σκάφος. (Euripid. Med. 1). BL.

134: βεβάασι Διός: βεβάασι ἀντὶ τῆ διῆλθον, διεπορεύθησαν, ὡς τὸ „βῆ δ' ἄρ' ἐπ' Ἀτρείδην" (18) ἀντὶ τῆ ἐπορεύθη. Διός δὲ τῆ ἡλίε, ἢ τῆ διερχομένου χρόνε. BL.

ἔζι δὲ πρὸς μὲν τὸ ἀπιέναι διεγερτικὸν ὡς ἐκεῖ· καθημένων ἀπράκτων χρόνον τοσῦτον, πρὸς δὲ τὸ μένειν ὡς τῆς ἁλώσεως χρόνου πληρωθέντος· τῷ γὰ δεκάτῳ ἔτει τὸ Ἴλιον ἑφῆ Κάλχας ἁλώσεσθ. ἐλπίδα δὲ τῆ τέλες ὑπογράφων

αὐτοῖς ἐκ ἐνεγκέναι τὸν ἕνατον ἐνιαυτὸν εἶπε (καίτοι τοῦτο ἦν τὸ ἀληθές, ὥσπερ καὶ Ὀδυσσεύς φησιν „ἡμῖν δ' εἰνατός ἐξι περιτροπέων ἐνιαυτός" 295), ἀλλὰ παρεληλύθασι, φησίν, οἱ ἐννέα ἐνιαυτοί. BL.

135. δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται: ὅτι κατὰ τὸν αὐτὸν ςίχον καὶ ἑαυτῷ καὶ ἡμῖν συνήθως ἐξενήνοχε τὸ λέλυνται καὶ σέσηπε. A.

ἐν ἑνὶ ςίχῳ τέθεικε τὴν Ἀτθίδα καὶ κοινὴν χρῆσιν. ταῦτα δὲ ἀμφοτέροις συνᾴδει, τῷ μὲν ἀπιέναι, πρὶν διαφθαρῆναι τέλεον τὰς νῆας, καὶ τῷ μένειν δὲ ὡς διὰ τὸ σεσηπέναι τὰς ναῦς τέως πλεῖν ὑ δυναμένων. καὶ Θεόπομπος δὲ ταύτην αἰτίαν αὐτοῖς τῆ ναναγίᾳ φησίν, ὡς καὶ τὲς περὶ Κάλχαντα καὶ Ἀμφίλοχον πεζῇς ἀπαλλάττεσθαι. BL.

σπάρτα: ἐκ τῆ σπαρτίᾳ τοῦτο ἐκ τῆ σπειρῶ τὸ εἰλίσσω, ἐξ ἧ καὶ σπείρημα τὸ τῆ ὄφεως εἴλιγμα. σπάρτον ἓν καὶ σπαρτίον. ὥσπερ ἓν ἀπὸ τῆ μηρία μῆρα, ἕτως καὶ ἀπὸ τῆ σπαρτία σπάρτα. BL.

136. αἱ δέ που: συναπτέον ἕως τῆ ποτιδέγμεναι· μία γὰ ἡ περίοδος. εἰ δέ τις ἐπὶ τὸ ἄλοχοι διαζέλλοι, ἀπρεπῆ τὸν νῶν τίθησιν. A.

ἀπαλλαττώμεθα ἦν ὡς ποθούμενοι ἢ μηδὲν ἄξιον τῆς προσδοκίας εἰργασμένοι. L.

137. εἶατ' ἐν: γράφεται εἷατ' ἐνί. A.

138. αὔτως: ἀκμήν· „λευκὸν ἔτ' αὖτως" (Il. 23, 268). L.

139. ὑποςικτέον ἐν ὑποκρίσει μετὰ τὸ εἶπω, διὰ τὸ ὡς μόριον· ᾧ λόγῳ καὶ τῶν παραβολῶν αἱ πλεῖσαι ἀνήρτηνται μέχρι τῆς ἀνταποδόσεως. A.

140. φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν: ἐνῆν εἰπεῖν ςείχωμεν· ἀλλὰ τῷ αἰχρῷ ὀνόματι ἀποτρέπει τῆ ἀπόπλε. φίλην δὲ τὴν ἰδίαν· „φίλες λήθοντε τοκῆας" (Il. 14, 296). πατρίδα δέ, τουτέςιν ἕκαςος εἰς τὴν ἰδίαν· ἔδει δὲ εἰπεῖν πατρίδ' ἐς αἶαν. BLV.

141. ἕτος ὁ ςίχος ἀναιρεῖ τὴν ἀμφιβολίαν· διὸ ἔν τισιν ἀ φέρεται. L.

142. θυμὸν ἐνὶ ςήθεσσιν ὄρινεν: τὸ αἰφνίδιον τῆς τῶν ἀνθρώπων ὁρμῆς ἐσήμανε, περὶ τῶν οἴκοι τερπνῶν ἀκεσάντων. BL.

143. ἀθετεῖται, ὅτι κενῶς ἐπεξηγεῖται· τὸ γὰ νοούμενον τὸ αὐτό. A.

μετὰ πληθύν: ἀντὶ τῆ ἐν τῷ πλήθει ἢ κατὰ τὸ πλῆθος. ἐπάκουσαν δὲ ἀντὶ τῆ ᾔθοντο τῆς τῆ Ἀγαμέμνονος γνώμης. BL. ὅσοι τῆ προβελεύματος ἐκ ἤκεσαν τῶν ἡγεμόνων. D.

144. ὡς κύματα: ὅτι Ζηνόδοτος γράφει φῆ κύματα. ἐδέποτε δὲ Ὅμηρος τὸ φῆ ἀντὶ τῆ ὡς τέταχεν. A.

κύματα μακρά: ὑψηλά, τὰ ἐκ βάθες κινούμενα· συνωθεῖνται γὰ ἄλλα ἐπ' ἄλλοις, ὡς ὕλης ἐκ βυθῆ ταρασσομένης τῆς θαλάττης. ABL. ἔςι δὲ παραβολὴ τὸ χῆμα. παραβολὴ δ' ἐςὶν ὁμοιωματικὴ πράγματος τοῖς ὑποκειμένοις παράθεσις πρὸς δήλωσιν ἐναργεςέραν. D.

145. πόντου Ἰκαρίοιο: τῆ Ἰκαρίᾳ πελάγος, κεκλημένη ἕτως ἀπὸ Ἰκάρε τοῦ Δαιδάλε παιδός, πεσόντος εἰς αὐτὸ καὶ ἀπολομένε ἕτως. μετὰ τὴν τῆς Πασιφάης πρὸς τὸν ταῦρον μῖξιν Δαίδαλος εὐλαβέμενος τὴν Μίνως ὀργήν, πτερωτὸς σὺν Ἰκάρῳ τῷ υἱεῖ ἐφέρετο· καταπεσόντος δὲ τῆ παιδὸς τὸ ὑποκείμενον πέλαγος Ἰκάριον μετωνομάσθη. ὁ μέντοι Δαίδαλος διαπτὰς εἰς Κάμικον τῆς Σικελίας καὶ τὸν υἱὸν αὐτῆ ἐκδεχόμενος ἔμεινε παρὰ ταῖς Κωκάλε θυγατράσιν, ὑφ' ὧν ὁ Μίνως, ἥκων ἐπ' ἀναζήτησιν τῆ Δαιδάλε, ἀποθνήσκει καταχυθέντος αὐτῆ ζεσοῦ ὕδατος. ἱςορεῖ Φιλοςέφανος καὶ Καλλίμαχος ἐν Αἰτίοις. AD.

ἐπὶ τὸ Ἰκαρίοιο ςιγμή· βραχὺ δὲ διαζελᾶμεν ἐπὶ τὸ κινήθη δ' ἀγορή. A.

Εὖρος ὁ ἀπὸ ἀνατολῆς πνέων ἄνεμος, ὁ καὶ ἀπηλιώτης· Νότος ὁ ἀπὸ μεσημβρίας· Βορέας ὁ ἀπὸ ἄρκτε. DL.

146. ὥρορ': ἀπὸ τῆ ὄρωρε Ἀττικῆ ὑπέρθεσις χρόνου. ἐπαΐξας δέ, ἄνωθεν αἰγιδώδης πνεύσας. AB.

147. Ζέφυρος: ὁ ἐκ ζόφε φερόμενος, ἤγεν τῆς δύσεως· οἱ γὰ ἀρχαῖοι τὴν δύσιν ζόφον ἐκάλεν. ἔνιοι δὲ ἐκ τῆ τὸ ζῆν φέρειν, ὁ τὸ ζῆν πᾶσι παρέχων· τῷ γὰ θέρει πνέοντος αὐτῆ αὔξονται οἱ καρποὶ δι' ὧν τὸ ζῆν ἔχομεν. λήϊον δὲ ἀπὸ τῆ γῆϊον, ὡς μόλις μόγις. BL.

πρὸς συμπλήρωσιν τῶν ςαχύων οἱ ζέφυροι πνέουσιν. λῆΐῳ δὲ τὴν ἠϊόνα παρεικάζει. ἠπειρωτικὴ δὲ ἡ παραβολή, ὅπερ ἄμεινον ἐνταῦθα· ἡ πρώτη μὲν γὰρ τὸν τάραχον, ἡ δὲ δευτέρα τὴν ὁμοθυμαδὸν ὁρμὴν παρίςησιν. ABL.

148. ἡ διπλῆ, ὅτι χωρὶς προθέσεως εἴρηκεν, ἀντὶ τοῦ ἐπικαταιγίζων· αἰγίδας γὰ ἔλεγον ὡς ἡμεῖς καταιγίδας. καὶ ὅτι πτῶσις ἤλλακται· ἐπί τ' ἠμύει ἀςαχύεσσιν, ἀντὶ τοῖ ἐπιμύει δὲ τοὺς ἀστάχυας, οἷον ἐπικλίνει. A.

Ἄλλως. ἠμύει τὸ λῆϊον τοῖς ςάχυσι, ὡς „ἔφριξεν δὲ μάχη ἐγχείῃσιν" (Il. 13, 339)· ἢ οἱ ςάχυες τῷ ἀνέμῳ ἠμύουσιν. AL. ἐπικατακλίνει τὲς ἀςάχυας τοῖς ςάχυσιν. D.

πυκνοῖ τὸ λῆϊον τοῖς ςάχυσιν, ὡς „ἔφριξε δὲ μάχη ἐγχείῃσιν". οἱ δὲ ςάχυες ὑπὸ τῆ ἀνέμε συνειλέμενοι πυκνῶσι τὸ λῆϊον. B.

ὑποςιγμαὶ ἐν ὑποκρίσει ἐπὶ τὸ ἐπαιγίζων καὶ ἀςαχύεσσιν. A.

149. ἀλαλητῷ: προσληπτέον τὴν σύν, ἵν' ᾖ σὺν θορύβῳ. D.

150. νῆας ἐπ' ἐσσεύοντο: ἕτως, ἐπ' ἐσσεύοντο. ἐκ ἀναῤῥέφει ἡ πρόθεσις, ὅτι συνήλιπται. διὸ καὶ ἐλέγομεν ἕνεκα ἑτέρε σημαινομένε τὸν Ἀρίςαρχον κατὰ ἀναῤῥοφὴν ἀνεγνωκέναι τὸ „στεῦτο γὰ Ἡφαίςοιο πάρ' οἰσέμεναι" (Il. 16, 191). οὐκ ἀναῤῥέφον γάρ, εἰ μὴ ἐπὶ τέλους κέωνται ῥῆμα δηλῶσαι. A.

ποδῶν δ' ὑπένερθε κονίη: ἤτοι ὑπὸ τῶν ποδῶν αὐτῶν νέρθεν ἐγειρομένη (ἀειρομένη LV) ἀνίζατο ἡ κόνις. BLV.

152. ἅπτεσθαι — δῖαν: ἐπιλαμβάνεσθαι, ὡς τὸ „ἑανοῦ ἅπτομένη" (Il. 16, 9). τὸ δὲ δῖαν Δωρικῶς συνέςτειλεν. AB.

153. οὐρούς: ψιλᾶται· ἐν πλεονασμῷ γὰ τοῦ ῡ ἐγέ-

νετο, ὡς ϰ᾽ ὅλος ἕλος. ἀνεγνώσθη δὲ ϰατ᾽ ὀξεῖαν τάσιν· ὁ γ᾽ Ἀρίσταρχος παρήγγελλεν. ἴσως δὲ σημειώδης ὁ τόνος· τὰ γ᾽ εἰς ρος λήγοντα δισύλλαβα ἁπλᾶ ἔχοντα τὴν ᾱ δίφθογγον ἐβαρύνετο, ϰῦρος θῶρος ἔρος· ϰαὶ γ᾽ ταῦτα περισσὸν ἔχει τὸ υ. ἴσως ἂν εἰς ἀποφυγὴν τῶ ἐπὶ τῶ ἀνέμω· ϰαὶ γ᾽ ϰ᾽ ἐπ᾽ ἄλλων τὸ τοιοῦτο ποιεῖ ὁ ἀνήρ. A.

τὰ ταφροειδῆ ὀρύγματα, δι᾽ ὧν αἱ νῆες ϰαθέλϰονθ εἰς τὴν θάλασσαν. ἢ τὰς ἀντλίας. DL.

ἐϰ τῶ ὀρύσσειν· δι᾽ αὐτῶν γ᾽ αἱ νῆες ὀρύσσιν. τῷ δὲ χρόνῳ πολλή τις ὕλη περὶ αὐτὰς ἦν, ἣν ϰαὶ ὑφεῖλϰον. BL.

ἀϋτὴ δ᾽ οὐρανὸν ἶϰεν: μεγαλοφυῶς ἡ λέξις ἠΰξησε τὴν ταραχήν, ἣν ϰατελεπτολόγησεν Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν. ABL.

154. ἦρεον: δασυντέον τὸ ἦρεον· ἀπὸ γ᾽ τῶ αἴρω περισπωμένω ϰ᾽ δασυνομένω γέγονεν. A.

παραλόγως δασύνεται τὸ αἴρω. A.

155. ἀσύνδετος ὁ λόγος πρὸς τὰ ἐπάνω· διὸ προϋποϰειτέον τελείᾳ. βραχὺ δὲ διαϛαλτέον ἐπὶ τὸ ἐτύχθη διὰ τὸν εἰ σύνδεσμον, εἰ μὴ Ἀθηναίην Ἥρη. A.

ὑπέρμορα: ἔτως ὑφ᾽ ἓν τὸ ὑπέρμορα· ἐ γάρ, ὥς τινες, ϰατὰ διάϛασιν. ἔϛιν ἓν τι μόριον, ὃ συντεθὲν γίνεται ὑπέρμορος ὡς ὠϰύμορος, ἕ ἀδέτερον τὸ ὑπέρμορον, ϰ᾽ πληθυντιϰὸν τὸ ὑπέρμορα. ὡς ἓν τὸ ϰαλά ϰαὶ ὄνομα ἀλλὰ ϰ᾽ ἐπίῤῥημα („ἦ μεν ϰαλὰ πατὴρ ὧς ϰήδεαι" Od. 17, 397 ϰαὶ „πυϰνὰ μέλα ϛενάχων" Il. 18, 318), ἔτως ϰ᾽ „ὑπέρμορα νόϛος ἐτύχθη." A.

ὑπὲρ τὸ προσῆϰον, ὑπὲρ τὸ εἱμαρμένον. DL. ὀνοματιϰὸν ἐπίῤῥημα, ὥσπερ ϰαὶ τὸ δέον οὐδέτερον ἀντὶ τοῦ δεόντως Ἀττιϰῶς παραλαμβάνεται. L.

νόϛος: ἡ εἰς τὸν οἰϰεῖον τόπον ὑποϛροφή· „νόϛου δὴ μνῆσαι (Il. 10, 509) ϰ᾽ „νοϛήσαντα ἄναϰτα" (Il. 13, 38). B. παρὰ τὸ ἡδὺ ϰ᾽ γνήσιον τῆς πατρίδος. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐδεσμάτων. D.

διὰ τί δὲ προειπόντος τῆ Ἀγαμέμνονος ἐν τοῖς προβεβουλευμένοις (75) „ὑμεῖς δ᾽ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν," ὁρμησάντων τῶν Ἑλλήνων ἐπὶ τὰς ναῦς ἔτε Ὀδυσσεὺς ἔτε ἄλλος ἐδεὶς τῆτο ἐποίησε ταχέως, ἀλλ᾽ ὁ μὲν ἔϛηϰεν ἁπλῶς μόνον οὐχὶ ἁπτύμενος τῆς νηός, οἱ δὲ ἐπὶ τῆς ἐϰϰλησίας μένουσι, ϰ᾽ παραγίνεται ἡ Ἀθηνᾶ ἀπὸ μηχανῆς ὥσπερ ϰαθεύδοντα ἐγείρουσα τὸν Ὀδυσσέα; ἢ ὅτι οὐϰ οἷόν τε ἦν ὁρμησάντων παραχρῆμα ἐπέχεσθ αὐτούς, θορύβῳ ϰατέχοντος τοσούτῳ· θεατὰς γὰν χεδὸν ἡμῖς ποιῶν τῆς τότε ἀταξίας αὐτῶν, ἐπιτραγῳδεῖ ταῦτα τὰ ἔπη „ϰινήθη δ᾽ ἀγορὴ ὡς ϰύματα." διὸ ὁ Ὀδυσσεύς, μετὰ τὸν Νέϛορα συνέσει πρέχων, ἵϛαται μὴ ϰαθέλϰων τὴν ναῦν, διὰ τέτε δειϰνὺς ὃ ἐβάλετο ϰ᾽ τὰς ἄλλας ποιεῖν. ἔχει δὲ Ὀδυσσεὺς ἱϰανώτερος Νέϛορος πάντα πρᾶξαι τὰ διὰ σώματος, τῶν δὲ ἄλλων συνετώτερος· διὸ πρὸς τοῦτον ἡ Ἀθηνᾶ ἦϰει· οὐ γ᾽ πιθανὸν θεᾶ δίχα ϰαταξέλλεσθ τοσοῦτον θόρυβον. BLV.

156. εἰ μὴ Ἀθηναίην Ἥρη: εἰς τοσοῦτον προύγει τὰς περιπετείας, ὡς μὴ δύναθ αὐτὰς ἄλλον εἰ μὴ μόνον μεταθεῖναι τὸ θεῖον. πρῶτος δὲ τοῖς τραγιϰοῖς εἰσηγήσατο μηχανάς. BLV.

τὸ τῆς Ἀθηνᾶς ἄγαλμα δόρυ ϰρατεῖ διὰ τὸ ϛαθηρὸν ϰαὶ ἀνδρεῖον· ὁμοίως ϰαὶ ἀσπίδα παρὰ τὸ πᾶσαν ἐπιβλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι· ἡ αὐτὴ γάρ ἐϛι τῷ νῷ. ϰαὶ περιϰεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀϰρότατον ἀθέατον. ϰ᾽ ἐλαίαν ὡς ϰαθαρωτάτης ἔσης ἐσίας· φωτὸς γ᾽ ὕλη ἡ ἐλαία. ϰ᾽ Γοργόνα διδόασιν ἐπὶ τῆ σήθες αὐτῇ διὰ τὸ ταχὺ τῆ νῆ. BL.

156 — 169. ὅτι Ζηνόδοτος ἔτως ἐπισυντέτμηϰεν „εἰ μὴ Ἀθηναίη λαοσσόος ἦλθ᾽ ἀπ᾽ Ὀλύμπε. εὗρεν ἔπειτ᾽ Ὀδυσῆα", ϰαθόλε τὸν τῆς Ἥρας λόγον περιγράψας, Ὁμηριϰῶς ἔχοντα· ϰαὶ γ᾽ ϰαὶ τῆς ξιφελϰίας αὖτη ἀφίϛησιν. ἡ δὲ Ἀθηνᾶ ὑπηρετεῖ ϰατὰ διαφορὰν τῆς ἀξίας τηρεμένης τῶν προσώπων. A.

157. ὦ πόποι: ϰαὶ τῷ χετλιασμῷ ϰαλῶς ϰέχρηθ, ϰαὶ τὴν αἰχύνην τῶν φίλων προβέβληται, ϰ᾽ τῶν πολεμίων τὴν χαρὰν ἐπάγει. συμφέρεθ δὲ ἀλλήλαις Ἥραν ϰαὶ Ἀθηνᾶν λέγων, δείϰνυσιν ὅτι ἔτε μητρυιὰν πρόγονον ἐᾶι μισεῖν ἔτε πρόγονον μητρυιᾷ διαφέρεθαι, ἀλλ᾽ ἢ μᾶλλον συμφέρεθαι. BLV.

αἰγιόχοιο: Ζεὺς Κρόνε ϰ᾽ Ῥέας γενόμενος ἐν Κρήτῃ ἐπεϰλήθη αἰγίοχος διὰ τὸ αὐτόθι ὑπὸ αἰγὸς τραφῆναι, ἤ, ὡς τινές φασι, διὰ τὸ αἶγα ἀνελόντα τὴν μὲν δορὰν ἀμφιάσαθ, τοῖς δὲ ϰέρασιν εἰς τόξον χρήσαθ· ὅθεν ϰ᾽ αἰγιδόϰον τόπον τινὰ ἐν Κρήτῃ ϰαλεῖθ. ἱσορεῖ Εὔφοριων. AD.

παρὰ τὸ αἴξ αἰγός αἰγί, ϰ᾽ τὸ ὀχή, ὃ σημαίνει τὴν τροφήν· λέγεται γ᾽ αὐτὸν τεθηλαϰέναι Ἀμάλθειαν τὴν αἶγα. οἱ δέ, ὅτι σϰέπασρον αὐτῷ αἰγὶς ἦν ἀπὸ Κρητιϰῆς αἰγὸς ληφθεῖσα. οἱ δέ, ἀπὸ τῶ ϰαταιγίζειν τοῖς ἀνέμοις ϰαὶ τοῖς πνεύμασι ϰαλεῖται γ᾽ ὁ ἄνεμος αἰγίς. οἱ δὲ Αἶγα πρώτην τὴν τῶ Πανὸς θυγατέρα. ἐϰ τῶ ὀχή δὲ γίνεται ϰαὶ εὐωχία, ἡ ϰαλῶς ἡμᾶς τρέφουσα, ϰατ᾽ ἐπανάξησιν δὲ τῶ ᾱ εἰς ω. BL.

159. νῶτα θαλάσσης: οὐδετέρως τὸ νῶτον ϰαὶ τὰ νῶτα λέγει ὁ ποιητὴς πανταχῆ, ϰαὶ Ἡσίοδος· ϰ᾽ ϵϰ ἀρσενιϰῶς τὸν νῶτον. AD.

160. ἀπὸ τέτε ἕως τῆ ἐν Τροίῃ ἀπόλοντο (162) ἀθετῶνται ϛίχοι τρεῖς, ϰαὶ ἀϛερίσϰοι παράϰεινται, ὅτι οἰϰειότερον ἐν τῷ τῆς Ἀθηνᾶς λόγῳ ἐξῆς εἰσὶ τεταγμένοι (176), νῦν δὲ ϰωμιϰώτερον λέγονται. A.

161. Ἀργείην Ἑλένην: ὅτι Ζηνόδοτος γράφει Ἀργείην θ᾽ Ἑλένην, σὺν τῷ συνδέσμῳ, ὥϛε εἶναι χωρὶς ϰαύχημα, ϰαὶ σὺν τούτῳ τὴν Ἑλένην. οὐ λέγει δὲ ἔτως, ἀλλ᾽ αὐτὴν τὴν Ἑλένην ϰαύχημα. A.

Ἀργείην: ἦν τὸ δίϰαιον αὐτῶν οἶδεν. V. τὴν Πελοποννήσιαν· ἡ γ᾽ Λαϰωνιϰὴ πέμπτον τῆς ὅλης Πελοποννήσου. AD.

Πριάμῳ ϰαὶ Τρωσί: ϰαλῶς οὐϰ Ἀλεξάνδρῳ ἀλλὰ Πριάμῳ ϰαὶ Τρωσί φησι, τῆς Ἑλληνιϰῆς Ἑλένης αὔξων τὸ ἐγϰώμιον. BL.

162. φίλης ἀπὸ πατρίδος: ἐϰ ἀναϛρεπτέον τὴν πρόθεσιν, ὡς Τυραννίων ϰ᾽ Πτολεμαῖος· ὁπότε γ᾽ γενιϰῇ συν-

τάττεται ἡ ἀπό, τηρεῖ τὸν τόνον· „κ᾽ γάρ τίς θ᾽ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο" (292). A.

163. ἀλλ᾽ ἴθι νῦν: ἐκ ἄτοπον γ᾽ καὶ τοῖς ἐνδόξοις ἡ χρειώδης ὑπηρεσία. BL.

συμφώνως ἅπασαι εἶχον κατὰ λαόν, ἀντὶ τῆ μετά. A.

164. σοῖς δ᾽ ἀγανοῖς: χωρὶς τῆ δ εἶχον αἱ χαριέσαι, σοῖς ἀγανοῖς· καὶ ἡ Ἀριστοφάνης οὕτως εἶχεν. ἀγανοῖς δέ, ἄγαν προσηνέσι, πράοις, ὑπάγεσθ᾽ δυναμένοις· ἔτω γ᾽ ἔδει μαλάσσειν τὸν θυμὸν ζέοντα (τὸ σφηκῶδες τῆ θυμῆ V, τὸ σφηκώδες τῆ θ. L). ἀθετεῖται δὲ καὶ ἀχερίσκος παράκειται, ὅτι καὶ ἕτος πρὸς Ἀθηνᾶς οἰκείως πρὸς Ὀδυσσέα λέγεται (180), καὶ ψεῦδος περιέχει νῦν· ἐ γ᾽ ἡ Ἀθηνᾶ πυρίσαι ἐκάστῳ, ἀλλ᾽ ὁ Ὀδυσσεύς. ψιλωτέον τὸ ἀγανός· τοιῆτο γ᾽ τὸ ᾱ πρὸ τῆ γ̄. ALV.

165. ἀμφιελίσσας: ἀμφοτέρωθεν φερομένας. L. ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνομένας, ἢ εἰς ἑκάτερα τὰ πλευρὰ φερομένας. D.

167. τελεία ἐπὶ τὸ ἀΐξασα· ἀσύνδετον γ᾽ τὸ ἑξῆς πρὸς τὰ ἐπάνω. A.

169. Διὶ μῆτιν ἀτάλαντον: εἰ μὴ δεξιὰ Ὁμηρος περὶ θεῶν ἐφρόνει, ἐκ ἂν τὸν Ὀδυσσέα Διὶ μῆτιν ἀτάλαντον ἔλεγε καὶ θεοῖς ἐναλίγκια μήδε᾽ ἔχοντα. πῶς γ᾽ οἱ θεοὶ ἄδικοι ἢ ἄφρονες, ὁπότε ὁ ἔπαινος τῶν ἀγαθῶν ἀνδρῶν ἐπὶ τούτες ἀναφέρει τὴν εἰκόνα; ὃ δὲ κεκέλευσαι ποιεῖν ἡ Ἀθηνᾶ, ὡς σοφὸς ἀρχιτέκτων, διὰ δραχηρίᾳ τῆ (δι᾽ ἑνὸς ἀόρανῆς BL) ὑπηρέτου ποιεῖ· ἔτος γ᾽ μετὰ τῆ λόγε κ᾽ τὸ πρακτικὸν ἔχει, ἀλλ᾽ ἐχ ὡς Νέσωρ τὸ ἕν. BLV.

ἀτάλαντον: λέων ὁ Ἀριστοτέλης, τὸ τάλαντον οὔτε ἴσον φησὶ τότε κ᾽ νῦν εἶναι, ἔτε ἀφωρισμένῳ χρῆσθαι σαθμῷ, ἀλλὰ μέτρον τι μόνον εἶναι, ὡς καὶ φιάλη χῆμά τι ἀφωρισμένον ἔχον σαθμόν, μέτρον δὲ ἐκέτι. καὶ τὸ τάλαντον δὲ μέτρον τί ἐστι, ποσὸν δὲ ἐκέτι ἀφωρισμένον· διὸ καὶ τὸ ἀντικείμενον αὐτοῖς ὑπερφίαλον καὶ ἀτάλαντον. ὥσπερ γ᾽ τὸ ὑπερφίαλον τὸ πολὺ σημαίνει καὶ ἄμετρον, ὡς τῆς φιάλης ἀμέτρε ὄσης (ὑπερφίαλος γ᾽ ὁ ὑπερβάλλων τῆ ἀμετρίᾳ τὸ μέτρον τῆς φιάλης), ἔτω καὶ ἀτάλαντος ὁ ἐξῃρημένος τῆ μέτρῳ τῆ κατὰ τὸ τάλαντον. ὁ δὲ ἐκ τῶν ἀνίσων ἐκβεβηκὼς ἴσος ἂν εἴη· ὁ γ᾽ ἐκ ἄνισος, οὗτος κ᾽ ἀτάλαντος, ὁ τὸ ἄνισον τῶν ταλάντων μὴ ἔχων· διὸ κ᾽ ἴσος· ὃ γ᾽ ἐν ἄλλοις ἔφη „ἶσος Ἐνυαλίῳ," τοῦτο δεδήλωκεν ἐν τῷ „ἀτάλαντος Ἄρηϊ." B.

170. οὐδ᾽ ὅγε νηός: ὃ οἱ ἄλλοι βασιλεῖς μὴ ἐποίουν, ἐδὲ αὐτὸς ποιεῖ. B.

ἐϋσέλμοιο: σέλματα αἱ σανίδες, σελμὶς τὸ σπαρτίον. ὄνομα σύνθετον ἐΰσελμος, ἐκ τῆ εὖ μορίου καὶ τῆ σέλμα, ἡ τῶν ἐρεσσόντων κάθεδρα. καὶ ὥσπερ ἀπὸ τοῦ ἔρεισμα γίνεται κατὰ συγκοπὴν ἔρμα, ἔτως ἐξὶ σελὶς (σημαίνει δὲ τὴν κάθεδραν κ᾽ σελάζω ἐξ αὐτῆ) καὶ γενικὴ σελίδος, καὶ ἐξ αὐτῆ ῥῆμα σελίζω, σέλισμα, σέλμα· καὶ τρέπεται τὸ ᾱ εἰς ῡ̄ς, ὡς χῆμα εὔχημος, σέλμα εὔσελμος, κ᾽ διαλύσει τῆς εῡ διφθόγγε ἐΰσελμος. L.

171. ἐπεί μιν ἄχος: τὸ μὶν ἀντὶ τῆ αὐτόν. ἄχος δέ ἐξιν ἡ ἄφωνος ἀνία, οἵαν καὶ ἡ Νιόβη ἔχεν. BL.

173. διογενὲς Λαερτιάδη: χῆμα ὁμοιόπτωτόν ἐξι κ᾽ κλητικὸν προσαγορεύεται. ἔξι δὲ Λαέρτε τῆ Ἀρκεισίου τῆ Κιλέως τῆ Κεφάλε τῆ Ἑρμῆ. ἐναρχόμενος δὲ τῶν πράξεων τῆ ἀνδρὸς ὅσοις αὐτὸν κοσμεῖ ἐγκωμίοις. LV.

προσαγορευτικὴ ἡ περίοδος· διὸ τελείαν στικτέον. A.

τὸ πολυμήχανέ τινες ταὐτὸν τῷ πολύτροπέ φασιν. B.

175. φεύξεσθ᾽ ἐν νήεσσι πολυκλήϊσι: εὖ τὸ καὶ τὸν Ὀδυσσέα συμπεριλαβεῖν τῇ φυγῇ· παρώξυνε γ᾽ αὐτὸν πρὸς τὸ τοὺς ἄλλες ἐπέχειν, ἐπαγαγοῦσα τῷ ἥρωϊ δειλίας ἐγκλήματα. πολυκλήϊσι δὲ ταῖς πολλὰς τὰς τάξεις ἐχούσαις. τὰ δὲ τῷ ῆ παραληγόμενα μακροκατάληκτα ἐν τῇ συνθέσει ἀναδιδόασι τὸν τόνον, οἷον μελάμψηφις μελάγκρηπις εὔκνημις· ἔτως καὶ τὸ πολύκληϊς. BL.

τινὲς προπερισπῶσιν, ὡς καὶ τὸ ἁπλῶν „ἐπὶ κλῆϊσι καθίζον" (Od. 2, 419)· ὡς γὰρ πλοκαμίς – „εὐπλοκαμῖδες Ἀχαιαί" (ib. 119), ἔτως καὶ κληΐς κ᾽ πολυκληΐς. ἐκ ἔχει δὲ ἔτως ἡ ἀνάγνωσις. ἔξιν ἓν λόγος ὑπὲρ τῆς βαρυνομένης λέξεως ἔτος. τὰ εἰς ῑς λήγοντα θηλυκὰ ὀξυνόμενα εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, κ᾽ τὸν αὐτὸν τόνον φυλάσσει, εἰ δὲ μεταληπτικὸν γίνοιτο κ᾽ ἀρσενικῆ, μεθίσταται καὶ εἰς βαρεῖαν τάσιν ἀναγκαίως. τῆ μὲν προτέρᾳ, φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, περισκελίς, τῆ δὲ δευτέρᾳ δύσελπις. ταύτῃ ἓν τὸ μὲν καταιγὶς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται. ἔτως ἓν καὶ τὸ εὔκληϊς καὶ πολύκληϊς βαρυνθήσεται· τίθεται γ᾽ κ᾽ ἐπὶ ἀρσενικῆ, ὡς καὶ ἐκ τῆ ἐναντίου τὸ λεύκασπις· καὶ γ᾽ ἐπὶ Ἀμαζόνος ταγείη ἄν. κ᾽ τὸ εὔκνημις ἀμέλει ἐπὶ τῆς Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ ἐν Θεσσαλικοῖς „τοὶ δ᾽ ἤδη ἐπὶ νηῶν (νηῷ?) ἐϋκνήμιδος Ἰτώνης." A.

κλῆϊδες αἱ κάθεδραι παρὰ τὸ ἐγκλᾶν καὶ κάμπτειν τὰ γόνατα. L.

πεσόντες: πεσόντες, οὐκ ἐμβάντες, ὅ ἐξι σύμβολον ἀτάκτε φυγῆς. AL.

176. 177. 178. ἀχερίσκος, ὅτι ἐνταῦθα τάξιν ἐπέχουσιν. A.

179. ἀλλ᾽ ἴθι νῦν: ἴσον ἐποίησε τῇ Ἀθηνᾷ τὸν Ὀδυσσέα, τῆτο παραγαγὼν αὐτὸν ὑπ᾽ αὐτῆς κελευόμενον, ὅπερ ἐκείνη ὑπὸ τῆς Ἥρας ποιεῖν ἐπετέτακτο. BL.

κατὰ λαόν: ἐνταῦθα τὸν λόγον ὑποτέθεικεν Ἀρίσαρχος ἔτως ὥςε νοεῖσθαι, ἴθι κατὰ λαόν. A.

μηδ᾽ ἔτ᾽ ἐρώει: ὁρμᾶν ἔα, ἢ μὴ παύε. L.

180. ἀχερίσκος, ὅτι ἐνταῦθα οἰκείως τέτακται. A.

181. ἀμφιελίσσας: ἀμφοτέρωθεν φερομένας κ᾽ ἐρεσσομένας. BL.

182. ξυνέηκε θεᾶς ὄπα φωνησάσης: συνῆκε τὴν ὄπα φωνησάσης τῆς θεᾶς. BL.

183. βῆ δὲ θέειν: ἀφείλετο τὴν ἀπόκρισιν ἡ ἐπειξις τῆ καιρῆ. ἔξι δέ, ὥρμησεν ἐπὶ τὸ θέειν. ἢ Ἀττικῶς λείπει τὸ ὥςε. ἢ ἀπαρέμφατον ἀντὶ μετοχῆς. ABLV.

ἀπὸ δὲ χλαῖναν βάλε: χλαῖνα ἡ τετράγωνος χλα-

μύς, ἢ εἰς ὀξὺ λήγουσα. AL. χλαῖνα δὲ παρὰ τὸ χλιαίνω τὸ θερμαίνω. L.

ἀπέβαλε δὲ τὴν χλαῖναν ἢ διὰ τὸ εὐπερίσταλτον, ἢ διὰ τὸ ἐπιστρέφειν τῇ παραδόξῳ θέᾳ τοὺς πολλούς, ἢ ἵνα ταπεινὸς ὑπηρέτης εἶναι δοκῇ τῶν βασιλικῶν δογμάτων. οἱ δέ, ὅτι ἀπὸ τῆς σπουδῆς αὐτομάτως πέπτωκεν. καὶ περὶ Ἀγαμέμνονος δὲ ἑτέρωθί φησι „πορφύρεον μέγα φᾶρος ἔχων" (Il. 8, 221). BL. ἢ διὰ τὸ μὴ ἐμποδίζεσθαι αὐτὸν σπεύδοντα ὑπὸ τῆ πλήθος τῶν ἱματίων. DL.

ἀπρεπὲς εἶναι δοκεῖ τὴν χλαῖναν ἀποβαλόντα μονοχίτωνα θεῖν τὸν Ὀδυσσέα διὰ τῆ στρατοπέδῃ, ᾗ μάλιστα οἷος Ὀδυσσεὺς εἶναι ὑπείληπται. φησὶ δ' Ἀριστοτέλης, ἵνα διὰ τῆτο θαυμάζων ὁ ὄχλος ἐπιστρέφηται, ᾗ ἐξικνῆται ἡ φωνὴ ὡς ἐπὶ μεῖζον ἄλλα ἄλλοθεν συνιόντος, οἷον ᾗ Σόλων λέγεται πεποιηκέναι, ὅτε συνῆγε τὸν ὄχλον περὶ Σαλαμῖνος. ἄλλοι δέ, ὅτι ἐμπόδιον ἦν αὐτῷ πρὸς τὸν δρόμον ἡ χλαῖνα. οἱ δέ, ὅτι ταπεινὸν αὐτὸν ᾗ ὑπηρέτην τῶν Ἀγαμέμνονος προσταγμάτων δεῖξαι βάλεται. οἱ δέ, ὅτι τὸ σκῆπτρον λαμβάνει μετιὼν τὸ τῆ Ἀγαμέμνονος, ὥσε τὴν ἐξουσίαν ἔχων τὴν βασιλικὴν τὸ οἰκεῖον χῆμα τῆς ἀξίας περιεῖλεν. οἱ δέ, ὅτι τρέχοντος αὐτῆ πεσεῖν αὐτομάτως συνέβη. οἱ δέ, ὅτι τὴν σπεδὴν ἐπιδεῖξαι θέλων διὰ τῆς πτώσεως τῆς χλαμύδος, ἥτις ἐγεγόνει. οἱ δὲ μᾶλλον συντίθενται, ὅπως ἐπισρέψῃ τὸ πλῆθος πρὸς ἑαυτὸν ἀπὸ τῆς περὶ τῆ φεύγειν ταραχῆς, ἐπέχων διὰ τῆ ξενισμῆ, ὡς ᾗ τὸν Ἀγαμέμνονα ἑτέρωθί φησι πορφύρεον μέγα φᾶρος ἔχοντα παρακελεύεσθαι τοῖς Ἕλλησιν. τὸ δὲ σκῆπτρον λαμβάνειν ἔοικε παρὰ τῆ Ἀγαμέμνονος ἤτοι ἵνα τὰ τῷ βασιλεῖ δοκῶντα φαίνηται πράττων καὶ παρὰ τῆ βασιλέως λαβεῖν τὴν ἐξουσίαν, ἢ ἵνα ἀντὶ βασιλέως φαίνηται ποιεῖν ᾗ τὴν τῆ αὐτοκράτορος εἰς τὲς πλημμελῆντας εἰληφέναι ἐξουσίαν, ἢ ὅτι ἄλλως ἐκ ἐξῆν δημηγορεῖν ἢ τὸ σκῆπτρον ἔχοντα. BL.

184. κῆρυξ Εὐρυβάτης: ἡ διπλῆ, ὅτι ᾗ ἕτερος Εὐρυβάτης ὁμώνυμος (Il. 1, 320. 9, 170). A.

ἕτερός ἐξιν ἕτος παρὰ τὸν Ἀγαμέμνονος, ὡς Πορφύριος· διὸ ᾗ τὸ Ἰθακήσιος προσέθηκεν. L. ἰξέον ὅτι ἕτερος ἕτός ἐξιν Εὐρυβάτης ᾗ ἕτερος ὁ Ἀγαμέμνονος, ἕ ἐμνήσθη ἐν τῇ Α (320)· ἕκαστος γὰρ τῶν βασιλέων εἶχεν ἰδίους κήρυκας. D.

186. δέξατό οἱ σκῆπτρον: ἡ διπλῆ, ὅτι ἀρχαϊκώτερον δέξατο αὐτῷ τὸ σκῆπτρον ἀντὶ τῆ παρ' αὐτῆ. Ὀδυσσεύς, φησί, παρὰ τῆ Ἀγαμέμνονος λαμβάνει τὸ σκῆπτρον. ἐχ ἁπλῶς δὲ τῆτο ποιεῖ, ἀλλ' ἵνα δοκῇ σὺν τῇ τῆ βασιλέως γνώμῃ κρατεῖν αὐτός. AD.

τὸ σκῆπτρον δέχεται, ἵνα δοκῇ παρὰ τῆ βασιλέως εἰληφέναι τὴν κατὰ τῶν ἀκοσμέντων ἐξουσίαν, καὶ μὴ χολῷεν ἐπιτιμῶμενοι. ἢ ἐπειξις δὲ τῆ καιρῆ περιεῖλε τὲς Ἀγαμέμνονος λόγες. AL.

ἄφθιτον αἰεί: ποιητικῶς τῆτο πέπλασαι. τὸ δὲ ἀθάνατον ἐπὶ τῶν ἐμψύχων οἱ φιλόσοφοι τάσσεσι, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων. ABDLV.

187. σὺν τῷ ἔβη: ὅτι Ζηνόδοτος γράφει σὺν τῷ βάς. A.

188. πρὸς τὴν τάξιν τῶν ἑξῆς τὸ ἀντίσιγμα. A.

189. τὸν δ': ὅτι ἐκ ἐγκλιτέον τὸν δέ σύνδεσμον, ὡς ἄν τις εἴποι ὑφ' ἓν τόνδε· χρῆται γὰρ ὁ ποιητὴς συνήθως αὐτῷ περισσῷ. ABL.

δύο μέρη λόγε εἰσίν· ὁ δὲ δέ ἀντὶ τῆ δή. ABL.

190. δαιμόνι': αὕτη ἡ λέξις τῶν μέσων ἐξί, ᾗ δηλοῖ ἀμφότερα, ὁτὲ μὲν ἐπὶ ἐπαίνῳ λεγομένη, οἷον θεῖε, μακάριε, μέγιστε, ἀγαθέ, ὁτὲ δὲ ἐπὶ ψόγῳ, ἄφρον ᾗ μάταιε, ἢ χείριστε ᾗ φαῦλε. ὅτε μὲν οὖν, φησί, θεῷ προσφέρει, ἥσσονα λέγει ἢ κατὰ θεόν, ὅτε δὲ ἀνθρώπῳ, ὑπερέχοντα ἀνθρώπε, ὡς δηλῆσθαι ἥσσονα μὲν θεᾶ, ὑπερέχοντα δὲ ἀνθρώπε. ADL.

οὔ σε: ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ συνήθεια. δειδίσσεσθαι δὲ ἀντὶ τῆ εὐλαβεῖσθαι. θωπεύων δὲ δυσωπεῖ. BL.

191. κάθησο: τῆτο οἱ Ἀττικοὶ κάθου λέγουσιν. διὰ δὲ τῶν ἐμφανῶν καὶ τὸ πᾶν ἱδρύει πλῆθος. B.

ἵδρυε: ἐκ τῆ ἵζω τὸ καθέζομαι· καὶ τροπῇ τῆ ζ εἰς δ Αἰολικῶς, ὥσπερ ζυγός δυγός, γίνεται ἵδω, ᾗ κατὰ παραγωγὴν ἰδύω, καὶ πλεονασμῷ τῆ ρ ἱδρύω. L.

192. οὐ γάρ πω: ἀντὶ τῆ ἔτι οὐκ οἴδαμεν τί βέλεται περὶ φυγῆς ἡμῖν λέγων. D.

τὸ ἀντίσιγμα, ὅτι ὑπὸ τῆτον ἔδει τετάχθαι τὲς ἑξῆς παρεσιγμένες τρεῖς σίχες (203—5)· εἰσὶ γὰρ πρὸς βασιλεῖς ἁρμόζοντες, ἃ πρὸς δημότας· „ἃ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί, ἐκ ἀγαθὸν πολυκοιρανίη" ᾗ τὰ ἑξῆς. AL.

οἷος νόος Ἀτρείωνος: κἂν ταῖς διορθώσεσι ᾗ ἐν τοῖς ὑπομνήμασιν ἕτως ἐγέγραπτο, Ἀτρείωνος. ᾗ αἱ πλείες δὲ τῶν χαριεσέρων ἕτως εἶχον, καὶ ἡ Ἀριζοφάνειος. ᾗ ὁ Σιδώνιος δὲ καὶ ὁ Ἰξίων ἕτως γράφσιν. A. αἱ χαριέσεραι Ἀτρείωνος. L.

193. ἀπὸ τέτε ἕως τῆ „τιμὴ δ' ἐκ Διός ἐξι" (197) ἀθετῆνται σίχοι ε', ὅτι ἀπεικότες οἱ λόγοι ᾗ μὴ προτρεπτικοὶ εἰς καταζολήν. AL.

ἀπὸ τῆ νῦν μὲν ἕως τῆ „τιμὴ δ' ἐκ Διός ἐξι" τὸ νόημα εἴρηται. ἀθετῆνται δὲ τὰ ἔπη ὡς εἰς καταζολὴν οὐ προτρεπτικά. τὸ δὲ τύχα δισακτόν ἐξιν. BL.

εἰς ὑπόνοιάν τε αὐτὲς ἄγει, ᾗ ὃ δοκεῖ ἐκφαίνειν τὰ τῆ βασιλέως ἀπόῤῥητα, ἀλλὰ συγκαλύπτει τὸν τῆ λόγε νῆν. BL.

194. ἐν βουλῇ δ' οὐ πάντες: μετρίως τῆτό φησιν, ἵνα μὴ καταισχύνῃ τὲς ἄλλες. τινὲς δὲ ἐν ἐρωτήσει· μὴ ἐκ ἠκέσαμεν πάντες οἷ βασιλεῖς τί εἶπεν ἐν τῇ βελῇ ὁ Ἀγαμέμνων; ἵν' ᾖ μὴ δισακτικόν. ABL.

διὰ τί τὸ ὄναρ ἐδεὶς τῶν ἐν τῷ προβελίῳ ἀκέσας παρὰ Ἀγαμέμνονος ἐξεῖπε τοῖς ἄλλοις Ἕλλησιν; ἓν μὲν αἴτιον εὐλάβεια γὰρ ἦν μὴ ὑπονοήσωσιν οἱ Ἕλληνες ὅτι διὰ τὴν πρὸς Ἀχιλλέα ςάσιν τὸν ὄνειρον πράσσει, ὅπερ ὁ βασιλικόν· ἕτερον δέ, ὅτι τὰ τῶν ὀνείρων ὁ βεβαίως πιςεύει, δι' ἣν αἰτίαν ἐκ ἐξεῖπε· τρίτον δέ, ὅτι τὰ ἐν ταῖς βελαῖς βασιλικὰ σκέμματα ᾗ διηγήματα τὲς ἀκέοντας οὐ προσῆκε ἐκκαλύπτειν. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

195. μή τι: λείπει, ὕρα. τὸ μή τι διςακτικόν. L.

καθ' ἑαυτὸν ὁ ςίχος λέγεται· βέλεται γὰρ λέγειν, εὐλαβοῦμαι μή τι χολωσάμενος ῥέξῃ κακόν. A.

196. μέγας: ἐπηρμένος καὶ φοβερός. ἀλλὰ καὶ μεγαλήτορας τὸς βασιλέας φησίν. B.

διοτρεφέος βασιλῆος: οὕτως αἱ πᾶσαι, πλὴν τῆς Ζηνοδότε. L.

ἕτως ἐνικῶς αἱ Ἀριςάρχε. καὶ Πτολεμαῖος δὲ ὁ ἐπιθέτης ἐν τῷ πρώτῳ περὶ Ἰλιάδος Ἀριςάρχειον ὁμολογεῖ τὴν γραφήν. εἶχον δὲ καὶ αἱ χαριέςαι ἕτως, ἄνευ τῆς Ζηνοδότε, ὃς γράφει διοτρεφέων βασιλήων. ἐπὶ δὲ τὸν Ἀγαμέμνονα ἀναφέρεται ὁ λόγος· διό φησι „φιλεῖ δέ ἑ μητίετα Ζεύς." A.

196. 197. καλῶς καὶ ταῦτα προσέθει, ἵνα δεδοίκωσι μὲν ὡς μεγαλόφρονα (τοῦτο γὰρ δηλοῖ τὸ θυμὸς δὲ μέγας ἐςί), σέβωσι δὲ ὡς θεοφιλῆ τὸν βασιλέα, καὶ θεῷ πειθαρχεῖν δοκῶσιν ὑποκείμενοι τῷ βασιλεῖ. ABLV.

198. βοάωντά τ' ἐφεύροι: ἐπειδὴ περὶ Ἀχιλλέως ὀργισθέντες ἤθελον ἑαυτῶν ἄρχειν, ἃ χάριν καὶ βοὴν ἐκίνεν. ἢ ἐπεί φησι „τοὶ δ' ἀλλήλοισι κέλευον ἅπτεσθαι νηῶν" (151). B.

ἐπὶ τὸ ἐφεύροι ὑποςικτέον διὰ τὸ ὂν ἄρθρον ὑποτακτικόν. A.

199. τὸν σκήπτρῳ ἐλάσασκε: δόξειεν εἶναι τοῦτο ἄλογον, ὅτι τῆς Ἀθηνᾶς εἰπούσης „σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον" τύπτει τινάς· ταῦτα γὰρ παρακόντος τῆς Θεᾶς, ὅπερ ἁρμόζον ἐδαμῶς Ὀδυσσεῖ. ἐρῶμεν δὲ ὅτι ἡ μίμησις ἄλογος· εἰκὸς γὰρ ἦν ἐν τῷ τοσούτῳ θορύβῳ σφάλλεσθαι πολλάκις καὶ Ὀδυσσέα· πάντες γὰρ ἐν τοῖς τοιούτοις καιροῖς συνταραττόμεθα παρηχούμενοι ὥςε πολλὰ ἐπιλανθάνεσθαι. ὁ μὴν ἀλλὰ καὶ οἱ θρασεῖς κολακευόμενοι πτεροῦνται, μᾶλλον δὲ πληγαῖς ὑπείκουσι. πῶς ἂν δήμῳ χαρίζεται (οὖν δημοχαρισὴς L) ὁ Ὀδυσσεὺς κατὰ τοὺς τραγικούς; BL.

200. δαιμόνι': ἐνταῦθα ἐφ ὕβρει, ἀντὶ τοῦ κακόδαιμον, φαυλότατε. D.

ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε: ἐν ἡσυχίᾳ κάθησο (ἔσο LV) καὶ τῶν βασιλέων ἄκουε. τοῦτο δέ φησιν, ἵνα ἔκδηλος τοῖς πολλοῖς ἡ βουλὴ γένηται. BLV.

201. οἳ σέο: ἕτως ὀρθοτονητέον τὴν σέο· ἀντιδιαςαλτικὴ γάρ ἐςιν. A.

203. οὐ μέν πως πάντες βασιλεύσομεν: ἐκ ἔςαι δημοκρατία φησίν. εἰ δὲ τοῖς μείζοσι ταῦτα ἔλεγεν, ἐξῆπτε τὴν ςάσιν, σπαδαρχιδῶν ἀνδρῶν ἐν τοσούτῳ θορύβῳ καθαπτόμενος. ABL.

τούτῳ καὶ τοῖς μετ' αὐτὸν δύο ἡ στιγμὴ παράκειται. A.

204. οὐκ ἀγαθόν: ἀντὶ τοῦ ἀ συμφέρον. δογματίζει δὲ περὶ πολιτειῶν. BL.

ἕτως ἡ Περσῶν ἀρχὴ διὰ τῆς μοναρχίας μεγάλη ἐςί· καὶ οἱ Ἀθηναῖοι δέ, ὁπότε πλείονας παρεῖχον τῷ ςρατεύματι ἡγεμόνας ὡς ἐν Αἰγὸς ποταμοῖς τὲς ἐννέα, ἠττῶντο, ὁπότε δὲ δι' ἑνὸς ἐποιοῦντο τὲς ἀγῶνας, ἐνίκων, ὥσπερ ἐν τῇ Κνίδῳ ὁ Κόνων νικῶν τὸ Πελοποννησίων ςρατόπεδον. ὅπε γε καὶ αὐτὰ τὰ σώματα ἡμῶν, εἰ ἦσαν ἐξ ἑνὸς ςοιχείε, ἐδέποτε ἂν ἦλγεν· ἕτε γὰρ ἦν ὑφ' ἓ ἀλγήσειαν ἓν ὄντα, ὥς φησιν ὁ θεῖος Ἱπποκράτης. καὶ ἐν ἑτέρῳ δὲ πάλιν ὁ αὐτὸς ἀνὴρ „πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον· τὰ γὰρ πολλὰ ἀλλήλοις ἀνθιςάμενα πόλεμον ἐπιφέρει, ἀφ' ἓ φθορά." AD.

τελεία ςιγμὴ ἐπὶ τὸ πολυκοιρανίη, ἐπὶ δὲ τὸ κοίρανος ἔςω διαζολή, καὶ ὁμοίως ἐπὶ τὸ εἷς βασιλεύς. καὶ καθόλε τὰς ἐπαναλήψεις τῶν λέξεων ἕτως κατορθῶμεν. A.

205. ᾧ ἔδωκε Κρόνου πάϊς: εἰ μὴ γὰρ ἦν, φησί, καλόν, ἀδ' ἂν οἱ θεοὶ αὐτῷ ἐχρῶντο. δηλοῖ δὲ ὅτι μισητὸν αὐτοῖς τὸ περὶ βασιλείας φιλονεικεῖν καὶ διαφέρεσθαι. ἅμα δὲ καὶ σημαίνει ὅτι θεόσδοτόν ἐςι τὸ τῆς βασιλείας γέρας. BLV.

τὸ δῶκε Ἰακῶς· οὕτως Ἀριςάρχος. A.

ἀγκυλομήτεω: ἀγκυλομήτης ὁ Κρόνος ἐκλήθη ἤτοι ἀγκύλα καὶ σκολιὰ βελευσάμενος κατὰ τοῦ πατρὸς καὶ τῶν παίδων, ὥς φησιν Ἡσίοδος (τὰ μὲν γὰρ τὰ αἰδοῖα τῇ ἅρπῃ ἀπέτεμε, τὰς δὲ κατέπινεν), ἢ ὁ τὰ ἀγκύλα καὶ σκολιὰ καὶ δυχερῆ πράγματα τῇ μήτιδι περιλαμβάνων, κρόνους τις ὢν καὶ τέλειος νοῦς, ὥς φησι καὶ Ἡδύμων (ἢ Δημώ D). AD.

ἀγκυλομήτης ὁ ἐν τοῖς σκολιοῖς πράγμασιν εὐμήχανος. δηλοῖ δὲ τὸ ἀγκύλον παρὰ τῷ ποιητῇ τρία, τὸ σκολιὸν κατὰ βέλευσιν, ὡς ὅταν λέγῃ ἀγκυλομήτην τὸν Κρόνον, καὶ τὸ περιφερὲς κατὰ χῆμα, ὡς τὸ ἀγκύλα κύκλα, καὶ τὸ ἰχυρόν, ὡς τὸ ἀγκύλον ἅρμα. D.

207. κοιρανέων: βασιλικὰ διαπραττόμενος ἔργα. ABL.

διέπε: διὰ τοῦ ςρατοῦ ἐνήργει. δασυντέον τὸ ἔπω· πρόδηλον κἀκ τῆς συναλοιφῆς, ὡς ἔφεπε. A.

208. 209. οἳ δ' — ἠχῇ: συναπτέον ἕως τοῦ ἠχῇ, ἐφ' ἓ διαςαλτέον βραχύ· ἀντέςραπται γὰρ ἡ παραβολὴ καὶ ἡ ἀνταπόδοσις προτερεῖ. εἰ ἦν τεταγμένη ἦν ἡ παραβολὴ πρότερα καὶ ἡ ἀνταπόδοσις δευτέρα, πάντως ἂν πρὸ τῆς παραβολῆς ἐξέξαμεν τὸν τρόπον τοῦτον· ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης αἰγιαλῷ βρέμεται, ἕτως ἐκεῖνοι ἀγορήνδε αὖτις ἐπεσσεύοντο· καὶ ἐγίνοντο αἱ συνήθεις ταῖς ἀνταποδοτικαῖς περιόδοις ὀρθαὶ ὑποσιγμαί. ἐπεὶ δὲ ἀντέςραπται καὶ ἡ ἀνταπόδοσις πρώτη ἐςίν, ἀδύνατον πρὸ τῆς παραβολῆς εἰπεῖν. A.

κῦμα: τοῦτο τὸ εἰκόνισμα ἔλαβε πρὸς τὴν κίνησιν, τὸν δὲ βρόμον πρὸς τὴν ἀπήχησιν. ABL.

πολυφλοίσβοιο: φλοῖσβος ἡ τῶν κυμάτων ἀλλεπάλληλος ἔγερσις καὶ συνεχὴς πάλιν ἀπόπαυσις. ἔςι δὲ ὄνομα πεποιημένον, ὡς „λίγξε βιός" (Il. 4, 125). φλοῖσβος δὲ γίνεται ἐκ τοῦ φλογίζω, φλογισμός, ἀποβολῇ τοῦ γ φλοϊσμός, καὶ συναιρέσει φλοισμός, καὶ τροπῇ τοῦ μ εἰς β φλοῖσβος· κατὰ ἀντίφρασιν ἡ μὴ φλογίζεσα. γίνεται δὲ ἀπὸ τοῦ φλῶ τὸ ἀναπέμπω, φλέω, ὁ ἀναδιδόμενος ἦχος τῆς θαλάσσης. AL.

210. αἰγιαλῷ μεγάλῳ βρέμεται: συμφυῶς τῷ ὑποκειμένῳ τετράχυνται τὸ ἔπος ταῖς ὀνοματοποιίαις. καλῶς

δὲ καὶ τὸ μεγάλῳ, ἐμφῆναι θέλων τὴν παράτασιν τῶν κυμάτων. ABL.

212. Θερσίτης: ὠνοματοπεποίηται τὸ ὄνομα παρὰ τὸ θέρσος Αἰολικόν. AL. παρὰ τὸ θάρσος, Αἰολικῶς θέρσος· θάρσος γὰρ ἐκ θράσους εἶχεν ἀκόσμου. L.

Οἰνεὺς καὶ Ἄγριος ἀδελφοί, ὡς λέγει ὁ ποιητὴς ἐν τῇ Θ. ἀλλ' ὁ μὲν Οἰνεὺς ἦν πατὴρ Μελεάγρου, ὁ δὲ Ἄγριος Θερσίτου. μήτηρ δὲ Θερσίτου Δῖα. AD.

Φερεκύδης καὶ τοῦτον ἕνα τῶν ἐπὶ τὸν Καλυδώνιον κάπρον στρατευσάντων φησίν· ὑποδείσαντα δὲ καὶ τὴν τῶν συὸς ἐκκλίνοντα μάχην ὑπὸ Μελεάγρου κατακρημνισθῆναι, διὸ καὶ λελωβῆσθαι τὸ σῶμα. Ἀγρίου δὲ καὶ Δίας τῆς Πορθάονος αὐτόν φησιν. εἰ δέ γε συγγενὴς ἦν Διομήδους, ἐκ ἂν αὐτὸν ἔπληξεν Ὀδυσσεύς· τὰς γὰ ἰδιώτας μόνον ἔτυπτεν. εὖ δὲ καὶ οὐκ ἀπὸ πατρὸς αὐτὸν συνέχησεν, ἀδ' ἀπὸ πατρίδος, ἀλλ' ἀπὸ τῆ τρόπω μόνε καὶ τῆς μορφῆς, ὧν νῦν χρεία. BL.

Οἰνεῖ ἀμελήσαντι τῆς Ἀρτέμιδος θυσιῶν ἕνεκα ἡ θεὸς ὀργισθεῖσα ἐπεμψε τῇ πόλει σῦν ἄγριον, ἐφ' ὃν ἦλθε στρατεία τῶν ἀριστέων τῆς Ἑλλάδος, ἐπειδὴ ἐλυμαίνετο τὴν χώραν, ὥς φησιν αὐτὸς ὁ ποιητὴς ἐν τῇ Ι (533). μεθ' ὧν ἦν καὶ ὁ Θερσίτης, ὃς διελωθεὶς κατέλειψε τὴν παραφυλακὴν ἐφ' ἧς ἦν, καὶ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλόν, τὴν σωτηρίαν θηρώμενος. ὀνειδιζόμενος δὲ ὑπὸ Μελεάγρου ἐδιώκετο, καὶ κατὰ κρημνῶν πεσὼν τοιοῦτος ἐγένετο οἷον ὁ Ὅμηρος αὐτὸν παρίστησιν. ἱστορεῖ Εὐφορίων. ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν ὁ Θερσίτης ἐστράτευσεν εἰς Τροίαν τοιοῦτος ὤν. ῥητέον ἂν ὅτι ἤτοι σασιώδης ὢν ἐκ ἀπελείφθη ἐπὶ τῆς πατρίδος, ἢ ὅτι κατ' ἐπεισόδιον παρῆκται πρὸς τὸ ἐκ τῶ σκυθρωποῦ πρὸς ἱλαρότητα τὰς ψυχὰς ἀνακαλέσασθαι τῶν Ἑλλήνων, ὥσπερ εἰλῆφται καὶ Ἥφαιστος γέλωτος χάριν παρὰ τοῖς θεοῖς ἐν τῇ Α. λαμβάνει δὲ πᾶν ἐπεισόδιον τῷ ποιητῇ ἢ πιθανότητος ἕνεκεν, ἢ χρείας, ὥσπερ τοῦτο νῦν, ἢ κόσμε καὶ ὑψώσεως χάριν. AD. ἴσως δὲ σάσεως ῥυόμενοι τὴν πατρίδα ἦγαγον μεθ' αὑτῶν αὐτόν. ἦσαν δὲ „καὶ ταμίαι παρὰ νηυσίν" (Il. 19, 44). BL.

ἐπίτροπον τῇ ποιητῇ φασὶν αὐτόν, σφετερισάμενον τὴν ἐξίαν, ὃν κακῶς λέγει. εἰδὼς δὲ τῶν ἀκόσμων τὴν ὀργὴν ἐπιπλήξεσιν ἢ γέλωτι παυομένην, πρὸς μὲν τὸ ἐπιπλήσσειν Ὀδυσσέα πρὸς δὲ τὸ γελᾶν Θερσίτην ἔλαβεν, ὡς καὶ ἐπὶ τῶν θεῶν ἐν τῇ Α τὴν Ἥραν καταξέλλει Ζεὺς μὲν ἀπειλῶν, Ἥφαιστος δὲ γελοῖος φανείς. καὶ νῦν ἓν τὸν Θερσίτην ὁ ποιητὴς παρέλαβε πρὸς τὸ διαλῦσαι τὸ συγνὸν τῆς ἐκκλησίας καὶ ὑβριωθῆναι τὸν Ἀγαμέμνονα· δίκαιον γάρ· ἀλλ' ὁ λυπεῖ ἀνάξιος ὤν. ἤδη δὲ ὁ Ξενοφάνει ἀλλ' Ὁμήρῳ πρώτῳ σιλλοὶ πεποίηνται, ἐν οἷς αὐτόν τε τὸν Θερσίτην σιλλαίνει, καὶ ὁ Θερσίτης τὰς ἀρίστας. ἐκεῖ δὲ μέμνηται αὐτῶ, ἐπεὶ σεσωφρόνισαι τῶ λοιπῶ νεικείειν βασιλῆας (εἴκειν βασιλεῦσιν L). ABL.

Διὰ τί μηκέτι μέλλων ὁ ποιητὴς τῶ Θερσίτου μνημονεύειν ἅπαξ αὐτῶ ἐδεήθη, καὶ τίς ἡ χρεία τῶδε ἐν τῷ θορύβῳ τῷ γεγονότι ἐκ τῆς Ἀγαμέμνονος τῶν Ἑλλήνων πείρας; ῥητέον δὲ ὅτι παραλόγως γεγονυίας τῆς Ἑλληνικῆς σάσεως διὰ τὸ ἄλλως ἐκδέχεσθαι τὸν βασιλέως τὸν λόγους καὶ μὴ συνιέναι ὅτι πείρας ἕνεκα εἴρηκε τὸν πολλὸν καὶ συρφετώδεις, καὶ μάλιστα τῆς ἀγνοίας ἐν τῷ χυδαίῳ πλήθει γενομένης — τοῖς γὰ ἡγεμόσι προείρητο ἡ τῶ βασιλέως γνώμη, οἷς ἐν τῷ προβουλίῳ ἐῤῥήθη „καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω, ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν" —, ἐκ τῶν πολλῶν ἔδει καὶ χυδαίων γενέσθαι τὴν μέμψιν· ἐκ γὰ ἐκ τῶν βασιλικὴν καὶ ἀναπολόγητον ἐχηκότων τῆς σάσεως τὴν αἰτίαν. ἅπαξ δὲ ἐκ τῶν χυδαίων ὀφειλούσης γενέσθαι τῆς ἀταξίας, τοιοῦτον πρόσωπον εἰκότως ἐδέξατο, ὃ προσυνίστησιν ὅτι „ἐπὶ φρεσὶν ἦσιν ἄκοσμά τε πολλά τε ἤδει, μάψ, ἀτὰρ ἐ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν, ἀλλ' ὅ τι οἱ εἴσαιτο γελοίιον Ἀργείοισιν ἔμμεναι." εἰδὼς δὲ ὅτι ὀργαὶ χυδαίων καὶ πλήθους ἀνοήτε ἢ φόβῳ κρατοῦνται ἢ γέλωτι διαχέονται, ἀμφοτέροις κέχρηται, φόβῳ μὲν διὰ τῆ Ὀδυσσέως, διαχύσει δὲ καὶ γέλωτι οὐκ ἂν ἄλλως ἔχε χρήσασθαι ἢ διὰ τοιούτε προσώπου, ὥστε τὸ αὐτὸ παρέλαβεν εἰς ἔνδειξιν τῆς τῶ χυδαίε πλήθος σάσεως, οἷα τις ἦν, καὶ εἰς τὴν τῶ γέλωτος ὑπόθεσιν. καὶ μετὰ τοῦτο ἐξεῖλεν αὐτὸν τῆς ποιήσεως, ὅτι καὶ πᾶσαν τοιαύτην σάσιν ἐν τοῖς μετὰ ταῦτα τοῦ ποιήματος ἐξαιρεῖ. τοιοῦτόν τι καὶ ἐν σάσει θεῶν καὶ ἔριδι, ἐν ᾗ ἔφη „ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ οὐρανίωνες" (Il. 1, 570), ἐπενόησε διὰ τῆς Ἡφαίσε οἰνοχοΐας, ὃν κυλλοποδίωνα καὶ ἀμφιγυήεντα ἔφη, διὰ τῆς τότε οἰνοχοΐας τὴν σάσιν βεληθεὶς εἰς γέλωτα περιτρέψαι. B.

γινώσκειν χρὴ ὅτι αἱ τῶν διχρόνων ἐπενθέσεις τὰ μὲν ψιλούμενα οὐ μεταβάλλουσιν εἰς δασέα, τὰ δὲ δασυνόμενα ψιλοῦσιν. A.

ἀμετροεπής: „πάντων" γὰ φησι „κόρος ἐξίν" (Il. 13, 636), ὃν ἐκ ᾔδει ἔτος. οἱ δὲ μέτρον τὴν τάξιν. ἡμεῖς δὲ ἀπεραντολόγον τοῦτόν φαμεν. BLV.

212 — 215. Θερσίτης — ἔμμεναι: ἕως τῶ ἔμμεναι σιγμὴ ἀθεμία ἐστίν, ἀλλὰ πᾶσαι διασολαί, ἐκολώα, ᾔδη, μάψ, βασιλεῦσιν· ἐπὶ δὲ τὸ ἔμμεναι σιγμή. ὁ δὲ λόγος· Θερσίτης δ' ἔτι μᾶνος ἐθορύβει, ὃς πολλά τε καὶ ἄτακτα λέγειν ἠπίστατο, ὥστε μάτην καὶ ὁ πρὸς λόγον φιλονεικεῖν τοῖς βασιλεῦσιν, ἀλλ' ὅ τι ἂν αὐτῷ ἔδοξε γέλωτος ἄξιον φανήσεσθαι τοῖς Ἕλλησιν. τινὲς δὲ ὑποζίζουσιν εἰς τὸ εἴσαιτο, καὶ ἀφ' ἑτέρας γελοίιον Ἀργείοισιν ἔμμεναι, τελεία, ἵν' ᾖ ὁ λόγος τοιοῦτος, πᾶν τὸ παραξὰν αὐτῷ, καὶ εἰ μετὰ σπουδῆς παρέσῃ, τοῦτο γελοῖον ἦν· τὸ γὰ ἔμμεναι ἀντὶ τῶ ἦν κεῖται. πιθανώτερον δὲ τὸ πρότερον τὸ καὶ ἐκ προνοίας αὐτὸν καὶ ἑκόντα ἁμαρτάνειν. ἔτως Νικάνωρ. A.

ἐκολώα: τὸ ῥῆμα συζυγίας πρώτης τῶν περισπωμένων καὶ δευτέρας. L.

213. ὅς ῥ' ἔπεα φρεσὶν ἦσιν ἄκοσμά τε πολλά τε ἤδη: τοῦτο πάντων ἄτοπον, κἂν δοκῇ τισὶ βραχεῖαι. BL.

215. ὅ τι: τὸ ὅ τι ἀναφορικόν. εἴσαιτο φανείη, δείξειεν. ἀπὸ κοινῶ τὸ ἐδόκει. BL. εὐκτικὸν ἀντὶ ὁριστικῶ τι

ἐδόκει, ὡς τὸ „κ᾽ νύ κεν ἐνθ᾽ ἀπόλοιτο Ἄρης" (Il. 5, 311)· „κ᾽ νύ κε δὴ τανύσειε βίῃ τὸ τέταρτον ἀνέλκων" (Od. 21, 128). ABLV.

216. ὑπὸ Ἴλιον: „πῶς ἦλθες ὑπὸ ζόφον" (Od. 11, 57) ἀντὶ τῆ ἐπί. L.

217. φολκὸς ἔην: ὡς ἀνδριαντοπλάσης ἀπὸ τῆ καλλίσῃ ἄρχεται, ὡς „ὄμματα καὶ κεφαλήν" (478)· „καρηκομόωντες" „ὄψιν τ᾽ ἀγαθὴν κ᾽ μῦθον" (Il. 24, 632). ABL. γίνεται δὲ παρὰ τὸ ἐφέλκεσθ᾽ τὰ φάη· ὁ γ᾽ τυφλὸς μᾶλλον ἑλκεῖται. σημείωσαι δὲ ὅτι ἅπαξ εἴρηται αὐτῷ. BL.

ἡ δὲ διπλῆ, ὅτι ἅπαξ εἴρηται. ἔχει δὲ φολκὸς ὁ τὰ φάη εἱλκυσμένος, ὅ ἐστιν ἐσραμμένος. A.

χωλός: ἐκ τῆ κῶλον, ὃ σημαίνει τὸ ὀξῦ, ὃ τὸ ὀξῦν βεβλαμμένον ἔχων· καὶ τροπῇ τῆ ψιλῆ εἰς δασὺ καὶ μεταβάσει τῆ τόνε γίνεται χωλός. L.

ἕτερον πόδα: οἰκείως, ἐπεὶ δύο, ἢ τὸν ἀριστερὸν ἢ τὸν δεξιόν. ὃ καὶ πρὸς τὸ γελωτοποιεῖν ἄμεινον· ἧττον γ᾽ ἂν ἐγελᾶτο, εἰ ἄμφω τὼ πόδε. ABL.

ὦμω: ἐκ τῆ οἴσω μέλλοντος· ὁ γ᾽ ἐνεγὼς ἐκ εἰρῆθ. κ᾽ ὥσπερ τρέπεται τὸ ω̄ εἰς οῑ, ὡς ἀγκῶνος ἀγκοίνη, θῶ (τὸ εὐωχῆμαι) θώσω θοίνη, οὕτω καὶ ἡ οῑ εἰς ω̄ τρέπεται. L.

κυρτώ: κυρτός παρὰ τὸ κύπτω, κυπτός, πλεονασμῷ τῆ ῥ καὶ ἀποβολῇ τῆ συμφώνε κυρτός. κύρτος δέ, παροξυτόνως, εἶδος δικτύε, ὡς σπυρίδιον, τὸ λεγόμενον κυρτάριον. L.

ἐπὶ ςῆθος: ἵν᾽ ὁρῷτο τὸ κυρτὸν ἔμπροσθεν.

συνοχωκότε: ἀπὸ τῆ συνέχεσθ, ὅ ἐστι συμπεπτωκέναι. κ᾽ „ξυνοχῇσιν ὁδῶ" (Il. 23, 330) ταῖς ἀπὸ πλάτες εἰς ςενὸν συμπτώσεσιν. BL.

219. φοξός: εἴρηται ἀπὸ τῶν κεραμικῶν ἀγγείων τῶν ἐν τῇ καμίνῳ ἀπὸ τῆ φωτὸς ἀπωξυμμένων, καθά φησι κ᾽ Σιμωνίδης· „αὕτη δέ" φησι „φοξίχειλος Ἀργείη κύλιξ." ἔνιοι δὲ κυρίως τὸν ἐπὶ τὰ φάη, τετέσι τὰ ὄμματα, ἀπωξυμμένην ἔχοντα τὴν κεφαλήν. ἄμεινον τὸ πρότερον. A.

φοξὰ κυρίως εἰσὶ τὰ πυριῤῥαγῆ ὄςρακα, φλοξά τινα ὄντα. ABLV.

ψεδνή: πιθανῶς τῆτο, ἵνα μὴ λανθάνῃ τὸ φοξὸν τῇ κόμῃ καλυπτόμενον. ψεδνὴ παρὰ τὸ ψῶ· ὁ μέλλων ψήσω, ὄνομα ῥηματικὸν ψεδνός ὁ μαδαρός. ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ψῶ, τὸ εἰς ελίχισον καὶ μικρὸν ἐκ τινος ὁσίας καθιζάμενον. L.

τὸ δὲ ἐπενήνοθεν ἀπὸ τῆ ἔθω ἐνέθω, ἤνοθα κ᾽ ἐπενήνοθα· ὅθεν καὶ ἔνοσις. ἢ ἀπὸ τῆ θέω ὑπερβιβασμὸς ἔθω, ὡς ῥέω ἔρω (ῥέων ἀχέρων V)· ἐν συνθέσει ἐνέθω, ἤνοθα, καὶ Ἀττικῶς ἐνήνοθα. AB.

λάχνη: πύκνωσις, παρὰ τὸ λᾱ κ᾽ τὸν χν̄. LV.

220. τοῦτο τὸ ἔπος δηλοῖ ὅτι ἐν τῷ πρώτῳ ζυγῷ τῶν ἀριστέων ἐτέτακτο Ὀδυσσεύς. ἄκρως δὲ ὑπογράφει τὸ μισοπόνηρον αὐτῶν, ὡς οὐκ ἠνείχοντο γελώντων πονηρῶν ἀνθρώπων (ἐπιγελᾶν ἀνθρώπων πονηρία A). καὶ τὸ παροιμιῶδες δὲ συνάδει τούτοις· „ζητεῖ τοι συνετὸς συνετὸν φίλον, ἄφρονα δ᾽ ἄφρων." τοῖς οὖν καλλίσοις ἐναντίος ὁ ἔχθιςος. ABL.

ὅτι Ζηνόδοτος τῆτον καὶ τὸς μετ᾽ αὐτὸν τρεῖς ἠθέτηκεν. πρὸς ὑπόθεσιν δέ τινα λέγονται· ἐπίτηδες γ᾽ τούτων τῶν ἀγαθῶν ἐπεσβόλον παραγήοχεν. ἰξέον δὲ ὅτι Ἀχιλλεὺς αὐτὸν ἀναιρεῖ, ὡς ἱςορεῖ Κόϊντος ὁ ποιητὴς ἐν τοῖς μεθ᾽ Ὅμηρον (1, 765). φησὶ γ᾽ ὅτι ἐν τῇ Ἀμαζονομαχίᾳ ἀνελὼν ὁ Ἀχιλλεὺς Πενθεσίλειαν τὴν τῶν Ἀμαζόνων βᾰσίλισσαν, ὕςερον προχὼν (ἰδὼν D) τὸ σῶμα αὐτῆς εὐπρεπὲς πάνυ, εἰς ἔρωτα ἦλθε τῆς προειρημένης, βαρέως τε ἔφερεν ἐπὶ τῷ θανάτῳ αὐτῆς· ὁρῶν δὲ δυσφορῆντα αὐτὸν Θερσίτης συνήθως ἐλοιδόρει· ἐφ᾽ ᾧ ὀργισθεὶς ὁ ἥρως χρόνῳ παίσας αὐτὸν ἀναιρεῖ παραυτά, τῶν ὀδόντων αὐτῆ ἐνεχθέντων χαμαί. AD.

221. τώ: κἀν ταῖς Ἀριςάρχου ἐκδόσεσι δυϊκῶς εἶχε τὸ τώ· κἄν τισι δὲ τῶν παλαιῶν ὑπομνημάτων ἕτως ἐφέρετο. A.

τότ᾽ αὖτ᾽ Ἀγαμέμνονι: αἱ τῶν μεγάλων ἀτυχίαι ὑψῶσι τὰς ταπεινάς. αἴτιος δὲ αὐτὸς ὡς τὸν ἀριςέα ὑβρίσας· διὸ ἀδὲ τολμᾷ σωφρονίσαι. AB.

223. ἐκπάγλως: ὑβριςικῶς. κοτέοντο δὲ ἡδόμενοι τῷ βασιλεῖ. LV.

νεμέσσηθέν τ᾽: ὁ τέ σύνδεσμος ἐγκλιτικὸς ὢν τὴν πρὸ ἑαυτῆ συλλαβὴν ὀξύνει. A.

224. νείκεε μύθῳ: ἐξήγησις τῆ λέγ᾽ ὀνείδεα (222). L.

225. Ἀτρείδη, τέο δ᾽ αὖτ᾽ ἐπιμέμφεαι: τὸ ἄμετρον ἐπιδείκνυσιν· ἃ δὲ ἐπὶ τῆς προτέρας ἐκκλησίας λέγειν ἔδει, ὅτε ἔλεγεν Ἀγαμέμνων „ἀγέραος ἔω" (Il. 1, 119) κ᾽ „ἦσθαι δευόμενον" (ib. 134), νῦν προβάλλεται, ἴσως τότε τῷ πρὸς Ἀχιλλέα φθόνῳ νικώμενος. τοιαῦτα δὲ ἦν κ᾽ τὰ παρὰ Ἀχιλλέως „ἀτὰρ ἦν ποτε δασμὸς ἵκηται, σοὶ τὸ γέρας πολὺ μείζον" (ib. 166)· τοῦτον δὲ τὸ ἄκαιρον μετὰ τῆς πηρώσεως εἰς καταφρόνησιν ἄγει. ABL.

τέο δ᾽ αὖτε: ἕτως Ἀριςαρχος. Ζηνόδοτος δὲ διὰ τε τῆν. V.

ἐπιμέμφεαι: παρονομασία ἐπιμέμφεαι πρὸς τὸ „ὄφρα μὴ οἷος Ἀργείων ἀγέραος ἔω" (Il. 1, 119). V.

226. χαλκῆ: διὰ τί ἀπὸ τῶν ἄλλων (ὑπὲρ τὴν ἄλλην ὕλην D) τῆ χαλκῆ ἐμνήσθη; διότι τίμιος ἦν τοῖς ἀρχαίοις ὁ χαλκός. DL.

πολλαὶ δὲ γυναῖκες: ὅτι Ζηνόδοτος γράφει πλείαι δὲ γυναικῶν καὶ τὰς ἑξῆς δύο ἠθέτηκεν, ἐν οἷς μάλιςα ὁ Θερσίτης γελοιοποιός. A.

227. ὅτι τῆτον καὶ τὸν ἑξῆς Ζηνόδοτος ἠθέτηκεν. ἡ δὲ αἰτία προείρηται. A.

228. πρωτίςῳ: φωνὴ ὑπερθετική, ὡς ἐλευθερώτατος καὶ μονώτατος. ἕτος μὲν ἂν ἕλωμέν φησιν, ὁ δὲ Ἀχιλλεὺς „Τρώων ἐκπέρσω" (Il. 1, 164)· ἕτος γ᾽ κ᾽ ἑαυτῷ ἐπιγράφει τὰς πολεμίας. BL.

229. ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι ὄν κέ τις οἴσει: πῶς μὴ προγνωσθέντος τῆ χρυσῆ τὸ ἄρθρον ἐπῆξε, καὶ τῷ οἴσει μέλλοντι τὸν ἄν; οἶμαι τὸ ἔτι τὴν παράταsιν τῆς ἀπληςίας αὐτῆ δηλῶν. BLV.

230. υἷος: ἀπὸ τῆ υἷις· καὶ ἡ γενικὴ υἱος, καὶ συναιρέσει τῆ ῡ καὶ ῑ υἷος. L. προσληπτέον τὴν ὑπέρ πρόθεσιν, ἵν' ᾖ ὑπὲρ υἱᾶ δῶρα. D.

231. ὅν κεν ἐγώ: ὅτι Ζηνόδοτος τοὺς τέσσαρας ἠθέτηκεν, ἐν οἷς πάλιν ἐξὶ τὰ γελοιότατα. A.

ἐνταῦθα ᾗ τῶν ἄλλων πρᾴθηκεν ἑαυτόν, ὃ δὴ δείκνυσιν αὐτὸν καὶ γελοῖον παρὰ πᾶσιν ὑπὲρ πάντα. πάντως δὲ ἐπιθεὶς τῷ ϛήθει τὴν χεῖρά φησιν. L.

232. ἠὲ γυναῖκα νέην: ἐλεεινὸς παρ' αὐτᾶ καὶ ἐφύβριος διὰ Χρυσηΐδα ὁ βασιλεὺς δείκνυται. τὸ δὲ ἄγω ἀπὸ κοινοῦ. B.

233. νόσφιι ἐκ τῆ νο ϛερητικῆ ᾗ τῆ ἔπω τὸ ἀκολουθῶ. καὶ ἐξ αὐτῆ νόεπι· καὶ ὥσπερ ἀπὸ τῆ θεόφατον κατὰ ἀποβολὴν τῆ ο ᾗ πλεονασμῷ τῆ σ γίνεται θέσφατον, ᾗ θέοπις θέσπις, ὡς τὸ „θέσπιν κατεβρόντησεν," ἕτω καὶ τὸ νόεπι ἀποβολῇ τῆ ε ᾗ πλεονασμῷ τῆ σ γίνεται νόσπι, ᾗ τροπῇ τῆ ψιλῆ εἰς δασὺ νόσφι, ὁ μὴ ἀκολαθῶν ἀλλὰ πόῤῥωθεν ᾗ χωρὶς ὑπάρχων. γίνεται δὲ ᾗ ἐκ τῆ νόϛος, νόϛε νοσόφι καὶ ἐν συγκοπῇ νόσφι. καὶ διὰ τί γενόμενον ἀπὸ τῆς νόϛε γενικῆς ἐκ ἐγένετο νοσῆφι, ἀλλ' ἀπέβαλε τὸ ῡ; ᾗ λέγομεν ὅτι αἱ πτώσεις αἱ ἐπεκτεινόμεναι διὰ τῆς φι συλλαβῆς, εἰ μὲν ἔχασιν ἓν φωνῆεν κατὰ τὴν λήγουσαν, φυλάττουσιν αὐτό, οἷον ἠρανία ἠρανίαφι, ἑτέρη ἑτέρηφι „ὁδὸς δ' ἑτέρηφι παρελθεῖν" (Hesiod. O. 214)· εἰ δὲ ἔχουσι δύο φωνήεντα κατὰ τὴν λήγουσαν, τὸ τελευταῖον ἀποβάλλουσιν, οἷον χαλκός χαλκᾶ χαλκόφι· „πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός" (Il. 11, 351). νόϛε νοσόφι, ᾗ ἐν συγκοπῇ νόσφι. ἰϛέον δὲ ὅτι ἥδε ἡ διὰ τῆς φι συλλαβῆς παραγωγὴ κατὰ πᾶσαν γίνεται πτῶσιν, ᾗ ἀπὸ εὐθείας μὲν οἷον ἑτέρη ἑτέρηφι „ὁδὸς δ' ἑτέρηφι παρελθεῖν·" ἀπὸ γενικῆς οἷον χαλκός χαλκᾶ χαλκόφι, νόσος νόσου νοσόφι ᾗ νόσφι· ἀπὸ δοτικῆς οἷον βίᾳ βίηφι „Ἕκτωρ ἦφι βίηφι" (Il. 22, 107) ἀντὶ τοῦ ἐν βίᾳ, φρήτρη φρήτρηφι· ἀπὸ αἰτιατικῆς ὡς δεξιὸν δεξιόφι „ἢ ἐπὶ δεξιόφι παντὸς ϛρατᾶ ἢ ἀνὰ μέσσας" (Il. 13, 308) ἀντὶ τῆ ἐπὶ δεξιόν· ἀπὸ κλητικῆς οἷον ἠρανία ἠρανίαφι „ἠρανίαφι λίῃ ἀείσομαι." αὗται αἱ διὰ τῆς φι συλλαβῆς ἐπεκτάσεις τὸ αὐτὸ μέρος τῆ λόγε φυλάττουσι, χωρὶς τῆ νόσφι ᾗ ἶφι· ταῦτα γὰρ μετῆλθον εἰς ἐπιῤῥηματικὴν σύνταξιν. L.

234. ἀρχὸν ἐόντα: τῶν Ἀχαιῶν· ἀπὸ κοινᾶ γάρ ἐϛι τὸ Ἀχαιῶν. κακῶν δὲ διὰ τὸν λοιμὸν καὶ τὴν Ἀχιλλέως ἀπόϛασιν δι' αὐτόν. ἐπιβασκέμεν δὲ ἀντὶ τοῦ ποιεῖν ἐπιβαίνειν. BL.

235. ὦ πέπονες: τὸ πέπονες παραλαμβάνει ἐπὶ ἐπαίνε καὶ ψόγε. καὶ ἐνταῦθα μὲν ἐπὶ ψόγου, ἐπὶ δὲ τοῦ ἐπαίνου ὡς τὸ „ὦ πέπον, ὦ Μενέλαε" (Il. 6, 55). ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πεπαινομένων καρπῶν, οἳ μετρίως πεπανθέντες εὔχρηϛοι ᾗ εὐαπόδεκτοι, ὑπερπεπανθέντες δὲ ἔκλυτοι καὶ σεσηπότες· διὸ ᾗ λέξις τὰ ἐναντία σημαίνει. BL.

ἔκλυτοι ᾗ ἀσθενεῖς, ὁτὲ δὲ ἥδιϛοι. A. ἐκ μεταφορᾶς τῶν πεπόνων, ἃ τῇ μὲν γεύσει ἐϛὶν ἡδέα, τῇ δὲ ὄψει καὶ τῇ ἁφῇ μαλακὰ καὶ εὐένδοτα. DL. πέπονες ἦγεν ταλαίπωροι καὶ μάτην πονοῦντες ἀΐδια, ἐκ τοῦ πόνω, καὶ κατὰ ἀναδιπλασιασμὸν τῆς α' συλλαβῆς. L.

Ἀχαιΐδες: παρονομασία, οἷα „ᾗ Φίλιππος ἀλλὰ Φιλίππιον κεκράτηκε δὶς Ἑλλάδος." L.

ἡ μὲν τελευταία τῆ ϛίχε τελεία, αἱ δὲ μεταξὺ βραχεῖαι διαϛολαί, πέπονες, ἐλέγχεα, Ἀχαιΐδες. τὸ δὲ πέπον κοινόν, ὁ πέπων καὶ ἡ πέπων, καὶ τὰ πέπονα. γέλωτα δὲ κινεῖ κάκ' ἐλέγχεα καλῶν τὰς Ἀχαιὰς ὁ ἐπονειδίϛος καὶ σῶμα ᾗ ψυχὴν Θερσίτης. ABL.

236. σὺν νηυσὶ νεώμεθα: σὺν τῷ σόλφ. κακοήθως δὲ τὰς Ἕλληνας ὑπέμνησε τῆ νόϛε, ἐφ' ὅνπερ ὁρμήσαντες ἐπεχείθησαν· ᾗ τὸ φεύγωμεν διὰ τῆ νεώμεθα ἰάσατο. ABL.

237. γέρα πεσσέμεν: τὰ γέρα, ὃ ἐξὶ τὰς τιμάς, κατέχειν. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν γαϛρὶ σιτίων· ᾗ γὰ αὐτά, ἂν μὴ κρατηθῇ τὸν ὡρισμένον χρόνον, ἀσθενάσης τῆς καθεκτικῆς δυνάμεως, ἐ πέπτεται. AD.

κυβεύειν, περιφέρειν, ἢ κατέχειν, ὡς τὸ „χόλον θυμαλγέα πέσσων" (Il. 9, 561). BL.

238. ἠὲ καὶ οὐκί: ὅτι τὴν ἀπόφασιν διὰ τῆ κ, ᾗ διὰ τῆ χ. A.

239. ἕο: ἡ διπλῆ περιεϛιγμένη, ὅτι Ζηνόδοτος γράφει ἑᾶ. τᾶτο δὲ ἀσύναρθρον (σύναθρον?) ᾗ ἐχ ἁρμόζον τῷ λόγῳ. A.

241. οὐκ Ἀχιλῆϊ χόλος: ἕτω τὴν ἐκ χολῆς γινομένην τῆ θυμῆ κίνησιν ὀνομάζει. τᾶτο δὲ πρὸς τὸ ἀτελὲς τῆς ξιφελκίας φησίν. BL.

μεθήμων: ἔκλυτος· ἔνθεν καὶ μέθη. L.

242. λωβήσαιο: πρὸς τὸ χῆμι, ἀντὶ τῆ ἐλωβήσω ἄν, ἔβλαψας, ἢ λωβητὸς ἐγένου. A.

ἐκ τῆ λωβῶ λωβήσω. τᾶτο ἐκ τῆ λοβός, ἀπὸ μεταφορᾶς τῶν ἠκρωτηριασμένων, ἐπειδὴ οἱ παλαιοὶ τὰς ἔν τινι ἀτοπήματι ἁλόντας ἐνυβρίζοντες τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον, ὡς ᾗ ὁ ποιητὴς πρὸς τὸν Ἶρον (Od. 18, 86). ᾗ ταῦτα ὁ Ὡρίων. ὁ δὲ Ἡρωδιανὸς ἐκ τῆ λαβή εἶναί λέγει, ὃ σημαίνει τὸ ξίφος· ᾗ τροπῇ τῆ ᾱ εἰς ω ᾗ ἀναδόσει τῆ τόνε λώβη, ὡς ἀπὸ τῆ φᾶρος φαριαμός καὶ φωριαμός. BL.

243. Ἀγαμέμνονα ποιμένα λαῶν: μεθ' ὑποκρίσεως ἀντιπαρέθηκε πρὸς ἀγανάκτησιν τὰ ὀνόματα, ἐμφαίνων ὅτι τὸν ἄριϛον ὁ αἰχμὸς ὠνείδιζεν. ἠθικὴ οὖν ἔϛαι ἡ ἀνάγνωσις. AB.

244. τῷ δ' ὦκα παρίϛατο δῖος Ὀδυσσεύς: μεταξὺ λέγοντι παρίϛη Ὀδυσσεύς. ἀναφέρεται δὲ τοῦτο ἐπὶ τὸ „ὃν δ' αὖ δήμε ἄνδρα ἴδοι" (198). ἐκᾶν ὁ τῶν βασιλέων Θερσίτης· βασιλικῶς δὲ ὑπερφρονεῖ οὐ μόνον τῶν ἄλλων ἀλλὰ ᾗ αὐτῆ τῆ Ἀγαμέμνονος (ὑπερφρονεῖ τέτων Ἀγαμέμνων. L). φασὶ δὲ καὶ τὸν Ἀλεξάνδρε κύνα μικρὸν ὄντα τὰ μὲν μικρὰ θηρία παρορᾶν, ἐπὶ σῦς δὲ ᾗ λέοντας ὁρμᾶν. BL.

245. ἠνίπαπε: ἐνίπτω ἤνιπα ᾗ ἠνίπαπεν, ὡς ἠρύκακεν. LV. ἐκ τῆ ἐνίπτω τὸ ἐπιπλήϛσω. τᾶτο ἐκ τῆ ἐνέπω τὸ λέγω· κυρίως γὰ τὸ διὰ λόγων ἐπιπλήϛσειν. ἐνίπτω γοῦν ἐνίψω ἤνιφα ἤνιπα, ἐξ οὗ ᾗ ἐνιπή, ὡς τὸ „μάλα πως καθίκετο θυμὸν ἐνιπή" (Il. 14, 104). L.

246. ἀκριτόμυθε, λιγύς: μετὰ εἰρωνείας, ὡς ϰ τὸ λιγύς. οἱ δέ, ἀκριτόμυθε ἀντὶ τῆ ἀμετροεπές, πρὸς κατάγνωσιν τῶν εἰρημένων. AB.

247. μηδ' ἔθελ': ἀεὶ ἐθέλω ἔφη· καὶ ἀλλαχῆ γὰρ „ἤ τ' ἤθελε." A.

248. χερειότερον: ὡς μειζότερον (μειζονώτερον LV) καὶ βελτιώτερον. BLV.

βροτόν: φθαρτὸν ἄνθρωπον. βρότος δὲ παροξυτόνως τὸ μετὰ κόνεως μιγὲν τῆ ἀνθρώπε αἷμα. D.

249. Ἀτρείδης': οὗτοι ἦσαν κατὰ μὲν τὸ σύνηθες Ἀερόπης καὶ Ἀτρέως παῖδες τῆ Πέλοπος, τῆ δ' ἀληθείᾳ Πλειθένους, ὥς φασιν ἄλλοι τε πολλοὶ καὶ Πορφύριος ἐν τοῖς ζητήμασιν. ἀλλ' ἐπειδὴ Πλειθένης νέος τελευτᾷ μηδὲν καταλείψας μνήμης ἄξιον, νέοι ἀνατραφέντες ὑπὸ Ἀτρέως αὐτῆ παῖδες ἐκλήθησαν. AD.

250. ἀνὰ ϛόμ' ἔχων ἀγορεύοις: διὰ συνεχῆς μνήμης, ἢ ἀντὶ σκήπτρε τὸ ϛόμα ἀνέχων. ἀγορεύοις δέ, ὀνομαϛὶ περιφέροις, ἢ ὑβρίζοις. A. ὀνομάζοις, μή τι καὶ ὑβρίζοις. L.

διὰ τῆτο εἰ μὴ τοιῆτος εἴης, ἐκ ἂν τοὺς βασιλέας ἐπὶ ϛόματος ἔχων δημηγοροίης. BL.

251. νόϛον τε φυλάϛϛοις: τὴν πρὸς τὴν φυγὴν εὐκαιρίαν παρατηροῖς. BL. νόϛος ἐκ τῆ νέω τὸ πορεύομαι, ἡ ὑποϛροφή. L.

252. ἀπὸ τάτε ἕως τῆ ἥρωες Δαναοί (256) ἀθετῆνται ϛίχοι ε', ὅτι πεζότεροι τῇ συνθέσει, καὶ τὸ ἧσαι ἐ κυρίως ἕϛι δέξαϑϛ· ἐ γ' κάθηται· ἐδ' ὡς ὁ Διομήδης λέγει „τέττα σιωπῇ ἧϛο" (Il. 4, 412) ἀντὶ τοῦ ἡσύχαζε. διαϛαλτέον δὲ κατὰ τὸ τέλος τῆ ϛίχου· τὸ γ' ἐπιφερόμενον τοιῆτον, πότερον εὖ ἢ κακῶς· διὸ καὶ περισπᾶται. A.

οὐδέ τί πω ϛάφα ἴδμεν: ἐντέχνως πάνυ, ὡς πρὸς τὸν Θερσίτην λέγων, πρὸς τὲς Ἕλληνας ἀποτείνε9. μέϛης γ' αὐτῷ δεῖ γνώμης, ϛοχαζομένῳ τῆ πλήθες. φησὶν ἐν{ὡς ἐκ ἴϛασιν εἰ ἐπ' ἀγαθῷ τὰ τῆς ἐπανόδε αὐτοῖς ἔϛαι. ἀδήλε δὲ ὄντος τῆ νόϛε, σὺ τὸν βασιλέα ἐπισκώπτεις, λέγων ὡς πολλὰ λαμβάνει παρὰ τῶν Ἑλλήνων. BL.

254. 255. ἀθετῆνται ὡς περισσοὶ ἔτοι οἱ δύο. ἔχουσι δέ τι καὶ ψεῦδος. πάντων γ' καθεϑέντων ἐκεῖσε μόνος Θερσίτης ἀκοσμεῖ· ἐνταῦθα δὲ ὡς περὶ καθημένε λέγει. ἢ τὸ ἧσαι ἐπὶ τῆ προεδρεύεις καὶ προηγῇ τῆς ὕβρεως. BL.

255. προεδρεύεις, ἀπὸ τῶν πολιορκούντων· „ἧμαι ἐνὶ Τροίῃ" (Il. 24, 542). ἢ ἀντὶ τῆ τέρπῃ. L.

τὸ ὅτι οἱ ἐν μιᾷ ὀξείᾳ προενεκτέον· πᾶϛα γ' δίβραχυς λέξις πρὸ ἐγκλιτικῆ ἐκ ἐπιδέχεται ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἐπιφέροιτο ἀντωνυμία διὰ τῆ ϖ, σεσημειωμένε τῆ „ἔνθ' ἔϛάν οἱ πέπλοι" (Od. 15, 105). ABL.

διδοῦϛιν: ἔτως περισπωμένως τὸ διδῶϛιν· τὸ γ' ῥῆμα διδῶ. A.

258. ὁ μὲν Ἀρίϛαρχος εἰ δέ τι, ὁ δὲ Ζηνόδοτος εἴ κ' ἔτι, ὃ προκριτέον. ἡ δὲ Σινωπικὴ εἶχε κιχήσομαι ὡς τὸ πάρος περ, ἀντὶ τῆ ὡς νύ περ ὧδε· ἡ δὲ Μασσαλιωτικὴ ὕϛερον αὖτις· ἡ δὲ κατὰ Φιλήμονα ἐν Δαναοῖϛιν. B.

ὅτι περισσὸς ὁ κέ, καὶ ὅτι συνεκδοχή, εἴ ϲε ἀφραίνοντα κιχήσομαι ὕϛερον αὖτις. ἐν δὲ τῇ κατὰ Φιλήμονα τὸν Κρητικὸν κιχήσομαι ἐν Δαναοῖϛιν. δύναιτο δ' ἂν τὸ ὣς νύ περ ὧδε ἀκέεϑϛ ἁπλόϛερον ἀντὶ τοῦ ἕτως, ὡϛαύτως. ταῦτα ὁ Δίδυμος. κατὰ τὸ τέλος τῆ ϛίχε ὑποϛικτέον. A.

ἀφραίνοντα: ὅτι ἀφρόνων ἐϛὶ τὸ τὰ τοιαῦτα πράϛσειν. ALV.

κιχήσομαι: Πτολεμαῖος κιχείομαι γράφει. A.

259. Ὀδυσῆϊ κάρη ὤμοισιν ἐπείη: οἱ γ' πολέμιοι δειροτομᾶσιν ὃς λήψονται, ὡς τὸ „ἶν' ἀπ' ὤμοιν κεφαλὴν τάμοι" (Il. 17, 126) καὶ „σὺν σφῇσι κεφαλῇσιν" (Il. 4, 162). BL.

σὺν τῷ αὐχένι κάρη λέγεται. L.

260. μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην: οὐχ ἑαυτῷ νῦν ἀρᾶται, ἀλλὰ τῷ παιδί. καὶ ἔϛιν ἡ μὲν πρώτη κατάρα κατὰ τῆ Ὀδυϛέως, ἡ δὲ δευτέρα κατὰ τῆ Τηλεμάχου· εἰ γ' ἀπόλοιτο ὁ παῖς, οὐκέτι πατήρ ἐϛιν Ὀδυϛεύς. ἅμα δὲ καὶ τοῖς Ἕλλησιν ἐντέχνως παρεμφαίνει ὅτι καὶ αὐτὸς υἱὸν μονογενῆ ἔχων ἐ σπεύδει ἐπ' αὐτόν. προοικονομεῖ δὲ τὰ περὶ τὴν Ὀδύϛϛειαν. AL.

ἡ διπλῆ δέ, πρὸς διαϛύγκρισιν τὰ κατὰ τὴν Ὀδύϛϛειαν μέλλοντα λόγε τυχεῖν πλείονος. AB.

262. διαϛολαὶ χιτῶνα, ἀμφικαλύπτει. A.

αἰδῶ: Ἀρίϛαρχος περισπωμένως ἀναγινώϛκει, ὁμοίως καὶ τὸ „ἠῶ δῖαν ἐμιμνε" (Il. 9, 662). καὶ ἡμεῖς δὲ αὐτῷ ϛυγκατατιθέμεθα. Διονύσιος δὲ ὁ Σιδώνιος ὀξύνει. Πάμφιλος δὲ πάϛας τὰς τοιαύτας αἰτιατικὰς περισπᾷ· „Λητῶ γ' δ' ἤλκησε" (Od. 11, 580) καὶ „Πυθῶδ' ἐρχομένην" (ib. 581), ἐπεί, φησί, Λητόα ἐϛὶ καὶ Πυθόα. Διονύσιος δὲ ὁ Θρᾴξ φησι κακῶς ἀνεγνωκέναι τὸν Ἀρίϛαρχον κατὰ τὸν περισπώμενον τόνον τὸ μὲν αἰδῶ ϰ ἠῶ, τὰ δὲ ἄλλα κατ' ὀξεῖαν τάσιν, Πυθώ Λητώ· ἐχρῆν γάρ, φησίν, ὁμοίως ἀνεγνωκέναι. ἐκ εὖ δὲ μέμφεται τῷ Ἀριϛάρχῳ, εἴγε ἤδη διάφοροι αἱ εὐθεῖαι, ἠώς αἰδώς, Λητώ δὲ καὶ Πυθώ. ἔϛιν ἓν λόγος ὑπὲρ τῆς Ἀριϛαρχείε ἀναγνώϛεως καὶ τῆς κατεγνωϛμένης προϛῳδίας ἕτος, ὅτι ἐχρῆν μὲν τὸ Πυθώ περισπᾶϑϛ, ἐπειδήπερ Πυθόα ἐϛί, καὶ τῆτο ἀπῄτει ἡ ϛυναλοιφή· ἀλλὰ πάλιν τὸ πτωτικὸν ᾧ ἀπέϛραπται τὸν περισπώμενον τόνον· κατὰ τῆτο ὠξύνετο. ταύτῃ γᾶν ϰ τῆ χρυσᾶ περισπωμένε τὸ δυϊκὸν ὀξύνομεν. ἔτως ἀποδείκνυ9 ὅτι ϰ ἡ καλῷ δοτικὴ εἰς ῑ λήγει καὶ ἐκ εἰς ῳ. δεύτερος δὲ λόγος ἀληθής ἐϛιν, ὡς εὐθεῖα καὶ αἰτιατικὴ ὁμόφωνος ἅϛα κατὰ φωνὴν ἐν τῷ αὐτῷ ἀριθμῷ πάντως ϰ τὸν αὐτὸν τόνον ἐπιφέρεται, οἱ ταχεῖς – τοὺς ταχεῖς. εἰ δὲ ἡ εὐθεῖα ὀξύνεται, πάντως καὶ ἡ αἰτιατική. διὰ τῆτο ἂν ἡ μὲν αἰδῶ αἰτιατικὴ καὶ ἠῶ, μὴ κρατέμεναι ὑπὸ τῆς ϛυνεμπτώϛεως κατὰ τὴν εὐθεῖαν, περισπῶνται, κατεχόμεναι τῷ λόγῳ τῆς ϛυναλοιφῆς, ἐχ ὑπὸ τῆ πτωτικῆ χαρακτῆρος· ἡ δὲ Λητώ ϰ Πυθώ, καίπερ (καίπερ ϛυναληλιμμέναι?) κατεχόμεναι ὑπὸ τῆς ϛυνεμπτώϛεως τῆς φωνῆς κατέχονται ϰ τῷ τόνῳ. A.

ἢ τὴν τῆ ὕλᾳ σώματος, ἢ τὴν τῶν μορίων (τῆ μορίᾳ L)· ὅπερ καὶ ἄμεινον. BL. μέχρι παρ' αἰδῶ, ἀντὶ τῆ μορίᾳ. L.

264. πεπληγώς: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ πλήσσων τὸ παθητικὸν παρείληφεν. A. τινὲς πεπληγών, ὡς τὸ „πέπληγον δὲ χορὸν ποσσίν" (Od. 8, 264). B.

266. πλῆξεν: πῶς ἠπείλησε μὲν περὶ τῶν ἔπειτα, νῦν δὲ τὴν ἀπειλὴν ἐκτελεῖ; ἀλλ' ἐχ ἃ ἠπείλησεν, ἐτέλεσεν, ἀλλὰ διὰ τῆς βραχείας πληγῆς πιζῆται ὅτι μὴ σωφρονιζόμενος καὶ ταῖς μείζοσιν αἰκίσεται πληγαῖς. ἢ ἀπόπειραν διὰ τῆς ἀπειλῆς ποιεῖ πῶς οἱ πολλοὶ ἔξεσι τυπτομένε αὐτῆ, εἶτα βελομένες ἰδὼν τὲς Ἕλληνας ἐχ ὑπερέθετο τὴν κόλασιν, ἀλλὰ παίει τὸν κυρτόν, ἐκ τότε γέλωτα κινῶν. ἢ νῦν μὲν ἐνδεδυμένον παίει, ὕςερον δὲ γυμνὸν πλῆξειν ἀπειλεῖ. δικαίως δὲ τιμωρεῖται βραχείᾳ πληγῇ· κολάζεται γὰ ὁ μὲν εὐφυὴς νεθεσίᾳ, ὁ δὲ ἄκοσμος ὕβρει, ὑγιὴς δὲ τὸ σῶμα βασάνοις ἢ χρημάτων εἰσφοραῖς, ὁ δὲ λελωβημένος, οἷος ὁ Θερσίτης, βραχείᾳ πληγῇ καὶ τῇ μεθ' ὅρκων ἀπειλῇ. BLV.

ἐναντίον ἐςὶ τὸ εἴ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι (258) τῷ ὡς ἄρ' ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ κ' ὤμω πλῆξεν· μεταξὺ γὰ οὐχ ὑπερβαλλόμενος αὐτὸν παίει. λύοιτο δὲ τῇ λέξει· προεῖπε γὰρ „εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω" καὶ γυμνὸν αἰκιῶμαι, ὧν ἐδὲν φαίνεῖ δρῶν τὰ νῦν. BL.

ἰδνώθη: ἐπεκάμφθη, παρὰ τὸ ἴζω. τὸ ἴζω δασύνεται, καὶ γίνεται ἰδνῶ, τραπέντος τῆ ζ εἰς δ Δωρικῶς, κ' πλεονασμῷ τῆ ν· τὸ γὰ ἰδνῶ ψιλῆται. L. ἀνεκλάθη, ὅπως πλεῖον προκύψῃ τὸ κυρτόν. BL.

θαλερὸν δὲ τὸ ἔνικμον, ἀπὸ τῆς τῶν φυτῶν μεταφορᾶς. τινὲς δὲ γράφεσιν ἔκφυγε δάκρυ, διὰ τὸ τάχος δηλῶν τὴν λέξιν. BL.

ἔτως αἱ Ἀρισάρχα, ἔκφυγε. καὶ ἔξιν ἡ χρῆσις Ὁμηρικὴ τῆς λέξεως· παρίςησι γὰ ἐνίοτε τάχος· „φύγεν ἡνία" (Il. 23, 465) καὶ „ἔκφυγε χειρός" (Il. 5, 18). A.

267. σμῶδιξ — ἐξυπανέςη: σμῶδιξ ὁ ἐκ πληγῆς ὕφαιμος μώλωψ. D. σμῶδιξ καλεῖται τὸ ἐκ πληγῆς οἴδημα, παρὰ τὸ σμῶξαι· οὕτω γὰ ἔλεγον Ἴωνες τὸ πατάξαι. ἐμφατικῶς δὲ πυκνὰς τὰς προθέσεις παρέλαβεν ἐν τῷ ἐξυπανέςη ὡς ἐν τῷ ὑπεξαναδύς (Il. 13, 352)· κ' διὰ μὲν τῆς ὑπὸ τὴν κάτωθεν (τὴν κατ' ὀλίγον A), διὰ δὲ τῆς ἐξ τὴν εἰς εὐθύ, διὰ δὲ τῆς ἀνά τὴν εἰς ὕψος χέσιν. ἢ ὑποτρέχοντος τῷ αἵματος κατ' ὀλίγον ἔξω διῆρεν (ἐξώδηκεν L). BL.

ἀνέςη ἀπὸ τῆς πληγῆς τῆς χρυσῆς ῥάβδε, ἐμφατικῶς, ὡς τὸ ὑπεξαναδύς. A.

268. ἔζετο: δηλοῖ ὅτι νῦν καθέζεται. μάτην ἄρα ἔλεγε τὸ ἧσαι ὀνειδίζων (255). BLV.

269. ἀχρεῖον: παρὰ μὲν τῷ ποιητῇ προπερισπώμενον, παρὰ δὲ τοῖς Ἀττικοῖς προπαροξύτονον. L.

Διονύσιος καὶ Τυραννίων τὴν πρώτην ὀξύνεσιν, ὥσπερ καὶ παρὰ τοῖς Ἀττικοῖς, καὶ ἀναλόγως· παρὰ γὰ τὸ χρεία τὸ κατὰ ςέρησιν ἄχρειος ὡς μέσα ἄμεσος. ἢ μέντοι παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἀφορμῆς ἐχομένη τῆς κατὰ τὴν συνεκδρομήν, προπεριεσπάσθη. τὰ γὰ ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ ᾱ μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μετὰ τῆς ει διφθόγγε, μὴ σημαίνοντα μέρος σωματικόν, προπερισπᾶ, ἀνδρεῖος Ἀργεῖος. ἔτως καὶ ἀχρεῖος. A.

χρῶ ἐςὶ ῥῆμα δηλῶν τὸ ἅπτομαι καὶ πλησιάζω, ἔ παραγωγὸν χραύω· „χραῖσῃ μέν τ' αὐλῆς ὑπεράλμενον" (Il. 5, 138). ἀφ' ἔ ἔχρας τὸ βαρύνειν, καὶ μετὰ τῆ ἄλφα τῆ ςερητικῆ ἄχρης καὶ ἀχρεῖον τὸ ἀσθενὲς καὶ βάρος μὴ μετέχον· „ἀλγήσας δ' ἀχρεῖον ἰδών." ἐπὶ δὲ τῆς Πηνελόπης „ἀχρεῖον δὲ γέλασσεν" (Od. 18, 163), ἐπίπλαςον καὶ ὑποκεκριμένον, μέχρι τῆ τὰ χείλη μόνον διανοίγειν. τῆ δὲ ἄχρης κτητικῷ τύπῳ ἀχρήϊον. ἔτως Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων. A.

ὀργιζομένε κ' μὴ δυναμένε ἀμύνασθ διαγράφει βλέμμα. ἔξιν ἐν ἀκαίρως ὑποβλέψας, ὡς τὸ „ἀχρεῖον δ' ἐγέλασσεν." ἢ τὸ πρόσωπον τοῖς δάκρυσιν ἀμορφώσας, ὡς αἰχρόν ἐςι μὴ καλῶν ἀπ' ὀμμάτων κλᾶον πρόσωπον καὶ δακρυῤῥοᾶν ὁρᾶν. ἄκρως δὲ τὸ τῶν θρασυδείλων εὐτελὲς κωμῳδεῖ. BLV.

ἰδών: ὅτι Φιλητᾶς τὸ ἰδών περισπᾷ, οἷον τῶν ὀφθαλμῶν, ἰδεῶν. ἐδέποτε δὲ Ὅμηρος ἰδέας τὲς ὀφθαλμὲς εἶπεν. ἔξιν ἐν τὸ ἀχρεῖον ἰδών ἐντελῶς χηματίσας. A.

δάκρυ: δάκρυον, ἀποκοπῇ τῆ ον. B.

270. ςικτέον μετὰ τὸ ἀχνύμενοί περ, ἔπειτα ἀπ' ἄλλης ἀρχῆς ἀναγνωςέον, ἵν' ᾖ, οἱ δὲ Ἕλληνες, καίτοι λυπέμενοι διὰ τὴν ἀναβολὴν τῆς ἐπὶ τὸν οἶκον ἀνακομιδῆς, ἡδὺ ἐγέλασαν ἐπὶ τῇ ὄψει τῆ Θερσίτε. ςασιάζον δὲ τὸ πλῆθος πληγαῖς ἢ γέλωτι παύεται, οἷς ἀμφοῖν ἐχρήσατο ὁ ποιητής. ADL.

271. ὧδε: κατὰ Ἀρίςαρχον ἐδέποτε τοπικῶς ἀλλ' ἀντὶ τῆ οὕτως τάσσει· „ὣδε δέ τις εἶπεσκεν ἰδών." ἐπὶ δὲ τοῦ „Ἥφαιςε πρόμολ' ὧδε" (Il. 18, 392) ἔτως ἄκβει, πρόελθε ἔτως ὡς ἔχεις, ἐκ προχείρε. A.

272. ἠ: τὸν ἢ περισπαζέον· παραλλήλως γὰ κεῖ τῷ δή, βεβαιωτικὸς ὤν, ὁμοίως τῷ „ἦ δὴ λοίγια ἔργα" (Il. 1, 573). A.

μυρί' Ὀδυσσεύς: φιλαλήθεις οἱ Ἕλληνες, οἳ κ' τυφθέντες ὑπὸ Ὀδυσσέως ἐκ ἀποκρύπτεσι τὸν ἔπαινον. L.

ἔοργε: ῥέζω τὸ πράττω, ὁ μέλλων ῥέξω, ὁ μέσος παρακείμενος ἐῤῥόγα καὶ καθ' ὑπερβιβασμὸν ἔοργα ἔοργε. L.

πῶς προειπὼν αὐτὲς γεγελακέναι σπεδαῖα καὶ ὁ γελοῖα παρύγει λέγοντας; τάχα οὖν τοῖς ἐπὶ Θερσίτε περιῄρηται (παρῄρηᾶ LV) τὸ θρασὺ κ' παῤῥησιαςικὸν αὐτῶν ὁ Ὀδυσσεύς. ἄλλως τε προοικονομεῖ τὴν εἰς ὅλην τὴν ποίησιν ἀμνηςίαν Θερσίτε διὰ τοῦ οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ (276). BLV.

ἄλλως. διὰ τί ἐπὶ τῷ Θερσίτῃ πληγὰς λαβόντι καὶ γελοίως δακρύσαντι, καὶ τὲς Ἕλληνας, καίπερ ἐφ' οἷς ἐπεπόνθεσαν ὑπὸ τῆ Ἀγαμέμνονος λυπεμένες, γελάσαι ποιήσας ἐπὶ τῷ Θερσίτῃ αἰχρῶς δακρύοντι, ἐκ ἠρκέθη ὁ ποιητὴς εἰπεῖν „οἱ δὲ καὶ ὀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν," ἀλλὰ καὶ προσίθησι καὶ λόγες λεγομένες τοιούτος· „ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐῶλὰ ἔοργε, βολάς τ' ἐξάρχων ἀγα-

θὰς πύλεμόν τε κορύσσων" καὶ τὰ ἑξῆς; ἐ γὼ ἀκόλουθον τῷ γέλωτι γνωμολογεῖν, ἀλλὰ μᾶλλον ἐπισκώπτειν ἢ τι τοιοῦτον διασύροντας καὶ ἐπιτωθάζοντας λέγειν. φαίνεται δὲ ὁ ποιητὴς ἐνδείκνυσθαι διὰ τοῦ λόγου τοῦ ἀνακειμένου τῷ πλήθει ὅτι πᾶν τὸ ἄκοσμον τῶν πολλῶν ἤδη κατέσαλται καὶ τὸ σασιῶδες αὐτῶν ἐξήρηται καὶ ὅλως τὸ κατεξανίσασθαι τοὺς φαύλους τῶν κρειττόνων, καὶ νομίζειν αὐτοῖς ἐξουσίαν εἶναι τοῦ λέγειν ὃ βούλονται καὶ ποιεῖν, πεπαυμένου ἤδη ὑβρίζοντος καὶ ἐπεσβόλου ἐκ τοῦ τολμᾶν ἐκκλησιάζειν, ἅμα δὲ καὶ ἄλλο τι προσοικονομεῖσθαι. ἐπεὶ γὼ οὐκέτι μνησθήσεσθαι Θερσίτου ἔμελλεν, ἀλλὰ πρὸς ὀλίγον χρησάμενος ἐξαιρήσειν πᾶσαν αὐτοῦ μνήμην ἐκ τῆς ποιήσεως, πιθανῶς τὴν μηκέτι μέλλουσαν αὐτοῦ πάροδον ἀνατέθεικε τῇ τότε παιδεύσει, καὶ προεῖπεν ἡμῖν τοῦτο τῷ παντὶ πλήθει χρησάμενος κήρυκι τοῦ μέλλοντος, δι' ὧν ἔφη „ἔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν." εἰ γὼ προσῆν μὲν αὐτῷ τὸ μὴ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν, ἐκεῖ δὲ φαίνεται τοῦτο δρῶν, ἀναγκαίως ἡ τῆς αἰτίας ἀπόδοσις, ὅτι σωφρονισθεὶς ἐπαύσατο, ὡς μηδ' ἂν ἐπιθυμῆσαι πάλιν ἀκοσμεῖν. τοῦτο γὼ ἠπείλητο αὐτῷ ἀπὸ τοῦ Ὀδυσσέως „εἰ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε" (258), μεθ' ὅρκου τὴν κόλασιν ἀνατεινάμενος εἰς κώλυσιν πάσης τοιαύτης ἀκοσμίας. ὁ μὲν ἐν εὐφυεῖ λόγῳ ἁμαρτάνων νοθευτεῖ?, ὁ δὲ κακοφυὴς πλουτῶν μὲν χρημάτων ζημίᾳ, ῥώμῃ δὲ σώματος θαῤῥῶν δεσμοῖς καὶ ταῖς τοῦ σώματος βασάνοις· ὁ δὲ οἷος ἦν ὁ Θερσίτης, ἀσθενής τε καὶ λελωβημένος πάντοθεν τὸ σῶμα, πληγαῖς τε καὶ μεθ' ὅρκων ἀπειλαῖς μίκισμα μέλλοντος μετὰ γυμνώσεως καὶ πάσης ἐνδείξεως τῆς τοῦ σώματος αἰσχύνης, ταῦτα γὼ γενόμενα ὑπὸ πολιτικοῦ ἀνδρὸς τὰ μέτρα τὴν κόλασιν καὶ τοὺς τρόπους καὶ τὸ κατ' ἀξίαν ἐκύρσε ἁμαρτήματος ὑπέδειξεν. B.

273. βουλὰς τ' ἐξάρχων: οὕτω φησὶν Ἴων „βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται." A.

κορύσσων: Αἰολικῶς, ἀπὸ τοῦ κορύπτω. L.

275. λωβητῆρα: τὸν ψεύστην, ἢ τὸν λωβηθέντα. ἐπεσβόλον δὲ ὡς ἐγχέσπαλον, ἤτοι τὸν ἔπεσι βάλλοντα τοὺς πολλοὺς βλάσφημον. σημειοῦνται δέ τινες τὸ λωβητῆρα ἐπεσβόλον, ὅτι ἓν ἐστιν ἐξ ἀμφοτέρων. ἀγοράων δὲ ὡς συνεχῶς αὐτοῦ παῤῥησιαζομένου. BL.

276. οὔ θήν μιν πάλιν: τοῦτο διὰ τὸ μὴ ἔτι μνησθῆναι αὐτοῦ ἐν τῇ ποιήσει. τὸ δὲ πάλιν εἰς τὸπίσω, τὸ δὲ αὖτις χρονικόν, ἐξ ὑστέρου. L.

ἀγήνωρ: αὐθάδης, ὑβριστὴς καὶ θρασύς. ἔστι δ' ὅτε δηλοῖ καὶ τὸν ἀνδρεῖον. D.

278. ὣς φάσαν ἡ πληθύς· ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεύς: ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι πρὸς τὸ νοητόν· τὸ γὼ ἔννοιαν ἔχον τοῦ πλήθους ὄνομα πρὸς πληθυντικὸν ἐπισυνέζευξε τὸ φάσαν· ᾧ εἴη ἂν ὅμοιον „δερκόμενοι πᾶς δῆμος." καὶ πρὸς τὸ πτολίπορθον, ὅτι διὰ τῆς Ὀδυσσείας δέδεικται τὰ κατὰ τὸν δούρειον ἵππον. A. προαναφωνεῖ τὴν πόρθησιν δι' αὐτοῦ γενησομένην. L.

οὕτως Ἀρίσταρχος διὰ τοῦ ῑ, πτολίπορθος· ἄλλοι δὲ διὰ τοῦ ῐ, ἐκ ὀρθῶς. τὸ ἑξῆς, ἀνέχη δὲ ὁ τὰς πόλεις πορθῶν, ὁ πολεμικὸς Ὀδυσσεύς, ἵν' ᾖ ὑπερβατὸν ὁ τρόπος. προκατεσκεύασε δὲ αὐτῷ ὁ ποιητὴς τὴν τῆς Ἰλίου πόρθησιν, τὴν τοῦ δουρείου ἵππου κατασκευήν, ἣ εἰσαχθέντος ἐπορθήθη ἡ Ἴλιος, ὡς καὶ ἀλλαχόσε τῆς ποιήσεως φησι „σῇ δ' ἤλω βληχῇ πόλις Πριάμοιο ἄνακτος" (Il. 22, 230). A.

ἀνὰ δ': ἔστιν Ἀρίσταρχος· τινὲς δὲ χωρὶς τοῦ ἄρθρου, κακῶς. A.

279. πρὸς τὸ χῆμα. ψῆφον λαβὼν παρὰ τοῦ πλήθους τολμᾷ παρελθεῖν. ἡ δὲ Ἀθηνᾶ πρὸς ἡσυχίαν καὶ πειθώ· πῶς γὼ ἄλλως ἡσύχασαν, ὃς πρώην ἐννέα ἐπεῖχον κήρυκες μόγις; ἔθος δὲ ἦν τοῖς δημηγόροις παίσασθαι κήρυκα, ὅπως σιωπήσωσι καὶ νοήσωσιν. διὰ τί δὲ Ὀδυσσεὺς πρὸ τοῦ Νέστορος πρεσβύτου ὄντος λέγει; ὅτι αὐτὸς συνήγαγε τὴν ἐκκλησίαν· καὶ θορύβου ὄντος ὡς καὶ τὴν Ἀθηνᾶν εἰδομένην κήρυκι σιωπᾶν λαὸν ἀνώγειν, ἔδει τὸν πρῶτον δημηγοροῦντα γεγωνότερον βοᾶν, ὡς ἅμα οἱ πρῶτοί τε καὶ ὕστατοι μῦθον ἀκούσειαν· ὁ μὲν οὖν Νέστωρ, ὡς γέρων, βοᾶν οὐκ ἠδύνατο, ὁ δὲ ὕπα τε μεγάλην ἐκ στήθεος ἵει (Il. 3, 221). διὰ τοῦτο ὁ μὲν ἔτι τεταραγμένων δημηγορεῖ, ὁ δὲ Νέστωρ ἤδη ἡσυχίαν ἀγόντων. LV.

283. ὅ σφιν: τρία ῥητορικῆς εἴδη, συμβουλευτικόν, ὅ ἐστιν ἐκ προτροπῆς καὶ ἀποτροπῆς, ὡς νῦν δικανικόν, ἐκ κατηγορίας καὶ ἀπολογίας, ὡς „δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς" (Il. 18, 498)· παιγνιῶδες, ἐξ ἐγκωμίου καὶ ψόγου, ὡς „ὦ μάκαρ Ἀτρείδη" (Il. 3, 182) καὶ „οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων" (Il. 1, 225). A.

284. ὅτι αὕτη ἡ γραφὴ ἡ διὰ τοῦ γάρ μετὰ τῆς προσηγορίας, Ἀτρείδη νῦν γάρ σε, καὶ τὸν λόγον ἔχει. ἔθος δὲ αὐτῷ ἀπὸ τοῦ γάρ ἄρχεσθαι „ὦ πόποι, ἦ γὼ οἵω εὐκνήμιδας Ἀχαιάς" A.

ὁ δὴ ἀντὶ τοῦ γάρ. ἔθος δὲ τῷ ποιητῇ ἀπὸ τοῦ γάρ ἄρχεσθαι, ὡς τὸ „πολλοὶ γὼ τεθνᾶσι" (Il. 7, 328) καὶ „νῦν γὼ καὶ πόνος ἐστί." τὸ δὲ θέλουσιν, ὡς ἐξ ἐδεμιᾶς αἰτίας τοῦτο προαιρούμενοι. διασύρει δὲ αὐτοὺς ὡς ἐνοήσαντας τὴν ἀπόπειραν. εἰ γὼ ἐπονείδιστος ἔσται φευγόντων αὐτῶν, πῶς ἂν αὐτοὺς προτρέποιτο φεύγειν; ἠύχηται δὲ καὶ τοῖς πᾶσι βροτοῖσιν ἀλλὰ μὴ μόνοις Ἕλλησιν εἰπεῖν. ἐντέχνως δὲ κατ' αὐτῶν πρὸς αὐτὸν λέγει, ὡς συναχθόμενος αὐτῷ ὅτι καταλείπεται. πικρὸν δὲ ἦν τὸ φάναι ἐπονείδιστον ὦ Ἀχαιοὶ ποιήσετε τὸν βασιλέα. κἀκεῖνο δὲ πικρόν, τὸ ὡς νήπιοι παῖδες ἢ ὡς κόραι ἀποδύρεσθε. ἅμα δὲ ἐμφαίνει ὅτι κατέχει αὐτοὺς ἐκεῖνα θέλοντος. BLV.

286. οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν: τοῦτο ἀνελεύθερον καὶ θηλοπρεπές. καλῶς δὲ ἀπὸ τῶν ὡμολογημένων ἤρξατο, ὃ μάλιστα δυσωπεῖ. ἐκ οἵδε δὲ τοὺς πρὸς τοὺς Τυνδαρίδας ὅρκους· καὶ γὼν Ἰδομενεὺς φησιν „ὡς τὸ πρῶτον ὑπέσχεθ καὶ κατένευσα" (Il. 4, 266). BL.

ἡ διπλῆ πρὸς τὴν ἐναλλαγὴν τοῦ χρόνου, ὅτι ἀντὶ τοῦ ἐκτελέσουσιν. A.

287. ἔτι ϝείχοντες: πορευθησόμενοι, ὡς „ὄν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ" (Od. 4, 736). V.

ἱπποβότοιο: ἱπποτρόφου. ἀπὸ δὲ Ἀγήνορος ἵππων ὠνομάσθη τὸ Ἄργος ἱππόβοτον. D.

289. ἠ παῖδες νεαροὶ χῆραί τε γυναῖκες: ἄμφω παρέτεινε, τὸ μὲν τῷ νεαροί, τὸ δὲ τῷ χῆραι. οἱ μὲν γὰρ εὐθὺς κόρον τῆς ἀγορᾶς λαβόντες ἵενται οἴκαδε, αἱ δὲ τὸν οἶκοι φυλάσσοντα μὴ κεκτημέναι. κωμῳδεῖ δὲ τὸ ἀσύνετον καὶ ἀγεννές, ὡς ὁ διὰ τὴν ὑπερτέλειαν τῶν πολεμίων, διὰ δὲ τὸ ἰδίᾳ μαλακὸν (ἰδιομάλακον L) αὐτῶν θελόντων τῶτο ποιεῖν. ABL.

χῆραι: παρὰ τὸ χῶ τὸ χωρῶ, ὃ μέλλων χήσω, ἢ ἐξ αὐτῆ χήρᾳ καὶ χωρητικὴ τῆς λύπης. ἐτυμολογεῖται δὲ καὶ ἀπὸ τῆ χαρά, καὶ ἀναδύσει τῆ τόνῳ ἢ τροπῇ τοῦ ᾶ εἰς ῆ χήρα, κατὰ ἀντίφρασιν, ἢ τῆς εὐφροσύνης καὶ χαρᾶς ἐξερημένη. L.

291. ἦ: ὁμοίως τὸν ἦ περισπαξέον. A.

πόνος ἐϛίν: ἡ διπλῆ πρὸς τὸν πόνον, ὅτι ἀντὶ τῆ ἔργον· ὐδέποτε γ᾽ ὕτως εἶπε τὴν ἀλγηδόνα. A.

πολὺς μὲν οὖν ἐϛὶν ὁ πόνος, ὥϛε λοιπὸν ἀκηδιάσαντά τινα νεῶϛ. ἀνίησι δὲ τὴν ἐπιτίμησιν τῇ συγγνώμῃ. δυνάμεως δὲ ῥητορικῆς ἀπὸ τῆ αὐτῆ πράγματος πρὸς ἑκάτερον ἐξ ἐναντίᾳ λαμβάνειν τὰς ἀφορμάς. BLV.

292. καὶ γάρ τις: καλῶς τὴν συγγνώμην τῇ ἐπιτιμήσει ἀνίησι· πάντες γ᾽ ἀγαπῶμεν τοὺς ὑπὲρ ὧν ἡμάρτομεν ἀπολογουμένους. δύναται δὲ καὶ ἀνάγκην μείζονα ἐπιτιθέναι διὰ τέτων τῆ μένειν αὐτές, αἰϛχρὸν δεικνὺς τὸ ἐπανελθεῖν ἀπράκτες ἢ ὀφθῆναι διὰ τοσέτῳ χρόνῳ τοῖς οἰκείοις ἐπονειδίϛως· διὸ καὶ ἐπάγει „αἰϛχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεϛθαι." ἀναγκαίως δὲ ἐνδίδωσιν, ὅπως μικρὰ θεραπευθέντες μεγάλα χαρίσωνται. BL.

ἀπὸ ἧς ἀλόχοιο: τῶτο καὶ τὴν Ὀδυσσέως ἢ Πηνελόπης προανακρέεται ϛοργήν. ἅμα δὲ ὅτι καὶ αὐτῷ τὸ γύναιον ὑπολέλειπται, ὁ μόνον δέ, ἀλλὰ καὶ νήπιος ἔτι παῖς τῇ ἡλικίᾳ. τότε δὲ πιθανοὶ οἱ λέγοντες, ὅταν τοῖς ἀκέϛϲιν ὁμοιοπαθεῖς καὶ αὐτοὶ τυγχάνωσιν. BL.

τινὲς ἀνέγνωσαν ἄπο ἧς ἀλόχοιο κατὰ ἀναϛροφήν, ἵνα σημαίνητι τὸ ἄπωθεν. ἄμεινον δὲ πείθεϛθαι τῇ κατειθισμένῃ ἀναγνώσει· συντέτακται γ᾽ τῇ γενικῇ. A.

293. ἀσχαλάᾳ σὺν νηῒ πολυζύγῳ: διαϛαλτέον· τὸ γ᾽ ἑξῆϛ ἐϛί, ἢ γάρ τις θ᾽ ἕνα μῆνα μένων σὺν νηῒ πολυζύγῳ ἀπὸ ἧς ἀλόχοιο ἀχαλάᾳ. γελοίως δὲ οἱ πλείϛοι ἐπὶ τὸ ἀχαλάᾳ διεϛᾶσιν. A.

ϛικτέον εἰς τὸ ἀχαλάᾳ, ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωϛέον. D.

πολυζύγῳ: πολυκαθέδρῳ, ἐκ τῆ πολύς καὶ τῆ ζυγός. ζυγὸς δὲ σημαίνει δ᾽, τὸ τῶν ἵππων ἅρμα, ὡς τὸ „ἱππείῃ δὲ ζυγῆ θεὰ ἤρατο φώνησέν τε" (Il. 5, 799)· ἢ τὸν τῆς κιθάρας πῆχυν, εἰς ὃν οἱ κόλλαβοι συμπεπήγασιν, ὡς τὸ „ἐπὶ τ᾽ ἀργύρεος ζυγὸς ἦεν" (Il. 9, 187)· ἢ τὰς τῶν ἑρεσσόντων καθέδρας, ὡς ἐνταῦθα· καὶ τὸν κατὰ συνήθειαν παρ᾽ ἡμῖν λεγόμενον ζυγόν, τῶν βοῶν δηλονότι, ὡς τὸ „τὴν δ᾽ πώ τις ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ" (Il. 10, 293). BL.

294. 295. τὸ δυσχερὲς τῆς ἀνακομιδῆς πρὸ ὀφθαλμῶν αὐτοῖς ἄγει, ἢ τὴν τῆ ὡρισμένῃ χρόνῳ συμπλήρωσιν. περιτροπέων δὲ ἀντὶ τῆ τροπὰς λαμβάνων, τετέϛι συμπληρώμενος. BL. περιτρεπόμενος, ὅ ἐϛι περιερχόμενος πάλιν ἐπὶ τὴν ἀρχὴν μέλλων τελειῶϛθαι. D.

296. μιμνόντεσσι: ἀργοῦσιν, ἀπράκτοις καθημένοις, ἐπεὶ ἐνῆν (παρῆν L) αὐτῷ φάναι ἢ τὸ μαρναμένοισιν. BL.

297. ἀσχαλάων παρὰ νηυσί: ὅτι Ζηνόδοτος γράφει ἀχαλάων μιμνόντεσσι, *) τὰ πληθυντικὰ δυϊκῶς ἐκφέρων. περιττεύει δὲ ὁ καὶ σύνδεσμος. A.

298. αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι: ἀνιαρὸν τὸ χωρίζεϛθαι τῶν οἴκοι ἐπὶ πολὺ καὶ ὑποϛρέφειν ἄπρακτον. τὸ δὲ κενεὸν ἤτοι διὰ κενῆς πολεμήσαντα ἢ κενὸν λαφύρων. δέλεαρ δὲ τῆ μένειν ὑποβάλλει αὐτοῖς λαφύρων ἐλπίδα. BL.

299. τλῆτε φίλοι: καταμαλάξας τὸ πλῆθος πρότερον, νῦν ἀποϛρέφει πρὸς αὐτὲς τὸν λόγον, καὶ ἀντὶ Ἀχαιῶν φίλες καλεῖ. BL.

ἐπὶ χρόνον: ὅτι Ζηνόδοτος γράφει ἔτι χρόνον, ἀπιθάνως· ἔμφασις γ᾽ γίνεται πολλῆ χρόνῳ διὰ τῆ ἔτι. A.

300. ἢ ἑτεὸν Κάλχας: δικαίως ἀπὸ τῆ ἔναγχος εὐδοκιμήσαντος Κάλχαντος τὴν πίϛιν λαμβάνει. ὅτι δὲ ἠγάπητο τῷ πλήθει, Ποσειδῶν ἢ Ἀθηνᾶ καθ᾽ ὁμοιότητα αὐτοῦ προτρέπονται τὸ πλῆθος (Il. 13, 45). ϛρατὸς δὲ ἐπὶ ξυρῆ τυγχάνων ψυχαγωγεῖται διοσημείαις, τὴν ἐλπίδα τῆς σωτηρίας ἔχων εἰς θεύς. ἄκρως δὲ κατηγορεῖ αὐτῶν, ὅτε τότε μὲν τὸ μῆκος ἀκύσαντες ἐκ ὤκνησαν ϛρατεύειν, νῦν δὲ πρὸς τὸ τέλος ἐκλέλυνται. BL.

ἢ ἀντὶ τῆ εἰ, ὡς τὸ „ἢ καὶ ἐμὸν δόρυ μαίνῃ" (Il. 8, 111). V.

ἑτεὸν — οὐκί: ἡ διπλῆ, ὅτι διὰ τῆ κ γραπτέον, ἢ διὰ τῆ χ. ἢ τὸ ἦ ἑτεὸν διὰ τῆ η Ἀρίϛαρχος. A.

302. μάρτυροι: πιϛὸς ὁ λόγος γίνεται, ὅταν τὲς ἀκέοντας μάρτυρας ἔχῃ τῶν λεγομένων. BL.

ὅτι Ζηνόδοτος γράφει μάρτυρες. ὁ δ᾽ Ὅμηρος οὕτως ἐχημάτικεν· „Ζεὺς δ᾽ ὅμ᾽ ἐπιμάρτυρος ἔϛω" (Il. 7, 76), οὗ τὸ πληθυντικὸν μάρτυροί ἐϛι. AB. ὁ Ζηνόδοτος μάρτυρές φησιν, Ὁμήρου χηματίζοντος ἀπὸ τῆ μάρτυρος. L.

κῆρες: αἱ τῆ λοιμῆ κῆρες. L.

303. χθιζά τε καὶ πρωΐζ᾽: κατεμίκρυνε τὸν ἐναέτη χρόνον, ἵνα μὴ διὰ τῆς ἀναμενήσεως πλέον ποιήσῃ ἀγανακτῆσαι (ἀγωνιῶσαι D) τὲς Ἕλληνας. AD.

τοσῶτον χρόνον χθιζά φησιν, ὅπως τὸν ἐπερχόμενον ὡς μηδὲν ἡγήσωνται. BL.

Αὐλίδα: Αὐλὶς πόλις Βοιωτίας, ἣ ὕτως ἐκλήθη ἀπὸ τοῦ αὐτόθι αὐλιαθῆναι τὸν Ἑλληνικὸν ϛρατόν. AD.

305. ἡμεῖς μέχρι τοῦ τῷ δεκάτῳ δὲ πόλιν αἱ-

*) an forte μίμνοντ᾽ ἐπὶ νήεσσ᾽?

ρήσομεν εὐρυάγυιαν (329). περὶ τούτων τῶν ἐπῶν ἠπόρηται ὁ Ἀριστοτέλης τοιαῦτα. διὰ τί ὁ Κάλχας, εἰ μὲν οὐδὲν ἦν τέρας τὸ γινόμενον, ἐξηγεῖται ὡς τέρας; τί γὰρ ἄτοπον ὑπὸ ὄφεως στρουθὸς κατέδεσθαι, ἢ τούτους ὀκτὼ εἶναι; περὶ δὲ τοῦ λίθον γενέσθαι οὐδὲν λέγει, ὃ ἦν μέγα, εἰ μὴ ἄρα εἰς τὸν ἀπόπλουν ἐσήμαινεν, ὥς τινές φασιν. οὐκ ἔδει δὲ ἀναμνῆσαι· εἰκὸς γὰρ ἦν ὑπολαβεῖν· καὶ εἰ μάρτυς ἔλεγε, καὶ τότε ἀξίως ἔλεγε τοῦτο, ὅτι οὐδὲ ἀπέδωκεν ἂν εἴη τὸ τέρας· ἐνάτη γὰρ ἦν ἡ μήτηρ, δεκάτῳ δὲ τὸ Ἴλιον ἥλω. φησὶν οὖν μὴ εἰς τὸν νόστον εἰρῆσθαι τὰ περὶ τῆς ἀπολιθώσεως τοῦ δράκοντος, διὸ οὐδ' ἐποίησε λέγοντα· οὔτε γὰρ πάντες ἄνοστοι ἐγένοντο, γελοῖός τ' ἂν ἦν οὐκ ἀποτρέπων τοῦ πλοῦ ἀλλὰ πλεῖν προτρεπόμενος οὓς ἐδήλου τὰ σημεῖα μὴ ἐπανήξειν. μή ποτ' οὖν, φησί, τὸ σημεῖον τὸ λίθον γενέσθαι βραδυτῆτος σημεῖον ἦν, ὅπερ ἤδη καὶ ἐγεγόνει καὶ οὐκέτ' ἦν φοβερόν. ἐλήφθη δὲ οὖν ἔτεσιν ἐννέα· τοῦ δεκάτου γὰρ ἔτους ἀρχομένου ἐγένετο, ἀριθμεῖ δὲ τὰ ὁλόκληρα ἔτη, ὥστε συνᾴδει ὀρθῶς ὁ ἀριθμὸς τῶν ἀπολωλότων καὶ τῶν ἐτῶν. οἱ δὲ τὰ περὶ οἰωνιστικῆς τῆς καθ' Ὅμηρον γράψαντες τὴν μὲν νεοττιάν, ὡς ἂν ἐπ' ἄκρας τῆς πλατάνου κειμένην, τοῦ κλάδου οὖσαν ἐνναέτιν, εἰλῆφθαί φασι πρὸς τὴν ἠνεμόεσσαν πόλιν· τούς τ' ἐνοικοῦντας ἐν αὐτῇ στρουθοὺς στρατὸν εἶναι ἀλλοεθνῆ· πολλοὶ γὰρ ἐπίκουροι πολλέων ἐκ πολίων κατῴκουν τὴν πόλιν· πτηνοὶ γὰρ ἀέρι μᾶλλον ἢ χώρᾳ οἰκειότεροι. τὸ δὲ ξύλον τῆς πλατάνου, νεαροῦ ξύλου καὶ ὑδρηλοῦ, δι' οὗ ὁ δράκων ἐπίγειος ὢν ἀνύει πορείαν ἐπὶ τοὺς στρουθούς, ἐδήλου διότι πολὺς στρατὸς πορείαν ποιησάμενος διαπόντιον, νηυσὶ περάσας, διὰ τῆς χώρας ἐπιπεσεῖσθαι τοῖς Τρωσὶν ἔμελλεν. ἐπίγειος γὰρ ὁ ὄφις· διὰ ξύλου οὖν ἕρπων ὑδρηλοῦ τὴν διὰ νηῶν πορείαν ἐδήλου, εἶτ' ἀπόβασιν καὶ διὰ τῆς χώρας ἔφοδον τοῖς τὴν ἠνεμόεσσαν κατοικοῦσι πόλιν. τὸ δὲ πετάλοις ὑποπεπτηῶτας εἶναι τοὺς στρουθοὺς δηλοῦν τὸ ἀβέβαιον τῆς εὐθαλίας τῶν κατοικούντων τὴν πόλιν· φυλλορροεῖ γὰρ τὰ δένδρα. στρουθοὺς δὲ καὶ οὐκ ἄλλα ὄρνεα παρείληφεν, ὅτι ἱερὰ μὲν Ἀφροδίτης ἡ στρουθός, κατωφερέστατον δὲ ζῷον καὶ λάγνιστον· οἰκεῖοι δὲ τῇ Ἀφροδίτῃ οἱ Τρῶες, καὶ λαγνείας ἕνεκα τὸν πόλεμον ἐνστησάμενοι, ὥσπερ τῆς Ἀθηνᾶς ἱερὸς ὁ δράκων. B.

ἀμφὶ περί: οὐ διὰ τὸ μέτρον αἱ δύο προθέσεις, ἀλλὰ τὴν περὶ τὸν αὐτὸν τόπον συναγωγὴν παντὸς τοῦ στρατοῦ ἐσήμανεν. πιστοῦται δὲ τὸ τέρας, εἴ γε ἐπὶ τοσούτου πλήθους καὶ θυσιῶν ἔν τε ἱερῷ τόπῳ γέγονεν. BL.

ἕως τοῦ ἀγλαὸν ὕδωρ (307) ὑποστικτέον, καὶ τὸ ἔνθα, ἵν' ᾖ τοπικὸν διὰ τὴν πλατάνιστον, χρονικὸν διὰ τὸ χθιζά τε καὶ πρώϊζα. περιέχεται δὲ καὶ τεληέσσας ἑκατόμβας ὑποστίζειν, ἵνα συνάπτηται καλῇ ὑπὸ πλατανίστῳ ἕως τοῦ σμερδαλέος. δύναται δὲ καὶ τοῖς ἄνω συνάπτεσθαι τὸ χθιζά τε καὶ πρώϊζ', ἵνα πάντα συνημμένα ᾖ ἐκ τοῦ εὖ γὰρ δὴ τόδε ἴδμεν (301). A.

307. πλατανίστῳ: τῇ τάσει ἀναγνωστέον ὡς κυπαρίσσῳ. AD.

μόνον οὐχὶ καὶ χρώμασιν ἡμῖν τὸν λόγον ἐσήμανε. καὶ τὸ παραῤῥέον δὲ ὕδωρ φησί· διυδατίζεσθαι γὰρ θέλει ἡ πλάτανος, καὶ ἔστιν ἐπιτηδεία πρὸς γένεσιν στρουθῶν. οἶδε δὲ τὰς φύσεις ἁπάντων, καὶ ὠλεσικάρπους τὰς ἰτέας φησίν (Od. 10, 510). BLV.

308. σῆμα: σῆμα μὲν τὸ παρὰ τόπον γινόμενον, ὡς μέλισσαι ἢ πτηνοὶ μύρμηκες ἐν οἴκῳ, τέρας δὲ τὸ παρὰ φύσιν. τοῦτο οὖν ἄμφω εἶχε, σῆμα μὲν τὸ ἐπ' ἄκρῳ τῷ φυτῷ εἶναι τὴν νοσσιάν, τέρας δὲ τὸ ὀκτὼ τετοκέναι· ἑπτὰ γὰρ τίκτει, ὧν τὸ ἓν οὔριον ἐᾷ εἶναι (ὧν τὸ οὔριον ἐᾷ LV). ALV.

δράκων: τούτῳ τὸ ὄνομα ὁ Πορφύριος ἐν τοῖς ζητήμασί φησι Σθενίος· οὕτως γὰρ ἱστόρηται Διονυσίῳ ἐν τῷ ε' τῶν ἀπόρων. AD.

ὁ δράκων Ἀθηνᾶς ἱερόν, οἱ στρουθοὶ Ἀφροδίτης. χρόνον τε δηλοῦσιν, ἐπεὶ πτηνὸς ὁ χρόνος. ὁ δὲ λίθος, ἐπεὶ οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος. καὶ τὸ μὲν ἐφ' ὕψους κεῖσθαι τὴν νεοττιὰν τὴν ἠνεμόεσσαν Ἴλιον, οἱ δὲ ὑπὸ τοῖς πετάλοις (δὲ ὑπόπτηνοι V) νεοσσοὶ τὸ ὀλιγοχρόνιον τῶν Τρώων· μαραινομένων γὰρ ὅσον (ὅσον οὐδέπω V) τῶν φύλλων ἀποπεσοῦνται. ἡ δὲ ἐνάτη μήτηρ τῆς ἐνναετηρίδος τὸν ἔσχατον ἀγῶνα ἐσήμανεν. ἡ δὲ διὰ τοῦ ὕδατος πορεία τοῦ δράκοντος τὴν δι' ὕδατος ἄφιξιν τῶν Ἑλλήνων. τὸ δὲ περιλειφθῆναι τὴν νεοττιὰν τὸ μὴ παντελῶς ἠφανίσθαι τὸν τόπον· οἰκεῖται γὰρ μέχρι τοῦ νῦν. ἡ δὲ ἀπολίθωσις τὸ δυσδιεξόδευτον τῶν νόστων, ἢ ὅλου τοῦ ἀγῶνος παῦσιν (οὐ γὰρ ἠμύναντο ἔτι τοῦ λοιποῦ τοὺς Ἕλληνας οἱ Τρῶες), ἢ ὅτι εἰς λίθους περιστήσεται τοῦ πολέμου τὸ τέλος. BLV.

309. αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε: ἐπεὶ τὸ σημεῖον τὸ φανὲν δύναιτό τις ἀποφαίνειν καὶ ἄλλως γενόμενον (πολλὰ γὰρ τοιαῦτα συμβαίνει καὶ ἐν οἰκίαις γίνεσθαι), ἐξαίρειν αὐτὸ πειρᾶται ὡς μέγα καὶ θεῖον καὶ δηλωτικὸν τῶν τοῦ πολέμου ἀγαθῶν. BL.

310. βωμοῦ: ἀφ' ἑτέρας ἀρχῆς· ἀσύνδετος γὰρ ὁ λόγος. διὸ καὶ τελείαν στικτέον ἐπὶ τὸ ἧκε φόωσδε. A.

311. στρουθοῖο: ὡς ἀπὸ ὀξυτόνου εὐθείας ἡ ἀνάγνωσις· Χαίριδι δὲ ἤρεσκε βαρύνειν, καὶ ἴσως ἐπεὶ τὰ εἰς θος λήγοντα δισύλλαβα μονογενῆ, φύσει μακρᾷ παραληγόμενα, ἐβαρύνετο, Ξοῦθος Ζῆθος καὶ μῦθος. ἔχει δὲ ἡ τετριμμένη ἀνάγνωσις ἀφορμὴν τὸ ἐγκεῖσθαι τὸ θέειν· ἐτυμολογοῦσι γὰρ τὸ ζῷον παρὰ τὸ μετὰ οἴστρου θέειν· τὰ δὲ παρὰ τοῦτο τὸ ῥῆμα ἑωρῶμεν ὀξυνόμενα, ὥσπερ τὸ ἀγαθός καὶ βοηθός. A.

312. ὄζῳ ἐπ': δύναται κἂν ἀναστρέφεσθαι. πιθανώτερον δὲ συντάσσειν τῇ μετοχῇ τὴν πρόθεσιν διὰ τὴν ἔμφασιν. A.

ὑποπεπτηῶτες: ὑφ' ἓν τοῦτο. εἴρηται δὲ διὰ τὴν ἀσθένειαν τῶν νεοσσῶν. ABL.

314. κατήσθιε: ἐπὶ δὲ λύκων „οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δῃώσαντες" (Il. 16, 158), ἐπὶ λεόντων „ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον" (Il. 18, 583). ὥσπερ γὰρ καὶ ταῖς λέξεσιν ἐπαναβαίνει ὁ ποιητής. BL.

τετριγῶτας: ὅτι Ζηνόδοτος γράφει τιτίζοντας. εὐτελὴς δὲ ἡ λέξις· κατὰ φύσιν γὰρ φθεγγόμενοι οἱ νεοσσοὶ τιτίζουσιν, οἱ δὲ κατεσθιόμενοι τρίζουσιν. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

316. ἐλελιξάμενος: ἐπισραφείς. ἐδὲ τοῦτο δὲ ἄχρηςον πρὸς τὴν μαντείαν· ἐ γὰ εὐθέως ἐκράτησαν αὐτὲς ἢ εἶλον, ἀλλ' ἀναχθέντες ἀπὸ τῆς Τρωάδος, εἶτα ὑποςρέψαντες. BL.

πτερύγος: παροξυτόνως. ἢ ὁ μὲν κανὼν θέλει προπαροξυτόνως, ὡς δοίδυκος (ὄρτυγος D, Θέτιδος V)· ἀλλ' ἐπειδὴ ἔτως δοκεῖ ςίζειν τῷ Ἀριςάρχῳ, πειθόμεθα αὐτῷ ὡς πάνυ ἀρίςῳ γραμματικῷ. ADV.

ἀμφιαχυῖαν: μετοχή ἐςι· διὸ προπερισπαςέον. σημειωτέον δὲ τὸν ἐν ἀρχῇ χρόνον, ὅτι συνεςάλη τὸ ῑ. A. τελειοτέρᾳ φωνῇ ἐχρήσατο τῇ τετριγῶτας. BL.

318. ἀρίζηλον: τὸν διάδηλον καὶ φανερόν. γίνε῀ δὲ ἐκ τῆ ᾱρι ἐπιτατικῆ μορίε ἢ τῆ ζῆλος, τὸ δὲ ζῆλος ἐκ τῆ δῆλος, τὸ δὲ δῆλος ἐκ τῆ δαλός, ὃ ςημαίνει τὸν πεπυρακτωμένον σίδηρον. ἀναδόσει δὲ τῆ τόνε ἢ τροπῇ τῆ ᾱ εἰς ῑ δῆλος, καὶ μετὰ τῆς ᾱρι προθέσεως καὶ προθέσει τοῦ ῰ ἀρίδηλος. ἐπεὶ δὲ τὸ ζ ἐκ τῆ ῰ καὶ δ ςύγκειται, συναιρέσει τῆ ῰ καὶ δ εἰς ζ γέγονεν ἀρίζηλος. L.

ὅτι Ζηνόδοτος γράφει ἀρίδηλον, ἢ τὸν ἐχόμενον προσέθηκεν. τὸ γὰ ἀρίδηλον ἄγαν ἐμφανές, ὅπερ ἀπίθανον. ὃ γὰ ἐὰν πλάσῃ, τῶτο ἀναιρεῖ. λέγει μέντοι γε ὅτι ὁ φήνας αὐτὸν θεὸς καὶ ἄδηλον ἐποίησεν. A. πιθανώτερον γὰ αὐτὸν καθάπαξ πεποιηκέναι ἀφανῆ τὸν καὶ φήναντα θεόν. V.

319. ἀθετεῖται· προείρηται δὲ ἡ αἰτία. A.

320. θαυμάζομεν: ὅτι ἀντὶ τῆ ἐξεπληττόμεθα, ἐχ ὡς ἐνίοτε τίθησιν ἀντὶ ψιλῆ τῆ θεάσαῳ. A. ἢ ἀπὸ τῆς τῶν ὁρώντων διαθέσεως κινεῖ τὴν ἔμφασιν. BL.

321. πέλωρα: πέλωρον τὸ ἐξαίσιον καὶ φοβερόν. γίνε῀ δὲ παρὰ τὸ πέλω καὶ ὥρα ἡ φροντίς, οἷς ὑπάρχει ἀεὶ ἡ φροντὶς διὰ τὸ μέγεθος. ἐτυμολογεῖται δὲ ἢ παρὰ τὸ πελάζειν καὶ προσεγγίζειν τῷ Ὡρίωνι. L.

323. τίπτ' ἄνεῳ ἐγένεσθε: ἐπιτιμᾷ ὡς ἐ δεομένοις μαντείας. καλῶς δὲ ἐ περιέτεμε τὸν λόγον, ἀλλὰ τοῖς τῆ μάντεως κέχρηται ῥήμασιν, ὅπως ψυχαγωγῶντο δοκᾶντες αὐτῆ ἀκέειν. τὸ δὲ ἄνεῳ ὧδε μὲν διὰ τῆ ῑ, ἐπὶ δὲ τῆ „ἦ ὄ' ἄνεω δὴν ἦςο" (Od. 23, 93) χωρὶς τῆ ῑ. BL.

ἄνεῳ: κατὰ ςέρησιν τῆς ἰωῆς, ὅ ἐςι τῆς φωνῆς. AD.

325. ὅου κλέος: τὸ τῆ πολέμε κλέος, ἢ τὸ τῆ σημείε. τῶτο δὲ πρὸς τὸ πεῖσαι. τὸν δὲ λίθον ἐκ ἐξηγεῖ῀, ἢ πρὸς τὸ μὴ λυπῆσαι, ἢ ὅτι τέρας ἐςίν. προσέθηκε δὲ ἢ τὸ ἔποτ' ὀλεῖται, ἵνα μὴ διὰ τὸ μῆκος ἀπογνῶσι πρὸς τὴν μάχην. BL.

ὅου: τὰ ἄρθρα διαιρῶνται· αἱ γὰ ἀντωνυμίαι πλεονάζεσι τῷ ε. V.

328. ἕτεα: τρεῖς εἰσὶν οἱ χρόνοι δ' ὧν ὁ πᾶς αἰὼν ἀριθμεῖται, ἡμέρα, μήν, ἐνιαυτός. καὶ ἡ μὲν ἡμέρα οὐρανοῦ ἐςὶν ἀποκατάςασις, ὁ δὲ μὴν σελήνης, ὁ δὲ ἐνιαυτὸς τοῦ ἡλίε. εἰ μὲν ἓν ἦσαν ἐν τῷ σελέχει, ἡμέρας εἶπεν, εἰ δὲ ἐν μέσῳ, μῆνας· ἐπεὶ δὲ πρὸς τῷ τέλει, ἐνιαυτές. BLV.

αὖθι: ὅτι τὸν τῆ Κάλχαντος λόγον μεταλαβὼν ἐποίησεν ἐπὶ τῆς Αὐλίδος, αὐτὸς ὢν ἐπὶ τῆς Τροίας. διὸ κέχρη῀ τῷ αὖθι τοπικῷ ἀντὶ τῆ αὐτόθι ὅπε νῦν ἐσμέν. A.

τὸ αὖθι ἐν Ἰλίῳ, ἀλλ' ἐκ ἐν Αὐλίδι. BL.

329. τῷ δεκάτῳ: ἑξαμένε γὰ τῆ δεκάτε ἐπόρθησαν. L.

μαχόμενον ἔχει τὸν ἐπιλογισμὸν τῆ ἀριθμῆ τῷ προκειμένῳ πλήθει τῶν ςρεθῶν· προείρηκε γὰ „ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα." λύεται δέ, ὅτι τὸ δέκατον τίθεται καὶ ἐπ' ἀρχῆς, ὥςε εἰ κατ' ἀρχὰς τῆ δεκάτε γέγονεν ἡ ἅλωσις, ἐκ ἂν ἐπιβάλλοι ἢ τὲς ςρεθὲς δέκα ποιεῖν. L.

διὰ τί οὐχὶ ἐνάτῳ ἔφη ἐνιαυτῷ ἔσεῳθαι τὴν πόρθησιν, καίτοι τῆς ἀκολεθίας τῶν σημείων τοῦτο ἐχούσης „ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν;" ἢ ὅτι τῶν ἐννέα πληρωθέντων ἀνάγκη νοεῖν τὸν ἐπέκεινα δέκατον· ἢ καὶ τὸν δράκοντα αὐτὸν δεῖ συναριθμεῖν, ὃς ἐςὶ δέκατος, ὡς ὅλε τῆ ἀγῶνος ἐν τέτῳ μέλλοντος παύεῳ. ὁ λιθωθεὶς οὖν δράκων ἐσήμανεν ὅτι ἐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος. ABL.

330. κεῖνός γ' ὣς: ἔτως Ἡρωδιανὸς διὰ τῆ Θ· Ἀρίςαρχος δὲ διὰ τῆ ῑ. A.

ὄξυντέον τὴν ος διὰ τὸν τέ. ἔτως Ἀρίςαρχος ἢ Ἡρωδιανός. BLV.

νῦν πάντα τελεῖται. πρὸς τὸ χθιζά τε καὶ πρώιζα καὶ τὸ νῦν φησί, ἢ τὸ τελεῖται ἀντὶ τῆ τελεθήσε῀, εἴπερ ὁ ὄνειρος εἶπε „νῦν γάρ κεν ἕλοις πόλιν." BL.

332. εἰσόκεν: καλῶς ἐπὶ πέρατι τῆ λόγε πιεζε῀ τὸ λόγιον, ἐχ ὡς ἐν ἀρχῇ „ἢ ἐτεὸν Κάλχας μαντεύεται." V.

333 — 335. ἐπὶ τὸ ἴαχον διαςολή, καὶ ἐπὶ τὸ Ἀχαιῶν ὑποςιγμή· διὰ μέσε δὲ τὸ ἀμφὶ δὲ νῆες ἢ τὰ ἑξῆς ἕως τῆ Ἀχαιῶν. καὶ τὸ ἑξῆς ἐςίν, ἴαχον μῦθον ἐπαινήσαντες. ἐὰν δὲ ςίζωμεν, γίνε῀ σολοικισμός, ἀϋσάντων ὑπ' Ἀχαιῶν μῦθον ἐπαινήσαντες. A.

οἷόν γέ πού' ςι γλῶσσα κἀνθρώπε λόγος, κατὰ Εὔπολιν· ὁ μὲν γὰρ λέγων φεύγωμεν ἀναπτεροῖ, ὁ δὲ μένωμεν πείθει. ἅμα δὲ καὶ τὸ παλίμβολον τῶν δήμων ἐσήμανεν. BLV.

ἐπὶ μὲν τέτων ἴαχον, ἐπὶ δὲ Τρώων κελάδησαν. V.

334. κονάβησαν: ἴδιος ἦχος τῶν πεπληγότων ξύλων ὁ κόναβος. V.

336. τοῖσι δὲ καί: δεινῶς ἅμα καὶ εὐπόρως τὴν αὐτὴν ῥητορείαν ἑτέραις λέξεσιν ἐκφράζει ὁ ποιητής. παῤῥησιαςικὸς δὲ διὰ τὸ γῆρας ὁ Νέςωρ. BLV.

Γερήνιος: ἔντιμος παρὰ τὸ γέρας, ἢ ὁ ἐν Γερήνῃ κώμῃ τραφείς. D.

ἱππότα: ἀντὶ τῆ ἱππικός, νῦν δὲ φυγάς· ὁ γὰ ποιητὴς τῷ ἱππότης νῦν ἀντὶ τῆ φυγὰς κέχρηται. Ἡρακλῆς γὰ ἐπιςρατεύσας τῇ Πύλῳ διὰ τὸ μὴ καθαρθῆναι αὐτὸν ὑπὸ Νηλέως τὸν Ἰφίτου φόνον, καὶ διὰ τὴν τῶν Νηλειδῶν δὲ ἀφροσύνην, πολὺς ἦν πορθῶν τὴν πόλιν. καὶ ἐφ' ὅσον μὲν Περικλύμενος ὁ Νηλέως ἔζη, δυσάλωτος ἦν ἡ πόλις· ἀμφίβιος γὰ ἐγένετο ἐκεῖνος. καὶ δὴ γενόμενον αὐτὸν μέλισσαν, ἢ ςάντα ἐπὶ τῆ Ἡρακλέες ἅρματος, εἰκάσασα Ἀθηνᾶ ἐποίησεν ἀναιρεθῆναι. τότε Νέςωρ ἐν Γερήνοις τρεφόμενος, πορθηθείσης τῆς Πύλε καὶ τῶν ιά ἀδελφῶν αὐτοῦ ἀναιρεθέντων μόνος περιελείφθη· διὸ ἢ Γερήνιος ὠνομάθη. ἱςορεῖ Ἡσίοδος ἐν καταλόγοις. AD.

337. ὦ πόποι: σιχτέον ἐπὶ τὸ πόποι· κομματικὸν γάρ, καὶ μᾶλλον ἐμφαίνει καθ' ἑαυτὸ λεγόμενον. A.

παισὶν ἐοικότες: καλῶς ἀκείπεγυναιξίν, ἀλλὰ παισίν· ἢ γ' ταύταις ἐξὶ φρόνησις. BL.

ἀγοράασθε: τότε ὅτε συνετίθεσθε Ἀγαμέμνονι. ἢ μᾶλλον πρὸς Ὀδυσσέα ἀποτείνεται δημοχαριζικῶς παρελθόντα· ἔλεγε γ' „ὦ νεμεσίζομ' Ἀχαιούς." BLV.

339. πῇ δή: τινὲς ἐλεγκτικῶς ὅλα προφέρονται· ποῦ ἀπῆλθον αἱ συνθῆκαι καὶ αἱ σπονδαὶ καὶ αἱ δεξιαὶ ἢ οἱ ὅρκοι; ἵν' ᾖ ἢ τὸ βήσεται ἀντὶ τῆ ἔβησαν, ἢ τὸ γενοίατο ἀντὶ τῆ ἐγένοντο, ἢ τὸ ἐριδαίνομεν ἀντὶ παρωχημένῳ, ἵν' ᾖ μάτην ἐφιλονεικέμεν λόγοις μόνον ὑπιχνέμενοι, ἢ τὸ ἀγοράασθε ἀντὶ τῆ τότε ὅτε συνετίθεσθε Ἀγαμέμνονι. ἢ ἐν δισταγμῷ· πᾶ ἄρα τελευτηθήσεται τὰ τῶν ὅρκων ἢ τῶν σπονδῶν; τὸ δὲ ἡμῖν ἀπολύτως (ἀπολελυμένως V) ἀναγνωσέον. ABLV.

οὕτως συνθεσίαι τε ὡς θυσίαι τε. ὅσοι δὲ προπαροξύνουσι, πταίουσι· τῆς γ' μεταγενεσέρας Ἀθήδος ἡ τοιάδε ἀνάγνωσις. A.

τῶν ἐκ τῆς Ἑλλάδος ἀρίστων ἐπὶ μνηστείαν τῆς Ἑλένης παρόντων διὰ τὸ γένος καὶ τὸ κάλλος, Τυνδάρεως ὁ πατὴρ αὐτῆς, ὡς τινές φασι, φυλασσόμενος μή ποτε ἕνα αὐτῶν προκρίνας τὰς ἄλλας ἐχθρὰς ποιήσηται, κοινὸν αὐτῶν ἔλαβεν ὅρκον, ἢ μὴν τῷ ληψομένῳ τὴν παῖδα ἀδικημένῳ περὶ αὐτὴν σφόδρα πάντας ἐπαμυνεῖν. διόπερ Μενελάῳ αὐτὴν ἐκδίδωσιν. καὶ μετ' οὐ πολὺ ἁρπασθείσης αὐτῆς ὑπὸ Ἀλεξάνδρου, ἐκοινώνησαν τῇ στρατείᾳ διὰ τὰς γενομένας ὅρκας. ἱστορεῖ Στησίχορος. ABDL.

340. ἐν πυρὶ δὴ βουλαί τε γενοίατο: ἐκέτι βουλῶν ὕνησις. ἀφανισθήσεται δὲ παντελῶς ἡ βουλή, μηδὲν ἀνίσχουσα τὸ ὠφελῆν. ἐχ ὑποχύσεις δὲ κατὰ τὸν Ὀδυσσέα, ἀλλ' αὐτὰ τῶν πίσεων τὰ ὀνόματά φησιν· ὅσα γ' ἐκεῖνος παρέδραμεν, ἕτος ἐπεξεργάζεται. ἐλέγχει δὲ ὡς ἐνεδρεύσαντας τὸν βασιλέα· ἐκ ἂν γ' ἐστράτευσε μὴ συνθεμένων αὐτῶν. εὖ δὲ τὸ μὴ εἰπεῖν τὰ ὑμῶν μήδεα, ἀλλὰ καθολικῶς τὰ τῶν ἀνδρῶν. BL.

341. σπονδαί τ' ἄκρητοι: ἡ διπλῆ, ὅτι ὅταν λέγῃ ἐν ἄλλοις „κρητῆρι δὲ οἶνον ἔμισγον" (Il. ζ, 269), ἀ σημαίνει τὸ ὕδατι κίρναϑ, ἀλλ' ὅτι τὸν τῶν Τρώων καὶ τῶν Ἀχαιῶν οἶνον ἔμισγον. ABL.

344. Ἀτρείδη: ἐναντίως τῷ Ὀδυσσεῖ ἀπὸ τῆ πλήθους εἰς τὸν βασιλέα μετῆλθεν. BL.

ὡς πρίν: ἀντὶ τῆ μηδὲν ἐνδιδές, ὡς νῦν πρὸς φυγὴν ἐνδέδωκας. BLV. ἀσεμφέα δὲ ἀντὶ τῆ ἀμετακίνητον, βεβαίαν. V.

345. ἄρχεν' Ἀργείοισιν: καταπλήττει διὰ τούτων τοὺς Ἕλληνας. BLV.

346. τούσδε: ἔν ἐξι τὸ τῆσδε· διὸ προπεριισπαστέον. A. ἢ ἐν τὸ τόσδε ἀναφορικῶς. τὰ δὲ τοιαῦτα ἀεὶ δεικτικά ἐξιν. ἕνα δέ, ὅτι τῷ ἐλαχίστῳ ἀριθμῷ κἀκείνους εὐτελίζει ἢ τοὺς λοιποὺς εὐέλπιδας ποιεῖ. Ἀχαιῶν δὲ καὶ ὁ σῶ εἶπεν, ἀλλὰ κοινὴν αὐτῶν κατηγορίαν ποιεῖται, ἐφελκόμενος τὸ πλῆθος. BL.

ἕνα καὶ δύο: εὐφυέστερον αἰνίττεται Ἀχιλλέα ἢ Πάτροκλον. ἕτεροι δὲ ἕνα ἢ δύο ἀντὶ τῆ Θερσίτην ἢ ἕτερον τοιοῦτον. AD.

347. βουλεύωσ': ὅτι βελεύωσιν αἱ Ἀρισάρχε. A.

ἄνυσις: τὸ ᾶ πρὸ τῆ ῦ ψιλοῦται, πλὴν τοῦ ἀνδάνω. ABL. φησὶ δὲ ὅτι ἐδὲν πρὸς τὸν ἀπόπλεν ἀνύσσιν, ἄχρις ὅτε πέρας λάβῃ ἡ τῆ Διὸς ὑπόχεσις. Ὀδυσσεὺς δὲ αὐτοῖς ἐπέτρεπε, λέγων „τλῆτε φίλοι καὶ μείνατε." BL.

ἐντελὴς δὲ πρᾶξις ἐ γενήσεϑ αὐτῶν, ὥσε πρὸ τῆ δέοντος χρόνε πορευθῆναι ἡμᾶς εἰς τὴν Πελοπόννησον, πρὶν γνῶμεν τὴν Διὸς γνώμην. AD. τὸ δὲ ᾶ πρὸ τοῦ ῦ ψιλωτέον, πλὴν τῆ ἀνδάνω. ABL.

ἀμφίβολος ὁ λόγος διαξελλόντων ἡμῶν ἐπὶ τὸ αὐτῶν, ἢ συναπτόντων μέχρι τοῦ ἰέναι. ἤτοι γ' ὃ λέγει τοιοῦτόν ἐξιν, οὐδὲν ἐπινοήσασιν ὥσε ὑποσρέψαι αὐτὸς πρὶν τέλος ποιήσαϑ τῆ πολέμε· ἢ τοιῆτο, ἀνύσσαι δὲ ἐδὲν πρὶν ὑποσρέψαι τε ἡμᾶς καὶ πρὶν τέλος εὑρέϑ τῆ πολέμου, ἀντεσραμμένε τῆ λόγε. A.

349. ψεῦδος: ἀντὶ τοῦ ψευδής. ταῦτα δὲ παρὰ τοῖς Στωϊκοῖς λεκτὰ καλεῖται, τὰ πρὸς τὴν σημασίαν δὲ ἄλλων φερόμενα. ψεῦδος γ' τὸ ἐπάγγελμα. ABL.

οὐκί: ὅτι διὰ τῆ κ ἢ ὲ διὰ τῆ χ. A.

350. κατανεῦσαι Κρονίωνα: οἰκείως ὁ μὲν Ὀδυσσεὺς δημοχαριζικῶς δημηγορῶν τῷ Κάλχαντος προβάλλεϑ τὰς μαντείας, ὃς ἦν ἐχθρὸς τοῖς Ἀτρείδαις, τῷ δὲ πλήθει γλυκύς· ὁ δὲ Νέσωρ τῷ βασιλεῖ χαριζόμενος τὰ τῶν θεῶν προβάλλεται. διὸ Ὀδυσσεὺς μὲν παρὰ τῶν Ἑλλήνων, Νέσωρ δὲ παρὰ τοῦ βασιλέως ἐγκωμιάζεται· „ἦ μὰν αὖτ' ἀρετῇ νικᾷς γέρον υἷας Ἀχαιῶν" (370)· ἐπὶ δὲ Ὀδυσσέως „ὣς ἔφαϑ', οἱ δ' Ἀργεῖοι μέγ' ἴαχον" (333) ἢ τὰ ἑξῆς. τελειοτέρως δὲ τὰς νεοσσὰς ὁ Νέσωρ ἀφεὶς ἐπὶ τὸν βασιλέα τῶν θεῶν φέρεϑ. τὸ δὲ ἑξῆς, ὑπερμενέα Κρονίωνα ἀσράπτων, ἀντὶ τῆ ἀσράπτοντα. BLV.

διασαλτέον ἐπὶ τὸ Κρονίωνα· ἐπὶ δὲ τὸ φέροντες ὑποσιγμή. A.

352. Τρώεσσι φόνον καὶ κῆρα φέροντες: καὶ Ὀδυσσεὺς ὁμοίως „ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι" (303). AL.

353. ἀσράπτων: ὅτι ἀκαταλλήλως εἰρήϑ (ἐδει γ' ἀσράπτοντα ἢ φαίνοντα), ὡς ἢ Εὐριπίδης ἐν Παλαμήδει „Ἄδιε, πάλαι δή σ' ἐξερωτῆσαι θέλων χολή μ' ἀπεῖργε." βραχὺ δὲ διασαλτέον εἰς τὸ ἐπιδέξι· ἀσύνδετος γ' ὁ λόγος, λείποντος τοῦ καί, ἢ φαίνων. BL.

ἐναίσιμα σήματα: γράφει δὲ περὶ δεξιῶν Ἑρμόδημος „καὶ ὅταν κατὰ δεξιὰ χειρὸς ἀσράπτῃ, νίκην καὶ ὕπερτερον εὐχος ὑπάζει." ἢ ὅλως οἱ περὶ τάτων σκεψάμενοι φασιν ἀσραπὰς καὶ βροντὰς δεξιὰς τοῖς ἐπιχειρῆσιν ἄγεσθαι· φάβους γ' τοῖς πολεμίοις σημαίνεσθαι ἐν δεξιοῖς γινόμενα. Schol. Eton. ap. Heyn.

354. μή τις πρὶν ἐπειγέσθω: προσακτικῶς. ὁ δὲ Ὀδυσσεὺς ἐπιταγματικῶς „ἀλλ' ἄγετε, μίμνετε πάντες" (331). ἕτος δὲ συμβουλευτικῶς. BL.

355. πὰρ Τρώων ἁλόχῳ καταποιμηθῆναι: Ἀρίσαρχος καὶ τὰ ὑπομνήματα διὰ τῶ ε, πρίν τινά περ. A.

ἐν τοῖς Ἀριστάρχου ὑπομνήμασι πρίν τινά περ, ἀ καλῶς. μέγιστον δὲ εἰς κόλασιν ᾤοντο οἱ παλαιοὶ τὸ τὰς γυναῖκας ὑπὸ πολεμίοις γενέσθη. BL.

φασί τινες ὡς αἰχρὸν αὐτοὺς μένειν δελεαζομένους τῇ προσδοκίᾳ τῶν ἀφροδισίων ὑπὸ τῶ πανσόφου Νέστορος. ῥητέον ἓν ὡς ἐξ ὧν ἐπλημμέλησαν Τρῶες, ἐκ τούτων αὐτοὺς δίκας αἰτεῖν πεπείραται. οὐδὲ δὲ τὸ πλῆθος ἀφροδισίων ἥττωμένον, καὶ ταῦτα ὅταν εὔλογος ἡ ἡδονή. ὁ δὲ Ὀδυσσεὺς ἐδὲ φησὶ τοῦτο, ἀλλ' ὁ ἀφροδισίων ἤδη παυσάμενος. V.

356. Ἑλένης ὁρμήματα: ἢ διπλῆ πρὸς τοὺς χωρίζοντας· ἔφασαν γὰρ τὸν μὲν τῆς Ἰλιάδος ποιητὴν δυσαναχετῆσαν συνισάνειν καὶ ξένεσαν διὰ τὸ βίᾳ ἁπῆχθαι ὑπὸ τῶ Ἀλεξάνδρου, τὸν δὲ τῆς Ὀδυσσείας ἑκῆσαν, ἀ νοῆντες ὅτι ἐκ ἔξιν ἐπ' αὐτῆς ὁ λόγος, ἀλλ' ἔξωθεν πρόθεσιν τὴν περὶ δεῖ λαβεῖν, ἵν' ᾖ περὶ Ἑλένης. καὶ ἔξιν ὁ λόγος, τιμωρίαν λαβεῖν ἀνθ' ὧν ἐξενάξαμεν ἀ ἐμεριμνήσαμεν περὶ Ἑλένης· παραλειπτικὸς γὰρ προθέσεών ἐξιν ὁ ποιητής. A.

λείπει ἡ περί, ἵν' ᾖ τόσαθ' τὰ περὶ τῆς Ἑλένης ὁρμήματα. ὁρμήματα δὲ τὰ μεριμνήματα, ὡς αὐτῆς ἀκουσίως παρὰ τοῖς πολεμίοις ἔσης. ἵν' ἀξιόχρεως δὲ ᾖ βοηθεῖσθαι, τοῦτό φησιν. BL.

358. μελαίνης: βαθείας· σκοτεινῆς, ἢ πίσσῃ κεχρισμένης. D.

359. πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ: εὐθὺς πρὸ πάντων ἐκεῖνος ἐπὶ θάνατον ἔλθῃ ἀ ἀναπληρώσῃ τὴν εἱμαρμένην. AD.

τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἀρετὴ δὲ ῥήτορος τὰ μὲν χαρίζεσθαι, τὰ δὲ καταπλήσσειν ἀπειλῇ κολάσεων. BL.

360. ἀλλὰ ἄναξ: ἀποσρέφει τὸν λόγον ἀπὸ τῶν Ἑλλήνων πρὸς τὸν Ἀγαμέμνονα, καὶ καλεῖται τὸ χῆμα ἀποσροφή. AD.

φοβερώτερον καθίσαται τοῦτο τοῖς ἁμαρτάνουσι, τὸ τὸν Ἀγαμέμνονα ἄνακτα αὐτῶν ἀ ἐκ Ἀτρείδην καλεῖν. νόμον δὲ τοῖς βασιλεῦσι τίθησιν, εἰς δύο μερίζων αὐτῶν τὴν βουλήν, τήν τε ἰδίαν καὶ τὴν σὺν ἄλλοις γινομένην. ἄριστον γὰρ τὸ ἐπικρίνειν τὸ εὖ ἔχον· „οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσει" (Hesiod. O. 291). BLV. λείπει δὲ τῷ καλῶς σοι συμβουλεύοντι. D.

361. οὔ τοι ἀπόβλητον: ἐξ ἀποφάσεως τὴν κατάφασιν δηλοῖ τῶν ἐπαίνων, φεύγων τὸ φορτικόν· διὸ ἐκ εἶπεν ἐπαινέσεις τὴν βουλήν. BL.

362. κρῖν' ἄνδρας κατὰ φῦλα: προοικονομεῖ ἑαυτῷ τὸν κατάλογον, ὅπως τὰς φυλὰς διεξιὼν ἀναγκάζηται τὸν τῶν νεῶν ἀριθμὸν λέγειν. περὶ τάξεως δὲ εἰσηγεῖ ὡς ἀναμφιβόλως δύξαν αὐτοῖς μένειν· καὶ εἰς τοῦτο προτρέπων λήθην ἐμποιεῖ τῷ νόσου. ζητῶσι δέ τινες τί δή ποτε οὐκ ἐν ἀρχῇ τῶ πολέμω τὸ στράτευμα διατάττει ὁ Νέστωρ. ῥητέον δὲ ὅτι ἔχοντες πρώην Ἀχιλλέα τούτων ἐκ ἐδέοντο, ὡς ἀδὲ τῷ πλήθους. BLV.

ἐζήτηται διὰ τί ταύτην τὴν τάξιν πρὸ πολλῶ μὴ ὑπετίθετο ὁ Νέστωρ. ἤτοι ὅτι πάλαι μὲν Ἀχιλλεὺς φίλος ὢν τῶν Ἑλλήνων ἤρκει πρὸς τὸ συνέχειν τοὺς βαρβάρους, καὶ καλῶς ἐκείνῳ θαῤῥῶν ἐκ ἐποίει τοῦτο· νῦν δὲ αὐτῷ μηνίοντος εἰκότως ἀσφαλεστέραν διάταξιν εἰσάγει. AD.

363. ὡς φρήτρη φρήτρηφιν: τοῦτο ἐξηγήσατο ἐν τῷ „ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν" (Il. 3, 9). τοῦτο δέ, ἵνα μὴ περιορῷεν τὰς οἰκείας, καὶ εὐδοξεῖν σπεύδοιεν γνωριζόμενοι. ἔτω δὲ τὸ βούλευμα χαρίεν τὸ τῆς διατάξεως, ὥστε ἀ τὸν Δία εἰσηγήσασθαι αὐτὸ τοῖς βαρβάροις διὰ τῆς Ἴριδος (805). BL.

366. κατὰ σφέας: διακεκριμένοι. τοῦτο δὲ χαρίζεται Νέστορι τὸ γῆρας καὶ ἡ ἐμπειρία τῶν πολέμων. BL.

ἔξι μὲν καθ' ἑαυτὸς διακεκριμένοι, σημαίνει δὲ ἐκ τότε ἕκαστον καθ' ἣν ἔχει δύναμιν· ὅμοιον γάρ ἐξι τῷ „ἀ μαχόμην κατ' ἐμαυτὸν ἐγώ" (Il. 1, 271), τουτέστι καθ' ἣν εἶχον δύναμιν. L.

367. θεσπεσίῃ: λείπει τὸ βελῇ, ὡς Πίνδαρος „τὸν δὲ ἄνδρα δαιμονίᾳ γεγαμένη" (Ol. 9, 118). ἢ ἀπὸ κοινοῦ τὸ κακότητι, θεσπεσίῃ κακότητι ἢ ἀνδρῶν κακότητι. BL.

368. ᾗ: Πτολεμαῖος περισπᾷ τὸν ῆ, διαπορητικὸν ἐκδεχόμενος. εἰσὶ δὲ οἳ ὀξύνεσιν, ὥσπερ καὶ οἱ περὶ τὸν Ἀλεξίωνα, ἐκδεχόμενοι παραδιαζευκτικὸν τὸν ἤ. A.

Πτολεμαῖος περισπᾷ τὸν ῆ, ἵν' ᾖ τῇ ἰδίᾳ. οἱ δὲ περὶ Ἀλεξίωνα ὡς διαπορητικὸν ἢ διαζευκτικὸν ἐκδεχόμενοι ὀξύνεσιν, ἵν' ᾖ ἀντὶ τῶ ἀλλ' ἤ. BL.

370. ἀγορῇ νικᾷς: ἐπεικὴς ὁ βασιλεύς, ὃς ἐκ οἴεται δεῖν ἐν ἅπασι πάντων ὑπερέχειν. ἅμα δὲ καὶ πλέον Ὀδυσσέως αὐτὸν θαυμάζει, ὅτι ὁ μὲν εἰσηγήσατο ὡς μενετέον, ὁ δὲ Νέστωρ καὶ τί χρὴ πράττειν μένοντας. ἰσοσάσιος δὲ ὁ ἔπαινος, εἰ ἀ τὸν μὲν τὸ πλῆθος, τὸν δὲ αὐτὸς ἐπαινεῖ. BL.

ἐζήτηται διὰ τί Ὀδυσσέως καταχόντος διὰ λόγων τὰς ὄχλους, καὶ τοιοῦτον πρᾶγμα συνετὸν ἀ σπεδαῖον ποιήσαντος, ὁ βασιλεὺς νῦν δύναμιν ἐν τῷ λέγειν Νέστορι προσμαρτυρεῖ. ἤτοι ὅτι ὡς δυναμικωτέρῳ· προκατειλημμένων γὰρ τῶν ἐπιχειρημάτων Ἀθηνᾷ τε ἀ Ὀδυσσεῖ, ὅμως εὐπόρησε λόγων. ἢ ὅτι ὁ μὲν μόνον ὠνείδισε, Νέστωρ δὲ σὺν τῇ διατάξει καὶ συμβουλίᾳ καὶ τὰς ἀσραπὰς εἶπεν· βεβαιότερον γὰρ νίκης φῶς. AD.

371. αἰ γάρ: ἐντεῦθέν τινες νομίζουσιν Ἀθηναῖον γεγονέναι τὸν ποιητήν· τὸ γὰρ Ἀθηναίη Ἀττικὸν ἀ ἴδιον εἶναι τὸν ὅρκον φασὶ τῶν Ἀθηναίων. AD. πάτριοι γὰρ ἦτοι τοῖς Ἀθηναίοις θεοί. BL.

372. τοιοῦτοι δέκα μοί συμφράδμονες: δῆλός ἐξιν ὁ ποιητὴς τῶν σωματικῶν τὰ ψυχικὰ προτιμῶν. ἐνθάδε μὲν γὰρ δέκα Νέστορες ἀρκοῦσιν αὐτῷ πρὸς τὴν τῆς Ἰλιάδος ἅλωσιν· τὸς δὲ Αἴαντας ἐπὶ τὸν πόλεμον προτρέπων φησὶ „τοῖος πᾶσι θυμὸς ἐνὶ σήθεσσι γένοιτο" (Il. 4, 289).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔνθεν Εὐριπίδης λαβὼν λέγει „σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία, πλεῖστον κακόν." λέγει δὲ ὅτι εἰ πάντες συμβελεύσειαν τὰ αὐτὰ τῷ Νέστορι, τάχα ἂν πορθηθείη ἡ πόλις. ἀπαρκεῖ οὖν τὸ χρησὸν τῆς γνώμης μόνος ὁ Νέστωρ εἰσηγέμενος. ἀγνοῆσαι δὲ ὅτι ἃ τὲς ἀλλήλων τοῖς λόγοις διοίσοντάς φησιν, ἀλλ' οἷς ἡ αὐτὴ ἕξις ἐσί· „πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην βουλὴν βουλεύσει" (Il. 9, 74). τάχα δὲ εἰς ταύτην τὴν εὐχὴν κατηνέχθη, ἵνα τῇ ὑπερβολῇ τῶν τῆ Νέστορος ἐπαίνων προτρέψῃ τὸ στράτευμα ταῖς παραινέσεσι πείθεσθ. BL.

373. τῶ: τὸ τῷ πολλὰ σημαίνει. ἐπὶ μὲν τοῦ τοιούτου περισπᾶται καὶ τὸ ῑ ἐκ ἔχει. A.

ἠμύσειε: ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορά, οἳ σὺν τῷ μύειν τοῦ φωτὸς φερίσκονται. ABL. ὅθεν ἔτι ὀφθαλμὸν ἕσεσθ τὴν Ἑλλάδα ἔφα καὶ Σικελίας τ' ἔσαν ὀφθαλμοί. V.

375. ἀλλά μοι αἰγίοχος: εὐεπίφοροι κατὰ θεῶν οἱ ἀτυχεῖς. προμαλάσσει δὲ τὸ πλῆθος, τὴν αἰτίαν θεῷ ἀνατιθεὶς καὶ θυμῷ, ὡς μή τις ἐθελοκακοίη αὐτῷ. συγγνώμονες δὲ πάντες τοῖς ὁμολογοῦσι τὰ πταίσματα. πόρρωθεν δὲ ἑαυτῷ τὰς πρὸς Ἀχιλλέα διαλλαγὰς μνησεύεται, τὲς ᾠκειωμένες ἐκείνῳ ὑπερχόμενος. BL.

377. μαχεσσάμεθ': διὰ τοῦ η αἱ Ἀριςάρχῳ, μαχησάμεθ'. καὶ ἔξι ὅμοιον τῷ „μαχήσονται περὶ σεῖο" (Il. 3, 137). A.

379. εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν: καὶ πῶς ὁ παρακαλεῖ; αἰδεῖται χωρὶς ἀνάγκης, καὶ τῷ ὀνείρῳ πέποιθεν. BLV.

380. οὐδ' ἠβαιόν: οἱ μὲν τὸ πλῆρές φασι βαιόν, οἱ δὲ ἠβαιόν. ἔξι δὲ εἰπεῖν ὅτι παρὰ μὲν τῷ ποιητῇ ἀπὸ τοῦ η ποιεῖ τὴν ἀρχὴν ἀεί „ἐλθόντες δ' ἠβαιόν" (Od. 9, 462), παρὰ μέντοι τοῖς νεωτέροις δισσὴ ἡ χρῆσις· „βαιὸν ὑπὲρ ποταμοῖο." καὶ Καλλίμαχος δὲ „ἠβαιὴν οὔτι κατὰ πρόφασιν." A.

ἀεὶ παρὰ τῷ ποιητῇ τὸ ἠβαιὸν ἐν ἑνὶ μέρει λόγ. ἔνθεν καὶ Καλλίμαχος „ἠβαιὴν ἔτι κατὰ πρόφασιν." BL.

381. δεῖπνον: τὸ ἐωθινὸν ἄριστον, ὃ δὲ ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται· δόρπον δὲ τὸ ἑσπερινόν, δόροπόν τι ὄν, τὸ μετὰ τὴν παῖσιν τῶν δοράτων διδόμενον. τὸ δὲ δεῖπνον ἐπ' ὀλίγον τροφήν. Αἰσχύλος δὲ κακῶς· „ἄριστα δεῖπνα δόρπα θ' αἱρεῖσθ." τρισὶ δὲ ἐδίδοτε ἔτε μνησῆρες ἔτε μὴν Κύκλωψ ἐχρῶντο τροφαῖς. ABL.

τρισὶ τροφαῖς ἐχρῶντο οἱ παλαιοί. καὶ τὴν μὲν πρώτην ἐκάλουν ἄριστον, ἣν ἐλάμβανον πρωΐας χεδὸν ἔτι σκοτίας ἔσης· καὶ ὠνομάσθη ἄριστον ἢ παρὰ τὸ λαμβάνειν αὐτὸ πρὶν εἰς ἀριστείαν πρόερχεσθαι, ἢ ἀπὸ τοῦ προσφέρεσθαι ταύτην πρώτην τροφήν, παρὰ τὸ ἄειρε „μή μοι οἶνον ἄειρε" (Il. 6, 264)· τὴν δὲ δευτέραν δεῖπνον, τὸ καθ' ἡμᾶς ἄριστον. καὶ ἔξι κατὰ τὸ ἔτυμον δεῖπνον μεθ' ὃ δεῖ πονεῖν· λαβόντες γὰρ ταύτην τὴν τροφὴν πάλιν ἐπὶ τὰ πολεμικὰ ἔργα ἐπόνουν. τὸ δὲ τρίτον δόρπον, τὸ καθ' ἡμᾶς δεῖπνον· καὶ ἔξι κατὰ τὸ ἔτυμον λυόντες, ὅταν εἰς τὸ λυόειν πορευσώμεθα, ὃ ἔξι κοιμᾶσθ ἢ παρὰ τὸ παῦσιν ἔχειν τοῦ δόρατος. V.

δεῖπνον τὸ παρ' ἡμῖν νῦν ἄριστον λεγόμενον, τὸ πρωϊνὸν ἔμβρωμα· δόρπος δὲ τὸ ἐν τῇ ἑσπέρᾳ, ὃ ἡμεῖς δεῖπνον λέγομεν. δεῖπνον τὸ πρωϊνόν, μεθ' ὃ δεῖ πονεῖν, ὅ ἔξιν ἐργάζεσθ· δόρπον δὲ ἡ ἑσπερινὴ τροφή, παρὰ τὸ οἱονεὶ παύεσθ τὸ τηνικαῦτα λοιπὸν τὲς πολεμοῦντας τοῦ δόρατος, ὅ ἔξι τῷ πολέμῳ, καὶ ἡσυχάζειν. D.

Ἄρηα: τότῳ τῷ ὀνόματι τετραχῶς κέχρηται ὁ ποιητής. ἐπὶ μὲν τῷ πολέμῳ, ὡς ἐνταῦθα. ἐπὶ δὲ τῷ σιδήρῳ „αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιςήν" (Il. 5, 289) καὶ „ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμον (ὔμβριμος D, ὄβριμος L) Ἄρης" (Il. 13, 444). ἐπὶ δὲ αὐτῇ τῇ θεᾷ ἔτως „καὶ δ' αἳ ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα" (Il. 21, 421) καὶ πάλιν „ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος" (Il. 20, 38). ἐπὶ δὲ τῆς πληγῆς „ἔνθα μάλιςα γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν" (Il. 13, 568). ADL.

382. εὖ μέν τις δόρυ θηξάσθω: κινητικὰ τῷ μέλλοντος ἔσεσθ πολέμῳ ταῦτα, καὶ τὴν πολεμικὴν παρασκευὴν διδάσκοντα τὸν ἀκροατήν. οἶδε γὰρ καὶ ταῦτα αἰτίας εἶναι τῆς ἥττης· „οὐδὲ διὰ πρὸ δυνήσατο" (Il. 13, 607)· „τῇ ὅγ' ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος" (Il. 15, 647). δεῖ οὖν μὴ ἐξ ἡμῶν τὴν αἰτίαν εἶναι τῷ κακῷ. δύο δὲ συνέπλεξε χήματα, ὁμοιοτέλευτον καὶ ἐπαναφοράν, ἐπανιὼν μὲν εἰς τὴν αὐτὴν λέξιν, καταλήγων δὲ εἰς τὸ ὁμοιοτελὲς τῶν ῥημάτων. ἔξι δὲ ἡ ἐπαναφορὰ ὡς τὸ „εὖ μὲν Μυρμιδόνας φάσ' ἐλθέμεν, εὖ δὲ Φιλοκτήτην" (Od. 3, 188)· „κλαῖε μὲν Ἀργείη Ἑλένη, κλαῖε δὲ Τηλέμαχος" (Od. 4, 184). ἰδὼν δὲ ὁ Ἀγαμέμνων τὲς Ἀχαιὲς καὶ τὸν Ὀδυσσέα ἐπαινέσαντας καὶ τὴν Νέστορος ἐπιτίμησιν πράως ἐνεγκόντας, τρέπεται ἐπὶ τὸ προσάττειν. ABL.

θέσθω: ἀντὶ τῷ περιθέσθω. τῶτο δὲ καὶ ὁ Θεκυδίδης ἐν πολιτείαις φησὶ τὸ ὅπλισμα. BL.

385. πανημέριοι: ὅτι παρελήλυθυίας λέγει τῆς ἡμέρας ἤδη τὸ πανημέριοι ἐπὶ τῷ ἀπολείποντος αὐτῷ μέρους, καὶ ὁ πάντως τὸ ἀπ' ἀνατολῆς μέχρι δύσεως λέγει πρόπαν ἦμαρ. A.

κρινώμεθ' Ἄρηϊ: ἀβέλτερος, φασίν, ὁ Ἀγαμέμνων μὴ συνορῶν ὅτι ἐν πολέμῳ ἐκ ἐπὶ τοῖς μαχομένοις κεῖται τὸ τότῳ τέλος, ἀλλ' ὡς ἂν τύχῃ γενόμενον. ἀγνοῆσαι δὲ ὅτι καλὸν ἔξι ἀνχερῆ ἐλπίζειν, ἵνα ὡς ἐπὶ πλείονι πόνῳ προθυμότεροι παρασκευαθῶσιν. ἢ γὰρ ἀποβάντων ἧττον ἠχθέσθημεν, ἢ μὴ τελεσθέντων ὑπεράγαν ἐχάρημεν. καὶ Ἀττικοὶ δὲ ἥκειν ἔχοντας σιτία βοῶσιν. BLV.

387. μένος ἀνδρῶν: περιφραςικῶς ἄνδρας. τὴν ἐκάςῳ δύναμιν καὶ προθυμίαν. D.

388. ἱδρώσει μέν τευ τελαμών: οὕπω γὰρ πόρπακες ἀλλὰ τελαμῶνες ἦσαν. εἴρηται δὲ τελαμὼν παρὰ τὸ τετάσθαι. ἱδρῶτα μὲν οὖν καὶ πόνον προβάλλεται, κίνδυνον δὲ ἐδαμοῦ. πρὸς ἕκασον δὲ τῶν προτραπέντων αἰτίαν ἐπάγει. BLV.

τελαμὼν ὁ ἀναφορεὺς νῦν τῆς ἀσπίδος, ὃ ἔξι πλατὺς ἱμάς, ἀφ' ὃ ἡ ἀσπὶς ἤρτηται. ἔξι δὲ καὶ ἕτερος τελαμὼν

τῇ ξίφει. AD. τὸ δὲ ἱδρώσει ὑγρανθήσεῖ ὑπὸ τῆ ἱδρῶτος τῆ πολεμίντος. L.

389. ἀμφιβρότης: τῆς πανταχόθεν τὸν βροτόν, ὅ ἐξι τὸν ἄνθρωπον, περιεχόσης καὶ σκεπόσης· ἀνδρομήκεσι γ᾽ ἐχρῶντο ταῖς ἀσπίσιν οἱ παλαιοί. D. ὅτι περιφερεῖς ϗ ἀνδρομήκεις αἱ ἀσπίδες. A.

ἐν τῇ συνθέσει μὲν προσλαμβάνει τὸ μ̄ ὡς κεχρεωσημένον τὸ βροτός, ὡς τὸ ἄμβροτος καὶ τὰ ὅμοια· τῆτο δὲ ἐχ ἕτως. ἴσως δὲ διὰ τὸ προεῖναι (τὸ πρόθεσιν εἶναι?). L.

391. ὃν δέ κ᾽ ἐγών: εὐτόνως κατέςρεψε τὸν λόγον· ἐιο γ᾽ τῆς πειθῆς μόνης ἀλλὰ καὶ ἀπειλῆς τῷ πλήθει προσδεῖ. πρῶτος δὲ τὸν κατὰ τῶν λειποτακτῶν συνεῖδε θάνατον, ὡς ϗ Ἕκτωρ „ἀλλὰ κύνες ἐρύσσιν" (Il. 15, 351). τῆτο δέ, ὅπως τὸν εὐκλεᾶ ἀντὶ τῆ δυσκλεῆς καὶ τὸν ἄδηλον ἀντὶ τῆ προδήλε θάνατον ἕλωνται. BLV.

393. ἄρκιον ἐσσεῖται: ἐπαρκῆν αὐτῷ ἐκ ἔχαι πρὸς τὸ φυγεῖν. τὸ δὲ ἐσσεῖται Ἀττικόν ἐςιν, ἔσσεται ἐσσεῖ ἔχαι. BL.

προπερισπαςέον τὸ ἐσσεῖται· ὁ γ᾽ παροξυντέον, ὥς τινες, ἐπεὶ Δώριον· ἤδη γ᾽ πολλὴ χρῆσις τῶν τοιέτων παρὰ Ἀτ- 20 τικοῖς. A. ὁ λόγος, τῷ θέλοντι φυγεῖν τὸν πόλεμον ἐχ ἱκανὸν ἐδὲ αὐταρκες γενήσεται πρὸς τὸ μὴ ὑπὸ κυνῶν ϗ σαρκοφάγων ὀρνέων διασπαθῆναι. AD.

395. ἀκτῇ ἐφ᾽ ὑψηλῇ, ὅτε κινήσει νότος: ἐξηγεῖται διὰ τέτε ὅτι ὁ νότος ὅπῃ πνεῖ, τὸ κῦμα μᾶλλον οἰ- 25 δεῖ τῶν ἄλλων· καὶ ὅτι σκαιὸν ἐκεῖνο τὸ κῦμα καὶ χαλεπώτατον τῷ μετεώρῳ αἰγιαλῷ προσρησσόμενον. ἔχι δὲ ἀκτὴ παράθαλάσσιος καὶ πετρώδης τόπος, ἀπὸ τοῦ περὶ αὐτὸν ἀΐσσεσθαι (ἄγεσθαι D), ὅ ἐχι ῥήσσεσθαι ϗ περικλᾶσθαι, τὰ κύματα. BL.

396. προβλῆτι: προβεβλημένῳ, ἐκκειμένῳ, ὅ ἐχι προέχοντι εἰς τὴν θάλασσαν. D.

σκοπέλῳ: σκόπελός ἐχι τόπος ὑψηλός, ἀφ᾽ ἧ σκοπῆσαι ἔχι τὰ κύκλῳ. L.

397. γένωνται: γένωνται οἱ ἄνεμοι. οἱ δὲ ἀήθεις μεταγράφεσι γένηται. BL.

ἢ διπλῆ, ὅτι ὁ γραπτέον, ὥς τινες, γένηται· ὁμηρικώτερον γ᾽ οὕτως λέγειν, γένωνται τὰ κύματα, ὡς σπάρτα λέλυνται. A.

ἕτως γένωνται αἱ Ἀριςάρχου. τοῦτο δὲ καὶ ὁ ἐκ τῶν 40 ὑπομνημάτων λόγος ὑπόκειται ἔχων τῇδε· ἐπὶ τῶν κυμάτων λέγει τὸ γένωνται. τῷ τοιέτῳ πλεονάκις κέχρηται, ὥςε καὶ ἐπὶ τῶν ἀδετέρων τὰ πληθυντικὰ παραλαμβάνει. μεταποιῆσι δέ τινες γένηται, ἐκ ὀρθῶς. ταῦτα ὁ Δίδυμος. A.

398. ἀνστάντες: διὰ τοῦ ν̄· τὸ γ᾽ πλῆρές ἐχιν ἀνα- 45 σάντες. A.

399. κάπνισαν: ἐκ τῆ καπνός. τῆτο παρὰ τὸ καίω ϗ τὸ πνοή· καπνὸς γ᾽ κυρίως ἡ ἐκ τῆς καύσεως πνοή. ἐξ αὐτῆ καπνίζω. BL.

400. 401. δείκνυσιν ὡς πολύκλητοι ἦσαν· ἕκασος γ᾽ τοῖς 50 πατρίοις θύει. τὸ γ᾽ θεῖον φύσει μὲν οὐ πολύ, θέσει δὲ πολύ. Ἑλληνικὸν δὲ τὸ εἰς θεὸς ἔχειν τὰς ἐλπίδας. ἀλλ᾽ οἱ μὲν εὔχοντο μόνον τὸ ζῆν (ἤρκει γ᾽ αὐτοῖς), ὁ δὲ βασιλεὺς τὸ εὐκλεῶς ζῆν· διὸ ἐκεῖνος πρεπόντως εὔχεται καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον αἰθαλόεν (414). BL.

402. αὐτὰρ ὁ: ἐπὶ μὲν τῶν ἄλλων τὴν θυσίαν ἐπὶ κεφαλαίε λέγων, πῶς καὶ τίνι ἔθυεν ἐκ εἶπεν ἐπ᾽ ἐδενός· ἐπὶ δὲ τῆ βασιλέως ἅπαντα ἀκριβῶς διέξεισι. καλῶς δὲ ϗ βασιλεῖ ὁ βασιλεὺς θύει, καὶ τῷ τελειοτάτῳ τῶν θεῶν, ϗ τὸ μέγιςον τῶν ζῴων. πρόθες δὲ ὅτι καὶ τὸν ὄνειρον αὐτὸς ἦν ὁ πέμψας. V.

403. πίονα: οἰκεῖα ταῦτα τῷ τελείῳ Διί. V.

πενταέτηρον: τότε γ᾽ ἀκμάζει. V.

404 — 407. κίκλησκε δὲ γέροντας: αἱ κατὰ τὰ τέλη τῶν τεσσάρων εἴχων εἰγμαὶ ἐ καλῶς κεῖνται· ἔδει γ᾽ συν- 15 άπτειν ἕως τῆ ἀτάλαντον· κοινὸν γ᾽ ϗ αὐτοτελὲς ῥῆμα τὸ κίκλησκε κατὰ πάντων· ὅμως τὸ πρέπον διίςησιν. κοινωνικὸν δὲ τὸ συνθύειν τοῖς ἀρίςοις, ϗ βασιλεῖ ἁρμόδιον. BL.

αἱ κατὰ τὰ τέλη τῶν τεσσάρων εἴχων εἰγμαὶ ἐν αἰτήματι· ὁ γ᾽ λόγος συνάπτει ϗ τὰς ἑξῆς ἕως τῆ μῆτιν ἀτά- 20 λαντον· κοινὸν γ᾽ αὐτοτελὲς ῥῆμα τὸ κίκλησκεν κατὰ πάντων· τὸ δὲ πρέπον διίςησιν. A.

405. Νέςορα μὲν πρώτιςα: ἄριςα τῇ τάξει ὁ πρεσβύτερος ϗ σύμβουλος πρῶτος καλεῖται· δεύτερος Ἰδομενεύς, καὶ ἕτος καθ᾽ ἡλικίαν, καὶ ὅτι τῆ Ἀτρειδῶν γένους· 25 τρίτος δὲ Αἴας, ὅτι ἄριςος ἦν τῶν Ἑλλήνων μετ᾽ Ἀχιλλέα, καὶ ὁ Λοκρὸς σὺν αὐτῷ, ὅτι ἴσον θυμὸν ἔχοντες (Il. 13, 704). πέμπτος Διομήδης, τῷ Αἴαντι κατ᾽ ἀλκὴν δεύτερος ὤν. ἕκτος Ὀδυσσεύς, ἐχ ὡς τῶν προειρημένων ἥττων (πῶς γ᾽ ὁ βελάς τ᾽ ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων 273;) 30 ἀλλ᾽ ὡς μᾶλλον αὐτὸν φίλον παρεῖδεν ὁ Ἀγαμέμνων. τὸν δὲ ἀδελφὸν ἐδὲ ἐκάλεσεν, ἀλλ᾽ αὐτόματος ἦλθεν· „ἦδεε γ᾽ κατὰ θυμὸν ἀδελφεόν, ὡς ἐπονεῖτο" (409). ἅμα δὲ διδάσκει συμπεριφέρεσθαι ταῖς ἀδελφῶν ἀχολίαις· ϗ ἵνα μὴ δόξῃ ἐπιλελῆσθαι αὐτῆ ὁ ἀδελφός, αὐτόματος ἔρχεται, ἀπαλλάσσων 35 ἐκεῖνον ὡς πονέμενον τῆ ἐγκλήματος. B.

407. ἕκτον δ᾽ αὖτ᾽ Ὀδυσῆα: ἔχατον ἐᾷ τῆτον, ὅπως ὑψώσει τοῖς ἐγκωμίοις. ἄμεινον δὲ λέγειν ὅτι τὰ δύο ἄκρα τοῖς σοφωτάτοις ἀπένειμε, Νέςορι καὶ Ὀδυσσεῖ. B.

408. βοὴν ἀγαθός: διὰ τί τὲς ἀνδρείας βοὴν ἀγα- 40 θὲς ἀποκαλεῖ, νῦν μὲν Μενέλαον, ἀλλαχοῦ δὲ Διομήδην, πῇ δὲ „βοὴν ἀγαθὸς βάλεν Αἴας" (Il. 15, 249) ϗ „Ἕκτορα δ᾽ ἐφράσσαντο βοὴν ἀγαθόν" (ib. 671) ϗ ἑτέρως; ῥητέον δὲ ὅτι μή πω σάλπιγγος εὑρεθείσης βοῇ διώκουν τὰς τῆς μάχης ἐπιθέσεις τε καὶ ἀνακλήσεις. ἄλλως τε καὶ σημεῖον 45 τῆ θαρσεῖν τὸ βοᾶν· ἡ γ᾽ δειλία θραύσα τὸ πνεῦμα βραχίσην ἀπεργάζεται τὴν φωνήν. διὰ τῆτο βοῶντας παρεισάγει τὲς ἥρωας· „σμερδαλέον δ᾽ ἐβόησεν" (Il. 8, 92)· „ἦϋσε δὲ διαπρύσιον" (ib. 227). BLV.

409. ὡς ἐπονεῖτο: ὡς θυσίαν ἐπετέλει. V.

410. οὐλοχύτας: ἐκ τῆ ἔλη, βαρυτόνως, ὃ σημαίνει τὴν κριθήν. τῆτο ἐκ τῆ ἅλος· σημαίνει δὲ τὸν ὁλόκληρον

ὡς τὸ „ἄρτον ἕλον ἑλών" (Od. 17, 343). καὶ ἐξ αὐτῆ ἕλη· πρὸ γ' τῆ εὑρεθῆναι τὸν Δημητριακὸν σῖτον ὁλοκλήρους τὰς κριθὰς ἤσθιον. ἕλος ἦν γέγονεν ἐκ τῆ ὅλος, πλεονασμῷ τῆ ῡ· ὅλος γ' ὁ ὁλόκληρος. τὸ ἕλη ἦν παροξυτόνως ἐπὶ τῆς κριθῆς. ἐκ τῆ ἕλη ἦν καὶ τῆ χύω ἐλοχύται. ἑλὴ δὲ ὀξυτόνως ἐπὶ τῆς τρώσεως. L.

412. κύδιςε: ἐν δόξῃ προὔχων. μέγιςε δὲ δυνάμει πρέχων. B.

κελαινεφές: μελανονεφές, μέλανα νέφη συνάγων πρὸς κατάπληξιν. D.

αἰθέρι ναίων: ὁ τὸν ὑπὲρ τὸν ἀέρα ὄντα αἰθέρα κατοικῶν. ὁ γ' Ὅμηρος τῆτο οἶδεν αἰθέρα. D.

ὅτι ἔν τισι γέγραπται Ζεῦ πάτερ Ἰδηθεν μεδέων. οὐχ ἁρμόζει δὲ τὸν ἐγχώριον Δία προσκαλεῖῳ ἐπὶ τῆς πορθήσεως, ἀλλὰ βέλτιον κοινοτέραν. A.

413. ἐπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν: ἀντὶ τοῦ δύναντος ἡλίου τὸ κνέφας ἐλθεῖν· λείπει δὲ τὸ δύς. οἰκεία δὲ ἡ περίφρασις τοῖς ἐκτενῶς εὐχομένοις· ἐνδιατρίβομεν γ' ὡς ὁ διδάξοντες τάληθῆ τὸ θεῖον. ἄπληςος δὲ ἡ ὄρεξις τῆ πρὸ τῆς τῶν φίλων σωτηρίας τὴν καταςροφὴν αἰτεμένε· διὸ ἀνανεύει ὁ Ζεύς. BL.

ἠέλιον: κατὰ πλεονασμὸν τοῦ ε̄ ποιητικῶς. γίνεται δὲ παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν λαμπηδόνα, ἕλιος ᾗ τροπῇ τῆ ε̄ εἰς η̄ ἥλιος, ὥσπερ ἔξιν ἔπω τὸ λέγω καὶ ἐξ αὐτοῦ ἐπύω ᾗ τροπῇ τῆ ε̄ εἰς η̄ ἠπύω τὸ φωνῶ „ἠπύτα κῆρυξ" (Il. 7, 384). ἢ παρὰ τὸ δῆλος ὁ φανερός, δήλιος καὶ ἀποβολῇ τῆ δ̄ ἥλιος, ὡς παρὰ τὸ διωκή ἰωκή ᾗ δαίω τὸ μερίζω δαῖσα καὶ αἶσα ᾗ δαίμονα αἵμονα „αἵμονα θήρης" (Il. 5, 49). ἢ παρὰ τὸ ἅλς ἁλός ἅλιος ᾗ ἥλιος· ἀνιμᾶῳ γάρ φασιν οἱ φυσικοὶ τὸν ἥλιον τὸ τῆς θαλάσσης ὕδωρ. ᾗ Ποσειδῶν παρὰ τὸ πόσιν ἀναπίνειν τῷ δάει, τετέςι τῷ ἡλίῳ. δάος δὲ ἐκ τῆ δαίω τὸ καίω. L.

414. κατὰ πρηνὲς βαλέειν: ἔμφασιν ἔχει ἡ ἀπὸ τῶν ἐμψύχων μεταφορά. τὸ δὲ πρηνὲς ἐκ τῆ πρανές. BL.

μέλαθρον: οἶκον, ἀπὸ τῆ ὑπὸ καπνῆ μελαίνεῳ. ἀπὸ δὲ τότε φησὶ τὸ βασίλειον. D.

415. αἰθαλόεν: κατὰ πρόληψιν τὸ αἰθαλωθησόμενον, ἢ τὸ ἀφανές (διαφανές V). μικροῖς δὲ λόγοις μεγάλα αἰτεῖ· ἀντὶ γ' Ἰλίε οἰκίαν μίαν πρῆσαι. ὁ δὲ θυμὸς ἄκρως διὰ τῶν προσώπων παρίσαται Πριάμε τε ᾗ Ἕκτορος. BL.

πρῆσαι: ἐν ταῖς πλείσαις διὰ τοῦ λ̄, πλῆσαι· καὶ αἱ Ἀριςάρχου. δύναιτο δ' ἂν καὶ διὰ τοῦ πρῆσαι ταὐτὸν δηλοῦσθαι, ὡς ἐκεῖ „ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱςίον (Il. 1, 481). A.

416. Ἕκτόρεον δὲ χιτῶνα: προσυνίςησιν ἡμῖν ᾗ νῦν τὸν Ἕκτορα. BL.

417. χαλκῷ ῥωγαλέον: ὅτι οὕτως εἴρηκεν ἀντὶ τοῦ χαλκῷ ῥηγέντα, καὶ ἐκ παρεπομένε ἐν μέρει τὸ ἀνελεῖν. A. διερρωγότα, παρὰ τὸ ῥήσσω. B.

παρὰ τὸ Χάλυψ Χάλυβος (σημαίνει δὲ ὄνομα ἔθνους) τροπῇ τῆ β̄ εἰς κ̄ χαλκός· ἐκεῖ γ' λέγεσιν εὑρεθῆναι πρῶτον τὸν σίδηρον. ἐκ τῆ οὖν χάλυβος χαλβός καὶ χαλκός. ἐκλήθη δὲ χαλκὸς ὁ σίδηρος διὰ τὸ πρῶτον εὑρεθῆναι τὸν χαλκόν, ὕςερον δὲ τὸν σίδηρον. ἐκάλεν ἓν ὁμωνύμως τὸν σίδηρον χαλκὸν καὶ τὸν χαλκὸν σίδηρον. BL.

418. ὀδάξ: δάκω δάξω δάξ ὀδάξ. τοῦτο δὲ συμβαίνει τοῖς ὀδυνωμένοις. BL.

419. οὐδ' ἄρα πώ: διὸ τῆ πώ ἐλπίδα ὑπολείπει τῆς εὐχῆς. ἐπὶ δὲ Θεανῆς „ἀνένευε δέ" (Il. 6, 311). BL.

420. πόνον δ' ἀλίαςον ὄφελλεν: τοῦτο καὶ λέξις ὑπόκειται διὰ τῆ α' τῶν ὑπομνημάτων, καὶ ἔςιν ἐμφατικωτέρα. ᾗ χεῖρον δ' ἂν εἴη τὴν ἐκλογὴν ἐκθεῖναι· ἀλλ' ὄγε δέκτο μὲν ἱρά, πόνον δ' ἀλίαςον ὄφελλεν, οἷον αἴσια ἐσήμαινεν, ὥςε λέγειν τὰς μάντεις ὅτι δέδεκται, τοιῆτον μέντοι πόνον αὐτὸς ηὔξεν, ὃν ἐκ ἂν ἐκκλίνειεν. γελοῖον γ' ἂν ἦν, εἰ μὴ ἐποίει τῆτο. A.

ἀμέγαρτον: ἄφθονον, πολύν. V.

422. αὖ ἔρυσαν: ἢ διπλῆ, ὅτι τὸ αὖ ἔρυσαν ἀντὶ τῆ εἰς τὰπίσω ἀνέκλασαν, ὃ ποιῆσιν οἱ σφάζοντες. A.

423. κατά τε κνίση ἐκάλυψαν: Ἀρίςαρχος τὰ κνίση ἀδετέρως ἀκέει, καίτοι εἰπὼν ἀδὲν ἀδιαίρετον εἶναι τῶν εἰς ος̄ ληγόντων ἀδετέρων παρ' Ὁμήρῳ κατὰ τὸ πληθυντικόν· τείχεα γ' ᾗ βέλεα λέγει. ἀλλ' ὥσπερ τὰ τεμένη ἀδιαιρέτως εἴρηκεν, ὡς τὸ „Τηλέμαχος τεμένη νέμε" (Od. 11, 185), ὕτω καὶ τὰ κνίση. ᾗ ἔςιν ἐν τῇ κωμῳδίᾳ τὸ ἑνικόν· „τὸ κνῖςος ὀπτῶν ὀλλύεις τοὺς γείτονας." πλεονάζει δὲ Ὅμηρος τῇ θηλυκῇ προσηγορίᾳ. σημαίνει δὲ καὶ τὴν ἀναθυμίασιν τῶν κρεῶν, ὡς ὅταν λέγῃ „καὶ τότε με κνίσσης ἀμφήλυθεν ἡδὺς ἀϋτμή" (Od. 12, 369) ᾗ „κνίσση δ' ἀρανὸν ἶκεν ἑλισσομένη περὶ καπνῷ" (Il. 1, 317). σημαίνει καὶ τὸ λίπος, ὡς ἐπὶ τῶν γαςέρων ἔφη „ἐμπλείην κνίσσης τε ᾗ αἵματος" (Od. 18, 119). σημαίνει καὶ τὸν ἐπίπλεν, ὡς ὧδε· „κατά τε κνίσῃ ἐκάλυψαν, δίπτυχα ποιήσαντες." διπλᾶ γ' ποιήσαντες τὰ κνίσση, τὰς μηρὰς ἐπεκάλυψαν. δίπτυχα δὲ αὐτὰ τὰ κνίση· ἐπεὶ γ' δύο οἱ μηροί, τὸν ἐπίπλεν εἰς δύο διελόντες ἑκάτερον αὐτῶν θατέρῳ μέρει τῆ ἐπίπλου ἐκάλυπτον. BL.

424. πρὸς τὸ ὠμοθέτηςαν, ὅτι ἐξὶν ἀπὸ τῶν μελῶν τῶν ὠμῶν ἀπάρξαθαι καὶ εἰς τὸν ἐπίπλεν ἐνθέντας ἱερεῦσαι. A.

427. μῆρ' ἑκάη: Πτολεμαῖος ἀπὸ τοῦ κ̄ τὴν ἀρχὴν ποιεῖται, μῆρε παραλαμβάνων, εἶτα κάη, ἵνα, φησίν, ἰωνικώτερον γένηται. τῆτο δὲ ᾗ συνεκτικόν, ὥσπερ εἶπον ἐντελῶς, ὁπότε διέλαβον ἐπὶ τῆ „ἦ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (Il. 1, 40), εἴγε ἤδη οἱ δ' ἑκάη τὰ μῆρα. „μῆρα δὲ κείαντες" (Od. 13, 26). A.

ἐπάσαντο: Ἀρίςαρχος Ἰακῶς πάσαντο. A.

432. τὸ ἔντο γίνεθ παρὰ τὸ ἵημι τὸ πέμπω· τὸ παθητικὸν ἵεμαι, ὃ παρατατικὸς ἱέμην ἵεσο ἵετο ἱέμεθα ἵεσθε ἵεντο, καὶ ἐκβολῇ τῆ ῑ ἕντο, καὶ μετὰ τῆς ἐξ προθέσεως ἐξέντο. γίνεται δὲ καὶ ἐκ τῆ ἔω τὸ τελειῶ. τὸ δὲ ἔω σημαίνει ἑπτά. ἔω τὸ ὑπάρχω, ἐξ ἓ καὶ ἑῦς ὁ ἀγαθός· ὁ γ'

ἀγαθὸς ἑδραῖος. ἕω, τὸ περιπατῶ, ἐξ οὗ καὶ ὁδός. ἕω τὸ ἐνδύομαι, ἐξ ἕ καὶ τὸ ἐπιειμένε. ἕω τὸ τελειῶ, ὡς τὸ „ἐξ ἔρον ἔντο." ἕω τὸ καθέζομαι, ὡς τὸ „ἧσο παρ' αὐτὸν ἷσα" (Il. 3, 406). ἕω τὸ εὐφραίνομαι, ἐξ ἕ καὶ ἥδω. ἕω τὸ κορεννύω, ἐξ οὗ καὶ τὸ „ἐπεί κ' ἔωμεν πολέμοιο" (Il. 19, 402). BL.

435. μηκέτι νῦν δήθ' αὖθι λεγώμεθα: ἔτως αἱ Ἀριζάρχε λέξεις ἐκ τῆ β' τῆς Ἰλιάδος· δηθά πολὺν χρόνον, αὖθι αὐτῆ, λεγώμεθα συναθροιζώμεθα. ὁ δὲ λόγος τοιῆτος· μηκέτι νῦν ἐπὶ πολὺν χρόνον αὐτῆ συνηθροισμένοι μένωμεν. Ζηνόδοτος δὲ ποιεῖ μηκέτι νῦν ταῦτα λεγώμεθα. Καλλίστρατος δὲ ἐν τῷ α' περὶ Ἰλιάδος ἔτως προφέρεται, μηκέτι δὴ νῦν αὖθι λεγώμεθα· καὶ ἔσιν εὐφραδὴς μᾶλλον· ἀλλ' ἐκ Ἀριζαρχος. ταῦτα ὁ Δίδυμος. A.

ἡ μὲν Ἀριζάρχου ἔτως εἶχεν, ἡ δὲ Ζηνοδότου μηκέτι ταῦτα, τινὲς δὲ δὴ αὖθι χωρὶς τοῦ θ, Καλλίστρατος δὲ μηκέτι δὴ νῦν. λεγώμεθα δὲ ἀντὶ τοῦ ἠθροισμένοι ὦμεν. BLV.

λεγώμεθα ἀντὶ τῆ ἀναλεγώμεθα. Ζηνόδοτος δὲ γράφει ταῦτα λεγώμεθα. ὁ δὲ Ὅμηρος εἴωθε λέγειν, ὅταν πολλὰ προειρημένα ᾖ, ὡς ἐπ' Αἰνείου καὶ Ἀχιλλέως „ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα" (Il. 20, 244). A.

στρατηγικὴ ἡ παραγγελία, χρόνε φείδεσθ· ἔτε γ' παρελθόντα ἀνακαλεῖσθ ἔτε αἰτήσαντες λαβεῖν αὐτὸν δυνάμεθα. ἐρωτηθεὶς γοῦν Ἀλέξανδρος πῶς τῆς Ἑλλάδος ἐκράτησε, μηδὲν ἀναβαλλόμενος, εἶπεν. ABDL.

ἐγγυαλίξει: δώσει τὴν πόρθησιν, ἣν διὰ τῆ ὀνείρου ἐπηγγείλατο. BL.

διὰ τῆ ζ τὸ ἐγγυαλίζει αἱ Ἀριζάρχειοι (αἱ πᾶσαι V). καὶ Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ὁμοίως προφέρεται, καὶ ἡ Ἀριζοφάνες. A.

437. 438. ἀδιάφορον εἴτε ἐπὶ τὸν μέν σύνδεσμον διαζέλλοιμεν, ἵν' ᾖ Ἀχαιῶν λαόν, εἴτε ἐπὶ τὸ χαλκοχιτώνων, ἵν ᾖ κήρυκες Ἀχαιῶν. A.

438. ἀγειρόντων: ἀντὶ τῆ ἀγειρέτωσαν. A.

439. ἡμεῖς δ' ἀθρόοι: θαυμαζῶς τὴν τάξιν Ἀχιλλέως ἀποπληροῖ· τὴν γ' στρατηγίαν πρώην εἶχεν. BL.

440. ἐγείρομεν: ἀντὶ τῆ ἐγείρωμεν. A.

443. κάρη: κάρη ὄνομα ἀδέτερον αἰτιατικῆς τῶν πληθυντικῶν ἐκ τῆ κάρηνα, ἕ ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ κάρηνον, ἡ γενικὴ τῶν πληθυντικῶν τῶν καρήνων, ὡς τὸ „βῆ δὲ κατ' Οὐλύμποιο καρήνων" (Il. 1, 44). σημαίνει δὲ τὸ ἀκροτήριον, ὃ ἐσι τὴν κεφαλήν. ὅτι δὲ πεπονθός ἐσι τὸ κάρη κ' ἐχ ὑγιές, δῆλον. τὰ γ' εἰς η λήγοντα ἀδέτερα ἀδέποτε ἑνικῆς πτώσεώς ἐσιν, ἀλλ' ἡ δυϊκῆς ἢ πληθυντικῆς, ὡς τὸ τείχη βέλη σκέλη. τῆτο δὲ τὸ κάρη ἔτε εὐθείας ἑνικῆς ἐσὶν ἔτε πληθυντικῆς. κατὰ συγκοπὴν ἓν ἄρα ἐσὶ τὸ κάρη ἐκ τῆ κάρηνα. BL.

ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ κάρα. ἔσι δὲ τὸ ᾱ κ' μακρὸν κ' βραχύ, ὥσπερ τὸ ἡμέρα. τὰ εἰς ᾱ λήγοντα ἀδέτερα συλλέλει τὸ ᾱ, βῆμα δῶμα, πλὴν τῆ κάρα, ὡς λέγει ὁ τεχνικός. τὸ κάρα λίπα ἄλειφα ἀποκοπή ἐσιν. ἀεὶ δὲ ὁ ποιητὴς τῷ κάρη χρῆ. BL. τὸ δὲ ἐξ ὀρέων ἐπὶ κάρ (Il. 16, 392) ἐκ ποίε λέγε εἶναι; ἀπὸ τῆ κάρα ἢ ἀπὸ τῆ κάρη· εἶπον γ' ὅτι ὁ ποιητὴς ἀεὶ τῷ κάρη χρῆται. τὸ δὲ κάρα γίνεται ἐκ τοῦ κέρας, ὃ σημαίνει τὴν τρίχα, καὶ τροπῇ τοῦ ᾱ εἰς η Ἰωνικῶς γίνεται κάρη. ἢ παρὰ τὸ κείρω τὸ κόπτω ἔκαρον. L.

κομόωντας: κομῶ. ἔσι δὲ συζυγίας πρώτης καὶ δευτέρας. καὶ τί σημαίνει ὅτε ἐσὶ πρώτης, κ' τί ὅτε δευτέρας, καὶ πόσα σημαίνει; ὅτε μὲν οὖν ἐσὶ πρώτης, σημαίνει τὸ θεραπεύω κ' ἐπιμελῆμαι „θεράποντε κομείτην" (Il. 8, 113)· ἐξ ἕ καὶ κατὰ παραγωγὴν κομίζω, ὡς τὸ κομίσατέ με. ὅτε δέ ἐσι συζυγίας δευτέρας τῶν περισπωμένων, σημαίνει τὸ εὐφραίνομαι κ' ἀγάλλομαι κ' τὸ τρίχας τρέφω. τὸ δὲ κόμη ἐκ τοῦ κόσμος· ὥσπερ γ' κόσμον ὁ δημιεργὸς ἐνέθηκε τῷ ἀνθρώπῳ τὰς τρίχας. ἐκ δὲ τῆ κομῶ καὶ τῆ ἵππος γίνε ἱπποκόμος καὶ γηρωκόμος. βαρύνεται δὲ τὸ ἱπποκόμος κ' γηρωκόμος, ἐπειδὴ τὰ ἀπὸ ῥημάτων συγκείμενα ὀνόματα πρὸ μιᾶς ἔχεσι τὸν τόνον, οἷον ἱπποκόμος γηρωκόμος. εἰ δὲ ἀπὸ ὀνομάτων, ἀναβιβάζεται, οἷον ἱππόκομον πήληκα (Il. 16, 797)· τᾶτο γ' ἀπὸ τῆ κόμη συνετέθη τῆ ὀνόματος, καὶ ἐκ ἀπὸ ῥήματος. L.

444. τοὶ δ' ἠγείροντο μάλ' ὦκα: δύο ταῦτα τὰ μέγιζα μαρτυρεῖ αὐτοῖς, εὐταξίαν καὶ εὐψυχίαν. BL.

446. θῦνον: ὥρμων, σὺν σφοδρᾷ ὁρμῇ ἐκινῆντο. A.

κρίνοντες: ἀντὶ τοῦ κατὰ φυλὰς καὶ φρατρίας διακρίνοντες. A.

μετὰ δέ: σὺν αὐτοῖς δὲ κ' Ἀθηνᾶ διέπρεπεν. L. λείπει τὸ ἦν αὐτοτελὲς ῥῆμα, διὸ καὶ σικτέον ἐπὶ τὸ κρίνοντες. εἰ δέ τις κοινὸν λαμβάνοι τὸ ἐθῦνεν ἀπὸ τοῦ θῦνον, συναπτέον τοῖς ἐπάνω. A.

ἵνα μὴ ἀπισοῖτο τὸ τάχος, τὴν θεὸν παρέλαβεν, κ' ὡς ἄξια τῆς θεᾶ μελλόντων αὐτῶν κατορθῶν. ABLV.

447. διὰ τῶν ἀγήρων ἡ Ἀριζάρχειος, κ' ἔζι παραπλήσιον τὸ χῆμα τῷ „ὑμεῖς δ' ἐσὸν ἀγήρω τ' ἀθανάτω τε" (Il. 17, 444). ἔτως κ' ἡ Ἀριζοφάνειος. A. ἔτως ἀγήρων καὶ Ἀρίζαρχος κ' Ἀριζοτέλης, ὡς καὶ ἀλλαχῆ „ὑμεῖς δ' ἐσὸν ἀγήρω τ' ἀθανάτω τε." BL.

ἡ δὲ αἰγὶς ὅπλον Διός. V.

ζήτει τὴν ἐξήγησιν τῆς αἰγίδος εἰς τὴν Βοιωτίαν, ἐν τῷ ςίχῳ τῷ ἔτως ἔχοντι „πὰρ Διὸς αἰγιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ" (787). B.

448. τῆς ἑκατὸν θύσανοι: ἧς πλεῖσοι κροσσοὶ κατὰ πάντα τὰ μέρη χρυσοῖ ἀπηώρηνται. L.

ἀντὶ τῆ πολλοί. τῷ δὲ πλήθει τοῦ ἀριθμοῦ πίσιν πεπόρισαι. BLV.

θύσανοι δὲ παρὰ τὸ αἰθύεσθαι. V.

ἠερέθονται: αἰωρῆνται. παραγωγὸν δέ ἐσι τῆ ἀείρω, ὡς τῆ ἀγείρω τὸ ἠγερέθονθ. Ζηνόδοτος δὲ γράφει παρατατικῶς ἠερέθοντο, ὅπερ ἐχ ἁρμόζει ἐπὶ ἀθανάτων. A.

449. ἑκατόμβοιος: ἑκατὸν βοῶν τιμῆς ἄξιος, ἢ ἑκατὸν χρυσῶν νομισμάτων. οἱ γ' ἀρχαῖοι ὑπερτιμῶντες τὸ

ζῷον, τὸν βᾶν, διὰ πολλὰ μὲν καὶ ὅτι ἱερόν ἐστιν, ἐνεχάραττον τῷ μὲν ἑνὶ μέρει τῆ νομίσματος βᾶν, τῷ δὲ ἑτέρῳ τὸ τῆ βασιλέως πρόσωπον. ABD.

450. παιφάσσουσα: πάντη δὲ τὰ φάη ἀΐσσεσα. A. φῶ τὸ φαίνω· ἀναδιπλασιασμὸς παφάσσω, ᾗ πλεονασμὸς παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πταίνω παπταίνων, πάσσω πάλη παιπάλη (πασπάλη BLV). ABLV. παιφάσσειν δέ ἐστι τὸ φανερῶν ἑαυτόν, ἀλλ' ἐν ἀγγέλε σχήματι μένειν. BL.

λαὸν Ἀχαιῶν: ἑκατέρῳ δύναται προσδίδοσθαι, ᾗ λόγον ἔχει ἀμφότερον. A.

451. ἐν δὲ σθένος: προθυμίαν ἔμιμονον ἐνέβαλεν. L.

452. ἐπὶ τὸ καρδίη βραχὺ διασαλτέον· ἔχει δὲ λόγον καὶ ἐπὶ τὸ ἄλληκτον διασέλλειν, ἵν' ᾖ σθένος ἄλληκτον. ABL. ἄληκτον δὲ ἀντὶ τῆ ἀλήκτως. BL.

453. 454. ὅτι πρὸ τῆς Ἀγαμέμνονος ἀρισείας (Il. 11, 13) ἐκ ὀρθῶς φέρονται. διασολῆ δὲ βραχεῖα ἐπὶ τὸ γένετ', ἐπεὶ μέρος ἐστὶ περιόδου. A.

νῦν ἄμεινον κεῖνται ἥπερ ἐν τῆ Λ· πρόσφατος γὰ αὐτοῖς ᾖ τῆ νόσου μνήμη. καὶ ᾗ αἰφνίδιος δὲ μεταβολὴ οὐκ ἄνευ θεῶν τινός. BLV.

455. ἠΰτε πῦρ: νῦν μάλιστα ᾗ δύναμις τῆ ποιητῆ, ὅτε καθ' ἕκαστον πρᾶγμα διαφόρων εἰκόνων εὐπορεῖ. πρώτη δὲ εἰκὼν ᾗ ἀπὸ τῆς τῶν ὅπλων λαμπηδόνος· μιγνυμένη δὲ τῆ ἀσπέτῳ ὕλῃ, καὶ τῷ ὄρει ἔνθα καταιγίδες εἰσί, καὶ τῆ κορυφῆ. διὸ θαῤῥῶν ἐπάγει „ἔκαθεν δέ τε φαίνετ' αὐγή." ABL. ἀΐδηλον δὲ παρὰ τὸ ἀϊδνόν. V.

457. ὣς τῶν ἐρχομένων: ὧδε σικτέον. V.

458. δι' αἰθέρος: ὅτι καθ' Ὅμηρον πρῶτος ἀπὸ γῆς ἐστὶν ὁ ἀήρ, εἶτα μετὰ τὰ νέφη αἰθήρ, ὃν καὶ ὁμωνύμως τῷ ζερεμνίῳ ἑρανὸν καλεῖ. A.

460. χηνῶν ᾗ γεράνων: μουσικὰ γὰ καὶ ἥμερα καὶ συναγελαστικὰ ταῦτα· ὅθεν διδαχθεὶς Ἀριστοτέλης τὰ γαμψώνυχα οἰονόμα φησί, τὰ δὲ τὴν ἐπιδερμίδα ἔχοντα συναγελαστικά. οἰκείως ἓν ἐπ' αὐτῶν καὶ ἔθνεά φησιν. BLV.

461. Ἀσίω: Ἰωνικὴ γενικὴ παθοῦσα· τὸ γὰ ὑγιές ἐστιν Ἀσίεω ὡς Ἀτρείδεω. διὸ χωρὶς τῆ ῑ. A.

Ἄσιος υἱὸς Κότυος ᾗ Μυιῆς, Αυδῶν βασιλεύς, ὥς φησι Χρισόδωρος ἐν τοῖς Λυδιακοῖς „Κότυς λευκώλενον ἄλλην ἤγετο κεριδίην ὁμοῦέμνιον, ὄνομα Μυῖαν· ᾗ δ' Ἀσίην τέκε κῦρον." A.

ᾗ εὐθεῖα ὁ Ἀσίας τῆ Ἀσίε, ὡς Αἰνείας Αἰνείε Αἰνείαο Αἰνείεω. ἔστως ἓν ᾗ Ἀσίεω, ᾗ κατὰ συγκοπὴν Ἀσίω. BL.

τὸ Ἀσίω ἐνταῦθα γενικῆς πτώσεώς ἐστιν, ὅθεν ἐκ ἔχει τὸ ῑ. ἦν γάρ τις Ἀσίας ἥρως, ἀφ' ὁμώνυμος Ἀσίας Λειμών, εἶτα Ἀσίεω ὡς Ἀτρείδεω, καὶ Ἀσίω κατὰ συγκοπήν, ὡς ἐϋμελίας – ἐϋμελίω Πριάμοιο ((Il. 4, 47) ᾗ Αἰνείω ἑτάρῳ (Il. 5, 534) ᾗ Βορέω ὑπ' ἰωγῆ (Od. 14, 533). ἔστως Ὧρος ἐν τῆ ὀρθογραφίᾳ. D.

οἱ μὲν τῷ ἀσιν ἔχοντι· ἀξιοπιστότερον δέ ἐστι τοῦτο κύριον αὐτῷ περιτιθέναι ὄνομα. ἐν γενικῆ δὲ αὐτὸ ἐκληπτέον καὶ χωρὶς τῆ ῑ, ὡς τὸ „ἐϋμελίω Πριάμοιο." ἔστως Ἡρωδιανὸς ἐν τῆ καθόλε ᾗ Πτολεμαῖος ἐν τῷ περὶ συναλοιφῆς. κατὰ δὲ τὰς προχοὰς πηλώδη τόπον ὁ Κάϋστρος ἀπεργάζεται. ὅπου δὲ ὕδωρ ᾗ βοτάνη, ἀφθονία ὀρνέων. ἄλλοι δέ, ἐν τῷ τῆς Ἀσίας συμφύτῳ· ἄσις γὰ καλεῖται κατὰ διάλεκτον ἡ ὕλη. ἄλλοι δὲ ἀπὸ Ἀσίε τῆ Λυδῆ, ὃς ἦρξε Λυδίας. BDLV.

462. ἀγαλλόμενα: σὺτως χωρὶς τοῦ ῑ, ἀγαλλόμενα, Ἀρίσαρχος, ἵν' ᾖ τὰ ἔθνη ἀγαλλόμενα. ἔνιοι δὲ προσιθέασι τὸ ῑ, πρὸς τὸ ὀρνίθων ἀνάγοντες τὸ ἀγαλλόμενα· ᾗ λόγε τινὸς ἔχονται. A.

Ἀρίσαρχος ἀγαλλόμενα, ἵν' ᾖ πρὸς τὰ ἔθνη. ἀλλ' ὀδὲ τὸ ἀγαλλόμεναι ἄχαρι. BL.

πρὸς τὸ νοητὸν ὑπήντησε τὸ ὄρνιθες, ὡς τὸ „κίνηθεν δὲ φάλαγγες ἐλεπόμενοι παρὰ ναῦφιν" (Il. 16, 280). BD.

463. κλαγγηδὸν προκαθιζόντων: ἄλλε πρὸ ἄλλε καθιπταμένων μετὰ βοῆς. ᾗ πρὸ τῆ καθίσαι βοώντων· κέκραγε γὰ τὰ ὄρνεα ἐπὶ γῆν καταφερόμενα. ᾗ ὧδε μὲν ἐγκατέμιξε τὰς γεράνας μεσικοῖς ὀρνέοις, καὶ εἰς λειμῶνάς φησιν αὐτὰς ἐξιέναι· ἐπὶ δὲ τῶν Τρώων (Il. 3, 3) ἐπὶ φθορᾶ. L.

τὰ συναγελαστικὰ τῶν ὀρνέων, ὅταν προλάβῃ τῆ πτήσει, ἀναμένειν εἴωθε τὰ ὑστερῆντα. AD.

ὑποστιγμὴ ἐπὶ τὸ προκαθιζόντων διὰ τὸ ὡς μόριον, καὶ ἐπὶ τὸ λειμών· μακρὰ γὰ ᾗ περίοδος, πέντε ἔπη περιέχουσα. τὸ δὲ ἑξῆς, ὀρνίθων πετεηνῶν ἔθνεα πολλά, κλαγγηδὸν προκαθιζόντων, ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεσσι, σμαραγεῖ δέ τε λειμών· τὰ δὲ ἄλλα διὰ μέσου. τὸ δὲ σμαραγεῖ λάμπει· ὅθεν καὶ σμάραγδος ὁ λαμπρὸς λίθος. ABL.

ἐκ τῆ σμάραγος ὁ ψόφος καὶ ἦχος. γίνεται δὲ ἐκ τοῦ σπαράσσω σπάραγος καὶ τροπῆ τῆ π εἰς μ σμάραγος· κυρίως γὰ σμάραγος ὁ ἀπὸ σπαραγμῆ ἦχος. ἔστι δὲ ᾗ ἕτερον σμαραγῶ τὸ λάμπω, ἐξ ἧ σμάραγδος ὁ λίθος. γίνεται δὲ ἐκ τῆ μαίρω τὸ λάμπω, μαρῶ, μαράσσω, καὶ πλεονασμῷ τῆ σ σμαράσσω σμαραγῶ. L.

τὸ τραχὺ τῆς ἀπὸ τῆ σμαραγεῖ ὀνοματοποιίας τὸ τοῦ λειμῶνος παρέτεινε μέγεθος. B.

Ἀρίσαρχος ὅτως ἔφη σμαραγεῖ τε γαῖα. εἰς βραχεῖαν τελευτῶσα τὸν ἦχον ἐμείον. V.

465. 466. αὐτὰρ ὑπὸ χθὼν σμερδαλέον κονάβιζε: ᾗ ὑπό πρὸς τὸ ποδῶν ἀποδοτέα. κονάβησε δὲ ἀντὶ τῆ ἤχησεν, ἀλλ' ἐκ ἐσμαράγησεν· εἰς βραχὺ γὰ τελευτῶσα τὸν ἦχον ἐμείε. BL. ἦχει. ὀνοματοποιία δὲ ὁ τρόπος. D.

467. Σκαμανδρίῳ: τῷ τῷ Σκαμάνδρῳ ποταμῷ παρακειμένῳ πεδίῳ. ὁ δὲ Σκάμανδρος καταφερόμενος ἀπὸ τῆς Ἴδης μέσον τέμνει τὸ ὑποκείμενον τῇ Ἰλίῳ πεδίον, ᾗ ἐπὶ τὰ ἀρισερὰ ἐκδίδωσιν εἰς θάλασσαν. καλεῖται δὲ ἕτος καὶ Ξάνθος. ABDL.

ἀνθεμόεντι: τῷ ἄνθη πρώην ἔχοντι, ὡς ἐϋμμελίω Πριάμοιο, ἥρως Αἰγύπτιος (Od. 2, 15), ἠΰκομος Νιόβη (Il. 24, 602), ἐπεὶ πῶς ἦχεῖ, ᾗ πῶς ἀνθεῖ πατόμενα; BLV.

468. ὅσσα τε φύλλα καὶ ἄνθεα: ἐν μὲν τῷ λίαν φύλλοισιν ἐοικότες ᾗ ψαμάθοισιν (Il. 2, 800) ἐπίτασίς ἐστι

κατὰ τὸ ἐπενηνεγμένον τοῖς φύλλοις τῇ πλήθει· ἐν δὲ τῷ περὶ Κικόνων ῥηθέντι „ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ" (Od. 10, 51) δόξειεν ἂν ἐλάττωσις εἶναι ἐκ τῆ ἐπαγομένῃ· ἐλάττω γὰρ τὰ ἄνθη τῶν φύλλων. ἐκ ἔξι δὲ ἡ γε τῆ πλήθους παρεσατικὰ παρείληπται ἄμφω, ὡς ἐπὶ τῶν φύλλων καὶ τῆς ψάμμε, ἀλλὰ τὰ μὲν φύλλα παρίεσι τὸ πλῆθος, τὰ δὲ ἄνθη τὴν τῆ πλήθες ποικιλίαν ἔν τε τῇ καθοπλίσει καὶ τῇ ἄλλῃ ἀμφιέσει τῶν Θρακῶν. L.

469. ἠΰτε μυιάων: ἀπ' ἄλλης ἀρχῆς τὴν παραβολὴν προοιξέον, ἵνα ὑποζίζωμεν ἐπὶ τὸ γλαγὸς ἄγγεα δεύει, τῆς ἀνταποδιδομένης τῷ ἠΰτε λέξεως ἀνακολάθως ἐχέσης, ὡς ἐν τῇ Θ (555) „ὡς δ' ὅτ' ἐν ἀρανῷ ἄσρα, τόσσα μεσηγὺ νεῶν." AD.

μυιάων: τῶτο πρὸς τὸ ἐπιθυμητικὸν τῆ αἵματος. ἐπάγει γῶν „τόσσοι ἐπὶ Τρώεσσιν." ἀδινάων δὲ τῶν ἀθρόως ἱπταμένων ἢ τῶν λεπτῶν μυιῶν. BLV.

470. σταθμὸν νυνὶ τὴν ἔπαυλιν. τρία δὲ δηλοῖ ἡ λέξις, τὸν σαθμόν, τὸν τῆς θύρας παρασάτην, καὶ τὸν ἀριθμὸν τῆ μέτρε. τῷ δὲ δυσώδει καὶ τῷ θάλπει τῶν ἀερίων αὔξονθ' αἱ μυῖαι. τὸ δὲ ἠλάσκουσιν ἤτοι συνελαύνονθ' ἢ ἀποπλανῶνται· ἐ γὰρ διατέτασαι τῶν μυιῶν ἡ πτῆσις, ἀλλὰ περὶ τὸν αὐτὸν εἰλεῖται τόπον· ὡς πλανώμεναι οὖν εἰσίν. BL.

474. αἰπόλια: αἰπόλιον τὸ τῶν αἰγῶν, ποιμνίον δὲ τὸ τῶν προβάτων, συβόσιον δὲ τὸ τῶν χοίρων, βεκόλιον δὲ τὸ τῶν βοῶν, ἱπποφόρβιον δὲ τὸ τῶν ἵππων. πλατέα δέ, ὅτι διεσκεδασμένα νέμονται. ἐπὶ δὲ προβάτων ἀδινάων φησὶ (Od. 1, 92?) καὶ „αἰ μέν τ' ἀγχησῖναι" (Il. 5, 141). ABDLV.

475. ἐπεί κε νόμῳ μιγέωσιν: ὅταν τὰ αἰπόλια ἀλλήλοις ἀναμιγῇ νεμόμενα, ἀπαλλαττόμενοι περὶ τὴν ἑσπέραν οἱ αἰπόλοι ἕκαςος ἐπιλαμβάνεται τράγε, ᾧ τὸ οἰκεῖον ἔπεθ' αἰπόλιον. εὐπειθὲς δὲ τὸ Ἑλληνικόν. BL.

478. ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ: συγγραφεῖς μὲν τὸ ἀληθὲς μεταδιώκεσι, τραγικοὶ δὲ τὸ σεμνότερον, κωμικοὶ δὲ τὸ ἔλασσον, ἅπερ ἅπαντα παρὰ τῷ ποιητῇ ἐςίν, κωμῳδία μὲν ὡς ἐπὶ Θερσίτε, συγγραφικὴ δὲ ὡς ἐπὶ τῷ „τῷ δ' ἔχεν Αὐτομέδων" (Il. 9, 209). καὶ ἐπὶ Ἀγαμέμνονος νῦν καλλίων τῆς ἀληθινῆς καὶ μεγαλοπρεπεσέρα ἡ ὄψις ἀναπέπλασαι. καὶ ἱκανὸν ἦν ἑνὶ θεῷ εἰκάζειν αὐτόν. ὁ δὲ τρεῖς παρέλαβεν, ἑκάσε τὸ διαπρεπὲς ἐκλεξάμενος, τοῦ Διὸς μὲν τὸ ἡγεμονικὸν καὶ ἐποπτικόν, ἐννοσιγαίε δὲ τὸ ἰχυρόν, οἷς τὰ βάρη κατέχομεν, Ἄρεως δὲ τὰ μάλιςα ἐν πολέμῳ φαινόμενα (τὸ δὲ κόσμιον τῆς παντευχίας ὅμοιον Ἄρει LV). οἱ δὲ τὸ ἀξιωματικόν, τὸ γεμυρόν, τὸ πολεμικόν. ABLV.

ἴκελος Διὶ: τὸ ὅμοίος καὶ ἴσος καὶ τὸ ἴκελος δοτικῇ συντάσσεται μόνα τῶν πρός τι. AD.

479. ζώνην; ἤτοι τὸ κατὰ ζῶσμα μέρος ἢ τὴν ὅπλισιν ἀπὸ μέρες. D.

480. ἠΰτε βοῦς: πῶς μετὰ τὰς θεοὺς βοῦ παρέβαλε τὸν Ἀγαμέμνονα; ἔνιοι μὲν ἔν φασιν ὅτι διὰ τὰς μὴ δυναμένας τὴν θείαν νοῆσαι φύσιν ἑτέραν εἰκόνα ἀπὸ γνωρίμε ζῴου παρέλαβε, μὴ νοητὴν ἔσαν· ἡ γὰρ προτέρα τῶν θεῶν παραβολὴ ὅλως ἐςὶ νοητή. ἔςι δὲ εἰπεῖν ὅτι τὴν πορείαν αὐτοῦ ταύρῳ εἴκασε βαδίζοντι δι' ἀγέλης, ὅπερ ἐςὶ ζῷον ἡγεμονικόν. τὴν αὐτὴν δὲ ταύτην εἰκόνα Ὀδυσσεῖ προσθεῖναι θέλων τὸ μὲν ὅμοιον ἐφύλαξε, τὸ δὲ μέγεθος ἐμείωσεν, ἀρνειῷ παρεικάσας αὐτόν. ἐπεὶ δὲ ἐν τῇ μάχῃ ταύτῃ Ἀγαμέμνων τι πλεονεκτῆσαι ἐκ ἔμελλε, κατὰ τὴν ἔξοδον αὐτὸν κοσμεῖ· ἐ γὰρ ἔδει εὐτυχεῖν αὐτόν, ἵνα δεηθῇ Ἀχιλλέως. BL.

πάντων: πάντων τῶν ἄλλων ταύρων. εἰ μὴ γὰρ ὑπερπαρθείη τῶν ἄλλων, ἐ γίνεται κήλων. ἐπεὶ δὲ τὸ βῶς καὶ ἔξοχος κοινὰ τῷ γένει, προσῆψε τὸ ταῦρος. LV.

482. Ζεὺς ἤματι κείνῳ: ἐπεὶ ἄπιςα τὰ τῶν εἰκόνων προσήρτησεν Ἀγαμέμνονι, πρῶτον μὲν αὐτὰ τῇ θείᾳ δυνάμει πεπίςωται, ἔπειτα καὶ πρὸς μίαν ἡμέραν αὐτὰ συμβῆναί φησιν. BL.

484. ὡς ἐπὶ ἐργώδη καὶ θαυμασίαν περιπέτειαν τὰς Μούσας παρακαλεῖ, ὅπως ὁ ἀκροατὴς διὰ τὸ μέγεθος ὄρεξιν ἔχῃ καὶ συγγινώσκῃ τοῖς ἐνδεέσερον λεγομένοις. εὐτελίζων δὲ τὴν ἰδίαν φύσιν, τὴν ἀπὸ τῶν ἀκουόντων ἐπεσπάσατο εὔνοιαν. ὁ δὲ λόγος τοιῶτος· ἔσπετε νῦν μοι Μῶσαι, οἵ τινες ἡγεμόνες· ἀρχὰς γὰρ νηῶν ἐρέω, πληθὺν δ' ἐκ ἂν ἐγὼ μυθήσομαι, εδ' εἰ δεκαπλασίων ἐμαυτῷ γένωμαι· ὑμῶν γάρ ἐςι τὸ ἔργον τῶτο. BL.

ζητῆσί τινες διὰ ποίαν αἰτίαν τῆς μὲν ὅλης πραγματείας ἀρχόμενος ὁ ποιητὴς μίαν ἐπεκαλέσατο τῶν Μουσῶν, ἐπὶ δὲ τῶ καταλόγε τὰς πάσας. λέγεσι δέ τινες τῶν γραμματικῶν ἐπὶ τῶ μῆνιν ἄειδε τὸν τρόπον εἶναι συνεκδοχήν, ὡς ἀπὸ μιᾶς τῆς κυριωτέρας τῶν Μουσῶν νοεῖσθαι τὰς πάσας. ἄλλοι δὲ λέγεσιν ὅτι περὶ ἑνὸς μὲν προσώπε καὶ τῆς ὀργῆς τῆς τέτου τὸν λόγον ποιεμένος δεύντως πρὸς μίαν τῶν Μουσῶν ἐποιήσατο τὸν λόγον, μέλλων δὲ κατάλογον ἐρεῖν νεῶν καὶ βασιλέων ἐθνῶν τε καὶ τόπων πλήθους τε πραγμάτων εὐλόγως πρὸς ἅπάσας τὰς Μούσας τὸν λόγον ἀπερείδεται. AD.

τὸ ἑξῆς ἐςίν, ἔσπετε οἵ τινες, τὰ δὲ λοιπὰ διὰ μέσε· καὶ διασαλτέον μὲν ἐπὶ τὸ ἔχεσαι, ἀνυποκρίτως δὲ ςίζεται ἐπὶ τὸ ἐςέ καὶ πάρεσε καὶ πάντα καὶ ἀκέομέν καὶ ἴδμεν. δύναθ' δὲ καὶ ςίζεσθαι κατὰ τὸ τέλος ὁ πρῶτος ςίχος καὶ ὁ δεύτερος, ἵνα ἕκασον ᾖ καθ' ἑαυτὸ καὶ συνάπτηται. A.

ψιλωτέον δὲ τὸ ἔσπετε· ἀπὸ γὰρ τῆ ἔπω ἐςὶ τῆ σημαντικῆ τῆ λέγω, ἐν πλεονασμῷ τῆ σ. ἢ ἔσπετε ἀπὸ τοῦ ἐνίσπετε κατὰ συγκοπήν· καὶ ἔνισπέ φησιν ἀλλαχῆ. ABL.

γράφεθ' δὲ καὶ ἔνσπετε ἀπὸ τῆ ἐνίσπετε, ἐπεὶ καὶ ... φησίν. V.

Ὀλύμπια δώματ' ἔχουσαι: ὅτι Ζηνόδοτος γράφει Ὀλυμπιάδες βαθύκολποι. οὐδέποτε δὲ τὰς Ἑλληνίδας γυναῖκας βαθυκόλπες εἴρηκεν, ὥςε οὐδὲ τὰς Μούσας. ABL.

485. πάρεσε: ὅτι τινὲς γράφεσι παρῆσε, οἷον κατ' ἐκεῖνον τὸν χρόνον. βέλτιον δὲ καθολικῶς ἐπὶ πάντων. A. ὁ νῦν ἐςίν· ὑμεῖς γὰρ θεαὶ ἐσε, καὶ ἀεὶ συνυπάρχετε τοῖς ζῶσι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἐπίσασθε πάντα ἀκριβῶς· ἡμεῖς δὲ μόνα τὰ ἐν τῷ βίῳ εὐκλεῆ ἀκούομεν. V.

486. ἀδέ τι ἴδμεν οἵ τινες ἡγεμόνες, περισσεύοντος τῆ τί μορίῳ. πρότερον γ' ἐπεῖχέ τινα χώραν. A.

εἴ φησιν ἀγνοεῖν τοὺς ἡγεμόνας, πῶς ὑποκατιών (493) φησιν „ἀρχὸς αὖ νηῶν ἐρέω;" σικτέον ἓν εἰς τὸ ἴδμεν, καὶ τὸν λόγον ὅτως ἐκδεκτέον· δύο ὑποτίθεται, ὧν τὸ μὲν μηδὲ ὅλως δύνασθαι διὰ τὸ πλῆθος εἰπεῖν, τὸ δὲ δύνασθαι μέν, χρήζειν δὲ τῆς τῶν Μουσῶν συμμαχίας. ἔχειν ἂν ὅτω τὸ πᾶν· ἔσπετε νῦν μοι Μοῦσαι, οἵτινες ἡγεμόνες· ἀρχὸς δ' αὖ νηῶν ἐρέω νῆάς τε προπάσας, πληθὺν δ' ἐκ ἂν ἐγὼ μυθήσομαι, εἰ μὴ αὐταὶ αἱ Μοῦσαι δι' ἑαυτῶν εἴποιεν. τὸ δὲ ὑμεῖς γ' θεαὶ ἐστε ἐμεσολάβησε τῷ ἔσπετε νῦν μοι Μοῦσαι οἵτινες ἡγεμόνες, ὥσπερ αἰτίαν ἐπαγαγὼν τῷ πρὸς τὰς Μούσας ἀπερεῖσαι τὸν λόγον. ABL.

488. πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι: ἤτοι ὅτι περισσόν, εἰ μυθήσομαι εἴρηκεν ἀντὶ τῷ μυθησαίμην. πάλιν δὲ διὰ μέσου τὸ δισύλλαβον· τὸ γ' ἑξῆς, πληθὺν δ' ἐκ ἂν ἐγὼ μυθήσομαι, εἰ μὴ Ὀλυμπιάδες· τὰ δὲ λοιπὰ διὰ μέσου, ὡς ἔθος. διὸ σίζομεν ἀνυποκρίτως ἐπὶ τὸ Μοῦσαι. διασαλτέον δὲ καὶ θυγατέρες. A.

καίτοι λέγει καὶ περὶ τῷ πλήθους· δι' ὧν γ' τὰς μὲν Φιλοκτήτου φησὶν ἐκ ν' εἶναι ἐρετῶν „ἑπτὰ νεῶν, ἐρέται δ' ἐν ἑκάστῃ πεντήκοντα" (719), τὰς δὲ τῶν Βοιωτῶν ρκ (516), δῆλός ἐστι βουλόμενος ἐμφῆναι τὸ πλῆθος, ὡς ὀφειλόντων ἡμῶν ἐξ ἀμφοῖν τούτοιν συντιθεμένων τὸ μέσον σκοπεῖν· ἐστι γ' τὸ μέσον τὸ τῶ πλείονος καὶ ἐλάττονος λαμβάνοντας κατὰ τὸν Θουκυδίδην (1, 10) τεκμαίρεσθαι πόσοι δύνανται εἶναι τῷ ἀριθμῷ. χρὴ ἓν νομίζειν ὅτι ὃ χαλεπόν φησι τὸ εἰπεῖν τὸν ἀριθμόν, ἀλλὰ τὸ περὶ ἑκάστου διελθεῖν ἀκριβῶς ὡς ἡ περὶ τῶν ἡγεμόνων τὸ τίς καὶ πόθεν καὶ τίνων πατέρων, καὶ τὰς πράξεις καὶ τὰ πάθη, ἃ καὶ ὑπὲρ διήγησιν. ὑπιχνεῖται δὲ τὸς ἡγεμόνας μὲν εἰπεῖν Μουσῶν συλλαμβανομένων, τὸ δὲ πλῆθος ἀδὲ τῆς παρ' ἐκείνων βοηθείας τυχόν. τὸ δὲ μνησαίατε ἀντὶ τῷ αὐταὶ εἴποιτε καὶ διεξέλθοιτε. (μήποτε ἓν τὸ μνησαίατο τοιαύτην χώραν ἔχῃ V) BLV.

ἐν τῇ Βοιωτίᾳ χίλιαι καὶ ρ' καὶ πς' νῆες τῶν Ἑλλήνων ἐπισυνάγονται, ὧν αἱ μὲν τοῦ Φιλοκτήτου ἐκ ν' πολεμισῶν ἦσαν, αἱ δὲ τῶν Βοιωτῶν ἐξ ρκ'. κανὼν δὲ τῷ Θουκυδίδῃ ἔστι λέγων, δεῖ τὸ μέσον τῶ πλείονος καὶ ἐλάττονος λαμβάνοντα τεκμαίρεσθαι τὴν τῶ ἀνίσου πλήθους ποσότητα. μέσον ἓν τῶ ν' ἀριθμῶ καὶ τῶ ρκ' ἐστὶν ὁ πέ· ὑπερέχει μὲν γ' ὁ ρκ' τῶ ν' τῷ ο', τῶ δὲ ο' τὸ ἥμισυ λέ, ὃ προσιθέμενον τῷ ν' ποιεῖ ἀπαρτίζειν τὸν πέ. ἐπεὶ ἓν μέσος τῶ μείζονος καὶ ἐλάττονος ἀριθμῶ ἐνταῦθά ἐστιν ὁ πέ, νῆες δὲ σύμπασαι τῶν Ἑλλήνων αρπς', πολλαπλασιαζέσθω ὁ πέ ἐπὶ τὸν αρπς' ἀριθμὸν τῶν νηῶν. ὀγδοηκονταπεντάκις ἓν ὁ χίλια συντιθέμενος ἀποτελεῖ τὸν η' μυριάδας ε', καὶ ὀγδοηκονταπεντάκις ρ' ἀποτελεῖ τὸν ηφ', καὶ ὀγδοηκονταπεντάκις ὁ π' ἀποτελεῖ τὸν ςω', καὶ ὀγδοηκονταπεντάκις ὁ ς' ἀποτελεῖ τὸν φι'· συντιθέμενοι γοῦν οἱ ἀποτελέμενοι συνισῶσι τὸν ι' μυριάδας ωι'. τοσαύτην οὖν τὸ πλῆθος τῶν ἐν Τροίᾳ στρατευσάντων Ἑλλήνων κατὰ τὴν Θουκυδίδειον ἔφοδον· ᾧ δὴ πλήθει τῶν ἡγεμόνων προσιθεμένων, τὸν ἀριθμὸν καθ' τυγχανόντων, οἱ σύμπαντες γίνονται ἄρχοντές τε καὶ ἀρχόμενοι ι' μυριάδες καὶ ωλθ' πολεμικαί. L.

489. οὐδ' εἴ μοι δέκα: ἀδ' εἰ δεκαπλασίων ἐμαυτῷ γένωμαι· ὑμῶν γάρ ἐστι τὸ ἔργον. D. ὅτι ἡ ἰδιότης τῆς ὑπερβολῆς Ὁμηρική. καὶ ἐν Ὀδυσσείᾳ „ἀδ' εἴ οἱ χεῖρές τε εἴκοσι καὶ πόδες εἶεν" (12, 78). ἡ δὲ ἀναφορὰ πρὸς τὲς περιγράφοντας τέτταρας τὲς εἴκοσι. A.

490. διὰ τῷ εἰπεῖν „φωνὴ δ' ἄῤῥηκτος" δηλοῖ ὅτι σῶμά ἐστιν ἡ φωνή. ABL.

493. προπάσας: ὅτι περισσὴ ἡ πρό πρόθεσις. AD.

494. Βοιωτῶν: διὰ τί τῷ δεκάτῳ ἔτει τῆς μάχης ἐνιαύτος νεῶν κατάλογον ποιεῖται Ὅμηρος; ἢ ὅτι κ ἡ ὑπόθεσις αὐτῷ περὶ τὸ δέκατον ἔτος τῷ πολέμῳ εἴληπται. γνώριμον δὲ τῷ θεατῇ ἐκ ἦν γενέσθαι μὴ προκαταλεχθέντων τῶν ἀφικομένων. ἡ μέντοι πρόφασις εὔλογος· ὠργισμένου γ' τοῦ Ἀχιλλέως καὶ ἡ τῶ τείχους οἰκοδομὴ εὔλογον ἔχε πρόφασιν καὶ ἡ τῶν Ἑλλήνων κατὰ φυλὰς διάκρισις, ὅπως ἂν διάδηλοι γίγνοιντο οἱ ῥαθυμοῦντες. καὶ ὁ Τρωϊκὸς ὡσαύτως διάκοσμος ἐν πεδίῳ τότε παρατασσόμενος. καὶ ἄλλως τοῖς μὲν Τρωσὶ τὸ θαρσῆσαι, τοῖς δὲ Ἕλλησι τὸ εὐλαβεστέρως γενέσθαι· τοῦτο δὲ ἑκατέροις αἴτιον ἐγίγνετο τῆς διακοσμήσεως, καὶ τῷ ποιητῇ πρόφασιν ἐδίδου τῆς εὐλόγου ἐντάξεως τῶ καταλόγου. L.

Θαυμάσιος ὁ ποιητὴς μηδ' ὁτιοῦν παραλιμπάνων τῆς ὑποθέσεως, πάντα δ' ἐξ ἀναγροφῆς κατὰ τὸν ἐπιβάλλοντα καιρὸν διηγούμενος, τὴν τῶν Θεῶν ἔριν, τὴν τῆς Ἑλένης ἁρπαγήν, τὸν Ἀχιλλέως θάνατον· ἡ γ' κατὰ τάξιν διήγησις νεωτερικὸν καὶ συγγραφικὸν κ τῆς ποιητικῆς ἀπὸ σεμνότητος. εὔκαιρον τοίνυν ἐπιθεὶς Νέστορι ῥητορείαν τὸν κατάλογον ἐμνησεύσατο, ὅπως μὴ ἐν τῷ αὐτῷ λόγῳ λέγων τὰ πρακτικὰ κ γενεαλογικὰ τὴν ἀκοὴν ἐπιταράσσοι· τὸ γὰρ μὴ γνωρίζεσθαι τοὺς ἥρωας ζήτησιν ἐποίει. τρεῖς δέ φησιν ὁ Πλάτων λόγων ἰδέας, δραματικήν, ἔνθα ὁ ποιητὴς συνεχῶς εὐδοκιμεῖ τοῖς ἤθεσι τῶν ὑποκειμένων προσώπων, ἀμίμητον, ὡς τὴν Φωκυλίδου, μιμητικήν, ὡς τὴν Ἡσιόδου. ἐν τῇ ἓν ἀμιμήτῳ κ ψιλῇ τοῖς κεφαλαίοις ἀνάγκη τὸν ποιητὴν ἐπαγωνίζεσθαι, τοῖς χήμασι κ ταῖς ἐναλλαγαῖς ἐπικαλλύνοντα τὴν φράσιν, ὅπερ ἐποίησε πρῶτα μὲν ἐν τοῖς τῶν πόλεων ἐπιθέτοις, κ τούτοις ἠκριβωμένοις· ὁ γ' ἀνέλεγκτος ἦν περὶ χωρίων Ἑλληνικῶν διεξιών. κ ποτὲ μὲν τῷ ἔναιον, ἄλλοτε δὲ τῷ εἶχον, ποτὲ δὲ τῷ ἐνέμοντο χρῆται· καὶ ποτὲ μὲν τὲς ἄρχοντας προλέγων ἐπιφέρει τὰς πόλεις, ὁτὲ δὲ τἀναντίον. καὶ ποτὲ μὲν διὰ τέλους ἐξαριθμεῖ τὰς πόλεις, ὁτὲ δὲ κατ' ἐπιτομήν. νεῶν δὲ κατάλογος ἀντὶ τῷ ἐξαριθμησις, ὡς κατάλογος στρατιωτῶν. ἦρχε δὲ ἀπὸ Βοιωτῶν κατὰ μὲν Ἀρίσαρχον ἐκ ἔκ τινος παρατηρήσεως, κατὰ δὲ ἐνίας, ἐπεὶ ἐν μεσαιτάτῳ τῆς Ἑλλάδος ἡ Βοιωτία· ἔχει δὲ αὐτῆς ἐξ ἀνατολῶν μὲν Εὔριπος, ἐκ δυσμῶν δὲ Φωκίς,

Βορείων δὲ Λοκρίς, ἀπὸ δὲ μεσημβρίας Ἀττική. ἢ ὅτι μέγιστον εἶχε ναυτικόν, ὡς Φοινίκων ἄποικος. ἢ ὅτι ἐν Αὐλίδι συνήχθη τὸ ναυτικόν. ἢ ὅτι Ἕλλην ὁ Δευκαλίωνος ἐν Βοιωτίᾳ ᾤκησεν. ἕτω δὲ ἡδὺς καὶ μεγαλοπρεπὴς ὁ κατάλογος, ὥστε καὶ πόλεις ἀμφισβητοῦσαι τοῖς Ὁμήρου ἔπεσι χρῶνται. Καλυδῶνα μὲν Αἰτωλοῖς ἐχαρίσατο, ἀμφισβητοῦσι πρὸς Αἰολέας, μνηθεὶς αὐτῆς ἐν Αἰτωλῶν καταλόγῳ. Ἄβυδηνοὶ δὲ Σηστὸν παρ' Ἀθηναίων ἐκομίσαντο διὰ τοῦτο τὸ ἔπος „καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην" (836). Μιλησίοις δὲ πρὸς Πριηνεῖς ὑπὲρ Μυκαλησσοῦ διαφερομένοις ᾖρκεσε πρὸς νίκην τὰ ἔπη ταῦτα „οἳ Μίλητον ἔχον Φθειρῶν τ' ὄρος ἀκριτόφυλλον, Μαιάνδρῳ τε ῥοάς, Μυκαλησσῷ τ' αἰπεινὰ κάρηνα" (868). καὶ Σόλων τὴν Σαλαμῖνα Ἀθηναίοις ἀπένειμε διὰ τὸ „Αἴας δ' ἐκ Σαλαμῖνος ἄγε δυοκαίδεκα νῆας" (557), προσθεὶς τὸ „στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσαντο φάλαγγες," καίτοι Μεγαρέων ἀντεχομένων τῆς νήσου. BL.

Ἄρξασθαί φασί τινες ἀπὸ Βοιωτῶν τὸν Ὅμηρον τῷ καταλόγῳ ὡς κεχαρισμένων τῶν Μουσῶν ὧν ἐπεκαλέσατο· αὐτόθι γὰρ ἐν Βοιωτίᾳ εἶναι τὸν Ἑλικῶνα τὸ ὄρος, ὅπου σύνηθες αὐταῖς διατρίβειν. ἀντιλέγουσι δέ τινες τούτοις, φάσκοντες ἐκ τῆς Βοιωτίας ἀλλὰ τῆς Φωκίδος εἶναι τὸν Ἑλικῶνα· μὴ ἂν ἀπὸ Βοιωτῶν τὴν ἀρχὴν διὰ τοῦτο γεγενῆσθαι. τινὲς δὲ ὅτι ἀνθ' ὧν ἕτοι μόνοι πέντε εἶχον ἡγεμόνας. ἄλλοι δέ φασιν ἐ διὰ τοῦτο, ἀλλ' ἐπεὶ πολλὰς πόλεις εἶχεν ἡ Βοιωτία, διὰ τοῦτο ἐντεῦθεν ἄρξασθαι αὐτὸν τοῦ καταλόγου. ἐκ ἔξι δὲ ἐδὲ τοῦτο ὑγιές· ἐ γὰ ἀπὸ πλήθους πόλεων ὁ κατάλογος παραμετρεῖται· ἤρξατο γὰ ἂν μᾶλλον ἀπὸ Κρητῶν ἐχόντων ἑκατὸν πόλεις. βέλτιον δὲ λέγειν αὐτὸν ἀπὸ Βοιωτῶν ἤρχθαι ἐπειδήπερ ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας συνήχθη ἅπαν τὸ πλῆθος τῶν ἐπὶ τὴν Ἴλιον μελλόντων στρατεύειν· ἔχει δὲ αὕτη ἡ πόλις λιμένας τοὺς μὲν βλέποντας ἐπὶ τὴν Ἴλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ τῆς Ἑλλάδος ἅπασης, διʼ ἣν αἰτίαν συνηθροίσθησαν αὐτόθι καὶ ἐντεῦθεν ἀπέπλευσαν. ὁ δὲ Ἀρίσαρχός φησι κατὰ ἐπιφορὰν αὐτὸν τὴν ἀρχὴν ποιήσασθαι· εἰ γὰ καὶ ἀπ' ἄλλης ἔθνας ἤρξατο, ἐζητοῦμεν ἂν τὴν αἰτίαν τῆς ἀρχῆς. AD.

Ἄρνης τῆς Αἰόλα καὶ Ποσειδῶνος Βοιωτός, ἀφ' οὗ ἡ Βοιωτία, ὃ Ἐτεωνός, ὃ Ἀρήϊλυκος, Ἀλεκτρυών, Ἱππάλκμος, Ἀλεγήνωρ· Ἀρηΐλύκου Ἀρκεσίλαος καὶ Προθοήνωρ, Ἀλεκτρυόνος Λήϊτος, Ἱππάλκμιον Πηνέλεως, Ἀλεγήνορος Κλονίος. πάντες δ' ἅμα ᾤχον. BL.

ἡ Βοιωτία τὸ πρότερον Ἀονία ἐκαλεῖτο ἀπὸ τῶν κατοικέντων ἐν αὐτῇ Ἀόνων. μετωνομάσθη δὲ Βοιωτία κατὰ μέν τινας ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ Ἄρνης, καθʼ ἑτέρους δὲ ἀπὸ τῆς ἐλαθείσης κατὰ τὸ πυθόχρηστον ὑπὸ Κάδμου βοός. Εὐρώπης γὰ τῆς Φοίνικος θυγατρὸς ἐκ Σιδῶνος ὑπὸ Διὸς ἁρπαγείσης, Κάδμος ἀδελφὸς αὐτῆς κατὰ ζήτησιν πεμφθεὶς ὑπὸ τοῦ πατρός, ὡς ἐχ εὗρεν αὐτήν, ἦλθεν εἰς Δελφοὺς ἐρωτήσων τὸν θεόν. ὁ δὲ θεὸς εἶπεν αὐτῷ περὶ μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, ἡγεῖσθαι δὲ καθοδηγῶ βοΐ, καὶ πόλιν ἐκεῖ κτίζειν ἔνθα ἂν αὐτη εἰς τὰ ὀξιὰ πέσῃ καμοῦσα. τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο· εἶτα βοῒ συντυχὼν παρὰ τοῖς Πελάγονος βουκολίοις ταύτῃ πορευομένῃ κατόπιν ἕπετο. ἡ δὲ διεξιοῦσα πᾶσαν Βοιωτίαν ὀκνήσασα ἀνεκλίθη, ἔνθα νῦν εἰσὶν αἱ Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾷ τὴν βοῦν καταθῦσαι, πέμπει τινὰς τῶν μεθʼ ἑαυτῶ ληψομένους χέρνιβα ἀπὸ τῆς Ἀρητιάδος κρήνης. ὁ δὲ φρουρῶν τὴν κρήνην δράκων, ὃν Ἄρεως ἔλεγον εἶναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα, ᾗ τῆς Ἀθηνᾶς αὐτῷ ὑποθεμένης τὰς τότε ὀδόντας σπείρει· ἀφ' ὧν ἐγένοντο οἱ γηγενεῖς. ὀργισθέντος δὲ Ἄρεως· καὶ μέλλοντος Κάδμον ἀναιρεῖν ἐκώλυσεν ὁ Ζεύς, καὶ Ἁρμονίαν αὐτῷ συνῴκισε τὴν Ἄρεως καὶ Ἀφροδίτης. πρότερον δὲ ἐκέλευσεν αὐτὸν ἀντὶ τῆς ἀναιρέσεως τῷ δράκοντος ἐνιαυτὸν θητεῦσαι, ἐν δὲ τῷ γάμῳ ἆσαι καὶ τῶν θεῶν ἕκαστον Ἁρμονίᾳ δῶρον δῦναι. ἱστορεῖ Ἑλλάνικος ἐν Βοιωτιακοῖς ᾗ Ἀπολλόδωρος ἐν τῷ γ'. AD.

Πηνέλεως καὶ Λήϊτος: ἰστέον ὅτι ἐτίθεσαν οἱ πλεῖστοι τῶν παλαιῶν προληπτικῶς τὰς ὀνομασίας τοῖς παισίν, ἀφʼ ὧν ἔμελλον οἱ παῖδες ἐπιτηδεύειν πραγμάτων. σφόδρα δὲ αὐτοῖς ἔμελε τὰ τῆ πολέμῳ. διὸ Πηνέλεως μὲν ὠνομάσθη ἀπὸ τῆ πένεσθαι περὶ τὸν λεών, ὃ ἐστι πονεῖν καὶ ἐργάζεσθαι κατὰ τὸν ὄχλον· Λήϊτος δὲ ἀπὸ τῆ λείαν ἄγειν (λεία δὲ ἡ ἀπὸ πολέμῳ κτῆσις)· Ἀρκεσίλαος δὲ ἀπὸ τῆ ἐπαρκεῖν καὶ βοηθεῖν τοῖς λαοῖς, τουτέστι τοῖς ὄχλοις· Προθοήνωρ δὲ ὁ προθέων ἠνορέῃ, τετέχθαι ἀνδρείᾳ· Κλονίος δὲ ὁ γενναῖος καὶ μάχιμος γενησόμενος· κλόνος γὰ ἡ μάχη. AD.

495. Κλονίος: παροξύνεται, ἐπεὶ τὰ εἰς ος λήγοντα, τῷ ι παραληγόμενα, τριβράχεα, ἐπὶ κυρίων παροξύνεται, Σχεδίος Χρομίος Δολίος. ἀντιπίπτει τὸ Ἅλιος κατὰ τὴν παράδοσιν, καὶ τὸ Ἄνιος καὶ Κρύνιος καὶ Ξένιος. BL.

496. οἵ θ' Ὑρίην: ἐ παρέλαβον σύνδεσμον τὸν τέ, ἀλλ' ὄντως παρέλαβον Θυρίαν τὴν πόλιν, οὐκ εὖ δέ· ἀπὸ γὰρ Ὑριέως καὶ ἡ Ὑρία ἔτως ὀφείλει ἔχειν τὸν τῆ ῡ φθόγγον. μαρτυρεῖ καὶ Ἡσίοδος λέγων „ἣ σίην (ἣ δίη A) Ὑρίη Βοιωτίη ἔτρεφε κούρην." A. ἀπὸ Ὑριέως. οἱ δὲ Θυρίην γράφοντες ἁμαρτάνουσιν. BL. τὸ πλῆρες οἵ τε Ὑρίην. Ὑρία δὲ χωρίον πλησίον τῆς Αὐλίδος, ὃ ἔκτισεν Ὑριεὺς ὁ Ποσειδῶνος καὶ Ἀλκυόνης, ἢ ὥς τινες εἶπον, Βοιωτὸς ὁ Ὡρίωνος πατήρ. D.

Αὐλίδα: παρὰ τὸ τοὺς Ἀχαιοὺς ἐκεῖ αὐλισθῆναι. B. ἀπὸ Αὐλίδος τῆς Εὐωνύμα τῆ Κηφισῆ. D.

ὡς ἀπὸ ὀξυτόνου εὐθείας ἡ ἀνάγνωσις, καὶ εἰ μέντοι παρὰ τῷ Εὐφορίωνι „Αὐλίν τ' ἐσφαγον" αἰτιατικὴ ἀπὸ εὐθείας βαρυνομένης γέγονεν. ἡ γὰρ εἰς ιν κατάληξις ἀπὸ βαρυτόνων ἐστίν, ἡ δὲ εἰς δα καὶ βαρυτόνων καὶ ὀξυτόνων. A.

497. Σχοῖνον: ἀπὸ Σχοινέως τῆ Ἀθάμαντος, τῆ Ἀταλάντης πατρός. BDL.

Σκῶλον: ἔστι κώμη ἡ Σκῶλος ὑπὸ Κιθαιρῶνι ὄρει τῶν

ἐν τῇ Βοιωτίᾳ Θηβῶν. ὅτω δὲ κέκληται διὰ τὸ δυσοίκητον τοῦ τόπου. D.

Ἐτεωνόν: ἀπὸ Ἐτεωνοῦ τοῦ ἀπογόνου μὲν Βοιωτοῦ, πατρὸς δὲ Ἐλεῶνος καὶ τῶν ἄλλων. ὀξυτόνως δὲ ὡς μελεδωνός. πολύκνημον δὲ ὀρεινήν, ἢ τὴν πολὺ κνημὸν ἔχουσαν ἤτοι ὀρίγανον. BL. τὴν πολλὰς προσβάσεις ἔχουσαν. L. πολλοὺς ἔχουσαν κνημούς. κνημοὶ δὲ μεταφορικῶς ἀπὸ τῶν ἀνθρωπίνων κνημῶν λέγονται αἱ τῶν ὀρῶν προβάσεις· καὶ γὰρ αὗται, ὅσον ἀπὸ κεφαλῆς, πρὸ τῶν βάσεών εἰσιν, ὅ ἐστι πρὸ τῶν ποδῶν. D.

καθ' ἕκαστον ὄνομα ἐκ φύσεως καὶ λόγου διαστολή ἐστι βραχυτάτη διὰ τὴν ἐπανάληψιν τῶν ὀνοματικῶν, ἣν ἐν τοῖς ἀντιγράφοις τιθέναι οὐκ ἐπείγει, κατὰ δὲ τὴν προφορὰν σώζειν. A.

498. Θέσπειαν: ἀπὸ Θεσπειοῦ τοῦ Κηφέως, ᾧ θυγατέρες ἦσαν ν'. BL.

ἐκτετάσθαι φασὶ διὰ τὸ μέτρον· τὸ γὰρ τῆς ἱστορίας ἐν συστολῇ τέ ἐστι*) πληθυντικῶς τε λεγόμενον. ἴσως οὖν ὅλον ποιητικόν ἐστιν· σύνηθες γὰρ αὐτῷ πολλάκις τὰ πληθυντικῶς λεγόμενα καὶ ἑνικῶς προφέρεσθαι, „καὶ εὐρυάγυιαν Ἀθήνην" (Od. 7, 80) „πολυχρύσοιο Μυκήνης" (Il. 7, 180), καὶ ἐκ τοῦ ἐναντίου τὰ ἑνικὰ πληθυντικῶς· „ἐκ μὲν Κρητάων γένος εὔχομαι" (Od. 14, 199). ταῦτα ἐν τῇ προσῳδίᾳ ὁ Ἡρωδιανός. ἐν μέντοι τῷ ια' τῆς καθολικῆς προσῳδίας ἐν τοῖς προπαροξυτόνοις καὶ ἔχουσι πρὸ τέλους τὴν ει δίφθογγον αὐτὸ καταριθμεῖ, καὶ τοῦτο αὐτὸ τὸ Ὁμηρικὸν παρατίθησι, καὶ ἀλλαχοῦ λέγει τὴν ει ἔχειν αὐτὸ φανερῶς, καὶ ἐπιφέρει ὅτι καὶ Θεσπιὰ ὀξυτόνως λέγεται. A.

Γραῖαν: τὴν νῦν Τάναγραν καλουμένην. D. ἀπὸ Γραίας τῆς Μεδεῶνος θυγατρὸς Λευκίππου δὲ γυναικός. Ταναγραῖοι γὰρ οὐκ ἐστράτευσαν, ὡς Εὐφορίων „οἳ πλόον ἠρνήσαντο καὶ ὅρκον Αἰγιαλήων" (ὅρμους αἰγιαλοῖο Eustath.). BL.

Μυκαλησσόν: ὅτως κληθεῖσαν ἀπὸ Μυκάλης τῆς ἐν Καρίᾳ, Περσέως ἐν αὐτῇ ἱδρυσαμένου τὸ τοῦ Μυκαλέως Διὸς ἱερόν. D.

Μυκαλησσὸς δὲ παρὰ τὸ ἐκεῖσε τὰς Γοργόνας ἐλθούσας μυκήσασθαι. ἔστι δὲ καὶ ὄρος ἀντικρὺ Σάμου Μυκάλη. BL.

499. Ἅρμ': πόλις Βοιωτίας ὀνομασθεῖσα ἀπὸ τοῦ αὐτόθι καταποθῆναι σὺν τοῖς ἵπποις τὸ Ἀμφιαράου τοῦ μάντεως ἅρμα σὺν αὐτῷ. D. ὅτι ἐκεῖ κατεπάγη τὸ ἅρμα τοῦ Ἀδράστου, οἱ δὲ τὸ Ἀμφιαράου. BL.

Ἐρύθρας: ὑπὸ τὸν Κιθαιρῶνα οὗτος ὁ τόπος. ἔστι δὲ ἀπὸ Ἐρυθρίου τοῦ νεωτέρου τῶν Ἀθαμαντιδῶν. BL. Ἔρυθραι βαρυτόνως μὲν πόλις Βοιωτίας, ὀξυτόνως δὲ πόλις Ἰωνίας. ὠνομάσθησαν δὲ ἤτοι ἀπὸ Ἐρυθροῦ τοῦ Ποσειδῶνος καὶ Ἀμφιμεδούσης τῆς Δαναοῦ, ἢ ὡς ἕτεροι ἀπὸ Ἐρυθρᾶς τῆς Πορφυρίωνος τοῦ Σισύφου. D.

500. Ἐλεῶν': ἀπὸ Ἐλεῶνος τοῦ Ἐτεωνοῦ. BL.

Ὕλην: ὅτι νῦν μὲν ἐκτεταμένως Ὕλην εἴρηκεν, ἐν ἄλλοις δὲ συνεσταλμένως „Ὕλῃ ἔνι οἰκία ναίων" (Il. 7, 221). νῦν δὲ καλοῦνται Ὕλαι πληθυντικῶς. A.

ἐξέτεινε τὸ υ διὰ τὸ μέτρον· „Ὕλῃ ἔνι οἰκία ναίων." ἔστι δὲ καὶ Ὕλη ἑτέρα ἐν Λυδίᾳ· „Τμώλῳ ὕπο νιφόεντι, Ὕλης ἐν πίονι δήμῳ" (Il. 20, 385). BL.

Πετεῶνα: ἀπὸ Πετεῶνος τοῦ Βοιωτοῦ. D.

501. Ὠκαλέην: ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ. καλεῖται δὲ νῦν Ὠκάλεια. D.

Μεδεῶνα: ἀπὸ Μεδεῶνος τοῦ Πυλάδου. D.

502. Κώπας: πόλις Βοιωτίας ἀπὸ Κωπεῶνός τινος ἥρωος, παρ' ἣν καὶ ἡ λίμνη Κωπαΐς. D.

πολυτρήρωνα: πολλὰς περιστερὰς ἔχουσαν. τρήρωνες δὲ καλοῦνται αἱ περιστεραὶ ἀπὸ τοῦ τρεῖν καὶ εὐλαβεῖσθαι· δειλὸν γὰρ τὸ ζῷον. D.

Θίσβην: τὰς νῦν πληθυντικῶς λεγομένας Θίσβας. D. ὅτι Ζηνόδοτος γράφει Μέσσην. ἔστι δὲ ἡ Μέσση τῆς Λακωνικῆς, ἣν ἐν ἄλλοις Μεσσήνην καλεῖ. A.

503. Κορώνειαν — Ἁλίαρτον: Κόρωνος καὶ Ἁλίαρτος Θερσάνδρου τοῦ Σισύφου παῖδες, ἀφ' ὧν ὠνομάσθησαν αἱ πόλεις. BL.

ποιήενθ': βοτανηφόρον, σύμφυτον· πόα γὰρ ἡ βοτάνη. διὰ τούτου δὲ τὸ εὔγειον παρίστησιν αὐτῆς. D.

504. Πλάταιαν: ἀντὶ τοῦ Πλαταιάς, ἀπὸ Πλάτης τῆς Ὀγχήστου θυγατρός. BDL.

Γλισαντ': ἡ συνήθεια προπερισπᾷ τὸ ὄνομα, ἡ δὲ ἱστορία περισπᾷ. BL. προπαροξυτόνως ὡς γίγαντα. D.

505. ὑπὸ Θήβας εἶχον ἐϋκτίμενον πτολίεθρον: πολίχνιον ἀνώνυμον· οὐ γὰρ εὔλογον στρατεύειν Θηβαίους νεωστὶ ὑπ' Ἀργείων πορθηθέντας. ἢ ὅτι νεωστὶ ἦν οἰκισθεῖσα· διό φησιν ἐϋκτίμενον. BL.

Θῆβαι ἀπὸ Θήβης τῆς Ἀσωποῦ τοῦ ἐντοπίου ποταμοῦ. Ὑποθήβας οὖν τὰς ἐλάττους Θήβας, ἠλαττωμένας ὕστερον ὑπὸ τῶν ἐπιγόνων· ἐπόρθησαν γὰρ αὐτὰς οἱ τῶν ζ' ἐπὶ Θήβας στρατευσάντων παῖδες ἐκδικοῦντες πατρῴαν ὕβριν. ἕτεροι δέ φασιν Ὑποθήβας λέγειν τὸν ποιητὴν τὰς ὑποκειμένας ταῖς ἑπταπύλοις Θήβαις κώμας· αὐταὶ γὰρ αἱ Θῆβαι ἐκπεπολιώρκηντο. D.

506. Ὄγχηστον: οὗτος Βοιωτοῦ παῖς, ὃς ἐν τῷ τόπῳ πρῶτος Ποσειδῶνος ἱδρύσατο ἱερόν. BL.

ἄλσος: πᾶς τόπος σύνδενδρος ὕδωρ ἔχων καὶ θεοῖς ἀφιερωμένος ἄλσος καλεῖται. D.

507. Ἄρνην: ἀπὸ Ἄρνης, ἧς καὶ Ποσειδῶνος Βοιωτός. οἱ δὲ ὅτι οὐχ εὑρίσκεται κατὰ τοὺς Τρωϊκοὺς χρόνους Ἄρνη πόλις Βοιωτίας· ὅθεν ἔνιοι πιθανῶς μεταγράφουσιν πολυστάφυλον Τάρνην. D.

ὅτι Ζηνόδοτος γράφει Ἄσκρην ἔχον. οὐ δύναται δὲ πολυστάφυλος ἡ Ἄσκρη λέγεσθαι· ἀξιοπιστότερος γάρ ἐστιν Ἡσίοδος λέγων „Ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ" (O. 638)· ὥστε οὐδὲ πολύκαρπος λέγοιτο ἄν. A.

ἡ νῦν Χαιρώνεια. ἑτέρα δὲ ἡ Λεοντάρνη, ἡ ὑπὸ τὸν Ἑλικῶνα, ἀπὸ τοῦ αὐτόθι λέοντος. BL.

*) οἷον καὶ παρὰ Κορίννῃ „Θεσπία καλλιγένεθλε, φιλόξενε, μουσοφίλητε." Schol. S. German. ap. Heyn.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

508. *Νῖσαν*: Νῖσα Βοιωτίας, οὐ Μεγαρίδος. ἔχει δὲ ἐν Διονύσῳ ἐπιφανὲς ἱερόν. Ἀνθηδὼν δὲ παρὰ τὰ ἄνθη, ἢ Ἄνθιον τὸν Ποσειδῶνος· ἔχει δὲ παρὰ τὸν Εὔριπον. BL.

Ἀνθηδόνα: ἐκ ταύτης ἦν Γλαῦκος ὁ θαλάσσιος. D.

ἐσχατόωσαν: τὴν ἐν τοῖς ἐσχάτοις μέρεσι τῆς Βοιωτίας κειμένην. D.

509. *πεντήκοντα νέες*: ἀπὸ Φοινίκης εἰσί· καὶ Τῦφυς γὰρ Βοιωτὸς ὑπῆρχεν. L.

511. *Ἀσπληδόνα*: ὠνόμασαι ἀπὸ Ἀσπληδόνος τοῦ Πρέσβωνος, ἔχει δὲ Βοιωτίας τῆς Ὀρχομενίων γῆς. καλεῖται νῦν Εὐδείελος. D.

Ὀρχομενὸν Μινύειον: ἡ διπλῆ, ὅτι καὶ ἕτερος Ὀρχομενός ἐστιν Ἀρκαδικός. ἀλλ' ὁ μὲν Βοιωτιακὸς Μινύειος καλεῖται, ὁ δὲ Ἀρκαδικὸς πολύμηλος· καὶ τοῖς ἐπιθέτοις διαζέλλεται ἡ ὁμωνυμία. A.

ἀπὸ Μινυᾶ τοῦ Σισύφου τοῦ Αἰόλου· ὁ δ' Ἀρκαδίας Ὀρχομενὸς πολύμηλος. BL.

Ὄλμιος Πορφυρίων Ἀθάμας οἱ Σισύφου παῖδες πρὸς τὸν Ἑλικῶνα πόλιν ᾤκησαν, ἣν ὠνόμασαν Ὄλμον. Ὄλμιον δὲ υἱὸς Μινύου, ὃς ἀφ' ἑαυτοῦ Μινύας αὐτὸς ἐκάλεσεν. τούτου παῖς ἦν Ὀρχομενός, ὃς τὴν πόλιν ἀφ' ἑαυτοῦ ὠνόμασεν. BL.

τὸν ἐν τῇ Βοιωτίᾳ λέγει Ὀρχομενόν, τὸν ὑπὸ Μινυοῦ βασιλευθέντα, τὸν ὀνομαωθέντα ἀπὸ Ὀρχομενοῦ τοῦ Διὸς υἱᾶ καὶ Ἑρμίππης τῆς Βοιωτᾶ. παραῤῥέει αὐτὸν ποταμὸς Μινύας, ἀφ' οὗ Μινύαι ἐκλήθησαν οἱ τὴν χώραν κατοικοῦντες. ἔχει δὲ καὶ ἕτερος Ὀρχομενὸς τῆς Ἀρκαδίας, ὃν πολύμηλον καλεῖ ὁ ποιητής, καὶ ἕτερος τῆς Θεσσαλίας. D.

514. *ὑπερῴϊον εἰς ἀναβᾶσα*: εἰς τὸ δίζεγον ἀνελθᾶσα· οἱ γὰρ ἀρχαῖοι ταῖς γυναιξὶν ὑπερῴας τὰς θαλάμους κατεσκεύαζον ὑπὲρ τῶ δυσεντεύκτους αὐτὰς εἶναι. AD.

τὴν εἰς πρόθεσιν χωριστέον τῶ ἀναβᾶσα· ἀναφορὴ γάρ, εἰς ὑπερῴϊον ἀναβᾶσα. τὸ δὲ διάζημα ἐ παντὶ ἀληθές. A.

516. *τῶν δέ*: κατὰ δοτικὴν τοῖς δέ αἱ Ἀριστάρχ. ἔστιν ὅμοιον τῷ „τοῖσι δ' ἅμ' ὀγδώκοντα" (568). καὶ τὸ ἑνικὸν „τῷ δ' ἅμα τεσσαράκοντα" (534). A.

517. *Φωκήων*: τὰ τοιαῦτα διχῶς ἐν ταῖς Ἀριστάρχ εὑρίσκομεν, καὶ διὰ τῶ ει Φωκείων, ἢ διὰ τῶ η Φωκήων. τὸς δὲ Φωκεῖς οἱ μὲν ἀπὸ Φώκ τοῦ Ψαμάθης ἢ Αἰακῶ, οἱ δὲ τῶ Ποσειδῶνος καὶ Προνόης τῆς Ἀσωπῶ. AD.

Ὄρνυτος ὁ Σισύφε, εἰς Ὑάμπολιν ἐλθὼν ἐπικουρῆσαι τοῖς αὐτόθι τοῖς Λοκροῖς πολεμοῦσι, ἢ νικήσας, ἦρξε τῆς χώρας αὐτός· ἔ υἱὸς Φῶκος, ἀφ' ἧ Φωκέας αὐτοὺς ὠνόμασαν, ἔ Ὀρνυτίων, ἔ Ναύβολος, ἔ Ἴφιτος, ἔ Σχεδίος. τὰ δὲ δυτικὰ τῆς Φωκίδος Ὀζόλαι ἢ Λοκροὶ οἰκῶσιν. BL.

ἡ διπλῆ, ὅτι καὶ ἕτερος Σχεδίος ἐξὶ Φωκεύς, τῶν ἐπὶ μέρεσ ἡγεμιών, ἢ ἀμφότεροι ὑφ' Ἕκτορος ἀναιρῶνθ· „ἔνθ' Ἕκτωρ μὲν ἔλε Σχεδίον ἀρχὸν Φωκήων" (Il. 15, 515). ἡ δὲ ἀναφορὰ πρὸς τὰ Πυλαιμένεσ. A.

δύο Σχεδίοι παρ' Ὁμήρῳ „Σχεδίον Περιμήδεος υἱόν" (Il. 15, 515) καὶ „Σχεδίον μεγαθύμε Ἰφίτε υἱόν" (Il. 17, 306). καὶ δύο Εὐρυβάται κήρυκες, ὁ μὲν Ἀγαμέμνονος, ὁ δὲ Ὀδυσσέως. πάλιν τε δύο Εὐρυμέδοντες, ὅ τε Ἀγαμέμνονος ἢ ὁ Νέζορος ἡνίοχος. BL.

518. *Ἰφίτου*: τὴν μέσην συλλαβὴν ἐκτείνομεν τῶ Ἰφίτε διὰ τὸ μέτρον. ἐν ἑτέροις γοῦν φυλάσσομεν τὸν χρόνον· „Ἴφιτος Εὐρυτίδης" (Od. 21, 14). A.

519. *Κυπάρισσον*: Κυπάρισσος ἡ νῦν Ἀπολλωνιάς, ἀπὸ Κυπαρίσσε τῶ υἱῶ Μινυᾶ. BL.

ὠνομάθη Κυπάρισσος ἀπὸ Κυπαρίσσε τῶ Ὀρχομενοῦ ἀδελφῶ, ἢ ἀπὸ τῶν ἐν αὐτῇ φυομένων κυπαρίσσων. AD.

ὁμωνύμως δὲ τῷ δένδρῳ ἀνεγνώσθη. A.

Πυθῶνα: καὶ αὕτη πόλις Φωκίδος. τὸ πρότερον δὲ ἐκαλεῖτο Παρνασσία νέπη ὡς ἀπὸ τῶ παρακειμένε ὄρους, ἔπειτα Πυθών, ὕστερον δὲ Δελφοί· ἢ Πυθὼ μέν, ἐπεὶ κατέσαπη αὐτόθι ὁ δράκων ὁ τὸ μαντεῖον πρότερον φυλάττων, ὃν ἀπέκτεινε τοξεύσας ὁ Ἀπόλλων· πύθεσθ γὰρ τὸ σήπεσθ, ὡς τὸ „σέο δ' ὀζέα πύσει ἄρερα" (Il. 4, 174). ἢ ὡς ἔνιοί φασι, διὰ τὸ παραγινομένες αὐτόθι πυνθάνεσθ τὲς ἀνθρώπες περὶ ὧν ἐθέλεσιν. AD.

520. *Κρίσαν*: Κρίσα πεδίον ἐν Λοκρίδι ἢ ὡς οἱ πλείονές φασιν ἐν Δελφοῖς, ὀνομαθὲν ἀπὸ Κρίσε τῶ Τυράννου καὶ Ἀσεροδίας τῆς Δηϊονέως. AD.

Δαυλίδα: Δαυλὶς πόλις Φωκίδος, ἀπὸ Δαυλιέως ὀνομαωθεῖσα τῶ Τυράννε ἢ Χρησώνης (Κρησώνης D). ἢ διὰ τὸ σύμφυτον· δαυλὸν γὰρ τὸ δασὺ ἔλεγον οἱ ἀρχαῖοι. AD.

Πανοπῆα: πόλις Φωκίδος, ῥηθεῖσα ἀπὸ Πανοπέως τῶ Φώκε. AD.

Ζηνόδοτος γράφει καὶ Πανοπτέων, ἄμετρον ποιῶν τὸν σίχον ἢ ἐ καθ' Ὅμηρον χηματίζων τὸ ὄνομα. ἔχει γὰρ Πανοπεύς ὡς Ἀχιλλεύς· „ὃς ἐν κλειτῷ Πανοπῆι" (Il. 17, 307). A.

521. *Ἀνεμώρειαν*: αὕτη μεταξὺ κεῖται Φωκίδος καὶ Δελφῶν, ἐφ' ὑψηλῶ τόπε, ὅθεν καὶ ἔτως ὠνομάθη παρὰ τὸ καταπνεῖσθ αὐτὴν σφοδρῶς. AD.

ἀνεμιώδη καὶ δυσχείμερον, παρὰ τὸ καταιγίζεσθ ἀπὸ τῶ κατοπτευτηρίε. BL.

Ὑάμπολιν: τὴν ὑπὸ Ὑάντων ἔθνες βαρβάρων οἰκισθεῖσαν πόλιν. D.

ἔτως ἀνεγνώσθη ὡς φιλόπολις· ἔν γάρ ἐστιν. ἐσορῶσι δὲ τὲς ἐγχωρίες καὶ σὺν τῷ ō λέγειν Ὑάμπολιν. A.

522. *οἵ τ' ἄρα πὰρ ποταμὸν Κηφισόν*: ἔτοι Ἐπικηφίσιοι λέγονται, ὑπὸ δέ τινων παραποτάμιοι. ὁ δὲ Κηφισὸς ποταμός ἐστι τῆς Φωκίδος, ἔχων τὰς πηγὰς ἐκ Λιλαίας, ὥς φησιν Ἡσίοδος „ὅσε Λιλαίηι προΐει καλλίῤῥοον ὕδωρ." AD.

523. *Λίλαιαν*: τύπος παρὰ τὸν Παρνασσόν, ἀπὸ Λιλαίας τῆς Κηφισσῶ θυγατρός, ἔ μέμνηται ἢ ὁ Ἡσίοδος. BL.

πηγῆς ἔπι: ἐπὶ ταῖς ἀκροχθίοις βρύσεσιν, αἳ καλῶνθ ποτάμιοι. τῶτο δὲ τὸ ὄνομα μέτρου ἐχ ὑπόκειται. BL.

Πτολεμαῖος ἀναγράφει ἢ Πάμφιλος. Ἀλεξίων συντάσσει τῇ γενικῇ τὴν πρόθεσιν, ἢ ἐκ ἀναγράφει. Ἀρίσταρχος δὲ τοῖς κυριωτέροις συνέτασσε τὰς προθέσεις. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

525. ἀμφιέποντες: περὶ αὐτὸν ἐνεργοῦντες ἢ ἐπιμέλειαν ἔχοντες. D.

526. ἔμπλην: ἐμπελάδην. δηλοῖ δὲ ἡ τὸ χωρίς· „ἔμπλην αἰγιαλῶ τε ἠδ' ἄξεος." BL.

527. Λοκρῶν: Λοκρῶν νῦν μέμνηται τῶν Ἐπικνημιδίων καλεμένων· ἔτοι γ' ἀντικρὺ τῆς Εὐβοίας τὴν οἴκησιν πεποίηνται, οἱ ὑπὸ τῷ Αἴαντι ὄντες. εἰσὶ δὲ ἡ ἕτεροι Λοκροί, ἐπικαλέμενοι Ὀζόλαι, περὶ τὴν Αἰτωλίαν ἐπὶ τῆς ἑτέρας πλευρᾶς οἰκέντες κατὰ τὸ Κρισαῖον πεδίον, κεκλημένοι ἕτως ἀπὸ τᾶ αὐτόθι ῥέοντος Ὀζοντος ποταμᾶ, ὃν ἐποίησαν δυσώδη οἱ ἰχῶρες τᾶ Κενταύρα τᾶ ὑπὸ Ἡρακλέους τρωθέντος, ὁπηνίκα διάγων Δηϊάνειραν τὴν Οἰνέως κατὰ τὸν Εὐηνὸν ποταμὸν ἐπεχείρει βιάζεσθ. ἢ ὅτι εἰσὶν αἰγονόμοι, καὶ τὰς δορὰς τῶν βοσκημάτων δυσώδεις ἔσας καὶ ἀβρυσεύτες ἀμφιέννυνται. τούτων δὲ ἄποικοί εἰσιν ἕτεροι Λοκροί, οἱ Ἐπιζεφύριοι καλέμενοι διὰ τὸ ἐπὶ Ζεφυρίῳ ὄρει τᾶς Ἰταλίας παροικεῖν. AD.

Ὀϊλῆος: ἢ διπλῆ, ὅτι τινὲς τῶν νεωτέρων ἀνέγνωσαν χωρὶς τὸ ῦ, ὡς ἄρθρε ὄντος, εἶτα Ἰλῆος. ὁ δὲ Ὅμηρος σὺν τῷ ῦ λέγει τὸν Ὀϊλῆα. τὸ δὲ ἑξῆς ἐξὶ Λοκρῶν οἳ Κῦνον· τὰ δὲ λοιπὰ διὰ μέσε, ὧν ἡ διόρθωσις προείρηται. A.

ψιλωτέον Ὀϊλῆος· οὐ γάρ ἐξιν ἄρθρον. ὁ δὲ Ἡσίοδος διχῶς. BL.

528. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος ἠθέτηκεν αὐτόν. ἀναγκαῖος δὲ ἐξι· προδιασυνίσησι γ' ὅτι ἥττων ἐξὶ κατὰ τὸ μέγεθος τοῦ Τελαμωνίε. ἐκεῖνον μέντοι γε μέγαν λέγει. A.

529. 530. ἀθετοῦνται ἀμφότεροι, ὅτι προείρηκε „μείων, ἔτι τόσος γε," ἢ πρὸς ἀδὲν διλογεῖ „ἀλλὰ πολὺ μείων." ἢ ἀδὲ πολὺ λείπεται τᾶ ἑτέρε. κακῶς δὲ ἢ τὸ λινοθώρηξ· οἱ γ' Ἕλληνες οὐκ ἐχρῶντο λινοῖς θώραξι· διὰ παντὸς γ' χαλκοχιτῶνας αὐτὲς λέγει. καὶ Ἕλληνας ἀδέποτε εἴρηκεν, ἀλλ' Ἀργείους ἢ Δαναούς· καὶ ἀδὲ Ἑλλάδα τὴν οἰκεμένην ὑπὸ Ἑλλήνων, ἀλλὰ μίαν πόλιν Θεσσαλίας, ἧς τὲς οἰκήτορας Ἕλληνας λέγει· „Μυρμιδόνες δὲ καλεῦντο ἢ Ἕλληνες ἢ Ἀχαιοί" (648). A.

ἀθετοῦνται οἱ γ' ἕτοι ξίχοι ὡς μὴ γνήσιοι τᾶ ποιητοῦ, πρῶτον μὲν ὅτι ἐκ ἦν μικρότερος ὁ Ὀϊλέως Αἴας τᾶ Τελαμῶνος (φησὶ γ' ἐν ἑτέροις τῆς ποιήσεως „Αἴας δ' ἐκέτι —τιταίνετον" Il. 13, 701 — 4), ἔπειθ' ὅτι ἐκ οἶδε λινοῖς θώρηξι χρωμένας τὲς Ἕλληνας ὁ ποιητής. ψεῦδος δὲ καὶ τὸ „ἐγχείῃ δ' ἐκέκαδο Πανέλληνας." D.

531. Κῦνον: εἴρηται ἀπὸ Κύνε τᾶ Λοκρᾶ. D.

Καλλίαρον: ἀπὸ Καλλιαράε τᾶ Ὀπόντος. D.

532. Βῆσσαν: ἔτως ὠνόμασαι διὰ τὸ σύμφυτον εἶναι τὸ χωρίον· πάντες γ' οἱ σύνδενδροι τόποι, καὶ μάλισα τῶν ὀρῶν, βῆσαι λέγονται. D.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει Βῆσαν ἐν τῷ ἑνὶ ῦ, διὰ τὸ βήσσας λέγεσθ τῶν ὀρῶν τὲς καθύγρους τόπες. ἔξι μέντοι προσηγορικὰ ἃ τινων κύρια γίνεθ, οἷον Κυπάρισσος καὶ πόλεως ὄνομα. A.

Σκάρφην: ἀπὸ Σκάρφης τᾶς Αἴσονος μητρός. D.

Αὐγειάς: ἀπὸ Αὐγείας τινὸς ἐγχωρίε νύμφης. ἐκέτι δὲ οἰκεῖται. D.

Αὐγειὰς ὡς καλιάς (παρειάς L)· συνήθης γ' ἡ τοιαύτη ἀνάγνωσις τῷ ποιητῇ, Ἰωνικωτέρα ἔσα. ABL.

533. Τάρφην: ἔτως ὠνόμασαι διὰ τὴν δασύτητα τῆς ὕλης· ταρφέα γ' τὰ συνεχῆ. D.

Θρόνιον: ἀπὸ Θρονίας νύμφης ἔτως ὠνόμασαι. D.

535. Εὐβοίης: Εὔβοια νῆσος παρακειμένη τῇ Ἀττικῇ καὶ Βοιωτίᾳ ἢ Φωκίδι καὶ Λοκρίδι, ἥτις καὶ Μάκρις ἐκαλεῖτο ἤτοι διὰ τὸ εἰς μῆκος κεῖσθ ἢ ἀπὸ Μακρίδος νύμφης, τῆς τροφᾶ Ἥρας. ὠνομάσθη δὲ Εὔβοια ἀπὸ Εὐβοίας τῆς Ἀσωπᾶ. AD.

536. οἱ δ' Εὔβοιαν ἔχον: ἐπὶ μὲν τῶν ἄλλων „Βοιωτῶν μέν," „αὐτὰρ Φωκήων·" ὧδε δέ, ἐπεὶ διαφόρως ὡς πρὸς τὴν πόλιν ὀνομάζονται, διαφορὰν αὐτοῖς προσῆψεν, ἢ τὸ ὁμοειδὲς ἐκκλίνων τῆς φράσεως. γίνεται δὲ ἀπὸ μὲν Ἐρεχθέως Κέκροψ, ἐξ Μητίων, ἀφ' ἑ οἱ Μητιονίδαι, οἷς Χάλκων, ἐξ Ἄβας, ὃς Ἄβαντας αὐτὲς ἐκάλεσεν, ἐξ Χαλκώδων, ἐξ Ἐλεφήνωρ. BL.

Ἄβαντες οἱ ἀπὸ Εὐβοίας, ἀπὸ Ἄβαντος τᾶ Ποσειδῶνος βασιλέως αὐτῶν. D.

537. Χαλκίδα: ἔτος ἀντικρύ ἐξιν Αὐλίδος παρὰ τὸν Εὔριπον ὁ τόπος. BL.

Ἐρέτριαν: καὶ αὕτη πέραν τᾶ Εὐρίπε. BL. εἴρηται δὲ ἀπὸ Ἐρετριέως τᾶ Φαέθοντος. D.

Ἰσίαιαν: αὕτη ἐξὶν ἡ νῦν Ὠρεὸς καλεμένη. BL. αὕτη πρότερον ἐκαλεῖτο Ταλαντία, ὕστερον δὲ ἕτω προσηγορεύθη ἀπὸ Ἰσιαίας τῆς Ὑριέως. D.

538. Κήρινθόν τ' ἔφαλον: τέτε γ' τὰ θεμέλια ὑπὸ θαλάσσης ἁλμίζεται. ἔξι δὲ περὶ τὴν παρὰ τὸ Αἰγαῖον πλευράν. BL.

Δίον: καλεῖται καὶ Δίων πληθυντικῶς. εἴρηδ δὲ ἀπὸ Δίε τᾶ Πανδώρε. D.

540. 541. Ἐλεφήνωρ — Χαλκωδοντιάδης: Χαλκώδοντος παῖς Ἐλεφήνωρ. εἰ δέ, ὡς προείρηται, προληπτικῶς τὰ ὀνόματα ἐτίθεν οἱ παλαιοὶ τοῖς παισί, πεποίηται παρὰ τὸ ἐλεφαίρεσθ αὐτὸν τὲς πολεμίες βλάπτοντα. AD.

542. 543. βραχὺ διαφαλτέον θοοί, κομόωντες, αἰχμηταί· μᾶλλον γ' ἐμφαίνει ἕκαζον συμβεβηκὸς ἰδίᾳ λεγόμενον. A.

542. ὄπιθεν κομόωντες: τὰ ὀπίσω μέρη τῆς κεφαλῆς κομῶντες ἀνδρείας χάριν. ἴδιον δὲ τῦτο τῆς τῶν Εὐβοέων κερᾶς, τὸ ὄπιθεν τὰς τρίχας βαθείας ἔχειν. AD.

ἀγχέμαχος ὁ Εὐβοεύς, φασὶ τὲς Κάρητας ἐν Χαλκίδι οἰκῆσαι· συνεχῶς δὲ τοῖς ἀσιγήτοσιν ἐπολέμεν. ἐπεὶ δὲ οἱ πολέμιοι τῆς κόμης ἁπτόμενοι κατέσπων αὐτές, ὀπιθοκόμας γενέσθ φησί, τὰ δὲ ἔμπροσθεν κείρεσθ· διὸ καὶ Κάρητας ἀπὸ τῆς κερᾶς κληθῆναί φησιν. BL.

543. αἰχμηταί: ἢ ὁ χρησμὸς (Strab. 10, p. 689. C. schol. Theocrit. 14, 48,) οὕτως περὶ αὐτῶν „ἄνδρες δουρίμαχοι καὶ αἰσιν ὕδωρ καλῆς Ἀρεθούσης." ἦν δὲ παρ' αὐτοῖς αἰσχρὸν τὸ τοξεύειν. ABL.

ὀρεκτῇσι μελίῃσι: τοῖς ἐκ χειρῶν δόρασιν, οἷς ὀρέγδην ἐχρῶντο συνισάμενοι καὶ ἐκτείνοντες αὐτά· ἐξ ἧς Θαρσαλέοι· ὀρέξαθ᾽ γάρ ἐσι τὸ ἐκ χειρὸς πατάξαι. A.

546. Ἀθήνας: Ἀθήνας νῦν κέκληκε τὴν πόλιν· τὰς δὲ δήμους παρέλιπε διὰ τὸ πλῆθος, ἢ διὰ τὸ μὴ δύναθ᾽ πάντας εἰς μετροποιίαν καταταγῆναι. AD.

547. Ἐρεχθῆος: Ἐρεχθέως τῶ βασιλέως Ἀθηναίων, τῶ καὶ Ἐριχθονίε καλεμένε, γεννηθέντος δὲ ἐκ τῆ Ἡφαίςε. ὃς γ᾽ ἐδίωκεν Ἀθηνᾶν ἐρῶν αὐτῆς, ἡ δὲ ἔφυγεν· ὡς δὲ ἐγγὺς αὐτῆς ἐγένετο πολλῇ ἀνάγκῃ (ἦν γ᾽ χωλός), ἐπιρᾶτο συνελθεῖν· ἡ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα οὐκ ἀνέχετο. ἔτως ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς Θεᾶς· ἡ δὲ μυραχθεῖσα, ἐρίῳ ἀπομάξασα τὸν γόνον, ἔῤῥιψεν εἰς γῆν· ὅθεν Ἐριχθόνιος ὁ ἐκ τῆς γῆς ἀναδοθεὶς παῖς ἐκλήθη, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονός. ἱςορεῖ Καλλίμαχος (ἐν Ἑκάλῃ D). AD.

ὃν ποτ᾽ Ἀθήνη: ἐξαίρει τὴν χώραν τῇ γενέσει, τῇ ἀνατροφῇ, τῇ τῆς βασιλείας μεγαλειότητι. BL.

548. ζείδωρος ἄρουρα: ἢ τὰ πρὸς ζωὴν δωρεμένη γῆ. D. τῶτο ὡς κύριον ἔλαβεν ἐπὶ τῆς Ἀττικῆς· ἐκεῖ γὰρ πρῶτον ἀνεδόθη καρπός. διὸ νῦν πρῶτον τῷ ἐπιθέτῳ ἐχρήσατο. ABL.

550. ἔνθα δέ μιν: ἢ θεὸς γ᾽ ἔχρησε τῶτον τιμᾶν. θήλεα δὲ τῇ Ἀθηνᾷ θύεσιν· διὸ τὸ μὶν ἐκ ἐπ᾽ αὐτῆς. BL.

551. κοῦροι Ἀθηναίων: οἱ Ἀθηναῖοι περιφραςικῶς. D.

552. Πετεῶο: πλεονασμὸς γάρ ἐσι τὸ ο, ὡς Ἡρωδιανός. BL.

553. ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος ἀπὸ τούτου τρεῖς σίχας ἠθέτηκεν, μήποτε δὲ (διὰτι?) διὰ τῶν ἐπὶ μέρες ἐδέποτε αὐτὸν διατάσσοντα συνέχησεν. πολλὰ μέντοι Ὅμηρος κεφαλαιωδῶς συνίςησιν, αὐτὰ τὰ ἔργα παραλιπών, ὡς τὴν Μαχάονας ἀρισείαν· „παῦσεν ἀρισεύοντα μάχας" (Il. 11, 506). A.

τῷ δ᾽ οὔ πώ τις ὁμοῖος: τῶτο χαρίζεται αὐτῷ, ἐπεὶ μὴ εὐδοκιμήσει ἐν ταῖς μάχαις. BL.

554. κοσμῆσαι: πρῶτος κόσμον πολέμε τὴν παράταξιν ὠνόμασεν. BL.

555. ὁ γὰρ προγενέσερος ἦεν: καὶ ἦτος, φησίν, ἐκ ἐκ πείρας, ἀλλ᾽ ἐξ ἡλικίας. BL.

557. Σαλαμῖνος: Σαλαμὶς νῆσος πρὸ τῆς Ἀττικῆς, ὅθεν ἦν Αἴας ὁ Τελαμώνιος. D.

δυοκαίδεκα: Πάμφιλος τρία ποιεῖ, καὶ κατὰ παράθεσιν ἀναγινώσκει. ἀφορμὴν δὲ ἔχει ἡ κατὰ σύνθεσιν ἀνάγνωσις τὴν ποιητικὴν χρῆσιν, ἥτις τὰ κατὰ παράθεσιν πολλάκις ἑνοῖ, ὡς τὸ πασιμέλεσα (Od. 12, 70) καὶ τὰ τοιαῦτα. A.

τὸ δυοκαίδεκα ὑφ᾽ ἓν ἀναγνωσέον· καὶ ἔσι ποιητικὴ ἡ χρῆσις. γράφει δὲ καὶ τὸν Σόλωνος λόγον, ὡς τινες, παραλόγως, τὸ ἵν᾽ Ἀθηναίων ἴσαντο. ἐν γ᾽ τῇ πρώτῃ ἐκ εἶχε ποιήσει τῶτο, ἀλλ᾽ ἡ ἀκόλεθία ἔτως, δι᾽ δ᾽ Ἄργος. BL.

559. Ἄργος: τὴν Πελοπόννησον. D. ἀπὸ Ἄργου τῶ Διὸς καὶ Νιόβης τῆς Φορωνέως· διὰ δὲ τὸ πρῶτον ᾠκίῃ πρῶτον ἐτάχθη τῶν ὑπὸ Ἀγαμέμνονα· ἀφ᾽ ἧ καὶ πάντας Ἕλληνας Ἀργείες καλεῖ. BL.

τειχιόεσσαν: τὴν καλῶς τετειχισμένην, ἐπεὶ δοκεῖ ὑπὸ Κυκλώπων τετειχίῃ. D.

561. Ἑρμιόνην Ἀσίνην τε: πόλεις τῆ Ἄργες. ἔσι δὲ ἡ Ἑρμιόνη ἱερὰ Περσεφόνης. D.

βαθὺν κατὰ κόλπον ἔχούσας: τὰς βαθὺν κατεχούσας κόλπον. κόλπος δέ ἐσι θάλασσα ὑπὸ ἀκρωτηρίων περιεχομένη. D.

561. Τροιζῆν᾽: ἀπὸ Τροιζῆνος τῆ Πέλοπος. BDL. λέγσι δὲ τὴν Καλαυρίαν εἶναι. *) BL.

562. Αἴγιναν: νῆσον πρὸ τῆς Ἀττικῆς. ἐκαλεῖτο δὲ πρότερον Οἰνώνη, ὕςερον δὲ Αἴγινα ἀπὸ Αἰγίνης τῆς Ἀσωποῦ μὲν θυγατρὸς Αἰακῆ δὲ μητρός. D.

Αἴγινα πλησίον Ἐπιδαύρε. ὁ δὲ Μάσης ἐπίνειον Αἰγινητῶν. ἐκτέταται δὲ διὰ τὸ μέτρον. BL.

564. Σθένελος: Προίτε Μεγαπένθης, ἧ Ἀναξαγόρας, ἧ Ἱππόνες, ἧ Καπανεύς, ἧ Σθένελος. BL.

565. Εὐρύαλος: Βίαντος Περιάλκης, ἧ Ταλαός, οὗ Μηκισεύς, ἧ Εὐρύαλος. BL.

φώς: τὸ φὼς ὀξυτονέμενον τὸν ἄνθρωπον δηλοῖ, ὡς νῦν καὶ „φῶτ᾽ Ἀσκληπιῆ υἱόν" (Il. 4, 194), περισπώμενον δὲ τὸ φέγγος καὶ τροπικῶς τὴν σωτηρίαν, συνῃρημένον ἐκ τῆ φάος. εἰκότως οὖν περισπᾶται· „φόως δ᾽ ἑτάροισιν ἔθηκεν" (Il. 6, 6) καὶ „χρύσεον λύχνον ἔχουσα φόως περικαλλές" (Od. 19, 34). ἐπεὶ τὸ πῶς καὶ τὸ πῆ ἐπιῤῥήματά ἐσι πευσικά, οἷον „πῶς θάνεν Ἀτρείδης; ποῦ Μενέλαος ἔην;" (Od. 3, 248) ὀξυτονέμενα δὲ καὶ ἐγκλιτικά ἐσιν, ὡς τὸ „ἀλλ᾽ ἔπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν" (Il. 4, 320) „ἀλλά που ἐν μεγάροισι Λυκάονος ἔνδεκα δίφροι" (Il. 5, 193). A.

566. Ταλαϊονίδαο: Ταλαῆ παιδὸς Ἀδράςε. D. ἀπὸ τῆ Ταλαΐων ἐςὶν ἡ κλίσις. ἢ κατὰ πλεονασμὸν τῆ ον. BL.

567. συμπάντων δ᾽ ἡγεῖτο: ὡς ἄριςος, ἢ κατὰ τὸν τῶν Φαιάκων νόμον· „τρισκαιδέκατος δ᾽ ἐγὼ αὐτός" (Od. 8, 391). BL.

569. Μυκήνας: πόλιν Ἄργους, ἧς ἐβασίλευεν Ἀγαμέμνων, ἀπὸ Μυκήνης νύμφης Ἀκωνικῆς. D.

Μυκηνῶν ἦρχεν Εὐρυθεύς. ἐπεὶ δὲ συμβαλὼν Ἀθηναίοις ἐτελεύτα, ἰςῶσιν Ἀτρέα αὐτόθι διάγοντα, ἅμα Θυέςῃ ἐπὶ τῷ φόνῳ Χρυσίππε φυγόντα. BL.

570. ἀφνειάν τε Κόρινθον: ἐμπόριον γ᾽ τῆς Ἑλλάδος κατὰ Θουκυδίδην ἡ Κόρινθος. ἡ διπλῆ δέ, ὅτι ἐκ τῆ ἰδίε προσώπε Κόρινθον· ὅταν δὲ ἡρωϊκῷ προσώπῳ περιτιθῇ τὸν λόγον, Ἔφυραν λέγει· „ἔσι πόλις Ἐφύρη" (Il. 6, 152). A.

*) Ad v. 562 refert Heynius (vol. 4. p. 691), ubi lectum esse Νῆσόν τ᾽ Αἰγιναν τε, Buttmannus ante λέγσιν inserit haec ἡ ὁ Ἴλιον οὐκ οἰκεῖται, sumpta ex Eustathio p. 287, 27.

571. *Ἀραιθυρέην*: ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει Παραιθυρέην· οὐκ ἐπίςαται δὲ ταύτην τὴν πόλιν ὅτως ὀνομαζομένην. A.

αὕτη ὕςερον Φλιοῦς προσηγορεύθη ἀπὸ Φλιοῦντος τοῦ Διονύσου. D.

572. *Σικυῶν'*: σημείωσαι ὅτι ἡ Σικυὼν πλησίον ἐςὶ Κορίνθου, πόλις εὔχαρις καὶ εὔκαρπος, πρὸς πᾶσαν ἀνάπαυσιν ἐπιτηδεία. διὸ καὶ παροιμία ἐςίν „εἴη μοι μεταξὺ Κορίνθου καὶ Σικυῶνος." καὶ κορινθιάζειν τὸ καλλωπίζεσθαι. Leid.

Ἄδρηςος: ἐκπεσὼν γὰρ Ἄργους παρὰ Πολύβῳ τῷ μητροπάτορι ᾤκει, καὶ ὑπέταξεν αὐτοὺς οὐκ εἰωθότας ἄρχεσθαι. BL.

573. *Γονόεσσαν*: Γονοῦσαν. ἔςι δὲ ἀκρωτήριον Πελλήνης. D.

574. *Πελλήνην*: διαφέρει Πελλήνη Παλλήνης· Πελλήνη μὲν γὰρ πόλις Θρᾴκης, Παλλῆναι δὲ δῆμος τῆς Ἀττικῆς, Πελλήνη δὲ πολίχνιον τῆς Ἀχαΐας, ἥ ἐςι Πελοπόννησος. AD.

575. *αἰγιαλόν*: οὕτως ἐκαλεῖτο ἡ παραθαλασσία χώρα ἤτοι πλευρὰ τῆς Πελοποννήσου, ἡ παρατείνουσα ἀπὸ Σικυῶνος μέχρι Ἤλιδος. AD. Αἰγιαλοὶ δὲ τόποι πλεῖςοι, ὧν καὶ ὁ κατὰ Παφλαγονίαν. D.

576. *τῶν*: ὅτι τὸ τῶν οὐχ ὡς ἄρθρον παρείληπται, ἀλλ' ἀντὶ ἀντωνυμίας τῆς τούτων, καὶ παραλέλειπται ἡ ἐκ πρόθεσις, ἵν' ᾖ, ἐκ τούτων τῶν πόλεων ἑκατὸν νηῶν ἦρχεν. A.

579. οὕτως ἡ ἑτέρα τῶν Ἀριςαρχείων, καὶ ἔςι χαριεςέρα· „ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκὸν κυδιόων· πᾶσι δὲ μετέπρεπεν ἡρώεσσιν, οὕνεκ' ἄριςος ἔην, πολὺ δὲ πλείςους ἄγε λαούς." ἡ γὰρ αἰτία τοῦ διαπρέπειν διὰ τοῦ ἑξῆς ἀποδίδοται, οὕνεκ' ἄριςος ἔην, πολὺ δὲ πλείςους ἄγε λαούς. ὁμοίως δὲ καὶ Ζηνόδοτος γράφει. A.

πᾶσι: οὐ τοῖς οἰκείοις μόνον ἀλλὰ καὶ τοῖς ἄλλοις, ἵνα καὶ τὸ τοὔνεκ' (οὕνεκ' L) ἄριςος ἔην ἔχῃ αἰτίαν. διέπρεπε δὲ κάλλει καὶ μεγέθει. κυδιᾷ δὲ οὐκ ἐπὶ πλούτῳ ἀλλ' ἐπ' ἀρετῇ. BL.

579. 580. ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν, ἐπεὶ διὰ τῶν ἑξῆς ἄριςος ὁ Αἴας λέγεται. ἐν διαφόροις δὲ πράγμασίν εἰσιν οὗτοι ἄριςοι, ὁ μὲν πλούτῳ καὶ εὐγενείᾳ, ὁ δὲ τῇ κατὰ πόλεμον ἀρετῇ. A.

581. *οἱ δ' εἶχον κοίλην Λακεδαίμονα*: Οἴβαλος ὁ Περιήρους ἦρχε Λακεδαιμονίων, οὗ Τυνδάρεως Ἴκαρος Ἄρνη, καὶ νόθος Ἱπποθόων, ὃς συμφρασάμενος Ἰκάρῳ τὸν Τυνδάρεων ἀπελαύνει, καὶ ἄρχει πολλοῖς πλήθων υἱοῖς. Ἡρακλῆς δὲ μετὰ τὴν ἐν Πύλῳ μάχην θύσων εἰς Ἀμύκλας κατὰ χρησμὸν ἐξέρχεται· Λικυμνίου δὲ τοῦ υἱωνοῦ αὐτοῦ προελθόντος ἐπὶ θέαν Λακεδαίμονος, ἀναιροῦσιν αὐτὸν οἱ Ἱπποθοωντίδαι θανάτου κυνὸς ἕνεκα. ἐφ' οἷς Ἡρακλῆς ἅμα τῷ πατρὶ κατακτείνας αὐτούς, τὴν ἀρχὴν Τυνδάρεῳ δίδωσι καὶ τοῖς παισί, Κάςορι καὶ Πολυδεύκει. ὧν μὴ ςρατευσάντων Μενέλαος ἄρχει. *κοίλην δέ*, ὅτι περιέχεται ὑπὸ Ταϋγέτου καὶ Παρθενίου. BL.

τὴν ὑπὸ ὀρῶν περιεχομένην, διὰ τὸ περικεῖσθαι αὐτῇ κύκλῳ τὸ Ταΰγετον ὄρος· διὸ καὶ ἀτείχιςον αὐτὴν ᾤκησαν. Λακεδαίμονα δὲ τὴν χώραν λέγουσι, τὴν δὲ πόλιν Σπάρτην. AD. ἕτεροι δὲ καὶ αὐτῆς τῆς πόλεως τὸ μέν τι Λακεδαίμονα τὸ δὲ Σπάρτην καλοῦσιν. D.

κητώεσσαν: μεγάλην, παρὰ τὸ κῆτος, ὅπερ δοκεῖ πάντων μεῖζον εἶναι τῶν ἐνύδρων ζῴων. AD. τινὲς δὲ γράφουσι καιετάεσσαν, ἵν' ᾖ τὴν καλαμινθώδη· κατὰ γὰρ αὐτοὺς ἡ καλαμίνθη ἐςὶ πολλὴ ἐν Σπάρτῃ. D.

582. *Μέσσην*: ὅτι Μέσσην τὴν ἐπὶ τῆς Λακωνικῆς Μεσσήνην λέγει, συγκόψας τοὔνομα. A. ὅτι γὰρ ὑπὸ Λακεδαιμονίους αὐτὴν οἶδε δῆλον ἐξ ὧν φησὶ „δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε· τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν" (Od. 21, 15). ABL.

584. *Ἕλος*: πόλις τῆς Λακωνικῆς παραθαλάσσιος, ἧς οἱ πολῖται Εἵλωτες. D.

585. *Λάαν*: πόλιν Λακωνικῆς, ἣν οἱ Διόσκουροι πορθήσαντες Λαπέρσαι ἐκλήθησαν. διὰ δὲ τὸ μέτρον ἀναγνωςέον δισυλλάβως· χρὴ γὰρ λέγειν μονοσυλλάβως Λᾶν. D. ὁ ποιητὴς διεῖλεν· μονοσυλλάβως γὰρ λέγεται Λᾶς. A.

Οἴτυλον: ὡς δάκτυλον· ἄρχεται γὰρ τὸ ὄνομα ἀπὸ τῆς οι διφθόγγου. κακῶς δὲ Τυραννίων, οἰόμενος ἄρθρον εἶναι τὸ οι, καὶ παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ ἁμαρτάνων καὶ παρὰ τὴν ἱςορίαν, εἴ γε οὕτως φησὶ καὶ Φερεκύδης „τοῦ δὲ γίνεται Ἀμφάναξ· τοῦ δ' Οἴτυλος, ἀφ' οὗ ἡ πόλις ἡ ἐν Σπάρτῃ καλεῖται." τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῇ προσῳδίᾳ τῷ Ἡρωδιανῷ περὶ τῆς ἀναγνώσεως τῆς Τυραννίωνος. A.

588. *προθυμίῃσι πεποιθώς*: βασιλεὺς ὢν ἑαυτὸν αὐτὸς διατάττει. ἐξέτεινε δὲ τὴν μι διὰ τὸ μέτρον. BL.

591. *οἱ δὲ Πύλον*: ἐξ Αἰόλου Κριθεύς, ὃς Ἰωλκὸν κατέχε Πελασγοὺς ἐκβαλών. τούτου δὲ οἱ παῖδες Πελίας μὲν ἅμα Ἰάσονι Ἰωλκὸν ᾤκουν, Νηλεὺς Πύλον σὺν Ἀμαθάονι, Φέρης δὲ Φεράς. τρεῖς δὲ Πύλοι εἰσίν, Μεσσηνίας, Τριφυλίας, Ἀρκαδίας. BL.

Πύλος ὁ ὑπὸ Νέςορι τῆς Μεσσηνίας, τὸ καὶ Κορυφάσιον. ὁ δὲ τῆς Ἀρκαδίας ἡ τοῦ Νέςορος πατρίς. ὁ δὲ τῆς Ἠλείας παρὰ τὴν Ὠλενίαν πέτραν. D.

592. *Θρύον*: ἡ διπλῆ, ὅτι Θρύον εἶπε τὴν ἐν ἄλλοις Θρυόεσσαν· „ἔςι δέ τις Θρυόεσσα πόλις" (Il. 11, 710). A.

πόρον: καθ' Ὅμηρον ποσὶ διαβατός ἐςιν ὁ Ἀλφειὸς ποταμός· πόρον γὰρ τὸ διαβατὸν αὐτοῦ μέρος φησίν. D.

ἐΰκτιτον Αἰπύ: Ἀρίςαρχος ὡς ὀξύ· συγκατατίθεται δὲ αὐτῷ καὶ Ἀπολλόδωρος. Φερεκύδης δὲ ὁ Ἀθηναῖος τὸ μὲν ἐΰκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπύ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν ἐΰκτιτον ἐπίθετον, τὸ δὲ αἰπύ κύριον, ἐπεὶ καὶ ἐν ἄλλοις (Il. 11, 711) εἴρηκεν „ἔςι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη," ὃ νῦν εἴρηκεν αἰπύ, καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δὲ φησὶ μὲν κύριον εἶναι τὸ αἰπύ, οὐ μὴν συγκατατίθεται τῷ τόνῳ, φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς, Ἕλος, Αἰγιαλός. χρὴ μέντοι γινώσκειν ὅτι ἀναλογωτέρα ἀνάγνωσις ἦν ἡ βαρεῖα· τὰ γὰρ εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῡ μονογενῆ οὐδέτερα βαρύνεται, πῶϋ, μέθυ. ταῦτα ἐν τῇ προσῳδίᾳ. καὶ ἐν τῇ καθόλου δὲ ὁμοίως ἀμφίβολον αὐτὸ ἐᾷ. ἐν μέντοι τῇ Ζ (422) τῆς Ἰλιάδος διαλαμβάνων περὶ τοῦ ἰῷ „οἳ μὲν πάντες ἰῷ κίον ἤματι," φανερῶς λέγει ὅτι Ἀρίσαρχος ὀξύνει τὸ αἰπύ, καὶ ἐπείθη αὐτῷ ἡ πλείων χρῆσις. A.

τοῦτο κύριόν ἐστι, περὶ ἧς φησὶ „πόλις αἰπεῖα κολώνη." Ἡρῳδιανὸς δὲ ἀναλογωτέραν φησὶ τὴν βαρεῖαν εἶναι τάσιν. ἴσως δὲ ἀπὸ τῆς Αἰπύτης. κατὰ ταύτην δὲ τὴν πόλιν ποσὶ περατὸς ἐστιν ὁ Ἀλφειός, κἂν σφόδρα ῥυῇ. BL.

βαρυτόνως λεκτέον τὸ αἰπύ· ὄνομα γάρ ἐστι πόλεως. τὸ δὲ ὀξυτονούμενον ἐπίθετόν ἐστι, ᾧ σημαίνει τὸ ὑψηλόν. BDL.

595. Θάμυριν: ἕτος παῖς ἦν Φιλάμμωνος ᾧ Ἄρσιβ τῆς (Ἀργιόπης Heyn.) νύμφης, τὸ γένος Θρᾴξ, ὃς ἔσχεν αἰσχρὸν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾶν ἀρρένων. ἕτος κάλλει πολλῶν διενεγκὼν καὶ κιθαρῳδίᾳ, περὶ μουσικῆς ἐρίσας ταῖς Μούσαις συνέθετο, ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσαι πάσαις, ἐὰν δὲ ἡττηθῇ, στερηθῆναι οὗ ἂν ἐκεῖναι θέλωσιν. καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας ᾧ τὰ νῦν ἐξέρησαν. AD.

Θρᾴξ ἐστι, Φιλάμμωνος υἱός· ἑαυτῷ δὲ ὥρισε τῆς μὲν ἥττης τὴν πήρωσιν πρόσιμον, τῆς δὲ νίκης γάμον μιᾶς τῶν Μουσῶν. φασὶ δὲ αὐτὸν τῶν ὀφθαλμῶν τὸν μὲν γλαυκὸν ἔχειν, τὸν δὲ μέλανα. τότε δὲ τελείως τὸν ἕτερον ἀπώλεσεν. BL.

596. Οἰχαλιῆθεν: ἀπὸ τῆς Οἰχαλίας πόλεως τῆς Θεσσαλίας, ἧς ἐβασίλευεν Εὔρυτος. D.

ὅτι Θεσσαλίας ἡ Οἰχαλία καθ' Ὅμηρον. οἱ δὲ νεώτεροι ἐπ' Εὐβοίας πεποιήκασιν. A.

πιθανῶς τῷ ὁμοιοτρόπῳ ἐνδιατρίβει. διδάσκει οὖν μὴ ποιεῖσθαι πονηρὰς ὁμιλίας. BL.

597. ὅτι τὸ στεῦτο κατὰ διάνοιαν ὡρίζετο, ἐκ δὲ τῆς τῶν ποδῶν στάσεως, ὡς ἐν τοῖς κατὰ τὴν νεκυίαν ἠθετημένοις „στεῦτο δὲ δινάων" (Od. 11, 583). καὶ ὅτι εἴπερ ἂν αὗται ἀντὶ τοῦ εἰ καὶ αὗται. A.

599. πηρὸν θέσαν: ἀντὶ τοῦ τῆς τέχνης ἔπαυσαν καὶ ἔκφρονα αὐτὸν ἐποίησαν. ἢ ἴσως περὶ τὴν φωνὴν ἔβλαψαν· πηρὸς γὰρ καλεῖται ὁ κατά τι μέρος τοῦ σώματος βεβλαμμένος. BDL. οὐδὲν δὲ ἄρα ἡ τέχνη δίχα συνέσεως, πρὸς μόνον ἄγουσα ὄγκον. BL.

ἡ διπλῆ, ὅτι πηρόν ᾗ τυφλὸν ἀπεδέξαντο οἱ νεώτεροι, ἀλλὰ τῆς ᾠδῆς πηρόν· τί γὰρ ἦν αὐτῷ βλαβερὸν κιθαρῳδῷ ὄντι, εἰ τῶν ὀφθαλμῶν ἐξερήθη; μᾶλλον γὰρ προσεκτικὸς ἂν ἐγένετο τῇ φωνασκίᾳ. τόν γε δή τοι Δημόδοκον ἡ Μοῦσα „ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν" (Od. 8, 64). A.

πηρόν ὡς χρηστὸν καὶ ὀξεῖαν τάσιν παρὰ τῷ ποιητῇ· παρὰ δὲ τοῖς Ἀττικοῖς πῆρον ὡς λῆρον. ἐγγύτερα δὲ ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἐπεὶ τὰ εἰς ος λήγοντα διαλλάβα, εἰ ἔχοι τὴν πρώτην συλλαβὴν ἔχουσαν τὸ π ᾗ τὸ η, ὀξύνονται, οἷον πηός πηλός. ἔστω καὶ πηρός. A.

ἐκ οἷδ' ὅπως οἱ πολλοὶ ἐν τοῖς ἔπεσι τούτοις τοῖς περὶ τῆς Θαμύριδος, τοῖς ἔτως ἔχουσιν „αἱ δὲ χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδὴν θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαρισύν," τὸ πῆρον ὀξυτονεῖν θέλουσι ᾗ τὸν τὰς φρένας πεπρωθέντα ἐξυκέειν ἀπὸ τῆς λέξεως, τῆ ποιητοῦ περὶ μὲν Δημοδόκου εἰπόντος ὅτι ἡ μοῦσα αὐτῷ „δίδου ἀγαθόν τε κακόν τε, ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν," περὶ δὲ Θαμύριδος ὅτι τὰ δύο ἔπαθε κακά, τὸ τυφλωθῆναι καὶ ἐκλαθέσθαι τῆς μουσικῆς. L.

600. ἀφέλοντο καὶ ἐκλέλαθον: ἐπὶ μὲν τῆ φυσικῆ ἀφέλοντο, ἐπὶ δὲ τῆ διδακτῆ ἐκλέλαθον· ᾧ γὰρ ἔμαθέ τις, ἐκ ἀπόλλυσιν ἄλλως ἀλλ' ἐπιλήθεται. AL.

κιθαρισύν: ὁ σχηματισμὸς τῆς λέξεως Αἰολικός, ὁμοίως τῷ ὀρχησύν. D.

603. Ἀρκαδίην: Ἀρκαδία ἀπὸ Ἀρκάδος τοῦ Διός, ᾧ Ἀμφιδάμας, ᾧ Ἀλεός, ᾧ Ἀγκαῖος, ᾧ Ἀγαπήνωρ. A.

Κυλλήνης: Κυλλήνη ὄρος ὑψηλὸν τῆς Ἀρκαδίας, ᾗ πόλις οὖσα παρ' αὐτῷ ὁμώνυμος, ἐν ᾧ ὄρει δοκεῖ Ἑρμῆς γεγενῆσθαι ἐκ Μαίας τῆς Ἄτλαντος θυγατρὸς ᾗ Διός· ὅθεν ᾗ Κυλλήνιον τὸν θεὸν φασιν. AD.

604. Αἰπύτιον παρὰ τύμβον: παρὰ τὸν τοῦ Αἰπύτου τάφον. ὁ δὲ Αἴπυτος ἀρχαιότατος ἥρως, Ἀρκὰς τὸ γένος. D.

605. ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὀρχομενοῦ, ὅτι τῷ ἐπιθέτῳ διέφαλκεν. A.

608. Στύμφηλον: ἣν οἱ κατοικοῦντες Στυμφήλιοι λέγονται. D.

609. Ἀγκαίοιο πάϊς κρείων Ἀχαπήνωρ: ἀπὸ Ἀρκάδος τοῦ Διός, ᾧ Ἀμφιδάμας, ᾧ Λυκοῦργος, ᾧ Ἀγκαῖος, ᾧ Ἀγαπήνωρ. ὡς ἐπισήμων δὲ ὄντων, ἐκ τάφου ᾗ ὄρους ἐσήμανε τὴν χώραν. BL.

612. ἀπὸ τούτου ἕως τοῦ „Ἀτρείδης ἐπεὶ οὖ σφι" (614) Ζηνόδοτος ἠθέτηκε τρεῖς στίχους. ἀναγκαῖοι δέ εἰσιν· παρισούρηται γὰρ δι' αὐτῶν ὅτι παρέχειν αὐτοῖς ναῦς ὁ Ἀγαμέμνων, ἐπεὶ ἄ σφι θαλάσσια ἔργα μεμήλει. A.

ἐπεὶ μεσογείους ὄντας εἰς Ἴλιον ἐπήγαγεν, λύει τὸ ζήτημα πόθεν εἶχον ναῦς. ABL.

615. Βουπράσιον: πόλις, ἡ δὲ χώρα Ἦλις. ὁρίοις δὲ αὐτὲς περιγράφει, μὴ θέλων πάλιν λεπτολογεῖν τὰ κατὰ μέρος. ABL.

616. 617. ὅσσον — ἔργει: ἐφ' ὅσον ἥ τε Ὑρμίνη ᾗ ὁ Μέρσινος καὶ τὸ Ἀλείσιον καὶ ἡ Ὠλενία πέτρα ἐντὸς συνεῖχον, τοῦ παντὸς οἱ Ἠλεῖοι ἐβασίλευον. AD. ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος σὺν τῷ τ γράφει. γίνεται δὲ ἀκατάλληλος ὁ λόγος. A.

618. δέκα δ' ἀνδρὶ ἑκάστῳ: ἔδειξε τὴν διαίρεσιν τῆς ἀρχῆς, μὴ εἰπών, ὡς ἐπὶ τῶν ἄλλων, τοῖς δ' ἅμα τεσσαράκοντα. BL.

619. Ἐπειοί: διῃρημένως πρὸς τὴν πόλιν ὀνομάζονται, ὡς Ἄβαντες. BL.

621. ὁ μὲν Κτεάτου, ὁ δ' ἄρ' Εὐρύτου Ἀκτο-

ρίωνε: ἡ διπλῆ, ὅτι παρὰ τὸ εἰθισμένον πρὸς τὸ πρότερον ἀπήντηκεν· ἔχει γὰρ ὁ προκατειρημένος Ἀμφίμαχος Κτεάτε υἱός, ὁ δὲ Θάλπιος Εὐρύτε. καὶ ὅτι ἔτως εἴρηκεν, Ἀκτορίωνε, δέον Ἀκτοριώνων. A.

Ἄκτορος παῖδες Κτέατος καὶ Εὔρυτος. τετήρηκε δὲ τὴν σύνταξιν· Ἀμφίμαχος μὲν γὰρ ἦν Κτεάτου, Θάλπιος δὲ Εὐρύτε. D.

625. Δουλιχίοιο: μία τῶν Ἐχινάδων τὸ Δουλίχιον. ὅτι δὲ πλησίον Πελοποννήσε, δηλοῖ Τηλέμαχος πρὸς Νέσορα ἀπιών. BL.

ἡ διπλῆ, ὅτι ἐχ ὡς κεχωρισμένε Δουλιχίε τῶν Ἐχινάδων ἔτως εἴρηκεν, ἀλλ' ἀντὶ τῦ ἐκ Δουλιχίε καὶ τῶν ἄλλων Ἐχινάδων. καὶ ὅτι ἀπὸ τῦ Ἐχῖνα εἴρηκεν Ἐχινάων. A.

Δουλίχιος νῆσος πρὸ τῆς Κεφαλληνίας· αἱ δὲ Ἐχινάδες νῆσοί εἰσι τῆς Ἀκαρνανίας, παρὰ ταῖς ἐκβολαῖς τῦ Ἀχελῴου ποταμοῦ, ἐν αἷς οἱ κατοικοῦντες καλοῦνται Ἰοί (Ἐπειοί D). AD.

626. αἳ ναίουσι: ὅτι Ζηνόδοτος γράφει οἳ ναίουσι, ἐπὶ τῶν ἀνδρῶν. ἐ νοεῖ δὲ ὅτι ἀντὶ τῦ ναίονται. A.

ἀντὶ τῦ ναίονται, ὡς τὸ „νῆσοι πολλαὶ ναιετάουσι κεδνὸν ἀλλήλῃσιν" (Od. 9, 22). BL.

629. ὅς ποτε: ὃς εἰς τὸ Δουλίχιόν ποτε ἀπῳκίθη διὰ τὸ καταμαρτυρῆσαι τῦ πατρὸς Αὐγείε πρὸς Ἡρακλέα περὶ τῦ μισθῦ, ὃν ὑπέχετο παρέξειν τῷ Ἡρακλεῖ ὁ Αὐγείας, εἰ καθαίροι αὐτῦ τὰς ἐπαύλεις μεσὰς ἔσας τῆς κόπρου τῶν βοῶν. ἡ ἱστορία καὶ παρὰ Καλλιμάχῳ. AD.

ἡ διπλῆ πρὸς τὴν ἀμφιβολίαν, πότερον ὁ Μέγης ἀπῴκησεν ἢ ὁ Φυλεύς, ὃ ἐ ὁμηρικώτερον· Ὅμηρος γὰ ἀεὶ πρὸς τὸ δεύτερον πρότερον ἅπαντᾷ. A.

διδάσκει ὡς ἀνηκέσε διαφορᾶς τῶν οἰκείων κρείσσων ὁ χωρισμός. BL.

631. Κεφαλλῆνας: ἡ Κεφαλληνία παράκειται ταῖς Ἐχινάσιν. Κέφαλος γὰ ὁ Δηϊόνος, φεύγων ἐκ Προκρίδος διὰ τὸν τῆς γυναικὸς ἀκέσιον φόνον, ᾤκει ἐν Θήβαις· συσταθεὶς δὲ Ἀμφιτρύωνι, καὶ ταύτην γέρας λαβών, οὕτως ἀφ' ἑαυτῦ ὠνόμασεν. ἐκ τέτου Κιλλεύς, οὗ Ἀρκέσιος, οὗ Λαέρτης. A.

632. Νήριτον: ὄρος Ἰθάκης. εἰνοσίφυλλον δὲ κισσίφυλλον ἢ πολύδενδρον, ἐξ οὗ κατήνεμον καὶ ὑψηλόν· ἐνοσις γὰ ἡ κίνησις. DL.

634. ἠδ' οἱ Σάμον: ὅτι Ζηνόδοτος γράφει ἠδ' οἱ Σάμην, καὶ ἄμετρον ποιῶν, καὶ ἀγνοῶν ὅτι κατὰ τὸ ἀρσενικὸν ἐνίοτε ἐκφέρεται τὰ εἰς ος λήγοντα· „μεσσηγὺς Τενέδοιο Σαμοιό τε" (Il. 13, 33?)· ὁ γὰ εἶπε Σάμης τε. ῥοῦσιν δὲ τῆς Κεφαλληνίας μέχρι νῦν Σάμος, ὅπερ φασὶ Ῥωμαῖοι Κύρον. A.

635. οἵ τ' ἤπειρον: ἢ γάρ τινων χωρῶν τῶν ἀντικρυς τῆς ἠπείρε ἐβασίλευεν ὁ Ὀδυσσεύς. D.

ἀντιπέραι': τὰ ἐξεναντίας τῆς Ἤλιδος κείμενά χωρία. D.

637. μιλτοπάρῃοι: μίλτῳ τὰς πρῴρας ἔχουσαι βεβαμμένας. D.

ὅτι ἤδη ἡ ἐκ χρωμάτων μῖξις ἦν ἐπιπολάσασα πρὸς τὴν ζωγραφικήν. ἐξηλλαγμέναι δὲ αἱ Ὀδυσσέως νῆες, ὅπ ος, εἰ καὶ ὀλίγαι, ἀλλ' ἦν διὰ τῆς χρίσεως ἐπίσημοι εἶεν, καὶ ὅτε δέοι πλεῖν, μὴ σκορπίζοιντο. ἀμέλει καὶ μέσας αὐτὰς πρὸς κόσμον τῶν ἄλλων ἔταξαν, καὶ τὴν ἀγορὴν ἐκεῖσε ἐποίησαν (Il. 11, 805). AB.

641. οὐ γὰρ ἔτ' Οἰνῆος: ἄσατος ἡ τύχη, ὅταν μάλιστα δι' ἀσέβειάν τινες πορθοῖντο. προαπώλοντο δὲ Μελεάγρε ἕτοι. BL.

ὅτι Ζηνόδοτος τῦτον καὶ τὸν ἑξῆς ἠθέτηκεν, ἴσως ὑποπτεύσας τὸν Μελέαγρον κεχωρίσθ τῶν Οἰνέως παίδων. εἴρηται δὲ ἐξ ὀνόματος κατ' ἐξοχήν, καθάπερ ἐπὶ τῦ „Ζεὺς δ' ἐπεὶ ἓν Τρῶάς τε καὶ Ἕκτορα" (Il. 13, 1)· καὶ γὰρ ὁ Ἕκτωρ Τρὼς ἦν. A.

642. οὐδ' ἄρ' ἔτ' αὐτός: ἐτετελευτήκει δὲ καὶ αὐτὸς ἤτοι ὁ Οἰνεὺς ἢ ὁ Μελέαγρος· δίληπτον γάρ. κεχώρικε δὲ τῶν λοιπῶν τοῦ Οἰνέως παίδων τὸν Μελέαγρον κατ' ἐξοχήν. D,

διὰ τὸ πρᾶχειν αὐτὸν τῶν ἀδελφῶν, καὶ ἰδίᾳ παρ' αὐτὰς ἔταξεν. BL.

ἐὰν εἴζωμεν ἐπὶ τὸ ἔην, ἔσαι τὸ αὐτός ἐπὶ τῦ Οἰνέως· ἐὰν δὲ βραχὺ διαξέλλωμεν, ὅλος ὁ εἶχος ἐπὶ τῦ Μελεάγρε, καὶ τὸ ἑξῆς, οὐδ' ἄρ' ἔτ' αὐτὸς ἦν ξανθὸς Μελέαγρος, θάνε δέ. A.

645. Κρητῶν: ἀκολόθως ἐπὶ τὴν πρὸς ἀνατολὰς τοῦ Ἰθμῦ θάλατταν μέτεισι, καὶ τὰς νήσας αὐτῆς ὀνομάζει. BL.

647. Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκασον: πᾶσαι ἐν τῇ ἀρχέσῃ τὸν τόνον ἔχεσιν. Λυκτὸν δέ τινές φασιν, ἐκ ὀρθῶς. BL.

648. Φαιστόν: ὡς πιστόν, ὀξυτόνως· βαρυνόμενον γὰρ ἐπὶ τῦ ἥρως τίθεται „Ἰδομενεὺς δ' ἄρα Φαῖστον" (Il. 5, 43). A.

Ῥύτιον: προπαροξυτόνως ὡς ῥάδιον. ἐκ εὖ δὲ Τυρανίων παροξύνει αὐτὸ ὡς πεδίον· ἔτε γὰ ὑποκορισικόν, ἔτε, εἰ ἦν ὑποκορισικόν, παρωξύνετο, καθότι τρίβραχυ. τοῦτο δὲ εἴπομεν καὶ ἐπὶ τῦ Θρόνιον. A.

649. Κρήτην ἑκατόμπολιν: διὰ τι ἐνταῦθα μὲν πεποίηκεν „ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν, ἀμφενέμονται," ἐν δὲ τῇ Ὀδυσσείᾳ εἰπὼν ὅτι ἔχιν ἡ Κρήτη καλὴ καὶ πίειρα καὶ περίῤῥυτος, ἐπάγει „ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι καὶ ἐνενήκοντα πόλεις" (Od. 19, 174); τὸ γὰρ ποτὲ μὲν ἐνενήκοντα ποτὲ δὲ ἑκατὸν λέγειν δοκεῖ ἐναντίον εἶναι. Ἡρακλείδης μὲν οὖν καὶ ἄλλοι λύειν ἐπεχείρουν οὕτως. ἐπεὶ γὰρ μυθεύεται τοὺς μετ' Ἰδομενέως ἀπὸ Τροίας ἀποπλεύσαντας πορθῆσαι Λέκτον καὶ τὰς ἐγγὺς πόλεις, ὡς ἔχων Λεύκων ὁ Τάλας πόλεμον ἐξήνεγκε τοῖς ἐκ Τροίας ἐλθοῦσιν, εἰκότως ἂν φαίνοιτο μᾶλλον τοῦ ποιητοῦ ἡ ἀκρίβεια ἢ ἐναντιολογία τις. οἱ μὲν γὰρ εἰς Τροίαν ἐλθόντες ἐξ ἑκατὸν ἦσαν πόλεων· τῷ δὲ Ὀδυσσέως εἰς οἶκον ἥκοντος ἔτει δεκάτῳ μετὰ Τροίας ἅλωσιν,

ἡ φήμης διηκόσης ὅτι πεπόρθηνται δέκα πόλεις ἐν Κρήτῃ καὶ οὐκ εἰσί πως συνῳκισμέναι, μετὰ λόγου φαίνοιτ' ἂν Ὀδυσσεὺς λέγων ἐνενηκοντάπολιν τὴν Κρήτην, ὥσε εἰ μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγει, ἀ μέντοι διὰ τοῦτο ἡ ψεύδεται. Ἀριστοτέλης δὲ ἐκ ἀτόπου φησιν, εἰ μὴ πάντες τὰ αὐτὰ λέγοντες πεποίηνται αὐτῷ· οὕτω γ' καὶ ἀλλήλοις τὰ αὐτὰ παντελῶς λέγειν ὀφείλεσιν. μήποτε δὲ καὶ μεταφορά ἐσι τὰ ἑκατόν, ὡς „ἐκ τῆς ἑκατὸν θύσανοι" (448)· οὐ γ' ἑκατὸν ἦσαν ἀριθμῷ. καὶ „ἑκατὸν δέ τε δόρατ' ἀμάξης" (Hesiod. O. 454). ἔπειτα ἀδαμᾶ λέγει ὡς ἐνενήκοντα μόναι εἰσίν· ἐν δὲ τοῖς ἑκατόν εἰσι ἡ ἐνενήκοντα. BL.

διὰ τί ἐνταῦθα μὲν ἑκατόμπολιν εἴρηκε τὴν Κρήτην, ἐν δὲ τῇ Ὀδυσσείᾳ ἐνενηκοντάπολιν; ῥητέον ἔν, ἤτοι ἑκατόν φησιν ἀ τῷ ἀριθμῷ ἀλλ' ἀντὶ τοῦ πολλάς, ἢ ἡ ἀληθέσερον ὡς ἔχει, ὅτι ἐξ ἱστορίας λέγεται· Λεύκος γ' ὁ Κρητῶν ἐπικρατήσας τὰς δέκα πόλεις ἐπόρθησεν εἰς φόβον τῶν ἄλλων, καὶ εὐλόγως ἐν τῇ Ὀδυσσείᾳ ἐνενήκοντα εἶπεν αὐτὴν ἔχειν. D.

ἡ διπλῆ πρὸς τὰς χωρίζοντας, ὅτι νῦν μὲν ἑκατόμπολιν τὴν Κρήτην, ἐν Ὀδυσσείᾳ δὲ ἐνενηκοντάπολιν. ἤτοι ἂν ἑκατόμπολιν ἀντὶ τοῦ πολύπολιν· ἢ ἐπὶ τὸν σύνεγγυς ἡ ἀπαρτίζοντα ἀριθμὸν κατενήνεκται νῦν, ἐν Ὀδυσσείᾳ δὲ τὸ ἀκριβὲς ἐξενήνοχεν, ὡς παρὰ Σοφοκλεῖ. τινὲς δέ φασι Πυλαιμένη τὸν Λακεδαιμόνιον δεκάπολιν κτίσαι. A.

654. ἀγερώχων: ἄγαν γέρας ἐχόντων, ἐντίμων. BL. νῦν αὐθαδῶν, ὑβριζῶν καὶ θρασέων. δηλοῖ δὲ ἡ τῶν λίαν ἐνδόξων. D.

655. τρίχα: τὸ τρίχα βαρύνεται, ὅτι τὰ εἰς ως λήγοντα ἐπιῤῥήματα, εἰ ἔχοι παρακείμενα εἰς ᾱ λήγοντα, μὴ συνεμπίπτοντα ὀνόμασι, πάντως βαρυνόμενα ἔχει, οἷον σαφῶς σάφα· ὅθεν εἰ τριχῶς, τρίχα. A.

658. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει Ἡρακλείῃ, καὶ ἄμετρον ποιῶν καὶ ἐχ Ὁμηρικὸν τὸ χῆμα· ἀπὸ γ' τῆ Ἡρακλῆος Ἡρακληείῃ ἐκπίπτει.

659. ἡ διπλῆ, ὅτι ἡ Ἔφυρα αὕτη ἑτέρα ἐστὶ τῆς Κορίνθου τῆς Θεσπρωτίας ἐσα· καὶ ὅτι σὺν τῷ σ Σελλήεντα τὸν ποταμὸν λέγει, ἀφ' ἧ τὸ παροικῶν ἔθνος Σελλοὶ καλεῖ. οἱ δὲ νεώτεροι Ἕλλας λέγεσι πλανηθέντες. A.

Ἔφυράν τινες τὴν Θεσπρωτίαν, ἣ μετωνομάθη Κέρκυρα. D.

662. κατέκτα: Πτολεμαῖός φησιν ὁ Ἀσκαλωνίτης Ἀρίσαρχον ἀνεγνωκέναι ὁμοίως τῷ „ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ" (Od. 11, 410) κατὰ συζυγίαν. Τυραννίων δὲ κατ' ἔκτασιν. οἶμαι δὲ ἀκόλουθον εἶναι ἐκείνῃ τῇ γραφῇ τῇ κομιζομένῃ ὑπ' Ἀρισάρχου „ὡς ἔμεν ὅτε δῖον Ἐρευθαλίωνα κατέκτα" (Il. 4, 319). ἡ μέντοι κοινὴ ἀνάγνωσις ἡ κατὰ συζυγίαν ἀφορμὴν ἔχε τὴν τῆς ἀποκοπῆς, ὁμοίως τῷ „ἔτα κατὰ λαπάρην" (Il. 6, 64). A.

διὰ βραχέος τὸ ᾱ· ἀποκοπὴ γάρ ἐσι τοῦ ἔκτανεν. BL.

ἱσόρηται ὅτι Τληπόλεμος θεασάμενος Λικύμνιον τὸν μήτρωα, ἤδη γεραιὸν ὑπάρχοντα, ὑπό τινος τῶν οἰκετῶν ἀμελῶς χειραγωγούμενον, ἀφῆκε τὴν βακτηρίαν ἐπὶ τὸν οἰκέτην, ἡ τότε μὲν ἥμαρτε, πλήξας δὲ τὸν Λικύμνιον ἀκουσίως ἀπέκτεινεν· διὸ ἠναγκάσθη γενέσθαι φυγὰς τῆς πατρίδος. AD.

665. βῆ φεύγων: τὸ μὲν Ὁμηρικὸν ἔθος βῆ φεύγειν προφέρεται· ἀλλ' ὅ γε Ἀρίσαρχος ἀ μετέθηκεν, ἀλλ' ὅτως γράφει, βῆ φεύγων. A.

Ἑλληνικόν ἐσι τὸ μὴ φόνῳ φόνον λύειν, φυγαδεύειν δὲ τὸν ἅπαντα χρόνον· ὅθεν Σόλων ἔτη πέντε ὥρισεν. BL.

γάρ οἱ: ὁ γάρ ὀξύνεται, ἵνα ἀντωνυμία γένῃ ἐγκλιτικὴ δοτικῆς πτώσεως τὸ οἱ, καὶ μὴ ἄρθρον· καὶ γ' ἔθος μᾶλλον τῷ ποιητῇ παραλείπειν τὰ ἄρθρα. A. τὸ οἱ ἀντωνυμία ἐσιν, ἐκ ἄρθρον· ἐλλειπτικὸς γάρ ἐσι τοῖς ἄρθροις ὁ ποιητής. BL.

667. αὐτὰρ ὅ γ': ὅτι Ζηνόδοτος γράφει αἶψα δ' ὅ γ' ἐς Ῥόδον. ἀ δύναται δὲ ταχέως ἐληλυθέναι ἐπὶ τὴν Ῥόδον ὁ πρότερον μὲν ναῦς πεπηχώς, εἶτα ἁλώμενος καὶ ἐκ εὐπλοήσας. A.

668. τριχῶς δὲ οἰκιωθέντες ταῖς πατρῴαις ἐχρήσαντο φυλαῖς. D.

σεσημείωται πρὸς τὸν ἑξῆς ἀθετέμενον· ἀ γ' νοήσας τις ὅτι τὸ σημαινόμενον τοιοῦτόν ἐσι, καίπερ ἐκ ἐπὶ τῆς αὐτῆς οἰκοῦντες πόλεως ἀλλὰ τριχῇ διασπαρέντες ἐφιλήθησαν ὑπ' ἀλλήλων καὶ ἀ διήχθρευσαν, ἐζήτησεν ὑπὸ τίνος ἐφιλήθησαν· διὸ προσέθηκε τὸν „ἐκ Διός, ὅσε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει". A.

ἦδ' ἐφιλήθεν ἐκ Διός: τοῦτο πρὸς τὴν κοινὴν ὑπόνοιαν καὶ δόξαν· θεοφιλεῖς γ' οἱ πολλοὶ τοὺς πλησίους οἴονται. BL

669. ἀθετεῖται· ἡ δὲ αἰτία προείρηται. A.

670. πλοῦτον κατέχευε Κρονίων: ἡ διπλῆ, ὅτι Πίνδαρος (Ol. 7, 50) κυρίως δέδεκται χρυσὸν ὗσαι τὸν Δία Ὁμήρου μεταφορᾷ κεχρημένου διὰ τοῦ κατέχευε πρὸς ἔμφασιν τοῦ πλάτους. A.

ἡ αὐτοῖς πολὺν ἡ ἀθρόον πλοῦτον κατέπεμψεν ὁ Ζεύς ἡ πάνυ πλησίως ἐποίησεν αὐτούς. ἱσόρηται γ' ὅτι τοῖς Ῥοδίοις χρυσὸν ἔβρεξεν ὁ Ζεύς, ἐπεὶ πρῶτοι γενομένην τ Ἀθηνᾷ ἔθυσαν. D.

671. Νιρεύς: ἐνταῦθα τρὶς ὀνομάσας τὸν Νιρέα ἐκ αὐτοῦ ἐμνήσθη. καὶ τότε αὐτὸς τὴν αἰτίαν παραδίδωσι, λ γων „ἁλαπαδνὸς ἦν, παῦρος δέ οἱ εἵπετο λαός." AD.

ἄγε: χωρὶς τοῦ ν τὸ ἄγε. καὶ ὅλως ἐφ' ὧν τὰ ἐπιφ ρόμενα σύμφωνά ἐσι, τὸ ἐκ τῆς προτέρας λέξεως σύμφ νον περιωρισέον. A.

ὅτε δύο σύμφωνα ἡ συλλαβὴ ἐπάγει, περιγραπτέον αὐ τῆς προτέρας τὸ σύμφωνον. BL.

672. Χαρόποιο: ὡς Μενάνδροιο· καὶ γ' ἀπὸ γενικ εὐθείᾶ ἐσι παρειλημμένη ὡς τὸ υἱὸς Τροιζήνιο (847), εἰς ἰδιότητα ὀφείλει ἡ βαρεῖα τάσις παραλαμβάνειν. A

673. ὃς κάλλιστος: ἐδὲ ἓν πρὸς δόξαν κάλλος ἀγεν Ἀχιλλεὺς δὲ ἀμφοτέροις κεκόσμηται. φιλέλλην δὲ ὢν πε τας ἀξιομνήστους ποιεῖ καὶ πάντας ἐπαινεῖ, ὅπως πιστεύοι

καὶ ἵνα τὲς ἐν ἀνδρείᾳ ϗ σώματι καὶ κάλλει διαφέροντας Ἕλληνας καλεῖ. A.

673. 674. 675. τρισὶ σίχοις παράκεινται διπλαῖ περιεσιγμέναι, ὅτι ἐκ τῶν τριῶν τὲς δύο ἠθέτηκε Ζηνόδοτος, τὸν δὲ μέσον ἀδὲ ἔγραφεν, τῷ Ὁμήρου φιλοτιμεμένῳ ἐν πᾶσι τὸν Ἀχιλλέα προτερῶντα σῆσαι. A.

674. μετ' ἀμύμονα Πηλείωνα: ἀπήλλαξεν ἡμᾶς τῆς ζητήσεως τῆς πολυπράγμονος τᾶτο ἐπαγαγών. BL.

676. Κράπαθον: ὡς λάπαθον, ἕτως Κράπαθον· ϗ γ' ὁ τοιοῦτος χαρακτὴρ ὀφείλει βαρύνεσθαι ἐπὶ θηλυκῶν, λέγω δὲ ὁ εἰς θος λήγων ὑπὲρ δύο συλλαβάς, τῷ ᾰ παραληγόμενος, ἄμαθος ψάμαθος. A.

Κράπαθος ϗ Κάσος νῆσοι περὶ τὴν Κῶν. Κράπαθον δὲ κατὰ μετάθεσιν. D.

677. Κῶν: ταύτην ἑλὼν Ἡρακλῆς μίγνυται Χαλκιόπῃ τῇ Εὐρυπύλῃ, καὶ ποιεῖ Θεσσαλόν, ὃ μέμνηται ἕτος. BL.

Εὐρύπυλος ἦν Ἡρακλέες καὶ Χαλκιόπης παῖς, ὃς ἐβασίλευε τῆς Κῶ. D.

Καλύδνας: ὡς καλάθας ἀναγνωσέον. A.

681. νῦν αὖ: ἐπισρέφει ἠθικῶς τὸν κατάλογον ἐπὶ Ἀχιλλέα, δευτέραν ἀρχὴν καταλόγε ποιέμενος. BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος μετέγραφεν οὕτως „οἳ δ' Ἄργος τ' εἶχον τὸ Πελασγικόν, οὐθαρ ἀρούρης," τοῦ Ὁμήρου φιλοτέχνως ὥσπερ προοιμιαζομένε διὰ τὸ μεταβαίνειν ἀπὸ τῶν νήσων καὶ τῆς Πελοποννήσε ἐπὶ τὰ κατὰ Θεσσαλίαν, ἐκ ὄντα συναφῆ τοῖς προειρημένοις. A.

τούς: μακρόθεν ὑπακέεται τὸ ἔσπετε ἢ τὸ ἐρέω· καὶ τὰ τοιαῦτα τοῖς αἰτήμασιν ὑποπίπτει. σικτέον δὲ ἐπὶ τὸ ἔναιον, ἵν' ᾖ τὸ ἐπιφερόμενον, οἵ τ' Ἄλον τε καὶ Ἀλόπην ἐνέμοντο· τὸ γ' οἵ κατ' ἐπανάληψιν περισσεύει. δύναται δὲ καὶ ὑποζίζεσθαι ἕκαος σίχος ἕως τᾷ Ἀχαιοί κατὰ τέλος. ἡ δὲ συνήθεια συνάπτεσα τὰ τοιαῦτα τοῖς ἐπάνω ἃ κατορθοῖ· ἃ γ' μόνοι τὸ Πελασγικὸν Ἄργος κατοικοῦσιν οἱ ὑπ' Ἀχιλλεῖ τεταγμένοι. τὸ δὲ τούς ἀντωνυμία ἐσί· διὸ περισπαστέον τὸ νῦν καὶ τὸ αὖ. A.

τὸ Πελασγικὸν Ἄργος: τὸ Θεσσαλικόν· Πελασγία γ' πρότερον ἡ Θεσσαλία ἐκαλεῖτο. D.

ἔσι δὲ ἡ Θεσσαλία πεδίον μέγα καὶ κοῖλον, πάντοθεν ὄρεσι καλυπτόμενον. τότε πρῶτος ἦρχε Θετταλός, ἀφ' οὗ καὶ ὠνομάσθη· ᾧ ἔκγονος Ἅιμων (Αἵμων Heyn.), ἐξ οὗ καὶ Ἀιμωνες· ᾧ Πελασγός, Φθῖος, Ἀχαιός. ἄρχει δὲ Πελασγὸς ταύτης τῆς χώρας· Ἄργος δὲ ἀπὸ Ἀργείας τῆς αὐτᾷ μητρός. μετὰ δὲ θάνατον αὐτᾷ οἱ ἀδελφοὶ ἄρξαντες Φθίαν καὶ Ἀχαΐαν ὠνόμασαν. ᾤκει δὲ αὐτόθι καὶ Δευκαλίων ὁ τότων κατά τινας ἔκγονος· ᾧ Ἕλλην, ὃς Ἕλληνας αὐτὲς ὠνόμασεν. BL.

682. Τρηχῖν' ἐνέμοντο: Ἰακῶς τὸ Τρηχῖνα νέμοντο Ἀρίσαρχος. A.

683. Ἑλλάδα: οἱ μὲν πόλιν μίαν, οἱ δὲ πᾶσαν Φθιῶτιν· ὃ καὶ βέλτιον. BL.

684. ἡ διπλῆ, ὅτι μόνες τὲς ὑπ' Ἀχιλλεῖ τεταγμένους Ἕλληνας καλεῖ. A.

685. ἦν ἀρχὸς Ἀχιλλεύς: τῷ πρακτικοῦ μόνου καὶ πολιτικῷ ἡγεῖται, τὸ δὲ λοιπὸν ἐᾷ. BL.

686. ὅτι Ζηνόδοτος ἀθετεῖ ἀπὸ τούτου ἕως τοῦ τῆς ὄγε κεῖτ' ἀχέων (694) σίχους ἐννέα. ἀναγκαῖοι δέ εἰσιν· δι' αὐτῶν γὰρ δηλᾶται ὅτι ἐφ' ἑαυτῶν ἕμενον οἱ Μυρμιδόνες. A.

689. κούρης χώομενος: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περὶ πρόθεσις. A.

690. τὴν ἐκ Λυρνησσοῦ: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει τὴν ἐν Λυρνησσῷ. ἐκ ἔλαβε δὲ αὐτὴν ἐν Λυρνησσῷ, ἀλλὰ πρότερον κατάξας τῷ Ἀγαμέμνονι ἐξαίρετον ἔλαβεν αὐτὴν γέρας. A.

691. Θήβης: τῶν ὑποπλακίων Θηβῶν. D.

692. ἔβαλεν: ἀπὸ μετοχῆς μετῆλθεν εἰς ῥῆμα. ἀεὶ δὲ πρὸς Ἀχιλλέα προσπαθῶς ἔχει. BL. ὁ δὲ Μύνης τῆς Βρισηΐδος ἦν ἀνήρ. D.

694. ἀνσήσεσθαι ἔμελλεν: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀνατάσασθαι (ἀσήσεσθαι?) ἔμελλεν, διὰ τᾶ καταπροηγεμένως λόγον αἰολίζοντος, ἀλλ' ἐχὶ σπανίως δι' εὐφωνίαν. ἀδὲ οἱ Αἰολεῖς δὲ ἅτως λέγεσιν. A.

ψυχαγωγεῖ ταῖς ἐλπίσι τὲς ἀκροατάς. σὺν τῷ ν δὲ ἡ γραφή. BL.

695. Φυλάκην: εἷς τῶν Αἰολιδῶν ὁ Δηϊών, οὗ Φύλακος, ἀφ' οὗ ἡ Φυλάκη, οὗ Ποίας, οὗ Πρωτεσίλαος καὶ Ἶφικλος. BL.

βαρυτονητέον τὸ Φυλάκην πρὸς ἀντιδιαζολὴν τοῦ ὀξυνομένου. A.

696. Δήμητρος τέμενος: ἡ διπλῆ, ὅτι ἀ τὸν Πύρασον λέγει Δήμητρος τέμενος, ἀλλὰ πόλις ἐσὶ Δημήτριον καλεμένη. A.

τᾶτο καὶ τῶν ἐπάνω καὶ τῶν ἑξῆς χωριστέον· ἡ Δημήτριον γ' πόλις καθ' ἑαυτὴν ἐσιν. ἀσυνδέτως δὲ ἐξενήνεκθ, ὡς ϗ ἐπάνω Ἑρμιόνην Ἀσίνην τε (560), Τροιζῆνα Ἠιόνας τε (561)· ἡ γ' Ἑρμιόνη καὶ ἡ Τροιζὴν ἀσύνδετα. οἱ δὲ πρὸς τὰ ἐπάνω συνάπτεσιν, ἵν' ὁ Πύρασος λέγηται Δήμητρος τέμενος δι' εὐκαρπίαν, κακῶς. A.

τέμενος ἱερὸν χωρίον ἀφωρισμένον θεῷ κατὰ τιμὴν ἢ ἥρωϊ. D.

697. ἀγχιάλον τ' Ἀντρῶνα: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀγχιάλην τ' Ἀντρῶνα. ϗ εἰ θηλυκῶς δὲ λέγεται ἡ Ἀντρών, κοινόν ἐσι τὸ ὄνομα, ὁ ἀγχίαλος ϗ ἡ ἀγχίαλος. A. διάφοροι δὲ ϗ ἄρισοι ὄνοι ἐν Ἀντρῶνι τῆς Θεσσαλίας γίνονται· ὅθεν ϗ εἰς παροιμίαν παρῆλθε τὸ Ἀντρώνιος ὄνος. AD.

λεχεποίην: τὴν βαθείας βοτάνας ἔχεσαν, ἀφ' ὧν ἔσι λέχος κατασκευάσαι, τετέσι κοίτην ποιῆσαι. BDL.

699. ἔχεν κάτα: εἰ συντάσσεται τῷ ἔχεν, δῆλον ὅτι ϗ ἀναζρέφεται· πρόδηλον δὲ ὅτι συντάσσεται, ἐν οἷς φησὶν ἐν ἄλλοις „τὲς δ' ἤδη κατέχεν φυσίζοος αἶα" (Il. 3, 243). A.

ἀναζρεπτέον τὴν κατὰ πρὸς τὸ εἶχεν. BL.

700. ἀμφίδρυφής: τὸ ἀμφιδρυφής, ἀμφοτέρας τὰς παρειὰς κατεξεσμένας ἔχουσα. BL.

701. δόμος ἡμιτελής: ἤτοι ἄτεκνος, ἢ ἀφῃρημένος τοῦ ἑτέρου τῶν δεσποτῶν, ἢ ἀτελείωτος· ἔθος γὰρ ἦν τοῖς γήμασι θάλαμον οἰκοδομεῖσθαι. διὸ οἱ πολλοί φασιν ὅτι οἰκοδομῶν θάλαμον ἑαυτῷ ὁ Πρωτεσίλαος ἀπέπλευσεν ἐπὶ τὸν πόλεμον. βέλτιον δὲ εἰρῆσθαι ἡμιτελῆ διὰ τὸ μὴ γεγεννηκότα παῖδας πλεῦσαι. οἱ δέ, ὅτι νεωστὶ γήμας οὐδέπω τελείως τὰ κατὰ τὸν γεγαμηκότος οἶκον (γεγαμηκότα οἴκοι D) διεπράξατο, ἀλλὰ πρότερον ἐστράτευσεν. ABDL.

Δάρδανός ἀνήρ: οἱ μὲν τὸν Αἰνείαν ἀπέδοσαν, ὅτι βασιλεὺς ἦν Δαρδανίων, οἱ δὲ τὸν Εὔφορβον, ἕτεροι Ἕκτορα· τινὲς δὲ Ἀχάτην λέγουσιν, ἑταῖρον τοῦ Αἰνείου, φονέα Πρωτεσιλάου. δύναται δὲ καὶ ἀνωνύμως ἕνα τινὰ τῶν Δαρδανίων λέγειν. AD.

703. πόθεόν γέ μιν: καίτοι ἔχοντες τὸν κοσμήσοντα. τῇ δὲ ἐπαναλήψει (709) οἰκτρότερον τὸ πάθος ἐποίησεν. BL.

706. αὐτοκασίγνητος ὁ ἀπ' ἀμφοτέρων τῶν γονέων ἀδελφός. κασίγνητος δὲ λέγεται ὁ καθ' ἕτερον τῶν γονέων ἀδελφός. D.

707. ὁ δ' ἅμα: οὕτως αἱ Ἀριστάρχου, ἅμα, οὐ διὰ τοῦ ρ̄ ἄρα. A.

714. δῖα γυναικῶν: ἀντὶ τοῦ ὑπερθετικοῦ διοτάτη, ὅ ἐστι θαυμαστὴ καὶ διαφέρουσα παρὰ πάσας τὰς γυναῖκας. καλεῖται δὲ δῖα καὶ δι' εὐγένειαν καὶ σωφροσύνην. D.

715. Πελίαο: Πελίας Ποσειδῶνος καὶ Τυροῦς υἱὸς τῆς Σαλμωνέως, Νηλέως ἀδελφός, βασιλεὺς Ἰωλκοῦ. D.

716. Μηθώνην: ἐξέτεινε τὸ ε̄ εἰς η̄. Μεθῶναι δὲ τρεῖς, ἡ ἐν Μακεδονίᾳ, ἡ ὑπὸ Φιλοκτήτην καὶ ἡ περὶ Τροιζῆνα. BL.

717. Ὀλιζῶνα: προπερισπωμένως ὡς Μεδεῶνα. Νικίας δὲ οὐκ εὖ γράφει Ὀλίζωνα ὡς περίζωμα. A.

718. τῶν — εἰδώς: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει τῶν αὖ ἡγεμόνευε Φιλοκτήτης ἀγὸς ἀνδρῶν. ὁ δὲ ποιητὴς προδιασυνίστησιν ἐν τῷ καταλόγῳ τὴν περὶ ἑκάστου ἀρετήν. A.

721. ἐν νήσῳ: περὶ Τένεδον ἢ περὶ Ἴμβρον δηχθεὶς ὑπὸ ἐχίδνης εἰς Λῆμνον ἐξετέθη. BL.

ἄλγεα: καὶ ἐπὶ τῶν ψυχικῶν ὀδυνῶν ἔλαβεν. AB.

722. Λήμνῳ ἐν: ὅτι ἐν Λήμνῳ ἔμενε καταλελειμμένος ὁ Φιλοκτήτης· οἱ δὲ νεώτεροι ἐν νησιδίῳ ἐρήμῳ. A.

ἱστόρηται ὅτι Φιλοκτήτης ἐν Λήμνῳ καθαίρων τὸν βωμὸν τῆς Χρυσῆς καλουμένης Ἀθηνᾶς ἐδήχθη ὑπὸ ὕδρου, καὶ ἀνιαρῷ τραύματι περιπεσὼν κατελείφθη αὐτόθι ὑπὸ τῶν Ἑλλήνων· ᾔδεισαν γὰρ τοὺς Ἡφαίστου ἱερεῖς θεραπεύειν τοὺς ὀφιοδήκτους. ABDL.

ἠγαθέῃ: πάνυ θείᾳ, ὅτι ἱερὰ τοῦ Ἡφαίστου ἦν ἡ Λῆμνος. D.

723. κακῷ ὕδρου: πρόσκειται τὸ κακῷ, ἵνα τὸ τοῦ ἥρωος καρτερικὸν δηλωθῇ. ὕδρου δὲ τοῦ χερσύδρου· οὗτος γὰρ τῷ σώματι σηπεδόνας παρέχει. λέγουσι δὲ κατέχειν αὐτοῦ τὴν σῆψιν προσραινόμενον θαλάσσης ὕδωρ. BL.

724. ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθέτηκεν. ἀναγκαῖον δέ ἐστι γνῶναι ὅτι ὕστερον ἀνεκομίσθη ἐκ Λήμνου ὁ Φιλοκτήτης. A.

τάχα δὲ μνήσεσθαι ἔμελλον: ταχέως δὲ οἱ Ἕλληνες ἔμελλον μνημονεύειν καὶ χρῄζειν τοῦ Φιλοκτήτου, ἐπειδὴ εἵμαρτο χωρὶς τῶν Ἡρακλέους τόξων μὴ ἁλῶναι τὴν Ἴλιον. εἶχε δὲ ταῦτα ὁ Φιλοκτήτης, ἐαθέντα αὐτῷ ὑπὸ Ἡρακλέους, καθὸ μηδενὸς θελήσαντος ἄλλου ὑφάψαι ἐν τῇ Οἴτῃ τὴν Ἡρακλέους πυρὰν ἐν τῇ τελευτῇ αὐτοῦ τοῦτο ἐποίησεν ὁ Φιλοκτήτης. ABDL.

μνήσεσθαι: φροντίσαι καὶ μνείαν ποιήσασθαι. καλῶς δὲ προστέθειται· οὐδαμοῦ γὰρ ἔδειξε τῆς ποιήσεως πότε αὐτὸν μετεπέμψαντο. BL.

727. ἀλλὰ Μέδων κόσμησεν: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει τοὺς δὲ Μέδων κόσμησεν, ἵνα συνδήσῃ τὴν φράσιν, ἠθετηκὼς τοὺς προειρημένους στίχους. A.

νόθος: ὁ μὴ ἐκ νομίμης γυναικὸς γεννηθεὶς ἀλλ' ἐκ παλλακίδος. D.

729. κλωμακόεσσαν: τὴν τραχεῖαν καὶ ὄρη ἔχουσαν. BL. ὀρεινὴν ἢ ἀποκλίματα ἔχουσαν. D.

730. Οἰχαλίην: ἡ διπλῆ, ὅτι οὐ τῆς Εὐβοίας ἡ Οἰχαλία καθ' Ὅμηρον, ὡς παρὰ τοῖς νεωτέροις, ἀλλὰ τῆς Θεσσαλίας. A.

731. Ἀσκληπιοῦ: οὕτως ἐκτατέον διὰ τὸ μέτρον τὸ Ἀσκληπιοῦ. A.

732. ἰητῆρ' ἀγαθώ: ἔθος ἦν τοῖς πάλαι βασιλεῦσι μανθάνειν τι τῶν χρησίμων· ὃ καὶ οὗτοι ποιοῦσι καλῶς, ἵνα καὶ τοῖς ἰδίοις καὶ τοῖς ἑτέρων νοσήμασι μάχοιντο. B.

733. τοῖς δέ: οὕτως κατὰ δοτικὴν πτῶσιν τοῖς δέ Ἀρίσταρχος, ὡς πρόκειται. A.

735. Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα: Ἀστέριον, ὅτι ἐφ' ὑψηλοῦ ἐστὶ τόπου· διὰ δὲ τὸ διαφανὲς οὕτω κέκληται. Τιτάνοιο δὲ διὰ τὸ λευκόν (τίτανος γὰρ ἡ κονία καλεῖται), καὶ διὰ τὸ τιτάνῳ κεχρίσθαι τὰς οἰκίας. AB. ἀντὶ τοῦ λευκόγεων χωρίον· τίτανος γὰρ λευκή ἐστι γῆ. D.

739. Ὀρθήν, Ἠλώνην τε, πόλιν τ' Ὀλοοσσόνα: Ὄρθην ὡς Σπάρτην, ἵν' ᾖ ἴδιον· Ἠλώνην δὲ ὡς κορώνην. ταύτην δὲ Ἡρακλῆς κτίζει ἐπὶ τῷ θανάτῳ Κενταύρου (Κενταύρων BL). ABL.

ἄλλως. ὀρθήν, οὕτως ὀξυτόνως· ἐπιθετικῶς γὰρ τέτακται. Ὀλοοσσόνα δὲ οὕτως παροξυτόνως φησὶν ἐν τῇ καθόλου. A. λευκήν δὲ ὀξυτόνως· τῆς γὰρ Ὀλοοσσόνος ἐστὶν ἐπίθετον. BL.

740. ὁ Πολυποίτης ἦν τοῦ Πειριθόου παῖς, ὅν φασιν οὕτως ὀνομασθῆναι ὑπὸ τοῦ πατρὸς διὰ τὸ πολλοῖς ἐπιθεῖναι ποινήν, ὅ ἐστι τιμωρίαν, τῶν Κενταύρων, ὁπότε εἰς τοὺς γάμους τῆς μητρὸς αὐτοῦ Μελανίππης ὑβρίσαι ἐπεχείρησαν. AD.

741. τὸν ἀθάνατος τέκετο Ζεύς: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει τὸν ἀθάνατον τέκετο Ζεύς· ὅπερ ψεῦδος. A.

742. κλυτὸς Ἱπποδάμεια: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ κλυτή κλυτός εἶπεν. A. τὸ σχῆμα Ἀττικόν. D.

744. Αἰθίκεσσι: Δημοκρίνης ἀγνοήσας Αἰθιόπεσσιν ἔγραφε, κακῶς. A. Αἴθικες ἔθνος Θετταλικὸν ὑπερκείμενον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς Ἠπείρου ἢ ὡς τινες τῆς Μακεδονίας. ἄλλοι δὲ εἶπον τῆς Περαιβίας. D.

ἤδη εἰς βαρβάρους ἦκων ἐθνικῶς καὶ οὐκ ἀπὸ πόλεως αὐτὸς ὀνομάζει. BL.

745. οὐκ ὀλος: ἡ διπλῆ, ὅτι διὰ μέσου τὰ περὶ τοὺς Κενταύρους παρεισόρηται, τὸ δὲ ἑξῆς ἐπὶ τῶ λόγω, τῶν αὐθ' ἡγεμόνευε Μεγεπτόλεμος Πολυποίτης, ἐκ οἵος, ἅμα τῷ γε Λεοντεὺς ὄζος Ἄρηος. A.

750. Δωδώνην: χωρίον ἐν Ὑπερβορέοις τῆς Θεσπρωτίας, ἱερὸν Διός, ἔνθα τὸ ἐκ δρυὸς μαντεῖον τῶ Δωδωναίω Διός. AD.

751. ἔργ' ἐνέμοντο: Ἰακῶς τὸ νέμοντο Ἀρίσαρχος.

752. Πηνειὸς ποταμὸς τῆς Θεσσαλίας, πλησίον Φθίας, πάντας τοὺς ἐν αὐτῇ δεχόμενος ποταμοὺς εἰς θάλασσαν ἐμβάλλει. D.

755. ὅρκου γὰρ — ἀπορρώξ: εἰς αὐτὸν δ' ὀμνύουσιν οἱ ἐπιχώριοι. A.

ἐκεῖ δ' ἀπερρηγμέναι δῖναι τῶ Στυγὸς ὕδατος, ὅπερ ὅρκος θεῶν νομίζεται. ἀπορρώξ δὲ ὀξυτόνως μὲν ἀπορρώξ, βαρυτόνως δὲ ἀπόρρηγμα. ABL.

Ἀρίσαρχος ὀξυτόνως ὡς θυλακοτρώξ. ἡ δὲ σύνθεσις δὲ τῶτο ἀπαιτεῖ, ὅ τι ἂν σημαίνῃ, εἴτε πάθος εἴτε ἐνέργειαν. A.

756. Μαγνήτων: Μάγνης εἷς τῶν Αἰολιδῶν ὑπὸ τὸ Πήλιον κτίσας πόλιν ἀπὸ τῆς γυναικὸς Μελίβοιαν ἐκάλεσεν, ὕστερον δὲ τὴν πᾶσαν χώραν Μαγνησίαν· ἦ Ἀλέκτωρ, ἦ Τενθρηδών, ἦ Πρόθοος. BL.

ἦρχε: χωρὶς τοῦ ν τὸ ἦρχε, διὰ τὸ ἐπιφέρεσθαι δύο σύμφωνα. A.

758. Πρόθοος θοός: τοῦτο τὸ σχῆμα παρωνομασία καλεῖται. D.

760. οἵτοι: διὰ τῶ ἕτοι συνεκεφαλαιώσατο τὸν κατάλογον, τῶν μὲν εἰρημένων μνήμην τῶν δὲ ῥηθησομένων ἔφεσιν ἐργαζόμενος. ἀφορισμὸν δὲ τῶτο καλῶσιν οἱ ῥήτορες. BL.

761. σύ μοι ἔννεπε Μοῦσα; ἐπὶ μὲν Τρώων οὐκ ἀξιοῖ Μῶσαν καλεῖν· ἢ ὅτι ἕτοι μὲν ἐφύμιλλοι, Ἕκτωρ δὲ μόνος ἄριστος. παρὰ Μέσης δὲ τὴν ψῆφον ἐξάγει, ὅπως μὴ λυπεῖν ἢ χαρίζεσθαι δοκῇ. Εὐμήλου δὲ ἵππους προκρίνει ὡς Θεσσαλικάς· καὶ εἰ πρᾶγμα δὲ αἱ Ἀχιλλέως ὡς ἐκ θεῶν, ἀλλ' ἔν γε καὶ αὐταὶ Θεσσαλὸν ἡνίοχον ἔσχον, σπέρματα δὲ προκαταβάλλει τῇ ἱπποδρομίᾳ καὶ τῇ ἀρίστῃ τούτων τῶν ἵππων. ἡ ὁ χρησμός φησιν ἵππον Θεσσαλικήν (Λακεδαιμονίαν τε γυναῖκα, ἄνδρας θ' οἳ πίνεσ' ἱερὰν πηγὴν Ἀρεθόσης D). BL.

764. ποδώκεας: τινὲς ὡς εὐσεβέας· καὶ ἕτως αἱρεῖ ὁ λόγος, εἴγε καὶ τὸ ποδώκης ὀφείλει ὀξύνεσθαι, καθὸ τὰ εἰς ης ὀξύτονα, φυλάσσοντα ἐν τῇ συνθέσει τὴν κατάληξιν, ἀναδίδωσι τὸν τόνον, δριμὺς ἄδριμος, ἐχ ἕτως δὲ ἔχοντα ἀλλὰ τρέποντα τὸ τέλος ἴσαται ἐπὶ τῆς ὀξείας, ἡδύς ἀηδής, βαρύς ἀβαρής, ἡῆς ἐνῆς. ἕτως ἂν ὤφειλε καὶ τὸ ποδώκης ὀξυτονεῖσθαι, γενόμενον ἀπὸ τῶ ὠκύς. ἀλλά φασιν εἰς ἰδιότητα τῶ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γὰν τῶ Ἡσιόδω ἀνεγνώκασι „ποδωκὴς δῖ' Ἀταλάντη." τί ἂν ἐπὶ τῶ Δόλωνος; κατὰ βαρεῖαν τάσιν ἀνεγνώκασι καὶ ἐπὶ τούτου „ὃς δή τοι εἶδος μὲν ἦν κακός, ἀλλὰ ποδώκης" (Il. 10, 316). A.

765. ὀλέτεας: ὡς Διομήδεας. ἔχει δὲ καὶ ἐπὶ τούτω τῶ σχηματισμῶ παράλογος ὁ τόνος· τὰ γὰρ παρὰ τὰ εἰς ος λήγοντα, ὡ δισύλλαβα, συντιθέμενα, εἰς ης λήγοντα ἐπιθετικά, μὴ ἔχοντα τὸ η πρὸ τέλους, πάντα ὀξύνεται, εὐγενής εὐκλεής εὐειδής· ἕτως δὲ καὶ εὐτειχής. ἐχρῆν μὲν ἦν καὶ τὰ παρὰ τὸ ἔτος τὸ αὐτὸ ἀναδέχεσθαι· νυνὶ δὲ κατὰ βαρεῖαν τάσιν ἀναγινώσκουσιν, ἀλλ' ἐδὲ τῶτο πάλιν καθολικῶς σώζοντες· ἐξετέα γὰρ ἀδμήτην (Il. 23, 266) ἀναγινώσκουσιν ὡς εὐσεβέα. A.

ὀλέτης ὡς εὐνέτης γαμέτης· συνεξηκολούθησε γὰρ αὐτοῖς καὶ τοῦτο. τὸ εὑρετὴς μόνον σεσημείωται. τὸ δὲ ὄτριχας ἀντὶ τοῦ ὁμόχροας, ὀλέτεας ὁμήλικας, ἴσας τοῖς νώτοις ὁμοίας. BL.

σταφύλη: ὡς κοτύλη. ἔχει δὲ ἄμφω ἴσας τὸ νῶτον ὡς σαφύλη μετρεῖσθαι, ὃ ἔχει λαοξικῶ διαβήτῃ, ὃς ἅμα πλάτος καὶ ὕψος μετρεῖ· ὁ δὲ διαβήτης μόνον πλάτος. ABL. ἕτως ἴσας καὶ ἀναλόγως τοῖς νώτοις ὥσπερ σάθμῃ· σαφύλη γὰρ ὁ τεκτονικὸς διαβήτης. οἱ δὲ τὴν σάθμην λέγουσιν. ἔχει δὲ ἡ σάθμη χοινίον λεπτὸν χριόμενον μίλτῳ ἢ μέλανι, ᾧ σημειώμενοι ἀπορθῶσι τὰ ξύλα. D.

συντόμως πᾶσαν ἵππων ἀρετὴν καὶ ὁμοιότητα περιέλαβεν· διαφέρουσι γὰρ ἀλλήλων ἵπποι ἡλικίᾳ, χρόᾳ, μεγέθει, γένει, δυνάμει. τοῦτο δὲ ἔθος τῷ ποιητῇ πολλάκις ἐν μονοσίχῳ πᾶσαν ἀρετὴν ἐμφαίνειν, ὡς τὸ „καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ' εἰδυῖα" (Od. 15, 418) καὶ τὸ „οὐ δέμας ἐδὲ φυήν, ἔτ' ἄρ' φρένας, ἔτε τι ἔργα" (Il. 1, 115). A.

766. Ἀπόλλων: ἐπεὶ νόμιος ὁ θεὸς ἐξ ἐκείνε ἀφ' οὗ ἐθήτευσε τῷ Ἀδμήτῳ ἤτοι ὡς Καλλίμαχος „ἠϊθέου ὑπ' ἔρωτι κεκαυμένος Ἀδμήτοιο" ἢ ὡς Εὐριπίδης ἐν Ἀλκήστιδι ἐξ ἀνάγκης τῶ Διὸς διὰ τὸ πεφονευκέναι αὐτὸν τοὺς Κύκλωπας. D.

767. φόβον Ἄρηος φορεούσας: ἡ διπλῆ, ὅτι τὴν ἐν πολέμῳ φυγὴν φόβον Ἄρεως εἴρηκεν· ἀρετὴ γὰρ ἵππων ἐ μόνον διώκειν, ἀλλὰ κὴ ὅτε δέοι ἀταράχως φεύγειν, διωκέμεν ἠδὲ φέβεσθαι (Il. 6, 223). A.

τὸ δόρυ, ἢ τὸν ἐκ σιδήρε καυτῆρα. οἱ δέ, μὴ φοβουμένας, ὡς λύπην φέρειν τὸ μὴ λυπεῖσθαι. οἱ δέ, ἀπτοήτους φευγούσας. ἄμεινον δέ, ὡς ἐπιζάμενοι πεδίοιο. ἐπειδὴ δὲ ἱκανὸν πρὸς νίκην τὸ ἱππικόν, καὶ θηλείας ἤγαγον, τοῦτο μὲν ἀφθονίας τῶ γένες χάριν, ὅπως τε οἱ ἄρσενες ῥυθμίζοιντο μὴ ἐξοιςῆσθαι — ἔχει δ' μάλιςα αἰθόμενον (αἰθόμενος L) ἵππος —, διά τε τὸ μὴ χρεμετίζειν ἐν τοῖς λόχοις. BL.

769. φέρτατος: ἕτως φέρτατος, ὡ φέρτερος, αἱ Ἀρισάρχε. A.

773. λαοί: οἱ τῶ Ἀχιλλέως. BL.

774. δίσκοισιν τέρποντο: διδάσκει τοὺς εἰωθότας κινεῖσθαι μὴ ἀγυμναςεῖν. Λυκοῦργός τε γυμνοπαιδίας ὥρισεν,

ὅπως μέμνοιντο ϗ παρὰ καιρὸν τῶν πόνων. δίσκος δὲ βαρύς ἐστι λίθος, ὃν ἐρρίπτων γυμναζόμενοι· τὸν γ' σιδηροῦν σόλωνα (σόλον D) προσαγορεύουσιν. BL.

776. ἐλεόθρεπτόν τε σέλινον: ἄλλο τοῦτο τὸ ἕλειον σέλινον παρὰ τὸ πετροσέλινον, γραγγυριῶσι δὲ συμβάλλειν· γραγγυσία γ' ἀεὶ πολεμεῖ τοὺς ἀργοῦντας τῶν ἵππων. ἡτυμολόγηκε δὲ διὰ τοῦ ἐλεόθρεπτόν τε σέλινον τὸ ἐξ ἕλους σευόμενον· ἐν τοῖς ἕλεσι γ' τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον. AL.

777. ἔσασαν: δασυντέον τὸ ἔσασαν· ὑπερσυντέλικος γάρ ἐστι συγκεκομμένος, ὁ δὲ παρακείμενος δασὺ ἔχει τὸ ε̄ καὶ ὁ ὑπερσυντέλικος· οἱ δὲ ἀόριστοι ψιλόν, ἐπεὶ καὶ κατὰ ἀποβολὴν τοῦ ε̄ λέγονται· „ϛὰν δὲ μεταϛοιχεί" (Il. 23, 358), καὶ ὁ πρότερος „ϛῆσαν ἀείραντες" (Od. 2, 425). ἐκέτι δὲ ὁ ἔσασαν ϛάσαν. A.

779. φοίτων: τῇ γ' ἐπιθυμίᾳ τοῦ πολεμεῖν περιῄεσαν παράταξιν θεώμενοι. BL.

780. ὥσεί τε πυρὶ χθὼν πᾶσα νέμοιτο: θείᾳ δυνάμει τὴν ἰσχὺν τῆς πορείας αὐτῶν παρέβαλε, καὶ διὰ μὲν τοῦ πυρὸς τὴν ἔκλαμψιν, διὰ δὲ τοῦ πᾶσα τὸ ταχὺ τῆς ἐπιδρομῆς ἐδήλωσεν. BL.

783. Ἀρίμοις: τὰ Ἄριμα οἱ μὲν ὄρος τῆς Κιλικίας φασίν, οἱ δὲ Λυδίας. D.

Τυφωέος: οὕτως Τυφωέος, ὡς Ἀχιλλέως· καὶ γὰρ „Τυφωεῖ γαῖαν ἱμάσσῃ," ἀπ' εὐθείας τῆς Τυφωεύς. συνήθης δὲ αὐτῷ ὁ τοιοῦτος τύπος παρώνυμος. A.

φασὶ τὴν Γῆν ἀγανακτῆσαν ἐπὶ τῷ φόνῳ τῶν Γιγάντων διαβαλεῖν Δία τῇ Ἥρᾳ· τὴν δὲ πρὸς Κρόνον ἀπελθοῦσαν ἐξειπεῖν· τὸν δὲ δῆναι αὐτῇ δύο ὠά, τῷ ἰδίῳ χρίσαντα θορῷ καὶ κελεύσαντα κατὰ γῆς ἀποθέσθαι, ἀφ' ὧν ἀναδοθήσεται δαίμων ὁ ἀποσήσων Δία τῆς ἀρχῆς. ἡ δέ, ὡς εἶχεν ὀργῆς, ἔθετο αὐτὰ ὑπὸ τὸ Ἄριμον τῆς Κιλικίας. ἀναδοθέντος δὲ τοῦ Τυφῶνος Ἥρα διαλλαγεῖσα Διὶ τὸ πῦν ἐκφαίνει· ὁ δὲ κεραυνώσας Αἴτνην τὸ ὄρος ὠνόμασεν. καλῶς δὲ καὶ τὸ φασί, ἵνα μὴ προσκρούσωμεν ὡς Ὁμηρικῷ ὄντι τῷ ϛίχῳ. εὐφήμως δὲ τὸν τάφον εὐνὰς ἐκάλεσεν. Τυφὼν δὲ εἷς τῶν Γιγάντων, Γῆς ὢν υἱὸς ϗ Ταρτάρου, πολέμιος δὲ τοῖς θεοῖς, ὡς φησιν Ἡσίοδος (Th. 821). BL.

787. ἀλεγεινῇ: φροντίδος ἀξίᾳ. ἤδη δὲ τὸ δεινὸν τῶν Τρώων προανακρούεται ὁ ποιητής. BL.

788. ἐπὶ Πριάμοιο θύρῃσιν: πρὸ γ' τῶν βασιλείων ἦν τὸ ἐκκλησιαϛήριον. ἡ δὲ βελὴ ἴσως περὶ πολέμου ἀκέσασι τὴν μῆνιν Ἀχιλλέως. Πρίαμος μὲν ἦν διὰ γῆρας ἔσω διῴκει τὰ τοῦ πολέμου, ὁ δὲ Ἕκτωρ διὰ θράσος ἔξω αὐτὰ ἔπραττεν. BL.

789. πάντες: παρὰ δὲ τοῖς Ἕλλησιν οἱ δυνατοὶ ϗ ἄριϛοι. ἔϛι δὲ ἀπὸ τοῦ ὁμηγερεῖς. L.

791. ἀπὸ τέτε ἕως τοῦ τῷ μιν ἐεισαμένη (795) ἀθετοῦνται σίχοι πέντε. εἰ γ' ἕνεκα τοῦ προαπαγγεῖλαι ὅτι παραγίνονται οἱ Ἕλληνες, ἤρκει ὁ Πρόλιτης, εἴπερ ὅλως ἐπετήρει· εἰ δὲ ἕνεκα τοῦ προτρέψασθαι μὴ τολμῶντας προελθεῖν, ἔδει αὐτοπρόσωπον παρεῖναι. ἔθος τέ ἐϛι τοῖς μεταμορφουμένοις θεοῖς κατὰ τὴν ἄφοδον ἀπολιπεῖν τεκμήριον εἰς ἐπίγνωσιν. οἵ τε λόγοι ἐχ ἕτως εἰσὶν ἐσχηματισμένοι τοῦ Πολίτου ὡς πρὸς πατέρα, ἀλλ' εἰσὶν ἐπιτεταμένοι καὶ ἐπιπληκτικοί. ϗ τὸ „Ἕκτορ σοὶ δὲ μάλιϛ' ἐπιτέλλομαι" Πολίτῃ ἀνοίκειον· μᾶλλον δὲ Ἰριδι ἁρμόζει ἐπιτάσσειν. A.

792. ποδωκείῃσι πεποιθώς: κωμῳδῶν τοῦτό φησιν, ἢ πρὸς τὸ προλαμβάνειν τὴν ἔφοδον τῶν πολεμίων. BL.

796. ὦ γέρον: διὰ ταύτης τῆς ἐπιπλήξεως ἐμφαίνει ὅτι Πολίτης ἐϛίν. ἄκριτοι δὲ οἱ ἀναρίθμητοι. BL.

798. τὸν ἦ περισπαϛέον· ἔϛι γ' βεβαιωτικός. A.

ἕτως αἱ Ἀριϛάρχου, ἤδη. καὶ ἐν τοῖς πρὸς Κωμανὸν ὁμοίως προφέρεται, καὶ μήποτε παραπλήσιόν ἐϛι τὸ „ἤδη καὶ Φρυγίην εἰαήλυθον ἀμπελόεσσαν" (Il. 3, 184). A.

801. προτὶ ἄϛυ: ἕτως προτὶ τὸ ἄϛυ, ἀ περὶ ἄϛυ, ἵνα ὦϛιν ἐρχόμενοι πρὸς τὴν πόλιν. ὁμοίως καὶ Ζηνόδοτος ϗ Ἀριϛοφάνης γράφϛιν. A.

τοῦτο ταράϛϛασα αὐτούς φησιν, ὅπως ὡς περὶ πόλεως ἀμύνοιντο. BL.

802. σοὶ δέ: ὅτι περισσεύει ὁ δὲ σύνδεσμος. A.

805. τοῖσιν ἕκαϛος: ἀπ' ἄλλης ἀρχῆς· ἀσύνδετος γ' ὁ λόγος. τὸ δὲ ἑξῆς, τοῖσιν ἕκαϛος ἀνὴρ σημαινέτω· πολλοὶ γ' κατὰ ἄϛυ μέγα· τὴν αἰτίαν προλαβόντος τοῦ ποιητοῦ. A.

τοῦτο πρῶτον· εἶτα „πολλοὶ γάρ" (803) τὴν αἰτίαν προθέντος τοῦ ποιητοῦ, ὡς τὸ „ἔνδον γάρ τις ἐποιχομένη" (Od. 10, 226). ἀρχαϊκὸν δὲ τὸ κατὰ δοτικῆς τίθεϛθαι τὸ ἄρχει. ἔδειξεν ἓν ὅτι θεῖ κοινὸν καὶ ἀνθρώπῳ ἀρετή. ϗ μᾶλλον τοῦτο ἐν πολέμῳ διάφορον. BL.

807. ἠγνοίησεν: ἡ διπλῆ, ὅτι τοῦτό ἐϛι τὸ πλανῆσαν τὸν τὰ ἐπάνω διασκευάσαντα. ἐ κεῖται δὲ συνήθως ἡμῖν τὸ ἠγνοίησεν, ἀλλ' ἀντὶ τοῦ ἐκ ἀπίθησεν. A.

808. δ' ἔλυσ': τινὲς ἀπὸ τοῦ λ̄ τὴν ἀρχὴν ποιοῦνται καὶ προπερισπῶϛιν, ἵνα ποιητικώτερον γένηται, αἶψα δὲ λῦσ' ἀντὶ τοῦ αἶψα δ' ἔλυσ'. ἔφαμεν δὲ τὸ τοιοῦτο παρὰ τῷ ποιητῇ διαφόρως ὁρᾶσθαι· „ἂν δ' ἄρ' ἔβη Πρίαμος" (Il. 3, 261) „αὐτὰρ ὁ βῆ ῥ' ἰέναι" (Il. 10, 73)· „ἐδ' ἔλαθ' Ἀτρέος υἱόν" (Il. 17, 1) „ἐμὲ δ' ἐ λάθεν" (Od. 9, 281). A.

809. πᾶσαι δ' ὠΐγνυντο πύλαι: ἡ διπλῆ, ὅτι ἐμφασιν ἔχει πολλῶν πυλῶν, μία δέ ἐϛι· καὶ ἔϛι τὸ πᾶσαι ἀντὶ τοῦ ὅλαι. A. ἀντὶ τοῦ ὅλαι· μία γ' ἦν ἱππήλατος. D.

813. τὴν ἦτοι ἄνδρες: τὴν μὲν δημωδεϛέραν ἀνθρώποις, τὴν δὲ ἀληθῆ θεοῖς προσάπτει. ἢ ὡς μουσοτραφὴς οἶδε τὴν τῶν θεῶν διάλεκτον. Βατίεια δὲ παρὰ τὸ βαίνεσθαι ἐν τοῖς πολέμοις. BL.

ἕτως προπαροξυτόνως Βατίειαν, ὡς Ἀλεξάνδρειαν. A.

814. πολυσκάρθμοιο: πολυκινήτε, ταχείας, διὰ τὸ πολλὰ ἐνεργεῖν αὐτὴν ἐν τῷ πολέμῳ· σκαρθμὸς γ' ἡ τῶν ποδῶν κίνησις. AD. Μύρινα δὲ Ἀμαζόνος ὄνομα. A.

816. κορυθαίολος: ὁ αἰόλλων τὴν περικεφαλαίαν, ὃ ἐϛι κινῶν, διὰ τὰς ἐν τῷ πολέμῳ συνεχεῖς ϗ σφοδρὰς ἐνεργείας. ἢ ὁ αἰόλον καὶ ποικίλην ἔχων τὴν περικεφαλαίαν. ἢ ὁ εὐκίνητος ἐν τοῖς πολέμοις. AD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποικίλος καὶ παρηλλαγμένος περὶ τὸν ὁπλισμόν, ἢ τὴν κόρυν κινῶν. δι' ἐθνῶν δέ, ἐ πόλεων, ὀνομάζει τὲς βαρβάρους. BL.

819. ἡ διπλῆ, ὅτι τῶν Δαρδάνων ἦρχεν Αἰνείας, ἢ αὐτὸς ὢν Δάρδανος. πρὸς τὸ τὸν δ' ἔκτανε Δάρδανος ἀνήρ (701). A.

820. Ἀφροδίτη: ταύτης τὸ ἄγαλμα πλάττεσι κτένα φέρον, ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν Ῥωμαίων γυναιξὶ κνήφην λοιμώδη γενέσθ, καὶ ξυρεμένων πασῶν γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι· εὐξαμένας δὲ τῇ Ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι κτένα φέρουσαν ἢ γένειον ἔχουσαν, διότι καὶ ἄῤῥενα καὶ θήλεα ἔχει ὄργανα· ταύτην γὰ λέγουσιν ἔφορον πάσης γενέσεως, καὶ ἀπὸ τῆς ὀσφύος ἢ ἄνω λέγεσιν αὐτὴν ἄῤῥενα, τὰ δὲ κάτω θήλειαν. πλάττεσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι Αἰνείας ὁ υἱὸς αὐτῆς, πλεύσας μέχρι τῆς δύσεως, μετὰ τᾶτο ἵππῳ ἐπέβη ἢ τὴν μητέρα ἐτίμησε τοιούτῳ ἀγάλματι. BL.

821. Ἴδης: ὄρος Τροίας. ἔξι δὲ καὶ ἑτέρα Ἴδη τῆς Κρήτης. D.

822. Ἀντήνορος υἷε: ἴσως ὑποπτεύων Αἰνείαν ὁ βασιλεὺς τέτες αὐτῷ φυλάκας ἔταξεν. BL.

824. ὑπαὶ πόδα: ἔμπροσθεν τᾶ ποδός, ἣν ἡμεῖς ὑπώρειαν καλῶμεν. τετέσιν ὑπὸ τὰ ἔχατα μέρη τῆς Ἴδης· πόδα γὰ μεταφορικῶς τὸ κατώτατον μέρος λέγει. BL.

ἔτως ὑπαί, ὡς καταί καὶ παραί· αἱ γὰ προθέσεις ἐπαυξανόμεναι διὰ τᾶ ῑ φυλάσσεσι τὸν αὐτὸν τόνον. A.

825. μέλαν: τᾶτο κοινὸν ὑδάτων ἐπίθετον, ὡς „κυανώπιδος Ἀμφιτρίτης" (Od. 12, 60). καὶ Καλλίμαχος „Αἴσηπον ἔχεις ἑλικώτατον ὕδωρ." BL.

827. Πάνδαρος ἔτος ὁ Λυκάονος ἡγεῖτο τῶν ἐκ Ζελείας· ὧν τὴν μὲν χώραν καλεῖ Λυκίαν, τοὺς δὲ οἰκήτορας Τρῶας. BL.

τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν: τᾶτο μάχεσθαι δοκεῖ τῷ „αὐτίκ' ἐσύλα τόξον ἐΰξοον ἰξάλε αἰγὸς ἀγρίου, ὄν ῥά ποτ' αὐτὸς ὑπὸ ςέρνοισι τυχήσας" (Il. 4, 105)· δηλοῖ γὰ ἐκεῖ Πάνδαρον ἑαυτῷ πεποιηκέναι τὸ τόξον. λύοιτο δ' ἂν καὶ λέξει καὶ ἔθει, λέξει μὲν ἔτως, τὸ γὰ „ᾧ καὶ τόξον αὐτὸς ἔδωκεν" δύναται ἐπὶ τὴν τοξικὴν μεταφέρεσθ· ἔθει δέ, ὅτι εἰθίσμεθα ἐχ ἓν ἔχειν ὅπλον, καὶ μάλισα οἱ περί τινα τέχνην ἐσπευδακότες. BL.

ἡ διπλῆ, ὅτι ἐ τὸ τόξον λέγει ἀλλὰ τὴν τοξικὴν ἐμπειρίαν· τὸ γᾶν τόξον αὐτῷ ὁ κεραοξόος κατασκευάζει (Il. 4, 110). A.

τὴν τοξείαν μετωνυμικῶς. προσυνίσησι δὲ αὐτὸν κατὰ Μενελάου. τὰς δὲ εἰς ἄκρον εὐξείας θεοῖς ἀνατίθησιν ὁ ποιητής. L.

828. Ἀπαισοῦ: ἔτως Ἀπαισᾶ ὡς ἀγανοῦ. καὶ ἴσως ἀκολόθως τὸ „ὅς ῥ' ἐνὶ Παισῷ" (Il. 5, 612). A.

829. Πιτύειαν: διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ πιτύων. BL.

830. Ἄμφιος λινοθώρηξ: ὅτι καὶ ἕτερος Ἄμφιος, Περκώσιος, Ἐλάτε υἱός (Il. 5, 612). A.

λινοθώρηξ σφενδονήτης ἢ τοξότης. BL.

831. Περκωσίου: ἐν Περκώτῃ τραφέντος. τὸ δὲ περὶ πάντων ἐ δεῖ ἀναῤῥέφειν. BL.

ἔτως φυλακτέον τὸν τόνον τῆς προθέσεως. εἴτε γὰ πρόθεσίς ἐσιν ἀντὶ προθέσεως παρειλημμένη, ἀντὶ τοῦ ὑπὲρ πάντων, φυλάσσεται ὁ τόνος, καθότι πᾶσα πρόθεσις ἀντὶ ἑτέρας προθέσεως λαμβανομένη φυλάσσει τὸν αὐτὸν τόνον· εἴτε ἀντὶ τοῦ περισσῶς, φυλάσσει τὸν τόνον, ὡς τὸ „ὧς περὶ μὲν νόον ἐσὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν" (Od. 1, 66)· „ἕ περὶ μὲν πρόφρων κραδίη" (Il. 10, 244). καὶ τὸ αἴτιον ἐν ἑτέροις εἴπομεν, ὡς ὅτι πρὸς αὐτὲς τὲς τόνες τῶν ἐπιῤῥημάτων καὶ αὐταὶ ὀρθοτονῦνται. A.

832. ἔασκε: διὰ βραχέος τᾶ ᾱ· τὰ γὰ διὰ τᾶ ᾱ καὶ ᾗ παραγωγὰ Ἰακὰ βραχείᾳ παραλήγεται. BL.

ἔτως τὸ αὐτοῦ ἔασκε κατὰ συζολήν· ἔτως καὶ πάντες· τὰ γὰ διὰ τᾶ ᾱκε παρηγμένα Ἰακῶς βραχεῖαν ἔχει τὴν παραλήγουσαν· „ὧδε δέ τις εἶπεσκε" (271) καὶ „τὴν αὐτὸς φορέεσκε" (Il. 15, 646). A.

833. φθισήνορα: Ἄρης γὰ οὐδένα τῶν κακῶν λήζεται. BL.

834. Κῆρες γὰρ ἄγον: ἐδὲν ἄρα μαντικὴ μοίρας ἀντιτασσομένης. BL.

835. Πράκτιον: ὅτι ἔνιοι ποταμὸν λέγεσι τὸν Πράκτιον. A.

836. Σηςὸν καὶ Ἄβυδον: πόλεις περὶ τὸν Ἑλλήσποντον, καθ' ἃς ὁ Ξέρξης, ἐπισρατεύων τῇ Ἑλλάδι, συνέδησε ναῦς ἢ ἐπλήρωσεν αὐτὰς γῆς, ὡς ποιῆσαι αὐτὸν τὸ ςράτευμα ὅλον, ἄφατον ὄν, πεζὸν παρελθεῖν τὸν ζενὸν ἐκεῖνον τῆς θαλάσσης πόρον. Ἑλλήσποντος δὲ λέγεται ὁ διέργων τὴν Θράκην ἢ τὴν Τρωάδα ποςμός. AD. εἴρηται δὲ Ἑλλήσποντος ἀπὸ τᾶ ἐκεῖσε ποντισθῆναι Ἕλλην τὴν Φρίξε μὲν ἀδελφὴν Ἀθάμαντος δὲ θυγατέρα. A.

Σηςὸς ἐναντίον Ἀβύδε ἐν τῇ Θρακώῳ Χερσονήσῳ. BL.

837. Ἄσιος: ἡ διπλῆ, ὅτι ὁ Ἄσιος οὗτος ὁμώνυμός ἐσι τῷ Ἑκάβης ἀδελφῷ (Il. 16, 719). ἐσημειᾶτο δὲ ὁ Ἀρίσαρχος τὰς ὁμωνυμίας πρὸς τὰ Πυλαιμένες. καὶ πρὸς τὴν ἐπανάληψιν, ὅτι πλεονάζει ἐν Ἰλιάδι. A.

838. τῇ ἐπαναλήψει ἐσημειώσατο τὸν ἥρωα ὡς λέξων περὶ αὐτᾶ. καὶ ὅτι διὰ τὲς ἵππες ὀλεῖται (Il. 12, 110. 13, 384). BL.

839. ποταμοῦ ἀπὸ Σελλήεντος: Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἀναῤῥέφει, πρὸς τὰ προσηγορικώτερα ποιούμενος τὰς συντάξεις. ὁμοίως καὶ Νικίας. ἀκέτι μέντοι ἐπὶ τᾶ „Ξάνθῳ ἐπὶ δινήεντι" (Il. 5, 479) „μάχῃ ἐνὶ κυδιανείρῃ" (Il. 6, 124)· ἐπεφέρετο γὰ τὰ προσηγορικώτερα. ὁ μέντοι Ἀρίσαρχος τοῖς κυριωτέροις συνέταττε τὰς προθέσεις· διὸ ἀναῤῥέφων ἀνεγίνωσκε „Ξάνθε ἄπο δινήεντος," φυλάσσων δὲ τὸν τόνον ἐπὶ τᾶ „ποταμᾶ ἀπὸ Σελλήεντος." εἶτα πολλὰ εἰπὼν ὁ Ἡρωδιανός φησιν ὅτι ἐμοὶ μέντοι δοκεῖ τὸ τοιᾶτον ὅλον εἶδος ἀναγινώσκειν κατὰ ἀναῤῥοφήν. εἰ γὰ δύο ὀνόματά ἐσι καθ' ἑνὸς ὑποκειμένε λαμβανόμενα,

καὶ σχεδὸν ἓν ἐςι τὸ ὅλον, ϗ θέλει ἡ πρόθεσις προηγεῖσθ, μέση δὲ παρείληπτ καθ' ὑποταγήν, ὡς ὑποτεταγμένη ἀναςραφήσεται. A.

ἀναςρεπτέον τὴν πρόθεσιν. BL.

ὅτι Σελλήεις ποταμός ἐςιν Ἀσίας, ὁμώνυμος τῇ Θεσπρωτίᾳ. A.

841. Λάρισαν: ταύτην οἱ ἀπὸ τῶν Αἰολίδων μεταναςάντες ἔκτισαν· διὸ Πελασγύς φησιν, ὡς ἄνωθεν Ἕλληνας ὄντας. καὶ μετὰ τὸν κατακλυσμὸν σῶσαι τὰ ςοιχεῖα μόνυς Ἑλλήνων φασίν. BL.

842. Πύλαιος: τῦ Πύλαιος τὴν πρώτην ὀξυτονητέον πρὸς ἀντιδιαςολὴν τῦ τοπικῦ· ϗ τὸν Ἑρμῆν τὸν Πύλαιον. A.

844. αὐτὰρ Θρήϊκας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως: μάχεσθ δοκεῖ τῷ „Ἰφιδάμας Ἀντηνορίδης ἠΰς τε μέγας τε, ὃς τράφη ἐν Θρήκῃ" (Il. 11, 221)· ἐκεῖ γ' ὑποτίθεται τὸν Ἰφιδάμαντα βασιλέα τῶν Θρᾳκῶν. ἡ δὲ λύσις ἐκ τῆς λέξεως· ὐ γ' οἱ περὶ τὸν Ἀκάμαντα πάντας τοὺς Θρᾷκας ἄγυσιν, ἄλλως τε ἐπεὶ εἴρηκεν „ὅσυς Ἑλλήσποντος ἀγάῤῥοος ἐντὸς ἐέργει," ὥςε τῶν ἐκτὸς Θρᾳκῶν ϗ τὸν Ῥῆσον καὶ τὸν Ἰφιδάμαντα δύνασθ βασιλεύοντας ὕςερον εἶναι βοηθύς. πάλιν δὲ τὸ „αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξυς" (848) ἐναντίον τῷ τὸν Ἀςεροπαῖον αὖθις ὑποτίθεσθ τῶν Παιόνων βασιλέα (Il. 21, 154). λύοιτο δ' ἂν τῷ καιρῷ· τὸν γ' Ἀςεροπαῖον ὐκ ἀπεικὸς χρονίζοντος τῦ πολέμυ ἐλθεῖν ἄγοντα πάλιν τινὰς τῶν Παιόνων. τάχα δὲ καὶ τῇ λέξει διττὸν ἀποφαίνει γένος Παιόνων· τὺς μὲν γ' εἴρηκεν ἀγκυλοτόξυς, τὺς δὲ δολιχεγχέας. BL.

Καὶ πῶς Ἰφιδάμαντα ϗ Ῥῆσόν φησιν ἄρχειν τῶν Θρᾳκῶν; ἀλλὰ προςέθεικεν „ὅσυς Ἑλλήσποντος·" τῶν γ' Ἑλλησποντίων ἤτοι τῶν περὶ Μαρώνειαν ἦρχεν Ἀκάμας· ἑτέρων δὲ Ἰφιδάμας, ὃς ἦλθε σὺν δυοκαίδεκα νηυσίν· ἄλλων δὲ Ῥῆσος, ἤτοι τῶν περὶ Λυδίαν. BL.

847. Τροιζήνοιο: οὕτως Τροιζήνοιο ὡς Εὐμήλοιο· ἀπὸ γ' γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ. A.

848. Παίονας: ὗτοι ὁμορῦσι Θρᾳξίν. τύτων δὲ ἀποικοι Κίκονες ἔθνος Θρᾳκικόν. D.

850. αἶα γῆ, ἢ ὥς τινες εἶπον κρήνη οὕτω λεγομένη, ἐκδιδῦσα εἰς τὸν Ἀξιὸν ποταμόν. D.

851. Παφλαγόνων: ἀπὸ τῶν Εὐρωπαίων ἐπὶ τοὺς Ἀσιανὺς ἔρχεται. BL.

Πυλαιμένεος: ἡ διπλῆ, ὅτι οὗτός ἐςι Πυλαιμένης περὶ ὗ πολλοὶ τῶν ἀρχαίων ἐζητήκασιν (Il. 5, 576. 13, 643). A.

λάσιον: μεταληπτικῶς τὸ συνετόν. B.

852. ἐξ Ἐνετῶν: ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐξ Ἐνετῆς. παρὰ Ἐνετοῖς πρῶτον ἡ ὄνων καὶ ἵππων μῖξις ἐπενοήθη. ἀγροτεράων δὲ τῶν μάλιςα ἐν ἀγροῖς ἐπιτηδείων. τὸ δὲ Ἐνετῶν ὡς Θεσσαλῶν. AB.

854. Παρθένιον ποταμόν: τῦτον ἔνιοι λέγυσι διὰ τὴν πραότητα οὕτως προσαγορεύεσθ· ἢ ἐπειδὴ παρθένος ὖσα ἡ Ἄρτεμις ἐν αὐτῷ ἐλύσατο. AD.

ὅτι ἡ παρθένος Ἄρτεμις ἀπολύεται ἐν αὐτῷ. L.

855. Ἐρυθίνους: ὡς Ἀκραγαντίνους. παραδηλοῖ δὲ ἣν ἔχυσι τόπυ θέσιν. BL.

856. Ὀδίος καὶ Ἐπίςροφος: ἡ διπλῆ, ὅτι ϗ ἕτερός ἐςιν Ὀδίος ὁμώνυμος (Il. 9, 170), καὶ παρὰ τοῖς Ἕλλησιν Ἐπίςροφος (517 et 692). Ἀλίζωνες δὲ ἔθνος Πόντου· εἰσὶ δὲ ὗτοι Βοιωτοί (Βιθυνοὶ Barnes.), ὕς τινες Οἴνοπάς φασιν, οἱ δὲ ἔθνος Αἰακῶν (Αἶα D, Θρᾳκῶν Heyn.). A.

ὗτοι γ' οἰκῦσι γῆν ὑπὸ θαλάσσης ἐζωσμένην. BL.

858. Χρόμις: ὅτι νῦν μὲν Χρόμιν, ἐν ἄλλοις δὲ λέγει Χρομίον τὸν αὐτόν (Il. 17, 218). A.

860. 861. ἀθετῦνται ἀμφότεροι, ὅτι κατὰ τὴν παραποταμίαν μάχην (Il. 21) ὐχ εὑρίσκεται ἐπ' ὀνόματι πίπτων. εἴωθε δὲ ὁ ποιητὴς τὺς τῶν ἡγεμόνων θανάτυς διαδήλως λέγειν. ἐὰν δὲ μὴ ὁριθῇ ὁ τόπος καὶ ὁ καιρός, δύναθ ὁ ἕτερος μένειν. A.

862. Φρύγας: ἡ διπλῆ, ὅτι οἱ νεώτεροι τὴν Τροίαν ϗ τὴν Φρυγίαν τὴν αὐτὴν λέγυσιν, ὁ δὲ Ὅμηρος ὐχ οὕτως· Αἰσχύλος δὲ συνέχεεν. ὗτοι δὲ τῆς μικρᾶς εἰσὶ Φρυγίας· ἡ δὲ μεγάλη παρὰ τῷ Σαγγαρίῳ κεῖται, ὅθεν καὶ Ἄσιος, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο. ABL.

864. Μέσθλης: μέδω μέτλης (μέςρης L) Μέσθλης, ὡς φύτρη φύτλη. BL.

865. Γυγαίη τέκε λίμνη: ἄνευ τοῦ ῑ, Γυγαίη τέκε λίμνη, ἡ κατὰ Ἀρίςαρχον εἶχε διόρθωσις. οἱ δὲ περὶ Χαῖριν καὶ Διόδωρον καί τινες τῶν καθ' ἡμᾶς προςιθέασι τὸ ῑ, ἵν' ᾖ λίμνῃ ἔπι Γυγαίη τέκε, κακῶς· μηδέποτε γ' Ὅμηρον λίμνης τέκνα ἱςορεῖν· βίαιοι δέ εἰσιν. A.

867. βαρβαροφώνων: ἀγριοφώνων ϗ τὴν Ἑλλάδα φωνὴν ἠχρηςωκότων, ὅτι τὰ μὲν ἀῤῥενικὰ θηλυκῶς ἔλεγον, τὰ δὲ θηλυκὰ ἀῤῥενικῶς. D. ὅτι Κρητῶν ἄποικοι ὄντες ἐκρήτωσαν τὴν Ἑλληνίδα φωνήν. ἢ βαρβαροφωνεῖν ἐςὶ τὸ τὺς ἐπιμιγνυμένυς Ἕλλησι βαρβάρυς ἑλληνίζειν μὲν διδάσκεσθ, τῇ φωνῇ δὲ μὴ καθαρεύειν, ἢ ὅτι μεγαλόφωνοι ὑπῆρχον. BL.

ἡ διπλῆ ὅτι Θυκυδίδης λέγει τὴν ὀνομασίαν τῶν βαρβάρων νεωτερικὴν εἶναι. ἐλέγχεται δὲ ἐντεῦθεν. A.

868. Φθειρῶν τ' ὄρος: τῆς Καρίας περὶ Μίλητον, διὰ τὸ πολλὰς ἔχειν πίτυς· οἱ γ' τόποι τῶν πιτύων φθεῖρες (φθεῖραι D) προσαγορεύονται. οἱ δέ, ὅτι τὰ τῶν πιτύων μικρὰ ςροβίλια ὕτως λέγονται, ἃ καὶ πιτυοκάμπας φασίν. ἢ ἀπὸ Φθειρὸς τῦ Ἐνδυμίωνος. A. ἢ ὅτι τὰ ἐξανθήματα τῶν πιτύων ὅμοιά εἰσι φθειρσίν. D.

Φθειρῶν ὄρος τὸ πιτυῶδές φησιν· φθείρ γ' ὁ τῆς πίτυος καρπός. BL.

869. Μαιάνδρου: Μαίανδρος ποταμὸς ἀρχόμενος ἀπὸ Φρυγίας, ῥέων δὲ διὰ Καρίας εἰς θάλασσαν, πλησίον Μιλήτυ· σκολιὸς δέ ἐςι καὶ πολλὰς ἐκροὰς ποιύμενος. AD.

Μυκάλης: Μυκάλη δὲ ὄρος ἀντικρὺ Σάμυ. ἔςι δὲ ϗ ἐν μυχοῖς Καρίας ἕτερος. BL.

872. ὃς καὶ χρυσὸν ἔχων: προανεφώνησεν, ἵνα μὴ ἔτι αὐτῦ μνησθῇ. Εὔφορβος μέντοι ϗ Γλαῦκος χρυσᾶ ὅπλα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχουσιν, ἀλλ' οὐ κωμῳδοῦνται, ἐπεὶ μὴ γυναικεῖα τὰ αὐτῶν ὡς τὰ τούτου. BL.

ἡ διπλῆ, ὅτι ἐπὶ τοῦ Ἀμφιμάχου ἐστὶ τὸ ὃς καὶ χρυσὸν ἔχων, ὁ δὲ Σιμωνίδης ἐπὶ τοῦ Νάστου λέγει. καὶ ὅτι οὐ λέγει ὅπλα αὐτὸν ἔχειν χρυσᾶ, ὡς καὶ πάλιν ὁ Σιμωνίδης ἐξέλαβεν, ἀλλὰ κόσμον χρυσοῦν· λέγει γὰρ ἠΰτε κούρη. ἐνεπλέκοντο γὰρ χρυσὸν οἱ βάρβαροι· „πλοχμοί θ' οἳ χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο" (Il. 17, 52). A.

876. Σαρπηδών: εἴασε νῦν τὸ γένος αὐτοῦ, ἵν' ἐν ἄλλῳ τόπῳ μνείαν τούτου ποιούμενος πρὸς πλείονα αὐτὸ ποικιλίαν ἔχῃ. BL.

877. Ξάνθου ἄπο δινήεντος: πᾶσα πρόθεσις μεταξὺ κυρίου καὶ ἐπιθετικοῦ τῷ κυρίῳ ἕπεται κατὰ Ἀρίσταρχον, κατὰ δὲ Πτολεμαῖον τῷ προσηγορικῷ. κατὰ δὲ Ἀπολλώνιον πάντως ἀναστρέφεται. τὸ δὲ Ξάνθου πρὸς τοὺς Ζελείτας Λυκίους. AB. στικτέον δὲ ἐπὶ τὸ δινήεντος, ἐπειδὴ εἱρμός ἐστι τῶν ἑξῆς. ἐπὶ μέντοι τοῦ τέλους τῶν ἄλλων ποιημάτων οὐκέτι· σιωπὴ γὰρ ἐκδέχεται. BL.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα, καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχειου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τοῦ Νικάνορος περὶ στιγμῆς. A.

ΕΙΣ ΤΗΝ Γ.

1. Αὐτάρ: διαφέρει ὁ αὐτάρ τοῦ δέ, καθὸ ὁ μὲν αὐτάρ προτάσσεται, ὁ δὲ δέ ὑποτάσσεται. ζητεῖται δὲ πῶς δεῖ τὸν αὐτάρ σύνδεσμον προφέρεσθαι, πότερον ὀξυτόνως ἢ βαρυτόνως. οἱ μὲν οὖν ὀξυτόνως ἀνεγνώκασιν, ὡς Καλλίμαχος, οἱ δὲ βαρυτόνως λόγῳ τῷδε· πᾶσα λέξις εἰς ᾱρ λήγουσα βαρύνεται, οἷον ἄφαρ εἶθαρ μάκαρ δάμαρ στέαρ οὖθαρ. ῥητέον δὲ ὅτι οὐδεὶς συμπλεκτικὸς ἢ περισπᾶται ἢ βαρύνεται, πάντες δὲ ὀξύνονται. AD.

κόσμηθεν: διετάχθησαν. ὁ τρόπος μεταφορά, ἀπὸ τοῦ κόσμου, ὅθεν καὶ ἡ τῶν ὅλων τάξις κόσμος ὑπὸ Πυθαγόρου εἴρηται· ἡ δὲ διάλεκτος Δωρίς. εὐταξίᾳ δὲ μάλιστα πόλεμος κατορθοῦται. AD.

ἕκαστοι: πῶς ἐπὶ δύο στρατιῶν τὸ ἕκαστοι ἔταξεν; ἢ ὅτι κατὰ ἔθνη καὶ φυλὰς διεκοσμήθησαν· ἢ ἀντὶ τοῦ ἑκάτεροι, Τρῶές τε καὶ Ἕλληνες, ὡς τὸ „δενδίλλων ἐς ἕκαστον" (Il. 9, 180)· δύο γὰρ οἱ πρέσβεις. ἔστι δὲ Ἀττικόν. A.

2. κλαγγῇ τ' ἐνοπῇ τ': ὅτι ἀντὶ τοῦ μετὰ κλαγγῆς καὶ ἐνοπῆς. ἄμφω δὲ ἤχου ὀνόματα. B. λείπει Ἀττικῶς ἡ σύν. V.

κλάζω κλαγή, καὶ κατὰ πλεονασμὸν τοῦ ἑνὸς γ̄ κλαγγή. ἐνοπῇ δὲ τῇ εἰς ὀπὴν ὤτων φέρεσθαι δυναμένῃ βοῇ. (εἴρηται παρὰ τὸ ἐνέπειν, ὅ ἐστι λέγειν. D) τὸ μέντοι διάκενον τῆς πορείας ἀναπληροῦσιν αἱ παραβολαί. ἀμφοτέρας δὲ τὰς στρατιὰς διατυποῖ, καὶ μέχρι τέλους οὐκ ἐξίσταται τοῦ ἤθους· „ὥστ' ὄϊες πολυπάμονος" (Il. 4, 433) καὶ „ἐς Τρώων ὅμαδον κίε" (Il. 7, 307). BL.

ὄρνιθες ὥς: βραχὺ διαστάλτεον ἐπὶ τὸ ὥς· ἡ γὰρ ἀνταπόδοσις πρόκειται, καὶ ἀνεστραμμένη ἡ περίοδός ἐστιν. A. ὁ τρόπος ἀναστροφή. D.

3. οὐρανόθι πρό: ὅτι ἀντὶ τοῦ ἐν τῷ ὑπὸ τὰ νέφη τόπῳ. διὸ καὶ τὰς τοῦ Ὀλύμπου κορυφὰς ἐπουρανίους νοητέον. A.

καὶ τὸν περὶ τὰ νέφη τόπον καὶ τὸν ἀπὸ νεφελῶν εἰς οὐρανὸν οὕτω καλεῖ. παρέλκει δὲ ἡ πρό, ὡς ὀφθαλμοῖο διαπρό (Il. 14, 494), τὴν δὲ τοῦ λόγου ἀπόδοσιν εἰς τὸ ἠΰτε περ. εἶτά φησιν ὅτι μετὰ τοσαύτης πορεύονται κραυγῆς ὅσης αἱ γέρανοι. BLV.

4. χειμῶνα φύγον: ἡ διπλῆ, ὅτι χειμῶνα οὐ τὴν χειμερινὴν κατάστασιν λέγει, ἀλλὰ τὸν χειμερινὸν τόπον τῆς Θρᾴκης· οὐ γὰρ ἐνστάντος χειμῶνος τότε ἀπαίρουσιν, ἀλλὰ προσδοκίας οὔσης. A.

ἀθέσφατον: ὃν οὐδεὶς οἷός ἐστιν ἑρμηνεῦσαι λόγος. B.

5. κλαγγῇ — ἐπ' Ὠκεανοῖο ῥοάων: ἀντὶ τοῦ εἰς ῥοάς, Ἀττικῶς. τὸ ἀδιάλειπτον δὲ τοῦ θορύβου δηλῶν πολλάκις ὀνομάζει τὴν κλαγγήν. τὰ δὲ δειλότερα τῶν ζῴων φωνητικώτερα μᾶλλον τῶν ἀνδρείων. ABL.

6. Πυγμαίοισι: ἐκ τοῦ πυγμή, ὅ ἐστιν εἶδος ἀγῶνος. τοῦτο παρὰ τὸ πτύσσω πτύξω, πτυγμή, καὶ ἀποβολῇ τοῦ τ̄ πυγμή. σημαίνει δὲ ὅτι κλείοντες τοὺς δακτύλους πλήττομεν. σημαίνει δὲ καὶ τὸν γρόνθον. ἐκ τοῦ πυγμή γοῦν πυγμαῖος. L.

πυγονιμαίοις, πηχυαίοις. ἤτοι ἀπὸ Πυγμαίου βασιλέως οὕτω κεκλημένοις, ἢ εἰς πυγόνος μέτρον συνεσταλμένοις· πυγὼν δὲ καλεῖται ὁ πῆχυς, τὸ ἀπὸ ἀγκῶνος ἕως δακτύλων τῆς χειρὸς διάστημα. ἔστι δὲ ἔθνος γεωργικὸν ἀνθρώπων μικρῶν κατοικούντων εἰς τὰ ἀνωτάτω μέρη τῆς Αἰγυπτιακῆς γῆς πλησίον τοῦ Ὠκεανοῦ, ὅπερ πολεμεῖν ταῖς γεράνοις φασὶ βλαπτούσαις αὐτῶν τὰ σπέρματα καὶ λιμὸν ποιούσαις τῇ χώρᾳ. D.

ἡ διπλῆ, ὅτι καὶ τῷ ξένῳ τῆς ἱστορίας ψυχαγωγεῖ τὸν ἀκροατήν· ὅθεν καὶ τὸν θροῦν ἐπ' ἄπειρον αὔξει· (κροτάλοις γὰρ αὐτὰς ἀλέξονται. V) φησὶ δὲ αὐτοὺς Ἑκάταιος ἐπὶ χημάτων (ὀχημάτων? Heynius χήματι) κριῶν ἐξιόντας ἀλέξασθαι αὐτάς (πολεμεῖν αὐταῖς L), τὰς δὲ καταφρονούσας τοῦ μήκους πολεμεῖν πρὸς αὐτούς (αἱ δὲ — συνείρουσι πόλεμον L). ABLV.

7. ἠέριαι: ὀρθριναί, ἐκ τοῦ ἀήρ ἡ ἀορασία. ἀήρ δὲ ἀέρος ἠέρος, τροπῇ τοῦ ᾱ εἰς η̄· ἐξ αὐτοῦ ἠερία, αἱ ἠέριαι. L.

8. οἱ δ' ἄρ' ἴσαν στιγῇ μένεα πνείοντες Ἀχαιοί: ταύτης τῆς παραβολῆς ποῦ ἡ ἀπόδοσις; ἢ τάχα οὕτως ἔχει „Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν, οἱ δ' ἄρ' ἴσαν ἠΰτε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αερ," ἵνα τὸ ἠΰτε ἀπόδοσις ᾖ. ἐπεὶ δὲ πολλάκις ᾗ κατάπληξις σιωπὴν ποιεῖ, τὸ μένεα προσέθειται. BL.

9. ἀλεξέμεν ἀλλήλοισιν: τοῦτο γ' ἐν ταῖς φάλαγξιν· σκέπει γ' τὸν ὑπερασπίζοντα ἕκαστος ὡς αὐτόν, κἀκεῖνος τοῦτον. BL. ἡ γ' φάλαγξ σωθείη ἄν, ὅταν τὸ τῶ παρασπίζοντος ἕκαστος σκοπῇ. V.

10. ὅτι τὸ εὖτε ἀεὶ ἔχει χρονικὸν ἀλλ' ὁμοιωματικόν, ἀναλογῶν τῷ ἠΰτε. A.

διὰ τοῦ ε αἱ Ἀρισάρχου τὸ εὖτε, καὶ τὸ ἑτέρωθί που λεγόμενον „τῷ δ' εὖτε πτερὰ γίνεται" (Il. 19, 386) ἀντὶ τοῦ ὡς πτερὰ ἐγίνετο ἐλαφρὰ τὰ τοῦ Ἡφαίστου ὅπλα τῷ Ἀχιλλεῖ. ἐν ἐνίαις δὲ τῶν ἐκδόσεων, τῇ τε Χίᾳ καὶ τῇ Μασσαλιωτικῇ καί τισιν ἄλλαις, ἐκ πλήρους ἐγέγραπτο „ἠΰτε ὄρευς κορυφῇσι," παρὰ τὸ εἰωθὸς Ὁμήρῳ· ἐκ πλήρους γ' παρέκαζα γράφειν ὄρεος. εἰσὶ δὲ οἳ καὶ ἕτερος ἀκέσθαι τὸ εὖτε, ἀντὶ τοῦ ὅτε, καθάπερ καὶ ἐν ἄλλοις· „εὖτε γ' ἠέλιος φαέθων" (Il. 11, 735) καὶ „εὖτ' ἀὴρ ὑπερέχει" (Od. 13, 93). λαμβάνουσι δὲ ὑπὸ μίαν περιγραφὴν τὸ ὅλον· „εὖτ' ὄρεος κορυφῇσι νότος κατέχευεν ὁμίχλην ποιμέσιν ἔτι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω, τόσσον τίς τ' ἐπιλεύσσει ὅσον ἐπὶ λᾶαν ἵησιν·" ὁπότε ὁ νότος ταῖς τοῦ ὄρους κορυφαῖς κατέχειν ὁμίχλην τοῖς μὲν ποιμέσιν ἀ προσφιλῆ, τῷ δὲ κλέπτῃ νυκτὸς κρείσσονα, τότε ἐπὶ τοσοῦτον δύναταί τις βλέπειν ὅσον ἐκὶ λίθου βολῆς διάστημα. ἄμεινον δὲ τὸ πρότερον· τῷ γ' ὥσπερ ἀνταποδίδοται τὸ ὡς ἄρα τῶν ὑπὸ ποσσὶ κονισαλος, ταῦτα ὁ Δίδυμος.

11. ποιμέσιν: ἀ τοῖς βακόλοις, ἐπεὶ μὴ νέμουσιν ἡμέρας διὰ τὰς οἴστρους. LV.

νυκτὸς ἀμείνω: τὴν ὁμίχλην φησὶ τοῖς μὲν ποιμέσιν ἀσύμφορον εἶναι, τοῖς δὲ κλέπταις κατὰ πολὺ καὶ νυκτὸς ὠφελιμωτέραν, ἐπεὶ τῆς μὲν νυκτὸς ὡρισμένον ἐχούσης καιρὸν ἐν ἀσφαλείᾳ φυλάττεται τὰ βοσκήματα, τῆς δὲ ἡμέρας ἐσκεδασμένοις τοῖσδε κατὰ τὰς νομὰς ὁπόταν ἐξαίφνης, ἐπέλθῃ ὁμίχλη, εὐκόλως αὐτὰ ἁφαιροῦνται. BDL.

ἀμείνω: ἡ διπλῆ, ὅτι τινὲς γράφουσι σὺν τῷ ν, ἀμείνων. εἰ δὲ κατ' αἰτιατικὴν ἔχει, χωρὶς τοῦ ν γράφεται· ἀνάλογον γάρ ἐστι τὸ ἀμείνονα. ἄλλοι δὲ γράφουσιν ἀντὶ τοῦ νυκτὸς ἀμείνω. A.

12. ὅσον τ' ἐπὶ λᾶαν ἵησιν: ἀόριστα ταῦτα, ὡς τὸ „ὅσον τε γέγωνε βοήσας" (Od. 5, 400). BL.

13. κονίσαλος ὦρνυτ' ἀελλής: ἡ διπλῆ, ὅτι ἀ λέγει ὑπὸ ποδῶν ἀέλλης, ἀλλὰ κονίσαλος ἀελλής, ἀελλώδης. A.

Ἀρισοφάνης γράφει κονισάλᾳ ὦρνυτ' ἀέλλης. ἄριστος δὲ κριτὴς ὁμοιοτήτων Ὅμηρος· ὁμίχλη γ' καὶ κονιορτὸς ὁμόχροα καὶ ὁμοίως ἐπιπροσθοῦντα τοῖς ὄμμασιν. BL.

16. Τρωσίν: ἀντὶ τῶ Τρώων. πτωτικὸν τὸ χῆμα· ταῖς δοτικαῖς γ' ἀντὶ γενικῶν χρῶνται οἱ ποιηταί. AD. ὅτι ἡ συγγένεια τῶν πτώσεων καὶ τὴν τοιαύτην ἐπιδέχεται σύνταξιν, οἷον Τρωσὶ μὲν προμάχιζεν ἀντὶ τοῦ τῶν Τρώων, Μυρμιδόνεσσιν ἄνασσε (Il. 1, 180) ἀντὶ τῶ τῶν Μυρμιδόνων, πάντεσσι δ' ἀνάσσειν (ib. 288) ἀντὶ τῶ πάντων. D.

προμάχιζεν Ἀλέξανδρος θεοειδής: τὸ δίκαιον νομοθετεῖ· οἱ γ' αἴτιοι προασπίζουσιν. ἐγείρει τε τὸν ἀκροατήν, προκινδυνεύοντα εἰσάγων τὸν πλείσων κινδύνων ἑτέροις αἴτιον. ὁ δὲ μὲν τὸν δὲ ἐνταῦθα ἐκ ἐπάγεται. διὰ τί δὲ θεοειδέα φησὶ τὸν πάσαις κακίαις χρώμενον; τοῦτο γ' ἐγκωμιάζοντος δόξειεν εἶναι καὶ ἀποσεμνύοντος τὸν ἄνδρα. λεκτέον δὲ ὅτι εἰ μὲν πάντα ἐπαινῶν ἐφαίνετο τὰ ἐν τέτῳ, δικαία ἦν ἂν ἡ μέμψις· ἐπαινεῖ δὲ αὐτῷ τὴν μορφήν, ἵνα καὶ ἐπὶ τῶν ψεκτῶν νομίζηται ἀληθεύειν. εἶτα καὶ μεῖζον κατασκευάζεται τὸ μῖσος, εἰ τοιοῦτος ὢν τὴν μορφὴν καταιχύνει. BL.

18. αὐτὰρ ὁ δοῦρε: Ἀρίσαρχος ἄνευ τοῦ ἄρθρου, αὐτὰρ δῶρε. ἔτως καὶ ἡ Ἀριστοφάνης καὶ ἡ Καλλισράτη, ᾗ χεδὸν ἔτως καὶ αἱ χαριέσται· καὶ ὁ Ἰξίων ἐν τῷ πρώτῳ πρὸς τὰς ἐξηγήσεις ὁμοίως προφέρεται. ἔχει δὲ τὸν Ὁμηρικὸν χαρακτῆρα καὶ ἡ σὺν τῷ ἄρθρῳ γραφή, καίπερ ἐκ ἐσα Ἀρισάρχειος· σύνηθες γ' τῷ ποιητῇ ἐπὶ τῶν αὐτῶν μένοντι ὑπόνοιαν παρέχειν ὡς περὶ ἑτέρου διαλέγοιτο προσθέσει ἄρθρου καὶ μεταλλάξει τοῦ συνδέσμου, ὡς ἐπὶ τοῦ Κύκλωπος „κὰδ δέ μιν ὕπνος ἥρει παυδαμάτωρ, ὁ δ' ἐρεύγετο οἰνοβαρείων" (Od. 9, 372) ἀντὶ τοῦ καὶ ἐρεύγετο. Ζηνόδοτος δὲ ἠθέτηκε τοῖς ἑξῆς ἀ συντιθέμενον. δεῖ δὲ κοινὸν παραλαβεῖν „αὐτὰρ ὁ δοῦρε δύο ἔχων," καὶ νοεῖν τὸ ἄρθρον ἐξ ἐπαναλήψεως παρήμενον ἐπὶ τοῦ αὐτοῦ προσώπου. A.

τὸ αὐτάρ παρὰ Ζηνοδότῳ καὶ τοῖς ἄλλοις ἐκ ἐπάγεται τὸ ἄρθρον. ὅμως ἔν ἐστι ᾗ τοῦτο τῆς Ὁμηρικῆς συνηθείας· ἔθος γ' αὐτῷ περὶ τοῦ αὐτοῦ διαλεγομένῳ μεσολαβεῖν τὸ ἄρθρον, ὡς καὶ περὶ ἄλλου λέγων ποιεῖ· „Σαρπηδὼν αὐτοῦ μὲν ἀπήμβροτεν, ὁ δὲ Πήδασον" (Il. 16, 466). ἐπιφέρει δὲ τὰ δῶρε δῆθεν ἵνα εἰ ἀποτύχῃ τοξεύων, προσπεσὼν μάχοιτο. BL.

19. προκαλίζετο: τῇ φαντασίᾳ, ᾗ τῷ λόγῳ· „αὐτὸς γάρ" φησιν „ἐφίλκει ἄνδρα σίδηρος" (Od. 16, 294). καθαίνων τοίνυν τὸ δόρυ προεκαλεῖτο τοὺς τῶν Ἀργείων ἀρίστους εἰς μάχην· ἢ τοὺς ἀρίστους τῶν Τρώων προετρέπετο κατὰ τῶν Ἑλλήνων. ἦθος δὲ θρασυδείλων κωμῳδεῖ διὰ Πάριδος, Δόλωνος (Ἰρὰ V), Θερσίτου, Ἕκτορος, ᾗ τὸ μὲν προπετὲς ἐν ἐπαγγέλματι, τὸ δὲ δειλὸν ἐν πράξει, τὸ δὲ ἐπονείδιστον ἐν τέλει. BLV.

19. 20. ἀθετοῦνται ἀμφότεροι· ὁ γ' παρδαλέην ἀνειλὴ φῶς καὶ τοξικὴν στολὴν ἔχων ἐκ ἂν προκαλοῖτο εἰς μονομαχίαν, ἀλλ' ὕστερον ἐπὶ τοῦτο ἔρχεται ὀνειδισθεὶς ὑφ' Ἕκτορος. ἄτοπον δὲ ᾗ τὸ ἅμα πάντας προκαλεῖσθαι. A.

Ἄλλως. ἐζήτηται πῶς ὁ Ἀλέξανδρος προεκαλεῖτο πάντας τὰς ἀρίστας τῶν Ἑλλήνων δειλὸς ὢν τὰ πάντα ᾗ ἀδόπλιτης ἀλλὰ τοξότης. ἔνιοι μὲν ἔν φασιν ἀλαζονεύεσθαι αὐτὸν τὰ ἀδύνατα, φοβεῖσθαι δὲ τὰ τυχόντα· οἱ δέ, ὅτι συγκεκλεισμένοι ὑπὸ Ἀχιλλέως οἱ Τρῶες τοὺς τῶν Ἑλλήνων ἀρίστους ἐκ ἤδεισαν. καὶ ἐμοὶ μὲν δοκεῖ ὅτι κωμῳδεῖν ἐπανῃρημένος ὁ ποιητὴς καὶ χῆμα τῆς ὁπλίσεως καὶ θάρσους ἀλλότριον τῶν ὅπλων αὐτῷ προσέθεικεν, ἵν' ἐκ τοῦ μέλλοντος φόβου μείζονα προσοφλήσῃ τὸν γέλωτα. ABDL.

20. δηϊοτῆτι: μάχῃ, παρὰ τὸ δηϊόω ἐν αὐτῇ τοὺς τιτρωσκομένους, ὃ ἐξι διακόπτεσθαι. D.

Ἔτως ὁ Ἀρίσαρχος προπερισπᾷ δηϊοτῆτι, ὡς ἀπὸ ὀξυτόνου εὐθείας. τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ. A.

21. Μενέλαος: ἔτος γ' ἦν μόνον ἑξῶς καὶ τὸν ἀδικήσαντα ζητῶν· ὁ δὲ ἀλαζονείᾳ ἑπτομένος. BL.

22. τὸ προὐπάροιθεν ὁμίλου τοῖς ἐπάνω προσδοτέον. A.

ἐπὶ σώματι κύρσας: μεγάλῳ ζῴῳ ἐπιτυχών· νεκρῷ γάρ φασι σώματος μὴ ἅπτεσθαι λέοντα. AD.

τὸ σῶμα Ὅμηρος μὲν ἐπὶ νεκρῷ, οἱ δὲ ἄλλοι καὶ ἐπὶ ζώντων. λέγει δὲ ἐκεῖνον, ἢ ὃν αὐτὸς νεκρὸν εἰργάσατο, ἢ τὸν τοξευθέντα, ὡς τὸ „θῶες μέν τε διέτρεσαν" (Il. 11, 481). ἢ τῷ πεινάων λύεται. καὶ ὁ μὲν ἐλάφῳ καὶ τεθνεῶτι παρείκασαι, ὁ δὲ λέοντι καὶ πεινῶντι· μέγα δὲ πρὸς θάρσος καὶ δειλίαν συνειδός. αἶγα δέ, διότι κατωφερὴς καὶ κερασφόρος ὁ τράγος· τοξότης δὲ καὶ ὁ Πάρις. BLV.

κεραόν: τέλειον· τὰ νέα γ' ἀμβλυκέρατά φασιν. V.

εὔκερων ἄρρενα· αἱ γ' ἠλεῖαι τῶν ἐλάφων οὐ κερατοφοροῦσιν (κερατοφυοῦσιν D). ἔλαφος δὲ εἴρηται παρὰ τὸ ἐλεῖν τὰς ὄφεις, οἱονεὶ ἕλοφός τις ἔσα· τότες γ' ἐσθίουσα καθαίρεται φυσικῶς. ὅτε γοῦν ἀφανεῖς ὦσιν οἱ ὄφεις, αὕτη τὸ κέρας αὐτῆς προσρίβει εἰς πέτραν, ὃ θερμαινόμενον ποιεῖ τινὰ ἀναθυμίασιν, ἧς μεταλαμβανόμενοι οἱ ὄφεις τῶν φωλεῶν ἐξίασιν εὐθέως. ADL.

24. 25. συναπτέον ἕως τῷ πεινάων· φαῦλοι γ' οἱ συνάπτοντες τὸ πεινάων τοῖς ἑπομένοις. ὑποσικτέον δὲ εἰς τὸ αἰζηοί. A.

δύναται ἐπὶ τοῦ πεινάων καὶ σιγμὴ καὶ ὑποσιγμὴ εἶναι. οὐ γὰρ συναπτέον τοῖς ἑξῆς. χαλεπὸς δέ ἐσι πεινῶν, ὅσον ἥμερος βεβρωκώς· τῶν γὰρ ἄλλων ἐσὶ ζῴων θερμότερος. ὥσπερ ἂν τῦτον παροξύνει λιμὸς καὶ εἰς ἀπερίσκεπτον κίνδυνον, ἅτω καὶ νέον ἄνδρα πολεμίᾳ ζῆλος εἰς ἀνεκλύγιζον ἀγῶνα προτρέπεται. BL.

25. εἴπερ ἂν αὐτόν: ὅτι τὸ εἴπερ ἂν αὐτόν ἀντὶ τῦ εἰ ᾗ αὐτόν, ὡς ὅταν λέγῃ „εἴπερ ἂν αὐταὶ Μῆσαι θέλοιεν" ἀντὶ τῦ εἰ καὶ αὐταί. καὶ ὅτι ὁ τέ σύνδεσμος περισσεύει. A.

26. θαλεροί: ἀκμαῖοι, παρὰ τὸ θάλλειν (ὃ ἐσιν αὔξειν) τῇ ἡλικίᾳ. D.

28. ὀφθαλμοῖσιν ἰδών: πρώην γ' ἀναπολῶν αὐτὸν τῇ διανοίᾳ, νῦν τὴν θέαν πρὸς ἐρεθισμὸν ἐδέξατο. BL. περισσὸν τὸ ὀφθαλμοῖσιν· ἤρκει γ' τὸ ἰδών. D.

ἀλείτην: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀλείτας, τὰς ἁμαρτίας ἐκλαμβάνων. κρεῖττον δὲ αὐτὸν τὸν Ἀλέξανδρον λέγεσθαι ἀλείτην. A.

29. ὀχέων: ἀπὸ τῦ ἔχω ὄχος, καὶ ἀπ' ὠτῦ τῦτο· ὅθεν καὶ τὸ „ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο" (Il. 5, 745). BL.

χαμᾶζε: προπερισπᾶται. ἐχρῆν δὲ πρὸς τὸν χαρακτῆρα τρίτην ἀπὸ τέλες εἶναι τὴν ὀξεῖαν συγελλομένῃ τῷ ᾶ, ὥσπερ τὸ Ἀφίδναζε Θήβαζε ἔραζε, χωρὶς εἰ μή ἐσιν ἀφορμὴ ὅτι ταῦτα ἀπὸ ὀνομάτων, τῦτο δὲ ἀπὸ ἐπιῤῥήματος τῦ χαμαί. τὸ δὲ μέταζε χρονικὸν παρὰ πρόθεσιν παρῆκται. A.

31. φανέντα: φανέντα μόνον, οὐδὲ μαχόμενον. διὰ δὲ τῦ ἐξ ὀχέων πέφρακεν ἐν χήματι ὡς ἱππεὺς ἦν ὁ Μενέλαος. BL.

ἡ ὑποσιγμὴ διὰ τὸ ὥς μόριον, τὸν δ' ὡς ἓν. ἡ διπλῆ δέ, ὅτι ἀντὶ τῦ κατεπλάγη. A.

32. ἀψ δ' ἑτάρων: εἶχε γ' ἴσως Ἀντιμαχείους φίλους. V.

33. ὡς δ' ὅτε τίς τε δράκοντα: ἀνωτέρω περὶ τῦ λέοντος ἐξειργάσατο, ὁ τῦ ἐλάφε· τῦ δρῶντος γ' ἦν ἡ εἰκών. καὶ τὰ μὲν ἄλλα τῶν ζῴων καὶ πόῤῥωθεν ὁρᾶσθαι μεγέθει ἢ φωνῇ, ὄφις δὲ ἐγγὺς γεγονότι παραδόξως ὁρᾶται· ὃ συνέβη Ἀλεξάνδρῳ. ABL.

34. γυῖα: πάντα τὰ μέλη, ὡς τὸ „ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων" (Il. 24, 514). BL.

35. ἄψ: συνωνύμως τῷ παλίνορσος. LV.

ὤχρος: ἔτως ὤχρος ὡς ὦμος, εἰς ἀποφυγὴν τῦ ἐπιθετικῦ. τάχα δὲ καὶ ἄχροός ἐσιν, ὃ ἐν ὑπερθέσει γίνεται ὄχρος, καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὤχρος βαρυνόμενον. ἄλλως τε τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τῦ ω, μὴ προσκειμένε τῦ ι, βαρύνεται, ὦμος. πρόσκειται μὴ ἔχοντα τὸ ι διὰ τὸ ᾠδός. ὤχρος ὥσπερ τὸ μῶμος. BL.

παρειά: ἔτως ὀξυτόνως καὶ χωρὶς τῦ σ γραπτέον, ἵνα ᾖ ἑτέρου· τὰ γ' ἀπὸ τῶν τοιέτων θηλυκῶν μεταποιούμενα εἰς ἑτέρου γένος, τῦ αὐτοῦ σημαινομένε μένοντος, τὸν αὐτὸν φυλάσσει τόνον, πλευραί πλευρά, πυραί πυρά. ὃ ἀντίκειται τὸ νευραί καὶ νεῦραι διάφορον γ' τὸ σημαινόμενον. ἔτως παρειαί παρειά. φασὶ μέντοι Ἀρίσαρχον ᾗ Ἀριστοφάνην γράφειν παρειάς σὺν τῷ σ, ἐπειδὴ καὶ παρειάων ἀπαλάων λέγει (Il. 18, 123). A.

Ἀρίσαρχος ἑτέρως, ἔν τισι δὲ θηλυκῶς. ὁ δὲ Σιδώνιος διὰ τῦ η διὰ τὸ παρῆϊον. τὸ δὲ παρειά ὡς τὸ ἀγαθά· τὰ γ' ἀπὸ τῶν θηλυκῶν Ἰωνικῶς μεταποιέμενα εἰς οὐδέτερον γένος φυλάσσει τὸν αὐτὸν τόνον, ἡ πλευρά - τὰ πλευρά. ἔτως ἔν καὶ τὸ παρειά παρῆκται. BL.

36. καθ' ὅμιλον ἔδυ: τὸ ἑξῆς κατέδυ. ἀπὸ μεταφορᾶς τῶν εἰς τὰς φωλεὰς καταδυομένων ἑρπετῶν. DV.

Τρώων ἀγερώχων: ἡ διπλῆ, ὅτι ἀγερώχους τοὺς Τρῶας, οὐ μόνον τὰς Ῥοδίας, ὥς τινες ᾠήθησαν, διὰ τὸ ἀγείρειν τὴν ὀχήν, τετέσι τὴν τροφήν· ὁ γ' Ὅμηρος ἀγερώχας τὰς ἄγαν γεραώχους καὶ σεμνὰς λέγει. λίαν γέρας ἐχύντων· ἄμεινον δὲ ἐνταῦθα τὸ μεγαλοφρόνων. BL.

37. Ἀτρέος υἱόν: διὰ τῦ ὀνόματος τῦ πατρὸς Μενελάε καὶ τὸ τότε παρεδήλωσεν ἀδελφὸν ἐν χήματι. BL.

39. Ἄδσπαρι: ἐπὶ κακῷ ὠνομασμένε Πάρι, κακὲ Πάρι. καὶ Ἀλκμᾶν φησὶν „Ἄδσπαρις, Ἀλνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρᾳ." A.

ἠθικῶς τὸ τῆς παρονομασίας πρὸς ἐρίψε τῷ ὀνόματι

δηχεραίνων, ὡς ϗ Κακοΐλιόν πέ φησιν ἡ Πηνελόπη (Od. 19, 260 et 597. 23, 19). ἐπὶ δὲ τῷ εἴδει, ἐφ' ᾧ καὶ μεγαλύνεῖ, διωσύρει αὐτόν. ἄνειδος δέ ἐστιν εἶδος ἐχ ὁμοιούμενον ψυχῇ, ὡς τὸ „Ἕκτορ εἶδος ἄριστε (Il. 17, 142) καὶ „σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος." γυναιμανὴς δὲ ὁ τὰς γυναῖκας ὡϛ μαινάδας τῇ τῆς ὥρας ποιῶν ἁπάτῃ, ἢ ὁ ἐπ' αὐταῖς μαινόμενος. BLV.

40. ἀγονός τ' ἔμεναι: Διονύσιός φησιν ὁ σκυτοβραχίων Δάρδανον ἀπὸ Ἑλένης ϗ Πάριδος γενέσθ. A.

ἐνταῦθα δ' τέ ἀντὶ διαζευκτικῆ τῆ ἤ, ὡς ϗ ὁ καί, οἷον „πρώτῃσι ϗ ὑστατίῃσι βόεσσιν" (Il. 15, 634). τῷ δὲ θυμῷ ἡττώμενος ἐπὶ τὸ ἀδύνατον τῆς κατάρας ἐκπίπτει. BL.

41. καί κε τὸ βουλοίμην: ἐβουλόμην ἂν τᾶτο ὡς καλῶς γενησόμενον. ἀλλὰ καὶ πολύ, φησί, κρεῖττον ἂν ἐγεγόνει, σοὶ δηλονότι. BL.

ςικτέον ἐπὶ τὸ βελοίμην, τὰ δὲ ἑξῆς συναπτέον. A.

42. ἔμεναι καὶ ὑπόψιον ἄλλων: δεῖ ςίζειν εἰς τὸ ἔμεναι, καὶ τὸ λοιπὸν συνάπτειν ἕως τᾶ ἄλλων, ἵν' ᾖ, βελοίμην ἂν σε ἄγονον καὶ ἄγαμιον εἶναι, ϗ τὰς ἄλλας ὑφορώμενον, μήπως ἃ δράσεις πείσῃ· ἢ ὃν διὰ μῖσος ὑπόδρα ὀρᾷ τὸ πλῆθος. βαρύτερον δὲ φόβᾳ ἐχθρῶν ἡγεῖ τὸ τῶν πολιτῶν μῖσος. Ἀριςοφάνης δὲ ἐπόψιον γράφει καὶ οὐ ςίζει, ἵν' ᾖ ἄτω, λώβην εἶναι ϗ κερδᾶναι τὴν ἀπὸ τῆς φυγῆς αἰχύνην ἐπὶ τῆς πάντων ὄψεως. BLV.

43. ᾖ: περισπαςέον τὸν ᾖ· βεβαιωτικὸς γάρ ἐςι, ϗ ἰσοδυναμεῖ τῷ δή. A.

καγχαλόωσι: παρὰ τὸ χαλόω, καὶ κατὰ ἀναδιπλασιασμὸν καγχαλόω, παρὰ τὸ ἐν χαλάσματι γίνεσθϛ τὴν ψυχὴν χαίρουσαν. L.

τὸ ἑξῆς ἄτως· ἢ πᾶ καγχαλόωσιν, ἕνεκα καλὸν εἶδος ἔπ', ἀλλ' ἐκ ἔςι βίη φρεσίν. τὸ δὲ φάντες διὰ μέσου, ἵν' ᾖ, καίτοι σε ἀριςέα ὑπονοήσαντες εἶναι ἐκ τῆς καθοπλίσεως καὶ τᾶ προηγεῖσθαι τῆς παρατάξεως. ἐκ προοιμίου δὲ τὸ φιλότιμον Ἕκτορος δείκνυται ϗ τῆς παρὰ τῶν πολλῶν περφρονικὸς δόξης· „αἰδέομαι γάρ" φησι „Τρῶας" (Il. 6, 442)· „πατρὸς δ' ὄγε πολλὸν ἀμείνων (ib. 479)· „ὃν ποτ' ἀριζεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ" (Il. 7, 90). BLV.

φάντες ἀριςῆα: πότε ὑπέλαβον Ἕλληνες Ἀλέξανδρον ἀριςέα εἶναι; δῆλον ὅτι ὁπότε πάλλων τὰ δόρατα Ἀργείων προκαλίζετο πάντας ἀρίζας. ABLV.

πρόμον: ἡ διπλῆ, ὅτι κατὰ συγκοπὴν τὸν πρόμαχον εἴρηκεν, ἐχ ὡς οἱ γλωσσογράφοι τὸν βασιλέα. A.

45. εἶδος ἔπ': μετὰ τὸ εἶδος ἔπ' ἐὰν ὑποςίζῃς, ὃ καὶ ἄμεινον, ἀπὸ κοινᾶ τὸ φάντες ὅτι καλὸν μέν ἐςιν εἶδος, ὅτι καλὸς μέν ἐςι, γύνις δέ. ἐὰν δὲ ςίζῃς, τὸ ἑξῆς ὡς ἀπὸ τᾶ Ἕκτορος δώσεις. BV.

οὐκ ἔςι βίη φρεσίν: βίη δύναμις, φρεσί δὲ τῇ διανοίᾳ. τετέςιν ἐκ εἶ ἔμψυχος, ἐδὲ τὴν τυχᾶσαν ἔχεις δύναμιν. AD.

46. ἦ τοιόσδε ἐών: τινὲς κατὰ πεῦσιν ϗ θαυμασμόν· τοιᾶτος ὢν δειλός, συναγαγὼν πλῆθος, διελθὼν πέλαγος, γυναῖκα ἀνδρὸς πολεμικῆ ἤγαγες, τῷ πατρὶ ϗ τοῖς ἄλλοις κακὸν μέγα; εἶτα ἀπὸ ἄλλης ἀρχῆς, οὐκ ἂν δὴ μείνειας Μενέλαον, ἠθικῶς μετὰ πεύσεως ἢ διαβεβαιωτικῶς. τινὲς δὲ τὸ πᾶν ἄτως· τὸν ἢ ἀντὶ τᾶ εἶ· εἰ τοιᾶτος ὢν ἐπηγάγε πλῆθος καὶ ἀπὸ ξένης γῆς γυναῖκα ἀνδρὸς πολεμικῆ ἤγαγες, ἐκ ἂν ὑπομείνειας τὸν ταύτης ἄνδρα. ὃ καὶ προκρίνει Νικάνωρ ὡς μᾶλλον τὴν δικαιολογίαν ἔχον. ABL.

ἄλλως. ἐνταῦθα δὲ ἐγκλίνεται ὁ σύνδεσμος, ὁμοίως τῷ „ἦ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἦλθω" (Od. 16, 138)· καί μοι δοκεῖ ἰσοδυναμεῖν τῷ εἶ. λέγω δὲ τὸ τοιοῦτον· εἰ ἤδεις σάφα οἵῃ περίφρων Πενελόπεια. A.

47. ἐπιπλώσας: ὁ Ἀπολλώνιος χηματίζει τὸ ἐπιπλώσας ἄτως· πλέω καὶ ἐπιπλώω, ᾧ ἀόριςος ἐπέπλωσα, μετοχὴ ἐπέπλωσας, εἶτα ἀποκοπὴ ἐπιπλώς. ϗ τὸ ἐπέπλως δὲ ῥῆμα „τέκνα γ' ϗ πόντον ἐπέπλως" (Od. 3, 15) ὁμοίως ἐκ τᾶ ἐπέπλωσας ἀποκοπή ἐςιν. ὅτι γ' τὸ ἐπέπλως ἐκ ἔςιν ἀπὸ θέματος τᾶ πλῶμι, δῆλον ἐκ τοῦ μηδὲ εἶναι ὡς ἀπὸ τῶν εἰς μι κίνημα, ἐκ ἀπαρέμφατον ἐπιπλῶναι, ἐκ εὐκτικὸν ἐπιπλοίην, ὁ προσακτικὸν ἐπίπλοθι, ἐκ ἄλλο ἐδέν. ἔδει δὲ ϗ τὴν μετοχὴν εἶναι ἐπιπλάς ὡς βιάς καὶ γνάς. ὅτι γ' ὁ Δωρικῶς ἐτράπη εἰς τὸ ω ὡς βᾶς βῶς, δῆλον ἐκ τᾶ μὴ προκειῆθϛ αὐτᾶ ἐν χρήσει τὸ κοινόν. A.

ἐρίηρας: παρὰ τὸ ἔρι μόριον ϗ τὸ ἄρω τὸ ἁρμόζω. BL. καὶ ἄλλως, ἄγαν εὐαρμόσας καὶ φίλας τῷ Ἀλεξάνδρᾳ, τετέςιν ἅρπαγας, πλεονέκτας καὶ μοιχάς. γίνεται δὲ ἐκ τᾶ ἔρι ἐπιτατικῆ καὶ τᾶ ἄρω τὸ ἁρμόζω, οἱονεὶ ὁ εὐάρμοσος· ἢ παρὰ τὸ ἦρα, ὃ σημαίνει τὴν χάριν, ὡς τὸ „ἐπὶ ἦρα φέροντες." L.

48. ἀνῆγες: ἡ διπλῆ, ὅτι ἀναγωγὴν λέγει τὸν ἐκ Πελοποννήσου εἰς Τροίαν πλοῦν· ἔςι γ' ὑψηλότερα τὰ πρὸς αὐτούς. A.

49. ἐξ ἀπίης γαίης: ἡ διπλῆ, ὅτι ἀπίαν τὴν πολὺ ἀφεςῶσαν, οὐχ ὡς οἱ νεώτεροι τὴν Πελοπόνησον. φησὶ γᾶν „ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ" (Od. 16, 18). AV.

νυὸν ἀνδρῶν αἰχμητάων: πάντες γ' οἱ ἄριςοι τὴν Ἑλένην ἐμνηςεύσαντο, μόνου δὲ Μενελάου θαλερὴ γέγονε παράκοιτις. BL. ἢ ὅτι παντὶ τῷ οἰκείῳ τοῦ νυμφίου νυὸς ὀνομάζεται. V.

50. πατρί τε σῷ μέγα πῆμα: ἀκόρεςον ϗ ἄτακτον ὁ θυμός· πολλὰς γᾶν ὁ ποιητὴς ἐπὶ τῶν ὀργιζομένων εἴωθε ποιεῖσθϛ ἀρχάς, ἀσύνδετον ἐᾶν τὸν λόγον, ὡς τὸ „οἰνοβαρές" (Il. 1, 225) ϗ τὰ ἑξῆς. ἄτοπον γ' πῆμα τὴν Ἑλένην καλεῖν Ἕκτορα, περὶ ᾧ φησὶν „ἀλλ' ἔπω σευ ἄκοσα κακὸν ἔπος" (Il. 24, 767). BL.

51. κατηφείην: ἔτως κατηφείην σὺν τῷ ν ὁμολόγεν αἱ Ἀριςάρχε καὶ ἡ Ἀριςοφάνους καὶ ἡ Σωσιγένες καὶ ἡ Ἀργολική, καὶ χεδὸν ἐν ταῖς χαριεςάταις ἔτως εἶχεν. ἡ δὲ Ζηνοδότε χωρὶς τᾶ ν κατηφείη. A.

53. οἷον φωτὸς ἔχεις θαλερὴν παράκοιτιν: οἷος ὤν, φησί, τίνα τίνος ἐςέρησας. ἐκ ἄρα Χίλωνος, ὡς ὑποφαίνεται, δόγμα τὸ γνῶθι σαυτόν, ἀλλ' Ὁμήρε. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀσύνδετος ὁ λόγος· θυμαμένῃ γ' ἀνδρὸς τὰ ῥήματα. V.

54. *κίθαρις*: ἡ ἐπὶ πορνείᾳ πρὸς χάριν Ἀφροδίτης ἀλλ' ἐ Μισσῶν ᾀδομένη (διδομένη V). ἡ δὲ Ἀχιλλέως κιθάρα ᾗ τὸ εἶδος ἐνάρετον. πᾶν δὲ σωματικὸν πλεονέκτημα δίχα ψυχικῆς ἀρετῆς ἄχρειόν ἐστι· διὸ αὐτὰ ᾗ Ἀφροδίτης φησίν. BL. τὸ δὲ ἄλλο θεῶν· „τῷ δὲ θεοὶ κάλλος τε καὶ ἡνορέην ἐρατεινὴν ὤπασαν" (Il. 6, 156). V.

ἡ διπλῆ, ὅτι τινές, μὴ εὑρίσκοντες κατὰ τὴν ποίησιν τὸν Ἀλέξανδρον κιθαρίζοντα, μετέγραψαν κίδαρις· τοῦτο δὲ πίλος γένος εἶναί λέγουσιν. πολλὰ δέ ἐστιν ἁπαξ λεγόμενα παρὰ τῷ ποιητῇ. A.

55. *ὅτ' ἐν κονίῃσι μιγείης*: ὅταν ἀναιρεθῇς συσὰς εἰς μάχην τῷ Μενελάῳ· κόνιν γὰρ ἔλεγον καὶ τὴν μάχην οἱ παλαιοί. D.

56. *δειδήμονες*: ἡ διπλῆ περιεσημμένη, ὅτι Ζηνόδοτος γράφει ἐλεήμονες. ἐκ ἐλέεσι δὲ αὐτόν, ἀλλὰ μισεῖσιν· „οἳ μὲν γὰρ φιλότητί γ' ἐκείθανον· ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο" (453). διὰ δὲ τὸν Πρίαμον καὶ τὸν Ἕκτορα εὐλαβοῦνται αὐτῷ ἀντιπράσσειν. A.

εὐλαβεῖς περὶ τοὺς ἄρχοντας. φιλάδελφος δέ, ὃς κατὰ πρόσωπον λοιδορεῖ, ἡττώμενον δὲ ὁ προδίδωσιν. BL.

57. *λάϊνον ἕσσο χιτῶνα*: λιθόλευστος ἐγεγόνεις, λίθοις βληθεὶς ὑπὸ πάντων ἀπωλώλεις. D.

ἕσσο διὰ τῶν δύο σ εἶχον αἱ Ἀριστάρχου καὶ ὁ μόνον ἐν τοῖς ὑπομνήμασιν εἶχον ἕτως, ἀλλὰ καὶ ἐν ἐνίοις λόγος ὑπέκειτο, ὅτι ἀνάλογον ἦν τὸ „ἕσσω μιν χλαῖνάν τε" (Od. 16, 79) καὶ ἕσσας (Od. 14, 396). ᾗ ἡ Ζηνοδότου δὲ ἕτως εἶχε καὶ ἡ Ἀριστοφάνους. A.

ἐπὶ τὸ ἕνεκα βραχὺ διασαλτέον· ἀνέσραπται γὰρ ὁ λόγος. Σέλευκος δὲ ἀξιοῖ σίζειν, ἵνα γένῃ θαυμασικόν, ὅσσα ἔοργας, καθ' ἑαυτὸ λεγόμενον· ὅπερ οὐ πάνυ τι δοκεῖ μοι. A.

εἰς τὸ ἕνεκα ὑποσικτέον, καὶ τὸ ἐξῆς ἰδίᾳ προενεκτέον ἐν ἤθει. BL.

59. *Ἕκτορ*: ἐκ ἤθεῖε ἐδὲ κασίγνητε, ὡς πολλαχοῦ, ἀλλ' Ἕκτορ· πᾶσαν γὰρ εὐνοϊκὴν προσηγορίαν ὁ θυμὸς ἐξέκοψεν. AB.

μετὰ τὴν κλητικὴν Ἕκτορ σικτέον, κατὰ δὲ τὸ τέλος τῆ σίχᾳ σικτέον ἐν ὑποκρίσει. ὅλη δὲ ἡ ὁμοίωσις διὰ μέσου· τὸ γὰρ ἐξῆς, ἐπεί με κατ' αἶσαν ἐνείκεσας, μή μοι δῶρ' ἐρυτὰ πρόφερε· τὰ δὲ ἄλλα διὰ μέσου. ἐπὶ δὲ τῶν τοιούτων ὑπερβατῶν τὰς παραλλήλους δύο ὀξείας ὑποτίθεμεν ἑκατέρωθεν τῶν διὰ μέσου. ἔχει δὲ καὶ αὕτη ἀνταπόδοσις· αἰεί τοι κραδίη πέλεκυς ὥς. ὁ δὲ λόγος· ἐπεί μοι ἐπέπληξας, σιδήρᾳ τομώτερον εἶναί σέ φημι. A.

τοιοῦτον δέ φησιν, ὅτι ἐπιπλήττει μὲν αὐτῷ ἐοικότα, ᾗ μὴν ἀληθῆ. BL.

60. *αἰεί τοι*: μή τι ἐν με καταγίνωσκε τοιοῦτος ὢν ᾗ πρὸς σεαυτὸν συγκρίνων. εὖ δὲ ᾗ εἰκόνα ἀπαθεζάτην εὗρε τὴν σιδήρᾳ, καὶ ἐκ ἀργῆ ἀλλὰ δρῶντός τι. AL.

61. *ὅς ῥά τε τέχνῃ*: ἀδύνατόν φασιν εἶναι τὸν γὲ πέλεκυν ἀδύνατον τέχνῃ χρῆσθαι. λύοιτο δ' ἂν τῷ λέγειν, ἐχ ὥς τινες, ὅτι ἐπὶ τοῦ ἀνδρὸς λέγεται τὸ ἀκροτέλευτον, ὃς ῥά τε τέχνῃ, ὁ ἀνὴρ· τὸ γὲ ἐπιφερόμενον ἐλέγχει τὲς λόγες ὑπὲρ τῆ πελέκεως ὄντας „ὀφέλλει δ' ἀνδρὸς ἐρωήν." μᾶλλον ὥσε τὸ τέχνῃ εἶναι ὑπὸ τέχνης. συνήθης δὲ ὁ τρόπος τῆς ἑρμηνείας, ὡς ἐν τῷ „γήραϊ δὴ πολέμοιο πεπαυμένοι" (150) ἀντὶ τῆ ὑπὸ τῆ γήρως, ᾗ „ὃς δὴ γήραϊ κυφὸς ἦεν" (Od. 2, 16) ἀντὶ τῆ ὑπὸ τῆ γήρως. BL.

62. *ὀφέλλει δὲ ἀνδρὸς ἐρωήν*: ὀξὺς ὢν καὶ ἠκονημένος τὴν τοῦ τέμνοντος αὔξει ὁρμήν, ὥσπερ θραύει ὁ ἀμβλύς. BDL.

63. *ὡς σοί*: ἡ σοὶ ἀντωνυμία ὀρθοτονεῖται νῦν διὰ τὴν ἀντιδιαζολήν. A.

δύο ὑπεροχῶν ὁμοιότητας παρέθετο, πελέκεως ᾗ γνώμης, ὡς εἴ τις λέγοι, ὅσον ἦν Αἴας πρᾶξαι δυνατός, τοσοῦτον Ὀδυσσεὺς βεβούλευκεν. BL.

64. *δῶρ' ἐρατὰ χρυσῆς Ἀφροδίτης*: ὡς ὑγρὸς ἄμφω αὔξει. ὁ δὲ Ἕκτωρ (54) δῶρ' Ἀφροδίτης. V.

χρυσῆν τὴν Ἀφροδίτην ἀπὸ τῆς χολῆς καλεῖ. BL.

Ἐσιαία (ἐσία L) φησὶν ἡ γραμματικὴ ὅτι πεδίον ἐστὶ χρυσοῦν καλούμενον, ἐν ᾧ χρυσῆν Ἀφροδίτην τιμᾶσθαι, ᾗ εἶναι ἕτω χρυσῆς Ἀφροδίτης ἱερόν. καὶ οἱ μὲν τὴν ἀπὸ τῆς Πάφε, οἱ δὲ τὴν καλήν. Κλεάνθης δὲ ἐν Λέσβῳ ἕτω τιμᾶσθαι χρυσῆν Ἀφροδίτην. BDL.

65. 66. ἡ διπλῆ πρὸς τὸ ζητούμενον, πῶς, εἰ οὐκ ἔστιν ἀπόβλητα, ἑκὼν ἐκ ἂν τις ἕλοιτο. A.

τὸ „οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικερδέα δῶρα, ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο" ἐναντιολογίαν δοκεῖ περιέχειν· τὰ γὲ μὴ ἀπόβλητα δῶρα, καὶ μάλα παρὰ θεῦ δωρούμενα καὶ ἐρικερδέα, πῶς οὐκ ἂν τις ἑκὼν ἕλοιτο; λύεται μαχομέναις κατὰ τὸ κοινὸν ἐννοίαις. ἡ δὲ λύσις· θεῶν δῶρα ᾗ μόνον ἃ διδόασιν ἀγαθά, ἀλλὰ ᾗ ἃ παρέχουσι κακά· „δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὐδει, δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων" (Il. 24, 527)· ὥσε δῶρα καὶ κακά, ἅπερ οὐκ ἂν τις ἑκὼν ἕλοιτο, δοθέντα δὲ ἐργεῖν αὐτὰ ὀφείλει. ἢ ἁπλῶς τὰ δῶρα, ὁποῖα ἂν ᾖ παρὰ θεῦ, φησίν, ἐδὲ ἀπόβλητά ἐστι διὰ τὸ μὴ ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν κεῖσθαι εἰς τὸ ἀποβαλεῖν. τὸ οὖν μὴ εἶναι ἀπόβλητα μήτε ὑφ' ἑκόντων ληπτέα εἴρηται ὅτι οὐκ ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ κεῖται εἰς τὸ ἀποβαλεῖν ἢ λαβεῖν. ἀναιρεῖ δὲ ἑκάτερον τὸ ἐφ' ἡμῖν, ὡς μήτε ἐνὸν ἡμῖν αὐτὰ ἀποβαλεῖν ἐθελήσασι μήτε λαβεῖν προθυμηθεῖσιν, ἄν τε ἀγαθὰ ἄν τε ἐναντία· καὶ ἔχειν ὁ λόγος, ἃ θεοὶ διδόασι δῶρα, κἂν ἐρικυδέα κἂν φαῦλα, ἔτε ἀποβαλεῖν ἐφ' ἡμῖν ἐστὶν ἔτε λαβεῖν ἐφ' ἡμῖν ἂν εἴη. τὸ γὲ ἑκὼν ἐκ κοινῆ δεῖ καὶ πρὸς τὸ ἀποβαλεῖν ἀκοῦσαι ᾗ πρὸς τὸ ἑλεῖν· ᾗ γὲ ἑκὼν ἂν τις καὶ θέλων λάβοι ἃ ἐν τῇ τῶν κρειττόνων καὶ ὑπὲρ ἡμᾶς ὄντων ἐξουσίᾳ κεῖται. λύεῖ ᾗ κατὰ λέξιν· τὸ γὲ ἑκών ἐπὶ τῆ βεβουλευμένε τιθέμενον δηλοῖ ὅτι καλὰ μὲν τὰ δῶρα, ᾗ μὴν ἅπαντα τῷ βεβουλευμένῳ ῥᾴδια ληφθῆναι. L.

τὰ ὑπὸ τῶν θεῶν, φησί, διδόμενα δῶρα ἐκ ἔστιν ἀρνή-

σαθῃ οἷα ἂν εἶσιν· μὴ διδόμενα δὲ παρ' αὐτῶν ἀδύνατόν τινα λαβεῖν οἰκεία σπεδῇ. AD.

68. ἄλλους μέν: ἐν χήματι δηλοῖ ὅτι ἐ διὰ τὴν Μενελάου δύναμιν δειλιᾷ ἀλλὰ διὰ τὴν τῶν συμμαχόντων, ᾗ διὰ τοῦτο μόνος μόνῳ αἰτεῖ πολεμῆσαι. BL.

69. αὐτὰρ ἔμ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον: βαρβαρικὸν τὸ μονομαχεῖν ἔθος. τὸ δὲ ἐπίθετον Μενελάου ποιητικόν. BL.

70. ἀμφ' Ἑλένῃ: πολεμῆσιν, ἵνα ὁ μὲν λάβῃ ἅπερ ἀφῄρητο, ὁ δὲ ἀσφαλῶς κτήσηται. L.

71. ὁππότερος: ὁ τρόπος διπλασιασμός· ἡ διάλεκτος Αἰολίς. D.

εἰς τὸ νικήσῃ καὶ τὸ γένηται βραχὺ διαιαλτέον. LV.

κρείσσων: διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ν̄ κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς ἔχει τὸ ν̄. A.

παρὰ τὸ κρατῶ κρατείω κράσσων, καὶ τροπῇ τοῦ ᾱ εἰς ε̄ κρέσσων, ὡς βάραθρον βέρεθρον, καὶ πλεονασμῷ τοῦ ῑ κρείσσων. BL.

73. ταμόντες: δι' ἐντόμων ποιησάμενοι, τετέχι θυσιῶν. BL.

74. ναίοιτε: διὰ τὸ νεμεσητὸν ἐκ εἶπε ναίοιμεν. BL.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ναίοιμεν. γελοῖος δέ ἐξιν ἑαυτὸν καταριθμῶν τοῖς ὕστερον οἰκήσουσι τὴν Τροίαν, ἀδηλότητος ἔσης εἰ νικήσει. A.

75. Ἄργος: τὴν Θεσσαλίαν. ᾗ Ἀχιλλεύς „οἷον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος" (Il. 19, 329). V.

ἱππόβοτον: Ἰασὸς ᾗ Πελασγὸς Τριόπα παῖδες· τελευτήσαντος δὲ αὐτοῖς τοῦ πατρὸς διείλοντο τὴν βασιλείαν.*) λαχὼν δὲ Πελασγὸς μὲν τὰ πρὸς Ἐρασῖνον ποταμὸν ἔκτισε (ἔκτ. τὴν νῦν καλουμένην V) Λάρισσαν, Ἰασὸς δὲ τὰ πρὸς Ἥλιν. τελευτησάντων δὲ αὐτῶν (ἀναλωθείσης δὲ τῆς γῆς V) ὁ νεώτατος ἀδελφὸς Ἀγήνωρ ἐπεξράτευσε τῇ χώρᾳ, πολλὴν ἵππον ἐπαγόμενος (Ἀγ. πολλὴν ἵππον ἐκτήσατο V), ὅθεν ἐκλήθη ἱππόβοτον μὲν τὸ Ἄργος ἀπὸ τῆς Ἀγήνορος ἵππου, ἀπὸ δὲ Ἰασοῦ Ἴασον. ἱστορεῖ Ἑλλάνικος ἐν Ἀργολικοῖς. ADV.

Ἀχαιίδα καλλιγύναικα: τὴν πᾶσαν Ἑλλήνων γῆν Ἀχαιίδα φησὶ καλλιγύναικα· τῷ γὰρ ἔρωτι Ἑλένης τὴν πᾶσαν τοιαύτην εἶναι ὑπολαμβάνει (μαντεύεται V). ABLV.

76. ἐχάρη μέγα: εἰκότως ἤδεδ· ἢ γὰρ νικήσει, ἢ ἀκλεὲς ἀδελφῷ ἀπαλλαγήσεται. BL.

78. μέσσου δουρὸς ἑλών: διὰ τοῦ μέσου δορὸς ἑλών, ἐπεὶ τέως ἐν καταιάσει τὰ τῆς μάχης ᾗ ἀκέεται· ἡνίκα δὲ μεσοῖ ὁ πόλεμος, τοῦτο ποιεῖ. V.

79. τῷ δ' ἐπετοξάζοντοι πληρᾶν γὰρ τάτῳ τὴν μάχην ᾤοντο· Ἀλεξάνδρᾳ δὲ προϊόντος ἐδὲ φροντίζουσιν. BL.

80. τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον: ἀπὸ μετοχῆς εἰς ῥῆμα. οἱ δέ, ἀπὸ κοινοῦ τὸ ἔβαλλον· οἱ δέ, τιτυσκόμενοι ἰοῖς ἐτόξαζον. τὸ τιτυσκόμενοι ἀντὶ τοῦ καταζοχαζόμενοι. σημαίνει δὲ καὶ τὸ ἑτοιμάζειν, ὡς τὸ „ὡς εἰπὼν ὑπ' ὄχεσφι τιτύσκετο" (Il. 8, 41), καὶ τὸ ψυχικῶς ζοχάζεσθαι, ὡς τὸ „τιτύσκετο δὲ φρεσὶν ἦσιν" (Il. 13, 558). BDL.

ὡς ἀλύω ἀλύσκω καὶ ἀλυσκάζω τὸ ἐκφεύγω, οὕτω καὶ τύκω τύσκω προσθέσει τοῦ σ̄, ᾗ διπλασιασμῷ τιτύσκω, οἱονεὶ τεχνώμενοι, καταζοχαζόμενοι. L.

ἡ διπλῆ, ὅτι Ὅμηρος τὸ βάλλειν ἐπὶ τοῦ τιτρώσκειν τίθησι· νῦν δὲ ἔμφασιν ἔχει. A.

82. ἴσχεσθ': ἀντὶ τοῦ ἴσχετε ἐνεργητικῶς. A.

ἡ διπλῆ, ὅτι τὸ βάλλετε ἀντὶ τοῦ τιτρώσκετε. A.

83. ἡ διπλῆ, ὅτι τὸ στεῦται ἀντὶ τοῦ κατὰ διάνοιαν ὁρίζεται. A.

85. μετ' ἀμφοτέροισιν: ἐν ἀμφοτέροις, λέγω δὴ Τρωσὶ ᾗ Ἕλλησιν. ἡ μετά ἀντὶ τῆς ἔν προθέσεως. D.

87. μῦθον Ἀλεξάνδρου: οἶδεν ἄδικα ἀξιῶν· διὸ Ἀλεξάνδρου φησὶν εἰρεῖν, οὐχ ἑαυτοῦ λόγον, ἐλευθερῶν ἑαυτόν. ἐπιδυχεραίνων δὲ αὐτῷ φησὶ τοῦ εἵνεκα. BL.

90. βραχὺ διαιαλτέον· κοινὸν γὰρ τὸ κέλεται ῥῆμα. A.

92. κρείσσων: ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ν̄ κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς τὸ ν̄ προσλαμβάνει. A.

94. τάμωμεν: μετὰ γὰρ τὴν τῶν ἱερείων τομὴν οἱ ὅρκοι συντελῶνται. BL.

95. ἀκὴν ἐγένοντο σιωπῇ: οὐχ ἵνα ἀκέσωσιν, ὡς ἐπάνω, ἀλλὰ διὰ τὸ τῆ πράγματος ἄδικον. L.

καλῶς. καταπλήσσει δὲ αὐτὸς τὸ ξένον, ὡς εἴ τις μοιχείας διωκόμενος προκαλοῖτο τὸν ἄνδρα τῆς γυναικὸς εἰς μάχην, ὡς μετὰ τῆ γυναίᾳ ᾗ τὴν ψυχὴν ἀφελέμενος. Ἀγαμέμνων δὲ ἐδὲν φθέγγεται, ἔτε προκινδυνεύειν τὸν ἀδελφὸν θέλων (φιλάδελφος γάρ) ἔτε ἀναδύεσθαι· οὐ γὰρ ἔπρεπε γινομένης τῆς κρίσεως περὶ τῶν ὅλων. πρεπόντως δέ πως οἱ πολλοὶ σιωπῶσιν· ἕνα γὰρ εἰς μάχην προεκαλοῦντο. BLV.

ἀκήν: ἡσύχως, ἐπίῤῥημα μεσότητος· σημαίνει δὲ καὶ τὸ ἀφώνως. γίνεται δὲ παρὰ τὸ ἄγη, ὃ σημαίνει τὴν ἔκπληξιν, κατὰ μετάμειψιν τοῦ γ̄ εἰς κ̄. ὡς ἔξι ᾗ τὸ λυγαῖον, ὃ σημαίνει τὸ σκότος (σκοτεινόν L), λυγόφως ᾗ λυκόφως, οὕτω καὶ ἄγη ἄκη, καὶ κατὰ μεταβολὴν τοῦ τόνου ἀκή, καὶ ἀκὴν ἀντὶ τοῦ ἡσύχως. οἶδε γὰρ ἡ ἔκπληξις ᾗ ἀφωνίαν ἐμποιεῖν. ἢ παρὰ τὸ μὴ χαίνειν. BL. γίνεται δὲ τὸ ἀκὴν ἀπὸ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ χαίνω· ὁ γὰρ λαλῶν χαίνει. L.

ἐπ' ἄκρας ἡσυχίας ἐγένοντο· ἀκὴ γὰρ καλεῖται ἡ ὀξύτης. D.

97. κέκλυτε: ἀκέσατέ μου, φησίν, ὡς οὐδαμῶς μὲν ἐπὶ δικαίοις κινδυνεύσω, ἀλλὰ λυπέμενος ἐφ' ὑμῖν καταπονουμένοις, καὶ ἵνα ἀπαλλάξω ὑμᾶς, τὸν ἀλυσιτελῆ ὑποδύομαι πόλεμον **). τὸ δὲ κέκλυτε σημαίνει δύο, γίνεται

*) Ἰασὸς – βασιλείαν] Ἑλλάνικός φησι Φορωνέως γεγενῆσθαι παῖδας τρεῖς, οὗ τινες μετὰ θάνατον τοῦ πατρὸς διειλαντο τὴν Ἀργείαν. V.

**) addit V: Τυνδάρεων γὰρ ἦδει τοῦτο προτείνειν.

δὲ ἐκ τῦ κλύω τὸ δοξάζω καὶ τὸ ἀκούω. καὶ εἰ μὲν σημαίνει τὸ δοξάζω, γίνεῦ ἐκ τῦ κλέος, κλέω, καὶ ὥσπερ ἀπὸ τῦ ῥέω γίνεῦ ῥύω, ἀφ' οὗ ἡ τὸ ῥυτόν, καὶ ἀπὸ τοῦ χέω χύω ἡ ξέω ξύω, οὕτως ἡ ἀπὸ τῦ κλέω κλύω, ἀφ' οὗ καὶ κλυτός, ὡς τὸ δυσκλυτός. εἰ δὲ σημαίνει τὸ ἀκούω, γίνεῦ ἀπὸ τῦ κλῶ τὸ καλῶ, κλύω κλῦμι ἔκλυν κλύε κλῦθι, καὶ διπλασιασμῷ κέκλυθι· „κλῦθί μευ ἀργυρότοξε" (Il. 1,37), ὡς καὶ ἐνταῦθα. BL.

νῦν: τὸ νῦν περισπαξέον, κἂν παρέλκῃ παρὰ τῷ ποιητῇ. A.

98. φρονέω δὲ διακρινθήμεναι: διὰ τί ὑποχομένε Διὸς τὴν ἄλωσιν Ἰλίε συνθήκας ποιεῖται πρὸς τοὺς Τρῶας; ῥητέον ἦν κατ' ἐνίας ὅτι ὁ πιστεύει τῷ ὀνείρῳ, κατὰ δέ τινας ὅτι ἀδὲν διέφερε ἡ δι' ἑνὸς μονομαχίαν ἢ παντὶ τῷ στρατῷ νικῆσαι· ἄλλως τε ἦν προστέτακῦ αὐτῷ καθοπλίσαι τὰς πάντας, οὐ μάχεσθ. BDL.

99. Ἀργείους καὶ Τρῶας: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει Ἀργεῖοι καὶ Τρῶες, ὡς ἀποσροφῆς τῦ λόγε γεγοννίας πρὸς αὐτούς. ἔστι δὲ τὸ διακρινθῆναι διχῶς χωρισθῆναι. ὁ δὲ Ζηνόδοτος συνήθως ἡμῖν τέταχεν. A.

πέποσθε: ὁ μὲν Ἡρωδιανὸς ἐκ τῦ πήθω τὸ πανθάνω, πήσω πέπηκα πέπησμαι πεπήσμεθα πέπησθε, ἡ συζολῇ τῦ ῆ εἰς ῦ. ἔνιοι δὲ ἐκ τῦ πονῶ, πονήσω πεπόνηκα πεπόνημαι πεπόνησαι πεπονήμεθα πεπόνησθε, καὶ ἀποκοπῇ τῆς νῆ συλλαβῆς πέποσθε ἀντὶ τῦ πεπόνθατε. BL.

πέποσθε: πέπαθε. οὕτως πᾶσαι. V, qui mox: οἱ δὲ ἀπὸ τοῦ πέπαθε μεταβολῇ.

100. εἵνεκ' ἐμῆς ἔριδος: ἐπεικῶς συγκατασπᾷ ἑαυτὸν ὡς προσφιλονεικήσαντα τῷ ἄρξαντι· ἀντέστρεψε δὲ τὴν τάξιν. BL.

καταγνωσέος, φασίν, Ἀλέξανδρος μαχόμενος περὶ ὧν ἔχει, καὶ Μενέλαος περὶ τῶν ἰδίων. ἀλλ' ὁ μὲν εἶχε μέν, ἐκ ἴδια δέ, μάχεῦ δὲ ἵνα ἴδια γένῃ· ὁ δέ, ἵνα τῶν ἰδίων κρατήσῃ. καὶ ὁ μέν, ἵνα τὴν πόλιν ἐλευθερώσῃ, ὁ δέ, ἵνα τὸ πρόστιμον ἀπαιτήσῃ. BLV.

διὰ τί τὸν Μενέλαον ἐποίησε μονομαχῆντα; ἀδὲ γὰ ἐξ ἴσου ἦν ἡ μονομαχία· ὁ μὲν γὰρ Ἀλέξανδρος περὶ τῶν ἀλλοτρίων ἐμάχετο, ὁ δὲ περὶ τῶν ἑαυτῦ εἶχετο· ἡττηθεὶς δὲ τὰ ἑαυτῦ ἀπέβαλεν. ὁ δὲ Ἀλέξανδρος νικήσας μὲν τὰ ἀλλότρια ἕξειν ἔμελλεν, ἡττηθεὶς δὲ ἀδὲν ἀποβαλεῖν τῶν ἑαυτῦ. ὕτω δὲ πᾶς ἄν τις βέλοιτο μονομαχεῖν περὶ τοῦ ἀγρῦ τῦ πλησίον· νικήσας μὲν λήψεται, ἡττηθεὶς δὲ ἀδὲν ἀποβαλεῖ τῶν ἑαυτῦ. οὕτω μὲν Ἀλέξανδρος ἀνόητος ἦν· περὶ ὧν γὰ εἶχε ἡ τῶν ἑαυτῦ ἐκράτει. ἀλλ' ἴσως ἀμφότεροι εἰκότως· ὁ μὲν γὰ Ἀλέξανδρος περὶ ὧν εἶχεν ἐμάχετο, ἀλλ' ἐ τῶν ἑαυτῦ, ἵνα γένηται αὐτῦ, ὁ δὲ Μενέλαος περὶ τῶν ἑαυτῦ, ἀλλ' ἐχ ὧν ἐκράτει, ἀλλ' ἵνα κρατήσῃ. ἔτι δὲ οὐ μόνον ἔδει αὐτὸν κομίσασθαι τὴν Ἑλένην ἡ τὴν κτῆσιν, ἀλλ' ἔτι ἡ τιμὴν Ἀργείοις ἀποτινέμεν ἦν τιν' ἔοικεν. BL.

ἕνεκ' ἄρχῆς: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἵνεκ' ἄτης, ἔσαι δὲ ἀπολογούμενος Μενέλαος ὅτι ἄτῃ περιέπεσεν ὁ Ἀλέξανδρος. διὰ μέντοι τῦ ἕνεκ' ἀρχῆς ἐνδείκνυται ὅτι προκατῆρξεν. A.

102. διακρινθεῖτε: οὕτως προπερισπᾶται διακρινθεῖτε· ἔσι γὰ εὐκτικόν, κατὰ πάθος γεγονὸς ἐκ τῦ διακρινεῖτε, θέλητε, ὁμοίως τῷ „ἡ εἴ ποθεν ἄλλ' ἐπιθείτε" (Od. 22, 62), ὧν πάλιν πρῶτα διακρινθείημεν καὶ διακρινθείμεν, ὥσπερ καὶ τὸ „ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθείμεν Ἀχαιοί" (Il. 2, 126). A.

103. οἴσετε: ἡ διπλῆ πρὸς τὸ οἴσετε, ὅτι ἐ μέλλοντός ἐσι χρόνε ἀλλ' ἀντὶ τοῦ φέρετε, ἀπὸ τῦ οἴσε, ὅ ἐστι φέρε. A. οἴσετε ἀπὸ τοῦ οἴσε ὡς ἄξετε ἀπὸ τῦ ἄξε. V.

ἄρν': ἐπὶ τὸ ἄρνε διαστολὴ βραχεῖα· συλληπτικῶς γὰ λέγει ἄρνε, εἶτα διαιρεῖ. A.

ἐὰν εἴξωμεν εἰς τὸ ἄρνε, δυϊκὸν ἔσαι, ἐὰν δὲ συνάψωμεν, πτώσεως αἰτιατικῆς. ἀπὸ κοινῦ τὸ νοούμενον. ταῦτα δὲ θύεσιν, ἐπεὶ καρποφόρα τῇ τριχί· καὶ ἥλιος δὲ καὶ γῆ αἴτια τῶν καρπῶν. διὰ τί δὲ οἱ Τρῶες γῇ καὶ ἡλίῳ; ὅτι ὁ κίνδυνος περὶ σωτηρίας τῶν ἐν τῇ οἰκείᾳ. Ἕλληνες δὲ Διί, ἐπεὶ ξένιος· περὶ ξενίαν δὲ ἠδίκηνται. μέλαιναν δὲ καὶ λευκόν, ὅτι οἰκειότατα τὰ χρώματα ἑκατέρῳ τῶν θεῶν. ἐπὶ δὲ Διὸς ἐκ εἰπέ τι χρῶμα· γῆν μὲν γὰ καὶ ἥλιον ὁρῶμεν, Δία δὲ νοῦμεν μόνον. BL.

τὰ οἰκεῖα ἑκάσῳ θεῷ ἱερουργούμενα εἰσάγει· τῷ μὲν γὰρ ἡλίῳ λαμπρῷ ὄντι καὶ ἀῤῥένι φησι καὶ λευκὸν ἱερουργηθῆναι ἄρνα, τῇ δὲ γῇ μέλαιναν καὶ θήλειαν, ἐπεὶ τοιαύτη ἡ θεός. τῷ δὲ Διὶ ἡμεῖς ἄλλον κομίσωμεν ὡς ξένοι, ἐπεὶ καὶ ξένιος Ζεὺς προσαγορεύεῦ. AD. Ἑλληνικῶς δὲ ἐπὶ μὲν τῶν δύο τὸ ἕτερον τῷ ἑτέρῳ ἀντιδιίσαλκεν, ἐπὶ δὲ τῦ τρίτε ἄλλον εἴρηκεν. A.

105. ἄξετε: ἡ διπλῆ, ὅτι τὸ ἄξετε οὐ τὸν μέλλοντα σημαίνει, ἀλλ' ἴσον τῷ ἄγετε. A.

Πριάμοιο βίην: συνετῶς ἀξιοῖ ὅρκες γενέσθ, ὅπως εἰ μὲν ςέργοιεν Τρῶες, εὖ ἔχοι, εἰ δὲ μή, τὸν θεὸν αὐτοῖς ἐκπολεμώσαι. ἐμφρόνως δὲ τῷ γέροντι τὰς ὅρκες πιςεύει. BL.

106. αὐτός: οὐκ ἀλόγως· αὐτὸς γὰ ἔσι τῆς ἀπιςίας Ἀλεξάνδρου κατήγορος. V.

108. ὀπλοτέρων: νεωτέρων. ἔσι δὲ συγκριτικόν· ὡς δὲ τὸ νεώτερος ἡ πρεσβύτερος τύπῳ μέν εἰσι συγκριτικά, τῇ δὲ φωνῇ ἀντὶ ἁπλῦ παραλαμβάνονται, ὕτω καὶ τὸ ὁπλότερος τύπῳ μέν ἐσι συγκριτικόν, τῇ δὲ φωνῇ ἀνθ' ἁπλοῦ παραλαμβάνεται. γίνεται ἂν παρὰ τὸ ὅπλον, ὁ μᾶλλον ὅπλα φέρειν δυνάμενος ὡς πρὸς τὸν γέροντα. BL.

ἠερέθονται: ἀβέβαιοί εἰσι ἡ ἄςατοι. ἐπικαλύπτει δὲ τὴν ὕβριν, ἐφ' ἅπαντας ἀνάγων τὰς νέας τὸ ἐγκλημα. τὸ δὲ ἠερέθονται οἱ μὲν ἐκ τοῦ αἴρω καὶ σείω, οἱ δὲ ἐκ τῦ ἀείρω τὸ ἐπαίρω, ἐξ αὐτῦ ἀερέθω, καὶ τροπῇ τῦ ᾱ εἰς η ἠερέθω. BL.

ἀπὸ τύτε ἕως τῦ λεύσσει ὅπως (110) ἀθετῆνται εἶχον τρεῖς, ὅτι ἀπολογία ἐσὶν αὕτη ὑπὲρ τῶν παραβάντων Πριαμιδῶν. εἰ γὰρ κατὰ κοινῦ αἱ φρένες τῶν νέων κρίνανται, οὐδὲν ξένον ἁμάρτημα πεποιήκασιν. A.

109. περὶ Πριάμῳ ὁ λόγος· πεπείραται γ᾽ αὐτῷ. ἡ δὲ σιγμὴ εἰ μὲν μετὰ τὸ μετέῃσιν εἴη, ἔτως ὁ νῦς, τὰ παρόντα καὶ τὰ μέλλοντα προορᾷ, ὅπως ἄμφω ἄριστα πραχθῇ· εἰ δὲ εἰς τὸ ὀπίσσω, ἔτως, οἷς πάρεσιν ὁ γέρων εἰς τὸ νῦν καὶ τὸ μέλλον, ὃ ἔξιν ἑκάστοτε, προβλέπει τὰ ἄριστα. ABL.

114. τεύχεα: τὰς ἀσπίδας· αὗται γ᾽ τελαμῶνας εἶχον, οὐκ ὄχανα. L.

115. πλησίον ἀλλήλων: μὴ γένοιτό τις αὐτῶν χρεία. V.

ἀμφὶς ἄρουρα: ἡ διακεχωρισμένη γῆ μεταξὺ Τρώων καὶ Ἑλλήνων. V. τὸ μεταξὺ τῶν στρατευμάτων διεῖργον αὐτὰς χωρίον. D.

117. ἔτως συναπτέον, καρπαλίμως ἄρνας τε φέρειν· ἐνετείλατο γὰρ φέρειν ταχέως, ἐπεὶ παρελκόμενον ἔξαι τὸ καρπαλίμως. A.

119. ἄρν᾽: γίνωσκε ὅτι ἀρνειὸς σημαίνει τὸν τέλειον, ἀρνὸς δὲ τὸν νεογνόν. BL.

121. ἡ Ἶρις ἡ τῶν θεῶν ἄγγελος. σημαίνει δέ δύο, αὐτὴν τὴν σωματοειδῆ θεὰν καὶ τὸ νεφελῶδες σύσημα, οἷον „Ἴρισιν ἐοικότες ἆξε Κρονίων ἐν νέφεσι σήριξε τέρας μερόπων ἀνθρώπων" (Il. 11, 27). D.

σημαίνει καὶ τὴν θεόν, ὡς ἐνταῦθα, καὶ τὸ τόξον· ἔξι δὲ νέφεσ ὑγρότης κατ᾽ ἔμπτωσιν ἡλίε πεποικιλμένη, οἷον τόξον, ἢ αὐγαὶ ἀφ᾽ ὑγρῶν νεφῶν ἀνακεκλασμέναι, ἢ ἔμφασις ἡλίε τμήματος ἢ σελήνης ἐν νέφει δεδροσισμένῳ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν ὡς ἐν κατόπτρῳ φανταζομένην κατὰ κύκλε περιφέρειαν. τῆς δὲ Ἴριδος τὸ χλωρὸν ἀέρος σημαντικόν, τὸ πυρρὸν πνευμάτων, τὸ δὲ μελανίζον ὑδάτων. BL.

λευκωλένῳ: ὠλέναι λέγονται τὰ ἄνω τῶν βραχιόνων. τὸ δὲ λευκός παρὰ τὸ λεύσσω τὸ βλέπω, ὡς ἐκ τῆ ἐναντίε τὸ μέλαν τὸ μὴ βλεπόμενον παρὰ τὸ λάω τὸ βλέπω. BL.

ἐν ἀρχαῖς τῷ τῆς Ἥρας αὐτὴν ἐπιθέτῳ κοσμεῖ, Ἀργείας τε ἄμφω καλεῖ· „Ἥρη τ᾽ Ἀργείη" (Il. 4, 8) καὶ „Ἀργείη Ἑλένη" (Il. 6, 323). ἦλθε δὲ ἄγγελος δηλονότι παρὰ τῆ Διός· ὁ γ᾽ αὐτάγγελος. θῆλυ δὲ θήλει πείθεται· ἐρωτική τε ἡ Ἶρις, καὶ ἀεὶ συμπαρῆσα τῇ Ἀφροδίτῃ. τινὲς δὲ αὐτῆς καὶ Ζεφύρε εἶναι λέγεσιν υἱὸν τὸν Ἔρωτα. BLV.

122. ἡ διπλῆ διὰ τὸ γαλόῳ. A.

γάλως, ὃ ἔξιν ἀνδραδέλφη, ὡς Ἄθως· καὶ διαίρεσις γαλόω ὡς „Ἀθόω δ᾽ ἐπὶ πόντῳ" (Il. 14, 229). A.

γάλως ἡ εὐθεῖα, τῆς γάλω, τῇ γάλῳ, καὶ πλεονασμῷ τῆ ω καὶ ἀναδόσει τῆ τόνε γαλόῳ. BL.

βαρύνειν δεῖ τὸ γαλόῳ· τὰ γὰρ εἰς ως θηλυκά, ὑπὲρ μίαν συλλαβήν, βραχεῖα παραληγόμενα, βαρύνεται, ἄλως Κέως ἕως· ἔτω γάλως. τῦτο δὲ ἀξιοῖ Τρύφων ἐν τῷ α᾽ περὶ ἀρχαίας ἀναγνώσεως. A.

δαὴρ ὁ ἀνδράδελφος· τὸ θηλυκὸν ἑτερωνύμως, ἡ δαεῖρα, ἀλλὰ γάλως, ἀνδραδέλφη. L.

123. τὴν Ἀντηνορίδης εἶχε: ἔτε τῇ γαλόῳ δοτικῇ ἔτε τῇ Ἀντηνορίδαο γενικῇ ὑπήντησεν, ἄλλως χηματίζων τὸν λόγον. ἠγάπα δὲ τὸ γένος τῆ Ἀντήνορος ἡ Ἑλένη, ἐπεὶ πρώην ξένος (ἐπεὶ πρόξενος V) ἦν τῶν Ἑλλήνων. BV.

τὸ εἶχε ἀντὶ τῆ ἦτινι συνῴκει. BL.

124. ἀρίστην: ἀντὶ τοῦ ἁπλῶ· φησὶ γοῦν Πριάμοιο θυγατρῶν εἶδος ἀρίζην Κάσανδραν (Il. 13, 365). εἰ μὴ τὴν μὲν παρθένων, τὴν δὲ γαμηθεισῶν ἀρίζην φησὶν εἶναι. V.

125. ἐν μεγάρῳ: ἐν θαλάμῳ· ἔτος γ᾽ ἐνδιαίτημα γαμηθεισῶν, χηρῶν δὲ καὶ παρθένων ὑπερῷον. ABL.

ἰστόν: ὅτι ἐκ τούτε τῆ ἰσοῦ ἔλαβε τὸ πλέον τῆς ἰσορίας τῆ Τρωϊκοῦ πολέμε ὁ θεῖος Ὅμηρος, ὥς φησιν Ἀρίσαρχος ὁ Ὁμηρικός. Vindobon. ap. Alter. vol. 2. p. VIII.

ἀξιόχρεων ἀρχέτυπον ἀνέπλασεν ὁ ποιητὴς τῆς ἰδίας ποιήσεως. ἴσως δὲ τούτῳ τοῖς ὁρῶσιν ἐπειρᾶτο δεικνύναι τὴν Τρώων βίαν καὶ τὴν Ἑλλήνων δικαίαν ἰσχύν. AB.

ὕφαινε: ἐκ ᾠδε, ὡς Κίρκη καὶ Καλυψώ· ἀπαθεῖς γὰρ ἐκεῖναι καὶ ἠρέμα ζῶσαι. V.

126. δίπλακα: διπλοΐδα χλαῖναν, οἱ δὲ δίμιτον χλαῖναν. τὸ δὲ μαρμαρέην, τὴν λαμπρὰν· συνῳδὸν δὲ τῦτο τῷ „ἰοδνεφὲς εἶρος ἔχουσα" (Od. 4, 135) καὶ τῷ „φάρε᾽ ὑφαίνεσ᾽ ἁλιπόρφυρα." BL.

καὶ αἱ Ἀρισάρχε καὶ ἡ Ζηνοδότε καὶ ἡ Ἀριστοφάνοντ πορφυρέην εἶχον, οὐ μαρμαρέην. καὶ ἔστι πρεπωδέστερον· καὶ γ᾽ ἐπὶ τῶν νυμφῶν „φάρε᾽ ὑφαίνεσιν ἁλιπόρφυρα" (Od. 13, 108). A.

ἢ διπλῆ, ὅτι παραλέλειπ᾽ τὸ κύριον, ἡ χλαῖνα. λέγει δὲ δίπλακα χλαῖναν, ἣν ἔξι διπλῆν ἀμφιέσασθαι. A.

ἐνέπασσεν: πάσσω τὸ ποικίλλω, ἐξ οὗ καὶ παῖς ὁ γαμικὸς θάλαμος, παρὰ τὸ πάσσεσθ᾽ ἤγουν ποικίλλεσθαι τοῖς ὑφάσμασι καὶ ἑτέροις εἴδεσιν. BL. ὅθεν καὶ τὰ ποικίλα παραπετάσματα παῖοι καλῶνται. D.

128. οὓς ἔθεν: ἐγκλιτικῶς ἀνεγνώσθη διὰ τὸ μεταλαμβανόμενον, ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψις, ὃς αὐτῆς· τῦτο δὲ ἐπὶ τῆς ἔθεν φασίν, ὅτι εἰ μὲν εἰς ἁπλῆν μεταλαμβάνοιτο, ἐγκλιτικῶς ἀναγινώσκειν δεῖ, εἰ δὲ εἰς σύνθετον, ὀρθοτονητέον. διὸ κἀκεῖνα ἔτως ἀνεγνώσθη „ἐπεὶ ἔ ἐθέν ἐς χερείων" (Il. 1. 114) „οἵ ἔθεν ὦτρυνον" (Il. 15, 199)· ἐκεῖνα δὲ κατ᾽ ὀρθὴν τάσιν „ἀπὸ ἕθεν ὦσατο χειρί" (Il. 6, 62). ὅθεν ὁ Σιδώνιος μέμφεται Ἀρισάρχῳ μὴ ἐγκλιτικῶς ἀνυγνόντι τὸ „πρόσθεν ἕθεν φεύγοντα" (Il. 5, 80)· ἡ γ᾽ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν. A.

ἐγκλιτικῶς. τὸ δὲ ἐμέθεν καὶ σέθεν μόνως ὀρθοτονῆν παρ᾽ αὐτῷ. BL.

παλαμάων: χειρῶν, ὁτὲ δὲ μηχανῶν, ὡς ἐκεῖ „ὡς ὅτ᾽ ἀνὴρ ἀπάλαμνος" (Il. 5, 597). D.

130. νύμφα: τὸ νύμφα Ἰωνικόν, ὡς τὸ τόλμα τῆθ κοῦρα. V.

θέσκελα: θεοείκελα, ὡς θεόφατα θέσφατα· μετὰ τὴν συγκοπὴν ὁ πλεονασμός. τὸ δὲ δεῦρο ἀντὶ τῆ ἄγε. BL

132. οἵ: τοῦτο τὸ οἵ ὑποτακτικόν ἐστιν ἄρθρον, τὸ ἐξῆς (134) ἀντωνυμικόν. BL.

οἳ — Ἄρηα: εἶτα ἀπ' ἄλλης ἀρχῆς· ἀσύνδετα γ' πρὸς τὰ ἐπάνω. διὸ τελείαν στικτέον, ὑποστικτέον δὲ ἐν ὑποκρίσει, ἀνταποδοτικῆς οὔσης τῆς περιόδου, ὑποτακτικὰ δὲ τὰ προτέρα οἵ, τὰ δὲ δεύτερα οἱ ἀντωνυμίαν δηλοῦντος. A.

ἢ ἐπί πρὸς τὸ φέρον. V.

133. εἰς τὸ πολέμιον ὑποστικτέον. V.

134. ἕαται: ἀντὶ τοῦ ἦνται, ὡς μέμηνθ' μεμένᾶθ. V.

πόλεμος δὲ πέπανται: διὰ μέσου τὸ ἡμισύστιχον· διόπερ διαζεύξομεν ἐπὶ τὸ σιγῇ, συζύγομεν δὲ ἀνυποκρίτως ἐπὶ τὸ πέπανται. A.

διὰ μέσου τὸ πόλεμος δὲ πέπανται, ἵν' ᾖ οἳ δὴ νῦν ἕαται σιγῇ ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγε· πόλεμος δὲ πέπανται· αὐτὰρ Ἀλέξανδρος. BL.

135. ἀσπίσι κεκλιμένοι: ὑπὸ τῆς ἀποῤῥίψεως τῶν ὅπλων ἐμποδιζόμενοι πολεμεῖν. BL.

137. μακρῆς ἐγχείῃσι: τὸ δέος ἀναιρεῖ τοῦ τοξεύθῆναι Μενέλαον. BL. ἐπεὶ τὴν τοξείαν εὖ ἤσκητο, τὸ δ' ἔγχος ἀδαμῶς, εἰ καὶ δύο πάλλων πρόκαλεῖτο πάντας ἀρίστους (18). καὶ τοῦτο γ' δειλίας τεκμήριον, ὡς τῇ θέᾳ δῆθεν ἐκπλήξῃ τὸν ἀντιτεταγμένον. V.

138. τῷ δέ κε νικήσαντι: ἡ διπλῆ, ὅτι περισσὸς ὁ κέ, καὶ ὅτι πτῶσις ἐνήλλαχθ', ἀντὶ τοῦ τῷ δὲ νικήσαντος. A.

ὅτι ὁ μνησικακήσει ὁ λαβών. τὸ δὲ κεκλήσῃ ἀντὶ τοῦ ἔσῃ, ὡς τὸ „σὴ παράκοιτις κέκλημαι" (Il. 4, 60). BL.

140. ἀνδρός τε προτέροιο: ἄγνοεῖ τὴν Θησέως ἁρπαγὴν ὁ ποιητής, ἢ τὸ προτέροιο ἐπὶ μόνῳ Μενελάου τέθεικεν, ὡς εἶναι δεύτερον Ἀλέξανδρον· ἐπεὶ πρῶτον μὲν ὑπὸ Θησέως, εἶτα Μενελάῳ, εἶτα Ἀλεξάνδρᾳ, Δηϊφόβῳ καὶ Ἀχιλλέως ἐν ὀνείρῳ, ὧν αὐτὸς ὁ μέμνηται. BL.

καὶ περὶ Ἡρακλέης κρατερὸς παῖς Ἀμφιτρύωνος φησι (Il. 5, 392). διὰ τοῦτο κάνταῦθα καὶ ἄχεος ἠδὲ τοκήων. V.

141. ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν: οὗτος γ' σώφρονι γυναικὶ κόσμος· καὶ ποικίλλειν γοῦν εἰδυῖα οὐκ ἠμπίσχετο ποικίλα. ὀθόνη δὲ ὁ ἑανός, ὃν καὶ πέπλον καλεῖ. BLV.

142. δάκρυ χέουσα: διαίρεσις, ὁ σίγχυσις. V. δακρύει ὑπὲρ Μενελάου δεδοικυῖα, ἢ καὶ τῇ μνήμῃ αὐτοῦ μόνῃ συγχεῖται. BLV.

143. οὐκ οἴη: στικτέον μετὰ τοῦτο τελείαν· τοῖς γ' ἄνω συνάπτεται. τὸ δὲ ἑξῆς ἀσύνδετον. εἰ δὲ προσεθῇ ὁ ἀλλά εἰς τὸ πλῆρες, καὶ ὁ λόγος συνδεδεμένος καὶ ἡ στιγμὴ ὑποτείνεται. ABL.

144. Αἴθρη: εἰ μὲν τὴν Θησέως λέγει μητέρα, ἀθετητέον· ἀπίθανον γὰρ ἔχειν Ἑλένης ἀμφίπολον εἶναι τὴν ἅτως ὑπεραρχαίαν, ἣν οὐκ ἐκποιεῖ ζῆν διὰ τὸ μῆκος τοῦ χρόνου. εἰ δὲ ὁμωνυμία ἐστί, καθάπερ καὶ ἐπὶ πλειόνων, δύναται μένειν· καὶ γ' ἄλλοι εἰσὶν ὁμώνυμοί τινες κατὰ τὰ Ἰλιακά, Ἄδραστος, Τεύθρας, Οἰνόμαος. A.

ἄλλως. εἰ μὲν ὁμωνυμία ἐστίν, ἑατέον· εἰ δὲ ἕ, στικτέον ἐν τῷ Αἴθρῃ καὶ τὸ ἑξῆς συναπτέον. Ἀντίμαχος δὲ τὴν Κλυμένην Ἱππάλκου θυγατέρα εἶναί φησιν. πιθανώτερον δὲ ὁμωνυμίαν εἶναι· ὁ γ' ἂν τοσούτων ὅσα ἐτῶν ἀμφιπολεῖν ἠδύνατο. BLV. πῶς τε Μενέλαος τὴν θείαν θελεύειν ἠνέσχετο; Πελοπὶς γ' ἦν. V.

ἀδύνατόν φασι τὴν Αἴθρην ἔτι ζῆν, καὶ ἀμφιπόλῳ τάξιν ἔχειν, εἴπερ ὁ μὲν Θησεὺς ἀρχαῖός ἐστιν („ἔνθα κ' ἔτι προτέρους ἴδον ἀνέρας ὃς ἐθελόν περ, Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα" Od. 11, 630), ἡ δὲ ἀμφίπολος ἐπὶ νέας τίθεται. ἢ δὲ λύσις ἐκ τῆς λέξεως, ἢ ὅτι ὁμωνυμία ἐστὶ τῆς Αἴθρας, ἢ ὅτι ἡ ἀμφίπολος ὁ πάντως νέα· „γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε παρτιθεῖ" (Od. 1, 191). BL.

ἄλλως. ἑτέρα τῆς Θησέως μητρός ἐστιν αὕτη ἡ Αἴθρα· ἀλχρὸν γ' ὑπάρχει θεραπαίνης τρόπῳ ἀκολουθεῖν τῇ Ἑλένῃ τὴν Αἴθραν ἐκτὸς νομισθεῖσαν. ὡς γ' ἱστορεῖ Ἑλλάνικος, Πειρίθους καὶ Θησεύς, ὁ μὲν Διὸς ὢν ὁ δὲ Ποσειδῶνος, συνέθεντο γαμῆσαι Διὸς θυγατέρας, καὶ ἁρπάσαντες τὴν Ἑλένην κομιδῇ νέαν παρατίθενται εἰς Ἀφιδναν τῆς Ἀττικῆς Αἴθρῃ τῇ Πιτθέως μὲν θυγατρὶ μητρὶ δὲ Θησέως. ἔτως εἰς Ἅιδου παραγίνονται ἐπὶ τὴν Περσεφόνην. οἱ δὲ Διόσκουροι, μὴ ἀπολαμβάνοντες τὴν ἀδελφήν, τὴν Ἀττικὴν πορθοῦσιν, Αἴθραν δὲ αἰχμαλωτίζουσιν. AD.

145. Σκαιαὶ πύλαι: Δαρδανίας αὐτὰς ἐνίοτέ φησι, δι' ὧν ἐξῆσαν εἰς τὸ πεδίον οἱ Τρῶες. Σκαιαὶ δὲ εἴρηνθ' ἤτοι ἀπὸ Σκαιοῦ τοῦ κατασκευάσαντος αὐτάς, ἢ ὅτι ἐν τοῖς σκαιοῖς καὶ ἀριστεροῖς μέρεσι τῆς πόλεως κεῖνται. οἱ δέ φασιν ὅτι ἀπὸ τοῦ σκαιῶς βουλεύσασθαι τοὺς Τρῶας· τὸν γ' δόρειον ἵππον κατὰ ταύτας ἐδέξαντο τὰς πύλας. αὗται δὲ καὶ Δαρδανίαι προσαγορεύονται. ABDL.

146. οἱ δ' ἀμφὶ Πρίαμον: ὡς ἡμεῖς οἱ περὶ τόνδε ἀντὶ τοῦ ὅδε καὶ ὅδε. V.

147. ὄζον Ἄρηος: ὡς καὶ ὁ Πρίαμος ἐϋμμελίης, οὐ νῦν, ἀλλ' ἐπὶ νεότητι. V.

148. Οὐκαλέγων τε καὶ Ἀντήνωρ: μεταβὰς ἐπὶ ἕτερον γένος καὶ τὴν πτῶσιν ἤλλαξεν· αἰσύντου γ' οὗτοι. Ἀττικὸν δὲ τὸ ἀπὸ αἰτιατικῆς εἰς εὐθεῖαν μεταβαίνειν. BLV.

149. δημογέροντες: οἱ γέρας ἐν τῷ δήμῳ ἔχοντες. ἀπὸ δὲ τούτων τῶν ἐνδόξων τὸς πάντας δηλοῖ. BL. οἱ τῷ δήμῳ ἔντιμοι, παρὰ τὸ γῆρας. D.

150. γήραϊ: γράφεται καὶ γήρεϊ ὡς ἔδεϊ. AB. ἐντελῶς δὲ τὸ γήραϊ. BL. ἀσυνάπτως τῷ γήραϊ ἀναγνωσέον. A.

151. διαζαλτέον βραχὺ ἐπὶ τὸ ἐσθλοί· τὴν γ' ἐπίτασιν μᾶλλον ἐμφαίνει. A.

δύο γ' οἶδεν ἀνδρῶν ἀρετάς· „βλᾶς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων" (Il. 2, 273). BLV.

τεττίγεσσιν: ἀρσενικῶς· οἱ γὰρ ἄρσενες μόνοι τέττιγες ᾄδουσιν. τέτοις δὲ παρεικάσε τοὺς γέροντας· ἄναιμον γ' καὶ ψυχρὸν τοῦτο τὸ ζῷον. οἱ δὲ ἄρρενες ᾄδουσιν ἐφ' ὑψηλῶν καθήμενοι τόπων διὰ τὸ θέρεσθαι. ABL.

Τιθωνῷ τῷ Λαομέδοντος, Πριάμῳ δὲ ἀδελφῷ, ἠράσθη ἡ Ἡμέρα, ἐξ ὅπερ ἐποίησεν υἱὸν Μέμνονα. μακρῷ δὲ βίῳ δαπανηθέντος ἐκείνου, μετέβαλεν αὐτὸν εἰς τέττιγα ἡ θεός.

διὸ δὴ αὐτῆ τὰς συγγενεῖς δημογεροντὰς τέττιξιν εἰκάζει ὁ ποιητής. ἰσορεῖ Ἑλλάνικος. ABDL.

152. δενδρέῳ: ἡ διπλῆ περιεζιγμένη, ὅτι Ζηνόδοτος γράφει δένδρει. ὁ μὲν οὖν λέγων δένδρος ὡς κάλλος ἐρεῖ δένδρει ὡς κάλλει, ὁ δὲ δένδρον ὡς βάθρον ἐρεῖ δένδρῳ ὡς βάθρῳ. Ὅμηρος δὲ λέγων „δένδρεον ὑψιπέτηλον" (Il. 13, 437) ὡς χάλκεον ἐρεῖ καὶ δενδρέῳ ὡς χαλκέῳ. A.

λειριόεσσαν: ἀνθηράν, παρὰ τὰ λείρια, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ ἀκουόμενα. οἱ δὲ τὴν ἐκ δρόσου ὡς βοτάνην ἀνθοῦσαν. BL.

ἴεῖσιν: προπερισπαστέον ὡς τιθεῖσιν· τὰ γὰρ τρίτα πληθυντικὰ ὁριστικὰ ἐνεστῶτος χρόνου τὴν αὐτὴν φωνὴν καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται ταῖς πληθυντικαῖς δοτικαῖς μετοχαῖς, λέγομεν λέγετε λέγουσι καὶ τοῖς λέγουσιν, ἴσαμεν ἴστε ἴσᾶσι καὶ τοῖς ἰστᾶσιν. ἴστως ἴεμεν ἴετε ἰεῖσι· καὶ γὰρ ἱέντες ἱέντων ἰεῖσιν. ἀντιπίπτει μόνον διά τι αἴτιον τὸ φασὶ πρὸς τὸ φᾶσι μετοχικόν, ὡς σᾶσι. A.

155. ἧκα: ἠρέμα, ἡσύχως· αἰχύνην γὰρ αὐτοῖς ὁ λόγος ἔφερε, παρ' ὥραν κάλλος γυναικὸς θαυμάζεσιν. καὶ ἄλλως φιλαλήθης ἡ μὴ κατὰ πρόσωπον μαρτυρία. BLV.

Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἐν τῷ περὶ τῆς Κρατητείου αἱρέσεώς φησιν „ὦκα γράφει ἀντὶ τοῦ ἧκα" καὶ ἀπολογούμενος φησὶν ὅτι μετ' αὐτὸν διασαλτέον, ἵν' ᾖ Ἑλένην ἐπὶ πύργον ἴσαν ὦκα. πρὸς δὲ τῷ μὴ ἁρμόζειν ἐπὶ τῆς Ἑλένης τὸ δρομαίαν αὐτὴν προσέρχεσθαι, μὴ καὶ ἔτι καταλάβῃ αὐτὰς ταῦτα διαλεγομένας, ἡ ἀρετὴ τοῦ πρέποντος ἀφαιρεῖται. τὸ γὰρ ἧκα ἐπὶ πρεσβυτῶν ὡς ἐδὲν ἕτερον ἁρμόζει, καὶ μάλιστα ὅτι κάλλος γυναικὸς θαυμάσαντες τῶν ἰδίων καταφρονῆσι κινδύνων. τοῦτο ἦν ἐκ ἦν πρέπον ἄλλον ἀκοῦσαι. ἀμφότερα δὲ ὁ ποιητὴς ἐφύλαξε, καὶ τὸ τῆς Ἑλένης ἐγκώμιον καὶ τὸ τοῖς πρεσβύταις πρέπον, προσθεὶς τὸ ἧκα. A.

Ἄλλως. Ζηνόδοτος γράφει ὦκα. εἴτε δὲ ἐπὶ τῆς Ἑλένης ἐστίν, ὅτι ὦκα ἐπορεύετο, ἀπρεπὲς ἔσαι· εἴτε ἐπὶ τῶν δημογερόντων, ὅτι ὦκα διελέγοντο, ἀνάρμοστον· βραδυλόγοι γάρ εἰσιν οἱ γέροντες. A.

156. οὐ νέμεσις: οὐ νεμεσητόν, ὡς τὸ „οὐχ ὁσίη" (Od. 22, 412) ἀντὶ τοῦ ἐχ ὅσιον. BL.

ἡ σιγμὴ κατὰ τὸ τέλος τοῦ ἑξῆς σίχου ἐπὶ τὸ ἄλγεα πάσχειν· εἶτα ἀφ' ἑτέρας ἀρχῆς αἰνῶς ἀθανάτῃσι, τῷ αἰνῶς ἐν ἴσῳ κειμένῳ τῷ λίαν, ὡς „αἰνῶς γὰ κεφαλήν τε καὶ ὄμματα καλά" (Od. 1, 208). τινὲς δὲ τῶν καθ' ἡμᾶς τοῖς ἄνω προσιθέασι τὸ αἰνῶς, καὶ ἐκ ὀρθῶς τῷ πάχειν συνάπτουσιν. τρίγωνον δὲ ἐπίγραμμα πρῶτος Ὅμηρος γέγραφε τὸ ἡ νέμεσις Τρῶας· ἀφ' οὗ ου γὰ σίχου τῶν τριῶν ἀρξώμεθα, ἀδιάφορον. A.

157. τοιῇδ': ἔν ἐστι· διὸ προπερισπαστέον τὸ τοιῇδε. A.

ἀθανάτῃσι θεῇς: δι' ὑπερβολὴν ἄμφω κεῖται. V.

159. ὣς: περισπαστέον τὸ ὡς· ἀντὶ γὰ τοῦ ὁμῶς. A.

160. ἡμῖν: ὀρθοτονητέον τὴν ἡμῖν· ἔστι γὰ ἐν συμπλοκῇ διαζευκτικῶς εἰλημμένη, ἡμῖν καὶ τοῖς τέκνοις. μόλις δὲ ἀνακαλοῦνται τὰ πάθη τὸν λογισμόν. ABL.

161. ἐκαλέσσατο φωνῇ: ἐφώνησεν, ἀλλ' ἐ διὰ ἀγγέλου ἐκάλεσεν. φίλον δὲ τέκος, ἵνα μὴ ὑπονοοῦσά τι ἐν αὐτοῖς δεινὸν ἀποσφαγῇ. BL.

163. ἴδῃ: ἡ διπλῆ, ὅτι χωρὶς τοῦ ῡ γράφειν ὁμηρικώτερον. A.

πηούς: πηοὶ ἐχ οἱ κυρίως ἀλλὰ οἱ ἐπείσακτοι συγγενεῖς καὶ ἐπίκτητοι, παρὰ τὸ πάσασθαι. BLV.

164. οὔτι μοι αἰτίη ἐσσί: πατρικήν πως σώζει διάθεσιν κατὰ τὸν λόγον. οὔ φησιν αὐτὴν αἰτίαν· πῶς γάρ; (ἔ φησι „παῖς νύ μοι αἰτιός ἐξιν." V) BLV.

165. ἐφώρμησαν: ἐμφατικῶς ἀπὸ τῶν θηρευτικῶν κυνῶν φησὶ τὸ ἐφώρμησαν. δῆλον δ' ὅτι τοὺς Ἕλληνάς φησιν. BL.

166. ἐζήτηται πῶς ὁ Πρίαμος τῷ δεκάτῳ ἔτει πυνθάνεται περὶ τῶν ἀρίστων. ὅτι ἐπειδὴ πρότερον περὶ τὰς ἀσυγκλήτους πόλεις ἐπλανῶντο, ὡς που καὶ ὁ ποιητής φησιν „κατὰ λῆἴδ' ὅπῃ ἄρξειεν Ἀχιλλεύς" (Od. 3, 106)· νῦν δὲ προσκάθηνται τῇ Ἰλίῳ. ἢ ὅτι πρότερον μὲν ἐκ ἦγε σχολὴν πυθέσθαι περὶ αὐτῶν, τῷ Ἀχιλλέως ἰσχυρῶς αὐτοῖς ἐγκειμένῳ καὶ μόνον ἑαυτὸν αὐτοῖς ἐπιδεικνύντος καὶ τῷ φόβῳ κατακλείσας ποιοῦντος· ἐφρόντιζε γὰ τὸ τηνικαῦτα ὁ Πρίαμος ἢ περὶ τούτων ἀλλὰ περὶ τοῦ σώζεσθαι τὴν πόλιν. νῦν δὲ μηνιῶντος ἐκείνῳ καὶ ἰσορρόπου τῆς μάχης γεγενημένης, ὡς καὶ τοῦ τείχους χωρὶς πολεμεῖν τοὺς Τρῶας, εἰκότως περὶ αὐτῶν πυνθάνεται. ἕτεροι δέ φασιν ὅτι ἀπὸ τῆς πανοπλίας καὶ τῶν ἵππων αὐτὸς ἐγνώριζον, ὡς καὶ Πάνδαρος ἐπὶ τοῦ Διομήδους λέγει „ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ" (Il. 5, 182)· πρότερον δὲ οὐ τεθέατο οὕτω πάντας ἐνόπλους ὡς νῦν. AD.

πῶς ἐπὶ ταῖς πρώην πρὸ τείχους γενομέναις συμβολαῖς ἐ παρεκάλεσε Πρίαμος παρ' Ἑλένης μαθεῖν τοὺς ἀρίστους; ὅτι ἐνόπλων αὐτῶν προσβαλλόντων τῷ τείχει δυσχερὲς ἦν ἐπισημήνασθαι αὐτούς, καὶ τῶν ὅπλων πολλάκις δυναμένων ἀπατᾶν, ὡς καὶ ἐπὶ Πατρόκλου „καί τοι τεύχεα καλὰ δότω, αἴ κέ σε τῷ γ' ἴσκοντες ἀπόχωνται" (Il. 11, 798). συνήρτηται δὲ τοῦτο τῷ πρώτῳ, ὅφρα ἴδῃς πρότερόν τε πόσιν, ὥς μοι τόνδ' ἄνδρα, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ἵνα. τινὲς δὲ τὸ ὡς ἀντὶ τοῦ εἴθε καὶ τὸ ὀνομήνῃς ἀντὶ τοῦ ὀνομήναις. BL.

ἐὰν τὸ ἵνα ἐκ τοῦ ὡς σημαίνηται, ἔσαι τῶν ἄνω ἐχόμενος ὁ λόγος, ὅφρα ἴδῃ πρότερόν τε πόσιν καὶ ὡς μοι τόνδ' ἄνδρα. βέλτιον δέ, εἴγε καὶ τὸ ἐξονομήνῃς ἀντὶ τοῦ εὐκτικοῦ παραλαμβάνῃς. A.

167. ἠῦς: σημαίνει δύο, τὸν γενναῖον καὶ ἰσχυρόν, καὶ τὸν ἀγαθόν. καὶ ὁ μὲν ἰσχυρὸς παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἐῦς καὶ ἠῦς, ὁ δὲ ἀγαθὸς ἐκ τοῦ ἡδύς, ἀποβολῇ τοῦ δ ἠΰς. ἐξ οὗ ἐστὶ καὶ τὸ θηλυκὸν ἠΐα, ὡς τὸ „νῦν τις ἐνηείης Πατρόκλοιο" (Il. 17, 670), καὶ τὸ οὐδέτερον ἠΰ, καὶ ἐπίρρημα ἠΰ. L.

168. κεφαλῇ καὶ μείζονες ἄλλοι: καὶ πῶς κεφαλῇ εἴκελος Διί (Il. 2, 478); ἢ τὸ ἡγεμονικὸν ἔλεγε τότε· ἢ τῷ

εἰπεῖν „ἤματι κείνῳ" δηλοῖ τότε μόνον πρὸς ἡμέραν ταῦτα συμβῆναι αὐτῷ. V.

169. τὸ ἑξῆς καλὸν ὀφθαλμοῖσιν. V.

170. γεραρόν: τὸ γεραρηνός συγκοπῇ. V.

172. αἰδοῖός τέ μοι: εὐφυῶς τὸ τῆς δυσαρεσήσεως ἰάσατο, φάσκουσα τὸ μέν τι αὐτὸν αἰδεῖσθαι, τὸ δέ τι καὶ φοβεῖσθαι. ἐπεὶ δὲ αὐτὴν τέκος αὐτὸς εἶπε, καὶ αὐτή φησιν ὅτι πατρικὴν αἰδῶ καὶ σέβας σώζω περὶ σέ· ἡ γὰρ ὑπερβάλλουσα τιμὴ ἐν αἰδοῖ καὶ φόβῳ κεῖται. BLV.

173. ὡς ὄφελεν θάνατός μοι ἀδεῖν: ὤφειλεν ἐν ἐμοὶ τερφθῆναι. εἰ δὲ ἀρέσαι λέγοι, δῆλον ὡς ἐραθεῖσα ἠκολούθησεν Ἀλεξάνδρῳ, ἀλλὰ μὴ ἀπατηθεῖσα. BL.

174. θάλαμον: μετ' ἐπικρύψεως τὸν ἄνδρα δηλοῖ. V.

175. παῖδά τε: λέγει τὴν Ἑρμιόνην. ὁ δὲ Πορφύριος ἐν τοῖς Ὁμηρικοῖς ζητήμασιν οὕτω φησίν. Ἑλένης τε καὶ Μενελάου ἱστορεῖ Δίειθος παῖδα Μορφάφιον (Μενελάου παῖδες Δίαιθος καὶ Μορφαφίων D), ἀφ' ἧς τὸ τῶν Μορφαφίων γένος ἐν Πέρσαις. ὡς δὲ Κιναίθων, Νικόστρατον. παρὰ δὲ Λακεδαιμονίοις Ἑλένης δύο παῖδες τιμῶνται, Νικόστρατος καὶ Αἰθιόλας (Πέρσαις. Κιναίθων δέ φησι Νικόστρατος καὶ Αἰθιόλας παρὰ Λακ. Ἑλ. δ. π. τιμ. D). AD.

ὁ Πορφύριος ἐν τοῖς Ὁμηρικοῖς ζητήμασιν ἕτω φησιν, ἐρατεινὴν εἶναι παῖδα τὴν Ἑρμιόνην. ὁ δὲ Δίμαθος Ἑλένης καὶ Μενελάου ἱστορεῖ παῖδα Μοράφιον, ἀφ' ἧς τὸ τῶν Μοραφίων γένος ἐν Πέρσαις. ὁ δὲ Κιναίθων Νικόστρατον. οἱ δὲ Λακεδαιμόνιοι δύο παῖδας Ἑλένης τιμῶσι, Νικόστρατον καὶ Αἰθιόλαν. BL.

καταχρηστικῶς δὲ εἶπε τηλυγέτην· κυρίως γὰρ τηλύγετοι καλοῦνται οἱ τηλὲ τῆς γονῆς ὄντες παῖδες, ὅ ἐστιν οἱ ἐκ γεροντικῆς ἡλικίας σπαρέντες· δοκεῖ γὰρ τὰ μετὰ ἀπόγνωσιν τῆς παιδοποιίας γεννώμενα μᾶλλον ἀγαπᾶσθαι. BDL.

176. τά γ' οὐκ: διὰ τὸ κέ συνδέσμου συναλήλιπται, τά κε. γράφεται δὲ καὶ τά γε. A.

178. οὗτός γ' Ἀτρείδης: ὡς ἐνικὸν ἐπιγραμματικῶς αὐτὸν δηλοῖ. V.

179. ἀμφότερον; τοῦτο συναπτέον τῷ ἀγαθός, ἵν' ᾖ κατ' ἄμφω ἀγαθός· καὶ τὸν ἰχυρὸν γὰρ ἀγαθὸν φησιν. μέγιστα δὲ πρὸς βασιλείαν ταῦτα, τήν τε τῶν οἰκείων καὶ τὴν τῶν πολεμίων εἰρήνην πραγματευόμενα. ABLV. τοιοῦτος δὲ Ἀγαμέμνων, ὑπὸ μὲν Ὀδυσσέως καὶ Διομήδους ἐνίοτε ὑβριζόμενος, ὑπὸ δὲ Ἀδράστου ἱκεσίαν ὁ δεχόμενος. LV.

180. ἐμὸς ἔσκε κυνώπιδος: πρὸς τὴν σημασίαν ὑπήντησεν· τὸ γὰρ δαὴρ ἐμός δηλοῖ τὸ δαὴρ ἐμοῦ τῆς κυνώπιδος. ABL.

εἴ ποτ' ἔην γε: ἢ ἔτως· εἴ ποτε ἦν δαήρ, ἐμὸς ἦν δαήρ. τούτου δὲ τὸ θηλυκὸν οὐ δαεῖρα ἀλλὰ γάλως. διὰ δὲ τοῦ δαέρος λεληθότως τὸν ἄνδρα ὀλοφύρεται. BL.

182. ὦ μάκαρ: ἱκανὸς πρὸς πίστιν ὁ παρὰ τῶν ἐχθρῶν ἐκ κατὰ πρόσωπον γινόμενος ἔπαινος. σημειώσαιο δ' ἂν ὡς κατὰ πρόθεσιν συλλαβῆς ηὔξηται μετ' ἐκπλήξεως ὁ ἔπαινος κλιμακηδόν. BLV.

ὀλβιόδαιμον: προπαροξυτόνως· ἔξι γὰρ σύνθετον· τὰ δὲ μακρᾷ παραληγόμενα βαρύτονα, ἔχοντα κλητικὴν εἰς ον περατεμένην, προπερισπᾶται ἁπλᾶ ὄντα, Μαχάων Ἀρετάων, σύνθετα μέντοι ὄντα ἀναδίδωσι τὸν τόνον, κυλλοπόδιον Ποσείδαον ὀβλιόδαιμον. καὶ ἐπὶ τῶν ἄλλων δὲ συνθέτων τὸ αὐτό, λέγω δὲ τὸ Αὐτόμεδον καὶ Ἀγάμεμνον· ταῦτα γὰρ πάλιν τὸν τόνον ἀνεβίβασε κατὰ κλητικήν, ἐπεὶ σύνθετα ἦν. τὰ μέντοι παρὰ τὸ φρήν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον δαΐφρον. ὅθεν σημειοῦσθαι ἐκεῖνο κατὰ κλητικήν „ἰὼ Λακεδαῖμον" Ἀριστοφάνης Ὀλκάσιν· καὶ σύνθετον τὸ „ψευδόμενοί σε Πάλαιμον." A.

183. δεδμήατο: ἡ μεταφορὰ ἀπὸ τῶν ἀλόγων ζῴων· δαμάζονται γὰρ κυρίως ταῦτα. AD. τοῦτο δὲ ἔκτασιν ἔχει ποιητικὴν τοῦ ε εἰς τὸ η διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων· τοιοῦτόν ἐστι καὶ τὸ πεφοβήατο. ἔστι δὲ συγκεκομμένον· παρὰ γὰρ τὸ δαμῶ δεδαμέατο ἦν τὸ ἐντελές· δύο ἓν πάθη ὑπέμεινε, συγκοπὴν τοῦ α καὶ ἔκτασιν τοῦ ε. A.

λείπει τὸ δικαίως, ὡς εἰ λέγοι δικαίως αὐτῷ πολλοὶ ὑπείκουσι τοιούτῳ ὄντι. V.

184. ἤδη καὶ Φρυγίην: ἡ διπλῆ, ὅτι διαφέρει ἡ Φρυγία τῆς Τροίας καθ' Ὅμηρον, οἱ δὲ νεώτεροι συγχέουσιν. καὶ ὅτι τὸ ἤδη παρείληπται ἀντὶ χρονικοῦ τοῦ ποτέ· διὸ καὶ παραλλήλως λέγεται τὸ ἤδη τῷ ποτέ· „ἤδη γὰρ καὶ δεῦρό ποτ' ἦλυθεν" (205). A.

Φρυγίην: τὴν παρὰ Σαγγαρίῳ, ἢ ἔξι μεγάλη· ἢ γὰρ μικρὰ παρὰ τῇ Τροίᾳ. BL.

ἀμπελόεσσαν: τὴν πολλὰς ἀμπέλους ἔχουσαν. τοὺς δὲ περὶ Ἀπάμειαν τόπους λέγει· οὗτοι γὰρ πολυάμπελοι ἦσαν, τῆς λοιπῆς Φρυγίας μόνον σιτοφόρου οὔσης. D.

185. αἰολοπώλους: εὐκινήτους πώλους ἔχοντας. V. ποικίλως ἱππαζομένους, πολεμικούς, ἢ ταχεῖς ἵππους ἔχοντας. D.

186. λαοὺς Ὀτρῆος: λαοὺς τοὺς ἐπικούρους φησίν, ὡς τὸ „λαοὶ δ' Ἀτρείδεω Ἀγαμέμνονος" (Od. 9, 263). BL.

187. παρ' ὄχθας Σαγγαρίοιο: διὰ τέτου τὸ μῆκος ἴσως τοῦ ποταμοῦ δηλοῖ· διὼν γὰρ Φρυγίαν ἐξίησι διὰ Βιθυνίας. BLV. ὁ Σαγγάριος πρότερον μὲν ἦν Φρυγίας, νῦν δὲ Γαλατίας. D.

188. ἐπίκουρος ἐὼν: ἴσως γὰρ διὰ τοῦτο καὶ τοῦ γάμου τῆς Ἑκάβης ἠξίωται. BL.

189. Ἀμαζόνες: παρὰ τῷ Θερμώδοντι αὗται οἰκοῦσιν, Ἄρεος δὲ καὶ Ἀρμενίας νύμφης Ναΐδος θυγατέρες εἰσίν. αἱ δὲ ἐπιφανεῖς αὐτῶν Ἱππολύτη, Ἀντιόπη ἣν καὶ ἥρπασε Θησεύς, Ἄνδρομάχη, Γλαύκη, Ὀτρηρή, ἧς Πενθεσίλεια, ἃς φασιν ἐπὶ πυριπνόων ἵππων μαχομένας ληΐζεσθαι τὰς περιχώρους, καταδραμεῖν τε ὕστερον τὴν Φρυγίαν λείας ἕνεκεν ἐπὶ Μύγδονος τοῦ Ἀκμονος καὶ Ὀτρέως τοῦ Δύμαντος. ὠνομάσθησαν δὲ παρὰ τὸ μὴ ἔχειν τὸν ἕτερον τῶν μαζῶν (ἐπιρράκτην γὰρ αὐτὸν πρὸς τὸ μὴ ἐμποδίζεσθαι ἐν τῇ τοξείᾳ) ἢ παρὰ τὸ μὴ χρῆσθαι μάζαις, κελώναις δὲ καὶ ὄφεσι καὶ σαύραις. ἀντιάνειραι δὲ αἱ ἴσαι ἢ ἐναντίαι τοῖς ἀνδράσιν. BLV.

αἱ Ἀμαζόνες λέγονται εἶναι Ἄρεος καὶ Ἀφροδίτης θυ-

γατέρες, τραφεῖσαι παρὰ Θερμώδοντι ποταμῷ τῆς Σκυθίας. ἐκλήθησαν δὲ ἕτως διὰ τὸ τὸν δεξιὸν μασθὸν ἐκτέμνεσθαι ὡς ἐμποδίζοντα αὐταῖς ἐν τῷ τοξεύειν. AD.

Μελανίππη ϗ Ἱππολύτη θυγατέρες Ἄρεως, τῶν Ἀμαζονίδων προηγέμεναι τῆς στρατείας. αὗται δὲ πειρώμεναι τὴν Φρυγίαν ὑφ' αὑτὰς ποιῆσαι διὰ τὸ τὴν χώραν ἱπποτρόφον εἶναι καὶ ἀμπελώδη, παντὶ τῷ στρατεύματι παρασκευασθεῖσαι παρέτυχον εἰς τὴν προειρημένην χώραν, καὶ στρατόπεδον ἔθεντο πρὸς τὸν Σαγγάριον ποταμόν. τῶν δὲ Φρυγῶν ὑπὸ τὸν αὐτὸν χρόνον ἡγεμόνες ἦσαν Μύγδων ϗ Ὀτρεύς, οἵτινες τὴν σφῶν αὐτῶν στρατείαν ἐξήνεγκαν καὶ πρὸς τὸν αὐτὸν τόπον παρεγένοντο τῶν Ἀμαζονίδων πρὸς τὸ κωλῦσαι αὐτὰς μὴ ἐπιβῆναι τοῖς ἑαυτῶν ὅροις. καὶ ὁ Πρίαμος τῆς Τροίας βασιλεὺς ἐστρατεύετο κατὰ Ἀμαζόνων σὺν αὐτοῖς, κατ' ἐκεῖνον ἀκμάζων τὸν καιρόν. AD.

190. ἑλίκωπες: ἀξιοθέατοι, εὐγενεῖς τὴν θέαν. οὐκ ἀλόγως δὲ αὔξει τοὺς Ἕλληνας· τῶν γ' πλειόνων ϗ κρατῆσαι καλὸν ϗ ἡττᾶσθαι ἐκ ἐπονείδιστον. BL.

ἡ εὐθεῖα ἑλίκωψ. γίνεται ἐν ἐκ τῆ ἑλίκη, ὃ σημαίνει τὴν μεγάλην ἄρκτον, ὡς καὶ Ἄρατος (37) „ἑλίκη γε μὲν ἄνδρες εἰν ἀλὶ τεκμαίροντες." δύο οὖν εἰσὶν ἄρκτοι, καὶ ἡ μὲν μεγάλη καλεῖται ἑλίκη, πρὸς ἣν βλέποντες ϗ ἀπευθύνοντες οἱ Ἕλληνες τὴν πορείαν ἐποιοῦντο· ἐκ τάτε ἓν ἐκλήθησαν ἑλίκωπες· ἡ δὲ μικρὰ κυνόσουρα. L.

191. δεύτερον: οὐδετέρως, διὰ τὸ „τὸ τρίτον αὖτ' Αἰαντα" (225), εἰ μὴ ἐνήλλακται ὡς τὸ „πρῶτον ἄλοχον θέτο Μῆτιν, τὸ τρίτον ἠγάγετο" (Hesiod. Th. 886. 901). V.

καλῶς ἔταξεν, ἀρχήν, φρόνησιν, ἀνδρίαν. ὁ δὲ χρόνος αὐτῷ λήθην ἐνεποίησεν Ὀδυσσέως. V.

193. κεφαλῆ: Ἀρίσαρχος κεφαλήν, βέλτιον δὲ ἀπ' ἄλλης ἀρχῆς, ἵνα λείπῃ τὸ ἐξίν. A.

194. ἠδὲ: ἀντὶ τῆ ϗ'. σημαίνει δὲ ἐνίοτε ϗ τὸ ὅπως. V.

196. κτίλος ὥς: ὡς πρᾶος καὶ χειροήθης κριός, ἀφηγέμενος τῆς ποίμνης. εἴρηται δὲ κτίλος ἀπὸ τῆ ἄγειν τὰ λοιπὰ θρέμματα, οἱονεὶ ἀκτίλος τις ὤν, παρὰ τὸ ἄγω ἢ παρὰ τὸ κίειν. BDLV. κτίλος οἱονεὶ κίλος τις ὤν, παρὰ τὸ κίειν. V.

ἐπιπωλεῖται στίχας: περιφοιτᾷ, μή πώς τις δόλος εἴη κατὰ τὴν στρατιάν (περὶ τὴν στρατείαν V). εἰξ δὲ τὸ ἐκ δύο φαλάγγων, ὅ ἐστι σμ' ἀνδρῶν. BLV.

197. πηγεσιμάλλῳ: εὐπαγεῖς μαλλοὺς ἔχοντι L. μελανομάλλῳ· ἕτος γ' ἐν λευκῷ ποιμνίῳ διάδηλος ἔσαι. τῷ πραοτάτῳ δὲ εἴκασαι διὰ τὸ ἀτάραχον. ABL.

ἐκ τῆ πηγόν τὸ μέλαν· „κύματι πηγῷ" (Od. 5, 318). ἐξ ἀντικειμένου δέ φησιν ἐπ' αὐτῆ „ὅς τ' ὄϊων μέγα πῶϋ διέρχεται ἀργεννάων." ἐν λευκοῖς δὲ ὁ μέλας διαφορώτερος. καὶ τοὺς ἵππους τοὺς πηγοὺς ἀθλοφόρους λέγει, παρ' ὅσον οἱ περὶ ἱππικῆς γράψαντές φασι πρὸς ἀρετὴν ἵππων ἀρίστους εἶναι τοὺς μέλανας. καὶ τὸ κῦμα δὲ ἀντιφράζων ὁτὲ μὲν κύματι πηγῷ λέγει, ὁτὲ δὲ „μέλαν τέ ἑ κῦμα κάλυψεν" (Il. 23, 693). καὶ Ἀντίμαχος δὲ τὸ λευκὸν ὡς ἀντικείμενον τῷ πηγῷ λαμβάνει. BL.

198. ὀΐων: ὁ μὲν Ἀρίσαρχος οἰῶν ὡς αἰγῶν, ὁ δὲ Ἡρωδιανὸς ὀΐων ὡς δαΐδων, λέγων ὡς οὐ κλίνει τὸ μονοσύλλαβον ὁ ποιητής, εἰ μὴ μέτρον κωλύσειεν. ABLV.

Ἄλλως. Ἀρίσαρχος δισυλλάβως ὡς αἰγῶν, καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· Ἀριστόνικος δὲ τρισυλλάβως, ὡς τὸ ὀΐων μέγα πῶϋ. ὁ μέντοι Πτολεμαῖος ἐχ ὑγιὲς αἴτιον ἐπιφέρει τῆς δισυλλάβε ἀναγνώσεως. φησὶ γ' ὅτι ἡ εὐθεῖα μονοσύλλαβός ἐστιν, οἷς ὡς αἴξ, διαμαρτάνει δέ· ἐδέποτε γ' ὁ ποιητὴς μονοσυλλάβως εἶπε τὴν εὐθεῖαν, δισυλλάβως δέ „τοῖσι δ' ὄϊς λάσιος" (Il. 24, 125). καὶ τὰς πλαγίους δὲ κατὰ διάστασιν τῆ ῑ λέγει, εἰ μὴ κωλύοι μέτρον· „ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄϊος" (Il. 9, 207) καὶ „μῆλ' ὄϊές τε καὶ αἶγες" (Od. 9, 184) καὶ „Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν (Od. 10, 524). ἕνεκα δὲ μέτρε „οἷός ἀωτῷ" (Od. 1, 443) ϗ „οἷόν τε βληχήν" (Od. 12, 266). ὥστε εἰ καὶ ἐνθάδε μέτρον ἐκώλυε, ἐδὲν ἦν ἐμποδὼν παραδέξασθαι τὴν τῆ Ἀρισονίκου ἀνάγνωσιν. καὶ γ' ἄλλως τὸ ὄϊς ἀναλογώτερον ἔχει δισύλλαβον ὂν τῆ μονοσυλλάβε· πολλὰ γ' τὰ εἰς ῑς λήγοντα ἐπ' εὐθείας, οὐδὲν δὲ εἰς οῖς, ὅ τι μὴ μόνον τὸ οἷς καὶ παρὰ Ἀττικοῖς τὸ φθοῖς. A.

πῶϋ δὲ παρὰ τὴν πόαν. ἢ πῶς ἔχει πίνω. V.

ἀργεννάων: λαμπρῶν ἢ λευκῶν. ἀπὸ δὲ τῆ πλείονος εἶπεν· οὐ γὰρ πάντα τὰ πρόβατα λευκά εἰσιν. D.

200 — 202. ἐν βραχεῖ τὸ ἐπίγραμμα πάντα ἔχει. μετὰ ἐπαίνων δὲ περὶ ἑκάστε ἐκτίθεῖ διὰ τὸ προσπεπονθέναι τῷ Ἑλληνικῷ. ABL. ἤδει δὲ τάτας ὡς ξενισθέντας παρ' αὐτῆ, ὃ διὰ τὸ προσκορὲς ἐπὶ μόνε Ἰδομενέως ἐσήμανεν. A.

201. ἐν δήμῳ Ἰθάκης: περιφραστικῶς ἐν τῆ Ἰθάκη. ἔστι δὲ νῆσος τῆς Κεφαλληνίας· καὶ τόπος δέ ἐστιν ἐν Ἰθάκη Δῆμος καλούμενος. ὁτὲ δὲ ἡ λέξις δηλοῖ τὸ πολὺ σύστημα ϗ πλῆθος τῶν ἀνδρῶν. AD.

κραναῆς: τραχείας. τᾶτο παρὰ τὸ κρανίον, ὅπερ ἐστὶ τραχὺ καὶ ὀσῶδες· „ἐν δ' Ἰθάκη ἔστ' ἄρ δρόμοι εὐρέες ἔστέ τι λειμὼν αἰγίβοτος" (Od. 4, 605). L.

καὶ λυπρὰ γὰρ χωρία πέφυκεν ἀρίστες ἄνδρας ἐκφέρειν. BL.

202. παντοίους τε δόλους: εἰσὶ γὰρ καὶ καλοὶ ϗ κακοί. L.

203. Ἀντήνωρ πεπνυμένος: ὁ ἄρχων τὸν ἄρχοντα καὶ ὁ ῥήτωρ τὸν ῥήτορα ἐπαινεῖ. B.

205. ἡ διπλῆ, ὅτι παραλλήλως τὸ δή τῷ ποτέ. A.

206. σεῦ ἕνεκ' ἀγγελίης: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει σῆς ἕνεκ' ἀγγελίης. ϗ λέγει δὲ συνήθως ἡμῖν, τῆς σῆς ἀγγελίας χάριν, ἀλλ' ἀγγελίης ἀντὶ τῆ ἄγγελος. A.

ἀγγελίης: πρεσβευτής, ἄγγελος· Ἰὰς ἡ διάλεκτος. D.

πρὸ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας εἰς Τροίαν ἦλθον πρέσβεις Ὀδυσσεὺς καὶ Μενέλαος, ἀπαιτῆντες Ἑλένην, ἐν οἷς τῶν ἄλλων αὐτὲς μεθ' ὕβρεως διωξάντων μόνος Ἀντήνωρ ξενίζει φιλοφρόνως. AD.

ὅτε γ' ἐκ Τενέδε ἐπρεσβεύοντο οἱ περὶ Μενέλαον, τότε Ἀντήνωρ ὁ Ἱκετάονος ὑπεδέξατο αὐτές, καὶ δολοφονεῖται

μέλλοντας ἔσωσεν· ὅθεν μετὰ τὴν τῆς Τροίας ἅλωσιν Ἀγαμέμνων ἐκέλευσε φείσασθαι τῶν οἰκείων Ἀντήνορος, παρδάλεως δορὰν ἐξάψας πρὸ τῶν οἴκων αὐτῷ. BL.

σὺν ἀρηϊφίλῳ Μενελάῳ: οὐ ῥιψοκινδύνως ὁ Μενέλαος ἔρχεται, ἀλλ' ἦν πως αἰδεσθῶσιν ὡς παθόντα. εἰ γ' Ἑλένης χάριν ὁ πόλεμος γέγονε, πόσῳ μᾶλλον εἰ Μενέλαος ἀνῄρητο; Ὀδυσσεὺς δὲ ὡς συνετὸς σκοπῆσαι τὰ βαρβάρων, ὅπως ῥώμης ἔχοιεν. ἀλλ' ἐχὶ Νέσωρ· οὐ γὰρ μόνον συνετὸς ἀλλὰ καὶ δραστηρίας πρεσβεύεσθαι δεῖ. BL.

207. ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα: ἡ διπλῆ, ὅτι παραλλήλως ἐξείνισα καὶ ἐφίλησα· τὸ γὰρ φιλεῖν ἐνίοτε ἀντὶ τοῦ ξενίζειν τίθησιν. A.

210. ὑπερέχεν εὐρέας ὤμους: διὰ τούτου δηλοῖ περὶ τὴν διάπλασιν ὄντα ἀνάκωλον τὸν Μενέλαον. D.

211. ἄμφω δ' ἑζομένω: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος σὺν τῷ ν γράφει ἑζομένων. τὸ δὲ ἄμφω δύω πτώσεις ἔχει, ἀμφότεροι ἢ ἀμφοτέρους. καὶ νῦν λέγει ἀμφότεροι δὲ καθήμενοι, κατ' ἐναλλαγὴν πτώσεως, ἀντὶ τοῦ καθημένων δὲ ἀμφοτέρων. καὶ ἔστι σύνηθες ὡς ἐπ' ἐκείνου „σὺν δὲ δύ' ἐρχομένω" (Il. 10, 244)· „οἱ δὲ δύο σκόπελοι, ὁ μέν" (Od. 12, 73), ἀντὶ τῶν δύο σκοπέλων. AV.

212. ἀλλ' ὅτε δὴ μύθους: τρεῖς τρόπους ῥητορείας οἶδεν Ὅμηρος, τὸν ἀπολελυμένον καὶ βραχὺν καὶ ἱκανὸν αὐτὰ τὰ ἀναγκαῖα παραξῆσαι, ὃν Λυσίας ἐζήλωσεν· τὸν δὲ ὑψηλὸν καὶ καταπληκτικὸν καὶ μεσὸν ἐνθυμημάτων, καὶ τούτων ἀθρόως ἐκφερομένων, ὡς νῦν, ὃν Δημοσθένης· τὸν δὲ πιθανὸν καὶ τεχνικὸν καὶ πολλῶν πλήρη δογμάτων, ὃν Ἰσοκράτης, τὸ γνωμικὸν καὶ σαφὲς ἐπιλεγόμενος. ABLV.

ἀπολελυμένος Μενέλαος Λυσίας, πυκνὸς Ὀδυσσεὺς Δημοσθένης, πιθανὸς Νέσωρ Ἰσοκράτης. V.

213. ἐπιτροχάδην ἀγόρευεν: βραχυλόγοι γ' οἱ Λάκωνες αἰεί. δηλοῖ δὲ εὐφυέστερον ὡς ἀπὸ μὲν Μενελάου τὸν παρὰ τοῖς ῥήτορσι καλούμενον ἄνετον τρόπον, ἀπὸ δὲ Ὀδυσσέως τὸν σύντομον. ἐπ' ἐκείνῳ μὲν γ' εἶπε „παῦρα μέν," ἐπὶ δὲ Ὀδυσσέως προσέθηκε τὸ „καὶ ἔπεα νιφάδεσσιν ἐοικότα," τοιούτοις πολλὰ καὶ πυκνά. AD.

οὐχ ὡς Λάκων (οὕπω γ' Δωριεῖς), ἀλλ' ὅτι ἀπορώτεροι οἱ νέοι καὶ τὸ ἀνθηρὸν διώκοντες. V.

παρατρέχων τὰ πολλά, καὶ τὰ καίρια μόνον λέγων· οἱ γ' νέοι, ἀπειρότεροι τοῦ τὰ πλείονα καὶ συμφέροντα λέγειν ὄντες, τὸ ἀνθηρὸν μόνον καὶ χαρίεν διώκουσιν. BL.

ἐπιτροχάδην τὸ σύντομον καὶ ταχύ, ἐκ τοῦ τρόχος τροχάδην. τὰ γ' ἀπὸ ὀνομάτων εἰς ος γινόμενα ἐπιῤῥήματα διὰ τοῦ ᾱ ἐκφέρεται, οἷον νόμος νομάδην, σπόρος σποράδην, τρόχος τροχάδην. τὸ δὲ παμπήδην ἐκ τοῦ πάμπαν. A.

215. ἦ: ἐὰν βαρύνωμεν τὸν ἢ σύνδεσμον, διαζεύξομεν βραχύ· κείσεται γ' ἀντὶ τοῦ εἶ συναπτικοῦ. ἐὰν δὲ περισπῶμεν, τελείαν σίξομεν· παραπληρωματικὸς γάρ ἐστι· καίτοι νεώτερος ἦν. A.

ἀντὶ τοῦ εἶ. τινὲς δὲ εἰς τὸ ἀφαμαρτοεπὴς σίζουσι τελείαν, εἶτα περισπῶσι τὸν ἢ μετ' ἐπιτάσεως· καίτοι νεώτερος ἦν. BL.

ἄλλως. πιθανώτερον βαρύνειν τὸν ἢ καὶ ἀντὶ τοῦ εἶ παραλαμβάνειν. A.

216. ἀναΐξειεν: τὸ πρόθυμον δηλοῖ τῆς ἐγέρσεως πρὸς κατάπληξιν. BL.

217. στάσκεν: ὅτι ἐκ ἀχημονεῖν ἔν τινι δημηγορῶντα (ἐ κεδιάζειν V) δεῖ, ἀλλὰ καὶ τὴν ςάσιν τῶν ἐρέντων μεμελετημένην εἶναι· οἷδε γ' ἡ αὕτη πολλάκις ὑπόνοιαν εἴς τι κινεῖν. ῥητορικὴ ἦν ἡ ςάσις Ὀδυσσέως. ἀφροσύνην δὲ χηματίζει πρὸς τὸ μὴ ὑπονοεῖσθαι παρὰ τοῖς ὁρῶσιν, ἢ οἷα εἰκὸς Μενελάῳ τὰς οἰκείας βλάβας ἐκθεμένῳ τεταράχθαι τὴν ἀγοράν· τῇ εἰς ἑαυτὸν ἦν ἐπιτροφῇ καταρτίζει τοὺς ὁρῶντας. ABLV.

ὑπαί: ὡς εἰ καὶ ἐντελὴς ἦν, οὕτως ἀναγνωσέον, φυλάττοντας τῆς προθέσεως τὸν τόνον. A.

218. σκῆπτρον: σημειωτέον δὲ ὅτι ἕκαστος τῶν ἡγεμόνων σκῆπτρον εἶχεν ἴδιον, ὡς καὶ Ἀχιλλεὺς ἐν τῇ Α ὄμνυσι κατ' αὐτοῦ. AD.

219. ἡ διπλῆ πρὸς τὸ ἀσεμφές, ὅτι τὸ ἀμετακίνητον. ὁ γ' Ἀνακρέων „σὺ γ' ἦς ἔμοιγ' ἀσεμφής." A.

τὸ ἀΐδρει κατὰ τὸ βαρὺ προενεκτέον. A.

ἄλλως. ἀΐδρεϊ προπαροξυτόνως ὡς ἀπ' εὐθείας τῆς ἄϊδρις· „χώρᾳ ἄϊδρις ἐών" (Od. 10, 282). ταύτης δὲ τῆς εὐθείας ὀφείλει γενικὴ ἐκπίπτειν ἀΐδρεος, καὶ ἀΐδρεϊ. ὁ γ' δή γε διὰ τοῦ δ· ὁ γάρ ἐςι παρώνυμον μακρᾷ παραληγόμενον· ἀλλ' ὡς τὸ ἔχις πόσις ὄφις, ἔτως ὀφείλει κλίνεσθαι. ὥςε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ, τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη· ὁ γ' Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικήν, ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες. γένοιτο ἂν ἡ δοτικὴ ἀΐδρεϊ φωτὶ ἐοικώς κατὰ τὸν προκείμενον λόγον. ἀδὲν δὲ θαυμαςὸν εἰ διὰ τοῦ ῑ πολλάκις τῶν τοιούτων γενικῶν τὴν παραλήγουσαν προφέρουσι Ἴωνες, τὴν δὲ δοτικὴν διὰ τοῦ ε, ἐχὶ δὲ διὰ τοῦ ῑ· τάχα γ' διὰ τὸ κακόφωνον. ὁ γοῦν ποιητὴς φησιν „εὐνήν τ' αἰδομένη πόσιος" (Od. 16, 75), τῇ δὲ δοτικῇ „χαριζομένη πόσεϊ ᾧ" (Il. 5, 71). A.

ἀπὸ τοῦ ἄϊδρις· ἀλλὰ διὰ τὴν εὐφωνίαν τὸ δεύτερον ῑ μετατέθειται. BL.

220. ὅτι τὸ φαίης τὴν φαντασίαν ἔχει ὡς πρὸς τὴν Ἑλένην λεγόμενον· κατὰ μέντοι γε Ὁμηρικὴν συνήθειαν ἐκληπτέον ἐν ἴσῳ τῷ ἔφη τις ἄν, ὡς ἔχει τὸ „ἔνθ' ἐκ ἂν βρίζοντα ἴδοις" (Il. 4, 223) ἀντὶ τοῦ ἴδοι τις ἄν. A.

ζάκοτον διὰ τὸ ὑπόδραξ ὁρᾶν, ἄφρονα δὲ διὰ τὸ ἀκίνητον τοῦ σκήπτρου. L.

221. μεγάλην: διὰ τὸν θόρυβον τῶν Τρώων, ἢ διὰ τὴν κατάπληξιν τῶν ἀδικιῶν. BL.

τετράκις ἐν τῷ προσώπῳ. φυλακτέον τὰς ὑποσιγμὰς διὰ τοῦ ε. V.

222. νιφάδεσσιν ἐοικότα χειμερίῃσιν: ἡ εἰκὼν ἀφορᾷ πρὸς τὸ τάχος τῆς ῥητορείας. διὰ μὲν γὰρ τοῦ πλήθους δηλοῖ τὸ πυκνὸν τοῦ λόγου, διὰ δὲ τοῦ λευκοῦ τὸ σαφές, διὰ τῆς νιφάδος τὴν φρίκην τῶν ἀκουόντων. καὶ αἱ μὲν

χειμέριαι· ἄπαλαί, αἱ δὲ ἐαριναὶ ἐκκόπτουσι τοὺς καρπούς. BL.

τὴν συνεχῆ καὶ σύντονον φράσιν τῶ Ὀδυσσέως νιφάδων βολῇ εἰκάζει διὰ τὸ πυκνὸν αὐτῶν. ὁ δὲ τρόπος μεταφορά. D.

224. *ἡ διπλῆ πρὸς τὸ σιωπώμενον, ὅτι συνυπακῶσαι δεῖ τὸ οὐ τότε οὕτως ἐθαυμάσαμεν τὸ εἶδος ἰδόντες ὡς τὴν κατὰ λόγον δύναμιν.* A.

ἐχ ὅτως ἐπὶ τῇ μορφῇ τότε ἐθαυμάσαμεν, ὅσον ἐπὶ τῷ λόγῳ ἐξεπλάγημεν. AL.

ἔχει δὲ σχῆμα· ἀπὸ γὰ ἐνικῶ μετῆλθεν εἰς πληθυντικόν. D.

225. *τὸ τρίτον αὖτ' Αἴαντα: μετὰ τὴν τῆς φρονήσεως τάξιν τὴν τῆς ἀνδρείας τέταχεν· Ὀδυσσεὺς μὲν γὰ φρονιμώτερος, Αἴας δὲ ἀνδρειότερος.* BL.

226. *ἠΰς: προσηνὴς τὴν ὄψιν.* A.

227. *κεφαλήν τε καὶ ἐυρέας ὤμους: ἔτως σὺν τῷ τέ ἡ Ἀριςάρχε κὴ ἡ Ἀριςοφάνες. κὴ ἔχιν εὐφραδέςερον.* A.

διὰ μὲν τῆς κεφαλῆς τὸ μῆκος, διὰ δὲ τῶν ὤμων τὸ πλάτος. V.

228. *ταν ὑπεπλος: περιτεταμένον ἔχουσα τὸν πέπλον ἕως ἄκρων ποδῶν καθειμένον κὴ καθικνέμενον, μέγαν. πέπλος δὲ κυρίως τὸ γυναικεῖον ἱμάτιον.* D.

229. *πελώριος, ἔρκος Ἀχαιῶν: πελώριος οὗτος διὰ τὸν ἕτερον Αἴαντα, τὸν Ὀϊλέως. ὅρα δὲ πῶς ἐπὶ μὲν Ἀχιλλέως μέγα ἔρκος φησίν, ἐνταῦθα δὲ μόνον ἔρκος ἁπλῶς.* BL.

230. *ἡ διπλῆ, ὅτι πλησίον ὁ Ἰδομενεὺς Αἴαντος τῶ Τελαμωνίε ἐτάσσετο κατὰ τὴν ἐπιπώλησιν* (Il. 4, 251) *συμφώνως. παραιτητέον ἄρα ἐκεῖνον τὸν στίχον τὸν ἐν τῷ καταλόγῳ* (Il. 2, 558) *ὑπό τινων γραφόμενον „σῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσαντο φάλαγγες·" ἐ γὰ ἦσαν πλησίον Αἴαντος Ἀθηναῖοι.* A.

θεὸς ὥς: ὡς θεός. ὁ τρόπος ἀναφορά. D. *τῷ κάλλει. τὸ δὲ Κρήτεσσι προσέθηκεν, ὅπως φανῇ μὴ δελεαθεῖσα. ἢ τοῖς τρόποις αὐτὸν ἐχαρακτήρισεν ὡς εἰδυῖα τῇ συνεχεῖ ξενίᾳ.* BL.

232. *ξείνισσεν: ἐκ τότε κὴ τὸς λοιπὸς Ἕλληνας ἐπεγίνωσκεν ἡ Ἑλένη, ἐκ τῆ ξενίζεσθαι αὐτὸς παρὰ Μενελάῳ.* D.

235. *οὕς κεν εὖ γνοίην καὶ τοὔνομα μυθησαίμην: ἀντὶ τῆ γινώσκω καὶ μυθῆμαι.* BL.

236. *δοιώ: ἡ εὐθεῖα τῶν ἐνικῶν ὁ δοιός· οἱ γὰ Δωριεῖς τὴν ἐν τοῖς ῥήμασιν ἀναλογίαν φυλάττοντες καὶ ἐν τοῖς ὀνόμασι πλεονάζεσι τῷ ι. γίνεται δὲ ἐκ τῆ δέω τὸ δεσμεύω δόος, καὶ πλεονασμῷ τῆ ι δοιός, δοιᾶ, κὴ δοιώ δυϊκόν.* BL.

τῆτό φησιν ὡς πάντῃ μὲν ἐκπετάσασα τὴν θέαν, ἐδαμῇ δὲ ἰδῆσα. πῶς δὲ ἐκ ἐρωτηθεῖσα προβάλλεται τὰ περὶ τῶν ἀδελφῶν; δῆλον ἓν ὅτι προοικονομεῖ ὁ ποιητής, βελόμενος εἰπεῖν τὴν ἀφάνειαν αὐτῶν. ἠγνόει δὲ τὰ περὶ αὐτῶν ἕσως μὴ συγχωρεμένη συντυγχάνειν τοῖς αἰχμαλώτοις. Ζηνόδοτος δὲ διοικητὰς ὑπολελεῖφθαι τῆς Ἑλλάδος φησὶ τὸς Διοσκούρους. BLV.

ἀπίθανον εἶναι δοκεῖ ἐννέα ἐτῶν διελθόντων τοῖς Ἕλλησιν ἐν Ἰλίῳ μηδένα τῶν βαρβάρων ἀπαγγεῖλαι τῇ Ἑλένῃ περὶ τῶν ἀδελφῶν, εἴτε κὴ αὐτοὶ ἀφίκοντο εἰς τὸν πόλεμον, εἴτε ὅλως ἐκ ἦλθον εἰς Τροίαν, ἢ ἐλθόντες ἐκ ἐξῆλθον εἰς τὴν μάχην· ἐ γὰ ἐνῆν τοιάτες ὄντας μὴ ἐχ ὑπὸ πάντων γινώσκεσθαι, παρόντας εἰς τὴν Τροίαν. λέγει δὲ Ἡρακλείδης ὅτι ἄλογον ἦν ὄντως τῆτο, εἰ διατελεσάντων ἐν τῇ Τροίᾳ πάντων Ἑλλήνων ἐννέα ἔτη μηδὲν περὶ τῶν ἀδελφῶν ἔχεν Ἑλένη λέγειν· εἰ δὲ ἐ πάντες ἦσαν οἱ στρατεύσαντες ἐν Τροίᾳ, ἀλλ' οἱ μὲν περὶ Λέσβον κὴ τὰς ἄλλας νήσες ὰς οἱ Κᾶρες εἶχον ἐπόρθεν, πολλὰς δὲ καὶ τῶν ἐν τῇ ἠπείρῳ, ἐδὲν ἦδει εἰ ἐςράτευσαν ἢ ἔ. πιθανώτερον δὲ προσθεῖναι ὅτι ἠφανισμένων τῶ Κάςορος καὶ τῶ Πολυδεύκες καὶ δοκόντων τεθνάναι, διὰ τὸ μὴ εἰδέναι τὲς ἀνθρώπες τὸ συμβεβηκός, μήτε εἰ ἐτεθνήκεισαν μήτε εἰ ἔτι εἰσίν, ἐκ ἀπηγγέλλετο τῇ Ἑλένῃ περὶ αὐτῶν. ἐδὲ γὰ τὰ δυχερῆ οἱ βάρβαροι τοῖς δυνάσαις πάντα εἰσὶν εἰθισμένοι ἀπαγγέλλειν. κὴ τότε πολλὰ παραδείγματα λέγειν ἔχιν· ἔτι γὰ κὴ νῦν χρῶνθ τῷ ἔθει. ἐδὲν ἦν ἐκώλυεν ἀμφιδοξεῖν περὶ αὐτῶν τὴν Ἑλένην. B.

ἐζήτηται δὲ πῶς τὲς ἀδελφοὺς πρῶτον οὐκ ἐπεζήτει ἡ Ἑλένη. ῥητέον δὲ ὅτι ἴσως μὲν ἐπεζήτησεν, εὐχερῶς δέ, ὅτε ἔγραφεν, Ὅμηρος ἐπεμνήσθη. AD.

ἰδέειν: ἐκ ἔχιν ἐντελὲς τὸ ἰδέειν, ἀλλὰ τἐναντίον ἀπὸ τῆ ἰδεῖν γέγονε κατὰ διάλυσιν, ὥσπερ ἀπὸ τῆ εὐφρανεῖν τὸ εὐφρανέειν· οἱ γὰ δεύτεροι μέλλοντες ἐκ ἔχουσι τὴν περισπωμένην ἀπὸ ἐντελείας ὥσπερ οἱ περισπώμενοι ἐνεςῶτες. A

237. *πὺξ ἀγαθόν: ἐν πυγμῇ ἀνδρεῖον καὶ γενναῖον οὗτος γὰ καὶ τὸν ἀφόρητον πύκτην Ἄμυκον ἀναιρεῖ, ὡς Ἀπολλώνιός φησιν ἐν δευτέρῳ Ἀργοναυτικῶν.* AD.

238. *αὐτοκασιγνήτω: τῆτο καὶ τοῖς πρώτοις δύναται συνάπτεσθαι. δηλοῖ δὲ τὲς ὁμομητρίες ἀδελφούς. ἀλλὰ κατὰ τὲς ὁμοπατρίας ἔτω καλεῖ, ὡς Αἴαντα καὶ Τεῦκρον.* BL

239. 240. *ἢ — ἢ: ὁ μὲν Νικάνωρ ἄμφω ὀξύνει ὡς διαζευκτικάς· ὁ δὲ Ἡρωδιανὸς τὸν δεύτερον περισπᾷ, ὡς διαπορητικὲς ἄμφω δεχόμενος.* ABL.

ἄλλως. ὁ μὲν πρῶτος ἢ σύνδεσμος βαρύνεται, ὁ δὲ δεύτερος περισπᾶται, ἵνα τοιαύτη ἡ φράσις γένηται, ἢ ἐκ ἠκολούθησαν μέν, οὐκ ἐθέλουσι δὲ μάχην καταδύμεναι ἀνδρῶν. A.

240. *δεῦρο — νέεσσ' ἐνὶ ποντοπόροισιν: ἐκ ἐςὶ τὸ δεῦρο Ἀττικὸν τὸ δεῦρο (ἐδέποτε γὰ μακρᾶς προκειμένης τοιαύτην ἔκτασιν ποιῆνται) ἀλλ' Ἰωνικόν. τὴν δὲ πρόθεσιν ἔδ μὲν ἀναςρέφεσθ κὴ τῷ κυριωτέρῳ συντάττεσθ· ὅμως ἀδιαφόρως συντέτακται.* BL.

Νικίας ἀναιρεῖ· ἐ συμφωνεῖ δὲ τὰ τῆς ἱςορίας αὐτὸς φασὶ γὰ Ἀρίςαρχον τοῖς κυριωτέροις συντάσσειν τὰς προθέσεις. A.

242. *αἰχέα δειδιότες: Ἑλένη ἁρπαθεῖσα ὑπὸ Ἀλεξάνδρου, ἀγνοοῦσα τὸ συμβεβηκὸς μεταξὺ τοῖς ἀδελφοῖς Διοσκούροις κακόν, ὑπολαμβάνει δι' αἰχύνης αὐτῆς μὴ πορεῦθ τούτους εἰς Ἴλιον, ἐπειδὴ προτέρως ὑπὸ Θησέως ἡρπάθη, καθὼς προείρηται· διὰ γὰ τὴν τότε γενομέν*

ἁρπαγὴν Ἀφιδνα πόλις Ἀττικῆς πορθεῖται, καὶ τιτρώσκεται Κάσωρ ὑπὸ Ἀφίδνα τοῦ τότε βασιλέως κατὰ τὸν δεξιὸν μηρόν. οἱ δὲ Διόσκουροι, Θησέως μὴ τυχόντες, λαφυραγωγῆσι τὰς Ἀφίδνας (Ἀθήνας A). ἡ ἱστορία παρὰ τοῖς Πολεμωνίοις ἢ τοῖς (ἤτοι D) κυκλικοῖς, καὶ ἀπὸ μέρους παρὰ Ἀλκμᾶνι τῷ λυρικῷ. AD.

δειδιότες: συγῶντες, ὡς „ῥιγεδανῆς Ἑλένης" (Il. 19, 325) τῆς συγητῆς. εἰς δὲ τὸ ὀνείδεα σικτέον, ἐπειδὴ τὸ πόλλ' συναλειφόμενον οὐ δέχεται σιγμὴν ἐν μεταξύτητι. τὸ δὲ πόλλ' ἅ μοί ἐσιν ἀντὶ τοῦ ἅ ἐμοῦ χάριν (δι' ἐμὲ V) ἐσίν. ἑαυτῆς δὲ κατηγορῆσα ἔλεον ἐπισπᾶται. BLV.

ἐπὶ τὸ ὀνείδεα βραχὺ διαζαλτέον· ἐπὶ δὲ τὸ πολλά ὁ λόγος μὲν αἱρεῖ, διὰ δὲ τὴν συναλοιφὴν ἡ παραδεκτέα ἡ ἀνάγνωσις. A.

243. τοὺς δ' ἤδη κατέχεν φυσίζοος αἶα: οὗτοι δέ, φησίν, ἦσαν μεταξάντες ἐξ ἀνθρώπων, καὶ ὑπὸ γῆν διετέλεσαν ὁτὲ μὲν ζῶντες ὁτὲ δὲ τεθνηκότες, κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα „ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε τεθνᾶσιν, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν" (Od. 11, 299). φυσίζοος δὲ ἤτοι ἡ τὰ πρὸς τὸ ζῆν φύουσα ἢ δωρουμένη· ἢ ὅτι τῷ ὄντι λέγεται χώρα ἐν Λακεδαίμονι οὕτω Φυσίζοος, ἐπεὶ ἐκεῖ δοκοῦσιν οἱ Διόσκουροι καταποθέντες πάλιν ἀναδοθῆναι. AD.

ἄλλως. Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως παῖδες, γάμους θύοντες τῶν Λευκίππου θυγατέρων Φοίβης καὶ Ἱλαείρας, ἐκάλεσαν τὸς Διοσκόρους συγγενεῖς ὄντας· ὁ γὰρ Τυνδάρεως Ἀφαρέως ἀδελφὸς ἦν. λέγεται δὲ τὸς Διοσκόρους ἁρπάσαι τὰς κόρας ἔτι παρθένους ὔσας. μαχομένων δ' αὐτῶν περὶ τοῦ γάμου καρτερῶς ἀναιρεῖται Κάσωρ. ὅθεν ὁ Ζεὺς ὀργισθεὶς κεραυνῷ βάλλει τὸν Ἴδαν, παραμυθεῖται δὲ Πολυδεύκην, καὶ τίθεται αὐτῷ αἵρεσιν πότερον θέλει ἀθάνατος εἶναι ἢ σὺν τῷ ἀδελφῷ ἓξ μῆνας τελευτᾶν καὶ τοὺς ἴσους ζῆν. ὁ δὲ μᾶλλον αἱρεῖται μετὰ Κάσορος ἀποθανεῖν καὶ ζῆν. ἡ ἱστορία παρὰ Πινδάρῳ. AD.

244. φίλῃ ἐν πατρίδι γαίῃ: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἓῇ ἐν πατρίδι. εἴτε δὲ ἐπὶ τῶν Διοσκόρων ἔσαι τὸ ἓῇ, ἑνικὸν ἐχ ἁρμόσει· εἴτε ἐπὶ τῆς Ἑλένης, ἐκθεσμόν ἐσι τὸ ὕτω λέγειν, τὸς δ' ἤδη κατέχεν φυσίζοος αἶα ἐν τῇ ἑαυτῆς πατρίδι. A.

245. τὸ θεῶν δύναται καὶ ἐπάνω συνάπτεσθαι, ἵν' ᾖ κήρυκες θεῶν, δύναται καὶ τοῖς ἑξῆς, ὅρκια πισὰ θεῶν· ὅπερ καὶ βέλτιον. A.

ἐδύνατο τὸ θεῶν καὶ τοῖς πρώτοις συντάσσεσθαι, εἰ μὴ ὅτι ἐν τοῖς ἑξῆς (269) φησὶν „ὅρκια πισὰ θεῶν σύναγον." BL.

246. οἶνον ἐΰφρονα: παρὰ γὰρ τὴν ὄνησιν ἐτυμολογῆσιν· „καὶ αὐτὸς ὀνήσεαι, αἴ κε πίηθα" (Il. 6, 260). V.

καρπὸν ἀρούρης: πρὸς ἀντιδιαζολὴν τοῦ ἀπὸ τῶν ἀγριάδων. L.

248. κύπελλα: χύπηλά τινα ὄντα, ἔνθα ὁ πηλὸς χεῖ. V.

250. Λαομεδοντιάδη: μήτηρ Πριάμε, ὥς φησι Πορφύριος ἐν τῷ περὶ τῶν παραλελειμμένων τῷ ποιητῇ ὀνομάτων, κατὰ μὲν Ἀλκμᾶνα τὸν μελοποιὸν Ζευξίππη, κατὰ δὲ Ἑλλάνικον Στρυμώ (Τρυμώ D). AD. Στάμις δὲ ἐν τῷ περὶ Λέσβα φησὶ Θόασαν τὴν Τεύκρου. D.

μετὰ τὴν προσαγόρευσιν ἡ σιγμή. τὸ δὲ ὄρσεο ἀπὸ τοῦ ὄρσω ἐνεργῶτός ἐσιν. BL.

252. ἐς πεδίον: ἠνεμόεσσα γὰρ ἡ πόλις. V.

254. μακρῆς: τοῦτο εἰς ἀγωνίαν ἄγει τὸν γέροντα. τὰ δὲ ὑπὸ Μενελάου βλασφημηθέντα σιωπῶσιν. L.

257. ἀσερίσκος, ὅτι νῦν ὀρθῶς ἐν τῷ τῆς κήρυκος λόγῳ γράφεται ναίοιμεν, ἐν δὲ τοῖς ἐπάνω, ὅτε Ἀλέξανδρος λέγει, ἐκέτι. A.

258. Ἄργος: Ἄργος καὶ τὴν πόλιν καὶ τὴν Πελοπόννησον καὶ τὴν Θετταλίαν καλεῖ. ἄμεινον δὲ νῦν Ἄργος τὴν Θεσσαλίαν λέγειν, Ἀχαΐδα δὲ πᾶσαν τὴν Ἑλλήνων. BLV.

259. ῥίγησεν δ' ὁ γέρων: φυσικὴ γὰρ ἡ φιλοπαιδία. ὁ δὲ Ἕκτωρ ἐχάρη μέγα, τέλος οἰονεῖ ἐπιζητῶν τοῦ πολέμου. BL.

ἐκέλευσε δ' ἑταίροις: ἕτως τοῖς ἑταίροις κατὰ δοτικὴν αἱ Ἀρισάρχε. συνεφώνει καὶ ἡ Ζηνοδότε. A.

261. ἡ διπλῆ, ὅτι δύο ἐπεδέχοντο οἱ δίφροι· διὸ νῦν Πρίαμος ἡνιοχεῖ παραιβατεύοντος τοῦ Ἀντήνορος. καὶ ὅτι οἱ ἥρωες πάντες ἔμπειροι καὶ αὐτεργοί· διὸ καὶ ὁ Ὀδυσσεὺς ναυπηγεῖ καὶ κυβερνᾷ. A.

προοικονομεῖ τὴν ἐν τῇ Ω ἡνιοχείαν. ἄγει δὲ τὸν Ἀντήνορα ὡς συνετὸν καὶ πρόξενον Ἑλλήνων. BLV.

262. προκρίνει μὲν τὴν διὰ τοῦ ε γραφὴν βήσετο, πλὴν ἐ μετάθησιν ἀλλὰ διὰ τοῦ α γράφει Ἀρίσαρχος. A.

δίφρον τὸ ἅρμα. δίφρος δὲ εἴρηται, ὅτι δίφορός ἐσι. δύο γὰρ φέρει, τὸν ὀπλίτην καὶ τὸν ἡνίοχον. D.

263. Σκαιῶν: ἡ διπλῆ, ὅτι παραλέλοιπε τὸ πυλῶν, καὶ ὅτι ἀδιαιρέτως ἐξενήνοχεν· εἴθισται γὰρ λέγειν Σκαιάων (Il. 22, 6). A.

266. ἐσιχόωντο: γίνεται ἓν ἐκ τοῦ σῖς σιχὸς σίχες αἱ τάξεις. τὸ δὲ σῖς ἐκ τοῦ σειχω σίχω, ἀπὸ τοῦ σιχόω, ἐσιχόων τὸ τρίτον τῶν πληθυντικῶν, ἐσιχούμεθα ἐσιχόωντο· „τῆς μὲν ἴης σιχὸς ἦρχε Μενέσθιος" (Il. 16, 173). L.

267. ἔπειτα: ἀντὶ τοῦ δή. V.

269. ὅρκια: λείπει τῶν Τρώων καὶ τῶν Ἑλλήνων. V.

270. μῖσγον — ἔχευαν: ἡ διπλῆ, ὅτι ἐχ ὕδατι ἔμισγον τὸν οἶνον, ἀλλὰ τὸν τῶν Τρώων καὶ Ἀχαιῶν· διὸ καὶ ἐν ἄλλοις „σπονδαί τ' ἄκρητοι" (Il. 2, 341). καὶ ὅτι Ἀρίσαρχος διὰ τοῦ ō καὶ ἀναλογεῖ τὸ μῖσγον. A.

διὰ τοῦ ō τὸ ἔχευον, ἵν' ᾖ ἀναλογῶν τῷ μῖσγον. B.

271. μάχαιραν: ἡ διπλῆ, ὅτι τὴν παραξιφίδα μάχαιραν καλεῖ· διὸ καὶ λέγει αὐτὴν παρηρτῆσθαι τῷ κωλεῷ τοῦ ξίφους. τὸ δὲ πολεμισήριον ἄορ ξίφος φάσγανον καλοῦσιν· συνώνυμα γάρ. A.

ἀξιόχρεως αὐτεργῶν ὁ βασιλεύς. ἢ ὡς ἀγνοούντων τῶν Τρώων τὸν ἐν θυσίαις νόμιον. BLV.

272. ἄωρτο: ἄρω ἐσὶ τὸ σημαντικὸν τοῦ ἁρμόζω, οὗ

μέλλων ἄρσω; ἀόριςος ἦρσα· „Θέτις ὤμοισιν ἐπῆρσεν" (Il. 15, 167 et 339?) ἀντὶ τȣ̃ ἐφήρμοσεν· „ϗ πώμασιν ἄρσον ἅπαντα" (Od. 2, 353) ἀντὶ τȣ̃ ἐφάρμοσον. τοῦ ἄρω ὁ παρακείμενος ἦρκα, ὁ παθητικὸς ἦρμαι, ὑπερσυντέλικος ἤρμην, τὸ τρίτον ἦρτο, συςολῇ ἄρτο, ἐπενθέσει τȣ̃ ω̄ ἄωρτο. ȣ̃τως Ἡρωδιανὸς ἐν τῷ β' ποιήματι τῷ περὶ παθῶν Διδύμου. A.

273. ἀρνῶν ἐκ κεφαλέων: ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀρνέων ἐκ κεφαλέων. ἀπὸ δὲ τῶν κατὰ τὴν ὀρθὴν ληγόντων εἰς ες̄ ȣ̀ γίνονται τοιαῦται διαιρέσεις, ἀλλ' ἀπὸ τῶν εἰς αι̅· εἰ δὲ ἄρνες, ἀρνῶν. ἀπὸ δὲ τοῦ κεφαλαί κατὰ λόγον κεφαλέων. A.

τινὲς ἀρνέων, ἵν' ᾖ ὡς ἱππέων ὁπλέων (Il. 11, 536). σημειωτέον δὲ ὅτι τῶν ἐναγιζομένων ȣ̀κ ἐπιβάλλȣσι τὰς τρίχας πυρί, ὡς ȣ̀δὲ τȣ̃ κάπρȣ. BL.

274. νεῖμαν: τȣ̃ οἴνȣ ἢ τῶν τριχῶν ἅψασθαι. V.

276. Ἴδηθεν μεδέων: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ Ἴδης μεδέων. A. τῆς Ἴδης βασιλεύων, ἢ ἐξ Ἴδης, ὥς τινες. τὸ γ̀ θεν μόριον ἤτοι παρέλκεϑ ἢ ἀντὶ τῆς ἐξ προθέσεως λαμβάνεται. D.

ἐξ Ἴδης ἐποπτεύων. τὸν ἐπιχώριον δὲ καλεῖ, ἐκπολεμῶν αὐτοῖς αὐτόν, εἰ παραβαῖεν τȣ̀ς ὅρκȣς. BL.

καθ' ἑκάςην προσαγόρευσιν διαςαλτέον, μέγιςε, ἐπακȣ́εις, ποταμοί, γαῖα. τελεία δὲ ἐπὶ τοῦ ὀμόσσῃ· ἀσύνδετον γ̀ πρὸς τὰ ἑξῆς. A.

Πορφυρίȣ. διὰ τί βȣλόμενος ἐπιορκῆσαι τȣ̀ς Τρῶας ὁ ποιητής, ἵνα εὐλόγως ἀπόλωνται, ȣ̀δαμȣ̃ πεποίηκεν ἐπιορκȣ̃ντας, ἀλλ' οἴεται; ὁ γ̀ ὅρκος ἦν, εἰ Ἀλέξανδρον ἀποκτείνειεν ὁ Μενέλαος, ἀποδοθῆναι τὴν Ἑλένην· οὐκ ἀναιρεθέντος δὲ ȣ̀δαμȣ̃ ἠδίκȣν μὴ ἀποδιδόντες, ȣ̀δ' ἐπιώρκησαν. φησὶ δ' Ἀριςοτέλης ὅτι ȣ̀δ' ὁ ποιητὴς λέγει ὡς ἐπιώρκησαν, καθάπερ ἐπ' ἄλλων „ὣς φάτο καί ῥ' ἐπίορκον ὤμοσεν" (Il. 10, 332), ἀλλ' ὅτι κατάρατοι ἦσαν· αὐτοὶ γ̀ ἑαυτοῖς κατηράσαντο εἰπόντες „Ζεῦ κύδιςε, μέγιςε, ϗ ἀθάνατοι θεοὶ ἄλλοι, ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος" (298). ȣ̀κ ἐπιώρκησαν μὲν ȣ̀ν, ἐκακȣ́ργησαν δὲ καὶ ἔβλαψαν τȣ̀ς ὅρκȣς· ἐπάρατοι ȣ̀ν ἦσαν. ταῦτά τοι καὶ Ἥρα πειρᾶϑ ἐξ αὐτῶν ὧν κατηρήσαντο γενέσθ αὐτοῖς τὴν βλάβην· εὐξαμένων γ̀ ἐκείνων „ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος," ἡ Ἥρα αὐτὸ τȣ̃το παρακελεύεϑ τῇ Ἀθηνᾷ „ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν, πειρᾶν δ' ὡς κέντροισιν ὑπερκύδαντας Ἀχαιȣ̀ς ἄρξαντας προτέρȣς ὑπὲρ ὅρκια δηλήσασθ" (Il. 4, 65). τὸ δὲ βλάψαι ȣ̀κ ἔςιν ἐπιορκῆσαι. A.

277. ἡ διπλῆ περιεςιγμένη, ὅτι ἥλιος ἀντὶ τȣ̃ ἥλιε, ὡς κἀκεῖ „δὸς φίλος" (Od. 17, 415) καὶ „ἀλλὰ φίλος θάνε ϗ σύ" (Il. 21, 106). καὶ πρὸς τὴν ἀθέτησεν τῶν ἐν Ὀδυσσείᾳ „ὠκέα δ' ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθεν" (Od. 12, 374) περὶ τῆς ἀπωλείας τῶν βοῶν τῷ πάντας ἐφορῶντι. A.

Πορφυρίȣ. διὰ τί τὸν ἥλιον πάντα ἐφορᾶν καὶ πάντα ἐπακȣ́ειν εἰπών, ἐπὶ τῶν ἑαυτȣ̃ βοῶν ἀγγέλȣ δεόμενον ἐποίησεν; „ὠκέα δ' ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθε Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκταν ἑταῖροι." λύων δ' Ἀριςοτέλης φησίν, ἤτοι ὅτι πάντα μὲν ὁρᾷ ἥλιος ἀλλ' ȣ̀χ ἅμα, ἢ ὅτι τȣ̃ ἡλίȣ ἦν τὸ ἐξαγγεῖλαι ἡ Λαμπετία ὥσπερ τῷ ἀνθρώπῳ ἡ ὄψις· ἢ ὅτι, φησίν, ἁρμόττον ἦν εἰπεῖν οὕτως τόν τε Ἀγαμέμνονα ὁρκίζοντα ἐν τῇ μονομαχίᾳ „ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακȣ́εις," ϗ τὸν Ὀδυσσέα πρὸς τȣ̀ς ἑταίρȣς λέγοντα· ȣ̀ γ̀ δὴ ϗ τὰ ἐν Ἅιδȣ ὁρᾷ. ϗ ὅλως ὁ ποιητής, ὅπȣ πάρεςιν, ἐκεῖνό φησιν ὁρᾶν πάντως, ἐν μὲν τῇ ἀνατολῇ ὄντα τὰ ἐπὶ τῆς ἀνατολῆς, ἐν δὲ τῇ μεσημβρίᾳ τὰ ἐν αὐτῇ, ϗ πάλιν ἐπὶ δυσμῶν τὰ κατ' αὐτὸν ἐπιβλέπειν. εἰκὸς ȣ̀ν ἐςὶ κατ' ἄλλο κλίμα τῆς κινήσεως ὄντα μὴ ἑωρακέναι τὰ κατὰ τὴν Θρινακίαν πραττόμενα. πάντα μὲν γ̀ ἐφορᾷ, ȣ̀ κατὰ τὸν αὐτὸν δὲ καιρὸν πάντ' ἐπακȣ́ει (ἐποπτεύει L). BL.

ἄλλως. ἀφ' ἑαυτȣ̃ ἐχρῆν ἐγνωκέναι τὸν πάντ' ἐφορῶντα ἥλιον. λύοιτο δ' ἂν τῇ λέξει· τὸ γ̀ πάντα δηλοῖ τὰ πλεῖςα. λύοιτο δὲ ϗ τῷ καιρῷ· νυκτὸς γ̀ εἰκὸς ἐπιθέσθ τοῖς βȣσὶ τȣ̀ς Ἰθακησίȣς. BL.

279. ἡ διπλῆ περιεςιγμένη πρὸς Ζηνόδοτον, ὅτι ἐκ τοῦ δυϊκῶς γράφεσθ τὸ τίνυσθον ἐλέγχεται ὅτι ἐπὶ Περσεφόνης ϗ Πλȣ́τωνός ἐςιν ὁ λόγος, ȣ̀κ ἐπὶ τῶν νεκρῶν. A.

Πλȣ́τωνα καὶ Περσεφόνην φησίν. ἐκφοβῶν ȣ̀ν ȣ̀ρανίȣς, ἐπιγείους, ὑπογείους καλεῖ. δεισιδαιμονεῖν δὲ διδάσκει, μηδὲ μετὰ θάνατον ἀπαλλάσσεσθ τοὺς ἁμαρτάνοντας λέγων. ABLV.

ἐπίορκον: ȣ̃τως προπαροξυτόνως· ἓν γάρ ἐςι τὸ ὅλον, ὥσπερ καὶ τὸ πρᾶγμα· „οὐδ' ἐπιορκήσω πρὸς δαίμονα" (Il. 19, 188). τελεία εἰς τὸ ὀμόσσῃ. B.

280. μάρτυροι ἔςε: ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει μάρτυρες. Ὅμηρος δὲ μάρτυρος κατὰ τὸ ἑνικὸν λέγει· „Ζεὺς δ' ἅμ' ἐπιμάρτυρος ἔςω" (Il. 7, 76), ἐ πληθυντικὸν ἔςαι τὸ μάρτυροι. παροξύνεται δὲ τὸ ἔςε, ἵνα προςακτικὸν γένηται ὁμοίως τῷ φυλάσσετε· πιθανωτέρα γ̀ ἡ τοιαύτη ἀνάγνωσις· πολλὰ γάρ ἐςι προςακτικὰ ὡς πρὸ τȣ̀ς θεȣ́ς· „Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι, ποίησόν τ' αἴθρην δὸς δ' ὀφθαλμοῖσιν" (Il. 17, 645). ἀναγκαῖον μέντοι ἐς παραφυλάξαι ἐκεῖνο, ὡς ὅτι τὰ εἰς τε̅ λήγοντα πληθυντικ ὁριςικὰ καὶ προςακτικὰ ἀεὶ ὁμοτονεῖ ὑπεςαλμένου τȣ̃ ἔςε οἷον λέγετε - ὅτι λέγετε, ἄγετε - ὅτι ἄγετε. A.

ἄλλοι γράφȣσι μάρτυροί ἐςε. A.

βαρυντέον τὸ ἔςε, ϗ προςακτικῶς ἐκδεκτέον. τὸ δὲ φυλάσσετε ἀντὶ τοῦ πιςώσασθε τὰ ἐπὶ τῇ πίςει γινόμεν ὅρκια. BLV.

281. εἰ μέν κεν Μενέλαον: ἀνεμεσήτως προέτα τὴν τȣ̃ ἀδελφȣ̃ ἧτταν. ὅλῃ δὲ τῇ παραβάσει τῶν συνθη κῶν ἀπολογίαν δίδωσι προσθεὶς τὸ κτείνῃ· δικαίαν γ̀ ἀπο λογίαν παρέχει Τρωσί, δυναμένοις λέγειν ὅτι ȣ̀κ ἐγένετο ὁριθέν· ȣ̀ γ̀ ἀπέκτεινε τὸν Ἀλέξανδρον ὁ Μενέλαος. δι νανται δὲ ϗ οἱ Ἕλληνες, τὴν πρόκλησιν τȣ̃ Ἕκτορος πρ βαλλόμενοι „ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηϑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐλόγως ἀπαιτεῖν τὰς συνθήκας. ἰσχυρότερα δὲ τὰ τῶν Τρώων, ὅτι μάλιστα δεῖ ὁρᾶν τὰ ἐπὶ τοῖς ὅρκοις ὁριζόμενα. BL.

285. Τρῶας — ἀποδοῦναι: ἀντὶ τοῦ Τρῶες ἀποδότωσαν. A.

286. τιμήν: ἡ διπλῆ, ὅτι τιμὴν τὸ ἐπιτίμιον λέγει, ὃ πολλάκις λέγει ποινήν. A. λέγει δὲ τὸ ἥμισυ τῶν ἐν τῇ πόλει κτημάτων. D.

ἔθος γὰρ ἦν τοῖς παρακαθημένοις αἰτεῖν καὶ πρύτανιν· ᾗ οὐ δίκαιον τὴν προκατάρξαντας ἐπ' ἴσης ἀπαλλάττεσθαι. ὁ μὲν οὖν Μενέλαος σπεύδων ἀπολαβεῖν τὸ γύναιον οὐδὲν περὶ τούτων φησίν· ὁ δὲ μεγαλοφυῶς ὁρίζει τὸ ἐπιζήμιον. ἐπεὶ δὲ οὐδεὶς ἐμνήσθη τῆς κεφαλαίας, ἐπιμένει τῷ λόγῳ. BL.

287. ἤτε καὶ ἐσσομένοισι: καὶ τοῦτο πρὸς εὔκλειαν τοῦ κατορθώματος. V.

288. τρίτον ἐν τῇ προσωποποιίᾳ, ὅτι ὑποσιγμὴν ἐποίησε τὸ δέ. V.

ἐμοί: ὡς τῷ μὲν ἀδελφῷ τῆς Ἑλένης, αὐτῷ δὲ τῆς ποινῆς ὀφειλομένης. V.

290. μαχήσομαι: ὅτως διὰ τοῦ ῃ τὸ μαχήσομαι Ἀρίσαρχος. A.

291. εἴως κε: οὐδὲ γὰρ εὔνας τοὺς θεούς, εἰ παραβαῖεν. ἁπλοϊκὸν δὲ τὸ ἦθος τῶν ἡρώων· εἴ γε οὐ μεσεγγυᾶται ἡ Ἑλένη. L.

διὰ τί ἀβελτέρως τῆς μονομαχίας Ἀγαμέμνων ἐπεμελήθη; οὐδὲν γὰρ ἔλαβε βέβαιον, οὐδὲ ἐμεσεγγυήσατο τὴν Ἑλένην, περὶ ἧς ὁ ἀγών, ἀλλ' ἐπ' ἐκείνοις ἐγένετο τὸ μὴ ἀποδῶναι. λύεται δὲ ἐκ τοῦ ἔθους· ἃ γὰρ ἦν τὸ ἀρχαῖον τὰ πρὸς ἀλλήλους διὰ πολλῆς φυλακῆς, ἀλλ' ἁπλῶς συνέβαλλον, καὶ ἐπιβᾶναι καὶ ἁπάτται ἐκ ἦσαν, πρὸς ἃς αἱ τοιαῦται εὐλάβειαι εὑρέθησαν. ἐπεὶ διὰ τί Ἀγαμέμνων καὶ Μενέλαος ἀδορυφόρητοι ἦσαν, ὧν ἀναιρεθέντων ἐλέλυτο ἂν ἡ στρατιά; ἀλλ' ἔπω τότε ἦσαν αἱ πολιτικαὶ ἐπιβαλαί. ὁ δὲ ποιητὴς μιμητὴς ὢν τὰ ὑπάρχοντα ἐποίει, ἀλλ' ἃ τὰ μέλλοντα. L.

292. ἀπὸ σομάχους: ὅτως αἱ Ἀρισάρχῃ, ἀπὸ σομάχης. αἱ δὲ πλείες διὰ τοῦ ε, ἐπὶ σομάχας· ᾗ ἔσιν ἐκ ἄχαρις ἡ γραφή. A.

φάρυγγας, λαιμούς, ἐπεὶ συνέζευκται ὁ σόμαχος τῷ λαιμῷ. D.

295. ἀφυσσόμενοι: Ἀρίσαρχος ἀφυσσόμενοι διὰ τοῦ ῡ, παρατατικῶς· καὶ ἀναλογεῖ τὸ ἔχχεον. ἄλλοι δὲ διὰ τοῦ ῠ. AV.

296. ἔχχεον: προειδὼς τὸ αὐτῶν ἀτελὲς οὐκ εἶπεν ἔσπενδον ἀλλ' ἔχεον. BL.

αἰειγενέτῃσιν: τοῖς ἀΐδιον ἔχουσι τὴν γενεάν, ἤτοι ἀεὶ ὄσιν. BL.

297. ὧδε: ἡ διπλῆ, ὅτι τὸ ὧδε οὐδέποτε τοπικῶς, καθάπερ ἡμεῖς, λέγει, ἀλλ' ἀντὶ τοῦ οὕτως τοῦτο παραλαμβάνει. A.

εἶπεσκεν: ἀπὸ τοῦ εἶπα, ὡς τὸ ῥεῖψασκε. V.

299. ὑπὲρ ὅρκια: ὑπερβάντες τὰ ὅρκια. V.

300. ὧδέ σφ' ἐγκέφαλος: ἀντὶ τοῦ αὐτῶν, ὡς τὸ „ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ δεισάντων φθόγγον τε βαρύν" (Od. 9, 256). BL.

301. 302. κεφαλαιωδῶς τὴν τῶν μελλόντων προαπήγγειλεν ἐπίδειξιν διὰ τοῦ αὐτῶν καὶ τεκέων, ἄλλοις δ' ἄλλοισι δαμεῖεν. διὰ δὲ τοῦ πω ἐλπίδα πάλιν ὑπολείπεται τῷ φιλέλληνι. BLV.

305. Ἴλιον ἠνεμόεσσαν: ὅτι θηλυκῶς ἀεὶ τὴν Ἴλιον λέγει. A.

306. ἄψ, ἐπεί: βραχὺ διασαλτέον ἐπὶ τὸ ἄψ διὰ τὸν λόγον· ὁ γὰρ ἐπεί σύνδεσμος, ὥσπερ τὰ ἑξῆς συνδέων, ὑποσιγμὴν ἀποτελεῖ. A.

σημειωτέον ὅτι σαφῶς ἐνταῦθα βραχεῖαν διασολὴν τὴν ὑποσιγμὴν εἴρηκεν. A.

οὔπω τλήσομ': ἐπεὶ σώζειν Ἀλέξανδρον μέλλει, πιθανῶς ὑπεξάγει τὸν πατέρα, Ἕκτορα δὲ αὐτόπτην ἐᾷ ἐπὶ τῷ τὸν οἶκτον αὔξειν. παρὼν γὰρ ἐνταῦθα ἔδωκεν ἂν τὴν Ἑλένην ὡς τὰς ὅρκους ἐμπιεσευθείς. εἰ δὲ καὶ πᾶσιν ὡς κὴρ ἀπέχθεται Ἀλέξανδρος, ἀλλ' ὁ πατὴρ τὸ φυσικὸν οὐ δύναται μὴ σώζειν. BL.

ἄλλως. διὰ τί ὁ Πρίαμος τὸν μὲν Ἀλέξανδρον οὐ τὸν Μενέλαον ἐκ ἂν ἔφη δύναῳ ἰδεῖν μαχομένους, ἀλλ' ᾧχετ' ἀπιών, τὸν δ' Ἀχιλλέα καὶ Ἕκτορα θεωρεῖ; ὅτι μᾶλλον ἐφίλει, ἢ ὅτι ὁ μὲν αἴτιος τῶν κακῶν ὢν μονομαχήσειν ἤμελλεν. ὁ δὲς οὖν τὸ χρῆναι αὐτὸν μονομαχεῖν τῇ τύχῃ ἐπέτρεψε τὸ τέλος, αὐτὸς ἀρισάμενος τῷ θορύβῳ φησὶ γὰρ „Ζεὺς μέν πᾳ τό γε οἶδεν, ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν." ὅπου δὲ συγκατατίθεται τῇ μάχῃ, πείθεται δὲ παρακαλεῖ τὸν υἱὸν ἀναχωρεῖν, ἐλπίδι τῆς ἀναχωρήσεως ἐπιμένει, ἱκέτης ἀλλ' ὁ θεατὴς γινόμενος· ἄχρι γὰρ τέλους ἡ ἐλπὶς τοῦ πειθῆναι δεόμενον κατεῖχεν. ὅτως γὰρ ᾗ ἡ μήτηρ πάρεσιν, ἐχ ἵνα θεάσηται μαχόμενον, ἀλλ' ἵνα μὴ θεάσηται, εἰσελθόντος αὐτῇ, δεομένη. ᾗ ἅμα τῷ ποιητῇ ἡ τραγῳδία ἀνύεται, δι' οἰκτοῦ ψυχαγωγῆσα τὸν ἀκροατήν, τούτων παρόντων. ἔπειτα ἐπὶ μὲν τοῦ Ἀλεξάνδρου ἐπὶ τῷ πεδίῳ ἡ μάχη ἦν, ἐπὶ δὲ τοῦ Ἕκτορος παρὰ τὸ τῆς πόλεως τεῖχος· συνεωσμένων δὲ τῶν μὲν Τρώων εἰς τὴν πόλιν, τῶν δ' Ἀχαιῶν ἐφεσηκότων καὶ τοῦ Ἀχιλλέως θέοντος περὶ τὸ τεῖχος, ἀναγκαῖον ἦν ὁ τὸν Πρίαμον μόνον ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ἄχρηστον ἡλικίαν παρεῖναι διὰ τὸ μέγεθος τοῦ κινδύνου. B.

306. ὁρᾶσθαι: παθητικὸν ἀντὶ ἐνεργητικοῦ. A.

308. Ζεὺς μέν που: ἴσως ὁ μέν πᾳ ἀντὶ τοῦ μέντοι, ὅς ἐστιν ἀντὶ τοῦ δέ· ἐγὼ μὲν ἄπειμι, Ζεὺς δὲ τὸ τέλος οἶδε καὶ τὴν τύχην. ἐκ ἀποκόπτει δὲ τοῦ υἱοῦ τὴν ἐλπίδα. BL.

βραχὺ διασαλτέον ἐπὶ τὸ ἄλλοι· ἀντέσραπται γὰρ ἡ περίοδος. ὀρθὴ δ' ἂν ἦν ὅτως, ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν, Ζεὺς μὲν τοῦτό γε οἶδεν. A.

310. ἐς δίφρον ἄρνας θέτο: εἰς τὴν πόλιν ὁ Πρίαμος τοὺς ἄρνας τεθυμένους ἔχων ἀπεισιν, ἵνα αὐτοὺς περισείλῃ· ἔθος γὰρ ἦν τὰ ἐπὶ τοῖς ὅρκοις γιγνόμενα ἱερεῖα τοὺς μὲν ἐγχωρίους γῇ περισείλλειν, τοὺς δὲ ἐπήλυδας εἰς τὴν θά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λασσαν ῥίπτειν. ἢ δείξων ἀποφέρει τοῖς ἐν ἄξει, πισωσόμενος κἀκείνοις, ἢ ὡς ἀγνοῦντας διδάξων. τὰ δὲ θεοῖς ἁπλῶς θυόμενα ἤθιον· ἠγῆντο γὰρ ὥσπερ συσσιτεῖσθαι τοῖς θεοῖς. ABL.

313. τὼ μὲν ἄρ' ἄψορροι: διὰ τί χωρίζει ὁ Πρίαμος; καὶ οἱ μέν φασιν ὅτι ἵνα ἀφ' ὕψους κρεῖσσον θεωρήσῃ ἀπὸ τῆς πόλεως τὴν μονομαχίαν, οἱ δέ, ἵνα φυλάξῃ τὰ τείχη. ἄλλοι δὲ τὴν Ὁμηρικὴν λύσιν προϊσχόντες, τὸ ἔπω πλήσομ' ὀφθαλμοῖσιν ὁρᾶσθαι· ὅπερ ἄμεινον. AD.

314. Πριάμοιο πάϊς: Πορφύριος ἐν τοῖς παραλειμμένοις φησὶν ὅτι τὸν Ἕκτορα Ἀπόλλωνος υἱὸν παραδίδωσιν Ἴβυκος, Ἀλέξανδρος, Εὐφορίων, Λυκόφρων. AD.

καὶ δῖος Ὀδυσσεύς: ὑπηρετικὸν γὰρ τοῦτο· τὸ δὲ τῶν σπονδῶν βασιλικόν. BL.

315. χῶρον μὲν πρῶτον διεμέτρεον: ἀναγκαίως διεμέτρων πᾶν τὸ χωρίον ἐν ᾧ ἤμελλον μονομαχήσειν, ὥσε μὴ μόνον τὸν διὰ τῶν ὅπλων ἡττηθέντα νενικῆσθαι, ἀλλὰ καὶ τὸν ἀπολιπόντα τὸ ἀποδεδειγμένον χωρίον, ὥσπερ καὶ ἐπὶ τῶν ἀθλητῶν. ἄλλοι δέ φασιν ὅτι ἵνα μὴ πρὸς τὰ ἑαυτῶν πλήθη χωριαθῶσιν, ἀλλ' ὥσπερ ἐν εἱρκτῇ τῇ περιγραφῇ μένωσιν. ABD.

ἄλογον δοκεῖ εἶναι ἐπὶ μόνων τούτων διαμετρεῖν τὸν χῶρον ἢ κληροῦν. ἡ δὲ λύσις ἐκ τοῦ καιροῦ· ὑπὲρ γὰρ τῶν ὅλων αὕτη μόνη εἰσήχθη ἡ μάχη. B.

καὶ πῶς ἐπὶ Ἕκτορος, ἔνθα Αἴαντι μονομαχεῖ (Il. 7, 225), ἐ διαμετρεῖται ὁ τόπος; ἢ ὅτι ἐκεῖνοι μὲν περὶ τῆς ἀλλήλων σφαγῆς διαμιλλῶνται, ἐνθάδε δὲ περὶ τῆς κοινῆς ἐλπίδος ἐστὶν ὁ πόλεμος· διὸ οἵ τε ὅρκοι καὶ ἡ γύμνωσις τῶν σρατῶν, μή πώς τις ἔνοπλος ὢν προσαμύνῃ τῷ σρατηγῷ. ἢ ὅτι ἡ διαμέτρησις καρτερικωτέρας ἐργάζεται τὰς πολεμοῦντας. ἄλλως τε δεδίασι μὴ τοξότης Ἀλέξανδρος ὢν δραπετεύσῃ τὴν συμβολὴν καὶ τὴν τοξείαν ἀντεπάξῃ Μενελάῳ. σκόπει γὰρ ὅτι καὶ αὐτῷ μὲν ἀφανισθέντος, Μενελάῳ δὲ τοξευθέντος, ἐκ ἴσασι μὴ καὶ αὐτὸς εἴη ὁ τοῦτο δράσας· φησὶ γὰρ Ἀγαμέμνων „ὅν τις ὀϊστεύσας ἕβαλε τόξων εὖ εἰδὼς Τρώων ἢ Λυκίων" (Il. 4, 196). L.

315. 316. αὐτὰρ ἔπειτα κλήρους: μετὰ ταῦτα δεόντως καὶ κλῆρον ἐποιήσαντο περὶ τῆς ἀφέσεως τῶ δόρατος, ὥσε μὴ θόρυβον ἐμπεσεῖν τῷ ἑτέρῳ φθάσαντος διὰ τῆς πρώτης βολῆς ἀνελεῖν τὸν πολέμιον. ABD. ψῆφοι δέ τινες ἦσαν οἱ κλῆροι, εἰς ἃς ἐσημειοῦτο ἕκαστος· ἃς ἔτως ὠνόμασαν διὰ τὸ καλεῖσθαι ὑπ' αὐτῶν εἰς τὰς πράξεις. AB.

316. χαλκήρεϊ: προπαροξυτόνως· ἔστι δὲ παραγωγὴ ἡ διὰ τῆ ῆρης, ἥτις βαρύνεται, ξιφήρης ὀλιγήρης θυμήρης, ἔνθεν τὸ „θυμῆρες κεράσσα" (Od. 10, 362). εἰ μέντοι γε τὸ ἄρω ἔγκειται ἐπὶ τούτῳ, καὶ διὰ τῆ ᾱ ἡ σύνθεσις γένοιτο καὶ ὀξεῖα τάσις ἐστίν· „ἔχει δ' ἄλοχον θυμαρέα" (Il. 9, 336). ABL.

318. ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον: ἐὰν εἰς τὸ ἠρήσαντο σίξωμεν, φησὶν ὁ Νικάνωρ, ὡς ἑτέρους ἔσονται θεοῖς ἀνατείναντες τὰς χεῖρας· διὸ σίζει εἰς τὸ θεοῖς, καὶ τὸ ἰδὲ ἀντὶ τῆ καί λαμβάνει. AB.

δύναται καὶ ἕτως, ἠρήσαντο θεοῖς ἰδὲ χεῖρας ἀνέχον· καὶ ὁ ἰδὲ ἀντὶ τῆ καί. BL.

320. Ἴδηθεν μεδέων: ὁ τῆς Ἴδης βασιλεύς· τιμᾶ γὰρ ἐν τῷ ἀκρωτηρίῳ τῆς Ἴδης Ζεύς, καὶ βωμὸς αὐτοῦ ἐστίν, ὡς καὶ αὐτὸς ὁ ποιητής φησι „Γάργαρον, ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις" (Il. 8, 48). D.

321. ὀππότερος: „ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (454). V.

323. ἐὰν σίζωμεν πρὸ τούτου τῆ σίχθ ἐπὶ τῷ εἴσω, ἐλλείπει ῥῆμα εὐκτικὸν τὸ εἴη· ἐὰν δὲ διαζέλλωμεν, κοινὸν ἔσται τὸ δός. A.

ἀπὸ κοινῆ τὸ δός ἐπ' ἀμφοτέροις τέτακται. BL.

ἢ φιλότης γενέσθω, ὡς καὶ παρὰ Θεοκρίτῳ (10, 48) „τὸ ἀλύοντες φεύγειν μεταμβρινὸν ὕπνον" ἀντὶ τῆ ἀλύοντι φευγέτωσαν. V.

324. πάλλεν δὲ — Ἕκτωρ: πανταχόθεν τὸς Τρῶας προφασίσεως ποιεῖ (καθίζησιν V). BLV.

325. ἀψ ὁρόων: εἰς τὰπίσω βλέπων, ἵνα μὴ ἀντιπεναργεῖν δόξῃ. D.

Πάριος: Ἴωνες ἕτως, ἡμεῖς δὲ Πάριδος. D.

τοῦτο μὲν τὰ ἀπὸ τῆς τύχης, ὅτι καὶ τοῖς ἥσσοσι προσγίνεται ἡ τύχη, τοῦτο δὲ καὶ τὰ ἀπ' ἀρετῆς περιποιεῖ. δηλοῖ δὲ διὰ τούτων ὡς κενὰ τὰ τῆς τύχης πρὸς τοὺς ἀνεπιτηδείους. BL.

Πάρις ὁ Ἀλέξανδρος ἐκλήθη παρὰ τὸ ἐκτεθῆναι αὐτὸν ἐν τῇ Ἴδῃ εὐθὺς τεχθέντα καὶ αὐξηθέντα παρελθεῖν τὸν μόρον ἕτως. κατὰ γαστρὸς αὐτὸν ἔχουσα ἡ Ἑκάβη ἐνυπνιάσθη κατ' ὄναρ καιόμενον δαλὸν τίκτειν, ὅσις κατέφλεξε πᾶσαν τήν τε πόλιν καὶ τὴν ἐν τῇ Ἴδῃ ὕλην ἐξῶσαν. τὸ δὲ τὸ ἐνύπνιον ἀκέσαντες οἱ μάντεις καὶ οἱ περὶ τὰς ὁράσεις δεινοὶ εἶπον τὸ τεχθὲν παιδίον εὐθέως μικρὸν ὂν ῥίψαι θηρσὶ βοράν. τεχθέντα δὲ τὸν Ἀλέξανδρον ἐξέθηκεν ἐν τῇ Ἴδῃ· ὃν ποιμὴν ἑωρακὼς σφόδρα εὐειδέστατον ἀνατρεφόμενος ἀνέθρεψεν. AD. Πορφύριός φησιν ἱστορεῖν ἐν γράψαντα τὰ τραγῳδέμενα ὅτι ὁ θρέψας τὸν Πάριν ἐκάλεσε Ἀρχιλάς ἐκαλεῖτο. A.

326. ἑκάεσσι: Ἀρίσαρχος κατὰ γενικὴν ἑκάεσσα. A.

μόνως κατὰ γενικήν. τὸ ἑκάεσσι ἀντὶ τῆ ἑκάεσσα. BL.

327. ἀερσίποδες: αἴροντες εἰς ὕψος τὰς πόδας, ἀχεῖς. ζωγραφικῶς δὲ ἐκτετύπωκε τοῦτο· τοιοῦτοι γὰρ οἱ ὠλυόμενοι τρέχειν ἵπποι. καὶ ἔστιν ἰδίωμα, παρὰ τὸ ἀρῶ ἀέρω ἀέρσω, ὡς κέρσω. AD.

τὸ ἔκειντο ἐκ ἔστι κοινὸν ἐπὶ τῶν ἵππων, ἀλλὰ ποσυπακούομεν τὸ ἔστασαν, ὡς ἐπὶ τῆ „ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι" (Il. 10, 407)· „ἐλεύσαμεν ἐς ἐόντων καπνὸν αὐτῶν τε φθογγήν" (Od. 9, 166). ἢ ἰσοδυναμεῖ τοῦτο τῷ ἔστασαν· ἐφίσαθ γὰρ τὴν σήληνα μὲν ἀντὶ τοῦ ἐπικεῖσθαι. ἢ καὶ ἐπὶ ἀργῶν τῶν ἵππων τὸ ἔκειντο ἁρμόδιον. BLV.

328. ἐδύσατο τεύχεα καλά: ὡς ἰδίᾳ μέλλοντες

δυνεύειν ἀσφαλέστερον ὁπλίζονται· ἢ ὡς μέλλοντες κάμνειν προανεκτήσαντο ἑαυτοὺς τῇ τῶν ὅπλων ἀνέσει. κοσμεῖ δὲ αὐτὸν τῷ γάμῳ (329), ὡς πόσις Ἥρης. ὡς πρῶτος δὲ λαχὼν πρῶτος ὁπλίζεται. BLV.

διὰ τί πάντας μονομαχεῖν μέλλοντας, καὶ εἰ τύχοιεν ὡπλισμένοι, αἴθις ποιεῖ καθοπλιζομένους ἐπιλέγων „κνημῖδας μὲν πρῶτον" καὶ τὰ ἑξῆς; ἢ ὅτι τῶν προκλήσεων γινομένων ἦν ἀναγκαῖον τοὺς μέλλοντας μονομαχεῖν διαναπαύεσθαι, καὶ πρότερον ἀναψύξαντας καὶ νεαλεῖς γενομένους ἔτως ἐπὶ τὸν ἀγῶνα καθιέναι. εἰκὸς δὲ μέλλοντας ἰδίᾳ κινδυνεύειν, ἵνα βέλτιον ὦσιν ὡπλισμένοι, ἐξ ἀρχῆς κατασκευάζεσθαι. L.

330. ὁπλισμὸν διδάσκει διὰ τέτε. ἐπισφύρια δέ εἰσιν οἱ γλυτοὶ ἤτοι τὰ τῶν σφυρῶν σφαιρώματα (εἰσιν οἱ γλυμμοὶ τῶν σφυρῶν V). BLV.

333. ἥρμοσε δ' αὐτῷ: τοῖς γ' ὁμογενέσι καὶ ὁμοιοτρόποις ὁμοίαι τῶν σωμάτων αἱ κατασκευαί. κωμῳδεῖται δὲ ὡς ἐκ εἰδὼς τὸ συσάδην. ἄλλως τε καὶ δειλὸς Ἀνκάων, ὃς ἔρριψε τὴν παντευχίαν, μὴ φέρων τὸν ἱδρῶτα (Il. 21, 50). BLV.

334. 335. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος ἀμφοτέρως ἠθέτηκε, καὶ μετὰ τὸν „οἷο κασιγνήτοιο" ὑποτάσσει „κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκεν ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν· εἵλετο δ' ἄλκιμον ἔγχος" ὥστε ἐναντίως τῷ Ὁμηρικῷ ὁπλισμῷ (Il. 11, 32. 15, 480) ἔχειν· πρὸ τῆς ἀσπίδος γ' φανήσεται ἀναλαμβάνων τὴν περικεφαλαίαν, ᾗ ξίφος μὴ ἔχων. A.

335. χάλκεον: βραχὺ διασαλτέον ἐπὶ τὸ χάλκεον· κοινὸν γ' τὸ ἀμφ' ὤμοισι βάλετο καὶ ἐπὶ τῆ σάκες. A.

ἀπὸ κοινῆ τὸ ὤμοισι βάλετο, ἀναγκαίως διὰ τὲς τελαμῶνας. ABL.

σάκος τὴν ἀσπίδα. εἴρηται δὲ σάκος, ἐπειδὴ παρὰ πρώτοις Σάκαις εὕρηται. Σάκαι δὲ ἔθνος Θρᾴκης. D.

336. ἔθηκεν: ἀντὶ τῆ περιέθηκεν Ἀττικῶς, ὡς „τιθήμενον ἔντεα καλά" (Il. 10, 34)· „καὶ αὐτὸς ὑπὲρ τῆ δήμε θέμενος τὰ ὅπλα," ὃ ἐξι περιθέμενος, ἐν τῷ κατὰ Μειδίου (§ 145 ed. Berolin.). πολλὴν δὲ καὶ ὁ λόφος νεύων (337) ἔχει τὴν ἔμφασιν. BL.

337. λόφος: τὸ προνεῦον τῆς περικεφαλαίας ἀνάσημα κόσμε καὶ καταπλήξεως χάριν ἱππείαις θριξὶν αὐτῷ ἐνιεμένας. D.

338. ὃ οἱ παλάμηφιν ἀρήρει: ἐν ἄλλῳ, ἀκάχμενον ὀξεῖ χαλκῷ. A.

339. ὡς δ' αὔτως Μενέλαος: ὅτι ἔτος ξίφος ἔχει· εἰ δὲ ὡσαύτως τῷ Ἀλεξάνδρῳ καθώπλισαι, πάντως κἀκεῖνος εἶχε ξίφος. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον. A.

ἐντε': ὅπλα. εἴρηται δὲ ἀπὸ τῆ ἐντὸς περιέχειν τὸ σκέπειν τὸ σῶμα. λέγεται δὲ καὶ τὰ πρὸς τὴν εὐωχίαν σκεύη ἔντεα, ὡς ἐκεῖ „μνηστῆρες δ' ἀπεκόσμεον ἔντεα δαιτός" (Od. 7, 232?). ABDL.

340. ἑκάτερθεν ὁμίλου: ἐξ ἑκατέρας ὁμίλου. V.

342. δεινὸν δερκόμενοι: ὁ ζῆλος αὐτὲς ἐρεθίζει. V.

θάμβος δ' ἔχεν εἰσορόωντας: ἐκ παντὸς τόπου καὶ προσώπε τὴν ἔμφασιν κινεῖ. τὸ δὲ ἄδηλον καραδοκῶντες ἐκπλήσσονται· κοινὸς γ' Ἐνυάλιος. BL.

343. ἐϋκνήμιδας: τὲς καλὰς κνημῖδας ἐν ταῖς κνήμαις φορῶντας, ἤγεν φυλακτήρια. κνήμη δέ ἐξι τὸ ὄπιθεν τῆ σκέλες, ἡ ἰγνύη. BL.

344. διαμετρητῷ: Ἀρίσαρχος περισπᾷ, ᾗ οἱ ἄλλοι· ᾗ ἔτως ἔχει ἡ παράδοσις. ᾗ ἔξι παρασύνθετον· τὸ γ' ῥῆμα συντέθειται ἐν τῷ „χῶρον μὲν πρῶτον διεμέτρεον" (315). A.

345. βραχὺ διασαλτέον ἐπὶ τὸ ἐγχείας. A.

346. δολιχόσκιον: μέγα, μακρὰν σκιὰν ἀποτελῶν ἢ μακρὰν πορευόμενον. D. οἱ μὲν παρὰ τὸ κίειν (κίειν ἔμπλεων V), οἱ δὲ παρὰ τὴν σκιάν. οὐκ ἔχει δὲ παρρησίαν Ἀλέξανδρος εὐχῆς ἄδικος ὤν. BLV.

348. χαλκός: ἔτως Ἀρίσαρχος· ἄλλοι δὲ διὰ τοῦ ῡ, χαλκόν. ἔτως ἄμεινον διὰ τῆ ᾱ γράφειν· ᾗ γ' ὕστερόν φησιν „ὁ δὲ δεύτερος ὦρνυτο χαλκῷ" ἀντὶ τοῦ τῷ δόρατι. ᾗ τὸ μὲν τῆς τύχης ἔτυχεν, τὸ δὲ τῆς ἰσχύος ἀπώλεσεν. AB.

χαλκόν: ἔτως Ἀρίσαρχος. ἄμεινον δὲ διὰ τῆ ᾱ γράφειν. LV.

350. ἐπευξάμενος: Ἑλληνικὸν τὸ μὴ πᾶν ἐπιτρέπειν τῇ ῥώμῃ· καὶ γάρ, μὴ βελομένε θεῦ, ὁ πολλῶν κρατήσας ἑνὸς ἡττᾶται μόνε πολλάκις. BLV.

352. ἀθετεῖται, ὅτι ἐκ ἀναγκαίως ἐπιλέγεται· καὶ γ' ὁ καιρὸς τὸ σύντομον ἔχειν θέλει. καὶ δῖον ἀκαίρως ὁ Μενέλαος τὸν ἐχθρὸν λέγει. A.

τινὲς τὸ δῖον τῷ ἐμὲ συνάπτεσιν. ἢ ἐρεθίσαι κατ' αὐτῆ βέλεθ τὸν θεόν, ὡς αἰχύναντος τὸ ἀπὸ Δαρδάνε γένος. BL.

ἐὰν μὲν γράφηθ δαμῆναι σὺν τῷ Ἀρισάρχῳ, βραχὺ διασελᾶμεν ἐπὶ τὸ Ἀλέξανδρον· κοινὸν γ' τὸ δός. ἐὰν δὲ δάμασσον, δευτέραν ἄνω θετεόν, ἐπεὶ ᾗ καθ' ἑαυτὸ δύναται πλῆρες εἶναι τὸ ἑξῆς. A.

353. ἐρρίγησι: ἀπὸ τῆ ῥιγῶ ῥιγεῖς, οὗ παρατατικὸς ἐῤῥίγουν, ὁ μέσος παρακείμενος ἔῤῥιγα, ὃς μεταπλάττεθ εἰς ἐνεστῶτα τὸν ἐῤῥίγω ὡς δέδοικα δεδοίκω. A.

354. ξεινοδόκον: παροξύνεθ διὰ τὴν ἐνέργειαν. ἔτως δὲ πέφυκε τὰ παρὰ ῥῆμα συντιθέμενα παροξύνεσθαι μέν, ὅτε ἐνέργειαν ὑπιχνεῖται, προπαροξύνεσθ δέ, ὅτε πάθος, εἰ μὴ κανόνες τινὲς κωλύοιεν οὓς παρατίθεται ὁ Ἡρωδιανός. ὥστε διαφέρειν τὸ λιθοβόλος τοῦ λιθοβόλος· τὸ μὲν γὰρ παροξυνόμενον σημαίνει τὸν λίθους βάλλοντα, τὸ δὲ προπαροξυνόμενον τὸν ὑπὸ λίθου βεβλημένον, ὡς παρ' Εὐριπίδῃ ἐν Φοινίσσαις (1069) „λιθόβολον εἶμα κατειργάσω." A.

διὰ τῆ ᾱ ὡς πανδοκεῖον. ὁ δεχόμενος δὲ ἐνεργεῖ, ἃ πάσχει· διὸ παροξύνεται. ABL.

φιλότητα: ὅτι σαφῶς νῦν φιλότητα τὴν ξενίαν εἴρηκεν. ἀπελθόντα γ' ὡς πρέσβυν εἰς τὸ Ἄργος τὸν Ἀλέξανδρον ἐξενοδόχησεν ὁ Μενέλαος· ὅθεν ᾗ εὐχεθ τῷ ξενίῳ Διί, τῷ ὑπ' αὐτῆ καταφρονηθέντι. BDL.

ἀμπεπαλών: ἀνακραδήνας, ἀπὸ τῦ πάλλω, ὡς τεταγών. V. μετοχή, ἀόριστος β. γίνεται δὲ ἐκ τῦ ἀναπάλλω. οἱ δὲ Ἴωνες εἰώθασιν ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς ἀναδιπλασιάζειν, λάχωσι λελάχωσι, λάθῃ „λελάθῃ δ' ὀδυνάων" (Il. 15, 60). L.

358. ἠρήρειστο: τὸ βίαιον τῆς πληγῆς παραδηλοῖ τῷ τραχεῖ τῦ ῥήματος. BLV.

359. ἀντικρὺ: διαφέρει τὸ ἀντικρύ τῦ ἄντικρυς προπαροξυτόνυ· τὸ μὲν γ' ἀντικρύ δηλοῖ τὸ ἐξ ἐναντίας, τὸ δὲ ἄντικρυς τὸ φανερῶς. AD.

λαπάρα δέ ἐξιν ὁ κενὸς τῶν ὀξέων τόπος ὁ ὑποκάτω τῶν πλευρῶν κείμενος. L.

διάμησε: ἐκ τοῦ διά καὶ τοῦ ἀμῶ τὸ θερίζω. γίνεται τὸ ἀμῶ ἐκ τῦ ἄμη ἡ δρεπάνη. BL.

361. ἐρυσσάμενος ξίφος: ἡ διπλῆ, ὅτι ξίφος ἔχει, πρὸς Ζηνόδοτον (334). A.

362. κόρυθος φάλον: τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. ἔχι δέ τι προκόσμημα· γίνονται γ' ἐπὶ τῶν περικεφαλαιῶν λαμπροί τινες ἧλοι ἕνεκα προκοσμήματος. φαλὸν δὲ τὸ λαμπρόν· ἐντεῦθεν καὶ φαλακρὸς ὁ ἔχων φαλὸν τὸ κάρα. AD. καὶ φαληριόωσα πέτρα καὶ φαληριόωντα κύματα. D.

ἀμφὶ δ' ἄρ' αὐτῷ: Ἀρίσαρχος ἀμφὶ δ' ἄρ' αὐτῇ, τῇ περικεφαλαίᾳ. A.

αἱ χαριέσσαι καὶ πλείονες θηλυκῶς ἔχουσιν, ἵν' ᾖ ἀρσενικόν, ἐπὶ τοῦ λόφου κινεῖται. V.

363. διατρυφέν: παρὰ τὸ θρύπτω, ὅθεν καὶ τρυφή ἡ θρύπτουσα τὸ σῶμα, ᾗ ὁ σίδηρος διαθρύπτει τὸ δόρυ. V.

τὰ γὰρ ὑπερβάλλεσαν ἀλκὴν ἔχοντα μᾶλλον εὔθραυστα (ἀκμὴν ἔχοντα εὔθρυπτα V). BLV.

διὰ τί δὲ ὁ Μενέλαος συγκλαθέντος αὐτῷ τῦ ξίφους ἐκ ἐσπάσατο τὸ τῦ Ἀλεξάνδρυ; ῥητέον ἢν ἡ ὅτι ἔκφρων ἐγένετο, τὸν λογισμὸν ἐκκλαπεὶς τῷ κινδύνῳ· ἢ πάντως ζῶντα εἰς Ἕλληνας ἑλκύσαι ἠθέλησεν, αὔξων τὸ κατόρθωμα. ἢ καὶ δι' οἰκονομίαν ὁ ποιητὴς ἐσεσώκει δι' Ἀφροδίτης τὸν Πάριν· ἐλέλυτο γ' τὰ τῆς ὑποθέσεως τῷ ἐκείνυ θανάτῳ. ABDL.

364. οὐρανὸν εὐρύν: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει αἰπύν. αἰπὺ δὲ ὄρος ἂν λίγοιτο, ὁ δὲ οὐρανὸς εὐρύς· παρήκει γὰρ τῇ γῇ. A.

365. Ζεῦ πάτερ: διστρεφεῖς γὰρ οἱ βασιλεῖς, καὶ φιλεγκλήμονες καὶ ἐλεγκτικοὶ οἱ ἀτυχεῖς. BLV.

ὁλοώτερος: ὀλέθρων αἰτιώτερος. A. ἀναιρεμένυ γ' Ἀλεξάνδρυ τὰ τῆς μάχης ἐλύετο. BL.

ἐμοὶ τῷ Μενελάῳ δηλονότι. ἐνόμισαν γάρ τινες διὰ τούτου βλασφημεῖν τὸν Μενέλαον. ῥητέον ἂν ὅτι ὁ βλασφημεῖ ἀλλὰ νεμεσᾷ· ἀρετῇ γ' οἰκεία νέμεσις, οὐδέ τε πάχων ὅπερ ἐκ ἔδει, καὶ νεμεσᾷ δικαίως ἐπὶ τῷ παρ' ἀξίαν σωζομένῳ. ABDL.

366. ἦ: περισπᾶται ὁ ἦ· βεβαιωτικὸς γάρ. A.

ἐφάμην: Ἀττικῶς πέφρασαι, ὡς τὸ „ἐγραψάμην Φιλιππον (Φιλίνον V) κλοπῆς παρὰ βραχύ, εἰ μὴ ἐσφάλην." BLV.

368. οὐδ' ἔβαλόν μιν: ὅτι Ἀμμώνιος ἐν τῷ πρὸς Ἀθηνοκλέα συγγράμματι ὁμοίως εἶχεν οὐδ' ἐδάμασα. καὶ ἔξι συναλρων τοῖς λεγομένοις πρότερον (352) ὑπὸ τῦ Μενελάυ „δῖον Ἀλέξανδρον καὶ ἐμῆς ὑπὸ χερσὶ δαμῆναι." ὅτι σαφῶς τὸ οὐδ' ἔβαλόν μιν σημαίνει ἀντὶ τῦ οὐδὲ ἐπάταξα αὐτόν. A.

πᾶσαι οὐδὲ δάμασα. γράφεται καὶ οὐδ' ἔβαλόν μιν. V.

369. καὶ ἐπαΐξας: εἴδωλον Ἀλεξάνδρυ καταλιμπάνει τῇ ὑποθέσει, τριχῇ φονεύσας αὐτόν, δόρατι, ξίφει, αἰχμαλωσίᾳ. BL.

κόρυθος: ὃ γ' ἂν τῷ θυμῷ παραπέσῃ, τῦτο ὅπλον χορηγεῖται τῷ θυμῷ. V.

370. ἕλκε: διὰ τῦ ῥήματος τύτυ παρέτεινεν αὐτῦ τὴν αἰχύνην. ὁ φονεύει δὲ αὐτὸν τῷ αὐτῦ ξίφει ἢ ὑπὸ τῦ καιροῦ ἢ ὑπὸ τῆς Ἀφροδίτης σφαλλόμενος, ἢ καὶ τοῖς ὅπλοις ἀπογνούς, ἢ καὶ ὅτι ἴσον θανάτυ ἦν τὸ ὑπεκῆναι τῦ μετρητῦ, ἢ ζῶντα αὐτὸν ἑλεῖν βουλόμενος, ὅπερ ἦν μεῖζον· οὕτω γὰρ ἂν ἀξίως ἐτιμωρήσατο αὐτὸν ἢ συντόμως ἀνελών. BL.

ἄλλως. ἄλογον τὸ μὴ σπασάμενον τὸ ἐκείνυ ξίφος διαχειρίσασθαι αὐτόν. λύεται δ' ἐκ τῦ καιρῦ· τὸν γ' ἐν τοσύτῳ ἀγῶνι ἐκ εἰκὸς πάντα συνορᾶν. εἰ μὴ καὶ ἐκ τῆς λέξεως· λέγει γ' τὴν Ἀφροδίτην αὐτῷ βοηθῆσαι, ὥστε ἦν καὶ ἐν τῷ τοιύτῳ συλλαμβανομένη. BL.

371. πολύκεστος: ὅτι πολύκεως ὁ πολυκέντητος· ἐκ δὲ τύτυ ὁ ποικίλος δηλῦται διὰ τὰς ῥαφάς. καὶ ὁ τῆς Ἀφροδίτης κεσὸς ἀπὸ τύτυ· „τῇ νῦν τῦτον ἱμάντα ποικίλον" (Il. 14, 219). ὁ δὲ Καλλίμαχος ὡς ὄνομα κύριον τῦ ἱμάντος τὸν κεσὸν ἐκδέχεται. A.

ἀπαλὴν εἶπεν ὀνειδίζων, ὡς ἐπὶ γυναικὸς ἐκ εἰωθυίας κόρυθα φέρειν. ABL.

372. τρυφαλείης: κανών ἐξιν ὁ λέγων ὅτι ὁ δύο καὶ τρεῖς, μὴ μετὰ τῦ δέκα ἀριθμῦ συντιθέμενος, εἰς τὰ ἐπιῤῥήματα τὰ δὶς καὶ τρὶς μεταλαμβάνει, οἷον διπρόσωπος ὁ δύο πρόσωπα ἔχων, τρίπους ὁ τρεῖς πόδας. ἔτως οὖν καὶ τρυφάλεια ἡ τρεῖς φάλας ἔχουσα. L.

373. καί νύ κεν εἴρυσσέν τε: ἐν τῇ Ἀριστοφάνους καί νύ κεν ἐξείρυσεν, ὁ μέντοι ἐν τῇ Ἀρισάρχου. AV.

374. Διὸς θυγάτηρ Ἀφροδίτη: πάλιν διαστολὴ πρὸ τύτου· ἀνέρανται γ' ἡ περίοδος. ὀρθὴ δ' ἂν ἐγένετο ἔτως, εἰ μὴ ἄρ' ὀξὺ νόησε, καί νύ κεν εἴρυσέν τε. AB.

ἴσιον δὲ ὅτι κατὰ μὲν Ἡσίοδον ἡ Ἀφροδίτη γίνεται ἐκ τῶν Οὐρανῦ αἰδοίων καὶ τῆς θαλάσσης, κατὰ δὲ τὸν Ὅμηρον ἐκ Διώνης καὶ Διός. DL.

375. ῥῆξεν: ἐκ ἔλυσεν· τάχος γ' ἦν χρεία. ὁ σώζεται δὲ σὺν τῇ κόρυθι, ὅπως κἂν τὸ κάλλιστον τῶν λαφύρων παρὰ τοῖς πολεμίοις καταλειφθῇ. BL.

οὐ βοηθεῖ Ἀθηνᾶ Μενελάῳ, ὅπως ἡ Ἴλιος πορθηθῇ Ἀλεξάνδρυ σωζομένυ· Ἀφροδίτη δὲ Ἀλεξάνδρῳ βοηθεῖ,

ἐπεὶ θεράπων (θέραψ V) ἐξὶ τῆ αὐτῆς κεξῆ. συναπάγει δὲ αὐτὸν ὅπως μὴ ἀπαγχονισθείη. BLV.

ἴφι κταμένοιο: ἰσχυρῶς ἢ μετὰ βίας ἀναιρεθέντος, τετέξι σφαγέντος· τὰ γὰρ τῶν θνησιμαίων ζώων δέρματα ἀσθενῆ ἐξὶν ὡς ἂν προδιαφθαρέντα ὑπὸ τῆς νόσ. AB.

377. ἦρως: εὔκαιρον ἐπὶ τῇ νίκῃ τὸ ἦρως, καίτοι δυνάμενον Ἀτρείδης κεῖσθαι. BL.

378. ῥῖψ': σύμβολον τῆς νίκης· ταὐτὸν γάρ ἐξι τῷ καὶ τὴν κεφαλὴν ῥῖψαι. BL.

379. 380. ἔγχεϊ: ζητεῖται ποίῳ ἔγχει; ᾧ γ' εἶχεν, ἐξηκόντισεν· διὸ ἢ διπλῆ. λεκτέον ἓν ὅτι ἐπώρσεν ἐφ' ᾧ ἐξηκόντισεν ἔγχος ἐνεχόμενον τῇ ἀσπίδι καὶ τῷ θώρακι τοῦ Ἀλεξάνδρε, ἵνα τοῦτο ἐκσπάσας ἀνέλοι αὐτόν. οὕτως οὖν ληπτέον τὸ ἐξῆς, ἐπόρσε ἔγχεϊ χαλκείῳ, εἶτα χωρὶς κατακτάμεναι μενεαίνων. A.

Διδύμε φασὶν εἶναι κατὰ τὸ ἐγχείρημα. ἐρρίφη γ' ἤδη, φησί, τὸ ἔγχος· „ἤιχθη παλάμηφιν ἐτώσιον." ἰλύεται δὲ ἀπὸ τῆ ἔθε· δύο γ' δόρατα φέρειν νενομισμένον ἦν, ὡς πολλαχοῦ λέγει· „πάλλων δύο δοῦρα κατὰ ῥατὸν ὤχετο πάντῃ" (Il. 6, 104). ἢ ἀπὸ τῆ καιρῆ· ἐ γ' ἔτυχε τότε ἀπολλύμενον τὸ ἔγχος, ἀλλ' ἐπὶ τῷ Ἀλεξάνδρῳ ὑπάρχον, οὗ κατεκυριεύθη. B.

ἄλλως. ἢ πῶς φησὶν „ἐκ δέ μοι ἔγχος ἤιχθη"; ἢ ὅτι δύο δόρατα ἐβάσζεν· ἢ τῶν παρόντων ἥρπασεν· ἢ τῷ ἐμπεπηγότι αὐτῷ διαχρησόμενος ἐπεδίωκεν. BLV.

380. τὸν δ' ἐξήρπαξ' Ἀφροδίτη: ἐπὶ τοσοῦτον προάγει τὰς περιπετείας ὁ ποιητής, ὡς ὑπὸ μόνων ἰᾶσθαι θεῶν. BL.

382. κηώεντι: τεθυμιασμένῳ, ἢ πρὸς τὸ κεῖν (τετέξι κοιμᾶσθῃ) εὐτρεπισμένῳ. D. κοιμισικῷ, εὐώδει. ἢ τοῦτο δὲ τῆς ἀκολασίας Ἀλεξάνδρε τεκμήριον. BL.

383. αὐτὴ δ' αὖθ' Ἑλένην καλέουσ' ἴε: κατηγορῆσιν ὡς προαγωγὸν εἰσάγοντος αὐτῆ τὴν θεόν. ἀλλ' ἐπεὶ ὥρμηται γέλωτα μὲν θέσθ τὸν Πάριν ἐπαινέσαι δὲ τὴν Ἑλένην, καὶ τῆ μὲν τὴν ἀκρασίαν τῆς δὲ τὸ σῶφρον ὑπ' ὄψιν ἄγειν, ἃ δύναται δὲ διεξῶτα τὰ πρόσωπα δι' ἑτέρου συμβιβάζειν, ἐπίτηδες παρέλαβε τὴν Ἀφροδίτην. καλεῖ δὲ αὐτήν, ὅπως μὴ ἀποδοθῇ ὁρωμένη ἀπὸ τοῦ τείχους· διὰ τοῦτο γ' εἶπε „περὶ γ' Τρωαὶ ἅλις ἦσαν." ἢ ὅπως μὴ οἰόμενος αὐτὴν ἀποδεδόσθ διαχρήσηται ἑαυτόν. BL.

384. περὶ δὲ Τρωαὶ ἅλις ἦσαν: πυθόμεναι γ' τὴν μονομαχίαν ἐξῆλθον. πιθανὸν δὲ ἀποσάντος τοῦ Πριάμου προεσθῆναι ταῖς Τρωάσιν αὐτήν· αἷς θεωρῆσα τὴν μάχην ἐδ' ὁτιῶν φθέγγεται, μή πως ἐκφήνῃ τὸ πάθος. BL.

385. ἑτίναξε λαβοῦσα: γραφικῶς τοῦτο, ὑπερέχει αὐτήν, ὅπως μέλλεσι διαλέγεσθ μὴ ἐν μέσαις διαλέγῃθ ταῖς Τρωάσιν. πρᾶγμα δὲ εὐτελὲς μεθ' ὕσης φαντασίας δηλοῖ, ὑψῶν τῷ κόμπῳ τῶν ἐπιθέτων. BLV.

νεκταρέου δὲ θείου, παρὰ τὸ νέκταρ. ἑανοῦ δὲ λευκοῦ, ὡς „ἑανῷ λιτί" καὶ „ἑανῆ κασσιτέροιο". V.

387. εἰροκόμῳ: ἐρίων ἐπιμελουμένῃ, ἐριουργῷ· εἰρία γ' τὰ ἔρια. D.

ναιεταώσῃ: ναίω ναιέτης· καὶ ὡς κυνηγέτης κυνηγετῶ, οὕτως ναιέτης ναιετῶ ναιετᾶς, διαιρέσει ναιετάω. καὶ ὤφειλε μὲν ναιεταόσῃ ὡς βοαόσῃ, ἀλλ' ἔξιν ἡ χρῆσις Ἰώνων. ABL. ὅμοιον τὸ „ἰδρῶσαι· ἦγον δέ" (Il. 11, 598). A.

μιᾷ τῶν ὑπολειφθεισῶν εἰκαζαι, δηλῆσα ὅτι θεός ἐξιν. ἢ λείπει ὁ καί, ἵν' ᾖ καὶ ἐν Λακεδαίμονι. V.

388. μιν: τὴν γραῦν, ὡς ἢ ὁ ὄνειρος εἰκαζαι τῷ φιλτάτῳ Νέσορι. V.

390. σικτέον μετὰ τὸ ἴθι· αὐτοτελὲς γ' καὶ ἀσύνδετον πρὸς τὰ ἑξῆς. καὶ κατὰ τὸ τέλος τῆ σίχθ σικτέον τελεία. A.

391. δινωτοῖσι: ἤτοι πεποικιλμένοις ἢ κατὰ συρροφὴν τετορνευμένοις. D. ἐφ' ὧν ἀκινητῆμεν, κατὰ ἀντίφρασιν· ἢ ὅτι δῖνος ὁ τόρνος, ᾧ καὶ διὰ τῆ ῑ φησιν Ἡρωδιανὸς ἐν τῷ περὶ χημάτων. λείπει δὲ ἐνταῦθα τὸ ἐξίν· ἐπεὶ δὲ ἡ φράσις συνήθης ἐξίν, ἐὰν τεθῇ, πλεονάζειν δοκεῖ. BL.

ὅτι δεινωτὰ λέχη λέγει ἤτοι διὰ τὸ τετορνεῦσθ τὰς πόδας, ἢ διὰ τὴν ἔντασιν τῶν ἱμάντων· πρώτη γ' ἐχρῶντο τῇ διὰ τῶν ἱμάντων πλοκῇ. A.

διχῇ αὐτὴν ἀναζωπυρεῖ ὑπομιμνήσκουσα τῆ ἀνδρός, καὶ ἀπὸ τῆ κάλλους καὶ τῆ τόπου. BL.

ταῦτά φησιν, ἵνα μὴ μνησαχθῇ αὐτὸν διὰ τὸν λύθρον. BL.

392. φαίης: ὅτι ὡς πρός τινα λέγει μὴ ὑποκειμένου προσώπου, ἀντὶ τῆ φαίη τις ἄν. A.

393. διασολὴ βραχεῖα ἐπὶ τὸ ἐλθεῖν· κοινὸν γ' τὸ ἐδέ κε φαίης. A.

394. χοροῖο νέου: ἠϊθέων γ' τὸ χορεύειν· ᾧ ἢ Πριαμος ὀνειδίζει τοῖς υἱοῖς „χοροιτυπίῃσιν ἄριστοι" (Il. 24, 261). BL.

395. ὅτι ἐ δεῖ ἀκέειν ἐκ τῆ θυμὸν ὄρινεν ἐθύμωσεν, ἀλλὰ τὸ παρώρμησεν· δεξάμενος δέ τις τὸ πρότερον τοὺς ἑξῆς ἐνδιασκευάζει· διὸ ἀθετεῖνται ἀπὸ τῆ καί· ὡς οὖν ἐνόησε ἕως τῆ ὣς ἔφατ', ἔδδεισεν δ' Ἑλένη (418) εἶχοι κγ', πῶς γ' ἡ γραῖα πελαιγενεῖ εἰκασμένη περικαλλέα δειρὴν εἶχε καὶ ὄμματα μαρμαίροντα καὶ ῥήθεα ἱμερόεντα; καὶ βλάσφημα παρὰ τὸ πρόσωπόν ἐξι τὰ λεγόμενα „ἦσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἰάπόειπε κελεύθες, μηδ' ἔτι σοῖσι πόδεσσιν." καὶ εὐτελὴς κατὰ τὴν διάνοιαν „μή μ' ἔρεθε χετλίη." αἱρομένων δὲ αὐτῶν, καὶ τῆς συνεπείας γινομένης ἔτως· ὡς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ ῥήθεσσιν ὄρινε· βῆ δὲ καταχομένη ἑανῷ ἀργῆτι φαεινῷ σιγῇ, πάσας δὲ Τρωὰς λάθεν, ἦρχε δὲ δαίμων. A.

396. ἐνόησε θεᾶς περικαλλέα δειρήν: καὶ μὴν γραῒ παρεικαθεῖσα ἦν. ἀλλ' ἔθος τοῖς ἡμιθέοις τὰς θεὰς ἐπιγινώσκειν, ὡς Αἴας τὸν Ποσειδῶνα (Il. 13, 68). BL.

ἄλλως. ἀδύνατόν φασιν εἰς γραῦν μεταβαλεῖν τὴν ἰδέαν τὴν Ἀφροδίτην, καὶ νοῆσαι τὴν Ἑλένην τὴν τῆς θεᾶς δειρήν. λύσις· πολλαχῆ ποιεῖται τὰς ἡμιθέας τεκμαιρομένας τὰς τῶν θεῶν μορφάς, ὡς ὅτε ὁ Ποσειδῶν Κάλχαντι ἀπεικαθεὶς φαίνεται, ὅ τε Αἴας φησὶν „ἐδ' ὄγε Κάλχας

ἐξὶ Θεοπρόπος· ἴχνια δὲ μετόπισθε ποδῶν ἠδὲ κνημάων ῥεῖ ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοὶ περ." B.

397. στήθεά θ' ἱμερόεντα: οὐδὲν ἄτοπον γυμνὴν φαίνεσθαι τὴν θεόν· Ἑλένῃ γὰρ ἤθελε γνωρισθῆναι, κρύπτειν δὲ ταῖς Τρωάσιν. BL.

399. δαιμονίη: παῤῥησιάζεται ἡ Ἑλένη ὡς πρὸς ἀδελφήν. BL.

λιλαίεαι: λῶ τὸ θέλω. ἀναδιπλασιασμὸς λιλῶ. ὡς κερῶ κεραίω, ἕτω καὶ λιλῶ λιλαίω. V.

400. ἦ πῆ με: τὸν ἦ περισπαστέον, τὸ δὲ πῇ ὀξυντονητέον διὰ τὸ μὲ ἐγκλιτικόν· ἐνθάδε γὰρ τὸ πῇ ἐ πύσμα, ἀλλὰ ἀόριστον. ABL.

προτέρω: δίχα τοῦ τ· ἀπὸ τοῦ προσωτέρω γάρ ἐστιν. BLV.

401. Μηονίης: Μήονες ἐκαλοῦντο οἱ Λυδοὶ τὸ παλαιόν, εἶτα Λυδοὶ ἀπὸ Λυδοῦ τοῦ Ἄτυος, ὥς φησιν Ἡρωδιανός. A.

402. καὶ κεῖθι: Ἀρίσαρχος μετὰ τοῦ ι, καὶ κεῖθι. A.

κομματικὸς ὁ λόγος τῇ δυσχεραινούσῃ διανοίᾳ. θέλει δὲ εἰπεῖν, ὅ τί με λανθάνεις ἐφ' ᾧ ἦλθες. BL.

403. πρὸ τούτου διασολὴν θετέον· ἀνέρραπται γὰρ ὁ λόγος. A.

404. ἀπ' ἄλλης ἀρχῆς τὸ νικήσας· ἀσύνδετος γὰρ πρὸς τὰ ἐπάνω ὁ λόγος. ὑποσικτέον δὲ ἐν ὑποκρίσει εἰς τὸ ἄγεσθαι, ἐπεὶ τῶν ἀνταποδοτικῶν ἐστὶ καὶ ταῦτα, οὕνεκα - τοὕνεκα. A.

405. ἠθικῶς πυνθάνεται· διὸ οὐ δεῖ ὑποζίζειν εἰς τὸ παρέστης. V.

406. ἀπόειπε κελεύθους: Ἀρίσαρχος ἀπόεικε διὰ τοῦ κ ἀντὶ τοῦ ἀπόειπε, καὶ χωρὶς τοῦ σ κελεύθω. θαυμάσειε δ' ἄν τις, ἡ ἑτέρα διὰ τοῦ π πόθεν παρῆλθ· ἔστε γὰρ ἐν ταῖς Ἀριστάρχειοις ἔστε ἐν ἑτέρῳ τῶν γῆν μετρίων ἐμφερόμενον πέφυκεν. καὶ ἐ μόνον ἐν ταῖς ἐκδόσεσιν, ἀλλὰ καὶ ἐν τοῖς συγγράμμασιν ἅπαξ ἅπαντες ἕτως ἐκτίθενται. προσθήσειν μοι δοκῶ καὶ τὴν Ἀριστάρχου λέξιν ἕτως ἔχουσαν „τῆς δὲ εἰς τὰς θεὰς ὁδοῦ εἶκε καὶ παραχώρει, μὴ βαδίζουσα εἰς αὐτούς." A.

409. εἰσόκε: ἐκ τῆς εἰς προθέσεως καὶ τοῦ ὅ ὄρθρου ἀναφορικοῦ καὶ τοῦ κέν συνδέσμου. ἔστι δὲ ἐπίῤῥημα χρόνου δηλωτικόν. ἀποροῦσι δέ τινες εἰ τὸ εἰσόκεν ἐν συνθέσει ἐστὶν ἢ ἐν παραθέσει· καὶ λέγομεν ὅτι ἐν παραθέσει. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ε λήγοντα χρονικὰ ἐπιῤῥήματα θέλουσιν ἔχειν πρὸ τοῦ ε τὸ τ, ἐνίοτε ἐκάστοτε ἄλλοτε, καὶ ὅτι ἀδέποτε κατ' ἀρχὰς ὁ σύνδεσμος συντίθεται. ἔνιοι δὲ λέγουσιν ὅτι ἐν συνθέσει ἐστίν· ἀδέποτε γὰρ εὑρίσκεται ὁ ποιητὴς παραλαμβάνων τοῦτο τὸ ἐπίῤῥημα χωρὶς τοῦ κέν συνδέσμου· „εἰσόκεν ἢ ὑμεῖς Τροίην εὐπυργον ἕλητε" (Il. 7, 71). ἢ ὡς ἐνταῦθα. ἔστι καὶ εἰπεῖν ὅτι αἱ προθέσεις παρατιθέμεναι τοῖς ὀνόμασιν, ἔννοιαν ἔχουσι τοπικήν, ποιοῦσι τὰς σχέσεις, οἷον οἶκος - ἐξ οἴκου, οἶκον - εἰς οἶκον. τὸν αὐτὸν τρόπον καὶ τὰ ἄρθρα τὰ σημαίνοντα τὴν ἀναφοράν. ἡ δὲ ἀναφορὰ κατὰ χρόνον οὖσα καὶ λαβοῦσα τὴν παράθεσιν τῆς προθέσεως ποιεῖ σχέσιν χρονικήν, ᾧ - ἐξ ᾧ, ᾧ - ἐν ᾧ. ὃν τρόπον τὸ ἐξ οἴκου, ὅτε ἀπὸ τῆς προθέσεως, ἐκεῖ σχέσιν τοπικὴν σημαίνει, ὁμοίως καὶ τὸ εἰς οἶκον, τὸν αὐτὸν τρόπον καὶ τὸ εἰσόκεν· ἐὰν ἀποζεύξῃ τὸ ἕτερον τοῦ ἑτέρου, ἐκζήσεται καὶ τὸ σημαινόμενον. BL.

411. ποσσυνέουσα: εὐτρεπίζουσα, ὡς τὸ „λέχος πόρσυνε καὶ εὐνήν" (Od. 3, 403. 7, 347). τὸ δὲ ἐξῆς ἕτως, ἐπεὶ μὲ ἐκεῖσε ποσσυνέουσα τὸ ἐκείνου λέχος. τὸ δὲ νεμεσσητόν διὰ μέσου. ABL.

412. μωμήσονται γάρ με, φησίν, αἱ Τρωάδες ὡς δευτέρας μάχης ἐσομένης αἰτίαν· ἔδει γὰρ αὐτὴν τῷ νικήσαντι ἕπεσθαι. BL.

414. βραχὺ διασαλτέον σχετλίη, μεθεῖσα, ἀπεχθήρω. σικτέον δὲ φίλησα, ἐὰν ᾖ τὸ μητίσομαι ὁρισικόν· ἐὰν δὲ ὑποτακτικὸν συνεξαλμένον, κἀκεῖ διασολὴν θετέον, ἵνα κοινὸν ᾖ τὸ μὴ ἐπίῤῥημα κατὰ πάντων, μή σε μεθεῖσα, μὴ ἀπεχθήρω. A.

μεθεῖσα: μετωνυμικῶς, ἀντὶ τοῦ ἐαθῆναι ποιήσω καὶ μισηθῆναι, ὡς ἐ φιληθῆναι ἐποίησα. τὸ ἀνεξίκακον δὲ τῆς θείας ἐδήλωσε φύσεως· „θεὸς γὰρ ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται, ἀλλ' ὡς λέβης τοῦ μείζονος δεῖται πυρός." BLV.

415. ἔκπαγλ' ἐφίλησα: Ἀρίσαρχος Ἰακῶς ἔκπαγλα φίλησα. A.

416. ἔχθεα: ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου ἄχθεα ἐγέγραπτο. τινὲς δὲ ἄλγεα γράφουσιν. A.

καὶ τῶν ἐναντίων γὰρ ἔχουσιν ἔξουσιαν οἱ θεοί, ὡς αἱ Μοῦσαι ἐπὶ Θαμύριδος. BL.

417. ὄλησαι: ὡς πύθησαι· μέσος γὰρ δεύτερος ἀόριστος. V.

419. βῆ δὲ: πάλιν κοσμίως ἀναχωρεῖ. V.

ἀργῆτι φαεινῷ: τοῦτο ἐκ παραλλήλου εἴρηται. A. ἐκ παραλλήλου τὸ αὐτό. V.

420. σιγῇ: διδάσκει μὴ θρασείας ποιεῖσθαι πρὸς τὰς ὑπερεχούσας τὰς ἀποκρίσεις. BL.

421. τοῦ Ἀλεξάνδρου. ἐπὶ δὲ Ἕκτορος „δύμεν εὖ ναιετάοντας." V.

422. ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο: ἔδει γὰρ αὐτὰς χωρίζεσθαι διαλέξεως ἀνδρὸς καὶ γυναικὸς τὰ συνήθη πρασσούσας. BLV.

423. ἀπὸ τούτου ἕως τοῦ ἔνθα κάθιζ' Ἑλένη (426) σίχοις τέσσαρσι παράκειται διπλαῖ περιεσιγμέναι, ὅτι Ζηνόδοτος μετατίθει τὴν συνέπειαν ἕτως „ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο, αὐτὴ δ' ἀντίον ἷζεν Ἀλεξάνδροιο ἄνακτος, ὅσσε πάλιν κλίνασα, πόσιν δ' ἠνίπαπε μύθῳ." ἁρμονικῶς γὰρ αὐτῷ ἐφαίνετο τὸ τῇ Ἑλένῃ τὴν Ἀφροδίτην δίφρον βασάζειν. ἐπιλέλησαι δὲ ὅτι γραῒ εἴκασαι καὶ ταύτῃ τῇ μορφῇ τὰ προσήκοντα ἐπιτηδεύει. A.

δῖα γυναικῶν: ἀντὶ τοῦ διοτάτη. καλῶς δὲ τὰ ἐπὶ Διὸς ἐκ ἐπιτείνονται. BL.

424. φιλομμειδὴς Ἀφροδίτη: ἡ φιλόγελως καὶ ἱλαρὰ καθ' Ὅμηρον. κατὰ δὲ Ἡσίοδον, ὅτι μειδέων ἐξεφάνθη (Th. 200), ὅ ἐστι τῶν αἰδοίων. D. τὰ γὰρ ἀφροδίσια λύπης ἀπήλλακται. τὸν δὲ δίφρον εἰ μὲν ὡς γραῦς τίθησιν, οὐκ ἄτοπον· εἰ δὲ ὡς Ἀφροδίτῃ, καὶ Ἀθηνᾷ

λύχνον φαίνει Ὀδυσσεῖ (Od. 19, 34). καὶ ὀ θαυμαςὸν εἰ ἀδελφῇ ὑπηρετεῖται· ἐπάγει γὰρ τὸ κόρη Διός. BL.

τινὲς λέγουσιν ὅτι ἀπρεπῶς Ἀφροδίτη μαςροπεύει πρὸς τὸν Ἀλέξανδρον τὴν Ἑλένην. ἀγνοοῦσι γὰρ ὅτι νῦν λέγει τὴν ἐν τοῖς ἐρωτικοῖς πάθεσιν ἀφροσύνην, ἣ μεσῖτίς ἐςιν ἀεὶ καὶ διάκονος μειρακιώδους ἐπιθυμίας. αὕτη καὶ τόπον εὗρεν ἐπιτήδειον, ὅπου τὸν Ἑλένης δίφρον ἀφιδρύσει, καὶ ποικίλοις μαγγάνοις ἑκατέρου κινεῖ τὸν πόθον, Ἀλεξάνδρου μὲν ἐρωτικῶς ἔτι διακειμένου, τῆς δ' Ἑλένης μετανοεῖν ἀρχομένης. διὸ δὴ κατ' ἀρχὰς ἀντειποῦσα τοὔχατον ὑπείκει, μεταξὺ δύο φερομένη παθῶν, ἔρωτός τε τοῦ πρὸς Ἀλέξανδρον καὶ αἰδοῦς τῆς πρὸς Μενέλαον. BL.

425. ἀντί': ἡ θέα γὰρ ἐρώτων συνεργός· ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν. BL.

426. κάθιζ': συςέλλειν δεῖ τὸ ῑ καὶ προπαροξύνειν τὸ κάθιζε. ὅσα γὰρ παρῳχημένου χρόνου ῥήματα βραχυκατάληκτα ἐνέλειψε χρόνῳ κατὰ τὸ ἄρχον, ταῦτα συντιθέμενα ἀναδίδωσι τὸν τόνον. εἶχον συνεῖχον· ἀλλ' ἐπεὶ ἐγένετο ἔχε, ἀνεδόθη ὁ τόνος „νὺξ δὲ μάλα ςυγερὴ κάτεχ' οὐρανόν" (Od. 13, 269). οὕτως ἷζε κάθιζε· „Νέςωρ τ' αὐτὸς ἔφιζε" (Od. 3, 411). A.

427. ὄσσε πάλιν κλίνασα: ὑπογράφει τὸ σῶφρον τῆς Ἑλένης· τέχνῃ γὰρ ἀντιτάσσεται τῇ Ἀφροδίτῃ. BL.

428. πλανώμενοί τινες ὑποςίζουσιν ἐν τῷ πολέμου διὰ τὴν ὑπόκρισιν· Νικάνωρ δὲ τελείαν δίδωσι καὶ τὸ ἑξῆς ἀπόλυτόν φησιν. ABL.

429. ὃς ἐμὸς πρότερος πόσις ἦεν: διαθρύπτεται, ὡς τὸ „δαὴρ αὐτὸς ἐμός" (180). V.

431. βίῃ τῇ ψυχῇ, χερσί τῷ σώματι, ἔγχεϊ τοῖς ἀμυντηρίοις. ἠθικῶς δὲ αὐτοῦ τὸ ἀλαζονικὸν ἔσκωψεν· ἴδιον γὰρ τῶν ἐρώντων ἐπ' ἀνδραγαθίαις αὐχεῖν. BL.

432. ἀπὸ τούτου ἕως τοῦ ἀφραδέως (436) ἀθετοῦνται ςίχοι πέντε, ὅτι πεζότεροί εἰσι καὶ τοῖς νοήμασι ψυχροὶ καὶ ἀκατάλληλοι. ἅμα μὲν γὰρ λέγει „ἀλλ' ἴθι προκάλεσσαι," καὶ κατὰ τὸ συνεχὲς ἐπιφέρει „ἀλλά σ' ἔγωγε παύσασθαι κέλομαι" ὡς φροντιζούσης. A.

434. παύσασθαι: Ἀρίςαρχος παύεσθαι. A.

παύεσθαι κέλομαι: θελγομένη ὑπὸ Ἀφροδίτης εἰς τοῦτο ἔρχεται. τάχα δὲ καὶ ἀποδοθῆναι θέλουσα λεληθότως παραινεῖ μὴ μάχεσθαι· μὴ μαχομένου δὲ αὐτοῦ ἀποδοθείη κατὰ τὰ δεδογμένα. καὶ διὰ τοῦτο καὶ ἐκδειματοῦσα ἀρηΐφιλόν φησι Μενέλαον. τὸ δὲ παύεσθαι ἐνεςῶτος, οὐ παύσασθαι. τελεία δὲ εἰς τὸ κέλομαι, καὶ τὰ ἑξῆς ἀντὶ προστακτικῶν. BL.

στικτέον ἐπὶ τὸ κέλομαι· τὰ γὰρ ἑξῆς ἀπαρέμφατα ἀντὶ προστακτικῶν, πολέμιζε καὶ μάχου. ἐὰν δὲ βραχὺ διαςέλλωμεν ἐπὶ τὸ κέλομαι, ὄντως ἀπαρέμφατον. A.

436. δαμασθῇς: Ἀρίςαρχος δαμείῃς. A.

439. νῦν μὲν γὰρ Μενέλαος: οἷαι τῶν ἠχημονηκότων αἱ ἀπολογίαι. διὰ τὴν Ἀθηνᾶν φησὶ νενικῆσθαι, ὥσπερ οὐκ ἐκ τῶν ἐναντίων διὰ τὴν Ἀφροδίτην αὐτὸς σωθείς. νικήσειν δὲ ὑπισχνεῖται τὸν Μενέλαον, οὐδὲ μετὰ τὴν ἧτταν τὴν ἀλαζονείαν ἀφείς. BL.

440. κεῖνον δ' αὖτις ἐγώ: βραχὺ διαςαλτέον εἰς τὸ ἐγώ· κοινὸν γὰρ ἀπὸ τοῦ ἐνίκησε τὸ νικήσω. ABL.

πάρα: ὀξυτονητέον τὴν παρά πρόθεσιν κατὰ τὴν ἄρχουσαν. ἔςι δὲ οὐκ ἀναςροφή, ἀλλὰ καθ' ὑπερβατὸν κεῖται, διαλελυμένου τοῦ πάρεισιν. εἰκότως τινές φασιν ὅτι αἱ προθέσεις, ὅταν κατὰ διάλυσιν λέγωνται πρὸς τὰ ἐπιφερόμενα, φυλάσσουσι τοὺς τόνους· „κατὰ ταῦρον ἐδηδώς" (Il. 17, 542), „κατὰ βοῦς Ὑπερίονος ἤσθιον" (Od. 1, 8) „ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔςη" (Il. 2, 278). ἐχρῆν οὖν καὶ τῆς παρά ἐνθάδε, εἰ πρὸς τὸ ἐπιφερόμενον συντάττεται, φυλάσσεσθαι τὸν τόνον. πρὸς οὓς πιθανῶς ὑπαντητέον ὅτι ἐκεῖνα μὲν ἅπερ ἐτίθεντο, καὶ ἐν τῇ συνθέσει φυλακτικὰ ἐγένετο τοῦ τόνου τῶν προθέσεων, οἷον κατήσθιον, κατεδηδώς· οὐ γάρ τις τῶν προθέσεων τούτων ἐπὶ τὴν ἄρχουσαν συλλαβὴν ἑαυτῆς μετεβίβαζε τὸν τόνον. τὸ δὲ πάρεισι μετεβίβαζεν· ἔνθεν καὶ τὸ κατὰ διάλυσιν οὕτως ἀναγινώσκομεν. A.

441. τραπείομεν: τερφθῶμεν. κινδυνεύσας δὲ ὑπὲρ αὐτῆς, ὡς νικήσας, τῶν ἐπινικίων ἀπολαύειν ἀξιοῖ. BLV.

πῶς, φασί, μετὰ τοσαύτην αἰσχύνην ὀργᾷ; ἐμφανίζει οὖν τὴν πρόξενον ἁπάντων τῶν κακῶν αὐτοῦ λαγνείαν. ἢ ἀνακτώμενος Ἑλένην προσποιεῖται αὐτῆς ἐρᾶν, ὑπονοῶν ὀργίζεσθαι αὐτὴν ἐφ' οἷς ἐκδοῦναι τῷ πολεμίῳ ἔσπευσεν. ἢ ὅτι ὧν ςερόμεθα, τούτων ἐρῶμεν. BLV.

Πορφυρίου. διὰ τί τὸν Ἀλέξανδρον πεποίηκεν οὕτως ἄθλιον, ὥςε μὴ μόνον ἡττηθῆναι μονομαχοῦντα, ἀλλὰ καὶ φυγεῖν, καὶ Ἀφροδισίων μεμνημένον εὐθύς, καὶ ἐρᾶν μάλιςα τότε φάσκοντα, καὶ οὕτως ἀσώτως διακεῖσθαι; Ἀριςοτέλης μέν φησιν εἰκότως· ἐρωτικῶς μὲν γὰρ καὶ πρότερον διέκειτο, πέφηνε (ἐπέτεινε L) δὲ τότε. πάντες γάρ, ὅτε μὴ ἐξῇ ἢ φοβοῦνται μὴ ἕξουσι, τότε ἐρῶσι μάλιςα· διὸ καὶ νουθετούμενοι ἐπιτείνουσι μᾶλλον· ἐκείνῳ δὲ ἡ μάχη τοῦτο ἐποίησεν. οἱ δέ, ὅτι ἡ προσδοκία τῆς ἀποδόσεως ἤγειρε σφοδρότερον τὴν ἐπιθυμίαν διὰ τὴν μέλλουσαν ἀφαίρεσιν. οἱ δέ, ὅτι ἡ Ἀφροδίτη παροῦσα οὐ μόνον ἐκ τῆς μάχης αὐτὸν ἐῤῥύσατο, ἀλλὰ καὶ λελυπημένον διὰ τὴν ἧτταν εἰς παρηγορίαν ἦγε, μεταβαλοῦσα τὴν τῆς ψυχῆς κατήφειαν εἰς τὸ ἡδὺ τῆς ἐπιθυμίας. ἄλλοι δέ, ὅτι τῆς Ἑλένης ἀνακτώμενος τὴν εὔνοιαν σφοδρότερον τὸν ἔρωτα ἐπιτετάσθαι λέγει· ἐνόμιζε γὰρ τὴν αὐτὴν χαλεπῶς φέρειν δι' ἃ συνέθετο, ὥσπερ ἔκδοτον τοῖς Ἀχαιοῖς γενομένην. ἵνα δὲ ἐπιδείξῃ οἷος ἦν Ἀλέξανδρος, ἔν τε τῷ πολέμῳ ἐποίησε θρασὺν ἅμα καὶ δειλόν, ἐπί τε τῆς οἰκίας ἀσελγῆ καὶ καταφρονητὴν δόξης. χαρακτηρίζει γὰρ διὰ τούτων τὸ ἦθος τοῦ αἰτίου τῶν κακῶν τοῖς πᾶσι διὰ τὴν ἀσέλγειαν γενομένου. BL.

442. ἀμφεκάλυψεν: ἐθήρευσεν. ἡ μεταφορὰ ἐκ τῶν θηρευτικῶν (τῶν περισκεπόντων V) δικτύων. LV.

443. οὐδ' ὅτε σε πρῶτον: Ἀλέξανδρος υἱὸς Πριάμου Τροίας βασιλέως, ὁ καὶ Πάρις ἐπικαλούμενος, Ἀφροδίτης ἐπιταγῇ, ναυπηγήσαντος αὐτῷ ναῦς Ἁρμονίδου ἢ κατά

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τινας τῶν νεωτέρων Φερέκλε τῆ τέκτονος, μετὰ Ἀφροδίτης ἦλθεν εἰς Λακεδαίμονα τὴν Μενελάε πόλιν· ἐνταῦθα δὲ τὴν Ἑλένην ὀφθαλμοβολήσας Ἀφροδίτης αἱρέσει βληθεῖσαν δι' ἀλληλομαχίαν Ἔρωτος, ἀναλαβὼν αὐτὴν σὺν τοῖς ἐν τῷ οἴκῳ χρήμασιν ἦλθεν εἰς Σιδῶνα τῆς Φοινίκης, κἀκεῖ γάμε συνεσίαν ποιησάμενος ἦκεν ἔχων αὐτὴν εἰς Ἴλιον· μητρόπολις δὲ αὕτη τῆς Τροίας· ἔκ τε τῆς ἐνταῦθα διὰ τῶν ὅρκων καὶ συνθηκῶν ἀδικίας αὐτῆς πάλιν Ἀφροδίτης αἱρέσει κομίσας οἴκαδε συνεκοιμήθη, ἀπροσδοκήτως πάλιν σύνευνον παρειληφώς, ὡς δηλοῖ ὁ ποιητὴς διὰ τῶν ἑαυτῆ λόγων. AD.

ἐρατεινῆς: τοῖς ἐρῶσι γὰ αἱ τῶν ἐρωμένων πατρίδες καλαὶ παρὰ πάσας εἶναι δοκοῦσιν. BL.

445. νήσῳ δ' ἐν κραναῇ: ἢ διπλῆ, ὅτι οὐκ ἐν Σπάρτῃ ἐμίγη τῇ Ἑλένῃ, ἵνα μὴ περιφανὴς γένηται· γὰ ὅτι ἄδηλον πότερον ὄνομα κύριόν ἐστιν, ἀπὸ τῆ κρανθῆναι ἐπ' αὐτῆς πρῶτον τὸν γάμον καὶ τελειωθῆναι τῆ Ἀλεξάνδρε καὶ τῆς Ἑλένης, ἢ ἐπιθετικῶς τὴν τραχεῖαν· τινὲς γὰ τὴν λεγομένην Ἑλένην πρὸς τῇ Ἀττικῇ εἶναι ἀπὸ τῆς Ἑλένης, ὅτι ταύτῃ πρώτῃ ἐπέβη. A.

ταύτην πρὸ Ἀττικῆς εἶναί φασιν. οἱ δὲ τὰ Κύθηρα· Ἀφροδίτης γὰ ἱερά. BL. οἱ δὲ ἐν τῇ νῦν λεγομένῃ Ἑλένῃ· τῷ χειμῶνι γὰ πολλοὶ τῶν Ἑλλήνων ἀπολώλασιν αὐτόθι. V.

παροξυτόνως, ἵνα κύριον ὄνομα γένηται. δοκεῖ δὲ ἡ νῆσος τῆς Ἀττικῆς εἶναι, ὅθεν γὰ ἔτως πρότερον ἐκαλεῖτο ἀπὸ Κραναὲ βασιλέως τῆς Ἀττικῆς. νῦν δὲ ἀπὸ τῆς τοιαύτης μίξεως Ἑλένη καλεῖται. D.

446. ὥς σεο: ἐγκλιτέον· ἀπόλυτον γάρ ἐστιν. ἐπὶ δὲ Διὸς (Π. 14, 328) ὀρθοτονητέον. τὸ δὲ ἐξῆς ἔτως, ἐδέποτε ἔτως ἔρως ἀμφεκάλυψεν ὡς νῦν ἐρῶ σου. BLV.

ἐγκλιτικῶς ἀναγνωσέον· ἀ γὰρ ἀντιδιαζολὴ προσώπου. ἐκεῖνο δὲ ἐπὶ τῆ Διὸς ὀρθοτονητέον „ὥς σέο νῦν ἔραμαι·" ἀντιδιαζολὴ γὰρ πρὸς ἄλλα πρόσωπα. τὸ δὲ ὡς ἐὰν ἀντὶ τῆ ἔτως κεῖται, σικτέον ἐπὶ τὸ εὐνῇ· ἐὰν δὲ ἀναφορικὸν ᾖ, βραχὺ διαστελῶμεν ἐπὶ τὸ εὐνῇ, ὡς ἀπηρτισμένε τῆ λόγου ἕως ἂν ἐπενεχθῇ τὸ ὥς σεο νῦν ἔραμαι, τῶν λοιπῶν εἰς ἐπίτασιν ἀναφωνεμένων διὰ τῶν ἐξῆς. ἐδέποτε γὰ οὗτος, φησί, κατέχέ με ἔρως ὡς νῦν ἐρῶ. τὸ δὲ ἕτερον ἔσαι τοιοῦτον· οὐδέποτέ με ἔτως κατέχεν ἔρως, ἐδ' ὅτε τὴν ἀρχὴν ἥρπασά σε καὶ ἐν τῇ νήσῳ ἐμίγην· ἔτως νῦν ἐρῶ· ὅπερ ἐστὶν ἀσύνδετον. βέλτιον τὸ ἕτερον. A.

447. ἄκοιτις: τηρεῖ τοῦτο, καίπερ μὴ ὂν κατὰ τὸν συναφείας νόμον, ὡς ἐπὶ Ἥρας καὶ Διός. BL. ἄκοιτις νῦν μόνον εἴρηται ἡ Ἑλένη τοῦ Πάριδος. V.

448. τρητοῖσι: τετρυπημένοις πρὸς τὴν τῶν σχοινίων δέσιν. D. ὁ μὲν Ἀπίων κυρίως· ἱμᾶσι γὰ ἐνετείνοντο αἱ κλῖναι. ὁ δὲ Ἡλιόδωρος τοῖς εὖ τετραμμένοις. Ἀπολλώνιος δὲ ὁ τῆ Χάριδος διὰ τὸ κατὰ τὴν ἁρμογὴν τετρῆσθ. A.

κατεύνασθεν: ἐπὶ μὲν τῶν ἀξιόχρεων γάμων εὐνὴν καὶ φιλότητα ὀνομάζει· ἐπὶ δὲ Πηνελόπης καὶ πλέον τι „λέκτροιο παλαιῆ θεσμόν" (Od. 23, 296)· ἐπὶ δὲ τῶν παρανόμων μόνην μῖξιν καὶ κοίτην. BL.

449. ὅμιλον: τὸν Τρωϊκόν. V.

θηρὶ: ἄγρας ἀφῃρημένῳ, ἐπεὶ ᾗ ἄνω (93) ἐπιτυχόντι αὐτὸν εἰκάζει. LV.

450. εἴ που ἐσαθρήσειε: γελοίως ζητεῖ τὸν ἀφροδισιάζοντα. V.

453. οὐ μὲν γὰρ φιλότητι: ὅτι ἀπηλλοτρίωντο τῷ Ἀλεξάνδρῳ οἱ Τρῶες. ἐκ ἂν ἓν λέγοι ἐν τοῖς ἑπάνω (56) ὁ Ἕκτωρ „ἀλλὰ μάλα Τρῶες ἐλεήμονες," ὡς Ζηνόδοτος γράφει, ἀλλὰ δειδήμονες. A.

456. Τρῶες καὶ Ἀρδάνοι: εἰς δύο γὰ ἡ Τρώων ἀρχὴ διῄρητο ἀπὸ Ἀσσαράκε ᾗ Ἴλε, ὧν υἱοὶ πολίζουσι· Γανυμήδης γὰρ ἥρπασο. LV.

457. νίκη μέν: ὑπερέβη γὰ τὸ μετρητὸν Ἀλέξανδρος, ᾗ καλέμενος ἄπεσιν. καὶ Τρῶες μὲν ἔσσι τὴν Ἀγαμέμνονος φωνὴν ἐπίκερον, τὸ „εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ" (284)· ἀ γὰ ἐκτᾶνθη· Ἀχαιοὶ δὲ τὴν Ἕκτορος, τὸ „ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται" (92)· κρείσσων γὰ ὤφθη Μενέλαος. καὶ γίνε᾽ ἡ φάσις ῥητὸν ᾗ διάνοια. διὸ ἀμφοτέρων εὔλογον αἰτίαν ἐχόντων ἐπίσκεψις ᾗ πρὸς ὀλίγον ἐπίχεσις γίνεται τῆ πολέμε. ABL.

διὰ τί τῶν συνθηκῶν ὑπ' Ἀγαμέμνονος τοιέτων γεγονυιῶν „εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ, αὐτὸς ἔπειθ' Ἑλένην ἐχέτω καὶ κτήματα πάντα, ἡμεῖς δ' ἐν νήεσσι νεώμεθα· εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ Μενέλαος, Τρῶας ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδῶναι, τιμὴν τ' Ἀργείοις ἀποτινέμεν, ἥν τιν' ἔοικεν· εἰ δ' ὧν ἐμοὶ Πρίαμος Πριάμοιό τε παῖδες τίνειν ἐκ ἐθέλωσιν, αὐτὰρ ἐγὼ ᾗ ἔπειτα μαχέσσομαι εἵνεκα ποινῆς," τῶν γᾶν συνθηκῶν τῆς νίκης διὰ σφαγὴν θατέρου τῶν μαχομένων ὡρισμένης καὶ τῆ Ἀλεξάνδρου μὴ ἀνῃρημένου Ἀγαμέμνων φησὶ „νίκη μὲν δὴ φαίνετ' ἀρηΐφιλε Μενελάε, ὑμεῖς δ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν, ἥν τιν' ἔοικεν;" ἐνῆν γὰ ἀντικρούειν τὸν τυχόντα ὅτι „εἰ μέν κεν Μενέλαος Ἀλέξανδρον καταπέφνῃ" εἰρηθ, ᾗ „εἰ δέ κ' Ἀλέξανδρος κτείνῃ ξανθὸν Μενέλαον." ῥητέον ὅτι ἀπὸ τῶν Ἕκτορος λόγων ἡ ἀπαίτησις τῷ Ἀγαμέμνονι, τοῦτον τὸν τρόπον ἐχόντων „κέκλυτέ μευ, Τρῶες ᾗ Ἀχαιοί, μῦθον Ἀλεξάνδροιο· ἄλλεσ μὲν κέλεται Τρῶας ᾗ πάντας Ἀχαιὸς τεύχεα κάλ' ἀποθέσθ ἐπὶ χθονὶ πεπυροτείρῃ, αὐτὸν δ' ἐν μέσσῳ ᾗ ἀρηΐφιλον Μενέλαον οἷος ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθ. ὁππότερος δέ κε νικήσῃ κρείττων τε γένηται, κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἶκαδ' ἀγέσθω." μὴ ῥηθέντος οὖν ὑπὸ τοῦ Ἀλεξάνδρου διὰ τοῦ Ἕκτορος περὶ σφαγῆς ᾗ θανάτε, περὶ δὲ νίκης ᾗ τοῦ ἐκ κρειττόνων γεγονότος, ὁ μὲν οὖν Ἀγαμέμνων εὐλόγως ἐξ ὧν εἰρήκασιν οἱ πολέμιοι ἀπαιτεῖ τὰς συνθήκας, ἐπὶ δ' ἦνεον ἄλλοι Ἀχαιοί· οἱ δὲ Τρῶες ἐκέτι συναινῶσιν σφαγῆς μὴ γεγονυίας, ἐξ ὧν εἰρηκε ποιέμενος τὰς συνθήκας Ἀγαμέμνων διὰ σφαγῆς κρίνεσθ τὴν νίκην, εὔλογον τῆς ἡσυχίας πρόφασιν λαμβάνοντες, ὥσε ᾗ ἐνεῖναι διαμφισβη-

τεῖν πρὸς ἀλλήλους, ἑκατέρων μαρτυρομένων τὰς ἀπὸ τῶν ἀμφισβητούντων γεγονυίας ὁμολογίας. ὁ μὲν γὰρ Ἀγαμέμνων ἐρεῖ δεῖν ἀποδιδόναι· τοῦτο γὰρ ὡμολογήθη ὑπὸ Ἕκτορος, τὸ τῷ νικήσαντι καὶ κρείσσονι γεγονότι τὴν ἀπόδοσιν γίνεσθαι. ὁ δὲ Ἕκτωρ ἐρεῖ μηδὲν ἀποδιδόναι· ὁμολογεῖσθαι γὰρ καὶ συγκεῖσθαι ὑπὸ τῆ Ἀγαμέμνονος θανάτου γεγονότος καὶ σφαγῆς ὅτι δεῖ τὴν ἀπόδοσιν γίνεσθαι· μηδενὸς δὲ ἀνῃρημένου μένει ἀκεραίως τὰ πράγματα. πάλιν ἓν ἔδει μονομαχῆσαι αὐτούς· ὅθεν Ἀλεξάνδρου μὲν μὴ φαινομένου, τῶν δὲ συνθηκῶν μενουσῶν ἐν ταῖς σπονδαῖς ἀντὶ Ἀλεξάνδρου ἀνταποκτεῖναι θελήσας τὸν Μενέλαον καὶ τοξεύσας συγκέχυκε τοὺς ὅρκους, καὶ πάντας ἐπὶ τὴν ἐπιορκίαν τοὺς μήτε τὸν Ἀλέξανδρον ἐκδεδωκότας μήτε τὸν τοξεύσαντα τὸν Μενέλαον πεποίηκεν. B.

458. Ἀργείην Ἑλένην: τὴν ἔσαν ἐξ Ἄργους καὶ Ἀργείοις προσήκουσαν. A.

459. ἀποτινέμεν: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος ἀποτίνετον. συγκεῖται δὲ τὸ δυϊκὸν σχῆμα ἐπὶ πλειόνων τιθέμενον· καὶ ἠγνόησεν ὅτι συνήθως τῷ ἀπαρεμφάτῳ ἀντὶ τῆ προστακτικῆ χρῆται Ὅμηρος, ἀποτινέμεν ἀντὶ τῆ ἀποτίνετε. A.

461. ἐπὶ δ' ἦνεον ἄλλοι Ἀχαιοί: οἱ Τρῶες σιωπῶσιν, οὔτε τῶν βασιλέων καταγινώσκειν ἔχοντες οὔτε μὴν τοῦ δικαίου. LV.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῆ καὶ Νικάνορος περὶ τῆς Ὁμηρικῆς στιγμῆς. A.

ΕΙΣ ΤΗΝ Δ.

1. Οἱ δὲ θεοί: πιθανῶς ἐκ τῆ κάτωθεν θορύβου εἰς οὐρανὸν τὴν σκηνὴν μετήγαγε, σεμνύνων καὶ ποικίλλων ἅμα τὴν ποίησιν τόποις τε καὶ προσώποις καὶ λόγοις. ὑπονοεῖν δὲ δεῖ παρὰ τὴν ἁρπαγὴν Ἀλεξάνδρου τὰς λύσας γεγενῆσθαι τοῖς θεοῖς. ἠὔξησε δὲ τὸ ἀγωνιστικὸν τῆς ὑποθέσεως τῇ τῶν Θεῶν προνοίᾳ. BL.

πάρ: τὸ πάθος ἀποκοπή, ἐ συναλοιφή· συναλοιφὴ γὰρ γίνεται φωνήεντος ἐπιφερομένου. V.

ἠγορόωντο: ἐδημηγόρουν, ἐκ τοῦ ἀγορή ἀγορῶ ἠγορῶντο, ᾗ διαιρέσει ἢ μᾶλλον πλεονασμῷ ἠγορόωντο, ἤγουν διελέγοντο. BL.

Πορφυρίου. ὁ μὲν Ἀρίσαρχος ἠγορόωντο ἀποδέδωκεν ἀντὶ τῆ ἠθροίζοντο. βέλτιον δὲ λέγειν τὸ διελέγοντο, ὥσπερ καὶ τὸ „ὡς ὁπότ' ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε" (Il. 8, 230). εἰ γὰρ εἰπεῖν ἐβούλετο ἠθροίζοντο, ἔφη ἂν οἱ δὲ θεοὶ — ἠγερέθοντο· τοῦτο μὲν γὰρ ἐκ τῆ ἀγείρεσθαι, τὸ δὲ ἠγορόωντο ἀπὸ τῆ ἀγοράασθαι. Leid. ap. Heyn.

2. χρυσέῳ ἐν δαπέδῳ: πῶς τὸν οὐρανὸν πολύχαλκον λέγει καὶ πάλιν χρυσοῦν, ὡς τὸ χρυσέῳ ἐν δαπέδῳ; ἰστέον δὲ ὅτι ὅταν μὲν στερεὸν βάλληται λέγειν, τότε πολύχαλκόν φησιν, ὅτε δὲ καλόν, χρυσοῦν. ABD.

δάπεδον δὲ τὸ ὁμαλὸν χωρίον· γήπεδα δὲ τὰ ἐν ταῖς πόλεσι προκείμενα ταῖς οἰκίαις οἷον κηπίδια· οἰκόπεδα δὲ οἰκιῶν κατερειπεισῶν ἐδάφη. ABLV.

μετὰ δέ: ὅτι τῷ δὲ τὸν δὲ ὧδε ἀνθυπήγαγεν· συνδετικὸς γάρ ἐστι καὶ αὐτῷ ἀεὶ ἀκολουθεῖ, ὡς τὸ „τὴν δ' ἐξ ἄλλος ἤπειρόνδε ἔρυσσαν, ἐκ δ' εὐνὰς ἔβαλον, ἐκ δὲ καὶ αὐτοὶ βαῖνον" (Il. 1, 435). A.

τὸ σφισι κατ' ἔγκλισιν ἀναγνωστέον νῦν, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται. τοῦτο δὲ τὸ παρατήρημα οἱ ἀπ' Ἀριστάρχου παραγγείλαντες διηνεκῆ τὴν ἀνάγνωσιν οὐκ ἐφύλαξαν. ἀληθὲς γάρ ἐστιν ὅτι ἡ σφίσιν ἐγκλιτικὴ οὖσα εἰς ἁπλῆν μεταλαμβάνεται, ὥσπερ καὶ ἐπὶ τῆ „ἔτι γάρ σφισι κῦδος ὀρέξω" (Il. 17, 453), ἐ μὴν ὀρθοτονουμένη πάντως εἰς σύνθετον· ἔχει γοῦν ὅτε καὶ εἰς ἁπλῆν. εἰς μὲν ἓν σύνθετον ἔστως „αἴ ἐ μετὰ σφίσιν εἶχον" (Il. 22, 474), εἰς ἁπλῆν δέ ἔστως „τὼς δ' ἄναγον ζωὸς σφίσιν ἐργάζεσθαι" (Od. 14, 272)· „σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι" (Od. 4, 683). ἐ γὰρ δὴ καὶ οἱ αἰχμάλωτοι ἄγονται ἑαυτοῖς ἐργάζεσθαι, ἀλλ' αὐτοῖς τοῖς ἄγουσιν· οὐδὲ οἱ μνηστῆρες τὰ πρὸς τὴν δαῖτα ἑαυτοῖς παρεσκεύαζον, ἕτεροι δὲ αὐτοῖς. AB.

Ἥβη: ἡ ἐνταῦθα εὐωχουμένοις τοῖς θεοῖς ὑποδιακονουμένη κατ' ἀρχὰς Ἥβη τίς ἂν εἴη πλὴν ἡ διηνεκῶς ἐν ταῖς εὐφροσύναις νεότης; ἐδὲ γὰρ ἐν οὐρανῷ ἔστι γῆρας, ἐδ' ὕπεστί τι τῆς θείας φύσεως ἕκατον βίβ νόσημα· πάσης δ' ἐξαιρέτως θυμηδίας ὡσπερεὶ συνεκτικὸν ὄργανόν ἐστιν ἡ τῶν συνελθόντων ἐπὶ τὴν εὐφροσύνην ἀκμή. L.

ἡ διπλῆ, ὅτι παρθένος ἡ Ἥβη· οἰνοχοεῖ γάρ· οὐκ ἄρα γεγάμηται ὑφ' Ἡρακλέους, ὡς ἐν τοῖς κατὰ τὴν νεκυίαν ἠθετημένοις (Od. 11, 602). ἐζήτηται δὲ δι' ἣν αἰτίαν ἐ πάρεστι Γανυμήδης, ὢν οἰνοχόος τῆ Διός. ἔνιοι μέν φασιν ὅτι τῆ Διὸς μόνῃ ὢν διάκονος, ἐκ ἐξὴν αὐτὸν κοινῶς πᾶσιν οἰνοχοεῖν· ἡ δὲ Ἥβη εὐλόγως, ὅτι κοινὴ πᾶσίν ἐστιν. ἔνιοι δέ φασιν ὅτι σκέψεως περὶ τῆς Ἰλίου πορθήσεως γενομένης εὐοικονομήτως ἄπεστι τῇ συνεδρίᾳ, ἵνα μηδὲν ἐναντίον γένηται διὰ τὴν πρὸς αὐτὸν χάριν. διὰ τί δὲ ᾗ μόνῳ τῷ Διὶ Γανυμήδης ὑπηρετεῖ; ῥητέον ἂν ὅτι Ἥβη μὲν ἅπασι διακονεῖ, ἐπειδὴ τὸ θεῖον ἀεὶ νεάζει τε καὶ ἡβᾷ· τοῦτο γὰρ βάλεται αὐτοῖς ἥ τε ἀμβροσία, ἀβροσία τις οὖσα, καὶ τὸ νέκταρ, παρὰ τὸ νεάζειν λεχθέν. Γανυμήδης δὲ ὑπηρετεῖ μόνῳ τῷ Διί, ὅτι ὁ μὲν Ζεὺς πρῶτός ἐστι νοῦς, μόνος δὲ ὁ νοῦς οἰκεῖον ἔχει τὸ τοῖς μήδεσι γάνυσθαι· τοῦτο γὰρ ὁ Γανυ-

μήδης. ABDL. ἡ δὲ Ἥβη, ὡς λέγεται, Ἥρας ἐξὶ θυγάτηρ. L.

δύο ἐνταῦθα δηλοῖ, ὅτι τε τὰ τῶν θεῶν ἀεὶ ἥβᾳ, καὶ ὅτι ἀδέποτε (ὅτι παρὰ τὸν καιρὸν τῆς ἥβης ἀκ V) ἀπρονοητῶσιν. ἀπὸ δὲ τῶν παρ' ἀνθρώποις τιμίων αὔξει κ τὰ θεῶν. τέως δὲ ἀνθρωποπαθεῖς εἰσάγει τοὺς θεούς, προρυθμίζων ἡμᾶς πληγὰς αὐτῶν ἀκέειν καὶ πάθη. BL.

3. ἐωνοχόει: κατ' ἔνια τῶν ὑπομνημάτων ἐνωνοχόει φέρεται· οἱ δέ φασι Ζηνοδότειον εἶναι τὴν γραφήν· ἐν μέντοι ταῖς ἐκδόσεσι χωρὶς τῶ ν εὕραμεν. διαφορὰς δὲ δόξας ἐκτίθεται τῇ προσῳδίᾳ ὁ Ἡρωδιανός· ᾗ δὲ ἀρέσκει, αὕτη ἐξίν. ἔθος ἐξὶ τῷ ποιητῇ ἀποβάλλειν πολλάκις τὸ κατ' ἀρχὴν ε ἐπὶ τῶν παρωχημένων, ἔθ' ὅτε δὲ καὶ πλεονάζειν. πρόδηλοι δὲ αἱ χρήσεις· „στῆσε δ' ἐν Ἀμνισῷ" (Od. 19, 188)· „σκῆπτρον μέν τοι δῶκε" (Il. 9, 38)· τὸ γ' ἐντελὲς „τῷ δ' ἕτερον μὲν ἔδωκεν" (Il. 16, 250). ἔτως ἂν καὶ ἐκ τῆ ἐναντίε· τὸ μὲν γ' ἀκόλεθόν ἐξι κίνημα ἀπὸ τῆ οἴγω ᾠγεν κατὰ παρατατικόν· „τὴν δ' ἀ θεὸς ἄλλος ἀνῷγεν" (Il. 14, 168)· ἀλλὰ τὸ κατὰ πλεονασμὸν τῆ ε „χηλᾶ δ' ἀπὸ πῶμ' ἀνέῳγεν" (Il. 16, 221). καὶ ἀπὸ τῆ ἀνδάνω ἤνδανεν „ἀλλ' ἐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἤνδανε" (Il. 1, 24), τὸ δὲ κατὰ πλεονασμὸν „ἐδ' Ἀγαμέμνονι πάμπαν ἐήνδανε" (Od. 3, 143). κ πάλιν „ἔσσατο δ' ἔκτοσθεν" (Il. 10, 334), εἶτα ἐν ἑτέροις „ἐέσσατο δέρμα" (Il. 10, 177). ἀπὸ δὲ τῆ ὦθω βαρυτόνε τὸ „ὦσα παρέξ" (Od. 9, 488), κ ὦσε τὸ τρίτον, ὃ ἐν πλεονασμῷ φησὶ „κὰδ δ' ἄρ' ἐπὶ ςόμ' ἔωσεν" (Il. 16, 410). ἔτως ἂν καὶ ἐπὶ τέτε· ἐν ἑτέροις γάρ φησιν „ᾠνοχύει δ' υἱὸς Μενελάου" (Od. 15, 141), ὅπερ κατὰ πλεονασμὸν τοῦ ε ἀκολούθως πάλιν ἀπεφήνατο „νέκταρ ἐωνοχόει." A.

πλεονασμός ἐξιν ὡς τὸ ἀνέῳγε καὶ ἐήνδανε. καταχρηςικῶς δὲ τὸ ἐωνοχόυν ἐπὶ τῆ νέκταρος, ὡς τὸ βωμὸν οἰκοδομεῖν καὶ ἵππες βεκρλέειν. ποιεῖ δὲ τῶτο, ὅτι περὶ Ἰλίου ὁ λόγος, καὶ ἵνα εὐφράνῃ τὸ συμπόσιον ἴσως λυπούμενον. νέων δὲ τὸ ὑπηρετεῖν, ἀφ' ἧ καὶ τὰς δούλους παῖδας καλοῦμεν. BL.

4. δειδέχατ': ἐφιλοφρονῶντο, ἐδεξιῶντο. ἀπὸ τῆς δεξιᾶς ἡ μεταφορά. καὶ τοῦτο δηλῶται ἐκ τοῦ „πλησύμενος οἴνοιο δέπας δείδεκτο" (Il. 9, 224). κ ὁ φιλόφρων δὲ ἀρίδειξετος λέγεται. BL.

Τρώων πόλιν εἰσορόωντες: ἀπρεπές φασιν, εἰ τέρπει τὰς θεὰς πολέμων θέα. ἀλλ' ἐκ ἀπρεπές· τὰ γ' γενναῖα ἔργα τέρπει. ἄλλως τε πόλεμοι κ μύχαι ἡμῖν μὲν δεινὰ δοκεῖ, τῷ δὲ θεῷ ἀδὲ ταῦτα δεινά· συντελεῖ γ' ἅπαντα ὁ θεὸς πρὸς ὁρμονίαν τῶν ὅλων, οἰκονομῶν τὰ συμφέροντα, ἅπερ καὶ Ἡράκλειτος λέγει, ὡς τῷ μὲν θεῷ καλὰ πάντα κ ἀγαθὰ κ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν, ἃ δὲ δίκαια. BLV.

5. αὐτίκ' ἐπειρᾶτο: πολλὰ ἔνεςι λύειν τῶν παρορομάτων τοῖς γραμματικοῖς. αὐτίκα τὸ ἐπὶ τῆ Διός „αὐτίκ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥραν κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων" μὴ νοήσαντές τινες ἀλλοκότους ἐξηγήσεις πεποίηνται. φασὶ γ' ὅτι παραβλητικοῖς ἐχρῆτο λόγοις ὁ Ζεύς, παραβάλλων καὶ ἀντεξετάζων τὴν Ἀφροδίτης Ἀλεξάνδρῳ ἐπικερίαν πρὸς τὴν Ἥρας καὶ Ἀθηνᾶς τῷ Μενελάῳ γενομένην. τὸ ἓν παραβλήδην ὅτι μετὰ τοῦ παραβάλλειν λέγει ὅπερ εἰώθασι συγκρίνειν, καὶ ὅτι τοῦθ' ἕτως ἔχει, δηλοῖ ὁ τῆ Διὸς λόγος συγκριτικὸς ὤν· „δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων, Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηὶς Ἀθήνη. ἀλλ' ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι τέρπεσθον, τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη ἀεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει." καὶ οὐκ ἔξιν ἁπλῶς παραβολὴ καὶ ἀντεξέτασις, ἀλλ' ὄντως ἐρεθισικὴ κ κέρτομος, ὡς προεῖπεν ἔσεθ. δοιαὶ μὲν Μενελάῳ, μία δὲ τῷ Ἀλεξάνδρῳ. καὶ ἡ μὲν Ἥρα κηδεμὼν τῆ Ἄργες κὰκεῖθεν χρηματίζεσα καὶ διὰ τῆτο καὶ Μενελάου κήδεσθαι ὀφείλεσα, ἡ δὲ Ἀθηνᾶ Ἀλαλκομενηΐς, ἡ δὲ Ἀφροδίτη φιλομμειδὴς καὶ ἐκ ἀπ' Ἰλίε· κ ὅμως αἱ μὲν νόσφι τῆ Μενελάε κάθηνται, ἡ δὲ ἀεὶ παρεμέμβλωκε· κ αἱ μὲν θεωροὶ εἰς τέρψιν τῶν ἀγώνων, ἡ δὲ αὐτῷ κῆρας ἀμύνει συμπαραμένεσα „καὶ νῦν ἐξεσάωσεν οἰόμενον θανέεθ." ὀρθῶς ἄρα προείρηκεν ὅτι ἐρεθισικὸς ὁ λόγος ἔσαι κ χλευασικὸς καὶ παρακλητικός. B.

ἐρεθιζέμεν Ἥραν: ἤθελε μὲν παράβασιν τῶν ὅρκων δι' Ἀχιλλέα ποιῆσαι, ἐβούλετο δὲ τὴν αἰτίαν αὐταῖς ἐπιθεῖναι. BL.

6. παραβλήδην: χλευασικῶς ἢ παραβολικῶς, παρακρεσικῶς. L. παραβολάδην, ἀπατητικῶς· ἢ παραβαλὼν τὴν ἀρχὴν τῆ λόγε πρὶν ἐκεῖνον ἀποσιωπῆσαι. D.

7. ἀρηγόνες: ἐπὶ μόνε θηλυκῆ τάσσει ὁ ποιητὴς αὐτό, ἢ ἀρηγών. ABLV.

8. Ἀργείη: ἡ ἐν Ἄργει τῆς Πελοποννήσε τιμωμένη. D.

Ἀλαλκομενηὶς Ἀθήνη: τοῦτο τὸ ὄνομά Κέκροψ αὐτῇ ἐπέθηκε πρῶτος, κ ἔτως ἐτίμησεν. λέγει δὲ τῆτο ὁ Ζεὺς ἢ ἀπατητικῶς (ἀπάτ. διὰ τὸ λέγειν αὖθις δ' Ἀργείην Ἑλένην V), ἢ πρὸς τὰς τῶν Τρώων ἐπικούρους συγκρίνων θεὰς αὐτήν. BL.

ἡ ἀλάλκεσα τῷ μένει, ὃ ἐξι βοηθοῦσα, ἢ ἐν Ἀλαλκομεναῖς πόλει τῆς Βοιωτίας τιμωμένη, ἔνθα καὶ Ἀλαλκομένιον Ἀθηνᾶς ἱερόν. ἢ ἀπὸ τῆ Ἀλαλκομενίε ὄρες τῆς Ἀττικῆς. ἢ ἡ παρὰ Ἀλαλκομένει τραφεῖσα τῷ Βοιωτῷ. D.

9. νόσφι: τῆ Μενελάε. διαζαλτέον δὲ εἰς τὸ καθήμεναι· λείπει γ' ὁ καί. ὅρα δὲ πῶς πάντοθεν τὸ παράδοξον θηρῶν τὴν μὲν Ἥραν Ἀργείαν κ τὴν Ἀθηνᾶν καλεῖ πολεμικήν, τὴν δὲ Ἀφροδίτην φιλομμειδέα μόνον. πόρρωθεν δὲ ἄρχεται τῶν βελευμάτων. BL.

11. παρεμέμβλωκε: φροντίζει, ἢ παρακολεθεῖ, ἢ παραμένει. L. ἀπὸ τῆ μελῶ μελήσω μεμέληκα, κ κατὰ τροπὴν τῆ η εἰς τὸ ω μεμέλωκα, καὶ κατὰ ἀποβολὴν τῆ δευτέρου ε καὶ πλεονασμῷ τῆ β μέμβλωκα. καὶ ἐπειδὴ ἀμεταβόλε ἐχ εὑρίσκεται ἐν συλλήψει, εἰ μὴ τὸ ν τοῦ μ̄ ὡς ἐν τῷ μνῆμα, τέτε χάριν πλεονάζει τὸ β,

καὶ γίνεται μέμβλωκα, καὶ ἐν συνθέσει τῆς παρά προθέσεως καὶ συγκοπῇ παρμέμβλωκα, καὶ τὸ τρίτον παρμέμβλωκε. V.

αὐτοῦ: τινὲς ἀντὶ τῦ αὐτόθι, τετίχιν ἐπὶ τῦ αὐτῦ μένεσα τόπε. τὸ δὲ ἀμύνει ἀντὶ τῦ ἀναβάλλεται. V.

12. ἐξεσάωσεν: ἐπαναλαμβάνων ἐρεθίζει αὐτὰς πλέον. V.

13. νίκη μέν: λείπει τὸ ἐξί. διέκρινε δὲ τὸ ἀμφίβολον ὁ τῦ Διὸς λόγος, ὅπως μὴ δοκῇ ὁ ποιητὴς τοῖς Ἀχαιοῖς χαρίζεσθαι. BL.

14. βραχὺ δεαζαλτέον ἐπὶ τὸ ἔργα ϗ ὄρσομεν, βαρυνομένε τῦ προτέρε συνδέσιμ, περισπωμένε δὲ τοῦ δευτέρε. οἱ δὲ ὑποζίζοντες ἐπὶ τὸ ὄρσομεν πάλιν ὑπὸ τῆς πευσικῆς ὑποκρίσεως πλανῶνται, ἐπεὶ καὶ τοῖς δισαγμοῖς αὕτη συμβέβηκε πολλάκις. ἡμεῖς δὲ ϛίζομεν ἐπὶ τὸ ὄρσομεν· ὁ γὰρ λόγος, φραζώμεθ' ὡς ἔσαι ταῦτα, πότερον πάλιν πόλεμον ποιήσομεν ἢ φιλίαν ἐμβαλῶμεν. A.

βραχὺ διαζαλτέον εἰς τὸ ἔργα. τὸ δὲ μετ' αὐτό, τὸ ἦ ῥ', δύο μέρη εἰσὶ λόγε· ἐλλείπει γὰρ τῦ ῥά συνδέσμε τὸ ᾶ. ἄρχεται δὲ τῶν κερτομιῶν ἤδη. BL.

15. φύλοπιν: ἐπειδὴ κατὰ φυλὰς μάχονται. περισπαξέον δὲ καὶ τὸν δεύτερον ἢ· ἔξι γὰρ διαπορητικός. BL.

17. εἰ δ' αὔτως: διὰ τῦ πῶς αἱ Ἀριζάρχε, εἰ δ' αὖ πως. ἐν δὲ τῇ κατὰ Ἀριζοφάνη εἰ δ' αὖ τώς, διὰ τῦ τ. A. αὔτως· ἀντὶ τῦ ὁμοίως. V.

γένοιτο: ἔτως Ἀριζοφάνης· Ἀρίζαρχος δὲ πέλοιτο. V.

19. πᾶσι τοῖς Διὸς ἐπιθέτοις κοσμεῖ αὐτήν, Ἀργείην, λευκώλενος, πόσις Ἥρης Ἑλένης πόσις. V.

20. ἐπέμυξαν: μεμυκόσι τοῖς χείλεσιν ἦχον ἐποίησαν διὰ τῆς ῥινός. ἔξι δὲ μύζειν τὸ τὴν φωνὴν τῦ μ στοιχείε ἐκφωνεῖν, ὡς ἐκ τῦ σ ὁ σιγμὸς καὶ ἀπὸ τοῦ ρ ὁ ῥοῖζος. ἐξ οὗ καὶ μύξα ἡ ἐν τῇ ῥινὶ καὶ τῷ λύχνῳ· ὅθεν λύχνος δίμυξος. L.

μεμυκόσι τοῖς χείλεσιν ἐπεξέναξαν (ὃ πάσχυσιν οἱ ὀργιζύμενοι ϗ μηδὲν ποιεῖν δυνάμενοι D). ἠθικῶς δὲ καὶ τὸ γυναικεῖον σχῆμα πρὸ τῶν λόγων ἐμφαίνει ὅπως γνώμης ἔχυσιν. ϗ ἦρκει μὲν τῦτο· ἡ δὲ ὀργὴ καὶ ἐπὶ λόγυς αὐτὴν ἄγει. BLV.

21. πλησίαι: τὴν κάθεδραν Ἥρας καὶ Ἀθηνᾶς ὑποτίθεῖ ἑκατέρωθεν πλησίον τῦ Διός. A. ϗ εἶξε δὲ ἡ Ἀθήνη ἐξ ἀριστερῶν ἓσα τῦ Διός. V.

22. ἡ διπλῆ πρὸς τὸ ἀκέων, ὅτι ἀντὶ τῦ ἀκέσα ἐξενήνεκται. ὁ γάρ ἐσιν ἀντὶ τῦ ἡσύχως, ὡς ὁ Ἀριζόνικος ἐν τοῖς σημείοις φησίν, ὁμοίως τῷ „ἀλλ' ἀκέων δαίνυσθε" (Od. 21, 89)· ὁ γὰρ Ἀπολλώνιος ἐν τῷ περὶ μετοχῆς ἀποδείκνυσιν ἀκριβέσατα ἐκ τῆς συντάξεως ὅτι ὁ δύναῦ εἶναι ἐπίῤῥημα μεσότητος. A.

23. σκυζομένη: ὀργιζομένη· ϗ γὰρ οἱ ὀργιλώτατοι Σκύθαι καλοῦνται. ABL.

24. Ἥρη: εὐθείας ἐξίν. V.

οὐκ ἔχαδε: ἔμφασίς ἐσι τῆς διὰ τῦ σώματος ὑπεκχεομένης ὀργῆς. A.

25. αἰνότατε: χετλιαζέσης ὁ λόγος. ὅτε δὲ φιλοφρονεῖται αὐτόν, φησὶ „Ζεῦ πάτερ ἦ ῥά τί μοι κεχολώσεαι" (Il. 5, 421). A.

26. πῶς ἐθέλεις ἄλιον: εὔλογον αἰτίαν τῆς ἀτιμίας (ἀπωλείας V) προσίθησι τὸ βεληθῆναι ἀκυρῶσαι τὰ πεπονημένα αὐτῇ. A.

δασυντέον τὸ ἄλιον· παρὰ γὰρ τὴν ἁλὸς γενικὴν κτητικῶς μετήχθη. σημαντικὸν δέ ἐσι τῦ ματαίε, ἐπεὶ ἐκ εὔχρησον εἰς πόσιν τὸ θαλάσσιον ὕδωρ· τὸ γᾶν ἐναντίον πότιμον καὶ ποταμὸς λέγεται. A.

27. ἱδρῶθ': αἰτιατικὴ ἐσὶ κατ' ἔκθλιψιν ἐλλημμένη, ἔνθεν προπερισπῶμεν· ὀξύνεῦ γὰρ ἡ εὐθεῖα ὁμοίως τῷ εὐρώς. τὸ δὲ ἵδρωσα οὐκ ἀναγκαῖον συσέλλειν· δύναται γὰρ ἐκτείνεσθαι καὶ μηδὲν λυμαίνεσθαι τῷ μέτρῳ. ἔφαμεν δὲ τὸν ποιητὴν ἀδιαφόρως καὶ φυλάσσειν τὸν χρόνον τῶν πυρῳχημένων καὶ ἀποβάλλειν. δύναται μέντοι καὶ ἱδρῶ τε εἶναι τὸ πλῆρες, ἐπεὶ σύνηθες αὐτῷ ἔτως τὴν αἰτιατικὴν προφέρεσθαι „ἱδρῶ ἀπεψύχοντο" (Il. 11, 621). A.

μόνως (διεσαλμένως?) τὸ ἱδρῶ θ'· ἀεὶ γὰρ δισυλλάβως ὁ ποιητὴς τᾶτό φησιν. ἐξήλλαξε δὲ τὴν φράσιν εἰπὼν „καμέτην δέ μοι ἵπποι" ἔδει γὰρ εἰπεῖν, πῶς βούλει ἀκυρῶσαι καὶ τὸν ἐμὸν ἱδρῶτα καὶ τὸν κάματον τῶν ἵππων; BL.

τὰ ὀνόματα τῶν ἵππων τῆς Ἥρας Γλαῦκος ϗ Πυρία. V.

29. θεοὶ ἄλλοι: ὃ ἕκασος ἀποδέχεται, ϗ τοῖς ἄλλοις περιτίθησιν. ἢ οἱ Ἑλληνικοί, ὡς τὸ „πάντες δ' ἠτιόωντο" (Il. 11, 78). παιδεύει δὲ μὴ ἰδίᾳ ψήφῳ τὲς βασιλεῖς ἀρέσκεσθαι. BL.

30. μέγ' ὀχθήσας: ἠθικῶς, ὅπως δοκῇ παρὰ τὴν ἰδίαν γνώμην χαρίζεσθαι αὐτῇ τὸ αἴτημα. BL.

31. δαιμονίη: ἠθικῶς ἀντὶ τῦ μακαρία. τὸ δὲ τί νύ σε ἀντὶ τῦ πῶς δή, ὡς τὸ „τί νύ σ' ἔτρεφον αἰνὰ παθῦσα" (Il. 1, 414). BL.

32. ῥέζουσι: ἀντὶ τῦ ἔρεξαν. ἀγνοεῖ δὲ τὴν κρίσιν. V. διασαλτέον ἐπὶ τὸ ῥέζεσιν· ἀνέρραπται γὰρ ἡ περίοδος. A.

ἀσπερχές: ἄγαν ἐσπευσμένως. V. πολυσπεδάσως. L.

35. ὠμὸν βερώθοις: ἠῦξησε τὸ ὑπερβάλλον τῆς γυναικείας κακίας, ὡς ἐν τῷ „τῦ ἐγὼ μέσον ἦπαρ" (Il. 24, 212). αὔξεται οὖν ὁ λόγος ἐν τῇ καθ' ἕκασον ἐξεργασίᾳ. BL.

37. ἔρχον ὅπως ἐθέλεις: ὡς θέλεις πρῶξον, μή πως ἡ ἀμφιβολία αὕτη ἐμοὶ καὶ σοὶ πόλεμος γένηται. οἱ δὲ ϛίζοντες εἰς τὸ νεῖκος λείπειν φασὶ τὴν διά, καὶ τὸ γένηται ὑποτακτικὸν ἀντὶ τῦ γένοιτο ἢ γενέωθ. τᾶτο δέ φησιν, ἵνα μηδὲ αὐτὴ ἐναντιωθῇ αὐτῷ ἐν τῇ τῶν Ἑλλήνων ἄτῃ. ABLV. νεῖκος δὲ παρὰ τὸ εἴκειν. V.

40. ὁππότε κεν καὶ ἐγώ: ϗ ταῦτα κερτομικά, πρὸς τῷ τὴν χάριν ἐπὶ πλεῖον αὔξειν. BL. ἐμφαίνει δὲ τὴν τῶν Ἡρακλειδῶν κάθοδον. AL.

ἐξαλαπάξαι: παντελῇ δηλῦσιν ἀπώλειαν αἱ δύο προθέσεις. V.

41. ἐγγεγάασιν: ἐνδιατρίβσιν, ϗ γεγένηνται· πολλοὶ

γ' ἀλλαχῆ γεννώμενοι ἀλλαχῆ οἰκῆσιν. A. ἐνδιατρίβοσι, ἢ ἡμεῖς γεγενῆσθ' ἐν Ῥόδῳ φαμέν. V.

42. διατρίβειν: μαλάσσειν· ἢ μεταφορὰ ἐκ τῆ κηρῆ. A.

43. ἐγὼ σοὶ ὀρθοτονητέον τὴν σοί· δύναται γὰρ ἀντιδιαζολὴ εἶναι. A.

ἑκὼν ἀέκοντί γε θυμῷ: τὸ δοκῆν ἀπεμφαίνειν ἐν τῷ εἴχῳ εὐδεμίαν ἔχει διόρθωσιν ἐκ διαζολῆς· ὁ μέντοι λόγος αἱρεῖ διαστέλλειν ἐπὶ τὸ ἑκών. λέγει δὲ ἑκὼν μέν, ἐπεὶ μὴ ἐβιάσθη ἀλλὰ εἶξεν, ἀέκοντι δὲ θυμῷ, ἐπεὶ μὴ προείλετο ἀλλ' ἀπροαιρέτως τὴν πόλιν προΐεται τῇ γαμετῇ. κεδὸν δὲ πᾶσι συμβαίνει τᾶτο τοῖς δύο ἀτόπων προκειμένων τὸ ἔλαττον αἱρεμένοις. A.

πολλὰ γὰρ παρὰ προαίρεσιν τῆς ψυχῆς πράττομεν πρὸς τὸ κεχαρισμένον τῶν πέλας, ὡς εἰ ἔλεγε, κατεδεξάμην μὲν ἐγώ, τὰ δὲ τῆς προαιρέσεως ἔ πώ μοι κατένευσεν. ABL.

ἐν ἄλλῳ βιαζόμενος, ὥσπερ οἱ πλέοντες ἑκόντες μὲν ἀποβάλλεσι τὰ φορτία ἵνα σωθῶσιν, ἄκοντες δὲ ζημιῶνται. δοκεῖ δέ πως ἐναντίον εἶναι τὸ ἑκὼν ἀέκοντί γε θυμῷ· διὸ καλῶς ὁ Τρύφων, φησί, συναλείψας ἐν τῷ δῶκα συνάπτει τὸ ἑκών, ἵν' ᾖ δῶκ' ἀέκων ἀέκοντί γε θυμῷ. ἢ ἑκὼν ἐγώ σοι ἔδωκα ἀεκέσης μὲ τῆς διανοίας, ὃ ἐξῆν καίπερ μὴ βαλόμενος. ABD.

πῶς Ζεὺς δῶκά σοί φησιν ἑκὼν ἀέκοντί γε θυμῷ; τὸ γ' ἑκὼν τῷ ἄκοντι ἀντίκειται. Τρύφων μὲν ἓν συναλείψας ἐν τῷ κ συνάπτει τὸ ᾶ πρὸς τὸ ἑκών, ἵν' ᾖ ἀέκων ἀέκοντί γε θυμῷ. τοιαύτη τις ἡ διάνοια· πολλὰ ποιῶμεν τῶν πραγμάτων μὴ ἐξ ὅλης τῆς διανοίας ἢ μηδὲ βελόμενοι. διεῖλεν ἓν τὸ ἐγὼ τῷ θυμῷ, ᾗ φησιν ἐγὼ ἀέκων δέδωκα ἀκέσης μοι τῆς διανοίας ᾗ μὴ θελέσης. εἰ μὲν ἓν ἐγώ σοι δέδωκα ἔφη ἀέκων, ἐναντιολογία ἦν· καὶ εἰ ἀέκοντι θυμῷ, καὶ οὕτως ἂν ἐναντιολογία. ἐπεὶ δ' ἐγὼ μὲν ἑκὼν ἔφη ἀέκοντί γε θυμῷ, ἐκ ἔστι μάχη διὰ τὸ πολλὰ μὲν ποιεῖν ἡμᾶς, μὴ συντιθεμένης δὲ τῆς διανοίας. πᾶσα γὰρ πρᾶξις διὰ τὸ καθ' ὁρμὴν γίνεσθαι ἐφ' ἡμῖν ἔσα ἑκάσιος ἂν εἴη, ἃ πᾶσα δὲ πρᾶξις ᾗ τὸ εὐάρεσον τῆς διανοίας ἔχει. ἔστι δὲ ᾗ ἕτερον εἰπεῖν, ὅτι ἑκὼν μὲν δίδωσιν ὡς ἀδελφῇ ᾗ γυναικί, ἄκων δὲ ὅτι τὰς φιλτάτους πρὸς ἀπώλειαν ἐκδίδωσιν. καὶ γὰρ οἱ ἐν θαλάσσῃ πλέοντες ὅταν περιπέσωσι κινδύνῳ, ἐκβάλλουσι τὸν φόρτον εἰς τὴν θάλασσαν ἑκόντες τε καὶ ἄκοντες, ἑκόντες μὲν ἵνα σωθῆναι δυνηθῶσιν, ἄκοντες δὲ ὅτι τὸν φόρτον ἀπολλύουσι δι' ὃν πλέουσιν. L.

44. ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι: γῆς καὶ ἀρανῆ νυκτός τε καὶ ἡμέρας παρειλῆφε λαμπτῆρας, ἡλιόν τε καὶ ἀστέρας. BL.

45. ἡ διπλῆ, ὅτι τῷ ἐνεργητικῷ ἀντὶ τῆ παθητικῆ κέχρηται, ἀντὶ τῆ γαιετάονται. A.

46. περὶ κῆρι: περισσῶς τῷ κέαρι. τὸ περί φυλάσσει τὸν τόνον, ὅτε σημαίνει τὸ περισσῶς, ὁμοίως τῷ „ὡς περὶ μὲν νόον ἐσί, περὶ δ' ἰρὰ θεῖσι" (Od. 1, 66). τὸ δὲ κῆρι ἐδέτερον ὅταν ᾖ, προπερισπᾶ (ἐκ γ' τῆ κέαρι συνείληπ'), ὅταν δὲ θηλυκὸν ᾖ, ὀξύνεται. ἐνθάδε δὲ ἐδέτερόν ἐσι· προπερισπασθήσεται ἄρα. A.

Ἴλιος ἱρή: διὰ παντὸς θηλυκῶς, ἅπαξ δὲ ἐδετέρως „Ἴλιον αἰπὺ ἔλοιεν Ἀθηναίης διὰ βελάς" (Il. 15, 71). A.

47. καὶ Πριάμοιο: ψεύδεται αὔξων τὴν χάριν· φησὶ γ' Ποσειδῶν „ἤδη γὰρ Πριάμῳ γενεὴν ἠχθηρε Κρονίων" (Il. 20, 306), καὶ μάλα εἰκότως, ἀσεβῆ γενομένην. A.

εὐμμελίῳ: τῷ εὖ ποτὲ τῇ μελίᾳ χρησαμένῳ, πολεμικῷ. μελία δὲ εἶδος δένδρου εὐθέτου εἰς δόρατος κατασκευήν. D. ἢ τοῦ ε συγκοπὴ ἢ συναίρεσις. ἔστι δὲ ἀντὶ τῆ εὐμελίᾳ. V.

49. λοιβῆς τε: καὶ αὐτοῖς γὰρ ἐμέριζον οἱ θύοντες· „καὶ Ἑρμῇ Μαίάδος υἱεῖ" (Od. 14, 435). καλῶς δὲ προαναγινώσκει νόμιον ἀσεβείας. ἵνα δὲ μὴ δοκῇ ἐπ' ὀλίγοις ἀγάλλεσθαι, φησὶ τὸ γὰρ λάχομεν γέρας ἡμεῖς. AV.

ἢ κνίσα τῇ ἀναθυμιάσει τῆς γῆς ἔοικε τῶν σωμάτων καιομένων. V.

51. ἐμοὶ τρεῖς: διὰ τί ὁ μὲν Ζεὺς μίαν, ἡ δὲ Ἥρα τρεῖς ἔχειν φησὶ πόλεις φιλτάτας, καὶ ἡ μὲν Ἑλληνίδας, ὁ δὲ βάρβαρον; ἔδει γὰρ τὰς κρείσσονας τῶν θεῶν ἔχειν φιλτάτας. ῥητέον δὲ ὅτι εὐπρεπῆ βουλόμενος περιθεῖναι αὐτῇ τὴν αἰτίαν τῆς ὀργῆς ὁ ποιητής, καὶ οὐχ ἦν ὁ μῦθος ἀναπλάττει, ὡς ἄρα διὰ τὸ μὴ προτιμηθῆναι τῆς Ἀφροδίτης ἐπὶ τῇ κρίσει τῶ κάλλες Τρωσὶν ἐχαλέπαινεν, ἐπίτηδες ταύτας φησὶν αὐτὴν τὰς πόλεις φιλεῖν, περὶ ἃς τὸ ἀδίκημα τὸ κατὰ τὴν Ἑλένην γέγονεν. σύμψηφα δὲ τούτων κἀκεῖνα, ἐν οἷς αὐτὴν ποιεῖ λαμβάνουσαν τὸν κεστὸν παρὰ τῆς Ἀφροδίτης, ἵνα τῷ Διὶ μᾶλλον· ἔτως ἐπέραζος φανείη· ἃ γ' ἦν εἰκὸς τὴν δεομένην τῆς βοηθείας τῆς παρ' αὐτῆς ἐπὶ τῷ ἀρέσαι τῷ ἀνδρὶ ἀγανακτεῖν ἠτιῆθεῖσαν ἐπὶ τῇ τῶ κάλλες κρίσει. ὁ δὲ Ζεὺς μίαν λέγων πόλιν φιλεῖν ἐξαίρει τὴν χάριν· οὐχ ἕτω γὰρ ὁ ἀπὸ πολλῶν διδές τι θαυμάζεται ὡς ὁ ἀπὸ ὀλίγων. ὥστε ἀμφότεροι ῥητορικῶς κατασκευάζουσιν· ἡ μὲν γὰρ πολλὰς ἀντὶ μιᾶς προήσεσθαί φησιν, ὁ δὲ τὴν μίαν, ἣν καὶ μόνην ἔχει, χαριεῖσθαι. BL.

ἐκτίθεται τὴν αἰτίαν τῆς περὶ τὰς Ἕλληνας σπουδῆς. ἀγνοεῖ οὖν τὴν κρίσιν. V.

52. Ἄργος τε Σπάρτη τε: ἡ διπλῆ, ὅτι τῶν τούτων πόλεων ἕνεκα συνεμάχων τοῖς Ἕλλησιν, ἃ διὰ τὸ ἀποκρίθαι ὑπὸ Ἀλεξάνδρα τὸ κάλλος αὐτῶν, ὅπερ οὐκ οἶδεν Ὅμηρος. A.

53. πρὸ τέλες ἡ ὀξεῖα τῷ διαπέρσαι, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ προστακτικῆ. A.

δείκνυσι τῶν ὀργιζομένων τὸ ἦθος ἀλόγιστον, οἵ πόθῳ τῶν παρὰ χεῖρα τῶν μειζόνων ἀμελῆσιν. διὰ δὲ τῆ περὶ ἐμφαίνει περὶ τῶν Τρώων, ὡς ὁμοίως αὐτῇ μισῆνται ὡς ἐκείνῳ φιλῆνται. BL.

54. μεγαίρω: ἀντὶ μέλλοντος τῆ φθονήσω. ἀνθυπάγει ἓν αὐτῷ τὸ φθονέω. A.

55. 56. ἀθετῆνται ἀμφότεροι, ὅτι τὴν χάριν ἀναλύουσιν, εἰ καὶ μὴ προδεδηθεὶς δύναται τᾶτ' ἔχειν. A. ῥητέον δὲ ὅτι οὐ μειοῖ τὴν χάριν, ἀλλ' ἐμφαίνει ὡς οὐ θέλει μέντοι παθεῖν τὰς πόλεις, οὐκ ἀντιπράξει δὲ διὰ τὸ ἀδύνατον. οἱ-

κτον δὲ ἐμφαίνει τῶν λόγων, ὅπως μὴ ἐξ αὐτῆς ἀπαιτῇ τὴν χάριν. V.

56. φέρτερός ἐσσι: φέρτατός ἐσσι. A.

57. οὐκ ἀτέλεστον: ἀντὶ τοῦ μὴ ἀτέλεστον. V.

58. ἔνθεν: ἔντεχνον τὸ σχῆμα· τὰ γὰρ ἑαυτῆς δίκαια, δι' ὧνπερ ὤφειλε τιμῆς τυγχάνειν, ἐκ τῆς περὶ τὸν ἄνδρα δόξης λαμβάνει, προσαγομένη τὸν θεὸν λεληθότως. B.

59. πρεσβυτάτην: τιμιωτάτην νῦν. πλαγιαθεὶς δὲ ἐντεῦθεν Ἡσίοδος νεώτερόν φησι τὸν Δία (Th. 454). A.

ἄλλως. ὅτι ὁ καθ' ἡλικίαν λέγει, ἀλλ' ἐν τιμῇ. A.

ἀγκυλομήτης: ὁ καὶ τὰ τοῖς ἄλλοις ἀγκύλα μήσασθαι εἰδώς, ἢ ὁ περὶ τῶν δυσευρέτων καὶ σκολιῶν εὐχερῶς δυνάμενος βουλεύεσθαι, συνετός. BD.

60. διαιαλτέον ἀμφότερον, γενεῇ τε, κέκλημαι. φησὶ γὰρ διὰ ταῦτα πάντα ἔντιμος εἶναι, διά τε τὴν εὐγένειαν καὶ διότι Διὸς γυνὴ τῶν πάντων βασιλέως. A.

ἡ διπλῆ, ὅτι γενεῇ ἀντὶ τῷ γένει· ἐκ Κρόνου γάρ. A.

ἐπὶ τῶν ἐξ τούτων ἡ γενεὰ λαμβάνεται, ἐπὶ ἡλικίας, ὡς τὸ „ὀπλότερος γενείῃ" (Il. 2, 707)· ἐπὶ εὐγενείας, ὡς τὸ „γενεῇ μὲν ὑπέρτερος" (Il. 11, 796)· ἐπὶ ἐκγόνων, ὡς τὸ „ὄφρα μὴ ἄσπερμος γενεή" (Il. 20, 303)· ἐπὶ πατρίδος, ὡς τὸ „γενεὴ δέ οἱ ἐς" ἐπὶ λίμνῃ (ib. 390)· ἐπὶ ὡρισμένου χρόνου, ὡς τὸ „τῷ δ' ἤδη δύο μὲν γενεαί" (Il. 1, 250)· ἡ δὲ τοιαύτη γενεὰ λ' ἔχει χρόνους (λγ' ἔχει ἔτη ἀνθρώπου V)· ἐπὶ φύσεως, ὡς τὸ „οἵη περ φύλλων γενεή" (Il. 6, 146). λαμβάνεται δὲ καὶ ἐπὶ χρόνου ζωῆς ἀνθρώπων, ὡς τὸ „ἐννέα γὰρ ζῶσιν γενεάς." BL.

61. κέκλημαι: οὐκ ἔξι τελεία εἰς τὸ κέκλημαι· φησὶ γὰρ διότι σῇ εἰμὶ γυνὴ τῶν πάντων ἀνάσσοντος· τοῦτο γὰρ δηλοῖ τὸ κέκλημαι. ἡδὺ δὲ καὶ τὸ τῆς ἐξαλλαγῆς· ἔδει γὰρ εἰπεῖν, σῇ τῶν πάντων βασιλεύοντος. BL.

63. σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί: πιθανῶς προτέραν ἔταξε τὴν ἰδίαν χάριν, ὡς προκατάρχουσα καὶ ἐκ ἀμειβομένη. τὸ δὲ ἔπω δηλῶν μὲν τὸ λέγω ψιλοῦται, τὸ δὲ ἀκολουθῶ δασύνεται. ἀνάγκη δὲ πᾶσα τοῖς ἄρχουσι τὰς προσῶς ὑποκειμένους ἕπεσθαι. B.

64. τὸ θᾶσσον συντακτέον τῷ ἐλθεῖν· φησὶ γὰρ (70) „αἶψα μάλ' ἐς ῥατὸν ἐλθέ." BL.

ἡ διπλῆ, ὅτι τὸ ἐπιτεῖλαι ἀντὶ προσακτικῶ κεῖται. τὸ δὲ πειρᾶν εἰ μὲν ἀπαρέμφατον σημαίνει, διαζευκτὴν ἕξει πρὸ αὐτῶ (ἥρτηται γὰρ τῷ πρότερα λόγα)· εἰ δὲ ἀντὶ προσακτικῶ αὐτῶ κείσεται τῷ πειράτω, σικτέον. A.

66. πειρᾶν: ἀναγκάζουσιν ἐπιορκεῖν Πάνδαρον ἀλλὰ πειρῶνται, εἰς πλείω τε ἁμαρτίαν προκαλοῦνται Τρῶας, ὅπως ἀξίαν τίσωσι δίκην· ἤδη γὰρ παρέπῃ Ἀλέξανδρος λέγων „κεῖνον δ' αὖτις ἐγώ" (Il. 3, 440). τὸ δὲ πειρᾶν ἀντὶ τοῦ πειράτω. A. Ἀττικοὶ δὲ ἐπὶ συνουσίᾳ τάττουσι τὴν λέξιν. V.

ἐκ ἀσεβεῖ, φησίν, ὁ Πάνδαρος, εἰ ἦν Ἀθηνᾶ συνεβούλευσε καὶ ὁ Ζεὺς ἀπέσκηκεν. χρεὼν οὖν ὅτι ὁ μὲν Ζεὺς εἰδὼς τὰς ὁρκους κακῶς γεγενημένους (οὐδὲν γὰρ ἕτερον Τρῶες ἢ ἐπὶ τρισὶν ἀλλοτρίοις ὤμοσαν) διὰ τοῦτο ἐσπέδασε λυθῆναι τὰς ἀδίκους συνθήκας. Ἀθηνᾶν δὲ νῦν ὑποληπτέον τὸν λογισμὸν αὐτῶ Πανδάρου, καὶ ὅτι αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο· ἄπιστοι γὰρ Λυκάονες, ὡς καὶ Ἀριστοτέλης μαρτυρεῖ. ἄλλοι δὲ καὶ αὐτοῖς τοῖς Ὁμήρου λήγοντες, φασὶ προειρηκέναι τὸν ποιητὴν „πειρᾶν τ' αἴ κε θέλῃσιν," ἐχὶ δὲ πείθειν. ABL.

Ἀθηνᾶ κατ' ἀλληγορίαν ὁ τῶ Πανδάρου νοῦς, ἢ ἀληθῶς μὲν πονηρία, δοκοῦσα δὲ ἐκείνῳ φρόνησις. καὶ εἰ μὲν καλῶς χρῆταί τις αὐτῇ, φρόνιμος ἐστιν, εἰ δὲ κακῶς, πανοῦργος. L.

ὑπερκύδαντας: μεγάλως γαυριάσαντας ἐπὶ τῇ Μενελάου νίκῃ. μέγιστον δὲ πρὸς εὐσέβειαν πορθεῖσθαι Τροίαν διὰ τὴν παράβασιν τῶν ὅρκων, ὥσπερ καὶ Ὀδυσσέως ἡ σύχνη ναυάγησις διὰ τὴν εἰς Ποσειδῶνα βλασφημίαν. ὑπερκύδας δὲ ἐκ τῶ κῦδος κύδας καὶ ἐν συνθέσει ὑπερκύδας. ἢ μεταπέπλασαι ἀπὸ τῆς ὑπερκύδαντος. AV.

τὰ εἰς δας ὑπὲρ δύο συλλαβὰς ἰσοσυλλάβως κλίνονται οἷον Ἀκάδας Ἀκάδα, Τιμαχίδας Τιμαχίδα, Σθίδας Σθίδα, Λεοντίδας Λεοντίδα, Χαρμάδας Χαρμάδα. δεῖ δὲ προσθεῖναι χωρὶς εἰ μὴ ἀπὸ βαρυτόνου ῥήματος γένωνται· ἐκεῖνα γὰρ περιττοσυλλάβως κλίνονται ἤγουν διὰ τῶ ντ, οἷον οἶδα Οἴδας Οἴδαντος, μείδω Μείδας Μείδαντος, χαρίζομαι Χαρίδας Χαρίδαντος, φείδομαι Ἀφείδας Ἀφείδαντος. τούτων ὄντως ἐχόντων, τὸ ὑπερκύδαντας Ἀχαιὸς μήποτε ἀπὸ βαρυτόνου ῥήματος ἐξι τῶ κυδαίνω τῶ σημαίνοντος τὸ δοξάζω. γέγονε κυδίεις κυδίεντος κυδίεντας καὶ ὑπερκυδίαντας. λέγουσι δέ τινες ὅτι ἐν τοῖς ἐπιμερισμοῖς λέγει ὁ Ἡρωδιανὸς ὅτι μετοχή ἐστιν· λέγει γὰρ ὅτι ἐξι κυδαίνω ὑπερκυδαίνω, ἐκύδανα κυδάνας ὑπερκυδάνας ὑπερκυδάναντας καὶ κατὰ συγκοπὴν ὑπερκύδαντας. ἐν δὲ τῷ ὀνοματικῷ λέγει ὅτι ὀνομά ἐστι. καὶ μᾶλλον ὄνομα δεῖ λέγειν αὐτὸ ἤπερ μετοχήν· τῷ γὰρ ὀνοματικῷ δεῖ μᾶλλον πιστεύειν ἢ τοῖς ἐπιμερισμοῖς· τοῦτο γὰρ ὁμολογοῦνται εἶναι Ἡρωδιανῶ· ἀλλ' εἰσὶ καὶ ψευδεπίγραφοι. A.

69. αὐτίκ' Ἀθηναίην: ὁ γὰρ ἄγγελος μόνον ἀλλὰ καὶ τῶ πείσαντος Πάνδαρον ἔδει καὶ Μενέλαον σώσοντος· διὰ τοῦτο καὶ ἡ πάρος μεμανῦα πέμπεται. BL.

70. ὅτι τὸ μὲν ἐλθέ προστακτικόν, τὸ δὲ πειρᾶν ἀπαρέμφατον ἀντὶ τῶ πεῖρα προστακτικῶ. A.

74. ἡ διπλῆ, ὅτι ὡς περὶ ὄρους τῶ Ὀλύμπου λέγει. A.

75. ἀστέρα νῦν φησὶ τὸν ἀστεροειδῶς ἀκοντιζόμενον. καλῶς δὲ ἡ πολεμικὴ πολεμικῷ σημείῳ εἴκασαι. καλοῦσι δὲ τάττοντας καὶ δοκοῦσιν ἀπὸ συρροφῆς ἀέρος γίνεσθαι· ὅθεν καὶ ἀνέμους δηλοῦσιν. σπινθηρίζουσι δέ, ἃ πρὶν εἰς γῆν πεσεῖν ψυχροτέρῳ ἀέρι λύονται. ἐν ὅσῳ δέ, φησί, ταραττόμενοι σκοπεῖσι περὶ τῶ πολέμου διὰ τὸ τέρας, ἐν τοσούτῳ ἡ Ἀθηνᾶ ὁμοιωμένη αὐτῷ εἰς τὴν γῆν παρεγένετο. BL.

τὸν λεγόμενον κομήτην. ἀστὴρ δὲ ἀστρὸς διαφέρει, ὅτι ὁ μὲν ἀστὴρ, ἓν τί ἐστι, τὸ δὲ ἄστρον ἐκ πολλῶν συνέστηκεν ἀστέρων, ζῴδιόν ἐστιν, ὃ καὶ ἀστροθέτημα καλεῖται. D.

77. ἐὰν δηλοῖ τὸ ἄποθεν, βαρύνεται· ἢ ἀπό· εἰ δὲ ἀναφέρεται πρὸς τὸ ῥῆμα, ὃ καὶ βέλτιον, ὀ βαρύνεται. BL.

79. κὰδ δ' ἴεθορ': τὸ ἐνεργὲς καὶ σφοδρὸν τῆς θεοῦ ἡ πρόθεσις δηλοῖ. τὸ θάμβος δὲ ἀδετέρως παρ' Ὁμήρῳ, παρὰ δὲ Σιμωνίδῃ ἀρσενικῶς. ABL.

82. ἦ ῥ' αὖτις πόλεμος: πόλεμον μὲν ἐκ τῆ πυρὸς τῆ ἀέρος ὑφορῶσιν, διὰ δὲ τὴν σβέσιν δισάζεσιν. BL.

83. ὁ λόγος εἰζει ἐπὶ τὸ ἔσσεται· εἰρηται δὲ καὶ ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ ὅτι ὁ πάντως ἐπὶ τῶν πευσικῶς λεγομένων ὑποσικτέον. ἔτως Νικάνωρ, εἰ καὶ ἀπαντᾷ, φησίν, ἡ ὑπόκρισις. AV.

84. ὅστ' ἀνθρώπων ταμίης πολέμοιο: καλῶς τῆτο τῇ φιλότητι ἐπήγαγεν. ταμιεύειν δὲ τὸ ἐναποκλείειν. BLV.

86. ἀνδρὶ ἰκέλη: ἐνέπεσε μὲν τῷ πλήθει τῶν Τρώων ὡς ἀσήρ, ἀνδρὶ δὲ εἰκαθεῖσα Πάνδαρον ζητεῖ. BL.

87. Λαοδόκῳ Ἀντηνορίδῃ: καλῶς τέτῳ εἰκάθη· Ἀντήνορος γὰρ ὢν παῖς, καὶ παραβὰς νόμιον προξενίας, καὶ τοῦτον θέλει παραβῆναι, νόμιον σπονδῶν. εἰ δὲ ἕτερος ἦν ὁ συμβελεύων, ἔφη ἂν ὁ Πάνδαρος διὰ τί μὴ καὶ σὺ παραβήσῃ τὰς ὅρκας; εἰκότως δὲ ὁ τῆ φιλοξένε ἀνδρὸς παῖς Λαοδόκος καίτοι μὴ ὢν καλεῖται. ἀλλὰ καὶ κρατερὸς αἰχμήτης, ἤτοι εἰς τὸ αἰχμάζειν ἰσχυρός. BL.

88. τέτῳ καὶ τῷ ἑξῆς παράκεινται διπλαῖ περιεσιγμέναι, ὅτι Ζηνόδοτος τάτε μὲν τὸ ἀκροτελεύτιον ἔτως γράφει „εὗρε δὲ τόνδε," τὸν δὲ δεύτερον οὐδὲ γράφει, δοκῶν ἀνθρώπινον τὸ ζητεῖν εἶναι· καταλέλοιπε δὲ τὸ διζημένη. ἀγνοεῖ δὲ ὅτι ὁμοιωθεῖσα Λαοδόκῳ ἀνάγκην εἶχεν ἀνθρώπινα ἐπιτηδεύειν. A.

διζημένη: εἰκότως εἰκαθεῖσα ἀνδρὶ καὶ τὰ ἀνδρῶν ποιεῖ. ἀντίθεον δὲ τὸν ἴσον Ἀπόλλωνι ἐν τοξείᾳ· τοὺς γὰρ ὑπερέχοντας ἔν τινι ἔτως φησίν. αἰχροκερδὴς δὲ ἔτος, καὶ τὰς ἵππες οἴκοι καταλιπὼν φειδοῖ τροφῆς. ἀμύμονα δὲ αὐτὸν λέγει (89) τῷ σώματι ἢ τῇ τέχνῃ ἢ τῷ γένει· οὐ γὰ τοιῆτος τοῖς τρόποις ἦν. ὡς μικρολόγον τοίνυν καὶ πεισύμενον ὑποχέσει δώρων αὐτὸν ζητεῖ. BLV.

φασὶ δὲ Τριόπαν Πειραιβῶν τύραννον τοσῆτον ὠμὸν εἶναι ὡς τὸν υἱὸν ἀποκτείναντα αὐτὸν Καρκάβον τυραννοκτονίας γέρας λαβεῖν παρὰ τῶν πολιτῶν. φυγὰς δὲ ἥκων εἰς Βρίνθιν τῆς Τροΐης, καθαρθείς τε ὑπὸ Τρωός, λαβὼν ἔδαφος κτίζει Ζέλειαν τῆς μικρᾶς Λυκίας. ὥσε ἀναγκαίως ἐκ τούτου τῆ αἵματός ἐσιν ὁ συγχέας τὰς ὅρκας. V.

διὰ τί ἡ Ἀθηνᾶ εἰς σύγχυσιν τῶν ὅρκων ἀ τῶν Τρώων τινὰ ἐπελέξατο ἀλλὰ τῶν ἐπικούρων; καίτοι κεχαρισμένος ἂν τις ἐγένετο Ἀλεξάνδρῳ, εἰ τῶν οἰκείων ἦν. καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; φησὶν ὁ Ἀριστοτέλης ὅτι τῶν μὲν Τρώων ἐδένα, διότι πάντες αὐτὸν ἐμίσεν, ὡς ὁ ποιητής φησιν „ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 433)· τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡς φιλοχρήματον (σημεῖον δὲ ἡ τῶν ἵππων αὐτῆ ἐν οἴκῳ κατάλειψις, ἵνα μὴ δαπανᾷ Il. 5, 192), ἢ ὅτι φύσει ἐπίορκος· τὸ γὰ ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι, ὅθεν ἐκεῖνος ἦν, ἐπίορκον. τινὲς δὲ ἔτω λύουσιν, ὅτι ἀρίστη ἦν χρεία τῆ δυναμένῃ τρῶσαι καὶ κατασχάσαι, ἐκ ἦν δὲ ἐν τῷ Τρωϊκῷ μέρει τις ἢ Ἀλέξανδρος μόνος καὶ Πάνδαρος εὐφυὴς ἔτως, ὡς καὶ ἐπιφωνῆσαι τὸν ποιητὴν „Πάνδαρος ὦ κὴ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν" (Il. 2, 827), ὃ σημαίνει τὴν τοξικήν. ὡς ἄριστον ἐν αὐτὸν ἐπελέξατο τοξότην. ADL.

90. ἀμφὶ δέ μιν: προοικονομεῖ τὴν ἀπὸ τῶν ὅπλων σκέπην. οὐκ ἄτοπον δὲ τοξότην μὲν εἶναι τὸν ἡγούμενον, ὁπλίτας δὲ τὰς ὑπηκόας. Λοκροὶ γάρ, περὶ ὧν φησὶ „καὶ ἐϋσρόφῳ οἷος ἀώτῳ πεποιθότες Ἴλιον ἐσανέβαινον" (Il. 13, 716), τοξόται μέν εἰσιν, ὁπλίτην δὲ ἔχεσι τὸν ἄρχοντα· ὁ δὲ Αἴας ἔγχει ἐκέκασο παρὰ πάντας Ἕλληνας. BLL.

91. οἳ: πρὸς τὸ λαῶν ἀπέδωκεν, ὡς τὸ „γενεαὶ ἀνθρώπων οἵ οἱ πρόσθεν ἅμα τράφεν" (Il. 1, 251). A.

ὁ δὲ Αἴσηπος ποταμὸς τῆς ὑπὸ Ἴδην Λυκίας. D.

93. ἦ ῥά νύ μοί τι πίθοιο: οἰκεία ἡ παραίνεσις ὁμοτίμῳ ἀνδρί, εὐχήμονα πρᾶξιν ὑποτιθεμένῳ. ἕτοιμον δὲ πρὸς πειθὼ τό τε μὴ κελεύειν καὶ τὸ ἐκ πατέρων ὀνομάζειν. L.

δαΐφρον: τελεία ἐνταῦθα, ἢ εἰς τὸ ταχὺν ἰόν. V.

94. ἐπιπροέμεν: Ἀρίσαρχος ἀναφέρει, ἵνα τὸ ἑξῆς γένηται ἐπὶ Μενελάῳ, ὡς καὶ ἐπ' ἐκείνε „ἦ καὶ ἐπ' Ἀντινόῳ ἴθυνεν" (Od. 22, 8). Μενεκράτης δὲ ὁ Μιλήσιος ὑφ' ἓν, ἐπιπροέμεν, ὁμοίως τῷ ἐπιπροΐηλε καὶ ἐπιπροέηκε, ἵν' ἔμφασις μᾶλλον γένηται. A.

Ἀρίσαρχος μὲν βαρύνει τὴν ἐπί, Μενεκράτης δὲ ὑφ' ἓν ἀναγινώσκει. BL.

95. χάριν καὶ κῦδος: χάριν μὲν ὡς τῆς μάχης παύσας αὐτές, κῦδος δὲ ὡς τὸν βασιλέα τῶν πολεμίων ἀνελών. βεβαιωτικῶς δὲ ἀναγνωσέον· ὅμοιον γάρ ἐσι τῷ „ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο" (Il. 9, 303). πιςὸς δὲ ὁ λόγος παρ' ἀνδρὸς λεγόμενος ἐπιφανοῦς. AL.

96. μάλιστ' Ἀλεξάνδρῳ: προσαγωγικῶς, εἴγε ἀ τῷ τυχόντι χαρίσεθ τᾶτο ποιῶν. ἀγχίνες δὲ φαίνεθ τῷ ποιεῖν τὰς ἐπαίνες τῷ καιρῷ οἰκείας. BLV.

βασιλῆϊ: πρὸς καιρὸν ἡ Ἀθηνᾶ βασιλέα κέκληκε τὸν Ἀλέξανδρον ἕνεκα τῆ μᾶλλον πεῖσαι αὐτὸν ἐλπίδι μείζονος δωρεᾶς. AD.

97. πάμπρωτα παρ' ἀγλαά: πρῶτα μὲν ὡς ἀ ἄλλων δωσόντων, ἀγλαὰ δὲ ὡς παρὰ βασιλέως. ἀπείργει δὲ ἡμᾶς δωροδοκίας διὰ Πανδάρε καὶ Ἀντιμάχε. A.

τινὲς ἀναφέρεσι τὴν παρά, κακῶς· ἐδέποτε γὰ ἀναφέρεται πρόθεσις γενικῇ συντασσομένη πτώσει· ἔσι γὰ τὸ ἑξῆς παραφέροιο. A.

99. σῷ βέλεϊ δμηθέντα: ἐφελκυσικῶς τᾶτό φησιν, ὡς πάντως αὐτῆ ἅμα τῷ βληθῆναι τεθνήξοντος. BLV.

πυρῆς ἐπιβάντ': ἐκ ἀναγκαῖον ἀναφέρειν, ἵνα γένηται τὸ ἑξῆς ἐπὶ πυρῆς βάντα· ἔμφασις γὰ γίνεθ τῇ μετοχῇ, εἰ συνταγείη ἡ πρόθεσις. A.

ὅτι οἱ ἀρχαῖοι τὰ σώματα ἐκ ἔθαπτον ὑπὸ γῆν, εἰ μή

πρότερον ἔκαυσαν· εἶθ' οὕτω τὴν τέφραν σὺν τοῖς ὀστοῖς ἐχώννυον ἐν ἀγγείῳ τινὶ ἀποθέμενοι. ABD.

ἀλεγεινῆς: τοῖς οἰκείοις τῶν ἀποθνησκόντων. V.

100. ὀτρυνσον Μενελάου: ὡς „ἐξέρρηξεν ὀδοῖο" (Il. 23, 421) καὶ κατεάγη τῆς κεφαλῆς. V.

ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ἀντὶ τῶ ἐπὶ τὸν Μενέλαον. A.

πῶς μὴ μᾶλλον Ἀγαμέμνονα τοξεύει ἀκαθόπλιστον ὄντα, ἢ τινα τῶν ἀρίστων ἄλλον, ἀλλὰ τὸν ἐντεθωρακισμένον Μενέλαον; δῆλον οὖν ὡς ἀποτριβόμενος τὴν κατηγορίαν τῆς ἐπιορκίας, ἵνα δοκῇ μᾶλλον Ἀλέξανδρος εἶναι ὁ ἐκ λόχου Μενέλαον τοξεύσας, ἀλλὰ μὴ Πάνδαρος. BL.

101. Λυκηγενέϊ: ἐν Λυκίᾳ γενομένῳ· ἀψευδέστατον γάρ ἐστιν ἱερὸν Ἀπόλλωνος ἐν Λυκίᾳ. ἢ ὅτι λύκος ἡγήσατο μετὰ τὰς ὠδῖνας Λητοῖ, ὥστε καθαρθῆναι εἰς τὸν Ξάνθον. φρονήματος δὲ αὐτὸν πληροῖ, πολίτην ὑποτιθέμενος αὐτῶ τὸν θεόν. A.

φασὶν ὅτι λαθεῖν σπεύδουσα ἡ Λητὼ τὴν τῆς Ἥρας ζηλοτυπίαν εἰς Λυκίαν ἀπηλλάγη, ὡς καὶ Ἄγνων ἐν τῇ δεκαεξίχῳ λέγει, καὶ ἐγέννησεν ἐκεῖ τὸν Ἀπόλλωνα. ABD.

ὅτι ἀπὸ τῆς Τρωϊκῆς Λυκίας, ἐξ ἧς ἐστὶν ὁ Πάνδαρος. A.

Λυκηγενῆ αὐτὸν προσηγόρευσεν οὐχ ὡς ἐν Λυκίᾳ γεγεννημένον· ἔξω γάρ ἐστι τῆς Ὁμηρικῆς ἀναγνώσεως ὁ νεώτερος ἔτος μῦθος· ἀλλ' ὥσπερ, οἶμαι, τὴν ἡμέραν ἠριγένειαν ὀνομάζει τὴν τὸ ἦρος γεννῶσαν, τετέχει τὸν ὄρθρον, ἕτω λυκηγενῆ τὸν ἥλιον προσηγόρευσεν, ἐπειδὴ τοῦ κατὰ τὴν ὀρθρίον ὥραν λυκαυγὲς αὐτός ἐστιν αἴτιος. ἢ ὅτι τὸν λυκάβαντα γεινᾷ, τετέχει τὸν ἐνιαυτόν· ὅρος γάρ ἐτησίᾳ χρόνου διαδρομὴν ἥλιος ἐν μέρει τὰ ιβ' ζῴδια. AL.

κλυτοτόξῳ: τῷ περὶ τὴν τοξικὴν ἐνδόξῳ. τεσσάρων γὰρ τεχνῶν ἔφορός ἐστιν ὁ Ἀπόλλων, τοξικῆς ἰατρικῆς μαντικῆς καὶ μουσικῆς. ABDL.

102. πρωτογόνων: νέων, ἐπειδὴ καὶ τὸ θεῖον ἀεὶ νεάζει. ἢ πρωτευόντων ἐν γονῇ. ἢ ἠρτιόκων· πρῶτον γὰρ πάσης ὥρας τὸ ἔαρ. πῶς δὲ ὁ Χρύσης (Il. 1, 41) ταύρων καὶ αἰγῶν θυσίαν ὑπισχνεῖται; ἐρῶμεν ὅτι τὰ ἀπόῤῥητα τῶ θεῶ σαφῶς εἰδὼς εἰκότως τὰ τῷ θεῷ φίλα θύει· θυσίαις γὰρ αἰγῶν καὶ ταύρων Ἀπόλλων ἥδεται· ὕλη γὰρ τοῖς τόξοις τὰ κέρατα τέτων. Πάνδαρος δὲ ὑπὸ Ἀθηνᾶς πειθόμενος τοξεῦσαι ἐκ αἰγὸς οὐδὲ ταύρου ὑπισχνεῖτο, ἀλλὰ πρωτογόνου ἄρνος· ἀποτυχεῖν γὰρ αὐτὸν ἡ Ἀθηνᾶ τῆς καιρίας πληγῆς ἐβάλετο. BLV.

103. ἱερῆς εἰς ἄγυ Ζελείης: τοῦτο πρὸς τὸ ἐπᾶραι Πάνδαρον· ἢ ἐπεὶ χρηστήριόν ἐστιν ἐκεῖ τῶ θεῶ. BL.

ὅτι ἡ ὑπὸ τῇ Ἴδῃ Λυκία τὸ παλαιὸν Ζέλεια ἐκαλεῖτο διὰ τὸ τὸν Ἀπόλλωνα ἐν αὐτῇ Ἶλαν εὐσεβεῖσθαι. AD.

104. ἄφρονι: ὅτι θεὸς ἐκάλει εἰς τὴν κατὰ θεῶν πρᾶξιν. διδάσκει δὲ μήτε θεῷ παρασυμβουλεύοντι (παρὰ τὸ δέον συμβουλεύοντι L) πείθεσθαι. BLV.

105. ἐσύλα: ὅτι ἡσυχῇ ἤμελλε κλέπτειν τὴν πρᾶξιν καὶ λύειν τὴν τῶν θεῶν πίστιν ὡς ἱερόσυλος. ἰξύλου δὲ τοῦ ἱκνεμένα ἐπὶ τὰς ἄλας· ψωριῶν γὰρ ὑδενὸς ἕτερα μεταλαμβάνει. ἢ τὸν εἰς τὰς ἰξύας ἐρχόμενον, ὃ ἐστι κήλωνα. ἢ τομίαν· οἱ γὰρ τέλειοι διωκόμενοι ἐντρίβονται τοὺς ὄρχεις. ἢ τὸν εἰς πᾶν ὕψος ἱκέσθαι δυνάμενον, ὅθεν καὶ ἡ αἰγίλιψ πέτρα. BLV.

ἤτοι τελείᾳ, ἢ πηδητικῇ καὶ ὁρμητικῇ παρὰ τὸ ἱκνεῖσθαι, ἢ ὡς ὁ Πορφύριος λέγει, τὸν τομίαν. συμβαίνει γάρ, φησί, πολλάκις τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκομένους ἐν ταῖς θήραις κατὰ παράτριψιν ἀποβάλλειν τὰ γεννητικὰ μόρια. AD.

αἰγὸς ἀγρίου: ὁ τρόπος μετατύπωσις, ὡς πόλιν ἄκρην (Il. 22, 383). V.

106. τυχήσας: παρὰ τὸ τύχη τυχῶ. ἀτριβὴς δὲ ὁ χηματισμὸς τῆς μετοχῆς· οὐδὲ γὰρ παρὰ τὸ λαβών εἶποι τις λαβήσας. ἐκ οἴδεν Ὅμηρος ὄνομα τῆς τύχης. V.

προκατασκευάζει διὰ τούτω τὴν τοῦ ἀνδρὸς εὐτυχίαν. προδοκῆσαι δὲ τόποις προβλήματα ἔχουσιν· οἱ δὲ ταῖς ἐνέδραις, παρὰ τὸ προσδέχεσθαι. ὕπτιον δὲ λέγει πεσεῖν, ἵνα τὸ καίριον τῆς πληγῆς δηλωθῇ, ὃ αὐτὸν ὑπτιάζει. BLV.

ὅτι ἐ πρηνεῖς ἀλλ' ἀνατρεπομένης ὑπὸ τῆς πληγῆς συνίεσησι, διὰ τὰς βίας τῶν βαλόντων. A.

109. κέρα: ἀποκοπή ἐστι τῶ κέρατα· Ἡρωδιανὸς συναλοιφὴν τῶ κέραα. τὸ δὲ χρέα χρία συγκοπή. A.

ἑκκαιδεκάδωρα: δῶρον καλεῖται ὁ παλαιστής, ὃ ἐστιν ἔκτασις τῶν τῆς χειρὸς τεσσάρων δακτύλων. ἢ καὶ ἑκκαίδεκα ἐνιαυτῶν· ὦρος γὰρ ὁ ἐνιαυτός· ὅπερ ἄτοπον. AD.

καὶ πῶ ἐξὶ κέρας δύο ἥμισυ πηχῶν; ἀλλ' ἐκ ἐπὶ ἑκατέρου φησίν, ἀλλ' ἀμφοτέρων. Ἀλέξανδρος δέ φησιν ἐν Δήλῳ κεῖσθαι κέρατα ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης, κριῶ μὲν δίπηχυ καὶ δακτύλων ὀκτώ, ϛαθμούμενα δὲ μνῶν εἴκοσι ἥμισυ, τράγῳ δὲ πηχῶν δύο καὶ σπιθαμῆς καὶ ϛαθμῶ ἴσα. A.

110. τέκτων: ὁ καλούμενος τοξοποιός. ἢ κοινῶς πᾶς τεχνίτης τέκτων λέγεται ἀπὸ τῶ τεύχειν, ὃ ἐστι κατασκευάζειν. D. πᾶς τεχνίτης· ὅθεν λιθοτέκτονες καὶ χρυσοτέκτονες. Πίνδαρος δὲ τεκτονᾶν ὀδύνας φησίν. AV.

111. πᾶν: πρὸς τὸ νοητόν, ἀπὸ πληθυντικοῦ ἑνικόν. „αἵ δ' αὖ πρὸς νότον εἰσὶν" (Od. 13, 111) „ἐδ' ἔτι τῆγε" „Εὔμαι' ἦ μάλα δή" (Od. 17, 264). V.

ἐπέθηκε: ἤτοι ἐπάνω ἔθηκεν. κορώνη δὲ πᾶν τὸ ἐπικαμπές, ἀπὸ μεταφορᾶς τῶ ζῴου. D.

κορώνην νῦν τὸ ἐπικαμπὲς ἄκρον τῶ τόξου λέγει, ὅθεν καὶ ἀπήρτηται ἡ νευρά. DL.

112. τανυσσάμενος: τετέχνιν ἐπαναβιβάσας τῇ κορωνῃ τὴν νευράν. βραχὺ δὲ διαψαλτέον εἰς τὸ τανυσσάμενος. BL.

ἐπὶ τὸ τανυσσάμενος βραχὺ διαψαλτέον· πρὸς γὰρ τῇ γῇ ἀνέκλινεν αὐτὸ πρότερον ἐντείνας τὴν νευράν. A.

πρὸς τῇ γῇ ἐπερείσας ἑαυτόν, δηλονότι τῶ μὴ ὁραθῆναι ὑπὸ τῶν Ἑλλήνων. AD.

113. ἀγκλίνας: ἀπερείσας, ὡς „κλίνας κολλητῆσιν" (Od. 21, 137). κατάφορον δὲ αὐτὸν μᾶλλον ποιοῦσι τειχίζοντες τοῖς ὅπλοις. ἀλλ' ἅμα ἔτεινεν, ἀφῆκε, καὶ οὐ κατὰ τὸν τῶ λόγω διήγησιν. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

117. ἀθετεῖται, ὅτι νῦν ἁπλῶς ἄβλητον καὶ μηδέποτε βεβλημένον καὶ ἀφειμένον, οὐχ Ὁμηρικῶς· τὸ γὰρ βάλλειν Ὅμηρος ἐκ ἐπὶ τῆ ψιλῶς προέσθαι τίθησιν. καὶ διὰ τῆ μελαινέων ἕρμ' ὀδυνάων ἐχ ὃ θέλει λέγει· ἕρμα γὰρ καθ' Ὅμηρον ἔρεισμα καὶ κώλυμα, ἐ γίνεται δὲ ὀδυνῶν κώλυμα τὸ βέλος. A.

σημειῶται ὁ σίχος ὡς ἐνοχλῶν τῇ τάξει. καὶ τὸ ἀβλῆτα δὲ ἐχ Ὁμηρικόν· ἄμεινον δὲ τῆ πτερόεντα τὸ πικρὸν ὀϊσόν. ἕρμα δὲ τὸ ἔρεισμα· συνέχει γὰρ ἕως ἀφαιρεθῇ τὴν ὀδύνην. ὅμοιον δέ ἐσι τῷ ἕρμα πόληος (Il. 16, 549). μελαινάων δέ, τίωσιν, ὡς νῦν, ἢ κατὰ εὐφημισμόν, ἢ παρ' ὑπόνοιαν, ὡς χωότι μελαίνονται αἱ σάρκες τῶν ἐκ πεφαρμακευμένων βληθέντων ὀϊσῶν, ὡς τὸ μελαίνετο δὲ χρόα καλόν (Il. 5, 354) A.

μελαινέων: ἕτω διὰ τῆ ε̄ διὰ τὸ μέτρον. A.

118. αἶψα: τὸ αὐτίκα (105) ἢ τὸ αἶψα δηλοῖ ὡς ἢ αὐτὸς τοῖς δώροις ἐπτερωμένος ἦν. τὸ δὲ κατεκόσμει διὰ τὸ ἐπικίνδυνον τῆς βολῆς. ἀμέλει καὶ ὀϊσὸν ἐπιλέγει, ὃν μάλιστα εὔσοχον οἴεται εἶναι. Ὀδυσσεὺς δὲ „ταχέας ἐκχεύατ' ὀϊστούς" (Od. 22, 8)· κατὰ γυμνῶν γάρ ἵησιν, οὐ σοχασμοῦ δεύμενος. A.

γλυφίδας: ἀντὶ ἑνικῶ τὸ γλυφίδας. ἐπεὶ δὲ πρώτη βέλεσς ἐσὶν ἄφεσις αὕτη, εἰκότως αὐτὴν ἐν τῷ ἀρίσῳ ἐπεξεργάζεται. νόμον δὲ τοξείας γράφει. Σκύθαι μὲν ἓν ἐπὶ τῶν ὤμων τείνεσι, ἢ νεύροις ἱππείοις, Κρῆτες δὲ τέτοις ἐναντίως, ἢ νεύροις βοείοις. ἀπὸ δὲ τῶν παρεπομένων τὴν ἔντασιν δηλοῖ. γλυφίδες δέ εἰσιν αἱ παρὰ τοῖς πτεροῖς ἐντομαὶ τῆ βέλεσς, ὅπε ἐντίθεται ἡ νευρά. A.

123. ἡ διπλῆ, ὅτι Ζηνόδοτος πρὸ τέτε τὸν ἑξῆς τέταχεν, ἕτως ποιήσας „ἕλκε δ' ὁμῶ γλυφίδας ἢ νεῦρα βόεια·" εἶτα „αὐτὰρ ἐπειδὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε, νευρὴν μὲν μαζῷ πέλασεν τόξῳ δὲ σίδηρον," εἶτα „λίγξε βιός," ἐ νοήσας ὅτι διὰ τῶν παρεπομένων, τῆ „ἕλκε δ' ὁμῶ" ἢ „νευρὴν μὲν μαζῷ πέλασεν," συνίσησι τὴν ἔντασιν γεγενημένην, εἶθ' ἑξῆς λέγει, ἐπειδὴ ἐνετάθη καὶ κυκλοτερὲς ἐγένετο, ἀπέσειλε τὸ βέλος. A.

μαζῷ δὲ τῷ ἀριτερῷ. V.

124. 125. ἔτεινεν: ἀντὶ τῆ τείνας κυκλοτερὲς ἐποίησεν. τὸ δὲ λίγξεν ὀνοματοποιία ἐσίν. ἐκ δὲ τῶν παρεπομένων τὴν ἄφεσιν δηλοῖ. τοῦ δὲ ἆλτο συνετμήθη ἡ λέξις πρὸς τὸ τάχος τῆς ἀφέσεως. A.

126. ὀξυβελής: ὀξέως βάλλων ἢ βληθείς. ἐμφαντικῶς δὲ τὴν τῆ βάλλοντος προθυμίαν εἰς τὸ βληθὲν μετήγαγεν, ὡς τὸ „λιλαιομένη χροὸς ἆσαι" (Il. 21, 168) καὶ „ἀγαλλόμενοι Διὸς ἔρῳ" (Od. 5, 176). ἐπιπτέσθαι δὲ τὸ ἐπιπεσεῖν τῷ πλήθει. ἀπὸ τῆ πτῶ τὸ πτέσθαι σθένοντες (Soph. Oed. R. 17). τὸ δὲ διαπτάσθαι ἀπὸ τῆ πτῆμι. A.

παροξυτονητέον· ἔχι γὰρ μέσος δεύτερος ἀόριτος, ὁμοίως τῷ „τότ' ἂν ἔ τοι ἀποχέσθαι" (Od. 9, 211), καὶ τὸ ἁπλῶν αὐτῆ ἐχὶ πτέσθαι. πᾶν δὲ ἀπαρέμφατον συντιθέμενον φυλάσσει τὸν αὐτὸν τόνον. A.

127. οὐδὲ σέθεν Μενέλαε: ἀποσροφὴ ἀπὸ προσώπε εἰς πρόσωπον. προσπέπονθε δὲ Μενελάῳ ὁ ποιητής· διὸ συνεχέσερον αὐτῷ διαλέγεται, ὡς Πατρόκλῳ καὶ Εὐμαίῳ (Μελανίππῳ V). εἴδη δὲ τῆς ἀποσροφῆς ταῦτα, τὸ παυσὰ λέξιν, ὡς ὅταν ἐκ μετοχῆς εἰς ῥῆμα μετέλθῃ „ἔξ ὁμόθεν πεφυῶτες, ὁ μέν, ὁ δέ" (Od. 5, 477)· τὸ παρὰ φράσιν, ὅταν ἀπὸ τῆ διηγήματος εἰς τὸ μιμητικὸν μετέλθῃ ἢ τἐναντίον „ἵππεῦσιν μὲν πρῶτα· ὃς δέ κ' ἀνήρ" (301. 306)· τὸ ἀπὸ προσώπε εἰς πρόσωπον, ὡς νῦν „ἀδὲ σέθεν Μενέλαε," καὶ τὸ ἀπὸ τόπε εἰς τόπον. τὸ δὲ οὐ λελάθοντο κατὰ ἀντίφρασιν ἀντὶ τῆ ἐφρόντισαν. ἡ δὲ ἀντίφρασις ἢ κατὰ ἐναντίωσιν, ὡς νῦν, ἢ κατὰ εὐφημισμόν, ἢ παρ' ὑπόνοιαν, ὡς χωρίον σκληρὸν μέν, ἐκ ἔχον δὲ ὕλην, δέον εἰπεῖν εὔγειον μέν. ALV.

128. βραχὺ διαψαλτέον ἐπὶ τὸ ἀθάνατοι· κοινὸν γὰρ ἐπὶ τὸ ἑξῆς τὸ ἐκ ἔλαθεν. A.

ἀγελείη: ἡ λαφυραγωγητική. L. ἡ ἄγουσα λείαν ἀπὸ τῶν πολεμίων, ὅ ἐσι λαφυραγωγός. D.

129. ἦ τοι: ἕτως μετὰ τῆ τ̄, ἦ τοι. A.

πρόσθεν ςᾶσα: προςαθεῖσα ἢ ὑπερασπίσασα, ἐξ ἧ ῥυσαμένη. D.

βέλος ἐχεπευκὲς ἄμυνεν: μᾶλλον ἤμυνε πρὸς τὸ μὴ ἐχεπευκὲς γενέσθαι. BL.

130. μήτηρ: ἡ μήτηρ πρὸς τὸ εὖνᾶν· ἡ μυῖα πρὸς τὸ εὐχερῶς μὲν ἀποσοβεῖσθαι, μεταπηδᾶν δὲ εἰς ἕτερον τόπον· ὁ δὲ ὕπνος πρὸς τὸ ἀπαραφύλακτον ἢ ἀσθενὲς τῆς πληγῆς. BLV.

132. ἴθυνεν ὅθι ζωςῆρος ὀχῆες: Αὐτόχθων οὕτως· ἵνα μὴ χαλεπὴ γένηται ἡ πληγή, εἰς τᾶτο τὸ μέρος τὸ βέλος ἄγει, καθ' ὃ ἀλλήλοις ἐπιφερόμενα τὰ πτερύγια τῆ θώρακος ἐσφίγγετο ὑπὸ τῆ ζωςῆρος. ζωςὴρ δέ ἐσιν ἡ θωρακῖτις ζώνη, ᾗ τὸν θώρακα οἱ φορῆντες ζώννυνθ. AV.

133. δίπλοος ἦντετο θώρηξ: διὰ τὴν πρὸς τὸ ζῶμα συνένδησιν τῆ χαλκῆ θώρακος. Τήλεφος γάρ φησι τὸ ἀπὸ τῆ αὐχένος ἄχρι τῆ ὀμφαλῆ ςατὸν θώρακα καλεῖῳ, τὸ δὲ ἀπὸ λαγόνων ἄχρι κνημῶν ζῶμα· περὶ δὲ τὸ ἧτρον ἡ μίτρα ἔσωθεν ἐριώδης, περὶ δὲ τὴν ἐπιφάνειαν χαλκῆ ὅσα πρὸς τὸ μὴ θλίβειν τὴν γαςέρα· διὸ τὴν συμβολὴν δίπλοον θώρακά φησιν. ἄνωθεν δὲ τῆς μίτρας καὶ τῆς συνδέσεως τῆ ζώματος καὶ τῆ θώρακος ζώνη ἐπέκειτο συσφίγγουσα τὰ πάντα, ἣν ζωςῆρα καλεῖ. Αὐτόχθων ἕτως· τὰ πρὸς ταῖς λαγόσι μέρη τῆ θώρακος διὰ τὸ μὴ συνδεδέσθαι ἀλλήλοις πτερύγια καλεῖται. ταῦτα δὲ ἐπιτιθέμενα μόνον ἀλλήλοις, καὶ συσφιγγόμενα ὑπὸ τοῦ ζωςῆρος, διπλᾶν τὸν θώρακα ἐκεῖσε ἀπεργάζονται. ἔσιν ἓν ἐν μὲν τῷ χρωτὶ ἡ μίτρα, μεθ' ἣν τὸ ζῶμα τὸ ἀπὸ κνημῶν ἀνιὸν ἄχρι λαγόνων· μεθ' ὃ ὁ θώραξ, ὡς εἴρηται, περὶ τὰς λαγόνας διπλέμενος· ἄνωθεν δὲ ὁ ζωςήρ. BLV.

ἡ διπλῆ, ὅτι καθ' ὃν τόπον ἐζώννυντο, διπλοῦς ἦν ὁ θώραξ, καθὸ ὑποβέβλητο τῷ ςατῷ θώρακι τὸ λεγόμενον ζῶμα, καθῆκον μέχρι τῶν γονάτων ἀπὸ τῶν λαγόνων. A.

135. διὰ μὲν ἄρ ζωςῆρος: πρὸς τὸν ὁπλισμόν· πρῶτος γάρ ἐσι πρὸς τὴν ἐπιφάνειαν ὁ ζωςήρ, ἢ κατὰ τῆ ςατῆ ἢ κατὰ τῆ ζώματος· ἀμφότερα δὲ ταῦτα θώρακα καλεῖ, διόπερ ὅταν

τῇ ἑτέρᾳ μνηθῇ, τὸ ἕτερον παραλείπει· ἔνδοθεν δὲ τούτων πρὸς τῷ χρωτὶ κατὰ τὰ κοῖλα ᾗ τὰς λαγόνας ἡ μίτρα. A.

ἐνταῦθα μὲν ἐσίγησε τὸ ζῶμα, ἐν δὲ τοῖς ἑξῆς (186) τὸ ἐναντίον· „εἱρύσατο ζωστήρ τε παναίολος ἠδ' ὑπένερθε ζώμά τε καὶ μίτρη." BL.

137. *μίτρης*: ἐκ τῆ μίτος, ἡ διὰ μίτε ὑφαινομένη. BL.

ἕρυμα: ἡ Ζηνοδότου καὶ Ἀριστοφάνους ἕλυμα εἶχον, οἱονεὶ εἴλημα. A.

138. *ἡ διπλῆ πρὸς τὸ ζητούμενον ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος „τὴν δὲ μίαν χρυσῆν, τῇ ῥ' ἔχετο"* (Il. 20, 272), καθὸ ἡμαύρωσε τὴν φορὰν τῆ δόρατος, ὅμως μέντοι διεκόπη, καθάπερ νῦν ἐπὶ τῆς μίτρας λέγει. A.

διὰ τί μᾶλλον τῆ θώρακος αὕτη συνεργεῖ πρὸς ἀσφάλειαν; ὅτι δυσπαθέστερα τῶν ἀντιτυπούντων τὰ ὑπείκοντα. BLV.

τὸ δὲ ἔρυτο ψιλᾶται καὶ προπαροξύνεται· ἅτως Ἀρίσταρχος, καὶ ἐπείθη αὐτῷ ἡ παράδοσις. ἔσι γάρ τι ῥῆμα εἱρύω· τούτου ὁ παρατατικὸς παθητικὸς γίνεται εἱρυόμην, τὸ τρίτον εἰρύετο, ὃ ἐν συναλοιφῇ ᾗ ἐνδείᾳ τῆ ι ἐγένετο ἔρυτο. A.

139. *οἷσος ἐπέγραψε*: τὸ ἐπέγραψε χωρὶς τῆ ν. ἐν δέ τισι χαλκὸς γράφεται. ἐκ ἀρέσκει δὲ Ἀριστάρχῳ. A.

ἡ δὲ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χαλκύς. ἐπιλέλησται δὲ ὅτι ἐν τοῖς ἐπάνω (123) *σιδηρᾶν τὴν ἀκίδα τῆ βέλους εἶπεν εἶναι, ᾗ ὅτι τὸ ἀκρότατον ἐκ ὑπερθετικόν ἐσιν ἀλλ' ἀντὶ τῆ ἄκρον τὸν χρῶτα.* A.

ἀκρότατον: ἀντὶ τῆ ἄπαλὸν· χρὼς γάρ ἐσιν ἡ ψιλὴ ἢ σώματος ἐπιφάνεια. V.

140. *ἀθετεῖται, ὅτι ἐκ ἂν λέγοι Ὅμηρος ὠτειλὴν τὸ ἐκ ὁλῆς τραῦμα· διαφέλλει γὰρ τὸ ὠτάσαι πρὸς τὸ βαλεῖν. ἀφαιρεῖ δὲ ὠτειλὴ ὀλῆς· ὠτειλὴ μὲν λέγεται αὐτὸ τὸ τραῦμα, ὀλὴ δὲ ὁ τύλος τῆ θεραπευθέντος τραύματος.* AD.

αὐτίκα δ' ἔῤῥεεν αἷμα: ἴσως φλὲψ ἦν λυθεῖσα τῆ χρωτός· χρὼς δέ ἐσιν ἡ τῆ σώματος ἐπιφάνεια. καὶ ἀ μὲν τῆ κελαινῆ τὴν χροιάν, διὰ δὲ τῆ νέφος τὴν σύσταν· „νέφος εἵπετο πεζῶν" (274). ἐπεξεργάζεται δὲ τὴν πληγήν, ὅπως τὴν Ἀγαμέμνονος ὑποφήνῃ διάθεσιν. ὠτειλὴ δ' ἐσι μόνη ἡ ἀπὸ δόρατος πληγή. BLV. εἰ μὴ ἄρα τῷ ἐνικωτέρῳ χρῆται, ὡς τὸ „ἀλλ' ἄ γάρ σ' ἐθέλω βαλέειν" (Il. 7, 242). V.

141. *ἅτως ὁμοτόνως τῷ ζῴῳ τὸ ὀξέον· ᾗ γὰρ ἐν ἑτέρις φησὶ „λευκοτέρην δ' ἄρα μιν θῆκε πριῇ ἐλέφαντος"* (Od. 18, 196). *ἡ δὲ διπλῆ, ὅτι τινὲς ἐλεφαντάιῶς βλαβερά ἐνεγκάμενοι τῷ τόνῳ ἀπέδωκαν ἑρία λευκά· νῦν δὲ κυρίως ἀκέειν τὸν ἐλέφαντα.* A.

ὄψιν ἡμῖν γραφικὴν διὰ τούτε παρίσησεν. θαυμάζεται παρὰ Λύκιοσι λευκὸς χρὼς καὶ κόμη ξανθή. διὰ τοῦτο καὶ Τρῶες μαλθακὸν τοῦτον οἴονται· ἐπὶ παντὸς γὰρ ζῴου μελάγχρων ἐσὶν ἰσχυρότερον. φοίνικι δὲ ἄνθει ὃ ἀπὸ πρίνε συλλέγουσι Τροιζήνιοι. *μίσγῃ* δὲ τὸ μίξει, *ἐκ τῆ μίσγω, ἢ βάψει· μιάσματα γὰρ τὰ βάμματα.* AV.

142. *Μῃονίς*: ἔχει τὸ ῑ, ἀπὸ τῆ *Μαιονίς*. ALV.

Κάειρα: *Καρίνη*, ἀπὸ *Καρίας*, ὡς τῶν χωρίων τούτων τὸ παλαιὸν καλαῖς βαφαῖς χρωμένων. AD. *φασὶ δέ τινες τὸ Κάειρα διαιρεῖσθαι· οἱ δέ, ὡς ἀπὸ τῆ φαίνω φαίνω. καὶ ὁ λόγος δὲ τὴν ει δίφθογγον αἰτεῖ.* A.

παρήϊον: τὸ τῇ γνάθῳ ἐπικείμενον, ἀπὸ τῆ παρειά· τὴν γνάθον γὰρ παρηίδα φησίν. ALV. *παραγναθίδιον τὸ νῦν χαλινάριον καλούμενον.* D.

ἵππων: διχῶς καὶ ἵππω δυϊκῶς καὶ πληθυντικῶς. ἐν δὲ τῇ κατὰ Ἀριστοφάνη μόνως δυϊκῶς. A.

143. *θαλάμῳ*: θάλαμος ὁ κοινὸς οἶκος· θάλαμος ἡ ἀποθήκη „ὅθι νητὸς χρυσός" (Od. 2, 338)· καὶ θάλαμος ὁ κοιτών „Τηλέμαχος δ' ὅθι οἱ θάλαμος" (Od. 1, 425), ὅθεν ὁ θαλαμηπόλος. ALV.

πολέες τέ μιν ἠρήσαντο: πολλοὶ μέν, φησίν, οἱ ἐπιθυμοῦντες λαβεῖν, μόνος δὲ βασιλεὺς ἐπιτυγχάνει. B.

144. *ἄγαλμα*: καλλώπισμα, πᾶν ἐφ' ᾧ τις ἀγάλλεται ᾗ χαίρει. οἱ δὲ μεθ' Ὅμηρον ποιηταὶ ἄγαλμα εἶπον τὸ ξόανον. D.

145. *ἀμφότερον*: ἐπίῤῥημα, ἀντὶ τοῦ κατ' ἀμφότερον, ἀλλ' ἐκ ὄνομα· ᾧ γ' ἔσιν ἐνικὸν τῆ ἀμφότεροι. μεγαλοπρεπέσερον δὲ ἀπεργάζεται ὑπὲρ τὰς ἵππας τὸν ἐποχέμενον. BLV.

146. *τοῖοι* ἀντὶ τῆ τοίως. περιπαθῶς δὲ τῇ ἀποσροφῇ ἐπιμένει ὁ ποιητής. τὸ δὲ *μιάνθην* ἀντὶ τῆ μιανθήτην· ἔσι δὲ δυϊκὸν ἐκ συγκοπῆς. BL.

147. *εὐφυέες*: ἑκατέροις δύναται προσδίδοσθαι τὸ εὐφυέες· βέλτιον δὲ τοῖς ἄνω διὰ τὸ ὑπερβατόν. A.

Νικάνωρ τὸ εὐφυέες τῷ μηροί προσάπτει, οἱ δὲ ὑπομνηματισαὶ τῷ κνήμαι. καὶ Πείσανδρος „ξανθοκόμης, μέγας ἦν, γλαυκόμματος, ἄρτι παρειᾷ λοχμιάζων, εὔκνημος." ἄμεινον δὲ τὸ *Νικάνορος*. BL.

σφυρά: τὰ ἀπολήγοντα μέρη πρὸς τῷ ἀσραγάλῳ, καὶ ἐκ πλαγίων ἐξέχοντα τῆς κνήμης ᾗ τῆς περόνης (πτέρνης D). εἴρηῦ δὲ μεταφορικῶς ἀπὸ τῶν χαλκευτικῶν σφυρῶν. AD.

148. *ῥίγησεν δ' ἄρ'*: ἅτως Ἀρίσταρχος, *ῥίγησεν δ' ἄρ*, διὰ τῆ δ, οὐ διὰ τῆ τ. A.

εἷς ὁ σύνδεσμος, οὐ δύο. διὰ τοῦ δ γραπτέον, μὴ διὰ τοῦ τ. δείκνυσι δὲ τῆ μὲν τὸ φιλάδελφον, ὅτι πρὸ τῆ τετρωμένε αἴθεται, τῆ δὲ τὸ καρτερικόν. ἐπ' ἴσης δὲ ἄμφω ἀχάλλεσιν, ὁ μὲν τῆ ἀδελφοῦ, ὁ δὲ τῆ πλήθες χάριν. ALV.

149. *ἀθετεῖται πάλιν διὰ τὴν ὠτειλήν.* A.

μέλαν αἷμα: τὸ μὲν γὰ ἐξ ἐπιπολῆς κατ' ἀρχὰς φερόμενον πυῤῥόν ἐσι, τὸ δὲ ἐκ βάθες μέλαν. ἢ διὰ τὸ παγῆναι. LV.

150. *ῥίγησεν δὲ καὶ αὐτός*: κοινῇ λέξει χρησάμενος ἐπ' ἀμφοῖν τὸ τῆ δέος ὑπέφηνεν ἴσον. BL.

151. *ἴδεν*: ἀντὶ τῆ ᾔσθετο· πῶς γὰρ ἑώρα τὸ ἐμπεπηγὸς τῇ παντευχίᾳ; V.

συναλτέον τῆ ἴδε τὸ ῑ, ὁμοίως τῷ „οὐκ ἴδον, ᾗ μυθόμην" (Od. 23, 40). *εἰσὶ δὲ οἱ ἀναγινώσκουσιν „ὡς δ' εἶδεν*

νεῦρόν τε," ὁμοίως τῷ „ὡς εἶδεν δύο φῶτε" (Il. 5, 572), ὀχ ὑγιῶς. ἐνθάδε γ' ἐ καλῶς δυνάμεθα ἀναγνῶναι ἢ φυλάσσοντες τὴν ει διφθογγον. ἐπὶ δὲ τέτων παραφύλαξαι ὅτι ὅταν ἡ προκειμένη λέξις εἰς τὸ ε καταλήγῃ, ἤτοι διαξέλλει τὸ ι ἀπ' αὐτῆς μετὰ συζολῆς, ἢ ἐκθλιψιν ποιεῖται τοῦ ε, ἐκθλιψιν μὲν ἔτως „τὸν δ' ἴδεν Αἰνείας" (Il. 5, 166) καὶ „νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος" (Il. 2, 82), διαζολὴν δὲ ἔτως μετὰ συζολῆς „τὴν δὲ ἴδεν προμολοῦσαν" (Il. 18, 382) ἢ „τὸν δὲ ἴδεν Κάδμε θυγάτηρ" (Od. 5, 333). ἔτως ἓν καὶ ἐνθάδε. A.

νεῦρον μὲν ᾧ δέδεται τὸ σίδηρον τῷ βέλους πρὸς τὸν κάλαμον, ὄγκους δὲ τὰς ἀκίδας ἢ ἐξοχὰς τῶν βελῶν. ALD.

ὄγκους: τὰς τῆς ἀκίδος λέγει πώγωνας. A.

ἐκτὸς ἐόντας: λείπει τὸ ἦθετο· πρὸ γὰρ τέτου ὀχ ὡρᾶτο ἐμπεπηγὸς τῇ παντευχίᾳ. BL.

152. ἄψορρόν οἱ: ἤτοι ὀπιωθόρμητος εὐθέως ἐπὶ τὴν πρώτην ἠνέχθη τάξιν. BL. φαίνεται τὸ ἡγεμονικὸν περὶ τὰ στήθη εἰδώς· ἐκεῖ γοῦν ἀθροισθῆναι τὸν λογισμόν φησιν. LV.

153. ϛενάχων: ὅτι δεῖ βαρυτονεῖν τὸ ϛενάχων ὡς ὀρέγων· καὶ γὰρ ϛενάχοντο ὡς ὀρέγοντο. A.

154. ἄφελε τὸν ϛίχον, καὶ τὴν σαφήνειαν μὲν οὐ βλάψεις, ἀπολέσεις δὲ τὴν ἐνάργειαν, ἥτις ἐμφαίνει τὴν Ἀγαμέμνονος συμπάθειαν καὶ τὴν τῶν σρατηγούντων ἑταίρων διάθεσιν· ἠθικὸν γάρ ἐϛι τᾶτο καὶ περιπαθές, καὶ τὸ βαρὺ τῆς λύπης ηὔξηται δι' αὐτῦ. BLV.

155. περιπαθῶς αὐτῷ διαλέγεται, καὶ τὸν θάνατον οἰκειοῦται τοῦ ἀδελφοῦ, ὅπερ ἐϛὶ τῶν μᾶλλον ϛεργόντων τινάς. BL.

156. προσῆσας: μεταφορικῶς ἀπὸ τῶν θυμάτων ἅπερ προϊῶσι τῶν βωμῶν, ὡς καὶ παρὰ Νέϛορι „προὔχοντο ἑκάϛοθι ταύρους" (Od. 3, 8). τὸ δὲ πρὸ Ἀχαιῶν οἶκτον καὶ σπεδὴν καὶ πόνον κινεῖ τοῖς Ἕλλησιν. BLV.

157. ἔβαλον: ὅτι ἐκ βολῆς ἔτρωσαν, πρὸς τὸ „αὐτίκα δ' ἐρρέεν αἷμα" (140). A.

Τρῶες: κοινῇ γὰρ ἅπαντες παρεσπόνδησαν. καὶ λόγῳ μὲν τὸ μονομάχιόν φησιν, ἔργῳ δὲ τὸν δόλον ἐσοφίσαντο. BL.

158. οὐ μέν πως ἅλιον πέλει ὅρκιον: γενναίου ϛρατηγῦ τὸ μὴ συμπεπτωκέναι τοῖς καιροῖς, ἀνέχειν δὲ εἰς θεὸν τὴν ἐλπίδα, καὶ τὸ σύμπτωμα τῆς τύχης εἰς παραμυθίαν δέχεϑαι (ἐλπ. ἄλλως τε καὶ ἐπὶ πολεμίων λαλεῖ V, ἐλπ. ἄλλως τε καὶ ἐπεὶ πολεμεῖ διὰ τᾶτο L.)] ABLV.

μετ' ἀγανακτήσεως εἴρηται· διὸ καὶ ἀπ' ἄλλης ἀρχῆς ἐϛίν. συναχάλλων δὲ τῇ πληγῇ ὁ παραμυθεῖται. LV.

159. σπονδαί τ' ἄκρητοι: ὅτι εὐκρινὲς γίνεται ἐντεῦθεν τὸ „κρητῆρι δὲ οἶνον μῖσγον" (Il. 3, 269). οὐ γὰρ κεκραμένον ἔσπενδον. A. ἀτέλεϛοι, ἀπλήρωτοι, ἢ αἱ δι' ἀκράτε οἴνε γιγνόμεναι. D.

δεξιαὶ μὲν ἐγένοντο ἴσως κατὰ τὸ σιωπώμενον. ἢ διὰ τὸ δέξαϑαι τὰς τρίχας τᾶτο λέγει. BL.

161. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει τελέσει ϗ σὺν τε μεγάλῳ τίσουσιν; ἐπὶ τῶν Τρώων δεχόμενος τὸν λόγον. ὁ ἐκ ἔχει δὲ ἔτως, ἀλλὰ καθολικῶς ἐπὶ τῶν παραβαινόντων τὰ ὅρκια. A.

τελεῖ: ἀντὶ τῦ τελέσει. εἰς δὲ τὸ μεγάλῳ ἐκδεκτέον τὸ κακῷ (κακῷ παρὰ τὸ μεγάλων ἄτερ ἰσώσαϑαι V). εὐσεβὲς δὲ καὶ τὸ δι' ἑαυτῶν ϗ τῶν φιλτάτων προσδοκᾶν τὴν τίσιν· τὸ γ' κεφαλῇσιν ἀπὸ μέρες αὐτὲς δηλοῖ. BL.

μεγάλῳ: λείπει τὸ χόλῳ, ἵν' ᾖ σὲν μεγάλῳ χόλῳ· ἢ τόκῳ. ἤτοι ποινῇ, προσῖμῳ. D.

164. ὀλιόλῃ: ἀντὶ τῦ ἀπολεῖται, πρὸς ὃ ἡ διπλῆ. τὸ δὲ Ἴλιον θηλυκῶς. A.

ἀπ' ἄλλης ἀρχῆς τᾶτο· διὸ τελείᾳ ϛικτέον πρὸ αὐτῆς· ἀσύνδετος γὰρ ὁ λόγος. A.

ἀπειλεῖ τᾶτο ὀχ ὑπ' αὐτῦ πάντως γενέϑαι, ἀλλ' ὑφ' ἑτέρων τινῶν. φησὶ γοῦν (171) „καί κεν ἐλέγχιος πολυδίψιον Ἄργος." ἢ μᾶλλον διὰ τέτων τὺς ἀκόντας προτρέπεται πολεμεῖν. BLV.

166. ὑψίζυγος: ἢ ὁ ἐν ὕψει καθήμενος· ἢ μεταφορὰ ἀπὸ τῶν ἐν ναυσὶ ζυγῶν, ἐφ' ὧν καθέζονται οἱ ἐρέσσοντες· ἢ ὁ ἐν ὕψει ζυγοϛατῶν καὶ ἀπονέμων ἑκάϛῳ τὰ πεπρωμένον. ABDL.

167. ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα: ὅτι τῷ Διὸς ὅπλον ἡ αἰγίς; πρὸς τὺς νεωτέρως ποιητάς· καὶ ὅτι καταιγίδων καὶ ζοφώδες καταζάσεως παρασκευαϛικὴ ἐϛιν. ἐπισσείῃσιν δὲ ἀντὶ τῦ ἐπισσείῃ· πρὸς ὃ ἡ διπλῆ. A.

ἐπισσείῃσιν: ἀντὶ τῦ μέλλοντος. ἐρεμνὴν δὲ τὴν σκοτοποιόν· φησὶ γοῦν „Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν" (Il. 17, 594). BLV.

169. ἀλλά μοι: ἠθικῶς φησὶ μὴ εἶναι ὠφέλειαν ἑαυτῷ, εἰ οὗτος μὲν ἀπολεῖται, ὕϛερον δὲ τίσασι δίκην οἱ Τρῶες. περιπαθῶς δὲ τέτε πάλιν ἀνακαλεῖται τὸ ὄνομα. BLV.

170. μοῖραν: ὅτι πότμον αἱ Ἀρισάρχῃ, οὐ μοῖραν, ὡς ἐν ταῖς κοιναῖς. A.

171. ἐλέγχιος: διχῶς Ἀρίσαρχος, καὶ ἐλέγχιον. A.

πολυδίψιον: πολυβλαβὲς διὰ τὴν ἧτταν. ἔϛι δὲ πλεονασμὸς τῦ δ. διὰ τί δὲ ἔτως ἔτος ὑποζρέψειν φησίν; ὅτι Ἕλληνες μὲν ἄπρακτοι ἀπελεύσονται, Τρῶες δὲ κερτομήσεσιν Ἀγαμέμνονα, Μενέλαος δὲ ἐπὶ ξείνης σαπήσεται, ἀτελὴς δὲ ἡ μάχη μενεῖ. τεχνικῶς δὲ δι' ὧν ἀπολοφύρεται, ὡσεὶ καταλειφθησόμενος ὑπὸ τῶν συμμάχων εἰ Μενέλαος ἀποθάνῃ, κατέχειν αὐτὲς πειρᾶται τεθνηκότος ἢ μὴ τῦ Μενελάε. τινὲς δέ, πολυδίψιον τὸ πολλοῖς ἔτεσι διψῶν· ἄνυδρον γ' τᾶτο ὂν ἔνυδρον ἐποίησεν ὁ Δαναός. BL.

ἄνυδρον ὄσαν τὴν Πελοπόννησον ἔφυδρον ἐποίησε Δαναὺς ἐξελθὼν ἀπὸ τῆς Αἰγύπτε ϗ οἰκήσας αὐτήν· τῶν θυγατέρων αὐτοῦ ζητησῶν ὑδρεύσαϑαι, μιᾶς αὐτῶν τῆς Ἀμυμώνης ἠράϑη Ποσειδῶν, καὶ ἔδειξεν αὐτῇ τῇ τριαίνῃ πλήξας τὰς ἐν Λέρνῃ πηγάς. οἱ δὲ ἔτως, ὅτι Ἀθηνᾶ ὑποθήκαις πολυδίψιον τὸ Ἄργος πρότερον ὑπάρχον ἄψυχον γενέϑαι διὰ τῶν Δαναᾶ θυγατέρων ἐποίησεν· ἐκεῖνα

γὰρ ὄρυξιν φρεάτων ἐπενόησαν. παραγενομένων δὲ τῶν Αἰγυπτίων ἐπὶ τὸν τῶν Δαναῦ θυγατέρων γάμον, αἱ Δαναΐδες κατὰ τὰς τῦ πατρὸς ὑποθήκας ἐδολοφόνησαν αὐτούς· ἐκεῖνος γὺ αὐταῖς συνεβάλετο τὰς τὴν παρθενίαν ἀφαιρεμένας ἀμύναθῃ. Ὑπερμνήστρα ἓν μόνη Λυγκέα περιέσωσε ᾗ ἐτήρησεν· καὶ γὺ ἐκεῖνος αὐτῆς τὴν παρθενίαν ἔσωσεν. ὅθεν γυναῖκα λαβὼν αὐτὴν ὕστερον συνετήρησεν. πολυδίψιον οὖν ἤτοι πολυδιάφθορον διὰ πολέμους. ἢ πολυπόθητον, μεταφορικῶς ἀπὸ τῶν διψώντων καὶ ἐπιθυμούντων πότου· ἐξ οὗ ἄνυδρον. ἢ βλαβερόν, ἀπὸ τοῦ ὕψιον. AD.

ἡ δὲ διπλῆ, ὅτι Ἄργος τὴν Πελοπόννησον, ἀ τὴν πόλιν λέγει. A.

173. εὐχωλὴν Πριάμῳ: κινητικὴ τῦ πλήθους ἡ τῶν ἐχθρῶν εὐημερία. BL.

174. σέο δ' ὀσέα πύσει ἄρουρα: ἡ διπλῆ, ὅτι τῶν ἐπὶ ξένης τελευτώντων οὐκ ἀπεκομίζετο τὰ ὀσᾶ εἰς τὰς πατρίδας. ἐκ ἄρα Ὁμήρῳ ἐξὶ ταῦτα „ὥς κ' ὀσέα παισὶν ἕκαστος οἴκαδ' ἄγει, ὅτ' ἂν αὖτε νεώμεθα" (Il. 7, 354). A.

176. καί κέ τις ὧδ' ἐρέει: ἤτοι ὅτι ὁ κέ περισσεύει, ἢ τὸ ῥῆμα ἐνήλλακται, ἐρέει ἀντὶ τῦ εἴποι ἄν. A.

ὑπερηνορεόντων: ὑπερηφανέντων· ἢ γὺ ὑπὲρ ἄνδρα δύναμις ὑβρισὰς ποιεῖ τινάς. BL.

177. τύμβῳ ἐπιθρώσκων: ὅσον ἐφ' ἑαυτῷ βαρεῖαν τὴν ταφὴν τῷ νεκρῷ ποιεῖ, ἣν πάντες κέφην ἑαυτοῖς εὐχόμεθα εἶναι. παρατέταται δὲ τὸ πάθος, ἐπὶ ζῶντι ᾗ παρόντι λεγομένων τῶν τοιούτων. BL.

178. χρήσιμον ἀνεξαμιμένης τύχης (περιόδου A) ὑπόδειγμα. ABL.

181. κεινῇσιν νησί: κεναῖς εἶπεν, ὅτι ὁ Μενέλαος ἀποθανὼν οὐκ ἔμελλε πλεῖν ἐν αὐταῖς. AD. βραχὺ δὲ διασαλτέον ἐπὶ τὸ νησίν. A.

κεναῖς τῶν συρατευσαμένων ἢ τῶν λαφύρων ἢ τῶν ἡρπασμένων· ἢ περιπαθῶς κενὰς αὐτὰς καλεῖ, ἐν αἷς ὁ πλεῖ ὁ Μενέλαος. τὸ δὲ ἀγαθὸν κατ' εἰρωνείαν, εἰ ἀπὸ τῶν Τρώων ἦ· εἰ δὲ τῦ Ἀγαμέμνονος, ὡς εἴ τις πατέρα θάψας λέγοι ὅτι ἀγαθὸν πατέρα ἀπώλεσα· ᾗ γὺ τὰ τῦ γένους τοσοῦτον ὅσον τὰ τῶν τρόπων ἀγαπητά. B.

182. εὐρεῖα χθών: ἡ διπλῆ, ὅτι οὐκ ἔξι καθολικὸν ἐπίθετον τὸ εὐρεῖα, ἀλλ' ἐν ἴσῳ τῷ εὐρεῖα γενομένη, οἷον εὐρύ μοι χάσμα γῆς γένοιτο. A.

ἐπίῤῥημα ἀντὶ τῦ εὐρέως, ὡς „ἀγορὴν αἰψηρὴν" ἐν τῇ B (257) τῆς Ὀδυσσείας καὶ „ταχέες δ' ἵππῆες ἄγερθεν" (Il. 23, 287). BV.

184. θάρσει: τοιοῦτός ἐξιν ὡς εἰ νοσῶν υἱὸς παραμυθοῖτο γονεῖς. ἄτοπος δὲ ἦν μαλθακενόμενος Μενέλαος, ἐκείνων τὸ πάθος (τὴν αἰτίαν τῦ θανάτυ αὐτῦ V) οἰκειωμένων. τὸ δὲ μὴ δειδίσσεο ἀντὶ τῦ μὴ εἰς φυγὴν παρακάλει διὰ τῦ ἐμῦ θανάτυ. B.

μηδέ τί πω: οὕτως πως Ἀρίσαρχος, οὐχὶ που, ὡς ἔνιες. A.

185. οὐκ ἐν καιρίῳ: τῷ κέφῳ τῆς πληγῆς ἐπικεφίζει τὴν λύπην τῦ ἀδελφῦ. BL.

186. ὑπένερθε: ἐκ τῆς ὑπὸ προθέσεως καὶ τῦ ἔνερθεν ἐπίῤῥημα τοπικόν. τὸ δὲ ἔνερθεν ἐκ τῦ ἔνερος, ὃ σημαίνει τὸν νεκρόν, ὡς τὸ „ἄναξ ἐνέρων Ἀϊδωνεύς" (Il. 20, 61)· ἐξ αὐτῦ ἐνερόθεν καὶ ἔνερθεν. BL.

187. μίτρη: ἡ μίτρα ἔσωθεν ἐριώδης ἐξί, καίπερ κατὰ τὴν ἐπιφάνειαν χαλκῆ ὑπάρχουσα. ABL. χαλκῆ λεπίς, ἣν ζώννυνται περὶ τὸν κενεῶνα χάριν πλείονος ἀσφαλείας. D.

ἡ διπλῆ, ὅτι τῷ ζώματος μνηθεὶς παραλέλοιπε τὸν θώρακα, ὥξε ἀπὸ μέρες τὸ ὅλον δεδηλῶθῃ. ἢ δὲ μίτρα τέτῳ προσῆπται τῷ θώρακι· „ᾗ ζῶμα φαεινόν" (Od. 14, 482) διὰ τὸν χαλκόν. A.

189. αἰ: οὐδέποτε δὲ παρὰ τῷ ποιητῇ τὸ αἴ ἀντὶ τῦ εἰ. V.

φίλος ὦ Μενέλαε: ἡ ὀρθὴ ἀντὶ τῆς κλητικῆς, φίλος ἀντὶ τῦ φίλε. σικτέον δὲ ἐπὶ τὸ τέλος τῦ σίχε τελείου· ἀσύνδετος γὺ ὁ λόγος πρὸς τὰ ἑξῆς. A.

190. ἐπιμάσσεται: ἐπιψηλαφήσει ἢ ἀποσπογγίσει. L. παρὰ τὸ μῶ μαίω μάω, ὡς νῶ ναίω νάω· ἀφ' ἓ ᾗ ὁ μασός καὶ ἡ μάσαξ. AL.

191. φάρμαχ': τὰ φέροντα ἄκεσιν. εἴρηῦ δὲ ἀπὸ τῶν ἀνθῶν· καὶ τὰ βαφεῖα φαρμακῶνας ἐκάλεν, ᾗ τὴν (τὸ L) ἐκ τῆς βαφῆς σόμωσιν (σομῶν L) φαρμάσσειν φησίν. τὸ δὲ παύσῃσιν ἀντὶ τῦ παύσειεν ἄν, ὡς τὸ „ἰχθὺς ὅς κε φάγῃσιν" (Il. 21, 127), ὅτι καὶ τῦτο ἔτως λέγει ἀντὶ τοῦ ὃς φάγοι ἄν. ABL.

192. θεῖον κήρυκα: ὅτι Διός ἐξιν ἄγγελος, ἢ ὅτι ἐκ τοῦ Ἑρμοῦ κατάγεται τὸ γένος τῶν κηρύκων. εἰκότως δὲ θαρσυνθεὶς ὁ μηκύνει τὸν πρὸς Μενέλαον λόγον. BLV.

193. ὅττι τάχιστα: ὅττι τάχιστα ποιηταί, ὅσον τάχος Ἀττικοί, ἡ δὲ συνήθεια ὡς τάχος. ὁ καλεῖ δὲ ἄμφω, ὅτι ὁ μὲν περὶ τὰ τραύματα, ὁ δὲ περὶ τὰ ἄλλα ἦν νοσήματα. BL.

194. οὐ περιττὸς ὁ σίχος, ἀλλ' ἐλπίδα διδοὺς τῆς σωτηρίας Μενελάῳ ὡς ἀγαθοῦ ἰατροῦ τυγχάνειν μέλλοντι. BL.

195. ὁ ὀξερίσκος καὶ ὁ ὀβελός, ὅτι νῦν παρέλκει· ὁρᾷ γὺ ὁ κῆρυξ τὴν χρείαν τῦ Μαχάονος. Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιῦ ᾗ Ἀρσινόης ἢ Κορωνίδος, κατὰ δέ τινας Ἠπιόνης (Ἡσιόνης D) τῆς Μέροπος, κατὰ δὲ Ἡσίοδον Ξάνθης (Ξανθινόης D). Ἀσκληπιὸς δὲ εἴρηῦ παρὰ τὸ ἀσκεῖν ᾗ ἤπια τὰ μέλη ποιεῖν. AD.

θορυβέμενος πέρα τῦ δέοντος φέρεται. ὁδὲ οὗτος οὐ περιττὸς ὁ σίχος, ἀλλὰ μιμούμενος τὸ τῶν τεταραγμένων ἦθος. BL.

Ἀτρέος υἱόν: γράφεται ἀρχὸν Ἀχαιῶν. A.

196. ἔβαλεν: ἡ διπλῆ, ὅτι ἐκ βολῆς ἔτρωσεν, πρὸς τὸ „αὐτίκα δ' ἔῤῥεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς" (140). A.

εἰδώς: ἀντὶ τῦ εἰδήμων. V.

199. βῆ δ' ἰέναι: τὸ βῆ δὲ θέειν ἀνοίκειον τῷ παπταίνοντι. οὐδὲ τὴν ἔφοδον δὲ αὐτοῦ ἐσιώπησεν. BLV.

200. παπταίνων: πετῶ πτῶ πταίω πταίνω, καὶ κατὰ ἀναδιπλασιασμὸν παπταίνων, ὁ πανταχόσε περιβλεπόμενος. ἦν δὲ πανταχόσε τοὺς ὀφθαλμοὺς ῥίπτων, ὡς μὴ λάθοι αὐτόν. ABL.

203. προσηύδα: γράφεται ἀγόρευεν. A.

205. ὁ ἀστερίσκος, ὅτι νῦν δεόντως λέγεται πρὸς Μαχάονα ὑπὸ τοῦ κήρυκος. οὕτως δὲ Ἀρίσταρχος χωρὶς τοῦ σ ἴδῃ. A.

207. Τρώων πρὸς σύστασιν τῆς μάχης, Λυκίων ὡς ἀρίστων συμμάχων. οὐ διακόνου δὲ ὁ λόγος, ἀλλὰ φίλου καὶ συμπαθοῦς· τὴν ἀπὸ παντὸς γὰρ προσώπου εὔνοιαν εἰς Μενέλαον συνίστησιν ὁ ποιητής. τοὐναντίον δὲ ἐπὶ Ἀλεξάνδρου. BL.

τῷ μὲν κλέος ἄμμι δὲ πένθος: ἑκάτερον καθ' ἑαυτό· λείπει γὰρ τὸ ἐστὶν ἐν ἀμφοτέροις. A.

208. ἡ διπλῆ πρὸς τὸ ὄρινεν, ἀντὶ τοῦ κατὰ ψυχὴν ἐκίνησεν. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „ὣς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν" (Od. 17, 150), ὅτι οὐκ ἔστιν ἐθύμωσεν, ὡς ὁ διασκευάσας ἐκλαβὼν ἔταξε τοὺς ἑξῆς εἴκοσι στίχους, ἀλλ' ἀντὶ τοῦ ἐκίνησε καὶ παρώρμησε κατὰ τὸ ἐρωτικόν. A.

209. βὰν δ' ἰέναι: περιεῖλεν αὐτοῦ τοὺς λόγους διὰ τὴν σπουδήν. BL.

211. βλήμενος: ἀπὸ τοῦ βλήμην. V.

ὑποστικτέον εἰς τὸ ἦν καὶ κυκλόσε, ὧν ἡ δευτέρα ἀνυπόκριτός ἐστιν. διὰ μέσου δὲ ταῦτα. A.

211. 212. ταῦτα τὰ δύο ἔπη τὰ μὲν πράγματα οὐ λυπεῖ μὴ γραφόμενα, ἀπόλλυσι δὲ τὴν ἔμφασιν· ἐμφαντικὸν γὰρ τὸ τοὺς φίλους ἀγωνιῶντας περιεστάναι. BL.

212. κυκλόσ': ὁ μὲν Ἀρίσταρχος κύκλος γράφει, καὶ τὸ ὡς ἐκδέχεται· ὁ δὲ Ἡρωδιανὸς κυκλόσε, ὃ καὶ ἄμεινον. L. Ἀρίσταρχος μὲν ὀνοματικῶς, ἵν' ᾖ ἀγηγέρατο κύκλος, ὁμοίως τῷ „ἀγρόμενοι πᾶς δῆμος" (Il. 20, 166)· τοιοῦτο γὰρ βούλεται σημᾶναι, κύκλος γενόμενοι. Νικίας δὲ καὶ ὁ Ἀσκαλωνίτης κυκλόσε, ὡς „πόσε φεύγετε" (Il. 16, 422), ὅπερ καὶ πιθανώτερον. οὐ γὰρ δύναται ἐντελὴς εἶναι ἡ σύνταξις τοῦ Ἀριστάρχου, ἀγηγέρατο κύκλος· λείπει γάρ τι. διὸ ὁ Ἀρίσταρχος ἔξωθεν προστίθησι τὸ γενόμενοι· εἰ δὲ προστίθησιν, ἄμεινον αὐτόθεν ἀναγινώσκειν κυκλόσε· τοιοῦτο γὰρ τὸ ἐπίῤῥημα τὴν προκειμένην σχέσιν σημαῖνον. εἰ δέ τις λέγοι, διὰ τί γὰρ τὸ ἀγρόμενοι πᾶς δῆμος εὐπαράδεκτόν ἐστιν, οὐκέτι δὲ τὸ ἀγηγέρατο κύκλος, ἴσω ὅτι τὸ δῆμος τῇ μὲν φωνῇ ἑνικόν ἐστι, τῷ δὲ σημαινομένῳ πληθυντικόν· τῷ οὖν σημαινομένῳ ἡ σύνταξις ἐγένετο, ὡς καὶ ἐπὶ τοῦ „ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο" (Il. 15, 305). οὔ γε μὴν ὁ κύκλος ἔχεται τούτου τοῦ σημαινομένου· διὸ οὐδὲ ἐντελὴς ἡ τοιαύτη σύνταξις ἐπ' αὐτῷ δύναται γενέσθαι. A.

ἰσόθεος: διὰ τὴν τέχνην· ἀπὸ γὰρ τοῦ Ἀπόλλωνος τὴν τοιαύτην δεδιδαγμένος ἦν τέχνην. V.

213. αὐτίκα: καλῶς αὐτὸν παραχρῆμα τοῦ ἔργου φησὶν ἔχεσθαι. τὸ δὲ ἕλκεν Ἰακῶς εἴρηται. τρεῖς δὲ βελουλκίας οἶδεν, ἐξολκήν, ὡς ἐπὶ Μενελάου, ἐκτομήν, ὡς ἐπ' Εὐρυπύλου (Il. 11, 843), διωσμόν, ὡς ἐπὶ Διομήδους (Il. 5, 112). BL.

εἷλκεν: Ἀρίσταρχος Ἰακῶς ἕλκεν, καὶ αἱ πλείους. A.

214. τὸ πάλιν εἰ μὲν τοῖς ἡγουμένοις συντάττοιμεν, ἔσται τὸ ἄγεν ἀντὶ τοῦ κατεάχθησαν, ὡς „νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος" (Il. 3, 367), ἤτοι συνεσταλμένης τῆς ἀρχῆς ποιητικῶς, ἢ τοῦ ε ἀφῃρημένου ἀπὸ τοῦ ἔαγεν. ἐὰν δὲ τοῖς ἑξῆς προσδῶμεν αὐτό, ἔσται εἰς τοὐπίσω ἤχθησαν, τουτέστιν ὑπέστρεψαν. A.

πάλιν ἄγεν: εἰς τοὐπίσω ἀνεκάμφθησαν. εἰ δὲ στίξομεν εἰς τὸ πάλιν, δύναται οὕτως εἶναι, τούτου εἰς τοὐπίσω ἑλκομένου καὶ διὰ τῆς αὐτῆς ἀνακαμπτομένου ἐμπήξεως συνεθλάσθησαν. ἄδηλοι δὲ ἦσαν συνεσφιγμένοι ἕως ἀφέθησαν. BL.

216. ἡ διπλῆ, ὅτι πάλιν τοῦ ζώματος μνησθεὶς τὸν θώρακα παραλέλοιπεν. A.

217. πικρὸς ὀϊστός: τὸ τοῦ πληγέντος πάθος ἐπὶ τὸ τῆς ὀδύνης αἴτιον μετήγαγεν. BL.

218. αἷμ' ἐκμυζήσας: διὰ τὸ μὴ πυῶσαι καὶ ἐμποδίσαι πρὸς τὴν ἀπούλωσιν. ἤπια δέ, ἐπειδὴ νευρώδεις οἱ τόποι καὶ αἰσθητικοί· διὸ οὐ προσίεται τὰ δάκνοντα φάρμακα. εἰδώς ἤτοι εἰδήμων ὤν. τρεῖς δὲ φαρμάκων ἰδέαι, ἐπίπαστα, ὡς ἐπὶ Μενελάου, χριστά, ὡς τὸ „ἰοὺς χρίεσθαι" (Od. 1, 262), πότιμα, ὡς ἐπὶ Ἑλένης (Od. 4, 220). BLV.

219. τά οἱ: οὐκ ἐκεῖνα, ἀλλὰ τὰς αὐτῶν δυνάμεις καὶ πράξεις. BL.

Χείρων εἷς τῶν Κενταύρων, εὑρέτης ἰατρικῆς καὶ λυρικῆς, υἱὸς Κρόνου καὶ Φιλύρας, ἢ ὡς ἔνιοι Ποσειδῶνος. AD.

221. ἐπὶ Τρώων στίχες ἤλυθον: διὰ τί οἱ Τρῶες, εἴπερ πάλαι καταθέσθαι τὸν πόλεμον ἐβούλοντο, οὐ ζητοῦσι τὸν βαλόντα, ἀλλ' εὐθὺς ὁρμῶσιν ἐπὶ τὰ ὅπλα; ὅτι ᾤοντο βουλῇ τῶν βασιλέων πεπρᾶχθαι τὴν παράβασιν· καὶ εἰ μὲν τέθνηκε Μενέλαος, κρατήσειν τῶν Ἑλλήνων ἤλπιζον διὰ τὴν ἐπ' ἐκείνῳ λύπην καταπεπτωκότων, εἰ δὲ μή, κἂν φθάσαι ἀόπλοις αὐτοῖς ἐμπεσεῖν. διὰ τί δὲ πάλιν Ἕκτωρ οὐκ ἐζήτησε τὸν βαλόντα; ὅτι οὐκ ἦν ἀναλαβεῖν τὸ πταῖσμα ἅπαξ Μενελάου τρωθέντος. BLV.

222. κατὰ τεύχε' ἔδυν: συνῳκείωσε τὸν λόγον τῇ τῶν ὁπλιζομένων σπουδῇ. L. συσταλτέον δὲ τὸ ἔδυν· πληθυντικὸν γάρ ἐστι συγκοπὲν ἀπὸ τοῦ ἔδυσαν. τὸ δὲ ἑνικὸν ἐκτατέον ἔδυν· „δῦ δέ μιν Ἄρης" (Il. 17, 210). ὅμοιόν ἐστι αὐτῷ καὶ τὸ „ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδόν" (Od. 5, 481). εἰ δέ τις λέγοι ὅτι τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ὁμοφωνοῦντα καὶ ὁμόχρονά ἐστιν, οἷον ἔλεγον ἐγὼ καὶ ἔλεγον ἐκεῖνοι, ἴσω ὅτι ἐκ συγκοπῆς ἐστὶ τοῦτο τοῦ ἔδυσαν. ἐν δὲ τοῖς τοιούτοις τρίτοις ἡ συγκοπὴ ἀναδέχεται λῆξιν τὴν αὐτὴν τῇ παραληγούσῃ τῆς γενικῆς τῆς κατὰ τὴν μετοχήν, ἔστησαν ἔσαν, στάντος γάρ· ἔβησαν ἔβαν, βάντος γάρ· ἐκοσμήθησαν ἐκόσμηθεν, κοσμηθέντος γάρ· „φάνεν δέ οἱ εὐρεῖ ὤμοι" (Od. 18, 68), φανέντος γάρ· ἔφυμεν ἔφυτε ἔφυσαν ἔφυν, ἐπεὶ φύντος· ἔδυμεν ἔδυτε ἔδυσαν ἔδυν, ἐπεὶ δύντος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ δὲ τῶ „τῆς δ' ἦν τρεῖς κεφαλαί" ((Hesiod. Th. 321) ἐν τοῖς περὶ ῥήματος ἐρῶμεν. τὸ μέντοι γε ἔδυν ἐνικὸν ἐκτείνεται, ἐπεὶ πᾶς δεύτερος ἀόριστος ἐπὶ τῶν εἰς μι μακροκατάληκτός ἐστιν, ἔγνων ἔβλων ἔξέτρων ἔτλην ἔστην ἔδην ἔφην. ἔφυν ἄρα καὶ ἔδυν. AB.

χάρμης: χάρμη ἡ μάχη, ἤτοι κατὰ ἐναντιότητα, ἢ ἡ χαρὰν ἐμποιοῦσα τοῖς νικῶσιν. AD.

223. βρίζοντα ἴδοις: ἡ διπλῆ, ὅτι οὐ πρὸς ὑφεσὸς πρόσωπον, ἀλλ' ἀντὶ τοῦ ἴδοι τις ἄν. A. βρίξαι κυρίως τὸ μετὰ βάρους τροφῆς ἀπονυσάξαι. AD.

τότε καταπεσὼν τῇ φιλαδελφίᾳ νῦν ἀνοιχρεῖῳ τῇ προθυμίᾳ, καὶ τότε συμπαθὴς καὶ νῦν συμπρακτικός· ἐπειδὴ γ' τὸ παράδοξον τῆς παραβάσεως εἰς ἀθυμίαν αὐτὸς ἐκάλει, διεγείρει αὐτάς. προσεκτικὸν δὲ λίαν εἰς Ἀγαμέμνονα τὸν ἀκροατὴν ποιεῖ. βρίζειν δὲ τὸ ἀναπαύεσθ. BLV.

224. βραχείας διαζολὰς θετέον, πτώσσοντα, μάχεσθαι. A.

οὐδ' οὐκ ἐθέλοντα: ὑπεραποφαντικόν ἐστι τοῦτο· αἱ γὰρ δύο ἀρνήσεις ἀντὶ μιᾶς εἰσὶ καταφάσεως. BL.

226. ἵππους μὲν γὰρ ἔασε: τῇ φιλοπονίᾳ τοῦ σώματος διεγείρει (δυσωπεῖ V) τὸς ὁρῶντας, ὡς πού φησιν „ἀλλὰ καὶ αὐτοί περ πονείωμεθα" (Il. 10, 70)· ἐκκόπτει τε πᾶσαν ὑπόνοιαν δειλίας. ἄλλως τε γελοῖος ἦν ὁ ἐπαχθὴς ἀπὸ τῶν ἁρμάτων διαλεγόμενος τοῖς Ἕλλησιν. BL.

ἄλλως. ἐζήτηται πῶς τοὺς ἵππους καὶ τὰ ἅρματα εἴασε· τὸν γὰρ σπεύδοντα ἐκ εἰκὸς τὰ ἅρματα καταλείπειν. λύεται δὲ ἐκ τοῦ καιροῦ· ἔδει γὰρ ὁ μόνον παρελθεῖν ἀλλὰ καὶ πρὸς ἕκαστον διαλεχθῆναι· σοβαρὸν δὲ ἐφαίνετο τὸ ἀπὸ τοῦ ἅρματος ὁμιλεῖν. BL.

ἡ διπλῆ, ὅτι τὰ ὀχήματα νῦν χωρὶς τῶν ἵππων ἅρματα εἴρηκεν. A.

228. Εὐρυμέδων: ἡ διπλῆ, ὅτι καὶ Ἀγαμέμνονος καὶ Νέστορος ὁμώνυμος ἦν ἡνίοχος Εὐρυμέδων. τὸ δὲ Πειραΐδαο ἐν τέσσαρσι συλλαβαῖς προφερῶ τὴν εὐθεῖαν τοῦ πατρωνυμικῆ, καὶ οἱ ἄλλοι. Τυραννίων δὲ τρισυλλάβως, λέγων ὡς ὅτι οὐδὲν πατρωνυμικὸν παρὰ τῷ ποιητῇ ἔχει πρὸ τέλους διεσαλμένον τὸ ι ἀπὸ ἑτέρου φωνήεντος, οἷον Πανθοίδης Βοηθοίδης Πηλείδης· οὐδ' ἄρα τοῦτο. ὑπὲρ δὲ τοῦ τετρασυλλάβως ἀναγινώσκειν ἔχομεν ἐκεῖνο λέγειν, ὡς ὅτι ἐντελές ἐστι τὸ κατὰ διάλυσιν τοῦ ι, καὶ ὅτι οὐκ ἔχομεν τοιοῦτό τι πατρωνυμικόν, ὃ κατὰ σύλληψιν ἐξηνέχθη τοῦ α καὶ τοῦ ι πρὸ τέλους. παρὰ τὸ Πείραιος ἐν Πειραΐδης ἐγένετο. A.

Πείραιος Πειραΐδης, Πειραΐδης κατὰ διάσασιν. ἀναπαύει δὲ αὐτοῖς τὴν δίναμιν, εἰς τὴν μέλλουσαν ταμιευόμενος μάχην. BL.

232. ἡ διπλῆ, ὅτι τὸ σπεύδοντας ἐχ οἷον ταχύνοντας, ἀλλ' ἐνεργοῦντας καὶ κακοπαθοῦντας. „σπεῦδε δ' ἔζετο λαούς" (Il. 2, 99) μετὰ πάσης κακοπαθείας. A.

235. οὐ γὰρ ἐπί: στρατηγικὸς ὁρᾶται ὡς τὴν αἰτίαν τῆς ἀθυμίας ἐλπίδι νίκης ἐπήγραψεν. ἐν βραχεῖ δὲ πρέπτρεψε, δύο προβαλών, θεοῦ βοήθειαν καὶ λαμπρὸν ἐλπίδα. ἡ δὲ ἐπὶ πρὸς τὸ ἀρωγός. BL.

ψεύδεσσι: Ἀρίσαρχος ἐπιθετικῶς ἀναγινώσκει ψευδέσι ὡς σαφέσι· τοῦτο γάρ φησι θέλει δηλοῦν, ἃ γ' τοῖς ψεύσαις Τρωσὶ βοηθεῖ ὁ Ζεύς. εἰ δὲ τὸ πρᾶγμα ἠβουλόμεθα παραλαβεῖν, ψεύδεσιν ἀνέγνωμεν ὡς βέλεσιν, ἵν' ἀπ' εὐθείας ᾖ ἡ κλίσις· „ψεῦδος δ' ἐκ ἐρέει" (Od. 3, 20). ἔτως δὲ καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης, συγκατατιθέμενος Ἀρισάρχῳ. ὁ μέντοι γε Ἑρμαππίας προσηγορικὸν ἀναγινώσκει ψεύδεσιν ὡς τείχεσιν, ἐπεὶ ἐδέποτε, φησίν, οἶδεν ὁ ποιητὴς ἁπλῶν τὸ ψευδής, ἐν δὲ συνθέτῳ, φιλοψευδής (Il. 12, 164), ἀψευδής (Il. 18, 46)· ἢ οἶδεν ἑτέρως λεγόμενον τὸ „ψεῦσαί τ' ὀρχῆσαί τε" (Il. 24, 261). συνεχῶς δὲ τὸ ψεῦδος „ὦ γέρον ἔτι ψεῦδος" (Il. 9, 115) „ψεῦδος δ' ἐκ ἐρέει" (Od. 3, 20) „ἴσκε ψεύδεα πολλά" (Od. 19, 203). ταῦτα ὁ Ἡρωδιανός· καὶ μᾶλλον πειστέον Ἀρισάρχῳ ἢ τῷ Ἑρμαππίᾳ, εἰ καὶ δοκεῖ ἀληθεύειν. AV.

236. πρότεροι: καὶ ἔτοι παρὰ τοὺς ὅρκους ποιοῦσιν, ἐκεῖνοι δὲ ἦρξαν. BV.

238. ἡμεῖς δ' αὖτ': Ἀρίσαρχος χωρὶς τοῦ δέ. A. ἡμεῖς ἄνευ τοῦ μέν. V.

240. μεθιέντας: εἰκὸς γ' ἦν ἀγνοεῖν αὐτῶν ἐνίους τὸ πραχθέν. BL.

241. χολωτοῖσιν: τοῖς ἀπὸ κινήσεως λεγομένοις χολῆς, ἢ πρὸς χολὴν τοὺς ἀκόντας ἄγουσιν. BL.

242. ἰόμωροι: οἱ μέν, ἰῶν φύλακες ἐν πλεονασμῷ τοῦ μ, ἐπονείδιζον δὲ τὸ μόνον τοξεύειν. ἀμέλει δὲ καὶ εἰδότες ὁ τοξεύουσιν, οἱ δέ, περὶ ἰὸς πεπονημένοι. τετάρακται δὲ τῇ Μενελάου λύπῃ. BLV. ἢ οἱ περὶ τὴν μάχην καὶ τὸν πόλεμον ἀναστρεφόμενοι. V.

243. ἔστητε: Πτολεμαῖος ψιλοῖ, ἐπεὶ γίνεται στῆτε, τὸ δὲ ἀποπῖπτον ἐ ψιλοῦται. καὶ ἀληθεύει. ἐνθάδε μέντοι γε ἐκ ἔξιν, ἀλλ' ἐκ τοῦ ἕξατε ἔκτασις ἐγένετο τοῦ ᾶ εἰς η· ὥστε δὲ οὐ γίνεται. ἔνθεν δύναται δασύνεσθαι· τὸ γ' αὐτὸ ἔχει τῷ ἑξήκοντα τὸ ἕξατε. A.

τεθηπότες: θαυμάζοντες, ἐξ ὧν θάμβος καὶ μεταλλαγῇ τῶν στοιχείων τάφος, ὡς παρ' Ἡροδότῳ βάθρακος ὁ βάτραχος καὶ μονόχυτρον μονόκυθρον. L.

εἰκὸς γ' αὐτὸς ἐπὶ τῷ παραδόξῳ ἐκπεπλῆχθαι. εὗρε δὲ εἰκόνα καὶ τὴν ἡλικίαν καὶ τὴν ἀνδρείαν ὀνειδίζουσαν. πρόχειρον γ' καὶ εἰς φυγὴν ἅλαφος. ἀλλὰ γ' καὶ καμοῦσαι μάτην ἐκπεπληγμέναι (καμ. ἀλλήλαις ἐμπ. V.) λοιπὸν ἵστανται. BL.

244. ἡ διπλῆ διὰ τὸ ἐλλείπειν τὴν διά πρόθεσιν, ἵν' ᾖ διὰ πεδίοιο. A.

245. ἄρα τίς σφι: ἔτως Ἀρίσαρχος μετὰ τοῦ σ, τίς σφι. A.

246. ἔστητε: ἀντὶ τοῦ ἵσασθε, ὡς „ἐπίδρομον ἔπλετο τεῖχος" (Il. 6, 434). V.

247. ἦ μένετε Τρῶας χεδὸν ἐλθέμεν: ἀνδρείως ἐγερτικὸν ἅμα καὶ θάρσους σωτηρίας ἀπόγνωσις. βραχεῖα δὲ διαζολὴ καὶ εἰς τὸ θαλάσσης καὶ εἰς τὸ ἐλθέμεν. B.

αἱ διαζολαὶ ἐλθέμεν, θαλάσσης. A.

248. εἰρύατ': εἰλκυσμέναι εἰσίν. L.

249. αἴ κ' ὔμμιν: ἔτως τὸ αἴ κ' ὔμμιν διὰ τῆ κ δεῖ συναλείφειν· ἔχει γὼ Αἰολικὴ ἡ ἀντωνυμία. A.

ἐπεὶ ἔλεγεν (235) „οὐ γὼ ἐπὶ ψεύδεσσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός" καὶ (167) „αὐτὸς ἐπισείησι", συνεισφέρειν τὸν οἰκεῖον πόνον κελεύει, οἱονεὶ τῇ τῆ θεῆ ὑπηρετῶντας βελήσει, ὥς φησι καὶ ὁ τραγικὸς ἔνθεν λαβών „αὐτός τι νῦν δρᾶ, χοὔτω δαίμονας κάλει· τῷ γὼ πονοῦντι χὠ θεὸς συλλαμβάνει" (Eurip. Temenid. ap. Stob.) τῆτο οὖν πρῶτος Ὅμηρος εἶπεν. BL.

250. κοιρανέων: ἔργα πρέποντα βασιλεῖ ποιῶν. BL.

251. ἐπὶ Κρήτεσσι: ἡ διπλῆ, ὅτι ἰδίως εἴρηκεν ἀντὶ τῆ ὡς ἐπὶ Κρῆτας. A.

πρὸς Κρῆτας, ὡς „ἐπ' ἄνθεσιν ἐλαινοῖσιν" (Il. 2, 89). ἃς δὲ κατέλεξεν Ἑλένη (Il. 3, 166), τέτας πάλιν ἡμῖν δηλοῖ· ᾗ ὃ παραλέλοιπεν ἐκεῖ, τᾶτο ὧδε ἀναπληροῖ. BL.

η διπλῆ, ὅτι ἡ τάξις Ἰδομενέως πλησίον Αἴαντος, πρὸς τὰς ὑποτάσσοντας τοῖς Ἀθηναίοις τὸν Τελαμώνιον (Il. 2, 557). A.

ἀνὰ οὐλαμὸν ἀνδρῶν: ἀνὰ τὸν θόρυβον, κατὰ τὴν συνέλευσιν ᾗ ἄθροισιν τῶν ἀνδρῶν. ἐλαμὸς δὲ τάξις συνεσηκυῖα ἐκ μ' ἀνδρῶν. ADL. ἡ δὲ φάλαγξ ἀπὸ ρκ' DL, στὶξ ἐκ φ', πύργος ἐκ τξ', ὅσους δύναται χωρῆσαι πύργος ἄνωθεν ἰσαμένας. ἢ ἀπὸ τοῦ πύργου σχήματος ἰσαμένου τετραγώνου. L.

οὐλαμὸς ἡ συνεσραμμένη τάξις. γίνεται παρὰ τὸ εἰλῶ, ὅθεν καὶ τὰς τρίχας ἕλας φαμέν. BL.

253. συῒ ἴκελος: διώκειν γὰρ ὁ δύναται ὡς μεσαιπόλιος· ἢ ὅτι δεύτερον λέοντος σῦς. Αἴας δὲ ᾗ Ἀγαμέμνων καὶ Ἀχιλλεὺς εἰς λέοντος εἰκόνα φέρονται τοῦ ἀλκιμωτάτα ζῴου. BL.

ἐπὶ τὸ τέλος τῆ στίχα διαζολὴ βραχεῖα· κοινὸν γὰρ τὸ ὦτρυνε φάλαγγας. A.

254. πυμάτας ὦτρυνε φάλαγγας: ἐκ εἶπε συνῆν αὐταῖς, ἀλλ' οἷον εἰς ἔρεισμα αὐτῶν ἦν. ἦσαν οὖν οἱ μὲν ἐχόμενοι ἔργα, οἱ δὲ παρασκευαζόμενοι· τὸν πλέονα δὲ πόνον ἀναδέχεται, ᾗ τὸ τιμιώτερον ἀφίησι (ἐξίησι V) τῷ βασιλεῖ. τινὲς δὲ πύρματα τὰ ἀριστερὰ τῆς παρατάξεως. BLV.

φάλαγγας: τάξεις στρατιωτῶν εἶπεν ὁ ποιητής, ἐπειδὴ τὸ παλαιὸν ξύλοις ἐμάχοντο. φάλαγγας δὲ τὰ ξύλα ἐκάλουν οἱ ἀρχαῖοι. ἔτι γᾶν καὶ ἡμεῖς τὰ ἐκ τῶν ξύλων οἰκοδομήματα φάλαγγας καλῶμεν. AD.

257. πέρι μέν σε τίω: τῶν τιμῶν αὐτὸν ὑπομνήσας προθυμότερον εἰς τὸ παρὸν ποιεῖ, τῶν αὐτῶν ἐφιέμενον πάλιν. BL.

258. ἐνὶ πτολέμῳ: τῇ διαιρέσει τῶν λαφύρων. ἀλλοίῳ δὲ τῇ προεδρίᾳ, τῇ συμβελῇ. ὅσα δὲ εἶπεν Ἑλένη, ἀνακεφαλαιῶται, Ἰδομενεὺς θεὸς ὤς, Αἴας ἕρκος Ἀχαιῶν, Ἀγαμέμνων ἀγαθὸς βασιλεύς, Ὀδυσσεὺς δόλιος. BLV.

259. ἐν δαΐ: τίμιον τοῦτο παρὰ τοῖς παλαιοῖς, ὡς καὶ ἔτι νῦν παρὰ Κυμαίοις. γερούσιον δὲ τὸν τοῖς ἐντίμοις διδόμενον· κατελείπετο γάρ τι τῶν λαφύρων εἰς τὰς κοινὰς εὐωχίας. BV.

260. ἐνὶ κρητῆρσι: Ἀρίσαρχος ἐνικῶς ἐνὶ κρητῆρι. A.

τὸ κέρωνται ἐκ ἐκ περισπωμένου ἐνεγῶτος, ἀλλ' ἐκ βαρυτόνε τῆ κέρω, ὅπερ ἐκ ἔστιν εὑρεῖν ῥᾴδίως. L.

262. δαιτρόν: μερισόν, διαίρετον. V. ἡ διπλῆ, ὅτι διὰ παντὸς αἱ τράπεζαι παρέκειντο, ᾗ πλήρη τὰ ποτήρια τοῖς ἐν τιμῇ ἔκειτο, τοῖς δὲ ἄλλοις πρὸς μέρος ἐνεχεῖτο. A.

266. Ἀτρείδη, μάλα μέν τοι: συντόμως ἄρα καὶ μετρίως· οὐ γὼ ἀρισεύσειν ὑπιχνεῖται, ἀλλ' οὐκ ἀδικήσειν τὴν ἑταιρείαν. BL.

269. διὰ τῆ ν τὸ σύν γ' ὅρκια. οὐ γὰρ συνῆπται· ἐπὶ δὲ τῶν συνήθων (συνημμένων?) αἱ μεταβολαί. A.

274. νέφος: τὸ πυκνὸν ᾗ καταπληκτικὸν τῆς φάλαγγος μιᾷ λέξει περιέλαβεν, εἰκάσας μέλανι καὶ σκυθρωπῷ νέφει. ἀπὸ δὲ τῆς μεταφορᾶς καὶ εἰκόνα πεποίηκεν. BL.

275. ἀπὸ σκοπιῆς: ἀπὸ ὑψηλῆ τόπε, ἀφ' ᾗ ἔστι περισκοπῆσαι καὶ ἰδεῖν. D.

αἰπόλος: ὑψίνομοι γὼ αἱ αἶγες καὶ δύσριγοι. καλῶς δὲ ἀπὸ ὕψες ὁρᾷ, ἀδενὸς ἐπιπροσθοῦντος τῇ θέᾳ. πελάγιον δὲ νέφος ὄμβρον ἐπάγει. εὖ δὲ ᾗ ὑπὸ ζεφύρε ἐλαύνεσθαί φησιν αὐτό· οὗτος γὼ μάλιστα νέφη συνάγει ᾗ δεινὴν χειμῶνος ἀπειλήν, εὖρος δὲ καὶ νότος χειμῶνα παύσει διαλυομένων εἰς ὄμβρον τῶν νεφῶν. παρεικάζει δὲ τὸν μὲν Αἴαντα ζεφύρῳ, τὸν δὲ στρατὸν νέφει, τὰς δὲ Τρῶας τῷ ποιμένι. τινὲς δὲ νέφος τὸ ἄτακτον πλῆθός φασιν. BL.

276. Ζεφύροιο: ὅτι ἀπὸ τῆ ζόφε πνεῖ. ζόφον δὲ τὴν δύσιν ἐκάλεν οἱ ἀρχαῖοι. ABD.

277. ἰόντι: Ἀρίσαρχος ἰόντι. A.

μελάντερον ἠὲ πίσσα: ἡ διπλῆ, ὅτι ἰδίως εἴρηκεν ἔτε μελάντερον πίσσης ἔτε μέλαν ὡς πίσσα, κέχρηται δὲ τῷ συγκριτικῷ ἀντὶ ἁπλῆ. τὸ δὲ ἰόντι Ἀρίσαρχος διὰ τῆ ῑ, ὁ δὲ Ζηνόδοτος διὰ τῆ ῐ. σικτέον δὲ μετὰ τὸ μελάντερον, ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον ἠὲ πίσσα, ἵν' ᾗ τῷ αἰπόλῳ πόρρω διατελοῦντι μελάντερον αὐτῷ (αὐτοῦ D) καταφαίνεται τὸ νέφος ᾗ ὅμοιον πίσσῃ. AD.

ὡς „ἀδινώτερον ἢ τ' οἰωνοί" (Od. 16, 216). μελάντερον δὲ ἐκ τῶν ἄλλων νεφῶν. BLV.

278. λαίλαπα: τὴν μεθ' ὑετοῦ αὔραν· „ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθών" (Il. 16, 384). LV.

συρροφὴν ἀνέμε, καταφορὰν μετ' ὄμβρε. D.

279. ὑπό τε σπέος ἤλασε μῆλα: κύουσα γὼ ἡ ὄϊς, ἐὰν ἔξω ἀκόσῃ βροντῆς, ἐκτιτρώσκει. ABL.

281. πυκιναί: πυκνούμεναι γὼ ᾗ μελαινόμεναι ὁρῶνται. BL.

282. κυάνεαι σάκεσιν: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἠρώων σάκεσιν. γέγονε δὲ ἀντιπαράθεσις τῆ μέλανος νέφες πρὸς τὸ κυάνεαι· τᾶτο δὲ οἷον πυκναί· αἱ γὰρ ἀραιαὶ νεφέλαι διαυγεῖς. A.

διαζαλτέον δὲ βραχὺ ἐπὶ τὸ σάκεσιν, ἵνα διὰ μὲν τὸ ὅπλα καταπληκτικαὶ ὦσι, τοῖς δὲ δύρασι πεφρικυῖαι, τουτέστιν ὠρθωμέναι ἔχουσαι τὰ δόρατα. ἢ ἑτέρα δὲ τῶν Ἀρ

ϛάρχȣ βεβριθυῖαι εἶχεν· καὶ μήποτε λόγον ἔχει, ὡς ἐκεῖ „βεβρίθει δὲ σάκεσιν" (Od. 16, 474). A.

πεφρικυῖαι: τῇ ἀνατάσει τῶν δοράτων πεπυκνωμέναι. D. ὠρθωμέναι· καὶ „ἔφριξε δὲ μάχη" (Il. 13, 339). βραχὺ δὲ διαϛαλτέον εἰς τὸ σάκεσιν τε· ἐξ αὐτῶν γὰρ ἦσαν μελανθεῖσαι, ἐκ δὲ τῶν δοράτων ὀρθωθεῖσαι. BLV.

φρίσσει ὁ ἄνθρωπος ταῖς θριξίν, ἡ μάχη ταῖς ἐγχείαις, ἡ θάλασσα τοῖς κύμασιν. τὸ δὲ φρίσσειν τὴν τρίχωσιν ὁτὲ μὲν ἐκ φόβου γίνεται, ὁτὲ δὲ ἐκ χαρᾶς, δηλȣ̃ν ὄρθωσίν τινα ἐκ λυπηρᾶς καταπτώσεως. τοιοῦτον παρὰ Σοφοκλεῖ τὸ ἔφριξ' ἔρωτι. L.

285. Ἀργείων ἡγήτορε: τȣ̃το προτρεπτικῶς. ἢ πρόμαχοι ϗ ἡγȣ́μενοι τῶν ἄλλων Ἑλλήνων ἐν ταῖς μάχαις. ABL.

286. εἰς τὸ μέν διαϛολή, εἰς δὲ τὸ ὀτρυνέμεν ἀνυπόκριτος. τὸ δὲ ἑξῆς, ὑμᾶς μὲν ȣ̃τι κελεύω μάχεσθαι· ȣ̓ γὰρ ἔοικεν ὀτρυνέμεν. καὶ Ἰδομενέα μὲν τῆς τιμῆς ϗ τȣ̃ γέρως ὑπέμνησε, τȣ̀ς δὲ τῇ φιλοτιμίᾳ προȣ̓τρέψατο. BL. τινὲς δὲ τὸ σφῶϊ ἀντὶ δοτικῆς. V.

287. ἀνώγετον: ἐκ τȣ̃ ἀνώγω. τοῦτο ἐκ τοῦ ἀνάγω, τȣ̃το ἐκ τȣ̃ ἄναξ, οὗ ὁ μέλλων ἀνάξω, ὁ μέσος παρακείμενος ἄνηγα· καὶ ὥσπερ ἐκ τȣ̃ πέπληγμαι παρακειμένου ἐγένετο ῥῆμα πεπλήγω, ȣ̃τως ἐκ τȣ̃ ἄνηγα γίνεται ἀνήγω, καὶ τροπῇ τȣ̃ μακρȣ̃ εἰς μακρὸν ἀνώγω· τοῖς γὰρ ἀνάσσȣσι καὶ ἄρχȣσι πέφυκε τὸ κελεύειν. ἔχει δὲ ϗ μέλλοντα ἀνώξω, ὡς τὸ „πληθὺν δὲ ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι" (Il. 15, 295). BL.

289. πᾶσι: τοῖς ἡγεμόσιν, ἵνα πρὸς ὁμοτίμȣς ἡ σύγκρισις ᾖ. ἐπὶ δὲ Νέϛορος „τοιȣ̃τοι δέκα μοι" (Il. 2, 372). φαίνεται ȣ̃ν προτιμῶν ἀνδρίας φρόνησιν. BL.

293. ἔτετμεν: ὑποδύσκολος ποιητικὴ λέξις. γίνεται δὲ ἐκ τȣ̃ τέμω ἔτεμον ἐτέτεμον, καὶ συγκοπῇ ἔτετμον διὰ τὰ βραχέα. θεραπεύονται γὰρ τὰ βραχέα εἰς δακτυλικὸν ἢ δι' ἐλλείψεως συμφώνου, ὡς ἐνταῦθα, ἢ διὰ προσθέσεως, ὡς τὸ μογοτόκος μογοϛόκος· ἔτι δὲ ἢ διὰ τροπῆς φωνήεντος, ὡς ἐν τῷ θεοτόκος θεητόκος, ἢ δι' ἐπενθέσεως, ὡς τὸ ἐπητανός ἐπηετανός. L.

295. Πελαγὼν καὶ Ἀλάϛωρ καὶ Βίας καὶ ἐν Τρωσίν εἰσιν. BL.

Ἀλάϛωρ ὑποϛράτηγος Νέϛορος, οἱονεὶ ἄλαϛος ὁ μὴ πάσχων λήθην· ὅθεν καὶ ἀλάϛωρ ὁ Ζεύς. ἀλάϛωρ καὶ ὁ ἁμαρτωλός, ἢ κατὰ Χρύσιππον ὁ φονεύς, διὰ τὸ ἄξιος εἶναι ἀλᾶσθαι, ὅ ἐϛι πλανᾶσθαι. L.

Χρομίον τε: ἡ διπλῆ, ὅτι τρίτος ȣ̃τος Χρομίος Πύλιος, πρὸς τὰ Πυλαιμένȣς. A. ȣ̃τοι δὲ ταξιάρχαι ὑπῆρχον· βασιλεὺς δὲ πάντων τῶν Πυλίων Νέϛωρ. AD.

296. αἵμονά τε κρείοντα: ἄδηλον ποῖον κύριόν ἐστιν. V.

βραχὺ δὲ διαϛαλτέον ἐπὶ τὸ ὄχεσφι· κοινὸν γὰρ τὸ στῆσε. ABL.

πρώτȣς εἰκὸς εἰρῆσθαι τȣ̀ς ἐπὶ τȣ̃ δεξιȣ̃ κέρως ἑϛῶτας, ὄπισθεν δὲ τȣ̀ς ἐπὶ τȣ̃ ἀριϛερȣ̃, ὧν εἰκὸς μεταξὺ τετάχθαι τȣ̀ς δειλȣ́ς· ȣ̃τω γὰρ λόγον ἕξει τὸ „ὄφρα καὶ ȣ̓κ ἐθέλων τις ἀναγκαίῃ πολεμίζῃ" (300)· ἐπὶ γὰρ μετώπȣ τάσσει τὴν φάλαγγα, ȣ̓ κατὰ βάθȣς, μεταξὺ δὲ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλλεν. AD.

Πορφυρίȣ. διὰ τί τὴν τάξιν ταύτην ἐποίησεν, ἱππῆας μὲν πρῶτον, πεζȣ̀ς δ' ἐξόπισθε, κακȣ̀ς δ' ἐς μέσον; ἄτοπον γὰρ τὸ τȣ̀ς ἱππέας πρὸ τῆς φάλαγγος ποιῆσαι, καὶ τούτων μεταξὺ τȣ̀ς φαύλους. λύει δ' Ἀριϛοτέλης, ἢ οὐ πρὸ τῆς φάλαγγος λέγειν τȣ̀ς ἱππεῖς φησίν, ἀλλ' ἐπὶ τοῖς κέρασιν· καὶ ȣ̃τως πρῶτοι εἶεν ἄν. τοὺς δὲ κακȣ̀ς οὐ τόπῳ διορίζει, ἀλλ' ἐναλλὰξ μεταξὺ ἀνδρείȣ τὸν ἀσθενέϛερον, πεζοὺς δ' ἐξόπισθεν τῶν ἱππέων, ὥϛε τὰ μὲν κέρατα κρατεῖν τȣ̀ς ἱππέας, μετὰ δὲ τȣ́τȣς τȣ̀ς πεζȣ́ς. πανταχοῦ δὲ μεταξὺ τῶν ἀνδρείων ἱππέων τε καὶ πεζῶν τετάχθαι οἱ ἱππεῖς, οἱ ἀνδρεῖοι, μεθ' ȣ̃ς ἐπιφέρονται οἱ χείρους τῶν ἱππέων τε καὶ πεζῶν οἱ ἀνδρειότατοι. A.

ἄλλως. οὐ δεόντως, φασί, τὴν πρώτην τάξιν οἱ ἱππεῖς ἔχȣσι, κινδύνȣ ὄντος, εἰ τροπὴ γένοιτο τῶν ἱππέων, συμπατηθῆναι τὴν ἀκολȣθȣ̃σαν τάξιν. ἀγνοοῦσι δὲ ὅτι οἱ πεζοὶ ὄπισθέν εἰσιν, ὅπως τῶν ἱππέων ὑποχωρȣ́ντων διιϛάμενοι δέχοιντο αὐτȣ́ς, ὃ ϗ γεφύρας πολέμȣ καλεῖ, ϗ πάλιν ἑνȣ́μενοι ὡς τεῖχος δέχοιντο τȣ̀ς πολεμίȣς ἐπιόντας· μεταξὺ δὲ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλλε. τινὲς δὲ τὸ ἔμπροσθεν ϗ ὄπισθεν ἐπὶ τȣ̃ δεξιȣ̃ καὶ ἀριϛερȣ̃ κέρως λαμβάνουσι· τοὺς δὲ κακοὺς τετάχθαι ἐν μέσῳ, ἵνα καὶ ὑπὸ τȣ́των καὶ ὑπ' ἐκείνων ἀναγκάζωνται πολεμεῖν. ἀλλὰ φαίνεται πεζοῖς ȣ̓δὲν ἐπιτάσσων περὶ τȣ̃ πολεμεῖν. ἄλλως τε ȣ̓κ ἠδύναντο ἕκαϛοι κατὰ ἡγεμόνα τȣ̀ς ἱππέας ἔχειν ἐπὶ τȣ̃ δεξιοῦ κέρως, μιᾶς παρατάξεως ἐξ ὅλων ȣ̃σης καὶ συνεχȣ̃ς. BLV.

299. ἕρκος ἔμεν πολέμοιο: ἵνα τῶν ἱππέων ὑποχωρȣ́ντων ȣ̃τοι τȣ̀ς ἐπιόντας δέχοιντο. μέσον δὲ τȣ̀ς κακȣ́ς, ἵνα μιμοῖντο τȣ̀ς ἔμπροσθεν ϗ ὑπὸ τῶν ὄπισθεν ἐπείγοιντο. κακȣ̀ς δὲ ἤτοι τȣ̀ς ἐκ πάντων ἢ τȣ̀ς ἐκ μόνων πεζῶν· οἱ δέ, ὅτι ἐν τοῖς δύο τάγμασι τȣ̀ς κακȣ̀ς ἐμέσασεν. A.

ἔλασσεν: ȣ̃τως Ἀρίϛαρχος, ἔλασσεν· ἄλλοι δὲ ἔεργεν. A.

301. ἱππεῦσιν μέν: ἐπεὶ μὴ μεταβαίνει εἰς ἄλλην φάλαγγα, ȣ̓κ ἐπάγει τὸν δέ. V.

302. σφοὺς ἵππους ἐχέμεν: ἐπὶ τόπῳ τὰς φάλαγγας πολεμεῖν καὶ μὴ διαλύειν τὸ ϛῖφος. θαυμασίως δὲ ϗ τὸ λειποτακτεῖν ἀνεῖλε, μηδὲ τοῖς ἀριϛεῦσιν ἐάσας τρόπον ἐκτροπῆς μηδὲ τοῖς ἄλλοις· ἴσον γὰρ ἑκάτερος τῇ οἰκείᾳ ἀπȣσίᾳ λυμαίνεται τὴν τάξιν. BLV.

303. ἀπὸ τȣ̃ διηγηματικȣ̃ ἐπὶ τὸ μιμητικὸν μέτεισιν. BL. ὅτι ἀπέϛρεφε τὸν λόγον διὰ τῶν ἑξῆς, σχηματίσας ὡς ἂν αὐτὸς ὁ Νέϛωρ εἴποι. A.

306. ἕτερ': τὰ τῶν πολεμίων. εἰ γὰρ ἐπὶ τῶν ὁμοφύλων, εἶπεν ἂν ἄλλα· πολλαὶ γὰρ αἱ τάξεις. LV.

ἵκηται: τȣ̃το τὸ ῥῆμα κατὰ τὴν ἑρμηνείαν ζητεῖται αὐτήν· καὶ οἱ μέν φασι παραγγέλλειν αὐτὸν ἵνα, ὃς ἂν πολεμίου ἅρματος κρατήσας ἐπιβῇ, μάχηται καὶ μὴ ἐξελαύνειν σπȣδάζῃ· οἱ δὲ ȣ̃τως, ὅϛις δ' ἂν ἀποπέσῃ τȣ̃ ἰδίȣ ἅρματος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ϰ̓ ἐπὶ τῆ πλησίον παραγένηται, μὴ ἡνιοχείτω διὰ τὸ εἶναι αὐτὸν ἐν ἀγνοίᾳ τῆ ἤθους τῶν ἵππων, δόρατι δὲ μᾶλλον ἀμυνάσθω τὰς πολεμίας, ὃ ἐξὶ πολεμείτω. BDL.

307. ἔγχει ὀρεξάσθω: ἐκ παρεπομένου· οἱ γὰ ἀποθνήσκοντες ἐκτείνονται. αἱρετώτερον δέ φησι τῦτο, ὅτι μεῖζον τὸ ἕτερον κακόν. BL.

ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι ἐκ τῆ ἔγχει ὀρεξάσθω ἐξὶν ἔγχει πταξάτω τις αὐτῶν, ὥςε παραλείπει τὸ τίς ϰ̓ τὸ αὐτῶν. καὶ τὸ ἐπιλεγόμενον τῦτο συνίςησιν, ἐπειὴ πολὺ φέρτερον οὕτω τὸ ἕνα τεθνάναι ἢ τὴν ὅλην τάξιν συγχυσθῆναι. A.

308. πόλεας: Ἡρωδιανὸς διὰ τῆ ε̄ πόλεας. A.

ἄλλως. οὕτως Ἀρίςαρχος προπαροξύνει, καὶ ἐπὶ τῶν πόλεων τὸ σημαινόμενον ἐκδέχεται, ᾧ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης, λέγων ὅτι καὶ διὰ τῆ ε̄ οἶδεν ὁ ποιητὴς τὴν χρῆσιν ϰ̓ διὰ τῆ ῑ̄, διὰ μὲν τῆ ῑ̄ „ἐκ πόλιος δ̓ ἄλοχον," „πολλέων ἐκ πολίων," διὰ δὲ τῦ ε̄ „πόλεως χρυσείην" „ἑκατὸν πόλεων." πιθανὸν ἐν ἐξὶν ἐκδέξαθαι ἐνθάδε ἐπὶ τῶν πόλεων τὸ σημαινόμενον, ἐπεὶ ϰ̓ τείχεα ἐπιφέρει. A.

ἐπαμφοτερίζει ἡ χρῆσις παρὰ τῷ ποιητῇ, ποτὲ μὲν διὰ τῆ ε̄, ποτὲ δὲ διὰ τῆ ῑ̄. τρία δὲ παρείληφε χρήσιμα, διάταξιν, ἀπειλήν, ζῆλον. BL.

310. ὡς ὁ γέρων — εἰδώς: τῦτο ὁ ποιητὴς λέγει καθ̓ ἑαυτό· ἐ προσεκτέον γὰ τοῖς μίαν ὁμοιωματικὴν εἶναι διάνοιαν οἰομένοις ἐν τοῖς τρισὶ ςίχοις· ὧδε ϰ̓ οἱ πρότεροι πόλεας – τόνδε νόον ϰ̓ θυμόν – ὡς ὁ γέρων ὦτρυνεν, οἷον τῦτον τὸν τρόπον ἐςρατήγει οἱ παλαιοὶ ὡς ὁ Νέςωρ. πρὸς δὲ τῷ γελοῖον εἶναι τὸ διανόημα, οὐδὲ εἰώθει μετάβασιν τοιαύτην ὁ ποιητὴς ἀπὸ τῶν προσώπων ποιεῖσθαι. A.

πάλαι πολέμων εὖ εἰδώς: εὐτύχηςε γὰ πολλαχοῦ, ὡς ἐν Ἤλιδι, καὶ πρὸ τύτε τῆ Ἰλιακῆ πολέμε. BL.

313. εἰθ̓ ὡς θυμός: ἁρμόζεσαν τῷ γήρᾳ ποιεῖ τὴν εὐχήν, ϰ̓ ταύτῃ αὐτὸν τιμᾷ. θυμὸς δὲ ἡ προαίρεσις. BLV.

315. ὁμοίιον: τὸ ὁμοίως πᾶσι χαλεπὸν ϰ̓ κοινῇ ἐπερχόμενον. V. ἰςέον ὅτι ὁ ποιητὴς πανταχῦ τὸ ὁμοίιον ἐπὶ τῆ φαύλε λαμβάνει, οἷον ἐνταῦθα „ἀλλά σε γῆρας τείρει ὁμοίιον" ϰ̓ „ἀλλ̓ ἦτοι θάνατον μὲν ὁμοίιον ἀδὲ θεοί περ καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν" (Od. 3, 236) „ὁπότ̓ ἂν τέλος ἔλθῃ ὁμοίιον πολέμιδιο" (Il. 9, 440). AD.

γῆρας ὁμοίιον, θάνατος ὁμοίιος, νεῖκος ὁμοίιον (Il. 4, 440 444). BL.

ἄλλως. ὅτι οἱ γλωσσογράφοι ὁμοίιον τὸ κακόν. A.

316. κουροτέροισιν: τοῖς σᾶ νεωτέροις. V.

319. ὡς ἔμεν ὡς ὅτε: ϰ̓ φιλόμυθος ὢν ὁ γέρων ἄκρως κατεμέτρησε τὸν καιρόν· ἐξῆς δὲ αὐτὸν πληροῖ. μετὰ δὲ τῆ ν̄ τὸ ἔμεν. Πύλιοι μὲν ἐν πρὸς Ἀρκάδας ἐπολέμουν περὶ ὅρων γῆς· γίνεται δὲ αὐτοῖς συμβολὴ περὶ τὸν Ἀλίδαντα ποταμόν. Ἐρευθαλίωνος δὲ τῆ Ξανθίππε προτρεπομένε τὸν βελόμενον Νέςωρ ἀντισὰς ἐνίκησεν. ὑπὸ δὲ τῆς ἡδονῆς ἀλλόμενος ἐκπεπήδηκε τῆ περιορισθέντος χωρίου· ὅθεν Ἀρκάδες Ἐρευθαλίωνα μᾶλλον ἔφασαν νικῆσαι τὸν μὴ ἐξελθόντα τῆ τόπου, καὶ συμβαλόντες ἐκ δευτέρε, εἶτα κοινῇ περιγράψαντες τὰς χώρας, ἔθαψαν Ἐρευθαλίωνα, καὶ τῷ σήματι ἐπέγραψαν „ἐνθάδ̓ Ἐρευθαλίωνα φῖλοι περὶ τύμβον ἔθηκαν, Ἀρκαδίης βασιλῆα, γένος ἔξοχον Ἀμφιδάμαντος, οἵ ποτε Νέςορα καὶ λαὸς πολέμῳ δαμάσαντο". BLV. ἰςορεῖ Ἀριαιθος. V.

Πύλιοι καὶ Ἀρκάδες περὶ γῆς ὅρων ἐπολέμεν περὶ τὸ καλύμενον Ἀγκαῖον (Λύκαιον?) ὄρος· Νέςωρ δὲ μονομαχήσας ἐκ προκλήσεως Ἐρευθαλίωνα τὸν Ἱπομέδοντος ἢ ὡς ἔνιοι Ἀφείδαντος ἀνεῖλε, καὶ ὑπὸ χαρᾶς τὸ περιοριωθὲν χωρίον παρεξῆλθεν. οἱ δὲ Ἀρκάδες ἔτι σκαρίζοντος τῆ Ἐρευθαλίωνος ἐφορμήσαντες τοῖς Πυλίοις συνέβαλον, καὶ ἔτως ἐνίκησαν. θάψαντες δὲ τὸν Ἐρευθαλίωνα ϰ̓ τὰς φίλας ἐπέγραψαν τῷ τάφῳ τόδε τὸ ἐπίγραμμα· „ἐνθάδ̓ Ἐρευθαλίωνι φίλοις (Ἐρευθαλίωνα φίλας DL) τ̓ ἐπὶ τύμβον ἔθηκαν Ἀρκαδίης βασιλῆς, γένος ἔξοχον Ἱπομέδοντος (ἱπποδάμαντος L), οἵ ποτε Νέςορα καὶ λαὸς πολέμῳ δαμάσαντο." AD. ἰςορεῖ Ἀριαιθος. A.

κατέκταν δὲ μετὰ τῆ ν̄ αἱ Ἀριςάρχε, ϰ̓ ἐν ἐκτάσει τῦ ᾶ Δωρικῇ ἔσῃ, ὡς ἔβαν ἐγώ. ἡ γὰ χρῆσις τοιαύτη ἦν παρὰ Ἀττικοῖς· παρὰ γὰ τὸ κτῶ ϰ̓ κτῆμι κινήματα ἱκανὰ ἐξέπιπτεν· δεύτερος μὲν αὐτὸς ἀόριςος, ὀφείλων εἶναι κοινῶς ἔκτην, γινόμενος δὲ κατὰ Δωρίδα ἔκταν, ὃς ἐν χρήσει ὁρᾶται Ἀττικοῖς. Εὐριπίδης Πλεισθένει „ἃ τὸν σὸν ἔκταν πατέρα, πολεμίου γε μήν". Αἰχύλος δὲ Παλαμήδῃ „τίνος κατέκτας ἕνεκα παῖδ̓ ἐμὸν βλάβης" · ϰ̓ ἐν Σεμέλῃ ἢ ὑδροφόροις „Ζεὺς ὃς κατέκτα τῆτον". ἐπίςαται ὁ ποιητὴς καὶ τὸ πληθυντικόν „ἡμεῖς ἔρμα πόλιος ἀπέκταμεν" (Od. 23, 121) ϰ̓ τρίτον πρόσωπον πληθυντικὸν πρώτε ἀορίςε παθητικᾶ κατὰ συγκοπήν „ἐδέ τις Αἰγίσθε, ἀλλ̓ ἔκταθεν ἐν μεγάροισι" (Od. 4, 537) καὶ μέσον δεύτερον ἀόριςον ἐνεργητικόν „Τεῦκρε πέπον δὴ νῶϊν ἀπέκτατο πισὸς ἑταῖρος" (Il. 15, 437), ᾧ ἀκόλυθον ἀπαρέμφατον τὸ „κτάμθ τε πολίτας" (ib. 558)· μετοχαί τε σημαίνουσαι τὸ κτῆμι, ἥ τε κτάς καὶ κτάμενος, ἀπαρέμφατόν τε τὸ κτάμεναι. ὑγιῶς ἄρα Ἀρίςαρχος ἔκταν γράφει, ὡς ἔκταν ἐγώ. A.

ἄλλως. ἔτως Ἡρωδιανὸς μετὰ τῆ ν̄, κατέκταν. A.

320. ἀλλ̓ οὔ πως ἅμα πάντα: ὁ ἀςερίσκος καὶ ὁ ὀβελός, ὅτι εἰ ἀμφότερα αἱρετὰ ἔκρινεν ὁ Νέςωρ, καὶ τὸ γῆρας ϰ̓ τὴν νεότητα, εὐλόγως ἂν ἔλεγεν ἅμα πάντα. μετενήνεκται δὲ ἐξ ἄλλε τόπε, ὅπε φησὶν „ἀλλ̓ ἔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν· ἄλλῳ μὲν γὰ ἔδωκε θεὸς πολεμήϊα ἔργα, ἄλλῳ δ̓ ἐν ϛήθεσσιν" (Il. 13, 729). A.

πάντα: λείπει τὸ ἡδέα ἐνταῦθα. BL.

321. ἔα: ἀπὸ τῦ ἦν διήρηται, ὡς ἦδε ἔαδε, ἦλη ἐάλη. V.

νῦν αὖτέ μεγῆρας ἰκάνει: οὐκ εἶπεν, εἰ τότε ἰχυρὸς ἦν, νῦν εὔβελός εἰμι, διὰ τὸ φορτικόν, ἀντὶ δὲ τῶν ἀρετῶν τὰς ἡλικίας ἐπῄλλαξεν. BLV.

ἰκάνει: Ἀρίςαρχος ὀπάζει, ἐπείγει, ἐλαύνει. ἀπὸ δὲ τῆ κατόπιν ἐσχημάτισαι. A.

322. ἱππεῦσι μετέσσομαι: οὐ γὰρ δύναται πεζὸς μάχεσθαι διὰ τὸ γῆρας. BL.

323. βουλῇ καὶ μύθοισι: ὑπηρετεῖ γὰρ ὁ λόγος τῇ βουλῇ. LV.

τὸ γὰρ γέρας ἐστὶ γερόντων: ἐν τούτῳ γὰρ πρόεχουσιν οἱ γέροντες. V.

324. αἰχμὰς δ' αἰχμάσουσι: πάντα ἀπὸ μέρους τὰ ὅπλα. BL.

324. 325. ἡ διπλῆ, ὅτι παραλλήλως νεώτεροι μὲν ἀντὶ τῶ νέοι, ὁπλότεροι δὲ συγκριτικῶς ἀντὶ τῶ ἐμοῦ νεώτεροι. ἐδέποτε γὰρ ἀντὶ τῶ νέοι εἴρηκε τὸ ὁπλότεροι· τὸ δὲ νεώτεροι κατ' ἀμφοτέρων τίθεται παρ' αὐτῷ, ἢ συγκριτικῶς καὶ ἀπολελυμένως. A.

327. Πετεῶο: ἰξέον ὅτι τότε τῶ ὀνόματος ἡ ἀνάλογος εἰθεῖά ἐστιν ὁ Πετεύς τῶ Πετεῶ ὡς ἐννεύς ἐννεῶ, καὶ Ἀττικῶς κατ' ἐπέκτασιν τῶ ῡ εἰς τὸ ω γέγονε Πετεώς, εἶτα ἡ γενικὴ τῶ Πετεῶ, καὶ κατὰ πλεονασμὸν τῶ ο γέγονε Πετεῶο. AD.

ὡς λαός λεώς, οὕτω Πετεός Πετεώς. καὶ κλίνεται Πετεῶ καὶ πλεονασμῷ τοῦ ῡ Πετεῶο. L.

328. μήσωρες ἀϋτῆς: δυνάμενοι κατὰ μάχην μήσασθαι, ὅ ἐστι βεβεύσασθαι, ἀφ' οὗ ἐπιστήμονες μάχης. οὐκ ἐπεξεργάζεται δὲ τὸ τακτικὸν τοῦ Μενεσθέως· ἠρκέσθη γὰρ Νέστορι. A.

329. ἑστήκει: ἔτως Ἀρίσαρχος Ἰακῶς ἑστήκει. A.

330. πὰρ δὲ: ἴσως ἐπεὶ Κέφαλος ὁ Δηϊόνος Ἀθηναῖος ὢν ᾤκισε τὴν Κεφαλληνίαν, συνετάγησαν αὐτῷ. V.

οὐκ ἀλαπαδναί: ὡς ἀπολογίαν τῆς ἀργίας ποιέμενος ἐκ ἀλαπαδνὰς αὐτάς φησιν. BL.

331. ἡ διπλῆ, ὅτι τὸ ἀκούετο ἀντὶ τῶ ἤκουεν, ἢ ὅτι πτῶσις ἤλλακται· ἐ γάρ πω αὐτοῖς ἤκουεν ἀντὶ τῶ αὐτῶν. A.

ὁ λαός, φησίν, αὐτῶν ἔπω ἤκουσε τῆς βοῆς· οὐ γὰρ ἠλάλαξαν οἱ Τρῶες, ἵνα μὴ νοηθῶσιν. BL.

333. Ἀρίσαρχος χωρὶς τῶ Θ Τρώων ἱπποδάμων. τὸ δὲ Ἀχαιῶν ἄμεινον ἀκέειν ἐπ' Ἀχαιάς. A.

οἱ δὲ: οἱ περὶ τὸν Ὀδυσσέα. L.

334. πύργος: τάξις· συνέσηκε δὲ πύργος ἐκ τξ' ἀνδρῶν. ὁ δὲ τρόπος μεταφορά. A.

εἴτε διὰ τοῦτο ἔσασαν, ἵνα οἱ Τρῶες πρότερον κατάρξωσιν, εἴτε ἵνα τινὲς ἄλλοι τῶν Ἑλλήνων. ἄμφω δὲ ἄλογα, καὶ τὸ ὑπὸ τῶν Τρώων προληφθῆναι (ἐ γὰρ μικρὰ ἢ τῦτο βλάπτει) καὶ τὸ ὑπὸ τῶν οἰκείων· δεῖ γὰρ συντεταγμένους ἅπαντας πολεμεῖν. ἁρμόζει δὲ μᾶλλον τὸ πρότερον, ἵνα οἱ Τρῶες παραβαίνοντες τὰς συνθήκας καὶ τῆς μάχης ἄρξωσιν. ἀλλὰ τάτῳ δοκεῖ ἐναντιῶσθαι τὸ „νῦν δὲ φίλως χ' ὁρῶητε καὶ εἴ δέκα πύργοι Ἀχαιῶν" (347). ἢ λείπει ἡ κατά εἰς τὸ ὁρμήσειεν, ὡς τὸ „ὡρμήθη δ' Ἀχάμαντος" (Il. 14, 488). θέλεσι δὲ πρὸ ἑαυτῶν ἄλλους Ἕλληνας ἄρξασθαι τῆς μάχης, ἀσυκοφαντήτους ἑαυτὺς ἐκ παντὸς πρὸς τὸ θεῖον πειρώμενοι σῶσαι. διὸ καὶ δόλιον αὐτὸν καλεῖ Ἀγαμέμνων, ἐπεὶ οὐ φιλέλλην ἀλλὰ φίλαυτός φωρᾶται. καὶ ὁ μὲν ἕνα πύργον περιμένει, ὁ δ' ὀνειδίζων δέκα πύργοι Ἀχαιῶν φησίν. BLV.

ἔν τισι γράφεται κέν τις Ἀχαιῶν. V.

335. ὅτι ἡ διπλῆ πρὸς τὸ χῆμα, διότι ἔλλειπει ἡ ἐπὶ καὶ πτῶσις ἐνήλλακται· ἔστι γὰρ ἀντὶ τῶ ὡς ἐπὶ Τρῶας ὁρμήσειεν. ὅτι δὲ ἡ κατὰ Ἀρίσαρχον ἔχει καὶ τὸ Ἀχαιῶν, ἄμεινον ἀκέειν ἐπ' Ἀχαιάς· πιθανὸν γὰρ ἐπιμένειν τοὺς Ἕλληνας ἕως ἂν προεπιχειρήσωσιν αὐτοῖς οἱ βάρβαροι ἢ τρόπον τινὰ δεύτερον μετὰ Πάνδαρον παρασπονδήσωσιν. διὸ ἢ μήποτε ἄμεινον ἐν τῇ πολυείχῳ φέρεται „ἔσασαν ὁππότε κέν τις ἐναντίον ἄλλος ἐπελθὼν Τρώων ὁρμήσειε καὶ ἄρξειεν πολέμοιο." A.

338. ὦ υἱὲ Πετεῶο: τὸν μὲν τῇ τῶ πατρὸς ὑπεροχῇ κατῄχυνε, τῷ δὲ παῤῥησιαστικώτερον ὡς φίλῳ ἐπιφέρεται, τοῖς ἄλλοις δι' αὐτῶν τὴν προτροπὴν ποιῶν. BL.

339. κακοῖσι δόλοισι: μέσον γὰρ ὁ δόλος· καὶ ἐπὶ μὲν τῶ κακῶ μόνως, ἐπὶ δὲ τῶ ἀμφοτέρως εἰδότος „εἰδὼς παντοίης τε δόλους" (Il. 3, 202). τῦτο δέ φησιν ὅτι ἢ τῆς βοῆς ἤσθετο καὶ ἀνεβάλετο. BLV.

κεκασμένε κερδαλεόφρον: ἐπὶ κακῶ „ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε" (Od. 19, 395). ἡ δὲ διπλῆ, ὅτι Ζηνόδοτος γράφει φαίδιμ' Ὀδυσσεῦ. ἀσυμφώνως δὲ τῇ ἐπιπλήξει φαίδιμος ἂν νῦν λέγοιτο. A.

340. καταπτώσσοντες: προτρεπτικὸν τὸ πτώσσειν ἀνδρείᾳ ψυχῇ λεγόμενον. BLV.

341. ἐόντας: ἀντὶ τῶ ἐῶσιν. A.

342. καυστειρῆς: „ὡς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο" (Il. 13, 673). V. μάχη καυστειρὰ ἡ θερμὴ καὶ πυρόεσσα. ἡ δὲ γραφὴ τῆς παραληγέσης Βοιώτιος, ὡς ἢ ἡ τῆς ὠτειλῆς. L.

ἀντιβολῆσαι: ἀντιβολεῖν ἀεὶ παρ' Ὁμήρῳ τὸ συναντᾶν καὶ ὡς εἰπεῖν ἄντην βάλλειν ἢ ἐπιτυγχάνειν, παρὰ τοῖς νεώτερος δὲ τὸ παρακαλεῖν, παρὰ τὸ ἄντην ποδῶν βάλλεσθ. διαφορεῖται δὲ κατὰ τὴν σύνταξιν ἡ λέξις, ἐνταῦθα μὲν γενικῇ, ἀλλαχῦ δὲ δοτικῇ. τὸ μέντοι κοινότερον ἀντιβολεῖν αἰτιατικὴν πτῶσιν δηλοῖ. L.

343. δαιτὸς ἀκουάζεσθον ἐμεῖο: ἐ περὶ βρωμάτων ἀλλὰ περὶ τιμῆς ὁ λόγος. τινὲς δὲ τὸ δαιτός τῷ ἐμεῖο συντάττεσιν. B.

ἡ διπλῆ, ὅτι συλληπτικῶς τὸ τῷ Ὀδυσσεῖ συμβεβηκὸς καὶ ἐπὶ τῶ Μενεσθέως κεκοινοποίηκεν· ἐ γὰρ ὁ Μενεσθεύς ἐστι τῶν ἑπτὰ γερόντων, ἀλλ' Ὀδυσσεύς, Διομήδης, ἐδὲ σὺν τῷ Ἀγαμέμνονι εὐωχεῖται. καὶ ὅτι ἀκουάζεσθον εἶπε τροπικῶς ἀντὶ τῶ ἐπαισθάνεσθ, ἐπεὶ ἡ ἀκοὴ εἶδός ἐστιν αἰσθήσεως, καὶ τὸ „ἐδὲ πληγῆς ἄϊοντες" (Il. 11, 532). οὐ λέγει δὲ τῆς ἐμῆς δαιτὸς πρῶτοι ἀκέετε, ἀλλὰ πρῶτοί μ' ἀκέετε περὶ δαιτός. ἔτως Ἀρίσαρχος. λείπειν δέ φασι τὴν περὶ ἐθίμως, ἵν' ᾖ οἱ περὶ δαιτὸς πρῶτοι ἐμᾶ μεταλαμβάνετε. ἔτως Ἀπολλώνιος ἐν τῷ περὶ ἀντωνυμιῶν (p. 137 = 397). A.

344. δαῖτα γέρουσιν: ὡς τὸ „γερέσιον αἴθοπα οἶνον" (259). αἰχρὸν δὲ τὸ ἐν συμποσίῳ τοῖς ἀρίστοις κατα-

λέγεσθῃ, ἐν δὲ πολέμῳ τοῖς ἐχάτοις. ABV. καὶ ὁ Σαρπηδὼν „τί δὴ νῶϊ τετιμήμεθα μάλιστα" (Il. 12, 310). V.

345. μετὰ τὸ ἔνθα φίλ' λείπει τὸ ἔξι. A. φίλα ἀντὶ τῷ φίλως. V.

345. 346. ἤτοι ἐν μὲν τοῖς ὑπομνήμασιν ἐκ ἀθετοῦνται, ἐπαιτιῶνται δὲ αὐτὸς οἱ ἡμέτεροι ὡς ἀπρεπῶς καὶ παρὰ τὰ πρόσωπα εἰς κρεάδιον ὀνειδίζοντος τῷ Ἀγαμέμνονος. A.

346. δασυντέον τὸ μελιηδέος. A.

347. καὶ εἰ δέκα πύργοι Ἀχαιῶν: ἔλυσε τὸ ἔμπροσθεν ἀμφίβολον· ἢ οἱ μὲν ἕνα ἀναμένουσιν, ὁ δὲ ὀνειδίζων δέκα φησίν. BLV.

350. ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων: ὁποῖον τοῦτον λόγον ἐτόλμησας τῷ στόματί σου εἰπεῖν. ἕρκος γάρ φησι τὸ περίφραγμα τῶν ὀδόντων, τὰ χείλη περιφραστικῶς. DV.

φαντασίαν ἐποίησε τῷ ἀπερισκέπτως ἐξενεχθέντος λόγου· πρὸς γὰρ φυλακὴν τῶν φαύλων τέτακται ἡμῖν ἡ φύσις ἐχορήγησεν. BLV.

351. πῶς δὴ φῄς: ἠθικόν ἐστι καὶ τῶν προγεγονότων ὑπομνηστικόν. ἐν μὲν ἓν τῷ μεθιέμεν τελεία, ἐν δὲ τῷ Ἄρηα ὑποσιγμή. BLV.

ἀμφίβολος ἡ ἀνάγνωσις. ἤτοι γὰρ εἰς τὸ μεθιέμεν διασολή, σιγμὴ δὲ τελεία εἰς τὸ Ἄρηα· ἢ εἰς τὸ μεθιέμεν τελεία σιγμή, ὑποσιγμὴ δὲ εἰς τὸ Ἄρηα· ὃ καὶ βέλτιον, ἵνα λέγῃ τότε φανήσεσθῃ ἀνδρεῖος, ὁπόταν πόλεμος ᾖ. A.

ὁππότ' Ἀχαιοί: ταῦτα ἀπὸ ἄλλης ἀρχῆς. V.

353. ἢν ἐθέλησθα: ἐὰν ἀποχόμενος τῶν ἀγώνων ἡμᾶς ἐποπτεύειν βάλῃ. BL.

354. ἡ διπλῆ, ὅτι προτετυπωμένως τὰ κατὰ τὴν Ὀδύσσειαν μνημονεύει τῷ Τηλεμάχῳ. τῷ αὐτῷ ἄρα ποιητῷ καὶ ἡ Ὀδύσσεια. A.

προσυνίσησι τὰ πρόσωπα καὶ τὰς διαθέσεις· ἢ ὡς φιλόδοξος καὶ τὸν παῖδα συνίσησιν. BL.

356. ἐπιμειδήσας προσέφη: χήματι ἅμα καὶ λόγῳ θεραπεύει αὐτὸν διὰ τὴν ὕβριν. B.

357. γνῶ χωομένοιο: ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι τῇ γενικῇ ἀντὶ τῆς αἰτιατικῆς. A.

πάλιν δ' ὅγε λάζετο: εἰς τοὐναντίον μετήγαγε τὸ „καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε" (339). BLV. ψόγον γὰρ εἰπὼν νῦν ἔπαινον λέγει. D.

359. περιώσιον: περισσόν, πλέον τῶ Μενεσθέως. BLV.

362. ἀρεσσόμεθ': εἰς τὸ σοὶ ἀρέσκον μετάξομεν. τεχνικὸν δὲ τὸ ὁμολογεῖν εἰς τὰ μὴ δέοντα ὑπὸ τῆς ὀργῆς ἐξῆχθαι. BL.

366. ἑσταότ' ἔν θ' ἵπποισι: ζηλωτὴς γὰρ Ὀδυσσεὺς Διομήδης, καὶ ἕπος αὐτῷ. πικρότερον δὲ τάττει καθάπτει), ἐπεὶ καὶ ἐφ' ἅρματος ἵστατο· ὃ συνεὶς καθήλατο. εὐτρέπισο μὲν ἓν πρὸς τὴν μάχην, ὅμως Ὀδυσσέα ἀνέμενεν. BL.

367. ἕπος ἐξήκει Ἰακῶς Ἀρίσταρχος. A.

370. Τυδέος υἱέ: τὴν ὕβριν μειοῖ ὁ ἔπαινος τῷ πατρός· ἡδέα γὰρ τὰ τῶν πατέρων ἐγκώμια λεγόμενα. ξενικωτέρας δὲ διαλέξεις βάλλεται εἰσαγαγεῖν· ἢ ἐν κεφαλαίοις μὲν εἴρηται, τῇ δὲ ποιήσει ἐπιτέτακται. B.

371. πτώσσεις: ἐκτάσει Ἀττικῇ τῷ ῃ εἰς ω. L.

πολέμοιο γεφύρας; τὰς διόδους τῶν φαλάγγων. τινὲς περιέργως εἰς τὸ ὁπιπεύεις σίζουσιν, εἶτα τὸ ἐξῆς πολέμοιο γεφύρας. V.

375. οὐδὲ ἴδον: ἀπὸ κοινοῦ τὸ πονεύμενον ἐνταῦθα. δῶμεν δὲ τὴν ἀδολεχίαν τῷ τεταραγμένῳ Ἀγαμέμνονι. BL.

376. ἄτερ πολέμου εἰσῆλθε Μυκήνας: Οἰδίπους ἀποβαλὼν Ἰοκάστην ἐπέγημεν Ἀστυμέδουσαν, ἥτις διέβαλε τοὺς προγόνους ὡς πειράσαντας αὐτήν. ἀγανακτήσας δὲ ἐκεῖνος ἐπηράσατο αὐτοῖς δι' αἵματος παραλαβεῖν τὴν χώραν, καὶ παρέδωκε τὴν βασιλείαν αὐτῶν Ἐτεοκλεῖ, ὃς ἐξέβαλε Πολυνείκην τὸν ἀδελφὸν αὐτῷ ὡς πρεσβύτερος. παραγενόμενος δὲ ἔτος εἰς Ἄργος εὗρε Τυδέα φυγάδα· βοηθῶν γὰρ κἀκεῖνος τῷ πατρί, τὸν ἐναντιόμενον ἀποκτείνας ἀνεψιὸν ἔφυγεν. Ἄδραστος δὲ θεασάμενος αὐτὸς ἡμφιεσμένους θηρῶν δοράς, Τυδέα μὲν συός, Πολυνείκην δὲ λέοντος, συνέβαλε τὸν χρησμόν· ἦν γὰρ αὐτῷ δεδομένος κάπρῳ καὶ λέοντι ζεῦξαι τὰς θυγατέρας. καὶ δίδωσι Τυδεῖ μὲν Δηϊπύλην, Ἀργείαν δὲ Πολυνείκει. πέμψας δὲ εἰς Μυκήνας συμμαχίαν, ἤτει ἐπὶ Θηβαίους. Θυέστης μὲν ἓν προθύμως ἐδίδου, σημεῖα δὲ αὐτὸν ἐκώλυσε φαῦλα. ἐπελθόντες οὖν ἐν ταῖς Θήβαις οἱ Ἀργεῖοι πέμπουσι πρεσβευτὴν Τυδέα, ὃς καταλαβὼν γυμνικὸν ἀγῶνα καὶ συμμαχούσης Ἀθηνᾶς νικᾷ τὰ πάντα, ὑποστρέφων δὲ πεντήκοντα νεανίας ἐνεδρεύοντας αὐτὸν συλλαβεῖν ἀναιρεῖ. ADL.

377. ξεῖνος: ξένος καὶ ὁ δεχόμενος καὶ ὁ δεχθείς· „ξεῖνος γάρ μοι ὅδ' ἐστί" (Od. 8, 208). πρόξενος ὁ ὑπὸ πόλεως ἠξιωμένος ὥστε ἐν τῇ σφετέρᾳ προΐζεσθῃ αὐτῆς. ἰδιόξενος, ὡς ὁ Μέντωρ τῷ Τηλεμάχῳ. ἀξόξενος ὁ ἐκ προγόνων ἐπιχώριος, ὡς Ἀτρεὺς Φρυξὶ καὶ Τεῦκρος Τρωσί. δορύξενος, ὡς Γλαῦκος καὶ Διομήδης. BLV.

γράφεται καὶ κεῖνος. τὸ δὲ ἀγείρων παρατατικῶς. ἰστέον δὲ ὅτι ἐπὶ τὰς τοιαύτας λειτουργίας δύο ἐπέμποντο κατάσκοποι πρέσβεις. ἡ ἀναφορὰ δέ, ὅτι καὶ ὁ Φοῖνιξ ἐν ταῖς λιταῖς πρεσβεύει. A.

378. ἱερά: διὰ τὸ μαντικῇ γεγενῆσθῃ. V.

Θῆβαί εἰσιν αἱ πᾶσαι τρεῖς, ὧν μέμνηται ὁ ποιητής· καὶ μία μὲν ὧν ποιεῖται νῦν λόγον· αἱ Ὑποπλάκιοι, ὧν μέμνηται ἐν τῇ Α καὶ τῇ Ζ, καὶ αἱ Αἰγύπτιαι, περὶ ὧν φησιν ἐν τῇ Ι. AD.

379. λίσσοντο: τὰς Μυκηναίας. V.

380. ἐκέλευον: ἀντὶ τῷ παρεκάλουν· „ἔνθα δ' ἔπειτα ἄναξ κέλομαι" (Od. 11, 71). V.

381. ἀλλὰ Ζεύς: ἠρέμα ἀπολογεῖται· ἄτοπον γὰρ ἦν προτρέπειν, ᾧ συμμαχίας μὴ μεταδέδωκεν. V.

παραίσιμα: παρὰ τὴν αἶσαν. ἢ αἴσια περὶ ζωῆς ἡμῖν φαίνων παρέτρεψεν. V. ἐναντία, παρεκτὸς τῇ αἰσίᾳ, ὃ ἐστιν ἅπασι χαλεπά. D.

382. πρὸ ὁδοῦ: ἔμπροσθεν τῆς ὁδοῦ, ὃ ἐστιν εἰς Θήβας

τινὲς δὲ εἰς τὸ ἐγένοντο ὑποζίζουσι, καὶ τῷ λεχεποίην τὴν τελείαν παρέχονται, πλεονάζειν λέγοντες τὸν δέ. BL.

383. λεχεποίην: βαθεῖαν πόαν ἔχοντα, ἐξ ἧς ἔξι καὶ λέχος ποιῆσαι, ὃ ἐξι κοίτην. D.

εἰ μὲν τὸ λέχος ἔγκειται, τροπῇ λεχοποίην λεχεποίην· εἰ μὴ τὸ λέχος ἔγκειται, ἐχεποίην, πλεονασμῷ τῆ λ. ὥστε εἰ μὲν τὸ ἔχειν ἔγκειται, πλεονασμός, εἰ δὲ τὸ λέχος, ἀντίθεσις. πρὸς τὴν διάφορον ἐτυμολογίαν διάφορον πάθος. A.

παρὰ τὸ λέχος ἢ τὸν λόχον. BL.

384. ἀγγελίην ἔπι: πλησιάσαντες τοῖς Θηβαίοις οἱ Ἀχαιοὶ ἔπεμψαν τὸν Τυδέα πρὸς αὐτές, ἐντευξόμενον δηλονότι αὐτοῖς τοῖς Θηβαίοις περὶ ὧν ἐνόμιζον ἐγκαλεῖν οἱ Θηβαῖοι. A.

Τυδῆ: ὡς „ἀλλ' Ὀδυσῆ ποθέουσα" (Od. 19, 136) καὶ „Μηκιστῆ δ' ἔλε Πελυδάμας" (Il. 15, 339). V.

386. αὐτὰρ ὁ βῆ: ἴσως ἐπὶ τυραννίδι. V.

βίης Ἐτεοκληείης: περιφραστικῶς, τῆ Ἐτεοκλέες.

387. ξεῖνος: καίπερ πολέμιος ὑπάρχων. V.

389. ἀεθλεύειν προκαλίζετο: μετὰ τὸ δεῖπνον οἱ ἀγῶνες ἐγίνοντο· „νῦν δ' ἐξέλθωμεν καὶ ἀέθλων πειρήσωμεν" (Od. 8, 100). καὶ Πηνελόπη τὸ τόξον μετὰ τὸ δεῖπνον τίθησιν. ἴσως δὲ καὶ τὰς ἄλλας Ἀργείας εὐτέλιξον διὰ τὸ αὐτῆ βραχύ. βελόμενος ἓν τῆ μάμᾳ ἑαυτὸν ἀπαλλάξαι καὶ τὰς οἰκείας τᾶτο ποιεῖ. BL.

πάντα: ἀντὶ τῆ ἐν παντὶ ἀγωνίσματι. D.

390. ὁ ἀετρίσκος, ὅτι ἐνταῦθα ὑγιῶς τέτακται, ἐν δὲ τῷ τῆς Ἀθηνᾶς πρὸς τὸν Διομήδη λόγῳ (Il. 5, 808) ἐκέτι. A.

391. κέντορες ἵππων: ἔνθεν καὶ εὐάρμοζον τὴν Θήβην φησὶν ὁ Πίνδαρος (fr. 207, ubi εὐάρματον). V.

392. λόχον εἶσαν: ἵνα μὴ τοῖς Ἀργείοις ἀπαγγείλῃ τὴν ἀθένειαν Θηβαίων. BL.

394. ἔτως Μαίων βαρυτόνως, εἰς ἀποφυγὴν τῆ ἐθνικοῦ. A.

ἄλλως. τὸν Μαιονά τινες σοχάζονται κήρυκα γεγονέναι διὰ τὸ μόνον αὐτὸν σωθῆναι· ἱερὸν γὰρ ἦν τὸ γένος τῶν κηρύκων, διὸ φορτικὸν ἦν ἐντρίζειν αὐτές· ὅθεν καὶ παροιμία ἐλέχθη τὸ πρίσβυς ἀ τύπτεται ἀδὲ ὑβρίζεται. AD.

395. Πολυφόντης: γράφεται Λυκοφόντης. A.

396. καὶ τοῖσιν: ἀ μόνον, φησί, τοὺς προκληθέντας ἐνίκησεν ἀλλὰ καὶ τὰς ἐνδρευκότας. BLV.

πότμον: γίνεται παρὰ τὸ πέτω ποτῶ, ἐξ αὐτῆ πότος καὶ πλεονασμῷ τῆ μ πότμος. σημαίνει δὲ τρία, τὸν θάνατον καὶ τὴν ἐχάτην σύμπτωσιν τῆ βίᾳ, ἀπὸ τῆ πεσεῖν· ἐπὶ δὲ τῆς τύχης παρὰ τὴν μετάπτωσιν, ὅθεν καὶ Μένανδρός φησι „τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ." L.

398. θεῶν τεράεσσι πιθήσας: ἡ Ἀθηνᾶ γὰρ αὐτῷ εἶπεν. ἢ ἐάγη αὐτῆ τὸ δόρυ. BLV.

400. ἀγορῇ δέ: ἐν δὲ τῷ δήμηγορεῖν· πάνυ γὰρ συνετὸν πανταχοῦ ὑποτίθεται τὸν Διομήδην ὁ ποιητὴς ἐν τοῖς νέοις. D.

ἀγὰρ μετεῖχε λύγρ Τυδεύς. Ἀντίμαχος δέ φησιν ὅτι παρὰ συφόρβοις ἐτράφη· καὶ Εὐριπίδης „ἀδ' ἐν λόγοις ἦν δεινὸς ἀλλ' ἐν ἀσπίδι." πιθανῶς δὲ προφυλαξάμενος ἀγορητὴν τὸν Διομήδην φησίν, ἵνα πρὸς τὴν ἀπολογίαν ὀκνήσῃ διὸ ἀδὲν προσφθέγγεται ὁ Διομήδης. ABV.

σὺν τῷ ν ἀμείνων Ἀρίσαρχος, ἵνα καθ' ἑαυτὸ λέγῃ ἐπιπληκτικῶς. ἐλλείπει δὲ τὸ ἔξι ῥῆμα. A.

401. τὸν δ' οὔτι προσέφη κρατερὸς Διομήδης: πῶς ἔτος νεώτερος ὢν τὴν ἐπίπληξιν ἤνεγκεν, ὁ δὲ Ὀδυσσεὺς καὶ πρεσβύτερος καὶ φρονιμώτερος ὢν ὠργίσθη καὶ ἐχαλέπηνε; ῥητέον δὲ ὅτι διὰ αὐτὸ τᾶτο, ἐπεὶ καὶ πρεσβύτερός ἐξι καὶ φρονιμώτερος, τὴν βλασφημίαν ἀ φέρει τιμᾶσθαι γὰρ σφᾶς αὐτὲς οἱ πρεσβύτεροι νομίζουσι δεῖν. ἄλλως τε ἀχ ὁμοίως ἀμφοτέροις ἐπέπληξε, τὸν μὲν πανῆργον εἰπών, τὸν δὲ τῆ πατρὸς ἧττονα· ὁ γὰρ τοῦ πατρὸς ἔπαινος ἐμεῖο τὴν ὕβριν. πρὸς τούτοις ἐπιπληχθεὶς ὡς λάλος οὐκ ἠμελλεν ἐπιβεβαιῶν τὸ λάλος εἶναι. BL.

402. αἰδεσθεὶς βασιλῆος ἐνιπήν: σώφρων, ὅσις ἀδέποτε τὰς πολεμίας δείσας φοβεῖται τὴν ἐπίπληξιν τοῦ στρατηγᾶ. καὶ νῦν μέν, ἵνα μὴ δοκῇ εἶναι λάλος, ἡσυχάζει· τοῖς γε μὴν ἔργοις δείξας ἑαυτὸν ἐφάμιλλον τῷ πατρί φησιν „ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας" (Il. 9, 34). καὶ τὸ καρτερός δὲ νῦν ἔμφασιν ἔχει, πληρᾶν ὃ παρέλιπεν ὁ βασιλεύς. BL.

404. μὴ ψεύδε': τὸ πλῆρές ἐξι μὴ ψεύδεο· ἀρκεῖ ἐν ἢ ὀξεῖα. A.

μὴ ψεύδεαι: ὡς τὸ νήχεαι. Ἡρωδιανὸς δὲ τὸ ἐντελὲς ψεύδεό φησιν. V.

ἡμεῖς τοι πατέρων: περὶ ἑαυτοῦ λέγει Σθένελος καὶ Διομήδες· ἔτοι γὰρ μόνοι τῶν ἐπιγόνων ἐστρατεύκεισαν ἐπὶ Ἴλιον. ἐπίγονοι δὲ ἐκλήθησαν τῶν ἐπὶ Θήβας στρατευσαμένων οἱ παῖδες. AD.

παροιμία „τίς πατέρ' αἰνήσει, εἰ μὴ κακοδαίμονα τέκνα;" LV. ἐν τῷ τῆς ἀρετῆς ἀγῶνι ἀδὲ γονεῦσί φησι δεῖν παραχωρεῖν· φησὶ γὰρ „υἱός θ' υἱωνός τ' ἀρετῆς πέρι" (Od. 24, 514). παρύψωσε δὲ καὶ ἑαυτὸν τῷ μέγα καὶ τὴν μαρτυρίαν ἐπήγαγε. τοῦτο δέ, ὅτι οὐ δεῖ ταῖς τῶν προγόνων ἀρεταῖς κοσμεῖσθαι. LV.

ὁ τρόπος ἐπαναφορά. στρατεύσαντες μὲν ἦν οἱ τῶν ἀρχαίων ἀπόγονοι τὰς Θήβας κατέσκαψαν καὶ τὸν βασιλέα Λαοδάμαντα τὸν Ἐτεοκλέες ἀνεῖλον, ἐννέα ὄντες τὸν ἀριθμὸν ἔτοι, Αἰγιαλεὺς Ἀδράστ, Θέρσανδρος Πολυνείκους, Διομήδης Τυδέως, Σθένελος Καπανέως, Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράω, Στρατόλαος Παρθενοπαίω, Πολύδωρος Ἱππομέδοντος, Μέδων Ἐτεόκλε. BLV.

406. Θήβης ἔδος: περιφραστικῶς τὰς Θήβας. ἔδος δὲ ἵδρυμα, ἔδαφος. D.

ἑπταπύλοιο: πρὸς γὰρ τὴν ἑπτάχορδον Ἀμφίονος λύραν ἡρμόσθη. V.

407. ἀγαγόνθ': ἐπειδὴ δύο εἰσὶν οἱ κακολογούμενοι. ἔδειξε καὶ νῦν τὴν σύμπνευσιν αὐτῶν· καὶ „αὐτὰρ ἐγὼ Σθένελός τε" (Il. 9, 48?). BL.

ἀπὸ τότε ἕως τῶ κεῖνοι δὲ σφετέρῃσιν (409) ἀθετοῦνται εἴκοι τρεῖς, ὅτι ἐπιλύει τὸ διὰ τῶν προειρημένων λεγόμενον. ᾗ εἰ μὲν ἐφ' ἑαυτῶ ᾗ τῶ Διομήδης λέγει ἀγαγόντε, ὑγιῶς τὸ δυϊκὸν παρείληπται, ψεῦδος δὲ περιέχει· ἐ γ' μόνοι ἐπεστράτευσαν. εἰ δὲ ἐπὶ πάντων τῶν στρατευσάντων, συγχεῖ τὸ δυϊκὸν καὶ ἐκλύεται ἡ ἀλκή· γίνονται γ' οἱ πατέρες ἀλκιμώτεροι, ἤτοι δὲ διὰ τὸ τὰς θεοὺς συνεργεῖν πεπορθηκότες. A.

ἄρειον: ἤτοι τὸ Ἄρεως ἱερόν, ἢ τῶ ἐν Τροίᾳ· ὅπερ καὶ βέλτιον. A.

τῶ παυροτέρω λαῶ βέλτιον. ἢ καθ' ὃ Ἄρεος ἦν ἱερόν, ὡς καὶ Λίρκη. V.

409. σφετέρῃσιν· ἀτασθαλίῃσιν ὄλοντο: ὑποφαίνει ὡς καὶ νῦν διὰ δεισιδαιμονίαν ἐκ ἠθέλησαν ἄρχειν τῆς πρὸς τοὺς Τρῶας συμβολῆς. BLV. ἦν οἱ πατέρες μὴ κτησάμενοι ἀπώλοντο. BL.

410. Ἀρίσαρχος ἐν ποιεῖ τὸ ἔνθεο ἀντὶ τῶ ἔνθα, ἵνα γένηθ' Ἀττικόν, ὅμοιον τῷ „μὴ ψεῦσον ὦ Ζεῦ·" Ἀπολλώνιος δὲ διασέλλει τὸ ἔν, ἵνα γένηται ἐν ὁμοίᾳ. A.

412. τέττα σιωπῇ ἧσο: δασυντέον τὸ ἧσο. A. καὶ ἐκδεκτέον ἀντὶ τῶ διάτριβε, ὡς τὸ „ἧμαι ἐνὶ Τροίῃ" (Il. 24, 542). ἢ ἀντὶ τῶ ἔσο, γίνου. V.

ἄλλως. ἐκ ἔπρεπεν αὐτὸν εἰς πόλεμον προερχόμενον καθέζεσθ. βέλτιον ἓν λέγειν τὸ μετὰ σιωπῆς ἔσο (ἧσο ἤτοι μένε D). AD.

ἔχει δὲ ἐπίδειξις χρηστὴ ἦθος τὸ μὴ δεῖν ταῖς τῶν πατέρων ἐπαίρεσθ συμφοραῖς· καὶ ἐνδείκνυται τῷ βασιλεῖ ὡς ἀδίκως μὲν ὕβρισαι, συγγινώσκει δὲ διὰ τὸν καιρόν. τὸ δὲ τέττα ἐπίρρημά ἐχει χειλιαρχικόν, ἀντὶ τῶ νήπιε, ὑπὸ πρεσβυτέρω λεγόμενον πρὸς νεωτέρον. BL. προσφώνησις τιμητικὴ νεωτέρω φίλω πρὸς παλαιότερον. D.

ἢ διπλῆ, ὅτι προσφώνησίς ἐχει φιλεταιρικὴ ἀμετάφραστος καὶ ἀμετάληπτος. λέγουσι δέ αὐτό τινες ἐπίρρημα χειλιαρχικόν· οἱ δὲ κατὰ πάθος ἀπὸ τῶ τέτληθι φασιν εἶναι· οἱ δέ, ὡς βάπτω βαπτίζω, ἕτως τέπτω τέττω τεττίζω ᾗ τιτίζω· ἤδη γάρ τινες ἀξιοῦσι γράφειν „ἔνθ' ὄγε τοὺς ἐλεεινὰ κατήθιε τιτίζοντας" (Il. 2, 314). ἐξ αὐτῆς τέττης, καὶ κλητικὴ τέττα. ἕτω Σωτήρας. AV.

413. οὐ γὰρ ἐγὼ νεμεσῶ: αἰδεῖται μὲν ἀποκρίνεσθ πρὸς τὸν βασιλέα, ὅμως οὐ παραλέλοιπε τὴν πρὸς αὐτὸν ἀπόκρισιν ἐν τῷ πρὸς Σθένελον λόγῳ. δέδεικται οὖν ᾗ ἐκ τότε τὸ περὶ τὰς ἀποκρίσεις αὐτῆ φιλότιμον· διὰ τοῦτο γ' ἐκ ἀντιλέγει ὅτι ἀμείνονα τῆ πατρὸς αὐτὸν ἐν τῇ δημηγορίᾳ εἶπεν. νομοθετεῖ δὲ ποῖον δεῖ εἶναι πρὸς τὰς ἄρχοντας ὡς καὶ τῆς φθορᾶς καὶ τῆς σωτηρίας μέλλοντας αἰτίαν ἔχειν. BLV.

420. ἔβραχε: ἤχησεν. ὀνοματοποιία ὁ τρόπος. D.

421. ὀρνυμένοιο: τοῖς ἄνω προσδοτέον τὸ ὀρνυμένῃ, ᾗ εἰκτέον πρὸ αὐτῆ τελεία. δύναται δὲ ᾗ τοῖς ἑξῆς προσδιδόναι τις αὐτό, τελείας εἰγμῆς πρὸ αὐτῆ ἔσης, ἵν' ᾖ ὁ λόγος, ὁρμῶντος αὐτῆ ᾗ τὸν ἀνδρεῖον φόβος κατέλαβεν. A.

422. ὣς δ' ὅτ' ἐν αἰγιαλῷ: ἐ πρὸς τὸν ἦχον, ἀλλὰ τὴν ἐπάλληλον τῶν φαλάγγων φοράν· πορεύονται γ' „σιγῇ δειδιότες σημάντορας" (431).

423. Ζεφύρου ὑπο κινησαντος: Πτολεμαῖος ὁ τῆ Ἀρισονίκη καὶ Νικίας καὶ Τυραννίων ἀναγράφουσιν· οἱ δὲ ἄλλοι παρέλκειν φασὶ τὴν πρόθεσιν, ἔνθεν καὶ φυλάσσει ὁ τόνος ὁμοίως τῷ „ἔσκεν ὑφηνίοχος" (Il. 6, 19) καὶ „Ποσειδάωνος ὑποδμώς" (Od. 4, 386). A.

Πτολεμαῖος ἀναγράφει τὴν πρόθεσιν, καλῶς· οἱ δὲ ἄλλοι παρέλκειν αὐτὴν φασι καὶ τὸν τόνον φυλάττειν. B.

Ζέφυρον παρέλαβεν ἄνωθεν ἐπικυλίοντα τὰ κύματα, ἠρεμαίως τε ἄρχεται, ἐπιτείνεται δὲ ὕστερον· διὸ ᾗ τὸ ὑποκινήσαντος. καὶ ἕτως κατὰ μέρος αὔξει τὰ τῆ πολέμου, προαννυφοῖ δὲ καὶ νῦν τὸ Διομήδης πρόσωπον. BL.

425. βρέμει: ἠχεῖ. βρόμος δὲ κυρίως ὁ τοῦ πυρὸς ἦχος. D.

426. ἐὸν: Ἀρίσαρχος διὰ τῆ ῑ ἰόν. A.

ἀποπτύει δ' ἁλὸς ἄχνην: πτύελος γ' τῆς θαλάσσης ἐστὶν ὁ ἀφρὸς ὃν ἐρευγομένη ἐκχέει. ἄλλοι δὲ καὶ φυκίον φασίν. ABV.

τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα, τὸν ἀφρόν, ὅπερ καὶ φυκίον φασίν. D.

429. ἀκὴν ἴσαν: ὅμοιον τῷ „ἀκὴν ἐγένοντο σιωπῇ" (Il. 3, 95). τὸ δὲ ἑξῆς ἕτως, οἱ δὲ ἄλλοι ἀκὴν ἴσαν σιγῇ. ἄῤῥητος δὲ ἡ ἐπίνοια σιωπὴν τοσούτου στρατῆ εἰκάσαντος ἀφωνίᾳ. ὑποφαίνει γῶν ἄκρως ὡς εὐπειθεῖς Ἕλληνες, τὰς πολεμίους ἐ δεδιότες, ἀλλὰ μᾶλλον τοὺς ἡγεμόνας. BLV.

ἢ διπλῆ, ὅτι ὡς πρὸς ὑποκείμενον πρόσωπον λέγει ἐδέ κε φαίης ἀντὶ τῶ ἐδὲ φαίη τις ἄν. τὸ δὲ ἑξῆς, οἱ δ' ἄλλοι ἀκὴν ἴσαν σημάντορας δεδιότες. τὰ δὲ ἄλλα διὰ μέσου. A.

433. Τρῶες δ' ὥστ' ὄϊες: εἴωθεν ἀεὶ ἀντιπαραβάλλειν τὸ θορυβῶδες τῶν Τρώων. δεινὸν δὲ καὶ κατωφερὲς ἡ ὒϊς. BL.

πολυπάμονος: πολυθρέμμονος, πλεσίβ. D. πάματα γ' καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα καὶ πάσασθαι τὸ κτήσασθ, ἐκτεινομένῃ τῆ ᾱ. AD.

πάμματα παρὰ Δωριεῦσι τὰ κτήματα, ἀπὸ τοῦ πῶ τὸ κτῶμαι, ἐξ ἧ καὶ πηός. ἴσως δὲ καὶ Αἰολικόν ἐστι διὰ τὰ δύο μ. L.

434. γάλα λευκόν: Πορφυρίου. αἰτιῶνταί τινες τὰς τοιαύτας προσθήκας ὡς περιττάς, γάλα λευκόν· ποῖον γ' γάλα μέλαν; τάφρον ὀρυκτήν (Il. 8, 179)· πῶς γ' ἂν γένοιτο τάφρος; ὑγρὸν ἔλαιον (Il. 23, 281)· ξηρὸν γὰρ πότ' ἂν γένοιτο; ὀφθαλμοῖσιν ἰδών (Il. 3, 28)· πῶς γὰρ ἄν τις ἴδοι; οἱ δ' ἔασι πάντες ἄκρον (Il. 12, 442)· οὐ γάρ πως ἄλλῃ αἰσθήσει ἀκέομεν. ἀλλ' ὅτε δὴ Λυκίην ἵξε Ξάνθον τε ῥέοντα (Il. 6, 172)· ποῖος γ' ἄλλος ποταμὸς ἐ ῥεῖ; ἔχει δὲ ἡ μὲν ὀρυκτὴ τάφρος ἤτοι ἀντιδιαιρεμένη πρὸς τὰς ἐκ ἐξ ὀρύγματος συνισαμένας τάφρους, ἐκ χάσματος δὲ γῆς ἢ ἐξ ὑδάτων παρόδου ἢ ἐξ ἄλλης αἰτίας· ἡ ὀρυκτὴ τάφρος ἡ

βαθὺ τὸ ὄρυγμα διαφαίνεσα· ὅταν γὰρ βαθὺ γένηται σκάμμα καὶ ἐπικίνδυνον εἰς διάβασιν, τότε ἀπείληφε τῆ ὀρύγματος τὴν δύναμιν. τὸ δὲ γάλα λευκόν, ὅτι σκιὰν ἐκ ἐπιδέχεται. ὑγρὸν δὲ τὸ ἔλαιον, ὅτι τὰ μὲν ἄλλα ὑγρὰ ἐκχυθέντα, εἰ καὶ παραυτίκα τὰ δευθέντα μαλακύνει, ἀλλ' ἂν ταχέως ξηραίνεται καὶ ἐκβληθέντα κραῦρα καὶ περίξηρα καταλείπει τὰ δεδευμένα· τὸ ἔλαιον δὲ ἐπὶ πολὺ διαμένει καὶ ἀνυγραίνει τὸ δεξάμενον, μαλακώτερόν τε ποιεῖ πρὸς τὴν ἁφὴν τὸ φύσει ἀπαλόν. τὸ δὲ ἰδεῖν ὀφθαλμοῖσιν ἀντιδιαίρεσιν ἔχει πρὸς τὸν διὰ φαντασίας βλέποντά τι, ὥσπερ καὶ κατὰ τὰς ὕπνους δοκεῖμεν ὁρᾶν τι καὶ διηγεμένων ἄλλων ἀναπλάσσομεν τὰ διηγήματα· τὸ δὲ θεάσασθαι δι' ὀφθαλμῶν σημαίνει τὴν ἐναργῆ θέαν καὶ τὴν δι' αὐτῆ κατάληψιν διὰ τῆς οἰκείας πρὸς τὸ ὁρώμενον αἰσθήσεως. ὡσαύτως δ' ἔχει τὸ ἄσασιν ἀκῆσαι, τὸ τὸν παρόντα αὐτὸν ἀκῆσαι τῆ λέγοντος καὶ μὴ ἄλλο ἀγγέλλοντος ἀκῆσαι λόγον, ὡς καὶ ἐν συνηθείᾳ εἰώθασι λέγειν παρὰ ζώσης φωνῆς ἀκηκοέναι, καὶ μήτε διὰ γραπτῶν λόγων ἀκῆσαι μήτε τὰ παρ' ἄλλο διηγεμένα. Ξάνθον τε ῥέοντα· ἤτοι ἐπεὶ Ξάνθος ἐστὶ καὶ πόλις τῆς Λυκίας, διέκρινε τὸν ποταμὸν τῷ ῥεύματι, ἢ τὸν σφόδρα ῥέοντα βέλεται λέγειν, ὡς τὸν δινήεντα· ἢ Ξάνθον ῥέοντα, ὡς εἰ ἔλεγε Ξάνθε ῥοάς· ἢ τὸν καλῶς ῥέοντα, ὡς „ποιητὰς ἐσέχυντο πύλας" (Il. 12, 470) τὰς εὖ πεποιημένας· ἢ ποιηταὶ πύλαι αἱ τέλος ἤδη λαβοῦσαι καὶ ἀποτετελεσμέναι. καὶ ὅλως ἐπὶ πάντων τῶν τοιούτων ζητῶν τις εὑρήσει εὔλογον τὴν τῆς προσθήκης αἰτίαν. BLV.

435. ἀζηχὲς: ἀκατάπαυστον. V. ἀδιαλείπτως, συνεχῶς. D. ἠΰξησε τὸν θόρυβον παραλαβὼν τὰς ὄις ἀντιμεταζώσας τοῖς νεογνοῖς. BLV.

436. ἀλαλητὸς: λαλητὸς καὶ ἀλαλητός, πλεονασμῷ τοῦ ᾱ. V.

437. οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος: Πορφυρίω. εἰκότως τὸ βάρβαρον θορυβεῖ μᾶλλον, ἑτερόγλωσσον ὄν· ὃ γὰρ μή ἐστιν ὁμόφωνον, τοῦτο ἀνάγκη θορυβῶδες. BLV.

439. ὦρσε δὲ τοὺς μὲν Ἄρης: μεγαλοπρεπὴς ἡ φαντασία· δεῖ γὰρ αὐτὰς ὅμοια τῶν ἡγεμένων πράσσειν, ἄλλως τε καὶ τὴν πρώτην συμβολὴν μᾶλλον αὔξει. BLV.

αἱ διπλαῖ, ὅτι διὰ μέσου τῶν Τρωϊκῶν θεῶν τέταχε τὴν Ἀθηνᾶν, καὶ ὅτι Δεῖμος καὶ Φόβος Ἄρεος υἱοί. πλανηθεὶς δ' Ἀντίμαχος ἵππων Ἄρεος ὀνόματα ἀποδέδωκεν „Δεῖμός τ' ἠδὲ Φόβος πόδας αἰνετώ, νἷε θυέλλης." A.

440. Δεῖμός τ' ἠδὲ Φόβος: Ἄρεος καὶ Ἀφροδίτης παῖδες, κατὰ δέ τινας ἐκ υἱοὶ ἀλλ' ἵπποι. D. δαίμονες ἐκ τῶν ἡμετέρων παθῶν πεπλασμένοι, ἃ σύμμαχοι. V. παραγενέσθαι δὲ αὐτὰς φησιν ἐχ ὡς συμμάχους, ἀλλ' ἐκ τῶν ἡμετέρων παθῶν ἐπλάσατο. BL.

καὶ Ἔρις: περὶ τῆς Ἔριδος ἐδ' ὑπεσταλμένως ἠλληγόρησεν Ὅμηρος, οὐδ' ὥστε δεῖσθαι λεπτῆς τινὸς εἰκασίας, ἀλλ' ἐκ τοῦ φανεροῦ τὰ κατ' αὐτὴν πεπόμπευκεν „ἣ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει." διὰ γὰρ τούτων τῶν ἐπῶν οὐ θεὰ οὕτω τις παντάπασι τερατώδης ὑφ' Ὁμήρου μεμόρφωται, τὰς πρὸς ἑκάτερον μεταβολὰς τοῦ σώματος ἀπίσως ἔχουσα, καὶ ποτὲ μὲν ἐπὶ τῆς γῆς ἐρριμμένη, ποτὲ δ' εἰς ἄπειρον αἰθέρος ἐκτεινομένη μέγεθος, ἀλλ' ὅπερ ἔθος συμβαίνειν ἀεὶ τοῖς φιλονεικοῦσι πάθος ἐκ ταύτης τῆς ἀλληγορίας ἐδήλωσεν· ἀρχομένη γὰρ ἀπὸ λιτῆς αἰτίας ἡ ἔρις, ἐπειδὰν ὑποκινηθῇ, πρὸς μέγα δή τι κακὸν διογκῶται. καὶ ταῦτα μὲν ἴσως μετριώτερα. B.

ἄμοτον: ἄπληστον, πολύ. B. ἀπλήρωτον. ἀφ' ἧ καὶ μότα τὰ ἐπιτιθέμενα τοῖς κοίλοις τραύμασιν ὀθόνια πρὸς ἀναπλήρωσιν τῆς σαρκός. AD.

441. κασιγνήτη: ἀπὸ τῆς ὁμοιότητος τῶν παθῶν πλάττει καὶ τὰς συγγενείας, ὡς Δεῖμος καὶ Φόβος καὶ „φύζα φόβου κρυόεντος ἑταίρη" (Il. 9, 2). ἔστιν ἓν ἀδελφὴ οὐ τῇ συγγενείᾳ ἀλλὰ τοῖς τρόποις. ποιητικῶς δὲ καὶ τῆς Ἔριδος τὸ πάθος ἐσήμανεν. BLV.

442. ὀλίγη: ἐξ ὀλίγου καὶ ἐκ μικροῦ πράγματος μικρά. καὶ ἔστι ποσότης ἀντὶ πηλικότητος. D.

κορύσσεται: μετεωρίζεται, αὔξεται. ἢ μεταφορὰ ἀπὸ τῆς κόρυθος. D.

445. ὀφέλλουσα γόνον ἀνδρῶν: ἀπὸ γὰρ τοῦ ἐρίζειν καὶ πλείων ὁ φόνος γίνεται. BLV.

447. σὺν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα: τὰς μὲν πρὸς τὸ μηδὲν παθεῖν, τὰ δέ, ἵνα τι δράσωσιν. BLV.

448. ἡ διπλῆ, ὅτι ἐξ ἐπαναλήψεως λέγει ἀτὰρ ἀσπίδες· προείρηκε γὰρ σὺν ῥ' ἔβαλον ῥινούς. A.

ὀμφαλόεσσαι: τὰς εὐομφάλους, ὡς πύλας ποιητάς ἤτοι εὐποιήτους. ὅτε μὲν ἓν αὐτὰς εὐκύκλους ὅτε δὲ ὀμφαλοίσσας καλεῖ, τὴν ἀπὸ τοῦ κέντρου πρὸς τὸ τέλος τυπῶν αὐτῶν ἰσότητα, καὶ πάντοσ' ἴσας. BL.

449. ὀρυμαγδός ἐστι πόλεμος ἢ ὕδατος ἦχος, ἔχων ἐπὶ πολέμου κτύπον ὅπλων, στρατιωτῶν ἀλαλαγμόν, ἡγητόρων παράκλησιν, εὐχὴν ἀγωνιώντων, οἰμωγὴν ἀπολλυμένων, θρῆνον ἐπὶ πεπτωκόσιν. ἔστιν ἓν ὀρυμαγδὸς ἔνθα ὄρνυται ὅμαδος, AL,

450. οἰμωγή τε καὶ εὐχωλή: ἀκριβῶς ἔχει ἡ λέξις· πρότερον γὰρ ὁ παθὼν ἀνοιμώζει, εἶθ' ὁ δράσας ἐπ' αὐτῷ μεγαλαυχεῖ, BLV,

Θεκυδίδης „πάντα ὁμοῦ ἀκῆσαι" φησιν „ὀλοφυρμός, βοή, κρατοῦντες, κρατούμενοι" (7, 71). καὶ Γοργίας „ἀνεμίσγοντο δὲ λιταῖς ἀπειλαὶ καὶ εὐχαῖς οἰμωγαί." V.

ῥέε: ἐμφαντικῶς· οὐ γὰρ εἶπεν ἐρέετο (ἐρραίνοντο L), ἀλλ' ὡς εἰ λέγοις ἐπήγαγεν αἷμα. LV.

451. ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρῶτον ἀπήντηκεν· ἡ γὰρ εὐχωλὴ τῶν ὀλλύντων, A.

452. ὡς δ' ὅτε: ἔστιν ἀκῆσαι δύο ποταμῶν ἦχε. παντοχόθεν δὲ αὐτῶν ηὔξησε τὸν ἦχον. ἐ γὰρ διὰ πεδίων ἀλλ' ἐξ ὄρεος ῥέουσιν, ἵνα μὴ ῥύσις ἀλλ' ἐμβολὴ ὕδατος εἴη· καὶ εἰς τὸν αὐτὸν καταφέρονται τόπον, τῇ συμπτώσει τῶν ὑδάτων πολὺν ἀπεργαζόμενοι τὸν ἦχον· καὶ κρουνῶν ἐκ μεγάλων προσίθησι, τῷ πλήθει τῆ καταῤῥέοντος ὑδα-

τος τραχὺν ἐγείρων τὸν ψόφον· καὶ τὸ κοίλωμα τὸ δεχόμενον αὐτὲς μισγάγκεια εἴρηται, τραχυνόμενον τῇ ὀνοματοποιίᾳ ϗ συναπειλᾶν τῷ ῥεύματι. ἴσως δὲ ϗ δύο τὲς ποταμὲς παρέλαβεν ἐκ αὐξήσεως μόνον ἕνεκεν, ἀλλ' ὅτι εἰσὶ καὶ τὰ ϛρατεύματα δύο. καὶ τέτες ἐμπίπτοντας ἀλλήλοις· ϗ γὰ οἱ ϛρατοὶ ἀλλήλοις ἐπιφέρονται. BL.

χείμαῤῥοι: οἱ χειμῶνος ῥέοντες ποταμοὶ ϗ πληρούμενοι ἀπὸ μεγάλων ὄμβρων. D.

Πτολεμαῖος ὁ Ἀσκαλωνίτης παροξύνει, ἐπεὶ τὸ ἐνικὸν ἔχει χειμάῤῥης· Νικίας δὲ ὡς εὔζωνοι, καὶ μήποτε πιθανώτερον, ἵνα ἐκ τοῦ χειμάῤῥοος ᾖ γεγονός, εἴ γε μᾶλλον ἐντελέϛερον. οἱ δὲ τὸ ἑνικὸν (τὸ ἐντελές?) ἐν τῇ συνθέσει ἧπερ τὸ συνηλιμμένον· „ὅσσος Ἑλλήσποντος ἀγάῤῥοος" (Il. 2, 845) „σῇ ἐπ' ὠκυρόῳ ποταμῷ" (Il. 5, 598) „ἐς ποταμὸν εἰλεῦντο βαθύῤῥοον" (Il. 21, 8) „ἀψορρόᾳ Ὠκεανοῖο" (Il. 18, 399). σπανίως δὲ τὸ ἕτερον· „χειμάῤῥας κατ' ὄρεσφιν ὄπαζεν" (Il. 11, 493) „ποταμῷ πλήθοντι ἐοικὼς χειμάῤῥῳ" (Il. 5, 87). τὸ μέντοι γε ἁπλᾶν ἀεὶ ἐντελῶς ἀποφαίνει ῥόος· „ὦθει δ' ἐν σάκεϊ πίπτων ῥόος" (Il. 21, 241). A.

ὄρεσφιν: τὸ ō ἔδωκεν ἡ συγκοπή, ὡς θεόφατον θέσφατον. V.

453. μισγάγκειαν: τὸ ἄγκος εἰς ὃ μίγνυνται οἱ ποταμοί. A. κοῖλον τόπον, ἔνθα ὁμοῦ συμμίσγεται τὸ ὕδωρ ἀπὸ διαφόρων τόπων. D.

ὁ τόπος ἐν ᾧ μίγνυνται οἱ ποταμοί. τὸ δὲ ἑξῆς οὕτως· ὡς δὲ χείμαῤῥοι κατ' ὄρεσφι ῥέοντες ἐς μισγάγκειαν συμβάλλετον τὸ ὕδωρ ἐκ τῶν κρηνῶν ἔσω τῆς χαράδρης, ὡς τῶν μισγομένων. BL.

454. χαράδρης: τῆς ἐγχαράξεως τᾶ ἐδάφες τῆς γιγνομένης ἀπὸ τῶν καταφερομένων ὀμβρίων ὑδάτων. εἴρηϖ δὲ ἀπὸ τᾶ οἱονεὶ ἐγκεχαράχθαι τῇ φορᾷ τᾶ ὕδατος. AD.

455. τῶν δέ τε τηλόσε: εἰς μακράν, φησίν, ἀφικνεμένων ὁ ψόφος ἀκέεται. ἄμεινον δὲ τηλόθι γράφειν καὶ πρὸς τὸν ποιμένα ἀποδιδόναι· ἀποκέκλεισαι γὰρ τηλόθι πε χειμῶνος ὄντος ὁ ποιμήν. B.

456. φόβος: ἢ διπλῆ, ὅτι τὴν μετὰ δέος φυγὴν φόβον εἴρηκεν. A.

ἄλλως. Ἀρίςαρχος πόνος· ἐ γὰρ γέγονέ πω φυγή. A. ἀλλ' ἐὰν πόνος ᾖ, ἐνέργειαν, ἐὰν δὲ φόβος, τὸ δέος δηλοῖ, ὁμοίως τῷ τᾶ ποιμένος φόβῳ. V.

457. πρῶτος δ' Ἀντίλοχος: τᾶτο χαρίζει αὐτῷ, ἐπεὶ ἄλλην ἀρισείαν αὐτᾶ οὐ γράφει. ἄλλως τε ϗ ζηλοῖ τὸν πατέρα· „πρῶτος" γάρ φησιν „ἐγὼν ἕλον ἄνδρα" (Il. 11, 738). καὶ θεατὴν αὐτὸν ἔχει. ϗ „Ἀντίλοχ' ἤ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν" (Il. 15, 569)· θερμότητος δὲ τᾶτο νεωτερικῆς ἔργον. ἢ Τρῶες κατεφρόνεν Νέϛορος, ϗ κατὰ τᾶτο μᾶλλον τὸ μέρος πρώτως ἔκρασαν. BL.

πῶς ἐκ Αἴας πρῶτος ἢ Διομήδης ἀρισεύει; καὶ φασιν ὅτι Πύλιοι πρῶτοι συνέῤῥηξαν. ἄλλοι δέ, ὅτι ἐπεὶ ὁ Ἀντίλοχος ἄλκιμος ϗ ταχὺς ὑπόκειϖ, εἰκότως ϗ φονεύει πρῶτος. ἐμοὶ δὲ δοκεῖ ἀπ' ἐλάσσονος ἤρχθαι τὸν ποιητήν, τὸ τῆς τύχης αἰνισσόμενος κράτος. AD.

457. (immo Il. 2, 1) κορυϛήν: Πορφυρίᾳ. γελοίως ὁ Ἀπίων τοὺς ἱπποκορυϛὰς ἀπέδωκε τοὺς κόρυθας ἔχοντας ἱππείαις θριξὶ κεχοσμημένας. εἰ γὰ παρὰ τὴν κόρυν συνέκειτο, κὰν ἱπποκόρυθες ἐλέγοντο· νῦν δὲ σημαίνει τὸν ἔφιππον ὁπλίτην· κορυϛὴς γὰ ἀπὸ μέρες ὁπλίτης καὶ μαχητής. „ὣς ῥα τὸν ὑψῆ ἔχοντε δύο Αἴαντε κορυϛᾷ" (Il. 13, 201)· „Ἀργεῖοι δ' ὑπ' Ἄρηϊ ϗ Ἕκτορι χαλκοκορυϛῇ" (Il. 5, 699), τὸν ὁπλίτην σημαίνων ϗ ἀντίθετον τῷ ἱπποκορυϛῇ. ἐκ δὲ τᾶ κορύεϖ, ὅπερ ἐν πλεονασμῷ τοῦ θ ἔφη κορύθεϖ, ἥτε περικεφαλαία κόρυς, ϗ κορύνη ἀμυντήριον ἐκ κεφαλῆς ῥοπὴν ἔχον ϗ βάρος, παρὸ καὶ ῥόπαλον λέγεϖ, ϗ κορυνήτης ὁ τῇ κορύνῃ χρώμενος. ἔμπαλιν δὲ τὸ εἰς τὸ σκηρίπτεϖ ἐπιτήδειον ξύλον σκηπάνιον ϗ σκῆπτρον· ϗ ἐπὶ τᾶ δόρατος τᾶ ἐπερειθέντος τῇ γῇ „οὔδει ἐνισκήφθη" (Il. 16, 612). ὥσπερ δὲ ἐπὶ τᾶ δόρατος ᾧ καταχρῶνϖ εἰς τὸ σκηρίπτεϖ „ϛῆ δ' ἄρ' ἐπὶ μελίας χαλκογλώχινος ἐρειθείς" (Il. 22, 225), ἅτως ἐπὶ τᾶ ῥοπάλε, ὅταν λέγῃ „δὸς δέ μοι εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐϛί, σκηρίπτεϖ" (Od. 17, 195). ἐν δὲ τῷ ἱπποκορυϛὴς δύναϖ ἡ ἵππε γενικὴ συγκεῖϖ, ἀντὶ τᾶ ἱππεύς, ὡς τὸ „ἐν δ' ἄρα τοῖσιν ἀρήϊος ἵϛατ' Ἀχιλλεὺς ὀτρύνων ἵππας τε ϗ ἀνέρας ἀσπιδιώτας" (Il. 16, 167)· τὲς γὰ ἵππας τοῖς ἀσπιδιώταις ἀνδράσιν ἀντιτιθείς, τετέϛι τοῖς ὁπλίταις, ἐμήνυσεν ὅτι ἀντὶ τῶν ἱππέων τὲς ἵππους ἔφη, ᾧ τρόπῳ ϗ ἐν τῇ συνηθείᾳ λέγομεν ἡ ἵππος τῶν Περσῶν ἐνίκησεν ἀντὶ τοῦ οἱ ἱππεῖς. ἡγεμονικώτεροι δὲ τῶν πεζῶν ἦτοι· διὸ ὀτρύνει ἵππας τε ϗ ἀνέρας. ϗ τὸ εὔδειν ἦν ἀνέρας ἱπποκορυϛὰς κατ' ἐπικράτειαν εἰρημένον δηλοῖ ὅτι ἐ μόνον οἱ ἱππεῖς ἀλλὰ ϗ οἱ πεζοί, ἐδ' οἱ ἄνδρες μόνον ἀλλὰ καὶ αἱ γυναῖκες ἐκάθευδον. BL.

457. 458. συναπτέον κορυϛὴν ἐσθλόν, ἵν' ᾖ τὰ ἑξῆς. A.

ἄλλως. ἢ διπλῆ, ὅτι ἐ κατὰ τὸ ἐσθλὸν πρῶτον Ἀντίλοχον ἀναιρᾶντα παράγει, ἀλλ' ὅτι τάχιϛον αὐτὸν παρασυνίςησι διὰ τῶν ἄλλων ϗ εὐκίνητον. A.

458. Θαλυσιάδην Ἐχέπωλον: ὅτι ἄδηλον πότερον κύριον, ὁ Θαλυσιάδης ἢ ὁ Ἐχέπωλος. A.

κύριον τὸ δεύτερον· τότε γὰ ἐπιθετικῶς, ὅτε λέγει ταχύπωλον καὶ εὔπωλον. ἐ χρῆϖ δὲ πατρωνυμικοῖς ἀντὶ κυρίων, εἰ μὴ ἐπὶ τᾶ Ἀργεάδην πολίμηλον (Il. 16, 417). BL.

461. τὸν δὲ σκότος: ἱκανὴ μὲν ϗ ἡ αἰφνίδιος ὁρμὴ ϗ ἡ ἀπρόοπτος πληγή, εἰ ϗ καιρία μὴ ἦν, εἰς τὸ θανατῶσαι· νῦν δὲ ϗ ἄμφω ἐπισυμβαίνει· ϗ γὰ αὐτῆς τῆς μήνιγγος ἥψατο, ἣ διείργει τὸν ἐγκέφαλον ἄνω ϗ κάτω κειμένη ϗ μόνως περιφυλάττουσα· ἄχρι γὰ τῆς τᾶ ἐγκεφάλε βάσεως αὐτῆς εἰσέθορε τὸ δόρυ. σημείωσαι δὲ ὅτι τὲς περὶ κεφαλὴν βαλλομένες ἀνωδύνως φησὶ τελευτᾶν· „τόν ῥ' ἔβαλε κεφαλὴν ὑπὲρ ὄατος, ὦκα δὲ θυμὸς ᾤχετ' ἀπὸ μελέων" (Il. 16, 606)· „αὐτὰρ ἔπειτ' Εὐρύαλον πέτρῳ βάλε μέσσην κακκεφαλήν, ἀμφὶ δέ οἱ θάνατος χύτο" (ib. 415)· τοῦ κυρίε γὰ τρωθέντος τότε καιρίως ἀκόλουθεῖ θάνατος τῇ

πληγῇ, ὀδὲ ὀλίγον χρόνον εἰς ἀντίληψιν τῆς ὀδύνης παρέχων. ἐπὶ δὲ ὀμφαλῷ „ἔνθα μάλιστα γίνετ' Ἄρης ἀλεγεινός" (Il. 13, 568)· „ἀντικρὺ δὲ διέχε παρ' ὀμφαλόν, γνὺξ δ' ἔριπ' οἰμώξας" (Il. 20, 416). οἱ γὰρ περὶ γαστέρα τόποι νευρώδεις ὄντες τὴν ἀπὸ τῆ ἡγεμονικῆ αἴσθησιν πλείονως δέχονται. BLV.

462. ἤριπε: εἰς τὴν ἔραν ἔπεσε. BL.

463. ἡ διπλῆ, ὅτι ἀπὸ τῆς πληγῆς πέπτωκε· τὸς γὰρ πόδας τοῖς πολεμίοις δέδωκεν. A.

ὕπτιος γὰρ ἔπεσεν ὑπὸ τῆς ὁρμῆς τῆ δόρατος. BL.

465. διασολὴ βραχεῖα βελέων· τἄλλα δὲ συναπτέον, λελιημένος ὄφρα τάχιστα. A.

ὑπ' ἐκ: ἡ ὑπό τὸν ὑποκύψαντα δηλοῖ, ἡ δὲ ἐξ τὴν ἔξω τῆ κειμένη φοράν. BL. βέλος δὲ καλεῖται τὸ ἐκ χειρὸς βαλλόμενον. D.

466. μίννυθα δέ: δικαίως κολάζεται ὡς αἰσχροκερδής, δέον τῶν ζωῶν ἅπτεσθαι. BL.

468. πλευρὰ τά οἱ — ἐξεφαάνθη: οἱ ἑταιροι, φησί, τὰ πλευρὰ ἐθεάσαντο (καὶ ἡμεῖς εἴδομεν αὐτῆ τὰ πλευρά. V). καίριος δὲ ἡ πληγή, κατὰ καρδίας ἡ πνεύμονος ἐνεχθεῖσα. τὸ δὲ παρ' ἀσπίδος ἀντὶ τῆ παρενεχθέντος τῆ ὅπλου. διδάσκει δὲ μηδὲν ἀπερισκέπτως ποιεῖν. BLV.

468. 469. τὸ ἐξῆς πλευρὰ οὗτασε, τὰ δὲ λοιπὰ διὰ μέσου. A.

470. ἔργον ἐτύχθη: ἀνανεῦται τὴν φάσιν, καὶ ὑπεκκαύματα δίδωσι τὰς τῶν ἀριστέων πτώσεις, καὶ τὸν πόλεμον ἐπιφανέστερον ποιεῖ. ἱκανὴν δὲ πίστιν ἐπάγει τοῖς λόγοις ὡς αὐτόπτης ὤν. BLV.

471. Τρώων καὶ Ἀχαιῶν: ἥλακεν ἡ φράσις· πρῶτοι γὰρ ὥρμησαν Ἕλληνες διὰ τὸν ἐξ αὐτῶν πεσόντα Ἐλεφήνορα. BL.

472. ἐδνοπάλιζεν: δονῶ δονοπίζω, πλεονασμὸς δονοπαλίζω, καὶ συγκοπὴ δνοπαλίζω, ὡς πυκτεύω πυκταλεύω. A. σημαίνει δὲ κατέβαλλεν· „τὰ σὰ ῥάκεα δνοπαλίξεις" (Od. 14, 512). V.

ἐδόνει, ἔπαλλεν· ἢ ἐδόνει τὰς παλάμας. L.

473. Ἀνθεμίωνος υἱόν: πολλὴν πίστιν ἐπιφέρει τῷ λόγῳ ὡς αὐτόπτης ὤν, ἢ ψιλὸν τῆ τετρωμένου τὸ ὄνομα θείς, ἀλλὰ καὶ τὴν αἰτίαν δι' ἣν ἐκαλεῖτο Σιμοείσιος, καὶ τῆ πατρὸς τὸ ὄνομα, καὶ τὸ χωρίον ἐν ᾧ ἐτέχθη, καὶ ἐπὶ τί πορευομένη ἡ μήτηρ ἔτεκεν αὐτόν, καὶ τὴν ἡλικίαν ἣν ἔχων ἀπέθανεν, ὅτι ἡίθεος ἦν. BLV.

474. ἡίθεον: τὸν ἰσόθεον ἡλικίαν ἔχοντα. V.

475. Ἴδηθεν: Ἴδη ἐστὶν ὄρος ὑψηλότατον Τροίας. ἔστι δὲ καὶ ἑτέρα Ἴδη τῆς Κρήτης, ἀπὸ Ἴδης τῆς τὸν Δία θρεψάσης νύμφης. Δίδυμος δὲ πάντα τὰ ὄρη ἴδας λέγει, ἀπὸ τῆ δύνασθαι ἀπ' αὐτῶν πάντα (πλεῖσα D) καθορᾶν. AD.

476. μῆλα ὁ ποιητὴς τὰ πρόβατα καὶ τὰς αἶγας, Ἡρόδοτος δὲ τὰ τετράποδα πάντα. BL.

477. οὐδὲ τοκεῦσι: διδάσκει μὴ καταδοκεῖν τὴν ἀπὸ τῶν παίδων γηροκομίαν τὸς τοκεῖς διὰ τὸ ἄδηλον. BL.

478. θρέπτρα: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ῥ. λέγεται δὲ θρεπτὰ τὰ τεθραμμένα, θρέπτρα δὲ σὺν τῷ ῥ τὰ θρεπτήρια, ὥσπερ λύτρα τὰ λυτήρια. A.

480. πρῶτον: ἐν τοῖς προμάχοις δηλονότι πρῶτον. B.

482. ὃ δ' ἐν κονίῃσι: καίριος ὁ τόπος· διελθὸν γὰρ τὸν πνεύμονα περὶ τὸν ὦμον ἀνέχει. BL.

αἰγείρος ὡς: ποιητικὴ ἡ ἀναφορή, ἁ μετρική. BL.

483. ἐν εἰαμενῇ: ἐν καθύδρῳ καὶ βοτανώδει τόπῳ. ὠνομάσθη δὲ ἀπὸ τῆς ἐγέρσεως τῶν φυτῶν καὶ ἀναδόσεως, παρὰ τὴν ἕσιν, ἣ ῥειαμένη τις ἦσα, ὁ καταῤῥεόμενος τόπος, κατὰ ἀφαίρησιν τῆ ῥ· ἢ γέγονεν ἀπὸ τοῦ ἡμένη, ὁ ὁμαλὸς τόπος, ὡς δεξάμενος δεξαμενή, ἀκεσσάμενος ἀκεσσαμενή, εἶτα κατὰ διάλυσιν τῆ η εἰς ε καὶ ᾱ ἐαμένη, ὡς ἥλω ἑάλω, ἤγη ἐάγη, καὶ κατὰ πλεονασμὸν τῆ ι εἰαμενή. A.

ὡς δεξαμενή μετοχικὸν ὄνομα, οὕτως εἰαμενή, ὡς καὶ Σωζομενός, ἐκ τῆ ἔω τὸ ἐνδύομαι, ὅπερ συχνὴ ἀναδίδοται πόα. ἢ ἀπὸ τῆ ῥεῖν, ἵν' ᾖ ῥειαμενή, φυλαχθείσης τῆς δασείας τῆ ῥ. L.

δασυντέον ἀπὸ τῆς ἕσεως. A.

καὶ ἀλλαχῆ „αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος" (Od. 17, 208). εἰαμενὴ δὲ ἡ συνεχὴς τῶν ὑδάτων ἐμβολή. V. Ἕλος δὲ καλεῖται ὁ ὁμαλὸς καὶ κάθυδρος τόπος. D.

μέχρι τότε τὰ τῆς ὁμοιώσεως· τὰ δὲ λοιπὰ ἐκ περιουσίας ἐναβρυνόμενός φησι καὶ διώκων τὴν ἡδονήν. BLV.

484. ὅζοι ἐπ' ἀκροτάτῃ πεφύασιν: τὰ γὰρ ἄοζα ἕτοιμα πρὸς κάμψιν. παρυδατίῳ δὲ φυτῷ εἴκασε τὸν παρὰ ποταμὸν γεγενημένον. BLV.

486. ἴτυν: παντὸς περιφερῆς τὸ τελευταῖον μέρος. V. λέγει δὲ τὴν περιφέρειαν τῆ τροχῆ. D.

487. ἀζομένη: ξηραινομένη. ψιλῶς ἀναγνωστέον· ἐχημάτισαι γὰρ παρὰ τὴν σέρησιν τῆ ζῆν. D.

κεῖται ποταμοῖο παρ' ὄχθας: ἡ διπλῆ, ὅτι τὴν αἰτίαν ἐν ἄλλοις παραδίδωσι δι' ἣν παρὰ ταῖς τῶν ποταμῶν ἀναβολαῖς τίθεται τὰ δρυτομέμενα ξύλα· „ὡς δ' ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισι χειμάῤῥους κατ' ὄρεσφιν, ὀπάζων Διὸς ὄμβρῳ, πολλὰς δὲ δρῦς ἀζαλέας πολλὰς δέ τε πεύκας" (Il. 11, 493). τότε χάριν ἵνα κατάγηται ὑπὸ τῆ ῥεύματος. A.

παράκειθ τῷ ποταμῷ πρὸς τὸ ὑπ' αὐτῆ ἀχθῆναι, ὡς τὸ „πολλὰς δὲ δρῦς ἀζαλέας πολλὰς δέ τε πεύκας εἰσφέρει." τίς δὲ παραπλέων ποταμὸν ἐχ ὑπομνησθήσει τῆ ἔπους; BLV.

488. τοῖον: πεσόντα ἢ ὄντα. V.

Ἀνθεμίδην: συγκέκοπται τὸ πατρωνυμικόν. L.

490. ἀκόντισεν ὀξέϊ δουρί: ἐν ἄλλῳ ἀκόντισε δουρὶ φαεινῷ. A.

491. Λεῦκον: νῦν προπερισπωμένως ἀναγνωστέον. D.

Πορφυρίου. ἀδύνατόν φασιν εἶναι ἐπὶ τὸν Αἴαντα τὸ βέλος πεμφθὲν εἰς Ἰθακήσιον ἐλθεῖν· οἱ γὰρ Ἰθακήσιοι πόῤῥω τεταγμένοι εἰσί, καὶ ὁ κατὰ Σαλαμινίους καὶ Λοκρούς. λύεται δὲ ἐκ τῆς λέξεως· ὁ γὰρ ἑταῖρος ἁπλῶς πολίτης,

ἀλλὰ καὶ φίλος ᾖ συμπράττων. ἕτω καὶ Πάτροκλος Ἀχιλλέως ἀ πολίτης ἀλλ' ἑταῖρος. B.

ἡ διπλῆ, ὅτι συγχεῖται τὰ τῆς τάξεως διὰ τὴν τῶ πολέμω ταραχήν. A.

πῶς ἑταῖρον αὐτόν φησιν Ὀδυσσέως, μὴ ϛρατευομένων Ἰθακησίων πλησίον Σαλαμινίων; ἑταῖρον ἢν νῦν ᾖ τὸν πολίτην, ἀλλὰ τὸν συνεργόν φησιν· τί γ' ἄτοπον εἰ Σαλαμίνιος ὢν ἑταῖρός ἐϛιν Ὀδυσσεῖ; Ἀρίϛαρχος δὲ ὡς ποιητικὸν παραιτεῖται. οἱ δέ, ὅτι συγκέχυϐ ἡ μάχη, ὡς καὶ ἀνὴρ ἄνδρ' ἐδνοπάλιζεν. ἢ ὅτι ὁ Αἴας πάσας ἐπῆει τὰς τάξεις βοηθῶν. καὶ πα γ' καὶ Ὀδυσσεῖ βοηθεῖ, ὡς δηλοῖ ἡ πεδὰς μάχη (Il. 11, 472)· καὶ Μενεσθεῖ βοηθεῖ ἐν τῇ τειχομαχίᾳ (Il. 12, 370)· καὶ Μενέλαος αὐτὸν ἐπὶ Πατρόκλῳ προσκαλεῖϐ (Il. 17, 120). BLV.

492. βεβλήκει: χῆμα χρονικόν. ἔλαβε δὲ ὑπερσυντέλικον ἀντὶ ἀορίϛου. D.

βουβῶνα: ἐμπεφύκασι τοῖς βαβῶσι μεγάλαι ἀρτηρίαι καὶ φλέβες αἱμορῤῥαγίας ποιῶσαι, αἳ βοηθάμεναι μὲν ἐπικίνδυνοι, ἀμελέμεναι δὲ θανατώδεις εἰσίν. BL.

βαβὼν τόπος σώματος, ἢ ὁμώνυμον τὸ ἐκεῖσε γινόμενον πάθος. L.

βραχὺ διαϛαλτέον ἐπὶ τὸ βαβῶνα. ἐκ ἀναγκαῖον δὲ ἐκτείνειν τὴν τελευταίαν τῶ νέκυν διὰ τὸ μέτρον· ἀπήρτηκε γ' εἰς μέρος λόγου. A.

493. νεκρὸς δέ οἱ ἔκπεσε χειρός: ὡς ἐκεῖ „μινυθάδιος δέ οἱ γένεθ' ὁρμή" (466). περὶ ὃ δὲ μάλιϛα ἐσπέδαζον, τύτῳ αὐτὲς ὁ ποιητὴς ϛερῶν μᾶλλον κολάζει. BL.

494. τοῦ δ' Ὀδυσεύς: „ἀρνύμενος ἦν τε ψυχήν" (Od. 1, 5). V.

496. ἐγγὺς ἐών: ἐγγὺς τῶ Λεύκῳ, καὶ τύτου ὑπερασπίζων. BL.

497. ἀμφὶ ἕ: δασυντέον τὸ ἕ καὶ ὀρθοτονητέον· μεταλαμβάνεται γ' εἰς σύνθετον. A.

παπτήνας: οἰκεῖον τῷ προνοητικῷ Ὀδυσσεῖ· ἀ γ' ὡς Ἐλεφήνωρ· ἕτος γ' περιεσκόπει μὴ γυμνόν τι εἴη τῶ σώματος. κεκάδοντο δὲ διὰ τὴν τῶ δόρατος ὁρμήν, οἱ μὲν ἔνθεν οἱ δὲ ἐκεῖθεν διαχωριθέντες. BL.

499. νόθον: τὸν ἀ γνήσιον υἱὸν ἀλλ' ἐκ παλλακίδος ὄντα. αἱ γ' παιδοποιίαι παρὰ τῷ ποιητῇ λέγονϐ τετραχῶς· ὁ μὲν γνήσιος, ὃ δὲ νόθος καλεῖται παῖς, καὶ ἄλλος σκότιος, καὶ ἄλλος παρθένιος. γνήσιος μὲν ἓν καλεῖται ὁ ἐκ νομίμων γάμων, νόθος δὲ ὁ ἐκ παλλάκης· καὶ φησιν „εἰν ἑνὶ δίφρῳ ἑόντε νόθον καὶ γνήσιον ἄμφω" (Il. 11, 102?). σκότιος δὲ ὁ ἐκ λαθραίας μίξεως (ὁ τὸν πατέρα ἀγνοῶν D), οἷον „σκότιον δέ ἑ γείνατο μήτηρ (Il. 6, 24). παρθένιος δὲ ὁ ἐκ τῆς παρθένε ἔτι νομιζομένης γεννώμενος, ὡς τὸ „παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη" (ib. 180). AD. γινεῖ δὲ νόθος νόθιος καὶ ἐν ὑπερθέσει ὀθνεῖος. A.

Δημοκόωντα: πρῶτος ὗτος Πριαμιδῶν ἀναιρεῖται. BL.

500. Ἀβυδόθεν: τῆς Ἑλλησποντίδος Ἀβύδε μέμνητοι· τὰς γ' πλησίον τῆς Τροίας πόλεις ἀσφαλεϛέρας ἔδει εἶναι ὡς τῶν ἐπιτηδείων χορηγάς· διὸ ἀ πεπόρθηνται ὑπὸ Ἀχιλλέως. τὸ δὲ παρ' ἵππων ἀντὶ τῶ ἐκ τῶν ἵππων, ὡς ἐκεῖ ὄντων τῶν ἱπποϛασίων Πριάμε· οἱ δὲ ἀντὶ τοῦ ἐφ' ἵππων. B.

ἐξ ἐκείνε τῶ τόπε ἐν ᾧ ἵπποι ἐγεννῶντο ταχεῖς. εἶπε δὲ ὅτι ἐκεῖ ἐτρέφοντο καὶ οἱ ἵπποι τοῦ Πριάμου. AD.

ἡ διπλῆ, ὅτι ἀ λέγει ὡς ἐν Ἀβύδῳ ἱπποτροφίων ὄντων τῶ Πριάμου. A.

502. κόρσην τὸν κρόταφον λέγει· ἐπίκορσα γάρ φασιν Ἀττικοὶ τὰ ὑπεράνω τῶν γνάθων. ὡς οὖν ἕλος ἕλαφος, ἕτω κόρση κόρταφος κρόταφος. BL.

ἐπὶ κόρσης γ' λέγουϲιν οἱ Ἀττικοὶ τὴν γνάθον· καὶ „ἑτέροιο διὰ κροτάφοιο." ὡς ἓν ἕλος ἕλαφος, κόρση κόρταφος καὶ κρόταφος. ἡ διπλῆ δέ, διότι προειπὼν τὴν κεφαλὴν διέϛαλκε κατὰ μέρος τὸν κρόταφον. A.

503. τὸν δὲ σκότος ὄϛε' ἐκάλυψεν: ϛολοικισμὸς παρὰ τὰς πτώσεις· ἔδει γ' εἰπεῖν τῶ δὲ σκότος ὄϛε κάλυψεν. AD.

505. χώρησαν δ': πῶς νικῶϲιν Ἕλληνες, ἢς ὁ Ζεὺς θέλει ἠτιῶθαι; ἐρῶμεν ὅτι Ζεὺς ἐᾷ Τρῶας ποινὰς τῶν πλημμελημάτων τίνειν· ἢ δείκνυϲι δι' ἀμφοτέρων τὴν δύναμιν, ἵνα καὶ συμμαχῶν Τρωϲὶν ἐπιδείξηται τὴν χάριν, εἴ γε ὃν ἔτρεψε μόνος Αἴας, οὗτος ἅμα Διὶ, τοὺς πάντας Ἕλληνας διώκει. BLV.

506. νεκρούς: τοὺς ἰδίους. φιλάλληλοι γάρ, καὶ ὑπὲρ Ἐλεφήνορος πόλεμος γίνεται, καὶ Ὀδυσσεὺς ὑπερασπίζει Λεύκου. BLV.

507. νεμέσησε δ' Ἀπόλλων: φθονεῖ μὲν τῇ τῶν Ἀχαιῶν εὐπραγίᾳ, συνάχθεϐ δὲ τῇ τῶν Τρώων δυσπραγίᾳ. καλῶς δὲ πρῶτοι βοηθῶνται, ἵνα καὶ Ἀθηνᾶ τούτοις εὐκόλως παραϛῇ. BL.

508. Πέργαμου ἐκκατιδών: ἐκ τῆς ἀκροπόλεως προχών. Ὅμηρος δὲ μόνην τὴν Ἰλίε ἀκρόπολιν Πέργαμον καλεῖ, οἱ δὲ νεώτεροι πάσας τὰς ἀκροπόλεις. ἰϛέον δὲ ὅτι οἱ παλαιοὶ κτίζοντες τὰς πόλεις ἐν τοῖς ὑψηλοτέροις τόποις τὰς ἀκροπόλεις ἐποίϵν διὰ τὸ ἐκεῖϲε προσφεύγειν ἀπὸ τῶν κοιλοτέρων τόπων τὲς ἐνοικῶντας ἐν τοῖς κατακλυσμοῖς. ABDL.

509. χάρμης: μάχης, κατ' ἀντίφρασιν· ἐδεὶς γ' ἐν αὐτῇ χαίρει. D.

510. οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος: καὶ Ἀγησίλαος παρατασσόμενος ὑπεμίμνησκεν ὅτι πρὸς ἀνθρώπες καὶ τρωτὲς ἡ μάχη. ὑπερβολὴ δὲ δέος, εἴ γε τοιάτες ὑπειλήφασι τὲς πολεμίες. BLV. καὶ ἀλλαχοῦ „καὶ γάρ τ' ἦν τούτῳ γε τρωτὸς χρὼς ὀξεῖ χαλκῷ" (Il. 21, 568). V.

512. οὐδ' Ἀχιλεύς: εἰδότας ὑπομιμνήσκει θρασυτέρας ποιῶν, καὶ ἡμᾶς εἰς ἐπιπύθησιν ἄγει τῆς Ἀχιλλέως ἐξόδου· ἅμα δὲ καὶ τὸ πρόσωπον αὔξει. BLV.

513. χόλον: ἡ διπλῆ, ὅτι ἀντιφράζει τὸν χόλον τῇ μήνιδι ἐπὶ τῶ αὐτῶ προσώπε. A.

πέσσει: ἐπὶ πολὺ κατέχει. πολὺ δὲ τὸ μεταξὺ διάϛη

μα μετὰ τὴν βλάσησιν τῶν καρπῶν ἄχρι τῆς πέψεως· ὅθεν καὶ τὴν παραβολὴν εἴληφε ταύτην. BL.

καταδαπανᾷ ἢ πραΰνει. ὁ τρόπος μεταφορά. D.

515. *Τριτογένεια*: ἢ Ἀθηνᾶ ἡ τὸ τρεῖν καὶ φοβεῖσθαι γεννῶσα τοῖς πολεμίοις, ἢ ἐπὶ Τρίτωνι ποταμῷ τῆς Λιβύης γεννηθεῖσα. ADL. ἢ ὅτι γεννηθεῖσαν ἔτρεσαν αὐτὴν οἱ θεοί. AL.

516. *ὅθι μεθιέντας ἴδοιτο*: ἐχ ἁπλῶς ὡς Ἀπόλλωνα τὸν πάντας, ἀλλὰ τὸν ἀμελεῖς. τοῦτο γὰρ διορθώσεως δύναται τυγχεῖν, πταῖσμα ὂν ἑκάσιον· τὸ δὲ μὴ δύνασθαι φυσικόν. BL.

517. *ἔνθ' Ἀμαρυγκείδην*: νῦν ἀπὸ τῶν Ἑλλήνων ἤρξατο, ἐπειδὴ τότε ἀπὸ τῶν Τρώων. μοιρίδιον δὲ τὸν θάνατόν φησιν.*) καὶ τὸ *ἐπέδησε* δὲ καλῶς, ἐπεὶ κατὰ τὸν πόδα ἐβλήθη. BL.

Ἀρίσταρχος *μοῖρα πέδησε* Ἰακῶς. A.

520. *Αἰνόθεν εἰληλούθει*: ἀπὸ Αἴνου πόλεως Θρᾴκης. D.

Αἰνόθεν: ἐνταῦθα τοπικόν, ἐν ἄλλοις δὲ ποιότητος ἐπίρρημα ἀντὶ τοῦ χαλεπῶς. L.

πῶς ἐν τῷ καταλόγῳ (Il. 2, 844) φησὶν ὅτι Θρῄϊκας ἦγε σὺν Ἀκάμαντι, ὅσας Ἑλλήσποντος ἐντὸς εἴργει· νῦν δὲ λέγει ὅτι Αἰνόθεν εἰληλύθει; ἢ τάχα ἦσαν μὲν πάντες περιῴκουν, τὰ δὲ βασίλεια ἐν Αἴνῳ ἦν τὰ αὐτοῦ. BL.

521. *λᾶας ἀναιδής*: ἢ διπλῆ, ὅτι μεταφορικῶς τὸ ἀνένδοτον καὶ σκληρὸν ἀναιδὲς λέγει. A.

522. *ὕπτιος*: εἰκότως ὕπτιος· σφοδρὰ γὰρ ἡ πληγή, ὅτι τὰ ὀξᾶ καὶ ἄμφω τὼ τένοντε συνηλόησεν ὁ λίθος. BL.

523. *βραχεῖα* διαζολὴ μετὰ τὸ ῥῆμα. A.

χεῖρε – πετάσσας: τοῦτο ποιεῖ συμμαχίαν αἰτῶν. BL.

526. *χολάδες* τὰ ἔντερα, ἐπειδὴ εἰς αὐτὰ συῤῥεῖ ἡ ξανθὴ χολή, τοῦτο μηχανησαμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι καὶ ἐρεθίζεσθαι αὐτὰ τῇ δριμύτητι αὐτῆς πρὸς τὴν ἀπόκρισιν τῶν περιττῶν· ἤμελλε γὰρ ψυχρὰ ὄντα τῇ κράσει ἀργὰ μένειν καὶ μηδέποτε ποιεῖν τὴν ἀπόκρισιν· τοιαῦτα γὰρ τὰ νευρώδη πάντα. οἱ δὲ ἠνιμολόγησαν παρὰ τὸ χεῖσθαι, οὐ καλῶς. ABDL.

τὰ *παχέα ἔντερα*· ὅθεν καὶ χόλιξ. *χύντο* δέ, ὅτι μαλθακὰ καὶ ὀλισθηρὰ τὰ ἔντερα. BL.

527. *ἐπεσσύμενον*: Ἀρίσαρχος διὰ τοῦ ᾱ ἀπεσσύμενον, ἀπιόντα τὸν Πείρωα· ἐν δὲ τῇ ἑτέρᾳ ἐπεσσύμενος, ἵνα ἐπὶ τοῦ Θόαντος λέγηται. ἄτοπος δὲ τέλεον ἡ φερομένη ἐπεσσύμενον. A.

533. *ἀκρόκομοι*: ἤτοι ἄκρως κομῶντες, ἢ οἱ μὴ κομῶντες ἄγαν μήτε πάλιν ἐψιλωμένοι τὴν κεφαλήν. D.

534. *οἵ ἑ*: ἐγκλιτικῶς ἀναγνωσέον, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται. A.

535. *ὦσαν*: ἔμφασιν ἔχει τὸ ὦσαν ἐπὶ ἀνδρείᾳ. κυλίειν γὰρ ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω, ὠθεῖν δὲ τὸ ἐναντίον ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω. L.

χασάμενος: καλῶς ἐκ ἐπὶ αὐτῶν, ἀλλὰ χασάμενος, μήποτε γυμνωθῇ τῆς ἀσπίδος. BL.

πελεμίχθη: ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι τὰ ἐμπησσόμενα τῇ ἀσπίδι δόρατα ἀναχωροῦντες διετίναssον, ἵνα ἐκπέσῃ. A.

536. *συναπτέον ἕως τῶ ἡγεμόνες*. A.

539. *ἔνθα κεν*: ἡ διπλῆ, ὅτι περισσὸς ὁ κέν, καὶ ὅτι ῥῆμα καὶ χρόνος ἐνήλλακται. ἰσέον δὲ ὅτι ὁ Ἀσκαλωνίτης βαρύνει τὴν ἔ ἀπόφασιν, ἐκέτι, ἵνα ᾖ τὸ ἐξῆς ἀρχὴ ἔτι. φέρεται δὲ καὶ ἑτέρα ἀνάγνωσις ἐν παραλλήλοις, ἔ κέ τι ἐν παραλλήλοις δύο ὀξείαις, ἵνα τρία μέρη λόγου γένηται, ἔ καὶ ὁ κέ σύνδεσμος καὶ τὸ τί, ἵνα τὸ ἐξῆς ᾖ ἐκ ἂν ὀνόσαιτο καὶ φανέντα. A.

οὐκέτι: πλεονάζει τὸ ἔτι· „μηκέτι πάμπαν Ἀχιλλῆϊ promaχίζε" (Il. 20, 376)· „ὄν μοι δῶκε πατὴρ ἔτι" (Od. 23, 228). παντοδαπὰς δὲ πληγὰς καὶ πτώματα διελθὼν ἐπαναπαύει τὸν ἀκροατήν. BLV.

ἄλλως. ὅτι διὰ λόγον τοιοῦτον τὸ ἔτι μόριον μετὰ τοῦ ἐχί ἔννοιαν ἀναδέχεται τοιαύτην, ἀπόφασιν γεγονότος πράγματος, οἷον ἐκέτι φιλολογεῖ· πρότερον γάρ τις ἐφιλολόγει· ἐκέτι περιπατεῖ. ἐὰν ἓν παραλάβωμεν ἐκέτι ἔργον ὀνόσαιτο, τοιοῦτό τι παραληψόμεθα, ὡς ὅτι πρότερον μὲν ὀνοτὸν ἦν τὸ ἔργον, νῦν δὲ οὐκέτι. ἔνθεν οἶμαι τρία μέρη λόγου παρελάμβανον, οἱ δὲ κατὰ παροlκὴν τὸ ἔτι, οἷον τὸ ἐν τῇ Ὀδυσσείᾳ (5, 153?) „ἔνθ' ἐκέτι ἥνδανε νύμφη". A.

540. ἡ διπλῆ, ὅτι διέζαλκε τὸ ἐτάσαι καὶ τὸ βαλεῖν. A.

ἄβλητος καὶ ἀνούτατος λέγει ὅ ἔτι μήτε ἀπὸ διασήματος τρωθεὶς δόρατι ἢ οἰζῷ μήτε ἐκ τοῦ σύνεγγυς ξίφει· τοῦτο γὰρ διαφέρει βολὴ τρώσεως. BDL. βάλλω ἐκ τοῦ πόῤῥω, ἐξ οὗ καὶ βολή· τιτρώσκω ἐκ τοῦ σύνεγγυς, ἐξ οὗ ἡ τρῶσις. BL.

541. *δινεύοι*: συρέφοιτο (περὶ αὐτὸν ἀναρέφοιτο D)· ὅθεν καὶ αἱ συρροφαὶ τῶν ἀνέμων καὶ τῶν ὑδάτων δῖναι καλοῦνται. BDL.

διαζαλτέον *μέσον καὶ ἑλοῦσα*· ἤρτηται γὰρ ὁ λόγος ἐκ τῶν προκειμένων, ἵν' ᾖ ἡ διάνοια, τότε ἄν τις πάντα τὰ τῆς μάχης ἔργα κατεπλάγη παρατυχών, εἴ γέ τις ἄτρωτος διὰ μέσων ἐδύνατο πορευθῆναι, ἦγε δὲ αὐτὸν ἡ Ἀθηνᾶ ἁπτομένη τῆς χειρός, καὶ τὰ φερόμενα ἀπέτρεπε βέλη. A.

ἄγοι δέ ἑ Παλλὰς Ἀθήνη: θεατὴν ἑαυτῷ ἀνέπλασε τῆς μάχης ὑπὸ θεῶν ὁδηγούμενον, ἵν' ἀθορύβως σκοπῇ καὶ ἐν μέσοις τοῖς μαχομένοις, καὶ ἵνα ἀκριβῶς θεῶτο. BLV.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ τοῦ Νικάνορος περὶ Ὁμηρικῆς στιγμῆς. A.

*) f. *μοῖραν δὲ τὸν μοιρίδιον Θάνατόν φησι*. Borglerus.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΕΙΣ ΤΗΝ Ε.

1. Ἔνθ' αὖ: τότε ὅτε ϗ πολλοὶ ἀπώλοντο. ABL.

Διομήδεϊ: πῶς ἐν τῷ καταλόγῳ δεύτερον εἰπὼν Ἀχιλλέως Αἴαντα (Il. 2, 768) τὴν πρώτην ἀριστείαν οὐ τούτῳ, τῷ δὲ Διομήδει ἀνατίθησιν; ἢ ὅτι ὁ μὲν δυσκίνητος ϗ μεγαλόφρων τὴν φύσιν ὑπάρχων κατὰ πᾶσαν μάχην ἦν ἄριστος, ὁ δὲ ὀξὺς καὶ φιλότιμος ὢν ὑπὸ τῆς Ἀγαμέμνονος προτροπῆς ἀνεπτέρωται· οἱ γὰρ νεανίσκοι ϗ θυμώδεις ὑπερεθιζόμενοι εἰς μεγάλην τὴν ἐπίδοσιν ἀναφέρονται. ἢ ὅτι εἰς τὸν μείζονα κίνδυνον αὐτὸν φυλάττει τὸν περὶ τῶν νεῶν· ἧττον γὰρ ἀπεδίδρασκε (ἥττων γὰρ ἐπ' ἀδείας V) ϗ διὰ τὸ δέος Ἀχιλλέως ϗ διὰ τῶν ὅρκων τὴν ὑπεροψίαν (διὰ τὴν ἐκ τῶν ὅρκων ὑποψίαν V). καλῶς δὲ ὁ Διομήδης προτρέπει ἰδίᾳ· ἡ γὰρ κοινὴ πρὸς τὸ πλῆθος προτροπὴ τὸν καθ' ἕνα ἀμελέστερον ἐργάζεται, ἡ δὲ πρὸς ἕνα τινὰ συμμαχία εὐθαρσέστερον ϗ γενναιότερον. ABLV.

Παλλάς: ἡ στρατιωτικὴ δεινότης. L.

2. μένος καὶ θάρσος: τὸ μένος ἐστὶ τῶ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς· ἵν' ἐν δύνηται ϗ θαρρῇ, ἀμφότερα αὐτῷ ἔδωκεν, ἐπεὶ πολλοὶ μὲν δύνανται, ὐ θαρροῦσι δέ. θάρσος δέ ἐστι κατὰ μὲν τοὺς Στωϊκοὺς φιλοσόφους τὸ ἀσφαλῶς πεποιθέναι αὐτῷ ὅτι ὐδενὶ ἂν δεινῷ περιπέσῃ, κατὰ δὲ τοὺς ἐκ τῶ Περιπάτου τὸ εὐέλπιν εἶναι τῶ μηδενὶ ἂν δεινῷ περιπεσεῖν ὅσον ἐφ' ἑαυτῷ, κατὰ δὲ τοὺς ἐξ Ἀκαδημίας ϗ τοὺς Ἐρετρικοὺς ἐπίτασις θαρραλέα (ἐπίτασις θαρραλέα A), κατὰ δὲ τοὺς Κυρηναϊκοὺς ϗ Ἐπικουρείους εὐσταθεῖν κατὰ διάνοιαν ϗ λόγον ἐν δεινῶν ὑπομοναῖς, ὡς φησιν ὁ ποιητὴς „καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκεν" (Il. 17, 570). τί ἐν ἐστὶ θάρσος; τὸ εὔλογον παράσημα τῆς ψυχῆς, θράσος δὲ τἀναντίον. δεόντως ἐν φησὶ μένος ϗ θάρσος, ἐπεὶ ἔστε ἡ δύναμίς τί ἐστιν ἄνευ θάρσους ἔστε τὸ θάρσος ἄνευ δυνάμεως. ἰστέον δὲ ὅτι ἑκάτερον θατέρου χωριζόμενον ἄπρακτον. Θαρσὼ δὲ παρά τισι τιμᾶται ἡ Ἀθηνᾶ. λέγεται δὲ θάρσος τὸ ὑπὸ θεῶ ἔμπνευμα τῆς ψυχῆς. ἔχ ὡς πρότερον δὲ μὴ ἔχοντος, ἀλλὰ τὸ ἔμφυτον ηὔξησεν. συνεκτικώτατα δὲ πρὸς ἀνδρείαν ἀμφότερα. ABLV.

ἔκδηλος μετὰ πᾶσιν: ἔκδηλος δέ, ὅτι ἐπεσκοτεῖτο ὑπὸ τῆς Ἀχιλλέως ἀρετῆς (ἢ ὅτι πρώτην ἐγεώργει τὴν Θρᾴκην V)· τὸ δὲ μετὰ πᾶσιν ἀντὶ τῶ ἐν πᾶσιν, ὡς τὸ „σφῶϊ μέντ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας" (Il. 4, 341). BL.

3. ἄροιτο: ἀπὸ τῶ αἴρω, μέσος δεύτερος ἀόριστος. LV.

4. δαΐζε οἱ: ἀντὶ τῶ φαντασίαν πυρὸς ἀπὸ τῶν ὅπλων αὐτῶ ἐποίει φαίνεσθαι, ὥστε πλέον εἶναι αὐτὸν ἐπίφοβον τοῖς Τρωσίν. ABD.

Θέλων ὁ Διομήδης γινώσκεσθαι ϗ φανερὸς εἶναι πᾶσι κατεσκεύασε κάτοπτρον ἐν τῷ λόφῳ ϗ τῇ ἀσπίδι, ἐκπέμπον δόκησιν πυρὸς ἀπὸ τῶν τοῦ ἡλίου ἀκτίνων. ὅπερ εἶχε καὶ Ἀρχιμήδης εἰς τὴν τῶν ἐναντίων ἐκπτόησιν. L.

ἄλλο φῶς ἀντὶ Ἀχιλλέως τοῖς Ἕλλησιν ἤραυσεν, ὁ ποιητής. ἀξέρα δὲ ἐνταῦθα τὸν Ἀρκτῶρον λέγει. BL.

5. ἡ διπλῆ, ὅτι τὸν κύνα λέγει ἀξέρα. ὁ δὲ τέ περισσός. A.

ἰξίον ὅτι διαφέρει ἀστὴρ ἄστρου ταύτῃ, ἧ ὁ μὲν ἀστὴρ ἐστὶν ἓν σῶμα φύσεως θειοτέρας ἐννοίας ποιούμενος, ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἀστροθέτημα, ὅπερ μιᾷ φαντασίᾳ ὄψεως ὑποπίπτει μετὰ τινος ἰσορίας τὴν ἀπόδοσιν ἔχον, οἷον ὁ διεζωκὼς δράκων τὰς δύο ἄρκτους ϗ τὰ λοιπά. ταῦτα δὲ κεῖται ἐν τῷ ἀρκτικῷ κύκλῳ, ὃς ϗ Βόρειος καὶ ἀειφανὴς προσαγορεύεται. ὁ δὲ ἀντικείμενος τούτῳ κύκλος ἀνταρκτικὸς ϗ ἀφανὴς ϗ νότιος καλεῖται. AD.

ὀπωρινῷ: τῷ κατὰ τὸν καιρὸν τῆς ὀπώρας ἀνατέλλοντι ἀξέρι· λέγει δὲ τῷ κυνί. ἢ θερινῷ ϗ ὀπώρας κατασκευαστικῷ. ὀπώρα δὲ καλεῖται ὁ μεταξὺ θέρους ϗ φθινοπώρου καιρός. D.

6. παμφαίνῃσι: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ παμφαίνῃ. πλεονάζει δὲ Ἴβυκος τῷ τοιούτῳ. A.

λελουμένος Ὠκεανοῖο: νεωστὶ ἀνατέλλων ἐξ Ὠκεανοῦ· τὰς γὰρ ἀνατολὰς τῶν ἄστρων ἐντεῦθεν ὁ ποιητὴς συνιεῖς. Ὠκεανὸς δὲ ποταμὸς καθ' Ὅμηρον περιῤῥέων κύκλῳ τὴν γῆν, ποταμῶν πάντων πατὴρ ὤν. D.

λείπει ἡ ἐξ. Ὠκεανὸς δὲ ὁ ὁρίζων, παρὰ τὸ ὠκέως περὶ αὐτὸν ἀνύεσθαι τὸν δρόμον τῶν ἄστρων. ὥσπερ δὲ ἐπὶ σωμάτων τὰ λαμπρότερα λελοῦσθαι φαμεν, ἔτως ϗ ἐπὶ ἡλίου ϗ τῶν ἄλλων ἄστρων. καὶ „πέμψεν ἐπ' Ὠκεανοῖο ῥοάων" (Il. 18, 240). ABL.

Κλέανδρος ὁ Συρακούσιος ἐν τῷ περὶ τοῦ ὁρίζοντος Ὁμηρόν φησι πρῶτον ἔννοιαν ὁρίζοντος δηλῶσαι, ἐκ ὀνομάσαντα μὲν ὁρίζοντα (μαθηματικὴ γὰρ ἥδε κλῆσις) εἰπόντα δὲ ἐπὶ τῆ κυνὸς „λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο," ἐπεὶ ἔτι κέκρυπται, ὑπερκύψας δὲ τὸν ὁρίζοντα λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο· ὁ γὰρ τοιοῦτος ἄνεισι μὲν ἐκ τῆ Ὠκεανῆ, ὅτι ἔτι κεκρυπται. ϗ λέληθε δὲ ϗ τὸν Ἄρατον, ἁρπάσαντα τὴν φωνὴν ἐπὶ τοῦ ὁρίζοντος φάναι „ὑψόθεν Ὠκεανοῖο" (26). BL.

7. πῦρ δαΐεν ἀπὸ κρατός τε καὶ ὤμων: ἀδύνατον τοῦτο· πῶς γὰρ ἂν ἔζησεν ὁ οὕτω καιόμενος ἀπὸ τῆς κεφαλῆς ϗ τῶν ὤμων; ἐγχωρεῖ μὲν οὕτως τῷ ἔθει λύειν, ὅτι συγκεχώρηται τὸ δοκεῖν τοὺς θεοὺς δύναμίν τοιαύτα δρᾶν τινά, ἃ τοῖς πάσχουσιν ἀκίνδυνά εἰσι κατὰ τὴν ἐκείνων προαίρεσιν· λύεται δὲ ϗ ἐκ τῆ λέγειν διχῶς, ἢ ὅτι πῦρ ὁ κυριολογεῖ ἀλλὰ ἐπὶ τῆς λαμπηδόνος τίθησιν, ἢ ὅτι μετωνυμικῶς ἀπὸ κρατός τε ϗ ὤμων λέγει ἀπὸ τῶν περιεχομένων ἐπὶ τὰ περιέχοντα· προείρηται γὰρ δαΐεν οἱ ἐκ κόρυθός τε ϗ ἀσπίδος ἀκάματον πῦρ. ἢ ϗ ἐκ τῆ ἔθους· εἴωθε γὰρ ἐπὶ τῶν μαχομένων τὸ πῦρ λαμβάνειν εἰς παράστασιν τῆς συντόνου ϗ ἐνθέρμου ὁρμῆς· „ὡς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο" (Il. 11, 596) καὶ „μάχης καυστειρῆς ἀντερόλησαν" (Il. 4, 342). καὶ τὰ περὶ τὸν Διομήδη ἐν παραστατικὰ τῆ

κατὰ τὰς ὦμας καὶ τὰς χεῖρας ἐνθέρμε ὁρμῆς καὶ τῆς κατὰ κεφαλὴν πυκνοτέρας ἐπισροφῆς· ἔτως γὰρ καὶ κορυθαίολος εἴρηται. B.

Ζωΐλος ὁ Ἐφέσιος κατηγορεῖ τῦ τόπε τέτε, καὶ μέμφεται τῷ ποιητῇ ὅτι λίαν γελοίως πεποίηκεν ἐκ τῶν ὤμων τῦ Διομήδες καιόμενον πῦρ· ἐκινδύνευσε γᾶν ἂν καταφλεχθῆναι ὁ ἥρως. (ἀλλ' ἐν τοῖς θεοῖς πάντα εὐχερῆ V). ἔνιοι μὲν ἂν παραλελεῖφθαι τὸ ὡς κατὰ συνήθειαν τῷ ποιητῇ, ὡς καὶ ἐν ἑτέροις· „ὣς οἱ μὲν μάρναντο δέμας πυρός·" καὶ ἐνθάδε τὸ δαΐε οἱ ἀκάματον πῦρ, ἵν' ᾖ ὡς πυρὸς φαντασία, ἐκ εἰδικῶς πῦρ. ADV.

πῦρ ἐνταῦθα τὴν λαμπηδόνα καλεῖ. A.

ἀπὸ τούτων, ὅ ἐςι τῆς περικεφαλαίας καὶ τῆς ἀσπίδος, ὡς προεῖπε (4), τὴν τῶν ὅπλων σιλπνότητα δηλοῖ. ἐ γὰρ δὴ πυρὶ ὡμοίωσεν αὐτῦ τὸ σῶμα ἐδὲ ὕλῃ τινὶ καιομένῃ, ἀλλὰ λαμπρῷ ἀέρι, ἔ αἱ αὐγαὶ εἰσι πυρώδεις. D.

8. κατὰ μέσσον: ἐκεῖ γὰρ ἡ μάχη τὰ τῶν πολεμιςῶν ἄνθη συναγείρει ἀεί (γὰρ τὰ τῆς μάχης ἤνθει V). BLV. καὶ ἀλλαχοῦ „δινεύοι κατὰ μέσσον" (Il. 4, 541). V.

9. ἦν δέ τις: τῦτο τὸ εἶδος διήγησις λέγεται. τρεῖς δὲ ἀρεταὶ διηγήσεως, σαφήνεια, συντομία, πιθανότης, ἅπερ ἐνέθηκεν, τὸ ἔθνος, τὸ ὄνομα, τὴν τύχην, τὸν τρόπον, τὴν ἀρχήν, τῶν παίδων τὰ ὀνόματα καὶ τὴν ἀρετὴν παραστήσας. ABDL.

Δάρης ὡς Χάρης. ὁμολογεῖ καὶ ἡ γενική· Δάρητος γᾶν ὡς Χάρητος. εἰ γὰρ ὠξύνετο, ἡ γενικὴ ἐγίνετο Δαρᾶς ὡς σαφᾶς, ὅτι τὰ εἰς ης δισύλλαβα ὀξύτονα, ἐν ἔχοντα σύμφωνον, εἰς ας περατᾶται κατὰ τὴν γενικήν, σαφᾶς πρηνᾶς πρυλᾶς φραδᾶς „φραδέος νόε ἔργα" (Il. 24, 354). τοιαύτη ἄρα ἐγίνετο καὶ ἡ τῦ προκειμένε ὀνόματος κλίσις. περὶ δὲ τῦ ψιλῆτος παρ' Αἰχύλῳ καὶ τοῦ „Κυρῆτές τ' ἐμάχοντο" (Il. 9, 529) καὶ τῦ κριτῆς ἐν τοῖς περὶ ὀνομάτων ἀποδώσομεν τὸν λόγον. γέγονε δὲ τὸ Δάρης ἤτοι παρὰ τὸ δείρω καὶ ἐκδείρω (ἐοικὸς γᾶν ἱερεῖ), καὶ ἐχρῆν γε αὐτὸ εἶναι Δέρης ὡς Φέρης· ἐτράπη ἓν τὸ ε εἰς α· ἢ παρὰ τὸ δαίω τὸ καίω ἐν πλεονασμῷ τῦ ρ. A.

ἀφνειός, ἀμύμων: τῦτο λελυμένον φασίν. V.

10. ἱρεύς: ἀπὸ τῦ ἱερεὺς συνήλειπ῭ ὡς πόλιες πόλις. ψιλᾶται δέ, ἐπεὶ τὸ ῑ μακρὸν ψιλοῦται μὴ ὂν ἐκ κλίσεως μηδὲ διὰ χρείαν ἐκτεινόμενον. B.

12. ἀποκρινθέντε: ἀποχωριθέντες, τῦ οἰκεῖα πλήθες δηλονότι. D.

ἐναντίον ὁρμηθήτην: θρασεῖς γᾶν οἱ Τρῶες. V.

14. οἱ: Διομήδης καὶ οἱ νέοι. V.

ἐπ' ἀλλήλοισιν: ἀντὶ τῦ ἐπ' ἀλλήλων. A.

15. πρότερος: πρότερος Διομήδους· οἰκεῖον δὲ τῷ προπηδῶντι καὶ προακοντίζειν. ἀεὶ δὲ τὰς πρώτους εἰσάγει ἐπὶ τὸ πλεῖον ὀλλυμένες. ἅμα δὲ παρίςησιν ὅτι θρασεῖς οἱ Τρῶες. BL.

17. ἔβαλ': ἀντὶ τῦ ἐπέτυχεν. A.

19. μεταμάζιον: ἔτως μεταμάζιον ἓν ποιητέον ὡς τὸ μετάφρενον καὶ ἐνώπιον. παρῆκ῭ δὲ παρὰ τὸ μαζός καὶ τὴν μετά, ὡς παρὰ τὸ χθονός καὶ τὴν ἐπὶ ἐπιχθόνιος, παρὰ ποταμόν παραποτάμιος. γίνεται γᾶν καὶ ἀπὸ δύο λέξεων κατὰ παράθεσιν ἕν τι παραγωγόν, ὡς τὸ Νεαπολίτης καὶ ἄλλα μυρία. A.

20. Ἰδαῖος δ' ἀπόρουσε: κατηγορεῖ καὶ τέτε τῦ τόπου Ζωΐλος, ὅτι λίαν, φησί, γελοίως πεποίηκεν ὁ ποιητὴς τὸν Ἰδαῖον ἀπολιπόντα τὰς ἵππες καὶ τὸ ἅρμα φεύγειν· ἠδύνατο γᾶν μᾶλλον ἐπὶ τοῖς ἵπποις. ἀλλὰ ῥητέον ὅτι κατέθορε μὲν τῦ ἅρματος ὡς ὑπερασπίσων τῷ ἀδελφῷ, εὐλαβηθεὶς δὲ τὸν πολέμιον εἰς φυγὴν ἐτράπη. οἱ δὲ λέγεσιν ὅτι εἰδὼς τὸ Διομήδες φίλιππον διὰ τῦτο ἐᾷ τὰς ἵππες, ὅπως περὶ αὐτὰς γένη῭, ἢ ὅτι ἐκ ἐπέςησε τῷ συμφέροντι· αἱ γᾶν φρένες ταραχθεῖσαι παρέπλαγξαν καὶ τὸν σοφόν. τοιῦτος εὑρίσκε῭ παρ' αὐτῷ καὶ ὁ Ἀλέξανδρος, ἑλκόμενος ὑπὸ τῦ ἐχθρῦ καὶ ἀγχόμενος ὑπὸ τῆς κόρυθος καὶ τῆς παρέσης συμφορᾶς, καὶ ἀγνοῶν χρήσαθαι τῷ παρόντι ξίφει κατὰ τοῦ πολεμίου. ABDL.

λιπὼν περικαλλέα δίφρον: ἵνα ἀχολία Διομήδει τὸ λάφυρον γένηται. BLV.

21. περιβῆναι: πρὸς τὴν περίβασιν, ὅτι κατὰ μεταφορὰν τὸ ὑπερμαχῆσαι, καὶ τὸ „ὃς Χρύσην ἀμφιβέβηκας" (Il. 1, 37) τοιῦτόν ἐςιν. A.

ἀδελφειῦ κταμένοιο: κατακερτομεῖ αὐτὸν ὀνειδίζων τὴν δειλίαν· Ὀδυσσεὺς δὲ ὑπὲρ Λεύκε ἀγωνίζεται ἑταίρε μόνον ὄντος. BL.

22. οὐδὲ γὰρ οὐδέ: ἡ μία περισσὴ ἀπόφασις· „ἐδὲ γᾶν ἐδὲ βίη," „ἐδὲ γᾶν ἐδὲ Ἀρύαντος υἱός" (Il. 6, 130). καὶ ἔςιν ἡ μία μὲν ἐπὶ τοῦ πράγματος, ἡ ἑτέρα δὲ ἐπὶ τοῦ προσώπου. καὶ μὴ φονεύσαντι δὲ Διομήδει τὴν τῆς σφαγῆς ψῆφον δίδωσιν. ABDLV.

23. Ἥφαιςος ἔρυτο: ηὔξη῭ μὲν Διομήδης ἀντιτασσόμενε θεῷ, πεπαιδεύμεθα δὲ ἡμεῖς εὐσεβεῖν· καὶ γᾶν Ἑλλήνων ὁ θεός, ἀλλ' ὅμως ἀμείβε῭ τὸν θεράποντα. εὐχάριςος δὲ ὁ Ἥφαιςος καὶ περὶ Θέτιν. ALV.

24. μὴ πάγχυ: ἐμφαίνει διὰ τέτε ὅτι παίδων ἑτέρων ἐκ εἶχεν ἐλπίδα Δάρης BLV.

ἀκαχήμενος: ὡς τιθήμενος ὀνήμενος, Αἰολικῶς. D.

25. Ἵππους δ' ἐξελάσας: ἱππομανὴς ἀεὶ ὁ Διομήδης· Ἀργεῖος γάρ, τὸ δὲ Ἄργος ἱππόβοτον. BL.

26. κατάγειν: ἐν ταπεινῷ γᾶν τὸ ναύσαθμον, ἡ δὲ πόλις ἠνεμόεσσα. BLV. καὶ „οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν" (Il. 24, 329). V.

27. 28. ἡ διπλῆ πρὸς τὸ χῆμα· εἶδει γᾶν τῶν υἱῶν Δάρητος τὸν μὲν ἀλευόμενον, τὸν δὲ κτάμενον. A.

28. τὸ παρ' ὄχεσφι προσδιδόασί τινες τοῖς ἑξῆς, ἵν' ᾖ παρ' ὄχεσφι πᾶσιν ὀρίνθη θυμός, καὶ λέγῃ τοὺς ἁρματηλάτας τεταράχθαι· καὶ ἀλλαχῦ ἱππηλάθῃ φησὶν ἤδη τὰ ἅρματα. βέλτιον δὲ τοῖς ἄνω προσδιδόναι, καὶ νοεῖν ἐκ τῦ παρ' ὄχεσφι τὸν τόπον τῶν ἁρμάτων. ἢ καὶ κυρίως· τὰ γᾶν ἅμα γινόμενα ἐ δυνατὸν ἅμα λέγεσθ῭. A.

καὶ μὴν ἀπήλασο τὸ ἅρμα. ἢ τῷ τόπῳ τῶν ἁρμάτων φησίν· διό τινες ἔλεγον, παρ' ὄχεσφι πᾶσιν ὁρίνθη θυμός, ἵν' ἦ ἴτως, τοῖς ἁρματηλάταις ὁ θυμὸς ὡρίνθη προσδοκῶσι τὸ δεινὸν ἢ ἐφ' ἑαυτὸς ἥξειν. τὰ δὲ ἐπείγοντα πρῶτον εἰπὼν ἐπιφέρει ἢ τῶν Τρώων τὸ πάθος.

29. πᾶσιν: ἀντὶ τοῦ πάντων. πτωτικὸν τὸ χῆμα· συνήθως γὰρ τῇ δοτικῇ ἀντὶ γενικῆς χρῆται ὁ ποιητής. D.

31. Ἄρες Ἄρες: ἐπαναβολὴ (ἐπαναλαβὴ V, ἐπαναλήψεως L, παλιλλογία AD) ὁ τρόπος. Ἴξιον δὲ τὸ δεύτερον ὀξύνει, ἵν' ᾖ ἀντὶ τοῦ βλαπτικέ· ἀδέποτε γὰρ κλητικὴ ἀναδιπλασιάζεται παρὰ τῷ ποιητῇ. ἔχ ἴτως δὲ ἔχει ἡ παράδοσις. τὸ δὲ ἀλαζονικὸν τοῦ δαίμονος ἐξαίρει τοῖς ἐπιθέτοις. AB.

τειχεσιπλῆτα: ὅτι Ζηνόδοτος γράφει τειχεσιβλῆτα, ὁ τεῖχη καταβάλλων. Ποσειδῶνος δὲ ἔργον τὸ ἐκ θεμελίων καταβάλλειν ἢ τὰ ἐπίγεια σείειν, Ἄρεως δὲ τοῖς τείχεσι προσπελάζειν· καὶ ἔξιν ἐπίθετον ἀνάλογον τῷ παρὰ Στησιχόρῳ πυλεμάχῳ. A.

32. οὐκ ἂν δή: ἀγωγὸν τὸ ἐρωτηματικόν, τὸ δὲ προστακτικὸν ἢ λυπηρόν. μάρνασθαι δέ, ὅτι πυρώδης ὢν ὁ πόλεμος μαραίνει τὰς πολλάς (τὰ πάντα V). BLV.

33. ὀρέξῃ: δώσει, πυράσχῃ. ἔχει δὲ κυρίως ἐκτείνειν, ἀφ' ἃ ἢ ὀργυιὰ ἐκλήθη ἢ ἀφ' ἑκατέρων τῶν χειρῶν αὐτῶν ἔκτασις. A.

37. Τρῶας δ' ἔκλιναν Δαναοί: εἰκότως ἐπὶ τῇ Ἄρεως ἀπεσίᾳ ἢ τῇ ταραχῇ ἢ παρέχον οἱ Δάρητος παῖδες τοῦτο γίνεται. BL.

ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ εἰς κλίσιν ἤγαγον καὶ κλιθῆναι ἐποίησαν. A.

38. πρῶτος δὲ ἄναξ: ἄτοπον γὰρ εἶναι ἀργὸν τὸν πρώην ἐγκαλοῦντα πᾶσιν, ἢ ταῦτα κλινομένων τῶν βαρβάρων. BLV.

39. διασυντέον τὸ Ἀλιζώνων· ἃ (ἅτω?) γὰρ ἰσορρῶν λεγόμενοι. A. ἄλλως. ἔθνος Θρᾳκῶν. ἄλλοι δὲ εἶπον αὐτὸ ἐν εἶναι τῶν περὶ τὴν Καρικὴν θάλασσαν οἰκούντων Περσῶν (ἐθνῶν D). AD.

τῶν Παφλαγόνων, διὰ τὸ ὑπεζῶσθαι τῇ ἀλί. ἢ ἐπὶ μὲν τῶν Δαρητιδῶν προετύπωσε τὴν μάχην, νῦν δὲ ἢ τὸ λεληθότως ἐπεῖπε· πρώτῳ γάρ φησι τρεφθέντι. BL.

Ὀδίον: τὸ κύριον παροξύνεται, τὸ δὲ προσηγορικὸν προπαροξύνεται. BL.

πρὸ τέλους ἡ ὀξεῖα, ἐπεὶ κύριόν ἐστιν· τὸ δὲ προσηγορικὸν ὄδιος ὡς ὀκότιος. βάλοντο γὰρ τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων μὲν παροξύνειν, ἐπὶ δὲ προσηγορικῶν προπαροξύνειν, Τυχίος Δολίος, κἂν μὴ χῇ διαιρεῖν, ὡς τὸ Χρομίος. Πτολεμαῖος μέντοι γε κἂν τῇ Ὀδυσσείᾳ (8, 370) ἀνεγίνωσκεν „Ἀλκίνοος δ' Ἄλλον," πρὸ τέλους ποιῶν τὴν ὀξεῖαν. ἔστι μέντοι γε διαπεφευγότα τινά, ὡς τὸ Ἄνιος καὶ Εὐφορίωνος Ξένιος, καὶ ἐν τῇ συνηθείᾳ τὸ Κρόνιος. ἡ δὲ διπλῆ πρὸς τὴν ὁμωνυμίαν τῷ Ὀδίῳ. A.

40. μεταφρένῳ: μεθ' ὃ εἰσιν αἱ φρένες. οὐδένα δὲ τῶν Ἀχαιῶν ἔτω φονεύει, εἰ μὴ τὸν ἔκδοτον ὑπὸ θεῶν Πάτροκλον. BL.

43. Ἰδομενεὺς παρὰ τὴν Ἴδην. δεύτερος δὲ Ἀγαμέμνονος ἀριστεύει ὡς ὑποχόμενος αὐτῷ. εἶτα Μενέλαος· ἃ γὰ συνεχώρει τὸ τραῦμα συνανδραγαθεῖν τῷ ἀδελφῷ. BL.

Φαῖστον: προπερισπᾶται το Φαῖστον ἐπὶ τῆ ἥρωος, ἐπὶ δὲ τῆς πόλεως ὀξύνεται „ἐς Φαιστόν, μικρὸν δὲ λίθος" (Od. 3, 296). B.

44. Τάρνης: πόλις Λυκίας, ἣ νῦν Σάρδεις. ABD.

46. ἵππων ἐπιβησόμενον: πρὸς τὸ φυγεῖν δηλονότι. A. ἐφαρμόσαντα τῷ ἅρματος ἢ μέλλοντα τελειῶσαι τὴν βάσιν ἔφθασεν ἡ τῶ πολεμίω πληγή. BL.

48. ἐσύλευον θεράποντες: ἐν ἀκμῇ γὰρ τὰ τῆς συμβουλῆς. Ἐλεφήνωρ δὲ παρὰ καιρὸν τοῦτο ποιῶν ἀναιρεῖται. σώζεται δὲ ἢ τὸ τῶ βασιλέως ἄξίωμα. B.

49. Σκαμάνδριον: οἰκεῖον κυνηγῷ τὸ ὄνομα· ποταμοὶ γὰρ αὐτοῖς ἡ διαγωγὴ ἢ ὕλαι. BL.

50. Ἀτρείδης Μενέλαος: καταπλήττει τὰς πολεμίας ἢ θαρσύνει τὰς Ἀχαιάς, ὑπογυίως τρωθεὶς ἢ μαχόμενος. BL.

ὀξυόεντι: ὀξεῖ, ἢ ἀπὸ ὀξύας (εἴδους δένδρου) κατεσκευασμένῳ. D. οὐκ ἀπὸ ὀξύας· μελίνοις γὰρ ἐχρῶντο. V.

51. δίδαξε γὰρ Ἄρτεμις αὐτή: τὰς ἐν ταῖς τέχναις ὑπεροχὰς προσάπτει θεοῖς· „κλεπτοσύνη θ' ὅρκῳ τε" (Od. 19, 396). BLV.

52. ἡ διπλῆ, ὅτι σαφῶς τὸ βάλλειν ἀντὶ τοῦ τυγχάνειν. A.

53. ἀλλ' οὔ οἱ: δείκνυται διὰ τούτου τὸ τοῦ μοιριδίου ἀπαράβατον. BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χραῖσμεν θανάτοιο πέλωρα. ἀδιανόητον δὲ γίνεται τὸ λεγόμενον. A.

54. οὕτως ἐκηβολίαι ὡς εὐσοχίαι. ἔφαμεν γὰρ ὅτι τὸ ἀναδιδόναι τὸν τόνον τῶν μεταγενεσέρων ἔξιν Ἀττικῶν, ὅτε περὶ τοῦ „πῇ δὴ συνθεσίαι" (Il. 2, 339) διελαμβάνομεν. A.

55. ἀλλά μιν Ἀτρείδης: ἀθενὴς γὰρ ἡ βολὴ Πανδάρω ἦν ἐβλήθη Μενέλαος· ἔξῆπται δὲ τῇ προθυμίᾳ ἢ διὰ τὴν ἀσέβειαν τῶν Τρώων ἢ διὰ τὴν τῶν θεῶν ἐπικουρίαν. BL.

56. πρόσθεν ἔθεν φεύγοντα: ὅτι ἀπὸ τῆς πληγῆς πέπτωκε φεύγων ἢ τετραμμένος ἐπὶ ῥόμα. A.

58. πρηνής: ἀπὸ τῆς τῶ δόρατος βίας ἀνατραπείς. ἔδειξε δὲ ἡμῖν ὅπλα κραδαινόμενα τῇ τοῦ τεθνεῶτος πτώσει. BL.

ἀράβησε: ἤχησεν. ὀνοματοποιία ὁ τρόπος. D.

59. Φέρεκλον: Φέρεκλος ὁ κλόνον φέρων διὰ τῶν νεῶν. B.

60. Ἁρμονίδεω: ἡ διπλῆ, ὅτι ὀνοματοθετικὸς ὁ ποιητής, ἢ ἐν Ὀδυσσείᾳ παραπλησίως ποιεῖ· οἰκεῖον γὰρ τέκτονος τὸ ἁρμόζειν, κἀκεῖ „Τερπιάδης δέ τ' ἀοιδός" (Od. 22, 330). καὶ ὅτι ἀμφίβολον πότερον ὁ Φέρεκλος

ἔπηξε τὰς ναῦς ἢ ὁ Ἁρμονίδης, ἐφ' ὃ καὶ Ἀρίςαρχος φέρεται. A.

πάντα: ἐν τῇ ἑτέρᾳ τῶν Ἀριςάρχȣ πολλά. A.

61. ἐφίλατο Παλλὰς Ἀθήνη: ὡς ὀργανική. διδάσκει δὲ μὴ κακῶς κεχρῆσθȣ τοῖς παρὰ θεῶν δώροις, μηδὲ συμπράττειν ἀδίκοις. BL.

62. ὅς: ὁ Ἁρμονίδης, ἐπειδὴ ὁ Φέρεκλος πρὸς τὰ δεύτερα ὑπαντᾷ, ὡς ϗ Λυκόφρων „τράμπις σ' ὀχήσει καὶ Φερέκλειοι πόδες." ὁ δὲ Ἁρμονίδης ὄνομά ἐςι κύριον. BL.

νῆας ἐΐσας: ἴσας τὰς ναῦς φησίν, ὅτι ἀντιῤῥόπως πορεύονται· ἀντίῤῥοπος δέ ἐςι ναῦς ἡ ἔχȣσα ἴσα τὰ πλεῦρα κατά τε μέγεθος ϗ σχῆμα ϗ βάρος. ABL.

63. αἳ πᾶσι κακὸν: τρόπος ἐτυμολογίας ἐςίν· ἵνα γὰρ μή τις νοήσῃ κοινὸν πάσης νηὸς ἐπίθετον τὸ ἀρχεκάκους, φησὶν αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο. L.

64. ἀθετεῖται, ὅτι ȣ̓χ ὑγιῶς ἐξενήνοχεν, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο ἑαυτῷ τε· ἔδει γὰρ αὐτῷ τε. ἡ δὲ οἷ ὀρθοτονεῖται νῦν διὰ τὴν ἀρχήν, ȣ̓ πάντως δὲ εἰς σύνθετον μεταληφθήσεται. ὅμοιον δέ ἐςι τὸ „ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κάλλιον ἠδὲ οἷ αὐτῷ" (Il. 15, 226). A.

ἐπεὶ ȣ̓τι θεῶν ἐκ θέσφατα ᾔδη: Λακεδαιμόνιοι λοιμῷ κρατηθέντες ἐμαντεύοντο περὶ ἀπαλλαγῆς· ὁ δὲ θεὸς αὐτοῖς ἔχρησεν ἐξιλάσκεσθȣ τοῖς Τεύκρων δαίμοσιν (τȣ̀ς Τ. δαίμονας D)· οὕτως δὲ πρότερον οἱ Ἰλιεῖς ἐκαλȣ̃ντο. Μενέλαος ȣ̓ν ἀφικόμενος εἰς Ἴλιον τὸ προσταχθὲν ἔπρασσεν, κἀκεῖθεν εἰς Δελφȣ̀ς (θεȣ̀ς A) παρεγένετο περὶ παίδων γενέσεως χρησμὸν ληψόμενος. συνείπετο δὲ αὐτῷ ϗ Ἀλέξανδρος περὶ γυναικὸς μαντευόμενος. γενομένων ȣ̓ν ἀμφοτέρων ἐπὶ τὸ μαντεῖον, λέγεται χρῆσαι τὴν Πυθίαν τάδε· „τίπτε δύο βασιλῆες, ὁ μὲν Τρώων ὁ δ' Ἀχαιῶν, ȣ̓κέθ' ὁμοφρονέοντες ἐμὸν δόμον εἰσανέβητε, ἤτοι ὁ μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν, αὐτὰρ ὁ πῶλον ἑλεῖν; τί νυ μήσεαι ὦ μεγάλε Ζεῦ;" τȣ̀ς δὲ μὴ νοήσαντας τὸ λόγιον χωρισθῆναι. ὁ δὲ λόγος, ἐπεὶ ȣ̓κ ᾔδει τὰ ἐκ τῶν θεῶν μαντεύματα. Ἑλλάνικος δέ φησι χρησμὸν δοθῆναι τοῖς Τρωσὶν ἀπέχεσθȣ μὲν ναυτιλίας, γεωργίᾳ δὲ προσέχειν, μὴ τῇ θαλάσσῃ χρώμενοι ἀπολέσωσιν ἑαυτȣ́ς τε ϗ τὴν πόλιν. AD.

Λακεδαιμονίȣς φασὶ λοιμῷ (λιμῷ LV) πιεζομένȣς τὸ αἴτιον ἀνακρίνειν τὸν θεόν· τὸν δὲ εἰπεῖν ἐξιλάσκεσθȣ τȣ̀ς ἐν Τροίᾳ κρονίȣς (τȣ̀ς Τεύκρων V) δαίμονας, Χιμαιρέα τε (Ἱμερτὼ V) ϗ Λύκον· τὸν δὲ Μενέλαον ἀπελθόντα εἰς Ἴλιον ἐπιτελεῖν τὰ προσταχθέντα· συμμίξαντα δὲ Ἀλεξάνδρῳ ἅμα αὐτῷ ἀπιέναι εἰς Δελφȣ́ς, ἐρησόμενον περὶ παίδων γονῆς· ἐρωτᾶν δὲ ϗ Ἀλέξανδρον ὅπως ἂν ἁρπάσοι τὴν Ἑλένην· τὸν δὲ θεὸν εἰπεῖν „τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων ὁ δ' Ἀχαιῶν, οὐκέθ' ὁμὰ φρονέοντες ἐμὸν ἐστὶ νηὸν ἔβητε, ἤτοι ὁ μὲν γενεὴν ἵππȣ διζήμενος εὑρεῖν, αὐτὰρ ὁ ἄκοιτιν ἄγειν (ὁ πῶλον..λεῖν V); τί νυ μήσεαι ὦ μάκαρ ὦ Ζεῦ;" τȣ̀ς δὲ μὴ νοήσαντας ὑποςρέψαι. τοῦτο φασὶ λέγειν τὸν ποιητήν, ἐπεὶ ȣ̓τι θεῶν ἐκ θέσφατα ᾔδει. BLV.

ᾔδη: οὕτως Ἀρίςαρχος διὰ τοῦ η̄, ᾔδη. A.

66. γλουτὸν: γλȣτὸς κατὰ τȣ̀ς παλαιȣ̀ς τὸ σφαίρωμα τῆς κοτύλης. Ῥοῦφος δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη. παρὰ τὸν γλοιὸν δὲ ἐτυμολογȣ̃σιν αὐτόν, διὰ τὸ ἐν αὐτῷ τρυφερὸν καὶ γλοιῶδες. L.

67. κατὰ κύςιν: αἰσχρὸν τὸ τραῦμα τȣ̃ τῆς πορνείας ναυπηγȣ̃. δηλȣ̃ται δὲ ϗ ἡ τῆς πληγῆς βία· ὀςέοις γὰρ ἡ κύςις σκέπεται, ἃ παρῆλθε τὸ δόρυ. ABL.

68. ἡ διπλῆ, ὅτι ϗ ȣ̃τος ἐπὶ τὴν πληγὴν πέπτωκεν. A.

πιθανὸν σπασμȣ̃ γεγονότος καὶ τὸν τρωθέντα συννεῦσαι. BL.

69. Πήδαιον: Ἀρίςαρχος ὡς Πήδασον, ϗ ἐπεκράτησεν. καὶ ἴσως ἔχει ἀφορμὴν τοιαύτην, ὡς πολλάκις τὰ τοιαῦτα τρίτην ἀπὸ τέλȣς ἔχει τὴν ὀξεῖαν, εἰ ῥῆμα αὐτῶν προκατάρχοι, ὥσπερ ἔχȣσι τὸ βέβαιος (παρὰ γὰρ τὸ βέβηκα), ὡς τὸ Φίλαιος, τὸ Νίκαιος, τὸ Τίμαιος. τοιȣ̃τον ȣ̓ν ϗ Πήδαιος. οὐ γάρ, ὡς οἴεται ὁ Ἄβρων, παρὰ τὴν πῆδον· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχηματίσθȣ. A.

70. ἡ διπλῆ, ὅτι βαρβαρικὸν ἔθος τὸ ἐκ πλειόνων γυναικῶν παιδοποιεῖσθȣ· Λαέρτης γȣ̃ν „χόλον ἀλέεινε γυναικός" (Od. 1, 433). ἢ τάχα ἥγνευεν αὕτη διὰ τὴν ἱερωσύνην. νόμον δὲ τοιȣ̃τον ὑπογράφει ταῖς γυναιξὶν ὁ ποιητής· σώφρονος γὰρ γυναικὸς τὸ γεγονὸς ἁμάρτημα τȣ̃ ἀνδρὸς σκέπειν. δείκνυσι δὲ διὰ Θεανȣ̃ς ὡς ὁ ἀγαθὸς περιγίνεται τρόπος τῶν τοῦ λογισμȣ̃ παθῶν. ἕκαςον δὲ σαφηνίζει, τοὺς βάλλοντας καὶ πίπτοντας αὔξων καὶ τὸ προσκορὲς ἀφανίζων. BL.

73. ἰνίον: τὸ κοῖλον τȣ̃ τένοντος. κέκληται δὲ ȣ̓τως διὰ τὸ νευρῶδες εἶναι. ἢ τὸ πλατὺ ϗ παχὺ νεῦρον τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα. ABDL.

74. ἀντικρὺ δ' ἀν' ὀδόντας: ὑπὸ τὴν γλῶσσαν διιὼν ὁ χαλκὸς τȣ̀ς ὀδόντας ἀνέτεμεν. ὀξέως δὲ διὰ ἀναίμων ὀςέων διιόντος τȣ̃ σιδήρου ψυχρὸν αὐτὸν ὀνομάζει. ἀλλαχȣ̃ δὲ „πᾶν δ' ὑπεθερμάνθη ξίφος" (Il. 16, 333). BL.

75. ἐν κονίῃς: ἐν ἄλλῳ ἐξ ὀχέων. A.

εἰκότως τελευτᾷ· ἠνέχθη γὰρ τὸ δόρυ, καθὸ λήγει ὁ ἐγκέφαλος ϗ ὁ μυελὸς ἄρχεται ὁ νωτιαῖος. ἴσον δὲ τῇ τȣ̃ ἐγκεφάλȣ κοιλίᾳ δύναται τȣ̃το τὸ μέρος. BLV. δῆλον δὲ ἐκ τῶν ἱερείων, ἃ τιτρωσκόμενα κατὰ τὸ ἰνίον διαλύεται. V.

ψυχρὸν: ἤτοι κυρίως διὰ τὸ ψυχρὸν καὶ ἄθερμον εἶναι τὸν σίδηρον, ἢ τὸν τȣ̃ ψύχȣς ποιητικόν, διὰ τὸ ἀποψύχεσθαι τȣ̀ς ἀναιρȣμένȣς ὑπ' αὐτȣ̃· τὸν γȣ̃ν ψυχροποιὸν σίδηρον τοῖς ὀδȣ̃σιν ἔλαβεν. ABDL.

76. Εὐαιμονίδης: ψιλοῖ ὁ Ἀσκαλωνίτης, ἵνα κύριον γένηται, ὥσπερ ϗ τὸ Φίλιππος ϗ Μελάνιππος. ἔςι μὲν οὖν ὃ λέγει πιθανόν (διὰ τȣ̃το γȣ̃ν καὶ τὸ Πολύμνεια πῇ μὲν ψιλȣ̃μεν πῇ δὲ δασύνομεν, ϗ τὸ Εὐρύαλος Ἀγχίαλος), ȣ̓ γε μὴν ἀληθές· εὑρέθη γὰρ τὸ Πάνορμος δασυνόμενον, καὶ Ἔφιππος ὁ κωμικός. A.

Ὑψήνορα: δύο Ὑψήνορες· καὶ ἀλλαχοῦ γάρ φησιν „Ἱππασίδην Ὑψήνορα" (Il. 13, 411). V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

78. Θεὸς δ' ὣς τίετο δήμῳ: διδάσκει πῶς χρὴ πρὸς τὰς ἱερεῖς διακεῖσθαι. BLV.

80. 81. τὸ ἐξῆς οὕτως, μεταδρομάδην ἀΐξας ἤτοι ἐπιδιώξας τὸν φεύγοντα. BLV.

81. τὸ ῥᾴδιον τῆς ἐκτομῆς ἐδήλωσεν ἕξεσεν εἰπών, ἐκ ἀπέκοψεν. AB.

82. οἶκτον ἔχει ἡ χεὶρ δίχα παντὸς τοῦ σώματος κειμένη· ὑπ' ὄψιν γὰρ ἤγαγε τὸ πάθος. BL.

83. ἔλλαβε πορφύρεος θάνατος: ἡ διπλῆ, ὅτι οἱ ἀρχαῖοι κριτικοὶ πορφύρεον θάνατον τὸν τῷ ἐπὶ σῶμα πεπτωκότος ὑπτίᾳ. λέγει δὲ πορφύρεον τὸν μέλανα, ἐξ ἧς δηλοῖ τὸν χαλεπόν· „πορφύρεον δ' ἄρα κῦμα" (Il. 21, 326) ἀναλόγως τῷ „μέλαν δέ ἑ κῦμα κάλυψεν" (Il. 23, 693). AB. μέλας, ἢ ὁ δι' αἵματος. D.

84. οἱ μέν: ὡς καὶ ἄλλων τινῶν ἀσήμων ἐνεργησάντων. BL.

85. ἡ διπλῆ, ὅτι ὡς πρός τινα διαλέγεται μὴ ὑποκειμένῳ προσώπῳ, καὶ ὅτι ἀντὶ τοῦ ἐκ ἄν τις ἔγνω, καὶ χρόνος ἐνήλλακται. A.

ἤδη τὸ τῆς ἀποστροφῆς ὡς πρὸς πρόσωπον, οἷον „φαίης κεν ζάκοτόν τέ τιν' ἔμμεναι" (Il. 3, 220). ἡ δὲ τῆς ἑρμηνείας θερμότης τὸν βεβακχευμένον Διομήδην δείκνυσιν. BLV.

87. Θῦνε: ἐνθουσιωδῶς μετά τινος ὁρμῆς ἐφέρετο. ἐπέτεινε δὲ αὐτὸν τῷ χειμάῤῥῳ, προεικονίσας ἡμῖν τί ἐστι χείμαῤῥος· ἐ μόνον δὲ ἀλλὰ ϗ τῷ πλήθοντι. καλῶς δὲ κἀκ τῶν παχόντων τοῦ ποταμοῦ τὴν βίαν ηὔξησεν. BL.

88. χειμάῤῥῳ: χείμαρρος ὁ μὴ ἀένναον τὸ ὕδωρ ἔχων, ἀλλὰ χειμῶνος πληρούμενος ὑπὸ τῶν συνεχῶν ὄμβρων. BDL.

89. τὸν δ': ἤδη τὸ τῆς ἐναλλαγῆς τῆς πτώσεως ἐν τῇ ἐπαναλήψει, ϗ πάλιν ἐν τῇ γενικῇ· „πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε" (92). BL.

ἐρεγμέναι: χωρὶς τοῦ γ, ἐρμέναι. V.

90. ἀλωάων: χωρίων ἀμπελοφύτων ἢ δενδροφύτων. BDL. σημαίνει δὲ καὶ τὴν ἄλων, ἐν ᾗ ὁ σῖτος. ἔνιοι δὲ κῆπον ἀρούρων. D.

91. ὄμβρος: γίνεται παρὰ τὸ ὁμῶ ϗ τὸ ῥέω. BL. ὁμόρους τις ὢν ϗ ἐν συγκοπῇ ὄμρος. ϗ ἐπεὶ πρὸ τοῦ ῥ ὁ δύναται εἶναι τὸ μ, πλεονάζει τὸ β ϗ γίνεται ὄμβρος. L.

92. αἰζηῶν: ἀντὶ τῶν ἀνθρώπων· „μινύθει δέ τε ἔργ' ἀνθρώπων" (Il. 16, 392). ἐμφαντικῶς δὲ ϗ τὰ ὑπὸ νεανιῶν οἰκοδομηθέντα παρασύρεσθαί φησιν. BLV.

93. ὑπὸ Τυδείδῃ: συνήθης Ὁμήρῳ σύνταξις, ἀντὶ τοῦ ὑπὸ Τυδείδου. L.

98. καὶ βάλ' ἐπαΐσσοντα: καλῶς τιτρώσκει Διομήδεα, ἐπεὶ ῥίζοντά τι ϗ παθεῖν ἔοικεν. ἡ δὲ ὁρμὴ ἡ Διομήδους καὶ τῷ βέλει (πρὸς τὴν δίοδον τοῦ βέλους V) συνήργησεν. BLV.

99. Θώρηκος: τοῦτον ἐγκωμιάζων Ἕκτωρ ἡφαιστότευκτον οἶδε καλεῖν (Il. 8, 195), ἐπεὶ καὶ τὸ Πανδάρου τόξον Ἀπόλλωνος, γύαλον δὲ τὸ περὶ τὸν ὦμον κοῖλον τοῦ θώρακος μέρος. BL.

ἡ διπλῆ, ὅτι τὸ ὅλον κύτος τοῦ θώρακος γύαλον διὰ τὴν κοιλότητα λέγει, ἐ μέρος ὡρισμένον τοῦ θώρακος. τὸ γύαλον ὅταν ἐπίθετον ᾖ, ὀξύνεται· „εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάσαῃς." A.

πρὸς ἀντιδιαζολὴν τῶν χειρίδων. V.

100. ἀντικρύ: ὀξύνεται ϗ ἐκτείνει· ὅταν δὲ ἔχῃ τὸ ῡ, συζέλλεται ϗ βαρύνεται. τὸ δὲ αἴτιον ἐν τῷ περὶ ἐπιῤῥήματος ἐρῶμεν. A.

γίνεται παρὰ τὸ ἀντί καὶ τὸ κάρα, ἵν' ᾖ τὸ κατέναντι καὶ ἀντιπρόσωπον. L.

παλάσσετο: ἐβρέχετο, ἐμολύνετο, ἀφ' ἧς καὶ πηλὸς ἡ βεβρεγμένη γῆ. D.

101. ἄϋσε Λυκάονος ἀγλαὸς υἱός: ἁδελφὸς τῶν βαλλόντων ἢ μόνος ἔτος ὁ ἁλαζὼν ἐφθέγξατο. διὸ ὥσπερ ἐλέγχων αὐτῷ τὸ φλύαρόν φησι „τὸν δ' ἐβέλος ὠκὺ δάμασσεν." οὐ φθέγγεται δὲ τρώσας Μενέλαον, ὅτι ἡ πρᾶξις αἰσχρά, καὶ ἔλεγχον βασιλείας ἔχει ϗ παρασπονδισμόν. BL.

103. ἄριστος: ἀντὶ τοῦ ἄριστεύς· Αἴας δ' μετ' Ἀχιλλέα. ἢ διὰ τὴν εὐδαιμονίαν· „ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν" (Il. 6, 98). ἢ ἑαυτὸν ὑψῶν ὁ Πάνδαρος ἄριστον τὸν τρωθέντα φησὶν ὑπ' αὐτοῦ. ABL.

104. ἀνσχήσεσθαι: Ἀρίσταρχος ἂν χήσεσθαι. A.

105. Λυκίηθεν: ὅτι τῆς Τρωϊκῆς Λυκίας. A.

ἄλλως. Λυκίας χώρας ἧς ἐβασίλευε Σαρπηδών. ἔστι δὲ ϗ ἑτέρα τῆς Τρωάδος πόλις, ἧς ἐβασίλευε Πάνδαρος. AD.

107. ἀναχωρήσας: ἐπὶ τὸ ἀναχωρήσας βραχὺ διαξαλτέον. A.

108. ἔστη: γενναῖον τὸ Διομήδους ἦθος, ὅτι μὴ τελείως ἀναχωρεῖ, καίπερ καιρίαν λαβὼν τὴν πληγήν. BL.

110. ὄφρα μοι: ἐδὲν ἀποιμώζει πρὸς τὴν πληγήν, ἀλλὰ φέρει γενναίως καὶ μόνην τὴν χρείαν ἐπιζητεῖ. B.

111. Σθένελος δέ: πρεπόντως ἐδὲν ἐπιζητεῖ Σθένελος· καὶ γὰ ἀνοίκειον τῷ καιρῷ. BL.

112. ἐπὶ τὸ ϛάς βραχὺ διαξαλτέον. A.

βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ' ὤμου: αὕτη ἐστὶν ἡ κατὰ διωσμὸν βελεκία, ἵνα μὴ πάλιν τιτρώσκοιτο ταῖς ἀκίσιν ὑποῤῥεφέσαις. BL.

113. ἀνηκόντιζε: ἐμφατικὴ ἡ μεταφορὰ τοῦ αἵματος ἀναθέοντος μετὰ βίας· ἀρτηριώδης γὰρ καὶ φλεβώδης ὁ τόπος. AB.

ϛρεπτοῖο: ἁλυσιδωτοῦ. οἱ μὲν ἐπὶ ἱματίῳ νοοῦσι, λέγοντες ϛρεπτὸν τὸν κλωσόν, οἱ δὲ ἐπὶ θώρακος κρικωτοῦ. L.

114. ἠρᾶτο: ἐ περὶ τῆς ἰάσεως ἀλλὰ τῆς τοῦ βαλόντος ἔχεται τιμωρίας. οἰκείως δὲ τοῖς παθήμασιν οἱ εὐχόμενοι τοῖς θεοῖς τὰ ἐπίθετα ποιοῦνται, ϗ νῦν μὲν ὁ καταπονούμενος ἀτρυτώνην, ἡ δὲ εὐχομένη τὴν Ἴλιον σώζεσθαι ἐπικαλεῖται τὴν ἐρυσίπολιν (Il. 6, 305). οἱ δὲ τὴν λείαν λαβόντες ἀνατιθέασι τῇ λῃΐτιδι (Il. 10, 460). BLV.

116. εἴ ποτε: τοῦτο τοῖς ἐξῆς βέλτιον προσνέμειν. A.

μοι: ἀντὶ τοῦ μοῦ. προῳκονόμησε δὲ τὸν Τυδέα ὁ ποιητής. B.

117. ὑποσικτέον εἰς τὸ πολέμῳ. ἄμεινον δὲ ὀρθοτονεῖν τὸ ἐμέ, ἵν' ᾖ καὶ ἐμὲ ὡς ἐκεῖνον. BL.

118. δός δέ τε μ' ἄνδρα ἑλεῖν: ἵνα τί ἐστιν Ἡρωδιανός. ἡ δὲ γραφή, τόνδε τέ μ' ἄνδρα. A.

ἑλεῖν: ἐν χερσὶν ἔχειν· ἐπιφέρει γὰρ τὸ εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν. D.

εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν: τετέχθαι διὰ δόρατος ἀγωνίσασθαι, μὴ τόξοις, μακρόθεν, καὶ ὑπ' ἐμοῦ ἀναιρεθῆναι. ἢ ἐμὲ ποίησον ἐλθεῖν πρὸς ἄφεσιν δόρατος, τουτέστι δύναμαι ἀφεῖναι δόρυ· κάμνει γὰρ ἤδη. ἢ εἰς τὴν ὁρμὴν τοῦ ἐμοῦ ἔγχεος ποίησον αὐτὸν ὑπαντῆσαι. A.

ἢ ἐμὲ ἰσχῦσαι πάλλειν τὸ δόρυ κατὰ τοῦ βαλόντος, ἢ ἐκεῖνον ἐλθεῖν πρὸς ἀντίσασιν τῷ ἐμοῦ δόρατος. μόνον δὲ πλησιάσαι Πάνδαρον εὔχετο· πέποιθε γὰρ αἱρήσειν αὐτόν. BL.

119. ὅς μ' ἔβαλε φθάμενος: καλῶς ἐπὶ τὴν τύχην, οὐκ ἐπὶ τὴν ἀρετὴν τῷ βαλόντος ἀνήνεγκε τὴν ἀνδραγαθίαν. ἅπτεται δὲ τῶν κρειττόνων ἡ τῶν χειρόνων μεγαλαυχία. BL.

121. ἡ διπλῆ, ὅτι κατὰ τὴν ἡμετέραν χρῆσιν νῦν τὸ εὐχόμενος. A.

122. γυῖα δ' ἔθηκεν ἑλαφρά: οἰκείως· τρωθεὶς γὰρ ἐβεβάρητο. ἐκ ἔχομεν ὃν εἰπεῖν, πῶς αἰρεύει πάλιν; BL.

ὁ ἀξερίσκος, ὅτι ἐντεῦθεν μετενήνεκται εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα ἐπ' Ὀδυσσέως τρέχοντος (Il. 23, 772). A.

126. σακέσπαλος ὁ πάλλων τὸ σάκος. ἀναγκαῖον δὲ τὸ σ· διὸ καὶ σακεσφόρος. L.

Τυδεύς: φασὶν ἐν τῷ Θηβαϊκῷ πολέμῳ Τυδέα τρωθέντα ὑπὸ Μελανίππου τοῦ Ἀσακοῦ σφόδρα ἀγανακτῆσαι· Ἀμφιάρεων δὲ φονεύσαντα αὐτὸν δῦναι τὴν κεφαλὴν Τυδεῖ· τὸν δὲ δίκην θηρὸς ἀναπτύξαντα ῥοφεῖν τὸν ἐγκέφαλον ὑπὸ θυμοῦ. κατ' ἐκεῖνο δὲ καιροῦ παρεῖναι Ἀθηνᾶν ἀθανασίαν αὐτῷ φέρουσαν ἐξ οὐρανοῦ, καὶ διὰ τὸ μῦσος ἀπεσράφθαι. τὸν δὲ θεασάμενον παρακαλέσαι κἂν τῷ παιδὶ αὐτοῦ χαρίσασθαι τὴν ἀθανασίαν. ἱστορεῖ Φερεκύδης. ABDV.

127. ἀχλὺν δ' αὖ: τὴν ἀορασίαν δή σε τῶν ὀφθαλμῶν ἀφειλόμην. πῶς δὲ φησὶν ἐν τοῖς ἑξῆς ὅτι ἀγνοεῖ τὸν Γλαῦκον Διομήδης, λέγων „τίς δὲ σύ ἐσσι φέριστε" (Il. 6, 123); καὶ φαμεν ὅτι πρὸς καιρὸν ἀφῄρηται τὴν ἀχλὺν ὑπὸ τῆς Ἀθηνᾶς, ἵνα τρώσῃ τὴν Ἀφροδίτην καὶ Ἄρεα· τρωθέντων δὲ τούτων πάλιν κατὰ τὸ συμπώμενον ἀνταποδίδοται ἡ οἰκεία ἀχλύς, δι' ἣν αἰτίαν ἀγνοεῖ καὶ τὸν Γλαῦκον. ABD.

παιδευτικῶς ἐδογμάτισεν ἀχλὺν ἐπικεχύσθαι τοῖς ἀνθρώποις, ὅπως ἀεὶ δοκοῖμεν ἡμῖν παρεξάναι τὸ θεῖον. BV.

128. ὄφρ' εὖ γινώσκοις: ὅπως εὖ διακρίνοιο καὶ τὸν ἄτρεπτον θεὸν καὶ τὸν ὡς ἄνδρα πάλιν θεόν. BL.

ἠδὲ καὶ ἄνδρα: ἡ διπλῆ ὅτι Ζηνόδοτος γράφει ἠδ' ἄνθρωπον. ἰδίως δὲ εἴρηκεν ἄνδρα διὰ τὸ καὶ ἄνδρας πολεμεῖν. A.

ἄνδρα: θεὸν ὁμοιωθέντα ἀνδρί. ἵνα διακρίνῃς καὶ τὸν ὄντως ἄνδρα. τοῦτο γὰρ δηλοῖ τὸ ἡμὲν θεὸν ἠδὲ καὶ ἄνδρα. V.

129. πειρώμενος: ἀπόπειραν ποιούμενος, ἢ πειρώμενος λανθάνειν ἐν ἀνθρώπῳ μορφῇ. AD.

130. ἐνθάδε βάλον τῷ ἀντικρὺ τὴν τελευταίαν συλλέλλειν διὰ τὸ μέτρον. A.

131. ἀτὰρ εἰ κε: ἐὰν δέ. μόνην δὲ βάλε τρωθῆναι τὴν Ἀφροδίτην διὰ τὸ προειρηκέναι τὸν Δία „τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε, καὶ αὐτῇ κῆρας ἀμύνει" (Il. 4, 10). καὶ ἄλλως ἠρέθισαι ἀκούσα ἡ πρακτικὴ φρόνησις, καὶ καταφρονεῖν τὸν Διομήδη ἡδονῶν παρασκευάζει. ABD.

132. τήν γ' οὐτάμεν: Ζηνόδοτος τήν γ' ἔτάσαι. διχῶς Ἀρίσαρχος, καὶ ὅτως, τήν γ' ἐτάμεν, καὶ χωρὶς τῷ γέ, τὴν ἐτάμεν. A.

136. τρὶς: ὁ τρία ἀρχὴ ἐστιν ἀριθμοῦ (πληθυντικοῦ addit Eustathius) καὶ πλῆθος σημαίνει. L.

ἕλεν μενος: Πτολεμαῖος ὁ τῷ Ὁροάνδῃ ἐν τῷ περὶ τῆς ὁπλοποιίας διὰ τοῦ χ προφέρει, ἔχεν μένοις. A.

ὥσε λέοντα: καλῶς τῶν μὲν τετραπόδων τὰ ἀθενέστερα παρείληφε, τῶν δὲ θηρίων τὸν ἀλκιμώτατον λέοντα, καὶ τὸν μὲν ὑπὸ τῆς πληγῆς ἠρεθισμένον, τὰ δὲ τῷ φυλάττοντος ἔρημα. BL.

137. ἐπ' εἰροπόκοις ὄϊεσσιν: ἀντὶ τῶν ταῖς ἐπαύλεσιν, ὡς τὸ „ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη" (Il. 6, 25). BL.

Πορφυρίων. ἐν μὲν τοῖς ἀγροῖς τὰς οἰκοδομὰς ὕτω καταλέγουσιν. αὐλή, καὶ ἐν ταύτῃ σαθμοί, ἔνθα ἔσηκε τὰ ζῷα, καὶ κλισίαι, ἔνθα καθεύδουσιν οἱ ἄνθρωποι, καὶ σηκοί, ἔνθα ἐγκλείουσι τὰ νεογνά, ὅταν τὰς μητέρας ἀμέλγωσιν ἢ εἰς νομὴν ἐκπέμπωσι. καὶ ἐπὶ μὲν τῆς αὐλῆς „ὃν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὄϊεσσιν χραύσῃ μέν τ' αὐλῆς ὑπερθύμενον, ἐδὲ δαμάσσῃ." λέγει δὲ καὶ μέσαυλον, ὅτι ὁ τῆς αὐλῆς τόπος ἐν μέσῳ ἐστὶ τῶν βοῶν, ἀπὸ μεσαύλοιο (Il. 11, 548). ἐν χόρτῳ δέ φησι (ib. 774) τῷ περιωρισμένῳ τόπῳ καὶ περιέχοντι τὸ χώρισμα τῆς αὐλῆς. περὶ δὲ τῶν σαθμῶν „ἀλλὰ κατὰ σαθμοὺς δύει, τὰ δ' ἐρῆμα φοβεῖται," δηλονότι εἰς τόπον ἐνδοτέρω τῆς αὐλῆς, ὃν σαθμὸν προσηγόρευον ἀπὸ τῶν ἐξώτων ἐν αὐτῷ ζώων. διὸ καὶ Ἥφαιστος ποιεῖ „σαθμούς τε κατηρεφέας ἠδὲ σηκούς" (Il. 18, 589)· κατηρεφεῖς γὰρ καὶ ἐσεγασμένοι αἱ κλισίαι διὰ τὸ τὴν αὐλὴν μὴ εἶναι τοιαύτην· τὸ γὰρ κατηρεφὲς ἐκ κοινοῦ τῶν τε κλισιῶν καὶ τῶν σαθμῶν ἀκούσιν. σηκοὶ δὲ ἔνθα συνέκλειον τὰ νεογνά· „ὡς δ' ὅταν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας ἐλθούσας ἐς κόπρον, ἐπὴν βοτάνης κορέσωνται, πᾶσαι ἅμα σπαίρουσιν ἐναντίαι, οὐδέ τι σηκοὶ ἴσχεσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφιθέουσι μητέρας" (Od. 10, 410). ἔρσας καλεῖ ὁ ποιητὴς τὰς ἁπαλὰς καὶ νεογνάς, καὶ νεηγενέας γαλαθηνάς (Od. 4, 336). συμβέβηκε ταύτας ἐν τοῖς μυχοῖς καθεῖρχθαι. καὶ πάλιν „Τρῶες δ', ὥστ' ὄϊες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ μυρίαι ἑστήκασιν, ἀμελγόμεναι γάλα λευκόν, ἀζηχὲς μεμακυῖαν ἀκοῦσαι ὕπα ἀρνῶν" (Il. 4, 433)· αὗται γὰρ ἐν τῇ αὐλῇ ἀμέλγονται, τὰ δὲ ἀρνία ἐν τῇ σηκῷ κατακέκλεισαι. λέγει δὲ πάλιν „εἴνοντο δὲ σηκοὶ ἀρνῶν ἠδ' ἐρίφων" (Od. 9, 219).

ἐκ τούτων τοίνυν μεταφέρων ἐπὶ Τρώων φευγόντων φησὶν „ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο, καὶ νύ κε σήκαθεν κατὰ Ἴλιον ἤϋτε ἄρνες" (Il. 8, 130)· ἠλάθησαν γὰρ τῆς Ἰλίου εἰς τὸν ἐνδότατον τόπον, ὡς εἰς σηκὸν ἄρνες. ταῦτα μὲν δὴ ἐν ἀγροικίᾳ· ἐν δὲ τῇ πόλει ἀνάλογον τοὺς σαθμούς τε κλισίας τε κατηρεφέας ἠδὲ σηκὸς λέγειν, πλὴν τόδ' ἄρ' αἴθουσαί τε καὶ ἕρκεα καὶ δόμοι ἀνδρῶν. αἴθουσαι δὲ αἱ ὑψηλαὶ σοαὶ ἀνθήλιοι, παρὰ τὸ καταίθεσθαι ὑπὸ τῆ ἡλίᾳ. εἶτα αὐλή· κατὰ γὰρ παράλειψιν τῆς αὐλῆς ἔφη τὰ ἕρκεα· ἐν γὰρ ἄλλοις τὸ πλῆρες ἔφη „καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἕρκιον αὐλῆς" (Il. 9, 475)· καὶ πάλιν ἄλλως ἔφη „παρὲκ μέγα τειχίον αὐλῆς" (Od. 16, 165). ἄλλοι δὲ ἀκριβέστερον αἰθούσας λέγουσι τῆς αὐλῆς τὰς σοάς, ἵνα μὴ ἔξω ὦσι τῆς αὐλῆς, ἀλλὰ τὸ μὲν ὑπαίθριον αὐλή, αἱ δὲ πέριξ τῶ ὑπαίθριῳ σοαὶ αἴθουσαι· αὐτὸς γὰρ ἔφη „ἐξέποτ' ἔσβη πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς, ἄλλο δ' ἐνὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων" (Il. 9, 471). ἦσαν γὰρ μετὰ τὰς αἰθούσας οἱ πρόδομοι, ὧν πάλιν ἐνδότεροι θάλαμοι, ὃς καὶ μυχὸς καλεῖσι διὰ τοῦτο· „κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισι δέμνι' ὑπ' αἰθούσῃ θέμεναι" (Od. 7, 335)· εἶτα ἐπιφέρει „ὡς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς τρητοῖς ἐν λεχέεσσιν ὑπ' αἰθούσῃ ἐριδούπῳ· Ἀλκίνοος δ' ἄρ' ἔλεκτο μυχῷ δόμοι ὑψηλοῖο." ὅτι γὰρ τῆς αὐλῆς τῆς αὐτῆς ἔνδον εἰσὶν οἱ δόμοι, σαφῶς καὶ παρίσησι διὰ τούτων „αὐτὰρ ἔπειτ' ἀνσάντες ἔβαν δόμον εἰς Ὀδυσῆος" (Od. 16, 407)· εἶτα ἐπάγει „κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλὰς αὐλῆς ἐκτὸς ἰών, οἱ δ' ἐνδόθι μῆτιν ὕφαινον". καὶ πρόδομος ἐν ὁ μεταξὺ τόπος τοῦ τε δόμου καὶ τῆ θαλάμου· „ἄλλο δ' ἐπὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων" (Il. 9, 473). καὶ ὅταν ἐν λέγῃ „ἀλλ' ἐξελθόντες μεγάροιο ἔζεσθε θύραζε ἐκ φόνου εἰς αὐλήν" (Od. 22, 375), ἐκ τῆ δόμου λέγει. B.

138. χραύσῃ: ξύσῃ, ψαύσῃ. A. ἀπὸ τῆ χράω χραύω πρόσθεσει τῆ υ. ὅτω καὶ λάω λαύω καὶ ἀπολαύω, καὶ ψάω ψῶ ψαύσω. L.

εὖ τὸ μὴ φάναι τύψῃ ἢ βάλῃ, ἀλλὰ θίξῃ διὰ τὴν ἐπιπολαίαν πληγήν. BL.

ὑπεράλμενον: Διονύσιος ἀναῤῥέφει τὴν ὑπέρ. ὁ δὲ Ἀσκαλωνίτης ἐν ἑπολει, ὃ καὶ πιθανώτερον. A.

140. σταθμὸς λέγεται ἐπὶ ζυγῆ καὶ ἐπαύλεως καὶ ἐπὶ παραξάτιδος καὶ ἐπὶ ἀλλαγῶν στρατευμάτων, ὡς τὸ τόσοι σταθμοὶ ὁδευθῆναι λέγονται. L.

ἡ διπλῆ, ὅτι πρὸς τὸ σημαινόμενον καὶ ὁ πρὸς τὸ ῥητὸν τῶτο ἐπήγαγεν. A.

ἄλλως. ὅτι σαθμοὺς τὰς κατ' ἀγρὸν ἐπαύλεις. καὶ ὅτι ἐπὶ τὸ συνώνυμον εἴληφεν· ἄνω γὰρ εἴρηκεν εἰροπόκοις ὄϊεσσι, νῦν δὲ τὰ δ' ἐρῆμα φοβεῖται. A.

οἱ μὲν ὅτως ἑρμηνεύουσιν, ἔνιοι δὲ ὅτως, τάδ' ἐρῆμα, τουτέστι τὰ πρόβατα ἔρημα γενόμενα τῆ ποιμένος, φεύγει. BL.

τινὲς δέ, ὅπερ ἐστὶ βέλτιον, ἐπὶ τῆ ποιμένος τῶτο νοῆσιν, ὅτι καταδύεται εἰς τὴν ἔπαυλιν φοβούμενος τὴν ἐρημίαν. ἐδέποτε γὰρ ὁ ποιητὴς ἐδετέρως λέγει τὰ πρόβατα, εἰ μὴ ἀναφέροιτο ἐπὶ τὰ μῆλα ἢ θρέμματα. D.

141. ἀγχηστῖναι: ὅτω γὰρ συνέρχονται ἀλλήλαις, ἐπειδὰν πτοηθῶσιν. ἤτοι δὲ τὰς ζώσας φησὶν ἢ τὰς καταβαλλομένας. διὰ δὲ τῆ κέχυνται τὸ πλῆθος δηλοῖ, ὡς τὸ „μελισσάων ἀδινάων" (Il. 2, 87) καὶ „μῆλ' ἀδινά" (Od. 1, 92). ἐναργῶς δὲ τὸ τῶν δεδιότων ἰσῆμανε σχῆμα. BL.

142. ἐξάλλεται: ἔνιοι τὸ ἐξ ἀντὶ τῆ ἔξω ἀκόυσιν· ἔξω ὢν βαθεῖς αὐλῆς ἅλλεται εἰς τὸ ἐντός. ὁ μέντοι Ἀπολλώνιος ἐν τῷ περὶ προθέσεως ἓν λέγει εἶναι τὸ ἐξάλλεται. A.

ἔξω ὢν ἅλλεται κατὰ τῆς αὐλῆς. ἢ ἀντὶ τῆ καθάλλεται. ἢ ὑπεράλλεται τῆς αὐλῆς, ὡς ἐξωγκῶσθαι λέγομεν τὸ ὑπερυψῶσθαι. ἔμφασις δέ, εἴγε καὶ ὑψηλῆς οὔσης τῆς αὐλῆς ἅλλεται αὐτήν. ἔστι δὲ ὡς τὸ „Τρώων ὁρμήσειαν" (Il. 4, 335)· οὐ γὰρ ἀναχωροῦντι τῷ λέοντι εἴκασεν αὐτόν. BLV. ἢ ἐξάλλεται ἐκ τῆς αὐλῆς, ἐκ τῆ σαθμοῦ. V.

143. ὡς μεμαώς: δῆλον ὅτι τῆς προθυμίας ἐποιήσατο τὴν ὁμοίωσιν. ἐκέτι δὲ καθ' ἕνα ἀλλὰ σύνδυο ἀναιρεῖ. ὅρα δὲ τὴν ποικιλίαν τῆς ἑρμηνείας. BL.

145. βαλών: ἡ διπλῆ, ὅτι τὴν πόῤῥωθεν τρῶσιν βολὴν λέγει. A.

146. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει τοῦ δ' ἑτέρου. ὁ δὲ ποιητὴς ὅτως λέγει „ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα" (Il. 1, 197). A.

κληῖδα τὴν κατάκλειδα, παρὰ τὸ κλείεσθαι ὑπ' αὐτῆς τόν τε αὐχένα καὶ τὸν ὦμον. καὶ Δημοσθένης φησὶ „τὴν κλεῖν κατεαγότα" (de cor. § 67). A.

147. πλῆξεν: ἀπὸ μετοχῆς τῆς βαλών εἰς ῥῆμα, ὡς τὸ „ἰοῖσίν τε τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον" (Il. 3, 80). LV.

ἡ διπλῆ πρὸς τὴν διαφορὰν τῆ πλῆξε καὶ ἔβαλεν, ὅτι ἐκ χειρὸς ἐπάταξεν. A.

148. πρὸς τὴν ὁμωνυμίαν· καὶ γὰρ Ἀργείων ἐβασίλευσε Πολυΐδου ὁ τὸν Μίνως ἀνευρὼν παῖδα μάντις. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „Αἴθρη Πιτθῆος θυγάτηρ" (Il. 3, 144). A.

149. ὀνειροπόλοιο: ὅτι ὀνειροπόλος ὁ διὰ τῶν ἰδίων ὀνείρων μαντευόμενος, ἐχ ὁ ὀνειροκριτής. A.

150. ἡ διπλῆ πρὸς τὴν ἑρμηνείαν, τὸ δὲ ὅλον, οἷς τισὶ μὴ ἐπανιῦσι τῆ πολέμου ὁ γέρων ἔκρινε τὰς ὀνείρους. ἔστι γὰρ τῶν ἀμφιβόλων· ἤτοι γε ἐμαντεύσατο ὡς ἐκ ἐπανερχομένοις, ἢ ἐν ἧθει λέλεκται, καὶ οὐ προεῖπε διὰ τῶν ὀνείρων ὅτι ἀναιρεθήσονται. ABDL.

ἐρχομένοις εἰς τὴν μάχην ἐκ ἐμαντεύσατο. ἔστι δὲ ὅμοιον τῷ „ἀλλ' οὔ οἱ τότε γε χραῖσμ' Ἄρτεμις" (53). οὐχ ὅτι ἐδαμῶς ἔκρινεν αὐτοῖς ἐρχομένοις ὁ πατὴρ τὰς ὀνείρας καὶ τὰ συμβησόμενα ἐμαντεύσατο, ἀλλ' ὅτι ἐκ ἐπανήξουσιν ἀπὸ τῆ πολέμου ἔκρινεν αὐτοῖς τὲς ὀνείρους. BDL.

153. τηλυγέτω: ὅτι μὲν ὁ τηλύγετος δηλοῖ παῖ αὐτῷ καὶ τὸν μόνον γενόμενον, παρίσησι τὰ ὑφ' Ἑλένης περὶ Ἑρμιόνης λεγόμενα „παῖδα τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν" (Il. 3, 175). σημαίνει δὲ καὶ τὸν τηλῶ τῆς ἡλικίας

τῷ πατρὶ γεγονότα, ὡς ἐνταῦθα· ὡς ἐπὶ δυοῖν γ' γηράσκοντι πατρὶ γενομένων ἔφη „ἄμφω τηλυγέτω· ὁ δ' ἐτέρωτο γήραϊ λυγρῷ, υἱὸν δ' ἐκ ἔτεκ' ἄλλον." ἐπὶ τοίνυν τῆ Ἰδομενέως, ὅταν λέγῃ „ἀλλ' ἐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὡς" (Il. 13, 470), ἐνδέχεται μὲν ἀκοῦσαι ἀπὸ τῶν μονογενῶν παίδων κατὰ μεταφορὰν τὸν μεμονωμένον, ἐνδέχεται δὲ καὶ ὡς τηλοῦ γενεᾶς ὄντα, τοτέρι πρεσβύτην· ἔφη γ' περὶ αὐτοῦ „ἔνθα μεσαιπόλιός περ ἐών, Δαναοῖσι κελεύσας, Ἰδομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσε" (ib. 361). παρίχει δὲ τὴν ἀμφίβολον ἐκδοχὴν αὐτὸν ποιήσας λέγοντα τὸν Ἰδομενέα ἐπιόντος τῷ Αἰνείᾳ „δεῦτε φίλοι καί μ' οἴῳ ἀμύνετε, δείδια δ' αἰνῶς" (ib. 481)· ἐκ γ' τοῦ οἴῳ ἀμύνετε τηλύγετον ἔσιν ἐκδέξασθ τὸν μόνον. ὅταν δὲ ὁ αὐτὸς πάλιν ἐπάγῃ „κὴ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐσὶ μέγιστον· εἰ γ' ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐνὶ θυμῷ, αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην," ἀμφίβολον γίνεται, μὴ ὅτι μὴ τηλύγετόν γε ἔοικεν ἐπὶ τῆ μὴ ὁμήλικος ἀλλὰ πρεσβυτέρᾳ κὴ τῆς τηλοτέρας γενεᾶς ὄντος, ὡς ἔφη ποτὲ ἐπὶ τῆ μὴ ὁμήλικος „ἕτος δὲ προτέρας γενεῆς προτέρων τ' ἀνθρώπων" (Il. 23, 790). ἀλλ' Ἰδομενεὺς μὲν μεσαιπόλιος, κὴ διὰ τοῦτο τῆς προτέρας γενεᾶς. B.

Ἄλλως. μεθ' ὃς ἐκ ἐπαιδοποίησεν ὁ πατήρ, οἱ τῆλε τῆς ἡλικίας γενομένῳ τῷ πατρὶ τεχθέντες. ἐλέγχει δὲ τοὺς ἐπὶ γήρᾳ οἰομένους δεῖν παιδοποιεῖν, ὅπως διαδόχοις χρήσωνθ, ὡς κακῶς οἰομένους· νικᾷ γὰρ ἡ πήρωσις (ἡ πεπρωμένη V). BLV.

155. ἐξαίνυτο θυμόν: ἐνταῦθα μετὰ αἰτιατικῆς κὴ ἀλλαχοῦ μετὰ γενικῆς, ὡς τὸ „τυρῶν αἰνυμένους" (Od. 9, 225). L.

156. ἀμφοτέρω: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν ἀμφοτέρων. ἔτως δὲ λέγει, ἀμφοτέρους ἀφείλετο τὸν θυμόν· τὸ γ' ἀμφοτέρω νῦν ἀμφοτέρους σημαίνει. ὁμοίως δὲ λέγεται κὴ κατὰ τὸ ἑνικόν „ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1, 299). A.

158. χηρωσταί: οἱ ἀλλότριοι τὸ γένος κληρονόμοι, οἱ τὸν χῆρον οἶκον διανεμόμενοι κληρονόμοι. χηρωσταὶ δὲ ὡς θηλυταί. προληπτικῶς δὲ τοῦτό φησιν· ἔπω γ' ἀπέθανεν ὁ ἥρων. ABL.

Ἔσι τάγμα ἐν ταῖς πόλεσιν διοικοῦντες τὰς ἀκληρονομήσας ἦγεν τὰς χηρεύοντας διαδόχων, οἵ τινες κατὰ λόγον ἄλλον κὴ ὀρφανιζαὶ ἦγεν ἐπίτροποι παίδων. L.

Ἄλλως. χηρωσταὶ ὡς ἀθληταί. ἔτως κὴ ὁ Ἀσκαλωνίτης· ἐ γ' εἰς τῆς λήγοντα ῥηματικὰ ὑπὲρ δύο συλλαβάς, φύσει ικρᾷ παραληγόμενα, ὀξύνεται, τορευτής βραβευτής ἀθλητής ποιητής ὀρχηστής χρυσωτής. ἔτως ἓν κὴ παρὰ τὸ „ἐεδνώσατο θύγατρα" (Od. 2, 53) τὸ ἐεδνωτής, κὴ παρὰ τὸ „χήρωσε δὲ γυναῖκα" (Il. 17, 36) τὸ χηρωσής. μάχεθ τὸ κυβερνήτης· τὸ γ' ἀήτης ἄλλως γέγονε. τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ „σείχων δ' ἀγρώσην ὕχλον" παρώνυμον. A.

161. ἐξ αὐχένα ἄξῃ: ἔμφασιν διακοπῆς ἔχει ἡ ὑπερ.., τὸ „λέων κατὰ ταῦρον ἐδηδώς" (Il. 17, 542). V.

162. πόρτιος: νέα βοός, μόχθ. γράφεται δὲ πολλάκις καὶ χωρὶς τῆ τ. L.

πόρτιος ἠὲ βοός: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει βουκόλου ἠὲ βοός. παραλλήλως δὲ τὸ εἶδος τῷ γένει τέταχεν. A.

εἰπὼν τὸ γενικὸν ἐπὶ τὰ ἴδια ἔρχεται. ὁ δὲ ἠέ ἀντὶ τῆ καί, ὡς τὸ „εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (Il. 20, 138). BL.

ξύλοχον: τόπον σύνδενδρον· οἱ δὲ κοίτην θηρίθ. V.

164. ἀέκοντας: ζερησίς ἐσι τοῦ ἑκόντα τὸ ἀέκοντα· διὸ δασυντέον τὸ ἔ. πταίει ἓν Νικίας ψιλῶν τὸ ἔ· οἴεται γ' τὸ ἀκόντα ἐπεντίθεσθ τὸ ἔ, ὅπερ ἐκ ἔσι· τὸ γ' ἄκοντα συναλοιφὴ ἐσι τοῦ ἀέκοντος. διὰ τί δὲ τὸ ᾶ ἐψιλώθη, ἐν ἑτέροις ἔφαμεν. A.

166. ἀλαπάζοντα: κενοῦντα· διὸ κὴ Ἀθηναῖοι τὰ κενώματα λάπαθα καλοῦσιν, ἐκ μεταφορᾶς τῆς λαπάθ καλουμένης βοτάνης· ἡ γ' λάπαθος κενωτική ἐσι τῶν κατὰ γαστέρα παθῶν· καὶ μετὰ τῆ ἐπιτατικῆ ᾶ ἀλαπάζοντα. BL.

167. βῆ δ' ἴμεν: τὸ ὁμοιοδὲς ἐκκλίνει, καὶ πρόθυμον Πάνδαρον ποιεῖ ἀθυμοῦντα ἐπὶ Διομήδει. BL.

169. εὗρε Λυκάονος υἱόν: αὐτὸς ἔξω κινδύνων ᾳὰς τοξότην ἀντικαθίζησιν αὐτῷ· ὃ γ' ἐθέλει κινδυνεύειν Αἰνείας. BL.

171. πτερόεντες ὀϊστοί: οἰκεῖα τὰ ἐγκώμια τῶν ὀϊστῶν τῇ προτροπῇ, ὡς εἰς αὐτὸν ἀφορώσης μόνον τῆς τῶν Τρώων σωτηρίας. BL.

172. οὔτις: κατὰ ἀπόφασιν, ἀντὶ τῆ ἀδείς. BL.

ἐρίζεται: ἐρίζει, Ἀττικῶς. L.

173. ἡ διπλῆ, ὅτι τὴν Τρωϊκὴν Λυκίαν λέγει.

177. εἰ μή τις: πρὸς τὸ ἀμφίβολον, εἰ μὴ ἔτος αὐτὸς θεός ἐσιν ὁ ἐναντιούμενος, ἢ εἰ μή τις θεὸς ἐγκοτῶν τοῖς Τρωσὶ τῷ πολεμίῳ ἀρήγει. οἰκείως ὑπονοεῖ θεὸν ὁ ἐκ θεᾶς προελθών· ἅμα δὲ κὴ ἦθος ὁ λόγος ἔχει. AB.

178. ἐπὶ μῆνις: Ἀρίσαρχος παρολκὴν οἴεται τῆς ἐπί, ὁμοίως τῷ ἐπισμυγερῶς (Od. 3, 195) κὴ „βοῶν ἐπιβουκόλος ἀνήρ" (ib. 422). ὅταν δὲ παρέλκῃ ἡ πρόθεσις, ἀ ποιεῖται ἐξαλλαγὴν τόνθ. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ὁμοίως τῷ „ἐπεὶ ἤ τοι ἔπι δέος" (Il. 1, 515), ἵνα τὸ ἔπεσι σημαίνηθ. ἄλλοι δὲ ἐπίμηνις, ἓν μέρος λόγθ ποιοῦντες. ἄμεινον δὲ τῷ Ἀρισάρχῳ συγκατατίθεσθ. A.

κατὰ παρολκὴν ἐσὶ ἡ ἐπὶ πρόθεσις· διὸ ἐκ ἀμείβει τὸν τόνον. B.

181. Τυδείδῃ μιν: Ἀρίσαρχος διχῶς, κὴ μὶν κὴ μέν, Τυδείδῃ μιν ἐγώ. A.

182. γιγνώσκων: κὴ πῶς γινώσκει τῆ πυρὸς καιομένθ; ἢ ἀ πάντα τὸν καιρὸν καίεται. V.

κὴ πῶς γινώσκει πολέμιον ὄντα; ὅτι ἔσιν ὅτε καὶ κατ' αὐτὸν τὸν πόλεμον συναντῶσιν ἀλλήλοις κὴ γνωρίζονθ, ἔσι δ' ὅτε κὴ μὴ ὄντος πολέμου κατοπτεύοντες βλέπουσι τὰς ἀλλήλων ἀρισεῖς. BL.

αὐλώπιδι: περικεφαλαίᾳ αὐλίσκον ἐχούσῃ καθ' ὃν πήγνυται ὁ λόφος. τρυφαλείᾳ δὲ τῇ φάλως ἐχούσῃ τρεῖς·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φάλοι δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας χρυσοῖ ἧλοι ἢ ἀσερίσκοι. BDL.

εἶδος περικεφαλαίας λόφον εἰς ὀξὺ ἀνατεταμένον ἐχούσης. τρυφαλῆς δὲ τρυφάλεια. V.

183. ἀθετεῖται, ὅτι δεξάμενός τις εἰ μή τις θεὸς ἔξιν ὁ ἐναντιούμενος, ἐνέγραψεν αὐτόν. ὁ διεξάζει δέ, ἀλλ' ἐπίσταται σαφῶς ὅτι Διομήδης ἐστί· διὸ λέγει „Τυδείδη μὶν ἔγωγε δαΐφρονι πάντα ἴσκω, ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ." A.

185. τάδε μαίνεται: σημείωσαι ὅτι τὸ μαίνεσθαι ἐπὶ ἀνθρώπῳ εἶπεν ἐνθυσιῶντος εἰς μάχην. ἀλλαχοῦ δὲ δύρι μαίνεσθαι λέγει (Il. 8, 111). ἔστι τὸ ἐνεργητικὸν οὐκ ἔχειν ἐνεστὼς ἀσύνθετον ἐν χρήσει, ἀλλὰ μετὰ προθέσεως· ὡς γὰρ πορεύω ἄλλον καὶ πορεύομαι ἐγώ καὶ ὀχῶ ἄλλον καὶ ὀχοῦμαι ἐγώ, οὕτω καὶ ἐκμαίνω ἄλλον καὶ ἐκμαίνομαι ἐγώ. ὁ μέντοι κατ' ἐνέργειαν παρακείμενος εὕρηται ἐν ἁπλότητι· μέμηνα γάρ. δῆλον δὲ ὅτι καὶ αἱ καθ' ὑπερβολὴν ἐπιθυμίαι κλῆσιν ἔχουσιν ἐκ τοῦ μαίνεσθαι, καὶ μάλιστα αἱ φαῦλαι, ὡς τὸ γυναιμανής. κεκλήρωται δὲ ἐντεῦθεν δάλοις κλῆσις· Μάνης γὰρ δαλικὸν ὄνομα παρὰ τοῖς παλαιοῖς, ἐξ οὗ μετῆκται καὶ εἴς τι παικτικὸν χαλκοῦν πρόσωπον, ὃ καὶ αὐτὸ Μάνην ἐκάλουν. L.

186. ὤμους: ἀπὸ μέρους τὸ πᾶν. V.

187. ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἠθέτηκεν αὐτόν· οὐ γὰρ ἐτράπετο ἄλλῃ τὸ βέλος, ἀλλ' ἔτυχεν αὐτοῦ. ὁ λέγει δὲ ὅτι καθόλε ἀπέτυχεν, ἀλλ' ὅτι ἐπὶ καίριον τόπον φερόμενον παρέτρεψεν. A.

188. καὶ προηκάμην, φησί, καὶ ἔτρωσα τὸν ὦμον. A.

189. Θώρηκος γυάλοιο: ἡ διπλῆ, ὅτι περιφραστικῶς πάλιν τοῦ κύτους. A.

191. οὐκ ἐδάμασσα: ἠθικῶς φησὶ διὰ τὸ μὴ ἐναρεθῆναι αὐτόν. BL.

ἡ διπλῆ, ὅτι εὐκρινὲς γίνεται τὸ ἐν τοῖς ἐπάνω (177) ἀμφίβολον, ὅτι συνεργὸν λέγει τῷ πολεμίῳ θεόν. A.

193. ἀλλά που ἐν μεγάροισι: κερτομεῖ τὸ ἑαυτοῦ φιλάργυρον, ὡς ἀμελοῦντος τῆς ἰδίας σωτηρίας ἀναλωμάτων φειδοῖ. BL.

194. πρωτοπαγεῖς: πρώτως παγέντες, ὃ ἔξιν ἐξόχως, ἢ νέοι. ABL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος μετέθηκεν ὡς ταὐτολογοῦντος, πρωτοπαγεῖς νεοτευχέες, ἀγνοῶν ὅτι ἐνίοτε παραλλήλως τάσσει τὰς ἰσοδυναμούσας λέξεις. A.

ὅρα τὸν φειδωλὸν καὶ ἀχράντως φυλάξαντα ὡς ἀναθήματα τὰς δίφρους, καὶ ταῦτα πλῆθος ἔχοντα συνωρίδων. BL.

195. σφιν; ἀντὶ τοῦ σφῶν. V.

δίζυγες ἵπποι; ὅτι δυσὶν ἵπποις ἐχρῶντο. A. ὡς εἶναι τὰς πάντας ἵππους κβ'. L.

196. κρῖ: κριθάς· ἀποκοπὴ τὸ πάθος. εἰδέναι δὲ δεῖ καὶ ζητεῖν πότερον ἐκ τοῦ κρίμνον ἢ ἀπὸ τῆς κριθῆς ἀποκέκοπται τὸ κρῖ· εἰ μὴ γὰρ ἦν τὸ κρῖ ἑτέρου γένους, ἐκ ἐποιεῖτο τὴν σύνταξιν μετὰ τοῦ λευκόν ἑτέρου, οἷον κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας. καὶ αὐτὸ γὰρ τὸ κρίμνον ἑτέρου γένους ἐστίν. φαίη τις πρὸς τοῦτο, ἐδὲν μέγα· δύναται γὰρ καὶ ἐπὶ θηλυκοῦ λαμβάνεσθαι, οἷον τὴν κρῖ λευκὸν ἔσαν, ἀντὶ τοῦ ὥσπερ τὴν λευκὸν θεόν, τὴν δῆλον, ἅπερ εἰσὶν Ἀττικά. πρὸς ὃ λέγομεν ὅτι ὂν πείσει ἑτέρου καὶ μόνον ὂν ἐνταῦθα τὸ εὐρυφυὲς κρῖ. κρίμνον δὲ τὸ λεπτὸν ἄχυρον τῆς κριθῆς. ἀποδείκται ἐν ὅτι τὸ κρῖ ἐκ τοῦ κρίμνον καὶ ἐκ τῆς κριθῆς ἐστὶ γεγονός. AV. λευκὸν δὲ εἶπε πρὸς ἀντιδιαστολὴν τῆς μελαίνης ἢ τοῦ πυροῦ. L.

ἐρεπτόμενοι: κυρίως ἀπὸ τῆς ἵππου λαμβάνοντες· ἔστω δηλοῖ διαιρεμένη ἡ λέξις. AB.

197. γέρων: ἐπιτείνει τὴν φειδωλίαν· τἀναντίον δεῖ. τὸ φιλότιμον τῶν νέων ἐπέχουσιν οἱ γονεῖς ὡς γέροντες· ὁ δὲ καὶ τοῦ γέροντος ἐναντίως μικρολογώτερος ὤφθη. BL.

αἰχμητά: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ αἰχμητής, ὡς „αὐτὰρ ὁ αὖτε Θυέστα" (Il. 2, 107). A.

200. ἀρχεύειν Τρώεσσι: ἡ διπλῆ, ὅτι οἱ τὴν Ζέλειαν οἰκοῦντες ὑπὸ τὴν Ἴδην καὶ ὑπὸ Πάνδαρον Τρῶες ἐλέγοντο. A.

201. 202. ὑπερβατόν· ὁ πιθόμην ἵππων φειδόμενος. L.

202. φορβῆς: ὡς τροφῆς· τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ω παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε παραληγομένων μόνῳ, οἷον γρέφω γροφή, τροπή τροφή ῥοπή σπονδή νομή ὁλκή πλοκή. ἔστω καὶ φορβή. προσέθηκα τῷ ε παραληγομένων μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη· τοῦτο γὰρ παρὰ τὸ πείρω. A.

ἐξ οὗ καὶ φορβειά, τὸ λεγόμενον Ῥωμαϊκῶς κάπιστρον. L.

203. εἰλομένων: ταὐτόν ἐστι τὸ εἰλομένων τῷ εἰλεμένων· διαφορεῖται γάρ. ὁποῖον καὶ τὸ ξερόμενος ξερέμενος, ἐπιμελούμενος ἐπιμελέμενος. L.

εἰωθότες: ὅρα τὸ εἰωθότες ἐπὶ ἀλόγων· ἐπὶ γὰρ λογικῶν ἐστὶν ἡ λέξις, ὡς καὶ ἀρεταὶ ἠθικαὶ αἱ ἐξ ἔθους γινόμεναι. L.

ἄδδην: εἰς κόρον. LV. Νικίας διὰ δύο δ γράφει διὰ τὸ μέτρον, ὁμοίως τῷ „κύον ἀδδεές" (Il. 21, 481), καὶ ψιλοῖ. Ἀρίσαρχος δὲ δι' ἑνὸς δ καὶ βραχέως καὶ θασέως· τὸ γὰρ ᾱ πρὸ τοῦ δ δεκτικὸν μὲν ψιλεῖ, ὡς τὸ ἀδολέσχης ἀδρανής, μὴ ἔτως δὲ ἔχον δασύνει „ἄδε δ' Ἕκτορι" (Il. 12, 80) „ἄδος τέ μιν ἵκετο θυμόν" (Il. 11, 88). καὶ τὸ Ἄδωνις δέ τινες δασύνουσι παρὰ τὸ ἥδω. AB. μάχεται τὸ ἀδρύφαξνις δεκτικὸν ἔχον τὸ ᾱ καὶ δασυνόμενον. A.

205. πίσυνος: ἐκ τοῦ πείθω. Συρακουσίων δὲ ἡ διάλεκτος. L.

206. ἤδη γὰρ δοιοῖσιν: ὡς πρὸς φίλον ὁμιλῶν ἐξέκεται ὑπὸ μεγαλαυχίας καὶ τὰ ἑαυτοῦ ὁμολογεῖν ἀπόῤῥητα. Bl

207. Τυδείδη τε καὶ Ἀτρείδῃ: παρίσωσις. L.

208. ἀτρεκὲς αἶμ' ἔσσευα: ἀντὶ τοῦ ἀτρεκέως εἰδώς αὐτό, ἐκ ἠπάτημαι. διαζολὴ δὲ εἰς τὸ βαλών. B.

σικτέον μετὰ τὸ βαλών. ἡ διπλῆ, ὅτι τρώσας, καὶ ῥίψας ἁπλῶς τὸ βέλος. A.

209. πασσάλου: πάσσαλος ξύλον ἐπίμηκες ἐμπηγνύμενον πρὸς τὸ κρεμάσαι ὅπερ δεῖ. D. ἐξ οὗ καὶ παροιμία πασσάλῳ μὲν ἀνακρεμάσαι ἀντὶ τοῦ ἀμελῆσαι, ἀπὸ τῶν

σάλε δὲ λαβεῖν τὸ ἐπιμεληθῆναι. ἔστι καὶ πάσσαξ καθ' ὑποκορισμόν. L.

210. ἡ διπλῆ, ὅτι θηλυκῶς τὸ Ἴλιον. A.

211. ὅτι ἀντὶ τῶ Τρώων τῶν ὑπὸ τὴν Ἴδην, χαριζόμενος δὲ τῷ Ἕκτορι. τινὲς δὲ ἀγνοοῦντες ὅτι λέγονθ καὶ οἱ ὑπὸ Πάνδαρον Τρῶες, μεταγράφεσι „Τρώεσσι φέρων χάριν ἱπποδάμοισιν." A.

μετὰ τὸ Τρώεσσιν ἀναπαύσαοθ δεῖ· ἠγέμην τῶν Τρώων χάριν φέρων τῷ Ἕκτορι. τὸ δὲ Τρώεσσιν ἤτοι καθολικῶς, ὡς τὸ „Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν" (Il. 6, 1), καὶ τοῖς ὑφ' Ἕκτορος τεταγμένοις, ὡς τὸ „Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ" (Il. 2, 816)· ἢ καὶ τοῖς Ζελείταις „οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης, Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱός" (ib. 824). τινὲς δὲ μὴ θέλοντες Τρῶας εἶναι τοὺς Ζελείτας, τὸ Ἕκτορι ἀντὶ τοῦ δι' Ἕκτορά φασιν, ὡς τὸ „σοὶ πάντες μαχόμεσθα" (Il. 5, 875), οὐκ εὖ. ABLV.

212. εἰ δέ κε νοσήσω: ἀντὶ τῶ νοσήσαιμι, ὡς „πληθὺν δ' ἐκ ἂν ἐγὼ ὀνομήνω" (Il. 2, 488). περιττεύει δὲ ὁ κέν σύνδεσμος. A.

215. εἰ μὴ ἐγὼ τάδε: συναπτέον ὡς ἐν τῇ δευτέρᾳ· „εἰ μὴ ἐγώ σε λαβών" (Il. 2, 261). A.

θείην: εὐκτικὸν ἀντὶ ἐνεργητικοῦ. D.

216. διακλάσσας: διὰ τῆς διπλασιάσεως τοῦ σ τὸν ἀπὸ τῆς συντριβῆς (συντρίψεως L) τῶν κεράτων γινόμενον ἦχον ἐμιμήσατο. BL.

ἀνεμώλια: ἀνέμοις ἀπολέσθ ὀφείλοντα, οἷον ἀλλαχῶ (Od. 1, 241) φησὶν „ἅρπυιαι ἀνηρείψαντο" τουτέστι θύελλαι, ἄνεμοι νηώδεις. BL.

217. Τρώων ἀγός: ἢ Λαρδάνιοι γ' τῶν Τρώων. LV.

219. νώ: τὸ νώ βαρυτονητέον. ἅπαξ δὲ ἐν Ἰλιάδι, καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ τῷ νώ ἐχρήσατο καὶ αἰτιατικὴν πτῶσιν, ὥσπερ καὶ ἐνθάδε „νὼ ἀναβησόμενοι" (Od. 15, 475). ὁπότε μέντοι γε σὺν τῷ ῑ λέγεθ, καὶ ἐπ' εὐθείας αὐτὸ τάσσει καὶ ἐπ' αἰτιατικῆς, καὶ προπερισπᾶ· „νῶϊ δ' ἐγὼ Σθένελος" (Il. 9, 48) καὶ „οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ" (Il. 14, 344). περὶ δὲ τῆς τάσεως τῶ μονοσυλλάβω, διά τί ὑ περισπάθη, ἐν τῷ περὶ ἀντωνυμιῶν (p. 110 = 370) δηλῶ. καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς ω λῆγον περισπᾶ· ἔτως γ' ἔχει καὶ τὸ σφώ, τασσόμενον καὶ ἐπ' εὐθείας καὶ ἐπ' αἰτιατικῆς· καὶ παρ' αὐτῷ „σφὼ δὲ μάλ' ἠθέλετον" (Il. 11, 782) „Ζεὺς σφὼ ἐς Ἴδην" (Il. 15, 146). AB.

222. Τρώϊοι: τοῦτο κοινόν, εἰ μὴ τοὺς ἀπὸ Τροὺς λάβοιμεν. ἢ οἱ τῷ Τρωῒ κεχαρισμένοι ἀντὶ τῆς ἁρπαγῆς Γανυμήδης. BDLV.

ὦρα τὸ ἐπισάμενοι ἐπὶ ἀλόγων. ὅθεν καὶ παροιμία τὸ ἵππος εἰς πεδίον. L.

223. συνέτεμε τὸ ἐγκώμιον πρὸς εἰδότα λέγων. Διομήδης δὲ (263) ἐξέτεινεν, ὅπως μὴ καταφρονήσῃ ὁ Σθένελος. BL.

ἡ διπλῆ, ὅτι τοῦτό ἐστι τὸ „φύβον Ἄρηος φορεύσας" (Il. 2, 767), τὴν ἐν πολέμῳ φυγήν· καὶ ὅτι τὸ φοβεῖσθ καὶ φέβεσθ ἐπὶ τῶ φεύγειν Ὅμηρος τίθησιν, ἐκ ἐπὶ τοῦ κατὰ ψυχὴν δέους. A.

224. τὼ καὶ νῶϊ: πιθανῶς ἀλαζονευόμενος ἐπ' αὐτοῖς φερεθ αὐτῶν, καὶ πρὸ πείρας φυγὴν προσδοκᾷ. Διομήδης δὲ τἐναντίον. BL.

226. σιγαλόεντα: ἤτοι εὐδιάσειστα, ἢ λαμπρὰ καὶ ποικίλα καὶ θαυμαστὰ τῇ κατασκευῇ. τὰ μεγάλως καὶ ποικίλως κατεσκευασμένα. τὰ θαυμαστὰ καὶ σιωπὴν ἐκ τῶ θαύματος ἐντιθέντα, οἱονεὶ σιγηλόεντά τινα ὄντα. ABD.

σιγαλόεντα δὲ τὰ σῖγα ἀλλόμενα. V.

227. δέξαι: ἀπὸ τῶ ἡνιόχῳ δέξαι. BL.

ἵππων ἀποβήσομαι: Ἀρίσαρχος ἀποβήσομαι δὲ ἵππων ἔφη, οἷον τῆς τῶν ἵππων φροντίδος· ἐπιφέρει γοῦν „ἦέ σὺ τόνδε δέδεξο," τὸν Διομήδη. Ζηνοδότειος δὲ ἡ διὰ τῶ ε ἐπιβήσομαι. A.

Ζηνόδοτος ἐπιβήσομαι· φησὶ γᾶν „εἰς ἅρματα ποικίλα βάντες" (239). ἐὰν δὲ γράψῃς ἀποβήσομαι, ἀντὶ τῶ ἐκβήσομαι τῆς ἐπιμελείας αὐτῶν. BLV.

228. δέδεξο: ἡ διπλῆ, ὅτι εἴωθε περιττεύειν τῇ συλλαβῇ, ὡς ἐπὶ τῶ πεπίθωνται λελάχωσιν. A.

231. μᾶλλον: τοῦτο ἀφ' ἑτέρας ἀρχῆς. A.

ὡς ἄπειρος προφασίζεθ, ἐπεί τοι Κεβριόνη ἀποθανόντος ἄλλον Ἕκτωρ δίδωσιν ἡνίοχον, καὶ Διομήδης αὐτοῖς ἀγωνίζεθ, καὶ Μενέλαος Αἰθῃ τῇ Ἀγαμέμνονος ἵππῳ. BLV.

εἰωθότι: ἔτως εἰωθότι καὶ Ἀρίσαρχος καὶ σχεδὸν ἅπαντες· μᾶλλον γάρ φησιν ὑπὸ τῷ ἐθάδι καὶ συνήθει ἡνιόχῳ οἴεσιν τοὺς ἵππους τὸ ἅρμα. καὶ τὴν αἰτίαν ἐπιφέρει „μὴ τὼ μὲν — ποθέοντες." τοιοῦτό ἐστι καὶ τὸ ἐν τῇ Δολωνίᾳ „ἀήθεσσον γὰρ ἔτ' αὐτόν" (Il. 10, 493). διὰ τοῦτό φασιν ἔνιοι καὶ τὸν Τηλέμαχον τῷ Πεισιστράτῳ κελεύειν ζεῦξαι τοὺς ἵππους (Od. 15, 46). εἴη δ' ἂν ὁ τῆ Αἰνείᾳ ἡνίοχος κατὰ τὸ σιωπώμενον καταβεβηκώς, καὶ ἔστι παρ' Ὁμήρῳ πολλὰ τοιαῦτα. A.

233. ὅτι πεπλεύνακε κατὰ τὸν τόπον τοῦτον τοῖς σχήμασιν. A.

ματήσετον: ματαιοπραγήσωσι, ματαίαν ἔχωσι τὴν προθυμίαν. D.

ἠδὲ περὶ αὐτῶν χρηζόν τι μαντεύεθ. Δημοσθένης δέ φησι „δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ἃ ἂν ὁ θεὸς διδῷ γενναίως" (de cor. § 97). BLV.

237. τέ' ἅρματα: τὸ πλῆρές ἐστι τεά· διὸ βαρυτονητέον· ἐπιφέρει γᾶν „καὶ τεὼ ἵππω." A.

238. δεδέξομαι: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ δέξομαι, ἐπιτηρήσω, ὡς λελάχωσιν ἀντὶ τῶ λάχωσιν. A.

241. τοὺς δὲ ἴδε Σθένελος: ὡς ἀπὸ τῶ δίφρῳ ὑψηλότερος ὢν ἐθεᾶτο. ἢ ὡς ἀχολεμένῳ Διομήδῃ περὶ τοὺς πολεμίους. ABL.

242. αἶψα: ἐπείγει γ' τὰς λόγας ὁ καιρός. LV.

245. ἀπέλεθρον: ἀντὶ τῶ ἄμετρον, πολλήν· τὸ γ' πλέθρον μέτρον ἐστὶ γῆς, ἔχον πήχεις ξς' δίμοιρον. BDL.

ὁ μέν: ἀντὶ τοῦ, τὸν μέν, τὸν δέ, ὡς τὸ „ἀσπάπτων ἐπιδέξι' ἐναίσιμα" (Il. 2, 353) καὶ „ἐξ ὁμόθεν πεφυῶτε, ὁ μὲν φυλίης (δάφνης LV), ὁ δ' ἐλαίης" (Od. 5, 477). BLV.

ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς φράσεως· ἀκόλουθον γὰρ ἦν εἰπεῖν τὸν μὲν τόξων εὖ εἰδότα. σικτέον δὲ ἐπὶ τὸ ἔχοντας, ἵνα μὴ σολοικισμὸς γένηται. ἐὰν δὲ συνάπτωμεν, λείπει τὸ ἐσίν. A.

λείπει δὲ τῷ ἑξῆς τὸ ἐσίν· οὐ γὰρ δύναται σχῆμα εἶναι, ὡς Νικάνωρ φησίν. VL.

246. υἱὸς δ' αὖτε Λυκάονος: ἐκ ἀκαίρως γενεαλογεῖ· συνίησι γὰρ ἐκ προγόνων αὐτάς, ἐκ εὐχερῆ τὴν πρὸς τούτους μάχην δεικνύς. καὶ ἐπὶ μὲν τῶ πατρὸς εὔχεται, ἐπὶ δὲ τῆς μητρὸς ἐσίν, ὡς τὸ „μήτηρ μέν τέ μέ φησιν" (Od 1, 215). BL.

247. υἱὸς μεγαλήτορος: ἐν ἄλλῳ υἱὸς μὲν ἀμύμονος. A.

249. ἐφ' ἵπποιν: ἀντὶ τῶ εἰς ἵππους, ὥσπερ ἐπὶ Ἀθηνῶν πλεῖν φαμέν, καὶ „πέτανται ἐπ' ὠκεανοῖο ῥοάων" (Il. 3, 5). B.

ἐκ ἀναχωρεῖν αὐτῷ τῆς μάχης ἐπὶ τῶν ἵππων παραινεῖ, ἀλλ' ἀναβῆναι ἐπὶ τὸ ἅρμα ἐκ μὴ πεζὸν πρὸς ἱππέας ἀγωνίζεσθαι· ἐπικίνδυνον γάρ. BLV.

οὕτως Ἀρίσαρχος ἐφ' ἵπποιν, ὡς εἰ ἔλεγεν ἐπ' Ἀθηνῶν ἀντὶ τῶ ἐπ' Ἀθήνας. λέγει γὰρ ἐπισραφῶμεν ἐπὶ τὰς ἵππους, καὶ μὴ κινδύνευε πεζὸς πρὸς τὸν ἐφ' ἅρματος ὀχούμενον. A.

ἄλλως. ὅτι Ἀττικῶς ἐξενήνοχεν ἀντὶ τῶ ὡς ἐπὶ τοὺς ἵππους. δοκεῖ δὲ Ζηνόδοτος τοῦτον ἐκ τῶν ἑξῆς ἠθετηκέναι. A.

252. φόβονδ': ὅτι πάλιν φόβον τὴν φυγὴν εἶπεν. A.

ὡς γενναῖος ἐκ τὴν ἐπὶ τὸ ἅρμα ἀνάβασιν φυγὴν ὁρίζει, καὶ τὸ μετακινῆσαί τι τῆς χάσεως ἐν οἷς κατελήφθη. ἠθικὸν δὲ τὸ σέ, οἷον τὸν πάνυ φίλον. ἠθικὸν δὲ καὶ τὸ οἵτω. BLV.

οὐδὲ σέ: ὁ Ἀσκαλωνίτης τὸν δὲ ὀξύνει, ἵνα ἐγκλιτικῶς ἀναγνῷ. ἐκ ἀναγκαῖον δέ, ἀλλ' ὀρθοτονεῖν· ἐκ γὰρ δύναται συνδεδέσθαι. A.

253. γενναῖον: σημειοῦνταί τινες ὅτι ἅτως εἴρηται ἐγγενές, πάτριον. σημειοῦνται δὲ ἐκ τὸ οἰκεῖα δ' ἵππων (255) ἀντὶ τῶ οἰκηρῶς ἔχω. τινὲς δὲ ἐπὶ τῶ φόβῳ τιθέασι τὸν ὄκνον. A.

οὐ τὸν ἰσχυρὸν λέγει ἐνταῦθα, ὡς οἱ παλαιοὶ βέλονται, ἀλλὰ τὸν εὐγενῆ. ἰσέον ὅτι ἐκ Λύκιοι μέχρι νῦν γενναῖον ἄνδρα οὐ τὸν ἰσχυρόν φασιν, ἀλλὰ τὸ ἀπὸ γένους. L.

255. ἀλλὰ καὶ αὖτως: ἀλλὰ καίπερ πεζὸς ὑπάρχων. A.

256. ἔα: συλλέλεται τὸ ᾱ καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τῶ ἐνεζῶτός ἐσιν ἐῶ ἐᾷς ἐᾷ, σὺν τῷ ῑ γραφόμενον, ὡς τιμῶ τιμᾷς τιμᾷ. εἶον εἴας εἴα, ὁ προσγραφομένου τῶ ῑ „οὔ μ' εἴας μακάρεσσι (819)· καὶ τὸ τρίτον ἐν Ἰωνικῇ παραγωγῇ „τὸν δ' ἔτι πατὴρ εἴασκε μάχεσθαι" (Il. 20, 408) καὶ „τόνδε δ' ἔασκεν" (Il. 24, 17). ἐκ προσακτικόν „ἀλλ' ἔα ὡς οἱ πρῶτα" (Il. 1, 276). εἰ τοίνυν ἐσὶ τοῦτο „τρεῖν μ' ἐκ ἔα," μόνον συνεσάλη τὸ ἄλφα, ἐκ ὁ παρατατικός ἐσιν ἰσοδυναμῶν ἐνεζῶτι. εἰ δὲ ὁ ἐνεζὼς αἰεὶ ἐσι περισπώμενος καὶ σὺν τῷ ῑ γραφόμενος, δῆλον ὅτι πολλὰ πάθη· συζολὴ γὰρ τῶ ᾱ, καὶ ἐκβολὴ τῶ ῑ, ἐκ μεταβολὴ τῶ τόνου, εἰ μὴ ἄλλως ἐκδεξαίμεθα, ὅτι ἔθος αὐτῷ ταῦτα τὰ τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον ἐκ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο ᾱᾱ, ὧν τὸ μὲν πρότερον συνεσαλμένον ἐσί, τὸ δὲ δεύτερον ἐκτεταμένον ἐσὶν τῷ ῑ γραφόμενον, ὁρᾷς „οὐχ ὁράᾳς οἷος κἀγώ" (Il. 21, 108), καὶ ἐπὶ τῶ τρίτου „ἰχανάᾳ δακέειν" (Il. 17, 572) ἐκ „ἐκπερύᾳ μέγα λαῖτμα" (Od. 9, 323) „ἐκ ἐάᾳ Κρονίδης" (Il. 8, 414). τοῦτο τοίνυν τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν εἰρῆσθαι „τρεῖν μ' ἐκ ἔα." ἔνθεν καὶ συνέσαλται τὸ ᾱ ἐκ βεβάρυνται. ἐκ ἄηθες δὲ καὶ ἐνεζῶτας ἀποκόπτεσθαι ἐκ ἄλλους χρόνους, ὡς ἔχει τὸ „ἔτα κατακὰ λαπάρην" (Il. 6, 64) *). εἰ δέ τις ἐπιζητήσειεν ὁμοιότητα ἀπὸ τῶν εἰς ῶ περισπωμένων ἢ βαρυτόνων ἐπὶ τρίτης ἀποκοπήν, ἐκ μὴ εὑρὼν μηδὲ τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει· περὶ γὰρ πάθους διαλαμβάνομεν. ABLV.

ἀνδρεῖα δὲ ἐκ εὐσεβῆς τὰ τοιαῦτα ῥήματα, τὸ πάντα τῇ θείᾳ ἀνατιθέναι προνοίᾳ. BL.

257. τούτω δ' οὐ: πολὺ τὸ διάφορον αὐτῆ τε καὶ τῶν Πανδάρου λόγων. BL.

πάλιν αὖτις: ὅτι ἀ τὸ αὐτὸ λέγει διὰ τῶ πάλιν καὶ αὖτις, ἀλλὰ τὸ μὲν αὖτις ἀντὶ τῶ πάλιν, τὸ δὲ πάλιν τοπικόν, ἀντὶ τῶ εἰς τοὐπίσω. A.

258. γενναῖον τὸ λῆμα, εἰ μὴ ἀμφοτέρων, ἀλλά γε τοῦ ἑτέρου κρατήσειν πεπεισμένα. ἅμα δὲ καὶ ἀνθρωπίνως οὐ περὶ τῶν δύο ἀποφαίνεται, τὸ δὲ ὅλον τῇ Ἀθηνᾷ ἀνατίθησιν. BLV.

260. αἴ κέν – Ἀθήνη: ἐξέκοψε διὰ τῆς θεᾶ τὸ ἀλαζονικόν. LV.

261. ἡ διπλῆ, ὅτι περισσὸς ὁ δέ σύνδεσμος. A.

νηφαλίως ἅπαντα προορᾷ, οὐκ ἐκκρεμόμενος ὑπὸ τοῦ προσδοκωμένου κινδύνου, εἶγε ὁ μὲν θεᾶς υἱός, ὁ δὲ τοξότης ἄριστος, ὃς ἤδη ἐκ ἔβαλεν αὐτόν. πολεμικῶ δὲ ἀνδρὸς ἀντιποιεῖσθαι τῶν πρὸς τὸν πόλεμον χρησίμων· ἐκ ὁ Ἕκτωρ γὰρ τὸν Διομήδους θώρακα σπεύδει λαβεῖν καὶ ἀσπίδα Νεσορέην (Il. 8, 192). LV.

262. ἡ διπλῆ, ὅτι ἀπαρέμφατον ἀντὶ προσακτικοῦ τοῦ ἐρύκακε. A.

ἐξ ἄντυγος: ἵνα δοκῶσιν ὑπό τινος ἄγχεσθαι. LV.

263. ἐπαΐξαι: ἡ διπλῆ, ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ προστακτικῶ ἐχρήσατο. Ζηνόδοτος δὲ Αἰνείω γράφει. A.

264. μετ' ἐϋκνήμιδας: ἀντὶ τῶ πρός. A.

265. τῆς γάρ τοι γενεῆς: ὁ μὲν Αἰνείας, τὸ φορτικὸν ἐκκλίνων, ἐπετέμετο τὸν ἔπαινον (222)· ὁ δὲ ἐπιμελέστερον ἐπαινεῖ, παραγγέλλων τὸν Σθένελον. πόθεν δὲ οἶδεν; ἐξ αἰχμαλώτων δηλονότι, ὅθεν ἐκ Ἰδομενεὺς ἔμαθε τὰ περὶ Ὀθρυονέως (Il. 13, 374). δύναται δὲ καὶ ὡς Ἀρ-

*) ὡς τὸ „σὲ γάρ φη ταρχήλιος" παρὰ Ἀνακρέοντι. BL.

γεῖος εἰδέναι ταῦτα, εἴγε Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Τροίαν. LV.

266. υἷος: προπερισπαστέον· ἀπὸ γὰρ εὐθείας ἐστὶ μὴ εἰρημένης τῆς υἷις, ἧς γενικὴ ὤφειλεν εἶναι τρισύλλαβος ὡς μάντιος. αὕτη τοίνυν συναλοιφὴν παθοῦσα καὶ δισύλλαβος γενομένη βαρύνεται, ἧς ἀκόλουθος δοτικὴ „Νηλῆϊ υἷι ἐοικώς" (Il. 2, 20). καὶ αἰτιατικὴ „ἀλλ' υἷα Κλυτίοιο σαώσομεν" (Il. 15, 427) καὶ πληθυντικὴ εὐθεῖα „υἷες ὁ μὲν Κτεάτου" (Il. 2, 621) καὶ αἰτιατικὴ „υἱάς τ' ὀλλυμένους" (Il. 22, 62). ἀποδείξομεν δὲ καὶ τὸ „υἱάσι δὲ Πριάμοιο" (463) παρὰ τοῦτο κεκλίσθαι ἐν τοῖς περὶ ὀνομάτων, ὅταν καὶ περὶ τῆς καθολικῆς κινήσεως τοῦ ὀνόματος διαλαμβάνωμεν. A.

ποινήν: ὅτι ἰδίως τῷ ποινὴ κέχρηται· κυρίως γὰρ ἐπὶ φόνῳ ποινὴν δεξαμένῳ, καὶ ὅτι τὸ ἕνεκα ἀντὶ τοῦ τἠνεκα. A.

οὐκ ἀπὸ τοῦ φόνου ἀλλ' ἀπὸ τοῦ πόνου, τῆς ἐπαινετῆς ἐνεργείας. ὁμοίως καὶ ἄμυνα· φησὶ γὰρ ὁ γραμματικὸς Ἀριστοφάνης τὸ ἀμύνεσθαι ὁ μόνον σημαίνειν τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τίθεσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι. φέρει γὰρ χρῆσιν ἔκ τε Ἀλκμᾶνος τὸ „ὁ γὰρ πορφύρας τόσος κύρος ὥστ' ἀμύνασθαι" καὶ Θουκυδίδου „ἀξιούντων τοῖς ὁμοίοις ἡμᾶς ἀμύνασθαι." L.

268. τῆς: ἀντὶ τοῦ ταύτης. καὶ λείπει τὸ ἄρθρον, ἵν' ᾖ ταύτης τῆς γενεῆς. LV.

269. λάθρῃ Λαομέδοντος: περισπούδαστοι γὰρ ἦσαν αὐτῷ. πῶς παρὰ τῷ Πριάμῳ τὸ γένος ὁ σώζεται; ὅτι τὸν Λαομέδοντος Ἡρακλῆς ἀπήγαγε, πορθήσας τὴν Ἴλιον. LV.

ὑποσχών: ἀντὶ τοῦ ὑποσήσας. καὶ ὑπέσημεν ὑπεσχόμεθα. LV.

θήλεας ἵππους: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ἵν' ἀπ' εὐθείας τῆς θῆλυς ᾖ κεκλιμένον· „θῆλυς ἔρση" (Od. 5, 467) „Ἥρη θῆλυς ἔσσα" (Il. 19, 97) „θῆλυν ὑπόρρηνον" (Il. 10, 216) *). ἔστω Ἀρίσαρχος καὶ ὁ Ἀσκαλωνίτης. ἡ διπλῆ, ὅτι οἱ περὶ Ἑλλάνικον ἀνεγίνωσκον θηλέας ὡς ταχέας, ὡς Δωρικῶς ἐκτιθεμένου τοῦ ποιητοῦ. τὸ δὲ τοιοῦτο παρ' Ἡσιόδῳ πλεονάζει, Ὅμηρος δὲ ὁ χρῆται. A.

272. τὼ δὲ δύ': ὅτι δύο ἵπποις ἐχρῶντο. ἡ δ' ἀναφορὰ πρὸς τὸ τέτρωρον „Ξάνθε τε καὶ σὺ Πόδαργε" (Il. 8, 185). A.

Αἰνείᾳ δῶκεν: οὐχ ὡς ἀποθανόντος Ἀγχίσου· φησὶ γὰρ „τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα" (Il. 20, 210). ἔσται δ' ἂν ὅτε ἦν ἔφηβος· νῦν γὰρ διὰ γῆρας ἐν Δαρδανίᾳ διάγει, διὸ οὐδὲ μετὰ τῶν δημιογερόντων ἐστίν. διδάσκει δὲ πῶς δεῖ μερίζεσθαι ζῶντι πατρί. LV.

μήσωρε: οὕτως Ἀρίσαρχος, μήσωρε, δυϊκῶς· ἐπὶ γὰρ τῶν ἵππων. A. **)

277. καρτερόθυμε: εἰρωνικός ἐστιν ὁ ἔπαινος. LV.

278. ἦ μάλα: πρὸς τὴν ἑρμηνείαν· ἦ μάλα σε ἀκ ἐδάμασσε τὸ βέλος, ὃ ἐστιν ὁ ὀϊστός. περισπαστέον δὲ τὸν ᾖ· ἔστι γὰρ μᾶλλον βεβαιωτικός. ὑποσιγμὴ δὲ κατὰ τὸ τέλος τοῦ στίχου· κεῖται γὰρ ὁ ᾗ ἀντὶ τοῦ εἴ, καὶ βαρύνεται· οἱ δὲ περισπῶντες στίζουσι κατὰ τὸ τέλος. A.

ὁ ᾗ ἀντὶ τοῦ εἴ, καὶ τὸ ὀϊστός ὑποσιχθήσεται. εἰ γὰρ περισπάσομεν τὸν ᾗ, ἀνηθοποίητον ἔσαι. LV.

βέλος κοινόν, ὀϊστὸς εἰδικόν. LV.

279. νῦν αὖτ' ἐγχείῃ: εἰκὸς κατὰ τὸ σιωπώμενον ἐντεθωρακίσθαι αὐτόν. LV.

τύχωμι: ἐν πλεονασμῷ ἐστὶ τὸ μι. LV.

283. ἐπὶ: ἐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρει. ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον δὲ συνετάττετο, ἀνεστρέφετο, δι' ὃν προείπομεν πολλάκις λόγον, ὡς ὅτι ἐὰν μεταξὺ πέσῃ μέρος λόγου, ἐγίνετο ἀναστροφὴ τῆς προθέσεως, ἐὰν μὴ τελευταία στίχῃ τεθῇ, ὡς τὸ „ἔπτυσε πολὺ κάτα." ALV.

284. κενεῶνα τὸν ὑπὸ τὰς πλευρὰς τόπον, τὴν λαγόνα, παρὰ τὸ κενὸν εἶναι αὐτὸν ὀσέων. ABDL.

περιεκτικόν ἐστι, πλεονασμὸν δὲ ἔχει τοῦ δευτέρου ε, κατὰ τὸ ἀνθερεών ἀκανθεών. L.

ἄκρως ἀλαζὼν ὁ Πάνδαρος, ὃς ἔξωτος τοῦ πολεμίου καὶ περὶ τοῦ τόπου τῆς πληγῆς ὁρίζεται. LV.

287. οὐδ' ἔτυχες: ὁ γὰρ ἔτυχες. οἷον ἐκ ἐπέτυχες. LV.

289. ἡ διπλῆ, ὅτι παρηγμένως λέγει ταλαύρινον πολεμιστήν, καὶ ἔν ἐστιν ἐξ ἀμφοτέρων, ὑπομενητικὸν ἐν τῇ μάχῃ. A.

ταλαύρινον: ἰσχυρόχρωτα. LV. καρτερικόν. ἐνεψύχωσεν οἷον τὸν σίδηρον· ὁ γὰρ πολεμιστὴς Ἄρης ὁ σίδηρος. L.

Ἀρίσαρχος ψιλοῖ τὸ ρ· ὁ γάρ φησι σύνθετον δεῖ νοεῖν τὸν χηματισμόν, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τὸν εὔτολμον καὶ ἰσχυρόν. ὁμοίως δὲ καὶ Ἀριστοφάνης. Τρύφων δὲ σύνθετον αὐτὸ ἐκδέχεται, παρὰ τὸ ταλαὸν καὶ τὴν ῥινόν, ὁμοίως τῷ ταναύποδα ταναύποδα. εἴτε δὲ λεκτὸν ἔχει τὸ ἐπὶ τέλους εἴτε παρέλκει, ὀφείλει φυλάττεσθαι τὸ πνεῦμα· ἔστω γὰρ διελάβομεν καὶ περὶ τοῦ μελιηδέος οἴνου, ᾧ καὶ αὐτὸς συγκατατίθεται. ἡ μέντοι παράδοσις ἐπείθη Ἀριστάρχῳ. ALV.

291. ζητεῖται πῶς Διομήδους μὲν ἀκοντίσαντος πεζοῦ, Πανδάρου δὲ ἐπὶ ἅρματος ὄντος, ἐκ τοῦ κοιλοτέρου φερόμενον τὸ δόρυ κατωφερῆ πεποίηκε τὴν τρῶσιν. ἔστι δὲ λέγειν ὅτι πρῶτον μὲν Ἀθηνᾶ ἦν ἡ κατευθύνουσα αὐτό, ᾗ ἦν δυνατὸν τοῦτο ποιῆσαι, ἔπειθ' ὅτι προσεπινεύσας ὁ Πάνδαρος ἕνεκα τοῦ θεύσασθαι εἰ καιρίως τέτρωται ὁ Διομήδης, ἔστως ἐβλήθη διὰ τῆς ῥινὸς τὴν γλῶσσαν. οἱ δέ, ὅτι ἐν ἀνωμάλοις τόποις μαχομένων εἰκὸς τὰ μὲν ἅρματα ἐν χθαμαλωτέροις τόποις τρέχειν, τοὺς δὲ πεζοὺς ἀπὸ μετεώρου μάχεσθαι, ὥστε καὶ τὸν Διομήδη ἀφ' ὑψους βεβληκέναι. ἢ ὅτι διελωθεὶς τῇ ὁρμῇ τοῦ ἥρωος ὁ Πάνδαρος συνεκάθισεν. AD.

292. γλῶσσαν: ἔτεμε τὴν γλῶσσαν αὐτοῦ, ὅτι ἐπιώρκησεν. DL.

πρυμνὴν: τὴν πρὸς τῇ ῥίζῃ. LV. πρυμνὴν ὡς πυκνήν·

*) καὶ „γυνὴ δὲ θῆλυς οὖσα κοὐκ ἀνδρὸς φύσιν." οἶδε δὲ καὶ τὸ θήλεια „ἄμφω θηλείας" (Il. 2, 767). LV.

**) addit B, quae apud Suidam leguntur vv. Φόβος.

ἐπίθετον γάρ. ὅταν δὲ ἰδίως ἐπὶ τῆ πλοίᾳ, βαρύνομεν, ὡς λευκή ᾗ λεύκη. ὀξύνεῖ δὲ ὁ πρυμνός, ἐπεὶ τὰ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνᾳ τριγενῆ ἁπλᾶ ὀξύνεται, συχνός πυκνός· ἔτως πρυμνός. A.

293. ἐξελύθη: ἔτως Ἀρίσαρχος, ἐξελύθη. ἄλλοι δὲ ἐξεσύθη. A.

τῆς ὁρμῆς ἐπαύσατο. ἐξελύθη Ἀρίσαρχος, Ζηνόδοτος δὲ ἐξεσύθη. LV.

παρὰ νείατον ἀνθερεῶνα: ζητεῖται πῶς τῷ Πανδάρᾳ τῷ δόρατι πεπληγότος κατὰ τὰς ὀφθαλμιὰς τὸ δόρυ ἐξῆλθε διὰ τῆ γενείᾳ. ῥητέον ἓν ὅτι ᾗ Ἀθηνᾶ μείζων ἓσα ᾗ ὑψηλοτέρα ἄνωθεν κατενεχθῆναι ἐποίησε τὸ δόρυ, ῥῖνα παρ' ὀφθαλμιόν, ᾗ ἔτως λευκὰς διεπέρησεν ὀδόντας. B.

294. ἤριπε δ' ἐξ ὀχέων: χρησίμως, ἵνα ὑπεκχῶσιν οἱ ἵπποι ᾗ μὴ δύνῃ ἐπιβεβηκὼς αὐτοῖς ὑπερμαχεῖν. V.

297. Ἠλιόδωρος ςίζει εἰς τὸ ἀπόρουσεν, εἶτα ἄρχεται ἀπὸ τῆ σὺν ἀσπίδι δουρί τε μακρῷ. ἃ γ' εἶχε, φησί, πρότερον, ταῦτα τῷ Πανδάρῳ παρέδωκεν. αἴρει γᾶν, φησί, τὴν ἀσπίδα ἀπὸ τῆ νεκρῆ ᾗ καθοπλίζεῖ, ᾗ τὸ βληθὲν ὑπὸ τῆ Διομήδες δόρυ. τῆτο δὲ ἐκ ἔςιν ἀληθές, ὡς ὅτι ἀπὸ τῆ Πανδάρᾳ ὁ Αἰνείας αἴρει τὰ ὅπλα· οὐ γ' ἐδήλωσεν ὁ ποιητής. ἀπίθανόν τε αὐτὸν ἑαυτὸν τὸν Αἰνείαν γυμνὸν παραδεδωκέναι τοῖς πολεμίοις. ὑπόψυχρόν τε τὸ ἐκδέχεῳ τὸν Διομήδη ἕως ἓ καθοπλίσῃ ὁ Αἰνείας, καὶ μὴ εὐθέως αὐτὸν ἀνελεῖν. διὸ ᾗ ὁ Ἀσκαλωνίτης συνάπτει, ὥςε ἐπὶ τῆ Αἰνείᾳ κεῖῳ τὸ σὺν ἀσπίδι δουρί τε μακρῷ· ᾗ δῆλον ὅτι ὁ Πάνδαρος ὑπ' ἄλλᾳ κατὰ τὸ σιωπώμενον καθώπλιςο, ὁ δὲ Αἰνείας εἰς τὸ μετάφρενον μετενηνόχει τὴν ἀσπίδα, εἶχε δὲ τὸ δόρυ παρακείμενον, ᾗ ἔκειτο ἐν τῷ δίφρῳ, ὥσπερ ᾗ Νέζωρ ἡνιοχῶν Διομήδει, ὡς σαφὲς ἐκ τῆ Ἕκτορος προσώπᾳ „αἴ κε λάβωμεν ἀσπίδα Νεςορέην" (Il. 8, 191). ἔτως δὲ ᾗ Αὐτομέδων ἡνιοχεῖ τῷ Πατρόκλῳ· παραδὰς ἓν τὰς ἡνίας Ἀλκιμέδοντι πολεμεῖ τοῖς ἰδίοις ὅπλοις. ἦν ἓν τύπος τῶν ὅπλων τῆ ἡνιόχου ἐν τῷ ἅρματι, ἵνα εἰ χρεία γένοιτο μαχέσωνται. ταῦτα Ἡρωδιανὸς ἐν τῇ προσῳδίᾳ. ALV.

συναπτέον ὅλον τὸν ςίχον. A. ὡς Νικάνωρ. LV.

298. οἱ: ὅτι ἀντὶ τῆ αὐτοῦ. A.

299. ᾗ διπλῆ, ὅτι ἀπὸ τῶν τετραπόδων ᾗ μεταφορά, πρὸς τὸ „ὃς Χρύσην ἀμφιβέβηκας" (Il. 1, 37). A.

ἀλκί ὡς σαρκί, ᾗ ἓξι κατὰ μεταπλασμὸν ἀπὸ τῆ ἀλκῆ. τινὲς δὲ ἀπὸ τῆ ἄλκις Αἰολικῆ αὐτό φασιν· τοῖς γ' εἰς ῃ παράκειῳ εἰς ις, ὡς ἑορτή ᾗ ἑορτίς ᾗ ἐν ὑπερθέσει ἑορτίς. ὤφειλε δὲ ἐκτείνειν τὸ ι. A.

τὸ ἀλκί μεταπλασμὸν ἔπαθεν ἀπὸ τῆς ἀλκῆ δοτικῆς. ὁ Ἀσκαλωνίτης δὲ οἴεῖ ἀπὸ τῆς ἄλξ εὐθείας κλιθῆναι τὸ ἀλκί. Τρύφων δὲ ἐν τῷ πρώτῳ περὶ τῆς ἀρχαίας ἀναγνώσεώς φησιν ὅτι Ἀρίσαρχος λέγει ὅτι ἔθος τοῖς Αἰολεῦσίν ἐςι λέγειν τὴν ἰωκὴν ἴωκα ᾗ τὴν κρόκην κρόκα ᾗ τὴν ἀλκὴν ἄλκα ὡς σάρκα. εἰ δὲ σάρκα ὡς ἄλκα, καὶ ἀλκί ὡς σαρκί. AL.

300. οἱ: ὅτι πάλιν ἀντὶ τοῦ αὐτοῦ. A.

302. σμερδαλέα ἰάχων: διὰ τῆς βοῆς ἀποτρέπων τὲς ἐπιόντας, ᾗ πρὸς συμμαχίαν καλῶν. V. βαρύνειν δεῖ τὴν ἰάχων· ἐνεςῶτος γάρ ἐςι ᾗ παρατατικῆ. οὐ μέντοι περισπαθήσεῖ, ὡς οἴεται Τυραννίων. διδάσκει τὰ κινήματα. „ἡμεῖς δὲ ἰάχοντες" (Od. 4, 454)· εἰ γ' περιεσπᾶτο, ὡς νοῆντες ἐγίνετο. „ἐπὶ δ' ἴαχε λαὸς ὄπιςθε" (Il. 13, 834). „τρὶς δ' Ἄϊεν ἰάχοντος" (Il. 11, 463). οὕτως οὖν καὶ τὸ „φθέγξομ' ἐγὼν ἰάχυσα" (Il. 21, 341) ὀφείλομεν προπαροξύνειν. A.

χερμάδιον: φθάσας γ' τῷ δόρατι προὔτυψεν. V.

304. νῦν: πολλῷ κατωτέρω τῶν ἡρωϊκῶν ἐςί· διὸ τῷ διαςήματι τῆ χρόνῳ πιςᾶται τὰς ὑπεροχὰς τῶν ἡρώων. LV.

καὶ διὰ τῆ ῥέα καὶ διὰ τῆ πάλλε τὸ εὐμεταχείριςον ἐδήλωσεν. LV.

306. κοτύλην: ἰςίον, τὸ πᾶν ὀςέον. LV. κοτύλη τὸ κοῖλον τῆ ὀςέᾳ, ἔνθα ᾗ κεφαλὴ τῆ μηρῆ ἐνςρέφεται. AB.

ἰςίον τὸ ὑπὸ τὴν ὀσφὺν ὀςέον εἰς ὃ ἔγκειῳ τὸ ἱερὸν ὀςᾶν, ὅπερ ᾗ γλετὸς καλεῖται ᾗ κοτύλη παρὰ τὴν κοιλότητα. ABD.

307. τένοντε: ἔτω τὰ τεταμένα νεῦρα, ὡς δύο τινῶν πλατέων νεύρων συνεχόντων τὴν κοτύλην. LV.

308. ὥσε δ' ἀπό: ἐχ ὡς οἴεῖ ὁ Ἀσκαλωνίτης, ἀναςραφήσεῳ ᾗ πρόθεσις, ἐπεὶ τὸ ἐξῆς ἐςὶν ἁπῶσε· μεταξὺ πέπτωκεν ὁ δέ. A.

309. ᾗ διπλῆ, ὅτι ἔςη ἀντὶ τῆ ἔμεινεν, ἢ τὸ ἐριπών ἀντὶ τῆ κατενεχθείς. ALV.

πιθανῶς ἐκ ἀνατρέπεῳ, ἀλλ' ἔτω χηματίζεῳ πρὸς τὸ εὐμετακόμιςον τῆς ἁρπαζέσης ζωῆς. V.

310. ᾗ διπλῆ, ὅτι ἐκ ὀρθῶς ἐπὶ Ἕκτορος λέγεῳ (Il. 11, 356) μετενεχθεῖς ἐντεῦθεν. A.

τολμηρῶς τὴν λειποθυμίαν κελαινὴν νύκτα λέγει. L.

311. καί νύ κεν ἔνθ' ἀπόλοιτο: ᾗ ὁ χρόνος ᾗ τὸ ῥῆμα ἐνήλλαχῳ, ἀντὶ τῆ ἀπώλετο ἄν. A.

οὐχ ὡς καιρίας ἴσης τῆς πληγῆς πρὸς θάνατον, ἀλλ' ἴσως δεύτερον τραῦμα ὑπὸ τῶν πολεμίων πληγείς. καὶ ᾗ Ἀφροδίτη τῆτο δέδοικε „μή τις Δαναῶν" (316). V.

314. ἀμφὶ δ' ἓν φίλον υἱὸν: ἐχ ἵνα μὴ τρωθῇ· πῶς γ' ἐνόμιςεν ἄτρωτον τὸν ἑαυτῆς πέπλον εἶναι, τιτρωσκομένων ᾗ τῶν θεῶν; ἀλλ' ὑπ' οὐδενὸς αὐτὸν τῶν πολεμίων ὁραθῆναι θέλει. ὡς γ' αὐτοὶ οἱ θεοὶ τοῖς ἀνθρώποις εἰσὶν ἀφανεῖς, ἔτω ᾗ ἡ ἐσθὴς αὐτῶν ἀόρατος. πῶς ἓν ἐπιφέρει μή τις — ἕληται; ἀπὸ τῆ ἡγεμένου ἐδήλωσε τὸ ἑπόμενον. εἰ γ' ὤρθη, ἴσως ἂν ἐτρώθη ᾗ τρωθεὶς ἀπέθανε. Διομήδης δὲ μόνος ἐπιδιώκει· τὴν ἀχλὺν γ' ἣν ἀφῃρημένος. LV.

ἐχεύατο: τὸ τρυφερὸν τῆς θεᾶς διὰ τῆ ἐχεύατο παρέςησε. LV. τὸ ἐχεύατο ἁπλότητα ᾗ τρυφερότητα δηλοῖ γυναικείων χειρῶν. L.

315. πρόσθε δέ οἱ: ἔμπροσθεν αὐτῆ. ἐχ ὡς ἄτρωτον δὲ περιβάλλει τὸν πέπλον αὐτῷ, ἀλλ' ἵνα κρύψῃ αὐτόν. A.

πτύγμα τὸ περίττωμα ἢ διπλωμα τοῦ τὴν χεῖρα σκέποντος μέρος τοῦ πέπλ. L. ἀντὶ τῷ διπλῷ τῷ πέπλῳ. D.

316. ἔρκος: ὡς ἀφανείας ποιητικόν. V.

319. οὐδ' υἱὸς: τὸ σπεδαῖον Διομήδους τὸ περὶ τὰς ἵππους ἐνέφηνε, σπεδάζοντα ποιῶν τὸν ἡνίοχον. LV. *)

322. ἀπὸ: ἐκ ἀναῤῥεπτέον· δύναῖ γ' ἢ γενικῇ συντάττεσθαι ἢ σημαίνειν τὸ ἄποθεν, ἵνα ὅμοιον ᾖ τῷ „ἐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος" (Il. 9, 353). ἢ ἢ παρέλκεται. A.

ἐξ ἄντυγος: ἐξ ἑδενὸς γ' ἦν δῆσαι αὐτὰς ἐν τῷ πεδίῳ, ἵνα τε δοκῶσιν ὑπό τινος ἄγχεσθαι. LV.

323. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει Αἰνειῶο. ἐκ ἔχει δὲ Αἰνειώς ὡς Πετεώς. A.

325. περὶ: ἐκ ἀναῤῥεπτέον· κεῖται γ' ἀντὶ τῆς ὑπέρ. δεδήλωῖ δὲ ἡμῖν ἐν τῇ A ἐντελῶς, ὁπότε διελαμβάνομεν περὶ τῶ „ἀλλ' οὔ' ἀνὴρ ἐθέλει περὶ πάντων" (Il. 1, 287). A.

326. ἄρτια ἤδη: ὁ μὲν Σθένελος ὡς Ἕλλην τὰ ψυχικὰ προτιμᾷ· οἱ δὲ βάρβαροι τὸν Δημοκόωντα „ὁμῶς Πριάμοιο τέκεσσι τῶν, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι" (Il. 5, 535) καὶ „ἐπεὶ οἱ ἑταῖρος ἦν φίλος εἰλαπιναστής" (Il. 17, 577). V.

327. νηυσὶν: ὅπως ἠθάδες αὐτῶν γένωνῖ. ἀπειρόκαλον γ' τὸ εὐθέως ἐναῤῥύνεσθαι τοῖς ἀλλοτρίοις ὡς Ἕκτωῖ (Il. 17, 192). LV.

329. κρατερώνυχας: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει κρατερωνύχεσι. βίαιος δ' ἡ συναλοιφή. τὸ δὲ ἑξῆς ἐστίν, αἶψα δὲ Τυδείδην μέθεπε τὰς ἵππους, τουτέστι κατόπιν ἤλαυνεν. A.

330. Κύπριν: τὴν Ἀφροδίτην· ἔτως γ' ἐκλήθη ἡ θεὸς παρ' ὅσον ἐν τῇ Κύπρῳ μεγάλως τιμᾶῖ. D. οἱ μὲν τὴν ἐπιθυμίαν, οἱ δὲ τὴν βαρβαρικὴν ἀφροσύνην αὐτὴν εἶναί λέγουσιν. AL.

331. γιγνώσκων: ἐ διὰ τοῦτο ἐδίωκεν, ἀλλὰ διὰ τὴν τῆς Ἀθηνᾶς ἐντολήν. ἐγίνωσκε δὲ ὅτι τούτῳ χάριν ἐκείνη ἐπέτρεπεν αὐτὴν τρωθῆναι. V.

332. πόλεμον κατακοιρανέουσιν: ὁ Ἀσκαλωνίτης ἀναῤῥέφει, ἵνα γένηῖ κατὰ πόλεμον. δύναῖ δὲ ἔμφασις γενέσθαι, εἰ συνάπτοιτο τῷ κοιρανέουσιν, ὡς ἀνακοιρανέοντα· ἢ ἔστιν ὅμοιον τὸ „Ἰθάκην κατακοιρανέουσιν" (Od. 1, 247). A.

333. ἡ διπλῆ, ὅτι πολεμικὴ ἡ θεύς. A.

ἀνθρωποπαθῶς πέπλασαι, ὡς Δεῖμος καὶ Ἔρις. εἰ δὲ ἦν θεός, ποῦ ἦν ἐν τῇ θεομαχίᾳ; LV.

παρὰ τὸ ἐναύειν, ὃ σημαίνει τὸ ἐκφωνεῖν. τινὲς δὲ παρὰ τὸ ἔνω ὃ σημαίνει τὸ φονεύω, ἔνθεν καὶ αὐτοέντης. παρ' αὐτῆς δὲ ἢ ὁ Ἐνυάλιος. AL.

κακῶς ὅσοι δασύνουσι τὸ ῡ τῷ ἐνύω· ἄμεινον γ' ψιλῶν· ἀναπέπλασαι γ' πολεμικὴ θεύς, ἧς οἱ νεώτεροι ποιηταὶ υἱὸν εἶναί φασι τὸν Ἄρεα, καὶ διὰ τοῦτο καλεῖσθαι Ἐννάλιον μητρωνυμικῶς. AD.

334. ἐκίχανε: μέμνηῖ ἑαυτῷ ὁ ποιητής. εἶπε γ' „ὑπεξέφερε πολέμιο" (318). προκύψασαν ἔν μεταθέων αὐτὴν κατέλαβεν. LV.

ὀπάζων: ἡ λέξις αὕτη πλείονα σημαίνει, ποτὲ μὲν τὸ περιποιεῖν ἢ διδόναι, ὡς ἐκεῖ „Τρωσί τε ἢ Ἕκτορι κῦδος ὀπάζει·" ποτὲ δὲ τὸ καταφέρεσθαι, ὡς ἐν ἐκείνοις „χειμάῤῥοος κατ' ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ" (Il. 11, 493)· ποτὲ δὲ τὸ ἐπιλέγεσθαι, ὡς ἐκεῖ „ἦ ἢ νεώτερον υἱὸν ὀπάσατο κυδαλίμοιο" (Il. 19, 238)· ποτὲ δὲ τὸ διώκειν, ὡς ἐνταῦθα. ABD.

335. ἐπορεξάμενος: τοῦτο πρὸς τὸ μέγεθος τῆς θεᾶς. ἢ ἐπάλμενος γ' μόγις τὴν ἄκρην χεῖρα ἔτρωσεν, ὅτι μετέωρος ἦν ἡ θεός. νῦν δὲ ἐκ ἐνεργεῖ ἡ Ἀθηνᾶ· εὐτελὴς γ' ἦ Ἀφροδίτη. ἔοικε δὲ Διομήδης ἐπιθυμίας ἅμα ἢ θυμᾶ κρατεῖν, Ἄρεος ἢ Ἀφροδίτης. LV.

336. ἄκρην οὔτασε χεῖρα: πολλάκις ἡ καθ' Ὁμήρου τραγῳδία σκηνοβατεῖ παρὰ τοῖς ἀγνωμόνως αὐτὸν ἐθέλουσι συκοφαντεῖν, ὅτι παρεισάγει κατὰ τήνδε τὴν ῥαψῳδίαν τιτρωσκομένους θεούς, Ἀφροδίτην τὸ πρότερον ὑπὸ Διομήδους, εἶτα Ἄρην. προεισθέασι δὲ τούτοις ὅσα κατὰ παρηγορίαν ἡ Διώνη περὶ τῶν ἔτι πρότερον ἀτυχησάντων ἀπαγγέλλει θεῶν. ἐν μέρει δ' ὑπὲρ ἑκάστου τὸν λόγον ἀποδώσομεν ἡμεῖς, οὐδεμιᾶς ἐκτὸς ὄντα φιλοσοφίας. Διομήδης γ' Ἀθηνᾶν ἔχων σύμμαχον, τουτέστι τὴν φρόνησιν, ἔτρωσεν Ἀφροδίτην ἤτοι τὴν ἀφροσύνην, ἢ μὰ Δία θεάν τινα, τὴν δὲ τῶν μαχομένων βαρβάρων ἀλογισίαν. αὐτὸς μὲν γ' ἄτε διὰ πάσης ἐληλυθὼς μάχης, ἢ τοῦτο μὲν ἐν Θήβαις τοῦτο δ' ἐν Ἰλίῳ δεκαετῆ χρόνον τῷ μάχεσθαι προϊσάμενος ἐμφρόνως, εὐμαρῶς διώκει τοὺς βαρβάρους· οἱ δ' ἀναισθήτως καὶ λογισμῷ ὀλίγα κοινωνοῦντες ὑπ' αὐτοῦ διώκονται, καθάπερ ὄϊες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ. πολλῶν ἓν φονευομένων, ἀλληγορικῶς Ὅμηρος τὴν βαρβαρικὴν ἀφροσύνην τετρῶσθαί φησιν ὑπὸ Διομήδους. ὁμοίως δὲ ὁ Ἄρης ἑδέν ἐστιν ἄλλο ἢ ὁ πόλεμος, παρὰ τὴν ἀρὴν ὠνομασμένος, ἢ πέρ ἐστιν ἡ βλάβη. γέγονε δ' ἂν ἡμῖν τοῦτο σαφὲς ἐκ τοῦ λέγειν αὐτὸν „μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον" (831)· ἐπιθέτοις γ' ἁρμόζουσι πολέμῳ κέχρηῖ μᾶλλον ἢ θεῷ. μανίας γὰρ εἰσὶ πλήρεις ἅπαντες οἱ μαχόμενοι, πρὸς τὸν κατ' ἀλλήλων φόνον ἐνθουσιαστικῶς ζέσαντες. ἢ τὸ ἀλλοπρόσαλλον ἑτέρωθί πῃ διὰ πλειόνων ἐξηγεῖῖ, λέγων „ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα" (Il. 18, 309)· νεμεσηταὶ γ' αἱ πολέμιων ἐπ' ἀμφοτέροις ῥοπαί, ἢ τὸ νικηθὲν ἑδὲ προσαντῆσαν αἰφνιδίως πολλάκις ἐκράτησεν, ὥστε τῆς ἐν ταῖς μάχαις ἀμφιβολίας ἄλλοτε πρὸς ἄλλους μεταφοιτώσης ἐτύμως κακὸν ἀλλοπρόσαλλον εἴρηκε τὸν πόλεμον. ἐτρώθη δὲ ὑπὸ Διομήδους Ἄρης ἐ κατ' ἄλλο τι μέρος ἀλλὰ γελατον ἐς κενεῶνα σφόδρα πιθανῶς· ἐπὶ γ' τὰ κενὰ τῆς μὴ πάνυ φρερημένης τῶν ἀντιπάλων τάξεως παρεισελθὼν εὐμαρῶς ἐτρέψατο τοὺς βαρβάρους. ἢ μὴν χάλκεον λέγει τὸν Ἄρην, τὰς

*) Versui 320 apponit B, quae et Diogenes Laert. habet 7, 91 et Suidas t. 1. p. 18 Ἀγαθὸν — p. 20 τέρε εἰπεῖν et p. 17 Ἀγαθοῦ Δαίμονος — φιλοσοφίας, ea omisi ad Homerum nihil facientia.

τῶν μαχομένων πανοπλίας ὑποσημαίνων· σπάνιος γὰρ ἦν ὁ σίδηρος ἐν τῷ πάλαι χρόνῳ, τὸ δὲ σύμπαν ἐσκέποντο χαλκῷ. διὰ τοῦτό φησιν „ὅσσε ἄμεργεν αὐγὴ χαλκείη κορύθων ἀπολαμπομενάων θωρήκων τε νεοσμήκτων" (Il. 13, 340). ἀναβοᾷ δὲ τρωθεὶς „ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι" (860). καὶ τοῦτο δὲ τεκμήριον πολλῶν διωκομένων ἐν τῷ πολέμῳ· ὃ γὰρ ἂν εἷς θεὸς ἀνεβόησε τοσοῦτον, ἀλλ' ἡ φεύγουσα μυριάνδρους, ὡς οἶμαι, τῶν βαρβάρων φάλαγξ, ὡς ἐναργέσι τεκμηρίοις καὶ διὰ τῶν κατὰ μέρος ἐδείξαμεν ἐκ Ἄρην τὸν τετρωμένον ὑπὸ Διομήδους, ἀλλὰ τὸν πόλεμον. αὗται δ' αἱ παρεμβάσεις τῶν προτέρων ἀλληγοριῶν, δι' ὧν καὶ τεχνικωτέραν ἔχουσιν ἐμπειρίαν, ἐν οἷς φησὶ „τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερὸς τ' Ἐφιάλτης, παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ" (385). γεννικοὶ γὰρ ἦτοι καὶ κατ' ἀλκὴν ἰσχυροὶ νεανίαι γεγονότες, ἐπειδήπερ πολέμων καὶ ταραχῶν μεσὸν ἥδεσαν τὸν βίον, ἀδεμιᾶς εἰρηνικῆς ἀναπαύσεως μέσης τὰς παρ' ἕκαστα κάμινον τας ἀνιείσης, ἰδίοις ὅπλοις ἐκρατευσάμενοι τὴν ἐπιπολάζουσαν ἀκηδίαν ἀνέσειλαν. ἄχρι μὲν ἓν τρισκαίδεκα ὁ οἶκος μηνῶν αὐτῶν ἀκλινὴς καὶ ἀσυσίαστος ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ διεσρατήγει, μητρυιὰ δὲ παρεισπεσοῦσα, φιλόνεικος οἰκίας νόσος, ἀνέτρεπε πάντα καὶ διέφθορε τὴν πρώτην εὐσάθειαν. ἐκ δευτέρας δὲ πάλιν ὁμοίας ταραχῆς ἀναφθείσης, ἔδοξεν ὁ Ἄρης ἀπὸ τῶν δεσμῶν λυθῆναι, τουτέστιν ὁ πόλεμος. Ἡρακλέα δὲ νομιστέον ἐκ μὲν σωματικῆς δυνάμεως ἀναχθέντα τοσοῦτον ἰσχῦσαι τοῖς τότε χρόνοις, ἀλλ' ἀνὴρ ἔμφρων καὶ σοφίας ἐρανίδα μύσης γεγονώς, ὥσπερ εἰς τὰ βάθη ἀχλύος ἐπιδεδυκυῖαν ἐφώτισε τὴν οἰκουμένην, καθάπερ ὁμολογοῦσιν οἱ φιλόσοφοι καὶ Στωϊκῶν οἱ δοκιμώτεροι. περὶ μὲν οὖν τῶν ἄλλων ἄθλων, ὁπόσοι τῆς παρ' Ὁμήρου μνήμης ὑστεροῦσι, τί δεῖ παρὰ καιρὸν ἐκμηκύνειν, φιλοτεχνοῦντας ὅτι κάπρον μὲν εἶλε τὴν ἐπιπολάζουσαν ἀνθρώποις ἀκολασίαν, λέοντα δὲ τὴν ἀκρίτως ὁρμῶσαν ἐφ' ἃ μὴ δεῖν φοβεῖσθαι. κατ' αὐτὸ δὲ θυμοῦ ἀλόγου πεδήσας, τὸν ὑβριστὴν ταῦρον ἐνομίσθη δεδεκέναι. δειλίαν δ' ἐφυγάδευσεν ἐκ τοῦ βίου τὴν κεραυνίαν ἔλαφον. καί τις ἀπρεπῶς ὀνομαζόμενος ἆθλος αὐτῷ Αὐγέου κόπρος ἐκμεμόχθηται, διακαθήραντος αὐτοῦ τὴν ἐπιτρέχουσαν ἀνθρώποις ἀσέλγειαν. ὄρνεις δὲ τὰς συνανέμους ἐλπίδας αἳ βόσκουσι τὸν βίον, ἀπεσκέδασε δὲ καὶ τὸν πολύχουν κόπρον. καὶ τὴν πολυκέφαλον Ὕδραν, τὴν ἡδονήν, ἥτις ὅταν ἐκκοπῇ πάλιν ἄρχεται βλαστάνειν, ὥσπερ διὰ πυρός τινος τῆς παραινέσεως ἐξέκαυσεν. αὐτός γε μὴν ὁ τρικέφαλος δειχθεὶς ἡλίῳ Κέρβερος εἰκότως ἂν τὴν τριμερῆ φιλοσοφίαν ὑπαινίττοιτο· τὸ μὲν γὰρ αὐτῆς λογικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ φυσικὸν ὀνομάζεται, ταῦτα δ' ὥσπερ ἀφ' ἑνὸς αὐχένος ἐκπεφυκότα τριχῇ κατὰ κεφαλὴν μερίζεται. περὶ μὲν δὴ τῶν ἄλλων ἄθλων, ὥσπερ εἶπον, ἐν συντόμῳ δεδήλωται· τετρωμένην δ' Ὅμηρος ὑπεσήσατο τὴν Ἥραν, τοῦτο ἀκριβῶς παραξῆσαι βουλόμενος, ὅτι τὸν θολερὸν ἀέρα καὶ πρὸ τῆς ἑκάστου διανοίας ὑπαχλύοντα πρῶτος Ἡρακλῆς θείῳ χρησάμενος λόγῳ διήρθρωκε, τὴν ἑκάστου τῶν ἀνθρώπων ἀμαθίαν πολλαῖς νουθεσίαις κατατρώσας, ὅθεν ἀπὸ γῆς εἰς ἐρανὸν ἀφίησι τὰ τόξα. τὰ δὲ λοιπὰ ζητήματα ἔμπροσθεν εἰς „τλῆ δ' Ἥρη." ὧδ' αἱ Ἡρακλέος χεῖρες ἀγνεύσασι παντὸς Ὀλυμπίου μύσους. ἀρχηγὸς δὲ πάσης σοφίας γενόμενος Ὅμηρος ἀλληγορικῶς παρέδωκε τοῖς μετ' αὐτὸν ἀρύσασθαι πάνθ' ὅσα πρῶτος παρεφιλοσόφησεν. B.

διὰ τί κατὰ χειρὸς τιτρώσκεται ἡ Ἀφροδίτη; ὅτι τῆς χειρὸς λαβομένη παρῆκε τὴν Ἑλένην. BD.

337. ἀβληχρήν: ἀβληχρὸν τὸ ἰσχνόν. οἱ δὲ τὴν εὐώνυμον. LV.

εἰθαρ: τινὲς κατ' ἰθύ, ἢ ἀντὶ τοῦ ταχύ. LV.

ἀντετόρησε τῆς χροός, ἀντὶ τοῦ τὸν χρῶτα διέτρησε. LV.

338. πέπλου: καὶ πῶς αὐτὸν προβάλλεται; ἐχ ὡς ἄτρωτον ἀλλ' ὡς ἀφανείας ποιητικόν. Διομήδης δὲ ὁρᾷ αὐτὸν ὑπὸ Ἀθηνᾶς ἐνεργούμενος. LV.

339. πρυμνὸν ὑπὲρ θέναρος: ὑπὲρ τὸ ἔσχατον τοῦ θέναρος εἰς τὴν πρὸς τὸν καρπὸν συνάφειαν. θέναρ δέ φησι τὸ σαρκῶδες καὶ κοῖλον τῆς χειρός. V. κατὰ δὲ τὸν Εὔδημον τὸ μεταξὺ τοῦ λιχανοῦ καὶ τοῦ ἀντίχειρος δηλαδὴ τοῦ μεγάλου δακτύλου. L.

αἷμα: ἔρρεε δὲ τῆς θεοῦ ὁ ἰχὼρ ὡς αἷμα. λείπει γὰρ τὸ ὡς, ὡς „Τηλεμάχῳ ἑτάρω τε κασιγνήτω τε ἔοικεν" (Od. 21, 215). LV.

340. ἰχώρ: οὐχ οἷον ἡμεῖς οἴδαμεν, ἀλλ' ἄλλης τινὸς θεσίας παρὰ τὸ αἷμα. διὸ καὶ ἐπήγαγεν „οἷός περ ῥέει μακάρεσσι θεοῖσιν." LV. ὑγρασία τις διεφθαρμένης σαρκὸς ὕφαιμος. D.

341. οὐ γάρ: ἄλογος ὁ συλλογισμός· ὃ γὰρ διότι σῖτον καὶ οἶνον ὁ προσφέρουσι, διὰ τοῦτό εἰσιν ἀναίμονες καὶ ἀθάνατοι· πολλὰ γὰρ καὶ ἄλλα ζῷα ὁ προσφέρουσι ταῦτα. λύεται δὲ ἐκ τῆς λέξεως· ὑπακοῦσαι γὰρ δεῖ τῷ „ὁ σῖτον ἔδουσιν" ἀλλ' ἀμβροσίαν, τῷ δὲ „ὁ πίνουσιν οἶνον" ἀλλὰ νέκταρ. B.

ἄλλως. ὁ διὰ τὸ μὴ ἄρτον αὐτοὺς ἐσθίειν μήτε οἶνον πίνειν θεοὶ ὑπάρχουσιν, ἀλλὰ διὰ τὸ ἀθανάτους εἶναι τῶν τοιούτων τροφῶν ἀπέχουσι. τὸ δὲ ἀναίμονες ἀντὶ τοῦ ἄνευ αἵματος, ἐπεὶ ὁ τρέφουσι. ἀθάνατοι δέ, ὅτι ἀναίμονες· ὁ γὰρ θάνατος ψύξει τῷ θερμῷ γίνεται. BDL.

342. τὸ τοὔνεκα ἀντὶ τοῦ διὰ τοῦτο. τουτέστι διὰ τοῦτό εἰσιν ἀναίμονες καὶ ἀθάνατοι καλοῦσι, διότι ἔτε σῖτον ἔδουσ' ἔτε οἶνον πίνουσι. B.

343. ἰάχουσα: Τυραννίων προπερισπᾷ τὸ ἰάχουσα, κακῶς. LV.

344. 345. μετὰ χερσὶν — νεφέλῃ: ἢ τῇ μετὰ χερσὶ νεφέλῃ, ἢ πρῶτον χερσίν, ἔπειτα νεφέλῃ. LV.

348. εἶκε: προπαρασκευάζει μηκέτι φανῆναι αὐτὴν ἐν τῇ Θεομαχίᾳ. V.

δηϊοτῆτος: παρὰ τὸ ἐν αὐτῇ δηοῦσθαι πολλούς, ὅ ἐστιν ἀφανίζεσθαι. BL.

349. γυναῖκας: τινὲς ἀναφέρουσιν ἐπὶ τὴν Ἑλένην. V.

350. εἰ δὲ σύ γ' ἐς: ἔνιοι γράφουσι εἰ δὲ κὲ ἐς. LV.

352. ἀλύουσ': ψιλωτέον τὸ ἀλύουσα· παρὰ γὰρ τὴν ἄλην

γέγονεν· οἱ γὰρ λυπούμενοι ἐν πλάνῃ ἔχουσι τὴν ψυχήν, ὁμοίως καὶ οἱ λίαν χαίροντες. ὁ δὲ Ἀσκαλωνίτης δασύνει τὸ ἁλύεις (Od. 18, 333) τὸ ἐπιχαίρεις. τὸ δὲ ἀλύουσα ἀντὶ τοῦ λύσιν οὐχ εὑρίσκουσα τῶν δεινῶν. διὸ οὐδὲ φθέγγεται. LV.

τὸ ἀλύω οὐ μόνον ἐπὶ λύπης ἀλλὰ καὶ ἐπὶ χαρᾶς, ὡς ἐν Ὀδυσσείᾳ ἐν τῷ „ἀλύεις ὅτι Ἶρον ἐνίκησας" (l. l.). Πλούταρχος δὲ κατακόρως οὕτω χρᾶται τῇ λέξει. L.

353. Ἶρις: ὡς κοινῶς ἅπασι τοῖς θεοῖς ὑπηρετοῦσα, ἢ ὡς ἐρωτική. οὐκ ἀπέστη δέ, ἀφ' οὗ Τρωσὶν ἄγγελος ἦλθεν (Il. 2, 786). LV.

ἡ Ἶρις ἔχει τι ἐπαφρόδιτον διὰ τὸ τῶν χρωμάτων κάλλος· διὸ καὶ οἰκείως πως ἔχειν δοκεῖ πρὸς τὴν Ἀφροδίτην. L.

354. μελαίνετο: ἐπελιδνοῦτο. D.

355. μάχης ἐπ' ἀριστερά: καὶ ἐφ' Ἕκτορος· „ἐπεί ῥα μάχης ἐπ' ἀριστερά" τοῦ ναυστάθμου. LV.

356. ἐκέκλιτο: ἀπὸ μέρους τὸ πᾶν. τὸ δὲ ἐκέκλιτο ἀπὸ τοῦ κλίνω, ὡς τὸ „σάκε' ὤμοισι κλίναντες" (Il. 11, 592) καὶ „στήλῃ κεκλιμένος ἀνδροκμήτῳ" (Il. 11, 371). BLV.

357. διαστολὴ εἰς τὸ ἐριποῦσα, καὶ τὸ ἑξῆς κασιγνήτοιο ἵππους. οἰκεῖον δὲ καὶ τὸ γνύξ τῇ ἀνάλκιδι, ὡς τὸ „ἡ δ' ἐν γούνασι πῖπτε Διώνης" (370). BL.

358. πολλὰ λισσομένη: οὐκ εὖ, φασὶν ἔνιοι, πρόσκειται τὸ πολλά· καὶ γὰρ ἐραστής ἐστι καὶ ἀδελφός, καὶ τοῖς αὐτοῖς βοηθεῖ. ῥητέον δὲ ὅτι τὸ γυναικεῖον καὶ ἀσθενὲς ἐμφαίνει ἡ πολλὴ δέησις καὶ τὸ γονυπετεῖν. BL.

χρυσάμπυκας: ἄμπυξ σημαίνει δύο, τὸ γυναικεῖον ἀνάδεμα, ὡς τὸ „ἄμπυκα κεκρύφαλον" (Il. 22, 469), καὶ τὸν χαλινόν, ὡς ἐνταῦθα. BL. ἄμπυξ ᾧ τὰς τρίχας περιλαμβάνουσιν. LV. ἄμπυξ ἐκαλεῖτο χρυσῆ σειρὰ τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας συνδέουσα. LV.

359. κομίσαι: ἐπιμελήθητι, ἐκ τοῦ κομίζω, ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια, ἧς ἡ δοτικὴ ποιεῖ ἐπιῤῥηματικῶς τὸ κομιδῇ, ὅ ἐστι λίαν. L.

366. τὸ οὐκ ἀέκοντε ἀρετὴν ἵππων δηλοῖ. εἰ γὰρ κατὰ τὸν λυρικὸν ἀγαθὸς ἵππος ὁ σῶμα ἀκέντητον παρέχων, ὁ μαστιζόμενος οὐκ εὖ ἔχει. καὶ ὅμως ὁ τοιοῦτος, εἴπερ οὐκ ἀέκων θέει, ἀγαθός ἐστιν. L.

369. παρὰ δ' ἀμβρόσιον βάλε: ἐξ οὗ καλῶς παρὰ τοῖς πολλοῖς λέγεται τὸ παράβλημα. L.

371. μητρὸς ἑῆς: τῆς Διώνης εἶναι λέγουσι τὴν Ἀφροδίτην, ἐπεὶ Ἀφροδίτη ἐστὶν ἡ συνάγουσα τὸ ἄῤῥεν καὶ τὸ θῆλυ δύναμις, διὰ τὸ ἀφρώδη τὰ σπέρματα τῶν ζῴων εἶναι. διερὸν δὲ τὸ δίυγρον· ἐξ ὑγρότητος δὲ τῆς ἐν τῇ συνουσίᾳ τὰ ζῷα. L.

βιωτικὰ ταῦτα, τὸ καὶ τοὺς προβεβηκότας τῶν παίδων ὡς μικροὺς ὑπὸ τῶν γονέων θωπεύεσθαι. διὰ δὲ τὸ τρυφερὸν τῆς ταίμονος πῖπτεν εἶπεν, ἅμα καὶ τὴν ἐκ τοῦ τραύματος παρειμένην ἐμφῆναι θέλων. BL.

τὸ ἀγκάς λέγουσί τινες ἐπίῤῥημα ὡς τὸ ἑκάς. τὸ κάς ἐραχὺ κατὰ Δωριεῖς· οἱ γὰρ Δωριεῖς ἀπεναντίας τῇ κοινῇ διαλέκτῳ τῶν μὲν εἰς ες εὐθειῶν πληθυντικῶν ληγουσῶν τὰ δυϊκὰ διὰ τοῦ α μακροῦ ἐκφέρουσι, τῶν δὲ εἰς αι τὰς αἰτιατικὰς διὰ τοῦ α βραχέος ἐκφέρουσιν. L.

372. κατέρεξεν: ῥέζω σημαίνει τρία, τὸ πράττω, ὡς τὸ „νῦν δὲ τόδε μέγ' ἄριστον ἐν Ἀργείοισιν ἔρεξεν" (Il. 2, 274)· καὶ τὸ θύω, ὡς τὸ „ἄλλος δ' ἄλλῳ ἔρεξε θεῶν ἀειγενετάων" (ib. 406)· καὶ τὸ τῇ χειρὶ καταψῶ, ὡς ἐνταῦθα. BL.

373. τίς: φίλον οὐρανιώνων ἢ τίς τῶν οὐρανιώνων. LV.

τοῦτο κατ' ἐρώτησιν καὶ κατ' ἀγανάκτησιν καὶ κατὰ θαυμασμόν. L.

374. μαψιδίως: ἴδιον γονέων ἀδικοῦσι παισὶν ὑπερασπίζειν. τὸ δὲ ἐνωπῇ ἤτοι ἐν ὄψει ἀδικοῦσαν. τινὲς δὲ γράφουσιν ἐνιπῇ. BL.

376. ὑπέρθυμος: ἀλόγιστος καὶ μεστὸς θυμοῦ. BL.

377. οὕνεκ' ἐγὼ φίλον υἱόν: ηὔξησε τὸ θράσος Διομήδους, εὔλογον ἔχουσα τὴν αἰτίαν. BL.

380. ἀλλ' ἤδη Δαναοί: ὡς Τρωσὶ βοηθοῦσα κοινοποιεῖται τὸ πταῖσμα, καὶ ἵνα μὴ δοκῇ μόνη ἀδικεῖσθαι. BL.

μεταποίησις ῥητορική· ὅπερ ἄνω εἶπε Διὶ μόνῳ, νῦν ἀθανάτοις. L.

384. ἐξ ἀνδρῶν: τινὲς συνάπτουσιν, ἵν' ᾖ δι' ἀνδρῶν ἀλλήλους κακοποιοῦντες. BL.

385. Ὦτος καὶ Ἐφιάλτης, Ἀλωέως παῖδες καὶ Ἰφιμεδείας, κατ' ἐπίκλησιν δὲ Ποσειδῶνος, μέγιστοι καὶ ἰσχυροὶ γενόμενοι ἔπαυσαν τοὺς πολέμους· διὸ ἐμυθεύθη ὅτι ἔδησαν τὸν Ἄρην. D.

Ἀδώνιδος τοῦ Κινύρου ἐρασθεῖσα Ἀφροδίτη, καὶ τὸν φθόνον ὑφορωμένη, παρέθετο τοῖς περὶ Ὦτον καὶ Ἐφιάλτην, οἳ θέσει μὲν ἦσαν Ἀλωέως, φύσει δὲ Ποσειδῶνος καὶ Ἰφιμεδείας. τοῦτον θηρολετοῦντα ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας ἀναιρεῖ Ἄρης. οἱ δὲ ὀργισθέντες ἐπὶ τρισκαίδεκα μῆνας ἀποκλείσαντες τὸν Ἄρεα εἶχον ἐν εἱρκτῇ. ἡ δὲ τούτων μητρυιὰ Ἠερίβοια, ἡ Εὐρυμάχου τοῦ Ἑρμοῦ, ἀπήγγελλεν Ἑρμῇ. ὁ δὲ καὶ ταύτῃ χαριζόμενος καὶ τῇ Ἥρᾳ κλέπτει τὸν Ἄρεα. ὁ δὲ φυγὼν εἰς Νάξον ἧκε, καὶ κατέκρυψεν ἑαυτὸν εἰς τὴν σιδηροβρῶτιν λεγομένην πέτραν. ἐκεῖνοι δὲ ἐρασθέντες τῶν Ἥρας καὶ Ἀρτέμιδος γάμων ἀλλήλους ἐν κυνηγεσίοις ἀπέκτειναν· κατὰ πρόνοιαν γὰρ Ἀρτέμιδος ἔλαφος διὰ μέσου διῆλθεν αὐτῶν, καθ' ἧς ῥίψαντες ἀμφότεροι διεχρήσαντο ἀλλήλους. ἐπίτηδες δὲ μύθους συλλέξας ὁ ποιητὴς Διώνῃ περιτίθησι, δι' ὧν τῆς οἰκείας ἀπολύεται βλασφημίας, ὡς οὐ καιναῖς ἀλλὰ παλαιαῖς πεισθεὶς παραδόσεσιν. οὐδὲν δὲ ἄτοπον τοὺς Ποσειδῶνος δῆσαι Ἄρεα. B.

Ἀρίσταρχος ἀξιοῖ τὰ φραζόμενα ὑπὸ τοῦ ποιητοῦ μυθικώτερον ἐκδέχεσθαι κατὰ τὴν ποιητικὴν ἐξουσίαν, μηδὲν ἔξω τῶν φραζομένων ὑπὸ τοῦ ποιητοῦ περιεργαζομένους. Ὦτος οὖν καὶ Ἐφιάλτης γόνῳ μὲν ἦσαν Ποσειδῶνος, ἐπίκλησιν δὲ Ἀλωέως. οὗτοι ὑπερφυεῖς κατὰ μέγεθος γενόμενοι τὸν Ἄρην παρ' αὐτοῖς ἔδησαν. χρόνου δὲ διελθόντος Ἠερίβοια, μητρυιὰ μὲν τούτων γυνὴ δὲ Ἀλωέως, ἔπεισε τὸν Ἑρμῆν ὅπως κλέψῃ τὸν Ἄρην κἀκείνους αὐτοὺς ἀντὶ τῶν δεσμῶν εἰσπράξηται τιμωρίαν· ὁ δὲ πεισθεὶς τοῦτο ἐποίησεν. οἱ δὲ οὐδὲ τότε τῆς ὑπερηφάνου ἀδικίας ἐπαύσαντο, ἀλλὰ Ἥραν καὶ Ἄρτεμιν ἐπείραζον. ἀγανακτήσασα δὲ Ἄρτεμις κυνηγε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆσιν αὐτοῖς ἐπεμψεν ἔλαφον, ἥτις μεταξὺ τῶν δύο εἰσελθοῦσα παραιτία τελευτῆς αὐτοῖς ἐγένετο· προϊέμενοι γὰρ ὡς ἐπ' αὐτὴν τὰ δόρατα ἀμφότεροι τῆς μὲν ἀπέτυχον, ἀλλήλους δὲ πλήξαντες ἀπέθανον. ἄλλοι δὲ πιθανώτερον ἐξηγέμενοι τὰ Ὁμήρου, τοὺς Ἀλωείδας τέτας φασὶ γενέσθαι βασιλεῖς τῆς Ἑλλάδος, πολλῆς δὲ καὶ βαρβάρου γῆς ἐπικρατήσαντας καταπαῦσαι τὸν πόλεμον καὶ τὰς εἰς αὐτὸν παρασκευάς, καὶ ἐν εἰρήνῃ ποιῆσαι βιοτεύειν τοὺς ἀνθρώπους. διὰ τέτο ἔδοξαν δῆσαι τὸν Ἄρην, τετέχθαι τὸν πόλεμον. οἱ δὲ νεώτεροι ἰσορῶσι ποιηταὶ μόνον τὸν Ἄρην ἀπολειφθέντα τῶν ἄλλων θεῶν ἐν τοῖς ὑπερβορείοις μέρεσι συλληφθῆναι καὶ συνδεθῆναι ὑπὸ τῶν Ἀλωειδῶν, καὶ διατεθῆναι εἰς Κέραμον πόλιν τῆς Καρίας, καὶ ἐνταῦθα βασανισθῆναι μησὶ ιγ', μέχρις ἧς Ἠερίβοια ἡ τῶν Ἀλωειδῶν μητρυιὰ ἐμήνυσε τῷ Ἑρμῇ, ὁ δὲ ἐξέκλεψεν αὐτόν. οἱ δέ φασιν ἐν τῇδε τῇ ἱσορίᾳ περὶ τῶν μετεώρων διαλέγεσθαι τὸν Ὅμηρον μαθηματικὸν ὄντα. ἐπεὶ γὰρ ὁ Ἄρεος ἀσὴρ ὁ σιδήρεος καλέμενος ἐν τῷ λέοντι γινόμενος ὀκτὼ μησὶ σηρίζει, κατὰ τέτο λέγειν τὸν ποιητὴν „χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας," τῷ πλείονι ἀριθμῷ χρησάμενον διὰ τὸ ἄσρον. χάλκεον δὲ πίθον λέγει τὸν λέοντα· ἐν γὰρ τῷ ζωδίῳ τέτῳ γενόμενος ὁ ἥλιος ἔξοπτα ποιεῖ καὶ μεγάλα καύματα, ὥς φησι καὶ Ἄρατος (149) „ἔνθα μὲν ἠελίοιο θερείταται εἰσι κέλευθοι, αἱ δέ πε ἀσαχύων κεναὶ φαίνονται ἄρουραι ἠελίῳ τὰ πρῶτα συνερχομένοιο λέοντι." D.

Ἄλλως. ἕτω βέλτιον φιλοσοφεῖν διὰ τῆσδε τῆς ῥαψῳδίας, ὡς καὶ δι' ὅλης τῆς ποιήσεως. Ἄρην ὀνομάζει τὸν θυμόν, Ὦτον δὲ καὶ Ἐφιάλτην τὸν ἐν παιδείᾳ λόγον. τέτων γὰρ ὁ μέν τις ἐκ μαθήσεως καὶ διδασκαλίας κινεῖται, ὁ δ' ἕτερός ἐσιν ἐνδιάθετος καὶ ἐκ φύσεως παραπεμπόμενος τοῖς ἀνθρώποις. τὸν μὲν ἓν διὰ τῆς μαθήσεως διδασκόμενον λόγον Ὦτον προσηγόρευσεν, ὅτι διὰ τῶν ὤτων αὐτὸν καὶ τῆς ἀκοῆς ἐκμανθάνομεν παιδευόμενοι· τὸν δὲ ἐνδιάθετον καὶ ἐκ φύσεως παραπεμπόμενον τοῖς ἀνθρώποις Ἐφιάλτην ὠνόμασεν, οἷον τὸν αὐτομάτως ἐφαλλόμενον, τετέσιν ἐμβαλλόμενον, ταῖς ἀκοαῖς (ἐφ. ἦγεν ἐπερχόμενον ταῖς διανοίαις D). ὑπὸ τέτων δ' ἀμφοτέρων φησὶ δεθῆναι τὸν Ἄρη, τετέσι τὸν θυμόν, καὶ ἐπὶ πολὺ βασανισθῆναι, ἐπειδὴ οἱ ἐν παιδείᾳ λόγοι ἐκπαιδεύσι καὶ διδάσκσι τὰς ἀνθρώπες κατέχειν μὲν τὴν ὀργὴν καὶ ἐπιθυμίαν, ἧκισα δὲ θυμῷ χρῆσθαι. ὅ πέρ φησιν Ὅμηρος κατέχεσθαι τὸν θυμὸν μὲν ὑπὸ τῶν λόγων τέτων, ἐπεὶ πάντοτε οἱ τῆς παιδείας λόγοι ἐκπαιδεύσι καὶ διδάσκσι τὰς ἀνθρώπας μετὰ γνώμης ἅπαντα πράττειν καὶ μὴ πολλῇ ὀργῇ χρωμένας κατὰ τῶν φίλων ἀνήκεσόν τι πράττειν, ἐκδιδάσκσι δὲ καὶ ὃν τρόπον δεῖ γονέων ἐπιμελεῖσθαι καὶ φίλων καὶ ἀδελφῶν κήδεσθαι καὶ τῶν ἄλλων ἁπάντων. αὖθις δὲ λυθῆναι αὐτὸν ὑπὸ Ἑρμοῦ, Ἠεριβοίας τέτο μηνύσης, Ἑρμῇ πάλιν ὀνομάζων τὸν λόγον, ὅτι ἑρμηνεὺς γίνεται πάντων ὁ λόγος, Ἠερίβοιαν δὲ ὀνομάζων τὴν φύσιν παρὰ τὸ μεγίσῃ φωνῇ χρῆσθαι τὰ φασιάζοντα πλήθη ἐν ταῖς πόλεσιν, ἐπειδὴ πολλάκις ὁ λόγος ἐξουσίαν δίδωσι τῷ θυμῷ χρῆσθαι τῇ οἰκείᾳ ῥώμῃ, ὅταν ὑπὲρ πατρίδος δέῃ καὶ ὑπὲρ παίδων καὶ γονέων καὶ κτημάτων καὶ πολιτείας πρὸς πολεμίους ἀγωνίζεσθαι. τότε γὰρ ὁ λόγος ἐκέτι κατέχει τὸν θυμόν, ἀλλὰ εἴργει χρῆσθαι τῇ οἰκείᾳ δυνάμει, ἀλλὰ τἀναντίον αὐτὸς καὶ παρακελεύεται καὶ προτρέπει χρῆσθαι κατὰ τῶν οἰκείων, μᾶλλον δὲ τῶν ἐχθίσων, ἵνα μὴ ὑπὸ πολεμίων ληφθέντες κακῶς πάθωμεν. BD.

387. κεράμῳ: ἀγγείῳ, πίθῳ, ἢ δεσμωτηρίῳ· οἱ γὰρ Κύπριοι τὸ δεσμωτήριον κέραμον καλοῦσιν. D.

388. ἀπόλοιτο: ἢ ὑπερβολικῶς εἶπεν, ἢ ἀντὶ τοῦ ἀφανὴς ἐγένετο, ὥσπερ φαμὲν „ἀπόλωλεν ὁ παῖς." B.

ἄτος: ὁ ἀκόρεσος. γίνεται ἐκ τοῦ ἄω τὸ εἰς κόρον ἄγω· ἐξ ἧς καὶ ἄσαι τὸ κορέσαι, ὡς τὸ „αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν" (289). BL.

389. μητρυιὴ: ἡ τοῦ Ἑρμοῦ μητρυιά. Ἠερίβοια δὲ ἡ ἀέρια καὶ μεγάλα βοῶσα. Ἀντίμαχος δὲ ὁ Κολοφώνιος τὴν Ἠερίβοιαν μητρυιὰν Ὤτου καὶ Ἐφιάλτου παραδίδωσιν. D.

390. Ἑρμέᾳ πρωτότυπον. προσθέσει τοῦ ῑ Ἑρμείᾳ. L.

391. ἐδάμνα: Δωρικὸν προσθέσει τοῦ ν̄, ὡς τὸ ἐλαύνω. L.

392. κρατερὸς παῖς Ἀμφιτρύωνος: ὁ Ἡρακλῆς· ἑκατέραις γὰρ γενεαλογίαις καλεῖ αὐτὸν ὁ ποιητής, ὁτὲ μὲν Διὸς υἱὸν λέγων, ὁτὲ δὲ Ἀμφιτρύωνος. D.

Εὔρυτος ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίᾳ βασιλεὺς προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένῳ ἢ ὥς τινες τὰς παῖδας· παρὰ γὰρ Ἀπόλλωνος εἰλήφει τὴν τοξικήν. Ἡρακλέης δὲ διαγωνισαμένου ἀγανακτήσας ὁ Εὔρυτος οὐκ ἀπεδίδου τὴν κόρην. ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, τὴν δὲ Ἰόλην αἰχμάλωτον ἤγαγεν. ἀδελφῆς ἐπαύσατο, ἀλλὰ Ἴφιτον τὸν Εὐρύτου, εἰς Τίρυνθα παραγενόμενον ἐπὶ ζήτησιν ἵππων, ξενίσας ἀπέκτεινε. φεύγων δὲ τὸ τοῦ φόνου μύσος παρεγένετο πρὸς Νηλέα καθάρσεως τευξόμενος. τῶν δὲ παίδων αὐτῷ μὴ βαλομένων ὑποδέξασθαι ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς ἐπεξενώθη Ἀγῆφόβῳ τῷ τῶν Ἀρκάδων βασιλεῖ, καὶ ἔτως ἐκαθάρθη τοῦ φόνου. καὶ ὕστερον ἐπισρατεύσας Νηλεῖ ἐ μόνον τὴν Πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν Νηλεῖ συμμαχοῦσαν ἔτρωσεν, αὐτόν τε Νηλέα τοῖς παισὶν ἅμα κτείνει δίχα τοῦ νεωτάτου Νέσορος· ἕτος γὰρ ἐν Γερήνοις ἀνετρέφετο, διόπερ ἐσώθη· ὅθεν αὐτὸν Γερήνιον ὁ ποιητὴς προσηγόρευσεν. Ἡ

φιλύσοφος Ἡρακλῆς καὶ σοφίας ἀρανίσε μύσης, ὃς ὥσπερ εἰς τὰ βάθη εἰσδεδυκνῖαν ἀχλύος τὴν φιλοσοφίαν ἐφώτισε τὸν θολερὸν τοίνυν ἀέρα καὶ πρὸς τὴν ἑκάσε διάνοιαν ἐπαλύοντα πρῶτος Ἡρακλῆς θείῳ διήρθρωσε λόγῳ, τὴν ἐκ σου τῶν ἀνθρώπων ἄνοιαν πολλαῖς νεθεσίαις καταῤῥώσας ὅθεν ἀπὸ γῆς εἰς ἐρανὸν ἀφίησι τὰ βέλη· πᾶς γὰ φιλύσοφος ἐν ἐπιγείῳ σώματι πτηνὸν ὥσπερ τι βέλος τὸν νᾶν εἰς μετέωρα διαπέμπει. διὰ δὲ τῆ τριγώνε βέλες ἡ τριμερὴς ἡμῶν φιλοσοφία δεδήλωται. μετὰ δὲ Ἥραν τοξεύει Ἅιδην· ἐδεὶς γὰ ἄβατος φιλοσοφίᾳ χῶρος, ἀλλὰ μετὰ τὸν ἐραι

ἐζήτηκε τὴν κατωτάτω φύσιν. διὸ καὶ ἀνελθεῖν τὸν Ἅιδην φησί, μόνον ἐχὶ συνάπτων ἄμφω τὰς γνώσεις· καὶ τὸν ἀλαμπῆ γ' πᾶσιν ἀνθρώποις τόπον ὁ τῆς φιλοσοφίας ὀϊστὸς εὐσόχως βληθεὶς διευκρίνησεν. ἡ δὲ ἱστορία ὅτι ἐν τῇ πρὸς Πυλίους μάχῃ αὐτὴν ἔτρωσεν· οἱ δέ φασιν ὅτι, διότι νήπιον ὄντα ἐκ εἴασεν αὐτὸν σπάσαι τὸν ἴδιον μαζόν, ἔτρωσεν αὐτήν. διὰ μειζόνων δὲ προσώπων παραμυθεῖται Ἀφροδίτην. BLV.

394. τότε καί μιν: ἐν τῇ ἑτέρᾳ τότε κέν μιν. V.

395. τλῆ δ' Ἄϊδης: φασὶν Ἡρακλέα, ἐπιταχθέντα ὑπὸ Πλάτωνος ἄνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι τὸν Κέρβερον, τῇ μὲν δορᾷ χρήσασθαι ἀντὶ ἀσπίδος, τοῖς δὲ βέλεσι λιθίνας ἀκίδας κατασκευάσαι· μετὰ δὲ τὴν νίκην πάλιν ἐναντισμένα τῷ θεῷ τὸν Ἡρακλέα ὀργισθέντα τοξεῦσαι αὐτόν. BL.

397. ἐν πύλῳ: Ἀρίσαρχος πύλῳ ὡς χόλῳ καὶ ἐσπέρῳ. ἀλλὰ πληθυντικῶς ἀεὶ λέγει „ὠΐγνυντο πύλαι" (Il. 2, 809) „πύλας Ἄϊδαο" (Il. 5, 646). ἐν τῇ Πύλῳ ἔν φησιν. LV. ὁ μὲν Ἀρίσαρχος τὸν πύλον ἀκέει κατὰ μεταπλασμὸν ἀντὶ τῆ πύλην, ὡς ἀπὸ τῆ πολύαρνι πολυάρνῳ, καὶ τὸ ἐν νεκύεσσι κυρίως ἀκέει, ἔνθα αἱ τῶν τελευτώντων ἀναχωρῆσι ψυχαί. D.

ἀντὶ τῆ ἐν πύλῃ, πρὸς τῇ πύλῃ· ἐ γ' ἐν τῇ Πύλῳ τῶν Πυλίων λέγει, ἀλλ' ἐν τῇ πύλῃ τῇ τῶν νεκρῶν, κατὰ τὴν τῆ Κερβέρε ἀναγωγήν. D.

401. τῷ δ' ἐπί: πρὸς τὸ πεῖσαι τὴν θυγατέρα ἐναργῶς περὶ τῆ πλήγματος διαλέγεται. ἐκ ἀναστρεπτέον δὲ τὴν πρόθεσιν· τῷ γ' ἑξῆς συντέτακται. B.

ὀδυνήφατα: τὰ ὡς εἰπεῖν ἀκεσώδυνα, ἐκ τοῦ τὴν ὀδύνην φάσαι ἤγουν φονεῦσαι. ἐνέργειαν δὲ σημαίνει τὸ ὀδυνήφατα, τὸ δὲ μυλήφατον πάθος, καὶ τὸ πρόσφατον, ὡς πρόσφατος νεκρὸς ὁ πρὸ ὀλίγε φονευθείς. L.

402. ἠκέσατ': ηὔξησε τὴν ἰατρικήν, εἴ γε καὶ θεοὶ δέονται αὐτῆς. παραμυθεῖται δὲ τὴν παῖδα ὡς ἀδὲν ἐκ τῆς πληγῆς πεισομένην. Παιήονα δὲ ἐ τὸν Ἀπόλλωνα λέγει. B.

καταθνητός: περισσὴ ἡ κατά. LV.

403. ὀβριμοεργός: Ἀρίσαρχος αἰσυλοεργός. LV.

ὅτ' οὐκ ὄφετ': διὰ τῆ τ, ὅτ' ἐκ ὄφετ'. LV.

αἴσυλα: ἁμαρτωλά, παράνομα. ὁ δὲ Ἀπίων ἐτυμολογῶν τὴν λέξιν φησὶ τὰ σεσυλημένα τῆς αἴσης, τουτέστιν ἁμαρτωλά. βέλτιον δὲ τὸ μὴ δοκεῖν ἐγκεῖσθαι τὰ σεσυλημένα· ἐκεῖ γ' ἡ αἶσα φανήσεται ἐγκειμένη. ἔστιν ἓν αἴσυλα κατὰ παράλειψιν ἑτέρε ᾱ δηλοῦντος κειμένην, ἀαίσυλα, ἐξερημένα τῆς αἴσης, τουτέστι τῆ καθήκοντος. D.

404. τύξοισιν: ἐδέποτε οἶδεν ὁ ποιητὴς Ἡρακλέα ὁπάλῳ χρώμενον. BLV. τὸ δὲ ἔκηδε ἀντὶ τῆ ἐκάκισε. V.

405. σοὶ δ' ἐπί: ἐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γ' τὸ ἀνῆκε συντέτακται. οὐχ ὑπὸ θνητοῦ δὲ τέτρωται, ἀλλ' ὑπὸ θεᾶ ἰσοτίμε· καὶ ὁ ὑπηρετήσας δὲ ἐκ ἀβλαβὴς ἐκφέρεται. B.

406. νήπιος: σχῆμα καινοπρεπές· ἔδει γ' εἰπεῖν νήπιον. L. ἠὐὺ τὸ τῆς ἐξαλλαγῆς. ὁ δὲ δέ ἀντὶ τῆ γάρ. BL.

407. μάλ' οὐ δηναιός: ἐ μάλα χρόνιος. εἰς εὐσέβειαν δὲ ἡμᾶς διὰ τέτων παρακαλεῖ. BLV.

408. οὐδέ τί μιν: διχῶς, καὶ ἀδέ τέ μιν. V. σεμνύνει τὴν παιδοποιίαν, τὰς ἀσεβοῦντας κολάζεσθαι λέγων ἀτεκνίᾳ. εἰ δὲ λέγοις, καὶ μὴν „τέτρατον ἦμαρ ἔην ὅτ' ἐν Ἄργει" (Od. 3, 180), ἴσθι ὡς οἱ ἑταῖροι ὑπέρεψαν, ἐ Διομήδης. BL.

γούνασι: καθεζόμενοι δηλονότι. L.

παππάζουσι: πατέρα καλοῦσι. V. λανθάνει δὲ τὸ ταπεινὸν τῆς λέξεως παρεντεθὲν καὶ διὰ τὸ λέγον καὶ διὰ τὸ ἀκόσμον πρόσωπον· ἐ γ' ἐξ ἄρσενος λέγει, ἐχ ἥρωος, ἐ θεᾶ, ἀλλ' ὑπὸ θεᾶς καὶ μητρὸς ἐναγκαλισαμένης τὴν παῖδα. BLV.

411. μή τίς οἱ ἀμείνων: περὶ Ἄρεος προλέγει. V..

412. μὴ δὴν Αἰγιάλεια: φασὶν Αἰγιάλειαν τὴν νεωτέραν τῶν Ἀδρηστίδων, γυναῖκα Διομήδες οὖσαν, σφόδρα αὐτὸν ἐπιποθεῖν καὶ ἀπολοφύρεσθαι τὰς νύκτας· ὕστερον δὲ κατὰ μῆνιν Ἀφροδίτης πάσῃ τῇ τῶν Ἀργείων νεολαίᾳ συγκωμάσαι αὐτήν, ἕκατον δὲ καὶ Σθενέλῳ τῷ Κομήτε, ὃς ἦν ὑπὸ Διομήδες πιστευθεὶς τὰ κατ' οἶκον. ἥκοντα δὲ αὐτὸν μέλλων ἀνελεῖν ἐφείσατο διὰ τὸ καταφυγεῖν εἰς τὸν τῆς Ἀθηνᾶς βωμόν· ὅθεν αὐτὸν φυγόντα φασὶν ἥκειν εἰς Ἰβηρίαν (Καλαυρίαν L), κἀκεῖ, ὡς μέν τινες, δολοφονηθῆναι ὑπὸ Δαύνε τῆ βασιλέως, ὡς δέ τινες, ἀπολέσθαι ὑπὸ Ἰανίσε τῆ Δαύνου παιδὸς ἐν κυνηγεσίοις· ὅθεν, ὡς φασιν, αὐτὸν μὲν ἀπεθέωσεν Ἀθηνᾶ, τὰς δὲ ἑταίρας εἰς ἑρωδιὰς μετέβαλεν. τὸ δὲ δήν ἄμεινον εἶναι χρονικὸν ἐπίῤῥημα, ἵν' ᾖ τὸ ἑξῆς ἔτω, φραζέσθω μή πώς τις αὐτῷ ἀμείνων σεῦο μάχηται, καὶ μὴ δήν, ὅ ἐστιν ἐπὶ πολύ, μείνῃ αὐτὸν ἡ γυνὴ θρηνεῦσα. B.

Διομήδους γυνὴ Αἰγιάλεια, ἡ νεωτάτη τῶν Ἀδράστου θυγατέρων· τρεῖς γ' ἔχε θυγατέρας ὁ Ἄδραστος, ταύτην καὶ Ἀργείαν τὴν Πολυνείκες καὶ Δηϊπύλην τὴν Τυδέως. τῆς ἓν μητρὸς αὐτῆ ἀδελφὴ ἦν. ὁ δὲ στρατεύσας ἐς Ἴλιον κατέλιπε τῆς ἀρχῆς καὶ τῆς οἰκίας ἐπίτροπον τὸν Σθενέλε Κομήτην. κατέχει δὲ ὁ λόγος τρωθεῖσαν τὴν Ἀφροδίτην ὑπὸ Διομήδες αὐτῷ μὲν μὴ μνησικακῆσαι διὰ τὴν τῆς Ἀθηνᾶς ἐπικουρίαν, τὴν δὲ τότε γυναῖκα ἐκμῆναι περὶ πορνείαν, ὡς περὶ πᾶσαν τὴν τῶν νέων ἡλικίαν συγχορεύειν ὀσελγαίνουσαν. τῷ δὲ Κομήτῃ καὶ ἔρωτα τῆς Αἰγιαλείας ἐμποιῆσαι. παραγενόμενον δὲ τὸν Διομήδην ἐξ Ἰλίε διώκειν μετὰ δορυφόρων, ἀποκτεῖναι βυλόμενον· τὸν δὲ λοιπὸν τοῖς ἀθενέσι βοηθήμασι χρώμενον καταφυγεῖν ἐπὶ τὸν Ἥρας βωμόν. μετὰ ταῦτα δὲ ἀπῆρεν εἰς Ἑσπερίαν, καὶ παραλαβεῖν λέγεται παρὰ Δαύνε τινὰς εἰς κατοικισμόν. καὶ τέλος ἀπορέντων αὐτῆ τῶν ἑταίρων καὶ λιμωττόντων, τότε μὲν τὴν Ἀθηνᾶν εἰς ἑρωδιοὺς ἀπορνεῶσαι, τὸν Διομήδην δὲ ἐνταῦθα καταῤῥέψαι τὸν βίον. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. ταύτην δὲ τὴν ἱστορίαν ὁ ποιητὴς ἐ λέγει, ἀλλὰ τῶτο λέγει, μὴ μαχεσθέντος αὐτῷ τινὸς τῶν ἰσχυροτέρων θεῶν ἀποθάνῃ, εἶτα τὸν θάνατον αὐτῆ ἡ γυνὴ μαθοῦσα ἅμα τοῖς οἰκείοις αὐτῆ θρηνήσει. D.

βουλευέσθω μή πως ἡ Αἰγιάλεια ποθοῦσα αὐτόν, ἀκέσασα

δὲ τῆς αὐτῦ ἀπωλείας, θρηνῦσα ἐκ τῦ ὕπνυ τὺς οἰκείους ἀνεγείρῃ. ἐκ οἶδε δὲ ὁ ποιητὴς τὸν τῦ Κομήτυ πόθον. B.

413. οἰκῆας: ὡς δοκεῖ τοῖς παλαιοῖς, ὁ τὺς δύλυς λέγει ὁ ποιητής, ἀλλ' ἁπλῶς τοὺς ἐν οἴκῳ. τὸ δὲ ἐγείρῃ ἀφυπνίσῃ. L.

414. τὸν ἄριστον Ἀχαιῶν: εἰρωνεία ἐστὶ τὸν φρόνημα ἔχοντα ὅτι ἄριστός ἐστιν. ἢ ὡς αὐτὴ λέξει θρηνῦσα. ἢ πρὸς παραμυθίαν τῆς Ἀφροδίτης λέγει, ὅτι ὁ τρώσας αὐτὴν ἄριστος τῶν ἄλλων ἐστίν, ἀλλ' ἐκ ἀδαμινύς. BLV.

416. ἀπ' ἰχῶ: Ἀττικὸν ἐστι κατὰ ἀποκοπὴν τῦ ῥ ἢ ᾱ, ἢ κατὰ συναίρεσιν, ἰχῶρα ἰχῶ. ἡ δὲ ἀπὸ πρὺς τὸ ὀμόργνυ τάσσει, ἢ πρὺς τὸ χειρός. B.

ἡ Ἀριστάρχειος ἐνικῶς· ἢ Ζηνοδότυ χερσίν. LV. τὸ δὲ ὀμόργνυ ἀντὶ τῦ ἀπέρῃσεν. LV.

417. ἄλθετο χειρ: ἔδειξεν ἐπὶ ποίῳ τραύματι ἤχαλλεν Ἀφροδίτη, ὅπυ ἐκ ἐδέησεν ἰατρῦ. ἢ ὅτι τὸ λάλον ἐνδείκνυ τῶν γυναικῶν, πῶς τε τὰ δοκῦντα μικρὰ μεγάλα διὰ τὸ λάλοι εἶναι ποιῦσιν. ἄλθετο δὲ τὸ ὑγιῦτο, ἐκ τῦ ἄλθω τὸ αὔξω· τὰ γὰρ ὑγιῆ ἢ αὔξεται. B.

419. κερτομίοις: ἐπεὶ ἐκερτόμησεν αὐτὰς ὁ Ζεὺς „δοιαὶ μὲν Μενελάῳ" (Il. 4, 7), τρωθεῖσης Ἀφροδίτης ἀντεκερτομῆσι τὸν Δία. τῦτο καὶ ὁ Ζεὺς συνεὶς ἐμειδίασεν. ἅμα δὲ τὴν κατὰ Διομήδυς ὀργὴν μαλάσσεσθαι, ἃ μέλλυσι κατηγορεῖσθαι, ταῦτα προδιασύρεσθαι. LV.

420. εὖ τὸ τῇ Ἀθηνᾷ τὴν τῆς εἰρωνείας προκαταρχὴν περιθεῖναι· ἡ γὰρ Ἥρα μείζονός ἐστιν ἀξιώματος. BL.

422. ἦ μάλα δή τινα Κύπρις: ὡς προκαταρχέσης τῆς εἰς Ἕλληνας (Ἑλένην LV) ἀδικίας. διὰ δὲ τῦ κατεμύξατο λεληθότως ἀπολογεῖται. τὸ ἀνιεῖσα ἀντὶ τῦ ἀναπείθουσα. BLV.

τὸ ἐπίθετον τῆς Ἀφροδίτης, ὃ οὐκ ἐνόησαν οἱ πρὸ ἡμῶν τί σημαίνει. συμπλανηθέντες γὰρ τῷ Ἡσιόδῳ ἔδοξαν ὅτι Κύπρις λέγεται, ὡς φησιν Ἡσίοδος, Κυπρογένεια, διὸ γεννᾶται „περικλύστῳ ἐνὶ Κύπρῳ" (Th. 199), ὥσπερ καὶ τὴν φιλομειδῆ, ὅτι μηδέων ἐξεραάνθη. Ὅμηρος δ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τὴν μειδιάματα φιλῦσαν, οἷον ἱλαρόν, διὰ τὴν ἐγκειμένην αὐτῇ δύναμιν ἀπὸ τῆς συνουσίας. ὥσπερ οὖν τὸ πῦρ Ἥραιστον λέγει ὁμωνύμως τῷ εὑρύντι, ἵνα καὶ Ἀφροδίτην ποτὲ τὴν ἀνδρὸς πρὸς γυναῖκα συνουσίαν, ἥνικα ἂν περὶ τῶν μνηστήρων λέγει „καὶ ἐκλελάθοντ' Ἀφροδίτης, ἣν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντο δὲ λάθρῃ" (Od. 22, 444). τὸ οὖν ἐπίθετον τὸ διὰ τοῦ Κύπρις σημαινόμενον ἀπὸ τῆς περὶ αὐτὴν δυνάμεως Ὁμήρῳ παρείληπται. ἔστι γοῦν κατὰ συγκοπὴν εἰρημένον κυύπορις, ἡ τὸ κύειν πορίζουσα· ἴδιον γὰρ Ἀφροδίτης τῦτο· ἃ γὰρ κύϊσκουσιν αἱ γυναῖκες χωρὶς τῆς Ἀφροδισιακῆς συνουσίας. τὸ δὲ πλανῆσαν τὸν Ἡσίοδον καὶ τὰς ἄλλας ἐστὶ τὸ ἐν τῇ Θ ῥαψῳδίᾳ λεγόμενον „ἦ δ' ἅρα Κύπρον ἷκανε, φιλομμειδὴς Ἀφροδίτη, ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις" (Od. 8, 362). ἐκ εἴ τις δ' ἔν τινι τύπῳ τετίμηται, ἐκεῖθι καὶ γεγέννηται καὶ διὰ τῦτο τῷ ἐπιθέτῳ κοσμεῖται. ὁθέποτε γοῦν Δήλιος ὁ Ἀπόλλων παρ' Ὁμήρῳ ὁθὲ Πύθιος· καίτοι γε καὶ ἑκάτερον τῶν ἱερῶν οἶδε, δι' ὧν φησὶ ποτὲ μὲν „Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος" (Od. 6, 162), ποτὲ δὲ „ὁθ' ὅσα λάϊνος ὀδὺς ἀφήτορος ἐντὸς ἐέργει Φοίβυ Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ" (Il. 9, 404). οὐδ' ἐπεὶ φησιν „ἵκετο δ' εἰς Αἰγάς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν" (Od. 5, 381), Αἰγαιύς ποτε εἴρηται ὁ Ποσειδῶν παρ' Ὁμήρῳ. καὶ ἡ Κυθέρεια δὲ καθ' Ὅμηρον ἐκ ὅτι „προσέκυρσε Κυθήροις" (Hesiod. Th. 198). οἶδε μὲν γὰρ τὰ Κύθηρα, ἐκ ἀπὸ τούτου δὲ εἴρηται. Κυθέρεια δὲ ἡ κενυθύμενον ἔχυσα ἐν ἑαυτῇ τὸν πάσης τῆς ἐρωτικῆς φιλίας ἐξηρτημένον ἱμάντα, οἷον τὸν ἔρωτα, ὃν πᾶσι τοῖς νέοις ἐφίησι· διὰ γὰρ τῦ κεῖθι ταῦτα παρέπεται· „ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ἀαρισύς, πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων" (Il. 14, 216). ἐπεὶ τοι καὶ Ἀλαλκομενὶς Ἀθήνη παρὰ τοῖς εὖ λογιζομένοις ἀπὸ τῆς ἐνεργείας, ἡ ἀπαλλάσσυσα (ἀπαλάλκεσα D) τῷ ἰδίῳ μένει τὲς ἐναντίους· οὐ γὰρ πειθόμεθα τοῖς νεωτέροις, οἵ φασιν ἀπὸ Ἀλαλκομενίας (Ἀλαλκομενῦς D) τινὸς εἰρῆσθαι. ὁθ' ὡς Ἐρατοσθένης παρήκουσεν Ὁμήρου εἰπόντος „Ἑρμείας ἀκάκητα" (Il. 16, 185), ἦγουν ἀπὸ Ἀκησίου (Ἀκακήτου D) ὄρυς, ἀλλ' ὁ μηδενὸς κακῦ μεταδοτικός, ἐπεὶ καὶ δοτὴρ ἐάων. πάντ' ἂν ἀπὸ τῶν παρεπομένων τοῖς θεοῖς· καὶ γὰρ ἡ γλαυκῶπις ἐκ ἀπὸ τῦ ἦ τ' ἄκρην τινὰ γλαυκῶπις (ἄκρης θίνα γλαυκώπιον D) ἴζει, ἀλλ' ἀπὸ τῆς περὶ τὴν πρόσοψιν τῶν ὀφθαλμῶν καταπλήξεως. ἢ τἆλλα δὲ τῶν ἐπιθέτων ἐπιθὺν ἡμῖν πάρεσιν ὁρᾶν ἐκ ἀπὸ τῶν ἱερῶν τόπων ὠνομασμένα, ἀπὸ δὲ τῶν ψυχικῶν ἐνεργειῶν, ἢ νὴ Δία συμβεβηκότων περὶ τὸ σῶμα, ὡς ἡ λευκώλενος Ἥρη ἢ ἀργυρόπεζα Θέτις ἢ Φοῖβος Ἀπόλλων ἢ ἀκερσεκόμης, καὶ πάλιν ἀπὸ πράξεως, Ἕκατος, Ἑκάτη, ἑκατηβελέτης, ἑκηβόλος Ἄρτεμις ἢ ἀγροτέρα ἢ λοχέαιρα ἢ πάντα τὰ παραπλήσια. ἢ γὰρ εἰ σπανίως Ἑλικώνιον τὸν Ποσειδῶνα εἴρηκεν ἀπὸ Ἑλικῶνος, ἐπεὶ ἡ Βοιωτία ὕλη ἱερὰ Ποσειδῶνος — ἐπεὶ γὰρ ἀρέσκει ἀπὸ Ἑλίκης, ἐπεὶ φησιν „οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγεσιν" (Il. 8, 203)· Ἑλικήϊον γὰρ ἂν εἶπε, συγχωρῦντος τῷ μέτρῳ — δύναται δὲ Ἑλικώνιος λέγεσθαι διὰ τὸ ἕλικας καὶ περιφερεῖς εἶναι τὰς τῆς θαλάσσης δίνας. ἔτι δὲ εἴπερ ἦν ἡ Κύπρις ἀπὸ τῆς Κύπρυ, πολλῷ μᾶλλον ἀπὸ τῆς Πάφυ, ἐν ᾗ „βωμός τε θυήεις" αὐτῆς (Od. 8, 363), Παφίη ἐλέγετο· ἀλλ' ὁθέποτε Παφίην εἶπε τὴν Ἀφροδίτην Ὅμηρος, ὡς οἱ νεώτεροι. ἢ γὰρ εἴ ποτε σπανίως ἐπίθετα ἐξενήνοχε τοπικά, ἀλλ' ἐξ ἡρωϊκῦ προσώπυ κατὰ τὸ εἰκὸς αὐτὰ λέγει· Ἀχιλλεὺς γὰρ Θεσσαλὸς ὢν φησι „Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ, τηλόθι ναίων" (Il. 16, 233), ἢ Ἑκάβη „ἀλλ' ἔτυχε σύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾷται" (Il. 24, 290)· εἰ γὰρ ἡ Ἴδη τῆς Τροίας, οἰκείως ἡ Ἑκάβη ἔγχε παρονομάσαι τὸν Δία Ἰδαῖον. ὁ δὲ Ὅμηρος οὐκ ἂν εἶπεν ἀπὸ τῆς Κύπρου τὸ ἐπίθετον, ἐξ ἰδίου προσώπυ λέγων „ὁ δὲ Κύπριν ἐπέγνετο νηλεὶ χαλκῷ" BD.

425. πρὸς τὸ ἀθενὲς τῆς πληγῆς. Ἀρίσαρχος δὲ τὸ

ἀραιήν ἐπὶ μὲν τῷ ἀσθενῇ δασύνει, ἐπὶ δὲ τῷ ἐπιβλαβῇ ψιλοῖ. τὸ δὲ κατεμύξατο καταμύξατό φησι διὰ τῷ ᾱ. BL.

περόνη: Δωριέων φόρημα. L.

428. οὔ τοι τέκνον ἐμόν: τὸ γνῶθι σαυτόν φησιν· οἶδε γὰρ αὐτὴν τὴν αἰτίαν ἔχουσαν διὰ τὴν ἁρπαγὴν Ἀλεξάνδρου, ἣν ταῖς αὐτῆς βουλαῖς ἐποιήσατο. διὸ οὐδὲ αὐτὴ φθέγγεται ὡς ἡμαρτηκυῖα, ἀλλὰ μᾶλλον ἀσκεῖ σιωπήν. B.

429. ἔργα γάμοιο: τὰ περὶ τὸν ἔρωτά φησι καὶ τὰς ἐργαζομένας τὸν γάμον. B. ἐπεί τοι Ἥρα ζυγία ἐστιν. LV.

430. ταῦτα δ' Ἄρηϊ: καὶ πῶς ὕστερον ὑβρίζει αὐτόν; ὅτι τὸ δίκαιον ὑπερέβαινεν, ὁ βοηθῶν ἀλλὰ καὶ αὐτεργῶν κατὰ τῶν Ἀχαιῶν· Περίφαντα γὰρ ἀπέκτεινεν. BL.

432. Αἰνείᾳ δ' ἐπόρουσε: ἀδὲν πράσσει, δεικνὺς ὡς οὐδὲ τὸ κατὰ Ἀφροδίτην αὐτῷ ἦν. BL.

442. χαμαὶ ἐρχομένων: πρὸς τὰ πτηνὰ ἡ σύγκρισις τὰ διὰ τοῦ ἀέρος πορευόμενα. LV. ἀντὶ τῷ ἀποθνησκόντων, ἢ ἐπὶ γῆς βαδιζόντων, ἢ χαμαιριφῶν, ἢ φθαρτῶν. D.

443. ἀνεχάζετο τυτθὸν ὀπίσσω: ἐμφαίνει τὴν ἀρετὴν Διομήδους διὰ τοῦ τυτθόν. ἐπὶ δὲ τῷ Πατρόκλῳ πολλὸν ὀπίσω φησίν (Il. 16, 710)· ὑπ' ἀδυνοῦς γὰρ θεοῦ βοηθεῖ, καὶ τὸν Ἀπόλλωνα δέδοικεν. BL.

τυτθόν: τὸ μικρὸν ἔμβρυον. γίνεται ἂν ἐκ τοῦ τιτθή, ὃ σημαίνει τὸν μαστόν, καὶ τροπῇ τοῦ ῐ εἰς ῡ τυτθόν καὶ τυτθή. BL.

Ἀρίσταρχος τυτθόν, ἀ πολλόν. L.

ὀπίσσω: ἐπίρρημα τοπικὸν σχέσεως τῆς ἐν τόπῳ. σχέσεις δὲ τῶν τόπων εἰσὶν ς', ἄνω, κάτω, ἔμπροσθεν, ὄπισθεν, δεξιά, ἀριστερά. γίνεται δὲ ἐκ τοῦ ὀπίζω τὸ ἀκολουθῶ καὶ κατόπιν διώκω· τὸ δὲ ὀπίζω ἐκ τοῦ ὄπις ἡ ἐπιστροφή, ὡς τὸ „θεῶν ὄπιν ἐκ ἀλέγοντες" (Il. 16, 388). BL.

446. ὅθι οἱ νηός γ' ἐτέτυκτο: καὶ Ἀθηνᾶς δὲ ἦν αὐτόθι ναός· „νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ οἴξασαι" (Il. 6, 88). BL.

448. ἀδύτῳ: ναῷ· ἄδυτα γὰρ καλοῦνται οἱ τόποι τῶν ἱερῶν εἰς οὓς οὐκ ἔξεισιν εἰσιέναι πᾶσιν. D.

ἀκέοντο: θεοὶ γὰρ εἰς ἀνθρώπους πράσσειν πάντα πεφύκασιν. BL.

κύδαινόν τε: λόγῳ παρεμυθοῦντο. ἀκολούθως δὲ τοῖς ἰατρικοῖς παραγγέλμασι τοὺς τραυματίας λόγῳ θεραπεύει. ἄλλως τε καὶ Ἀφροδίτης ἦν υἱὸς καὶ τῶν Τρώων ἄριστος μετ' Ἕκτορα. BL.

449. αὐτὰρ ὁ εἴδωλον ποιεῖ: ἀργυρότοξος Ἀπόλλων: εἴδωλον μὲν ἀκέει πᾶν τὸ δημιούργημα τοῦ κόσμου, ὅπερ τύπος ὢν τοῦ ὄντως ὄντος ὑπὸ πάντων μὲν τῶν ἐγκοσμίων θεῶν κοσμεῖται, προηγουμένως δὲ ὑπὸ ἡλίου, ὃς ἐστιν ἡγεμὼν παντὸς γενητοῦ τε καὶ ὁρατοῦ. ἐστὲν δὲ ἥττων ἐστὶ τὸ Αἰνείου εἴδωλον υἱοῦ Ἀφροδίτης καὶ Τρωός, ὃ ἐστὶ τὸ ἐγχώριον κάλλος. πᾶν γὰρ ἐξ Ἀφροδίτης κάλλος ἐστί, περὶ ὃ αἱ ὑλικώτεραι τῶν ψυχῶν ἐκ ἀπαλλάσσονται προσριβόμεναι. εἴδωλον δὲ ποιεῖ, ἵνα φιλοτιμοτέρως μάχωνται Τρῶες, τὸ πτῶμα σῶσαι θέλοντες *). BL.

*) Apponit B, quae apud Suidam leguntur v. εἴδωλον.

451. ἀμφὶ δ' ἄρ' εἰδώλῳ: καὶ πῶς Διομήδης ἐμηνύει τοῖς Ἀχαιοῖς ὅτι εἴδωλον ἦν, τὴν ἀχλὺν ἀφῃρημένος „ὄφρ' εὖ γινώσκοι θεὸν ἠδὲ καὶ ἄνδρα;" ῥητέον δὲ ὅτι τὸ εἴδωλον ἀμφοτέρων τούτων ἐξέρηται. BL.

453. τὸ λαισήϊα εἰ καὶ ἄλλοι ἄλλως ἀποδέδωκαν, ἀλλ' ἐγώ φημι σάκη λέγειν κεφα ἦγεν ἐλαφρά (τοῦτο γὰρ δηλοῖ τὸ πτερόεντα), λαισήϊα δὲ εἰρῆσθαι τὰ ἐν τῇ λαιᾷ βαστζόμενα μικρὰ ἀσπιδίσκια, ὥς ποτε ἔφη „ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν, ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον" (Il. 16, 106). πτερόεντα δὲ ἐλαφρά κοῦφα κατὰ τὰ πτερά· „τῷ δ' εὐτε πτερὰ γίνετο" (Il. 19, 386). B.

ἄλλως. λαισήϊα οἱ μὲν τὰς ἐπιμήκεις θυρεάς, οἱ δὲ ἐκ τριχωδῶν δερμάτων γεγονότα· οἱ δὲ παρὰ τὸ λάσια αὐτὰ εἶναι. BLV.

454. Ἄρηα: φυλάσσεται μὲν αὐτὸς τὴν πρὸς Ἀθηνᾶν ἔχθραν, πείθει δὲ τὸν ἀλλοπρόσαλλον. LV.

456. ἐρύσαιο: λείπει ἡ ἐξ. LV.

458. Κυπρίδα: τὴν ἐρωμένην σοι. LV.

461. Τρωὰς: ἀντὶ τῷ Τρωϊκάς· καὶ δεῖ ὑποσίζειν εἰς τὸ στίχας. εἰ δὲ γράφει Τρῶας, ἢ εἰς τὸ σίχας ὑποσικτέον, ἵν' ᾖ Τρῶας ἀντὶ τῷ Τρώων, ὡς „ἐρινεὸν τάμε νέας ὄρπηκας" (Il. 21, 38)· ἢ εἰς τὸ δέ ὑποσικτέον, ἵν' ᾖ τὸ ἑξῆς Τρῶας ὦτρυνε, τὰς σίχας μετελθών. BLV.

Τρωΐας δὲ στίχας: ἐν τῇ Σινωπικῇ καὶ Κυπρίᾳ καὶ Ἀντιμάχῳ Τρωΐας εἶχε σὺν τῷ ῑ, ὡς ἵππους δὲ Τρωΐους. ἡ μέντοι κοινή, ᾗ συντίθεται καὶ ὁ Ἀσκαλωνίτης, Τρῶας ὡς Κᾶρας, καὶ τὸ ἑξῆς οὕτως, Τρῶας δὲ Ἄρης ὦτρυνε, σίχας μετελθών, ἀντὶ τοῦ περιβὰς τὰς τάξεις. ἢ οὕτως, τοὺς Τρῶας μετελθὼν ὁ Ἄρης τὰς σίχας ὦτρυνε. LV.

463. νίάσι: ὤφειλε μὲν ἀπὸ τοῦ νιεύς νιέως εἶναι νιεῦσιν ἢ νιέσιν, ἐξηκολούθησε δὲ ὅμως τῇ συγγενείᾳ τοῦ πατράσι καὶ θυγατράσιν. L.

465. ἐς τί: τὸ ἐς ἀντὶ τοῦ ἕως, τὸ δὲ τί ἀντὶ τοῦ τίνος, ἵν' ᾖ ἕως τίνος· διὸ καὶ εἰς τὸ τί ἡ ὀξεῖα· καὶ ἔστι πρόθεσις ἀντὶ ἐπιρρήματος. BL.

Ἀχαιοῖς: ἐν Ἀχαιοῖς ἢ ὑπὸ τῶν Ἀχαιῶν. L.

466. ἦ εἰσόκεν ἀμφὶ πύλῃς: ὅμοιόν ἐστι τῷ „ἦ μένετε Τρῶας" (Il. 4, 247). B.

ποιητοῖσι δὲ Ἀρίσταρχος, Ζηνόδοτος δὲ ποιητῇσι. LV.

467. κεῖται ἀνὴρ: ἐκ ἀγνοῶν τὰ περὶ αὐτοῦ τοῦτο λέγει, ἀλλὰ παρορμῶν. εὖ δὲ τὸ μὴ Ἀφροδίτης νῦν φάναι ἀλλ' Ἀγχίσου, ἵνα δειχθῇ ὅτι συγγενής ἐστιν αὐτῶν ὁ ἀνηρημένος. B.

472. μένος οἴχεται: ἀνεδύετο γὰρ τὴν μάχην, οὐ διὰ δειλίαν, ἀλλὰ τὴν τῶν ὅρκων σύγχυσιν, ὃς αὐτὸς ἐπεπρυτάνευκει. BL.

473. φῆς: ὑπέλαβες· ὁ γὰρ Ἕκτωρ ἐφθέγξατό τι τοιοῦτον εἰς τοὺς συμμάχους. λαῶν δὲ λέγει τῶν τῆς πόλεως. BL.

474. γαμβροῖσι: γαμβρὸς καλεῖται ὁ γήμας ὑπὸ τῶν οἰκείων τῆς γαμηθείσης. D.

475. *τῶν νῦν ἔ τιν'*: εἰς τὸν *Πάριν*, ὃς ἥρπασαι. LV.

οὐδὲ νοῆσαι: ἐκ τῆ ἰδεῖν τὸ νοῆσαι διέρησεν οὐχ ἁπλῶς, ἀλλὰ διότι ἔρι νοῆσαί ποτε ᾗ δίχα τῆ ἰδεῖν, ὁποῖόν τι καὶ τὸ ἐξ ἀκοῆς μαθεῖν, L.

476. *περιττὴ ἡ ἀμφί*. LV.

477. *ἔνειμεν*; ἔτως αἱ *Ἀριςάρχε*. τὸ ἁπλῶν ἐςὶν εἰμέναι δὲ ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. BLV.

479. *τηλῆ γὰρ Λυκίη*: ὅμοια τοῖς Ἀχιλλέως „ἐπεὶ μάλα πολλὰ μεταξὺ ἔρεά τε σκιόεντα" (Il. 1, 156). BL.

Ξάνθῳ ἔπι: πρὸς ἀντιδιαςολὴν τῆς μικρᾶς *Λυκίας*. L.

δλον τὸν ςίχον συναπτέον. V.

480. *ἔνθ' ἄλοχόν τε*: ὅτι τῶν φιλτάτων πρόκρινα τὴν σὴν φιλίαν, ἐχ ὡς ἀζυγείτονα δεδιώς, ἀλλ' ἐδὲ πόθῳ χρημάτων ἀλούς. BL.

481. *κτήματα πολλά*: ἔχων, φησί, τὰ πρὸς ζωήν, ὥςε μὴ μάτην ὑπὲρ ἀλλοτρίων κινδυνεύειν. BL.

482. *ἀλλὰ καὶ ὡς*: ἀντιπαραβαλὼν ἑκατέρας τὰς λαβόντας, ὄψει πόσον πρὸς αἰχύνην ὁρῶσιν οἱ λόγοι. BLV.

483. 484. *τοῖον – οἷον*: σχῆμά ἐςι κάλλες τὸ λεγόμενον ἐπαναςροφή, ὡς τὸ *Σαμία* μία ναῦς ᾗ „*Πρόθοος* θοὸς ἡγεμόνευεν" (Il. 2, 758). L.

485. *τύνη δ' ἔςηκας*: ἀπὸ τῆ σύ (τύ L) ἐν παραγωγῇ τύνη, ὡς ἐγώνη ᾗ ἐμίνη. LV. πῶς δὲ ἂν αὐτὸς ἀμελῶν τὰς ἄλλες πείσειε προκινδυνεύειν αὐτῆ; BLV.

486. *ὤρεσσι*: ταῖς ὑμῶν. ὅμοιον δέ ἐςι τῷ „ἄλοχοι δ' ἄλλοισι μιγεῖεν" (Il. 3, 301). αὔξει δὲ τὸν γάμον. ὤρεσσι δὲ ἀπὸ τῆ διαρίζειν κατὰ συγκοπήν· καὶ „ἄρων ἕνεκα σφετεράων" (Il. 9, 327). BL. ἢ παρὰ τὸ συνεζεῦχθαι τοῖς ἀνδράσιν. ἔνθεν ᾗ συνωρὶς τὸ συνεζευγμένον τῶν ἵππων ὄχημα. DL. ἔρι δὲ ἄαρ, ᾗ συναλοιφῇ ὤρ. L.

ἔρι ῥῆμα ἀείρω τὸ ὁμῦ εἴρω, ὅθεν ὄνομα ἄορ. διὰ δὲ τὴν πρὸς τὸ ξίφος σύμπτωσιν μετατεθὲν τὸ ἄορ γέγονεν ἄαρ, ἐξ ἧ διαρισύς ἡ ὁμιλία ᾗ διαρισὴς ὁ ὁμιλητής. συναιρεθὲν ἓν τὸ ἄαρ γέγονεν ὦρ. ἡ εὐθεῖα τῶν πληθυντικῶν ὦρες. ἡ δοτικὴ τῶν πληθυντικῶν ὥρεσσιν ὡς κύνεσσιν. L.

ἁψῖσι: τοῖς ὄμμασι ᾗ ταῖς συναφαῖς τῆ λίνε, περιφραςικῶς δὲ τὸ δίκην δικτύε. D. ψιλωτέον τὸ ἁψῖσι εἰς ἰδιότητα. ὅτε δὲ βαρύνεται, συμμεταβάλλει ᾗ τὸ πνεῦμα ᾗ ὁ χρόνος. BLV.

ἁψῖδες δικτύου αἱ καμπαί· φασὶ δὲ τὰ χόλια δέον εἶναι βαρύνεσθαι τὸ ἁψίς, τὸ μὲν ὡς *Αἰολικόν*, ὡς ᾗ *Ἡσίοδός* φησιν ἄψιν (O. 424), τὸ δὲ ἐκ τῆς ἀναλογίας τῆ μέλλοντος· ὡς γὰρ μέμφω μέμψω μέμψις ᾗ ὄπτω ὄψω ὄψις, ἔτω ᾗ ἅπτω ἅψω ἅψις. λέγεσι δὲ ὅτι ψιλῆται τὸ ᾶ παραλόγως ἐνταῦθα. σπάνιον δὲ τὸ ἰχθυοφαγεῖν τοῖς ἥρωσι τρεφομένοις ὀπτοῖς κρέασιν, ἐξ ἧ ᾗ τὸ ὀπτανεῖον παρῆκε. L.

λίνου: ἐξ οὗ ᾗ ἐξελίνησε, διεξέφυγε τὰ λίνα. φυλάττεται δὲ ἡ ῥητορικὴ αὕτη λέξις ἔτι νῦν παρὰ τοῖς πολλοῖς. L.

ἀλόντε: ὑμεῖς ᾗ αἱ γυναῖκες. ἀλλοτριοῖ δὲ τῶν κινδύνων ἑαυτόν, ὡς περὶ τῶν ἐκείνοις συμφερόντων λέγων. ἡ δὲ τῆ λίνε ὁμοίωσις οἰκεία, πολλῶν ᾗ διαφόρων ἀνθρώπων ὡς ἰχθύων περιληφθέντων. B.

490. *σοὶ δὲ χρὴ*: ὑνειδιςικῶς· ὧν ἐχρῆν ᾗ τὰς ἄλλας ὑτρύνειν, ὑπὸ τῶν συμμάχων προτρέπεται. BL.

492. *ἔχέμεν*: ἐπιμελεῖσθαι, ᾗ βαςάζειν ᾗ ὑπομένειν τὸν πόλεμον ᾗ μὴ ὑποχωρεῖν ᾗ φεύγειν. B.

ἀντὶ τῆ φυλάσσειν· „ἔχε δ' ἀλόχους" (Il. 24, 730). LV.

ἀποθέσθαι ἐνιπήν: τοιᾶτος γ' *Ἕκτωρ*· „ἐ γ' ἐγὼ πληθὺν διζήμενος ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἦγειρα ἕκαςον" (Il. 17, 221). ἀπὸ κοινῆ δὲ τὸ χρή. BL.

493. *δάκε*: ἠνίασε· ᾗ „θυμοδακὴς γ' μῦθος" (Od. 8, 185). BL.

494. *αὐτίκα δ' ἐξ ὀχέων*: ἔδει γ' ἔργοις ἀλλ' οὐ λόγοις ἀπολογεῖσθαι. BL. ὡς τὸ τάριχος δέ, οὕτως καὶ τὸ ὄχος. V.

495. *καὶ εἰς τὸ δῆρα δύνα*ι ᾗ εἰς τὸ στρατόν εἶναι ςεγμή· εὐκρινὲς γ' κατ' ἄμφω τὸ νόημα. BL.

499. *ἱεράς*: διὰ τὸ θρεπτικόν, ὡς πόα ἱερά. L.

ἀλῳάς: ὡς ἀγαθάς· ἀπὸ γ' τοῦ ἀλῳή, ὃ σὺν τῷ ῡ γράφεται· παρὰ γ' τὸ ἀλοιῶ ἐςίν. BV.

500. *Δημήτηρ*: ἐνταῦθα ἀντὶ τῆ ἡ περὶ τὴν γῆν πεῖρα τετέχι περὶ τὴν γεωργικήν. BL.

ξανθὴν λέγει τὴν *Δήμητραν* ἀλληγορικῶς διὰ τὸ πυρρὸν τῆ σίτου. L.

Πτολεμαῖος τὰς δωδεκασυλλάβους ςίχες ἐκτιθεὶς φησὶ ᾗ τῆτον ἕτω γράφεσθαι „εὖτ' ἂν ξανθὴ *Δημήτηρ*." LV.

501. *ἐπειγόμενον*: ἐμψυχοῖ τὰς ἀνέμους. L.

502. *ὑπολευκαίνονται ἀχυρμιαί*: καλῶς ἡ ὑπὸ γ' ἀθρόα ἡ τῶν ἀχύρων ἐπὶ τὴν ἅλω φορά, κατ' ὀλίγον δὲ ἑτεροιεῖ τὸ χρῶμα τῆ ὑποδεχομένε αὐτὰ χωρίε· ὁμοία δὲ ᾗ τοῖς μαχομένοις κατ' ὀλίγον προσεκάθιζεν ὁ κονιορτός. κατ' ὀξεῖαν δὲ τὸ ἀχυρμιαί, Ἰωνικώτερον ὄν, ὡς ἀγυιαί θαμειαί ταρφειαί. εἰσὶ δὲ οἱ τόποι ἔνθα ἐκτινάσσεῖ τὰ ἄχυρα. BL. ἀχυροθῆκαι, οἱ τόποι εἰς ὃς χωριζόμενα τῆ σίτε τὰ ἄχυρα ἐκπίπτει. D.

504. *πολύχαλκον*: χερεύν. ἢ τὸν ἔχοντα *Ἡφαιςότευκτα* δώματα. L.

ἐπέπληγον: πλήττοντες ἐκίνεν. ἐκ τῆ πέπληγα μέλ παρακειμένε ἔθει *Συρακοσίοις* τὸ πεπλήγω, ὡς πεφύκω παρὰ *Ἡσιόδῳ* (O. 148). L.

505. *ἂψ ἐπιμισγομένων*: ἐκ δευτέρου τῶν Τρώων προσμιγνύντων τοῖς *Ἀχαιοῖς*. ᾗ οἱ μὲν ἡνίοχοι ἐπισρέφοντες τὰς ἵππες, οἱ δὲ ἐπιβάται τὸ μένος φέρεσιν. BL. ὁ δὲ ἀντὶ τῆ γάρ. LV.

ἡνιοχῆες: ὡς *Αἰθίοψ Αἰθιοπεύς*, ἡγεμών ἡγεμονεύε ἔτως ἡνίοχος ἡνιοχεύς. ἰςέον ὅτι κατὰ τὸν *Αἴλιον Διονύσιον* τάγμα *Ἀθήνησιν* ἀξιόλογον. L.

506. *ἀμφὶ δὲ νύκτα*: ὁ *Ἄρης* σκοτοῖ αὐτούς, ὡς ᾗ θέλοιεν, μὴ δύναιντο φυγεῖν, ὡς τὸ „πίνα πρόαθε β

θεὰν ἐρυκέμεν" (Il. 21, 6). ἢ ἑαυτὸν ἐσκέπασεν, ὅπως μὴ ὁρῷτο κακῶν τοὺς Ἕλληνας. ἢ ἵνα οἱ μὲν λευκανθέντες ὁρῷντο, οἱ δὲ σκέποιντο. σεμνὴ δὲ εἰς τὸ μάχῃ. BL.

507. τινὲς ἀντὶ τοῦ μάχῃ Τρώων· οἱ δὲ εἰς τὸ μάχῃ σίζεσι. V.

ὅρα πῶς ὁ ποιητὴς ἐκ τῶ αὐτῶ πράγματος ἐναντίας εἰκόνας ἔλαβε, τοὺς μὲν Ἀχαιοὺς λευκάνας, εἰς δὲ τὸν ἀέρα νύκτα ποιήσας τῷ κονισσάλῳ. τὸ γ' ἐπιπῖπτον τοῖς Ἕλλησι λευκαίνει αὐτές, τὸ δὲ εἰς ὀρανὸν ἐγειρόμενον ἀμαυροῖ τὸν ἥλιον ὁποῖά τι νέφος. L.

509. χρυσαόρου: τενὲς τιμίως λαλοῦντος, διὰ τὴν λύραν. LV. χρυσοφρασγάνε, χρυσῶν ξίφος ἔχοντος. οἱ δὲ νεώτεροι ὡς χρυσῆν κιθάραν ἔχοντος ἀποδιδόασι τὴν λέξιν. D.

χρυσάορον αὐτὸν ὠνόμασεν ἐχ ὡς ὑπεζωσμένον χρυσῶν ξίφος (ἀνοίκειον γ' Ἀπόλλωνι τὸ ὅπλον· τοξότης γ' ὁ θεός)· ἀλλ' ἐπειδήπερ ἐξ ἀνατολῆς χρυσῷ μάλιστα τὸ φέγγος ὁραθὲν ἔοικεν, εὑρέθη πρέπον ἡλίῳ διὰ τὰς ἀκτῖνας τὸ χρυσάορ. ὅθεν, οἶμαι, κἀν τῇ θεομαχίᾳ Ποσειδῶνι ἴσα διαμιλλώμενος· ἀεὶ γ' ἄσπονδος ἔχθρα πυρὶ ϗ ὕδατι, τῶν δύο στοιχείων ἐναντίαν πρὸς ἄλληλα φύσιν ἀποκεκληρωμένων. διὰ τοῦθ' ὁ Ποσειδῶν, ὑγρά τις ὕλη ϗ παρὰ τὴν πόντιον ἕτως ὠνομασμένος, ἐξ ἀντιπάλε μάχεθ ταῖς διαπύροις ἀκτῖσι τῆ ἡλίε· πρὸς γ' Ἀπόλλω ποίαν ἔχει πρόφασιν ἐξαίρετον ἀπεχθείας; BL.

511. οἰχομένην: παρελθοῦσαν. ἢ τῆς Ἀθηνᾶς ἀπέλευσις ἤτοι τῆς φρονήσεως Ἄρεος ἐνδημία γίνεθ. L.

πιθανὸν τοῦτο, ἵνα μὴ προλάβῃ ἡ θεομαχία. L.

ἀρηγών: Ἀρίσαρχος ὀξυτόνως. ϗ δῆλον ἐκ τῆς πλαγίε „δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες" (Il. 4, 7). V.

512. πίονος: τῶ κεκνισσωμένε ϗ λελιπασμένε. BL.

515. ἀρτεμέα: πρὸς τὸ ἄρτιον. LV.

516. μετάλλησάν γε μὲν οὖτι: πιθανῶς τὸ ψυχρὸν τῆς δισσολογίας περιεῖλε, τὴν διάθεσιν αὐτῶν τὴν ἄδικον ἤδη ἐμφήνας. BL.

520. οἱ δὲ καὶ αὐτοί: ἱκανὸν ϗ τοῦτο πρὸς αὔξησιν. ἄλλως τε ϗ τὴν παρὰ τῶν ἀκουόντων εὔνοιαν κτῶνθ ἔρημοι θεῶν ὄντες Ἕλληνες· δικαίως ἔν ἀνθίζαται ἡ Ἀθηνᾶ τῷ Ἄρει. BL.

522. νεφέλῃσιν ἐοικότες: διὰ τί μὴ πύργοις ἢ ὄρεσιν; ὅτι ὕστερον κινηθήσονται. BL.

523. νηνεμίης: ποικίλως ἄνω μὲν ἀπὸ ταραχῆς ἀνέμε ἔλαβε τὴν εἰκόνα, ἐνταῦθα δὲ ἀπὸ νηνεμίας. BL.

ἀκροπόλοισιν: παροξύνεθ κατὰ κανόνα τοιοῦτον. τὰ παρὰ τὸ πολῶ εἰ μὲν προθέσει σύγκεινθ προηγεμένῃ, προπαροξύνονθ, οἷον ἀμφίπολος πρόσπολος, εἰ δὲ ὀνόματι σύγκεινθ, παροξύνονθ, οἷον ὀνειροπόλος μαντιπόλος ἀκροπόλος οἰωνοπόλος. L.

524. ὄφρ': τὸ ἐν ὅσῳ ἐνταῦθα δηλοῖ. τὸ δὲ εὔδησιν ὡς παμφαίνησι (6) τὸ εὔδει. τὸ δὲ ἀτρέμας ϗ τοῖς ἄνω δύναθ ϗ τοῖς κάτω συνάπτεσθαι. BLV.

526. ἑέντες: ὡς τιθέντες· ἀπὸ γ' τοῦ ἵημι. τὸ δὲ παρ' Ἡσιόδῳ (Th. 875) „ἄλλοτε δὲ ἄλλοι ἄεισιν" Αἰολικόν. V.

528. πολλὰ κελεύων: ἄνω παραλιπὼν αὐτόν, ἰάσατο διὰ τῶ πολλά τὸ ἐλλεῖπον. BL.

529. ἀνέρες ἔστε: ἐκ εἶπεν ἀνδρεῖοι, ἀλλὰ μὴ προδῶτε, φησί, τὴν φύσιν. BL.

530. ἀλλήλους τ' αἰδεῖσθε: εἰκότως· κατὰ φῦλα γάρ εἰσι. δογματίζει δὲ ὅτι χρήσιμον αἰδὼς οὐ μόνον ἐν εἰρήνῃ ἀλλὰ ϗ ἐν πολέμῳ. μετρίως δὲ οὐ λέγει αἰχύνθητε ἐμέ, ἀλλ' ἀλλήλες. τελεία δὲ εἰς τὸ ὑσμίνας. BLV.

531. αἰδομένων δ' ἀνδρῶν: ἐ γ' τὸ περὶ αὐτῶ μόνον σκοπεῖ, ἀλλ' αὐτός τε χωρίζεται συμμαχίας ϗ τοὺς ἄλλους χωρίζει. BL.

σημείωσαι ἐν δυσὶ στίχοις πῶς εἶπε ϗ αἰδῶ περισπωμένως ϗ αἴδω βαρυτόνως, ὡς ὁμιχῶ ὁμίχω, ὡς τὸ „ὤμιξεν αἷμα ϗ χολὴν ἐτίλησεν." L.

533. ἦ: ὅτι μὲν ταὐτὸν σημαίνει τῷ ἔφη δισυλλάβῳ ϗ τῷ φῆ διγραμμάτῳ ῥήματι παρ' Ὁμήρῳ, δῆλον· ϗ δοκεῖ γεγενῆσθ τὸ ἦ ἀπὸ τῶ φῆ κατὰ ἀφαίρεσιν τῶ φ. ζητοῦσι δέ τις ἢ διαφορὰ τῶ ἦ πρὸς τὸ φῆ. διαφέρειν δὲ φαίνεθ, ὅτι τὸ μὲν ἦ ἐπὶ προειρημένοις λόγοις ἐπιλέγεται, οἷον ἐν τούτοις „ἦ ϗ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων" (Il. 1, 528) „ἦ ϗ ἐπ' ἀργυρέῃ κώπῃ χέθε χεῖρα βαρεῖαν" (ib. 219)· προεἰπόντος γ' τῶ Διὸς ϗ τῶ Ἀχιλλέως ταῦτα ὁ ποιητὴς λέγει. ϗ δι' ἀμφοτέρων ὅλων τῶν ποιήσεων ἕτως αὐτὸ μόνον ὑποτάττεθ τὸ ἦ. τὸ δὲ φῆ καὶ τὸ ἔφη ϗ προτάσσεται τῷ ῥηθησομένῳ λόγῳ, ϗ τούτῳ ὑποτάσσεθ. ϗ μία μὲν αὕτη διαφορὰ τοῦ φῆ ϗ ἔφη πρὸς τὸ ἦ, δευτέρα δὲ αὕτη· τὸ μὲν γ' ἦ καθ' ἕνα χηματισμὸν ἐκφέρεθ, ϗ σημαίνει ῥῆμα τὸ ἦ, εἶπεν, ὁριστικόν, ἐνικόν, ἀορίστε χρόνε δηλωτικόν, ὑπάρχον τρίτε προσώπε· τὸ δὲ φῆ κλίνεθ εἰς ἅπαντας χρόνους ϗ εἰς ἅπαντας ἀριθμοὺς ϗ πρόσωπα ϗ γένη λαμβάνεθ, ϗ τρέπεται καθάπερ τῶν ἄλλων ῥημάτων τὰ παραπλήσια. παρὰ δὲ τοῖς Ἀττικοῖς ἐστὶ μονοσύλλαβον ῥῆμα καὶ μονογράμματον ἦ, σημαίνει δὲ δύο, τὸ μέν τι ταὐτὸ τῷ παρ' Ὁμήρῳ. χρῶνθ γ' αὐτῷ παραπλησίως ἀντὶ τῶ ἔφη, κατὰ τῆ τρίτε προσώπε, ὃ ποιεῖ ἦν, ὅπερ ἐπιπολάζει νῦν. τῶν δὲ Ἀττικῶν οἱ μὲν ἀρχαῖοι μονογράμματον αὐτὸ προφέρονθ, οἱ δὲ νεώτεροι σὺν τῷ ν, καθάπερ τῶν πρεσβυτέρων τινές. χρῆθ δὲ τούτῳ ὁ ποιητὴς ποτὲ μὲν εἰς δύο συλλαβὰς διαιρῶν αὐτὸ ϗ δύο γράμματα βραχέα, οἷον ἐπὶ τοῦ Νέστορος „εἴ ποτε νῦν αὖτέ με γῆρας ἱκάνει" (Il. 4, 321) ϗ „τοῖος ἔα ἐν πολέμῳ, ἔργον δέ μοι ἐ φίλον ἦεν" (Od. 14, 222)· τούτων τὸ πρότερον ἐκτεινόν γράμμα εἰς τὸ συγγενὲς τὸ ἦ, οἷον „ἀλλ' ὅτε δὴ κεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης" (Od. 10, 156). ἐν γ' τούτοις ταὐτόν τι λέγει τῷ ἦμην. τὸ δὲ μονοσύλλαβον οὐχ εὑρίσκομεν παρ' αὐτῷ κατὰ τῆς δυνάμεως ταύτης, ἀλλὰ κατὰ τὴν ἑτέραν μόνον. τῶν δὲ Ἀττικῶν ἐστὶ παρὰ Κράτητι ἐν Πυτίνῃ „γυνὴ δ' ἐκείνου πρότερον ἦν, νῦν δ' ἐκέτι," ϗ παρὰ τῷ Σοφοκλεῖ ἐν τῇ Νιόβῃ „ἦ γ' φίλη ἐγὼ τῶνδε τῆ προφερτέρᾳ," καὶ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ „ἦν δῆλος ἐκ ὠνητὸς ἀλλ' οἰκοτραφής," ϗ παρὰ

Πλάτωνι τῷ φιλοσόφῳ „οὐ γὰρ ἐγὼ ἐν δυνάμει ἦν τοῦ ῥᾳδίως." B.

533. καὶ ἀκόντισε: καλῶς τοῖς ἑαυτῆ κελεύσμασιν ὑπακέει πρῶτος, τύπον ἑαυτὸν τοῖς ἄλλοις παρεχόμενος. BLV.

535. ὁμῶς: προκατάρχει τῆ ὁμῶς τὸ ὁμός καὶ ὁμή καὶ ὁμόν· διὸ περισπᾶ ὡς καλῶς. V.

538. ἔρυτο: ἀντὶ τῆ ἐφύλαξεν. V.

539. νειαίρῃ δ' ἐν γαστρί: τῷ παχεῖ ἐντέρῳ, ἢ τῇ κύστει. BL.

541. ἕλεν ἄνδρας ἀρίστους: δικαίως, ἐπεὶ καὶ ἀριστεύς, καὶ παρώξυνε διὰ τὸν ἑταῖρον, καὶ προθυμίαν ἔχει παρὰ τῆ Ἀπόλλωνος. BLV.

542. υἷε Διοκλῆος: ἑλληνικὸν καὶ φιλάδελφον τὸ συναποθνήσκειν τὰς ἀδελφάς, ἀλλ' ἐχ οἷον τὸ Ἰδαίου ἦθος τῆ ἀδελφῆ τῆ Φηγέως (11). BLV.

Ὀρσίλοχον: ὁ πρόγονος διὰ τῆ τ, ὁ παῖς διὰ τῆ σ. καὶ ἐν Ὀδυσσείᾳ ἐν (3, 489. 21, 16) διὰ τῆ τ. LV.

543. τῶν ῥα πατήρ: προσυνίζησιν αὐτούς, τὴν περὶ αὐτῶν μάχην αὔξων. ἐ μέμνηνται δὲ αὐτῶν ἐν τῷ καταλόγῳ, ἐπεὶ Μεσσήνιοί εἰσιν, οἳ καὶ ὑπὸ Μενελάῳ ἐτέλεσν δῶρα· „τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας" (Od. 21, 13) „τῷ δ' ἐν Μεσσήνῃ ξυμβλήτην οἴκῳ ἐν Ὀρτιλόχου" (ib. 15). διὰ τᾶτο καὶ πεσόντας αὐτὰς ἄλλος ἀδεὶς ἢ Μενέλαος ἐλεεῖ. BL.

Φηρῇ: Μεσσήνης. καὶ Φηρὰς αὐτὴν καλεῖ (Od. 3, 488). Φεραὶ Θεσσαλίας. LV.

548. διδυμάονες διδύμων διαφέρουσιν, καθότι οὗτοι μὲν ἀδελφὰς δηλῶσιν, οἱ δὲ δίδυμοι ἐκ ἐξ ἀνάγκης· λέγονται γὰρ καὶ δίδυμοι ἀνεψιοὶ καὶ δίδυμα τὰ αἰδοῖα. κλίνεται ὡς Μαχάονος· ὤφειλε γὰρ ἄλλως, ὡς παρώνυμον, φυλάσσειν τὸ ω. L.

550. ἤβησαντε: ηὔξησε τὸ πάθος, καὶ ὅτι ἡβῶντες καὶ ὅτι δίδυμοι ἦσαν δηλώσας, καὶ εἰς οἶκτον κινεῖ τὸν ἀκροατήν. B.

554. οἵω τώ γε λέοντε: λέοντε μὲν διὰ τὸ εὐγενὲς ἄνωθεν καὶ εἰς ἀλκὴν προκόπτον, ἀτελεῖς δὲ διὰ τὸ μήπω θαῤῥεῖν τῇ δυνάμει. ἡ δὲ λέαινα δύο τίκτει, δύο μαζοὺς ἔχουσα, οἳ τὴν μήτραν ἀμύξαντες τῇ λοιπῇ ποιῆσι τὴν μητέρα ςείραν. ἡ δὲ πάρδαλις τέσσαρα τίκτει. BLV.

555. τάρφεσι: ὡς βέλεσιν, ἀπὸ τῆ τάρφος. ὅτε δὲ ἀπὸ τῆ ταρφής, ὡς ὀξέσι. V.

556. ἁρπάζοντε: ἁρπάζειν λέγει ἐπὶ τῶν κωλυομένων λαβεῖν· διὰ μιᾶς ἓν λέξεως ἐδήλωσε καὶ τῶν παχόντων τὴν ἄμυναν καὶ τῶν ἁρπαζόντων τὴν βίαν. BL.

ἴφια: ἰσχυρά. ἓ ἡ εὐθεῖα τὸ ἶφι, τῆ ἴφιος, τὰ ἴφια. L.

557. σταθμούς: ὀξύνεται κανόνι τοιούτῳ. τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τῆ μ τὸ θ, ὀξύνει, πορθμός ἰωθμός σαθμός. L.

557. 558. σταθμὲς ἀνθρώπων — ἀνδρῶν ἐν παλάμῃσι: πιθανῶς ἐπὶ μὲν τῶν βλαπτομένων τὸ τῶν ἀνθρώπων ἔθηκεν ὄνομα, ἐπὶ δὲ τῶν κτεινόντων τὰ θηρία τὸ τῶν ἀνδρῶν. BL.

560. περιπαθῶς τὸ ἐλάτῃσιν ὑψηλῇσι διά τε τὸ κάλλος καὶ τὴν ἥβην. B.

δυϊκῶς τὸ ἑοικότε Ἀρίσαρχος. V.

561. ἐλέησεν: ὡς Λάκων, καὶ Ἀντίλοχος ὡς τῆς Τριφυλίας ὤν. ἡμερήσιός τε ἡ ἀπουσία οἴκοι Ὀρτιλόχῳ καὶ Μενελάῳ (Od. 15, 187), ὃ πόῤῥω δηλῶν ὁ ποιητὴς γυμνάζει τὸν ἀκροατήν. LV.

563. Ἄρης: ἀνθρωποπαθεῖς εἰσάγων τὰς θεάς, πλέον πάντων τὸν ἀλλοπρόσαλλον Ἄρεα. A.

ὅρα τὸ τῆ ποιητῆ φιλάληθες. ἐ γὰ ὡς ἀξιόμαχον ἐπάγει τῷ ἀνδρειοτάτῳ Αἰνείᾳ τὸν Μενέλαον, ἀλλὰ λέγει ὅτι Ἄρης, ἦγεν ὁ ἄκαιρος θυμός, ὥτρυνεν αὐτόν. L.

σφας: συσταλτέον διὰ τὸ μέτρον. LV.

567. ἀποσφήλειε: ἀποτυχεῖν ποιήσειεν· „αὐτίκα γάρ" φησι „μνήσονται Ἀχαιοί" (Il. 4, 172). BL.

πεσόντος τῆ Μενελάῳ ἐλύετο ἡ μάχη, ὡς καὶ ὁ Ἀγαμέμνων ἔλεγε. σφάλλειν δὲ τὸ συμποδίζειν καὶ ῥίπτειν. L.

569. ἐχέτην: ἐκράτουν. A.

570. Ἀντίλοχος δέ: ἐν τοῖς καιροῖς τοῖς τοιούτοις ὀξὺς ἀεὶ ὁ Ἀντίλοχος. τιμᾷ δὲ αὐτὸν διὰ Νέςορα τιμῶντα τὰς βασιλεῖς καὶ ὑπ' αὐτῶν τιμώμενον. καὶ ὁ μὲν Ἀλέξανδρος ὡς ἠδικηκὼς τοῖς Τρωσὶν „ἴσον ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 454), ὁ δὲ Μενέλαος εὐνοεῖται ὑπὸ τῶν Ἑλλήνων ὡς ἠδικημένος. B.

572. ὡς εἶδεν δύο φῶτε: δείκνυσιν ὅσον αἰδὼς καὶ φιλαλληλία, ἣν ἔχειν συνεβάλευσεν Ἀγαμέμνων. BL.

574. καλῶς τὸ δειλώ· προεῖπε γὰ τὸ ἐμπαθὲς τῆς ἡλικίας, τῆς ὁμογειτονίας, τῷ θανάτῳ, τῆς περὶ τὲς φίλους σπουδῆς· μηδέπω γὰ καλῶντος τῷ καιρῷ ἦκον ἐπίκουροι. BL.

576. Πυλαιμένεα ἑλέτην: μάχεται τῷ ἐν τῇ παρὰ νησὶ μάχῃ ζῶντι καὶ ἑπομένῳ τῷ παιδὶ Ἁρπαλίωνι· „παρὰ δέ σφι πατὴρ κὶε δάκρυα λείβων" (Il. 13, 658). ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· καὶ γὰ ὁ Πυλαιμένης ὁμώνυμος εἶναι δύναται καὶ τὸ „μετὰ δέ σφι πατὴρ κὶε δάκρυα λείβων" μετωνυμικῶς ἐκδέχεται ἡ τῆ πατρὸς μνήμη· καὶ τὸ „ἔνθα Πυλαιμένεο ἑλέτην" οὐ πάντως ἀνεῖλον, ἀλλὰ κατέλαβον, ὡς ἐπὶ τοῦ „ζωὸν ἕλον· ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο" (Il. 6, 38). ἐδὲ γὰ ἀγῶνα αὐτῆ εἰρηκεν, οἷα εἴωθε λέγειν τοῖς ἀποθανοῦσι. τάχα ἓν αὐτὸ μόνον τέτρωται. A.

ἄλλως. πῶς οὖν τῷ υἱῷ ἕπεται δάκρυα λείβων ἐν τῇ ἐπὶ ταῖς νανσὶ μάχῃ· „ἔνθα" γάρ „οἱ υἱὸς ἑπᾶλτο Πυλαιμένεος βασιλῆος" (Il. 13, 643); ἔστιν ἓν ὁμωνυμία· καὶ ὁ μὲν βασιλεύς, οὗτος δὲ ἄρχων (ὁ μὲν ἀρχηγὸς ὡς Ἰασονα ύταρχος μέν, ὁ δὲ βασιλεύς V). διὸ καὶ ἡ πλείων σπουδὴ ἐκεῖσε γίνεται Παφλαγόνων καὶ Ἀλεξάνδρε. BV.

πῶς δὲ ὁ Ἁρπαλίων ἐνταῦθα ἐκ ἐπήμυνε τῷ πατρί, εἰ τέτ ἦν υἱὸς τῆ Πυλαιμένεος; Πυλαιμένεα δὲ ὡς Διομήδεα. L.

σκόπει τὴν φράσιν, ἕλετο, ἑλέτην, ἐπόρθησαν, διὰ τὸ ἡνίοχον καὶ τὲς ἵππους. ἢ συλληπτικῶς, ὡς „τώ τε Θρῄκηθεν ἄητον" (Il. 9, 5). V.

ἀτάλαντον: τὸ τάλαντον ὁ μὲν Ἀριστοτέλης ἄλλο

ἐξηγεῖ, ἢ εὑρήσεις τοῦτο ἔμπροσθεν εἰς τὸν οὕτως ἔχοντα στίχον „ὣς φάτο, Μηριόνης δὲ ποδῶ ἀτάλαντος Ἄρηϊ" (Π. 13, 295). ὁ δὲ Διόδωρος, ἐν τῷ περὶ σταθμῶν, τάλαντόν ἐστι μνῶν ξ', ἡ δὲ μνᾶ δραχμῶν ρ', ἡ δὲ δραχμὴ ὀβολῶν ς', ὁ δὲ ὀβολὸς χαλκῶν η', ὁ δὲ χαλκοῦς λεπτῶν ζ. τὸ τάλαντον δὲ τὸ νῦν λεγόμενον Ἀττικόν· παρὰ δὲ Σικελιώταις τὸ μὲν ἀρχαῖον ἦν μνῶν κδ', νῦν δὲ ιβ'. δύνασθαι δὲ εἶναι τρία ἡμιωβόλια, ὡς ἐν τοῖς περὶ Σώφρονος Ἀπολλόδωρος ἐκ τῶν Διογενιανοῦ τῆς ἐπιτομῆς Ἑλληνικῶν ὀνομάτων. BL.

581. ὁ δ' ὑπέρεφε μώνυχας ἵππους: τοῦνο διὰ μέσου. LV.

582. ἐκ δ' ἄρα χειρῶν: ἐπώδυνος ἡ πληγή· διὸ καὶ τὰς ἡνίας ἀπέβαλε καὶ φεύγειν ἐκ ἔχων εὐάλωτος γίνεται. BLV.

583. λεύκ' ἐλέφαντι: λείπει τὸ ὡς, ἵν' ᾖ λευκὰ ὡς ἐλέφας. οἱ δέ, ἐξ ἐλεφαντίνων λελευκασμένα ὄντων· ἔχουσι γοῦν αἱ ἡνίαι ἐλεφαντίνας ἀσραγάλους ἑκατέρωθεν, δι' ὧν ἕλκουσιν αὐτὰς οἱ ἡνίοχοι. BL.

584. ξίφει ἤλασε κόρσην: πῶς ἐπὶ τοῦ ἅρματος ἐφικνεῖται τὴν κεφαλὴν ξίφει πλήττειν; τάχα οὖν τὰς ἡνίας ἀναλαβεῖν θέλων ἢ ναρκήσας ὑπὸ τῆς πληγῆς κατέκυψεν. BL.

586. κύμβαχος γίνεται παρὰ τὸ κυφόν, τουτέστι τὸ περιφερὲς καὶ περιαγές, οἱονεὶ τὸ σκεπάζον τὸ βρέγμα· κύμβη γάρ ἡ κεφαλή, ἔνθεν τὸ κυβιστᾶν. BL.

κύμβαχος: τῆς κυνῆς ὁ λόφος, ἔνιοι τὸ ἐπικεφάλαιον. V.

βρεχμόν: βρεχμὸς λέγεται ἡ τοῦ αὐχένος σπονδυλώδης ἀρχή· καὶ βρέχμα δὲ τὸ τοῦ θώρακος ἀπόπτυγμα. B.

βρεχμὸς διὰ τοῦ χ τὸ ἄνω τοῦ μετώπου λέγεται. καλεῖται δὲ οὕτω διὰ τὸ δοκεῖν βεβρέχθαι καὶ ὑγρὸν εἶναι. γράφεται δὲ καὶ κοινῶς βρέγμα διὰ τοῦ γ, ὡς καὶ ῥῆγμα τὸ σχίσμα καὶ ῥωχμὸς καὶ διωγμὸς καὶ ἰωχμός. L.

587. δηθὰ μάλ' εἰσήκει: ἐκ ἀπίθανον τοῦτο· ἠνέχθη δ' μεταξὺ τῶν ἵππων καὶ τοῦ ἅρματος, καὶ ἦν ἡ μὲν κεφαλὴ λυθεῖσα, οἱ δὲ ὦμοι ἑδραῖοι ὄντες μετὰ τοῦ σώματος, οἱ δὲ πόδες τῷ ἅρματι ἐρειδόμενοι. γέγονε δὲ τοῦτο διὰ τὸ τοῦ θανάτου αἰφνίδιον· ψυχορραγῶν γοῦν ἔτι ἔπνει καὶ ἐνήλατο. ἀκριβῶς δὲ τὸ κύμβαχον διὰ τούτου ἐπεξηγήσατο. B.

διάφορος ἡ σημασία ἐπὶ τῆς ἀμάθου καὶ ψαμάθου. V.

ἅμαθος ἡ κατὰ τὸ πεδίον ἄμμος, ψάμμος δὲ ἡ κατὰ τὴν θάλασσαν κόνις. D.

593. ἔχουσα κυδοιμόν: ἢ δύναμιν ἐν αὐτῇ θορυβώδη ἔχουσα, ἢ ὡς φίλη (βέλη L) τῆς χειρὸς κατέχουσα, ἢ ὡς τὸ „τέρας μετὰ χερσὶν ἔχουσα" (Π. 11, 4). BL.

596. ῥίγησε: ἐπεὶ ἀπείρητο αὐτῷ μὴ συνάπτειν τινὶ τῶν ἄλλων θεῶν πόλεμον. BL.

597. ἀπάλαμνος: ἄπειρος, ἐπεὶ καὶ Διομήδης ἄπειρος ἦς πρὸς Ἄρεα μάχης. ἦγουν τῷ νήχεσθαι ἄπειρος. BL.

598. σῆμ': αἰφνιδίως ἐπισὰς τῷ ποταμῷ πλημμυρήσαντι καὶ ὑπὸ τῆς θαλάσσης ἀνακρουομένῳ. VI.

599. μορμύροντα: ὀνοματοποιία ὁ τρόπος, ἀπὸ τοῦ ψόφου τοῦ ἐν τοῖς ὕδασι γινομένου. DV.

604. κεῖνος: ὥσπερ τὸ αὐτὸς κατ' ἐξοχήν, ἔτω καὶ τὸ ἐκεῖνος. L.

605. ἀλλὰ πρὸς Τρῶας: κατ' ὀλίγον ἀναχωρεῖτε ὑποποδίζοντες. διδάσκει δὲ πῶς δεῖ τὰς τροπὰς ποιεῖσθαι. BL. βούλεται γοῦν ὁ στρατηγός, εἰ καὶ πληγῇ τις φεύγων, κατὰ στέρνου δέξασθαι τὸ τραῦμα καὶ μὴ νῶτα δοῦναι τοῖς ἐχθροῖς· πάνυ γοῦν αἰσχρῶς τοῦτο τοῖς παλαιοῖς ἔκειτο. L.

ἄμφω ποιεῖ, τῷ τε θεῷ εἴκειν παραινεῖ, καὶ τὸν πόλεμον μὴ ἐκφεύγειν προτρέπεται. BL.

609. Μενέσθην: ὥσπερ ἀπὸ τοῦ ὄρος Ὀρέσης, οὕτως ἀπὸ τοῦ μένος Μενέσης, καὶ μεταβολῇ Μενέσθης. BL.

Ἀρίσαρχος Μενεσθῆν ὡς Ἀπελλῆν. τινὲς δὲ διὰ τοῦ τ, Μενέστην ὡς Ὀρέστην. τινὲς δὲ Ἑλωρέα τὸν Ἡφαίστου κατ' ἐπίκλησιν ἔτως φασὶ κεκλῆσθαι. τὸ δὲ Ἀγχίαλον ψιλωτέον· κύριον γάρ. LV.

611. μάλ' ἐγγύς: τὸ μάλ' ἐγγὺς πρὸ ὀλίγου μάλα χεδόν εἶπεν, ὥστε ταὐτὸν τὸ ἐγγύς καὶ χεδόν. χεδόν μὲν ἀπὸ τοῦ σχῶ σχήσω, ἵνα δηλοῖ τὸ ἐχόμενον ἤτοι ἁπτόμενον (ἔστι δὲ καὶ ἐχομένως ἐπίῤῥημα ἀντὶ τοῦ ἐγγύς, ὡς τὸ ἐχομένως τοῦ προτοιχίσματος)· τὸ δὲ ἐγγὺς ἀπὸ τῆς ἐν προθέσεως καὶ τοῦ γυῖα, ὃ δηλοῖ τὰς χεῖρας, ἵνα δηλοῖ τὸ ἐν ὑπογυίῳ καὶ πρόχειρον, ὡς εἰπεῖν ἐν χερσίν. L.

612. Παισῷ: Ἄπαισός ἐστιν, ἣν διὰ τὸ μέτρον Παισὸν εἶπεν, ὡς Σπηδόνα. V. ἔστι δὲ πόλις Τροίας L.

Παισὸς πόλις μεταξὺ Παρίου καὶ Λαμψάκου, ἣ τις γράφεται καὶ Ἐπαιτός. λέγεται δέ, φασίν, ὅτι ἐκεῖσε ἡ Ἀργὼ ὑπὸ πνευμάτων ἀντιπνόων ἀνεπαίσθη ἦγεν ἀνεκρούσθη. L.

613. πολυλήϊος: πολλὰ λήϊα ἔχων ἢ πολλὰ θρέμματα ἔχων, πολυθρέμμων. λεία δὲ λέγεται καὶ τὰ ἐκ πολέμου λάφυρα ἢ τὰ ἀπὸ ληστείας. D.

ἀλλά ἑ Μοῖρα: διδάσκει τὸς πλείστους θνητὰ φρονεῖν καὶ τὸν θάνατον νομίζειν μηδὲν ἧττον παρεῖναι, ἀλλὰ μὴ πλήττῳ ἐπῆρθαι. BLV.

618. ἔχευαν: δαψιλῶς ἔπεμψαν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ὑγρῶν. L.

619. σάκος δ' ἀνεδέξατο πολλά: τὸ πλῆθος τῶν βληθέντων δοράτων καὶ τὴν ἀνδρίαν τοῦ βαλλομένου δηλοῖ. BL.

621. οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο: τινὲς ὡς τὰ ὅλα, κακῶς. LV.

ἰόντες: ἐν τῇ ἑτέρᾳ ἰόντε κεῖται. L.

626. πελεμίχθη: διεσείσθη, ἀπεσείσατο τὰ ἐμπεπηγότα τῇ ἀσπίδι. D.

631. υἱὸς θ' υἱωνός τε Διός: ὁ μὲν Σαρπηδὼν υἱὸς τοῦ Διός, ὁ δὲ Τληπόλεμος υἱὸς Ἡρακλέους, ἔγγονος δὲ τοῦ Διός. BL.

φασὶν Εὐρώπῃ τῇ Φοινικος ἀνθολογούσῃ φανῆναι τὸν Δία ἐν χήματι ταύρου κρόκον ἐκ τῶν ἰονῶν βλαστάνοντος· ἐπικαθεζέσης δὲ τοῖς νώτοις τῆς κόρης πρὸς ἀπανθισμόν, ἁρπάσας εἰς Κρήτην ἐκόμισεν· ἀφ' ἧς φασὶ Σαρπηδόνα γενέσθαι. BDV. καὶ Μίνωα καὶ Ῥαδάμανθυν. D.

ταχέως ἄμφω ἐδήλωσεν· τὸν μὲν γὰρ ἴσμεν διὰ τῆ καταλόγῳ, τὸν δὲ νῦν γνωσόμεθα. πῶς οὖν συγγενεῖς ὄντες μάχονται; οὐκ ἐδόκει μιαρὸς εἶναι ὁ ἐν πολέμῳ θάνατος, ἄλλως τε καὶ ἀρνεῖται τὴν συγγένειαν· φησὶ γὰρ ὅτι „ψευδόμενοι δὲ σέ φασι Διὸς γόνον" (635). BL.

633. Σαρπῆδον: ὁ Σαρπηδών - τῷ Σαρπηδόνος - ὦ Σαρπηδόν, καὶ ὁ Σαρπήδων - τῷ Σαρπήδοντος Αἰολικόν - ὦ Σαρπῆδον. L.

635. ψευδόμενοι δέ: ἀλλοτριοῖ αὐτὸν ἐκείνῳ ἐφ' ᾧ αὐτὸς αὐχεῖ. ἄλογος δὲ ὁ μηδὲν ἑαυτοῦ διεξιών, ἀλλὰ τὰ τῷ πατρός. ῥήμια ἓν ἐλέγχει ὁ ποιητὴς τοὺς ἐπὶ πατρίσιν αὐχοῦντας καὶ τότε χάριν ἐθέλοντας πρωτεύειν· διὸ καὶ Τληπόλεμον ἀναιρεῖ. BL.

637. ἐπὶ προτέρων: ὡς τὸ ἐπὶ χρόνων, ὅτως ἐπὶ προτέρων ἀνθρώπων. L.

638. ἀλλ' οἷόν τινά: ταῦτα ἀφ' ἑτέρας ἀρχῆς πάντως ἀναγνωστέον, εἰάν τε δασύνωμεν τὸ οἷον, ὡς Ἀριστοφάνης καὶ Ἀρίσαρχος, ἐάν τε ψιλῶμεν, ὡς Παρμενίσκος. μᾶλλον δὲ ἐκ τῆ δασυνομένου ὁ θαυμασμὸς νοεῖται, καὶ μάλιστα ὅτι πρόσκειται τὸ τινά. A.

Νικίας ψιλοῖ, ἐκδεχόμενος τὸ μόνον· ἄλλοι δὲ δασύνουσι θαυμαστικῶς ἐκδεχόμενοι, ὡς καὶ Ἡρακλέων, ἵνα ὅμοιον ᾖ τῷ „ἀλλ' οἷον τὸν Τηλεφίδην" (Od. 11, 518). κέχρηται μὲν οὖν αὐτῷ καὶ ὁμοιωματικῶς „οἷόν τε κρομύοιο λοπόν" (Od. 19, 233) καὶ ἀντὶ τῆ ὡς „οἷον ἀναΐξας" (Od. 1, 410). Τυραννίων δὲ ἀλλοῖον ἀναγινώσκει ὡς ἑτεροῖον, ὁμοίως τῷ „ἀλλοῖός μοι ξεῖνε" (Od. 16, 181). ἡμῖν δὲ δοκεῖ θαυμαστικώτερον ἀναγινώσκειν, ὥσπερ καὶ τοῖς περὶ Ἡρακλέωνα, ἵνα ὅμοιον ᾖ τῷ „ὀσσάτιόν τε καὶ οἷον" (758) καὶ „ἀλλ' οἷον τόδ' ἔρεξεν" (Od. 4, 242) „οἷον τὸν Τηλεφίδην." οὕτως ἀρέσκει καὶ Φιλοξένῳ. A.

ἡ διπλῆ, ὅτι τὸ οἷον ἐπὶ θαυμασμῶ. τινὲς δὲ ἀλλοῖον παρὰ τὰς νῦν. Ζηνόδοτος δὲ καὶ ἀμέτρως γράφει Ἡρακλείην. A.

δασυντέον τὸ οἷον· θαυμαστικὸν γάρ. τινὲς δὲ ψιλοῦσι καὶ ἐκδέχονται ἀντὶ τῆ μόνον. οἱ δὲ ὑφ' ἓν ἀλλοῖον, ἵν' ᾖ ὅτως· πάντες μὲν ἀγαθοὶ οἱ ἀπὸ Διός, ἐξηλλαγμένον δὲ καὶ ὑπὲρ πάντας φασὶν εἶναι τὸν Ἡρακλέα. ὁ δὲ Πίος ἀντὶ τῆ ὁποῖον, οὐχ ὡς εἶ σύ, φησίν, ἀλλ' οἷος ὁ Ἡρακλῆς· ὅτω γάρ, φησί, βέλεται ὁ ἀλλά B. *)

οὐχ οἷος σύ. οὕτω Πίος. τί γὰρ βέλεται ὁ ἀλλά; LV.

οἷον - βίην: ὡς τὸ „ψυχὴ Τειρεσίᾱ χρύσεον σκῆπτρον ἔχων" (Od. 11, 90). L.

639. θρασυμέμνονα: τολμηρόν, θρασὺν ἐν τῷ μένειν, ἢ θρασέως ὑπομένοντα ἐν τῇ μάχῃ. A. τὰς θρασεῖς καὶ ἀπηνεῖς ὑπομένοντα. φασὶ δὲ αἰεὶ Λυκίους Ῥοδίοις ἐχθρεύειν. BL.

640. δεῦρ' ἐλθών: εὖ τὸ παράδειγμα τῆς Ἡρακλέους ἀρετῆς, ὅτι ἐκ ἄλλοθεν αὐτὸ φέρει ἢ ἐκ τῆς νῦν πολεμουμένης πόλεως. Μενεκλῆς δέ φησιν ἐψεῦσθαι τὴν ἐπὶ Ἴλιον στρατείαν. BLV.

641. ἐξ οἴης: ὅρα τὴν μωρίαν τῆ Τληπολέμῳ, ὅτι ἐν οἷς λέγει ἐπὶ πλέον καταβάλλει τοὺς Ἀχαιοὺς ἢ τὸν Σαρπηδόνα. L.

642. χήρωσε: ἀντὶ τῆ ἐρήμους ἀνδρῶν ἐποίησεν. L. αὕτη ἡ μεταφορὰ τὴν μετὰ λύπης ἐδήλωσεν ἐρημίαν. BL.

643. κακὸς: ἀντὶ τῆ δειλός. B.

646. ἀλλ' ὑπ' ἐμοὶ: ἄξιοι θανάτῳ οἱ λόγοι. LV.

648. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

649. ἀνέρος ἀφραδίῃσιν: εὐτέλισε τὴν δύναμιν Ἡρακλέους, τὴν ἀδικίαν Λαομέδοντος αἰτίαν εἶναι φήσας τῆς ἁλώσεως. ἔδει δὲ ἐπαγαγεῖν, σὺ δὲ ἀδίκως πολεμῶν ἁλώσῃ, οὐχ αἱρήσεις ἡμᾶς δικαίως πολεμοῦντας· ὁ δὲ θυμῷ φερόμενος ἐκομμάτισε τὸν λόγον. ἢ ἠθικὸς ὁ λόγος, οἷον ἐκεῖνος μὲν τὴν Ἴλιον εἶλεν, ἐγὼ δὲ σέ· τὰ δὲ ἐν μέσῳ πρὸς μείωσιν Ἡρακλέους ἐστίν. BL.

μῖγμα ἐπαίνου καὶ ψόγου L. ἀγανοῦ δὲ τῷ σώματι. V.

651. οὐδ' ἀπέδωχ' ἵππους: ἐξ ἀμφοῖν δηλοῦται ἡ ἰσορία· ὁ μὲν γὰρ φησιν ὅτι διὰ ἵππους, ὁ δὲ διὰ πολίους ἵππους. τελειοῦται ἐν τοῖς „τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος" (Il. 20, 145). BLV.

653. ἐξ ἐμέθεν τεύξεσθαι: ὁ μὲν Τληπόλεμος πρότερος καυχησάμενος ἀναιρεῖται, ὁ δὲ Σαρπηδὼν μόνος τιτρώσκεται, ἐπεὶ ἀνταλαζονεύεται. BL.

654. κλυτοπώλῳ: ἐνδύξας ἵππους ἔχοντι, ἢ ἐξ κλυτὸς ἐστιν ἡ ἐπιπώλησις, οἷον ἀκοὴ διὰ τὰς ἐπὶ τοῖς ἀποθνήσκουσιν οἰμωγάς. ἢ ἔοικε τῷ ἐπιθέτῳ καὶ κατὰ τῆ Ἅιδος κεχρῆσθαι διὰ τὴν τῆς Περσεφόνης ἁρπαγήν. ἢ κλυτοπώλῳ τῷ ἱππικῷ. ABD. ἁρμόδιον δὲ τὸ ἐπίθετον τῷ ἅμα νοεῖσθαι τὰ πανταχῆ ζῷα καταλαμβάνοντι. AB.

656. τὸ δὲ ἁμαρτῇ ὁμῶ ἢ κατὰ ἐπακολούθησιν. L. τὸ ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους. ὀξύνει δὲ ὁ Ἀρίσαρχος, βουλόμενος αὐτὸ ἁμαρτήσθην ἀποκεκόφθαι· διὸ καὶ κατ' αὐτὸν χωρὶς τῆ ι γεγράψεται. ἐπικρατεῖ μέντοι τὸ περισπώμενον, γενόμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ. A.

ὁ μὲν Ἀρίσαρχος τὸ ἁμαρτῇ χωρὶς τῆ ι γράφει· ὀξύνει, οἱ δὲ περὶ Ἡρῳδιανὸν περισπῶσι καὶ προσγράφουσι παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ περισπώμενον. ὅτως δὲ αὐτὸ ἡ συνήθεια δέχεται, καὶ τοῦτο ἐπεκράτησεν. B.

659. νὺξ ἐκάλυψεν: τῆ βρόγχε διαιρεθέντος καὶ ἀναπνοῆς εἰργομένης ταχὺς ὁ θάνατος ἐπεγένετο. ὑπὸ συγγενῆς δὲ ἀναιρεῖται, ὅτι καὶ συγγενῆ ἀνεῖλε τὸν Λικύμνιον· „φίλον" γὰρ „μήτρωα κατέκτα" (Il. 2, 662). B.

661. Ἀρίσαρχος μετὰ τῆ ν βεβλήκειν. A.

ἡ διπλῆ, ὅτι ἀκαταλλήλως· ἔδει γὰρ εἰπεῖν, μιαιμόνως ὀστέῳ ἐγχριμφθῆναι. A.

μιαιμόωσα: ἐνθυσιῶσα καὶ ὀξέως ὁρμῶσα. ἢ τῶ αὐτὸς γευσικῶς ἔχουσα, τῆ μ πλεονάζοντος. AD.

662. πατὴρ δ' ἔτι: προαναφωνεῖ μὲν τὸν θάνατον

*) Addunt BL, quae apud Suidam legas v. Ἡρακλῆς Ἀλκμήνης.

Σαρπηδόνος διὰ τὸ ἔτι, παραμυθεῖται δὲ τὴν ἧτταν τοῦ πολεμίου, ἀργὸν ποιήσας Σαρπηδόνα. LV.

664. ἐξέφερον: πολὺ τὸ ἐναργές, φερομένω μὲν τοῦ Σαρπηδόνος, συρομένω δὲ τῷ δόρατος. γραφικῶς οὖν καὶ ταῦτα. LV.

665. τὸ μέν: ἔν τισι τό οἱ A. ἔν τισι τό τοι L. ἔν τισι τοῦτο V.

ῥικτέον ἐπεφράσατο ἢ βραχὺ διαφαλτέον, ἵν' ᾖ ἐκ παραλλήλω τὸ ἐπεφράσατο ᾗ ἐνόησεν. A.

δοκῶσιν ἔχειν τινὰ διαφοράν. ἔξι τοίνυν τὸ μὲν ἐπιφράσασθαι τὸ μετὰ βελῆς ᾗ χρόνον τρῖψαι, τὸ δὲ νοῆσαι τὸ ἀχρόνως καὶ ἄνευ βελῆς. L.

τελεία δὲ εἰς τὸ ἐπεφράσατο. δύναται δὲ καὶ ὅλον ἓν εἶναι ἕως τέλος. LV.

667. σπευδόντων: συναπτέον, οἷον ἐπειγομένων αὐτὸν ἐπιβῆναι. A.

ἐπ' αὐτῷ ταρασσομένων, ἢ οἷον ἐπιβῆναι αὐτὸν σπευδόντων. ἄκρως δέ ἐξι μιμητὴς ἀληθείας ὁ ποιητής· πολλὰ γ' τῶν χρησίμων σπεύδοντες παρορῶμεν. B.

πόνον: πάλιν πρὸς τὸν πόνον ἡ διπλῆ. A.

670. ἡ διπλῆ, ὅτι οἱ νεώτεροι τλήμονα τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος τὸν ὑπομενητικόν, ἀπὸ τῆ τλῆναι. A.

μαίμησε δέ οἱ: συνεπάθησε, φησί, καὶ συνήλγησε τῷ νεκρῷ. BL.

671. μερμήριξε: διδάσκει δι' Ὀδυσσέως κἂν τοῖς κινδύνοις φρονήσει δεῖν χρῆσθαι, μὴ θυμῷ μηδὲ πάθει. BL.

672. 673. ἦ: ὁ μὲν πρότερος κεῖται ἀντὶ τῆ πότερον, διὸ ἐγκλιτέον· τὸν δὲ δεύτερον περισπαστέον. A.

προτέρω: ἀπὸ τῆ προσσοτέρω γέγονε συγκοπῇ. B.

682. χάρη: καινότερον τὸ τοιοῦτον· ἦν γ' ἀκόλουθον εἰπεῖν χαρὰν δὲ Σαρπηδόνι. καὶ ἔξι τὸ χῆμα ἀντίθετον, ὅτι τοῖς μὲν Δαναοῖς φόβον φέρει, τῷ δὲ Σαρπηδόνι χαράν. L.

683. ὀλοφυδνόν: οἰκτρὸν ᾗ ταπεινὸν διὰ τὸ ἐπιθυμεῖν ἐν τῇ σφετέρᾳ ἀποθανεῖν. ἐπιῤῥαπίζει δὲ διὰ τέτων ὁ ποιητὴς τὲς οἰομένες τὸ μὴ ἐν τῇ οἰκείᾳ ἀποθανεῖν μηδὲν εἶναι. A.

τῷ ὀλοφυδνόν καθυπόκειται ῥῆμα τὸ ὀλοφύζω, ὅμοιον τῷ ὀλολύζω, ἵνα ὡς παίζω παιδνόν, ἕτως ᾖ καὶ ὀλοφύζω ὀλοφυδνόν. L.

Χρομίον παροξυτόνως, Ἅλιον προπαροξυτόνως. εἴπομεν (ὁ Δίων φησὶ V) τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων παροξύνεσθαι, ᾗ ἐσημειώμεθα τὸ Ἅλιος Ξένιος Κρόνιος. ἐπεκράτησε δὲ ᾗ κατὰ τὴν Ὁμηρικὴν ἀνάγνωσιν τὸ Ἅλιος προπαροξυνόμενον. ABV.

684. ἕλωρ Δαναοῖσιν: ἕτως ἐ πάντως βρῶμα, πρὸς τὸ „ἑλώρια τεῦχε κύνεσσιν" (Il. 1, 4). A.

ἀντιπαράβαλε τὰ Μενελάῳ, ᾗ εὑρήσεις τὸ διάφορον. LV.

686. ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἔγωγε: ἐντίχνως ὑπομιμνήσκει τῆς συμμαχικῆς χάριτος τὸν Ἕκτορα. BL.

689. ῥῦτι προσέφη: πέπονθε γ' τῇ ὄψει ᾗ τῷ λόγῳ. ἀλλ' οὐδὲ ἀδολεσχίας ὁ τοιῦτος ἦν καιρός. BL.

690. λελιημένος: τῷ θυμῷ θερμαινόμενος καὶ ὑποκαιόμενος· λιαρὸν γ' τὸ θερμόν. B.

693. Διὸς περικαλλέϊ φηγῷ: διὰ τὸ τὸν Δία ἀλληγορεῖσθαι εἰς ἀέρα, τὸν δὲ ἀέρα εἶναι ζῳογόνον, διὰ τῦτο ἀνατιθέασιν οἱ παλαιοὶ τὴν δρῦν τῷ Διὶ ὡς ᾗ αὐτὴν ζῳογόνον τῷ καρπῷ. L.

ἢ διὰ τὴν σκιὰν ὑπὸ τῇ δρυῒ τὸν Σαρπηδόνα καθίζεσιν, ἀλλὰ διὰ τὸ εἶναι τόπον ἱερόν, ὡς ᾗ τὸν Αἰνείαν ἐν τῷ ἀδύτῳ (448). L.

ἀπαγαγὼν ἡμῶν τὸν νῶν τῆς μάχης, ὑπὸ ἀνθηρὰν ἴζει δρῦν τὸν τραυματίαν. καλῶς δὲ αὕτη ἱερὰ τῷ Διός, ἐπεὶ βαλάνοις πρώην ἐχρῶντο, καὶ ἵνα ὑπὸ τοῦ πατρὸς ἰαθῇ· πλησιάζον γ' ἦν καὶ ἱερόν, εἰς ὃ παραγενέσθαι ἐπὶ δρῦν φασίν. BLV.

694. θύραζε: κυρίως μὲν ἔξω τῆς θύρας, νῦν δὲ κεῖται ἀντὶ τῆ ἔξω. D.

695. Πελάγων: Πτολεμαῖος ὁ τῆ Ὀροάνδε διὰ τῆ ω Σελάγων. A. Πτολεμαῖος διὰ τῆ γράφει Πελάσγων. L.

φίλος ἦεν ἑταῖρος: τοὺς ἑταίρους ἀπὸ τῶν φίλων διαιρεῖ· οἱ μὲν γ' ἑταῖροι οἱ προσοικειωθέντες κατὰ φιλίαν, οἱ δὲ φίλοι οἰκεῖοι ᾗ κατὰ γένος προσήκοντες, ὥσπερ ᾗ ὁ ἕτης ᾗ ὁ γείτων· ἑταῖ μὲν γ' οἱ συνέσιοι, γείτονες δὲ οἱ πλησίον μένοντες „γείτονες ἠδὲ ἑταῖ" (Od. 4, 16). καὶ ὅτι ἑταῖρος συνδιαίτας οἶδεν „ἐπεὶ οἱ ἑταῖρος ἔην φίλος εἰλαπινιστής" (Il. 17, 577)· ᾗ „ἐρίηρας ἑταίρους" (Od. 9, 109) τὲς διὰ τῆς χρείας φίλες· ᾗ „Ἕκτορι δ' ἦεν ἑταῖρος" (Il. 18, 251), παραλιπὼν ἐνταῦθα τὸ εἶδος. ὁμοίως δ' αὖ „σοὶ δ' ὁδὸς ἐκέτι δηρὸν ἀπέσσεται, ἣν σὺ μενοινᾷς· τοῖος γάρ τοι ἐγὼ ἑταῖρος πατρώϊός εἰμι, ὅς τοι νῆα θοὴν ῥελέω ᾗ ἅμ' ἕψομαι αὐτός" (Od. 2, 285)· ᾗ „ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους ἄψ ἐθελοντῆρας συλλέξομαι" (ib. 292). ᾗ μεταφέρων ἐκ τῆ ἐϋκνήμιδας Ἀχαιούς λέγει „Τηλέμαχ' ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι" (ib. 402), ᾗ ἐκ τῆ κομόωντες Ἀχαιοί „εὗρεν ἔπειτ' ἐπὶ θινὶ κυρηκομόωντας ἑταίρους" (ib. 408). φίλος δὲ υἱός, ᾗ φίλη μήτηρ, ᾗ φίλα γυῖα, ᾗ φίλαι χεῖρες. ᾗ διακρίνων „ἢ μετὰ οἷς ἑτάροισι, ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσα" (Od. 1, 237)· οὐκ ἄν, φησίν, ἐλυπήθην εἰ ἐν τῇ Τροίᾳ μετὰ τῶν αὐτῆ ἑταίρων ἀπώλετο πολεμιῶν, ἢ εἰ κατεργασάμενος τὸν πόλεμον ᾗ ἐπανελθὼν ἐν ταῖς χερσὶ τῶν οἰκείων ἐτελεύτησεν. καταχρώμενος δὲ ᾗ τὴν φύξιν ἑταίραν τῆ φόβω λέγει „φύζα φόβω κρυόεντος ἑταίρη" (Il. 9, 2), ᾗ ἄνεμον „ἵκμενον ἦρον ἴει πλησίστιον ἐσθλὸν ἑταῖρον" (Od. 11, 7). ᾗ πάλιν ὅλην τὴν οἰκειότητά φησι δηλῶν „ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηός τε φίλος τε" (Il. 3, 163), τὸν ἄνδρα, τὲς συγγενεῖς, τὲς οἰκείους. διὸ ἐπιζητεῖ ἡ Ἑλένη τὲς ἀδελφές. B.

696. ψυχή: τὸ πνεῦμα διὰ τὴν αἱμορῥαγίαν. BL.

697. ἀμπνύνθη: ἐν ἑαυτῷ γέγονεν, ἀνέλαβε τὴν πνοήν. ὃ δὲ ἐνέλιπε τῷ πνεύματι, προσεπορίζετο ὁ ἄνεμος. B.

ἔν τισι διὰ τῆ ἐ ἐμπνύνθη. A.

Βορέαο: σημείωσαι ἔπαινον τῆ Βορρᾶ. ὁ μὲν γ' τὰ

ἐκτὸς πυκνοῖ τῇ ψυχρότητι, καὶ τὴν φυσικὴν θερμότητα ἔσωθεν ὑποκλείει· ὁ δὲ Νότος τὸ ἐναντίον ποιεῖ, ὥςε παραλαλεῖ ὁ Νότος ἀπὸ τῶ νόσος. L.

698. ζώγρει: δριμεῖα ἡ λέξις, ἀντὶ τῶ ἀνέψυχεν. L.

κεκαφηότα: ἐκπεπνευκότα· κάπος γ' τὸ πνεῦμα, ἔνθεν ἡ κῆπος ὁ περιπνεόμενος τόπος. ABDL.

ἐκ τῶ κέκαφα παρακειμένου ἀνέβη εἰς ἐνεςῶτα, καφῶ καφήσω κεκάφηκα, ἧ μετοχὴ Ἰωνικὴ δίχα τῶ κ κεκαφηώς. κακῶς δὲ κεκαφηότα τὸν δυσπνοήσαντα. ὁ δὲ Ἡρωδιανὸς ὅτω κανονίζει· καπῶ καπήσω κεκαπηκώς, ἡ Ἰωνικῶς κεκαπηώς, ἡ μεταθέσει τῶ ψιλῶ εἰς δασὺ κεκαφηώς. L.

700. οὔ τέ ποτε προτρέποντο: τὸ γ' προτροπάδην φεύγειν ὄνειδος ἡγεῖ. ἐπεξηγεῖ δὲ αὐτὸ σαφέςερον διὰ τῶ „αἰὲν ὀπίσσω χάζοντο." BL.

ἔτως Ἀρίςαρχος ἀμφότερα διὰ τῶ ε, προτρέποντο ἡ ἐπὶ νηῶν· λέγει γ' οὔτε προτροπάδην ἔφευγον ἐπὶ τὰς ναῦς. ἡ δὲ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι Ἀττικῶς ἐξενήνοχεν, ἐκ ἔφευγον προτροπάδην ἐπὶ τὰς ναῦς. ἔνιοι δὲ ἀγνοοῦντες γράφουσιν ἀπὸ νηῶν. γίνε δὲ ἀδιανόητον· ἐ γ' ἀπὸ τῶν νεῶν φεύγειν ἔμελλον. A.

701. οὔ τέ ποτ' ἀντεφέροντο: τοῦτο ἐδήλωσε τὸ πρώην. διαςαλτέον δὲ εἰς τὸ ἀντεφέροντο· ἐ γάρ ἐςιν ἀλλ' ἀντεφέροντο. LV.

αἰέν: διὰ παντὸς ἡ οἷον κατ' ὀλίγον. V.

χῆμα κάλλες διὰ τὴν ἐπαναφορὰν τῶ οὔτε οὔτε καὶ τὰ πάρισα τὰ προτρέποντο ἡ ἀντεφέροντο. L.

703. Ἀρίςαρχος διὰ τῶ ᾱ, ἐξεναρίξαν. A.

ἔτως διὰ τῶ ᾱ τὸ ἐξεναρίξαν, ὅ τε Ἄρης δηλονότι ἡ Ἕκτωρ. AB.

704. καὶ χάλκεος Ἄρης: αὔξων τὴν Ἕκτορος ἀρετὴν συνέζευξεν αὐτὸν τῷ Ἄρει. ἐκ ἀτόπως δὲ τρωθήσε ἡ δι' ἑαυτῶ φονεύων ὁ Ἄρης. BL.

χάλκεος: ὡς τὴν Ἀφροδίτην χρυσῆν ἀπὸ τοῦ ἐνδύματος ἦγεν φορήματος, ἔτω ἡ τὸν Ἄρη χάλκεον. L.

705. ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν, ὅτι ὁμώνυμος ἔτος τῷ Ἀγαμέμνονος υἱῷ Τεύθραντι. A.

708. τὸ Ὕλη ἐνταῦθα μὲν συζέλλε, ἐν δὲ τῷ καταλόγῳ ἐκτείνε „ἠδ' Ὕλην ἡ Πετεῶνα" (Il. 2, 500). BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει Ὕδη. ἔζι δὲ τῆς Λυδίας ἡ Ὕδη, ὁ δὲ ἀνὴρ Βοιωτός, καὶ κώμη Βοιωτιὰς ἡ Ὕλη. ἡ ὅτι ἐ συνεςαλμένως λέγε ἡ πόλις, ἐκτέταται δὲ ἐν τῷ καταλόγῳ διὰ μέτρον. A.

μέγα πλούτοιο μεμήλως: μεγάλως τῆς γεωργίας ἐπιμελόμενος, ὅπως ἐκ ταύτης κτήσαιτο πλῆτον. B.

709. κεκλιμένος: ἀντὶ τῶ παρακείμενος, ὡς τὸ „αἰ' ἀλλ' κεκλίαται" (Od. 4, 608). BLV. Κηφισίδι δὲ ἢ τῇ λίμνῃ ἢ τῷ ποταμῷ. LV.

717. εἰ οὕτω μαίνεσθαι: πρὸ πολλῆ θεραπεύει τὴν κατὰ Ἄρεος ἁμαρτίαν ὁ ποιητής. LV.

720. ἔντυεν ἵππους: ἀπὸ τῶν εἰς πόλεμον εὐτρεπιζομένων. V.

722. Ἥβη δ': ὑπηρετικήν τινα τὴν Ἥβην παρεισάγει ὁ ποιητής· ἡ ἀνωτέρω γ' (Il. 4, 2) εὐωχεμένοις τοῖς θεοῖς διηκόνει. ἐν δὲ τοῖς ἑξῆς (905) ἡ τὸν Ἄρεα λέει· παρθενικὸν γ' τὸ τοιῦτον, ὡς Τηλέμαχον Πολυκάςη (Od. 3, 464). τὸν δὲ τῆς Ἥρας δίφρον ἔτως ἡ Δημὼ φυσιολογεῖ. Ἥραν γάρ φησιν εἶναι τὸν ἀέρα, τὴν δὲ φύσιν τῶ ςοιχείω φησὶ τὸν ποιητὴν ἐκτιθέμενον τὰ μὲν περίγεια αὐτῶ μέρη, ἅπερ ἐςὶ ζοφωδέςερά τε ἡ πολὺ τὸ γεῶδες ἔχοντα, ταῖς παχυτέραις ὕλαις εἰκάζειν, χαλκῷ τε ἡ σιδήρῳ· καὶ χρυσὸν δὲ μερικῶς ἐγκατέμιξεν, ἴσως διὰ τὸ ποσῶς ὑπὸ ἡλίε φωτίζεσθαι· τὰ δὲ μετέωρα, τὸν ὑμιόν φημι, ἀργύρεον λέγει, τὸ δὲ πάντων ἀνωτέρω ἡ συναφὲς τῷ αἰθέρι χρύσεον ζυγόν (συνέζευκται γ' τάτῳ), ἱμάντας δὲ χρυσᾶς ἡ ἀργυρᾶς τὰς ἐξ ἡλίε ἡ σελήνης φωτισμάς, δύο δὲ ἄντυγας τὸ ὑπόγειόν τε ἡ ὑπέργειον ἡμισφαίριον. BLV.

κύκλα: Ἰωνικῶς οἱ τροχοί. μεταπλασμός. AD.

723. τὰ μὲν ἐνεργῇ μέρη τῶ ἅρματος ταῖς σεραῖς ὕλαις κοσμεῖ, τὰ δὲ ἄλλα ταῖς πολυτελέσιν. BL.

ὀκτάκνημα: κνῆμαι καλῶ αἱ ἀπὸ τῆς χοινικίδος ἕως τῆς ἔξω περιφερείας διήκουσαι ῥάβδοι. ABL.

ἄξονι: ἄξων τὸ ὑποκείμενον τῷ ἅρματι ξύλον περὶ ὃ ςρέφον οἱ τροχοί. A. τὸ εἰς τὰς χοινικίδας ἐμβαλλόμενον ἑκατέρω τροχῶ ξύλον. BD.

724. ἴτυς: ἡ ἀψὶς εἰς ἣν αἱ κνῆμαι αἱ ἀπὸ τῆς χοινικίδος ἐμπήγνυν, ἦγεν ἡ τῶ τροχῶ περιφέρεια, παρὰ τὸ ἰέναι. ABDV.

725. ἐπίσσωτρα: οἱ σιδηροῖ κύκλοι οἱ ἄνωθεν περιβαλλόμενοι τοῖς τροχοῖς ἡ ἐφαπτόμενοι τῆς γῆς, οἱ καλέμενοι κάνθοι. A. τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἃ καὶ κάνθοι καλῶ, ἦγεν ὁ ἔξωθεν τὸν τροχὸν συνέχων σίδηρος ἢ χαλκός, ἃ ἡ ςέφανοι. BD.

ἐπίσσωτρον τὸ εἰς γῆν κυλινδόμενον, ἤτοι τοῦ παντὸς περιφερῆς τὸ τελευταῖον. B.

ἔν τισι γράφε ὀπίσσωτρα διὰ τῶ ō. A.

726. πλῆμναι: τὰ μέσα τῶν συριγγίων εἰς ἃς ἐντίθε ὁ ἄξων, αἱ καλέμεναι χοινικίδες. A.

πλῆμναι λέγον διὰ τὸ πλήσσεσθαι ὑπὸ τῶ ἄξονος· ταύτας δὲ ἔνιοι χνόας ὀνομάζεσι. καλῶς δὲ ἡ τὸ εἰσί πρὸ ἀληθείας ὑπόληψιν. BL.

727. δίφρος: ἐφ' οὗ ἑζᾶσιν ὅ τε ἡνίοχος καὶ ὁ παραβάτης, ἀπὸ τῶ δύο φέρειν. AB.

728. ἄντυγες: αἱ περιφέρειαι τῶ δίφρου, αἱ ἁψῖδες ὧν ἀντιλαμβάνονται οἱ ἀναβαίνοντες ἐπὶ τὸ ἅρμα. A. ἡ ἐπὶ τοῦ δίφρου ἡμικύκλια, ἔνθεν καὶ τὰ ἡνία ἐξάπτονται. BD.

729. ὑμός: τὸ ἀπὸ τῶ δίφρε μέχρι τῶ ζυγοῦ ξύλον ἀπὸ τῶ ἐρύειν. ABL. τὸ μέσον τῶν ἵππων ξύλον, ᾧ συνδέδεται ὁ ζυγός. D.

ἡ διπλῆ, ὅτι ὅταν εἴπῃ „ἐν πρώτῳ ὑμῷ" (Il. 6, 40) τῷ ἄκρῳ λέγει· εἷς γάρ ἐςι ὑμός. τὸ δὲ πέλεν ἀντὶ τῶ πέλει. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

730. ζυγὸς τὸ ἐπικείμενον τοῖς τραχήλοις τῶν ἵππων, παρὰ τὸ δύο εἰς ἓν ἄγειν αὐτόν. ABV.

λέπαδνα: πλατεῖς ἱμάντες οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν. ὡς κόπτω κόπανον, λέπω λεπαδνόν. A.

734. πέπλον: γυναικεῖον ἔνδυμα, τουτέστι χιτῶνα ὃν οὐκ ἐνεδύοντο ἀλλ' ἐπερονῶντο· ἀρθεισῶν γὰρ τῶν περονῶν καταῤῥέων φαίνεται ὁ πέπλος εἰς τὸ ἔδαφος. AD. πρέπων πρέπαλος, κατὰ συγκοπὴν πέπαλος, καὶ κατὰ δευτέραν συγκοπὴν πέπλος. A.

κατέχευεν: τὰς περόνας λύσασα καταφέρεσθαι ἀφῆκε. γυμνὴν δὲ ἡμῖν τὴν Ἀθηνᾶν διὰ τῆς λέξεως παρέστησεν. B.

οὔδει: ὡς ὕδας καὶ ὕδος καὶ δέρας καὶ δέρος καὶ γῆρας καὶ γῆρος, ὅθεν καὶ γηρωβοσκεῖν, διφορεῖται, οὕτω καὶ οὖδας καὶ οὖδος. L.

734. 735. οἱ ἀστερίσκοι, ὅτι ἐνταῦθα μὲν καλῶς κεῖνται, ἐν δὲ τῇ κόλῳ μάχῃ (Il. 8, 385) μηδεμιᾶς φαινομένης ἀριστείας οὐ δεόντως. ὁ δὲ Ζηνόδοτος τούτους μὲν ἀθετεῖ, ἐκείνους δὲ καταλείπει. τῷ δὲ τρίτῳ παράκειται καὶ διπλῆ, ὅτι δασύνειν δεῖ τὸ ἡ δέ· ἐπανέλαβε γάρ, ὡς ἔθος αὐτῷ, τὸν περὶ τῆς Ἀθηνᾶς λόγον. A.

736. ἡ: δασυντέον τὸ ἦ· ἄρθρον γάρ ἐστιν ἀντωνυμικόν. τινὲς δὲ ψιλοῦσι, σύνδεσμον ἐκδεχόμενοι τὸν ἠδέ, κακῶς. A.

χιτῶν': οὗτος δὲ ὁ χιτὼν ἐπιτήδειός ἐστιν ἐν πολέμῳ, ἵν' ᾖ ἴση περιβολὴ Διὸς καὶ Ἀθηνᾶς ὡς Ἀχιλλέως καὶ Αἴαντος. τεύχεσι δὲ λέγει τῇ αἰγίδι καὶ τῇ περικεφαλαίᾳ. B.

Διὸς νεφεληγερέταο: τὸ ἡμιστίχιον ἢ τοῖς ἐπάνω ἢ τοῖς ἑξῆς προσδοτέον. ἐὰν μὲν οὖν τοῖς ἐπάνω, μόνος ὁ θώραξ ἔσται τοῦ Διός· ἐὰν δὲ τοῖς ἑξῆς, πάντα ἔσται τὰ ὅπλα αὐτοῦ τοῦ Διός, ὅπερ καὶ πιθανόν. οὕτως δὲ καὶ Ἀρίσταρχος. A.

739. δεινήν: διὰ τὸ δυνάμεις ἀρεϊκὰς ἐντετυπῶσθαι ἐν αὐτῇ. B.

πέρι: ἀναστρεπτέον τὴν πρόθεσιν, ἵνα πρὸς τὸ ἣν συνάττηται. A.

ἐστεφάνωτο: κύκλῳ περιείχετο. B. *).

740. ἐν δ' Ἔρις: ἄδηλον πότερον εἴδωλα ταῦτά ἐστιν διαθέσεις, ὡς τὸ „ἔνθ' ἔνι μὲν φιλότης" (Il. 14, 216). B.

741. Γοργείη κεφαλὴ δεινοῖο πελώρου: ὡς τὸ Νεστορέῃ παρὰ νηῒ Πυληγενέος βασιλῆος" (Il. 2, 54). θεραπεύεται τῇ διαλύσει τοῦ κτητικοῦ. L.

διὰ τί ποτὲ μέν φησι τὴν κεφαλὴν τῆς Γοργόνος ἐν Ἅιδου εἶναι, λέγων „μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου ἐξ Ἅιδου πέμψειε" (Od. 11, 633), ποτὲ δὲ τὴν Ἀθηνᾶν ἔχειν ἐν τῇ αἰγίδι, λέγων „βάλετ' αἰγίδα θυσανόεσσαν," καὶ ἐπάγει „ἐν δ' ἔρις, ἐν δ' ἀλκή, ἐν δὲ κρυόεσσα ἀκή, ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου." φησὶ δ' Ἀριστοτέλης ὅτι μήποτε ἐν τῇ ἀσπίδι οὐκ αὐτὴν εἶχε τὴν κεφαλὴν τῆς Γοργόνος, ὥσπερ οὐδὲ τὴν Ἔριν οὐδὲ τὴν κρυόεσσαν ἰωκήν, ἀλλὰ τὸ ἐκ τῆς Γοργόνος γιγνόμενον τοῖς ἐνορῶσι πάθος καταπληκτικόν. καὶ μήποτε πάλιν ῥητέον ὅτι οὐκ αὐτὴν εἶχεν, ἀλλ' ὅτι γεγραμμένον τῇ ἀσπίδι ὥσπερ σημεῖόν τι. ῥητέον δὲ ὅτι οὐδὲ Ὀδυσσεὺς λέγει ὡς ἦν ἐν Ἅιδου ἡ Γοργόνος κεφαλή, ἀλλ' ὅτι αὐτὸς ἐφοβήθη μὴ τοιοῦτος δαίμων ἐκπεμφθῇ· φοβηθεὶς οὖν οὐκ ἰδεῖν. ἢ ὅτι ἡ μὲν ψυχὴ ἐν Ἅιδου, τὸ δὲ σῶμα ἐν τῇ ἀσπίδι. καὶ Γοργείην κεφαλὴν οὐ πάντως τὴν τῆς Γοργόνος, ἀλλά τινα φοβερὸν δαίμονα, ὡς „τοίην γὰρ κεφαλὴν πόθεον υἷες Ἀχαιῶν." B.

ἄλλως. οἷον κατάστημά τι γοργότητος δεινὸν καὶ βλοσυρόν. Ἡσίοδος γὰρ διέπλασε τὸν τῶν Γοργόνων μῦθον. BL.

πελώρου: πέλωρ ὄνομα οὐδέτερον· σημαίνει δὲ τὸ ἐξαίσιον καὶ φοβερόν, καὶ γίνεται παρὰ τὸ πέλω τὸ ὑπάρχω καὶ τὸ ὥρα, ὃ σημαίνει τὴν φροντίδα, οἷς ὑπάρχει ἀεὶ ἡ φροντὶς διὰ τὸ μέγεθος. B.

τρεῖς κινήσεις εὑρίσκονται τοῦ πελώρου, τὸ πελώριον, τὸ πέλωρ, τὸ πέλωρον. L.

742. σμερδνή: καταπληκτική, φοβερά. ὥσπερ ἀλαπάζω ἀλαπαδνός, οὕτως μερίζω μεριδνός καὶ σμερδνός· μερίζεται γὰρ ἡ ψυχὴ τῶν ὁρώντων τῷ φόβῳ, καὶ οὐκ ἐᾷ ἐν τῷ αὐτῷ μένειν. B.

τέρας: τὸ σημεῖον. διαφέρει δὲ ὅτι τὸ μὲν τέρας ἐστὶ τὸ παρὰ φύσιν γινόμενον πρᾶγμα, οἷον ἐπὶ τῶν στρουθῶν (Il. 2, 313)· οὐδέποτε γὰρ ἡ στρουθὸς ὀκτὼ γεννᾷ· σημεῖον δὲ τὸ παρὰ τὴν κοινὴν συνήθειαν γινόμενον. B.

743. ἀμφίφαλον - τετραφάληρον: φάλοι οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι, φάλαρα δὲ οἱ ἐν ταῖς παραγναθίσι κρίκοι, δι' ὧν αἱ παραγναθίδες καταλαμβάνονται τῆς περικεφαλαίας. A.

744. ἑκατὸν πόλεων πρυλέεσσ' ἀραρυῖαν: εἶχε γάρ, φασίν, ἐν ἑαυτῇ πολίτας τετυπωμένους πόλεων ρ'. ὑποτυποῖ δὲ ἡμῖν τὸ μέγεθος τῆς φορούσης αὐτήν· εἰ γὰρ ἡ κόρυς τοσαύτη, πόσον τὸ μέγεθος τῆς περικειμένης. καὶ ἐπὶ Ποσειδῶνος „ὅσον τ' ἐννεάχιλοι" (Il. 14, 148)· οὐ γὰρ εἰπὼν τὸ μέγεθος αὐτοῦ, ὥσπερ οὐδὲ τὸ τῆς Ἀθηνᾶς, κατ' ἔμφασιν δέδωκε συλλογίζεσθαι πηλίκος ἦν ὁ τὴν τοιαύτην φωνὴν ἔχων. BLV.

τὸ σχῆμα συλλογισμὸς καὶ ἔμφασις· σκοπητέον γὰρ ποταπὴν εἶναι τὴν τῆς Ἀθηνᾶς κεφαλήν. τινὲς δέ φασιν οὐ λέγειν τὸν ποιητὴν ὅτι ἠδύνατο σκέπειν ἡ περικεφαλαία ἑκατὸν πόλεων πεζούς (τοῦτο γὰρ ἀπίθανον) ἀλλ' ὅτι ἑκατὸν πόλεων ὁπλίτας εἶχεν ἐντετυπωμένους ἐν αὐτῇ· τοῦτο δὲ διὰ τὸ προνοητικὸν τῶν πολλῶν τῆς φρονήσεως καὶ μέχρι πεζῶν καὶ κατωτέρω φροντιστικόν. ἢ διὰ τῶν θυσάνων δηλοῦται τὸ φροντιστικὸν τῶν μικρῶν. τινὲς δὲ οὕτως ἐξέλαβον, ὅτι εἶχε Κορύβαντας ἐντετυπωμένους, διότι οἱ Κορύβαντες Κρῆτες, ἡ δὲ Κρήτη ἑκατόμπολις. L.

πρυλέεσσ': πεζοῖς ὁπλίταις. πρύλις, ὡς δαμάσω δάμαλις, περύω πέρυλις καὶ πρύλις. AB.

πρυλέες δὲ ὁπλῖται ἢ πρόμαχοι ἢ ἄθρόοι. V.

ἄλλως. ὅτι πεζοὶ οἱ πρυλέες ὅπλα ἔχοντες. A.

*) Omisi quae Zonaras habet v. Φόβος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ δὲ εὐθεῖα πρύλις. ὁ δὲ Ἡρωδιανὸς πρυλής ὀξυτόνως γράφει, ὡς καὶ πολλοί. καὶ κλίνεται κανονικῶς πρυλέος πρυλοῦς. καὶ ἔστιν ἀσφαλέστερον τοῦτο· ἀπὸ γὰρ τοῦ πρύλις πρύλεες ὤφειλεν εἶναι ὡς ὄφεες. L.

745. φλόγεα: ὀξέα κατὰ τὴν κίνησιν ὡς πῦρ, ἢ μᾶλλον ἀεί. BLV.

746. ὁ Σιδώνιος ἄνευ τοῦ ῑ τὸ δάμνῃσι, ὁ δὲ Ἀρίσταρχος σὺν τῷ ῑ. A.

οὐκ ἄνδρας εἶπεν, ἀλλ' ὑπερφυῶς στίχας ἀνδρῶν. BL.

746. 747. ἡ διπλῆ, ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν (1, 100) μετάκεινται. A.

748. ἵππους: ἀντὶ τοῦ τῶν ἵππων. A.

749. αὐτόμαται: ἐμφαίνεται καὶ τὸ ἀξίωμα τῶν θεῶν, εἴ γε ἑκοῦσαι αἱ πύλαι εἴκουσιν αὐταῖς. οὐρανὸν δὲ νῦν τὸν ὑπὲρ τὰ νέφη λέγει τόπον. BL.

ἡ διπλῆ, ὅτι πύλαι οὐρανοῦ τὰ νέφη· ὁ γὰρ ὑπὲρ ταῦτα τόπος ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸς καλεῖται. A.

Ὧραι: ἐπεὶ τὴν τῶν οὐρανίων τάξιν καὶ τοὺς καιροὺς διοικοῦσιν. BLV.

752. κεντρηνεκέας: τοὺς οὕτω φέροντας ἑαυτοὺς καὶ τοὺς ἐπιβάτας ὡς ὑπὸ κέντρου μαστιζομένους, παρὰ τὸ κέντρον καὶ τὸ ἐνεγκεῖν. B.

754. ἡ διπλῆ, ὅτι ὄρος ὁ Ὄλυμπος, καὶ ὅτι ὑπερθετικὸν ἀντὶ ἁπλοῦ, ἀκροτάτῃ ἀντὶ τοῦ ἄκρᾳ. οὐ ζητητέον οὖν πῶς τὸν ὑπὲρ τὰ νέφη τόπον ἀκροτάτην εἴρηκε κεφαλὴν τοῦ τὴν· λέγει γὰρ ἄκραν οἱανδήποτε. A.

757. Ζεῦ πάτερ: χαριέντως τὸν υἱὸν ἁμαρτάνοντα παρὰ γνώμην τοῦ κυρίου κολάζειν οὐκ ἐπιχειρεῖ. πῶς οὖν Ἀθηνᾶ τοῦτο οὐκ ἀναμένει; ὅτι οὐκ ἴδιον Ἀφροδίτης πόλεμος, ὡς καὶ Ζεὺς „οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα" (428). B.

καρτερὰ ἔργα: οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ ἔργ' ἀΐδηλα. A.

759. ἕκηλοι: δασυντέον· παρὰ γὰρ τὸ εἴκων ἐγένετο, ὅπερ ἐστὶ σημαντικὸν τοῦ ὑποχωρῶν καὶ ἡσυχάζων· ὁ δὲ ὑποχωρῶν καὶ ἡσυχάζει. ἄλλως τε τὸ ε̄ πρὸ τοῦ κ̄ δασύνεται, μὴ ὂν ἐκ κλίσεως ἢ προθέσεως ἢ μεμελετηκὸς ἀφαιρεῖσθαι, οἷον ἑκάς ἑκάτη. οὕτως ἄρα καὶ ἕκηλος. μάχεται τὸ ἐκεχειρία, ὅπερ οὐκ ἔχει γνήσιον τὸ κ̄, ἀπὸ τοῦ ἔχειν γενόμενον. AB.

760. τέρπονται: πιθανῶς, ἵνα μὴ δοκῇ μάτην τετρῶσθαι. BL.

763. πεπληγυῖα: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ πλήσσουσα τῷ παθητικῷ. A.

764. ἡ διπλῆ, ὅτι ἔνιοι γράφουσι τὴν δ' αὖτε προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε. A.

765. ἄγρει: λάβε, φέρε, ἄγε. LV.

ἔπορσον Ἀθηναίην: ἄνωθεν κατασκευάζει τὴν τρῶσιν Ἄρεως. ἄλλως τε τὸν ταραχώδη ἡ τῆς συνέσεως προεστηκυῖα καταλύει. B.

770. ἠεροειδὲς: ἀναπεπταμένου τοῦ μεταξὺ ἀέρος καὶ μηδενὸς ἐμποδίζοντος. ἢ ἀερῶδες, σκοτεινόν. AD.

διὰ τοῦ ἐν ἡμῖν ὀξυτάτου ἐδήλωσε τὸ τάχος τῶν ἵππων· ὅσον γάρ τις ἐκτείνει τὴν ὄψιν, εἰς τὸν παρὰ θάλασσαν ἀτενίζων ἀέρα, μηδενὸς ἀντικόπτοντος ἀλλὰ τοῦ ὁρωμένου παντὸς ἀέρος ὄντος, τοσοῦτον, φησίν, ἐστὶ τὸ βῆμα τῶν θείων ἵππων ὁρμώντων. ἠεροειδὲς δὲ τὸ τοῦ ἀέρος εἶδος. A.

ἄλλως. ἀέρα λέγει τὸ ὁμιχλῶδες καὶ ἀόρατον· „ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ' ἦν" (Od. 9, 144)· ὅθεν καὶ ἠεροφοῖτις Ἐριννύς (Il. 9, 571) ἡ σκοτεινῶς καὶ ὁμιχλωδῶς φοιτῶσα. τὸ οὖν ἠεροειδὲς ὅσον εἶδε μέχρι τοῦ ἀεροειδοῦς, τουτέστι τοῦ ἀφανοῦς καὶ ἀχλυώδους. ἠερόφωνοι οὖν κήρυκες, ὧν ἡ φωνὴ καὶ μέχρι τοῦ ἀφανοῦς καὶ ἀχλυώδους διικνεῖται, ὅπερ ἐν ἄλλοις „φωνὴ δ' αἰθέρ' ἵκανεν" (Il. 15, 686)· ἀφανὴς δὲ οὗτος ἀνθρώποις. B.

772. ὑψηχέες: ὑψαύχενες, ἤτοι εἰς ὕψος ἀειρόμενοι μετὰ ἤχου· ἄριστοι γὰρ οἱ κυμβαλίζοντες ἵπποι. B.

774. ὅτι κατ' ἀμφοτέρων ῥῆμα μεταξὺ τῶν ὀνομάτων τέταχεν· ἔδει γὰρ „ᾗχι ῥοὰς Σιμόεις καὶ Σκάμανδρος συμβάλλετον." τούτῳ δὲ τῷ ἔθει πεπλεόνακε καὶ Ἀλκμᾶν· διὸ καὶ καλεῖται Ἀλκμανικόν, οὐχ ὅτι αὐτὸς πρῶτος ἐχρήσατο, ἀλλ' ὅτι τῷ τοιούτῳ ἔθει πεπλεόνακεν. τὸ δὲ σχῆμα προεπίζευξις· προθεὶς γὰρ ἓν ὄνομα δυϊκὸν ἐπάγει πληθυντικόν, καὶ λοιπὸν ἀναπληροῖ τῇ ἐπαγωγῇ· „ἦ μὲν δὴ θάρσος μοι" (Od. 14, 216) „ἔνθα μὲν εἰς Ἀχέροντα" (Od. 10, 513) „εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης" (Il. 20, 138). ἀλλαχοῦ δὲ „μεσσηγὺ Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων" (Il. 6, 4). AB.

776. ἠέρα πουλὺν: ἀντὶ τοῦ πολλήν· ἀεὶ γὰρ θηλυκῶς φησὶ καὶ τὸ σκότος δηλοῖ· τὸ δὲ ἐπὶ τοῦ συνήθους ἅπαξ εἶπε „δι' ἀέρος αἰθέρ' ἵκανεν" (Il. 14, 288). BL.

777. τοῖσιν δ' ἀμβροσίην Σιμόεις: ποιητικοῦ κάλλους ἴδια ταῦτα, ὡς καὶ ἐπὶ τοῦ λέχους τοῦ Διός (Il. 14, 347). καλῶς δὲ οὐχ ὁ Σκάμανδρος ἀνέτειλε· Τρωσὶ γὰρ ἦν βοηθὸς οὗτος. BL.

ἀμβροσίην: τὴν τῶν θεῶν τροφήν, ἢ πόαν τινὰ νῦν, ἣν οἱ τῶν θεῶν ἵπποι ἐσθίουσιν. D.

778. ἴθμαθ' ὁμοῖαι: τὴν ὁρμὴν καὶ τὴν πτῆσιν· ἄτοπον γὰρ τρυφερῶς βαδίζειν τὰς εἰς πόλεμον ἐσκευασμένας ἄλλως. καλῶς τῶν βουλομένων λαθεῖν τὰ ἴχνη περιστεραῖς εἴκασεν· ἀφανῆ γὰρ αὐτῶν τὰ ἴχνη, ὡς Ἀριστοτέλης. ἢ καὶ διὰ τὸ καθαρόν. ἢ διὰ τὸ ταχύ· ὅτι γὰρ καὶ ταχύ, δῆλον ἀφ' οὗ τὴν κομιδὴν τῆς ἀμβροσίας πεπίστευται (Od. 12, 63). BLV.

ἄλλως. οὐ περιστεραὶ γενόμεναι, ἀλλ' ὅμοιαι τοῖς ἴθμασιν ἤγουν τοῖς ὁρμήμασι καὶ ταῖς πτήσεσι τῶν περιστερῶν εἰς τὸ στρατόπεδον ἔρχονται· τὸ γὰρ ὡς πελειάδας τὰς θεὰς πορεύεσθαι ἀπρεπές. B.

784. στᾶσ': περισπαστέον· ἔστι γὰρ τὸ πλῆρες στᾶσα. A.

785. Στέντορι: τινὲς αὐτὸν Θρᾷκά φασιν, Ἑρμῇ περὶ μεγαλοφωνίας ἐρίσαντα ἀναιρεθῆναι, αὐτὸν δὲ εὑρεῖν καὶ τὴν διὰ κόχλου γραφήν (μηχανὴν εἰς τὰς μάχας. ἀλλ' ἔθος Ὁμήρῳ τοῖς παροῦσιν εἰκάζειν τοὺς θεούς. L.) τινὲς δὲ Ἀ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κάδα φασὶν εἶναι τὸν Στέντορα, καὶ ἐν τῷ καταλόγῳ πλάττουσι περὶ αὐτοῦ στίχους. AL.

ἡ διπλῆ, ὅτι ἐνταῦθα μόνον μνημονεύει τοῦ Στέντορος. A.

786. ἔν τισιν οὐκ ἦν ὁ στίχος, διὰ τὴν ὑπερβολὴν ταύτην τὴν ψυχράν. BL.

787. ἐλέγχεα: ὡς καὶ Ἀλέξανδρος λώβη (Il. 3, 42). LV. ἐλέγχεα ὡς τείχεα· οὐ γὰρ νῦν ἐπιθετικόν. τὸ δὲ εἶδος ἀγητοί, τῷ εἴδει μόνον θαυμαστοί. A.

Ἀρίσταρχος δὲ κάκ' ἐλεγχέες· τὸ δὲ ἑξῆς διχῶς, εἶδος ἄριστοι καὶ εἶδος ἀγητοί. A.

788. πωλέσκετο: τὸ ω μέγα διὰ τὸ μέτρον. D.

Ἀχιλλεύς: οὐκ ἐᾷ λήθῃ δίδοσθαι τὸ ὄνομα τοῦτο ὁ ποιητής. BLV.

789. Δαρδανιάων: τῶν Σκαιῶν· φησὶ γὰρ „ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανον" (Il. 9, 354). BL.*)

795. ἀναψύχοντα τό μιν βάλε: γυμνοῦντα πρὸς τὸ ἀποψῆν τὸν λύθρον. οὐ τὸ ἕλκος δὲ ἔβαλεν, ἀλλὰ βαλὼν εἰργάσατο ἕλκος, ὡς τὸ „νεκρὸν ἄγειν προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς" (Il. 24, 151), ὅ ἐστι κτανὼν νεκρὸν εἰργάσατο. ἀνδρείου δὲ καὶ καρτερικοῦ τὸ μὴ εἰς τὰς ναῦς μετὰ τὸ τραῦμα ἀναχωρῆσαι. BLV.

ἡ διπλῆ, ὅτι ἰδίως εἴρηκε ἀντὶ τοῦ βαλὼν ἕλκος ἐποίησεν. A.

796. ἡ διπλῆ, ὅτι τελαμῶσιν ἐπὶ τῶν ἀσπίδων ἐχρῶντο. A.

797. Ἀρίσταρχος τείρετο, αἱ δὲ κοιναὶ τρίβετο. ABL.

798. ἴσχων: ὡς λέγων ἔχων· οὐδὲ γὰρ δύναται ὀξύνεσθαι ὡς δευτέρου ἀορίστου· ἄνευ γὰρ τοῦ ι ἐλέγετο ἂν χών. A.

ζητεῖται πότερον ἴσχων ὡς τρέχων ἢ ὡς νοῶν· εὑρέθη γὰρ ἴσχηκα ὁ παρακείμενος. ἀλλὰ τοῦτο οὐδὲν συμβάλλεται πρὸς τὴν Ὁμηρικὴν ἀνάγνωσιν· παρ' αὐτῷ γὰρ πάντα τὰ κινήματα ὡς ἀπὸ βαρυτόνου „ἴσχεσθ' Ἀργεῖοι" (Il. 3, 82) „ἶσχον γὰρ πυργηδόν" (Il. 15, 618), ἥ τε πληθυντικὴ μετοχὴ „χεῖράς τ' ἀνίσχοντες (Il. 8, 347). A.

799. ἱππείου δὲ ζυγοῦ θεὰ ἥψατο: ἄκρως τὸ ἀνθρώπινον ἦθος μεμίμηται· τοῦτο γὰρ καὶ νῦν γίνεται. BLV.

800. ἡ διπλῆ, ὅτι οὐ λέγει κατά τι ὅμοιον, ἀλλ' ἀντὶ τοῦ οὐδὲ ὅλως ὅμοιον. τὸν δὲ ἦ περισπαστέον· βούλονται γὰρ αὐτὸν ἰσοδυναμεῖν τῷ δή καὶ βεβαιωτικὸν εἶναι· τοιοῦτος γὰρ ὁ κατ' ἀρχὴν η. τὴν δὲ ἀντωνυμίαν ὀρθοτονοῦσιν, ἐπεὶ εἰς σύνθετον μεταλαμβάνεται. A.

801. Τυδεύς: τῇ ἐπαναλήψει τοῦ ὀνόματος ηὔξησε τὸν Τυδία. LV.

802. καί ῥ' ὅτε περ: καὶ ὅτε αὐτὸν ἐγὼ ἀπετρεπόμην, ἡνίκα ἦλθεν ἄγγελος εἰς Θήβας, ὅμως ἐκεῖνος μαχητὴς ἦν. τὸ δὲ ἑξῆς ἀσύνδετον. BL.

803. ἐκπαιφάσσειν: φῶ τὸ φαίνω, φάσσω, ἀναδιπλασιασμῷ παφάσσω, πλεονασμῷ παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πτῶ πταίνω παπταίνω. BV.

φανεροῦν ἑαυτόν, ἀλλ' ἐν ἀγγέλου μένειν σχήματι. δύναται δὲ εἰς τὸ ἐκπαιφάσσειν εἶναι στιγμή, εἶτα ἀπὸ ἄλλης ἀρχῆς τὸ ὅτ' ἤλυθεν. BV.

ὅτε ἦλθε, φησίν, εἰς Θήβας, ἐγὼ μὲν ἐκέλευον δαίνυσθαι, ὁ δὲ ἐπολέμει. ὑπερβολὴ δέ, εἴ γε καὶ ὑπὸ τῆς πολεμικωτάτης θεοῦ κελεύεται ἡσυχάζειν, ὁ δὲ οὐκ εἴκει ἀλλὰ πολεμεῖ ὡς ἂν ἄμετρον ἔχων ὁρμήν. BV.

807. πάντα: πάντα κοῦρον, ἢ τὰ ἀγωνίσματα. οὐ καθόλου δὲ εὑρέθη παρὰ Ἀριστάρχῳ τὸ „ῥηϊδίως· τοίη τοι ἐγὼν ἐπιτάῤῥοθος ἦα·" ἐναντίον γάρ ἐστι τοῖς προκειμένοις. BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος ὑποτάσσει τούτῳ στίχον „ῥηϊδίως· τοίη οἱ ἐγὼν ἐπιτάῤῥοθος ἦα." ἐναντιοῦται δέ· ἡ γὰρ Ἀθηνᾶ οὔ φησι παροτρύνειν ἀλλὰ κωλύειν. κατήχθη δὲ οὐ δεόντως ἐκ τοῦ Ἀγαμέμνονος (Ἀθηνᾶς?) λόγου. A.

808. τοῦτον τὸν στίχον οὐχ εὑρῆσθαι καθόλου φασὶν ἐν ταῖς Ἀριστάρχου· καὶ γὰρ ἀντιπράττει καὶ πρὸς τὸ „δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον" (805), καὶ οὐχ οἷόν τε ἐπιφέρειν „σοὶ δ' ἤτοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω" (809). A.

809. σοὶ δ' ἤτοι: ἐκ τῆς τοιαύτης ἀντιπαραθέσεως ἐλέγχει αὐτόν. BL.

811. κάματος πολυάϊξ: ἐκ γὰρ πολλῆς κινήσεως ὁ κόπος. BL.

τὸ δὲ δέδυκεν ἀντὶ τοῦ ἐκάκωσεν. LV.

812. ἤ νύ σε: ὁ ἢ ὀξύνεται· διαζευκτικὸς γάρ. φυλάσσεται δὲ ἡ ὀξεῖα διὰ τὸ ἐπιφερόμενον νύ ἐγκλιτικόν, ὃ καὶ αὐτὸ ἔχεν ὀξεῖαν διὰ τὴν σέ ἐγκλιτικὴν οὖσαν. A.

ἀκήριον: ἄψυχον, ἀσθενές. σημαίνει καὶ ὑγιὲς καὶ ἄνοσον καὶ ἀθάνατον. νῦν δὲ τὸ εἰς ἀψυχίαν σε ἄγον φησίν. ALV.

813. ἔκγονος ὁ υἱός, ἔγγονος ὁ υἱωνός. A.

814. ὅτι ἔνιοι τὴν δ' αὖτε προσέειπε. A.

818. σῶν: Ἀρίσταρχος σέων γράφει. LV.

824. τὸ ἀνά ἀντὶ τῆς κατά. A.

οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται ἀνὰ τὴν μάχην. Ἀρίσταρχος δὲ παρῃτήσατο τὴν ἀνά ἀναστρέψαι, ὁπότε μὴ σημαντικὴ εἴη τοῦ ἀνάστηθι, ἵνα μὴ συνεμπέσῃ τῷ „Ζεῦ ἄνα Δωδωναῖε" (Il. 16, 233). ἔστι δὲ καὶ νῦν ἐκεῖνον προσθεῖναι τὸν λόγον, ὡς ὅτι ὅταν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβάνηται, οὐκ ἀναστρέφεται „ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι" (Il. 1, 287) „θεῖναι Ἀθηναίης ἐπὶ γούνασι" (Il. 6, 92). οὕτως οὖν κἀνθάδε ἡ ἀνά ἀντὶ τῆς κατά. A.

αἱ προθέσεις ἀντιπαραλαμβανόμεναι ἀλλήλων τοὺς οἰκείους τόνους τηροῦσιν. LV.

827. μήτε σύ γ' Ἄρηα: οὐ καθολικὴ ἀλλὰ πρὸς τὸ παρὸν προτρεπτικὴ ἡ παραίνεσις. B.

τὸ δείδιθι χρηστὸν εἰς μέτρον δακτυλικόν. ἄλλως δέ γε κοινότερον δέδιθι γράφεται. μεταπλασμὸν γὰρ ἔπαθεν. ὡς τὸ κλύε κλῦθι, ἴε ἴθι ἀντὶ τοῦ ἐλθέ, οὕτω καὶ δέδιε δέδιθι,

*) Omisi, quam B versui 792 apponit, Io. Philoponi (ad Aristotelis de anima lib. 1.) de θυμῷ disputationem, receptam a Suida vv. θυμός. θυμὸς ἐπταβάειος. θυμὸς ὀργῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ ἐπενθέσει δειδιθι, ὡς τὸ ὀδοιδύκος ὀδοιπόρος, προσθέσει τῷ ῑ διὰ τὸ μέτρον. L.

830. χεδίην: ἐγγύθεν αὐτῷ, πλησίον. ὅτως αὐτῷ καταφρόνησον, μὴ μακρόθεν ἐπ' αὐτὸν βαλών. A.

χεδόν. ἢ ἔξιν ὅμοιον τῷ ὀμφαδὸν ἀμφαδίην. L.

831. τυκτὸν κακόν: ὁ μόνον, φησί, φυσικόν, ἀλλὰ ἢ ἐπιτηδευτόν. B.

ὁ φυσικόν, ἀλλὰ κατ' ἐπιτήδευσιν. LV.

ἀλλοπρόσαλλον: σύνθετόν ἐστι διὸ ὁ κατ' ἰδίαν ὁ τόνος τῆς πρώτης λέξεως λέγεται, ὁμοίως δὲ τῷ ἀλλοθρόους ἀλλοειδέας. A.

832. ἡ διπλῆ πρὸς τὸ ϛεῦτο, ὅτι τὸ κατὰ διάνοιαν διωρίζετο ἡ λέξις σημαίνει. A.

834. ἡ διπλῆ, ὅτι ἀντὶ τῶ ἐν τοῖς Τρωσὶν ἐστι μετὰ τῶν Τρώων. A,

836. πάλιν: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ εἰς τὸπίσω. A.

ἐμμαπέως: αὐτίκα, εὐθύς, ἅμα τῷ λόγῳ. γίνεται δὲ ἐκ τῶ ἅμα καὶ τῶ ἔπος, καὶ κατὰ ἀναζοφὴν ἐμμαπέως. B. συντόμως, παρὰ τὸ μάρψαι. ἢ ἐρρωμένως. V.

838. ἐμψύχως τὸ ἔβραχεν, ὡς τὸ „ἔκλαγξαν δ' ἄρ' ὀϊστοί" (Il. 1, 46). BL.

838. 839. ἀθετῶνται ϛίχοι δύο, ὅτι ἐκ ἀναγκαῖοι καὶ γελοῖοι καί τι ἐναντίον ἔχοντες. τί γάρ, εἰ χείριστοι ἦσαν ταῖς ψυχαῖς, εὐσεβεῖς δὲ καὶ εὔσαρκοι; A.

839. ἄνδρα τ' ἄριστον: διὰ τῶ δέ αἰ' Ἀρισάρχῳ, ἄνδρα δ' ἄριστον. A.

842. ἐν ἄλλῳ ἦτος ὁ ϛίχος μετὰ τέσσαρας ϛίχους κεῖται. ἡ δὲ διπλῆ, ὅτι ἀπὸ τῶν ἀνδρῶν σκυλεύοντα τὸν Ἄρη ποιεῖ, καὶ ὅτι τινὲς γράφουσιν ἐξενάριξεν. συντελικὸν δὲ γίνεται, δεῖ δὲ παρατατικῶς· καὶ γὰρ ἐπιφέρει „τὸν μὲν Ἄρης ἐνάριζε μιαίφονος" ἀντὶ τῶ ἀνῄρει. A.

843. Ὀχήσιον: Ὀχήσιος Οἰνέως υἱός, ὡς φησι Νίκανδρος ἐν τοῖς Αἰτωλικοῖς. κατὰ Διομήδους δὲ καὶ αὕτη τοῦ Ἄρεως ἡ πρᾶξις. B.

845. Ἄϊδος κυνέην: νέφος δι' οὗ οἱ θεοὶ ἀλλήλοις ἀφανεῖς γίνονται. A. νέφος τι καὶ ἀορασίαν. ἢ ἀντὶ τοῦ τὸ πρόσωπον ἔκρυψεν ὑπὸ τὴν περικεφαλαίαν. D.

μή μιν ἴδοι: ἐπὶ τῷ πρὸ τῆς πληγῆς λαθεῖν· ἀμέλει μετὰ τὴν πληγὴν ὁρᾷ, ὡς καὶ τὸν Ἄρεα κατ' αὐτῆς πρὸς τὸν Δία λέγειν. BL.

849. ἰθὺς Διομήδεος: ὡς εὐθὺ τῆς σωτηρίας. LV.

851. ὑπέρ: τινὲς ἀντὶ τῆς ὑπό, ἵνα τρώσῃ αὐτὸν λαθών. BL.

852. γράφεται ὀλέσσαι. A.

853. καὶ τό γε: δύναται μὲν Ἄρεϊ μονομαχεῖν Ἀθηνᾶ, φυλάσσει δὲ τὸν πόλεμον εἰς ἕτερον ὁ ποιητὴς καιρόν. B.

855. μόνον ὁρμᾶται Διομήδης, καὶ μόνον ἔχει τρώσεως ὄνομα. δύο δὲ παρίϛησι, καὶ τὰς ἀθενεῖς τῶν κρειττόνων ποιεῖν κρατεῖν διὰ προσασίας θεᾶ καὶ τὰς ἀτακτοῦντας κολάζων. BL.

856. ἔγχει: εὖρηται περὶ τῶν τοιούτων δοτικῶν ποτὲ κατὰ διάϛασιν, ὡς νῦν, καὶ ποτὲ κατὰ συναλοιφήν, καὶ ὅτι τὸ μέτρον πολλάκις αἴτιον· καὶ τὰ ἀντικείμενα, καίτοι γε μέτρου μὴ ἐμποδίζοντος, ὡς τὸ „πλήθει πρόσθε βαλόντε" (Il. 23, 639). A.

857. νειατον ἐς κενεῶνα: κατὰ τὸ ἔσχατον τῆς λαγόνος ἤτοι τὸ ἐνδότατον. εἰ ἦν ἐπτάπλεθρος ὁ Ἄρης, πῶς τὸ δόρυ Διομήδους τρῶσαι αὐτὸν δύναται κατὰ κενεῶνος; (πῶς φθάνει τὸ δόρυ Διομήδους τρία πλέθρα; V) ὅτι νῦν ἀνδρὶ εἰκασαι· „πάρα γάρ οἱ κεῖνος Ἄρης" φησί „βροτῷ ἀνδρὶ ἐοικώς." τὸ δὲ μίτρην κατὰ δοτικὴν Ἀρίσαρχος, Ἡρωδιανὸς δὲ μετὰ τῶ ν, ὃ ἢ βέλτιον. B.

ἡ διπλῆ, ὅτι κατὰ τὰ κοῖλα μέρη ἐζωννύοντο τὴν μίτραν· ἢ ἔϛι διδασκαλικὸς ὁ τύπος. ὁ δὲ Ἀρίσαρχος μίτρῃ κατὰ δοτικήν. ἐν δέ τισι τῶν ὑπομνημάτων ὄθι ϛελλέσκετο μίτρῃ. A.

859. ἔβραχε: ἐψόφησεν, ἤχησεν, ἐφώνησεν. ἦτος δὲ ὁ βλαπτικός. V.

862. βαρυτονητέον τὴν ὑπό· παρέλκεται γάρ. A.

864. πρὸς τὴν πλοκὴν τῶ ἑξῆς λόγῳ, οἷα φαίνεται ἀήρ ἐκ νεφέων δυσαὴς ἀνέμῳ ὀρνυμένῳ ἐκ καύματος. A.

865. καύματος ἐξ: ὅταν γὰρ καυματώδης οὔσης τῆς ἡμέρας πρὸς ἀνατολὴν ἢ δύσιν ὁ ἀὴρ μέλας δοκῇ, προσδοκῶσιν ἄνεμον. τὸ δὲ ἑξῆς ἦτως; ἐκ καύματος ἀνέμῳ ὁρμήσαντος δυσαέος, ὃ ἔϛι σφοδρῶ. BDL. γίνονται γὰρ καὶ καυσωνικαὶ πνοαὶ κατὰ τὰς ἑαρινὰς καὶ θερινὰς ὥρας, ὅτε νότοι πνέουσιν. BL.

ἢ ἐξ ἀντὶ τῆς μετά. D.

866. τοῖος Τυδείδῃ: γραφικῶς ἔχει Διομήδης τὴν ἄνοδον θεώμενος Ἄρεος. LV.

867. τὸ ὁμοῦ ὁμοίως τοῖς νέφεσι διὰ τὸ σκοτεινόν. B.

διαϛαλτέον ἐπὶ τὸ νεφέεσσιν· ἁγὼν σὺν τοῖς νέφεσιν εἰς ἀρανὸν ἀνῄει, ἀλλὰ κατ' αὐτὰ γενόμενος ἐωρᾶτο, ἐξ ὃ τὸ τάχος παρίϛησι καὶ τῶ θεοῦ τὴν δύναμιν. δύναται δὲ ὅλος συναπτόμενος ὁ ϛίχος δηλῶν ὅτι νέφεσι κεκαλυμμένος ἀπὸ γῆς ἀνήρχετο. A.

ἄλλως. εἰς τὸ νεφέεσσι διαϛολή, ἵν' ᾖ ἐγγὺς τῶν νεφῶν. καὶ Δημοσθένης „Ἀθηναῖοι δέ εἰσιν ὁμῶ δισμύριοι" (adv. Aristogit. 1. § 51). οἱ δὲ συνάπτουσιν ὅλον, ἀντὶ τοῦ ὑπὸ νεφῶν καλυπτόμενος καὶ ἀνιὼν εἰς ἀρανόν. BDL.

870. αἷμα: ἐκεῖ προσέθηκε τὸ ἰχώρ· προειδίδαξε γὰρ ἡμᾶς ὁποῖόν τί ἐϛιν ἰχώρ. BL.

871. ὀλοφυρόμενος: κυρίως ὀλοφυρμὸς ὁ μετὰ τίλϛεως τριχῶν θρῆνος, παρὰ τὸ τὰς ὕλας, ὃ ἔϛι τὰς τρίχας, φύρειν. B. παρὰ τὸ ὀλόψαι. LV.

872. καρτερὰ ἔργα: γράφει ἔργ' ἀΐδηλα, ὃ ἔϛι φθοροποιά. LV.

873. ῥίγιϛα: κακά, ἄνομα. LV.

874. ἀλλήλων ἰότητι: χαριζόμενοι, φησίν, ἀνθρώποις ἀλλήλους διατίθεμεν κακῶς, ἐχ ὑπ' ἀνθρώπων δὲ πάσχομεν· ἤτοι γὰρ ἀθενεῖς πρὸς ἡμᾶς εἰσίν. BL.

ἦτως Ἀρίσαρχος μετὰ τῶ δέ, χάριν δ' ἄνδρεσσι. A.

875. σοί: ἢ διὰ σέ, ἢ σὺ πᾶσι πολέμιος εἰ, ταύτην ἐπιτρέπων καθ' ἡμῶν ἀδεῶς. τὸ δὲ τέκες ἁπλοϊκῶς, ὡς ἐπὶ Ἡφαίσ. „ἀλλὰ τοκῆε δύω" (Od. 8, 312). BLV.

ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ διὰ σέ, καὶ ὅτι ἐμφαίνει ὡς ἐκ μόνε τοῦ Διὸς γενομένης τῆς Ἀθηνᾶς. A.

876. ἀήσυλα: ἥδω ἥσω, ἥσυλον καὶ ἀήσυλον. δηλοῖ δὲ τὰ μὴ τέρποντα καὶ ἥδοντα, μᾶλλον δὲ λυποῦντα. BDL.

877. ἄλλοι μέν γάρ: τῇ ἀντιπαραθέσει χαλεπωτέραν ἐποιήσατο τὴν κατηγορίαν. διὰ δὲ τοῦ πειθηνίου καὶ τοὺς ἄλλες θεὸς ἐπάγεται. B.

878. πρὸς τὸ χῆμα· ἔδει γὰρ πειθόμεθα καὶ δεδμήμεθα ἕκασος. A.

περὶ πρόσωπον τὸ χῆμα, ὡς παρὰ Εὐριπίδῃ (Or. 1483) „διαπρεπεῖς ἐγένοντο Φρύγες, ἕκασος καλῶς μαχόμενος." BLV.

879. προτιβάλλεαι: ὑπερβάλλεις, νικᾷς, ὅπως ὑπακόοι σοι. BL.

880. αὐτὸς ἐγείναο: τοῦτο δέδωκεν ἀφορμὴν Ἡσιόδῳ τὸ αὐτὸς ἀντὶ τοῦ μόνος λαβεῖν, ὅπερ ὁ ποιητὴς οὐκ οἶδεν, ἀλλὰ λέγει ἀνεῖς αὐτήν, ἐπεὶ σὺ ἄϊδηλον αὐτὴν ἐγέννησας, ἤτοι ἐπιβλαβῆ. BL.

881. αἱ Ἀριζάρχε ὑπερφίαλον, οὐχ ὑπέρθυμον, ὥσπερ αἱ δημώδεις. A.

882. μαργαίνειν: ἐνθουσιᾶν, μαίνεσθαι· καὶ μάργος ὁ μαινόμενος. BV.

883. Κύπριδα μέν: ῥητορικὸν τὸ μὴ ἐκ τῶν οἰκείων ἄρχεσθαι κατηγοριῶν, ἀλλ' ἐξ ἑτέρων ὡμολογημένων. AB.

884. δαίμονι ἶσος: ἐπιφθόνως καὶ κινητικῶς τοῦτό φησιν· ἢ ἀλαζονικῶς, ἵνα μὴ δοκῇ ὑπὸ τοῦ τυχόντος τετρῶσθαι, ὡς καὶ ἑξῆς „ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες." BLV.

885. 887. ἦ — ἦ: διαζευκτικοὶ ἀμφότεροι· διὸ ὀξύνονται διὰ τὰ ἐπιφερόμενα ἐγκλιτικά, χωρὶς εἰ μὴ ὁ δεύτερος βεβαιωτικός· καὶ γὰρ τοῦτο μᾶλλον αἰτεῖ ἡ διάνοια. A.

886. πήματ' ἔπαχον: καὶ πῶς ἂν ὁ Ἄρης ἔπαχε δεινὰ ἐν τοῖς νεκροῖς κείμενος; εἰ μὲν γὰρ ζῶν, πῶς ἐπιφέρει διαξέλλων „ἦ κεν ζῶς ἀμενηνός;" εἰ δὲ καὶ τεθνηκώς, πῶς θεὸς ἀποθανεῖν ἠδύνατο καὶ ἀποθανὼν ἔτι ἔπαχε δεινά; λύσις γὰρ τῶν δεινῶν ὁ θάνατος. ῥητέον ἐν ὅτι ὁ δεύτερος ἢ ἀντὶ τοῦ εἰ συναπτικῶς κεῖται, ὡς τὸ „ὄφρα καὶ Ἕκτωρ εἰσεται, ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν" (Il. 16, 243)· καὶ ὁ λόγος ἔτως, δεινὰ ἂν ἔπαχον ἐν τοῖς νεκροῖς κείμενος, εἰ ζῶν ἀσθενὴς διὰ τὸ τραῦμα ἦν. BLV.

887. ζώς: ἡ γενικὴ ζωῦ· ἀπὸ γὰρ τοῦ ζωός ἐστιν ἡ συναίρεσις. BDL. διὸ ὀξύνεται. D.

τὸ ζως ὁ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶσθαι, οὐχ ὑγιῶς· μόνον γὰρ τὸ σῶς ἐπὶ περισπωμένου μονοσύλλαβον εἰς ως λῆγον, ἀρσενικόν, γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τῆς σάος, ὑπὲρ κρεῖττον. εἰ δὲ ὁ Ἀσκαλωνίτης ἀξιοῖ αὐτὸ ἐκ τοῦ ζωός, ἴσως ὅτι τὸ μὲν προκείμενον βαρύτονον ἦν, ἔνθεν περιεσπᾶτο τὸ σῶς· τὸ δὲ ζώς ἐξ ὀξυνομένης, ὡς φησι, τοῦ ζωός. ἄμεινον δὲ ὀξύνειν, ἐγκλίνειν δὲ ἐν ταύτῃ τῇ ἀναγνώσει. ἡ μέντοι κλίσις αὐτοῦ ἰσοσύλλαβος εὑρέθη. A.

τὸ ἔα Ἰωνικόν ἐστιν, ἐκ τοῦ ἦν γεγονός· διὸ συζαλτέον τὸ ᾱ, ὁμοίως τῷ „τοῖος ἔα ἐν πολέμῳ" (Od. 14, 222), ὃ καὶ διὰ τοῦ η λέγεται τοῖς ἦα φιλοπτόλεμος. τὸ δὲ μέτρον ἐκωλύεται· ἀπήρτησε γὰρ εἰς μέρος λόγου, καὶ ἐπέχει τόπον μακρᾶς ὁμοίως τῷ „ἀμφηρεφέα τε φαρέτρην" (Il. 1, 45). A.

τυπῇσιν: ὡς πληγῇσιν. δοκεῖ δὲ ὡς πρὸς τὴν ἀναλογίαν σημειοῦσθαι· τὰ γὰρ εἰς πη μονογενῆ δισύλλαβα φιλεῖ βαρύνεσθαι· εἰ δὲ ὀξύνεται, ἔχει πρὸ τέλους ἢ ῑ ἢ ῡ. πῶς οὖν τὸ τυπή μόνον ὀξυνόμενον τῷ ῡ παρελήφθη; A.

890. ἔχθιος δέ μοι ἐσσι: ἀπαλλάσσει ἡμᾶς ὁ ποιητὴς τῶν τοιούτων, καὶ πατρὶ ὄντι μεμισῆσθαι διὰ ταῦτα λέγων τῷ Διὶ τὸν Ἄρεα. ἄχθεται δὲ αὐτῷ οὐχ ὅτι ἔριδι χαίρει, ἐπεὶ καὶ αὐτὸς γελᾷ ὅθ' ὁρᾶτο θεὸς ἔριδι ξυνιόντας (Il. 21, 391), ἀλλ' ὅτι ἀεὶ καὶ πάνυ. καὶ οἰνόφλυξ λέγεται ὁ οἴνῳ χαίρων καὶ σφόδρα καὶ ἀεί. BLV. τινὲς δέ, ἐπεὶ ὑποκατιὼν ὁ Ἄρης ἐπισκοτεῖ τῷ ἀσέρι τῷ Διός. LV.

891. ὁ ἀσερίσκος, ὅτι ἐντεῦθεν μετενήνεκται ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ (177) ἐπὶ τὸν πρὸς Ἀχιλλέα ὑπὸ Ἀγαμέμνονος λόγον. A.

892. μητρός τοι μένος: τῆς Ἥρας μέγας ὁ θυμὸς κατὰ σῶ. ἢ ἀνίκητός σού ἐστιν ἡ μήτηρ, πρὸς ἣν ἀντιτάσσῃ. BL.

ἡ διπλῆ, ὅτι σαφῶς Ἥρας ὁ Ἄρης, οὐκ Ἐννοῦς, ὥς τινες. A.

893. σπεδῇ: ἀντὶ τοῦ μόγις. B.

894. ἐννεσίῃσιν: ἐκ τοῦ ἐννέπω ἐννεπία, καὶ τροπῇ τοῦ π εἰς σ ἐννεσία· ἡ δοτικὴ τῶν πληθυντικῶν ἐννεσίαις, καὶ τροπῇ Ἰωνικῇ ἐννεσίῃσιν. B.

895. ἀλλ' οὐ μάν: ἔδειξεν ἦθος πατέρων διὰ τούτου τοῦ χήματος. B.

898. ἐνέρτερος: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐνέρτατος. ὃ δεῖ δέ· ἡ γὰρ σύγκρισις ἐστὶ πρὸς τοὺς Τιτᾶνας ἀνομοιογενεῖς καὶ ἐν ἐνὶ κατηγμένους τόπῳ· τούτων ἦν ἐνέρτερος ὁ μὴ κατὰ γένος ὢν ἐξ αὐτῶν. A.

εἰ μὴ ὅτι αὐτὴν ὡς πατὴρ ἐπέχω τῆς κατὰ σῶ ὁρμῆς, πάλαι ἄν, φησίν, ἦς τῶν ποτὲ οὐρανίων Τιτάνων ὑποχθονιώτερος. B.

Παιήον': ἡ διπλῆ, ὅτι ἰατρὸν τῶν θεῶν ἕτερον παρὰ τὸν Ἀπόλλωνα παραδίδωσι τοῦτον. A.

900. φάρμακ' ἔπασσεν: Ἰακῶς φάρμακα πάσσεν. A.

901. ἐν ἄλλῳ ὁ σίχος ἔτος οὐχ εὑρέθη. A.

902. ὡς δ' ὅτ' ὀπὸς: ἕτω καὶ τὸ φάρμακον, φησίν, συνέπηξε τὸ αἷμα καὶ ἐσάρκωσε τὴν πληγήν. ταχέως δὲ παρῆλθε τὸν τῆς ἰάσεως τρόπον· ὁ μὲν γὰρ ἐξ θεὸς καὶ τὴν τέχνην ἔχων, ὁ δὲ θεὸς καὶ τὴν ἴασιν φθάνων. ὁ δὲ ὀπὸς ἡ παρὰ τοῖς ἰδιώταις λεγομένη πιτύα. ἔνιοι δὲ λέγουσι τὸν ἀπὸ τῶν σύκων ὀπόν· βέλτιον δὲ τὸ πρῶτον. B.

λευκὸν δὲ γάλα τὸ μὴ ποιῶν σκιάν. V.

903. κυκόωντι: δοτικὴ ἀντὶ γενικῆς· κυκόωντι γὰρ ἀντὶ τοῦ ὑπὸ κυκόωντος. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

905. τὸν δ' Ἥβη λοῦσεν: ἡ διπλῆ, ὅτι παρθενικὸν το λούειν. οὐκ οἶδεν ἄρα ὑφ' Ἡρακλέους αὐτὴν γεγαμημένην, ὡς ἐν τοῖς ἠθετημένοις ἐν Ὀδυσσείᾳ (11, 600). A.

λοῦσεν: ὡς ὑπηρέτις οὖσα παρθένος. καὶ Ὀδυσσέα γὰρ ἡ ἀμφίπολος λούει. τὸ δὲ Πολυκάστη λοῦσεν ἀντὶ τοῦ λουτροῦ ἐπεμελήθη (Od. 3, 464). „ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόευν" (Od. 4, 252)· „καὶ λοῦσε ποταμῷ καί μοι τάδε εἵματ' ἔδωκεν" (Od. 7, 296). LV.

906. ἡ διπλῆ σὺν ἀστερίσκῳ περιεστιγμένῳ, ὅτι οὐ δεόντως ἐκ τοῦ περὶ Βριάρεω λόγου (Il. 1, 405) ἐνθάδε μετάκειται ὁ στίχος· οὐ γὰρ καὶ κύδους ἄξιον πέπρακται αὐτῷ· καὶ ὅτι ἄτοπον ἐπὶ τῷ κύδει γαυριᾶν τὸν ὑπὸ θνητοῦ ἡττημένον. A.

ὡς ἀλλοπρόσαλλος ἤδη ἐπιλέλησται ὧν πέπονθε· διὸ τὸ ἔπος Ζηνόδοτος ἀθετεῖ. B. Ἀρίσταρχος δὲ ἀθετεῖ LV.

907. αἱ δ' αὖτις: καλῶς οὐ πάρεισιν ὅτε ἐνετύγχανεν Ἄρης, ἵνα μήτε ἀδολεσχοῖεν μήτε κατὰ δειλίαν δοκοῖεν σιωπᾶν. οὐ διὰ τῶν ἵππων δὲ ὑποστρέφουσι· προετερατολόγησε γὰρ αὐτοὺς ὁ ποιητής. B.

909. παύσασαι: συλληπτικῶς. V.

Ἄρην: οὕτως Ἡρωδιανός φησι μετὰ τοῦ ν Ἄρην. A.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχειον διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΕΙΣ ΤΗΝ Ζ.

1. Τρώων: ἡ Τροία τὰ μὲν θαλάσσια πρὸς Ἑλλήσποντον ἔχει, τὰ δὲ βόρεια πρὸς Ζέλειαν, τὰ δὲ ὑποκείμενα πρὸς Φρυγίαν, τὰ δὲ μεσήμβρινα πρὸς Λυδίαν. ὡς φιλέλλην δὲ ἀπάγει τοὺς θεούς, καὶ ἐξέτασιν ἀμφοτέρων ποιεῖ. ἐμονώθη δὲ ἡ μάχη τῆς τῶν θεῶν συμμαχίας οὕτως· Ἥρα μὲν γὰρ καὶ Ἀθηνᾶ εἰς τὸν Ὄλυμπον ἀπίασιν, Ἀπόλλων δὲ εἰς Πέργαμον· ὁ δὲ Ἄρης καὶ ἡ Ἀφροδίτη τέτρωνται ὑπὸ Διομήδους. AB.

οἰώθη: ἐμονώθη τῆς τῶν θεῶν συμμαχίας, χωρὶς θεῶν ἐγένετο. D. τινὲς τὸ οἰώθη ἀντὶ τοῦ ἰσώθη, ὡμοιώθη. φύλοπις δὲ ὁ ἐμφύλιος πόλεμος κακῶς παρά τισι λέγεται· ἀλλ' ἡ μετὰ βοῆς φῦλα συνάπτουσα ἀμφότερα τῶν τε Τρώων καὶ Ἑλλήνων μάχη. λέγεται δὲ καὶ ἡ κατὰ φῦλα, οἷον ἔθνους μετὰ ἑταίρου οἰκείου πολεμούντων ἄλλων διὰ τὸ ὁμοψυχεῖν· „κρῖνε" γάρ φησιν „ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας Ἀγαμέμνων" (Il. 2, 362). B.

φύλοπις ἡ μάχη ἀπὸ τοῦ κατὰ φῦλα μάχεσθαι συνερχομένους. BDL.

2. ἔνθα καὶ ἔνθ': ἢ ἐν τῷ διώκειν καὶ φεύγειν, ἢ ἐπὶ τὰ δεξιὰ καὶ ἀριστερά. ἐξηγεῖται δὲ τὸ πολυάϊκος πολέμοιο (Il. 1, 165). ἴθυσε δὲ τὸ ἰθὺς ὥρμησεν. BL.

ἐπ' εὐθείας ἐφέρετο ἡ μάχη, ποτὲ μὲν τῶν Ἀχαιῶν ἀνατρεπόντων τοὺς Τρῶας, ποτὲ δὲ ἀνατρεπομένων ὑπ' αὐτῶν. AD.

ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, ἵν' ᾖ διὰ πεδίου. A.

3. ἀλλήλων ἰθυνομένων: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἐπ' ἀλλήλους ἰθυνόντων (τουτέστιν ἐπ' εὐθείας βαλλόντων D), καὶ παρεῖται ἡ ἐπί πρόθεσις. A.

λείπει ἡ κατά, ἵν' ᾖ κατ' ἀλλήλων. LV.

4. ἡ διπλῆ, ὅτι ἐν τοῖς ἀρχαίοις ἐγέγραπτο „μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης·" διὸ καὶ ἐν τοῖς ὑπομνήμασι φέρεται. καὶ ὕστερον δὲ περιπεσὼν ἔγραψε „μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων." τοῖς γὰρ τοῦ ναυστάθμου τόποις ἡ γραφὴ συμφέρει, πρὸς οὓς μάχονται. A.

πρότερον ἐγέγραπτο „μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης·" ὕστερον δὲ Ἀρίσταρχος ταύτην τὴν γραφὴν εὑρὼν ἐνέκρινεν. Χάρης δὲ γράφει „μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ Σιμόεντος." BLV.

Ξάνθοιο: διὰ τὸ τραχὺ τοῦ Σκαμάνδρου εὗρεν ὄνομα τῷ μέτρῳ ἐμπῖπτον, ἵνα μὴ δόξῃ ἄτιμον εἶναι. πολλάκις δὲ καὶ ἐφ' ὧν τὸ μέτρον οὐ κωλύεται, διττὰ ὀνόματα τάττει „χαλκίδα κιχλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν" (Il. 15, 291) „ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντε Αἰγαιῶνα" (Il. 1, 403)· „ἄνδρες Βάτειαν κικλήσκουσιν, ἀθάνατοι δέ τε σῆμα" (Il. 2, 813). διὰ ταύτην τὴν αἰτίαν τῷ Ἕκτορος υἱῷ Σκαμανδρίῳ ἕτερον ὄνομα περιτίθησι τ Ἀστυάναξ. εἰ δέ τις ἐπιζητεῖ πῶς ἐν τοῖς ἑξῆς οὐ μόνο Ξάνθον ἀλλὰ καὶ Σκάμανδρον τὸν ποταμόν φησιν, ἴσω ὅ ψεύδους παρεῖχεν ὑποψίαν τὸ μὴ παραλαβεῖν ποτὲ τὸ κ ριον. BLV. Ξάνθος δὲ ὠνόμασται διὰ τὸ ξανθίζειν τ τρίχας. LV.

5. πρῶτος: πρώην ἰσοπαλοῦς οὔσης τῆς μάχης. ἢ με τὴν ἀναχώρησιν τῶν θεῶν πρῶτος ἔτρωσεν. LV.

5. 6. τρισὶ μεταφοραῖς κέχρηται, ἐπιφαίνων τὴν ὁμοι τητα. ὃ γὰρ δύναται πρὸς ἀσφάλειαν πόλεως τεῖχος, τοῦ πρὸς σωτηρίαν στρατοῦ γενναῖος ἀνήρ· καὶ πάλιν ὃ δύν ῥῆξις ἐσθῆτος τὴν σκέπην ἀναιροῦσα, τοῦτο ἐδυνήθη ῥη σομένη ἡ φάλαγξ καὶ τὸν στρατὸν παραβλάπτουσα· καὶ πάν ὡς ὀνίνησι φῶς τοὺς σκότῳ κατεχομένους, οὕτως καὶ τ νικωμένους (τοῖς νικωμένοις D) ὑπὸ τῆς Ἄρεως ἀχλ ἐπέλαμψεν ἡ Αἴαντος βοήθεια. ABDL.

6. φάλαγγα: ἀπὸ τῶν φάλων. V.

ζητεῖται πῶς Αἴας ἀνελὼν τὸν Ἀκάμαντα „φόως ἑτάροισιν ἔθηκε," τῆς ἀριστείας αὐτοῖς παραδιδομένης. τέον οὖν ὅτι κατὰ τοῦτο φοβερὸς ἔδοξεν ὁ Ἀκάμας εἰ καθὸ ὁ Ἄρης αὐτῷ ἀπείκασται πολλοὺς Ἑλλήνων ἀναιρῶ

7. ἄριστον: ἢ ἀνδρεῖον, ἢ διὰ τὸ εἰκάσθαι αὐτῷ Ἄ ἐν τῇ συμβολῇ. LV.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

9. ἔβαλε: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἔπαισε. A.

10. τινὲς τὸ μετώπῳ δυϊκῶς· καὶ ἀλλαχοῦ γάρ φησιν „ἐμῆς κόρυθος λεύσσουσι μέτωπα" (Il. 16, 70). BDLV.

12. Ἄξυλον: οἰκεῖον φιλοξένῳ τὸ ὄνομα· Ἄξυλος γὰρ παρὰ τὸ ἄγειν, ὡς ἀ παρὰ τὸ καλεῖν Καλήσιος. τινὲς δὲ τὸν ξύλα δαπανῶντά φασιν, ἐπιτάσει τοῦ ᾱ. A.

13. Τενθρανίδην: ἤλειπται τὸ τ, ἢ Τενθράνη παῖδα. Ἀρίσβη Τροίας· ἀ Λέσβου δέ ἐστιν. LV.

14. ἀγνειὸς βιότοιο: πλήσιος τῷ βίῳ. δηλονότι δι' ὅλης πλειτῶν τῆς ζωῆς, ὡς καὶ „προτέρων ἐτέων" (Il. 11, 691). BV.

15. πάντας, φησί, τοὺς παρατυγχάνοντας. A.

φιλέεσκεν: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἐξένιζεν. A.

ἢ δὲ ἐπί ἀντὶ τῆς παρά, ὡς τὸ ἐπὶ λιμένι οἰκῶν. A.

ἄλλως. τὸ ὁδῷ ἔπι οἰκία ναίων ἀντὶ τοῦ ἔχει τὸ παρὰ τὴν ὁδὸν οἰκία ναίων, ἀλλ' ἡ ἐπί δηλοῖ ἐν τούτοις τὸ ὑψηλὸν ἀπὸ τῆς γῆς· ἐπεὶ τοίνυν ἐστὶν ἡ οἰκία ὑψηλοτέρα τῆς γῆς, καὶ ὁ οἰκῶν ἐν αὐτῇ ἐπάνω γῆς οἰκεῖ. ὅτως ἔφη ἀ τὸ „τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεύς" (Il. 1, 440), ἤγουν παρὰ τὸν βωμόν, ὅτι κυρίως βωμὸς κατασκεύασμα ἐλέγετο ἀναβαθμοὺς ἀ βήματα ἔχον, ὑψηλὸν ἀπὸ τῆς γῆς· διὰ τοῦτο ἐν ἐπὶ βωμὸν Ὀδυσσεὺς ἄγει. ἀ ὅτος μὲν ὁ βωμὸς θυήεις, εἰς ὃν ἀναβαίνειν ἔξιν. ἔξι δὲ ἀ ἄλλος ὅπου τὰ ἅρματα ἐτίθετο· „ἅρμα δ' ἅμα βωμοῖσι τίθει" (Il. 8, 441). A.

16. ἀλλά οἱ ἤτις: δοκεῖ ἡ προσθήκη αὕτη τὸ κάλλιστόν τε ἀ βιωφελὲς ἐξευτελίζειν ὡς ἀκ ὂν καλόν· καίτοι μᾶλλον ἐχρῆν ἀ βοηθόν τινα ἐκ θεῶν τότε ἀναπλάσαι, ἵν' ἡμεῖς προτρεπώμεθα ἐπὶ τὸ φιλόξενον. ἢ ἂν ἁπλῶς ἀναπεφώνηται, ὡς τὸ „ἠδὲ ἑκηβολίαι" (Il. 5, 54)· ἢ ἀποδοκιμάζει τὴν ἄκριτον φιλοξενίαν ἀ τὸ μὴ ἐπικρίνειν ποῖός τίς ἐστιν ᾧ μέλλει δεξιὰν συνάπτειν. ἐναρέτων γὰρ ἴδιον ἐχὶ τὸ πάντας φιλεῖν ἀλλὰ τινάς· διὸ ἐδέν φίλον ἔχεν. εἶτα ἡ ἐπίορκος μετὰ τῶν ἄλλων ὑπόκειται· τὰ δὲ καλὰ καλαρεύειν ἀπὸ τῶν ἐναντίων ὀφείλει. BLV.

17. πρόσθεν ὑπαντιάσας: ἢ ὑπερασπίσας, ἢ ἐναντιωθεὶς Διομήδει, ἢ ἀντὶ τοῦ πρὸ τότε, ἵνα ᾖ πρὸς Διομήδην ἀ καθ' ὑπερβατόν· ἀλλὰ πρόωθεν ὑπαντιάσας ἄμφω θυμὸν ἀπηύρα, τετέχειν ἀμφοτέρων ἀφελόμενος τὸν θυμὸν αὐτὸς ἀφεῖλετο· ἀφῃρημένης γὰρ τῆς ψυχῆς κωφὸν τὸ σῶμα λείπεται. B.

διασαλτέον ἐπὶ τοῦ ὑπαντιάσας. A.

ἡ διπλῆ πρὸς τὸ χῆμα· ἀμφοτέρας τὴν ψυχὴν ἀφεῖλετο ἀντὶ τοῦ ἀμφοτέρων· τὸ γὰρ ἄμφω ἢ ἀμφότεροι ἢ ἀμφοτέρας σημαίνει. A.

18. Καλήσιον: ἡ διπλῆ, ὅτι ὀνοματοθετικῶς ὁ ποιητὴς· ἀπὸ γὰρ τοῦ καλεῖν ἐπὶ τὰ ξένια Καλήσιος. A.

19. ὑφηνίοχος: ἡ διπλῆ, ὅτι παρέλκει ἡ πρόθεσις ὡς τῷ „Ποσειδάωνος ὑποδμώς" (Od. 4, 386). A.

πλεονάζει ἡ ὑπό, ὡς τὸ ὑποδμώς ἀ ἐπαινὴ Περσεφόνη. ὅτι ἀ ὁ παρυβάτης ἡνίοχος λέγεται, ὡς τὸ „θρασὺν ἡνίοχον φέροντες Ἕκτορα" (Il. 8, 89). τὸ δὲ γαῖαν ἐδύτην φησίν, ὅτι γῆν ταφέντες ἐνεδύσαντο. BLV.

21. Αἴσηπον: ὅτος μὲν ἐξ Αἰσήπου τοῦ ποταμοῦ λέγεται, ὁ δὲ Πήδασος παρὰ τὸ πηδᾶν. οἱ δὲ περὶ Ἀρίσαρχον Πήρεχον τὴν Πήδασον λέγουσιν (οἱ δὲ ἄλλοι ἱστορικοὶ τὸν Πήδασον Τήρεχον — Τήρενον L — καλοῦσιν LV). BLV.

22. Νηΐς: ἢ παρὰ τὰ νήματα ἢ παρὰ τὰ νηΐα ξύλα· φασὶ γὰρ τὰς λεγομένας Νηΐδας νύμφας ἐν ἑλώδεσιν ὄρεσι διαιτᾶσθαι. τὸ δὲ Ἀβαρβαρέη κύριον· λέγει δὲ τὸ πολὺ ἀ χυδαῖον ἀβέρβελλον (ἀβέρβερε V). BV.

23. ἀγαυοῦ: τῷ γένει ἢ τῷ κάλλει· ἀ γὰρ δεῖ τὸν Λαομέδοντος τὸν τρόπον ἐπαινεῖν, ὃς τοὺς περὶ Ἀπόλλωνα ἀ Ποσειδῶνα θεοὺς ἠδίκησε, ἀ αὖθις Ἡρακλέα. BL.

24. σκότιον: ἡ διπλῆ, ὅτι τοὺς μὴ ἐκ φανερᾶς συνουσίας λαθραίας δὲ μίξεως γεγονότας σκοτίους καλεῖ, τοὺς δὲ αὐτοὺς ἀ παρθενίους (Il. 16, 180). A.

σκότιον τὸν ἐξ ἀδιαδεχήτων γάμων νόθον λέγει. τὸ δὲ κύριον ὄνομα Σκοτίος. BL.

σκότιον ὡς λύγιον· τὸ γὰρ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν (κ. παροξύνεται παρὰ Πινδάρῳ BL). ABL.

25. ἐπ' ὄεσσι: ἀντὶ τοῦ παρ' ὄεσσι, ἀ ὅτι ἐν τῷ τόπῳ τῶν ὀΐων λέγει. A.

Ἀττικῶς ἀπὸ τῶν ὄντων τὸν τόπον δηλοῖ, ὡς τὸ „δῆεις τόν γε σύεσσι παρήμενον" (Od. 13, 407). BL.

27. καὶ μὲν τῶν: ἓ μὲν τὰ γένη τῶν θανάτων προλέγει, ἓ δὲ ἐπιλέγει ἀεί ποτε. B.

28. καὶ ἀπ' ὤμων: καὶ ἀπεγύμνα τῶν ὤμων τὰ ὅπλα. ἔξι δὲ ὑπερβατὸν ἀ συνεκδοχὴ ὅλα τοῦ σώματος. A.

31. ἔγχει: τοῦτο δύναται ἀ τοῖς ἑξῆς συνάπτεσθαι· κοινὸν γὰρ τὸ ἐξενάριξεν. A.

οἱ μὲν Ἀρετάονα ἐξεδέξαντο, οἱ δὲ ἄρ', εἶτα Ἐτάονα. A.

32. ἄβληρον: βλῶ βλήσω βληρός ἀ ἄβληρος. LV.

34. ναῖε δὲ Σατνιόεντος: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει „ὃς ναῖε Σατνιόεντος" ὁ Ἔλατος. κακόφωνον δὲ γίνεται. A.

35. Πήδασον: τὴν πρὸς Καρίᾳ καὶ Ἁλικαρνασσῷ, ἣν ἀπὸ Πηγάσου καλοῦσιν· ὑπῆρχοντο γὰρ αὐτῷ δῶσειν χώραν, ἣν ὁ ἵππος νυχθημέρῳ περιτροχάσει. διὸ ἀ χάραγμα τοῦ ἵππου ἔχουσιν. ἔξι δὲ καὶ ἄλλη Τρωάς, ἣν ἅμα Λυρνησσῷ καταλέγει. LV.

ταύτην τὴν Πήδασον Μονηνίαν φασὶ τὸ πρότερον καλεῖσθαι· Ἀχιλλέως δὲ αὐτὴν ἐπὶ πολὺ πολιορκοῦντος, εἶτα μέλλοντος ἀναχωρεῖν, Πηδάσα τις (Πεισιδίκη LV) παρθένος ἐραθεῖσα αὐτοῦ ἐν μήλῳ ἔγραψεν οὕτως „μὴ σπεῦδ' Ἀχιλλεῦ πρὶν Μονηνίαν ἕλῃς· ὕδωρ γὰρ ἐκ ἔχουσι (ἔνεσι LV)· διψῶσι κακῶς." ὁ δὲ περιμείνας ὑπέταξε τὴν πόλιν, καὶ Πήδασον ὠνόμασε διὰ τὴν παρθένον. BLV.

Ἀχιλλεὺς ὑπὸ τὸν Τρωϊκὸν πόλεμον πορθῶν τὰς περιοικὰς τῆς Ἰλίου πόλεις, ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηνίαν (Μονηΐαν D) νῦν δὲ Πήδασον καλουμένην, ἀ αὐτὴν σὺν ταῖς ἄλλαις ἑλεῖν. ἀπογόντος δὲ αὐτοῦ τὴν εἰς τὸ τέ-

λος πολιορκίαν διὰ τὴν ὀχυρότητα τῆ τόπου καὶ μέλλοντος ἀναχωρεῖν, φασὶν εἴσω τῶν τειχῶν οὖσάν τινα παρθένον ἐραωθῆναι τῆ Ἀχιλλέως, καὶ λαβοῦσαν μῆλον εἰς τοῦτο ἐπιγράψαι, καὶ ῥῖψαι εἰς μέσον τῶν Ἀχαιῶν· ἦν δὲ ἐν αὐτῷ γεγραμμένον „μὴ σπεῦδ' Ἀχιλλεῦ πρὶν Μονηνίαν ἐλεῖν· ὕδωρ γὰρ ἐκ ἕνεσι· διψῶσι κακῶς." τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα ἕτω λαβεῖν τὴν πόλιν τῇ τῆ ὕδατος σπάνει. ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡσιόδῳ. AD.

36. φεύγοντ': καὶ τοῦτο δύναται τοῖς ἑξῆς συνάπτεσθαι, φεύγοντ' Εὐρύπυλος δέ. ἐπὶ δὲ τῶν τοιούτων νοείσθω ὅτι ἐκ Ὁμηρικὸν τὸ τῆ συνδέσμε ὑπερβατόν. A.

37. ζωὸν ἕλ': καλὸν ἐπεισόδιον πρὸς ἐξαλλαγὴν ταυτότητος. BLV.

ἀτυζομένω: ἀπὸ τοῦ ἄτω, ἄττω, ἀτύω, Αἰολικῶς ἀτύζω. AB. ἀντὶ τῆ ταρασσομένω. LV.

πεδίοιο: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, καὶ ἵππω δυϊκῶς ὡς ἐπὶ ξυνωρίδος ἔφη. A.

38. 39· ἀναγκαῖαι διαζολαὶ ἐπὶ τὸ πεδίοιο, μυρικίνῳ, ῥυμῷ, πρὸς πόλιν, ἵν' ᾖ σαφέστερον. A.

39. ἐνί: ἐκ ἀναγκαῖον ἀναιρέφειν· δύναται γὰρ πρὸς τὸ μυρικίνῳ συντάσσεσθαι. A.

μυρικίνῳ: ἐπεὶ μεταξὺ ποταμῶν ἡ μάχη, εἰκότως μυρῖκαι πολλαί· καὶ ἐπὶ Δήλωνος „θῆκεν ἀνὰ μυρίκην" (Il. 10, 466). ἀγκύλον δὲ διὰ τὰς τροχάς. BL.

40. ἡ διπλῆ, ὅτι πρώτῳ ἀντὶ τῆ ἄκρῳ, καὶ ὅτι εἷς ῥυμός. A.

ῥυμῷ: ἐνταῦθα ἢ τὸν ἄξονα λέγει, ἢ τὸ τῆ ῥυμοῦ τέλος ὃ προσερείδεται τῷ ζυγῷ. ἄμεινον δὲ λέγειν τὸν ἄξονα· καὶ γὰρ καὶ „παρὰ τροχὸν ἐξεκυλίσθη" (42). B.

αὐτὼ μέν: γραφικῶς οἱ μὲν ἵπποι φεύγουσιν ἐπικειμένῃ τῆ ζυγῆ· τὸ δὲ ἅρμα ἐπιπλέκεται μυρίκης κλάδῳ· ὁ δὲ Ἄδραστος κυλισθεὶς ἐκ τῆ ἅρματος κεῖται παρὰ τὸν τροχὸν ἐπὶ πρόσωπον· ὁ δὲ Μενέλαος ἀνατετακὼς τὸ δόρυ ἐφέσηκεν αὐτῷ. BDL.

41. φοβέοντο: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ ἔφευγον· ἐπὶ τούτε γὰρ ἀεὶ τὴν λέξιν τίθησιν. A.

43. ἐπὶ σόμα: ἡ διπλῆ, ὅτι ἐξηγήσατο τί ἐστι τὸ προηνῆς, ὡς „μῆλα, βόες τε καὶ αἶγες" (Od. 9, 184). σόμα τὸ πρόσωπον· ἕτω Λάκωνες. AV.

45. γούνων: ὡς ἀθενέσης κατ' ἐκεῖνο τὸ μέρος τῆς ψυχῆς. AL. ἁδεὶς τῶν Ἑλλήνων τοῦτο ποιεῖ. LV.

46. ἄξια δέξαι ἄποινα: οὐχ ὥρισε ποσότητα, ἀλλ' ἐν ἑαυτῷ τὸν ἀριθμὸν κατέλιπεν. ἀπὸ τῆ διηγηματικῆ ἐπὶ τὸ μιμητικὸν μέτεισιν. B.

48. πολύκμητος: ὁ ἤδη εἰργασμένος, ἢ ὁ πολλοὺς κάμνειν (ὅ ἐστιν ἀποθνήσκειν) ποιῶν· ἢ ὁ εἰς πολλὰς καμάτας ἐπιτήδειος· ἢ ὁ δυσκατέργαστος. ταῦτα δὲ λέγει, ἵνα μὴ ὡς πένητι αὐτῷ ἀπιστήσῃ. B.

49. χαρίσαιτο: μετὰ χαρᾶς δοίη. ἢ τὴν πρᾶσιν ἑτέρῳ ὀνόματι περιεκάλυψεν. BLV.

50. πεπύθοιτ': ἡ διπλῆ πρὸς τὸν ἀναδιπλασιασμόν, ὅτι ὡς λελάχωσιν, ἀντὶ τῆ πύθοιτο. A.

51. τῷ δ' ἄρα θυμόν: μαλθακός ἐστιν αἰχμητής, ὅτι λόγος πολεμίε τὴν ψυχὴν αὐτῆ ὥρινεν. B.

53. καταξέμεν: ὑψηλὴ γὰρ καὶ ἀνεμόεσσα ἡ Ἴλιος. BD.

54. ἀντίος: ἔτως Ἀρίσαρχος διὰ τῆ ω, ἄλλοι δὲ διὰ τῆ ν. A.

ἦλθε θέων: ἦλθε πρὸ τῆ συνθέτε Μενέλαον. τὸ δὲ ἀντίος ὁ μὲν Ζηνόδοτος διὰ τοῦ ν γράφει, ἀντίον, ὁ δὲ Ἀρίσαρχος διὰ τῆ ω, ἀντίος· ὃ καὶ ἄμεινον. B.

55. ὦ πέπον, ὦ Μενέλαε: πολὺ τὸ ἄρθρον. τὸ δὲ σχῆμα πολὺ παρὰ Ἀττικοῖς ἐστιν. V.

τίη: μία λέξις ἀδιαίρετος. V.

56. ἦ: περισπαστέον τὸν ἦ· διαπορητικὸς γάρ ἐστι. πολὺ δὲ τὸ ἦθος ἐμφαίνει, λέγων ἆρα καλὰ πέπονθας πρὸς αὐτῶν. BL.

58. σικτέον εἰς τὸ ἡμετέρας. BL.

μηδ' ὄντινα γαστέρι μήτηρ: μισητὰ καὶ ἐκ ἁρμόζοντα βασιλικῷ ἤθει τὰ ῥήματα· τρόπε γὰρ ἐνδείκνυσι θηριότητα, ὁ δὲ ἀκροατὴς ἄνθρωπος ὢν μισεῖ τὸ ἄγαν πικρὸν καὶ ἀπάνθρωπον. ὅθεν κἂν ταῖς τραγῳδίαις κρύπτεσι τοὺς δρῶντας τὰ τοιαῦτα ἐν ταῖς σκηναῖς, καὶ ἡ φωναῖς τισὶν ἐξακουομέναις ἢ δὲ ἀγγέλων ὕστερον σημαίνεσι τὰ πραχθέντα, ἵνα μὴδὲν ἄλλο ἢ φοβέμενοι μὴ αὐτοὶ συμμισηθῶσι τοῖς δρωμένοις. λεκτέον δὲ ὅτι εἰ μὲν ἔλεγε ταῦτα πρὸ τῆς ἐπιορκίας, ἦν ἂν ἔγκλημα· ἐπειδὴ δὲ μετὰ τὰς ὅρκους καὶ τὴν παράβασιν, ἐκ ἐπαχθὴς Ἀγαμέμνων· χεδὸν γὰρ καὶ ὁ ἀκροατὴς τοῦτο βέλεται, τὸ μηδὲ γένος ἐπιλιμπάνεσθαι τῶν ἐπιόρκων· τάχα γὰρ καὶ ὑπὲρ τῶν θεῶν ὀργίζεται. ἄλλως τε πρᾶος μέν ἐστι τοῖς ἀρχομένοις, βαρὺς δὲ τοῖς ἀντιπάλοις· τοῦτο γὰρ βασιλέως ἀγαθῆ καὶ ἰσχυρῆ. BLV.

59. ὑποσικτέον ἐπὶ τὸ φέροι, ἵνα ζίζωμεν ἐπὶ τὸ ἡμετέρας. τινὲς δὲ γράφεσι φέρει. A.

60. ἀκήδεσοι: μὴ ἔχοντες τὸν κηδεύοντα. ἄφαντο δέ, ὡς μηδὲ μνημεῖον αὐτῶν καταλείπεσθαι. BL.

61. παρέπεισεν: γράφεται ἔτρεψεν. A.

62. αἴσιμα: τὰ εἱμαρμένα ἢ πρέποντα τοῖς ἀδικεμένοις. ἐμαρτύρησε δὲ αὐτῷ ὡς καλῶς διαθεμένῳ τὰς λόγε ὁ δὲ Μενέλαος ὡς ἱκέτην ἐ φονεύει. μέτριον ἓν καὶ ἀόργητον τὸ τότε ἦθος χαρακτηρίζει· ὁ πρότερον γὰρ ἀδικηθεὶνῦν δὲ τρωθεὶς ἐπὶ σπονδαῖς, φείδεται τῆ πολεμίε. BLV

63. τὸ δὲ ἦρω' Ἄδρηστον κατὰ συναλοιφήν. LV.

64. ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν. A.

66. μακρόν: ὡς πρὸς τὴν ἑαυτῆ δύναμιν· ἢ καὶ αὐτὸ ὑπὸ τῆς χαρᾶς ἐπιῤῥώννυται. BL.

68. ἐπιβαλλόμενος: ἐπιθυμῶν, ἀντιποιούμενος, ἐπιβολὴν ποιούμενος εἰς ἀναίρεσιν. βέλτιον δὲ ἐπιθυμῶν. βραχὺ διασαλτέον ἐπὶ τὸ ἐπιβαλλόμενος, πρόσεσαφέστερον. A.

70. κτείνωμεν: τῷ πόνῳ συζεύγνυσιν ἑαυτόν, δυσπῶν τὰς νέας. διὰ δὲ τὸ νεμεσητὸν ἐ πρὸ τῆς συμβολῆ τοῦτο παραινεῖ· καὶ Ἕκτωρ „ἦε δὲ ἔναρα" (Il. 15, 347). Λακεδαιμόνιοι τοῦτο ἐθέσπισαν τριακοσίας ἄνδρας ἐπὶ

πράσσειν τᾶτο τεταχότες. ταχτικὸς ἦν νῦν ὁ Νέςωρ φαίνεται. LV.

71. *νεκρους λέγει τεθνειῶτας τὸ ὂν δηλῶν, ὡς τάφρον ὀρυκτήν. ὁ δὲ Ζηνόδοτος „Τρώων ἀμπεδίον συλήσομεν ἔντεα νεκρῶν," ἵνα μὴ μόνον εἰς τὴν πρᾶξιν ἀλλὰ καὶ εἰς τὸ κέρδος συμπεριλαμβάνοι ἑαυτὸν ὁ Νέςωρ. ἀγνοεῖ δὲ ὅτι ἦθος ἐςὶν Ὁμηρικὸν τὸ τοιᾶτον, ὡς ἐν τῷ „ἄλλοι μὲν γ' ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ σοί τ' ἐπιπείθονθ' καὶ δεδμήμεθα ἕκαςος" (Il. 5, 878)· ἔδει γ' δέδμηθ'. καὶ πάλιν„ ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες" (Il. 2, 139)· ὤφειλε γ' πείθεθε. καὶ „νῦν μὲν δόρπον ἕλεθε κατὰ ςρατὸν ἐν τελέεσσιν" (Il. 18, 298)· ἔδει γ' εἰπεῖν ἑλώμεθα. BLV.*

Ἀρίςαρχος τεθνηῶτας. ὁ δὲ Ζηνόδοτος „Τρώων ἀμπεδίον συλήσομεν ἔντεα νεκρῶν." Ἀθηνοκλέης δὲ ἐν τῷ περὶ Ὁμήρε παρατηρήσαντος ὅτι τῷ μὲν καμάτῳ καὶ ἑαυτὸν ὁ Νέςωρ ὑποβάλλει, λέγων κτείνωμεν, τὸ δὲ κέρδος ἴδιον ποιεῖ τῶν ςρατιωτῶν ἐν τῷ συλήσετε, ὁ Χαῖρις Ὁμηρικὸν εἶναί φησι τὸν τῆς ἑρμηνείας χαρακτῆρα, ὡς ἐν τέτοις „ἄλλοί μὲν — ἕκαςος·" ἔδει γ' δέδμηνθ' ὡς πείθονθ', ἢ ἀνάπαλιν· καὶ πάλιν „ἀλλ' ἄγεθ' — πάντες·" νῦν μὲν ςρατόν" καὶ ἀλλαχῆ· οὐδὲ γ' ἄλλως ἀκμάζει Νέςωρ, ἀλλ' ὑπὸ γήρως ἔοικεν ἀπειρηκέναι. ταῦτα ὁ Δίδυμος. A.

73. ἔνθα κεν αὖτε Τρῶες: λίαν οἶδε τὸ τῆς εἱμαρμένης ὁ ποιητής, ὡς καὶ ἐπὶ Ἀχιλλέως. καὶ νῦν ἦν ἀπεφθάρησαν ἄν, εἰ μὴ ἱκέτευσαν. ἐπεὶ δ' ἀπεύξαντο καὶ ἱκέτευσαν, δυσυχῶσι μόνον. BL.

76. Πριαμίδης Ἕλενος: λέγεθ' τὸν Ἕλενον δίδυμον εἶναι Κασάνδρᾳ, τεχθέντας δὲ καταλειφθῆναι ἐν τῷ τοῦ Θυμβραίε Ἀπόλλωνος ἱερῷ, καὶ δράκοντας ἀποψῆσαι τὴν ἀκοήν, καὶ τὴν μαντείαν ἐντεῦθεν λαβεῖν. LV.

οἰωνοπόλων οὐχ' ἅριςος: Ἀμμώνιος, ὡς Ἀρίςαρχος, προφέρεθ' καὶ ταύτην τὴν γραφὴν μάντις τ' οἰωνοπόλος τε. ἔργον δὲ τὸ σαφὲς εἰπεῖν· διὸ διχῶς. A.

77. πόνος: ὅτι τὸ κατὰ τὸν πόλεμον ἔργον πόνον εἴρηκε πάλιν. A.

διὰ τὸ ἀλαζονικὸν συμπεριλαμβάνει καὶ τὸν Αἰνείαν· τραχὺς γ' ὁ Ἕκτωρ πρὸς τὰς συμβόλας. BLV.

78. Λυκίων κατ' ἐξοχὴν τῶν συμμάχων. BL.

ἐγκέκλιται δὲ ἐρήρεισαι, ἐπίκειθ', ἐκ μεταφορᾶς τῶν καμνόντων ἀῤῥωςίαις καὶ προσαναπαυομένων ἐχυροτέροις σώμασιν, ἢ τῶν ζυγοςατεμένων. ABL. ὅθεν καὶ ἀςραβῆ κίονα καὶ „κίονι κεκλιμένη" (Od. 6, 307) καὶ „Ἀλκινόε δ' ἐκ τεῦδ' ἔχεθ" (Od. 11, 346). φησὶ δὲ ὅτι ἐὰν ὑμεῖς ἀπόληθε, ςραφήσεται ὁ πόλεμος καὶ ἡ βελή. BL.

ἄλλως. τί βέλεθ' τὸ „Αἰνεία τε καὶ Ἕκτορ ἐπεὶ — φρονέειν τε;" τὸ μὲν ἐν ἐγκεκλίῃ τὸν πόνον αὐτοῖς ἔχει τὴν μεταφορὰν ἔγγυς ἀπὸ τῶν χειραγωγεμένων δι' ἀσθένειαν καὶ ἐπικλινόντων αὑτὲς πρὸς τὲς καθίζοντας, ἢ ἀπὸ τῶν ζυγοςατέντων καὶ ῥεπόντων εἰς μέρος. ἡ ῥοπὴ δὲ ἦν τῶν πραγμάτων πρὸς ὑμᾶς ἐςὶν ἐγκεκλιμένη· τὸ ἀσθενὲς καὶ ἑαυτὸ φέρειν μὴ δυνάμενον ὑμεῖς διακρατεῖτε ὀρθῦντες. ἢ ἀπὸ τῶν ἐγκεκλιμένων τινὶ ζιῴῳ. ἐγκέκλιθ' οὖν, ἐν τῇ ὑμετέρᾳ φροντίδι περικέκλεισαι ἡ σωτηρία τῶν πραγμάτων· καὶ ἡ αἰτία, ἕνεκ' ἄριςοι πᾶσαν ἐπ' ἰθὺν ἐςε. ἢ ἰθὺς ἦν ἡ ὁρμή, ἀπὸ τᾶ πρόσω φέρεθ'· ἐπὶ πᾶσαν ἦν ὁρμὴν καὶ τᾷ φρονεῖν καὶ τᾷ μάχεθαι ἐςε ἄριςοι. ἢ ἰθὺς ὀρθότης· ἄριςοι ἦν ἐςὲ ἐν πάσῃ ὀρθότητι τᾷ τε φρονεῖν καὶ μάχεθ'. ἀρετὴ δὲ τῶν ἡγεμένων βελεύεθ' μὲν ἄριςα τὸ συμφέρον, πράττειν δὲ κάλλιςα τὸ βεβελευμένον. θεραπεύει δὲ αὐτές, ἵνα ὡς φρόνιμοι δέξωνται τὴν συμβολήν. Ἕκτορα δὲ πέμπει ὡς πείσοντα τὴν θεὸν διὰ τῆς ἀξιοπιςίας. B.

80. στῆτ' αὐτοῦ καὶ λαὸν ἐρυκάκετε: ὁ τρόπος σύλληψις· τῷ μὲν ἑνὶ ςῆναι κελεύει πρὸ τῶν πυλῶν μὴ συγχωρῆντι φυγεῖν, τῷ δὲ ἑτέρῳ περιιέναι ὀτρύνοντι. ἢ τὸ στῆτε τῆς φυγῆς παύεθε. οἱ δὲ ἀντιςρέφουσιν, ὡς τὸ „εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λέσασα" (Od. 5, 264). BL.

81. χερσὶ γυναικῶν: καλῶς ἐκ εἶπε πύλῃσιν ἢ οἰκοισιν, τᾶτο γ' εὐχημονέςερον, ἀλλὰ χερσὶ γυναικῶν· τᾶτο δὲ ἀχημονέςερον καὶ ἀτιμότερον. B. εὐσχημονέςερον δὲ τοῦ ἰςορεμένε περὶ τὰς Περσικὰς γυναῖκας (Iustin. 1, 6, 14). LV.

84. ἡμεῖς: ἐγὼ καὶ Αἰνείας. πιθανῶς δὲ τοῖς ἐπικινδύνοις ἑαυτὸν καταλέγει. BL.

86. μετέρχεο: πλεονάζει ἡ μετά. LV.

87. ξυνάγουσα: ἡ διπλῆ, ὅτι ὁ χρόνος ἐνήλλακται, ἀντὶ τᾶ συναγαγᾶσα. A. τὸ δὲ ξυνάγεσα ἀντὶ τᾶ συνάξασα. V.

γεραιάς: τινὲς γεραράς ἀναγινώσκεσιν, ἵνα δηλοῖ τὰς ἱερείας, τὰς ἐκ τῶν ἱερῶν γέρας δεχομένας. BLV.

87. 88. συναπτέον τὸ „ἡ δὲ ξυνάγεσα γεραιάς" τῷ „νηὸν Ἀθηναίης," ἵνα διαςέλλωμεν ἐν πόλει ἄκρῃ· λειπόσης γ' τῆς εἰς προθέσεως καὶ τᾶ ᾗ συνδέσμε γίνεται ὁ λόγος, ἡ δὲ ξυνάγεσα τὰς γεραιὰς εἰς τὸν τῆς Ἀθηνᾶς ναόν, καὶ ἀνοίξασα τὰς θύρας τᾷ ἱερᾷ οἴκε, τὸν πέπλον ἀναθέτω. ἐὰν δὲ συνάπτωθ' οἱ δύο ςίχοι, νηὸν Ἀθηναίης καὶ οἴξασα κληῖδι θύρας, ἡ φράσις σολοικός, τὸν ναὸν ἀνοίξασα, τὰς θύρας αὐτάς. A.

εἰς τὸ γλαυκώπιδος ςικτέον, καὶ λείπει ἡ εἰς· συνάξασα εἰς τὸν ναὸν τὰς γεραιὰς καὶ ἀνοίξασα τὰς θύρας αὐτοῦ ἐν τῇ ἀκροπόλει. ἢ περισσοὶ οἱ δύο ςίχοι· διὸ ἐδὲ ὑπὸ τᾶ Ἕκτορος λέγοθ'· ἐ γ' αὐτῇ τὸ οἴξαι προσῆκεν. BL.

88. ἐν πόλει ἄκρῃ: διάλυσις ἢ μετατύπωσις ὁ τρόπος. AD.

90. τὴν ὃς ὀξυτονητέον διὰ τὴν οἱ ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐςιν. διδάσκει δὲ ἐκ τῶν καλλιςευόντων τὸ θεῖον τιμᾶν. ABL.

92. ἐπὶ: ἡ διπλῆ, ὅτι ἀντὶ τῆς παρά, ἵν' ᾖ παρὰ γούνασιν· ὀρθὰ γ' τὰ Παλλάδια κατεσκεύασαι. καὶ ἔςιν ὅμοιον τῷ „ἦ μὲν ἐπ' ἐχάρῃ" (Od. 6, 52) ἀντὶ τᾶ παρ' ἐχάρῃ· ἦ γ' ἐπὶ τὴν ἐπάνω χέσιν σημαίνει. διὸ οὐκ ἀναςρεπτέον τὴν πρόθεσιν. A.

ἢ ἐπὶ ἀντὶ τῆς παρά, ὁμοίως τῷ „ἦ μὲν ἐπ' ἐχάρῃ ἦεν." Στράβων γάρ φησι καθῆθαι πρώην τὰ ἀγάλματα τῆς Ἀθηνᾶς. ἢ ἐξαρτῆσαι αὐτῆς κελεύει. BL.

ἄλλως. πῶς δὲ ὀρθῶ ὄντος τῶ Παλλαδίο τὸν πέπλον ἐπὶ γόνασι θεῖναι παρακελεύῃ; καὶ τινὲς μὲν ἔν φασιν ὅτι πολλὰ τῶν Παλλαδίων κάθηῃ. οἱ δὲ ἀπὸ μέρους τὸ ὅλον σῶμα, ὡς ἐπὶ τῶ εὐκνήμιδες Ἀχαιοί. οἱ δέ, ὅτι γόνατα καὶ τὰς ἱκετείας φησί· λέγει γ' „ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐνὶ γόνασι κεῖται" (Od. 1, 267), τετέςιν ἐν τῇ τῶν θεῶν λιτανείᾳ καὶ δεήσει. θεῖναι ἔν τὸν πέπλον ἐπὶ γοῦνασιν Ἀθηναίης ἀντὶ τῶ ἐπὶ λιτανείᾳ ἢ δεήσει. οἱ δὲ ὅτι τῇ ἐπὶ ἀντὶ τῆς παρά εἴωθε χρῆσθι, ὡς ἐν τῷ „ποιμαίνων δ' ἐπ' ὄεσσιν" (25). ἔτως ἔν ἢ ἐπὶ γόνασιν ἀντὶ τῶ παρὰ γόνασιν Ἀθηναίης. B.

φασὶ δὲ τὸ διοπετὲς ἀνδρὸς δορὰν ἠμφιέσθι, ἔχειν δὲ ζέμματα καὶ ἡλακάτην, ἐν δὲ τῇ κεφαλῇ πόλιν, ἐν δὲ τῇ δεξιᾷ δόρυ. BL.

φασὶν Ἥφαιςον ἐκ τῶν ὀςῶν Πέλοπος πεποιηκέναι τὸ Παλλάδιον. LV.

93. δυοκαίδεκα: δωδεκηὶς (δωδεκαΐς ἡ L) θυσία ἐςὶ παρὰ τοῖς Ἀττικοῖς. εὐεπίφορος δὲ ὁ ποιητὴς εἰς τὸν δώδεκα. LV.

94. ἦνις: ἔνος ὁ. ἐνιαυτός, παρώνυμον ἔνις, ἢ τροπῇ τῶ ε εἰς η ἦνις ἤνιος Ἰωνικῶς· ἦνις συναλοιφῇ, τὰς ἐνὸς ἔσας ἐνιαυτῶ. B. νέας, ἀδαμάσας, ἀκεντήτες, V.

95. ἄστυ: παρὰ τὸ ἄνω ἵςαθι· οἱ γ' ἀρχαῖοι τὰς πόλεις ἐφ' ὑψηλῷ τόπῳ ᾠκοδόμιον. B.

96. αἴ κεν: Ἀρίςαρχος ὡς κεν. A.

Ἰλίου ἱρῆς: ἡ διπλῆ, ὅτι θηλυκῶς τῆς Ἰλίς. A.

97. τινὲς οὕτως διεῖλον, ἄγριον, εἶτα αἰχμητὴν κρατερόν, εἶτα μήστωρα φόβοιο. Ἀπολλόδωρος δὲ διχῶς, ἄγριον αἰχμητήν, εἶτα κρατερὸν μήςωρα φόβοιο, ἵνα ᾖ ἰσχυρὸν ἐν τῷ μήσασθι φυγὴν τοῖς πολεμίοις. εἰ μέντοι βέλοιντό τινες ταῦτα συνάψαι, ἴσωσαν ὅτι λείψουσι σύνδεσμοι. A.

αἰχμητήν: ἐν τῷ αἰχμάζειν κράτιςον, ἵνα μὴ ὑπὲρ εὐτελῶς δοκοῖεν καταφυγεῖν εἰς θεός. LV.

98. γενέσθαι: καλῶς ἐκ εἶπεν εἶναι, ἀλλὰ γενέσθι νῦν ὑπὸ Ἀθηνᾶς δηλονότι. LV.

99. οὐδ' Ἀχιλῆα: ἐπεὶ τὰ παρόντα μᾶλλον λυπεῖ. ἀμφότερα δὲ ἐξῆρε τὰ πρόσωπα, τὸ μὲν ὡς προῦχον, τὸ δὲ ὡς τὸν ἄριςον ὑπερβαλλόμενον. V.

102. ἔτι καςιγνήτῳ ἀπίθησεν: ἢ γ' ἢ τὸ μονομάχιον τότῳ πειθὴς ἐποίησεν. δεισιδαίμων δὲ ὢν ὁ Θέλει πορέργως τὴν θυσίαν γενέσθι. ἄλλως τε ἢ παροξύνει αὐτός, ἢ καταλείπει Αἰνείαν. ἢ πρὸς ἀνάπαυσιν τῶν ςρατευμάτων· διὸ ἢ τὸ μονομάχιον Γλαύκε παράγεται. ἢ ἐπεὶ ὠείδισαι ὑπὸ Σαρπηδόνος, Ἀλέξανδρον θέλει παρεγεῖραι. BL.

106. ἐλελίχθησαν: διεγείρει γ' αὐτὲς ἡ τῇ πάντῃ ἐποιχομένου ἔπειξις. BL.

108. δέ: ὁ δὲ ἀντὶ τῶ γάρ. B.

109. ἤτοι στικτέον ἐπὶ τὸ κατελθέμεν, ἵνα ἀφ' ἑτέρας ἀρχῆς λέγῃ τὸ ὡς ἐλέλιχθεν ἀντὶ τῶ ἔτως ἐλέλιχθεν· ἢ συναπτέον, ἵν' ᾖ τὸ ὡς ἀντὶ τῶ ὅτε. βέλτιον δὲ τὸ πρότερον. AB.

110. ἐκέκλετο: ἀπὸ τῶ κέλω ἐκέλετο, καὶ πλεονασμῷ τῶ κ ἐκέκλετο. B.

ἀπὸ τῶ κικλῶ ἔδει ἐκίκλετο. ἢ μᾶλλον ἀπὸ τῶ ἐκέλετο. LV.

112. ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει „ἀνέρες ἔξε θοοί, ἢ ἀμύνετον ἄξεϊ λώβην." συγχεῖται δὲ τὸ δυϊκὸν πρὸς πολλὲς λεγόμενον. A.

ἐπιπληχθεὶς ὑπὸ Σαρπηδόνος μετριώτερος γέγονε, καὶ τὴν προσφώνησιν φιλανθρωποτέραν ποιεῖται. BL.

113. ὄφρ' ἂν ἐγὼ βείω: ταύτην τὴν ἀπολογίαν ποιεῖται, ἵνα μὴ δοκῇ φεύγειν. B.

διχῶς Ἀρίςαρχος, καὶ διὰ τῶ κέ, ὄφρα κ' ἐγώ, καὶ διὰ τῶ ἄν. A.

114. βουλευτῆσι: ὁ μὲν Ἕλενος ἔλεγεν „εἰπὲ δ' ἔπειτα μητέρι σῇ ἢ ἐμῇ· ἡ δὲ ξυνάγυσα γεραιάς." ὁ δὲ Ἕκτωρ τὴν μὲν ὑπὲρ Διομήδες ἐκκλέπτει εὐχήν, τῶ δὲ εὐπρεπῶς ἕνεκα προςίθησι τὲς προβέλες γέροντας. πιθανῶς δὲ ἢ τοῖς βελευταῖς φησίν, ἵνα μὴ δοκῇ γυναῖκας μόνας ἐπὶ τῶ ςρατεύματος ὀνομάζειν. BL.

καὶ πῶς εὐθὺς εἶπε τοῖς βελευταῖς ἀλλὰ ταῖς γυναιξίν; νοητέον ἔν ἤτοι κατὰ τὸ σιωπώμενον κἀκείνοις αὐτὸν εἰρηκέναι, ἢ ὡς ἐπὶ ςρατείας ἢ παρατάξεως τῶ πρέποντος χάριν τῶτο προσεθεικέναι. A.

115. δαίμοσιν ἀρήσασθαι: ἐπέρρωσεν αὐτὲς χρηςῇ ἐλπίδι· δεδίασι γ' ὡς παρασπονθήσαντες. BL.

116. ἀπέβη: καὶ πῶς ἔδει τοσαύτῃ περισάσει συνεχομένων τῶν Τρώων ἀναχωρεῖν ἢ μὴ μᾶλλον ἐπικηρυκεύσασθι τὴν θυσίαν; ἀλλ' ἤδει τὲς Τρῶας ἐθελοκακῶντας τῇ ἀπεσίᾳ τῶ Ἀλεξάνδρε, ἢ μᾶλλον ἐπὶ τῶτον ὥρμητο, ἵνα διεγείρῃ ἢ αὐτόν. B.

ἢ εἰς τὴν Ἴλιον ἐπάνοδος τῶ Ἕκτορος ἀλόγως ἔχειν δοκεῖ· ἢ γ' διὰ κήρυκος τὰ περὶ τὴν θυσίαν ἀποσαλῆναι ἠδύνατο. ἢ λύσις ἐκ τῶ καιρῶ· τῶν γ' Τρώων ἐθελοκακόντων διὰ τὴν τῶ Ἀλεξάνδρε ἀπεσίαν, τὸ πλέον ἐπὶ τῶτον πορεύεται. B.

ἄλλως. ἀπορῶσιν ἐπὶ τῇ ἀποσάσει Ἕκτορός τινες τῇ εἰς τὴν πόλιν γεγονυίᾳ, πάσης ἔτως τῆς ῥοπῆς τῶν πραγμάτων παρὰ τοῖς Ἕλλησιν ὔσης. δυνάμενος ὁ Ἕκτωρ ἢ ἄλλον ἀποζέλλειν πρὸς τὴν μητέρα, ἵνα εὔξηῃ ἢ τὲς ἄλλας εἰς τῶτο παρακαλέσῃ, ἃ ποιεῖ τῶτο ἀλλ' αὐτὸς ἄπεισιν οἱ μέν φασιν, ὅπως τῇ γυναικὶ διαλεχθῇ, τῶτο τὸν ποιητὴν οἰκονομῆσαι· οἱ δὲ τῶτο μὲν ἄλλως φασὶν ἐπακολουθῆσαι, προηγέμενον δὲ ἰδεῖν ὡς εὔλογον εἶναι ἀπαίτησιν φασὶν ὅτι παρών τε εὐθὺν ὄφελος, καὶ ἀπελθών, ἐξ ὧν μάντις ἔλεγεν, ἀπαλλαγὴν τῶν παρόντων εὕρισκε, παρασκευάσας τὸ θεῖον εὐμενές. καὶ ἃ μικρὰν δὲ ἔφασαν ἐπιροπὴν τῶ θείε εἶναι τὸ ἢ διὰ τῶν τυχόντων ἢ διὰ τὸ προεςῶτος τῶν πραγμάτων γίνεσθι τὴν θεραπείαν, ἐπεὶ οὐδὲ τὸ ὑπὸ οἰκέτε τυχεῖν διακονίας ὅμοιον τῷ ὑπὸ τῶ υἱῶ ἀδελφῆ ἢ γυναικός· ὑπὸ τῶν ἀρίςων γ' τιμωμένους τοὺ

θεὸς εἰκὼς μᾶλλον χαίρειν ἢ ὑπὸ τῶν τυχόντων. ἔπειτ' ἐ περὶ τῦ Ἕκτορος ζητεῖν δεῖ, διὰ τί χωρίζει πεισθεὶς τῷ μάντει κ τάτα ἀκύσας ἐκτελεῖ τὸ πρόσαγμα, συντελεῖν τὰ κελευόμενα πρὸς τὰς θεὰς καθήκειν κρίνας· πρὸς δὲ τὸν μάντιν, εἰ ἄρα, ζητεῖν ἔδει δι' ἣν αἰτίαν κ τῦτον ἀπάγει. εἶπε δ' ἂν ὅτι ἐ πρὸς τὰς δόξας τῶν πολλῶν ἅπαντα πέφυκεν εἰς τὰς θεὰς καθήκοντα, ἀλλ' ὥσπερ ἐφάνη δεῖν εἶξαθ, κ θεῶν ἐκ ἄλλῳ ἀλλὰ τῇ Ἀθηνᾷ, πέπλον τε ἀναθεῖναι τὸν χαριέστατον ἠδὲ μέγιστον, κ βαθυσίας ὑποχέσθ, καὶ διὰ πρεσβυτίδων γυναικῶν καὶ ἐντίμων κ τῶν ἱερειῶν γενέσθ τὰς εὐχάς, ἔτωσὶ δὲ κ ὅτι διὰ πρεσβευτῦ κ ἀξιόχρεω Ἕκτορος παντὶ λῷον ἐφάνη τὴν πραγματείαν γενέσθ, μεῖζονα ἔχοντος τὴν τῦ συμφέροντος κατάληψιν ἢ οἱ ἄλλοι ἰδιῶται. κ μῆνις θεῶν πολλάκις ἰδίως διά τινος λύει προσώπ, καὶ διὰ τῦδε μᾶλλον τῦ ἱερέως ἢ τῦδε, κ τῶνδε παρόντων ἢ τῶνδε. χωρὶς δὲ τάτων, ἐκ ἐρημον ἄρχοντος κατέλιπε τὸ στρατόπεδον, ἀλλ' οἵ τε ἀδελφοὶ παρῆσαν πολλοὶ κ ὁ Αἰνείας κ οἱ Ἀντηνορίδαι κ Πεισιδάμας, ἀξίωμα ἐπὶ τῇ μάχεσθ κ φρόνημα ἐ μικρὸν ἔχοντες. δεῖ ἂν μᾶλλον λογίζεσθ διὰ τὴν εἰρημένην χρείαν καὶ ἄλλα παρευρίσκειν ὠφελεῖν μέλλοντα τὰς οἰκείας, ὧν κ τὸ ἐξαγαγεῖν κρυπτόμενον τὸν Ἀλέξανδρον κ οἶκοι διατρίβοντα· πρὸς ὃν εἰκὸς ἀγανακτῦντας τὰς Τρῳὰς ἐθελοκακεῖν ἐν τῷ πολέμῳ. ῥᾳδίως δὲ ἐκ ἂν ἐξήγγελλε, πέμψας ἄλλας πρὸς αὐτόν. B.

117. ἀμφὶ δέ μιν σφυρὰ: ἐναργῶς ἐδήλωσε θέοντα καὶ ὑπὸ τῆς ἀμφιβρότης ἀσπίδος τυπτόμενον. καταλλήλως δὲ εἶπεν ὅτι κατὰ τὰ σφυρὰ καὶ τὸν αὐχένα ἡ δερματίνη ἄντυξ αὐτὸν ἔτυπτεν. ἐκ ἐπὶ ἵππων δὲ ἀναχωρεῖ διὰ τὸ μὴ δοκεῖν φεύγειν, ἢ ἐπεὶ πρὸς ἱκετείαν ἄπεισιν· ἢ ὅπως κ οἱ πολέμιοι θεώμενοι τὸ ἅρμα μὴ δοκοῖεν αὐτὸν ἀπηλλάχθαι. BL.

ἡ διπλῆ, ὅτι περιφερεῖς καὶ ἀνδρομήκεις αἱ ἀσπίδες ἕως σφυρῶν κ αὐχένος καλύπτεσαι. A.

118. ἄντυξ: νῦν ἡ περιφέρεια τῆς ἀσπίδος. D.

119. Γλαῦκος δ': ἡ διπλῆ, ὅτι μετατιθέασί τινες ἀλλαχόσε ταύτην τὴν σύσυσιν. A.

διαναπαύει τὸν ἀκροατὴν γενεαλογίας κ μύθᾳ παρεμβάλλων, ἐκ ἐᾷ τε κενὴν τὴν ἔξοδον Ἕκτορος, ὅ τε στρατὸς διαναπαύει ἀφορῶν τὸ τέλος τῶν ἀριστέων. καὶ Ἑλλήνων ὑποχωρησάντων καὶ κενᾶ ὄντος τᾶ μεταιχμίᾳ προπηδᾷ Γλαῦκος. ἐν τάχει μὲν ἔν πέφρασαι, ὅμως δὲ πρὸς ὠφέλειαν ταῦτα ὁ ποιητὴς ἐπεξεργασαι. BLV.

120. ἐς μέσον ἀμφοτέρων: διεξῶτες γ' ἦσαν καὶ ἀναπαύομενοι. BL. τὸ δὲ ἀμφοτέρων τῶν τε Τρώων κ Ἀχαιῶν. L.

121. ἰόντες: Ζηνόδοτος κ Ἀριστοφάνης δυϊκῶς ἰόντε. ἐν δὲ τοῖς ἔμπροσθεν εἰρήκαμεν Ἀριστάρχῳ εἶναι τὴν δυϊκὴν γραφήν. A. ἰόντες. Ἀρίσαρχος δυϊκῶς. LV.

123. τίς δὲ σύ ἐσσι: μέχρι γ' τᾶ τρῶσαι τὰς θεοὺς τὴν ἀχλὺν ἀφῆρητο· νῦν δὲ περίκειτ' αὐτήν. BL.

ἡ διπλῆ, ὅτι ἐ καθόλε τὴν ἀχλὺν ἀφῃρέθη πρὸς τῆς θεᾶ. A.

124. οὐ μέν γάρ ποτ' ὄπωπα: δευτέραν γ' Σαρπηδόνος ἔχων τὴν τάξιν ἐ προεμάχει. ἢ ἐν τῇ πρὸς ἐμέ, φησί, μάχῃ ἔ πώ σε τεθέαμαι. BL.

125. προβέβηκας: ὡς δὴ ἀναπαυομένων τῶν φαλάγγων χώραν λαβὼν ἔπεισιν αὐτῷ. BL.

127. δυσήνων: κακὴν ἐχόντων τὴν ῥάσιν, ἢ δυσθανῶν. B.

δυσήνων δέ τε παῖδες: ὡς υἷες Ἀχαιῶν. V.

128. κατ' οὐρανὸν εἰλήλουθας: ἔτως Ἀρίσαρχος, οἷον καταβέβηκας τὸν ἐρανόν. διὸ διὰ τᾶ ν γράφει, κατ' ἐρανόν. A.

ὡς τὸ „βὰν δὲ κατ' Ἰδαίων ὀρέων" (Il. 8, 410) καὶ „ὡς φαμένη κατέβαιν' ὑπερῴϊα σιγαλόεντα" (Od. 18, 205), ἵνα κ τᾶτο τῷ εἰλήλθας συντάσσοιτο. οἱ δὲ ἀντὶ τῆς ἀπό. τᾶτο δέ φησιν, ἐπεὶ εἶπε „φὰν δέ τιν' ἀθανάτων" (108)· τὸ γ' παράδοξον τῆς τόλμης ἀπιστεῖν αὐτὸν εἰκότως ἐργάζεται. BLV.

συναπτέον ὅλον τὸν στίχον. A.

129. Θεοῖσιν: πῶς, φασί, λέγει Διομήδης „οὐκ ἂν ἔγωγε — Λυκόργ" καὶ τὰ ἑξῆς. πῶς γ' παραιτεῖθ λέγων τὸ θεομαχεῖν αὐτὸς μὲν δύο τέτρωκε θεὼ ἤδη, τὸν Διόνυσον δὲ ἐν αὐτοῖς τέτοις μαινόμενον λέγει κ πεφευγέναι εἰς θάλασσαν φοβηθέντα; ἄτοπον γ' κ ψεύσῃ ὁμᾶ καὶ βλάσφημον τὸν Διομήδη κατελέγχον. λύσις. τὸ μὲν ἓν τρῶσαι θεὼ οὐ κατὰ προαίρεσιν αὐτᾶ γέγονε, καθ' ὑπηρεσίαν δὲ ἄλλης θεᾶ, κατὰ θεῶν ἕπεσθ κ αὐτῆς κελευσάσης. τοῖς δύο δ' εἰρηκυίας Ἀθηνᾶς μόνοις δεῖν ἐναντιωθῆναι, καὶ διὰ τάτες τὴν ὁμίχλην ἀφελέσης καὶ τὴν ἀπὸ τάτων μόνων ἀγνωσίαν ἀφῃρημένης, προσθείσης δὲ „μή τί σύ γ' ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθ τοῖς ἄλλοις" (Il. 5, 130), καὶ τᾶ Διομήδες εἰπόντος „ἀλλ' ἔτι σὴν μέμνημαι ἐφετμὴν ἃς ἐπέτελλεν, ἐ μ' εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθ τοῖς ἄλλοις" (ib. 818), Γλαύκε δὲ θρασύτερον ἐπιόντος, εὐλαβεῖται μή τις εἴη θεός, καὶ τῆς παραγγελίας μνήμην ἐγείρει, λέγων „ἐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην." μαινόμενος δὲ ὁ Διόνυσος ἐ κατὰ βλασφημίαν εἰρῆ, ἀλλὰ παραζατικῶς τῆς τᾶ θεᾶ κατὰ βακχείαν ὁρμῆς, φλέγοντος ἰσχυρῶς κ ἀκμάζοντος κ ἐρρωμένε ἐν τῇ τῆς χορείας καταζάσει, ὁμοίως τῷ „μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὁλοὸν πῦρ" (Il. 15, 605). καὶ ἐν τῇ συνηθείᾳ δὲ ἐπὶ τῶν ὑπερβαλλόντων τοῖς ἔργοις κατ' ἀνδρείαν μαίνεσθαι φαμέν, μανίαν τὴν ἐνθουσιαστικὴν πρᾶξιν λέγοντες. κ Πλάτων δὲ διαιρῶν τὴν μανίαν, δείκνυσι τὰς ἀγαθάς τε κ θείας αἰτίνές εἰσι. φυγὴν δὲ Διονύσε, ἐκ Ἰδομενέως κατέγνωκε. τοῖς δὲ λεγομένοις κ κεκρατηκόσι μύθοις Ὅμηρος κρίνων αὐτοὺς εἰς χρῆσιν κατὰ καιρὸν τοῖς ἥρωσιν ἀνατέθεικεν. τὰ δὲ κατὰ τὴν Λυκουργίαν οἰκεῖον ἦν εἰδέναι τῷ Διομήδει· Οἰνεὺς γ' ὁ πάππος αὐτᾶ ὁμόλεκτρος λέγει Διονύσῳ γενέσθ· οἶδεν ἂν εἰκότως τὰ κατὰ τὸν Διόνυσον, κ ὁποίᾳ τέλες ἔτυχεν ὁ πρὸς τοῦτον μαχεσάμενος

159. γάρ μιν: γράφεϑ γάρ οἱ. A.

160. Ἄντεια: ἡ διπλῆ, ὅτι Ὅμηρος Ἄντειαν, οἱ δὲ νεώτεροι Σθενέβοιαν, ᾗ ὅτι ἀκαίρως τὸ δῖα· μάχεται γὰρ ἡ μάχλος. A.

ἀποτρέπων ἡμᾶς τῇ τοιᾶτῃ μανίαν ὀνομάζει τὸ πάθος· ἢ ᾗ δῖα ἅσα ἐπεμήνατο. τινὲς δὲ Διάντεια ὁμῶ ἀναγινώσκουσι, κακῶς, ἀγνοοῦντες ὅτι τὸ δῖα πολλαχῶς παρ' Ὁμήρῳ νοεῖται. BL.

προπερισπαστέον τὸ δῖα, ᾗ τὸ Ἄντεια προενεκτέον ὡς Κράτεια. ἔνιοι δὲ ὑπονοήσαντες ἀτόπως ἔχειν τὸ δῖα, κατὰ κόσμον ποιητικὸν προσέρριπται, ὡς ᾗ ἐπὶ τῇ „δῖα Κλυταιμνήστρη" (Od. 3, 266). A.

162. πεῖϑ': ὁ παρατατικὸς τὴν πολλάκις τοῦτο λέγουσαν ἐϑήλωσε. τὸ δὲ ἀγαϑὰ φρονέοντα ἀφ' ἑαυτοῦ ἐκπεφώνηκε· κἀκεῖ γὰρ κατὰ μοιχῶν νομοϑετῶν φησιν „ὡς ἀπόλοιτο καὶ ἄλλος" (Od. 1, 47) καὶ „ἐκ ἀρετᾶφ κακὰ ἔργα" (Od. 8, 329). δῆλον δὲ ἦν καὶ μὴ προστεϑέντος τῇ ὀνόματος ὅτι Βελλεροφόντης λέγεϑ· περὶ γὰρ τούτου ὁ λόγος ἦν. ἀλλ' ὅμως ἐπήνεγκε τέκνομα, τοῦτο μὲν ὡς ἐν σχήματι κινῶν, τοῦτο δὲ ἐπὶ τῇ σωφροσύνῃ τῇ ἀνδρὸς ἡδόμενος διὰ ξόμια αὐτὸν ἔχει· οἷς γὰρ ἡδόμεϑα, τούτοις ἀνὰ ξόμια ἀεὶ περιφέρομεν. BL.

164. τεϑναίης: καλόν σοι, φησί, τὸ ἀποϑανεῖν, εἰ μὴ κατιχύσεις τῇ καϑυβρίσαντός σε· ἀλλ' εἰ βέλει ζῆν, ἐκεῖνον ἄνελε· εἰ γὰρ ἐμὲ ἠϑέλησε βιάσαϑφ, ἐδὲ σὲ φείσεϑ. δείκνυσι δὲ ὅτι τέλος ἔρωτος ἀποτυχόντος μῖσός ἐστιν. BL.

ὅς μ': ἀντὶ τῇ μοί. ὡς „οὐδέ σ' ὀΐω" (Il. 1, 170) „ἢ μ' οἴῳ ἐρέοντι" (Od. 4, 367). V.

165. μιγήμεναι ἐκ ἐϑελόσῃ: τρεῖς τρόποι μίξεων· ἢ βέλεταί τις μὴ βελομένῃ μιγῆναι, ὡς νῦν ἔστος λοιδορεῖται· ἢ μὴ βελόμενος βελομένῃ, ὡς Ὀδυσσεὺς „παρ' ἐκ ἐϑέλων ἐϑελόσῃ" (Od. 5, 155) τῇ Καλυψοῖ· ἢ ὡς Αἴγισϑος τῇ Κλυταιμνήστρᾳ ἐϑέλων ἐϑελόσῃ (Od. 3, 272). τέταρτος δὲ τρόπος ἐκ ἔστιν· οὐδεὶς γὰρ ἄκων ἀκόσῃ πώποτε μίγνυϑ. A.

166. οἷον: ἀντὶ τῇ παράδοξον. πῶς δὲ ἐκ ἤλεγξεν; ἢ διασύρει διὰ τούτου τὸν ἀνδρῶν γυναικοπαϑῆ Ὅμηρος. BL.

167. ἀλέεινε: ὡς ξένον. LV.

168. σήματα μὲν τὰ γράμματα, πίνακα δὲ τὸ λεγόμενον πινακίδιον. BL. γράμματα κατὰ λόγον φιλόσοφον, ἐπεί εἰσι σημεῖα φωνῶν ἢ νοημάτων ἢ πραγμάτων. οἱ δὲ κλῆρον ἐσημήνατο· „ὅς μιν ἐπιγράψας" (Il. 7, 175). ἄτοπον γὰρ τὲς πᾶσαν τέχνην εὑρόντας ἐκ εἰδέναι γράμματα. τινὲς δέ, ὡς παρ' Αἰγυπτίοις ἱερὰ ζῴδια, δι' ὧν δηλοῦϑ τὰ πράγματα. LV.

169. ἡ διπλῆ, ὅτι ἔμφασίς ἐστι τοῖς τῆς λέξεως γράμμασι χρῆϑαι· ἃ δεῖ δὲ τοῦτο δέξαϑαι, ἀλλ' ἔστι γράψαι τὸ ξέσαι. οἷον ἔν ἐγχαράξας εἴδωλα δι' ὧν ἔδει γνῶναι τὸν πενθερὸν τῇ Προίτου. A.

170. ἠνώγειν: οὕτως σὺν τῷ ν ἠνώγειν Ἀρίσαρχος· ἠνώγεεν γάρ. A.

ᾧ πενθερῷ: Ἰοβάτῃ ἢ Ἀμισωδάρῳ. V.

ἡ διπλῆ, ὅτι τοῦτον οἱ νεώτεροι Ἰοβάτην φασίν. A.

171. θεῶν ὑπ' ἀμύμονι πομπῇ: αἰσίοις οἰωνοῖς. V.

ὁ Ἴξιων ἐν τῷ πρώτῳ τῷ πρὸς τὰς ἐξηγήσεις προφέρεϑ μετ' ἀμύμονι. A.

172. ῥέοντα: ᾗ ποῖος, φασί, ποταμὸς οὐ ῥεῖ; ῥητέον ὅτι ἐπεὶ ᾗ πόλις ἐστὶ Λυκίας, πρὸς ἀντιδιαστολὴν ἁπλῶς τὸ ῥέοντα τέθεικεν. ἢ τὸν ἀένναον λέγει ᾗ ἀεὶ ὡσαύτως ἔχοντα. ἢ μᾶλλον τὸν ῥευματώδη. BL.

173. τῖεν: ἢ ὡς παρὰ κηδεστῇ ἥκοντα φιλοφρονεῖϑ, ἢ ὅτι ἐν θυσίαις αὐτὸν εὗρεν· ἢ ὀκνῶν ἕτος ἐκ ἀπεδίδα, μὴ ϑέλων τύχοιμι διὰ τὴν γυναῖκα ἐπιδημεῖν. BL.

174. ἐννῆμαρ: ἡ διπλῆ, ὅτι ἐπίφορός ἐστι πρὸς τὸν ἐνιαυτὸν ἀριθμόν. A.

Ἀρίσαρχος καὶ ξείνισσε καὶ ξείνιζε. A.

176. καὶ τότε μιν ἐρέεινε: ἡ διπλῆ, ὅτι ἔθος ἦν παρὰ τοῖς παλαιοῖς ξενίζειν πρότερον, εἶτα πυνθάνεσϑαι τίνος ἕνεκεν παραγεγόνασιν οἱ ξένοι. A.

σῆμα: τὸ ἐπίταγμα „σημαίνων ἐπέτελλεν" (Il. 21, 445). ἢ τὸ πτυκτὸν τὸ ἔχον τὰ σήματα, ὃ ἐστι τὰ γράμματα. LV.

ἡ διπλῆ, ὅτι σημεῖα λέγει, οὐ γράμματα· εἴδωλα ἄρα ἐνέγραψεν. A.

179. ἀμαιμακέτην: τὴν ἄγαν μαιμῶσαν, ἢ τὴν ἀκαταμάχητον. V. ἢ τὴν περιμήκη. L.

180. ϑεῖον γένος: τὰ τερατώδη εἰς ϑεοὺς ἀναφέρει. ἤτοι ἦν διὰ τὸ παρηλλαγμένῃ κεχρῆϑαι φύσει, ἢ διὰ τὸ ἐκ Τυφῶνος καὶ Ἐχίδνης μυθολογεῖϑαι γεννηϑῆναι αὐτήν. BL.

181. ἡ διπλῆ, ὅτι ἓν σῶμα ἡ Χίμαιρα. A.

πρόσϑε λέων: εἰ τὸ πλεῖον καὶ ἐμπρόσϑιον μέρος εἶχε λέοντος, ἔδει αὐτὸ χίμαιραν μὴ καλεῖσϑαι ἀλλὰ λέοντα. ἦν ἓν τὸ πᾶν χίμαιρα, ἀφ' ἧ καὶ ὠνομάζετο, κεφαλὴν δὲ εἶχε λεαίνης, ὀρὰν δὲ δράκοντος. τοίνυν πῦρ εἰσάγεϑ ἀναπνέουσα διὰ τῶν σόματος τῶν λέοντος. Ἡσίοδος δὲ ἡπατήϑη τρικέφαλον αὐτὴν εἰπών. BLV. οἱ δὲ πανδοκεῖς εἶναι λέγουσι Λέοντα καὶ Δράκοντα καλουμένους, μέσην δὲ αὐτῶν πανδοκεύτριαν Χίμαιραν, ἣ τὲς παριόντας ἤψε μελιδὸν καὶ τοῖς ἄλλοις παρεῖχε παρατιθέναι. ἔνιοι δὲ ὄρος εἶναι κατὰ Λυκίαν, ὃ καλεῖϑ Χίμαιρα· τοῦτο δὲ κατὰ μέσον ἔχει ἀναφυσήματα πυρός, κατὰ δὲ τὰ ἄκρα πολύθηρον. LV.

182. πυρὸς μένος: λείπει τὸ ὡς, ὡς πυρός. V.

183. ϑεῶν τεράεσσι πιθήσας: ἀπίσου ὄντος τοῦ τοιούτου ϑηρίου ἀνάλωσε, τὸ ἄπιστον ἰάσατο, ϑείαν ἐπαγαγὼν δύναμιν. BL.

ἡ διπλῆ, ὅτι ἐδὲν περὶ τῆς κατὰ τὸν Πήγασον ἰσορροπίας ἐμφαίνει. A.

184. Σολύμοισι: ᾗ „ἐκ Σολύμων ὀρέων" (Od. 5, 283) ἀπὸ γὰρ τῶν ἀνατολικῶν Αἰθιόπων ἐπανιὼν ἀπὸ Πισιδίας ᾗ Κιλικίας ὁρᾷ Ὀδυσσέα ὁ Ποσειδῶν. LV.

185. φάτο: εὖ τὸ μὴ εἰπεῖν ὅτι ἄλλοι ἔφασαν, ἀλλ' αὐτὸς ὁ πεπειραμένος. BL.

186. Ἀμαζόνας: αὗται γὰρ κατατρέχουσαι τὴν Ἀσίαν ἐληΐζοντο· ἐ μόνον δὲ ἀλλὰ ᾗ Φρυγίην εἰσήλυθον· ἀπ' ἐξ αὐτῶν Ἔφεσος καὶ Σμύρνα καλεῖται. BLV.

187. ἀνερχομένῳ: ἕτως Ἀρίσαρχος· ἄλλοι δὲ διὰ τῆ ε, ἐπερχομένῳ. A. Ἀρίσαρχος ἀπερχομένῳ γράφει, διὰ τῆ α. γράφε δὲ καὶ ἀνερχομένῳ. V.

188. φῶτας ἀρίστους: διδάσκει μόνες τὰς ἀρίστας λοχᾶν καὶ ἀλκιμωτάτας· „ἔνθα μάλιστ' ἀρετὴ διαείδε ἀνδρῶν" (Il. 13, 277). ἀπὸ ἰδίας δὲ ὁ σίχος ἀρχῆς. BL.

γράφε καὶ εἴκοσι φῶτας. L.

βέλτιον τοῖς ἑξῆς συντάττειν τὸν σίχον. A.

189. λύχον: δῆλον ὡς διὰ τὴν καλοκαγαθίαν τῆ ἀνδρὸς ἐκ ἠθέλησεν αὐτὸν προφανῶς φονεῦσαι. BL.

ἡ διπλῆ πρὸς τὸ πάλιν, ὅτι ὁ χρονικῶς. A.

191. γίνωσκε Θεοῦ γόνον: ἡ διπλῆ, ὅτι ἐκ τῶν πραττομένων τᾶτο συνέβαλεν. εἰ δὲ προσέκειτο καὶ ὁ Πήγασος, πολὺ πλέον αὐτᾶ τὴν δόξαν ἐπισώσατο. A.

ἡ πρᾶξις αὐτὸν ὡς Θεᾶ ἔδειξεν υἱόν· ἐκ τῶν πράξεων γὰρ τὰς εὐγενείας ἀξιοῖ κρίνεσθαι ὁ ποιητής. B. Ποσειδῶνος δὲ ἦν καὶ μητρὸς τῆς Ἐρυσίχθονος. V.

192. θυγατέρα ἦν: Ἀλκιμέδουσαν ἢ Πασάνδραν. V. (Κασάνδραν L)

194. Λύκιοι: ὡς τῶν δεινῶν δι' αὐτᾶ ἀπηλλαγμένοι· πολλὰ γὰρ παρὰ τῶν γειτονόντων δεινὰ καθ' ἑκάστην ἔπασχον. BL. ἢ ἐκ προσάξεως βασιλικῆς τᾶτο ποιήσαντες, ἵνα ἱλεώσωνται τᾶτον τῆς πρώην ἐνέδρας ἕνεκα· ἢ τὰ αὐτὰ φρονᾶντες τῷ βασιλεῖ αὐτῶν, εἰ ἐκεῖνος τὴν θυγατέρα αὐτῷ δέδωκε, διότι ἔγνω Θεᾶ γόνον ἠῦν ἐόντα αὐτόν. L.

τέμενος τάμον: ἡ διπλῆ, ὅτι παρετυμολογεῖ τὸ τέμενος ἀπὸ τᾶ τεμεῖν καὶ ἀφορίσαι. A.

195. γράφε ὄφρα νέμοιτο. A.

196. ἡ δ': πρὸς τὸ θυγατέρα ἦν. V.

198. Λαοδαμείῃ μέν: ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A.

199. ἡ διπλῆ, ὅτι καθ' Ὅμηρον Σαρπηδὼν υἱὸς Εὐρώπης ἐκ ἐστιν, ἀδ' ἀδελφὸς Μίνωος, ὡς οἱ νεώτεροι καὶ γὰρ οἱ χρόνοι εὔδηλοι. A. ἐπεὶ πῶς, εἰ Εὐρώπης ἦν, ὁ συστρατεύει Ἰδομενεῖ; ἢ ὅτι παρὰ Διὸς τὴν ἦβην ἐπὶ ἓξ ἔχον γενεάς. V.

καὶ πῶς ἐν ἑτέρᾳ ἱστορίᾳ Εὐρώπης αὐτὸν φησιν; λέγομεν δὲ ὅτι ἡ αὐτή ἐστιν. εἰρηται γὰρ Εὐρώπη ἐκὶ κυρίως ἀλλὰ τᾶ ρ πλεονάζοντος· εὐῶφθαλμος γὰρ ἦν. BL.

200. καὶ κεῖνος: ὥσπερ καὶ οἱ ἀπόγονοι αὐτᾶ Ἴσανδρος καὶ Λαοδάμεια, ἢ ὡς τὸ γένος τῶν ἀνθρώπων, ἢ ὡς οἱ ὑπ' αὐτᾶ ἀναιρεθέντες. BV. ἢ ὡς Λυκᾶργον ἔλεγες πρὸ μικρᾶ σύ, ὦ Διόμηδες. L.

ἄλλως. τίς ἡ αἰτία, φασί, τοῦ τὸν Βελλεροφόντην ἀπεχθῆ θεοῖς γενέσθαι καὶ τὴν τῶν ἀνθρώπων συναναστροφὴν ἐκκλίνειν; καὶ πρὸς τίνα ἔχει τὴν ἀναφορὰν τὸ „ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν, ἤτοι ὁ καππεδίον τὸ ἀλήϊον οἷος ἀλᾶτο"; τὸν θ' ἑαυτᾶ πρόγονον πῶς ἐκ ἀφρύνως ὁ Γλαῦκος ἀπεχθῆ γενέσθαι θεοῖς καταγγέλλει, ἀφ' ὃ τὴν τῆς ξενίας φιλίαν καταβάλλεσθαι ἔμελλεν; ῥητέον δὲ ὅτι ἐδέπω γνωρισθεὶς ὁ Γλαῦκος Διομήδει, καὶ προγονικὴν ἔχων πρὸς αὐτὸν φιλίαν, ὑπεύθυνός ἐστιν ἁπλοϊκώτερον διηγέμενος τὰ κατὰ τὸν πάππον καὶ ἀληθέστερον μᾶλλον ἢ κεχαρισμένως. ὥσπερ δ' ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα, τὸ φρύαγμα τᾶ Διομήδες καθαιρῶν „Τυδείδη μεγάθυμε τίη — ἦδ' ἀπολήγει," οὕτω καθαιρεῖ δι' οἰκείων παραδειγμάτων. ἢ μήποτε τῶν καθόλε ῥηθέντων περὶ ἀνθρώπων ἐν τοῖς πρόσθεν πίστις ἡ περὶ τὸν πρόγονον μεταβολὴ ἐκ τοσαύτης ἀρετῆς καὶ εὐδαιμονίας γενομένη. ἐκεῖνο δὲ πάλιν ὅπερ ἔπρεπε τῷ ἀπογόνῳ γεγονέναι τὴν συμφοράν, ἐκ ἀπεκάλυψε. μήποτ' ἐν ὡς φαμεν „ἀλλ' ὅτε δὴ καὶ κεῖνος," ἀναφορὰν εἰς τὰ καθόλε περὶ τῶν ἀνθρώπων ῥηθέντα, ὡς θάλλει τε ὁμᾶ καὶ πάλιν μαραίνεται· κἀκεῖνος ἐν ὅτε τὰ ἀνθρώπινα πάσχειν ἔμελλε καὶ ταῖς τύχαις ἐνίσχεσθαι ταῖς ἀνθρωπίναις, μεταβέβληκεν. ἐπειδὴ τὰς μὲν εὐτυχίας εἰώθασιν ἀναφέρειν εἰς τὴν θεοφιλίαν, τὰς δὲ δυσχυίας εἰς ἀπέχθειαν θεῶν, τὴν μεταβολὴν ἐπὶ τὸ χεῖρον τᾶ Βελλεροφόντε εἰκότως εἰς ἀπέχθειαν θεῶν ἀνατέθεικεν. ὅτι δὲ πολλή τις ἡ κατ' αὐτὸν μεταβολὴ γέγονε, δηλοῖ ἃ καταλέγει δυσχυήματα αὐτᾶ· Ἴσανδρον μὲν γὰρ τὸν υἱὸν αὐτοῦ Ἄρης μαρνάμενον Σολύμοισι κατέκτανε, Λαοδάμειαν δὲ τὴν θυγατέρα χωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα. ἐκ ἀπεικὸς ἓν ὑπερπαθήσαντα αὐτὸν ἐπὶ τῇ τῶν τέκνων ἀπωλείᾳ φιλέρημον γενέσθαι, καὶ πενθᾶντα ἀνακαλεῖσθαι τὸς θεὸς ὡς θεομισὴς γενόμενος. ἅπερ ἓν ἐκεῖνος δυσχυῆ περὶ ἑαυτοῦ κατακέκρικε, ταῦτ' εἰς τὸ γένος διαδοθέντα εἰκὸς ἦν μὴ ἀγνοῆσαι τὸν ἔκγονον. ἄμεινον γὰρ διὰ τὰ τέκνα φάναι τὸ τῆς λύπης μέγεθος γενέσθαι ἢ νόσῳ ἀνενέγκαι τὴν αἰτίαν τῇ τῶν μελαγχολώντων, οἳ φιλέρημοι γίνονται καὶ τὰς λεωφόρες ἐκτρέπονται λυπούμενοι ἐπὶ μηδενὶ λύπης ἀξίῳ. Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ, ὅτι τὲς Σολύμες ἀνεῖλε θεοῖς ὄντας προσφιλεῖς, διὰ τᾶτο μισηθῆναι αὐτὸν φησιν ὑπὸ τῶν θεῶν. Λέων δὲ ἐν τοῖς Χρυσαορικοῖς γεγράφθαι φησὶν ὡς ἀπήχθετο πᾶσι θεοῖς, Προίτῳ μὲν διαβεβλημένον ὑπὸ τῆς γυναικὸς ἀδίκως, Ἰοβάτῃ δὲ ἢ Ἀμφιάνακτι ἐκ τῶν γραμμάτων· τέτῳ δ' ἀκόλεθον ἦν καὶ τὸ πάτον ἀνθρώπων ἀλεείνων. φασὶ δὲ τὲς ὕσερον Πισίδας κληθέντας Σολύμες πρότερον καλεῖσθαι. B.

201. ἀλήϊον οἷος ἀλᾶτο: ἡ τῶν παίδων ἀπώλεια γέγονεν αὐτῷ τᾶ μονασμᾶ αἰτία, ὡς καὶ τῷ Λαέρτῃ. ἀλήϊον δὲ πεδίον, ὅπερ ᾤκει ἀλεείνων τὲς ἀνθρώπες. τάχα δὲ καὶ τὰ τῆς τύχης εἰς θεὲς ἀναφέρει. ὥσπερ δὲ ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα, τὸ φρύαγμα Διομήδες καθαιρῶν, καὶ νῦν ἐκ ἀπώκνησε τὴν τῆς τύχης περὶ τὸν πρόγονον ὁμολογῆσαι μεταβολήν. ἢ τύχα πισθὲν τὰ ἀγαθὰ διὰ τῆς ὁμολογίας τῶν ἀτυχιῶν. B.

ἡ διπλῆ, ὅτι παρετυμολογεῖ τὸ ἀλήϊον ἀπὸ τῆς γενομένης ἐν αὐτῷ τᾶ Βελλεροφόντε πλάνης. τὸ δὲ ἀλήϊον οἱ μὲν ἐψίλωσαν ἀπὸ τῆς ἄλης τᾶ Βελλεροφόντε, οἱ δὲ ἐδάσυναν ἀπὸ τᾶ τὲς ἄλας ἐκεῖ πήγνυσθαι· βέλτιον δὲ τὸ πρότερον. A.

Πορφυρίε. ἀξιῶν δὲ ἐγὼ Ὅμηρον ἐξ Ὁμήρου σαφηνίζειν, αὐτὸν ἐξηγέμενον ἑαυτὸν ὑπεδείκνυον, ποτὲ μὲν πα-

ρακειμένως, ἄλλοτε δ' ἐν ἄλλοις. τῷ γὲ εἰροκόμῳ παράκειτ' συνεζευγμένη ἡ ἐξήγησις· „γρηῒ δέ μιν εἰκυῖα παλαιγενέϊ προσέειπεν εἰροκόμῳ" (Il. 3, 386). τίς ἦν ἡ εἰροκόμος; „ἥ οἱ" φησὶν „ἤσκειν εἴρια καλά·" ἡ γὲ ἀσκῆσα τὰ ἔρια αὐτῇ ἐξηγησαμένη εἴη ἂν εἰροκόμος· κομεῖν δὲ τὸ ἀσκεῖν καὶ καλλωπίζειν, ὡς τὸ „χρυσὸν κέρασι περιχεύῃ ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχαροίατ' ἰδοῦσα" (Od. 3, 437). καὶ πάλιν „ἄλλες τ' αἰδέσθητε περικτίονας ἀνθρώπους" (Od. 2, 65). τίνες ἦν οἱ περικτίονες; ἐπάγει „οἵ περιναιετάουσι." „βοῦν ἦνιν εὐρυμέτωπον ἀδμήτην" (Il. 10, 292). ἆρ' ἦν τὸ ἀδμήτην τὴν ἄγαμον δηλοῖ; ἐχί, ἀλλὰ „τὴν ὅπω ὑπὸ ζυγὸν ἦγαγεν ἀνήρ." καὶ πάλιν „ἔνθ' οἵ γ' ἐκέτι πάμπαν ἀφεξᾶσιν, ἦρχε γὲ Ἄρης" (Il. 21, 391). τί ἦν ἔχειν ἦρχε; „καὶ πρῶτος Ἀθηναίη ἐπόρουσεν." ἐπὶ δὲ τῆς Πηλιάδος μελίης καὶ φιλοτιμουμένῳ ἔοικε πολλαχόθεν τὴν κλῆσιν προσοῦσαν δεικνύναι· ἢ γὲ ἀπὸ τοῦ μόνον αὐτὴν ἐπίσασθαι πῆλαι τὸν Ἀχιλλέα „ἀλλά μιν οἷος ἐπίσατο πῆλαι Ἀχιλλεύς" (Il. 16, 142)· ἢ ἀπὸ τοῦ Πηλέως τοῦ πατρός „τὴν πατρὶ φίλῳ τάμε Χείρων" (ib. 143)· ἢ ἀπὸ Πηλίου τοῦ ὄρους ὅθεν ἐτμήθη „πατρὶ φίλῳ τάμε Χείρων Πηλίου ἐκ κορυφῆς." ἀλλ' ἐπεὶ μελίη τὸ δόρυ ἀπὸ τοῦ δένδρου τῆς μελίας, καὶ „ὃ δ' ἄρ' ἀπ' ἀσφάραγον μελίην τάμε" (Il. 22, 328), δῆλον ὡς καὶ τὸ μείλινον ἔγχος (Il. 5, 655) ἐκ μελίας τοῦ δένδρου, ὃ μὴν ὡς οἱ πολλοί, τὸ μακρόν. καὶ ἔγχεα ὀξυόεντα (ib. 568) τὰ ἐξ ὀξύας τοῦ δένδρου, ὡς καὶ Ἀρχίλοχος „ὀξύη ποτᾶτο," ἀλλ' ὃ τὰ ὀξέα, ὡς οἱ γραμματικοὶ ἀποδεδώκασιν. πάλιν ἔφη „ἦτοι ὁ καππεδίον τὸ ἀλήϊον." διὰ τί ἦν ἀλήϊον; ἆρά γε παρὰ τὸ ἄσπορον καὶ μὴ ἔχον λήϊα; ἐδαμῶ, ἀλλ' ἐκ τοῦ οἷον αὐτὸν ἐν αὐτῷ ἀλᾶσθαι. καὶ τί ἐν τὸ οἷον ἀλᾶσθαι; ἐξηγεῖτ' „πάτον ἀνθρώπων ἀλεείνων." ἐν δὲ τῷ „καὶ μέν οἱ Λύκιοι τέμενος τάμον" τα-χέως δεδήλωκεν ὅτι ἀπὸ τοῦ τετμῆσθαι καὶ ἀφωρίσθαι τὸ τέμενος λέγει· „τέμενος τάμον." ἔτω καὶ κειμήλια ἔφη κεῖσθαι (47)· ἀπὸ γὲ τοῦ κεῖσθαι κειμήλια λέγει. πάλιν πτωχὸν ἔφη πανδήμιον (Od. 18, 1). τίς ἦν ἔτος; „ὃς κατὰ ἄστυ πτωχεύεσκ' Ἰθάκης", ἀλλ' οὐχ ὡς Ὀδυσσεὺς ἐν μιᾷ οἰκίᾳ. πάλιν δέ „μετέπρεπε γαστέρι μάργῃ" (ib.). τίς ἦν ἡ γαστριμαργία; ὥσπερ ὅρον ποιήσας ἐπάγει „ἄζηχὲς φαγέμεν ἠδὲ πιέμεν," τὸ ἀδιαλείπτως ἐσθίειν καὶ πίνειν μεταλαβὼν εἰς τὸ ἀζηχές, ὃ ἐν ἄλλοις (Od. 9, 74) ἔφη „συνεχὲς αἰεί." καὶ ἐπὶ ἄλλα μὲν ἔφη ἐν πᾶσι διαπρέποντος „ὃ δ' ἔπρεπε καὶ διὰ πάντων" (Il. 12, 104), ἐπὶ δὲ τοῦ Ἴρου „μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ," ὅτι ἐπὶ τῇ γαστριμαργίᾳ μόνῃ διέπρεπε. πόθεν ἦν Ἶρος καλεῖται; „ἕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι" (Od. 18, 7). καὶ πάλιν „ἐκ ἄϊεις ὅτι δή μοι ἐπιλλίζεσκον Ἀχαιοί" (ib. 11). τί ἦν τὸ ἐπιλλίζειν; τὸ διανεύειν· „ἑλκέμεναι δὲ κέλονται," ἀπὸ τοῦ τὰς διανεύοντας ἐπιλλεῖν καὶ συσπᾶσθαι τὰς ὀφθαλμιάς· ἰλλάδες γὰρ οἱ συνεσταλμένοι ἱμάντες, ὡς ἀλλαχοῦ ἔφη „ἐν δὲ σφόρος ἦεν ἀορτήρ" (Od. 13, 438). „τὸν μὲν ἄκαρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων" (Od. 7, 64). τίς ἦν ὁ ἄκαρος; „μίαν ὥσαντος καὶ τὸ κέμβαχος ἐξηγεῖται, ἐπάγων „ἐπὶ βρέχμον τε καὶ ὦμους θηθὰ μάλ' εἴσηκει" (Il. 5, 586). γυῖα δ' ἐξηγεῖται „πόδες καὶ χεῖρες ὕπερθεν" (ib. 122). καὶ ἀμφιγυήεις ἦν ὁ περὶ τὰ γυῖα βεβλαμμένος, ὃν καὶ κυλλοποδίωνα προσεῖπε. καὶ τὸ „γυιώσω μέν σφωϊν ὑφ' ἁρμασιν ὠκέας ἵππους" (Il. 8, 402), σκελεαγεῖς ποιήσω· ἐπάγει γὰρ „κατὰ δ' ἅρματα ἆξω." φιλοτιμεῖται καὶ τὸ λυκόφως ἐξηγησάμενος οἷόν ἐστιν „ἦμος δ' ἔτ' ἄρ πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ" (Il. 7, 433)· ὁ γὲ εἰ μηδέπω ἠώς, ἔτι ἦν νύξ, ἀλλ' ἡ ἀμφιλύκη ἦν, ὁ βαθὺς ὄρθρος. ᾧ δὲ λέγει νῦν τὸν ὄρθρον καὶ τὸ πρὸ ἀνατολῆς ἡλίου πεφωτισμένον διάσημα· ὅτι γὲ καὶ τοῦτο τὸ διάσημα λέγει ᾧ, δηλοῖ ἐπὶ τῆς νεὼς τοῦ Τηλεμάχου εἰπὼν „παννυχίη μὲν ἄρ' ἦγε καὶ ἠῶ πεῖρε κέλευθον" (Od. 2, 434), εἶτα εἰπὼν „ἠέλιος δ' ἀνόρουσε" (Od. 3, 1). ἡμεῖς δὲ τὸ πρὸ ἡλίου ἓξ ἑωθινὰ φαμὲν καὶ ἕωθεν, ὅπερ ὁ ποιητὴς „ἠῶθεν δ' ἀγορήνδε" φησὶν (Od. 1, 372). ἕως ἂν καὶ ἠὼς τὸ πρὸ ἀνατολῆς ἡλίου· τὸ δὲ πρὸ τῆς ἕω λυκόφως καὶ νύξ ἀμφιλύκη. λέγει μέντοι καὶ τὸ ἀπὸ ἀνατολῆς ἡλίου ἄχρι μεσημβρίας διάσημα ᾧ· „ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ" (Il. 21, 111) καὶ „ὄφρα μὲν ἠὼς ἦν καὶ ἐξέτο ἱερὸν ἦμαρ" (Il. 8, 66) καὶ „εὗδον παννύχιοι καὶ ἐπ' ἠῶ καὶ μέσον ἦμαρ" (Od. 7, 288). λέγει ἠῶ καὶ ὅλην τὴν ἡμέραν „ἤδε δὴ ἠὼς εἶσι δυσώνυμον" (Od. 19, 571) „ἤδε δέ μοι νῦν ἠὼς ἑνδεκάτη" (Il. 21, 155), περὶ ἧς φησὶν „ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν" (ib. 45). ἠὼς δὲ καὶ ἡ θεός· „ὡς μὲν ὅτ' Ὠρίων' ἔλετο ῥοδοδάκτυλος ἠώς" (Od 5, 121). πάλιν ἑαυτὸν ἐξηγεῖται παρακείμενος δι' ὧν φησὶν „Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός" (Od. 18, 75). τί ἦν τὸ κακῶς ὀρίνεσθαι τὸν θυμόν; ἐπάγει „δειδίοτα." τί ἦν παρακολούθημα δέος; „σάρκες δὲ περιτρομέοντο μέλεσσιν." ὁ δὲ δειλὸς κακός, ἀφ' ἧς τὸ κακῶς· καὶ πάλιν τὸ δεδιέναι ὅπερ πάθος ἐν τῇ ψυχῇ γίνεται, καὶ τὸ τρέμειν ὅπερ ἐν τῷ σώματι, ἐπιτείνων ἔφη „εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς" (ib. 80). ἐπιμένων δὲ τῇ ψυχρᾷ φύσει τοῦ φόβου, κρυόεντα καλεῖ τὸν φόβον „φόβος κρυόεντος ἑταίρη" (Il. 9, 2) καὶ ἐν ἄλλοις „ψυχρὸν δέος εἶλε" καὶ „ῥίγησεν ὁ γέρων" (Il. 3, 259), ἐροβήθη, εἰ δ' ὁ φόβος ψύχει, δῆλον ὡς τὸ θάρσος θάλπει· εἰκότως ἄρα θαλπωρὴν λέγει τὸ θάρσος. ἐκ δὴ τούτων παρακειμένως ἐχόντων τὰς ἐξηγήσεις δεῖ παρατηρεῖσθαι καὶ τὰ ἐν διαφόροις ἐπὶ τῆς αὐτῆς διανοίας παραλαμβανόμενα εἰς ἐξήγησιν τῶν ἀσαφεστέρων. B.

εἰ δὲ χωλὸς ἦν, πῶς ἠλᾶτο; LV.

202. πάτον ἀνθρώπων ἀλεείνων: ἐχ ὡς οἱ νεώτεροί φασι, μελαγχολήσας, ἀλλ' ὀδυνώμενος ἐπὶ τῇ τῶν ἑαυτοῦ παίδων ἀπωλείᾳ ἐμήνυσε. διδάσκει δὲ πόσην ἔχει ψυχαγωγίαν ἡ συντυχία, καὶ μάλιστα ἡ τῶν ἰδίων, ὅτι δι' αὐτὸς τὴν ψυχὴν ἀπελέγετο. BL.

πάτον: ὡς λόγον· τὰ γὲ εἰς τος λήγοντα δισύλλαβα, βραχεῖα παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος κότος μίτος νότος πότος. ἔτως ἄρα καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός· τὸ γὲ βρότος κατὰ δύο τρόπους ἀποφεύγει, ὅτε

καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν. A.

204. Σολύμοισι: ἴσως γηράσκοντος τῷ Βελλεροφόντῃ ἀπέσχησαν, ὁ δὲ τῆς πατρῴας ἀντιποιούμενος ἀρχῆς ἐπολέμει αὐτοῖς. BLV. εἰσὶ δὲ σύντομα πάρισα, ἱλαρύνοντα τὸ σκυθρωπὸν τῷ χωρίου. L.

205. χολωσαμένη: ἴσως διὰ τὰς Ἀμαζόνας. LV.

ἔκτα: ἀποκοπὴ τοῦ „ἔκταν' ἐπὶ προμάχων" (Il. 18, 456). A.

206. Ἱππόλοχος δέ μ' ἔτικτε: ἐκ Δημωνάσσης. V.

208. αἰὲν ἀριςεύειν: τοῦτο ἀναφέρει πρὸς τὸ ὑπὸ Διομήδους εἰρημένον „ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων" (125). B.

210. ἡ διπλῆ, ὅτι οἱ μὲν ἥρωες Ἔφυραν παράγονται λέγοντες, αὐτὸς δὲ Κόρινθον λέγει τὴν πόλιν. A.

211. αἵματος: σπέρματος· τὸ γὰρ αἷμα εἰς θορὸν μεταβάλλει. οἱ γὰρ συνεχῶς ἀφροδισιάζοντες τὸ τελευταῖον αἷμα φέρουσιν· τὸ γὰρ μεταβαλλόμενον ἀναλώσαντες τὸ ἀμετάβλητον ἐξέλκουσιν. ABL.

212. γήθησε: ἔοικε διὰ τὸ ὄνομα Βελλεροφόντῃ καὶ τὰς πολλὰς ἀναχεῖσθαι τῷ Γλαύκῳ λόγους. BL.

213. ἔγχος μὲν κατέπηξεν: γραφικῶς ἔχει τοῦτο. ἵνα δὲ μηκέτι πόλεμος εἶναι δοκῇ, καταπήγνυσι τὸ ἔγχος ὁ Διομήδης. ABL.

214. μειλιχίοισι: ἐπὶ φιλοξενίαν προτρέπεται, δεικνὺς ὡς καὶ ἐκ κινδύνων ῥύεται. BL.

217. ξείνισεν ἐν μεγάροισι: γράφεται ξείνισ' ἐνὶ μεγάροισι. A.

εἰκοσιν: οὕτως Ἀττικοί. ὅθεν καὶ εἰκοσινήριτα. V.

219. Οἰνεὺς μέν: σημειοῦνταί τινες ὅτι πρὸς τὸ πρῶτον ἀπήντηκεν. A.

ζωστῆρα: ἐκ ἐκαπήλευε γὰρ τὰς δύσεις, ἢ καὶ ὁ ζωστὴρ πολυτιμότερος ἦν. LV.

220. Βελλεροφόντης δὲ: ὁ μὲν ὡς μένοντι δίδωσιν, ὁ δὲ ὡς ἐκδημοῦντι. BL.

221. καί μιν ἐγὼ: ἄπαιδος γὰρ τελευτῶντος Οἰνέως Διομήδης αὐτὸν κληρονομεῖ. B.

222. 223. ἄτοποι οἱ δύο στίχοι. τὸ δὲ Τυδέα δ' οὐ μέμνημαι ὡς „μέμνημαι τόδε ἔργον" (Il. 9, 527). LV.

224. Ἄργεϊ μέσσῳ: τὸ Ἄργος μέσον Πελοποννήσου. LV.

226. ἔγχεα δ' ἀλλήλων: ἀλλήλων τὰ ἔγχη ἐκκλίνωμεν. γράφει δὲ καὶ ἔγχεσιν, ἵν' ᾖ ἀλλήλων ἀποτύχωμεν καίτοι ἐν πλήθει ὄντες· τὸ γὰρ δι' ὁμίλου ἀντὶ τοῦ ἐπὶ παντὸς τοῦ πλήθους, ὅπως γνῶσιν ὅτι ξεῖνοί εἰσιν· ἢ διὰ πάσης τῆς μάχης, ὡς τὸ „τανυσσάμενος διὰ μήλων" (Od. 9, 298). ἢ καὶ ἡμεῖς καὶ αἱ ἡμέτεραι στρατιαὶ παραφυλάξωμεν τὴν πρὸς ἀλλήλας ἐν πολέμῳ σύσιν ἐκκλίνουσαι. B.

στικτέον κατὰ τὸ τέλος τοῦ στίχου. ἀμφίβολον δὲ τὸ λεγόμενον, ἤτοι γὰρ ἀλλήλων παρακελεύεσθαι φείσασθαι τόν τε Διομήδη καὶ τὸν Γλαῦκον, καὶ πάλιν ἀλλήλων τὰ πλήθη τῆς Λυκίας καὶ τῆς Ἀργείας, ἵν' ὥσπερ σπονδὰς ἔχωσιν ἔτοι οἱ βασιλεῖς καὶ τὰ πλήθη· ἢ καὶ ἐναλλάξ, καὶ οἱ βασιλεῖς τῶν πληθῶν καὶ τὰ πλήθη τῶν βασιλέων, ὡς δὲ συντομώτερον εἰπεῖν, πάντες πάντων, Διομήδης Γλαῦκος, Ἀργεῖοι Λύκιοι. μειοῦνται γὰρ αἱ τῆς φιλίας συνθῆκαι, εἰ μόνοι οἱ βασιλεῖς ἀλλήλων ἀφέξονται. A.

ἕτως ἀλλήλων. Ζηνοδότειος δέ ἐστιν ἡ ἀλλήλας. A.

227. πολλοὶ μὲν γάρ: οἷον οὐκ ἐπείγει πρὸς ἀλλήλας ἡμᾶς ἀμφοτέρους μάχεσθαι. A.

228. ὅν κε θεός γε πόρῃ: καίτοι εὐημερῶν παραπεφυλαγμένως λαλεῖ, ὡς πρὸς φίλον μετριάζων. BL.

229. δύναι: ὡς λέγηαι καὶ φέρηαι· „σὺ δέ κεν κακὸν οἶτον ὄλῃαι" (Il. 3, 417). Τυραννίων δὲ προπερισπᾷ· καὶ δῆλον ὅτι καὶ τὸ πρῶτον αὐτῷ πρόσωπον δώσει δυνῶμαι ὡς νικῶμαι. ἀλλ' εἰ ἅπαξ ἐξὶ τὸ ὁριστικὸν κατὰ χρῆσιν, δύναμαι δύνασαι, καὶ ὁμολογεῖται ἀπὸ τῶν εἰς μι, ὁμοτονήσει τούτοις καὶ τὰ ὑποτακτικά, ἕτως καὶ Ἀριστάρχος καὶ οἱ ἄλλοι. A. ηὔξησέ τε αὐτὸν διὰ τῆ δύῃαι. LV.

230. τεύχεα δ' ἀλλήλοις ἐπαμείψομεν: ἁπλοϊκῶς φησὶ τοῦτο διὰ φιλίας σύμβολον, ἀλλ' ἐ δι' αἰχροκέρδειαν. BL.

οἵδε: δῆλον ἓν ὡς ἐν ἡσυχίᾳ εἰσὶ τὰ πλήθη παραδοκῶντες τὸ τέλος. BLV.

234. Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς: εἰκότως ὁ Γλαῦκος τῷ προγόνῳ τὸ φιλότιμον ἀκέσας Βελλεροφόντῃ χρυσὸν δωρεῖται πρὸς τὸ παρόν· ἄλλως τε ὑπερήδεται τῇ συντυχίᾳ, γενόμενος ἰδιόξενος τοῦ παναρίστου Διομήδους. τὸ δὲ ἐξέλετο ἀντὶ τοῦ ὑπερηύξησε τῇ φιλοτιμίᾳ, ὡς τὸ „γέρας ἔξελον" (Il. 16, 56). ἢ μᾶλλον αἰτιᾶται αὐτόν, ὅτι λαμπροῖς ὅπλοις ἐκόσμει αὐτὸν κατὰ ἑαυτῷ καὶ τῶν συμμάχων· ὅπερ γὰρ ταῦτα, εὔκαιρος ἦ τῶν πολεμίων ὁρμή. ἢ ὡς Ἡφαιστότευκτα. ἢ ὡς Πίος, ἵνα κἂν τούτῳ αὐξήσῃ τὸν Ἕλληνα, ὡς μὴ ἐξ ἴσου ἀπηλλαγμένον, ὅπερ ἤδη τοῖς ἀκέουσι. καὶ πῶς ὁ Διομήδης φρενῶν λείπεται γυμνούμενος, πρὸ μικροῦ τῶν Τρώων παρασπονδησάντων; τάχα δὲ τὸν ζωστῆρα μόνον καὶ τὸ ξίφος ὡς οἱ περὶ Ἕκτορα (Il. 7, 303) ἤμειψαν· ὁ γὰρ ἂν τὴν ἀσπίδα πρὸς χάριν ἐδίδει. ἢ γὰρ ἂν πρόκρινε τὴν Αἴαντος Ἕκτωρ, εἰ ἐδίδοτο, ὑπὲρ τὴν Νέζορος. ALV.

Πορφυρίω. διὰ τί ὁ μὲν Γλαῦκος προήχθη εἰς φιλοτιμίαν τῷ ἀλλάσσειν τὰ ὅπλα χρυσᾶ ὄντα πρὸς Διομήδη, ὁ δὲ ποιητὴς ἐπιτιμᾷ ὡς ὐ δέον, ὐδ' εἰ φίλος εἴη, προῖεσθαι πλείονος ἄξιον; προγόνων ὁ Γλαῦκος φιλοτιμίαν ἐξηγησαμένῳ Διομήδει ἀκέσας ἐκ ᾠήθη δεῖν ἐλαττοῦσθαι ταύτης· „Οἰνεὺς γάρ ποτε — δέπας ἀμφικύπελλον" (216—220). ταῦτ' ἐν ἀκέσας ὁ Γλαῦκος προήχθη εἰς φιλοτιμίαν προγονικήν. ὡς γὰρ Βελλεροφόντης ζωστῆρος ἐκ ἀπηξίωσε χρυσοῦν ἐκπωμα δῶναι καὶ ὅλως χρύσειον δεδώρηται τῷ ξένῳ, ἵτω καὶ αὐτὸς χρυσὸν ὢν εἶχε παρακείμενον δῶναι προήχθη, ἀκέσας παρὰ τοῦ φοβερωτάτου Διομήδους τῶν τότε „τῷ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἀργεῖ μέσσῳ εἰμί, σὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι," καὶ προσέτι εἰ-

πόντος τῶ Διομήδες „τεύχεα δ' ἀλλήλων ἐπαμείψομεν, ὄφρα καὶ οἵδε γνῶσιν ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ' εἶναι." μικρολογίας γ' ἦν· αἰτηθέντα τοῖς μὲν ἄλλοις ὑπακῦσαι, ἀντειπεῖν δὲ πρὸς τὰ δῶρα. ὁ ποιητὴς δέ, φησὶν Ἀριστοτέλης, οὐχ ὅτι τὰ πλείονος ἄξια ὄντα προήκατο ἐπιτιμᾷ, ἀλλ' ὅτι ἐν πολέμῳ καὶ χρώμενος προΐετο· ἐδόκει γ' ἀλλοιότερον, ὥσπερ ἂν εἰ ἀπέβαλε τὰ ὅπλα. ἐπιτιμᾷ ἓν ὅτι κρείττω προΐετο ἐκ εἰς τιμὴν ἀλλ' εἰς χρῆσιν· ἀναγκαῖον δὲ τοῦτο δηλῶσαι εἰπόντα τὴν ἀξίαν. τινὲς δὲ ὁ καταμέμφεσθαί φασιν ἐν τῷ φάναι Κρονίδης δὲ φρένας ἐξέλετο Ζεύς. τὸ γ' ἐξελεῖν δηλοῖ καὶ τὸ εἰς μέγα ἆραι καὶ αὐξῆσαι, ὡς ἐν τῷ „κάρηνα ἦν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν" (Il. 16, 56)· δηλοῖ γ' ἦν εἰς τιμὴν γεραίροντές με δεδώκασι καὶ τὸ γέρας μᾶ αὔξοντες· γέρας γ' ἔξελον, ἐξαίρετον ποιοῦντες. τὰ δὲ γινόμενα ὡς ἐπὶ τὸ πολὺ θεοῖς εἴωθεν ἀνάπτειν. τὸ μέντοι „ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου" ἀντὶ τοῦ ἐν ὕψει πάντων, ὡς εἰδέναι αὐτὸς ὅτι ξένοι ἀλλήλων ἐσμέν. ἢ μὴ μόνον ἀλλήλων φειδώμεθα, ἀλλὰ καὶ ὁμιλοῖμεν. ἀλλ' ἤτοι μὲν διὰ προγονικὴν φιλίαν τὸν πρὸς ἀλλήλας ἐσπείσαντο πόλεμον, Σαρπηδὼν δὲ καὶ Τληπόλεμος, συγγενεῖς ὄντες καὶ τοῦτο γινώσκοντες, συνελθόντες διὰ θανάτου ἐκρίθησαν, τοῦ μὲν ἀποθανόντος, τοῦ δὲ τρωθέντος. ἔτως ἡ λεγομένη συγγένεια πρὸς φιλίαν ἀδὲν συνεργεῖ. B.

ἄλλως. ἀσύμφορον δοκεῖ εἶναι ἄφρονας καλεῖν τὰς λαμπρὰς τὰς ψυχὰς καὶ ἀποκλείειν τὰς μεγαλοψυχίας τῶν ξένων πρὸς ἀλλήλας. οἱ μὲν ἓν ἀπὸ τῆς λέξεως λύουσι, τὸ ἔξελετο ἀποδιδόντες τὸ ἐξαίρετον καὶ ἔκκριτον ἐποίησε, βιαίως πάνυ· οἱ δὲ περίφρασιν εἶναι, Γλαύκῳ φρένας ἐξέλετο· μὴ γ' ἀμειψάμενος ἀλλ' ἀπειθήσας ἀνῃρέθη ἄν, πολὺ βικαιότερον ἀποδιδόντες. οἱ δὲ πρὸς τὸν καιρόν, ὅτι ὁ χρυσὸς ἐπιτηδειότερος πρὸς τὸν πόλεμον, διὰ τὸ λαμπρὸν τῶν ὅπλων. ἐμοὶ δὲ δοκεῖ ἔτως καλῶς· „καὶ γάρ τε λιταὶ εἰσι Διὸς κοῦραι μεγάλοιο, χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ" (Il. 9, 502). B.

236. ἑκατόμβοι᾽: ἑκατὸν βοῶν ἄξια· ἃ γ' νομίσμασιν ἐχρῶντο· ὅθεν καὶ ἀλφεσίβοιαι. AD. οἱ γ' Ἀθηναῖοι ἐν τοῖς ἑαυτῶν νομίσμασι βῶν ἐνετύπων. ABL.

ἐννεαβοίων: κεκώλυται ὑπὸ τοῦ μέτρου εἰπεῖν δεκαβοίων. ADL.

237. Ἕκτωρ δ' ὡς: εὐκαίρως μεταβαίνει, τὸ διάκενον τῆς πορείας Ἕκτορος ἀναπληρώσας τοῖς διὰ Γλαύκου καὶ Διομήδους. BL.

ἡ διπλῆ, ὅτι τὰς Σκαιὰς ὀνοματικῶς Δαρδανίας λέγει. A.

πύργον: γράφεται φηγόν. L.

238. ἄλοχοι θέον ἠδὲ θύγατρες: ἤδη ἐπὶ τὸ περιπαθὲς ἔρχεται· διὸ οὐδὲ τῶν γερόντων ἐμνήσθη ἀλλὰ τῶν γυναικῶν. οἰκεῖον δὲ ἐπ' αὐτῶν τὸ θέειν. BL.

239. ἡ διπλῆ πρὸς τὸ ῥῆμα, ἀντὶ τοῦ περὶ παίδων καὶ ἐκασιγνήτων ἐρωτῶσαι. A.

ἀντὶ τοῦ ὑπὲρ παίδων. ψιλωτέον δὲ τὸ ἔτας. ἔται δὲ λέγονται καὶ οἱ πολῖται καὶ οἱ συγγενεῖς. B.

ὁ Ἀσκαλωνίτης ψιλοῖ ἐφ' ἓ ἂν τάσσηται, φησί, σημαινόμενα· πολλὰ γ' ἡ λέξις σημαίνει. εἰ δὲ καὶ ἐπὶ τῶν ἑταίρων, φησί, πάλιν ψιλωτέον, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἤλατο ἄλτο. πιθανώτερον δέ ἐστι, φησίν, ἐνθάδε ἀκέειν ἐπὶ τῶν συγγενῶν. Ἀλεξίων δὲ δασύνει. ὁ δὲ Ἀρίσαρχος οὐδὲν ἀντικρυς περὶ τοῦ πνεύματος ἀπεφήνατο. ἡμῖν δὲ δοκεῖ ἀφορμῇ ἐκείνῃ χρήσασθαι. εἰ ἄδηλόν ἐστι τὸ πνεῦμα, τὰ δὲ τοιαῦτα πολλάκις ἐκ συναλοιφῶν κρίνεται, εὑρέθη δὲ διὰ ψιλοῦ ἡ συναλοιφή, εὐθέτως δὲ διὰ δασέος, δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι. παρὰ γὰρ Αἰσχύλῳ ἔτως εὕρομεν „οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ" καὶ παρ' Εὐριπίδῃ τὸ „πόλει μὲν ἄρχων, φωτὶ δ' οὐκέτι πρέπων". A.

240. εὔχεσθαι ἀνώγει: ὡς πάντων περιόντων χρησὰς ὑπέδειξεν ἐλπίδας· ἐδεῖς γ' ὑπὲρ τεθνεώτων εὔχεται. BL.

241. πάσας ἐξείης: ὅτι πρὸς πάσας ἐφεξῆς τὴν αὐτὴν ἐποιεῖτο ἀπόκρισιν. BL.

ἡ διπλῆ, ὅτι ἔν τισι γράφεται πᾶσι μάλ' ἐξείης, κατὰ τὸ ἑξῆς λέγων τοῖς θεοῖς εὔχεσθε, ἀλλὰ μὴ κατὰ τὸ τυχόν. A.

242. ἀλλ' ὅτε δή: τὸ ἑξῆς, ἀλλ' ὅτε δὴ Πριάμοιο, (251) ἔνθα οἱ ἠπιόδωρος· τὰ δὲ λοιπὰ ὡς διὰ μέσου λεγόμενα διορθωτέον. A.

243. ξεστῆς αἰθούσῃσι: ἰσοῖς ταῖς καταλαμπομέναις ὑπὸ τοῦ ἡλίου, ἢ αἰθούσαις διὰ τὸ αἴθεσθαι ἐν αὐταῖς φῶς τοῦ χειμῶνος, ἢ διὰ τὴν τοῦ ἡλίου βολήν. AD. αἴθουσαι τὰ τῆς αὐλῆς τειχία. B.

244. ἔνεσαν: ὡς ἔλεξαν. ἔτως καὶ Ἀρίσαρχος· ἀληθὲς γάρ ἐστιν ὡς πᾶς παροιχημένος δισύλλαβος, παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχείαν ἀναδεξάμενος, ἀναδίδωσι τὸν τόνον κατεῖχε κάτεχε. ἔτως ἂν ἀνέγνωμεν „ἤμενον εἰσεῖδε" (Il. 14, 158) προπεριισπωμένως, τὸ δὲ ἕτερον „τὰ φρονέων, μνησῆρσι μεθήμενος, εἰσιδ' Ἀθήνην" (Od. 1, 118) προπαροξυτόνως. A.

245. παῖδες: ἴσως οἱ περὶ Ἕκτορα ἀνδρωθέντες καὶ βασιλικοὶ γεγονότες ἀπέσησαν τοῦ πατρός. BL.

246. παρὰ μνησῆς ἀλόχοισι: ἐν ἄλλῳ παρ' αἰδοίης ἀλόχοισι. A.

248. τέγεοι θάλαμοι: ὑπερῷοι ἐπὶ τοῦ ςέγος οἰκοδομημένοι· τοιοῦτοι γ' κατεσκευάζοντο ταῖς γυναιξὶ πρὸς μὴ ὁρᾶσθαι συνεχῶς ἀνδράσιν. BL.

τέγεοι ὡς τέλεοι· τέγος γ' ὡς τέλος, καὶ τέγειος ὡς τέλειος. ἡ διπλῆ, ὅτι ὑπερῷοι ἦσαν, διὸ τέγεοι, ἵνα μὴ δι' ὁδεύωνται. ἐπιμελῶς δὲ Ὅμηρος καὶ διὰ τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας τὰς γυναικείας θαλάμους ὑπερῴους συνίστησιν. A.

παρ' αἰδοίῃς ἀλόχοισιν: ἔτως Ἀρίσαρχος, παρ' αἰδοίῃς· ἐν ἄλλῳ παρὰ μνησῆς. A.

251. ἠπιόδωρος: δῶρον παρὰ τῆς φύσεως ἔχουσαι εἶναι ἠπίαν, ὅτι κλαυθμυριζομένοις τοῖς παισὶ τὸν μαστὸν προτείνει τὸν λαθικηδέα (Il. 22, 83). ABL. ἠπία καὶ πα-

(τȣτέςι πραϋντικὰ) δωρȣμένη κατὰ τὴν παιδοτροφία. νῆ λαβȣ̃σα, ὡς πολύδωρος (394). A.

252. *Λαοδίκην ἐσάγȣσα*: πρὸς Λαοδίκην εἴσεισι, πευσομένη τὴν αἰτίαν δι' ἣν ἐξήγαγεν Ἑλένην· αὐτῇ γ' ἡ Ἶρις εἰκασθεῖσα ἐξήγαγεν αὐτὴν εἰς τὸ τεῖχος. τὸ δὲ ἐσάγουσα ἀντὶ τȣ̃ εἰσιȣ̃σα, ὥς φαμεν ποῖ εἰσάγεις ἀντὶ τοῦ ποῖ εἰσέρχῃ. τινὲς δὲ τὴν ἐς ἀντὶ τῆς πρός, ἵν' ᾖ πρὸς Λαοδίκην. BL.

ὅτι πρὸς Λαοδίκην πορευομένη. „εἰς Ἀγαμέμνονα" (Il. 7, 312). A.

Πορφυρίȣ. τὸ ἐσάγȣσα ȣ̓κέτι κατὰ τὸ σύνηθές ἐςιν εἰσφέρȣσα· οὐ γ' ἐσάγειν μεθ' ἑαυτῆς λέγει τὴν Λαοδίκην, ἀλλὰ πρὸς τὴν Λαοδίκην εἰσπορευομένη. εἰσῄει γ' πρὸς Λαοδίκην, ἐπεὶ ταύτῃ ὁμοιωθεῖσα ἡ Ἀφροδίτη τὴν Ἑλένην ἐπὶ τὸ τεῖχος ἐξήγαγεν „εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι, τὴν Ἀντηνορίδης ἔχε κρείων Ἑλικάων, Λαοδίκην" (Il. 3, 122). νομίζȣσα γ' ὄντως εἰς τὸ τεῖχος ὑπὸ τῆς Λαοδίκης ἀπῆχθαι, εἰσῄει τὴν αἰτίαν τῆς ἐξόδου πολυπραγμονήσασα. B.

θυγατρῶν: τῶν ἐχȣσῶν ἄνδρας. L.

255. *δυσώνυμοι*: ȣ̓δὲ γ' ȣ̓δὲ τὸ ὄνομα αὐτῶν ὀνομάζειν θέλει, ὡς κ̀ ἡ Πηνελόπη „κακοΐλιον ȣ̓κ ὀνομαςήν" φησιν (Od. 19, 260). ABL.

256. *σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκεν*: δεόντως τὴν τȣ̃ παιδὸς ἀρετὴν ἐξειδυῖα φυγὴν ȣ̓χ ὑπώπτευσεν. BL.

257. *ἄκρης πόλιος*: ὅτι διαλελυμένως ἄκραν πόλιν εἶπε τὴν ἀκρόπολιν. A.

260. *δὲ κ' αὐτός*: τȣ̃το διχῶς ἀναγινώσκει. ὅσοι γ' ἡγȣ̃νται ἐγκεῖσθαι τὸν κέ ἐγκλιτικόν, ῥωννύȣσι τȣ̃ δέ τὴν ὀξεῖαν, ὡς κ̀ ὁ Ἀσκαλωνίτης· ȣ̃τω γ' κ̀ τὸ ἐν τῇ Ὀδυσσείᾳ (3, 255) ἀναγινώσκει „ἤτοι μέντοι τόδε κ' αὐτὸς ὀΐεαι." ὅσοι δὲ τὸν καί κατὰ κρᾶσιν κ̀ ἔκθλιψιν, κ̀ αὐτός – καὐτός, ἐγκλίνȣσι τὸν δέ. A.

τὸ *καὐτός* διχῶς, κ̀ βαρέως κ̀ ὀξέως. A.

ἄλλως. ὅτι τὸ πλῆρές ἐςι κ̀ αὐτός. Ὁμηρικὸν δὲ τὸ τὸν καί περιττὸν εἶναι. A.

πίῃσθα: μητρὸς ἦθος ἀναφαίνει διὰ τȣ́τȣ· κ̀ γ' ἀεὶ φαγεῖν κ̀ πιεῖν ἀξιȣ̃σι τὰ τέκνα. πιθανὸν δὲ αὐτὸν νοεῖν διψῆν ἀπὸ τῆς κινήσεως τȣ̃ πολέμȣ. ὑφαιρȣμένη δὲ αὐτȣ̃ τὴν αἰδῶ, κ̀ τὸ *σπείσῃς* εἶπεν. ὀνίνησι δὲ οἶνος μέτριος ποθείς, δύναμίν τε ἐμποιεῖ, ὡς τὸ „τὸ γ' μένος ἐςὶ καὶ ἀλκή" (Il. 9, 706). ὁ δέ, ἐπεὶ πραΰνει ὁ οἶνος, βούλει δὲ ἄγριος πρὸς τȣ̀ς πολεμίȣς εἶναι, παραιτεῖται. ἢ ὅτι δίχα τροφῆς βλάπτει, τῶν νεύρων καθαπτόμενος, ὥς φησι Λύκος. ἢ ὅτι μετέωρον ἔχει τὸ πνεῦμα ὡς δρομαῖος ἐλθών, σπεύδει δὲ κ̀ ἀπελθεῖν δρομαῖος. ἄλλως τε ςρατιώταις μὲν θράσος πορίζει, ςρατηγȣ̀ς δὲ τῆς φρονήσεως ὑπεκλύει, μόνȣς δὲ τȣ̀ς ἀποκαμόντας ὠφελεῖ· ὁ δὲ ἔτι ἰσχύει. ἄλλως τε ὁ μὲν μετὰ πόνον οἶνος ὠφέλιμος, ὁ δὲ πρὸ πόνȣ ἐπιβλαβής. BLV.

261. *μένος*: ἡ προθυμία, παρὰ τὸ μένω ῥῆμα, ὃ δηλοῖ τὸ προθυμȣ̃μαι, ὅθεν παρακείμενος μέμακα, μετοχὴ μεμακώς, ἐνδείᾳ τȣ̃ κ̄ μεμαώς· „μεμαὼς πόλιν ἐξαλαπάξαι" (Il. 4, 40). ἔςι δὲ κ̀ μέμονα ὁ παρακείμενος. κ̀ ὡς φθείρω φθαρτός, ȣ̃τω μένω ματός, κ̀ αὐτόματος ἐν συνθέσει. ABL.

μέγα οἶνος ἀέξει: πῶς ȣ̓ν ἑξῆς (265) λέγει „μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ, μή μ' ἀπογυιώσῃς μένεος ἀλκῆς τε λάθωμαι;" λύοιτο δ' ἂν προσώπῳ μέν, ὅτι ȣ̓ πάντες τὰ αὐτὰ δοκιμάζȣσι, λέξει δὲ ὡς ὑπερβατῶς, ὅτι μεμνημένος τȣ̃ πατρὸς ἔκλαιε. *λείβων* ȣ̓ν ἀντὶ τȣ̃ λείβειν ποιῶν εἴρηκε. μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ· χερσὶ δ' ἀνίπτοις Διὶ λείβειν αἴθοπα οἶνον ἅζομαι, μή μ' ἀπογυιώσῃς μένεος ἀλκῆς τε λάθωμαι. B.

262. ἡ διπλῆ, ὅτι ἄκρως Δώριον τὸ *τύνη*. A.

ἔτῃσι: πολίταις. εὖ δὲ τὸ μὴ φάναι ἑαυτῷ μηδὲ τοῖς οἰκείοις, ἀλλὰ τῇ πόλει· τȣ̃το γ' ἡγεμόνι πρέπον. BLV.

263. *κορυθαίολος*: ὁ Χοιροβοσκός, κατασκευάζων ὅτι ȣ̓κ ἔςι σύνθετον τὸ ἐναντίος, φησὶ τὰ εἰς ος ἐν συνθέσει ἀναβιβάζȣσι τὸν τόνον, Ῥωμαῖος φιλορρώμαιος, δȣ̃λος σύνδȣλος. τὸ δὲ κορυθαιόλος ȣ̓ γέγονεν ἀπὸ τȣ̃ αἰόλος (ἦ γ' κορυθαίολος ὤφειλε γράφεσθαι) ἀλλ' ἀπὸ τȣ̃ αἰολῶ τὸ κινῶ, ὥσπερ κ̀ τὸ βȣκόλος ἀπὸ τȣ̃ βȣκολῶ. L.

264. *ἄειρε*: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ πρόσφερε, δίδȣ. A.

μελίφρονα: τὸν ἀναγκάζοντα ἡδέα διανοεῖσθαι· ἱλαρωτέρȣς γ' ποιεῖ ὡς τὰ πολλὰ τοὺς πίνοντας· ὁ δὲ ἐν πολέμῳ ȣ̓ βȣ́λει πρᾶος εἶναι. BL.

265. *μή μ' ἀπογυιώσῃς*: ἡ διπλῆ πρὸς τὸ δοκοῦν μάχεσθαι· ἡ γ' Ἑκάβη λέγει „μένος μέγα οἶνος ἀέξει," ὁ δὲ Ἕκτωρ „μή μ' ἀπογυιώσῃς." ἔςι δὲ διάφορα τὰ λέγοντα πρόσωπα, κ̀ ἑκάτερον πρός τι εἴρηται. A.

ζητεῖται πῶς ποτὲ ἐναντία ἑαυτῷ ὁ ποιητὴς λέγει· προειπὼν γ' „ἀνδρὶ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει" νῦν ἐπάγει „μή μ' ἀπογυιώσῃς." ἡ μὲν ȣ̓ν ὑπὸ πολλῶν γενομένη λύσις τȣ̃ ζητήματος τοιαύτη, ὅτι ἕτερόν ἐςι πρόσωπον Ἑκάβης τὸ λέγον ὠφέλιμον εἶναι τὸν οἶνον, ἕτερον δὲ τὸ τοῦ Ἕκτορος τὸ ἀρνούμενον· οὐδὲν δὲ θαυμαςὸν εἰ παρὰ τῷ ποιητῇ ἐναντία λέγεται ὑπὸ διαφόρων φωνῶν. ὅσα μὲν γ' ἔφη αὐτὸς ἀφ' ἑαυτȣ̃ ἐξ ἰδίȣ προσώπȣ, ταῦτα δεῖ ἀκόλȣθα εἶναι κ̀ μὴ ἐναντία ἀλλήλοις· ὅσα δὲ προσώποις περιτίθησιν, ȣ̓κ αὐτȣ̃ ἐςίν, ἀλλὰ τȣ̃ λέγοντος νοεῖται. ὅθεν κ̀ ἐπιδέχει πολλάκις διαφωνίαν, ὥσπερ καὶ ἐν τȣ́τοις. ἡ μὲν γ' Ἑκάβη ȣ̓κ εἰδυῖα τὸν κάματον τῶν ἀνδρῶν ταύτης ἐςὶ τῆς γνώμης· ὁ δὲ Ἕκτωρ μάλιςα ἐπιςάμενος ἀντιλέγει. ἔπειτα κ̀ ἡ μὲν πρεσβῦτις ἦν, χαίρει δὲ τῷ οἴνῳ ἡ ἡλικία αὕτη· ἐπωφελὴς γ' αὐτῇ ἐςὶν ὁ οἶνος, θερμὸς ὢν κ̀ ὑγρὸς ψυχρᾷ ȣ̓σῃ κ̀ ξηρᾷ, κ̀ ἀναῤῥώννυσιν αὐτήν· ὁ δὲ Ἕκτωρ νέος ἦν κ̀ ἀκμαῖος. ἄμεινον δέ ἐςιν ἐκεῖνο λέγειν, κ̀ δεικνύειν ἑκάτερον τῶν εἰρημένων ἔχεσθαι λόγȣ, καὶ μὴ εἶναι ἐναντία τὰ περὶ τȣ̃ οἴνȣ λεγόμενα, ἐὰν σκοπῇ τις ὅτι ἐπὶ παντὸς πράγματος ὁ καιρὸς κ̀ τὸ μέτρον πολὺ διαλλάττει. ȣ̃τως οὖν κ̀ ἐπὶ τȣ́τȣ· τῷ μὲν γ' μέτρια πεπονηκότι πρὸς ἰσχὺν ὁ οἶνος συμφέρει, τὸν δὲ πάνυ κεκμηκότα σφάλλει· ὅπερ συμβέβηκε τῷ Ἕκτορι, ȣ̓ μόνον δὲ ὑπὸ τȣ̃ πολέμȣ, ἀλλὰ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπὸ τῶ ἐπὶ τὴν πόλιν δρόμω. ἄλλως τε κ' ἐδὲ σιτία ἐδενός πω ἐγέγευσο· ἡ γ' τροφὴ σὺν τῷ οἴνῳ τὸ πλεῖσον συμβάλλει εἰς δύναμιν, ὥσπερ κ' ἀλλαχῶ εἶπεν ὁ ποιητὴς „σίτου κ' οἴνοϝ, τὸ γ' μένος ἐσὶ κ' ἀλκή" (Il. 9, 706) κ' πάλιν „ὅς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος κ' ἐδωδῆς ἀνδράσι δυσμενέεσσι πανημέριον πολεμίζει" (Il. 19, 168) κ' τὰ λοιπά. ἔσι δὲ κ' ἑτέρα λύσις τῶ ζητήματος καθ' ὑπερβατὸν ἐξηγουμένων τινῶν ὅτως „μή μοι — μῆτερ, χερσὶ — οἶνον ἄζομαι· ἐδέ — Κρονίωνι ἄϝματι — εὐχετάασθ, μή μ' ἀπογυιώσης — λάθωμαι," ἵνα ὡς μὴ καθαρὸς τὰς χεῖρας τὸν οἶνον σπένδειν θεοῖς παραιτῆ, μὴ ὀργήν τινα λάβοι παρὰ θεῶν διὰ τῶτο. λύεται δὲ τὸ προκείμενον καὶ ὅτως, ὅτι τὸ μένος διχῶς κεῖται, κ' ἐπὶ θυμῶ κ' ὀργῆς κ' δυνάμεως. ἡ μὲν ἐν Ἑκάβη φύσει τῶ πιόντος οἶνον τὴν δύναμιν αὔξεσθ λέγει, ὁ δὲ μαραίνεσθ τὸν θυμὸν κ' τὴν ὀργὴν τῶ πιόντος λέγει ὑπὸ τῶ οἴνοϝ· ὥσε μὴ κεῖσθ ἐναντία. BD.

266. χερσὶ δ' ἀνίπτοισιν: ἄμφω τὰς προτάσεις Ἑκάβης παραιτεῖ ὁ Ἕκτωρ. ἠδύνατο μὲν ἦν ῥᾳδίως κομισθῆναι ὕδωρ κελευσάσης, ἵνα πρότερον νίψη καὶ λυθῆ αὐτῶ ἡ πρόφασις· ἀλλ' ὁ τῶτο ἦν ἔθος ἀρχαῖον τὸ τὰς χεῖρας ἀπονίπτεσθ μόνον, ἀλλὰ τὸ ὅλον ἀπολύεσθ σῶμα, ὅπερ ἐκ εὐχερὲς (εἰκαιρον LV) Ἕκτορι ἐπειγομένῳ. κ' πῶς ἐν τοῖς ἑξῆς (476) ἀνίπτοις χερσὶν εὔχε „Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ κ' τόνδε γενέσθ παῖδ' ἐμόν, ὡς κ' ἐγώ περ;" ἢ ὧδε τῶτο ἐναντίον. ὁ γ' ταὐτόν ἐσιν ἐπισπένδειν κ' ἁπλῶς διὰ λόγων εὔχεσθ· τὸ μὲν γ' διὰ σώματος, τὸ δὲ διὰ ψιλῶν ῥημάτων γίνεται. BL.

φεύγων δὲ τὴν καταφρόνησιν τῶν θεῶν ἐπέτεινε τὴν εὐσέβειαν. V.

ἀνίπτοισιν: ὅτως Ἀρίσαρχος· ὁ δὲ Ἡρωδιανὸς διὰ τῶ ἦ ἀνίπτησιν. A.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἀνίπτησιν. ἐκ ἔσι δὲ ἡ εὐθεῖα ἀνίπτης. A.

268. αἵματι: τῷ ἐκ πολέμου, ὁμοίως καὶ λύθρῳ τῷ τῆ κόνει ἐπιμίκτῳ. τὸ εὐχετάασθαι δὲ τὸ δεύτερον ᾱ συναλτέον· τὰ γ' εἰς θαι ἀπαρέμφατα προπαροξυνόμενα μακροπαράληκτα. B.

Ἀρίσαρχος τὸ δεύτερον ᾱ συσέλλει, κ' ὁ Ἀσκαλωνίτης· ἄλλοι δὲ ἐκτείνεσιν, ἐκ ὑγιῶς. ὅσα γ' εἰς θαι λήγει ἀπαρέμφατα μὴ κατ' Αἰολίδα διάλεκτον, τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν, φιλεῖ πρὸ τέλες βραχύνεσθ, λέγεσθ τίθεσθ ἵεσθ κίχρασθ πίμπρασθ. ὅσα δὲ πρὸ τέλες ἔχει φύσει μακράν, προπερισπᾶσθ θέλει, νικᾶσθ φιλεῖσθ· τὰ γ' τοιαῦτα δίζησθ φίλησθ ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. ὅθεν οἱ ἀξιῶντες ἐκτείνειν τὸ δεύτερον ᾱ ἐν τῷ εὐχετάασθ πάντως κ' προπερισπῶσιν· εἰ δὲ δεδώκασι τρίτην ἀπὸ τέλες τὴν ὀξεῖαν, δώσουσι κ' τὴν παραλήγουσαν βραχυνομένην. ὅτως ἐν πάντα τὰ τοιαῦτα ἀναγνωσέον· „ἀλλ' ἤτοι σε γυναῖκας ἐγὼ δεδάμασθ ἄνωγα" (Od. 16, 316)· „ἐν μεγάροισι δ' ἔκητι σέθεν κακὰ μηχανάασθ" (Od. 3, 213)· ἄλλοτε μέν σε κ' αἰτιάασθ αἰτιάασθ ἄνωγα" (Il. 10, 120)· „καὶ ἐδριάασθ ἄνωγον" (Od. 3, 35)· „μήτε μνάασθ ἄκοιτιν" (Od. 1, 39). A.

270. θυέεσσιν: ἃ ἡμεῖς θυμιάματά φαμεν, οἱ δὲ Ἀττικοὶ θηλύματα ἀπὸ τῶ ἐκθηλύνειν. ἐπὶ δὲ τῶν ἐμψύχων κυρίως τὸ ἱερεῦσαι λέγεσθ, ὅ ἔσι σφάξαι. BL.

γεραιὰς: γράφεσθ κ' γεραιράς. D.

272. καί τοι πολὺ φίλτατος αὐτῇ: ἵνα ἐκ προθυμίας ἢ τὸ δῶρον. BL.

277. Ἴλιον ἱρὴν: ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

278. φόβοιο: ἡ διπλῆ, ὅτι πάλιν φόβον τὴν φυγήν. A.

280. Πάριν μετελεύσομαι: ἵνα μὴ δι' Ἀνδρομάχην δοκῆ τῆς μητρὸς ὑπεξίσασθ. καλῶς δὲ τὰ ἀναγκαῖα τῶν ἡδονῶν προκρίνει· τῶτο γάρ ἐσι φρονήσεως τὸ πάντα εἰδέναι, τὰ δὲ ὠφέλιμα αἱρετώτερα ἡγεῖσθ. BL.

281. αἴ κ' ἐθέλῃσ': εἰς τὸ ἀπειθὲς Ἀλεξάνδρω. V.

282. γαῖα χάνοι: διασαίη ἡ γῆ, ὥσε χάσματος γενομένω καταποθῆναι. ἢ καταπίοι ἡ γῆ. AD.

ἐνδείκνυται διὰ τῶτου τὸ ἀπειθές, μᾶλλον δὲ ἐμπαθὲς Ἀλεξάνδρω. ἐκ εἶπε δὲ ὅτι σὺ αὐτὸν ἔτρεφες, ἵνα μὴ μᾶλλον λυπήσῃ αὐτὴν ὡς κακῶ θρέπτριαν, ἀλλ' ὁ Ὀλύμπιος. BL.

283. ἐ προσέθηκεν ἐδὲ ἐνταῦθα τὸ σοί, ἵνα ἔτι ἔχῃ ἐλπίδας ὡς ἡ πόλις ἐχ ἁλώσεται. BL.

284. εἰ κείνόν γε: εἰ εἶδον, φησίν, αὐτὸν ὀλεθέντα, ὑπέλαβον ἂν κατὰ φρένα χωρὶς ταλαιπωρίας κ' θλίψεως ἐπιλαθέσθ αὐτῶ, καίπερ μὴ ὄτω διὰ τὸ φιλάδελφον ἐπιλαθόμενος. BL. εἰ θεασαίμην αὐτὸν νεκρόν, ὑπολάβοιμι ἂν αὐτὸν ἐκεῖνον ἔξω πάσης ταλαιπωρίας εἶναι· καὶ γὰρ κατείληπται ὅτι μισεῖται. D.

ἡ διπλῆ, ὅτι τὸ σημαινόμενον, εἰ ἐκεῖνον ἴδοιμι τετελευτηκότα, δύξαιμι ἂν ἐκλελῆσθ τῆς κακοπαθείας κ' χωρὶς αὐτῆς γεγονέναι. ἔνιοι δὲ ἀγνοήσαντες γράφουσιν ἀτέρπου. A.

Ζηνόδοτος φίλον ἦτορ. ALV. ἔσι δὲ κ' ἄλλη γραφὴ φαίνη περ. LV.

ἄτερ πᾶ. ἀπολόμενον, ἵνα μὴ ἐπὶ ἐμοῦ, διὰ τὸ φιλάδελφον. ἀλλ' εἶπεν ἴδοιμι. οἱ δὲ τὸ γενομένην ἀκούσι. V.

ἤτοι τὴν ἐμὴν φρένα τῆς ἀτέρπε ὀϊζύος ἐπιλαθέσθαι ἀπὸ εὐθείας τῆς ἡ ἄτερπος ὀϊζύς· ἢ εἴποιμι ἂν τὴν ἐμὴν φρένα ἄτερ ὀϊζύος εἶναι κ' ἐπιλελῆσθαι πάσης ταλαιπωρίας. D.

286. ἡ δὲ μολοῦσα: εὔκαιρος ἡ ἀποσιώπησις· οὐ γ' συναινεῖν τῇ Ἀλεξάνδρω ἀρᾷ βέλεσθ ὡς μήτηρ, οὐδ' ἀπολογεῖσθ, ἵνα μὴ παροξύνῃ Ἕκτορα. BL.

288. κατεβήσετο: γράφεσθ κ' κατεβήσατο. A.

ἐν ταῖς Ἀρισάρχ φέρεσθ κ' ἑτέρως, ἡ δ' εἰς οἶκον ἰοῦσα παρίσατο φωριαμοῖσιν. A.

κηώεντα: τὸν τεθυμιωμένον. εἴρηται δὲ παρὰ τὸ κῆσαι, ὅ ἔσι καῦσαι, τὰ θυμιάματα. D.

289. ἔσάν οἱ: ἡ διπλῆ, ὅτι ἐγκεκλιμένως ἀναγνωσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὕτως δύο τόνοις, καίτοι πυῤῥιχιακῆς ὄσης τῆς λέξεως, ἵνα μὴ ἄρθρον νοηθῇ τὸ οἱ ἀλλ' ἀντωνυμία. A.

291. ἤγαγε Σιδονίηθεν: δεδιὼς γὰρ τὸν διωγμὸν διὰ Φοινίκης καὶ Αἰγύπτου ἦλθεν, ὡς καὶ οἱ Ἀργοναῦται διὰ τοῦ Ἴστρου. τῆς περιεργασίας δὲ Ἀλεξάνδρου τὸ μὴ μόνον ὠνήσασθαι πέπλους, ἀλλὰ καὶ πρίασθαι τὰς ἐργαζομένας. ABL.

κλέψας τὴν Ἑλένην ἀπὸ τῆς Λακεδαίμονος, οὐχ ἣν ἦλθεν ὁδὸν οὐδὲ τὸν κατ' εὐθεῖαν πλοῦν ἐπορεύθη, ἵνα μὴ διωχθεὶς καταληφθῇ, ἀλλ' ἔπλευσε διὰ τῆς Αἰγύπτου καὶ Φοινίκης καὶ Σιδόνος, κἀκεῖθεν ἔξω τοῦ ἄστεος γυναῖκας εὑρὼν ἔλαβε τρόπῳ λῃστρικῷ. BD.

ἡ διπλῆ, ὅτι ἀπὸ μιᾶς πόλεως τῆς Σιδόνος τὴν Φοινίκην σημαίνει. ABL.

ἐπιπλώς: μετοχή, ἀόριστος πρότερος. ὁ ἐνεστὼς ἐπιπλώω βαρυτόνως διὰ τοῦ ω, ὡς ζώω γνώω, ἐξ οὗ καὶ τὸ γνώσθη. οὕτως οὖν ἐστὶ καὶ τὸ πλώω. γίνεται οὖν ἐκ τοῦ πλέω πλόω διὰ τοῦ ο, καὶ ἐπαυξήσει τοῦ ο εἰς ω ποιητικῶς πλώω βαρύτονον, ἐπειδὴ τὰ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω γινόμενα ῥήματα, εἰ μὲν καθαριεύουσι, βαρύνονται, οἷον ζώω γνώω πλώω, εἰ δὲ οὐ καθαριεύουσι, περισπῶνται, οἷον νωμῶ στρωφῶ. ἐπιπὸν ἐκ τοῦ πλώω ὁ ἀόριστος ἔπλωσα, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἡ μετοχὴ ἐπιπλώσας, καὶ ἀφαιρέσει τῆς ας συλλαβῆς ἐπιπλώς. B. ἀποκοπή, οὐ συγκοπή. V.

292. ἀνήγαγεν: ἡ διπλῆ, ὅτι τὸν ἐκ Πελοποννήσου καὶ Ἴλιον πλοῦν ἀναγωγὴν λέγει. A.

καλῶς τὸ ἀνήγαγε· βορειοτέρα γὰρ τῆς Ἑλλάδος ἡ Ἴλιος. BL.

293. Ἑκάβη φέρε: τὰ σπουδαῖα δι' ἑαυτῶν αἱ ἐλεύθεραι οἰκονομοῦσι παρ' Ὁμήρῳ. καὶ νῦν μὲν ἡ Ἑκάβη τὸν πέπλον ἐκφέρει, ἑτέρωθι δὲ ἡ Ἑλένη τῷ Τηλεμάχῳ πάλιν ἔδωσι πέπλον (Od. 15, 123), ἀλλὰ καὶ ἡ Πηνελόπη τοῖς μηστῆρσι τὸ τόξον (Od. 21, 59). BL.

οὐ πρεπόντως, φασίν, ἐκ τῆς Ἀλεξάνδρου ἀδικίας (λείας L) ἔδοτο τῇ θεῷ τὸ δῶρον. ἀλλ' οὔτε Ἑλένης ὁ πέπλος ἐστίν, οὔτε ἐκ Λακεδαίμονος αἱ γυναῖκες. LV.

295. νείατος ἄλλων: ὧν γὰρ ἡ χρῆσις συνεχής, ταῦτα καὶ πρόχειρα· οἷς δὲ μὴ χρῷτό τις, ταῦτα καὶ νείατα. B.

297. αἱ δ' ὅτε: γράφεται ἀλλ' ὅτε. L.

299. βραχὺ διαστάλτεον ἐπὶ τὸ Κισσηΐς. A.

300. τὴν γὰρ Τρῶες: οὔτε κληρωτοὺς οὔτε ἐκ γένους ἐλέσθαι τοὺς ἱερεῖς εἶναι, οὔτε ψήφῳ ἑνός, ἀλλ' οὓς πλῆθος ἀφιζόμενον ἕλοιτο, διὰ τὸ πολλὰς δημοτικὰς τοῖς προχειρισμένοις καὶ προχειρίζουσι τὰς αἰτίας ἀνακύπτειν. BL.

301. ὀλολυγῇ: φωνὴ αὕτη γυναικῶν εὐχομένων ἐστίν. D.

303. ἐπὶ γούνασιν: ἡ διπλῆ, ὅτι πάλιν παρὰ γούνασιν. A.

304. εὐχομένη δ' ἠρᾶτο: ὅτι τὸν ἱερέα περὶ τῶν ἀρῶν εὔχεσθαι δεῖ, οὐκ ἰδίᾳ ἕκαστον. ἑκάστου δὲ τὸ ἀξίωμα τῶν ὁ ποιητής· τὴν Θεανὼ γοῦν Ἑκάβης παριστάμενης τῷ εὐχομένην, καὶ τὸν Χρύσην τῷ Ἀπόλλωνι ὑπὲρ Ἑλλήνων παρόντος Ὀδυσσέως. BL.

305. ἐρυσίπτολι: πλεονασμὸς τοῦ ε· οἱ δὲ παρὰ Καλλιμάχῳ τὸν οὐκ ἀγαθὸν (τῶν οὐκ ἀγαθῶν LV) ἐρυσίπτολιν. ἄλλως (παρὰ τισὶ δὲ L) ἡ ποιοῦσα ἐριπεῖν τὰς πόλεις. ἄμεινον δὲ ῥυσίπτολι, καὶ οἰκεῖον ταῖς περὶ σωτηρίαν εὐχομέναις τῆς πόλεως. καὶ ἀλλαχοῦ „Ἀθηναίῃ ληΐτιδι" (Il. 10, 460). ABLV.

307. Σκαιῶν προπάροιθε πυλάων: ὡς μέχρι τούτων ἐλάσαντος αὐτοῦ τοὺς Τρῶας. ἔμφασιν δὲ ἔχει βιαζομένου ἐμπεσεῖσθαι εἰς τὴν πόλιν. BL.

ἕτερα παρὰ τὴν πρόσταξιν εὔχεται· διὸ ἀνανεύει ἡ Ἀθηνᾶ. LV.

311. ἀθετεῖται, ὅτι πρὸς οὐδὲν τὸ ἐπιφώνημα καὶ οὐκ εἰθισμένον· κατὰ μὲν γὰρ τὸ ἐναντίον ὁ Ζεὺς ἐπιβεβαιοῖ κατανεύων. καὶ ἑξῆς δ' ἐπιλεγομένου „ὣς αἱ μέν ῥ' εὔχοντο" σαφῶς γίνεται περισσὸς ὁ στίχος. γελοία δὲ καὶ ἡ ἀνανεύουσα Ἀθηνᾶ. A.

ἀνένευε: τῇ γνώμῃ ἀνένευεν. ἀλλ' ἐπὶ μόνῃ τῇ ἀναιρέσει, ἐπεί τοι παύει Διομήδεα διὰ τῆς Αἴαντος μονομαχίας πρὸς Ἕκτορα. BLV.

διὰ τί ὠνομάσθη ἡ Ἀθηνᾶ Παλλάς; ῥητέον οὖν ὅτι Παλλάδιον ἦν ζῴδιον μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελεσμένον, φυλάττον τὴν βασιλείαν τῆς Τροίας· ἐδόθη δὲ Τρωῒ τῷ βασιλεῖ κτίζοντι τὴν πόλιν ὑπὸ Ἀσίου τινὸς φιλοσόφου καὶ τελεστοῦ· διὸ δὴ εἰς τιμὴν Ἀσίου τὴν ὑπ' αὐτοῦ βασιλευομένην χώραν, πρότερον Ἤπειρον λεγομένην, Ἀσίαν ἐκάλεσεν. οἱ δὲ ποιητικῶς γράψαντες ἐκ τοῦ Ἄζου εἶπον τὸ Παλλάδιον τοῦτο κατενεχθῆναι τῷ Τρωῒ βασιλεύοντι Φρυγῶν. τοῦτο Διομήδης καὶ ὁ Ὀδυσσεύς, ὅτε τὴν πρεσβείαν ἐποιήσαντο πρὸς Πρίαμον, ἐκ τοῦ ἱεροῦ ἐσύλησαν, προδεδωκυίας αὐτὸ Θεανοῦς τῆς τοῦ Ἀντήνορος γυναικός, ἱερείας τυγχανούσης καὶ φυλαττούσης αὐτό· ἦσαν γὰρ ἀπὸ χρησμοῦ καὶ Ἀντήνορος μαθόντες ὅτι, ἕως οὗ μένει τὸ Παλλάδιον ἐν τῇ Τροίᾳ, ἀσάλευτός ἐστιν ἡ βασιλεία τῶν Φρυγῶν. πολλὴ τοίνυν μεταξὺ Αἴαντος καὶ Ὀδυσσέως ἐκινήθη ἔρις, τίς τοῦτο εἰς τὴν ἰδίαν ἀπενέγκοι πατρίδα, δικαζόντων αὐτοὺς τῶν ἄλλων βασιλέων καὶ προμάχων. πολλῆς τοίνυν μεταξὺ κινηθείσης, καὶ γενομένης ὀψίας, ἔδοξεν αὐτοῖς παραθέσθαι τὸ βρέτας Διομήδει, μέχρις ἂν γένηται πρωΐ. καὶ τούτου γενομένου διὰ τῆς νυκτὸς εὑρέθη ὁ Αἴας ἐσφαγμένος ἀδήλως. ὑπενόουν δὲ δόλῳ φονεῦσαι αὐτὸν τὸν Ὀδυσσέα. καὶ φιλονικήσαντες πρὸς ἀλλήλους ἀπέπλευσαν. ὅπερ Παλλάδιον ἀνέθεντο τῇ Ἀθηνᾷ. ἕτεροι δέ φασιν ὡς παλλαδίων χρυσουμένων ἐν ταῖς πρώραις τῶν τριήρων, οἱ Ἀζιαῖοι ἀγάλματά τινα ξύλινα τῇ Ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. B.

314. αὐτὸς ἔτευξε: ὡς περὶ ἁβροδιαίτου καὶ τοῦτό φησιν· οὐκ ἐβουλήθη γὰρ σὺν τοῖς ἀδελφοῖς καὶ κηδεσταῖς κατοικεῖν, ἀλλ' ἑαυτῷ ἰδίᾳ οἴκησιν ἐδείματο. τὸ δὲ ἔτευξεν ἀντὶ τοῦ εὖ ἐπεστάτησε· καλλωπιστὴς γὰρ, καὶ ἴσως πρὸς ζῆλον τῆς Μενελάου οἰκίας, ὥστε εἰ ἦν αὐτῷ δυνατόν, ἥρπασεν ἂν καὶ αὐτήν. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

315. τέκτονες κυρίως οἱ λαοξόοι, ὅθεν καὶ ἀρχιτέκτων. BLV.

316. οἴκημα αὐτῷ ἐποίησαν ἐν ᾧ ἦν θάλαμος, ὅ ἐστι νυμφικὸς κοιτωνίσκος, καὶ δῶμα, τετέχιν ἀνδρών, ἡ αὐλή, ὅ ἐχι τὸ ἐξώτερον. BLV.

μέχρι νῦν ἴχνη αὐτῶν ἔχι. τὰ δὲ Ἕκτορος πρυτανεῖά ἐχιν ἐν τῇ πόλει. LV.

317. πόλει ἄκρῃ: ἡ διπλῆ, ὅτι παλιν διῃρημένως εἴρηκεν. A.

319. ὑφ' ἓν ἑνδεκάπηχυ ἀναγνωχέον· τὸ γὰρ διπλάσιον δυωκαιεικοσίπηχυ (Il. 15, 677). A.

οἱ μὲν διαιροῦσιν, ἔχεν, εἶτα δεκάπηχυ· οἱ δὲ ἑνδεκάπηχυ. ὁ μὲν ἓν Ἀσκαλωνίτης ἐδεμίαν προκρίνει· οἱ δὲ περὶ Ἡρακλέωνα καὶ Ἀλεξίωνα πιθανωτέραν ἡγοῦνται τὴν τῶ ἑνδεκα ἀριθμῶ διαχολήν, ἐπειδήπερ τὰ ναύμαχα, τὰ ἐκ δύο συμβληθέντα καὶ κολληθέντα, λέγεται δυωκαιεικοσίπηχυ. A.

πρὸς ὑπογραμμὸν δὲ καὶ προτροπὴν Ἀλεξάνδρω θρασὺς φαίνεται ὁ Ἕκτωρ διὰ τῶ δόρατος· ἅμα δὲ καὶ προμηνύει τὴν ἄφιξιν. τὸ δὲ ἔχε ἀντὶ τῶ ἐκράτει. B.

320. πόρκης: ὁ κρίκος ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τῶ δόρατος, διὰ τὸ πείρειν τὸ δόρυ δι' αὐτῦ. A.

πόρκης καλεῖται ὁ τῆς ἐπιδορατίδος δακτύλιος. παρὰ τὸ πέρω πέπορα, πόρκης. A.

321. τὸν καλλωπιστὴν δηλοῖ καὶ ἐναβρυνόμενον τῇ γυναικί, καὶ οἱονεὶ δι' αὐτὴν τὰ ὅπλα μεταχειριζόμενον καὶ μόνον ἐχὶ πομπῆς χάριν κεκτημένον τὴν σκευήν. ἄλλως τε οὐδὲ ἐν τῇ αὐλῇ ἐχίν, ἀλλὰ ἐν μέσαις ταῖς ἐρίθοις. BLV.

τὸ δὲ ἔπω σημαίνει τέσσαρα, τὸ λέγω, ὡς τὸ „ἄνδρα μοι ἔννεπε Μοῦσα" (Od. 1, 1), καὶ τὸ ἀκολουθῶ, ὡς τὸ „ἢ ἔχ ἑπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς" (Il. 3, 239), τὸ εὐτρεπίζω, ὡς ἐνταῦθα, καὶ τὸ διοικῶ, ὡς τὸ „ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο χεῖρες ἐμαὶ διέπουσιν" (Il. 1, 165). BL.

322. βραχὺ διαυλτέον ἐπὶ τὸ θώρηκα· πρεπωδέστερον γὰρ ἐπὶ τῶ τόξῳ τὸ ἀφώντα. ABL. τὸ δὲ φόωντα τινὲς λαμπρύνοντα, παρὰ τὸ φῶς. ἢ ἀφόωντα ἀντὶ τῶ ἐρευνῶντα, ψηλαφῶντα. LV.

323. Ἑλένη: ἐμπρακτοτέρα λίαν ἐχὶν αὕτη τῶ Ἀλεξάνδρῳ. τὸ δὲ ἔργα ἀντὶ τῶ περὶ τῶν ἔργων. BL.

325. νείκεσσεν: ἡ διπλῆ, ὅτι κυκλικῶς κατακέχρηται· ἀδὲν γὰρ λέγεται ἐπιπληκτικόν. A.

αἰσχροῖς: λοιδόροις. παρ' ἑαυτῶ δὲ ἐξήνεγκεν ὁ ποιητὴς τὸν ζίχον. BL.

326. οὐ μὲν καλὰ χόλον: ἀφορμὴν αὐτῷ δίδωσι τῆς ἀργίας (ἐ γὰρ ὡς ἀθενῶς ἀλλ' ὡς ῥαθύμως αὐτῶ κατηγορεῖ), καὶ φησιν, ἐχ ὑγιῶς ἐν νῷ τὴν μῆνιν ἔχεις, ἣν σοι οἱ Τρῶες μηνίσουν, ὡς θελησάντων αὐτῶν ἐκδῶναι αὐτὸν Μενελάῳ. ἢ χόλον τὴν ῥαθυμίαν λέγει. ἐβέλετο μὲν ἓν αὐτῶ πλειόνως καθάψασθαι, ἀλλ' ἐκ ἔδει αὐτὸν ἐπὶ Ἑλένης λοιδορεῖσθαι. BLV.

ἤτοι ἐ καλῶς νῦν τὴν ὀργὴν κατὰ τῶν Τρώων ἔχεις, ὅτι πρὸς σὲ λυπέμενοι παραδῶναι τῷ Μενελάῳ ἐβέλοντο ἅπερ ἔλαβες, ἐδὲ ἐν καιρῷ ταύτην ποιῇ· ἢ ἐ καλῶς νῦν ὀργίζῃ ἡγέμενος τὸς Τρῶας ἀγανακτεῖν κατὰ σῦ. D.

ἡ διπλῆ, ὅτι ἄπορον ποῖον χόλον. λύοιτο δ' ἂν ἐξ ὑποθέσεως. μήποτ' ἓν ἀκέων τὸς Τρῶας καταρᾶσθαι αὐτῷ ἐχολᾶτο· ἀμείβεται γῦν „ἤτοι ἐγὼ τόσσον χόλῳ ἐδὲ νεμέσσει" (335). A.

327. λαοὶ μέν: περικέκοπται ὁ λόγος· ἐφυλάξατο γὰρ ἐπαγαγεῖν σὺ δὲ καθέζῃ ἀκινδυνος. BLV.

περὶ πόλιν εἶπε διαφθείρεσθαι τὸν λαόν, ὡς ἐγγὺς ὄντος τῶ δεινῶ. LV.

328. σέο δ' εἵνεκα: Μενέλαος δὲ πολεμεῖ πρὸς Ἀλέξανδρον ἀδίκως, πρὸς Ἕκτορα ὑπὲρ ἑαυτόν· νυκτὶ γὰρ ἔτι ὑπερασπίζει Πατρόκλῳ. LV.

330. εἴ τινα: Ἀρίσαρχος ὄν τινα. A.

331. μὴ τάχα ἄσυ: ὡς δῆθεν βοηθησομένου παρ' Ἀλεξάνδρῳ τῶ ἄσεος. μὴ τῶτο. ἀλλ' εἰδὼς ὁ Ἕκτωρ τὰ γογγυσμοὺς τῶν Τρώων τὸν διὰ τὸν Ἀλέξανδρον ὡς μιθιέντα τῶ πολέμῳ, μὴ παρόντος τότε δι' ὃν ὁ πόλεμος, παρακινεῖ τὸν αἴτιον τῶ πολέμῳ, ἵνα ἰδόντες τῶτον οἱ Τρῶες ἐν τοῖς προμάχοις κινδυνεύοντα πολεμήσωσιν ὁλοψύχως· ἕτω βοηθηθείη τὸ ἄσυ. L.

πυρὸς δηΐοιο φέρηται: ἡ διπλῆ, ὅτι ἐλλείπει ὑπὸ πρόθεσις, ὑπὸ πυρός. A.

334. σύνθεο: ἀξιοῖ καὶ πρὸ τῶ εἰπεῖν τὸν λόγον πιθηναι, ὡς εἰδὼς ὅτι ψευδῶς μέλλει εἰπεῖν καὶ ἀπιθάνως τῆς πρὸς ἐκεῖνον ὑπονοίας ἀλλοτρίως. πῶς γὰρ ὁ μετὰ τ πόλεμον καὶ τὴν ἧτταν ἐρῶν ὡς ἐδέποτε τῆς Ἑλένης; L

335. Τρώων τόσσον χόλῳ: ἡ διπλῆ, ὅτι σαφὲς γονε τὸ ἐν τοῖς ἐπάνω ἄδηλον διὰ τῶ „δαιμόνι' ἐ μὲν κ χόλον τόνδ' ἔνθεο θυμῷ" (326). A.

διὰ τῶ ῐ μακρῶ τὸ νεμέσσι, ὡς Θέτι. LV.

336. ἧμην: προσπνευστέον τὸ ἧ· ἐνδιατρίβειν γὰρ σημαίνει καὶ τὸ καθῆσθαι. ὅσοι δὲ ἠθέλησαν σημαντικὸν εἶναι τῶ ὑπέχειν, ἐψίλωσαν· ὃ σπανίως εὑρίσκεται κατὰ τὴν χρῆσιν Ἑλλήνων, ἃ τὰ ὑποδείγματα δίδομεν ἐν τῷ περὶ τῶν μι. ὁ μέντοι ποιητὴς ἐκ ἐχρήσατο. A.

δασυντέον τὸ ἧμην, ἀντὶ τῶ ἐκαθήμην· ἄμεινον γάρ νὲς δὲ ψιλῶσιν, ἀντὶ τῶ ἧμην, ὃ δηλοῖ τὸ ὑπῆρχον. A

ἄχεϊ προτραπέσθαι: διὰ τὴν λύπην τοῦ δυσρήματος ἤθελον ἀποτραπῆναι μικρὸν τῆς μάχης. δὲ εἶξαι. AD.

οἱονεὶ εἶξαι ταῖς συμφοραῖς καὶ χολάσαι τῇ μάχῃ. εἶξαι τῇ συμφορᾷ καὶ ἀφησυχάσαι. δέον μὲν οὖν πταῖσμα ἔργοις ἀνανεῶσθαι· ἔτος δὲ διὰ ἡσυχίας φησὶν κτᾶσθαι ἑαυτόν. BLV.

ἄλλως. ἢ ἤθελον διὰ τὴν ἧτταν λυπέμενος μεῖνα κατακλιθῆναι· ἢ ἐβουλόμην ἐκ τῆς συμβάσης μοι διὰ τὴν ἧτταν παρατροπήν τινὰ καὶ ψυχαγωγίαν καὶ μυθίαν εὑρεῖν. BD.

337. παρειποῦσ' ἄλοχος: ὡς ἐρῶν κηδεμόνι

πόλεως αὐτὴν θέλει δεῖξαι. ἅμα δὲ μειοῖ τὴν παραίνεσιν τοῦ ἀδελφοῦ. LV.

ἡ διπλῆ, ὅτι οὐ κατὰ τὸ ῥητὸν παραγήοχε τὴν παραμυθίαν, δεῖ δὲ κατὰ τὸ σιωπώμενον νοῆσαι· διὸ καὶ εὑρίσκεται περὶ τὰ ὅπλα ἀσχολούμενος. A.

339. νίκη δ' ἐπαμείβεται ἄνδρας: ὡς τὸ „κεῖνον δ' αὖθις ἐγώ" (Il. 3, 440). τῇ δὲ τύχῃ, οὐ τῷ πολεμίῳ περιάπτει τὸ κατόρθωμα. BL. ὁ δὲ δέ ἀντὶ τοῦ γάρ. V.

340. ἐπίμεινον: πρὸς ἀναβολὴν καὶ εὐκαιρίαν Ἕκτορος. LV.

342. οὔτι προσέφη: καλῶς οὐδὲ ἀποκρίσεως αὐτὸν ἠξίωσεν εἰπόντα „νῦν δέ με παρειποῦσ' ἄλοχος," ἀλλὰ τῇ Ἑλένῃ αὐτὸν παρορμᾶν παραινεῖ. BL.

343. προσηύδα μειλιχίοισι: προσάγεται αὐτόν· συνίησι γὰρ ὡς διὰ τὴν πρὸς αὐτὴν αἰδῶ τὰς ἐπιπλήξεις παρῆκεν. B.

ἐν ἄλλῳ προσηύδα δῖα γυναικῶν. A.

344. δᾶερ ἐμεῖο κυνός: τῷ συγγενικῷ ὀνόματι προσοικειοῦται τὸν Ἕκτορα· ἐπεὶ δὲ δι' αὐτὴν ἀτυχοῦσι Τρῶες, προαναστέλλει τε τὴν ἑαυτῆς κατηγορίαν καὶ τὴν εὔνοιαν αὐτῶν ἐπισπᾶται. BL.

ὀκρυοέσσης: τραχείας καὶ φρικτῆς. καταστρέφει δὲ εἰς τὸ κακῆς καὶ ταλαιπώρου. D.

345. ὅτε με πρῶτον τέκε μήτηρ: ὡς καὶ παρ' αὐτὴν γένεσιν εἱμαρμένων τούτων, ἅπερ αὐτῆς ἐδόκει εἶναι ἐπιλημμελήματα. BL.

348. ἀπόερσε: ψιλωτέον· τὰ γὰρ φωνήεντα καταλήγοντα εἰς τὸ ρ̄ ἐπιφερομένου τοῦ σ ψιλοῦσθαι φιλεῖ, ἄρσαντες — οὕτως γὰρ ἐλέγομεν περὶ τούτου καὶ ἐν τῇ Ἀραψῳδίᾳ (136) —, Ἀρσιβόη, „ἐν δὲ σταθμοὺς ἄρσε" (Od. 21, 45), ὄρσας, ὄρσεο κυλλοπόδιον (Il. 21, 331). ταύτῃ ἀναλογώτερον τὸ ἔερσα τριτυλλάβως. πιθανῶς δὲ παρέδραμε τὴν τῶν αὐτῇ εἰργασμένων αἰσχύνην. AB. γίνεται δὲ ἀπὸ τοῦ ἔρρω· „ἔναυλος ἀποέρσει" (Il. 21, 283). V.

349. τεκμήραντο: εἰς τέλος ἤγαγον, ἀπὸ τοῦ τέκμαρ. BL.

351. ᾔδη νέμεσίν τε καὶ αἴσχεα: ᾔδει πρὸς τὸ φυλάσσεσθαι καὶ μὴ εἰς αὐτὰ ἐμπίπτειν. B. „οἶδε τό γ' αἰσχρόν, ἀνόνι τοῦ καλοῦ μαθών" (Eurip. Hec. 602). V.

διδάσκει ὁ ποιητὴς τὰς ἐπιγαμίας πρὸς συνετοὺς ποιεῖσθαι· γοῦν Ἑλένη πλούσιον ἄνδρα ἔχουσα τὸν Ἀλέξανδρον καὶ υἱὸν βασιλέως εὔχεται συνετοῦ γεγενῆσθαι γυνή. BL.

352. οὔτ' ἄρ' ὀπίσσω: οὐδὲ ἐλπίδα ὑποδείκνυσι σωτηρίας. LV.

353. ἐπαυρήσεσθαι: τῆς ἰδίας ἀνοίας δηλονότι. A.

354. ἀλλ' ἄγε νῦν: τὸ συνεχὲς τοῦ λόγου ἐκεῖνο ἦν, δᾶερ ἐμεῖο κυνώπιδος, εἴσελθε καὶ ἕζεο· μέσα δὲ παρενθεῖσα ἐπείονα ἀπ' ἄλλης ἀρχῆς ἤρξατο, ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο. τὸ δὲ δᾶερ ἕνεκα φιλοφροσύνης ἐπαναλαμβάνει. εἴσελθε δέ, ὅτι μέχρι τῆς αὐλῆς προεληλύθει· φιλοφροσυνικὸν δὲ τοῦτο. BL. οὕτω νῦν αἱ Ἀριστάρχου A.

ἕζεο: τὸ μὲν παθητικὸν διὰ τοῦ ε̄, τὸ δὲ ἐνεργητικὸν διὰ τοῦ ῑ. LV.

355. τὸ δᾶερ ὡς ἄνερ· τοιαῦται γὰρ αἱ εἰς ε̄ρ κλητικαί. τὴν δὲ σέ ἀντωνυμίαν ὀξυτονοῦσι, τουτέστιν ὀρθοτονοῦσιν, ἐπεὶ πρός τί ἐστιν. ἔστι μὲν οὖν ἀληθὲς ὅτι ἀντιδιαστολτική ἐστι νῦν ἡ ἀντωνυμία· ἡ μέντοι κοινὴ ἀνάγνωσις ἀνέγνω ἐγκλιτικῶς ἀεὶ τὴν τοιαύτην σύνταξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι. τὸ ἐπεί σε εὑρέθη συνεχῶς οὕτως ἀνεγνωσμένον, ἐγκλιτικῶς ἀεί, μὴ ἐπιφερομένου συνδέσμου „ἐπεί σ' εἴασεν Ἀχιλλεύς" (Il. 24, 684) „ἐπεί σε πρῶτα κιχάνω" (Od. 13, 228) „ἐπεί σε φυγὼν ἱκέτευσα" (Od. 15, 277) „ἐπεί σε λέοντα" (Il. 21, 483). οὕτως δὲ καὶ „ἐπεί σε μάλιστα πόνος φρένας." καί μοι δοκοῦσι τῷ πρώτῳ προσώπῳ ἀκολουθεῖν οἱ οὕτως ἀνεγνωκότες, πιθανῶς πάνυ. διὰ γὰρ τῆς φωνῆς τὸ πρῶτον πρόσωπον ἐπιδείκνυται τό τε ὀρθοτονούμενον καὶ τὸ ἐγκλιτικόν, εἴ γε ἡ ἐμέ αἰτιατική, ὅτε φυλάσσει τὸ ε̄, ὀρθοτονεῖται, εἰ δὲ ἀποβάλοι, ἐγκλιτική ἐστιν. εὑρέθη τοίνυν μετὰ τοῦ ἐπεί συνδέσμου παρὰ τῷ ποιητῇ κατὰ ταύτην τὴν σύνταξιν ἀποβάλλουσα τὸ ε̄· „Ἕκτορ ἐπεί με κατ' αἶσαν" (Il. 3, 59) „ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1, 299). τούτῳ τοίνυν τῷ λόγῳ πιθανὸν ἂν εἴη κατακολουθήσαντας ἡμᾶς ἀναγινώσκειν ἐγκλιτικῶς „ἐπεί σε μάλιστα." AB.

ἀντιδιαστολτικὴ μὲν οὖν ἐστὶν ἡ σέ ἀντωνυμία καὶ ἐχρῆν αὐτὴν ὀρθοτονεῖσθαι, ἡ δὲ συνήθεια ἐγκλιτικῶς ἀνέγνω. L.

356. εἵνεκ' ἐμεῖο: Ἕκτωρ μὲν οὐ συμπεριλαμβάνει αὐτὴν Ἀλεξάνδρῳ· „σέο γάρ" φησιν „εἵνεκ' ἀϋτή τε πόλεμός τε" (328). ἡ δὲ τὴν αἰτίαν καὶ εἰς ἑαυτὴν φέρει, προκαταλαμβάνουσα αὐτόν. BL.

357. οἷσιν ἐπί: ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵν' ᾖ ἐφ' οἷς. δύναται δὲ τὸ ἑξῆς εἶναι ἐπέθηκεν· οὕτως γὰρ βούλονται καὶ οἱ περὶ Ἡρακλέωνα· ἢ περισσὴν λαμβάνειν τὴν ἐπί, ἥτις πάλιν οὐκ ἀναστραφήσεται, δι' ὃν εἴπομεν λόγον· τοῦτο γὰρ βούλεται καὶ ὁ Ἀλεξίων. οὐδὲν μέντοι κεκώλυκε καὶ ὁ τοῦ Ἀσκαλωνίτου, ἐπεὶ οὐχ ὁρῶ τινὰ λόγον ἀναγκαστικόν. A.

Πτολεμαῖος ἀναστρέφει τὴν ἐπί, Ἡρακλέων δὲ οὔ. ἰᾶται δὲ τὰ ἑαυτῆς πταίσματα εἰς τὸν Δία ἀνάγουσα τὴν αἰτίαν. καὶ λεληθότως αὔξει τὴν ποίησιν. BLV.

359. κορυθαίολος: Πορφυρίου. οὐκ οἶδ' ὅθεν τῶν γραμματικῶν τινὲς τὸ αἰόλον ἐπὶ τοῦ ποικίλου παρ' Ὁμήρῳ ἀκούειν ἀξιοῦσιν· οὕτω γοῦν τὸ αἰολόπωλον (Il. 3, 185) ἀποδιδόασι, καὶ „πόδας αἰόλος ἵππος (Il. 19, 404), καὶ τὸ „αἰόλος ὄφις" (Il. 12, 208). οὐκ ἔστι δὲ οὕτως, ἀλλὰ σημαίνει τὸν ταχύν, γενόμενον ἀπὸ τῆς ἀέλλης, ἥτις ἀπὸ τοῦ ἄειν καὶ τοῦ εἱλεῖν πεποίηται, ὡς αὐτὸς ἐξηγήσατο εἰπὼν „ὅν περ ἄελλαι χειμέριαι εἱλέωσιν" (Il. 2, 293) ἤτοι εἱλῶσιν, ὡς καὶ ἐπὶ τοῦ Βορέου ἔφη „εἵλει γὰρ Βορέης ἄνεμος" (Od. 19, 206). ἡ μὲν οὖν ἄελλα ἀπὸ τοῦ ἄειν καὶ εἱλεῖν πεποίηται, ἡ δὲ θύελλα ἀπὸ τοῦ θύειν καὶ εἱλεῖν· θύειν δὲ τὸ σφοδρῶς καὶ ἀκαθέκτως ὁρμᾶν δίκην μαινομένων· „ἦ γὰρ ὅ γ' ὀλοῇσι φρεσὶ θύει" (Il. 1, 342) καὶ „θῦνε διὰ προμάχων" (Il. 5, 250)· ὅθεν καὶ θυάδες αἱ Βάκχαι. ὡς οὖν ἀελλόπους ἡ Ἶρις λέγεται (Il. 8, 409), ἣν μεταλαβὼν ποδήνεμον προσηγόρευσιν (Il. 2, 786),

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὰς ἀέλλας εἰς τοὺς ἀνέμους μεταλαμβάνει, οὕτως τὸν ποδώκη ἵππον μεταλαμβάνων πόδας αἰόλος ἵππος εἶπε· καὶ ὥσπερ εἰπὼν ἀργίποδας κύνας (Il. 24, 211) κατὰ παράληψιν ἀλλαχοῦ ἔφη καὶ κύνας ἀργούς (Il. 1, 50), οὕτω τοὺς πόδας αἰόλους ἵππους κατὰ τὴν παράληψιν αἰολοπώλους ἔφη. καὶ αἰόλαι οὖν εὐλαὶ (Il. 22, 509) ἀπὸ τοῦ εἱλεῖσθαι ταχέως λέγονται· καὶ σφῆκες μέσον αἰόλαι (Il. 12, 167) αἱ κατὰ τὸ μέσον συνεχῶς κινούμεναι καὶ εἱλούμεναι. καὶ κορυθαίολος οὖν ὁ συνεχῶς κινῶν τὴν κόρυθα, ὃ μεταποιῶν ἐπὶ τοῦ Ἄρεος ἔφη „ἶσος Ἐνυαλίῳ κορυθάϊκι" (Il. 22, 132). λύσεις δ' ἐντεῦθεν καὶ τὸ „ὡς δ' ὅτε γαστέρ' ἀνὴρ πολέος πυρὸς αἰθομένοιο, ἐμπλείην κνίσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα αἰόλλῃ" (Od. 20, 25)· δηλοῖ οὖν τὸ εἱλεῖν καὶ συνεχῶς στρέφειν. ἐκ δὲ τοῦ κορυθάϊκι λύσεις τὸ „Δωριέες τε τριχάϊκες" (Od. 19, 177), οἱ συνεχῶς τὰς τρίχας διὰ τὸ δραστικὸν κινοῦντες· καρηκομόωντες γ' εἴρηνται οἱ Ἀχαιοί. B.

360. φιλέουσά περ: πιθανῶς προσέθηκε τὸ φιλέουσα, ἵνα μὴ ὑπ' ἀπεχθείας δοκῇ μὴ καθέζεσθαι. BL.

οὐ δέ: ὅτι ὁ δὲ ἀντὶ τοῦ γάρ· οὐ γάρ με πείσεις. A.

362. Τρώεσσ': τὸ τέλειον Τρώεσσι· διὸ προπαροξύνεται. A.

ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν: στρατιωτικὸν τὸ τῆς ἀλοζονείας καὶ οἰκεῖον Ἕκτορος. οὐκ ἠξίωσε δὲ διαλέξασθαι Ἀλεξάνδρῳ, τὸ πᾶν τῇ γυναικὶ ἐπιτρέποντι. BLV.

ποθήν: ὡς κριτήν. A.

364. ἔντοσθεν πόλιος: ἐδήλωσεν ὅτι οὐ χρονίσει ἐν τῷ τῇ γυναικὶ ὁμιλεῖν. B.

366. οἰκῆας: τοὺς ἐν τῷ οἴκῳ· ἀσυμπαθοῦς γ' τὸ ἐλθόντα μὴ ἰδεῖν· προὔκρινε δὲ τῶν ἡδέων τὰ ἀναγκαῖα. BL.

367. τ' οἶδ': τὸ τέλειον τε οἶδα (τέως BLV) A. πολεμικὸς δὲ ὢν ὑποπτεύει τῶν πολεμικῶν κινδύνων τὸ ἄδηλον. BLV.

ἔτι σφιν: οὕτως ἔτι σφιν. εἷς τόνος, καίτοι ἐχρῆν δύο διὰ τὸ ἐπιφέρεσθαι ἀντωνυμίαν ἀπὸ τοῦ σφ ἀρχομένην, ὁμοίως τῷ „ὅθι σφισι πέφραδ' Ἀχιλλεύς" (Il. 23, 138) „ἦρχε δ' ἄρά σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων" (Il. 14, 137). σεσημείωται οὖν αὕτη ἡ ἀνάγνωσις μόνη, ὡς ἐν ἄλλοις ὁ Ἡρωδιανὸς λέγει. A.

370. εὖ ναιετάοντας: διὰ τὴν τῶν δεσποτῶν πρόνοιαν καὶ φρόνησιν· ἐπὶ δὲ Ἀλεξάνδρου (314) μόνον καλά. BL.

ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ εὖ ναιομένους. A.

371. οὐδ' εὗρ' Ἀνδρομάχην: ἐκκλίνων τὸ ὁμοειδὲς πιθανῶς ἐποίησε τὴν Ἀνδρομάχην μὴ εὑρισκομένην ἔνδον. ἅμα δὲ καὶ κρίνειν τὸν ἀκροατὴν ἀξιοῖ ὅσης ἐπλήρωσε μὲν λύπης εὑρὼν Ἑλένην, Ἀνδρομάχην δὲ οὔ. ἀπῄει δὲ κατηφής, τῶν φιλτάτων μὴ θεαθέντων· ἐν γ' τῷ τείχει παραδόξως συντυγχάνει αὐτοῖς. BL.

373. πύργῳ ἐφεστήκει: τὴν αἰτίαν τῆς ἐξόδου φησί, παραμυθούμενος ἡμᾶς συναχθομένους τῷ Ἕκτορι. βούλεται δὲ ὥσπερ ἱκετήριον τῷ πατρὶ προτεῖναι τὸν παῖδα διὰ τὸ ῥιψοκίνδυνον. BLV.

ἐφειστήκει: Ἀρίσταρχος χωρὶς τοῦ ι ἐφεστήκει. A.

376. νημερτέα: ἐπίρρημα, ἀπὸ τοῦ νημερτές οὐδετέρου. τοῦτο ἐκ τοῦ νημερτής. τοῦτο παρὰ τὸ ἁμαρτῶ τὸ ἀποτυγχάνω, καὶ μετὰ τοῦ νη στερητικοῦ νημαρτής, οἱονεὶ ὁ μὴ ἀποτυγχάνων τοῦ σκοποῦ τοῦ λόγου, τουτέστι μὴ ψευδόμενος· καὶ τροπῇ τοῦ α εἰς ε νημερτής. A.

377. λεικώλενος: τοῦ ποιητοῦ τὸ ἐπίθετον, οὐ τοῦ προσώπου. λέγει δὲ καὶ τὰς αἰτίας δι' ἃς προϊέναι τὰς σώφρονας δεῖ. BLV.

378. εἰνατέρων: εἰνάτειρ παρὰ τὸ εὐνάζειν, οἱονεὶ ἡ συνευνάτειρα· πρὸς ἀλλήλας γάρ, φησί, λέγονται. Αἴλιος δὲ Διονύσιος οὕτω φράζει· εἰνατέρες αἱ τοῖς ἀλλήλων ἀδελφοῖς γεγαμημέναι, ἃς συνήθως φασί τινες ἀνδραδέλφας. L.

381. ὀτρηρή: ἡ δραστική, ἡ μὴ ἀναμένουσα ὀτρυνθῆναι παρά τινος, ἀλλὰ δι' ἑαυτῆς παροτρυνομένη ἅπαντα ποιεῖν. γέγονε δὲ παρὰ τὸ τρέω τὸ φοβοῦμαι. B.

383. οὔ τέ πῃ: ὀργιζομένῳ τῷ Ἕκτορι ἀπολογεῖται ὑπὲρ αὐτῆς ἡ θεράπαινα, ὡς οὐ χαιρούσης προόδοις, ἠναγκασμένης δι' νῦν φιλανδρίας χάριν, ἵνα μᾶλλον οἰκτίσῃ αὐτὴν ὁ Ἕκτωρ. BL.

389. μαινομένῃ εἰκυῖα: ἵνα ἀπροαιρέτως δοκῇ ἐκβεβακχεῦσθαι. παῖδα δὲ φέρει τιθήνη, ἢ ὅτι ὑποτίτθιος ἦν, ἢ ὅτι ἐν τοῖς δεινοῖς οὐκ ἐῶσι μόνους τοὺς παῖδας. BLV.

390. ὁ δ' ἀπέσσυτο: οὐ πρὸς τὴν Ἀνδρομάχην, ἀλλ' εἰς τὸν πόλεμον. L. οὐκ ἀποκρίνεται ὑπὸ θυμοῦ. εὖ δὲ τὸ μὴ περιμεῖναι τὴν γυναῖκα· καὶ ἔστιν ἰδεῖν ἀντικείμενα τὰ πρόσωπα, Ἕκτορος μὲν προτιμήσαντος τῶν φιλτάτων τὴν βασιλεῖαν τῶν πολιτῶν, Ἀλεξάνδρου δὲ τῇ Ἑλένῃ παρακαθημένου. BL.

392. διερχόμενος μέγα ἄστυ: μετὰ τὸ διελθεῖν τὸν λεωφόρους καὶ πρὸς τέλει ἐλθεῖν. τοῦτο δέ φησιν, ἵνα ὁ ἀκροατὴς ἀγωνιώτερος γένηται. BL.

393. ἔμελλε: ἐῴκει αὐτῷ καὶ ἐδόκει ἡ γυνὴ προεληλυθέναι. V.

394. ἔνθ' ἄλοχος: ἀναβέβηκεν ἐπὶ τὸ τεῖχος ὡς ἐκεῖθεν ὀψομένη τὸν Ἕκτορα, ὡς δῆλον ἐκ τοῦ „πύργῳ ἐφεστήκει" οὐδαμοῦ δὲ ὁρωμένου οἴκαδε ἐπανέρχεται, καὶ ἰδοῦσα ἐξιέναι μέλλοντα προστρέχει, ἵνα αὐτὴν μὴ φθάσῃ παραλλάξαι· τοῦτο γ' ἔθει πάντως, ἵνα μὴ ἐξελθεῖν φθάσῃ. δείκνυσι τὸ φίλανδρον τῆς Ἀνδρομάχης. BV.

πολύδωρος: πολλὰ ἔδνα παρὰ τοῦ ἀνδρὸς λαβοῦσα, πολύπροικος. V.

395. 396. Ἠετίωνος — Ἠετίων: „οἵη περ φύλλα γενεή, φύλλα" (145). ἐνήλλακται ἡ πτῶσις. τινὲς δὲ Ἠετίων τὸ τέλειόν φασιν ἀντὶ γενικοῦ, ὡς τὸ „ἆσσον ἰόνθ' ὅτε τοι" (Il. 1, 567). V.

τὸ Ἠετίωνος εἰ μὲν τοῖς ἄνω συντάττοιμεν, ἐμφανέστερον ποιεῖ τὸ ἀκατάλληλον τῆς ἐπαναλήψεως, ἥτις ὁμοίως πτωτος ὀφείλει γίνεσθαι· εἰ δὲ τοῖς μετὰ ταῦτα, δύναται ὁ λόγος καὶ τὸ ἑξῆς, μεγαλήτορος Ἠετίωνος, ὅστις Ἠετίων ᾤκει ὑπὸ Πλάκῳ. A.

396. ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν, ὅτι πλεονάζει ἡ Ἰλιάδι, καὶ τὸ τῶν πτώσεων ἀκατάλληλον. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπὸ Πλάκῳ: Γράνικος, οἱ δὲ Ἀτράμους, Πελασγὸς τὸ γένος, ἀφίκετό ποτε ὑπὸ τὴν ἐν τῇ Λυκίᾳ Ἴδην, καὶ πόλιν κτίσας ἐκεῖσε ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἀδραμύττιον. γεννήσας δὲ θυγατέρα Θήβην τῷ ὀνόματι, παρὰ τὴν ἀκμὴν τοῦ γάμου ἔθετο γυμνικὸν ἀγῶνα καὶ τὸν ταύτης γάμον τῷ ἀρίστῳ δοῦναι. Ἡρακλῆς δὲ κατ' ἐκεῖνο καιρῷ φανεὶς ἔλαβε τὴν Θήβην γυναῖκα, καὶ κτίσας πόλιν ὑπὸ τὸ Πλάκιον καλούμενον ὄρος τῆς Κιλικίας (Λυκίας Λ) Πλακίαν Θήβην αὐτὴν ἀπὸ τῆς γυναικὸς ἐκάλεσεν. ἡ ἱστορία παρὰ Δικαιάρχῳ. ΑD.

Ἀδράμυσις ὁ Πελασγὸς ἀφικόμενος εἰς τὴν Ἴδην τὴν ἐν Κιλικίᾳ (Λυκίᾳ L) κτίζει πόλιν Ἀδραμύσειαν καλουμένην· ἔχων δὲ θυγατέρα Θήβην ἔπαθλον δρόμου αὐτὴν ὥρισε τῷ βουλομένῳ. Ἡρακλῆς δὲ ταύτην λαβὼν *) καὶ τὴν πόλιν Ὑπόπλακον Θήβην ὠνόμασεν, ὅτι ὑπέρκειτο αὐτῆς πλακώδες ὄρος, συνεχεῖς ἔχον πέτρας προσπιπτούσας ἀλλήλαις. ἄλλοι δὲ ἔτοι παρὰ τοὺς Σύρους Κίλικας, ὑπὸ τὴν Ἴδην καὶ Πήδασον ὄντες. BLV.

ὑλήεσσαν: ὕλην ἐχούσαν, συμφύτῳ τόπῳ, συνδένδρῳ. ἐμφαίνει δὲ ὅτι πλήσιος ἦν Ἠετίων διὰ τὸ ἐπιθέτῳ, εἰπὼν ὑλήεσσαν. D.

398. ἔχεθ' Ἕκτορι: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ εἴχετο ὑφ' Ἕκτορος. ἡ μὲν γυνὴ ἔχεται, ὁ δὲ ἀνὴρ ἔχει. A.

400. κόλπῳ: ἡ διπλῆ, ὅτι κόλπον τὰς ἀγκάλας νῦν εἶπεν. εἰώθασι δὲ καὶ τὸ ἄνω τοῦ πέπλου ἔτως καλεῖν· „κόλπον ἀνιεμένη" (Il. 22, 80). A.

κόλπος τὸ ἀναδίπλωμα τοῦ ἱματίου. καὶ Ἡρόδοτος οὕτω λέγει· „μέγαν κόλπον καταλειπόμενος" (6, 125). L.

ἀταλάφρονα: ἁπαλὰ φρονοῦντα, μὴ δυνάμενον τλῆναι καὶ κακοπαθεῖν. ABDL.

401. ἀλίγκιον ἀσέρι καλῷ: προπαραδίδωσιν ἡμῖν τὸ χαρίεν τοῦ παιδός, ἵνα προσανέχωμεν αὐτῷ τὸν νοῦν, ὅταν εἴπῃ „ὃ παιδὸς ὀρέξατο" (466). πρέπον δὲ παιδίῳ τὸ μὴ ἡλίῳ ἢ σελήνῃ ἀλλ' ἀστέρι εἰκασθῆναι. B.

402. καλέεσκε Σκαμάνδριον: σημείωσαι τὸ μέτρον. A.

402. 403. ἄμφω πρέποντα. ὁ μὲν γὰρ βουλόμενος ὀνειδίζειν τοῖς ὑποτεταγμένοις ἦν παρεῖχεν αὐτοῖς σωτηρίαν, ἀπὸ τῆς ἐγχωρίου Σκαμάνδρου καλεῖ τὸν υἱόν· οἱ δὲ Τρῶες, ἀνθ' ὧν ἐφύλαττεν αὐτοὺς ὁμολογοῦντες χάριν, Ἀστυάνακτα καλοῦσιν, οἰκείαν θέμενοι τὴν προσηγορίαν· καὶ γὰρ ὁ Ἕκτωρ οὕτως ἐκαλεῖτο διὰ τὸ ἔχειν „ἀλύσκοις κεφαλὰς καὶ νήπια τέκνα" (Il. 24, 730). προτρέπει δὲ ἡμᾶς ἐπ' ἀρετὴν δι' ὧν καὶ παισὶν αἰτίοι εὐκλείας οἱ ἀγαθοί. BLV.

404. μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ: τοῦτο γὰρ γεροντικὸν καὶ μεγαλοφυές, τὸ μὴ ἀθρόως γελᾶν. χαρίζεται δὲ τοῖς γυναιξὶ τὰς παῖδας φιλογονοῦντες· σύνδεσμος ἀνδρῶν καὶ γυναικῶν ἡ παιδοποιία, πατρικὸν δὲ τὸ χῆμα· προσαγορεύομεν δὲ μειδιάσαι τοὺς παῖδας τοὺς μηδέπω μὲν λόγους συνιέντας, γνωρίζοντας δὲ ἤδη τὴν ὄψιν. BL.

405. παρίσατο δακρυχέουσα: ἤδη προϋδίδαξε τί μέλλει λεχθῆναι. πιθανὸν δὲ ἀπὸ τῆς ἀπροσδοκήτου χαρᾶς κλαίειν τὴν γυναῖκα. γραφικῶς δὲ ὁ μὲν μειδιᾷ ἀφορῶν εἰς τὸ παιδίον, ἡ δὲ δακρύουσα παρέσχεν αὐτῷ, ὡς οἷον εἰπεῖν ἐμέρισε τὸν κλαυσίγελων. BL.

406. φῷ χειρί: τὸ δυσαποσπάστως ἔχεσθαι τῶν ἀνδρὸς δηλοῖ τὸ φῷ χειρί. BL.

407. φθίσει σε τὸ σὸν μένος: διὰ τὴν φιλοστοργίαν πείσεται αὐτὸν ὑπερέχειν Ἑλλήνων, ὡς ἐ τοσοῦτον τοῖς πολεμίοις εὐχείρωτον εἶναι ὅσον ἑαυτῷ διὰ τὸ ῥιψοκίνδυνον. θαυμάζει μὲν ἂν τὴν ἰσχύν, οὐκ ἐπαινεῖ δὲ τὸ θράσος. ὅτε δὲ Ἕκτορ ὅτε ἀνέρ φησιν, ἀλλὰ δαιμόνιε, ὃ παρεμφαίνει θυμόν τε καὶ εὔνοιαν. BL.

408. καὶ ἔμ' ἄμμορον: ἡ διπλῆ, ὅτι τινὲς γράφουσι καὶ ἐμοῦ μόρου, οὐκ εὖ. A.

τοιαύτη τίς ἐστιν οἵα ἂν μήτηρ ἐκ πολλῶν παίδων ἐφ' ἑνὶ σαλεύσα. V.

409. σεῦ ἔσομαι: ὑ τῇ κοινῇ χηρείᾳ, ἀλλὰ τῇ Ἕκτορος ἄχθεται. BL.

410. πάντες ἐφορμηθέντες: ἕνα γ' ἕκαστον αὐτῶν ἥττονα ἡγεῖται αὕτη. BL.

411. σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι: φιλάνδρου τὸ ἦθος αὐτῆς. ἡ δὲ ἀντωνυμία πολλάκις παραληφθεῖσα πάθος καὶ ἦθος κινεῖ. BL.

412. ἔσται θαλπωρή: περιπαθῶς φησὶν ὅτι ἅμα σοὶ πάντα τὰ ἐμοὶ ἀπολοῦ καλά, ἀλλὰ καὶ τὸ κοινότατον πάντων ἀνθρώπων ἀφαιρεθήσεται, ἡ ἐλπίς. τὸ δὲ πότμον ἐπίσπῃς ἀντὶ τοῦ ὑπὸ πότμου καταληφθήσῃ. BL.

413. ἐδέ μοι ἔσι πατὴρ: οἰκτον ἐπάγει ἀντὶ πάντων αὐτὸν λέγουσα ἔχειν· ἐλεῖμεν γ' μᾶλλον νὺξ ἡμῶν μόνων ἠρτημένης. ἐκ ἀγνοοῦντι μὲν ἐν διαλέγεται, ἀλλ' ἐκ πάντων τῶν οἰκείων αὐξουσα Ἕκτορα· οἱ γ' ἀτυχοῦντες φιλοῦσι καὶ πρὸς εἰδότας λέγειν τὸ μῆκος τοῦ λόγου. BLV.

διὰ τί διηγεῖται τῷ ἐπιγαμένῳ; ὅτι ἐκ ἔχει ἀναλογισμὸς τοῦ συμφέροντος ταῖς ἀσθενούσαις ψυχαῖς. αὗται δὲ πρὸς τὸ πενθεῖν εἰσὶ καὶ τὸ δεῖσθαι διὰ τὴν ταραχήν. A.

414. ἀμόν: Δημήτριός φησιν ἀντὶ τοῦ ἐμόν· διὸ καὶ ἀντικρυς ψιλοῖ. πιθανώτερον δέ ἐσι Δωρικώτερον εἶναι, ἀντὶ τοῦ ἡμέτερον, ἀμόν. ὅτιος Ἀπολλώνιος. A.

τὸ δὲ ἀμόν ἐν μὲν τῇ Ἰλιακῇ προσῳδίᾳ φησὶν ὁ Ἡρωδιανὸς Δωρικώτερον εἶναι ἀπὸ τοῦ ἀμέτερον· ἐν δὲ ἐπιμερισμῷ φησὶν ὅτι ἀπὸ τοῦ ἐμόν ἐκτέταται τὸ ε εἰς ᾱ μακρόν. BLV. ὡς τὸ αἴκη αἴ κέ σ' οἶνος ἕλῃ. V.

415. ναιετάωσαν: Ἀρίσαρχος διὰ τοῦ ῡ ναιετόωσαν. A.

417. ἐξενάριξεν: ἐσκύλευσεν. A.

ἡ διπλῆ, ὅτι διδάσκει τί τὸ ἐξενάριξεν· ἐπιφέρει γὰρ „ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσιν." A.

*) λαβὼν — ὠνόμασεν] ὑπὸ τοῦ Πλάκιον τῆς Κιλικίας πόλιν κτίσας, Θήβην αὐτὴν ὠνόμασεν. ἀλλ' Ἐριθήλας καὶ Λόβης οἱ Ἀσάκης, ἀπαρχὰς εἰς Φοινίκην ἀπὸ Θήβης φέροντες, ἐξώσθησαν, καὶ οἰκήσαντες ἔκτισαν αὐτὴν καθ' ὁμωνυμίαν. V.

ὡς τίμιον καὶ βασιλικόν. ὁ περιττὰ δὲ ταῦτα· ἀξίωμα γὰρ τῆ πατρὸς ἐμφαίνει, ὃν ἠδέσθη καὶ πολέμιος καὶ κτείνας. BLV.

419. σῆμ' ἔχεεν: ἦγεν διὰ χώματος ὑψηλῆ ἐσήμανε τὸν τόπον τῆς ταφῆς. L.

πτελέας: προσφυῶς διὰ τὸ ἄκαρπον. L.

420. νύμφαι ὀρεσιάδες: σημειωτέον ὅτι καὶ ἐν τοῖς ὄρεσι καὶ ἐν ταῖς πηγαῖς οἶδε θεάς, ὡς νύμφας καλεῖ· „νύμφαι κρηναῖαι" (Od. 17, 240) καὶ „νύμφαι ὀρεσιάδες, κοῦραι Διός." ἤτως πεπληρῶσθαι θείων δυνάμεων Ὅμηρος ἡγεῖται πάντα. B.

422. ἰῷ: ὡς σοφῷ Ἀρίσαρχος· καὶ ἐπεκράτησεν αὐτοῦ ἡ ἀνάγνωσις. ἐκεῖνο μέντοι ἀναγκαῖον προσθεῖναι, ὅτι τὸ ἴα βαρυτόνως ἀνέγνω ὁ ἀνὴρ καὶ τὸ μία· „ἀδ' ἴα γῆρυς (Il. 4, 437) καὶ „μία δ' οἴη (Il. 18, 565)· τὰς μέντοι δοτικὰς περιέσπασεν „ἰῇ ἄρα γινόμεθ' αἴσῃ" (Il. 22, 477) καὶ „ἰῇ δ' ἐν νυκτὶ γένοντο" (Il. 18, 251). καὶ φασί γε τὸ τοιοῦτο εἶδος Ἰώνων εἶναι. τινὲς δὲ ἐτόλμησαν λέγειν αὐτὸ Ἀττικόν, λέγω δὲ τὸ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβασμὸν γίνεσθαι τόνου. ἤτως ἔν καὶ „μέσην ἐς ἄγυιαν" (Il. 20, 254) ἀνέγνω, „εὐκτιμένας" δὲ „κατ' ἀγυιάς" (391). μήποτ' ἂν ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ τῆς δοτικῆς περιέσπασε, συνεξομοιῶν τῷ τῆ θηλυκοῦ τόνῳ, κατὰ τὴν αὐτὴν πτῶσιν καὶ τὸ ὑστέρου ἤτως ἀνέγνω ὁμοτόνως. A.

423. κατέπεφνε — Ἀχιλλεύς: λεληθότως ὑποβάλλει αὐτῷ κἀκ τούτου τὸν Ἀχιλλέα φοβεῖσθαι. BL.

426. τὴν ἐπεί: μεταποιῶν ἀπὸ αἰτιατικῆς εἰς εὐθεῖαν καταντᾷ πάλιν εἰς τὴν προτέραν αἰτιατικήν. L.

428. πατρὸς: μητροπάτορος· τεθνήκει γὰρ Ἠετίων ἤδη. B.

βάλ' Ἄρτεμις: αἰφνιδίως ἐτελεύτησε· τὰς γὰρ αἰφνιδίους θανάτους ἀναφέρουσιν εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν. A.

429. Ἕκτορ ἀτὰρ σύ μοι: τὸ χῆμα καλεῖται χέσις· ἐμφαίνει δὲ εὔνοιαν καὶ πάθος ψυχῆς. BL.

430. θαλερός: ἀγαπητός· „τοιόνδε θάλος" (Od. 6, 157) οἷον ἀγάπημα. B.

431. αὐτοῦ μίμν': ἡ μὲν Ἑλένη ὡς αἴτιον τῶ πολέμιον ἐκπέμπει τὸν Πάριν, ἡ δὲ ὡς ῥιψοκίνδυνον κατέχει. καλῶς δὲ ὁ μένειν αὐτὸν οἶκοι ἄξιοῖ (οἶδε γὰρ ὅτι ὁ πείσει), ἀλλ' ἐπὶ τῆς τείχους μένειν, ὅθεν καὶ ἀμυνεῖ τοῖς πολεμίοις, ὅθεν καὶ σωθήσεται. BLV.

432. ὀρφανικόν: ὀρφανόν, ὡς παρθενικὴ παῖς ἡ παρθένος. L.

θήῃς: ἤτως Ἀρίσαρχος διὰ τοῦ η, θήῃς. A.

433. ἀθετοῦσι στίχοι ἑπτὰ ἕως τοῦ (439) „ἦ νυ καὶ αὐτῶν θυμός," ὅτι ἀνοίκειοι οἱ λόγοι τῇ Ἀνδρομάχῃ· ἀντισρατηγεῖ γὰρ τῷ Ἕκτορι. καὶ ψεῦδος παρέχουσιν· οὐ γὰρ παρέδωκεν εὐεπίδρομον τὸ τεῖχος κατὰ τοῦτο τὸ μέρος, ὥστ' ἤτως ἐγγὺς πλησίον ἡ μάχη τοῦ τείχους. καὶ ὁ Ἕκτωρ (441) πρὸς τὰ πρότερα ἀπαντᾷ λέγων „ἦ καὶ ἐμοὶ τάδε πάντα." A.

ὁ πρέποντα μὲν τὰ τῆς ὑποθήκης γυναικί, ἀλλ' εἰ καὶ γυναικὶ μὴ πρέπει, ἀλλά γε τῇ Ἀνδρομάχῃ, ἐπεὶ καὶ τὸ ἱπποκομεῖν ὁ γυναικός, ἡ δὲ Ἀνδρομάχη καὶ τοῦτο ποιεῖ (Il. 8, 168), ὡς φίλανδρος ἐπιμελημένη καὶ τῶν φερόντων αὐτῆς τὸν ἄνδρα· ὑπόκειται γὰρ ἡ Ἀνδρομάχη τοιαύτη, καὶ ὄκ ἀπείρως καὶ τὰς Ἕκτορος ἵππους τεμελῆσα. BL.

434. ἄμβατος: ἤτως Ἀρίσαρχος, ἄμβατος. Καλλίστρατος διὰ τοῦ η, ἀμβάτη. A.

πέπλασαι τῶτο, ὅπως αὐτὸν ἀποσήσῃ τῆ πεδίο· διὸ ὐδὲ ἀποκρίνεται περὶ τούτου. ἐπίδρομον, καθ' ὃ ἔχει ἐπιδραμεῖν τὴν ἀπὸ τῆ τείχους κατερχομένην ὁδὸν καὶ ἀναβῆναι τὴν αὐτήν. BDV. μείνασα δὲ χρόνον ἐπὶ τῆ τείχους οἶδε. V.

435. τῇ γ' ἐλθόντες: γράφεται καὶ διὰ τοῦ δ, τῇ δ' ἐλθόντες. A.

436. ἀμφ' Αἴαντε: περιειργάσατο παρά τινος τὰ ὀνόματα. ἅμα δὲ θέλει ὁ ποιητὴς δηλῶσαί τι τῶν μετὰ Γλαῦκον καὶ Διομήδην γεγονότων. διὰ τί δέ, φασίν, οὐ συνεῖδε ταῦτα ὁ Ἕκτωρ; φαμὲν δὲ ὅτι συνεῖδεν· „ἐμοὶ" γάρ φησι „τάδε πάντα μέλει γυναί." BL.

437. Ἀτρείδας: ὁ Ἴξιων ἐν τῷ πρὸς τὰς ἠθετημένας Ἀτρείδα προφέρεται δυϊκῶς. A.

438. 439. ἦ — ἦ: διὰ τὸ πέ καὶ νύ τὸν ἦ ὀξυτονητέον ὡς δύνασθαι εἶναι διαζευκτικὸς ἢ καὶ παραδιαζευκτικός. A.

438. θεοπροπίας εὖ εἰδώς: ὑποβάλλει ταῦτα προοικονομῶν ὡς κατὰ τοῦτο τὸ μέρος εἵμαρτο ἁλῶναι τὸ Ἴλιον. BL.

439. καὶ αὐτῶν θυμός: ἐν ἐνίοις καὶ αὐτὰς θυμός.

441. τάδε πάντα: ἡ ὀρφανία καὶ ἡ χηρεία καὶ ἡ τῶν πολεμίων σκόπησις. BL.

ὅτι πρὸς τὴν λέγουσαν „ἀλλ' ἄγε νῦν ἐλέαιρε" καὶ „παῖδ' ὀρφανικὸν θείης" οἰκείως ἀπήντηκεν· ὁ δὲ διασκευασὴς ἐπλανήθη. A.

442. αἰδέομαι Τρῶας καὶ Τρωάδας: νόμος ἄρχουσιν αἰδεῖσθαι τοὺς ὑποτεταγμένους· χεῖρον δὲ παρὰ γυναιξὶν ἀκοῦσαι δείλιον. BL.

ἑλκεσιπέπλους: αἱ ἐν τῷ βαδίζειν ἐπισύρουσαι τὸν πέπλον. A.

443. κακὸς ὥς: γράφεται κακὸς ἃ ἦγεν καθὰ κακός.

444. μάθον ἔμμεναι ἐσθλός: διδάκται γὰρ αἱ τέκναι. ἄμεινον δὲ τὸ ἔμαθον ἀντὶ τοῦ εἴωθα. ἐξ ἐπιλογισμοῦ δὲ τοῦτό φησιν. ABL.

445. τὸ αἰεί τοῖς ἐπάνω προσδοτέον, ἵνα μὴ ὑπερβατὸν γένηται τῷ καὶ συνδέσμῳ καὶ αἰεὶ πρώτοισι. κοινὸν μέν νοεῖται καὶ ἀμφοτέρων τὸ αἰεί, ὥσπερ καὶ τὸ ἔμαθον. A

ὁ Νικάνωρ φησὶν ὅτι δεῖ ζίζειν εἰς τὸ αἰεί, ἵνα μὴ συνδέσμου ὑπερβατὸν γένηται. BL.

446. ἀρνύμενος πατρός τε: ἐμόνον, φησίν, ἐστὶ τὴν δόξαν ἀλλὰ καὶ τῷ πατρὶ σῶσαι σπεύδω. B.

448. ἔσσεται ἦμαρ: οὐκ ἐκφοβεῖ, ἀλλὰ πρὸς τὸ ἀληθὲς εὐπαρώρμηθον ποιεῖ. οὐκ ὁρίζει δὲ τὸν χρόνον τῆς ἁλώσεως· ὧν γὰρ δεινῶν χρόνος οὐκ ὁρίζεται, τούτων ἧττον ὑφίσταται ἡ προσδοκία, ὥσπερ ἔξιν ἰδεῖν καὶ ἐπὶ τῶ θανά

προειδότες γ' ὅτι τεθνηξόμεθα, διὰ τὸ μὴ εἰδέναι τὸ πότε ἥττον ἀχθόμεθα. ἡ δὲ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

ἐκ ἐκφοβεῖ, εἰ καὶ τῆς ἁλώσεως μέμνηϑ', ἀλλὰ μᾶλλον εὐπαράμυθον ποιεῖ, καὶ τὴν αὐτῷ φιλοσοργίαν πρὸς τὴν γυναῖκα ἐμφαίνει· διὸ οὐδὲ τὸν τῆς ἁλώσεως ὁρίζει χρόνον. ἐλπίζει δὲ τὰ δεινὰ διὰ τὴν παράβασιν κ' τὴν Διομήδους ἀριστείαν. B.

450. οὔ μοι Τρώων τόσσον μέλει: ἐπεὶ ἐκεῖνοι ἑκόντες ἐδυσύχουν, ἐπιτρέποντες Ἀλεξάνδρῳ ἀδικεῖν· ἡ δὲ Ἀνδρομάχη διὰ τὰς ἐκείνων ἁμαρτίας προητυχήκει, τοσούτων οἰκείων ξερηθεῖσα ἐν ἡμέρᾳ μιᾷ. ὑπερέβαλε δὲ τὴν τῆς γυναικὸς φιλοσοργίαν· ἡ μὲν γ' ἀντὶ τῶν ἐκεῖ ὄντων αὐτὸν οἰκείων ἔθετο, ὁ δὲ κ' τῶν περιόντων αὐτὴν προτιμᾷ· ἅμα δὲ ἐλεεινὴ κ' ἡ ἡλικία καὶ ἡ δθλεία. μιμεῖϑ δὲ καὶ βαρβάρου φιλογύναιον ἦθος, οἳ περὶ πλείστου ποιοῦνται τὰς γυναῖκας. BLV.

451. αὐτῆς Ἑκάβης: ηὔξηται διὰ τῆς ἀντωνυμίας ἡ φιλοσοργία. V.

454. ὅσσον σεῖ': δεινῶν γ' πάντων χείρων ἡ τῶν γυναικῶν ὕβρις κ' αὐτῶν αἰσχύνη· „πρίν τινα πὰρ Τρώων ἀλύχῳ κατακοιμηθῆναι" (Il. 2, 355). BLV.

456. ἐν Ἄργει ἧσα: ἐν ἄλλῳ ἐν Ἄργει ἧσα. τὸ δὲ πρὸς ἄλλης ὑπὸ ἄλλης κελευομένη· τοῦτο γὰρ τὴν ὕβριν φέρει, ἀχὶ τὸ ἔργον, σύνηθες ὂν ταῖς παλαιαῖς. BL. ἀντὶ τῦ ὑπὲρ ἄλλης, ὡς πρὸς Τρώων καὶ πρὸς ἄνακτος, ἵνα μὴ κακοπαθῇ. V.

457. ὕδωρ φορέοις: ἡ διπλῆ, ὅτι κατὰ τὸ προσυχὸν ἔτως εἰπόντος Ὁμήρῳ οἱ νεώτεροι τῷ ὄντι ὑδροφορῆσαν εἰσάγουσιν αὐτήν. A.

Μεσσηὶς καὶ Ὑπέρεια κρῆναι Ἄργος (Θετταλίας L). A. οἱ δὲ τῆς Λακωνικῆς. D.

Ὑπέρεια Θεσσαλίας. Πίνδαρος „ἐγγὺς μὲν Φερῆς κρανᾶς Ὑπερηΐδα λιπών." V.

458. πόλλ' ἀεκαζομένη: τέτακϑ μὲν ἡ δθλεία εἰς ὑδροφορίαν ἢ εἰς ἐσεργίαν· ὁ δὲ κατ' ἄμφω τίθησιν ἐπίτασιν. θαῤῥῶν δὲ τῇ σωφροσύνῃ αὐτῆς, ὅτι ἐκ ἂν ὑπομείνειεν ἑκοσίως προδῶναι ἑαυτῆς τὸ σῶμα, ἑτέρῳ ἀνδρὸς ἐμέμνηται. BL.

459. εἴπησιν: ἡ διπλῆ, ὅτι τὸ εἴπησιν ἀντὶ τῦ εἴποι ἄν. ἡ δὲ ἀναφορὰ πρὸς Φιλητᾶ γράφοντα „θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαλύξει" (Il. 21, 126). ἔτος γ' μὴ νοήσας ὅτι τὸ ὑπαΐξει ἐσὶ τὸ ἐφορμῆσαι ὑπὸ τὴν φρῖκα, τετέσι τὸ τῦ ὕδατος ἐπανάστημα, ὃς φάγοι ἂν Λυκάονος τῦ δημῦ, τὴν φρῖκα ἐδέξατο τὴν ὑπὸ τῦ ψύχους γινομένην φρίκην, καί φησι τὰς πιμελώδεις τῶν ἰχθύων ὑπομένειν τὸ ψύχος, ὥςε ὃς ἂν τὸ τῦ Λυκάονος λίπος φάγοι, ἐκκλίνει τὴν φρίκην. A.

460. ὃς ἀρισεύεσκε μάχεσθαι: παρέδραμε τὰ ἑαυτοῦ· ἔςι δὲ ἐν τῇ λέξει πάντα ὑπονοεῖν. ἐπιγραμματικὸν δὲ τύπον ἔχει ὁ ςίχος. BL.

462. σοὶ δ' αὖ: βεβαιοῖ αὐτῆς τὸς λόγους. V.

464. ἀλλά με τεθνειῶτα: καὶ πάλιν ἡ Ἕκτορος ὑπερβάλλει φιλοσοργία τὴν γυναῖκα. ἡ μὲν γ' Ἀνδρομάχη ξερηθεῖσα τῦ Ἕκτορος θανεῖν εὔχεϑ λέγουσα „ἐμοὶ δέκε κέρδιον εἴη χθόνα δύμεναι" (410), ὁ δὲ αἱρεῖται θανεῖν, ἵνα μηδὲ κλαίουσαν ἴδῃ. BV.

χυτὴ: ἡ διπλῆ, ὅτι οὐ πᾶσα γῆ ἔτως λέγεται παρ' αὐτῷ, ἀλλ' ἡ τοῖς νεκροῖς ἐπιχεομένη. A.

465. πρίν γ' ἔτι: Διονύσιος ὁ Σιδώνιος τὸν γέ ἐκ πλήρες ποιεῖ· ἔτως κ' Ἀλεξίων κ' οἱ περὶ Ἡρακλέωνα· ἐ γ' πιθανὸν ἐγκεῖϑαι τὸ ἔτι· ἐ γ' δή γε κ' πρότερον συνέβη ταῦτα τῇ Ἀνδρομάχῃ. ἔςιν ἓν τὸ τί καϑ' ὕπαρξίν τινα λεγόμενον, ἢ καὶ παρελκόμενον, ὁμοίως τῷ „ἦ νύ τοι ἔτι μέλει Τρώων πόνος" (Il. 22, 11) κ' „μή τι φόβονδ' ἀγόρευε" (Il. 5, 252) κ' „μή τί μευ ἠΰτε παιδός" (Il. 7, 235). ἐχ ὑγιῶς ἓν ὁ Πτολεμαῖος οἰεῖ συναλοιφὴν εἶναι. A.

ἑλκηθμοῖο: ἑλκυσμῦ, ἀνδραποδισμῦ, αἰχμαλωσίας. V. ἑλκηθμὸς ἡ βία, ἀπὸ τοῦ ἑλκῶ ἑλκήσω, ὅπερ ἐπὶ τοῦ πειρᾶν γυναῖκα κυρίως λέγεται, οἷον „Λητὼ γ' εἵλκησε Διὸς κυδρὴν παράκοιτιν" (Od. 11, 580). L.

466. ὀρέξατο: ἀντὶ τῦ ἐλάβετο. A.

467. κόλπον: παρὰ τὸ κοῖλον, ὃ σημαίνει τὸ βαθύ, κόλος, καὶ μετὰ τῦ π κόλπος. B.

468. ἀτυχθείς: ταραχθείς. ἠθικὸν δέ, ὅτι ἐκ ἄλλον ἢ τὸν πατέρα φοβεῖται. V.

καὶ χωρὶς μέν τινος μορμολύττοντος δυσαποσπάσως ἔχουσι τῶν τροφῶν· τῦτον δὲ καὶ ἡ ὄψις φοβεῖ. οὕτως δέ ἐςιν ἐναργείας μεςὰ τὰ ἔπη, ὅτι ἐ μόνον ἀκούϑ τὰ πράγματα ἀλλὰ κ' ὁρᾶται. λαβὼν δὲ τῦτο ἐκ τῦ βίου ὁ ποιητὴς ἄκρως περιεγένετο τῆς μιμήσεως. πρῶτος δὲ παῖδας ἐν τραγῳδίᾳ εἰσάγει. BLV.

469. διαξαλτέον εἰς τὸ χαλκόν τε· μέρος γάρ ἐςι περιόδυ ἐπανειλημμένον μετοχικόν. διαξαλτέον δὲ καὶ ἀτυχθείς κ' χαλκόν τε κ' νοήσας. ABV.

ἱππιοχαίτην: ἀλλαχοῦ ἵππειρον· εἰκὸς γ' εἰς αὐτὸν ἐνιέναι τὰς τρίχας καὶ ἀπὸ τῆς χαίτης τοῦ ἵππου κ' ἀπὸ τῆς οὐρᾶς. L.

471. ἐκ δ' ἐγέλασσε: ἀπὸ τῆς πολλῆς αὐτῶν λύπης ἡ μικρὰ τῦ παιδὸς αἰτία φυσικόν τινα κινεῖ καὶ μέτριον γέλωτα. BL.

472. ἀπὸ κρατὸς κόρυϑ' εἵλετο: σημειῦνταί τινες τοῦτον διὰ τὸ τὸν τραγικὸν Ἀσυδάμαντα παράγειν τὸν Ἕκτορα λέγοντα „δέξαι κοινήν μοι πρὸς πόλεμον δὲ καὶ φοβηϑῇ παῖς." A. (an forte δέξαι κυνῆν μοι, πρόσπολε· πεφόβηϑ' ὁ παῖς?).

μιμητικῶς κ' τῦτο· εὐάλωτος γ' κ' ὁ τραχὺς φιλοσοργίᾳ τέκνα. BL.

474. κύσε πῆλέ τε: διεκίνησεν εἰς τὸν ἀέρα ὧδε καὶ ἐκεῖ. L. τῦτο γ' ποιῦμεν πρὸς διάχυσιν αὐτῶν. ἄκρως δὲ περιεγένετο τῦ ἤθους, ἐδέν τι λυπήσας τὴν ἡρωϊκὴν σεμνότητα. BLV. ταῖς δὲ χερσὶν αὐτῦ λαβόμενος τὴν ἐπιθυμίαν πληροῖ, ἐπεὶ μὴ δύναϑ' περιπλέξαϑαι αὐτόν. LV.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

475. Ἀρίςαρχος διὰ τȣ̃ δ̄, εἶπε δ' ἐπευξάμενος. A.

476. δότε δὴ καὶ τόνδε: φιλότιμος ἡ εὐχή. διαχυθεὶς δὲ ἐπιλέληςαι τῶν πρώην· ἢ ὅτι δυνατὸν θεοῖς καὶ παρ' ἐλπίδα τι ποιῆσαι. πλȣ́σιον δὲ ȣ̓κ εὔχεϑ τὸν υἱὸν γενέσϑ, ἀλλ' ἢ μόνον ἄρχοντα ϗ ἀνδρεῖον, τὴν μητέρα θρασύνων, ἵν' ἔχῃ ἐπίκȣρον. B.

478. ὧδε βίην τ' ἀγαθόν: ἄλλοι ὧδε βίην ἀγαθόν τε. A.

479. πατρὸς δ' ὅγε: φυσικῶς ἐκ τȣ̃ βίȣ τȣ̃το ἔλαβεν· ἅπασι γὰρ τῶν ἄλλων ἀμείνονες εἶναι θέλοντες μόνοις εὐχόμεθα παισὶν ἡττᾶσϑ. BL.

Ἀρίςαρχος δὲ πατρός γ' ὅδε γράφει. V.

479. 480. τὸ ἑξῆς, ϗ ποτέ τις εἴποι ἐκ πολέμȣ ἀνιόντα. ϗ ȣ̓ λείπει τὸ ἰδών, ἀλλ' ἔςι συνήθης Ἀττικοῖς ἡ φράσις. Εὐριπίδης Ῥήσῳ (390) „χαίρω δέ σ' εὐτυχȣ̃ντα ϗ προσήμενον πύργοισιν ἐχθρόν," ϗ αὐτὸς Ὅμηρος ἀλλαχȣ̃ „ἤχθετο γάρ ῥα Τρωσὶ δαμναμένȣς" (Il. 13, 352). ἤλλακται δὲ πτῶσις, ἀντὶ τȣ̃ ἐκ πολέμȣ ἀνιόντος. A.

ἀνιόντος, ὡς τὸ „γυναῖκά τε θήσατο μαζόν" (Il. 24, 58). ἄλλως. ςικτέον εἰς τὸ ἀνιόντα, ϗ λείπει τὸ ἰδών· ἤδη γὰρ σύνηθές ἐςι τοῖς Ἀττικοῖς. V.

480. ȣ̓κ ἀεὶ πολεμεῖσϑ ϗ πολεμεῖν (πολεμεῖσϑ τὴν πόλιν V) εὔχεται, ἀλλ' ἐν μόναις ἄριςον εἶναι ταῖς χρείαις. B.

ἔναρα: τὰ ἀπὸ πολέμȣ λάφυρα· ἐναρίζειν γάρ ἐςι τὸ φονεύειν. διὰ τȣ̃το ϗ οἱ νεκροὶ ἔναροι (ἔνεροι D). AD.

βροτόεντα: ἡμαγμένα· βρότος γὰρ τὸ ἀπὸ φόνȣ αἷμα. ἢ ἡματωμένα. AD.

482. ἀλόχοιο φίλης: ἵνα αὐτὴ διαχυθῇ. V.

483. κηώδεϊ: ἐν ᾧ τὰ βρέφη κοιμίζεται. A.

484. δακρυόεν γελάσασα: δυνατῶς ϗ σοφῶς ῥηθὲν ὡς ἀνερμήνευτον πεφώραϑ. ἔςι δὲ εὐπρεπές· ȣ̓ γὰρ ὡς ἁπλȣ̃ν τὸ πάθος, ἀλλὰ σύνθετον ἐξ ἐναντίων παθῶν, ἡδονῆς καὶ λύπης· εἰς γέλωτα μὲν γὰρ αὐτὴν προσήγαγε τὸ βρέφος, εἰς δάκρυον δὲ ἡ περὶ τȣ̃ Ἕκτορος ἀγωνία. AB. οὐκ ἐνόησεν ȣ̓ν Καλλίμαχος τὸν ςίχον, εἰπὼν „ἐπεὶ θεὸς ȣ̓δὲ γέλασσεν ἀκλαυτί." ᾠήθη γὰρ ὑπὸ τῆς διαχύσεως τȣ̃ γέλωτος τὰ δάκρυα γενέσϑ. V.

487. οὐ γάρ τις: ὑποθεὶς ἑαυτὸν τῇ εἱμαρμένῃ, ἴσον ἐποίησε τό τε κινδυνεύειν ϗ τὸ ἀσφαλῶς ζῆν. BL.

488. μοῖραν: τὸν φυσικὸν θάνατον. L.

Πορφυρίου. ἐζήτησάν τινες πῶς ἐνταῦθα ἀπαράβατον λέγει τὴν μοῖραν ὁ ποιητής, ἐν δὲ τῇ Ὀδυσσείᾳ παραβατὸν ὑφίςαϑ, ὅταν λέγῃ „ὡς ϗ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρείδαο γῆμ' ἄλοχον" (Od. 1, 35). λύεϑ δὲ τȣ̃το ἐκ τοῦ δείκνυσϑ ὅτι τριχῶς ἡ μοῖρα παρὰ τῷ ποιητῇ λέγεϑ, ἡ εἱμαρμένη, ἡ μερὶς ϗ τὸ καθῆκον. ὅταν οὖν λέγῃ „μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα" (Od. 3, 66), τὰς μερίδας λέγει. ὅταν δὲ λέγῃ „ἔλλαχε πορφύρεος θάνατος ϗ μοῖρα κραταιή" (Il. 5, 83), τὴν εἱμαρμένην σημαίνει. ὅταν δὲ ἐπὶ τῶν Τρώων φευγόντων λέγῃ „οὐ κατὰ μοῖραν τάφρον διεπέρων" (Il. 16, 367), ȣ̓ κατὰ τὸ καθῆκον διεπέρων τὴν τάφρον λέγει ἀλλ' αἰχρῶς. ϗ ἐπὶ τῶν ȣ̓ν προκειμένων, ἐν μὲν τῷ „μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν" τὴν εἱμαρμένην λέγει· ὅταν δὲ „ὡς ϗ νῦν Αἴγισθος ὑπὲρ μόρον," ȣ̓ τὸ σημαῖνον τὴν εἱμαρμένην λέγει, ἀλλὰ τὸ ὑπὲρ τὸ καθῆκον· ȣ̓ γάρ ἐςι νῦν πρέπον ȣ̓δὲ καθῆκον τὰς ἄλλοις νόμῳ συνῳκισμένας φθείρειν γυναῖκας. ἄλλως τε ȣ̓χ εἷς τȣ̃ ποιητȣ̃ ὁ λόγος, ἐκ προσώπων δὲ διαφόρων, εἰς μίμησιν παραληφθέντων. ποτὲ μὲν γὰρ λέγει πρὸς Ἀνδρομάχην ὁ Ἕκτωρ, ποτὲ δὲ ὁ Ζεύς· διαφωνεῖν δὲ πρὸς ἄλληλα ȣ̓δὲν ἀπέοικεν τὰ διάφορα πρόσωπα. ὡσαύτως δὲ ϗ ἐπὶ τῶν Ἑλλήνων ὅταν λέγῃ „ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόςος ἐτύχθη" (Il. 2, 155), παρὰ τὸ καθῆκον ἀκȣσόμεθα. Ὅμηρος μέντοι παραβατὸν τὴν μοῖραν τὴν κατὰ τὴν εἱμαρμένην οἶδεν ἐν οἷς φησὶ „ϗ δὲ σοὶ αὐτῷ μοῖρα θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσϑ" (Il. 23, 80) ϗ πάλιν „ἀλλά ἑ μοῖρα ἦγ' ἐπικȣρήσαντα μετὰ Πρίαμόν τε ϗ υἷας" (Il. 5, 613). κρατεῖν δ' ȣ̓ μόνον ἀνθρώπων ἀλλὰ ϗ θεῶν ἀποφαίνεϑ, ὥς που καὶ ὁ Ἄρης φησὶν „εἴ πέρ μοι ϗ μοῖρα Διὸς πληγέντι κεραυνῷ κεῖσϑ ὁμȣ̃ νεκύεσσι" (Il. 15, 117) ϗ ὁ Ποσειδῶν πρὸς τὴν Ἶριν „ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην ϗ θυμὸν ἱκάνει, ὁπόταν ἰσόμορον ϗ ὁμοῖον πεπρωμένον αἴσῃ νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν" (ib. 208), ἀφ' ὧν δηλοῖ ὡς τὴν πεπρωμένην ϗ αὐτῶν τῶν θεῶν ἐπικρατεῖν γινώσκει. διὸ καὶ ὑπείκειν αὐτῇ ϗ τὸν ὑπέρτατον θεὸν Δία, ϗ „ἄνδρα θνητὸν ἐόντα πάλαι πεπρωμένον αἴσῃ" (Il. 16, 441) αὐτȣ̃ τε υἱὸν νενομισμένον μὴ θέλων θανάτοιο δυσηχέος ἐξαναλῦσαι, ἀλλὰ μᾶλλον αἱματοέσσας ψιάδας κατέχευεν ἔραζε, παῖδα φίλον τιμῶν. διὸ ϗ Πάτροκλος „ἀλλά με μοῖρ' ὀλοὴ ϗ Λητȣ̃ς ἔκτανεν υἱός" (ib. 849). ȣ̓τω ϗ περὶ Ἡρακλέȣς λέγει „ȣ̓δὲ γὰρ ȣ̓δὲ βίη Ἡρακλῆος, ὅς κεν φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι, ἀλλά ἑ μοῖρα δάμασσε ϗ ἀργαλέος χόλος Ἥρης" (Il. 18, 117)· καὶ ἀλλαχȣ̃ „ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ· ἄμφω γὰρ πέπρωϑ ὁμοίην γαῖαν ἐρεῦσαι" (ib. 328). ἀλλὰ ϗ Ἥφαιςος τὰ μὲν ὀπισθεδȣ̃ναι ὑπιχνεῖϑ, τὴν δὲ μοῖραν παρατρέψαι ἀρνεῖται· „ἀ γάρ μοι θανάτοιο δυσηχέος ὧδε δυναίμην νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι" (ib. 464), ἀφ' ὧν δείκνυϑ Ὅμηρος ἀπαράβατον λέγων τὴν τȣ̃ θανάτȣ μοῖραν. B.

489. τὰ πρῶτα: τινὲς πρωτά, ὡς γνωτά, ἵν' ᾖ τὰ πεπρωμένα, ȣ̓χ ὑγιῶς. A.

φαίνεϑ ϗ τὴν μαθηματικὴν πρῶτος εἰδὼς Ὅμηρος, ἐν οἷς τὴν ἐπὶ γενέσεως ὥραν περιέχειν τὰ ἀποτελέσματα λέγει. A.

490 — 493. τέσσαρσι ςίχοις ἑξῆς ἀςερίσκοι παράκειν ὅτι νῦν μὲν ὀρθῶς κεῖνϑ ϗ πρὸ τῆς μνηςηροφονίας (Od. 2, 350), ἐν δὲ τῇ Α ῥαψῳδίᾳ τῆς Ὀδυσσείας (356 — 9) οὐκέτι. A.

490. κόμιζε: ὥσπερ τὸ πολεμῶ πολεμίζω, νεμεσῶ νεμεσίζω, ȣ̓τω ϗ κομῶ κομίζω τὸ ἐπιμελείας ἀξιῶ. L.

διὰ βραχέων τῶν ῥημάτων βίον ϗ οἰκονομίαν σώφρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νὸς ὑπογράφει γυναικός, οἰκονομικῶς δὲ ἐποίησε τὸν Ἕκτορα ἐπιτρέποντα αὐτῇ οἰκουρεῖν, ἵνα μὴ κατὰ τὴν πρὸς τὸν Ἀχιλλέα μάχην ὀφθεῖσα ἐπὶ τῶ τείχες πείσῃ αὐτὸν μὴ πολεμεῖν. BL.

491. ἠλακάτην: τὸ τῶν γυναικῶν ἐργαλεῖον ᾧ περιελίσσεσι τὸ ἔριον. λέγει δέ ποτε ὅτως καὶ τὸ βέλος ἐν τῷ συνθέτῳ ὀνόματι χρυσηλακάτην· σημαίνει γὰρ τὴν χρυσᾶ βέλη ἔχουσαν Ἄρτεμιν. AD.

διαφέρει τὰ ἠλάκατα τῆς ἠλακάτης, καὶ ἡ διαφορὰ ἥδε. ἡ μὲν γὰρ ἠλακάτη δηλοῖ τὸ ξύλον εἰς ὅπερ εἰλοῦσι τὸ ἔριον αἱ νηθίδες, ἠλάκατα δὲ αὐτὰ τὰ ἔρια περιειλούμενα τῇ ἠλακάτῃ. τὴν μὲν οὖν ἠλακάτην διὰ τούτων δεδήλωκεν, ὡς ἐν τῇ Ὀδυσσείᾳ (4, 135) „ἠλακάτη τετάνυσο ἰοδνεφὲς εἶρος ἔχουσα.“ τετανύσθω δὲ αὐτὴν εἶπε διὰ τὸ εἶναι ἐπιμήκη τε καὶ λείαν. τὰ δὲ ἐπὶ τῆς ἠλακάτης ἔρια „ἠλάκατα ῥοιζηδὸν ἀλιπόρφυρα, θαῦμα ἰδέσθαι“ (Od. 6, 306) καὶ ἔτι δὲ „παρ' ἠλάκατα ῥοφαλίζετο“ (Od. 18, 315). λέγει δὲ καὶ χρυσῆν τὴν ἠλακάτην, ὡς τὸ „χωρὶς δ' αὖθ' Ἑλένη ἄλοχος πόρε κάλλιμα δῶρα, χρυσῆν τ' ἠλακάτην τάλαρόν θ' ὑπόκυκλον ὕπασσε· τόν ῥά οἱ ἀμφίπολος παρέθηκε φέρουσα νήματος ἀσκητοῖο βεβυσμένον“ (Od. 4, 130). καὶ ἡ χρυσηλάκατος δὲ Ἄρτεμις ἀπὸ τῆς ὁμοιότητος καὶ τῆς κατασκευῆς τῆς ἠλακάτης εἴρηται χρυσῆν τύξον ἔχουσα· „Ἥρη δ' ἀντίθεη χρυσηλάκατος κελαδεινὴ Ἄρτεμις ἰοχέαιρα“ (Il. 20, 70). B.

492. πόλεμος δ': ταῦτά φησι διὰ τὰς παραινέσεις αὐτῆς. ἔχει δὲ ἦθη σκοπεῖν διάφορα Ἀλεξάνδρου καὶ Ἕκτορος· ὁ μὲν γάρ φησι „πόλεμος δ' ἀνδρεσσι μελήσει,“ ὁ δὲ Ἀλέξανδρος „νῦν δέ με παρείπες' ἄλοχος“ (337). BL.

ἐνθάδε πόλεμος, ἐπὶ δὲ Τηλεμάχου (Od. 1, 358) μῦθος· ἐπὶ δὲ τῆς θέσεως τῶ τόξου (Od. 21, 352) „τόξον δ' ἀνδρεσσι μελήσει.“ A.

496. ἐντροπαλιζομένη: κατ' ὀλίγον καὶ συνεχῶς ἐπιστρεφομένη. D. ἀπῆγε μὲν ἡ ἐπίπληξις, ἐπέστρεφε δὲ ἡ εὔνοια· ποία γὰρ ἦν τοιοῦτον ἄνδρα τοιούτῳ κινδύνῳ προπέμπουσα; AL.

499. ἐνόησεν: ἢ διηγησαμένη, ἢ ἀπὸ τῶν ἰδίων δακρύων. ᾔξησε δὲ τὸ συμπαθὲς διὰ τῶ παρανόμια θρήνου· κλαίουσι γὰρ ἔτι ζῶντα. ἅμα δὲ καὶ ἐνδείκνυται ὡς δεῖ οὕτω δεσπόζειν, ἵνα καὶ εὐνοῶνται. BL.

500. γόον: ἀντὶ τῶ γόων συνεσάλη. A. γόαον, καὶ κατὰ συγκοπήν. ἢ ἀπὸ βαρυτόνου. V.

503. ὣς δὲ Πάρις δήθυνεν: δῆλον ἐν ὡς διὰ τοῦτον ἐνδιέτριβεν ὁμιλῶν τῇ γυναικὶ ὁ Ἕκτωρ, ἵνα μετ' αὐτῶ προελθὼν παραθαρσύνῃ τὲς Τρῶας ἰδόντας αὐτὸν παραδόξως σεσωσμένον, ὡς τῶν θεῶν εὐνοϊκῶς ἐχόντων πρὸς αὐτούς. BL.

505. πεποιθώς: ἑαυτῷ πρόεισιν ἀρέσκων, τὴν ἧτταν δ' ὅλως ἐνθυμούμενος. BL.

506—511. καὶ τούτοις ὁμοίως ἀσερίσκοι παράκειται, ὅτι τὴν παραβολὴν ὅλην ἐπὶ Ἕκτορος βληθέντος λίθῳ ὑπ' Αἴαντος μετήνεγκεν ἐντεῦθεν (Il. 15, 263—268). A.

506. στατὸς: ὁ τῆς ἀγέλης ἀποσπασθείς, καὶ ἐπὶ φάτνης ἑξῆς· ἵστω γὰρ ποθεῖ τὴν συνήθη δίαιταν. B.

ἀκοστήσας: ἄκος τῆς σάσεως λαβών, τουτέστιν ἅμα, καὶ κριθίσας. κυρίως δὲ αἱ πᾶσαι τροφαὶ ἄκοσαι καλοῦνται παρὰ Θεσσαλοῖς, ὡς καὶ Νίκανδρος, παρὰ τὸ ἴσασθαι τὰ σώματα τρεφόμενα. ἐν ἄλλῳ, καιρῷ παραλαβών. βέλτιον δέ, δυχεράνας ἐπὶ τῇ τῆς φάτνης σάσει. AD. οἱ δὲ ἀγοξήσας ὁ ὑπανθείς· ἀγοξὸς γὰρ ὁ ὕπνος. ἢ ἡσυχάσας, παρὰ τὴν ἀκήν. AL.

οἱ δὲ τὰς κριθὰς φασι παρὰ Θεσσαλοῖς ἄκοσας εἶναι. B.

ἡ δὲ διπλῆ πρὸς τὸ ἀκοσήσας, ὅτι ἄλλοι ἄλλως ἀπέδωκαν· ἔχει δὲ ἤτοι ἐν ἄχει γενόμενος διὰ τὴν σάσιν, ἢ ἄκος τι καὶ βοήθημα τῆς σάσεως ζητῶν. A.

507. δεσμὸν: δεσμὸς ἦν Ἀλεξάνδρῳ ἡ Ἑλένη νοηθήσεται. BL.

πεδίοιο: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, καὶ τὸ κροαίνων ἓξ ἔχει ἐπιθυμιῶν, ὡς Ἀρχίλοχος ἐξέλαβεν, ἀλλ' ἐπικροτῶν τοῖς ποσὶ διὰ τῶ πεδίῳ. A.

οἱ νεώτεροι ἐπιθυμεῖν τὸ κροαίνειν, ὡς Ἀρχίλοχος. A.

ὑψηχῶν ἐριγδαπῶν, κυμβαλίζων· ἀρίστως γὰρ ἵππῳ κοίλη ἡ χηλή, καὶ κυμβαλίζει. B. Στησίχορος κοιλωνύχων ἵππων πρύτανιν τὸν Ποσειδῶνά φησιν. V.

508. ποταμοῖο: λείπει ὕδατι· ἢ ποταμὸν εἴρηκε τὸ τῶ ποταμῶ ὕδωρ. AD.

φιλόλουτρον γὰρ τὸ ζῶον· ἐν ποταμῷ δέ, ἐπεὶ τοῖς θολεροῖς (καθαροῖς V) ἥδιον ὕδασιν, τὰ δὲ σάδια διαυγῆ. οὐ πονεῖν (πίειν L) δὲ ἐθελήσας τῶτο ποιεῖ, ἀλλὰ μεταβολὴν τῆς σάσεως εὑρεῖν. BLV.

509. χαῖται: δοκεῖ ἡ κόμη μεγαλοπρεπείας αἰτία εἶναι τοῖς ἵπποις. A. καὶ Πάρις δὲ εὔκομος. πρεπόντως δὲ τῶτο ἐπὶ τῶ καλλωπισθῶ· καὶ τὸ παράδειγμα ἀπὸ γαυρικῶ ἵππου καὶ ἀλογίστου. BL.

510. 511. ὁ δ' ἀγλαΐηφι πεποιθώς: ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τῶ τὸν δὲ ἀγλαΐηφι πεποιθότα. A. καὶ τὸ ἕ ἀντὶ τῶ αὐτόν. B.

καινοπρέπεια σχήματος. ἐσχημάτισε δὲ τὸν λόγον διὰ τὸ ξενίζον τῶ πράγματος. L.

511. ῥίμφα ἑ γοῦνα φέρει: Ζηνόδοτος ῥίμφ' ἐὰ γοῦνα φέρει· Ποσειδώνιος δὲ ὁ ἀναγνώστης Ἀρισάρχου διαιρέσεως τὸ ἕ ψιλῶς προφέρει, παρέλκειν αὐτὸ λέγων ὡς ἐν τῷ „ἠὲ σὺ τόνδε δέδεξο“ (Il. 5, 228), καὶ λύει τὸ σολοικοφανές. ὁ δὲ Ὅμηρος ὑπὸ τῶν γονάτων καὶ ποδῶν φέρεσθαι λέγει· „τὸν μὲν ἄρ' ὡς εἰπόντα πόδες φέρον“ (Il. 15, 405). A.

513. ὣς ἠλέκτωρ: διασαλτέον ἐπὶ τὸ ἠλέκτωρ· λάμπειν γὰρ αὐτόν φησιν ὡς ἥλιον. ὁ δὲ ἠλέκτωρ παρὰ τὸ λέχες μὴ μεταλαμβάνειν. A.

διασολὴ εἰς τὸ ἠλέκτωρ. δύο δὲ παραβολὰς ἐνταῦθα ἥμιξεν. ἠλέκτωρ δὲ ἐπιθετικῶς ὁ ἥλιος, ὅτι ἀλέκτρες ποιεῖ ἡμᾶς ἀνιαμένους ἐκ τῆς κοίτης. B. ἢ ὅτι λαμπρός, παρὰ τὸ ἤλεκτρον. ἀνάξιον δὲ κρίνας τὴν τοῦ ἥλιου παραβολὴν

ἐπὶ τῷ Ἀλεξάνδρῳ ἐκ ἐπεξειργάσατο, παρελθὼν ταχέως. ἔχει δὲ ἤλεκτρον ὁποὺς φυτῆ εἰς φύσιν λίθε ἀποπηγνύμενος. L.

514. καγχαλόων: ὡς ἠγαπημένος τῇ Ἀφροδίτῃ γαυριᾷ ἐν μέσαις ταῖς Τρωάσιν. ὁ δὲ Ἀχιλλεὺς κυνάγρῳ εἴκασαι (Il. 22, 26), ἅμα τῷ λαμπρῷ καὶ τὸ φθοροποιὸν ἐπιφερόμενος. BL.

πόδες φέρον: ἡ διπλῆ, ὅτι ὑπὸ τῶν ποδῶν φέρεῖ, ἐκ αὐτὸς τὰς πόδας φέρει, πρὸς ἔλεγχον Ζηνοδότε. A.

516. ὅθι ἧ ὀάριζε γυναικί: οἰκονομικῶς ἁ παρατυγχάνει ταῖς ὁμιλίαις· τί γὰρ ἂν ἔδρασεν ὁ γυναικώδης ἀκέσας Ἕκτορος εἰπόντος „ἀλλ' ἄ μοι Τρώων τόσσον μέλει;" καταλιπὼν γὰρ ἂν τὴν μάχην πάλιν οἴκοι ἐκαθέζετο παρὰ τῇ Ἑλένῃ. BL.

517. πρότερος: ὡς τὸ παῖσμα θεραπεύων ἑαυτοῦ. B.

518. ἠθεῖ': ταῦτά τινες προσαγορευτικά· ἐδέποτε δὲ περί τινος αὐτά φησιν ἀλλὰ πρός τινα. ἔχιν ἦν τὸ μὲν τέττα φίλε, ἄττα τροφέως, πάππα πατρός, ἠθεῖε ἀδελφῆ. γέγονε δὲ τὸ ἠθεῖος ἢ παρὰ τὸ θεῖος τὸ σημαντικὸν τοῦ θαυμασίε, κατὰ πλεονασμὸν τῆ η ἠθεῖος, διὸ καὶ προπερισπαςέον, — πλεονάζει γὰρ τὸ η ἐν πολλαῖς λέξεσιν, ὡς μύει ἠμύει „τῷ κε τάχ' ἠμύσειε πόλις" (Il. 2, 373), πεδανός ἠπεδανός, εὐγενής εὐηγενής „τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι" (Il. 23, 81), βαιός ἠβαιός — ἢ παρὰ τὸ ἔθος ἔθειος ὡς τέλος τέλειος, ὄρος ὄρειος, ἄνειδος ὀνείδειος, καὶ τροπῇ τοῦ ε εἰς τὸ η καὶ καταβιβασμῷ τοῦ τόνου γίνεται ἠθεῖος. ἀναλογώτερον δέ ἐςιν ἐκ τοῦ θεῖος αὐτὸ κανονίζειν ἤπερ ἐκ τῆ ἔθος· ἐκ μὲν τῆ θεῖος καὶ ἡ αὐτὴ τάσις σώζει καὶ ὀλίγα πάθη δίδονεῖ, ἐκ δὲ τῆ ἔθος καὶ ἀλλότριος ὁ τόνος καὶ πολλὰ τὰ πάθη δίδονται. A.

ἠθεῖε: Ἀρίςαρχος προπερισπᾷ ὡς οἰκεῖε. καὶ ἴσως παρὰ τὸ θεῖος, λέγω δὲ τὸ σημαντικὸν τῆ ἐπαίνε, κατὰ πλεονασμὸν τῆ θ ἐγένετο, εἰ καὶ νεωτέρε ἐςὶ πρὸς πρεσβύτερον ἀδελφὸν ἔχουσα σεβασμὸν προσφώνησις. ἐκ ἀγνοῶ δὲ ὅτι συγχεῖται ἐν τοῖς μεθ' Ὅμηρον. A.

518. ἦ: τὸ ἦ ἐνταῦθα πευσικὸν καὶ ἠθικόν. ABV.

519. ἐναίσιμον: τὸ αἶσα ἐπί τε εἱμαρμένης λέγεῖ ἐπί τε καθήκοντος καὶ ἐπὶ μερίδος. L.

521. δαιμόνι' ἐκ ἄντις: ὁμοίως τοῖς προτέροις ἀμελείας αὐτὸν κατακρίνει, ἃ βελόμενος αὐτῆ κὧν τὴν μικρὰν ταύτην θραύειν ὁρμήν. BL.

523. μεθίεις τε καὶ ἐκ ἐθέλεις: τί γὰρ μεθίει τε καὶ τί ἐκ ἐθέλει; ἐκ τῶν προῤῥηθέντων ἔςι λαβεῖν. προεῖπε δὲ „δαιμόνι' ἐκ ἄν τίς τοι ἀνήρ, ὃς ἐναίσιμος εἴη, ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι." μεθίεις ἐν τὸ ἔργον τῆς μάχης, καὶ ἐκ ἐθέλεις μάχεσθαι, ὥσπερ ἐν ἄλλοις ἐκ πλήρες ἔφη „ὅς τινας αὖ μεθιέντας ἴδοι ςυγεροῦ πολέμοιο" (Il. 4, 240). B.

524. ἄχνυται ἐν θυμῷ: φιλαδέλφως ἀπολογεῖ ὑπὲρ τῶν ὕβρεων. θυμῷ δὲ τῷ λογισμῷ· καὶ „ἕτερος δέ με θυμὸς ἐρύκει" (Od. 9, 302). LV.

ὑπὲρ σέθεν: κατὰ σῆ. V.

λυπῆμαι ἐν, φησί, λογιζόμενος, ὅταν κατὰ σοῦ ὕβρεις ἀκέω. τῦτο δὲ λέγει διὰ τὸν τῆ Σαρπηδόνος λόγον. BL.

525. οἳ ἔχουσι: ἀπολογεῖται ὑπὲρ αὐτῶν. V.

526. ἴομεν: ὅρα ἐνταῦθα τὸ ἴομεν ληφθὲν ἀντὶ ἐνεχῶτος, ὡς τὸ κυλίομεν, μηνίομεν. L.

ἀρεσσόμεθ': ἁρμοσόμεθα ἢ πρὸς Τρῶας ἢ πρὸς ἀλλήλες. τῦτο δὲ παρ' Ὁμήρῳ φασὶν οἱ μετὰ τὸ ἀδικῆσαι εἰς εὐμένειαν προτρεπόμενοι τὸν ἀδικηθέντα. BL.

527. βραχὺ διαςαλτέον ἐπὶ τὸ δώῃ· θεοῖς γὰρ κρητῆρι ςήσασθαι λέγει. A.

528. κρητῆρα ςήσασθαι ἐλεύθερον: τὸν ἐπ ἐλευθερίᾳ ἐςώμενον. B.

ἦγεν ἐν εἰρήνῃ καθ' ἡσυχίαν τρυφῆσαι ἡμᾶς. L.

529. ἐκ Τροίης ἐλάσαντας: μεγαλοφυῶς, ἵνα μ εἴπῃ φόβων ἀπηλλαγμένες. BL.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριςαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῆ καὶ ἐκ τῶν Νικάνορος περὶ ςιγμῆς. A.

ΕΙΣ ΤΗΝ Η.

1. πυλέων ἐξέσσυτο: διὰ τῶν πυλῶν ἐξώρμησε. δηλοῖ δὲ τὸ πρόθυμον Ἕκτορος, ὃ ἐνεδείκνυτο πρὸς προτροπὴν Ἀλεξάνδρε· διὸ καὶ ὁ ποιητὴς ἐπάγει κἀκείνου τὴν προθυμίαν. BLV.

2. τῷ δ' ἅμ' Ἀλέξανδρος: διδάσκει ὅσον ἐςὶ προτροπὴ κατὰ καιρὸν γινομένη. BL.

3. πολεμίζειν ἠδὲ μάχεσθαι: ἐπανείληφε τὸ αὐτὸ πρὸς ἔμφασιν τῆς προθυμίας. BL. ἐπανάληψις δέ ἐςι κατὰ τὸν Νικάνορα ἡ τῶν αὐτῶν ἢ τῶν ὁμοίων χημάτων διὰ ἢ πλεονάκις σύνδεσις, τῶν αὐτῶν ὡς τὸ δαιτρεῦσαι καὶ ὀπτῆσαι (Od. 15, 323) καὶ τὸ πολεμίζειν ἠδὲ μάχεσθαι· ἀμφότερα γὰρ ἀπαρέμφατα· τῶν ὁμοίων ὡς μετοχῆς ἀτελῆς καὶ ἀπαρεμφάτε ἢ εὐκτικῆ τελεία καὶ ὑποτακτικῆ ἢ ἀντωνυμίας ὀνόματος, ὡς τὸ „αὐτὰρ ἐγὼ καὶ Τυδείδης." L.

5. οὖρον: καὶ ἀλλαχῆ ἐπὶ λήξει τῶν δεινῶν „ἀσπάσῃ νηχομένοισι φανείη" (Od. 23, 233) φησίν. ἐνταῦθα μεσᾶντος τῆ δειγῆ τὸν ἦρον ἔλαβεν. BL.

ἐπεί κε: ἔτως Ἀρίςαρχος· ὁ Σιδώνιος δὲ ἐπήν, ὡς „ὅτ' ἂν κεῖ Ἄρης." AV.

ἄλλως. ὅτι ἐν τίσι γράφεται ἐπήν. ἐὰν δὲ οὕτως ἦ

προενεκτέον ὑφ' ἕν, κεκάμωσιν, ὡς λελάχωσιν. A. ἀλλ' ἐν τοῖς τοιούτοις μᾶλλον οἱ σύνδεσμοι ἐπικρατοῦσιν ἥπερ οἱ διπλασιασμοί· φιλεῖ γοῦν μετὰ τὸν ἐπεί καὶ τὸν εἰ ὁ κέ σύνδεσμος ἐπιφέρεσθαι. V.

ἐλάτῃσιν: ταῖς κώπαις, ὅτι ἐξ ἐλατίνων ξύλων κατεσκευάζοντο. D.

6. ἐλαύνοντες: κατ' ἔνια τῶν ὑπομνημάτων ἐρέσσοντες. A.

ὑπό: ἐκ ἀναγρεπτέον διὰ τὸν σύνδεσμον. ἄλλως τε καὶ τὸ ἑξῆς ἐστὶν ὑπολέλυνται. A.

τὸ δὲ λέλυνται ἐπὶ τὰ γυῖα ἀνενεκτέον. A. ἡ διπλῆ πρὸς τὸ χῆμα, ὡς „σπάρτα λέλυνται" (Il. 9, 135). A.

7. τώ: Ἀμμώνιος ἐν τῷ πρὸς Ἀθηνοκλέα τοὶ προφέρεσθαι πληθυντικῶς. A.

φανήτην: ὅτως Ἀρίσταρχος δυϊκῶς. A.

8. ἑλέτην ὁ μέν: βραχὺ διαστολέον ἐπὶ τὸ ἑλέτην· ἡ γὰρ σύλληψις εἰς διάλυσιν τρέπεται. A.

ἡ διπλῆ, ὅτι ἑλέτην συλληπτικῶς, ὕστερον δὲ προσδιασαφεῖ. καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκε· τὸν γὰρ Ἀλέξανδρον κατείρηκεν. A.

εἰς τὸ ἑλέτην βραχεῖα διαστολή. πρῶτος δὲ ἀριστεύει Ἀλέξανδρος ὡς προπετής· „Τρωσὶ μὲν προμάχιζεν" (Il. 3, 16). ἢ ὡς ἐξ ἀναπαύσεως ὢν καὶ ὑπὸ τῶν Ἕκτορος λόγων ἠρεθισμένος. BL.

Ἀρηϊθόοιο: Ἀρήϊθοος ὁ Βοιώτιος, ἄριστος τῶν κατ' αὐτὸν ἀνθρώπων, διαβὰς εἰς τὴν Ἀρκαδίαν (ἦν γὰρ ἀψιμαχία τις Βοιωτοῖς τοῖς αὐτῆ πολίταις καὶ τοῖς Ἀρκάσι περὶ γῆς ὅρων) πλείστην ἐντεῦθεν κατεσύρατο λείαν. καταφρόνησιν δὲ αὐτῆ μεγάλην ἐμβαλόντος Ἀρκάσι, Λυκοῦργος ὁ τῶν ἐνταῦθα κράτιστος ἀνὴρ λόχον ποιήσας ἔπεισε τὴν πολλὴν τῆ Ἀρηϊθόῃ φάλαγγα, ἀνεῖλέ τε αὐτόν, καὶ ὑπολαβὼν τὴν λείαν ἔτι καὶ πρὸς ἄμυναν παντευχίαν μετὰ καὶ τῆς κορύνης. (λόχον καθίσας αὐτόν τε ἀνεῖλε καὶ τὴν παντευχίαν αὐτῆ μετὰ τῆς κορύνης ἔλαβε, καὶ τὴν λείαν ἐπανεσώσατο. D). ἡ ἱστορία παρὰ Φερεκύδει. AD.

9. Ἄρνῃ: ὅτι Ζηνόδοτος ἐν μὲν τῷ καταλόγῳ (Il. 2, 507) πεποίηκεν „οἵ τε πολυσάφυλον Ἄσκρην ἔχον," ἐνθάδε δὲ εἴασε τὴν Ἄρνην. διὸ ἡ διπλῆ ἐν τῷ Ἄρνῃ. A.

Μενέσθιον: δοκεῖ μάχεσθαι ἑαυτῷ ὁ ποιητής, ἀεὶ πρεσβύτατον λέγων Νέσορα τῶν ἐπὶ Ἴλιον στρατευσάντων („μετὰ δὲ τριτάτοισιν ἄνασσεν" Il. 1, 252), ἐνταῦθα δὲ Μενέσθιον δυσὶ γοῦν γενεαῖς παράγει πρεσβύτερος ὢν τῆ Νέσορος. Ἀρηϊθόῃ γὰρ λέγει τῆ ἐπικαλουμένῃ Κορυνήτῃ παῖδα εἶναι Μενέσθιον· ἀπὸ δὲ Λυκόργου φησὶν ἀνῃρῆσθαι τὸν Ἀρήϊθοον, ὃν δὴ καὶ λαβεῖν αὐτῆ τὰ ὅπλα· γηράσαντα δὲ τῆτον Ἐρευθαλίωνι παραδῶναι· τὸν δὲ Ἐλευθαλίωνα ὑπὸ Νέσορος ἀνῃρεθῆναι νέον ὄντος· φησὶ γοῦν „γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων" 153). ῥητέον δὲ ὅτι ἴσως ἀπέθανεν Ἀρήϊθοος ἐνιαυσιαῖον ἐάσας τὸν υἱόν, ἀνεῖλε δὲ τὸν Ἀρήϊθοον ὁ Λυκοῦργος ἤδη γηραιὸς ὤν· φησὶ γοῦν „πέφνε δόλῳ, ἔτι κράτεί γε" (142). ὀλίγον δὲ ἐπιβιὰς δύνατο Ἐρευθαλίωνι παραχωρεῖν τὴν πανοπλίαν. προκαλέμενος δὲ ἔτος τὸν Πυλίους ἐκ ἀπεικότως ὑπὸ Νέσορος ἀναιρεῖται νέος ὤν, ὥστε Νέσορα μὲν εἶναι Μενεσθίου πρεσβύτερον, τῶν δὲ ἄλλων τῶν ἐπὶ Ἴλιον στρατευσάντων μείζονα Μενέσθιον. ἢ τῇ τοῦ ὀνόματος πλανῶνται ὁμωνυμίᾳ· ὁ γοῦν τοῦ Μενεσθίου πατὴρ Ἀρήϊθους Βοιωτὸς ἦν κατοικῶν Ἄρνην (ἔχει δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν), ὁ δὲ ὑπὸ Λυκόργου ἀναιρεθεὶς Ἀρκὰς. τινὲς δὲ Ἄρνην τὴν Ἀρήνην τὴν Ἀρκαδικήν, ὡς τὴν Μέσην Μεσήνην φασίν. ALV.

ἄλλως. ἀδύνατον Μενέσθιον τοῦ Κορυνήτου υἱὸν ὄντα πολεμεῖν· πρεσβύτερος γοῦν ἂν εἴη Νέσορος, εἴγε τὸν Κορυνήτην Λυκοῦργος ἀνεῖλεν, γηράσας δὲ οὗτος Ἐρευθαλίωνι κατέλιπε τὴν κορύνην, τοῦτον δὲ Νέσωρ νεώτατος ὢν ἀνεῖλεν. ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· ὁμώνυμος γοῦν πατὴρ υἱῷ, καὶ ὅταν φῇ ὃν Κορυνήτης, ἐ τὸν Μενέσθιον λέγει ἀλλὰ τὸν Ἀρήϊθοον τὸν Μενεσθίου πατέρα, ὥστε εἶναι τὸν Κορυνήτην πάππον τοῦ Μενεσθίου. B.

ἄλλως. Μενέσθιος Ἀρηϊθόου ἦν παῖς τοῦ Ἀρηϊθόου καὶ Κορυνήτου, ὁμωνυμούντων τοῦ πατρὸς καὶ τοῦ πάππου, ἵν' ᾖ ὃν Κορυνήτης γεινατ' Ἀρήϊθοος. τίνα γεινατο; δῆλον ὅτι Ἀρηϊθοον τὸν πατέρα Μενεσθίου. V.

Κορυνήτης: ἐπεὶ κορύνῃ ὅπλῳ ἐχρῆτο. τὸ δὲ κύριον ὄνομα Ἀρήϊθοος. V.

9. 10. ἡ διπλῆ, ὅτι ἔτος τοῦ Ἀρηϊθόου ὁμώνυμός ἐστι τοῦ ὑπὸ Νέσορος λεγομένου „τεύχε' ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος" (137)· καὶ ὅτι ἐνθάδε μόνον ἐφ' ἡρωΐνης τὸ ἐπίθετον, καὶ ἐν τῷ ἀθετουμένῳ „Αἴθρη Πιτθῆος θυγάτηρ, Κλυμένη δὲ βοῶπις" (Il. 3, 144). A.

ὅτι καὶ νῦν ἐπὶ θνητῆς. V.

11. ὀξυόεντι: ἀπὸ παραγωγῆς τοῦ ὀξύς, ὡς φαίδιμος φαιδιμόεις· „φαιδιμόεντες Ἐπειοί" (Il. 13, 686). BLV.

12. σεφάνης: σεφάνη εἶδος περικεφαλαίας· ἔστι δὲ καὶ κόσμος γυναικεῖος. τίθεται δὲ καὶ ἐπὶ ὄρους ἐξοχῆς· „ὄν τε κατὰ σεφάνης ποταμὸς χειμάῤῥοος ὤσῃ" (Il. 13, 138). AD.

εἶδος περικεφαλαίας ἐξοχὴν ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς τῶν ὀρῶν σεφάνης, ὡς τὸ „ὄν τε κατὰ σεφάνης ποταμὸς χειμάῤῥοος ὤσῃ." ἔστι δὲ καὶ κόσμος γυναικεῖος. BV.

λῦσε δὲ: Ἀρίσταρχος λύντο δέ. A.

13. Γλαῦκος: καλῶς τρίτος ἀριστεύει, μὴ σβέσας τὴν πρὸς Διομήδη ὁρμήν. ὁρμήσας γοῦν ἐπ' ἀνδραγαθίαν τῷ ἀναγνωρισμῷ κεκώλυται τῶν προγόνων. BL.

15. Δεξιάδην: ἢ τὸν υἱὸν Δεξίᾳ δηλοῖ, ἢ ἐπίῤῥημά ἐστιν ἀντὶ τοῦ κατὰ δεξιὰ ἢ δεξιῶς. L.

τινὲς δεξιάδην ἐπιάλμενον ἤτοι ἀπὸ τῶν δεξιῶν μερῶν ἐπιβαίνοντα. BLV.

εἴτε ὄνομα πατρωνυμικὸν τὸ Δεξιάδην εἴτε ποιότητος ἢ τόπου ἐπίῤῥημα, δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑπομένοις συνάπτεσθαι· ἢ γοῦν Ἰφίνοον Δεξιάδην, ἢ βάλε δεξιάδην ὦμον, ἢ δεξιάδην ἐπιάλμενον, ἀπὸ τῶν δεξιῶν μερῶν ἐφαλλόμενον. A.

16. ὦμον: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ κατὰ τὸν ὦμον. A.

17. τοὺς δ' ὡς οὖν ἐνόησε θεά: ἀγωνιστικὸν τὸν πόλεμον τῇ ὁρμῇ τῶν θεῶν ποιεῖ, καὶ διαναπαύει τὸ ὁμοει-

δές. ὡς φιλέλλην δὲ ᾗ τὰς τρεῖς τὰς ἀπολωλότας πολλὰς εἶναι δοκεῖ. BL.

20. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

21. Περγάμῳ ἑκκαιδών: ὅτι αὐτὸς Περγάμῳ ἄκρῃ ἐφίζετο· παρατηρεῖ γ' μή τις θεῶν ἐπίθηθ Τρωσίν. BL. Πέργαμα δέ φασιν οἱ νεώτεροι. V.

22. φηγῷ: ἡ διπλῆ, ὅτε πρὸ τῶν πυλῶν τὴν φηγὸν ταύτην ὑποτίθεθ. πρὸ πολλῶ δὲ ὁ Ἀπόλλων ἐξὶν ἐπὶ τῆς Περγάμ. A.

ἀξιοπίσως ἔθηκε τὸν τόπον. ἔχει δὲ τῶτο τὸ δένδρον ᾗ ἰσχυρὸν καὶ πολυχρόνιον. φηγὸς δὲ παρὰ τὸ φαγῶ, ὃ ἐστι τρώγω (τὸ καίω V)· τὰ γ' ἔσω τῶν βαλάνων ἐσθίοντες τὰ ἔξω ἔκαιον πρὸς θέρμην· ὅθεν ᾗ βαλανεῖα. ᾗ οἱ ἑταῖροι Ὀδυσσέως ἐπιλειφθέντες ἐκ τῶ πλεῖν αὐτῇ κέχρηνθ τῇ τροφῇ. AV.

24. τίπτε σὺ δ' αὖ μεμαυῖα: τί πάλιν ἐθέλουσα ποιεῖν, ἐπειδὴ ἡ πρώτη αὐτῆς ὁρμὴ μέγιστα τοῖς Ἀχαιοῖς συνεβάλετο. BLV.

26. ἑτεραλκέα: ἕτως ἡ νίκη λέγεθ ὅταν οἱ νικῶντες νικῶνθ· ἢ ἀνάπαλιν ἐν ἄλλῳ, τὴν τοῖς ἑτέροις ἀλκὴν καὶ δύναμιν παρίχεσαν. AD. ἢ ὅταν οἱ πρώην νικηθέντες νικήσωσιν. A.

ἐπίθετον τῶτο τῆς νίκης. γίνεται δὲ ὅταν οἱ πρότερον νικήσαντες ἐξ ἑτερodυναμίας τινὸς παρεισβαλούσης ἡττηθῶσιν. BL.

27. δῶς: οὐ γ' λεκτέον ἵνα δώσεις ἐπὶ πρώτου ἀορίστ καὶ μέσου. V.

28. ὑποσικτέον εἰς τὸ πίθοιο ᾗ εἰς τὸ εἴη. τινὲς δὲ τῷ σίχῳ τελείαν νέμεσιν. BLV.

ἐπὶ δὲ τὸ εἴη ἤτοι σικτέον ἢ ὑποσικτέον. A.

29. νῦν μὲν: ὁ μὲν ἀκροατὴς δεινὰ ἐλπίζει ἐπὶ τῇ παρόδῳ τῶν θεῶν, οἷα ᾗ πρώην γέγονεν· ὁ δὲ ἀνακόπτει τὸ προσδοκώμενον, θέαμα δὲ ἀντεισάγει τὴν ἀλαζονείαν Ἕκτορος, τὴν αἰδῶ Ἑλλήνων, τὴν σπεδὴν Μενελάω καὶ Ἀγαμέμνονος, τὴν Νέςορος δημηγορίαν. BL.

31. βαρυτονητέον τὸ ὥς· δηλοῖ γ' τὸ ἕτως. A.

32. ὔμῖν ἀθανάτῃσι: Ζηνόδοτος ἀθανάτοισιν. ἐν μέντοι τῇ Ἀριςοφάνες ὑμῖν ἀμφοτέρῃσιν εἶχε, τῇ Ἀθηνᾷ ᾗ τῇ Ἥρᾳ, οὐκ ἀπιθάνως. A.

33. γράφεθ τὸν δ' ἠμείβετ' ἔπειτα. A.

34. τὰ γὰρ φρονέουσα καὶ αὐτή: ἦκε γ' πρὸς τὸ μηδὲν βλαβῆναι τὸ Ἑλληνικόν· ᾗ οὗν ἡσυχία ἀδὲν ἔβλαπτεν. BLV.

36. πῶς: οὐκ ἔδει γὰρ ἀλόγως τὴν παῦσιν γίνεσθ ἐν τῇ τοιαύτῃ ἀκμῇ τῶ πολέμ. BL.

38. Ἕκτορος ὄρσομεν κρατερὸν μένος: ἵνα μικρὰν ἀνακωχὴν δῷ Τρωσίν· εἶπε γὰρ „ὡς δὲ θεός" (4). συναινεῖ δὲ ᾗ Ἀθηνᾶ πρὸς τὸ κεχαρισμένον ταῖς Τρωάδων εὐχαῖς. BLV.

39. προκαλέσσεται οἷόθεν οἷος: ἡ διπλῆ, ὅτι συνέζαλθ διὰ τῶ ε τὸ η· ἔχει γ' προκαλέσηθ· ᾗ πρὸς τὸ σχῆμα, μονόθεν μόνος ἀντὶ τῶ μόνος πρὸς μόνον. A.

τὸ μὲν οἷόθεν ἐξ οἵου σημαίνει, ὡς τὸ ἑρανόθεν· ἴδιον δὲ ὁ ποιητὴς χρῆται αὐτῷ ἀντὶ τῶ οἷος, τετέχι μόνῳ. BL.

40. ἄμεινον τελείαν δῆναι εἰς τὸ δηϊοτῆτι, καὶ τὸ ἑξῆς δέ ἀντὶ τοῦ γάρ λέγειν. BL.

41. ἀγασσάμενοι: Ἀρίςαρχος διὰ τῶ ō ἀγασσόμενοι· ᾗ ὅτι τὸ ἀγάσσαθ ποτὲ μὲν ἐπὶ τῶ ἀποδέχεθ ποτὲ δὲ ἐπὶ τοῦ φθονεῖν τίθησι. περιττεύει δὲ καὶ ὁ καί σύνδεσμος. A.

44. σύνθετο θυμῷ: ἡ διπλῆ, ὅτι μαντικῶς συνῆκεν ἐκ ἀκόσας αὐτῶν τῆς φωνῆς. μυθεύεθ τῶν ἐξ Ἑκάβης γεγονότων Πριάμῳ παίδων Ἕλενον ᾗ Κασσάνδραν δίδυμος γεγενῆθ· τῶν δὲ γενεθλίων αὐτοῖς συντελεσμένων ἐν τῷ τῶ Θυμβραίου Ἀπόλλωνος ἱερῷ λέγεθ τὸν Ἕλενον τὴν Κασσάνδραν ἐν τῷ ναῷ παίζοντας κατακοιμηθῆναι ὑπὸ δὲ μέθης ἐκείνων ἐκλαθομένων περὶ τῶν παίδων ἐκεῖσε χωριῶθῆναι· τῇ δὲ ὑςεραίᾳ ἐλθόντας εἰς τὸ ἱερὸν θεάσαθ τὰς παῖδας ταῖς τῶν ὄφεων γλώτταις τὰς πόρους τῶν αἰθητηρίων καθιερομένας, ὡς ἂν διὰ τὸ παράδοξον αἱ γυναῖκες ἀνέκραγον, συνέβη ἀπαλλαγῆναι τὰς ὄφεις; καταδῦναι ἐν ταῖς παρακειμέναις δάφναις, τὰς δὲ παῖδας ἀμφοτέρας τῆς μαντικῆς ἕτω μεταλαβεῖν. ἡ ἱςορία παρὰ Ἀντικλείδῃ. AD.

φασὶν Ἕλενον ᾗ Κασσάνδραν διδύμας εἶναι, λαθόντας δέ ποτε νυκτὸς τοὺς γονεῖς καταδραθεῖν τὸν μὲν εἰς τὸν τῶ Ἀπόλλωνος τοῦ Θυμβραίου ναόν, τὴν δὲ εἰς τὸν τῆς Ἀρτέμιδος, ἔωθεν δὲ εὑρεθῆναι ὑπὸ ὄφεων καθαριθέντας (ἐκκαθαριζομένας V) τὰς ἀκοάς. διὰ τί δὲ ἐχ ὁ Ἀπόλλων ὑπέθετο Ἕκτορι προκαλέσασθαι; ὅτι ἡττηθεὶς ἔμελλε ἀπιέναι. BLV.

47. τινὲς ἕτω ποδίζουσιν, Ἕκτορ υἱὲ Πριάμοιο. Δεῖ μῆτιν ἀτάλαντε: διδάσκει ὅτι δεῖ τὸν ἄρχοντα μὴ μόνον μιᾶς πόλεως, παντὸς δὲ τῶ κόσμω προνοεῖσθαι. BL.

48. κασίγνητος δέ τοί εἶμι: βραχεῖ προοιμίῳ ᾗ φύσεως ὑπομιμνήσκων προτρέπεται. BL.

52. οὐ γάρ πω: πάντοθεν θαρσύνει αὐτόν· ἐπ' ἐδάφ γ' χρεία ὡς Ἀλέξανδρος μέγιστον αἱρεῖθ τὸν κίνδυνον. ὅλως τε προεμφαίνει τὴν ἀρετὴν Αἴαντος, ὡς εἰ μὴ τὸ μέγεθος ἐπεῖχε, κἂν ἀπώλεσεν Ἕκτορα. BLV.

ἐπισπεῖν: ὡς ἐπιπλεῖν. μονοσύλλαβον γὰρ τὸ σπ ἀπαρέμφατον· πᾶν δὲ ἀπαρέμφατον συντιθέμενον φυλάττ τὸν αὐτὸν τόνον. B.

53. ὡς γὰρ ἐγὼν ὅπ' ἄκουσα θεῶν: ᾗ μὴν τ τῶτῳ εἰρήκασιν, ὅτε παραςάντες αὐτῷ εἶπον ἃ ἐβούλ ᾗ τοίνυν ὅπα λέγει τὴν μαντικήν· ᾗ γ' ὁ τυχὼν ἀκ δύναθ λέγειν, ἵνα ᾗ τὸ ἤκουσα ἀντὶ τοῦ ᾔθόμην, ὡ „μάλιςα δέτ' ἔκλυον αὐτοῦ" (Od. 6, 185)· ᾗ τὸ ἑξῆς θ αὐτὸς δὲ προκάλεσσαι· ὡς γ' ἐγὼν ὅπ' ἄκουσα, δηλονότ δεῖν προκαλέσαθ. ἐν δὲ τῷ μεταξὺ ἔφη „οὐ γάρ πώ μοῖρα θανεῖν," τοῦτο παρ' ἑαυτοῦ προθεὶς διὰ τὸ δ σῦναι. BLV.

ἀθετεῖται. διὰ τῆς μαντικῆς αὐτῶν συνῆκεν, ὡς εἴρηται. A.

54. ἐχάρη: ὡς ἀκινδύνως εὐδοξήσων καὶ τὴν πρώην θεραπεύσων ἀργίαν. BLV.

55. καὶ ῥ' ἐς μέσσον ἰὼν: τὸ φιλότιμον ὑπέφηνε τῷ μὴ ἀποκρίνασθαι. ἢ διακηρυκεύειν δέ, ἀλλὰ πρὸς κατάπληξιν τῶν πολεμίων καὶ ἰδίαν δόξαν αὐτεργεῖ. BV.

56. μέσσον δουρὸς ἑλών: μέσα τῶν δύρατος ἐπιλαβόμενος πρὸς ἔνδειξιν τῷ μὴ πρὸς πολεμικὴν χρῆσιν ἔχειν αὐτό, ἀλλὰ πρὸς ἔμφασιν τῷ διαλεχθῆναι. ἔδει δὲ εἰπεῖν μέσον λαβὼν τὸ δόρυ. A.

μέσα διὰ τὸ ἄπρακτον· ἀκμαζούσης γὰρ τῆς μάχης οὐκ ἐνῆν βοᾶν. ἐπὶ δὲ τῶν Ἀλεξάνδρα ἀρχὴ τῆς μάχης ἦν. BL.

57. καὶδ' Ἀγαμέμνων: ᾠετο γὰρ αὐτὸν μετεγνωκέναι τὴν παράβασιν καὶ ἐν συμβουλίᾳ δημιογερόντων γεγονέναι ἐν τῇ πόλει. B.

59. αἰγυπιοῖσιν: οἱ μὲν εἶδος ἀετῶ, οἱ δὲ τὰς γῦπας ἐδέξαντο. D. σαρκοφάγον τὸ ζῷον. παιδεύει δὲ τὰ τοιαῦτα ζῷα ὁρῶντας θνητότητα (εἶναι θεὸν V) ὑπονοεῖν, καὶ ἐν αὐτῷ τῷ πολέμῳ λογισμῷ χρῆσθαι τῷ θυμῷ. ἢ ὡς ἐφίζει ὄρνεον φυτῷ, οὕτω καὶ αὐτοὶ ῥᾳδίως ἐκαθέζησαν. ὑψῶν δὲ τὰ πραττόμενα θεατὰς αὐτῶν ὑπογράφει θεός. καλῶς δὲ τὰ τῶ Διὸς τέκνα ἐπὶ τῇ τῶ πατρὸς κάθηνται δρυΐ. καὶ τὸ ὑψηλὸν δὲ πρὸς τὴν θέαν ἐπιτήδειον. BLV.

61. ἀνδράσι τερπόμενοι: φιλοσόφως οἷς ἕκαστος πρόσκειται, ὡς ἰδίοις τέρπονται κτήμασιν. ᾧ γὰρ ἐμφύτως τις ἔγκειται, τούτῳ καὶ ὑπερήδεται, μηδὲν φροντίζων τῶ ἀπολλυμένω. ἐκ ἀμφοτέρους δὲ ἀμφότεροι τέρπονται, ἀλλ' εἷς ἑνί. ἐχρῆν δὲ μετὰ τοῦτο τὸν λόγον ἐπαγαγεῖν Ἕκτορος, ὅπως τῷ φιλοτίμῳ προσλιπαρεῖ· ἀλλὰ τῇ τῶ πλήθους διαγραφῇ καὶ εἰκόνα καμφαίρει. BLV.

62. ἀσπίσι καὶ κορύθεσσι: ἡ τοιαύτη προφορὰ φαντασίαν μὲν τῇ διανοίᾳ, κόσμον δὲ τῇ ἀπαγγελίᾳ ποιεῖ. B.

πεφρικυῖαι: γράφεται καὶ βεβριθυῖαι. A.

φρίσσει τις φόβῳ ἢ ψύχει ἢ ὀργῇ. ἐψύχωσεν οὖν τὰ ὅπλα, φρίσσειν λέγων αὐτὰ διὰ τῆς παραβολῆς. φρῖξ δὲ λέγεται καὶ ἡ ἐπανάσασις τῶν κυμάτων, BDL.

63. πόντον ἐπὶ φρῖξε: ὁ Ἀσκαλωνίτης ἀναῤῥίπτει πόντον ἔπι· ἔτως καὶ οἱ ἄλλοι. καὶ ἄμεινον· ἐδέησε γὰρ ἔχαι τὸ ἐπιφρῖξε, χωρὶς εἰ μὴ παρέλκῃ ἡ πρόθεσις. ὅπερ ἐ πιθανόν· ἐπὶ γὰρ κατεπείγει. A. φρῖξ δὲ ἡ ἐξ ἐπιπολῆς κίνησις τῶ κύματος ἀρχομένη, ἢ τὸ ἐπιπολάζον τῷ κύματι ἀφρῶδες, ὅταν ἄνεμος ἄρχηται πνεῖν. βέλτιον δὲ τὴν πρώτην ἔγερσιν τῶν κυμάτων ἀκέειν. AD.

64. μελάνει: ὡς οἰδάνει, ὁ Ἀσκαλωνίτης· ἐκ γὰρ τοῦ μελαίνει, φησίν, ἐνδεία τῶ ῑ ἐγένετο. A.

πόντον ὑπ' αὐτῆς: διὰ τῶ ν τὸ πόντον, μελάνει δὲ ὁ πόντον ὑπ' αὐτῆς, καὶ ἔξι, μέλανα ποιεῖ τὸν πόντον ὑπὸ τῆ φρικὶ ὁ Ζέφυρος. ἔχει δὲ Ὁμηρικὸν τὸ σχῆμα. εἰ δὲ γράφει μελάνει δέ τε πόντος ὑπ' αὐτῆς, τὸ μελάνει ἀντὶ τῶ ἐλαίνει ὑπὸ τῆ φρικὶ τῶ Ζεφύρω. ἄμεινον δὲ τὸ πρῶτον. τὸ δὲ μελάνει ἀπὸ βαρυτόνω ἐνεχθῶτος ἀποβολῇ τῶ ῑ, ὡς τὸ κοιλάνει ἀντὶ τοῦ κοιλαίνει. καλῶς δὲ τὴν τῶν ὅπλων ἠρεμίαν καὶ ἀργίαν κινήσει Ζεφύρω παρέβαλεν· ἐγὼ ἀθρόως ἐμπίπτει ὁ ἄνεμος ἔτος τῇ θαλάσσῃ, μελαίνων δὲ αὐτὴν καὶ οἱονεὶ ἐπιζέων κατὰ μικρὸν ἐγείρει. καὶ ἀλλαχῶ δέ φησιν „Ζεφύρω ὑποκινήσαντος" (Il. 4, 423). B.

Ἀρίσαρχος πόντον διὰ τῶ ν, καὶ ὑπ' αὐτῆ, τῇ φρικί. ἄλλοι δὲ πόντος ὑπ' αὐτοῦ. A.

ἡ διπλῆ, ὅτι ἐὰν μὲν γράφῃ πόντος ὑπ' αὐτοῦ, ἔξαι μελαίνεται ὁ πόντος ὑπὸ τοῦ Ζεφύρου· ἐὰν δὲ πόντον ὑπ' αὐτῆ, ἔξαι μελαίνει δὲ πόντον ὁ Ζέφυρος ὑπὸ τῇ φρίκῃ. A.

69. Κρονίδης: εἰς θεὸς ἀναφέρει τὴν αἰτίαν, Τρῶας ἐλευθερῶν καὶ τὸ παράδοξον προφέρων τῆς προκλήσεως. B.

ὑψίζυγος: ὁ ἀπὸ ὕψους τὰ κάτω κυβερνῶν, ὡς ἀπὸ ζυγῶν κυβερνητικῶν· ἢ ὁ ἄνωθεν ταλαντεύων οἷον τὰ κατ' ἀνθρώπους ὡς ἐν ζυγοστατήματι. L.

70. τεκμαίρεται: ἐπιτελεῖ· τέκμωρ γὰρ τὸ τέλος. A.

ἀμφοτέροισιν: πιθανῶς ἐξ ἴσα τὸν κίνδυνον ἀμφοτέροις κατέῤῥησε, παρελὼν Ἑλλήνων τὴν ἐκ θεῶν ἐπικουρίαν. BL.

72. ἢ αὐτοί: ἔδει ἐπαγαγεῖν ἢ ἡμεῖς παρὰ ταῖς ναυσὶν ὑμᾶς ἕλοιμεν. διὰ δὲ τὸ νεμεσητὸν οὕτως ἐχημάτισε τὸν λόγον. B.

73. ὑμῖν μὲν γὰρ ἔασιν: αἱ Ἀριστάρχῳ ἔτως, ὑμῖν δ' ἐν γὰρ ἔασιν· καὶ ἔστι τὸ ἑξῆς, ὑμῖν δ' ἔνεισι γάρ, ἢ ἐν ὑμῖν δέ εἰσι γὰρ ἀριστῆες. A.

75. πρόμος ἔμμεναι Ἕκτορι δίῳ: ἡ διπλῆ, ἅτι ἰδίως ὡς περὶ ἑτέρου· καὶ ὅτι πρόμον τὸν πρόμαχον κατὰ συγκοπήν· καὶ ὅτι ἀκαίρως δῖον ἑαυτὸν ὁ Ἕκτωρ. A.

ἵνα πάντες αἰδεσθῶσι μὴ προβαλλόμενοι, καὶ ὡς πρόμος ἐκεῖνος τῷ στρατῷ σαλεύῃ περὶ τὴν κοινὴν ὑπόληψιν, κἀφότερον διαλέγεται, ὅθεν καὶ δῖον ἑαυτὸν κατ' ἐξοχὴν ἐκάλεσεν. ἐκ ἀπαιτεῖται δὲ ὅρκων προσθήκη, ὅτι πρὸς μόνην ἀνάπαυσιν τοῦ στρατῷ ἡ μάχη γίνεται, ἢ ὅτι ἔναγχος τοὺς ὅρκους παρέβησαν. γίνονται δὲ αἱ τοιαῦται προφωνήσεις δι' ἐξοχήν, ὡς τὸ „Ζῆν' ὕπατον" (Il. 8, 22), δι' οἶκτον, ὡς τὸ „Σαρπηδόνος ἀμφιμάχεσθε" (Il. 16, 496), καὶ δι' ἦθος, ὡς τὸ „ἀλλὰ σύ γ' ἔγνως Παλλὰς Ἀθηναίη" (Od. 13, 299). BL.

76. ἐπιμάρτυρος: ὅτι ἔτως λέγει ὁ μάρτυρος, ἀφ' οὗ οἱ μάρτυροι· ἀπὸ δὲ τῶ μάρτυς μάρτυρες. A.

περιττὴ ἡ πρόθεσις ἐν τῷ ἐπιμάρτυροι, ὡς καὶ ἐν τῷ ἐπιβασκόλος καὶ ἐπίβροι. L.

79. σῶμα δέ: βαρβαρικὸν τὸ σπεύδειν περὶ τὰς ταφάς. περιπαθῶς δὲ προκατασκευάζει ὁ ποιητὴς πρὸς ὃ μάλιστα ἀπεύχεται δυσχήσαντα. BL.

ὄφρα πυρός με: ἡ διπλῆ, ὅτι καθόλα διὰ πυρὸς οἴδε γινομένας τὰς ταφάς. A.

80. λελάχωσι: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ λαχεῖν ποιήσωσιν. ἀναδιπλασιασμὸς λελάχωσι. A.

85. ταρχύσωσι: θάψωσι. τάρχεα τὰ νενομισμένα τοῖς νεκροῖς πρὸς κηδείαν, ἀπὸ τῆς ταραχῆς. ADV.

ἀπὸ τȣ̃ ταρχύω. ϗ ταρχύματα δὲ ἃ τοῖς νεκροῖς πρὸς κηδείαν ὡς νενομισμένα ἐποίȣν. BL.

85. 86. 87. διαςολαὶ Ἀχαιοί, Ἑλλησπόντῳ, καὶ κοινὸν κατὰπάντων τὸ ὄφρα, ἵνα ταρχύσωσι καὶ χέωσι ϗ εἴπῃ ποτέ τις. A.

86. σῆμά τέ οἱ: λεληθότως ἀποτρέπει τῆς μονομαχίας τȣ̀ς Ἕλληνας. αὐτὸς γ᾽ ἔμελλεν ἀναιρȣ́μενος θάπτεσθ᾽ ἐν Ἰλίῳ πόῤῥω τῆς θαλάττης, ὥςε μηδεμίαν γίνεσθ᾽ μνήμην τῷ φονεύσαντι· τȣ̃ δὲ ἀντιπάλȣ ἐπὶ τȣ̃ Ἑλλησπόντȣ ταφέντος ἀείμνηςον κλέος ἔχειν ἔμελλε παρὰ τοῖς πλέȣσιν. διὸ ϗ ἐγκαλλωπιζόμενος δυοῖν ἐποῖν οἷον ἐγκολάπτει καὶ ἐπιγράφει τῷ τάφῳ „ἀνδρὸς μὲν τόδε σῆμα, ὅν ποτ᾽ ἀριςεύοντα." τὸ δὲ πλατεῖ Ἑλλησπόντῳ, καθ᾽ ὃ μέρος ἐςὶ πλατύτατος ἑαυτȣ̃ περὶ τὰς ἐκροὰς τȣ̃ Σκαμάνδρȣ, ἐπὶ πάντων δὲ κοινὸν τὸ ὄφρα. BL.

ἤτοι κατ᾽ ἀντίφρασιν (ςενὸς γ᾽ ὁ Ἑλλήσποντος), ἢ τῷ κατ᾽ ἐκεῖνο τὸ μέρος αὐτȣ̃ πεπλατυσμένῳ. D.

ἡ διπλῆ, ὅτι ȣ̓ κατεκομίζετο τὰ ὀςᾶ εἰς τὰς πατρίδας. πλατεῖ δὲ καθ᾽ ὃ μέρος ἐςὶ πλατύς, καὶ ἀντὶ τοῦ παρὰ πλατεῖ. A.

Ἀθάμας ὁ Αἰόλȣ μὲν παῖς, βασιλεὺς δὲ Θηβῶν, γήμας Ἰνὼ τὴν Κάδμου παῖδας ἔχε δύο, Λέαρχον (Κλέαρχον D) ϗ Μελικέρτην· κατὰ Ἥρας δὲ πρόςαγμα ἀποπεμψάμενος τὴν Ἰνὼ καὶ ἐπιγήμας Νεφέλην ἔχεν ἐξ αὐτῆς δύο παῖδας, Ἕλλην τε ϗ Φρίξον. μιγνύμενον δὲ αὐτὸν λάθρᾳ τῇ Ἰνοῖ κατοπτεύσασα ἡ Νεφέλη ᾤχετο, πάλιν δὲ τῆς οἰκίας ἐπικρατήσασα ἡ Ἰνὼ ἐπεβούλευσε τοῖς τῆς Νεφέλης παισίν· εὑρȣ̃σα δέ τινα μηχανὴν ἔφρυγε τὰ σπέρματα. ϗ δὴ πολλῆς ȣ̓σης ἀκαρπίας ἐν τῇ χώρᾳ ἔπεμπεν ὁ Ἀθάμας εἰς Πυθὼ θεοπρόπους· ἡ δὲ Ἰνὼ συνέπεισε τȣ́τȣς τεχνήσασθαί τινα χρησμὸν κατὰ τȣ̃ Φρίξȣ, ὡς θῦμα τῆς αὐτȣ̃ γονῆς προσενεγκὼν ἀπαλλαγήσεθ᾽ τȣ̃ δεινȣ̃. πυθόμενος ȣ̓ν παρὰ τῶν θεοπρόπων ὁ Ἀθάμας τὸ λόγιον, μεταπέμπεθ᾽ ἐκ τῶν ἀγρῶν τὸν Φρίξον· πρόφασιν δὲ ἐκέλευσεν αὐτὸν ἄγειν ὅ τι κάλλιςον πρόβατον ἐν τοῖς θρέμμασιν εἰς ἱερȣργίαν ὑπάρχει. μυθολογεῖθ᾽ δὲ ὅτι παραγινομένῳ τῷ Φρίξῳ μετὰ τῆς ἀδελφῆς κατά τινος δαίμονος ἐπιφάνειαν ἀνθρωπίνῃ φωνῇ λαλῆσαι τὸν κριόν, ϗ πᾶσαν αὐτῷ τὴν ἐπιβȣλὴν ἀναγγεῖλαι, κελεῦσαί τε αὐτῷ μετὰ τῆς ἀδελφῆς ἐπικαθίσαι τῷ νώτῳ, ὅπως τὸν ἐπικείμενον κίνδυνον ἐκφυγεῖν δυνηθῶσιν. ȣ̃ ϗ γενομένȣ λέγεθ᾽ τὸν κριὸν μετὰ πολλῆς βίας διὰ μέσου τȣ̃ ἀέρος ποιήσασθ᾽ τὴν πορείαν, τὴν δὲ Ἕλλην μὴ δυναμένην ἀντέχειν καταπεσεῖν εἰς τὸ ὑποκείμενον πέλαγος, προσαγορευθῆναι δὲ τȣ̃το διὰ τὴν προειρημένην Ἑλλήσποντον. τὸν δὲ κριὸν κομίσαντα εἰς Κόλχȣς ἐκ τȣ̃ πόντȣ τὸν Φρίξον τελευτῆσαι. ἐπὶ τȣ́τȣ λέγεθ᾽ τὸ δέρας τȣ̀ς Ἀργοναύτας ἀποςαλῆναι ἀπὸ τῆς Θετταλίας μετὰ Ἰάσονος. τὸν δὲ Ἀθάμαντα πυθόμενόν φασιν ἕκαςον τῶν συντεθέντων ὑπὸ τῆς Ἰνȣ̃ς, μὴ φείσασθ᾽ μηδὲ τῶν ἐξ αὐτῆς γενομένων αὐτῷ παίδων, ἀλλ᾽ αὐτοχειρὶ μὲν ἀποκτεῖναι Λέαρχον (Κλέαρχον D), ἐπιδιῶξαι δὲ μετὰ ξίφȣς ϗ τὴν Ἰνώ. τὴν δὲ καταλαμβανομένην σωτηρίαν ἐπισπάσασθ᾽, σὺν τῷ υἱεῖ ῥίψασαν ἑαυτὴν εἰς τὴν θάλασσαν ϗ τυχεῖν ἐκ θεῶν τῶν ἐναλίων τιμῶν· ὕςερον δὲ αὐτὴν προσαγορευθῆναι διὰ τὸν ἐκ τῆς θαλάσσης ἀφρὸν Λευκοθέαν, τὸν δὲ Μελικέρτην Παλαίμονα, εἶναι δὲ αὐτὸν ἐπιτῆρα τῶν τὸ πέλαγος πλεόντων ἀνθρώπων. ἡ ἱςορία παρὰ Φιλοςεφάνῳ. AD.

87. πρὸς τὴν τῶν γραμμάτων εὕρεσιν. V.

89. ἀνδρὸς μέν: τὸ μέν ἀντὶ τȣ̃ μήν. V.

ὡς ἤδη νενικηκὼς ἐπιγράφει τῷ τάφῳ τὸ ἐπινίκιον, ϗ ἐπὶ τεθνηκότι, ἀλλ᾽ ȣ̓δὲ γινωσκομένῳ τῷ μέλλοντι μονομαχεῖν, τὸ ἐπικήδειον πρὸ τȣ̃ θανάτȣ διατιθείς. ἀριςεύοντα δὲ προςίθησι πρὸς ἰδίαν ἐπίτασιν, εἰ ϗ τοῦ ἀρίου φανεῖθ᾽ κρείττων. φιλότιμος δὲ ϗ ἀλαζὼν ϗ βαρβαροήθης ἀεὶ ὁ Ἕκτωρ χαρακτηρίζεθ᾽. BLV. ὡς ϗ ἐκεῖ „ἀλλὰ μέα ῥέξας τι" (Il. 22, 305). V.

93. αἴδεσθεν μὲν ἀνήνασθαι: δειλῶν γ᾽ ϗ ἀνανῶν τὸ ἔργον. A.

αἴδεσθεν διὰ τὴν δειλίαν, δεῖσαν δὲ διὰ τὰς σπαδάς, ἢ περιμένοντες τὴν ἐκ τῶν βασιλέων κέλευσιν, ὡς ἄλλον ἀπὸ τῶν ἑξῆς. ἢ ὑπὸ θεȣ̃ ὡρμῆσθ᾽ αὐτὸν ὑπονοȣ̃ντες πρὸ ὀλίγȣ ἡττώμενον· ϗ γ᾽ ϗ τοῦ Διομήδȣς ἀκηκόασιν „παρὰ γάρ οἱ κεῖνος Ἄρης" (Il. 5, 604). ἢ διὰ τὸ „ἐξ δ᾽ ἤδη τελέθει" (282). ϗ παροιμία „ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλȣ̃ κακός." ὁ Ἐπίχαρμος „ὅ τοι κακὸς θερεῖ μάλ᾽ αὐτόθεν, ἔπειτα φεύγει." ἔςι δὲ τὸ ἔπος ἰσόμολον, ὅπερ ἐςὶ φράσις δύο ἢ πλειόνων κώλων ἀπηκριβωμένων (ἀποκρινομένων D) ἀλλήλοις πρὸς ἀντιςρόφου ἐμφέρειαν· δεύτερον δέ „χρὴ ξεῖνον παρεόντα" (Od. 15, 71). τρίτον, ὁμοιόπτωτον καὶ ὁμότονον „Ὕλλῳ ἐπ᾽ ἰχθυόεντι" (Il. 20, 392). τινὲς δείσαντες Ἀγαμέμνονα, ὡς ϗ „σιγῇ διότες" (Il. 4, 431). ADV.

Πορφυρίȣ. διὰ τί προκαλȣμένȣ Ἕκτορος εἰς μονομαχίαν οἱ μὲν ἄλλοι ἄριςοι αἴδεσθεν μὲν ἀνήνασθ᾽, δεῖσαν δ᾽ ὑποδέχθαι, Μενέλαος δὲ πρῶτος ἀνίςαθ᾽, καὶ μεμψάμενος τȣ̀ς ἄλλȣς κατεδύσατο τεύχεα καλά, μάχεσθ᾽ προθυμεῖσθαι· ὅτε δὲ προτραπέντες οἱ ἐννέα ἀνίςαντο, ȣ̓δαμȣ̃ αὐτὸς ἐν τȣ́τοις εὑρίσκεθ᾽, ἀλλ᾽ Ἀγαμέμνων καὶ Διομήδης καὶ Αἴαντες ϗ Ἰδομενεὺς ϗ Μηριόνης ϗ Εὐρύπυλος ϗ Θοῦς ϗ Ὀδυσσεύς; φησὶ δὲ ὁ Ἀριςοτέλης ὅτι ἅπαξ ἀκοῦσαι „μηδ᾽ ἔθελ᾽ ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθ᾽ Ἕκτα" (111) ȣ̓κ ἔμελλεν αὖθις ἀνίςασθ᾽· καὶ ὅτι τὸ πρότερον ἐκ φιλονεικίας ἡ ἀνάςασις· ϗ ὅτι ἤδη μονομαχήσας ἐτύγχανεν Ἀλεξάνδρῳ ϗ ȣ̓ καλῶς ἀπαλλάξας, ϗ νεωςὶ ἐτέτρωτο ὑπὸ Πανδάρȣ· ϗ ὅτι ἀποκινδυνεύειν τȣ̃τον ȣ̓χ ἐχρῆν ἐπὶ τὸ τέλος ἤρτητο τȣ̃ πολέμȣ· ἐπὶ γ᾽ Ἀλεξάνδρȣ ἴσον τὸ τȣ̃ κινδύνȣ. B.

94. Μενέλαος: ὡς αἴτιος ὢν τȣ̃ παντὸς καὶ πονοδυνώμενος. ϗ ἐν τῇ πρὸς Ἀλέξανδρον δὲ μονομαχίαν τῶς προπετεύεθ᾽. διὰ δὲ τȣ̃ ὄψε διδάσκει μὴ παραχρῆμα ποιεῖσθ᾽ τὰς ἀποκρίσεις. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

95. ἐν τισι τῶν ὑπομνημάτων νείκε' ὀνειδίζων ἔξω τῦ ι, ὥςε κατὰ συναλοιφὴν νοεῖσθ τὸ ὑγιὲς νείκεε. A.

96. ἀπειλητῆρες: καυχηταί, ἀπειλεῖν εἰδότες καὶ ἐπαγγέλλεσθαι. τὲς δὲ τοιάτες καὶ καυχηματίας λέγεσιν. AD. ἐν ἄλλῳ ὑβρισταί. A.

97. αἰνόθεν αἰνῶς: ἐκ δεινῦ δεινά, ἢ καὶ τῶν δεινῶν δεινότερα. τῶν δεινοτάτων δεινή ἐςιν ἡ λωβη. ἐκ τῶν δεινοτάτων ὑμῶν πράξεων δεινοτέρα καὶ ἡ λώβη γενήσεται. AB.

99. ὕδωρ καὶ γαῖα γένοισθε: ἀναλυθείητε εἰς ὕδωρ καὶ γῆν, διαλυθείητε καὶ ἀποθάνοιτε. βέλτιον δὲ ἀκέειν, ἐξ ὧν ἐγένεσθε, εἰς ταῦτα πάλιν ἀναςοιχειωθείητε. τῶν ςοιχείων ὕδωρ καὶ γῆ κατὰ φύσιν ἀκίνητα, τὰ δὲ ἄλλα κινητὰ δι' ἑαυτῶν. ταῦτα ἂν φησὶ τὴν ἀκινησίαν ὀνειδίζων. καὶ Ξενοφάνης „πάντες γ' γαίης τε καὶ ὕδατος ἐγγενόμεθα· ἐκ γῆς γ' πάντα καὶ εἰς γῆν τελευτᾷ." ἢ ὅτι τὸ ὕδωρ τὰς ψυχὰς διαφθείρει. AD.

101. αὐτὸς: ὡς ἀνάγκη δεχόμενος τὸ μονομάχιον. V.

Θωρήξομαι: πῶς ἐν πολέμῳ ὢν ἐκ ἦν ὡπλισμένος; φαμὲν ὅτι ἀσφαλέςερα ὅπλα ἀναλαβεῖν θέλει, μέλλων εἰσιέναι εἰς μονομαχίαν. BL.

102. ἡ διπλῆ, ὅτι τῷ ἀπηρτισμένῳ κέχρηται, νίκης πείρατ' ἔχονται, οὐκ ἔχεται. A.

τὸ ἄνισον οἶδεν, ὡς καὶ Πρίαμος „Ζεὺς μὲν τό γ' οἶδε" (Il. 3, 308). BL.

104. ἔνθα κέ τοι: εἰς κίνδυνον προαναγαγὼν τὴν ὑπόθεσιν καὶ λύσιν τῷ παντὸς πιθανῶς ἀνίζησι τὸν ἀδελφόν. φιλοςόργως δὲ πρὸς αὐτὸν ποιεῖται τὸν λόγον ὁ ποιητής, καὶ συμπαθῶς προανεφώνησεν αὐτῷ τὸν κίνδυνον. καὶ τὸ βασιλῆες δὲ χαρίεν καὶ εὐνοϊκόν, διὰ τὸ προλαβεῖν· τὲς δὲ φίλες τὴν σπουδὴν Ἀγαμέμνονος. BLV.

βιότοιο τελευτή: γράφεται καὶ θανάτοιο τελευτή, οἷον θανάσιμον τέλος. A.

107. αὐτός τ' Ἀτρείδης: διὰ τί τὸν μὲν Ἀλέξανδρον κελεύει μονομαχεῖν Ἕκτωρ, τὸν δὲ Μενέλαον κωλύει κινδυνεύειν Ἀγαμέμνων καὶ οἱ ἄλλοι βασιλεῖς; ὅτι τῷ μὲν Ἀλεξάνδρῳ ἀδικῆντος ἡδέως οἱ Τρῶες εἶχον, τὸν δὲ ὡς ἀδικόμενον ἐλεῆσιν. BL.

109. ἀφραίνεις: παραφρονεῖς, μωραίνεις, ἀσυνετεῖς· φιλοδόξως γάρ, ἐ φρονίμως ἐπὶ τῇ μάχῃ ἐσπέδακεν. δεῖ ἓν τὸ κατὰ δύναμιν, ἐ τὸ κατὰ προθυμίαν σκοπεῖν. AB. ἄλλως τε πρώην μαχεσάμενος τοῦ μὲν ἄλλου ἀφῄρηται, τὸν δὲ κίνδυνον ἤρηται. V.

110. ἀνὰ δὲ χέο: Ἀρίσαρχος ἀνὰ δ' ἄνχεο, ἀνάχθέ. A.

Ἀρίσαρχος καὶ Ἡρωδιανὸς ἀνὰ δ' ἴχεο. V.

τὸ σχέο τὴν ὀξεῖαν ἴσχει ἐφ' ἑαυτῷ νῦν. ὅταν μέντοι ποιήσῃ τὴν πρόθεσιν, τὸ τηνικαῦτα ἀναπέμπει τὸν τόνον, ἀνάσχεο. A.

111. μηδ' ἔθελ': ἡ διπλῆ, ὅτι τὸ ἐθέλω ἀεὶ ἀπὸ οὗ ἐ ἄρχεται. A.

ἔριδος: τῆς πρὸς Ἀχαιὲς ἔριδος. ἔςι δὲ τῦτο τὸ γνῶθι σεαυτόν. AL.

112. τόν τε: γράφεται καὶ τόν γε. A.

τεχνικῶς ἧττονα πολύ φησιν αὐτὸν Ἕκτορος, ὅπως μὴ τῶν ἄλλων Ἑλλήνων καταφρονεῖν ὑποπτευθῇ, τὸν μὲν τῷ κινδύνῳ φυόμενος, τὲς δὲ κινδυνεύειν προτρεπόμενος. BLV.

113. καὶ δ' Ἀχιλεὺς: τῦτον παρέλαβεν, ὃ καὶ Μενέλαος ἐκ αἰδεῖται ἧττων εἶναι ὁμολογεῖν, ἐκ ἄλλον τινὰ τῶν ὀλίγῳ τῷ Μενελάῳ κρειττόνων. ἀναπολεῖ δὲ πανταχῦ τὸ ὄνομα Ἀχιλλέως ὑπὲρ τῷ μὴ λήθῃ δοθῆναι. BL.

τούτῳ γε: τῷ Ἕκτορι. γράφεται καὶ τῦτόν γε. A.

114. Ζηνόδοτος χωρὶς τοῦ ν ἀμείνω γράφει. τὸ δὲ ἀντιβολῆσαι γράφεται καὶ διὰ τῦ μ, ἀντιμολῆσαι. βέλτιον δ' ἄν, φασίν, εἴρητο Ὁμήρῳ, ὅπερ μέγα φέρτατός ἐςιν· ἐπ' αὐτῷ γ' ψιλῶς λεγόμενον τῷ Μενελάῳ ἔχει τι ὀνειδιστικόν. A.

116. τούτῳ δὲ πρόμον ἄλλον: ἐντέχνως παρυπέμνησεν ὅτι πάντως δεῖ τινὰ αὐτῶν ἀναςῆναι. BL.

ἡ διπλῆ, ὅτι πρόμον τὸν πρόμαχον κοινῶς λέγει. A.

117. ἀδειής τ' ἐςί: γράφεται καὶ διὰ τῦ γ, ἀδειής γε. ἀφ' ἑτέρας δὲ ἀρχῆς ταῦτα· διόπερ ὑποσικτέον ἀκόρητος: ὁ γ' λόγος, εἰ καὶ πάνυ ἄφοβος καὶ ἀπλήρωτος πολέμε ἐςίν, ἀγαπητῶς ὑπολαμβάνω αὐτὸν φεύξεσθαι. A.

118. γόνυ κάμψειν: ἀναπαύσεσθ, ἢ συγκάμψειν τὰ γόνατα διὰ τὸ κεκοπῶσθ ἐν τῷ διώκεσθ. AD. ἀντὶ τοῦ φυγεῖν. A.

ταῦτα εἰς προτροπὴν τῶν Ἀχαιῶν. V.

120. παρέπεισεν: ἐκ εἶπεν ἔπεισεν, ἀλλὰ παρέπεισεν, ὡσανεὶ μὴ λέγων ἀλήθειαν ἐν τῷ καταβιβάζειν τὸν Μενέλαον, ἀλλὰ κατὰ μόνην ςοργήν. ὁ γ' λέγων ψεῦδος παραπείθει ἦγεν ἀπατᾷ. L.

122. γηθόσυνοι θεράποντες: παρὸν αὐτῷ καὶ ὀτρηροὶ θεράποντες εἰπεῖν καὶ καρπαλίμως θεράποντες, γηθόσυνοί φησι, τὴν τῶν θεραπόντων πρὸς τὸν βασιλέα ἐμφαίνων κηδεμονίαν. BV.

123. Νέστωρ: πιθανῶς τῦτον ἐπιπλήσσοντα παρεισάγει, ὃς διὰ τὴν ἡλικίαν ἐκ ἐπισπᾶται τὸ ὅμοιον ἔγκλημα. BL. καὶ μετὰ Ἀγαμέμνονος δὲ ὅμως ἀσφαλῶς πάλιν οἱ Ἕλληνες. V.

124. ὦ πόποι: λειπόμενοι γ' οἱ γέροντες δυνάμεως τῷ χετλιάζειν ἐμφαίνσι τὴν οἰκείαν προθυμίαν. μόνον ὀχὶ δὲ τὴν Ἑλλάδα πᾶσαν αὐτὲς ἐλεεῖν φησίν. εὖ δὲ καὶ τὸ μὴ λύπην εἰπεῖν ἐν αὐτοῖς ἀλλὰ πένθος, καὶ μέγα. BLV.

125. Πηλεύς: διδάσκει ὅτι τὲς γέροντας δεῖ καὶ ἀπόνητας τιμᾶν, ὡς Πηλεῖ μέλει Ἑλλήνων καὶ μὴ παρόντι. (λέγων ὡς δεῖ τοὺς Ἕλληνας ἀρέσκειν Πηλεῖ V). ἀνόητον δὲ φασι τὸ μὴ τὲς γονεῖς αὐτῶν παραλαβεῖν ἀχθομένους, ἀλλὰ τὸν Πηλέα, ὃν ἔδει χαίρειν δυσχερόντων Ἑλλήνων διὰ τὴν Ἀχιλλέως ἄβριν. ἔςι δὲ ἐντεχνον· εἰ γ' ὁ τῷ πολεμίῳ παρὰ τὴν ἀθυμεῖ, πόσῳ μᾶλλον οἱ ὑμῶν; ἅμα δὲ καὶ ὑπομιμνήσκει Ἀγαμέμνονα Ἀχιλλέως, ὅτι ὁ νῦν προκαλέμενος πάν-

τας „ὄφρ' Ἀχιλλεὺς μετ' Ἀχαιοῖσι πολέμιζεν, ἐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ" (Il. 9, 352)· ἐπαχθὲς γὰ ἦν ἕτω σαφῶς ὀνειδίσαι. προμνησεύει ἓν τὰς λιτάς, καὶ τοῖς βαρβάροις δὲ ἐμφαίνει ὅτι ἐκ ἔξαι ἡ Ἀχιλλέως ὀργὴ πολυχρόνιος, τῶ Πηλέως ἕτως πρὸς τὲς Ἕλληνας διακειμένου. ὑποθωπεύει δὲ λεληθότως τὸν Ἀχιλλέα. BLV.

126. βουληφόρος: ὁ φέρων εἰς πέρας ἃ βούλεται. συνίςησι δὲ τὸ πρόσωπον, ὅπως ὁ τότε χετλιασμὸς ἐγείρῃ τοὺς Ἕλληνας. BV.

127. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει μέγα δ' ἔςενεν, ἐξ ἃ φανερός ἐςιν ἀνεγνωκὼς μειρόμενος, οἷον ςερόμενος. ὁ δὲ Ὅμηρος τὸ μείρεσθαι ἀκ ἐπὶ τῶ ςέρεσθαι τίθησιν, ἀλλ' ἐπὶ τῶ μερίζεσθαι· „καὶ ἦμισυ μείρεο τιμῆς" (Il. 9, 616). δέον ἓν εἰρόμενος, ἐρωτῶν. προκρίνει δὲ ὁ Ἀρίσαρχος τὴν μέγ' ἐγήθεεν (cod. μεγ' γήθησεν) γραφήν. A.

τὸ πλῆρες, ἐμὲ εἰρόμενός τε. A.

128. γενεήν τε τόκον τε: πατέρα καὶ παῖδα. τὸ μὲν γὰρ ἐπαινεῖν τὲς προγόνας κολακικόν, τὸ δὲ λέγειν ὅτι μεμαρτύρηκα ὑμῖν εὐγένειαν ἐπίφθονον. A.

θαυμασίως τῆς εὐγενείας αὐτὲς ὑπέμνησεν, ἐκ αὐτὸς ἐπαινῶν τοὺς γονεῖς αὐτῶν, ἀλλὰ Πηλέα τὸν ἄκρον ἐπ' εὐγενείᾳ χαίρειν ἐπὶ τῇ γονῇ αὐτῶν λέγων. ἀλλ' ἀδέ φησιν ὅτι ἐμαρτύρησα τῷ Πηλεῖ περὶ ὑμῶν· τὸ μὲν γὰ κολακικόν, τὸ δὲ λέγειν ὅτι ἐπ' εὐγενείᾳ ὑμῖν ἐμαρτύρησα, σφόδρα ἐπίφθονον. BLV.

129. 130. ἀκούσαι — ἀείραι: παροξυτονητέον ἀμφότερα· ἔφαμεν γὰ τὴν αι διφθογγον ἐν εὐκτικοῖς μακρὰν εἶναι. A.

130. φίλας ἀνὰ χεῖρας: ἐν ταῖς ἐξητασμέναις Ἀρίσαρχος βαρείας χεῖρας, τὰς βεβαρημένας ὑπὸ γήρως νῦν καὶ δυσκινήτες. ἀλλαχοῦ δὲ τὰς ἐῤῥωμένας· „βαρείας χεῖρας ἐποίσειν" (Il. 1, 89). A.

131. θυμὸν ἀπὸ μελέων: δηλοῖ ὅτι παρέσπαρθ ἡ ψυχὴ παντὶ τῷ σώματι. ταῦτα δὲ πάχει, φησίν, ὅτι τοιούτοις ἀγενέσι καὶ δειλοῖς τὸν ἴδιον υἱὸν πεπίςευκεν. BL.

132. αἰ γὰρ: οὐκ ἄκαιρος ἡ πρότασις· ἐπιτιμήσας γὰ τοῖς ἀρίςοις, ὤφειλεν ἀποδεῖξαι διὰ τῆς παραθέσεως τῶν πεπραγμένων αὐτῷ ὅτι δεόντως ἄγει ταύτην τὴν παῤῥησίαν, ἵνα πρὸς ζῆλον αὐτὲς τῶν ὁμοίων κινήσῃ. τοιοῦτος καὶ Φοῖνιξ καὶ Λαέρτης. μέτριος μὲν ἓν ὁ λόγος τῇ φαντασίᾳ, πικρὸς δὲ τῇ δυνάμει· εἰ γὰ ὁ Πηλεὺς τὰ ὑμῶν ἀκέων δεινὰ θανεῖν εὔχεθ, πόσῳ μᾶλλον ἐγὼ ὁ τοσαῦτα ποιήσας ἐν νεότητι καὶ νῦν ὁρῶν ὑμᾶς ἀχημονοῦντας; πραγματικῶς δὲ καὶ πρὸς Ἀχιλλέα ἀποτείνεθ· εἰ γὰ ἕτως βαρέως οἴσει ὁ Πηλεὺς τὴν τῶν ἀλλοτρίων ἀνανδρίαν, πῶς οὐκ ἂν μᾶλλον ἐπὶ τῷ υἱῷ ἄχθοιτο; BLV.

133. ὠκυρόῳ κελάδοντι: ἡ διπλῆ, ὅτι ἰδίως τὰ ἐπίθετα προτάξας τὸ κύριον ἐπήγαγεν (135) „Ἰαρδάνου ἀμφὶ ῥέεθρα." A.

τῷ νῦν Ἀκίδωνον. τινὲς δὲ ἄμφω ἐπίθετα τοῦ Ἰαρδάνου. καὶ τὴν φράσιν σημειοῦνθ· προτάξας γὰ δοτικὰς ἐπιφέρει γενικήν, Ἰαρδάνου. V.

διὰ τὸν ἦχον τῶ ῥεύματος ἕτως εἶπε τὸν Ἰάρδανον, ὃς ἐςι ποταμὸς Ἀρκαδίας. ἐν ἄλλῳ, Κελάδων ποταμὸς Ἀρκαδίας· σημαίνει δὲ ἡ λέξις καὶ τὸν μετὰ ἦχε ῥέοντα. D.

135. Φειᾶς: ἡ διπλῆ, ὅτι ἐν Ὀδυσσείᾳ (15, 296) πληθυντικῶς „ἣ δὲ Φεαῖς ἐπίβαλλεν ἐπειγομένη Διὸς ἴρῳ", ὡς Μυκήνην καὶ Μυκήνας. A.

περισπαςέον· ἐνικὴ γάρ ἐςι γενική· πρόδηλον κἀκ τῆς συντάξεως τῶ τείχεσσι, παρὰ τοῖς τῆς Φειᾶς τείχεσι. Φειὰ δὲ πόλις τῆς Ἤλιδος, οἱ δὲ τῆς Ἀρκαδίας, παρ' ἣν ὁ Ἰάρδανος ῥεῖ. ἀλλὰ καὶ ἡ Φειὰ παραθαλάσσιός ἐςι, καὶ Ἰάρδανος ἀκ ὁρᾶται ποταμὸς αὐτόθι. ἄμεινον ἓν ὡς Δίδυμος, Φήρᾳ Σπάρτη καὶ Λαρδάνε ἀμφὶ ῥέεθρα· ἕτω γὰ καὶ Φερεκύδης ἱςορεῖ. A.

136. ἡ διπλῆ, ὅτι πρόμος ἀντὶ τῶ πρόμαχος κοινῶς. A.

138. Ἀρηΐθοου: οὗτος μὲν ὁ Ἀρηΐθης Βοιωτὸς ἦν τὸ γένος, Ἀρκάσι δὲ συνεμάχει. τοῦτον δὲ Λυκόργος ὁ Ἀρκὰς φθόνῳ ἀναιρεῖ. εὐκαίρως δὲ ἐνταῦθα ἐρευνᾷ, πρώην ἁπλῶς παρελθών. BL.

ἡ διπλῆ, ὅτι πυκναὶ ἐν Ἰλιάδι αἱ ἐπαναλήψεις, ἅπαξ δὲ ἐν Ὀδυσσείᾳ· καὶ ὅτι ἕτος ὁ Ἀρηΐθοος Ἀρκὰς ὢν ὁμώνυμός ἐςι τῷ Βοιωτῷ. A.

139. γυναῖκες: ἔμφασις τοῦ κλέος ὅτι καὶ γυναιξὶν ἐγνώσθη. BL.

140. οὕνεκ' ἄρ' οὐ: τοῖς ἐπάνω συναπτέον· αἰτία γὰ τῆς τῶ Κορυνήτε ὀνομασίας αὕτη. καὶ τὸν ἑξῆς δὲ ὁμοίως συνάπτειν δεῖ „ἀλλὰ σιδηρείῃ κορύνῃ," βραχὺ μόνον διαςέλλοντα. A.

142. δόλῳ, οὔ τι κράτεῖ γε: εἰς σύγασιν αὐτῶ. V.

143. ὅθ' ἄρ' οὐ κορύνη: ἃ διὰ τὸ ξενὸν ἐκ ἐχρήσμησεν, ἀλλὰ διὰ τὴν πρόληψιν. BL.

ὑποφθάς: ὅτι ἀντὶ τῶ ὑποφθάσας Ἰακῶς. Ἀρίσαρχος δέ φησι καὶ ἀναςάς, οἷον ἐκ λόχε ἀναςάς. A.

146. τεύχεα δ' ἐξενάριξε: ἕτως Ἀρίσαρχος. ἄλλοι δὲ διὰ τῶ τέ, τεύχεά τ' ἐξενάριξε. A.

ἡ διπλῆ, ὅτι κυρίως τὸ ἐξενάριξε νῦν, τὰ ἔναρα περιεῖλεν. A.

τά οἱ πόρε χάλκεος Ἄρης: λεληθότως τὸν ἴδιον ἔπαινον αὔξει ὁ Νέςωρ, εἰ περιεγένετο ἀνδρὸς ὅπλα φορῆντος θεῖα. B. τινές, ἃ ἦν σκυλεύσας ἐκ τῶ πολέμε. V.

147. μῶλον: τὸν ἐγχρονισμὸν καὶ μώλυνσιν τῆς μάχης. V.

148. ἐγήρα: ὅτι ἀντὶ τοῦ ἐγήρασε τὸν παρατατικὸν ἔταξεν. A.

149. δῶκε δ': ὅτι ἕτως εἴωθε φράζειν. καὶ ὅτι περὶ τὸς ὁ δέ. τινὲς δὲ γράφεσι δῶκεν Ἐρευθαλίωνι. A.

153. θάρσεϊ ᾧ: τῷ ἑαυτῶ θάρσει· „βελὴ γὰ ἄρχει χεὶρ δ' ἐπεξεργάζεθ." τινὲς δὲ ἀντὶ τῶ τῷ ἁπλήσιῳ θυμαὐτῶ, τῶ Ἐρευθαλίωνος, μάχεθ. νεώτερος δὲ ἦμεν, φησὶ διὸ καὶ ἐθάρσυν. ἐντέχνως δὲ τὲς μὲν πρεσβυτέρους ἀπολύ τῶ κινδύνε, τὲς δὲ νεωτέρους ἀνίςησιν. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ διπλῆ, ὅτι Ζηνόδοτος θάρσει ἐμῷ. ἀδιανόητον δὲ γίνεται, ἡ ψυχή με ἀνέπεισε τῷ θάρσει τῷ ἐμῷ. A.

154. δῶκε δέ μοι εὖχος Ἀθήνη: ὅτι δεῖ τὰ ἴδια θεοῖς ἀναφέρειν· καὶ γὰρ συνεργοῦσι τοῖς προθύμοις. B.

155. τὸν δὴ: ἐχ ἑαυτὸν μῆκιστον εἶπε καὶ κάρτιστον, ἀλλὰ τῷ μὲν Ἐρευθαλίωνι ταῦτα ἐμαρτύρησεν, ἐκείνῳ δὲ περιγεγενῆσθαι λέγων λεληθότως καὶ ἀνεπιφθόνως αὐτὸν ἠὔξησε. ζηλωτὸν δὲ ἑαυτὸν καθιστὰς προτρέπει αὐτοὺς εἰς ἔννοιαν ἀγωνίας. BL.

156. πολλός: ἀπὸ τῶν ἀριθμεμένων ἐπὶ τὰ μετρούμενα μεταβαίνει μεγέθη, ὡς τὸ „τύμβον δ' ἐ μάλα πολλὸν ἔσω πονέεσθαι ἄνωγα" (Il. 23, 245). παρήορος δὲ ἤτοι εἰς μῆκος καὶ πλάτος παρηρτημένος. BLV.

σημειοῦνται τινες διὰ τὸ παρήορος, ὅτι παρηρτημένος καὶ κεχυμένος. A.

παρηωρημένος τῷ σώματι, τετέχιν ἐκλελυμένος. ἐν ἄλλῳ, νῦν ἀντὶ τοῦ παραιωρέμενος καὶ εἰς μῆκος ἐκτεταμένος. λέγει δὲ ὅτως ποτὲ καὶ τὸν παρεζευγμένον ἐκτὸς τοῦ ζυγοῦ ἵππον καὶ τὸν ἄφορον. AD.

ἔνθα καὶ ἔνθα: κατὰ πλάτος καὶ κατὰ μῆκος. D.

158. ἀντήσειε: ἤντησεν ἄν. V.

159. ὑμέων δ' οἵπερ ἔασιν: τὸ χῆμα τοῦτό ἐστιν ὃ καλεῖται περὶ πρόσωπον. BL.

161. ἡ διπλῆ πρὸς τὸ νείκεσσεν, ὅτι ἀντὶ τοῦ ἐπέπληξεν, ἀδέποτε δὲ ἐπὶ τοῦ ἔκρινεν, ὡς ἐν τῷ „ὃς νείκεσσέν τε θεάς" (Il. 24, 29). καὶ ὅτι παρέλκει συνήθως αὐτῷ τὸ πάντες. AV. ἐ γάρ, ὥς τινες, οἱ ἅπαντες ἐννέα· τί γὰρ ἐπὶ τοῦ „δέκα πάντα τάλαντα" (Il. 24, 232); ἴσχυσε δὲ καὶ τοὺς ὠμογέροντας ἐγεῖραι. V.

162. Ἀγαμέμνων: καὶ ὡς βασιλεὺς προτρέπων, καὶ ὡς ἀχθόμενος τῇ μελλήσει αὐτῶν. καὶ τὸν ἀδελφὸν δὲ ἐπιχὼν ἐνδείκνυται ὅτι καὶ αὐτὸς ἐ δέδιεν Ἕκτορα, εἰ καὶ ἐκεῖνον ἐκώλυσεν. BL.

163. ἐπί: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· μεταξὺ γὰρ πέπτωκεν ὁ δὲ σύνδεσμος. A.

Τυδείδης: φιλοτιμεῖται καὶ ἐπὶ τοῖς πεπραγμένοις, καὶ θερμότερός ἐστι τῶν Αἰάντων. BL.

164. Αἴαντες: δευτερεύει καὶ Αἴας Ἀχιλλέως, συναίρεσις δὲ αὐτῷ καὶ τὸν Λοκρόν· „ἶσον" γάρ φησι „θυμὸν ἔχοντες" (Il. 13, 704). πολεμεῖ δὲ νῦν καὶ κρατεῖ, ἵνα ὅταν ἥττᾶται Ἕκτορι, τὸν Διὰ νοοῖμεν. BL.

165. Ἰδομενεὺς καὶ ὑπάων Ἰδομενῆος: ἐκείνων μὲν λείπουται, Εὐρυπύλῳ δὲ καὶ Θόαντος ὑπερέχουσι, συνεργεῖ δὲ ἀεὶ Μηριόνης τῷ Ἰδομενεῖ. BL.

167. ἔπ': ἀδὲ ἐνθάδε ἀναστρεπτέον, καὶ ὅτι συνήλειπται. A.

Εὐρύπυλος: κρείττων καὶ ἕτος τὰ πολεμικὰ Θόαντος· περὶ λόγους γὰρ μᾶλλον δεινὸς ὁ Θόας „ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν νίκων" (Il. 15, 283). BL.

ψιλωτέον τὸ Εὐαίμονος εἰς ἰδιότητα, προειρημένου δέ. A.

168. Ὀδυσσεύς: ἕκατος τέθειται ἐχ ὡς δειλὸς ἀλλ' ὡς σοφός· πάντα γὰρ λογισμῷ πράττων εἰς πάντα μέλλει. BL.

ἄλλως τε περὶ πάντων ἀπελογήσατο· „πάντες ἄρ' οἵγ' ἤθελον." V.

170. Νέστωρ: ὁ καὶ ἀναῤῥῆναι προτρέψας, ἐχ ὁ βασιλεὺς ὃς πονεῖν ἐθέλει ἀεί. BLV.

ὅτι τὰς μὲν καθίζησι, τὰς δὲ ἀνίζησι Νέστωρ. V.

171. πεπάλασθε: ἕτως Ἀρίσταρχος καὶ Ἡρωδιανὸς διὰ τοῦ ο, πεπάλαθε, ὁ διὰ τοῦ χ. A.

οἷον κλήρῳ διακληρώσασθε. ἀπὸ τοῦ ἀναπάλλεσθαι τοὺς κλήρους πεπάλασθε λέγει. τὸ δὲ ὅς κε λάχῃσι τινὲς δὲ γράφουσι διὰ τοῦ ω, ἵνα λείπῃ τὸ τίς, ὡς πολλαχοῦ παρ' αὐτῷ. A.

ὅτι τηρεῖ τὴν διαφορὰν τοῦ κληρώσασθαι καὶ λαχεῖν. καὶ πρὸς τὸ λάχῃσιν, ὅτι ὃς ἂν λάχῃ. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „ἰχθὺς ὅς κε φάγῃσι" (Il. 21, 127) πρὸς Φιλητᾶν. A.

171. 172. αἱ πᾶσαι πεπάλασθε, ὃ ἐστι τῷ κλήρῳ ἤτοι τῷ λαχμῷ κινήθητε. ἕκαστος, φησί, τῷ ἑαυτοῦ κλήρῳ ἐν λαχήσει κινήθητε. ἀπὸ τοῦ πάλλω παλάσσω. τὸ δὲ πεπάλαχθε τὸ μολύνθητε δηλοῖ. τὸ δὲ διαμπερές τὸ διηνεκῶς, ἀπὸ πέρατος εἰς πέρας ἐλθόντος τοῦ κλήρου, ὃ ἐστι διὰ πάντων. εἶτα ἀπὸ ἄλλης ἀρχῆς, ὃς γὰρ ἂν λάχῃ, καὶ Ἕλληνας καὶ ἑαυτὸν ὠφελήσει. τινὲς δὲ τελείαν εἶς τὸ λάχῃσι. λέγει δὲ ὅτι κληρώθητε· λάχοι γὰρ ἄν τις, ὡς τὸ „μίρναθ' ὁππότεροισι πατὴρ Ζεὺς κῦδος ὀρέξει" (Il. 5, 33). οἱ δὲ ςίζουσιν εἰς τὸ πεπάλασθε, εἶτα, ὃς γὰρ ἂν λάχῃ, διηνεκῶς καὶ εἰς πάντα τὸν βίον ὠφελήσει τοὺς Ἕλληνας. ἀνοήτως δέ, φασίν, ἐπὶ κλῆρον ἔρχεται· δέον γὰρ ἑλέσθαι τὸν ἄριστον πάντων, ὅπερ τοιοῦτος ὁ κίνδυνος ἦν, τὸν δὲ φαυλότατον ἐᾶσαι. τοῦτο δὲ ποιεῖ ὁ Νέστωρ ἵνα μηδενὸς προκριθέντος ὑβριοῦσιν οἱ λοιποί, τῷ τε πολεμίῳ ἐνδείκνυται ὅτι ἐχ ἕνα μόνον οἴεται ἀξιόχρεων εἶναι πρὸς αὐτὸν μάχεσθαι, καὶ ἵνα μήτε νικήσας τὸν ἄριστον δοκῇ νενικηκέναι ἀλλὰ τὸν ὑπὸ κλήρου δεδομένον, μήτε λειφθεὶς ὑπὸ τοῦ ἀρίστου λελεῖφθαι ἀλλ' ὑπὸ τοῦ λαχόντος τὸν κλῆρον. ἅμα δὲ καὶ ἀγωνιᾷ ἐπὶ τῷ κλήρῳ ὁ ἀκροατής. BLV.

ἕτως συνάπτειν δεῖ, ὅς κε λάχῃσιν, ἕτος γὰρ δὴ ὀνήσει. A.

ἄλλως. ςικτέον κατὰ τὸ τέλος τοῦ ςίχου· τὸ δὲ ἑξῆς λεγόμενον, ἕτος γὰρ δὴ ὀνήσει, ἤτοι περὶ τοῦ κλήρου ἐςὶν ἢ τοῦ λαχόντος, ὃ καὶ βέλτιον· ἐπιφέρει γάρ „καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσει." ἄλλως μέντοι γε ὕποπτος οὗτος ὁ ςίχος ἦν· δυσελπίδας γὰρ τέτρας ποιεῖ. τὸ δὲ ἐν τῷ πρώτῳ ςίχῳ δοκοῦν ἀκατάλληλον εἶναι „κληρώθητε ὅς ἐὰν λάχῃσι" σύνηθες Ὁμήρῳ ἐςίν, οἷον κληρώθητε, λάχοι γὰρ ἄν τις. τὸ δὲ διαμπερές πρόσκειται ἀντὶ τοῦ διηνεκῶς, οἷον πάντες. ταῦτα δέ τινες ὑπιδόμενοι ἀφ' ἑτέρας ἀρχῆς ποιοῦσιν ἀναγινώσκειν, διαμπερὲς ὅς κε λάχῃσιν, ἕτος γὰρ δὴ ὀνήσει, ἵν' ᾖ τὸ ἑξῆς, ἕτος γὰρ δὴ διαμπερὲς ὀνήσει ὅς κε λάχῃσι. οἱ δὲ καὶ ἕτως· ὅς κε λάχῃσιν, ἕτος γὰρ δὴ ὀνήσει, δῆλον ὅτι μετὰ τὸ διαμπερὲς ςίζοντες. ταῦτα ὁ Νικάνωρ. A.

172. ὀνήσει: ὡς ἔχοντα ἀξίωμα Ἕκτορι. V.

175. ἐσημήναντο: ἡ διπλῆ, ὅτι σημείοις χρῶνται, οὐ γράμμασιν. A. δηλοῖ ὅτι ἐ γράμματα ἤδεισαν οἱ ἥρωες. D.

γράμμασιν ἐσημήναντο. ϗ πῶς ὁ κῆρυξ οὐδὲ οἱ ἄλλοι γνωρίζȣσιν; ὅτι ἐθνικὰ ἦν; BL.

177. λαοὶ δ' ἠρήσαντο: ἡδέα ταῦτα ϗ Ἑλληνικά, τὸ ἀγωνιᾶν τȣ̀ς Ἕλληνας περὶ τῆς εὐδοξίας. BL.

ὁ Ἀσκαλωνίτης διαςέλλει ἰδὲ χεῖρας ἀνέσχον, ὡς „ἰδὲ κλέος ἐσθλὸν ἄροιτο" (Il. 5, 3), ἵνα γένηται καὶ χεῖρας ἀνέσχον. Ἀλεξίων δὲ τὴν κατειθισμένην παραλαμβάνει, λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέχον. ȣ̃τως ϗ οἱ περὶ Ἡρακλέωνα. ȣ̓κ ἀποδοκιμάζει μέντοι τὴν ἑτέραν ὁ Ἀλεξίων· ϗ ἡμῖν ȣ̃τως δοκεῖ. A.

χεῖρας ἀνέσχον: παρακολȣ́θημά ἐςι τῆς εὐχῆς, ὡς οἷον ἐχομένων τȣ̃ θεȣ̃ τῶν εὐχομένων. L.

179. ἢ Αἴαντα: τάξιν ἡ εὐχὴ ἔχει, τὸν πρῶτον κατ' ἀλκὴν ϗ τὸν δεύτερον ϗ τὸν τρίτον καταλέγȣσα. BL.

180. Μυκήνης: ἡ διπλῆ, ὅτι ἀλλαχοῦ πληθυντικῶς Μυκήνας. A.

181. πάλλεν δὲ — Νέςωρ: ὡς μὴ κακȣργηθῆναί τι περὶ τὸν κλῆρον· πιςότατος γ̓ ȣ̃τος ἦν περὶ τῶν ἄλλων. BL.

182. ἐκ δ' ἔθορε: ἡ διπλῆ, ὅτι ἀνέσειον τȣ̀ς κλήρȣς, ȣ̓κ ἐξῃρȣ̃ντο, ὡς ἡμεῖς νῦν. A.

ὃν ἄρ' ἤθελον αὐτοί: πιθανῶς εἴρηϑ τȣ̃το (εὐχῆς γ̓ τὸ ἔργον ἦν) ϗ κεχαρισμένως τῷ ἀκροατῇ. BL.

184. ἐνδέξια: ὅταν ἀντὶ ἐπιῤῥήματος ᾖ τȣ̃ ἐπιδεξίως τὸ ἐνδέξια, τρίτη ἀπὸ τέλȣς ἡ ὀξεῖα. A.

βαρυντέον τὸ ἐνδέξια· ἐπίῤῥημα γάρ ἐςιν, ἀντὶ τȣ̃ ἐνδεξίως. BL.

185. οὐ γιγνώσκοντες: ȣ̓χ οἱ αὐτοὶ γ̓ ἦσαν παρὰ πᾶσι τοῖς Ἕλλησι χαρακτῆρες· διάφορα δὲ ϗ τὰ τῶν ςοιχείων ὀνόματα, ὡς τὸ σάν. Καλλίςρατος δὲ ὁ Σάμιος ἐπὶ τῶν Πελοποννησιακῶν ταύτην μετήνεγκε τὴν γραμματικὴν ϗ παρέδωκεν Ἀθηναίοις ἐπὶ ἄρχοντος Εὐκλήτȣ, ὥς φησιν Ἔφορος. τέως δὲ ἡμῶν ἐξαρτᾷ τὸν νȣ̃ν, ȣ̓κ εὐθὺς ἐπὶ τὸν Αἴαντα φέρων τὸν κλῆρον. BLV.

τινὲς δὲ τὸ οἱ περισπωμένως ϗ δασέως, ἵν' ᾖ αὐτȣ̃ τȣ̃ Αἴαντος αὐτὸν εἰδότες, κακῶς. V.

γράφεται καὶ ἀπηνήνατο. A.

186. διχῶς, ἀλλ' ὅτε δή ῥ' ἵκοντο, καὶ ἀλλ' ὅτε δὴ τὸν ἵκανε. A.

187. ἐπιγράψας: γραμμαῖς τισὶ σημειωσάμενος. D. ἡ διπλῆ, ὅτι ȣ̓ γράμμασι τῆς λέξεως, ἀλλ' ἐγχαράξας σημεῖα· εἰ γ̓ κοινῶς ᾔδεσαν γράμματα, ἔδει τὸν κήρυκα ἀναγνῶναι ϗ τȣ̀ς ἄλλȣς οἷς ἐπεδείκνυτο ὁ κλῆρος. A.

189. γήθησε δὲ θυμῷ: ἀλλαχοῦ τὸ σῶμα, νῦν δὲ τὴν γνώμην αὐτȣ̃ ἐπαινεῖ. καλῶς δὲ οὐκ εἶπεν ἐμειδίασε· τȣ̃το γ̓ εἰρωνικὸν ἐπὶ τῶν φίλων ἦν· ἑξῆς δὲ (212) καταπλήσσων τὸν πολέμιον. βάλλει δὲ χαμαὶ τὸν κλῆρον, τύπον τῆς ἥττης Ἕκτορος παρεντιθείς. BLV.

192. δοκέω νικησέμεν: μέτριον καὶ Ἑλληνικὸν τὸ ἦθος· ȣ̓χ ὡς ὁ Ἕκτωρ γ̓ περὶ τῶν ἀδήλων ὑπιχνεῖϑ „ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ ϗ αὐτȣ́ς" (Il. 8, 182). V.

193. Ἀρίςαρχος δύνω, ἄλλοι δὲ δύω. A.

194. εὔχεσθε: Ἑλληνικὸν τὸ πρὸ τῶν κινδύνων εὔχεσϑ. ἅμα δὲ καὶ τὸ διάκενον πληροῖ. ἡ δὲ τῶν πολλῶν εὐχὴ εἰσακȣ́εται, ὅτι καὶ τὸν κράτιςον ἐπὶ θεοὺς δεῖ καταφεύγειν. BL.

195. σιγῇ ἐφ' ὑμείων: ἵνα μὴ δόξωσι δεδοικότες τὸν Ἕκτορα ἐπ' εὐχὰς τρέπεσϑ. BL.

ἕως τȣ̃ ἔλπομαι ἐν Σαλαμῖνι (199) ςίχοι πέντε ἀθετȣ̃νται, ὅτι ȣ̓ κατὰ τὸν Αἴαντα οἱ λόγοι, ϗ ἑαυτῷ ἀνθυποφέρει γελοίως. A.

196. οὔ τινα δείδιμεν: ȣ̓ διὰ δέος αὐτὸ ποιȣ̃μεν. V.

197. ἑκὼν: Ἀρίςαρχος διά τȣ̃ λ̄ ἑλών. A.

Ἀρίςαρχος ϗ αἱ πλείȣς ἑλών. A.

βίῃ: ἐκ δυοῖν γ̓ ἡ νίκη προσγίνεται, ἀνδρείας ϗ πολυπειρίας, ὧν τὸ μὲν ὡς ἐγνωσμένον παρῆκε, τὸ δὲ ἑξῆς ἐπεξεργάζεϑ. μετρίως δέ φησιν ὅτι μὴ βȣλόμενόν με ȣ̓δεὶς βȣλόμενος βιάσασϑ βιάσεϑ. ϗ τίς, φασί, βȣ́λεϑ βιασθῆναι; διὰ τȣ́του φαμὲν ὅτι τὸ τῶν πολλῶν ἀμελὲς ἐνδείκνυται. γράφεϑ δὲ ϗ ἑλών. D.

198. ἀϊδρείῃ τῇ πολυπειρίᾳ, ἐπιτάσει τοῦ ᾱ. τὴν δὲ ἐμέ ὁ Ἡρωδιανὸς εὐλόγως ὤξυνεν. BL.

διὰ τȣ̃ ῑ εἶχον αἱ Ἀριςάρχȣ· ἡ δὲ Ἀριςοφάνȣς ȣ̓δὲ μὲν ἰδρείῃ. ἠθέτηντο δὲ καὶ παρὰ Ἀριςοφάνει ϗ Ζηνοδότῳ. A.

γράφεϑ οὐδέ τι ἰδρείῃ. A.

ἐμὲ: ἐν ὀρθῇ τάσει ἀναγνωςέον, ἵνα ᾖ ἀντιδιαςολὴ πρὸς ἄπειρα πολέμȣ τινὰ πρόσωπα. A.

199. ἔλπομαι ἐν Σαλαμῖνι: καλῶς τὴν ἐκ παιδείαι ἀρετὴν τῇ θρεψαμένῃ περιάπτει πατρίδι· ϗ τȣ̃το γ̓ Ἑλληνικὸν ϗ φιλοδίκαιον (φιλόδημον L). BL.

γενέσθαί τε: ἀλλεπάλληλοι ὀξεῖαι, καίτοι σπονδειακό ἐςιν, ἀλλ' ἴσως ἵνα ἐκφύγωμεν τὸν διπλασιασμὸν τȣ̃ ῥήματος, λέγω δὲ τȣ̃ τετραφέμεν τε, ὡς ϗ ἐν τῇ Τ τῆς Ὀδυσσείας (320) παραλόγως ἐνεκλίναμεν ἐν τῷ „ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαί τε χρῖσαί τε," ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν. A.

202. Ἴδηθεν: ἡ διπλῆ, ὅτι τὸ θεν παρέλκει νῦν· ἔ γ̓ ἀντὶ τȣ̃ Ἴδης. A.

καλῶς ἐγχωρίως καλεῖ τὸν θεόν, ἐν ᾗ ϗ ἀγωνίζονϑ, ἵνα μὴ παρὰ μόνοις Τρωσὶ τιμώμενος ἐναντίος εἴη Αἴαντι. BL.

204. εἰ δὲ καὶ Ἕκτορα: θέλων αὐτȣ̀ς ἐπ' ἴσης διαλάξαι ὁ ποιητὴς ȣ̓δένα συνίςησιν, ȣ̓δὲ ἐν τῇ εὐχῇ. BL.

208. οἷός τε πελώριος ἔρχεται Ἄρης: ἤδη προπαίρει τὸν Αἴαντα ϗ τὴν ἔκβασιν ὑποφαίνει. καὶ ἀπήρ μὲν μέχρι τȣ́τȣ τὸ τῆς εἰκόνος, προσφιλοτιμεῖϑ δὲ ὁ ποιητὴς τὰ λοιπά. ἐκτείνει δὲ ϗ τὰς συλλαβάς, τὸ χῆμα τ ὄψεως ϗ τῆς πορείας δηλῶν Αἴαντος. BL.

210. ἔριδος μένεϊ: περιφραςικῶς ἔριδι. A.

212. προσώπασι: ἀντὶ τȣ̃ προσώπῳ. A.

ἀπὸ τῆς πρόσωπα εὐθείας Αἰολικῶς προσώπατα προσώπασιν. εὖ δὲ τὸ πληθυντικῶς χρήσασϑ· σμικρύ γ̓ τὸ πρόσωπον ϗ ἀποςενοῖ δειλία, χαρὰ δὲ πληθύνει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ διαχέει. πολλὰ δὲ τεκμήρια τῆς τοῦ Αἴαντος γενναιότητος· καὶ λαχὼν γὰρ ἥσθη, πλησίον δὲ ὢν τοῦ δεινοῦ μειδιᾷ, οὐ γελᾷ· τὸ μὲν γὰρ γελᾶν θρασύτητος καὶ ἀφροσύνης, τὸ δὲ μειδιᾶν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπίας δὲ φαιδρότερον, ἐκπλῆττον Ἕκτορα, θρασῦνον δὲ τοὺς φίλους· μειδιόων γάρ, οἷον ἥμερόν τι καὶ γενναῖον ἔχων τὸ πρόσωπον. BL.

213. βιβάς: οὕτως Ἀρίσταρχος, βιβάς. A.

ἡ κίνησις τοῦ σώματος τὸ τῆς ψυχῆς ὑπεμφαίνει θάρσος· ὁ δὲ δειλιῶν „μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει" (Il. 13, 281). BL.

214. Ἀργεῖοι μέγ' ἐγήθεον: Ἀρίσταρχος Ἀργεῖοι μὲν ἐγήθεον. A.

ἣν ὁ ποιητὴς ἔχει διάθεσιν, καὶ τοῖς προσώποις περιάπτει. ἀπὸ δὲ τῆς τῶν ὁρώντων σχέσεως καὶ τὸν ὁρώμενον ηὔξησεν. BL.

215. Τρῶας δὲ τρόμος: οὐ μόνος ὁ κινδυνεύων ἔτρεμεν, ἀλλὰ καὶ οἱ ἄλλοι. BL. ταῦτα δὲ λέγει ὁ ποιητὴς μεγαλύνων Αἴαντα. V.

216. θυμὸς ἐνὶ στήθεσσι πάτασσεν: τὴν κίνησιν καὶ τὴν ἀγωνίαν τῆς διανοίας ὑπέγραψε, τῶν δὲ σημείων τῆς δειλίας οὐδὲν παρέλαβεν, ὡς ἐπὶ τοῦ Ἀλεξάνδρου „ὦχρός τέ μιν εἷλε παρειάς" (Il. 3, 35) καὶ ἐπὶ τοῦ Δόλωνος „ὑπὸ δὲ τρέμε γυῖα" (Il. 10, 390), ἀλλὰ μόνην τὴν ἀγωνίαν· περὶ γὰρ ἀξιοπίστου προσώπου αὐτῷ ἐστὶν ὁ λόγος. BLV.

217. ἀλλ' οὔπως ἔτι εἶχεν ὑποτρέσαι: ὡς εἴγε δυνατὸν ἦν, κἂν ἔφυγε. ταῦτα δὲ καὶ περὶ τοῦ Ἴρου νόει. L.

218. χάρμῃ: κατ' εὐφημισμόν· ἢ παρὰ τὸ κείρω κάρμη· ἢ παρὰ τὸ χαράσσεσθαι τὰ δόρατα. V.

219. Αἴας δ' ἐγγύθεν ἦλθε: γενναῖος γὰρ ὢν οὐ μένει τὸν προκαλεσάμενον. BL.

220. χάλκεον, ἑπταβόειον: δόξαν ἡμῖν ἀληθείας ἐμποιῆσαι θέλων, τὸν τρόπον τῆς κατασκευῆς καὶ τὸν τεχνίτην καὶ τὴν πόλιν ὑπέγραψε, καὶ μαρτυρεῖ αὐτῷ ὡς τῶν ἄλλων τεχνιτῶν ἐν τεχνητοῖς ἀρίστῳ. BL.

πῆρθεὶς δὲ ἐκ Κολοφῶνος μετῳκίζετο εἰς Σμύρναν· μετὰ δὲ βίου ζήτησιν εἰς Κύμην μετοικιζόμενος, ἐλθεῖν εἰς Νέον τεῖχος, ὅπερ ἦν ἀποικία Κυμαίων· ὅπου μεταλαβὼν τῆς τοῦ σκυτέως Τυχίου φιλοφροσύνης ταῦτα περὶ αὐτοῦ φησίν. ὁπότε γὰρ περὶ ἥρωος δημιουργοῦ λέγει, ἱκανὸν προσθεῖναι καὶ μόνον τὸ ὄνομα· „ὅν ποτε τέκτων ποίησεν Ἰκμάλιος" (Od. 19, 56). πολλή τε αὐτοῦ ἀριστεία μετῆλθεν ἀφικνεῖσθαι πρὸς αὐτὸν καὶ τοῦ φοροῦντος σπουδῇ, ὃς ἐκ Σαλαμῖνος ἦλθεν εἰς Βοιωτίαν πρὸς τὸν ἄριστον ὁπλοποιόν. V.

221. Ὕλῃ: ἡ διπλῆ, ὅτι ἐνταῦθα συνεσταλμένως, ἐν δὲ τῷ καταλόγῳ (Il. 2, 500) ἐκτεταμένως „ἠδ' Ὕλην καὶ Πεπεῶνα." A.

222. αἰόλον: ποικίλον· διὸ καὶ τὸ τεύχων πρόσκειται· ἡλοῖ γὰρ τὸ καλλωπίζων. BL.

ποικίλον· διὸ κάμε τεύχων. ἢ εὐκίνητον. ἢ αἰόλον ἀντὶ τοῦ αἰόλως. V.

225. ἀπειλήσας δὲ προσηύδα: νωθὴς μέν ἐστι, κινηθεὶς δὲ ὀργὴν ἐνδείκνυται, ἀφ' ἧς αὐτῷ καὶ ἡ κίνησις· εὐμεγέθης γὰρ ὢν κινεῖσθαι οὐ δύναται. τὴν ὀργὴν δὲ καὶ πρὸ τῶν λόγων τῷ σχήματι ἐπεδείξατο. BL.

227. οἷοι καὶ Δαναοῖσιν: οὐκ εἶπεν ὅτι γνώσῃ οἷός εἰμι, κοινοποιεῖται δὲ ἅπαντα τοῖς φίλοις καὶ ἕνα ἐκ πολλῶν ἑαυτόν φησιν· οὐχ ὡς ὁ Ἕκτωρ δὲ αὐχεῖ τὸ „οἶδ' ἐπὶ δεξιά, οἶδ' ἐπ' ἀριστερά" (238). BL.

228. Ἀχιλλῆα: ἐπίτηδες καταπλήττει τὸν πολέμιον τῇ τοῦ κρείττονος προσδοκίᾳ, ὅπως μὴ εὔελπις ᾖ οἰόμενος τεθνάναι ἢ ἀποπεπλευκέναι τὸν πολέμιον. B.

ῥηξήνορα: τὸν ῥηγνύντα τῇ ἠνορέῃ, τουτέστι τῇ ἀνδρείᾳ· ἢ τὸν ῥέξαι τι ἤτοι πρᾶξαι τῇ ἠνορέῃ δυνάμενον. AD.

Πορφυρίου. διὰ τί ὁ Αἴας τῷ Ἕκτορι δεδήλωκε τὴν τοῦ Ἀχιλλέως μῆνιν; οὐδεμία γὰρ ἀνάγκη ἦν, οὐδὲ φρονίμου ἀνδρὸς τὰ παρ' αὐτοῦ κακὰ τοῖς πολεμίοις ἐξαγγέλλειν. ἢ ὅτι ἐγίνωσκον οἱ Τρῶες τὴν μῆνιν Ἀχιλλέως ὑποδεῖξαι πάντως· ὁ γὰρ Ἀπόλλων ἐδήλωσεν αὐτοῖς ἐν οἷς φησὶν „οὐ μὰν οὐδ' Ἀχιλεὺς Θέτιδος πάϊς ἠϋκόμοιο μάρνατ', ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει" (Il. 4, 512). εἰ δ' ἀγνοοῦσι τὴν ὀργὴν οἱ Τρῶες, καὶ οὕτως τὸ τῆς δηλώσεως ἀναγκαῖον, μὴ ἐν τῷ λοιμῷ τεθνηκέναι νομίσωσιν αὐτόν. Ἀριστοτέλης δέ, ἵνα μὴ οἴηται τὸν Ἀχιλλέα ἀποδεδειλιακέναι, ἀλλὰ κἀκεῖνον καὶ ἄλλους αὐτοῦ εἶναι κρείττους. εἶτα εἰπὼν „νῦν δὴ σάφα εἴσεαι οἰόθεν οἷος οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι, καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα," ἵνα καταπλήξῃ τῆς Ἀχιλλέως ἀρετῆς ἀναμνήσας, ὃν ἐδόκει πεφοβῆσθαι, εἰκότως πέπονθεν Ἀχιλλεύς· τὸ γὰρ μετ' Ἀχιλλῆα ἀμφίβολον πότερον μετὰ τὴν ἐκείνου τελευτὴν ἢ μετὰ τὴν ἐκείνου ἀρετήν, ἢ καθάπερ ἐκεῖνος ἦν καὶ ἄλλοι εἰσίν· ἀναγκαῖον οὖν δηλῶσαι τί πέπονθεν Ἀχιλλεύς, καὶ ὅτι μηνίων οὐ πάρεστιν, ἀλλ' οὐχὶ τεθνηκὼς ἢ ἀποπλεύσας, ἀλλ' ὅτι ἐν νηυσὶ κορωνίσι μηνίων· ὀργὴ δ' ἐν ἀγαθοῖς ἀνδράσιν εὐδιάλυτον. B.

230. ἀπομηνίσας: Ἀρίσταρχος ἐπιμηνίσας. V.

231. τοῖοι: οἱ γλωσσογράφοι τὸ τοῖοι ἀντὶ τοῦ ἀγαθοί· ὅθεν καὶ Καλλίμαχος τῷ τοίων αἰεὶ κέχρηται. B.

232. ἄρχε: βραδὺς γὰρ καὶ δεύτερος ἀεὶ ὁ Αἴας. ἅμα δὲ εὐτελίζει τὸ προπετές. ἢ καὶ αὐτὸν εὐτελίζων τοῦτό φησιν, ὡς καὶ αὐτὸς „ἠΰτε παιδὸς ἀφαυροῦ" φησίν (235). ἢ ἵνα πλεονεκτῇ κἀν τούτῳ ὁ Ἕκτωρ. BLV.

235. μή τί μευ: συνεῖδε καὶ ὁ Ἕκτωρ ὅτι μεμφόμενος καὶ καταπλήττων αὐτὸν ἄρχειν κελεύει τῆς μάχης. BL.

238. δεξιὰ μὲν τὸ φεύγειν, ἀριστερὰ δὲ τὸ διώκειν. BL.

ὁ Κάσιος δεξιὰ μὲν τὸ διώκειν, ἀριστερὰ δὲ τὸ φεύγειν. καὶ Ἀχιλλεὺς γάρ, φησί, ποδώκης καὶ ποδάρκης. V.

νωμῆσαι βῶν: τοῦτο ἐξήγησίς ἐστι τοῦ σακέσπαλος. V.

βῶν: οὕτως αἱ Ἀριστάρχου βῶν σὺν τῷ ν̄, ἡ Ἀριστοφάνους βοῦν. τινὲς δὲ ἔξω τοῦ ν̄ βῶ, καὶ μήποτε πιθανῶς, ἀντὶ τοῦ βόα. A.

αἱ Ἀριστάρχου βῶν, ἡ Ἀριστοφάνους βοῦν, ἡ Ἡρωδιανοῦ βῶ, ὡς Βορέαο „Βορέω ὑπ' ἰωγῇ" (Od. 14, 533). ἐν τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παλαιοῖς ἐγέγραπτο βον, ὅπερ οὐκ ἐνόησαν οἱ διορθωταί. V.

βȣ̃ν Δωρικῶς τὴν ἀσπίδα, ὅτι ἐκ βοείων ἐςὶ δερμάτων, συνεκδοχικῶς τῷ ὅπλον. AD.

238. 239. ἡ διπλῆ, ὅτι τὴν ἀσπίδα ξηρὰν λέγει βῶν διὰ τὸ ἐκ βοείων εἶναι δερμάτων· καὶ ὅτι προτάξας θηλυκὸν ȣ̓δέτερον ἐπήνεγκεν, τό μοί ἐςι πρὸς τὸ σημαινόμενον (συνώνυμον D), ὡς „νεφέλη δέ μιν, τὸ μὲν ȣ̓ ποτε" (Od. 12, 74). τὸ δὲ ταλαύρινον παρῆκϑ, εὔτολμον· ȣ̓ γὰρ ἡ ῥινὸς ἔγκειϑ, ὡς ᾠήθησάν τινες. A.

240. γράφεϑ ϗ ἐπαΐξειν (ἐπαΐσσειν V). AV.

241. δηΐῳ μέλπεσθαι Ἄρηϊ: Ἀρίςαρχος σὺν τῷ ν̄ δηΐων, πληθυντικῶς. A. τὸ δὲ μέλπεσθϑ κυρίως μὲν παίζειν ἢ τέρπεσθϑ, νῦν δὲ οἷον κινεῖσθϑ εὐχερῶς ϗ ἐμπείρως κατὰ τὴν μάχην. AD.

ὄρχησις γὰρ καὶ παιδιὰ γενναίων ὁ πόλεμος. πολλὴν δὲ εὐχέρειαν τῶν δεινῶν ἐμφαίνει. BL.

242. ἀλλ' οὐ γάρ σ' ἐθέλω: καίτοι πάντα τρόπον μάχης εἰδώς, φησίν, ȣ̓ θέλω σε λάθρᾳ βαλεῖν· ἡ γὰρ μετὰ ἀπάτης ἀριςεία αἰσχρά. ἠθικὸν δὲ ϗ τὸ τοιοῦτον, οἱονεὶ μέγαν ϗ θαυμαςόν. BL.

248. ἑβδομάτῃ: ἢ ϗ τὸν χαλκὸν συναριθμήσεις, ἵνα ϗ αὐτός ἐςιν ἡ ἑβδόμη ῥινός, ἢ ὄγδοον αὐτὸν λάβῃς· ὃ ϗ ἄμεινον. BL.

252. ἠρήρειστο: ἐτράχυνε τὰς συλλαβάς, τὴν βίαν τῆς εἰσόδȣ δηλῶν. BL.

255. τὼ δ' ἐκσπασαμένω: ἀπὸ τῆς τȣ̃ ἑτέρȣ ἀσπίδος τὸ ἴδιον ἑκάτερος. BL.

ἐπὶ τὸ τέλος τȣ̃ ςίχȣ βραχὺ διαςαλτέον. ἡ διπλῆ, ὅτι κυρίως ἔγχη τὰ δόρατα, ȣ̓χ ὥς τινες τὰ ξίφη. λέγει δὲ τὰ ἐνεχόμενα ταῖς ἀσπίσιν, ἃ προήκαντο. A.

255. 256. τȣ̀ς ςίχȣς τȣ́τȣς ȣ̓ προσίενϑ ἔνιοι, ὥσπερ ȣ̓δὲ Ζηνόδοτος, ἀλλὰ τὸ τῆς συνεπείας οὕτως ἔχει παρ' αὐτῷ ὥσπερ ϗ ὁ Ἀριςόνικος ἐκτίθησιν, ἣν περιττὸν ἐνομίσαμεν γράψαι. A.

258. Πριαμίδης μέν: ἐνάρχεται πάλιν, ȣ̓κ ἂν οἶμαι ἀμβλυνθείσης τῆς ἀκμῆς ἐν τῇ πρώτῃ βολῇ. BLV.

259. χαλκόν: Ἀρίςαρχος διὰ τȣ̃ σ̄ χαλκός. A.

261. στυφέλιξε: εἰς τȣ̃μπροσθεν ὁρμῶντα ἔςησε καὶ ἐπέσχεν. BL.

262. τμήδην: τμητικῶς, ὅσον ἐπιτεμεῖν ϗ ȣ̓κ εἰς βάθος τρῶσαι. D.

φυλάσσει μὲν Ἕκτορα τῇ ὑποθέσει, τὴν δὲ καιρίαν πληγὴν Αἴαντι δωρεῖϑ, ἐπὶ τὸ ἐπικίνδυνον φέρων τὴν ὑπόθεσιν. BLV.

263. ἀλλ' οὐδ' ὣς: Αἴαντα ἐπιτείνει, τὸ πρόθυμον τȣ̃ Ἕκτορος αὔξων. B.

264. ἀναχασσάμενος: ἀναποδίσας διὰ τὴν πάνυ ἐγγύτητα. L.

λίθον εἵλετο: ἡττώμενος ἐν τῇ συςάδην μετάγει τὴν μάχην ὡς πρὸς ἄτρωτον ἢ βαρύοπλον πολέμιον. BLV.

265. τρηχύν: τȣ̃το συμβαίνει τοῖς μέλασιν. V.

269. ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον: συνεπέδωκεν ὅ[illegible] τὸ σῶμα τῇ βολῇ, ϗ πάσῃ δυνάμει ἐχρήσατο. BL.

270. ἀσπίδ' ἔαξε: ἐπὶ μὲν Ἕκτορος τὸ ἀσθενὲς τ[illegible] βολῆς δηλῶν „περιήχησέ" φησιν (267), ὡσανεὶ μηδὲ [illegible] ὀμφαλȣ̃ θλασθέντος· ἐπὶ δὲ τȣ̃ Αἴαντος κατέαξε (ȣ̓τω κατ[illegible] γαγε V) τὴν ἀσπίδα ὡς ϗ ὑπ' αὐτῆς πεσεῖν τὸν Ἕκτορα. BL.

271. 272. ἐξετανύσθη ἀσπίδι ἐγχριμφθείς: εἶπεν ὑπὸ τȣ̃ λίθȣ, ἀλλὰ ϗ ὑπὸ τῆς ἀσπίδος· συνῶσε αὐτὴν ἐπ' αὐτὸν ἡ βολή. BL.

272. Ἀρίςαρχος ἀσπίδ' ἐνιχριμφθείς. A.

αἶψ': ȣ̓τως Ἀρίςαρχος, ȣ̓κ ἄψ. χρεία γὰρ τάχȣς π[illegible] τὴν σωτηρίαν· παρῆν δὲ „φηγῷ ἐφ' ὑψηλῇ" (60). V.

273. καί νύ κε δὴ ξιφέεσσ': ἡ διπλῆ, ὅτι ἀρτ[illegible] ἐπὶ τὸ τοῖς ξίφεσι χρῆσθϑ ἐληλύθασιν. ὅταν δὲ λέγῃ „τῷ ἐκσπασσαμένω δολίχ' ἔγχεα" (255), τὰ δόρατα λέγει τῶν ἀσπίδων ἀπεσπάσαντο. A.

ὀξυντέον τὸ αὐτοσχεδόν· τὰ γὰρ εἰς δον ἐπιῤῥήμ[illegible] ἐπὶ τῇ συνθέσει φυλάσσȣσι τὸν τόνον. BLV.

274. εἰ μὴ κήρυκες: οἰκονομικῶς σῶσαι θέλων [illegible] Ἕκτορα τῇ ποιήσει διαλύει τὴν μάχην. BLV.

276. Ταλθύβιός τε καὶ Ἰδαῖος: ὁ μὲν Ἰδαῖος [illegible] κότως προσέρχεϑ, τὸν Ἕκτορα σώσων κινδυνεύοντα· [illegible] Ταλθύβιος ȣ̓κέτι, τὴν νίκην τȣ̃ Αἴαντος ἀφαιρȣ́μενος [illegible] μὲν δὲ ὅτι ȣ̓δέπω ἀκριβὴς ἦν ἡ νίκη περὶ τὸν Αἴαντι [illegible] ξίφη γὰρ αὐτȣ̀ς ὁρμῆσαι λέγει, ἔνθα μάλιςα τύχης ȣ̓ [illegible] ϗ ἰσχύος κρίσις τὸ πλεῖςον ἔχει· ἀπὸ ἴσȣ γὰρ ὁρμῶνϑ [illegible] τε ϗ τὸν Ἕκτορα ὁρᾷ ὑπὸ θεῶν βοηθȣ́μενον. ἀλλὰ [illegible] τὸ τῆς νυκτὸς κατάςημα. κατὰ τὸ σιωπώμενον δὲ [illegible] μόνες αὐτȣ̀ς πέμπȣσιν. ABL.

ὅτι πρὸς τὸ δεύτερον πρῶτον· ὁ γὰρ Ταλθύβιός [illegible] Ἀχαϊκός. A.

πεπνυμένω: ἠτυμολόγηται ὁ Ἰδαῖος. δεῖ δὲ [illegible] εἶναι τὸν κήρυκα. V.

279. παῖδε φίλω: ὁ μὲν σεμνοποιῶν τὰ καθ' [illegible] παῖδε φίλω φησίν, ὁ δὲ Αἴας ἐξ ὀνόματος Ἰδαῖε. [illegible]

281. ἄμφω δ' αἰχμητά: ἴσȣς αὐτȣ̀ς ἔφησε, [illegible] Ἕκτορος ἧτταν ἐπικαλύπτων. BLV.

282. τελέθει: ἀντὶ τȣ̃ γίνεϑ, ἀρχὴν λαμβάνει [illegible]

ἡ διπλῆ, ὅτι ἐντεῦθεν εἰς τὰ ἑξῆς (293) μετεν[illegible] ὁ μὲν γὰρ κῆρυξ αἰτίαν λέγει δι' ἣν οὐ πολεμητέ[illegible] Ἕκτωρ ἑαυτὸν μετὰ προφάσεως μὴ συλλυέτω. A.

πιθέσθαι: παροξυντέον· μέσος γάρ ἐςι δεύτερος ριςος, ἀντὶ τȣ̃ πεισθῆναι. ABLV.

Ἕκτορι ταῦτα κελεύετε μυθήσασθα[illegible] μὲν τὸ ἦθος· ȣ̓ γὰρ προσφιλονεικεῖ κρατῶν τῇ μάχ[illegible] δέ, ὅτι μὴ εὐθέως τῷ κήρυκι συνεχώρησεν, ἵνα μ[illegible] δοκῇ τὴν διάλυσιν προσίεσθϑ, ἀλλὰ τὸν προκα[illegible] ᾠήθη δεῖν περὶ διαλύσεως ποιεῖσθϑ τȣ̀ς λόγȣς. ἀξ[illegible]

*) ἔνθα — ὁρμῶνται] om A, qui post κατάςημα haec habet: ἔνθα τύχης, οὐ τέχνης κρίσις· ἀπ' ἴσου γὰρ ἡ κρίσις

33. *ἀλλ' ἔμπης Δαναῶν*: ὁμὲν ἐκ ἐγύμνωσεν ἑαυτῦ τὴν γνώμην ὅτι τοῖς Τρωσὶν ἐπικερεῖν ϑέλει, ἀλλ' ἀμφοτέροις βοηϑεῖν ἐκώλυσεν· ἡ δὲ ξυνεῖσα ἤλεγξεν αὐτῦ τὴν προαίρεσιν. BL.

34. *κακὸν οἶτον*: διὰ τὸ εἶναι κακὸν ἄχϑεϑ, ἐχ ὅτι μόνον ἀπολῦνται· ὃ καὶ οἶκτον κινεῖ. BL.

35. *ὡς σὺ κελεύεις*: ἤτως Ἀρίσαρχος. *ἄλλοι δὲ εἰ σὺ κελεύεις*. A.

36. *βουλὴν δ'*: τὸ μὲν ἐπαμῦναι ἔργῳ ἐναντίωσιν ἔχει τῇ Διός· τὸ δὲ λόγῳ πρὸς τὸ μὴ πάντας ἀπολέσϑαι ἀλλὰ δεηϑῆναι Ἀχιλλέως καὶ αὐτὸς ϑέλει. BL. „ἐδ' ὄγε πάμπαν ἤϑελε λαὸν ὀλέσϑ, ἀλλὰ Θέτιν κύδαινε" (Il. 13, 348). V.

37. *τεοῖο*: τῇ σῇ, ἐδετέρως, ὡς εἰ λέγοι, ἐπεὶ τὰ σὰ οὕτως πρὸς αὐτὸς ἔχει, τε ὁ ϑένδσιν. ἐδὲ ἐν τῇ Ζηνοδότου δὲ ὁ φέρων· τό τε γ' τεοῖο συγχεῖ τὸν λόγον. ὀδοὺς ὀδύσσω παρὰ τὸ καὶ „ὀδὰξ ἐν χείλεσι φύντες" (Od. 1, 381). V.

39. *Τριτογένεια*: Μῆτιν τὴν Ὠκεανῆ, ὥς φασιν, εἰς πολλὰ τὴν μορφὴν ἀμείβεσαν βελόμενος ὁ Ζεὺς παρ' ἑαυτῷ ἔχειν, κατέπιεν ἔγκυον ἔσαν ὑπὸ Βρόντε τῦ Κύκλωπος· τελεσφορηϑείσης δὲ τῆς παιδός, ὁ Ζεὺς διὰ τῆς κεφαλῆς τεκὼν δίδωσι Τρίτωνι τῷ ποταμῷ τρέφειν· ὅϑεν Τριτογένεια ἐκλήϑη ὡς ἐκ τριῶν συναυξηϑεῖσα, Βρόντου Διὸς Τρίτωνος. Δημόκριτος δὲ ἐτυμολογῶν τὸ ὄνομα φησὶν ὅτι φρόνησίς ἐσιν ἀφ' ἧς συμβαίνει τρία ἀπογεννᾶϑ ἀγαϑά, εὖ λογίζεϑ, λέγειν καλῶς, πράττειν ἃ δεῖ. ἢ ὅτι τρίτῃ φϑίνοντος ἐτέχϑη. καὶ παροιμία „παῖς μοι τριτογενὴς εἴη, μὴ τριτογένεια·" ἀῤῥενώδεις γὰρ αἱ τοιαῦται γυναῖκες. BLV.

Ὅμηρος μὲν τὴν τὸ τρεῖν καὶ εὐλαβεῖσϑαι γεννῶσαν τοῖς ἀνϑρώποις (πολεμικὴ γ' ἡ ϑεός), οἱ δὲ νεώτεροί φασι τὴν παρὰ τῷ Τρίτωνι ποταμῷ γεννηϑεῖσαν, ὅς ἐσι τῆς Λιβύης. AD.

39. 40. ἡ διπλῆ, ὅτι ὑπὸ Διὸς πάλιν λέγονϑ πρὸς Ἀϑηνᾶν πρὸ τῆς Ἕκτορος τελευτῆς (Il. 22, 183)· ἐναντιῦνϑ δὲ ἐνϑάδε τοῖς ὑποκειμένοις. A.

40. *πρόφρονι*: ἀντὶ τῦ ὑπέρφρονι, ὡς „πρὸ παίδων καὶ πρὸ γυναικῶν" (57). ὁ λόγος ἓν ἔτος· ἃ βούλομαί σοι τυραννικὴν ἀπήνειαν ἀλλὰ βασιλικὴν ἐνδείκνυϑ προσήνειαν. *δείκνυσι δὲ ὅσον δύνανται λόγοι εὐμενεῖς, καίτοι παιδὸς πρὸς πατέρα*. BL.

εἰρωνεύεται αὐτήν. A.

41. *ὑπ' ὄχεσφι τιτύσκετο*: οἰκεῖον τῷ ἀπειλῦντι τὸ αὐτουργεῖν. BL.

43. *χρυσὸν*: τὴν αἰγίδα φησίν, ὡς καὶ ἀλλαχῦ „περὶ δ' αἰγίδι πάντα κάλυψε χρυσείῃ" (Il. 24, 20). BL.

ἡ διπλῆ, ὅτι ἀντὶ τῦ χρυσῆν πανοπλίαν. καὶ ὅτι ἐνϑάδε λεγομένε τῦ Διὸς ἀνειληφέναι τὴν ἰδίαν πανοπλίαν, ἐκέτι ἑξῆς (387) ἐγχωρεῖ τὴν αὐτὴν ταύτην πανοπλίαν ἀνειληφέναι τὴν Ἀϑηνᾶν. καὶ ὅτι τὸ γέντο ἐκ τῶν συμφραζομένων νοεῖται τεταγμένον ἀντὶ τῦ ἔλαβεν. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

45. μάσιξεν: τὸν ἀέρα ἐπλῆξεν ὀτρύνων αὐτούς. V. οὐκ ἄκοντες: ἐκ ἀπρόθυμοι. A.

46. ἡ διπλῆ, ὅτι οὐδέποτε εἶπε μεσσηγὺς γαίης τε καὶ Ὀλύμπου νιφόεντος, ἐδὲ τὸν Ὄλυμπον ἀσερόεντα· διαφέρει γὰρ καὶ αὐτὸν ὁ Ὄλυμπος τῷ ἀρανῷ. A.

ἐδέποτέ φησιν ἀπ' Ὀλύμπου ἀσερόεντος· ἔνθεν δῆλον ὅτι Ὄλυμπος ἐ τὸν ἀράνιον τόπον δηλοῖ ἀλλὰ τὸν ὑπ' οὐρανόν. BL.

47. 48. Ἴδην — Γάργαρον: ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς φράσεως, ἀντὶ τῆς Ἴδης εἰς Γάργαρον ἦλθεν· προτάξας γὰρ τὸ γενικὸν τὸ εἰδικὸν ἐπήνεγκεν. μέρη γὰρ τῆς Ἴδης ἄλλα τε καὶ τὸ Γάργαρον. A.

ἐν ὑπερβατῷ, οἷον Ἴδην Γάργαρον ἀντὶ τῆς εἰς Γάργαρον Ἴδης, ὡς τὸ „ἡ δ' ἄρα Κύπρον ἵκανεν ἐς Πάφον" (Od. 8, 362). ἔστι δὲ καὶ Γάργαρος πόλις. BL.

47. ἀρμόδιον δὲ τῷ ὄρει τὸ μητέρα θηρῶν· λέγεται γὰρ ὄφεις ἐνεγκεῖν, οἳ τῷ μεγέθει τὰς ἐλάφους ἀναιρᾶσιν, εἱλλόμενοι περὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, καὶ τοῖς δένδροις προσαρτῶντες αὐτάς, καὶ ὕστω διαφθείροντες. BL.

πολυπίδακα: πίδακές εἰσιν αἱ τῶν ὑδάτων ἀναδόσεις αἱ μικραί. A.

48. Γάργαρον: τὸ ἀκρώτηριον τῆς Ἴδης, ἤτοι ἀπὸ τοῦ γαργαρίζειν καὶ ἀναδιδόναι τὰ ὕδατα, ἢ ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς σώμασιν ἡμῶν γαργαρεώνος τῆς λεγομένης σαφυλῆς· καὶ γὰρ τὸ σῶμα τοῦτο ἀπὸ παχέος εἰς λεπτὸν καὶ ὀξὺ λήγει. τρία δὲ εἰσιν ἀκρωτήρια τῆς Ἴδης, Λεκτόν, Γάργαρον, Φαλάκρη. τοῦτο μνημονεύει Καλλίμαχος ἐν πρώτῳ αἰτίων. ADL.

τινὲς δὲ λέγουσι καὶ Πέργαμον. L.

51. κύδεϊ γαίων: τῇ ἑαυτοῦ ἐνηδόμενος δόξῃ καὶ ἀρετῇ. BL.

53. ἡ διπλῆ, ὅτι πρὸ τούτου τὴν ἀνατολὴν τίθησι Ζηνόδοτος. τὸ δὲ συνεχὲς τῷ λόγῳ ἕτως ἔχει, ἡμέρας ἐνστάσης ὁ μὲν Ζεὺς θεῶν ἀγορὰν ἐποιεῖτο, οἱ δὲ Ἀχαιοὶ δεῖπνον εἵλαντο. A.

καλῶς μετὰ θεὸς εἰς Ἕλληνας μέτεισι. δυσὶ δὲ τροφαῖς ἐχρῶντο, ὧν ἡ μὲν δόρπον, τὸ μετὰ τὴν παῦσιν τῶν δυοῖν ἀρίστων διδόμενον, ἡ δὲ δεῖπνον καὶ ἄριστον. V.

δεῖπνον λέγει καὶ τὸ ἐξ ἑωθινοῦ ἀκράτισμα, ὡς νῦν ἐν τοῖς προκειμένοις, καὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ἄριστον, ὡς ἐν τῷ „ἦμος δὲ δρυτόμος μὲν ὠπλίσατο δεῖπνον (Il. 11, 86). καὶ πάλιν ἄριστον τὸ ἀκράτισμα· „ἐντύναντο ἄριστον" (Il. 24, 124). B.

54. ῥίμφα: ταχέως καὶ ἐλαφρῶς. V.

ἀπὸ δ' αὐτοῦ θωρήσσοντο: ἐξωπλίζοντο καὶ ἀνελάμβανον τὰ ὅπλα, ὅπερ ἀγνοήσαντές τινες γράφουσι τοὶ δ' αὐτόθι θωρήσσοντο. A.

ὃν ἔχειν ὑπερβατόν, ὡς τινες, ἀπεθωρήσσοντο δὲ αὐτῶν, ἀλλὰ φησιν ἀπὸ τοῦ δείπνου ἐθωρήσσοντο. καὶ ἔστι πεζοτέρα ἡ φράσις, καὶ διὰ τοῦτο λανθάνει τὸ νόημα. B.

55. Ἀρίσταρχος διὰ τοῦ ὃ ὁπλίζοντο. A.

56. παυρότεροι: ἡ διπλῆ, ὅτι ἐλάσσους ἀεὶ τοὺς Τρῶας σὺν τοῖς ἐπικούροις λέγει. ἡ δὲ ἀναφορὰ πρὸς ἐκεῖνα τὰ ἀθετούμενα „πολλάων ἐκ πολίων ἐγχεσπάλοι ἄνδρες" (Il. 2, 131) καὶ πρὸς Ζηνόδοτον γραφοντα (562) „μυρία δ' ἐν πεδίῳ." A.

Πορφυρίω. καὶ πῶς φησὶ „πολλέων ἐκ πολίων;" νῦν ἐν τοῖς ἰθαγενεῖς φησὶ· διὸ καὶ τὸ „πρό τε παίδων καὶ πρὸ γυναικῶν." ἢ ἑαυτῶν ἦττας γενόμενοι διὰ τὸν θάνατον. ἀναγκαίως δὲ καὶ τὸ μέμασαν ἐπιφέρει, ἵνα μὴ νομίσωμεν αὐτοὺς ἐπτηχότας ἐξιέναι διὰ τὴν προγενομένην ἧτταν. BL.

57. χρειοῖ: ὡς Λητοῖ· ἢ γὰρ εὐθεῖα „χρειὼ ἐμεῖο γένηται" (Il. 1, 341). A.

58. πᾶσαι δ' ὠΐγνυντο πύλαι: ἡ διπλῆ, ὅτι μία ἐστὶν ἱππήλατος πύλη, καὶ πληθυντικῶς εἶπε πύλαι. τὸ δὲ πᾶσαι ἀντὶ τοῦ ὅλαι, ὡς „θριξὶ δὲ πάντα νέκυν κατείνυεν" (Il. 23, 135). AV.

ἃ λέγει περὶ τῶν ἐν Ἰλίῳ πυλῶν μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐν τῷ ναυσάθμῳ τῶν Ἑλλήνων, ὅδε λαὸν τὸν Τρωϊκὸν μόνον, ἀλλὰ καὶ τὸν Ἑλληνικόν· τούτῳ γὰρ ἀκόλουθον καὶ τὸ „οἱ δ' ὅτε δὴ ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο." εἶτα ἐπάγει ὅτι συνέβαλλον παντάπασι τὰς ἀσπίδας ταῖς ἀσπίσι, τὰ ἔγχη τοῖς ἔγχεσι, τὰς δυνάμεις ταῖς δυνάμεσι. καὶ ἀναλαμβάνει αὐτά „ἀσπίδες ὀμφαλόεσσαι ἔπληντ' ἀλλήλῃσιν·" ἔφανον γὰρ ἀλλήλων, τουτέστιν αἱ μὲν τῶν Τρώων ταῖς τῶν Ἑλλήνων. B.

62. ἡ διπλῆ, ὅτι ταὐτὸν ἐξ ἐπαναλήψεως εἶπεν· προειπὼν γὰρ ῥινούς, ἐπενήνοχεν „ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι," ἐξ ἀμφοτέρων ταὐτὰ σημαίνων. A.

ἐξ ἐπαναλήψεως αἱ ἀσπίδες· καὶ γὰρ καὶ ῥινοὺς τὰς αὐτάς φησι. τὸ δὲ ἔπληντο πρὸς φαντασίαν τῶν ῥηθησομένων· ὅμοιον δέ ἐστι τῷ, „ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε" (Il. 13, 131). πρὸ δὲ τοῦ κατὰ μέρος ἐξαίρει τὸν τῶν ἀκροατῶν νοῦν. BL.

65. ῥέε δ' αἵματι γαῖα: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἐῤῥεῖτο ἡ γῆ, καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A.

66. ἡ διπλῆ, ὅτι νῦν τὴν πρὸ μεσημβρίας ὥραν ἠῶ λέγει. A.

τὴν μέχρι μεσημβρίας λέγει αὔξησιν, ὡς σφαιροειδῶς τῷ ἀρανῷ προσαναβαίνοντος τοῦ ἡλίου. ἱερὸν δὲ διὰ τὸ ἐν τούτῳ τοῖς θεοῖς θύειν· τὸ γὰρ μεσημβρινὸν τοῖς κατοικουμένοις ἐνέμετο. πρὸς πίστιν δὲ καὶ τὸν καιρὸν ἔλαβεν (ὡς παρατυγχάνων V). ὡς δὲ σημαίνει τὸν ὄρθρον, καὶ τὴν ἕως ἕκτης, καὶ τὴν ἡμέραν. εἰς τρία δὲ διαιρεῖ τὴν ὅλην περίοδον τῆς ἡμέρας· „ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ" (Il. 21, 211). BLV.

ἀέξετο: αὔξησιν ἐλάμβανεν ἡ ἡμέρα, ὅ ἐστιν ἕως οὗ ὑψοῦτο ὁ ἥλιος ὁ τὴν ἡμέραν ποιῶν. AD.

68. ἡ διπλῆ, ὅτι ἐδέποτε ἐν Ὀλύμπῳ τὸν ἥλιον, ἀλλ' ἐν ἀρανῷ· ἐκ ἄρα ὁ αὐτὸς τῷ ἀρανῷ. τὸ δ' ἀμφιβεβήκει γράφει καὶ σὺν τῷ ν, ἀμφιβεβήκειν. A.

γινώσκει καὶ μεσοῦρανημα, ὃ καὶ νῦν δηλοῖ· ἔχει δὲ τὸ ἴσον ἀπόσημα ἀνατολῆς τε καὶ δύσεως. δείκνυσι δὲ διὰ τοῦ ἀμφιβεβήκει ὅτι μείζων ὁ ἥλιος τῇ ἀρανῷ· τὸ γὰρ ἀμφιβῆναι μείζονός ἐστι περὶ ἔλαττον, ὡς λέοντες μὲν σκύμνοις περιβαίνουσι κύνες δὲ σκύλαξιν. BL.

69. τάλαντα: τὴν τοῦ Διὸς διάνοιαν. AD.

Πορφυρίω. ποιητικῶς τὸ διαζύμενον ἐπανάγει τῷ ζυγῷ

οἱ Στωϊκοὶ δέ φασιν ὡς ταὐτὸν εἱμαρμένη καὶ Ζεύς. διττὸν δὲ τὸ τῆς Μοίρας ἀπαράβατον, ὡς τὸ δεῖ θνητὸν ὄντα ἀποθανεῖν, ἃ δὲ Ζεὺς κρατεῖ, ὡς ἐπὶ Σαρπηδόνος· τὸ δὲ ταχὺ ἢ βραδύ, ὡς ἐπὶ Ἀχιλλέως, οὗ κρατεῖ Ζεύς. ταῦτα μὲν ἂν λεγόμενα ἔχει φαντασίαν, ὁρώμενα δὲ ἐδέν ἐχι διὰ τὸ σύνηθες. BL.

70. *δύο κῆρες*: μίαν ὑπὲρ ἑκατέρου στρατεύματος· καὶ ὅτι τὰς θανατηφόρους μοίρας λέγει. ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχάς, ἐποίησε τὴν ψυχοστασίαν, ἐν ᾗ ἐστὶν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν. A.

Πορφυρίω. πῶς δύο κῆρας ἐντίθησιν ὁ Ζεὺς ὥσπερ ἀνὰ μίαν ἑκατέρᾳ στρατῷ, ἐν δὲ τοῖς ἑξῆς (73) πλείονς αὐτάς φησιν „αἱ μὲν Ἀχαιῶν κῆρες;" ὅτι αἱ δύο καὶ πολλαὶ ἂν εἶεν· λέγομεν γοῦν διττὰ πράγματα. πλειόνων δὲ ἔμφασιν διδόντος τῷ ὀνόματος, εἰκότως ἐν τῇ μεταλήψει πλέονας εἶπεν. ἔστι δὲ τὸ χῆμα συνεκδοχικῶν χημάτων ἕν. κὴρ δὲ εἴρηται παρὰ τὸ καίω· διὰ πυρὸς γὰρ ἐθάπτοντο. εἰ δὲ τὴν ψυχὴν δηλοῖ, παρὰ τὸν κηρόν· δίκην γὰρ αὐτοῦ τὰ μαθήματα ἐν ἑαυτῇ ἀπομάττεται (ἐντετυπῶσθαι γὰρ αὐτῇ, καθάπερ ἐν κηρῷ, τὰ πράγματα. V). BLV.

Ἄλλως. Πορφυρίω. πρὸς Αἰσχύλον ψυχοστασίαν γράψαντα· καὶ ὅτι κῆρε ἀκούσαντες οὐκ ἐπὶ τῆς Μοίρας λέγομεν ἀλλ' ἐπὶ τῆς ψυχῆς, ὅτι θηλυκῶς μὲν ἡ κὴρ τὴν μοῖραν δηλοῖ, ἀδετέρως δὲ τὸ κῆρ καὶ περισπωμένως τὴν ψυχήν, ὃ διαιρεῖ εἰς κέαρ. εἰ δὲ ἔλεγε τὴν ψυχήν, οὐκ ἂν ἔφησε δύο κῆρε διὰ τοῦ ε, ἀλλὰ δύο κῆρα διὰ τοῦ α. καὶ αὐτὸς δὲ ἐξηγήσατο τίς ἡ κήρ, εἰπὼν „ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν·" ἀντὶ γὰρ τοῦ φάναι ῥέπε δὲ ἡ κὴρ τῶν Ἀχαιῶν, μεταλαβὼν ἔφη „ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν·" ἡ κὴρ δὲ εἴληπται οὐχ ἑνὸς τῶν Ἑλλήνων μία ἀλλὰ πάντων, οὐδὲ Τρώων ἑνὸς μία ἀλλὰ πάντων, διὸ καὶ ἐπάγει „αἱ μὲν Ἀχαιῶν κῆρες." ὡς ἡ ἵππος τῶν πολεμίων σημαίνει τὸ πλῆθος, οὕτως ἡ κὴρ τῶν Ἑλλήνων αἱ κῆρες ἦσαν. καὶ τὸ ἐπὶ χθονὶ ἕζεσθαι τὸ πρὸς γῆν ῥέψαι δηλοῖ, τὸ δ' ἐς οὐρανὸν ἀρθῆναι τὸ ὑπερτέραν γενέσθαι. συμβολικῶς δὲ λαμβάνει τὰ μὲν ῥέποντα πρὸς τὰ χθόνια θανατικά, τὰ δὲ πρὸς τὸν ἀέρα ζωτικά· ζωηφόρα γὰρ τὰ οὐράνια, θανατηφόρα δὲ τὰ χθόνια. ὅπερ ἀγνοήσαντές τινες ἀθετοῦσιν τὰ ἔπη ἐν οἷς φησὶν „αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ ἕζόσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν," νομίσαντες ὅτι τὸ ἑζόσθην δυϊκόν ἐστιν, ὡς ἀποδεξαμένων τινῶν ὅτι ἀνὰ δύο τίθησι κῆρας εἰς τὸν ζυγόν. οὐ σημαίνει δὲ τὸ ἑζέσθην, ἀλλ' ἀντὶ τοῦ ἔζοντο, ὡς „μιάνθην αἵματι μηροί" (Il. 4, 146)· ἀντὶ γὰρ τοῦ ἐμιάνθησαν ἐπὶ πληθυντικῶς κεῖται· εἰ γὰρ ἦν ἐπὶ δυϊκῶ, ἔφη ἂν μιανθήτην ὡς κλινθήτην καὶ ἡθήτην. ἑζέσθην ἂν ἀντὶ τοῦ ἔζεσθον, ὅπερ ἀντὶ τοῦ ἐζέσθησαν, ὡς τὸ ἐκόσμηθεν ἀντὶ τοῦ ἐκοσμήθησαν. B.

72. *αἴσιμον ἦμαρ*: ἐκ ἄρα, φησίν, ἐχαρίσατο τῇ Θέτιδι, εἰ μοιρίδιον ἦν. φαμὲν δὲ ὅτι εἰς ἐπίτασιν τῆς Μοίρας καὶ αὐτὸς ὁπλίζεται κατ' αὐτῶν· ὅπερ ἦν χάριτος. BLV.

73. 74. *ἀθετεῖν*, ὅτι ὑπὲρ ἑκάστου στρατεύματος κῆρα ζυγοστατεῖ ὁ Ζεύς, ἡ πλείας, ὡς ἐπὶ Ἀχιλλέως καὶ Ἕκτορος (Il. 22, 210)· ὁ δὲ διασκευαστὴς ἐξέλαβε πολλάς. εἰ δέ τις δύο ὑπὲρ ἑκατέρου ἕσασθαι φήσει, ῥυόμενος τὴν σύγχυσιν τῶν δυϊκῶν σχήματος, ἄλογον· πρὸς τί γὰρ δύο, ἀλλ' ἢ μία; A.

73. *αἱ μὲν Ἀχαιῶν κῆρες*: ὁμοιόν ἐστι τῷ „δύω δέ τε θύραι εἰσίν, αἱ μὲν πρὸς Βορέαο καταιβατὰ ἀνθρώποισιν" (Od. 13, 109), οἷον δύο μὲν τὰ μέρη, ἀρκτικὸν καὶ μεσημβρινόν, καὶ δύο θυρῶν ἔξοδοι, εἰς δὲ τὸ κατὰ μέρος πλείονες αἱ κῆρες. ἀπὸ μὲν ἓν τῶν ζυγῶν τὸ μέγεθος τῶν ταλαντεύοντος δηλοῖ· ἐπειδὴ δὲ τὰ ἐπίγεια θνητά, τὰ μὲν δυσχῆ πλησιάζει τῇ γῇ, τὰ δὲ εὐτυχῆ μετεώρῳ τῇ πλάσιγγι ἔπεσε. τὸ δὲ ἑζέσθην ἀντὶ τοῦ ἔζεσθεν ὡς ἄερθεν· ὅμοιον δέ ἐστι τῷ „μιάνθην αἵματι μηροί" ἀντὶ τοῦ ἐμιάνθησαν. BL.

74. ἐν ἐνίοις διὰ τοῦ ε ἔζεσθεν. A.

75. *δαιόμενον*: πῶς ἔφη τὸν κεραυνὸν σέλας δαιόμενον; σέλας μὲν γὰρ ἡ φωτὸς ἔλλαμψις· καυθεῖσα δὲ καὶ ἐκπυρωθεῖσα κεραυνὸς γίνεται, καὶ οὐκ ἀσραπὴ μόνον. B.

τὸ σέλας δηλοῖ τὴν ἔλλαμψιν· βεβλόμενος οὖν εἰπεῖν ὡς οὐκ ἦν ἀσραπὴ τὸ γενόμενον ἀλλὰ κεραυνὸς μετὰ τὴν βροντήν, προσέθηκε τὸ *δαιόμενον*· ἡ γὰρ πρὸ βροντῆς ἀσραπὴ οὐ κεραυνός· μετὰ γὰρ τὴν βροντὴν ὁ κεραυνός, ὃς ἐστι καυστικός. A.

77. *καὶ πάντας*: δαιμονίαν ὑποφαίνει τῶν Ἀχαιῶν τὴν φυγήν, αὔξων αὐτούς· ἑτέρᾳ γὰρ ὑποχωρῆντος καὶ οἱ λοιποὶ τοῦτο ποιοῦσι. δόξαν γὰρ ἔχουσι περὶ αὐτῶν ὡς ἀδεῖς ἐστι φυγοπόλεμος, ἀλλ' ἕνα θυμὸν ἔχουσιν. ὅταν οὖν ἴδωσι τοὺς ἀρίστους ὑποχωροῦντας, οὐκ ἐξ ἀναλκίας ὑποπτεύουσι φεύγειν, ἀλλὰ θεομηνίαν νοοῦσιν εἶναι· ὃ γέγονε καὶ νῦν. BLV.

εἶλεν: ἐν ἄλλῳ ἦρει. A.

78. *ἔνθ' ἅτ' Ἰδομενεὺς*: ὡς φιλέλλην παρατρέχει τὰ δυχερῆ, ἐπ' ὀλίγα πρόσωπα τὴν ἧττων φέρων. καὶ ἡ ἐκλογὴ δὲ τῶν ὀνομάτων θεραπεύοντός ἐστι τὴν φυγήν· ἃ γὰρ εἶπεν ἔφυγον, ἀλλὰ περιπετείᾳ τινὶ περιέπεσον. ἐκφαίνει δὲ ὅτι βεβλόμενοι κακοῖς ἀγωνίζεσθαι ὑπὸ τοῦ Διὸς ἐπηρεάζονται. BLV.

80. *οὖρος*: εὐθύντωρ ἢ φύλαξ. V. μεταφορικῶς ὁ ἄνεμος· δι' αὐτοῦ γὰρ ἰθύνεται τὰ πράγματα, καὶ εἰ οὗτος ἀπολεῖται, συναπόλλυσι σχεδὸν τὸ πᾶν. ἐκ εἰσάγει δὲ αὐτὸν ἀναιρῶντα διὰ τὸ ἀπίθανον· ἀλλ' οὐδὲ πάσχοντά τε διὰ τὴν ἐξαίρετον φυλακὴν περὶ αὐτόν. ἐ τυχόντα δὲ διὰ τέτε ἐκίνησεν ἡμῖν ἀγῶνα. ἐπεὶ δὲ ἄπιστον ἦν τοσούτων νέων φευγόντων μόνον μεῖναι τὸν γέροντα, ὥσπερ ἐν ἀπολογίας μέρει ἐπιφέρει τὸ οὔτι ἑκών. BLV.

81. *ἐτείρετο*: ἔν τισι τῶν ὑπομνημάτων ἐδάμνατο. A.

82. *δῖος Ἀλέξανδρος*: ἢ πόρρωθεν πολεμεῖ, ἢ ἐκ ἄνδρα τοξεύει, ἀλλ' ἵππον γέροντος βάλλει, ἢ συμπλέκεται αὐτῷ πάντων Ἑλλήνων φευγόντων. BL.

83. *πρῶται*: ἀντὶ τοῦ ἄκραι. BL. Θερμὸς δὲ ὁ περὶ τὴν μήνιγγα τόπος· διὸ προφύει τρίχας. V. λέγει τὸ κα-

λόμενον προκόμιον. D. Θανάσιμος δέ ἐξιν ὁ τόπος διὰ τὸ τὸν ἐγκέφαλον πλησιάζειν ταῖς μήνιγξιν. BL.

84. καίριόν ἐξι: εὔκαιρον πρὸς θάνατόν ἐξι τοῖς ἵπποις τὸ μέρος τῦτο, ὅ ἐξιν ἐπικίνδυνον. AD.

85. βέλος δ': ὅτι ὁ δέ ἀντὶ τῦ γάρ· βέλος γάρ. A.

86. περὶ χαλκῷ: περὶ τῷ σιδήρῳ τῶν ἐπισώτρων, ὅ ἐξι τῶν κανθῶν. D.

87. ὄφρ' ὁ γέρων: οἴκτε χάριν τὸ γέρων τίθησιν. ἐν ἀγωνίᾳ δὲ καθιζὰς τὸν ἀκροατήν, καὶ τὸν δεινὸν Ἕκτορα αὐτῷ ἐπάγει. διὰ δὲ τῦ ἀπέτεμνε τὸ νωθρὸν τῦ γήρως ἐδήλωσεν. BL.

Πορφυρίε. δεινός ἐστιν Ὅμηρος καὶ διὰ μιᾶς λέξεως ὅλον τὸν ἄνδρα σημαίνειν· διὰ γὰ τῦ ἀπέταμνε τὴν ἀσθένειαν τῦ γέροντος δηλοῖ καὶ ἐντεῦθεν τὸ βραδὺ τῆς ἐνεργείας. προσηκόντως ἓν ἐπὶ τῦ πρεσβύτε ἐχρήσατο τῷ παρατατικῷ χρόνῳ, εἰπὼν τὸ ἄϊσσον, ἐπὶ δὲ τῦ νέε Αὐτομέδοντος (Il. 16, 474) τῷ συντελικῷ, εἰπὼν ἄϊξε καὶ ἀπέκοψε, συντόμως τὸ πρᾶγμα δηλῶν. ABD.

παρηορίας: τὰς ἔξωθεν παρατεταμένας τῶν ἵππων ἡνίας, τὰς λώρας. B. τὰς τῦ παρηόρε ἵππου ἡνίας, τὰς παραζεύξεις, ὅ ἐξι τὰς ἔξωθεν παρατεταμένας ἱμάντας. ADL.

89. ἀν' ἰωχμόν: παρὰ τὴν συμβολήν. V.

ἡνίοχον: ἡ διπλῆ, ὅτι τὸν παραιβάτην Ἕκτορα ἡνίοχον εἶπεν. A.

91. ὀξύ: ὀξέως. ὄνομα ἔλαβεν ἀντὶ ἐπιῤῥήματος. D.

Διομήδης: εἰκότως Διομήδης τὸν πρεσβύτην κινδυνεύοντα ὁρᾷ ὡς ἀναχωρῶν ἔχατος· θελήσας γὰρ μονομαχῆσαι, ἀποσφαλεὶς δὲ τῷ κλήρῳ, νῦν καὶ τῦ καιροῦ μὴ συγχωρῆντος πειρᾶται πολεμεῖν. βοηθεῖ δὲ Νέςορι διὰ τὸ χαρίεν αὐτῦ τῶν ἠθῶν (διὰ τὸ τῶν ἠθῶν παραπλήσιον V). BLV. καὶ ἐν τῇ νυκτεγερσίᾳ ἓν δυχεραίνει κάμνοντα ὁρῶν παρ' ἡλικίαν τὸν Νέςορα, καί φησι „χέτλιός|ἐσσι γεραιέ" (Il. 10, 164). καὶ ἐπὶ τὴν κατασκοπὴν ἐξιὼν παρὰ Θρασυμήδες ὅπλα λαμβάνει· „Τυδείδῃ μὲν δῶκε (ib. 255). καὶ ὁ Νέςωρ φησὶ πρὸς αὐτὸν „Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ." V.

εἰκότως Διομήδης αὐτὸν σώζει· ἐραςὴς γὰ συνέσεως. V.

92. ἐποτρύνων Ὀδυσῆα: ἐν χήματι ἐδήλωσεν ὡς καὶ Ὀδυσσεὺς ἔφυγεν, ἄνω μὴ μνηθεὶς αὐτῦ. ἀεὶ δὲ ἀσφαλὴς Διομήδης, καὶ μόνος ἀδαμῆ θέλει πορεύεθ. BL. καὶ ἐν τῇ κατασκοπῇ „σύν τε δύ' ἐρχομένω" (Il. 10, 224). Ὀδυσσέα τε καλεῖ ὡς φίλον καὶ ἑταῖρον Νέςορος. Νέςωρ γὰρ φησὶν „ἔνθ' ἤτοι μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς ἔ τέ ποτ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν" (Od. 3, 126). V.

93. πολυμήχαν' Ὀδυσσεῦ: πρὸς ἐπιςροφὴν τὸ ἐπίθετον τέθειθ· δεῖ γὰ τὸν ςρατιώτην τοιῦτον εἶναι. γεωργὸς μὲν γὰ ἀπὸ τῦ καλῶς ἐν πόᾳ τὴν ἅρπην καὶ τὰ ἄλλα τῆς γεωργίας ὅπλα κινεῖν γινώσκεθ, κυβερνήτης δὲ ἀπὸ τῦ πόδα νηὸς ἰθύνειν καλῶς, τέκτων ἀπὸ τῆς εὐθεσίας τῶν λίθων καὶ τῆς εὐπριςίας τῶν ξύλων καὶ τῆς κλίνης καὶ τοῦ δουρείου ἵππου, ναυπηγὸς ἀπὸ τῆς σχεδίας, κυνηγὸς ἀπὸ τῆς κυνηγεσίας καὶ τῆς ὀρεσινομίας, μάντις ἀπὸ τῶν ἐκβάσεων, μάγειρος ἀπὸ τῦ ὡς δεῖ ὀπτᾶν καὶ δαιτρεύειν, ἰατρὸς ἀπὸ τῦ νόσες γινώσκειν καὶ τάμνειν ἰᾶς, μεσικὸς καὶ ἀοιδὸς ἐξ ᾠδῶν κάλλες καὶ μύθων, πύκτης καὶ παλαιςὴς ἐξ εὐςροφίας καὶ χειρῶν συμπλοκῆς, τοξότης ἀπὸ διασκέψεως ἀρίςης, ἀκοντιςὴς ἀπὸ τῦ εὖ πάλλειν τὸ δόρυ, ῥήτωρ ἀπὸ πιθανότητος, ςρατηγὸς ἀπὸ φρονήσεως καὶ ἀνδρείας, ςρατιώτης ἀπὸ πολυμηχανίας καὶ πολυπειρίας. ABL.

ἔξι δὲ γεωργὸς μέν· „ἐν ποίῃ δρέπανον μέν" (Od. 16, 368). β. κυβερνήτης· „αἰεὶ γὰ πόδα νηός" (Od. 10, 32). γ. τέκτων ἀπὸ τῆς κλίνης (Od. 23, 189). δ. ναυπηγὸς ἀπὸ τῆς σχεδίας (Od. 5, 243). ε. κυνηγὸς ἀπὸ τῦ Παρνασσοῦ (Od. 19, 430). ς. μάντις· „φήμην τίς μοι φάθω" (Od. 20, 100). ζ. μάγειρος· „δαιτρεῦσαί τε καὶ ὀπτῆσαι" (Od. 15, 323). η. ἰατρός· „ὄφρα οἱ εἴη ἰοὺς χρίεθ" (Od. 1, 262). θ. μεσικός· „μῦθον ὥς' ἀοιδός" (Od. 11, 368). ι. πύκτης· „πὺξ μὲν ἐνίκησα Κλυτομήδεα" (Il. 23, 634). ια. παλαιςής· „Ἄγκαῖον δὲ πάλῃ Πλευρώνιον" (ib. 635). ιβ. δισκευτὴς παρὰ Φαίαξιν (Od. 8, 186). ιγ. τοξότης· „εὖ μὲν τόξον οἶδα" (ib. 215). ιδ. ἀκοντιςής· „δουρὶ δ' ἀκοντίζω" (ib. 229). ιε. ῥήτωρ· „καὶ ἔπεα νιφάδεσσιν ἐοικότα" (Il. 3, 222). ις. ἀςρολόγος· „Πληϊάδας θ' ὁρόωντι" (Od. 5, 272). AV.

94. μετὰ νῶτα βαλών, κακὸς ὥς, ἐν ὁμίλῳ: βραχὺ διαςαλτέον ἐπὶ τὸ βαλών· καὶ ὡς χαριζόμενος γὰ σαφέςτερον ποιεῖ τὸν λόγον. ἀμφίβολον δέ ἐξι καὶ ἔτως τὸ λεγόμενον· ἤτοι γὰ ὡς δειλὸς ἐν πλήθει φεύγεις, οἷον μετὰ ταραχῆς, ἢ ὡς ἐν ὄχλῳ ἀπαρακαλύπτως· ἢ τὸ ἑξῆς ἐςί, πῇ φεύγεις ἐν ὁμίλῳ, οἷον καὶ σὺ μετὰ τῦ πλήθες ὡς εἷς τῶν πολλῶν. A.

οὐ δειλὸν αὐτὸν καλεῖ, ἀλλὰ δειλῷ ποιῆντα ἔργον. ὀλίγον δὲ διαςαλτέον εἰς τὸ βαλών, ἵν' ᾖ, πῦ φεύγεις μεταβαλὼν τὰ νῶτα, ὡς οἱ δειλοὶ ἐν ὁμίλῳ καὶ θορύβῳ; ἢ πῇ φεύγεις ἐν ὁμίλῳ ὡς κακός, ἵν' ᾖ εἰς τὸ κακὸς ὥς ἢ ςιγμή, τὸ δὲ ἐν ὁμίλῳ τῷ ἑξῆς συναπτέον. ἀπὸ δὲ τῦ εὐπρεπῦς καὶ συμφέροντος ἀναςέλλει τὴν φυγήν. αἰσχρότερον δὲ καὶ τὸ πῆξαι τῦ ἀκοντίσαι. BL.

περικέκοπται ὁ λόγος, τὸν ἀγωνιῶντα ὑποφαίνων. V.

95. τινὲς διαςέλλσιν ἐπὶ τὸ φεύγοντι. κἂν συνάπτωμεν δὲ ὅλον τὸν ςίχον· ἴσμεν γὰρ ὅτι οὐ τὸ μετάφρενον φεύγει. A.

97. οὐδ' ἐσάκουσε: ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, πότερον ἐκ ἀντελάβετο καθόλε τῆς φωνῆς διὰ τὸν θόρυβον, ἢ ἀκέσας παρεπέμψατο· ὅπερ δέχεθ ὁ Ἀρίςαρχος. A.

ἄλλως. ἐκ ἤκεσεν. ἐζήτηθ δὲ πότερον ἄρα ἐδ' ὅλως ἤκεσεν ὁ Ὀδυσσεύς, ἢ ἐκ ἐπείθη. ῥητέον ὅτι οἱ λέγοντες ὅτι ἀκούσας οὐκ ἐπείθη δειλίαν τῷ ἥρως κατηγοροῦσιν ἀγνοῦντες τὸ „οὐδ' ἐσάκεσεν." ἐ γὰ τὸ παρακῦσαι, ἀλλὰ τὸ μὴ αἰθέαθ τελείως δηλοῖ· καὶ γὰ ἐκ ἦν δειλὸς τῶν ἄλλων ἕχατος φεύγων καὶ τῇ βραδυτῆτι τὸ φιλοκίνδυνον ἐπιδεικνύμενος. AD.

ἐκ ἤθετο ὑπὸ τῆ θορύβῳ, ἢ ἐκ ἐπείθη διὰ τὸν καιρόν· φεύγει γὼ σὺν Αἴαντι καὶ θεομαχεῖν ἐκ ἐθέλει· ἐν γὼ δαιμονίοις φόβοις φεύγουσι καὶ παῖδες θεῶν. πῶς γὰρ δειλὸς ὁ μετὰ πάντας φεύγων; οὐ γὼ ἂν Διομήδης τοῦτον μόνον ἐκάλει. BLV. δειλὸν δὲ αὐτόν φασι καὶ ἀπὸ τῆ ἕκατον ἀναςῆναι (Il. 7, 168) καὶ Δόλωνα ἰδεῖν (Il. 10, 340) καὶ Ῥῆσον μὴ φονεῦσαι καὶ τὴν μάςιγα μὴ ἐλέᾳ (ib. 498. 500α). V.

99. αὐτός: ἢ διπλῆ, ὅτι ἐν ἴσῳ τῷ μόνος. A.

101. ἔπεα πτερόεντα προσηύδα: τὰ μὲν πράγματα τάχιςα γέγονεν, ἡ δὲ τῶν λόγων χολὴ ποιητική. BL.

103. λέλυται: πέπηγε γὼ ἐν τῇ νεότητι, τέλος δὲ λύσεως θάνατος. B.

ὀπάζει: ἔτως Ἀρίςαρχος· ὀπάζει· ὁ δὲ Ἴξιον ἐπείγει. ἐν ἄλλῳ ἱκάνει. A.

104. ἠπεδανὸς: ἀςθενής, ἢ ἄτεχνος, οἱονεὶ ἀπεδανός, ὁ μὴ δυνάμενος δι' ὑπερβολὴν ἀςθενείας ἐν τῷ πέδῳ (ὃ ἔςιν ἐδάφει) εῆναι. ἔμπεδος γὼ λέγεται ὁ ἐν τῷ πέδῳ δι' ἰςχὺν ἑςώς. AD.

ὑπογράφων δὲ ἄνω τὸ ἀθενὲς τῆ γέροντος, οὐδὲν περὶ τῆ ἰδίᾳ ςθένους ἀνθυπήγαγεν, ἀλλ' ἐλπίδα αὐτῷ ὑπογράφει σωτηρίας διὰ τῆ τάχους. εἰκότως δὲ ὅλα συνήγαγε τὰ κακά, ὅπως πείςῃ τῷ ἰδίῳ ἐπιβῆναι ἅρματι τὸν εἰπόντα „ὃς δέ κ' ἀνὴρ ἀπὸ ὧν ὑχέων" (Il. 4, 304). εὖ δὲ τὸ μὴ τὸν Νέςορα ταῦτα προβαλέῃ εἰς τὸ τυχεῖν βοηθείας. ἐγκώμιον δὲ Νέςορος ἔχει ὁ λόγος, ὃς οὐδὲ τῷ γήραϊ δὴ τρυχόμενος ἀμελεῖ. BL.

106. ἡ διπλῆ, ὅτι ἔλλειπει ἡ διά. A.

βραχὺ διαςαλτέον ἐπὶ τὸ ἵπποι· μᾶλλον γὼ ἐμφαίνει τὴν τῆ εἰςὶν ἔλλειψιν. καὶ ἄλλως συναπτόμενον ἀκατάλληλόν ἐςι τὸ ἐπιςάμενοι. ἐ μὴν ἡ διά πρόθεσις ἐνταῦθα λείπει, ἵν' ᾖ διὰ πεδίε, ἀλλὰ τὸ ἐξῆς ἐςὶν ἔνθα καὶ ἔνθα πεδίου. τοιῦτο καὶ τὸ „πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα ἴθυσε μάχη πεδίοιο" (Il. 6, 2). A.

ἐπιςάμενοι: ἀντὶ τῆ δυνάμενοι· „ἐπίςατο πῆλαι Ἀχιλλεύς" (Il. 16, 142). LV.

107. ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ φεύγειν ἀεὶ τὸ φέβεσθαι παρ' αὐτῷ, καὶ ὅτι ἐντεῦθεν τὸ „φόβον Ἄρηος φορεούσας" (Il. 2, 767). A. τὰς δίχα ταράχε πάντῃ δεόντως δυναμένας φέρειν τὰς ἐπιβάτας. V.

108. ἀθετεῖ, ὅτι ἄτοπον προσιθέναι τὴν ἱςορίαν τῷ εἰδότι, καὶ ὁ καιρὸς δεῖ συντομίας· καὶ ὅτι τὸ ποτὲ χρονικὴν ἔχει ἔμφασιν, τῆς ἀφαιρέσεως γεγονυίας τῇ πρὸ ταύτης ἡμέρᾳ. A.

ἠθικῶς τὸν χθὲς ἀνάγει χρόνον, ὡς καὶ ἐν Ὀδυσσείᾳ Φιλοίτιος „τῶτό σοι ἀντὶ ποδὸς ξεινήϊον, ὃν ποτ' ἔδωκας ἀντιθέῳ Ὀδυσῆϊ" (Od. 22, 290). ἅμα δὲ καὶ θαρσαλεώτερον ποιεῖ τὸν γέροντα ἡ τῆ Αἰνείε ἧττα. BL. τὸ δὲ μήςωρε τινὲς μήςωρα ἐπὶ τῆ Αἰνεία διὰ τὸ αὐξητικόν. V.

109. Ἀρίςαρχος κομείτων.*) A.

ἡ διπλῆ, ὅτι τετήρηται παρ' αὐτῷ καθαρῶς τὰ δυϊκά, καὶ νῦν ὡς ἐπὶ δύο ἵππων διαλέγεται. A.

τώδε: παροξύνεθ τὸ τώδε παραλόγως· ἀληθὲς γὼ ὡς ὅτι τὰ διὰ τῆ δὲ ἐπεκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶθ. ὅπερ ὤφειλε καὶ τῆ τώδε δὲ νῶϊ εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τάτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ ζ, ὅπου περὶ τοῦ ἰᾷ διαλαμβάνει. A.

111. καὶ ἐμόν: ἐμόν φησι δὶ Ἀχιλλέα, ἢ μᾶλλον Αἴαντα τὸν μονομαχήσαντα αὐτῷ ὑπογυίως. BL. ὁ δὲ ἢ ἀντὶ τῆ εἰ συναπτικῆ, ὡς τὸ „ἢ κεν ζωὸς ἀμενηνός" (Il. 5, 887). ἢ ἀντὶ τῆ ὡς, καὶ δασύνεθ, ὡς τὸ „ἡ θέμις ἐςὶν ἀναξ" (Il. 9, 276). V.

112. οὐδ' ἀπίθησε: τῷ καιρῷ πειθόμενος πάντα σιωπῇ πράσσει. V.

113. Νεςορέας: πῶς ἐν τῷ ἐπιταφίῳ ἀγῶνι τὸς ἵππος φησὶν ἄρσενας „ἀλλά τοι ἵπποι βάρδιοι θείειν" (Il. 23, 310); καὶ πρὸς τὸς ἵππος Ἀντίλοχος „μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ Αἴθη θῆλυς ἐοῦσα" (ib. 408). ὅτι δὲ τοῖς τοῦ πατρὸς ἵπποις Ἀντίλοχος ἐχρῆτο, μαρτυρεῖ τὸ „οὐ σφᾶϊ κομιδὴ παρὰ Νέςορι." ἀδιαφόρως ἐν ἵππος καὶ θηλυκῶς καὶ ἀρσενικῶς φησίν. τὸ δὲ κομείτην Ἀρίςαρχος μὲν κομείτων, Ζηνόδοτος δὲ κομείτην. V.

114. Σθένελός τε καὶ Εὐρυμέδων: ἐν χήματι ἐδήλωσε τὸ δοκεῖν παραλελεῖφθαι· οὐ γὼ εἴρηκεν ἀνωτέρω ποῖοι ἦσαν οἱ θεράποντες. φασὶ δὲ τὸν Σθένελον ἀπὸ τῆ τείχος κατενεχθέντα πηρωθῆναι τὸ σκέλος· διὰ τῆτο ἐ πολεμεῖ, ἀλλ' ἡνιοχεῖ Διομήδει. BL.

Εὐρυμέδων: ἡ διπλῆ, ὅτι ὁμώνυμος ἦτος τῷ Ἀγαμέμνονος ἡνιόχῳ (Il. 4, 228). A.

115. τὼ δ' εἰς ἀμφοτέρω: οἰκονομικῶς ἐπὶ τὸ ἅρμα Διομήδες ἀναβιβάζει τὸν Νέςορα, ἵνα πειωθῇ φυγεῖν καὶ εἴξαι ταῖς τοῦ Νέςορος παραινέσεσι· Σθενέλῳ γὼ οὐκ ἂν ἐπείθη, ὅπου γε μηδὲ ἐν τοῖς ἀνωτέρω, ἀναβῆναι ἐπὶ τὸ ἅρμα παραινῶντι. AL.

ἔδει εἰπεῖν Διομήδης δὲ ἅμα Νέςορι εἰς τὸ ἴδιον ἔβη ἅρμα. ὡς ἑτέρε τινὸς ὄντος τῆ Διομήδες φησίν. V.

116. ἡνία: τὰ ἡνία αὐτῶν ἐξ ἀςραγαλίσκων ἐλεφαντίνων ἦσαν· ὅθεν καὶ τὸ „ἡνία λευκὰ ἐλέφαντι" (Il. 5, 583). σημειωτέον δὲ ὅτι οἱ πρώην βασιλεῖς καὶ πολεμικαὶ καὶ ἡνίοχοι ἐτύγχανον. BL.

φοινικόεντα: ἐν ἄλλῳ σιγαλόεντα. A.

117. Ἕκτορος ἄγχι γένοντο: εἰ τοσῶτον ἀπῆν, διὰ τί μὴ φεύγει; τὸ ὅλον πραγματεύεθ πρὸς τὸ μὴ ἀθρόως καὶ ἄνευ πόνε νικᾶν τὸς Τρῶας, ἀλλὰ τὸς φεύγοντας ἀναχωχὴν λαβεῖν. ἄλλως τε ἢ νικήσειν οἴεθ, ἢ νικώμενος ῥᾳδίως φεύξεσθ. BL.

118. ἰθὺς μεμαῶτος: ἀντικρὺς βελευομένε ὁρμῶν. A.

120. Θηβαίου: οὐ τῷ γένει· κύριον γάρ ἐςιν ὄνομα· ὡς καὶ ἐν Ὀδυσσείᾳ ὁ Αἰγύπτιος. BL.

Ἡνιοπῆα: παρὰ τὰς ἡνίας τῶν ἵππων ἐςὶ τὸ ὄχημα.

*) κομείτων A in textu.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰκὸς δὲ καὶ τῶτον εἰς τῶτο ἀγηοχέναι τὴν Ἀνδρομάχην διὰ τὴν τῶν ἵππων ἐπιμέλειαν. V.

122. ὑπερώησαν: ὥσπερ τὸ ὑπεχώρησαν παρὰ τὴν χώραν, ὕτως τὸ ὑπερώησαν παρὰ τὴν ἔραν. δηλοῖ δὲ καὶ τὴν ὁρμήν, ὡς τὸ „ἐρωήσει περὶ δορί" (Il. 1, 303). ἀναγκαῖον δὲ τῶτο εἰς τὰπίσω φερομένα τῇ ἡνιόχᾳ. BL.

πύκασε: ἐσκέπασε, περιεκάλυψεν, ἀπὸ τῆ πυκάζειν, ὃ ἐξι καλύπτειν. BL. „πυκάσασα ἑαυτήν" (Il. 17, 551). V.

124. ἡ διπλῆ, ὕτι ἐλλείπει ἡ περί, καὶ ὕτι ἀντὶ τῆ Ἕκτορος φρένας. A.

125. περ: οὐκ ἔξιν ἡ περὶ πρόθεσις, ἀλλ' ὁ πέρ σύνδεσμος ἐναντιωματικὸς καὶ ἐγκλιτικός· διὸ τὸ τέλος τῆς μετοχῆς ὀξυτονητέον. A.

ἑταίρου: ὅτι καὶ ἐνθάδε λείπει ἡ περί. A.

126. θρασύν: θρασύς ἐξι καὶ ὁ ἡνίοχος ἀναλόγως αὐτῷ, διὰ τὸ ὁμοψυχεῖν. B.

128. Ἀρχεπτόλεμον: ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἐνθάδε μὲν γράφει Ἐρασιπτόλεμον, ἐν δὲ τοῖς μετὰ ταῦτα εἴασεν Ἀρχεπτόλεμον. A.

130. ἔνθα κε λοιγὸς ἔην: δῆλον ὡς καὶ ἄλλα διαθεμένα Διομήδης. τέως δὲ ἡ τῶν Ἀχαιῶν φυγὴ ἐ μεμένηκεν ἄπρακτος, ἀλλὰ Τρῶες ἀναιρῶνται. BL.

ἔργα γένοντο: ἡ διπλῆ, ὅτι κατὰ τὸ οὐδέτερου τὸ πληθυντικόν, ὡς „σπάρτα λέλυνθ'" (Il. 2, 135). A.

131. σήκασθεν: εἰς σηκὸν κατεκλείσθησαν. σηκὸς δὲ εἴρηται οἱονεὶ σηκός τις ὤν, ἀπὸ τοῦ ἵσασθαι ἐν αὐτῷ τὰ θρέμματα. ἔνθεν καὶ οἱ νεώτεροι τῶν ποιητῶν σηκὸν λέγουσι τὸν ναόν, ἀπὸ τῆ ἵσασθαι ἐν αὐτῷ τὰ ἀγάλματα. ABD.

ὅτι τὸ σήκασθεν αὐτὸς ἐπεξηγεῖται εἰπὼν ἠΰτε ἄρνες. A.

καὶ τὴν Διομήδους ἀρετὴν αὔξει καὶ τὴν τῶν βαρβάρων δειλίαν κωμῳδεῖ, εἴ γε καὶ τῆ Διὸς ἐπαμύνοντος αὐτοῖς καθειρχθῆναι ἐκινδύνευσαν προβάτων τρόπον, καὶ ἐδὲ τούτων τελείων· ἀρνῶν γάρ φησιν. BL. τί δέ ἐξιν ἠΰτε ἄρνες, πρώην εἶπεν· „αἰ μέν τ' ἀγχησῖναι" (Il. 5, 141). V.

ἔν τισι τῶν παλαιῶν φέρονται δύο εἴχοι· „Τρῶες ὑπ' Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον χαλκῷ δηϊόωντα, δάμασσε δέ μιν Διομήδης." V.

133. βραχὺ διασαλτέον ἐπὶ τὸ δεινόν· κεῖται γὰρ ἀντὶ μεσότητος, δεινῶς βροντήσας. ἐπὶ δὲ τῇ κεραυνῇ ἐν ἀρκεῖ ἐπίθετον τὸ ἀργῆτα. A.

134. καὶ δὲ πρόσθ' ἵππων: πεφεισμένως καὶ τοῦτο· ἐκδειματῶν γὰρ μόνον αὐτὸν βέλεται, ἐπεὶ ἐδὲ αὐτὸς μισέλλην ὑπάρχει ὁ Ζεύς. BL.

135. δεινὴ δὲ φλὸξ ὦρτο: δεινὴ γάρ ἐξιν ἡ δυσωδία αὐτῇ, ὅταν προσψαύσῃ ὕλῃ τινί, καὶ πικραίνει τὴν αἴσθησιν. BL.

θείου καιομένοιο: τῇ κεραυνίᾳ πυρός. A.

ὕλλως. θεῖα. προσληπτέον δὲ κεραυνῇ· ὅπου γὰρ ἂν κεραυνὸς πέσῃ, ὡς θεῖον ὄζει ἐν ἐκείνῳ τῷ τόπῳ. AD.

137. ἐκ χειρῶν φύγον ἡνία: εἰ γὰρ παρατηρεῖ τὰς διοσημείας ὁ Νέσωρ ἐν οἷς φησιν „ἀρρίπτων ἐπιδέξι' ἐναίσιμα" (Il. 2, 353), πῶς ἀντιτάξεται αὐταῖς; A. ἢ οὐχ ὑπὸ δέος τὰς ἡνίας εἴασεν, ἀλλ' οἱ ἵπποι καταπτήξαντες ὑπὸ τοῖς ἅρμασι βιαιότερον αὐτὰς ἐπεσπάσαντο. διὰ τῆτό φησι „Νέσορα δ' ἐκ χειρῶν φύγον ἡνία." τὸ δὲ φύγον διὰ τῆ ῡ. V.

Ἀρίσαρχος φύγον, ἄλλοι δὲ φύγεν. ἐν ἄλλῳ δὲ τὸ φοινικόεντα. A.

138. ἐν θυμῷ: κατὰ κρίσιν, ἐκ ἔκπληξιν. V.

139. φόβον δ' ἔχε: ἡ διπλῆ, ὅτι πάλιν φόβον τὴν φυγήν· καὶ ὅτι Ζηνόδοτος γράφει ἄγε νῦϊ φόβον δε, ὃ ἐξιν ἡμεῖς ἢ ἡμᾶς, ὧν ἑδέτερον ἁρμόζει. A.

ἡ εὔκαιρος φυγὴ ἐκ αἰσχύνει. τῶτο δὲ διὰ στρατηγικοῦ προσώπε δηλοῖ, ὡς καὶ ἑτέρωθι διὰ τῆ Ἀγαμέμνονος· „βέλτερον ὃς φεύγων προφύγῃ κακόν" (Il. 14, 81). εἰ γὰρ ἐξτὰ βέλη, φησί, φεύγειν πειρώμεθα παραχηματίζοντες τὸ σῶμα, ἑδὲν αἰσχρὸν οἰόμενοι δρᾶν, πόσῳ μᾶλλον τὸν θάνατον φεύγειν δεῖ; LV.

140. ἐκ Διὸς οὐχ ἕπετ' ἀλκή: ἵνα μὴ τῷ θεῷ ἀντιξῇ, λέγει ὅτι ὁ βοηθῇ, φησί, παρ' αὐτῆ. εὐπρεπῶς δὲ ἐκ εἶπεν ὅτι ἐναντιῆται σοι ὁ θεός· ἐπεκλύοντος γὰρ ὁ λόγος ἦν. BL.

141. 142. νῦν – σήμερον: δηλοῖ διὰ τῆς ἐπαναλήψεως ὅτι πρὸς ὀλίγον ἔξαι αὐτῷ ἡ χαρά· νῦν γάρ φησι, καὶ τὸ σήμερον προστίθησιν, ἵνα μὴ τὸ νῦν ᾖ ἀόριξον. καὶ ἑδὲ τὸν Ἕκτορα φοβερόν, ἀλλὰ τὸν Δία φησίν. καὶ χρησὰς αὐτῷ ὑπογράφει ἐλπίδας, ἵνα μὴ αἰδεσθῇ φυγεῖν ὡς ἂν μὴ δυνάμενος τὴν ἧτταν ἀνακαλέσασθαι. ὁ δεῖ δὲ τὸ ἄδηλον ὁρίζειν, ἀλλὰ μόνον ἀγαθὴν προϊσχέσθαι ἐλπίδα. BLV.

143. εἰρύσσαιτο: λείπει ἡ μετά. τὸ δὲ ὅλον ἕτως· ἀνὴρ δὲ τὸν τῆ Διὸς νῶν, παρ' ὃ θέλει αὐτὸς ὁ Ζεύς, ἐκ ἂν μεθελκύσαι ἑδὲ μεταθείη. BLV.

ὁ λόγος· ἑδεὶς ἀνὴρ τὸν τῆ Διὸς νόον ἐπισπάσαιτο ἢ φυλάξαιτο, ὥστε τὰ συμφέροντα αὐτῷ γενέσθαι. A.

144. πολὺ φέρτερός ἐστιν: ὅτι ἡ ἀνθρωπίνη ἰσχύς, οἷα τε ἂν ᾖ, πρὸς τὴν θείαν ἑδέν ἐξιν. BL.

146. κατὰ μοῖραν ἔειπες: θεοσεβὴς γὰρ ὁ Διομήδης, εἴ γέ φησι „σὺν γὰρ θεῷ εἰλήλεθμεν" (Il. 9, 49). BL.

148. Ἕκτωρ γάρ ποτε φήσει: κἂν τούτοις τὸ φιλότιμον Διομήδες ἐμφαίνει, ὃς μὴ μόνον παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν σπεδάζει ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις. ἄλλως τε καὶ νεωτερικὸν τὸ δόξης μᾶλλον ἢ τῆ ἀσφαλοῦς ἔχεσθαι. ἀμηχανῶν τε καταιχῦναι τὰ πραχθέντα ταῦτά φησιν. BLV.

149. ἡ διπλῆ, ὅτι σαφῶς φοβεύμενος ἀντὶ τοῦ φεύγων. A.

150. ἀπειλήσει: καυχήσεται, κομπάσει. σημαίνει δὲ λέξις πλείονα· ἐπὶ καυχήσεως μέν, ὡς νῦν· ἐπὶ δ' εὐχῆς ὡς ἐν ἐκείνοις „ἠδ' ἠπείλησεν ἄνακτι" (Il. 23, 863)· ἐπὶ δ' ὀργῆς, ὡς ἐν τῷ „ἠπείλει κἀκεῖνος ἐναντίον πολεμίζων ἠδ' ἐλεύσεσθ'" (Il. 15, 179). AD.

τότε μοι χάνοι εὐρεῖα χθών: τότε ἡ γῆ χανῶν εὐρέως δέξαιτό με. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ εὐρεῖα ἀντὶ τῦ εὐρέως. κρείσσων δέ, φησί, θάνατος ψύγω. B.

ὅτι ἐκ ἐν τῷ καθόλυ εὐρεῖαν λέγει, ἀλλ' ἐμοὶ εὐρεῖα ἢ γῆ γένοιτο, ἀντὶ τοῦ εὐρὺ χάσμα ποιήσειεν. A.

152. ὤ μοι: διὰ τῦ ὤ μοι τὸν λόγον ἐκφαυλίζει ὡς ἀνάξιον ὄντα τοῦ λέγοντος. εἰς δὲ τὸ δαΐφρονος στικτέον. BL.

ἐπὶ τὸ δαΐφρονος στικτέον· μᾶλλον γὰρ ἐμφαίνει. A.

154. ἀλλ' οὐ πείσονται: πρῶτον μὲν ἄδηλον εἰ ἐρεῖ, ἄλλως τε ἐ πείσει. καθάπτεται δὲ τῶν φροντιζόντων τί ἐρῶσιν αὐτοῖς οἱ ἄνθρωποι, τῦ δὲ πράγματος ὁποῖόν ἐστιν ἀμελόντων. BL.

157. φύγαδε: ὡς ἄλαδε· καὶ ἤτοι τὴν φυγὴν φύγα εἶπεν κατὰ μεταπλασμόν, ὡς τὴν σκέπην σκέπα· ἢ ὡς τὸ οἰκόνδε οἴκαδε, ἕτως φυγήνδε φύγαδε. A.

φρονίμως ἔτε ἀντίῤῥησιν Διομήδυς ἀναμένει, ἔτε βιάζεται αὐτὸν φιλότιμον ὄντα φεύγειν ὁμολογεῖν, ἀλλ' αὐτὸς τρέπει τὸς ἵππυς, ἵνα μηδὲ ἐκ τάτων μειώσῃ Διομήδην ὁ ποιητής. BL.

τράπε: ἕτως διὰ τῦ ᾱ τράπε αἱ Ἀριςάρχυ. A.

159. χέοντο: ἔμφασιν ἐκίνησεν ἡ μεταφορά. δηλοῖ δὲ ὅτι λίαν ἀπελείποντο, ἐπεὶ πῶς αὐτὸν βλασφημεῖ ὁ Ἕκτωρ λύγοις; BL.

161. ἡ σέ ἐγκλιτική ἐστιν· ἀπολέλυθ' γὰρ νῦν. ἢ τὸ τίον δὲ ποιητικώτερον ἀπέβαλε τὸν κατ' ἀρχὴν χρόνον, διὸ καὶ ἐπὶ τὴν τῑ ἡ ὀξεῖα ἵσταθ'. περὶ δὲ τῶν τοιύτων ῥημάτων ἔφαμεν ὅτι ἴση ἐστὶν ἡ χρῆσις παρὰ τῷ ποιητῇ. A.

163. ἀντ': κακῶς ὅσοι ἀναῤῥέφουσιν· ἡ γὰρ ἀντὶ ἀναῤῥέφεθ' ποτε. εἰ δὲ τὸ ἄντα ἐπίῤῥημα ἐκδέχονται, ἐναντίον τῇ διανοίᾳ παραλήψονται. A.

Ἀρίςαρχος ἀντιτέτυξο. A.

διὰ τῦ ῑ εἶχον αἱ ἐκδύσεις, ἀντιτέτυξο· ὁ δὲ Ἡρωδιανὸς διὰ τῦ ε̄ ἐξέθετο. ἔχει δὲ τὸ ὅλον ἕτως, γυναικὸς ἄρα ἴσος ἦθα. BL. ὡς „ἀντί τοί εἰμι' ἱκέτευο" (Il. 21, 75). οὐ διαφέρει γυναικὸς τὸ δημῶδες. V.

164. ἀθετῦθ' εἶχον τρεῖς, ὅτι ἐτελεῖς εἰσὶ τῇ κατασκευῇ, καὶ τὸ „πάρος τοι δαίμονα δώσω" τελείως ἐστὶν ὁ κατὰ τὸν ποιητήν· ἀνάρμοςα δὲ καὶ τὰ λεγόμενα τοῖς προσώποις. A.

ἄλλως. τάτυς ἠθέτησεν Ἀριςοφάνης. A.

γλήνη καλεῖθ' ἡ τῦ ὀφθαλμῦ κόρη D.

ὅτι μικρόφθαλμος, ὥς φασί τινες, ὁ Διομήδης ἦν, ἢ ὑπόῤῥαιβος, ὃ καὶ ὀνειδίζει. τὸ δὲ οὐκ εἰξαντος, οὐχ ὑποχωρήσαντος ἀλλὰ μείναντος, ὅπερ οὐ σύ φησι ποιεῖς. ἀναφέρει δὲ τὸν λόγον ἐπὶ τὰ ὑπὸ Ἰδαίυ ἀπαγγελθέντα Τρωσίν. BL.

166. δαίμονα δώσω: Ζηνόδοτος πότμον ἐφήσω. A.

λόγον κακὸν ἢ ἀγγελίαν· δώσω γάρ σοί φησιν ὑπόμνησιν, ὅταν ἐν ταῖς ναυσὶ κρατήσω σε. ἢ μᾶλλον τὴν δαίμονα ἤτοι τὴν τῦ θανάτυ ψῆφον. BL.

προσληπτέον τὸ κακόν, ἵν' ᾖ πρότερον γάρ σοι κακὸν θάνατον ἢ κακὴν εἱμαρμένην δώσω. D.

167. διάνδιχα μερμήριξεν: πῶς δύο εἰπὼν τὸν Διομήδην μεριμνῆσαι, ἓν ἐπάγει; φαμὲν δὲ ὡς δύο βελὰς ἐμερίμνησεν εἰς ἓν νευάσας, ἵππυς τε ῥῖψαι ἢ ἐναντίον μαχέσαθ'. ἢ ὡς ὡμολογημένον ἀφῆσι τὸ ἕν· ἤτοι τὸ ἢ ῥαφῆναι ἢ μὴ ῥαφῆναι, ὃ κατέλιπεν. BLV.

168. ἢ διπλῆ ὅτι ὑποτάσσουσιν „ἢ μήτε ῥέψαι μήτ' ἀντίβιον μαχέσαθ'." ἐκ ἔχει δέ· τὸ γὰρ διάνδιχα ἐκ ἔχει δύο ἐμερίμνησεν ἐναντία, ἀλλ' ἐπὶ τὸ αὐτὸ φερόμενα, ῥέψαι τὰς ἵππυς ἢ μάχεσθαι. A.

169. φρένα μὲν τὸ λογιςικόν, θυμὸν δὲ τὸ θυμοειδές. ἐπεμερίζετο ἓν, φησίν, ὑπό τε τῇ νῇ κωλυόμενος καὶ τἐναντίον ὑπὸ τοῦ θυμοῦ διεγειρόμενος πρὸς τὴν πρᾶξιν. BL.

170. ἀπ' Ἰδαίων: γράφεθ' ἢ ἐπ' Ἰδαίων. A.

171. σῆμα τιθεὶς: ἀντὶ τῦ σημαίνων. εἰς δὲ το Τρώεσσι σιγμή. τί δὲ ἦν τὸ σῆμα; μάχης ἑτεραλκέα νίκην. BL.

βραχὺ διαςαλτέον ἐπὶ τὸ Τρώεσσιν· αὐτὸ γὰρ τὸ σημεῖον, πρὸς τὸ σημαινόμενον ὑπαντήσας, εἰρηκε νίκην. ἐὰν δὲ συνάπτωμεν, γίνεθ' σολοικοφανές. A.

φανερῶς ὧδε ἡρμήνευσε τὴν τῦ Διὸς βελήν. L.

175. γινώσκω δ' ὅτι μοι: ῥητηγικῶς τὴν εὐημερίαν αὐτοῖς δηλοῖ. οἰκειῦται δὲ αὐτὴν ὑπερηφάνως, καὶ ἐ μετριοφρονεῖ. BL. ὁμοίως ἢ τὸ „κτείνω δὲ ἢ αὐτός" (182). ὁ δὲ Ἕλλην „ἀλλ' ἄνδρας κτείνωμέν" φησιν (Il. 6, 70). V.

176. πῆμα: ἐκ τῦ πήθω πῆμα· ἐξ ὃ ἢ πημαίνω, ὥσπερ ἀπὸ τῦ δεῖμα δειμαίνω. B.

177. οἳ: Ἀρίςαρχος τὸ οἳ ἄρθρον φησίν, ὁ δὲ Σιδώνιος οἷα τὸ πλῆρες, οὐχ ὑγιῶς. V.

178. ἀβλήχρ': Ἡρακλείδης ὁ Μιλήσιος βαρύνει ὡς ἄσιτα· λόγῳ δὲ χρῆται τύτῳ, ὡς ὅτι βληχρόν ἐχι τὸ ἰσχυρόν, ὅπερ κατὰ στέρησιν ὀφείλει λέγεσθ ἄβλητρος ὡς ἄκακος· σημαίνει γὰρ τὸ ἀσθενές. ἡ μέντοι παράδυσις ὀξύνει τὸ ἀβλητρά ἢ ἀβλητρήν, πειθεῖσα πρῶτον τῷ παραχηματισμῷ ὡς ἁπλῷ· ἕτως γὰρ παρεχημάτισθη, ὡς πενιχρά, ψυχρά, λέγω δὲ θηλυκῶς. ἕτως ἀβληχρά, ἐ κοινωνῦντός ποτε τῦ γένυς, λέγω δὲ ὁ ἄβλητρος ἢ ἡ ἄβλητρος. ἄλλως τε ἤδη αὐτὸ τὸ βληχρός σημαίνει ὡς ἐπὶ τὸ πλεῖον μᾶλλον τὸ ἀσθενές. Ἀλκαῖος θ' „βληχρῶν ἀνέμων ἀχείμαντοι πνοιαί" καὶ ὁ Νίκανδρος „βληχρὸν γὰρ μυὸς οἷα μυληβόρε ἐν χροΐ νύγμα". τῦτο δὴ πλεονάσαν τῷ ᾱ φυλάξει τὸν αὐτὸν τόνον ἀεί· οἶδα γὰρ τὸ ἄβορος, ἀγαυρός, ἄσαχυς. A.

δύναται καὶ ἐν ἐπιτάσει εἶναι τὸ ᾱ. V.

οὐδερόσωρα: οὐδεμιᾶς φροντίδος ἄξια, ἀπὸ τῶν ὠρῶν· ὥρα γὰρ ἡ φροντίς. AD. τινὲς δὲ ἐδενὸς φυλακτικά, πιθανὸν δὲ ἢ τῷ ὑπογύε ἔργε μεμνῆσθαι, τῶν Ἀχαιῶν τὴν πρᾶξιν ἐξευτελίζοντα. BL.

ὡς κυνόσωρα ὑφ' ἓν κατὰ σύνθεσιν, εἰ ἢ σπάνιος ἡ τοιαύτη σύνθεσις ἐξ ἀποφάσεως ἢ συνδέσμε ἢ τῆς ἑνός γε-

νικῆς ἐντελοῦς· οὐδέποτε γὰρ οὕτως αὕτη ἡ γενικὴ συντίθεται· ἀλλ' οἵ γε ποιηταὶ τολμῶσι ξένας συνθέσεις. A.

μένος ἀμὸν: τὴν ἐμὴν δύναμιν, Δωρικῶς. D.

180. ἀλλ' ὅτε κεν: ἀλαζονεύεται, ὡς οὐ μικροῦ σηκασθεὶς ἠΰτε ἄρνες (131). BV.

181. μνημοσύνη τις ἔπειτα: ἀλαζονείαν βαρβαρικὴν ἔχει τὸ πρὸ τῆς νίκης διορίζεσθαι χρείαν. ἅμα δὲ καὶ τὸ προνοεῖσθαι στρατηγικόν ἐστιν. BLV.

δηΐοιο: πρὸς ἀντιδιαστολὴν τοῦ θετιοῦ πυρός, τοῦ γαμηλίου, τοῦ ἐν θρήνοις, τοῦ ἐν φρυκτωρίαις. L.

182. ἐνιπρήσω: τὸ πρῆσαι σημαίνει δύο, τὸ καίω, ὡς ἐνταῦθα καὶ „πρῆσε δὲ πυρὸς δηΐοιο θύρετρα" (Il. 2, 415)· καὶ τὸ φυσῶ, ὡς „πρῆσεν δ' ἄνεμος μέσον ἰστίον" (Il. 1, 481) καὶ „δάκρυ' ἀναπρήσας" (Il. 9, 433) ἀντὶ τοῦ ἀναφυσήσας. ὅθεν καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ τοὺς πεφυσημένους πεπρησμένους λέγομεν. B.

185. ἀθετεῖται ὁ στίχος, πρῶτόν γε καὶ διὰ τὸ σύ, εἶτα διὰ τὰ ὀνόματα· Λάμπος γὰρ τῆς Ἠοῦς ἐστὶν ἵππος, Ξάνθος Ἀχιλλέως (Il. 19, 400), Πόδαργος Μενελάου, Αἴθη Ἀγαμέμνονος (Il. 23, 295), ἣν Αἴθωνα νῦν εἶπε, μετατιθεὶς τὸ γένος. οὐδαμοῦ τε τεθρίππῳ κέχρηνται ἥρωες, εἰ μὴ ἐν Ὀδυσσείᾳ ἐπὶ παραβολῆς· „ἡ δ' ὥς τ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι" (Od. 13, 81). τὸ γὰρ „τέσσαρας ἀθλοφόρους ἵππους" (Il. 11, 699) ὑπώπτευται ὡς νόθον· ἢ δύο ἅρματα δηλοῦν βούλεται· „τὸν δὲ ἐλατῆρα ἀφίει ἀκαχήμενον" (Il. 11, 702) τὸν ἑκατέρας συνωρίδος. εἴποι δ' ἄν τις πρὸς τοῦτο ὅτι εἰκός, τῶν ἄλλων τεθρίπποις μὴ χρωμένων, τὸν Ἕκτορα θαρσῆσαι τέσσαρας ἵππους ὑποζεῦξαι πρὸς κατάπληξιν τῶν πολεμίων· ἀπόγονος γάρ ἐστι Τρωός, ᾧ Ζεὺς ὑπὲρ Γανυμήδους ἔδωκεν ἵππους, καὶ φιλότιμός ἐστι περὶ τὴν ἱππικήν· οἶδε γὰρ ἵππος ἀγαθὸς πρὸς ἱππικὴν ἐγείρειν, ὡς καὶ πρὸς πόλεμον διάφορα ὅπλα καὶ θηρευτικὴ κύων καλῶς ἰχνηλατῶν πρὸς κυνηγέσιον. διὸ καὶ τὸν Ἕκτορα θρασὺν ἡνίοχόν φησιν Ὅμηρος, καὶ οὐ μόνον τοῦτον θρασύν, ἀλλὰ καὶ τὸν ἡνιοχοῦντα αὐτῷ Ἀρχεπτόλεμον· οὐ τοῦ τυχόντος γὰρ ἦν τὸ τετράωρον ἡνιοχεῖν. φασὶ δέ, εἰ τετράωρον ἦν, πῶς ὡς πρὸς δύο ἀποτείνεται καί φησι „νῦν μοι τὴν κομιδὴν ἀποτίνετον" καὶ „ἐφομαρτεῖτον καὶ σπεύδετον"; ῥητέον δὲ καὶ πρὸς τοῦτο ὅτι οὐ πρὸς ἕκαστον ἵππον λέγει, ἀλλὰ πρὸς τὰ ἐξ αὐτῶν συστήματα· δύο γὰρ ζύγιοι ἦσαν καὶ δύο παρήοροι· τοὺς μὲν οὖν ζυγίους ἀνθ' ἑνός, τοὺς δὲ παρηόρους ἀνθ' ἑτέρου λαμβάνει. ὅμοιον δέ ἐστι τῷ „τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο" (67)· πρὸς ἑκατέραν γὰρ κἀκεῖνο στρατιάν· καὶ τῷ „τύνη δ' ἕστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις, μήπως ὡς ἀψῖσι λίνου ἁλόντε" (Il. 5, 485)· πρὸς γὰρ τὸν Ἕκτορα καὶ τοὺς Τρῶας. καὶ τὸ „αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον" (Il. 23, 413) τὸ δυκϊὸν ἔχει πρὸς τὸν ἡνίοχον καὶ τοὺς ἵππους. τρισὶ δὲ ἵπποις ἐχρῶντο οἱ ἥρωες, ἵνα τρωθέντος ἑνὸς τῶν ζυγίων εἰς τὴν τούτου χώραν ὁ παρήορος ἄγηται. οἱ δὲ Ὁμηρικοὶ θεοὶ συνωρίσι χρῶνται, ἐπεὶ τιτρωσκόμενοι οὐχ ὁρῶνται. ὁ δὲ Ἕκτωρ ἐτόλμησε προσθεῖναι τὸν τέταρτον ἅμα μὲν διὰ τὰ προειρημένα, ἅμα δὲ καὶ τῶν δυοῖν ἵππων ὑφορώμενος τὴν τρῶσιν. καθ' ἑκάστην δὲ κλητικὴν βραχεῖα διαστολή. οὐκ ἐῶσι δὲ οἱ σύνδεσμοι, ὥς τινες, δύο εἶναι κύρια καὶ δύο ἐπίθετα ὀνόματα. BLV.

τὰ δύο μέρη τοῦ λόγου ταῦτα ἐπίθετα τῶν ἵππων νοητέον, τὰ δὲ ὀνόματα κύρια Ξάνθον καὶ Λάμπον, ὡς τὸ δυϊκὸν οὕτως ὀρθῶς ἐπιφέρεσθαι „ἀλλ' ἐφομαρτεῖτον." D.

ἡ διπλῆ, ὅτι οὐδαμοῦ Ὅμηρος τεθρίππου χρῆσιν παρεισάγει. μάχεται δὲ καὶ τὰ ἐπαγόμενα δυϊκά, καὶ ἡ προσφώνησις εὐήθης. βραχὺ δὲ διαστολτέον καθ' ἕκαστον ὄνομα. κἂν συνάπτηται δέ, τὸ ψυχρὸν ἐκεῖνο οὐ δύναται νοεῖσθαι, ὅτι δύο μέν ἐστιν ἐπίθετα, δύο δὲ κύρια, ἐπεὶ οἱ σύνδεσμοι παρακείμενοι χωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων· τὰ δὲ κύρια πρὸς τὰ ἐπίθετα οὐδέποτε συνδεῖται. A.

186. ἀποτίνετον: ἡ διπλῆ, ὅτι ἐπὶ δυεῖν ἡ φράσις, ἀλλ' οὐκ ἐπὶ τεσσάρων. A.

187. Ἀνδρομάχη: οἰκονομικὴ γὰρ ἦν, καὶ εἰς σωτηρίαν τοῦ ἀνδρὸς ἐπισπεύδουσα, εἴ γε καὶ τὰ ὅπλα αὐτοῦ δέχεται, ὡς δηλοῖ ὁ Ζεύς „ὅ οἱ οὔτι μάχης ἐκνοστήσαντι δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα" (Il. 17, 207). ὡς γυνὴ δὲ παρὰ φύσιν τὸν πυρὸν αὐτοῖς παραβάλλει· καὶ αἱ Διομήδους δὲ ἵπποι μελιηδέα πυρὸν ἔδουσιν (Il. 10, 569). παρὰ προτέροις δὲ διὰ τὸ μὴ ἐπιλαθέσθαι αὐτῶν· ἄλογον γὰρ ὂν τὸ ζῷον ἀφ' ἑαυτοῦ τροφὴν οὐκ αἰτεῖ. ἀθετεῖται δὲ τὸ „οἶνόν τ' ἐγκεράσασα", ὅτι οὐ σύνηθες οἶνον πίνειν ἵππους, καὶ διὰ τὸ „ὅτε θυμὸς ἀνώγοι"· ψυχρὸν γὰρ καὶ τοῦτο ἐπὶ ἵππων. ἔστιν οὖν ὑπερβατόν· ὑμῖν προτέροις πυρὸν παρέθηκεν ἢ ἐμοὶ τὸν αὐτὸν πυρὸν ἔθηκεν, οἶνόν τ' ἐγκεράσασα πιεῖν ὅτε θυμὸς ἀνώγοι, ἵν' ᾖ τὸ πυρὸν ἔθηκεν ἀπὸ κοινοῦ. BL.

188. πυρὸν: κριθήν, σῖτον ἐνταῦθα καταχρηστικῶς. D.

189. 190. τὸ ἑξῆς τοῦτό ἐστιν· ἢ ἐμοί, ὅς πέρ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι, οἶνόν τ' ἐγκεράσασα πιεῖν ὅτε μοι θυμὸς ἀνώγει. A.

τὸ ἑξῆς, ἣν μάλα πολλὴν ὑμῖν πὰρ προτέροισιν ἔθηκε. τί δ' ἔθηκε; μελίφρονα πυρόν. ἢ ἐμοὶ οἶνον ἐγκεράσασα καὶ τὰ ἑξῆς συναπτέον· ὑπερβατὸν γάρ ἐστιν. V.

189. ἐγκεράσασα: εἰς κέρας ἐγχέασα· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὴν τῶν ποτηρίων χρείαν κέρασιν (εἰς κέρατα B, εἰς κέρας D) ἔπινον. ABD.

ἀπὸ τοῦ κέρατος τὸ κεράσαι. καὶ Ξενοφῶν „κέρατα δὲ οἴνου περιέφερον." L.

γελοιότατος ἐπὶ ἵππων ὁ στίχος, ὅτι οἶνον ἵπποι οὐ πίνουσι. καὶ ὅτε θυμὸς ἀνώγοι εἰς μέθην γελοῖον. A.

καὶ παρὰ Ἀριστοφάνει ἀθετεῖται. A.

191. ἐφομαρτεῖτον καὶ σπεύδετον: ἡ διπλῆ, ὅτι ὡς πρὸς δύο τοῖς δυϊκοῖς σχήμασι χρῆται· διὸ ἀθετητέον τὸν προκείμενον στίχον, ἐν ᾧ τέσσαρά ἐστιν ὀνόματα. A.

ὄφρα λάβωμεν: οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ αἴ κε λάβωμεν. A.

192. ἀσπίδα Νεστορέην: αὐτὸν τὸν Νέστορα περιφραστικῶς. ἔνιοι δὲ τὸ ὅπλον· ἡφαιστότευκτον γὰρ ἦν. AD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄτοπον νῦν φυσιολογεῖν Ἕκτορα. δηλοῖ δὲ ὅτι τὰ Ἐρευθαλίωνος ὅπλα τίμια, καὶ ὅτι εἰ περιέσῳ τῷ συνετῷ καὶ ἀνδρείᾳ, τὰς λοιπὰς εὐκόλως Ἕλληνας ἕξει. BL.

193. πᾶσαν: ἀντὶ τῆ ὅλην, ὡς πᾶσαι πύλαι ὅλη πύλη. V.

κανόνας: ῥάβδους αἷς ἐκράτησαν τὰς ἀσπίδας· ἔπω γὰρ ἐχρῶντο τοῖς πόρπαξιν, ἃς ὕχανα ἐκάλουν· ὕστερον γὰρ ἔτοι ἐπενοήθησαν ὑπὸ Καρῶν, ὡς καὶ Ἀνακρέων φησὶ „καριεργέος (καριοεργέος D) ὀχάνοιο." BD. ἐπεὶ δὲ ἐκ πόρπακος εἶχον τὰς ἀσπίδας ἠρτημένας, ἀλλ' ἐκ τελαμώνων· διὰ τοῦτο πρὸς τὸ κατευθύνειν αὐτὰς ἐχρῶντο κανόσιν, δύο χήματα ἀποτελοῦντα ἐργασάμενοι. B.

195. τὸν Ἥφαιστος κάμε τεύχων: ἡφαιστότευκτα τὰ ὅπλα· ἀπὸ γὰρ Γλαύκου ἔλαβεν. καὶ ἀπὸ τῶν ὅπλων ἐπὶ τὸν ἄνδρας ἀναφέρεται, καὶ ἐκ ἕξιν ἀλληγορία. A.

διὰ τὸ διάπυρον Διομήδης. V.

197. αὐτονυχεί: τὴν αὐτὴν νύκτα. ἄλλοι δὲ διὰ τοῦ ῑ γράφουσιν. L.

νηῶν ἐπιβησέμεν: καὶ πῶς πρὸ ὀλίγου καῦσαι αὐτὰς ἤθελεν; κωμῳδεῖ διὰ τούτου ὁ ποιητὴς τὸ τῶν βαρβάρων εὐμετάβολον. BL.

198. νεμέσησε: ἐβάσκηνεν, ὠργίσθη ἐφ' οἷς ἀναξίως εἶπεν. V.

199. σείσατο δ' εἰνὶ θρόνῳ: γυναικεῖον ἦθος ὑπογράφει διὰ τῆς Ἥρας, ἡ νικᾶται μὲν τῇ ἀπειλῇ Διὸς καὶ κατὰ χώραν μένει, ἐκ ἠρεμεῖ δὲ τὸ σῶμα ὑπὸ τῆς ὀργῆς, καὶ τὸν ὁμότιμον Διὶ Ποσειδῶνα διεγείρει. καὶ νῦν μὲν μέχρι λόγων προέρχεται· ἐξῆς δὲ (213) ἐντίθησιν Ἀγαμέμνονι αὐτῷ ποιπνύσαντι θοῶς ἐγεῖραι Ἀχαιούς· τέλεον δὲ ἠττηθεῖσα ὑπὸ τῷ θυμῷ καὶ προσέρχεται. BL.

μακρὸν Ὄλυμπον: ἡ διπλῆ, ὅτι μακρὸν Ὄλυμπον ὡς ὄρος. A.

ἐλέλιξε: διὰ τῶν δύο ὑγρῶν τούτων, τῶν δύο λ, τὴν ταχεῖαν καὶ ἄπονον κίνησιν τῷ ἀρνῷ ἐδήλωσεν. L.

201. ἠθικῶς αὐτῷ διαλέγεται, καί φησι, τῶν ἄλλων θεῶν ἀμελέντων τῆ Ἑλληνικῆ ἀδὲ σὺ τοὺς Ἕλληνας ἐλεεῖς. παροξύνει δὲ αὐτὸν καὶ διὰ τῶν ἐπιθέτων, ἰσότιμον ἀποφαίνουσα τῷ Διὶ καὶ ἀξιόμαχον. BL.

203. οἳ δέ τοι εἰς Ἑλίκην: προτρεπτικὸν καὶ τοῦτο εἰς τὴν βοήθειαν, ἵνα μὴ προκατάρχειν ἀμείβεσθαι δὲ μᾶλλον δοκοίη, εἰ καὶ τὸ „ὡς ποτέ τοι χαρίεντα" (Il. 1, 39). Ἑλίκη δέ ἐστι τῆς Ἀχαΐας πόλις, ὑπὸ σεισμῶ ἠφανισμένη. Αἴγαι δὲ νῆσος πλησίον Εὐβοίας. BLV.

Ἑλίκη πόλις ἐν Πελοποννήσῳ Ποσειδῶνος, ἀφ' ἧς αὐτὸν Ἑλικώνιον ὁ ποιητὴς καλεῖ. A.

ἀνάγουσιν: ἀντὶ τῆ ἄξουσιν. V.

204. σὺ δέ σφισι βούλευε νίκην: ἠθικῶς καὶ τοῦτο· οἷον εἰ θελήσειας, δύνασαι καὶ βοηθῆσαι αὐτοῖς· βάλε ἐν, φησίν, αὐτοῖς τὴν νίκην. BL.

206. 207. ἡ διὰ τὸν εἰ σύνδεσμον ἀποτελουμένη ὑποσιγμὴ πίπτει μετὰ τὸ Ζῆν' ὄνομα, ἀλλ' εἰ μὲν ἐκ πλήρους ἔκειτο, οὐδὲν ἂν ἐζητεῖτο· ἐπεὶ δὲ συνήλειπται καὶ ὑπὸ τῶν γραμματικῶν μετενήνεκται τὸ ν εἰς τὸν ἓξῆς σίχον,*) δύο παρηκολούθησεν ἄλογα, ἓν μὲν ὅτι μεταξὺ μιᾶς συλλαβῆς τῆς ναυ ὑποσιγμὴ πέπτωκεν, καὶ αὕτη χρόνῳ ἔχουσα διάζημα, ᾗ παραπλήσια κἀκεῖνα „ὣς ἔφαθ', αἱ δ' ἐπέμυξαν" (Il. 4, 20)· „ὣς ἔφαθ', οὐδ' ἀπίθησεν" (Il. 2, 166)· ἕτερον δὲ ὅτι συμβήσει κατ' ἀρχὰς τῷ σίχου μετὰ τὸ ν μόνον στοιχεῖον διάζημα εἶναι τῆς ὑποσιγμῆς. A.

σικτέον εἰς τὸ ἐρυκέμεν. τὸ δὲ ἓξῆς, εὐρύοπα Ζῆν (ἀντὶ τῶ Ζεύς) αὐτῷ κεν ἀκάχοιτο· ἢ γὰρ εἰκὸς ἐπιβουλεύειν τῷ Διὶ καὶ αὐτὸν κωλῦσαι σπεύδειν τὴν παρ' αὐτοῦ κολασθεῖσαν πολλάκις. ἐμφαίνει δὲ αὐτῆς καὶ τὸ ἄγαν θρασύ· ὁ γὰρ γυναικεῖος θυμὸς θρασύτερος ὢν τῶν ὑπερεχόντων καταφρονεῖν ἀλόγως ποιεῖ. BL.

207. ἐν ἀρχῇ τῶ σίχῳ τὸ ν θετέον, ὅτι τὸ πρὸ τῆς ἀποστρόφῳ σύμφωνον τῷ ἐπιφερομένῳ συνάπτει φωνήεντι. μετὰ δὲ τὸ ν ἡ σιγμή· καὶ μεταξὺ γὰρ συλλαβῆς καὶ μετὰ συναλοιφῆς καὶ ἐν ἀρχῇ σίχου πολλάκις ποιητικῶς ἡ σιγμὴ τίθεται. BL.

ἔνθ' ἀκάχοιτο καθήμενος: ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἀνάπαλιν τῶ κ, ἔνθα κάθοιτ' ἀκαχήμενος. A.

208. τὴν δὲ μέγ' ὀχθήσας προσέφη: ἐκ ἔφη κοινῶς „τὴν δ' ἠμείβετ' ἔπειτα," ἀλλὰ διὰ τῶ χετλιασμῶ τὸ θράσος αὐτῆς προαναζέλλει. BL.

209. ἀπτοεπές: ἀπτομένη, ἢ ἀάπτως λέγουσα λόγους, ἢ ἀπτόητε· διὸ καὶ „ποῖον τὸν μῦθον ἔειπες" ἀντὶ τοῦ τὸν ποῖον, Ἀττικῶς, ἀναπαύων δὲ ἡμᾶς ἀπὸ τῆς διηγήσεως τῶν Ἑλληνικῶν ἀτυχημάτων, τὸν τῶν θεῶν παρεισάγει διάλογον. BL.

ἡ διπλῆ, ὅτι δασύνουσιν ἅπτοεπές, καθαπτομένη τοῖς ἔπεσιν. Ἀρίσαρχος δὲ ψιλοῖ. ἐμφατικώτερον δὲ τὸ ψιλῶν, καὶ ἴσως ἦν παρὰ τὸ πτοεῖσθαι, ἢ ἄγαν πτοῦσα, ἢ παρὰ τὸ ἅπτον τὸ ἰχυρόν, ὥστε εἶναι δεινοεπές. A.

210. οὐκ ἂν ἔγωγ' ἐθέλοιμι: πῶς οὖν ἐν τῇ περὶ τὰς νῆας μάχῃ ἠναντίωται αὐτὸς τῷ Διί; ὅτι ἐκεῖσε αὐτὸν ὁ πολὺς τῶν Ἑλλήνων ἀνέπεισεν ὅλεθρος (ἀνέκλασε φόνος V). BLV.

213. τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργον τάφρος ἔεργεν: διχῶς αἱ Ἀρισάρχου, ἔεργεν καὶ ἔρυκεν, καὶ τὸ δι' ἀμφοτέρων σημαινόμενον ἐστι τοιοῦτο· τῶν Ἀχαιῶν ὅσον ἀπὸ τῆ τείχους ἡ τάφρος ὥριζεν, ἐπλήθυεν ὁμοίως ἵππων καὶ ἀνδρῶν συνελαυνομένων καὶ συνειργομένων ὑπὸ τῆ Ἕκτορος. Ζηνόδοτος δὲ γράφει τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργεν. A. ἔνιοι δὲ τὰ δύο διαζήματα πεπληρῶσθαί φασι τῶν Ἑλλήνων, τό τε ἀπὸ τῶν νεῶν ἕως

*) κανόνος γραμματικοῦ λέγοντος ὡς, εἰ μέσον δύο φωνήεντων εὑρεθῇ σύμφωνον ἐν ἁπλότητι ἢ συνθέσει ἢ καὶ συναλοιφῇ, τῷ δευτέρῳ, τουτέστι τῷ ἐπαγομένῳ φωνήεντι προσλογίζεται, οἷον ἔτι ἐν ἁπλότητι· τὸ γὰρ τ τῷ ἐπαγομένῳ φωνήεντι προσλογίζεται. ἐν συνθέσει δὲ οἷον κατάγω· ὁμοίως γὰρ τῷ μετ' αὐτὸ α συμβιβάζεται. καὶ ἐν συναλοιφῇ δέ, οἷον κατ' ἐμέ· πάλιν γὰρ τὸ αὐτὸ ἄφωνον τῷ ἐφεξῆς ε συγγράφεται. L.

τῶ τείχος ᾗ τὸ ἀπὸ τῶ τείχος ἕως τῆς τάφρω, ὃ δὴ ξεῖνος προσαγορεύει. ABL.

ἄλλως. ὅτι ἔν τισι γράφεται ἀπὸ τάφρου πύργος ἔεργεν. δύναται δὲ τὸ ἐκ νηῶν συναφὲς εἶναι τῷ ἀπὸ τάφρω· πρὸς γὰ ταῖς ναυσὶ μᾶλλον ὁ πύργος ἢ ἡ τάφρος· ᾗ ἔζι τὸ λεγόμενον, τὸ μεταξὺ τῶ τείχος ᾗ τῆς τάφρω πλῆρες ἦν ἵππων ᾗ ἀνδρῶν. ἐκ νηῶν δὲ λέγει ἀπὸ τῶ κατὰ τὰς ναῦς τόπω. σημειωτέον δὲ ὅτι μεταξὺ τῶ τείχους καὶ τῆς τάφρω διάζημα ἀπελείπετο, κατὰ τὴν τοποθεσίαν τῆς νεωλκίας. A.

ἄλλως. βραχὺ διαζαλτέον ἐπὶ τὸ νηῶν· σαφεζέραν γὰ ποιεῖ τὴν διάνοιαν, τοιαύτην ἦσαν· ὅσον ἡ τάφρος ἀπέχει τῶ τείχος ᾗ τῶν νηῶν, τῶτο πλῆρες ἦν πεζῶν τε ᾗ ἵππων, λείποντος τῶ καί συνδέσμω· τὸ γὰ ἔεργέν ἐζι περιώριζεν. ἐντὸς τῶν τε νηῶν ᾗ τῶ τείχος μεταξὺ κενὸν ἦν εἰς δίοδον, τὸ μὲν πλάτος πλεθριαῖον ὑπάρχον, τὸ δὲ μῆκος δι' ὅλου τῶ ναυζάθμω. πάλιν δὲ ἔτως· τῶ τείχος ἐκτὸς ἦν διάζημα βραχύ, μεθ' ὃ ἡ τάφρος ὤρυκτο. τοσοῦτον μέντοι εἰκάζει τὸ διάζημα ἐκεῖνο ὡς ἑνὸς βέλους εἶναι τὴν τάφρον, καὶ ἐφικνεῖζθ τὰ βαλλόμενα τῶ τείχος ἀπὸ τῶν ἐπιόντων. ἀμφότερα ἓν τὰ διαζήματα ἑκατέρωθεν τοῦ τείχους, τὸ μὲν πρὸς τὴν τάφρον, τὸ δὲ πρὸς τὰς ναῦς ἐπεπλήρωτο. ἔτως Νικάνωρ. A.

τῶτο δήλωσίς ἐζι τῶ συνελήλαθζ τοὺς Ἕλληνας εἰς τὸ μεταξὺ τῆς τάφρω ᾗ τῶ τείχος ζενόν. τὸ δὲ ἑξῆς, ὅσον εἶργε διάζημα ἀπὸ τῶν νεῶν ἔξω τῶ τείχος ἡ τάφρος, ἐπλήθνεν ὁμοίως ἵππων τε ᾗ ἀνδρῶν ἀποκλειθέντων καὶ μὴ δυνηθέντων εἰσδραμεῖν τῷ τείχει, ἀλλὰ μηδὲ τολμήζαντος ἔξω τῆς τάφρω μεῖναι τινός. καὶ τὸ ἵππων δὲ ἐπέτεινε δηλῶν τὴν ζενοχωρίαν. (τὸ δὲ ἑξῆς· ὅσον δὲ ἡ τάφρος διώριζεν ἐκ τῶν νεῶν ᾗ τῶ τείχος τὸς πολεμίως, τῶτο ἐπεπλήρωτο. ἡ γὰ ἀπό πρὸς τὸ ἔεργεν. ᾗ λείπει ὁ καί, ἵν' ἦ ᾗ πύργω. Ζηνόδοτος δὲ γράφει τῶν δ' ὅσον ἐκ νηῶν ᾗ πύργως· ὃ ᾗ ἄμεινον. V) τινὲς δὲ ἔτως· ὅσον ἀπέεργεν ἡ τάφρος ἐκ τῶ πύργω τῶν νεῶν, τετέζιν ἐκ τῶ πύργω τῶ διὰ τὰς ναῦς γενομένω. BLV.

217. καί νύ κεν ἔπρησε: εἰς ἄκρον τοὺς κινδύνους εἴωθεν ἐξάγειν, αἰεὶ ἐναγώνιον ποιῶν τὸν ἀκροατὴν τῇ προσδοκίᾳ, εὐθύς τε τὴν ἴαζιν αὐτοῖς ἐπιφέρει. BLV.

κηλεῷ: περιζπωμένως· ἐν ἄλλῳ κηλέῳ παροξυτόνως. τὸ δὲ κηλέῳ ὡς μελέῳ. γέγονε δὲ παρὰ τὸ κᾶλον ᾗ κῆλον κήλειον, ὡς παρὰ τὸ μῆλον μήλειον δέρος, ᾗ Ἰωνικῶς κήλεον ᾗ κηλέῳ· ἐκεῖνο γᾶν ἐντελές ἐζι τὸ „σὺν πυρὶ κηλέῳ χάριν Ἕκτορος" (Il. 15, 744). A.

218. εἰ μὴ ἐπὶ φρεσὶ θῆκ': ἐν καταπλήξει γὰ ἦσαν ἅπαντες· τοῦτο δὲ ἴαζατο ἡ Ἀγαμέμνονος προτροπή. δεῖ δὲ αὐτεργεῖν ἐν τοῖς δεινοῖς τὸς ἄρχοντας. BL.

221. πορφύρεον μέγα φᾶρος: κατὰ τὸ σιωπώμενον ἔλαβε τὸ φᾶρος. ἐπισείων δὲ αὐτὸ τῷ παραδύξῳ τοῦ σχήματος ἐπισρέφειν πειρᾶ τὸς ἔσω τείχος εἰσελθόντας. B.

πρὸς τὸ ἔχων ἐν χειρί, τί ποτε σημαίνει; ὁ μὲν Ἀπολλόδωρος, ὅτι περιειλήσας εἶχεν ἐν τῇ χειρί· ὁ δὲ Διονύσιος, πρὸς τὸ κατασείειν εὐθέως λαβόμενος τοῦ φάρους. A. φᾶρος δέ ἐζι πορφυροῦν ἱμάτιον, ᾧ μεταχειρίζεθ ὁ βασιλεὺς ἕνεκα τοῦ εὐχερῶς ἑαυτὸν σημῆναι τοῖς Ἕλλησιν, ἐπειδὴ ἀδύνατον ἦν διὰ βοῆς αὐτοὺς κατασεῖλαι. AD.

223. τῶ μεσάτῳ πρωτότυπον ὁ μέσος, ὡς ὁ τρίτος τῶ τρίτατος. ὃ μεσαιτάτῳ λέγουσιν οἱ μεθ' Ὅμηρον. L.

πρὸς τὴν τάξιν τῆς νεωλκίας ἡ παρατήρησις, καὶ πρὸς τὸ γεγωνέμεν, ὅτι οὐ ψιλῶς ἐζὶ φωνεῖν ἀλλ' ἀκουζὸν φθέγγεζθ. A.

227. διαπρύσιον: διαπορεύζιμον καὶ μέγα ᾗ εἰς πάντας ἦκον. BL.

228. εἶδος ἀγητοί: οἱ τὰ μὲν παρὰ τῆς φύσεως εὐπορῶντες, οἰκεία δὲ κακίᾳ ἀμελῶντες, ὡς ᾗ ἀλλαχοῦ „οὐκ ἄρα σοί γε ἐπὶ εἴδεϊ ᾗ φρένες ἦσαν" (Od. 17, 454). δηλοῖ δὲ ὅτι ἀδὲν ἐζὶ κάλλος δίχα δυνάμεως. BL.

θαυμαζοί· ἄγη γὰ ἡ ἔκπληξις. V.

229. ὅτε δὴ φάμεν: ἐκ ἀναγκαῖον ὀξύνειν τὸν δή, ἵνα κρῶζις γένηθ, ὁμοίως τῷ „μήτε σὺ Πηλείδηθελε" (Il. 1, 277)· ἐπὶ μὲν γὰ τῶ ἐθέλω πᾶζα ἀνάγκη τὸ ε μένειν κατὰ τὸν ποιητήν, ὡς εἰρηθ· ἐπὶ δὲ τότε τῶ παρωχημένε δύναθ ποιητικῶς ἀποβεβλῆζθ τὸ ε, ὥζε ἐπὶ τὴν ᾱ συλλαβὴν θετέον τὴν προσῳδίαν, καὶ ἔζιν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ „Τηλέμαχος δ' ὡς εἶδεν, φάμεν δέ οἱ, ἃ τελέομεν" (Od. 16, 347). A.

λελησθότως τῶν προγεγονότων αὐτὲς ὑπομιμνήσκει. πιθανῶς δὲ συμπεριέλαβε ᾗ ἑαυτόν, ἵνα μὴ ἀντικρυς αὐτὲς διατρέψῃ. BL.

230. ὡς ὁπότ' ἐν Λήμνῳ: ἡ διπλῆ, ὅτι τῶτο γινόμενον μὲν ἃ παρέζησεν, ὡς γενόμενον δὲ παραδίδωσιν. τὸ δὲ ὁπότε ἀντὶ τῶ ὅτε. A. ᾗ ἀποτελεῖ ἀνταποδοτικὴν περίοδον· ἐκ ἔζι δὲ ἀνταπόδοσις. D.

τὸ ὁπότε ἀντὶ τῶ ποτέ· οἱ δὲ ςίζουσιν εἰς τὸ Λήμνῳ, λείποντος τῶ ἦμεν. δείκνυσι δὲ ὡς αἱ παρὰ κύλικας ὑποχέσεις ἀβέβαιοι. πρῶτος δὲ Ὅμηρος ἔγραψε ςράτευμα μεθύον ᾗ μεγαλορρήμονᾶν, ἐν δὲ ἀνάγκαις χρειώδεσι σωφρονᾶν ᾗ ἀτυχᾶν. BLV.

ἠγοράασθε: ἐν ἄλλῳ εὐχετάασθε. A.

231. περιττὸς ὁ ςίχος· ἐκ γὰ τῶ πίνειν, ἐκ ἐκ τῶ ἐσθίειν τὸ καυχᾶθζ συμβαίνει. A.

233. Τρώων ἀνθ' ἑκατόν: ἡ διπλῆ πρὸς τὴν ἀνάγνωσιν, ὅτι ἔτως προενεκτέον. A.

ἄλλως. ἐπὶ τὴν ἀνθ' συλλαβὴν ἡ ὀξεῖα, ἵνα τὸ πλῆρες ᾖ ἄντα. ἔτως δὲ ἀξιοῖ Δημήτριος ὁ γονύπεσος· ᾗ ἐμοὶ δὲ ἔτως ἀρέσκει. τὸ τῆς διανοίας, ἀντικρυς γὰ Τρώων ἑκατὸν ᾗ δικοσίων εἷς ἕκαζος ςήσεζθαί φησιν. ὁ γὰ κωλύεται ἡ τῶ ἄντα σύνταξις, εἴ γε ἐπὶ γενικὴν φέρεται. A.

τὸ πλῆρες μᾶλλον ἄντα, ὡς ᾗ τῷ Ἡρωδιανῷ ἀρίσκει, ἐχὶ δὲ ἀντί, καθὼς Ἀριζάρχῳ ἔδοξεν. BL.

ἄλλως. Πορφυρίω. ἐκ ἔζι τὸ „Τρώων ἄνθ' ἑκατόν τε

διηκοσίων τε ἕκαστος ἡήσεσθ' ἐν πολέμῳ" πρὸς ἑκατὸν ἢ διακοσίας μάχεσθαι ἐν πολέμῳ, ὡς τινες ἀποδεδώκασιν, ἀλλ' ὡς εἰ ἔλεγεν, ἀντίσταθμοι ἢ ἀντιβαρεῖς ἑκατὸν ἢ διηκοσίων ἕκαστος ἠπείλει γενέσθαι ἐν τῷ πολέμῳ. τῇ δ' διανοίᾳ ταύτῃ ἀκόλουθον τὸ „νῦν δ' ἐδ' ἑνὸς ἄξιοί εἰμεν Ἕκτορος·" ἀπὸ μὲν δ' τῶν ἐν τοῖς ζυγοῖς ἑστώτων τε ἢ πιπρασκομένων εἴρηται. ἐπὶ μὲν τούτων ἔφασκεν ἕκαστον αὐτὸν λέγειν ἀντίσταθμον εἶναι ἑκατὸν ἢ διακοσίων, ἐπὶ δὲ τῆ Ἕκτορος „ὃδ' εἴ κεν σαυτὸν χρυσῷ ἐρύσαιτο Λαρδανίδης Πρίαμος" (Il. 22, 351), οἷον ἴσον χρυσῷ ἢ ἰσόσταθμον χρυσῷ. τὸ δ' ἐρύσαιτο ἀντὶ τοῦ σῴσαι. Bι

235. ὁ ὀβελός, ὅτι ἐκλύει ἢ ὑπαμβλύνει τὸν ὀνειδισμὸν ὁ ῥίχος· κρείσσων γὰρ καθολικώτερον ἐᾶσαι, οὐδήποτε ἀνδρός, ἀλλ' ἐχὶ τοῦ διαφορωτάτου. A.

ἄλλως. ἧττον ἂν φησιν Ἀρίσταρχος ὀνειδισικὸν εἶναι, εἴπερ οὕτως ἐγέγραπτο „Ἕκτορος, ᾧ (ἕως V) δὴ κῦδος Ὀλύμπιος αὐτὸς ὀπάζει." (περισσῶς δέ· ὡς γὰρ ἐκεῖνος ἀόρισσωδῶς ἔλεγεν, ἕτως ἔδει ἢ τοῦτον ἀορίσσ ἔθει V.) ἠθέτηται δὲ ἢ παρὰ Ἀριστοφάνει. AV.

236. Ζεῦ πάτερ: διὰ τῆς ἀναφωνήσεως ταύτης καὶ ὀνειδίζει ἢ ψυχαγωγεῖ, τὴν αἰτίαν εἰς θεὸς ἀναφέρων. οἰκειοῦ δὲ τὴν συμφορὰν, ὅπως καταιδῇ παρακαλῶν. ἀλλαχοῦ τε „τόφρα μὲν γὰρ κῦδος ἅμ' ἕσπεται, τόφρα δ' αὖ μέγα πένθος Ἀχαιῶν δηϊωθέντων" (Il. 4, 415). μέγαν δέ φησιν ὀνειδισμὸν τὸ τοιοῦτον εἶναι, εἰ πάντες ἄξιοι ἑνὸς τοῦ Ἕκτορος οὐκ εἰσίν, ἀλλ' ὡς νεβροὶ ἡσσῶνται λέοντος. BL.

ἦ ῥά: ἀντὶ τοῦ εἰργάσω ἄλλον τινὰ τῶν βασιλέων οἷα ἐμέ. V.

237. καί μιν ἀπηύρας Ἀττικῶς, ὡς καταφρονεῖ με. V.

239. ἔῤῥων: ἡ διπλῆ, ὅτι τὸ ἔῤῥων οὐκ ἔχει ψιλῶς παραγινόμενος, ἀλλὰ μετὰ φθορᾶς· δυσαρεσεῖ γὰρ τῇ παρουσίᾳ. A.

φθορὰν ὀδυνώμενος, ἀλλ' ἐ πλοῦν ὀνομάζει τὴν ὁδόν. παιδεύει δὲ ἡμᾶς ἢ ἐπὶ ξένης ὄντας θεῷ προσανέχειν ἀεί, ἀφ' οὗ πᾶν τὸ διδόμενον. BL.

240. δημόν: δημόν Ἀρίσταρχος κατ' ὀξεῖαν τάσιν ἐπὶ τῆ λίπας· τὸ γὰρ ἐπὶ τῆ πλήθας βαρύνει. ἕτως ἢ ὁ Ἀσκαλωνίτης, λέγων τὸ μὲν παρὰ τὸ δέμας γεγενῆσθαι, οἱονεὶ σῶμά τι τυγχάνον, ἢ παρὰ τὸν δασμόν· τὸ δὲ ἐπὶ τῆ λίπας παρὰ τὸ δαίω· εὔκαυσον γὰρ τὸ λίπος. δύναιτο δ' ἄν τις ἢ ἄλλως ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω γένοιτο, δέεμος, ἢ ἐν συναλοιφῇ δῆμος, τὸ συνδεδεμένον πλῆθος· τὸ γὰρ ἐναντίον λύει ἀπὸ τῆς διαλύσεως. A.

242. ἀλλὰ Ζεῦ: Ἕλλην ὢν ἢ ἀγαθὰ φρονῶν τῆς εἰς θεὸς ἐλπίδος ὐδέποτε ἀφίσαθ'. παιδευτικοὶ δὲ οἱ λόγοι. BL.

243. αὐτοὺς δή περ: ἐλεεινὸν ἡ παρ' ἐλπίδας ἀτυχία· πάλαι γὰρ περὶ νίκης εὐχόμενοι νῦν περὶ τῆς σφῶν αἰτῆσι σωτηρίας. BL.

245. ὀλοφύρατο δακρυχέοντα: ἐν ἄλλῳ ὀλοφύρετο. καὶ ὅτι ἐδάκρυεν Ἀγαμέμνων νῦν ἐσήμανεν. BL.

246. ἀπολέσθαι: Ἀρίσταρχος ἀπολεῖσθ. A. ὑπὲρ ἀναπαύσεως τοῦ ἀχρόατον ἀπολεῖσθαι. V.

247. τελειότατον: μέγιστον, ἢ ἐντελῆ σημεῖα φαίνοντα, ἐπιτελεσικώτατον. λέγει δὲ κατὰ τὴν τοῦ Διὸς γένεσιν τὸν ἀετὸν γεννηθῆναι, ἐν τε τῇ πρὸς τοὺς γίγαντας μάχῃ παραπτῆναι· διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν Ζεὺς τὸν ἀετὸν εἵλετο, ᾧ ἢ προστάττει καὶ ἀγγέλῳ αὐτῷ χρῆται πρὸς ἐκείνους ὡς ἐπιφανείας ἄξιοῦ· ὅθεν καὶ ἀετὸς ἐκλήθη, ἐχ ὡς τινες παρὰ τὸ ἀΐσσειν, ἀλλὰ παρὰ τὸ τὸ ἐτεὸν δηλοῦν, τὸ ἀληθές. AD.

οἱ μέν φασι τικτομένῳ τοῦ Διὸς τεχθῆναι ἢ τὸν ἀετόν· οἱ δὲ ὅτι ἐν τῇ γιγαντομαχίᾳ αἴσιος τῷ Διὶ ἐγένετο, διὸ ἱερὸς αὐτοῦ ἐστιν. εἴρηται δὲ ἀετὸς παρὰ τὸ ἀεὶ ἐτεὸν αὐτὸν εἶναι, ὅ ἐστιν αἴσιον ἢ ἀληθῆ. ἢ τὸ ᾱ ἐπιτατικόν. τελειότατον δὲ ἤτοι τὸν τελεσικώτατον, ἐπεὶ Διός ἐστιν, ἢ τὸν μέγαν. ὁ νεβρὸς δὲ τοὺς κατεπτηχότας Ἕλληνας δηλοῖ, ὁ κοινὸς βωμὸς τὴν κοινὴν ἅπασιν ἀπὸ τοῦ Διὸς σωτηρίαν ἄδειαν ἢ τοῖς καταφεύγουσιν ὁ βωμὸς πορίζει. ὅτι δὲ κοινός, ἢ τὸ πανομφαίῳ δηλοῖ, οἷον ἀπὸ πάσης φωνῆς ἢ γλώττης τετιμημένῳ· ὁμφὴ γὰρ ἡ φωνή. BLV.

248. νεβρὸν: νεβρὸς ὁ νεωστὶ βορὰν δεχόμενος, ἢ πρὸς αὐτὴν ἐπιτήδειος. BL.

249. νεβρὸν: κύκλος τὸ σχῆμα κατὰ ῥήτορας· εἰς ῥίχου γὰρ τέλος πάλιν κεῖται τὸ νεβρός. L.

250. πανομφαίῳ τινὲς τῷ ὑπὸ πάντων φωνεμένῳ· τοῦτο γὰρ δηλοῦσθαι παρ' Ἀράτῳ (2) ἐν τῷ „μεσσαὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί, πᾶσαι δ' ἀνθρώπων ἀγοραί". Ὅμηρον δὲ μήποτε ἐπὶ ψιλῆς φωνῆς ἀνθρωπίνης τὴν ὅτταν θεῖναι ἢ τὴν ὁμφήν, ἀλλ' ἀεὶ ἐπὶ τῆς θείας κληδόνος. αὐτὸς δὲ Ζεὺς κατά τινα λόγον ὁ ἀήρ ἐστιν, ὅθεν ἡ φωνή. ὁμφὴ δὲ ἡ φωνὴ διὰ τὸ τὸ ὂν φαίνειν. ἢ ὅτι ἐν τῇ Ὀδυσσέως νηῒ, ὅπου ἡ ἀγορὰ διὰ τὰς γενομένας ἐξ αὐτῆς φήμας. ἢ ὅτι φησὶν „ἢ ὅσσαν ἀκούσῃς ἐκ Διός" (Od. 1, 282). BLV.

ἄλλως. τινὲς τῷ ὑπὸ πάντων φωνεμένῳ, παρόσον αὐτός ἐστιν ὁ ἀήρ. A.

ἢ διπλῆ, ὅτι ἐκ ἔστι καθολικὸν ἐπίθετον ὁ πανομφαῖος, ὁ κληδόνιος ἢ πάσης κληδόνος παραλτιος· ἢ ὅτι ἅπαξ ἐνταῦθα τὸ ἐπίθετον. A.

καλῶς δὲ τῷ τείχει ἐντὸς τὸ σημεῖον ἐγένετο· εἰ γὰρ εἶδον αὐτὸ οἱ Τρῶες, πλέον ἂν ἐθάῤῥησαν. BL.

251. ὅτ' ἄῤ' ἐκ Διὸς ἦλυθεν ὄρνις: ἐπὶ μὲν τοῖς Ἀγαμέμνονος γέγονε λόγοις· διὸ ἢ φανερὸν τοῖς Ἕλλησιν ἦν ὡς πάντως ἠλέηται ὑπὸ Διός. BL.

252. μᾶλλον ἐπὶ Τρώεσσι θόρον: ὅτι ἢ πρώην ἦσαν πρόθυμοι ἐκ τῶν Ἀγαμέμνονος παρορμήσεων· μᾶλλον δὲ νῦν ἐθάῤῥησαν τοῖς σημείοις φανέντος αὐτοῖς. BL.

254. Τυδείδαο: τελευταῖος μὲν ὑποχωρῶν πρῶτός ἐστιν εἰς ὑποστροφήν· ἄλλως τε καὶ παρώξυνται ὑφ' Ἕκτορος. δείκνυσι δὲ ὅτι ἐκ ἄλλῳ ἢ τοῖς κραυνοῖς εἶκεν. Ὀδυσσεὺς δὲ πολέμιον ὁρῶν τὸν Δία ταῖς αἰφνιδίαις ἐ πιστεύει μεταβολαῖς ὡς ἀδήλοις. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆ τείχης ϗ τὸ ἀπὸ τῆ τείχης ἕως τῆς τάφρε, ὃ δὴ ξεῖνος προσαγορεύει. ABL.

ἄλλως. ὅτι ἔν τισι γράφεται ἀπὸ τάφρου πύργος ἔεργεν. δύναται δὲ τὸ ἐκ νηῶν συναφὲς εἶναι τῷ ἀπὸ τάφρε· πρὸς γὰ ταῖς ναυσὶ μᾶλλον ὁ πύργος ἢ ἡ τάφρος· ϗ ἔξι τὸ λεγόμενον, τὸ μεταξὺ τῆ τείχες ϗ τῆς τάφρε πλῆρες ἦν ἵππων ϗ ἀνδρῶν. ἐκ νηῶν δὲ λέγει ἀπὸ τῆ κατὰ τὰς ναῦς τόπε. σημειωτέον δὲ ὅτι μεταξὺ τῆ τείχους καὶ τῆς τάφρε διάζημα ἀπελείπετο κατὰ τὴν τοποθεσίαν τῆς νεωλκίας. A.

ἄλλως. βραχὺ διαζαλτέον ἐπὶ τὸ νηῶν· σαφεζέραν γὰ ποιεῖ τὴν διάνοιαν, τοιαύτην ἔσαν· ὅσον ἡ τάφρος ἀπέχει τῆ τείχες ϗ τῶν νηῶν, τῆτο πλῆρες ἦν πεζῶν τε ϗ ἵππων, λείποντος τῆ καί συνδέσμε· τὸ γὰ ἔεργέν ἐζι περιώριζεν. ἐντὸς τῶν τε νηῶν ϗ τῆ τείχες μεταξὺ κενὸν ἦν εἰς δίοδον, τὸ μὲν πλάτος πλεθριαῖον ὑπάρχον, τὸ δὲ μῆκος δι' ὅλου τῆ ναυζάθμε. πάλιν δὲ ἔτως· τῆ τείχες ἐκτὸς ἦν διάζημα βραχύ, μεθ' ὃ ἡ τάφρος ὤρυκτο. τοσοῦτον μέντοι εἰκάζει τὸ διάζημα ἐκεῖνο ὡς ἑνὸς βέλους εἶναι τὴν τάφρον, καὶ ἐφικνεῖαθ τὰ βαλλόμενα τῆ τείχες ἀπὸ τῶν ἐπιόντων. ἀμφότερα ἦν τὰ διαζήματα ἑκατέρωθεν τοῦ τείχους, τὸ μὲν πρὸς τὴν τάφρον, τὸ δὲ πρὸς τὰς ναῦς ἐπεπλήρωτο. ἔτως Νικάνωρ. A.

τῆτο δήλωσίς ἐζι τῆ συνεληλάθ τοὺς Ἕλληνας εἰς τὸ μεταξὺ τῆς τάφρε ϗ τῆ τείχες ζενύν. τὸ δὲ ἐξῆς, ὅσον εἶργε διάζημα ἀπὸ τῶν νεῶν ἔξω τῆ τείχες ἡ τάφρος, ἐπλήθνεν ὁμοίως ἵππων τε ϗ ἀνδρῶν ἀποκλειθέντων καὶ μὴ δυνηθέντων εἰσδραμεῖν τῷ τείχει, ἀλλὰ μηδὲ τολμήσαντος ἔξω τῆς τάφρε μεῖναι τινός. καὶ τὸ ἵππων δὲ ἐπέτεινε δηλῶν τὴν ζενοχωρίαν. (τὸ δὲ ἐξῆς· ὅσον δὲ ἡ τάφρος διώριζεν ἐκ τῶν νεῶν ϗ τῆ τείχες τὰς πολεμίας, τῆτ' ἐπεπλήρωτο. ἡ γὰ ἀπό πρὸς τὸ ἔεργεν. ϗ λείπει ὁ καί, ἵν' ᾖ ϗ πύργε. Ζηνόδοτος δὲ γράφει τῶν δ' ὅσον ἐκ νηῶν ϗ πύργως· ὃ ϗ ἄμεινον. V) τινὲς δὲ ἔτως· ὅσον ἀπέεργεν ἡ τάφρος ἐκ τῆ πύργε τῶν νεῶν, τετέζιν ἐκ τῆ πύργε τῆ διὰ τὰς ναῦς γενομένε. BLV.

217. καί νύ κεν ἔπρησε: εἰς ἄκρον τοὺς κινδύνους εἴωθεν ἐξάγειν, αἰεὶ ἐναγώνιον ποιῶν τὸν ἀκροατὴν τῇ προσδοκίᾳ, εὐθύς τε τὴν ἴασιν αὐτοῖς ἐπιφέρει. BLV.

κηλεῷ: περισπωμένως· ἐν ἄλλῳ κηλέῳ παροξυτόνως. τὸ δὲ κηλέῳ ὡς μελέῳ. γέγονε δὲ παρὰ τὸ κᾶλον ϗ κῆλον κήλειον, ὡς παρὰ τὸ μῆλον μήλειον δέρος, ϗ Ἰωνικῶς κήλειον ϗ κηλέῳ· ἐκεῖνο γᾶν ἐντελές ἐζι τὸ „σὺν πυρὶ κηλείῳ χάριν Ἕκτορος" (Il. 15, 744). A.

218. εἰ μὴ ἐπὶ φρεσὶ θῆκε: ἐν καταπλήξει γὰ ἦσαν ἅπαντες· τοῦτο δὲ ἰάσατο ἡ Ἀγαμέμνονος προτροπή. δεῖ δὲ αὐτεργεῖν ἐν τοῖς δεινοῖς τὸς ἄρχοντας. BL.

221. πορφύρεον μέγα φᾶρος: κατὰ τὸ σιωπώμενον ἔλαβε τὸ φᾶρος. ἐπισείων δὲ αὐτὸ τῷ παραδύξῳ τοῦ χήματος ἐπισρέφειν πειρᾶ τὸς ἔσω τείχους εἰσελθόντας. B.

πρὸς τὸ ἔχων ἐν χειρί, τί ποτε σημαίνει; ὁ μὲν Ἀπολλόδωρος, ὅτι περιειλήσας εἶχεν ἐν τῇ χειρί· ὁ δὲ Διονύσιος, πρὸς τὸ κατασείειν εὐθέως λαβόμενος τοῦ φάρους. A. φᾶρος δὲ ἔζι πορφυροῦν ἱμάτιον, ᾧ μεταχειρίζεθ ὁ βασιλεὺς ἕνεκα τοῦ εὐχερῶς ἑαυτὸν σημᾶναι τοῖς Ἕλλησιν, ἐπειδὴ ἀδύνατον ἦν διὰ βοῆς αὐτοὺς κατασεῖλαι. AD.

223. τῆ μεσάτῳ πρωτότυπον ὁ μέσος, ὡς ὁ τρίτος τῆ τρίτατος. ὃ μεσαιτάτῳ λέγεσιν οἱ μεθ' Ὅμηρον. L.

πρὸς τὴν τάξιν τῆς νεωλκίας ἡ παρατήρησις, καὶ πρὸς τὸ γεγωνέμεν, ὅτι οὐ ψιλῶς ἐζὶ φωνεῖν ἀλλ' ἀκουζὸν φθέγγεαθ. A.

227. διαπρύσιον: διαπορεύσιμον καὶ μέγα ϗ εἰς πάντας ἧκον. BL.

228. εἶδος ἀγητοί: οἱ τὰ μὲν παρὰ τῆς φύσεως εὐπορῶντες, οἰκεία δὲ κακία ὀμελῶντες, ὡς ϗ ἀλλαχοῦ „οὐκ ἄρα σοί γε ἐπὶ εἰδεῖ ϗ φρένες ἦσαν" (Od. 17, 454). δηλοῖ δὲ ὅτι ἀδὲν ἐζὶ κάλλος δίχα δυνάμεως. BL.

Θαυμαζοί· ἄγη γὰ ἡ ἔκπληξις. V.

229. ὅτε δὴ φάμεν: ἐκ ἀναγκαῖον ὀξύνειν τὸν δή, ἵνα κρᾶσις γένηθ, ὁμοίως τῷ „μήτε σὺ Πηλείδη θελε" (Il. 1, 277)· ἐπὶ μὲν γὰ τῆ ἐθέλω πᾶσα ἀνάγκη τὸ ε μένειν κατὰ τὸν ποιητήν, ὡς εἴρηθ· ἐπὶ δὲ τέτε τῆ παρωχημένε δύναθ ποιητικῶς ἀποβεβλῆαθ τὸ ε, ὥζε ἐπὶ τὴν φα συλλαβὴν θετέον τὴν προσῳδίαν, καὶ ἔζιν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ „Τηλέμαχος δ' ὡς εἶδεν, φάμεν δέ οἱ, ἐ τελέμεν" (Od. 16, 347). A.

λελησότως τῶν προγεγονότων αὐτὲς ὑπομιμνήσκει. πιθανῶς δὲ συμπεριέλαβε ϗ ἑαυτόν, ἵνα μὴ ἀντικρυς αὐτὲς διατρέψῃ. BL.

230. ὡς ὁπότ' ἐν Λήμνῳ: ἡ διπλῆ, ὅτι τᾶτο γινόμενον μὲν ἐ παρέζησεν, ὡς γενόμενον δὲ παραδίδωσιν. τὸ δὲ ὁπότε ἀντὶ τῆ ὅτε. A. ϗ ἀποτελεῖ ἀνταποδοτικὴν περίοδον· ἐκ ἔζι δὲ ἀνταπόδοσις. D.

τὸ ὁπότε ἀντὶ τῆ ποτέ· οἱ δὲ ζίζεσιν εἰς τὸ Λήμνῳ, λείποντος τῆ ἤμεν. δείκνυσι δὲ ὡς αἱ παρὰ κύλικας ὑποχέσεις ἀβέβαιοι. πρῶτος δὲ Ὅμηρος ἔγραψε ῥάτευμα μεθύον ϗ μεγαλορήμονα, ἐν δὲ ἀνάγκαις χρειώδεσι σωφρονᾶν ϗ ἀτυχᾶν. BLV.

ἠγοράασθε: ἐν ἄλλῳ εὐχετάασθε. A.

231. περιττὸς ὁ ζίχος· ἐκ γὰ τῆ πίνειν, ἐκ ἐκ τῆ ἐθίειν τὸ καυχᾶαθ συμβαίνει. A.

233. Τρώων ἀνθ' ἑκατόν: ἡ διπλῆ πρὸς τὴν ἀνάγνωσιν, ὅτι ἔτως προενεκτέον. A.

ἄλλως. ἐπὶ τὴν ἀνθ' συλλαβὴν ἡ ὀξεῖα, ἵνα τὸ πλῆρες ᾖ ἄντα. ἔτως δὲ ἀξιοῖ Δημήτριος ὁ γογύπεσος· ϗ ἐμοὶ δὲ ἔτως ἀρέσκει. τὸ τῆς διανοίας, ἀντικρυς γὰ Τρώων ἑκατὸν ϗ διηκοσίων εἷς ἕκαζος ζήσεαθαί φησιν. ἐ γὰ κωλύεται ἡ τᾶ ἄντα σύνταξις, εἴ γε ἐπὶ γενικὴν φέρεται. A.

τὸ πλῆρες μᾶλλον ἄντα, ὡς ϗ τῷ Ἡρωδιανῷ ἀρέσκει, ἐχὶ δὲ ἀντί, καθὼς Ἀριζάρχῳ ἔδοξεν. BL.

ἄλλως. Πορφυρίε. ἐκ ἔζι τὸ „Τρώων ἀνθ' ἑκατόν τι

διηκοσίων τε ἕκαστος ἐήσεσθ' ἐν πολέμῳ" πρὸς ἑκατὸν ᾗ διακοσίας μάχεσθ ἐν πολέμῳ, ὡς τινες ἀποδεδώκασιν, ἀλλ' ὡς εἰ ἔλεγεν, ἀντίσταθμοι ᾗ ἀντιβαρεῖς ἑκατὸν ᾗ διηκοσίων ἕκαστος ἠπείλει γενέσθ ἐν τῷ πολέμῳ. τῇ γ' διανοίᾳ ταύτῃ ἀκόλουθον τὸ „νῦν δ' ἐδ' ἑνὸς ἄξιοί εἰμεν Ἕκτορος·" ἀπὸ μὲν γ' τῶν ἐν τοῖς ζυγοῖς ἑξαμένων τε ᾗ πιπρασκομένων εἰρηθ. ἐπὶ μὲν τούτων ἔφασκεν ἕκαστον αὐτὸν λέγειν ἀντίσταθμον εἶναι ἑκατὸν ᾗ διακοσίων, ἐπὶ δὲ τῷ Ἕκτορος „ᾧδ' εἴ κεν σαυτὸν χρυσῷ ἐρύσαιθ Δαρδανίδης Πρίαμος" (Il. 22, 351), οἷον ἴσον χρυσῷ ᾗ ἰσόσταθμον χρυσῷ. τὸ δ' ἐρύσαιθ ἀντὶ τοῦ ἕῃσαι. BL

235. ὁ ὀβελός, ὅτι ἐκλύει ᾗ ὠπαμβλύνει τὸν ὀνειδισμὸν ὁ ἕίχος· κρείσσων γ' καθολικώτερον ἐῶσαι, οὐδήποτε ἀνδρός, ἀλλ' ἐχὶ τοῦ διαφορωτάτου. A.

ἄλλως. ἧττον ἂν φησιν Ἀρίσαρχος ὀνειδισικὸν εἶναι, εἴπερ οὕτως ἐγέγραπτο „Ἕκτορος, ᾧ (ἕως V) δὴ κῦδος Ὀλύμπιος αὐτὸς ὀπάζει." (περισσῶς δέ· ὡς γ' ἐκεῖνος ἀόρισωδῶς ἔλεγεν, ἕτως ἔδει ᾗ τοῦτον ἀορίσθ ἔθει V.) ἠθέτηντο δὲ ᾗ παρὰ Ἀριστοφάνει. AV.

236. Ζεῦ πάτερ: διὰ τῆς ἀναφωνήσεως ταύτης καὶ ὀνειδίζει ᾗ ψυχαγωγεῖ, τὴν αἰτίαν εἰς θεὸς ἀναφέρων. οἰκειοῦ δὲ τὴν συμφοράν, ὅπως καταιδῇ παρακαλῶν. ἀλλαχοῦ τε „τέτιμ μὲν γ' κῦδος ἅμ' ἕπεται, τέτιμ δ' αὖ μέγα πένθος Ἀχαιῶν δηϊωθέντων" (Il. 4, 415). μέγαν δέ φησιν ὀνειδισμὸν τὸ τοιοῦτον εἶναι, εἰ πάντες ἄξιοι ἑνὸς τοῦ Ἕκτορος ἐκ εἰσίν, ἀλλ' ὡς νεβροὶ ἡσσῶνται λέοντος. BL.

ἦ ῥά: ἀντὶ τοῦ εἰργάσω ἄλλον τινὰ τῶν βασιλέων οἷα ἐμέ. V.

237. καί μιν ἀπηύρας Ἀττικῶς, ὡς καταφρονεῖ με. V.

239. ἐῤῥων: ἡ διπλῆ, ὅτι τὸ ἐῤῥων ἐκ ἔχει ψιλῶς παραγινόμενος, ἀλλὰ μετὰ φθορᾶς· δυσαρεστεῖ γ' τῇ παρουσίᾳ. A.

φθορὰν ὀδυνώμενος, ἀλλ' ᾗ πλοῦν ὀνομάζει τὴν ὁδόν. παιδεύει δὲ ἡμᾶς ᾗ ἐπὶ ξένης ὄντας θεῷ προσανέχειν ἀεί, ἀφ' ᾧ πᾶν τὸ διδόμενον. BL.

240. δημόν: δημόν Ἀρίσαρχος κατ' ὀξεῖαν τάσιν ἐπὶ τῆ λίπες· τὸ γ' ἐπὶ τῆ πλήθας βαρύνει. ἕτως ᾗ ὁ Ἀσκαλωνίτης, λέγων τὸ μὲν παρὰ τὸ δέμας γεγενῆσθαι, οἱονεὶ σῶμά τι τυγχάνῃ, ἢ παρὰ τὸν δασμόν· τὸ δὲ ἐπὶ τῆ λίπες παρὰ τὸ δαίω· ἔκαυσον γ' τὸ λίπος. δύναιτο δ' ἄν τις ᾗ ἄλλως ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω γένοιτο, δέμος, ᾗ ἐν συναλοιφῇ δῆμος, τὸ συνδεδεμένον πλῆθος· τὸ γὰρ ἐναντίον λύει ἀπὸ τῆς διαλύσεως. A.

242. ἀλλὰ Ζεῦ: Ἕλλην ὢν ᾗ ἀγαθὰ φρονῶν τῆς εἰς θεὸς ἐλπίδος οὐδέποτε ἀφίσθ. παιδευτικοὶ δὲ οἱ λόγοι. BL.

243. αὐτοὺς δή περ: ἐλεεινὸν ᾗ παρ' ἐλπίδας ἀτυχία· πάλαι γὰρ περὶ νίκης εὐχόμενοι νῦν περὶ τῆς σφῶν αἰτῶσι σωτηρίας. BL.

245. ὀλοφύρατο δακρυχέοντα: ἐν ἄλλῳ ὀλοφύρετο. καὶ ὅτι ἐδάκρυεν Ἀγαμέμνων νῦν ἐσήμανεν. BL.

246. ἀπολέσθαι: Ἀρίσαρχος ἀπολεῖσθ. A.

ὑπὲρ ἀναπαύσεως τοῦ ἀκροατοῦ ἀπολεῖσθαι. V.

247. τελειότατον: μέγιστον, ᾗ ἐντελῆ σημεῖα φαίνοντα, ἐπιτελεσικώτατον. λέγεσθ δὲ κατὰ τὴν τοῦ Διὸς γένεσιν τὸν ἀετὸν γεννηθῆναι, ἔν τε τῇ πρὸς τοὺς γίγαντας μάχῃ παραπτῆναι· διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν Ζεὺς τὸν ἀετὸν εἵλετο, ᾧ ᾗ προστάττει καὶ ἀγγέλῳ αὐτῷ χρῆται πρὸς ἐκείνους ὡς ἐπιφανείας ἀξιοῦ· ὅθεν καὶ ἀετὸς ἐκλήθη, ἐχ ὥς τινες παρὰ τὸ ἀΐσσειν, ἀλλὰ παρὰ τὸ τὸ ἐτεὸν δηλοῦν, τὸ ἀληθές. AD.

οἱ μέν φασι τικτομένῳ τοῦ Διὸς τεχθῆναι ᾗ τὸν ἀετόν· οἱ δὲ ὅτι ἐν τῇ γιγαντομαχίᾳ αἴσιος τῷ Διὶ ἐγένετο, διὸ ἱερὸς αὐτοῦ ἐξίν. εἰρηθ δὲ ἀετὸς παρὰ τὸ ἀεὶ ἐτεὸν αὐτὸν εἶναι, ὅ ἐξιν αἴσιον ᾗ ἀληθῆ. ἢ τὸ ᾱ ἐπιτατικόν. τελειότατον δὲ ἤτοι τὸν τελεσικώτατον, ἐπεὶ Διός ἐξιν, ἢ τὸν μέγαν. ὁ νεβρὸς δὲ τοὺς κατεπτηχότας Ἕλληνας δηλοῖ, ὁ κοινὸς βωμὸς τὴν κοινὴν ἅπασιν ἀπὸ τοῦ Διὸς σωτηρίαν ἄδειαν γ' τοῖς καταφεύγουσιν ὁ βωμὸς πορίζει. ὅτι δὲ κοινός, ᾗ τὸ πανομφαίῳ δηλοῖ, οἷον ἀπὸ πάσης φωνῆς ᾗ γλώττης τετιμημένῳ· ὁμοῦ γ' ᾗ φωνή. BLV.

248. νεβρὸν: νεβρὸς ὀνειωσὶ βορὰν δεχόμενος, ᾗ πρὸς αὐτὴν ἐπιτήδειος. BL.

249. νεβρὸν: κύκλος τὸ σχῆμα κατὰ ῥήτορας· εἰς ἐλκον γὰρ τέλος πάλιν κεῖται τὸ νεβρός. L.

250. πανομφαίῳ τινὲς τῷ ὑπὸ πάντων φωνεμένῳ· τοῦτο γ' δηλοῦσθ παρ' Ἀράτῳ (2) ἐν τῷ „μεσαὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί, πᾶσαι δ' ἀνθρώπων ἀγοραί" · Ὅμηρον δὲ μήποτε ἐπὶ ψιλῆς φωνῆς ἀνθρωπίνης τὴν ὅτταν θεῖναι ἢ τὴν ὁμοῦ, ἀλλ' ἀεὶ ἐπὶ τῆς θείας κληδόνος. αὐτὸς δὲ Ζεὺς κατά τινα λόγον ὁ ἀήρ ἐξιν, ὅθεν ᾗ φωνή. ὁμοῦ δὲ ᾗ φωνὴ διὰ τὸ τὸ ὂν φαίνειν. ἢ ὅτι ἐν τῇ Ὀδυσσέως νηΐ, ὅπου ᾗ ἀγορὰ διὰ τὰς γενομένας ἐξ αὐτῆς φήμας. ἢ ὅτι φησὶν „ἦ ὅσσαν ἀκάσσης ἐκ Διός" (Od. 1, 282). BLV.

ἄλλως. τινὲς τῷ ὑπὸ πάντων φωνεμένῳ, παρόσον αὐτός ἐξιν ὁ ἀήρ. A.

ἡ διπλῆ, ὅτι ἐκ ἔχει καθολικὸν ἐπίθετον ὁ πανομφαῖος, ὁ κληδόνιος ᾗ πάσης κληδόνος παραίτιος· ᾗ ὅτι ἅπαξ ἐνταῦθα τὸ ἐπίθετον. A.

καλῶς δὲ τῷ τείχει ἐντὸς τὸ σημεῖον ἐγένετο· εἰ γὰρ εἶδον αὐτὸ οἱ Τρῶες, πλέον ἂν ἐθάῤῥησαν. BL.

251. ὅτ' ἄῤ' ἐκ Διὸς ἦλυθεν ὄρνις: ἐπὶ γ' τοῖς Ἀγαμέμνονος γέγονε λόγοις· διὸ ᾗ φανερὸν τοῖς Ἕλλησιν ἦν ὡς πάντως ἡλέχθ ὑπὸ Διός. BL.

252. μᾶλλον ἐπὶ Τρώεσσι θόρον: ὅτι ᾗ πρώην ἦσαν πρόθυμοι ἐκ τῶν Ἀγαμέμνονος παρορμήσεων· μᾶλλον δὲ νῦν ἐθάῤῥησαν τοῦ σημείου φανέντος αὐτοῖς. BL.

254. Τυδείδαο: τελευταῖος γ' ὑποχωρῶν πρῶτός ἐξιν εἰς ὑποστροφήν· ἄλλως τε καὶ παρώξυνται ὑφ' Ἕκτορος. δείκνυσι δὲ ὅτι ἐκ ἄλλῳ ᾗ τοῖς κραυνοῖς εἶχεν. Ὀδυσσεὺς δὲ πολέμιον ὁρῶν τὸν Δία ταῖς αἰφνιδίαις ᾗ πιστεύει μεταβολαῖς ὡς ἀδήλοις. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

257. ὁ μὲν: ὅτι Τρῶες εὐθέως ἐτράπησαν· ἐν δὲ τῇ τηλικαύτῃ Ἑλλήνων τροπῇ ἀδεὶς ἀδαμῶς πλήττεται. BL.

φύγάδε ὡς οἴκαδε. A.

260. ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ: ἐν ἄλλῳ ὑπερώησαν δέ οἱ ἵπποι. A.

261. τὸν δὲ μετ' Ἀτρεΐδαι: τὴν μὲν φυγὴν τῶν Ἑλλήνων ἀπαγγέλλων ὁ πολλῶν δεῖται τῶν ὀνομάτων, νῦν δὲ εἰς τὴν μάχην ἐπισρέφων αὐτὸς τῶν πλείστων μέμνηται. BL.

266. Τεῦκρος δ' εἴνατος: διήρηκεν ὡς μέλλων περὶ αὐτῶ λέγειν. ἔνδον δέ ἐστιν Ὀδυσσεὺς τὸν λαὸν διεγείρων. ἀλλ' οὐδὲ Θόαντος μέμνηθ', ὃς ὁ πάντως ἐστὶ δειλός. BL.

ἡ διπλῆ, ὅτι πάντων ὑποζορεψάντων μόνος ὁ Ὀδυσσεὺς παρέμεινε πρὸς ταῖς ναυσίν, ὥστε τὸ ἐπάνω εὐκρινὲς γίνεσθαι, τὸ „ὡς ἔφαθ' οἱ δ' ἐσάκουσεν" (97), ὅτι ἑκουσίως παρεπέμψατο. A.

παλίντονα τόξα τιταίνων: εἰς τὸπίσω τεινομένων· εἶδος δὲ τοξείας. A.

267. στῆ δὲ παρ' Αἴαντος: γράφεθ στῆ δ' ἄρ' ὑπ' Αἴαντος. A.

268. ὑπεξέφερεν: ἀντὶ τοῦ ἔμπροσθεν αὐτοῦ ἔφερεν. τοῦτο δὲ καὶ τὴν φιλαδελφίαν τῶν Τελαμωνίων ἐδήλωσεν, καὶ τὸ μέγεθος φανεροῖ τῆς ἀσπίδος τῆς περιλαμβανούσης αὐτούς. BL.

269. βραχὺ διαιαλτέον ἐπὶ τὸ παπτήνας, ὑποσικτέον δὲ ἐν ὑποκρίσει βεβλήκει. ἡδὺς δὲ ὁ λόγος, καὶ τὸ χῆμα ὅμοιον. AB.

270. βεβλήκει: Ἀρίσταρχος βεβλήκοι. A.

274. Ὀρσίλοχον μέν: φιλέλλην ὢν τοὺς μὲν ἐξ αὐτῶν ἐν τῇ πρώην ἥττῃ τιλευτήσαντας ὁ καταλέγει νεκρούς, τοὺς δὲ Τρώων ἀεὶ ἀριθμεῖ καὶ νῦν. BL.

276. Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον: ψιλωτέον πάντα, ἵνα κύρια γένηθ. παραιτητέον δὲ τοὺς διαλύοντας τὸ Ἀμοπάονα· πιθανώτερον γάρ ἐστι κύριον αὐτὸ παραλαβεῖν, ἵνα τὸ προκείμενον αὐτῷ πατρωνυμικὸν τυγχάνῃ. A.

ἄλλως. τὸ Ἀμοπάονα ἐν ἑνὶ μέρει λόγου ἀναγνωσέον· κύριον γάρ. A.

279. φάλαγγας: τὸ πλῆθος τῶν ἀναιρεμένων διὰ τῆς φάλαγγος ἐδήλωσεν. BL.

281. φίλη κεφαλή: εἰς εὔνοιαν αὐτὸν διὰ τῆς φιλίας ἐπάγεθ, καὶ τῷ πατρὸς ὑπομνήσας καὶ τῆς ἡγεμονίας, ὅπως μὴ ἀνάξιος τούτων ὀφθῇ. καλὴ δὲ καὶ ἡ τοῦ βάλλε παράτασις. BL.

„πατρόθεν ἐκ γενεῆς πάντας κυδαίνων" (Il. 10, 68). V.

282. αἴ κέν τι φώως: λελῃθότως αὐτὸν κατὰ τοῦ Ἕκτορος ὁπλίζει· ὅθεν κἀκεῖνος συνιείς φησι „τοῦτον δ' ἐ δύναμαι βαλέειν κύνα." BL.

283. ὃ σ' ἔτρεφε: τὸ ὃ ἀντὶ τοῦ ὅς, πανταχόθεν δὲ αὐτὸν προτρέπει, ὡς καὶ τὸν πατέρα καὶ τοὺς Ἕλληνας πάντας εὐεργετήσοντα. BL.

ἢ σέ ἀντωνυμία ἐγκλιτική ἐστι· τὸ δὲ ὃ παρὰ τῷ ποιητῇ κείμενόν ἐστιν ἀντὶ τοῦ ὅς. A.

284. παρὰ Ζηνοδότῳ ἐδὲ ἦν· ἠθέτητο δὲ καὶ παρὰ Ἀριστοφάνει, ὅτι ἄκαιρος ἡ γενεαλογία, καὶ οὐκ ἔχουσα προτροπὴν ἀλλὰ τἀναντίον ὀνειδισμόν καὶ ἀποτροπήν. A.

Ἡρακλῆς, πορθήσας Ἴλιον, Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα Πριάμῳ δὲ ἀδελφὴν ἔλαβεν αἰχμάλωτον, καὶ ἔδωκεν αὐτὴν γέρας Τελαμῶνι ὡς συστρατεύσαντι αὐτῷ, ἀφ' ἧς ἔσχε Τεῦκρον ὁ Τελαμών. ὡς ἂν ἀπὸ Τρωϊκῆς γυναικὸς τεχθέντα τὸν παῖδα Τεῦκρον ἐκάλεσαν, προυναπέμψαντες τὸν τίνον καὶ ποιήσαντες κύριον· Τευκροὶ γὰρ οἱ Τρῶες ἀπὸ τοῦ βασιλεύοντος αὐτῶν Τεύκρου. ἡ δὲ ἰσορία ἀκριβέστερον εἰρηθ παρά τε ἄλλοις πολλοῖς καὶ παρὰ Ἀπολλωνίῳ (Ἀπολλοδώρῳ Heynius) τῷ γραμματικῷ ἐν τῷ δευτέρῳ τῶν γενῶν (ἐν καταλόγῳ νεῶν D). ἐζήτηθ δὲ πῶς ἐξ ἁπάντων ἐπαινέσας τὸν Τεῦκρον νῦν ἐπιφέρει νόθον. ἡμεῖς δέ φαμεν τοῦτο μὴ εἶναι πρὸς αἰσχύνης διὰ τὸ παρὰ τοῖς παλαιοῖς ἔθος κρατεῖν· ἐτίμων γὰρ τοὺς νόθους ἐπ' ἴσης τοῖς γνησίοις. ἄλλως τε εἰ καὶ αἰχμάλωτος ἡ Ἡσιόνη, ἀλλὰ βασιλίς. ἔτι δὲ καὶ αὐξήσεως ἕνεκεν τοῦτο εἰρῆσθαί φαμεν, ὅτι τῇ ἀρετῇ καὶ τοὺς γνησίους ὑπερέβαλεν. ABD.

οὐκ ὀνειδίζει, ἀλλ' ἐπαινεῖ, ὅτι διὰ τὴν τοῦ τρόπου χρηστότητα καίπερ νόθος ὢν ὅτως ἐτράφη. ἄλλως τε διδάσκει ὅτι οὐκ ἔστιν ὄνειδος τὰ ἴδια ἀκθειν. ἀλλ' οὐδὲ ὄνειδος ἡ νοθεία παρὰ τοῖς παλαιοῖς. πρόλεμεῖ δὲ τοὺς ὁμοφύλους βαρυνόμενος καὶ αὐτὸς ὤν, ὅτι τῇ φιλαδελφίᾳ μᾶλλον ἥττηται. BL.

289. μετ' ἐμὲ: φιλαλήθως πρὸς πίστιν. ἐντεῦθεν νόμος τοὺς ἀριστεῖς γέρας δέχεσθαι. V.

πρεσβήϊον: τὸ ὑπὲρ τιμῆς διδόμενον δῶρον. AD.

290. ἢ τρίποδ' ἠὲ δύω ἵππους: παραδιαζευκτικὸς ὁ ἤ, ὡς τὸ „ἠὲ δύο ἢ τρεῖς ἄνδρας ἐρυσθ" (Od. 5, 484). ἡ δὲ διπλῆ, ὅτι δύο ἵπποις ἐχρῶντο. οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη ἵππω. A.

291. ἦ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι: τοιαύτην, φησί, δώσω σοι ἣν ἂν ἀξιώσαις κτᾶσθαι καὶ γαμετήν. BL.

293. σπεύδοντα: ἀντὶ τοῦ προθύμως ἐνεργοῦντα. A.

τὸ σπεύδειν ἐνταῦθα τὸ κακοπαθεῖν δηλοῖ, ἢ μᾶλλον ἐπείγεσθαι. BL.

296. τόξοισι: βέλεσι· „συναίνυτο καμπύλα τόξα πεπτεῶτα" (Il. 21, 502). V.

δεδεγμένος: ἵνα οἱ Ἀριστάρχῳ διὰ τοῦ γ δεδεγμένος· Ἡρωδιανὸς δὲ διὰ τοῦ χ δεδεχμένος, καὶ φησι Διογένης ἐν τοῖς ὑπομνήμασιν ὅτι εἰρωνευόμενος λέγει, οἷον δεξιέμενος τοῖς τόξοις· τὸ γὰρ δεδέχθαι φιλοφρονεῖσθαι καὶ δεξιοῦσθαι ἔστιν. ἐκ ἄχαρις ἡ ἐξήγησις. AB.

299. βαλέειν: ὅτι ἀντὶ τοῦ παῖσαι καὶ βαλεῖν. A.

κύνα: διὰ τὸ θρασὺ καὶ πολύλαλον· „ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον" (Il. 13, 362) καὶ τὸ „ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου" (338). ABV.

301. ἡ διπλῆ πρὸς τὸ βαλέειν. A.

304. *Αἰσύμηθεν*: Ἀρίσαρχος Αἰσύμνηθεν, καὶ ἡ Ζηνοδότεια καὶ ἡ Ἀριστοφάνης. A.

Αἰσύνηθεν διὰ τοῦ ν καὶ αἱ Ζηνοδότεια καὶ ἡ Ἀριστοφάνης. ἐξ Αἰσύμηθεν ἴσως τῆς Νιρέως Σύμης (Il. 2, 671). οἱ δὲ αἰσύμνηθεν ἀπὸ βασιλικοῦ γένους. V.

ἡ ἐξ παρέλκει ὡς ἐπὶ τοῦ ἐξ οὐρανόθεν. τὸ δὲ ἐξ Αἰσύμηθεν ἐξ Αἰσύμης πόλεως Θρᾳκικῆς. L.

306. *μήκων δ' ὡς*: ἤτοι τὸ ἐξῆς ἐχίν, ἐτέρωσε δὲ κάρη βάλεν ὡς μήκων, ἢτ' ἐνί κήπῳ καρπῷ βριθομένη ἐχί· λείπει γὰρ τὸ ῥῆμα τοῦτο, καὶ ἐκ ἔχιν ἡ μετοχὴ ἀντὶ ῥήματος. ἔχαι δὲ ἕτως διὰ ἡ ἀνταπόδοσις λεγομένη· καὶ γὰρ ἐξῆς ἐπιφέρει „ὣς ἑτέρωσ' ἤμυσε κάρη·" καὶ ἐν ἄλλοις δὲ εἴωθεν. κατὰ δὴ ταύτην τὴν ἐξήγησιν ἐπὶ μὲν τὸ βάλεν διαχελῶμεν, ἐπὶ δὲ τὸ εἰαρινῇσιν ὑποχίξομεν. δύνα δὲ καὶ ὑποχίζεσθαι ἀμφότερα ἐν ὑποκρίσει, ἵνα μία ἀνταπόδοσις ᾖ ἡ ἐπιφερομένη· ἔχαι δὲ τὸ ἐξῆς, ὡς δὲ μήκων ἑτέρωσε κάρη βάλεν, ὣς ἑτέρωσ' ἤμυσε κάρη. ἢ περισσόν ἐχι τὸ ἡ ἄρθρον καὶ ὁ τέ σύνδεσμος· ὁ δὲ λόγος, ὡς δὲ μήκων ἑτέρωσε κάρη βάλεν, ὣς ἑτέρωσ' ἤμυσε κάρη, βάλλει καρπῷ βριθομένη, ὡς ἑτέρωσ' ἤμυσε. βέλτιον δὲ ὑποχίζειν. A.

ὅλον ὅλῳ παραβέβληται μηδενὸς ἐλλείποντος. ἔχι δὲ διάχενος ὁ μήκων· διὸ βαρεῖται. κοινὸν δέ ἐχι τὸ κάρη βάλεν. BL.

ἤτε: σημειωτέον ὅτι θηλυκῶς εἶπε τὴν μήκωνα. D.

307. *βριθομένη*: κέχρηται τῇ μετοχῇ ἀντὶ ῥήματος, καὶ ἔχι τὸ σχῆμα ἴδιον Αἰολέων. D.

ἡ διπλῆ, ὅτι ἔξωθεν προσληπτέον τὸ ἔχιν, εἰ μὴ ἡ μετοχὴ ἀντὶ ῥήματος παρείληπται, βριθομένη ἀντὶ τοῦ βρίθει. κοινὸν τὸ κάρη βάλεν. A.

λείπει τὸ ἔχιν· ἐκδέχεται δὲ (ἀ γὰρ ἀναδέχεται V) Νικάνωρ τὴν μετοχὴν ἀντὶ ῥήματος. νοτίῃσι δέ, ὅτι εἰ μὴ ἦν ὑγρά, οὐκ ἂν ἐκέκλιτο ἀλλ' ἐκέκλαστο. BLV.

308. *ἑτέρωσ'*: ὅτι τὸ πλῆρες ἑτέρωσε. A.

Αἰτωλικὸν τὸ πήληξ. V.

311. *διχῶς, τοῦ μὲν ἅμαρτε, καὶ τόθ' ἅμαρτε.* A.

παρέσφηλεν γὰρ Ἀπόλλων: καὶ τὸν Ἕκτορα σώζει, καὶ τὸν Τεῦκρον ἐπαίρει ὡς μὴ ἀποτυχόντα ἀλλὰ σφαλέντα· παρέσφηλε δὲ ἢ τὸν Τεῦκρον ἢ τὸ τόξον. BLV.

312. *Ἀρχεπτόλεμον*: ἐνταῦθα καταλέλοιπε Ζηνόδοτος Ἀρχεπτόλεμον, πεποίηκε δὲ ἄνω (128) Ἰφιτίδην Ἐρασιπτόλεμον. A.

μούνους τοὺς Ἕκτορος ἡνιόχους ἐποίησεν ἐν τῷ πολέμῳ τετρωσκομένους, ἄνω μὲν Ἠνιοπέα, νῦν δὲ Ἀρχεπτόλεμον, μετὰ δὲ ταῦτα Κεβριόνην· θρασὺς γὰρ ἡνίοχός ἐστιν Ἕκτωρ. ἀδύνατον δὲ ὁ ποιητὴς ὅτι βλάπτει ἡ πρὸς τοὺς θρασεῖς μάχη. BL.

313. *ἑέμενον πόλεμόνδε*: ἐμφαίνει διὰ τοῦτο ὅτι ἔφρασεν ἄν τι χαλεπόν, εἰ μὴ ὑπὸ Ἀπόλλωνος μὲν πασφάλη, ὑπὸ δὲ Ἕκτορος ἐτρώθη. BL.

ἡ διπλῆ πρὸς τὸ βάλεν ἀντὶ τοῦ ἔπαισεν. βραχὺ δὲ μεταλτέον μετὰ τὴν δε συλλαβήν. A.

316. *ἡνιόχοιο*: λείπει ἡ περί, ὡς „οἰκτροτάτην ἤκουσα ὄπα Πριάμοιο θυγατρός" (Od. 11, 420)· ἀγὼ τὴν αὐτῆς ὄπα, ἀλλὰ περὶ αὐτῆς ἣν ἔλεγε Κλυταιμνήστρα καταβοῶσα Ἀγαμέμνονος, ὅτι ἐπαγάγοι αὐτῇ βάρβαρον γυναῖκα. ὁ ἐν ἐξ αὐτῆς ψόγος οἰκτρὸς ἦν τῷ Ἀγαμέμνονι. οὕτως ἐν καὶ ἐνταῦθα λείπει ἡ περί. V.

317. *ἑταίρου*: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί, περὶ ἑταίρου. A.

321. *ὁ δὲ*: Ὁμηρικὸν ἔθος ὡς περὶ ἑτέρου λεγόμενον. A.

ἡ διπλῆ ὅτι ὡς περὶ ἑτέρου „ὁ δὲ χερμάδιον," ἐπὶ τοῦ αὐτοῦ ἀναφέρων πρόσωπον, ὡς εἰ ἔλεγεν ὅτος δὲ αὐτὸς χερμάδιον λάβε χειρί. A.

βαλέειν: ὅτι ἐπὶ τοῦ τρῶσαι. V.

323. *ἐξείλετο*: ἐξελέξατο, ἐξήγαγε. L.

πικρὸν: πικρὸς ὁ θανάσιμος, ὃς ἀλλαχοῦ ἐχεπευκής. L.

325. *ἡ διπλῆ, ὅτι αὐερύοντα σαφῶς εἰς τὰπίσω ἕλκοντα· καὶ παλίντονα τόξα ἀπὸ τέτε. ἐ πάντως διαχαλτέον ἐπὶ τὸ αὐερύοντα, ὡς ἀξιοῖ Νεοτέλης· ἀμφότερα γὰρ συμβέβηκε πρὸς τὸν ὦμον, καὶ τὸ βληθῆναι αὐτὸν καὶ τὸ ἐρύσαι. ὁ μέντοι Νεοτέλης Σκυθικὴν εἶναι τὴν τοξείαν ἔφασκεν, τοῦτο πρὸς τὸν ὦμον ἑλκομένης.* A.

ὅθι κληῖς ἀποέργει: περὶ (διὰ V) τὸν σύνδεσμον τῆς ὠμοπλάτης ἤτοι τὴν ἀκρωμίαν. καίριον δὲ τοῦτο ὡς πρὸς τοξότην καλεῖ. BLV.

ἕτως χωρὶς τοῦ ι ἀποέργει. V.

328. *προδιέλυσε δὲ τὴν ὁρμὴν τοῦ λίθου ἡ κοπεῖσα νευρά.* BL.

ὅτι ἐν τοῖς ἑξῆς (Il. 15, 469) *τέτε μνημονεύει „νευρὴν δ' ἐξέρρηξε νεοσρεφέα." καὶ ὅτι ἕτως εἶπε τὸ ἐνάρκησεν ἐν ἴσῳ τὴν χεῖρα κατὰ τὸν καρπόν.* A.

τινὲς προπεριέσπασαν τὸ χειρ, ἵν' ἔχῃ ἐντέλειαν πτώσεως αἰτιατικῆς. ὁ μέντοι Ἀσκαλωνίτης ὀξύνει, καὶ εὐθεῖαν παραλαμβάνει, ἵνα καὶ σχῆμα γένηται. A.

νάρκησε δὲ χείρ: ποῖος ὦμος βέβληται; δῆλον ὅτι ὁ ἀριστερός, δι' ὧν φησὶ „τόξον δέ οἱ ἔκπεσε χειρός." ἄλλως τε τὸν προβεβλημένον ὦμον εἰκὸς πεπλῆχθαι, οὐχὶ τὸν συνεσταλμένον ἐν τῷ τοξεύειν. τινὲς δὲ χεῖρα κατ' αἰτιατικήν. ABL.

*Πορφυρίων. ἐν τέτοις τοῖς ἔπεσι τοῖς περὶ τοῦ Τεύκρου εἰρημένοις ζητοῦσι ποίαν χεῖρα τέτρωται ὁ Τεῦκρος, καὶ πότερον τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκει, καθάπερ οἱ Σκύθαι· τοῦτο [illegible] Νεοτέλης, ὅλον βιβλίον γράψας περὶ τῆς κατὰ τὰς [illegible]ας, καὶ τὰς μὲν Κρῆτας φάμενος τὴν νευρὰν ἕλκειν ἐπὶ τὸν μαζόν, τὴν δὲ τάσιν κυκλοτερῆ ποιεῖσθαι, τῶν Σκυθῶν ἐκ ἐπὶ τὸν μαζὸν ἀλλ' ἐπὶ τὸν ὦμον ἑλκόντων, μὴ προέχειν τὰ εὐώνυμα μέρη τοξεύοντα (τοῦ τοξεύοντος Leid.) τὰ δεξιά. ῥητέον δὲ ὅτι τὸ αὐερύοντα ἃ δεῖ συνάπτειν τῷ παρ' ὦμον, ἀλλὰ εἰξαντα ἐν τῷ αὐερύοντα τὸ ἑξῆς λέγειν, παρ' ὦμον ὅθι κληῖς ἀποέργει αὐχένα τε ῥηθύς τε· τοῦτο γὰρ τῷ μὲν τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκειν ἁρμόττει, τῷ δ' ἐμφῆναι βαλομένῳ τὴν παρ' ὦμον πληγήν, ὅπερ καὶ ποσὶ μάλιστα συνάδει· παρὰ γὰρ τὸν ὦμον ἡ κλεὶς ἐστιν, ἀποδιαιρῶσα τὸ

σῆθος ἀπὸ τῆς αὐχένος. τοῦτο μὲν οἶμαι ὅτως λύεϑ. φαμὲν δὲ ὅτι παρὰ τὸν ἀριστερὸν ὦμον ὁ λίθος κατηνέχθη. ἀκ ἐκ τῶν προκειμένων δὲ ἐπῶν, ἀλλ' ἐξ ὧν ἐπάγει, ἐδείξε· „ῥῆξε δέ οἱ νευρήν, νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ, σῇ δὲ γνὺξ ἐριπών, τόξον δέ οἱ ἔκπεσε χειρός," οὐ μὰ Δία τῆς δεξιᾶς, ἀλλὰ τῆς εὐωνύμου. ᾗ συνέβη ταύτην ναρκῆσαι κατὰ τὴν πρὸς τὸν ὦμον συνάφειαν, ὅπερ ᾗ πεπληγέναι συνέβαινε. προσεχῇ γϑ τῇ μὲν δεξιᾷ χειρὶ τὰ δεξιὰ τῶν ὑπὲρ αὐτήν, τῇ δ' ἀριστερᾷ ἐν συναφῇ τὰ ἐναντία· ᾗ ἐκ ἠδύνατο τῆς κρατούσης τὸ τόξον ἀριστερᾶς χειρὸς νάρκησάσης, ᾗ διὰ τοῦτο ἀποβαλούσης τὸ τόξον, μᾶλλον ὁ δεξιὸς ὦμος βεβλῆϑϑ, ἀλλ' ἐχ ὁ τῆς πεπονθυίας ἀριστερᾶς, ἐπεὶ καὶ προβάλλοντες μὲν τὸν ἀριστερὸν ὦμον, συσέλλοντες δὲ εἰς ἑαυτὸν τὸν δεξιὸν τοξεύουσιν· ἑτοιμότερον δὲ εἰς βολὴν τὸ προβεβλημένον τῆ κρυπτομένου. E.

331. περίβη: ἡ διπλῆ, ὅτι ἀπὸ τῶν ὑπερμαχούντων τοῖς ἐκγόνοις ζῴων, πρὸς τὸ „Χρύσην ἀμφιβέβηκε" (Il. 1, 37). τὴν δὲ προθυμίαν ᾗ σπεδὴν αὐτῆ διὰ τῆ Θέων ἐδήλωσεν, ἐπεὶ ἀ μακρόϑεν ἦν ἀλλ' ἐγγύς. BL.

335. Ὀλύμπιος: πάλιν ἐπὶ τὸν Δία τὸ τῆς νίκης αἴτιον ἀναφέρει, μὴ ϑέλων μωμῆσαι Ἕλληνας. BL.

336. οἱ δ' ἰϑὺς τάφροιο: τῇ ταραχῇ τῶν φευγόντων μόνον ἐχὶ καὶ οἱ ἄριστοι τῇ τάφρῳ φεύγοντες ἐνέπεσον. BL.

337. Ἕκτωρ δ' ἐν πρώτοισι: αἱ Ἀριστάρχου χωρὶς τῆ ν, Ἕκτωρ δὲ πρώτοισι· καὶ ἔξιν, ὁ δὲ Ἕκτωρ ἐπὶ τὰς πρώτας ὥρμα. A.

σθένεϊ βλεμεαίνων: σφοδρῶς ἐπιῤῥωννύμενος. ἔνιοι δὲ τῷ βλέμματι φοβῶν. οἷον τὴν δύναμιν διὰ τῆ βλέμματος ἐνδεικνύμενος. D.

338. ὡς δ' ὅτε τίς τε κύων: ἀ δεύντως, φασί, τῷ κυνὶ ἓν ζῷον διώκοντι παραβάλλει τὸν Ἕκτορα διώκοντα πολλά. ἄλλως τε ἐκ ἔδει εἰκάζειν τὸν διώκοντα κυνί, τὰς δὲ διωκομένας ἀλκιμωτέρῳ ζῴῳ, τῷ λέοντι. ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον ὅτι ὁ Ἕκτωρ εἴκασαι κυνὶ ἐνὶ ᾗ ὁ διωκόμενος ϑηρὶ ἑνί· φησὶ γϑ „αἰὲν ἀποκτείνων τὸν ὀπίσατον" (342). πρὸς δὲ τὸ δεύτερον ὅτι ἡ παραβολὴ ἀ πρὸς ἰσχὺν ἀλλὰ πρὸς τάχος· κύνες γϑ ἐν ταῖς ϑήραις ἐπιτήδειοι πρὸς δίωξιν· διὰ τοῦτο ὁ Ἕκτωρ διώκοντι εἰκάσαι κυνί. τὰ δὲ ἄγρια ζῷα φεύγειν εἴωϑε τὰ πολλά, διὰ τοῦτο οἱ ὑποχωρῆντες Ἕλληνες τοῖς φεύγουσιν εἰκάζονϑ, ἔπειτα ᾗ δεύντως τοῖς ἀλκιμωτέροις ζῴοις φεύγουσι παρέβαλε τοὺς Ἕλληνας· προεῖχον γϑ τῇ ῥώμῃ, ᾗ τὰ νῦν δυσχεῖσι, ᾗ ἀεὶ ὁ ποιητὴς εἴωϑε κακοπραγοῦντας αὐτὸς ϑηρσὶν εἰκάζειν. ABLV. ὁ δὲ Αἴας ᾗ τῷ Διὸς φοβῆντος αὐτὸν ἀναχωρῶν λέοντι παραβάλλεϑ, οἱ δὲ Τρῶες νεβροῖσι. V.

συὸς ἀγρίου: συάγρου, σημειωτέον δὲ ὅτι τὰ τοιαῦτα ὀνόματα διῃρημένως λέγεϑ ὡς τὸ ἄγριον αἶγα. D.

339. ἅπτηται κατόπισθε: εὖ τὸ ἅπτηϑ· ἀ γϑ ἐπιλαμβάνεϑ, ἐπιπηδᾷ δὲ ὑλακτῶν. εὖ δὲ ᾗ τὸ ὄπισθεν· ἐναντίος γϑ ἀ πρόσεισι τῷ ϑηρίῳ, τὴν ἐμβολὴν αὐτῆ φοβέμενος. καλῶς δὲ ἐ τῇ πλευρᾷ ἐπίκειϑ ἀλλὰ τοῖς γλουτοῖς ᾗ τοῖς ἰσχίοις πρὸς τὸ ῥᾳδίως ἐκκλίνειν τὴν ἐπιφορὴν τοῦ ϑηρίου. ἐπιφέρει γὰν „ἑλισσόμενόν τε δοκεῖει." καὶ ἐν τῇ δυσχερεῖᾳ δὲ ὑψοῦϑ τὸ Ἑλληνικόν. BL.

διώκων: γράφεϑ πεποιθώς. A.

340. ἰσχία τε γλουτούς τε: τὸ ἡμισίχιον ἢ τοῖς ἄνω συναπτέον, ἵν' ᾗ χῆμα, ἅπτηται ἰσχία ἀντὶ τοῦ ἰσχίων, ὡς „Ἥρη δὲ μάξιγι θοῶς ἐπεμαίετ' ἀρ' ἵππας" (Il. 5, 748). ἢ τοῖς ἑξῆς προσδοτέον, ἵνα τὸ δοκεύει κοινὸν ᾗ. A.

σημειοῦνταί τινες ὅτι ἐγῶς διέξαλλε. A.

ἑλισσόμενον: διὰ τῆ ν· περὶ γϑ τῆ συὸς λέγει. V.

ὅτω δὼ τῆ ν ἑλισσόμενον· τὸν γϑ ἓν ἐπιστρεφόμενον παρατηρεῖ. A.

343. τῇ ταραχῇ τῶν φευγόντων ᾗ μόνον ἐχὶ ἐμπιπτόντων τῇ τάφρῳ οἰκεῖον τὸ ὑπερβατόν. V.

344. πολλοὶ δέ: ὁ δὲ ἀντὶ τῆ γάρ. ἔξι δὲ διὰ μέσου. V.

345. ἐρητύοντο μένοντες: ἐ κατὰ τὸς Τρῶας πεφυζότες ἦμεν ἤϋτε νεβροί (Il. 22, 1)· φιλάλληλον γϑ καὶ αἰδέσιμον ἀεὶ τὸ Ἑλληνικόν· εὔχονϑ γῶν ϑεοῖς ᾗ ἀλλήλοις παρακαλῶσιν. BL.

346. μετὰ τὸ κεκλόμενοι σικτέον· ἑτέραν γϑ πεποίηται περίοδον τὴν ἑξῆς, ὡς εἴ γε διὰ τοῦ ϑ ἐγράφετο, μέγα ἂν εὐχετόωντο, ἐσίξαμεν ἂν ἐπὶ τὸ ἀνίσχοντες. καὶ τάχα γραφικὸν ἁμάρτημα γέγονεν. A.

347. εὐχετόωντο: ἀπὸ μετοχῆς εἰς ῥῆμα μετέβη, ὡς τὸ „λοῖσί τε τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον" (Il. 3, 80).

348. ἀμφιπερισῳφᾷ: ἀ περιττὴ ἡ ἑτέρα πρόθεσις ἀλλ' ἐναργῶς δείκνυσι τὴν ἐν ταὐτῷ γινομένην συνεχῆ Ἕκτορος συροφὴν (ἐπισροφὴν V), ζητοῦντος κατὰ ποῖον εἶλάσει μέρος τὲς ἑαυτῦ ἵππες. B.

349. ὁ Ζηνόδοτος γράφει Γοργόνος ὄμματ' ἔχων· ᾗ ἐ βροτολοιγῷ Ἄρηος. ὁ δὲ Ὅμηρος χωρὶς τῆ ν φησὶ γει „τῇ δ' ἐπὶ μὲν Γοργώ" (Il. 11, 36) ὡς Σαπφώ· ὁ δὲ λέγει Γοργῦς ὡς Σαπφῦς. Ἀρίσαρχος δὲ γράφει σὺν τῷ ῑ, οἶμαϑ' ἔχων· καί φασι παρὰ τὴν οἶμον γεγενῆσαι τὰς ὁδὲς ᾗ τὰ ὁρμήματα. αἱ μέντοι πλείες τῶν δημώδων εἶχον Γοργῦς ὄμματ' ἔχων, οἷς συλλαμβάνει ᾗ τὸ ἀλλαχῶς λεγόμενον „τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις." χαλεπὸν δὲ τὸ σαφὲς εἰπεῖν. A.

Ἀρίσαρχος μὲν οἰματά φησιν, οἱ δὲ ἄλλοι ὄμματα· φησὶ γϑ βλοσυρῶπις· ᾗ ἀπὸ τῶν ὁμμάτων δὲ εἴωϑε τὰ πρόσωπα χαρακτηρίζειν, ὡς τὸ „κυνὸς ὄμματ' ἔχων" (Il. 225). Γοργόνος δὲ γράφει Ζηνόδοτος (Ἀρίσαρχος L) ὡς ἀκῶς· ἔτε γϑ ὁ ποιητὴς ἔτε Ἡσίοδος Γοργών φασιν, ἀλλὰ Γοργώ. BL.

350. τὲς δὲ ἰδὼν ἐλέησε ϑεὰ: ἀναρτᾷ πάλιν αὖ ἀπὸ τῶν παρόντων, μὴ διηγέμενος ὡς φιλέλλην τὴν τῶν Ἑλλήνων δυσχέρειαν. BL.

351. αἶψα δ' Ἀθηναίην: δείκνυσι τὸ αἶψα οὐδὲν ἐπιλογισμῷ τοῦτο ποιεῖ· διὸ ᾗ μεταμεληϑήσεϑ ὕστερον ἐπιτυχοῦσα δὲ Ποσειδῶνος ταύτην ἀναπείϑει. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

352. οὐκέτι: οὐκέτι ὕστερον τῶν Ἑλλήνων· ἀπολοῦνται γάρ, ὡς μὴ χρείαν ἔχειν τῆς ἐξ ἡμῶν ἐπικουρίας. τινὲς δὲ κατ' ἐρώτησιν. V.

οἰκεῖον τῇ χετλιαζούσῃ τὸ προοίμιον. κατ' ἐρώτησιν δὲ αὐτῇ διαλέγεται· ἐκέτι, φησί, κἂν ἐχάτως τῶν Ἀργείων κεκαδησόμεθα; τὸ δὲ κεκαδησόμεθα ἀντὶ τοῦ φροντιοῦμεν, ἀπὸ τῶν κήδεσθαι. BLV. ἔχουσιν οὖν ἀπολογίαν διὰ τὸ μὴ περιορᾶν τὴν Ἑλλήνων ἐχάτην ἀπώλειαν. ἔτι δὲ μέσος δεύτερος μέλλων καδήσομαι, καὶ Αἰολικῷ ἀναδιπλασιασμῷ κεκαδήσομαι. V.

352. νῶϊ: ἡμῖν κοινῇ διαλέκτῳ. Δωριεῖς γάρ φασιν ἄμμες, Αἰολεῖς ἄμμε, Ἀττικοὶ δὲ νώ, Ἴωνες ἡμέας. ἔτι δὲ ἀντωνυμία δυϊκὴ ὀρθῆς καὶ αἰτιατικῆς πτώσεως, ἡμῶν καὶ ἡμῖν. A.

353. Δαναῶν: γράφεται Ἀργείων. A.

κεκαδήσομεθ' ὑσάτιόν περ: δύνασθε καὶ τοῖς ἑξῆς συνάπτειν, ἵνα ᾖ ὑσάτιον· βέλτιον δὲ ὡς σύνηθες ποιῶν ἄνω. ἢ δὲ διάνοια, ἐκέθ' ἡμεῖς τῶν Ἑλλήνων ἀποχησόμεθα τό γε παύσατον νῦν. ὑσάτιον ἀντὶ τοῦ ὕσατον, ὡς μάλλιον τὰ ἄλλα. A.

ὑσάτιον ἀντὶ τοῦ ὕσατον, ὡς μᾶλλον τὸ μᾶλλον. V.

355. ἀνδρὸς ἑνὸς ῥιπῇ: τεχνικῶς ὁ κατὰ Διὸς αὐτὴν ὀτρύνει, μή πως αἰδεσθῇ τῷ πατρὶ ἐναντιωθῆ· ἡ δὲ συνίησι τὸ σιωπηθέν, καί φησιν „ἀλλὰ πατὴρ ἐμός." ἐμφαντικὴ δὲ ἡ μεταφορά· τὸ γὰρ ῥιπῇ ἐπὶ ἀνέμου καὶ πυρὸς τάττεται, ἄμφω δὲ ἔχει ἐπὶ Ἕκτορος· „ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραὶ ἶσος ἀέλλῃ" (Il. 11, 297) καὶ „μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὁλοὸν πῦρ" (Il. 15, 605). BLV.

ἀνεκτῶς: ὡς ἀνδρικῶς Ἀρίσαρχος περισπᾷ. λέλεκται δὲ ἡμῖν περὶ τῆς προσῳδίας, ὁπότε διελάβομεν περὶ τοῦ „ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, ἐκέτ' ἀνεκτά" (Il. 1, 573). A.

358. καὶ λίην οὗτός γε: καὶ μὴν περὶ τάτε μὲν ἐδέν μοι μέλει, φησίν· ἀπολεῖται γ' ὅσον ἐδέπω· ὁ δὲ πατὴρ ὁ ἐμός ἐστιν αἴτιος. BL.

λίην: ὅσον ἐδέπω. ἕτως ἔχει καὶ τὸ „ἀλλ' ἴομεν· μάλα γὰρ νὺξ ἄνεται" (Il. 10, 251). V.

360. ἐμὸς: ὁ μέγας καὶ σεμνός. V.

μαίνεται: ἐνθουσιᾷ, ὡς τὸ „μαίνετο δ' ὡς ὅτ' Ἄρης" (Il. 15, 605). τὸ φιλότιμον δὲ τῆς κακώσεως δηλοῖ. BL.

361. σχέτλιος: σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ ἀγνώμων, ἐκ ἐν τῷ καθόλε δέ, ἀλλ' εἰς ταύτην μόνην. A. διὰ τὰ πεπονημένα εἰς Ἡρακλέα. V.

362. οὐδέ τι τῶν μέμνηται: πρὸς μὲν τὸν Δία εὐπρεπὴς ἡ εἰς τὸν Ἡρακλέα τῆς εὐεργεσίας ἀνάμνησις, πρὸς δὲ τὴν Ἥραν ἐκέτι· αὕτη γὰρ ἠναντίωτο αὐτῇ σωζούσῃ τὸν Ἡρακλέα. ἢ ἐκεῖνο ῥητέον, ὅτι ἀνθρώπινόν τι ἔχει ἡ εἰκών· πολλὴν γὰρ σπουδὴν εἰς τινας εἰσενεγκάμενοι καὶ δι' αὐτῶν τοῖς ἀναγκαίοις εἰς ἀπέχθειαν ἐλθόντες, ἀχαρίστων ὄντων τῶν εὖ πεπονθότων, εἰώθαμεν χετλιάζοντες εἰσφέρειν πρὸς ἃς ἀπηχθήμεθα τὴν τῶν εὐεργετηθέντων ἀχαριστίαν μεμφόμενοι ἑαυτοῖς ἐπὶ τῇ ἀβούλῳ κρίσει. BL.

364. ἤτοι ὁ μὲν: αὔξει τὴν ἐπικουρίαν. δηλοῖ δὲ καὶ τὸ εὐσεβὲς Ἡρακλέους. V.

αὐτὰρ ἐμὲ Ζεύς: ἀπολογεῖται τῇ μητρυιᾷ. V.

367. πυλάρταο: ἰσχυρῶς συναρμόζοντος καὶ κλείοντος τὰς πύλας, διὰ τὸ μηδένα ὑποσρέφειν ἐξ Ἅιδου. AD.

368. ἐξ Ἐρέβευς ἄξοντα κύνα σύγερῆ Ἄϊδαο: ἢ διπλῆ, ὅτι τότε μόνα τῶν ἄθλων μένειν κατὰ τὸ ῥητόν, τίνες ἦσαν, καὶ ὅτι κύνα μόνον λέγει, Κέρβερον δὲ ἐκ ὀνομάζει, ὡς οἱ νεώτεροι. ἀπὸ δὲ τοῦ μείζονος ἄθλα πάντας δηλοῖ. οἶδε δὲ τὸν κύνα καὶ τὴν φύσιν αὐτοῦ. Πίνδαρος γοῦν ἑκατόν, Ἡσίοδος δὲ πεντήκοντα ἔχειν αὐτὸν κεφαλάς φησιν. ABV. *)

τὸν Κέρβερον. τελεσθέντων Ἡρακλεῖ ἄθλων ἐν μησὶ καὶ ἔτεσιν ὀκτώ, μὴ προσδεχόμενος Εὐρυσθεὺς τόν τε τῶν Αὐγέου βοσκημάτων ἆθλον καὶ τὸν τῆς Ὕδρας, ἐνδέκατον ἐπέταξεν ἆθλον αὐτῷ, τὸν Κέρβερον ἐξ Ἅιδου κομίζειν. ABD.**)

369. Στυγὸς: Στυγὸς μία τῶν Ὠκεανοῦ θυγατέρων, ἣν ὁ Ζεὺς φρικωδέστατον ὅρκον τῶν θεῶν ἐποίησε τιμήσας αὐτήν, ὡς φησιν Ἡσίοδος ἐν Θεογονίᾳ (775). ἔστι δὲ καὶ κρήνη ἐν Ἅιδου. AD.

αἰπὰ: προσάντη καὶ ἄνωθεν καταῤῥέοντα. τὸν πλῶν δὲ τοῦ Κωκυτοῦ φησίν, ὃς ἐξ Στυγὸς ὕδατος ἀπόῤῥωξ. BL.

370. στυγέει: ἐκ εἶπεν ὅτι ἐκ ἀντενηργετήθην, ἀλλ' ἠθικῶς ὅτι μᾶλλον καὶ μεμίσημαι. BL.

371. ἦ οἱ γούνατ' ἔκυσσε: τὴν μὲν Θέτιδος χάριν ἀπέκρυψε, λέγουσα δωρεὰν αὐτὴν εὐεργετεῖσθαι, τὴν δὲ ἰδίαν ὠνείδισε μὴ εὐεργετουμένη. BL.

371. 372. ἀθετοῦσι δύο σίχοι, ὅτι ἐκ ἔδει κατὰ μέρος διηγήσασθαι, καὶ ταῦτα πρὸς τὴν καλῶς εἰδυῖαν· καὶ μὴν ἐδὲ ἡμεῖς περισσόν τι προσιστορῆμεν. οὐδὲ παρὰ Ζηνοδότῳ ἦσαν. A.

373. ἔσται μὰν ὅταν: ἡ διπλῆ πρὸς τὸ τῆς ἑρμηνείας ἴδιον, ὡς ἐκεῖ „ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρή" (Il. 6, 448) ἀντὶ τοῦ ὅτ' ὀλεῖται. A.

ἠθικῶς τῶν φιλοφρονήσεων τῇ πατρὸς μέμνηται, αὐτὰ τὰ ὀνόματα εἰπᾶσα οἷς παρακαλῶν αὐτὴν ὁ Ζεὺς πρὸς τὰς ἰδίας ὑπεκορίζετο χρείας. BLV.

374. ἀλλὰ σὺ μέν: ἐχ ὡς ἧττονι κελεύει, ἀλλὰ καιρὸν λαμβάνουσα πρὸς τὸν ὁπλισμόν. BL.

376. ἴδωμαι: γράφεται ἴδωμεν. A.

377.: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν νῶϊν. τοῦτο δὲ τίθεται ἀντὶ τοῦ ἡμῖν ἢ ἡμῶν· οὐδέτερον δὲ ἁρμόζει· τὸ γὰρ νῶϊ ἐστὶν ἢ ἡμεῖς ἢ ἡμᾶς. A.

378. γηθήσει προφανείσας: ἠθικῶς καὶ τοῦτο πρὸς τὸ „ὁ δὲ μαίνεται ἐκέτ' ἀνεκτῶς" (455). προφανείσα δὲ γράφει Ἀρίσαρχος, δυϊκῶς. ὁ δὲ Ἡρωδιανὸς προφανείσας βέλτιον, συζέλλων Δωρικῶς τὸ ᾶ, ᾧ καὶ πειθόμεθα. BL.

*) Addit B Palaephati caput 40.

**) Omisi quae Apollodorus habet (2, 5, 12) εἶχε δὲ οὗτος — τῶν Ἅιδου βοῶν ἀπέσαξιν.

προφανέντε: γράφεται προφανείσα. A.

ἄλλως. Ἀρίσαρχος προφανέντε ὡς „πληγέντε κεραυνῷ" (455) δυϊκῶς· ὁ δὲ Ζηνόδοτος γηθήσει προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων, συγέλλων τὴν τελευταίαν, παροξυτόνως προφερόμενος μετ' ἐκτάσεως τῆ ᾶ. ἔχει δὲ ἄκρατον Δώριον ὡς τὸ λαγέτας υἱούς (Pindar. Ol. 1, 89) V. σπάνιον δὲ τὸ τοιῆτο παρὰ τῷ ποιητῇ. A.

379. ἦ τις: περισπαξέον τὸν ἦ σύνδεσμον, ἵνα διαπορητικος γένηθ. ᾖ βεβαιωτικὸς δὲ ὢν περισπασθήσεται. A. τὸ δὲ τίς ἢ περισσόν, ἢ τις ἐκ τῶν Τρώων. εἰ δὲ ἐπὶ Ἕκτορος, οὕτως ὁ νοῦς, ὡς ἄλλος τις κορέσει κύνας. V.

385. ἀθετεῖν σίχοι τρεῖς, ὅτι ἐν τῇ τῆ Διομήδες ἀρισεία (Il. 5, 734) καλῶς ἐπεξείργασαι· πράττει γάρ τινα. ἐνταῦθα δὲ πρὸς ἀδὲν ἀναλαμβάνει τὴν παντευχίαν. ἠθέτει δὲ ᾖ Ἀριστοφάνης· Ζηνόδοτος δὲ ἀδὲ ἔγραφεν. A.

Θαυμασίως οὐ γυμνοῖ τὴν παρθένον. V.

389. λάζετο: Πτολεμαῖος ὁ τῆ Ὀροάνδε ἐν τῷ περὶ τῆ Ὁμηρικῆ χαρακτῆρος διὰ τοῦ ῡ προφέρει λάζυτο. καὶ ἔχιν ἐκ ἀδόκιμος ἡ γραφή. AV.

390. 391. ἀθετεῖν ᾖ ἔτοι, ὅτι ἀκαίρως ἐκεῖθεν (Il. 5, 746) μετηνέχθησαν. A.

393. πύλαι μύκον οὐρανοῦ: ἡ διπλῆ, ὅτι πύλας οὐρανῆ τὰ νέφη ὑποτίθεται· τὸν γὰ ὑπὲρ τὰ νέφη τόπον ὁμωνύμως τῷ χερεμνίῳ ἀρανὸν καλεῖ. πρὸς τὰ περὶ Ὀλύμπου. A.

τὸ δὲ μύκον ἀντὶ τῆ ἀνεῴχθησαν. V. οὕτως λέγει ἐπὶ τῶν θυρῶν ἀεί, ταύτην μιμούμενος τὴν φωνήν· „τὰ δ' ὑνέβραχεν ἠΰτε ταῦρος· τόσον ἔβραχε κυλὰ θύρετρα" (Od. 21, 48 et 49). BL.

393. δι' αὐτάων: ἀντὶ τῆ ἐκεῖ. V.

399. ταχεῖα: ἀντὶ τῆ ταχέως, ὡς τὸ „λῦσε δ' ἀγορὴν αἰψηρήν" (Il. 19, 276) καὶ „ταχέες δ' ἵππῆες ἄγερθεν" (Il. 23, 287). λέγει δὲ ὅτι μὴ συγχωρεῖ αὐτὰς ἐξ ἐναντίας τῆς ἐμῆς κελεύσεως ἔρχεθ· ἃ γὰ καλῶς ὑποζραφήσονθ. BL.

ἡ διπλῆ, ὅτι ἐκ ἔχι κοινὸν νῦν ἐπίθετον τὸ ταχεῖα, ἀλλὰ πορεύᾳ ταχεῖα. A.

401. ὡς καὶ τετελεσμένον ἔχαι: γράφεται τὸ δὲ καὶ τετελεσμένον ἐχίν. A.

402. γυιώσω: βλάψω, ὅ ἐχι χωλανῶ ᾖ κενὰς εἰς τὴν πορείαν ποιήσω. V.

σφωΐν: ἐγκλιτικὴ νῦν ἐχιν ἡ ἀντωνυμία· τρίτου γὰρ προσώπε, τὰ δὲ τρίτα δυϊκὰ τό τε σφωέ ᾖ σφωΐν ἐγκλιτικά ἐχιν. ὅτε μέντοι δευτέρα γίνεται τὸ σφωῶν, προπερισπᾶθ· ὀρθοτονεῖθ γὰ τὸ „γυιώσειν μὲν σφωῶν" (416). A.

404. ἐς δεκάτους: ἢ τὸ παράγωγον ἀντὶ ἁπλοῦ καὶ ἄλλως εἰπεῖν δέκα, ἢ κατὰ παράτασιν εἰς πολλὰς δεκάδας. L.

405. ἔλκε' ἀπαλθήσεσθον: ἐν τῇ ἑτέρᾳ τῶν Ἀρισάρχε ἔλκε' ἀπαλθήσονται· καὶ μήποτε κρεῖττον. τὰ ἕλκη ἀπαλθήσονται. A.

406. ᾧ πατρί: καίπερ ὀργιζόμενος ᾖ τὴν ἀρχὴν οὐδὲ τὴν ἰχὶ ἀλλὰ τὴν φύσιν προβάλλεται. A.

οἱ ἀζερίσκοι, ὅτι τῷ τῆ Διὸς προσώπῳ ἁρμόζουσιν οἱ λόγοι, τῷ δὲ τῆς Ἴριδος (420) ἐκέτι. A.

408. ἐνικλᾶν: ἐμποδίζειν. ἢ μεταφορὰ ἀπὸ τῶν εἰς τὰς ἀσπίδας ἀποθρανομένων δοράτων. ἔτως δὲ γραπτέον, ὅττι κεν εἴπω, οἷον κατακύμπτειν ᾖ μὴ ἐᾶν τὰ ὑπ' ἐμῆ εἰρημένα· ᾖ πάλιν ἐξῆς ἐν οἷς ἡ Ἰρὶς φησιν, ὅττι κεν εἴπω γράφεται (423). A.

Ἀρίσαρχος ὅττι κεν εἴπω. A.

τὰ μὲν θεῖα ἐᾷ, σκοπεῖ δὲ τὰ βιωτικά· ἐναντιοῦνται γὰ ἀλλήλοις ἄνδρες ᾖ γυναῖκες. BL.

ταῦτα δὲ χετλιάζων φησίν, ἢ ἀ χετλιάζων ἀλλ' ἐντέχνως τὴν ὁμόνοιαν αὐτῶν διεᾶς, δι' ὧν τὴν μὲν ἀεὶ ἐναντιοῦθ αὐτῷ λέγει, τὴν δὲ νῦν καὶ πρῶτον, ἵνα αἰδεσθῇ μεταβάλλεσθαι. BL.

409. ἀελλόποις: κατ' ἔλλειψιν τῆ ῡ, ἀελλόπεσ, ταχεῖα, ἀέλλαις κατὰ τὸ τάχος παραπλησία. A.

411. ποώτησιν: ἄκραις, ὡς τὸ „ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40)· ἀ γὰ πολλαὶ πύλαι τῆ Ὀλύμπε. πολὺ δὲ τάχος ὑποφαίνει τῆς Ἴριδος. BL.

οὐχ ὡς καὶ ἄλλων οὐσῶν, ἀλλ' ἀντὶ τοῦ ἄκραι, ὡς τὸ „ἄξαντ' ἐν πρώτῳ ῥυμῷ" ἀντὶ τῆ ἄκρῳ. A.

413. πῇ μέματον: καλῶς μηδὲ προσφωνήσασα αὐτὰς τῆ πράγματος ἄρχει. οἰκεῖον δὲ τῇ ἐπιπληττούσῃ πολλαῖς ἀρχαῖς κεχρῆθ. BL.

415. εἰ τελέει περ: εἰ ἀντὶ τοῦ ὡς, ἵν' ᾖ σύμφωνον τῷ „ὧδε γὰ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσαι" (401). αἱ δὲ Ἀρισάρχε διὰ τῆ η, ᾗ τελέει περ· ᾖ γὰ ὁ Ζεύς φησι „τὸ δὲ ᾖ τετελεσμένον ἔσαι." A.

Ἀρίσαρχος διὰ τῆ η, ᾖ ἐχιν ἀντὶ τῆ ὡς, ἵν' ᾖ σύμφωνον τῷ „ὧδε γὰ ἐξερέω, τὸ δὲ ᾖ τετελεσμένον ἔσαι." BL.

420. ἀθετεῖν σίχοι πέντε, ὅτι ἐκ τῶν ἐπάνω (406) μετάκειθ. ἱκανὸν δὲ ἦν εἰπεῖν ὅτι ἐκ ἐᾷ ὁ Ζεύς, ᾖ ἀποσυλίσαται ἐπιεικὲς ὂν τὸ τῆς Ἴριδος πρόσωπον· ἀ γὰ ἂν εἴπει κύον ἀδδεές. A.

οὐκ ἔθει, φασί, ταῦτα πρὸς τῆς Ἴριδος λέγεθ, ἀλλὰ μόνον τὰ τῆς ἀπειλῆς. BL.

423. 424. ἀθετεῖν διὰ τὸ τραχύ· ὅσῳ δὲ δεινά ἐχι, τοσούτῳ τὴν κηδομένην ἐμφαίνει. θεραπεύει δὲ καὶ διὰ τοῦ εἰ ἐτεόν γε τολμήσεις· ἀ γὰ ἄντικρυς αὐτὴν ἀναιδῆ λέγει, ἀλλ' εἰ ἐθελήσειε μάχεθαι τῷ Διί. πιθανῶς δὲ οὐ ᾔρκεσεν αὐτῇ ἀπαγγεῖλαι μόνον τὰ παρὰ Διός, ἀλλὰ καὶ παρ' αὐτῆς τι προσέθηκε. τοιαύτη δὲ ὁρᾶ ᾖ ὅτε πρὸς τὸ Ποσειδῶνα πέμπεται (Il. 15, 178. 201), ἀ μόνον τὴν τε ἀγγέλε ἀλλὰ ᾖ τὴν τῆ συμβέλε ἀποπληρῶσα χώραν. BL

423. σὺ ἄνευ τῆ γέ. V.

ἀδεὲς δι' ἑνὸς δ ὁ Ἀρίσαρχος. A.

424. Διὸς ἄντα: ῥητορικῶς ἀμφοτέρας ἐνέθηκε τὰ προσηγορίας, ἐκεῖ μὲν ἐντρέπουσα σῷ πατρί, νῦν δὲ ἐκδέματῶσα Διὸς ἄντα φησί. ᾖ ἡ μὲν καθ' Ἕκτορος ὁρμὴ ἡ δὲ ἀλλοιωτικῇ σάσει χρωμένη κατὰ Διὸς αὐτὴν οὐ πολεμεῖν. BL.

425. ἀπέβη: ἢ περιμένει τὴν ἀπόκρισιν, ἀλλ' ἐν ταῖς ἀπειλαῖς αὐτὰς καταλείπει πρὸς κατάπληξιν μείζονα. BL.

426. Ἥρη: ἡ ἀφ' ἑαυτῆς συμβελῆς προκατάρξασα. BL.

428. νῶϊ: ἡ διπλῆ, ὅτι τινὲς γράφουσι σὺν τῷ ν, κακῶς. A.

ἄλλως. ὅτι ἔστως νῶϊ χωρὶς τοῦ ν. A.

Διὸς ἄντα βροτῶν ἕνεκα: τὸν ἐναντιούμενον ἠύξησε καὶ τὴν αἰτίαν ἐμείωσεν, ἕνεκεν ἀνθρώπων λέγουσα μὴ δεῖν διαφέρεσθαι τῷ Διΐ. BL. ὡς ἐκεῖ „εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον" (Il. 1, 574). V.

ὅταν εἰς τὴν ἀξίαν ἀτενίσῃ τῶν θεῶν, τότε φησὶν αὐτὰς μὴ κινεῖσθαι περὶ θνητῶν, ὡς ἐδὲ ἂν ἡμεῖς περὶ μυρμήκων· ὅταν δὲ ἐπιλογίσηται τὴν ποιητικήν, ἐπεὶ τοῖς μύθοις καὶ τὴν ὑπόθεσιν ἐκτραγῳδεῖ, συμμαχίας καὶ θεομαχίας παράγων. ABL.

432. μώνυχας: μονώνυχας, πρὸς σύγκρισιν τῶν βοῶν, τῶν προβάτων καὶ τῶν λοιπῶν τῶν ἐχόντων χηλάς. D.

433. τῇσιν δ' Ὧραι: διὰ τοῦτο αὐταῖς αἱ Ὧραι ὑπηρετοῦσιν, ὅτι ἐκέτι τῷ Διὶ μέλλουσιν ἐναντιοῦσθαι. B.

434. κάπῃσιν: φάτναις, παρὰ τὸ ἐν αὐταῖς ἱσαμένους τοὺς ἵππους κάπτειν, ὅ ἐστιν ἐσθίειν. AD.

435. ἅρματα: ἡ διπλῆ, ὅτι τὰ ὀχήματα ἅρματα λέγει. A.

ἐνώπια παμφανόωντα: τοὺς ἐξ ἐναντίας τῶν εἰσόδων τοίχους, διὰ τὸ φωτίζεσθαι ὑπὸ τῶν θυρῶν. D. τοὺς παροδίους τοίχους, τουτέστι τὰς ἀντικρὺ τῆς εἰσόδου· ἤτοι γὰρ μόνοι φαίνονται τοῖς παριοῦσιν. τινὲς δὲ τὸ ἐξῆς ἅρματα παμφανόωντα, ἐκ εὐ. AB.

ἄλλως. βραχὺ διαζευκτέον ἐπὶ τὸ πρὸς ἐνώπια, ἵνα ᾖ ἅρματα παμφανόωντα. A. τί ἐν ἐστὶ τὸ „τόξον μὲν πρὸς σφῶν ἔκλινε πρὸς ἐνώπια παμφανόωντα" (Od. 22, 120). V.

439. δίωκε: ἡ διπλῆ, ὅτι κυρίως διώκειν λέγεται, ὅταν προφεύγῃ τις· νῦν δὲ ἐπὶ τῶν συντόνως ἐλαύνοντος. A.

ἐκ εἶπεν ἤλαυνεν, ἀλλ' ἐδίωκεν ἐμφαντικῶς διὰ τὸ ταχύ, ὡς τὸ „ῥίμφα διωκομένη" (Od. 13, 162) ἤτοι ἐπειγομένη. BL.

440. ἐννοσίγαιος: διὰ φιλαδελφίαν τοῦτο, ἢ διὰ τὴν τοῦ Διὸς ποιεῖ ἐνδοξότητα. BL.

ἐπεὶ ἵππιός ἐστιν ὁ θεός. ἱκανὸν δὲ πρὸς φιλαδελφίαν τοῦτο. V.

441. ἀμβωμοῖσι: ἐν τοῖς Διογένης ἀμβώνεσσι. A. Διογένης ἀμβώεσι τοῖς ἀναβαθμοῖς. V.

ἔστως Ἀρίσταρχος βωμοῖσι. A.

ἄλλως. Χρύσιππος ὑφ' ἓν προφέρει, ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου παραλαμβάνει καὶ προπερισπᾷ· λέγει γὰρ καὶ ἀλλαχοῦ „χρύσειοι δ' ἄρα κῶμοι ἐϋδμήτων ἐπὶ βωμῶν" (Od. 7, 100). χρὴ μέντοι γινώσκειν ὅτι διὰ τοῦ μ γράφει, καὶ παράθεσις ἡ ὁμοίως τῷ „ἄμφορον, ἂν νέκυας" (Il. 10, 298). τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ὀρθογραφίας εἰρηται. A.

σημείωσαι τὴν ἀνά πρόθεσιν μετὰ δοτικῆς, ὡς καὶ ἐν Ὀδυσσείᾳ (11, 128) „ἀνὰ φαιδίμῳ ὤμῳ." L.

λῖτα: μεταπλασμός ἐστιν, ἔνθεν βαρύνεται, ἐπεὶ πᾶσαν αἰτιατικὴν ἑνικὴν ἀπαθῆ εἰς ᾶ λήγουσα βαρύνει, ὑπεξαλμένης τῆς τινά. ἀπαθῆ διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιαῦτα. τὸ δὲ ἑξῆς ἐστὶ καταπετάσας καὶ καλύψας λιτῷ περιβολαίῳ. A.

λῖτα ὡς θῆτα, λιτί δὲ ὡς θητί. ἔστι δὲ ἁπαλὸν καὶ τρυφερὸν λινοῦν ἱμάτιον. V.

444. Διὸς ἀμφὶς: ἡ διπλῆ πρὸς τὴν καθέδραν, ὅτι ἑκατέρωθεν τοῦ Διὸς Ἥρα καὶ Ἀθηνᾶ. A.

ἀμφὶς: χωρίς, ἐκ εἰς τὴν συνήθη ἕδραν· ἀλλαχοῦ γοῦν „πλησίαι αἵ γ' ἤσθην" (Il. 4, 21)· ὅθεν φησὶν „ἀδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι" (478). BL.

446. ἔγνω: διὰ τῆς καθέδρας ἢ τῆς σκυθρωπότητος. BL.

447. τετίησθον: καταπέπληχθε, ὡς τὸ „τετιημένοι φίλον ἦτορ ἶζον εἰν ἀγορῇ." V.

448. οὐ μέν θην: τινὲς ἐν ἐρωτήσει, καὶ περὶ τῆς προτέρας νοοῦσι μάχης, οἷον ἐκ ἀπήρκεσεν ὑμῖν ἐκεῖνα· οἱ δὲ ἐν ἀποφάσει καὶ περὶ τῆς νῦν κερτομικῶς. AL.

ἄλλως. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει καμέτην διὰ τοῦ η ἀντὶ τοῦ ε ἅκαμον. τὸ δὲ κάμετον πρὸς τὸ πρόσωπον ἀντὶ τοῦ ἐκάμετε, ὃ καὶ συμφωνεῖ. AB.

449. τοῖσιν κότον: Ἀρίσταρχος τοῖον κότον, καὶ ἔχει τινὰ ἔμφασιν. A.

450. οἷον ἐμόν γε μένος: ὡς ἔχω χειρὸς καὶ δυνάμεως, ἐκ ἂν ἐπανήλθετε. V.

ἡ δὲ τῶν πάντων μείζονος θεοῦ δύναμις, φησί, τηλικαύτη ὑπάρχει ὡς μηδὲ ὑπὸ πάντων τῶν θεῶν δύναθῆναι καταγωνισθῆναι. AD.

454. τὸ δέ κεν τετελεσμένον ἦεν: ἐν ἄλλῳ καί κεν τετελεσμένον ἔπλεν. A.

455. πληγέντε κεραυνῷ: ἀντὶ τοῦ πληγεῖσαι. A. ὡς „καλυψαμένω χρόα καλόν" (Hesiod. O. 196). V.

ἡ διπλῆ, ὅτι ἀρσενικῶς τὸ δυϊκὸν ἐσχημάτισαι, πληγέντε ἀντὶ τοῦ πληγείσα. καὶ Ἡσίοδος „προλιπόντ' ἀνθρώπων" (O. 199) ἐπὶ αἰδοῦς καὶ νεμέσεως, ἀντὶτοῦ προλιπῆσαι. A.

459. ἀκέων: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἀκέσασα. A.

460. σκυζομένη: παρὰ τὸ ἐπεισάγειν τὸ ἐπισκύνιον. A.

462. αἰνότατε Κρονίδη: οὐκ ἔδει λέγειν Ζεῦ πάτερ· ἃ γὰρ φιλοφρονεῖται· ἀδ' αἰνότατε Κρονίδη, πρὸς τὸ μὴ ἐρεθίσαι αὐτόν. αὐτῷ ἂν ἄρχει τῷ πράγματος. καὶ ἡ Ἀθηνᾶ δὲ ταῦτα ἔλεγεν (33), ἀλλὰ φιλοφρόνως· διὸ ἐδάμασε τὸν Δία· ἡ δὲ ἐντεταμένως· διὸ ἐπιτείνει τὴν τοῦ Διὸς ὀργήν. BL.

463. 464. 465. ἡ διπλῆ, ὅτι ἐντεῦθεν ἄνω (30) μετάκεινται. A.

463. ἀλαπαδνόν: γράφεται ἐπιεικτόν. A.

470. ἠοῦς: ἅμα ἡμέρᾳ, οἱονεὶ ὄρθρου. σημαίνει δὲ τὸ ἀῦριον. A.

ὅτι Ζηνόδοτος γράφει ἄας δὴ καὶ μᾶλλον, ἀντὶ τοῦ ἑαυτοῦ. ἔστι δὲ ἡ λέξις ἐκ Ὁμηρική. V.

471. αἴ κ' ἐθέλῃσθα: ἐν ἄλλῳ ἢν ἐθέλῃσθα.

472. ὀλλύντ' Ἀργείων πολὺν στρατόν: κινητικὰ

μὲν ταῦτα τῶν ἀκουόντων, ἀλλ' ὁρίζων τὸ πέρας παραμυθεῖ τὴν ἀτυχίαν. BL.

473. τὸ οὐκ ἀποπαύσεται ἢ τὸ ὄβριμος πρὸς τὸ ἔτι λυπεῖν προξέθειν. BL.

474. ὄρθαι: ἀπὸ βαρυτόνου τῆ ὄρω κέκλιν. ὅτι δέ ἐστι βαρύτονον τὸ ὄρω, πρόδηλον ἐκ τῶ „ὅτε τ' ὤρετο" (Il. 12, 279) „ὤρτο πολὺ πρῶτος μέν" (Il. 7, 162). A.

475. 476. ἀθετοῦν σίχοι δύο, ὅτι διὰ τῆ ἥματι τῷ πλείονος χρόνου ὑπέρθεσιν σημαίνει, τῇ δὲ ἑξῆς ἐπὶ τὸν τάφρον παράγει τὸν Ἀχιλλέα. ἢ ἀκριβολογεῖν οὐκ ἀναγκαῖον κατὰ τίνα καιρὸν ἐξαναστήσειν, ἀρκεῖ δὲ „πρὶν ὄρθαι παρὰ ναῦφι ποδωκέα Πηλείωνα." τό τε ἐπιφερόμενον ψεῦδός τι ἔχει· ὁ γὰρ ἐν τῷ σείνει μάχον. σείνει δὲ εἴωθε λέγειν τὴν σενὴν ὁδόν· λέγει δὲ τὴν ὑπὸ πολλῆ πλήθους σενοχωρίαν. αἰνοτάτῳ δὲ τῷ χαλεπῷ διὰ τὸν φόβον. A.

476. σείνει: τὴν τῶν πραγμάτων σενοχωρίαν δηλοῖ. ἅμα δὲ ἢ σενὸς τόπος ἐστὶν οὕτω καλούμενος. V.

θανόντος: γράφε πεσόντος. A.

477. θέσφατόν ἐστι: τὸ μοιρίδιον προβάλλε, ἵνα μὴ δοκῇ τυραννεῖν. BL.

479. γαίης ἢ πόντοιο: δείκνυσιν ὁ ποιητὴς ὅτι συναπολήγει γῆ καὶ θάλασσα, ὡς ἂν τῶ ὕδατος περικεχυμένω τῇ γῇ σφαιρικῶς ἢ καλύπτοντος αὐτὴν πλὴν τῶν ἀνεχουσῶν ἠπείρων ἐν αἷς κατοικοῦμεν. ABL.

Ἰαπετός: εἷς τῶν Τιτάνων. Διὸς μεταστήσαντος τὸν πατέρα Κρόνον τῆς βασιλείας ἢ τὴν τῶν θεῶν ἀρχὴν παραλαβόντος, Γίγαντες οἱ Γῆς παῖδες, ἀγανακτήσαντες, ἐν Ταρτησσῷ (πόλις δέ ἐστιν αὕτη παρὰ τῷ Ὠκεανῷ) μέγαν κατὰ Διὸς πόλεμον παρασκευάζουσι. Ζεὺς δὲ συναντήσας αὐτοῖς καταγωνίζε πάντας, ἢ μεταστήσας αὐτὸς εἰς Ἔρεβος τῷ πατρὶ Κρόνῳ τὴν τούτων βασιλείαν παραδίδωσιν. Ὀφίωνα δὲ τὸν δοκοῦντα πάντας ὑπερέχειν κατηγωνίσατο, ὄρος ἐπιθεὶς αὐτῷ τὸ ἀπ' αὐτοῦ Ὀφιώνιον προσαγορευθέν. AD.

480. Ὑπερίονος: τῶ ἡλίω, ἤτοι ὅτι Ὑπερίονός ἐστι ἢ Θείας παῖς, ὡς Ἡσίοδος· ἐντεῦθεν γὰρ αὐτὸν πατρωνυμικῶς Ὑπεριονίδην καλεῖ· ἢ ὑπερίων ὁ ὑπερφαίνω ἡμῶν ἰὼν καὶ περιπολῶν τὸν κόσμον· διὰ τοῦτο γὰρ τὰ ὅλα συνέχεται. AD.

484. τὸν δ' οὔτι προσέφη: ἐν καιρῷ ἡ ἀποσιώπησις· ὅτε γὰρ ἐπαινεῖν ἔχει τὰ λεχθέντα ὅτε ἀντιλέγειν πρὸς ὀργὴν τοιαύτην. BL.

485. ἐν δ' ἔπεσ' Ὠκεανῷ: τῷ ὁρίζοντι, φησίν, ὃς διατειχίζει τῶ κόσμω τὸ φανερὸν ἢ ἀφανές, ἤγουν τὸ ὑπὲρ γῆς ἡμισφαίριον ἢ τὸ ὑπὸ γῆν. οὐκ ἀληθῆ δὲ δηλοῖ ἔμπτωσιν τῶ ἡλίω, ἀλλὰ φαντασίαν δίδωσιν ὡς ἐπὶ τὸν Ὠκεανὸν ἔρχε ἐπὶ τὴν δύσιν ἐλθών. BL.

ἡ διπλῆ ὅτι αὐτὸς μὲν εἰς Ὠκεανὸν δύνοντα ἢ ἐξ Ὠκεανῷ ἀνίσχοντα λέγει τὸν ἥλιον, ἐξ ἡρωϊκῆ δὲ προσώπε ἐκέτι. A.

486. ἕλκον νύκτα μέλαιναν: τῇ ἀσθενείᾳ τῶ τῶν ἀκτίνων φωτὸς ἐφέλκε ἡ νύξ. εὖ δὲ ἢ ὁ πυρατατικός· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ ὁ πᾶσα ὑφ' ἓν σκιάζεται, ἀλλὰ κατὰ μικρόν. BLV.

βραχεῖαν ταύτην τὴν μάχην ἐποίησεν, ἐγχρονίζειν οὐ θέλων ταῖς τῶν Ἑλλήνων δυσχερείαις· ὅθεν μέρος μάχης καλεῖται. BL.

488. τρίλλιγος: ἡ διπλῆ, ὅτι τὰ τρία ἐπὶ πλήθους τάσσει· τρίλλιγος ἂν πολυλιτάνευτος. πλεονάζει τὸ λ. A.

490. νόσφι νεῶν ἀγαγὼν: συνελάσας μέχρι τῶν νεῶν αὐτός, ἀφεὶς παρὰ τὸν ποταμὸν ὡς προβλήματι χρησόμενος τῷ ῥείθρῳ πρὸς τὸ μήτε τοῖς πολεμίοις ἐξακέεσθαι μήτε μακρὰν ἀπεῖναι τῆς πόλεως. BLV.

προοικονομεῖ ὁ ποιητὴς ἐνταῦθα τὸν τῶ Ἕκτορος θάνατον. φρονηματισθεὶς γὰρ ἢ τῇ τύχῃ ἐπαρθεὶς ἔξω ἐθέλει αἰθριάζειν, ἵν' οὕτω θρασυνθεὶς ἐν καιρῷ τολμήσῃ ἀντιστῆναι τῷ Ἀχιλλεῖ. L.

491. ὅθι δὴ νεκύων διεφαίνετο χῶρος: ἔξωθεν δεῖ λαβεῖν τὴν ἀπὸ πρόθεσιν, ἵν' ᾖ, ὅπε καθαρὸς ἢ διαφανὴς ἦν ὁ τόπος ἀπὸ τῶν νεκρῶν. AD.

ἡ διπλῆ, ὅτι οὐκέτι γέγονε νεκρῶν ἀναίρεσις. πρὸς Ἴστρον. A.

493. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος περιγράφει ἀπὸ τούτε τέσσαρας σίχες κατὰ τὸ ἑξῆς διὰ τὸ ἢ ἐν ἄλλῳ τόπῳ γεγράφθαι (Il. 6, 318). ὁ δὲ Ἀρίσταρχος οἰκειότερον ἐνταῦθα κεῖσθαι λέγει διὰ τὸ ἐν τῷ στρατεύματι διαλέγεσθαι. A.

Διὶ φίλος: ὀδαμῶ μᾶλλον ὁ Ἕκτωρ ἐν καιρῷ ἐλέχθη Διὶ φίλος ἢ νῦν, εἴ γε ἢ θεοῖς δι' αὐτὸν ἀπέχθε. BL.

494. ἔγχος ἔχ' ἐνδεκάπηχυ: καλῶς ὁ σκῆπτρον κατέχων δημηγορεῖ, ἀλλὰ τὰ τῆς ἀνδρείας σημεῖα προβαλλόμενος. B.

496. ἔπεα Τρώεσσι μετηύδα: γράφεται ἔπεα πτερόεντ' ἀγόρευεν. A.

498. νῦν ἐφάμην: ὑπερηφανίας μεστὸς ὁ λόγος· ὁ γὰρ εὐνοῦς θέλει ποιῆσαι τὰς ἀκροωμένους, ἀλλὰ μόνον καυχήσασθαι, οὐχ ὡς τὸ „ὦ φίλοι ἥρωες Δαναοί" (Il. 2, 110). καὶ πάλιν δὲ τὸ κοινὸν οἰκειοῦται κατόρθωμα, καὶ πάλιν τῇ νίκῃ γαυριᾷ. BL. ἢ ἐν τοῖς ἑξῆς „ἕπομαι εὐχήμονος ἐξελάων ἐνθένδε κύνας κηρεσσιφορήτους" (527). V.

499. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

500. ἐσάωσε: εὐέλπιδας καὶ ἐπιθυμητὰς ἐποίησεν αὐτοὺς τῆς ἠοῦς. V.

501. ἐπὶ ῥηγμῖνι θαλάσσης: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἐπεὶ Διὸς ἐτράπετο φρήν. ἐξ ἄλλε δὲ σίχε (Il. 10, 45) τὸ ἡμισίχιόν ἐστι νῦν ἀναρμόσως προσεθεμένον· ὁ γὰρ κατὰ Διὸς προαίρεσιν νῦξ ἐγένετο. A.

502. πειθώμεθα: τοῦτο, ἐπεὶ ἧσσον ἦν, ἐκοινοποίησε πρὸς αὐτές. V.

503. ἐφοπλισόμεσθα: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐφοπλίζεσθον. συγχεῖ δὲ τὸ δυϊκόν. A.

τὸ ἁπλῶς εὐτρεπίσαι ἐνταῦθα σημαίνει. L.

503. ἵππους: στρατηγικῶς πρὸ αὐτῶν τῶν ἵππων φρονε

τίζει, ὃ καὶ Ἀνδρομάχη ποιεῖ· „ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν" (188). BL.

505. ἡ διπλῆ, ὅτι ἐμέλλοντα σημαίνει τὸ ἄξεσθε, ἀλλ' ἐν ἴσῳ τῷ ἄγετε. A.

ἴφια: εὔχρησα. οἱ δὲ ἰχυροποιά. ἢ εὐθηνοῦντα καὶ λιπαρά. A.

507. σῖτον: οὐκ ἔχιν ἐπὶ τῆ σίτῃ κοινὸν τὸ ἄξεσθε· ἁδὲν γοῦν τῶν ἀψύχων ἄγεται, φέρεται δὲ μᾶλλον. προσυπακουέον ἓν τὸ φέρετε. ABLV.

509. καίωμεν πυρά: πρὸς ἀσφάλειαν μὲν ἑαυτῶν, κατάπληξιν δὲ τῶν πολεμίων. στρατηγικῶς δὲ εὐέλπιδας αὐτοὺς ποιεῖ διὰ τῆς τῶν πολεμίων φυγῆς. BL.

510. διὰ νύκτα: διὰ νυκτός. A.

πρόθεσις ἀντὶ προθέσεως· διὰ νύκτα γὰρ ἀντὶ τῆ κατὰ νύκτα, ὥσπερ καὶ τὸ „ἐπὶ νῶτα θαλάσσης" (Il. 2, 159) ἀντὶ τοῦ κατὰ νῶτα. L.

512. ἀσπουδί: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ μὴ ῥᾳδίως, μήπως χωρὶς σπουδῆς. A.

513. τούτων: Παρμενίσκος ἐν τῷ α' πρὸς Κράτητα ὡς Ἀρισάρχειον γραφὴν προφέρει κείνων. A.

βέλος νῦν τὸ βεβλημένον μέρος. V. τὸ ἐκ βολῆς τραῦμα, ὡς τὸ „ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος" (Il. 11, 269). BL.

ἡ διπλῆ, ὅτι βέλος εἴρηκε τὸ τρῶμα ὁμωνύμως τῷ τιτρώσκοντι. A.

οἴκοθι πέσσοι: καὶ μέχρις οἴκου κατάχοι τὴν πληγήν. A.

αἱ Ἀριστοφάνους πέσσοι. A.

515. ἐπιθρώσκων: γράφει ἀποθρώσκων. A.

ἀλαζονείαν ἔχει ὁ λόγος βαρβαρικήν. V.

517. ἀγγελλόντων: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ ἀγγελλέτωσαν. A.

518. παῖδας: πᾶς γοῦν ἱκανὸς ἀπὸ τείχους ἀμῦναι. καὶ οἱ μὲν παῖδες μεθ' ἡδονῆς φιλονίκως ἀγρυπνοῦσιν, οἱ δὲ γέροντες πρὸς ὕπνον ἀλλοτρίως ἔχουσιν. V.

519. λέξασθαι: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ ἐγκοιμηθῆναι. A. παρὰ τὸ λέχος, καὶ ξύλα λέξαθε, καὶ „Τρῶας μὲν λέξαθε" (Il. 2, 125), ὅθεν καὶ λογάδες καὶ σύλλογος Ἀχαιῶν. BL.

προτί: γράφεται παρά. A.

θεοδμήτων δέ, καθὸ ὑπὸ θεῶν ᾠκοδομήθη τὸ τεῖχος τῆς Ἰλίου. A.

ἀπαρκεῖ πρὸς φυλακὴν ἡ ἄχρηστος ἡλικία· ἀφ' ἑαυτῶν γοῦν τὸ ὀχυρὸν ἔχουσι τὰ τείχη, θεόδμητα ὑπάρχοντα. V.

520. θηλύτεραι: τῶν ἄλλων ζῴων, ἢ τῶν παρθένων. αἱ τετοκυῖαι, φησί, τὴν συνήθη οἰκειρίαν πρασσέτωσαν, συνεργοῦσαι κατὰ δύναμιν τοῖς κακοπαθοῦσιν. BLV. ἢ ἁπλῶς, ὡς νεώτερος ὁ νέος. L.

αἱ πρὸς τὰ ἀφροδίσια καταφορώτεραι ὡς πρὸς σύγκρισιν τῶν ἀλόγων ζῴων· τὰ μὲν γὰρ ἄλογα ὡρισμένον ἔχει καιρὸν ἐν ᾧ μίγνυται, αὗται δὲ διηνεκῶς πλησιάζουσιν. AD.

521. καιόντων: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ καιέτωσαν. A.

523. ὧδ' ἔστω: τυραννικῶς αὐτοῖς, οὐχὶ βασιλικῶς διαλέγεται, ἐπηρμένος τῇ ἀλαζονείᾳ. BL. ὅθεν καὶ „χαλεπὴν ἀποθέσθαι ἐνιπήν" (Il. 5, 492). V.

524. ἀθετοῦνται δύο εἴχοι, διότι τῇ ἑξῆς ἁδὲν λέγει, καὶ τὸ ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικῆ παρείληπται, ὃς μέν ἀντὶ τῆ ὅ μέν. ὁ δὲ νῦς ἐστὶ τοιοῦτος· περὶ μὲν τῶν νῦν καὶ σήμερον συντετέλεσταί μοι ὁ λόγος καὶ ἁδὲν παραλέλειπται· περὶ δὲ τῶν εἰς αὔριον ὑπὸ τὴν ἕω μηνύσω. A. τὸν δὲ ἑξῆς αὔριον ἐρῶ. πάντως δὲ περὶ διανομῆς σκύλων. V.

ὑγιής: ὁ ἀπαραποίητος καὶ ἀπαράβατος. B.

526. εὔχομαι ἐλπόμενος: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἔλπομαι εὐχόμενος. οὐ κατὰ τὸν Ἕκτορα δὲ τὸν ὕστερον ἐπηρμένον λέγει, ἐλπίζω εὐχόμενος τοῖς θεοῖς· ἐπιεικὲς γάρ· τἐναντίον γοῦν οἰκεῖον, εὔχομαι ἐλπόμενος, καυχῶμαι ἐλπιδοποιούμενος ὑπὸ τῆ Διὸς καὶ τῶν ἄλλων θεῶν. A.

ἔλπομαι εὐχόμενος ἀντὶ τῆ καυχῶμαι. V.

ἄλλως. ἔστως ἡ γραφή, εὔχομαι ἐλπόμενος, ἐ τὸ ἐναντίον. A.

527. ἐξελάαν ἐνθένδε: ὅρα τὸ παλίμβολον Ἕκτορος· τῇ γυναικὶ ἔλεγεν „ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρή" (Il. 6, 448), ὧδε δὲ ἄλλως. ἐκεῖ μὲν γοῦν τῶν Τρώων ἡττωμένων δύσελπις ἦν, ἐνταῦθα δὲ τῇ μάχῃ κρατῶν ἐλπίζει τὰ χρηστά. BL.

κηρεσσιφορήτους: συνθέτως ἀνέγνω ὁ Ἀρίσαρχος καὶ οἱ πλείους· ἴσως δὲ ἐπεὶ ἀναλύει αὐτό „ὃς κῆρες φορέσσιν·" ἔθος γοῦν αὐτῷ πολλάκις τὰ σύνθετα ἀναλύειν. ἁδέποτε δὲ δοτικὴ ἐπεκτεταμένη κατ' ἀρχὴν συντέθειται, οἷον πᾶσι καὶ πάντεσσι – πασιμέλουσα (Od. 12, 70), οὐχὶ παρὰ τὴν πάντεσσι ἡ σύνθεσις· Ναυσικάα, Ναυσίθοος, ἐγχεσίμωροι, τειχεσιπλήτης. κατ' ἀρχὴν δὲ προσέθηκα διὰ τὸ παρ' Ἐπιχάρμῳ κατὰ τέλος συντεθειμένον „γυναικάνδρεσσι ποθεινοί." εἴπερ ἓν τοῦτο ἀληθές, δῆλον ὅτι παράλογον τὸ κηρεσσιφορήτης κατὰ σύνθεσιν ἀναγνωσθέν. ἀλλ' ὅμως ἐπεκράτησεν ἡ Ἀριστάρχειος, δι' ὃν εἴπομεν λόγον. A.

528. ἀθετεῖται, ὅτι περισσός· ἐν γοῦν τῷ κηρεσσιφορήτης τὸ αὐτὸ συντόμως εἴρηκεν. ὁ δὲ Ζηνόδοτος ἁδὲ ἔγραφεν αὐτόν. A.

529. ἐπὶ νυκτί: γράφει ἐπὶ νύκτα. A.

532. ἡ διπλῆ, ὅτι τὸ εἴσομαι πολλὰ σημαίνει, νῦν μὲν γνώσομαι, ἐν ἄλλοις δὲ πορεύσομαι („εἴσομαι ἐξ ἀλόθεν" Il. 21, 335), καὶ ἀντὶ τῆ ἐφάνη· „εἴσατο ὡς ὅτε ῥιπεύς" (Od. 5, 281). A.

ἐντέχνως ἐφ' ἑαυτῆ μὲν εἶπεν ὅτι ἐκ ἀπωσθήσει, ἐπὶ δὲ τῆ Διομήδης ὅτι ἀναιρεθήσει καὶ ὅτι σκῦλα παρέξει αὐτῷ ἀποθανών. στρατηγικῶς δὲ παραθαρσύνει αὐτούς· δεδίασι γοῦν Διομήδην διὰ τὴν ὑπόγυιον ἀρισταν. ἐ τὸ Τυδείδης προσλαβὸν τὸ ἄρθρον ἐκ ἀρχὴν τὴν ἀναφορὰν ἔχει. BL.

534. φέρωμαι: ἐν ἄλλῳ φερώμην. A.

535. 536. 537. ἡ διπλῆ, ὅτι ἢ τούτους δεῖ τοὺς τρεῖς στίχους μένειν, οἷς τὸ ἀντίσιγμα παράκειται, ἢ τοὺς ἑξῆς τρεῖς, οἷς αἱ σιγμαὶ παράκεινται· εἰς γοῦν τὴν αὐτὴν γεγραμμένοι εἰσὶ

διάνοιαν. ἐγκρίνει δὲ μᾶλλον ὁ Ἀρίσαρχος τὰς δευτέρους διὰ τὸ καυχηματικωτέρας εἶναι τὰς λόγας· ὁ δὲ Ζηνόδοτος τὰς πρώτας τρεῖς ἀδὲ ἔγραφεν. τὰ αὐτὰ δὲ λέγει περὶ τῶν στίχων τούτων ὁ Δίδυμος ἃ καὶ ὁ Ἀριστόνικος· διὸ οὐκ ἐγράψαμεν τὰ Διδύμου. A.

ἀμφ' αὐτὸν ἑταῖροι: ἀπὸ κοινοῦ ληπτέον τὸ κείσονται. BL.

538. ὅτως διὰ τοῦ εἰ τὸ εἰ γὰρ ἐγὼν ὣς, καὶ τὸ ἀγήρως διὰ τοῦ ω̃. A.

539. εἴην ἀθάνατος: βαρβαρικὸν τὸ εὔχεσθαι τὰ ἀδύνατα. BL.

542. κελάδησαν: καλῶς ἐπὶ μὲν τῶν Ἑλλήνων φησὶν „Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον" (Il. 2, 333), ἐπὶ δὲ τῶν Τρώων κελάδησαν λέγει· θορυβῶδες γὰρ ἀεὶ τὸ βαρβαρικόν. ABL.

545. ἦ ἄξαντο οὐ τὸν μέλλοντα σημαίνει, ἀλλ' ἀντὶ τοῦ ἄγοντο. A.

553. ἐπὶ πτολέμοιο γεφύρας: προηγουμένως μὲν τοῖς ἑξῆς συναπτέον· τὸν γὰρ τόπον ἐν ᾧ ἡ τοῦ πολέμου συμβολὴ γίνεται, γέφυραν εἶπε πολέμου, ἢ τὰς διαβάσεις αὐτάς αἷς ἐν τοῖς πολέμοις ἐχρῶντο. λόγον δὲ ἔχει καὶ τοῖς ἄνω συνάπτειν, ἵν' ᾖ περίφρασις, πολέμοιο γεφύρῃ ἀντὶ τοῦ τῷ πολέμῳ· ὁ δὲ λόγος, μέγα φρονοῦντες ἐπὶ τῷ πολέμῳ, τοῦτέστι τῷ κεκρατηκέναι κατὰ τὸν πόλεμον. A.

γράφεται γεφύρῃ. A.

555. φαεινὴν ἀμφὶ σελήνην: Πορφυρίου. ἐκ τῶν ἀδυνάτων καὶ τοῦτο· πῶς γὰρ δυνατὸν περὶ τὴν φαεινὴν σελήνην ἀρμόττειν εἶναι τὰ ἄστρα; λύεται δὲ ἐκ τῆς λέξεως. τὸ φαεινὴν ἐκ ἐπὶ τῆς τότε ἀλλ' ἐπὶ τῆς φύσει, ὡς ἐπὶ τοῦ „κόρη δ' ἐκ θαλάμοιο φέρεν ἐῶϑητα φαεινήν" (Od. 6, 74), ἐκ ἐπὶ τῆς τότε ἀλλ' ἐπὶ τῆς φύσει· καὶ „πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα (Il. 21, 218). τὸ ἀμφὶ σελήνην φαεινὴν φύσει· ὅτω συντακτέον· ὅτε γὰρ ἐκείνη φαεινή, ἐ πάντως ἀρμόττει τὰ ἄστρα, ἀλλ' ὅταν μὴ φαίνηται, ἢ φαίνοιτο μέν, ἐ μὴν φαεινὴ ἀλλά πως ἀμαυρὰ καὶ ἀλαμπής, τινὶ αἰτίᾳ ἐπηλυγαζομένη. B.

ἄλλως. οἱ μὲν τὴν ἄρτι φαινομένην ἀρχομένην, οἷον νέαν ἐν τῷ φάει „οἱ δὲ λεπτήν, ὡς τὸ μάσιγα φαεινήν" (Il. 10, 500)· οἱ δὲ τὴν φύσει φαεινήν. καὶ „ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ" (Il. 18, 348) καὶ „ἐϋμμελίῳ Πριάμοιο" (Il. 4, 47) καὶ „Σκαμανδρίῳ ἀνθεμόεντι" (Il. 2, 467). προσφυῶς δὲ τῷ νυκτερινῷ φωτὶ παρεικάζει αὐτά. BLV.

Ἀρίσαρχος τὴν κατὰ φύσιν λαμπρὰν λέγει, κἂν μὴ πλήθουσα ᾖ· εἰ γὰρ πληροσέληνος ἦν, ἐκέκρυπτο ἂν μᾶλλον τὰ ἄστρα. τινὲς δὲ διέσπασαν τὸ φαεινήν, φάει εἰπόντες βαρυτόνῳ ἐνύματι καὶ τὸ νῆν περισπάσαντες, νοήσαντες τὸ νῆν νέαν ἦγον τὴν ἄρτι φωτιζομένην ἀρξαμένην, ὅτε αὐτῆς ἀμυδρὸν φαινόσης ἀρμόττει τὰ ἄστρα φαίνεσθαι· τοῦτο δὲ φέρεται ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου. ὅτω δὲ καὶ Ναυσικάα εἰς πλυνὰς ἰοῦσα ἐῶϑητα φέρει φαεινήν, οὐ τὴν τότε φαεινὴν (πλυνθῆναι γὰρ αὐτὴν ἔδει) ἀλλὰ τὴν λαμπρὰν τῇ ἰδιότητι. L.

557. ἀθετεῖται ὅτι οἰκειότερον ἔχει κατὰ τὴν Πατρόκλου ἐπιφάνειαν (Il. 16, 299). καὶ ὁ ἑξῆς δὲ συναθετεῖται αὐτῷ. ἐκεῖ γὰρ ἀφνίδιον βέλεται ἐπίλαμψιν παραξῆσαι ἀφνιδίως Πατρόκλου ἐπιφανέντος, ἐνταῦθα δὲ παρατεταμένην νηνεμίαν κατ' εὐδίαν. οὐκ ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης. A.

πρώονες: ὡς σώφρονες· τὸ γὰρ πρῶνες πληθυντικὸν διηρέθη, καὶ εἰς ὀξεῖαν καὶ βαρεῖαν ἡ περισπωμένη μετηνέχθη. A. ἀπὸ τοῦ ὁ πρών πρῶνες, καὶ κατὰ διαίρεσιν πρώονες· εἰσὶ δὲ ὄρες ἐξοχαί. V.

559. ποιμὴν εἶπεν ἀντὶ τοῦ βουκόλος· διὰ νυκτὸς γὰρ αἱ βόες νέμονται. κατάχρησις ὁ τρόπος. D.

560. ἡ διπλῆ, ὅτι τῷ ὡς ὁμοιωματικῷ ὄντι ἀκαταλλήλως ἀποδίδοται τὸ τόσσα, ποσότητος ὂν δηλωτικόν· διὸ καί τινες γράφουσιν „ὣς τὰ μεσηγὺ νεῶν." τὸ μὲν ἓν παραβολικὸν τὸ τῆς ἀντεικασίας ἔχει, τὸ δ' ἀνταποδιδόμενον τὸ τοῦ πλήθους παρεμφαίνει. καὶ ὅτι ὁ τὸν Σκάμανδρον Ξάνθον καλεῖ, ἀλλὰ διὰ τῶν ἑξῆς „ὃν Ξάνθον καλέσσι θεοί, ἄνδρες δὲ Σκάμανδρον." A.

ἄλλως. γράφεται καὶ τοῖα μεσηγύ, καὶ ὣς τὰ μεσηγύ. A.

ἄλλως ἐχημάτισε τὸν λόγον, οὐκ ἐπενεγκὼν τῷ ὡς ὅ' ὅτ' ἐν ἀρανῷ ἄστρα τὸ ὅτως μεταξὺ νεῶν. BL.

562. χίλι': ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει μύρια. ἐπιφέρει δὲ „ἐν δὲ ἑκάστῳ εἵατο πεντήκοντα σέλα," ὥστε γίνεσθαι μυριάδας πεντήκοντα. ἐὰν δὲ γράφῃ χίλια, πέντε μυριάδας, συμφώνως· διὰ παντὸς γὰρ τοὺς βαρβάρους ἐλάσσονας τῶν Ἑλλήνων συνίησιν. A.

563. παρ' ἑκάστῳ δὲ σέλᾳ πυρός, τοῦτέστι παρ' ἑκάστῃ δὲ πυρᾷ, πεντήκοντα ἐκαθέζοντο ἄνδρες. ἐκ τούτων δ' ἄν τις καταμάθοι τὸ πλῆθος τῶν Τρώων ὅτι πέντε μυριάδας ἦσαν. AD.

ἀφορμὴν λαβὼν καὶ τῶν Τρώων ἡμῖν τὸν ἀριθμὸν ἐδήλωσεν, ὅτι ἀμφὶ τὰς πέντε μυριάδας εἰσὶν οἱ τῶν πολιτῶν οἱ γὰρ ἐπίκουροι καθεύδουσι Τρωσὶ τὴν φυλακὴν ἐπιτρέψαντες. σέλαι δὲ γραπτέον, ἐ σέλας. BL.

ἀποκοπὴ γάρ ἐστι τοῦ σέλαι. τὸ φιλότιμον δὲ τῶν ἀριθμῶν καὶ ἐν Ὀδυσσείᾳ· „πεντηκόσιοι δ' ἀν' ἑκάστη (3, 7) καὶ „νῆες μέν μοι ἕποντο δυώδεκα" (9, 159). V.

564. κρῖ λευκόν: εἰ ἦν ἀπὸ τοῦ κριθή, λευκὴν ἂν ἐποίησεν. V.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΕΙΣ ΤΗΝ Ι.

ἡ Ι τῆς Ἰλιάδος ἐπιγράφεται λιτή, ὅτι Ἀγαμέμνων Νέχορος συμβουλεύσαντος πρὸν τὸν Ἀχιλλέα ἄνδρας λίσσεσθῃ ἔπεμψεν ἀρίσβας, Φοίνικα, Ὀδυσσέα, Αἴαντα. A.

λιτὰς μὲν τὴν ῥαψῳδίαν καλοῦσιν. ἐπειδὴ δὲ οἱ Τρῶες ἐκ παραδόξου νικῶσι, βέλεσι Διός, ἐκ οἰκείᾳ δυνάμει, παντὶ τὸν πόνῳ τὴν τύχην φυλάττουσι, παρεμβολὴν ἐπὶ τῷ ναυσάθμῳ ποιούμενοι. τοῖς δὲ Ἕλλησιν ἅπαντα δυσχερῆ, πρῶτα μὲν ἐν καιρῷ μὴ παρόντος ἀγαθοῦ συμμάχου, εἶτα καὶ μετὰ παράβασιν τοσοῦτον εὐτυχούντων τῶν Τρώων· εἶτα οἱ κεραυνοὶ τοῦ Διός· μάλιστα δὲ πάντων ὁ τὴν αἰτίαν ἔχων Ἀγαμέμνων ἄχθος. ὅταν δὲ ἄλλων πραγμάτων ἄρχεσθαι μέλλῃ, ὡς οἱ νόμιμοι τῶν ἱστοριογράφων, παραγραφὰς ἐμβάλλει· μεταβαίνων δ' ἐπὶ τὰ Ἑλλήνων ἀπεκρύφωσε τὸν λύγον. BL.

1. ὣς οἱ μὲν Τρῶες: καλῶς εἶπεν· οἱ μὲν γὰρ Τρῶες τὰς φυλακὰς εἶχον, ἵνα μὴ φύγωσιν οἱ Ἕλληνες διὰ νυκτός, οἱ δὲ Ἕλληνες εἶχοντο ὑπὸ τοῦ δέους. AD.

2. θεσπεσίη: ἡ βλήσει θεῶν προσγεγενημένη. γίνεται παρὰ τὸ θεύς καὶ τὸ πέω τὸ πίπτω, πέσω πέσιος θεοσπέσιος καὶ κατὰ συγκοπὴν θεσπέσιος. A.

φύζα φόβου κρυόεντος ἑταίρη: ἡ διπλῆ, ὅτι φύζα ἀεὶ μὲν σημαίνει τὴν μετὰ δέους φυγήν, ὅθεν καὶ „φυζακίνῃς ἐλάφοισι" (Il. 13, 102)· νῦν δὲ ἔκπληξις. ἀπολογεῖται δὲ ὅτι ἐκ θεῶν. κρυόεις δὲ φόβος ὁ ψυχρός· τὸ θερμὸν γὰρ ἐπιλείπει τοὺς δεδιότας. ὅρα δὲ τὸ ἀντίθετον πῶς ἐνὶ ῥήματι ἐδήλωσε, Τρῶες ἔχον, Ἀχαιοὺς ἔχε. ABL.

ὀκρυόεντος: φρικτοῦ, φοβεροῦ· συμβαίνει γὰρ τοὺς δεδιότας συγκρούειν τοὺς ὀδόντας. DV.

3. πένθεϊ: οἱ μὲν ἄλλοι ἐν φυγῇ, οἱ δὲ ἄριστοι ἐν πένθει· ἀνάξιον γὰρ Ἑλληνικῶν ἀρχόντων ἡ φυγή. μάλιστα δὲ αὐτῶν ἅπτονται αἱ συμφοραί· καὶ γὰρ τὰς τῶν κατορθωμάτων αἰτίας ἐπὶ τούτους ἀνάγομεν. BL.

ἀτλήτῳ: ἀνυπομονήτῳ, ἀφορήτῳ. DV.

βεβολήατο: ἡ διπλῆ, ὅτι ἔνιοι βεβλήατο, καὶ Ζηνόδοτος ἔτως. ἐπὶ δὲ τῆς κατὰ ψυχὴν τρώσεως καὶ ἀλγηδόνος ἀεὶ τοῦτο τάττει· ἐπὶ δὲ τῆς κατὰ σῶμα πληγῆς ἐκεῖ ἔτως. τὸ βεβολήατο ἔκτασιν ἔχει ποιητικὴν τοῦ ε εἰς τὸ η διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων. τοιοῦτόν ἐστι καὶ τὸ „πεφοβήατο δινήεντα" (Il. 21, 206) καὶ τὸ „ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κῆροι Ἀχαιῶν" (Il. 3, 183). A.

τὸ μὲν οὖν βεβολήατο ἐπὶ ψυχῆς, τὸ δὲ βεβλήατο ἐπὶ σώματος. BL.

4. ἄνεμοι: ἡ Ἀριστοφάνειος ἀνέμῳ δυϊκῶς. A.

καλῶς δύο ἀνέμους παρέλαβεν ταράσσοντας τὸ πέλαγος, ἵνα καὶ δύο πάθη ψυχῆς παραξήσῃ, ὥσπερ, φησίν, εἰώθασι δύο ἄνεμοι ταράσσειν τὴν θάλασσαν ἐκ βυθοῦ, οὕτω καὶ οἱ Ἕλληνες ἐταράσσοντο ὑπὸ τῶν δύο χαλεπωτάτων παθῶν, λύπης τε καὶ φόβου. AD.

καὶ γὰρ καὶ τὰ τέκνα λυποῦντα διττά, ἢ τῶν παρελθόντων ἔκπληξις καὶ δέος τῶν μελλόντων. οἱ δὲ Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοί. LV.

Πορφύριος. νῦν δοκεῖ πρὸς μηδεμίαν χρείαν δυοῖν ἀνέμοιν εἰκόνα παραλαμβάνειν· εἰ γὰρ αὐξήσεως ἕνεκα, ἔδει τοὺς τέσσαρας, ὡς ἐν ἄλλοις „σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσον Ζέφυρός τε δυσαὴς καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων" (Od. 5, 295). λύει δὲ τὴν ἀπορίαν αὐτός, ὡς καὶ Ἀπολλώνιος ὁ τοῦ Μόλωνος παρέσησε· δύο γὰρ πάθεσι χειμαζομένης ποιήσας τὰς Ἀχαιάς, φόβῳ μὲν ἐν οἷς εἴρηκε „θεσπεσίῃ ἔχε φύζα, φόβῳ κρυόεντος ἑταίρη," λύπῃ δὲ ἐν οἷς ἐπάγει „πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι·" δεδίασι μὲν γὰρ τὰ μέλλοντα, βαρέως δὲ φέρουσι τὰ γεγονότα οἱ ἄριστοι· δύο ἐν πάθεσι συνεχομένης εἰπὼν τὰς Ἕλληνας, προσηκόντως αὐτὰς ἀπεικάζει πελάγει δυσὶ πνεύμασιν ἐξεγειρομένῳ. τὸ θεσπεσίῃ δ' ἔχε φύζα δηλοῖ τὸν οὐ προσγινόμενον αὐτοῖς διὰ δειλίαν φόβον ἀλλ' ἐκ βουλήσεως θεῶν, ὡς πού καὶ ἐν ἄλλοις αὐτὸς ἀντέθηκεν, εἰπὼν „γνώσεαι δ' εἰ καὶ θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο" (Il. 2, 367), τουτέστι θείᾳ βουλήσει καὶ ὁ συμφυτῷ κακίᾳ. ἔστι δὲ καὶ ἐπίθετον ἄλλων τὸ θεσπέσιον, ὡς τὸ θεσπέσιον πλῆτον καὶ θεσπεσίη φύζα. ἐκ κοινοῦ ἔστι ἡ κακότης· γνώσῃ πότερον θεσπεσίῃ κακότητι ἢ ἀνδρῶν κακότητι. δηλοῖ δὲ ὅτως ἡ θεία. φύζα δέ ἐστιν ἡ φυγή· φόβῳ δὲ φίλη λέγεται, ὅτι ὁ φοβούμενος τὴν φυγὴν προσεταιρίζεται. καὶ τὸ μὲν βεβολήατο τὴν βούλησιν βεβλάφθαι δηλοῖ, τὸ δὲ βεβλῆσθαι δηλοῖ τὸ σῶμα. ἀνισόρροπον δέ φασιν εἶναι τὸ τῆς ἀμφοτέρας, ἤγουν τὸν Βορέαν καὶ τὸν Ζέφυρον, πνέειν ἐκ τῆς Θράκης· ἃ γὰρ πνέουσιν ἀμφότεροι ἐξ αὐτῆς. λύεται δὲ ἐκ τῆς λέξεως τρόπῳ συλληπτικῷ· τὸ γὰρ θατέρῳ συμβεβηκὸς ἐπ' ἀμφοῖν τέθειται. ἔστι δὲ καὶ ἕτερος. ὁμωνύμως γὰρ τὰ πνεύματα καὶ οἱ προεξῶτες αὐτῶν θεοὶ λέγονται· τοὺς δὲ σωματικῶς ἐν Θράκῃ κατοικοῦντας ὑποτίθεται ὁ ποιητής. B.

5. Ζέφυρος: ὁ τὰ πρὸς τὸ ζῆν φέρων· ἔαρος γὰρ ἄρχεται πνεῖν. V.

ἤτοι συναπτέον ἄητον ἐλθόντ' ἐξαπίνης, ἢ ὑποσικτέον ἀνυποκρίτως ἐπὶ τὸ ἄητον, ἵν' ᾖ τὸ ἐξῆς, Βορέης καὶ Ζέφυρος ἐξελθόντες ἐξαπίνης. A. πῶς δὲ ἀμφοτέρους ἐκ Θράκης φησὶ πνεῖν, τῷ μὲν Βορέᾳ ἐξ ἄρκτου τῷ δὲ Ζεφύρῳ ἐκ δύσεως πνέοντος; ῥητέον ἐν ὅτι ἡ τῶν Θρᾳκῶν γῆ ἐπὶ πολὺ διήκει καὶ σιγματοειδὴς κεῖται τῇ θέᾳ μέχρι τῆς δύσεως· ἀφ' ἑκατέρου οὖν μέρους τῶν ἀνέμων ἔχει ἑκάτερον. οἱ δὲ φασιν ὅτι συλληπτικῶς πέφρακε· τὸ γὰρ ἑτέρῳ συμβεβηκὸς καθ' ἑκατέρων κεῖται· μόνος γὰρ ὁ Βορέας ἀπὸ Θρᾴκης πνεῖ. AD.

οἱ μὲν συνεκδοχικῶς, ὡς „ὅσοι βεβολήατο χαλκῷ" (Il. 14, 23)· οἱ δέ, ὅτι οἰκητήριον ἀνέμων ἡ Θρᾴκη· εὐωχῆται γὰρ παρὰ Ζεφύρῳ ἐν Θρᾴκῃ (Il. 23, 200). ἔστιν οὖν, ἐλθόντ' ἀπὸ Θρᾴκης ἄητον ὅθεν ἑκάτερος εἰώθε πνεῖν. ἢ

ὅτι ἡ τῶν Θρᾳκῶν γῆ σιγματοειδὴς κεῖται καὶ ἐπὶ πολὺ διήκει μέχρι τῆς δύσεως· ἐφ' ἑκατέρᾳ ἂν μέρος τῶν ἀνέμων ἔχει ἑκάτερον. LV.

6. ἐξαπίνης: σφοδρότεραι γὰρ αἱ αἰφνίδιοι τῶν ἀνέμων ἐμβολαί. AL.

ἄμυδις: ἅμα τῷ πνεῦσαι τὰς ἀνέμους. ψιλωτέον δὲ τὸ ἄμυδις· Αἰολικὸν γὰρ καὶ τόνον καὶ πνεῦμα ἐδέξατο. BL.

Νικίας καὶ Πάμφιλος δασύνουσι τὸ ἅμυδις, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο· ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ περὶ Ἀλεξίωνα ψιλῶσιν, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίσταρχον, καθότι, φασί, φιλεῖ πως τὰ ἀπὸ δασέων πως πολλάκις μεταχηματιζόμενα ψιλοῦσθαι, ἡμέρα ἦμαρ, ἡδονή ἦδος. πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς· „πάντ' ἄμυδις κεφαλῆς" (Il. 12, 385). ἐχρῆν δὲ αὐτὸς προσθεῖναι ἐκεῖνο, ὡς ὅτι τὸ ἄλλυδις καὶ ἄμυδις τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ἣ διὰ τοῦ υ ἐξηνέχθησαν. ἐχρῆν ἂν ἀμάδις τι εἶναι ὡς χαμάδις. τροπὴ δὲ τοῦ α ἐγένετο εἰς τὸ υ, ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα. A.

7. κορθύεται: κορυφοῦται, αὔξεται. ἔνιοι δὲ ἐπὶ τοῦ σωρεύεσθαι ἔκειντο· κόρθυς γὰρ ὁ σωρός. D.

τὸ παρέξ παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐστί, καὶ ἐγκλίνεται αἱ δύο προθέσεις. διὸ καὶ πολλάκις εὑρίσκεται καὶ εἰς κ λήγουσα ἡ ἐξ· „παρὲκ μέγα τειχίον αὐλῆς" (Od. 16, 165). ἔστι δὲ ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ προθέσεως, ἔθ' ὅτε καὶ τῆς παρά· „ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετον" (Od. 12, 276)· „ὣς ἄρα φωνήσαντε παρὲξ ὁδὸν" (Il. 10, 349). ἐνθάδε μὲν ἂν ἡγεῖται ὁ Ἀσκαλωνίτης παρέλκειν τὴν παρά, ἵν' ᾖ ἐξ ἁλός. ἄλλοι δὲ τὴν παρὰ κυρίως κεῖσθαι, ἵνα γένηται παρ' ἄλα φῦκος, καὶ τὴν ἐξ συντάσσεσθαι πρὸς τὸ ἔχευαν, ὅπερ καὶ βέλτιον· παρ' ἁλὶ φῦκος ἐξέχευαν. μετὰ γὰν τῆς διά ἅσα ἢ ἐξ ἐ τρέπει τὸ ξ· „διέξ σωλῆνος εἰς ἄγγος" (Etym. M. p. 324, 16). Τυραννίων δὲ ἓν μέρος λόγου ἤκουσεν, ἵν' ᾖ ἐπίρρημα, καὶ βαρύνει· καὶ ἔχει λόγον, ὡς Ἡρωδιανὸς „ὡς ἕνα πάρεξ τῶ Σκυθικῶ ἔθνες." A.

δύο εἰσὶ προθέσεις. ἀμέλει καὶ τρέπεται τὸ ξ εἰς τὸ κ, παρὲκ μέγα, παρὲκ νόον. τινὲς δὲ ἓν μέρος λόγου, ὅπερ ἐστὶν ἐπίρρημα. ἔστι δὲ καὶ πάρεξ, ὃ γενικῇ θέλει συντάττεσθαι. μετὰ τὴν διά δὲ ἅσα ἡ ἐξ ἐδέποτε τρέπει τὸ ξ. τὸ δὲ ἑξῆς ἅτως, πολλὸν δὲ παρὰ τὴν ἅλα φῦκος ἐξέχευαν. BL.

φῦκος: τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. οἱ δὲ φυκία φασὶ βοτάνην τὴν ἐν τῷ βυθῷ τῆς θαλάσσης γιγνομένην. D.

ἔχευεν: διχῶς, καὶ διὰ τοῦ α, ἔχευαν. A.

8. ἐδαΐζετο: ἐταράσσετο, διεκόπτετο. V.

9. ἄχεϊ μεγάλῳ: τῇ ἀλάλῳ λύπῃ. καὶ ἑξῆς „ἔζον δὲ ἐν ἀγορῇ" (63). V.

ἡ διπλῆ, ὅτι πάλιν τὸ βεβολημένος διὰ τοῦ ο ἐπὶ ψυχῆς λέγει. A.

11. νυκτὸς ὅσης καὶ πλησίον ὄντων τῶν πολεμίων οὐ πάντας καλεῖ, ἵνα μή τις ταραχὴ γένηται. AD.

τὸ μὲν πλῆθος οὐ συνάγει, ἐπεὶ ἐν ταῖς δυσπραγίαις ὀργίζονται τοῖς ἄρχουσιν, ἐπ' ἐκείνους τὴν αἰτίαν τῆς συμφορᾶς ἀναφέροντες. ἄλλως τε εἰ καὶ μηδὲν δυσχήσαντες ἔτω πρώην ἐδέξαντο τὴν φυγήν, πόσῳ μᾶλλον νῦν δυστυχήσαντες; κατ' ὄνομα δὲ τοὺς ἀρίστους συνάγει, ἵνα μὴ ἔκπυστα γένηται τοῖς πολεμίοις τὰ πρασσόμενα, ἢ καὶ πρὸς τὸ μὴ ταράξαι τοὺς οἰκείους. ἐδέ ἦν ἐν ταῖς δυσχερείαις ἐξίσταται τῶν πρακτέων ὁ βασιλεύς. BL.

12. μηδὲ βοᾶν: ἀντὶ τοῦ μὴ βοᾶν δέ, ὡς „δόλῳ ἐδέ βίηφιν" (Od. 9, 408) ἀντὶ τοῦ βίᾳ δὲ οὔ. L.

μετὰ πρώτοισι πονεῖτο: εἰκότως ταὐτὰ ποιεῖ τοῖς κήρυξι πρὸς τὸ δυσωπεῖν ἐκείνους· ἡ γὰρ συμφορὰ ταπεινοῖ καὶ τὰ μεγάλα φρονήματα. L.

ἡ διπλῆ, ὅτι τὸ πονεῖν ἀεὶ ἐπὶ τοῦ ἐνεργεῖν τίθησιν. A.

13. τετιηότες: τετιμωρημένοι ἢ λυπούμενοι. V.

14. ἵσατο δακρυχέων: τοῦτο δὲ ποιεῖ, ἵνα ἐλεεινὸς γενόμενος μὴ καταλειφθῇ παρ' αὐτῶν. BL.

ὥστε κρήνη μελάνυδρος: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει μετ' Ἀργείοισιν ἔειπεν ὦ φίλοι Ἀργείων. περιῄρηκε δὲ πάντα τὰ κατὰ τὴν παράθεσιν. ἀναγκαῖα δέ ἐστιν εἰς αὔξησιν. A.

μελάνυδρος: πολύυδρος· φύσει γὰρ μέλαν τὸ ὕδωρ ἀλλὰ λαμπρύνεται ταῖς ἡλιακαῖς αὐγαῖς. ἢ βαθεῖα· τῷ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος. AD.

15. ἀγχίλιπος: ἧς ἂν καὶ αὖξ ἀπολείπεται ἂν διὰ τὸ ἄγαν ὑψηλὸν καὶ δύσβατον· ἐν γοῦν τοῖς κρημνοῖς αἱ αἶγες ὡς ἐπίπαν νέμονται. ἡ δὲ παραβολὴ πρὸς τὸ πλῆθος τῶν δακρύων εἰληπται καὶ τῶν ξεναγιῶν. ADL.

δνοφερόν: μέλαν, ἢ μετὰ δονήσεως φερόμενον. τὸ δὲ ψόφῳ ὁ ξεναγμὸς εἴκασαι. BL.

16. ὡς ὁ βαρυστεναχων: ἀλλ' εἶπε „δακρυχέων ὥρσε κρήνη", εἰ μὴ λέγοις ὅτι διὰ τῶ βαρέως ξενάζειν τὸ δακρυχέειν δηλοῦται, ὡς τὸ „ἐζόμενοι λευκαινον ὕδωρ" (Od. 12, 172). BL.

ἡ διπλῆ, ὅτι τινὲς γράφουσιν ὣς ὄγε δακρυχέων διὰ τὸ ἀκαταλλήλως πρὸς τὰ δάκρυα τὸ ξενάχων ἀποδόσθαι. ἔστι δὲ ἐν τῷ ξενάχειν καὶ δακρύειν ἀπὸ προηγουμένου νοούμενον. A.

17. Πορφυρίω. διὰ τί λέγοντα ποιεῖ ἐν δήμῳ „ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες," τοὺς ἡγεμόνας καὶ βασιλεῖς προσφώνων, καίπερ πάντων παρόντων; φησὶν ἐν Ἀριστοτέλης ὅτι ὁ μὲν δῆμος μόνῳ τῷ ἀκοῦσαι κύριος, δὲ ἡγεμόνες καὶ τῷ πρᾶξαι. A.

οὐ πρὸς τὸ πλῆθος ἀποτείνεται, ἐπεὶ καὶ ἡγεμόνες μόνοι εἰσὶν οἱ παρόντες. BL.

ἡ διπλῆ, ὅτι ἐνθάδε γραπτέον· πρὸς γὰρ τοὺς ἀρίστους ὁ πρὸς τὸ πλῆθος ὁ λόγος. ὅταν δὲ ἀπόπειραν τῷ πλήθει προσάγῃ, προσφυέστερον γράφεται „ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος" (Il. 2, 110). διαιαλτέον δὲ ἐπὶ φίλοι διὰ τὴν ἀντέμφασιν· ἑαυτῷ μὲν γὰρ προσφιλεῖς Ἀργείων δὲ ἡγήτορας αὐτὸς λέγει. A.

ἄλλως. τὴν μὲν πρώτην πεῖραν ὁ Ἀγαμέμνων σύμπαντος τοῦ πλήθους ἐποιεῖτο ᾗ „ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος" ἔλεγεν· νῦν δὲ ταύτην δευτέραν πεῖραν εἰς τοὺς Ἀργείων ἡγεμόνας φέρει, δεδοικὼς μὴ ᾗ τούτων τὴν γνώμην ἡ γενομένη ἥττα ᾗ ὁ παρὰ τοῦ Διὸς φόβος ἀνέτρεψεν. ὅτι γοῦν ἀποπειρωμένη ἡ σύνοδος αὕτη, μανθάνομεν ᾗ ἐξ ὧν Ἀγαμέμνων τὴν Διομήδους ἐπίπληξιν φέρει, οὐκ ἐνεγκὼν τὸ πρῶτον τὴν τοῦ κρείττονος Ἀχιλλέως δικαιολογίαν. δῆλον δὲ καὶ ἐξ ὧν ὁ Νέστωρ, ὡς τὴν τοῦ βασιλέως γνώμην εἰδώς, τὸν Διομήδην ἐπαινεῖ, πρότερον ἐπιτιμήσας τῷ Ἀχιλλεῖ. BLV.

18. Ζεύς με μέγα Κρονίδης: ἀπαλλάττει τῆς κατηγορίας ἑαυτόν. A.

μέγα: Ἀρίσαρχος σὺν τῷ ō μέγας. ABL.

ἡ διπλῆ, ὅτι μέγα δεῖ γράφειν, ἀντὶ τοῦ μεγάλως, ὡς σάφα. ἀδόκιμος δὲ πάνυ ἡ μετὰ τοῦ ō, μέγας. A.

19. τότε μέν μοι: ἕτως Ἀρίσαρχος, ὅτε τὸν ὄνειρον ἔπεμψεν· ἐκεῖ δὲ (Il. 2, 112) πρίν, διὰ τὸ „ἀῤῥάπτων ἐπιδέξια" (ib. 353). L.

ἡ διπλῆ, ὅτι νῦν οὕτως γραπτέον, τότε μέν μοι· ἀνάφερει γοῦν ἐπὶ τὸ πρώην κατὰ τὸν ὄνειρον· ἐν ἐκείνοις μέντοι πρίν μέν μοι· χρόνια γὰρ ἐσήμαινε τὰ κατὰ τὴν πρώτην ἔξοδον τῶν Ἑλλήνων. A.

τότε δέ μοι, φησίν, ὑπέχετο ᾗ κατένευσε τὴν Ἴλιον ἐκπορθήσαντα ἀναῤῥέψαι, ὅτε αὐτῷ ἐν Αὐλίδι τὰς θυσίας ἐποιεῖμεν, ᾗ τὸ τέρας ἡμῖν ὑπέφηνεν ἀκριβῶς. BL.

21. κελεύει: διὰ τοῦ κεραυνοῦ. V.

23. 24. 25. παρὰ Ζηνοδότῳ ἐκ ἐφέροντο οἱ τρεῖς· ᾗ Ἀριστοφάνης δὲ ἠθέτει. ALV.

ἄλλως. ἀθετοῦνται σίχοι τρεῖς, ὅτι ἄμεινον ταῦτα λέγειν ἐν τῇ ἀποπείρᾳ (Il. 2, 116). νῦν δὲ ἐκ ἀποπειρᾶται, ἀλλὰ περὶ ἀποστάσεως ἀληθῶς λέγει, ἐγκεκυρηκὼς τοῖς τοῦ Διὸς ἐλαττώμασιν. A.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἦρκε τοὺς σίχους πρὸς ἐδὲν ἀναγκαῖον, ἀλλ' ἕνεκα τοῦ κατ' ἄλλους τόπους φέρεσθαι (Il. 7, 398. 9, 691). τοιοῦτος δέ ἐστιν ἐπὶ τῶν διαφορουμένων. τὴν δὲ συνέπειαν οὕτως ποιεῖ „δυσκλέα Ἄργος ἰκέσθαι. ἤτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο, θυμὸν ἀχεύων. τοῖσι δ' ἀνιςάμενος προσέφη κρατερὸς Διομήδης." A.

25. ἔτι καὶ λύσει: ὑπόψυχρόν ἐστι τὸ διςάζειν περὶ τῆς ἁλώσεως Τροίας ἐν τοιαύτῃ δεινῇ συγκεκλεισμένον τῇ περιςάσει. BL.

29. ἀκήν: ἄγη τίς ἐστιν· οἱ γοῦν ὑπερβάλλοντες θαυμασμοὶ ἐκπλήσσουσι, πᾶσα δὲ ἔκπληξις σιωπὴν ἄγει, ὡς καὶ τὸ „βῆ δ' ἀκέων" (Il. 1, 34) ἀντὶ τοῦ ἐκπλαγείς. ἢ ἀχήν τίς ἐστι, παρὰ τὴν ἀχανίαν. AB.

τὸ εὐκαθὲς ᾗ ἐν ταῖς συμφοραῖς τῶν Ἀχαιῶν δεδήλωται. V.

ἔτε ἐν μένοντες χρησὴν εἶχον ἐλπίδα, ἔτε φεύγειν εὐκλεὲς ἦεντο. ἅμα δὲ ᾗ τὴν προτέραν πεῖραν εἰδότες ὑποπτεύσει τίς ὁ νεῦς τοῦ λέγοντος. ἔοικε δὲ αὐτὸς ὁ ποιητὴς διςάζειν τινα ἀντιτάξει τῇ ῥητορείᾳ Ἀγαμέμνονος εἰ ἐχέσῃ ᾗ κηδεμονικῶς. BL.

31. Διομήδης: οἰκεία Διομήδους ἡ ῥητορεία· τὸν γοῦν παραιβάτην Ἕκτορος ἐφόνευσε, τὴν σώζουσαν Ἀλέξανδρον ἔτρωσε, τοὺς Αἰνείου ἵππους ἔλαβε, χρύσεια ὅπλα ἔχει, Ἰδαίῳ μόνος ἀντεῖπε, τοὺς κεραυνοὺς μόνος ὑπέμεινεν, ἔφυγεν ὕστατος, ὑπέστρεψε πρῶτος· ὀνειδισθεὶς δὲ ὑπὸ Ἀγαμέμνονος εὐκαίρως αὐτὸν νῦν ἀντονειδίζει μετὰ τὴν ἀριστείαν, ἀρετῇ δὲ ᾗ θυμῷ ᾗ φιλοδοξίᾳ παρώξυνθη. εἰ δὲ ἦν γέρων, ἐδόκει ἐκγελᾶν ἀλλοτρίας πόνους· εἰ δὲ ἀσύνετος ἐτύγχανεν, ῥᾳπτεύετο πάντως τῆς ἀσφαλείας καταφρονῶν. BL.

32. σοὶ πρῶτα: εἰπὼν τὸ πρῶτα, δηλοῖ ὡς καὶ τοῖς ἄλλοις ἐπιμέμφεται τῇ φυγῇ διὰ τῆς σιωπῆς συναινῶσι. μάχην δέ φησι τὴν τοῦ λόγου ἐναντίωσιν. BL.

Ἀρίσαρχος διὰ τοῦ ῆ μαχήσομαι. A.

33. ἣ θέμις ἐστίν: ὡς νόμος ἐστὶν ἐν ἐκκλησίᾳ τὸν βαλλόμενον ἀκωλύτως λέγειν, ὥσπερ ἐν δημοκρατείᾳ. AD. ἐπὶ δὲ τοῦ ἀγορῇ στικτέον, ὡς νόμος ἐστὶν ἐκκλησίας μετὰ παῤῥησίας λέγειν. Σέλευκον μέντοι φασὶν ἐπὶ τοῦ ἄναξ διαστέλλειν. A.

προδιόρθωσίς ἐστιν, ἐπειδὴ αὐτῷ σφοδρότερον μέλλει καθάπτεσθαι, ὡς ἐφιεμένου μὴ ἄλλοτε ἢ ἐν ταῖς δημηγορίαις ἀντιλέγειν τοῖς βασιλεῦσι. προπαραιτεῖται δὲ τὴν ὀργήν, ἄξιον δέχεσθαι τὴν πρὸς τὸ συμφέρον ἀλήθειαν, ᾗ δηλῶν ὡς τοῖς εἰρημένοις, ἐκ αὐτῷ ἀπέχθεται. εὖ δὲ ᾗ τὸ μή τι χολωθῇς, ἀξιοπίστως εἰρημένον· εἰ γοῦν καὶ οἶδε τὰ κατὰθύμια αὐτῷ λέξων, ὅμως ἀναφέρει πρὸς τὸ „συγγνῷ δὲ καὶ ἄλλος" (Il. 1, 186). θέμις δὲ τῆς δημηγορίας τὸ τὸ δοκοῦν παῤῥησιάζεσθαι. BL.

34. πρῶτον: ὁ πρῶτον, ἀλλὰ πρῶτος. δηλοῖ δὲ τὸ μόνος, οἷον μετὰ σεαυτοῦ μὴ ἔχων ἕτερον· ὁ γάρ τις με, φησί, ᾗ ἄλλος ὕβρισεν, ἀλλὰ σὺ πρῶτος. ἤτοι μόνος αὐτὸς ᾗ τέλος καὶ ἀρχή. ὃν δὲ βαρύτατα φέρων ἠνέχετο ψόγον δειλίας, περὶ τούτου πρῶτον ἐῤῥήθη φωνήν· ἐκ γοῦν θυμοῦ ᾗ φιλοδοξίας τὰ συμβαλευόμενα παρεὶς τὴν ὑπὲρ ἑαυτοῦ παῤῥησίαν πρῶτον εἰσήγαγεν. BL.

περὶ τῆς δυνάμεώς μου ὠνείδισας ἐν τοῖς Ἕλλησιν ὡς ἀσθενεστάτου, ἤτοι δὲ ἐν ἤθει λέγει. τὴν μέντοι ἀναφορὰν ἔχει ταῦτα ἐπὶ τὰ ῥηθέντα ὑπὸ Ἀγαμέμνονος ἐν τῇ Δ ῥαψῳδίᾳ (370) „ὦ μοι Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο, τί πτώσσεις" ᾗ τὰ ἑξῆς. ABD.

τὸ ἐν Δαναοῖσιν ἴσως τις ἀξιώσει τοῖς ἑξῆς συνάπτειν· ἀλλ' ὁ κατεπείγει. A.

36. οὕτως Ἀρίσαρχος, ἠμὲν νέοι· ἠδὲ γέροντες. γράφεσθαι δέ φησι καὶ ἠγήτορες ἠδὲ μέδοντες. A.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἠγήτορες ἠδὲ μέδοντες. βέλτιον δὲ καθολικώτερον γεγράφθαι· καταλείπεται γοῦν ἐν πᾶσιν ἡ δόξα τἀνδρός, ᾗ ὅτι νῦν γέροντας τοὺς καθ' ἡλικίαν, ἐπεὶ μικρῷ πρότερον ὁ Νέστωρ αὐτὸν ἐσεσώκει ἐν τῷ πολέμῳ. A.

ἀνεπαχθῶς τᾶτό φησι διὰ τὸ σῶσαι τὸν Νέςορα· διὸ κἀκεῖνος λέγει „πολέμιῳ ἔνι καρτερὸς ἐσσι" (53). BL.

37. διάνδιχ' ἔδωκε: τὴν τιμὴν εἰς δύο διελὼν καὶ μερίσας τὸ ἕτερόν σοι ἔδωκε· λέγει δὲ τὸ βασιλεύειν. A.

διῃρημένως τὸ ἕτερον τῶν δυοῖν, ἐχ ἑκάτερον. BL.

38. σκήπτρῳ μέν: προθεραπεύει διὰ τᾶτο, ὡς δειλᾶ μέλλων καθάπτεσθ. BL.

39. ὅ τε: τὸ ἄμφω κεκτῆσθ, ὡς ὁ τέλειος εἴη βασιλεὺς ὁ μὴ ἔχων τὰ δύο· ϗ ὅτι ἡ μὲν δύναθ βασιλείαν περιποιεῖν, ἡ δὲ βασιλεία πρὸς κτῆσιν ἀλκῆς ἀδύνατος. δύο δέ εἰσι, τὸ μὲν ἐκ τύχης, τὸ δὲ ἐξ ἀρετῆς, ὅπερ ἀποδέχεθ ὁ ποιητής, ὡς μὴ δεήσοντος τᾷ πόνᾳ. καὶ Ἀχιλλεὺς οὖν ταῦτα ὀνειδίζει. ὁ πιςευτέοι δὲ ἀντιπολιτευόμενοι· τὰ δὲ ἀπαθῆ τῶν προσώπων πρὸς μαρτύρησιν ἱκανά, οἷον τὸ „βασιλεύς τ' ἀγαθός (Il. 3, 179) καὶ τὸ „ἦ αὐτὸν βασιλῆα" (Il. 7, 180). BLV.

τὸ ὅτε ἀντὶ τᾷ ὅπερ. A.

40. δαιμόνι': εὐκαιρος ὁ ἔπαινος διὰ τὰ κατ' αὐτοῦ εἰρημένα. BL.

43. ἔρχεο, πάρ τοι ὁδός: πικρὰ μὲν τῷ ἀκέεσθαι, ἥδιςα δέ ἐςι τῷ νοεῖν. ταῦτα γᾶ ἀκέειν ἐθέλει Ἀγαμέμνων παρὰ τῶν Ἀχαιῶν, ὅτι ἐθελονταὶ τὸν κίνδυνον ἀναδέχονθ, ὡς δημοκρατέμενοι, ἀ βιαζόμενοι. BL.

νῆες δέ τοι: ἡ διπλῆ, ὅτι ἀπὸ κοινοῦ τοῦ πάρ τοι ὁδός τὸ πάρεισί σοι. ὅπερ ἀ συνέντες τινὲς προςεθείκασι τὸν ἑξῆς. A.

44. ἀθετεῖθ, ὅτι περισσός ἐςι ϗ μὴ προσκειμένου αὐτοῦ ἐμφαντικώτερος ὁ λόγος γίνεται· ἐφορμᾶσιν αἱ νῆες πορευσόμεναι. οἱ δὲ γράφουσιν νῆες μέντοι ἀμφιέλισσαι, ὥςε παντελῶς ἀποκρίνεσθ τὸν ςίχον. A.

αἵ τοι ἔποντο Μυκήνηθεν: τούτων γᾶ ἄρχει μόνων, ἐχ Ἑλλήνων. πῶς δὲ ἐκ αἰχρὸν σὺν πολλῷ ἐλθόντα ςόλῳ μάταιον ὑποχωρεῖν; BL.

45. ἄλλοι μενέουσι: ῥητορικῶς αὐτῶν προενεχυράζει τὴν γνώμην. BL.

46. 47. ἄνωθεν ϗ ἐκ παλαιοῦ τὰ τῆς ἀναγνώσεως ἐζήτηται. ϗ οἱ μὲν λείπειν φασὶ τὸ θέλουσιν, ὑποςίζοντες ἐπὶ τὸ αὐτοί· οἱ δὲ κοινὸν ἄνωθεν λαμβάνουσι τὸ ἐπέσσυται ὥςε νέεσθαι, εἶτα φευγόντων σὺν νηυσί ἀντὶ τᾷ φευγέτωσαν. ἄμεινον δὲ ὑφ' ἓν μὲν ἀναγινώσκειν, εἰ δὲ καὶ αὐτοὶ φευγόντων, ςίζειν δὲ ἐπὶ τῷ γαῖαν, ἵνα λέγηται μὲν ἀποφατικῶς, τὸ δὲ λεγόμενον τοιᾶτον ᾖ, ἄγε δὴ ϗ ἔτοι φευγέτωσαν εἰς τὰς πατρίδας. εἴρηται γᾶ ὡς ὁ εἴ σύνδεσμος ἔχει τινὰ δύναμιν παρακελευσικήν, ὡς ἐκεῖ „ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν" (Il. 24, 74) τᾷ εὐκτικᾷ ἀντὶ προσακτικᾷ κειμένᾳ, ὡς κἀκεῖ „ἐξελθών τις ἴδοι" (Od. 24, 491) ἀντὶ τᾷ ἰδέτω· ἀπρεπὲς γᾶ εὔχεσθ τὸν Δία. τάχα δὲ ϗ τὸ παρὰ τοῖς Ἀττικοῖς παρακελευσικὸν ἐπίῤῥημα εἶα ἀπὸ τᾶτο γέγονε περιττεύοντος τᾷ ᾶ. ἄλλως τε ϗ συντάττεται τῷ ἄγε ἐπιῤῥήματι· „εἰ δ' ἄγε νῦν φίλε Φοῖβε" (Il. 16, 667)· ἐδὲν γᾶ πλέον τᾷ ἄγε δή. ϗ ἐνθάδε ἄγε δὴ ϗ ἔτοι φευγέτωσαν. A.

τὸ εἰ παρακελευσικόν φησιν ὁ Νικάνωρ. V.

ὑποσικτέον εἰς τὸ αὐτοί, ϗ λείπει τὸ θέλουσι φυγεῖν ἢ κοινὸν τὸ ἐπέσσυται ὥςε νέεσθαι. κομματικῶς εἶπε, μιμέμενος τὸν ὑμέτερον. BL.

προσληπτέον τὸ βάλονται, ἵν' ἢ ἐὰν δὲ ϗ αὐτοὶ βάλωνται, φευγέτωσαν, ἔςωσαν τῶν φευγόντων. D.

48. εἰσόκε τέκμωρ: προτρεπόμενος αὐτὸς ἐκ ἐδίςωσεν, ἀλλὰ προθύμως φθέγγεται ταῦτα. BL.

49. σὺν γὰρ θεῷ: τῶν λόγων τὸ ὑψηλὸν τῇ θείᾳ ῥοπῇ λέγει (θ. προνοίᾳ λύει BL). ἔςι δὲ ὅμοιον τῷ „πειθόμενοι τεράεσσι" (Il. 4, 408). V.

50. οἱ δ' ἄρα πάντες: θαυμαςὴ τῶν λόγων ἡ δύναμις, συγχέσα ϗ διαςέλλουσα τὴν ψυχήν. BLV.

52. τοῖσι δ' ἀνιςάμενος μετεφώνεεν: ἐν ἄλλῃ τοῖσι δὲ καὶ μετέειπε Γερήνιος. A.

ἡ σιωπὴ Ἀγαμέμνονος ἀπόπειραν δευτέραν ἔχει τῶν Ἑλλήνων. ἔτε δὲ ἀντιπράσσει τῷ Διομήδει (θυμήρη γὰρ εἶπεν) ἔτε ὡς ἡδόμενος συναινεῖ, ἵνα μὴ ϗ πρὸς τὸ μέλλον ἄπιςον ἑαυτὸν καταςήσῃ τοιᾶτόν τι τεχνάσαθ. καλῶς δὲ μετὰ τὸ μαθεῖν τὴν γνώμην τῶν Ἀχαιῶν ἐπάγει τὸν λόγον ὁ Νέςωρ. BL.

53. ὅτι τὸ περὶ ἀντὶ τᾷ περισσῶς. A.

55. ἤ τίς τοι τὸν μῦθον ὀνόσσεται: ἐδείς σε τὸν λόγον ἐκφαυλίσει ϗ μέμψεται. πῶς δὲ ὁ Νέςωρ τὸ τέλειον ἀποδὰς τῷ Διομήδει λόγῳ λέγειν αὐτὸς ἐπιχειρεῖ; ῥητέον δὲ ὅτι τῆς μὲν ὕβρεως τὴν μνήμην ϗ Διομήδης πεποίηθ, ὁ Νέςωρ αὐτῷ τελείως γεγενῆσθ μαρτυρεῖ· ὅπερ δὲ δεῖ πράσσειν ἐν τῷ καιρῷ, Διομήδης μὲν παρέλιπεν, ἐκεῖνος δὲ εἰσηγεῖται. AD.

56. τὸ πάλιν ἐκ ἔςιν ἐκ δευτέρᾳ, ὡς ἡμεῖς, ἀλλ' ἀντὶ τᾷ ἔμπαλιν ἐρεῖ, ἐναντίως. A.

δύο γὰρ τὰ ἀκυρᾶντα πάντα, ἥ τε τῶν λόγων ἐναντίωσις ϗ ἡ μέμψις. BL.

οἷς ἀμφοῖν ἐλοιδόρησε τὸν βασιλέα, τούτοις αὐτὸν πρᾶξαι φησίν, ἀλλ' ἐκ ἄκρως· ἔτε γᾶ κρατερώτατον εἶπε ἵνα μὴ τὲς ἄλλες λυπήσῃ ϗ αὐτὲς τῆς ἀνδρείας ἀντιποιεμένες, ἀλλὰ ϗ μετὰ πάντας ὁμήλικας, ἵνα μὴ τὲς πρεσβυτέρες ἀνιάσῃ. ἄλλως τε ϗ ἀνατρέψαι αὐτᾷ τὸν λόγον βούλεται· διὸ ϗ ἐ συνετώτατον καλεῖ αὐτόν. ABL.

ἐδὲ ἀντερεῖ. τὸ δὲ τέλος ἐκ ἐπέθηκας τοῖς λόγοις. ἐ μὴν τέλος ἐπέθηκας τῷ λόγῳ σου. τὰ μὲν γᾶ πρὸς τὸν βασιλέα δεόντως φησὶν εἰρῆσθαι, ἐλλείπειν δὲ τὰ τῆς συμβᾳλῆς ϗ παραφυλακῆς, ἅτινα αὐτὸς ἀναπληροῖ. AB.

57. ἦ μὴν: διὰ τᾶ ε αἱ Ἀριςάρχε, ἦ μέν. A.

νέος ἐσσί: ἀπολογεῖται τᾷ μὴ τελέσαι τὸν λόγον. ἡ μὲν συνήθεια ςίζει μετὰ τὸ ἐσσί, τὸ δὲ ἑξῆς συνάπτει. ἐπεὶ δὲ ἀξιᾶσί τινες ὑπερβατὸν ποιεῖν „ἦ μὴν καὶ νέος ἐσσὶ ὁπλότερος γενεῆφι," δῆλον ὅτι τὰ διὰ μέσε λεγόμενα „ἐμὸς δέ κε καὶ πάϊς εἴης" τῆς ἐοικυίας διορθώσεως τεύξεται. A.

ἡ δὲ διπλῆ, ὅτι ἐχ ἁρμόζει τῷ τρεῖς γενεὰς βεβιωκό

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγειν „ἐμὸς ἂν παῖς εἴης" κατὰ τὴν ἡλικίαν, πρὸς ἐπιτίμησιν τῶ πολέμω. A.

τῷ τῆς συγγενείας ὀνόματι τὴν ἐξ αὐτοῦ ἐπισπᾶ εὔνοιαν. ὅρα δὲ ὁπόσοι οἱ ἔπαινοι· χεδὸν γ᾽ αὐτῷ ἀπένειμε τὸ πᾶν τῆς συμβελῆς, ὀλίγα αὐτὸς προσθήσειν ἐρῶν. BL.

58. ὁπλότατος: γράφε ὁπλότερος. A.

τὸ Ἀργείων βασιλῆας δύνα κὴ τοῖς ἄνω συνάπτεσθ κὴ τοῖς ἑξῆς. κὴ τὸ αὐτὸ μὲν χῆμα ἐν ἀμφοτέροις· τὸς Ἀργείων βασιλεῖς εἶπεν ἢ περὶ βασιλέων ἢ εἰς βασιλεῖς. εἴτε ἐν τοῖς ἄνω συνάπτοιτο, γίνε βασιλεῖς βάζεις· εἴτε τοῖς ἑξῆς, γίνεται βασιλεῖς ἔειπες. A.

60. ὃς σεῖο γεραίτερος: ἀνεπιφθόνως ὅτιος ὁ τὴν σύνεσιν ἀλλὰ τὴν ἡλικίαν προβάλλεται, διὰ ταύτης ἔχειν ἀξιῶν τὸ κρεῖττον κὴ λογιώτερον. BLV.

61. διξόμαι: διελεύσομαι τὰ πράγματα ἀπ᾽ ἀρχῆς μέχρι τέλος. δασυντέον τὸ διξόμαι· ἀπὸ γ᾽ τοῦ ἵκω ἐγένετο· ἐπιφέρει γᾶν „ἀτὰρ ὁ τέλος ἵκεο μύθων." ALV.

τοῦτο πρὸς τὸ „ἀτὰρ ὁ τέλος ἵκεο μύθων" ἀντιπαρατέθειται. AL.

62. οὐδὲ κρείων Ἀγαμέμνων: πρὸς τὸ μὴ Διομήδην ἀντειπεῖν τοῖς λεχθησομένοις. οἶδε δὲ Ἀγαμέμνονα εἰπόντα τὸ „εἰ δέ ποτ᾽ ἔς γε μίαν βωλεύσομεν" (Il. 2, 379). BL.

63. ἀφρήτωρ κοινῶς ὁ φρητρίας κὴ συγγενείας μὴ μετέχων, ἀπάνθρωπος, ἄπολις κὴ συγγένειαν ἐκ ἔχων· φρατρία γ᾽ ἡ συγγένεια. κυρίως δέ ἐσι τρίτον μέρος φυλῆς. AD.

ὁ μὲν μένειν παρήγγειλεν, ὁ δὲ τὸς συμμάχους ὁμονοοῦντας ἔχειν. διδάσκει δὲ ὡς εἶναι μὲν πολεμικὸν δεῖ, δι᾽ ὧν φησὶν „οἷς ἔτι μέλει πολεμήϊα ἔργα" (Il. 2, 338), ὁ μὴν φιλοπόλεμον· ἀνατρέπει γ᾽ τοῦτο πᾶσαν πολιτείαν. Διομήδης δὲ νῦν μὲν ἐκ ἀντεῖπεν, ἵνα μὴ ἀφρήτωρ δοκῇ· ὅτι οὐ ἐκ ἠρέθη τῇ γνώμῃ, δηλοῖ διὰ τοῦ „μὴ ὄφελες λίσσεσθ" (698). κὴ τὸ μὲν κεφάλαιον τῆς συμβελῆς ἐπὶ τοῦ πλήθος εἶπεν, ὅπως μὴ ὑπέρθηται τὰς λιτὰς Ἀγαμέμνων, τὰ δὲ κατὰ μέρος ἐπὶ τῶν δείπνων. κὴ Ἰσοκράτης δὲ ἐν τῷ Πανηγυρικῷ, τῶν ῥητόρων συμβωλευόντων ἐν τῷ δήμῳ πάντας πλεῖν ἐπὶ Ἀσίαν, δεῖν ἔλεγε πρῶτον τὰς Ἑλληνίδας διαλλάσσειν πόλεις κὴ κοινῇ τὴν ὁρμὴν ποιεῖσθ. ἀθέμιςος δέ ἐσιν ὁ ἄδικος κὴ ἄνομος κὴ θηριώδης, ὅπε κὴ Κύκλωπες Θεμιςεύσι παίδων ἠδ᾽ ἀλόχων (Od. 9, 114), ἤτοι τὸ περὶ συγγένειαν φυλάσσει δίκαιον. A.

ἀνέςιος: ὁ γ᾽ ἑςίαν νέμων κὴ βίον ἑδραῖον τιμῶν τῆς πρὸς τὸς οἰκείους ἀπέχε ςάσεως. BLV.

διὰ τῆς τῶν ὀνομάτων ὑπερβολῆς δυσωπεῖ Ἀγαμέμνονα, μηδὲ βασιλέα ἔσεσθ αὐτὸν καλὸν κρατῆ, ἀλλ᾽ ἐδὲ κοινῆς ἑςίας, εἰ ἀντείποι ταῖς λιταῖς. L.

64. ἔραται: ἐπιθυμεῖ. ἡ λέξις Ἰωνική. A.

ἐπιδήμιον: ἐπιδήμιος πόλεμος ὁ ἐμφύλιος. LV. λέγει δὲ τοῦτο αἰνιττόμενος τὸν Ἀχιλλέα. D.

65. νῦν μέν: τῷ καιρῷ κοχάζεται, κὴ προδεξας τὸ ὠφελῶν σιωπᾷ τέως τὴν θεραπείαν. BL.

66. δόρπα τ᾽ ἐφοπλισόμεσθα: ἄξιον γ᾽ τὸς κάμνοντας προνοεῖν τῆς θεραπείας τοῦ σώματος. φησὶ δὲ ὅτι οἱονεὶ ὅπλα τῆς μάχης ποιησώμεθα τὰ δόρπα. BL.

φυλακτῆρες: Ἀρίσαρχος διὰ τοῦ ᾱ φυλακτῆρας τὸς φύλακας. LV.

67. λεξάσθων παρὰ τάφρον: διαταγήτωσαν. ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ λεξάθωσαν. γράφεται καὶ περὶ τάφρον. A.

τείχεος ἐκτός: ἵνα ὁρώμενοι τοῖς πολεμίοις καταπλήσσοιεν αὐτούς, ἔσω δὲ ὄντες τῆς τάφρου ἀσφαλέως ὦσιν. BL.

69. ἄρχε: ἤτοι παντὸς μὲν λόγε κὴ πάσης συμβουλῆς προκατάβαλλε ἀρχάς. L.

ἄρχε: ἀντὶ τοῦ σύναγε ἡμᾶς. V.

70. δαίνυ δαῖτα γέρουσιν: παρασκεύαζε τὴν εὐωχίαν τοῖς ἐντίμοις, ἢ ἐφ᾽ ἑςίασιν ἄγε τοὺς πρωταγωνισάς. A.

ἔθος μὲν ἦν· ἀλλ᾽ οἷε αὐτὸν τῇ ἐκπλήξει παραλείψειν τὸ ἔθος. ἄριςος δὲ ὁ καιρὸς ἐπὶ ὀλίγων, ἔνθα τὸν ἔλεγχον προσδέξεται. νῦν γ᾽ πάντες οἱ τῶν Ἀργείων ἡγήτορες καὶ μέδοντές εἰσι συνειλεγμένοι· ἐπὶ δὲ τὸ δεῖπνον οἱ γέροντες μόνοι συνάγονται, ἐφ᾽ ὧν ἤνεγκεν ἂν τὴν τοῦ γέροντος παρρησίαν ῥᾴον ὁ Ἀγαμέμνων. κὴ ἄλλως ἐν οἴνῳ ῥᾴους ἑαυτῶν ἐσμέν, ᾗ τε ὁμοτράπεζος κοινωνία πάντας φίλους ποιεῖ. διὸ κὴ Πέρσαι μεθύοντες συμβωλεύονται, νήφοντες δ᾽ ἐπικρίνουσιν. κὴ ὁ Ῥοδίων δὲ νόμος ταῖς μεγίσαις ἀρχαῖς κελεύει συσσιτεῖσθ τοὺς ἀρίσους, περὶ τῶν ἔωθεν πρακτέων βωλευομένους. κὴ τὸ μὲν πλῆθος ἀπαλλάσσει, χρησὰς ὑπογράψας ἐλπίδας περὶ τῶν λιτῶν, ὃ μὴν ἀναγκάσας ἐπ᾽ αὐτῶν τὸν βασιλέα περὶ τῶν δώρων ἐκφωνῆσαι· πιέζοντος γ᾽ ἦν τὸν καιρόν. BLV.

71. ἡ διπλῆ, ὅτι πλεῖαι ἀντὶ τοῦ πλήρεις. πρὸς τὸ „παρῴχηκε δὲ πλέω νύξ" (Il. 10, 252) ἀντὶ τοῦ πλήρης. A.

72. ἡμάτιαι: ἀνὰ ἑκάσην ἡμέραν, ἢ διὰ μιᾶς ἡμέρας. A.

73. ὑποδεξίη: ἡ πρὸς ὑποδοχὴν χορηγία. τινὲς δὲ ὅτως, ὅτι κὴ πάντας, ἢν θέλῃς, εὐχερῶς ὑποδέξῃ. ἐπαίρει δὲ αὐτὸν εἰς τὸ μετὰ ταῦτα χήσων ὑπήκοον. BL.

ὑποδεξείη ὡς Ἀργείη· τὸ εἰ ἀκόλεθον ὤφειλεν εἶναι. κοινὸν ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ προσῳδίᾳ· ἐν μέντοι τῇ καθόλου οὕτως. „πᾶσά τοί ἐσθ᾽ ὑποδεξίη·" ἕνεκα μέτρε ἔκτασιν ἔπαθε τὸ ε. ἀγνοίᾳ μέντοι τἀκριβὲς διὰ τῆς ει διφθόγγε τὴν γραφὴν ποιοῦσ, κὴ ὅτως ἔχει ἡ τοῦ Ἀντιφάνες (Ἀριςοφάνες Wolfius) πάρόδοσις. D.

αἱ Ἀριςάρχε ἔτως εἶχον διὰ τοῦ γάρ, πολέσιν γὰρ ἀνάσσεις. ἔχει δέ τι Ὁμηρικὸν κὴ ἡ διὰ τοῦ δέ, πολέεσσι δ᾽ ἀνάσσεις. A.

74. τῷ πείσειαι ὅς κεν ἀρίσην: μετρίως ἐχ ἑαυτῷ ἀποδίδωσιν. διδάσκει δὲ τὸν ςρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθ δὲ τὸ κράτιςον. BL.

75. χρεὼ Ἀχαιοὺς ἐσθλῆς· „χρεὼ βουλῆς ἐμὲ καὶ σέ" (Il. 10, 43) ἀντὶ τȣ̃ δεῖ. LV.

76. ἐσθλῆς καὶ πυκινῆς: πρὸς τὸ πεῖσαι Ἀχιλλέα· οἶδε γὰρ αὐτȣ̃ τὸ φιλότιμον. BL.

77. πυρὰ πολλά: δέδια ἀκȣ́ων ἐγγὺς νεῶν πυρά. ἐπὶ δὲ Ἑλλήνων „ἔνθα δὲ πῦρ κήαντο" (88). LV.

τίς ἂν τάδε: ȣ̓ λείπει τὸ ὁρῶν, ἀλλ' ἔςι παλαιὰ συνήθεια· „ἀλλ' ἕτερον ἥσθην" (Aristophan. Ach. 13). καὶ ἐν Πανόπταις ὁ Κρατῖνος „γέγηθα τὸν ἄνδρα." καὶ ἔςιν ἐξ ἀντικειμένȣ, οἷον τίς ȣ̓κ ἂν κλαύσειε; BLV.

ἔοικε δὲ προσκρούειν Διομήδει, λέγοντι „νῶϊ δ' ἐγὼ Σθένελός τε" (48). LV.

ἡ διπλῆ ὅτι προσυπακȣςέον τὸ ὁρῶν ϗ βλέπων. γελάσει ϗ ȣ̓ μὴ μᾶλλον θρηνήσει καὶ κόψεται; καὶ ὅτι ἔξωθεν τὸ ἰδών. A.

78. διαῤῥαίσει: δι' ἑνὸς ρ̄ αἱ Ἀριςάρχȣ. D.

ἐν τῷ πεῖσαι τὸν Ἀχιλλέα τὴν σωτηρίαν τίθεται· ȣ̓δὲν γὰρ ἕτερον πράσσειν νυκτὸς ἐδύναντο. BL.

80. ἐκ δὲ φυλακτῆρες: ἄτοπον γὰρ πρῶτον λέγειν περὶ τȣ̃ συμποσίȣ. L.

81. ἀμφί τε Νεςορίδην: εὖ τȣ̃ περὶ φυλακῆς εἰσηγησαμένȣ πρῶτος ἀριθμεῖται ὁ υἱός· ϗ ὅτι ὁ παρὼν καιρὸς ȣ̓κ εὐτελεῖς ἄνδρας ἐπέτρεπε φυλάσσειν. BL.

86. ἅμ' ἔστειχον: Ἀρίςαρχος ἅμα στεῖχον Ἰωνικῶς. A.

88. πῦρ κείαντο: ταύτην τὴν πυρκαϊὰν πρὸς τὸ ποιῆσαι δεῖπνον εὐτρεπίζȣσιν· ἀσφαλέςερον γὰρ ἦν αὐτοῖς τὸ ἀπὸ σκότȣς ὁρᾶν τȣ̀ς πολεμίȣς. ἐπὶ μὲν ȣ̓ν τῶν κατεπτηχότων ψιλὴ ἡ τȣ̃ δείπνȣ παρασκευή, ϗ ἑνικῶς πῦρ φησίν· ἐπὶ δὲ τῶν εὐημερȣ́ντων βαρβάρων ϗ τὰ τῆς εὐωχίας μετὰ πολλῆς τῆς ἐπεξεργασίας δεδήλωται „ἐκ πόλιος δ' ἄξαντο βόας" (Il. 8, 545) ϗ τὰ τῆς φυλακῆς λαμπρότερα· „μέγα φρονέοντες ἀνὰ πτολέμοιο γεφύρας εἵατο παννύχιοι, πυρὰ δέ σφισι καίετο πολλά" (ib. 553). ἔςι δὲ ὅλα γραφικά. BLV.

δόρπον: Ἀρίςαρχος μετὰ τȣ̃ ᾱ δόρπα. A.

ἄλλως. διὰ τȣ̃ ᾱ δόρπα αἱ Ἀριςάρχȣ. ἄκαιρος δὲ Ζηνόδοτος γράφων τίθεντο δὲ δαῖτα θάλειαν· ἄτοπον γὰρ θαλιάζειν τȣ̀ς πένθει ἀτλήτῳ τὴν ψυχὴν βεβλημένȣς. A.

89. ἀολλέας: Ἀρίςαρχος ἀριςέας. A.

90. κλισίην: Πορφυρίȣ. ὅλȣ βίȣ (βιβλίȣ Coraes) ἐδέησε Δωροθέῳ τῷ Ἀσκαλωνίτῃ εἰς ἐξήγησιν τȣ̃ παρ' Ὁμήρῳ κλισίȣ. τρία δέ φησι ζητεῖσθαι περὶ αὐτȣ̃, περὶ τȣ̃ σημαινομένȣ, εἰ ταὐτὸ δηλȣ̃ται τῷ παρὰ Ἀττικοῖς, ϗ δεύτερον περὶ τῆς ὀρθογραφίας, πότερον διὰ διφθόγγȣ ἡ πρώτη ἢ διὰ τȣ̃ ἰῶτα, ϗ τρίτον περὶ τῆς προσῳδίας, πότερον παροξύτονον ἢ προπαροξύτονον. τὸ μὲν ȣ̓ν δηλȣ́μενόν φησιν ȣ̓ πολλῆς σκέψεως δεῖσθαι ȣ̓τε παρὰ τῷ ποιητῇ ȣ̓τε παρὰ τοῖς Ἀττικοῖς· οἶκον γάρ φησί τινα μέγαν Ὅμηρος, τῶν ἐν ταῖς ἐπαύλεσι κατασκιαζομένων· πῦρ δὲ ἐν αὐτῷ καίειν, ϗ κοιμᾶσθαι τȣ̀ς ἐργάτας σὺν γυναιξὶ ϗ τέκνοις. κλίσιον δὲ αὐτὸ προσηγόρευσεν ἀναλόγως τῇ κλισίᾳ, ἥτις ςρατιωτικὴ σκηνή ἐςιν αὐτοχέδιος· ἀπὸ γὰρ τȣ̃ κλίνω, ἐξ ȣ̓ ϗ κλιντήρ καὶ κλισμός· καὶ οἱ μὲν ἔχοντες ἀπέρεισιν τοῖς ὤμοις κλισμοί, οἱ δ' ἄλλοι θρόνοι· Ἀττικῶς δὲ κλιντήριον τὸ μικρὸν κλινίδιον λέγεται. τὸ ȣ̓ν χωρȣ̃ν κλίνας πολλὰς ϗ θρόνȣς κλισίδιον (κλίσιον Voss.) ἐκάλȣν· ᾧ τρόπῳ ϗ τὸν κοιτῶνα ἡμεῖς ἐκαλέσαμεν· δωμάτιον δὲ οἱ Ἀττικοὶ τὸν ἀφ' ἡμῶν κοιτῶνα ἔλεγον, Ὅμηρος δὲ θάλαμον. ἐμοὶ δὲ δοκεῖ, φησὶ Δωρόθεος, ἀπὸ τȣ̃ κεκλίσθαι κατωνομάσθαι τȣ̃ σημαίνοντος τὸ περιειληφέναι ϗ περιέχειν. Ἀρίςαρχος δὲ ϗ ἑτέρως ἐξηγήσατο· τὸ γὰρ „περὶ κλίσιον θέε πάντῃ" (Od. 24, 208) δηλȣ̃ν ὡς κύκλῳ τοῦ οἴκου ςιβάδων ᾠκοδομημένων, πρὸς αἷς οἱ θρόνοι ἔκειντο, ὥςε ἐπ' αὐτῶν καθεζομένους δειπνεῖν, ἐπὶ δὲ τῶν ςιβάδων κοιμᾶσθαι, ἵνα μὴ ἄλλος οἶκος ᾖ τοῦ Λαέρτου, ἄλλο δὲ τὸ κλίσιον, ἀλλ' ἐν τῷ οἴκῳ τοῦ Λαέρτȣ εἰρῆσθαι τὴν ἐν κύκλῳ οἰκοδομίαν τῶν ςιβάδων ϗ θέσιν τῶν θρόνων. ἐμφαίνει δὲ ὅτι ὁ μὲν οἶκος Λαέρτου ἐν τῷ ἐντὸς ϗ περιεχομένῳ ὑπὸ τȣ̃ κλισίȣ, τῶν δὲ ἄλλων ἐν τῷ ἔξωθεν περιέχοντι κλισίῳ. κατὰ τὸν αὐτὸν δὲ τρόπον ϗ ἐν τῇ Ὀδυσσέως οἰκίᾳ ὁ θάλαμος τοῦ Τηλεμάχου μέσος ὑψηλὸς ᾠκοδόμητο, ὑπὸ τῆς αὐλῆς περιεχόμενος· „Τηλέμαχος δ' ὅθι οἱ θάλαμος ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ" (Od. 1, 425). ϗ γὰρ τȣ̃τον τὸν θάλαμον κατὰ τὸ μέσον τῆς αὐλῆς κεῖσθαί φησι· διὸ ϗ περίσκεπτον ὠνόμασεν οἷον περιφανῆ, διὰ τὸ πανταχόθεν περιέχεσθαι. τὸν αὐτὸν τρόπον ϗ τὸν Λαέρτȣ οἶκον περιέχεσθαι πανταχόθεν ὑπὸ τȣ̃ κλισίου κατὰ μέσον ᾠκοδομημένον. τὸ γὰρ περιθεῖν τοῦτο δηλοῖ, οἷον καὶ Ἀρχίλοχος δηλοῖ, ποιήσας „τοῖον γὰρ αὐλὴν ἕρκος ἀμφιδέδρομεν." ἔχει γὰρ τὸ κλίσιον ἀναλογίαν τινὰ πρὸς τὰ τοιαῦτα, πρὸς τὰς παςάδας, πρόδομος, ἐξέδρα· προῳκοδόμητο γὰρ οἰκήσεώς τινος ἡ παςὰς ϗ ἡ προπαςὰς ϗ ὁ πρόδομος, καθάπερ ϗ τȣ̃νομα δηλοῖ „ἄλλο δ' ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων" (473). τοιȣ̃το δέ τοι ϗ ἐξέδρα τῆς οἰκίας, ἔξω πᾶσα ȣ̓σα, πρὸς αὐτῇ τῇ εἰσόδῳ κατεσκευασμένη· οἷς δὴ παραπλησίως ϗ τὸ κλίσιον ἔξω τȣ̃ οἴκȣ. B.

93. πάμπρωτος: οἷον προφθάσας ἐκείνους τοὺς τὴν γνώμην αὐτȣ̃ ἀπαιτȣ̃ντας. BL.

94. πρόσθεν: ὅτε παρῄνει Ἀγαμέμνονι παύσασθαι τῆς πρὸς Ἀχιλλέα ὁρμῆς „Ἀτρείδη σὺ δὲ παῦε τεὸν μένος" (Il. 1, 282)· ϗ ὅτε τὸ μονομάχιον ἦν ϗ ἤγειρε τȣ̀ς Ἀχαιȣ̀ (Il. 7, 123). BLV.

97. ἐν σοὶ μέν: σύ μοι ἀρχὴ ϗ τέλος τῶν λόγων πάλιν γενήσῃ. ἀνακτᾶται δὲ αὐτὸν τοῖς ἐγκωμίοις, πρότερον καταπτοήσας. A. ἢ ἐπεὶ τότε εἰς αὐτὸν ἔληξε λέγων „λίσσομ' Ἀχιλῆϊ μεθέμεν χόλον" (Il. 1, 283), ἐκείνην τὴν λῆξιν ἀρχὴν ποιεῖται τȣ̃ νῦν διαλόγȣ. BL.

καταπτήξαντα αὐτὸν τῇ τῶν πολεμίων ὁρμῇ ϗ τῇ τῶν συμμαχικῶν λόγων ταραχῇ ϗ συγχύσει ἀνακτᾶται ϗ πρὸς πειθὼ παρακαλεῖ διὰ τῶν ἐγκωμίων. B.

πρὸς τὸ μὴ δοκεῖν ἐπιτάσσειν, κύριον αὐτὸν τῆς ἁπάντων ἀποφαίνει γνώμης, προσεκτικόν τε ἀπεργάζεται, ὡς ὅλȣ τȣ̃ πράγματος ἐπ' αὐτῷ κειμένȣ. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

99. σκῆπτρον διὰ τὸ κράτος, Θέμιτας διὰ τὸ δίκαιον· ὅπω γ' εἶχον γραπτὰς νόμους, ἀλλὰ τὸ πᾶν ἐν τοῖς κρατοῦσιν ἦν· ὅθεν καὶ δικασπόλοι. εὐγενῆ δὲ αὐτὸν ποιεῖ, τὰς εὐτυχίας ἐξαριθμούμενος, καὶ ἄξιά τῆς ἰδίας δόξης ποιεῖν ὑποτίθεται. καὶ ὅτι πρώτη ἀρετῶν ἐστὶν ἡ φρόνησις. BL.

ἵνα σφίσι βουλεύησθα: ἵνα τούτοις χρώμενος προβαλεύῃς τῶν ὑποτεταγμένων. ὡς τῷ βασιλέως δὲ καὶ τῶν Θεμίτων κρατοῦντος· ὠδέπω γ' ἐχρῶντο γραπτοῖς νόμοις. A.

100. φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι: ἵνα ἐξ ἁπάντων αἱροῖτο τὸ χρήσιμον. ἅμα δὲ καὶ ἀναιρεῖ τὴν δόξαν τῆς ἥσσης, καθ' ἣν τινες οἴονται ἀδοξεῖν τῷ πλησίον εἴ τι πειθόμενοι χρησόν. BLV.

101. κρηῆναι δὲ καὶ ἄλλῳ: καὶ ἄλλο δέ τινος ἐπιτελέσαι καὶ βεβαιῶσαι τὴν γνώμην. A.

102. σέο δ' ἔξεται ὅττι κεν ἄρχῃ: ἤτοι ἐν τῇ σῇ ἐξουσίᾳ ἔσαι τὸ ἔργον τοῦτο δοκιμάσαι, ἢ τὸ τῶν λόγων κατόρθωμα σὸν ἔσαι· εἰς σὲ γ' ἀνενεχθήσεται. AD. τὸ ἔξεται δασυντέον· ἀπὸ γ' τοῦ ἔξω μέλλοντος δασυνομένου μέσος ἐστίν. A.

ὁδήποτε τῆς παραινέσεως πρωτεύῃ καὶ ἐπικρατυνθῇ, ἐκ σοῦ γίνεται. καὶ ἀλλαχοῦ „Ἀλκινόου δ' ἐκ τοῦτ' ἔχεται ἔργον τε ἔπος τε" (Od. 11, 345). ἴσον δὲ ἀπέφηνε τῷ συμβούλῳ τὸν βασιλέα τὸν κυρῶντα τὸ τέλος, ὅπως μὴ φθονοίη ταῖς ἀγαθαῖς ὑποθήκαις· οἶδε γ' φθόνῳ καὶ θυμῷ καὶ ζηλοτυπίαις ἀδίκοις πολλὰς πράξεις ἀγαθὰς ἀνῃρημένας. τὸ πέρας ἓν τῶν λεγομένων ἐπὶ τὸν κορυφοῦντα ἀναφέρει. BL.

103. ὥς μοι δοκεῖ εἶναι ἄριστα: προσεκτικὸν μὲν τὸν ἀκροατὴν ποιεῖ δι' ὧν ἄριστα ὑπισχνεῖται ἐρεῖν, εὔνοον δέ, ὅτι μεθ' ὑποζολῆς τὸ δοκεῖ προσέθεται. BL.

104. γράφεται καὶ ἄλλον ἀντὶ τοῦ ἄλλος. A.

105. ἠμὲν πάλαι: εἰ τὰ μέλλοντα προγινώσκει ὁ Νέστωρ, πῶς περὶ τῶν ἐνεστώτων οὐκ ὀφείλει πείθειν; BV.

106. ἐξέτι τοῦ ὅτε: ἀπ' ἐκείνου τοῦ χρόνου ἕως τοῦ νῦν. AD.

εὐμάθειαν ἐργάζεται· ὁμολογῶν γ' ὅτι οὐκ ἠρέσκετο τῇ εἰς Ἀχιλλέα ἀτιμίᾳ, δῆλός ἐστι τὸν λόγον ὑπὲρ τοῦ τιμῆσαι τοῦτον συνιείς. LV. οὐκ ὀνειδίσαι δὲ θέλει τὴν ὁμαρτίαν αὐτῷ, ἀλλὰ παρακελεύεται μὴ δεύτερον ἐξαμαρτάνειν. προτρεπτικῶς δὲ αὐτῷ διαλέγεται, καὶ τὴν πειθὼ τοῖς χείλεσι συνεπάγεται· τοῦτο γ' τῆς φρονήσεως ἴδιον. B.

ἐπὶ διαλλαγὰς τὸν βασιλέα φέρων, οὐκ ἐν ἐπιτιμήσεως μέρει τὴν Ἀχιλλέως ἔχθραν προφέρει, ἀλλὰ μόνον ἄριστα συνεωρακέναι φησὶν ἑαυτόν. BL.

διογενεῦς: περισπωμένως ἀναγνῶμεν· συναίρεσιν γ' ἔπαθε τὸ διογενέος καὶ διογενῆς, καὶ τροπῇ τοῦ υ εἰς ε διογενεῦς· γενικῆς γάρ ἐστι πτώσεως. AD.

108. οὔτι κατ' ἠμέτερόν γε νόον: ἀντὶ τοῦ ἀκατὰ τὴν ἐμὴν γνώμην. A.

109. ἀπεμυθεύμην: ἀπηγόρευον, ἐκώλυον. γράφεται δὲ καὶ ἀπεμυθευόμην, ἵν' ᾖ ἀπελογιζόμην. AD.

οὕτως Ἀρίσταρχος, ἀπεμυθεύμην. A.

σὺ δὲ: δεξιῶς ὑπήλλαξε τὰ ὀνόματα, τὴν αὐθάδειαν μεγαλοφροσύνην καλῶν καὶ τὸ προπετὲς εἶξαι λέγων. ἐν συντόμῳ δὲ καὶ τὰ Ἀχιλλέως εἰσφέρει κατορθώματα. BL.

110. ὁ λόγος αἱρεῖ διαξέλλειν ἐπὶ τὸ εἶξας, ὑποζίζειν δὲ ἐν ὑποκρίσει ἐπὶ τὸ ἔτισαν. A.

112. φραζώμεθ': προσποιεῖται τὴν παράκλησιν, ἵνα μὴ αἰσχυνθῇ ὁ βασιλεύς· τὸ γ' φράζω πικρότερον ἦν, καὶ προσάξεως ἐχόμενον. καλαὶ δὲ αἱ λιταὶ διὰ τὸ ὁμοιοδές, καὶ ἵνα προμαλαχθῇ Ἀχιλλεύς. BL.

δεῖ δὲ τὸν προσαδικήσαντα παρακαλεῖν ἀεί. BL.

πεπίθοιμεν: Ἀρίσταρχος πεπίθωμεν· ἔστι γ' πίθωμεν. A.

113. δώροισιν τ' — ἔπεσσί τε: ἴσην τῶν χρημάτων καὶ μείζονα πρὸς πειθὼ τὴν τῶν λόγων ὑποτίθησι κτῆσιν. BL.

μειλιχίοισι δὲ δεητικοῖς, ἃ δικαιολογουμένοις· τὰ γ' τοιαῦτα ἀνάπτει τὸν θυμόν. LV.

115. ὦ γέρον, φησίν, ἀδὲν ψευσάμενος τὰς ἐμὰς ἀδικίας ἀπηριθμήσω, βλάψαι με βουλόμενος, ὡς ᾠήθης. ἐπὶ δὲ τὸ τέλος τοῦ σίχου σικτέον· τὸ γ' ψεῦδος ἀντὶ τοῦ ψευδῶς. A.

ὁμολογεῖ τὴν πρᾶξιν, ἵνα μὴ αἰσχύνοιτο παρακαλῶν, καὶ ἡμαρτηκέναι φησί, καὶ ἐκ ἀδικεῖται, εὔνοιαν ποριζόμενος ἑαυτῷ. ἁπλῶς δὲ ὁ τρόπος· τὸ μὲν γ' ἀεὶ χρησὸν ἔχειν τὸν νοῦν μακάριον, τὸ δὲ καὶ χρόνῳ μετανοῆσαι οὐκ ἄχαρι. τὸ δὲ ψεῦδος ἀντὶ τοῦ ψευδῶς. τὸν ὅλον δὲ συναπτέον σίχον· μὴ σικτέον εἰς τὸ ψεῦδος, ὥς τινες κακῶς. BL.

116. ἀντί νυ πολλῶν: ἡ διπλῆ, ὅτι τὸ ἀντὶ ἐπὶ τοῦ ἴσα ἐστί· τὸ γ' λεγόμενον, ἴσος ἐστὶ πολλοῖς ὁ εἷς ἀνήρ, ὅταν ᾖ θεοφιλής. A. προτρεπτικὸν δὲ εἰς εὐσέβειαν. LV.

118. ἔτισεν ὄλεσσε δέ: γράφεται ἔτισε δάμασσε δέ. A.

119. λευγαλέησι: ἡ διπλῆ, ὅτι οἱ νεώτεροι λευγαλέον τὸ δίυγρον ἐπὶ τοῦ Ἀχιλλέως· „νῦν δέ με λευγαλέον θάνατον" (Il. 21, 281. cf. ad 20, 109). ἔστι δὲ λευγαλέον τὸ ὀλέθριον, παρὰ τὸν λοιγόν. A.

οἱονεὶ λοιγαλέῃσιν, ἀπὸ τοῦ λοιγός. λέγει δέ, τῇ ὀργῇ πειθεὶς· ὀλεθρεύειν γ' ὁ θυμὸς τὰς φρένας εἴωθεν. BL.

120. ἐλευθερίως ὁμολογεῖ ὃ ὁ Νέστωρ ἐκοινώσατο. ἀπερείσια δέ, ἵνα μὴ σμικροψυχίας ἕνεκεν δοκῇ τὸν γαμβρὸν συμμαχίας ἀποστερεῖν. BL.

121. ἐν πάντεσσι: δῆλον ὡς καὶ περιεσκέπτετο τὰς λιτάς. V.

122. ἀπύρους: τοὺς μὴ εἰς πῦρ χρησίμους ἀλλ' ἀναθεματικοὺς καινοεργεῖς, τοὺς κόσμου χάριν τιθεμένους ἐν τῷ οἴκῳ. AD.

διῄρηται ἡ ὑπόχεσις εἰς δύο, εἴς τε τόπους καὶ χρόνους (cf. p. 246 b 40). διὰ δὲ τῆς ποικιλίας τῶν δώρων θηρεύσειν οἴεται Ἀχιλλέα· εἴτε φιλότιμος, διὰ τῶν ἵππων, εἴτε φιλοχρήματος, πολὺν χρυσὸν καὶ χαλκὸν διδούς, εἴτε φιλογύνης εἴη, θυγατέρα πρὸς γάμον. ἀπύρους δὲ τρίποδας ὡς πρὸς σύγκρισιν τῶν ἐμπυριβήτων. BLV.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τάλαντα: τὰ νῦν ἑξακιχίλια λέγεϑ παρὰ Ἀθηναίοις. διαφόρως δὲ νοεῖται· ἦν γὰρ καὶ βραχύ τι παρὰ τοῖς ἀρχαίοις. καὶ ὁ ποιητὴς δῆλον ἡμῖν τοῦτο ποιεῖ ἐν τῷ ἐπιταφίῳ Πατρόκλε λέγων „ἵππεῦσι μὲν πρῶτα ποδώκεσιν ἀγλαὰ ἆεθλα ϑῆκε (ϑῆκ' ἠὲ A), γυναῖκα ἄγεσϑ ἀμύμονα ἔργ' εἰδυῖαν καὶ τρίποδ' ὠτώεντα δυωκαιεικοσίμετρον, τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ϑῆκεν ἑξετέ', ἀδμήτην, βρέφος ἡμίονον φορέσσαν· αὐτὶς δὲ τὸ τρίτον ἄπυρον κατέθηκε λέβητα, τῷ δὲ τετάρτῳ ϑῆκε δύο χρυσοῖο τάλαντα" (Il. 23, 262). εἰ γὰρ περὶ τῶ ταλάντω τῶν Ἑλλήνων ἐστί, βραχύ τι τὸ τάλαντον τῷ χρυσίῳ ἦν παρ' αὐτοῖς· ὡς καὶ Ἀφίλος ἐν Ἀναγύρῳ (ἀργύρῳ D) „βραχύ τί ἐσι (τι τὸ D) τάλαντον" φησί. τάλαντον δέ, ὁ τάλαντα. ταῦτα δὲ χρυσίᾳ τάλαντον. AD.

123. αἴϑωνας: τοὺς εἰς πῦρ βαλλομένους· „ὡς δὲ λέβης ζεῖ ἔνδον" (Il. 21, 362). αἴϑων δὲ ἀπὸ τῆ ὑπαίϑεϑ ἤτοι ὑποκαίεϑ. καλῶς δὲ καὶ τὸν ἄρτιον τῶν ἵππων ἀριϑμὸν τίϑησιν· ἱκανὸς γὰρ πρὸς ἐπίζευξιν. ἱπποτρόφοι δὲ οἱ Θεσσαλοὶ ἀεί. BL.

124. πηγούς: μέλανας· τέτας γὰρ ἀρίσας φασὶν οἱ περὶ ἵππων γράψαντες. ὁμοίως καὶ „κύματι πηγῷ" (Od. 5, 388), εἴ γε ἀλλαχῆ φησὶ „μέλαν τέ ἑ κῦμ' ἐκάλυψεν". τινὲς δὲ μεγάλας, εὐτραφεῖς, ὑψαύχενας. BL.

ἀέϑλια ποσσὶν ἄροντο: ἐκ ἐν Πελοποννήσῳ εἰσὶν οἱ ἵπποι ἠγωνισμένοι· εἶεν γὰν ἂν ἤδη γέροντες, ἀλλ' ἐν Ἰλίῳ νενικήκασιν ἐπιταφίους ἀγῶνας ἀγωνιζόμενοι. BLV.

125. οὔ κεν: διακόπτει τὸ τῆ καταλόγε ὁμοιόχημον, τῶν δώρων τὸ ὁμοειδὲς ἐκκλίνων. ἅμα δὲ καὶ ἑκάστην μερίδα σπεδαίαν ἀποδείκνυσι, καὶ δῶρα δώροις προσίϑησι, καὶ τὴν εἰς ἔπειτα χάριν αὔξει. ἀλήϊος δὲ λέγεϑ ὁ μὴ ἔχων λήϊα. BL. ὁ ἄνευ λείας, ἐλλιπὴς βοσκημάτων· λεία γὰρ κυρίως ἡ τῶν τετραπόδων κτῆσις. D.

πένης, ἄπορος, ἤτοι δὲ ἀπὸ τῆ μὴ ἔχειν χώραν σιτόσπορον, ἣν λήϊον καλεῖ, ἢ ἀπὸ τῆ μὴ ἔχειν λείαν· λείας γὰρ λέγει τὰς ἀγέλας τῶν ϑρεμμάτων. A.

128. ἑπτὰ γυναῖκας: ἐντέχνως τῶν ἄλλων δώρων μέσας ἔταξε τὰς γυναῖκας, ἵνα μὴ ὑπόνοιαν παράχῃ ὡς ἀκρασίαν αὐτῆ καταψηφιζόμενος. καὶ περὶ μὲν ὧν οἶδε μαρτυρεῖ· περὶ δὲ τῶν Ἰλιάδων „αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισαι ἔωσιν." BL.

ἀμύμονα: ἡ διπλῆ, ὅτι χωρὶς τῆ σ γραπτέον· ἀγάρ ἐσι κατὰ τῶν γυναικῶν ἀλλὰ κατὰ τῶν ἔργων. ὕστερον δὲ ἐπὶ τῶν γυναικῶν „αἵ κάλλει ἐνίκων." Ἀρίσαρχος δὲ μετὰ τοῦ σ ἀμύμονας. A.

ἀμύμονα: οὕτως Ἀρίσαρχος. Ζηνόδοτος δὲ ἀμίμονας. V.

129. Λεσβίδας: παρὰ Λεσβίοις ἀγὼν ἄγεϑ κάλλες γυναικῶν ἐν τῷ τῆς Ἥρας τεμένει, λεγόμενος καλλιστεῖα. ἡ δὲ Λέσβος νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει, πόλεις ἔχουσα πέντε, Ἄντισσαν, Ἔρεσον, Μηθύμνην, Πύῤῥαν (πυρίαν A), Μιτυλήνην. AD.

Λέσβον ἐϋκτιμένην ἕλεν αὐτός: πιϑανῶς τὸν ἔπαινον Ἀχιλλέως παρέμιξε, καὶ μόνον ἐχὶ παραχωρήσειν αὐτῷ τῶν αὐτῆ σκύλων φησίν. ἅμα δὲ καὶ ὑπ' ὄψιν αὐτῷ τὴν δωρεὰν ἄγει, ἐμφαίνων ὅτι ἃ οἶδεν ἐκεῖνος δίδωσιν. ἁπλῶν δὲ τὸ ἦϑος, καὶ πάντα πρὸς πειϑώ. BLV.

τὸ αὐτός βέλτιον ἐπὶ τῆ Ἀχιλλέως ἄκουσον καὶ τοῖς ἄνω συναπτέον. A.

130. ἐξελόμην: Ἀρίσαρχος ψιλοῖ, καὶ πρόϑεσιν παραδέχεϑ, ὥσε εἶναι ἓν μέρος λόγε. A.

Ζηνόδοτος δασύνει τὸ ἕξ, ἀριϑμὸν αὐτὸ ἐκδεχόμενος, ἐχ ὑγιῶς· φησὶ γὰρ „ἀτὰρ ὀγδοάτην." ἄλλως τε ὁ δῶρον Βρισηΐς. L.

131. μετὰ δ' ἔσσεται: ἡ διπλῆ περιεσιγμένη, ὅτι ἐντεῦϑεν πλανηϑεὶς Ζηνόδοτος συναριϑμεῖϑ ἐν ταῖς ἑπτὰ καὶ τὴν Βρισηΐδα ἔδοξεν, καὶ ἐν ἄλλοις γράφει „ἐκ δ' ἄγεν ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργ' εἰδυίας, ἕξ, ἀτὰρ ἑβδομάτην Βρισηΐδα καλλιπάρηον" (Il. 19, 245). ἕξι δὲ ἐκτὸς ἡ Βρισηΐς. A.

132. Ἀρίσαρχος κούρη Βρισῆος, ἐπὶ δὲ μέγαν. A.

Αὐτύχϑων δίχα τοῦ ν τὸ κέρη. διὰ δὲ τοῦ ὅρκου τὸν ζῆλον τῆ ἔρωτος τῆ Ἀχιλλέως ϑεραπεύει, καὶ τὸ σῶφρον ἑαυτῆ ἐνδείκνυϑ, διὰ φιλοτιμίαν, ἐκ ἀκρασίας ἕνεκεν ἀφελόμενος αὐτήν. BLV.

133. τῆς εὐνῆς: ἡ διπλῆ, ὅτι ἔξωϑεν δεῖ λαβεῖν τὸ ἄρϑρον· τὸ γὰρ τῆς νῦν ἀντὶ τῆ ταύτης παρείληπϑ, καὶ ἔξω ὁ λόγος, μήποτε τῆς ταύτης εὐνῆς ἐπιβήμεναι. A. καὶ „ἕνεκα τῆς ἀρετῆς ἐριδαίνομεν" (Od. 2, 206). V.

134. ἦ ϑέμις ἀνϑρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν: τὸ ἦ τὸ πρῶτον δασυντέον· ἕξι γὰρ ἰσοδυναμεῖν τῷ ὡς, διὸ καὶ ὁ τέ προστίϑεϑ σύνδεσμος πολλάκις. ὡς γὰρ λέγομεν „ὥσε γὰρ ἦ παῖδες νεάροι" (Il. 2, 289), οὕτως „ἦ τε ξείνων ϑέμις ἐστίν" (Od. 9, 268). τὸ δὲ ἠδέ ψιλωτέον· σύνδεσμος γάρ ἐσιν ἰσοδυναμῶν τῷ καί, ὁμοίως τῷ „ἠδ' εὔφρονα καρπὸν ἀμείϑϑ." βραχὺ δὲ διαστελτέον ἐπὶ τὸ πᾶλει· σαφέσερος γὰρ γίνεϑ ὁ νῶς· ὅπερ ἐστὶν ἔθος ἀνϑρώποις, ἀνδράσι τε καὶ γυναιξίν. A.

δασυντέον καὶ ὀξυντέον τὸ ἦ ἰσοδυναμῶν τῷ ὡς. ϑαυμασίως δὲ φύσεως νόμῳ τὴν αἰσχρὰν λέξιν ἐκάλυψε, τὰ τῆς συμπλοκῆς ταπεινὰ καὶ ἀνϑρώπινα τιμιωτάταις ἐπισκιάζων προσηγορίαις. εἰς τρεῖς δὲ χρόνους ἡ διαίρεσις γέγονεν, εἰς τὸ „αὐτίκα πάντα," εἰς τὸ „εἰ δέ κεν αὖτε ἄξυ μέγα," καὶ εἰς τὸ „εἰ δέ κεν Ἄργος ἰκοίμην" (141). BL.

137. νῆα — νηησάσϑω: ἡ διπλῆ, ὅτι παρετυμολογεῖ τὴν ναῦν ἀπὸ τῆ νῆσαι, ὃ ἐστι σωρεῦσαι. καὶ ἐν Ὀδυσσείᾳ τὰ ὀνόματα ἀπὸ τῆ ἑτοίμε λαμβάνει, Τερπιάδην τὸ Φήμιον ἀπὸ τῆ τέρπειν τὸν κιϑαρῳδόν (22, 330)· ὁ αὐτὸ ἄρα ποιητής. A.

ἄϑηλον πότερον δύο ἢ μίαν. πολύχρυσοι δὲ ἐξ ἀρχῆ οἱ βάρβαροι. V.

139. αὐτὸς ἑλέσϑω: τὴν γὰρ δωρεὰν ἡ ἐκλογὴ ποιεῖ μείζονα. μακρὰν δὲ ἑαυτὸν τῆ γυναικείᾳ τίϑησι πόϑῳ. Bl

140. *αἴ κε: τὸ αἰ κε ἀντὶ τῆ ἐάν, ἐπεὶ καὶ τὸ ἔωσιν ὑποτάσσει.* V.

Ἑλένην: ἐχ ὡς αἰχμάλωτον, ἀλλ' ὡς πρεσβεύσασαν ἅπασιν ἐν Ἑλλάδι (ἀπ. κάλλει AV, ἀπ. ἐμβάλλει L). ἡ δὲ διπλῆ, ὅτι ἔνιοι ὑποτάσσουσι εἶχον „τὴν γ' ἀπ' αὖτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ," εὐήθως πάνυ. ABLV.

141. *ἡ διπλῆ, ὅτι τὴν Πελοπόννησον Ἀχαικὸν Ἄργος λέγει ϗ Ἴασον („εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος" Od. 18, 245), Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν.* A.

οὔθαρ ἀρούρης: τῆς γῆς τὸ τροφιμώτερον. B. *τὸ γονιμώτατον ϗ κάλλιστον τῆς γῆς ϗ κάρπιμον.* D.

143. *τηλύγετος: ἀγαπητός, μονογενής· μόνος γὰρ Ὀρέστης ὕστερον ἐγένετο τῷ Ἀγαμέμνονι ἐκ Κλυταιμνήστρας.* AD.

μονογενής, ἢ μεθ' ὃν οὐ παιδοποιεῖ τις. τινὲς δὲ λείπειν φασὶ τὸ ὡς. BLV.

θαλίῃ ἔνι πολλῇ: ἐν πολλῇ εὐωχίᾳ, ἐν πολλοῖς ἀγαθοῖς. εἴρηϑ δὲ παρὰ τὸ θάλλειν τὰς εὐωχουμένας. AD.

144. *θύγατρες: εἰς ἃ μάλιστα λυπεῖ αὐτόν, λέγων „κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος" (388).* V.

145. *Λαοδίκη μία τῶν Ἀγαμέμνονος θυγατρῶν, ἣν οἱ τραγικοὶ Ἠλέκτραν εἶπον, ὡς ϗ τὴν Ἰφιάνασσαν Ἰφιγένειάν φησιν ὁ Εὐριπίδης.* D.

οἰκεῖα δὲ θυγατράσι βασιλέως τὰ ὀνόματα· τρία γὰρ συνέχει τὴν ἀρχήν, νόμος ὀρθός, ἔπειτα κρίσις ϗ ἰσχύς. ABL.

ἡ διπλῆ, ὅτι ἐκ οἴδε τὴν παρὰ τοῖς νεωτέροις σφαγὴν Ἰφιγενείας. A.

146. *ἀνάεδνον: ἡ διπλῆ, ὅτι ἔδνα ἐδίδοσαν οἱ νυμφίοι ταῖς παρθένοις.* A.

διὰ τῆς ἐπιγαμίας πιέζεται τὴν φιλίαν, ὅπως μὴ δοκῇ πρὸς τὴν χρείαν κολακεύειν ὑπέλως ἔχων. BL.

147. *ἐπιμείλια: Ἀρίσαρχος ὑφ' ἓν ὡς ἐπιφέρια· Ἀπολλόδωρος κατὰ διάλυσιν.* AL.

Ἀρίσαρχος ἓν μέρος λόγου παρέλαβεν ὡς ἐπιφέρια. Ἀπολλόδωρος δὲ διαλύει, ἐπί, εἶτα μείλια· ἔστως δὲ καὶ Ἀλεξίων. ϗ ἔστι τὸ ἐξῆς ἐπιδώσω μείλια. Τρύφων δὲ ζητεῖ περὶ τῆ τόνῳ, πότερον ὡς ποίμνια ἢ ὡς παιδία. ἡμῖν δὲ δοκεῖ τὸ προπαροξυνόμενον πλέον εἶναι, σπάνιον δὲ τὸ παροξυνόμενον, εἰ ἔστως ὁρισαίμεθα· τὰ διὰ τῆ ιον ἐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχοι τὴν τρίτην ἀπὸ τέλους φύσει μακράν, διὰ τῆ ι ἐκφερομένην ἤτοι μόνῃ ἢ ϗ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεϑ, Ἴλιον πύμνον Σίγιον λείριον αἰτιον· ἔστως ϗ μείλιον. σπάνια δὲ τὰ παροξυνόμενα, ὥσπερ τὸ ἴνιον· τὸ γ' τειχίον ὑποκοριστικὸν καὶ τὸ κλειδίον. A.

ἡ διπλῆ, ὅτι ϗ ὑπὸ τῶν πατέρων ἐπεδίδοτο ταῖς θυγατράσιν, ἐχ ὑπὸ τῶν ἀνδρῶν μόνων ἐπέμπετο ἃ λέγει. A. *εἰλία δέ εἰσιν οἷς μειλίσσονϑ τοὺς ἄνδρας. τὴν προῖκα δὲ λέγει τὴν ἡδέως διατιθεμένην τὴν ψυχήν.* AD.

149. *ἑπτὰ δέ οἱ δώσω: ἄδηλον εἴτε φέρνην ἐπὶ τῇ θυγατρὶ ϗ ταύτας δίδωσιν, εἴτε ἐκτός, ὡς ϗ τὰ ἄλλα δῶρα. ἄμεινον δὲ ἀντὶ φέρνης αὐτὰς ἡγεῖσθϑ.* BL.

150. *Μεσσηνίδες αὗται πόλεις, ἡ δὲ Μεσσήνη εἰς τὸν τῶν Λακεδαιμονίων νομὸν πάλαι συνετέλει· πῶς ἂν, φησίν, Ἀγαμέμνων ταύτας δίδωσιν ἐκ ἔσας αὐτῷ; φασὶ δὲ αὐτὰς Κλυταιμνήστρας εἶναι. ἢ ὅτι κοινὰ ἡγεῖται τὰ τοῖ ἀδελφῷ, ὡς κἀκεῖνος τὴν Αἴθην ὑπομένει (Il. 23, 295), ὡς ϗ Μενέλαος ἱκετεύει αὐτόν. διὰ τί δὲ ὁ μέμνηϑ αὐτῶν ἐν τῷ καταλόγῳ; ὅτι νεωστὶ ὑπὸ Διοσκούρων ἦσαν πορθηθεῖσαι, τῶν δὲ πεπορθημένων ὁ ποιεῖ συμμαχίαν, ὡς οὐδὲ Νηρίκου· φύσει γάρ εἰσι πολέμιοι τοῖς πορθήσασιν. ἢ περὶ αὐτῶν φησὶν ἐν οἷς λέγει „Αἰγιαλόν τ' ἀνὰ πάντα ϗ ἀμφ' Ἑλίκην εὐρεῖαν" (Il. 2, 575). μεγάλη δὲ ἡ δόξα Ἀχιλλεῖ, ὅτι καὶ τῶν πόρρω χωρίων ἄρχει. διὰ δὲ τῶν ἐπιθέτων σεμνοποιῶν, μικρᾶ δεῖν τὰς πόλεις τῆς Πηλέως ἀρχῆς μείζους φησί· διάφοροι μὲν γάρ εἰσι τοῖς καρποῖς, ποικίλαι δὲ ταῖς φύσεσι τῶν ζώων, διαφερόντως δὲ ταῖς κατοικίαις φιλάνθρωποι, ταῖς δὲ ἀγωγαῖς εὐνομώτατοϑ.* BL.

Ἰρήν: Ἀρίσαρχος ὀξύνει ὁμοίως τῷ ἐπιθετικῷ ἱρήν. εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα, ὥσπερ ἐδηλώσαμεν ἐπὶ τῆ „Ῥίπην τε Στρατίην τε" (Il. 2, 606) „Ὄρθην" (ib. 739). ἡ δὲ αὐτὴ ἀναλογία ἐχώρει ϗ ἐπὶ τῶν εἰς ως. ϗ πάλιν ὡς ἐπ' ἐκείνων ἐλέγομέν τινα ὁμοτόνως μένειν, ἔστως ϗ ἐπὶ τούτων. ϗ ἔστιν ὁρίσασθϑ τὰ μείναντα ὅτι ἐπαίνων ὀνόματά ἐστιν, ἐκ ἀναιρέφοντος τῆ κανόνος· ὁ γ' τὰ ἐπὶ ἐπαίνῳ μένει. καὶ τῶν μὲν τρεπόντων ἀρητή Ἀρήτη, τῶν δὲ μεινάντων πινυτή· „μήτηρ δὲ πιστὴ ἄγνη." ἔστως ϗ ἱρή. A.

153. *ἐγγὺς ἁλός: παράλιοί εἰσιν, ἵνα ϗ τῶν ἐκ θαλάσσης ἀγαθῶν ἀπολαύωσι παρακείμεναι αὐτῇ.* BL.

νέαϑ ὡς κεάϑ. σημαίνει δὲ τὸ ναίονϑ, γενόμενον παρὰ τὸ νῶ, ἓ παραγωγὸν ναίω. ὅσοι δὲ παροξύνουσιν, ὡς ἐπὶ τῆ ἔχαϑ κατὰ τὸ νοητὸν παραλαμβάνουσιν· ὁϑ' ἑνθάδε δὲ ὑγιῶς παροξύνουσιν· ὀφείλει γ' ὁμοτονεῖν τῷ νέατοι. Ἀπολλώνιος δὲ διὰ τῆ ῆ γράφει κέαται. A.

σημαίνει τὸ οἰκεῖονϑ, ἀπὸ τῆ νῶ γεγονός, ἓ παραγωγὸν τὸ νεάω. ὁ δὲ Νικάνωρ ὄνομά φησι τὸ νέαϑ, ϗ πρὸς ἄμφω χωρεῖν δύναϑθ, ὡς „τηλῆ ἐπ' Ἀλφειῷ νεάτῃ Πύλῳ ἠμαθόεντος" (Il. 11, 712). Ἀπολλόδωρος δὲ γράφει κέαται. L.

ἡ διπλῆ, ὅτι νέαται ἀντὶ τῆ ναίονϑ. ἔνιοι δὲ ἀντὶ τοῖ ἔχαται, ἐκ εὖ. A.

γράφεται καὶ νάεται. A.

154. *πολύρρηνες: γράφεται πολύῤῥηνες.* A.

ἄλλως. διὰ τῆ ἑτέρᾳ ῥ τὸ πολύῤῥηνες αἱ Ἀρίσαρχ. A.

155. *Θεὸν ὡς: ὡς Θεῷ, φησί, προσάγοντες τὰς ἀπαρχὰς τῶν ὄντων.* BL.

Ἀρίσαρχος τιμήσονται. A.

156. *καί οἱ ὑπὸ σκήπτρῳ: ϗ ὑπ' αὐτῆ βασιλευόμενοι εἰρηνικῶς βιώσονϑ.* A. *ὅσα δεῖ βασιλέα λαμβάνειν παρὰ τῶν ὑπηκόων, εὐκόλως δώσουσιν. τοιούτοις ϗ ὑποταγέντες αὐτῷ κατὰ τὸ δίκαιον λαμπρὰς φόρους τελέσουσιν.* AD. *ἡ*

διπλῆ δέ, ὅτι χρόνος ἐνήλλακται, τελέσσιν ἀντὶ τῶ τελέσσσιν. A.

οὐ σασιαζόντων, φησίν, ἄρξει ἀνδρῶν, ἀλλὰ πειθαρχόντων καὶ τῷ σκήπτρῳ ὑπεικόντων. τελέουσι δὲ ἀντὶ τοῦ ἀεὶ τελοῖεν (τῶ τελέσσσι LV). λιπαρὰς δὲ τὰς θέμιστας καλῶν τοῦτο δηλοῖ, ὅτι τὸ κρίνειν καλῶς εὐδαιμονίαν ἔχει. BLV.

158. δμηθήτω: παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει καμφθήτω. A.

τὸ ἑξῆς, δμηθήτω καί μοι ὑποσήτω. τὸ δὲ Ἄϊδης διὰ μέσου. LV.

ἀμείλιχος ὁ ἀγοήτευτος καὶ ἀδάμαστος ἀτεράμων, ὃ ἐστιν ἀκαμπής· δύο γάρ εἰσιν οἷς πείθομεν, λόγῳ καὶ βίᾳ. διὰ δὲ τῶ Ἄϊδα ἐδήλωσεν ὡς, ἐάν τις ἐστν ἀμείλιχος, βδελυρὸς τοῖς πᾶσιν ἔσται. BLV.

διὰ τί οἱ μὲν ἄλλοι θεοὶ σρεπτοὶ λέγονται, τὸν δὲ Ἄϊδην ἀνελεήμονά φησιν εἶναι; ὅτι ἐκεῖνοι μὲν περὶ τῶν εἰς ἑαυτὸς χαλεπαίνουσιν ἁμαρτημάτων, διὸ καὶ συγγινώσκουσιν, ὁ δὲ περὶ τῶν ἰδίων καὶ ἀλλοτρίων, διὸ καὶ ἀκαμπτός (ἀτεγκτός V, ἀνηλεής L) ἐστιν· ὅθεν ἐν ἀδεμιᾷ πόλει Ἄϊδα βωμός ἐστιν. Αἰσχύλος φησὶν „μόνος θεῶν γὰρ Θάνατος ἀδώρων ἀρᾷ, ἀδ' ἄν τι θύων ἀδ' ἐπισπένδων λάβοις, ἀδ' ἔστι βωμός, ἀδὲ παιωνίζεται." ἀναγκαῖον δὲ μετὰ τὰ δῶρα τὴν παράκλησιν ἐπαγαγεῖν διὰ τὸ ὑπεκκλίνειν τὸ ἀλαζονικόν. ABL.

159. φησὶν ὁ Ἀρίσταρχος ὅτι ἔνιοι ὑποτάσσουσι τούτῳ „ὄφρ' ἐπεί κε λάβῃσι πέλωρ ἔχει ἀδ' ἀνίησιν" οὐκ εἶναι δὲ ἀναγκαῖον. A.

160. ὅσσον βασιλεύτερός εἰμι: ὡσανεὶ δέησιν προσάγει τὴν ἡλικίαν καὶ τὸ σκῆπτρον, οἷς εἴκασι καὶ μεγαλόφρονες. ἐξέφυγε δὲ τὸ ἐλεεινόν, εἴκειν αὐτὸν ἀξιῶν τοῖς μείζοσιν ἀξιώμασεν. τὸ δὲ ὅσσον ἐνταῦθα οὐκ ἔχει πλήθους ἐμφαντικόν, ἀλλ' ἀντὶ τῶ καθόσον εἰμὶ βασιλικώτερος. σημαίνει καὶ τὸ ὀλίγον, ὡς τὸ ὅσον βιῶσαί με, ὀσον ζῆσαι. καὶ τὸ χεδόν, ὡς τὸ ὅσον οὐκ ἀποτετέλεσο, ὅσον οὐκ ἤδη πονηρῶς τε καὶ ἀθλίως ἀπολωμένων. καὶ τὸ ταχύ, ὅσον ἔπω ἀντὶ τῶ μετ' ὀλίγον ἢ ἀντὶ τῶ ἤδη, ὡς τὸ „ὁ δὲ ἅμα ἐνθυμέμενος τὴν ὅσον οὔπω ἀπορίαν τῶν ἀναγκαίων λύει τὴν πολιορκίαν·" καὶ „ἐπιπεσεῖσθαι δ' ὅσον ἔπω τὴν οἰκίαν·" καὶ αὖθις „ὅσον ἔπω προσεδόκα τὸς βαρβάρους." ὅσῳ καὶ ὁπόσῳ· „ὅσῳ πλέον ἥμισυ παντός," τουτέστι τὸ ὀλίγον μετὰ δικαιοσύνης τῶ πολλῶ μετὰ ἀδικίας πλείονα ἔχει τὴν ὄνησιν, Ἡσίοδός φησιν (O. 40). BLV.

ἡ διπλῆ, ὅτι τὸ ὅσσον οὐκ ἔστι πλήθους, ἀλλ' ἀντὶ τῶ καθ' ὅσον εἰμὶ βασιλικώτερος. A.

161. ἠδ' ὅσσον γενεῇ: καὶ ὁ Νέστωρ „ἄμφω νεωτέρω ἐσὸν ἐμεῖο" (Il. 1, 259). V.

164. διδοῖς: ὡς ὀρθοῖς. ἔτως καὶ Ἀρίσταρχος. καὶ τὸ τρίτον „εἰ μὲν δὴ μὴ δῶρα διδοῖ" (Il. 9, 515). A.

165. κλητοὺς: πρέσβεις ἐπιλέκτους, ἢ ἐξ ὀνόματος καλέσαντες. A.

ἡ διπλῆ, ὅτι τοὺς ἀπὸ τοῦ καλεῖσθαι αἱρουμένους. καὶ ἐν Ὀδυσσείᾳ „οὗτοι γὰρ κλητοί γε". καὶ τὸ ὀτρύνομεν ἀντὶ τῶ ὀτρύνωμεν. A.

τὰς ἐξ ὀνόματος πρέσβεις. καλῶς δὲ πρεσβείαν ἀποξέλλει, ἵνα ἢ πείσωσιν αὐτὸν ἢ πραότερον ἐργάσωνται. τάχισα δὲ διὰ τὸν ἐπείγοντα τῆς νυκτὸς καιρόν. BL.

167. Ἀρίσταρχος ἐγώ, ἄλλοι δὲ ἐγών. A.

ἐπιόψομαι: φήσας ἐπικρίτως ἀποσαλησομένους λεληθότως ἑαυτὸν τῆς πρεσβείας ἐξέκλεψεν. V.

οἱ δὲ: βαρυτονητέον· δύο γὰρ μέρη λόγου, ἀντὶ τῶ ἔτοιμοί δέ. εἰσὶ δὲ οἳ προπεριέσπασαν, ἐκ εὐχρείας γάρ ἐστι τῶ δὲ συνδέσμου. A. ἐζήτηται δὲ πῶς μᾶλλον ὁ πρεσβεύει ὁ συνετώτερος. ἔστι δὲ λέγειν ὅτι κατ' οἰκονομίαν ὑπελείφθη, ἵνα ἂν ἀποτύχωσιν οἱ περὶ Ὀδυσσέα, αὐτὸς ὕστερον πείσῃ. ἄτοπον γὰρ ἦν νῦν πρεσβεύειν τὸν Νέστορα, ὅτε δεῖ πάντως τὸν Ἀχιλλέα μὴ πεισθῆναι· ἀδοξία δὲ ἦν Νέστορα μὴ δυνηθῆναι πεῖσαι. οἱ δέ φασιν ὅτι ἐπειδὴ ἐχθρὸς ἦν Ἀχιλλέως λοιδορήσας αὐτὸν πρὸς Ἀγαμέμνονα „τόσσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο" (Il. 2, 346). AD.

αὐτὸς οὐκ ἄπεισιν ἢ διὰ τὸ γῆρας, ἢ ὑποπτεύεται παρὰ τῷ Ἀχιλλεῖ νομίζει ὡς ἐκπληρῶν τὴν αὐτῶ ἀπόσιαν, τῶι μὲν τῇ διατάξει τῶ στρατῶ „ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ" (Il. 2, 363), τοῦτο δὲ τάφρον περιβαλλόμενος καὶ τεῖχος, ὃ Ἀχιλλεὺς ὀνειδίζει „ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφι ἐμεῖο, καὶ δὴ τεῖχος ἔδειμεν" (348)· ἢ ὅτι εἶπεν „τόσσδ' ἔα φθινύθειν ἕνα καὶ δύο" (Il. 2, 346). εἰ δὲ ἐν τῷ ἐπιταφίῳ φιάλην αὐτῷ ἐδωρήσατο, οὐδὲν θαυμαζόν, εἰ τὸν ἔχθραν ἀποθέμενος τὴν πρὸς Ἀγαμέμνονα λύει καὶ τὴν πρὸς Νέστορα ὑποψίαν. ἢ ἀδήλως ὄντος εἰ πείσει, καλῶς ἑτέρους ἔπεμψεν· πεισάντων γὰρ ἔμελλεν αὐτὸς ἕξειν τὴν δόξαν ὡς εἰσηγησάμενος, ἀποτευχθείσης δὲ τῆς ἱκεσίας αἰτίαν ἔχον οἱ πρέσβεις ἐνδεῶς διειλεγμένοι. ἢ συμπεριλαμβάνει ἑαυτὸν Ἀγαμέμνονι ἐντευξάμενον. BLV.

168. Φοῖνιξ: ἀπὸ τῆς Ἀχιλλέως σκηνῆς δεῖ νομίσαι ἥκειν τὸν Φοίνικα ὡς ἐπὶ θέαν τῆς μάχης, ὅτι ἐδόκει καὶ ἐν δεινοῖς συνελαθέντας εἰς τὸ τεῖχος, κἀνταῦθα γενόμενον καταχεθῆναι ὑπὸ τῶν ἀριστέων εἰς τὴν εὐωχίαν· ἐράπευον γὰρ αὐτὸν ὡς τροφέα Ἀχιλλέως. ἴσως δὲ καὶ συμβιβάσαι αὐτὸς θέλων παρῆν καὶ ἰάσασθαι τὴν ὀργήν (ὀργὴν LV) Ἀχιλλέως. πέμπεται δὲ ὁ Φοῖνιξ ἐξ ὧν πρεσβευτὴς δύο γὰρ ἦν ἔθος πρεσβεύειν· „ἄνδρε δύω κρίνας" (Od. 9, 9) καὶ „ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ" (Il. 11, 140–). ἀλλ' ἵνα τοῖς πρεσβευταῖς συλλάβῃ. διό φησιν „ἠγάσθω," ὡς ἐκεῖθεν ἥκοντος αὐτὸν καὶ πάλιν ἐπανελθεῖν ἀγῶνα ἔχοντος, ὅπερ καὶ μὴ πρεσβεύσαντός φησιν „Ἀτρεΐδῃ ἥρωϊ φέρων χάριν" (613) καὶ „Φοῖνιξ δ' αὖθι παρ' αὐτοῦ μένων κατακοιμηθήτω" (427), ὡς μέλλοντος αὐτὸν ἐπανιέναι πρὸς Ἀγαμέμνονα καὶ ἀπαγγεῖλαι ἃ ἤκουσεν. BLV

ἡ διπλῆ, ὅτι ὁ Φοῖνιξ προέρχεται καὶ ὁ συμπρεσβεύων οἱ περὶ τὸν Ὀδυσσέα, ὥστε μὴ συγχεῖσθαι διὰ τῶν ἑξῆς τὰ δύο. A.

169. ἡ διπλῆ, ὅτι τὸ ἔπειτα Ἀρίσταρχος ἀντὶ χωρὶς παραλαμβάνει, ἀντὶ τῶ μετὰ ταῦτα, ὡς καὶ „Ἑρμείαν δὲ

ἔπειτα" (Od. 10, 307). βούλεται γὰρ πρῶτον τὸν Φοίνικα ἀπεληλυθότα εἰς τὸ σκήνωμα, εἶτα τὸν Ὀδυσσέα καὶ τὸν Αἴαντα ὡς πρεσβεύοντας. ὁ δὲ Κράτης τὸ ἔπειτα ἀντὶ τοῦ δή συνδέσμου λαμβάνει. A.

Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς: καὶ τούτων ἠπείλησε τὸ γέρας ἀφελέσθαι Ἀγαμέμνων. πρεσβεύουσιν οὖν ὡς συνυβρισθέντες καὶ μὴ μνησικακήσαντες, ἵνα δυσωπήσωσιν αὐτόν. ἕκαστον δὲ τῶν ἀπιόντων ὑποθωπεύει. BL.

170. *κηρύκων*: καὶ κήρυκες συμπαραγίνονται, ἵνα δηλωθῇ ὅτι δημοσία ἡ πρεσβεία ἐστίν. Ταλθύβιος δὲ οὐ πέμπεται, ὅτι Ἀγαμέμνονός ἐστιν ὑπηρέτης. BL.

Εὐρυβάτης: ἡ διπλῆ, ὅτι οὐ τὸν Ἀγαμέμνονος (Il. 1, 320) ὑποληπτέον νῦν λέγεσθαι, ἀλλὰ τὸν Ὀδυσσέως (Il. 2, 184), ἐπεὶ κἂν ἐξωργίσθη, τῆς δι' αὐτοῦ γενομένης ἀφαιρέσεως ὑπομνησθείς. A.

ἐπέσθων: ἀντὶ τοῦ ἐπέσθωσαν. γράφεται δὲ καὶ χωρὶς τοῦ ν ἐπέσθω. A.

172. *ὄφρα Διί*: ὅτι δεῖ ἐν παντὶ καιρῷ ἐκ θεῶν ἄρχεσθαι, μάλιστα δὲ ἐν κινδύνοις· οὕτω γὰρ προθυμότερον ἐπὶ τὴν πρᾶξιν ὁρμῶμεν καὶ οὐδὲν ἑαυτοῖς ἀποτυχόντες ἐγκαλοῦμεν. ὕψωσε δὲ τὸ πρᾶγμα, εἴ γε συμπρεσβευτὴν ἔχουσι Δία. BL.

177. *σπεῖσάν τ' ἔπιόν θ'*: γράφεται σπεῖσάν τε πίον θ'. A.

180. *δενδίλλων*: διανεύων τοῖς ὀφθαλμοῖς. AD. ἢ περιβλέπων, ἀπὸ τοῦ διειλεῖν τοὺς ὀφθαλμούς. D.

κατὰ τὸ δέον διαστρέφων τοὺς ὀφθαλμούς, καὶ οἷον τῇ ὄψει ἱκετεύων ὡς ἐπὶ σωτηρίαν τοῦ παντὸς ἐσταλμένους. ἕκαστον δὲ ἀντὶ τοῦ ἑκάτερον· οὐ γὰρ παρῆν Φοῖνιξ, ἐπεὶ καταισχύνεται διὰ τοῦ „Ὀδυσσῆϊ δὲ μάλιστα." BL.

ἡ διπλῆ, ὅτι παρόντος τοῦ Φοίνικος ἔτι ταῦτα ὁ Νέστωρ ποιεῖ, διὸ καὶ ἁρμόσει τὸ ἐς ἕκαστον πληθυντικῶς εἰσενηνεγμένον, καὶ οὐκ εἰς ἑκάτερον, ὅπερ ἐπὶ δύο τίθεται, καὶ τὸ μάλιστα ὑπερθετικῶς εἰρημένον. A.

182. *τὼ δὲ βάτην*: ἡ διπλῆ, ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυϊκόν· κεχώρισται γὰρ ὁ Φοῖνιξ μετὰ τὴν Νέστορος ἐντολήν, οὗτοι δὲ μετὰ ταῦτα. A. ζητοῦμεν δὲ εἰ καὶ Φοῖνίξ ἐστι πρεσβευτής. καί φασιν οἱ μὲν δύο πρεσβεύειν, Αἴαντα καὶ Ὀδυσσέα, Φοίνικος προεληλυθότος οὐκ εἰς τὸ πρεσβεύειν ἀλλ' εἰς τὸ συλλαβέσθαι· καὶ διὰ τοῦτο ὁ ποιητὴς δυϊκοῖς κέχρηται· καὶ „χαίρετον ὦ φίλοι" (197). ἔνιοι δὲ λέγουσι συμπεπρεσβευκέναι καὶ Φοίνικα, καὶ οὐδὲν εἶναι τεκμήριον τὸν παρὰ τῷ ποιητῇ ἀριθμόν· πολλάκις γὰρ καὶ ἐπὶ πλειόνων αὐτὸν τετάχθαι, ὡς καὶ ἐπὶ τοῦ „μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ ἆσσον ἰόντε" (Il. 1 567) καὶ ὡς ἐπὶ τοῦ „τὼ κούρω κριθέντε δυωκαιπεντήκοντα" (Od. 8, 48). AD.

183. *γαιηόχῳ*: ἐπεὶ παρὰ θάλασσαν ἐβάδιζον, διὰ τοῦτο τῷ Ποσειδῶνι εὔχονται. A. τὸ γὰρ παρὸν εἰς μνήμην ἕτοιμον. καὶ Εὔμαιος θύει ταῖς νύμφαις, καὶ Ἕλληνες ἐπικαλοῦνται τὸν Ἰδαῖον Δία, καὶ νῦν δὲ Ποσειδῶνα, ὅτι ἐπίκουρος τῶν Ἀχαιῶν. ἢ ὅτι Νηρηΐδος παῖς ἐστὶν Ἀχιλλεύς, τῶν δὲ ἐναλίων θεῶν οὗτός ἐστι βασιλεύς. BL.

184. *περισπαστέον τὸ πεπιθεῖν*· δεύτερος γὰρ ἀόριστος. τὸ δὲ *μεγάλας* εὐκαίρως· οὐ γὰρ ἔπεισαν. ABL.

185. *ἱκέσθην*: γράφεται ἵκοντο. A.

186. *τερπόμενον φόρμιγγι*: οἰκεῖον τῷ ἥρωϊ νυκτὸς οὔσης γυμνάζεσθαι μᾶλλον τὰ μουσικά, ἀλλὰ μὴ διαπαννυχίζειν· παραμύθια γὰρ ταῦτα θυμοῦ καὶ λύπης. ἔστι δὲ νέος καὶ φιλόμουσος, καὶ λάφυρον ἔχων τὴν κιθάραν· καὶ οὐ θηλυδριώδη μέλη ἀλλὰ κλέα ἀνδρῶν ᾄδει. ἢ οἰόμενος ἥξειν αὐτοὺς σοβαρεύεται. καλῶς δὲ ἀπούσης τῆς ἐρωμένης ᾄδει, ὅπως μὴ δοκοίη κωμάζειν. ἢ ὅτι πεφρόντικε μὲν τῆς τῶν Ἑλλήνων ἀσφαλείας, προσποιεῖται δὲ καταφρονεῖν· φησὶ γοῦν „δῖε Μενοιτιάδη νῦν οἴω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιούς" (Il. 11, 608). καὶ πάλιν „ὄρσεο διογενὲς Πατρόκλεις, ἱπποκέλευθε· λεύσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἐρωήν" (Il. 16, 126). οὐκ ἤθελε δὲ ἀργῶν σώματι καὶ ψυχῇ ἀργεῖν, ἀλλ' ἡτοίμαζεν αὐτὴν πρὸς τὰς πράξεις, καὶ ἐπ' εἰρήνης τὰ τοῦ πολέμου μελετᾷ, ὡς καὶ οἱ Μυρμιδόνες. BL.

ἵππον διὰ πόλεμον, δίσκον καὶ κιθάραν πρὸς σωματικὴν καὶ ψυχικὴν γυμνασίαν εἶχον. σύντροφον δὲ ὄργανον εὑρὼν οὐ παρῆκεν· οὐ γὰρ οἴκοθεν εἵλετο. καὶ ἴσως Ἑλληνικὸν ἄνδρα εὑρὼν Ἠετίωνα σὺν τοῖς ὅπλοις ἐκήδευσε, καὶ τοῖς ἐκείνου χρῆται. BL.

187. *ζυγὸν*: ζυγὸς ὁ πῆχυς τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κόλλαβοι. οὕτως δὲ λέγονται οἱ πάσσαλοι ὧν ἐξάπτονται αἱ χορδαί, παρὰ τὸ κεκολλῆσθαι. ABD.

188. *ἐξ ἐνάρων*: ἡ διπλῆ, ὅτι ἀστεῖον τὸ μὴ οἴκοθεν κομίσαι ὥσπερ μέλλοντα ἐν πολέμῳ ἄνεσιν ἔχειν, ἀλλ' ἐκ τῶν λαφύρων ἀνηρῆσθαι ἁρμόνιον καὶ οὐκ ἄμουσον. A.

ἄλλως. πιθανῶς ἔφη ἐκ λαφύρων κεκτῆσθαι τὴν κιθάραν τὸν Ἀχιλλέα· ἀνοίκειον γὰρ εἰς πόλεμον ἥκοντα κιθάραν ἐπικομίζεσθαι. εὑρόντα οὖν παρελθεῖν ὡς ἄμουσον ἀπρεπὲς ἦν. AD.

189. *κλέα ἀνδρῶν*: ὅτι ἀειμνήστους δεῖ τοὺς ἀγαθοὺς εἶναι· οἱ γὰρ ἀοιδοὶ διὰ τῶν παλαιῶν ἱστοριῶν τοὺς ἀκούοντας ἐσωφρόνιζον. προσέθηκε δὲ τὸ *ἀνδρῶν*, ἐπειδὴ καὶ θεῶν ᾄδουσι γάμους. ABL.

190. *Πάτροκλος δέ οἱ οἶος*: ἡδεῖα γὰρ ἐπίδειξις ἡ ἐπὶ τῶν φίλων. ἤτοι δὲ μόνον αὐτὸν καθέζεσθαι λέγει, ἢ μόνον ἐναντίον παρὰ τοὺς ἄλλους Μυρμιδόνας· ἢ ὅτι ἐν ἡσυχίᾳ δεῖ τῆς μουσικῆς ἀκούειν. BL.

ἡ διπλῆ, ὅτι οὐ μόνος ἐν τῇ κλισίᾳ, ἀλλὰ μόνος Αἰακίδην δεδεγμένος ἀντίος ἧστο· καὶ γὰρ Αὐτομέδων ἐπὶ τῆς κλισίας ἦν, ὁμοίως καὶ ὁ Φοῖνιξ. A.

191. γράφεται καὶ *δέχμενος* διὰ τοῦ χ. A.

192. *τὼ δὲ βάτην*: ἡ διπλῆ ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυϊκόν· παρόντος γὰρ τοῦ Φοίνικος ἀπίθανον λέγειν „ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς." A.

προτέρω: καὶ ἐπὶ χρόνου· „καί νύ κ' ἔτι προτέρω" (Il. 23, 490). δίχα τοῦ ι δὲ τὸ προτέρω· ἀπὸ γὰρ τοῦ προσωτέρω συγκέκοπται. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

193. *ταφὼν δ' ἀνόρουσεν*: διὰ τὸ φίλον, ἢ διὰ τὸ χαίρειν ἐπὶ τῇ προσδοκωμένῃ πρεσβείᾳ, ἢ διὰ τὸ νυκτὸς αὐτὸς ἤδη ἔσης μέσης παρεῖναι. τὸ δὲ ταφὼν ἀντὶ τοῦ ἐκπλαγείς, ἐκ μεταφορᾶς τῶν τάφων· ᾗ γὰρ ἡμεῖς ὁρῶντες τὸς τάφους ἐκπληττόμεθα τὸ μέλλον δεινόν. τάφος δὲ σημαίνει τρία, τὴν ἔκπληξιν, ὡς ἐνταῦθα καὶ ὡς τὸ „τάφος ἕλε πάντας Ἀχαιούς" (Od. 21, 122?)· καὶ τὸ δεῖπνον, ὡς τὸ „ἦτοι ὃ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν" (Od. 3, 309) ᾗ „ὡς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο" (Il. 24, 804)· ᾗ ὄνομα νήσου, ὡς τὸ „ξεῖνος δ' ἦτος πατρώϊος ἐκ Τάφου ἐστίν" (Od. 1, 417). BL.

ταφὼν: Ἰωνικῶς λέγει κατὰ τροπὴν τοῦ θ εἰς τὸ τ· αὐτοὶ γὰρ τὰ δασέα εἰς ψιλὰ τρέπουσιν, οἷον θαπὼν ταφών, δευτέρᾳ ἀορίστῳ ἀπὸ τοῦ θήπω ἐνεστῶτος, ᾗ τὰ ψιλὰ εἰς δασέα, ὡς τὸ ἐπιορκῆσαί φησιν. οἱ αὐτοὶ δὲ ᾗ τὸ Ἀθάμας, κατ' ἀφαίρεσιν τοῦ α ᾗ τροπῇ τοῦ θ εἰς τὸ τ, Τάμμας λέγουσι· „Τάμμεω θυγατέρος" Καλλίμαχος ἐν δευτέρῳ αἰτίων (αἰτίῳ A). AD.

194. *σικτέον μετὰ τὸ φόρμιγγι, ὡς ἔκπληξιν Ἀχιλλέως ὁρᾶσθαι ἀναπεπηδηκότος σὺν τῇ κιθάρᾳ. τὸ ἡμίσιχιον δὲ δύναται ᾗ τοῖς ἄνω καὶ τοῖς ἑξῆς προσδίδοσθαι, τό τε ἀναπηδῆσαι σὺν αὐτῇ τῇ κιθάρᾳ, ᾗ ἀπολιπόντα τὴν καθέδραν ᾗ τὴν κιθάραν συναντῆσαι. βέλτιον δὲ τὸ πρότερον, ὥστε τοῖς ἄνω συνάπτειν.* AD.

ὧδε σικτέον· ὑπὸ γὰρ φιλοφροσύνης ἀπήντησεν αὐτοῖς ἕτως ὡς εἶχε, σὺν τῇ κιθάρᾳ. τινὲς δὲ ἐφ' ἓν „αὐτῇ σὺν φόρμιγγι λιπὼν ἕδος·" ᾗ τὴν φόρμιγγα, φασίν, ἐκεῖσε καταλιπὼν ὡς αἰδέμενος. BL.

196. *τὼ: γράφεται ᾗ τούς. τὸ δὲ δεικνύμενος δεξιόμενος, φιλοφρονέμενος λόγοις. B. ἐν ἄλλοις δὲ ἀντὶ τοῦ δεικνύς· „δεικνύμενος Δαναοῖσιν"* (Il. 23, 701). L.

Ἑλληνικὰ πάντα, ᾗ τὸ μὴ ἐκείνως πρῶτον ἐνάρξασθαι. V.

197. *ἦ φίλοι: φίλοι δή. Ἀττικοὶ ἐν προσφωνήσει τιθέασι τὸν σύνδεσμον.* D.

ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον· βεβαιωτικοὶ γάρ. ἡ διπλῆ δέ, ὅτι χωρὶς τοῦ δυϊκῶς ἐχημάτισθαι πρὸς Ὀδυσσέα ᾗ Αἴαντα, ᾗ τὰ τῆς διαθέσεως ἐκ ἐμφαίνει συμπαρόντα τὸν Φοίνικα· ἐ γὰρ ἂν ἕτως ἐκπλαγεὶς ἀνεπήδησεν, ἢ ἐδέξιῶτο ὡς αἰφνιδίως παραγενόμενος. A.

Παρμενίσκος δὲ προφέρει ἱκάνετον ἠμέτερόνδε. A.

τὸ δὲ τί ἀντὶ τοῦ τινός. δυσωπεῖ δὲ αὐτοὺς ὡς παρὰ τὸν τῶν φίλων θεσμὸν δι' ἀνάγκην ἐλθόντας. ἐχ ὁμολογεῖ δὲ εἰδέναι τὰ περὶ τῆς ἐντεύξεως ἐναβρυνόμενος. BLV.

198. *οἵ μοι σκυζομένῳ περ: οἵδε γὰρ ὁ θυμὸς παροξῦναι ᾗ τὸ πρὸς φίλους δίκαιον.* V.

καὶ ἐνθάδε τινὲς δυϊκῶς φιλτάτω· ἄλλοι φίλτατοι. A.

202. *καθίσας: ὡς καθίσανε τὸ πλῆρες, ἕτως ᾗ ἐπὶ τῆς ἀποκοπῆς. εἰσὶ δὲ οἳ ἐκτείνουσιν, ἀπὸ τοῦ ἰσῶ τὴν κλίσιν παραλαμβάνοντες.* A.

καθίσα: κίρνα. ὅμοιον τῷ „κρητῆρα σήσασθ' ἐλεύθερον" (Il. 6, 528). V.

203. *ζωρότερον: ἀκρατότερον, παρὰ τὸ ζῆν· οἱ γὰρ ταχύτερον. ἢ ἴσως ἐπεὶ οἱ ξένοι ὕδωρ μὲν αἰτοῦσιν, ἐκέτι δὲ οἶνον. ἢ ὡς μισικὸς ᾗ ὑδαρέστερον πίνων, ἀφ' ὧν ἀνείδιζει καὶ οἰνοφλυγίαν Ἀγαμέμνονι. ἀπρεπὲς δὲ τὸ ὡς ἐπὶ κώμου ἤκουσιν ἀκρατότερον διδόναι παρακελεύεσθαι. ᾗ οἱ μὲν ἀπὸ τῆς λέξεως λέγουσι τὸ γὰρ ζωρότερον ταχίον· οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι νύξ· οἱ δὲ ἀπὸ τοῦ ἔθους· τοὺς γὰρ ἥρωας, ἄλλως καταπονουμένους, δαψιλεστέροις τοῖς πρὸς τὴν δίαιταν χρῆσθαι εἰκός.* BLV.

τὸ ἄκρατον, παρὰ τὸ μηδέπω ἐσβέσθαι τὴν ἰσχὺν τοῦ οἴνου ὑπὸ τῆς τοῦ ὕδατος κράσεως. A.

ἢ τὸν ἀκρατότερον ὃν εἶχεν ἐν τῷ ἀμφορεῖ Διονύσου· ᾗ γὰρ εἰκὸς δεδόσθαι κοινόν· ἀπαρχὴν δὲ ἔχοντα τῶν ἐκείνου εὑρημάτων οἶνον θαυμάσιον· τοῦτον δὲ οἱ ἥρωες ἀπεδέχοντο· „ἐν δέπας ἐμπλήσας" (Od. 9, 209). *φιλοφρονεῖται δὲ αὐτός, καταιχύνων τὸν Ἀγαμέμνονα.* L.

κέραιε δίχα τοῦ ρ Ἀριστοφάνης. ἐκ ἄτοπον δὲ νυκτὸς ἔσης ζωρότερον πίνειν. L.

χωρὶς τοῦ ρ. μέμνηται καὶ Ἡρωδιανός. A.

204. *μελάθρῳ: νῦν σκηνῇ, κυρίως δὲ οἴκῳ.* A.

206. *κρεῖον μέγα κάββαλεν: εἰς ταπεινὴν τάξιν μαγειρικὴν κατερχόμενος ἐδὲν ἧττον τὴν ἡρωϊκὴν διαφυλάττει σεμνότητα. αἰτία δὲ ἡ ἐκλογὴ τῶν ὀνομάτων. πρῶτον μὲν ἐκ εἶπε κατέθηκεν ἀλλὰ κάββαλεν, ἔπειτιν ἐμφαίνων τὸ διακονεμένῳ, ἔπειτα τροπικὸν εἰσήνεγκεν ὄνομα τὸ τεθαλυῖα.* BL.

ἡ διπλῆ, ὅτι Εὐφορίων κρεῖον τὸ κρέας ἐξεδέξατο, Ὅμηρος δὲ τὸ κρεοδόχον ἀγγεῖον. ᾗ πρὸς τὸ ἐν πυρὸς αὐγῇ, τὸ ἀπὸ τοῦ πυρὸς φωτιζόμενον. κρεῖον δὲ ὡς θεῖον· γέγονε δὲ παρὰ τὸ κρέας. A.

καὶ ἐπ' ἠλίου αὐγὴ λέγεται. ἥλιος δέ ἐστι τὸ ἄστρον· ἡμεῖς δὲ ἀφυῶς φαμὲν ἐν ἡλίῳ καθῆσθαι. BL.

ἐκταῦθα ἦν ἐν τῇ αὐγῇ τοῦ λύχνου τέθεικε τὸ κρεῖον ἐπεὶ νὺξ ἦν, οἷον παρὰ λύχνῳ. L.

207. *νῶτον: ψόαν, νωτιαῖον κρέας.* D.

ὔϊος: ὡς πόλιος. εἰ μὴ διὰ μέτρον γάρ, οὗ φησιν οὐδάς. V.

208. *σιάλοιο: ἐντροφίου, ἀπαλοτρεφῆς (ὅθεν καὶ τὸ „ἀπαλοτρεφέος σιάλοιο" Il. 21, 363. L) ὡς „ζατρεφέων σιάλων"* (Od. 14, 19). *ἢ σεσιτευμένου.* ABL.

209. *τῷ δ': τάτῳ δὲ τῷ Ἀχιλλεῖ ὑπηρέτει τὰ κρέα Αὐτομέδων, οἷον ὑπέσχεν αὐτά, ἐκεῖνος δὲ διέτρεμεν.* L.

ἐν σχήματι ἔδειξεν ὡς ᾗ Αὐτομέδων ἔνδον ἦν μετὰ Πατρόκλου, ὡς ᾗ αὐτὸς φίλτατος. BL.

τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς: τὸν τύφον ἐκβάλλει ἡμῶν ἑαυτῷ ὑπηρετούμενος ὁ Ἀχιλλεύς. ABL.

210. *μίσυλε: διὰ τοῦ ἑτέρου λ τὸ μίσυλε. γίνεται δὲ παρὰ τὸ μεῖον ἢ μεῖζον.* LV.

212. *αὐτὰρ ἐπεί: εἰς ταπεινὴν ἀπαγγελίαν ἐδεὶς τοσαύτην ἐπέθηκε σεμνότητα ᾗ λέξεις.* A.

ἄλλως. ἔνιοι γράφουσιν αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ. ὁ δὲ Ἀρίσαρχος ταύτην προέκρινεν. ἔνιοι δὲ γράφουσιν αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο, παύσατο δὲ φλόξ. LV.

ἔν τισι γράφεται „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ." γελοῖον δὲ πυρὸς ἄνθος ὡς ῥόδων ἄνθος, τῷ ποιητῇ τὸ πῦρ δεινοποιήσαντος. A.

214. ἀλὸς θείοιο: θείους κέκληκε τοὺς ἁλας διὰ τὸ ἄσηπτα τηρεῖν τὰ παθέντα. ABDL.

ἢ ὅτι τὰ ἁλίπυρα διαμένει, ἢ ὅτι τὰς φιλίας συνάγει. κρατευτάων δὲ ἢ τῶν ἀληθηκῶν, τουτέστι τῶν ἀγγείων ἐν οἷς οἱ ἅλες εἰσίν, ἢ τῶν ἐξοχῶν τῆς ἐχάρας αἷς ἐπιτίθενται οἱ ὀβελοί. ἐκβάλλει γὰρ ἐκ τῶν πυρός, ἵνα μὴ ἐκεῖσε πάττων ἐνοχλῇ. BLV.

ἐπαείρας: Ἀρίσαρχος ἀπαείρας, ἀπὸ τῶν κρατευτάων ἄρας. κρατευτάων δὲ τῶν βάσεων, ὅ ἐστι τῶν λίθων ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται τῶν κρεῶν ὀπτωμένων. οἱ δὲ τῶν λαβῶν τῶν ὀβελίσκων εἶπον, κακῶς. AD.

215. ἐλεοῖσιν: ἐπιμίκεσι τραπεζίοις ἤτοι μαγειρικοῖς. δασύνεται δὲ ἀπὸ γῆ τοῦ ἑλεῖν. ἢ ὅτι ἐξ ἐλείων ῥάβδων ἦσαν πεπλεγμέναι αἱ μαγειρικαὶ τράπεζαι· ἢ ἐπεὶ ἐλιπαίνετο ἐκ τῆς πιμελῆς. ABD.

ἔχευεν: ἐν ἄλλῳ ἔθηκεν. ABL.

217. ἐν κανέοισιν: ὡς ὀξέοις. V.

218. ἀντίον ἷζεν Ὀδυσσῆος: ὡς διαλεξόμενος· οἶδε γὰρ ὅτι αὐτὸς τὴν πρεσβείαν πεπίστευται. BL.

219. τοίχου: ὡς „ὀΐζυσον Μενελάῳ" (Π. 4, 100). V.

θῦσαι: ἀπάρξασθαι ἢ θυμιᾶσαι, ὡς τὸ „πῦρ δὲ κείαντες ἐθύσαμεν" (Od. 9, 231). BL.

ἀπάρξασθαι. δεισιδαίμων δέ, ὃς καὶ τροφῆς τοῖς θεοῖς ἀπάρχεται, καὶ ἀποπλεῖσεσθαι μέλλων λέγει „αἴριον ἱρὰ Διὶ ῥέξας" (357), καὶ „χηλᾶ δ' ἀπὸ πῶμ' ἀνέῳγεν" (Il. 16, 221). AB.

ἡ διπλῆ, ὅτι θῦσαι ἀ σφάξαι ὁ Τιμόθεος ὑπέλαβεν ἀ Φιλόξενος, ὁμοίως τῇ ἡμετέρᾳ συνηθείᾳ, ἀλλὰ θυμιᾶσαι. ἀ ὅτι θυηλὰς τὰς ἐπιθυμίας ἀπαρχάς. ἀ ἐν Ὀδυσσείᾳ (14, 446) „ἦ ῥα ἀ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσιν." A. Καλλίμαχος δὲ κακῶς „τὸ μὲν θύος ἦρχετο βάλλειν," Ὅμηρος δὲ θύσ τῷ θυμιάματος. V.

220. θυηλάς: ὡς ἀπαρχάς. τὰ δὲ διὰ τοῦ η̄λη μονογενῆ ὑπὲρ δύο συλλαβὰς ἀ ὀξύνεται, ὥσπερ τὸ γαμφηλή θυηλή, ἀ βαρύνεται, ὡς τὸ ἀνθήλη. A.

222. ἐδήτυος ἐξ ἔρον ἔντο: φασὶν ἀ παρ' Ἀγαμέμνονι, πρὶν ἐπὶ τὴν πρεσβείαν στεῖλαι, δειπνῆσαι· φησὶ γὰρ „αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός, ὡρμῶντ' ἐκ κλισίης" (177). ἄμεινον δὲ εἶχεν ἄν, φησὶν ὁ Ἀρίσαρχος, εἰ ἐγέγραπτο „ἄψ ἐπίσαντο," ἵν' ὅσον χαρίσαιτο τῷ Ἀχιλλεῖ γεύσαιτο μόνον ἀ μὴ εἰς κόρον ἐλθεῖν ἀ πίνειν λέγων. ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας ἐδὲν μετέθηκεν, ἐν πολλαῖς ἤδη εὑρὼν φερομένην τὴν γραφήν. A.

πῶς παρὰ Ἀγαμέμνονι δεδειπνηκότες νῦν πάλιν ἐθίουσιν; ἢ ἦν τὸ Πατρόκλῳ ἀ Ἀχιλλεῖ συμβεβηκὸς συλληπτικῶς περὶ πάντων εἶπεν· ἢ πάλιν ἐθίουσιν εἰς ἔνδειξιν τῆ ἤδεσθαι τῇ παρ' αὐτῷ ἐσιάσει. BL.

κυκλικώτερον δὲ κατακέχρηται τῷ εἶχω, δεδειπνηκότων αὐτῶν πρὸ ὀλίγου ἀ γῆ ἦρων δαιτός. A.

223. νεῦσ' Αἴας Φοίνικι: διενεύσατο, φησίν, ὁ Αἴας τῷ Φοίνικι, εἰ καιρός ἐστι τῶν πρὸς Ἀχιλλέα λόγων· ἐνόησε δὲ Ὀδυσσεύς. ζητεῖ δὲ διὰ τί προαρπάζει τὸν λόγον ὁ Ὀδυσσεύς. ῥητέον δὲ ὅτι ἀ μάλα εἰκότως. ἐδὲ γὰρ μία ἦν ἐλπὶς προαποτυχόντων τῶν οἰκείων αὐτῷ· ἐβάλετο δὲ προεκκενώσας τὴν ὀργὴν ἀναγκάσαι τι τοῖς οἰκείοις προσδοθῆναι χάριτος. (ἀν. τοῖς οἰκ. πεισθῆναι τὸν Ἀχιλλέα D). AD.

ἀχ ἵνα εἴπῃ, ἀλλ' εἰ καιρός ἐστιν· Ὀδυσσεὺς γὰρ προσκεπτόμενος τί δεῖ λέγειν, τὸν καιρὸν οὐχ ὁρᾷ. συνεὶς δὲ ταῦτα Ὀδυσσεὺς αὐτὸς λέγειν ἄρχεται, ἀχ ὑπὸ βασκανίας τῷ Φοίνικος τὸν λόγον προαρπάζων, ἀλλὰ τὸ δυχερὲς ἐφ' ἑαυτὸν φέρων· οὐδὲ γὰρ δυνησόμενος ἀντιτάξασθαι Ἀχιλλεῖ. ἴσως δὲ ἐδὲ ἐπιτήδειον εἶναι τὸν Φοίνικα ἐλογίζετο ἄρχειν τῷ λόγῳ, ὅπως μὴ ὡς οἰκείῳ ἀπιστήσας Ἀχιλλεὺς ἀναστείλῃ ἀ τὸν αὐτῶν λόγον. Αἴας δὲ ἀ λέγει· βραδὺς γάρ ἐστι ἀ μεμψίμοιρος. BLV.

224. πλησάμενος δ' οἴνοιο δέπας: ἡ διπλῆ πρὸς τὸ ἔθος, ὅτι πλήρη ἀ ἀ κενὰ πρὸπινον ὀρέγοντες τὰ ποτήρια. δεῖ δὲ νοῆσαι ὅτι κατὰ τὸ σιωπώμενον ἐδέξατο ὁ Ἀχιλλεύς. ἰδίως δὲ ἀχ ὑπέθηκε „καί μιν φωνήσας." A.

225. δαιτὸς μέν: πρὸς τὸ διαχέει τὸ σκυθρωπὸν αὐτῷ, ὃν ἦν σκεψάμενος λόγον ἀφῆκε, ἀ ἀπὸ τοῦ καιροῦ ἔλαβε τὸ προοίμιον, ὡς τὸ „ὦ γέρον ἀχ ἑκὰς ἔτος ἀνήρ, ὃς λαὸν ἄγειρα" (Od. 2, 40)· „μητρί τ' ἐμῇ μνησῆρες" (Od. 1, 368?). BLV.

τὸ ἑξῆς ἐστὶ „δαιτὸς μὲν ἔτσης ἀκ ἐπιδεύεις· ἀλλ' οὐ δαιτὸς ἐπηρώτα ἔργα μέμηλεν, ἀλλὰ λίην μέγα πῆμα." ἐκεῖνα γὰρ μεταξὺ τέθειται „ἦμεν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο ἠδὲ ἀ ἐνθάδε νῦν." ἔτως Ἡρωδιανός. A.

ἡ διπλῆ, ὅτι προστιθέασι τὸ σ̄, οὐκ ἐπιδεύεις, κακῶς. ἔστοι δὲ ἀ τὸ ἑξῆς περισπῶσιν „ἦμεν ἐνὶ κλισίῃ," ἦμεν ἐτυγχάνομεν. Ἀρίσαρχος δὲ χωρὶς τῷ σ̄. A.

ἀκ ἐπιδεύεις δαιτός, ὡς τὸ „ἀποιχομένῳ Ὀδυσῆος δεύῃ" (Od. 1, 253)· τὸ γὰρ ἕτερον ὑβριστικόν. L. ἔνιοι δὲ προστιθεῖσι δαιτός· οὗτοι δὲ ἀ τὸ ἦμεν ῥῆμά φασι. V.

226. Ἀγαμέμνονος Ἀτρείδαο: διὰ τί τὸν ἐχθρὸν ὕστις ὠνόμασε προπετῶς, ἀ προθεραπεύσας; ῥητέον ἐν ὅτι εἴτε ἐνδεικνύμενος Ἀχιλλεῖ ὅτι ὁ πρότερον ὑβρίσας ἱκέτης καθέζηκεν· ἢ πάνυ ῥητορικῶς ὁ ἀνὴρ εἰς φιλίαν ἄγει τὰς ἀμφοτέρους, ἀ τῇ τραπέζῃ δυσωπῶν, ἀ μόνον ἀχὶ τοῦτο λέγων, ὡς ὁμόσιτος αὐτῷ δι' ἡμῶν γεγένησαι· ἀ γὰρ ἐκείνου καὶ σοῦ μετεχήκαμεν τραπέζης. ABD.

λελησμένος ἐσήμανεν ὡς ἐξ αὐτοῦ ἐπέμφθησαν, ἀ διαρρήδην, ὅπως μὴ τραχὺς γένῃ Ἀχιλλεύς. καλῶς δὲ τὰ περὶ τὴν ἑστίασιν ὅμοια τῇ παρ' ἐκείνῳ λέγει, ἐν ᾗ οὐδε-

μίαν ἑώρα φιλοτιμίαν· τὴν δὲ σωτηρίαν ἐν Ἀχιλλεῖ κεῖσθαι μόνῳ φησί. τοῦτο γὰρ λέγει, ἥκομεν αἰτοῦντες ὃ ἐξ ἄλλου λαβεῖν οὐ δυνάμεθα. ὅτι διὰ φιλίαν ἠνέχοντο τῆς παρ' αὐτῷ ξενίας. BL.

228. εἰς δύο στάσεις διεῖλε τὸν λόγον, τὴν παρορμητικήν, τραγῳδήσας τὰς συμφοράς, εἰς τὸ καλὸν καὶ ἀναγκαῖον καὶ συμφέρον ποιήσας τὴν παρόρμησιν· καὶ εἰς τὴν ἀλλοιωτικήν, ἧς μέρος τὸ ὑπαλλακτικόν· ἀντὶ γὰρ Ἀγαμέμνονος τὴν στρατιὰν ἔλαβεν. ALV.

230. ἐν δοιῇ: ἐν δισταγμῷ, ἐν διχοστασίᾳ. περισπαστέον δέ· δοτικὴ γὰρ ἀκόλουθος εὐθείᾳ τῇ δοιός, οὗ τὸ θηλυκὸν δοιή. A.

παρὰ τὸ δέω τὸ διαχωρίζω, δοή καὶ δοιή· ἐξ οὗ καὶ τὸ „δοάσατο θυμῷ" ἀντὶ τοῦ τῶν δύο τὸ ἓν ἐξελέξατο. BL.

τὸ πρῶτον κεφάλαιον τὸν κίνδυνον τῶν νεῶν περιέχει, ὃ καὶ τῷ Ἀχιλλεῖ ἐλογίζετο πᾶν δέος. ὅθεν καὶ πολλάκις ἐπὶ τοῦτο καταφέρεται· „ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο" (232)· „ἀλλ' ἐν νηυσὶ πεσέεσθαι" (235)· „στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα" (241). τεχνικῶς δὲ ἐξαίρει, δεικνὺς ὡς ἐπὶ τηλικούτοις τὴν χάριν τίσουσιν Ἕλληνες. BLV.

231. δύσεαι ἀλκήν: ὡς νῦν ἐκδεδυμένου αὐτὴν δυσωπεῖ· „θόρε φρεσὶν εἱμένος ἀλκήν" (Il. 20, 381). λέγει δὲ τὴν εἰς τὸν πόλεμον ὁρμήν. τὴν δὲ πάντων σωτηρίαν εἰς αὐτὸν ἀνάγει, ἵνα πεισθῆναι ὡς φιλότιμος ἕλοιτο. BL.

232. ἐγγὺς γὰρ νηῶν: ἔνθεν ἡ διήγησις. τῷ δὲ τόπῳ τὴν κίνδυνον ηὔξησεν, ὃ καὶ περιέμενεν Ἀχιλλεύς. δι' ὧν δὲ οἱ ἱκέται μείζονα τὴν χρείαν ποιοῦνται, τὴν προθυμίαν αὔξουσι τῶν ἐπικούρων. BL.

αὖλιν ἔθεντο: αὐλισμὸν ἐποίησαν, ἐστρατοπεδεύσαντο. A. ὡς ἐπὶ ἀγρίων· ἴσως ὑποφαίνων ὅτι ὁ ποιμὴν Πάρις ἀριστεύει. V.

233. ἐπίκουροι: ὀνειδίζει ὅτι καὶ ἀδικοῦσιν αὐτοῖς παραμένουσιν οἱ σύμμαχοι· ὁ δὲ Ἀχιλλεὺς τῆς Ἑλλήνων συμμαχίας ἀπέστη καὶ διὰ λόγον μόνον. BLV.

235. ὅτι ἐπὶ τῶν Τρώων ἐστίν· ἐμπεσοῦνται ταῖς ναυσίν, ἐνσείσουσιν. ἀλλ' ἐμπεσεῖσθε ταῖς ναυσὶ διώκοντες ἡμᾶς. V.

236. Ζεὺς δέ: θεραπεύων τὸν Ἀχιλλέα φησὶν ὅτι μηνίσαντος αὐτοῦ καὶ τὸ θεῖον τοῖς ὑβρίσασιν αὐτὸν Ἕλλησι συνωργίσθη. BLV.

τὸ δὲ σφί δίχου τοῦ ν̄. V.

Ἀρίσταρχος ὑφ' ἓν μέρος λόγου τὸ ἐνδέξια, ἐπὶ τὴν δε̄ συλλαβὴν τὴν ὀξεῖαν ποιῶν· ὁ δὲ Ἀσκαλωνίτης κατὰ παρολκὴν παραλαμβάνει τὴν ἐν πρόθεσιν, ὥστε εἶναι δεξιὰ σήματα φαίνων. ἄμεινον δὲ τὸ πρότερον. A.

237. βλεμεαίνων: διὰ τοῦ βλέμματος αὐτοῦ προθυμίαν ἐπιδεικνύμενος. D. βρέμω βρεμαίνω βλεμαίνω, ὡς κρίβανος κλίβανος. LV.

237. 238. Ἕκτωρ: ὀνομάζων αὐτὸν κινεῖ τὸν Ἀχιλλέα. τὸ δὲ μαίνεται καὶ λύσσα δηλοῖ εὐχερῶς κρατηθήσεσθαι τὸν ἀπροαιρέτως κινδυνεύοντα. BL.

238. πίσυνος Διί: αὐτὸς γάρ φησι „γιγνώσκω δ' ὅτι μοι Κρονίδης Ζεὺς κῦδος" (Il. 8, 175?). V.

239. βραχὺ διαστάλτεον ἐπὶ τὸ ἀνέρας. εὐτελίζει, φησίν, οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ θεούς. τῇ δὲ ὑπερβολῇ τὸ μέγεθος τῆς ὑπερηφανίας αὐτοῦ ἐδήλωσεν. A.

λύσσα: μανία. τὸ ἐναντίον· αὐτὸς γὰρ αὐτὴν ἐνδέδυται. εἴρηται δὲ λύσσα παρὰ τὸ λύειν τὸν νοῦν. πολλὴ δὲ ἡ τοῦ θράσους ἔμφασις. ἐρεθισμὸς δὲ ἱκανὸς ὁ τῶν ἐχθρῶν ἔπαινος. ABL.

240. ἠῶ: τὴν ἠῶ κατ' αἰτιατικὴν πτῶσιν περισπαστέον, καὶ τὴν αἰδῶ, οὐ μὴν καὶ τὸ Λητώ καὶ τὰ τοιαῦτα πάντα· ἀλλὰ τὰ μὲν εἰς ω̄ λήγοντα θηλυκὰ ἐπ' εὐθείας καὶ αἰτιατικῆς ὁμοτονήσει ὀξυνόμενα, τὸ δὲ ἠώς καὶ αἰδώς μόνα ἕξει ἐπ' αἰτιατικῆς τὴν περισπωμένην τάσιν. A.

241. στεῦται: διορίζεται· στάσιν γὰρ ψυχῆς σημαίνει ἡ λέξις. ἡ δὲ ἐπαναφορὰ τῆς σημειώσεως πρὸς τὸ ἐν Ὀδυσσείᾳ (11, 548) „στεῦτο δὲ διψάων." A.

ἄκρα κόρυμβα: τὰ τῶν νεῶν ἀκροστόλια. διὰ τί δὲ πρῶτον ἀποκόπτει, εἶθ' οὕτως τὸ πῦρ ἐμβάλλει; ἐπειδὴ ἐπὶ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ εἰκόνες θεῶν· ἐκκλίνων οὖν τὴν θεοχολωσίαν τοῦτο ποιεῖ. ABD.

ἵνα γοῦν καὶ αὐχῇ ὡς τηλικοῦτον ῥυσάμενος, καὶ τὸν πολέμιον μεγάλης ἐλπίδος ἀποκόψῃ. καὶ ἄλλως δὲ τὰ ἄκρα ἀποκόπτει Ἕκτωρ διὰ τὸ ἔχειν θεοὺς ἐντετυπωμένους, ὅπως μὴ κατακαέντες ὑπὸ τοῦ πυρὸς ὀργισθῶσιν αὐτῷ. L.

οὐκ ἀγαπᾶν φησὶν αὐτὸν εἰ μόνον ἐμπρήσειε τὰς ναῦς, ἀλλὰ καὶ τὰ κόρυμβα ἀποκόψαι θέλειν, ὥσπερ τρόπαια τῆς κατὰ τῶν Ἑλλήνων νίκης ἀναθεῖναι σπεύδοντα. ταῦτα δὲ πάντα κινητικά. BL.

242. ἐμπρήσειν: ἡ διπλῆ, ὅτι Ἀρίσταρχος ἐμπλήσειν. σημειοῦνται δέ τινες, ἀντὶ τοῦ μαλερῷ πυρί. A.

243. ἀτυζομένους: ὀρινομένους δίκην σφηκῶν. V.

244. 245. διαστάλτεον βραχὺ φρένα καὶ θεοί. A.

246. φθῖσθαι: ἐν ἄλλοις φθεῖσθαι. A.

Ἄργεος ἱπποβότοιό: σημειοῦνταί τινες ὅτι τὴν ὅλην Πελοπόννησον οὐκ οἶδεν ὁ ποιητής, Ἡσίοδος δέ. A.

247. ἄνα: ἀνάστηθι. ἀποκοπὴ ὁ τρόπος. D.

καλῶς τὸ ὀψέ· εἰ γὰρ καὶ δύο γεγόνασι τῆς μάχης ἡμέραι, ἀλλ' οὖν γε τοῖς κεκακωμένοις ὁ τῆς δυστυχίας χρόνος κἂν ἐπ' ὀλίγον γένηται, πολὺς εἶναι δοκεῖ. καὶ ἡ τοῦ χρόνου δὲ αὔξησις ἐνδειξίς ἐστιν ὡς ἱκανῶς ἐποινήθησαν Ἕλληνες τάχα δὲ καὶ τοιοῦτός ἐστιν ὁ λόγος· εἰ μέλλεις ποτὲ ἀμύνειν, νῦν ἄμυνον. συνᾴδει δὲ καὶ τὸ ἑξῆς, ὅτι εἰ μὴ νῦν ἐπαμύνῃ, οὐχ εὑρήσεις οὐδαμοῦ τὴν τοῦ κακοῦ ἴασιν. BL.

υἷας Ἀχαιῶν: οὐκ Ἀγαμέμνονά φησί· τοῦτο γὰρ κατακρύπτει διὰ τὸ μὴ αἴφνης παροξῦναι αὐτόν. BL.

249. 250. οὐδέ τι μῆχος: οὐδεμία ἔσται μηχανὴ τοῦ κακοῦ πραχθέντος θεραπείαν εὑρεῖν. πρὸς τὸ παρὸν δὲ γνώμη· τινὰ γὰρ τῶν κακῶν ἰάσεως ἔτυχεν. ἐπὶ τὸ μῆχος βραχὺ διαστάλτεον· σαφέστερον γὰρ οὕτω παρίσταται. ABL.

τὸ „οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω" ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τέχνως αὐτῷ προβάλλεται· τοῦτο γὰρ περὶ Ἀγαμέμνονος ἔλεγε τοῖς κήρυξιν (Il. 1, 343). ἐφ' ἕτερον δὲ κεφάλαιον ἔρχεται, ὡς καὶ αὐτῷ συμφέρον καὶ ὠφέλιμον τὸ μὴ παριδεῖν τὸν νῦν καιρόν. BL.

250. ῥεχθέντος κακοῦ: ῥεχθέντος τοῦ κακοῦ τούτου· καὶ γὰρ νηῶν ἐμπρησθεισῶν οὐκ ἔστι μηχανὴν εὑρεῖν. καὶ „ἀμηχανίη δ' ἔχε θυμόν" (Od. 9, 295). A.

251. Δαναοῖσιν: οὐκ Ἀγαμέμνονι· τοῦτο γὰρ κατακρύπτει. V.

252. ὦ πέπον: ὁτὲ μὲν τὸν εὐδιάλυτον δηλοῖ καὶ ἀσθενῆ, ὁτὲ δὲ τὸν προσηνῆ, ἀπὸ τοῦ πεπείρου καὶ ἁπαλοῦ. A.

ἦ μὲν σοί γε πατὴρ: τοῦτο δεύτερον κεφάλαιον, εἰς ἐπιείκειαν καὶ πραότητα προκαλούμενον. τὸ δὲ στασιαστικὸν θέλων ὀνειδίζειν οὔτε τοῖς ῥήμασιν ἀνακεκαλυμμένως χρῆται οὔτε ἐξ ἰδίου προσώπου τὴν ἐπιτίμησιν ποιεῖ, ἀλλ' ἐν ἠθοποιίᾳ ἐξ ἀπόντων προσώπων ταύτην εἰσήγαγεν. ἔστιν οὖν ἀνεπαχθὴς ὡς οὐκ ἰδίας ὑποθήκας εἰσάγων, ἀλλ' ὑπομιμνήσκων τοῦ πατρός. καὶ ὁ Νέστωρ ὁμοίως πρὸς Πάτροκλον (Il. 11, 785). BLV.

253. Ἀγαμέμνονι: ὡσανεὶ δευτέρῳ πατρί. ἐντέχνως οὖν οὐκ εἶπε σὺν Ἀγαμέμνονι. B.

254. τέκνον ἐμόν: σημειοῦνταί τινες ὅτι παρεῖται τὸ τάδε λέγων. A.

συνετῶν τὸ τὰς φύσεις τῶν υἱῶν καταμαθόντας πρὸς ταύτας ἁρμόττεσθαι τοὺς λόγους, ὡς καὶ ὁ Πηλεὺς εἰδὼς Ἀχιλλέα ἀνδρεῖον μὲν ὀργίλον δὲ καὶ πλήρη φιλοτιμίας, παραινεῖ αὐτῷ ἀποθέσθαι τὸ τοῦ ἤθους φιλόνεικον, ὡς ἐκ τούτου μάλιστα τευξόμενον τιμῆς ἧς ὀρεγόμενον αὐτὸν ἑώρα. ἔστι δὲ πιστὸς ὡς πατὴρ καὶ ἐν πολέμοις πολλάκις εὐδοκιμήσας. BL.

255. αἴ κ' ἐθέλωσι: εὖ καὶ τὸ ἐθέλωσιν, ὡς οὐ δωσόντων, εἰ ἀνάξιος ὀφθείη τῆς δωρεᾶς. ABL.

256. ἴσχειν: ἐπέχειν, παύειν. τὸ ἐν τῷ στήθει φησὶ διὰ τὴν καρδίαν· αὕτη γὰρ ἐν τῷ στήθει κεῖται, οὖσα αἰτία τῆς ὀργῆς, ὡς καὶ ὁ τοῦ θυμοῦ ὅρος δηλοῖ· θυμὸς γάρ ἐστι, φησί, ζέσις τοῦ ἐν καρδίᾳ θερμοῦ πρὸς ὄρεξιν ἀντιλυπήσεως. A.

διδασκαλία καὶ ἡμῖν κρατεῖν ὀργῆς. V.

257. ἔριδος κακομηχάνου: πρὸς τὴν ἀγαθὴν διέστειλεν, ἐπείπερ οἱ ἐρίζοντες κακὰ τοῖς πλησίον μηχανῶνται. δείκνυσι δὲ ὅτι οὐ τοσοῦτον ὀνίνησιν ἰσχύς, ὅσον ἡ πρὸς τοὺς φίλους ἔρις βλάπτει. BLV.

258. ἠμὲν νέοι ἠδὲ γέροντες: εἰ μὴ ὑποθήκη πατρὸς ἦν τὸ λεγόμενον, κἂν ἠρέθισεν Ἀχιλλέα, ὑποσημαίνων ὡς ἀσχημονεῖ νῦν καὶ παρὰ νέοις καὶ παρὰ γέρουσιν. BLV.

259. λήθεαι: πρᾴως καθήψατο, οὐκ ἀμελεῖν αὐτὸν φήσας ἀλλ' ἐπιλελῆσθαι. ὄνομα οὖν ἐξελέξατο συγγνώμης ἄξιον. BLV.

ἀλλ' ἔτι καὶ νῦν: καλῶς τὸ νῦν, ἵνα καὶ τὸν ἱκέτην παραδηλώσῃ. ἅμα δὲ ὑποφαίνει ὡς οὗτος αὐτῷ νῦν ὑποτάττεται ᾧ ὁ πατὴρ αὐτὸν ὑπέταξεν. μετὰ δὲ τοὺς τοῦ πατρὸς λόγους, πεπάνας αὐτόν, προσφέρει τὰ δῶρα· αἰσχροκερδὲς γὰρ ἦν τὸ ἀπ' ἀρχῆς. τρίτον δὲ κεφάλαιον τὸ περὶ τῶν δώρων. BLV.

261. χόλοιο: ὅτι ἀντιφράζει τῇ μήνιδι τὸν χόλον. A.

262. εἰ δέ: ἄγε σύ. δυσχεραίνοντος δὲ αὐτοῦ πρὸς τὸ ὄνομα τῶν δωρεῶν δεῖται ἀκουσθῆναι. ἢ τάχα ἔμφασις τοῦ πλήθους τῶν δοθησομένων ἐστίν. BL.

οἱ ὑποστίζοντες ἐπὶ τὸ εἰ δέ, ὡς λείποντος τοῦ θέλεις, διηλέγχθησαν ἐν τοῖς ἐπάνω. καὶ νῦν δέ ἐστιν ὁ λόγος, ἄγε δὴ σὺ μέν μου ἄκουσον. ἡ διπλῆ δὲ πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ ἐγὼ δ' ἄν σοι καταλέξαιμι, καὶ περισσὸς ὁ κέ. τὸ εἴ παρακελευστικὸν ἐπίῤῥημά ἐστιν, ὃν τρόπον ἐπὶ τοῦ Διός „ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν" (Il. 24, 74). καὶ τὸ παρακελευστικὸν ἐπίῤῥημα ἀπὸ τούτου γεγονέναι τοῦ συνδέσμου, τοῦ α περιττεύοντος, τοῦ τόνου ἀλλαγέντος εἰς περισπώμενον ἀναγκαίως, καὶ τῆς δασείας Ἀττικῶς προσελθούσης. A.

265. τί βούλεται τὸ αἴθωνας δὲ λέβητας ἐείκοσιν; καὶ οἱ αὐτοὶ τοῖς ἀπύροις, ὅταν εἴπῃ ἄπυρον λέβητα (Il. 23, 885). φημὶ οὖν ὅτι τῶν τριπόδων καὶ τῶν λεβήτων οἱ μὲν ἦσαν εἰς ὑπηρεσίαν τοῦ πυρὸς ἐπιτήδειοι, οἱ δὲ ἀργοὶ καὶ εἰς θέαν καὶ τὴν διὰ τῆς ὄψεως τέρψιν εἰργασμένοι. διακρίνει δὲ τοῖς ἐπιθέτοις ἀπ' ἀλλήλων, τοὺς μὲν λέγων αἴθωνας καὶ ἐμπυριβήτας, τοὺς δ' ἀπύρους καὶ ἀνθεμόεντας, τοὺς ἕνεκα κόσμου μόνον εἰργασμένους. B.

270. οὕτως Ἀρίσταρχος μετὰ τοῦ σ ἀμύμονας. A.

271. ἡ διπλῆ, ὅτι τὰς ζ Λεσβίδας ὑπισχνεῖται, οὐχ ὡς ὁ Ζηνόδοτος (131) ἐν ταῖς ζ καὶ τὴν Βρισηΐδα τάττει· ἔστι γὰρ Λυρνησσία. A.

274. Ἀρίσταρχος κούρη (κούρης cod.) Βρισηΐς, ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται. A.

279. νηήσασθαι: ἀντὶ προστακτικοῦ. A.

292. οὕτως Ἱρήν ὀξυτόνως, ὡς ἐν τῇ καθόλου. A.

297. ἡ διπλῆ, ὅτι τῷ παθητικῷ ἀντὶ τοῦ ἐνεργητικοῦ ἐχρήσατο· οὕτως γὰρ Ἀρίσταρχος τιμήσωνται ὡς ἐλεύσωνται. A. ἐν ἄλλῳ τιμήσουσιν. A.

299. διὰ τοῦ ἑτέρου λ τὸ μεταλλήξαντι αἱ Ἀριστάρχου. A.

300. εἰ δέ τοι Ἀτρείδης: τέταρτον κεφάλαιον δεητικὸν ὑπὲρ τῶν Ἑλλήνων. ὑποφορᾷ δὲ χρῆται, προλαμβάνων αὐτοῦ τὴν ἀντίῤῥησιν, καὶ τῇ Ἀγαμέμνονος ἔχθρᾳ ἀντιτίθησι τὸν ἁπάντων ἔλεον, καὶ μόνον οὐχὶ πᾶσαν ἱκετεύουσαν παράγει Ἑλλάδα. ἐπὶ τὴν δευτέραν δὲ μεταβέβηκε στάσιν, καὶ πανταχόθεν πείθειν πειρᾶται, ὑποσχέσει, δεήσει, ὠφελίμῳ, ἐλέῳ. εἰς δύο δὲ μερίζει τὴν ἱκετείαν, εἰς Ἀγαμέμνονα καὶ Ἕλληνας. BL.

κηρόθι μᾶλλον: ἤτοι θανάτου πλέον, παρὰ τὴν κῆρα, τουτέστι θανατηφόρον μοῖραν, ἢ ἐν τῇ ψυχῇ μισεῖται. μᾶλλον παρὰ τὸ κῆρ, ὅ ἐστι ψυχή. A.

301. Παναχαιοὺς: αὔξων τὴν εὔκλειαν, δείκνυσιν ὡς πρὸς αὐτούς ἐστιν ἡ πρᾶξις. V.

302. τὸ κατὰ στρατὸν ἀμφοτέροις δύναται συνάπτεσθαι τοῖς μέρεσιν. εἰ μὲν οὖν τοῖς ἄνω συνάπτοιτο, ἔσται τὸ ἑξῆς, τειρομένους κατὰ στρατόν, οἷον καταπονουμένους ἤδη ἐν τῷ στρατοπέδῳ καὶ δεδιωγμένους μέχρι θαλάσσης· εἰ δὲ τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξῆς, ἔχει ὁ λόγος, οἵ τινες κατὰ πᾶν τὸ στράτευμα τιμήσουσιν ὡς θεόν, οἷον πάντες ὁμοίως. A.

303. σφι: ὡς „πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος" (Il. 4, 95), ἀντὶ τῶ παρὰ πάντων ἢ ἐκ πάντων. L.

τρία ποιεῖ, τῷ μὲν καλῷ τῆς ἐπικουρίας τὸ φιλότιμον συνάπτει. ἀντὶ δὲ τῆς κατὰ τοῦ ἀδικήσαντος ὀργῆς τὴν τῶν ἀτυχούντων ἱκετείαν οἰκτίζεσθαι. τὸ δὲ ἀνθέλκον τῶ θυμῶ ἐπιῤῥεπὲς ποιεῖ φθόνῳ τῶν περὶ τοὺς ἐχθροὺς εὐτυχημάτων. BLV.

304. νῦν: ὡς πρώην αὐτοῦ πτώσσοντος ἐν τῷ τείχει, ὥσε, φησί, μὴ ἀπολέσῃς τὸν καιρὸν ἐν ᾧ μεγάλα δυνήσῃ ἐπιδείξασθαι κατὰ τῶν πολεμίων. BL.

309. τὸν Ἀχιλλέα παραδίδωσι φιλότιμον, ἁπλῆν, φιλαλήθη, βαρύθυμον, εἴρωνα. καὶ ὅσα μὲν φθέγγεται συνετά, ταῦτα αὐτῷ ἡ παιδεία δέδωκεν, ὅσα δὲ αὐθάδη καὶ μεγαλόφρονα, ταῦτα ὑπὸ τῆς φύσεως λέγειν προάγεται. BL.

γυμνὸς ἐστιν ὑπὸ τῆς ὀργῆς, καὶ περιπλοκὰς ἐκ οἴδε λόγων. ἔδει γὰρ δικαιολογεῖσθαι, εἶθ' οὕτω τὴν ἀπόφασιν ἐπαγαγεῖν. ὁ δὲ τἐναντίον ποιεῖ· ἔστι γὰρ θυμὸς μεστὸς ἀκοσμήτε παῤῥησίας. τοσοῦτον δὲ ἀπέχει πειθοῦς, ὥτι καὶ τῶν ἄλλων προαναστέλλει τοὺς λόγους „ὡς μή μοι τρύζητε παρήμενοι." πάντες δὲ οἱ παρὰ θυμὸν ἀπειλοῦντες πίσιν ἐπάγουσι τοῖς ἰδίοις λόγοις, οἱ μὲν λόγῳ, οἱ δὲ δι' ἀποδείξεων, οἱ δὲ διὰ γνωμῶν, ὧν νῦν ποιεῖ. ἀπηλεγέως δὲ ἀπαγορευτικῶς, διαῤῥήδην. ἢ συντόμως, ἀπὸ τῶ λῆξαι, ὃ ἐστι παῦσαι· φιλοσύντομος γὰρ ὁ θυμός. ἢ ἀσυμπαθῶς καὶ ἀπηλγηκότως· οἱ γὰρ λυπεῖν ἐθέλοντες τὰς χρησὰς ἐκκόπτουσιν ἐλπίδας. BL.

ἀπηλεγέως: ἀποτόμως, σκληρῶς, ἢ ἀπαγορευτικῶς, κεκριμένως. ὅρα δὲ ὡς πρὸς μὲν Ὀδυσσέα ἀπέναι φησίν, πρὸς Φοίνικα (619) μένειν, μὴ μέντοι πολεμήσειν, πρὸς Αἴαντα (650), ὅτε ἀνάγκη καλεῖ, πολεμήσειν. A. τοῦτο δὲ θυμώδους ἀνδρὸς καὶ πρὸς τὸ μὴ καταφρονηθῆναι ἀγωνιζομένου. LV.

ἄλλως. τὸ ἀπηλεγέως σημαίνει τὸ ἀφροντίστως· γίνεται γὰρ ἐκ τῶ ἀπό καὶ τῶ ἀλέγω τὸ φροντίζω. B.

τὸν μῦθον: τὸν ἀντικείμενον τοῖς ῥηθεῖσιν. V.

τὸ δὲ προοίμιον τῷ Ἀχιλλεῖ ἐξ ὑπολήψεως ἐκβάλλοντι τὴν περὶ φιλίας τῶν πρέσβεων ὑπόληψιν. L.

310. κρανέω: Ἀρίσαρχος φρονέω. A. ὁ δὲ ἢ ἀντὶ τῶ ὡς. V.

γράφεται καὶ κρανέω, ἵν' ᾖ ἀντὶ τῶ τελειώσω. L.

311. τρύζητε: πολυλογοῦντας αὐτὸς καὶ πολυφώνους καλεῖ· ἐξ ὧν καὶ τρυγών, ἣν ἡ παροιμία ἐπὶ σκώμματος τῶν πολυλογούντων παραλαμβάνει, λαλιστέρας τρυγόνος τούτους καλῶσα, ἃς καὶ ἡ ἱστορία δηλοῖ, ὅτι συνεργάζεται τῷ ὀρνιθίῳ καὶ τὰ ὀπίσθια πρὸς τὸ πολύφωνον. L.

αὐθαδῶς ἐπισκώπτει τὴν ἐπιτέχνησιν τῶν λόγων Ὀδυσσέως, καὶ Φοίνικα προανακόπτει, ὃν ὑποπτεύει παρακεκλῆσθαι ὑπὸ Ἀγαμέμνονος. τινὲς δὲ διὰ τὸ „καί μ' ἠτιάασθε ἔκαστος" (Il. 16, 202). τρύζητε δὲ ἤτοι τρύχητε τὴν ἀκοὴν καὶ βαρύνητε (τονθορύζητε V). BLV.

παρήμενος: γράφεται παρήμενοι. A.

312. ὁμῶς Ἄϊδαο πύλῃσιν: ὅτι πλέον πάντων Ἀχιλλεὺς μισεῖ τὸν θάνατον διὰ τὸ ἄπρακτον. τάχα δὲ καὶ ἄλλως χρήσιμόν ἐστι τὸ διαβάλλειν τὸν θάνατον, ἐπεὶ πῶς ἂν τις τὲς γονεῖς σέβοι τὲς τὸ ζῆν αὐτῷ παραχωμένους, εἰ μὴ τὸ ζῆν ἀγαθόν ἐστι καὶ κακὸν ἐκ τῶν ἐναντίων ὁ θάνατος; ABL.

διὰ τὸ κρυφίως καὶ τὸ τῶ νοὸς σκοτεινὸν Ἅιδῃ παρικάζει τὸν ἐπὶ κακῷ κρυπτόν. L.

313. ἄλλο δὲ εἴπῃ: πρὸς τὴν ἀλλοιωτικὴν φύσιν Ὀδυσσέως. τὸ δὲ ἄλλο ἐπὶ τῶν ἑτερογενῶν· ὄρνεον ἄλλο, φάρμακον ἄλλο. καλῶς ἂν ἔχει νῦν. ἀντὶ τῶ ἕτερον τὸ ἄλλο δέ εἰπε. L.

ἡ διπλῆ, ὅτι δοκεῖ συγκεχύσθαι τὸ ἕτερον· ἔδει γὰρ ἕτερον δὲ εἴπῃ, ἑτέρῳ πρὸς ἕτερον ἀντιδιαστελλομένῳ· τὸ γὰρ ἄλλο ἐπὶ πλειόνων τίθεται. A.

314. ὥς μοι δοκεῖ εἶναι ἄριστα: ἐν ἄλλῳ ὡς καὶ τετελεσμένον ἔστι. A.

315. οὔτ' ἐμέ γ': τὸ καλὸν καὶ ἐλεεινὸν τῶν λόγων Ὀδυσσέως ἐξέκοψε, καὶ τὸ μὲν κεφάλαιον τῆς ἀντιῤῥήσεώς ἐστι τὸ μὴ πειωθήσεσθαι τοῖς λεγομένοις· ἀλλ' ἐπεὶ τὸ ἀτιμασθὲν ἀπλήρωτον πρὸς ἀγανάκτησιν, εἰς μῆκος ἐξέλκεται λόγων. BL.

ἐνταῦθα αἱ πυκναὶ αἰτιατικαὶ μικρᾶ ἀμφιβολίαν ἐποίησαν. L.

316. οὔτ' ἄλλους Δαναούς: πρὸς τὸ „εἰ δέ τοι Ἀτρεΐδης μὲν ἀπήχθετο, σὺ δ' ἄλλους περ Ἀχαιούς" (300). ἀνέτρεψεν ἂν καὶ ταύτην τὴν φάσιν. τάχα δὲ καὶ βουλόμενος εἰπεῖν ὅτι οὐδὲ ὑμεῖς πείσετε οἱ πρέσβεις, εὐπρεπῶς τῷ κοινῷ τῶν Ἑλλήνων ὀνόματι συμπεριέλαβε καὶ αὐτός. καὶ λῶς δὲ οὐκ εἶπεν ἐκ ἐλεῶ αὐτές, ἀλλ' ἃ πείσασί με. BL.

ἐπεὶ ἐκ ἄρα τις χάρις ἦεν: πρὸς τὸ „οἵ σε θεὸν ὣς τίσουσιν" (302). χάρις ἐν ἡδονῇ. L.

317. μετ' ἀνδράσιν: Ἀρίσαρχος ἐπ' ἀνδράσι. A.

318. ἴση μοῖρα: τοῦτο γὰρ μάλιστα τὲς χρησὲς λυπεῖ, ὅταν μὴ κατ' ἀξίαν τιμῶνται. BL.

μένοντι: παρ' ὑμῖν δηλονότι. ἔφυγε δὲ τὸ ὁμοειδὲς οὐ γὰρ εἶπε πολεμίζοντι. V.

319. ἐν δὲ ἴῃ τιμῇ: ἐν δὲ τῇ αὐτῇ τιμῇ καὶ ὁ δειλὸς καὶ ὁ ἀνδρεῖος. A.

τὸ αὐτὸ νόημα διαφόρως μεταχειρίζεται, τρισσάκις ἀναῤῥίψων αὐτὸ καὶ μεταποιῶν ἐν σχήματι ἐνδιαθέτῳ γοργότητος. L.

320. κάτθαν' ὁμῶς: δρον ἐκ ἔχει κατηγορίας θυμός. τοῦτο δὲ πρὸς τὸ „τύμβον δ' ἀμφὶ πυρήν" (Il. 7, 336) ἐστὶ πρὸς τὰς πράξεις ὁ τάφος. BL.

321. περίκειται: περιασὸν τῶν ἄλλων ἀπόκειται. L.

ἐν ἄλλῳ περικεῖται προπεριεσπουδένως. ὁ Ἀσκαλωνίτης δύο ποιεῖ, περί, εἶτα κεῖται, καὶ προπερισπᾷ· σημαίνει δέ φησι, τὸ περισσῶς κεῖται. εἰσὶ δὲ οἳ ὑφ' ἓν ἀναγινώσκουσι περίκειται ὡς ἀντικείσθαι, οἷς συγκατατίθεμαι· τί γὰρ ἐκ τὸ κωλῦον καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖν; A.

ἐπεὶ πάθον: διὰ μὲν τοῦ „πάθον ἄλγεα" τὸ ἐπίπο-
ον ἑαυτοῦ παρίστησι, διὰ δὲ τῆς μάστακος τὸ κηδεμονικόν,
ιὰ δὲ τοῦ ἀγρυπνεῖν καὶ νύκτας οὐκ ὀλίγας τὴν πρόνοιαν
ἐπιμέλειαν, διὰ δὲ τοῦ τὰ ποριζόμενα ἐκ τῆς μάχης ἐπὶ
ὸν βασιλέα πάντα ἀναφέρειν τὸ ἐλεύθερον τῆς ψυχῆς,
ιὰ δὲ τῶν πόλεων ὧν ἐχειρώσατο τὸ ἑαυτοῦ ἀνδρεῖον. BL.

322. πολεμίζειν: οὕτως Ἀρίστάρχος πολεμίζειν
ατὰ τὸ ἀπαρέμφατον. παραβαλλόμενος δὲ παρατι-
θέμενος, ἐξ οὗ καὶ τὸ ἰδιωτικὸν παράβλημα. AL.

323. ὡς δ' ὄρνις: εἰς τὸ ἐπιδεικτικὸν ἐρχόμενος διὰ
ῆς κηδεμονίας αὔξει τὴν ῥώμην, τοσοῦτον πρόχειν φάσκων
ἀλλήνων ὅσον μήτηρ νεοσσῶν. εὖ δὲ τὸ μηδὲν τῶν τε-
ραπόδων λαβεῖν εἰς τὴν τέκνου φιλοστοργίαν· ταῦτα γὰρ
ρέφοντα τῷ γάλακτι οὐδὲν ἧττον ὠφελεῖται τῶν τρεφομέ-
ων· εἰ γὰρ μὴ ἀμελχθείη, ἀνιᾶται· „ὕθατα γάρ" φησι
σφαραγεῦντο" (Od. 9, 440). ἡ δὲ ὄρνις τὴν ἑαυτῆς τρο-
ὴν εἰς τοὺς νεοττοὺς ἀναλίσκει· ὅθεν καὶ πιθανῶς ἐπήνεγκε
ὸ „κακῶς δ' ἄρα (δέ τέ V) οἱ πέλει αὐτῇ." εὖ δὲ καὶ τὸ
πτῆσιν· οἱ γὰρ πετόμενοι, κἂν ὀλίγον, προσπορίζονται. BLV.
ιὶ διὰ τὸ περιιέναι καὶ ληϊζόμενον πάντα φέρειν. LV.

προφέρησι: ὡς τὸ „οἱ δὲ προπεσόντες ἔρεσσον"
Od. 12, 194). V.

324. μάστακ': νῦν ἡ μεμασημένη τροφή. L.

Νίκανδρος τὴν ἀκρίδα. ὁμωνύμως τῷ στόματι, ὡς καὶ
ῖλος. V.

ὅτι οἱ γλωσσογράφοι μάστακα τὴν ἀκρίδα, δέον μάσημα
βρῶμα. ἐνίοτε δὲ καὶ αὐτὸ τὸ στόμα ὁμωνύμως, καθά-
ρ τὸ χοίνικα τὸ μέτρον καὶ τὸ μετρούμενον· „ἀλλ' Ὀδυ-
ὺς ἐπὶ μάστακα χερσὶ πίεζεν" (Od. 4, 287). A.

διὰ τοῦ ἄρα γράφουσιν αἱ Ἀριστάρχου, κακῶς δ' ἄρα
αἱ δὲ εἰκαιότεραι κακῶς δέ τέ οἱ. A.

ἵνα ἡ εὐεργεσία μὴ ἐξ ἀκινδύνου περιουσίας προσεῖναι
κῇ. L.

325. ἴαυον: παρὰ τὸ αὔω τὸ κοιμῶμαι. ἢ παρὰ τὴν
ν τὴν μίαν· ἐμονομάχουν. ἢ διετέλουν. A.

326. αἱματόεντα: τὰ ἐν φιλαιμάτῳ πολέμῳ. L. διὰ
ύνων ἦν ὁ βίος, οὐ δι' ἐμὴν δὲ ἡδονήν· „οὐ γὰρ ἐγὼ Τρώων
εκ' ἤλυθον" (Il. 1, 152), ἀλλὰ διὰ τὸ γύναιον Μενελάου·
το γὰρ δηλοῖ τὸ ὀάρων ἕνεκα σφετεράων. ἢ τολμηρῶς,
ησί, πολεμῶν πρὸς ἄνδρας ὑπὲρ παίδων καὶ γυναίων ῥι-
κινδύνως ἀγωνιζομένους. BL.

327. ὀάρων: γράφεται καὶ ὀρέων. ἓν δὲ ἐξ ἀμφοτέρων
σημαινόμενον, τῶν γυναικῶν. ὀάρων μὲν ἀπὸ τοῦ ὀαρί-
ν, ὠρέων δέ, ὡς ἄν τις εἴποι συναόρων, ἀπὸ τοῦ συνω-
ν, καθὸ καὶ συνωρίδας τὰς συζυγίας τῶν ἵππων φα-
ι. ALV.

γράφεται καὶ ὠρέων. ὀάρων μὲν σὺν ἄορσι, ὅ ἐστι τῶν
αικῶν τῶν αἰχμαλωτίδων, παρὰ τὸ ἄορ, ὅ ἐστι ξίφος,
διὰ πολέμου καὶ αἰχμῆς καὶ φασγάνου ἐληΐζοντο. V.

ἡ διπλῆ, ὅτι ἄοροι αἱ τῶν ἀνδρῶν καὶ γυναικῶν ὁμιλίαι.
δὲ λέγει τῶν γυναικῶν. A.

328. δώδεκα δὴ: ἐντέχνως τὰς πράξεις ἐπάγει, πίστιν
τοῖς προειρημένοις φέρων. εὖ δὲ καὶ τὸ μὴ κατ' ἄνδρα τὰ
πραχθέντα φράζειν, ἀλλὰ κατὰ πόλεις, καὶ ταῦτα ἀθρόας.
ἅμα δὲ καὶ συμπληροῖ τὴν ὑπόθεσιν. Σηστὸν δὲ καὶ Ἄβυδον
οὐ πορθεῖ ὡς ἠσφαλισμένας· λαφύρων γὰρ ἔδει, οὐ κατορθω-
μάτων. BLV.

329. φημί: ὡς ἐν ἀμφισβητησίμῳ διορίζεται. V.

332. ὄπισθε μένων: ἐμοῦ, φησίν, ἐκδημοῦντος. τὴν
δειλίαν δὲ Ἀγαμέμνονος τὸ ὄπισθεν ἐμφαίνει. ἀμφοτέρω-
θεν δὲ ηὔξηται ἡ ἀχαριστία αὐτοῦ, ὅτι τοιαῦτα καὶ τοσαῦτα
λαβών, καὶ βραχὺ δοὺς γέρας τῷ κομίσαντι, καὶ τοῦτο ὕστερον
ἀφῄρηται. BL.

334. ἄλλα δ' ἀριστήεσσι δίδου γέρα: τεχνικῶς
ἐνδείκνυται ὅτι καὶ τὰ νῦν αὐτῷ διδόμενα δῶρα μέρος εἰσὶν
ὧν Ἀγαμέμνων ἐσφετερίζετο παρ' αὐτοῦ λαμβάνων ἀδί-
κως. BL.

καλὰ τὰ μετὰ τὴν καταρίθμησιν τῶν κατορθωμάτων. LV.

336. ηὔξησε τὴν ὕβριν, ἄλοχον αὐτὴν εἰπὼν καὶ θυ-
μαρέα. ἐπιφθόνως δέ φησι, τοῖς μὲν ἄλλοις ἐφύλαξε τὰ
γέρα, ἐμοὶ δὲ οὔ. εὐπρεπῶς δὲ οὐκ εἶπεν ὑμῖν. ἄτοπον δὲ εἰ
πολλὰ μὲν ἔχων μικρὰ δὲ παρέχων οὐδὲ ἐπ' ἴσης τῶν ἄλ-
λων ἐᾷ αὐτῷ τὰ κοινῇ δοθέντα. γράφεται δὲ καὶ εἵλετ'
ἔχειν ἀντὶ τοῦ ἠθέλησεν, ὅπερ ὁ Ἡρωδιανὸς ἀποδέχεται
ὡς ἄμεινον. BLV.

θυμαρέα: τῇ ψυχῇ ἀρέσκουσα, θυμήρης. σύνθετον δέ
ἐστι παρὰ τὸ ἄρω, θυμάρης. καὶ οὕτως ἀνέγνωμεν „Εὔμαιος
δ' ἄρα οἱ σκῆπτρον θυμαρές" (Od. 17, 199) διὰ τοῦ ᾱ. οὐ
γάρ ἐστι παρώνυμον διὰ τοῦ ηρης· τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης
παρώνυμα βαρύνεται, ξιφήρης, ὀλιγήρης τοξήρης ὀνώδης
καὶ βοώδης. A.

παριαύων: οὐ συνιαύων, διὰ τὸ βίαιον. φησὶ γοῦν τὸ
„δμωῇσι δὲ γυναιξὶ παρευνάζεσθαι ἀνάγκῃ" (Od. 22, 37). BL.

337. ἀνήγαγεν: ἡ διπλῆ, ὅτι οὕτως εἴωθε λέγειν ἀνα-
γωγὴν καὶ ἀνάπλουν τὸν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν
πλοῦν, διὰ τὸ τὰ πρὸς ἄρκτους ὑψηλότερα εἶναι. A.

339. ἢ οὐχ Ἑλένης ἕνεκ': πρακτικὸς ὁ λόγος, δεικνὺς
τὸν Ἀγαμέμνονα ἢ ἀσύνετον ἢ ἄδικον. εἰ μὲν γὰρ μικρὸν
ἡγεῖται τὸ ἀδικηθῆναι περὶ γυναῖκα, πολεμεῖν οὐκ ἔδει περὶ
Ἑλένης· ἀσύνετος οὖν ἐστὶ περὶ μικρᾶς αἰτίας πολεμῶν. εἰ
δὲ χαλεπὸν καὶ μέγα, πῶς ἅπερ παθὼν ὑπ' ἀλλοφύλων ἀγα-
νακτεῖ, ταῦτα εἰς τοὺς φίλους ποιῶν οὐκ ἀδικεῖν νομίζει; καὶ
πρῶτον μὲν ἀπαριθμεῖται τὸ ἀχάριστον, εἶτα τὴν ὕβριν. ABL.

αὐξητικῶς τῇ Διὸς εἴκασε τὴν Βρισηΐδα. V.

340. ἢ μοῦνοι: ἵνα μή τις καθάψηται αὐτοῦ ὡς διὰ
γυναῖκα σκληρογνώμονα γενέσθαι καὶ ἀκαμπῆ, προλαμβάνει
αὐτὸς λέγων τί δὲ οἱ Ἕλληνες πολεμοῦσι τοῖς Τρωσίν; οὐ
χάριν τῆς Ἑλένης; L.

τὸ τοιοῦτον ἐπιμονὴ λέγεται, ὅταν τις αἰτίαν ἔχων ἐπί
τινι μὴ φεύγῃ τὸ ἔγκλημα. καὶ Ἀχιλλεὺς οὖν, ἐπεὶ τὴν δια-
βολὴν εἶχεν ὡς γυναικὸς χάριν ὀργισθείς, οὐ φεύγων τὴν
ὁμολογίαν, εἰς τὸ ὅτι δικαίως ἐχαλέπηνεν ἔρχεται, καὶ πρῶ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τον μὲν διέρρεψε, δυσαπόκριτα προβαλλόμενος „ἦ μᾶνοι φιλέσσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεΐδαι"; εἶτα πανδήμῳ ψήφῳ τὴν γνώμην ἐπεσφραγίσατο „ἐπεὶ ὅστις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων." τεχνικῶς δὲ τὸ ἄνομον ἴσται διὰ τῶ παρὰ τοῖς σπεδαίοις ἰσότιμον εἶναι τὸν γάμον. BLV.

341. δυσκόλα τῆς ἐρωτήσεως ὄσης αὐτὸς ἐπιφέρει. D.

342. αὐτοῦ: Πτολεμαῖος δασύνει, νομίζων τὸ πλῆρες εἶναι ἑαυτῶ, ἀγνοῶν ὅτι Ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμία. V.

ὁ Ἀσκαλωνίτης δασύνει, σύνθετον ἐκδεχόμενος τὴν ἀντωνυμίαν· διὸ καὶ τὰς τοιαύτας κατὰ διάλυσιν ἀναγινώσκομεν „καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ" (Il. 1, 271) καὶ „πυκάσασα ἑ αὐτήν" (Il. 17, 551). τί ἂν ἐξὶν ἐνθάδε λέγειν; ἢ ὅτι λείπει ἡ ἕο, ὡς τὸ „ἕο τ' αὐτῶ πάντα κολέει" (Od. 8, 211). ἕτως καὶ ἐνθάδε „τὴν ἕο αὐτῶ φιλέει." A.

343. δουρικτήτην: δαϊκτήτη ὡς ἀριγνώτη, ἵνα τῶ δαϊκτητος παρώνυμον ᾖ· ἕτως γὰρ φιλεῖ σχηματίζειν ὁ ποιητής, ἀμφιρύτη περιξέξη. A.

344. νῦν δ' ἐπεὶ: πολλὰ ὑπισχνούμενος καὶ τὸ βραχὺ ἀφῄρηται. ὥσπερ δὲ σπινθὴρ κεκρυμμένος, ὕστερον δὲ τὸ πᾶν τῆς ὕλης καταναλώσας ἔκδηλος γίνεται, ἕτως ὁ ἥρως τὰς ἐπιπλάστους λόγους ἀποσεισάμενος πεφανέρωται. ἴσως δὲ ὑποχώμενος αὐτὸν ἐντίμως ἀποπέμψειν καὶ μετὰ δόξης νῦν ἠπάτησεν. BL.

345. εὖ εἰδότος: καλῶς ἐπιστάμενα μὲ ὅτι ἀπατεών ἐξιν. A.

τὰ σκυθρωπὰ ἐκ ἐπὶ τὸν Ὀδυσσέα τείνει. V.

346. ἀλλ' Ὀδυσεῦ σὺν σοί: ἕτε γὰρ Φοίνικα ἔδει εἰρωνεύεσθαι ὡς τροφέα, ἕτε μὴν Αἴαντα ὡς ἀνδρεῖον, Ὀδυσσέα δὲ ὡς φυγόντα. τοῦτο δὲ διὰ τὸ „παρ' ἔμοιγε καὶ ἄλλοι" (Il. 1, 174). BL.

347. φραζέσθω: ἡ διπλῆ πρὸς τὸ ἐν Ὀδυσσείᾳ (8, 75) ζητούμενον νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος, ὅτι ἐμφαίνει καὶ νῦν ἀναιρῶν τὴν ἐπιχείρησιν τῶν περὶ Ὀδυσσέως λεγόντων βελῆ καὶ λόγῳ αἱρεθήσεσθαι τὴν πόλιν. νῦν γὰρ οἷον ἐπισαρκάζων λέγει. A.

348. μάλα πολλά: εἰρωνικὸς ὁ λόγος· ὧν γὰρ καταφρονοῦμεν, ταῦτα αὔξομεν. ἔοικε δὲ τὴν βελὴν Νέστορος ἐκτελίζειν. BL.

349. ἤλασε: ἐξέτεινεν, ἀπὸ τῆ σιδήρε, ἢ μᾶλλον ὤρυξεν. BL. ἀπὸ τῆ παρεπομένε. A.

349. 350. ἐν τῷ περὶ Ἰλιάδος καὶ Ὀδυσσείας ὁ Ἀρίσταρχος προφέρει καὶ ἤλασεν ἐκτόθι τάφρον, καὶ ἐν τῷ ἑξῆς περὶ δὲ σκόλοπας κατέπηξεν. εἰσὶ δὲ ἐκ ἄτοποι αἱ γραφαί. A.

Ἀρίσταρχος δὲ καὶ ἤλασεν ἐκτόθι τάφρον. L.

350. βραχὺ διασαλτέον ἐπὶ τὸ εὐρεῖαν πρὸς ἔμφασιν. A.

ἐν δὲ: Ἀρίσταρχος περὶ δέ. L.

352. ἴσχειν: ἐχ ὅτι περιγράφειν, ἀλλ' ἔχειν. V.

353. ἐθέλεσκε: ἐδύνατο. καὶ ἀνάπαλιν „ἕτε τελευτὴν ποιῆσαι δύναιτο" (Od. 1, 249). μείζων δὲ ἄρα τοῦ τείχους Ἀχιλλεύς, εἴ γε τότῳ μὲν ἐπαυλίζετο ὁ Ἕκτωρ, ἐκεῖνον δὲ ἔφευγεν. νῦν δὲ Ὀδυσσέως εἰς Δία φέροντος τὴν αἰτίαν τῆς εὐημερίας τῶν Τρώων, Ἀχιλλεὺς ἐπὶ τὴν ἑαυτῶ ἀπεσίαν τρέπει. BL.

ἀπὸ: δύναιτο τῇ γενικῇ συντάσσεσθαι, ὡς μὴ πάντως σημαίνειν τὸ ὄπωθεν. A.

τινὲς ἐπάνω τοῦ τείχους, ὑπερβολῇ. εἰ δὲ σημαίνει τὸ ὄπωθεν, βαρύνεται, ὡς τὸ ἄνω, ἐπι. L.

354. Σκαιάς τε πύλας: ἡ διπλῆ, ὅτι πληθυντικῶς εἶπε τὴν πύλην μίαν οὖσαν. Σκαιαὶ δὲ καὶ Δαρδάνιαι αἱ αὐταί. ἦ δὲ ὀρθῶς πρὸ τῆς Ἰλιε ἦν. A.

δύο εἰσὶ φηγοί, ὑφ' ἧ μὲν ἱερὸν Διός, ὑφ' ἧ δὲ Ἴλου τάφος. L.

356. οὐκ ἐθέλω: τινὲς εἰρωνικῶς ἀντὶ τῶ ἐ δύναμαι, διὰ τὸν Ἀγαμέμνονος λόγον „καὶ δ' Ἀχιλεὺς τότῳ γε μάχῃ ἔνι κυδιανείρῃ (δηϊανείρῃ L) ἔρριγ' ἀντιβολῆσαι" (Il. 7, 113). BL.

πολεμιζέμεν: γράφει καὶ πολεμίζειν. A.

357. αὔριον ἱρὰ: τὸ ἑξῆς ἕτως· ἐπὴν αὔριον ἱρὰ Διὶ ῥέξας καὶ νηήσας τὰς ναῦς ἅλαδε προερύσσω, ὄψεαι ἢν ἐθέλῃθα πλέοντας ἡμᾶς. διδάσκει δὲ πρὸ ἁπάσης πράξεως ἡγεμόνας θεὺς ἐπικαλεῖσθαι. καὶ ἵνα μὴ λάθρᾳ δοκῇ ὑποχωρεῖν, προλέγει αὐτοῖς, καὶ τῶν ἐλπίδων ἀποτειχίζει πασῶν. BL.

359. ἐθέλησθα: δυνηθήσῃ· ἐὰν οἱ πολέμιοι, φησίν, ἐπιτρέπωσί σοι. ἠθικῶς δὲ εἰρωνεύεται. BL.

360. Ἑλλήσποντον: ἀντὶ τῶ δι' Ἑλλησπόντου. Ἑλλήσποντος δέ ἐξιν ἡ ἐν τοῖς ξενοῖς θάλασσα παρακειμένη τῇ Τροίᾳ, ἕτως προσαγορευθεῖσα ἀπὸ Ἕλλης τῆς Φρίξου ἀδελφῆς. AD.

ἰχθυόεντα: καὶ ἀλλαχῶ ταῦτα τὰ μέρη ἰχθυώδη ἀναγράφει, ὅ τε Εὔξεινος πόντος καὶ ὁ Ἑλλήσποντος ἀλλὰ καὶ ὁ Βόσπορος. A.

361. ἄνδρας ἐρεσσέμεναι μεμαῶτας: τὸ περὶ τὸν ἀπόπλουν αὐτῶν πρόθυμον διὰ τότε ἐδήλωσεν. BL.

πιθανῶς προσέθηκε καὶ τῦτο, ἵνα ἀπελπίσωσι καὶ τὴν παρὰ τῶν Μυρμιδόνων ἐπικουρίαν, ὡς συναχθομένων αὐτοῦ τῇ ἀτιμίᾳ. BL.

363. ἤματί κεν τριτάτῳ: ἐμπείρως καὶ τῦτό φησι τοσοῦτος γάρ ἐξιν ὁ ἀπὸ Ἑλλησπόντε εἰς Φθίαν ἀπόπλους τοῖς ἀνέμῳ χρωμένοις ἐρίῳ. BL.

ἄλλως. πρὸς τὸ „ἐπεὶ μάλα πολλὰ μεταξὺ οὔρεά" (Il. 1, 156). V.

364. ἔξι δέ μοι μάλα πολλά: ἀντίθεσιν ποιεῖ τῶν δώρων Ἀγαμέμνονος, ὅτι μοι, φησίν, ὁ χρεία αὐτὸν ἔχοντι πολλά, τῦτο μὲν τὰ τῆ Πηλέως, τῦτο δὲ ἄπερ τῶν Τρωϊκῶν λαφύρων ἐδέξατο. ABL.

ὅτι τὸ ἔρρον οὐ λέγει ψιλῶς παραγινόμενος, ἀλλὰ δ' ἀρεστῶν τῇ παρουσίᾳ (χρατείᾳ L) φησίν, ἐνθάδε μετὰ φ- ρᾶς παραγινόμενος ABL.

ἐπὶ φθορὰν παραγενόμενος, διὰ τὰ ἐπισυμβαίνοντα.

365. ἄλλον δ' ἐνθένδε χρυσὸν: ταῦτα ἀντιτίθησι πρὸς τὸ „νῆας ἅλις χρυσῷ καὶ χαλκῷ νηησάσθω" (279) καὶ πρὸς τὸ „Τρωϊάδας δὲ γυναῖκας ἑείκοσιν" (281). BL.

366. πολιόν: λαμπρόν· ὀξυνθεὶς γὰρ ὁ σίδηρος λευκότερος (λαμπρότερος D) γίνεται. AD.

ἢ τὸν τίμιον διὰ τὰς γεωργίας (γερωσίας V), ἢ τὸν πολιτικὸν διὰ τὰ ὅπλα, ἢ τὸν μέλανα κατὰ ἀντίφρασιν. BLV.

367. ἄσσ' ἔλαχόν γε: γράφεται καὶ ἄσσα λέλογχα. ἡ δὲ διπλῆ, ὅτι παραπλησίως καὶ κατ' ἀρχὴν τῆς μήνιδος λέγει „τῶν δ' ἄλλων ἃ μοὶ ἔξι" (Il. 1, 300). τὰ μὲν γὰρ ἄλλα κατὰ κλῆρον ἔλαβε, τὴν δὲ Βρισηΐδα ἐξαίρετον παρ' Ἀγαμέμνονος. A.

ἔλαχον, φησίν, ὁμοίως τῷ ψιλῷ πλήθει. λέγει γοῦν „τῶν δ' ἄλλων ἃ μοὶ εἰσι·" ταῦτα γὰρ οὐκ εἰλήφει παρὰ τῶ Ἀγαμέμνονος· τὸ γὰρ γέρας ἐξαίρετον καὶ τῶ διδόντος ἦν. διὰ τοῦτο γὰρ κἀκεῖνος, ὡς ἐξὸν ὃ ἔδωκε λαβεῖν, ἀφαιρεῖται. πάλιν δὲ τὸ κνιμάζον πάθος εἵλκυσεν αὐτῶ τὴν μνήμην ἐπὶ τὸν Ἀγαμέμνονα. δεινοποιῶν δὲ τὴν ὕβριν Ἀγαμέμνονος φησὶ τὸ ὥσπερ ἔδωκεν. ἐκεῖ δὲ ἐπανισὰς τὸ πλῆθος „δόσαν δέ μοι υἷες Ἀχαιῶν". γράφεται δὲ καὶ ὅσσα λέλογχα. BL.

368. ἐφυβρίζων: γράφεται καὶ ἐνυβρίζων. A.

369. τῷ πάντ' ἀγορευέμεν: πιθανῶς, ἵνα μὴ τὸν Ἀγαμέμνονα εὐφράνωσιν ἀφελόντες τι τῶν τραχύτερον εἰρημένων, αὐτὸν δὲ ταπεινὸν ἀποφήνωσι, πραότερον τῆς ἀπειλῆς ἀποπρεσβεύσαντες. ἔξι δὲ καὶ χαρακτηριστικὸν τῶν ὀργιζομένων τὸ ἀξιοῦν αὐτὰς τὰς φωνὰς διακομίζειν τοῖς ἐχθροῖς καὶ τὸ ἐπὶ πολλῶν ταῦτα λέγειν· ὁ γὰρ μόνον τὸ κακόν τι τὸν ἐχθρὸν εἰπεῖν τοῖς ὀργιζομένοις ἡδύ, ἀλλὰ καὶ τὸ παρόντων πολλῶν μαρτύρων. ἴσως δὲ καὶ τῆς παρὰ τοῖς Ἕλλησιν αἰτίας ἀπολυθῆναι θέλει, ἵνα μὴ αὐτῷ στρεφαίνωσιν ὡς τὴν συμμαχίαν ἐγκαταλιπόντι, ἀλλὰ τῷ τῶν Δαναῶν τὸν ἄριστον ἀτιμάσαντι. ἅμα δὲ καὶ ὡς δίκαια λέγων ἐπὶ πλειόνων αὐτὰ βέλεται ἐξετάζεσθαι. BL.

371. ἐξαπατήσειν: διὰ τί ἐξηπατῆσθαί φησιν ὁ Ἀχιλλεὺς ὑπὸ τῶ Ἀγαμέμνονος, ἀφαιρεθεὶς δὲ τῶ γέρως; ἦκισα γὰρ ἡ ὕβρις ἀπάτη. ἢ ὅτι τέως φίλος ὢν ἀνεφάνη ἐχθρός, ταύτην λέγει τὴν ἀπάτην, παρακελευόμενος τῷ Ὀδυσσεῖ φυλάττεσθαι καὶ μὴ προσέχειν ὡς φίλῳ, καὶ τὸ δόντα μέντοι ἔπειτα ἀφελέσθαι ἀπάτη ἐστίν· ὃ γὰρ ἔφησεν, ἐκ ἐποίησεν. A.

εἴ γε οἴεται, φησί, περὶ ἐμοῦ λέγων ἀπατήσειν τοὺς Ἀχαιούς· ἐμὲ γὰρ ὁ πείθειν, ἀλλ' οὐδὲ ὁρᾶν δυνήσεται, καίπερ ὢν ἀναιδής, διὰ τὴν συνείδησιν τῶν μεγίστων ἀδικημάτων. ταῦτα δὲ καθ' ἑαυτὸν νοητέον λέγειν, ἵν' ᾖ κομμιατικὴ ἡ ἀπαγγελία, τὸν θυμούμενον δηλοῦσα. BL.

372. αἰὲν ἀναιδείην ἐπιειμένος: δύναται μὲν συνάπτεσθαι τῷ ἑπάνω στίχῳ, ὡς καὶ τέτριπται. βέλτιον δὲ καθ' αὐτὸ προφέρεσθαι· μᾶλλον γὰρ ἐμφαίνει τὸν ὀργιζόμενον. A.

374. οὐδέ τί οἱ: τὸ ἑξῆς, ὁ συμφράσομαι αὐτῷ οὐδ' ἀπατήσει με, οὐδὲ ἐάν μοι δεκάκις τόσσα δοίη. ὁ μόνον δὲ τὰ πολεμικὰ ἤσκητο ὁ Ἀχιλλεύς, ἀλλὰ καὶ βουλεύειν ἄριστος ἦν· καὶ γὰρ καὶ διδάσκαλον ἔπεμψεν ἅμα αὐτῷ ὁ πατήρ „μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων" (443). BL.

375. ἐκ γὰρ δή: παρατηρητέον ὅτι ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶσσον διακοπτόμενοι· ἡ γὰρ ὀργὴ μᾶλλον παρίσταται διὰ τῶ τοιούτου. ἐν γὰρ τοῖς τέσσαρσι στίχοις ἐφεξῆς ὀκτὼ εἰσὶν αὐτοτελεῖς λόγοι καὶ τοσαῦται αἱ στιγμαί, ἀπὸ τῶ ἐκ γὰρ δή μ' ἕως τῶ ἐν καρὸς αἴσῃ. AB.

ἀπάτησε: τὴν φιλίαν σρέψας εἰς ἔχθραν. V.

376. ἐξαπάφοιτ': ἐξαπατήσειεν. ἡ μεταφορὰ ἀπὸ τῶν ταῖς ἁφαῖς φιλοφρονεμένων. εὐθείας γάρ ἐσι τὸ ἅπαξ ἀπατηθῆναι ὑπὸ φίλου, τὸ δὲ δὶς μωρίας. ὥρα δὲ ὡς ἐπιμένει πάλιν τῇ ἀφαιρέσει. AB.

377. ἐρρέτω: ἱκανὴν οἶδε τιμωρίαν παρὰ τῶ ἐχθροῦ λαμβάνειν τὸ ἀπαλλάσσεσθαι τῆς φιλίας αὐτῶ, ὡς εἰώθαμεν λέγειν ἑαυτὸν ἐχέτω. BL.

ἐκ γάρ οἱ φρένας εἵλετο: ἀλλαχοῦ ἐπὶ Γλαύκου ἐξαιρέτως τὰς τῶ Γλαύκου φρένας ἐποίησεν, ὡς καὶ Πορφυρίῳ δοκεῖ· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐξέρησε φρενῶν. L.

378. ἐν καρὸς αἴσῃ: ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής, οἷον ἐν μοίρᾳ Καρός, οἱονεὶ δέλε. τὸ καρός Ἄλκαῖος μὲν ὁ ἐπιγραμματοποιὸς ἐγκέφαλον ἤκουσεν (Analect. t. 1. p. 489), ἀπὸ τοῦ ἐν τῷ κάρᾳ εἶναι· τὰ γὰρ παλαιὰ τῶν γραϊδίων ἀποῤῥίπτει τὸν ἐγκέφαλον. λέγει οὖν τὸ τίω δέ μιν ἐν καρὸς αἴσῃ, τουτέστι τιμῶμαι αὐτὸν ἐν ᾗ μοίρᾳ αἱ γυναῖκες τὸν ἐγκέφαλον. Ἀρχίλοχος δέ, τιμῶμαι αὐτὸν ἐν μιαφοφόρῳ καὶ τοῦ τυχόντος σρατιώτου μοίρᾳ. Λυσανίας δὲ ὁ Κυρηναῖος καὶ Ἀρισοφάνης καὶ Ἀρίσαρχος ἐν κηροῦ μοίρᾳ φασὶ λέγειν τὸν ποιητήν, Δωρικῶς μεταβαλόντα τὸ η εἰς α. Νέσος δὲ ὁ Χῖος καὶ τὸ α μηκύνει, ἐὰν φροντίσας τοῦ μέτρου. Ἡρακλείδης δέ φησιν ὅτι τὰ ἐκ τοῦ η εἰς βραχὺ α μεταγόμενα Ἰωνικά ἐσιν, ἀλλ' ὁ Δωριέων συνοικεῖ. ἀντιφράζει μέντοι ὁ ποιητὴς τῷ ἐν καρὸς αἴσῃ τὸ „εἰ δέ τοι Ἀτρείδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον" (300) καὶ „ἴσον γάρ σφιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 454)· καὶ ὁ αὐτὸς Ἀχιλλεὺς „ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσι" (312). B.

ἡ διπλῆ, ὅτι συνέκλεισεν Ἰακῶς ἐν καρὸς ἀντὶ τοῦ ἐν κηροῦς· ὅμοιον γάρ ἐσι τῷ „ἴσον γάρ σφισι πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 454). οἱ δὲ κάρα τὸν φθεῖρα. οἱ δὲ ἀπὸ τῶν Καρῶν τοῦ ἔθνους, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής. ἢ ὅτι Ἀθηναῖοι τὸν ἐγκέφαλον οὔτε ἤθιον οὔτε ὠνόμαζον· ἔγκαρος ἦν τῷ ἐγκεφάλῳ. AV. ἢ ὡς ἔνιοι, ἐν τάξει μιαφοφόρου· πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ καὶ ἐδοξαν εἶναι ἀτιμότατοι. ADV.

πρὸς τὸ δεύτερον δὲ κεφάλαιον, τὴν τοῦ Πηλέως παραίνεσιν, μηδὲν ἀντειπεῖν ἔχων, παρῆκεν αὐτὸ ἀμνημόνευτον. BL.

379. δεκάκις τε καὶ εἰκοσάκις: πλείοσις ὑπερβολαῖς λόγων εἰώθασιν οἱ ὀργιζόμενοι χρῆσθαι, ἵνα δὲ μὴ ὑπόνοιαν δῶσιν ὡς πλειόνων ὀρεγόμενος, ἢ ὅτι δώροις αὐτὸν πείσουσιν, ἀπεριορίσῳ ἀριθμῷ δώρων ἐχρήσατο καὶ οὐδὲ ἕως πεισθήσεσθαι ἐπαγγέλλεται. BL.

ἤτοι καθ' ἑαυτὰ προενεκτέον ταῦτα, ἵνα ἄνωθεν κοιναὶ λαμβάνωνται ἀρνήσεις· „ἐδέ τί οἱ βελὰς συμφράσσομαι, ἐδ' ἂν ἔτ' αὖτις ἐξαπάφοιτ' ἐπέεσσιν, ἐδ' εἴ μοι δεκάκις τε" καὶ τὰ ἑξῆς. διαζαλτέον καθ' ἕκαζον, ἢ ὑποκικτέον πάντα ἕως τοῦ „ψάμαθός τε κόνις τε," ἵνα ἀνταποδίδῳ „ἐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείση." A.

381. ἠδ' ὅσ' — ἠδ' ὅσα: γράφει ἐδ' ὅσ' — οὐδ' ὅσα. A.

δύο πόλεις συνήγαγεν ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κομιδῇ πλάτῳ, ᾗ ἐδὲ ταύταις ἠρκέθη, ἀλλὰ καὶ ἐπὶ τὸν ἀόριζον ἀριθμὸν ψάμμε τε ᾗ κόνεως τὴν ὑπερβολὴν ἀνήνεγκε τῷ λόγῳ, ὡς εἰ ἔλεγεν ὑπὲρ τὰ τῆς οἰκεμένης ἀγαθά. Ὀρχομενὸν δὲ τὴν τῆς Βοιωτίας φησίν, ὃν Μινύαι κατῴκησαν. πολὺ δὲ τούτῳ παράκειται πεδίον, εἰ πιστός ἐστιν Ἔφορος, πλῆρες πολλῶν ἀγαθῶν, ὧν ταῖς ἐκεῖσε τιμωμέναις Χάρισι πέμπεσιν οἱ περίοικοι. BL. κἂν τὸν πολύμηλον δὲ λέγῃ, ἐδὲν ἧττον πλέσιον. φησὶ γὰρ „ἐν δ' ἄνδρες ναίεσκον πολύρρηνες πολυβῶται" (296). LV.

ποτινίσσεται: ἀνάκειται. A.

382. ὅθι: γράφει ᾗ ᾗ ἀντὶ τοῦ ὅθι. A.

383. ἀν' ἑκάσας: ἡ διπλῆ, ὅτι ἀν' ἑκάσας πληθυντικῶς τὰς πύλας, ὡς εἶναι ἑκατὸν τάγματα. οὕτως δὲ ἀν' ἑκάσας δεῖ γράφειν· ἐδέποτε γὰρ ἐνικῶς Ὅμηρος πύλην φησίν, ἀλλὰ πύλας. A.

Ἀρίσαρχος ἑκάσας, ἄλλοι δὲ ἑκάσην. A.

Πορφυρίω. ζητεῖ πότερον τὸ μέγεθος τῆς πόλεως δηλῶσαι βέλει ὡς ἂν ἐχούσης πύλας ἑκατόν, ᾗ τῶν πυλῶν τὸ μέγεθος ὡς ἐκ διακοσίων ἁρμάτων καθ' ἑκάσην ἅμα εἰσιέναι δυναμένων, ᾗ τὸ μέγεθος τῆς δυνάμεως, ὅπερ καὶ βέλει. εἰ γὰρ διακόσιοι ἄνδρες καθ' ἑκάσην εἰσίασιν, οἱ διακόσιοι ἐπὶ τὰ ἑκατὸν πολλαπλασιαθέντες δισμύριοι ἂν εἶεν· ᾗ ἐδὲν μέγα εἰ δισμύριοι ἄνδρες οἰκῶσι τὴν πόλιν. ῥητέον δὲ ὅτι μέγεθος πόλεως δηλοῖ ᾗ δυνάμεως μέγεθος, ἐκεῖ δὲ πυλῶν· ἐδὲ γὰρ ᾗ τὸ ἅμα τὰς διακοσίας εἰσιέναι δεδήλωκεν, ἀλλὰ μόνον ὅτι καθ' ἑκάσην ἐξίασι διακόσιοι, οἳ ᾗ ἔπεσθ' ἀλλήλοις ἡδύναντο. μέγεθος δὲ τῆς πόλεως δηλοῖ τὸ ἑκατόμπυλον, τῆς δὲ δυνάμεως, τῶν ἁρμάτων καὶ τῶν ἡνιόχων τοσοῦτον εἶναι πλῆθος· ᾗ γὰρ δὴ ἁπλῶς τῶν κατοικέντων τοσοῦτον τίθει τὸ πλῆθος, ἀλλὰ τῶν ἁρματοφορούντων. ἀμφίβολον δὲ πότερον ἄνδρες σ' σὺν σ' ἅρμασιν ᾗ ἄνδρες ῥ' σὺν ῥ' ἅρμασιν, ὡς τὸ συναμφότερον εἶναι τοὺς σ', τοὺς ἀνθρώπους ᾗ τὰ ἅρματα. κἂν σ' δὲ ὦσιν ἄνθρωποι, ἀμφίβολον πότερον ἐν ἑκάστῳ ἔχει ἅρμα, ᾗ ἔτως ἔσονται σ' ὄντων υ' ἵπποι· ᾗ σ' ἄνδρες ἔχασιν ἅρματα, ἐν ἑκάστῳ ἅρματι ἡνιόχᾳ ᾗ παραβάτᾳ ὄντος, ὡς ῥ' μὲν εἶναι τὰ ἅρματα, ἵππους δὲ σ' ᾗ ἀνθρώπους σ', ᾗ ἅρματα μὲν τὰ πάντα μύρια, ἵππους δὲ δισμυρίας· ἐκείνων γὰρ ἅρματα μέν εἰσι σ', ἵπποι δὲ τετρακισμύριοι, ἡνίοχοι δὲ δισμύριοι σύμπαντες. ἑκατέρων δὲ ἡ δύναμις μεγάλη φαίνει, ᾗ τετρακισμυρίων ἵππων τρεφομένων ᾗ ᾗ δισμυρίων. ἦν δὲ τὸ παλαιὸν τὰ Αἰγύπτια βασίλεια, ᾗ πολλὰς εἰς αὐτὴν ἀνῆγον φόρους. Αἰγύπτιοι Λίβυες Αἰθίοπες ᾗ ἄλλα ἔθνη. νῦν δὲ Διόσπολις καλοῦνται αἱ τὸ παλαιὸν Θῆβαι, καί φασι δείκνυσθαι περὶ τὴν Διόσπολιν πολλῶν πυλῶν ἴχνη. ὡς δὲ Κάτων ἱστορεῖ, ᾗ Διόσπολις ᾗ μεγάλη, πρὸ τοῦ ὑπὸ Περσῶν ἀφανισθῆναι, κώμας μὲν εἶχε τρισμυρίας γλ' (ςλ' L), ἀρούρας δὲ γψ', ἀνθρώπων δὲ μυριάδας ψ', ῥ' δὲ πυλαῖς διεκοσμεῖτο. ταύτην ἐτείχισε βασιλεὺς Ὄσιρις. τινὲς δέ φασι τὴν ἱεράν, ὅτι ῥ' εἶχε πύλας, ἐξ ἑκάσης δὲ ὁπλῖται μὲν μύριοι, χίλιοι δὲ ἱππεῖς ἐξεσράτευον, ἁρματηλάται δὲ σ'. Θῆβαι δὲ ὀνομάζονται ὑπὸ Ἑλλήνων ἀπὸ Θήβης τῆς Νείλου (ᾗ Ἀσωπῶ LV) θυγατρός· οἱ δὲ Ἔπαφῳ εἶπον αὐτήν, οἱ δὲ Πρωτέως τῷ Ποσειδῶνος, οἱ δὲ Λίβυος τῷ Ἐπείρῳ. BLV.

ἄλλως. ᾗ τὸ πλάτος τῶν πυλῶν θέλει σημαίνειν (οὐδὲ γὰρ ἅμα πάντας ἐξιέναι φησίν) ἀλλὰ τὸ μέγεθος τῆς πόλεως ᾗ τὸ πλῆθος τῶν ἀνδρῶν, εἴ γε πύλας μὲν ῥ' ἔχει, ἄνδρας δὲ ἁρματοφόρους ψ' μυριάδας (δισμυρίας V). BLV.

τὸ ἱσορικὸν τῆς παιδείας ἐνδείκνυται ᾗ πρὸς Πρίαμον (Il. 24, 602). V.

385. ᾗ ἕτος ὁ σίχος δύναται καθ' ἑαυτὸν λέγεσθαι, ᾗ σὺν τῷ ἑξῆς ὑποσιζόμενος κατὰ τὸ τέλος. ᾗ διπλῆ πρὸς τὴν διαφορὰν τῆς ψαμάθου ᾗ ἀμάθου, ὅτι ᾗ παραθαλάσσιος ψάμαθος, κόνις δὲ ᾗ πεδιὰς ἄμμος· ᾗ ἐδεὶς τὸ αὐτὸ λέγει. A.

ἐδὲ ἐπὶ τῶν προειρημένων ἔσησε τὸ τίμημα τῆς ὕβρεως· καλῶς δὲ ἀμφότερα συμπεριέλαβε τῷ λόγῳ, τήν τε θαλαττίαν ᾗ πεδιάδα. BL.

387. πρίν γ' ἀπὸ πᾶσαν: ἠρέμα ὑπώλισθεν εἰς τὸ ἀληθές, ᾗ ἐκκύψας τὴν ἐλπίδα πάλιν αὐτοῖς ὥρισε πρόσιμον τὴν τοῦ ἐχθροῦ ποινήν. BL.

388. ἤτοι σικτέον ἐπὶ τὸ Ἀτρείδαο, ᾗ ἀπ' ἄλλης ἀρχῆς τὰ ἄλλα ἀναγνωσέον, εἶτα ὑποσικτέον ἐπὶ τὸ ἐρίζοι ᾗ ἰσοφαρίζοι, τῆς ἀνταποδόσεως ἔσης „ἐδέ μιν ὣς γαμέω" ᾗ διαζαλτέον βραχὺ ἐπὶ τὸ Ἀτρείδαο. A.

μᾶλλον δεῖ σίζειν εἰς τὸ Ἀτρείδαο· ὁ γὰρ κομματικὸς λόγος τοῖς θυμιμένοις ἁρμόζει. L.

τοῦτο ἐδόκει ὀχυρὸν ἔχειν ὡς ἀξιῶν γαμβρεύσειν αὐτῷ· τοῦτον δὲ πλεῖον λυπεῖ τὸ εὐτελίζεσθαι τὸν τῆς Βρισηίδος γάμιον. BL.

389. οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ: μεγίσῃ χρῆται τῇ ὑπερβολῇ. δύο δὲ οἶδεν ἀρετὰς γυναικός, κάλλος καὶ ἔργα φρονήσεως· ἀνδρὸς δὲ „μύθων τε ῥητῆρ' εἶναι πρηκτῆρά τε ἔργων" (443). BL.

392. ὅσις οἵ: ὅσις ἄξιος, φησίν, αὐτοῦ ἐσίν, καὶ ὃς ἐμοῦ ᾗ πάντων ἀνθρώπων βασιλεύτερος ἐσίν· ἔλεγε γὰρ (16 „καί μοι ὑποσῆτω, ὅσον βασιλεύτερός εἰμι." διδάσκει ὡς ἐδὲν ὀνίνησι τυραννὶς ἐπὶ γνώμῃ ἀδίκῳ. BL.

εἰς ἁπλῆν μεταλαμβάνει ᾗ ἀντωνυμία, ὅσις αὐτῷ προσπαθήσει ἂν. δείκνυ δὲ ἐν τοῖς περὶ ἀντωνυμιῶν ὅτι ᾗ ἐμοί ἐπὶ δοτικῆς ᾗ ἔτι ᾗ σοί ὀξύνονται, ᾗ δὲ οἷς προσπάθη ἀνακολόθως. A.

εἰς μὲν ἁπλῆν μεταλαμβάνει ᾗ οἵ, φυλάσσει δὲ καὶ ἴδιον τόνον διὰ τὸν τέ. V.

393. σόωσι: Τυραννίων προπερισπᾷ ὡς νοῶσιν, ὡς ἀπὸ τῆ σοῶ περισπωμένω, ἐπεί, φησί, καὶ τὸ εὐκτικὸν κατὰ ἀποκοπὴν εἶπεν „ἤ κέ σφιν νῆάς τε σόῳ καὶ λαὸν Ἀχαιῶν" καὶ τὸ δεύτερον „ὄππως κεν νῆάς τε σόῳς καὶ λαὸν Ἀχαιῶν" (681). Ἀπίων δὲ διὰ τῆ ᾱ γράφει, ἐπεὶ καὶ ἐν ἄλλοις ἔτως εὑρίσκεται· „σάωσε δὲ νυκτὶ καλύψας" (Il. 5, 23) καὶ „τὸν μὲν ἐγὼ ἐσάωσα" (Od. 5, 103) καὶ „ἀλλὰ σάω μὲν ταῦτα, σάω δ' ἐμέ" (Od. 13, 230). καὶ ἐπὶ μέλλοντος „κερδαλέης, εἴ τίς κεν ἐρύσεται ἠδὲ σαώσει" (Il. 10, 44). ἡ δὲ πλείων χρῆσις, ὧν ἐξὶ καὶ ὁ Ἀσκαλωνίτης, ὡς σώζωσι. καὶ δῆλον ὅτι τῆ σώωσι συζολὴν αὐτοὺς δεῖ παραδέξαωζ. πρόδηλον κἀκ τῆς μετοχῆς· „τὸ δ' ἕτερος ἑκάτερθεν ἴτην σώοντες ἑταίρους" (Od. 9, 430). A.

394. Πηλεύς θήν μοι: φιλοπάτορα καὶ σώφρονα ἑαυτὸν ἀποδείκνυσι, κἀκεῖνον κρείττονα γάμου ὧν ἂν ὁ πατὴρ ἕλοιτο. BLV.

ἐντεῦθεν ἔλαβε Μένανδρος τὸ „ἐγάμησεν ἣν ἐβουλόμην ἐγώ." τὸ δὲ γαμέσσεται πᾶσαι εἶχον μάσσεται, ἀντὶ τῆ ζητήσει. L.

Ἀρίσαρχος γυναῖκά γε μάσσεται. A.

395. Ἑλλάδα: Ἀρίσαρχος παρ' Ὁμήρῳ Θεσσαλίαν μόνην τὴν Ἑλλάδα φησὶν εἶναι καὶ Ἕλληνας τὲς Θεσσαλές, παρακολουθῶν. Θεκυδίδη, καὶ ἀθετεῖ τὸν εἶχον τᾶτην „ἐγχείῃ δ' ἐκέκασο Πανέλληνας καὶ Ἀχαιάς" (Il. 2, 530). καὶ ἐκεῖ δὲ πάλιν τὴν Θεσσαλίαν ἀκούει „φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχόροιο" (478). AD.

ἡ διπλῆ, ὅτι τὴν Θετταλίαν ἔτως λέγει μόνην, τὴν δὲ ὅλην ἤπειρον ἐκ οἶδεν ἔτως καλεμένην. νόθα οὖν ἐκεῖνα „ἐγχείῃ δ' ἐκέκασο Πανέλληνας καὶ Ἀχαιάς" „καθ' Ἑλλάδα καὶ μέσον Ἄργος" (Od. 4, 726). A.

396. ἀρισήων: μή ποτε ὀνειδίζει ἀνανδρίαν τῷ Ἀγαμέμνονι, γενναίων κηδεσῶν, ἐχὶ τοιάτᾳ δεῖᾳ λέγων. ἐν ᾧ δὲ πρᾶχει, ἐν τάτῳ ποιεῖ τὴν κρίσιν. BL.

397. ἐθέλοιμι: Ἀρίσαρχος ἐθέλωμι. A.

τοῦτό φησιν ὡς πολλῶν ἐπιδικασομένων γαμβρεύσειν αὐτῷ διὰ τὴν ἀρετήν. BL.

398. ἔνθα δέ: δύο μέρη λόγου· „ἔνθα δέ τοι θάνατος" (Il. 20, 390) „ἔνθα δέ κ' αὖθι μένων" (Od. 5, 208) „ἔνθα δὲ νῆν τρέψας ἀπὸ τείχεος" (Il. 22, 16). A.

399. γήμαντι: ἔτως Ἀρίσαρχος κατὰ δοτικήν. ἄλλοι δὲ γήμαντα. A.

μνηστὴν: τὴν τοῦ Ἀγαμέμνονος ὁ λογίζεται μνηστὴν, ἐπεὶ δῶρον αὐτῷ δίδοτ. κατὰ δοτικὴν δὲ γήμαντι, οὐ κατ' αἰτιατικὴν γήμαντα. γάμος δὲ τέλος ὁ κτῆσις, ὁ κάλλος, ἐκ ἄλλο τι τῶν τοιούτων, εἰ μὴ τῶν συνόντων ἡ ὁμόνοια καὶ τὸ ἁρμόδιον, ὅ πέρ φησιν „οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον, ἢ ὅθ' ὁμοφρονέοντε" (Od. 6, 182). ἢ εἰκονεύεται ὡς γαμήσων κατὰ τὸ ἑαυτῷ ἀξίωμα· φησὶ γὰρ (391) „ὃ δ' Ἀχαιῶν ἄλλον ἐλέσθω ὅστις οἵ τ' ἐπέοικεν." BL.

400. τὰ γέρων ἐκτήσατο Πηλεύς: πατρῷα ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα. φησὶν οὖν ὡς μᾶλλον αἱροῦμαι πατρίδος καὶ τῶν ἐμῶν κτημάτων ἀπολαύειν ἢ πολεμεῖν. ABLV.

401. οὐ γὰρ ἐμοὶ ψυχῆς: ἐνίες φησὶν ὁ Ἀρίσαρχος γράφειν οὐ γάρ ἐμῆς ψυχῆς. ἀλαζονικὸς δὲ ὁ λόγος, ἐδὲν τῆς ἐμῆς ψυχῆς ἄξιον. ἄμεινον ἐμοί γράφειν. A.

ἐμφαίνει τι τοῖς παροῦσιν (δυσωπεῖ τὲς παρόντας V), εἴ γε δώρων προήσεθ τὴν ψυχήν, αὐτῶν δῶρα διδάντων ὑπὲρ σωτηρίας τῆς ψυχῆς ἑαυτῶν· καὶ ὅτι πρώην κατεφρόνει αὐτῆς, ἀχαρίςῳ χαριζόμενος ἀνδρί. ὅτι δὲ ὁ φιλοψυχεῖ, πρὸς τὴν μητέρα φησὶν „αὐτίκα τεθναίην" (Il. 18, 98). BLV.

404. ἀφήτορος: οἱ μὲν ἀσαφήτορος, οἱ δὲ τῆ ϛροφέως, παρὰ τὸ τὲς εἰσιόντας προσκυνεῖν ἐφαπτομένες. ἢ ὁμοφήτορος, ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευομένῳ, τῷ τε πένητι καὶ πλεσίῳ. ἢ τοξικῆ, ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως. ἢ τῆ πολυφήτορος, τετέςι τῆ πολλὰς φήμας ἀφιέντος· ὃ καὶ ἄμεινον. AB.

ἡ διπλῆ πρὸς τὲς γλωσσογράφες, ἀφήτορος τῆ ϛροφέως ἀποδιδόντας. καὶ Ζηνόδοτος δὲ ἔτως ἐκδέδεκθ· τὸν γὰρ ἑξῆς μετέγραφε „νηῒ Ἀπόλλωνος." ἀφήτορα δὲ τὸν Ἀπόλλωνα ἐπιθετικῶς, οὐ κοινότερον, ἀλλὰ τὸν Πύθιον, οἷον ὁμοφήτορα, διὰ τὸ εἰς λόγους ἔρχεσθ τοῖς χρησμῳδουμένοις. A.

οἱ μὲν ἀσαφήτορος, οἱ δὲ τοξότ. ἀλλ' ἐπὶ τῆ θεῆ φησὶν ἐκηβόλον, παρὰ τὸ καὶ ἐπιτυγχάνειν („ἐκ ἔβαλες τὸν ξεῖνον" Od. 20, 305), ὡς καὶ ποδάρκην τὸν τοῖς ποσὶν ἐπαρκῶντα. LV. ἡδεῖα δὲ ἡ περίφρασις καὶ πλήρης ἐναργείας. Bl.

405. Φοίβου Ἀπόλλωνος: ἡ διπλῆ περιεζιγμένη, ὅτι Ζηνόδοτος γράφει νηῷ Ἀπόλλωνος. A.

Πυθοῖ: Πυθὼ πόλις Φωκίδος, ἧς οἱ οἰκήτορες Δελφοί. ἔζι δὲ ἱερὰ Ἀπόλλωνος. κέκληθ δὲ ἤτοι ἀπὸ τῆ πυνθάνεσθ τῆς Πυθίας τὲς μαντευομένες, ἢ ἀπὸ τοῦ τοξευθέντα τὸν τῆ χρησηρίῳ φύλακα δράκοντα ὑπὸ Ἀπόλλωνος αὐτόθι πυνθῆναι, ὅ ἐζι σαπῆναι. ABD.

406. λῃϊστοὶ: ἀπὸ λείας κτητοί· λεία δὲ λέγεθ κυρίως τὰ τῶν πολεμικῶν λαφύρων κτήματα. A.

409. ἐπεὶ ἄρ κεν: ἐπὰν ἅπαξ φθάσῃ παρελθεῖν τὸν περίβολον τῶν ὀδόντων· διὰ γὰρ τῆ ϛόματος ἔξεισι τὸ ψυχικὸν πνεῦμα. AD.

410. μήτηρ γάρ τέ μέ φησι: διὰ τῆ φησί δηλοῖ ὅτι ὑπογυίως αὐτῷ εἴρηκεν· ἃ γὰρ ἂν Πηλεὺς ηὔξατο „σοί τε κόμην κερέειν" (Il. 23, 146). εὖ δὲ τὴν τῆς μητρὸς ἐδήλωσε πρόῤῥησιν. ἐμφαίνεθ δὲ ὡς ἔζιν ἀνοήτου χρημάτων ἕνεκεν εἰς πρόδηλον ἑαυτὸν ἐμβαλεῖν θάνατον, καὶ ὅτι ἄφρονές εἰσιν οἱ δεόμενοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἕτερον ἐπὶ δώροις τελευτᾶν· καὶ ἵνα ἀποπλέοντι μὲν αὐτῷ συγγινώσκωσι, βοηθῆντι δὲ μεγίζην ὁμολογοῖεν χάριν. τὸ ἀμφίβολον δὲ τῆς μοίρας καὶ ἐν ἄλλοις οἶδε, δι' ὧν Τειρεσίας φησὶν Ὀδυσσεῖ „τὰς εἰ μέν κ' ἀσινέας ἐᾷς, εἰ δέ κε σίνῃαι" (Od. 11, 110). BLV. καὶ ἀλλαχοῦ, ὡς ἐπὶ τοῦ Εὐχήνορος „πολλάκι γάρ οἱ εἶπε γέρων" (Il. 13, 666) καὶ ἐπὶ Αἰγίσθε „μήτ' αὐτὸν κτείνειν" (Od. 1, 39). LV.

412. εἰ μέν: ἁπλῶς ἐκφέρει τὰ ὑπὸ τῆς μητρὸς εἰρημένα πρὸς αὐτόν. V.

416. ἀθετεῖ, ὅτι νομίσας τις κρίμαθ' τὸν λόγον προσέθηκεν αὐτόν. ᾗ γ' κατὰ τὸ κοινὸν ἐπιλέγει „οὐδέ κέ μ' ὤκα." δεῖ ἓν κοινὸν λαβεῖν τὸ ἔσαι ἀπὸ τῶ προκειμένω τῶ ἄφθιτον ἔσαι. A.

ἄλλως. ἐδὲ παρὰ Ζηνοδότῳ ἐφέρετο. A.

417. καὶ δ' ἂν τοῖς ἄλλοισιν: τοσοῦτον ἀπέχει πειθῆς ὥστε ᾗ τὰς λοιπὰς ὑποχωρεῖν βάλει. πιθανῶς δὲ ἀφίσησιν αὐτὰς τοῦ πολέμου, τὸ ἀδύνατον τῆς ἁλώσεως προβαλλόμενος. ABL.

ἔκαστον δὲ ἀγωνιᾷν δύθυμον ποιεῖ, τὸ ἐπταισμένον ὑποδηλῶν τῶ πολέμω. BL.

παραμυθησαίμην: ἰσέον ὅτι μῦθος, αἶνος, φάσκειν, ἀγορεύειν, εἰπεῖν, εἰρηκέναι, ὁμοίων εἰσὶ νοημάτων δηλωτικά. διὸ ᾗ προσλαβόντα τὴν παρά πρύθεσιν ταυτότητα ἔχουσιν ἐννοιῶν, ᾗ γίνει ἐκ τῶ μύθω παραμυθεῖσθ, ἐκ τῶ αἶνω τὸ παραινεῖν, τῶ δὲ φάσκειν τὸ παραφάσκειν ᾗ ἡ πάρφασις ᾗ ἡ παραίφασις, τῶ δὲ ἀγορεύειν τὸ παρηγόρημα, τῶ εἰπεῖν τὸ παρεῖπε, τῶ δὲ εἰρηκέναι τὸ παράρρητοι. ὅτω μὲν οὖν Ὅμηρος τὸ παραμυθησαίμην. οἱ δὲ μεθ' Ὅμηρον μυθεύεσθ τὸ ψεύδεσθ λέγουσιν. L.

418. δήετε: τεχνικῶς πρὸς αὐτὸν ἀπέστρεψε τὸν λόγον, ἐπεὶ ᾗ ἔλεγε „Ζεὺς δέ σφιν Κρονίδης" (Il. 4, 166). εἰ τοίνυν, ὡς φῄς, πολέμιον ἔχετε τὸν θεόν, ὑπόλοιπον ὑμῖν ἐστὶν ἀποπλεῖν. BL.

419. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

420. χεῖρα ἑὴν ὑπερέχε: ὑπερασπίζει· ἐν χερσὶ γὰρ αἱ ἀσπίδες (ἡ πᾶσα δύναμις L). μεγάλη δὲ ἡ φαντασία, ὡς ἐ μόνον συλλαμβάνοντος τῶ Διὸς ἀλλὰ ᾗ τὴν χεῖρα ὑπερέχοντος. ABL.

421. ἀριςήεσσιν Ἀχαιῶν: νῦν οὐδὲ λόγον ποιεῖ Ἀγαμέμνονος, καίτοι πρώην λέγων „τῷ πάντ' ἀγορεύμεν ὡς ἐπιτέλλω" (369). ἢ ὡς μὴ αὐτῶ μόνω πέμψαντος, ἀλλὰ ᾗ τῶν λοιπῶν. ἢ τῷ θυμῷ ὑπερκαείς. BL.

425. ἕτοίμη: εὔληπτος, φανερά, ἕτοιμος. λέγει δὲ τοῦτο, ὅτι ματαία ἐστὶν αὕτη ἡ γνώμη ἣν ἐποίησαν οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις πρός με ὡς δυναμένους με πεῖσαι. ABD.

426. ἀπομηνίσαντος: ἓν ἐστιν ὡς ἀπομανέντος· καὶ γ' τὴν εὐθεῖαν ἔστως οἶδεν „ἀπομηνίσας" (Il. 2, 772). ἕστως οἶδε ᾗ ὁ Ἀσκαλωνίτης ᾗ Ἀλεξίων. καὶ εἰ παρέλκει δὲ ἡ ἀπό, ἕστως ἀναγνωσέον. A.

427. Φοίνιξ δ' αὖθι: τοῦτο εἰς πίστιν τῶ τῷ ἦρι ἀποπλεῦσαι. προσκρούει δὲ Φοίνικι ὡς παρ' Ἀγαμέμνονι διατρίψαντι ᾗ ἐξῆς „Ἀτρεϊδῃ ἥρωϊ φέρων χάριν" (613). ἅμα δὲ ᾗ προεκκόπτει αὐτὸν τῆς λιτῆς. BL.

429. ἣν ἐθέλῃσιν: ἣν ἐθέλῃσι, φησί, προέσθ Ἀγαμέμνονα. διὸ ᾗ αὐτός φησι „πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος" (437). BL.

ἀνάγκη δ' οὔ τί μιν ἄξω: ἐ γ' ἦν εἰκὸς βιάζεσθ ᾧ ὁ πατὴρ πειθαρχεῖν ἐκέλευσεν. BL.

431. μάλα γὰρ κρατερῶς: ἐμαρτύρησεν ἑαυτῷ ὁ ποιητὴς ὅτι ἀπότομον λόγον τῷ Ἀχιλλεῖ περιέθηκεν. ἄκρως δὲ διέθηκε τὸν Ἀχιλλέως λόγον, φύσει, φρονήματι, ἀξιώματι, ἤθει. ABLV.

432. ὀψὲ δὲ δὴ: φρονίμως τὸ μὴ εὐθέως τοῖς Ὀδυσσέως λόγοις τὰς ἑαυτῶ ἐπιβαλεῖν, ἀλλ' ἀντειπεῖν πρῶτον ἐᾶσαι τὸν Ἀχιλλέα ᾗ ἐκχέαι τὸν θυμόν. ἀλλ' ἐδὲ παυσαμένω Ἀχιλλέως αἴφνης ἄρχει, ἐδὲ ἀρξάμενος εὐθὺς τὴν συμβουλίαν προάγει, ἀλλὰ δακρύσας προσοχὴν ᾗ ἔλεον ἐπισπᾶται· οἰκτρῷ γ' τὸ πλέον ἀγωνίζει ᾗ διηγήμασιν οἰκείων ἀτυχημάτων. τὸν δὲ λόγον οὐκ ἐπὶ ἱκετείαν ἀνάγει, ἀλλ' ἐπὶ τὸ συμφέρον Ἀχιλλεῖ. ὑψὲ δὲ τοῦτο ποιεῖ, ὅτι πάντες ἠπόρησαν. BLV.

433. δάκρυ' ἀναπρήσας: ᾗ θέλων, φησίν, ἐκ ἐξέβη τὸ δάκρυον. A.

434. συνείκει μὲν ἓν ἀπ' ἀρχῆς, εἶτα ἐπάγει τὴν λιτήν· τὸ δὲ εἰ μὲν δή ὡς παραδόξ τῆς κρίσεως ὅσης· προσεδόκων γάρ, φησίν, ὡς παρακληθεὶς μενεῖς. ὥσπερ δὲ Ὀδυσσεὺς ἐκ τῶ παρόντος ἔλαβε τὸ προοίμιον, οὕτω καὶ οὗτος. ἐχ ὡς συμβελεύσων δὲ παρελήλυθεν, ἀλλ' ὡς δώσων ἀπόκρισιν πρὸς τὸ „Φοῖνιξ δ' αὐθι παρ' ὅμμι μένων." BL.

ἀποσχῶν τῆς φυγῆς φαίδιμ' Ἀχιλλεῦ λέγει. V.

435. ἀμύνειν νηυσὶ: τὸ ἀνεπίφθονον τῶν ὀνομάτων ᾗ τὸ ἕκατον τῶν κινδύνων ἐδήλωσε, τὸ Ἀγαμέμνονος πρόσωπον σιωπήσας, ὡς ᾗ ὁ Ὀδυσσεύς. BL. τοῦτο γὰρ ἦν δίκαιον. V.

436. χόλος ἔμπεσε θυμῷ: δείκνυσιν ὅτι διὰ θυμὸν καταφρονεῖ τοῦ δικαίου, οὗ μάλιστα δεῖ τὸν πεπαιδευμένον κρατεῖν. BL.

437. πῶς ἂν ἔπειτ': φάσκων ἀποπλευσεῖσθ μετ' αὐτοῦ, διότι Πηλεὺς ὡς διδάσκαλον συνέπεμψεν αὐτόν, τεχνικῶς ἐνέφηνεν ὅτι προσῆκόν ἐστι τὸ μὴ ἀπειθεῖν τῷ διδάσκάλῳ. εἰ δὲ ὡς διδασκάλῳ ἐκέλευσε πείθεσθ, χαλεπῶς ἂν ἤνεγκεν Ἀχιλλεύς. νῦν δέ, διὰ ἃς αἰτίας ἐκεῖνον τὸ κελευόμενον ποιεῖν ἔδει, διὰ ταύτας αὐτὸς ἀκολουθήσειν φησὶ πρὸς τῷ μὴ φάναι ὡς οὐ χωριεῖται τοῦ Ἀχιλλέως, ἀλλ' ὡς πυνθανόμενον λέγειν· διαγανακτῶντος γ' ἦθος ἐμφαίνει. ἅμα δὲ ᾗ τὸν Ἀχιλλέα εὐμενῆ ἀπεργάζεται, ἀδεμίαν λέγων ὑπολείπεσθ αὐτῷ ἄλλην ἐλπίδα. προσαγωγὸν δὲ ᾗ τὸ φίλον τέκος· λέγει γ' ὅτι διὰ τὴν φιλοζωγίαν ᾗ παρὰ τὸ δέον αὐτῷ πείσεται. ABL.

438. σοὶ δέ μ' ἔπεμπε: ὡς ὀπάονα οὖν, φησίν, οὐκ ὀφείλω ἀπολιπέσθ. τοῦτο δὲ δυσωπεῖ αὐτόν· τὸν γ' διδάσκαλον δεῖ κελεύειν. BL.

ἔδει εἰπεῖν διδάσκαλον. ἀλλ' ἵνα μὴ ἀγριάνῃ ὡς διδάσκάλου δεόμενος, σιωπᾷ, τῇ δὲ νεότητι προσῆψε τὴν διδασκαλίαν. LV.

439. ἐκ Φθίης Ἀγαμέμνονι: λελῃθότως δείκνυσιν ὅτι ἀπειθεῖ τῷ πατρί, τέτε ἀποσὰς ᾧ ᾗ πύρρωθεν αὐτὸν ἀπέστειλεν. BL.

440. νήπιον: εἰ νηπίου ὄντος οὔ, προπεφάσισαι πρὸς τὴν αἴτησιν ὁ πατήρ, πῶς, φησί, νῦν τελειωθεὶς οὐ πολεμεῖς; BL.

441. ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθωσι, ἄμφω τὰς ἀρετὰς κυδιανείρας φησί. νῦν δὲ μᾶλλον ἐχρῆν ἐπαινεῖν τὰ ψυχικά. BL.

442. διδασκέμεναι: ἴαδ' τῇ ἡλικίᾳ τὸ τραχὺ τῆς λέξεως. τὸ δὲ τάδε, εἰς ἃ νῦν ἁμαρτάνεις. καὶ ὅτι ὕπω τετέλεσαι ἡ μάθησις, διὰ τῆς παρατάσεως ἐδήλωσεν· οὐ γὰρ εἶπε διδάξαι. τὸ δὲ πάντα ἐπὶ δίο· „προμνησῖνοι εἰσέλθετε, μηδ' ἅμα πάντες" (Od. 21, 230). BLV.

τοὔνεκα: εἰ οὖν σύμβουλος ἐπέμφθη, νῦν δὲ βοᾷ τὸ πρᾶγμα, βοᾷ δὲ δεόμενον συμβουλῆς, πῶς αὐτῷ ὁ πείθεσθαι δεῖ; BL.

443. μύθων τε ῥητῆρ' ἔμεναι: τὸν τῶν λόγων ῥήτορα διδάσκειν σε εἶναι καὶ δραστήριον ἐν τοῖς ἔργοις. A.

σημείωσαι ὅτι τὸ ὁμοιοτέλευτον ἔφυγεν ὁ ποιητής, μεταβαλὼν τὴν φράσιν· ὁ γὰρ εἶπε μύθων τε ῥητῆρα καὶ ἔργων πρηκτῆρα, ἀλλ' ἐνήλλαξεν. καὶ ὅτι δὲ πάντων κρειττων ἡ εὐβουλία, δηλοῖ διὰ τούτου. ABL.

δείκνυσιν ὅτι διδακτὸν ἡ ἀρετή. ἔμπεσε δὲ αὐτῷ ὁ Φοῖνιξ ὑποδείξων ἃ τε λεκτέον καὶ ἃ χρὴ πράττειν. εἰ ὑπὸ Φοίνικος ἐν πεπαίδευται, τί παρὰ Χείρωνος ἐδιδάχθη; δῆλον ὅτι πολεμικὴν (δικαιοσύνην V) καὶ ἰατρικήν. BLV.

φαίνεται ἐν καὶ τὸ τῆς ῥητορικῆς ὄνομα εἰδώς. φησὶ γὰρ „ὅτε κοῦροι ἐρίσειαν περὶ μύθων" (Il. 15, 284). ἀλλὰ καὶ „βαλῇ καὶ μύθοισι" (Il. 4, 393) καὶ „δικαζόμενος παρὰ νηυσί" (Od. 11, 545). οἱ περὶ Κόρακα δὲ καὶ Τισίαν ὕστερον ἐξεκόσμησαν τὴν ῥητορικήν. V.

444. ὡς ἂν ἔπειτ': ἐπεὶ παρακαταθήκην ἐκ νηπίου σε εἴληφα παρὰ τοῦ πατρός. V.

446. γῆρας: γῆρας, φησί, τὸ μάλιστά με νῦν ἐνοχλῶν. διὰ δὲ τῶ ἀποξύσας ἐδήλωσε προσπεπλασμένην ἀθένειαν παλαιῷ σώματι. καὶ αὐτῷ δὲ τῷ τῆς συλλαβῆς χρόνῳ τὸ δυσαφαίρετον τοῦ γήρως δηλοῖ. Ἀττική τέ ἐστιν ἡ ἔκτασις. BL. Παρθένιος γοῦν ἐν Βίαντι συνέσειλεν· „ὅσις ἐπ' ἀνθρώπους ἔξυσεν αἰγανέην". V.

νέον: νεωστί. ἐχ ἁπλῶς ἀπαλλάξειν γήρως, ἀντισηκῶσαι δὲ ἀρχὴν πολυχρονίᾳ ἥβης. V.

ἠβώοντα: οὕτως διὰ τῶ ω καὶ ου αἱ Ἀριστάρχου. ἡ δὲ διπλῆ, ὅτι ὁ λέγει νέον κατὰ τὴν ἡλικίαν ἀλλὰ κατὰ μεσότητα, ἀντὶ τῶ νεωστὶ ἡβῶντα. A.

447. Ἑλλάδα: ἡ διπλῆ, ὅτι πάλιν τὴν Θετταλικὴν πόλιν ἔτως εἶπεν· καὶ ὅτι Ζηνόδοτος τοῖον ὅτε πρῶτον, ἐξ οὗ φανερός ἐστι τὸ νέον ὀνοματικῶς δεδεγμένος. A.

448. φεύγων νείκεα πατρός: Φοίνιξ ὁ Ἀμύντορος ἐξέπεσε τῆς οἰκείας γῆς δι' αἰτίαν τοιαύτην. τῶ πατρὸς αὐτῷ παλλακίδα μὲν ὀνόματι Κλυτίαν ἀγαπῶντος, Ἱπποδάμειαν δέ, ἐξ ἧς τὸν Φοίνικα ἔτεκε, συγγόντος, δεηθείσης τῆς μητρὸς τῇ παλλακίδι τῶ πατρὸς Κλυτίᾳ ἐμίγη. γνοὺς δὲ ὁ Ἀμύντωρ ἐπηράσατο τῷ παιδὶ τέκνων ἀγονίαν. δείσας τε Φοῖνιξ τόν τε πατέρα καὶ τὰς ὑπ' αὐτῶ γενομένας ἀρὰς φεύγει πρὸς Πηλέα, ὅσις ὑποδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν δίδωσιν αὐτῷ τὴν Δολοπίαν χώραν, καὶ Ἀχιλλέα τὸν υἱὸν μικρὸν ὄντα εἰς ἀνατροφὴν παραδίδωσιν. ABD. ἡ ἱστορία παρὰ τῷ ποιητῇ· παρὰ γὰρ τοῖς Τραγικοῖς παραλλάσσει. AB.

μυθολόγοι οἱ γέροντες, καὶ παραδείγμασι παραμυθέμενοι. ἄλλως τε ψυχαγωγεῖ τὴν ὀργὴν ὁ μῦθος. εἰπεῖν δὲ θέλει τὰς εὐεργεσίας Πηλέως, εἴ πως πείσειεν ὅτι εὔνους αὐτῷ ἐστί· καὶ ὅτι λιταῖς οὐ πειθεὶς ἐν ἀλλοδαπῇ ἄπαις διήγαγεν. ἡδεῖα δὲ ἡ ἀκρόασις τῶν οἰκείας συμφορὰς διηγουμένων. καὶ ὁ κυνικὸς δὲ Διογένης τοῖς συνοῦσιν ὡμολόγει σῖας εἶχεν ὁρμὰς πρὸ τῶ φιλοσοφεῖν, ὡς ἄρχειν αὐτῶ μὴ δυνάμενος τῶν ἄλλων ἤθελεν. ἀκριβὴς δὲ διδασκαλία ἡ πεῖρα· διὸ καὶ τοσαῦτα ἡμαρτηκότι τῷ Φοίνικι καὶ ἐν προσκρούσει τῶ πατρὸς γεγονότι τὸν υἱὸν ἐπιτρέπει ὁ Πηλεύς· ἐώρα γὰρ αὐτὸν αἰθόμενον τῆς ἁμαρτίας δι' ὧν ἑαυτῷ τὴν ἐκούσιον ἐπήγαγε φυγήν. BL.

449. παλλακίδος: ἀ τῆς ἤδη μιγείσης, ἀλλὰ τῆς εἰς τοῦτο τρεφομένης· φησὶ γοῦν προμιγῆναι. ἐκ ἀντίκειται δὲ τὸ ὅτι „τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἀκοιτιν"· ἔπραττε γὰρ ταῦτα ἐν ᾧ ἔχων ἤδη τὴν πρὸς αὐτὴν ὁμιλίαν. τοῦτο δὲν ὁ Φοῖνιξ ἐποίησεν εἰς τῶν γονέων τὴν ὁμόνοιαν. οἰκείως δὲ ταῦτα πρὸς τὸν ἕνεκα τῆς Βρισηΐδος χαλεπαίνοντα, ὅτι συγγνωστέος ἁμαρτήσας περὶ τὴν κόρην Ἀγαμέμνονος, εἴ γε καὶ αὐτὸς ἁμαρτὼν συγγνώμης ἠξίωται παρὰ Πηλέως. τὸ δὲ περιχώσατο ἀντὶ τῶ περισσῶς ὠργίθη. BLV.

οἱ μὲν ἀνέγρεψαν, ἵνα γένηται περὶ παλλακίδος· οἱ δὲ περιχώσατο ἀνέγνωσαν, ἵνα σημαίνῃ τὸ περισσῶς. καὶ οὕτως μᾶλλον ἐπεκράτησεν ἡ παράδοσις. οὕτως δὲ καὶ Ἀλεξίων. A.

452. προμιγῆναι: πρὸ τῶ πατρὸς μιγῆναι. ἡ περισσεύει ἡ πρόθεσις. A.

ῥῖγα γὰρ ἀνδρὸς ἀφίσται γέροντος γυνὴ νέα, πειραθεῖσα νέα καὶ ἰσχυροτέρα ἀνδρός· ἧττον γὰρ οἱ γέροντες ἀφροδισιάζειν δύνανται. BL.

ἄλλως. ἀπρεπὲς τοιαῦτα περὶ αὐτῶ διεξιέναι πρὸς μηδὲν ἀναγκαῖον. οἱ μὲν ἓν ἀπὸ τῆς λέξεως λύουσιν, ὅτι προμιγῆναι ἀδεμίαν ἔχει ἀτοπίαν, οἱ δὲ ἀπὸ τῶ καιρῶ, ὅτι τὰς παλλακίδας διαβάλλει πρὸς τὸν Ἀχιλλέα ἕνεκα τῆς Βρισηΐδος χαλεπαίνοντα. B.

γέροντα: τινὲς γέροντι γράφουσιν, ἵνα μισηθῇ τῶ γέροντι. L.

453. τῇ πιθόμην καὶ ἔρεξα: ὡς πρὸς ὁμόνοιαν γονέων τὰ παρὰ προαίρεσιν ἐποίησε· φησὶ γὰρ „ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο." καὶ πάλιν τῆς διχοστασίας αὐτῶν κρείττονα τὴν φυγὴν ἡγήσατο. ἐν ᾗδει δὲ δεῖ τὸν στίχον ἀναγινώσκειν ὡς καὶ μετανοοῦντος αὐτῷ· διὸ καὶ ἐμπεπίσευται Ἀχιλλέα· ὁ γάρ τε παίσας πάντως καὶ φυλάττει, καὶ Σοφοκλῆς „ὃς μὴ πέπονθε τἀμά, μὴ βουλευέτω." οἱ δὲ εὖ

πρὸς γονεῖς ἔχοντες ἐπ' ἴσης μὲν αὐτὲς ἀγαπῶσιν, ἐπαμύνεσι δὲ τῷ καταπονεμένῳ. ἢ τάχα βέλεϑ λέγειν ὅτι οὐ πάντα πειϑέον μήτρί· Θέτις γᾶν ἔλεγεν „ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι μήνι' Ἀχαιοῖσι" (Il. 1, 421)· ἀλλὰ μᾶλλον πατρὶ τῷ λέγοντι „φιλοφροσύνη γὸ ἀμείνων" (256). ἀγαθοὶ δὲ διδάσκαλοι οἱ ἐν παϑημάτων πείρᾳ γενόμενοι· καὶ Χείρωνα γάρ φασι τρωϑέντα τὴν χεῖρα τὴν περὶ βοτανῶν ἐπιτηδεῖσαι ἰατρικήν, τὴν δὲ περὶ τὰς διαίτας τὸν Σηλυβριανὸν Ἡρόδικον, ὃς ἐμπεσὼν διὰ τὰς πόνους εἰς φϑόην ἐπιπόνως τὴν τέχνην ταύτην ἐμελέτησεν. BL.

Ἀρισόδημος ὁ Νυσαιεύς, ῥήτωρ τε ἄλλα κὴ γραμματικός, φεύγων τὸ ἔγκλημα, ἐπενόησε γραφὴν τὴν τῇ ἐ πιϑόμην οὐδὲ ἔρεξα. κὴ ἐ μόνον γε ηὐδοκίμησεν, ἀλλὰ κὴ ἐτιμήϑη ὡς εὐσεβῆ τηρήσας τὸν ἥρωα. πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εἶρε γραφήν. καὶ Εὐριπίδης δὲ ἀναμάρτητον εἰσάγει τὸν ἥρωα ἐν τῷ Φοίνικι. ταῦτα ἱστορεῖ Ἀρποκρατίων ὁ Λίϑ διδάσκαλος, ἐν ποιήματι τῆς Ἰ t. *) A.

ὑϊσϑείς: ὑπονοήσας. A.

454. Ἐρινύς: καταχϑόνιαι δαίμονες, τιμωροὶ τῶν πατρικῶν ἀσεβημάτων. τρεῖς δέ εἰσιν, Ἀλεκτὼ Τισιφόνη Μέγαιρα. AD. εἴρηται δὲ παρὰ τὸ ἐκ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς, εἶναι. A.

οὐκ οἶδε τὸν ἀριϑμὸν αὐτῶν ὁ ποιητής. V.

455. μή ποτε γούνασιν οἷσιν ἐφέζεσϑαι φίλον υἱόν: ἐοικυῖα κατάρᾳ τῷ ἀτιμάσαντι πατέρα τὸ τὴν ἀπὸ τῶν παίδων μὴ δέξαϑ τιμήν. πῶς δ' εὖ φρονῶν πατὴρ υἱῶν υἱοῖς εὔχεϑ πάππος γενέϑ μᾶλλον. BL.

ἢ διπλῆ, ὅτι τινὲς γράφεσιν ἐμοῖσιν. λέγει δὲ ἐ περὶ ἑαυτῆ ὁ Φοῖνιξ, ἀλλὰ περὶ τῆ Ἀμύντορος. A.

ἕτως διὰ τῆ ἔ ἐφέσσεσϑαι. A.

456. ϑεοὶ δ' ἐτέλειον ἐπαράς: ὡς μηδὲ ἄκοντας ἀδικεῖν γονεῖς· διὸ ἐδὲ περὶ τῆ φόνε τῆς Κλυταιμήστρας φησίν, ἀλλὰ „δαίνυ τάφον Ἀργείοισι" (Od. 3, 309). V.

ἄλλως. εἴτε παρέλκει ἡ ἐπί, φυλαχϑήσεϑ ὁ τόνος ὁ αὐτός, ὡς „ἐπιβκόλος ἀνήρ" (Od. 3, 422) καὶ ἐπισμυγερῶς (ib. 195)· εἴτε τὸ ἑξῆς ἐσὶν ἐπετέλεσ, ἐκ ἀναγραφήσεϑ πάλιν, καϑότι αἱ συναλειφϑεῖσαι ἐκ ἀναγρέφονϑ, σεσημειωμένε ἐκείνε „ϛεῦτο γὸ Ἡφαίσοιο πάρ' οἰσέμεναι" (Il. 18, 191). A.

457. Ζεύς τε: πᾶς ὁ μὲν εὔχεϑ ταῖς Ἐρινύσι, τὰς δὲ εὐχὰς αὐτῷ ἐκτελεῖ Ἅιδης κὴ Περσεφόνη; ὅτι αὐτοκράτορες τῶν τιμωριῶν ὄντες τὴν τῆ κολάζειν ἐξεσίαν τοῖς ἄλλοις δαίμοσι παρέχονται. BL.

ἐπαινὴ: ἐπίφοβος, δεινή· αἰνὸν γὸ τὸ δεινόν. ἢ ἣν ἐκ ἄν τις ἐπαινήσειεν· ἀντίφρασις ὁ τρόπος. ἢ ὑπερβολικῶς, ἣν ἄν τις ἐπαινῶν παραιτήσαιτο. AD.

ἐπαινὴ δὲ κατ' ἀντίφρασιν, ὡς τὸ „νῆ' ὀλίγην αἰνεῖν" (Hesiod. O. 641). οἱ δὲ γράφουσι „καὶ ἐπ' αὐτῷ Περσεφόνεια." οἱ δὲ ἐν πλεονασμῷ τὴν ἐπί. LV.

462. ἔνϑ' ἐμοί: γράφεται ἔνϑα μοι. A.

εἰλίποδας: εἰλήσει ὅμοια πάχοντας· κεχάλασαι γὰρ αὐτῶν τὰ νεῦρα, ὡς Ἱπποκράτης φησίν. V.

463. κατὰ μέγαρα ϛρωφᾶσθαι: ἐδήλωσεν ὅτι ταῖς ἀδιαλλάκτοις ἔχθραις ἐδέν ἐσι τῷ φεύγειν ἄμεινον. BL.

464. ἕται: ἑταῖροι, πολῖται, κατὰ ἀποκοπήν. A.

ὅτι ἠγαπημένος ἦν διὰ τὴν σπουδήν, ὁ δὲ πατὴρ ὠργιζόμενος διὰ τὸν ἔρωτα. ἀνεψιὸς δὲ Φοίνικος Εὐρύπυλος. AV.

ἀμφὶς ἐόντες: Διονύσιός φησιν ἀντιόωντες. Διονύσιος ὁ Θρᾷξ ἐν τῷ πρὸς Κράτητα διὰ τῆς ἱποδρομίας (Il. 23, 643) φησὶ γεγραμμένον ἀντιόωντε μεταϑεῖναι τὸν Ἀρίσαρχον ἀμφὶς ἐόντες. A.

ἐν ἄλλῳ ἐγγὺς ἐόντες. ABL.

468. τανύοντο: ἐκτείνονται γὰρ τῷ πυρί. A.

δῆλον ὅτι οἱ σύες ϑαλέϑοντες ἀλοιφῇ κὴ πιμελεῖς ὄντι εὐόμενοι τῇ φλογὶ κὴ ὀπτώμενοι τανύοντο, ὃ σημαίνει ἐκτήκοντας, ἀπὸ τῆ τετανὲς γίνεϑ τὸ ἰχναινομένης. Bl

470. εἰνάνυχες ὡς μονώνυχες, ἀπ' εὐθείας τῆς εἰνάνυξ. εἰ δέ τινα τὸ ἐπιφερόμενον ταράσσει παρὰ νύκτι ἴαυον, ἴσῳ ὅτι σύνηθες ἔτως πολλὰ λέγειν τῷ ποιητ ποδάνιπτρα ποδῶν (Od. 19, 343), οἶνον ἐνοινοχοεύοντ (Od. 3, 472). A.

472. ὑπ' αἰθούσῃ: διὰ τῆς ἐν προθέσεως, ἐν α Θούσῃ, αἱ Ἀρισάρχε· συνάδει κὴ τὸ ἑξῆς „ἄλλο δ' προδόμῳ." αἴθουσαι δὲ αἱ ὑπὸ ἡλίῳ καταυγαζόμεναι σο παρὰ τὸ αἰϑεϑῇ, ὅ ἐσι καίεϑ. A. διέχειν δὲ τὴν τάξ Θάλαμος μὲν γὸ ὁ ἔσω οἶκος (ὁ ἔποικος A) τῆς αὐλῆς, δὲ πρὸ αὐτῆ πρόδομος· αἴθουσα δὲ περίσυλον, τετέσι π ἡλιον τετραμμένη σοά. ABDLV. τὸ δὲ ἕτερον, ἄλλο π παρὰ τὸ τῆ ϑαλάμε. A.

ἄλλο παρὰ τὸ τῆ ϑαλάμε ὅπε αὐτὸς ἦν· τρίτον δὲ ἐν τῇ ϛοᾷ καιόμενον. BL.

εὐερκέος: ἀσφαλῆ περιβολὴν ἐχέσης. AD.

λείπει δὲ τὸ ἄπτον. V.

473. ἢ διπλῆ, ὅτι πάλιν δοκεῖ τὸ ἄλλο πρὸς τὸ ἱ ρον συγκεχύϑ. πιϑανεύονϑ δὲ λέγοντες τρία φῶτα ἐν, ἓν μὲν ὑπὸ ταῖς αἰϑέσαις, ἕτερον δὲ ἐν τῷ οἴκῳ, ἄλλ ἐν τῷ προδόμῳ τῆ οἴκε· ἀπίϑανον γάρ φασιν εἶναι ἐν τῷ προδόμῳ πῦρ εἶναι, ἐν δὲ τῷ οἴκῳ ἐλλείπειν. A.

ϑυράων: ὅτι πληϑυντικῶς ϑύρας ἀντὶ τοῦ ϑύραι.

476. ῥῆξας ἐξῆλϑον: τῷ μὲν Φοίνικι ἡ μεταμ ἀδύνατος διὰ τὴν ὀργὴν τῆ πατρός, τῷ δὲ Ἀχιλλεῖ ἡ δοξος διὰ τὴν τῆ πατρὸς παραίνεσιν. BL.

477. ῥεῖα: τῷ ὑπέρϑορον συναπτέον τὸ ῥ λαϑεῖν γὸ ῥᾳδίως ἀδύνατον οὕτω φυλαττόμενον. ῥᾳδὲ διὰ τὸ τῆς νεότητος ἄνϑος. BL.

478. Ἑλλάδος: Ἑλλὰς πόλις ὁμώνυμος τῇ χω „Μυρμιδόνες δὲ καλεῦντο κὴ Ἕλληνες" (Il. 2, 684). Ἑλλὰς κὴ Φθία πόλεις τῆς Θετταλίας. D.

480. γράφεται ἐς Πηλῆ' ἄναχϑ' A.

*) sie A, non addito, quod in fine addi solet, signo (: —). unde Heynius ὑπομνήματι τῆς Ἰλιάδος, Bastius ὑπομνήματι J.

ἄναχθ': ἐμόν, φησίν, ἄνακτα, διὰ τὴν παρ' αὐτοῦ μεγονυῖαν εὔνοιαν. BL.

Πορφυρίου. διὰ τί ὁ Πηλεὺς τὸν Φοίνικα τοιαῦτα ἡμαρτηκότα, ὥςε τῇ παλλακίδι τοῦ πατρὸς συγγενέσθαι καὶ τῷ πατρὶ ἐπιβουλεῦσαι, ὅμως διδάσκαλον τῷ υἱῷ συνέπεμψεν; ἢ ὅτι ὥσπερ ἰατροὶ ἄριςοι ἐγγίνονται οὐχ οἱ μὴ ἠῤῥωςηκότες, οὐδὲ ἠῤῥωςηκότες μὲν μὴ εἰδότες δὲ τὰ ἁμαρτήματα καὶ τὰς αἰτίας, ἀλλ' οἱ ἄμφω ἔχοντες, οὕτω καὶ σύμβουλοι ἄριςοι οὐχ οἱ ἄπειροι τῶν ἁμαρτημάτων ἀλλ' οἱ ἔμπειροι, οὐδὲ οἱ ἐν ἐμπειρίᾳ μὲν γενόμενοι, μὴ οἰόμενοι δὲ ἡμαρτηκέναι. ὃ παρῆν τῷ Φοίνικι· καὶ γὰρ ἥμαρτε, καὶ προσεπιγνοὺς ὅτι ἥμαρτεν ἑαυτὸν τετιμώρηκε διὰ τῆς ἑκουσίου φυγῆς. ὁ τοιοῦτος ἂν εἴη ἄριςος ἰατρὸς τῷ παιδείας δεομένῳ. ἡ δὲ μνήμη τῆς περὶ τὴν παλλακὴν ἁμαρτίας πρὸς τὸν Ἀχιλλέα οὐκ ἄκαιρος διὰ παλλακίδος αἰτίαν ἐξαμαρτάνοντα πρὸς τοὺς Ἕλληνας, καὶ παράδειγμα φέρουσα πρὸς τὸν Ἀχιλλέα πατρικῆς πράξεως· ὡς γὰρ ὁ Πηλεὺς τὸν εἰς παλλακὴν πλημμελήσαντα, καὶ πρὸς πατέρα ὁμολογήσαντα τὸ ἀδίκημα, καὶ ἱκετεύσαντα, καὶ διὰ φυγῆς ἐξιλασκόμενον τὴν τοῦ πατρὸς μῆνιν οὐ παρῃτήσατο δέξασθαι, οὕτω τὸν ἱκετεύσαντα Ἀγαμέμνονα ἀνθ' ὧν εἰς τὴν παλλακίδα πλημμελεῖν ἐδόκει, μὴ ἄτοπον εἶναι προσήσεσθαι; μήτ' οὖν τῷ Ἀχιλλεῖ, μήτε τῷ Φοίνικι ὑπὲρ αὐτοῦ πρεσβεύειν. B.

481. ἡ διπλῆ, ὅτι τὸ ἐφίλησε κατὰ τὴν ἡμετέραν χρῆσιν· καὶ ὅτι πρεσβύτερος Πηλεὺς Φοίνικος. A.

482. μοῦνον, τηλύγετον: εὖ τὸ μὴ ἀρκεσθῆναι τῇ πρὸς τοὺς υἱοὺς τῶν πατέρων φιλοςοργίᾳ, καίτοι ὑπερβολὴν μὴ δεχομένῃ, ἀλλ' ἐπενέγκαι τὸ μοῦνον· μᾶλλον γὰρ οἱ μονογενεῖς φιλοῦνται, μὴ μεριζομένης εἰς πολλοὺς τῆς φιλοςοργίας. καὶ οὐδὲ τούτῳ ἀρκεσθεὶς προσέθηκε τὸ τηλύγετον· οὗτος δέ ἐςιν ὁ τῆς γονῆς τέλος ἔχων, μεθ' ὃν ἕτερος οὐ γίνεται· ἐπὶ τούτοις γὰρ τὴν τῶν γονέων συμπάθειαν ἔςιν ἰδεῖν, ἅπασαν τὴν ἐλπίδα ἐν τῇ τούτων σωτηρίᾳ τιθεμένων. BL. καὶ ὅτι πλέον αὔξων ἐπιφέρει τὸ ἐπὶ πολλοῖς κτήμασιν· ὧν γὰρ συνήγαγεν εἰδὼς αὐτὸν φύλακα ἀγωνιᾷ. V.

δυσωπητικὰ Ἀχιλλέως ταῦτα, ὅτι μὴ πεισθεὶς ἀτιμάσει τοῦτον ὃν ὁ πατὴρ ἐτίμησεν. ἅμα δὲ καὶ ὅτι ἐν ταῖς φυγαῖς οὐδὲν οὕτω συμβάλλεται ὡς φρόνησις καὶ παιδεία, δι' ἃς ὁ Φοῖνιξ ὑπὸ Πηλέως ἐτιμήθη. ABL.

484. Δολόπεσσιν ἀνάσσων: Δολόπων. μέρος τῆς Φθιώτιδος χώρας· διὸ καὶ παραλέλοιπεν αὐτοὺς ἐν τῷ καταλόγῳ. A.

485. καί σε: οὐκ ἀναγκαῖον ἐνθάδε ὀρθοτονεῖν· οὐδὲ γὰρ ἀντιδιαςολὴ πρὸς ἕτερον πρόσωπον. ἀπολελυμένως οὖν ἀναγνωςέον. A.

τοσοῦτον: δυσωπητικὸν τὸ τῆς δείξεως, ὡς καὶ Σοφοκλῆς „καί σ' ἐθρεψάμην τοσόνδ' ἐς ἥβης." BL. ἔςι δὲ τοσότης ἀντὶ πηλικότητος. D.

θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ: διὰ βραχέος τὸν ὑπερκείροντα εὐφυέος σώματος καὶ ψυχῆς ἀρετῇ ἐσήμανεν. LV.

486. οὐκ οὐθέλεσκες ἅμ' ἄλλῳ: οὐκ οἶδεν ὁ ποιητὴς παρὰ Χείρωνι αὐτὸν τραφέντα, ἀλλ' οἱ νεώτεροι. δεινὸν οὖν τὸ ἐν τῇ πρώτῃ ἡλικίᾳ τοσοῦτον ςέρξαντα ἀπειθεῖν τελειωθέντα. BL.

488. γούνεσσι: οὕτως διὰ τοῦ ε̄, γούνεσσι· ἔχει μέντοι λόγον καὶ ἡ διὰ τοῦ ᾱ, γούνασσι. A.

489. ὄψου: πᾶν τὸ ἐσθιόμενον ὄψον καλεῖται. (ὅμοια δὲ καὶ ταῦτα· „Ἀςυάναξ, ὃς πρὶν μὲν ἑοῦ" Il. 22, 500. V). ἐπὶ τὰ εὐτελέςερα δὲ καταβὰς ἔδειξε τὴν ἰσχὺν τοῦ λόγου διὰ τοῦ προταμών· πρῶτον γὰρ τέμνοντες παρέχουσι, καὶ ἐπίσχων, ὡς „λαθικηδέα μαζὸν ἐπέσχον" (ib. 83). οὐκ ἂν δὲ διὰ κοινοῦ ὀνόματος ἑτέρως αὐτὸ φράσειας. BL.

ὅτι πᾶν τὸ προσεσθιόμενον ὄψον ἔλεγον οἱ παλαιοί, καὶ ὅτι οὐχ ὑπὸ Χείρωνος ἐτράφη ὁ Ἀχιλλεύς, ἀλλὰ τὴν ἰατρικὴν μόνον ἐπαιδεύθη. A.

491. ἀποβλύζων: ὠνοματοπεποίηται ἀφράςως. καλῶς δὲ προδανεισθείσας ἀπαιτεῖ χάριτας, εἶτα ἐπάγει τὸ „ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς," νῦν ἰδιούμενος τὴν σωτηρίαν τῶν Ἑλλήνων πάντων. BLV.

492. Ἀρίςαρχος πολλὰ πάθον καὶ πολλὰ μόγησα. A.

494. ὀρθοτονεῖται τὸ σέ, ὅτι δεικτικόν ἐςιν. BL.

ἐνθάδε ὀρθοτονητέον· ἔμφασις γὰρ δείξεως. A.

495. ἐν νηπιέῃ ἀλεγεινῇ: ἐν τῇ χαλεπῇ παιδοτροφίᾳ. A.

496. δάμασον: ἐμφατικῶς τὸ ἀδάμαςον ἐνέφηνε τοῦ θυμοῦ· καὶ ὁ Ἀγαμέμνων φησὶ δμηθήτω (158). AL.

οὐδέ τί σε χρή: ἅπερ Ὀδυσσεὺς εἰπεῖν ἐφυλάξατο (πικρὸν γὰρ ἦν), ἐπὶ δὲ τὸν Πηλέα ἀνήγαγε, ταῦτα Φοίνικι δίδωσιν ἡ τῆς ἀνατροφῆς παῤῥησία. BL.

497. ςρεπτοί: εὐμετάςρεπτοι, εὐμετάβλητοι, εὔπειςοι. ἐναντίον δέ ἐςι τὸ ςρεπτοὶ δὲ καὶ θεοὶ αὐτοί τῷ „οὐ γὰρ αἶψα θεῶν τρέπεται νόος" (Od. 3, 147). λύοιτο δ' ἂν προσώπῳ, ὅτι τὸ μὲν αἶψα θεῶν οὐ τρέπεται νόος ὁ ποιητής φησιν, ἐκεῖνο δὲ ὁ Φοῖνιξ λέγει ἐν καιρῷ ὀργιζομένου Ἀχιλλέως εἰκότως, καὶ τοὺς θεοὺς πείθεσθαι. AD.

ἀποφθεγματικόν ἐςιν, ὅταν βιωφελές τι δι' ὀλίγης ἐκφέρηται λέξεως. ἐπίφθονος δὲ ὁ λόγος· ὡς θεοῦ γὰρ ἧκον δεησόμενοι. καὶ λεληθότως διδάσκει ὅτι μὴ πειθόμενος λιταῖς, αἷς καὶ θεοὶ πείθονται, ἀσεβεῖ καὶ εἰς θεοὺς καὶ εἰς τὴν ἑαυτοῦ μητέρα. BL.

499. καὶ μὲν τοὺς θυέεσσι: καὶ ἀναντίῤῥητος ἄρα ἡ ἐπιχείρησις αὐτῶν. ἕτοιμον δὲ αὐτὸν ποιεῖ διὰ τούτων πρὸς τὴν τῶν δώρων λῆψιν. BL.

500. ἐν ἄλλῳ λοιβῆς τε κνίσης τε. A.

λαθεῖν μὲν γὰρ ἀδύνατον τοὺς πάντα ἐφορῶντας, ἀλλ οὐδὲ βιάσασθαι τοὺς ἰσχυροτέρους. μία οὖν ὁδὸς ἐκφυγῆς, ἡ ἱκετεία. BL.

502. ἀνειδωλοποιεῖ τὰς λιτὰς ὡς δαίμονάς τινας. χωλὰς μὲν οὖν αὐτὰς κέκληκεν διὰ τὸ βραδέως καὶ μόλις προσιέναι καὶ γονυκλινεῖς λιτανεύειν τούτους οὓς προηδικηκότες ὦσιν. ῥυσὰς δὲ καὶ διαςρόφους τὰς ὄψεις, ἐπεὶ βραδέως καὶ οὐ γεγηθότι τῷ προσώπῳ οὐδὲ ὀρθῷ τῷ βλέμματι προσορᾶν δύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναν᾽ τὲς προηδικημένες, παρ᾽ ὧν αἰτῆν᾽ συγγνώμην. Διὸς δὲ αὐτὰς θυγατέρας γενεαλογεῖ, ὥσε σεβασμιωτέρας φαίνεσθαι. AD.

πρὸς ἐντροπὴν Διὸς κούρας αὐτάς φησιν· ἢ διὰ τὸ „Ζεὺς ἐπιτιμήτωρ ἱκετάων" (Od. 9, 270)· ἢ παρόσον ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε λέγε᾽. μυθικῶς δὲ ὡς γέρων ὑποβάλλει ὅτι ὄρα μή σοι διὰ τὴν ὑπεροψίαν ἔσαι τι δεινόν. BL.

ἀπὸ τῶν συμβαινόντων περὶ τὲς ἱκέτας παθημάτων τὰς μορφὰς τῶν αἰτήσεων διετύπωσεν. ὅσα δὲ κρατεῖ τῆς ἡμετέρας δυνάμεως, θεῖα ὠνόμαζον. χωλαὶ δὲ διὰ τὸ μύγις εἰς δεήσεις ἔρχεσθ᾽· ῥυσαὶ δὲ διὰ τὸ σκυθρωπάζειν· παραβλῶπες δέ, ὅτι παριδόντες τι τῶν ἀναγκαίων παρακαλῶμεν ὕστερον. BL.

προπερισπαστέον δὲ ὁμοίως τῷ τυφλῶπες· ἀπὸ γὰ᾽ ὀξυνομένης εὐθείας ἐγένετο τῆς παραβλώψ. τὰ δὲ τοιαῦτα ᾗ βαρυτόμενα εὑρέθη ᾗ ὀξυνόμενα, ὥσπερ τὸ ἑλικῶπες καὶ Κύκλωπες, περὶ ὧν ἐντελέστερον λέγεται ἐν τοῖς περὶ χημάτων. A.

ἄλλως. ῥυσαὶ ἐπὶ τῆ μετώπε συρροφὰς τῆ δέρματος ἔχσασ· παραβλῶπες διάστροφοι τὲς ὀφθαλμές, ἐπειδὴ οἱ ἱκετεύοντες ὑπὲρ τῆ ἐλεεινὲς φαίνεσθ᾽ προσίασιν οἰκτρὰ τὰ χήματα αὐτῶν ᾗ τὰς θέας ἔχοντες. AD. Διὸς δὲ θυγατέρας νῦν τὰς Λιτὰς καλεῖ, ὥσε σεβασμιωτέρας φαίνεσθ᾽. ἔνιοι δ᾽ ἔτως εἰσὶν ἀμαθεῖς ὡς αἰτιᾶσθ᾽ τὸν Ὅμηρον καὶ περὶ τῶν Λιτῶν, εἰ τὰς Διὸς γονὰς οὕτως ὕβρισεν, διάστροφον αὐταῖς περὶ ἀμορφίας χαρακτῆρα περιτιθεὶς· „καὶ γάρ τε — ὀφθαλμιῶ." ἐν δὲ τέτοις τοῖς ἔπεσι τὸ τῶν ἱκετευόντων χῆμα διαπέπλασαι. πᾶσα γὰ᾽ ἐν συνείδησις ἁμαρτόντος ἀνθρώπε βραδεῖα, καὶ μόλις οἱ δεόμενοι τοῖς ἱκετευομένοις προσίασιν, τὴν αἰδῶ κατὰ ῥῆμα μετρῆντες. ἔτε μὴν ἀτρεμὲς δεδόρκασιν, ἀλλ᾽ ὀπίσω τὰς τῶν ὀμμάτων βολὰς ἀποστρέφεσι. ᾗ μὴν ἔν γε τοῖς πρώτοις ὀδὲ γεγηθὸς ἐν τῇ διανοίᾳ τῶν ἱκετευόντων περιτίθησιν ἔρευθος, ἀλλ᾽ ὠχροὶ ᾗ κατηφεῖς διὰ τῆς πρώτης ὄψεως ἐκκαλοῦσι τὸν ἔλεον· ὅθεν εὐλόγως ὁ τὲς Διὸς θυγατέρας ἀλλὰ τὲς ἱκετεύοντας ἀπεφήνατο χωλές τε ῥυσούς τε παραβλῶπάς τ᾽ ὀφθαλμώ, τἔμπαλιν δὲ τὴν ἄτην κρατεράν τε ᾗ ἀρτίπεν· κρατερὸν γὰ᾽ αὐτῆς τὸ ἄφρον· ἀλογίσε γὰ᾽ ὁρμῆς ὑπόπλεως δρομὲς ὡς ἐπὶ πᾶσαν ἀδικίαν ἴεται. παθῶν ἓν ἀνθρωπίνων ὡσπαρεὶ ζωγράφος ἐσὶν Ὅμηρος, ἀλληγορικῶς τὸ συμβαῖνον ἡμῖν περιθεὶς ὄνομα. AB.

504. καὶ μετόπισθ᾽: ἁμαρτάνοντες γὰ᾽ καὶ βλαβέντες ὕστερον παρακαλῶμεν, φροντίζομεν δὲ τῶν ὑπὸ τῆς Ἄτης πεπραγμένων· συνέπον᾽ ἐν αὐτῇ αἱ Λιταί. LV.

ἀλέγουσι: τῶν ἀνθρώπων δηλονότι. ἀλέγασι φροντίζασιν, ἵνα ἰάσον᾽ τὰ ὑπὸ τῆς ἄτης γινόμενα. A.

505. σθεναρή τε καὶ ἀρτίπος: εἰκότως διὰ τὸ ἐξ ὑπιροχῆς τῆς ἰσχύος τὰς βλάβας γίνεσθ᾽. ἐκ ἐξι δὲ ἐναντίον τῷ ἑτέρωθι (Γ. 19, 92) λεγομένῳ, ὅτι τῆς Ἄτης ἁπαλὼ τὼ πόδε· ἐκεῖ γὰ᾽ ὡς λελησθότως αὐτῆς ἐπιάσης τοῖς ἀνθρώποις ἀκέσιον θέλει δεῖξαι τὸ πταῖσμα. BL.

ἀρτίπος: ὁ τὲς πόδας ὁλόκληρος. πρὸ τέλες ἢ ὀξύτερος ὁμοίως τῷ ἀελλόπος ᾗ τρίπος. A.

ὅτι ἕνεκα ἀντὶ τῆ ἵνεκα. A.

506. ἐκτατέον τὸ φθάνει διὰ τὸ μέτρον. ἢ δὲ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει φθανέει. A.

ἐξακέονται: ἃ ἐκείνη βλάπτει. V.

508. κούρας Διός: πάλιν πρὸς ἐντροπὴν Διὸς κέρασφησίν. V.

509. τὸν δὲ μέγ᾽ ὤνησαν: ὑπὲρ αὐτῆ ἔν ἐσίν, ὅπως ἐν ἀσφαλείᾳ διάγοι ἐπικέρες ἔχων· εἰκὸς γὰ᾽ ᾗ αὐτὸν ἁμαρτῆσαι ᾗ εὐμενεῖς τὲς ἱκετευομένους ἕξειν. φυσιολογεῖ οἱ μὴ θέλων εἰπεῖν ἐξ ὀνόματος ὡς ᾗ αὐτὸς βλαβήσε᾽ πειωθείς· ὅθεν ἐπάγει „ἀλλ᾽ Ἀχιλεῦ πόρε ᾗ σύ." BLV.

ἡ διπλῆ, ὅτι περισσὸς ὁ δὲ σύνδεσμος· διὸ ἐ δεῖ συνεκλίνειν τῷ ἄρθρῳ τὸν σύνδεσμον. A.

εὐξαμένοιο: Ἀρίσαρχος εὐχομένοιο. A.

τὸ δὲ εὐξαμένοιο ἀντὶ τῆ εὐχομένου. L.

512. ἵνα βλαφθεὶς ἀποτίσῃ: ἵνα ᾗ αὐτὸς ἐν ἄ γεγονὼς ἐπὶ τὰς λιτὰς καταφύγῃ. BL.

ἀποτίσῃ: γράφε᾽ ἀποτίνῃ. A.

514. ἤ τ᾽ ἄλλων περ: ᾗ ἄλλοι, φησίν, εἰσὶν ἀγαθοὶ ἀδικηθέντες, αἰδέμενοι δὲ τὰς λιτάς. BL.

515. δῶρα: ταῦτα τὴν ἱκετείαν δηλοῖ καὶ τὸν ὑποπτοντα Ἀγαμέμνονα. ᾗ διὰ τῆ φέροι αὐτὸν παρέσησε τὸ μὲν ὀργίζεσθ᾽ δικαίως συγχωρεῖ, τὸ δὲ ἀτιμάζειν τὰ δόμενα ᾗ τὲς ἥκοντας Ἀχιλλέως ἀνάξιόν φησιν. BL.

516. ἐπιζαφελῶς: ὡς χαλεπῶς. παρέλκει δὲ πάλιν ἐπί. ἐχρῆν (ἔχθρ A) δέ, εἰ παρὰ τὸ ζάφελος γέγονε, ᾗ ζαφελῶς ἡμῖς ἀνεγνωκέναι βαρυτόνως, ᾗ ᾗ ἐκεῖνο κατ᾽ ὀξὺν προφερεσθ᾽ τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελος προπαροξύνε᾽ λέγε τέτῳ, ὡς τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα παροξύνε᾽, ζάθεος ζάκοτος· ἔτως ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τῆ λως ἐπιῤῥήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖον φιλεῖ περισπᾶσθ᾽, ἐντελῶς ἐπιμελῶς, οἷς ᾗ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκει᾽ ὡς τὸ πλεῖον διὰ τὸ εὐτραπέλως ἰκέλως. A. τὸ δὲ ζαφελῶς γίνε᾽ ἐκ τῆ ζα ἐπιτατικῆ ᾗ τῆ ὀφέλλω τὸ αὔξω, τὸ ηὐξημένως. LV.

518. κατέουσί περ ἔμπης: ὅτι ᾗ δώρων ἄνευ ἐβοηθεῖν διὰ τὴν ἀνάγκην. L.

520. ἀρίσους: ἔτος πρεσβευτὴς ἐκ ἔσιν, ἐπεὶ οὐκ ἑαυτὸν ἐπῆνει. BL.

ἡ διπλῆ, ὅτι ὁ συμπεριλαμβάνει ἑαυτὸν ὁ Φοῖνιξ ὡς ἂν μηδὲ χώραν ἔχων πρεσβευτῆ. A.

521. κρινάμενος κατὰ λαόν: ὁ μὲν γὰ᾽ συνέσεως δὲ ἰσχύϊ πρέχει. λέγει δὲ ὅτι καὶ δίχα Ἀγαμέμνονος ὤφελεν αὐτοῖς πείθεσθαι. BLV.

522. φίλτατοι: ἐλεγκτικῶς, ὅτι εἰπὼν „οἱ γὰ᾽ φίλτατοι ἄνδρες ἐμῷ ὑπέσι μελάθρῳ" (204) νῦν ἀπειθεῖς φιλτάτοις. BL.

τὸ ἐλέγξῃς ἀντὶ τῦ ὀνειδίσῃς· „τὰ δ' ἐλέγχεα πάντα λέλειπται" (Il. 24, 260)· ὡς τῆς αἰσχύνης τοῦ μὴ πεῖθειν ἀνατρεχούσης εἰς αὐτούς. BL.

ἄλλως. μὴ ἀτιμάσῃς, μὴ ὀνειδίσῃς τὸν ὑπὲρ τῆς ἀξιώσεως καὶ πρεσβείας λόγον αὐτῶν μηδὲ τὴν ἄφιξιν αὐτῶν. B.

μὴ ἀποδοκιμάσῃς, μηδὲ ἀποδείξῃς ἀδυνατῆς αὐτοὺς ἐν τοῖς λόγοις, καὶ μὴ ποιήσῃς ἐπονειδίστους αὐτοὺς ὡς μὴ πείσαντας. A.

523. πρὶν δ' ὅτι νεμεσητὸν: τὸ πρώην μηνίειν ἀνεμέσητον εἰπών, ἐκ τῦ ἐναντίου τὸ νῦν νεμεσητόν φησιν. BL.

ὅτι τὸ πρὶν καὶ ἀρχὴ τῆς μάχης, καὶ ὁ Ἀγαμέμνων μαινόμενος, καὶ πρεσβεία ἀδαμῦ δὲ δῶρα. νῦν δὲ καὶ τῆς μήνιδος ὁ χρόνος παρήκμασε, καὶ ὁ βασιλεὺς ἱκέτης, καὶ πρεσβεία φιλτάτων ἀνδρῶν, καὶ δώρων ἀριθμὸς πολύς, καὶ ἀνάγκη τοῦ ἀλῶναι LV.

524. οὕτω καὶ τῶν πρόσθεν: ὅτι πάντως δεῖ βοηθῆσαι αὐτόν, ὅπερ ἐσκέπασε τῇ διηγήσει. L.

525. χόλος ἔκοιτο περὶ πάντων τῶτο. εἶτα τὸν Μελέαγρον ἐπὶ τῇ ἰσότητι παρέλαβεν· οὐ γὰρ ἂν ἐφάνη τὸ δεινὸν τῦ μὴ πεισθῆναι, εἴ τινα παρέλαβε τῶν πεισθέντων. BLV.

526. παραρρητοί: ὡς παραμυθητοὶ καὶ νοητοί, κατ' ὄξειαν τάσιν. A.

527. μέμνημαι τόδε ἔργον: ὑποδιήγησις τὸ τοιῦτον καλεῖται. ὁμοίαν δὲ μῆνιν παραγράφει. Ἀχιλλεὺς τοῖς Ἕλλησιν ὀκ ἐπαμύνει δι' Ἀγαμέμνονα, καὶ ὁ Μελέαγρος τοῖς Αἰτωλοῖς διὰ τὴν μητέρα. ἀρχὴ μήνιδος Ἀχιλλεῖ χόλος Ἀπόλλωνος, καὶ τῷ Μελεάγρῳ Ἀρτέμιδος ὀργή· Ἀχιλλεῖ Βρισηΐδος ὕβρις, Μελεάγρῳ δὲ Ἀταλάντης. πρὸς ἑκάτερον πρεσβεύσι, δῶρα δώσειν ὑπισχνέμενοι. τὰ λοιπὰ ὁ Φοῖνιξ εὔχεται ὅμοια μὴ γενέσθ· ὅμως γεγόνασιν. ἑκάτερος αὐτῶν εἶχε τοῖς δεομένοις. τὸν Μελέαγρον ἐποίησεν ἡ γυνὴ ἐξελθεῖν, τῦ πολέμου ἐπὶ θύραις ὄντος· καὶ ὁ Πάτροκλος πλησίον τῶν πολεμίων ὄντων δεηθεὶς προελθεῖν, ἔπειτα ἀποθανών, ἠνάγκασε τῆς ἔχθρας παύσασθαι τὸν Ἀχιλλέα. ὅπερ καὶ Μελέαγρος πέπονθεν. BL.

ἡ διπλῆ, ὅτι τὸ νέον νεωστί. A.

528. τὸ ὡς ἦν δύναθ' καὶ τοῖς ἄνω καὶ τοῖς ἑξῆς συνάπτεσθαι. ἐὰν δὲ τοῖς ἄνω συνάπτηθ', ἕξαι, μέμνημαι ὡς ἦν· ἐὰν δὲ τοῖς ἑξῆς, ἕξαι ὑπερβατόν, ὡς δέ ἦν, ἐν ὑμῖν ἐρῶ. A.

ὅτι ἠθικῶς καθ' ὑπεξαίρεσιν λέγει ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισιν, οἷον ὐδεὶς ξένος πάρεστι, διὰ τὸ κατ' Ἀχιλλέως παραδείγματι χρῆσθαι τῇ κατὰ τὸν Μελέαγρον. A.

ἐπεὶ κατὰ τῦ Ἀχιλλέως ἐκφέρει τὸ παράδειγμα, φησίν, ἐπὶ φίλων γάρ μοί ἐσιν ὁ λόγος. BL.

529. Κουρῆτες οἱ ἐν Πλευρῶνι οἰκῦντες, πόλει τῆς Αἰτωλίας. ὠνομάσθησαν δὲ ὕτως παρὰ τὸ μὴ κείρεσθαι τὰς κόμας. AD.

Κουρῆτες: οἱ τὴν Πλευρῶνα οἰκῦντες, ἄποικοι τῶν Βιβρέων. ὕτως δὲ ἐκαλῦντο ἢ ἀπὸ Κουρίδος ὄρους, ἢ Κουρέως, ἢ ἐπεὶ κόλας καὶ κόμας κορῶν εἶχον. Στράβων δὲ οὕτως· Ἀρχέμαχος ὁ Εὐβοεύς φησι τὸς Κορῆτας ἐν Χαλκίδι οἰκῆσαι, συνεχῶς δὲ πολεμῦντας περὶ τῦ Αἰλαντος πεδίου, ἐπειδὴ οἱ πολέμιοι κομῶν δραττόμενοι κατέσπων αὐτούς, ὀπισθοκόμους γενέσθ, τὰ δὲ ἔμπροσθεν κείρεσθ· διὸ Κορῆτας ἀπὸ τῆς κουρᾶς κληθῆναι· κατοικῦντες δὲ εἰς Αἰτωλίαν τὴν πέραν οἰκῦντας διὰ τὸ ἀκύρους φυλάσσειν τὰς κεφαλὰς Ἀκαρνᾶνας ὠνόμαζον. L.

ὕτως ἀνεγνώσθη ὡς ἀβλῆτες, πρὸς διαζολὴν τῦ κύρητες Ἀχαιῶν (Il. 19, 248). ὀκ ἐχρῆν δέ, καθότι οὐ φιλεῖ τὰ εἰς ῆς λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι. ἐλέγχεθ' δὲ καὶ ἡ κλίσις τῦ κουρῆτες ἐν τῇ κλίσει τῶν ὀνομάτων. A.

τῆς μέσης συλλαβῆς περισπωμένης οἱ τὴν Πλευρῶνα κατοικῦντες· „Κορῆτές τ' ἐμάχοντο"· τῆς δ' αὐτῆς συλλαβῆς βαρυτονουμένης οἱ νεανίαι· „ἅμα δ' ἄλλοις ἦσαν κύρητες Ἀχαιῶν." A.

Κορῆτες τὸ ἐθνικόν, κυρῆτες δὲ οἱ νεανίαι. ὡς Μάγνης καὶ Ἴγνης. V.

Αἰτωλοὶ οἱ Καλυδώνιοι, ἐπεὶ καὶ οἱ Κορῆτες Αἰτωλοὶ ὑπῆρχον, ἐμφυλίου ὄντος τῦ πολέμου. ἦ ἐν Καλυδῶν πρώτη πόλις τῆς Αἰτωλίας. AD.

ἀντὶ τῦ εἰπεῖν Κορῆτες καὶ Καλυδώνιοι ἐπὶ τὸ γενικώτερον ἦκε. διχῆ δὲ διήρηθ ἡ Αἰτωλία, καὶ τῆς μὲν Καλυδωνίας ἦρχεν Οἰνεύς, τῆς δὲ Πλευρωνίας Θέσιος. ψυχαγωγεῖ δὲ ἡ ἱστορία τὸν θυμόν. δύο δέ φησι, μὴ ἀτιμάζειν ἱκέτας, καὶ ὡς ἄτιμος ἡ μετὰ δέησιν αὐτόκλητος ἐπικουρία. περισκέπων δὲ διὰ τῆς διηγήσεως τὸν λόγον, δείκνυσιν ὡς πάντως δεῖ βοηθῆσαι. καὶ τὰς ἱστορίας δέ φησι παλαιάς, ὅτι ἀειμνήστους ἐπὶ κακῷ ποιεῖ τὸς ὀργιζομένους ὁ θυμός. οἰκεῖον δὲ διδασκάλῳ ἐκ τῶν παλαιῶν σωφρονίζειν τὸς νέους. ποικίλλει δὲ τὴν δέησιν, πιθόμενος τὰς ἱστορίας διὰ τῶν παλαιῶν προσώπων. BL.

531. ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησε, καὶ ὅτι λείπει ἡ περί, περὶ Καλυδῶνος. A.

534. Θαλύσια: ἑορτὴ ἐν ᾗ τὰς ἀπαρχὰς τοῖς θεοῖς ἐπιθύουσι τῶν καρπῶν. A.

τὰς ὑπὲρ εὐθαλείας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις θεοῖς καὶ τῇ Δήμητρι. AD. δηλοῖ ὅτι ἀεὶ δεῖ μεμνῆσθ θεοῦ. ἁπαξ δὲ κεῖται ἡ λέξις. δηλοῖ δὲ ἃ ἡμεῖς φαμὲν συγκομιδήρια. A.

Οἰνεὺς Αἰτωλίας δυνάσης τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν τοῖς θεοῖς θύων Ἄρτεμιν μόνην παρέλιπεν. ἡ δὲ θεὸς ὀργισθεῖσα μέγα τοῖς Αἰτωλοῖς συὸς χρῆμα ἔπεμψεν, ὃς ὐ μόνον τὴν χώραν ἀλλὰ καὶ τὸς ἐνοικῦντας διέφθειρεν. Καλυδώνιοι δὲ καὶ Πλευρώνιοι προῆλθον ἐπὶ τοῦτον. Μελέαγρος δὲ ὁ Οἰνέως πρῶτος ἐπιτυχών, γέρας τὰ τῦ συὸς ἀκροθίνια λαβών, τὴν κεφαλὴν καὶ τὸ δέρμα, Ἀταλάντῃ δὲ ἐρῶτα δωρεῖ· καὶ γὰ αὐτὴ συνεξῆλθεν αὐτοῖς ἐπὶ κυνηγίᾳ, οἱ δὲ Θεσπιὰδες μὲν παῖδες, ἀδελφοὶ δὲ τῆς Μελεάγρου μητρὸς

Ἀλθαίας, ὀργίλως ἐπὶ τούτῳ διατεθέντες ἐπεβούλευον τῷ Μελεάγρῳ. ὁ δὲ προγνοὺς οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ εἰς φυγὴν τραπῆναι παρεσκεύασεν· διόπερ οἱ Πλευρώνιοι τοῖς Καλυδωνίοις ἐπεστράτευσαν. Μελέαγρος δὲ κατ' ἀρχὰς τῇ μητρὶ μηνιῶν οὐκ ἐβοήθει τῇ πατρίδι, πορθουμένης δὲ ἤδη τῆς πόλεως πεισθεὶς ὑπὸ Κλεοπάτρας τῆς γυναικός, προελθὼν οὓς μὲν ἀνεῖλεν, οὓς δὲ διώκων ἠνάγκασεν ἐκεῖθεν κατὰ κρημνῶν ἐνεχθῆναι. Ἀλθαία δὲ μηνιῶσα τῷ παιδὶ τὴν ὑπὸ Μοιρῶν δεδομένην δᾷδα κατέφλεξεν· ἦν δὲ πεπρωμένον ἐκείνης κατακαείσης καὶ τὸν Μελέαγρον ἀποθανεῖν. φθαρέντος δὲ τοῦ παιδὸς Ἀλθαία μετανοήσασα ἑαυτὴν ἀναιρεῖ. ABD.

ἀναλογεῖ ἡ μὲν τὸν κάπρον ἐπιπέμψασα Ἄρτεμις τῷ ἐπιπέμψαντι λοιμὸν Ἀπόλλωνι, οἱ δὲ Κουρῆτες τοῖς Τρωσίν, ὁ δὲ Μελέαγρος τῷ Ἀχιλλεῖ τῷ νῦν μὲν δεήσεσι μὴ πειθομένῳ, δι' ἀνάγκην δὲ ἴσως βοηθήσοντι διὰ τὰς ναῦς. A.

537. ἢ λάθετ' ἢ οὐκ ἐνόησε: ἀπὸ μετοχῶν εἰς ῥῆμα μετῆλθε. λάθετο δὲ ἀντὶ τοῦ ἑκὼν παρεπέμψατο· οὐκ ἐνόησε δὲ οὐκ ἔλαβεν εἰς νοῦν. ἀξιόπιστον δὲ τὸ διστάσαι· ὡς ἔχει καὶ τὸ „ἢ δρυὸς ἢ πεύκης" (Il. 23, 328). ἀσύγγνωστον δὲ τὴν εἰς θεοὺς παράβασιν ὑποτίθεται, εἴθ' ἑκὼν μὴ τιμῷ εἴτε ἀκουσίως, καὶ εἰ μὴ πάντας. BL.

ἄλλως. ἤτοι ἐννοήσας θῦσαι ἐπελάθετο, ἢ οὐδὲ ὅλως ἐπενόησεν. AD.

ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος γράφει ἐκλάθετ' οὐδ' ἐνόησεν, ὥστε τὸ αὐτὸ δεῖ λογίζεσθαι. οὐκ ἐνόησε δὲ ὅτι διαφέρει· τὸ μὲν γὰρ ἐλάθετο, ἑκὼν παρέπεμψεν, τὸ δὲ οὐκ ἐνόησεν, οὐδὲ τὴν ἀρχὴν κατὰ νοῦν ἔχεν. A.

538. πρὸς Ἀχιλλέα τὸ δῖον γένος· οὐδέποτε γὰρ ἐπὶ θεοῦ τάσσει τὴν λέξιν. ὁ δὲ Νικάνωρ ἐπὶ Ἀρτέμιδος. BL. καὶ γὰρ λέγει, φησίν „αἶψά κ' ἐγὼν ἔρξαιμι, διοτρεφές, ὡς ἀγορεύεις" (Od. 13, 147), ἀγνοῶν ὅτι κελαινεφές ἐστιν. LV.

539. ἐπὶ: οἱ μὲν ἀναστρέφουσιν, ἵν' ᾖ ἐπῶρσεν· οἱ δὲ ἐκδεξάμενοι χλούνην τὴν χλόην ἐνέκλιναν, ἵνα γένηται τὸ ἑξῆς ἐπὶ τὴν χλούνην. ABL.

χλούνην: οἱ μὲν ἀφριστήν· χλουδεῖν γὰρ τὸ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον. ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων ἰαμβοποιῶν τινὰ φάναι „ἀνὴρ ὅδ' ἑσπέρης καθεύδοντα ἄπου ἔδησε χλούνην." Ξενοφῶντα δὲ γένος τι Ἰνδῶν φάναι τὸν χλούνην εἶναι, καθάπερ καὶ παρ' Αἰσχύλῳ ἐν Ἠδωνοῖς „μακροσκελὴς μὲν ἄραμα χλούνης τις ᾖ." τινὲς δὲ τῶν τὰ Αἰολικὰ ἀναγεγραφότων Χλούνην τόπον τινά φασι καλεῖσθαι περὶ Καλυδῶνα, ἐν ᾧ τὸν κάπρον διατρίβειν, καὶ διὰ τοῦτο χλούνην προσαγορευθῆναι. τινὲς δὲ ἐπὶ τὸ αὖτε παρατείνονται τὸν ποιητὴν σῦν ἄγριον εἰρηκέναι. B.

οἱ μὲν τὸν ἐντομίαν· κνώμενοι γὰρ πρὸς τὰ φυτὰ παρατρίβονται καὶ ἀγριώτεροι γίνονται. οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα· τὸν γὰρ οἰκοτραφῆ σίαλόν φησιν· οἱ δὲ τὸν εἰς γῆν καταβάλλοντα τὰ φυτά. ἄλλοι δὲ τὸν ἐπὶ Χλούνῃ, χωρίῳ οὕτω καλουμένῳ, ἐνδιατρίβοντα. ABL.

540. ἔρδεσκεν: Ἀμμώνιος ἐν τῷ περὶ τῶν ὑπὸ Πλάτωνος μετενηνεγμένων ἐξ Ὁμήρου διὰ τοῦ ζ προφέρεται, ἔρεζεν. A.

Ἀμμώνιος ἔρεξεν, L.

ἔθων: εἰθισμένος τοῖς τόποις διατρίβειν. οἰκεία δὲ τιμωρία τῷ περὶ καρποὺς ἡμαρτηκότι. A.

τὸ ἔθων ὅμοιον τῷ „οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες" (Il. 16, 260), τουτέστιν ἐξ ἔθους ἐπιφοιτῶντες. καὶ οἱ ἐθήμονες δὲ ἐντεῦθεν. BL.

ὁ τὰ συνήθη πράττων. καὶ „παῖδες ἐριδμαίνουσιν ἔθοντες." παράγωγον δὲ τοῦ ἔθω τὸ ἐθείρω καὶ ἐθειράζειν τὸ ἐπιμελεῖσθαι τριχῶν. L.

ὅτι οἱ γλωσσογράφοι τὸ ἔθων ἀποδιδόασι βλάπτων. ἔστι δὲ ἐξ ἔθους ἐπιφοιτῶν. A.

ψιλῶς τὸ ἔθων, καθότι ἐδιδασκόμεθα καὶ ἐκ τῆς συναλοιφῆς „ἥ ἑ μάλιστ' εἴωθε" (Il. 5, 766). καὶ ἄλλως τὸ ε πρὸ τοῦ θ οὐ δασύνεται, εἰ μὴ εἴη ἀντωνυμικὸν ἐξ ἀποβολῆς τοῦ σ, σέθεν ἔθεν. τὴν γὰρ ὑπό τινων φερομένην ἕδον παραιτητέον. A.

541. προθέλυμνα: ἡ διπλῆ, ὅτι ἄλλα ἐπ' ἄλλοις· ἔνιοι δὲ πρόῤῥιζα. A.

τὰ ἄλλα ἐπ' ἄλλοις προτιθέμενα, ὅ ἐστι συνεχῆ. φησὶ γοῦν καὶ „σάκος σάκεϊ προθελύμνῳ" (Il. 13, 130) καὶ „τετραθέλυμνον" (Il. 15, 479). BL.

542. μήλων: ἐξ ἑνὸς τὸ πᾶν· „καὶ μηλέαι ἀγλαόκαρποι" (Od. 7, 115). μηλοφόρον δὲ καὶ τὴν Δήμητραν τιμῶσιν. BL.

ὅτι μῆλα πάντα τὰ ἀκρόδρυα ἔλεγον οἱ παλαιοί, οὐχ ὡς ἡμεῖς εἰδικῶς· καὶ ὅτι εἴωθεν ἡ σὺν πρόθεσις ἐλλείπειν. A.

543. Μελέαγρος: ἴσως ὅτι πρῶτος ἔβαλεν· ἅμα δὲ καὶ ἡ Ἀταλάντη. Μελέαγρος δὲ παρὰ τὸ ἐν μελέτῃ τῆς ἄγρας εἶναι· κυνηγοὶ γὰρ οἱ Αἰτωλοί. BL.

546. πυρῆς ἐπέβησ': ἀντὶ τοῦ ἀποκτείνας καυθῆναι ἐποίησεν. A.

ἡ διπλῆ, ὅτι ἐκ τοῦ παρακολουθοῦντος σημαίνει ἀνεῖλεν· καὶ ὅτι διὰ πυρὸς ἔθαπτον. A.

οὐ ζῶν μόνον, ἀλλὰ καὶ τελευτήσας διὰ τὴν ἐπ' αὐτῷ μάχην. ἀλεγεινῆς δέ, ὅτι ἀλγοῦμεν ἐπὶ τοῖς ἀποθνήσκουσιν. BL.

548. ἀμφὶ συὸς κεφαλῇ: δείκνυσιν ὅτι οἱ θεοβλαβεῖς περὶ τῶν οὐδενὸς ἀξίων διαφέρονται πρὸς ἀλλήλους. ἐσιώπησε δὲ τὴν Ἀταλάντην, αἰδούμενος τὸν Ἀχιλλέα. BL.

ὡς καὶ τῆς κεφαλῆς τῷ δέρματι προσεχομένης. ταῦτα δὲ συνέκειτο δοθῆναι ἀριστεῖα τῷ πρῶτον βαλόντι τὸν σῦν. λαβὼν δὲ αὐτὰ ὁ Μελέαγρος ἐδωρήσατο Ἀταλάντῃ τῇ Ἰάσου, Ἀρκάδι τὸ γένος. λοχήσαντες δὲ αὐτὴν οἱ μήτρωες τοῦ Μελεάγρου ἀφείλαντο τὰ γέρα τῆς κόρης. ἐφ' ᾧ ὀργισθεὶς ὁ Μελέαγρος διεχρήσατο αὐτούς. λυπηθεῖσα δὲ ἐπὶ τοῖς ἀδελφοῖς Ἀλθαία ἡ τοῦ Μελεάγρου μήτηρ κατέφλεξε τὸν ὑπὸ Μοιρῶν αὐτῇ δοθέντα δαλόν, ὄντα συνεκτικὸν τῆς Μελεάγρου ζωῆς, ᾧ συνδιεφθάρη καὶ ὁ Μελέαγρος. ABD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

551. κακῶς ἦν: ἔλλειπτικόν· ἴσως ἀντὶ τῷ κακῶς ἦν ἔχοντα τὰ πράγματα τοῖς Κρήτεσσιν. L.

οὐδ' ἐδύναντο: ἐν τῇ Ἀριστοφάνους οὐδ' ἐθέλεσκον. ᾗ ἔστιν Ὁμηρικόν· „οὐδ' ἔθελε προρέειν" (Il. 21, 366). AL.

554. οἰδάνει: ἡ διπλῆ, ὅτι οἰδάνει ἀντὶ τοῦ οἰδάνειν ποιεῖ, ὅμοιον τῷ „πάντας μέν ῥ' ἔλπει" (Od. 2, 91) ἀντὶ τῷ ἐλπίζειν ποιεῖ. A.

ἄλλως. οἰδαίνεσθαι ποιεῖ, ὡς τὸ μελάνει. καὶ ὅτι μὲν ἀνθρώπινον τὸ πάθος, οἶδεν, ἀλλὰ περιγίνεσθαι παραινεῖ, καὶ ἡμᾶς μὲν αὐτῆς ἐκτρέπει, Ἀχιλλεῖ δὲ συγγινώσκει. ABL.

555. καθόλου τὸ φίλη· οὐ γὰρ ἦν αὐτῷ τότε φίλη ἡ μήτηρ. BL.

Ἀλθαία: ὧδε μὲν κύριον, ἀλλαχῆ δὲ εἶδος φυτῆ. σημαίνει δὲ τὴν ἀγρίαν καὶ δενδρῖτιν μαλάχην, ὁποῖόν τι καὶ ἐπὶ μίνθης, ἐξ ἧς ἡ καλαμίνθη. περιβλητικῶς κατὰ λόγον παρενθέσεως τὴν περὶ τῆς Κλεοπάτρας ἱστορίαν παρενέθετο ὁ ποιητής. L.

556. Κλεοπάτρη: Κλεοπάτρα Ἴδα καὶ Μαρπήσσης τῆς Εὐηνοῦ θυγάτηρ, γυνὴ δὲ Μελεάγρου. A.

557. κέρη Μαρπήσσης: Ἴδας ὁ Ἀφαρέως μὲν παῖς κατ' ἐπίκλησιν, γόνος δὲ Ποσειδῶνος, Λακεδαιμόνιος δὲ τὸ γένος, ἐπιθυμήσας γάμε παραγίνετο εἰς Ὀρτυγίαν τὴν ἐν Χαλκίδι, ᾗ ἐντεῦθεν ἁρπάζει τὴν Εὐηνᾶ θυγατέρα Μάρπησσαν. ἔχων δὲ ἵππας Ποσειδῶνος ἠείγετο. ὁ δὲ Εὐηνὸς εἰς ἐπιζήτησιν ἐξῆλθε τῆς θυγατρός, ἐλθὼν δὲ κατὰ τὸν Ἀχελῶον ποταμὸν τῆς Αἰτωλίας, μὴ καταλαβών, ἑαυτὸν ἐκεῖ καθῆκεν· ὅθεν ὁ Ἀχελῶος Εὐηνὸς μετωνομάσθη. κατὰ δὲ τὴν Ἀρήνην ἀπαντήσας ὁ Ἀπόλλων τῷ Ἴδᾳ λαμβάνει τῆς Μαρπήσσης· ὁ δὲ ἔτεινε τὸ τόξον ᾗ διεφέρετο περὶ τῷ γάμε. οἷς κριτὴς ὁ Ζεὺς γενόμενος αἵρεσιν τῷ γάμε ἐπὶ τῇ Μαρπήσσῃ τίθετο. ἡ δὲ δείσασα μὴ αὐτὴν ἐπὶ γήρᾳ καταλίπῃ ὁ Ἀπόλλων, αἱρεῖται τὸν Ἴδαν. ἔτιος δὴ Σιμωνίδης (ὡς διάσημον οὖν V) τὴν ἱστορίαν περιείργασαι. BLV.

Εὐηνὸς Ἄρεως παῖς, βασιλεὺς Αἰτωλίας, ἔχων θυγατέρα εὐπρεπεστάτην Μάρπησσαν τἄνομα, τὸς μνησευομένας αὐτὴν προεκαλεῖτο εἰς ἁρματηλασίας ἀγῶνα, λέγων ἐκδώσειν τῷ διαφεύγοντι αὐτὸν διώκοντα. τοὺς δὲ λειφθέντας κρατομῶν, ἐπετίθει τὰς κεφαλὰς ἐπὶ τῶν τοίχων τῆς οἰκίας εἰς κατάπληξιν τῶν λοιπῶν. πολλῶν τοίνυν ἤδη ἀνῃρημένων, Ἴδας Ἀφαρέως μὲν υἱός, ταῖς δ' ἀληθείαις Ποσειδῶνος, τελευταῖον λαβὼν παρὰ τῆ πατρὸς ἵππας ποδωκεστάτας, ἥρπασε τὴν κόρην χορεύουσαν ἐν Ἀρτέμιδος. Εὐηνὸς δὲ ὡς ἐκ ἠδύνατο καταλαβεῖν, ἀποσφάξας τὰς ἵππας ἃς εἶχεν, ἔῤῥιψεν ἑαυτὸν εἰς τὴν θάλατταν, μᾶλλον δὲ εἰς Ἀχελῶον ποταμόν, ὃς ἀπ' αὐτοῦ Εὐηνὸς προσηγορεύθη. διαπεφευγότι δὲ τῷ Ἴδᾳ τὸν κίνδυνον Ἀπόλλων ἠγανάκτησε περὶ τῆς κόρης, βουλόμενος ἁρπάζειν αὐτήν. προϊόντων δὲ αὐτῶν εἰς μάχην, Ζεὺς πέμψας Ἑρμῆν ἐπέτρεπε τῇ κόρῃ ἐλέσθαι ὃν ἂν βούληται. ἡ δὲ εἵλετο τὸν Ἴδαν, εὐλαβηθεῖσα μὴ γηράσασαν αὐτὴν ἀπολίπῃ Ἀπόλλων. BD.

καλλισφύρου: σημεῖόν ἐστι συμμετρίας σώματος· ὡς ἐπὶ πᾶν γὰρ παχεῖαι τὰ κάτω αἱ γυναῖκες· αἱ γὰρ παχεῖαι τοῖς ἐρῶσιν ἐκ ἀγαθαί. τὸ δὲ θῆλυ εἶδος ἐκ τῶν σφυρῶν καὶ τῆς ζώνης καὶ τῆς ὄψεως ὁρᾶται. BLV.

559. τῶν τότε: ἐπαινετέον τὸ ἀκριβὲς περὶ τὴν ἑκάστε ἦθοποιίαν. ὁ μὲν ἐν Φοίνιξι κάρτιστον εἰπὼν τὸν Ἴδαν, ἵνα μὴ δόξῃ καὶ τῷ Ἀχιλλέως αὐτὸν προτετιμηκέναι, ἐπήνεγκε „τῶν τότε." τῷ δὲ Νέστορι ἀθῳπεύτως εἰρῆσθαι „ἐ γάρ πω τοίους ἴδον" (Il. 1, 262). BL.

562. Ἀλκυόνην: ἀντὶ τῷ Ἀλκυόνα. γίνεται δὲ παρὰ τὸ ἐν ἁλὶ κύειν. BL.

ἡ διπλῆ, ὅτι ἐ τὴν Μάρπησσαν ἀλλὰ τὴν Κλεοπάτραν. Κῆϋξ ὁ Φωσφόρε τῷ ἀστέρος, γήμας Ἀλκυόνην τὴν Αἰόλε, μέγα φρονήσας ἐφ' ἑαυτῷ θεὸς ἐβούλετο νομίζεσθαι· διόπερ ἥ τε γαμετὴ διὰ παντὸς ἐκάλει Δία αὐτόν, κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας μετέβαλεν αὐτοὺς εἰς ὄρνεα χωρὶς ἀλλήλων βιοῦντα· ἐκλήθη δὲ ἡ μὲν Ἀλκυόνη, ὁ δὲ Κῆϋξ. παρὰ δὲ τοῖς αἰγιαλοῖς τῆς Ἀλκυόνης τικτούσης, συνέβη ἐπελθόντα τὰ κύματα τὰ ἔγγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτὴν κλαίουσαν, κατελεήσας ἐπέταξε τοῖς ἀνέμοις, καθ' ὃν καιρὸν ἡ Ἀλκυόνη τίκτει, μὴ πνεῖν μέχρι ἰδ' ἡμερῶν τῷ χειμῶνος αὐξανομένε. οἱ ἐν γονεῖς ἀπὸ τῶν αὐτῇ συμβεβηκότων τὴν Κλεοπάτραν οὕτως ἐκάλεσεν, ὡς Μεγαπένθην καὶ Εὐρυσάκη καὶ Ὀδυσσέα καὶ Νεοπτόλεμον· „ἔπω" γὰ „εἰδόθ' ὁμοίε πολέμοιο" (440). ἐκλαιεν ἐν ἡ Μάρπησσα κιλοῦσα τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτὴν ἥρπασεν ὁ Ἀπόλλων. ABL. ἢ ἡ μήτηρ Ἀλθαία. A.

ἐπώνυμον: ἀντὶ τῷ φερώνυμον καὶ ἀπὸ συμβεβηκότος οἰκείως κείμενον. τὴν Κλεοπάτραν ἐν, φησί, παρωνύμως καὶ Ἀλκυόνην ἐκάλεσεν διὰ τὸ τὴν μητέρα Μάρπησσαν δίκην ἀλκυόνος κλαῦσαι, ὅτε ἀφηρεῖτο αὐτὴν ὁ Ἀπόλλων. ABD.

564. Ἀρίσαρχος ὅ μεν, ὅτι αὐτήν. AL.

ὅτε: οὕτω Ζηνόδοτος χρονικῶς. A.

ἀφήρπασε: γράφεται ἀνήρπασε. A.

567. κασιγνήτοιο φόνοιο: διὰ τὸν φόνον τῶν ἀδελφῶν· ἀπέκτεινε γὰ Μελέαγρος τὸς ἀδελφὸς τῆς μητέρος αὐτῆ. ἢ ἀντὶ τῷ κασιγνητικᾶ φόνε· ἐ γὰ εἷς ἦν ὁ ἀνῃρημένος τῆς Ἀλθαίας ἀδελφός, ἀλλὰ πλείες, Ἴφικλος, Πολυφάντης, Φάνης, Εὐρύπυλος, Πλήξιππος. DL.

κασιγνητικᾶ, ὡς „γυναῖκά τε θήσατο μαζόν" (Il. 24, 58), εἰ μήπω καθ' Ὅμηρον εἷς ἐσί. δύο δ' ἦσαν, Κλυτίος καὶ Προκλάων. L.

κασιγνήτοιο ὡς Ἀδμήτοιο. τινὲς δὲ προπερισπῶσιν ὡς λευκοῖο, ἵνα γένηται κασιγνητικᾶ· ἡ γὰ Ἀλθαία, φησίν, ἐχ ἵνα εἶχεν ἀδελφόν. δύναται μέντοι καὶ τὸ βαρυνόμενον ἐνικὸν ἰσοδυναμεῖν τῷ κασιγνητικᾶ. ἀδελφοὶ δὲ Ἀλθαίας Ἴφικλος, Πολυφάντης, Φάνης, Εὐρύπυλος, Πλήξιππος. ἔτιος Ἀρίσαρχος, τῷ ἀδελφικᾶ. A.

τῷ ἀδελφικᾶ. ἡ διπλῆ, ὅτι λείπει ἡ περί. δύναται δὲ καὶ ἑνὸς καὶ πλειόνων ἀδελφῶν. AB.

568. χερσὶν ἁλοία: ταῖς χερσὶν ἔπληττεν· ὅθεν καὶ

πατραλοίας ὁ τὸν πατέρα τύπτων. εὔχονθ δὲ οἱ ἥρωες τοῖς μὲν ἐρανίοις θεοῖς ἄνω τὰς χεῖρας ἀνίσχοντες „μεγάλ' ἐυχετόωντο ἕκαστος" (Il. 8, 347)· τοῖς δὲ θαλασσίοις „πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς" (Il. 1, 351), εἰς θάλασσαν δηλονότι· τοῖς καταχθονίοις δὲ κόπτοντες τὴν γῆν, ὡς ἐνθάδε φησίν. ABD.

ἡ διπλῆ, ὅτι οἱ τὰς χθονίας θεὰς ἐπικαλέμενοι ταῖς χερσὶ τὴν γῆν ἐπέκρουον. A.

569. ἡ διπλῆ ὅτι ἐπικαλεῖται μὲν τὸν Ἅιδην καὶ τὴν Περσεφόνην, ὑπακόουσι δὲ αἱ Ἐρινύες ὡς ὑπηρετίδες. AB.

570. πρόχνυ καθεζομένη: παντελῶς καθημένη, ὕλη παρειμένη, ἵνα πλέον ᾖ τὸ πάθος. οἱ γλωσσογράφοι, ἐπὶ γόνυ. L.

τὸ πρόχνυ σημαίνει δύο: τὸ πρόγονυ, ὡς ἐνταῦθα, καὶ τὸ παντελῶς, ὡς τὸ „πρόχνυ, ἐπεὶ πολλῶν ἐπὶ γόνατ' ἔλυσε" (Od. 14, 69). B.

571. ἡ διπλῆ, ὅτι αἱ Ἐρινύες ὥσπερ ὑπηρετίδες ὑπακόουσι, καὶ ἐ μάχεθ τὸ „κικλήσκου' Ἄϊδην καὶ ἐπαινὴν Περσεφόνειαν" A.

Ἐρινύς παρὰ τὸ ἐν τῇ ἔρᾳ ναίειν καὶ οἰκεῖν, ὅ ἐστι τῇ γῇ· καταχθονία γάθ ἡ δαίμων. ἢ οἱονεὶ ἀρανύς τις οὖσα, ἡ τὰ αἴσια ἀνύουσα καὶ ἐκτελέουσα. AD. ἠεροφοῖτις δὲ ἡ ἐν τῷ σκότῳ φοιτῶσα· αἱ ποιναὶ γάρ ἀπροοράτως ἔρχονθ. AB.

τὰ εἰς ις παρώνυμα θηλυκά, παρακείμενα τοῖς εἰς ης ἀρσενικοῖς βαρυνομένοις, προπερισπᾶται, εἰ φύσει μακρᾷ παραλήγοιτο, πρωθῆβις πολῖτις ἀλεῖτις πλανῆτις πρεσβῦτις. ἔτως δὲ καὶ ἠεροφοῖτις. ὅσα δὲ παρὰ τὸ πωλεῖν ἐστίν, ἀνεβίβασε τὸν τόνον, ἀρτόπωλις ἀλφιτόπωλις· ἀλλ' ἓν καὶ ὅσα παρὰ τὸ κοῖτος, παράκοιτις ἄκοιτις. τὸ μέντοι δολόμητις ἐκ ἔστι θηλυκόν, ἀλλὰ καὶ ἀρσενικόν· καὶ ἴσως τὸ μῆτις ἔγκειθ, ὡς τὸ πολύμητις δολόμητις. καὶ ἔστι σύνθετον. A.

γράφεθ καὶ ἱεροφοῖτις, ἡ διὰ τῶ σκότες ἐρχομένη. A.

573. δοῦπός ἐστι ψόφος δέος ἐμποιῶν τοῖς ἀκούσι. B.

ὅμαδος δὲ παρὰ τὸ πάντας ὁμοῦ ἄδειν, ὅ ἐστι βοᾶν. V.

574. τὸν δὲ λίσσοντο: ἔτως Ἀρίσαρχος, ἐλίσσοντο, δι' ἑνὸς λ. A.

575. ἱερῆας: ὅτι ἐντεῦθεν Σοφοκλῆς ἐν τῷ Μελεάγρῳ τὸν χορὸν ἀπὸ ἱερέων παρήγαγεν. A.

ἐντεῦθεν καὶ Σοφοκλῆς τὸν χορὸν Οἰδίποδος ἐξ ἱερέων ποιεῖ. L.

576. ὑποχόμενοι μέγα δῶρον: βραχὺ διασαλτέον ἐπὶ τὸ ἀμῦναι, σικτέον δὲ κατὰ τὸ τέλος τῶ σίχον. ἀπ' ἄλλης δὲ ἀρχῆς ὀππόθι πιότατον, καὶ ὑποσικτέον ἐπὶ τὸ ἐρανῆς. A.

578. ἡ διπλῆ, ὅτι συντελικῶς τὸ ἐλέωθαι. A.

579. πεντηκοντόγυον: πεντήκοντα πλέθρων· γύης γὰρ μέτρον γῆς. οἱ δὲ πεντήκοντα ζευγῶν. AD.

τῷ δ' ἀσπάσιος: εἰ ἄλλων ἐδεῖτο, πόσῳ μᾶλλον ἀδελφȣ̃; BL.

36. *πρότερος*: ὡς κατεπτηχότος τȣ̃ βασιλέως· ἢ ὅτι ἐνδιδυσκόμενον αὐτὸν εὗρεν, ὅθεν καὶ ἐξ ἑαυτȣ̃ ἄρχεται. BL.

ἄλλως. τὸ πρότερος διαφέρει τȣ̃ πρῶτος, ὅτι ὁ μὲν πρότερος ἐπὶ δύο λαμβάνεται, ὡς ἐνταῦθα καὶ ὡς ἐπὶ Τληπολέμȣ καὶ Σαρπηδόνος „τὸν καὶ Τληπόλεμος πρότερος" (Il. 5, 32)· καὶ τῷ μὲν προτέρῳ ἀκόλȣθος ὁ ὕστερος. ὁ δὲ πρῶτος ἐπὶ πολλῶν, ὡς τὸ „ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων" (Il. 7, 162). τὸ δὲ πρῶτος σημαίνει τέσσαρα, τὸ κατὰ χρόνον, ὥσπερ πρῶτοί εἰσιν οἱ προφῆται τῶν ἀποστόλων· τὸ κατὰ φύσιν, ὡς τὸ πρῶτόν ἐστι τὸ ζῷον τȣ̃ ἀνθρώπȣ· τὸ κατὰ τάξιν, ὥσπερ πρῶτά εἰσι τὰ στοιχεῖα τῶν συλλαβῶν καὶ τὰ προοίμια τῶν διηγήσεων· τὸ κατ' ἀξίαν, ὡς τὸ πρῶτοί εἰσιν οἱ ἄρχοντες τῶν ἀρχομένων. B.

37. ἡ διπλῆ, ὅτι τὸ *ἠθεῖε* προσφώνησίς ἐστι σεπτικὴ νεωτέρȣ πρὸς πρεσβύτερον λεγομένη. A.

38. *ὀτρύνεις*: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ ὀτρύνων διῃρημένως αἱ Ἀριστάρχȣ τὸ *ὀτρυνέεις*. A.

Ἀρίσταρχος κατάσκοπον. Νικίας δὲ ἀναστρέφει τὴν ἐπί, ἵν' ᾖ ἐπὶ Τρώεσσιν. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν *ἐπισκοπόν* ὡς ἀγακλυτόν, ἵνα παρέλκῃ ἡ ἐπί. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι· καὶ γὰρ ἤδη ἡ συνήθεια ἐπίσταται τὴν τοιαύτην σύνθεσιν. χρὴ δὲ νοεῖν ὅτι πολλὴ ἡ χρῆσις τȣ̃ ὀνόματος παρὰ τῷ ποιητῇ ἐν ἁπλότητι καὶ ἐν συνθέσει· „δμωάων σκοπός ἐσσι" (Od. 22, 396) „καὶ ἐπίσκοπος ᾖσιν ἑταίρων" (Od. 8, 163). A.

τὸ δὲ ἐπίσκοπον τὸν εἰς πολεμίȣς στελλόμενον κατάσκοπον. τȣ̃τον δὲ οἱ ὕστερον καὶ πευθῆνα ἐκάλεσαν. λέγεται δὲ καὶ σκοπός, ὡς ἐρεῖ σκοπὸν Ἕκτορος (526). καὶ τὸ ἔργον αὐτȣ̃ ἐνταῦθα μὲν σκοπιάζειν ἄνδρας δυσμενεῖς, μετ' ὀλίγον δὲ μασκοπιᾶσθαι καὶ πυθέσθαι, ἀφ' ȣ̃ καὶ πευθὴν παρωνόμασται. L.

προὔλαβε τὴν Νέστορος γνώμην τὴν περὶ τȣ̃ δεῖν κατασκόπȣς πέμπειν, τȣ̃ καιρȣ̃ αὐτῷ τὴν ἐπίνοιαν τȣ̃ ἔργȣ ὑποβάλλοντος. καὶ τὸν ἀδελφὸν ὁπλιζόμενον ὁρῶν, καὶ αὐτὸν τȣ̃το βȣλεύεσθαι ὑπονοεῖ. BLV.

39. *δείδω μὴ οὔ τις*: ὡς ἤδη δεδογμένης τῆς βȣλῆς ἐπιλογισμὸν εἰσάγει. εἰς κίνησιν δὲ τὸν ἀκροατὴν εἰσάγει διὰ τὸ δυσχερές. BL.

41. *ἀμβροσίην*: ἐν ᾗ οἱ βροτοὶ ȣ̓ προΐασιν· ὅθεν καὶ ἀβρότη ἡ νύξ. D.

ἔσται: γράφεται *ἐστίν*, καὶ ἐν ἄλλῳ *εἴη*. A. ὁ Ἰξίων ἐστί γράφει. V.

43. *χρεὼ βουλῆς ἐμὲ καὶ σέ*: ἡ χρεία, φησί, τῆς βȣλῆς ταύτης τῆς λαθραίως γινομένης δι' ἐμὲ καὶ σὲ γέγονεν, ἐπεὶ καὶ τὸν στρατὸν ἡμεῖς ἀνηγάγομεν ἐνταῦθα. V.

χρεία συμβȣλῆς τινὸς ἐμοὶ καὶ σοί. ἔστι δὲ σολοικισμὸς παρὰ τὰς πτώσεις, ἀντὶ τȣ̃ ἐμοὶ καὶ σοί. AD.

σεμνὸν τὸ τȣ̃ βασιλέως εἰς ἐπίσκεψιν πλείονα φερομένȣ. ἅμα δὲ καὶ ὁ ποιητὴς ἀναρτᾷ τὸν ἀκροατήν. τὸ δὲ χρεὼ οἱ μὲν ἀντὶ τȣ̃ χρεία λέγȣσιν, οἱ δὲ ἀντὶ τȣ̃ δεῖ, οἷον δεῖ ἐμὲ καὶ σὲ βȣλῆς, ἤτοι περὶ βȣλῆς διανοεῖσθαι ἀρίστης. BL.

44. *κερδαλέης*: ἐπωφελȣ̃ς, συνετῆς, ὠφελίμȣ. ἢ πανȣ́ργȣ, παρὰ τὴν κερδώ, ὅ ἐστι τὴν ἀλώπεκα· ἔστι δὲ πανȣργότατον τῶν ζῴων. δεῖ, φησί, τὰ ἀπὸ τῆς τύχης λειπόμενα ταῖς βȣλαῖς ἀντισηκȣ̃ν. AB.

ἡ διπλῆ, ὅτι περισσὸς ὁ *κέν* σύνδεσμος, ἢ ῥῆμα ἐνήλλακται, ἀντὶ τȣ̃ ἥ τις ἂν ἐρύσσαιτο. καὶ πρὸς τὸ „ἐνθάδε Σίσυφος ἔσκεν ὁ κέρδιστος" (Il. 6, 153). A.

45. *ἐπεὶ Διὸς ἐτράπετο φρήν*: ἡ διπλῆ, ὅτι φανερῶς ὁ Ζεὺς ἐβοήθει τοῖς Ἕλλησι πρὶν ἱκετευθῆναι ὑπὸ τῆς Θέτιδος· καὶ ὅτι τὸ ἡμιστίχιον ὁ Ζηνόδοτος μετήνεγκεν ἐπὶ τὸν Ἕκτορος λόγον κατὰ τὴν κόλον μάχην (Il. 8, 501). A.

46. *θῆχ' ἱεροῖσιν*: ἔν τισι τῶν ὑπομνημάτων *εἶχ' ἱεροῖσιν*. A.

θεοσεβὴς ὑπόνοια μὴ δι' Ἀχιλλέα, διὰ δὲ θυσίας λέγειν τὸν Δία βοηθεῖν. BL.

47. *οὐ γάρ πω ἰδόμην*: ηὔξησε τὰ ἔργα τȣ̃ Ἕκτορος, ἀνυπέρβλητα φήσας εἶναι αὐτὰ καὶ ὄψει καὶ ἀκοῇ. BL.

48. *μέρμερ'*: μερίμνης καὶ φροντίδος ἄξια· καταστρέφει δὲ εἰς τὸ κακά. τὸ δὲ *ἐπ' ἤματι* Ἀρίσταρχος διὰ τȣ̃ ν̄, ἐν ἤματι, ὁμοίως τῷ „μηνὶ δ' ἐν οὔλῳ" (Od. 24, 118). A.

50. *υἱὸς φίλος*: λείπει ὑπάρχων. A. προσληπτέον τὸ ὤν. D.

κατὰ Πορφύριον ἁπλοϊκῶς δεῖ λαμβάνειν· οὐ γὰρ πρὸς Ἀχιλλέα ἡ σύγκρισις. BL.

51. *μελησέμεν*: φροντίζεσθαι. τȣ̃το ἐφερμηνευτικόν ἐστι τȣ̃ μέρμερα μητίσασθαι. L.

51. 52. ἀθετȣ̃νται στίχοι δύο, ὅτι παλιλλογεῖ ταῦτα (δι' ἄλλων γὰρ προείρηται „ὅσσ' Ἕκτωρ ἔρρεξε Διὶ φίλος υἷας Ἀχαιῶν") καὶ ὅτι ἐπὶ ταὐτὸν φέρει *δηθά* καὶ *δολιχόν*, καὶ Ἀριστοφάνης προηθέτει. A. ἀθετεῖ ὁ Ἀριστοφάνης. V.

δολιχόν: διαφέρει τὸ δόλιχος τȣ̃ δολιχός. προπαροξυνόμενον γάρ ἐστιν εἶδος ὀσπρίȣ, ὀξυνόμενον δὲ σημαίνει τὸν μακρόν. B.

53. *ἀλλ' ἴθι νῦν*: πρεπόντως τὴν τάξιν ἐμέρισεν ἀμφοτέροις· καὶ ὁ μὲν νεώτερος καὶ ἥττων τὸ ἀξίωμα ἐπὶ τȣ̀ς πόρρω σκηνȣ̃ντας ἀπέρχεται, ὁ δὲ πρεσβύτερος καὶ βασιλικώτερος ἐπὶ τὸν συνετώτατον Νέστορα, σὺν ἐκείνῳ δὲ καὶ τȣ̀ς ἄλλȣς ἐγείρει. πρεπόντως δὲ καὶ ἐπὶ μὲν τῶν νεωτέρων καὶ ἧττον ἐνδόξων τὸ *κάλεσον* προστακτικῶς εἶπε· περὶ δὲ τȣ̃ Νέστορος παραπεφυλαγμένως φησὶν *αἴ κ' ἐθέλῃσιν*, ἀντὶ τοῦ ἐὰν αὐτῷ δόξῃ χρήσιμον εἶναι, ἐπὶ τῇ ἐκείνου γνώμῃ τὴν πᾶσαν κρίσιν τιθέμενος. BL.

Αἴαντα: ὁ μὲν Δίδυμος τὴν Ἀριστάρχειαν γραφὴν λέγει *Αἴαντε* δυϊκῶς, ὁ δὲ Τήλεφος λέγει κακῶς εἰρηκέναι τὸν Δίδυμον· ȣ̓ γὰρ ἐπ' ἀμφοτέρȣς τȣ̀ς Αἴαντας ὁ Μενέλαος πέμπεται, A.

ὅτι ἐκ τȣ́των καὶ τῶν τοιȣ́των τὰ περὶ τȣ̃ ναυστάθμου ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀρίσαρχος ἐπραγματεύσατο.] ῥητῶς γ' λέγει πλησίον τῆ Ἄιαντος ὁ Ἰδομενεὺς νενεωλκηκέναι. A.

54. ἐπὶ νῆας: Ἀρίσαρχος παρὰ νῆας. A.

55. γράφει αἴ κ' ἐθέλῃσι. A.

56. φυλάκων: ὡς σκυλάκων. ἐπὶ γ' τῶν ἀνδρῶν τέτακται, ἐκ δὲ τῶν τόπων. A.

ὅτι οἱ γλωσσογράφοι ἱερὸν τέλος τὸ μέγα τάγμα. A.

ἱερὸν τέλος, ὅτι τοῖς καθεύδουσιν ἄδειαν παρέχουσιν, ὃ ἔστι θεῖον ἴδιον. BL.

ἤτοι μέγα, ἢ ἀπηλλαγμένον τῶν λοιπῶν ἔργων. τέλος δὲ τὸ τάγμα. σημαίνει δὲ πλείονα ἡ λέξις, ποτὲ μὲν τὸ τάγμα, ὡς ἐνθάδε, ποτὲ δὲ τῆ συμπεπληρωμένη πράγματος ἢ ἔργου τὸ τέλος, ποτὲ δὲ τὴν ἐκ τῶν ἐπεισαγομένων ὠνίων φοιτῶσαν ταῖς πόλεσι πρόσοδον, ποτὲ δὲ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα, ὡς ἔστιν εὑρεῖν παρά τε Θουκυδίδῃ καὶ Ξενοφῶντι καὶ Εὐριπίδῃ· „τοῖς ἐν τέλει βεβῶσι πείσομαι·" ποτὲ δὲ τὸ ἁπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδῳ „μάτην γ' οἶκον τόδ' (μάτην εἰκοσὶν τόγ' L) ἐκβαίη τέλος". καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς (2 § 30) „Νεῤῥόνησον δὲ ἐν τοῖς ἑαυτῆ τέλεσι διορύξει" ποτὲ δὲ τὴν ἑορτήν, ὡς Εὐριπίδης ἐν Μηδείᾳ (1379 Pors.) „σεμνὴν ἑορτὴν καὶ τέλος προσάψομεν." ABD.

57. κείνου γάρ κε μάλιστα: διὰ δύο, ὅτι τε τὸν υἱὸν παρέχεν αὐτῶν ἄρχειν, καὶ αὐτὸς δυσωπεῖ παρὼν καὶ ἐπιμελόμενος. παιδευτικῶς δὲ ὁ βασιλεὺς ἑτέρῳ παραχωρεῖ τὰ τῆς πειθοῦς. BLV.

τοῖο γὰρ υἱὸς: ἵνα καὶ αὐτὸς παρὼν αἰδέσιμος γένηται τοῖς φύλαξιν. V.

61. πῶς γάρ: πιθανῶς· ὁ μὲν γὰρ ἐκπεπληγὼς ἐνόει τὸ πᾶν τῆς ἐπιταγῆς, ὁ δὲ προπαρεσκευασμένος ἐρωτᾷ τὸ πῶς. BL. ἢ διὰ τὸ ποικίλον ἐξ ἀμφοῖν συνίσταται. V.

σικτέον κατὰ τὸ τέλος τῆ σίγα, καὶ ἀφ' ἑτέρας ἀρχῆς στευσικῶς τὰ ἑξῆς προενεκτέον. A.

62. αὖθι: ἐν τοῖς φύλαξιν· ὅθεν καὶ Ἀγαμέμνων ἑξῆς (126) πρὸς τὸν Νέσορά φησιν „ἐκείνους δὲ κιχησόμεθα πρὸ πυλάων ἐν φυλάκεσσιν." BL.

ἄλλως. διαφέρει τὸ αὖθι τῆ αὖθις. τὸ μὲν γὰρ αὖθί ἐστι τοπικὸν ἐπίῤῥημα, καὶ γίνεται ἀπὸ τῆ αὐτόθι· τοῦτο ἐκ τοῦ αὐτῆ, ὡς τὸ „αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο" (Il. 8, 207), τὴν εἰς τόπον χέσιν, ἀντὶ τῆ ἐκεῖσε. καὶ ὥσπερ ἀπὸ τοῦ ἄγχου γίνεται ἀγχόθι, ἵνα καὶ ἀπὸ τῆ αὐτῆ αὐτόθι, καὶ συγκοπῇ αὖθι. τὸ δὲ αὖθις σημαίνει πάλιν καὶ μετὰ ταῦτα. B.

65. ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ τῆ προσακτικῆ, μένειν ἀντὶ τῆ μένε. τὸ δὲ ἀβροτάξομεν ψιλωτέον ὁμοίως τῷ ἤμβροτες. τινὲς γὰν κυρίως ἠγοῦνται τὸ βροτῆ μὴ ἐπιτυχεῖν ἀλλ' ἁμαρτεῖν, ὥστε καὶ ξήρησιν ἐγκεῖσθαι. A.

ἀλλήλων ἀποτύχωμεν, ὅ τινες διαμφοδίσαι φασίν. D.

66. πολλαὶ γὰρ: δῆλός ἐστιν ἐκ τούτων ἔμπειρος ὢν ἀρχιτεκτονικῆς. εἰς γ' πολλὰς ὁδὲς τέτμηται τὸ ναύσταθμον, ἵνα ταχέως ἀπὸ τῶν σκηνῶν ἀπαντῶσι πρὸς τὰς βοηθείας. V.

67. φθέγγεο: τεχνικῶς, ἵνα ἐκ τῆς φωνῆς ἐπιγινώσκηται φίλος ὤν, μή πως ὑπονοήσωσιν ἔφοδον εἶναι πολεμίων. καὶ Νέσωρ πρὸς Ἀγαμέμνονά φησι (85) „φθέγγεο μηδ' ἀκέων ἐπ' ἐμὶ ἔρχεο." ABL.

67. ἐγρήγορθαι: πρὸς τὸ διαμένειν τὴν φυλακήν· ἐπεὶ δὲ τὸ ἄνωχθι ἀνοίκειον τῷ καιρῷ, πρόσκειται τὸ πάντας κυδαίνων. BL.

τὸ ἐγρήγορθαι ἀνέγνωμεν προπαροξύνοντες, οὐκ ἐγρῆ δέ. εἴτε γ' συγκοπὴ ἐστι τοῦ ἐγρηγορέναι, ὀφείλει παροξύ νεσθαι, καθότι τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρ τῆ θ ἀμεταβόλου, παροξύνεται, κεκάρθαι τετίλθαι ἐσπάρθαι μίαν μέντοι ἀφορμὴν ὁρῶ τῆ δύναθαι προπαροξύνεσθαι ἐγρήγορθαι, τὸ τὰ εἰς θαι λήγοντα, τῇ υρ συλλαβῇ παρα ληγόμενα, μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶσθαι ἢ τῇ Αἰο λίδι, τέτορθαι μέμορθαι ἔφθορθαι· ὅθεν ἐπεὶ ἡ παράληξ Αἰολικωτέρα ἐγένετο, καὶ ὁ τόνος ὁμοίως τοῖς προκειμένοις. A.

ἄνωχθι: ἐνεργῶτός ἐστι καὶ παρατατικοῦ μᾶλλον ἢπε παρακειμένα. ἀναλογώτερον δὲ παρὰ Καλλιμάχῳ „ἄνω δὲ πορθμέα νεκρῶν." καὶ δῆλον ὅτι μεταβέβληται τὸ γ ε τὸ χ ἐν τῷ ἄνωχθι διὰ τὸ θ. ὁ μὲν ἐν Ἀπολλώνιος εἰς βάλλει εἶναι τὰ τῆ παρακειμένη προστακτικά, καὶ ἱκανῶ τῷ λόγῳ συνηγορεῖ· ὁ δὲ Ἡρωδιανὸς εἰς θι τοὐναντίον μηδὲ γὰρ εἶναι τὴν εἰς ε κατάληξιν. A.

68. πατρόθεν ἐκ γενεῆς: ὡς ὅταν λέγῃ „διογενὲς Λαερτιάδη"· τὸν πατέρα γ' δηλοῖ, τὸ δὲ διογενὲς τὸ ἀρχηγὸν τῆ γένες. BL. ὅτι ἀρχαϊκὴ ἡ συνήθεια, ὥστε πε τοιοῦτον εὑρίσκομεν, εἰδέναι δεῖ ὅτι οὐκ ἐπιθέτου ἐχ χώραν. A.

Πορφυρίου. ταῦτα σημειωτέον ὡς ἐπιτηδῆ εἰς αἰτία ἀπόδοσιν, δι' ἣν εἰώθασιν οὕτω πρὸς ἀλλήλους διαλέγε οἱ ἥρωες „διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ·" ναι γ' φιλοφρονεμένων τὸν τοιοῦτον τρόπον τῆς προσαγ ρεύσεως. ὅτι τὸ μὲν οὖν πατρόθεν ὀνομάζειν ἐξὶν ἐν Λαερτιάδη, τὸ δὲ ἐκ γενεῆς τὸ ἐκ γενάρχα, οἷον τὸ δι γενές· ἐκ γ' τῆ Διὸς τῆ ἀρχηγέτα τῆ γένες εἰληπται τὸ δι γενές. τὸ δὲ ὄτως ὀνομάζειν κυδαίνοντός ἐστι τὲς καλῆ νες. τί οὖν τὸ μηδὲ μεγαλίζεσθυμῷ; ἐ γάρ, ὥσπ οἱ γραμματικοί, τὸ μὴ μέγα ἡγῆ τὸ τοιοῦτο καὶ ὅτι οὐ προσφωνεῖς· ἀλλὰ σημαίνει, μὴ μεγάλυνε σεαυτὸν τῇ ψυ ἐξ ἧ σημαίνει, μὴ ὑπερόπτης γίνου μηδ' ἀνάξιον σαυ τὸ ἄλλον κυδαίνειν ἡγῆ. ταὐτὸν γ' τοῦτο καὶ ἐν ἄλλοις „σὺ δὲ μεγαλήτορα θυμὸν ἔχειν ἐν ξήθεσιν" (Il. 9, 2 ὅμοιον γ' τῷ μὴ μεγαλίζεσθυμῷ τὸ ἔχειν ἐν ξήθεσι μὲν μεγαλήτορα, ᾧ ἐπάγει „φιλοφροσύνη γ' ἀμείνω ταὐτὸν ἐν τῷ πάντας κυδαίνειν. καὶ ἡ Πηνελόπη λέγει „ γάρ τι μεγαλίζομαι ἠδ' ἀθερίζω" (Od. 23, 174), ἐχ ρηφανῶ ὡς τις μεγάλη, ἐδέ σ' ὡς μικρὸν καὶ ἀνάξιον μάζω· ἀθερίζειν γάρ, ἀπὸ τῶν ἀποκρινομένων ἀθέρων, τ ἀτιμάζοντα ἀποκρίνειν ὡς τοῦ μηδενὸς ἄξιον, ὡς ἀθέρ ἀπὸ τῆ καρπῆ ἀποκρίνοντα· „καὶ ἤ ποτέ μ' οἵ γ' ἀθέριζον (Il. 1, 261), ἤ ποτέ με ἐν ἀθέρων μοίρᾳ εἶχον. ταὐτὸ τὸ ἀθερίζειν ἐστὶ τῷ ἀπύβλητόν τι ποιεῖσθαι· „οὔ τοι ἀπ βλητον ἔπος ἔσσεται" (Il. 2, 361), ᾧ ἀντικείσεται τὸ „ἄνδρε

δὲ λίσσεσθε, ἐπεὶ πρόφρονα θεοὺς ἀρίσους κρινάμενοι κατὰ λαὸν Ἀχαϊκόν" (Il. 9, 516) ἢ „αἰσυμνῆται δ' ἔκριτοι ἐννέα πάντες ἀνέσαν" (Od. 8, 258). ἐξηγέμενος δὲ τὸ ἀθερίζειν ἔφη „τῶν δ' ἄλλων ἅ πέρ τιν' ἀναίνομαι οὐδ' ἀθερίζω." ἔχει δὲ τὸ ἀναίνομαι ἐχὶ ἐπαινῶ, διὸ ἴσον ἂν εἴη τῷ πάντας κυδαίνειν. ἢ τὸ ἐχ ἅλιον δὲ ἴσον τῷ ἐκ ἀθερίζειν, ἐκ ἀποβολῆς ἄξιον τῆς θαλάττης· τὸ μὲν γὰ ἀθερίζειν ἀπὸ τῶν ἀποκρινομένων ἀθέρων, ὁ δὲ ἅλιος ἀπὸ τῶν εἰς ἅλα βαλλομένων, ὡς τὸ „ἅλιον ἔπος ἔκβαλον ἡμαρτι κείνῳ" (Il. 18, 324). τὸ μὲν ἂν μὴ μεγαλίζεσθε θυμῷ σημαίνει τὸ μὴ ὑπερηφανεῖν δι' ὑπεροψίαν. αὐτό τε τὸ ὑπερηφανῆσαί φησι „σὺ δὲ σῷ μεγαλήτορι θυμῷ εἶξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας" (Il. 9, 109), ὃ ἔφη ἠθέρισας. ἢ πάλιν „οἳ τὸ πάρος θυμῷ ἦρα φέροντες ἀφεῖσαι" (Il. 14, 131) καταφρονοῦντες καὶ ὑπερηφανοῦντες, ὥς τε ἔφη „ταῦθ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο" (Il. 11, 694). οἱ μέντοι ὑπερέχοντες ἢ τῆς ὑπεροψίας παυόμενοι· „ὡς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ, εἶξας ᾧ θυμῷ" (Il. 9, 597). B.

69. κυδαίνων: ἀνακτώμενος καὶ προτρεπόμενος τῇ ἰδίᾳ ἐνεργείᾳ. V.

70. ἀλλὰ καὶ αὐτοί: πρὸς τὸ πρόθυμον τῶ ἀδελφῶ. καὶ ἔξι συμπαθὲς τὸ δύο βασιλεῖς ἔτως αὐτεργεῖν. B.

ὧδέ που: παθητικὰ ταῦτα, δύο ἀδελφοὺς τοιαῦτα περὶ τῆς ἰδίας ψυχῆς ἢ γονῆς ὑποτοεῖν. V.

71. γεινομένοισιν: τοῖς ἀεὶ ἀναφυομένοις πράγμασιν. A.

72. εὖ ἐπιτείλας: ἐπεσημήνατο τὰς λόγας ὡς ἢ καλῶς εἰρημένας ἢ παραγγελθέντας φρατηγικῶς. BL.

75. εὐνῇ ἔνι μαλακῇ: ἀδὲ ταῦτα ἐᾷ, ἀλλὰ τὸ πρέπον αὐτοῖς σώζει. μαλακὴ γὰ φρομνὴ ἔξι τῷ γέροντι, ὡς ἢ τῷ Φοίνικι· τῷ δὲ Διομήδει νεωτέρῳ ὄντι ὑπέφρωτο φρενὸς βούς (155)· τὸν δὲ Ὀδυσσέα κατέκλινεν Εὔμαιος ὑποβαλὼν ῥῶπας καὶ δέρμα αἰγός (Od. 14, 49). L. καὶ τῷ Διὶ τὴν νεοθηλέα ποίην ἀναδίδωσι· „λωτόν τ' ἐρσήεντ' ἠδὲ κρόκον ἠδ' ὑάκινθον" (Il. 14, 347). BLV.

ὅτι ἔντεα ἃ πάντα τὰ ὅπλα, ἀλλὰ κυρίως μὲν ἀσπὶς καὶ περικεφαλαία, τὰ δὲ δόρατα κατ' ἐπικράτειαν. A.

77. ζωστὴρ ζώματος διαφέρει· ζῶμα γὰ τὸ προσραπτόμενον κατὰ τὰ πέρατα τῆ θώρακος. V.

ᾧ: γράφεται ὅν, Ἀττικόν. L.

ἢ διπλῆ, ὅτι δοκοῦσί τινες ταὐτὸν εἶναι ζῶμα καὶ ζωστῆρα· οὐκ ἔξι δέ, ἀλλὰ ζῶμά καλεῖ τὸ συναπτόμενον τῇ μίτρᾳ ὑπὸ τὸν γατὸν θώρακα, τὸ δὲ ἔξωθεν συνδέον πάντα ζωστῆρα. καὶ ὅτι τὸ παναίολον ἐπὶ τῶν λαμπόντων. A.

79. μείζων τὸ ἐγκώμιον τοῦ Νέστορος γένοιτο, εἰ λαὸν ἀκόοι τις σύμπαντα, μὴ τὸν τῶν Πυλίων μόνον. V.

ἐπέτραπε: Ἀρίσαρχος ἐπέτρεπε. A.

ἐπέτρεπε διὰ τῶ ε. τὸ δὲ ἐκ ἐπέτρεπεν ἀντὶ τῶ οὐκ ἐδίδου ἑαυτὸν τῷ γήρᾳ, ἀδὲ ὑπετάττετο αὐτῷ. V.

τὸν παρ' ἡλικίαν ἀνδριζόμενον δηλοῖ. V. ἀφαιρεῖ τὰς προφάσεις τῶν ἀργεῖν ἐθελόντων, δεικνὺς ὡς ἢ τοῖς φυσικοῖς ἐλαττώμασιν οἶδεν ἀντιτάσσεσθαι προθυμία. BL.

80. βραχὺ διαλλαλητέον ἐπὶ τὸ ἀγκῶνος. τηρητέον δὲ τῦτο, ὅτι ὀρθωθῆναι καὶ σῆναι οὐ πάντως ἐπὶ τῶν ποδῶν τάττει, πρὸς ἐκεῖνα „ἕζετο δ' ὀρθωθείς" (Il. 2, 42) καὶ „ἑζόμενος δ' ἐπὶ γῦνα" (Il. 14, 437). A.

εἰς τὸ ἀγκῶνος ἡ διαιολή. λείπει δὲ ὁ καί, ἵν' ᾖ καὶ κεφαλὴν ἐπαείρας. BL.

82. τίς δ' ἔτος: τετάρακτο μέν· σκόπει δὲ τὴν προσοχὴν τῶ γέροντος, ὃς ἀδὲ φθεγγομένου τοῦ Ἀγαμέμνονος ἤθετο ἢ προέλαβε τὸν λόγον διὰ τῆς ἐρωτήσεως. ἔθος δὲ τοῖς γέρουσιν ἀϋπνεῖν καὶ μηδὲν φροντίζουσιν· ἔτος δὲ διὰ τὸν καιρὸν τῦτο ποιεῖ. BLV.

83. ἄλλοι: ἃ γὰ οἱ γέροντες· ἔτοι δὲ ἢ διὰ τὸν καιρὸν ἢ τὴν φρόνησιν ἀγρυπνῆσαι. V.

84. ἀθετεῖται, ὅτι ἐρήων βέλεται λέγειν τῶν φυλάκων, ἢ ἐκ ἐκράτησε τῶ χήματος· ἔρον γὰ λέγει ὡς κῆρον τὸν φύλακα, ἐρέα δὲ τὸν ἡμίονον. ἢ ὅτι ἄκαιρος ἡ ἐρώτησις. A.

ὥσπερ τὸν ἀνδροφονῆα πομπῆα ἡνιοχῆα, ἔτως οὐρῆα. ἔρος ἐρεύς, ὡς πομπὸς πομπεύς. V.

85. φθέγγεο: ταραττόμενός φησιν, εἰπὲ δὲ ἣν αἰτίαν πρὸς ἐμὲ ἦλθες· ἐκπλήττεται γὰ ὑπονοῶν τὴν τῶν πολεμίων ἔφοδον. BL. ἅμα δὲ ἢ τῇ φωνῇ θέλει μαθεῖν, μὴ ἐχθρὸς εἴη· ἔπω γὰ εἶχον συνθήματα. ἴσως ὑπονοεῖ μὴ Θρασυμήδης ἐσί, τὴν τάξιν ἐκλελοιπὼς τῶν φυλάκων. V.

87. ὦ Νέστορ Νηληϊάδη: ὃ προσέταξε τῷ Μενελάῳ, ἢ αὐτὸς ποιεῖ, πατρόθεν ἐκ γενεῆς αὐτὸν καλῶν. BL.

88. ἅμα τῇ ἐκφωνήσει τῦ ὀνόματος τὸ πάθος ἤρξατο κινεῖν, τὰς συμφορὰς παρατιθείς. BL.

90. ἐν σήθεσσι: τὸ ζωτικὸν περὶ καρδίαν φησίν. V.

91. πλάζομαι: ἀδὲν ἑσηκὸς (ἀδὲ ἑσηκῶς D) διανοῶμαι· πλανῶμαι κατὰ τὴν γνώμην, οἱονεὶ ἀπορῶ ὅπως χρήσωμαι τοῖς παροῦσι πράγμασιν. AD.

ὧδ': ὧδε μόνος, ὡς ὁρᾷς, περιέρχομαι. ἀσύνδετος δὲ ὢν ὁ λόγος τὸ κομματικὸν τῶ πάθος δηλοῖ. BL.

92. ἀλλὰ μέλει πόλεμος: ὥςε ἢ ἔπαινος τῦ φόβου ἡ τῶν κοινῶν πρόνοια, ἢ ἵνα σύμψηφον ἔχῃ τὸν Νέστορα. V.

93. περί: πιθανώτερόν πως ἔσιν ἀναφέρειν· δύναται δὲ ἢ τὸ ἕτερον. A.

94. ἀλαλύκτημαι: παρὰ τὸ ἀλάλημαι τὸ ἀλαλύκτημαι· τῷ δὲ πλεονασμῷ τῶν στοιχείων ἐπιτετάρακται. φαντασία δέ τις προσπίπτει τῆς ἐκπηδῆσαι βιαζομένης καρδίας. BLV.

95. ἐκθρώσκει: Νικίας κατ' ἰδίαν τὴν πρόθεσιν ποιεῖ, ἵνα τὸ ἐξῆς γίνηται ἐκ σηθέων θρώσκει. ἄμεινον δὲ ἓν ποιεῖν, ἐκθρώσκει ὡς ἐκτρέχει. A.

ὑπὸ: κακῶς Νικίας ἀναφέρει· μεταξὺ γὰ πέπτωκεν ὁ δέ. A.

96. ἀδὲ σέ γ' ὕπνος ἐκάνει: ἵνα μὴ δόξῃ ἐμποδίζειν πρὸς τὸν ὕπνον τῷ γέροντι. B.

97. καταβείομεν: ὅτι ἐφ' ὕψȣς αἱ νῆες. ϗ ἀλλαχȣ̃ „κατάγειν κοίλας ἐπὶ νῆας" (Il. 5, 26). V.

98. ἀδηκότες: ἀηδιαθέντες. ὕπνῳ δὲ τῇ ἀγρυπνίᾳ λέγει· „ὕπνῳ καὶ καμάτῳ ἀρημένος" (Od. 6, 2). BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος μὴ νοήσας τὸ σημαινόμενον γράφει ἀδηκότες ἡδέϊ ὕπνῳ κοιμήσωνται. ἔτι δὲ καὶ νῦν λέγομεν ὕπνου μεςὸν οὐ τὸν ἐξυπνωκότα, ἀλλὰ τὸν πολὺ τὸ ὑπνωτικὸν ἐν αὑτῷ ἔχοντα. A.

100. περισσὸν τὸ τί. ἐξήλλαξε δὲ τὴν φράσιν· ἔδει γ' εἰπεῖν, μὴ ἐκεῖνοι μὲν ἀμελήσωσιν, οἱ δὲ πολέμιοι ἀπροόπτως ἐπέλθωσιν. BL.

101. καὶ διὰ νύκτα: τȣ̃το προσκαίρως εἴρηκεν ὁ Ἀγαμέμνων ἕνεκα τȣ̃ ἐκπλῆξαι τὸν Νέςορα, ἐπεί τοι ȣ̓κ ἦν ἔθος αὐτοῖς νυκτὸς πολεμεῖν. AD.

103. κύδιςε: κύδιςον γ' πάντων βασιλέα. ἐκ προοιμίων δὲ ἀνακτᾶται τὸ καταπλῆξαν τȣ̃ βασιλέως. V.

104. οὔ θην Ἕκτορι πάντα: αἱ γ' ἄκραι τῶν εὐτυχιῶν μεταβολὰς ποιȣ̃σι. πιθανῶς δὲ νῦν μὲν παραθαρσύνει τὸν Ἀγαμέμνονα· ὁρᾷ γ' αὐτὸν ὑπὸ τῆς συμφορᾶς τεταπεινωμένον· ἐν δὲ τοῖς ἑξῆς τὸν Διομήδην φοβεῖ, εὑρὼν βαθέως καθεύδοντα. δεῖ γάρ, ὡς ἔοικε, τȣ̀ς μὲν πεφοβημένȣς θαρσύνειν, τȣ̀ς δὲ θαῤῥȣ̃ντας φοβεῖν, ὅπως μήτε τῷ δέει τις ἐκπλήττοιτο μήτε τῷ θάρσει ἀπαρασκεύαςος γίνοιτο. BL.

οἶδε γ' ὡς δι' αὐτόν. ὑποκορίζων δὲ Ἕκτορί φησιν. ἅμα δὲ ὅτι οὐ μέμφεϑ τὴν πρώτην βȣλήν, ȣ̓δὲ πρὸς τὴν ἀπόβασιν ἐξεταςέον τὰς βȣλάς. V.

105. πού νυν: τὸ νῦν ἐνθάδε συςαλτέον διὰ τὸ μέτρον, ὥσπερ ϗ ἐπὶ τȣ̃ „δεῦρό νυν ἢ τρίποδος" (Il. 23, 485). A.

108. μάλα: ἵνα μὴ δοκῇ δι' ἀνάγκην ἕπεσθ αὐτῷ. V.

ἐγείρομεν: καλῶς ȣ̓χ ὁ Ἀγαμέμνων καθ' ἑαυτὸν ἐγείρει τοὺς ἀριστέας, ἔχων τὴν αἰτίαν τῆς Ἀχιλλέως ὀργῆς. BL.

109. δουρὶ κλυτόν: τὸ κλυτός, εἰ πτωτικὸν κατάρχοι, ἐν συνθέσει ἐςί, τοξόκλυτος ὀνομάκλυτος, εἰ δὲ ἄπτωτον, φυλάσσει τὸν αὐτὸν τόνον, περικλυτός ἀγακλυτός. διὸ σημειωτέον τὸ ναυσικλυτός ὀξυνόμενον. ὅτι γ' σύνθετόν ἐςι, δῆλον ἐκ τȣ̃ μένει· τὸ ᾱ τῆς ναυσί δοτικῆς· κατ' ἰδίαν γ' παρὰ τῷ ποιητῇ ἢ διὰ τȣ̃ η̄ λέγεϑ ἢ διὰ τȣ̃ ε̄, ἐν δὲ συνθέσει διὰ τȣ̃ ᾱ, Ναυσικάα Ναυσίθοος. τὸ μὲν ȣ̓ν δουρὶ κλυτὸς ἐν παρασυνθέσει ἐςίν. A.

110. Αἴαντα ταχὺν: τὸν Ὀϊλέως· ϗ γ' ἐν ἄλλοις φησὶν „πλείςους δ' ἄνδρας εἷλεν Ὀϊλῆος ταχὺς Αἴας" (Il. 14, 520). D.

ἡ διπλῆ, ὅτι πλησίον τȣ̃ Λοκρȣ̃ Αἴαντος ὁ Μέγης ἐνενεωλκήκει· καὶ διέςαλκε δέ, προσθεὶς ταχύν. ἡ δὲ ἀναφορὰ πρὸς τὸν ἐπὶ τȣ̃ ναυςάθμȣ. A.

Φυλέος ἄλκιμον υἱόν: τὸν Μέγητα. A. τὸ ο̅ς̅ μικρὸν διὰ τὸ μέτρον. D.

112. πρὸς τὰ περὶ τȣ̃ ναυςάθμȣ, ὅτι πλησίον ὁ Ἰδομενεὺς Αἴαντος τȣ̃ Τελαμωνίȣ ἐνενεωλκήκει. A.

113. τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω: διὰ χήματος ἐδηλώθη διὰ τί ὁ Μενέλαος ἐκεῖσε ἀπέςαλϑ· ὥςε ȣ̓κ ἀργὸν τὸ „ῥίμφα θέων" (54). V.

114. ἀλλὰ φίλον περ ἐόντα: χαρίεν τὸ τῆς ὑποθέσεως· ὅπερ γ' εὑρίσκεται ἤδη πεποιηκὼς Μενέλαος, περὶ αὐτοῦ μέμφεται. BL.

115. νεμεσήσεαι: γράφεται νεμεσήσεται. A.

ἀποδέχεϑ ȣ̓ν τὸν Ἀγαμέμνονα συνεργȣ̃ντα τῷ καιρῷ. V.

εἴ περ: ȣ̃τως αἱ Ἀριςάρχειοι. τινὲς δὲ εἰ καί. V.

116. ἡ διπλῆ, ὅτι τὸ πονέεσθαι ἐπὶ τοῦ ἐνεργεῖν καθ' ἑαυτὸ δὲ ἀναγνωςέον τὸ „ὡς εὕδει" ἐν θαυμασμῷ, ἢ τοῖς ἄνω συναπτέον, νεικέσω ὡς εὕδει. A.

118. ἡ διπλῆ, ὅτι ἀνεκτὸς ἡ χρειώ, ȣ̓κ ἀνεκτή. A.

πρεπόντως τὸν πόλεμον ἀποσιωπᾷ. ὁ μέντοι Μενέλαος τȣ̃το ἐνθυμεῖται· „τοὶ δὴ ἕθεν εἵνεκα" (27). V.

120. ἄλλοτε μέν σε: ȣ̓χ ὡς συκοφαντȣ̃ντι τῷ Νέςορι μέμφεϑ, ȣ̓δὲ καθάπαξ ὑπεραπολογεῖται τοῦ ἀδελφȣ̃, ἀλλ' ὁμολογεῖ αὐτὸν ἐνίοτε ἀμελεῖν. δεξιῶς ȣ̓ν τὸν λόγον ἐκέρασεν. BL.

122. οὔτ' ὄκνῳ εἴκων: φιλαδέλφως ἀπολογεῖϑ. δέ δέ ἐςι δι' ὧν γίνεται ἡ ῥαθυμία, ἀμέλεια ϗ ἄνοια· καὶ ȣ̓ Ὀδυσσείᾳ „νήπιος ἠὲ χαλίφρων, ἠὲ ἑκὼν μεθιεῖ" (Od. 4, 371), ὥςε τὸ δοκȣ̃ν ἁμάρτημα εἰς ἐγκώμιον τῆς πειθαρχίας περιίςαται. A.

123. ἀλλ' ἐμέ τ' εἰσορόων: ἀλλ' εἰς ἐμὲ ἀποβλέπων. ȣ̓τε τὸν Νέςορα συκοφάντην ἐποίησεν ȣ̓τε τὸν Μενέλαον ἀργόν. ἅμα δὲ ϗ τὸν φιλάδελφον ἐμφανίζει, ὅτι ἐγὼ ὑπὲρ αὐτȣ̃ πάντα ποιῶ, κἀκεῖνος ἐκδέχεταί μȣ τὴν ὁρμήν, οἷον εἶναι δεῖ νεώτερον ἀδελφὸν πρὸς πρεσβύτερον. A.

124. μάλ' ἐπέγρετο: ἐπέςη ταχέως. ἐδήλωσε δὲ ὡς πολλῷ πρȣ̃λαβεν αὐτὸν ἐκεῖνος ἀναςάς. B.

ὁ Ἰξίων μέγ' ἐπέγρετο. ϗ μήποτε ἡ Ἀριςάρχεα ȣ̃τως εἶχεν. A.

127. σφιν: ὅτι Ζηνόδοτος γράφει μιν. ἔςι δὲ ἑνικὸν τὸ μίν, βȣ́λεϑ δὲ ὁ ποιητὴς διὰ τȣ̃ σφίν αὐτοῖς σημῆναι διὸ ϗ ἑξῆς ἐπιφέρει „κείνȣς δὲ κιχησόμεθα." A.

ἠγερέεσθ: διὰ τȣ̃ θ̄ αἱ Ἀριςάρχȣ, ἠγερέθεσθ. A.

129. οὔ τίς οἱ: ȣ̓δεὶς ȣ̓δέπω τῶν κελευομένων ἀντερεῖ ὅταν αὐτȣργȣ̃ντα τὸν βασιλέα ὁρᾷ. BL.

ἔξω τȣ̃ τ̄, ȣ̓ τίς οἱ. A.

130. χωρὶς τȣ̃ σ̄, ἐποτρύνει καὶ ἀνώγει. A.

134. διπλῆν, ἐκταδίην: τὴν μεγάλην, ὥςε ϗ διπλῆ αὐτῇ χρώμενον ἔχειν ἐκτεταμένην. D. οἰκεία ςολὴ τῷ γέροντι διὰ τὸ γῆρας ϗ τὴν νύκτα. A.

οὔλη δ': Νικίας ὀξύνει, ὁμοίως τῷ „ȣ̓λὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσιν" (Od. 24, 331). οἱ δ' ἄλλοι βαρύνȣσιν, ὁμοίως τῷ κούρην. Ge. Choeroboscus cod. Barocc. 50.

ὡς κȣ́ρη· οὕτως γ' καὶ τὸ ἀρσενικὸν αὐτοῦ ἐβαρύνετο „ȣ̓λων τε ταπήτων" (Il. 16, 224). τȣ́τῳ συγκατατίθεϑ καὶ ὁ Ἀσκαλωνίτης ϗ Ἀλεξίων ϗ Ἀρίςαρχος. ϗ μήποτε ἀνά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λογος ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴ γε ὀξυτονοῦσι τὸ ὄνομα, λέγοντες ὀλὸς ἄνθρωπος ϗ ὀλὴ κόμη. ὀ δέον δέ· τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται, πόλος ϛόλος θολος κοῖλος δοῦλος. οὕτως ϗ ὀλος. προσέθηκα δὲ μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον διὰ τὸ μοχλός πολλός. A cum Ch. τὸ μέντοι θολός ὀξυνόμενον πρὸς ἀντιδιαϛολήν ἐϛι. A.

οὐκ ἀντιπίπτει τὸ θολός κατ' ὀξεῖαν τάσιν, ὁπότε σημαίνει τὸ μέλαν τῆς σηπίας· πρὸς γὰρ ἀντιδιαϛολὴν τοῦ „μεσσηγύς τε θόλου ϗ ἀμύμονος ἕρκεος αὐλῆς" (Od. 22, 40) οὕτως ἐτονώθη. ὀδὲ τὸ Ἀλκμανικὸν „ἔχοι μάχης ὠλε ναῖμον·" τοῦ γὰρ ὄλωλε συγκοπή ἐϛιν. Ch.

135. ἄλκιμον: ἰχυρόν, εὔτονον, ἢ πρὸς τὸ ἀλέξασθαι πεποιημένον. D.

ἀκαχμένον: ἐκ τοῦ ἀκάζω γίνεται, ὃ σημαίνει τὸ ἀκονῶ. μέλλων ἀκάσω, ὁ παρακείμενος ἤκακα, ὁ παθητικὸς ἤκαμαι, ἡ μετοχὴ ἠκασμένος, ϗ τροπῇ τοῦ σ εἰς χ ϗ Ἰωνικῇ υϛολῇ τῆς ἀρχούσης ἀκαχμένος. ἀκαχμένον δὲ λέγει τὸ ϛιλβωμένον. B.

137. γελοίως τινὲς ϛίζουσι μετὰ τὸ πρῶτον. συναπτέον ν αὐτὸ τοῖς ἑπομένοις· ἔϛι γὰρ τὸ ἑξῆς, ἔπειτα Ὀδυσσέα ρῶτον ἐξ ὕπνου ἀνέγειρεν. ἔϛι γάρ τι καὶ ἐν τοῖς μετὰ αῦτα πρῶτον. A.

πρὸς τὸν ὅμοιον ἄπεισι πρῶτον. V.

138. ἀνέγειρε — Νέϛωρ: ὀδὲν ἔτι ποιεῖ Ἀγαμέμνων, λλ' ἕπεται αὐτῷ, τοῦτο δηλοῦντος τοῦ ποιητοῦ, ὡς ἐν ταῖς ρείαις ὁ λόγῳ δυνατὸς ὀφείλει πάντα πράττειν, ὀχὶ ὁ βαιλεύς. B. ϗ Ὀδυσσεὺς κοιρανέων ἐπεπωλεῖτο. V.

140. κλισίης: κλισία ἡ σκηνή, ἔνθα ἀνέκλινον τὰ ἄρκτα καὶ αὐτοὶ ἐκοιμῶντο κείμενοι. A.

σημειοῦνταί τινες ὅτι ἔνδον καθεύδει Ὀδυσσεύς, ἀλλ' ὀχ Διομήδης· „ἐκτὸς ἀπὸ κλισίης" (151). A.

δυσωπεῖται γὰρ Νέϛορος καλοῦντος. ὀ δειλὸς δέ, ὅτι ἐνς τῆς σκηνῆς καθεύδει· ὀ γὰρ πρὸς ἀσφάλειαν αἱ σκηναὶ λλὰ πρὸς σκέπην αὐτοῖς πεποίηνται. BL. ὁ γοῦν Ἀγαμέμνων εἰς τὴν σκηνὴν εἰσέρχεται Νέϛορος ὀδὲν ἐχυρὸν ουσαν πρὸς ἔφοδον πολεμίων. V.

141. ἐπὶ: γράφεται κατά. A.

ταῦτα ἀνατεταμένῃ τῇ φωνῇ ϗ ὡς χετλιάζων, ὅτι θοβοῦσι τοὺς ϛρατιώτας μόνοι οἱ βασιλεῖς νυκτὸς περιιόνς· δέδιε γὰρ μή τι νεώτερόν ἐϛιν ἐν τῷ ϛρατῷ. BL. μαρρεῖ δὲ τούτοις Νέϛωρ, ἐπιλέγων διογενὲς Λαερτιάδη μὴ ιέσα. V.

142. ἀμβροσίην: γράφεται ϗ ὀρφναίην. A.

ὅ τι δὴ χρειὼ τόσον ἵκει: ὥσπερ ἐν ἀρχῇ (37) θ' οὕτως, οὕτως ϗ νῦν ἀντὶ τοῦ τί δὴ χρειὼ τόσον ἵκει. δὲ τῶν ἀναφορικῶν ϗ ἀορίϛων ἐναλλαγὴ πρὸς τὰ πευϛισυνήθης, ὡς κἀκεῖ „ὁπποίης δ' ἐπὶ νηός" (Od. 1, 171) τὶ τοῦ ποίας. ϛικτέον δὲ ἐπὶ τὸ ἀμβροσίην. AV.

145. μὴ νεμέσα: παραιτεῖται τὴν μέμψιν, οὐ νεώτερόν τι σημαίνων, ἀλλὰ διὰ τὰ ἐνεϛῶτα· ὃ συνεὶς Ὀδυσσεὺς ἕπεται μηδ' ὁτιοῦν ἀντιλέγων. BL.

146. ἀλλ' ἕπευ: Ἀρίϛαρχος χωρὶς τοῦ υ, ἀλλ' ἕπε'. A.

147. οὐ καθ' ἓν διαϛαλτέον, βουλεύειν, φεύγειν, μάχεσθαι, ἀλλὰ συναπτέον ὅλον τὸν ϛίχον· τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐϛιν, ὃν ἐοικός ἐϛι βουλεύεσθαι περὶ τοῦ ἢ μάχεσθαι ἢ φεύγειν. A.

149. ἀμφ' ὤμοισι σάκος θέτο: δειλός, φασίν, οὗτος, ὅτι ἀσπίδα ϗ οὐ δόρυ ἀναλαμβάνει. ἴσως δὲ σιωπωμένῃ τῇ ἀποκρίσει χρῆται πρὸς τὸν Νέϛορα εἰπόντα βουλεύσεσθαι πότερον φευκτέα ἢ μενετέα, ἐμφαίνων διὰ τῆς ἀσπίδος ὅτι μενετέα. δόρυ μὲν γὰρ φέρουσι ϗ μὴ μαχόμενοι, ἀσπὶς δὲ μενόντων ἐϛὶ ϗ μαχομένων. B. ὅτι δὲ ἐχρῶντο ϗ τῷδε τῷ τρόπῳ τῆς ἀποκρίσεως, δι' ὑποδείγματος παραϛήσω. ἐϛασίαζόν ποτε Ἐφέσιοι περὶ χρημάτων· παρελθὼν δὲ εἰς τὴν ἐκκλησίαν Ἡράκλειτος, ἐπιπάσας κύλικι ἄλφιτα, ἐξέπιε τὸν κυκεῶ, ἐμφαίνων ὅτι δεῖ ζηλοῦν αὐτάρκειαν. V.

151. ἐκτὸς ἀπὸ κλισίης: ϛρατιωτικὸν τὸ αἰθριοκοιτεῖν· δείκνυσι δὲ ὡς ὀ λόγῳ μόνῳ θρασύς. AL.

σὺν τεύχεσιν: ὀχ ὡπλισμένος (δειλοῦ γάρ) ἀλλ' οἷον πλησίον ἔχων τὰ τεύχη. καλῶς δὲ οἱ ἑταῖροι τὴν μεθ' ἡμέραν τάξιν φυλάττουσιν, περιϛοιχοῦντες τὸν βασιλέα. ϛρατηγικὸν δὲ καὶ τὸ αἰθριοκοιτεῖν. BL.

152. εὗδον, ὑπὸ κρασὶν δ': διὰ τὴν μεθ' ἡμέραν ταλαιπωρίαν κοιμῶνται· ϛρατιωτικῶς δὲ τοῖς αὐτοῖς ὅπλοις χρῶνται ϗ πρὸς πόνους ϗ πρὸς ἀνάπαυλαν. A.

153. ὄρθ' ἐπὶ σαυρωτῆρος: ὀρθὰ ἐπὶ τοῦ κρόσφου· οὕτω γὰρ καλεῖται τὸ ἀντικείμενον τῆς ἐπιδορατίδος σιδήριον. D.

ἐν τῇ Ἀριϛοφάνους σαυρωτῆρας πληθυντικῶς. σαυρωτὴρ δέ ἐϛι τὸ ἀπολῆγον μέρος τοῦ δόρατος, ὅπερ ἀντίκειται τῇ αἰχμῇ, ὃν καὶ ὀρίαχον καλοῦσιν. A.

τρόπον τινὰ περιχαρακοῦντα τὸν ἡγεμόνα. ἐμφαίνει δὲ ϗ διὰ τούτου ὁ ποιητὴς τὸ ἀνδρεῖον Διομήδους ϗ ἕτοιμον εἰς μάχην· διὸ ϗ τὰ ἐναντία ἑξῆς φησὶ περὶ Θρᾳκῶν ὡς ψέγων „ἔντεα δέ σφι καλὰ παρ' αὐτοῖσι χθονὶ κέκλιτο εὖ κατὰ κόσμον" (471). τῷ δὲ σκιάζοντι τῆς νυκτὸς ἀντιπεριέϛησε τὴν ἐκ τῶν αἰχμῶν ἀναλάμπουσαν αὐγήν, ϗ ταύτην τῆλε. σαυρωτὴρ δὲ ἡ δορατοδόκη (δοροδόκη L) καλεῖται· παρὰ δέ τισιν ὁ καυλὸς τοῦ δόρατος. BLV.

Πορφυρίου. φαύλη δοκεῖ εἶναι ἡ τῶν δοράτων ἐπὶ σαυρωτῆρας ϛάσις· ϗ δὴ πολλαχοῦ θόρυβον ἤδη πεποίηκε νύκτωρ ἓν μόνον πεσόν. λύει δ' Ἀριϛοτέλης λέγων ὅτι τοιαῦτα ἀεὶ ποιεῖ Ὅμηρος οἷα ἦν τότε. ἦν δὲ τοιαῦτα τὰ παλαιὰ οἷάπερ ϗ νῦν ἐν τοῖς βαρβάροις· πολλοὶ δὲ οὕτω χρῶνται τῶν βαρβάρων. B.

156. τάπης: ἀναγκαῖον σκληρᾶς οὔσης τῆς ϛρωμνῆς τὸ προσκεφάλαιον εἶναι ἁπαλόν, ἵνα μικρὸν ἀναπαύοιτο. τάπης δέ ἐϛιν ὁ ἐκ τοῦ ἑτέρου μέρους ἔχων μαλλόν, ἀμφιτάπης δὲ ὁ ἐξ ἀμφοτέρων. B. ὀ μόνον δὲ καθ' ἡλικίαν ἀλλὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ κατὰ τὸ ἄξιωμα ἑκάστῳ ἀπονέμει. τύπης γὰρ τῷ βασιλεῖ ὑπόκειται, οὐχ ὡς τοῖς στρατιώταις ἀσπίς. V.

158. λαὸς: εὐτόνως τῷ μεγάλῳ δακτύλῳ τῆς ποδὸς τῆς κοίλης μέρος ἁψάμενος τῆς Διομήδους ποδός, ὡς δῆλον ἐκ τῶν ἐπιφερομένων „ὦτρυνέ τε νείκεσέ τ' ἄντην." BD.

εἰκὸς αὐτὸν διὰ τὰς μεθ' ἡμέραν κόπους ἐκ αἰθάνεσθαι φωνάντων. καλῶς δὲ ὅτι ἐμονοιδῶς πάντες διυπνίζονται. δυσωπητικὸν δὲ τὸ ὑπὸ τῆς γέροντος ἀνίσασθαι· διὸ καὶ λαὸς αὐτὸν ἀνίσησι, τὴν ἀπρονοησίαν ὀνειδίζων. BLV.

ὁ ἀσεριστος, ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν (15, 45) μετάκειται ἐπὶ τῆς Πεισιστράτου κλινιδίου, καθεύδοντος παρὰ Μενελάῳ. πρὸς τί ἦν ποδί, ἀλλ' οὐχὶ τῇ χειρί; νῦν μὲν γὰρ εἰκότως ἐπὶ τῆς γῆς κοιμώμενον ἔτως ἐγείρει. A.

διὰ τῆς κινήσεως ἰάσατο τὸ λάθος. V.

159. διχῶς ὁ Ἀριστάρχος, ἔγρεο καὶ ὄρσεο. A.

ἀώτεις: ἀπανθίζεις, παρὰ τὸ ἄωτον, ὃ ἐστιν ἄνθος, ἢ κοιμᾷ, παρὰ τὸ ἀέσαι τὸ κοιμᾶσθαι. A.

160. οὐκ ἄτειες: Ἀγαμέμνονα μὲν καταπληχθέντα παραμυθεῖται, Διομήδεα δὲ ἀμελῆσαι ἀναπτεροῖ, καὶ ἀμφω βελτίους ποιεῖ. τὸ δὲ ἄτειες ἀντὶ τοῦ ἀκέσεις, πρὸς πλείονα ἐπίτασιν ὡς πλησίον αὐτῶν ὄντων. B. Θρωσμὸς δέ ἐστι τόπος ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἰλίου, ὃς ὀνοματικῶς καλεῖται Θρωσμός, ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο. BDL. οἱ μὲν τῷ ἀντικρύ, οἱ δὲ τῷ ὑψηλῷ, οἱ δὲ τῷ πλατεῖ. V.

161. ὀλίγος δ' ἔτι: διὰ τοῦ ε, ὀλίγος δέ τε, αἱ Ἀριστάρχειοι. γράφεται δὲ καὶ ὀλίγος δ' ἀπὸ χῶρος ἐέργει. A.

164. ἡδὺ ἐπίπληξις φιλοπονίας καὶ ἀρετῆς. κέτλιος ὁ ἄξια πράσσων ἀγανακτήσεως. εἰώθαμεν δὲ ἀμελείας κρινόμενοι φιλοπονωτέρως τοῦ δέοντος ἀποφάσκειν τὲς ἐγκαλοῦντας, τῷ ἐπαίνῳ ἐκείνων τὸν ἴδιον ἀπολυόμενοι ψόγον, οὐχ ἑαυτὲς ἧττον τοῦ δέοντος φάσκοντες πονεῖν, ἀλλ' ἐκείνης τοῦ δυνατοῦ περαιτέρω. ALV.

ἡ διπλῆ, ὅτι σεπτικῶς τὸ κέτλιος καὶ ὁ μεμπτικῶς, εἰς ἑαυτὸν ἀγνώμων· καὶ ὅτι πόνον τὴν ἐργασίαν. A.

συναπτέον ἕως τοῦ γεραιέ. A.

167. ἀμήχανος: Πορφυρίων. ἀμήχανος γάρ, πρὸς ὃν οὐδὲ τὸ γῆράς τι ἐμηχανήσατο, ἐξ οὗ νοεῖται τὸ ἀνίκητος. οὕτω καὶ ἐπὶ τῆς Ἥρας „ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σοὺς δόλος, Ἥρη" (Il. 15, 14), τουτέστιν ἀήττητε, πρὸς ἣν οὐδὲν ἔχει μηχανήσασθαι. B.

ἡ διπλῆ, ὅτι ἀμήχανος δύο σημαίνει, ἓν μὲν ἀνίκητος, ἓν δὲ ἀντὶ τοῦ πρὸς ὃν οὐκ ἔχει μηχανὴν εὑρεῖν. ὅπερ καὶ νῦν σημαίνει, ἵνα τῶν πόνων ἀποσῇ. ἢ κακοπίαστος καὶ πρὸς πάντα ἕτοιμος. AB.

ὁ δ' ἀπὸ κοινοῦ τρόπος ἐστὶ καὶ παρ' αὐτῷ καὶ ἐν τοῖς τοιούτοις· „οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους" (Il. 1, 154)· ἀπὸ κοινοῦ γὰρ οὐδὲ τοὺς ἵππους ἤλασαν. „ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο, Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο" (Il. 20, 1)· ἐκ κοινοῦ γὰρ θωρήσσοντο. „παννύχιοι μὲν ἔπειτα καρηκομόωντες Ἀχαιοὶ δαινύντο, Τρῶες δὲ κατὰ πύλιν ἠδ' ἐπίκουροι" (Il. 8, 476), δαινύντο δηλονότι. „πολλὰ δὲ τόνγε καδιγνήτη καὶ πότνια μήτηρ ἐλίσσονθ', ὁ δὲ μᾶλλον ἀνατείνετο, πολλὰ δ' ἑταῖροι" (Il. 9, 580)· ἐκ κοινοῦ γὰρ τὸ ἐλίσσοντο. „ἀγαθὴ δὲ παραίφασις ἔστιν ἑταίρου" (Il. 11, 793)· ἀγαθῆ· ἡ πᾶσα γὰρ παραίφασις ἔστιν ἀγαθή, ἀλλὰ τῇ ἀγαθῇ ὡς ἐκ κοινοῦ τὸ ἀγαθή· τὸ δ' ἐπὶ τῆς ἑταίρου ἀκαιρέον ἐστὶ σενικῶς. πάλιν „οἱ δ' ἀμφ' Ἰδομενῆα θοῶς ἐσσυμένως θωρήσσοντο· Ἰδομενεὺς μὲν ἐνὶ προμάχοισι σὺν εἴκελος ἀλκήν" (Il. 4, 252)· τοῦ θωρήσσετο προσυπακούεται ἀπὸ τοῦ θωρήσσοντο. „χώρησαν δ' ὁπότε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ" (Il. 16, 588)· ἐκ κοινοῦ τὸ ἐχώρησεν. „εὗρ' υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον ἑσταότας ἀμφὶ δ' Ἀθηναῖοι μήσωρες ἀϋτῆς" (Il. 4, 327)· ἐκ κοινοῦ τὸ ἕσασαν ἀπὸ τοῦ ἑσταότα. „τῇ ῥ' ἐνόρουσε, ἅμα δ' ἄλλοι ἆρχοι στῆες Παναχαιῶν," δηλονότι ἐνόρουσαν. „ὡς ἂν Πηλεΐδην τιμήσομεν, ὃς μέγ' ἄριστος Ἀργείων παρὰ νηυσὶ μάχοιτό τε καὶ ἀγχέμαχοι θεράποντες" (Il. 16, 271)· ἀπὸ τοῦ ἄριστος καὶ ἄριστοι οἱ θεράποντες ἀκουσθήσονται. „ἐδ' ἄρ' ἐμελλε δίφρα ἐφέζεσθαι πολλῶν κατὰ οἶκον ἐόντων" (Od. 4, 716)· ἐκ κοινοῦ δίφρων. „καμάτῳ τε καὶ ἱδρῷ γωλεμές ἀεὶ γένατά τε καὶ μαί τε παλάσσετο" (Il. 17, 385)· ὡς ἐκ κοινοῦ τὸ παλάσσοντο ληπτέον, καὶ ἐπὶ μὲν τῶν γονάτων οἰκείως εἴρηται, ἐπὶ δὲ τῶν κνημῖων ὑπακουέον. „ἐκ πόλιος δ' ἄξασθε βόας ἴφια μῆλα καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε, σῖτον δ' ἐκ μεγάρων" (Il. 8, 505)· ἔτε γὰρ οἰνίζεσθε ἔτε ἄξεσθε ἀλλὰ φέρετε ἢ λαμβάνετε. καὶ πάλιν „οἱ μὲν ἔπειθ' ἵζον κατὰ εἴρας, ἦχι ἑκάστῳ ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο" (Il. 3, 326)· ἃ γὰρ καὶ οἱ ἵπποι ἐκειντο, ἀλλὰ τὸ εἵατο ἐκείσαν ἀκόμεν ἢ ἦσαν, ὡς ἐπὶ τοῦ „πᾶς δέ οἱ ἔντεα καλὰ ἀρήϊα, ποῦ δέ οἱ ἵπποι" (407); ὑπακουσόμεθα γὰρ εἰσὶν ἢ εἰσήκεισαν. „ἃ μὰν ἀκλεῖς Λυκίην κατακοιρανέουσιν ἡμέτεροι βασιλῆες, ἔδοσί τε πίονα μῆλα οἶνόν τ' ἐξαίρετον" (Il. 12, 318), δηλονότι πίνουσι. τὰ τοιαῦτα παρωρῶν τις πολλὰ λύσει τῶν ζητουμένων καθ' Ὅμηρον πολλαχοῦ. „τόφρα γὰρ εἰς Ἀΐδαο δόμους κλυτὸν ἐσκατάβημεν, ἦμος κεν καταπαύσομεν, ἦδὲ καὶ αὐτοὶ παυέσθων· καὶ γὰρ τ' ἄφαρ τόδε λώϊόν ἐστιν" (Od. 2, 167). ἐκ κοινοῦ γὰρ δεῖ νοεῖν τὸ παυέσθων, καὶ χρηματίσαι οἰκείως τοῖς ἑξῆς, ἵνα γὰρ καὶ αὐτοῖς ἄφαρ παυσαμένοις καὶ ταχέως, πρὶν ἐλθεῖν τὴν Ὀδυσσέα, λώϊόν ἐστι· προείρηται γὰρ „ἀλλά πε ἤδη ἐγγὺς ὀλέθρου τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει πάντεσσι." τὸ δὲ „οὐ γὰρ χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν" (Il. 13, 814) ἐν ὑπερθέσει εἰρηται, ἐπεὶ εἰσὶ γὰρ καὶ ἡμῖν χεῖρες ὥς ἄφαρ ἀμύνειν. τὸ δὲ „αἰ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης ὧδ' ἄμ' ἕποντο ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους" (Il. 9, 537), δῆλον ὅτι τὸ ταχέως. ἀπὸ δὲ τοῦ ἄφαρ ἔοικεν ἐν συνηθείᾳ εἶναι τῶν Ἀλεξανδρέων τὸ λέγειν ἄφαρ πεποίηκε τὸ ἐσπευσμένως καὶ τεθορυβημένως. Ὅμηρος δὲ ἀπὸ τοῦ ἄφαρ πεποίηκε τὸ ἀφαρέτεροι, οἱ ταχύτεροι· „τῶν δ' ἵπποι μὲν ἔασιν ἀφαρέτεροι" (Il. 23, 311) ἤτοι ταχύτεροι. πολλάκις δὲ ὁ ποιητὴς ἐν ἄλλοις τὸ πλῆρες λέγει, ἐν ἄλλοις δὲ τὸ ἐλλιπές, ἃ δεῖ ἀναπληροῦν

θόντας παρ' αὐτῷ τί ἦν τὸ λεῖπον, οἷόν εἶπέ πω „ὡς δ' αὔτως κἀκεῖνο ἰδὼν ἐτεθήπεα θυμῷ, ὡς τὸ γύναι ἄγαμαί τε τέθηπά τε δείδια δ' αἰνῶς" (Od. 6, 166). λέγει δ' ἐν ὡσαύτως, ὅπερ κἀν τῇ συνηθείᾳ λέγεῖ, ὡσαύτως με ἀδικεῖς ὡς κὀ πολλάκις. καὶ ὅταν οὖν λέγῃ „αὔτως γ' ἔπεσσ' ἐριδαίνομεν" (Il. 2, 342), λείπειν φήσομεν τὸ ὡς, ἵν' ᾖ ὡσαύτως γ' λόγοις μόνοις ἐριδαίνομεν, μηχανὴν δὲ εὑρεῖν, ἓξ ἕνεκα ἐληλύθειμεν, ἃ δυνάμεθα. ὅμοιον κὀ τὸ „ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ" (Il. 23, 74), τοτέσιν ὡσαύτως κατῆλθον, ἢ ἐξ ἃ κατῆλθον, ὁμοίως ἀλάλημαι. ὅτως ἀκασόμεθα κὀ τὸ „ὅπω μέν φασιν φαγέμεν κὀ πιέμεν αὖτως" (Od. 16, 143)· ὡσαύτως κὀ ὁμοίως. „κτενέει δέ με γυμνὸν ἐόντα αὖτως ὥςε γυναῖκα" (Il. 22, 124), ὡσαύτως ὡς γυναῖκα. „αὔτως ἔτε θεᾶς υἷὸς φίλος ἔτε θεοῖο" (50)· ὡσαύτως ἔτε θεᾶς υἱὸς ἐρέξεν ἔτε θεοῖο. A.

168. *αὖτε προσέειπε*: ἐν ἄλλῳ ἦμειβετ' ἔπειτα. A.

169. *ναὶ δή*: ὁ γέρων ἐπαινεθεὶς ἰδὼ τὸ „τί πάννυχον ὕπνον ἀωτεῖς;" φρονίμως δὲ ὁ συνεχώρησε τοῦτο ὅτι φιλοπονώτερός ἐςι τῶν ἄλλων (φορτικὸν γ' ἦν), ἀλλὰ τὸν καιρὸν ἐπικίνδυνον εἶναι κὀ τῆς παρὰ δύναμιν φιλοπονίας δέομενον. BLV.

φίλος: Ἀριστοφάνης τέκος. A.

170. *παῖδες*: ὅτι ἐς τὰς κοινὰς ὑπηρεσίας πρώτους καταλέγει τοὺς ἑαυτῶ παῖδας. V.

173. *ἐπὶ ξυροῦ ἕσταται ἀκμῆς*: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ τὰ πράγματα ἡμῶν τριχὸς ἥρτηται, ὃ ἐςιν ἐν ἐσχάτῳ κινδύνῳ ἐςὶν κὀ ἐπὶ ὀξύτητος κινδύνων, μεταφορικῶς. AD. συσαλτέον δὲ διὰ τὸ μέτρον τὴν ξυ συλλαβήν. A, κὀ διὰ τὸ ὀξὺ κὀ διὰ τὸ λεπτὸν ἐπικίνδυνον τοῦτο. τὴν πρώτην δὲ τοῦ ξυροῦ συσαλτέον διὰ τὸ μέτρον. V.

174. *ἦ*: ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον· διαζευκτικοὶ γάρ εἰσιν. ἐκ εἶπε δὲ κρατῆσαι ἢ κρατηθῆναι, ἀλλ' ἢ καιρῶς ἀπολέσθαι ἢ ζῆσαι. V.

175. *Αἴαντα ταχὺν καὶ Φυλέος υἱόν*: ἡ διπλῆ, ὅτι διαςέλλει τῷ ἐπιθέτῳ τὸν Λοκρὸν τοῦ Τελαμωνίου, καὶ πρὸς Ζηνόδοτον γράφοντα ἐκεῖ (Il. 19, 239) „Φυλείδην τε Μέγητ τε," τὸν Φυλείδην οἰόμενον ὄνομα κύριον. A.

Μέγητα. κὀ ἀλλαχοῦ „Φυλείδην τε Μέγητα." καὶ πῶς ἀριςεὺς ὑπάρχων ἐκ ἀνῄρηται κατὰ Ἕκτορος; ἢ ὅτι μείζων ἑαυτοῦ γέγονε, τὴν Ἐπειῶν προσλαβὼν ἀρχὴν μετὰ Διώρην. V.

176. *ἄνσησον*: οὕτως διὰ τοῦ ῆ ἄνσησον αἱ Ἀριςάρχου. διὰ μέσου τὸ σὺ γάρ ἐσσι νεώτερος. A.

τὸ ἐξῆς ἄνσησον, εἴ μ' ἐλεαίρεις. οὐκ ἐπιτακτικῶς δέ φησιν, ἀλλ' εἰ ταῖς ἀληθείαις ἐλεεῖς με, διὰ τὸ „σὺ μὲν τόνυν ἔποτε λήγεις." τὸ δὲ „σὺ γάρ ἐσσι νεώτερος" πρὸς τὸ „κὀ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν." BL. ὡς εἰ μὴ ταρῇν, δι' ἑαυτὸν ἂν ὁ γέρων ἐκάλεσεν. V.

179. *βῆ δ' ἴέναι*: ταχέως πάνυ καὶ μεγαλείως τοῦτο ποιεῖ· ἔδει γ' ἔδει διατρίβειν περὶ πρᾶξιν μηδὲν ἠθικὸν μηδὲ ἀξιόπιςον ἔχουσαν. BLV.

180. *ἐν ἀγρομένοισιν ἐμίχθεν· ἐν ἄλλῳ ἐν ἀγρομένοισι γένοντο*. A.

182. *εἵατο*: καθέζονται μέν, ἵνα μὴ ἡ ἀνάκλισις ὕπνον ἐμποιήσῃ, ἐχ ἑξῆσι δέ, ἵνα μὴ πρὸ τῆς χρείας κάμωσιν. A.

*ἔτε κατακλίνον δεύοντος, ἵνα μὴ καταβαρηθῶσιν ὕπνῳ, ἔτε ἐξήκασιν, ἵνα μὴ τῆς χρείας προκάμωσιν. οἰκεῖον δὲ φύλακι τὸ μὴ κοιμᾶσθαι μηδὲ πρὸς βραχὺ ἀποθέσθαι τὴν ἀσπίδα. BL.

183. *θείως τὴν τῶν φυλάκων ἀγρυπνίαν τῇ τῶν κυνῶν παρέβαλε, κὀ ταῦτα ποιμενικῶν· ὀξυήκοοι γ' κὀ ἄγρυπνοι, ἔπειτα κὀ λέοντος προσδοκῶντες ἔφοδον. BL.

186. *σφιν*: αὐτοῖς τοῖς κυσί· θορύβῳ γ' παρεμπεσόντος, κἂν οἱ ἄνδρες ἀφυπνώσσωσιν, ἐκέτι κοιμῶνται οἱ κύνες. διὸ ὑπερβολικῶς εἶπε τὸ ὄλωλεν, ὡς μηδὲ ὕςερον εἰ βληθεῖεν ὑπνωσσόντων. BL.

187. *ἡ διπλῆ, ὅτι σαφῶς τὸ νήδυμος σὺν τῷ ν. καὶ ἐπὶ τῶν ἀμφιβόλων ἓν ἔτος γράφεται. D.

*κοινῶς ἂν εἴποις, κακὴν νύκτα διήγαγον· κὀ ἔςι παθητικὸν ὑπὸ τοῦ ποιητοῦ προσκείμενον. ἅμα δὲ κὀ ἐξηγεῖται τὸ δυσωρήσοντα· δηλοῖ γ' τὴν δυχερῆ παραφυλακήν. BL.

188. *φυλασσομένοισι*: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ φυλάσσουσι, παθητικὸν ἀντὶ ἐνεργητικοῦ. A.

*διὰ τοῦ αἰεὶ δηλοῖ τοὺς μηδ' ὅλως ἀφυπνίσαντας, ἀντιςήσαντας τῷ ὕπνῳ τὸν φόβον. V.

189. *ἦ διπλῆ, ὅτι ἃ λέγει, ὁππότ' ἀκούοιεν τῶν Τρώων ἐπιόντων, τότε πρὸς τὸ πεδίον τετραμμένοι ἦσαν· ἐδὲ γ' ἐπεληλύθεισαν· ἀλλὰ φοβέμενοι μὴ ἐπελεύσονται οἱ Τρῶες, τετραμμένοι ἦσαν πρὸς τὸ πεδίον. A.

190. *τοὺς δ' ὁ γέρων*: τὸ πᾶν γ' αὐτῷ ἐπιτρέπει ὁ Ἀγαμέμνων. V.

192. *οὕτω νῦν*: τεχνικῶς διὰ τοῦ παραγγεῖλαι αὐτοῖς ὁμοίως φυλάττειν ἐπῆνεσέ τε ἅμα κὀ προσέταξεν ἀνεπιφθόνως. εὖ δὲ κὀ τὸ φίλα τέκνα· τῷ γ' συγγενικῷ ὀνόματι τὴν ἀπὸ τοῦ ὕπνου νενίκηκεν ἡδονήν, BL. τοῦ δὲ παιδὸς ἐδ' ὅλως ἐμνημόνευσεν. V.

193. *μὴ χάρμα*: τὸ μάλιςα λυπῶν παρέλαβε, χαρὰν πολεμίων. ὡς ἐν ὑποθήκῃ δὲ λέγων, ἐν αὐτοῖς εἶναι τὴν πᾶσαν τῶν Ἑλλήνων σωτηρίαν φησίν. BLV.

194. *τάφροιο διέσσυτο*: διέβη διὰ τῆς τάφρου, ἵνα μὴ θόρυβος ἐν τῷ στρατοπέδῳ γίνηται, τὴν μὲν σύνοδον ὁρώντων, τὴν δὲ αἰτίαν ἀγνοούντων. ἢ ἵνα μὴ γνῶσιν ὅτι κατάσκοποι πέμπονται. ἢ εἰς εὐθυμίαν τῶν κατασκόπων, ἵνα ἀμοβιώτερον τυγχάνωσιν ἐγγὺς ὄντων. A.

*ὑπὲρ γεροντικὴν προθυμίαν κὀ πρῶτος πρόεισι, δυσωπῶν αὐτούς. διὰ τί δὲ μὴ μᾶλλον ἔσω τοῦ τείχους ἀσφαλέστερον βαλεύονται; ἀλλ' ἐν τῷ στρατεύματι νυκτὸς περιόντες θόρυβον ἂν ἐκίνησαν, καὶ ταῦτα προτεταλαιπωρημένον ἤδη τῶν Ἑλλήνων. ἄλλως τε ἄτοπον ἦν εἰς κατασκοπὴν ὀρύνοντας μὴ τολμᾶν προϊέναι τῶν πυλῶν. ἔτι δὲ κὀ πρὸς παραμυθίαν τῶν μελλόντων ἐκπίμπεσθαι. BLV. πρὸς τὸ μὴ δοκεῖν πολὺ προκόπτειν τῆς φάλαγγος. ἦσαν δὲ ἤδη τὰ τῶν συμμάχων κατθέντα πυρά· διὸ ἔλαθον. V.

καὶ κατὰ τὸ ἀξίωμα ἑκάστῳ ἀπονέμει. τάπης γὰρ τῷ βασιλεῖ ὑπόκειται, οὐχ ὡς τοῖς στρατιώταις ἀσπίς. V.

158. λαὸς: εὐτόνως τῷ μεγάλῳ δακτύλῳ τῆς ποδὸς τῆς κοίλης μέρος ἁψάμενος τῆς Διομήδους ποδός, ὡς δῆλον ἐκ τῶν ἐπιφερομένων „ὦτρυνέ τε νείκεσέ τ' ἄντην." BD.

εἰκὸς αὐτὸν διὰ τὰς μεθ' ἡμέραν κόπους ἐκ παθάνεως φρονέντων. καλῶς δὲ ὅτι ἀμονοεισῶς πάντες διυπνίζονται. δυσωπητικὸν δὲ τὸ ὑπὸ τοῦ γέροντος ἀνίσασθαι· διὸ καὶ λαὸς αὐτὸν ἀνίσησι, τὴν ἀπρονοησίαν ὀνειδίζων. BLV.

ὁ ἀσερίσκος, ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν (15, 45) μετάκειται ἐπὶ τῶν Πεισιστράτου κλινιδίων, καθεύδοντος παρὰ Μενελάῳ. πρὸς τί ἓν ποδί, ἀλλ' οὐχὶ τῇ χειρί; νῦν μὲν γὰρ εἰκότως ἐπὶ τῆς γῆς κοιμώμενον ἔτως ἐγείρει. A.

διὰ τοῦ κινήσας ἰάσατο τὸ λάξ. V.

159. διχῶς ὁ Ἀρίσταρχος, ἔγρεο καὶ ὄρσεο. A.

ἀωτεῖς: ἀνθίζεις, παρὰ τὸ ἄωτον, ὃ ἔστιν ἄνθος, ἢ κοιμᾷ, παρὰ τὸ ἀείσαι τὸ κοιμᾶσθαι. A.

160. οὐκ ἀΐεις: Ἀγαμέμνονα μὲν κατεπληχθέντα παραμυθεῖται, Διομήδεα δὲ ἀμελοῦντα ἀναπτεροῖ, καὶ ἄμφω βελτίους ποιεῖ. τὸ δὲ ἀΐεις ἀντὶ τοῦ ἀκούεις, πρὸς πλείονα ἐπίτασιν ὡς πλησίον αὐτῶν ὄντων. B. Θρωσμὸς δέ ἐστι τόπος ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἴλιος, ὃς ὀνομαστικῶς καλεῖται Θρωσμός, ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο. BDL. οἱ μὲν τῷ ἀντικρύ, οἱ δὲ τῷ ὑψηλῷ, οἱ δὲ τῷ πλατεῖ. V.

161. ὀλίγος δ' ἔτι: διὰ τοῦ ε, ὀλίγος δέ τε, αἱ Ἀριστάρχειοι. γράφει δὲ καὶ ὀλίγος δ' ἀπὸ χῶρος ἔεργει. A.

164. ἡδὺ ἐπίπληξις φιλοπονίας καὶ ἀρετῆς. χέτλιος ὁ ἄξια πράσσων ἀγανακτήσεως. εἰώθαμεν δὲ ἀμελείας κρινόμενοι φιλοπονωτέρως τοῦ δέοντος ἀποφύσκειν τὰς ἐγκλήσεις, τῷ ἐπαινῷ ἐκείνων τὸν ἴδιον ἀπολυόμενοι ψόγον, οὐχ ἑαυτὸς ἧττον τοῦ δέοντος φάσκοντες πονεῖν, ἀλλ' ἐκείνους τοῦ δυνατοῦ περαιτέρω. ALV.

ἡ διπλῆ, ὅτι σεπτικῶς τὸ χέτλιος καὶ ἀ μεμπτικῶς, εἰς ἑαυτὸν ἀγνώμων· καὶ ὅτι πόνον τὴν ἐργασίαν. A.

συναπτέον ἕως τοῦ γεραιέ. A.

167. ἀμήχανος: Πορφυρίω. ἀμήχανος γάρ, πρὸς ὃν οὐδὲ τὸ γῆράς τι ἐμηχανήσατο, ἐξ οὗ νοεῖται τὸ ἀνίκητος. οὕτω καὶ ἐπὶ τῆς Ἥρας „ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σοὺς δόλος, Ἥρη" (Il. 15, 14), τετέχνηται ἀήττητε, πρὸς ἣν οὐδὲν ἔξι μηχανήσασθαι. B.

ἡ διπλῆ, ὅτι ἀμήχανος δύο σημαίνει, ἓν μὲν ἀνίκητος, ἓν δὲ ἀντὶ τοῦ πρὸς ὃν οὐκ ἔξι μηχανὴν εὑρεῖν. ὅπερ καὶ νῦν σημαίνει, ἵνα τῶν πόνων ἀποσῇ. ἢ κακοπίαστος καὶ πρὸς πάντα ἕτοιμος. AB.

ὁ δ' ἀπὸ κοινοῦ τρόπος ἐστὶ καὶ παρ' αὐτῷ καὶ ἐν τοῖς τοιούτοις· „οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους" (Il. 1, 154)· ἀπὸ κοινοῦ γὰρ οὐδὲ τοὺς ἵππους ἤλασαν. „ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο, Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο" (Il. 20, 1)· ἐκ κοινοῦ γὰρ θωρήσσοντο. „παννύχιοι μὲν ἔπειτα κάρηκομόωντες Ἀχαιοὶ δαίνυντο, Τρῶες δὲ κατὰ πύλιν ἠδ' ἐπὶ τείχεϊ κοιρεῖ" (Il. 8, 476), δαίνυντο δηλονότι. „πολλὰ δὲ τοῦ κασιγνήτη καὶ πότνια μήτηρ ἐλίσσονθ', ὃ δὲ μᾶλλον ἀνὰ στήθεα πνέτο, πολλὰ δ' ἑταῖροι" (Il. 9, 580)· ἐκ κοινοῦ γὰρ τὸ ἐλίσσοντο. „ἀγαθὴ δὲ παραίφασις ἕπεται ἑταίρου" (Il. 11, 794)· ἀγαθῆ· ἃ πᾶσα γὰρ παραίφασις ἐστιν ἀγαθή, ἀλλὰ τῷ ἀγαθῷ ὡς ἐκ κοινοῦ τὸ ἀγαθή· τὸ δ' ἐπὶ τῷ ἑταίρῳ ἀκουστέον ἀντιστρόφως. πάλιν „οἱ δ' ἀμφ' Ἰδομενῆα θωρήσσοντο· Ἰδομενεὺς μὲν ἐνὶ προμάχοισι συῒ εἰκελος ἀλκήν" (Il. 4, 252)· τὸ γὰρ θωρήσσετο προσυπακούεται ἀπὸ τοῦ θωρήσσοντο. „χώρησαν, ὁπότε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ" (Il. 16, 588)· ἐκ κοινοῦ τὸ ἐχώρησεν. „εὗρ' υἱὸν Πετεῶο Μενεσθῆα πληξιππον ἑσαῶτ' ἀμφὶ δ' Ἀθηναῖοι μήσωρες αὐτῆς" (Il. 4, 327)· ἐκ κοινοῦ τὸ ἕσαν ἀπὸ τοῦ ἑσάοτα. „τῇ ῥ' ἐνόρουσ', ἅμα δ' ἄλλοι ἀρήϊοι στῆες Παναχαιῶν," δηλονότι ἐνόρουσαν. „ὡς ἂν Πηλεΐδην τιμήσομεν, ὃς μέγ' ἄριστος Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες" (Il. 16, 271)· ἀπὸ τοῦ ἄριστος καὶ ἄριστοι οἱ θεράποντες ἀκουστέον. „ἐδ' ἄρ' ἔμελλε δίφρον ἐφέζεσθ πολλῶν κατὰ οἶκον ἐόντων" (Od. 4, 716)· ἐκ κοινοῦ δίφρων. „καμάτῳ τε καὶ ἰδρῷ νωλεμὲς ἀεὶ γένατά τε καὶ μαί τε παλάσσετο" (Il. 17, 385)· ὡς ἐκ κοινοῦ τὸ παλάσσοντο λεπτέον, καὶ ἐπὶ μὲν τῶν γονάτων οἰκείως εἴρητο, ἐπὶ δὲ τῶν κνημῶν ὑπακουστέον. „ἐκ πόλιος δ' ἄξασθε βόας καὶ ἴφια μῆλα καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε, σῖτον δ' ἐκ μεγάρων" (Il. 8, 505)· ἔτε γὰρ οἰνίζεσθε ἔτε ἄξεσθε ἀλλὰ φέρετε ἢ λαμβάνετε. καὶ πάλιν „οἱ μὲν ἔπειθ' ἵζον κατὰ σίχας, ἦχι ἑκάστῳ ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο" (Il. 3, 326)· ἃ γὰρ οἱ ἵπποι ἐκείντο, ἀλλὰ τὰ εἰκότα κεῖσαν ἀκόμενα ἢ ἦσαν, ὡς ἐπὶ τοῦ „πῆ δὲ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι" (407); ὑπακουσόμεθα γὰρ εἰσὶν ἢ εἰσήκεισαν. „ἃ μὲν ἀκλειῆς Λυκίην κατακοιρανέουσιν ἡμέτεροι βασιλῆες, ἔδεσί τε πίονα μῆλα οἶνόν τ' ἐρυθρὸν πίνουσι" (Il. 12, 318), δηλονότι πίνουσι. τὰ τοιαῦτα παραδηλοῦντα τῶν τις πολλὰ λύσει τῶν ζητουμένων καθ' Ὅμηρον πολλαχοῦ πλήσια. τοῦτος γὰρ ὅμοιον τὸ „ἀλλὰ πολὺ πρὶν φραζώμεθα ταῦτα, ὡς κεν καταπαύσομεν, ἠδὲ καὶ αὐτοὶ παυέσθων· καὶ γὰρ τ' ἄφαρ τόδε λώϊόν ἐστιν" (Od. 2, 167). ἐκ κοινοῦ γὰρ δεῖ νοεῖσθαι τὸ παυέσθων, καὶ χρηματίσαι οἰκείως τοῖς ἑξῆς, ἵνα δηλονότι καὶ αὐτοῖς ἄφαρ παυσαμένοις καὶ ταχέως, πρὶν ἐλθεῖν τὴν Ὀδυσσέα, λώϊόν ἐστι προειρῆσθαι γὰρ „ἀλλά πω ἦδη ἐγγύθεν τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει πάντεσσι." τὸ δὲ „οὐ γὰρ χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν" (Il. 13, 814) ἐν ὑπερθέσει εἰρῆσθαι, ἐπεὶ εἰσὶ γὰρ καὶ ἡμῖν χεῖρες ὥς ἄφαρ ἀμύνειν. καὶ „αἱ γὰρ δὴ Ὀδυσεύς τε καὶ ὁ κρατερὸς Διομήδης ὦδ' ἀγάσσαντο ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους" (Il. 9, 637), διὰ τὸ ταχέως. ἀπὸ δὲ τοῦ ἄφαρ ἔοικεν ἐν συνηθείᾳ εἶναι τῶν Ἀλεξανδρέων τὸ λέγειν ἄφαρ πεποίηκε τὸ ἐσπευσμένως. Ὅμηρος δὲ ἀπὸ τοῦ ἄφαρ πεποίηκε τὸ ἀφαρτεροί, οἱ ταχύτεροι· „τῶν δ' ἵπποι μὲν ἔασιν ἀφαρτεροὶ ἠὲ καὶ οἶοι" (Il. 23, 311) ἤτοι ταχύτεροι. πολλάκις δὲ ὁ ποιητὴς ἐν ἄλλοις τὸ πλῆρες λέγει, ἐν ἄλλοις δὲ τὸ ἐλλιπές, καὶ δεῖ ἀναπληροῦν

θόντας παρ' αὐτῷ τί ἦν τὸ λεῖπον, οἷόν εἶπέ πω „ὡς δ' αὔτως ᾗ κεῖνο ἰδὼν ἐτεθήπεα θυμῷ, ὡς τὸ γύναι ἄγαμαί τε τέθηπά τε δείδια δ' αἰνῶς" (Od. 6, 166). λέγει δ' ἐν ὡσαύτως, ὅπερ ᾗ ἐν τῇ συνηθείᾳ λέγει, ὡσαύτως με ἀδικεῖς ὡς ᾗ πολλάκις. καὶ ὅταν οὖν λέγῃ „αὔτως γ' ἐπέεσσ' ἐριδαίνομεν" (Il. 2, 342), λείπειν φήσομεν τὸ ὥς, ἵν' ᾖ ὡσαύτως γ' λόγοις μόνοις ἐριδαίνομεν, μηχανὴν δὲ εὑρεῖν, ᾗ ἕνεκα ἐληλύθειμεν, ᾗ δυνάμεθα. ὅμοιον ᾗ τὸ „ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ" (Il. 23, 74), τουτέστιν ὡσαύτως κατῆλθον, ᾗ ἓξ ὃ κατῆλθον, ὁμοίως ἀλάλημαι. ὕτως ἀκούσομεθα ᾗ τὸ „ὄπω μὲν φασὶν φαγέμεν ᾗ πιέμεν αὔτως" (Od. 16, 143)· ὡσαύτως ᾗ ὁμοίως. „κτενέει δέ με γυμνὸν ἐόντα αὔτως ὥςτε γυναῖκα" (Il. 22, 124), ὡσαύτως ὡς γυναῖκα. „αὔτως ἔτε θεᾶς υἱὸς φίλος ἔτε θεοῖο" (50)· ὡσαύτως ἔτε θεᾶς υἱὸς ἦρξεν ἔτε θεοῖο. A.

168. αὖτε προσέειπε: ἐν ἄλλῳ ἤμειβε τ' ἔπειτα. A.

169. ναὶ δή: ὁ γέρων ἐπαινεθεὶς ἰᾶ τὸ „τί πάννυχον ὕπνον ἀωτεῖς;" φρονίμως δὲ ὁ συνεχώρησε τοῦτο ὅτι φιλοπονώτερός ἐστι τῶν ἄλλων (φορτικὸν γ' ἦν), ἀλλὰ τὸν καιρὸν ἐπικίνδυνον εἶναι ᾗ τῆς παρὰ δύναμιν φιλοπονίας δέον. BLV.

φίλος: Ἀριστοφάνης τέκος. A.

170. παῖδες: ὅτι ἐς τὰς κοινὰς ὑπηρεσίας πρώτους καταλέγει τοὺς ἑαυτῷ παῖδας. V.

173. ἐπὶ ξυροῦ ἕσται ἀκμῆς: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ τὰ πράγματα ἡμῶν τριχὸς ἥρτηται, ὃ ἐστιν ἐν ἐσχάτῳ κινδύνῳ ἐστὶν ᾗ ἐπὶ ὀξύτητος κινδύνων, μεταφορικῶς. AD. συγαλτέον δὲ διὰ τὸ μέτρον τὴν ξῦ συλλαβήν. A. ᾗ διὰ τὸ ὀξὺ ᾗ διὰ τὸ λεπτὸν ἐπικίνδυνον τοῦτο. τὴν πρώτην δὲ τῆ ξυρῆ συγαλτέον διὰ τὸ μέτρον. V.

174. ἦ: ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον· διαζευκτικοὶ γάρ εἰσιν. ἐκ εἶπε δὲ κρατῆσαι ἢ κρατηθῆναι, ἀλλ' ἢ καιρῶς ἀπολέσθαι ἢ ζῆσαι. V.

175. Αἴαντα ταχὺν καὶ Φυλέος υἱόν: ἡ διπλῆ, ὅτι διαξέλλει τῷ ἐπιθέτῳ τὸν Λοκρὸν τῆ Τελαμωνίῃ, καὶ πρὸς Ζηνόδοτον γράφοντα ἐκεῖ (Il. 19, 239) „Φυλείδην τε Μέγην τε," τὸν Φυλείδην οἰόμενον ὄνομα κύριον. A.

Μέγητα. ᾗ ἀλλαχοῦ „Φυλείδην τε Μέγητα." καὶ πῶς ἀριστεὺς ὑπάρχων ἐκ ἀνῄρηται κατὰ Ἕκτορος; ᾗ ὅτι μείζων αὐτῆ γέγονε, τὴν Ἐπειῶν προσλαβὼν ἀρχὴν μετὰ Διώρην. V.

176. ἄνσησον: οὕτως διὰ τοῦ ῑ ἄνσησον αἱ Ἀριστάρχου. διὰ μέσου τὸ σὺ γάρ ἐσσι νεώτερος. A.

τὸ ἑξῆς ἄνσησον, εἰ μ' ἐλεαίρεις. οὐκ ἐπιτακτικῶς δέ φησιν, ἀλλ' εἰ ταῖς ἀληθείαις ἐλεεῖς με, διὰ τὸ „σὺ μὲν οὖν ὅποτε λήγεις." τὸ δὲ „σὺ γάρ ἐσσι νεώτερος" πρὸς τὸ „ᾗ ἄλλοι ἐασι νεώτεροι υἷες Ἀχαιῶν." BL. ὡς εἰ μὴ ἀρῇν, δι' ἑαυτῆ ἂν ὁ γέρων ἐκάλεσεν. V.

179. βῆ δ' ἴέναι: ταχέως πάνυ καὶ μεγαλείως τοῦτο ποιεῖ· ἐδεῖ γὰρ ἐδεῖ διατρίβειν περὶ πρᾶξιν μηδὲν ἠθικὸν μηδὲ ἀξιόπιστον ἔχουσαν. BLV.

180. ἴν ἀγρομένοισιν ἐμίχθεν: ἐν ἄλλῳ ἐν ἀγρομένοισι γένοντο. A.

182. εἵατο: καθέζονται μέν, ἵνα μὴ ἡ ἀνάκλισις ὕπνον ἐμποιήσῃ, ἐχ ἑξᾶσι δέ, ἵνα μὴ πρὸ τῆς χρείας κάμωσιν. A.

ἔτε κατακλίνονται δεύοντες, ἵνα μὴ καταβαρηθῶσιν ὕπνῳ, ἔτε ἑξήκασιν, ἵνα μὴ τῆς χρείας προκάμωσιν. οἰκεῖον δὲ φύλαξι τὸ μὴ κοιμᾶσθαι μηδὲ πρὸς βραχὺ ἀποθέσθαι τὴν ἀσπίδα. BL.

183. θείως τὴν τῶν φυλάκων ἀγρυπνίαν τῇ τῶν κυνῶν παρίβαλε, ᾗ ταῦτα ποιμενικῶν· ὀξυήκοοι γ' ᾗ ἄγρυπνοι, ἔπειτα ᾗ λέοντος προσδοκῶντες ἔφοδον. BL.

186. σφιν: αὐτοῖς τοῖς κυσί· θορύβῳ γ' παρεμπεσόντος, κἂν οἱ ἄνδρες ἀφυπνώσσωσιν, ἐκέτι κοιμῶνται οἱ κύνες. διὸ ὑπερβολικῶς εἶπε τὸ ὄλωλεν, ὡς μηδὲ ὕστερον εἰ βληθεῖεν ὑπνωσσόντων. BL.

187. ᾗ διπλῆ, ὅτι σαφῶς τὸ νήδυμος σὺν τῷ ν. καὶ ἐπὶ τῶν ἀμφιβόλων ἓν ἔτως γράφεται. D.

κοινῶς ἂν εἴποις, κακὴν νύκτα διήγαγον· ᾗ ἕξι παθητικὸν ὑπὸ τῆ ποιητῆ προσκείμενον. ἅμα δὲ ᾗ ἐξηγεῖται τὸ δυσωρήσοντα· δηλοῖ γ' τὴν δυσχερῆ παραφυλακήν. BL.

188. φυλασσομένοισι: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ φυλάσσουσι, παθητικὸν ἀντὶ ἐνεργητικῆ. A.

διὰ τῆ αἰεί δηλοῖ τοὺς μηδ' ὅλως ἀφυπνίσαντας, ἀντιστήσαντας τῷ ὕπνῳ τὸν φόβον. V.

189. ἡ διπλῆ, ὅτι ὁ λέγει, ὁππότ' ἀκόοιεν τῶν Τρώων ἐπιόντων, τότε πρὸς τὸ πεδίον τετραμμένοι ἦσαν· ὁδὲ γ' ἐπεληλύθεισαν· ἀλλὰ φοβέμενοι μὴ ἐπελεύσονται οἱ Τρῶες, τετραμμένοι ἦσαν πρὸς τὸ πεδίον. A.

190. τοὺς δ' ὁ γέρων: τὸ πᾶν γ' αὐτῷ ἐπιτρέπει ὁ Ἀγαμέμνων. V.

192. οὕτω νῦν: τεχνικῶς διὰ τῆ παραγγεῖλαι αὐτοῖς ὁμοίως φυλάττειν ἐπῆνεσέ τε ἅμα ᾗ προσέταξεν ἀνεπιφθόνως. εὖ δὲ ᾗ τὸ φίλα τέκνα· τῷ γ' συγγενικῷ ὀνόματι τὴν ἀπὸ τῆ ὕπνου νενίκηκεν ἡδονήν. BL. τῆ δὲ παιδὸς ὁδ' ὅλως ἐμνημόνευσεν. V.

193. μὴ χάρμα: τὸ μάλιστα λυπῆν παρέλαβε, χαρὰν πολεμίων. ὡς ἐν ὑποθήκῃ δὲ λέγων, ἐν αὐτοῖς εἶναι τὴν πᾶσαν τῶν Ἑλλήνων σωτηρίαν φησίν. BLV.

194. τάφροιο διέσσυτο: διέβη διὰ τῆς τάφρου, ἵνα μὴ θόρυβος ἐν τῷ στρατοπέδῳ γένηται, τὴν μὲν σύνοδον ὁρώντων, τὴν δὲ αἰτίαν ἀγνοούντων. ᾗ ἵνα μὴ γνῶσιν ὅτι κατάσκοποι πέμπονται. ᾗ εἰς εὐθυμίαν τῶν κατασκόπων, ἵνα ἀμοιβώτερον τυγχάνωσιν ἐγγὺς ὄντος. A.

ὑπὲρ γεροντικὴν προθυμίαν ᾗ πρῶτος πρόεισι, δυσωπῶν αὐτούς. διὰ τί δὲ μὴ μᾶλλον ἔσω τῆ τείχους ἀσφαλέστερον βουλεύονται; ἀλλ' ἐν τῷ στρατεύματι νυκτὸς περιιόντες θόρυβον ἂν ἐκίνησαν, καὶ ταῦτα προτεταλαιπωρημένων ἤδη τῶν Ἑλλήνων. ἄλλως τε ἄτοπον ἦν εἰς κατασκοπὴν ὀρύνοντας μὴ τολμᾶν προϊέναι τῶν πυλῶν. ἔτι δὲ ᾗ πρὸς παραμυθίαν τῶν μελλόντων ἐκπέμπεσθαι. BLV. πρὸς τὸ μὴ δοκεῖν πολὺ προκόπτειν τῆς φάλαγγος. ἦσαν δὲ ἤδη τὰ τῶν συμμάχων καυθέντα πυρά· διὸ ἔλαθον. V.

195. *βουλήν*: ὅτι ἐλλείπει ἡ εἰς, ἵν' ᾖ εἰς βȣλήν. A.

196. *Μηριόνης καὶ Νέςορος*: διὰ τὸν Ἰδομενέα ϗ Νέςορα, ἅμα δὲ ἵνα οἱ κατάσκοποι ὁπλισθῶσιν. V.

197. *αὐτοὶ γὰρ κάλεον*: πιθανῶς τȣ̀ς φύλακας εὑρόντες ἐγρηγορότας, ἐπῄνεσαν μὲν αὐτȣ̀ς τοῖς λόγοις, ἐτίμησαν δὲ τοῖς ἔργοις, ἐπὶ συμβȣλίαν τȣ̀ς ἡγεμόνας αὐτῶν παραλαβόντες. V.

198. *ἐκδιαβάντες*: διὰ τῶν προθέσεων δηλοῖ τὸ δυσδιάβατον τȣ̃ ὀρύγματος. διὰ τί δέ, φασίν, οἱ ἡγεμόνες τὴν τάφρον διαβάντες βȣλεύονϑ; φαμὲν ὅτι τȣ̃το ποιȣ̃σιν εἰς παραμυθίαν τῶν κατασκόπων, ἵνα προθυμότεροι γένωνται ἐγγὺς αὐτῶν ὄντων. D.

Πορφυρίȣ. ἄλογον τὸ μὴ ἐντὸς τῆς τάφρȣ τὸ συνέδριον εἶναι. λύεϑ δὲ ἐκ τȣ̃ καιρȣ̃· ȣ̓ γὰρ τὸ θορυβεῖν τȣ̀ς ἐν ςρατοπέδῳ προσῆκον. θαῤῥαλεώτερόν τε τὸν κατάσκοπον ἐχρῆν ποιεῖν παρακαθήμενον καὶ ȣ̓δὲν μέλλοντα πείσεσϑ δεινόν, τῶν φυλάκων περὶ τὴν τάφρον τυγχανόντων. B.

Πορφυρίȣ. ἠπόρησεν Ἀριςοτέλης διὰ τί ἔξω τȣ̃ τείχȣς ἐποίησε τȣ̀ς ἀριςέας βȣλευομένȣς ἐν νυκτηγορίᾳ, ἐξὸν ἐντὸς τȣ̃ τείχȣς ἐν ἀσφαλεῖ. καί φησι· πρῶτον μὲν ȣ̓ν ȣ̓κ εἰκὸς ἦν ἀποκινδυνεύειν τȣ̀ς Τρῶας ȣ̓τ' ἐπιτίθεσϑ νύκτωρ· οὐ γὰρ τῶν εὐτυχȣ́ντων ἦν ἀποκινδυνεύειν· ἔπειτα ἐν ἐρημίᾳ ϗ καθ' ἡσυχίαν βȣλεύεσϑ περὶ τῶν τηλικȣ́των ἔθος. ἄτοπον δ' ἂν ἦν εἰ ἠξίȣν μὲν πορευθῆναί τινας εἰς τοὺς Τρῶας, αὐτοὶ δὲ ȣ̓δὲ μικρὸν προελθεῖν ἐτόλμων. ἔπειτα ςρατηγῶν ἂν εἴη τὸ φυλάσσεσϑ τȣ̀ς νυκτερινȣ̀ς θορύβȣς, τὸ δ' ἐν τῷ ςρατεύματι νυκτὸς συνιόντας βȣλεύεσϑ, νεωτερισμȣ̃ ὑποψίαν παραχόν, φόβον ἐνεποίει. ἅμα δὲ καὶ ἡ πρόθεσις ἦν τȣ̀ς φύλακας θεάσασϑ, ἐν οἷς ἦν ἡ σωτηρία τῶν καθευδόντων· γενόμενοι δ' ἐν τȣ́τοις τὰς βȣλάς, ὀλίγῳ πόῤῥω τȣ́των ἀποςάντες, ἐν ἡσυχίᾳ μὲν ϗ ἐν ἀποῤῥήτῳ ἐποιȣ̃ντο, μὴ ἀναμεμιγμένοι τοῖς φύλαξιν, ἐν ἀσφαλεῖ δέ· πλησίον γὰρ τῶν φυλάκων. καὶ ἅμα ταχέως ἦν ἐπιτελέσαι τὰ δόξαντα. ὁ δὲ νεκύων χῶρος πλήρης μὲν τῶν κειμένων πτωμάτων, ὀλίγον δὲ καθαρὸν ἔχων νεκρῶν, ἔνθα καθέζοιντο, τȣ̃ περὶ τὴν τάφρον παντὸς χωρίȣ πλήρȣς ὄντος τῶν ἀνῃρημένων. ἀπολογȣ́μενος δὲ διότι ἄταφοι ἦσαν, ἐπάγει ὅτι τῶν πολεμίων νυκτὸς γέγονεν ἡ ἀναχώρησις καὶ χολὴν ȣ̓κ ἐνδέδωκεν ὁ καιρὸς εἰς ταφήν, νυκτὸς μὲν καταλαβȣ́σης, ἐκ δὲ τῆς ἥττης ὑπὸ τȣ̃ καμάτȣ εἰς ὕπνον τετραμμένων πάντων. φησὶ γὰρ „μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ ϗ ὕπνῳ κοιμήσωνϑ, ἀτὰρ φυλακῆς ἐπιπάγχυ λάθωνϑ" (98) ϗ „ὅθεν αὖτις ἀπετράπετ' ὄβριμος Ἕκτωρ" (200) ϗ τὰ ἑξῆς. B.

ὀρυκτήν: τὴν εὖ ὀρυχθεῖσαν, ὅ ἐςι βαθεῖαν. ἢ ἀντιδιαςέλλει πρὸς τὰς ἐξ ὄμβρων γινομένας ῥωγάδας (τȣ̀ς — γινομένȣς ῥωχμȣ́ς V). BLV.

199. *διεφαίνετο*: ὡς ἐν σκότῳ ȣ̓ καθαρῶς ἐφαίνετο. ἐκίνησε δὲ ἡμῶν τὴν διάνοιαν τῷ ἐναργεῖ, τὸ μὲν περὶ τὴν τάφρον ἅπαν χωρίον φήσας πλῆρες εἶναι κειμένων νεκρῶν, ὀλίγον δὲ τὸν καθαρὸν τόπον. BL.

ἄτοπόν φασι μηδὲ τȣ̀ς πρὸς τῇ τάφρῳ ἀνελέσϑ νεκρȣ́ς. ἀλλ' ȣ̓κ ἂν ἐπέγνωσαν νυκτὸς τȣ̀ς ἑαυτῶν. ἢ διὰ τὴν φαντασίαν. V.

πρὸς Ἴςρον, ὅτι οὐ γέγονε νεκρῶν ἀναίρεσις. A.

τὸ ἑξῆς ἐν καθαρῷ νεκρῶν, ὅθι διεφαίνετο χῶρος. A.

202. *πίφαυσκον*: ἐνεφάνιζον, ἔλεγον. φῶ φαύω καὶ πιφαύω, πιφαύσκω. A.

203. *μύθων ἦρχε*: ἐν ἄλλῳ δὲ καὶ μετέειπε. A.

204. *οὐκ ἂν δή τις*: ἐξ αὐτȣ̃ τȣ̃ πράγματος ἄρχεϑ· ȣ̓κ ἔδει γὰρ προοιμίων ἀλλ' ὀξυβȣλίας ἐν τῷ τοιȣ́τῳ καιρῷ. ὑποθετικῶς δὲ ἄρχεϑ, ȣ̓ προςακτικῶς. εὖ δὲ ϗ τὸ μὴ ἕνα ἐκλέξασϑ· ἐλύπει γὰρ αὐτὸν ὡς καταφρονῶν τῆς αὐτȣ̃ σωτηρίας, ϗ τȣ̀ς λοιπȣ̀ς ᾔχυνε. φιλοτιμίαν ȣ̓ν τοῖς ἀρίςοις εἰς ἀλλήλȣς ἐμβαλὼν τȣ̀ς ἀτόλμȣς ȣ̓κ ἤλεγξεν, ἀλλ' ἡσυχίαν αὐτοῖς ἀνεπίφθονον δέδωκεν. εὖ δὲ ϗ τὸ αὐθαίρετον· ȣ̓ γὰρ ἐμοί, φησί, πεπίθοιτο, ἀλλ' ἑῷ αὐτȣ̃ θυμῷ, ϗ τολμήεντι, ὅ ἐςι περιεκτικὸν τῆς προκειμένης πράξεως. BL.

τίς σημαίνει ιβ'. α' ἐρώτησιν, ὡς τὸ „τίς ἐςιν ȣ̃τος ὁ βασιλεὺς τῆς δόξης;" ϗ Ὅμηρος „τίς πόθεν εἰς ἀνδρῶν;" (Od. 1, 170). β' ἀπόφασιν, ἥτις αὐτȣ̃ μάλιςα μάχεται, τίς-ȣ̓δείς· „καὶ τίς ἔγνω νȣ̃ν κυρίȣ;" ϗ Ὅμηρος „τίς ἂν τάδε γηθήσειε;" (Il. 9, 77). γ' ἀόριςον· „ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι"· καὶ Ὅμηρος „εἰ δέ τίς ἐσσι βροτῶν οἳ ἀρȣ́ρης καρπὸν ἔδȣσι" (Il. 6, 142). δ' προσδιορισμόν, ὡς τὸ „εἰσί τινες τῶν ὧδε ἑςηκότων"· καὶ Ὅμηρος „ἄ φίλοι, ȣ̓κ ἂν δή τις ἀνὴρ πεπίθοιθ' ἑῷ αὐτȣ̃ θυμῷ." ε' ἀγανάκτησιν, τȣτέςιν ἐπιτίμησιν, ὡς τὸ „τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ" καὶ „τίς σε κατέςησεν ἄρχοντα ϗ δικαςήν" ϗ „τίς ἐςιν ὁ κρύπτων βȣλήν·" εἰ δέ τις ἐρωτηματικῶς ταῦθ' ὑπολάβοι, ἄγνοιαν κατηγορήσει. καὶ Ὅμηρος „τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν Ἀργείȣς· τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας" (Il. 9, 337). ς' εὐτέλειαν· „τίς εἰμι ἐγώ, κύριε, ϗ τίς ὁ οἶκος τȣ̃ πατρός μου;" καὶ Ὅμηρος „ἔπειτα δὲ καί τι πάθοιμι" (Il. 21, 274) καὶ „τί νύ μοι μήκιςα γένηϑ;" (Od. 5, 299). ζ' σπάνιν· „τίς σοφὸς ϗ φυλάξεϑ ταῦτα·" „τίς ἐπίςευσε τῇ ἀκοῇ ἡμῶν·" εἰ γὰρ ϗ μὴ πάντες, ἀλλ' ȣ̓ν τινές. ϗ Ὅμηρος „τίς δ' αὖ τοι δολομῆτα θεῶν συμφάσσατο βȣλάς" (Il. 1, 540)· ȣ̓ γὰρ ἐρωτηματικῶς ἐνταῦθα κεῖται τὸ τίς, ἐπεὶ οὐκ ἠγνόει ἡ Ἥρα τὴν τῆς Θέτιδος βουλήν. η' θαυμασμόν, ὡς τὸ „τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ;" ϗ „τίς ἐςιν ȣ̃τος, ὅτι ϗ ἡ θάλασσα ϗ οἱ ἄνεμοι ὑπακȣ́ȣσιν αὐτῷ;" ϗ Ὅμηρος „τίς δὲ σύ ἐσσι φέριςε καταθνήτων ἀνθρώπων;" (Il. 6, 123). θ' εὐχὴν ἐξ ἀμηχανίας· „τίς δώσει τῇ κεφαλῇ μȣ ὕδωρ;" ϗ „τίς με ῥύσεϑ ἐκ τȣ̃ σώματος τȣ̃ θανάτȣ τȣ́τȣ;" ι' προκλητικόν· „τίς ἀπατήσει τὸν Ἀχαάβ;" ϗ „τίνα ἀποςελῶ;" ϗ „τίς πορεύσεϑ πρὸς τὸν λαὸν τȣ̃τον;" ϗ Ὅμηρος „τίς κέν μοι τόδε ἔργον ὑποχόμενος τελεέσσει" (303); ια' τὸ βραχὺ ϗ ἄτονον ϗ ὀλιγόχρονον τȣ̃ βίȣ, ὡς τὸ „τίς μου ἡ ἰχύς τί ὑπομένω; ἢ τίς μὲν ὁ χρόνος ὅτι ἀνέχομαι;" ιβ' διαπόρησιν, ὡς τὸ „τίς ἂν γνοίη ὅτι εὕροιμι αὐτόν;" ϗ „τίς οἶδεν εἰ ἐπιςρέψω;" ϗ Ὅμηρος „τίς οἶδε εἰ ϗ αὐτὸς φί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λης ἐπὶ νηὸς τῆλε φίλων ἀπόλοιτο ἀλώμενος, ὥσπερ Ὀδυσσεύς" (Od. 2, 332). B.

204. ἑῷ αὐτῷ: ἡ διπλῆ, ὅτι κατὰ τὸ πλῆρες τὰ τοιαῦτα ἐκφέρει ἑῷ αὐτῷ καὶ „ἀλλ' ἐμὸν αὐτῇ χρεῖος" (Od. 2, 45) καὶ τὰ τοιαῦτα· καὶ ἐπὶ τῶν πληθυντικῶν „αὐτῶν γὰρ σφετέρῃσιν" (Od. 1, 7). τὸ γὰρ αὐτῇ καὶ αὐτῶν κοινόν ἐστιν ἐπίταγμα τῶν τριῶν προσώπων. A.

Ὅμηρος δὲ ἐνδέποτε σύνθετον ἀντωνυμίαν παραλαμβάνει. D.

206. ὑποῤῥίζων εἰς τὸ ἐλθεῖν τελειώσεις εἰς τὸ Ἀχαιούς, ἢ τελειῶν εἰς τὸ ἐλθεῖν ἀποδώσεις εἰς τὸ ἀνθρώπους. BLV.

ἤτοι διαζαλτέον ἐπὶ τὸ ἐλθεῖν, ἵνα ῥίζωμεν ἐπὶ τὸ Ἀχαιούς καὶ ἀπ' ἄλλης ἀρχῆς εὐκτικῶς τε λεγόμενα τὰ ἑξῆς „ταῦτά κε πάντα πύθοιτο" ἢ ῥικτέον ἐπὶ τὸ ἐλθεῖν ἢ ἀπὸ ἄλλης ἀρχῆς „εἴ τινά πε δηΐων ἕλοι ἐχατόωντα," ἵν' ὑποῤῥίζωμεν ἐπὶ τὸ ἐχατόωντα ἢ σφίσιν ἢ Ἀχαιοῖς ἢ πύθοιτο ἢ ἀσκηθής, τῷ λόγῳ τοιάτῳ γινομένῳ· εἰ τινα τῶν πολεμίων ἀνέλοι ἢ γνοίη τι βελεύοντα οἱ Τρῶες, ἢ ταῦτα πυθόμενος ὑποῤῥέψειε, μεγάλην ἂν ἔχοι δόξαν. A.

ἕλοι: ζωγρήσει πρὸς τὸ πυθέσθαι τὰ τῶν πολεμίων. διὰ τὸ τῷ ἐχατόωντα τὸ ἀκίνδυνον ὑπέφηνε τῆς πράξεως ἢ ἀντιπαρέβαλε τὸ „μέγα κέν οἱ ὑπερφίαλον κλέος εἴη." BLV.

ἑχατόν, ὑπολειπόμενον, πεπλανημένον ἢ περὶ τὰ ἑχατὰ μέρη διατρίβοντα. D.

207. φῆμιν: εἰώθασιν οἱ πολεμοῦμενοι φήμας τινὰς ἔχειν ἐν ἑαυτοῖς, οἷον Λακεδαιμονίων βουλευομένων ποῖον χωρίον ἐπιτειχίσωσι τῆς Ἀττικῆς, Ἀλκιβιάδης συνεβούλευσε πέμπειν εἰς Ἀθήνας κατασκόπους, οἳ τινες παραγενόμενοι ἤκουσαν αὐτῶν τῶν Ἀθηναίων διαλεγομένων ὅτι τὴν Δεκέλειαν μέλλουσιν ἐπιτειχίζειν οἱ πολέμιοι ἢ οὕτως Λακεδαιμόνιοι ἐπετείχισαν τὴν Δεκέλειαν. ABD.

208. 209. 210. ἀσεριῶσκοι, ὅτι κακῶς ἐν τοῖς μετὰ ταῦτα κεῖται, ὅτε τὸν Δόλωνα συλλαμβάνουσιν οἱ περὶ Διομήδη. τὴν δὲ σφῶϊν νῦν ὀρθοτονητέον, καὶ διὰ τὴν σύναξιν ἢ διὰ τὴν μετάληψιν· εἰς γὰρ σύνθετον. A.

210. ἄψ ἀναχωρήσουσιν: διὰ τὸ ὑπονοεῖν Ἀχιλλέα. V.

211. ταῦτα: ἐπανάληψις. V.

πανταχόθεν προτρέπεται, τῷ εὐχερεῖ, τῷ ἀκινδύνῳ, τῷ ἀκλεεῖ. BL.

214. διοριζόμενος θαῤῥαλεώτερον αὐτὸν ποιεῖ. V.

215. τῶν πάντων: μέγας ἦν ἔξαι, ἀριστεῖα παρ' ἰδίων λαμβάνων· ἢ τὸ δῶρον ἐκ μεγίστης προφάσεως διδόμενον, ἢ μηδὲν ἔχειν, ὅμως μέγα. ἔξαι δὲ αὐτῷ ἀγέλη μελάνων οἰῶν, σπάνιον ἔχει ἢ σύμβολον τῆς ἐννυχὶ πράξεως. BLV. διὰ τῆς ἐπιγονῆς ἀείμνηστον ποιεῖ τὸ κλέος τῆς πράξεως. V.

216. ὑπόῤῥηνον: ἔγκυον, οἱ δὲ θηλάζουσαν. ὑπόῤῥηνον δὲ γράφει διὰ τοῦ ἑτέρου ῥ. V.

διὰ τί μέλαινα ἢ ὑπόῤῥηνα ἐπαγγέλλει τὰ πρόβατα; ἢ ῥητέον ὅτι μέλαινα μέν, ἐπεὶ νυκτὸς ἐπορεύοντο, ὑπόῤῥηνα δὲ συμβόλῳ τινὶ αἰσίῳ, ἵνα ἔγκαρπον τὴν πορείαν ποιήσωνται. AD.

ἡ διπλῆ, ὅτι ἡ μὲν ἐπαγγελία τοῦ δώρου ὀκτώ. τὸ δὲ ἀποτέλεσμα ὑποσεσιώπηται· δεῖ δὲ ἡμᾶς συνεκδέχεσθαι. A.

217. αἰεὶ δ' ἐν δαίτῃσι: ὡς τὸ „ἔδρῃ τε κρέασί τε" (Il. 8, 162). ἐκ τούτου δῆλον ὡς ἐ πάντες ἀεὶ ἐκαλοῦντο. ἢ τὸ ἀεί τὸ αὐτόματον δηλοῖ τῆς ἐξιάσεως. BL.

εἰλαπίνῃσιν: ἑορταῖς, ὅτε κατὰ εἴλας πίνωσιν. εἴρηται δὲ ἕτως παρὰ τὸ ἑλάσαι (ἔλασσον ἄζεσθαι τὰς εὐωχοῦντας D), ὅ ἐστι ταράσσεσθαι. AD.

218. ἀκὴν ἐγένοντο: ἴδιον γὰρ τῶν Ἑλλήνων τὸ προσκέπτεσθαι. A.

220. ἔμ' ὀτρύνει: πρὸς τὸ „πείθοιθ' ἑῷ αὐτῷ" (204). ἔπρεπε δὲ τὸν μένειν συμβουλεύοντα καὶ τὰς κινδύνους ὑποδύεσθαι. V.

ἀγήνωρ: παρέλκει τὸ ἐπίθετον, καὶ ἔστιν Ὁμηρικόν, ὡς τὸ „Ἀνδρομάχη λευκώλενος" (Il. 6, 377). V.

221. ἐκ εἰκῆ τὸ ἐγγὺς ἑόντα, ἀλλ' ὅτι μέγαν κίνδυνον ἀναδέχεται. τοῦτο δὲ οὐχ οὕτως ἑξαίρων ἑαυτόν φησιν, ἀλλ' ὡς καὶ ἑτέρου τινὸς συνεργοῦ δεόμενος. BL.

222. ἤτοι ῥικτέον ἐπὶ τὸ ἄλλος, ἵν' ᾖ ὁ λόγος εὐκτικός, ἀλλ' εἶθε, ἢ παρακελευσικός, ὡς προείρηται· ἢ ὑποῤῥικτέον ἐπὶ τὸ ἄλλος, ἵν' ᾖ ἀνταπόδοσις τὰ ἐπιφερόμενα „μᾶλλον θαλπωρή." A.

223. μᾶλλον θαλπωρή: ἐπιτήδειόν ἐστι πανταχοῦ τὸ κοινωνὸν (ἐπιτήδειος ὁ τρόπος πρὸς τὸ κοινωνὲς V) ἐν τοῖς δεινοῖς αἱρεῖσθαι, ὅπερ μὴ ποιήσας Δόλων ἀποτυγχάνει. BL.

224. σύν τε δύ' ἐρχομένω: ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ὁμοιόν ἐστιν ἐκείνῳ „ἄμφω δ' ἑζομένω" (Il. 3, 210). συνερχόμενοι δύο ἀντὶ τοῦ συνερχομένων. ἔνιοι δὲ μὴ νοήσαντες τὸ ν προσιθέασι, κακῶς. A.

ἀντὶ τοῦ δυεῖν συνερχομένων ἕτερος ὁ πρὸ θατέρου πολλάκις ἐλογίσατο· ἢ ὑπὲρ τοῦ ἑτέρου, ὡς „πρό τε παίδων καὶ πρὸ γυναικῶν" (Il. 8, 57). A.

μάλα καλῶς ἡμᾶς ἐδίδαξε κοινωνεῖν ἀλλήλοις ἐν ταῖς βουλαῖς. ὁ μὲν γὰρ εἷς τάχα μὲν ἐδὲ νοήσει ῥᾳδίως, εἰ δὲ καὶ τοῦτο, ἀλλ' ἀνύσητα· οἱ δὲ δύο φερόποιοῦσιν ἀλλήλας τῇ κοινωνίᾳ. A.

225. εἴπερ τε: ἡ διπλῆ, ὅτι Ἀρίσαρχος εἴπερ τι, καὶ οἱ ἀπὸ τῆς χολῆς. καὶ ὅτι περισσὸς ὁ τέ. A.

226. βράσσων: βραδύτερος, ἐλάσσων· ἢ ταρασσόμενος καὶ ἀκαταστάτων, μεταφορικῶς. D.

ἡ διπλῆ, ὅτι οἱ γλωσσογράφοι βράσσων ἀντὶ τοῦ ἐλάσσων. ἐδαμῶς κέχρηται τούτῳ Ὅμηρος. ἀποδοτέον ὂν βρασσόμενος, ταρασσόμενος διὰ τὸ δέος, ἀχέσηκὼς διὰ τὴν ἀγωνίαν. ἄπαξ δὲ ἐνταῦθα κέχρηται τῇ λέξει. A.

227. οἱ δ' ἔθελον: προτρέπει ἐπὶ τὰ κυλὰ τῶν ἔργων δεικνὺς ὅτι πᾶς ἀνὴρ ἀγαθὸς πρὸς ὁντιναοῦν κίνδυνον ἑλέσθαι θέλων πολλὰς ἕξει τὰς συγκινδυνεύοντας. BLV.

228. ἡθελέτην: παλαιᾶς ἑρμηνείας ἰδέα καὶ μᾶλλον ἅμα σιν ἔχουσα τῷ ἐπιμένειν τῷ ἤθελε καὶ μὴ μεταλλάξαι εἰς τὸ ἐβέλετο ἢ ἄλλο τι. V.

231. ὁ τλήμων: πρὸς τὴν ἑτέραν ποίησιν, ἵνα εὐφυὴς ἐν ἅπασι γένοιτο. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ διπλῆ, ὅτι τλήμονα οἱ νεώτεροι τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος τὸν τλητικόν, τὸν ὑπομενητικόν. A.

232. αἰεὶ γὰρ: τολμητὴς ἦν ὁ μόνον ἐν τῷ παρόντι. V.

233. τοῖσι δὲ καὶ μετέειπεν ἄναξ: πάντα Νέσωρ διώκησε καταπληχθέντος τῶ βασιλέως. ἄτοπον δὲ ἦν τὸ ἄφωνον αὐτὸν μεῖναι· νῦν οὖν τῷ θάρσει τῶν ἀριςέων ὥσπερ ἀνασφήλας φησὶ περὶ τῶ ἀδελφῶ. BL. ἄτοπον γὰρ ἦν Νέσορα καὶ τῶτο ἐρεῖν καταβάλλοντα τὸν Μενέλαον. V.

234. κεχαρισμένε: ἤδη χάριν αὐτῷ τῆς προθυμίας ὁμολογεῖ. V.

235. τὸν μὲν δὴ ἕταρον: τεχνικῶς ἔχει ὁ λόγος. καὶ γὰρ ὁρῶν τὰς ἀνθρώπας πολλάκις καὶ παρὰ γνώμην τὰς ἐν ἀξιώμασι προτιμῶντας, ἰδίᾳ μὲν ὤκνησεν ὑπὲρ τῶ ἀδελφῶ ποιήσασθαι τὸν λόγον, ἵνα μὴ τοῦ κινδύνου αὐτὸν ὑπεκκλέπτειν δοκῇ, κοινῇ δὲ ὑπὲρ ἁπάντων λέγει τὸν ἄριςον αἱρεῖσθαι. BLV.

236. τὸν ἄριστον: καλῶς παραιτεῖται Μενέλαον· οὐ γὰρ ἄριστος ἦτος. V.

237. αἰδόμενος: διδάσκει ὅτι πολλάκις αἰδῶς ἐκκρέει τῶ συμφέροντος. V.

τὰς πρὸς τὰ ἔργα ἡμῖν χρησίμας ἐσομένας ἀξιοῖ Ὅμηρος σκοπεῖν, ἃ τὰς εὐγενεῖς ἢ πλησίας, ὥσπερ καὶ ἰατρὸς ἃ τὰς πλησίας παραλαμβάνομεν ἐν ταῖς νόσοις, ἀλλὰ τοὺς ἰάσασθαι δυναμένας. BL.

240. ἀθετεῖται, ὅτι περισσὸς ὁ ςίχος καὶ παρέλκων, καὶ μὴ ἐπιλεγόμενος ἀπαρτίζει τὴν διάνοιαν. ἡ δὲ διπλῆ, ὅτι ἔξωθεν ἐκ τῶ ἰδίω προσώπω ἀναφωνεῖ, ὡς καὶ τὸ „νήπιος, ὃς ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας" (Il. 12, 113). ἀδὲ ἐν τῇ Ζηνοδότω δὲ ἦν. A.

242. ὅτι ἕταρον νῦν ὃ φίλον ἀλλὰ συνεργὸν λέγει. ἡ δὲ ἀναφορὰ πρὸς τὸ ἑταρίσσαιτο (Il. 13, 456) ἀντὶ τῶ συνεργὸν λάβοι. A.

κελεύετέ μ' αὐτὸν: Ἀλεξίων τὸ ε τῇ ἀντωνυμίᾳ δίδωσιν, ὃ τῷ ῥήματι τελικόν, καὶ δοκεῖ ὀρθοτονεῖν, ὡς εἰ καὶ συνθέτως ἐλέγετο ἐμαυτόν. καὶ τῶτό γε ἐχρῆν εἶναι· ἀεὶ γὰρ αἱ τῶ πρώτω προσώπω ἀντωνυμίαι προτασσόμεναι τῆς αὐτός ὀρθοτονοῦνται. ὁ μέντοι Ἀσκαλωνίτης καὶ Ἀρίσταρχος ἐγκλιτικῶς ἀνεγνώκασιν, ἐπὶ τὴν τε συλλαβὴν ποιοῦντες τὴν ὀξεῖαν, ἵνα μὴ ὡς ἀκατάλληλον φανῇ τὸ ἐμαυτὸν ἐλέσθαι. A.

243. Ὀδυσῆος: τῇ ἑαυτῶ θαρρῶν ἀνδρίᾳ σύμβουλον μόνον αἱρεῖται. BL. διὰ παρίησιν Αἴαντα. V.

244. οὔ πέρι: ἀληθῶς ὁ ἐν τοῖς κινδύνοις ἔπαινος χρήσιμος, παρωσάμενος πᾶσαν αἰδῶ καὶ ἀμέλειαν. ἅμα δὲ καὶ τοῖς ἄλλοις ἀπολογεῖται, ὃ δι' ἀνδρίαν φήσας αὐτὸν δέχεσθαι ἀλλὰ διὰ φρόνησιν. AB. ᾧ ἕκαστος κατὰ σοφίαν εἶκειν ἠξίου. V.

245. φιλεῖ δέ ἑ Παλλὰς: ὡς ὑπὸ τῆς θεοῦ τιμώμενος οἶδε καὶ τὰς ἄλλας τὰς ὑπ' αὐτῆς τιμωμένας. V.

246. ἑσπομένοιο: δύναται καὶ σπομένοιο, ὡς φησιν ὁ Ἀσκαλωνίτης· καὶ ὅμοιόν ἐςι τῷ „ὁ δὲ σπόμενος περὶ δορί" (Il. 13, 570). εἰ δὲ Ἀρίσταρχος δασύνει τὸ „εἰ δὲ σὺ ὦ μέγ' ἀναιδὲς ἅμ' ἑσπόμεθ'" (Il. 1, 158), ἀνάγκη πᾶσα κατ' αὐτὸν δασύνειν καὶ τὴν μετοχὴν καὶ ἀπὸ τῶ ε ἄρχεσθαι. A.

247. νοστήσαιμεν: πρὸς τὸ φιλάλληλον ἐκ εἶπε νοσήσαιμι, καὶ ὑποφαίνει ὡς εἰ ἄλλον εἵλετο, αἴτιος ἂν θανάτω ἀμφοτέροις ἐγεγόνει. καὶ δείκνυσιν ὅτι κρεῖττον ἀνδρίας φρόνησις. BLV.

περίοιδε: οἱ μέν ὡς φύσει δὲ ἀνέγνωσαν, ἓν ποιοῦντες καὶ τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν· οἱ δὲ κατὰ παράθεσιν, ἵνα γένηται περισσῶς οἶδε. δύναται δὲ καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖσθαι, ὡς καὶ Ἀρίσαρχος βούλεται. A.

249. μήτ' ἄρ με μάλ' αἶνεε: δῆλός ἐςιν ὁ ποιητὴς ἀρχὴν τῶ ἀποφθέγματος τῷ σοφῷ Πιττακῷ δεδωκώς, εἰπόντι τὸ μηδὲν ἄγαν· ἄλλο γὰρ οὐδὲν δηλοῖ τὸ τῶ ποιητοῦ ἢ τῶτο. ζητεῖται δὲ πῶς Ὀδυσσεὺς νῦν μὲν ἐπαινέμενος ἄχθεται, παρὰ δὲ τοῖς Φαίαξι φίλαυχός ἐςι. ῥητέον ὅτι ἐνταῦθα μὲν παραιτεῖται τὸν ἔπαινον, ἐπεὶ προείληφεν ἡ γνῶσις, παρὰ δὲ τοῖς Φαίαξιν ἀδαμῶς ἀρνεῖται, ἵνα γνωσθεὶς μᾶλλον τῆς ἐπανόδε τύχῃ. AD.

ἐντεῦθεν Χίλων τὸ μηδὲν ἄγαν φησίν. ἀριςέως δὲ τὸ θέλειν μὲν εὐφημίαν, ἐκ ἀνέχεσθαι δὲ αὐτῆς· περισσὸς γὰρ ὁ μεταξὺ τῶν φίλων ἔπαινος. BL. πρὸς δὲ τὰς ἀγνοοῦντας „εἶμ' Ὀδυσσεὺς Λαερτιάδης" (Od. 9, 19). V. τινὲς δὲ τὸν λόγον ἀνατείνουσιν εἰς τὸ „πῆ φεύγεις" (Il. 8, 94). ἐκ ἂν δὲ ἐκείνῳ τῷ καιρῷ ἐμνήσθη ἐπὶ Νέςορος, ὅσον τὸ καθ' αὐτὸν προδοῦναι αὐτόν. V.

251. μάλα γὰρ νὺξ ἄνεται: ἤδη πρὸ τῆς ἐξόδου περὶ τοῦ καιρῶ συμβουλεύει, κατεπείγων αὐτόν· ἄτοπον πρὸς ἣν κατασκόπες πέμπεσθαι. δεόντως ἓν αὐτὸν εἵλετο. BL.

252. ἄρρον ἐςὶν ἀρέρων συμφόρημα, ὡς Ὠρίων, ὀφθαλμὸς ἀςὴρ δέ, ὡς ὅταν λέγωμεν Ἀφροδίτης ἀςὴρ ἢ Διός. A.

ἡ διπλῆ διὰ τὸ πολυθρύλλητον ζήτημα καὶ τὰς γενομένας ἀποδόσεις. γράφεται καὶ ἕτως „ἄρρα δὲ δὴ προβέβηκε τῶν δύο μοιράων, παροίχωκεν δὲ πλέων νύξ, τριτάτη δ' ἔτι μοῖρα λέλειπται." τριφύλακος γὰρ ἦν καθ' Ὅμηρον ἡ νύξ· καὶ ἐν ἄλλοις „ἔσσεται ἠὼς ἢ δείλης ἢ μέσον ἦμαρ" (Il. 21, 111). ἕτως καὶ Δωρόθεος ἐν τριακοςῷ πρώτῳ τῆς Ἀττικῆς λέξεως ἀξιοῖ γράφειν, τὴν μὲν πρώτην διὰ τῆς οι διφθόγγε, τὴν δὲ δευτέραν διὰ τῶ ω, παροίχωκεν, ἀποτεινόμενος πολλὰ πρὸς Ἀριςόνικον καὶ Τρύφωνα ἄλλως γράφοντας, ἐπιδείξας τὸ οἴχωκεν Ἰακόν. ἕτως δὲ καὶ Ἀπολλώνιος ὁ τεχνικὸς οἶδε τὴν γραφήν. A.

Πορφυρίω. ἡ συναγωγὴ τῶν ζητεμένων γέγονε μὲν ἤδη καὶ παρ' ἄλλοις· ἡμεῖς δὲ τὰ προβλήματα λαμβάνοντες παρὰ τῶν ἐζητηκότων τὰς λύσεις ἐπικρίνομεν ἃς ἐκεῖνοι ὑπέταξαν τοῖς προβλήμασιν, καὶ τινὰς μὲν τέτων ἐγκρίνομεν τινὰς δὲ παραιτέμεθα, τὰς δ' αὐτοὶ ἐξευρίσκομεν, τὰς δὲ πειρώμεθα διορθῶν καὶ ἐξεργάζεσθαι, ὥσπερ τοῖς ἐντυγχάνουσιν ἔξαι δῆλον. αὐτίκα τῶν παλαιῶν ζητημάτων ὁμολογεῖται τὸ τοιῶτο, ἐν οἷς φησὶν „ἄρρα δὲ δὴ προβέβηκε, παρῴχηκε δὲ πλέον νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται." πῶς γάρ, εἰ αἱ δύο μοῖραι ἐξήκεσιν αὐτο

…ε ϗ ἔτι τȣ́των πλέον, ἡ τριτάτη μοῖρα λέλειπϑ, ἀλλ' ȣ̓χὶ …ῆς τρίτης μόριον; ὅθεν ϗ' τινες προστιθέντες τὸ σ̄ ἠξίȣν „τριτάτης δ' ἔτι μοῖρα λέλειπται" γράφειν, ἵνα τῆς τρίτης …μερίς τις ᾖ καταλελειμμένη, ἀλλ' ȣ̓χ ὅλη ἡ τρίτη. Μητρό…δωρος μὲν ȣ̓ν τὸ πλεῖον δύο σημαίνειν φησὶ παρ' Ὁμήρῳ· ϗ γ̓ δ̓ τὸ σύνηθες, ὡς ὅταν λέγῃ „νώτȣ ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο" (Od. 8, 475) ϗ „ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο χεῖρες ἐμαὶ διέπȣσιν" (Il. 1, 165). σημαίνει ϗ τὸ πλῆρες, ὡς ἐν τῷ „σὸν δὲ πλεῖον δέπας αἰεὶ ἔστηκε" (Il. 4, 262) ϗ ἐν τῷ „πλεῖαί τοι χαλκȣ̃ κλισίαι" (Il. …, 226). νῦν οὖν τὸ πλέον ἀντὶ τοῦ πλῆρες εἰρῆσϑ· πλή…ρης γὰρ ἡ νὺξ τῶν δύο μοιρῶν γεγονυῖα παρῴχηκε, τρι…τάτης δέ τι περιλέλειπται. διεῖλε δ' εἰς τρία ὡς ἂν τρι…φυλάκου τῆς νυκτὸς οὔσης. Χρύσιππος δέ, ὥσπερ εἴ τις, φησί, περὶ τριῶν ἡμερῶν διαλεγόμενος ἐν τῇ τρίτῃ λέγει …ίαν ἀπολείπεσϑ ἔτι ἡμέραν, κἂν μὴ περὶ ὄρθρον ποιῆται …ȣ̀ς λόγȣς, ȣ̓́τως ϗ τὸν Ὀδυσσέα, εἰ ϗ πλέον ἦν παρῳχη…ὸς τῶν δύο μοιρῶν, τὴν τρίτην φάναι καταλείπεσϑ, ἐπειδὴ …ριμερȣ̃ ȣ̓́σης τῆς νυκτὸς ἕκαστον μέρος ἕν τι λαμβάνεται, …ςε κἂν ἐλλιπὲς ᾖ τȣ̃το ϗ μὴ ὁλόκληρον, ἀλλ' ἀριθμεῖσθαί …ε τρίτην, τῷ τάξιν τῶν ἡμερῶν ἔχειν τὴν τρίτην· ȣ̓́τω γ̓ δ̓ ἄνθρωπον παρὰ πόδα γενόμενον ἔτι τυγχάνειν τῆς ὅλης …ροσηγορίας. ἄλλοι δέ φασιν ἔθος ἔχειν τȣ̀ς ποιητὰς τῷ …πηρτισμένῳ χρῆσϑ ἀριθμῷ, ὁτὲ μὲν τὰ ἐπιτρέχοντα τοῖς …ριθμοῖς περιγράφοντας ὑπὲρ τȣ̃ ὁλοχερεῖ ϗ ἀπηρτισμένῳ …ρῆσϑ, ὅταν χιλιόναυν ςρατὸν φήσειε τῶν Ἕλληνων — ἦσαν …ὲ αἱ νῆες χίλιαι ἑκατὸν ὀγδοήκοντα ἕξ —, ϗ ἔτι „πύργȣς …κοσι μιᾷ ςολῇ, πεζοῖς μὲν ἕνδεκα, ναυσὶ δὲ δυώδεκα" …ντὶ τȣ̃ κγ'. ὁτὲ δὲ τὸν προκείμενον περιγράφȣσι, τῷ ἐπι…ρέχοντι ἀρκούμενοι, οἷον „κατὰ μὲν φίλα τέκνα ἔπεφνε …άλλοντα ἥβᾳ δυώδεκα, αὐτὸν δὲ τρίτον" ἀντὶ τȣ̃ τρίτον δέκατον· ϗ „τετράτῳ δ' αὐτὸς πεδάθη," φησὶν ὁ Πίν…αρος, ἀντὶ τȣ̃ τετάρτῳ καὶ δεκάτῳ· „ἡ δὲ γυνὴ τετάρτῳ …τει ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο" (Hesiod. O. 696) ἀντὶ τȣ̃ …εσσαρεσκαιδεκάτῳ ϗ πεντεκαιδεκάτῳ. Εὔπολίς τε Χρυσῷ …ένει „δέκατος ὁ τυφλός, τρίτος ὁ τὴν καλὴν ἔχων, ὁ …ιγματίας τέταρτός ἐςιν ἐπὶ δέκα, πέμπτος δ' ὁ πύργος, …κτος ὁ διεςραμμένος· ϗ ȣ̓́τοι μὲν εἰς ἑκκαίδεκα, ἐς Ἀρχέ…ρατον, ἐς δὲ τὸν φαλακρὸν ἑπτακαίδεκα· ἴχε δή· ὄγδοος …τὸ τριβώνιον ἔχων." ὁτὲ δὲ ἔξω προςιθέασιν, ἵνα τὸν …λήρη ἀριθμὸν εἴπωσιν, οἷον Ὁμήρου εἰπόντος „ἐννεα…αίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν" (Il. 24, 496) Σι…ωνίδης φησὶ „καὶ σὺ μὲν εἴκοσι παίδων μᾶτερ ἵλαθι" … δεκάτῳ μηνὶ τȣ̃ τοκετȣ̃ ταῖς γυναιξὶ γιγνομένου φησὶν …μηρος „χαῖρε γυνὴ φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ …ξῃ ἀγλαὰ τέκνα" (Od. 11, 248). ϗ „ἄλλοι θ' οἳ Κρή…ν ἑκατόμπολιν ἀμφενέμοντο" (Il. 2, 649) καὶ „πολλοὶ …ειρέσιοι ϗ ἐννήκοντα πόλεις" (Od. 19, 174)· ἢ γ̓ δ̓ κατὰ … ἕτερον προςίθησιν ἢ κατὰ τὸ ἕτερον ἀφαιρεῖ. ὁμοίως …ὶ „πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο" (Il. 1, …1), ȣ̓χ ἅμα τῇ ἕῳ ἀρξαμένων πίνειν· ϗ „πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι" (Il. 18, 453), καίπερ βραχέος γινομένȣ χρόνȣ ὑπὲρ τὴν μάχην. καὶ τῶν Ὀλυμπίων δὲ ἐναλλὰξ ἀγομένων διὰ ν' μῆνας ϗ μθ', οἱ ποιηταὶ πεντηκοντάμηνόν φασι τὴν πανήγυριν. ȣ̓́τως ȣ̓ν ȣ̓δὲν κωλύει ϗ τῆς τρίτης μοίρας ἐλλιπȣ̃ς ȣ̓́σης, οὐχ ὁλόκληρον τρίτην αὐτὴν ὀνομάσαι μοῖραν. Ἀριςοτέλης δὲ ȣ̓́τως ἀξιοῖ λύειν, ἐν οἷς φησίν· ἡ εἰς β' διαίρεσις εἰς ἴσην δύναϑ γενέσϑ ἐν τȣ́τοις, ἐπειδὴ τὸ πλέον τȣ̃ ἡμίσεος ἀόριςόν ἐςιν. ὅταν τοσȣ̃τον αὐξηθῇ ὡς τȣ̃ ὅλȣ τρίτον ἀπολείπεσϑ, ἀκριβῶς ἂν εἴη τὸ ἀφορίσαι τȣ̃το ϗ δηλῶσαι ὅσον ἐςὶ τὸ καταλειφθέν, ἵνα ὅσον ηὐξήθη τȣ̃ ὅλȣ τὸ ἥμισυ δῆλον γένηϑ. οἷον τῶν ς' ἥμισυ τὰ γ'. εἴπερ διαιρεθείη τὰ ς' εἰς β' ἴσα, ἔςαι γ'. ἐὰν τὸ ἕτερον μέρος αὐξηθῇ, ἄδηλον πότερον μορίῳ ἀριθμȣ̃ ἢ ὅλῃ μονάδι. ἐὰν ȣ̓ν ὅλῃ μονάδι πλέον γένηϑ τὸ μέρος τὸ ὑπολειπόμενον, τρίτον ἔςαι τȣ̃ ὅλȣ, ὥςε ϗ ὁ εἰπὼν τῶν β' μερῶν θάτερον πλέον γινόμενον καταλέλοιπε τριτάτην μοῖραν, δεδήλωκεν ὅτι ἐν αὐξήσει τὸ πλέον μονάδι γέγονε, τεσσάρων γεγονότων τῶν τριῶν ϗ β' ὑπολειπομένων, ὅπερ ἦν τῶν ς' τὸ τρίτον. ἐπεὶ ȣ̓ν ϗ τῆς νυκτὸς αἱ ιβ' μοῖραι εἰς β' ἴσας μερίδας μερίζεσϑ δύναϑ εἰς ς', ηὐξήθη δὲ ϗ πλέον γεγονὸς θάτερον μέρος, ἄδηλον δὲ τὸ πόσαις ὥραις — ϗ γ̓ δ̓ μιᾷ ϗ δύο ϗ τρισὶ ϗ πλείοσιν ἡ αὔξησις δύναϑ γίνεσϑ —, ἀφορίζει ὁ ποιητὴς τὸ ἀόριςον τȣ̃ πλείονος πόσον ἦν, ϗ ὅτι β' ὥραις ηὐξήθη, ἐπήγαγεν ὅτι τριτάτη μοῖρα λέλειπϑ, ὡς η' μὲν γενέσϑ τὰς παρῳχηκυίας ὥρας, καταλείπεσϑ δὲ δ', αἵπερ εἰσὶ τȣ̃ ὅλȣ τρίτον. ȣ̓́τω ϗ εἰ ιη' εἴη μερῶν, ὅτι δίχα διαιρεῖϑ εἰς θ', εἴποις δ' ὅτι πλέον τῆς εἰς β' μοίρας παρῴχηκεν, ἡ δὲ τρίτη μοῖρα περιλείπεται, δῆλον ποιήσεις ἐκ τȣ̃ τὸ τρίτον φάναι περιλείπεσϑ, ὅπερ ἐςὶν ς', ὅτι ιβ' φησιν εἰλῆφθαι. ἔςω δὲ ϗ ἐπὶ τȣ̃ νυχθημέρȣ τῶν ὡρῶν τὸ αὐτὸ ζητȣ́μενον, ϗ λεγέτω τις ὅτι πλέον τι τῶν εἰς β' μοίρας νεμομένων ὡρῶν παρῴχηκεν, ἔτι μὴ ἀφορίσας τὸ πόσον, ἐπαγέτω δὲ ὅτι ἡ τρίτη μοῖρα τȣ̃ παντὸς λέλειπϑ· δῆλον γίνεϑ ὅτι τῆς εἰς β' διαιρέσεως εἰς ιβ' ϗ ιβ' γενομένης, τȣ̃ τρίτȣ καταλειφθέντος τȣ̃ παντός, ὅπερ ἐςὶν η', θάτερον μέρος τὸ πλέον ἐν τέτρασιν ἔχεν, ὥςε ις' ὥρας τὰς πάσας παρεληλυθέναι, ὑπολείπεσϑ δὲ η'. ἐν οἷς ȣ̓ν εἰς β' ἴσα ϗ εἰς γ' ἐςὶ διαίρεσις, ἐάν τις εἰς β' πλεονάσαντα τὸ γ' τῆς εἰς γ' καταλίποι, ἀφορίζει ὅσῳ πλέον ἡ αὔξησις γέγονε. σοφῶς ȣ̓ν ὁ ποιητὴς τὸ ἀόριςον τρίτον τῆς αὐξήσεως τȣ̃ ἡμίσεος δεδήλωκεν ὅσον ἦν, ὅτι ὥραις δύο ϗ ὀγδόῃ παρεληλύθει ὥρα, διὰ τȣ̃ φάναι „τριτάτη δ' ἔτι γ̓ δ̓ μοῖρα λέλειπϑ." εἰδὼς γάρ τις ὅτι ιβ' μὲν αἱ ὧραι πᾶσαι τῆς νυκτός, ὧν ἡ εἰς δύο μὲν μοίρας διαίρεσις ς' καὶ ς' ποιεῖ, ἡ δὲ εἰς γ' δ' ϗ δ', ϗ ἀκȣ́σας τῆς εἰς β' μοίρας διαιρέσεως πλέον τι παρῳχηκέναι, εἶτα γνȣ̀ς ὅτι τῆς εἰς γ' τὸ τρίτον ἐπιμένει, ὅπερ ἐςὶν ὧραι δ', εὐθὺς γινώσκει ὅτι ἀπὸ τȣ̃ μεσονυκτίου β' ὧραι ἦσαν παραλλάξασαι μεταβάντος. Αὐτόχθων δέ φησιν ὅτι τετελεσμένων τῶν β' μοιρῶν, λειπομένης δὲ τῆς τρίτης, εἰκότως φησὶν ὡς παρῆλθε τὸ πλέον ἡ νὺξ ȣ̓σα μοιρῶν β'· πλέον γ̓ δ̓ μέρος εἰσὶ τῆς νυκτὸς α

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

β', εἴ γε τὰ β' τοῦ ἑνὸς πλείονα. τὸ οὖν παρῴχηκεν, ὅτι παροιχομένων τῶν β' μοιρῶν τῷ πλείονι ἡ νὺξ παρῴχηκεν. οὕτω γὰρ οὐδ' ἁμάρτημα ἔςαι ἐν τῷ πλέω, ὅπερ θηλυκῶς ἀκούοντές τινες ἡμαρτῆσθαι λέγουσιν ἀντὶ τοῦ ἡ πλείων· ἔςι γὰρ τῷ πλέῳ ἡ νὺξ παρῳχηκυῖα μέρει, τουτέςι τῷ πλείονι καὶ μείζονι μέρει παρήλλαχε, τῶν β' μερῶν παρῳχημένων. Ἀπίων δὲ αὐτῶν τῶν β' τὸ πλέον μέρος ἀνηλῶσθαι λέγει, ὥςε καὶ τῆς δεκάτης εἶναι λείψανον, καὶ ὧν οὖν τὸ πλέον παρῴχηκεν, τὸ τρίτον καταλείπεται· περὶ γὰρ νύκτας μέσας ἀναςὰς Ἀγαμέμνων ἐγείρει τὸν Νέςορα καὶ μετ' αὐτοῦ τινὰς τῶν ἀριςέων, καὶ ἐπὶ τὴν τάφρον προελθόντες πέμπουσι τοὺς κατασκόπους. τὸν δὲ καιρὸν τῆς νυκτὸς ὑποβάλλει καὶ τὸ πλῆθος τῶν πράξεων. ὁπλισάμενοι γὰρ οἱ κατάσκοποι, ὀφθέντος αὐτοῖς τοῦ ἐρωδιοῦ, εὐξάμενοί τε τῇ Ἀθηνᾷ χωροῦσι πρόσω· καὶ ἐντυχόντες τῷ Δόλωνι οὐκ ὀλίγον χρόνον περὶ τὰς ἐρωτήσεις διέτριψαν· καὶ κτείναντες αὐτὸν μετὰ ταῦτα ἐπὶ τοὺς Θρᾷκας ἔρχονται· καὶ βραδύνουσιν αὐτοῖς περὶ τὸν τούτων φόνον ἡ Ἀθηνᾶ ἐπὶ τὰς ναῦς ἀπαλλάττεσθαι παραινεῖ· καὶ ἐπανελθόντες λούονταί τε καὶ ἀριςοποιοῦνται, καὶ τότε ἡμέρα γίνεται. Ὀδυσσεὺς δὲ λέγει „ἐγγύθι δ' ἠώς," τὴν διέξοδον ἐπείγων· οὐδὲ γὰρ εὔλογον πλησιαζούσης τῆς ἕω κατάσκοπον πέμπεσθαι, ἀλλὰ καὶ πάνυ ἐπισφαλές. τὸ δὲ πλέω δύναται μὲν καὶ ὡς πληθυντικὸν οὐδέτερον παρειλῆφθαι, τὰ πλείονα ἐκ τῶν δύο μοιρῶν παρῆλθεν· ἢ πλείονα παρὰ μοίρας τὰς δύο, ὥς που καὶ Θουκυδίδης λέγει „ἀλλὰ καὶ ταύτην τὴν ςρατιὰν θαλάσσῃ ἤδη πλείω χρώμενοι συνῆλθον" (1, 3). δύναται δὲ καὶ θηλυκὸν ἑνικὸν εἶναι, πτῶσιν αἰτιατικὴν προβάλλον, ἡ νὺξ παρῆλθε τὴν πλείονα μοῖραν τῶν δύο μοιρῶν. πιθανῶς δὲ οὐδένα ἄλλον τὴν τῶν ἄςρων πορείαν ἐποίησε φυλάττοντα ἢ τὸν Ὀδυσσέα, προοικονομῶν εἰς τὴν Ὀδύσσειαν· ἐκεῖ γὰρ αὐτῷ ὁ πλοῦς ἀνύεται „Πληϊάδας εἰσορόωντι καὶ ὀψὲ δύοντα Βοώτην" (5, 272). B.

λέγοντος τοῦ Ὀδυσσέως „ἄςρα δὲ δὴ προβέβηκε" ζητήσειεν ἄν τις τί δηλοῖ τὸ προβέβηκεν, καὶ ποῖά εἰσι τὰ ἄςρα ἐξ ὧν ςοχάζεται τὴν ὥραν. τὸ γὰρ ἐκ τῆς ἄρκτου λέγειν οὐχ ὑγιές· οὐ γὰρ ἐκ τῶν ἀειφανῶν ἀλλ' ἐκ τῶν ἀνατελλόντων καὶ δυομένων τὰς ὥρας τεκμαίρεσθαι ἔςιν. οἱ δὲ οὐδ' ἐπ' ἄλλου φασὶν οἷόν τε ἢ ἐπὶ τῆς ἄρκτου εἰρῆσθαι διὰ τοῦ προκεῖσθαι τὸ προβεβηκέναι· σημειωσάμενον γὰρ τοὺς τόπους καθ' ὥραν ὡς ἐπιλαμβάνουσι ςρεφόμενοι τῆς ἄρκτου οἱ ἀςέρες, προβεβηκέναι φάναι ἐπὶ πλέον κατὰ τὴν ςροφὴν χωρήσαντας. οἱ δὲ ἀπὸ τῶν Πληϊάδων καὶ Ὑάδων καὶ Ὠρίωνος, ἤτοι δὲ ἀνατολὴν ἑῴαν ποιουμένων καὶ προβεβηκότων ἀπὸ τῆς ἀνατολῆς, Πληϊάδων δύσιν ποιουμένων καὶ ἤδη προβαινόντων εἰς τὴν δύσιν· τὸ αὐτὸ γὰρ καὶ ἐν τῷ „ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄςρα βεβήκει" (Od. 12, 312) ἢ ὡς πρὸς ἀνατολὴν ἢ πρὸς δύσιν, τὸ μέντοι τρίχα ἀντὶ τοῦ τρίτον. διχῶς δὲ τὸ τρίτον, τό τε κατὰ χέσιν τὴν πρὸς τὸ πρῶτον. μή ποτε ἐκ τοῦ ζῳδιακοῦ κύκλου τὴν ὥραν καταμεμαθηκέναι φησί· τούτου γὰρ εἰς ιβ' διῃρημένου, ς' μὲν εὐθέως καταδύνοντος ἡλίου βλέπεται, νυκτὸς δὲ προβαινούσης τὰ λοιπά, οὐ τὰ αὐτὰ μὲν ὁρώμενα, τὸν δὲ ἀριθμὸν τὸν ἓξ φυλάττοντα. ἐκ τῶν ζῳδίων οὖν τῶν ἐπιφερομένων τῷ δωδεκατημορίῳ τούτῳ ἐν ᾧ ὁ ἥλιος ἔδυ, τὴν ὥραν ςοχάζεται Ὀδυσσεύς. ἢ ἁπλῶς πάντα, φησί, τὰ ἄςρα προβέβηκε, τουτέςι προκεχώρηκεν εἰς δύσιν τὰ ἀφ' ἑσπέρας εἰς ἀνατολὴν φανέντα, ὡς καὶ νῦν φαμέν, πολὺ προῆλθε τῆς ἡμέρας, εἰς δύσιν λέγοντες προελθεῖν· ἐφ' ὧν γὰρ ἀπὸ πέρατος εἰς πέρας ἐστί τις δρόμος, ὅταν ἤδη πρὸς τῷ ἑτέρῳ πέρατι ὁρώμενα φαίνηται, προβεβηκέναι λέγοιτ' ἂν ἀφ' οὗ πρῶτον ὁρμώμενα ὤφθη. ὅτι δὲ καὶ τὴν ἡμέραν καὶ τὴν νύκτα εἰς τρία διαιρεῖ, δῆλον· ἐπὶ μὲν γὰρ τῆς ἡμέρας „ἔσσεται ἠὼς ἢ δείλης ἢ μέσον ἦμαρ" (Il. 21, 111), ἐπὶ δὲ τῆς νυκτὸς „ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην" (Od. 12, 312). B. εἰ δέ τις ἐπιζητεῖ πῶς οὐκ ὠνόμασε τὰ ἄςρα, ἴςω ὅτι τῷ ἐπειγομένῳ ἐπὶ ἔργον οὐχ ἥρμοζεν ἀδολεσχεῖν. φαίνεται δὲ ἐκ τούτων Ὅμηρος καὶ σφαιροειδῆ τὸν κόσμον εἰδώς· οὐ γὰρ οἷόν τε τὰ μὲν δύνειν τὰ δὲ ἀνατέλλειν μὴ οὐχὶ ὑπὸ γῆν τοῦ ἡλίου φερομένου καὶ ὑπὲρ γῆν ἀνίσχοντος. εἰδὼς δὲ καὶ ἡμερῶν καὶ νυκτῶν μέγεθος καὶ ἡλίου κίνησιν, οἶδεν ἀκριβῶς ὅτι κατὰ τὰς τούτου δύσεις καὶ ἀνατολὰς καὶ ἡ νὺξ ὁρίζεται καὶ ἡ ἡμέρα κατὰ τὴν ἡμέραν. D.

ἄλλως. παρῆλθον τῆς νυκτὸς αἱ β' πλήρεις μοῖραι· ὡς τὸ „μέλαινά τ' ἄςρων ἐκλέλοιπεν εὐφρόνη," ἵν' ᾖ τὸ πλέω ἀντὶ τοῦ πλήρης, ὅθεν καὶ τὸ „Πληϊάδας τ' ἐσορῶντι" φησι περὶ τοῦ Ὀδυσσέως (Od. 5, 272). προοικονομεῖ οὖν, φασί, τὴν Ὀδύσσειαν. V. οἱ δέ, ὅτι τὸ πλέον τῶν β' μοιρῶν τῆς νυκτὸς παρῆλθεν· αἱ β' δὲ μοῖραι η' εἰσιν ὧραι· τούτων τὸ πλέον, ὅ ἐςιν αἱ ζ', παρῆλθεν· ἐσμὲν δὲ ἐν ὀγδόῃ ὥρᾳ, λείπονται δὲ τέσσαρες. BL. δύναται καὶ οὕτως εἶναι. πολλάκις γὰρ τῇ τριακοςῇ τοῦ μηνὸς τὸ δείλινον λέγομεν τὴν τριακοςὴν μόνον ὑπολείπεσθαι τῷ μηνί. καὶ ἀλλαχοῦ „οἱ δὲ παννημέριοι μολπῇ θεόν" (Il. 1, 472) τὸ λεῖπον τῆς ἡμέρας. V.

πλέω: οὕτω διὰ τοῦ ω, κατὰ τροπὴν τοῦ η εἰς ω. V.

τὸ δὲ ὅλον οὕτως· παρῆλθεν ἡ πλείων ἤδη μοῖρα τῶν β' τῆς νυκτὸς μοιρῶν, ἵνα λείπηται μέρος τι τῶν β' καὶ τρίτη τελεία. BL.

253. ἀθετεῖται, ὅτι αὔταρκες τὸ κεφαλαιωδῶς εἰπεῖν „ἄςρα δὲ δὴ προβέβηκε"· τὸ γὰρ τοῦ καιροῦ τοῦτο ἀπαιτεῖ· τὸ δὲ προσδιασαφεῖν κατὰ τὸ ἀκριβὲς τὸ παρεληλυθὸς καὶ τὸ περιλειπόμενον ὥσπερ ἀςρονόμου τινός. οὐχ Ὁμηρικὸν δὲ καὶ τὸ τῶν δύο. οἱ δύο μὲν γὰρ λέγει καὶ τοὺς δύο, τῶν δύο δὲ ἢ τοῖς δύο οὐκ ἔςιν εὑρεῖν παρ' Ὁμήρῳ. Ζηνόδοτος δὲ ἔγραφεν· Ἀριςοφάνης ἠθέτει. A.

255. Τυδείδῃ μὲν δῶκε: ἵνα μὴ ἀπιόντες πάλιν εἰς τὰς σκηνὰς χρονοτριβοῖεν. φησὶ δὲ „ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσι" (Il. 9, 80). ὁπλίζει δὲ αὐτὸν ὁ Θρασυμήδης ὡς νεωςὶ τὸν Νέςορα σώσαντα. BLV.

256. τὸ ἑξῆς φάσγανον ἄμφηκες καὶ σάκος· τὰ δὲ ἄλλα διὰ μέσου. A.

258. ἡ διπλῆ, ὅτι κυνέην μὲν καταχρηςικῶς τὴν ἐκ ταυρείου δέρματος, ἄφαλον δὲ καὶ ἄλοφον κατ' ἐπιτή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ευσιν, ἵνα λανθάνῃ· φάλοι γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν ἀμπρὰ ἀσπιδίσκια, λόφοι δὲ αἱ τριχώσεις. A.

ἄλοφον: πρὸς τὸ λανθάνειν. ἄφαλον δὲ ἀναγκαίως· οὐ γὰρ τῶν φάλων εἰώθασιν ἐκδεῖσθαι οἱ λόφοι. V.

ἄλλως. φάλος ὀμφαλός ἐστι μικρός, ἀσπίδι μικρᾷ παραπλήσιος. κεῖται δὲ κατὰ τὸ μέτωπον, ὑπερέχων τῶν ὀφθαλμῶν (τῶν ὀφρύων V), ἀποσκιάζων τὴν αὐγὴν τοῦ ἡλίου, οἷαι τῶν Κορυβάντων αἱ κόρυθες ἀπὸ τῶν παλλαδίων. τί δὲ κατὰ τὸ μέτωπόν ἐστιν ὁ φάλος, δῆλον ἐκ τούτων· τὸν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον, ἐν δὲ μετώπῳ πῆξε" (Il. 4, 459), καὶ τῷ „ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι" (Il. 13, 132). A.

ἄλλοφον: Ἀρίσταρχος ἄλοφον. A.

καταῖτυξ: εἶδος περικεφαλαίας, ἀπὸ τοῦ κάτω τετύχθαι καὶ μὴ ἔχειν λόφον, ἀλλὰ κοίλην εἶναι. AD. ἡ καταῖτυξ προπερισπᾶται. πάντα τὰ εἰς υξ συζέλλει τὸ υ, τὰ μέντοι διὰ τοῦ κ κλινόμενα ἐνίοτε ἐκτείνει τὸ υ· τὸ γὰρ „ἠρυκι ἠπυτίδῃ" (Il. 17, 324) συνέζαλδ διὰ τὸ μέτρον. A.

259. ῥύεται δὲ κάρη: δείκνυσιν ὅτι πρὸς μόνην ἔπηγε, ἃ πρὸς κόσμον πεποίηδ, ὥστε τῇ μὲν ἐμπλοκῇ τῶν ἄντων δυσδιάλυτον εἶναι τὸ κράνος, τὴν δὲ ἔξωθεν ἐπιφάνειαν σκέπεσθαι μετὰ τῶν ὀδόντων πυκνῶς ἐρεισθέντων. BL.

260. βιὸν: ὡς Κρὴς ἔχει τόξον, ὅπως βάλλοι λανθάνων τὸς ἐν φωτί. καὶ προοικονομεῖ καιρίως τὴν μνησηροκτονίαν. V.

262. ῥινοῦ ποιητήν: πρὸς τὸ λαθεῖν τὴν περικεφαλαίαν. A.

264. ὀδόντες: πρὸς τὸ ἀποκρύπτεσθαι τὰ βαλλόμενα μεμιχάνηδ οἱ ὀδόντες. V.

265. πῖλος ἀρήρει: ἡ διπλῆ, ὅτι τὸ κοινὸν καὶ συμβηκὸς ταῖς περικεφαλαίαις εἰπόντος τοῦ ποιητοῦ, ζωγράφοι καὶ πλάσαι πιλίον ἐπέθεσαν τῷ Ὀδυσσεῖ. A.

Ἀπολλόδωρος ὁ σκιαγράφος ἐντεῦθεν πρῶτος ἔγραψεν τὸν Ὀδυσσεῖ. ἀλλ' οὐκ ἦν αὐτοῦ ἡ περικεφαλαία, κοινόν τε πᾶσι τὸ ἔχειν. V.

μέσσῃ δ' ἐνὶ πῖλος ὀρώρει: καὶ τοῦτο ὁμοίως τῷ προκειμένῳ ἀναγνωξέον. A.

266. Ἀμύντορος: τινές φασιν Ἀμύντορα τὸν πατέρα τοῦ Φοίνικος. L.

προειπὼν ἐν θαλάσσῃ κατοικεῖν τὸν Ἀμύντορα διὰ τοῦτο φησὶ Φοῖνιξ „φεῦγον ἔπειτ' ἀπάνευθε διὰ Ἑλλάδος" (Il. 9, 474), ἐνθάδε πῶς ἐν Ἑλεῶνι τῆς Βοιωτίας αὐτὸν φησιν εἶναι; ἡ δὲ λύσις ῥᾳδία. ἡ μὲν γὰρ ὁμωνυμία τῷ Φοίνικος. ἐκεῖθεν δὲ Βοιωτὸν τὸν Ἀμύντορά φησι· καὶ γὰρ ὁ ποιητὴς ἐκ τῆς Ἑλλάδος φησὶ φεύγειν τὸν Φοίνικα. δύναται δὲ καὶ ἐν Ἑλλάδι οὕτω τις προσαγορεύεσθαι τόπος ὁμώνυμος. V.

ἡ διπλῆ, ὅτι ὁμώνυμος οὗτος τῷ τοῦ Φοίνικος πατρὶ Ἀμύντορι· Ἑλεῶνος δὲ πόλεως. A.

εἰσὶν οἱ ψιλοῦσιν· ὁ δὲ Ἀσκαλωνίτης φησὶ δασύνεσθαι. ἔστι δέ τινα ἃ ἱστορίᾳ τοπικῇ κατέχεδ. ἔστω δὲ καὶ ἐπὶ τούτου ἱστορῶσι γὰρ ἔστω δασέως τὴν πόλιν λέγεσθαι. πῶς δὲ ἐν τῷ καταλόγῳ ψιλῶς ἀνέγνωμεν „οἵ τ' Ἐλεῶν' εἶχον" (Il. 2, 500); φασὶ γὰρ κἀντεῦθεν τὴν Βοιωτικὴν εἶναι πόλιν. A.

τὴν μὲν κλοπὴν ἐν Ἐλεῶνί φησι γενέσθαι τῆς Ἀμύντορος καταίτυγος (Ἐλεὼν δὲ πόλις τῆς Βοιωτίας), τὴν δὲ διανομὴν ἐν Σκανδείᾳ πόλει Κυθήρων. BL.

267. Αὐτόλυκος: ὁ πάππος τοῦ Ὀδυσσέως, υἱὸς Ἑρμοῦ καὶ Τηλαύγης θυγατρὸς Ἐωσφόρου, κλεπτίσματος ἀνθρώπων. AL.

Αὐτόλυκος Ἑρμῇ καὶ Στίλβης τῆς Ἐωσφόρου δῶρον παρὰ τοῦ πατρὸς ἔλαβε τοῦτο, ὥστε κλέπτειν καὶ τῶν κλεπτομένων ἀμείβειν τὴν ἰδίαν. καί ποτε κλέψαντος ἐκ τοῦ Σισύφου βόας, παρῆν ὁ Σίσυφος ἐπιγνοὺς τὰς ἰδίας. ὡς δὲ ἠρνεῖτο, Σίσυφος σφέψας τὰς ὁπλὰς τῶν βοῶν ἔδειξε τὸ ὄνομα αὐτῷ ἐγκεκολαμμένον. ὁ δὲ φωραθεὶς ἐπὶ ξενίαν αὐτὸν προετρέπετο· ὅθεν μεθυσθεὶς βιάζεδ Ἀντίκλειαν καὶ ποιεῖ Ὀδυσσέα. V.

268. Σκάνδειαν: κατὰ παράλειψιν τῆς εἰς προθέσεως, ἵν' ᾖ εἰς Σκάνδειαν. εἰς δὲ τὸ ἄρα διαζολὴ μικρά. τὸ δὲ ἑξῆς ἀκόλουθον. BL.

ἡ διπλῆ, ὅτι οὕτως εἶπεν ἀντὶ τοῦ εἰς Σκάνδειαν ἀπέστειλεν, ὡς „πεύθετο γὰρ Κύπρονδε" (Il. 11, 21) ἀντὶ τοῦ εἰς Κύπρον ἠκέτο διὰ τὸ διαγγέλλεσθαι ἐκ τόπου εἰς τόπον. Σκάνδεια δὲ πολισμάτιον Κυθήρων. ἀγνοήσαντες δέ τινες τὸ ὄνομα, ἐνόμισαν εἶδος περικεφαλαίας τὴν σκάνδειαν ὡς σφάνην. Κύθηρα δὲ νῆσος τῆς Λακωνικῆς, ἐν ᾗ λαμπρῶς τιμᾶδ Ἀφροδίτη· διὸ καὶ Κυθέρεια ἐπιθετικῶς ἡ θεός. A

271. δὴ τότ' Ὀδυσσῆος: ἡδεῖα ἡ περιπέτεια, τὸ διὰ τοσούτων ἐλθοῦσαν αὐτὴν πάλιν σκεπάσαι Ὀδυσσέα τὸν ἐξ Αὐτολύκου. BL.

272 ὅπλοισιν ἐνὶ δεινοῖσιν: ἴσως διὰ τὴν κατάπληξιν τῆς προσδοκωμένης δι' αὐτῶν ἀθραίας πράξεως τὴν δεινότητα τοῖς ὅπλοις προσῆψεν. BLV.

273. κατ' αὐτόθι: φασὶ παρέλκειν τὴν κατά· διὸ φυλάσσειν τὸν αὐτὸν τόνον. κἂν μὴ παρέλκῃ δέ, συντάσσεδ δὲ τῷ λιπέτην, ἃ δύναδ ἀναφέρεσθαι κατὰ δύο τρόπους, καὶ ἐπεὶ συνῆλειπδ καὶ ἐπεὶ μεταξὺ πέπτωκεν ὁ δὲ σύνδεσμος. A.

πάντας ἀρίστους: μένοντας καὶ καρδοκοῦντας δηλονότι τὴν ἀπόβασιν. BV.

274. ἐρωδιόν: εἰκότως ἡ Ἀθηνᾶ ἐπιπέμπει αὐτοῖς ἐρωδιὸν· τοῖς γὰρ ἐπὶ λαθραίοις πράξεσιν ἀπιοῦσιν αἴσιος. ἄλλως τε ὅτι καὶ δι' ἑλώδους ἐβάδιζον τόπου· ἕλειον δὲ καὶ τὸ ζῷον. A. διὰ τί δὲ οὐκ εἶπε μᾶλλον τὴν γλαῦκα, ἣσαν ἱερὰν τῆς Ἀθηνᾶς; λυτέον ἐν τῷ ἄπορον καιρῷ καὶ τόπῳ· διατρίβει γὰρ τὸ ὄρνεον περὶ τὰς ἑλώδεις τόπους, καὶ θηρευτικὸν τὸ ζῷον. AD. ἱστορεῖ περὶ αὐτοῦ Ἀριστοτέλης ἐν τῷ περὶ ζώων. A.

ἀγαθὸν λίαν τὸ σημεῖον τοῖς ἐνεδρεύουσιν, ὡς φησιν Ἕρμιων. ἐδήλου δὲ ὅτι οὐκ ὀραθήσονδ μέν, ἐκπυγα δὲ καὶ ἄκρυπτα δράσουσιν ἐν τοῖς πολεμίοις. ἐρωδιὸν δὲ ἔπεμψεν,

ἐπεὶ ἑλώδης ὁ παρὰ τῷ Σκαμάνδρῳ τόπος καὶ ὑδατῶδες τὸ ὄρνεον. ἐδήλου οὖν τὴν ἐπὶ τὰς ναῦς ὑποςροφήν. BL. καὶ νυκτὸς ἀγρεύει καὶ ἁρπακτικόν ἐςιν. ἀντὶ δὲ τοῦ Παλλάς πελλόν γράφειν φησὶ δεῖν ὁ Ζώπυρος. τρία γὰρ γένη ἐρωδιῶν, πελλός, ὅς ἐςιν ἅρπαξ· πύγαργος, ὃς αἱμοῤῥαγεῖ διὰ τῶν ὀφθαλμῶν ἐν ταῖς συνουσίαις· ὁ δὲ ἀφροδίσιος, ὃς ἀορίζει ἐν ταῖς συνουσίαις. LV.

Πορφυρίου. Ζώϊλος ὁ κληθεὶς Ὁμηρομάςιξ γένει μὲν ἦν Ἀμφιπολίτης, τοῦ δὲ Ἰσοκρατικοῦ διδάσκαλος, ὃς ἔγραψε τὰ καθ' Ὁμήρου γυμνασίας ἕνεκα, εἰωθότων καὶ τῶν ῥητόρων ἐν τοῖς ποιηταῖς γυμνάζεσθαι. οὗτος ἄλλα τε πολλὰ Ὁμήρου κατηγόρει καὶ τὰ περὶ τοῦ ἐρωδιοῦ, ὃν ἐν τῇ νυκτεγερσίᾳ ἔπεμψε τοῖς περὶ τὸν Ὀδυσσέα ἡ Ἀθηνᾶ, ὅν, φησίν, οὐκ εἶδον ὀφθαλμοῖσιν, ἀλλὰ κλάγξαντος ἤκουσαν. πῶς γάρ, φησί, χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς; εἰκὸς γὰρ ἦν ὑπολαβεῖν περιβοήτους ἔσεσθαι· φωνὴ γὰρ σημεῖόν ἐςι τοῖς λανθάνειν προαιρουμένοις ὑπεναντίον. Μεγακλείδης, ὅτι μαντικῶς ταῦτα ἐποίησεν· δηλοῖ γὰρ ὅτι φωνὴν ἤκουσαν μόνον. οὐκοῦν οὕτως ἀπέβη τὸ μέλλον· αὐτοὶ μὲν γὰρ ὑπὸ τῶν πολεμίων οὐκ ὤφθησαν, ἤκουσαν δὲ τὰ βουλεύματα καὶ τὰς τάξεις Δόλωνος ἐξαγγείλαντος. πῶς ἂν οὖν οἰωνὸς σαφέςερος φανείη; Ἀλέξανδρος ὁ Μύνδιος ἐν τῷ τρίτῳ περὶ ζῴων ἠπόρει διὰ τί ἡ Ἀθηνᾶ ἐπὶ τὴν κατασκοπὴν πορευομένοις τοῖς περὶ τὸν Ὀδυσσέα οὐ τὴν γλαῦκα τὴν ἴδιον ὄρνιν ἔπεμψε σημαίνουσαν τῇ φωνῇ, καὶ ταῦτα νυκτερινὴν οὖσαν ὄρνιν, ἀλλ' ὅτι ἱερὸν τοῦ Ποσειδῶνος καὶ ἑτέρων τινῶν θεῶν. φασὶν οὖν λύοντες ὅτι ἑλώδους ὄντος τοῦ τόπου, καὶ τῶν ζῴων τούτων νυκτὸς ἐν τοῖς ποταμοῖς καὶ τοῖς τέλμασι νεμομένων, διὰ τούτου σημῆναί τι τοῖς κατασκόποις ἠβουλήθη, καὶ οὐ διὰ τῆς τὸ ὕδωρ καὶ τὰ ἕλη μισούσης ὄρνιθος, διαιτωμένης καὶ οἰκούσης ἐν πέτραις καὶ τείχεσιν, ἐπεὶ καὶ ὁ ὄρνις οὗτος ἡμέρᾳ τε καὶ νυκτὶ χρῆται ἐνεργὸς ὤν, καὶ ἔςιν ἀμφίβιος, ὥςε καὶ ἐν ὕδατι τροφὰς ἑαυτῷ πορίζειν. οἱ δ' ἀριςεῖς οὗτοι καὶ σὺν ναυσὶ καὶ πεζοὶ τὰ κατὰ τοὺς πολεμίους λῃΐζονται, καὶ ἀναφανδὸν καὶ τότε διὰ τῆς νυκτὸς τὰ πρὸς τὸν πόλεμον ἔπραττον. ἐπεὶ δ' αὐτίκα δράσειν ἔμελλον, ἐγγὺς ὁδοῖό φησι· τὰ γὰρ ἐγγὺς ἁπανταχοῦ ἐςὶ σημεῖα. ἐν δεξιᾷ δὲ χώρᾳ ἡ κλαγγὴ αὐτοῖς γίνεται, ὅτι ἡ δεξιὰ ἀλλοτρία χώρα, ἐν ᾗ τοῖς δυσμενέεσσιν ἔμελλον ἔσεσθαι ἀλγηδόνες, τοῖς δ' ἀκούσασι χαρά τις καὶ ἔρυμα. ὁ γὰρ ἐρωδιὸς οὗτος ὡς ἐπὶ τὸ πολὺ τότε κλαγγάζει, ἡνίκα εὖ πράττει καὶ εὐθυμεῖ ἄγρας ἕνεκα. ἔτι δὲ ὁ ἐρωδιὸς λέγεται ἀφροδισίων ἕνεκα αἷμα δακρύειν, καὶ προπίπτειν αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ ἀποθνήσκειν, ὥςε τῇ δεξιᾷ χώρᾳ ὀφθεὶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς ἀλλοτρίους καὶ πολεμίους γάμων ἕνεκα ἐδήλου τεθνήξεσθαι. καὶ Ἐρῶν (Ἕρμων Heyn.) δὲ ὁ Δήλιος γράφει „ἐρωδιὸς ὁ πελλὸς ἐν πεδίῳ φαινόμενος δαπέδου μεδέοντός ἐςι Ποσειδῶνος, ἄρμενος εἰς πόλεμόν τε καὶ ἐν νήεσσι μάχεσθαι ἐσθλός, καὶ πεζοῖσι καὶ ἱππήεσσιν ἄριςος, ἐν πεδίῳ θεμένοισι μάχην, ἐν ὄρει δέ τε χείρων φαινόμενος, μάλα γὰρ πέλεται νικηφόρος ὄρνις, ἔς τε βρομίην ὁρμένῳ ἀπειλίην ἄρμενος, ὁπλίτα κεν ἄγων οἰκόνδε νέοιτο." οὕτω δὲ καὶ ἀξιοῦσιν οὐ Παλλὰς Ἀθηναίη γράφειν, ἀλλὰ πελλόν· τοὺς δὲ μεταγράψαντας τῷ ἐπιθέτῳ ψυχαγωγουμένους, οὐ τῇ ἀληθείᾳ δὲ ἀκολουθῆσαι· ὅθεν καὶ Ζώπυρος ἐν τετάρτῳ Μιλήτου κτίσεως γράφει· ἐν τῇ νυκτεγερσίᾳ τοῦ ποιητοῦ θέντος πελλὸν Ἀθηναίη, μεταγράφουσί τινες καί φασι Παλλὰς Ἀθηναίη, τῷ ἐπιθέτῳ ψυχαγωγούμενοι, ἀλλ' οὐ τῇ ἀληθείᾳ ἀκολουθοῦντες. τρία δὲ γένη ἐςὶν ἐρωδιῶν, καὶ τῇ χροίᾳ διαλλάσσοντα ἀλλήλων καὶ τῇ πράξει διάφορα ὄντα καὶ τῇ φωνῇ· ἓν μέντοι γένος εἶναι ἐρωδιῶν, τὸ καλούμενον πύγαργον, ὅπερ ἐςὶ πρὸς γάμον τῶν πάντων δυσαντητότατον· ἐν γὰρ τῷ συνουσιάζειν ἀπόλλυται μετὰ πόνου· προβάλλει γὰρ τοὺς ὀφθαλμοὺς καὶ αἱμοῤῥαγεῖ. ἄλλος ἐςὶν ἐρωδιός, ὃν καλοῦσιν ἀφροδίσιον· οὗτος δὲ ἐν μὲν τῇ συνουσίᾳ ἁρμόζει, πρὸς δὲ γάμον καὶ συμφωνίαν βίου αἰσιώτατος. τρίτος δὲ πελλός ἐςι, μελάγχρους, πρὸς λαθραίαν πρᾶξιν ἄριςος πάντων ἐςίν. οὐκ ἤμελλεν ὁ ποιητὴς τριῶν ὀρνίθων ὄντων, καὶ τούτων ἴδιον ἑκάςου φέροντος πρᾶγμα, ἀφείς τε τὴν παροῦσαν ὁδόν, σημαίνων τῇ κοινοτέρᾳ τῶν ὀρνίθων ἐπὶ πάντων ὁμοίως χρῆσθαι. Καλλίμαχος δὲ ἐν τῷ περὶ ὀρνέων οὐ τὸν πύγαργόν φησιν εἶναι τὸν ἐν τῇ ὀχείᾳ τοὺς ὀφθαλμοὺς αἱμάσσοντα, ἀλλὰ τὸν πελλόν, γράφων ὧδε· „ἀςερίας, ὁ δ' αὐτὸς καλεῖται ὄκνος· οὗτος οὐδὲν ἐργάζεται. πελλός· οὗτος ὅταν ὀχεύῃ κραυγάζει καὶ τῶν ὀφθαλμῶν ἀφίησιν αἷμα, καὶ τίκτουσιν ἐπιπόνως αἱ θήλειαι. λευκός· οὗτος ἀκινδύνως ἐν ἀμφότεροισιν ἀπαλλάττεται." B.

ἐγγὺς ὁδοῖο: ἐγγὺς τῆς ἐξόδου, πρὸ τοῦ πόῤῥω αὐτοῦ ἀποβῆναι. BL. προχαρίζεται δὲ τῷ ἀκροατῇ, προαναφωνῶν αὐτῶν τὴν κατόρθωσιν. V.

275. οὐκ ἴδον: ὅτι καὶ αὐτοὶ ὑπὸ πολεμίων ἔμελλον ὁραθέντες τὰ βουλεύματα αὐτῶν παρὰ Δόλωνος ἀκούσαι. ἄλλως δὲ ὅτι οὐκ αἴσιος ὁ ἐρωδιὸς ὁ ὁρώμενος ὑπὸ τῶν εἰς ἐνέδραν ἀπιόντων. A.

δηλοῖ ὅτι οὐκ ὀφθήσονται μέν, εἴσονται δὲ τὰ τῶν πολεμίων ἐκ τῆς φωνῆς Δόλωνος. BL.

276. νύκτα δι' ὀρφναίην: οἰκονομικῶς· ἀσέλη γάρ ἐςὶν ἡ νύξ. ἀμέλει Νέςωρ οὐχ ὁρᾷ. V.

277. Ὀδυσεύς: ὡς ἐμφρονέςερος. V.

ὄρνιθ': ἐκ πλήρους ὄρνιθι, δοτική, ὡς „θίν' ἐφ' ἁλιπολιῆς" (Il. 1, 350). V.

ὅτι ἐπὶ τῷ ὄρνιθι. καὶ ἐν Ὀδυσσείᾳ „καί τε σφιν ἰαίνομαι εἰσορόωσα" (19, 537)· ἐπ' αὐτῷ. A.

278. καλῶς οἱ μὲν Ἕλληνες θεὸν ἡγεμόνα ἐπικαλοῦνται ἀκούονται, ὁ δὲ βάρβαρος Δόλων μὴ εὐχόμενος ἀποτυγχάνει.

279. παρίςασαι: καὶ τοῦτο πραγματικῶς· προθυμότεται γὰρ καὶ ἄνθρωποι καὶ θεοὶ εὐεργετοῦσι τοὺς ὑπὲρ ὧν πεπόνθεσι χάριν ὁμολογοῦντας. BL.

280. κινύμενος: ὑπερβολικῶς εἶπε, οἷον καὶ ἐπὶ μικρότινα πρᾶξιν ὁρμῶν. BL.

281. ἡ διπλῆ, ὅτι τὸ πάλιν ἀντὶ τοῦ εἰς τοὐπίσω, καὶ τὸ Ἰακὸν τὸ συςέλλειν, εὐκλείας καὶ δυσκλέα· οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι τὰ τοιαῦτα. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐκλεΐας προπερισπαςέον· ἐκ γὰρ τȣ̃ εὐκλέας ἐγένετο κατ' ὑπένθεσιν τȣ̃ ῑ· λέγει γάρ, δὸς ἡμᾶς εὐκλεεῖς καὶ ἐνδόξȣς. οἱ δὲ ἐκτείνοντες ἄνευ λόγȣ ἐκτείνȣσιν. A.

282. μέγα ἔργον: μεγάλην πρᾶξιν. Ἀρίςαρχος δέ φησι τὸ φονεῦσαι Ἕκτορα. D.

ἡ διπλῆ, ὅτι ὁ καί σύνδεσμος περιττός. A.

286. τὸ ἐς Θήβας δύναται καὶ τοῖς ἡγȣμένοις καὶ τοῖς ἑπομένοις συντάττεσθαι. ἡ διπλῆ δέ, ὅτι ἡ πρό ἀντὶ τῆς ὑπέρ. A.

δύναται μὲν καὶ εἰς τὸ Τυδέϊ δίῳ ἡ ςιγμὴ τάττεσθαι, δύναται δὲ καὶ εἰς τὸ Θήβας· τὸ γὰρ ἐς Θήβας ἄμφω συντάσσειν ἀκώλυτόν ἐςιν. BL.

288. αὐτὰρ ὁ μειλίχιον: ὁ δὲ Τυδεύς, φησί, προσηνῆ καὶ πρᾶον λόγον ἔφερε τοῖς Ἀθηναίοις· ἀπῄει γὰρ προκηρυκευσόμενος περὶ διαλύσεων καὶ εἰρήνης. AD.

καλῶς μειλίχιον ἔφη λόγον τὸν διαλλαγὰς εὐαγγελιζόμενον. B.

290. πρόφρασσα: πρόφρων, πρόθυμος· ἢ ἡ πειρῶσα προφράζεσθαι τὸ μέλλον. D.

ἐνόμισάν τινες εἶναι θηλυκὸν τὸ πρόφρασσα, οὐκ ἐςὶ δὲ ἀληθές· Φιλόξενος γὰρ ἐν τῷ περὶ μονοσυλλάβων φησὶν ὅτι ἔςιν ἰδιότυπος ῥηματικὸς χαρακτήρ· καὶ ὡς παρὰ τὸ βήσω βῆσα καὶ βῆσσα, ἄξω ἄξα καὶ ἅμαξα, πείσω πεῖσα „τῷ δ' ἄρ' ἐν πείσῃ κραδίη μένε τετληυῖα" (Od. 20, 23), ὅτω καὶ ἀπὸ τȣ̃ φρῶ φρήσω φρῆσα, κατὰ τροπὴν φράσσα καὶ πρόφρασσα. ἔςι δὲ τὸ φρῶ, ὥς φησιν, ἀπὸ τοῦ προΐω, πρῶ κατὰ συγκοπήν, καὶ τροπῇ τȣ̃ π̄ εἰς φ̄ φρῶ· ἔςιν οὖν τὸ πρόφρασσα παρὰ τὸ προϊέναι καὶ προθυμεῖσθαι. μέμνηται καὶ Ὠρίων τȣ́των ἐν τῷ περὶ ἐτυμολογιῶν. AV.

291. ὣς νῦν μοι: ὅρα πῶς ὁ συνετώτερος Ὀδυσσεὺς τὴν εὐχὴν ἐκοινοποίησεν, ȣ̃τος δὲ ἰδίᾳ καὶ ἄλλως. BLV.

ȣ̃τω χωρὶς τȣ̃ σ̄ παρίςαο αἱ Ἀριςάρχου. Ζηνόδοτος παρίςαο καὶ πόρε κῦδος· χωρὶς δὲ τȣ̃ σ̄ καὶ αὐτός. ἅτως δὲ καὶ αἱ πλείȣς εἶχον. A.

292. σοὶ δ' αὖ ἐγὼ ῥέξω: ἐπεὶ εἰς αὐτὸν ὁ κίνδυνος πλέον ὁρᾷ, καὶ θυσίαν ὑπισχνεῖται. V.

Πτολεμαῖος ὁ τȣ̃ Ὀροάνδȣ ἀνέγνω ἦνιν ὡς μῆνιν· καὶ τȣ̃το ὀφείλει εἶναι τὸ ἀνάλογον. Τυραννίων δὲ ὀξύνει τὴν πρώτην· καὶ δῆλον ὅτι δώσει καὶ τὴν ἐπὶ τέλȣς ἐκτείνεσθαι· ὀξεῖα γὰρ κατὰ μακρᾶς βραχείας ἐπιφερομένης ȣ̀ πίπτει κατὰ τὸ κοινὸν ἔθος, ὑπεςαλμένων τῶν σεσημειωμένων, λέγω δὲ τȣ̃ εἴθε αἴθε ναίχι, περὶ ὧν καὶ λόγον δεδώκαμεν. τάχα ȣ̀ν καὶ τὸ ηνιν ἐκτείνει ὁ Τυραννίων διὰ τὸ μέτρον, ȣ̀χὶ διὰ τὸ πληθυντικόν „ἤνις ἠκέςας" (Il. 6, 94)· καὶ γὰρ πόλις λέγȣσι καὶ πόλιν καὶ μάντις καὶ μάντιν. A.

295. τῶν δ' ἔκλυε: παραμυθητικὸν τȣ̃το. V.

297. ἐλεεινὸν ἐποίησε τοῖς ὀνόμασι τὸ νοȣ́μενον. V.

298. διά τ' ἔντεα: ἡ διπλῆ, ὅτι ἐντεῦθεν τὸ ἡμιςίχιον μετενήνεκται εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα περὶ τῶν μονομαχȣ́ντων „ψαύσῃ δ' ἐνδίνων διά τ' ἔντεα" (Il. 23, 806), καὶ ὅτι πτῶσις ἐνήλλακται δι' ἐντέων καὶ μέλανος αἵματος· καὶ πρὸς Ἴςρον, ὅτι ȣ̀ γέγονε νεκρῶν ἀναίρεσις, εἰ μὴ ἅπαξ. A.

τῶν ἐπαινȣμένων Ξενοφῶντός ἐςι ταῦτα (Agesil. 2, 14)· „ἐπεὶ δ' ἔληξεν ἡ μάχη, παρῆν ἡδὺ θεάσασθαι (π. ἰδεῖν L), ἔνθα συνέπεσον ἀλλήλοις, τὴν μὲν γῆν αἵματι πεφυραμένην (πεφυρμένην L), νεκρȣ̀ς δὲ κειμένȣς, ἀσπίδας δὲ πεπρισμένας, δόρατα παρατεθραυσμένα, ἐγχειρίδια γυμνὰ κολεῶν, τὰ μὲν χαμαί, τὰ δ' ἐν (δὲ L) τοῖς σώμασιν ἐμπεπηγότα." ταῦτα δὲ Ὅμηρος ἑνὶ ςίχῳ συλλαβὼν πάντα ἀπήγγειλεν. LV.

299. οὐδὲ μὲν οὐδὲ Τρῶας: ἡ διπλῆ, ὅτι ȣ̀χ ὡς ἡ τῶν ἐπῶν ἔχει τάξις, ȣ̃τω καὶ τὰ πράγματα. ȣ̀ γὰρ προεληλυθότων ἤδη τῶν περὶ Ὀδυσσέα καλεῖ τȣ̀ς προβȣ́λȣς ὁ Ἕκτωρ, ἀλλὰ καθ' ὃν καιρὸν καὶ ὁ Ἀγαμέμνων· ȣ̃τω γὰρ καὶ ἑαυτοῖς συμπεσȣ̃ντα οἱ ἀπεςαλμένοι. διὸ καὶ ἀντιδιαςαλτικῶς λέγει, ȣ̀δὲ μὴν ȣ̀δὲ ὁ Ἕκτωρ εἴασε τȣ̀ς Τρῶας εὕδειν. A.

ὑπὸ τὸν αὐτὸν χρόνον ἀμφότεροι τȣ̀ς κατασκόπȣς πέμπȣσι· συντυγχάνȣσι γὰρ ἀλλήλοις ἰόντες· ἀλλ' ὁ ποιητὴς ἐτίμησε τὸ Ἑλληνικὸν τῇ προτέρᾳ τάξει τοῦ λόγου. BL. ἔςι δὲ οἰκονομικὸν τὸ παρὰ Δόλωνος, καὶ πίςιν ποιȣ̃ν τοῖς νυκτερινοῖς τῶν Ἑλλήνων κατορθώμασιν. V.

300. πάντας ἀρίςους: ὁ μὲν Ἕκτωρ θορυβώδης καὶ ἀλαζὼν ὢν πάντας συγκαλεῖ ἀνοήτως τȣ̀ς ἀρίςȣς, ἔνθα δέος καὶ ἐκπεσεῖν τι τῶν ἀποῤῥήτων, οἱ δὲ Ἕλληνες βραχεῖς. BLV.

302. συγκαλέσας: βασιλικῶς. Ἀγαμέμνων δὲ δι' ἑαυτοῦ. V.

303. τίς κέν μοι: ὁ μὲν Ἕκτωρ μετὰ προςάξεως τὸν ὑπακȣσόμενον τῇ χρείᾳ καλεῖ, ὁ δὲ Νέςωρ ὑποτίθεται. καὶ οἱ μὲν ἃ ἔχȣσιν ἐπαγγέλλονται, ὁ δὲ ἃ ȣ̀κ ἔχει. καὶ οἱ μὲν δῶρον, ὁ δὲ ἀτίμως φησὶ μισθόν. BLV. καὶ πρῶτον ἔταξε τὸν μισθόν. διὸ δελεάζεται ὁ υἱὸς τȣ̃ πολυχρύσȣ. V.

305. ἐριαύχενας: μεγαλοτραχήλȣς, πολιȣ́ς (ςολίȣς D), ἀπὸ μέρȣς· τὸ ερι γὰρ μόριον ἐπὶ τȣ̃ μεγάλȣ τίθεται, ὡς καὶ τὸ ζᾱ. καὶ ἐνταῦθα δὲ τὸ ἀσύνετον τȣ̃ Ἕκτορος φαίνεται ὑπισχνȣμένȣ τȣ̀ς Ἀχιλλέως ἵππȣς, ȣ̃ς ἀδύνατον ἦν λαβεῖν. AD.

306. ȣ̃τως Ἀρίςαρχος, οἵ κεν ἄριςοι ἔωσι· ὁ δὲ Ζηνόδοτος αὐτοὺς οἳ φορέȣσιν ἀμύμονα Πηλείωνα· Ἀριςοφάνης καλȣ̀ς οἳ φορέȣσιν. A.

307. οἷ: ὀρθοτονεῖται καὶ περισπᾶται καὶ εἰς σύνθετον μεταλάμβανεται. A.

308. ἔκ τε πυθέσθαι: τὰ ἀκριβῆ παρὰ πάντων ἀκȣ̃σαι, ὁ δέ „εἴ τινά που δηΐων ἕλοι" (206) ὡς ἐκ παραδόξου. LV.

ὁ μὲν Νέςωρ τὴν πρᾶξιν ἐξεφαύλισεν, ἐπὶ φήμης ἀκοὴν πέμπων τὸν κατάσκοπον ἢ ἐπὶ σύλληψίν τινος πολεμίου μονωθέντος· ὁ δὲ Ἕκτωρ ἐπὶ τὴν περὶ τῶν ὅλων γνῶσιν. BL.

314. ἦν δέ τις: διηγήσεως ἐδέησε πρὸς τὸ σημᾶναι τὸ ἄδηλον τȣ̃ ἀνδρός, ὅπως τοιȣ̃τος ὢν τῶν Ἀχιλλέως ἵππων ἐρᾷ καὶ μετ' ὀλίγον προδότης γίνεται. ταχέως δὲ ἅπαντα ἐδήλωσε, τὸ ἔθνος, τὸ ὄνομα αὐτȣ̃ τε καὶ τȣ̃ πατρός, τὴν τέχνην, τὴν τύχην, ὅτι πλȣ́σιος, τὴν μορφὴν τȣ̃ Δόλωνος καὶ τὴν ὠκύτητα. BL.

315. διὰ τί κήρυκος πλȣσίȣ εἴρηκε τὸν Δόλωνα; κήρυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κος μὲν ὃν εἰς τὸ εὐχερῶς ὑπακούειν, πλούσιον δὲ εἰς τὸ δυνηθῆναι ἑαυτὸν λυτρώσασθαι, ποδώκην δὲ διὰ τὸ ἐπ' ἐλπίδι φυγεῖν τοὺς διώκοντας. AD.

ἵνα ὡς οἰκεῖον ἑαυτῷ τοὔργον ἕληται, καὶ ὀφθεὶς εὐπορῇ προφάσεως διὰ τὴν ἄδειαν ἣν ἔχουσιν οἱ κήρυκες· ἅμα δὲ ὅτι καὶ ἀγνῶτες πολέμων εἰσὶν οἱ κήρυκες, ἵνα καὶ ἄπρακτος ᾖ. τὸ δὲ θείοιο, ὅτι ἀνόμοιος τῷ πατρί. V.

πολύχρυσος πολύχαλκος: εἰκότως, λαβὼν πέντε θυγατέρων ἕδνα. V.

ἵνα καὶ ὡς ἐν πλούτῳ τεθραμμένος ἄνανδρος ᾖ. V.

καὶ ὅμως ἠράσθη κέρδους. ἢ δι' ἀλαζονείαν ἕτερόν τι παρὰ χρυσόν· τὸ γὰρ πλουτεῖν καὶ ἱπποτροφίας ἐμποιεῖ πόθον. εὔελπις δὲ ἦν ὡς εἰ ληφθείη, διὰ τούτων λυτρωθήσεται. BL.

316. κακός: ἵνα ὡς ἄσημος λάθῃ. οὗτος δὲ ἤθελεν ἀντὶ Ἀχιλλέως ὀχεῖσθαι τοῖς ἵπποις. V.

317. μοῦνος ἔην: ἄρσην δηλονότι. A.

μετὰ πέντε κασιγνήτῃσιν: ὡς γυναικοτραφὴς δειλὸς ἦν καὶ ῥιψοκίνδυνος. V.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει κασιγνήτοισι. παραιρεῖται δὲ τὸ πιθανὸν τοῦ ποιητοῦ· οὐ γὰρ μετὰ ἀρσένων αὐτὸν τεθραμμένον παρίστησιν, οἷς ἐξισούμενος ἂν εἰς ἀνδρείαν ἐτράπη. τό τε παρακείμενον μάχεται· πῶς γὰρ ἔτι μόνος ἦν, εἰ πέντε ἦσαν; A.

318. ὅς ῥα τότε: δοκεῖ διαγανακτεῖν ὁ ποιητής, οἷος ὢν οἵοις ἐπιχειρεῖ. B.

319. Ἕκτορ ἔμ' ὀτρύνει: ὁ μὲν Διομήδης προσλαβέσθαι συνεργὸν ἔσπευσε, καὶ τὸ ἐπικίνδυνον τοῦ πράγματος καὶ τὸ νεμεσητὸν ὑφορώμενος· ὁ δὲ ἀνοήτως μόνος ὁρμᾷ. BL.

321. τὸ σκῆπτρον: ἀντὶ τοῦ τοῦτο τὸ σκῆπτρον. ἐφόρει δὲ Ἕκτωρ, ἐπεὶ ἐδημηγόρει. A.

τὸ ἄπιστον δηλοῖ τῶν βαρβάρων, ὅτι τὰς πίστεις ὅρκοις, οὐ τρόποις ἀγαθοῖς βεβαιοῦσιν. BLV. ὁ δὲ Διομήδης οὐδὲ μέμνηται τῆς δόσεως. V.

ἀνάσχεο: διὰ τοῦ ο αἱ Ἀριστάρχου. A.

322. τοὺς ἵππους: ἡ διπλῆ, ὅτι τὸ τούς οὐκ ἐστιν ἄρθρον, ἀλλ' ἀντὶ τοῦ τούτους παρείληπται ἐν τάξει ἄρθρου. A.

323. οἳ φορέουσιν ἀμύμονα Πηλείωνα: ὁ μὲν Ἕκτωρ ἀρίστους δώσειν φησίν, ὁ δὲ τοὺς Ἀχιλλέως αἰτεῖ, τούτους εἰδὼς ἀρίστους. δηλοῖ δὲ ἀμφοτέρων τὴν ἀτοπίαν καὶ ἄνοιαν. BLV. φίλιππον δὲ χαρακτηρίζει τὸν Δόλωνα, νῦν μὲν τῶν Ἀχιλλέως ἵππων ἐρῶντα, ἐν δὲ τοῖς ἑξῆς ἐπαινοῦντα τοὺς Ῥήσου περιττῶς. V.

ἀμύμονα: γράφεται καὶ ποδώκεα καὶ ἀμύμονα. A.

324. οὐδ' ἀπὸ δόξης: οὐκ ἀπὸ δοκήσεως καὶ εἰκασμοῦ. A.

ἤτοι οὐδ' ὡς δοκεῖν μόνον, ἀλλ' ἀληθῶς· ἢ οὐδὲ παρὰ τὴν δόξαν ἣν περὶ ἐμοῦ ἔχεις. A.

οὐκ ἄποθεν τῆς οἰήσεως ἧς ἔχεις περὶ ἐμοῦ. ἢ οὐκ ἐξ ὑπολήψεως ἀπαγγελῶ, ἀλλὰ μετὰ ἀκριβείας περὶ πάντων μαθών. BL.

αἰτεῖ μὲν ἀδύνατα, καὶ περὶ αὐτῶν ἀναγκάζει ὀμνύναι, ὑπισχνεῖται δὲ πάντα, περὶ ὧν οὐδὲν εἶπε Διομήδης. V.

325. τόφρα: ἐκπεπτωκὼς τῇ ἐπιθυμίᾳ τῶν ἵππ[illegible] πάντα διορίζεται, ὡς ἐπικηρυκείαν ποιήσων, οὐ τὸν μέγ[illegible]στον κίνδυνον. V.

νῆ' Ἀγαμεμνονέην: ἐκεῖ γὰρ αὐτοὺς καὶ Ἰδαῖ[illegible] εὑρὼν ἀπήγγειλεν. ἢ ὅτι Πρίαμος παρ' ἑαυτῷ ποιεῖ τ[illegible] συνόδους. λαθεῖν δὲ οἴεται φύλακας, οὓς οὐδ' ἐν ῥαστώνῃ ὄ[illegible]τας ἔλαθε Πρίαμος, εἰ μὴ Ἑρμῆν ἔχεν. V.

326. μέλλουσιν: ἀντὶ τοῦ ἐρίκασι. καὶ οὕτως ἀεὶ κέχρ[illegible] τῇ λέξει. A.

328. καί οἱ ὄμοσσεν: μωρότερος τοῦ αἰτοῦντος ὁ ἐπα[illegible]γειλάμενος· ὄμνυσι γὰρ ὡς ἤδη τὰ λάφυρα διαιρῶν. BL.

329. ἴστω: ἐπιστάσθω, γινωσκέτω, μαρτυρείτω· ἴστωρ ὁ μάρτυς· „ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα" (Il. [illegible] 486). A.

330. τοῖς ἵπποισιν: καὶ νῦν τοῖς ἀντὶ τοῦ τούτ[illegible] τοῖς ἵπποις, ὥστε ἔξωθεν προσλαμβάνειν δέον τὸ τοῖς ἄ[illegible]θρον. A.

332. ὡς ἐν τῇ συνηθείᾳ, οὕτως καὶ ἐνθάδε τὸ ἐπίορκο[illegible] οὕτως καὶ διὰ τοῦ ε τὸ ἐπώμοσεν αἱ Ἀριστάρχου. τοῦτο δὲ ἔξ[illegible]θεν ἐπιπεφώνηται, ὅρκον ἐπίορκον ὤμοσεν, οὐχ οἷον ἑκουσί[illegible] ἀλλὰ διὰ τὸ μὴ ἀποτελεσθῆναι τοῦτο ὅπερ ὤμοσεν. A.

γράφεται καί ῥ' ἐπεὶ ὤμοσεν. B.

προσαγώγιμος ἡ τῶν ἀναφωνήσεων τέρψις τῷ ἀκρο[illegible]τῇ. ἡδίστη δέ ἐστι καὶ κερτομική· ὁ μὲν γὰρ οὐδὲ πόῤῥω τ[illegible] Ἀγαμέμνονος εἶδε σκηνήν, ὁ δὲ ὑπὸ τῶν ἵππων πεφόν[illegible]ται. V.

ὀρόθυνεν: φαίνεται γὰρ ἀναπτερούμενος τῇ ἐπιθυ[illegible] τῶν ἵππων. V.

333. τόξα: ἄφρων ὡς μὴ καιόντων πῦρ πολεμίων τ[illegible] ἔχει. V.

334. πολιοῖο: λευκοῦ, τεφρώδους, διὰ τὴν τῆς χρ[illegible] ἰδιότητα· καὶ γὰρ Πελίαν ἐντεῦθέν φασιν ὠνομάσθαι. Τυρ[illegible] ἡ Σαλμωνέως γεννήσασα δύο παῖδας ἐκ Ποσειδῶνος, π[illegible] τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλιπε. τὸν μὲν [illegible] ἕτερον κύων, ἀφαιρεθέντων αὐτῆς τῶν πόνων (τέκνων [illegible] παρέχουσα θηλὴν ἔτρεφε· τὸν δὲ ἕτερον ἵππος κατὰ τὸ [illegible]τωπον ἐπάτησεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοὶ ἀνελόμ[illegible]τε τὰ παιδία ἔτρεφον, καὶ ὠνόμασαν τὸν μέν, ἐπεὶ ἐκ σ[illegible]δρομῆς αἵματος ἐπελιώθη, Πελίαν, τὸν δ' ἕτερον, ἐ[illegible]κύων κατηλέησεν, Νηλέα. AD.

ἄλλως. λευκοῦ ὡς ἄφρων· κατάφωρος γὰρ δι' αὐτοῦ ἐγ[illegible]νετο. ὁ δὲ Ἀριστοφάνης τεφρώδους φησί· λέγει γὰρ μὴ εἰ[illegible]λύκον λευκόν AL. ἔστι δὲ μᾶλλον λευκανθίζοντος. V.

335. ἐπὶ: ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵνα γένηται ἐ[illegible]κρατί, οὐχ ὑγιῶς· μέσος γὰρ πέπτωκεν ὁ δέ. τὸ δὲ ἑξῆς δ[illegible] διαστέλλειν κατὰ τὸν ποιητὴν κτιδέην, ἀπὸ τοῦ κ ποιουμέν[illegible] τὴν ἀρχήν, ἐπεὶ ἐν ἑτέροις φησὶ „τοῦ δ' ἀπὸ μὲν κτιδέην" (458). A.

ἡ διπλῆ, ὅτι νῦν μὲν ἀμφίβολον πότερον κτιδέην [illegible] συναλοιφὴν ἐκδεκτέον, ἰκτιδέην· διὰ μέντοι τῶν ἑξῆ[illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναμφισβητήτως κτιδέην λέγει „τῆ δ' ἀπὸ μὲν κτιδέην ινέην." A.

ἄλλως. ἀπὸ τῆ κ ἡ ἀρχή, ἐπεὶ ἐν ἑτέροις καὶ κτιδέην. ῆτο δὲ κατὰ ἀφαίρεσιν τῆ ι λέγει παρὰ τῷ ποιητῇ· ἰκτὶς ἀρ ἐστιν, ὡς Νίκανδρος „ἰκτίδος ἥ τ' ὄρνισιν" (Ther. 196). ὁ γ' μονοσύλλαβον ἀ δύναι κατ' ἔκτυσιν ἅτε κατὰ συολὴν λέγεσθαι. ὅτε γ' ἐκτείνει ὡς κρηπῖδος ψηφῖδος· ταῦτα ὑπὲρ μίαν συλλαβήν· ἅτε συσέλλει· ἀρκεῖ γ' τὸ τίς. AD.

κτιδέη ἡ ἐξ ἰκτίδος δέρματος πεποιημένη. ἰκτὶς δέ ἐστιν ὀρνιθοφάγον καὶ παῦργον, μεῖζον μὲν γαλῆς καὶ δασύτερον, ἄλλως δὲ παραπλήσιον. οἱ δὲ τὴν ἀγρίαν γαλῆν φασιν. AD.

ἰκτὶς ἐστι κατ' Ἀριστοτέλην ζῷον ὀρνιθοφάγον, ὅμοιον κυνιδίῳ κυνιδίῳ, ἧ τὸ δέρμα φορεῖ. τάχα ἓν ὁ ποιητὴς καὶ ἀφαίρεσιν αὐτὸ ἐποίησε τῆ πρώτῃ ι. BL.

Ἀριστοτέλης δέ φησιν „ἰκτὶς ζῷον ὅμοιον κυνιδίῳ Μεταίῳ, ὀρνιθοφάγον, τοῖς σμήνεσιν ἐπηρεάζον. τὸ δὲ αἰδοῖον ὀξὺ καὶ ἰᾶσθαι σραγγυριῶνας." V.

336. ἐπὶ νῆας: γράφεται προτὶ νῆας. A.

338. ἡ διπλῆ, ὅτι νῦν μὲν ὅμιλον τὸ πλῆθος καὶ ἁθροισμα τῶν Τρώων λέγει. ἐν μὲν ἓν τῇ Ἰλιάδι πυκνότερον τὴν μάχην ὅμιλον καλεῖ, ἐν Ὀδυσσείᾳ δὲ τὸ ἄθροισμα. A.

339. φράσατο: εἶδεν, ἐνόησεν. κατάχρησις ὁ τρόπος. D.

ὡς προνοῶν μὴ καὶ παρὰ τῶν πολεμίων εἴη τις δόλος· ὁ δὲ Διομήδης, καταφρονῶν τῶν κινδύνων ὡς μέγα τι θέων διαπράξασθαι τὸς πολεμίους, ἐ προνοεῖ. πῶς δὲ τὸν ἐρωτὸν μὴ ὁρῶντες αὐτὸν ὁρῶσιν; ἴσως ὅτι πρὸς ὄρθρον ἡ λήνη ἀνέχει. BLV.

341. οὗτός τοι: Ἀρίσαρχος οὗτός τις. ὁμολογουσὶ καὶ αἱ πλείους. A.

342. οὐκ οἶδ': ἐκ τῆς ἰδίας προσβολῆς τεκμαίρεται περὶ τῶν πολεμίων. V.

ἐπίσκοπος: περισσὴ ἡ ἐπί. φησὶ γὰρ „ὄθι σκοπὸν κτορος" (526). V.

343. ἤ τινα συλήσων: ἐ γ' ἕτω ῥᾴδιον οἴεται τὸ ἶνον εἰς κατασκοπὴν ἀφικέσθαι. ἐῶσι δὲ παρελθεῖν, μὴ εἰδότες τὴν ὠκύτητα αὐτῦ. BL.

κατατεθνειώτων: Ἀρίσαρχος τεθνηώτων. A.

ὁ ἀσερίσκος, ὅτι ἐνταῦθα καλῶς ὁ σίχος τέτακται, μετὰ δὲ ταῦτα δὲ (387) ἐκέτι, λεγόμενος πρὸς Δόλωνα. A.

346. εἰ δ' ἄμμε: εἰ δὲ πλαγίαν ὡς ἐπὶ τὴν πόλιν ποιεῖται τὴν ὁδόν, ἀπόσρεφε πάλιν αὐτὸν ἐπὶ τὰς ναῦς. BL.

παραφθαίησι: ἔτως χεδὸν αἱ πᾶσαι. A.

347. ποτιειλεῖν: ἡ διπλῆ, ὅτι ἀπαρεμφάτῳ ἀντὶ προστακτικῦ κέχρηται. ὁ δὲ Ἀρίσαρχος ἐπὶ νῆας ἀντὶ τοῦ ποτὶ νῆας. A.

348. ἔγχει ἐπαΐσσων: ἵνα τὴν ἄφεσιν δεδιὼς ἐπὶ τῆς νῆας τράποιτο. V.

349. ὣς ἄρα φωνήσαντε: οὕτως Ἀρίσαρχος. καὶ κυμαςὸν ἐδὲν εἰ Ὀδυσσέως εἰπόντος μόνα συλλήβδην ἔφη ὣς ἄρα φωνήσαντε· σύνηθες γ' αὐτῷ τὸ τοιῦτο. ἐν γῶν τῇ παραποταμίῳ μάχῃ τῦ Ποσειδῶνος εἰπόντος μόνα „τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθῳ εἰμὲν Ζηνὸς ἐπαινήσαντος," ἐπιφέρει „τὰ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτες ἀπεβήτην" (Il. 21, 287). ἐν μέντοι τῇ Ἀρισοφάνες καὶ ἄλλαις ἑτέρως ἐφέρετο· „ὣς ἔφατ', ἐδ' ἀπίθησε βοὴν ἀγαθὸς Διομήδης· ἐλθόντες δ' ἑκάτερθε παρὲξ ὁδῦ ἐν νεκύεσσι κλινθήτην." A.

διασαλτέον ἐπὶ τὸ φωνήσαντε. A.

350. κλινθήτην: τραγικῶς, ἵνα καὶ αὐτοὶ δόξωσιν εἶναι νεκροί. προῳκονόμηται ἓν μὴ ἀφαιρεθῆναι τὲς νεκρές. V.

παρέδραμεν ἀφραδίῃσιν: παρέδραμε, φησίν, ἀσυνέτως, ἐ θεασάμενος αὐτές. δεῖ δὲ τὲς κατασκόπους τὴν ὄψιν περιάγειν πρὸς ἐπίγνωσιν ἀκριβῆ. B.

σύμφωνον τῷ „βῆ ῥ' ἀν' ὁδὸν μεμαώς." ἐπὶ δὲ τῶν Ἑλλήνων „βάν ῥ' ἰέναι." ἠρέμα γὰρ δεῖ χωρεῖν τοὺς κατασκόπες, τὴν ὄψιν περιάγοντας πρὸς ἐπίγνωσιν ἀκριβῆ. V.

ἀφραδίῃσι: ἀθεωρησίᾳ· ἀπειρηκὸ γὰρ ἀπὸ διανοίας εἰς αἴσθησιν, ὁμοίως τῷ „τὸν δ' ἐφράσσατο προσιόντα." A.

351. ἀλλ' ὅτε: ὁπότε, φησί, τηλικῦτον αὐτῶν διειςήκει, ὅσον γίγνει διάσημα ἡμιόνων ἐν ἐπισροφῇ ἀρσρῶν. οἱ γὰρ ἀρῶντες τοῖς μὲν ἰσχυροτέροις ζεύγεσι μεγάλας ποιῦσι τὰς ὠμαξικάς. φθάνεσι δὲ ὡς ὀξύτεραι αἱ ἡμίονοι τοὺς βόας ἐν ἀρότρῳ. D.

ἐπὶ: ἐδὲ ἐνθάδε ἀναςρεπτέον· μεταξὺ γὰρ πάλιν σύνδεσμος, ἐφ' ὅσον ὕρια. A.

ἠλίκον ὅρμημα γίνεται τῶν ἡμιόνων τεμνόντων αὖλακα. οὖρα τὰ ὅρια καὶ πέρατα τῆς αὔλακος ἦν τὸ ὀρικὸν ζεῦγος τέμνει. A. ἄλλως. ὅσον ἀροτριῶσα ἡμίονος ὑπὸ μίαν ὁρμὴν ὑπογράφειν δύναται, ὃ ἐστι πλέθρον. AV.

Πορφυρίς. Ἀρίσαρχος οὕτως ἐξηγήσατο. ὅσον, φησίν, ἐξ ἑνὸς (ὑφ' ἓν DLV) καὶ ὁμῦ ὑπό τινος ἀφεθέντος καὶ ἀπολυθέντος ζεύγες ἡμιόνων καὶ ζεύγες ἄλλου βοῶν, φθάσωσι καὶ προλάβωσι τὰς βῦς αἱ ἡμίονοι (ταχύτεραι γάρ εἰσι τῶν βοῶν), τοσοῦτον, φησίν, ἐάσαντες διάσημα παρελθεῖν τὸν Λύκωνα μεταςραφέντες ἐδίωξαν. BDLV.

πρὸς τὸ σχῆμα, πέλονται ἀντὶ τοῦ πέλεται, ὁμοίως τῷ „οὐδ' εὑρέ' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται" (Od. 11, 125). A.

353. νειοῖο: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, διὰ νειοῖο. A. νειὸς δέ ἐστιν ἡ νεωςὶ ἠροτριασμένη γῆ. AD.

ἐν γ' τῇ πρώτῃ αὔλακι χολαιοτέρων προσδεῖ ζῴων πρὸς τὸ βαθυτέραν γενέσθαι τὴν ἐντομήν, ἐν δὲ τῇ νειῷ ὀξυτέρων· προευτρέπισαι γὰρ τῷ ἔαρι. BL.

πηκτὸν ἄροτρον: τὸ τὸν γύην προσπεπηγότα ἔχον· αὐτόγυον δὲ τὸ ἐξ αὐτῦ μονόξυλον. καὶ Ἡσιόδος φησι „δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος κατὰ οἶκον, αὐτόγυον καὶ πηκτόν" (O. 433). ABD.

354. ἐπιδραμέτην: Ἀρίσαρχος ἐπεδραμέτην. A. ἡ διπλῆ, ὅτι τὸ μὲν ἐπιδραμεῖν τίθησιν, ὅτε ἐ γινώσκει ὁ διωκόμενος, ὅτε δὲ γινώσκει, διώκειν καὶ διῶξαι. A.

355. ἔλπετο γὰρ: οἱ μὲν ᾗ προορῶσιν, ὁ δὲ ἀδὲ ὑπονοεῖ πολεμίως ἐπηρμένως. V.

356. σικτέον μετὰ τὸ ἐκ Τρώων· ἔχει γὰ ὁ λόγος, ἤλπιζε γὰ ὁ Δόλων ἑταίρους αὐτοῦ ἐκ τῶν Τρώων ὑπάρχειν, ὡς κελεύσαντος τῆ Ἕκτορος εἰς τὰπίσω αὐτὸν ὑποσρέψαι· ἀποσρόψοντας γὰ εἰς τὰπίσω καλέσοντας. AD.

ἢ διπλῆ, ὅτι τὸ πάλιν συναπτέον τῷ ἀποσρέψοντας, ἵνα ᾖ εἰς τὰπίσω ἀποσρέψοντας. A.

357. δουρηνεκὲς: φησὶ γᾶν ἑξῆς (373) „δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐϋξόα δερὸς ἀκωκὴ ἐν γαίῃ ἐπάγη." V.

358. δηΐους: διώξοντας δηλονότι. V.

ἄκρως ἐχαρακτήρισε θρασύδειλον. ἐνθυμηθῶμεν γὰ ὅτι ἔτός ἐσιν ὁ ἐπαγγειλύμενος μέχρι τούτου πορεύεσθαι, ὅφρ' ἂν ἵκηται νῆ' Ἀγαμεμνονέην. V.

359. αἶψα: γράφεται καὶ ὦκα. A.

ἢ διπλῆ, ὅτι νῦν ὀρθῶς διώκειν λέγει, ὅτε φεύγει ἐπιγνὲς αὐτὲς πολεμίες ὄντας. A.

τὸ ὥρμήθησαν Ἰακῶς. A.

360. καρχαρόδοντε: ἐπικαμπεῖς ὀδόντας ἔχοντες. ἢ τραχεῖς· κάρχαρον γὰ τὸ τραχύ. AD. ἤγουν οἱ κύνες τοῦ Ἅϊδου. A.

νῦν μὲν κυσὶν αὐτὲς εἰκάζει διὰ τὸ ἀγρευτικόν, πρότερον δὲ λέουσι διὰ τὸ εὐρασθές. BL.

361. κεμάδ': νεογνὸν ἔλαφον ἢ δορκάδα. D. ὁ κοιμώμενος ἔλαφος. γίνεται δὲ ἐκ τοῦ κέω τὸ κοιμῶμαι. B.

ὅτι δειλὸς καὶ Δόλων. V.

ἢ διπλῆ, ὅτι τῷ ἐπείγετον ὁριστικῷ ἀντὶ ὑποτακτικῆ τῆ ἐπείγητον· ἐπιφέρει γὰ προθέῃσι. γίνεται ἐν κατάλληλον ἔτως, ὡς δ' ὅταν ἐπείγωσιν, ὁ δὲ προθέῃσι μεμαώς. A.

ἐμμενές: ἐν τάτῳ γάρ ἐσι τῶν κυνῶν ἡ ἀρισεία. (τοῦτο γάρ ἐ. τ. κ. ἡ ἀρετή V). ταῦτα γάρ ἐσι τὰ ζῷα φύσει μὲν ταχέα, ὑπεκλυόμενα δὲ διὰ τὴν ἀσθένειαν· οἱ δὲ κύνες τἐναντίον. ABLV.

362. ὁ τέ σύνδεσμος ἐκ ἦν ἐν τοῖς Ἀρισάρχ. A.

μεμηκώς: τὸν καταληφθησόμενον δηλοῖ· περικατάληπτοι γὰ γινόμενοι βοῶσιν οἱ λαγωοί. BL.

364. λαῶ ἀποτμήξαντε: τῆ Τρωϊκῆ λαῆ χωρίσαντες αὐτὸν ἐδίωκον. AD.

ὡς τὸ εἰδότε θῆρες· ἀδὲ γὰ ἐκεῖνοι κατ' ἀρὰν διώκουσιν, ἀλλὰ περὶ τὰ πλευρά, ἠὐτρεπισμένοι πρὸς τὴν ἐπιστροφὴν τῶν διωκομένων θηρίων. A.

ὅτι τὸ διώκετον σημαίνει διώκουσιν ἢ διώκετε, ἢ τὸ διωκέτην, ὡς Ἐρατοσθένης. ἔχει ἐν τὸν Δόλωνα διώκουσιν ἀντὶ τῆ ἐδίωκον, ὃν τρόπον „αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι" (Od. 7, 104) ἀντὶ τῆ ἠλέτρευον. A.

τρία δὲ ῥήματά ἐσι παρὰ τῷ ποιητῇ τὸ τοῦ παρωχημένου δυϊκὸν τρίτον εἰς ον λῆγον ἔχοντα παραλόγως, τῆτο καὶ τὸ „ἀνδρώουσιν ἠρώεσσιν ἐτεύχετον" (Il. 13, 346) καὶ τὸ „ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον" (Il. 18, 583). οὐκ ἔσι μέντοι ἀντικρυς δυϊκῆς σημασίας· ἀναθεώρησιν γὰ ἔχει πληθυντικὴν παρατατικήν· τὸ γὰ δικετον ἀντὶ τοῦ ἐδίωκον κεῖθ, ἢ τὸ ἀνδράσιν ἠρώεσσι ἐτεύχετον ἀντὶ τῆ ἔτευχον, ἢ τὸ λαφύσσετον ἀντὶ τῆ ἐλάφυσσον. AD.

365. αὔξει τὰς ἀγωνίας· τί γὰ ἦν ὑποσρέφειν αὐτὲς εἰς τὸν ναύσαθμον ἀπράκτες; V. μαθόντες γὰ οἱ Ἕλληνες τὸν σκοπὸν τῶν Τρώων ἐκ ἂν ἔτι ἔπεμψαν κατασκόπους. V.

368. φθαίη ἐπευξάμενος: καυχήσεθ προλαβών. A.

δεύτερος: ἡττηθείς. ἀπὸ τῶν ὑρομέων ἡ μεταφορά.

369. δουρὶ δ' ἐπαΐσσων: ὑπόνοιαν διδὲς ὅτι βαλεῖ αὐτόν. ἐνεργείας δὲ μεσὺς ἐσιν ὁ ἐπικραδαίνων τὸ δόρυ ᾗ βοῶν, ὡς ἀφήσων ἐπ' αὐτὸν εἰ μὴ σχῇ. BL. Ὀδυσσεὺς δὲ ὁ τοξεύει. ἢ γὰ ἂν ἐφόνευσεν, ἢ προπεπηγὸς ἐκ ἂν εἶδε τὸ βέλος ὁ Δόλων διὰ τὴν βραχύτητα. V.

370. δερὶ κιχήσομαι: οἷον εἰ μὴ τοῖς ποσὶ δύναμαι, ᾗ πῶς ἅμα τῇ ἀπειλῇ ἀφῆκεν; ὅτι ὀξυλαβείας ἔδει, ᾗ ἐφοβεῖτο ὡς ἀπειλῇ μόνῃ πειθήσεθ. ὑπόνοιαν δὲ αὐτῷ δίδωσιν ὡς ὁ βάλεθ αὐτὸν ἀνελεῖν, ἵνα ὑπήκοον ἔχῃ πρὸς τὴν ἀνάκρισιν. BL.

372. ἑκὼν δ' ἡμάρτανε: ζῶντα γὰ κρατῆσαι βέλει πρὸς τὸ τῆς ἐπερωτήσεως χρήσιμον. ἔξεσι δὲ εἰπεῖν ὅτι ᾗ τὰ βέλη ὡς ἔμψυχα τῷ ποιητῇ συναγωνίζεται. BL.

ἢ διπλῆ, ὅτι θέλοντες ζήτημα ποιεῖν μεταγράφουσι τὸ ἡμισίχιον ἔτως „ᾗ βάλεν ὁὸ' ἁφάμαρτεν, ἑκὼν δ' ἡμάρτανε φωτός·" ᾗ λύουσιν ἔξωθεν προσλαμβάνοντες τὸν ἂν σύνδεσμον· ᾗ βάλεν, ὁὸ' ἁφάμαρτεν ἄν, ἑκὼν δ' ἡμάρτανεν. ἀγνοῦσι μέντοι ὅτι Ὅμηρος τὸ βαλεῖν ἐπὶ τῆ ἐπιτυχεῖν τίθησιν. A.

373. ἐΰξου: Πτολεμαῖος περισπᾷ, λέγων ἐκ τῆ εὐξὸς συνηλεῖφθαι. ἐκ ἀναγκαῖον δέ· εἰ γὰ ἤδη τέτριπτο εὐξὸς ἡσύχα, δῆλον ὅτι τὸ εὔξοος πολὺ πρότερον εὐξὲς ἐγένετο ὡς εὖνος ᾗ ἔτως τὸ εὔξε ὡς εὖνε. A.

374. τάρβησεν: τρισὶν ὁ Ἡρωδιανὸς παραγωγαῖς τὸ ὑπέβαλε· πρῶτον μὲν ἐκ τῆ ταράσσω τάραβος ᾗ τάρβος δεύτερον, ὅτι ἐκ τοῦ τρέπω, ὁ δεύτερος ἀόριστος ἔτροπος, ᾗ τροπῇ τῆ π εἰς β τάρβος· οἱ γὰ εὐλαβούμενοι φεύγουσιν· τρίτον, ὅτι τείρω τὸ καταπονῶ, ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος, ᾗ πλεονασμῷ τῆ β τάρβος, καὶ ῥῆμα ταρβῶ „τάρβησέν τε." B.

375. βαμβαίνων: τρέμων ᾗ μετὰ σφαλμοῦ τὴν πορείαν ποιέμενος, ἐκ δὲ τέτου ἀνάνδρως κινούμενος. οἱ δὲ ἐχημάτισαν ἀπὸ τῆ γινομένη κατὰ τὸ σόμα ψόφῃ, συρρήσσων ᾗ συγκρόων τὲς ὀδόντας· ἢ ἀσαφῆ φωνὴν προϊέμενος ὑπὸ τῆ φόβῃ, βαμβαλίζων, ὅπερ ἡμεῖς φάμεν. ἔσι γὰ τὸ κατὰ μίμησιν ἡ λέξις· ὁ γὰ ἔγκειται τὸ βαίνειν. A.

ἄκρως ἐδήλωσε πάθος δυσερμήνευτον, τοῖς δειλοῖς παρακολυθῆν, τὸν θρασύδειλον Δόλωνα ὑπογράφων, ᾗ τὴν ἐχάτοις ἐξευτελίζων ὀνόμασι τὸν πρώην ἐπαγγελλόμενον „τόφρα γὰ ἐς ςρατὸν εἶμι." τὸ δὲ βαμβαίνειν δηλοῖ ἱκεσίας ᾗ λύγων ἀπορεῖν, ᾗ δεδιότα ἴσαθι, ᾗ τρέμειν, ἀσαφῆ φωνὴν προϊέναι ὑπὸ τῆ φόβῃ. ἄραβος δὲ κυρίᾳ ἡ ἐν τῷ ἄρει γινομένη βοή. BLV.

τὸ ἐξῆς, βαμβαίνων χλωρὸν ὑπαὶ δείους· τὰ δὲ λοιπὰ τὰ μέσα. A.

376. ἀσθμαίνοντες: ἔξιν ἴδειν μετέωρον τὸ πτεῦμα τῶν διωξάντων. V.

378. ἡ διπλῆ, ὅτι παρὰ τὸ σύνηθες ἐξενήνοχεν, ἐρὲ ὑσομαι ἀντὶ τῶ ἐμαυτόν. A.

βαρβαρικὸν τὸ εὐθὺς περὶ ἑαυτῆ διαλέγεσθ, ϗ ἵνα ὡς ἐγγενῆς αὐτοῦ καταφρονήσαντες μὴ παραυτὰ φονεύσωσιν αὐτόν, ἀλλὰ μάθωσιν. V.

379. χαλκός τε χρυσός τε: τούτοις πιστεύων ἐξῆλθεν ὡς κατασκοπήν· δυσκατεργαστότερος δὲ ἐστιν ὁ σίδηρος ὡς πρὸς τὸν χαλκόν. V.

380. ἀπερείσι' ἄποινα: ὁ προσέθηκεν ἀριθμόν, ἐμφαίνων ὡς ὅσα θέλουσι λήψονται. V.

381. πεπύθοιτ': ἡ διπλῆ, ὅτι ἐπὶ τῆ ἀκοῦσαι ἀεὶ τάσσει τὴν λέξιν, ϗ ὅτι συνήθως ἀναδιπλώσει κέχρηται, πεπύθοιτο ἀντὶ τῆ πύθοιτο. A.

382. Ὀδυσσεύς: ἑκατέρῳ προσώπῳ τὴν πρέπουσαν ἐπένειμε πρᾶξιν. ὅπου μὲν γὰρ ἀκοντίσαι ϗ καταχεῖν τὸν πολέμιον χρεία, ἐκεῖ Διομήδης ἐνεργεῖ, ὅπου δὲ λόγον δοῦναι ϗ λαβεῖν ϗ ἀπατῆσαι τὸν πολέμιον, Ὀδυσσεύς: BV. ϗ τὸ πᾶν γὰρ ἐμπιεζευθεὶς ὁ Διομήδης ἐκχωρεῖ τῷ ἱκανωτέρῳ εἰπεῖν. V.

383. θάρσει: ἐμφρύνως, ἵνα δελεασθεὶς ἐλπίδι σωτηρίας δηλώσῃ τὰ παρὰ τοῖς βαρβάροις ϗ τὴν οἰκείαν τῆς κοινῆς ἀλλάξηται σωτηρίας. V.

ἡ διπλῆ, ὅτι τὸ καταθύμιος ἐνθύμιος, ἐχ ὡς ἡμεῖς. A.

385. πῆ: γράφεται πᾶ. A.

γράφεται ἐπὶ νῆας. A.

387. ἡ διπλῆ, ὅτι ἐκ τῶν ἐπάνω (343) ὧδε μετάκειται ἤδη παρεληλυθότων αὐτῶν τὴς νεκρές. ϗ ὁ Ὀδυσσεὺς ἀσύνετος ἔσαι πρόφασιν αὐτῷ πορίζων. ἠθέτει καὶ Ἀριστοφάνης. A.

ἐπίτηδες ἐνδύσιμον αὐτῷ καιρὸν ψευσμάτων δίδωσιν, ὅπως αὐτῆ δοκιμάσῃ τὴς λόγους. τί γὰρ παρέτρεχε τὴς νεκρούς, εἴπερ σκυλεῦσαι θέλει; BL.

ἵνα εἰ ἄσμενος τὴν πρόφασιν λαβὼν ψεύδοιτο, ϗ περὶ τῶν λοιπῶν ἀπίστοιτο. V.

388. ἦ σ' Ἕκτωρ: πρὸς τὸ μαθεῖν εἰ ἐγρηγόρει ὁ Ἕκτωρ. V.

390. ὑπὸ δ' ἕτρεμε γυῖα: κατάσκοπος γὰρ ἐφωράθη, ϗ εἰ μὴ ἀληθεύοι, σωτηρίας ἐλπίδα ἐχ ὁρᾷ. αἱ δὲ συνεχεῖς πεύσεις ἐκ ἐῶσιν εἰς ψεύδη τραπῆναι. B.

391. πολλῆσίν μ' ἄτῃσι: ἄτας ἔφη ἃς ἐπὶ κακῷ ὑποχέσεις. ὡς ἀναγκασθεὶς δὲ ϗ δελεασθεὶς ϗ τὴν φρενοβλάβειαν αὐτῆ ὑποτίθεται, ἕλεον θηρώμενος. BL.

ἤγαγεν: Ἀριστοφάνης ἤπαφεν. A.

392. ὅς μοι: ἐντέχνως ὅτι ὑπέχετο μόνον ἔφη, ἐχ ὅτι ϗ ἠτήθη, τὴν ἑαυτῆ ἄνοιαν εἰς ἐκεῖνον μετάγων. V.

394. ἠνώγει: ἵνα δοκῇ ἄρχοντι πειθεσθ ϗ ὡς ἀναγκασθέντι συγγνῶσιν. V.

θοὴν: ταχεῖαν, ἐπεὶ μετὰ δύσιν ἠλίε τάχιστα σκότος γίνεται, ἢ ἐπεὶ διὰ τὸν ὕπνον ἥττονα αὐτὴν ἡγούμεθα. ἢ τὴν θετικὴν· ἀποτίθησι γὰρ ἡμᾶς εἰς ἀνάπαυλαν. BLV. ἢ ὅτι ὀξεῖα ϗ κωνοειδὴς ἐστὶ διὰ τὴν σκιὰν τῆς γῆς· θοὺν δὲ τὸ ὀξύ. δεινὸν δὲ διὰ τάτο ὅτι ὁ ἥλιος τῆς γῆς μείζων ἐστίν· ὁ δύναται γὰρ ἡ σκιὰ κωνοειδὴς εἶναι μὴ τῆ περιφωτίζοντος μείζονος ὄντος. V.

ταχεῖαν λέγει τὴν νύκτα διὰ τὸ ὑφ' ἕνα χρόνον ὅλην τὴν γῆν μελαίνεσθ, ὡς ἐν ἄλλοις „δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί" (Od. 2, 388). A.

395. ἀνδρῶν δυσμενέων: ὑπομιμνήσκει τῆς ἔχθρας αὐτὲς καθ' Ἕκτορος, ἀναζωπυρῶν αὐτῶν τὸν θυμόν. BLV.

397. ἦ ἤδη: ϗ γραπτέον ὅτως, ϗ ἀθετητέον τὲς τρεῖς στίχους, εἴ τι χρὴ πιστεύειν Ἀμμωνίῳ τῷ διαδεξαμένῳ τὴν σχολήν, ἐν τῇ περὶ τῆ μὴ γεγονέναι πλείονας ἐκδόσεις τῆς Ἀριστάρχειε διορθώσεως τᾶτο φάσκοντι. ϗ παρὰ Ἀριστοφάνει δὲ ἠθετοῦντο. ἐν δὲ ταῖς Ἀριστάρχου ἐγέγραπτο εἰ ἤδη. ταῦτα ὁ Δίδυμος περὶ τῶν στίχων τάτων. .

398. ἐν ἄλλῳ „φύξιν βάλεύσι μετὰ σφίσιν ἠδ' ἐθέλωσι." A.

ὅτι οὕτως γραπτέον, βουλεύουσι καὶ θέλουσι· τὸ γὰρ σφίσιν ἐν τῷ περί τινών ἐστι λόγῳ, ἀντὶ τῆ αὐτοῖς, ᾧ ἀκόλουθα δεῖ εἶναι τὰ ῥήματα. ταῦτα ὁ Ἀριστόνικος περὶ τῆς γραφῆς ταύτης φησί, διπλῆν βάλλων τῷ στίχῳ. ἐν μέντοι τῇ τετρωλογίᾳ Νεμεσίωνος ὅτως εὗρον περὶ τῶν στίχων τάτων· τῶν παρακειμένων ὀβελῶν ἐκ ἔστιν αἰτίαν εὑρεῖν διὰ τῶν Ἀριστάρχειων ὑπομνημάτων. Ἀμμώνιος δὲ ὁ Ἀριστάρχειος πρῶτον μὲν σεσημαῖς φησὶ τὸν Ἀρίσαρχον παρασημειώσασθ αὐτούς, εἶτα δὲ ϗ τέλειον ἐξελεῖν, τύχα διὰ τὸ ἐπὶ δευτέρᾳ προσώπῃ τὸ σφίσι τετύχθαι ϗ ἄνωθεν μετενηνέχθαι. A.

401. ἦ ῥά νύ τοι: δεόντως τὴν τῆ ἐλπίσαντος, οὐ τῆ ὑποχομένε τοσᾶτον αἰτιᾶ ἄνοιαν. BL.

406. ποῦ — λίπες Ἕκτορα: καλῶς τᾶτο πυνθάνον, ἵνα ἐγρηγορότος μὲν ϗ διέποντος τὰς φυλακὰς ἀπόχοιντο, καθεύδοντος δὲ ἐπιχειρήσειαν ϗ αὐτὸν ἀνελεῖν. BLV.

407. ποῦ δέ οἱ ἔντεα: εἰκὸς γὰρ ἦν ὡς βασιλέα σκηνοποιεῖσθ στρατηγικώτερον· ἵνα ἔν κἂν ἀφέλων τὰ ὅπλα αὐτῆ περιόντος τὰς φυλακάς, τάτε χάριν ἐπερωτῶσιν. BLV.

δεῖ τὸ ἑξᾶσι τῷ ἵπποι προσυπακόειν· οὐ γὰρ κοινὸν τὸ κεῖται. BL.

408. πῶς δαί: ἡ μὲν σύνταξις ἐπιζητεῖ πῶς δ' αἵ, τὸ αἱ ἄρθρον· ὁ δὲ Ἀρίσαρχος δύο παρέλαβε χαρακτηρισικὰ τῆ ποιητῆ, ἔλλειψιν ἄρθρα καὶ τοῦ δαί σύνταξιν μετὰ τὸ πύσμα, ὅτως γὰρ αὐτῷ ἔθος· „πᾶ δαὶ νηῦς ἔσηκε" (Od. 24, 298)· „τίς δαὶ ὅμιλος" (Od. 1, 225). A.

409. ἀπὸ τάτε ἕως τῆ (411) ἄψ ἀναχωρήσασιν ἀθετοῦσι στίχοι τρεῖς, ϗ ἀστερίσκοι παράκεινται, ὅτι ἐκ τῶν τῆ Νέστορος λόγων μετενηνεγμένοι εἰσὶν οὐ δεόντως· γελοῖος γὰρ ἔσαι ὁ Ὀδυσσεύς, ἤδη τῆς ὥρας προκεκοφυίας, ἐρωτῶν εἰ μένουσιν ἢ ἀπέρχονται ἐπὶ τὴν πόλιν. ϗ, ὡς ἂν τάτων μὴ εἰρημένων ὁ Δόλων πρὸς μὲν τὰ ἄλλα ἀποκρίνεται, πρὸς δὲ ταῦτα

οὔ. τὸ δὲ ἅσσα ἐνθάδε ψιλωτέον· ἰσοδυναμεῖ γὰρ τῷ τίνα. A.

ἐνεργὸν καὶ ζωτικὸν τὸ τοῦ λόγου τάχος· μεμίμηται γὰρ τοὺς ἐναγωνίῳ σπουδῇ κατεχομένους καὶ ἐν ὀλίγῳ πολλὰ μαθεῖν σπουδάζοντας. V.

413. καὶ ταῦτα: ὡς τὰ πρώην ἠκριβωκώς, οὕτω καὶ ταῦτα. V.

καταλέξω: οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ ἀγορεύσω. A.

τὸ καταλέξω οὐκ ἔστιν ἁπλῶς ἐρῶ, ἀλλ' εἰς τέλος τοῦ λόγου ἀφίξομαι καὶ καταλέξω. ταὐτὸν δέ ἐστι τῷ „ἀτὰρ οὐ τέλος ἵκεο μύθων" (Il. 9, 56) καὶ „ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπεν" (Il. 23, 350). τὸ διεξελθεῖν οὖν τὸν λόγον μέχρι τοῦ ἀπολῆξαι. B.

414. Ἕκτωρ: φυλάσσει μὲν αὐτὸν Ἀχιλλεῖ, ἀπίθανον δὲ ἀδεῶς αὐτὸν κοιμᾶσθαι. V.

415. βουλὰς βουλεύει: τὸ σχῆμα παρονομασία. D.

παρὰ σήματι Ἴλου: Ἶλος Τρωὸς παῖς, ἀφ' οὗ ἡ πόλις Ἴλιος ἐκλήθη. AD. παρὰ σήματι δὲ παρὰ τῷ τάφῳ· ἦν γὰρ „μέσσον κὰπ πεδίον" (Il. 11, 167). ἀπέχει δὲ τῆς πόλεως καὶ τῶν νεῶν τὸ ἴσον. A.

στρατηγικῶς τὸν τόπον τοῦτον ἐπελέξατο μέσον ὄντα τοῦ πεδίου, ἵνα μὴ οἱ Ἕλληνες ἀποπλεῖν βουλόμενοι λάθοιεν, μήτε εἰς τὴν πόλιν λόχος εἰσέλθῃ λαῶν ἀπεόντων. φησὶ γοῦν „οἱ δὲ παρ' Ἴλου σῆμα μέσσον κὰπ πεδίον" (Il. 11, 166). BLV.

416. φυλακὰς δ' ἃς εἴρεαι: περὶ δὲ τῶν φυλακῶν ὧν ἐρωτᾷς. V.

417. οὔτις κεκριμένη: ἀστρατήγητον τὸ πᾶσιν ἐπιτρέψαι τὴν φυλακὴν ἑκουσίως, ἵνα παρ' αὐτὰ προθύμως φυλάξαντες εὐθὺς ῥαθυμήσωσιν, ἢ διαμείναντες καρτερικῶς ἕωθεν ἀσθενήσωσιν. καὶ πολλῆς τῆς ἀλαζονείας· καταφρονεῖ γὰρ Ἑλλήνων. BLV.

418. πυρὸς ἐσχάραι: πυραί. δηλοῖ δὲ ἡ λέξις καὶ τὴν πυράν, καὶ τὴν ἑστίαν, καὶ τὸ ῥυπαρὸν καὶ καυθὲν ἕλκος, καὶ τὸν βωμόν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ, καὶ τὴν κυρίως λεγομένην. ABD. τὴν μὴ ἔχουσαν ὕψη ἀλλ' ἐπὶ γῆς οὖσαν. ἢ κοίλην· ὅθεν καὶ τὰ ἐν σώματι κοῖλα ἕλκη ἐσχάραι παρ' ἰατροῖς. D.

ὅσαι Τρώων εἰσὶν ἑστίαι καὶ οἰκίαι. οἱονεὶ ὅσοι εἰσὶν ἰθαγενεῖς Τρῶες, οὗτοι φυλάσσουσιν. ἐκ γὰρ τῆς ἑστίας τὸν πολίτην δηλοῖ· ἀνέστιος δὲ ὁ ἄπολις καὶ ἄοικος. BL.

Πορφυρίου. τοῦ ποιητοῦ πολλάκις ἐπισημαινομένου περὶ τῶν πυρῶν ἃς οἱ Τρῶες ἐποιοῦντο ἐκ τῆς τοιαύτης τοῦ Ἕκτορος παραγγελίας „ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε, ὥς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἥκῃ" (Il. 8, 507) καὶ πάλιν „ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο ὑπέρθυμοι τηλέκλητοί τ' ἐπίκουροι, κειάμενοι πυρὰ πολλὰ κατὰ στρατόν" (Il. 9, 232) καὶ πάλιν „ἤτοι ὅτ' ἐς πεδίον τὸ Τρωϊκὸν ἀθρήσειεν, θαύμαζε πυρὰ πολλὰ τὰ καίετο Ἰλιόθι πρό" (11), εἰκότως ἀσαφέστατόν ἐστι τὸ τοῦ Δόλωνος, ὅτι ἐρωτηθεὶς „πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί;" ἀποκρίνεται „φυλακὰς δ' ἃς εἴρεαι — κέλονται ἀλλήλοις." τί γὰρ βούλεται τὸ „ὅσσαι μὲν πυρὸς ἐσχάραι," προδεδηλωμένου ὅτι πολλὰς πυρὰς ἔκαιον, ὃ ἀποροῦντας οὐκ ἔστι ῥηϊδίως συνιδεῖν. λύοντες οὖν ἡμεῖς λέγομεν ὅτι τῶν ἐν τῷ πεδίῳ πυρῶν νῦν οὐ ποιεῖται τὸν λόγον, ἀλλὰ βούλεται εἰπεῖν ὡς ὅσοι Τρῶες αὐθιγενεῖς καὶ οὐ ξένοι ἀλλ' ἑστίαν ἔχοντες, ὅπερ ἐν ἄλλοις περὶ τῶν αὐτῶν λέγει „Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσοι" (Il. 2, 125), τουτέστιν ὅσοι πῦρ τε καὶ ἑστίας ἔχοντες, ὡς καὶ ἐν ἄλλοις „ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος" (Od. 23, 55), τουτέστιν εἰς τὴν αὐτοῦ ἑστίαν· ἑστία γὰρ ὁ οἶκος· ὃ γὰρ εἶπεν „ἦλθε μὲν αὐτὸς ἐφέστιος," μεταλαβὼν ἔφη „ἦλθε δ' Ὀδυσσεὺς καὶ οἶκον ἱκάνετο" (ib. 7)· καὶ πάλιν ἀντὶ τοῦ οἶκος „ἑστίη τ' Ὀδυσῆος ἀμύμονος ἣν ἱκάνω" (Od. 14, 159). ὁ οὖν κεκτημένος οἰκίαν ἐφέστιος, ὁ δὲ ἄπολις καὶ φυγὰς „ἀφρήτωρ ἀθέμιστος ἀνέστιος" (Il. 9, 63)· καὶ ἐπὶ τοῦ εἰς ἀλλοτρίαν οἰκίαν ἐνοικοῦντος „ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων" (Od. 7, 248). τὸ οὖν „ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι" δηλοῖ, ὅσσαι Τρώων ἑστίαι, ἐξ οὗ ὅσοι Τρώων ἐφέστιοι καὶ πολῖται καὶ ἑστιούχῳ Διὶ θύουσιν, ὥσπερ καὶ ὁ Εὐφήμιος „Διὸς μεγάλου ποτὶ βωμὸν ἕρκειον" (Od. 22, 334) καταφεύγει, ᾧ δηλονότι κατὰ πᾶσαν τὴν ἡμέραν ἔθυον. ὅτι γὰρ τοὺς πολίτας εἶπε μὴ λείπειν ἐνταῦθα τῆς διὰ τοῦ πυρὸς ἐσχάρας, δηλοῖ τὰ ἐπαγόμενα „οἷσιν ἀνάγκη, οἵ τ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται ἀλλήλοις, ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι εὕδουσι· Τρωσὶ γὰρ ἐπιτραπέουσι φυλάσσειν." ἐκ τούτων λύσεις καὶ τὸ περὶ τῶν Φαιάκων εἰρημένον „πᾶσι γὰρ ἐφέστιόν ἐστιν ἑκάστῳ" (Od. 6, 265). λέγει γάρ, οὐδεὶς ξένος ἐστίν, ἀλλὰ πάντες πολῖται καὶ ἐφέστιον πῦρ ἔχοντες. διὰ δὲ τοῦ ψιλοῦ ἐξενήνεκται ὡς τὸ δέχεσθε δέκεσθε. B.

οἷσιν ἀνάγκη: τοῦτο διὰ μέσου· ὧν ἐστὶ γνήσιος ὁ κίνδυνος. V.

419. φυλασσέμεναί τε κέλονται: δῆλον ἐκ τούτου ὡς ἐξ ἐπιταγῆς ἡ φυλακή. ἐντεῦθεν οἱ νομοθέται γυναικονόμον αἱρεῖσθαι ὁρίζουσι τὸν γεγαμηκότα, οὐ τὸν ἄγαμον, καὶ παιδονόμον οὐκ ἄπαιδα, ἵνα ἐκ τῶν οἴκοι τὴν συμπάθειαν ἔχοντες πολλὴν ποιῶνται τὴν ἐπιμέλειαν. εὖ δὲ τὸ μὴ μόνον ἰδίᾳ ἕκαστον ἀγρυπνεῖν, ἀλλὰ καὶ ἀλλήλοις παρακελεύεσθαι, ἵνα ὁ τῷ ὕπνῳ νικώμενος ὑπὸ τοῦ πλησίον ἐγείρηται. BLV.

421. Τρωσὶν γὰρ ἐπιτραπέουσι φυλάσσειν: τὸ ἀσυμπαθὲς δηλοῖ τῶν βαρβάρων. εὐλόγως δὲ ἀποκρίνεται· ἠρωτήθη γὰρ οὐ μόνον περὶ τῶν φυλασσόντων. BLV.

424. οὐ στικτέον ἐπὶ τὸ νῦν, ἐπεὶ κομματικὸν ἔσται τὸ λεγόμενον καὶ παντελῶς ἀπηρτημένον τῶν ἑξῆς, ἀλλὰ βραχὺ διαστελτέον· κοινὸν γὰρ τὸ εὕδουσ'. τὸ δὲ ἑξῆς, πῶς γὰρ νῦν εὕδουσι, Τρώεσσι μεμιγμένοι ἢ ἀπάνευθε. A.

ἕως τοῦ νῦν ἀναπαύειν δεῖ τὴν ἀνάγνωσιν, τὰ δὲ λοιπὰ ἀπὸ ἄλλης λέγειν ἀρχῆς κατ' ἐρώτησιν. τὸ δὲ ἑξῆς οὕτως· πῶς γὰρ νῦν εὕδουσι; B.

425. τὸ εὕδουσ' ἐν διαστολῇ καὶ ὑποστιγμῇ, ἵνα ἐρωτη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ματικὸν γένηται. ἢ αὐτὸν δὲ τὸν ἢ περισπαστέον· διαπορητικὸς γάρ. A.

427. καὶ ταῦτα: ἢ πλείονα ὧν ἠρωτήθη λέγει, σύμβολος γινόμενος τὸ ὀλέθρῳ τῶν συμμάχων. BL. τοῦτο δὲ δειλίας ἢ χαυνότητος σύμβολον. V.

428. πρὸς μὲν ἀλὸς Κᾶρες: πρὸς σύγκρισιν τῆς Θύμβρης προσέθετο τὸ ἁλός. θαλασσοκράτορας δέ φασι πρώην Κᾶρας εἶναι. BL. προσυπακουέον δὲ τὸ μέρος, οἷον πρὸς μὲν τὸ μέρος τῆς θαλάσσης. V. προσληπτέον δὲ τὸ λαχον διατελεῖν. D.

Παίονες: ἔθνος Θρᾳκῶν. τινὲς δέ φασι τοὺς νῦν καλουμένους Παννονίους· ἕτεροι δὲ Μακεδόνας. ADL.

ἡ διπλῆ, ὅτι ὡς ἕτερον ἐληλυθότων τούτων μνημονεύει, ἢ ἢ τῶν περὶ τὸν Ῥῆσον· ἑδεμίαν γὰρ αὐτῶν διὰ τοῦ καλύπτειν μνήμην πεποίηται. A.

ἀγκυλότοξοι: ἢ πῶς φησὶν (Il. 16, 287) „ὃς Παίοσσιν ἦγεν ἱπποκορυστάς;" εἰ μὴ ἄρα περιδέξιοι ἦσαν, ὡς Τεῦκρος. Δίδυμος δὲ τὰς τόξῳ ἢ ἀγκύλῃ χρωμένας ἀγκυλοτόξους εἴρηκεν. V.

429. Ἀλέγεες: ἔθνος Καρικόν· λέγει δὲ τοὺς ἐν Πιδαίῳ (Πηγάσῳ D, Πηδάσῳ Heynius) πόλει Καρίας οἰκοῦντας. A.

Ἀλέγεες δέ εἰσιν οἱ Πήδασον τὴν ὑπὸ Ἴδῃ οἰκοῦντες· πέρσε δὲ Λυρνησὸν ἢ Πήδασον" (Il. 20, 92)· εἶτα „Ἀλέγας καὶ Τρῶας ἐναίρειν" (ib. 96). οἱ περίλοιποι ἦν ὑπὸ Ἰρίαμον ἦσαν διὰ τὴν πρὸς Ἄλτην συγγένειαν „ὃς Ἀλέσσοι φιλοπτολέμοισιν ἀνάσσει" (Il. 21, 86). V.

Καύκωνες: ἔθνος Παφλαγονίας, οἱ δὲ Σκυθίας· οἱ ἐ τὸς λεγομένους Καυνίους εἶπον. ADL. τῆς Παφλαγονίας μοῖρα, τῶν ἐν Πελοποννήσῳ Καυκώνων ἄποικοι. V.

Πελασγοί: οἱ τὸ παράλιον μέρος τῆς Καρίας ἔχοντες. ἄμεινον δὲ λέγειν αὐτὸ γένος τι πολυπλανές, οἰκῆσαν τῇ Ἀσίᾳ ἢ Εὐρώπῃ, νῦν δὲ τὸ τῆς Τρωάδος πλησίον ᾤκησαν, ὅ φασι Τράλλεις. ADL.

430. πρὸς Θύμβρης: πρὸς τὸ Θυμβραῖον πεδίον· Θύμβρα γὰρ τόπος ἐγγὺς τῆς Τροίας, ἔνθα καὶ Θυμβραίου Ἀπόλλωνος ἱερὸν ἐπιφανές. AD.

ἔλαχον: τοῦτο κληρωτὴν ἐμφαίνει τοῖς ἐπικούροις καὶ ἄθεσιν. L.

ἡ διπλῆ, ὅτι ἀ μόνον ἐπὶ Ῥοδίων (Il. 2, 654) χρῆται τῷ ἐγέροντες, ἕνεκα τοῦ ἀγείρειν τὴν ὀχήν, τετέχθαι τὴν τροφήν, ἀλλ' ἐπὶ Μυσῶν ἢ Τρώων (Il. 3, 36), οἷον γεραύχων, γεμινῶν ἢ ἐντίμων. A.

431. Φρύγες: οἱ μὲν νεώτεροι συγχέασι Φρύγας καὶ Τρῶας· φαίνεται δὲ ὁ ποιητὴς ἐπικούρους Τρώων αὐτοὺς καλῶν. BL.

ἡ διπλῆ, ὅτι ἕτερος τῶν Τρώων οἶδε τοὺς Φρύγας· ἢ τι Ὅμηρος οὐκ οἶδε καλεμένους Λυδοὺς ἀλλὰ Μήονας, πρὸς ἃ περὶ Κιλικίας Ἡσίοδ. A.

ἱππόδαμοι: Ἀρίσαρχος ἱππόμαχοι. A.

ἤδη καθ' Ὅμηρον ἐπρώτευε τὸ Λύδιον ἱππικόν. V.

433. εἰ γὰρ δὴ μέματον: οἱ μὲν περὶ Ὀδυσσέα οὐ τρανῶς ἐξέφηναν τὴν βέλησιν· ὁ δὲ συμβάλλει αὐτῶν τῇ σκέψει, ἢ μιᾶς ψυχῆς ἀτυχίᾳ προδίδωσιν ὅλον τὸ συμμαχικόν. BL. οἱ δὲ καὶ ἐπαινοῦσιν αὐτὸν ὡς ἀπτοημένου αὐτὸς Ἕκτορος διὰ τοῦ ἐπαίνου τῶν Θρᾳκῶν. A.

434. οἵδ' ἀμφὶ νέῃσι χερὶ δείκνυσιν καθ' ὃν τόπον ἐξρωτοπεδεύκασιν. ἀπάνευθε δὲ διὰ τὸ μὴ μεμῖχθαι τοῖς ἄλλοις. τὸ δὲ νεήλυδες πρὸς τὴν ἀπειρίαν τῶν τόπων καὶ τὴν πάρεσιν τὴν ἀπὸ τοῦ κόπου. BL.

νεωστὶ ἐληλυθότες· ἦλυσιν γὰρ τὴν ἔλευσιν λέγουσιν. A.

ἔχατοι δὲ Τρώων, ἀπὸ δὲ νεῶν πρῶτοι. BL.

435. Ῥῆσος γένει μὲν ἦν Θρᾴξ, υἱὸς δὲ Στρυμόνος τοῦ αὐτόθι ποταμοῦ ἢ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. διάτορος δὲ τῶν καθ' αὐτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ, καὶ μίαν ἡμέραν συμβαλὼν πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινεν. δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει. κατελθοῦσα δὲ ἡ θεὸς Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν. ἐπιξάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε ἢ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος. ἔνιοι δὲ λέγουσι νυκτὸς παραγεγονέναι τὸν Ῥῆσον εἰς τὴν Τροίαν, ἢ πρὶν γεύσασθαι αὐτὸν τοῦ ὕδατος τῆς χώρας φονευθῆναι· χρησμὸς γὰρ ἐδέδοτο αὐτῷ, φασίν, ὅτι εἰ αὐτὸς γεύσεται τοῦ ὕδατος καὶ οἱ ἵπποι αὐτοῦ τοῦ Σκαμάνδρου πίωσιν ἢ τῆς αὐτόθι νομῆς, ἀκαταμάχητος ἔσαι εἰς τὸ παντελές. AD.

Ῥῆσος Στρυμόνος τοῦ ποταμοῦ τῆς Θρᾴκης ἢ Εὐτέρπης τῆς Μούσης υἱός. ἱστορεῖ δὲ Πίνδαρος ὅτι ἢ μίαν ἡμέραν πολεμήσας πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀπεδείξατο κακά. κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ. BLV.

ὅσοι ἐκ Μουσῶν τίκτονται. Ὀρφεὺς ἐκ Καλλιόπης ἢ Κλειοῦς, Λίνος Τερψιχόρης ἢ ὡς τινες Εὐτέρπης, Ῥῆσος Τερψιχόρης ἢ Εὐτέρπης Θρᾴξ, Θαλείας Παλαίφατος, Ἐρατοῦς Θάμυρις ὁ Θρᾴξ, Μελπομένης ἢ Ἀχελῴου Σειρῆνες, Πολυμνίας Τριπτόλεμος. A.

436. καλλίσους ἵππους: ὡς φίλιππος κἀκεῖνος ἐσκόπησε· κινδυνεύει γὰρ διὰ ἵππους ἢ ὡς μέγιστα χαριζόμενος ἀντὶ τῆς ἰδίας ψυχῆς. τοσοῦτον δὲ ἀπέχε τοῦ λαβεῖν ἵππους, ὅτι ἢ τῶν ἐν τῷ ἰδίῳ στρατοπέδῳ καλλίστων προδότης ἐγένετο. BL.

437. λευκότεροι χιόνος εἶπεν, ἵνα φανῶσι νυκτός. θεῖεν δ' ἀνέμοισιν ὁμοῖοι, ἵνα φθάσωσιν ἐπ' αὐτὸν διασωθῆναι. A. ἰσέον δὲ ὅτι ἐμείωσε τὴν ὑπερβολὴν ἐκ τοῦ μὴ εἰπεῖν αὐτὰς ἢ τῶν ἀνέμων ταχυτέρας. AD.

δύο ὑπερβολὰς ἐνῆκεν ἐντέχνως, τὴν μὲν ἐξ ὑπερθέσεως, τὴν δὲ ἐξ ὁμοιώσεως, ἢ ἑφ' ἑκατέρας παρέλαβε τὸ οἰκεῖον· χιόνος μὲν γὰρ δύναταί τι λευκότερον γενέσθαι, ἀνέμου δὲ θᾶσσον οὐδέν. καλῶς οὖν τῷ μὲν ἀδυνάτῳ εἴκασε, τοῦ δὲ δυνατοῦ μεῖζον ἀπέφηνε. ἐπαινετέον δὲ ἢ τὴν φράσιν, ὅτι κατ' αἰτιατικὴν δυνάμενος εἰπεῖν λευκοτέρας χιόνος, ἢ τῷ μέτρῳ ἐπιδεχομένῳ, θαυμαστικῶς κατ' ἰδίαν ἀνεφώνησε τὸν ἔπαι-

νον, ᾗ λείπει τὸ εἰσίν. οἱ δὲ πτώσεως μετάθεσιν τὸ τοιοῦτον ὠνόμασαν. πῶς ἐδόκει εἰδέναι ὅτι ταχεῖς εἰσίν, εἴ γε νεήλυδες ἦσαν; ἢ ὡς ἀκούσας, ἢ ὡς ἀποσεμύνων (ἀποσ. πρὸς τὸ μὴ ἀναιρεθῆναι L), ὡς ᾗ σωθησομένων αὐτῶν διὰ τῶν ἵππων μετὰ τὴν Θρᾳκῶν ἐπανάςςσιν. ABDLV.

χωριςέον τῇ ἐπάνω ςίχῃ, ἵνα μὴ ςολοικὸν γένηϑ· ᾗ ἄλλως καϑ' ἑαυτὸ λεγόμενον πλείονα ἔμφασιν παρίςησιν. λείπει δὲ τὸ εἰςί ῥῆμα, λευκότεροί εἰσιν. A.

438. χρυσῷ: τὸ ςμικροπρεπὲς τῇ ἀνδρὸς ἄκρως κωμῳδεῖ, ὅτι περὶ χρυσὸν ἐπτόηται. BL.

439. τεύχεα: ὅπλα. εἰρῆϑϳ δὲ αὐτὰ Ἴρος φηςὶ παρὰ τὸ Εὐτευχίῳ τῷ Εὐβοϊκῷ κατεςκευάϑϳ πρῶτον ὑπὸ Κυκλώπων. A.

πελώρια: ᾗ κατὰ τὸ μέγεθος νῦν μεγάλα, ἀλλὰ κατὰ τὸ κάλλος τεράςια. D.

442. ἀλλ' ἐμὲ μὲν: πέπειςαι ὅτι μέγεα αὐτοῖς ἐχαρίςατο, ᾗ ἐπὶ μαρτυρίαν πιϛὴν κατέρχεϑ· εἰ γὰ μὴ τοῦτο προςέθηκεν, εὐήθεις ἂν ἦςαν οἱ περὶ Διομήδην πιςεύςαντες αὐτῷ ᾗ εἰς τὰς Τρῶας κατελθόντες. δῆλον γὰ ὡς ἐκ ἠπάτα, φυλάττεϑϳ παρὰ τοῖς πολεμίοις μέλλων. BL.

δέον τέτοις τοῖς ἀγεννέσι λόγοις ἀντιπαρατεθῆναι τὸ „τόφρα γὰ ἐς ςρατὸν εἶμι." V.

443. ἠέ με δήςαντες: ὡς ἠλπικὼς ὅτι δεθήςεϑ καὶ τὸν δεςμὸν ὀλοφύρεται, καί φηςιν ὡς ἀμήχανον ἐκφυγεῖν ἐμοί. V.

445. ἦ ῥά κατ' αἶςαν: ἡ διπλῆ, ὅτι Ἀρίςαρχος ἠὲ κατ' αἶςαν, ἔξω τοῦ ῥά, καὶ ὅτι ὅμοιον τῷ „ἠὲ μετὰ Τρώεςςιν." A.

πρὸς τὸ ἐκί, ὅτι ὑγιῶς διὰ τῆ ψιλῆ ἀντιςοίχϳ. A.

447. Δόλων: ἡ διπλῆ, ὅτι ζητεῖϑ πῶς τὸ ὄνομα ἔγνω. διό τινες ἀγέγνωςαν δολῶν ὡς νοῶν. ἐξῆς μέντοι γε πάλιν λέγει „ὃς ῥῶϊ πίφαυςκε Δόλων ὃν ἐπέφνομεν" (478). εἰκὸς δέ τινων γινώςκεϑϳ ὀνόματα ὡς ἂν δεκαετὴς γεγονότος χρόνϳ, ᾗ μάλιςα τῇ Δόλωνος· ἦν γὰ κήρυκος υἱὸς πολύχρυσος πολύχαλκος. A.

ᾗ πῶς ᾔδεισαν αὐτοῦ τὸ ὄνομα; εἰκὸς ἦν ὡς κήρυκος υἱὸν πολλάκις συμπαρεῖναι τῷ πατρί. ἢ ἠρώτηςαν κρατήςαντες. BL.

ἄλλως. ἀδύνατον τὸν ἕτω δειλὸν γινώςκεϑαι ὑπὸ τῶν ἀριςέων. λύεϑ δὲ ἐκ τῆ ἔθους. ᾗ γὰ πλούςιον αὐτὸν ὄντα εἰκὸς εἶναι διάδηλον· καὶ ςὺκ ἂν ἦν ἐν τῷ ςυνεδρίῳ τοῦ Ἕκτορος μὴ τῶν ἐπιφανῶν ὤν· ᾗ ἔςιν υἱὸς κήρυκος, τοῖς δὲ τοιέτοις εἰς τὰς ἀποςολὰς χρῆϑϳ εἰώθαςιν. Ἑλληνικῶς δὲ ὁ κοινωνήςας αὐτῷ φιλανθρώποις λόγοις οὐ φονεύει, ἀλλ' ἄλλος. B.

449. ἀπολύςομεν: πληθυντικῶς, ἵνα ἐνεχυριάςῃ ᾗ τὴν Ὀδυςςέως γνώμην. V.

450. ἦ τε καὶ ὕςερον: ἐπεὶ ὀχ Ἑλληνικὸν τὸ τὸν ἱκέτην ἀναιρεῖν, προφάςεις ἀναγκαίας περιέθηκεν. ἅμα δὲ ᾗ ἄτοπον ἦν πάλιν ὑποςρέφειν εἰς τὰς ναῦς ἄγοντας Δόλωνα ᾗ δεῖν ἐν μέςῃ τῇ ὁδῷ, μὴ καί τινες διὰ λάφυρα ἐλθόντες μάθωςι τὸ πᾶν παρ' αὐτῆ. ἅμα δὲ ᾗ ὡς προδότην ἀναιρεῖ· ὑπὸ γὰ ἐκείνων μεμίςηϑ πρῶτον, οἷς τὰς οἰκείας προδέδωκεν. BL.

οὕτως ἐγένετο τὸ ᾔθα, εἰ μὴ τὸ δεύτερον εἶς, εἶθα. A.

454. ὁ μέν μιν ἔμελλε: ἀνόητος ὁ μετὰ τοιαύτϳ ἀπόκριςιν λιπαρεῖν μέλλων. τάχιςα δὲ αὐτὸν ὁ ποιητὴ ἀναιρεῖ, ἵνα μὴ φθάςῃ γονυπετῶν. BL.

457. φθεγγομένου: τὸ ςόμα εἰς τὸ φθέγξαϑϳ κινῆτος. προέλαβεν ἓν ᾗ φωνὴ τὴν πληγήν. D. ἅμα τῷ ἄρξαϑϳ φωνὴν ἀφεῖναι, πρὶν ςαφηνιαθῆναι τὸ λεγόμενον· ᾗ ἀνῆλθ μὲν τὸ πνεῦμα μέχρι τῆ ςόματος, καὶ τὸν τόπον ὅλον πλ ρώςαν ἐξεχύθϳ τῇ τιμήςει τῆς κεφαλῆς, ὡς εἰ ᾗ ςωλῆ τινες μεςὸν ὕδατος διατέμοιεν, ἡ μὲν τῆς ἐπειςροῆς φα εἴργεται, τὸ δὲ ἤδη διελθὸν ἐκχεῖται. BLV.

χράφεϑ φθεγγομένη. ἐχ Ὁμηρικὴ δέ ἐςιν ἡ φράςι οὐ γὰ ἐςι θηλυκῶς ἡ κάρη παρ' Ὁμήρῳ, ἀλλὰ τὸ κά καὶ ἡ κάρα. L.

458. ἡ διπλῆ, ὅτι κτιδέην λέγει ῥητῶς, χωρὶς τοῦ (335). A.

459. δόρυ: ὃ ἀνωτέρω (335) ἄκοντα εἶπε. D.

460. καὶ τά γ' Ἀθηναίη: διδάςκει τῶν κατορθ μένων αἴτιον τὸ θεῖον οἴεϑϳ. ᾗ τὸ ἐπίθετον δὲ οἰκεῖον καιρῷ, ἐκ τῆς πράξεως εἰλημμένον. οἰκείως δὲ φονεύει Διομήδης, ἀνατίθηςι δ' Ὀδυςςεύς. BL.

λητίδι: λαφυραγωγῷ, πολεμικῇ, ἢ τῇ παραιτίᾳ γιγ μένῃ τῇ λείαν λαβεῖν. A.

461. ἀνέχεθε: γράφεται ἀνέχετο. ἡ διπλῆ, ςυνήθως ἡμῖν νῦν κέχρηται τῷ εὐχόμενος. A.

πανταχόθεν ἐκίνηςε τὴν ἐνάργειαν, ἐκ τῆ ἱκετεύειν μ λεντος, ἐκ τῶν διακοπτομένων ἀθρόως τενόντων, ἐκ φθεγγομένης κεφαλῆς μετὰ τὸ πεςεῖν, ἐκ τῆ ςκυλεύον τὰ ὅπλα καὶ εἰς ὕψος ἀνέχοντος. BL.

463. ἐπιβωςόμεθ': ἐπὶ βοήθειαν καλεςόμεθα. γ φεται δὲ καὶ ἐπιδωςόμεθα. D.

Ἀρίςαρχος ἐπιδωςόμεθα, ἵν' ᾖ δώροις τιμ μεν. A.

ἐπιδόςεων καὶ δώρων ἀξιώςομεν. προτρεπτικὸν δὲ εἰς ςυμμαχίαν. BL.

464. ἵππους τε: ἐν ἄλλῳ ἀγυρίν τε. A.

τοῖς τῆ Δόλωνος πειθέντες λόγοις ἤδη περὶ τῶν ἵ τοῦ Ῥήϑ δέονται τῆς θεοῦ. ἢ μᾶλλον ἵππες ἐ τὲς ἀλλὰ τὸ ἱππικόν. V.

465. ὑψόςε: διχῶς αἱ Ἀριςάρχϳ, ὑψόςε ᾗ ὑψ

466. μυρίκην: ςὺν τῷ ν, μυρίκην. δέελον εὐδηλον, ἀπὸ τῆ δήεις, φηςὶν ὁ Ἀρίςαρχος, τὸ εὑρετὸ ταὐτόν ἐςι τῷ δῆλον· διὸ καὶ τρίτη ἀπὸ τέλους ἡ ἐ καὶ ψιλῶται τὸ δεύτερον ε. ἡ διπλῆ δέ, ὅτι ὃ ἡμεῖ γομεν δῆλον, αὐτὸς εἶπε διελὼν δέελον. A. πάντα πη στικὰ περίκειϑ τῷ Ὀδυςςεῖ. τὸ δὲ ςυμμάρψας νακας τροπαίᾳ χῆμα μιμεῖται. V.

469. ἡ διπλῆ, ὅτι τὸ προτέρω ἀντὶ τῆ ἔμπροσθεν, τοικῶς· καὶ ὅτι ἐῤῥιμμένοι εἰσὶν ἕτοι οἱ νεκροί· καὶ ὅτι ἀντὶ ῆ δι' ἐντέων καὶ αἵματος. A. τὸ δὲ „καὶ μέλαν αἷμα" ινὲς γράφουσι Παλλὰς Ἀθήνη. V.

470. αἶψα: διὰ τὸ ἐπεῖγον τοῦ καιροῦ. V.
ἡ διπλῆ, ὅτι τέλος καὶ νῦν τὸ τάγμα. A.
ἔνθα συνετέλεν, ὅ ἐστι τάγμα. V.

471. οἱ δ' ἔδυσαν: ἐκ τούτων ἡ προδοσία Δόλωνος καὶ πιστὸν τῆς ἀναιρέσεως αὐτοῦ φανεῖται. V.

473. τρισοιχεί: ἵνα ὧσι τρία τάγματα πρὸ Ῥήσου, ὧν ἑκάστῳ τέσσαρες ἄνδρες ἀναιρῶνται· τρισκαιδέκατος ὁ Ῥῆσος. BL.

δίζυγες ἵπποι: ἡ διπλῆ, ὅτι συνωρίσιν ἐχρῶντο, διὸ ζυγες. A. εἰκότως ἂν εἶχετο „ἵππας τε καὶ εὐνάς" (464). A.

474. ἵπποι: πιθανῶς προετοιμάζει αὐτὰς ὁ ποιητὴς ἀπελάσει. V.

475. ψιλωτέον τὸ ἐξ· τὸ γὰρ ἑξῆς ἐστιν, ἐκ πυμάτης, ἐκ ἄντυγος ἐδέδεντο τῷ δίφρῳ, ἐξ ἄκρας τῆς ἐπιδιφριάς. ἔνιοι δὲ κακῶς δασύνουσιν ὥστε κατὰ τὸν ἀριθμὸν ἓξ ντας δεδέσθαι. A.
τῆς κατὰ κόσμον ἄκρας ἄντυγος, ἢ τῷ ἐν τάξει ἐξωτε ξύλῳ, ἐφ' ᾧ πρῶτοι ἀναβαίνουσιν οἱ μέλλοντες μάχεσθαι. A.
ἐπιδιφριὰς μέρος τῷ δίφρῳ καθ' ὃ ἐπιβαίνειν εἰώθασιν. ωσαν δὲ ἢ ἀπὸ τῶν Ῥήσου μέσον εἶναι ἰδίᾳ, ἢ ἀπὸ τῶν ἵππων θέας. BL. ὅπερ ἐδήλωσε διὰ τῷ „ἓς νῶϊν ναυσκε." V.

476. προπάροιθεν ἰδών: οὐ διὰ δειλίαν ἀλλὰ διὰ μαθειαν. L. τὰ γνωσικὰ αὐτῷ περίκειται. V.
ἡ διπλῆ, ὅτι καὶ ἐν Ἰλιάδι νῦν τὸ προπάροιθεν ἐπὶ νος τέταχεν, πρόσθεν ἢ ἰδεῖν τὸν Διομήδη, ἐχ ὡς οἱ ίζοντες ἐν Ὀδυσσείᾳ μόνον, ἐν Ἰλιάδι δὲ τοπικῶς. A. ὄνος προπάροιθεν" (Il. 2, 92). V.

477. οὗτός τοι: οὕτως οὗτός τοι· ἄνω δὲ (341) ός τις. A.

478. οὓς: οὕτω πληθυντικῶς οὓς ἐπὶ τῶν ἵππων. A.
ἡ διπλῆ, ὅτι ἐπίσταται τὸ τῷ Δόλωνος ὄνομα καὶ ἔνθα. A.

479. πρόφερε: οὐκ εἰς τὸ φονεύειν, ἀλλ' εἰς τὸ δρᾶν ρειώδη. V.
τέρτερον τὸν κρείττω λέγει, τὸν φέρειν ἰσχύοντα, ποιήτὸνομα ἀπὸ τῷ φέρειν δύναμη μᾶλλον τὰ προσπίπτοντατότε ἂν ἐν εἴδει ὁ ὁπλότερος, ὁ φέρειν μᾶλλον ὅπλον ίμενος. ἀντιφερίζει δὲ ὁ ἐξ ἐναντίας τῷ φέροντι ἀντιζων τὸ ἴσον. τὸ δ' αὐτὸ καὶ ἰσοφαρίζει λέγει, ἤτοι ἀπὸ φερόντων ἐναντία ὅπλα, ἢ καὶ ἀπὸ τῶν ὑποζυγίων ες ἰσοφόροι" (Od. 18, 373). ἀπὸ τῷ φέρειν δὲ καὶ τὸ ἄγε δὴ πρόφερε κρατερὸν μένος", ὡς εἰ ἔλεγε τὸ ν· καὶ „μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσῆς Ἀφρο:" (Il. 3, 64). B.

480. ἡ διπλῆ, ὅτι οἱ νεώτεροι μέλεον τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος ἀντὶ τῷ ματαίως. A.
δηλοῖ ὡς μᾶλλον ἐπιτηδειότερος ὢν εἰς τὸ φονεύειν τότε λαβέσθαι ὤφειλε· εἶτα σοφῶς Διομήδει παρέχει τὴν αἵρεσιν. BLV.
εἰκότως τὸ μὲν εὐχερέστερον τῷ πρακτικῷ, τὸ δὲ δυχερέστερον τῷ βουλευτικῷ δίδωσιν. BL.

482. τῷ δ' ἔμπνευσε: πιθανῶς, ἵνα πιστὸν εἴη τοσούτους ὑφ' ἑνὸς ἀναιρεθῆναι. V.

483. ἐπισροφάδην: ἐπισρέφων τὴν ὄψιν, ἵνα λάθῃ. ἢ τῇ καὶ τῇ, ὡς ἐπὶ Ἀχιλλέως· ὃ καὶ ἄμεινον. σόνος δὲ οἷον ὡς ἐν ὕπνῳ ἀναιρεμένων. BL. ὡς ἐν ὕπνῳ ἀναιρεμένων ἠρεμαία τις σοναχὴ ἐγίνετο. V.
ἄλλως. ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παράστην καὶ ἐπιστάτην καθάπερ ἀνδρὸς ἑνὸς σῶμα ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν, καθάπερ καὶ κέντρῳ τῷ λοχαγῷ παντὸς τῷ τάγματος περιενεχθέντος, καὶ μεταλαβόντες τύπον μὲν τὸν ἔμπροσθεν, ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν, διαμενόντων ἐκάστῳ τῶν τε παρασατῶν καὶ ἐπισατῶν. B.

485. ὡς δὲ λέων: οἰκεία ἐπ' ἀμφοῖν τοῖν προσώποιν ἡ παραβολή· καὶ γὰρ ἕτοι τῆς ἐκ τῷ βασιλέως φυλακῆς κοιμωμένῳ ἐξέρηντο. BL.
ἡ διπλῆ, ὅτι μῆλα οἱ νεώτεροι πάντα τὰ τετράποδα, Ὅμηρος δὲ αἶγας καὶ ὄϊς· „μῆλ' ὄϊές τε καὶ αἶγες" (Od. 9, 184 et 486). A.

486. ἡ διπλῆ, ὅτι ἐπεξηγεῖται τίνα τὰ μῆλα. A.

488. ἡ διπλῆ, ὅτι χωρὶς τῷ Ῥήσῳ δώδεκα ἑταίρους αὐτῷ ἀναιρεῖ, ἀλλ' ἐ σὺν αὐτῷ δώδεκα, ὡς τινες. A.
δῆλον ὡς ἀπὸ τεσσάρων, ἵνα ἱκανὸς εἴη ὁ τόπος πρὸς τὴν ἀπελασίαν τῶν ἵππων. V.

489. πλήξειε: οὕτως Ἀρίσαρχος· ἄλλοι δὲ πλήξασκε. A.

490. τὸν δ' Ὀδυσεὺς: τὸ προγνωσικὸν καὶ φρόνιμον Ὀδυσσέως ἐνδείκνυ· ἐπὶ μὲν γὰρ ἄλλων ἵππων φησὶ „σείβοντες νέκυάς τε" (Il. 11, 534), ἐπὶ δὲ τῶν νεηλύδων καὶ μήπω πειραθέντων πολέμῳ μεταφέρει τὰς νεκράς. δὶς δὲ τὸ τῷ Ὀδυσσέως ἔλαβεν ὄνομά, χῆμα κινῶν· ἐδύνατο γὰρ ἡ διάνοια καὶ ἅπαξ αὐτὸ ἔχειν. BLV.
ἡ διπλῆ, ὅτι ἰδίως προειπὼν ἀτὰρ πολύμητις Ὀδυσσεύς, ἐπενήνοχεν αὐτῷ τὸ ὄνομα, τὸν δ' Ὀδυσεύς· καὶ ὅτι ὁ δὲ σύνδεσμος περιττός. A.

493. ἀήθεσσον: πόθεν οἶδεν ὅτι ἀήθεις εἰσὶ νεκρῶν; ὅτι ἀκήκοε Δόλωνος λέγοντος „Θρῄϊκες οἶδ' ἀπάνευθε νηλυδες. V.

495. ἡ διπλῆ, ὅτι νῦν μὲν τοῖς δώδεκα Θρᾳξὶν ἐπαριθμεῖ τὸν Ῥῆσον τρεισκαιδέκατον σκοπόν· καὶ ὅτι ἐν χήματι ἐξήνεγκε, τὸν τρεισκαιδέκατον τὴν ψυχὴν ἀφείλετο. A.

496. κακὸν γὰρ ὄναρ: κακὸς γὰρ αὐτῷ ἐπέζη ὄνειρος ὁ Διομήδης. AD. ὅτι νυκτὸς καθεύδοντα αὐτὸν ἀνεῖλεν. D.
τῶτο ἐπὶ τῶν ἀπὸ τῷ ἔθους· ὅταν γάρ τις νυκτὸς κακῷ τινὶ περιπέσῃ, φαμὲν ὅτι κακὸν ὄναρ εἶδεν ὁ δεῖνα. BLV.

497. ἀθετεῖται, ὅτι καὶ τῇ συνθέσει εὐτελής· καὶ μὴ ῥηθέντος

δὲ νοεῖ ὅτι ὡς ὄναρ ἐφίσα τῷ Ῥήσῳ ὁ Διομήδης. ἢ τὸ διὰ μῆτιν Ἀθήνης λυπεῖ· μᾶλλον γ' διὰ τὴν Δόλωνος ἀπαγγελίαν. A.

τὸ βαθὺ γ' τῆ ὕπνε δι' αὐτῆς ἐγένετο. ἔλαβε δὲ ἢ τὸ φίλοινον Θρᾳκῶν πρὸς τὸ μὴ αἰσθέσθαι. V.

ἔτε ἐν Ζηνοδότῳ ἔτε ἐν τῇ Ἀριστοφάνες ἐφέρετο. A.

499. σὺν δ' ἤειρεν: συνέζευξεν αὐτὰς τοῖς ἱμᾶσι. τετέσι συννημμένας ἢ ἃ καθ' ἕνα ἐξέφερεν, ὡς μὴ κατ' ἰδίαν αὐτῶν εἰθισμένων ἡνιοχεῖσθαι. καὶ ἔσι μὲν νησιώτης, τῇ δὲ πείρᾳ ἃ δευτερεύει τινός. BL.

ἡ διπλῆ, ὅτι ἢ νῦν ὅμιλον τὸ ἄθροισμα εἶπεν. διὰ τὴν περίσασιν δὲ ἀναγκαωθέντες ἐπὶ γυμνοῖς τοῖς ἵπποις καθίζεσιν οἱ ἥρωες, συναρτήσαντες αὐτὰς τοῖς ἱμᾶσι· ἢ μιμεῖται τὸ γινόμενον ἐν ταῖς ταραχαῖς. A.

500. τόξῳ ἐπιπλήσσων: ἢ γ' νευρὰ τῷ τῆς μάσιγος ψόφῳ ὁμοίαν τὴν φαντασίαν δίδωσι. V.

ἐπεὶ ἃ μάσιγα: πιθανῶς ἢ ἀνθρωπίνως, ἵνα τοῖς λοιποῖς πιστεύσωμεν· ἃ γ' ἄτοπον ἐν τοιαύτῃ ταραχῇ παρεῖσθαί τι, ἢ τᾶτο ἃ τῶν ἀναγκαίων. ἀλλὰ ἢ ὅμως ἀντ' αὐτᾶ Ὀδυσσεὺς μεμηχάνηται. BLV. ἢ ἡ λέξις· ἃ γ' εἰπὼν ἐπελάθετο ἐπήγαγε τὸ τόξῳ, ἀλλὰ τἀναντίον. τάτῳ ὅμοιόν ἐσι ἢ τὸ ἐπὶ Σαρπηδόνος „βάρυνε δέ μιν δόρυ μακρὸν ἑλκόμενον· τὸ μὲν οὔ τις ἐπεφράσατο" (Il. 5, 664). V.

502. ῥοίζησεν: ἀνάρθρως ἐφώνησεν, ὃ ἡμεῖς συρίζειν λέγομεν. AD. ἢ ἀλλαχᾶ δέ φησιν „πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα" (Od. 9, 315). A.

ἄναρθρον ἢ βαρβαρικὴν φωνὴν μιμέμενος, ὥσε μηδένα τῶν πολεμίων, εἰ τύχοι τις ἐγρηγορῶν, αἰσθέσθαι. ἃ γ' συμπαρεῖναι αὐτῷ ἐδύνατο, ἐάσας (ἐλάσας L) πόρρω τὰς ἵππας. BL.

503. αὐτὰρ ὁ μερμήριζε: φιλότιμος γ' ὢν ἢ νέος δυσαπαλλάκτως εἶχε τᾶ ἐρήματος. BL.

505. 506. δύο εἰσὶ βελαί, ἢ εἰς Θρᾴκας τραπῆναι ἢ τὸν δίφρον ἀφελέσθαι· τὸ δὲ περὶ τᾶ δίφρε εἰς δύο διήρηται, ἢ ἑλκύσαι αὐτὸν ἢ βασάσαι. ἀλλ' οὐδὲν τάτων ἀκίνδυνον ἦν ἐναντίον τᾶ σωθῆναι αὐτόν. BLV.

ἄλλως. ἡ διπλῆ, ὅτι πρός τι ληπτέον μέρος τὸ λεγόμενον ἐκ τᾶ „ἢ ὅγε δίφρον ἑλὼν ῥυμᾶ ἐξερύσσε ἢ ἐκφέροι ὑψόσ' ἀείρας·" ἔσι γ' ἢ τὸν δίφρον ἐκ τᾶ ῥυμᾶ λαβόμενος ἐξέλκοι, ἢ μετέωρον ἄρας ἐξενέγκοι, ὥσε περὶ τᾶ δίφρε μέρος ἔχειν. πρὸς τᾶτο δὲ ἀντιδιέσαλκεν „ἢ ἔτι τῶν πλεύνων Θρῃκῶν." A.

ὑψόσ': διχῶς, ὑψοῦ καὶ ὑψόσε. A.

διαπορητικοὶ οἱ ὕστεροι· διὸ περισπαστέον τὸν δεύτερον, τὸν δὲ πρῶτον ἢ τρίτον ἐγκλιτέον. A.

506. περισπαστέον τὸν ἦ· διαπορητικὸς γάρ ἐσιν. V.

509. νόσε δὴ μνῆσαι: ὅτι δεῖ μάλισα ἐν ταῖς εὐτυχίαις τὸ μέλλον σκοπεῖν, ἢ μὴ ἁπλήσως χρῆσθαι αὐταῖς. τᾶτον δ' εἶχε τὸν νᾶν Ὀδυσσεύς· διὸ ῥοιζήσας καλεῖ Διομήδην. B. ἢ τὸ „ἐγγύθεν ἰσαμένη" πρόσκειται, ὅπε Ὀδυσσεὺς ἔῆναι ἐκ ἠδύνατο, ἐάσας πόρρω τὰς ἵππας. V.

510. νῆας ἔπι γλαφυράς: τὸ ἡμισίχιον δύνασθαι καὶ τοῖς ἑπομένοις συντάττεσθαι, διασολῇ μόνον χωριζόμενον τῶν ἑταίρων οἷς μὴ προσδίδοται. A.

πεφοβημένος: εἰς φυγὴν τραπείς, διωκόμενος, τέσι μετὰ φυγῆς παραγεγενημένος. A.

ἃ μόνον διὰ τᾶ πεφοβημένος ἀλλὰ ἢ διὰ τᾶ θεός δειματοῖ. τὸ δὲ ἄλλος ἐσήμανεν ὅτι ἢ αὐτὴ θεός ἐσιν. ἤδη δὲ ἢ παροιμιώδες γέγονε „μή τις ἢ Τρῶας ἐγείρῃ."

513. ἐπεβήσετο: οὕτως Ἀρίσαρχος· ἄλλοι δὲ ἐβήσατο. A.

κέλησι μὲν δὴ ἐν τοῖς ἀγῶσιν εἰσάγει χρωμένους· δὲ διὰ τὴν χρείαν. BL.

515. ἀλαοσκοπίην: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γρ ἀλαὸν σκοπιήν. παροιμιακὸν δέ ἐσιν, ἃ τυφλὸς ἐς σκοπ ἀλλὰ τἀναντίον δεδορκώς· ἢ ὁ ποιητὴς ἀδέποτε εἴρηκε πιὴν τοὺς ὀφθαλμούς. συναπτέον δὲ τὸ δισίχιον μέχρι ἔπουσαν. A.

πῶς ἂν ἀλαὸς ἐσι τοσάτων πεφονευμένων; ἃ λέγει ἐφύλασσε τὰ πρασσόμενα· ἀπεκεκήρυκτο γ' ὑπὸ Διὸς δένα μηδενὶ στρατεύματι βοηθεῖν· ἀλλ' ὡς εἶδεν ἐλθο Ἀθηνᾶν πρὸς Διομήδην, ἢ αὐτὸς ἦλθε. τοσᾶτον δὲ ἀ ἡ Ἀθηνᾶ πρᾶλαβεν, ὅσον ἔφθη τῷ Διομήδει τὴν ἀνα ρησιν παραιτέσαι. Ἀπόλλων δὲ κατελθὼν οὐδὲν ἔπρ ἀλλ' ἕτερον ἐγείρει. βραδέως δὲ ἐνεργεῖ, δεδιὼς Δία. Ἀθηνᾶ εἰωθυῖα ἐνικλᾶν τῷ Διὶ ὅ τι νοήσει (Il. 8, ἢ πρότερον παρὰ πρόσαγμα τάτε κατελθᾶσα εἰς τὴν χην ἢ νῦν τῷ Διομήδει παρίσα. BLV.

τινὲς εἰς τὸ Ἀπόλλων σίζεσιν. V.

519. Ῥήσε ἀνεψιόν: οἰκτρὸν τὸ τὸν ἴδιον ἀνε ἐπισκέψασθαι τὸ δεινόν. ἃ μὴν δὲ θρήνες περιτίθησι, κ εὐπορῶν, ἀλλ' ἐν ἑτέρῳ μέρει τῆς ποιήσεως τηρεῖ αὐ ἐπὶ Ἕκτορι τεθνεῶτι. BL. νῦν γ' ἂν ἔχοιν αὐτῷ περὶ τάτα

520. ἡ διπλῆ, ὅτι Ζηνόδοτος τὸ ἐναλλὰξ τῷ τόπῳ τίθησιν „ὁ δ' ἐξ ὕπνε ἀνορούσας ὤμωξέν τ' ἄρ' ἔπ ὡς ἴδε χῶρον ἐρῆμον ἄνδρας τ' ἀσπαίροντας." πρῶι ἰδόντα ἔδει κλαίειν. A.

522. ὀνόμηνεν: ἀνεκαλέσατο· τᾶτο γ' συμβαίνει ἐκπλησσομένοις. BL.

ἐμφατικῶς ἃ μόνον ὤμωξεν, ἀλλὰ καὶ φίλον ἢ ἐτ ὠνόμασεν. A.

523. Τρώων δὲ κλαγγή: ἄκρως τοὺς ἐπτοη παρέσησε διὰ τῆς βοῆς ἢ τᾶ θορύβε ἢ τῆς ἐπὶ τὸ συνδρομῆς. BL.

524. θηεῦντο δὲ: τὸ θαῦμα τῶν θεωμένων τὸ ὑποφαίνει τῶν δραθέντων, ὡς ἢ τὸ κάλλος τῶν οἴκα λυσᾶς διὰ τῆς Ἑρμᾶ ἐδήλωσε θέας (Od. 5, 75)· ἀγ γ' ὅθεν ἡ ἐρημία, ἐθαύμαζον. BL.

525. ἄνδρες: πολλὴν ἔμφασιν ἔχει τὸ ἄνδρες. V.

526. σκοπὸν: κατάσκοπον. A.

527. ἔνθ' Ὀδυσεύς: πάλιν τὸ γνωσικὸν Ὀδυσε ἔδει γ' ἐνεχθῆναι τὰ λάφυρα εἰς τὸν ναίσαθμον· ἐπ ὁ καιρὸς οὐκ ἐᾷ χρυσίζειν, τάχισα αὐτὰ παρατρέχει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

528. ἔναρα: ἡ διπλῆ, ὅτι περιεκτικῶς καὶ τὰ τόξα καὶ δόρυ ἔναρα εἴρηκε σὺν τοῖς ἄλλοις. κυρίως δὲ ἔναρα οἷς ἐνάρηρε τὰ σώματα καὶ ἐνήρμοσαι, θώραξ καὶ κυῖα καὶ κνημῖδες. AD.

529. τίθει: ἐν ἄλλῳ δίδε. A.

530. ἵππους: ἐν ἄλλῳ Ὀδυσεύς. A.

532. Νέσωρ δὲ πρῶτος: εἰκότως· τῶν φρονιμωτέρων αἱ αἰσθήσεις ὀξύτεραι. ἢ καὶ ὅτι τῶν ἄλλων μᾶλλον προσεῖχεν ὡς ἂν τῆς ἐκπομπῆς τῶν κατασκόπων τὴν αἰτίαν διαφερόμενος· ὅθεν καὶ ἐπιφέρει „ἀλλ' αἰνῶς δείδοικα." καὶ εὐφυῶς γε πρῶτος ἀπὸ τοῦ τείχους ὁρᾷ τὸν Ἀχιλλέα (II. 22, 5). ἔοικεν ἐν παρακαλεῖν ὁ ποιητὴς μὴ πάντῃ καταφρονεῖν γήρως, ὅπου σύνεσιν πλείονα διορεῖται. BV.

πρῶτος ὁ Νέσωρ κτύπον ἄϊε, ὅτι αὐτὸς γνώμην δὲς τὸ ἐκπεμφθῆναι τοὺς ἄνδρας ὑπὲρ αὐτῶν ἀγωνιᾷ, μόνον ἐχὶ καὶ τὴν ψυχὴν ἔχων αὐτοῖς συναποδημῆσαν. AB.

534. ψεύσομαι ἢ ἔτυμον ἐρέω: ἐν ἀμφιβόλῳ αὐτὸ ἵνα ἐπιτυχὼν μὲν δοξασθῇ, ἀποτυχὼν δὲ μὴ ἐλεγχθῇ. BL. παρὰ Ζηνοδότῳ δὲ οὐκ ἦν ὁ σίχος. V.

536. 537. αἰ γὰρ: δι' εὐχῆς ἐσήμανε τὴν ἰδίαν ὑπόνοιαν. ὁ δὲ ἄφαρ ἀπιξῆντός ἐστιν εἰ ἐν τοιούτῳ καιρῷ τοιαῦτα ἐπράχασιν. BL.

ἄφαρ: ἀντὶ τοῦ ἐσπευσμένως· ὅθεν καὶ ἀφάρτερος. V.

538. κατὰ φρένα: Ἀρίσαρχος μετὰ φρεσίν. A.

ἀνθρωπίνως μὲν οὐκ ὤκνησε καὶ τῶν ἀπεινκτῶν τι λαεῖν· μεγαλοφυῶς δὲ προαναιρῶν τὴν αἰσχύνην φησὶν ὑπὸ Τρώων ὀρυμαγδοῦ. BL.

539. Ἀργείων οἱ ἄριστοι: Ἀρίσαρχος Ἀργείων ἄριστοι, καὶ ἄνευ τοῦ ι. A.

542. ἠσπάζοντο: καὶ Νέσωρ δηλονότι· ἄτοπον γὰρ τὸ μὴ ποιεῖν τι πάντων. V.

544. ὦ πολύαιν' Ὀδυσεῦ: Διομήδην ἐάσας τὸν προγεμένως ἀποσαλέντα, παῦ' Ὀδυσσέως πυνθάνεται ὡς συνεωτέρᾳ. BL.

545. λάβετον: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει λαβέτην. ἔχει δὲ τοῦτο τρίτα προσώπα, ἀντὶ τοῦ ἔλαβον· λέγει δὲ νῦν πρὸς αὐτόν. A.

χαριέντως διαξέλλεσι βραχὺ ἐπὶ τὸ λάβετον, ἵνα τὸ ἐξῆς πευσικῶς λέγῃ, καταδύντες ὅμιλον Τρώων. οὕτως καὶ Τήλεφος ἐν τῷ ἡ τῆς γραμματικῆς ἀξιοῖ· εἰ γὰρ μὴ οὕτως, φησίν, ἀναγνῶμεν, ἐπιταραχθήσεται ἡ διάνοια. A.

546. ὅτω σφωέ διὰ τοῦ ε καὶ πόρεν Ἰακῶς. οὕτως καὶ Ἀρίσαρχος καὶ Ἡρωδιανός. A.

ἄλλως. τὸ ῥῆμα ἀπὸ τοῦ π ἄρχεται, καὶ ἡ σφωέ τρίτου προσώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς· „τίς τ' ἄρ σφωε θεῶν" (Il. 1, 8) „ἀλλά σφωε δόλος καὶ δεσμός" (Od. 8, 317)· ὥστε οὐκ οἶδεν ὁ ποιητὴς οὐδὲ μονοσύλλαβον τὴν σφώ, εἰ μή ποτε ὀρθοτονεῖται καὶ δευτέρου προσώπου ἐστὶ καὶ σημαίνει τὸ ὑμεῖς ἢ ὑμᾶς· „σφὼ δὲ μάλ' ἠθέλετον" (Il. 11, 782). ἔνθεν ἂν οἱ ἀκριβέστερον αὐτὰ παραφυλάξαντες ἐκθλῖψιν δεδώκασι τοῦ ε ἐν τῷ „εἰ μή σφω Αἴαντε διέκρινον" (Il. 17, 531), ἵνα τὸ διηνεκὲς φυλαχθῇ. ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος γράφει σφῶϊ. τοῦτο δὲ τίθεται ἀντὶ τοῦ ὑμεῖς ἢ ὑμᾶς, ὧν ἑκάτερον ἁρμόζει, τὸ δὲ σφωέ· ἔστι γὰρ αὐτὼς τὼς δύο. A.

πόρεν θεὸς: εὐφραντικὰ ταῦτα τῷ ἀκροατῇ. λέγει δὲ ἢ διὰ τὸ κάλλος, ἢ διὰ τὸ ἀμήχανον εἶναι δύο εἰς σκοπὴν ἀπελθόντας τοιαῦτα λαβεῖν λάφυρα. BL.

547. αἰνῶς ἀκτίνεσσιν ἐοικότες: λείπει τὸ εἰσί. V. διὰ τῆς μεταβάσεως τῶν πτώσεων ἡ τῷ θαυμάζοντος ἔκπληξις δηλοῦ, μὴ μετὰ σοχασμοῦ αὐτοῖς ὁμιλοῦντος. BL. ὡς καὶ ἐκεῖ „τὼς δὴ καλλίσους ἵππους ἴδον ἠδὲ μεγίστους" (436). V.

548. ἐπιμίσγομαι: ὁ Ἰξίων ἀναμίσγομαι. V.

552. ἀμφοτέρω: κεχαρισμένα ταῦτα τοῖς ἀκέσσιν. V.

556. ῥεῖα θεός: αἰδημόνως ἐκ ἀνασκευάζει τὴν ὑπόνοιαν τῷ γέροντος, ἀλλ' αὔξει μόνον τὰ θεῶν εὐσεβῶς. BLV.

559. Θρηΐκιοι: ἀπὸ τῶν ἵππων ἀρξάμενος δικαίως Ῥῆσον καὶ Θρᾴκας συνῆψεν, εἶτα Δόλωνα, ἀναῤῥίφων τὴν διήγησιν. ἅμα δὲ καὶ αὔξει· τὸ γὰρ λέγειν ὅτι παρὰ Δόλωνος μαθόντες τὸ πᾶν εἰργάσαντο μείωσιν εἶχε. τὴν δικαιολογίαν περιεσάμενος τὸ κεφάλαιον ἐν συντόμῳ εἶπεν. ὃδὲ ἐν τῇ ἀπελάσει δὲ τῶν ἵππων ἑαυτὸν συμπεριέλαβεν. BLV.

τὸν δέ σφιν ἄνακτ': ἡ διπλῆ, ὅτι ἰδίως τὸν ἄνακτα αὐτοῖς ἀντὶ τοῦ αὐτῶν. A.

560. ἄριστος: ὃ γὰρ ἂν συνεκοιμῶντο τῷ βασιλεῖ, εἰ μὴ ἄριστοι ἐτύγχανον. BL.

561. τρισκαιδέκατον: ἡ διπλῆ, ὅτι τοῖς δώδεκα Θρᾳξὶ τὸν Δόλωνα ἐπαριθμεῖ, χωρίσας τὸν Ῥῆσον διὰ τῶν προειρημένων „τὸν δέ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης." πλανηθέντες δέ τινες γράφουσιν τὸν τετρακαιδέκατον σκοπὸν εἵλομεν. A.

Πορφυρίος. πῶς εἰπὼν „ἀλλ' ὅτε δὴ βασιλῆα κιχήσατο, τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα" (494) πάλιν διηγάμενος τὰ συμβάντα φησὶ „τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν;" ὁ γὰρ Δόλων τοῖς τρισκαίδεκα συναριθμούμενος τῶν Θρᾳκῶν τεσσαρακαιδέκατος ἂν εἴη. δηλονότι τὸν Ῥῆσον ἐξελὼν καὶ δώδεκα τοὺς ἑταίρους τῷ Ῥήσῳ, τρισκαιδέκατον μετὰ τῶν ἑταίρων τῷ Ῥήσῳ εἰκότως τὸν Δόλωνα κατηριθμήσατο. τί γάρ φησίν; „ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες ἷς ἐρεείνεις, Θρῃΐκιοι, τὸν δέ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης ἔκτανε." τοῦτον μὲν καθ' ἑαυτὸν χωρίσας ὠνόμασεν, εἶτ' ἐπάγει „πὰρ δ' ἑτάρους δυοκαίδεκα," μεθ' ὧν ἐξηρημένῳ τῷ βασιλέως τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν. καὶ αὐτὸς δ' ἐπεσημήνατο ὅτι παρὰ τὸν Ῥῆσον ἀριθμεῖται τοὺς ἑταίρους καὶ ὁ σὺν τούτῳ καταλέγει τοὺς ἄλλους· ἔφη γὰρ „τὸν δέ σφιν ἄνακτα ἀγαθὸς Διομήδης ἔκτανε, πὰρ δ' ἑτάρους δυοκαίδεκα," ιβ' μὲν τοὺς ἑταίρους, τὸν δὲ σκοπὸν τρισκαιδέκατον. ἑαυτὸν δὲ κοινωνὸν θεὶς τῆς λήψεως τῷ σκοπῷ, ὃν ἔφη ἀπεκτείναμεν ἀλλὰ εἵλομεν, ἐπεὶ ὥσπερ καὶ τοὺς ἄλλους Διομήδης ἀνεῖλε, συνέλαβε δὲ τὸν σκοπὸν Διομήδει Ὀδυσσεύς. καὶ Ὅμηρος ἀεὶ τοὺς βασιλεῖς τῶν στρατιωτῶν χωρίζει κατ' ἐξοχήν. ἔθει δὲ κατὰ τὸν ἀριθμὸν κεχώρισται

ὁ Ῥῆσος, ὡς ἐπὶ τῶ „Ζεὺς δ' ἐπεὶ ἓν Τρωάς τε καὶ Ἕκτορα" (Il. 13, 1). B.

εἴλομεν: ἐκοινώνησε γὰ καὶ αὐτὸς τῷ φόνῳ τῶ Δόλωνος. ἐπιεικὲς δὲ κἀν τούτῳ ἐμφαίνει ἦθος Ὀδυσσεύς· ὃ γὰ εἶπεν ἐκτείναμεν, διὰ τὸ ὑπὸ Διομήδης πληγέντα θανεῖν τὸν Δόλωνα, ἀλλ' εἴλομεν, ὅ ἐξιν ἑλάβομεν. BLV.

562. τόν ῥα διοπτῆρα: ὑπόνοιαν δίδωσιν ὅτι καὶ περὶ τῶν ἄλλων μεμάθηκε παρὰ Δόλωνος, σιωπῇ δὲ διὰ τὸν καιρόν. BL.

563. Τρῶες ἀγανοί: νῦν ἐν εἰρωνείας μέρει κεῖται· οὐ γὰρ ἐπαινεῖν πρέπει τοὺς πολεμίας. AD.

564. τάφροιο διήλασε: καλῶς ἀνεῖρε τῶν πολλῶν τὰς ἐρωτήσεις, τῆς περὶ τὰς ναῦς ἄρξας ἐπανόδε· οὐ γὰ τοσαύτην κίνησιν ἔχει τὰ λυπηρὰ ὁπόσην τὰ ἡδέα (τὰ ἡδέα ὅσην τὰ λυπηρά V). BLV.

568. Διομήδεος ἵπποι: αὐτᾶ γὰ τὸ κατόρθωμα· ὁ δὲ δεισιδαίμων Ὀδυσσεὺς τὰ ἀφιερωμένα τῇ θεῷ λαμβάνει. BL. καὶ νησιώτης ὢν ἐκ οἶδεν ἵππους Ὀδυσσεύς. V.

570. νηῒ δ' ἐνὶ πρυμνῇ: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ νεὼς πρύμνῃ· καὶ ὅτι κοινῶς τὰ ἔναρα. B.

571. ὄφρ': ἀντὶ τῶ ἕως. ὁ δὲ νᾶς, ἕως εὐπορήσαντες ἱερείων ἀναθῶσιν αὐτὰ Ἀθηνᾷ. τὸ δὲ ἑτοιμασαίατο ἀντὶ τῶ ἑτοιμάσαιντο, ὡς ἐφθιάτο (Il. 1, 251). BLV.

ἡ διπλῆ, ὅτι περὶ μὲν τῆς θυσίας σαφῶς λέγει, περὶ δὲ τῆς δόσεως τῶν δώρων ἐσιώπησεν, ἀρκεθεὶς τῷ ἄνω κεφαλαιωδῶς εἰρημένῳ. A.

573. βραχεῖα διαζολὴ εἰς τὸ ἐσβάντες, ἢ κοινὸν ἀμφί· τὸν ἀμφὶ τὰς κνήμας ἱδρῶτα ἢ τὸν λόφον. BV.

ἡ διπλῆ, ὅτι λόφον αὐτὸν νῦν τὸν τένοντα· ἔνθεν ἐν Ὀδυσσείᾳ (10, 169) καταλοφάδειαν ἀντὶ τῶ κατὰ τένοντα. βραχὺ δὲ διαζαλτέον μετὰ τὴν πρώτην λέξιν· ὅτι κοινὴ ἐξιν ἡ ἀμφί, ἀμφί τε κνήμας καὶ λόφον. A.

574. τοῦ ἐπεὶ τὴν τελευταίαν ὀξυτονητέον· ἐγκλιτὴ γὰρ ἡ σφίν. ἡ διπλῆ δέ, ὅτι δοτικῇ ἀντὶ γενικῆς ἔχρησατο. V.

576. ἀσαμίνθοις: πνέλοις, σκάφαις. DL. λεκάνας, πιθούς· τὴν ἄσην ἦγεν τὸν ῥύπον μινύθειν, ὅ ἐξιν ἐλαττῶν καὶ μειοῦν. BDL.

577. τὼ δὲ λοεσσαμένω: διὰ τὸν κάματον θεραπείας αὐτοῖς τῶ σώματος ἔδει. ἄλλως τε καὶ μέλλοσιν ἐξιέναι ἐπὶ τὸν πόλεμον. BL.

578. δείπνῳ ἐφιζανέτην: κατὰ τὸ σιωπώμενον· ἱερεῖον σφάξαντες ἀνατιθέασι τὰ δῶρα, ὕστερον δὲ εὐωχοῦνται (τέως δὲ νῦν ἐκ τῶν παρόντων προσφέρουσι V). BL.

ἡ διπλῆ, ὅτι ἐπὶ πάντων τῶτο νοητέον, οὐκ ἐπὶ μόνου Διομήδους καὶ Ὀδυσσέως. καὶ ὅτι ἠριστοποιοῦντο· ἡ γὰ πρωϊνὴ ἐπέζη. A.

579. πλείου: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ πλῆρες· τὸ δὲ συγκριτικὸν ἀπὸ τῶ πλείων, πλείονος. A.

οὕτως Ἀρίσαρχος· ἄλλοι δὲ ἀφυσσάμενοι. ἔστι γὰρ ἄλληλον πρὸς τὸ λεῖβον. A.

διὰ τοῦ ῡ, ἀφυσσόμενοι. V.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῶ καὶ ἐκ τῶν Νικάνορος περὶ σιγμῆς. A.

ΕΙΣ ΤΗΝ Α.

5. Ἠὼς δ' ἐκ λεχέων: τὸ ὅλον τῶτο νομιστέον, ὅτι ἀπὸ τῶ ἡλίου ἡμέρα γέγονεν. Τιθωνοῖο δέ, ὡς εἰ ἔλεγεν Τιτανοῖο· Τιτὰν γὰ ὁ Ἀπόλλων, ὅτι ἀπὸ Λητῶς. τοῦτον δὲ καὶ ἥλιον νενομίκαμεν. ἐκ λεχέων δέ, ὅτι σὺν αὐτῷ ἀεὶ θεωρεῖται· ἡμέρα γάρ ἐστι πεφωτισμένος ἀὴρ ὑπὲρ γῆν ὄντος. AL.

μυθεύεται ὅτι Τιθωνὸν τὸν Λαομέδοντος καὶ Στρυμοῦς τῆς Σκαμάνδρου υἱόν, Πριάμου δὲ ἀδελφόν, εὐπρεπέστατον τῶν καθ' ἑαυτὸν ἐν Ἰλίῳ γενόμενον ἐρασθεῖσα ἀνήρπασεν ἡ Ἠώς, καὶ μετεκομίσατο αὐτὸν εἰς τὰς περὶ Αἰθιοπίαν τόπους, καὶ τῆς τότε μετέλαβε κοίτης, καὶ δύο παῖδας ἐξ αὐτῶ ἔσχεν, Ἡμαθίωνα καὶ Μέμνονα· Ἡμαθίωνα μὲν ἀνεῖλεν Ἡρακλῆς μὴ ἐῶντα δρέψασθαι τὰ χρύσεα μῆλα, Μέμνονα δὲ Ἀχιλλεύς. αἰτήσασθαι δὲ τὸν Τιθωνὸν παρὰ τῆς Ἠῶς ἀθανασίαν· ὁ δὲ γέρων γενόμενος (διὰ γὰ ἄγνοιαν ἐκ ἠτήσατο καὶ ἀγηρασίαν) ἀχθόμενος καὶ τῶν ἐν βίῳ μὴ δυνάμενος μεταλαμβάνειν, παρεκάλει τὴν θεὸν ὅπως αὐτὸν τῶ ζῆν μεταλλάξῃ· ἡ δὲ (ἐ γὰ ἦν αὐτὸν δυνατὸν ἀποθανεῖν) μετέβαλεν εἰς τέττιγα τὸν μεσικώτατον τῶν πτηνῶν, ὅπως καὶ διὰ τῆς φωνῆς αὐτῶ τέρποιτο διηνεκῶς ἀκέσσα. AB.

Ἱερώνυμός φησι τὸν Τιθωνὸν αἰτήσασθαι ἀθανασίαν παρὰ τῆς Ἠῶς, ἐ μέντοι καὶ ἀγηρασίαν· ὡς δὲ πολλῷ τῷ γήρᾳ χρώμενος ἐδυσφόρει, αἰτήσασθαι θάνατον· τὴν δὲ ἀδυνατοῦσαν εἰς τέττιγα αὐτὸν μεταβαλεῖν, ὅπως ἥδοιτο διηνεκῶς τῆς φωνῆς ἀκέσσα. ἀγανοῦ δὲ ἤτοι ἀγαζοῦ ἐπὶ τῷ καλεῖ. τινὲς δὲ παρειλῆφθαί φασι τὸν Τιθωνὸν διὰ τὸ ἐν μερεῖν Τρῶας. ἔστιν ἐν ἡ περίφρασις ποιητική· τῶτο διαλλάττει τῆς ῥητορικῆς· ἡ μὲν τὸ πεζὸν οἶδεν, ἡ δὲ φεύγει αὐτό. BL.

ἀγανοῦ· φαινεῦ ὅλη ἡ Τροία καλῶν ἀνδρῶν, Τιθωνοῦ, Γανυμήδους, Ἀγχίσου, Βυκολίωνος. Ἀλέξανδρον δὲ καὶ Δία φοβον θεοειδεῖς καλεῖ. καὶ Πρίαμον· „εἰσορόων ὄψ' ἀγαθήν" (Il. 24, 632). καὶ περὶ Ἕκτορος „οἵ τ' ἐθήσαντο φυὴν καὶ εἶδος" (Il. 22, 370). V.

ὡς φιλέλλην ὁ ποιητὴς μέχρι τῶν νεῶν τὸν Ἕλληνα συνελάσας, ἐ ἐπαυλιζομένης ταῖς ναυσὶ ποιήσας τὸν βάρβαρον, ἐκ εὐθέως τειχομαχίαν ἐποίησεν ἀλλὰ τὴν ἐπὶ ταῖς ναυσὶ μάχην, ὅπερ καὶ κατὰ δόξαν ἦν τοῖς ἀκροωμένοις·

ἀλλὰ πρότερον τὴν Ἀγαμέμνονος ἀριστείαν διέγραψε, καὶ μετ' αὐτὴν τὴν τῶν ἄλλων ἀριστέων, εἶτα ἐπειδὴ τοὺς ἀρίστους ἐπὶ τὰς ναῦς ἀπέστειλε τρωθέντας, τότε τοὺς Ἕλληνας ἐποίησεν ἡττωμένους. ἐπειδὴ δὲ πεπονημένους τοὺς Ἕλληνας ἀπίθανον ἦν παρεισάγειν ἀνδραγαθοῦντας ἕωθεν, εὐλόγως ἡ νὺξ παραμυθεῖται αὐτῶν τὴν ἧτταν, καὶ τοσοῦτον ὡς συνωθῆσαι πάλιν μέχρι τείχους τοὺς Τρῶας, ἄχρις ὅτου πάλιν τῆς τοῦ Διὸς τύχωσιν ἐπικουρίας· ἐπιδείκνυσι γὰρ ὅτι τύχαις, οὐ γνώμαις ἐλείποντο Ἕλληνες. δικαίως μὲν οὖν Ἀγαμέμνων ἀριστεύει· θαῤῥοῦντα μὲν γὰρ τοῖς πράγμασιν ἐκ εὔλογον ἦν αὐτὸν προπετῶς ἐπὶ τοὺς κινδύνους φέρεσθαι, ἀλλὰ διὰ τὴν ἡγεμονίαν ἀσφαλέστερον μᾶλλον ἢ φιλοκινδυνότερον ἀγωνίζεσθαι· ἐπὶ ξυροῦ δὲ νῦν, καὶ ταῦτα δι' αὐτόν, ἐντων Ἑλλήνων ἀναγκαίως κινδυνεύει. γέγονε δὲ ἀντίστροφα τὰ πράγματα· καὶ Διομήδης γὰρ ὑπ' Ἀγαμέμνονος ὀνειδισθεὶς εὐδοκιμεῖ, καὶ πάλιν Ἀγαμέμνων ὑπὸ Διομήδους· ἕκτωρ δὲ μεγάλα ὑπισχνούμενος διώκεται. BL.

2. ἀθανάτοισι: ἀθανάτους νῦν οὐχὶ τὰ οὐράνια ἀκουτέον (ἀεὶ γὰρ ἐν φωτί εἰσιν), ἀλλ' ἤτοι τὰ στοιχεῖα ἢ τὰ περὶ τῶν θειότερα ζῷα καὶ ἀέρια. ἢ ἐπεὶ ἐν τῷ Ὀλύμπῳ ὑποτίθεται ὁ ποιητὴς οἰκεῖν τοὺς θεούς, ὄρος δὲ ὁ Ὄλυμπος, ὁμοδίως τῷ πλάσματί φησιν αὐτοὺς καὶ ἐν σκότῳ ποτὲ ἐναι. BL.

3. Ζεὺς δ' Ἔριδα: ἀγῶνας πάλιν τῇ ποιήσει κινῶν ἐπία παρορμᾶν τὸ Ἑλληνικόν φησιν· οὐ γὰρ ἂν καταπτήξαντες προῆλθον εἰς μάχην. τοὺς δὲ Τρῶας ἐγεῖραι ἱκανὸν ἦν τὸ ἐκ τῆς προγενομένης νυκτὸς θάρσος. BL.

4. πολέμοιο τέρας: περιφραστικῶς τὸν πόλεμον. D. ἡ μὲν τὸν πόλεμον, οἱ δὲ ἀστραπήν, οἱ δὲ δόρυ, οἱ δὲ ἐμν. B.

ἡ διπλῆ, ὅτι πολέμοιο τέρας τὸν εἰδωλοποιούμενον πόλεμον, τὸν ποιητικὸν τοῦ ἐνεργουμένου πολέμου, ὡς καὶ ἐν Ἕλλοις (Il. 5, 593) κυδοιμοῦ εἴδωλόν φησι τὴν Ἐνυὼ ἔχειν ἐν μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα." οἱ δὲ ἀστραπήν φασι τὴν ἔριδα φέρειν, ὡς καὶ Ἀριστοφάνης· φησὶ γὰρ (Il. 10, 5) „ὡς ὅταν ἀστράπτει τεύχων ἢ πολύν, ἠέ ποθι πτολέμοιο." Ἀπολλώνιος δὲ τὸν κυδοιμὸν ἀναιδέα δηϊοτῆτα. οἱ δὲ τὸ ἄρος· διὰ γὰρ αὐτοῦ τὸν πόλεμον κατορθοῦσθαι. οἱ δὲ λαμπάδα διὰ τὸ ἐμπυρσεύεσθαι τὰς τῶν πολεμούντων ψυχάς. τὰ δὲ τὸ ἀργαλέην βραχὺ διαστάλτέον πρὸς τὸ συμπρον. A.

5. στῆ: καιρίως τοὺς τόπους ἐδήλωσε. διὰ δὲ τὰς βουλὰς τὰ ἱερὰ ἐκεῖ νεωλκεῖ Ὀδυσσεύς· „βουλάς τ' ἐξάρχων ἀγαθὸς" (Il. 2, 273) „περὶ δ' ἱρὰ θεοῖσι" (Od. 1, 66). V.

6. ἡ διπλῆ πρὸς τὰ περὶ τοῦ ναυστάθμου, ὅτι ἐν μέσῳ τὰς Ὀδυσσέως ὑποτίθεται, ἐφ' ἑκατέρου δὲ κέρατος τὰς Ἀχιλλέως καὶ Αἴαντος. A.

8. τοί ῥ' ἔσχατοι: τεῖχος τῶν ἄλλων νεῶν ἐποίησαν τὰς ἰδίας, ὡς καὶ αὐτοὶ τῶν Ἀχαιῶν ἦσαν. V.

11. ἑκάστῳ: ἡ διπλῆ, ὅτι διὰ τὸ ἠλαττῶσθαι κατὰ τὴν κόλον μάχην νῦν μέγα σθένος ἑκάστῳ ἐντίθησι πρὸς τὸ πολεμεῖν, οὐχ ἵνα εἰς οἶκον ἀνακομισθῶσιν, ὡς ὁ διασκευάσας τοὺς ἑξῆς. A.

12. καρδίῃ: τινὲς ἐν αὐτῇ τὸ λογιστικόν. V.

ἐπὶ τὸ καρδίῃ διαστάλτέον· καὶ γὰρ τὸ σχῆμα γλαφυρόν, Ἀχαιοῖσι καρδίῃ ἀντὶ τοῦ Ἀχαιῶν, καὶ μᾶλλον ἐμφαίνει τὸ ἄλληκτον τοῖς ἑξῆς προσδιδόμενον, ἵν' ᾖ ἀλλήκτως πολεμεῖν. τὸ δὲ ἄνω συνάπτοντας ποιεῖν σθένος ἄλληκτον φαῦλον, ἐπεὶ προείρηται μέγα, ἀρκεῖ δὲ τὸ ἓν ἐπίθετον. A.

13. τοῖσι δ' ἄφαρ: δεδήλωκε τὴν πρώην αὐτῶν ὁρμὴν ἐγειρομένην· κακωθεῖσι γὰρ οὐδὲν ἕτερον ἦν πρὸ ὀφθαλμῶν ἢ τὸ φεύγειν. BL.

οὗτος καὶ ὁ ἑξῆς ἀθετοῦνται. παράκεινται δὲ ἀστερίσκοι, ὅτι κατὰ τὴν Β ῥαψῳδίαν (453) ὀρθῶς κεῖνται, ὅτι ἐλπίδας ἔχον ἀνακομιδῆς ἐπὶ τὴν πατρίδα. καὶ παρὰ Ἀριστοφάνει δὲ ἠθετοῦντο, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἦσαν. A.

15. ἐβόησεν: προσκρούων Ἀχιλλεῖ. διό φησιν „οὐδέπω Ἀτρείδεω ὀπὸς ἔκλυον" (Il. 16, 76). V.

16. ἐν δ' αὐτὸς: ὃ γὰρ ἐπιτάσσει, ποιῶν προθύμους ἔχει τοὺς ὑπηκόους. BV.

17. κνημῖδας μὲν: ἡ διπλῆ, ὅτι ἐπανείληφεν ἐξεργαστικώτερον τὰ περὶ τῶν ὁπλισμῶν τοῦ Ἀγαμέμνονος, προσεπιδεσμεύων αὐτοῦ τὴν ἀριστείαν. A.

ὁπλίζει τοὺς ἀνδραγαθήσοντας, προπαρασκευάζων τὸν ἀκροατήν. ἐπὶ δὲ Ἀλεξάνδρου, ὅπως πλέον καταγέλαστος φαίνοιτο ἡττώμενος. V.

20. Κινύρης: οὗτος Βίαντος (Θείαντος V) μὲν ἦν παῖς, βασιλεὺς δὲ Κύπρου. ζάπλουτος δὲ ὢν παριόντας Ἕλληνας ἐξένισε, καὶ ὑπέσχετο αὐτοῖς ἐν Ἰλίῳ πέμψειν τὰ πρὸς τὸν βίον. φασὶ δὲ αὐτὸν ἀμελήσαντα τῶν ὑποσχέσεων καταραθῆναι ὑπὸ Ἀγαμέμνονος, καὶ αὐτὸν μὲν ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι, ἐπείπερ ἡμιλλᾶτο αὐτῷ εἰς μουσικήν, τὰς δὲ θυγατέρας αὐτοῦ πεντήκοντα οὔσας ἁλέσθαι εἰς θάλασσαν.*) ἀφεστήκασι μὲν οὖν Κύπριοι Ἑλλήνων, καὶ ὡς μὴ τελοῦντες εἰς Ἕλληνας οὐδὲ στρατεύουσιν. οἰκειοῦται δὲ δώροις τὴν Ἑλλήνων φιλίαν· οὐ γὰρ ὑπὲρ τοῦ μὴ στρατεῦσαι τὰ δῶρα διδόασιν, ἀλλὰ χαριζόμενος, φησί, βασιλῆϊ· ἠκούετο γάρ, φησίν, εἰς Κύπρον τὸ μέγα κλέος. BL.

21. ἡ διπλῆ, ὅτι οὕτως εἴρηκεν εἰς Κύπρον ἠκούετο, διὰ τὸ εἰς τόπον ἐκ τόπου διαγγέλλεσθαι, ὅμοιον τῷ „Σκάνδειάνδ' ἄρα δῶκεν" (Il. 10, 268). A.

22. ἡ διπλῆ, ὅτι ἀνάπλουν τὸν ἐκ Πελοποννήσου εἰς Τροίαν πλοῦν λέγει. A.

24. οἶμοι: κυρίως μὲν ὁδοί, νῦν δὲ αἱ ἄνωθεν διήκουσαι τοῦ θώρακος ῥάβδοι ἕως τῶν κάτω μερῶν· ῥαβδωτὸς γὰρ ἦν ὁ θώραξ. βαρύνεται δὲ τὸ οἶμος ὡς οἶκος. δοκεῖ δέ

*) addit V: ὡς Ἐχέπωλος ὁ Σικυώνιος τὴν Αἴθην. ὅτι δὲ ἀφεστήκασιν Ἑλλήνων, φησὶ „Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους ἐπαληθείς" (Od. 4, 83). φασὶ δὲ αὐτὸν ἐν Πάφῳ ὀμόσαντα Μενελάῳ πέμψειν πεντήκοντα ναῦς μὲν ἀποστεῖλαι, τὰς δὲ λοιπὰς ἐκ γῆς καὶ γηγενοῦς ἄνδρας. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοι κατά τινα ἀφορμήν· φιλεῖ γάρ πως τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι διφθόγγȣ ἀρχόμενα βαρύνεσθȣ, ὁπότε πρὸ τῆς εἰς ος συλλαβῆς σύμφωνον ἢ σύμφωνα ὑπάρχει — φημὶ δὲ διὰ τὸ Οἰός· ȣ̃τως γ̓ λέγεθ δῆμος παρ' Ἀθηναίοις κατ' ὀξεῖαν τάσιν — οἷον οἶκος οἶτος οἶκτος οἶνος. ȣ̃τως ϗ οἶμος. A.

οἶμοι μὲν αἱ ὁδοί, νῦν δὲ αἱ ὀρθαὶ ῥάβδοι· ἢ ὡς ἐζωσμέναι, ὃ ϗ ἄμεινον. παραλλήλȣς δὲ λάβωμεν τὰς ῥάβδȣς, ἵν' ᾖ ποικίλον ϗ βασιλικὸν τὸ φόρημα. ὑποςατέον δὲ προκεῖσθȣ μὲν κυανέαν ῥάβδον, εἶτα κασσιτερίνην, μετ' αὐτὴν δὲ τὴν χρυσῆν ἐν διαςάσει, ϗ πάλιν κασσιτερίνην, εἶτα πάλιν κυανέαν ἀκολȣ́θως· τὰς δὲ περὶ τὸν τράχηλον δύο χρυσᾶς πρὸς κόσμον. BL. ὑποςατέον ȣ̓ν τὰς μὲν δώδεκα χρυσᾶς ἐν διαςάσει κεῖσθȣ, μεταξὺ δὲ τετάχθαι τὰς κασσιτερίνας, ὡς πάλιν μεταξὺ τὰς κυανέας. V.

26. ἐν τῇ Ἀριςοφάνȣς σμερδαλέοι δὲ δράκοντες ἐλειχμῶντο. A.

ὀρωρέχατο: ἐξετέταντο, διεγηγερμένοι ἦσαν. γέγονε δὲ ἀπὸ τȣ̃ ὀρέγω, ὤρεχα ὁ παρακείμενος, ὤρεγμαι, τὸ τρίτον ὤρεκθ, ϗ Ἰακῶς ὠρέχαθ, καὶ Ἀττικῶς διπλασιασμὸς ὀρωρέχαθ, ὁ ὑπερσυντέλικος ὀρωρέχατο προτὶ δειρήν. A.

ὀρωρέχατο ποτὶ δειρήν: ὥςε σκέπειν τὰ ἀσκέπαςα. φησὶ γὰρ „ὅθι κλῄϊδες ϗ ςῆθος φαίνετο, βεβλήκει ὑπὲρ ἄντυγος ἀγχόθι δειρῆς" (Il. 22, 324). ἔςι δὲ περὶ ἑκατέραν κλεῖν εἷς, μέσον δὲ εἷς, εἷς εἰς τὸν πρηγορεῶνα. ἐμψύχȣς δὲ παρίςησιν αὐτȣ̀ς διὰ τȣ̃ ὀρωρέχατο. τὸ δὲ ἑκάτερθεν πῶς συντακτέον; δῆλον ὅτι ἓξ ἦσαν οἱ δράκοντες, ἐξ ἑκατέρȣ μέρȣς τȣ̃ θώρακος τρεῖς ἀναφερόμενοι, ϗ τὰς τέσσαρας κεφαλὰς συμπλέκοντες, ἀνατείνοντες δὲ τὰς δύο. BLV. διὸ ϗ ἴρεσιν εἰκάζει τȣ̀ς δράκοντας κατὰ τὴν ἐπισύμπτωσιν· πρὸς γ̓ ἑκατέραν κλεῖν νενεύκασι κεκυρτωμένοι. τοιαύτη δὲ ϗ ἡ ἶρις. V.

27. Ἴρισσιν ἐοικότες: τῷ κυρτώματι ἢ τῷ χρώματι· φησὶ γ̓ Ξενοφάνης „ἥν τ' Ἶριν καλέȣσι, νέφος καὶ τȣ̃το πέφυκε πορφύρεον ϗ φοινίκεον ϗ χλωρὸν ἰδέσθȣ." ἢ πρὸς τὴν διάςασιν αὐτῶν ἡ ὁμοίωσις. BLV. ἶρις δέ ἐςι πάθος περὶ τὸν ἀέρα ἐν νέφει συνεκτεταμένον ἐξ ἡλιακῆς ἀκτῖνος. D.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει Ἐρίδεσσιν. ȣ̓κ ἔςι δὲ ἡ αὐτὴ Ἔρις ϗ Ἶρις καθ' Ὅμηρον, ὡς ὑπέλαβεν. A.

28. ςήριξεν: ȣ̃τως Ἰακῶς τὸ ςήριξεν. A.

τέρας μερόπων ἀνθρώπων: ϗ ἐπὶ τῶν διαττόντων διδάσκει ὅτι ȣ̓κ αὐτόματά εἰσιν, ἀλλ' ὑπὸ θείαν αἰτίαν (ἀλλὰ θεȣ̀ς αἴτιον ἔχοντα V). BLV.

30. ἡ διπλῆ, ὅτι νῦν μὲν χρυσόηλον, ἐν ἄλλοις δὲ (Il. 2, 45. 3, 334) ἀργυρόηλον. ἤτοι κατ' ἐπιφοράν, ἢ διὰ τὴν ἀριςείαν κοσμεῖ διαφορωτέρᾳ πανοπλίᾳ. A.

31. ἀορτήρεσσι: τοῖς ἀπαιωρȣ̃σι τὸ ξίφος ἱμᾶσιν. DL.

32. ἡ διπλῆ, ὅτι ἀνδρομήκεις αἱ ἀσπίδες. πρὸ δὲ τῆς περικεφαλαίας ἀναλαμβάνει τὴν ἀσπίδα, ὡς ἂν δι' ἀναφορέων χρωμένων ταῖς ἀσπίσιν. ὁ δὲ Ζηνόδοτος ἐπὶ τοῦ Ἀλεξάνδρȣ (Il. 3, 334) τὸν ὁπλισμὸν ἐνήλλαχεν. A.

θȣ̃ριν: εὐκίνητον ϗ κȣ́φην τῷ φορȣ̃ντι. AD.

33. ἦσαν: ἐὰν σὺν τῷ ι γράφηθ, ᾖσαν, περιεπορεύοντο· εἰ δὲ μή, ἀναςρεπτέον, ἵνα ᾖ περιῆσαν. A.

34. ἐν δέ οἱ: ϗ πȣ̃ ἡ γοργείη κεφαλή; V.

εἰς ἄλλα δὲ παρεικάζει αὐτὸν Διί· „ὄμματα ϗ κεφαλήν" (Il. 2, 478). „πατὴρ ἀνδρῶν τε θεῶν τε" ϗ „ποιμένα λαῶν" (ib. 243). τὸ ἀπὸ Διὸς σκῆπτρον. ἀσπίδι παραπλησία αἰγίδι. φροντίδας· „ὡς δ' ὅταν ἀςράπτῃ" (Il. 10, 5). V.

35. λευκοί: ὀξυτονητέον, ἵνα ἐπὶ τῶν ὀφθαλμῶν κέηθ, εἰσὶ δὲ οἳ περισπῶσιν, ἵνα γενικὴ γένηθ, ἐπίθετον τȣ̃ κασσιτέρȣ, κακῶς· ἔθος γάρ ἐςι παρὰ τῷ ποιητῇ τὴν Θεσσαλικὴν ταύτην καλουμένην γενικὴν εὑρίσκεσθȣ, εἰ μὴ μέτρον κωλύοι· εἰ γ̓ κωλύοι, ἡ κοινὴ παραλαμβάνεθ. παρεκτέτα τὸ κεφάλαιον Ἡρωδιανῷ. A.

λευκοὶ γάρ, ȣ̓ λευκοῖο. V.

36. ἡ ἐπί πρὸς τὸ ἐςεφάνωτο συντάσσεθ· διὸ τὸν τόνον φυλακτέον. A.

Γοργώ: γοργότητά τινα ϗ κατάπληξιν τῶν ὁρώντων τὸν γ̓ περὶ Γοργȣ̃ς μῦθον Ἡσίοδος ἔπλασεν. B.

38. τελαμών: ὅτι ἐκ τελαμώνων αἱ ἀσπίδες ἤρτηντο. A.

ἐπ' αὐτȣ̃: οὕτως Ἀρίςαρχος. γράφεται δὲ καὶ ἐπ' αὐτῷ. A.

40. ἀμφιςεφέες: ἀλλήλαις περιπεπλεγμέναι, διὰ τὸ ἑνὸς αὐχένος εἶναι. ἢ εἰς ἀλλήλας ἀπεςραμμέναι. BL. ταύτην δὲ Ξενοκράτης μίμημα τȣ̃ κόσμȣ φησὶν εἶναι. V.

ȣ̃τως αἱ Ἀριςάρχȣ σὺν τῷ ρ, ἀμφιςρεφέες· ϗ τὰ ὑπομνήματα δὲ συμφωνεῖ, λέγων ἓν μὲν εἶναι σῶμα τȣ̃ δράκοντος, κεφαλὰς δὲ τρεῖς περιπεπλεγμένας ἀλλήλαις. ἠπάτηνθ δὲ οἱ χωρὶς τȣ̃ ρ γράφοντες ἐξ ἐκείνȣ „τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐςεφάνωται" (36). A.

43. εἵλετο δ' ἄλκιμα δȣ̃ρε: ἡ διπλῆ, ὅτι καὶ ἐπὶ τῆς Ἀλεξάνδρȣ μονομαχίας (Il. 3, 338) τὸ ὅμοιον. A.

44. ȣ̓ρανὸν εἴσω: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ εἰς ȣ̓ρανὸν ϗ ὅτι ὅταν ἐπ' Ἀχιλλέως λέγῃ „ὡς τοῦ χαλκὸς ἔλαμπε" (Il. 22, 32), νοητέον ἀπὸ τȣ̃ δόρατος τὴν λαμπηδόνα ἀπαυγεῖν· τὰ γ̓ ἄλλα χρυσᾶ εἶχεν. A.

45. ἐπὶ δ' ἐγδȣ́πησαν: ȣ̓ μόνον τῇ ὁπλίσει ἀλλὰ ταῖς διοσημίαις προφαντάζει τὸν ἀκροατήν. BL.

ἡ διπλῆ, ὅτι διὰ τὸ μέτρον παράκειται τὸ γ· τὸν δȣ̃πον ȣ̓κ ἂν εἴποι γδȣ̃πον. A.

46. ἡ διπλῆ, ὅτι νῦν ἑνικῶς τὴν Μυκήνην, καὶ ὅτι Μυκήναις τὰ Ἀγαμέμνονος βασίλεια, ȣ̓κ ἐν Ἄργει, ὡς νεώτεροι. A.

48. ἵππȣς εὖ κατὰ κόσμον: ἐντειλάμενοι τοῖς ἡνιόχοις οἱ παραβάθ ἐπὶ τῇ τάφρῳ σὺν τοῖς ἵπποις ἀναμένοι αὐτȣ́ς, ἐν ὅσῳ τȣ̀ς ἵππȣς ἐκεῖνοι ζευγνύȣσι καὶ αὐτοὶ ἅμα τοῖς πεζοῖς διαβαίνȣσι τὴν τάφρον. BL. ϗ ἐκεῖνοι μετ' πολὺ καταλαμβάνȣσιν ἅμα τȣ̀ς ἵππȣς. V.

49. ἡ διπλῆ, ὅτι φανερῶς πρυλέες οἱ πεζοί· ἀντιδέςαλκε γ̓ τȣ̀ς ἱππεῖς. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

31. φθὰν: ὁ Ἀρίσαρχος βαρύνει· καὶ δῆλον ὅτι ὑγιῶς· κοιμίζεται γὰρ ἡ ὀξεῖα ἐν τῇ συνεπείᾳ· „Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε" (Il. 13, 1). ἔχει δὲ ὁ νῶς τοιοῦτος, ἔφθασαν δὲ κατὰ τὸ πολὺ οἱ πεζοὶ τοὺς ἱππεῖς προδιαταγέντες ἐπὶ τῆς τάφρου. A.

μεθ' ἵππήων: ἔφθασαν οἱ πεζοὶ ἐν τῇ τάφρῳ μετὰ τῶν ἵππων κοσμηθέντες, δηλονότι ἐάσαντες τοῖς ἡνιόχοις τὰ ἅρματα ἐπὶ τῷ ἀγαγεῖν αὐτά. V.

τὸ ἐπὶ τάφρῳ καὶ τοῖς ἑξῆς καὶ τοῖς ἄνω δύναται συναπτέον· βέλτιον δὲ τοῖς ἑξῆς, ἵνα ἐπὶ μὲν τῆς τάφρου ἡ διακόσμησις ᾖ γεγονυῖα, οἱ δὲ πεζοὶ προεληλυθότες τῶν ἱππέων εἰς τὸ πεδίον· ἀποβάντες γὰρ τῶν ἁρμάτων προέρχονται εἰς τὸ πεδίον· φησὶ γὰρ (47) „ἡνιόχῳ μὲν ἔπειτα ἑῷ." τὸ δὲ ἀπορούμενον, πῶς μέγα προειπὼν ἐπιφέρει ὀλίγον, τοιοῦτόν ἐστι. τὸ ἕτερον αὐτῶν χρονικόν ἐστι, τὸ δὲ ἕτερον τοπικόν· ἤτοι γὰρ πολὺ τοῦ πεδίου προῆλθον αὐτῶν, οἱ δὲ ταχέως ἐπεδίωξαν, ὡς ἂν ἐφ' ἁρμάτων· ἢ τῷ χρόνῳ πολὺ προέλαβον οἱ πεζοί, οἱ δὲ ἱππεῖς τῷ καταταχῦναι ὀλίγον ὄπιθεν ἦσαν. A.

ἡ δὲ διπλῆ πρὸς τὸ δοκεῖν μάχεται· εἰ γὰρ μεγάλως ἔφθασαν, πῶς οἱ ἱππεῖς ὀλίγον μετεκίαθον αὐτῶν; λέγει δὲ „φθὰν δὲ μέγα" χρονικῶς, ἀντὶ τοῦ πολλῷ χρόνῳ προέλαβον, ὀλίγον δὲ μετεκίαθον τοπικῶς, οἷον ὀλίγῳ τόπῳ διεζῶτες μετ' αὐτὸς ἔκιον. A.

τινὲς ὑπερβατὸν τοῦτο νοοῦσι, μεγάλως κοσμηθέντες ἔφθασαν. τὸ δὲν μέγα τῷ κοσμηθέντες συντάττει. D.

52. ὀλίγον: ἡ διπλῆ, ὅτι τῷ τόπῳ καὶ τῇ τάξει, ἢ τῷ χρόνῳ. A.

53. ὦρσε κακὸν Κρονίδης: ὁ Ζεὺς αὐτὸς προτρέπεται, ὅπως ἐξελθόντων καὶ τρωθέντων ἐξαγάγοι Πάτροκλον. BL.

53. 54. ἐζήτηται πῶς ἐνεδέχετο αἷμα ἔχειν τὰς νεφέλας. καὶ λέγουσιν οἱ λύοντες τὸ ἀμφίβολον ὅτι ὡς ἐπὶ μεγίστῳ πολέμῳ πολλῶν ἀναιρεμένων τὸ αἷμα τούτων ἐπλήρου τοὺς πλησίον ποταμούς, ἀφ' ὧν αἱ νεφέλαι λαμβάνουσαι τὰ ὕδωρ αἱματώδεις ὁρόσους ἔπεμπον. AD.

Πορφυρίω. ἐζήτηται πῶς ἐνεδέχετο ἔχειν τὰς νεφέλας αἷμα. ῥητέον ἂν ὅτι τὸ τῶ ὕδατος λεπτότατον καὶ κουφότατον ἁρπάσαν τὸ πῦρ τὸ τῶ ἡλίω μετέωρον ἐξήρανε καὶ κατέμιξε τῷ ἀέρι, καὶ τὸ μὲν θολερὸν αὐτῶ καὶ βαρὺ ἐκκριθὲν ὁμίχλη γίνεται, τὸ δὲ καθαριώτατον καὶ κουφότατον γλυκαίνει καταλελειμμένον ἕψοντος τῶ ἡλίω καὶ καίοντος· εἰ γὰρ καὶ τὰ ἄλλα τῶ ὕδατος, ἐὰν ᾖ ἁλμυρά, τὸ παρ' ἡμῖν πῦρ γλυκέα ἀπεργάζεται, τί χρὴ προσδοκᾶν πυρὸς ὑπερ ἥλιον λέγομεν; τὸ ἀναπεμφθὲν ἂν τοῦτο ὕδωρ μέχρι διεσκέδασαι μετέωρον φερόμενον, ὅταν εἰς τὸ αὐτὸ συρραφῇ βαρέμενον, κάτω φέρεται καὶ ὄμβρος γίνεται. καὶ ἡ αἰτία· ὅταν νέφεσιν ἐλαυνομένοις ὑπ' ἀνέμω ἐμπέσῃ πνεῦμα ἐναντίον καὶ νέφη ἕτερα ἀπὸ τούτω διωκόμενα, τὰ μὲν πρῶτα συρρέφει, τὰ δ' ὄπισθεν αὐτοῖς ἐπιφερόμενα παχύνει καὶ μελαίνει, καὶ καταῤῥαγέντα ὑπὸ τῶ βάρους ὄμβρον ἐγέννησεν. εἴπερ ἂν οἱ ποταμοί, πολλῶ κατ' αὐτὰς συντελεσθέντε τῶ φόνω, ἦσαν αἵματος ἀνάπλεοι, εἰκότως τὸ ἀναφερόμενον ἀπ' αὐτῶν ὕδωρ γίνεται ὄμβρος αἱματώδης· καὶ τοῦτο μυθώδες δοκεῖν ἐκ ἀποφεύγει τὸ πιθανόν. B.

ἄλλως. ὅτι σύνεγγύς ἐστιν ὁ ἀὴρ τῶ αἰθέρος. ἢ ὅτι Διός ἐστιν ἔργον τὸ τοιοῦτον καὶ ἐχ ὑετός· διὸ καὶ ἐνήλλακται. ἡμιγμέναι δέ εἰσιν αἱ σταγόνες, ἐπειδὴ καὶ οἱ περὶ Τροίαν ποταμοὶ ἐκ τῶν ἀναιρεμένων αἱματώδεις ἦσαν. BL.

54. ἡ διπλῆ, ὅτι δοκεῖ σημεῖον εἶναι, ὅταν ἐπιψεκάσῃ, ἐχ ὅταν ὗσῃ, καὶ ὅτι τὸ ἔμελλε πάλιν ἀντὶ τοῦ ἐώκει. ἕως τοῦ αἰθέρος δὲ σικτέον, καὶ τοῖς ἄνω συναπτέον αὐτό. A.

55. ἰφθίμους κεφαλάς: οὕτως αἱ Ἀριστάρχ. V.

ἡ διπλῆ, ὅτι ἐνταῦθα μὲν γράφειν κεφαλάς οὐδὲν κωλύει, περιφραστικῶς ἀπὸ μέρους τῶν ὅλων σημαινομένων, κατὰ δὲ τὸ τῆς Ἰλιάδος προοίμιον (1, 3) ἐκ ἐνδέχεται, ἐπιφερομένου τοῦ „αὐτὰς δὲ ἑλώρια." A.

56. Τρῶες δ': ὅτι κοινὸν ἐπὶ τούτων τὸ ἐθωρήσσοντο. A. ἀπὸ κοινοῦ τὸ ἐζώννυντο. V.

θρωσμῷ: τόπω ὑψηλῷ ἐν τῷ πεδίῳ, ἀφ' οὗ ἦν καθορᾶν. D.

58. ὃς Τρωσὶ: οὐ μάτην ἡ προθήκη, ἀλλ' ἐμφαίνει τὴν τάξιν τῶν ἀνδρῶν· μετὰ γὰρ Ἕκτορα οὗτος δεύτερος. διὸ καὶ ζηλοτυπία τις ἦν ἐν αὐτοῖς· φησὶ γὰρ „αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ, ἕνεκ' ἄρ' ἐλθὸν ἑόντα μετ' ἀνδράσιν οὔ τι τίεσκεν" (Il. 13, 460). BL.

61. ἀσπίδα παντόσ' ἔτυσεν: οἷός τε ἦν ὁ ποιητής, διελθὼν περὶ τῆς Ἀγαμέμνονος ἀσπίδος, ἐκφράσαι καὶ τὴν Ἕκτορος· ἀλλὰ τῇ παραβολῇ τὸ κίνημά γε καὶ λαμπρὸν τῶν ὅπλων ἐσήμανεν. ἴσως δέ τινα τῶν κομητῶν ἀστέρων φησί, καὶ τὴν φθορὰν προδηλοῖ. BL.

62. οἷος δ' ἐκ νεφέων: ἐμφερεστάτη ἡ εἰκὼν πρός τε τὴν λαμπρότητα καὶ τὸ μὴ διηνεκῶς φαίνεσθαι ἀλλ' ἔστ' ὅτε καὶ ἀποκρύπτεσθαι. ὥσπερ ἂν ὁ ἀστὴρ ἐν τῇ κινήσει ἐνίοτε καὶ ὑπονέφελος γίνεται, οὕτω καὶ Ἕκτορά φησι καὶ ἀπολάμπεσθαι τοῖς ὅπλοις καὶ ἀποκρύπτεσθαι ὑπὸ τῆς πλήθους, ἄλλοτε ἐπ' ἄλλα μέρη φαινόμενον. BL. οὐλιος δὲ ὁ ὀλέθρω σημαντικός. λέγει δὲ τὸν κύνα, περὶ ὃ καὶ ἀλλαχόσε φησὶν ὁ ποιητὴς „καί τε φέρει πολὺν πυρετὸν δειλοῖσι βροτοῖσιν" (Il. 22, 31). BD. ἴσως δὲ ὁ τὸν κύνα λέγει, ἀλλὰ τῶν κομητῶν ἕνα· καὶ διὰ τοῦτο ὅλιος, ὅτι ὄλεθρον προδηλῶν, ὥσπερ Ὅμηρος πρότερος καὶ κομητῶν γένεσιν παρέδωκεν, ὅτι γίνονται ἐξ ἀπέπτου καὶ νοσώδους ἀέρος, ἀναχθέντος εἰς αἰθέρα καὶ πιληθέντος αὐτόθι καὶ ἀγωγὴν κυκλοτερῆ λαβόντος διὰ τὴν προσβάλλουσαν αὐτῷ ἀπό τε τοῦ ἡλίου καὶ τῶν ἄλλων ἀστέρων λαμπηδόνα. B.

ἡ διπλῆ, ὅτι τινὲς γράφουσιν αὔλιος, ὃ ἐστιν ἑσπέριος, πρὸς ὃν αὐλίζεται τὰ ζῷα. καὶ Καλλίμαχος „ὃς δύθμην εἶσι μετ' ἠελίω." ἔστι δὲ ἀλύπιος καὶ εἰς ἀνάπαυσιν ἄγων τὰ ζῷα. γραπτέον ἂν ἕλιον, ἵνα τὸν τῆ κυνὸς σημαίνῃ, τὸν φθοροποιὸν καὶ λαμπρότατον, ᾧ καὶ τὸν Ἀχιλλέα ὁμοιοῖ „λάμφ' ὡς ἀστὴρ ὅς ῥά τ' ὀπώρης εἶσιν" (Il. 22, 26). A.

63. σκιόεντα: σκιὰν παρέχοντα· ταῦτα γὰρ συσκιάζει τὸν ἀέρα. D.

65. πᾶς: σημειοῦνταί τινες ὅτι τοῦτο ἀντὶ τοῦ ὅλος. A.

67. ὥστ' ἀμητῆρες: τοὺς μαχομένους ξίφεσι καὶ δόρασι τοῖς θερίζουσι διὰ τῶν δρεπάνων εἰκότως παρείκασεν. BL.

ἐναντίοι ἀλλήλοισιν: τὸ παλαιὸν γὰρ οὕτως ἐθέριζον, ἀπὸ τῶν περάτων ἀρχόμενοι καὶ εἰς τὰ μέσα τελευτῶντες. BL.

68. ὄγμον ὡς ὄλβον· τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλείονα, βαρύνεσθαι θέλει, οἷον ὄκνος ὄμβρος ὄρρος ὅσσος ὄρθος ὄρφος. οὕτως καὶ ὄγμος. ἡ διπλῆ δέ, ὅτι τὸ ἐλαύνωσι τύπτωσι· καὶ τίθησιν ἐπὶ τῆς ἐκ χειρὸς πληγῆς τὸ ἐλάσαι. A.

τὸ δὲ ἐλαύνοντες πρὸς τὴν σύντομον ἀναίρεσιν. ἐν πλατεῖ δὲ λείῳ εἰκὸς ἐξι πολλὰς ἐργάζεσθαι. BL.

69. ταρφέα ὡς ὀξέα· νῦν γὰρ ἐπιθετικὸν τὸ τοιοῦτον. τὸ εὐχερὲς καὶ δυσαρίθμητον τῶν πιπτόντων δηλοῖ. ABL.

70. Τρῶες καὶ Ἀχαιοί: οἱ μὲν ὑπὸ Διός, οἱ δὲ ὑπὸ Ἔριδος. V.

71. ἡ διπλῆ, ὅτι φόβον τὴν φυγήν· ὃν δὲ ἡμεῖς φόβον, δέος λέγει. A.

72. ἡ διπλῆ, ὅτι Ἀρίσαρχος ὑσμίνη γράφει χωρὶς τοῦ ι· φησὶ γάρ, ἥ τε τῶν Ἑλλήνων ὑσμίνη καὶ βαρβάρων ἰσοκέφαλος ἦν· οἷον ἀμφοτέρων ἰσοκέφαλος ἦν ἡ μάχη τῶν τε Ἑλλήνων καὶ τῶν Τρώων. A.

ἄλλως. οὕτως Ἀρίσαρχος, ἡ ὑσμίνη τὰς κεφαλὰς ἴσας εἶχεν· ἰσοκέφαλος ἦν αὐτοῖς ἡ μάχη. ἄλλοι δὲ ἴσας δ' ὑσμίνῃ κεφαλὰς ἔχον. A.

κατὰ μίαν εὐθεῖαν εἶχον τὰς κεφαλάς, ὃ ἐστιν ἐξίσωτο αὐτοῖς ἡ μάχη. D. ἰσοκέφαλος ἦν αὐτοῖς ἡ μάχη, λύκοι δὲ διὰ τὸ πρόθυμον καὶ κατὰ τὸ πλῆθος δρασικόν· ὁ γὰρ λέων μόνος ἀγωνίζεται. BLV.

75. ἡ διπλῆ πρὸς τὴν ἐξῆς ἀθέτησιν· ἅ γὰρ ἦσαν ἐπὶ τοῦ αὐτοῦ πάντες οἱ θεοί, τὸ δὲ πάρεσαν, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἐκ δὲ τῆ παρῆσαν ἐγένετο. A.

ἔκηλοι: δασύνεσθαι. τὸ γὰρ ε πρὸ τοῦ κ δασύνεσθαι θέλει, ὁπότε μὴ ἐκ κλίσεως τυγχάνοι ῥήματος ἢ ἀπὸ προθέσεως. A.

76. σφοῖσιν: γράφεται οἷσιν. A.

ἐνὶ μεγάροισι καθείατο: οὐδὲ ὁρᾶν δυνάμενοι (ὑπομένοντες V) τὴν μάχην διὰ τὸ ἐλαθῆναι ὑπὸ Διός, θαυμαζῶς ἂν τέως ἰσορροπῆσαν Ἕλληνες, καὶ ταῦτα ἀπὸ δυσχείας ὄντες: μετ' οὐ πολὺ δὲ καὶ περιέσονται τῶν Τρώων. BL.

ἦχι: Ἀρίσαρχος χωρὶς τοῦ ι τὸ ἦχι. A.

78 — 83. ἀθετοῦνται σίχοι ἕξ, ὅτι ψεῦδος· οὐ γὰρ δύνανται πάντες τὸν Δία αἰτιᾶσθαι βοηθοῦντα τοῖς Τρωσίν, ἀλλ' οἱ τῶν Ἑλλήνων βοηθοί. καὶ τὸ „ὁ δὲ νόσφι λιασθεὶς τῶν ἄλλων ἀπάνευθε καθέζετο" ὡς ἐπὶ ταὐτὸ συνηθροισμένων αὐτῶν λέγει· προείρηκε δὲ „οἱ δ' ἄλλοι ὅ σφιν πάρεσαν θεοί." ἀπό τε τοῦ Ὀλύμπου ἀπαρεισάγει θεωρῶν τὴν τῆς Τροίας μάχην, ἀλλ' ἀπὸ τῆς Ἴδης, ὅθεν διὰ τῶν ἑξῆς μεταβαίνει εἰς αὐτόν. A.

τέτρες καὶ Ἀριστοφάνης ἠθέτει. παρὰ δὲ Ζηνοδότῳ οὐ γράφοντο. A.

79. οὕνεκ' ἄρα: ὅτι, εἰ μὴ ἐπεκούρει Τρωσίν, ἐνίκησαν ἂν οἱ Ἕλληνες. V.

81. τῶν ἄλλων ἀπάνευθε: βέλτιον τοῖς ἑπομένοις τὸ ἡμισίχιον συντάττειν, ἵνα μὴ νόσφι καὶ ἀπάνευθε ἐν ταὐτῷ κέηται. A.

84. ἱερὸν ἦμαρ: ἱερὸν καλεῖται τὸ ἕως μεσημβρίας (ἕως ὥρας ἕκτης V), ἡνίκα αἱ θυσίαι γίνονται καὶ τὰ πρακτικὰ πάντα. BLV. κνέφας δὲ ἱερόν· καὶ γάρ φησι „μακάρων τοι νύκτες ἔασιν" (Hesiod. O. 730). V.

86. ἦμος δὲ δρυτόμος: ἄκρως τὸν καιρὸν ἐδήλωσεν, ἀπὸ τῶν κατειθισμένων καὶ πᾶσι γνωρίμων τὴν δήλωσιν ποιησάμενος· ὅπως γὰρ ἦν ὥραις μετρητὴ ἡ ἡμέρα. δρῶνται δὲ ἡ ἀρετὴ τῶν Ἑλλήνων, ὅτι καὶ τῷ καιρῷ παραχωροῦσι τῷ πάντα τὰ σώματα διαλύειν ἐκ τῶν ἔργων πεφυκότι. ABL.

δεῖπνον τὸ ἐωθινὸν ἄριστον· εὐθέως γὰρ μετὰ τὸν ὄρθρον αὔξην λαμβανούσης τῆς ἡμέρας ὁ ὑλοτόμος ἐπὶ τὸ ἐωθινὸν ἄριστον ἔρχεται. BL. ὅτι γὰρ τὸν ἐωθινὸν καιρὸν δηλοῖ σαφὲς ἐξ ὧν κατὰ τὴν Πατρόκλειάν φησιν· „ὄφρα μὲν ἠέλιος μέσον οὐρανόν, τόφρα μάλ' ἀμφοτέρων βέλε' ἤπτετο" (Il. 16, 777). V.

ὅτι Ζηνόδοτος γράφει δόρπον, οὐ λέγει δὲ δεῖπνον τὴν ἑσπερινὴν τροφὴν νῦν, ἀλλὰ δεῖπνον καλεῖ ὃ ἡμεῖς ἄριστον, καθ' ἣν ὥραν καὶ ὁ δρυτόμος ἀριστοποιεῖται, ἤγουν ὁ ὑλοτόμος, ὁ ξυλοτόμος· δρῦν γὰρ ἐκάλεν οἱ παλαιοὶ ἀπὸ τοῦ ἀρχαιοτέρου πᾶν δένδρον. A.

87. ἐπεί τ' ἐκορέσσατο χεῖρας: διδάσκει μετὰ τὰς πόνους ἐμφορεῖσθαι σιτίων πρὸς τὸ εὐόρεκτον. B. ὡς καὶ Σωκράτης πολλὰ περιπατήσας ἑσπέρας πρὸς τὸν ἐρόμενον „τί γηγενάδε ὦ Σώκρατες;" ὄψον ζητεῖν ἔφη. V.

ἐκορέσσατο: ἀντὶ τοῦ ἔκαμεν. V.

88. ἄδος: δασυντέον· τὸ γὰρ ἀ πρὸ τοῦ δ ὄν, καὶ μὴ ἔχον σερητικὴν ἔννοιαν ἢ κρᾶσίν τινα, δασύνεσθαι θέλει σερητικὴν μὲν ἕτως, κατὰ κρᾶσιν, ἀδαής ἀδρανής ἀδεκής, μὴ ἕτως δὲ ἔχον ἀδρός ἀδινός Ἀδρίας. διὸ καὶ τὸ Ἄδωνις κρεῖττόν ἐστι δασύνειν, ἵνα καὶ παρὰ τὸ ἀδεῖν τῇ δαίμονι ἐτυμολογηθῇ. A.

90. σφῇ ἀρετῇ: λέγει ὅτι κεκοπωμένοι ἦσαν τοῖς σώμασιν, ἀντιτάσσονται δὲ τῷ κόπῳ ταῖς ψυχικαῖς ἀρεταῖς. BL.

91. κεκλόμενοι ἑτάροισι: διδάσκει ὡς καὶ τοῖς δεινοῖς τὸ φιλάλληλον πέφυκε σώζειν ἡμᾶς. A. τοιοῦτοι δὲ οἱ Ἕλληνες „ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν" (Il. 3, 9). V.

ἂν δ' Ἀγαμέμνων: γράφεται ἐκ δ' Ἀγαμέμνων. A.

92. πρῶτος ὄρουσ᾽: ἀποτυχὼν γὰρ Ἀχιλλέως ἢ ἀμπρὸς εἶναι θέλει ἢ εὐκλεῶς ἀναιρεθῆναι. BL.

Βιήνορα: Ἀρίσαρχος Βιάνορα. A.

93. αὐτόν, ἔπειτα δ᾽ ἑταῖρον: ἐν κεφαλαίοις εἰπὼν ὡς ἀνῄρηνθ, τὸ πῶς ἐπάγει κατὰ μέρος. διὰ δὲ τῆ μόνε τῆ δευτέρᾳ ἐδήλωσε καὶ περὶ τῆ πρώτε· εἰπὼν γὰρ ὡς ἐξ ἵππων κατεπάλμενος ἀνῄρηνθ, δηλοῖ ὡς ὁ πρῶτος ἐπιβεβηκὼς τῷ δίφρῳ πεφόνευται. σύνδυο ἂν ἀναιρῶνται, ὡς καὶ τῇ Διομήδες ἀρίσεία. BLV.

ἡ διπλῆ, ὅτι τὸ ἔπειτα ἀντὶ τῆ μετὰ ταῦτα. πρὸς τὸ „αὐτὰρ ἔπειτ᾽ Αἴας τε μέγας" (Il. 9, 169). A.

94. κατεπάλμενος: ἡ διπλῆ, ὅτι δύο προθέσεις παρείληφεν, κατά, ἀπό, τῆς ἑτέρας ἀρκούσης. Ζηνόδοτος δὲ ἀντίον καὶ Ἀριστοφάνης. A.

95. τὸν δ᾽ ἰθὺς μεμαῶτα: δῆλον ὡς φερόμενον περὶ τῆ ἀδελφῆ. καὶ βοηθῶν φονεύεται. A.

ὅπε ἐπὶ ἀνοχῆς ἐσὶν ἡ μάχη, εὑρίσκομεν παραφλάσσοντας καὶ τὰ γυμνά· „ἦ ῥ᾽ εἶδε γυμνωθέντα" (Il. 12, 389) καὶ ἄλλα πολλά· ὅπε δὲ ὀξυλαβείας χρεία, πρὸς τὸ ἀνώσασθαι ὄνον αἱ πληγαί. A.

μετώπιον: τὸ μεταξὺ τῶν ὠπῶν, ἐπάνω τῆς ῥινός, ὃς μεταμάζιον. V.

97. ἐγκέφαλος δέ: ἡ διπλῆ, ὅτι Ἀπολλώνιος ποιεῖ ἐγκεφαλόνδε, καὶ τὸν ἑξῆς ἀθετεῖ. A.

98. πεπάλακτο: διεβρέχετο, ὡς τὸ „παλάσσετο δ᾽ αἵματι θώρηξ" (Il. 5, 100) καὶ „λέθρῳ δὲ παλάσσετο χεῖρας" Il. 20, 503). φησὶν οὖν τὸν ἐγκέφαλον ἐμπεπλῆσθαι τοῦ αἵματος· σφιγγομένε γὰρ τῆ δόρατος ὑπὸ τῆ ὀχέου, ἔξω ῥυγεὶς προελθεῖν τὸ αἷμα, ἔσω δὲ συνάγεσθαι, καθάπερ ἐπὶ τῶν πληγέντων λίθῳ, ὅταν συντριβῇ μὲν τὰ ὀστᾶ, μὴ διαιθῇ δὲ ἡ ἐπιφάνεια, ἐντὸς χεῖται τὸ αἷμα τῆς ἔξω φορᾶς ῥεγόμενον. ABL.

γράφεται κεκίνητο. ἀλλ᾽ ἐκ εἰκὸς συνδεδεμένον τῷ ἐγκεφάλῳ τὸ ὀδόντε κινεῖν τὸν ἐγκέφαλον. V.

100. ἐπεὶ περίδυσε χιτῶνας: ἐπειδή, φησί, τοὺς ἐπὶ τοῖς σήθεσιν αὐτῶν χιτῶνας ἀφείλατο, γυμνὸς καὶ φαιδρυνόμενος τὰς νεκρὰς κατέλιπεν. AD. ἡ διπλῆ δέ, ὅτι ἔν τισι γράφεται ἐπεὶ κλυτὰ τεύχε᾽ ἀπηύρα. ἔσονται δὲ αὐτοὶ οἱ νεκροὶ τοῖς σήθεσι παμφαίνοντες· ὃ λέγει δὲ τῶτο, ἀλλὰ τὰς ἐπὶ τοῖς σήθεσι παμφαίνοντας χιτῶνας. A.

οὐ συνάπτει Νικάνωρ, ἀλλὰ τὸ παμφαίνοντας δηλῶν φησὶ τὸ νέον αὐτῶν. Πῶς δὲ τὰ σήθη περιφαίνονται. οἱ δὲ ὅλον, σήθεσι παμφαίνοντας χιτῶνας. BL.

101. βῆ ῥ᾽ Ἴσον: Ζηνόδοτος ἔξω τῆ ῥ βῆ Ἴσον. μὴ ἀφερέσθω δέ φησιν ὁ Ἀρίσαρχος νῦν ἐν τοῖς Ποσειδίππε γράμμασι τὸν Βήρισον, ἀλλ᾽ ἐν τῷ λεγομένῳ σωρῷ κεῖσθαι. εὔλογον δέ φησιν ἐλεγχόμενον αὐτὸν ἀπαλεῖψαι. A.

Ποσείδιππος Βήρισον ὑφ᾽ ἕν. Ἡρωδιανὸς μόνος καλεῖ τὸ βῆρ. Ζηνόδοτος δὲ χωρὶς τῆ ῥ᾽, βῆ Ἰσόν τε. V.

ἄλλως. κατὰ διάσασιν ἔχει, βῆ ῥα, εἶτα Ἴσόν τε καὶ Ἀντιφον· τὸ μέντοι ἐπιφερόμενον ἐν τῇ συντάξει ἐν μετοχῇ ὀφείλει κατακλείεσθαι ἐξεναρίζων, ὡς δείκνυται ἐν τῷ περὶ συντάξεως (1, 32 p. 66, 5). A.

102. ἐπὶ τὸ γνήσιον βραχὺ διαιτητέον· καὶ γὰρ σαφέστερον τὸ ὕτως χωρίζειν, ἄμφω εἶν ἑνὶ δίφρῳ, καὶ ἀδιανόητον ἔχει τὸ συνάπτειν νόθον καὶ γνήσιον ἄμφω. A.

103. ἑόντας: Ἀριστοφάνης ἑόντε. A.

σημειωτέον ὅτι ἴτος ὁ ζίχος πρὸς τὸ πρῶτον ἀπαντᾷ, νόθον καὶ γνήσιον· ἐδήλωσε γὰρ φιλοτέχνως διὰ τέτε ποῖός ὁ νόθος ἦν. BL.

104. ὦ: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ὄν. μήποτε δὲ πεπλάνηνθ, γεγραμμένε τῆ ō ὑπ᾽ ἀρχαϊκῆς σημασίας ἀντὶ τῆ ῶ, προθεὶς τὸ ν̄· ἔχει γὰρ περὶ δυεῖν ὁ λόγος, διὸ καὶ ἐπιφέρει „καὶ γάρ σφε πάρος παρὰ νηυσίν". καὶ ὅτι οἱ μαχόμενοι παραβάται ἦσαν. A.

καὶ ἐν τέτοις ἡ ποικιλία ὁρᾶται, ὡς καὶ περὶ Λυκάονος. V. ἐφ᾽ ἑκάςε πίπτοντος ἢ γένος ἢ τύχην ἢ σχῆμα πτώματος δηλῶν ποικίλλει τὸ ὑποκείμενον. BL.

105. μόσχοισι: οὐκ ἀπίθανος ἡ μεταφορά, ἀπὸ τῶν ἁπαλῶν ἔτι βοῶν ἐπὶ τὰ τρυφερὰ τῶν φυτῶν ἀγομένη. BL.

λύγοισι: φυτῷ τινί, ὃ ἡμεῖς κύτινον καλῶμεν. A.

ἐδέσμευσε ταῖς νέαις καὶ ἁπαλαῖς λύγοις καὶ βλαχήμασι. λύγος δὲ ἱμαντώδές τι φυτὸν καὶ ἁπαλόν, ὃ καὶ οἷσον καλῶσιν, ἐξ οὗ καὶ τὸ οἰσόκαρπον. τινὲς δὲ αὐτὸ καὶ ἄγνον καλῶσιν· ὁ δὲ τέτε καρπὸς ἐθιόμενος ἀφανισικός ἐσι τῆς γονῆς· καὶ οἱ ἱερεῖς δὲ τῷ φυτῷ τέτε τὰς κόμας τῇ ἑαυτῶν κλίνῃ ὑποτιθέασιν ὡς φυσικήν τινα δύναμιν ἔχοντα πρὸς ἁγνείαν· διὸ καὶ ἅγνος ἐκλήθη. A.

106. ποιμαίνοντ᾽: ἡ διπλῆ, ὅτι τὸ πλῆρες ποιμαίνοντε. Ζηνόδοτος δὲ ἔοικε δέχεσθαι ποιμαίνοντα· καὶ γὰρ ὄν ποτε γράφει. A.

ἔθος ἦν τοῖς παλαιοῖς κατὰ τὴν πρώτην ἡλικίαν βουκολεῖν ἢ ἱπποφορβεῖν καρτερίας καὶ ἀσκήσεως ἕνεκεν. B.

109. Ἄντιφον: ἡ διπλῆ, ὅτι ἐπανείληφε τὸ ὄνομα διὰ τὸ προειρηκέναι δύο· καὶ πρὸς τὸ πρότερον ἀπήντησεν, ἵνα σαφηνίσῃ κατὰ τίνα τόπον ἑκάτερος ἐπλήγη. A.

110. σπερχόμενος δ᾽ ἀπὸ τοῖιν: εἰώθασιν ἐπισαρκάζειν τοῖς ἐπισήμοις τῶν φονευομένων, ὡς Ὀθρυονεῖ (Il. 13, 374). νῦν δὲν ἐπείπερ ὀξύς ἐσιν ὁ καιρός, ἄμφω δηλοῖ, καὶ ὡς ἐπεγίνωσκεν αὐτός, καὶ ὡς ὁ καιρὸς ἐκ εἴα λαλεῖν. BLV.

111. ἡ διπλῆ, ὅτι σφέ ἀντὶ τῆ αὐτές· καὶ ἐκ ἔσι περὶ ἑνὸς ὁ λόγος. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον (104). A.

113. ὡς δὲ λέων: εἰς τὸ δυνατὸν καὶ βασιλικὸν Ἀγαμέμνονος ὁ λέων παρείληπται. ἡ δὲ παραβολὴ πρὸς τὸ μὴ δύναθαι τῇ ἐκείνων ἀναιρέσει βοηθῆσαί τινα τῶν Τρώων. λέων δέ ἐσιν ἐμπερεσάτη· νεβροὶ γὰρ οἱ νέοι Πριαμίδαι, μήτηρ οἱ Τρῶες, προθυμίᾳ μὲν τῶν νεβρίων ὑπερέχοντες καὶ κηδεμονίᾳ, κατεπτηχότες δέ. πιθανῶς δὲ ἐκ ἐπ᾽ ἄλλων τῶτο παρέλαβεν, ἀλλ᾽ ἐπὶ τῶν Πριάμου παίδων, ἐφ᾽ οἷς εἰκὸς τὴν μὲν προθυμίαν τῆς τιμωρίας σφοδροτέραν εἶναι, ἀδύνατον δὲ τοῖς Τρωσὶν ὑπάρχειν. BLV.

Ἀριστοτέλης δύο φησὶ τίκτειν τὴν ἔλαφον. V.

114. ῥηϊδίως συνέαξε: πρὸς τὸ εὔθλαστον. ἐπὶ δὲ βοὸς „ἐκ δ' αὐχέν' ἔαξε" (175). V.

115. εἰς εὐνήν: τὴν τῆ λέοντος ἰδίαν, ὅπερ ἀγνοῦσα αὐτὴς ἔθηκε. ἢ τοῦτο δῆλον ἑτέρωθεν· „ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῦ λέοντος νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνάς· ὁ δέ τ' ὦκα ἐὴν εἰσήλυθεν εὐνήν" (Od. 4, 335). ὁ γὰρ λέων ἐδέποτε κοίτην ἄλλε ἐρευνᾷ ζώῃ, εἰ μή κατά τινα τύχην. BL.

ἀπαλόν τέ σφ' ἦτορ ἀπηύρα: ὅτως Ἀριστοτέλης ἢ Ἀντίπατρος ὁ ἰατρὸς συναύξεσθαί φασι τῷ σώματι τὴν ψυχήν, ἢ συμμιεῖσθαι πάλιν. BLV.

τοῦτο ἐκίνησε τὸς Στωϊκὸς ἢ Ἀντίπατρον ἐν τῷ περὶ ψυχῆς δευτέρῳ λέγειν ὅτι συναύξεσθαι τῷ σώματι ἡ ψυχὴ καὶ πάλιν συμμιεῖσθαι. Leid.

116. εἴπερ τε τύχησι: ἡ διπλῆ, ὅτι δύναται ἑκάτερος ἀναγινώσκεσθαι, ἢ κατὰ διαζολὴν τύχῃσι καὶ τετύχῃσι ὡς λελάχωσι. A.

117. αὐτὴν γάρ μιν: ἵνα μὴ δοκῇ χαρίζεσθαι Ἕλλησι, λελῃθότως τῇ παραβολῇ τὸ ἀγενὲς τῶν Τρώων δηλοῖ. BL.

119. ἐπὶ τὸ σπεύδουσα ἢ ἐπὶ τὸ ἱδρώουσα βραχὺ διαζαλτέον· μᾶλλον γὰρ ἐμφαίνει. V.

121. ὑπ' Ἀργείοισι: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ὑπ' Ἀργείων. πάλιν δὲ τὸ φέβοντο ἀντὶ τοῦ ἔφευγον. A.

πρὸς τὸ φιλάλληλον τῶν Ἀχαιῶν. V.

123. δαΐφρονος: ὁ πολεμικός, ἀλλὰ τῇ βουλῇ τῆς πολεμίας μόνον διεγείροντος. γράφεται δὲ ἢ κακόφρονος. BL.

Ζηνόδοτος ἀντὶ τοῦ δαΐφρονος γράφει κακόφρονος, εὐτελῶς. A.

ὅς ῥα μάλιστα: ὡς ἢ ἄλλων αὐτῷ συμπραττόντων. ἐπάγεται ἐν κατ' αὐτῶν τὸν ἀκροατήν, ἢ ἔστιν ὥσπερ νεμέσεως ἔργον τὸ εἰς τοὺς ἀδικηθέντας ἐμπεσεῖν. ἐμέρισε δὲ τὸ διήγημα, πρῶτον μὲν τὴν αἰτίαν εἰπών, εἶτα τὸ εἴασκεν ἐπαγαγών. BLV.

124. ἡ διπλῆ, ἐπεὶ πρὸς τὸ σημαινόμενον ἔχει τὸ λεγόμενον, χρυσᾶ δῶρα. δύναται βραχὺ διαζαλῆναι ἤτοι ἐπὶ τὸ χρυσόν ἢ ἐπὶ τὸ δεδεγμένος. A.

127. ὁμῆ δ' ἔχον: ὁμῆ ἐπεχείρουν κρατεῖν τοὺς ἵππους διὰ τὸ ἐκφεύγειν τὰς ἡνίας. A.

ὁμῆ τῷ Ἀγαμέμνονι, ἀντὶ τῆ ἐν ταὐτῷ. διὰ δὲ τῆ φύγον ἡνία ἢ τῆ κυκηθήτην αἰτίαν δίδωσι τῆ ταραχθέντας περιπεσεῖν Ἀγαμέμνονι· διὰ γὰρ τὴν ταραχὴν ἢ ἀφηνίασιν τῶν ἵππων συμπλέκονται αὐτῷ. BL.

ὅπως ἢ λόγον προέμενος διδάξειαν τὰ περὶ τῆ πατρός. V.

128. σφέας: ἡ διπλῆ, ὅτι τῇ αἰτιατικῇ ἀντὶ τῆς γενικῆς, ἀντὶ τῆ αὐτῶν. A.

φύγον: ὅτως Ἀρίσαρχος. ἄλλοι δὲ φύγεν. A.

129. ἐναντίον: ὅτως ἐναντίον. A.

130. ἡ διπλῆ, ὅτι δυωδεκασύλλαβος ὁ στίχος, ἢ σπανίως χρῆται, ὡς ἢ ἐν Ὀδυσσείᾳ „τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἐλλήλοιιν" (Od. 21, 15). ἡ δὲ ἀναφορὰ πρὸς ἐπίκρισιν τῆς στιχοποιίας, ὅτι εὐτελεῖς τῇ κατασκευῇ δοκοῦσιν εἶναι οἱ τοιοῦτοι. ἢ ὅτι τὸ γεναζέσθην καταχρηστικῶς ἀντὶ τοῦ θρέψασθαι. A.

τὼ δ' αὖτ' ἐκ δίφρου: καινὸν τὸ τῆς διαθέσεως. ἱκετεύσαι δύο, ἢ πεζὸν ἐποχούμενοι ἅρματι, ἢ δ' ὅτιοῦν τῆς φυγῆς προνοούμενοι. BL.

131. ἄξια: ἢ τοῦτο προσαγωγὸν ὡς ληψομένα ὅσα βούλεται. εἰς εὐσέβειαν δὲ ἡμᾶς παρακαλεῖ, τὸν ἐξ ἀσεβείας χρηματισάμενον σεριστικὸν τῶν παίδων, δι' ὃς ἢ μάλιστα συνῆκε τὸν χρυσόν. BL.

132. πολλὰ δ' ἐν Ἀντιμάχοιο: οὐδεὶς Ἕλλην τοιοῦτος· εἰσὶ γὰρ πλούτῳ μᾶλλον ἢ δυνάμει ἐναβρυνόμενοι. BL.

Ζηνόδοτος πολλὰ δ' ἐν Ἀντιμάχῳ πατρός. A.

134. δύο εἰσὶ τὰ ἐναντιέμενα, τὸ θέλειν ἢ τὸ δύνασθαι ὅπερ ἄμφω προβάλλονται· τὸ γὰρ χαρίσαιτο ὡς μὴ ποσόντων αὐτῷ αἰθησιν τῶν δώρων. ἀνοήτως δὲ τῆ πατρὶ αὐτὸν ὑπομιμνήσκουσιν. BL. ἢ τῆ χρυσῆ, ὃ παρ' Ἀλεξάνδρου δῶρον ἔλαβεν. V.

135. ζωὸς: Ἀριστοφάνης ζωώ. AV.

137. ἀμείλικτον: ἀπηνῆ ἢ σκληρὸν ἢ ἀπαράκλητον ἢ ἀφιλάνθρωπον ἢ ἀνηλεῆ ἢ ἀδυσώπητον. A.

ἀμείλικτον μὲν ἑαυτοῖς, δικαίαν δέ. BL.

138. εἰ μὲν δὴ: εἰρωνικῶς τοῦτό φησιν ὡς δὴ φαύλην παλαιᾶς μνείαν τινὰ ποιούμενος. BL.

δαΐφρονος: ἢ τοῦτο ἐν εἰρωνείᾳ· φαύλην γὰρ γνώμην εἰσενεγκὼν εἰς Τρῶας διήγειρε πολεμεῖν. εἰ δὲ ἢ τὸν πολεμικὸν δηλοῖ, κατ' εἰρωνείαν ἢ τοῦτο, ὅτι τὸς ἐν σπουδῇ ἀφικομένους κτεῖναι παρῆνει ὥσπερ τι γενναῖον ποιεῖν μαχῶν. BL.

Ζηνόδοτος γράφει κακόφρονος. V.

140. ἀγγελίην: ἀντὶ τῆ εἰς πρεσβείαν. δύο δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὸ ἄγγελμα, ὡς ἐν τῷ „ἀγγελίην εἰποιμι περίφρονι Πηνελοπείῃ" (Od. 15, 313), τὸν ἄγγελον ἤτοι τὸν πρέσβυν, ὡς ἐνταῦθα „ἀγγελίην θύντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ." ABD.

μετ' ὀνόματος εἰρηνικῆ ἐλθόντα (ἥκοντα L) παρὰ τῶν ἀνθρώπων νόμον φονεύειν ἐπεχείρησεν. BL.

141. ἔμεν: δασυντέον· τὸ γὰρ εἶναι ἢ ἀφεῖναι παρὰ γῆς γέγονεν ἔμεναι, ὡς τὸ θεῖναι θέμεναι. A.

142. τῆ πατρὸς: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει πατρός. ἔχει δὲ ἐνικὸν τῆ ἑαυτῆς ἢ τῆ ἑαυτῆ, ὅπερ ἀκόμοζει. ἐλλείπει δὲ ἡ πρόθεσις, ἢ ἔστιν ἀντὶ τῆ περὶ τῆ πατρός. τινὰς μέντοι φησὶν Ἀρίσαρχος σφῆ πατρός, τοὺς δὲ τοῦ πατρός. AV.

λώβην: ἣν ἐλωβήσατο εἰς Ἕλληνας. διδάσκει δὲ καὶ τὰ πατέρων ἢ παισὶ φυλάττονται. BL.

144. ὁ δ' ὕπτιος: ἡ διπλῆ, ὅτι ἀπὸ τῆς πληγῆς, ἐπὶ τὴν πληγὴν πίπτει. A.

Ἀρίσαρχος ὁδὰς ἔρεισεν. A.

οὔδει ἐρείσθη: ὅτως αἱ Ἀρισάρχου. V.

145. ἀπόρουσε: ἐωρακὼς τὴν ἀπώλειαν τῆ ἀδελφῆ·

146. Ἀρίςαρχος πλήξας. A.

πλήξας αἱ πλείȣς. V.

οἰκεία ἡ κόλασις τῷ τȣ̃ πατρὸς ἀδικήματι· κεφαλή τε ἀποτέμνεϑ ἡ φθεγξαμένη γνώμην πονηράν, ϗ χεῖρες αἳ ρυσὸν ἔλαβον. BLV. ὡς ϗ Πάνδαρος τιτρώσκεϑ διὰ τῆς λώττης (Il. 5, 292), ϗ ὁ Λοκρὸς Αἴας ἐν τῷ ἀγῶνι λοιορησάμενος Ἰδομενέα ὄνθου τὸ ςόμα πληροῦται (Il. 23, 77). V.

147. ὅλμον δ' ὡς; ὅλμου δίκην εἴασεν αὐτὸν ῥίψας υλίεσϑ· ὅλμος δέ ἐςι κοῖλος λίθος, εἰς ὃν κόπτȣσιν ὄσπρια ἄλλα τινά. AD. ἡ διπλῆ δέ, ὅτι ἅπαξ ἐνταῦθα κέχρηϑ· ὅτι ἐν Ἰλιάδι εὐτελέσι κέχρηται λεξιδίοις, οὐ μόνον ἐν δυσσείᾳ, χοίνικος (Od. 19, 28) καὶ λύχνου (ib. 34), πρὸς ὡς χωρίζοντας. A.

ὁ κυλινδρώδης λίθος οὕτω καλεῖται, ᾧ ἐμφερὲς καὶ τὸ κεῦος ὁ ὅλμος. ἔςι δὲ ϗ ξύλον καὶ λίθος ὁ ὅλμος. δεῖ δὲ άχειν ἐξαίρετα υἱȣ̀ς ὄντας τȣ̃ αἰτίȣ τȣ̃ πολέμου. ϗ ὅσῳ ἐν δεινὰ ποιεῖ, φιλαδελφίας ἐμφαίνει μέγεθος· εἰ δὲ Μελλαος ἦν, μικροψυχίαν ἂν αὐτοῦ κατεγνώκειμεν, εἰ ὑπὲρ αυτȣ̃ πικρὸς ȣ̃τως ἐφαίνετο. BV.

149. εἰς τὸ Ἀχαιοί τελεία, καὶ τὸ ἑξῆς ἀσύνδετον· ȣ̃τοις γ' ἥδεϑ ἐν ταῖς μεταβάσεσιν. V.

150. πεζοὶ μὲν: πολὺ βέλτιον ταῦτα ἀφ' ἑτέρας ἀρῆς ἀναγινώσκειν· ϗ γ' ἡ προάγȣσα διάνοια πεπλήρωται, οινȣ̃ νοȣμένȣ τȣ̃ ἐνόρȣσαν. ϗ ἄλλως ἀσυνδέτοις ἐπὶ τῶν εταβάσεων ἥδεται. A.

Ἀγαμέμνων δὲ πεζὸς ὢν ἱππέας ἀναιρεῖ ϗ σύνδυο. V.

151. ὦρτο κονίη: ὁ γ' κονιορτὸς κόνις ἐςὶν ὡρμηένη, ὅπερ ἄλλως ἐνταῦθα φράζει. BL.

152. τὸ ἐκ πεδίȣ δύναϑ ϗ τοῖς ἡγȣμένοις ϗ τοῖς ἑπονοις συντάττεσϑ· μᾶλλον δὲ τοῖς ἡγȣμένοις διὰ τὸ τοῦ ρθρȣ ὑπερβατόν. A.

153. χαλκῷ δηϊόωντες: ἤτοι τοῖς ἐπισσώτροις κόποντες τὴν γῆν, ἢ ὅτι συντακτέον τȣ̃το τῷ „πεζοὶ μὲν πεὺς ὄλεκον, ἱππῆες δ' ἱππῆας·" οἱ γ' (οὐ γ' οἱ D) τῶν ππων πόδες χαλκῷ ἐτίτρωσκον. AD.

τὸ ἑξῆς· ἱππεῖς δὲ ἱππέας ὄλεκον χαλκῷ δηϊόωντες. διὰ έσȣ δὲ τὸ ὑπὸ δέ σφιν. V.

154. Ἀργείοισι κελεύων: ȣ̀ μόνον αὐτὸν ἀριςεύοντα οιεῖ, ἀλλὰ καὶ τοῖς λοιποῖς εὐδοκιμήσεως αἴτιον γινόμεον. BL.

155. ἀξύλῳ: πολυξύλῳ, ἀφ' ἧς ȣ̀δεὶς ἐξυλίσατο, ἵνα λῆθος ἔχῃ ξύλων. ϗ ἐκ παλαιȣ̃ τμηθεῖσα ξηροτάτη καὶ ρὸς καῦσιν ἐπιτηδεία ἦν. A.

Πορφυρίȣ. ἄξυλον ὕλην οἱ μὲν τὴν πολύξυλον ἀποδεώκασιν, οἱ δὲ τὴν ὁμόξυλον. δηλοῖ γάρ, φασί, τὸ ᾱ αὶ τὸ ὁμȣ̃, ὡς ἐπὶ τοῦ ἀκόλουθος (ἔςι γὰρ ὁμοκέλευθος) αὶ ἄβρομοι, ἅμα βρόμῳ, καὶ ἄϊαχοι, ἅμα ἰαχῇ, ȣ̃τως καὶ λοχος καὶ ἄκοιτις ἡ ὁμόλεχος ϗ ὁμόκοιτις. καὶ ἄξυλος ȣ̀ν ὁμόξυλος διὰ τὸ πυκνόν. ἐμοὶ δὲ δοκεῖ ἄξυλον λέγειν ȣ̀ ατὰ ςέρησιν τȣ̃ ξύλȣ (ἐπάγει γ' „οἱ δέ τε θάμνοι πρόῤῥιζοι πίπτȣσιν") ἀλλὰ κατὰ ςέρησιν τȣ̃ ξυλίσασϑ, ἵνα ᾖ ἄξυλος ὕλη ἐξ ἧς ȣ̀δείς πω ἐξυλεύσατο, τουτέςιν ἀφ' ἧς ξύλον ȣ̀δεὶς ἔκοψε. ϗ ἡ ἄκοιτις δὲ καὶ ἡ ἄλοχος, ὡς ἐμοὶ δοκεῖ, κυρίως ἡ παρθενικὴ λέγεϑ, παρὰ τὸ λέχȣς ἑτέρȣ μὴ μεταχεῖν μηδὲ κοίτης, παρὸ ϗ λέγει „κουριδίης ἀλόχου," τῆς ἐκ παρθενίας, ἀλλ' ȣ̀ λέχȣς ἑτέρȣ μεταχȣ́σης. λοιπὸν δ' ἡ κατάχρησις ϗ ἐπὶ τȣ̀ς ἄλλȣς μετήγαγεν, ὥσπερ κυρίως τὸ ἀλεξῆσαι τὸ ὑπὲρ τῶν ἀλόχων βοηθεῖν· λέγει γ' Ἕκτωρ „ἀλλ' ἵνα μοι Τρώων ἀλόχȣς ϗ νήπια τέκνα προφρονέως ῥύοισϑε" (Il. 17, 223)· λοιπὸν δὲ ἐν καταχρήσει γέγονεν ἐπὶ τȣ̃ ὁπωσȣ̃ν συμμαχεῖν. καὶ τὸ ἀΐδηλον δὲ πῦρ ȣ̀κ ἔςι τὸ μεγαλόδηλον, ἀλλὰ τὸ ἀδηλοποιόν, ἐξ ȣ̃ σημαίνει τὸ ἀφανιςικόν. οὕτως γοῦν ἔφη „σὺ δὲ κτείνεις ἀϊδήλως" (Il. 21, 220), ἀφανίζων ϗ ἀδήλȣς ποιῶν. ȣ̀ κακῶς δὲ καὶ Σέξτος ἀΐδηλον ἀποδέδωκε τὸ ἐξ ἀδήλȣ ἐμπεσόν. ἡ παραβολὴ ȣ̀ν πρὸς τὴν συνέχειαν τῶν πιπτόντων· τί δ' ὀξύτερον ἢ εὐκινητότερον πυρός; BL.

ἡ διπλῆ πρὸς τὴν ἄξυλον, ὅτι πολλὰς ἐκδοχὰς ἔχηκεν. οἱ μὲν γ' τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον. βέλτιον δὲ ἀφ' ἧς ȣ̀δεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος „τῆλε γ' ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν." A.

156. εἰλυφόων: σημαντικῷ τῷ ὀνόματι χρῆϑ· δηλοῖ γ' τὴν μετὰ ἑλίξεως ϗ περιςροφῆς τȣ̃ πυρὸς κίνησιν. εἰς ἐπίτασιν δὲ ϗ ἄνεμον ἐπιγενέσϑ φησίν. BLV.

θάμνοι: οἱ σύμφυτοι τόποι, παρὰ τὸ θαμὰ καταφυτεύεσϑ αὐτȣ́ς, ὅ ἐςι πυκνῶς. οἱ δὲ τὰ χαμαίζηλα ϗ πολύκλαδα φυτά. AD.

157. πρόῤῥιζοι: τῶν γ' ὑπογείων ȣ̀ δύναται τοσȣ̃τον ἅπτεσϑ. BL.

Ἀρίςαρχος ὑγιῶς ἀναγινώσκει ἐπειγόμενοι, ὡς τυπτόμενοι· κατὰ γ' τῶν θάμνων κεῖται. A.

158. κάρηνα: ἀπὸ μέρȣς ἄνθρωποι. οἱ δὲ ἀκρωτήρια. D.

159. φευγόντων: τȣ̃το γ' αἴτιον τῆς ἀσώςου αὐτῶν ἀπωλείας, ὅτι ȣ̀δὲ ἀνθιςάμενοι ἀνῄρηντο. BL.

160. κείν': λέγει ὁ τεχνικὸς ἐν τῷ ὑπομνήματι τοῦ περὶ παθῶν Διδύμȣ· τὰ ὀξύτονα ἡνίκα ἐκθλίβηϑ τὴν ὀξυνομένην συλλαβήν, ἀναπέμπει τὴν ὀξεῖαν ἐπὶ τὴν ὀπίσω συλλαβήν, ϗ ἐὰν ᾖ ἡ ἐκθλιβεῖσα συλλαβὴ ἡ ἔχουσα τὴν ὀξεῖαν βραχεῖα, ἡ δὲ ὀπίσω συλλαβὴ φύσει μακρά, τῷ τονικῷ παραγγέλματι γίνεϑ περισπώμενον. περισπᾷ γȣ̃ν τὸ δῆλον (δεῖλ' Heyn.). ἐν δὲ τῇ Ὁμηρικῇ προσῳδίᾳ ἐναντιȣ̃ϑ τȣ́τῳ. A.

κροτάλιζον: ἀντὶ τȣ̃ ἕλκοντες ἠχὴν ἐποίȣν. D.

161. ποθέοντες: νȣ̃ν συνέθηκε τοῖς ἵπποις. V.

διαςήματα παρέχει, ὡς ϗ τῶν ἄλλων μνημονεύει, ὅτι ἐπράττετό τινα ὑπ' αὐτῶν διὰ τὴν τȣ̃ βασιλέως προτροπήν. V.

162. γύπεσσιν πολὺ φίλτεροι: μάλα εὐπρεπῶς (ἀρχαιοπρεπῶς V) ἔφρασεν ὅτι φίλτεροι ἦσαν τοῖς γυψὶν ὅτε ἀπέθανον, ἢ ταῖς γυναιξὶν ὅτε ἔζων. ἢ τοῖς μὲν γυψὶν ἔμελον, ταῖς δὲ γυναιξὶν οὔ. BLV.

163. ἐκ βελέων: ἡ ἐκ νῦν ἐπίπαν εἶναι ἀντὶ τȣ̃ ἐκτός

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεῖται. οὕτως οὖν καὶ ἐν Ὀδυσσείᾳ κεῖται „θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ" (11, 134). A.

ἀντὶ τοῦ ἔξω τῶν βελῶν. ἐντέχνως δὲ ἔχει καὶ ταῦτα· τό τε γὰρ παρόντα ἐλαττοῦσθαι Ἀγαμέμνονι οὐ σύμφωνον τῇ ποιήσει, τό τε περιφεύγειν αὐτὸν ὑ τῆς θρασύτητος Ἕκτορος. καλῶς οὖν τὸν Δία φησὶν αὐτὸν ἐξαγαγεῖν, ὡς εἴπερ παρῆν, ἀπέλαυσεν ἂν τοῦ δεινοῦ. BL.

165. τὸ σφεδανόν ἑκατέροις δύναται προσδίδοσθαι. σημαίνει δὲ ἡ λέξις ἐπεικτικὸν καὶ ἐπεσραμμένον, οἷον σφενδονηδόν, ἀπὸ τῆς σφενδόνης. οὕτως Ἀρίσαρχος. A. ἐπεικτικόν, σφοδρόν· ἢ καταπληκτικόν. D.

οἱ μὲν ἀντὶ τοῦ σφενδονηδόν, οἱ δὲ ἀντὶ τοῦ σπευσικῶς εἵπετο. BL.

166. μέχρι τοῦ μέσσον κὰπ πεδίον συναπτέον, εἶτα βραχὺ διασαλτέον· ὁ γὰρ ἐρινεὸς οὐκ ἐν μέσῳ τῷ πεδίῳ, ἀλλ' ἐγγὺς τῆς πόλεως· „λαὸν δὲ σῆσον παρ' ἐρινεόν, ἔνθα μάλισα ἄμβατός ἐσι πόλις" (Il. 6, 433) καὶ ἀλλαχοῦ „οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεόν" Il. 22, 145). ταῦτα μὲν ὅτι πλησίον τοῦ τείχους ὁ ἐρινεός. ὅτι δὲ καὶ ἐν μέσῳ τῷ πεδίῳ ἐσὶ τὸ Ἴλου σῆμα, φανερὸν ἐξ ἐκείνου „Ἕκτωρ μὲν μετὰ τοῖσιν ὅσοι βουλὰς βουλεύουσιν θείου παρὰ σήματος Ἴλου" (Il. 10, 414). ἐπαυλίζονται δὲ ἐν μέσῳ τοῦ πεδίου ἐπὶ τοῦ θρωσμοῦ, „οὐκ ἀΐεις ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο" (ib. 160), ὅ τε Ἀλέξανδρος ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ τοξεύει „σήλῃ κεκλιμένος Ἴλου Δαρδανίδαο" (371)· ἡ δὲ μάχη ἐν τῷ πεδίῳ. συναπτέον οὖν ἀναγινώσκοντας ἕως τοῦ μέσσον κὰπ πεδίον, εἶτα βραχὺ διασείλαντας τὰ ἑξῆς ῥητέον· καὶ οὕτως λυθήσεται τὸ ἐν τῷ τόπῳ ἄπορον καὶ Ἴλου σῆμα καὶ μέσον πεδίον καὶ ἐρινεὸς καὶ ἡ πόλις ἐν ταὐτῷ. παρέρχονται μὲν γὰρ τὸ μέσον πεδίον, ἐν ᾧ τὸ Ἴλου σῆμα, σεύονται δὲ πρὸς τὸν ἐρινεόν, ἵενται δὲ τῆς πόλεως. ὡς εἰ οὕτως ἔλεγεν, οἱ δὲ διὰ μέσου τοῦ πεδίου παρὰ τὸ Ἴλου μνημεῖον ἔφυγον πρὸς τὸν ἐρινεόν, σπεύδοντες εἰς τὴν πόλιν. A.

ἀξιοπίσως τὰ ὀνόματα τῶν τόπων, ὡσεὶ παρὼν τοῖς γινομένοις, φησίν. V.

ἡ διπλῆ πρὸς τὸ περὶ τοῦ ναυσάθμου διάγραμμα· τὸ γὰρ Ἴλου σῆμα κατὰ μέσον εἶναί φησι τῷ πεδίῳ. A.

Δαρδανίδαο: προγονικῶς· Δαρδάνου γὰρ Τρώς, οὗ Ἶλος. V.

170. Σκαιάς τε πύλας: κατὰ τρεῖς τρόπους Σκαιαὶ πύλαι, ἢ ἀπὸ Σκαιοῦ τοῦ δημιουργήσαντος αὐτάς, ἢ ὅτι ἐν τοῖς σκαιοῖς ἤγουν τοῖς ἀριστεροῖς μέρεσι κεῖνται· σκαιὰ γὰρ τὰ ἀριστερά, ὡς καὶ ὁ ποιητὴς ἐδήλωσεν εἰπὼν „εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε, εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα" (Il. 12, 239). ἢ παρὰ τὸ σκαιῶς βεβουλεῦσθαι τοὺς Τρῶας· τὸν γὰρ δούριον ἵππον κατ' αὐτὰς ἐδέξαντο. B.

δι' ὀλίγου εὐφράνας τὸν ἀκροατὴν ἐπὶ τὰ συνεκτικὰ ἔρχεται· δεῖ γὰρ συνωθεῖσθαι τοὺς Ἀχαιοὺς εἰς τὴν ἔξοδον Πατρόκλου. L.

171. ἀλλήλους ἀνέμιμνον; νῦν μὲν περιμένουσιν ἀλλήλους· ὅτε δὲ ὑπὸ Ἀχιλλέως διώκονται „οὐδ' ἄρ' ἔτ' ἐν μεῖναί τ' ἀλλήλους καὶ γνώμεναι ὅς τέ περ φεύγει ὅς τε ἔθαν' ἐν πολέμῳ" (Il. 21, 608). οὕτως ἑκατέρῳ προσάπτω τὸ κατ' ἀξίαν ἀπονέμει. V.

173. ἐφόβησε: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ εἰς φυγὴν ἔτρεψεν. A.

ὡς καὶ πρώην ἡ ἔλαφος. ἀλλ' εἶχε προθυμίαν τινὰ ἐπίνη ἐπαμῦναι τοῖς τέκνοις, αἱ δὲ παντελῆ φυγήν. V.

ἐν νυκτὸς ἀμολγῷ: τῷ καιρῷ ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ θρέμματα. τινὲς δὲ τὸ μεσονύκτιον, ὅτι αὐτῷ οὐδεὶς μολίσκει οὐδὲ πρόεισιν. AD.

174. τῇ δέ τ' ἰῇ: ὡς γάρ, λέγει, φοβεῖ μὲν πάντας βοῦς, κτείνει δὲ τὴν πλησίον, οὕτως ὁ Ἀγαμέμνων ἔδεκε μὲν πάντας, ἔκτεινε δὲ ὃν κατελάμβανεν ὑστεροῦντα. τὸν δὲ τὴν ἑσπέραν δοκεῖ ὁ λέων τοῖς τετραπόδοις ἐπιγρεῖν. LV.

176. λαφύσσει: μετὰ σκυλμοῦ ἐσθίει. A. μετὰ πολλοῦ ἤχου ἀναῤῥοφεῖ ἢ κενοῖ ἐσθίων, παρὰ τὸ γλαφυρὸν πολλοῦ ὅ ἐσι κοῖλον. D.

179. 180. ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παράκεται ὅτι κατὰ τὴν Πατρόκλου ἀριστείαν (Il. 16, 379) τάξιν ἔχει νῦν δὲ οὔ· προείρηται γὰρ „πολλοὶ δ' ἐριαύχενες ἵπποι καὶ ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας" (159). Ζηνόδοτος οὐκ ἔγραφεν· Ἀριστοφάνης δὲ ἠθέτει τὸν „Ἀτρείδαι ὑπὸ χερσίν." A.

Ἀριστοφάνης τοὺς δύο ἀθετεῖ, Ζηνόδοτος δὲ οὔ. V.

183. πιδηέσσης: πῖδαξ γίνεται παρὰ τὸ πιδῶ τὸ ἰδρῶ ἱδρῶτα γὰρ τῆς γῆς οἱ φυσικοὶ τὰς πηγὰς λέγουσιν. ἢ ἐκ τοῦ πίνω πίναξ καὶ πῖδαξ. B.

ἡ διπλῆ, ὅτι διὰ τούτων συνίστησι τὸν Δία ἐπὶ τὴν Ἴλιον πεπορευμένον ἐκ τοῦ Ὀλύμπου. A.

184. στεροπὴν: Ἀρίσαρχος μετὰ τοῦ ᾱ ἀστεροπήν. ἄλλως. ἀστεροπὴν λέγει οὐ τὴν ἀποτελουμένην ἀστραπὴν ἀλλὰ τὸ ὁμώνυμον ὄργανον, ὅπερ τινασσόμενον τὴν ἀστεροπὴν ἀποτελεῖ· „βῆ ῥ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων χειρὶ λαβὼν ἐτίναξεν" (Il. 13, 242). A.

186. βάσκ' ἴθι: Τυραννίων ὑφ' ἕν, ὡς ἄπιθι. ἄλλον δὲ ταυτολογίαν εἶναι ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ „ἔλθοι καὶ ἵκοιτο". δύναται δὲ καὶ ἴθι ἐπίρημα παρακελεύσεως εἶναι, ἄγε δὴ πορεύου, ὡς Νικάνωρ φησίν, ὡς τὸ „ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν" (Soph. Aj. 1003). V.

ἡ διπλῆ, ὅτι οὐ κατ' ἐπίθετον τὸ ταχεῖα, ἀλλ' ἀπὸ τοῦ ταχέως, οἷον καὶ „τότε μοι χάνοι εὐρεῖα χθών" (Il. 182). ὁ λόγος δὲ αἱρεῖ στίζειν τελείᾳ ἐπὶ τὸ ταχεῖα· δύο λόγοι αὐτοτελεῖς, πορεύθητι ταχέως Ἶρι, τοῦτον εἰπὲ τὸν λόγον Ἕκτορι, ἡ δὲ συνήθεια καὶ τὰ τοιαῦτα συνάπτει.

187. ὄφρ' ἂν μέν κεν ὁρᾷ: ὕψωσιν περιέχει ὁ λόγος, ὡς καὶ τοῦ θεοῦ παραινοῦντος τῷ ἀπονενοημένως κινουνεύοντι. V.

190. μάρνασθαι: ἐκ τοῦ μάρνημι. τοῦτο ἐκ τοῦ μ

μάω, ὃ σημαίνει τὸ φθείρω· ὁ μέλλων μαρανῶ, ἢ συγκοπῇ μαρνῶ, καὶ ἐξ αὐτῆ μάρνημι. B.

ὑσμίνην: ὑσμίνη γίνεται ἐκ τῆ ὑπομένω ὑπομονή, καὶ συγκοπῇ καὶ πλεονασμῷ τῆ σ γίνεται ὑσμίνη· δεῖ γὰ ὑποστῆναι ἐν τῷ πολέμῳ. B.

191. ἡ διπλῆ πρὸς τὴν διαφορὰν τῆ τύψαι καὶ βαλεῖν. A.

ἀξιοπίστως ἐπιδιεξάγων φησί· τὸ γὰρ ὁρίζειν ὡς τρωθήναι λύοντος ἦν τὸ μέλλον εἰσάγεσθαι πάθος ἐκ τῆς τῆ βασιλέως πληγῆς. LV.

192. ἄλεται: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ ἅλῃ. ψιλᾶται, εἴτε διὰ τῆ ἐκκλίνειν τάσσῃ, ὡς φησιν ὁ Ἀσκαλωνίτης, εἴτε διὰ τῆ συρραφῆναι, ὡς καὶ Τυραννίων, ᾧ καὶ μᾶλλον συγκατίθεμαι. πολλὴ δὲ ἡ κίνησις αὐτῆ παρὰ τῷ ποιητῇ· ὁριστικὸς μὲν γὰρ δεύτερος ἀόριστος „τῇ ὕπο πᾶς ἐάλη" (Il. 13, 98) καὶ πληθυντικὸν τρίτον κατὰ συγκοπήν „οἱ δή τοι πᾶς ἄξυ ἄλεν" (Il. 22, 12), ἀπαρέμφατόν τε „ἢ λαοὺς εἰς τεῖχος ὁμοκλήσειεν ἀλῆναι" (Il. 16, 714). καὶ ὥσπερ ἡ φαίης μετοχή, ὅτως καὶ ἡ ἀλείς· „οἴμησεν δὲ ἀλείς" (Il. 22, 98), καὶ ἐδέτερον „ᾗ χειμέριον ἄλεν ὕδωρ" (Il. 23, 420), καὶ πληθυντικὸν ἀρσενικόν „αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπεύσωσιν ἀλέντας" (Il. 21, 534), καὶ γενικὴ „πόλις δ' ἔμπλητο ἀλέντων" (Il. 21, 607). τότε τοίνυν ὑποτακτικὸν ἁλῇ ὡς λάβῃ. συχνὴ ἂν ἐγένετο ἡ μεταβολὴ ἐγκλίσεως, μᾶλλον τῷ „ἐπεὶ ἄρ κεν ἀμείψει ἕρκος ὀδόντων" (Il. 9, 409)· „ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύῃ ἠπεροπευτής" (Od. 15, 330)· καὶ τὸ „ἢ αὐτὸς φθίῃ πρώτῳ ἐν ὁμίλῳ" (Il. 20, 373). τὸ δὲ ὅλον γέγονεν ἀπὸ τῆ ἀλῶ, ὃ σημαντικόν ἐστι τῆ πλανῶ, ὅπερ ψιλᾶται. A.

κράτος ἐγγυαλίξω: ἵνα μὴ λυπώμεθα ὡς τοῖς Τρωσὶν ἡττωμένοις τῶν Ἀχαιῶν, ἀλλὰ Διί. LV.

194. δύη τ' ἠέλιος: ἵνα εἰδῶτες τὸν καιρὸν τῆς ἥττης, μὴ βαρέως ἀκόωμεν τῶν λεγομένων κακῶν περὶ τῶν Ἑλλήνων. LV.

κνέφας ἱερόν: ἐπειδὴ „μακάρων τοι νύκτες ἔασι" (Hesiod. O. 730), διὰ τῆτο ἱερὸν φησι τὸ κνέφας. V.

196. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. καὶ ὅτι νῦν γραιτέον „κατ' Ἰδαίων ὀρέων" ὅταν δὲ ἀπὸ τῆς Ἴδης ἐπὶ τὸν Ὄλυμπον „βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐπὶ μακρὸν Ὄλυμπον" (Il. 8, 410), ὡς ἀπ' ἴσα ἐπ' ἴσον. A.

198. ἑσταότ': ὅρα τί καταλαμβάνει πράττων ὁ βάρβαρος. ἔσηκεν ἀργὸς ἐπὶ τῶν ἁρμάτων, μήτε πολεμῶν μήτε ἐγκελευόμενος τοῖς φεύγουσιν. Ἕλλην δὲ ἂν ἐποίει τοῦτο. LV.

201. σημειῶνταί τινες ὅτι ἐν ἴσῳ τῷ σοὶ ἡ τείν ἀντωνυμία Δωρικὴ ἂσα κατὰ πλεονασμὸν τῆ ε ἐξηνέχθη, ὅθεν καὶ πλάσσεται ὁ αὐτὸς τόνος. A.

212. πάλλων: τοῦτο ποιεῖ ὑπόνοιαν διδοὺς τοῖς Τρωσὶν ὡς καὶ αὐτὸς μάχῃ· ἃ γὰρ ἔδει λάθρᾳ ὑποχωρῆσαι, μὴ ἵνα χαλεπωτέραν ὑποψίαν παράσχῃ τοῖς Τρωσίν. LV.

215. ἑτέρωθεν: ἔν τισι καὶ αὐτοί. A.

217. πρῶτος ὄρουσ': ἵνα καὶ τὰς ἄλλας διὰ τῆς ἰδίας προθυμίας προτρέψηται. κοινὸν δὲ ἀμφοτέρων τὸ πολύ, τῶν τε Τρώων καὶ τῶν Ἑλλήνων. V.

ὡς ἂν παροξυνθεὶς ἐπὶ τῷ θράσει τῶν βαρβάρων ἐπιμένει τῇ προθυμίᾳ. LV.

πρὸς τὸ ἔθελεν, ὅτι διὰ παντὸς ἀπὸ τῆ ε ἄρχει παρὰ τῷ ποιητῇ. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „μήτε σὺ Πηλείδη θελ'" (Il. 1, 277), ὅτι ἐγκλιτέον τὴν ἀνάγνωσιν, ἵν' ᾖ ἔθελε. A.

218. ἔσπετε νῦν μοι Μοῦσαι: ἐπὶ τοῖς μεγίστοις τὰς Μούσας καλεῖ, ὡς ἐρῶν τι καινότερον· αἱ γὰρ τοιαῦται προπαρασκευαὶ ἀκμαιοτέρας ποιοῦσι τὰς προσοχὰς τοῖς ἀκροαταῖς. B.

219. Ζηνόδοτος καὶ Ἀριστοφάνης ἀντίος, Ἀρίσταρχος ἀντίον διὰ τῆ ν. AB.

220. ὑπερβολικῶς ὥσπερ μέγα αἴτημα ἀπὸ πολλῶν μυριάδων ἄττει. V.

221. Ἰφιδάμας: ἐὰν αὐτὸν τῶν ἐπικούρων εἴπωμεν, ἐπεὶ καὶ Θρᾷξ ἦν καὶ ἦγε Θρᾷκας ἐπικούρους, ἔσαι πρὸς τὸ δεύτερον πρότερον ἀπηντηκώς. γεγέννηται μέντοι ἐν Τροίᾳ· ἡ γὰρ Θεανὼ ἱέρεια τῆς Ἀθηνᾶς ἅσα ἐκ ἄν ποτε εἰς Θρᾴκην ἐξεληλύθει, καὶ ἦν πατρὸς Τρωός· γεννηθεῖσα δὲ ἐδόθη τρέφεσθαι τῷ μητροπάτορι· ἔτος δὲ μόνος παρὰ τοῖς Τρωσὶ τὴν ἀδελφὴν τῆς μητρὸς ἔγημεν, ὥσπερ καὶ παρὰ τοῖς Ἕλλησι Διομήδης. ἡ διπλῆ δέ, ὅτι ὡς ἐμπνευσθεὶς ἀνταποδέδωκε καθάπερ ἐν ἀρχῇ τῆς Ἰλιάδος „τίς τ' ἄρ σφωε θεῶν," εἶτα „Λητῆς καὶ Διὸς υἱός." A.

νεώτατος ἔτος, Κύων δὲ „πρεσβυγενὴς Ἀντηνορίδης" (249). ἡ δὲ ἐπεξήγησις τῶν ἀναιρεμένων πίστιν ἀληθείας ὑπογράφει, καὶ πρὸς ἀξιοπιστίαν βασιλικοὺς ποιεῖ φονευομένους. ἄδηλα δὲ τὰ τῶν πολέμων· διὸ φονεύει τῆτον Ἀντηνορίδην ὄντα, ἀγνοῶν τίς ἐστιν. V.

τῆτο ἔτως συντακτέον „Ἰφιδάμας Ἀντηνορίδης ἠΰς τε μέγας τε, (231) ὅς ῥα τότ' Ἀτρείδεω Ἀγαμέμνονος ἀντίος ἦλθε," καὶ τὰς λοιπὰς ἐννέα σίχας διὰ μέσα. B.

222. μητέρι μήλων: Ζηνόδοτος μητέρι θηρῶν. τῇ δ' ἐριβώλακι συνάδει καὶ τὸ πολυθρέμμιατον, ἐ τὸ ἔνθηρον. A.

223. Κισσῆς, ὡς Ἑρμῆς· καὶ μήποτε παρὰ τὸ κισσός παρώνυμόν τι ἐγένετο Κισσέας, καὶ κατὰ συναλοιφὴν Κισσῆς. A.

τὸ Κισσῆς ἀπὸ τοῦ Κισσέας κατὰ κρᾶσιν· διὸ περισπαστέον. ὡς νεώτατον δὲ εἰς εἰρηνικὰ χωρία διδόασιν ἐκτρέφεσθαι οἱ γονεῖς. BL.

226. ἡ διπλῆ, ὅτι ὅμοιος ὁ γάμος Διομήδης καὶ Ἰφιδάμαντος· ἀμφότεροι γὰρ μητρὸς ἀδελφὰς ἐγάμησαν, ὁ μὲν Αἰγιάλειαν τὴν Ἀδράστε, Ἰφιδάμας δὲ Κισσέως θυγατέρα, ὧν Θεανὼ υἱὸς τῆς Κισσέως. A.

νῦν μὲν ψιλὸν τὸ τῆς ἐκδόσεως, ἐν δὲ τοῖς ἑξῆς καὶ ἐπεξεργασίᾳ τινὶ κέχρηται· „ἧς οὔ τι χάριν εἶδε, πολλὰ δ' ἔδωκε" (243). καὶ ἔχει δαιμονίως τὰ τῆ ἐπιμερισμῆ. ὅπου μὲν γὰρ διηγεῖται, ψιλὸν τὸ τῆς ἐκδόσεως ἔθηκεν· ὅπου δὲ παθαίνει ἐπὶ τῷ ἀνηρημένῳ, καὶ περὶ δώρων ὑποβάλλει καὶ παίδων. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

227. γήμας δ': βραχὺ διαςαλτέον μετὰ τὸν σύνδεσμον, πρὸς τὸ σαφέςερον. καὶ ὅτι καθ' ὑπερβολὴν ἐμφαίνει τὸ ὑπόγυιον τȣ̃ γάμȣ ϗ τὴν περὶ τὸν πόλεμον σπȣδὴν ϗ τὸ οἰκτρὸν τῆς ἀναιρέσεως. A.

μετὰ κλέος ἵκετ' Ἀχαιῶν: μετὰ τὴν ἀκοὴν τῆς ἐπιςρατείας τῶν Ἑλλήνων. κληδόνα ἢ φήμην ἀκȣ́σας ὅτι ἐπεςράτευσαν τῇ Τροίᾳ. D.

ὡς νέος ϗ νεωτέρων πραγμάτων ἐρῶν· φιλοπόλεμοι γὰρ οἱ νέοι, ὡς ϗ Πίνδαρος „γλυκὺς ἀπείρῳ πόλεμος, ἐμπείρων δέ τις ταρβεῖ προσιόντα μιν" (νιν L. νιν περισσῶς· οὕτω Πίος V). ABLV.

ἡ γὰρ ἧττα τȣ́τȣ δόξα τῶν Ἑλλήνων ἐγίνετο. A.

229. λίπε νῆας ἐΐσας: ἐθαλασσοκράτȣν γὰρ οἱ Ἕλληνες· διὸ τὰς ναῦς καταλιπὼν πεζὸς ἦλθεν εἰς Τροίαν. ἡ δὲ Περκώτη πόλις Ἑλλησπόντȣ. AD.

ἀρχαία αὕτη ἦν· νῦν Πάλαι - Περκώτην καλοῦσι. τῆς Λαμψακηνῶν δὲ ἦν χώρας. V.

230. διχῶς, ϗ ἐών ϗ ἰών. A.

233. ἅμαρτε: ἀπέτυχεν. μόνον νῦν ὁ πρότερος ἀφεὶς νικᾷ ϗ δεύτερον ἀφείς. ἐν δὲ ταῖς ἄλλαις μονομαχίαις τετήρηται ὅτι ὁ πρότερος ἀφεὶς νικᾶται. AD.

ἀξιοπίςως, ἵνα μὴ πάντα ἐπιτυγχάνοντα εἰσαγάγῃ. ἅμα δὲ ϗ τὸ ἀνθρώπινον ἐνδείκνυται. BL. εἰς δὲ τὴν ἀριςείαν Ἀγαμέμνονος συντελεῖ τὸ μηδὲ τοῦτον φεύγειν, ἀλλὰ τῇ δευτέρᾳ πληγῇ ἀναιρεθῆναι. V.

234. κατὰ ζώνην θώρηκος ἔνερθε: ἡ διπλῆ, ὅτι ȣ̓ λέγει διὰ τȣ̃ θώρακος ἔνερθεν ἐντὸς θώρακος, ἀλλὰ κατὰ ζώνην θώρακος, τὴν θωρακοζώνην λεγομένην· τὸ δὲ ἔνερθεν εἰς τὸ κάτω μέρος τῆς θωρακοζώνης, ὡς ὅταν λέγῃ „νύξε δέ μιν κατὰ χεῖρα μέσην ἀγκῶνος ἔνερθεν" (252), ȣ̓χ ὑποκάτω τȣ̃ ἀγκῶνος, ἀλλὰ κατὰ τὸ ἔνερθε μέρος τοῦ ἀγκῶνος. ὁ δὲ λόγος ȣ̓τος, τῆς θωρακοζώνης εἰς τὸ κάτω μέρος ἔνυξεν. ABL.

τὸ κάτωθεν διχῶς νοεῖται, ἓν μὲν τὸ κατὰ βάθος, ἓν δὲ τὸ κατὰ μῆκος, ὅπερ βȣ́λεται λέγειν ϗ ἐπὶ Μενελάου „ὅθι ζωςῆρος ὀχῆες χρύσειοι σύνεχον" (Il. 4, 132) πρὸς τὸ δυσδιακόμιςον τῆς πληγῆς. V.

239. οἷ: ὀρθοτονητέον· εἰς γὰρ σύνθετον ἡ μετάληψις. A.

ἐφ' ἑαυτῷ, ὥςε μὴ χρήσασθαι ἔτι ἐκεῖνον τῷ δόρατι, ἐφ' ἑαυτῷ δὲ ἕλκει, οὐ δεδιὼς ἔτι τὴν τρῶσιν διὰ τὸ ἀνακεκλάσθαι τὴν αἰχμήν· δῆλον γὰρ ὅτι ἅμα ἕλκων ϗ ὑποχωρεῖ. ἢ τὸ ἐπὶ οἷ τοιοῦτόν ἐςιν, εἰς τὸ παρ' ἑαυτὸν μέρος, οὐ πάντως ἐπὶ τὸ σῶμα ἑαυτȣ̃. ὀρθοτονητέον δὲ τὴν οἷ, ϗ εἰς σύνθετον μεταληπτέον. BLV.

λὶς: ὁ μὲν Ἀρίςαρχος ὀξύνει, ὁ δὲ Αἰσχρίων περισπᾷ· ὡς γὰρ παρὰ τὸ μῦς μῦν, φησί, ϗ νȣ̃ς νȣ̃ν, ȣ̓τως ϗ λῖς λῖν· „ἐπί τε λῖν ἤγαγε δαίμων" (480). καὶ ἔςι συγκατατίθεσθαι τῷ Αἰσχρίωνι, ὅτι μᾶλλον ὀφείλει περισπᾶσθαι, εἰ ϗ μηδὲν τῶν εἰς ις ληγόντων ϗ ἀρσενικὸν γένος ὑπισχνȣμένων περιεσπάσθη. ϗ τάχα καθ' ἕτερον λόγον, ἵνα τὸ ἐπιθετικὸν καὶ σημαῖνον γένος θηλυκὸν ϗ ὀξυνόμενον ἀποφύγῃ, λέγω δὲ τὸ λὶς πέτρη (Od. 12, 64). τῷ μέντοι χαρακτῆρι τοῦ ϗ θίς καὶ ῥίς, καίτοι γε διαφόρως κλιθεῖσι πρὸς τὸν συνεξωμοίωσεν αὐτὸ κατὰ τόνον ὁ Ἀρίςαρχος· καὶ ἐπείσθη ἡ παράδοσις. A.

συντόμως ἅμα ϗ ἀληθῶς τῇ παραβολῇ ἐχρήσατο· οἱ λέοντες γὰρ ὑφαρπάζȣσι τῶν κυνηγετῶν τὰ δόρατα, ὁ ῥȣ́μενοι τῶν κτεινόντων τὰ ὅπλα, ϗ λανθάνȣσιν ἑαυτοὺς τιτρώσκοντες. BL.

242. βραχὺ διαςαλτέον ἐπὶ τὸ οἰκτρός καὶ ἀλόχου πρὸς τὸ σαφέςερον, ὑποςικτέον δὲ ἀνυποκρίτως ἐπὶ τὸ ἀρήγων· τὸ γὰρ ἑξῆς ἀλόχȣ κȣριδίης, τὸ δὲ ἀςοῖσιν ἀρήγων διὰ μέσȣ. δηλοῖ δὲ τȣ̀ς αὐτȣ̃ πολίτας· Ἀντήνορος γὰρ υἱός ἐςιν. εἰ δὲ συνάπτοιμεν ἀςοῖσιν ἀρήγων κουρίης ἁμαρτησόμεθα· ἡ γὰρ γυνὴ Θρᾷσσά ἐςιν, ὥσπερ ϗ ὁ πεὶς Κισσῆς. A.

ἐπεὶ περὶ θαλάμȣ ἔμπροσθεν διελέγετο καὶ κοίτης παρὰ γυναικί, περιπαθῶς τῇ ἐπιφωνήσει ἐχρήσατο. ἀςοῦσι δὲ τοῖς Τρωσίν, ἐπεὶ Ἀντήνορος ἦν παῖς. BL. τινὰ δὲ ἔθνος Θρᾳκικόν. V.

243. ἧς ȣ̓τι χάριν ἴδε: παρ' ἧς οὐδὲν αὐτῷ χάριν ȣ̓δὲ ἡδὺ ἐγένετο. D. ἤτοι ȣ̓κ ἐχάρη ἐπὶ τῇ συμβιώσει τῆς ȣ̓δὲ ἐπὶ τῇ τεκνοποιήσει. BL. τοιαῦτα ϗ ἐπὶ Πρίαμοι σιλάȣ· „τȣ̃ δὲ ϗ ἀμφιδρυφὴς ἄλοχος Φυλάκης ἐλέλαιτο ϗ δόμος ἡμετελής" (Il. 2, 701). V.

244. ἡ διπλῆ, ὅτι θρέμμα ἐδίδοσαν οἱ μνηςευόμενοι πρὸς τὴν ἐξήγησιν τῶν ἀλφεσιβοίων παρθένων (Il. 18, 5), ὅτι εἰσὶν αἱ ἀλφαίνȣσαι βόας, ὅ ἐςιν εὑρίσκȣσαι. A, B.

ὑπέςη: ὑπέχετο ἐκ τῆς ἐπιγονῆς τῶν ποιμνίων ἀποδȣ̃ναι ϗ ταῦτα. BL.

ὅρα ὅτι παρὰ τὴν τάξιν ἀλλοιότερα φαίνεται. εἶπε γὰρ δ' ὅγε θυγατέρα ἦν, λαμβάνων ἐπ' αὐτῇ δῶρα τάδε ἄκαιρος ἦν ἀδολεχία. ἐκεῖνο μὲν ȣ̓ν ψιλῶς διηγήσατο, ὁ δὲ συμπαθῶν φησὶν ὅτι σπȣδάσας περὶ τὴν γυναῖκα ὤνατο αὐτῆς. οἰκειότατα ȣ̓ν ἔχει ἡ τομὴ τȣ̃ διηγήματος. A.

245. ἄσπετα: ἀπαρακολȣ́θητα. D.

247. τεύχεα καλά: ἔοικε διαφέροντα εἶναι τὰ τῶν ὡς νέȣ ϗ νυμφιδίȣ· διὸ ȣ̓δὲ παρέρχεται αὐτὰ ὡς τἆλλα. A.

248. τὸν δ' ὡς οὖν: εἰκὸς γὰρ ὑπερασπίζειν αὐτὸν ἀδελφὸν διὰ τὸ ἄπειρον ϗ νέον τῶν πολεμίων. V.

249. ὁ ῥά σύνδεσμος ἐγκλιτικὸς ὢν φυλάξει τὴν ὀξεῖαν διὰ τὴν ἓ ἀντωνυμίαν, νῦν ἐγκλιτικὴν ȣ̓σαν, ...

251. τὸ εὐράξ ὀξύνεται, καθότι τὰ εἰς αξ λήγοντα ἐπιρήματα ὀξύνεται, ὑπεςαλμένȣ τοῦ ἅπαξ. σημαίνει δὲ ἐκ πλαγίȣ. A.

λαθὼν Ἀγαμέμνονα: ἠνάγκασαι μὲν διὰ τὸ πρὸς τȣ̃ ἀδελφȣ̃ παρακινδυνεύειν, ȣ̓ τολμᾷ δέ, ἀλλὰ κλέπτει ἡ μάχην λεληθότως. δυςυχίας ȣ̓ν, ȣ̓κ ἀνανδρίας ἐγκαλεῖται Ἀγαμέμνων· ἀριςεύων γὰρ ὑπό τινος εὐτελοῦς ἐκ πλάγου τιτρώσκεται, ἔπειτα τῆς οἰκείας γῆς δυςυχῶς ἐπέβη. Μενέλαος δὲ τȣ̀ναντίον μαλθακὸς μὲν αἰχμητής, ἄλλως δὲ ἀκάριος. διδάσκει ȣ̓ν ὁ ποιητὴς ὡς ȣ̓ τέλεια τὰ ῥώμης, ...

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεως καὶ τύχης ποσῶς ἀπορȣ̃ντα. BLV.

252. χεῖρα: τὴν ἀριςερὰν· καὶ γὰρ ἐν τῷ ἐπιταφίῳ ἀνί-
ιθ ἄκοντι ἀγωνίσασθαι. ἀλλὰ καὶ Ὀδυσσεὺς παλαίει τὴν
λευρὰν τρωθεὶς διὰ τὸ αἰφνίδιον καὶ λεληθός. V.

ἀγκῶνος ἔνερθεν: ἡ διπλῆ, ὅτι οὐ λέγει ὑποκάτω
ἀγκῶνος, ἀλλὰ κατὰ τὸ ἔνερθε μέρος τȣ̃ ἀγκῶνος. καὶ ἐν
ῶς ἐπάνω „Ἰφιδάμας δὲ κατὰ ζώνην θώρηκος ἔνερθεν"
34). A.

256. ἀνεμοτρεφὲς: τὸ τρεφόμενον ὑπὸ ἀνέμων, ὅ
ιν ἰσχυρόν. τὸ ἐναντίον δὲ ἐπὶ τȣ̃ ἀσθενȣ̃ς φυτȣ̃ „ἐλθών
ἐξαπίνης ἄνεμος βόθρȣ τ' ἐξέςρεψε καὶ ἐξετάνυσσ' ἐπὶ
ίην" (Il. 17, 57). V.

ςερεόν, ὑπὸ ἀνέμων γεγυμνασμένον τὰς ἶνας· καὶ ἀλλαχȣ̃
ἶον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης, τὸ δέ τε πνοιαὶ
νέȣσι" (Il. 17, 53). δῆλον δ' ἐξ ὧν καὶ τὸ κῦμα ἀνεμο-
εφές φησι (Il. 15, 625). ἢ ἀνεμοτρεπές, τὸ ἀντιτασσό-
νον καὶ ἀνέμοις ξύλον διὰ ςεριφότητα. BLV.

ἡ διπλῆ, ὅτι διὰ τȣ̃ ἀνεμοτρεφὲς βȣ́λεθ σημαίνειν τὸ
ονον· τὰ γὰρ ἐν εὐηνέμῳ χωρίῳ φυόμενα εὔτονα γίνεθ,
λλόμενα καὶ κραδαινόμενα. διὸ καὶ τὴν Ἀχιλλέως μελίαν
ηλίȣ ἐκ κορυφῆς λέγει τετμῆσθαι (Il. 16, 144). A. οἱ δὲ
έδωκαν ἀνεμοτρεφὲς τὸ κοῦφον καὶ εὐκίνητον. ἢ ςερεόν·
γὰρ ἐν ἀνέμῳ πλέον γυμναζόμενα δένδρα ςερεά. AD.

257. ὄπατρον: ὁμόπατρον, συγκοπή. A.

ψιλωτέον, ȣ̓χ ὡς οἴονθ, διὰ τὴν συγκοπήν· πολλὰ γάρ
σι διὰ τὴν συγκοπὴν ψιλȣ̃σθαι. ἀπεδείξαμεν δὲ ἡμεῖς ἐν
ροις ὡς καὶ δασύνεθ· ἑςήκαμεν γȣ̃ν καὶ ἕςαμεν, Ἡράκλεες
ακλες. τί ȣ̓ν ἐκώλυεν, εἰ καὶ ἀπὸ τȣ̃ ὁμόπατρος ἦν, τὸ
ὰ συγκοπὴν πάλιν δασύνεσθαι; ἄμεινον ȣ̓ν λέγειν ὅτι φι-
τὸ ο̃ πρὸ τȣ̃ π̄ κείμενον μὴ κατὰ ἀναφορικὴν ἔννοιαν
ȣ̃σθαι, ὀπιπεύω ὀπὴ ὀπώρα. παρὰ τὸ ἕπω δασυνόμενον
ύμενον ἐγένετο ὀπάων. ȣ̃τως οὖν ἔχει καὶ τὸ ὄπατρος.
σέθηκα δὲ εἰ μὴ ἀναφορικὴ σημασία, διὰ τὸ ὁποῖος
ως καὶ τὰ τοιαῦτα. ἀντιπίπτει δὲ τῷ προκειμένῳ κανόνι
ὁπλή καὶ τὸ ὅπλον καὶ τὰ ἀπὸ τȣ́των παρηγμένα. A.

259. τὸν δ' ἕλκοντ': ὡς δὴ μὴ πάσης κρατῶν τῆς
νάμεως ἄλλο τι πράσσοντα τȣ̃τον ἀναιρεῖ, τῶν δὲ ἄλλων
τικρυς κρατεῖ. V.

261. ἐπ' Ἰφιδάμαντι: ὡς ἐπιξήνῳ χρησάμενος τῷ
Ἰφιδάμαντος σώματι. ἐπίξηνον δὲ τὸ ἐπίκοπον, ὅτι ἐπ'
τȣ̃ ξαίνεθ τὰ κρέα. D.

ᾧ ἐπικȣρῶν ὁ Κόων ἔτρωσεν Ἀγαμέμνονα, ἐπ' αὐτῷ
ωθεὶς κατέπεσεν. BL.

262. ὑπ' Ἀτρείδῃ βασιλῆϊ: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃
Ἀτρείδȣ βασιλέως, πρὸς τὴν μετάληψιν τῆς πτώσεως. A.

περιπαθῶς ἀπήγγειλε. διὰ τί δὲ Ἀντηνορίδην φονεύει;
αὐτὸς ἦρξε ςαθεὶς εὐρὰξ καὶ βαλὼν Ἀγαμέμνονα. ȣ̓ γὰρ
τέον ὡς ἠγνόȣν ἀλλήλȣς, ἐπεὶ σαφῶς εὑρίσκομεν ἐν τοῖς
αντος λόγοις „ἀλλὰ κασίγνητος Ἀντήνορος" (Il. 14, 473).
δ' Ἰφιδάμας νέηλυς ἦν. V.

263. τὸ ἔδυν συςαλτέον· ἔςι γὰρ πληθυντικόν, κατὰ συγκο-
πὴν γενόμενον ἐκ τȣ̃ ἔδυσαν. A.

266. ὄφρ' οἱ αἷμ' ἔτι: ἰατρικῶς· μέχρι γὰρ τούτου
ἀφλέγμαντά ἐςι τὰ ἕλκη. BL.

ἡ διπλῆ, ὅτι τὴν ἐκ χειρὸς πληγὴν ὠτειλὴν λέγει, παρὰ
τὸ ȣ̓τάσαι. A.

267. ἐτέρσετο: ἐξηραίνετο τῆς ἐκ τοῦ αἵματος νοτί-
δος. D.

268. ὀξεῖαι: ὡς γὰρ ὑπὸ κέντρων, ȣ̃τως ἀλγοῦμεν ἀπὸ
τῶν τοιȣ́των φλεγμονῶν. κυριώτατα ȣ̓ν κεῖθ τὸ ὀξεῖαι, καὶ
ἔςι δυσμετάληπτον τὸ ὄνομα, τοῖς πεπειραμένοις μόνοις
δῆλον. πάντα δὲ ὀδυνηρὰ ἔλαβε τὰ ὀνόματα, τὸ ὀξύ, τὸ
δριμύ, τὸ πικρόν, ἐπιτείνων τὰς ὀδύνας. διὰ δὲ τȣ̃ δῦνον
τὴν εἰς βάθος χωρήσασαν ἀλγηδόνα ἐσήμανεν. AB.

269. ὡς δ' ὅταν ὠδίνȣσαν: πρὸς τȣ̀ς νυγμοὺς τῆς
ἀλγηδόνος εἴκαςαι· πῶς γὰρ ἄνανδρος ὁ εἰργασμένος τοσαῦτα;
BLV. πᾶν δὲ τὸ πόνον ἐμποιȣ̃ν βέλος λέγεθ. V. ἡ σφο-
δρὰ ὀδύνη, οἷον ἡ τιτρώσκȣσα. D.

Πορφυρίȣ. ἐπεὶ δὲ παραβολῆς ἐμνήσθημεν, σκέψαι τὴν
τȣ̃ ποιητȣ̃ ἐνταῦθα χρῆσιν. ἐπὶ γὰρ τȣ̃ Ἀγαμέμνονος τρω-
θέντος χρησάμενος τῇ παραβολῇ ταύτῃ „ὡς δ' ὅταν ὠδί-
νȣσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα," καὶ ἀνταποδόσει „ὣς ὀξεῖ'
ὀδύναι δῦνον μένος Ἀτρείδαο," ἐπὶ τȣ̃ Κύκλωπος δυνάμει
τὰ τῆς παραβολῆς μεταφέρων χρῆθ, ἐν οἷς λέγει „Κύκλωψ
δὲ ςενάχων τε καὶ ὠδίνων ὀδύνῃσιν" (Od. 9, 415)· ἔςι δὲ
τῆς παραβολῆς τὸ ὠδίνων, τῆς δὲ ἀνταποδόσεως τὸ ὀδύ-
νῃσιν. πάλιν δὲ εἰπὼν ἐπὶ τῆς τȣ̃ Ἕκτορος κατὰ τῶν Ἑλλή-
νων ὁρμῆς „ὀλοοίτροχος ὡς ἀπὸ πέτρȣ, ὅν τε κατὰ ςεφά-
νης ποταμὸς χειμάῤῥοος ὤσει" (Il. 13, 137), κατὰ τὴν αὐ-
τὴν φαντασίαν πεποίηκε περὶ αὐτȣ̃ λέγοντα τὸν Διομήδη
„νῶϊν δὴ τόδε πῆμα κυλίνδεται ὄβριμος Ἕκτωρ" (Il. 11,
347). ὁ δὲ ὄβριμος οἰκεῖον ἀψύχῳ ὁρμῇ· ȣ̓ γὰρ θρασὺν ἔφη
ȣ̓δὲ κορυθαίολον, οἷς ἰδίοις αὐτὸν προσαγορεύειν εἴωθεν.
πάλιν ἐπὶ τȣ̃ Νέςορος, σκεπτομένȣ ποῖ τράπηθ, φησὶν „ἢ
μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων ἠὲ μετ' Ἀτρείδην
Ἀγαμέμνονα" (Il. 14, 21), ὅλην τὴν παραβολὴν διεξελθὼν
„ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ, ὀσσό-
μενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα, αὔτως οὐδ' ἄρ τε
προκυλίνδεθ ȣ̓δ' ἑτέρωσε, πρίν τινα κεκριμένον καταβήμε-
ναι ἐκ Διὸς οὖρον" (ib. 16)· εἶτα ἐπ' Ἀγήνορος προτρα-
πέντος μὲν ὑπ' Ἀπόλλωνος Ἀχιλλέα ὑποςῆναι, ὅμως δὲ
τὴν θέαν αὐτȣ̃ καταπλαγέντος, ἠρκέσθη τῷ ὀνόματι „πολλὰ
δέ οἱ κραδίη πόρφυρε κιόντι" (Il. 21, 551). πάλιν τε εἰπὼν
ἐπὶ τῆς Ἥρας „ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος, ὅς' ἐπὶ πολ-
λὴν γαῖαν ἐληλυθὼς φρεσὶ πευκαλίμῃσι νοήσοι ἔνθα ἴη ἢ
ἔνθα, μενοινήσειέ τε πολλά, ὣς κραιπνῶς μεμαυῖα διέπτατο
πότνια Ἥρη" (Il. 15, 80), καὶ ἀπὸ μὲν τȣ̃ νȣ̃ ποιήσας τὴν
παραβολήν, ἀπὸ δὲ τȣ̃ πέτεσθαι ἀποδοὺς τὴν ἀνταπόδοσιν,
συντέμνων τὰ αὐτὰ ἐν ἄλλοις φησὶν „ὡσεὶ πτερὸν ἠὲ νόη-
μα" (Od. 7, 36). θαυμαςὸν δὲ αὐτῷ κἀκεῖνο. ἐκ μεταφο-
ρᾶς γάρ τι τολμηρότερον φθεγξάμενος οἰκείαν ἐπάγει παρα-
βολήν, κρατύνων αὐτήν, ὡς εὔλογον ἔχε τὴν τόλμαν. εἰπὼν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὖν „κραδίη δέ οἱ ἔνδον ὑλάκτει" (Od. 20, 13), ἐπάγει „ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι." καὶ αὖθις ἐπὶ τοῦ στρατοπέδου ἀντικαθημένου „ἐν δὲ στίχες εἵατο πυκναί, ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι" (Il. 7, 61) εἰπών, ἐπήγαγεν „οἵη δὲ ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ' αὐτῆς." ἐπὶ δὲ τῶν Τρώων ἔτι ποικιλώτερον κέχρηται· ἀρξάμενος γὰρ ἀπὸ μεταφορᾶς ὁμοίωσίν τε αὐτῇ τὴν ἀκόλουθον ἐπάγει καὶ ἐπ' ἀμφοῖν τὴν παραβολήν. „Τρῶες μὲν κλαγγῇ" (Il. 3, 2)· τοῦτο μὲν δὴ ἡ μεταφορά· τὸ δ' „ὄρνιθες ὥς" ἡ ὁμοίωσις· εἶθ' ἡ παραβολή „ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό." ᾗ σχεδὸν μόνῃ τῶν παραβολῶν οὐκ ἀνταπέδωκεν, ὡς τῆς ὁμοιώσεως ἅμα καὶ μεταφορᾶς προεχουσῶν τὴν ἀνταπόδοσιν. πάλιν τε αὐτοῦ παρατηρητέον ἐκεῖνο. τάς τε γὰρ οἰκείως τιθεμένας φωνὰς ἐπὶ τῶν πραγμάτων πολλάκις εἰς τὰς παραβολὰς μετατίθησι, καὶ τὰς ἐπὶ τῶν παραβολῶν εἰς τὰ πράγματα. οἷον ἔθνη στρατιωτῶν λέγεται, σμήνη δὲ μελισσῶν· οὕτως δὲ μεταλαβὼν τῷ τῶν στρατιωτῶν ὀνόματι ἐπὶ τῶν μελισσῶν χρῆται „ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἀδινάων" (Il. 2, 87), ὃ πλήθους ἀνθρώπων ἐστὶν ὄνομα. οὕτως ὀλοοιτρόχῳ λίθῳ τὴν ὁρμὴν τοῦ Ἕκτορος εἰκάζων (Il. 13, 137), ἀναθρώσκειν τέ φησι τὸν λίθον καὶ πέτεσθαι· καὶ τελευτῶν, ὡς ἀπ' αὐτοῦ τοῦ στρατιώτου ἀφιγμένον ἀλλ' οὐ τοῦ λίθου, ἐπάγει „ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, εἰσόκεν ἔλθῃ." οὕτω καὶ ἐπὶ τοῦ κύματος, ὃ τάξεσιν ἀπεικάζει στρατοπέδου, προειπὼν „ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης ὄρνυτ' ἐπασσύτερον ζεφύρου ὑποκινήσαντος" (Il. 4, 422), μετάγει ἀπὸ τῶν στρατιωτῶν ἐπὶ τὰ ἑξῆς· „πόντῳ μὲν τὰ πρῶτα κορύσσεται." ἀνάπαλιν δὲ τὰς τῶν παραβολῶν τίθησι φωνὰς ἐπὶ τὰ πράγματα, ὡς ἐπὶ τοῦ Ἀχιλλέως „ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ" (Il. 18, 19) εἰπών, ἐπάγει μεταθεὶς ἀπὸ τῆς σάλπιγγος ἐπὶ τὸν ἄνθρωπον „οἱ δ' ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο." κεκινδύνευται δὲ αὐτῷ ἐκεῖνα, οἷον „σιδήρειος δ' ὀρυμαγδὸς χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο" (Il. 17, 424)· ὡς γὰρ ἐξ ἀντιτυπίας χαλκοῦ καὶ σιδήρου τὴν φαντασίαν εἰς τὸν ἐκ πόντου κτύπον κεκίνηκεν. B.

270. ἡ διπλῆ, ὅτι ποτὲ μὲν ἑνικῶς ποτὲ δὲ πληθυντικῶς Εἰλειθυίας λέγει. ἀριθμὸν δὲ αὐτῶν οὐδὲ ὀνόματα παραδίδωσιν, ὥσπερ οὐδὲ Μουσῶν. Εἰλείθυιαι δὲ Διὸς καὶ Ἥρας θυγατέρες, τῶν τοκετῶν προϊστάμεναι. A.

προϊεῖσι: ὡς τιθεῖσι· καὶ γὰρ ἐν ἑτέροις „ὄπα λειριόεσσαν ἱεῖσιν" (Il. 3, 152). ὁμοτονεῖν δὲ θέλει τὰ εἰς ῑ λήγοντα τοῦ ἐνεστῶτος ταῖς πληθυντικαῖς δοτικαῖς τῶν μετοχῶν, ὁπότε καὶ ὁμοφωνοῦσιν. ἱέντες ἱέντων ἱεῖσι· οὕτως οὖν καὶ τὸ ῥῆμα. μάχεται τὸ φασί· ῥῆμα γὰρ ὀξύνεται, μετοχὴ δὲ ὂν βαρύνεται. A.

μογοστόκοι: αἱ ἐπὶ τῶν μόγις τικτουσῶν τεταγμέναι, ὡς ξένιος Ζεὺς ὁ ἐπὶ τῶν ξένων. ἢ αἱ μογοῦσαι ἤτοι κακοπαθοῦσαι ἐπὶ τοῖς τῶν γυναικῶν τόκοις. B.

Ἀρίσταρχος παροξύνει· δραστικὴ γάρ φησιν ἔννοιά [illegible] οὐ γὰρ αἱ Εἰλείθυιαι πάσχουσιν, ἵνα προπαροξύνωμεν, [illegible] ἐνεργοῦσι κατὰ τῶν τικτουσῶν. ἔφαμεν δὲ τὰ τοιαῦτα [illegible] συνθέτων ἐνέργειαν ὑπισχνούμενα παροξύνεσθαι, εἰ μὴ [illegible] τις κωλύοι· εἰσὶ γάρ τινες κανόνες καθ' οὓς κἂν ἐνέρ[illegible] σημαίνηται, πάντως προπαροξύνεσθαι δεῖ. μάχεται μέντοι [illegible] τικρυς τὸ „ὄρνυσθ' ἱππόδαμοι Τρῶες" (Il. 4, 509)· ἐνε[illegible] τικὸν γὰρ ὂν καὶ μὴ ὑποπῖπτον κανόνι τῷ προπαροξυτον[illegible] προπαρωξυτονήθη. A.

271. ἀμφίβολον τὸ ἔχουσαι· ἢ γὰρ ἐπιμελείας ἀξιοῦ[illegible] ὡς τὸ „καί μοι κῆπον ἔχει" (Od. 4, 736), ἢ ἐπέχουσα[illegible] πικρὰς ὠδῖνας καὶ εἴργουσαι, ὡς τὸ „ἔνθα δ' ἔπειτ' [illegible] μὲν ἐχώμεθα δηϊοτῆτος" (Il. 14, 129). ἄμεινον δὲ τὸ [illegible] τον. BLV.

272. διὰ τοῦ δῦνον τὸ σφοδρὸν τῆς πληγῆς καὶ τὴ[illegible] βάθος χωρήσασαν ἀλγηδόνα ἐσήμανεν. BL.

273. ἐς δίφρον δ' ἀνόρουσε: πρῶτον τὸν βασ[illegible] ἔπειτα τοὺς ἀριστεῖς ἐξάγει, Διομήδην Ὀδυσσέα Εὐρ[illegible] λον Μαχάονα, ὅπως ἀναρχίας ἕνεκεν, οὐκ ἀσθενείας [illegible] κοίη τῶν νεῶν ἡ καῦσις γενέσθαι. πῶς δὲ οὐδένα στρατ[illegible] ἀνθ' ἑαυτοῦ κατέλιπεν; ἵνα μὴ προτιμήσας ἕνα τοῖς [illegible] ποῖς ἀπέχθηται. BLV. καὶ ὁ Μενέλαος παρῆν, βασ[illegible] ὢν δεύτερος. ἔστι δὲ καὶ ἐναγώνιον· ὅ τε γὰρ φόβος μ[illegible] διὰ τὴν ἀπουσίαν τῶν ἀριστέων, καὶ ὁ πόθος Ἀχιλ[illegible] μείζων. V.

274. ἤχθετο: ἀναγκαίως ἀπολογεῖται, ὅτι οὐκ ἂν ἀ[illegible] λάγη, εἰ μὴ τῆς ψυχῆς αὐτοῦ ἀνθήψατο τὸ δεινόν. [illegible]

276. ὦ φίλοι: εὖ τοῖς ἀριστεῦσιν ἐντέλλεται ἀπιώ[illegible] γὰρ μὴ τὴν αἰτίαν τῆς ὑποχωρήσεως ἐσήμανε, κἂν [illegible] τερα ὑπενόησαν περὶ αὐτοῦ. BL. ὡς ὅτι τέθνηκε μα[illegible] νος. V.

279. εἴασε Τρώεσσι: οὐκ ἐπεξεργάζεται τὰ τοῦ [illegible] ματος, ἀλλ' εὐπρεπῶς ἐνεδείξατο ὅτι ὑπὸ θεοῦ κωλ[illegible] ἀγωνίζεσθαι δι' ὅλης ἡμέρας νῦν ἀναχωρεῖ. BL.

εὖ τὸ μὴ τῷ τραύματι ἄχθεσθαι, καίτοι σφόδρα ὀ[illegible] μενον, ἀλλ' ὅτι πανημέριος πολεμίζειν ἐκωλύθη. V.

281. οὐκ ἄκοντε: ἡ διπλῆ, ὅτι διὰ τοῦ ἐναντ[illegible] ἐναντίον. A.

282. ἄφρεον: ἔστιν ἰδεῖν τὸν ἀφρὸν τῶν ἵππων [illegible] τῶν στηθῶν καταφερόμενον καὶ τὸν κονιορτὸν ἀν[illegible] μενον κάτωθεν. BL.

287. βραχὺ διαστάλτεον ἐπὶ τὸ ἔστε· οὐ γὰρ παρακ[illegible] αὐτοῖς φίλοις ἀνδράσι γενέσθαι, ἀλλὰ προσφωνεῖ μὲν φί[illegible] λοι, κελεύει δὲ ἀνδρείους γίνεσθαι. A.

290. ὑπέρτερον: ἢ τοῦ τῶν Ἑλλήνων ὑπέρτερον [illegible] πρότερον ἐκτήσασθε. BL.

Ἀρίσταρχος ὑπέρτεροι. A.

291. μένος καὶ θυμὸν ἐκ παραλλήλου· μένος [illegible] τὴν ψυχὴν εἴωθε καλεῖν. BL.

292. ὡς δ' ὅτε πού τις: διὰ τῆς παραβολῆς θ[illegible] νεστέρους τοὺς Τρῶας καὶ θρασυτέρους παρίστησιν. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

293. ἀγροτέρῳ συΐ: ἀγρίῳ χοιρῳ τῷ κάπρῳ. ἀεὶ δὲ ἡρημένως ὁ ποιητὴς λέγει. παρὰ μέντοι τῷ κωμικῷ λέγεῖ ἀφ' ἓν σύαγρος. D.

297. ὑπεραΐξ: ὑπερβαλλόντως πνεύσῃ, ὅταν ἐκ τοῦ περθεν καταφέρῃ τὸ πνεῦμα. τὸ δ' ἑξῆς, ἐν δ' ἕπεσ' ὁμίνῃ ἶσος ἀέλλῃ, ἥτε καθαλλομένη ἀπὸ ὄρους πόντον ῥίνει. A.

ἀντὶ τοῦ ἄνωθεν φερομένῃ, ἥτις ἐςὶν ἀπαραφύλακτος καὶ σφοδροτέρα. πρὸς δὲ τὴν ἀπροσδόκητον τῶτο εἴρηται ἐπιφάνειαν Ἕκτορος καὶ τὴν ὁρμήν. ἐμφαντικῶς δὲ καὶ τὸ λμα καὶ ἡ ἔμπτωσις τῆ ἥρωος ταραχὴν παρέςησεν. BL.

ὑπεραΐξ ὡς εὐσεβεῖ, κατὰ διάςασιν. ἔφαμεν γὰρ τὰ παρὰ τὸ ἄω συντιθέμενα καὶ εἰς ης λήγοντα ὀξύνεσθ, ἀκραής νσαής· ῶτως ὑπεραής. A.

ὅτι ἔν τισι γράφε ὑπερούρεος ἶσος ἀέλλῃ. τὸ δὲ ὑτὸ καὶ ἐκ τῆ ὑπεραΐξ σημαίνε, ὅταν ἐκ τῆ ὕπερθε τόπε καταφέρῃ πνοή. ταύτας δὲ ἡμεῖς καταιγίδας καλῶμεν ἀπὸ τῦ κάτω ἄϊσσειν. A.

298. ἰοειδέα: μέλανα διὰ τὸ βάθος. D.

299. ἔνθα τίνα πρῶτον: ἐπὶ τῇ λύπῃ τῶν Ἀχαιῶν αἰτεῖ τὴν Μῆσαν, ἀλλὰ μόνον ἑαυτὸν ἐρωτᾷ. BL.

300. ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν: δείκνυσιν ὅτι θα τὰ κατορθώματα. ὡς ἐν παρόδῳ δὲ καταλέγει τοὺς ῃρεμένες, ἐπικρύπτων τῇ βραχυλογίᾳ τὸ ὄνειδος. BL.

βροτολοιγῷ ἶσος Ἄρηϊ: γράφεται ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν. A.

301. Ἄσαῖον: προπερισπαςέον· παρὰ γὰ τὸ αἶσα γένεν, καὶ ἐξέςη πρότερον τὸ ῑ· τὰ δὲ ἀπὸ τῶν εἰς ᾱ ληντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ αἷος προπερισπᾶσθ θέλει, μῆσα Μεσαῖος, γενναῖος Πισαῖος ἐρος, ῶτως καὶ Ἀσαῖος. ὁ μάχε τὸ Ἥριος προπαροξυμενον· πρὸς γὰ ἀντιδιαςολὴν τῆ προπερισπωμένε ἐπιθετῦ ἐγίνετο. τὸ μέντοι Πείραιος προπαροξυνόμενον παρὰ φιλῶ Φίλαιος. ῶτως καὶ παρὰ τὸ βέβηκα ὁ βέβαιος. A.

302. Δόλοπα: ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν, ὅτι καὶ ὑν Τρώων ἐξὶ Δόλοψ· „τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ ἰχμῆς εὐ εἰδώς, Λαμπετίδης" (Il. 15, 525), Λάμπε υἱὸς Πριάμε ἀδελφῦ, καὶ τῶν μνησήρων εἷς Ἀγέλαος (Od. , 231). AB.

304. ἡγεμόνας: ἢ τῶν τάξεων, φησίν, ἡγεμόνας, ἢ ὡς προμαχίζοντας. ἵνα δὲ μὴ δοκῇ χαρίζεσθ Ἕλλησι, καὶ τον ἡγεμόνας λέγει ἀναιρεῖν, ἀλλ' οὐ σύνδυο, ὡς Ἀγαμνων. BL.

305. ὡς ὁπότε νέφεα: ἡ ὁμοίωσις πρὸς τὸ συνεχὲς ν ἀναιρεμένων, ὡς γὰ νέφη, φησί, διώκει ζέφυρος ἄνεμος ὑπὸ νότε συνηγμένα, ῶτως διώκων ἀνῄρει τὸ πλῆθος Ἕκτωρ. καλῶς δὲ τὲς πυκνωθέντας μὲν ὑπὸ Ἀγαμέμνονος διασκεδαθέντας δὲ ὑπὸ Ἕκτορος νέφεσιν εἰκάζει, ἃ νάγει μὲν νότος διώκει δὲ ζέφυρος. ηὔξησε δὲ καὶ τὸν ζέφυρον, μέγα κῦμα ὑπ' αὐτῦ ἀνεγείρεσθ λέγων. οἶδε δὲ καὶ ς ἀνέμων φύσεις ὁ ποιητής. BL.

306. ἐπὶ τὸ νότοιο διαςαλτέον· τὸ γὰ ἑξῆς, νέφεα ἀργεςᾶο νότοιο ζέφυρος ςυφελίξῃ βαθείῃ λάλαπι, ὡς τὰ ὑπὸ τῆ νότε συναχθέντα νέφη τῆ ζεφύρε διασκιδνάντος. καὶ χαριέντως πάνυ ἔχει ἡ ὁμοίωσις· καὶ γὰ τοὺς Ἕλληνας ὑπ' Ἀγαμέμνονος ἐπισρεφεςέρες γενομένες διέλυσεν ὁ Ἕκτωρ. A.

ἀργεςᾶοι ἀπὸ τῆ ἀργεςῆς ὀξυτόνε Βοιωτιακὴ γενικὴ ἡ ἀργεςᾶο προπερισπωμένως. ὁ δὲ Ὅμηρος τέσσαρας μόνες ἀνέμες οἶδεν. A.

εἰ μὲν τὸν Εὖρον δηλοῖ, ἔξι κύριον προπαροξυνόμενον· εἰ δὲ ᾗ τῆ νότε ἐπίθετον, προπερισπᾶ. δηλοῖ δὲ ἢ τὸν λευκὸν ἢ τὸν ταχύν. εἰς τὸ νότοιο δὲ ὀλίγη διαςολή, ἵν' ᾖ, ὡς δὲ ζέφυρος κινήσει νέφη ἃ συνήγαγε νότος, οὕτως Ἕκτωρ τὲς ὑπὸ Ἀγαμέμνονος συνηγμένες. BL.

πρὸς τὸ σημαινόμενον, ὅτι τὰ συνισάμενα ὑπὸ τῆ Λευκονότε νέφη ὁ Ζέφυρος διατινάσσει, ὁ δὲ καλέμενος Λευκόνοτος σφοδρότερός ἐςιν. A.

λαίλαπι: τῷ μετὰ ὄμβρε ἀνέμῳ. D.

307. πολλόν: ἐκ ἐπὶ ἀριθμῆ ἀλλ' ἐπὶ μεγέθες ἡ λέξις, ὡς τὸ „πολλὸς γάρ τις ἔκειτο" (Il. 7, 156). ἄχνη δὲ ῆς ἔχεσθ ὁ δυνάμεθα διὰ τὸ λεπτόν. BL.

ἡ διπλῆ, ὅτι τὸ τρόφι ἀποκοπῇ τῆ τρόφιμον ὁ Ἡρωδιανός φησιν, ὅτι ἔςη τῇ πήξει τῇ αὐξήσει· „κύματά τε τροφέοντα" (Od. 3, 290) εὐτραφῆ, καὶ τροφαλὶς τὸ πεπηγὸς γάλα. A.

308. πολυπλάγκτοιο: τῆ πανταχῆ τὰ κύματα περιάγοντος. B.

310. ἔργα γένοντο: ἀρχαϊκώτερον συντέτακε, καὶ πολὺ ἐξι παρ' αὐτῷ τὸ εἶδος. ἡ μέντοι συνήθεια τοῖς πληθυντικοῖς ἑτέροις ἑνικὰ συντάσσει ῥήματα. AD.

313. τί παθόντε: ῥέμα ἀπολογεῖται περὶ τῆς ἐν τῇ προτέρᾳ μάχῃ φυγῆς. τότε γὰ εἶχεν Ὀδυσσεύς, ὅτε τὸ Ἑλληνικὸν κερυννοῖς ἐφόβει ὁ Ζεύς, ἀλογίσως δὲ ὁ Διομήδης ἀνθίσατο. ἐνταῦθα δὲ ἑδενὸς τοιότου γενομένε ὀλιθηρῶς μὲν ὁ Διομήδης ἀφέςηκεν, ὁ δὲ Ὀδυσσεὺς εὐλόγως μένει, καί φησι τί παθόντε λελάσμεθα, ἤτοι τί τὸ φοβῆν ἡμᾶς ἐςίν; BL.

314. ἀλλ' ἄγε δεῦρο: σημειῶνταί τινες ὅτι ἀριςείαν ἐνταῦθα Ὀδυσσέως παράγει. τὸ δὲ δεῦρο εἰς τῶτον τὸν τόπον. A.

δὴ γὰρ ἔλεγχος: εὖ τὸ μὴ τῆ θανάτε πεφροντικέναι, ἀλλὰ μᾶλλον τῆς αἰχύνης ἧς ἐπεφέρετο τὸ πρᾶγμα. BL.

315. ἔσσεται: ἡμῖν δηλονότι. A.

317. ἤτοι ἐγὼ μενέω: ὡς ἔμφρων ὁ Διομήδης αἰθάνε μὲν τὰ θεῶν, ὡ προφασίζε δὲ ὡς γενναῖος. BL.

318. ἡμέων ἔσσεται ἦδος: ἀπὸ τῆς ἀγχιςρόφε μάχης τῶτο νοεῖ· Ὀδυσσεὺς δὲ βασανίζει τὸν καιρόν. οἰκονομικῶς δὲ ὁ ποιητὴς ἐπιῤῥίπτει αὐτοὺς τοῖς δεινοῖς, ὅπως τρωθέντες ὑποχωρήσωσι καὶ δι' ἀναρχίαν ἡ καῦσις τῶν νεῶν γεγονέναι δοκῇ. διδάσκει δὲ ὅτι χρὴ πράττειν τὰ παρ' ἑαυτῇ, καὶ εἰ μέλλοι τὰ τῆς τύχης ἐναντιῶσθ. BL.

319. ἡ διπλῆ, ὅτι βόλεται ἀντὶ τῆ βέλεται. A.

325. διχῶς, θηρητῆρσι ϗ θηρευτῇσι. A.

326. ὄλεκον: ἀνῄρȣν. τὸ ō μικρὸν διὰ τὸ μέτρον. D.

παλινορμένω: ἐκ τῆς φυγῆς ἐπιςραφέντες, εἰς τȣ̀πίσω ὁρμήσαντες. D. ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ ὄπισθεν ὁρμῶντες, ὡς παλιμπλαγχθέντας (Il. 1, 59). A.

Τυραννίων δύο ποιεῖ, ὁ δὲ Ἑρμαπίας σύνθετον ἐκδέχεϑ ϗ Ἀρίςαρχος. εἴρηϑ δὲ περὶ τῆς συνθέσεως τȣ̃ πάλιν ὡς πρὸς τὰς μετοχὰς ἐν τῇ Α, ὅτε περὶ τȣ̃ πλαγχθέντας διελαμβάνομεν. A.

327. ȣ̀ χρὴ ὑπειδομένȣς τὸ ἀπεμφαῖνον — πῶς γ̀ ἀνέπνεον Ἕκτορα; — διαςέλλειν ἐπὶ τὸ ἀνέπνεον, ἐπεὶ ϗ συναπτόντων ἡμῶν νοεῖϑ τὸ ὑπερβατὸν φεύγοντες Ἕκτορα. A.

τὸ ἑξῆς, φεύγοντες Ἕκτορα δῖον ἀσπασίως ἀνέπνεον. ὅρα δὲ τὸ ὄφελος τῶν Ὀδυσσέως λόγων· παρορμήσας γ̀ τὸν Διομήδη αἴτιος ἐγένετο τοῖς ἄλλοις Ἕλλησι σωτηρίας. BL.

328. ἡ διπλῆ, ὅτι συλληπτικῶς εἴρηκεν ἑλέτην, ϗ κοινὸν ποιεῖ τȣ̃ ἑτέρȣ τὸ κατόρθωμα. ἔςι δὲ Διομήδης μόνος ὁ ἀνελών· ἐπιφέρει γȣ̃ν (333) τȣ̀ς μὲν Τυδείδης. A.

331. 332. ȣ̆τε ἀπειθεῖν πατράσιν ἀξιοῖ οὔτε μαντικῆς καταφρονεῖν, θανάτῳ τȣ̀ς ταῦτα δράσαντας κολάσας. BL.

333. τȣ̀ς μὲν Τυδείδης: ἡ διπλῆ, ὅτι διὰ τȣ́τȣ συνίςαϑ ὁ Διομήδης μόνος ὁ ἀνῃρηκὼς τȣ̀ς προειρημένȣς. A.

336. ἔνθα σφιν: ἀμφοτέροις τοῖς ςρατεύμασιν ἴσην τὴν μάχην ἐξέτεινεν. A.

πρὸς τὸ ἀξιόπιςον· οὐ γ̀ ἂν ἠρίςευον ἀντιτασσομένου Διός. φιλέλλην δὲ ὢν ὁ Ζεύς, τὸ πρόθυμον αὐτῶν αἰδεσθείς, πρὸς ὀλίγον ἐνδίδωσιν. ἢ τȣ̃το θέλει εἰπεῖν, ὡς ἰσοβαρὴς αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γέγονεν ἡ μάχη. ἀριςεύει μὲν γ̀ Ἀγαμέμνων, ἔπειτα Ἕκτωρ· εἶτα τιτρώσκονϑ ȣ̃τοι, ἐτρώθη δὲ ϗ Ἕκτωρ. BL.

339. οὐ γάρ οἱ ἵπποι: ἐν ἄλλῳ ȣ̀δὲ γὰρ ἵπποι. A.

345. ῥίγησε: γράφεται ἐνόησεν. A.

346. ἐγγὺς ἐόντα: ȣ̀κ ἀφίςανϑ ἀλλήλων· ἴσασι γ̀ ὡς τὸ κοινὸν αἴτιον αὐτοῖς τῶν κατορθωμάτων. BL.

347. κυλίνδεται: ἀντὶ τȣ̃ ἐπιπέμπεται· οἶδε γ̀ ὡς τὸ δαιμόνιον αὐτῷ συνεργεῖ. B.

τȣ̃ Σεναχηρείμ. τὸ κυλίνδεται ȣ̃τως ἡμῖν ἤκȣςαι. ἢ ἀντὶ τȣ̃ βαρέως ἡμῖν καταφέρεϑ, ἀπὸ μεταφορᾶς τῶν ἀφ' ὕψȣς καταφερομένων σωμάτων ϗ ἐπιπιπτόντων τοῖς ὑποκειμένοις· ἢ ἀντὶ τȣ̃ ἐκ θεȣ̃ ἐπέρχεϑ, ἐν μὲν τῷ κυλίεται ἐμφαινομένȣ τȣ̃ ἀφ' ὕψȣς φέρεσθϑ, διὰ δὲ τȣ̃ ὕψȣς νοȣμένης τῆς θείας ὑπεροχῆς. Leid.

348. ἀλλ' ἄγε δὴ ςέωμεν: ἀντιφιλοτιμȣ̃νϑ ταῖς προθυμίαις. ὅρα δὲ ὅτι βλέποντες παρόντα κίνδυνον οὐ περὶ φυγῆς διανοȣ̃νται. BL.

μένοντες: Ζηνόδοτος δυϊκῶς μένοντε. A.

350. σημειȣ̃νταί τινες, ὅτι ȣ̃τως εἴρηϑ ϗ ἐπέτυχεν.

351. πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός: ὑπὸ τȣ̃ τῆς περικεφαλαίας χαλκȣ̃ ἀπεκρȣ́σθη τὸ δόρυ. AD.

353. αὐλῶπις: ἢ τὸν ἐπ αὐτῇ λόφον ἀνατεταμένο ἔχȣσα, ἢ αὐλȣ̀ς ἔχȣσα εἰς ȣ̃ς οἱ λόφοι κατακλείονϑ. αὐλ δέ εἰσι περόναι. AD·

ὅτι ϗ χαλκᾶ τὰ Ἡφαιςότευκτα. ἀπολογεῖϑ δέ, ὡς ἀπ θανεν ἄν, εἰ μὴ διὰ τὴν θειότητα τȣ̃ κράνȣς. V.

354. ἀπέλεθρον ἀνέδραμε: θέλει λέγειν ὅτι ἀ τȣ̃ δέȣς μέγα ἥλατο. AD.

ἀπέλεθρον, τȣτέςιν ἀμέτρητον, ὃ ȣ̀κ ἔςι μέτρῳ ȣ̀ πελέθρῳ μετρῆσαι. ȣ̃τως ἐςὶ ϗ τὸ ἀμαιμάκετον, ᾧ ȣ̀κ ἐ μῆκος παραβαλεῖν· „ἱςὸν ἀμαιμάκετον" (Od. 14, 311), ἐν ἄλλοις ἔφη περιμήκετον, περισσῶς μέγαν. ϗ ἡ ἀμαιμ κετος ȣ̃ν χίμαιρα τὴν μεγάλην δηλοῖ, πρὸς ἣν ȣ̀κ ἔςι μ γεθος τῶν ὁμοίων παραβαλεῖν· πρὸς γ̀ τὰ ὁμογενῆ πρός τι· „ἡ δ' ἄρ' ἔην θεῖον γένος ȣ̀δ' ἀνθρώπων" (Il. 180). B.

355. στῆ δὲ γνὺξ ἐριπὼν: ἔςη ἐπὶ γόνυ πεσών, σκότωσις αὐτῷ γέγονεν. BL.

ὡς φιλοψευδὴς ὁ τυφλός, ὅτι ϗ ἄπιςα ψεύδεϑ. πρῶτ μὲν γ̀ ȣ̀κ ἐτρώθη ὁ Ἕκτωρ, ὡς αὐτός φησιν· εἶτα δὲ τὸ ἀναδραμεῖν πολὺ ἐῤῥωμένȣ τινός ἐςι. πῶς ȣ̃ν ϗ ἔπε ἐπὶ γȣ́νατα ϗ ἀπέθανε μικρȣ̃ δεῖν; V.

356. ὁ ὀβελὸς ϗ ὁ ἀςερίσκος, ὅτι ἐν ἄλλῳ τόπῳ (Il. 309) ὀρθῶς κεῖται· οὐ γέγονε γ̀ σφοδρὰ πληγή, ὡς Αἴαντος· ȣ̀ „θλάσσε δέ οἱ κοτύλην·" πῶς ȣ̃ν ἐσκοτώθη;

προηθέτει Ἀριςοφάνης· Ζηνόδοτος δὲ ȣ̀δὲ ἔγραφεν.

κακῶς ἐκ τῶν Αἰνείȣ μετηνέχθη. σκότωσις δὲ αὐτῷ γονεν, ὡς τὸ ἄμπνυτο (359) δηλοῖ. ϗ ἐπὶ Ἀνδρομάχης δ' ἐπεὶ ἄμπνυτο" (Il. 22, 475). V.

Πορφυρίȣ. προεβλήθη ποίου γένȣς τὸ ὄσσε, ϗ τί ἑνικὴ εὐθεῖα. οἱ μὲν ȣ̃ν ἔφασαν, ὥσπερ ἀπὸ τȣ̃ θῆρε δυϊκȣ̃ κατ' ἀποβολὴν τȣ̃ ε̄ τὸ ἑνικὸν γίνεϑ θήρ, οὕτως τȣ̃ ὄσσε τὸ ἑνικόν ἐςιν ὄσς, διὰ δύο σ̄. ἐλέγχονϑ δέ· ȣ̀ ἐπὶ πάντων ταὐτὸ γίνεϑ. ἰδȣ̀ γ̀ ἀπὸ τȣ̃ δμῶε ȣ̀ γίνεϑ ἑνικὸν δμῶ, ȣ̀δὲ ἀπὸ τȣ̃ φῶτε φῶτ· ȣ̃τως ȣ̀δὲ ἀπὸ τȣ̃ ὄ ὄσς. ἡ δὲ αἰτία· ἐπεὶ τὸ ρ̄ ϗ τὸ ν̄ τῶν ἀμεταπτώτων κα γε τὸ πλεῖςον, προσεβλήθη ϗ τῷ θήρ ϗ τῷ χήν τὸ ε̄ δυϊκὰ γέγονεν· ȣ̀δέποτε δ' ἂν εὕροις τȣ̃το συμβαῖνον ὧν ἔσχατον ἦν τὸ σ̄. τῷ γ̀ Κρής εἰ προσθείη τὸ ε̄, δυϊ ȣ̀κ ἂν γένοιτο, Κρῆσε, ȣ̀δὲ τῷ χρώς ϗ παῖς. ȣ̃τως ȣ̃ν τῷ ὄσς. ἔτι ϗ ἀδύνατόν ἐςι συλλαβὴν μίαν εἰς δύο σ̄ γειν. ȣ̀δὲ μὴν δυνατὸν ὄς εἶναι δι' ἑτέρȣ σ̄· τῶν γ̀ εἰς ληγόντων ὀνομάτων τὰ δυϊκὰ εἰς ω̄ λήγει. ῥητέον ȣ̃ν τὸ ὄσσε ȣ̀κ ἔςιν ἀρσενικὸν δυϊκόν· φησὶ γ̀ ὁ ποιητὴς „ δέ οἱ ὄσσε πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον" (Il. 616), ȣ̀χ αἱματόεντες. ȣ̀δετέραν οὖν ληπτέον εὐθεῖαν, ἔςαι τὸ ὄσσος ὡς ἕρκος βέλος τεῖχος. τὸ δὲ πληθυντικ κατ' Ἀθηναίȣς μὲν ἕρκη βέλη τείχη, κατὰ δὲ τȣ̀ς Ἴων ἕλκεα βέλεα τείχεα· ϗ δῆλον ὅτι ὄσσεα. τῶν δὲ εἰς ᾱ πλ θυντικῶν τὰ δυϊκὰ ϗ ȣ̀δέτερα εἰς ε̄ τελευτᾷ, οἷον ὄμμα ὄμματε, γράμματα γράμματε· ϗ Ἀριςοφάνης ἐν Πλȣ (454) „γρύζειν δὲ ϗ τολμᾶτον ὦ καθάρματε;" σαφὲς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι ἢ τείχεε λέξεσι δυϊκὰ καὶ ὄσσεε. εἶτα κατὰ ἀφαίρεσιν ὄσσε ἐγένετο. B.

357. ἐρωήν: τὴν ὁρμήν. δηλοῖ δὲ ἡ λέξις ἢ τὴν ὑποχώρησιν. BDL. „πολέμοιο δ' ἐγίγνετ' ἐρωή" (Il. 16, 302). V.

358. καταείσατο: ψιλωτέον· ἀπὸ γὰ τῶ εἴδω βαρυτόνου ὁ χηματισμός. A.

ἐφάνη, παρὰ τὸ εἰδω· ἢ κατήχθη, παρὰ τὸ εἴω τὸ δηλῶν τὸ πορεύομαι. BL. ἔω ἢ κράσει εἴω. V.

362. ἐξ αὖ νῦν: εἰκότως ἐπικαυχᾶται τῷ Ἕκτορι, ἐπεὶ κἀκεῖνος ἐπεκαυχήσατο κατ' αὐτοῦ εἰπὼν „ἔρρε κακὴ γλήνη" (Il. 8, 164). BL.

363. ἐρύσσατο Φοῖβος Ἀπόλλων: σοχασικώτερον· ἢ ἐπεὶ ἢ Λητὼ ὑπερεμάχει ὁ Ἀπόλλων. V.

365. ἦ θήν σ' ἐξανύω: τὸ ἀνύω φυλακτέον ἐπὶ τῶ αὐτῶ τόνω, λέγω δὲ τῶ βαρέος· ἐνεσὼς γάρ ἐστιν ἀντὶ μέλλοντος. τὸ δὲ ἐξῆς ἐσί, κατεργάσομαί δή σε ἢ ἀνελῶ, καὶ κέλος τῇ πράξει ἐπιθήσω, ἐξ ὑστέρου ἀπαντήσας. A.

366. εἴ πού τις καὶ ἐμοί: οἶδε μὲν ὡς ἐπίκηρον ἔχει τὴν Ἀθηνᾶν, ὁ μὴν ἐπεκαυχήσατο ἀλαζονικώτερον ἀλλὰ μετρίως. BL.

ἐπιτάρροθος: πλεονάζει ἡ ταρ, ὡς ἐν τῷ ἀταρτηρός. V.

ἔστιν: ἐν ἄλλῳ εἴη. A.

368. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἐξεναρίξεν συνεκτικῶς. ἄρτι δὲ ἔμελλε σκυλεύειν· ἐπιφέρει γᾶν „ἦτοι ὁ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο" (373). διὰ τοῦ ζ οὖν γραπτέον παρατατικῶς· σκυλεύοντα γὰ αὐτὸν βάλλει ὁ Ἀλέξανδρος. A.

τὸν λόγον ἐπαναφέρει ἐπὶ τὰ ἔμπροσθεν „ἦτοι Τυδέος υἱὸς Ἀγάστροφον ἔτασε δουρὶ Παιονίδην ἥρωα κατ' ἰχίον" (330). εἶτα περὶ τὴν Ἕκτορος ἔφοδον παρελθὼν πάλιν περὶ τῶ Ἀγαστρόφου διηγεῖται, ὅτι τῶτον σκυλεύοντι αὐτῷ ἐπιτίθεται Ἀλέξανδρος. V.

369. αὐτὰρ Ἀλέξανδρος: ἢ τὸν Διομήδην λάθρα τιτρωσκόμενον εἰσάγει, ὡς ἢ τὸν Ἀγαμέμνονα. ἔσι δὲ τὸ πᾶν διατριβή. ὕρα δὲ ὅτι τῷ Ἀλεξάνδρῳ ὀνόματι ὡς ἐπὶ πολὺ τὴν Ἑλένην προσίθησιν, ὥσπερ ἀναμιμνήσκων τῆς ἀσελγείας αὐτῆ τὸς ἀκούοντας. BL.

370. ἐπὶ: οἱ ἀκριβῶς ἀναγινώσκοντες ἀναρρέφουσι τὴν πρόθεσιν· τὸ γὰ ἑξῆς ἐσὶν ἐπὶ Τυδείδῃ. A.

ἔοικεν Ὅμηρος ἀπέχθεσθαι τῷ σκυλευμῷ, ὡς ἐπὶ Ἀγαμέμνονος, ὃς σκυλεύων Ἰφιδάμαντα τιτρώσκεται, καὶ ἐπὶ Ἐλεφήνορος. ἢ ὁ Νέσωρ δὲ παραινεῖ „μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος" (Il. 6, 68). ἀναρρεπτέον δὲ τὴν πρόθεσιν, ὥς φησιν Ἡρωδιανός. V.

371. στήλῃ κεκλιμένος: τὴν ἐπὶ τῶ τάφου σήλην τροβεβλημένος ἀντὶ ἀσπίδος ὁ δειλὸς ἢ γυναικομανής. AD.

περικεκυλισμένος. ἀδὲ τῷ διασήματι δὲ ἀρκεῖται. V.

παρακεκρυμμένος ἢ κεκαλυμμένος, ὡσεὶ νεκρός, φησί, παρὰ νεκρῷ ἑσηκώς. ἀνδροκμήτῳ δέ, ὑφ' ᾧ ἀνὴρ καμὼν κεῖτο· ἢ ἀνδρὶ πονηθέντι. B.

ἦτοι ἐν ᾧ ἀνὴρ καμών, τετέχθαι ἀποθανών, κεῖται. ἢ ὑπὸ ἀνδρὸς κατεσκευασμένῳ. ἢ ἐπὶ ἀνδρὶ κεκμηκότι καὶ τεθνεῶτι κατεσκευασμένῳ. AD.

372. δημογέροντος: ἢ τὸς βασιλεῖς ἔτως ἐκάλουν ὡς παρὰ τῷ δήμῳ γέρας ἔχοντας· ὁμοίως δὲ ἢ τὸς γέροντας δημηγύρας, ἀλλὰ ἢ δημότας. BL.

ἐπὶ δὲ τῷ μνήματι τῷ παλαιῷ προγόνῳ ἔχῃ μηδὲν ἀνάξιον ποιῶν. V.

373. ἦτοι ὁ μὲν: ἢ ὐχ ὁρώμενος τοξεύει λάθρᾳ, καὶ τὴν ἀχολίαν τῷ βαλλομένῳ παρέλαβεν, ὥσε ἀδὲν μέγα πέπρακται αὐτῷ ἐπὶ τῇ εὐσοχίᾳ. V.

375. τόξε πῆχυν: τὸ τόξον περιφρασικῶς· τὸ γὰ ὅλον τόξον ἐκ δύο κεράτων σύγκειται, ὧν ἑκάτερον πῆχυς καλεῖται. μετεχειρίζετο ἓν, φησί, τὸ τόξον. AD.

εὖ τὸ παρατατικῶς εἰπεῖν ἀνεῖλκεν, ἵνα δὴ ἐναργῶς ἐπιδείξῃ τὸν τῷ πολεμίῳ ἐπιτυχεῖν σοχαζόμενον. πῆχυς δὲ τόξον ἐκ δύο συμβεβλημένον κεράτων, ὧν ἕκαζον πῆχυς ἐκαλεῖτο. BL.

376. ἡ διπλῆ, ὅτι τὸ βάλεν ἀντὶ τῷ ἐπέτυχεν, ἢ ὅτι ἐν σχήματι εἴρηκεν, ἀδὲ ἅλιον αὐτὸν ἐξέφυγε τῆς χειρός. A.

μιν: ἀντὶ τῷ αὐτῷ, ὡς τὸ „τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα" (Il. 10, 495) ἀντὶ τῷ αὐτῷ. V.

378. ἐν γαίῃ: ἐναργῶς πάνυ. διόλε δὲ φυλάσσεται περὶ τὰς πληγὰς ποικιλίαν ὁ ποιητής. V.

ἠδὺ: κεχυμένως. καὶ ἐπὶ μνησήρων „γέλῳ ἔκθανον" (Od. 18, 100). ἐπὶ δὲ Ὀδυσσέως „ἐπιμειδήσας" (Od. 22, 371) ἢ „μειδιόων βλοσυροῖσι προσώπασι" (Il. 7, 212). V.

379. ἐκ λόχε ἀμπήδησε: εὖ τὸν ἐκ τῷ ἀφανῶς τοξεύσαντα ἐκ λόχε λέγει ἀναπηδῆσαι, ἀχημόνως δὲ πάνυ ὡς μέγα τι κατωρθωκὼς βοᾷ· κατακρύψας γὰ ἑαυτὸν ἕνα ἔτρωσεν, ἀλλ' ἀδὲ τῶτον ἀνεῖλεν. BL. οἷα ἢ τὰ πρόσθεν αὐτῷ ἔργα. φευγόντων Ἑλλήνων ἵππον ἀναιρεῖ, ἢ τῶτον πρεσβύτ. V.

382. ἔτω κεν καὶ Τρῶες: δι' ὧν ἑαυτῷ τὴν πληγὴν αὔξει, λανθάνει καταβάλλων τὸ κοινόν. V.

383. οἵ τέ σε πεφρίκασι: τὸ ἴδιον πάθος ἐπὶ πάντας εἰκάζει. ἐκ ἀναγκαῖον δὲ ἀντιδιαζέλλειν, ὡς οἴεται Ἀλεξίων· δύναται γὰρ καὶ ἀπόλυτος εἶναι. A.

ὡς δειλὸς ἢ περὶ τῶν ἄλλων ὑπείληφεν ὡς φοβεμένων. ἔζι δὲ ἢ ἀνοήτων τὸ τὲς οἰκείες ἐπὶ τῶν πολεμίων ἐλέγχειν. BL.

μηκάδες: ἐπιθετικῶς αἱ αἶγες, ἀπὸ τῷ ἰδιώματος τῆς φωνῆς· μήκη γὰ καλεῖται ἡ τῆς αἰγὸς φωνή. A.

385. τοξόται λωβητήρ: διὰ τόξων λωβώμενε καὶ βλάπτων, ἐξ ἧ δειλέ. D. ἀλλαχῆ „πῆ τοι τόξον" (Il. 5, 171). ἢ τὲς ἀγχιμάχες ἐπήνει τόξοτας. V. ἀλλὰ ἢ οἱ θεοί, φασί, τοξόται, ἢ τῶν ἡρώων οἱ κράτιζοι, Ἀπόλλων, Ἄρτεμις, Ἡρακλῆς, Ἴδας, Εὔρυτος. ἀλλὰ ἢ ἐν τοῖς πρὸς Ἴλιον στρατευομένοις Μηριόνης, Φιλοκτήτης, Τεῦκρος. ὐχ ὅτι δὲ τοξότης, ὀνειδίζει, ἀλλ' ὅτι φαῦλος· τῶτο γὰ ἐμφαίνει τὸ λωβητήρ. εἶτα πάλιν ὑφ' ἓν τὸ κέρα ἀγλαὲ παρθενοπῖπα, ὦ τῇ τριχὶ κάλλισε ἐπὶ ἀπάτῃ παρθένων· οὐ γὰ καθ' ἑαυτὸ

τὸ κομᾶν κακόν ἐξι. τὸ δὲ κέρᾳ σὺν τῷ ῑ ἡ παράδοσις, δοτικὴν ἐκδεχομένη· τινὲς δὲ πληθυντικῶς ἤκουσαν. BL. καὶ ἐπὶ τῶν τοξοτῶν ἐδέξαντο. καὶ Ἡρωδιανὸς δέ φησιν ὅτι σπανίως τὸ κέρας ἐπὶ τριχὸς ἀνθρώπου τάσσεται παρὰ ποιητῇ, ἀλλὰ μᾶλλον ἐπὶ βοὸς ἢ ἄλλων θηρίων. V.

ἄλλως. τῇ τριχί, ὅθεν καὶ τὸ κείρειν. Ἀριστοτέλης δὲ ὦ τῷ τόξῳ σεμνυνόμενε. V.

σὺν τῷ ῑ ἔγραψάν τινες τὸ κέρᾳ, ἵνα ᾖ δοτική, ὁμοίως τῷ „δέπᾳ μελιηδέος οἴνου" καὶ „γήρᾳ ὑπο λιπαρῷ" (Od. 11, 136). εἴτως δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοσις, ὡς καὶ Ἀλεξίων ἀξιοῖ. οἱ δὲ συνέξειλαν, πληθυντικὸν ἐκδεχόμενοι ἀδέτερον, ὁμοίως τῷ „κρέα ἔδμεναι" (Il. 4, 345), ἐξεδέξαντό τε ἐκ τῆς λέξεως τὴν τρίχωσιν καὶ ἐμπλοκῆς εἶδος. οἱ δὲ ἐξέτειναν τὸ ᾱ πάλιν πληθυντικὸν ἐκδεχόμενοι, τιθέντες δὲ τὴν λέξιν ἐπὶ τῆ τόξῳ, ὥσε εἶναι κατὰ κέρας, συναλοιφὴν ἐκδεχόμενοι τῆ κέραα. περὶ δὲ τῆς τοιαύτης ἀναγνώσεως δεδήλωται ἡμῖν, ὁπότε διελάβομεν περὶ τῆ „κέρα ἐκ κεφαλῆς" (Il. 4, 109). τοσοῦτον δὲ ἔχω νῦν παραφυλάξαι ἐπὶ τῆ νοητῆ, ὡς ὅτι σπάνιόν ἐξιν ἐπ' ἀνθρωπίνης φύσεως παρὰ τῷ ποιητῇ τὸ κέρας ἐπὶ τριχὸς τάσσεσθαι· κόμην δὲ λέγει καὶ τρίχας καὶ πλοκάμους καὶ ἐθείρας. τὸ δὲ παρθενοπῖπα τινὲς παρθενοπία, παρθένοις ἐοικώς. A.

ἡ διπλῆ, ὅτι κέρᾳ ἐ τῇ τριχὶ ψιλῶς, ἀλλ' ἐμπλοκῆς τι γένος· εἰς κέρατος τρόπον ἀνεπλέκοντο οἱ ἀρχαῖοι. Σώφρων „κορώνας ἀνδέμενοι"· καὶ οἱ Ἀθηναῖοι τέττιγας ἐνέπλεκοντο· καὶ παρ' Ὁμήρῳ „πλοχμοὶ θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ" (Il. 17, 52). ἔνιοι δέ, τῷ τόξῳ ἀγαλλόμενε· προείρηκε δὲ „τοξότα λωβητήρ." A.

καλῶς οὐ λέγει γυναιμανές, ἵνα μὴ ὑπομνήσῃ Ἑλένης. καὶ ἄλλως πικροτέρα ἡ κατηγορία, εἰ καὶ μέχρι τῶν κατακλείσων παρθένων ἡ τῆ Ἀλεξάνδρᾳ ἀπάτη φθάνει. V.

περὶ δὲ τῶν διαζολῶν εἴρηται πολλοῖς ὅτι εἰσὶν ἀμφίβολοι ἢ γὰρ καθ' ἑαυτὸ ἕκαζον, μόνε τῆ κέρᾳ προσδιδομένου ἢ τοῖς ἡγεμένοις ἢ τοῖς ἑπομένοις, ἢ κατὰ δύο καὶ ἀναλλάξ, τὰ μὲν καθ' ἕν, τὰ δὲ κατὰ δύο. A.

386. εἰ μὲν δὴ ἀντίβιον: γενναῖόν ἐξι τὸ πάχοντα αὐθωρὸν προκαλεῖσθαι τὸν βαλόντα. BL.

387. χραίσμῃσι: ἀντὶ τοῦ χραίσμοι. A.

388. ἐπιγράψας: ἐπιξέσας ἁπλῶς. D.

ἄκρως οὐ πληγὴν ἀλλ' ἐπιγραφήν φησιν· ὁ δὲ ποιητὴς τὰληθὲς λέγων ἔφη „διαμπερὲς ἰὸς ἐν γαίῃ πάγη" (3, 77). BLV.

Ἑλληνικὸν τὸ ἐπικρύπτειν πρὸς ἐχθρὸς τὴν συμφοράν. ὁ δὲ καὶ γυμνοῖ τὴν δειλίαν τῶν ἑταίρων. V.

390. κωφὸν: μεταφορικῶς τὸ μὴ αἴσθησιν τοῖς τιτρωσκομένοις ἐμποιῶν. BL. οἱ δὲ ἄηχον· „κύματι κωφῷ" (Il. 14, 16)· τὸ γὰρ πεμπόμενον μετὰ βίας ἔχει πολὺν ἐφελκόμενον τὸν ἀέρα. V.

ἡ διπλῆ, ὅτι κατὰ μεταφορὰν ἀπὸ τῆ κατὰ τὴν ἀκοὴν ἐπὶ τὸ κατὰ τὴν ἀφὴν κωφὸν τὸ ἀνεπαίσθητον. A.

391. εἴ κ' ὀλίγον περ ἐπαύρῃ: ἐλλείπει τὸ πρόσ οὕτως καὶ, διὰ τῶν ὑπομνημάτων. ἔν τισι δὲ γράφ ἐπαύρω. A.

392. αἶψα: Ἀρίσταρχος ἄνδρα. A.

393. τοῦ δὲ γυναικὸς: ἐπεξεργασία ποιητική. V

395. περὶ πλέες: Τυραννίων περίπλεες συνθέ ἀνέγνω, τὴν ῡ συλλαβὴν ὀξύνων· ὁ δὲ Ἀσκαλωνίτης τὰ παράθεσιν, λέγων λείπειν τὴν αὐτόν, ἵνα ᾖ περὶ τὸν πλέες. ἔτως δὲ καὶ Ἀλεξίων, λόγῳ τούτῳ, ὅτι καὶ ἰδίαν ἄνευ τῆς προθέσεως εὑρέθη τὸ πλέες καὶ τὰ ἀπ' τοῦ κινήματος· „τόσσον ἐγώ φημι πλέας ἔμμεναι" (I 129)· ἐ γὰ πολλὲς, ἀλλὰ πλέονας. ὁμολογημένω τοίνυν τῷ „πλέονές κεν μνησῆρες" (Od. 18, 247) συγκοπή ἐξιν ἡ φωνή, μὴ ὄντος δὲ ἄρα τῷ συνθέτῳ, πλέονες, δοθήσ μηδὲ τὸ ἀπ' αὐτῷ συγκεκομμένον. ἔνθεν ἐπείσθησαν παράθεσιν ἀναγινώσκειν, λείπεσης τῆς αὐτόν. A.

ἐκ ἔξι σύνθετον τὸ περὶ πλέες, ἀλλὰ κατὰ παράθ ἡ περί. ὅθεν οἰκειοτονεῖται. BL.

ἄμεινον καθ' αὐτὴν ποιεῖν τὴν περί· τὸ γὰ πλέες συ πή ἐξι τῷ πλείονες· εὐθεῖαν γὰ ἀναπλάττειν μὴ εἰρημ εὔηθες. D.

ἐκ ἔξιν ὅμοιον τῷ „γύπεσι πολὺ φίλτεροι ἢ ἀλόχοι (162)· τὸ γὰ ἠὲ γυναῖκες τὴν ἀκολασίαν ἐλέγχει Πάρι ὡς πλείοσι γυναιξὶ χρωμένου. V.

397. βραχὺ διαζαλτέον ἐπὶ τὸ καθεζόμενος, τὸ σαφέστερον. A.

ἔστη πρόσθ': τὸ φιλικὸν πάλιν Ὀδυσσέως ὁρᾶ καὶ τὸ ἀξιόπιστον Διομήδους δείκνυται. εὐπρεπῶς δὲ οὐ νεῦ Διομήδης παρακαλῶν εἰς τοῦτό τινα. διὰ δὲ τὸν ὁρὸν ἐκ οἱ δύο περὶ τὴν τῆ ἑνὸς θεραπείαν καταγίνον.

400. ἤχθετο γὰρ κῆρ: γραφεῦ ὠκέας ἵππους.

401. οἰώθη δ' Ὀδυσεύς: ἀγῶνας πάλιν κινεῖ τῷ Ὀδυσσεῖ, ὥσε ἐκ παντὸς συνέχει τὸν ἀκροατήν. V.

402. ἡ διπλῆ, ὅτι νῦν φανερῶς φόβος ἡ φυγή. A.

403. εἶπε: ποιητικῶς τὰ ἐνθυμηθέντα ὡς εἰρημ διατυποῖ. ἅμα δὲ καὶ διδάσκει ὅτι οὐ μανικῶς δεῖ ὁρ εἰς τὰ δεινά. BL. *)

405. ἡ διπλῆ, ὅτι ἔξωθεν ἡ εἰς πρόθεσις, εἰς πληθύν

τὸ δὲ ῥίγιον, αἴ κεν ἁλώω: ἀσύμφορον ἀναι θειν δεινότερον εἶναι τῆ ἀποθανεῖν τὸ φυγεῖν. λύεται ἀπὸ τῆς λέξεως· τὸ γὰ ἁλώω δύναται καὶ ἐπὶ τοῦ ζωγρ εἶναι. B.

ἄλλως. τῆτο, φησί, δεινότερον πάντων, εἰ ζωγρηθῶ αἰχμαλωτισθῶ· ἐδεὶς γὰρ Ἑλλήνων τῆτο πέπονθεν. BL.

406. τοὺς δ' ἄλλους: ἅπαντα ὑπὲρ ἐκείνων ἀπ λογεῖται, καὶ ὅτι ἡ προτροπὴ κατὰ δαίμονα γέγονεν αὐτ ᾗ δεῖ πείθεσθαι. V.

407. ἀλλὰ τίη μοι: χρησίμως πρὸς τὴν οἰκονομί ἔχει τὰ τὸ ἐπιλογισμῷ τῷ Ὀδυσσεῖ· ἐπειδὴ γὰ ναυμαχί ἀσάγειν βέλεται ὁ ποιητής, προτιτρώσκει τὲς ἀρίσες ἅπ

*) Versui 404 apponit B, quae Suidas habet v. πάθος et πάθη δύο.

ἦν γὰρ ἦν παρόντων καίεσθ τὰς ναῦς. BL.

διελέξατο: διελογίσατο, ἐνεθυμήθη. D.

409. δύο μέρη λόγου τὸ τὸν δέ, ὥς φησιν Ἀλεξίων. V.

Ἀλεξίων τὸ τόν δε ἓν μέρος λόγου ἐκδέχεσθ, καὶ παροξύνει, ἵνα ἰσοδυναμῇ ἀναφορικῇ τῇ τοῦτον. Τυραννίων δὲ δύο μέρη λόγου ποιεῖ, ἵνα ᾖ τοῦτον δέ, κατὰ ἀναφορὰν ὁμοίως. εἴρηται δὲ ὅτι παρὰ τῷ ποιητῇ ἡ διὰ τοῦ δε ἐπὶ ταύτης τῆς ἀντωνυμίας ἐπέκτασις σπανίως μὲν εὑρέθη ἐπ' ἀναφορᾶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ „τούσδε δ' ἔα φθινύθειν" (Il. 2, 346), ὥστε ἁδὲν κεκώλυκε καὶ ἐνθάδε τὸ τοιοῦτο παραδέξασθαι διὰ τὸ ἤδη πεπεῖσθαι τὴν παράδοσιν· βεβαιοτέρα μέντοι ἐξὶν ἡ τοῦ Τυραννίωνος ἀνάγνωσις· ἁδὲν γὰρ ἐναντιοῦται. A.

ἡ διπλῆ, ὅτι περισσὸς ὁ καί, ἀμφίβολος δὲ ἡ σιγμή. εἴτοι γὰρ ἐπὶ τὸ ἀριζεύῃσι ἢ ἐπὶ τὴν πρόθεσιν. καὶ ἐὰν ἓν τὸ πρότερον, τὸ ἀριζεύῃσι ληψόμεθα ἀντὶ τοῦ ἄριστος οἷον ἄξιον τὸν ἐν εἰρήνῃ τιμώμενον ἀνδραγαθεῖν ἐν πολέμῳ· τὸ δὲ δεύτερον, ἐπεὶ τὸν ἐπαγγελλόμενον κατὰ μάχην ἄριστον εἶναι ἐξύαι δεῖ καὶ τὸν κίνδυνον ὑπομένειν. A.

410. ἤτοι συναπτέον ὅλον τὸν σίχον· βραχὺ διαζαλτέον ἀνακλῶς ἐπὶ τὸ κρατερῶς καὶ ἐπὶ τὸ ἔβλητο, ἵνα ὁ σύνδεσμος κεῖσθ ἀντὶ συναπτικοῦ. ὁ δὲ λόγος· ἐξύαι δεῖ, ἐπεὶ ἐβλήθη εἴτε ἔβαλεν ἄλλον, οἷον εἴτε βληθείη εἴτε βάλοι τινά. ἢ σικτέον ἐπὶ τὸ κρατερῶς. ὃ καὶ βέλτιον· ἔσονται διαζευκτικοὶ οἱ σύνδεσμοι. ὁ δὲ λόγος, ἰσχυρῶς ἐξύαι δεῖ· ἢ γὰρ ἐβλήθη ἢ ἔβαλεν ἄλλον. V.

412. τόφρα δ' ἐπί: δεινὴ ἡ ἀγωγία· οὐ γὰρ εἰ θέλοι τοσοῦτον χωρεῖν, ἔξεσιν αὐτῷ. BL.

413. ψιλωτέον τὸ ἔλσαν, ὅτι Αἰολικωτέρα ἡ κλίσις. οἱ δὲ ἐξῆς ἐξίν, ἐν μέσοις αὐτοῖς συνέκλεισαν τὸν Ὀδυσσέα. ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος γράφει μετὰ σφίσι, πῆμα δὲ ἔλσαν. καὶ εὐτελὴς γίνεται ἡ σύνθεσις, καὶ ἠγνόηται λεγόμενον· ἃ γὰ λέγει, ἑαυτοῖς πῆμα τιθέντες οἱ Τρῶες, ἀλλὰ τῷ Ὀδυσσεῖ. A.

σφίσι: ὀρθοτονητέον· εἰς σύνθετον γὰρ ἡ μετάληψις, καὶ κατέχεται ὑπὸ τῆς προθέσεως. A.

βραχὺ διαζαλτέον ἐπὶ τὸ σφίσι. A. Νικάνωρ διαζέλλει τὸ σφίσι τῶν ἐξῆς. V.

διὰ τῆς ἀναφωνήσεως ἀνακτᾶται τὸν ἀκροατήν· λίαν γὰρ αὐτὸν ἐξεφόβησε. φησὶν οὖν ὅτι ἐπὶ τῷ ἑαυτῶν κακῷ ἐκύκλωσαν τὸν Ὀδυσσέα. V.

414. ὡς δ' ὅτε κάπριον: ἐναργὲς τὸ παράδειγμα πρὸς τὸ καθ' ἕνα μὲν ὑπερέχειν τῶν κυκλωσάντων, ὀχλεῖσθαι δὲ τῷ πλήθει. BL.

416. θήγων λευκὸν ὀδόντα: καὶ τοῦτο ἐμφερές· καὶ γὰρ οὗτος γὰρ λογισμῷ προπαρεσκεύασαι. BLV.

μετὰ γναμπτοῖσι γένυσσιν: συμπαρατρίβει γὰρ γένειον, ἀκονῶν τὸν ὀδόντα· ἃ δὲ ἐπὶ τὸ δάκνειν ὁ κάπρος ὁρμᾷ, ἵνα ἀναξείλῃ τὰς γένυς, τῇ δὲ ἐμβολῇ μόνον χρῆται. BL.

417. κύμπος: εἰκότως· κενοὶ γάρ εἰσιν. V.

418. ἄφαρ: νῦν τὸ ἄφαρ ἀντὶ τοῦ ῥᾳδίως. V.

421. ὕπερθεν: καὶ ἐνθάδε διαζαλτέον πρὸς τὸ σαφέστερον. ἀμφίβολον δὲ καὶ τὸ ἐξῆς. ἤτοι γὰρ μετάλμενος ὀξέϊ δορί, οἷον σὺν τῷ δόρατι ἐφαλλόμενος, ὡς ἐκεῖ „καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον" (Od. 8, 186)· ἢ καὶ ὑπερβατόν, ἔτασεν ὀξέϊ δορί, καθὸ διαζελῶμεν βραχὺ ἐπὶ τὸ μετάλμενος. A.

ἄλλως. γράφεται καὶ ὕπερθε μετάλμενος. A.

σιγμὴ εἰς τὸ ὕπερθεν· οἱ δὲ ὕπερθε μετάλμενος, ἵν' ᾖ ἐκ τῶν ἄνωθεν μέρος ἀρθείς. BL.

422. Ἔννομον: ἡ διπλῆ, ὅτι ἔτος ὁ Ἔννομος ὁμώνυμός ἐξι τῷ ἐν τῷ διακόσμῳ „Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος" (Il. 2, 853). A.

423. ἀΐξαντα: γράφεται καὶ ἀΐσσοντα. A.

424. πρότμησιν: οἱ μὲν τὸ ἀπὸ τῆς ἥβης ἄχρι τοῦ ὀμφαλοῦ, ἐπεὶ καὶ τοῦτο ἱεροεργεῖται· οἱ δὲ τὴν ὀσφύν, ἣν ἐδαμᾶ ὁ ποιητὴς τιτρώσκει ὡς αἰτίαν τῶν ζωογόνων σπερμάτων. ἕτεροι δὲ τὸ ἦτρον. Ἡροκλῆς δὲ ὁ Λίνδιος αὐτὸν τὸν ὀμφαλόν, ἀπὸ τοῦ προεκτέμνεσθαι. BLV.

ἄλλως. πρότμησιν Διονύσιος ὁ Θρᾷξ τὴν ὀσφύν, Φιλότιμος ἰατρὸς τὸν τράχηλον, Ἀρίσαρχος τὸ ἀπὸ τῆς ἥβης ἕως τοῦ ὀμφαλοῦ, τὸ ἦτρον· Παρμενίσκος δὲ τὸν ὀμφαλόν, διὰ τὸ τοῦτον πρῶτον ἐκτέμνεσθαι γεννωμένου τοῦ βρέφους, ἢ ὅτι κατ' αὐτὸν εἰς δύο τέμνεται ἴσα ὁ ἄνθρωπος. A.

ἡ διπλῆ, ὅτι ἁπαξ τὴν πρότμησιν ὠνόμασεν. ἔχει δὲ ὁ ὑπὸ τὸν ὀμφαλὸν τόπος κατὰ τὴν λαγόνα, διὰ τὸ πρῶτον ἐν αὐτῷ τέμνεσθαι τεχθέντα τὰ παιδία. τοῦτον δὲ λέγουσιν ἰατρῶν παῖδες ἦτρον. AV.

κατὰ πρόσμησιν διὰ τοῦ σ· ἔν τισι κεῖται τὸ τ. V.

425. ἀγοσῷ: τῇ δρακί, παρὰ τὸ ἄγειν. οἱ δὲ τῇ ἀγκάλῃ· ἃ δύναται δὲ τῷ ἀγκῶνι λέγεσθαι· ἁδεὶς γὰρ ἀγκῶνι δράσσεται. BLV.

427. ἐκ τριῶν μερῶν λόγου ὅλος ὁ σίχος. AD.

εὐηγενέος: τοῦ τῷ σώματι εὐφυοῦς. BL.

430. πολύαινε: πιστὸς ὁ ἐκ πολεμίων ἔπαινος. ἢ εἰρωνεύεται. ἢ παρὰ τὸ αἰνόν ἐξιν ἡ σύνθεσις. BL.

δόλων ἄτ': ὅτι ἐμφαίνει τὸν Ὀδυσσέα ἐξ ἕξεως παρειλημμένως δόλιον καὶ ἐπὶ τούτῳ διαβεβλημένον. A.

καὶ ἐν Ὀδυσσείᾳ (3, 121) φησὶν „ἐνίκα δῖος Ὀδυσσεὺς παντοίοισι δόλοισιν." ὥστε ἄμφω ἑνὸς τὰ σωμάτια. σωματικὴ δὲ καὶ ψυχικὴ ἐπαινεῖται Ὀδυσσέως. V.

431. Ἱππασίδῃσι: γράφεται Ἱππασίδῃϊν. A.

432. καὶ τεύχε' ἀπέρας: ἡ διπλῆ, ὅτι ἀκαίρως προσέρριπται τὸ ἡμισίχιον· ἃ μὲν ἐπιτρέπει τὰ τῆς περιζώσεως σκυλεύειν. ἔφαμεν δὲ τὴν διὰ τοῦ δε ἐπέκτασιν προπεριισπᾶσθαι, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν· διὸ σημειούμεθα τὸ τώδε δ' ἐνόει παροξυνόμενον. A.

433. ἤ κεν ἐμῷ ὑπὸ δορί: βάρβαρος ἡ ἀλαζονεία, ἐν τοιούτῳ προφερομένη καιρῷ μεθ' ὑπερβαλλούσης ὑπερφανίας. BL.

437. χρόα: τὴν ἐπιφάνειαν τοῦ σώματος, οὐ τὴν ἄχρι

τῶν ἔσω (τῶν ἐμπαθῶν V) μερῶν σάρκωσιν. BL.

ὅτι χροός αἱ Ἀριστάρχ· Ζηνοδότειος δέ ἐστιν ἡ χρόα. σικτέον δὲ ἐπὶ τὸ ἔργαθεν· τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστι, τὸ δόρυ διελθὸν τὴν πανοπλίαν ὅλον τὸν ἐπὶ ταῖς πλευραῖς χρῶτα ἐχώρισεν αὐτῶν, οἷον διέσπασε τὰς σάρκας ἀπὸ τῶν ὀστῶν. ὁ μὴν εἴασεν ἡ Ἀθηνᾶ κατὰ βάθος ἐλθεῖν, ὥστε τῶν ἐντοσθιδίων ἅψασθαι. A.

439. γνῶ δ' Ὀδυσεὺς ὅ οἱ ἔτι τέλος καταικαίριον ἦλθεν: αἱ Ἀριστάρχ ἕτως τέλος, καὶ καλῶς ἅπασαι· ἔγνω ὅτι ὁ κατὰ καίριον τέλος ἦλθεν ἡ πληγή, ὁκ εἰς καίριον τόπον ἐτελεύτα. Ζηνόδοτος δὲ γράφει βέλος, κακῶς· ὁ βέβληθ δέ, ἀλλ' ἐκ χειρὸς πέπληγε· λέγει δὲ τέλος τὸ τῆς ζωῆς. A.

ἔγνω ὁ Ὀδυσσεὺς ὅτι ὁκ εἰς καίριον ταύτῃ ἐτελεύτησεν ἡ βολή. φησὶ γὰρ „ὡς εἰπὼν ἄτησεν, ὐδέ τ' ἔασε Παλλάς·" ὁ ἐπάγει „ἦ μάλα δή σε·" ὁ πάλιν „φθῆ σε τέλος." ἔστι δὲ θαυμάσαι τὸ ἀτάραχον Ὀδυσσέως, πῶς εὐθὺς τιτρώσκει μὴ δειλιάσας τὴν πληγήν. BL. οὐχ ὡς Ἀχιλλεὺς „σάκος μὲν ἀπὸ ἕο ἔχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος ῥεῖα διελεύσεσθαι" (Il. 20, 261). V.

441. ἃ δειλ': ἐπεὶ μετὰ τὰς προσαγορευτικὰς ἀνάγκη εἰζειν, ὡς ὁ ἡ συνήθεια μαρτυρεῖ εἰζεσα μετὰ τὴν δευτέραν λέξιν, ὁκ ἔστι δὲ πλήρης ἀλλὰ συνήλειπται, οὕτως δὲ ἡμῶν ἀναγινωσκόντων πεπονθυῖαν τὴν λέξιν βαρβαρισμὸς γίνεται, εἴτε ὀξύνοιμεν εἴτε περισπάσοιμεν, ἀναγκαίως ἐκ πλήρους γράφειν τὴν λέξιν, ἃ δειλέ, δεῖ, ἵνα ὁ ἡ σιγμὴ ὁ ὁ τόνος ἀναλόγως ὁ Ἑλληνικῶς ἔχῃ. ἕτως δὲ ὁ Ἀρίσταρχος ἔγραφεν ἐκ πλήρους, ὡς Δίδυμος μαρτυρεῖ· τὸ μὲν γὰρ μέτρον ὁκ ἂν δόξαι βλάπτεσθαι τῷ στοιχείῳ προσεθέντος, ἐπεὶ ὅταν δέῃ ὑγιὲς αὐτὸ παρισᾶναι, πάλιν ἀφαιρεθήσεται, ὡς „βεκόλε ἐπεὶ ἔτε κακῷ" (Od. 20, 227) „ἦ ὀ μέμνῃ ὅτε τ' ἐκρέμω" (Il. 15, 18). ἕτως δὲ ὁ ἐν τοῖς ἑξῆς „ἃ δειλέ, ὀ μὲν σοί γε" (452). A.

445. κλυτοπώλῳ: τῷ ἰσχυρὸς ὁ ὀνομαστὸς ἵππους ἔχοντι, ὅτι ὀδεὶς τὸν θάνατον διαφυγεῖν δύναται. AD.

446. φύγαδε ὡς οἴκαδε. ἰσοδυναμεῖ δὲ τῷ εἰς φυγήν, ἁμὴν τῷ „τὸς ἕλεν, οἱ δ' ἄλλοι φύγαδε μνώοντο" (Il. 16, 697)· ἀντὶ γὰρ αἰτιατικῆς ὀ μετὰ τῆς εἰς, διὸ καί τινες ὑπέλαβον μὴ ὁ δύο μέρη λόγου εἶσιν. ἕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. A.

αἰσχρὰ ἡ φυγὴ ἀπειλῇ μόνῃ γενομένη τραυματίᾳ ἀνδρός. ὁκ ἄτοπον δὲ ἀλαζονεύεσθαι Ὀδυσσέα προύρξαντος ἐκείνου. ὁ ὅτι παρ' ὀλίγον ἀνῃρημένος κεκρύπτηκε τῷ πολεμίῳ. BL.

451. ὦ Σῶκε ἐντελῶς αἱ Ἀριστάρχ. V.

φθῆ σε: εἰ ὁ ἔφυγες, φησί, κιχήμενον ἔφθη σε τὸ τέλος τῷ θανάτου. BL.

τέλος θανάτοιο: πρόδηλον κἀκ τούτου ὅτι γραπτέον „τέλος κατακαίριον" (439). Ζηνόδοτος δὲ γράφει πάλιν φθῆ σε βέλος θανάτοιο. A.

453. ὅσσε καθαιρήσουσι: παλαιὸν ἔθος „χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν" (Od. 11, 426). V.

454. ὠμησαί: Ἀρίσταρχος ὡς ἀθληταί, Τυραννίων ὡς κομῆται, σύνθετον ἐκδεχόμενοι τὴν λέξιν. ἄμεινον λέγειν ὡς ὅτι τὰ εἰς στης λήγοντα, τῷ η παραληγόμενα ἔχοντα πρὸ τοῦ τ τὸ σ, ὑπὲρ δύο συλλαβὰς ὄντα ὀξύνεται· ἐρπηστής ὀρχηστής. ἕτως ἓν ὁ ὠμηστής. A.

ἐρύσσειν: προπαροξύνεται· ἐνήλλακται γὰρ ὁ ἐνεστὼς τοῦ μέλλοντος ἀντὶ μέλλοντος· ἕτως καὶ Ἀρίσταρχος. ὁ δὲ Ἀλλος περισπᾷ, ὁκ εὖ, ἐπεί, φησίν, ἐν τῷ ἑξῆς εἴχω ὁ μαι παρελήφθη περισπώμενος· „αὐτὰρ ἐπεί κε θάνω, κτεί με δῖοι Ἀχαιοί." ἔλαθε δὲ τὸν ἄνδρα ἡ τοιαύτη ὕλη τῷ σ Ἀττικὴ ἅσα ὁ περισπῶσα τὰς μέλλοντας διὰ τιον, εἰ παραλήγοιτο τῷ ι συνεζαλμένῳ, ὅπερ ὁ ἐπὶ „τόνδε δ' ἐγὼ κομιῶ" (Od. 15, 546). τὸ μέντοι ἐρύω ὁ ναθ ἔχεσθ ταύτης τῆς φύσεως, ἀλλ' ἔστιν ἐνεστὼς ἀντὶ λοντος. A.

455. ἐπεί κε θάνω: ἐὰν ἐκ τῆ τραύματος τούτ, τοιοῦτόν τι ἐπακολουθήσῃ. προενέχυριάζει δὲ τὴν γνω τῶν Ἀχαιῶν, ὡς ὑπὲρ αὐτῶν ἀποθνήσκων. BLV.

Ἀρίσταρχος ἔμ' εἴ κε θάνω. A.

ἄλλως. ἕτως Ἀρίσταρχος διὰ τοῦ μ, ἔμ' εἴ κε θά εἰ δὲ διὰ τοῦ π, ἐπεί κε θάνω, γραμματισῶν. A.

456. ἡ διπλῆ πρὸς τὴν ἀμφιβολίαν, πότερον ἐκ τῆ χρωτὸς τὸ ἑαυτῆ ἔγχος εἶλκεν ὁ Ὀδυσσεύς, ἢ ἐκ τῆ χρωτὸς τὸ τῆ Σώκε δόρυ. ὁ ἔστιν ὑγιές· λέγει γὰρ δὲ θυμόν" ὁ τῆ νεκρῆ ἀλλὰ τῆ Ὀδυσσέως· τὸ δὲ ἔγχος εἴασεν ἕτως. κατὰ δὲ τὸ τέλος τῆ ζίφε βραχὺ σαλτέον· τὸ γὰρ τῆ Σώκε δόρυ ἐκ τῆ ἰδίε χρωτὸς ἐξ μένει μὲν ἓν ἡ ἀμφιβολία ὁ ἕτως, ἐπεὶ μὴ πρόσκε τίνος χρωτός· ἐὰν δέ τις συνάπτῃ, μᾶλλον ἁμαρτήσ

457. ἐκ χροὸς: τῆ ἰδίε χροός. μεῖζον δὲ ἐφάνη τ τόρθωμα Ὀδυσσέως ἐκ τῆς ἐπιφορᾶς, ὅτι ἀκμὴν ἐμ γότος τῆ δόρατος τὸν πολέμιον ἐφόνευσεν. BLV.

εἶλκε: Ἀρίσταρχος ἕλκε. A.

458. αἷμα δέ οἱ σπασθέντος: ἕτως Ἀρίσταρχ αἷμα δὲ αὐτῷ τῷ Ὀδυσσεῖ. Ζηνόδοτος δὲ γράφει δὲ ἑ σπασθέντος· γίνεται δὲ τὸ ἑαυτῆ, ὃ ὁκ ἁρμόζ

ἀνέσσυτο: σημείωσαι ὅτι ἐπὶ μὲν τῆς λεπτ πληγῆς ἀνηκόντιζέ φησιν, ἐπὶ δὲ τῆς μείζονος ἀνέ τὸ γὰρ πολὺ ὁκ ἀκοντίζεται. BL.

459. ὅπως ἴδον: γράφεται ὁ ἐπεὶ ἴδον. A.

αἷμ' Ὀδυσῆος: καλῶς ἄρα Λυκῦργος ἐνομοθ Λακεδαιμονίοις ἐθῆτα φοινικῆν ἐν τοῖς πολέμοις ἵν' εἰ τρωθείη τις, λανθάνοι τοὺς πολεμίους διὰ τὸ χρῶν. BLV.

460. τὸ καθ' ὅμιλον δυνατὸν μὲν ὁ τοῖς ἑξῆς π δοθῆ, οἷον κατὰ πλῆθος ἐπῆλθον αὐτῷ· πολὺ δὲ κρ τοῖς ἐπάνω συνάπτειν· παρεκελεύσαντο γὰρ τῷ πλήθε τῶν. A.

461. αὐτὰρ ὅγ' ἐξοπίσω: συγγνωσέον· ἐν ἐγ γάρ ἐστιν. εἰκότως ἓν ὑποχωρεῖ ὁ βοᾷ τοὺς συμμάχους αὐε: ψιλῶς· τέτακται γὰρ ἐπὶ τοῦ φωνεῖν. ὅταν εἰ

ξηραίνειν ἢ ἅπτειν, τότε δασυντέον· ἔςι γὰρ σύνθετον. A.

462. ἤϋσεν: ὅτι παρῆκε τὸ τί φωνῶν, οἷον βοηθεῖτε. A.

ὅσον κεφαλὴ χάδε φωτός: ἀντὶ τοῦ εἰπεῖν αὐτοῦ φωτός εἶπε. τὸ δὲ χῆμα πολλαχοῦ, ὡς καὶ ἐν Ὀδυσσείᾳ (Ι. 129), „ὡς ῥύσαιτο περὶ χροῒ μήδεα φωτός." μεγαλόφωνος δὲ παραδίδοται ὁ Ὀδυσσεύς· „ἀλλ' ὅτε δὴ ὄπα τε γάλην" (Il. 3, 222). δείκνυσι δὲ διττὴν εἶναι τὴν φωνήν, ἣν μὲν θωρακικήν, τὴν δὲ πλατεῖαν καὶ οἱονεὶ σφοδροτέραν κεφαλῆς. BLV.

463. ἄϊεν — Μενέλαος: ὀφείλει γὰρ νῦν προσεκτικὸς εἶναι μᾶλλον διὰ τὴν ἀπουσίαν Ἀγαμέμνονος· ἢ ὡς αἴτιος τῆς μάχης. ἢ ὡς φίλος Ὀδυσσέως. „ἐξ Ἰθάκης ἀγαγὼν σὺν ἐήμασι" (Od. 4, 175). αἰσθόμενος δὲ ὡς οὐκ ἔςιν ἀξιόμαχος, προσλαβεῖν Αἴαντα διανοεῖται. BL.

464. ἐγγὺς ἐόντα: χαρίεν τὸ τῆς περιπετείας, ὅτι ὁ ἐκιμώτατος ἐγγὺς εὑρέθη Αἴας. BL. τὸ δὲ αἶψα τῆς ἐξέως αὐτοῦ καὶ προθυμίας σημαντικόν. V.

466. ἵκετο φωνή: Ἀρίςαρχος ἵκετ' ἀϋτή. A.

ἵκετ' ἀϋτή: οὕτως, ἵνα συνᾴδῃ τῷ „τρὶς μὲν ἔπειτ' ἔκε." V.

467. τῷ ἰκέλη: οὐχὶ τῷ Ὀδυσσεῖ ἰκέλη, ἀλλ' αὐτῷ τῷ ἐλεῖ ἑ βιώατο. ςοχάζεται γὰρ ὡς ὁ ταλασίφρων οὐκ ἄν, εἰ μὴ ἐγκαςο, ἐβόησεν. BL.

ὁ νοῦς, τοιαύτη οἵα ἂν γένοιτο καταπονουμένου ἀνδρός. A.

καιρὸν γὰρ οὐκ εἶχε νῦν σαφῶς δηλῶσαι τὸ πρᾶγμα ὁ Ὀδυσσεύς, μόνον δὲ βοᾷ. V.

469. ἀλεξέμεναι γὰρ ἄμεινον: ἄμεινόν φησιν ἐκείνῳ ἐνθεῖν ἢ χολάζειν ὧδε. BL.

470. ἐνὶ Τρώεσσι: γράφεται μετὰ Τρώεσσι. A.

474. θῶες: πανθήρια. πάρισον δὲ καὶ ὁμοιοκατάληκτον τῷ θῶες τῷ Τρῶες. D.

475. ἀμφ' ἔλαφον: οὐ δειλὸς Ὀδυσσεύς, ὅτι ἐλάφῳ ἔςαι· οὐ γὰρ ἰσχύος δηλωτικὸν τὸ τῆς παραβολῆς, ἀλλὰ ὁμοίων παθημάτων. θανούσῃ δὲ αὐτὸν ἐλάφῳ εἰκάζει, αὐξήσῃ τὸν κίνδυνον. ἔςι δὲ ἡ παραβολὴ μερικὴ πρός τὴν πληγὴν καὶ τὸ πλῆθος τῶν βαρβάρων καὶ τὴν ἀπουσίαν τοῦ βαλόντος· καὶ ὥσπερ θῶας ἀπελαύνει λέων ἐπιφανῶς οὕτως Αἴας τοὺς Τρῶας. ABL.

478. αὐτὰρ ἐπειδή: πρὸς τὸ πιθανὴν γενέσθαι τὴν ἔνδον τῶν πολλῶν ζῴων. ἄγει δὲ καὶ ἐπ' ἐκεῖνο ἡ ἔννοια, οὐδ' ἂν τῷ Ὀδυσσεῖ προσῆλθον οἱ βάρβαροι, εἰ μὴ τὸ τετρῶσθαι ὑπεῖξεν. BL.

480. σκιερῷ: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει γλαφυρῷ. τοῦτο δὲ σπηλαίῳ ἢ ἄντρῳ οἰκεῖον, νομὰς δὲ ἔχοντι συνδένδρῳ τόπῳ ἀνάρμοςον. A.

ἶν: περισπαςέον κατὰ νόμον τῶν μονοσυλλάβων αἰτιατικῶν· πᾶσα γὰρ αἰτιατικὴ μονοσύλλαβος εἰς ν̄ λήγουσα περισπᾶται, ἀπέςραπται δὲ τὸν ὀξὺν τόνον, μῦν μνᾶν σῦν ὗν. ἔστι καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περισπᾶται, τῆς κλεῖδας ὀξυνομένης. ταῦτα Ἡρωδιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ τῆς καθόλου. A.

ἄλλως. ἔδει μὲν περισπωμένως, ὡς μῦς μῦν· τὸ γὰρ πληθυντικὸν παρὰ Καλλιμάχῳ „αἱ μέν ῥα λίεσσιν" ὡς μύεσσιν· Ἀριςάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνοντι. A.

τὸ πλῆρες λῖνα, ὅ ἐςι λέοντα, Δωρικῶς. D.

481. θῶες μέν τε διέτρεσαν: Ἀριςοτέλης ἐν τῷ περὶ ζῴων φησὶ θῶας καὶ λέοντας πολέμια εἶναι, σαρκοφάγα ὄντα καὶ ἀπὸ τῶν αὐτῶν τὴν τροφὴν ποριζόμενα. ἔμπειρος οὖν τούτων καὶ πρὸ Ἀριςοτέλους ὁ ποιητής. A.

αὕτη ἡ ἐπεξεργασία τῆς παραβολῆς καὶ πρὸς τὸ προκείμενον. V.

484. ἢ ἐπὶ τὸ ἀΐσσων βραχὺ διαςαλτέον, ἢ ἐπὶ τὸ ἔγχει. καὶ ἀμφότερα ἐγκατάσκευα· τὸ μέντοι δεύτερον δοκεῖ λείπειν τῇ σύν προθέσει, ὡς καὶ ἐκεῖ „ἔγχει ἐπαΐσσων" (Il. 10, 348). A.

ςιγμὴ εἰς τὸ ἀΐσσων. οὐ πρὸς Τρωσὶ δὲ ἐφορμᾷ (ἄπιςον γὰρ τοῦτο) ἀλλ' εἰς τὸ ἐκφοβῆσαι μόνον. BL.

486. στῆ δὲ παρέξ: παρέςη δέ. καὶ περισσὴ ἡ ἔξ, ὁμοίως τῷ „ὦσα παρέξ" (Od. 9, 488). A.

488. θεράπων: ὁ τοῦ Μενελάου· Ὀδυσσεὺς γὰρ οὐκ ἔχει ἵππους ἅτε δὴ νησιώτης. BL. ἀλλὰ νῦν διὰ τὴν χρείαν οὐκ εἴα ὁ καιρὸς εἰπεῖν Μενέλαον „ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο" (Il. 8, 105). V.

489. Αἴας δὲ: ἔσχατος ἀριςεύει Αἴας ὡς νωθής. V.

490. ἐπὶ τὸ Πριαμίδην βραχὺ διαςέλλειν ἀξιοῦσί τινες, οὐκ ἀπιθάνως, ἵνα μὴ συνάπτωμεν τῷ πατρωνυμικῷ τὸν υἱὸν καὶ ζήτημα ποιῶμεν περί τινα ὥσπερ ἐξήγησιν ἢ ἐπανάληψιν. A. περισσὸν δὲ τὸ υἱόν· κτητικοῖς μὲν γὰρ προστίθεται τὸ ὑπὸ τὴν κτῆσιν πεσεῖν δυνάμενον, πατρωνυμικοῖς δὲ ἐμπεριέχεται. AD.

ςιγμὴ εἰς τὸ Πριαμίδην· εἶτα μετ' ἐμφάσεως ἡ ἐπανάληψις· καὶ πάλιν εἰς τὸ υἱόν τελεία. BL.

492. κάτεισι: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει δίηται. τὸ δὲ κάτεισι τὴν ἐξ ὕψους καταφορὰν δηλοῖ. A.

καὶ ἐπὶ Διομήδους ἡ παραβολή· ἀλλὰ τότε μείζων τούτου ἐκεῖνος διὰ τὴν ἐπικουρίαν Ἀθηνᾶς. οὐ μὴν οὐδὲ αὕτη εἰκῇ πρόσκειται· τὸ γὰρ κάτεισι τὴν ἀκώλυτον ὑποφαίνει ὁρμήν, καὶ τὸ ὀπαζόμενος οἷον ἐπειγόμενος. BL.

494. δρῦς ἀζαλέας: ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, πότερον ὅτι φυλλοῤῥοεῖ καὶ κατὰ ταύτην τὴν ὥραν ξηραινόμενα τὰ δένδρα ἐκ ῥιζῶν ἀναβάλλεται ἐκ τῶν χειμάῤῥων· ἢ ὅτι οἱ δρυτόμοι εἰς τοὺς ποταμοὺς ἐμβάλλουσι κόπτοντες, ἵνα ἐπὶ τοῦ καιροῦ συγκαταφέρωνται τῷ ὄμβρῳ, ὃ καὶ ὑγιές. A.

ἢ τὰς μὴ παρὰ τὸν ποταμὸν ἀλλ' ἄνω που οὔσας, ἵνα τὸ πλῆθος τοῦ ῥείθρου δηλοῖ· ἢ ἃς οἱ δρυτόμοι τιθέασι πρὸς τὸ ξηρανθῆναι· „ἡ μέν τ' ἀζομένη κεῖται" (Il. 4, 487). διὰ δὲ τὸ δυσμετακόμιςον ἐῶσι τὸν ποταμὸν ἀγαγεῖν. διὰ δὲ τοῦ πολλαπλασιάζειν τὸ πολλάς ἐπαίρει τὸν λόγον. BLV.

495. ἀφυσγετόν: Ἀρίςαρχος ὀξύνει ὁμοίως τῷ ὑετόν, ὁ δὲ Τυραννίων βαρύνει ὁμοίως τῷ ἀτρύγετον. ἔςι δὲ ἐκεῖνο ὑπὲρ τοῦ Ἀριςάρχου λέγειν, ὅτι τὰ ὑπὲρ τρεῖς συλλα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βάς, διὰ τȣ̃ ἔτος ἐκφερόμενα, μὴ ἔχοντα παραχηματισμὸν θηλυκȣ̃, ἐπιθετικῶς μὲν λαμβανόμενα τρίτην ἀπὸ τέλους θέλει ἔχειν τὴν ὀξεῖαν, ὥσπερ ἔχει ὁ ἀμαιμάκετος περιμήκετος· τὸ δὲ λαιλαπετός μὴ ὂν ἐπιθετικόν ὠξύνθη, ϗ τὸ Ἰαπετός ἐπὶ κυρίȣ. εἴπερ ȣ̃ν ϗ τὸ ἀφυσγετός ȣ̓κ ἔςιν ἐπιθετικόν, ὑγιῶς ὀξυτονηθήσεϑ κατὰ τὸν Ἀρίςαρχον. ἢ εἴπερ αὐτὸ βαρύνομεν, δώσομεν αὐτὸ ϗ ἐπικεῖσθαί τινι. A.

498. Σκαμάνδρου: ἀριςερὸς τοῦ ναυςάθμου ἐςὶν ὁ Σκάμανδρος. V.

μέμνηϑ ἑαυτȣ̃ ὁ ποιητής, ἔμπροσθεν (336) εἰπὼν „ἔνθα σφιν κατὰ ἶσα μάχην ἐτάνυσσε Κρονίων." οὕτω γ̃ κατὰ ἶσα ἡ μάχη γίνεϑ, τῶν ἀρίςων ἐφ' ἑκατέρῳ μέρει ἀριςευόντων καὶ μήπω συμβαλλόντων ἀλλήλοις. καταλιμπάνων δὲ Αἴαντα ποικίλλει τὸ ὑποκείμενον. V.

500. ἀνδρῶν: τῶν Ἀχαιῶν· φησὶ γὰρ „νέων δ' ἀλάπαζε φάλαγγας" (503). V.

502. ἡ διπλῆ, ὅτι ὁμίλει ἀντὶ τοῦ ἐμάχετο, ἀπὸ τοῦ ὁμȣ̃ τὰς ἵλας συμβάλλειν. A.

κατακωμῳδεῖ τὸ ῥᾴθυμον Ἕκτορος, καθὸ τοῖς περὶ Ὀδυσσέα ϗ Ἀγαμέμνονα τȣ́τοις ἑαυτὸν ἐκδίδωσιν. V.

503. οἱ μὲν πλείȣς ἀνέγνωσαν νέων ὡς ξένων, ἵνα τῆς οἱ νέοι εὐθείας γενικὴ ὑπάρχοι. ὁ μέντοι Ἀρίςαρχος καὶ Ἀλεξίων ϗ ὁ Ἀσκαλωνίτης περιέσπασαν, ἵνα ἀπὸ τȣ̃ „τῶν νέες ὠκεῖαι" (Od. 7, 36) ᾖ, ἐπεί, φησί, νȣ̃ν ȣ̓κ ἔχει τὸ βαρυνόμενον, τὸ μέντοι περισπώμενον, τοιαύτης ὑπαρχȣ́σης τῆς διανοίας, τὰς πρὸ τῶν νεῶν τάξεις. A.

504. κελεύθου: τῆς ὡς πρὸς τȣ̀ς πολεμίȣς ὁρμῆς καὶ ἧς εἶχον κατ' αὐτῶν προθυμίας. BL.

506. ἡ διπλῆ, ὅτι μηδὲν προδιασυςήσας κατὰ συμπέρασμα παῦσεν ἀριςεύοντά φησιν. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „τῷ ȣ̓ πώ τις ὅμοιος ἐπιχθόνιος γένετ' ἀνὴρ κοσμῆσαι ἵππȣς τε καὶ ἀνέρας ἀσπιδιώτας" (Il. 2, 553). A.

λεληθότως ἐνέφηνεν ὡς διετίθετό τις ὁ Μαχάων. τίς δὲ ἡ ἀριςεία ἐπὶ κεφαλαίου εἰπών, οὐ διέξεισι κατὰ μέρος ὡς ἐπὶ τῶν ἄλλων. V.

507. κατὰ δεξιὸν ὦμον: εἰς τὸν ὦμον τέτρωϑ, ἵνα μηδὲ τοῖς τρωθεῖσιν ἐπαρκῇ. ηὔξησεν οὖν τὴν ἀγωνίαν. BLV.

508. τῷ: τῷ Μαχάονι, ὡς διὰ τῶν ἑξῆς δηλοῖ „ἰητρὸς γὰρ ἀνήρ" (514). V.

509. μετακλινθέντος: ἀντὶ τȣ̃ μεταβληθέντος τοῦ πολέμȣ ϗ ἐπικρατεςέρων γενομένων τῶν Τρώων. A.

ἐπὶ θάτερον μέρος τῆς ῥοπῆς γενομένης. BL.

510. Ἰδομενεὺς προσεφώνεε Νέςορα: ȣ̓χ ὅτι τὸ δέον μᾶλλον ὁρᾷ τȣ̃ Νέςορος, ἀλλ' ὅτι ἀπίθανον ἦν τȣ̃τον τὸν λόγον περιθεῖναι αὐτῷ ὡς περὶ ἰδίας σπεύδοντι ἀπαλλαγῆς. πιθανὴ δὲ αὐτῷ ϗ ἡ ἀναχώρησις κατὰ πρόφασιν τῆς τȣ̃ ἰατρȣ̃ ἐπιμελείας, ἵνα καὶ τȣ́τȣ ἔρημον γένηται τὸ ςράτευμα. ἀπαλλάσσει δὲ αὐτὸν δευτέρων κινδύνων ὁ ποιητής, ϗ ταῦτα ςερόμενον τῶν σωζόντων. BL.

. πὰρ δὲ Μαχάων: τȣ̃τον ἠδύνατο ὁ ποιητὴς ϗ πεζὸν ἐπὶ τὰς ναῦς ἀγαγεῖν· τὸν γ̃ ὦμον ἦν τετρωμ[illegible] οἰκονομικῶς δὲ ἐφ' ἅρματος αὐτὸν ἐποίησεν ἀπιόντα[illegible] τὸ τῶν ἵππων τάχος, ἵνα παραδράμῃ τȣ̃ Ἀχιλλέως [illegible] ὄψιν, ϗ μὴ δυνηθεὶς καταμαθεῖν ἀκριβῶς τίς ἐςι τὸν [illegible] τροκλον τȣ̃το εἰσόμενον ἐκπέμψῃ, ϗ ἡ Πατρόκλεια εἰ[illegible] ποίησιν παρέλθῃ. ἔςι δὲ τὸ μὲν ἄγρει παρορμη[illegible] ἐπίῤῥημα, τὸ δὲ ἄγε παρακελευςικόν. BL.

513. ἐς νῆας: ἵνα εἴπῃ Ἀχιλλεὺς „ἵπποι γάρ με [illegible] ρήϊξαν" (615). καὶ ὁ Νέςωρ δὲ καθομιλήσας τῷ Πατρ[illegible] δύναται ποικίλως πεῖσαι. V.

515. ἀθετεῖται, ὅτι ȣ̓κ ἀναγκαία ἡ ἐξαρίθμησις· [illegible] γ̃ εἰ μόνον ἰȣ̀ς ἐκτάμνειν ϗ φαρμακεύειν οἶδεν. ϗ Ἀ[illegible] φάνης προηθέτει· Ζηνόδοτος δὲ ȣ̓δὲ ἔγραφεν. A.

ἐμείωσε, φασί, τὸν ἔπαινον, μερικὴν αὐτῷ προσθεὶ[illegible] εἴδησιν· καίτοι φησὶν „ὅς ῥά τε πάσης εὖ εἰδῇ σοφ[illegible] (Il. 15, 411). οἱ μὲν ȣ̓ν φασὶν ὅτι τὸ χειρȣργικὸν κ[illegible] φαρμακευτικὸν εὕρητο παρα τοῖς παλαιοῖς· τȣ̃ γ̃ δι[illegible] τικȣ̃ Ἡρόδικος μὲν ἤρξατο, συνετέλεσε δὲ ϗ Ἱπποκρ[illegible] Πραξαγόρας, Χρύσιππος. ὅτι δ' ȣ̓κ ἴσασι τὸ διαιτη[illegible] „νοῦσον δ' ȣ̓ πως ἔςι Διὸς μεγάλȣ ἀλέασθ" (Od. 9, [illegible] „ἀσπασίως δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν" ([illegible] 397). ἔνιοι δέ φασιν ὡς ȣ̓δὲ ἐπὶ πάντας τȣ̀ς ἰατρȣ̀ς ὁ [illegible] νος ȣ̓τός ἐςι κοινός, ἀλλὰ τὸν Μαχάονα μόνον χειρ[illegible] ἐθέλȣσι· τὸν γ̃ Ποδαλείριον διαιτᾶσθαί φασι τὰς νό[illegible] ϗ τεκμήριον, ὅτι Ἀγαμέμνων τρωθέντος Μενελάȣ ȣ̓[illegible] δαλείριον καλεῖ ἀλλὰ τὸν Μαχάονα. τȣ̃το ἔοικε ϗ Ἀ[illegible] νος ἐν Ἰλίȣ πορθήσει νομίζειν, ἐν οἷς φησὶν „αὐτὸ[illegible] σφιν ἔδωκε πατὴρ ἐνοσίγαιος πεσεῖν (παισὶν Heyn.) ἀμ[illegible] ροις, ἕτερον δ' ἑτέρȣ κυδίον' ἔθηκε. τῷ μὲν κȣφοτέρας [illegible] πόρεν, ἔκ τε βέλεμνα σαρκὸς ἑλεῖν τμῆξαί τε ϗ ἕλκεα [illegible] ἀκέσασθ. τῷ δ' ἄρ' ἀκριβέα πάντ' ἐνὶ ςήθεσσιν ἔθηκεν, [illegible] πά τε γνῶναι ϗ ἀναλθέα ἰάσασθ· ὅς ῥα ϗ Αἴαντος [illegible] τος μάθε χωομένοιο ὄμματά τ' ἀςράπτοντα βαρυνό[illegible] τε νόημα." εἰ δὲ μὴ παράγει τινὰ διαιτώμενον, ȣ̓ θ[illegible] διὰ γ̃ τὸ ἀπρεπὲς παρῆκε τὴν δίαιταν· αἰσχρὸν γ̃ [illegible] ἥρωα πυρέττοντα παραλαβεῖν καὶ κενούμενον τὴν γ[illegible] ἢ προποτιζόμενον. ταῦτα γ̃ κωμικά, ὡς ϗ τῷ Δι[illegible] πεποίηϑ ἐν Λιμῷ τῶν νόσων Ἡρακλῆς, Σειληνὸς δ[illegible] ζειν πειρᾶται τὸν Ἡρακλέα. ἢ μόνων τῶν ἐν πολέμῳ [illegible] γȣ́ντων μέμνηται· εἰσὶ δὲ φάρμακα ϗ χειρȣργίαι. εἰ [illegible] τῶν ἡττόνων ὁ ἔπαινος, καὶ τȣ̃το ἰατρικῆς ἐγκώμιον [illegible] τὰ ἥττω μέρη ταύτης εἶναι πολλῶν ἀντάξια. BLV. μ[illegible] δὲ καὶ τὸ ἑξῆς τȣ̃ λόγȣ τοιόνδε· εἰς τὰς ναῦς ἐλαύν[illegible] ἵππȣς ϗ τὸν ἰὸν ἐκτέμνει τῷ Μαχάονι ϗ ἐπιπάσσει [illegible] μακα. καὶ ȣ̓ θαῦμα ἰȣ̀ς τὸν ἰὸν εἰρῆσθ· καὶ πρόσωπ[illegible] φησι ϗ τήθεα. ϗ τὸ ἀπαρέμφατον ἀντὶ προςακτικȣ̃.

518. τὸ ἀμύμονος τȣ̃ ἰητῆρός ἐςιν ἐπίθετον· θνο[illegible] γ̃ εἴωθεν Ὅμηρος τάσσειν τὸ ἐπίθετον. καὶ ἀμύμον[illegible] Πήδασόν φησιν (Il. 16, 151). V.

519. ἵππους: γράφεται ἐλάαν. A.

ἐμάςιξεν ἐπὶ τῷ ἐλαύνειν. ἢ Ἀττικῶς λείπει τὸ [illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ἀπαρέμφατον ἀντὶ μετοχῆς, ὡς τὸ „βῆ δὲ θέειν" (7) ἀντὶ τȣ̃ θέων. BL.

520. φίλον ἔπλετο: τοῖς ἵπποις διὰ τὰς φάτνας. V.

521. Κεβριόνης: φησὶ γὰρ „Κεβριόνην δ' ἐκάλεσεν πων ἡνί' ἑλεῖν" (Il. 8, 318). μέχρι δὲ τȣ́τȣ ἠμέλησε τῶν ρίων ὡς σωφρονισθῆναι ὑπὸ τȣ̃ ἡνιόχȣ. V.

523. ἡ διπλῆ, ὅτι κυρίως λέγει ὁμιλέομεν, ὁμȣ̃ τὰς ις συμβάλλομεν. A.

524. ἐσχατιῇ: εἶπε γὰρ „μάχης ἐπ' ἀριςερὰ μάρνατο ίσης" (498)· ὅπȣ, φησίν, ȣ̓δὲν ὠφελεῖ ἡ ἡμετέρα παρȣ- α. V.

527. εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος: ἔνθεν ὶ Εὐρυσάκης ὁ τȣ̃ Αἴαντος υἱός. V.

528. κεῖσ' ἵππους: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ῖθ' ἵππους. γίνεται δὲ ἐν ἐκείνῳ τῷ τόπῳ· τὸ δὲ ἐκεῖσε ἐκεῖνον τὸν τόπον, ὃ δὴ νῦν ἁρμόζει. A.

529. προβαλόντες: μέσην ἀμφοτέρων ἔχοντες. V.

531. ἵμασεν καλλίτριχας ἵππους: εὖ τὸ μὴ ἀνα- ῖναι τȣ̀ς τȣ̃ Ἕκτορος λόγȣς· τάχα γὰρ ȣ̓δὲ ἥκειν ἤθελεν ῖσε δι' Αἴαντα. BL.

532. λιγυρῇ: τῇ ὀξὺν ἦχον ἀποτελȣ́σῃ, ἢ λιγεῖς καὶ ῖς τȣ̀ς ἵππȣς ποιȣ́σῃ κατὰ τὸν δρόμον. AD.

ἀΐοντες: ἡ διπλῆ, ὅτι τῷ εἴδει τὸ γένος δεδήλωκε· γὰρ ἀΐοντές ἐςιν ἀκȣ́οντες, θέλει δὲ εἰπεῖν ἐπαισθόμενοι ς πληγῆς· ἡ γὰρ ἀκοὴ εἶδός ἐςι τῆς αἰσθήσεως. A.

534. στείβοντες: πατȣ̃ντες, βαρȣ̃ντες· ὅθεν καὶ ἡ πε- λημένη ὁδὸς ςίβος λέγεται. D. καὶ ςιβεύς ὁ βίᾳ πατῶν. V.

φαντασίαν ποιεῖ ἡ ἔπειξις, ὥςε διὰ τῶν πτωμάτων ἔρ- θῃ. εἴωθε δὲ ἀπὸ τῶν συμβεβηκότων δηλȣ̃ν τὰ πράγμα- · νῦν δὲ ἀπὸ τȣ̃ ἀναφερομένȣ αἵματος, ὥςε πιμπλάναι ν ἄξονα καὶ τὰς ἄντυγας, τὸ πλῆθος ἐνέφηνε τῶν νεκρῶν, ὶ ἀλλαχȣ̃ θέλων δηλῶσαι τραῦμα βαθύ, φησὶ „πᾶν δ' οθερμάνθη ξίφος" (Il. 16, 333). BL.

536. ἃς ἄρ': ἃς ἔβαλλον ἄντυγας αἱ ἀπὸ τῶν ὁπλῶν ἐπισσώτρων ῥαθάμιγγες ἤτοι ῥαντισμοί. πρὸς τὸ θηλυ- ν δὲ ἠπήντησεν. BLV.

ȣ̓ χωριςέον τὸν ἑξῆς ἐπιφερόμενον „αἵ τ' ἀπ' ἐπισ- ώτρων." ὁ γὰρ λόγος ȣ̃τος, ἃς αἱ ῥανίδες ἔβαλλον αἱ ἀπό τῶν ἱππείων ὁπλῶν καὶ αἱ ἀπὸ τῶν ἐπισσώτρων. A.

537. αἵ τ' ἀπ' ἐπισσώτρων: ȣ̃τως κατὰ συναλοιφὴν ταῖς Ἀριςάρχȣ. A.

ὅμιλον ἀνδρομέον: τὴν τῶν ἀνδρῶν μάχην. V.

538. ȣ̃τως Ἀρίςαρχος, ῥῆξαί τε, διὰ τȣ̃ τέ. A.

539. μίνυνθα δὲ χάζετο δουρός: ἐκεῖθεν, ὅπȣ ἦν Αἴας, ἔλασσον δόρατος βολῆς ἀνεχώρει. A.

ἧσσον βολῆς δόρατος· φησὶ γȣ̃ν „ἄορί τε" (541). τινὲς φασιν ὡς ȣ̓δ' ὅλως ἐχάζετο. BLV.

ἐπ' ὀλίγον, φησί, τῆς βολῆς τȣ̃ δόρατος ὑπεχώρει, ἀντὶ ȣ̓δὲ ἐπ' ὀλίγον, ἀλλ' αἰεὶ συνεπλέκετο. A.

δουρός: Ἀρίςαρχος δȣρί κατὰ δοτικήν. A.

542. Αἴαντος δ' ἀλέεινε μάχην: ἐντεῦθεν φαίνεται τὸ γνῶθι σαυτόν· δῆλον γὰρ ὡς πάντας τȣ̀ς ἀρίςȣς σκοπῶν ὑπεχώρει, καίτοι Διὸς περὶ μόνȣ εἰπόντος Ἀγαμέμνονος. BL.

544. Ζεὺς δέ: πρὸς τὸ „ἀνδρὶ δὲ ἢ ȣ̓κ εἴξεις." ἄτοπον γὰρ τȣ́τȣ παρόντος τροπὴν γενέσθαι. V.

545. ὄπιθεν δὲ σάκος βάλεν: ἡ διπλῆ, ὅτι ἐκ τελαμώνων ἀνήρτηντο αἱ ἀσπίδες· ȣ̓ γὰρ ἂν ἄλλως ἠδύνατο εἰς τȣ̀πίσω μεταλαμβάνεσθαι. A.

546. τρέσσε δὲ παπτήνας: τρέσας ἐπάπτηνεν. A.

τὸ ἐφ' ὁμίλȣ βέλτιον τοῖς ἐπάνω προσδιδόναι. Ἀρι- ςοφάνης δι' ὁμίλȣ. A.

ἀντίπτωσις δέ ἐςιν, ὡς τὸ „ἐπ' ὠκεανοῖο ῥοάων" (Il. 3, 5). V.

547. ἐντροπαλιζόμενος: εἰς ἑκάτερα μεταςρεφόμενος, καὶ τὸ φεύγειν καὶ τὸ ὁρμᾶν· διὸ καὶ φυλάσσει τὰ ὀπίσω μὲν διὰ τȣ̃ σάκους, μή πως πληγῇ τὸ μετάφρενον, τὰ δὲ ἔμπροσθεν διὰ τȣ̃ θώρακος. ἔςι δὲ ἡ φυγὴ Αἴαντος ἄλλων ἀριςεία. ἄτρωτον δὲ αὐτὸν ὁ ποιητὴς τῇ ναυμαχίᾳ τηρεῖ. BL.

ὑποποδίζων. καὶ φεύγει ὡς λέων, ȣ̓χ ὡς ἔλαφος. V.

548. ὡς δ' αἴθωνα λέοντα: πρὸς τὴν τόλμαν ὁ λόγος. αἴθωνα δέ, ὅτι μόνος ὁρᾷ καὶ γεννώμενος καὶ κοιμώμενος. BL.

ὅτι ὁ λέων ȣ̓ μύει κοιμώμενος. V.

μέσαυλον Ἀττικοὶ τὴν μέσην θύραν. V.

ἡ διπλῆ, ὅτι ἀπὸ τούτου Ζηνόδοτος ἀθετεῖ ἕως τοῦ „ἤϊε πόλλ' ἀέκων" (557), ἴσως ὅτι νῦν μὲν λέοντι παραβέβληκεν, ἑξῆς δὲ ὄνῳ. ἔςι δὲ πρὸς διάφορα σημαινόμενα· ὁ μὲν γὰρ λέων πρὸς τὴν πρᾶξιν, ὁ δὲ ὄνος πρὸς τὴν ὑπομονήν· καὶ γὰρ τȣ̃τον ἐπιτριβῆ πληγῶν λαμβάνει. A.

Πορφυρίȣ. διὰ τί ὁτὲ μὲν λέοντι ὁτὲ δὲ ὄνῳ παραβάλλει τὸν Αἴαντα; ῥητέον οὖν ὅτι αἱ μὲν παραβολαὶ τριῶν ἕνεκα γίνονται, αὐξήσεως, ἐναργείας, σαφηνείας· εἰς τὸ πρόσφορον δὲ ἓν ἑκάτερον διετήρησεν ὁ ποιητής, εἰπὼν Αἴαντα καὶ φονεύοντα λέοντος δίκην καὶ τῶν πολεμίων ἀναχωρεῖν ὡς ὄνον. ταῖς γὰρ φύσεσι τῶν ζῴων καὶ τὸ ὀκνηρὸν πρὸς φυγὴν καὶ τὸ ταχὺ πρὸς μάχην τȣ̃ ἥρωος δεδήλωκεν. ABD.

549. ἐσσεύοντο: ȣ̃τω διὰ τȣ̃ ο ἐσσεύοντο. A. πρὸς τὴν τόλμαν, ὅτι μηδὲ διωκόμενος φεύγει. V.

550. πῖαρ: τὴν κρατίςην καὶ λιπαρωτέραν τῶν βοῶν· ἐπὶ ταύτην γὰρ ὁ αἴθων ἀεὶ ὁρμᾷ. BL.

551. πάννυχοι ἐγρήσσοντες: ηὔξησε τὴν τȣ̃ λέοντος ἀλκὴν τῇ τοσαύτῃ τῶν βȣκόλων φυλακῇ. V.

κρειῶν: περισπαςέον· ἡ γὰρ κρεῶν γενικὴ ἐπλεόνασε τῷ ι, ἥτις περισπᾶται διὰ τὸ ἔχειν ἐντελεςέραν τὴν κρεάων. A.

553. ἀντίοι: Ἀρίςαρχος διὰ τȣ̃ ν ἀντίον. A.

554. δεταί: ἤγȣν δεμάτια, παρὰ τὸ δέω τὸ δεσμεύω. L. παρὰ τὸ δεδέσθαι. ἐπειδὴ δὲ πολὺ ἔχει τὸ θερμόν, δέδιε τὸ πῦρ. ὅθεν οὐδὲ μύει κοιμώμενος οὐδέ, ὡς ὁ Δημόκριτός φησι, τεκτόμενος. V.

ἐσσύμενος: πρὸς τὸ εὐςαθὲς τῆς ὑποχωρήσεως, ὥςε ȣ̓ φεύγει, εἴργεται δέ τι δρᾶσαι. V.

555. ἠῶθεν: ἑσπέρᾳ, φησίν, ἐπιθέμενος μόγις ἠῶθεν ὑποχωρεῖ. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

557. ἤϊε: ῥῆμα ἐξελέξατο ἐμφαῖνον ἀναχώρησιν θορύβȣ ϗ ταραχῆς ἀπηλλαγμένην. BL.

πόλλ' ἀέκων: ἐνεθυμεῖτο γὰρ τόν τε κίνδυνον τῶν νεῶν ϗ τὸ τῆς ὑποχωρήσεως ἄχημον. BL.

περὶ γὰρ δίε νηυσὶν: ὅτι ἀντὶ τȣ̃ περὶ τῶν νεῶν τῶν Ἀχαιῶν. A.

558. ὡς δ' ὅτ' ὄνος: ἡ παραβολὴ πρὸς τὴν καταφρόνησιν τῶν Τρώων, ὅτι ȣ̓κ αὐτȣ̀ς φεύγει ἀλλὰ τὸν Δία. πρός τε τὴν ςάσιν τὴν ἀδδηφαγίαν τȣ̃ ζῴȣ ἔλαβε· διὰ δὲ τȣ̃ κείρειν τὴν ἀφθονίαν τῆς τροφῆς. εὖ δὲ ϗ ȣ̓ φορτηγῷ ὄνῳ παρέβαλεν, ἀλλὰ βοσκομένῳ· βραδεῖα γὰρ ἡ κίνησις τȣ̃ νεμομένȣ. ϗ ἐπιτείνων τὸν ὄνον νωθῆ λέγει καὶ πληγῶν ἐθάδα πολλῶν. ϗ ȣ̓κ ἄνδρας τύπτειν φησὶν αὐτόν, ἀλλὰ παῖδας. τὸ δὲ ἐβιήσατο ἀντὶ τȣ̃ βίῃ ἐνίκησεν. BLV.

559. νωθής: κατὰ ςέρησιν τȣ̃ θεῖν, ὡς (νωθρὸς τȣ̃?) θορεῖν. V.

ῥόπαλα: ξύλα ἐκ τȣ̃ ἑτέρου μέρȣς παχύτερα, καὶ τὸ ἕτοιμον εἰς τὸ ἕτερον μέρος τὴν ῥοπὴν ἔχοντα· ἢ ἐκ τοῦ ῥαπίζειν, ἢ τῇ ῥοπῇ, ὅ ἐςι τῇ φορᾷ, ἀλλοιȣ̃ν (ἀλοȣ̃ν D) ϗ συντρίβειν. συνήθη δὲ πληγῶν θέλει αὐτὸν παραςῆσαι, ἵνα δείξῃ αὐτȣ̃ τὸ γενναῖον. ABD.

ἐάγη: ȣ̓χ ὑπὸ τῶν παίδων, ἀλλὰ πάντοτε ὑπὸ ἄλλων· ȣ̓τως γὰρ ἐθὰς ὢν ȣ̓κ ἀλεγίζει πληγῶν. BL.

ὅτι δοκεῖ μάχεσθ̣· εἰ γὰρ κατεάγη πολλὰ περὶ αὐτὸν ῥόπαλα, ȣ̓ δύναται ἡ βία τῶν τυπτόντων νηπία εἶναι. ἀλλ' ἔςι τοιȣ̃το τὸ λεγόμενον, ᾧ τινὶ πρότερον κατεάγη ῥόπαλα πολλά, ὥςε ἐντριβῆ αὐτὸν πληγῶν εἶναι· διὸ ἡ τῶν παίδων βία ἀσθενὴς αὐτῷ φαίνεται. A.

560. κείρει: κόπτει τοῖς ὀδȣ̃σιν, ἐσθίει, μεταφορικῶς. D.

562. ἡ διπλῆ, ὅτι σπȣδῇ λέγει ἀντὶ τȣ̃ μόλις ϗ μετὰ πολλῆς κακοπαθείας· ϗ ὅτι ἐκορέσσατο εἶπεν ἀντὶ τοῦ ἐκορέσθη. V.

564. τηλέκλητοι: Ἀρίςαρχος πολυηγερέες. A. Ἀρίςαρχος πολυηγερέες, ἐκ πολλῶν ἀγερθέντες. V.

566. μνησάσκετο θȣ́ριδος ἀλκῆς: καίπερ καταςασιαζόμενος ὑπὸ τȣ̃ θείȣ τῆς φύσεως ȣ̓κ ἤθελεν ἐξίςασθ̣. BL.

568. ἡ διπλῆ πρὸς τὸ ὅτε δὲ τρωπάσκετο. A.

569. πάντας δὲ προέεργε: ἤτοι ἐκώλυε τȣ̀ς Τρῶας ἐμπίπτειν ταῖς ναυσίν, ἢ προετρέπετο τȣ̀ς Ἕλληνας ἀναχωρεῖν. A.

ὡς ἕρκος Ἀχαιῶν εἴργει τȣ̀ς πολεμίȣς. ὥσπερ δὲ ἐπιλαθόμενος ὅτι φεύγειν αὐτὸν βȣ́λεται Ζεύς, ἀριςεύει πάλιν· ὁρμῶν γὰρ ἵςατο ϗ ἀπετείχιζε Τρῶας, εὐκαίριαν ἀκίνδυνον τοῦ φεύγειν ἐμποιῶν τοῖς φίλοις. ἔςιν οὖν θύνων ἵςατο (570). BL.

572. ἡ διπλῆ πρὸς τὴν ἐξήγησιν τȣ̃ „ὁ δὲ χασσάμενος πελεμίχθη" (Il. 4, 535)· ἀναχωρȣ̃ντες γὰρ τὰ ἐμπεπηγότα δόρατα ταῖς ἀσπίσιν ἐτίνασσον. A.

573. βραχὺ διαςαλτέον ἐπὶ τὸ μεσσηγύ. A.

574. τὰ δόρατα ἵςαντο. ϗ ὅτι ἀπὸ τῶν ἐμψύχων μεταφέρει. A.

ἆσαι: ἐνεργητικὸν ἀντὶ παθητικȣ̃· ὤφειλε γὰρ ἄσαι. B.

577. στῆ ῥα παρ' αὐτόν: παθητικῶς Αἴαντα ... Εὐρυπύλȣ εἰσάγει βοηθȣ́μενον· νῦν γὰρ ȣ̓κ ἔχει κρείσσ... τῶν ἄλλων τετρωμένων. εὖ δὲ τὸ μὴ τὸν Αἴαντα βοηθ... ἐπικαλεῖσθ̣, τὸν δὲ Εὐρύπυλον αὐτομάτως ἥκειν. BL.

579. ἧπαρ ὑπὸ πραπίδων: ὑποκάτω γάρ εἰσι ... φρενῶν. ἔςι δέ τι σπλάγχνον ȣ̓τω λεγόμενον· ȣ̓ γὰρ τα... φησίν, αἷς νοȣ̃μεν. BLV.

πραπίδες τὸ διάφραγμα· ἔςι δὲ νευρώδης ὑμήν, δι... κὼς τὰ σπλάγχνα. A.

τὸ ἧπαρ ἔτρωσε κάτω ὑπὸ τὰς φρένας. φρένας ... ποιητὴς ϗ πάντες οἱ παλαιοὶ ἐκάλȣν τὸ διάφραγμα, πι... σον φλεγμαῖνον τοῦτο ὡς νευρῶδες ἔχει συμπάχοντα ... ἐγκέφαλον ϗ παρακολȣθȣ̃σι μέγιςαι παραφρονήσεις. ... δὲ ὅλȣ τȣ̃ νευρώδȣς γένȣς ὁ ἐγκέφαλος, ὥσπερ ἀρτη... καρδία ϗ φλεβῶν ἧπαρ. AD.

580. αἴνυτο τεύχε' ἀπ' ὤμων: σκοπός ἐςιν α... τȣ̀ς σκυλεύοντας φονεύειν. χαρακτηρίζει δὲ τὴν τȣ̃ Ἀ... ξάνδρȣ δειλίαν, ὅτι μηδὲ ἐν τροπῇ τῶν Ἀχαιῶν πρ... ελθεῖν τεθάῤῥηκεν, ἀλλ' ἐπιτηρήσας μὴ μαχόμενον ... τοξεύει. BL.

583. ἕλκετ': ἐν ἄλλῳ εἷλκεν. V.

καί μιν βάλε μηρὸν ὀϊστῷ: ἡ διπλῆ, ὅτι ἀντὶ ϗ αὐτȣ̃ τὸν μηρὸν ἔτρωσεν. A.

584. δόναξ: ἡ διπλῆ, ὅτι ὁ τȣ̃ βέλȣς κάλαμος· τ... βέλη ξύλινα ϗ καλάμινα ἦν. πρὸς τὸ „κῆλα θεοῖο" (I. 53) ὅτι τὰ βέλη λέγει, καίτοι ἐξ ἄλλης ἦν ὕλης ἐκεῖνα.

586. ἤϋσεν: εἰκότως βοᾷ· μακρὰν γὰρ ἦσαν πεφευγ... οἱ Ἕλληνες. BL.

φιλικῶς ἅμα ϗ διὰ τοῦ ὑπερέχοντος θορυβῶν αὐτ... διὸ ϗ ἐπεξεργάζεται. V.

589. Αἴανθ' ὃς βελέεσσι: ἡ διπλῆ, ὅτι Ζηνόδ... γράφει Αἴαντος βελέεσσι. γενικὴ μὲν ȣ̓ν ȣ̓χ ἁρμ... ὥςε δέχεσθ̣ τȣ̃ Αἴαντος· εἰ δὲ ϗ κατὰ συναλοιφὴν ἐν... ψιλῷ ἀντιςοίχῳ γέγραφεν, ἵν' ᾖ τὸ πλῆρες Αἴαντ' ὃς ... λέεσσιν, οὐκ ἔςι τῆς καθ' Ὅμηρον Ἰάδος τὸ ψιλοῦ... τοιαῦτα. A.

590. φεύξεσθ': τῆς ἀρετῆς Αἴαντος ἔνδειξις ὅτ... φεύξεται, ἀλλὰ μέχρι θανάτȣ μενεῖ μαχόμενος. ἢ ȣ̓χ... τε ἔςαι τὸν πόλεμον ἐκφυγεῖν, καίπερ γενναῖος ὤν. ...

592. παρ' αὐτόν: ȣ̓τω δεῖ ἀρχαίως, ȣ̓ παρ' αὐτῷ. V.

593. σάκε' ὤμοισι κλίναντες: ἤτοι τὰς ἀσπίδ... ἐπιθέντες τοῖς ὤμοις. BL. ἀντὶ τȣ̃ τȣ̀ς ὤμȣς ταῖς ἀσπίσ... προσερείσαντες. A.

δύναται ϗ τȣ̀ς ὤμȣς τοῖς σάκεσι σκεπάσαντες, δύνατα... δὲ ϗ τὸ χῆμα τῆς ἀσπίδος δηλȣ̃ν, ὅτι τὸ μὲν ἄνω προσ... έκλινον τοῖς ὤμοις, τὸ δὲ κάτω προέχον. V.

594. τῶν δ' ἀντίος: ἐν ἄλλῳ τῶν δὲ χεδόν. A.

595. στῆ δὲ μεταςρεφθείς: ἐν τῷ πλήθει τῶ... ἑταίρων μετεβάλετο καὶ πρὸς αὐτȣ̀ς ἐςράφη. BL.

596. δέμας πυρὸς: τὴν σφοδρότητα τῆς μάχης πα...

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ησι, περὶ τὴν γενομένην ἐν αὐτῇ φθορὰν εἰκάσας· πῦρ
ᾗ ῥᾶσα ᾗ τάχιστα φθείρει. λέγει δὲ ὅτι ἐμάχοντο ὡς
ρ διακαῖον ὕλην. AB.

εἰωθεν ἐπὶ τῶν μαχομένων τὸ πῦρ λαμβάνειν εἰς πα-
σασιν τῆς συντόνε καὶ ἐνθέρμε ὁρμῆς· „ὡς οἱ μὲν μάρ-
ντο δέμας πυρὸς αἰθομένοιο" ᾗ „μάχης καυστειρῆς ἀν-
θολήσας" (Il. 4, 342). ᾗ τὰ περὶ Διομήδη ἓν (Il. 5, 4)
ραστικὰ τῆς κατὰ τὰς ὄψεις ᾗ τὰς χεῖρας ἐνθέρμε
μῆς ᾗ τῆς κατὰ τὴν κεφαλὴν πυκνοτέρας ἐπισροφῆς. ἕτω
κορυθαίολος ὁ Ἕκτωρ εἴρηται. B.

597. *Νηλήϊαι ἵπποι*: αἱ ἐκ τῆς Νηλέως ἀγέλης, αἱ
όγονοι τῶν ἵππων ἐκείνων· ἃ γ᾽ δυνατὸν ἦν φθάσαι ἐπὶ
ν γέροντα Νέςορα τὰς ἵππας τᾶ Νηλέως ζώσας. ὥσπερ
ἡ Τρώϊοι ἵπποι οἱ ἀπὸ τᾶ Τρωός, κατὰ διαδοχὴν τοῦ
᾽ ἐκείνων. B. τᾶτο δὲ ἔνιοι μὴ συνιέντες γράφεσι *Νη-*
ϊον, ἐπὶ τᾶ Νέςορος· ἄτοπον γάρ φασι τὰς Νηλέως
τους ζῆν μέχρι νῦν. V.

ἐν δὲ τῷ ἀγῶνι ἀρσενικῶς (Il. 23, 309 et 408). V.

598. *ἦγον δὲ Μαχάονα*: τὰς πλείας τῶν ἀριςέων
ίσας πλὴν Αἴαντος τᾶ Τελαμωνίε ἐπὶ τὰς ναῦς ἀπέ-
ιεν, Ἀγαμέμνονα Διομήδην Ὀδυσσέα Μαχάονα Εὐ-
υλον καὶ τὸν Τεῦκρον ἑξῆς, ἵνα εὔλογον τοῖς Ἀχαιοῖς
ᾗ ἥττης παράχῃ τὴν αἰτίαν. εἶτα τέτας ἐπὶ τὰς ναῦς
ηγαγὼν εἰς ἔπαινον Αἴαντος τὰ λοιπὰ καταναλίσκει ἕως
ᾗ Πατρόκλε ἐξόδε· καὶ τὸν Πάτροκλον ἀνελὼν ἐπὶ τὸν
αντα ἐπανέρχεται μέχρι τῆς Ἀχιλλέως ἐξόδε· καὶ τᾶτον
τὴν μάχην προαγαγὼν εἰς τὰ ἀνδραγαθήματα αὐτοῦ
ωῖ τὴν Ἰλιάδα. καλῶς δὲ τὸ μὲν ἔφερον ἐπὶ Νέςο-
ἐπὶ δὲ Μαχάονος ἰδίᾳ τὸ ἦγον διὰ τὸ τῆς πληγῆς
ώ. BLV.

599. *τὸν δὲ*: τὸν Νέςορα ἰδὼν ἐγνώρισεν, οὐ μὴν τὸν
χάονα. ἅμα δὲ καὶ τὸ ὁμοειδὲς ἐκτρέπει, ἀνάπαυσιν
ᾗ μάχης ποριζόμενος διὰ τῆς τοιαύτης διηγήσεως. καὶ
ις τὸ μὴ πάλιν λιτὰς πέμψαι, ᾗ αὐτὸν ἐξάγειν Ἀχιλ-
. V.

600. *Ἀριςαρχος ἐςήκει*. ᾗ δὲ διπλῆ, ὅτι ᾗ πτῶσις
κε), ἀντὶ τᾶ πρυμνῆς μεγακήτεος νηός. A.

τὸ φιλότιμον ᾗ φιλοπόλεμον ἐνδείκνυ), θεωρὸν αὐτὸν
εισάγων τῆς μάχης. BL. ἅμα δὲ ᾗ ᾠκονόμησε ταύτην
οιητὴς πρὸς τὴν ἔξοδον Ἀχιλλέως. V.

601. *ἰῶκά τε δακρυόεσσαν*: ὅτι τινὲς γράφουσιν
εἶτα καταδακρυόεσσαν. γίνε) δὲ ἔκθεσμον· ὁ γ᾽
ρος ἰῶκα τὴν ἰωκήν, οἷον δίωξιν, ὡς Ἡσίοδος (O. 538)
κρόκην κρόκα. A.

602. *αἶψα δ᾽ ἑταῖρους παρεμπεσεῖσαν τὴν εὐκαιρίαν*
σαι θέλει ᾗ παρακληθεὶς ἐξελθεῖν. BL.

603. *παρὰ νηός*: ἀντὶ τᾶ παρὰ νηΐ, ἀπὸ τῆς νηός. A.

604. *κακοῦ δ᾽ ἄρα οἱ πέλεν ἀρχή*: σημειῶνται
ὅτι ἀ πόρρωθεν ἡ προαναφώνησις· κἀκεῖ ἓν ἐκ ἐπὶ
ῥῶ ἡ ἀπότασις „Διὸς δ᾽ ἐτελείετο βελή" (Il. 1, 5). A.
ναπτεροῖ τὸν ἀκροατὴν ἡ ἀναφώνησις ἐπειγόμενον

μαθεῖν τί τὸ κακὸν ἦν. προσοχὴν δὲ ἐργάζε) διὰ βραχείας
ἐνδείξεως· εἰ γ᾽ πλέον ἐπεξειργάσατο, διέφθειρεν ἂν τὸν
ἑξῆς λόγον ᾗ ἀπήμβλυνε τὴν ποίησιν. BLV.

606. *τί δέ σε χρεὼ ἐμεῖο*: ᾗ διπλῆ, ὅτι πτῶσις ἦλ-
λακ), αἰτιατικὴ ἀντὶ δοτικῆς, τὸ σέ ἀντὶ τᾶ σοί. A.

διὰ βραχέων ἐρωτᾷ, ᾗ μετὰ τὴν πεῦσιν εὐθέως ὁρμᾷ. V.

608. *ὡς ἀπόῤῥητον μέλλων λέγειν*. V.

609. *νῦν οὕτω*: ἔδειξεν ὃ ἐκ πολλᾶ ἤθελεν. *νῦν νομίζω*,
φησί, *πάντας τὰς Ἀχαιὰς ἱκετεύειν με. ἤδη δὲ προμα-*
λαχθεὶς ἦν ἐκ τῶν Φοίνικος λόγων. BL. *βελόμενος οὖν*
πολεμῆσαι Πάτροκλον πέμπει πρὸς τὸν βουλόμενον πεῖ-
σαι. V.

610. *ὀξύνε) τὸ ἀνεκτός*· προείρηται δέ. A.

τῇ ἀπεσία ἑαυτᾷ τὸ πᾶν περιτίθησιν. V.

611. *ἀλλ᾽ ἴθι νῦν*: διὰ τί τὸν Πάτροκλον ὁ Ἀχιλ-
λεὺς πέμπει; ῥητέον ἓν ὅτι κατ᾽ οἰκονομίαν. ἐπειδὴ γὰρ
ἄπρακτος ἡ πρεσβεία γεγένη), διὰ Πατρόκλε βάλεται Νέ-
ςορα κατορθῶσαι τᾶτο ὅπερ ἐκ ἐποίησαν οἱ πρέσβεις. ὥςε
προῳκονόμησε τᾶτο ὁ ποιητὴς ἕτως, ἵνα ᾗ Νέςορος τὴν
τῶν λόγων δύναμιν παραςήσῃ καὶ Ἀχιλλέα δείξῃ μετ᾽
εὐλόγε προφάσεως εἰς τὸν πόλεμον ἐξαγαγόντα τὸν Πά-
τροκλον. (ἐξαγαγεῖν, omissis τὸν Πάτρ. AD). ABD.

Νέςορ᾽: ἄτοπον γὰρ ἐςὶ τὸ εἰς τὴν σκηνὴν τᾶ τρωθέντος
ἀποξέλλειν αὐτόν. τὸ *Πάτροκλε* δὲ τὴν φιλοςοργίαν ἐμ-
φαίνει· „πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαςον"
(Il. 10, 68). V.

612. *βεβλημένον*: ᾗ διπλῆ, ὅτι ἀντὶ τᾶ τετρωμένον·
τῷ εἰδικῷ τὸ γενικὸν ἐσήμανεν. A. ὡς τὸ „ἀλλ᾽ ἃ γάρ σε
θέλω βαλέειν τοιᾶτον ἐόντα" (Il. 7, 242). V.

613. *Μαχάονι*: ᾗ ὡς πλησιοχώρε φροντίζει, ᾗ ἐπεὶ
Ἀσκληπιὸς ᾗ Ἀχιλλεὺς συμφοιτηταὶ παρὰ Χείρωνι. V.

617. *βῆ δὲ θέειν*: ἐν ἄλλῳ *βῆ δ᾽ ἰέναι*. A.

συνορῶν τὸ ἐνδόσιμον Ἀχιλλέως σπεύδει ᾗ δρόμῳ χρῆ-
ται, συγχαίρων τοῖς Ἕλλησιν, σιωπηλὸς δὲ ἀεὶ ᾗ συνετὸς
ὁ Πάτροκλος, ἃ θαῦμα ἓν εἴ γε τὸν τοιᾶτον ἐκίνησε Νέ-
ςορ ᾗ μετὰ δακρύων ἐντυγχάνει Ἀχιλλεῖ. BL.

618. *οἱ δ᾽ ὅτε*: οἱ περὶ Νέςορα εἰς τὴν Νέςορος σκη-
νὴν παρεγένοντο. BL. „τῷ δ᾽ εἰς ἀμφοτέρω Διομήδεος ἅρ-
ματα βῆτην" (Il. 8, 115). V.

619. *αὐτοὶ μέν*: καιρὸν δίδωσι τᾷ βαδίζειν Πατρόκλῳ,
ᾗ τὸ διάκενον τῆς ὁδᾷ πληροῖ, ταῦτα μέσον ἐνθείς. BL.

620. ᾗ διπλῆ, ὅτι ᾗ Ἀγαμέμνονος ἡνίοχος ἦν Εὐρυμέ-
δων (Il. 4, 227). A.

πεζὸς Εὐρυμέδων εἵπετο· χολαίτερον γ᾽ Νέςωρ ἤλαυνε
διὰ Μαχάονα, ἃ γ᾽ τρεῖς ἐν τῷ ἅρματι. BL. εἰ δὲ Ἀχιλ-
λεύς φησιν „ἵπποι γ᾽ με παρήϊξαν," προφασίζε) τὴν ἔπει-
ξιν τὴν Πατρόκλε. V.

621. *τοί*: ὅτι σαφὲς ὅτι ἕτοι. A.

οἰκείως τὸ ἀπεψύχοντο, ἐχ ὡς ἡμεῖς. V.

ᾗ διπλῆ, ὅτι ψύχειν μὲν λέγει πρὸς ἄνεμον, τέρσεαθ᾽ δὲ ἐν
ἠλίῳ· „ἵματα δ᾽ ἠελίοιο μὲν τερσήμεναι αὐγῇ" (Od. 6, 98). A.

622. ὅτως διὰ τοῦ τέ, ϛάν τε. ἡ δὲ διπλῆ, ὅτι σαφῶς οὗτοι πρὸς τῇ θαλάσσῃ νενεωλκήκασιν. A.

τε δυϊκῶς. διὰ τοῦ τε οὖν ἡ γραφή. V.

624. κυκειῶ: κυκεῶνα. ἔϛι δὲ δίψους ἴαμα ὁ κυκεὼν ἐκ διαφόρων εἰδῶν σκευαζόμενος. D.

οὐ δεόντως, φασίν, ὁ Μαχάων, καὶ ταῦτα ἰατρὸς ὤν, τὸν κυκεῶ προσφέρεται, συνεϛῶτα ἐκ μέλανος οἴνου (τοιοῦτος γὰρ ὁ Πράμνιος) καὶ τυροῦ ἐπικεκνησμένου καὶ ἀλφίτων· φλεγματώδη δὲ ταῦτα καὶ πολέμια τοῖς τραυματίαις. πρῶτον μὲν οὖν φαμὲν ὅτι τὴν δίαιταν ἠγνόουν, καὶ ἀνδρειότερα ὅμως εἶχον τὰ σώματα, ὡς καὶ ἀγωνίζεσθαι τοὺς τραυματίας· εἶτα ὅτι ἀρίϛου ἰατροῦ ἐϛὶ τὸ ἰᾶσθαι μὴ μετακινοῦντα τὴν συνήθη δίαιταν. ἄλλως τε ἐξ ἐπιπολῆς ἡ πληγή· τινὲς οὖν ἐπιχειροῦσιν ὅλως μηδὲ πεπλῆχθαι τὸν Μαχάονα. εἰ δὲ καὶ κατὰ βάθους, οὐδ' οὕτως ἀδόκιμον τὸ πόμα· ῥύσις γὰρ αἵματος λειποθυμίαν ἐργάζεται· ὁ οὖν μέλας οἶνος παχύνων τοὺς χυμοὺς καὶ τὴν ἐπίῤῥυσιν τοῦ αἵματος τὴν ἐπὶ τὸ τραῦμα παχύνει καὶ συϛέλλει· ὅθεν καὶ τοῖς κοιλιακοῖς αὐτὸν ἔνιοι προσάγουσι διὰ τὸ εἴργειν τὸ ὑγρόν. τὸ δὲ γάλα πήγνυσιν ἀπὸ πρώτης γενέσεως τὸ σῶμα· δῆλον δὲ ὡς τυρὸς βρεχόμενος γαλακτοῦται. ἀλλὰ καὶ τὸ ἄλφιτον παχύνει τὰ ὑγρὰ ἕως ἐκπεφρυγμένης κριθῆς. καὶ τὸ κρόμυόν ἐϛι διουρητικόν, καὶ μάχεται τῇ φλεγμονῇ· ὅθεν καὶ τοῖς κυνοδήκτοις αὐθωρὸν προσάγεται. τῇ δὲ τ̄ φλεγμαίνει τὰ ἕλκη. καὶ Πέτρων δὲ Αἰγινήτης ἰατρός, ἐπεὶ δι' ἔνδειαν ἐπίπτωσις νόσων γράφη, καὶ οἶνον καὶ κρέα προσέφερεν, ἀναπληρῶν τὸ λεῖπον τῆς φύσεως. ἢ οὐ πρὸς θεραπείαν ἀλλὰ πρὸς ἀνάψυξιν ἐδίδοτο τὸ πόμα· καὶ Νέϛωρ γοῦν λαμβάνει· τοῖς κακοπαθοῦσι γὰρ ἐπιτήδειος ὁ κυκεών, τροφὴν ἅμα καὶ ποτὸν ἔχων. BLV.

Πορφυρίου. ὅλος ὁ τόπος οὗτος ἐλέγχεται ὡς παρὰ τὴν ἰατρικὴν ἱϛορίαν πεποιημένος. ὅσοι μὲν οὖν λύουσιν ὡς τῶν ἡρώων ἑτέρως εἰθισμένων θεραπεύεσθαι διὰ τὸ μὴ ταῖς αὐταῖς διαίταις τοὺς ἰατροὺς ἐπιπολάζειν χρωμένους, ἀπὸ τοῦ ἔθους ἀπολογοῦνται· ὅσοι δ' ἐλέγχουσι τὴν σύνθεσιν πάντων ἐξαλλάσσειν τὴν καθ' ἕκαϛον δύναμιν, ἀπὸ τῆς λέξεως ἐπιχειροῦσιν. οἱ δὲ νῦν πάντες οὐκ εἶναι χαλεπὸν τὸ τραῦμα, οὐδὲ πρὸς θεραπείαν δίδοσθαι τὸ πόμα, τῷ δὲ κοινῷ ἔθει πίνειν οὐ μόνον τὸν Μαχάονα ἀλλὰ καὶ τὸν Νέϛορα τὸ τοῖς κεκμηκόσι σκευαζόμενον ποτόν· τοιοῦτον γὰρ προσφέρειν καὶ τὴν Κίρκην τοῖς πρὸς αὐτὴν καταγομένοις ἀπὸ τοῦ καιροῦ λέγουσιν. B.

625. τὴν ἄρετ' ἐκ Τενέδοιο: ἐν τοῖς δέουσι τόποις ἀποδίδωσι τὰ λείποντα τῆς Ἰλιάδος. V.

626. ἣν οἱ Ἀχαιοί: καὶ ταῦτα παιδευτικά, ὅτι ἀριϛεῖον λαμβάνει Νέϛωρ διὰ τὴν σύνεσιν καὶ ἐν τῷ ἐπιταφίῳ ἀγῶνι. Ἰσοκράτης δὲ ἔλεγε „πῶς Ἕλληνες, γυμνικὰ τιμῶντες, σοφίας γέρας οὐ πορίζονται;" V.

627. ἣ σφωϊν: ἐγκλιτικῶς ἀναγνωϛέον, ἵνα δηλωθῇ τρίτον πρόσωπον. A.

628. ἐπιπροΐηλε: ἐξέτεινε· πτυκταὶ γὰρ ἦσαν αἱ τράπεζαι. ἡ δὲ πρό τὸ ἔμπροσθεν δηλοῖ. BL.

629. κυανόπεζαν: κυανῷ τοὺς πόδας κεχρισμένην, λανόπουν. D.

πέζαν οὐκ ἀεὶ τὸν πόδα ἀλλὰ καὶ τὸ ἄκρον λέγει. κυανόποδα, ἀλλὰ τὴν ἀπὸ κυανοῦ ἔχουσαν τὸν κύκλον ἔξωθεν. BL.

ἐπ' αὐτῆς: γράφεται ἐπ' αὐτῇ. A.

630. τελεία εἰς τὸ κρόμυον, εἶτα ἠδὲ μέλι χ[illegible]ρόν. τὸ δὲ ποτῷ ὄψον ἀπὸ κοινοῦ τῷ παντὶ κ[illegible]τεῦχε, φησί, κυκεῶ ἅμα ποτῷ καὶ ὄψον ὄντα· τὸ μ[illegible] μέλι καὶ ὁ οἶνος ποτόν, τὰ δὲ λοιπὰ ὄψον· πᾶν δ[illegible] ἐσθιόμενον ὄψον καλεῖται. BL.

ὅτι πᾶν προσόψημα ὄψον οἱ ἀρχαῖοι. A.

ποτικὸν ὄψον, ὅ ἐϛι προσφάγιον δίψους παρασκευ[illegible]κόν. πᾶν δὲ τὸ μετὰ ἄρτου ἐσθιόμενον ὄψον καλεῖται· ὀ[illegible]ταύτην προσήγοντο τὴν τροφήν, ἕωθεν δὲ ἀκρατίσμ[illegible] διὸ καὶ ἡ διπλῆ. ἔϛι δὲ τὸ κρόμυον καὶ πρὸς τὰ μὴ [illegible] ἁρμόζον ὕδατα, ὡς ἀλεξιφάρμακον. ADV.

631. χλωρὸν: πρόσφατον, νέον· οὕτω γὰρ καὶ ἡμεῖς [illegible]ρὸν τυρὸν λέγομεν τὸν νέον. AD.

ἀλφίτου ἱεροῦ ἀκτήν: ἤτοι περιφραϛικῶς ἄλ[illegible] ἢ ἄρτον ἀπὸ τοῦ κατασκευάσματος, ὅ ἐϛιν ἀλεύρου. [illegible] δὲ ἡ λέξις ὁτὲ μὲν τὸ ἄλευρον ἀπὸ τοῦ κατάσσεσθαι καὶ ἀ[illegible] τὸν σῖτον, ὁτὲ δὲ τὸν αἰγιαλὸν ἀπὸ τοῦ περικατάσσεσθαι [illegible] τὰ κύματα. AD.

ἱεροῦ: παρὰ γὰρ θεοῦ εἰλήφαμεν αὐτά. καὶ „ἱερὰ[illegible] ἀλωάς" (Il. 5, 499). V.

632. δέπας περικαλλές: τὴν κατασκευὴν τοῦ [illegible]ρίου Ἀρίϛαρχος τοιαύτην εἶναί φησι. πρῶτον μὲν πε[illegible]κες αὐτὸ εἶναι, καὶ δύο πυθμένας ἔχειν, οὐχ ἕτερον ἐξ [illegible] ὥς τινες, ἀλλ' ἑκατέρωθεν τῶν τεσσάρων ὤτων οὐκ [illegible] τὰ διαϛήματα εἶναι, ἵνα μὴ κατόπιν ἐναντίον τοῦ ϛό[illegible] λαμβάνηται, ἀλλ' ἑκατέρωθεν ποτήριον δύο καὶ δύο. [illegible] δὲ ἀπὸ μακρὰν πελειάδα μίαν ἑκατέρωθεν· ἀντεϛραμ[illegible] δέ εἰσιν αὐταῖς, ἀνὰ μέσον δὲ αὐτῶν δύο· κατὰ γὰρ [illegible] τῶν ὤτων τοσαῦτά φησιν εἶναι· αὐτῷ γὰρ ὡσεὶ φιάλ[illegible]λην, ὥϛε ταῖς δύο χερσὶν ὑπολαμβάνοντας τῶν [illegible] προσλαμβάνεσθαι. A.

διχῶς Ἀρίϛαρχος, ἦγ' ὁ γεραιός καὶ εἶχ' [illegible]ραιός. A.

634. τέσσαρ' ἔσαν: συνηρτημένα μὲν ἀλλήλ[illegible] ὦτα, διάϛασιν δὲ ἔχοντα, ὥϛε πρὸς τὸ βαθὺ τοῦ πο[illegible] καὶ τὰς λαβὰς εἶναι. τὸ σχῆμα οὖν τῶν ὤτων γίνετα[illegible] πλοῦν ω̄. BL.

δοιαὶ δὲ πελειάδες: καὶ τορευτικὴν ὁ ποιητὴ [illegible]ϛαται. ὀκτὼ δὲ ἦσαν αἱ πελειάδες, δύο καθ' ἕκαϛον [illegible] οἱ δὲ τέσσαρας αὐτάς φασι. λέγοι δ' ἂν μικράς τινας [illegible] εἰκὸς ἐπὶ ἐκπώματος τετορεῦσθαι. BLV.

635. νεμέθοντο: τουτέϛι ζώσαις καὶ πινούσαις [illegible]σαν αἱ πέλειαι. AD. νέμεσθαι τὰς περιϛερὰς εἶπεν ἐμφ[illegible]κῇ χρησάμενος τῇ μεταφορᾷ. V.

ἡ διπλῆ πρὸς τὴν κατασκευὴν τοῦ ποτηρίου, ὅτι δε[illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ιασμένον αὐτὸ ὑποτίθεϑ· τέσσαρα γ̓ ὦτα ϰ̓ δύο πυθμέ-
ας. Ἀρίςαρχος δὲ τὴν ὑπό συντάσσει τῶ ἦσαν, καί
φησιν ὑπῆσαν οἱ πυθμένες. ὅτως ϰ̓ Ἀλεξίων. A.

διπλῦς ἦν ὁ πυθμήν, ἥσσων ὑπὸ μείζονος περιεχόμε-
ος. ἐκτύπωμα δὲ ὀ πόλου αὐτὸν εἶναι λέγουσιν. Ἀρίςαρ-
ος δὲ τὴν ὑπό πρὸς τὸ ἦσαν συντάσσει. τινὲς δὲ ὑφ' ἓν τὸ
ὑποπυθμένες, ἵν' ᾖ τῶν πελειάδων ἐπίθετον, οἷον δύο δ'
ἑτεραι πελειάδες ἦσαν τοῖς πυθμέσιν ὑποκείμεναι. BLV.

ἤτοι ὅτι διπλῦς ἦν αὐτῷ ὁ πυθμήν, ἢ ὅτι ἦν ἀμφίθε-
ον, ὅπερ ϰ̓ κύμβαλόν φασι. τῦτο ϰ̓ ἀμφικύπελλον. D.

636. ἄλλος: ὁ Ἀσκαλωνίτης ψιλοῖ, ϰ̓ φησιν ὅτι ἐπὶ
ῦ Νέςορος κεῖται· ἄλλος μὲν γ̓ ἄν τις αὐτὸ μόγις ἐκίνη-
ε, Νέςωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. πολὺ πρότερον δὲ
τως ϰ̓ Ἀρίςαρχος. τινὲς δὲ βούλονϑ δασύνειν τὸ ᾱ καὶ
κτείνειν, ἵν' ᾖ ὁ ἄλλος μὲν μογέων, τουτέςιν ὁ Μαχάων.
μεῖς δὲ ἐκεῖνο παραφυλάξαι ἔχομεν, ὡς ὅτι παρὰ τῷ
οιητῇ ὀ δύναϑ ἡ τοιαύτη κρᾶσις εἶναι· εἰ γ̓ ϰ̓ κρᾶσιν
βούλοντο, παραλαμβάνειν ἐχρῆν εἰς τὸ ῶ, ὁμοίως τῷ „οἴ-
ετ' ἀνὴρ ὤριςος" (288). εἰσὶ δὲ οἳ διέςειλαν ἀλλ' ὅς,
ὁ ὅς δασύνοντες, ἀλλ' ὅς μὲν μογέων, ἵνα τὸ αὐτὸ ὑπάρ-
ῃ νοητόν· ἐπὶ γ̓ τῦ Μαχάονος πάλιν βούλονϑ τὴν δια-
ολὴν λαμβάνειν. ἡμεῖς δὲ συγκατατιθέμεθα τῷ Ἀριςάρ-
ῳ ψιλῦντι, ἐπεὶ βούλεϑ ὁ ποιητὴς ϰ̓ διὰ τούτου τὸ εὔρωςον
ῦ γέροντος παριςάνειν. A.

προσληπτέον τὸ πρεσβύτης, ἵν' ᾖ ὀ ῥᾳδίως ὀδὲ εὐχε-
ῶς αὐτὸ ἐκίνει τῆς τραπέζης τις τῶν λοιπῶν γερόντων,
ἀλλὰ μογέων, ὅ ἐςιν ὀκνῶν. ἢ ἄλλος μὲν κάμνων, ἵνα δη-
οῖ τὸν Μαχάονα, διότι ἐτέτρωτο. D.

ὀχ ὥς τινες, ἐπὶ Μαχάονος τὸ ἄλλος ἐκδέχεσϑ χρή,
λλ' ἀορίςως πρὸς ἔπαινον τῦ γέροντος· θέλει γ̓ εἰπεῖν
τι παντὸς νέου σωφρονέςερον ἐβάςασε τὸ ποτόν. ἔνιοι δὲ
πὸ κοινῦ τὸ γέρων, ἵν' ᾖ, ἄλλος μὲν γέρων μογέων ἐκί-
ει, ὁ δὲ γέρων Νέςωρ ἀμογητὶ ἄειρεν· καὶ ἀλλαχῦ περὶ
ὐτῦ φησὶν „ἐπεὶ ὀ μὲν ἐπέτραπε γήραϊ λυγρῷ" (Il. 10,79).
ἐτησίμβροτος δέ φησιν, ἵνα δοκῇ εἰκότως πολλὰ ἔτη βε-
ιωκέναι· εἰ γ̓ παράμονος ἡ ἰςχὺς ϰ̓ ὀχ ὑπὸ γήρως με-
άρανϑ, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Ἀν-
ιφάνης δέ, ὀ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγει, ἀλλ'
τι ὀκ ἐμεθύσκετο σημαίνει, ἀλλ' ἔφερε ῥᾳδίως τὸν οἶνον,
λαῦκος δέ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα, ἐκ μέ-
ου δὲ πᾶν εὔφορον. BL cum Leid.

πρὸς τὸ ζητούμενον, πῶς ὁ γέρων ἀμογητί, οἱ δὲ ἄλλοι
ετὰ κακοπαθείας. ὀ δεῖ δὲ ὅτε δασύνειν τὴν προφορὰν
τε ἐπαίρειν τὴν προσῳδίαν, ἀλλὰ νοεῖν ὅτι ϰ̓ τῦτο τῶν
παίνων λεγομένων Νέςορός ἐςι, καθὸ καὶ τὸ „Νέςωρ δὲ
ρῶτος κτύπον ἄϊε φωνῆς" (Il. 10, 532). A.

637. ἀμογητὶ ἄειρεν: τὰ γ̓ ἄχθη ὀχ οἱ ἰςχυροὶ ἀλλ'
ἔμπειροι φέρουσι. διπλῶν γ̓ τῶν ὤτων ὄντων ϰ̓ τῦ πο-
ηρίου μεγίςου, ὀκ ἂν νέος ἀπεκίνησεν αὐτὸ τῆς τραπέζης,
διὰ τὸ μὴ δύνασϑ, ἀλλὰ διὰ τὸ πῶς μὴ εἰδέναι· εἰ γ̓
χ ὡς ἔδει αὐτὸ ἦρε, θραῦσιν ἂν ἠπείλησε· δίχειρα γ̓ δυ-
σὶν ἀφ' ἑκάςης χειρὸς δακτύλοις τῶν ὤτων λαμβανόμενον
ἐχρῆν κινεῖν ἀκόπως. BL.

639. Πραμνείῳ: οἱ μὲν μέλανι, οἱ δὲ γένος ἀμπέλου,
οἱ δὲ αὐςηρῷ, οἱ δὲ πραΰνοντι τὸ μένος, οἱ δὲ μονίμῳ. BL.

ἤτοι τῷ πραΰνοντι τὰς φρένας, ἢ παλαιῷ, ἀπὸ τῦ παρα-
μεμενηκέναι· ἢ ἀπὸ εἴδους ἀμπέλου ὅτω καλουμένης. οἱ δὲ
τὸν ἀπὸ τῶν ἀναδενδράδων εἶπον· πρέμνον γ̓ τὴν ὑφέτιν
(τὸν ὑφέτην D) καλῦσιν. ἄλλοι δὲ ἀπὸ Πράμνης εἶπον·
Πράμνη δὲ ὄρος ἐν τῇ Καρίᾳ οἰνοφόρον. AD. οἱ δὲ ἐν
Ἰκάρῳ πέτραν Πράμνην, ἐν ᾗ πρῶτον ἔφυ ἄμπελος. V.

639. ἐπὶ δ' αἰγεῖον: ἔκοπτε δὲ ϰ̓ τυρὸν κνήςεϊ χαλ-
κείῳ, τουτέςι μαχαιρίῳ τυροτόμῳ. A.

640. γράφεται λευκὰ πάλυνε. A.

κατέπασσεν ἐπὶ τῷ κυκεῶνι· καὶ γ̓ μετ' οἴνου καὶ μετὰ
ζωμῦ αὐτὰ ἐσθίουσιν. D.

641. τὸ κυκειῶ περισπαςέον· τῦ γ̓ κυκειῶνά ἐςιν ἀπο-
κοπή, ϰ̓ ἐπλεόνασε τὸ ῑ. κυκειὼν δέ ἐςι πολυμιγὲς ποτόν. A.

642. πολυκαγκέα: πολλὴν ἔχουσαν ξηρότητα· ὅθεν
ϰ̓ κάγκανα ξύλα. BL.

643. μύθοισιν: πρὸς παραμυθίαν τῦ τραυματίου. V.

645. ἀπὸ θρόνου ὦρτο: διὰ τὸν καιρόν. διδάσκει ὀν
ϰ̓ γέροντας νέοις εἴκειν πρὸς ὄφελος. BL. ϰ̓ ὅτι ἤλπιζεν ἐξ
Ἀχιλλέως αὐτὸν ἥκοντα χρηςόν τι ἐρεῖν. V.

647. ἀναίνετο: προφασίζεϑ σπουδήν, ἵνα ϰ̓ μένων χα-
ρίζοιτο ϰ̓ μὴ μένων ἀνέγκλητος εἴη. BL.

648. ἀντὶ ἔδους ὡς τρίπος. V.

οὐκ ἔςι καιρός μοι νῦν τοῦ καθέζεσθαι. ἕδος γ̓ ἡ κα-
θέδρα. D.

649. νεμεσητός: Ἀρίςαρχος μεμψίμοιρος, οἱ δὲ ἑκάςῳ
τὸ δέον νέμων, ὅθεν ϰ̓ νέμεσις. ἵνα ὀν μὴ δόξωσιν ἀμελεῖν
αὐτῦ, ταῦτά φησιν. V.

650. ἄγεις: ὅτως ἀντὶ τῦ ἤγαγες. ἤλλακται δὲ ὁ χρό-
νος. A.

652. πάλιν ἄγγελος: τινὲς ὑφ' ἓν παλινάγγελος,
ὀκ εὖ. A.

κατ' ἰδίαν τὸ πάλιν. ὅτως Ἀρίςαρχος ϰ̓ Ἀλεξίων καὶ
ὁ Ἀσκαλωνίτης· ὅτως δὲ ἔχει ϰ̓ τὰ τῆς ἀναγνώσεως. πρὸς
γ̓ τὸ ῥῆμα ἡ σύνταξις ἐγένετο, πάλιν εἶμ' ἄγγελος. A.

654. τάχα κεν καὶ ἀναίτιον; πρὸς τὸ νεμεσητός ϰ̓
τῦτο. ἐπιτείνει δὲ αὐτῦ τὸ θυμικόν, ἵν' ἀναίτιος ᾖ μὴ πει-
θόμενος. BLV.

656. τίπτε τ' ἄρ' ὧδ' Ἀχιλεὺς: διὰ τί, φησίν,
οἰκτείρει τοὺς τετρωμένους, ἀγνοῶν τὴν παντελῆ ἀπώλειαν;
διὰ τί τὸ κατ' ἄνδρα ἐλεεῖ Ἀχιλλεύς, μὴ εἰδὼς τὸ πᾶν;
ὅτι δὲ ἐλεεῖ, δῆλον ἐξ ὧν ἔπεμψε Πάτροκλον. πιθανῶς δὲ
τῆς μὲν σπουδῆς αὐτὸν ὀ κωλύει, ἄρχεται δὲ λόγων, εἰδὼς
ὡς αἰδούμενος ὀ καταλείψει αὐτοὺς ἡμιτελεῖς. BLV.

657. συναπτέον τῷ ἐπάνω ςίχῳ. ἴσως δ' ἄν τις ἀφ'
ἑτέρας ἀρχῆς ἀναγινώσκοι, θαυμαςικὸν ποιῶν τὸν λόγον. A.

διαςαλτέον ἤτοι ἐπὶ τὸ οἶδε ἢ ἐπὶ τὸ πένθεος· ἔχει
γ̓ ἀμφότερα λόγον. εἰ μὲν ὀν συνάπτοιτο τοῖς ἄνω τὸ πέν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεος, λείπει ἡ περί, ὡς „Ἕκτωρ χωόμενος Σαρπηδόνος" (Il. 16, 553)· εἰ δὲ τοῖς ἑξῆς, χῆμα ἔχει, ὅσσον πένθος· Ἀττικὴ δὲ ἡ χρῆσις καὶ ἀρχαία. A.

659. βεβλημένοι ἐτάμενοί τε: ἡ διπλῆ, ὅτι συλληπτικῶς τὸ κατ' ἀμφοτέρων κεκοινοποίηκεν· ἐ γὰρ οἱ αὐτοὶ βέβληνταί καὶ ἐτασμένοι εἰσίν. διαζέλλει μέντοι ἐν τοῖς ἑξῆς, λέγων „βέβληται μὲν ὁ Τυδείδης, ἔταμε δ' Ὀδυσσεύς." V.

οὐτάμενοι: Ἀρίσαρχος ὡς ἰσάμενοι καὶ κιχράμενοι, Πάμφιλος δὲ ὡς δεδαρμένοι, ἐπεὶ καὶ τὸ βεβλημένοι συντελικόν. καὶ δοκεῖ τὸ τοιοῦτον ἀπὸ ἑνικῆς ἀριθμῆς πολὺ πρότερον τεθεωρῆσθαι παρ' αὐτῷ, φησὶ γὰρ „ἔτ' αὐτοχεδὸν ἐτασμένος ὀξεῖ χαλκῷ" (Od. 11, 536)· συντελικῇ γὰρ μετοχῇ συντελικὴν ἐπήνεγκεν. ἔτως οὖν καὶ ἐπὶ τῶν πληθυντικῶν ἀναγινώσκειν ἔδει, εἰ μὴ ἄρα ἐκεῖνό τις ὑπὲρ τῆ Ἀρισάρχ λέγοι, ὅτι ἐκ ἐνεζῶτα ἐκδεχόμενος ἔτως ἀνεγίνωσκεν, ἀλλὰ παρακείμενον πεπονθότα. ἔχει δὲ ἔτως, παρὰ τὸ ἐτῶ περισπώμενον ἐκπίπτει παραγωγὸν εἰς μι λῆγον τὸ ἔτημι, ἀφ' ἧ ἀπαρέμφατον τὸ ἐτάναι καὶ ἐτάμεναι. ἀπὸ δὴ τῆ ἔτημι γίνετ' παθητικὴ μετοχὴ ἐτάμενος καὶ ἐτάμενοι ὡς κιχράμενοι. ἀλλ' ἃ φαμεν ταύτην εἶναι ἐν τῇ συντάξει, ἀλλ' ἕτερόν τι αὐτῷ σύνηθες ῥῆμα εἶναι, τὸ ἐτάζω, ὅθεν καὶ ἔτασεν ὁ ἀόριστος· ἐ γὰρ δὴ συζολὴ τοῦ ἔτησεν, ὡς πρόδηλον κἀκ τῆ ἀπαρεμφάτ „ἐτάσαι ἐδὲ βαλεῖν" (Il. 14, 424) καὶ ἐκ τῆ „ἔταμε δ' Ὀδυσσεύς" (661). τούτῳ δὴ τῷ ἔταμε παρέθηκε μετοχὴν τὴν ἐτασμένος „ἔτ' αὐτοχεδὸν ἐτασμένος" (Od. 11, 535), ἥτις κατ' ἔλλειψιν τῆ ο ἐγίνετο ἐταμένος. προπαρωξύνθη δὲ ὑπὸ τῆ Ἀρισάρχ διὰ τὸν χαρακτῆρα, ἐπεὶ αἱ τοιαῦτ μετοχαὶ προπαρωξύνοντο, ἰσάμενος κιχρύμενος· ὁ γὰρ ἀνὴρ τῷ χαρακτῆρι μᾶλλον τὰς τόνους προσιέμει. ἄλλως τε καὶ ἡ γινομένη τῆ ο ὕφεσις καὶ ἀναδρομὴν ἐργάζεται τόνε. A.

660. δουρικλυτός: τῆ Ὀδυσσέως τὸ ἐπίθετον, καὶ διασαλτέον μετ' αὐτό. A.

ἐκ εἶπεν ἐπίθετον Ἀγαμέμνονος ὡς ἀπεχθανομένε Ἀχιλλεῖ, τοιοῦτος δέ ἐσιν ὁ λύγος, καὶ ὁ ἐχθρὸς αὐτῷ ἀτυχεῖ. V.

663. τῶτον: ἦθος ἐμφαίνει ἡ ἀντωνυμία, διὰ τῆς δείξεως δηλῶσα ὅτι ὁ γέρων τὸν νέον ἔσωσεν ἐκ τῆς μάχης. V.

665. ἐσθλὸς: δυνατὸς ἤτοι δυνάμενος. ἔτε φιλίᾳ ἔτε ἐλέῳ δίδωσι χώραν. εὖ δὲ καὶ τὸ Ἀχαιῶν, ἀλλὰ μὴ Ἀγαμέμνονος· ἐάσας γὰρ τὸν αἴτιον τῆς ὀργῆς τὰς ἐλεεινὰς προβάλλεται. BL.

βραχὺ δὲ διασαλτέον μετὰ τὸ ἐών. A.

666. ἦ μένει: ἆρα καὶ ταῦτα μένει ἃ ὑπέχετο „κτείνοντ' Ἀργείους, κατά τε σμύξαι πυρὶ νῆας" (Il. 9, 653). ἐν ἤθει ἐν ὁ λύγος. V.

τὴν ὁλοχερῆ τῶν νεῶν ἀπώλειαν ἐμφῆναι θέλει· εἰ μὴ γὰρ τὰς πρώτας καύσουσιν, ἐκ ἂν ἐδὲ τὰς παρὰ θάλασσαν. BL.

667. ἀέκητι; μὴ δυναμένων ἀμῦναι. V.

πυρὸς δηΐοιο: ὅτι λείπει ἡ ὑπό, ὑπὸ πυρός. A.

668. ἐπιχερώ: ἐφεξῆς ἅπαντες, παρίζησι δὲ διὰ τῆς λέξεως ὅτι καὶ ἐπὶ Μυρμιδόνας ἥξει ὁ κίνδυνος. A.

πικρῶς καθάπτεται τῆς ὠμότητος Ἀχιλλέως, εἰ μένει τὸς Ἀχαιὸς ἑξῆς ἰδεῖν φονευομένος. ἐλεεινῶς δὲ ἑαυτὸν καταλέγει. BL.

669. οἵη πάρος ἔσκεν: ἐρεθισικὸν τοῦτο· εἴ γε νέος ἦν, φησίν, ἐκ ἂν ὑμῶν ἐδεόμεθα. ἐντέχνως δὲ μὲν τὸς θυμαμένος τὴν φρόνησιν, πρὸς δὲ τὸς ἀργοὺς τὴν ἥβην φέρει, ζῆλον ἐμποιῶν τῶν ἔργων. BL.

670. εἴη' ὡς ἡβώοιμι: διδάσκει ὡς ἃ δεῖ ἐπὶ ἀπτοις ἀναλίσκειν τὰς ἡλικίας. ἅμα δὲ διηγεῖται κατορθώματα, εἰς ζῆλον καλῶν τὸν ἀκόοντα. καὶ διὰ τῆ παρὰ γνώμην τοῦ πατρὸς πολεμῆσαι προτρέπεται αὐτὸν τὸ ὁμοποιῆσαι. ἔχει δὲ μείλιχος Πάτροκλος· διὸ ἰσάμενον αὐτὸν γέροντα. BLV.

671. ὡς ὁπότ' Ἠλείοισι: ἐξ ἀναφορᾶς τὸ διήγημα· ἐπὶ γὰρ τοῖς ἐπιμηκεξέροις τῶν διηγημάτων τὸ μὲν ἀπ' ἀρχῆς εἶναι ἐπὶ τὴν ἀφήγησιν ἀμβλυτέραν τὴν ἀκρόασιν ποιῆσαι, τὸ δὲ ἐκ τῶν πρακτικῶν ἄρχεσθαι ἡδύ. ἡ δὲ ἀρχὴ τῆ διηγήματος ἔτως ἔχει. Ἡρακλῆς ἐκάκωσε τὴν Πύλον καὶ τὰς ια' τῶν Νηλέως παίδων ἀνεῖλε. διὸ Ἠλεῖοι καταφρονήσαντες τῶν Πυλίων ἔθλιβον αὐτούς, καὶ δὴ Αὐγέας ὁ Ἠλείων βασιλεὺς ἀφικομένους ἵππους τοῦ Νηλέως ἐπὶ Ὀλυμπιακὸν ἀγῶνα ἢ τινα τῶν ἐπιταφίων ἀφείλετο. τὸ ἐκίνησε Πυλίους. γενομένης δὲ μάχης ἀποθνήσκουσι μὲν ἄλλοι, ἀλλὰ καὶ Ἰτυμονεὺς ὑπὸ τῆ Νέσορος. νικήσαντες οἱ περὶ Πύλον τὴν λείαν διενείμαντο. ἐπισρατεύουσι δὲ τοῖς ἡμέρᾳ τρίτῃ ἐκεῖνοι· πολιορκέντων δὲ αὐτῶν τὸν Θρασυμήδη τις ἦλθεν εἰς Πύλον μηνύουσα τὴν ἔφοδον τῶν πολεμίων. σρατεύσαντες δὲ Πύλιοι πάλιν νικῶσι τὸς Ἠλείους καὶ ἀρισεύει ὁ Νέσωρ. BLV.

672. βραχὺ διασαλτέον μετὰ τὸ βοηλασίῃ· [δύναται δὲ καὶ τοῖς ἑξῆς συνάπτεσθαι. οὕτως δὲ ἐνικῶς Ἀρίσαρχος. βοηλασίῃ. A.

674. ῥύσι' ἐλαυνόμενος: ἀντενεχυραζόμενος· καὶ πλῆρες ῥύσια. Αὐγέας γὰρ πρότερος Νηλέως κατέχεν τέσσαρας ἀθλοφόρους ἵππους αὐτοῖσιν ὄχεσφιν. τετέσι θρέμματα ἐλαύνων, τὸ δὲ ἑξῆς ἑξίν, ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα, ῥύσια ἐλαυνόμενος· τὰ δὲ ἄλλα διὰ μέσε. A.

ῥύσια τὰ ἀντὶ τίνων ἑλκόμενα, οἱονεὶ ἃ ἀντὶ τῶν ἡρπασμένων ἁρπάζομεν. BL.

Νηλεὺς δὲ ὁ Ποσειδῶνος, ἱππικώτατος τῶν καθ' αὑτὸν γενόμενος, ἔπεμψεν εἰς Ἦλιν ἵππους εἰς τὸν ὑπ' Αὐγέᾳ συντελούμενον ἀγῶνα, νικησάντων δὲ τούτων φθονήσας Αὐγέας ὑπέσπασε τούτους, καὶ τὸς ἡνιόχους ἀφῆκεν ἀπράκτους. Νηλεὺς δὲ γνὺς ἡσυχίαν ἦγε. Νέσωρ δὲ ὁ τῶν παίδων αὐτοῦ νεώτατος στρατιὰν ἀθροίσας ἐπῆλθεν Ἤλιδι, καὶ πολλοὺς ἀποκτείνας ἀπέλαβε τοὺς ἵππους, καὶ ἐκ ὀλίγην τῶν πολεμίων ἀπέσυρε λείαν. ἡ ἱσορία παρὰ Φερεκύδει. AD.

675. ἐν πρώτοισιν: ἢ πρῶτον ἀγηρῶσθαι αὐτόν φησιν ἢ ἐν πρώτοις μαχόμενον. BL.

676. περίτρεσαν: περὶ πᾶσαν ὁδὸν ἔφυγον. BL. περὶ αὐτὸν διὰ δέος ἔφυγον. D.

677. Ἀρίςαρχος ληΐδα ὡς Χαλκίδα, Μενεκράτης ὡς λιδα. ἔςι δὲ ὅτως ὁρίσασθ περὶ τῆς προσῳδίας, ὡς πάντα εἰς ις λήγοντα καθαρόν, μόνως θηλυκά, ὀξύνεσθ θέλει, ν Κριφηΐς Βρισηΐς Θαΐς Λαΐς. ὁ δὲ λόγος ἐπὶ Ἑλληκῶν ὀνομάτων, μή τις τὸ Ξόϊς κ Σάϊς Αἰγύπτια ὄντα παρὰ Ζηνοδότῳ (Ἡροδότῳ infra) λεχθέντα παράθηται. ρὶ μέντοι τȣ̃ δαΐς ὀξυνομένȣ, τετολμημένου δὲ κ βαρύσθ ἐπὶ ἑτέρου σημαινομένȣ, εἰρήσεθ ἡμῖν ἀλλαχόθι. τὸ Κραταιις δοκεῖ ἐπὶ τοῦ κυρίου βεβαρυτονῆσθ διὰ τὴν ιατικὴν „βωςρεῖν δὲ Κράταιιν" (Od. 12, 124)· τάχα δὲ τȣ̃το πρὸς ἀντιδιαςολήν. A.

ἤλιθα πολλήν: λίαν ἠθροισμένην· ἐξ ȣ̃ καὶ ἠλίθιος ταχὺς τὸν νȣ̃ν κ μὴ ἀκριβής. ἢ παρὰ τὸ ἁλίσαι, ὅ ἐςιν ροῖσαι. ABL.

αἰτήματι ςίζομεν κατὰ τὸ τέλος τȣ̃ ςίχȣ· πρεπωδέςερον ȣ̃τως κεχωρίσθ τὰ ἑξῆς. A.

678. πεντήκοντα βοῶν ἀγέλας: αἰδήμων ὁ Πάκλος· ἐπειγόμενος γ̃ ἀνέχεθ μακρολογȣ̃ντος τȣ̃ γέροντος. ονομικῶς δὲ πέπλαςαι ἡ μακρολογία, ἵνα Εὐρύπυλος ἐκ μάχης φθάσας ἐλθεῖν περιτύχῃ Πατρόκλῳ καὶ θεραθῇ. BL. κ παρὰ τȣ́τῳ ἐμβραδύνῃ περὶ τῆς τειχομας. εἰ γ̃ ταχέως ἐπανῆλθε πρὸς Ἀχιλλέα κ ἐκπεμφθῆ ἑαυτὸν ἔπεισεν εἰς τὴν μάχην, ἀνῃρέθη ἂν ἡ τειχομα, δι' ἣν ἐπλάσθη τὸ τεῖχος. V.

πώεα: παρὰ τὸ πόᾳ χρῆσθ, ἥτις ἐςὶν αὐτοποίητος. A. ἑκάςῳ τὸ οἰκεῖον ἀπένειμεν. ȣ̓δὲ πεζῷ δὲ λόγῳ τις εἶπεν ὰ ἄλλως. V.

683. ἡ διπλῆ, ὅτι διαφωνȣ̃σιν οἱ νεώτεροι, τὸν Νηλέα ντες ἀνῃρῆσθ ὑφ' Ἡρακλέȣς, ὅτε τὴν Πύλον ἐπόρθη φαίνεται γ̃ καθ' Ὅμηρον περιὼν κ μετὰ τὸ πορθηαι· ὁ γ̃ πρὸς Ἠλείȣς πόλεμος τῶν Πυλίων μεταγενές τȣ̃ πρὸς Ἡρακλέα. A.

684. τύχε: ἐπετέτευκτο ἢ περιγέγονε. τὸ γ̃ τῆς τύχης ια ȣ̓κ οἶδεν ὁ ποιητής, τὰ δ' ἀπ' αὐτȣ̃ ῥήματα. A. διαςαλτέον ἐπὶ τὸ πολλά πρὸς τὸ σαφέςερον. A.

νέῳ: ταῦτα ἐρεθιςικὰ πρὸς νέον λεγόμενα, ἵνα ἀκȣ́σας ιλλεύς, ὡς φιλότιμος, ζηλωτὴς γένηται. V.

685. ἐλίγαινον: ὀξέως ἐβόων. V.

ἅμ' ἠοῖ φαινομένηφι: τȣ̃το τὸ ἡμιςίχιον καὶ τοῖς νω δύναται προσδίδοσθ καὶ τοῖς ἑξῆς· ἤτοι γ̃ ἡμέρας μένης ἐκήρυσσον ὅπως ἐκεῖνοι συναχθῶσιν, ἢ ἄλλοτε ρυσσον ἵνα ἐκεῖνοι ὑπὸ τὸν ὄρθρον ἔλθωσι. καὶ ἀμφόα λόγον ἔχει A.

686. χρέως: ȣ̃τως Ἀρίςαρχος, χρέως. D.

τι τὰ περιελασθέντα ἐκ τῆς Πύλȣ ὑπὸ τῶν Ἐπειῶν ματα χρέος καλεῖ. Ἀριςοφάνης δὲ χρεῖος κ ὠφείο. A.

άνειον· οἷς γ̃ οἱ ὀφείλοντες καταβάλλȣσι, κ οἱ ἀδίλαμβάνοντες καταβάλλειν ὀφείλȣσιν. B.

ίῃ: θαυμαςῇ, ἱερᾷ· ἐν αὐτῇ γ̃ ἐτιμᾶτο Ὀλύμπιος ȣ̃ κ πανήγυρις παρὰ τριετῆ χρόνον ἤγετο τὰ Ὀλύμπια, ἔνθα κ ἠγωνίζοντο οἱ ἀπὸ τῆς Ἑλλάδος πάντες. ἔςι δὲ πόλις τῆς Πελοποννήσȣ. ABD.

688. Ἐπειοὶ οἱ Ἠλεῖοι ἀπὸ Ἐπειȣ̃ βασιλέως, ȣ̃τως· Ποσειδῶνος καὶ Εὐρυπύλης τῆς Ἐνδυμίωνος παῖς Ἠλεῖος ὁ κτίσας Ἤλιδα, Ἠλείȣ δὲ Ἄλεξις κ Ἐπειός, ἀφ' ȣ̃ Ἐπειοί, ὥς φησιν Ἀριςοτέλης ἐν τῷ πέπλῳ. A.

ὅτι σπανίως Ἠλείȣς καλεῖ. A.

ὄφειλον: οὕτως Ἀρίςαρχος ὄφειλον· ἄλλοι δὲ ὄφελλον. A. Ἀρίςαρχος ἀφεῖλον. V.

ἤτοι ςικτέον κατὰ τὸ τέλος τȣ̃ ςίχȣ, ἢ συναπτέον τῷ ἑξῆς. ὃ καὶ βέλτιον· τὸ γ̃ ὡς ἀντὶ τȣ̃ ὅτι ἐςὶ κείμενον. κ ἐὰν χωρίσωμεν δέ, καὶ ἀκȣ́ωμεν κ ȣ̃τως, ἔςαι θαυμαςικὸς ὁ λόγος περὶ τῆς καταφρονήσεως ἣν ἐποιήσαντο οἱ Ἠλεῖοι περὶ τῶν Πυλίων. A.

εἰς τὸ ὄφελλον ὑποςιγμὴν δεῖ γράφειν, εἰς δὲ τὸ ἦμεν τελείαν· εἶτα λέγει τὸ ὁπόθεν κεκακωμένοι. ἐὰν δὲ εἰς τὸ ὄφελλον ςίξωμεν, ὁ ἑξῆς ςίχος κατ' ἰδίαν ἀναπεφώνηται, καὶ τὸ ὡς ἀντὶ τȣ̃ ȣ̃τως. BL.

689. ὡς: ὅτι ἀντὶ τȣ̃ ὅτε ἢ ὅτι ἢ ἡνίκα. A.

βραχὺ διαςαλτέον ἐπὶ τὸ παῦροι πρὸς ἔμφασιν. A.

ἐν Πύλῳ ἦμεν: ȣ̓κ ἐν πόλει ἦμεν, ὡς ἔνιοι. D.

690. ἐκάκωσε βίη Ἡρακληείη: Ἡρακλῆς παρεγένετο εἰς Πύλον χρῄζων καθαρσίων, οἱ δὲ Πύλιοι ἀποκλείσαντες τὰς πύλας ȣ̓κ εἰσεδέξαντο αὐτόν· ἐφ' ᾧ ὀργισθεὶς ὁ ἥρως ἐπόρθησε Πύλον. συνεμάχȣν δὲ τῷ μὲν Νηλεῖ τρεῖς θεοί, Ποσειδῶν Ἥρα Ἀϊδωνεύς, ὡς κ ἐν τῇ Ε φησί (395), τῷ δὲ Ἡρακλεῖ δύο, Ἀθηνᾶ κ Ζεύς. AD.

φασὶ τῶν Θηβαίων διαφερομένων τοῖς Ὀρχομενίοις κ πολεμȣ́ντων αὐτοῖς, οἱ Πύλιοι ὡς οἰκείοις συνηγωνίζοντο· ὅθεν Ἡρακλῆς ὀργισθεὶς τȣ̀ς Πυλίȣς ἐπολιόρκησεν. BL.

ȣ̓ διὰ τὰ καθάρσια Ἰφίτȣ παρθεῖται ἡ Πύλος, ἐπεί τοι Ὀδυσσεὺς μείζων Νεςορος κ παρ' Ὁμήρῳ ȣ̓κ οἴδαμεν φονέα καθαιρόμενον, ἀλλ' ἀντιτίνοντα ἢ φυγαδευόμενον. ἢ ȣ̓ν διὰ τὴν ὑπερηφανίαν Περικλυμένȣ, ἢ ὅτι Ὀρχομενίοις κατὰ Θηβαίων ὡς συγγενεῖς συνεβάλοντο. ὅτι δὲ συγγενεῖς Ὀρχομένιοι Πυλίων, φησὶν „εἴ πȣ ἢ ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ" (Od. 11, 458) καὶ „ὅς ποτ' ἐν Ὀρχομενῷ Μινυηΐῳ ἶφι ἄνασσεν· ἡ δὲ Πύλȣ βασίλευε" (ib. 284). Αὐγέας δὲ ἐν α' Ἀργολικῶν φησὶ τῶν Γηρυόνȣ βοῶν ἀφελέσθ Νηλέα, ὅθεν Ἡρακλέα Νέςορι παραδȣ̃ναι τὴν ἀρχήν. Τελέσαρχος δὲ ἐν τοῖς Ἀργολικοῖς ἄγοντα τὰ χρύσεα μῆλα κ τὸν ζωςῆρα κ τȣ̀ς Διομήδȣς ἵππȣς εἴργεσθ ἐπιβαίνειν τῇ πόλει, κ τοῦ Νέςορος κωλύοντος. V.

ἐπεὶ τῶν ἀδελφῶν Νέςορος φονεὺς ἐγένετο, αὐτȣ̃ δὲ ἐφείσατο, πρὸς ἑκατέραν ἁρμοζόμενος τύχην ȣ̓τε βλάσφημόν τι προσήρτησε τῷ βίῃ ȣ̓τε ἐπαίνȣ ἐχόμενον, ὁποῖον εἰώθαμεν λέγειν „ἱερὴ ἲς Τηλεμάχοιο" καὶ „ἱερὸν μένος Ἀλκινόοιο." V.

692. δώδεκα γὰρ Νηλῆος: ἐκ Νηλέως τȣ̃ Τυρȣ̃ς κ Ποσειδῶνος καὶ ἐκ Χλώριδος τῆς Ἀμφίωνος καὶ Νιόβης γίνονθ παῖδες οἵδε, Περικλύμενος, Πεισίςρατος, Ἄλκιμος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Υψήνωρ, Πυλαιμένης, Λυσίμαχος, Ἱπποκόων, Πεισήνωρ, Ἱππόλοχος, Ἀγησίλαος, Λύσιππος καὶ Νέςωρ· οὗτος δὲ γαμεῖ Μνησιόχην τὴν Ἀμφιδάμαντος, ἐξ ἧς καὶ αὐτὸς γεννᾷ παῖδας ἑπτά. BL.

ἡ διπλῆ πρὸς τοὺς χωρίζοντας, ὅτι ἐν μὲν Ἰλιάδι δώδεκα Νηλῆος παῖδας λέγει, ἐν δὲ τῇ Ὀδυσσείᾳ (11, 295) τρεῖς γεγονέναι, ὡς γενεαλογεῖ· „καὶ Χλῶριν εἶδον περικαλλέα" καὶ ἐν τοῖς ἑξῆς „Νέςορά τε Χρομίον τε Περικλύμενόν τ' ἀγέρωχον." ἐνδέχεται δὲ προγεγονότων αὐτῷ ἐξ ἑτέρας γυναικὸς παίδων ὕςερον ἐκ Χλώριδος τοὺς τρεῖς γεγονέναι· καὶ γὰρ ὁ Πρίαμός φησι (Il. 24, 495) „πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν· ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν· τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι." A. ἢ τοὺς ἀρίςους κατέλεξε· Χρομίος ὡς πρεσβύτης, Νέςωρ συνετός, Περικλύμενος ἀνδρεῖος. λόγος δέ ἐςιν ὅτι Χλῶρις ἐπὶ τῇ τελευτῇ τῶν παίδων ἀγχόνῃ διεχρήσατο. V.

693. τῶν οἷος λιπόμην: τὸ οὖν „κεκακωμένοι ἐν Πύλῳ ἦμεν" συλληπτικῶς· ἐν Γερηνίοις γὰρ ἀνέςρεφεν. V.

τὸν Νέςορά φησι μόνον περισωθῆναι τῶν λοιπῶν τοῦ Νηλέως παίδων, ἤτοι ὅτι νέος ὑπάρχων ἔξω ἐτρέφετο παρὰ τοῖς Γερήνοις, ἢ ἐπεὶ συνεβούλευσεν εἰσαχθῆναι τὸν Ἡρακλέα, ὥς τινές φασιν. AD.

694. Ἐπειοὶ: ἡ διπλῆ, ὅτι ἔν τισι γράφεται Ἀχαιοί· τοὺς δὲ Ἠλείους Ἐπειοὺς καλεῖ Ὅμηρος. A.

697. κρινάμενος τριηκόσια: ἴσως τὰ ἄβατα μόνα· φησὶ γὰρ „καὶ πῶϋ μέγ' οἰῶν." V.

699. τέσσαρες: αἱ δύο ξυνωρίδες. ὅπερ καὶ τέτρωρον λέγεται. καὶ αὐτὸς δὲ ἐν Ὀδυσσείᾳ (13, 81) „ἡ δ' ὥς' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι." D.

δύο ἦσαν συνωρίδες, ἵνα εἰ ἡ ἑτέρα πάθοι, ἡ ἑτέρα ἀγωνίζοιτο· ἄμφω δὲ πρὸς μίαν νίκην. οἱ γὰρ ἥρωες οὐδέποτε τετρώρῳ χρῶνται. BLV.

ἡ διπλῆ, ὅτι φαντασίαν ὁ τόπος ἔχει ὡς τετρώρῳ ἅρματι χρωμένων τῶν ἡρώων· καὶ γὰρ λέγει (701) „τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον ἵππων." ἐνδέχεται δὲ δύω συνωρίδας ἐπὶ τὸν ἀγῶνα πεπορεῦσθαι, μή τι περὶ τὴν ἑτέραν γένηται· εἰρῆσθαι δὲ τὸν ἐλατῆρ' ἀφίει συλληπτικῶς, τὸν ἑκατέρας ἐλατῆρα, ὡς „ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέςη" (Od. 1, 335)· οὐ μία ἐπὶ ἀμφοτέρων τῶν μερῶν, ἀλλ' ἑκατέρωθεν μία. οἱ δὲ ὡς Ποσειδῶνος υἱὸν τετρώρῳ φασὶ χρῆσθαι· ἵππιος γὰρ ὁ θεός. A.

700. περὶ τρίποδος: οὐκ οἶδε τὰ Ὀλύμπια ὁ ποιητής, ἀλλὰ περί τινος χρηματικοῦ ἀγῶνός φησιν ἀπελθεῖν τοὺς ἵππους. BL. πῶς γὰρ Αὐγείας, ἐφ' ᾧ Ἡρακλῆς τὸν ἀγῶνα ποιεῖται, ἀφῄρηται τοὺς ἵππους; ςέφανον δὲ ὅλως οὐκ οἶδεν ὁ ποιητής, οὐκ ἐν νίκῃ, οὐκ ἐν θυσίαις, οὐκ ἐν συμποσίῳ. πῶς δὲ οὐκ ἐμνήσθη ἐν τῷ καταλόγῳ (Il. 2, 506) „Ὀγχηςόν θ' ἱερόν, Ποσιδήϊον ἀγλαὸν ἄλσος." Πισᾶται δὲ ἐπεμέλοντο τοῦ ἀγῶνος, καὶ ἐπεὶ Μεσηνίοις κατὰ Λακεδαιμονίων συνεμάχησαν, Ἠλεῖοι δὲ Λακεδαιμονίοις, καθελόντες αὐτοὺς τούτοις παρέχον τὴν ἀρχήν. V.

Ἡρακλῆς προςάξαντος Εὐρυσθέως ἀνεκάθηρε τὴν Α[illegible]γέου κόπρον· ἀπαιτοῦντι δὲ αὐτῷ τὸν μισθὸν οὐκ ἀπεδίδ[illegible] λέγων ἐξ ἐπιταγῆς αὐτὸν πεποιηκέναι. Φυλεὺς δὲ ὁ τοὺ[illegible] παῖς κριτὴς γενόμενος κατέκρινε τὸν πατέρα· ὁ δὲ ἀ[illegible]νακτήσας ἐξέβαλεν αὐτὸν τῆς χώρας· Ἡρακλῆς δὲ ἐπιςε[illegible]τευσάμενος Ἦλιν ἐπόρθησε, καὶ μεταπεμψάμενος τὸν Φυ[illegible] ἐκ Δουλιχίου παραδίδωσιν αὐτῷ τὴν βασιλείαν. ὀλιγανδρ[illegible] δὲ οὔσης διὰ τὸ πολλοὺς ἐν τῷ πολέμῳ συνεφθάρθαι, Ἡ[illegible]κλῆς συγκατέκλινε τὰς τῶν τετελευτηκότων γυναῖκας [illegible]ςρατῷ, οὕτως τε πολλῶν γεννηθέντων ἔθηκε τῷ Διὶ [illegible] Ὀλυμπιακὸν ἀγῶνα, καὶ αὐτὸς πρῶτος τῶν ἀγώνων ἥψ[illegible] ἡ ἱςορία παρὰ Καλλιμάχῳ. AD.

702. λείπει ἡ ὑπέρ πρόθεσις, ἀντὶ τοῦ ὑπὲρ τῶν ἵππων.

703. ἐπέων: δείκνυσιν ὅτι οὐ μόνον τοὺς ἵππους ἀ[illegible]λετο, ἀλλὰ καὶ αὐτὸν ἐβλασφήμει ἐν τῇ ἀφαιρέσει. BL.

704. ἐς δῆμον ἔδωκε: τοῖς δανείσασι μερίζει. V.

705. ἐκ τῶν περὶ τῆς κοινωνίας λεγομένων ἐν Ὀδυσ[illegible] (9, 42) μετάκειται ὁ ςίχος· ἔνθα καὶ εὔλογον αὐτοὺς τὰ [illegible]φυρα ἐξ ἴσου μερίζεσθαι. ἐνταῦθα δὲ οὐκ ἐπέβαλλεν ἐξ [illegible] μερίζεσθαι, ἀλλ' ἀνάλογον ἑκάςῳ τοῖς ὀφειλομένοις· ὁ[illegible] ἐκ πολέμου λαφυραγωγίας. Ζηνόδοτος οὐδὲ ἔγραφεν.

μή τίς οἱ: ὅπως μηδεὶς ἀπέλθῃ ςερηθεὶς τῆς ὁμ[illegible] καὶ ἴσης τιμῆς· ἴσης γὰρ τῆς τὸ δίκαιον καὶ ἴσον ἐχούσης.

ἴσης τῶν ἀπολομένων, οὐ πᾶσιν ἶσα. V.

706. γράφεται ἀμφί τε ἄςυ. A.

707. θεοῖς: τοῖς περὶ τὸ ἄςυ θεοῖς. V.

708. βραχὺ διαςαλτέον ἐπὶ τὸ ἦλθον πρὸς τὸ σα[illegible]ρον. A.

εἰς τὸ ὁμῶς ὀλίγη διαςολή. B.

709. Μολίονε: Ἄκτορος καὶ Μολιόνης παῖδες Κτ[illegible] καὶ Εὔρυτος, κατά τινας δὲ Μολιόνης καὶ Ποσειδῶνος. [illegible] δὲ μᾶλλον Μολίονας αὐτοὺς εἶπεν πολεμικούς, ἀπὸ τῆς [illegible] τὴν μάχην μολύνσεως, οὐχ ὡς οἱ νεώτεροι, ὅτι ἡ [illegible] αὐτῶν ἐκαλεῖτο Μολιόνη· ἀπὸ μητρὸς γὰρ Ὅμηρος [illegible]σημαίνει. οὗτοι παρηλλαγμένην φύσιν τῶν λοιπῶν ἔχ[illegible] θρώπων· διφυεῖς γὰρ ἦσαν, ἔχοντες ἑκάτερος δύο κε[illegible] τέσσαρας δὲ χεῖρας καὶ πόδας τοὺς ἴσους, ἓν δὲ σῶμα. τοῦτο τοὺς πολεμικοὺς καὶ γυμνικοὺς ἐνίκων ἀγῶνας. Ἡρ[illegible] δὲ πολεμῶν καὶ μὴ δυνάμενος κατὰ τοὐμφανὲς αὐτῶν π[illegible]γενέσθαι συμμαχούντων Αὐγέᾳ, λοχήσας αὐτοὺς ἀνεῖλε, καὶ [illegible] ἐπόρθησε τὴν Ἦλιν. ἡ ἱςορία παρὰ Φερεκύδει. AD.

καὶ πῶς καυχᾶται παρ' ὀλίγον αὐτοὺς λαβών; ἢ ὅτι [illegible]ρατώδεις τινὲς ἦσαν, ὡς Ἡσίοδος, ἄμφω ἐν ἑνὶ σώ[illegible] ὄντες. ὡς δέ τινες, ἑκάτεροι δύο σώματα εἶχον. V.

ἡ διπλῆ, ὅτι ἀπὸ μητρὸς Ὅμηρος οὐ σχηματίζει· μή[illegible] οὖν ἀπὸ τοῦ ταύτης πατρὸς Μόλου οὕτως αὐτοὺς εἶπεν. A.

711. Θρυόεσσαν λέγει, ἣν καὶ Θρύον εἶπεν, Ἀλφειοῖο π[illegible] (Il. 2, 592). αἱ περιγραφαὶ δὲ προσεκτικοὺς ἀπεργάζο[illegible] τοὺς ἀκροατάς. ἔςι δὲ ὅριον ἔχατον, ὁρίζον Πύλον [illegible] Ἦλιν. B.

ἡ διπλῆ, ὅτι ἣν ἐν τῷ καταλόγῳ εἴρηκε Θρύον [illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐρύον Ἀλφειοῖο πόρον," νῦν Θρυόεσσαν λέγει. A.

712. τηλοῦ ἐπ' Ἀλφειῷ: ὥσπερ τὸ „Ἀλφειοῖο πόρον·" δι' οὗ περᾷ ὁ Ἀλφειός, οὐχ ὅτι ἐκεῖθεν ἄρχεται ἢ ἐκεῖ περαιοῦται. V.

714. μετεκίαθον: ὑποστικτέον. περιττεύει δὲ ἐν τῷ ἄμμι δ' Ἀθήνη ὁ δέ σύνδεσμος. δύναται δὲ καὶ ἐπὶ τὸ ἄννυχος ὑποστίζεσθαι, ἵνα ἐν τῷ οὐδ' ἀέκοντα ὁ δέ περιττεύῃ. καὶ ἔστιν ὁ λόγος τοῦ μὲν προτέρου οὗτος· ἐπεὶ δὲ πᾶν ἐπῆλθον τὸ πεδίον, ἄγγελος ἡμῖν ἦλθεν ἡ Ἀθηνᾶ ὑπ' ὄρθρον, οὐδ' ἄκοντας ἀνήγαγε τοὺς Πυλίους. A.

715. ἄγγελος ἦλθε: οὐ πεμφθεῖσα ὑπό τινος, ἀλλ' ἀφ' ἑαυτῆς, ὡς „Ἶρις δ' αὖθ' Ἑλένῃ" (Il. 3, 121). ἧκε δέ, ὅτι τότε μὲν πρὸς ἀγροίκους ἦν ἡ μάχη, νῦν δὲ πρὸς ἐμπείρους πολέμου. B.

717. ἐσσυμένους: τὸν λαόν, πρὸς τὸ σημαινόμενον. V.

οὐδέ με Νηλεύς: τεχνικῶς τῷ παραδείγματι διδάσκει Πάτροκλον, εἰ καὶ Ἀχιλλεὺς αὐτὸν εἴργει, λαθόντα προελθεῖν εἰς μάχην. B.

προτρέπει τὸν Πάτροκλον δι' ὧν αὐτὸς καὶ νέος καὶ ὑπὸ πατρὸς κωλυόμενος ὅμως πεζὸς ἐξῆλθεν. A.

719. οὐ γάρ πω: καὶ πῶς πρότερον ἐνίκησεν; ὅτι πρὸς ἀγροίκους αἰφνίδιος ἦν ἡ μάχη, τὰ δὲ νῦν πρὸς παρασκευασθέντας καὶ πολεμιστάς. BV.

ὀφείλει τὸ τί ὀξύνεσθαι διὰ τὴν μέ ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖσαν. A.

720. 721. τὸ μὲν πρότερον ὡς περισπωμένως, τὸ δὲ ἕτερον κατ' ἔγκλισιν, ἐπειδήπερ τὸ μεταφραστικὸν αὐτοῦ ἐστίν, ἐπεὶ οὕτως ἦγε τὸ νεῖκος ἡ Ἀθηνᾶ· ἢ οὕτως ἔφερε τὸν πόλεμον ἡ Ἀθηνᾶ, ὅπως ἐπιφανὴς γενήσομαι. A. καίτοι ἄπειρος ὢν ὁπλισμοῦ. V.

721. καὶ πεζός περ ἐών: καὶ τοῦτο πρὸς ἔλεγχον Ἀχιλλέως τοῦ θαυμαστὸν ἱππικὸν ἔχοντος. B.

722. ἄκρως τὸ σχῆμα τοῦ ποταμοῦ διαγράφει. οὐ γὰρ εἰς αἰγιαλὸν ἐκρεῖ, ἀλλὰ κατὰ κρημνοῦ φερόμενος ἐμπίπτει εἰς θάλασσαν ἄνωθεν. V.

723. ἐγγύθεν Ἀρήνης: ἤτοι τοῖς ἑξῆς ἢ τοῖς ἐπάνω προσδοτέον τὸ ἡμιστίχιον. A.

ἐμείναμεν: ἤδη γὰρ ἑαυτὸν εἶπε τοῖς ἱππεῦσι συναριθμεῖσθαι. V.

725. βραχὺ διαστάλτέον κατὰ τὸ τέλος τοῦ στίχου· ὑπ' ὄρθρον γὰρ ὁπλισθέντες πρὸς τὴν Ἀρήνην ὤδευσαν, καὶ κατὰ μέσον ἡμέρας ἐπὶ τὸν Ἀλφειὸν παρεγένοντο. A.

τὸ πολύαρχον καινίζει τὴν ἀκρόασιν, καὶ τὸ ὁμοειδὲς ἀποκόπτει, καὶ σαφήνειαν προβάλλει, καὶ ἀνάπαυλαν τῇ ἀκοῇ καὶ προσοχὴν ἐμποιεῖ, παραδιδοῦσα μὲν τῇ μνήμῃ τὰ εἰρημένα, τοῖς δὲ ἑξῆς προσέχειν ἐξ ἀρχῆς ἀναγκάζουσα. B.

726. ἔνδιοι: δῆλον οὖν ὅτι τοῦ Ἀρκαδικοῦ Πύλου ἄρχει, ὃς ἀπέχει Ἀλφειοῦ ρλ' σταδίους διὰ δειλίαν οὕς φησιν ἀφικέσθαι. V.

727. καλά: θαυμαστὰ καὶ οἰκεῖα αὐτῷ· βίαιος γὰρ τοῖς κέρασιν ὁ ταῦρος καὶ τὴν γῆν ἀναβάλλων. V.

728. ταῦρον: οἰκεῖα τὰ θύματα. τοῖς ποταμοῖς καὶ τῷ Ποσειδῶνι θύεσθαι λέγει ταύρους διὰ τὰς βίας τῶν ὑδάτων. A.

730. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει δεῖπνον. δόρπον δὲ λέγει τὴν ἑσπερινὴν τροφήν· εὐθέως γὰρ κατακοιμῶνται. A.

τελέεσσι: τοῖς τάγμασι. δείκνυσι δὲ ὅτι οὐδὲ κοιμώμενοι ἢ ἐσθίοντες διέλυον τὰς τάξεις. B.

731. κατεκοιμήθημεν ἐν ἔντεσι: στρατιωτικὸν καὶ τοῦτο παράγγελμα, τὸ ἅμα τοῖς ὅπλοις κοιμᾶσθαι. B. ἐπεὶ καὶ Διομήδει „ῥινὸς ὑπέστρωτο βοὸς ἀγραύλοιο" (Il. 10, 155). V.

733. διαῤῥαῖσαι: γράφεται διαπραθέειν. A.

734. ἡ διπλῆ, ὅτι τὸ προπάροιθε οὐ τοπικῶς ἀλλὰ χρονικῶς· πρὶν ἢ πορθῆσαι τὸ ἄστυ, ἐφάνη αὐτοῖς μέγας ὁ ἐσόμενος πόλεμος. A.

πρὶν ἀπολέσαι, μέγας αὐτοῖς ὁ κίνδυνος ὤφθη. B.

735. φαέθων ὑπερέσχεθε γαίης: ἡ διπλῆ, ὅτι ἐξ ἡρωϊκοῦ προσώπου ὑπὲρ γῆς τὴν ἀνατολὴν λέγει, αὐτὸς δὲ ἐκ τοῦ ἰδίου προσώπου ἐξ Ὠκεανοῦ. A.

καὶ τοῦτο τεκμήριον τοῦ σφαιροειδῆ εἶναι τὸν κόσμον. V.

736. συμφερόμεσθα: εἰς ταὐτὸν συνηρχόμεθα. καὶ Ἡσίοδος „λιμὸς γὰρ πάμπαν ἀεργῷ σύμφορος ἀνδρί" (O. 300). V.

737. ἡ διπλῆ, ὅτι τινὲς καὶ Ἀχαιῶν γράφουσιν· Ὅμηρος δὲ Ἐπειοὺς τοὺς Ἠλείους λέγει. καὶ ὅτι νεῖκος οὐ μόνον ἡ διὰ λόγων ἐπίπληξις ἀλλὰ καὶ ἡ διὰ χειρῶν μάχη, ὡς νῦν. A.

738. κόμισσα δὲ μ. ἵππους: ὅτι πάντα προθυμίᾳ κατορθοῦται, ὅπου γε καὶ ἃ εἶρξεν ὁ πατήρ, ταῦτα ἑαυτῷ πεπόρισται παρὰ τῶν πολεμίων. BV.

741. ἢ τόσα φάρμακα: τοῦτο πρὸς αὔξησιν τῆς ἑαυτοῦ ἀρετῆς, εἴγε μηδὲ ἡ γυνὴ ἔσωσεν αὐτόν, φάρμακα εἰδυῖα πολλά. B.

Μήδεια ἐγένετο Αἰήτου μὲν θυγάτηρ, Ἰάσονος δὲ γυνή. αὕτη μετὰ τὴν ἀπεργασθεῖσαν ἐν Κορίνθῳ τεκνοκτονίαν φυγὰς εἰς Ἀθήνας ἀφίκετο, καὶ ἐγαμήθη Αἰγεῖ τῷ Πανδίονος. κἀκεῖ Θησέα τὸν ἐξ Αἴθρας γενόμενον τῷ Αἰγεῖ, ἐπὶ τὸν τοῦ πατρὸς ἀναγνωρισμὸν ἐκ Τροιζῆνος ἀφικόμενον, πείθει τὸν Αἰγέα φάρμακον αὐτῷ δοῦναι θανάσιμον, ἐπίβουλον αὐτοῦ τῆς βασιλείας εἰποῦσα παραγενέσθαι. πεισθεὶς δὲ Αἰγεὺς παραγενομένῳ τῷ παιδὶ φάρμακον ἔδωκεν· μέλλοντος δὲ καταπίνειν ἐπιγνοὺς τό τε ξίφος καὶ τὰ ὑποδήματα (ταῦτα γὰρ ἐν Τροιζῆνι γνωρίσματα κατέλιπεν) τὸ μὲν φάρμακον ἀφείλετο, τὴν δὲ Μήδειαν ἐξέβαλε τῆς Ἀττικῆς. οἰκήσασα δὲ αὕτη τὴν πλησίον Ἤλιδος Ἔφυραν πολυφάρμακον ἐποίησεν αὐτὴν ἐπονομασθῆναι. ἡ ἱστορία παρὰ Κράτητι. ADV.

ἐπεξεργάζεται, διὰ τῆς ψυχαγωγίας κατέχων αὐτόν. V.

745. ἔτρεσαν ἄλλυδις: τὸ αὐτὸ τῷ „λαοὶ δὲ περίτρεσαν" (676). V.

746. τὸ ἱππήων ἑκατέροις δύναται προσδίδοσθαι βέλτιον δὲ τοῖς ἐπάνω. A.

πρὸς ἐρεθισμὸν Πατρόκλου ταῦτά φησιν. V.

747. ἡ διπλῆ, ὅτι ἐκπέπτωκεν εἰς ποιητικὴν κατασκευὴν τὸ παρηγμένον ἡρωϊκὸν πρόσωπον κατὰ τὴν ποίησιν. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

748. πεντήκοντα: τῷ ἀπαρτίζοντι ἀριθμῷ χρῆται καὶ ἔμπροσθεν (678). V.

750. ἡ διπλῆ, ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ' ἐπίκλησιν ἡ Μολιόνης αὐτὲς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος. ὐδέποτε δὲ Ὅμηρος ἀπὸ μητρὸς χρηματίζει. A.

751. ἡ διπλῆ πρὸς τὰ περὶ τῆς φύσεως τῶν Ἄκτορος παίδων, πότερον μία ἀμφοτέρων συμφυΐα ἢ ἑκάτερος αὐτῶν διφυὴς ἦν. A.

754. ἀσπιδέος: κυκλοτερῆς· ὅταν γὰρ ἐν ἀναπεπταμένῳ τόπῳ ὦμεν, κυκλοτερῆ αὐτὸν ὁρῶμεν. οἱ δέ, τὸ ἀσπίδας ἔχοντος διὰ τὸ πλῆθος. ἢ ἐν ᾧ αἱ τῶν ἀνῃρημένων ἀσπίδες ἔκειντο. ἢ ἐπιμήκης. B.

ὁ Ἀσκαλωνίτης δι' ἀσπιδέος, ἐπεὶ ἐπιφέρει „ἀνά τ' ἔντεα καλὰ λέγοντες," τοιοῦτό τι λέγων τοῦ πολλὰς ἔχοντος ἀσπίδας. ὁ δὲ Ἀλεξίων καὶ ἀμφότερα κρίνει, καὶ ἀσπιδέος ἢ σπιδέος· ὅ τε Ἀρίσαρχος ἐκεῖνο ἀποφαίνεται ὡς ὅτι τινὲς μὲν ἀπὸ τοῦ ᾱ ποιοῦσι τὴν διαιρολήν, ἵν' ᾖ ἀσπιδέος, ὡς εἰκαικώτερον τῇ ποιητῇ ἀσπιδὲς τὸ πεδίον εἰρηκότος τῷ τὰ μακρὰ τῶν πεδίων καὶ εὐρέα περιφερῆ φαίνεσθαι, μηδενὸς ἄλλου ὁρωμένου τέρματος ἀλλὰ τοῦ ὁρίζοντος ἀέρος. ἄλλοι δὲ ἐκδέχονται ἀσπιδέος τοῦ ἔχοντος πολλὰς ἀσπίδας, καθότι ἐπιφέρει „ἀνά τ' ἔντεα καλὰ λέγοντες." οἱ δέ φασιν ἐκ πλήρους σπιδέος καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ· καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν ἔτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ „σπίδιον μῆκος ὁδοῦ," καὶ ὁ Ἀντίμαχος „οὐδὲ σπιδόθεν προνοῆσαι," τουτέστι μακρόθεν. καὶ ταῦτα μὲν ὁ Ἀρίσαρχος. Κράτης δὲ προκρίνει τὴν διὰ τοῦ ᾱ γραφήν. καὶ Ζηνόδοτος δὲ συναινεῖ τῇ δίχα τοῦ ᾱ γραφῇ, καί φησι σπιδέος τοῦ ἀπόρου καὶ τραχέος καὶ μεγάλου. καὶ Ἀμερίας δὲ λέγει, σπιδέος τοῦ πολλοῦ καὶ εὐρέος καὶ μεγάλου. κἀγὼ δὲ συγκατατίθεμαι τοῖς ἀνδράσιν· ὁρῶ γὰρ πολλὴν τὴν τοιαύτην χρῆσιν παρὰ τοῖς ἀρχαίοις. ἡ διπλῆ πρὸς τὸ σημαινόμενον τὸ ἀπὸ τῆς λέξεως. A.

ἄλλως. Ἡρωδιανὸς διὰ σπιδέος. A.

756. ἐπὶ Βουπρασίου: ἕως τῶν Ἤλιδος χωρίων. Βουπράσιον γὰρ καὶ Ἀλείσιον πόλεις τῆς Ἤλιδος. ἡ δὲ Ὠλενία πέτρα τῆς αὐτῆς χώρας μεγίστη. V.

757. ἤτοι διαιρετέον ἐπὶ τὸ Ἀλισίου, ἢ συναπτέον τοῖς ἑξῆς, ὡς Δημήτριος ὁ Σκήψιος τάφον τὸν τοῦ Ἀλισίου ἔτω γὰρ Ἀρίσαρχος γράφει, προσιθεὶς ὅτι τῶν Ἱπποδαμείας μνηστήρων εἷς ἦν ὁ Ἀλίσιος. ἢ Ἀλίσιος μὲν πόλις, Κολώνη δὲ ἔτω καλούμενος τόπος. A.

759. ἡ διπλῆ, ὅτι τὸ ἔνθα ἐν ἐκείνῳ τῷ τόπῳ· καὶ ὅτι τὲς Πυλίες Ἀχαιὲς λέγει νῦν, τὲς δὲ Ἠλείες Ἐπειές. A.

τὲς μὲν Πυλίες Ἀχαιές, τὲς δὲ Ἠλείες Ἐπειὲς διαιροῦν καλεῖ. B. ὡς Ἠλείων μὴ ὄντων Ἀχαιῶν. ἐ τῇ Ἠλείᾳ ἦν Πύλα ἦρχεν ὁ Νέστωρ, ἀλλὰ τῇ τῆς Τριφυλίας. V.

761. Νέστορί τ' ἀνδρῶν: ὀνομαστὶ ἑαυτὸν λέγει, ἀναμιμούμενος τὴν φωνὴν τῶν ἐπαινούντων. ἅμα δὲ καὶ ἐμφαίνει Πατρόκλῳ ὡς καὶ αὐτὸς ἰσοθέα τεύξεται τιμῆς σώσας Ἕλληνας. BV.

762. εἴ ποτ' ἔην γε: εἴ ποτε ἦμεν. νῦν γὰρ οὐκέτι εἰμί. V.

763. οἷος τῆς ἀρετῆς ἀπονήσεται: μόνος τῆς ἀρετῆς ὄνησιν ἕξει, ἐγὼ δὲ καὶ οἱ φίλοι. A.

λέγει ὅτι ἔχων ἀρετὴν οὐ μεταδίδωσιν, ἀλλὰ μόνος ὀνήσεται. ἢ ἐδὲ μόνος, τοῖς εἰς ἔπειτα μὴ λιπὼν ζῆλον. B.

καὶ ὁ Πάτροκλος, ὡς ἂν μείζω διδασκάλῳ ἑπόμενος τῷ Νέστορι, πρὸς Ἀχιλλέα φησὶν „αἰναρέτη, τί σευ ἄλλο ὀνήσεται" (Il. 16, 31). δυσωπεῖ δὲ ὁ Νέστωρ ταῦτα λέγων ὅτι ἔχων ἀρετὴν οὐ μεταδίδωσιν, οἷον ἐ καταλείπων τοῖς εἰς ἔπειτα ζῆλον. V.

ἦ τέ μιν οἴω: καὶ αὐτὸν τὸν ἄγριον εἰς ἔλεον ἄξει τὸ γεγονός. οὐ παρακαλεῖ δέ· νεωστὶ γὰρ ἀπέβαλε τὰς παρακλήσεις. V.

764. μετακλαύσεσθαι: ὕστερον ἀπολλυμένων ὄχλων μεταμελήσεσθαι. D.

765. ὦ πέπον, ἦ μέν σοί γε: καὶ Ὀδυσσεὺς τοιαῦτα ἐν ταῖς Λιταῖς ἔλεγεν, ἀλλ' ὁ μὲν κεφαλαίοις, ὁ δὲ ἐν καιρῷ καὶ τῶν προσώπων ὑπομιμνήσκει. BV.

767. νῶϊ: ἡ μὲν διπλῆ, ὅτι χωρὶς τοῦ ν Ὁμηρικῶς ἡμεῖς ἢ ἡμᾶς. ἀθετοῦνται δὲ ἀπὸ τούτου εἴχοι ιθ', ἕως τοῦ (783) „σοὶ δ' αὖθ' ἑπέτελλεν," ὅτι ἡ σύνθεσις αὐτῶν πεζή, καὶ διαφωνεῖ τοῖς ἐν ταῖς Λιταῖς ταῦτα „Πηλεὺς μέν σ' ὦ παῖ ἐπέτελλ' Ἀχιλῆϊ" (Il. 9, 254)· ἐκεῖ γὰρ ὁ Πηλεὺς φησι „τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη δώσουσιν αἴ κε θέλωσι, σὺ δὲ μεγαλήτορα θυμόν." καὶ ὅτι, ἃ Πηλεῖ ἐπέβαλλε ποιεῖν, ὁ Ἀχιλλεὺς πράσσει, αὐτὸς δὲ ὡς ἐν δώλον σπένδει· „ἐς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάασε ἄνωγεν, ξείνιά τ' εὖ παρέθηκεν"· ὁ δὲ Πηλεὺς ἐδ' εἰ πάρεισι προσποιεῖται. εὐτελὴς δὲ ἡ σύνθεσις καὶ τῷ „ἦρχον ἐγὼ μύθοιο κελεύων ὕμμι ἅμ' ἕπεσθαι." ἠθετοῦντο καὶ παρ' Ἀριστοφάνει οἱ ιθ'. A.

ἀθετοῦνται εἴχοι ιθ'. πῶς γὰρ ὧδε μὲν Πηλεὺς ἀριστεύειν ἐπιτάσσει, ἐν δὲ ταῖς Λιταῖς μεγαλήτορα θυμὸν ἔχειν; ὃ δέον παρ' αὐτῷ, τοῦτο ὑπομιμνήσκουσιν· ὁρᾷ γὰρ ὁ Νέστωρ ὡς ἐλώφησε νῦν τῆς ὀργῆς. καὶ διὰ τί Πηλεὺς τὲς περὶ Νέστορα οὐ φιλοφρονεῖται, ἀλλ' Ἀχιλλεύς; σπεύδων ἀποδεῖξαι Ἀχιλλέα τότε μὲν προθύμως ὑποδεξάμενον, νῦν δὲ ἀποδοκιμάζοντα. ὅτι δὲ καὶ Πηλεὺς ἐφιλοφρονήσατο, δηλοῖ διὰ τοῦ „ὅς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθεε" (Il. 7, 127). καὶ Πεισίστρατος τὲς περὶ Τηλέμαχον. ἠρκεῖτο δὲ ὡς ἡμιῶν μόνος ἐπετάσεθη Ἀχιλλεύς, ἀλλὰ καὶ σύντροφος αὐτῷ Πάτροκλος. αὔξει δὲ νῦν τὸν Πάτροκλον, ὡς δεόμενος αὐτοῦ, καὶ ἠρέμα διδάσκει ὅτι σύμμαχος Ἀγαμέμνονι πέμπεται. ἐχὶ προσθήκη τῆς συμμαχίας Ἀχιλλέως. ἐν καιρῷ δὲ ἐδήλωσε τὰ τῆς στρατολογίας, ὅτι οἱ ἀρισεῖς εἰς τὸ λαὸν ἀγείρειν ἐκπέμπονται. B.

ἐγὼ δὲ καὶ δῖος Ὀδυσσεύς: ἵνα μὴ ἀρνοῖτο Πάτροκλος. V.

769. Πηλῆος δ' ἱκόμεσθα: ὁ δὲ ἀντὶ τοῦ γάρ. εἰπὼν δὲ ὅτι τῶν παραινέσεων ἠκούσαμεν, ἐπὶ τὴν ἀρχὴν

ατρέχει, δηλῶν πῶς ἄρα καὶ ἦκουσαν. Β. ὅτι κατὰ πρεσείαν συμμαχίας ἀφιγμένοι. V.

770. λαὸν ἀγείροντες: πῶς ἂν ἡ Ἥρα φησὶ „καμέην δέ μοι ἵπποι λαὸν ἀγειρόσῃ" (Il. 4, 28); ὅτι διὰ τῆ ἑέορος ᾗ Ὀδυσσέως συνῆγε. ᾗ ἡ Ἀθηνᾶ γῆν κατέχει τὰς λληνας ἀποπλεῖν θέλοντας δι' Ὀδυσσέως. V.

πολυβότειραν: ἐν ἄλλῳ καλλιγύναικα. A.

772. ἠδὲ σέ: προσώποις ᾗ τόποις ᾗ σημείοις πίσιν ᾗ κύμησιν τῶν λεχθέντων ποιεῖται. V.

773. μηρί' ἔκηε: Ἀρίσαρχος μηρία καῖε. A.

ἐπὶ τῶν θεῶν μαρτύρων συμμάχους ὑμᾶς παρειλήφαν, ὃς ᾗ νῦν ἀδικεῖτε, φησί, τῆς συμμαχίας ἀφισάμενοι. B.

774. αὐλῆς ἐν χόρτῳ: ἐν τῷ περιφράγματι τῆς αὐς. χόρτοι δὲ οἱ τριγχοί (τροχαλοί D). AD. ὡς ᾗ Εὐριδης ἐν Ἀντιόπῃ „σύγχορτα ναίω πεδία τοῖς Ἐλευθεῖς" καὶ ἐν Ἀνδρομάχῃ (17) ὁμοίως. A.

778. ἐς δ' ἄγε: ἀπ ἐκ προπετείας τῆτο ποιεῖ Ἀχιλεύς, ἀλλ' ἐκ φιλοξενίας. B.

779. ξείνια: ἔλεγχός ἐσι τῆς Ἀχιλλέως ὠμότητος, ὅτι λοφρονησάμενος ᾗ μεταδὲς ξενίων περιορᾷ νῦν τὰς ξέας ἀναιρεμένας. B.

782. ἠθέλετον: Ζηνόδοτος ἠθελέτην. A.

785. σοὶ δ' αὖθ': ὅσα ἐβάλετο Πατρόκλῳ παραινεῖν, ῦτα ποιεῖ τὸν Μενοίτιον ὑποτιθέμενον, ὡς ᾗ τῷ Ἀχιλ Ὀδυσσεὺς ἐκτίθεῖ τὸν τῆ Πηλέως λόγον· ᾗ ἀμφότεροι όντως, ἵνα μὴ δόξωσιν οἱ ἀκόοντες Ὀδυσσέα ἢ Νέςορα αι τὸν παραινῆντα, ἀλλὰ μᾶλλον τὸν πατέρα. B.

ἄνω μερικῶς εἰπὼν περὶ Μενοιτίε, νῦν ἐπὶ τὸ πᾶν ἦξε ήγημα ἐλέγχων. ἐσι γὰρ φιλοπάτωρ. V.

786. γενεῇ μὲν ὑπέρτερος: τῷ τῆ γένες ἀξιώματι ίσσων. ἢ νεώτερος· Ἴωνες γὰ ὑπέρτερον τὸν νεώτερον. D. ὰ λέγει ὅτι τῇ γεννήσει σῆ ἐςὶν ὑπερέχων, ἵν' ᾖ πρεστερος, ὥς τινες τῶν τραγικῶν ἦκουσαν· πῶς γὰ ἂν ἐπήγε „πρεσβύτερος δὲ σύ ἐσσι"· ἀλλ' ὑπερτέραν γενεὰν ει ὰ τὴν χρόνῳ ὑπερέχουσαν ἀλλὰ γένες ἀξίᾳ, ὡς που η „τὸν μὲν ἀρείω καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσειαι οῖ εἰκὼν, ἐς γενεὴν ὁρόων," ᾗ ἐπάγει „μηδ' εἰ βασιτερός ἐσσι" (Il. 10, 237). τὸ γενεῇ ὑπέρτερος ἔφη ἐν λοις „Τρώων εὐηγενέων" (Il. 23, 81) ᾗ „εὐηγενέος Σώο" (427), ᾗ τὸ ἐναντίον „τῷ ὀκ ἂν με γένος γε κακὸν ἀνάλκιδα φάντες" (Il. 14, 126). B.

ὑπέρτερον δὲ ἀεὶ τὸν ὑπερέχοντά φησιν· Ἴωνες δὲ τὸν τέρων. B.

ἡ διπλῆ, ὅτι Ἀρχίλοχος ὑπερτέραν τὴν νεωτέραν ἐδέο· „οἵην Λυκάμβεος παῖδα τὴν ὑπερτέρην" ἀντὶ τοῦ νεωτέραν. καὶ τὸ ἔτυμον δὲ ἀντιπίπτει· ὁ γὰ ὑπερέχων ά τί ἐσιν ὑπέρτερος. ᾗ νῦν λέγει, τῷ γένει, τῇ εὐγενείᾳ ρέχει, διὰ τὸ εἶναι θεᾶς μητρός· σὺ δὲ πρεσβύτερος A.

788. τετέχθαι, ἐκείνῳ οὐ δεῖ πείθεσθαι φησίν, νῦν δὲ τὸ ντίον ποιεῖς. διδάσκει δὲ ἡμᾶς διδαχῆς καὶ ὑποθήκης ἀνέχεσθαι. BV. ὅπε τηλικῆτος ὢν Ἀχιλλεὺς μετὰ Φοίνικα ᾗ Πάτροκλον ἀνέχεται. διὸ ἐκεῖ μὲν διδασκέμεναι (Il. 9, 442), ὧδε δὲ ὑποθέσθαι. V.

790. λήθεαι: εὐπρεπῶς τὴν ἀπείθειαν λήθην ὠνόμασεν, ἐπαγόμενος αὐτόν. B.

οἷδε γὰ τὸ εὐλαβὲς Πατρόκλε, καὶ φησιν ὀφείλεις τὰ παρὰ σαυτῆ εἰσενέγκασθαι. V.

792. τίς δ' οἷ' εἴ κεν: περιεῖλε τὸν ὄκνον αὐτῆ, ἄδηλον εἶναι τὴν ἀπείθειαν Ἀχιλλέως ὑπογράφων. ἅμα δὲ ᾗ εὐέλπιν ποιεῖ τῇ παρὰ τοῦ δαίμονος ἐπικρίᾳ· ἴσως γάρ, φησί, ᾗ τὸ δαιμόνιον συμβαλεῖταί σοι. B.

793. ἑταίρου: ἀπὸ κοινῆ τὸ ἀγαθῆ, ὡς τὸ „ἀγαθὸν ᾗ παῖδα ἀποφθιμένοιο λιπέσθαι" (Od. 3, 196)· ἀπὸ κοινῆ τὸ ἀγαθόν. διδάσκει δὲ διαφόρως προσλιπαρεῖν, εἴγε μηδὲν ἀνύσας διὰ πρέσβεων ἑτέρᾳ μεθόδῳ ἐχρήσατο πρεσβείας. V.

794. εἰ δέ τινα: εἰδὼς τὸ φιλόδοξον αὐτῆ ἐρεθίζει, φιλοψυχίαν ᾗ φόβον κινδύνων ὀνειδίζων. δύο δὲ προβέβληται, ᾗ ἀμφοτέρων ἐπέτυχεν· ἔσι δὲ ἀπάσης ἀντιλογίας ςερητικόν· βοηθείτω γάρ, φησί, μὴ κινδυνεύων αὐτός. B.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἐκ τέτε ᾗ τὸν ἑξῆς περιέγραψεν, ἀναγκαίως ὄντας εἰς ἐρεθισμὸν Ἀχιλλέως. A.

797. αἴ κέν τι φόως Δαναοῖσι: ὡς αὐτῶν ἐν σκότῳ ὄντων. V.

798. καί τοι τεύχεα καλὰ δότω: οἷδε τὸ φιλότιμον Ἀχιλλέως, ὅπως ἡ δόξα τῆς μάχης πάλιν εἰς αὐτὸν ἀναδράμῃ. ἅμα δὲ ᾗ θεραπείαν ἔχει Ἀχιλλέως, εἰ τὰ ἐκείνε ὅπλα ὀφθέντα καὶ ἄλλος τις δόξας εἶναι Ἀχιλλεὺς ἀρισεύει. B.

παρασκευάζει τὴν ὁπλοποιίαν. V.

799. ἴσκοντες: Ἀρίσαρχος ἀξιοῖ διὰ τῆς ει διφθόγγε γράφειν, ἐπεὶ ἐν ἑτέροις, φησί, τὸ κατὰ διαίρεσιν αὐτῆ ὁρᾷ, εἴσκω λεγόμενον· „ἔσκω πηγεσιμάλλῳ" (Il. 3, 197). οἱ δὲ περὶ τὸν Ἀλεξίωνα διὰ τῆ ι μόνε συνεχαλμένε. κἀγὼ δὲ τέτοις συγκατατίθεμαι τὸ μὴ δύνασθαι τὰ τοιαῦτα τῶν ῥημάτων, λέγω δὲ τὰ διὰ τῆ σκω, ἔχειν πρὸ τέλες δίφθογγον ἐκφωνεμένην, ὅτι μὴ τὴν διὰ τῆ υ, πιφαύσκω. ὁ δὲ λόγος παραιτεῖται τὴν Αἰολίδα διάλεκτον διὰ τὸ μιμνaίσκω καὶ θνaίσκω. ὥςε ὅτε λέγει ἴσκω κατὰ διαίρεσιν, ὑγιῶς πάνυ ἀποφαίνεται, εἴγε παρὰ τὸ εἴδω ἐξέπιπτε μέλλων ὁ εἴσω, ὃς ὤφειλεν ἐπενθέσει τῆ κ ποιῆσαι τὸ εἴσκω, ὡς μεθύσω μεθύσκω, δράσω δράσκω. ἀλλ' ἐπεὶ ἀνέφικτον ἦν χωρίσαι τὴν τοιαύτην δίφθογγον πρὸ τῆς σκω παραγωγῆς, διαιρέσει ἐχρήσατο· ὅπε δὲ ὁ παραδέχεται αὐτὸ ἡ διαίρεσις, ἐκεῖ ἐκβάλλει τὸ ε. A.

Ζηνόδοτος διὰ τῆ ι. ὁ δὲ Ἡρωδιανὸς διὰ τῆ ι βραχέος φησὶν εἶναι τὴν γραφήν. V.

800. ἀρήϊοι: εὖ τὸ ἐπίθετον· πολεμικοὶ μὲν ὄντες, τὸ δὲ νῦν δυσεχθῆτες. B.

801. ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο: μικρὰ ἡ περιλειπομένη ἀναπνοὴ ἐκ τῆ πολέμε, ὥςε ἐὰν βραχὺ ἀνεπικάρητοι γένωνται, ἀπόλλυνται. A.

πρὸς τὴν ἀνάγκην μόνον, φησί, μικρὸν συμμαχῆσαι δεῖ· ἐν βραχεῖ γὰρ καὶ συντόμῳ δύναται αὐτοῖς τὰ τῆς ἐπικουρίας γενέσθαι. καὶ διδάσκει πῶς· „ῥεῖα γὰρ ἀκμῆτες" (802). ἢ καθολικόν ἐστιν. ἡ ἀνάπνευσις, φησί, τῶν νικωμένων παρὰ μικρὰν ῥοπὴν γίνεται, καὶ πολλάκις ἑνὸς ἀνδρὸς ἐπιφάνεια ἢ φόβου ὑπόνοια μεγίστην ποιεῖ μεταβολήν. BV.

802. κεκμηότας ἄνδρας αὐτῇ: ἢ τοὺς κεκοπωμένους τῇ μάχῃ· ἢ τοῦτό φησιν, ὅτι οἱ ἀναπαυόμενοι τοὺς κεκοπωμένους αὐτῇ μόνῃ ἤτοι βοῇ ὤσεσθε. τοῦτο γὰρ οἰκειότερον εἰπεῖν τῷ ῥᾳδίαν ἀποφαίνοντι τὴν νίκην. B.

802. 803. ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παράκεινται, ὅτι οἰκειότερον κεῖνται πρὸ τῆς Πατρόκλου ἐξόδου (Il. 16, 44), ὅτε καὶ τῷ ὄντι κεκμήκασι τῆς ἐπὶ ναυσὶ μάχης συνεστώσης· οὐδὲ γὰρ ἂν συμβέβηκεν ἤδη τοὺς Τρῶας ἐπὶ ταῖς ναυσὶν αὐταῖς καὶ ταῖς κλισίαις εἶναι ἐντὸς τοῦ τείχους γεγονότας. διαστάλτέον δὲ κατὰ τὸ τέλος τοῦ στίχου τοῦ ῥεῖα δέ κ'. οἱ δὲ τοῖς ἑξῆς συνάπτοντες τὴν ἐσχάτην λέξιν μάτην ἐπιτηδεύουσιν· μᾶλλον γὰρ τὸ κεκμηῶτας αὐτῇ λόγον ἔχει. A.

805. βῆ δὲ θέειν: διὰ τοῦ θέειν ἐδήλωσεν ὅσην εἶχε προθυμίαν· ὅθεν καὶ ἐπαναλαμβάνεται πάλιν τὴν λέξιν B. „ἶξε θέων" (807). εὖ δὲ καὶ τὸ μὴ Ἀχαιῶν χαλκοχιτώνων φάναι· τὸ μὲν γὰρ τοῦ κύκλου, τὸ δὲ τὴν ὁρμὴν ἐνέφηνε τὴν ἐπὶ τὸν Ἀχιλλέα. V.

807. ἵνα σφ' ἀγορή τε θέμις τε: ὅπου αὐτοῖς τά τε ὤνια ἐπιπράσκετο καὶ τὰ δικαστήρια ἐγίνετο· ἡ γὰρ Θέμις ἐπόπτης τῶν ἐκκλησιῶν· „Ζεὺς δὲ Θέμιστι κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι" (Il. 20, 4). A.

ἡ διπλῆ πρὸς τὸ τοῦ στρατοπέδου διάγραμμα, ὅτι ὑποτίθεται κατὰ μέσον τοῦ ναυστάθμου θεατροειδῆ τόπον εἰς ὄχλου συναγωγήν. A.

ἐν δὲ τοῖς πρώτοις μόνον „ἥ ῥ' ἐν μεσσάτῳ ἔσκεν" (Il. 8, 223). εὐσεβὲς δὲ καὶ τὸ ἐν πολέμῳ βωμοὺς ἔχειν. V.

808. τῇ δὴ καί: ὅπου καὶ τῶν πλευσάντων ἐπὶ τὴν Ἴλιον ἑκάστῳ πατρῴων θεῶν βωμοὶ κατεσκευασμένοι ἦσαν. AD.

809. ἔνθα οἱ Εὐρύπυλος: οἰκονομικῶς, ἵνα καὶ τῇ θέᾳ τοῦ τρωθέντος καὶ τοῖς λόγοις πλέον ὀρινθῇ καὶ τῷ ἐσομένῳ πτώματι τοῦ τείχους. B.

πιθανῶς τὸ μὴ εὐθὺς ἀπιέναι πρὸς Ἀχιλλέα· ἀνῄρητο γὰρ ἡ ἐν μέσῳ διάθεσις καὶ ἡ τειχομαχία. V.

811. σκάζων: διὰ βραχέων πολλὰ δεδήλωκε· τοῦ μὲν γὰρ καμάτου σημεῖον ὁ ἱδρώς, τοῦ τραύματος τὸ αἷμα, τῆς ἀλγηδόνος δὲ τὸ σκάζειν. BL.

Μαχάων δέ, καίτοι κατὰ τὸν ὦμον τρωθείς, ὑφ' ἑτέρου κομίζεται, ἢ ὅτι ἰατρός, ἢ καὶ ὅτι εὐτυχοῦντος τοῦ στρατοῦ, ὁ δὲ παντελῶς ἀπορίας οὔσης. ἄλλως τε χρησίμως ᾠκονόμηται ἀμφότερα. V.

νότιος: ὑγρός, ἢ πολύς, ἢ ἐκ τοῦ νοσεῖν τὸ σῶμα γινόμενος. ABLD.

813. νόος γε μὲν ἔμπεδος ἦεν: οἰκονομικῶς αὐτῷ τὸν νοῦν ἐφύλαξεν ὁ ποιητής, ἵνα Πατρόκλῳ εὐσταθῶς ὁμιλῇ, καίτοι ἐν ἐσχάτοις ὄντος τοῦ σώματος. BLV.

814. τὸν δὲ ἰδὼν ᾤκτειρε: ἔστι μὲν γὰρ ἐνηής, [illegible] δὲ τοῖς λόγοις Νέστορος καὶ τῷ καιρῷ ἐπικέκαμπται. V.

816. ἆ δειλοὶ Δαναῶν ἡγητορες: εὖ τὸ μὴ [illegible] Εὐρύπυλον ποιήσασθαι τὸν λόγον, μηδὲ τὴν τούτου συμφο[illegible] ἀπολοφύρασθαι, ἀλλὰ τοὺς σύμπαντας ἡγεμόνας ἀνακα[illegible] καὶ τούτων θρηνεῖν τὰ παθήματα, ὡς ἐν τῷ Εὐρυπ[illegible] ταῦτα θεώμενον. BL.

817. ἐμέλλετε: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ὡς εἰκὸς [illegible] ὡς ὑποκείμενον ἦν ὑμῖν τὸ παθεῖν. A.

818. ἀργέτι δημῷ: γράφεται ἠδ' οἰωνούς. A.

820. ἦ ῥ' ἔτι που χήσουσι: ὅρα πῶς παντε[illegible] ἀπεγνώκει τὰ Ἑλληνικὰ ὑπὸ τῶν Νέστορος λόγων καμφ[illegible] BL. εἰκότως οὖν δακρύων ἐντυγχάνει Ἀχιλλεῖ καὶ πε[illegible] πείθει. V.

822. βεβλημένος: ἐν ἄλλῳ πεπνυμένος. A.

824. δύναται τὸ πεσέονται καὶ ἐπὶ τῶν Ἑλλήνων [illegible] ἐπὶ τῶν Τρώων νοεῖσθαι, ὥς φησιν Ἐπαφρόδιτος. BL. τὸ „ἐν δ' ἔπεσ' ὑσμίνῃ" (297) καὶ „ἔμπεσ' ἐπικρατέ[illegible] (Il. 16, 81). δύναται δὲ καὶ ἐπὶ τῶν Ἑλλήνων· εἶπε γὰρ „κ[illegible] κεν ἐν νήεσσι πέσον φεύγοντες" (311). V.

ἡ διπλῆ, ὅτι τοῦτο ἐπὶ τῶν Τρώων λέγει· ἐμπεσοῦ[illegible] ταῖς ναυσίν, οἷον ἐνσείσουσιν, ἐμπρήσουσιν. A.

825. οἱ μὲν γὰρ: σύμφωνα ταῦτα τοῖς ὑπὸ Νέστ[illegible] εἰρημένοις, ἵνα ἀμφοτέρωθεν κινηθῇ ὁ Πάτροκλος. ε[illegible] καὶ τὸ μὴ ὀνομαστὶ τοὺς τετρωμένους καταλέγειν, ὅπερ π[illegible] ὁ Νέστωρ, ἅμα μὲν διὰ τὴν ταυτολογίαν, εἶτα ὅτι καὶ τρ[illegible] ματίας ἐστί, πολυλογεῖν οὐ δυνάμενος. V.

829. ἔκταμ' ὀϊστόν: ἴδιον τοῖς κάμνουσιν ἐπιτάσ[illegible] τοῖς ἰατροῖς ἃ δεῖ πράττειν, διὰ τὸ ἐπείγεσθαι ταῖς ὀ[illegible] ναις. BL.

εὐτελεῖ λέξει τὴν σωτηρίαν προβαλλόμενος προθυμ[illegible] ρον αὐτὸν ἀπειργάσατο. V.

830. λιαρῷ: θερμῷ· πραΰνει γὰρ τὰς ἀλγηδόνας, τ[illegible] ψυχρὸν ἐμποιεῖ φρίκην. V.

ἤπια φάρμακα: οὗτος μὲν ὡς ἀλγῶν πραέα φάρ[illegible] κα βούλεται· ὁ δὲ ῥίζαν πικρὰν βάλλει ὡς εἰδώς. BL.

831. δεδιδάχθαι: Ζηνόδοτος δεδαάσθαι. A.

ἅμα καὶ πρὸς τὸ γνῶναι ἡμᾶς ὅτι ἰατρὸς ὁ Πάτροκ[illegible] ἅμα δὲ καὶ οἱ κάμνοντες σωτῆρας καὶ Ἀσκληπιοὺς εἰώθ[illegible] καλεῖν τοὺς ἰατρούς. V.

832. ὃν Χείρων ἐδίδαξε: ἡ διπλῆ, ὅτι Ὅμη[illegible] δεδιδάχθαι μέν φησιν ἐνταῦθα τὴν ἰατρικὴν ὑπὸ Χείρ[illegible] νος τὸν Ἀχιλλέα, περὶ μέντοι τῆς παρ' αὐτῷ τροφῆς [illegible] συνέστακεν, ἀλλὰ καὶ τῶν διὰ τῶν πραγμάτων ἐπιμαρ[illegible] ρεῖ, τροφέα τὸν Φοίνικα συνεστακὼς τούτου. A.

δικαιότατος Κενταύρων: φιλοξενώτατος· δίκ[illegible] γὰρ τὰ ξένια. οὕτως Ἐπαφρόδιτος. ἐπιμέλεια δὲ ἦν τοῖς [illegible] λαιοῖς μουσικῆς καὶ ἰατρικῆς τῆς ῥιζοτομικῆς. BLV.

τὸ ὑπερθετικὸν κεῖται ἀντὶ τοῦ ἀπολύτου· ἔστι δὲ ὁ [illegible] νος ἐν Κενταύροις δίκαιος. ὅμοιον δὲ τούτῳ τὸ „μελάν[illegible] ρον ἠΰτε πίσσα" (Il. 4, 277). AD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

833. ἰητροὶ μὲν γάρ: ἀναγκαίως καὶ τοῦτο, ἵνα διὰ ἐρημίαν τῶν ἰατρῶν παραμείνῃ ὁ Πάτροκλος. V.

834. ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκ' ὁ γὰρ Μαχάων ἐξὶν ὁ τετρωμένος. A.

835. χρηΐζοντα καὶ αὐτὸν: οἱ γὰρ ἄλλες, φησίν, μενοι νῦν χρήζεσι καὶ αὐτοὶ τῶν ἰωμένων. BL.

838. ἔοι: Ζηνόδοτος διὰ τοῦ ἦεν. A.

δισάζει τίνα δεῖ σώζειν, αὐτὸν ἢ τὸ πᾶν πλῆθος. πῶς ἄρα νῦν ἔσπευδεν ὁ κ' ἀπ' ἀρχῆς λέγων „αἰδοῖος νεμετός, ὅ με προέηκε πυθέσθαι" (649). V.

839. ἔρχομαι: ὑμῶν ἕνεκα κ' ταύτην [τὴν ὁδὸν εἶλμαι. V.

841. σεῖο μεθήσω: Ζηνόδοτος σεῖ' ἀμελήσω. ητικώτερον δὲ τὸ ἕτερον. A.

842. ὑπὸ στέρνοιο λαβών: ὑπολαβὼν αὐτὸν τοῦ σήκς. ὅρα δὲ τὴν ἀνάγκην ὅση ἦν. BL.

ἄκρως τὴν ἐπιπόλησιν ἐσήμανεν. V.

844. ἐκτανύσας: διὰ τί ἐκτανύει καὶ οὐκ ἔσωτος βελκεῖ; ἠδύνατο μὲν κ' ἔσωτος βελβλκῆσαι, ἀλλ' ὁ μόνον βελαλκεῖν ἔδει· συνεαγέντος γὰρ τοῦ βέλους ἔνδοθεν τοῦρῦ, οὐκ ἄλλως ἦν αὐτὸ ἐκβληθῆναι ἢ διὰ χειρουργίας, ὃν φησὶ τὸ τάμνε μαχαίρῃ· κ' δῆλον ὡς μαχαίρᾳ τὸ μια τεμὼν ἐκβάλλει αὐτό. BL.

φασὶν ὅτι δεῖ βελβλκεῖν ἐν οἵῳ χήματι τέτρωθ. καὶ νεῦ Τίτος ἔτός τι βέλος ἰατρὸς θέλων ἐξελκύσαι οὐκ ὑπήνεν αὐτῷ τὰ τῆς βελουλκίας, τὸν τραυματίαν ἤρετο ἐν ποίῳ χήματι ὄντι αὐτῷ τὸ βέλος ἐπηνέχθη· ὁ δὲ ἱππεύοντί ἔφη, κ' ἔτος ἀνακαθίσας αὐτὸν ἐξείλετο τὸ βέλος. ἢ ἦν ἐξάναι οὐκ ἠδύνατο, ἢ ὅτι ἡ χειρουργία ἅπω κατώρθωτο. ἢ ὑπὲρ τοῦ μὴ διατετάθῃ αὐτὸν κ' αἱμορραγίαν γενέθῃ. κ' ἄλλως τὸ τοῦ ὑπτίου χῆμα τῷ ἑσῶτι πλησιάζει. V.

μαχαίρῃ: ἡ διπλῆ, ὅτι μάχαιραν καλεῖ τὸ παραξιφίδιον, εἰς τὰς τοιαύτας χρείας εὐθετῶν. βραχὺ δὲ διασαλτέον ἐπὶ τὴν μετοχὴν πρὸς τὸ σαφές. A.

845. ὀξὺ βέλος: ὡς κ' βέλος δριμὺ τότε προσ. οὐ γὰρ ὅτι φαρμάκῳ ἐχρίοντο. V.

846. ῥίζαν βάλε πικρήν: λέγουσιν αὐτὴν εἶναι τὴν καλεμένην ἀριζολοχίαν, ἣν κ' ἴχαιμον καλοῦσιν. D.

τινὲς Ἀχίλλειαν τὴν βοτάνην καλοῦσιν. καὶ πόθεν αὐτῷ τὸ φάρμακον; ἴσως μὲν συμπεριέφερε τὴν ῥίζαν ὡς χρήσιμον εἰ ἐντύχοι τραυματίᾳ φίλῳ· καὶ μάλιζα εἰκὸς αὐτὸν νῦν εἰληφέναι, εἰδότα ὅτι ἐπὶ τραυματίαν πέμπεται. τάχα δὲ ἐκ τοῦ παρακειμένου λειμῶνος τὴν ῥίζαν ἀνέσπασεν, ἔχων τὴν περὶ τὰς βοτάνας ἐμπειρίαν. ἴσως δὲ καὶ θεράπων πεμφθεὶς κατὰ τὸ σιωπώμενον ἐκόμισεν. χερσὶ δὲ καὶ ὁ λειαντικοῖς ὀργάνοις ταύτην τρίβει, ὅτι ἐκ ἔδει πολλῆς λεπτότητος τῷ φαρμάκῳ, τοῦ αἵματος, ὡς φησι, κελαρύζοντος κ' ἀποπτύοντος τὸ λεπτὸν κ' χνοῶδες, εἰς τὸ ἐμφράξαι τὸ τραῦμα. τῷ δὲ Μενελάῳ ἐπιπάσει τὸ φάρμακον βραχείας οὔσης τῆς τοῦ αἵματος φορᾶς. ἄλλοι δὲ αὐτὴν ἀριζολοχείαν φασίν, ἣν κ' ἴχαιμον προσαγορεύουσιν. ABL.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριζαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ κ' ἐκ τῶν Νικάνορος περὶ σιγμῆς. A.

ΕΙΣ ΤΗΝ Μ.

Πάλιν μεταβέβηκεν ἐπὶ τὰς μάχας ὁ ποιητής· ἔδει γὰρ τῆς μάχης εἰπεῖν (ἐπίκαιρος V), ὅπως θεασάμενος Πάτροκλος κινηθείη μᾶλλον εἰς ἔλεον. εἰ δὲ ἐπιμηκεξέρα γέγονεν ἡ ἐπιμέλεια, μὴ θαυμάσῃς· διαφόρως γὰρ πράξεις ἐν θεῖναι καιρῷ ἀδύνατον. ABLV.

1. Μενοιτίου ἄλκιμος υἱός: Πάτροκλος ὁ Μενοιτρεφόμενος ἐν Ὀπόντι τῆς Λοκρίδος περιέπεσεν ἀκεπταίσματι· παῖδα γὰρ ἡλικιώτην Ἀμφιδάμαντος οὐκ ἐμὲ Κλισώνυμον (Κλησ. D), ἢ ὥς τινες Αἴαν (αἰάνην D), ἐρὶ ἀσραγάλων ὀργισθεὶς ἀπέκτεινεν. ἐπὶ τάτῳ δὲ φυγὼν εἰς τίαν ἀφίκετο, κἀκεῖ κατὰ συγγένειαν Πηλέως Ἀχιλλεῖ ἦν. φιλίαν δ' ὑπερβάλλεσαν πρὸς ἀλλήλους διαφυλάτες ὁμοῦ ἐπὶ Ἴλιον ἐστράτευσαν. ἡ ἱστορία παρὰ Ἑλλάγ. AD.

τῆς ἠπιότητος δεῖγμα Πατρόκλε τὸ μηδὲ μετὰ τὴν χειρίαν ἀποξῆναι Εὐρυπύλε. τάχα δὲ ἡ περὶ Εὐρύπυλον ἀχὴ λαθέσθαι αὐτὸν Ἀχιλλέως ἐποίησεν. BLV.

β. ἡ διπλῆ, ὅτι τὰ ἅμα γινόμενα οὐ δύναται ἅμα ἐξαγειν· ἐν ὅσῳ δὲ ἕτος ἰᾶτο, ἐκεῖνοι ἐμάχοντο. A.

3. ὁμιλαδόν: ἀθρόοι, οἷον κατὰ πλῆθος καὶ συρροφήν. D. καθ' ὁμίλους, ὡς φυλαδὸν κατὰ φυλάς, οἷον οὐ καθ' ἕνα ἄνδρα, ἀλλ' ὅλων τῶν τάξεων ἐγίνετο συμβολή. BL. ἐπειδὴ γὰρ εἰπεῖν τι περὶ τοῦ τείχους βούλεται, συντέμνει τὴν μάχην. V.

3. 4. οὐδ' ἄρ' ἔμελλεν τάφρος: τετρωμένων τῶν ἀριζέων μένειν ἐν τῇ πεδιάδι Ἕλληνες οὐκ ἐδύναντο. ἀναγκαίως ἂν τὴν πεδιάδα μάχην ἐπὶ τειχομαχίαν μεταφέρειν βάλεται· τάτε γὰρ χάριν κ' ἀνέπλασε τὴν τειχοποιίαν, ὑπὲρ τοῦ ἀγῶνας κινῆσαι ἐπὶ τῇ τειχομαχίᾳ. ἐπὶ ἂν τοῦ Τρωϊκοῦ τείχους τοῦτο ἀμήχανον (θεοποίητον γὰρ ἦν)· ὑπὲρ δὲ τοῦ μηδὲ ταύτην καταλιπεῖν τὴν ἰδέαν, ἐπὶ τῷ τῶν Ἑλλήνων τείχει τὴν τειχομαχίαν ποιεῖ. ἐπεὶ δὲ αὐτὸς ἀνήγειρε τὸ τεῖχος, διὰ τοῦτο καὶ ἠφάνισεν αὐτό, τὸν ἔλεγχον συναφανίζων. τῆς δὲ ἀφανείας αἰτίαν ἀπέδωκε τὸ μηνῖσαι θεὸς θυσιῶν μὴ τυχόντας ἐπ' αὐτῷ. BLV.

4. πλάσας τεῖχος ὁ ποιητὴς εἰς τιμὴν τοῦ Ἀχιλλέως, μετὰ τοῦτο ἀπολλύμενον αὐτὸ εἰσάγει. ἵνα μὴ ἐλέγχηται αὐτῷ τὸ ψεῦδος ὡς μὴ γενομένῳ ὑπὸ τῶν μεταγενεζέρων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὴν ἀπώλειαν αὐτῷ εἶπεν. AD.

λάβοι δ' ἄν τις καὶ τοῦτο πρὸς τὲς χρόνες τῦ ποιητοῦ, διότι ὁ μετὰ πολὺ τῶν Τρωϊκῶν γέγονεν· εἰ γὰ ἐνῆν ὑπονοεῖν ὅτι ἐκ τῦ χρόνυ κατέπεσε καὶ ἠφανίωθη ὡς αὐτοχεδίως ᾠκοδομημένον, οὐκ ἂν τῷ αἰτήματι τούτῳ ἐχρήσατο, ὅτι αὐτὸς Ποσειδῶν ἠφάνισεν. πάντας δὲ τὲς ἐκ τῆς Ἴδης ποταμὲς ἐπ' αὐτὸ ἄγει ἐφ' ἡμέρας ἐννέα, καὶ τῦ Διὸς συνεχῶς ὄντος καὶ τῦ Ποσειδῶνος ἀναμοχλεύοντος τὰ θεμέλια. οὐ δυνάμενος δὲ ἴχνος τι ἀποδεικνύναι τῦ μὴ γενομένου, διὰ τοῦτο καὶ ἐκ ἠρκέωθη τῇ τῆς δομήσεως ἀναιρέσει, ἀλλὰ καὶ ἀμάθῳ τὸν τόπον ἐκάλυψε, καὶ αἰγιαλὸς γέγονε τὸ πᾶν. τότε δὲ αἴτιον ἀπέδωκε τὸ μηνῖσαι θεὰς θυσιῶν ἐπ' αὐτῷ μὴ τυχόντας, οἷα καὶ τῇ οἰκοδομήσει αὐτῦ εἰσήγαγε Ποσειδῶνα λέγοντα (Il. 7, 447) „ἐχ ὁράᾳς ὅτε δ' αὖτε καρηκομόωντες Ἀχαιοὶ τεῖχος ἐτειχίσαντο οὐδὲ θεοῖσι δόσαν." ἐκ ἐδύνατο περὶ τὸ θεόκτιστον τεῖχος τοιαύτας περιπετείας ἀγαγεῖν. V.

5. βέλτιον τὸ εὐρύ τοῖς ἐπάνω συνάπτειν. ἀμφίβολον δὲ πότερον ὕπερθεν εὐρύ· ἀρετὴ γὰ τείχυς ἕως ἄνω πεπλατύνθαι· ἢ, ὃ καὶ βέλτιον, ὕπερθε τῆς τάφρου· ταύτης γὰ ὑπέρκειται. A.

ἢ ὑπέρ ἢ τόπον ἢ ἐπικρείαν δηλοῖ. V.

ἢ ἀμφὶ τὴν συνάφειαν καὶ ἐγγύτητα δηλοῖ, ὥσπερ φαμὲν „περὶ τῦτον οἰκῶ τὸν τόπον," τὴν πλησίον δηλοῦντες χέσιν. BL. οἱ δὲ ἐπὶ παρατάσεως τὸ ἀμφί, ὡς τὸ „ἵνα μὴ περὶ πᾶσαν ἔεργοι." V.

6. ἤλασαν: ἐξέτειναν, ἀπὸ μεταφορᾶς τῶν σιδήρων. BL. ἢ ἔσκαψαν. V.

6. 7. τὸ ἑξῆς ἀμφίβολον· ἤτοι γὰ ὅτως ἔχει, τὸ ποιήσαντο νεῶν ὕπερ, ὅφρα σφιν νῆάς τε· ἢ ἀδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας, ὅφρα σφιν νῆάς τε θοάς. ὃ καὶ βέλτιον. εἰ δὲ διὰ μέσε εἴη, ἀδὲ θεοῖς δόσαν, ὅτω καὶ διορθωθήσεται. A.

7. ἢ διὰ τῦτο αὐτὸ ἐποίησαν, ἵν' ἡ τὸ ἑξῆς ἤλασαν ὅφρα σφιν, ἢ ἐκ ἔδοσαν, ἵνα σώζοι τὸν ναύσαθμον καὶ αὐτές. δείκνυσι δὲ ὅτι πάντων ἀρχηγὸν ἡγεῖῶ δεῖ τὸ θεῖον· διὰ γὰ τῦτο αὐτοὶ μὲν ἀτυχῆσι νῦν, τῦτο δὲ φθείρεται. BL.

πάντων ἀρχηγὲς ἡγεῖῶ δεῖ θεές. καὶ „οἵη δ' ἐκ ἔρρεξεν" (Il. 9, 536). V.

9. ἔμπεδον: ἐκ ἔξιν ἀντὶ τῦ ἀσφαλές· ἐπεπόρθητο γὰ ὑπὸ Σαρπηδόνος καὶ Ἕκτορος· ἀλλ' ἀντὶ τοῦ ἐν τῷ πεδίῳ κείμενον· ὕστερον γὰ ἀλίπλοον ἐγένετο σὺν τοῖς θεμελίοις. V.

10. ἐκ βραχεῖ τὸ κεφάλαιον τῆς συγγραφῆς ἐξέθετο· ἅμα δὲ δείκνυσιν ὅτι δύο πρόσωπά ἐσι τὰ συνέχοντα τὴν Ἰλιάδα. καὶ παρεδήλωσέ τι τῶν ὕστερον, ὅτι μετὰ τὴν Ἀχιλλέως μῆνιν ὅτε Ἕκτωρ ἐβίω, εὐθέως δὲ καὶ ἡ Ἴλιος ἑλήφθη. V.

10. 11. ὑποσικτέον ἐπὶ τὸ ἔην καὶ Ἀχιλλεύς καὶ ἔπλε· ἡ γὰ ἀντίδοσις „τύφρα δὲ καὶ μέγα τεῖχος," τῦ δὲ περισσεύοντος κατὰ τὸ σύνηθες. A.

11. ἔπλεν: ὅτως Ἀρίσαρχος. AB.

Ἀρίσαρχος ἔπλεν σὺν τῷ ν, ἐκ τῦ ἔπελεν συγκοπὴν δεχόμενος. Ζηνόδοτος ἔπλε· ἀποκοπὴ τῦ ἔπλετο. V.

12. διὰ τί χεδὸν ὅλου καταλυθέντος τοῦ τείχους τῷ πολέμῳ, πρῶτον μὲν ὑπὸ Σαρπηδόνος, περὶ οὗ φησι „Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν — θῆκε κέλευθον" (397 - 8 μετὰ δὲ ταῦτα ὑπ' Ἀπόλλωνος καὶ τῶν Τρώων, περὶ λέγει „τῇ ῥ' οἵ γε προχέοντο — θαλάσσης, ἢ ἀθέρματε σύγχεας Ἀργείων" (Il. 15, 360 - 366)· οἱ δὲ Πανέλλ τοῖς γεγενημένοις μαρτυροῦντές φασι συμφώνως (Il. 55 - 57) „τεῖχος μὲν γὰρ δὴ κατήριπεν — ἁλίαστον ἔ σι." καὶ περὶ τοῦ Ἕκτορος λέγει" (453. 454. 457 - 467 - 470) „ὣς Ἕκτωρ ἰθὺς — λᾶος ὑπαὶ ῥιπῆς — το ὀτρύνοντος ἄκεσαν — ἐσέχυντο πύλας." πῶς ἓν πεπ κότος τοῦ μέρους τοῦ τείχυς φησὶν ὁ ποιητὴς „ὄφρα Ἕκτωρ ζωὸς ἦεν καὶ μήνι Ἀχιλλεύς, τόφρα δὲ καὶ μέγα χος Ἀχαιῶν ἔμπεδον ἦεν·" ὅτε δέ, φησίν, ἐάλω ἡ π „Ἀργεῖοι δ' ἐν νηυσὶ φίλην ἐς πατρίδ' ἔβησαν, δὴ μητιόωντο Ποσειδάων καὶ Ἀπόλλων τεῖχος ἀμαλδῦνι ῥητέον ἓν ὅτι ἔμπεδον ἀ τὸ ἑδραῖον καὶ νῦν σημαίνει ἡ ξις, ἀλλὰ κυρίως τὸ ἐν τῷ πεδίῳ· καὶ πεπτωκὸς δὲ τὸ χος ἐν τῷ πεδίῳ ἔκειτο. ἐκ εἰς πτῶσιν ἓν τινὰ ἡ ἀναβ ἀλλ' εἴς τε τὴν τῦ παντὸς πτῶσιν καὶ εἰς τὴν ἐκ τῦ π ἐκβολήν· ἔφη γὰρ „ὄφρα κε θᾶσσον ἁλίπλοα τείχεα θ (26) καὶ „πάντα θεμείλια κύμασι πέμπε" (28) „λεῖ ἐποίησεν παρ' ἀγάῤῥοον Ἑλλήσποντον, αὖτις δ' ἠϊόνα γάλην ψαμάθοισι κάλυψε, τεῖχος ἀμαλδύνας" (30 - ἀντίκειται ἓν τὸ ἀμαλδῦναι τὸ τεῖχος, ὅπερ ἐξὶν ἀφ σαι ἐκ τῦ τόπυ ἐν ᾧ ἔμπεδον ἦν. ἐκ ἂν. οὖν τὸ ἔμπ σημαίνει τὸ ὀρθὸν ὅλον καὶ ἀκίνητον, ἀλλὰ μόνον τ πεδίῳ κείμενον. ὅτω καὶ Ἄρατος (13) ἐπὶ τῶν φυτῶν ἔμπεδον κέχρηῦ, εἰπὼν „ὄφρ' ἔμπεδα πάντα φύωνῦ" τῷ ἐν πεδίῳ καὶ τῇ γῇ κείμενα. B.

ἄλλως. ἀπορίαν εἰκότως παρέχει τὰ ἑπῆ ταῦτα, ἃ τῷ τείχους τῶν Ἀχαιῶν ὁ Ὅμηρος ἀναπεφώνηκεν „ὃ μὲν Ἕκτωρ — ἔμπεδον ἦεν." τὸ γὰ τεῖχος τῶν Ἀχ ἐκ ἔμενεν ἔμπεδον ἐφ' ὅσον ὁ μὲν Ἕκτωρ ἔζη καὶ Ἀχιλ ἐμήνιεν, ἡ δὲ τῷ Πριάμυ πόλις ἀνάλωτος ἔμενεν, μετ τὴν ἅλωσιν Ἰλίυ καὶ τὸν ἀπόπλυν τῶν Ἀχαιῶν τότε ῥίφθη· ἔτι γὰ τοῦ πολέμου συνεχῶτος καὶ Ἀχιλλέως μηνίοντος Ἕκτορος δὲ περιόντος καὶ ἀριεύοντος ὑπὸ Τρώων τὸ τεῖχος τῶν Ἀχαιῶν κατερίφθη καὶ διοδεύσ γέγονε τοῖς πολεμίοις· ὁ μὲν γὰ Σαρπηδὼν τὰς ἐπά αὐτῷ καὶ μέρος τι καταβέβληκεν, ὁ δὲ Ἕκτωρ τοὺς ῥχ αὐτῷ καὶ τὰς πύλας διέῤῥηξεν, ὁ δὲ Ἀπόλλων χεδὸν ὃ αὐτὸ διέλυσε. τὸ καταριφὲν ἓν τεῖχος οὐχ ὑπ' ἀνθρώ μόνον ἀλλὰ καὶ θεῶν ἐν τῷ τῆς μήνιδος χρόνῳ, τῦτο λέ ἀσφαλὲς καὶ ἀῤῥηῦς ἐν τῷ τῦ πολέμυ καιρῷ διαμεμενηκέ μέχρι πορθήσεως Ἰλίυ ἄπορον εἰς λύσιν. οἱ μὲν ἓν γρα ματικοὶ ἀπὸ τῦ πλείω μέρυς ἀξιῦσι λέγειν ἔμπεδον· ὑλί γὰ εἶναι τὸ σαλευθὲν ὑπὸ τῶν Τρώων. ἀγνοοῦσι δὲ οἱ ὅτι τινά, κἂν ἐκ μέρυς πάθῃ, ἔτ' ἐξὶν ἔμπεδα ἔτ' ἀῤῥηῦ καὶ ἀμφορεὺς διατρηθείς, κἂν χεδὸν ὅλον τὸ κύτος ἄθρι σον ᾖ, ἐκέτ' ἐξὶν ἔμπεδος ἀμφορεὺς ἀλλ' ὄστρακον· καὶ τεῖ

οἷόν τε κρύπτειν καὶ φυλάττειν τοὺς τειχίσαντας οὐκέτ' ἴη ἔμπεδον τεῖχος ἀλλὰ σωρὸς λίθων. μήποτ' οὖν ἡ ...δον λέξις οὐκ εἰληπτῶ νῦν μεταφορικῶς ἐν ἴσῳ τῷ ἀσφα- καὶ ἀραρός, οὐδέ ἐστιν ὅμοιον τῷ „οὐδέ μοι ἦτορ ἔμπεδον ... ἀλαλύκτημαι" (Il. 10, 93) οὐδὲ τῷ „ὁ μὲν ἔμπεδον ...χευεν" (Il. 23, 641), ἀλλὰ κυρίως νῦν ἐξενήνεκται, τὸ ...ον ἐχούσης ἐντεταγμένον τῆς λέξεως, ὥστε σημαίνοι ἂν ...ἐν τῷ πεδίῳ κείμενον καὶ μὴ ἁλίπλοον· ἀντέθηκε γὰρ τὸ ...δον τῷ ἁλιπλόῳ, τὸ ἐν τῷ πεδίῳ πρὸς τὸ αὖθις ἁλί- ...ν γιγνόμενον· οὐ γὰρ ἔφη τόφρα δὲ καὶ μέγα τεῖχος ἀπόρ- ...ον ἦν καὶ ἄθραυστον, ἀλλ' ἔμπεδον, καὶ πάλιν „οὔτι πολὺν ...ον ἔμπεδον ἦεν." τί οὖν πάσχει ὕστερον; τῶν ποταμῶν ...των, φησίν „ὁμόσε στόματ' ἔτραπε — συννεχές, ὄφρα ...ογέοντες Ἀχαιοί" (24 - 29)· ὥστε εἰ καὶ πεπτωκὸς ἦν τὸ ...ος, ἀλλ' ἐπὶ τῷ πέδῳ ἦν τὰ πτώματα καὶ τὰ θεμέλια· ...ον δὲ πάντα δι' ὕδατος εἰς θάλασσάν φησιν ἐξενεχθῆ- ...συνεστώσης δὲ τῆς πόλεως οὐδὲν τοῦ τείχους ἁλίπλουν γέ- ..., οὐδ' ὅτε Ξάνθος ἐπλήμμυρε κατ' Ἀχιλλέως. καὶ τὸ ... μεταφορὰν δ' ἔμπεδον, τὸ σημαῖνον τὸ ἀκίνητον, ἀπὸ ...ἐν τῷ πεδίῳ μενόντων ἀκινήτων λέγεται. τὸ δὲ τεῖχος ... αὐτὸ μὲν ἐκινήθη, ἐκ μέντοι τοῦ πεδίου οὐ κατηνέχθη ...θάλασσαν, ὅπερ φησὶν αὐτὸ ὕστερον παθεῖν. A.

...3. αὐτὰρ ἐπεὶ: καὶ ἐνταῦθα ἡ ἀνταπόδοσίς ἐστι „δὴ ...μητιόωντο·" τὸ γὰρ χρονικὸν ἐπίῤῥημα ἀνταποδέδοται ...πεί. A.

...υνέπλεξε τὸν λόγον, προσθεὶς τὸν μέν. καὶ ἔστι μὲν ...ητον, ὅμως δὲ ἥδιστον. ὁ δὲ ἁπλοῦς λόγος οὗτος ἦν· πολ- ...Ἀργείων δάμεν, οἱ δ' ἐλίποντο. Τρώων θάνον ὅσοι ...ι. V.

...ετὰ: Ἰακὴ διαίρεσις. V.

...σοι ἄριστοι: φανερὸν οὖν ὡς ὑπελείφθησάν τινες· ...ἀρ φησιν „Αἰνείαο βίη Τρώεσσιν ἀνάξει" (Il. 20, ... BL.

... πέρθετο: ἀντὶ ἀορίστου ἐπορθήθη. V.

...εὶ εἰς τὸν Ἕκτορος θάνατον μέλλει τελευτᾶν ἡ ποίη- ...ἵνα μὴ οἰηθείη τις ἐπικρατέστερα γεγονέναι τὰ τῶν ...ον, εἶπεν ὅτι ἐπορθήθη, ἵνα μὴ ἀτελεσφορήτους Ἑλλη- ...άσῃ. BL. ἵνα μὴ λυπώμεθα νῦν τὰς τῶν Ἑλλήνων ...τες συμφοράς. V.

... Ἀργεῖοι: καὶ τούτων δὲ ὅτι ἀπενόστησαν οἱ περιλει- ...τες. ἅμα δὲ καὶ προανακρούεται τὴν Ὀδύσσειαν. V.

... δὴ τότε: Μιλησίων ἡ ἀναστροφή, τὸ δὴ τότε. τὸ ...ητιόωντο δευτέρας συζυγίας τῶν περισπωμένων. V.

...μειοῦνταί τινες πρὸς τὰ ἐν τῇ Η (443) ἀθετούμενα, ὅτι ... τούτων διαβάλλεται πρὸς τὸ πρόσωπον γινόμενα. A.

... ἀμαλδῦναι: καθ' ἅλμης δῦναι. V.

... Ἰδαίων ὀρέων: ἢ τῶν ἀκρωρειῶν τῆς Ἴδης Λεκτοῦ ...γάρου καὶ Φαλάκρας, ἢ ἀντὶ τοῦ ἑνικοῦ τῆς Ἴδης πλη- ...ῶς φησί. BL.

... Ῥῆσος: Ῥοίστης μετωνόμασται, ῥεῖ δὲ πρὸς ἄρκτον ...ἁλῆς πεύκης, ἥτις ἀπέχει ἀπὸ Ἀδραμυτείου στά- δια ρπ'. V.

Κάρησος: Τυραννίων ὀξύνει τὸ Κάρησος ὡς Παρνασσός· οὕτως γὰρ ὑπὸ Κυζικηνῶν ὀνομάζεσθαι τὸν ποταμόν. ὁ δὲ Ἀρίσταρχος βαρύνει ὡς Κάνωβος. εἴπομεν δὲ ἐν ἑτέροις ὅτι οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν, ὁπότε περὶ τοῦ Γλισᾶντα (Il. 2, 504) διελάβομεν, εἴγε Διονύσιος ἱστορεῖ τοὺς ἐγχωρίους συστέλλειν τὸ ῑ καὶ μὴ περισπᾶν. τό τε Λύκαστος ὁ αὐτὸς ἱστορεῖ ὀξύνεσθαι, ἡμῶν ἀναγινωσκόντων βαρυτόνως (Il. 2, 647). οὕτως οὖν εἰκὸς καὶ ἐπὶ τοῦ Κάρησος μὴ πεισθῆναι τὸν Ἀρίσταρχον ὁμοίως τοῖς ἐγχωρίοις προενέγκασθαι τὴν λέξιν. τάχα δέ, ἐπεὶ ἑώρα τὰ εἰς ος λήγοντα ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενα, τῷ η παραληγόμενα, ἕτερον ἔχοντα σ, τοῦτο δὲ ἓν ἀναδεξάμενον, διὰ τοῦτο καὶ ἐξήλλαξεν αὐτὸ τῆς ἐκείνων τάσεως, εἴγε τὸ Ἁλικαρνησσός δισσὸν ἔχει τὸ σ, Λυκαβησσός Ταρτησσός, τὸ μέντοι Κάρησος ἓν ἔχει τὸ σ. ἴσως οὖν διὰ τοῦτο ἐξηλλάγη. A.

Πίδυς καλεῖται, ῥεῖ δὲ ἁπλοῦντος. Κυζικηνοὶ ὀξυτόνως αὐτὸν καλοῦσιν. ἐμβάλλει γὰρ εἰς Αἴσηπον. Κάρησος δὲ ὡς κάμηλος. V.

Ῥοδίος: παροξυτονητέον ὡς κύριον. εἰκὸς μέντοι τὸ ὄνομα τοῦ ποταμοῦ ἔχειν πλεονασμὸν τοῦ δ· εἰκὸς γὰρ τῷ ποταμῷ παρὰ τὸν ῥοῦν ὠνομάσθαι, ὥστε αὐτὸν εἶναι ῥόϊον καὶ ῥόδιον. V.

Δάρδανος καλεῖται. ῥεῖ δὲ ἀπὸ Κλεωνδρίας ἐχούσης Πεύκης σταδίους ξ'. Ῥοδίος δὲ ὡς Ὀδίος. V.

21. Γρήνικος: ἐπεὶ Ἀλέξανδρος ἐκεῖ τοὺς Δαρείου σατράπας ἐνίκησε, Γραικοὶ δὲ οἱ Ἕλληνες. ῥεῖ δὲ πρὸς ἀνατολὰς Ἑλλησπόντου. V.

δῖος: ἐπεὶ μόνος υἱός ἐστι Διός. πῶς οὖν περὶ τὴν πόλιν αὐτοῦ εἰσὶν αἱ πηγαί; ἢ ἐκεῖναι πιδύματα αὐτοῦ εἰσίν. V.

22. ἡ διπλῆ, ὅτι ἀμφίβολον μὲν ἐπὶ ποτέρου τῶν ποταμῶν λέγει, τοῦ Σκαμάνδρου ἢ τοῦ Σιμοῦντος, δεκτέον δὲ ἐπὶ τοῦ Σιμοῦντος· διὰ μέσου γὰρ τοῦ πεδίου φέρεται. καὶ ὅτι ἀνέγνω Ἡσίοδος τὰ Ὁμήρου ὡς ἂν νεώτερος τούτου· οὐ γὰρ ἐξενήνοχε τοὺς ποταμούς, μὴ ὄντας ἀξιολόγους, εἰ μὴ δι' Ὅμηρον· καὶ τῷ Σιμοῦντι προσέθηκεν ἐπίθετον τὸ „θεῖόν τε Σιμοῦντα" (Th. 342). A. καὶ ἄλλος ἐν Κρήτῃ. ἔστι δὲ μικρὸς ὁ Σιμοῦς. V.

βοάγρια: τὰ εἰς τὴν βοὴν ἀγειρόμενα. ἢ βόεια γέῤῥα, ὅ ἐστι δέῤῥα. ἢ τὰ ἐξ ἀγρίων βοῶν γενόμενα. ABLV. τὰ τῶν βοῶν ἀγρεύματα. D.

ἄλλως. αἱ ἀπὸ βοείων βυρσῶν κατασκευασθεῖσαι ἀσπίδες. AD.

23. ἡμιθέων: ἡμίθεοι οἱ ἕνα θεὸν ἔχοντες γονέα καὶ ἕνα ἄνθρωπον. D.

οὐδέποτε τοὺς σὺν Ἀγαμέμνονι ἡμιθέους ὠνόμασεν· ἆρα οὖν τοὺς σὺν Ἡρακλεῖ φησίν; ἢ καὶ τοῦτο πρὸς αὔξησιν τοῦ πάθους. BL.

24. ὁμόσε: τοὺς ἐκ διαφόρων τόπων μισγομένους. V.

25. ἐννῆμαρ: ἐπὶ ἐννέα ἡμέρας. ἔνιοι δὲ δασέως καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ τȣ̃ ἑνὸς ν̄ ἀναγινώσκȣσιν ἓν ἦμαρ, ἵν' ᾖ μιᾷ ἡμέρᾳ, ὥςε (μὴ?) μειȣ̃σθȣ τὴν τῶν θεῶν δύναμιν μὴ δυνηθέντων ςρέψαι λόγῳ· θᾶττον δὲ ὑπὸ τῶν Ἑλλήνων ἐν μιᾷ ἡμέρᾳ γεγονός. οἱ δέ φασι, διὰ τȣ̃το τέσσαρας ποταμȣ̀ς εἰσάγει καὶ θεȣ̀ς παρίςησιν, ȣ̓χ ἵνα μόνον ἀφανίσῃ τὸ τεῖχος ἀλλὰ ϗ τὸν τόπον διὰ τὸ μηδὲ ἴχνος φανῆναι. AD.

ἄλογον τοὺς μὲν ἀνθρώπους ποιῆσαι μιᾷ ἡμέρᾳ τὸ τεῖχος, τοὺς δὲ θεοὺς ἐννέα ἡμέραις καθελεῖν. οἱ μὲν οὖν ἐκ τῆς λέξεως λύουσι· τὸ γ̓ ἐννῆμαρ εὐεπιπτώτως λέγουσι λέγειν Ὅμηρον. οἱ δὲ δασύνȣσιν, ἵνα ᾖ ἓν ἦμαρ. οἱ δὲ ἀπὸ τȣ̃ καιρȣ̃, ὅτι τότε βȣλόμενος παντάπασιν ἐξαλεῖψαι τὸ τεῖχος πλασθὲν ὑπ' αὐτȣ̃, τοσȣ̃τον χρόνον ἐποίησε τῆς καθαιρέσεως. οἱ δὲ ἀπὸ τȣ̃ προσώπȣ· ȣ̓ γ̓ πρέπει τȣ̀ς ἀριςέας εἰσάγειν τειχοδομȣ̃ντας ἐν πολλαῖς ἡμέραις, ἀπρεπεςέρας ȣ̓σης τῆς ὑπηρεσίας. B.

οἱ μὲν ἓν ἦμαρ, οἱ δὲ ὅτι εὐεπίφορός ἐςιν εἰς τὰ ἐννέα. οἱ δὲ πρὸς παντελῆ ἀπώλειαν. V.

Πορφυρίȣ. διὰ τί τὸ τεῖχος οἱ μὲν Ἀχαιοὶ μιᾷ ἡμέρᾳ ἐποίησαν, ὁ δὲ Ἀπόλλων ϗ ὁ Ποσειδῶν ἐννέα ἡμέραις κατέβαλον; ἄλογον γ̓ τὸ μὲν χαλεπώτερον ῥᾳδίως τοὺς ἀνθρώπȣς ποιῆσαι, τὸ δὲ ῥᾷον τὸ καταβαλεῖν τȣ̃ οἰκοδομῆσαι τȣ̀ς θεȣ̀ς μόλις. ῥητέον δέ, ȣ̓κ εἰς τὸ καταβαλεῖν ταῖς ἐννέα ἡμέραις κέχρηθ, ἀλλ' εἰς τὸ ἁλίπλοα γενέσθȣ τὰ θεμέλια ϗ εἰς τὴν θάλασσαν κατενεχθῆναι „φιτρῶν ϗ λάων τὰ θέσαν μογέοντες Ἀχαιοί," ϗ ἔτι λειῶσαί τε τὸν τόπον ϗ „αὖθις δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι." ȣ̓ μὴν τὰ πρὸς τὸ καταβαλεῖν συνηρτημένα εἰς τὸ τέλειον τοῦ ἀφανισμȣ̃ ϗ τῆς ἠϊόνος τὴν εἰς τὸ ἐξ ἀρχῆς ἀποκατάςασιν. ὅμα δὲ ϗ τῷ ποιητῇ ἡ μὲν τῶν Ἀχαιῶν τειχοποιία ȣ̓ παρεῖχε τὴν διατριβήν· ȣ̓ γ̓ εὐπρεπὲς τȣ̀ς ἀριςέας ποιῆσαι λιθοφορȣ̃ντας· ἡ δὲ τῶν θεῶν μεγαλοπρεπής· τοῖς γ̓ ποταμοῖς ϗ τῇ τριαίνῃ διέλυον τὸ τεῖχος. Καλλίςρατος δὲ ἠξίȣ ἓν δ' ἦμαρ ἐς τεῖχος γράφειν, δασύνοντας τὸ ἕν, ἐπεί μηδέποτε καθ' ἑαυτὸ τὸ ἐννῆμαρ ὁ ποιητὴς εἴρηκεν, ἀλλὰ πάντως ἐπάγων τὴν δεκάτην. „ἐννῆμαρ μὲν ἀνὰ ςρατόν, τῇ δεκάτῃ τε" (Il. 1, 53). B.

26. συννεχὲς: Ἀρίςαρχος καὶ Ἀριςοφάνης διὰ τȣ̃ ἑτέρου ν̄. A.

ἁλίπλοα: ὑπὸ θαλάσσῃ πλέοντα. τινὲς δὲ τὰ ξύλινα τȣ̃ τείχȣς. V. τῇ θαλάσσῃ ἐπιπλέοντα. D.

τὴν λῑ, φασί, συλλαβὴν ὀξυτονητέον· κατὰ γὰρ αὐτῶν τῶν ἐρειπίων ἡ λέξις κεῖται, ȣ̓χὶ τὰ ἐν τῇ ἁλὶ πλέοντα σημαίνεθ. ȣ̓τως Ἀλεξίων ϗ οἱ ἄλλοι. κἀγὼ δὲ συγκατατίθεμαι τῇ προσῳδίᾳ· ἐκεῖνο γ̓ ἔχω ἀποφήνασθȣ, ὡς ὅτι ὁπότερον ἐὰν σημαίνῃ προπαροξυτονηθήσεθ· ȣ̓τως γ̓ ἐμελέτησε τὰ παρὰ τὸ πλέω, εἴγε ϗ τὸ πρωτόπλοος προπαροξύνομεν· καὶ δῆλον ὅτι εἰς ἀποφυγὴν τῶν ȣ̓τως παραγομένων, διπλόος τριπλόος. A.

27. τὸ αὐτός τὸ τοιȣ̃τον ἐπὶ δεσπότȣ ϗ βασιλέως τίθεθ. ἔςι δὲ ϗ Ποσειδῶν πάντων ἄρχων ὑδάτων. BL., διὸ Ἀχελῷος μὲν κρείων, αὐτὸς δὲ εὐρυκρείων. V.

Πορφυρίου. οἶμαι δ' ἔγωγε καὶ τὸ Ἑλληνικὸν τε[...] ὃ πρόσκαιρον ἔρυμα τῆς ἰδίας ἀσφαλείας ἐπύργωσαν, ὑπὸ τȣ̃ συμμάχȣ καθῃρῆσθȣ Ποσειδῶνος, ἀλλ' ὑπὸ τȣ̀ [...] δαψιλȣ̃ς γενομένȣ ϗ τῶν ἀπ' Ἴδης ποταμῶν πλημμ[...] σάντων συνέβη καταῤῥιφθῆναι· ὅθεν ἐπώνυμος τȣ̃ π[...] γέγονεν ὁ τῆς ὑγρᾶς φύσεως προςάτης Ποσειδῶν. εἰκ[...] ϗ σεισμοῖς διατιναχθὲν ὑπονοςῆσαι τὸ κατασκεύασμα· κεῖ δὲ ὁ Ποσειδῶν ἐννοσίγαιος ϗ σεισίχθων εἶναι, τοῖ[...] ούτοις τῶν παθημάτων ἐπιγραψάμενος. ἀμέλει καί [...] ὁ ποιητὴς „αὐτὸς δ' ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν[...]

δοκεῖ μοι λεπτῶς ἐξετάζοντι μηδὲ τὸ κατὰ τὴν [...] ναν ἀφιλοσόφητον εἶναι, δι' ἧς ὑφίςαθ τȣ̀ς λίθȣς [...] μοχλεῦσαι τȣ̃ τείχȣς· τὰ γάρ τοι σεισμῶν διαφέροντα[...] παθήμασιν οἱ φυσικοὶ λέγȣσιν ἴσα (τρία?), ϗ τινας ἰδίε[...] ρακτῆρας ἐπιγράφȣσιν αὐτοῖς, βρασματίαν τινὰ ϗ χασμ[...] ϗ κλιματίαν προσαγορεύοντες, τριπλαῖς ȣ̓ν καθώπλισε[...] μαῖς τὸν τῶν σεισμῶν αἴτιον θεόν. ἀμέλει πρὸς [...] κινηθέντων αὐτῶν „τρέμε δ' ȣ̓ρεα μακρὰ ϗ ὕλη" ([...] 18), τὸ τῶν σεισμῶν ἰδίωμα τȣ̃ ποιητοῦ διασημή[...] ἡμῖν. B.

ἄλλως. ἁλμυρὰ ϗ γλυκέα καὶ μικτὰ ὕδατά εἰσιν[...] ὑφ' ἑαυτὸν ἔχων πάντοτε ἐκεῖσε ἤγαγεν. BL.

28. θεμείλια: θεμέλια. Ἰὰς ἡ διάλεκτος. D.

κύμασι: εἰς κύματα, ὡς τὸ „ἦλθε δ' ἐπὶ Κ[...] σι" (Il. 4, 251). V.

29. φιτρῶν: καὶ τοῖς ἄνω προσδίδοσθȣ λέγεται [...] ἵνα ᾖ θεμείλια φιτρῶν, ϗ τοῖς ἑξῆς, ἵνα ᾖ θέσαν [...] ϗ λάων· ϗ τὸ χῆμα ἀρχαϊκόν, τὸ τῆς ἐλλείψεως. [...]

τὰ θέσαν μογέοντες Ἀχαιοί: τȣ̃το ἀνεφ[...] ὡς συναλγῶν τῷ κόπῳ αὐτῶν. μογέοντες δὲ ἀ[...] ἀτυχȣ̃ντες. BL.

ἀναιρȣμένων ἃ μετὰ καμάτȣ, φησίν, εἰργάσαντ[...] ἄρδην ἠφανίσθη. τινὲς δὲ διὰ τὴν Ἀχιλλέως μῆνι[...] αὐτοῖς τεῖχος ἔμψυχον. V.

30. ἐποίησεν: ȣ̓τως Ἀρίςαρχος, ἐποίησεν.

31. ἠϊόνα: αἰγιαλόν. ȣ̓τω δὲ καλεῖται ὁ παρ[...] σιος ϗ ὁδεύσιμος τόπος, παρὰ τὸ ἰέναι. D.

33. ἵῃ: γράφεθ ϗ ἵεν ἀντὶ τȣ̃ ἵῃ. A.

ἄλλως. ȣ̓τως φέρȣσι τὴν γραφήν, ιεν ὡς τίθεν· ἀμφίβολον πότερον αὐτοὶ οἱ ποταμοὶ ἵεν, ἵνα τ[...] συγκοπὴ ὑπάρχῃ, ὡς ἀπὸ τȣ̃ ἐτίθεσαν τὸ ἔτιθεν [...] δασύνειν. εἰ δὲ ἑνικὸν εἴη τὸ ιεν ἀντὶ τȣ̃ ἐπορεύετο[...] τέον ὁμοίως τῷ „ἆσσον ἴεν πολυκάρπȣ ἀλωῆς" ([...] 221)· ὅπερ ȣ̓ πιθανόν. ἡ μέντοι κοινὴ ἵει ἐςὶν ὁμο[...] „ἐννῆμαρ δ' ἐς τεῖχος ἵει ῥόον" (25). καὶ μήποτε [...] θανώτερον· πάντα γ̓ ὁρᾶται τὰ παρακείμενα ἑνικῶ[...] μένα „τεῖχος ἀμαλδύνας, ποταμȣ̀ς δ' ἔςρεψε νέεσθ[...]

34. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ὡς ἦμ[...] ὄπισθε. ἔςι δὲ βάρβαρον· τὰ γ̓ ἀπὸ συμφώνȣ ἀ[...] ἐπὶ τȣ̃ παρεληλυθότος χρόνȣ ἀπὸ τȣ̃ ε̄ ἄρχεθ. κα[...] ἔμελλον ἀντὶ τȣ̃ ἐῴκεσαν. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

35. τότε: προληπτικῶς· ἕπω γ' ἦσαν φθάσαντες εἰς
όν. ἢ ὅτι ἐν κεφαλαίοις λέγων καταλεπτολογεῖ. V.
36. κανάχιζε δὲ δέρατα πύργων: τὰ δόρατα
ι τὰ ἐπὶ τὰς πύργους ἀκοντιζόμενα. ἢ τὰ ἐνῳκοδομη-
α τοῖς πύργοις ξύλα ἦχει τοῖς δόρασι βαλλόμενα. AD.
σικτέον εἰς τὸ δέρατα, ᾗ τὴν κατὰ ἐκδεκτέον. BL.
ἂν ςίζωμεν εἰς τὸ δέρατα, λείπει ἡ κατά, κατὰ τῶν
ργων. ἢ αἱ πύλαι ἢ οἱ φιτροί. V.
ἡ διπλῆ, ὅτι πύργων ἀντὶ τῶ πύργως· ᾗ ἐλλείπει ἡ
, ἵν' ᾖ κανάχιζε δὲ δέρατα ὡς ἐπὶ πύργως βαλλόμενα,
βὰ ἐνῳκοδομημένα τῷ τείχει ἐκανάχιζε ξύλα. Διονύσιος
ὁ Σιδώνιος τὴν μὲν πτῶσιν ἐκ ἐνήλλαξε, τὴν δὲ πρό-
σιν προσλαβὼν εἴρηκεν ἐπὶ πύργως βαλλόμενα. A,
37. Διὸς μάςιγι δαμέντες: τῇ Διὸς γνώμῃ τὰς
χὰς κεκακωμένοι. Διὸς δὲ μάςιξ ὁ κεραυνός. AD.
μάςιγα Διὸς τὸν κεραυνόν φησι· ᾗ ἀλλαχῶ „Διὸς μά-
κακῇ" (Il. 13, 812). πολιορκῆνται Ἑλένην θέλοντες καὶ
ὰ ἑαυτῶν κινδυνεύσι Νέςωρ ἀντὶ τῶ συμβαλεῖσαι πα-
αλεῖ. προαναφωνεῖ δὲ ὅτι ἐκ Διὸς ἦ ἦσσα ἦν Ἑλλή-
. BLV. εἰ μὴ γ' ἦν τῶτο, ἐκ ἂν πάντες ἐδεδίεσαν ἕνα
Ἕκτορα. V.
40. αὐτὰρ ὅγ' ὡς τὸ πρόσθεν: μέμνηϑ τῶν ἐπῶν
ων „ἐν δ' ἔπεσ' ὑσμίνῃ, ὑπεραὶ ἶσος ἀέλλῃ" (Il. 11,
). V.
εἴτε ὑποζίζοιμεν ἐπὶ τὸ πρόσθεν εἴτε διαζέλλοιμεν
τὸ ἐμάρνατο, τὸ ῥῆμα κοινὸν γίνεϑ ἀμφοτέρων τῶν
ῶν, ἐμάχετο ὡς πρόθεν ἐμάχετο. A.
Ἀριζοφάνης ἐμαίνετο. A.
41. ὡς δ' ὅταν: πρὸς ἓν μόνον ἤνεγκε τὴν εἰκόνα,
ς τὸν Ἕκτορα τὸν ἐν τοῖς Τρωσὶν εἱλέμενον καὶ φο-
τα τὰς ἀκοντιςὰς ᾗ πολεμικὰς Ἕλληνας. BL. τὰ δὲ
α ἐδὲν αὐτῷ συντείνει πρὸς τὸν εἰκαζόμενον, ἐχ ἡ τῷ
ϑ τελευτῇ, ἐχ οἱ ἀκοντίζοντες ἐπὶ τῶτον κυνηγέται, ἀλ-
ποιητικὸς κόσμος λαβὼν ἔχει. V.
γράφεται καὶ Θηρητῆρσι· τὴν γ' εὐθεῖαν Θηρητήρ
ε „θηρητὴρ ἐτύχησε" (Il. 15, 581). V.
42. βλεμεαίνων: ἐντεῦθεν τὸ ἀβλεμὴς ἀόργητος καὶ
ός. V.
43. πυργηδόν: πύργος ἡ κατὰ πλινθίων διάταξις. V.
44. ἀντίοι: γράφεται ἀντίον· ἕτως γ' Ἀριζαρχος. A.
ἀντίον ἀΐσσονται: ἕτως Ἀριζαρχος. V.
46. ἵταρβεῖ: τρισὶ παραγωγαῖς ὁ Ἡρωδιανὸς τῶτο
βαλεν· πρῶτον ἐκ τῦ ταράσσω, τάραβος ᾗ τάρβος· δεύ-
ον, ὅτι ἐκ τῦ τρέπω ὁ δεύτερος ἀόριςος ἔταρπον, τάρ-
π, ᾗ τροπῇ τῦ π εἰς β τάρβος· τρίτον, ὅτι τείρω τὸ
χρονῶ, ὁ δεύτερος ἀόριςος ἔταρον, τάρος, ᾗ πλεονασμῷ
β τάρβος, ἐξ ὃ καὶ ῥῆμα ταρβῶ. B.
ταρβεῖ οὐδὲ φοβεῖται: ἡ διπλῆ, ὅτι οὐ τὸ αὐτὸ
αίνει δι' ἀμφοτέρων, ἀλλὰ διὰ μὲν τῦ ταρβεῖ δέδιεν,
ιεῖς φοβεῖται, διὰ δὲ τῦ φοβεῖται φεύγει. λέγει ἓν, ὅτε
εν ὅτε φεύγει. A.

ἀγηνορίη: ὅτως χωρὶς τῦ τ' Ἀριζαρχος· ἐςὶ γὰρ ἡ ἀγηνορία. A.
καταχρηςικῶς ἐπὶ λέοντος. καὶ ἀλλαχῦ „ἐή τέ μιν ὤλεσεν ἀλκή" (Il. 16, 753). V.
διδάσκει μέτρῳ χρῆϑαι ἐν τοῖς πλεονεκτήμασι· ταῦτα γ' εἰ μὴ ῥυθμίζοιτο, ἀναιρεῖ τὰς ἔχοντας. BL. καὶ πρὸς τὸ ἄλογον ϑράσος Ἕκτορος. V.
49. εἰλλίσσεϑ' ἑταίρους: ςικτέον εἰς τὸ ἐλίσσετο, ᾗ ἔςιν ἀντὶ τῦ εἱλεῖτο· ἐδέποτε γ' Ἕκτωρ ὡς ἀλαζὼν παρακαλεῖ. ᾗ ἔςι σύμφωνον τῷ „ταρφέα τε ςρέφεται, ςίχας ἀνδρῶν πειρητίζων." οἱ δὲ ἀντὶ τοῦ παρεκάλει, ὡς ἂν δυχερῶς καὶ κινδυνώδως ἔσης τῆς πράξεως. BLV. ἐφ' ἣν προτρέπεϑ. διὸ ᾗ ἑταίρους πρόσκειϑ, ὃ Τρῶας. ἀπὸ γ' τῶν ἑταίρων ἄρχεϑ, ἵνα ἐκείνως ᾗ οἱ λοιποὶ μιμήσωνϑ. μέμνηται γὰρ ᾗ τῶν Σαρπηδόνος λόγων „ἀρχὸς λισσομένῳ τήλεκλητῶν ἐπικούρων" (Il. 5, 491). V.
τὸ ἐλίσσετο ἑκατέροις δύναϑ προσδίδοσϑ, ᾗ σημαίνει ἢ τὸ παρεκάλει παρὰ τὸ λίσσεσϑ, ἢ ἐςρέφετο παρὰ τὸ ἑλίσσω ῥῆμα, ἐπεὶ ᾗ λέοντι αὐτὸν εἰκάζει. πιθανώτερον δὲ τοῖς ἑξῆς αὐτὸ συντάττειν· ὅτε γ' εὔκαιρος ἡ διαςολὴ ἐπὶ τῦ ἐννεακαιδεκάτῳ χρόνῳ, ὅτε τὸ πλῆθος εἰκὸς αὐτὸν παρακαλεῖν, ἀλλὰ τὰς ἑταίρους μόνας. A.
50. τάφρον: τὴν γέφυραν. αὐτὸς δὲ ἀδυνατῶν τοὺς ἄλλας προτρέπεται. V.
οὐδέ οἱ ἵπποι: οἱ δὲ Ἀχιλλέως „ἀντίκρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι" (Il. 16, 380). V.
52. ἀπὸ γὰρ δειδίσσετο τάφρος: ἄκρως τὰ περὶ τὴν τάφρον δεινοποιεῖ, ἀγῶνας κινῶν τῷ ἀκροατῇ ᾗ ἀνελπισίαν τῆς διαβάσεως καὶ προσοχὴν τοῦ ἐσομένου τολμήματος. BL.
53. οὔτ' ἄρ' ὑπερθορέειν: ϑατέρῳ γὰρ τρόπῳ διελθεῖν ἦν ἀναγκαῖον, ἢ ὑπερθορόντας, εἴπερ ἦν χεδόν, ἢ διαπεράσαντας βάδην, εἴπερ ἦν εὐδιάβατος. ἀμφότερα ἓν παρέλαβε πρὸς τὸ ἀμήχανον· καὶ ἔςι τὸ μὲν ὅτ' ἄρ' ὑπερθορέειν ἐξήγησις τῆ εὐρεῖα, τῆ δὲ ὅτε περῆσαι τὸ ἐπιφερόμενον. ἀμφοτέρωϑεν δὲ οἱ σκόλοπες, ὥςε μήτε τὴν κατάβασιν ῥᾳδίαν εἶναι μήτε τὴν ἔκβασιν. BL. περιττὴ δὲ ἡ κατασκευὴ τῆς ἐπαγγελίας. τὸ μὲν γὰρ κοινὸν ἦν, ἀπὸ γὰρ δειδίσσετο τάφρος εὐρεῖά τε ἐσα εἰς τὸ πηδῆσαι καὶ δυσδιόδευτος διὰ τὸς κρημνὸς ᾗ τὸς σκόλοπας. ὃ δὲ πρῶτα ἔταξε μὲν τὸ εὐρεῖα, ἐπαγαγὼν δὲ τὰ δύο, τὸ ὑπερθορέειν καὶ περᾶσαι, ἀνταπέδωκε τὴν αἰτίαν τῆ μηδὲ περᾶσαι δύνασθαι. V.
πηδᾶν μὲν γ' τὸ πλάτος, διελθεῖν δὲ εἶργε τὸ βάθος. λείπει δὲ ἡ εἰς. V.
54. κρημνοὶ: τὰ ἀνενεχθέντα χώματα, ἀναχώματα. V.
περὶ: Ἀριζοφάνης (Ἀριζαρχος V) διά. AV.
55. ἀμφοτέρωϑεν: ὥςε μήτε τὴν κατάβασιν ῥᾳδίαν εἶναι μήτε τὴν ἔκβασιν. V.
55. 56. τὸ μὲν πρότερον ἔςασαν δασύνει ὁ Ἀριζαρχος, ἐπειδήπερ τὸ αὐτό ἐςι τῷ ἐςήκεισαν. ἔφαμεν δὲ καὶ ἡμεῖς

δασύνεσθ τὸ ε̄ τῶ παρακειμένω ϗ ὑπερσυντελίκω ἐπὶ τάτω τῦ ῥήματος. τὸ μέντοι δεύτερον ψιλοῖ· ἰσοδυναμεῖ γ᾽ τῷ ἔζησαν· ὃς ἔζησαν γ᾽ οἱ Ἀχαιοί. τὸ δὲ ε̄ τῦ ἀορίςω ἐπὶ τάτω τῦ ῥήματος ἐψιλᾶτο. συγκατατίθετ᾽ δὲ ϗ ὁ Ἀσκαλωνίτης τῇ τοιαύτῃ ἀναγνώσει· καὶ ἡμεῖς. A.

56. ἔςασαν: ἡ διπλῆ, ὅτι ἀντὶ τῦ ἔζησαν· διὸ καὶ ψιλῶς ἀναγνωςέον· μετείληπτ᾽ γὰρ τὸ ςοιχεῖον. ἐν δὲ τοῖς ἐπάνω „ἔςασαν ἀμφοτέρωθεν" δασύνεται. A.

57. πυκνοὺς εἰς τὸ μὴ μεσάζεσθ, μεγάλους εἰς τὸ μὴ ὑπερβαίνειν. BL.

58. ἠθικῶς δεινοποιήσας τὴν ῥέαν φησὶ παρελθεῖν ἐκ ἐνῆν. V.

ὅρα ἓν τὴν ἀποπληξίαν τῦ Ἕκτορος. V.

59. ἐσβαίη: ἡ Ζηνοδότειος καὶ Ἀριςοφάνειος καββαίη (καμβαίη V)· ϗ γ᾽ ἐπιφέρει „ἔνθ᾽ ὅπως ἔςι καταβήμεναι ἠδὲ μάχεσθ" (65). A.

60. θρασὺν: εὔκαιρον τὸ ἐπίθετον. V.

Ἕκτορα εἶπε παραςάς: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ πρός, πρὸς Ἕκτορα, ὡς ϗ „τότ᾽ ἄρ᾽ Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον" (Il. 17, 237). δύνατ᾽ δὲ τὸ ἑξῆς εἶναι παρ᾽ Ἕκτορα ςάς, ὡς μὴ λείπειν τὴν πρόθεσιν. A.

61. Τρώων ϗ Δαρδάνων ϗ Ζελειτῶν. ἀγοὶ δὲ κυρίως οἱ συμμαχίαν ἄγοντες. V.

62. ἀφραδέως: ἐκ εἶπε θρασέως δι᾽ Ἕκτορα. ϗ τὸ ἐλαύνομεν δὲ τεχνικόν· ϗ ἑαυτὸν γ᾽ ἐμπεριλαμβάνει ὡς πρόθυμος μὲν ὢν ὑπαχθεῖν Ἕκτορι, διὰ δὲ τὸ ἀσύμφορον ἀποτρέπων τῆς ἐπιχειρήσεως. BL.

γράφεται περί. A.

ἢ διὰ τάφρω ἐλαύνομεν, ἢ ἐπὶ τάφρον, ἵν᾽ ᾖ ἡ διά ἀντὶ τῆς ἐπί. V.

ἐλαύνομεν: θέλομεν ἐλάσαι. V.

64. περὶ δ᾽ αὐτὸς: προτὶ δ᾽ αὐτός, ἐγγὺς αὐτῶν· πλέον γ᾽ ἀπέχει τῦ τείχους. V.

ἀπὸ κοινῦ μὲν τὸ ἑςᾶσιν· ἐπὶ δὲ τῦ τείχους μεταβάλλετ᾽ ὁ ἀριθμὸς ἀντὶ τῦ ἵςαται (ἔςηκεν V). BLV. ἐκ δὲ τῦ ἐναντίου „ἑςαῶτες ἀμφὶ δ᾽ Ἀθηναῖοι μήςωρες ἀϋτῆς" (Il. 4, 328). ἀπὸ κοινοῦ τὸ ἵςαντο, καὶ μεταβάλλεται πάλιν ὁ ἀριθμός. V.

66. ἱππεῦσι: δῆλον ὅτι ἠδὲ πεζοῖς. ἀλλ᾽ ἵνα μὴ περὶ πάντων λέγων παροξύνῃ Ἕκτορα, περὶ μὲν τῶν πεζῶν ἠδὲν λέγει, περὶ μόνων δὲ τῶν ἱππέων προβάλλετ᾽. ἑξῆς δέ φησιν, αὐτοὶ πρυλέες Ἕκτορι πάντες ἐπώμεθ᾽, οἱονεὶ ἂν ἔτος ἀγάγῃ ἡμᾶς, ὡς ἐκ αὐτὸς ἀρεσκόμενος τῇ διόδῳ. ςεῖνος δὲ ὀνομάζει ἀεὶ τὸν δυςχερῆ τόπον· προπερισπᾶτ᾽ δέ. BLV.

ἡ διπλῆ, ὅτι τὸ ςένωμα τὸ κατὰ τὴν γέφυραν τῆς τάφρω λέγει. Ζηνόδοτος δὲ ϗ Ἀριςοφάνης ἱππῆας. προπερισπαςέον δὲ τὸ ςεῖνος· ἠδετέρως γ᾽ ἐξενήνεκτ᾽, πᾶν δὲ ἠδέτερον εἰς ος̄ λῆγον ἐν ὀνόμασι βαρύνεσθ θέλει. οὕτως ἓν ϗ μακρούς ἐξύνομεν ἀρσενικὸν ὑπάρχον· εἰ δὲ ἠδέτερον γένοιτο, βαρύνεται. οὕτως καὶ τὸ κλειτός· οὐδέτερον γὰρ γενόμενον βαρύνεται παρ᾽ Ἀλκμᾶνι „τῷ ἐν Θεσσαλείτει." A.

τρώσεσθαι: ἐλαττωθήσεσθ ϗ τραπήσεσθ· Ἴωνες τὰς τροπὰς τρώματα καλῶσι· ϗ „οἶνός σε τρώει" (Od. 5, 293) ἀντὶ τῦ παρατρέπει. BL.

67. εἰ μὲν γὰρ δὴ: Ἀριςοφάνης (Ἀρίςαρχος V) μὲν γὰρ τούς. AV.

68. βέλετ᾽ ἀρήγειν: ἴετ᾽ ἀρήγειν. ὅτως πᾶσαι.

69. ἦ τ᾽ ἂν ἔγωγ᾽ ἐθέλοιμι: ὡς ἔμφρων τοφησιν· οἶδε γ᾽ ὅτι πρόσκαιρός ἐςιν ἡ εὐτυχία, ϗ τῦ λοντος προνοεῖ. εὔχομαι μὲν γάρ, φησί, τῦτο εἶναι· ἐδὲ ϗ τὸ ἕτερον, ὅτι ϗ ἐν τῇ ὑποςροφῇ χείρονα πεισόμ ἴσως ἓν καθόλω τῆς διαβάσεως ἀποτρέπει, ἀλλ᾽ ὁ τῦτο πρὸς τὸν Ἕκτορα λέγειν. BLV. ἄλλως τε ϗ ἐκ τὸς τὴν διάβασιν πραγματεύετ᾽ ὁ ποιητής, κινῆσαι τοὺς ταῖς ναυσὶν ἀγῶνα σπεδάζων. V.

70. νωνύμους: ἄνευ ὕμνων, ὅ ἐςιν εὐφημίας τῆς θρήνων, ἀποβολῇ τῦ ν̄. ἢ ἀνωνύμους. BL.

κατὰ πρόληψιν τῶν ἐσομένων. V.

71. ἡ διπλῆ πρὸς τὴν παλίωξιν, ὅτι ἐςὶ πάλιν δίω ὅταν μεταβαλλόμενοι διώκωσιν οἱ διωκόμενοι. ἡ δὲ φορὰ πρὸς τὸ „ἐκ τοῦ δ᾽ ἂν τοι ἔπειτα παλίωξιν νῶν αἰὲν ἐγὼ τεύχοιμι" (Il. 15, 69). κακῶς· διὸ ἀθετεῖ

72. ἐνιπλήξωμεν: ἀκοσίως, μᾶλλον δὲ ἑκοσίως ἐσωμεν· „ἔρχει ἐνιπλήξωσιν" (Od. 22, 469). BLV.

73. ἐπίςαθ τὸ μέγεθος τῦ κινδύνω· ἐμφαντικῶς δὲ τὸν παρέςησε διὰ τῦ περὶ τὸν ἄγγελον διανοήματος.

74. ἑλιχθέντων ὑπ᾽ Ἀχαιῶν: ἡμῶν κυκλωθέ ὑπὸ τῶν Ἀχαιῶν, ὥςε ὅλος ὁ σκοπὸς αὐτῷ μὴ διαβῆ τὴν τάφρον. BL.

75. Ζηνόδοτος διὰ τῦ τ̄, τὼς ἂν ἐγὼ εἶπω. A.

77. ἔχει μέν τινα διλογίαν ὁ ςίχος, ἐπεὶ ϗ σὺν χεσι ϗ θωρηχθέντες· ὅμως γοῦν τὸ σὺν τεύχε τοῖς ἄνω προσδοτέον, ἵν᾽ ἐλάττων ἡ διλογία γένητ, ἐξῆς, ἵν᾽ ἡ σύν πρόθεσις κέηται ἀντὶ τῆς ἐν, ὡς ἐκεῖ μὲν ἐγὼ σὺν νηΐ τ᾽ ἐμῇ ϗ ἑμοῖς ἑτάροισιν" (Il. 1, βέλτιον δὲ τὸ πρότερον. ἡ δὲ διπλῆ, ὅτι σαφῶς τὰς ὁπλίτας πρυλέας. A.

ἢ ςικτέον εἰς τὸ σὺν τεύχεσι. V.

πρυλέες: ὅτως Γορτύνιοι. V.

θωρηχθέντες: ὡς ἐσμὲν θωρηχθέντες. V.

78. Ἕκτορι πάντες ἐπώμεθ᾽ ἀολλέες: προσαγῶς πάνυ ἐπαίρει αὐτόν· ἠρέμα δὲ ὑποδείκνυσι τὸν κίνδυνον, ὡς οὐκ αὐτὸς τῇ διαβάσει ἀρεσκόμενος. BL. καὶ ἀολλέες δὲ εἰς ἐπίτασιν, ὅτι ςῖφος δεῖ τῶν ἀριςέων νέσθ, εἰ πρὸς τὸ ἐρυμα τῶν πολεμίων χωρήσειν μέλλομεν.

79. πείρατ᾽: Ζηνόδοτος καὶ Ἀριςοφάνης πεῖρ ἐνικῶς. A.

80. ὣς φάτο Πολυδάμας: ἄλλος Πολυδάμας Σκοτισσαῖος παγκρατιαςής, ἤτοι φοβερώτατος. *) B.

*) addit B e Pausania (6, 5) excerpta, quae etiam Suidas habet v. *Πολυδάμας Σκοτισσαῖος.*

ἐπεὶ μηδὲν ἔςιν ἄλλο ποιῆσαι, πείθεϑ νῦν αὐτῷ ὁ Ἕκ-
ρ. ἀλλαχȣ̃ δὲ (230) „ȣ̓κέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις." V.

81. αὐτίκα: εἰκότως ȣ̓δὲ ἀποκρίνεϑ διὰ τὴν ἔπειξιν. δὲ αὐτίκα τῆς σπȣδῆς σημαντικόν. BL.

82. ȣ̓δὲ μὲν ἄλλοι: ἑωρακότες Ἕκτορα σύμψηφον τῇ ῆ Πολυδάμαντος. V.

85. αὖτ' ἐπὶ: τινὲς αὖθι. τὸ δὲ ἀρτύναντες καταρ-
ταντες Ἀρίςαρχος. V.

86. διαςάντες τῶν ἵππων, ἢ ἑαυτῶν· ἀρτύναντες
καταρτίσαντες. BL.

86. 87. βραχὺ διαςαλτέον κατὰ τὴν μετοχήν, ϗ ςικτέον
τὰ τὸ ἕποντο. οἱ δὲ γράφοντες τὸ ἕκαςοι, ὥς τινες,
ντως συναπτέον τοῖς ἑξῆς· „οἱ μὲν ἅμ' Ἕκτορι ἴσαν." A.

87. πένταχα κοσμηθέντες: τοσαῦται τῶν Τρώων
μονίαι. οἱ δέ, ἐπεὶ πέντε ἦσαν πύλαι. ἢ ἵνα ἀνὰ δύο μέ-
δορυφοροῖεν Ἕκτορα, ὃ καὶ ἄμεινόν μοι δοκεῖ εἶναι.
V. τὸ μὲν ȣ̓ν „Ἕκτορι πάντες ἑπώμεθα" (78) περὶ τῶν
Ἕκτορι τεταγμένων φησί. V.

88. οἱ μὲν: ὡς ἐπὶ νεαρῷ ἐγχειρήματι κατάλογον ποι-
ι· εἴωθε γ̓ προανακρȣ́σεις ποιȣ́μενος καὶ τὴν Μȣ̃σαν
εῖν ἔϑ' ὅτε. τὸ δὲ ὅμοιον εὑρήσομεν ἐπὶ τῇ τοῦ Πα-
κλȣ ἐξόδῳ. V.

89. οἳ πλεῖςοι καὶ ἄριςοι: οἱ Ἰλιεῖς· ȣ̓τοι γ̓ ϗ τὸ
ος ἔρρηξαν. V.

92. χερείονα: ȣ̓χ ὡς συγκρίσεως ȣ̓σης χείρονα, ἀλλ'
ῶς λέγειν ἥττονα ἐκείνȣ. αἱ δὲ τοιαῦϑ διατάξεις ϗ ἐπὶ
τρόκλȣ ϗ Αὐτομέδοντος. V.

ἄκρως ἐπεξειργάσατο τὴν προθυμίαν Ἕκτορος τὸ μηδὲ
ἡνιόχου ἀπέχεϑ, ἀλλὰ καὶ τοῦτον παραλαβεῖν ὡς ἐπὶ
γκαίαν πρᾶξιν. BLV.

93. ἡ διπλῆ, ὅτι ὡς ἐπὶ τȣ̃ δευτέρȣ τάγματος ἑτέρων
κεν· ἢ ὅτι τηρεῖ τὴν ἐν τȣ́τοις διαφοράν. A.

Πάριν κατὰ γαςρὸς ἔχȣσα ἡ Ἑκάβη ὄναρ ἐθεάσατο, ὅτι
ε δαλὸν ὑφ' ȣ̓ πᾶσα κατεφλέχθη ἡ πόλις. τὸ ȣ̓ν τεχθὲν
νώμῃ τῶν μάντεων ἐξετέθη, ἀλλὰ γνώμῃ θεῶν ὑπὸ τȣ̃
ίντος ἐτράφη βȣκόλȣ, ὃς ἄρκτον αὐτῷ γάλα ἐπιχȣ̃σαν
σάμενος ἀνέθρεψεν. ἐκλήθη ȣ̓ν Πάρις, ȣ̓χ ὥς τινές φα-
σι, ὅτι ἐν πήρᾳ ἐτράφη, ἀλλ' ὅτι τὸν μόρον παρῆλθεν·
ρον δὲ Ἀλέξανδρος, ὅτι τῇ πατρίδι ἠλέξησεν, ὃ ἐςιν
ήθησε, πολεμίων ἐπελθόντων. ABD.

τῶν ὑπὸ τȣ̀ς Μεροπίδας ἄρχȣσιν. A.

94. Τρώων δηλονότι. λέγει δὲ ἴσως τῶν Ζελειτῶν. V.

θεοειδής: διὸ Ἑλένη μετὰ τὸν Ἀλέξανδρον αὐτὸν
λέξατο. V.

95. Ἄσιος: ȣ̓τος ϗ τῶν ἰδίων ϗ τῶν ὑπ' Ἄδραςον ϗ
φιον ἄρχει. V.

96. ἡ διπλῆ, ὅτι πλεονάζει ἐν Ἰλιάδι τὰς ἐπαναλήψεις,
Ὀδυσσείᾳ δὲ ἅπαξ. πρὸς τȣ̀ς χωρίζοντας. A.

Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι: μέλ-
αὐτȣ̃ θρασεῖαν διηγεῖϑ πρᾶξιν, εἰκότως ἀπεσημειώ-
ο αὐτὸν διὰ τῶν ἵππων ϗ τȣ̃ πατρός. BLV.

Ἀρίσβη δὲ πόλις Ἑλλησπόντου. φησὶ δὲ ὅτι θαῤῥῶν αὐτοῖς πεζὸς ἧκεν εἰς Ἴλιον. V.

97. αἴθωνες: μέλανες ἢ εὐκίνητοι ἢ πυῤῥοί. V.

ἡ διπλῆ, ὅτι Σελλήεις ποταμὸς ἐπ' Ἀσίας ȣ̓τος, ἕτερος δὲ ἐπὶ Θεσπρωτίας. A.

99. ἅμα τῷ γε: ὡς φύλακες διὰ τὸ ὑπονοεῖϑ αὐτὸν ἐπανιςάμενον τοῖς Πριάμου πράγμασιν· „αἰεὶ γ̓ Πριάμῳ ἐπεμήνιε" (Il. 13, 460). V.

101. Σαρπηδών: διὰ τί μὴ Γλαῦκος ἦρχεν, ἀλλὰ Σαρπηδών; καίτοι Γλαῦκος ἐξ ἀρσένων ἦν. ἢ ἐπεὶ ἀμφισβητȣ́ντων περὶ τῆς βασιλείας πρόκλησις ἦν διατοξεῦσαι δακτύλιον ἐπικείμενον ςήθει παιδὸς ὑπτίȣ, ϗ ἡ μὲν ἀδελφὴ τὸν ἑαυτῆς δέδωκεν, ἡ γυνὴ δὲ ȣ̓· ἢ ἐπεὶ ἀδελφῆς ϗ μοιχευομένης ȣ̓ νοθεύεϑ τὸ γένος, ἀλλὰ γυναικός. V.

102. Ἀςεροπαῖον: νεήλυδα ὄντα, ἀπὸ τῆς ὄψεως τὸ εὐγενὲς ςοχασάμενος. V.

103. πολλάκις ἀπὸ διαφόρων κλίσεων συνέμπτωσις γενομένη πλανᾷ τȣ̀ς πολλȣ́ς, ὡς ἑνὸς ὄντος τȣ̃ σημαινομένȣ, ὥσπερ ἔχει τὸ εἴσαντο. σημαίνει γ̓ ϗ τὸ ὑπέλαβον καὶ τὸ ἐπορεύθησαν, ϗ ἴσος ϗ ὅμοιος γενόμενος· ἀλλὰ τὸ μὲν ἀπὸ τȣ̃ εἴδω, τὸ δὲ ἐπορεύθη ἀπὸ τȣ̃ ἴω, τὸ δὲ ὡμοιώθη ἀπὸ τȣ̃ ἐΐσκω. τὸ μὲν ȣ̓ν δηλοῖ τὰ τοιαῦτα „εἴσατο δ' ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέϊ" (Od. 5, 281) ὑπέλαβεν. — τὸ δὲ ὡς ῥινὸν ὡς δέρμα ὑπέλαβε τὰ ὄρη τῶν Φαιάκων· οὐ γάρ ἐςιν ὡς ἐρινεός· ἦν γ̓ ὡς ὅτε ἐρινός. — ϗ τὸ „εἴσομαι αἴ κε τύχοιμι" (Od. 22, 7) ἀπὸ τȣ̃ εἴδω, εἴσομαι, ϗ ἀπὸ τȣ̃ εἰδῆσαι. τὸ δὲ „εἰσάμενος Κάλχαντι δέμας" (Il. 13, 45) ὁμοιώσας· καὶ „τῷ μιν ἐεισάμενος" (Il. 2, 22), καὶ „εἴσατο δὲ φθογγήν" (ib. 791) ἀντὶ τȣ̃ ὁμοίωσεν, ϗ „εἰδόμενος Ἀκάμαντι θοῷ" (Il. 5, 462). τὸ μέντοι „εἴσατο νηῶν ἐπ' ἀριςερά" (Il. 12, 118) ἀπὸ τȣ̃ ἴω γέγονεν, ἀφ' ȣ̓ ϗ τὸ ἴομεν· σημαίνει γ̓ τὸ ἐπορεύθη. τὸ δὲ εἴσατο ἀντὶ τȣ̃ ὑπέλαβεν ἐκ τȣ̃ εἴδω, ὁ μέλλων εἴσω. τὸ δὲ εἴσατο ἀντὶ τȣ̃ ὡμοίωϑ ἀπὸ τȣ̃ ἐΐσκω. τὸ δὲ εἴσατο ἀντὶ τȣ̃ ἐπορεύθη ἀπὸ τȣ̃ ἔω. ὡσαύτως κἀν τῷ „αὐτὰρ ἐγὼ ζεφύροιο ϗ ἀργεςᾶο νότοιο εἴσομαι" ἤγȣν πορεύσομαι „ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν" (Il. 21, 334). ὁμοίως δὲ ἔχει ϗ τὸ „ὅθι οἱ κατατίσατο γαίῃ" (Il. 11, 358) ἀντὶ τȣ̃ κατεπορεύθη ϗ ἐν τῇ γῇ ἐπάγη, ἐπεςηρίχθη· ϗ ἐν ἄλλοις „ἐν γαίῃ ἵςαντο" (ib. 574). ϗ εἴσομαι ἀντὶ τȣ̃ γνώσομαι. B.

διακριδόν: ὥςε διακεκρίϑ ϗ φανερὸν εἶναι πᾶσιν. D.

104. καὶ διὰ πάντων: ὑπὲρ πάντων. περισσὸς ὁ καί. V.

105. ἀλλήλους: ἀντὶ τȣ̃ ἑαυτȣ́ς. V.

ἄραρον: ἔφραξαν, ἐπύκνωσαν, ὥπλισαν. B.

τυκτῇσι βόεσσι: ταῖς εἰργασμέναις βύρσαις. λέγει δὲ ταῖς ἀσπίσιν. ȣ̓δέποτε δὲ βȣ̃ν ἁπλῶς λέγει τὴν ἀσπίδα, ἀλλὰ μετά τινος ἐξ ȣ̓ γνωρίζεται, οἷον βῶν ἀζαλέην (Il. 7, 238). AD.

τὸ δὲ βόεσσιν ἀπὸ τȣ̃ πλεονάζοντος· τινὲς γ̓ χρυσᾶς ϗ χαλκᾶς εἶχον ἀσπίδας. BV.

σημειȣ̃νταί τινες ὅτι βοάς τὰς ἀσπίδας εἴρηκεν. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

106. λελιημένοι: λιλῶ ἐξὶ ῥῆμα τὸ σημαντικὸν τοῦ προθυμουμένου, ἐκ τῆ λῶ διπλασιαθέν, ἔ παραγωγὸν τὸ λιλαίω· „λιλαιόμενα χροὸς ἆσαι" (Il. 11, 574). τῆ λιλῶ ἀκόλουθος παρακείμενος λελίληκα, παθητικὸς λελίλημαι, μετοχὴ λελιλημένος, πληθυντικὴ λελιλημένοι, ἐλλείψει τῆ λ λελιημένοι. Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς. A.

107. ἐμπεσεῖσθ' ἔλεγον τὸς Ἕλληνας ταῖς αὐτῶν ναυσὶ πᾶν γ' τὸ βελῆ κ' δυνάμει προφέρον τῶν Τρώων ἦν ἐκεῖ. BL.

ἡ διπλῆ, ὅτι ἐπὶ τῶν Τρώων ἀκουστέον, ἐμπεσεῖν ταῖς ναυσίν. A.

108. ἔνθ' ἄλλοι: πάντων ἅμα κ' πολιτῶν καὶ ξένων πειθέντων Πολυδάμαντι, Ἄσιος ἀποβῆναι τῆ ἅρματος ἃ θέλει. λέγον δ' μὲν ἦν ἐπίκουροι οἱ πολεμουμένοις ἥκοντες βοηθοί, σύμμαχοι δὲ οἱ σὺν αὐτοῖς ἐξελθόντες. BL. διὸ ἐπὶ Ἑλλήνων οὔφησιν ὁ ποιητὴς ἐπίκουροι. V.

110. ἀλλ' οὐχ Ὑρτακίδης; βαρβαρικὴ ἡ ἀπείθεια. ἕτερος μὲν ἂν ποιητὴς τῷ Πολυδάμαντι πάντας ἐποίει πειθομένους· ὁ δὲ Ὅμηρος μιμούμενος τὴν ἀλήθειαν ἕνα γῆν τὸν ἀπειθοῦντα εἰσάγει. διὰ τί δὲ ἕνα τοῦτον; ὅτι μάλιζα τοῖς ἵπποις ἠγάλλετο· μεγάλοι γ' ἦσαν. οἷς κ' θαρρῶν ἀφίει" (Il. 11, 702). V. ἀπώλετο. καταξέλλει ἓν τὴν τῶν πολλῶν ἀλαζονείαν. BLV.

113. σημαντικωτάτῳ ὀνόματι κέχρηται τῷ νήπιος ἐν ταῖς ἀναφωνήσεσι, καὶ πάνυ ἁρμοδίως. BL. „νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος" (Od. 1, 8)· „νήπιος, οὐδὲ τὰ ἤδη" (Il. 2, 38). καὶ ἐπὶ τῆ κεκοσμημένῃ τῷ χρυσῷ „νήπιος, οὐδέ τί οἱ τόγ' ἐπήρκεσε λυγρὸν ὄλεθρον" (ib. 873). τὸ δὲ ἔμελλεν ἀντὶ τῆ ἐώκει. V.

114. ἐπὶ τὸ ἀγαλλόμενος βραχὺ διαζαλτέον διὰ τὸ σαφές. A.

τὸ παιδαριῶδες αὐτῆ ἐσήμανεν ἐν τοιούτῳ καιρῷ καὶ τόπῳ καλλωπιζομένῃ ἵπποις· παρὰ τὸν καιρὸν γὰρ ἀεὶ αἱ χρήσεις τινῶν ἢ βλαβεραὶ ἢ ὠφέλιμοι καθεζῶσι. σικτέον δὲ εἰς τὸ ἀγαλλόμενος. BLV.

παρὰ νηῶν: ἔδει ἀπὸ νηῶν· ἡ γ' παρὰ ἐμψύχων ἐξί. παρὰ νηῶν ἓν ἀντὶ τῆ ἀπὸ νηῶν. V.

115. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „Ἴλιον αἰπὺ ἕλοιεν" (Il. 15, 71), ὅτι ἀδετέρως· διὸ ἀθετεῖται. A.

116. πρόσθεν γάρ: τεχνικὸν τὸ καὶ τὴν ἀναίρεσιν προειπεῖν, κ' ὑφ' ὅτε γενήσεται· ὅτω γ' ὁ ἀκροατὴς πολυπραγμονοίη κ' τοῖς ἔμπροσθεν ἐντυχεῖν. BL. δυσώνυμος δὲ ἡ κακὸν ὄνομα ἔχουσα τὸν θάνατον. V.

118. ἡ διπλῆ, ὅτι πολλὰ σημαίνει τὸ εἴσατο, νῦν μὲν τὸ ὥρμησε κ' ἐπορεύθη ἀπὸ τῆ εἶμι, ἐν ἑτέροις δὲ ἐφάνη „εἴσατο δ' ὡς ὅτε ῥινόν" (Od. 5, 281) κ' τὸ γνῶναι „εἴσομαι αἴ κέ μ' ὁ Τυδείδης" (Il. 8, 532). καὶ ὅτι κατὰ ἀριστερὰ τῆ ναυσάθμε ἡ πύλη. κ' ὅτι μία. κ' ὅτι εἴσατο νηῶν ἀντὶ τῆ ἐπὶ τὰς ναῦς. ψιλῶται δὲ ἐνταῦθα τὸ εἴσατο, ὅτι σημαντικόν ἐξι τῆ ἐπορεύθη· καὶ τὸ „νῦν δ' εἶμι" (Il. 1, 169) ψιλῶται. A.

αἰτίαν ἐπάγει τῆς ὑπὸ τῆ Ἰδομενέως ἀναιρέσεως Ἀσίῳ, ὅτι ἐπὶ τὰ ἀριστερὰ τῶν νεῶν ὥρμησεν ὅπου ἐκεῖνος ἔνθα ἡ ἱππήλατος πύλη. τὸ δὲ εἴσατο ἀπὸ τῆ εἶμι κ' ψιλῶται. δηλοῖ δὲ ἡ λέξις τρία, τὸ ὥρμησεν, ὡς ἐνθα· τὸ ἐφάνη, ὡς τὸ „εἴσατο δ' ὡς ὅτε ῥινόν· τὸ ἐξ ἓ καὶ τὸ „εἴσομαι αἴ κέ μ' ὁ Τυδείδης." BL.

ἐν τοῖς ἀριστεροῖς μέρεσι τῆ ναυσάθμε, ὅπου κ' ἐνεώλκει παρὰ τὸ Ῥοίτειον, ὡς δῆλον ἐξ ἐκείνων τῶν „ἀλλ' εἴ τις κ' τόσδε μετοιχόμενος καλέσειεν, ἀντίθεόν Αἴαντα κ' Ἰδομενῆα ἄνακτα· τῶν γ' νῆες ἔασιν ἑκαστ (Il. 10, 111). εἰ τοίνυν εὑρίσκομεν ὑπὸ Ἰδομενέως ἀναιρ νον ὡς ἂν τῶν Κρητικῶν νεῶν προμαχομένε, δῆλο ἀκόλουθόν ἐξιν ἐνθάδε τῶν νηῶν ἐπ' ἀριστερά. V.

119. ἐκ πεδίου: ἔδει εἰπεῖν εἰς πεδίον νείσοντο. ἐξ δίε ἓν ἀντὶ τῆ εἰς πεδίον. V.

120. πύλησιν: ἡ διπλῆ, ὅτι πληθυντικῶς τὴν λην. A.

121. ὀχῆα: τὸν συνεκτικὸν τῆς θύρας μοχλόν. D. ἐξ ἑκατέρε μέρες ἐπιβαλλόμενον μοχλόν· φησὶ γ' „ δ' ἔντοσθεν ὀχῆες" (455). BL. ὡς τὸ „τὸν δ' ἐλα ἀφίει" (Il. 11, 702). V.

ἡ διπλῆ, ὅτι ἐνικῶς εἴρηκεν ὀχῆα, δύο δέ εἰσιν· „ δ' ἔντοσθεν ὀχῆες εἶχον ἐπημοιβοί." A.

122. ἀναπεπταμένας ἔχον: ἀκ ἔξιν ἀντὶ τῆ ἠν μένας μόνον, ἀλλ' ἠνεῳγμένας κατεῖχον αὐτάς, ὅπως μὲν φίλες εἰσδέχωνται, τῶν δ' ἐχθρῶν βιαζομένων ἐπικλ σιν. αὐτὸς δὲ τὴν λύσιν δέδωκε σαφέστερον ἐπὶ τῆ Πρ παραστήσας, ἔνθα φησὶ „πεπταμένας ἐν χερσὶ πύλας ἐ εἰσόκε λαοὶ ἔλθωσιν προτὶ ἄστυ πεφυζότες· αὐτὰρ ἐπ ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες, αὖθις ἐπιθέμεναι σα πυκινῶς ἀραρυίας" (Il. 21, 531). B.

πρὸς τὸ φιλάλληλον τῶν Ἀχαιῶν. τῷ δὲ Πριάμῳ σε τῆ κ' παραγγεῖλαι „πεπταμένας ἐν χερσὶ πύλας ἔχετ

124. τὸ ἰθὺς φρονέων πρὸς τὴν δόκησιν τῆ φησίν. δύνα δὲ τὸ φρονέων κ' καθ' ἑαυτὸ παραλ νεσθαι, ἀντὶ τῆ βαλευόμενος. A.

κατ' εὐθὺ τῶν πυλῶν. φρονέων δέ, ἐπὶ φρον ἐπαιρόμενος. BL.

τοὶ δ' ἅμ' ἕποντο: ὅμοιοι τούτῳ κ' οἱ ἑπόμενοι ἐπ' αὐτῶν τῷ ἐπιφθέγματι ἐχρήσατο νήπιοι, εὐη τῶν τὴν εἰσβολὴν ἐλέγχων. BLV.

125. κεκλήγοντες: ὡς ἀρήγοντες. ἃ γ' τὸ κεκληγ ἐπλεόνασε τῷ ν, ἃδε παρὰ τὸ „ὀξέα κεκληγώς" (Il. 3, 2 ἐκλίθη, ἀλλὰ παρὰ τὸ κέκληγα γέγονεν ὁ Συρακούσιος ἐνε κεκλήγω, ὡς παρὰ τὸ ἄνωγα ἀνώγω, πέπληγα πεπλήγω, θεν τὸ „ἐπέπληγον πόδες ἵππων" (Il. 5, 504). ἀκόλουθος τῷ κεκλήγω μετοχὴ ἡ κεκλήγων βαρυνομένη, ἔνθεν τὸ κλήγοντες. AV.

127. δύ' ἀνέρας: ὑπερβάλλων ὁ ἔπαινος, ὅτι τὴν σάντων ἐπιφορὰν δύο ἀπεκρέσαντο. ἐνίες μέν γ' δι' ὃ ἐξέχοντας προάγει, ἐνίες δὲ ἐν τοῖς κατὰ μέρος συνίζησ ἄριστοι μὲν ἦν οἱ ἐν τῷ ἐπισφαλεστάτῳ κινδύνῳ ἀνδρισά

, ἐν ᾧ καὶ τὰς λοιπὰς Ἕλληνας φεύγειν συνέβαινεν. ἔστι καὶ ἀξιόπιστον ξενὴν εἴσοδον ὑπὸ δυεῖν γενναίων φυλαῆναι, συλλαμβανόντων ἄνωθεν ἀπὸ τῶ τείχως. LV.

Ζηνόδοτος καὶ Ἀριστοφάνης δυϊκῶς ἅπαντα, ἀνέρε, ρίσω, υἷε ὑπερθύμω, κιέτην. A.

127 — 154. *Πορφυρίω.* ἐν τῇ τειχομαχίᾳ τεταράχθαι κεῖ τὰ ἑπῆ ταῦτα. Αἴαντος ἐπελθόντος κατὰ τὰς πύλας ὃ τείχει, ἐπιλέγει ὁ ποιητὴς περὶ αὐτῶ τε καὶ τῶν μετ' αὐ· „νήπιοι, ἐν δὲ — ὄρεσιν ὑψικάρηνοι" (127 — 132). διὰ τάτων εἰπὼν τὸν Λεοντέα καὶ Πολυποίτην πυλάων προ- ἀροιθεν ἐξάναι ὡς ὄρῦς, ἀναμένοντας ἐπερχόμενον μέγαν σιον, ἀδὲ φέροντο, εἶτα ἐπαγαγὼν περὶ τῶν κατὰ τὸν Αἴσιον. δὲ δ' ἴθὺς — Οἰνομάου τε" (137 — 140), πάλιν ποιεῖ τὰς ρὶ τὸν Λεοντέα καὶ Πολυποίτην ἔνδον ἐόντας, ὃς πρόσθεν ω ἐξάναι ἔφη· ἐπάγει γὰρ „οἱ δ' ἦτοι — σύεσσιν ἰοι- ότες" (141 — 146), καὶ πληρώσας τὴν παραβολὴν ἐπάγει ὡς τῶν κόμπει χαλκὸς ἐπὶ σήθεσσι φαεινὸς ἄντην βαλ- μένων" (151). διὰ τάτων φαίνεται παραχὴ τῶν ἐπῶν, ότερον μὲν ὡς ἔξω ἑσαότων, αὖθις δὲ ὡς ἔνδον ὄντων ἐξιόντων. ὅθεν οἱ μὲν ἠξίουν προτάττειν ταῦτα τὰ ἑπῆ δ' ἦτοι εἶως μὲν εὐκνήμιδας Ἀχαιάς," ἵν' ᾖ τὸ ἀκό- θον τοιοῦτον, „ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίζους, ας ὑπερθύμους Λαπιθάων αἰχμητάων· οἱ δ' ἦτοι εἶως ν εὐκνήμιδας Ἀχαιὰς ὄρνυον·" εἶτα συνάψαντες τοὺς ἑξῆς, ὧν ἡ ἀρχὴ „αὐτὰρ ἐπειδὴ τεῖχος, Τρῶας ἀτὰρ ανάων, ἐκ δὲ τὼ ἅΐξαντε, ἀγροτέροισι σύεσσιν, ἀνδρῶν δὲ κυνῶν, ὡς τῶν κόμπει χαλκὸς ἐπὶ σήθεσσι φαεινὸς τὴν βαλλομένων, λαοῖσι καθύπερθεν," εἶτα ἀνατρέχουσιν ὶ τὸ „τὼ μὲν ἄρα προπάροιθε," καὶ καταβάντες τοὺς κα σίχως ἄχρι τῶ „Αἰσιάδην τ' Ἀδάμαντα," ἐπάγουσιν ἰ δ' ἄρα χερμαδίοισι" καὶ τὰ ἑξῆς. Ἡφαιστίων δὲ διπλῆν ν γραφὴν εἶναι ἔφη, καὶ δεῖν περιγράφειν ἢ τὰς ἰ σίχας ς ἀπὸ τῶ „τὼ μὲν ἄρα προπάροιθε" (131) μέχρι τοῦ Αἰσιάδην τ' Ἀδάμαντα" (140), ἢ τὰς ιγ' τὰς ἀπὸ τοῦ ἰ δ' ἦτοι εἶως μέν" (141) μέχρι τῶ „λαοῖσι καθύπερθε" 53). μήποτε δὴ κἂν ἅπας μένῃ ἡ γραφὴ καὶ ἡ τάξις, ἐδὲν οπον, πρότερον μὲν εἰπόντος τοῦ ποιητοῦ ὅτι περὶ τὰς λας ἦσαν οἱ περὶ τὸν Πολυποίτην „ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίζους," ἐπισημηναμένου τε ὅτι καὶ ἔξωθεν ῶτας εὗρον, εἶτα καὶ ἐπαναδραμόντος, ὅπως περὶ τὰς πύ- ς ἔχοντες τάς τ' ἔσω παρορμῶντες, ἐπιόντας βλέποντες ς περὶ τὸν Αἴσιον, αὐτοί τε προεκδραμόντες ἀνέμενον άντες ἔξω τὸν Αἴσιον καὶ ᾧ οὗτος εἷς τρόπος ἑρμηνείας, τῶν ὕστερον ἀρξάμενον ἀναδραμεῖν εἰς τὰ πρῶτα καὶ λιν συνύψαι ταῦτα τοῖς ὑστέροις. καὶ ἔστι συνήθης ὁ όπος τῆς ἑρμηνείας τῷ ποιητῇ. ὅτως ᾧ εὐθὺς κατ' ἀρ- ς τὴν μῆνιν εἰπὼν κεφαλαιωδῶς, ἢ κακῶν αἰτία γέγονε ς Ἕλλησιν, ὕστερον ἐπὶ τὰ αἴτια ἀνατρέχει ταύτης, καὶ- ρ ἐξεργάζεται δ' ὅλης τῆς ποιήσεως τὰ κατ' αὐτήν. ὅτω περὶ τῆς νόσω εἰπὼν „Λητοῦς καὶ Διὸς υἱός, ὃ ᾧ βασιλῆϊ λω θεὶς νέσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί, ἕνεκα τὸν Χρύσην ἠτίμασ' ἀρητῆρα Ἀτρεΐδης" (Il. 1, 9), ἑξῆς ἐπέξεισι πῶς ἐπράχθη τὰ κατὰ τὴν νόσον. καὶ ἐνταῦθα τοίνυν εἰπὼν ὅτι τὰς πύλας εἶχον οἱ περὶ τὸν Λεοντέα καὶ ἀνέμιον πρὸ τῶν πυλῶν ἑστῶτες, ἐπέρχεται μὲν τὸν Αἴσιον, καὶ ἐπαναδραμὼν ἐξηγεῖται τὰ κατὰ μέρος, ὅτι τέως μὲν ἔνδον ἦσαν προτρεπόμενοι τὸς Ἀχαιὸς ἀμύνεσθαι περὶ νηῶν, εἶτα ἐπειδὴ ἐθεάσαντο τὸς περὶ τὸν Αἴσιον ἐπιόντας καὶ πεφευγότας τὸς Ἕλληνας, αὐτοὶ ἅΐξαντες πυλάων πρόσθεν μαχέσθην. τὰ δὲ κεφαλαιωδῶς ἐκτιθέμενα προλαμβάνειν εἴωθε τὸ συμπέρασμα, τὰ δὲ ἀνάπτυξιν ἔχοντα πολλῶς εἰς τὴν ἀρχὴν ἀναδραμόντα, ὅτω κάτεισιν ἐπὶ τὸ τέλος. B.

128. *Λαπιθάων:* Λαπίθαι ἥρωες ἀρχαῖοι, οἱ ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης τὸ γένος ἔχοντες. AD.

Ἀρίσαρχος ἐκ τάτων φησὶν ὅτι Λαπίθαι μετὰ Ἰδομενῆα νενεωλκήκασιν. V.

129. *τηρεῖ τὸ ποικίλον τῆς ἀπαγγελίας.* ἑκατέρω γὰρ τὸ ὄνομα λέγει καὶ τὸν πατέρα μετὰ ἐπιθέτω. ἀλλ' ὅρα τὴν ἐξαλλαγήν. τὸν μὲν τῶδε υἷα τὸν Πολυποίτην, τὸν δὲ ἐκέτι ἔφη Κορωνῶ υἷα, ἀλλὰ τὸ κύριον προσέθηκεν, εἶτα ἐπαινέσας „βροτολοιγῷ ἶσον Ἄρηϊ" καὶ περὶ τῶ πατρὸς ἀποδώσει „υἱὸν ὑπερθύμοιο Κορωνῶ Καινείδαο." εἰπών τε υἷας, πάλιν ἐπήγαγεν υἷα „τὸν μὲν υἷα" καὶ „υἱὸν ὑπερθύμοιο Κορωνῶ." V.

130. *τινὲς ἐπάγουσι τῷ ἶσον Ἄρηϊ „υἱὸν ὑπερθύμοιο Κορωνῶ Καινείδαο."* V.

131. *θυράων:* γράφεται καὶ *πυλάων.* A.

132. *δρύες:* μάλιστα γὰρ βαθύῤῥιζοι καὶ οὐχ ὑπείκουσαι ἀνέμοις ἀδὲ τοῖς τῶν ὄμβρων κατακλυσμοῖς. ἢ ἐξ ἑνὸς τὸ πᾶν. BL.

134. *διηνεκέεσσ':* εἰς πλάτος καὶ μέγεθος διηκόσιος. τῷ δὲ ψόφῳ τῶν ὀνομάτων τὸ μέγεθος (μῆκος V) ἐμφαίνει. BL.

136. *μέγαν:* τὸ ἐγκώμιον Αἴσιε φθάνει καὶ ἐπὶ τοὺς ὑπομένοντας αὐτόν. V.

137. *αὔας:* βαρυτονοῦσιν οἱ πλείους. Νικίας δὲ ὀξύνει διὰ τὸ μεταφραζόμενον, ἐπεὶ καὶ τὸ ξηρὰς ὀξύνει. εἰρῆ δὲ περὶ τῶν τοιάτων, ὅτι ἃ δεῖ πρὸς μεταφραζόμενα τὰς λέξεις τονᾶν. ὁ δὲ Ἀσκαλωνίτης βαρύνει. χρὴ μέντοι γινώσκειν ὅτι μονήρης ἐστὶν ἡ λέξις· ἀδὲν γὰρ εἰς ος λῆγον καθαρὸν δισύλλαβον, τῇ αυ διφθόγγῳ κατὰ τὴν ἡμετέραν διάλεκτον παραληγόμενον, τριγενές ἐστιν· διὸ ἀδὲ ἀντιπαράθεσιν ἔχει. ἴσως δὲ βεβαρυτόνηται, ἐπεὶ καὶ τὸ ναῦς ἐβαρύνετο καὶ τὸ Τραῦος κύριον καὶ τὸ ψαῦος παρ' Ἀλκμᾶνι. A.

τινὲς δὲ βοὰς ἀντὶ τῆ βοέας. V.

ἡ διπλῆ, ὅτι ὅτως τὰς ἀσπίδας βόας αὔας. ἰθὺς δὲ τὸ κατ' εὐθεῖαν· εἴθαρ δὲ τὸ εὐθέως. A.

139. *Ὀρέσην:* ἡ διπλῆ, ὅτι τῷ Ἀγαμέμνονος υἱῷ ὁμώνυμος εἷς τῶν βαρβάρων. A.

140. *πρὸς τὴν ὁμωνυμίαν τῆ Οἰνομάω.* A.

ὅτοι τῶν περὶ τὸν Αἴσιόν εἰσιν ἄριστοι· ἐν δὲ τῇ προκειμένῃ διατάξει (95) οὐκ ἀναγκαῖον ἦν καὶ τάτας καταλέγειν· εἰσὶ

γὰρ κατὰ τὸ ἴδιον τάγμα τοῦ Ἀσίου, ἐκεῖ δὲ τοὺς ἀρίστους ἐξ ἁπάντων κατέλεγεν. V.

141. οἱ: οἱ περὶ τοὺς Λαπίθας. L.

εἵως: ἀντὶ τοῦ τέως νῦν κεῖται, οἷον μέχρι τινός· διόπερ οὐχ ὑποστικτέον, ἐπεὶ μὴ κυρίως κεῖται. A.

142. οὕτως Ἀρίσταρχος, ἐόντες, κατὰ τὴν εὐθεῖαν. A.

ἐόντες αἱ πλείους. V.

144. ὑποστικτέον Τρῶας καὶ φόβος τε, περισσεύοντος τοῦ συνδέσμου τοῦ ἑξῆς, ἐκ δὲ τὼ ἀΐξαντε. ἡ διπλῆ δέ, ὅτι τὸ φόβος ἀντὶ τοῦ φυγή. A.

ἀτὰρ Δαναῶν: ἐν τῷ περὶ Λαπιθῶν λόγῳ κατέθηκε καὶ τὰ ὑπὸ τῶν ἄλλων πραττόμενα, ὅτι πρότερον μὲν ἔβαλλον ἄνωθεν, ὕστερον δὲ ἐφόδου γενομένης σφοδροτέρας ἐξέλιπον τὸ τεῖχος. BL.

145. βέλτιον τὸ σύνηθες ἐπὶ τὸ ἀΐξαντε διαστέλλειν. A.

περισσὸς ὁ δέ. V.

146. σύεσσιν ἐοικότε: ἡ προκειμένη ἀπὸ τῶν δρυῶν εἰκὼν πρὸς τὴν στάσιν, ἡ δὲ τῶν συῶν πρὸς τὴν καρτερίαν τῶν βελῶν· καὶ τὸ δύο ὄντας ἀνθίστασθαι πολλοῖς ἀτάκτως βάλλουσιν εἴκασε συσὶ πρὸς πολλῶν κυνηγετῶν ἔφοδον ἀνθισταμένοις. BLV.

147. οὕτως ἐν ἁπάσαις δέχαται. A. τὸ δὲ κολοσυρτόν παρὰ τὸ τὰ κῶλα ἐπισύρειν, ἢ τὸν κολωὸν καὶ συριγμόν. AD.

148. δοχμώ: ὀξυτονητέον· ἔστι γὰρ δυϊκόν. τὸ δὲ δοχμός ὀξύνεται, ἐπεὶ τὰ εἰς μος μετ' ἐπιπλοκῆς τοῦ χ ὀξύνεσθαι θέλει, αὐχμός ἰωχμός. ταύτῃ καὶ πλοχμός, εἴτε συγκέκοπται εἴτε καὶ ἐντελές ἐστιν, ὀξυτονηθήσεται. οὕτως οὖν καὶ τὸ δοχμός. A.

ὀξυτονητέον τὸ δοχμώ· δυϊκὸν γάρ ἐστιν. ἔστι δὲ ἀντὶ τοῦ δόχμιοι ἤτοι πλάγιοι· παρ' ἑκάτερα γὰρ αὐτοῖς πεφύκασιν οἱ ὀδόντες. ἐκτάμνοντε δὲ τὴν ὕλην ἐν τῷ παραθήγειν δηλονότι τοὺς ὀδόντας. BL.

ὀρθοτονητέον· εἰς γὰρ σύνθετον μεταλαμβάνεται. A.

149. πρυμνήν: ὡς πυκνήν. εἴπομεν δὲ περὶ τούτου. A.

ἄκραν, πρόῤῥιζον. τὸ ὑπαὶ δέ τε δὲ τῷ ὀδόντων συντακτέον. BL.

151. ὣς τῶν κόμπει: ὥσπερ ἀπὸ τῶν συῶν κόμπος γίνεται. ἴσως οὖν πρὸς τοῦτον ἡ εἰκών. V.

152. ἄντην βαλλομένων: ἤτοι ἀμεταστρέπτως μαχομένων· οἱ γὰρ γενναῖοι ἐξ ἐναντίας μαχόμενοι τρώσεις δέχονται. BL.

153. λαοῖσιν: τοῖς ἀπὸ τοῦ τείχους ὄχλοις θαῤῥοῦντες. A.

οἱ περὶ Ζηνόδοτον λάεσσι, τοῖς λίθοις. προπερισπαστέον δέ· ἐπὶ γὰρ τοῦ πλήθους ὁ λόγος, οὐκ ἐπὶ τοῦ λίθου· λάεσσι γὰρ ἐπ' ἐκείνου τοῦ σημαινομένου λέγει. A.

δῆλον ὡς οὐ πάντες τοῦ τείχους κατῆλθον, ἀλλὰ μέρη τινὰ ἐκεῖ ἐλέλειπτο. BL.

δῆλον ὡς ἐπὶ στρεψάντων εἶπε τὸ λαοῖσι· προέφη γὰρ „Δαναῶν δὲ γένετ' ἰαχή τε φόβος τε" (144). V.

τὸ δὲ βίηφι χωρὶς τοῦ ι ἐστίν. V.

154. περιπαθῶς πάνυ. οἷοι γὰρ ἦσαν οἱ ἄνωθεν μόνον τολμῶντες βάλλειν, προελθεῖν δὲ ἀδυνατοῦντες; ἐν δὲ τῇ ἐπεξεργασίᾳ καὶ αὔξεται τὸ πάθος, ἀμυνόμενοι ὑπέρ τε ἑαυτῶν καὶ τῶν σκηνῶν. V.

155. ἡ διπλῆ, ὅτι λείπει ἡ ὑπέρ πρόθεσις. A.

157. ἅς τ' ἄνεμος: πρὸς τὸ σύντονον καὶ πληκτικὸν τῶν λίθων. εἰς ἐπίτασιν δὲ τὸν ἄνεμον παρέλαβε πρὸς τὸ σφοδροτέραν γενέσθαι τὴν καταφοράν. BL.

ζαής: ὡς ὑγιής· οὕτως καὶ ὁ Ἀσκαλωνίτης. παραιτητέον δὲ τοὺς βουλομένους βαρύνειν, ἴσως πλανηθέντας ἐκ τῆς αἰτιατικῆς τῆς εἰς ν περατωθείσης (Od. 12, 313). ῥηθήσεται δὲ ἐν τῇ Μ τῆς Ὀδυσσείας περὶ τῆς προσῳδίας. A.

158. ταρφειάς: Ἀρίσταρχος ὀξύνει ὡς πυκνάς· ὁ δὲ Θρᾷξ Διονύσιος ὁμοίως προεφέρετο τῷ ταχείας, παρὰ τὸ ταρφύς ἀρσενικόν, οὗ πολλαὶ ἦσαν χρήσεις παρὰ τοῖς παλαιοῖς καὶ παρ' Ὁμήρῳ. καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ, ἐπεκράτησε δὲ ἡ Ἀριστάρχου. A.

159. ἡ διπλῆ πρὸς τὴν συνήθειαν τοῦ ποιητοῦ, ὅτι καταλλήλως τῷ βέλεα πληθυντικῷ ῥέον ἐπενήνοχεν. A.

ἄλλως. οὕτως διὰ τοῦ ο, ῥέον. Ὁμηρικὸν τὸ σχῆμα. A.

ἐπέμεινε τῇ τροπῇ, τὸ συνεχὲς καὶ ἀδιαλείπτως δηλῶν. V.

160. ἀμφ' αὖον: δύο μέρη λόγου ἐστίν, ἀμφί καὶ αὖον, ἵν' ᾖ ἀμφ' αὐτοὺς αὖον ἀΰτευν. οὕτως καὶ τὸ πληθυντικὸν οἶδεν „αὖα πάλαι περίκηλα" (Od. 5, 240). ABL. κατεχρήσατο δὲ ἐπὶ ἀψύχων θεὶς τὸ ἀΰτευν. V.

τινὲς δὲ περίξηρον, ἓν μέρος λόγου. V.

161. βαλλόμεναι: οὕτω Ζηνόδοτος. V.

Ἀρίσταρχος βαλλομένων· ἄλλοι δὲ βαλλόμεναι. V.

ὀμφαλόεσσαι: αἱ περιφερεῖς, ἢ πολλοὺς ὀμφαλοὺς ἔχουσαι. V.

162. πεπλήγετο μηρώ: ἀδύνατον τοῦτο ἐπὶ ὡπλισμένου· ἔστι δὲ μόνον λύπης δηλωτικόν, ὡς ἐν ὀχλήματι ἀνόμενον. BL.

164. φιλοψευδής: φιλῶν ἀπατᾶν· ψεύδεσθαι γὰρ ἀπατᾶν. ἴσως δὲ διὰ τὰς βροντὰς τοῦτό φησιν, ὡς δῆλον ταύτας σημεῖα νίκης εἰληφώς. ὀξύνεται δέ· τὰ γὰρ εἰς ης ὑπὲρ μίαν συλλαβὴν ὀξυνόμενα ἐν τῇ συνθέσει φυλάσσει τὸν τόνον, σεσημειωμένου τοῦ ἀληθής. καὶ τὸ κριτής δὲ ἔσθ' ὅτε μεταβολὴν τόνου ποιεῖται. BLV.

ὀξυτονητέον ὁμοίως τῷ ἁπλῷ· τὰ γὰρ εἰς ης λήγοντα ὑπὲρ μίαν συλλαβήν, ὀξυνόμενα, συντιθέμενα πάντα θέλει φυλάσσειν τὸν αὐτὸν τόνον, ὑπεσταλμένου τοῦ ἀληθής, σαφής ἀσαφής, ἀντεραστής, φιλαθλητής. οὕτως καὶ φιλοψευδής. τὸ δὲ κριτής ἔσθ' ὅτε καὶ μεταβολὴν ποιεῖται τόνου ἐν τῷ ξενοκρίτης. A.

165. ὅτι πάντας κοινῶς καὶ οὐ τοὺς ἡγεμόνας μόνους ἥρωας καλεῖ. A.

167. μέσον αἰόλοι: τὸ μέσον εὐκίνητοι διὰ τὴν ἐντομήν. V. ποικίλοι τὰ μέσα τοῦ σώματος· εἰσὶ γὰρ ἐπτερωμένοι καὶ ξανθοί, ἀφ' οὗ εὐκίνητοι, ὡς καὶ ἀλλαχῇ φησὶ „πόδας αἰόλος ἵππος" (Il. 19, 404). ἄμεινον δὲ ἀκούειν τοὺς εὐκινήτους. AD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάμφαγοι γάρ εἰσιν· αἱ δὲ μέλισσαι ἁπλῆν ἔχουσι τὴν χρόαν, ἐπεὶ ἓν ἐσθίουσιν. V.

ἀξιόπιστος ὁ παρὰ τῶν πολεμίων ἔπαινος. εὐτελεῖ δὲ ζῴῳ καὶ θυμικῷ παρέβαλε, τὴν μὲν ἀλκὴν ὁμολογεῖν ἀναγκαζόμενος, ἀφαιρούμενος δέ τι τοῦ τῶν ἀνδρῶν ἀξιώματος διὰ τῆς τοῦ ζῴου σμικρότητος. BLV.

168. οἰκία: νῦν φωλεούς. καὶ κοῖλον δόμον τὴν σφηκιάν φησιν (169). D.

170. τὸ ἄνδρας θηρητῆρας ἑκατέρωσε δύναται προσνέμεσθαι. V.

ἀμύνονται περὶ τέκνων: συλληπτικὸν τὸ σχῆμα· τοῦτο γὰρ σφηκῶν, μελισσῶν δὲ τὸ ὑπὲρ τοῦ μέλιτος. BL.

171. ὣς οἵ γ': Ἀρίσταρχος ὣς οἵδε. V.

ἐν ὑπερβολῇ τὸ δύο· οἱ μὲν γὰρ τῶν τέκνων προϊστάμενοι σφῆκες καὶ τῶν μελίτων αἱ μέλιτται πλείους εἰσίν· τοι δὲ καὶ δύο ὄντες κρείττονα διαπράττονται. BL.

172. ἁλῶναι: καὶ οἱ ῥήτορες ἁλῶναι δίκῃ φασὶ τὸ κριθῆναι θανάτου. V.

174. Ἕκτορι γάρ: ἠθικῶς τῇ ἀναφωνήσει χρῆται· ἅμα καὶ προλαμβάνει τι τῶν ἑξῆς, προθεραπεύων τὸν ἀκροατήν, ὅτι οὐκ ἐκ τῆς Ἕκτορος ἀρετῆς τοιαῦτα Ἕλληνες ἐπεπόνθεισαν, ἀλλ' ἐκ τῆς Διὸς ἐπικουρίας, οὗ τὸ κατόρθωμα. BL.

λέγουσι δὲ πάντας εἰσελθεῖν πλὴν Ἕκτορος διὰ τὸ σημεῖον V.

175. ἀπὸ τούτου ἕως τοῦ „πάντες ὅσοι Δαναοῖσιν" (180) θετοῦνται στίχοι ς', ὅτι παρῴδηνται ἐκ τοῦ „ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσι" (Il. 15, 414). πρὸς ποίας πύλας ἐμάχοντο; οὐδέπω γὰρ διαβεβήκασι τὴν τάφρον. λοῖον δὲ καὶ τὸ „ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ' ὀρεῦσαι"· τί γὰρ εἴρηται ἤδη τῆς τειχομαχίας; πόθεν δὲ σπιδαὲς πῦρ; οὐδέπω γὰρ πυρὶ κέχρηνται, ἀλλ' ὕστερον λέ- ὁ Ἕκτωρ „οἴσετε πῦρ" (ib. 718). εὔηθες δὲ καὶ τὸ λέν ὅτι ἠνιῶντο οἱ βοηθοῦντες τοῖς Ἕλλησι θεοὶ ἐπὶ τῷ ατοῦσθαι αὐτούς. τῷ δὲ „λάϊνον Ἀργεῖοι δέ" (178) διπλῆν ρατιθέασιν ἔνιοι διὰ τὸ ὑπερβατόν, περὶ τεῖχος λάϊνον. θετοῦντο δὲ καὶ παρὰ Ἀριστοφάνει· παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ράφοντο. A.

ἀθετεῖ Ἀρίσταρχος, πρῶτον μὲν διὰ τὸ πύλας ἄλλας ομάζεσθαι· ἀρέσκει γὰρ αὐτῷ μίαν εἶναι. εἶτα διὰ τὸ „ἀρλέον δέ με ταῦτα"· φησὶ γὰρ ὅτι καὶ μὴν ἔφρασε τὴν τειμαχίαν· εἰπὼν δὲ „πληθὺν δ' οὐκ ἂν ἐγώ" (Il. 2, 488) ώπα τὸ πλῆθος. εἶτα καὶ διὰ τὸ Λαπίθαι· οὐ γὰρ δεῖ, φησί, τοὺς πατέρας καὶ τοὺς υἱοὺς Λαπίθας καλεῖν. Πῖος δὲ ἀποούμενος πρὸς τὰς ἀθετήσεις Ἀριστάρχου ταῦτά φησιν, ὅτι ιος μὲν περὶ τὴν μίαν πύλην τὴν ἱππήλατον ἐμάχετο, δὲ περὶ αὐτὸν περὶ τὰς μικρὰς πύλας. τῷ δὲ ἄλλας ρὰς εἶναι οὐδεὶς εὖ φρονῶν ἀντείποι (οὐδ' αὐτὸς Ἀρίσταρ- ἀντιλέγει V)· πῶς γὰρ τοσοῦτον πλῆθος ἐν τῷ φεύγειν μιᾶς εἰσῄει; τὸ δὲ „ἀργαλέον δέ με ταῦτα" πάνυ μετος φησὶν εἰρῆσθαι· ἀνδρῶν γὰρ ἀναιρουμένων κατάλογον διεξιὼν καὶ τρόπους τῶν ἀναιρέσεων καὶ λόγους τῶν ἀναιρούντων καὶ πιπτόντων καὶ συμπτώματα τῆς τύχης καὶ πολυμερῆ μάχην, εἰκότως ἐνδείκνυται δυσχερῆ τὴν τῶν τοιούτων διήγησιν. τὸ δὲ Λαπίθαι γελοιότατον· πῶς γὰρ ἄλλως ἦν ὀνομάσαι τοὺς τῶν Λαπιθῶν υἱοὺς ἢ τῷ πατρικῷ ὀνόματι; BLV. ἄλλως τε καὶ Ὁμηρικὴν ἐνάργειαν ἔχουσιν οἱ στίχοι. V.

177. ἢ τὸ θερμὸν τῆς μάχης πῦρ φησί· δύναται δὲ καὶ κυρίως λέγειν, ἵνα καὶ τὸ τεῖχος αὐτὸ ἐμπρῆσαι ἐπιχειροῦντας τοὺς βαρβάρους εἰσάγῃ. ABL.

λιθίνου τοῦ τείχους ὄντος καὶ τῶν Τρώων βαλλόντων, ἐκ τῆς συγκρούσεως τῶν βαλλομένων πῦρ ἅπτεσθαί φησι πανταχόθεν τοῦ τείχους. ἔχει δὲ ἔμφασιν ὁ λόγος. L.

βραχὺ διαστελτέον ἐπὶ τὸ πῦρ· ἔστι γὰρ τεῖχος λάϊνον τὸ ἑξῆς. ἄκαιρον γὰρ τὸ λάϊνον πῦρ εἴτις συνάπτοι. A.

τὸ λάϊνον ἐπήγαγεν ὥσπερ ἐπιμωκώμενος τοὺς ἐπιχειροῦντας ἐμπρῆσαι λίθους. ὑποστικτέον δὲ εἰς τὸ πῦρ· τὸ γὰρ τεῖχός ἐστι λάϊνον· οἱ δὲ τὸ πῦρ. θεσπιδαὲς δὲ τὸ καυστικόν, ἢ τὸ ἐκ θεοῦ σταλέν. BL.

178. ἡ τελευταία λέξις ἡ ἀνάγκη κεχωρίσθαι ὀφείλει τῶν ἄνω, ἵνα σαφέστερον περιστῇ ἥ τε ἐπίτασις καὶ ἡ ἐναντίωσις. δυνατὸν δὲ καὶ συνάπτοντα μέχρι τοῦ νηῶν ἀπ' ἄλλης ἀρχῆς λέγειν ἠμύνοντο, ἵνα ᾖ ἀχνύμενοι περὶ νηῶν. A.

εἰς τὸ πέρ ὑποστικτέον, καὶ τὰ ἑξῆς συνδετέον. BL.

179. θεοὶ δ' ἀκαχείατο: ἐλπίδα ὑποβάλλει τοῖς ἀκροαταῖς ὅτι οὐκ ἦν ταῦτα ἀρεστὰ θεοῖς, ἀλλὰ διενοοῦντο μὲν βοηθεῖν, ᾐδοῦντο δὲ Δία. BL.

180. ἡ ταρ πλεονάζει ἐν τῷ ἐπιτάῤῥοθοι ὡς ἐν τῷ ἀταρτηρός. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τοῖς κυσὶ βοῇ κελευόντων. A.

181. σὺν δ' ἔβαλον: ἐπεὶ προεῖπεν „Ἕκτορι γάρ οἱ θυμός" (174), τὸ μὲν εἰς ὕστερον ταμιεύεται, ἐπὶ δὲ τοῦ παρόντος πλεονεκτοῦντας ποιεῖ τοὺς Ἕλληνας, ἕως ἂν ἡ ἀπὸ τοῦ Διὸς βοήθεια μεταγάγῃ τὴν εὐημερίαν ἐπὶ τὸν Ἕκτορα. BL.

182. ἔνθ' αὖ: ἅμα τῇ ἐφόδῳ Ἀσίου ταῦτα γράφει. ἀλλ' ἅμα πάντα λέγειν ἀδύνατον. V.

183. χαλκοπαρῄου: παραγώγως· οὐ πρόκειται γὰρ τὸ παρῄϊον. V.

189. κατὰ ζωστῆρα: ἐκεῖ τὸ τυφλὸν ἐστιν ἔντερον. τὸ δὲ αὐτοσχεδίην (192) ἐπίῤῥημα. V.

193. Ἰαμενόν: Ἀρίσταρχος ψιλοῖ· ὁ δὲ Ἀσκαλωνίτης φησίν, ἐὰν μὲν ἀπὸ τῆς ἰάσεως, ψιλωτέον, ἐὰν δὲ ἀπὸ τῆς ὁρμῆς, δασυντέον. ἄμεινον δὲ προκρίνειν τὴν Ἀριστάρχου· οὐδὲν γάρ ἐστι κωλῦον τὴν ἀνάγνωσιν αὐτοῦ. A.

Ὀρέστην: ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν. A.

195 — 199. ὑποστιγμὴ ἐν ὑποκρίσει, μαρμαίροντα, ἕποντο· διαστολαὶ δὲ ἔσαν, νῆες. ἡ δὲ ἀνταπόδοσις οἵ ῥ' ἔτι μερμήριζον. διόπερ οὐ χωριστέον στιγμαῖς· εἷς γὰρ ὁ λόγος. A.

197. οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν: καὶ τοῦτο πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παραμυθίαν, ὅτι τὸ πλεῖσον καὶ ἀκμαιότατον τῶν βαρβάρων ἦν τὸ ἐν τῇ μάχῃ πλεονεκτῆσαν. B.

199. καὶ μὴν ἔδει διώκειν μᾶλλον· ἀπογνόντες γὰρ τῆς ἀνακομιδῆς δεινότεροι ἂν εἶεν. ἀλλ' ἐναγώνιός τε γίνεται ἡ ποίησις, καὶ αἱ ἀπειλαὶ αὐτῷ „ὡς πυρὶ νῆας ἐνιπρῆσα κτείνω δὲ καὶ αὐτός" (Il. 8, 183). V.

201. ὑψιπέτης: εἰς ὕψος πετόμενος. τῷ δὲ τόνῳ ἀναγνωσέον ὡς νεφεληγερέτης. ὑψιπετὴς δὲ ἀπὸ ὕψεος πεπτωκώς. D.

Ἀρίσαρχος ἐβάρυνεν εὑρὼν τὸ „ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν" (Il. 8, 42) ὅτως κεκλιμένον, ὡσεὶ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπώλα. πρόδηλον δὲ κἀκ τῶν διαλέκτων· ὑψιπέτας γὰρ εὑρέθη κατὰ τροπὴν τῆ εἰς τὸ ᾱ, ὅπερ ζητεῖ καὶ ἡ κλίσις καὶ ἡ βαρεῖα τάσις. τινὲς μέντοι ἐτόλμησαν τὸ „τιμῆς ἔσσεαι" (Il. 9, 605)· οὕτως ὑψιπετήεις ὑψιπετῆς. ἀλλ' ἐπὶ μὲν τῆ τιμῆς εὕρομεν αἰτιατικὴν „καὶ χρυσὸν τιμῆντα" (Il. 18, 475), ἥτις ἐδίδασκε τὸ τῆς εὐθείας πάθος· ἐπὶ δὲ τῆ προκειμένῃ οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείθημεν τῷ Ἀρισάρχῳ. A.

ἐπ' ἀριστερὰ λαὸν ἔεργον: ὑποχωρῆσαι συμφέρον προσημαίνων· ἀριστερὰ γὰρ σημεῖα τὰ ἀπαίσια, δεξιὰ δὲ τὰ συμφέροντα. ζητεῖται δὲ πῶς ὁ Ζεὺς ἐπικρατεστέρως θέλων ποιῆσαι τοὺς Τρῶας, σημεῖον αὐτοῖς κωλυτικὸν ἐπιπέμπει φησὶ γὰρ „ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν." καὶ ῥητέον ὅτι νίκην μὲν ἐβούλετο τοῖς Τρωσίν, ἐξελεῖν δὲ τὸ δέος τῶν Ἑλλήνων· ὃ γὰρ κατὰ προαίρεσιν αὐτοὺς ἰδίαν ἐμίσει, ἀλλὰ χαριζόμενος Θέτιδι. ABD.

οἱ μὲν εἰς τὸ ἀριστερά ζίζουσι, καὶ τὸ ἔεργον ἀντὶ τοῦ κωλύων· οἱ δὲ ὑφ' ἕν, ἐπ' ἀριστερὰ ἔεργον, ἀφορίζων ἐπὶ τὰ ἀριστερὰ μέρη τὸν λαόν. V.

μέσος διῆλθεν, ἐπὶ τὰ ἑαυτοῦ ἀριστερὰ τὸν Τρωϊκὸν λαὸν ἀφορίζων, ἐν δεξιᾷ δὲ δηλονότι τὸ Ἑλληνικὸν στρατόπεδον ἔχων. ἀριστερὰ σημεῖα ἀπαίσια· τὰ δὲ δεξιὰ συμφέροντα. B.

βέλτιον μέσον μὲν τὸν ἀετὸν ἤρχεθε τοῦ πλήθους, ἀνέργειν δὲ αὐτοὺς ἐπὶ τὰ ἀριστερὰ φερομένους· διὸ συναπτέον ἐπ' ἀριστερὰ λαὸν ἔεργον. A.

ἡ διπλῆ, ὅτι ἀφορίζων ἔφη, ἐπὶ τὰ ἑαυτοῦ ἀριστερὰ ὁ ἀετός. A.

202. φοινήεντα: ᾑμαγμένον· καὶ γὰρ ἤθιεν αὐτόν. BL.

203. ἔπω λήθετο χάρμης: ὁ δράκων. πιθανῶς δὲ τὸ οὔπω, οἷον καίτοι ἤδη λελωβημένος. καὶ τὸ ἔτι δὲ ἀσπαίροντα τὸν ἤδη κεκακωμένον παρίζησι, καὶ τὸ φοινήεντα τὸν ὑπὸ τοῦ ἰδίου πεφοινιγμένον αἵματος. L.

204. κόψε: τὸ ταχὺ τῆς πληγῆς διὰ τῆς λέξεως ἐσήμανεν. BL.

γάρ αὐτον: ἔτως ἐγκλιτέον τὴν ἀντωνυμίαν κατ' αἰτιατικὴν πτῶσιν. μέμνηται καὶ Ἡρωδιανὸς καὶ Ἀπολλώνιος. A.

205. ἰδνωθείς: ἐπισραφείς, ὁ τὸ ἰνίον δονηθεὶς καὶ ἐπικαμφθείς. γίνεται δὲ ἀπὸ τοῦ ἴζω καὶ δασύνεται· καὶ γίνεται ἰδνῶ, τραπέντος τοῦ ζ εἰς δ Δωρικῶς καὶ πλεονασμῷ τοῦ ν, ὡς ἀλαπάζω ἀλαπαδνός. B.

ψιλωτέον τὸ ῐ. ἔτως καὶ Ἀλεξίων καὶ οἱ ἄλλοι, προειρηται δὲ ἡμῖν ἐν τῇ Α. A.

τὸ δὲ ἰδνῶ ψιλᾶται. τὸ ὑγρὸν τοῦ δράκοντος ἐσήμανε τσσᾶτον, φησίν, ἐπικαμφθεὶς ὡς καὶ τὰς ἶνας αὐτοῦ δονηθῆναι. BL.

ἀπό: τὸ πο μακρόν, διότι ἔχει τόνον, ἢ ὅτι καταπεραιοῖ εἰς μέρος λόγου. L.

206. μέσῳ δ' ἐνὶ κάββαλ' ὁμίλῳ: ἐν τῷ μεταιχμίῳ πρὸς τὸ μὴ διαβῆναι· ὡς γὰρ ἀετὸς ἠξόχησε τέτοτ, οὕτω Τρῶες Ἕλληνων. BL.

207. πνοιῇς ἀνέμοιο: τῷ πνέοντι ἀνέμῳ δὸς ἑαυτὸν διὰ τὸ ὀδυνηθῆναι. BL. καὶ ἡμεῖς ἓν κατὰ κόσμον πρὸς ναῦφιν ἐλευσόμεθα τῇ πνοῇ τῆς εὐχῆς ἑπόμενοι. BL.

ἡ διπλῆ, ὅτι λείπει τὸ ἅμα, ἅμα πνοιῇσιν ἀνέμοιο. A.

208. εἰκότως ἐπιζῆσαί φησι τὸς Τρῶας· ἐν γὰρ τοιούτῳ καιρῷ φανὲν πρὸ τῆς μελλόσης ἐγχειρήσεως ἐναργῶς ἔοικει σημεῖον εἶναι κρίσεως δεόμενον. V.

αἰόλον ὄφιν: τὸν ποικίλον καὶ πολύσικτον. πέπονε δὲ ἐπὶ τέλεος ὁ ζίχος ἔχων τὸν ἐκ β' βραχειῶν πυρρίχιον καὶ καλεῖ μειβρός. AD.

μείβρος ὁ ζίχος. ἀκέφαλος „ἐπειδὴ νῆάς τε" (Il. 23, 3) λαγαρός „τῶν αὖθ' ἡγείσθην Ἀσκληπιᾶ παῖδε δύω" (Il. 731). οἱ δὲ ὄφιν φασίν. ἐμφαντικώτερον δὲ ἐχρήσατο τῇ ζίχου συνθέσει, καίτοι γε ἐγχωροῦν εἰπεῖν ὅπως ὄφιν αἰόλον εἶδον· τὴν γὰρ κατάπληξιν τῶν Τρώων καὶ τὸν φόβον παρίζησι τῷ τάχει τῆ ζίχε εἰς βραχείας τελευτῶντος συλλαβάς. V.

τινὲς μείβρον εἶπον τὸν παρόντα ζίχον. τινὲς δὲ λέγουσι διὰ τῆ ζίχε τάτε ὑποτυπῶσθ τὸν Ὅμηρον τὸ χῆμα ὄφεως· λεπτότερον γὰρ τὸ ἑραῖον αὐτῆ. L.

209. Διὸς τέρας: πῶς, φασί, βοηθῶν τοῖς βαρβάροις ἐπιπέμπει νῦν οἰωνὸν ἀποτρέποντα τῆς διαβάσεως; ἃ δὲ ἔχει καὶ τᾶτο τῷ Ὁμήρῳ. τὴν μὲν γὰρ διάβασιν ἢ γενέσθαι ὁ θεὸς πρὸς τὸ ἀναζῆσαι Ἀχιλλέα, ἧδει δὲ πεισόμενον Ἕκτορα τῷ σημείῳ. πρὸς τὸ μὴ δόξαι ἀπιστεῖν τὸς Τρῶας τᾶτο ποιεῖ ὅτι. ὁ κρίνει δὲ Ἕλενος πρὸς τὸ πεισθῆναι Ἕκτορα· ἀπίθανον γὰρ ἦν ἀπειθῆσαι τῷ μάντει.

210. Ἕκτορα εἶπε: ἡ διπλῆ, ὅτι λείπει ἡ πρός, πρὸς Ἕκτορα. A.

211. ἐπιπλήσσεις: ἔτως διὰ τῆ π, ἐπιπλήσσεις. ἄλλως. σημειῶνταί τινες ὅτι τᾶτο ὡς γενόμενον λέγει γινόμενον δὲ ὁ παρίζησι· καὶ παρεῖται ἡ πρόθεσις· ἐφήραις γάρ. τινὲς δὲ ἔτως, ὅτι ἀγορῆσιν ἀντὶ τῆ ἀγορήσεσιν εἴρηκεν. A.

προδιορθώσει χρῆται, εἰδὼς ἀπειθήσοντα. πρώην γὰρ ἔτω διὰ τὸ κεχαρισμένα λέγειν. ἐπιπλήσσει δὲ ἡ γρα διὰ τῆ ψ, ἐχὶ διὰ τῆ ν. φασὶ δὲ τὸν πατέρα τῆ Πολυμάντος Πάνθουν Δελφὸν εἶναι τὸ γένος, Τρῶας δὲ θεοπρόπους ἐλθόντας αὐτόσε ἀγαγεῖν αὐτὸν πρὸς Πρίαμον ἐπὶ τῷ διηγήσασθ τὸν χρησμόν, καὶ οὕτως αὐτὸν ἐκεῖ μεῖναι. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡρακλέης πορθήσαντος Ἴλιον, Πρίαμος ὁ Λαομέδοντος παραλαβὼν τὴν βασιλείαν ἔπεμψεν εἰς Δελφούς, μαντευσόμενος περὶ τῶν ἐνεστώτων. οἱ δὲ πορευθέντες χρησμόν τε λαμβάνουσι, καὶ Πάνθον ἕνα τῶν Δελφῶν ἄγουσιν, ὅπως κατὰ τὸ συνεχὲς μαντεύηται Πριάμῳ. γήμας δὲ ἔτος θυγατέρα Κλυτίου Προνόμην Πολυδάμαντα γεννᾷ, τήν τε μαντικὴν ἀναδιδάσκει. λέγεται δὲ μιᾷ νυκτὶ τοῦτον καὶ τὸν Ἕκτορα γεννηθῆναι. ABD.

212. οὐδὲ μὲν οὐδέ: ὁ μὲν ἀντὶ τοῦ μήν. περισσὴ δὲ ἡ μία ἀπόφασις. V.

213. δῆμον: βαρυτονητέον πρὸς ἀντιδιαζολὴν τῶ δημόν ὀξυνομένω ἐν τῇ Θ ῥαψωδίᾳ (240). ὁ Ἡρωδιανός. A.

ἡ διπλῆ, ὅτι ἀντὶ τῶ δημότην, ἰδιώτην· ἔτως Ἡρωδιανός, δῆμον ἐόντα. A.

προλαμβάνει τὴν ἐπίπληξιν τῶ βασιλέως, ὑπομαλάσσων αὐτόν· φησὶ γὰν ὅτι ἐκ ἔξιν ἰσηγορία τοῖς δημόταις πρὸς τὸς βασιλεῖς· παρὲξ δὲ ἤτοι παρὰ τὸ δέον καὶ κελευόμενον πράσσειν. BL.

ἄρξεται δὲ ἀρχὴ ὑπὸ χρησῆς παραινέσεως. V.

214. κράτος: ἐν ἄλλῳ κλέος. A.

215. ἐξερέω: δηλονότι μόνῳ σοί· Ἕκτωρ γὰ οὐ τὴν παραίνεσιν ἀποξρέφεται, ἀλλὰ τὴν ἐν ἅπασιν ἰσηγορίαν. ἡ δὲ Ἑλληνικὰ πλησίον δημοκρατίας, καὶ παῤῥησία πολλὴ τοῖς ἡγεμόσιν. BL. πρὸς γὰν Ἀγαμέμνονα Διομήδης φησὶν Ἀτρείδη σοὶ πρῶτα μαχήσομαι" (Il. 9, 32)· ὁ δὲ Ὀδυσσεὺς „ἰλόμεν' αἴθ' ὄφελες ἀεικελίῃ φρατῇ" (Il. 14, 84). V.

216. μὴ ἴομεν: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ μὴ ἴωμεν συνέκλεκεν. A.

217. ἄμεινον τελειῶν εἰς τὸ οἴομαι, καὶ τὸ ἐξῆς τοῖς μετὰ τὸ συνάπτειν. BL.

218. Τρωσὶν: καὶ μὴ Ἕλλησιν. V.

ὄρνις ἦλθε: χωρὶς τῆς προθέσεως αἱ Ἀριστάρχε. A. χωρὶς τῆς ἐπὶ αἱ Ἀριστάρχε. καὶ Ἀττικῶς ἐξέτεινε τὸ ὄρνις. V.

223. ὡς ἡμεῖς: ὥσπερ γάρ, φησί, κατ' ἀρχὰς κρατήσας ὁ ἀετὸς ὕστερον κακόν τι προσλαβὼν ἀφῆκε τὴν ἄγραν, ἵνα καὶ αὐτοὶ πεισόμεθα. BL.

τὰς συνεχομένας Ἕλληνας εἰκασε τῷ δράκοντι. V.

225. αὐτὰ κέλευθα: τὴν αὐτὴν ὁδὸν δι' ἧς ἤλθομεν. εἶπε δὲ τὸ τά. BL.

228. ὧδέ χ' ὑποκρίναιτο: οἷον οὕτως ἂν μαντικὸς ἀνὴρ συμβάλοι, οἷον ἐκ ἐκ φρασμῶ ἀλλ' ἐξ ἐφόδε τεχνικῆς τὴν ἐξήγησιν ποιήμενος. V.

ἔτως ἂν ὑποκρίναιτο θεόπροπος, καὶ πειθοίατο αὐτῷ οἱ λοί· ἢ ὅς καὶ οἵδε καὶ ἀξιόπιστός ἐστιν. ἑαυτὸν δὲ ἔοικεν ἀποσκευῆ τῆς ἐπιλύσεως ὁ ποιητής. BL.

ἄλλως. ἀμφίβολον. εἰ μὲν ὑφ' ἕν τις λέγοι „ὃς σάφα μῦθ εἰδείη τεράων καὶ οἱ πειθοίατο λαοί," καὶ τῶτο παρεισὸς εἰς ἀξιοπιστίαν ἔχει τοῦ μάντεως. εἰ δὲ χωρίζοιτο ἀνυποκρίτῳ ὑποσιγμῇ, ἐκεῖνο μὲν ἔχει διὰ μέσου „ὃς σάφα θυμῷ εἰδείη τεράων," τὸ δὲ ἑξῆς, ὧδέ χ' ὑποκρίναιτο θεόπροπος καὶ οἱ πειθοίατο λαοί. ἔτως ἂν ἀποκρίναιτο μάντις, καὶ αὐτῷ πειθοίη τὸ πλῆθος. A.

ἡ διπλῆ, ὅτι τὸ ὑποκρίναιτο ἀντὶ τῶ ἀποκρίναιτο. A.

230. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει τὸν δ' ἡμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ. βέλτιον δὲ τὸν δ' ἄρ' ὑπόδρα ἰδών· εὐθέως γὰρ τὸ δυσάρεστον ἐμφαίνει διὰ τῆς ὄψεως. A.

231. Πολυδάμα: αἱ Ἀριστάρχου χωρὶς τοῦ ν̄, παρὰ τὴν ἀναλογίαν· Ζηνόδοτος δὲ καὶ Χαμαιλέων σὺν τῷ ν̄, Πολυδάμαν. A.

φίλα: φίλως. τυραννικῶς δέ· τί γὰ εἰ τὰ συμφέροντα λέγει τῷ πλήθει; περισσὸν δὲ τὸ ἔτι. V.

232. οἶσθα: ἐκ ἄλλος, ἀλλὰ σύ. τὸ μὲν γὰ ἀνοίας, τὸ δὲ μοχθηρίας ἐστίν. V.

235. λαθέσθαι: ἀμελῆσαι. διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς. οὐ μαντικὴν δὲ αἱρεῖ, ἀλλὰ τὴν Διὸς προτιμᾷ γνώμην. BL. μέμνηται δὲ τῶν Ἴριδος λόγων. V.

236. ἡ πρώτη λέξις ὑπὸ τῆς συνηθείας τοῖς ἄνω προσδίδοται· δύναται δὲ καὶ τοῖς ἑξῆς. A.

237. τύνη δ'· οἰωνοῖσι: ὁ φρόνιμος καὶ θεὸν τιμᾶν οἶδε καὶ οἰωνοῖς πείθεσθαι, ὡς ὁ Ὀδυσσεύς, ὅπερ Ἕκτωρ οὐ συνίησιν. BLV.

238. τὸ πείθεσθαι ἀντὶ τῶ πιστεύειν. V.

τῶν: ἐ πάντων, ἀλλὰ τῶν φανέντων τὰ νῦν. BL.

μετατρέπομ': ἐπιστροφὴν ποιοῦμαι. L.

239. τὸ εἴ ἀντὶ τοῦ ἐάν τρισὶν ἐγκλίσεσι συντάσσεται, ὁριστικῇ μὲν κοινῶς, εὐκτικῇ δὲ Ἀττικῶς, ὑποτακτικῇ δὲ τολμηρῶς, ὅπερ παρ' Ὁμήρῳ μόνῳ εὑρίσκεται, σπανίως δὲ ἐν ἄλλοις. L.

τινὲς δεξιὰ τὰ νότια, ἀριστερὰ τὰ βόρεια. V.

λέγουσί τινες ὡς τὸ εἴτ' ἐπὶ δεξί' ἴωσιν εἴτ' ἐπ' ἀριστερά δηλοῖ ἀνατολὴν καὶ δύσιν, τὰ δ' ἕτερά εἰσιν ἑρμηνευτικά. ἄλλοι δὲ ἔτως, ὡς ἀποδεικνύει ὁ ποιητὴς τὰ τῶ κόσμω τέσσαρα κλίματα, κατὰ τῶ περιηγητῶ χῆμα, δι' ὃ δεικνύει τὴν γῆν. ἄρχεται δὲ ἐκ τῆς ἄρκτου, ἔπειτα εἰς ἀνατολήν, εἶτα εἰς μεσημβρίαν καὶ μετὰ ταῦτα εἰς δύσιν. L.

ἡ διπλῆ, ὅτι δύο διαιρέσεις οἶδεν Ὅμηρος κοσμικάς, ἀνατολὴν καὶ δύσιν· καὶ δεξιὰ μὲν τὰ πρὸς ἀνατολάς, ἀριστερὰ δὲ τὰ πρὸς δυσμὰς λέγει. A.

243. εἷς οἰωνὸς: ἐκεῖνος μόνος ἄριστος οἰωνὸς ὑπὲρ πάτρης κελεύων ἀγωνίζεσθαι. διδάσκει δὲ ἡμᾶς φιλοπάτριδας εἶναι. BL.

εἴ τις βέλτιστος ἐπὶ τὸ ἄριστος βραχὺ διαστέλλειν, τάχ' ἂν εἴη σαφέστερον τὸ λεγόμενον. A.

246. ἐπ' Ἀργείων: παρὰ Ζηνοδότῳ ὑπ' Ἀργείων. AV.

247. οὐ γάρ τοι καρδίη μενεδήϊος: ἀποτρέπει τοὺς ἄλλους πείθεσθαι αὐτῷ, τὸ τῆς συμβουλῆς εἰς δειλίαν τρέπων. BLV.

ἐντεῦθεν ἐκινήθησαν οἱ περὶ καρδίαν τὸ ἡγεμονικὸν λέγοντες εἶναι. V.

250. αὐτίχ' ἑμῷ ὑπὸ δουρί: ἀναγκαίως καὶ τῶτο· ὁ

γὰρ τοῦ συμβουλεύσαντος μὴ ἀναχόμενος δῆλον ὡς οὐδὲ τοῦ πεισθέντος. BL.

εἰ σὺ ὁ συμβουλεύων, πῶς ὁ πεισθείς; τὸν λόγον οὖν ἐπὶ τοῦ Πολυδάμαντος ἐνπεισάμενος καὶ τοῖς ἄλλοις τεχνικῶς ἀπειλεῖ. V.

253. ὦρσεν: ποιητικῶς τοῦτο· συνδραμόντος γὰρ τοῦ πλήθους εἰκὸς αὐτὴν γενέσθαι. BL.

ἡ διπλῆ, ὅτι διὰ τῶν ἀποτελουμένων φανερὸν ὅτι τὴν αἰγίδα ἔσεισεν ὁ Ζεύς. V.

πῶς οὐ λέγει ἀπ' ἄλλων ὀρῶν τὴν τῶν ἀνέμων θύελλαν ἐξεγείρεσθαι ἀλλ' ἐκ τῶν Ἰδαίων; καὶ λέγομεν ὡς διὰ τὸ ὑλικὸν πρωταίτιον. αἴτιον γὰρ καὶ ἀρχὴ τῶν ἀνέμων τὸ ὕδωρ. ἐπεὶ γοῦν καὶ ἡ Ἴδη πολυπίδακος φαίνεται, εἰκότως ἀπ' αὐτῆς ἡ τῶν ἀνέμων θύελλα ἐξεγείρεται. L.

254. ἡ διπλῆ, ὅτι τὸ ἰθύς τοπικῶς τίθησιν, ἀντὶ τοῦ ἐπ' εὐθείας καταντικρὺ τῶν νεῶν. A.

258. κρόσσας: τὰς πολεμικὰς κλίμακας· φησὶ γοῦν „κροσσάων ἐπέβαινον" (444). λείπει δὲ ἡ κατά, ἵν' ᾖ κατὰ τῶν πύργων εἴρυον, ὡς „ὡρμήθη δ' Ἀκάμαντος" (Il. 14, 488). οἱ δὲ τοὺς ἐν τοῖς πύργοις ἐξέχοντας λίθους. AV.

ὅτι κρόσσας ἐν μὲν τοῖς ὑπομνήμασι κεφαλίδας, ἐν δὲ τοῖς περὶ τοῦ ναυσάθμου κλίμακας. καὶ τὸ πύργων ἔρυον ἀντὶ τοῦ ὡς ἐπὶ τοὺς πύργους εἷλκον. A.

Πορφυρίου. ὁ Ἀρίσαρχος ἐπὶ κλιμάκων ἀκούσας, καὶ τὸ προκρόσσας ἀποδιδοὺς ἐπὶ τῶν νεῶν κλιμακηδόν („τῷ ῥα προκρόσσας ἔρυον" Il. 14, 35), τὸ πύργων ἔρυον ἀποδίδωσιν ἐπὶ τοὺς πύργους ἔρυον ἀποδιδοὺς ἀνεῖλκον, ὡς κλειστῶν καὶ συγκαμπτῶν οὐσῶν τῶν κλιμάκων. παραμυθεῖται δὲ ἐξ Ὁμήρου τὸ πύργων ἔρυον ἀποδιδοὺς ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους ἔρυον, ἐκ τούτων „οἱ δὲ μένοντες ἕστασαν ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν Τρώων ὁρμήσειεν" (Il. 4, 333) ἀντὶ τοῦ ἐπὶ τοὺς Τρῶας ὁρμήσειεν. οὕτω καὶ τὸ πύργων ἔρυον ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους ἔρυον. καὶ „ἀκόντισαν Ἰδομενῆος" (Il. 13, 502). οὐκ εἰσὶ δὲ κρόσσαι αἱ κλίμακες, ἀλλὰ μᾶλλον οἱ ἐξέχοντες λίθοι ἐν τοῖς πύργοις, οὓς ποιοῦσιν εἰς τὸ ἐμποδίζειν τὰς τῶν μηχανημάτων ἐμβολάς. οὕτω καὶ κρόσσους ἱματίων λέγομεν τοὺς ἐξέχοντας στήμονας· καὶ πρόκροσσαι δὲ αἱ νῆες αἱ μὴ ἐπ' ἴσου στίχου εἱλκυσμέναι ἀλλ' ἐξέχουσαί εἰσιν, ἐφ' ὧν διὰ τὸ μὴ πάντας ἔχειν ἰσαρίθμους „στήλας τε προβλῆτας ἐμόχλεον," τοὺς λεγομένους προμαχῶνας. B.

ἄλλως. τινὲς κρόσσας λέγουσιν ὄργανά τινα πρὸς τειχομαχίαν ἐπιτήδεια, ἔχοντα ἔνδον ἀνάβασιν, καλυπτομένην ἕως ἂν εἰς τοὺς πύργους ἀνέλθῃ ὁ τειχομαχῶν. τὸ δὲ πύργων ἔρυον ἐπὶ τοὺς πύργους λέγει· εἷλκον γὰρ τὰ ὄργανα πρὸς τοὺς πύργους. ἐπάλξεις δὲ οἱ προμαχῶνες. B.

ἐπὶ τὸν μέν σύνδεσμον εἰ διαστέλλοιμεν, γένοιτο ἂν πύργων ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους τὰς κλίμακας εἷλκον· εἰ δὲ συνάπτοιμεν κρόσσας πύργων τὰς ἐξοχάς, περὶ ὧν ἐν τοῖς περὶ ναυσάθμου λέγεται. κατὰ δὲ τὸν πρότερον λόγον κρόσσαι αἱ πολεμικαὶ κλίμακες καὶ τὰ μηχανήματα τὰ ἀνθιστάμενα τοῖς τείχεσιν. A.

ἔρειπον ἐπάλξεις: κατέβαλον τὰς ἐπάλξεις πρὸς τε γυμνῶσαι τούτων τοὺς ὑπ' αὐτὰς κρυπτομένους Ἕλληνας. BL.

ἐπάλξεις τὰ προπύργια, τὰ τῶν πύργων ἄκρα. ὡς γὰρ ἐπὶ ἀνθρώπου κεφαλή, οὕτω καὶ ἐπὶ πύργου καὶ τείχους θεμέλια, καὶ ὡς ἐπὶ ἀνθρώπου κράσπεδον, οὕτω καὶ ἐπὶ πύργου προπύργια. L.

259. στήλας τοὺς θεμελίους, παρὰ τὸ ἐπ' αὐτῶν τὸ τεῖχος ἵστασθαι. οἱ δὲ τὰς ἀντηρίδας, ἤτοι τοὺς προμαχῶνας. BL.

στήλας ὀρθοὺς λίθους, παρὰ τὸ ἵστασθαι. λέγει δὲ τοὺς θεμελίους· ὅθεν καὶ προβλῆτας αὐτούς φησι, παρὰ τὸ προκαταβεβλῆσθαι ὑπὸ τῶν πολεμίων. AD.

260. ἔχματα: ψιλωτέον· πᾶν φωνῆεν πρὸ τοῦ χ ψιλοῦται. περὶ δὲ τοῦ ᾗχι δασυνομένου εἴπομεν. A.

261. αὖ ἔρυον: ἡ διπλῆ, ὅτι εἰς τοὐπίσω εἷλκον, πρὸ τὸ „αὐέρυσαν μὲν πρῶτα" (Il. 1, 459). A.

262. οὐδέ νύ πω Δαναοὶ χάζοντο: οὐχ ὑπεχώρουν αὐτοῖς εἰσελθεῖν διὰ τῆς ἐπὶ τὰς ναῦς φερούσης ὁδοῦ. πιθανῶς δὲ πάνυ· ἔδει γὰρ πρὸ τῆς ἁλώσεως τοῦ τείχους ἀγάνας διαθέσθαι τινάς. BLV.

263. ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις: διάκενα τῶν ἐπάλξεων φράξαντες τοῖς ὅπλοις. αἱ μὲν γὰρ ἐπάλξεις πρόβολοι γίνονται τοῖς στρατιώταις· τὸ δὲ διάκενα αὐτῶν ταῖς ἀσπίσι προσαναπληροῦται. BL.

σημείωσαι ὡς στερεὸν ὁ ῥινός. L.

266. φοιτήτην: ἢ ἀπὸ τοῦ φοιτέω ἢ ἀπὸ τοῦ φοιτάω.

267. ἄλλον μειλιχίοις ἄλλον: κατ' ἀξίαν πρὸς ἕκαστον, ὅπερ καὶ ἐν ἄλλοις· „ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα" (Il. 2, 188). προσυπακουστέον δὲ τῷ μειλιχίοις τὸ ἐπιλάκευον, ὡς τὸ „ἔδουσι πίονα μῆλα οἶνόν τ' ἔξαιτον" (31 λείπει γὰρ τὸ πίνουσιν. BL. „δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος ὀϊστῷ" (Od. 8, 229)· „ποῦ δέ οἱ ἔντεα κεῖται Ἀρ ποῦ δέ οἱ ἵπποι" (Il. 10, 407)· „Κυκλώπων δ' ἐς γαῖαν ἐλεύσομεν αὐτῶν τε φθογγήν" (Od. 9, 166). V.

συναπτέον ταῦτα τοῖς ἐπάνω, ἀλλ' ἀφ' ἑτέρας ἀρχῆς κοινὸν δ' ἐστὶ τὸ νείκεον. εἰ δὲ μὴ ἁρμόζει τοῖς μειλιχίοις λόγοις τὸ νεικεῖν, οὐ θαυμαστόν· καὶ γὰρ ἐν τῇ A (5 φησὶν „ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσι δύναται δὲ καὶ στίζεσθαι ἐπὶ τὸ μειλιχίοις, ἵνα τοῖς προσδιδῶμεν τὸ ἡμιστίχιον· ἁρμόζει γὰρ ὀτρύνειν μειλιχίοις ἐξαλλαγὴ δὲ ἔσται, ἀπ' ἄλλης ἀρχῆς ἀναγινωσκόντων ἡμῖν ἄλλον στερεοῖς ἐπέεσσι νείκεον. A.

269. φίλοι: πρὸς πάντας τοῦτό φησι „πάντας κυδνων" (Il. 10, 69). V.

ὁ λόγος, καὶ ὃς ἔξοχός ἐστι καὶ ὃς ἐλάχιστος καὶ ὃς μέσος, νῦν τούτων ἁπάντων ἐστὶν ἔργον, ὡς εἰ οὕτως ἔλεγε, ἐν ἔπλετο ἔργον ἅπασιν, ὃς ἔξοχος ὅς τε μεσήεις ὅς τε ἐρειότερος. A.

271. νῦν ἔπλετο ἔργον ἅπασι: πάντες γὰρ νῦν χρήσιμοι, ἀπὸ τείχους ἀμυνόμενοι, ὅπερ καὶ γυναῖκες ποιοῦσιν. E.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔπλετο: ὑπάρχει, ὁ παρατατικὸς ἀντὶ ἐνεςῶτος. L.

272. καὶ δ' αὐτοὶ: διὰ τȣ̃ ἰδίȣ συνειδότος πάντας υσωπεῖ καὶ εἰς ἔννοιαν τῶν κινδύνων ἕκαςον ἄγει. BL.

273. ἀκούσας: γράφεται καὶ ἀκούων. A.

276. νεῖκος: Ἀρίςαρχος νῖκος διὰ τȣ̃ ῑ· βȣ́λεϑ γὰρ έγεσϑ τῆς νίκης τὴν ἧτταν. A.

Ἡρωδιανὸς διὰ μόνȣ τȣ̃ ῑ, ἵνα δηλοῖ τὸ νίκημα. BL.

βραχὺ διαςαλτέον ἐπὶ τὴν μετοχὴν διὰ τὸ σαφέςερον. A.

τὸ δὲ δίεσθαι προπαροξυντέον· παρατατικȣ̃ γάρ ἐςιν, ἀπὸ τȣ̃ δίημι. περιȣσίᾳ δὲ δυνάμεως τὸ καὶ διῶξαι προσοκᾶν τȣ̀ς πολεμίȣς. BL.

τὸ δίεσϑ ἡ παράδοσις προπαροξύνει, ϗ ἔχομεν ἐκεῖνο έγειν, ὅτι εἰ οἶδεν ὁ ποιητὴς τὸ δίενται (Il. 23, 475) ὡς ίθενϑ ϗ ἐνδίεσαν (Il. 18, 584) ὡς ἐτίθεσαν, δῆλον ὅτι εἴεϑ ϗ τὸ δίεσϑ προπαροξυνόμενον· ὡς γὰρ ἀπὸ τȣ̃ τίθενται ἐτίθεσαν τὸ ἀπαρέμφατον τίθεσϑ, ȣ̃τως ϗ ἀπὸ τȣ̃ „ἵπτοι ἀερσίποδες πολέος πεδίοιο δίενται" καὶ „αὔτως ἐνδίεαν" γένοιτ' ἂν τὸ ἀπαρέμφατον δίεσϑ, ὥςε ϗ ἀπὸ τῶν ς μι ἐχημάτιςαι· ϗ δέον ἐςὶ τὸ δίω βαρυνόμενον πολὺ ρότερον περισπᾶσϑ, ἵνα ἀποτελέσῃ τὸ δίημι, ἐξ ȣ̃ τὸ ἐνίεσαν καὶ δίεσϑ. A.

277. προβοῶντε: ἔμπροσθεν τῶν λοιπῶν βοῶντες. ἢ ρομαχόμενοι· βοὴ γὰρ ἡ μάχη ἀπὸ τȣ̃ παρακολȣθȣ̃ντος. D.

κατ' ἔνια τῶν ὑπομνημάτων προβάοντε, οἷον προαίνοντες ϗ ἀμείβοντες τόπον ἐκ τόπȣ. διχῶς ȣ̃ν. A.

278. ὥςε νιφάδες: μικρῷ πρόσθεν ἐχρήσατο τῇ εἰόνι· „νιφάδες δ' ὣς πῖπτον ἔραζε, ἅς τ' ἄνεμος ζαής" (156). κεῖ μὲν οὖν πρὸς τὴν πλῆξιν τὸν ἄνεμον ἔλαβε, πρὸς δὲ ὴν συνεχῆ φορὰν νῦν ϗ πρὸς τὸ μὴ ἀποκρυςαλλȣ̃σϑ τὴν όνα. ABL.

ἔοικεν ἐρίσαι ὁ ποιητὴς αὐτῷ ἐπὶ τῇ παραβολῇ. εἶπε „νιφάδες δ' ὣς πῖπτον ἔραζε." νῦν δὲ ἐπεξεργάζεϑ τὴν κόνα μεγαλοπρεπέςερον. V.

279. ἤματι χειμερίῳ: καλῶς χειμέριον τὴν ἡμέραν αρέλαβε· γίνονϑ μὲν γὰρ ϗ ἐν ἔαρι νιφάδες, ἀλλ' οὐ πυαί. BLV.

280. πιφαυσκόμενος τὰ ἃ κῆλα: εἰ μὲν ἐνδείξασϑ ὴν αὐτȣ̃ δύναμιν ἐπιτηδεύων ὁ θεός, τίς ὑπερβολὴ καταίπεϑ τȣ̃ νιφετȣ̃; εἶτα ϗ νηνεμίαν παρέλαβε πρὸς τὸ μὴ ποκρυςαλλȣ̃σϑ τὴν χιόνα. V.

ἡ διπλῆ, ὅτι κῆλα τὰ βέλη Διός, χιὼν ϗ ὑετός. νίφειν τὸ χιονίζειν λέγει. βραχὺ δὲ διαςαλτέον ἐπὶ τὸ νιφέεν πρὸς τὸ σαφέςερον. A.

281. ἔμπεδον: ȣ̃τως αἱ Ἀριςάρχȣ, ἔμπεδον· ἡ δὲ ασσαλιωτικὴ ἄσπετον. A.

282. ὑψηλῶν ὀρέων κορυφάς: εὖ τῇ τάξει ἐχρήτο· πρῶτον γὰρ τὰ ὄρη νίφεϑ, ἔπειτα σφοδρȣ̃ τȣ̃ χειμῶ γενομένȣ κάτεισι καὶ ἐπὶ τὰ χθαμαλώτερα. BL. ἐναρς δὲ ϗ ἀνακοπτομένην τῇ χιόνι τὴν τȣ̃ κύματος ἐπιφον δείκνυσι. τῇ δὲ συνεχεῖ ἐπαγωγῇ καὶ αὔξει τὰ λεγόα. V.

283. λωτεῦντα: ποτέ, ȣ̀κ ἐν τῇ χιόνι. V.

Ἀρίςαρχος διὰ τȣ̃ ου̅, λωτȣ̃ντα. A.

ȣ̃τως αἱ Ἀριςάρχȣ ϗ ἡ Μασσαλιωτική. V.

σημείωσαι ὡς ἡ Μασσαλιωτικὴ ἔκδοσις λέγει λωτοῦντα. L.

πίονα ἔργα: νῦν γεώργια. D.

285. ἐρύκεται: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ ἐρύκει. ὁ δὲ λόγος περὶ τῆς χιόνος· μόνον τὸ κῦμα προσπελάζον ἀπερύκει αὐτήν, τἆλλα δὲ πάντα κεκάλυπται. A.

ἢ ὅτι τῆς ὁρμῆς τὴν χιόνα ἐρύκει, ἢ διὰ τὸ γεφυρωθῆναι τῇ χιόνι τὸν αἰγιαλὸν τὸ κῦμα ἐρύκεται. BL.

286. εἰλυται: γράφεται εἰλύαται. A.

ἄλλως. προπερισπῶσιν, ἵνα ἐκ τȣ̃ εἰλύαται συναλοιφὴ ὑπάρχῃ, ἢ τȣ̃ εἰλύεται· δύναϑ γὰρ ϗ ἑνικῶς συντάσσεσϑ τὸ ῥῆμα ϗ πληθυντικῶς. ȣ̀κ ἀήθης δὲ ἡ τοιαύτη συναλοιφή, εἴγε ϗ τὸ ἐρύεσϑ ῥῦσϑ ἔφη· „πάντων ἀνθρώπων ῥῦσϑ γενεήν τε τόκον τε" (Il. 15, 141), ϗ τὸ „ἄρχετε νῦν νέκυας φορέειν" (Od. 22, 437) ἐν τοῖς ἑξῆς ἔφη „ἐκ δὲ νέκυς οἶκον φόρεον" (Od. 24, 417). τινὲς δὲ προπαροξύνȣσιν ὡς ἀπὸ τȣ̃ εἴλυμι. τὸ δὲ καθύπερθε πρὸς ἄμφω δύναται συντάσσεσϑ· διὸ διαςαλτέον. A.

Διὸς ὄμβρον δὲ τὸν χιονισμόν φησιν· ἄμφω γὰρ ἀπὸ Διὸς γίνεται. V.

287. πωτῶντο: ἐμφαντικῶς. ϗ „βέλεα ῥέον" (159) ἀλλαχȣ̃ φησίν. ἢ βελῶν μὲν ῥύσιν ἔφη· ἐπιμήκης γὰρ ἡ φορὰ τῶν βελῶν· πωτᾶσϑ δὲ τοὺς λίθους· περιγεγραμμένον γὰρ πῶμα ϗ ȣ̀κ ἐπίμηκες ὁ λίθος. V.

πρὸς τὸ νιφάδες τὸ πωτῶντο, πρὸς τὸ λίθοι τὸ πίπτωσι. λέγει δὲ Ὅμηρος ἀλληνάλλως. L.

θαμειαί: σημειωτέον ὅτι τὰς λίθȣς θηλυκῶς. AB.

288. βραχὺ διαςαλτέον ἐπὶ τὸ Ἀχαιούς· τὸ γὰρ ἑξῆς ἐςίν, ὡς τῶν βαλλομένων. ἐπὶ δὲ τῶν λίθων ἡ λέξις οὐκ ἂν ἀκȣ́οιτο, ἐπεὶ σολοικισμός ἐςιν. AV.

289. τεῖχος ὑπὲρ πᾶν: ἀπὸ γῆς ἕως ἄνω. τὸ δὲ βαλλομένων ἀντὶ τȣ̃ βαλλόντων. V. τὸ δὲ ἑξῆς, ὑπὲρ δὲ πᾶν τὸ τεῖχος. ȣ̀κ ἀναγκαῖον ȣ̃ν ἀναςρέφειν τὴν πρόθεσιν. BLV.

291. ἡ διπλῆ, ὅτι πάλιν τὴν πύλην πύλας, ϗ τὸν μοχλὸν ἕνα, διὰ τῶν ἑξῆς δύο παραδιδȣ́ς. A.

292. υἱὸν ἑὸν: Ἡσίοδος δὲ Εὐρώπης καὶ Διὸς αὐτόν φησιν. V.

Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη, ϗ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τȣ̃ ςόματος κρόκον ἔπνει. οὕτως τε τὴν Εὐρώπην ἀπατήσας ἐβάςασε, ϗ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ' ȣ̃τως συνῴκισεν αὐτὴν Ἀςερίωνι τῷ Κρητῶν βασιλεῖ. γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα Σαρπηδόνα καὶ Ῥαδάμανθυν. ἡ ἱςορία παρ' Ἡσιόδῳ καὶ Βακχυλίδῃ. ABD.

293. ὦρσεν ἐπ' Ἀργείοισιν: οὐ γνήσιος οὖν ἡ ἀρετή. δοκεῖ δέ μοι τὸ τοῦ Σαρπηδόνος οὐ μάτην παρει-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῆφθαι, ἀλλ' ἵνα καὶ μέγα τι χαρίσηϑ Πατρόκλῳ τοιȣ̃τον ἀναιρήσαντι. BL.

ἕλιξιν: μέλασιν, ἢ εἰλȣ̃σι τȣ̀ς πόδας ἐν τῇ πορείᾳ. A.

ἔνθα μὲν ψιλὰ τὰ ὀνόματα, ὡς ἐπὶ βȣσὶ λέοντα· ἑξῆς δὲ ἐπεξεργάζεται τὰ πραττόμενα ὑπὸ τȣ̃ λέοντος „βῆ ῥ' ἴμεν ὥςε λέων ὀρεσίτροφος" (299). V.

295. ἐξήλατον: ἐξ ἐλασμάτων κατασκευασθεῖσαν. ἐξάπτυχον. D. ἐξελασθεῖσαν, ἤτοι χαλκῆν· ȣ̀ γ̀ ἓξ ἔχει, ἐπεὶ ἡ Ἀχιλλέως πέντε. ψιλοῖ ȣ̃ν ὁ Νικάνωρ, ϰ̀ τὴν ἔξω ἔλασμα χαλκȣ̃ ἔχȣσαν ἐξηγεῖται. BLV.

Ἀρίςαρχός φησιν ὡς δεῖ δασύνοντας προφέρεσθ· σημαίνει γ̀ κατὰ ἀριθμὸν ἐκ τοσȣ́των ἐλασμάτων συγκειμένην αὐτήν. ὁ δὲ Ζηνόδοτος, φησίν, ἔοικε ψιλῶς προφέρεσθ, ἐκδεχόμενος τὴν ἐξηλασμένην, ȣ̀κ εὖ. οὐκ ἀπιθάνως δὲ ὁ Ἀρίςαρχος, εἴγε ϰ̀ ἑπταβόειον σάκος που λέγει ϰ̀ ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος „πέντε δ' ἄρ' αὐτȣ̃ ἔσαν σάκεος πτύχες" (Il. 18, 481) ϰ̀ „ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων" (Il. 20, 270). A.

δασυντέον τὸ ἐξήλατον ϰ̀ ἀριθμόν (ἐκδεκτέον?). τὸ δὲ ἑξῆς, ἐξήλατον χρυσέοις ῥάβδοισιν, εἶτα ἔντοσθε δέ· ἄτοπον γ̀ τὸν χρυσὸν ἔσωθεν εἶναι. V.

296. ἤλασεν: ὅτι Ζηνόδοτος γράφει ἐξέλασ'· ἐξ οὗ φανερός ἐςι τὸ προκείμενον ψιλῶς ἀνεγνωκὼς ἐξήλατον· δεῖ δὲ δασέως, ἵνα ἀριθμὸς δηλωθῇ. A.

296. 297. βοείας ῥάψε χρυσείῃς ῥάβδοισι: ἀντὶ τȣ̃ ἔῤῥαψε τὰς βοείας ῥαφαῖς ῥαβδοειδέσιν ὡσανεὶ φλεψίν. A.

ἐπεὶ τῶν πτυχῶν αἱ μὲν ἐκ χαλκοῦ ὑπῆρχον αἱ δὲ ἐκ βύρσης, ἔῤῥαψεν αὐτὰς ταῖς ῥάβδοις. D.

τὸ δὲ περικυκλον ἄμεινον δύο ποιεῖν, περί ϰ̀ κύκλον, ἵνα ᾖ περὶ τὸν τῆς ἀσπίδος κύκλον. οὕτως καὶ ὁ Ἀσκαλωνίτης. A.

297. διηνεκέσιν: ἀπὸ ἴτυος εἰς ἴτυν. προπαρασκευάζει δὲ ἀεὶ τοὺς ἀριςεύοντας, ἐξαίρων ἡμᾶς εἰς προσοχήν. BLV.

298. διαςαλτέον ἐπὶ τὸ χόμενος πρὸς τὸ σαφέςερον. A.

δύο δȣ̃ρε: ἕτερον ἐν τῇ ἀσπίδι, τὸ δὲ ἐν τῇ δεξιᾷ. κινȣμένȣ δὲ αὐτȣ̃ ἄμφω τινάσσεται. BL.

300. δηρὸν ἔῃ κρειῶν: ἐπεξειργάσατο τὴν προκειμένην εἰκόνα· ἐνταῦθα γ̀ ϰ̀ λιμώττει ὁ λέων, ϰ̀ ȣ̀ νεμομένῳ ζῴῳ ἐπιτυγχάνει, εἰς ἔπαυλιν δὲ αὐτὸν ὁ λιμὸς ἄγει. BL.

301. ἡ διπλῆ, ὅτι πειρήσοντα διάπειραν ληψόμενον, ἐνεδρεύσοντα· ϰ̀ ὅτι ὁ καί περισσός ἐςιν. ὁ δὲ Διονύσιος, ὅτι δύναϑ σημαίνειν τι πλέον, οὕτως ἐνδεὴς τροφῆς ὥςε ϰ̀ ἐπὶ πεπυκνωμένον ϰ̀ ἠσφαλισμένον δόμον ἐλθεῖν. δόμον δὲ τὴν ἔπαυλιν. A.

πειρήσοντα: ἐνεδρευθέντα. ὅθεν ϰ̀ πειρατάς. V.

εἰς: γράφεται καὶ ἐς. A.

302. βώτορας: βοσκήτορας, βȣκόλȣς. βῶ βόσω, βότωρ βότωρος, ὑπερβιβασμὸς χρόνȣ βώτορος ϰ̀ βώτορας. A.

303. σὺν κυσὶ καὶ δȣ́ρεσσι: οἷον εἰ εὕροι αὐτοὺς προπαρεσκευασμένȣς πρὸς τὴν ἔφοδον αὐτȣ̃, ȣ̀ βȣ́λεϑ ἀν χωρεῖν μὴ πρότερον πεῖραν ἑαυτȣ̃ δȣ̀ς ἢ λαβών. BL.

σημειοῦνταί τινες ἐνταῦθα ὅτι περισσὴ ἡ πρόθεσις περί. A.

305. τὸ ἥρπαξε τὴν ἐκ μεθόδȣ δηλοῖ προσβολήν. πρ τὸν θανατῶντα δὲ λέοντα τὸ πρόθυμον Σαρπηδόνος πα βαλεν. BLV.

308. διά τε ῥήξασθαι: ἔμφασιν ἔχει τὸ ὑπερβ τόν. V.

ἐπάλξεις: τοὺς μέσȣς τῶν ἐπάλξεων. προεῖπε „ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις" (263). V.

310. τίη δὴ: τί δή, Ἀττικῶς. διὰ δὲ τὸ ἐργῶδες ἐγχειρήσεως ἑταιροποιεῖται. αἰδήμονος δὲ οἱ λόγοι ϰ̀ γαλοψύχȣ ϰ̀ εὐγνώμονος· αἰδεῖται γὰρ ταῖς τιμαῖς πλ νεκτεῖν ϰ̀ μὴ ταῖς ἀνδραγαθίαις· μεγαλόψυχος δὲ ὢν ταφρονεῖ θανάτȣ· εὐγνωμοσύνης δὲ τὸ ὁμολογεῖν τὴν μήν. BL.

312. θεοὺς ὣς εἰσορόωσι: οἱ Λύκιοι ἡμᾶς ὡς θ ὁρῶσιν· αἰσχρὸν δὲ τȣ̀ς ἐν θεῶν μοίρᾳ τεταγμένȣς μ ἄνδρας ἀξιολόγȣς φαίνεσθ. διδάσκει δὲ ὡς ȣ̀ δεῖ μὴ π κινδυνεύοντα βασιλέα τιμᾶσθαι. BL.

313. νεμόμεσθα: ἐκ τῶν ἀλόγων ζῴων. τέμε δὲ καλὸν τὸ μὲν πεφυτευμένον, τὸ δὲ ἀρȣ́μενον. ὁ Ξάνθος Σίρβις νῦν καλεῖται. V.

316. καυςειρῆς: τῆς πυρȣ́σης τὰ σώματα. V.

317. ὄφρα τις ὧδ' εἴπῃ: ἀξιοῖ σκοπεῖν ϰ̀ τί ἡμῶν οἱ πλησίον λέγȣσιν. A.

318. ἀκλειεῖς: οὕτως. ἀκλεες δὲ Ἀρίςαρχος κ συγκοπήν, ὡς τὸ δυσκλέα. A.

ȣ̃τως ἀκλεες αἱ Ἀριςάρχȣ ϰ̀ αἱ χαριέςεραι. A.

319. ἔδουσί τε: ὅτι ȣ̀ χρυσῷ ἐτιμῶντο οἱ βασιλεῖ καὶ „σὸν δὲ πλεῖον δέπας αἰεί" (Il. 4, 262) καὶ „νώτ δ' Αἴαντα" (Il. 7, 321). V.

320. οἶνόν τ' ἔξαιτον: ἐκ κοινȣ̃ τὸ πίνȣσι. B.

322. εἰ μὲν γὰρ: εὐγενὴς (εὐαγὴς V) ἡ γνώμη μὲν γ̀ ἀποθανεῖν κοινὸν ἡγεῖται πάντων, τὸ δὲ μετ' κλείας τῶν ἀγαθῶν μόνων· καὶ τὴν παραυτίκα σωτη ȣ̀κ ἀπαλλαγὴν θανάτȣ ἀλλ' ἀναβολὴν χρόνȣ μικρὰν ἀδοξίας γινομένην φησὶν εἶναι. BL. διδάσκει ȣ̀ν μὴ πρ δύο κατὰ ἀνατολήν· „τί γ̀ παρ' ἦμαρ ἡμέρα;" ȣ̀ γ̀ πος εἱμαρμένην παρεγχειρεῖ. V.

τίς ἂν εἴη πιθανὸς λέγων ἢ ὁ τοιαῦτα αἱρȣ́μενος;

326. ἔμπης: ὁμοίως πᾶσιν. ἔμφασιν δὲ ἔχει κα ἐφεστᾶσι. μυρίας δέ φησι προφάσεις τὴν τȣ̃ θαν ἔχειν μοῖραν, ὥςε καὶ μὴ πολεμήσαντας ἱκανὴν φονε εἶναι. BL.

τὸ ἑξῆς ἐςί, νῦν δ' ἴομεν ἠέ τῳ εὖχος ὀρέξομεν. ȣ̃ ȣ̃ν διορθωτέον. A.

τὸ ἑξῆς, νῦν δ' ἴομεν. τὸ χῆμα δὲ τȣ̃ λόγȣ με συγχώρησις καλεῖται· διδȣ̀ς γ̀ τὸ δεῖν τῶν κινδύνων ςασθαι, εἰ ἐνῆν ἀθάνατον εἶναι, τῷ ἀδύνατον εἶναι τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μενον τὴν παῤῥησίαν τοῦ δεῖν κινδυνεύειν εἰσηγή-
. BV.

28. καὶ ἄφορτον καὶ ἀνεμέσητον. V.

διπλῆ, ὅτι ἀντὶ τῦ ἴωμεν ϗ ὀρέξωμεν, ϗ ὅτι συνεκ-
θῆ δεῖ τὸ ὀρέξῃ, ὅπερ οὐ συνέντες τινὲς ὑποτιθέασι
ν· „δώσει ἀποκτάμενος κλυτὰ τεύχεα ϗ δόρυ μακρόν." A.

29. οὐδὲ Γλαῦκος ἀπετρώπετ': ὀρθῶς οὐδὲν
κρινόμενος ἕπεται· ὁ γὰρ καιρὸς αὐτὸν ἤπειγεν. BL.

30. ἰθὺς: γράφεται εὐθύς. L.

άλιν ἄλλη παρασκευῇ χρῆται ὥσε νεώτερον τὸν ἀγῶνα
εσθῆ, προσεκτικωτέρας τὰς ἀκροατὰς ποιῶν. BL.
τως Ἀρίσαρχος, ἄγοντε, δυϊκῶς. A.

32. τοῦ γὰρ δὴ πρὸς πύργον: ὅπῃ αὐτὸς φυλάτ-
ετέτακτο. ὡς σύνετὸς δὲ προασφαλίζεται. BL.
ῆλον ἦν ὡς ἐπὶ ἐννέα πλέθρα διαβάντες ἦσαν, πρῶ-
Αἴας, Ἰδομενεύς, Βοιωτός, Φιλοκτήτης, Πρωτεσίλαος,
άδης, Διώρης, Μέγης, Μενεσθεύς. V.

33. τὸ Ἀχαιῶν ἑκατέροις δύνᾳ προσδίδοσθῆ, βέλτιον
ῖς προτέροις, ἐπεὶ τὸ ἡγεμόνων ἐπιφέρει. ϗ ἄλλως
ν ἑξῆς „βῆ δὲ θέειν κατὰ τεῖχος Ἀχαιῶν" (352). A.

34. τὸ ἡγεμόνων ἄκρως προσέθηκεν, οἷς δι' αἰδῶ
αίτητος ἡ συμμαχία. διδάσκει ἓν Ὅμηρος οἵας δεῖ
τὰς ἄρχοντας, ὡς ἀμείνας τῶν ὑποτεταγμένων. ἅλ-
τε τοῖς ἡγεμόσιν εἰκὸς ϗ πλῆθος ἕπεσθῆ. BL.

ρὴν: βλάβην. περισπῶσι δέ τινες ὡς ἀκῆν. L.

τάροισιν: τὸ φιλόστοργον αὐτῦ ἐνδείκνυ· ἀ γὰρ ὑπὲρ
ῦ ἀλλ' ὑπὲρ τῶν ἑταίρων δέδοικε. παιδευτικὸς δὲ ὁ
ς. BL.

μύναι: ἀμύναιτο, ὡς ἐπήμυνε τοῖς λῃσταῖς τὰ θηρία. L.

5. ἡ διπλῆ, ὅτι ἐν τοῖς ἀριστεροῖς μέρεσι τῦ ναυσάθμου
εν ἡ μάχη, ὅπου ϗ οἱ Αἴαντες ἐσκήνουν. A.

6. ἐκ εἰκῆ τὸ νέον· χθὲς γὰρ ὑπὸ Ἕκτορος ἐτρώθη·
ἓν προῆλθε τῆς σκηνῆς, ὁρῶν τὸν κίνδυνον. BL.
ι νέον ἀντὶ τῦ νεωστί. A.

7. ἀλλ' ἔπος: ἀλλ' ἐκ ἦν αὐτῷ ἐγγύθεν βοήσαντι
θῆναι· ἐντεῦθεν ἀγγέλῳ ἐδέησεν. BL.

εγωνεῖν: ἀκοῦσθῆναι. ἐξ οὗ ϗ γεγωνοκόμαι, ὅτινες
ι πολλά. L.

Ἀσκαλωνίτης βαρύνει ὡς ἀνύειν, Ἀρίσαρχος δὲ πε-
ῦ ὡς φιλεῖν. καὶ ἔοικε μᾶλλον περισπώμενον εἶναι πα-
ῷ ποιητῇ· ὡς γὰρ ἐνόησεν ϗ ἐφίλησεν, ὅτως ϗ ἐγεγώνεον
„ἡμὲν ὅσ' ἐφρασάμην ϗ Τηλεμάχῳ ἐγεγώνεον" (Od.
51). ἀπαρέμφατόν τε προηνέγκατο τὸ γεγωνέμεν· „ἦ
μεσάτῳ ἔσχε γεγωνέμεν" (Il. 8, 223). προσέθηκα δὲ
τῷ ποιητῇ, ἐπεὶ οἱ μετ' αὐτὸν ϗ ὡς βαρύτονον αὐ-
λιναν καὶ ὡς περισπώμενον. A.

9. βαλλομένων σακέων: ἔμφασιν ἔχει ἡ ὁμοιο-
ηξία τῶν λέξεων ϗ ἡ ἐπέκτασις τῦ στοιχείου τῦ πυ-
V.

0. ὅτως Ἀρίσαρχος, πάσας γὰρ ἐπῴχατο. A.
ϗ πάσας ἀντὶ τῦ ὅλας· ἃ γὰρ ἦσαν πολλαὶ πύλαι ἀλ-
λὰ μία. τὸ δὲ ἐπῴχατο διὰ τῦ ᾱ καὶ σὺν τῷ ῑ, οἷον
ἐπικεκλιμέναι ἦσαν, ἐπέκειντο. Ζηνόδοτος ἐπῴχετο. A.

ἄλλως. ἐὰν γράφῃ ἐπῴχετο, τὸ πρὸ αὐτῦ πάσας
γραφέσθω. ἐπῴχετο δὲ ἡ αὐτὴ δηλονότι. A.

ἐπὶ πάσας γὰρ ὁ ὀχεὺς κεκλιμένος ἦν· ἢ ἐπὶ πάσας ἤρ-
χοντο οἱ πολέμιοι. BL.

342. ἡ διπλῆ, ὅτι οἰκεῖον ὄνομα κήρυκος, ἀπὸ τῦ ταχύ-
νειν, καὶ ὅτι ὀνομαθετικὸς ὁ ποιητής. Ζηνόδοτος δὲ ἐν
ἀμφοτέροις τοῖς στίχοις Αἴαντε γράφει. A.

343. Θοῶτα θέων: ἡ διπλῆ, ὅτι παρετυμολογεῖ τὸν
Θοώτην ἀπὸ τῦ θέειν. τὸ δὲ ἔρχεο ἐν ἴσῳ τῷ πορεύου.
στικτέον δὲ ἐπὶ τὸ Θοῶτα, ἢ συναπτέον, ὡς πολλάκις
εἴρηται. A.

Αἴαντα κάλεσσον: φίλος γὰρ αὐτῦ ὡς Σαλαμίνιος
ἦν ὁ Τελαμώνιος· εἶτα δὲ (δεδιὼς L.) ἐπάγει „ἀμφοτέρω
μὲν μᾶλλον", ἔστι δὲ ἠθικὰ ταῦτα ϗ ἐγγὺς ἀληθείας, ἣν
περ ἄκρως ἀπομιμεῖται ὁ ποιητής. BL.

345. ἐπεὶ τάχα: ἵνα ὡς περὶ κοινῦ ἀγωνίσωνται. V.

346. ἡ διπλῆ περιεσιγμένη πρὸς Ζηνόδοτον, ὅτι ἔοικεν
ἐξειληφέναι τὸ ὧδε τοπικῶς· ἑξῆς γὰρ γράφει εἰ δέ σφιν
καὶ κεῖθι. ἔστι δὲ ἀντὶ τῦ ἔτω. A.

348. καὶ κεῖθι: ἐκ πλήρους τὸν σύνδεσμον, ϗ κεῖθι. A.
γράφεται καὶ κἀκεῖθι. V.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει εἰ δέ σφιν κἀκεῖσε·
ἔστι δὲ ἀντὶ τῦ ἔτως. δὲ (ἀ δεῖ δὲ?) εἰ εἰς ἐκεῖνον τὸν τό-
πον πόλεμός ἐστιν, ἀλλ' ἐν ἐκείνῳ. A.

349. σαφὲς ἐνθάδε γίνεται πότερον τῶν Αἰάντων ἔλεγε,
„θέων Αἴαντα κάλεσσον" (343). V.

350. ἀθετεῖται· ἀ γὰρ πιθανὸν ὥσπερ ἐξ ἐπιτάγματος
παρεῖναι τὸν Τεῦκρον· διὰ παντὸς γὰρ ὑπασπιστὴς Αἴαντος
φαίνεται. καὶ Ἀριστοφάνης ἠθέτει. A.

ἀθετεῖται· εἴπετο γὰρ πάντως διὰ τὴν σκέπην Αἴαντος,
εἰ μὴ χωρὶς ὢν ἐκ ἤκουε τῶν λεγομένων ὁ Τεῦκρος. V.

352. παρὰ τεῖχος: γράφεται κατὰ τεῖχος. A.

354. ταῦτα καὶ ταχέως προφέρεσθαι δεῖ· ἔφη γὰρ „εἴθαρ
δὲ προσηύδα." V.

356. μιννυθά περ: δεξιότητος ἀγγέλου σημεῖον· προσ-
άγει γὰρ φάσκων ἐπ' ὀλίγον ἔσεσθῆ τὴν βοήθειαν. BL.

359. ἔβρισαν: βαρέως ἦλθον. κυρίως δὲ ἐπὶ ἀνέμων.
καὶ ἐπεὶ ἐπὶ ἀνέμων, εἰκότως εἶπε τὸ ζαχρηεῖς· ζαχρηὴς
γὰρ ἄνεμος ὁ τελείως διαθύνων τὴν νῆα. L.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει κεῖσε
γὰρ ἔβρισαν, ἐκ ὑγιῶς εἰς ἐκεῖνον τὸν τόπον· δεῖ γὰρ ἐν
ἐκείνῳ τῷ τόπῳ. δεῖ δὲ γράφειν ὧδε· τὸ γὰρ λεγόμενόν
ἐστιν, ὅτως ἐπεβάρησαν ὥσε χρείαν ἔχειν ἡμᾶς συμμαχίας. A.

360. ζαχρηεῖς: περισπαστέον ὡς εὐγενεῖς. A.

363. ἀθετεῖται ὁ στίχος καὶ ὑπὸ τῦ κήρυκος λεγόμενος
διὰ τὰ αὐτά. A.

365. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει αὐ-
τὶ' ἄρ' Ἰλιάδην. Οἰλιάδην δὲ διὰ παντὸς Ὅμηρος λέ-
γει. καὶ ὅτι λείπει ἡ πρύς. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεικνύει τὴν ἀπολογίαν πρακτικῶς. L.

366. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει σφῶε. τȣ̃το δέ ἐςιν αὐτȣ́ς, ὅπερ ȣ̓χ ἁρμόζει. τὸ δὲ σφῶϊ ὑμεῖς. A.

τὸ δὲ κρατερός πρὸς κολακείαν τȣ̃ Διομήδȣς εἶπε. V.

θαυμαςῶς ἐφ' ἑτέραν μάχην ἀπιὼν ϗ τῶν ἐνθάδε προνοεῖ ὡς γενναῖος καὶ πολεμόπειρος. BL.

367. Δαναοὺς ὀτρύνετον: ȣ̓ γ̓ εὔχημον τὸ τοῖς ἡγεμόσι ϗ ὁμοτίμοις ἐντέλλεσθαι. BL.

368. ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει κεῖθι. τȣ̃το δὲ σημαίνει ἐν ἐκείνῳ τῷ τόπῳ. τὸ δὲ κεῖσε, εἰς ἐκεῖνον τὸν τόπον πορεύσομαι, ὅπερ νῦν ἁρμόζει. A.

369. αἶψα: μέμνηται τȣ̃ „μίνυνθά περ" (356). V.

τȣ̃το πρὸς τὸ ποιῆσαι αὐτȣ̀ς προθύμȣς. L.

371. εἴρηται ὅτι διεσκεύαςαι. A.

ȣ̓ νόθος ȣ̓ν κατὰ Ὅμηρον ὁ Τεῦκρος· ϗ γ̓ ὅτι φήμαντα κασίγνητον ϗ ὄπατρον. φησὶ δὲ „ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν" (Il. 15, 439). οὐκ ἄρχει δὲ ὡς μικρότερος. ἀθετεῖται ȣ̓ν τὸ „καί σε νόθον περ ἐόντα" (Il. 8, 284). V.

372. ἀθετεῖται· διὰ τί γ̓ μὴ ἑαυτῷ βαςάζει; τινὲς δὲ τόξα τὰ βέλη. V.

374. ὑποςικτέον ἐπὶ τὸ ἰόντες ϗ ἵκοντο. περισσεύει δὲ ὁ ἑξῆς σύνδεσμος ὁ οἱ δ' ἐπ' ἐπάλξεις βαῖνον. A.

375. ἐπ' ἐπάλξεις βαῖνον: ἡ διπλῆ, ὅτι εἰ μὴ νοήσωμεν κρόσσας (258) τὰς κλίμακας, πῶς ἂν ἄλλως δύναιντο ἀναβαίνειν ἐπὶ τὸ τεῖχος; A.

378. πρῶτος: τοῦ Τεύκρου. V.

379. Σαρπήδοντος: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ὡς Χαλκώδοντος· ȣ̓ γ̓ δύναθ ἔτι φυλάσσεσθ ὁ τόνος τῆς Σαρπηδόνος γενικῆς διὰ τὸ μηδέποτε τὰ εἰς ων ὀνόματα ὀξύτονα ἐπιδέχεσθ τὴν διὰ τȣ̃ τ̄ κλίσιν, ἔνθεν γ̓ ϗ τὸ ἑκών μετοχή. A.

380. μαρμάρῳ: συνεκδοχή, ἀπὸ εἴδȣς τὸ γένος. L.

381. ὑπέρτατος: ὑπερμεγέθης. ἔςι δὲ ὁ ςίχος ὅλος δακτυλικός. BL.

382. ȣ̓τως αἱ Ἀριςάρχȣ ϗ αἱ πλείȣς, χείρεσ' ἀμφοτέρῃσιν. ἐν δὲ ταῖς κοινοτέραις χειρί γε τῇ ἑτέρῃ ἔχοι ἀνήρ, ὅπερ ἐκλύει τὴν ἰσχὺν τȣ̃ Αἴαντος. A.

ἄλλως. χείρεσ' ἀμφοτέρῃς ἔχοι. A.

ἄκρως τὸ ἔχοι· οὐ γὰρ ἔφη βάλοι, καίτοι ἐγχωρȣ̃ντος τȣ̃ μέτρȣ. ἔςιν ȣ̓ν ἐπίτασις· ὃν ȣ̓δὲ κατέχειν ἀμφοτέραις ἐδύνατό τις, τȣ̃τον ῥηϊδίως τῇ ἑτέρᾳ ἀφίησιν Αἴας. ϗ τὸ ȣ̓δὲ μάλ' ἡβῶν πρὸς ἐπίτασιν πλείονα ἔγκειθ. BL.

383. ὑψόθεν ἔμβαλ' ἀείρας: ἤτοι μετεωρίσας τὴν χεῖρα πρὸς τὸ βιαιοτέραν γενέσθ τὴν πληγήν. BL.

ȣ̓ δοκεῖ μοι νῦν λέγειν ὅτι ἀπὸ ὕψȣς βάλλει ἐν τῷ τείχει ὤν, ἀλλὰ μεῖ.... V.

ἐν ἄλλῳ ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος. A.

384. σὺν δ' ὀςέ' ἄραξε: ἐμφαντικῶς. ἅμα τῇ κυνῇ συνέθλασε πάντα τὰ ὀςᾶ. V.

385. ἀρνευτῆρι: ἀρνευτὴρ ὁ κυβιςήρ, παρὰ τȣ̀ς ἄρνας· ȣ̓τοι γ̓ κυβιςῶσιν, ὥσπερ τὸν ἀέρα κυρίττοντες. τινὲς δὲ τῷ δελφῖνι· οἱ γ̓ ἄρσενες ἐπὶ κεφαλὴν ἵενται, ὅταν γαλήνη γένηται. AD.

κυβιςῇ, ἢ δύτῃ, ἢ δελφῖνι. τὸ δὲ ἀρνευτῆρι παρὰ ἄρνας· ϗ γ̓ ȣ̓τοι ἐπὶ κεφαλὴν ἑαυτȣ̀ς ῥίπτȣσιν, ὥσπερ κ ρύττοντες τὴν γαλήνην. B.

ὁ ἄῤῥην δελφὶν λέγεθ ἀρνευτήρ, διότι κατωκάρα πλέει

386. κάππεσ': ἤδη γ̓ ἐπιβεβηκότες ἦσαν τῷ τείχει, οἱ δὲ τȣ̃ ἀναχώματος. V.

ὑψηλȣ̃: γράφεται εὐεργέος. A.

λίπε δ' ὀςέα θυμός: δοκεῖ αὐτῷ ϗ τοῖς ὀςο ψυχικὸν παρεσπάρθαι, ὡς καὶ Ποσειδωνίῳ ἐν τρίτῳ ψυχῆς· ὁ μὲν γ̓ Πλάτων ϗ τȣ̀ς δεσμȣ̀ς αὐτῆς ἐν τα ὀςȣ̃ ῥίζαις φησὶν εἶναι. V.

ὁ μὲν Ὅμηρος ἔμψυχα λέγει τὰ ὀςᾶ, ὁ δὲ Ποσειδ ἄψυχα. L.

ὀςέα δὲ ἀπὸ μέρους τὸ ὅλον σῶμα· οὐ γὰρ ἐν ἀναισθήτοις ἡ ψυχή. BL.

388. ȣ̓ πάντως διαςαλτέον ἐπὶ τὸ ἰῷ· κἂν συνάπ γ̓ ὁ ςίχος, δύναθ ὑπερβατὸν νοεῖσθ, ἰῷ βάλεν ἐπεσσύ τείχεος ἀντὶ τȣ̃ ἐπὶ τεῖχος. A.

πολὺ ὤνησαν ἐλθόντες βοηθοὶ Αἴας ϗ Τεῦκρος· ἄκρα τῆς Σαρπηδόνος ςρατιᾶς παρείλοντο. BL.

389. ᾗ ῥ' ἴδε: καθ' ὃ μέρος ἐθεάσατο αὐτȣ̃ τὸν χίονα γεγυμνωμένον. AD.

ἀρίςȣ γ̓ τοξότȣ τὸ ἐσκεμμένως βάλλειν καὶ τὰ κ τηρεῖν. BL. τὸ δὲ ἑξῆς, ἰῷ ἐπεσσύμενον βάλε βρα τὸ δὲ χάρμης ἐξ ἀντιφράσεως. V.

390. ἂψ δ' ἀπὸ τείχεος ἆλτο: προσηρεικὼς τ χει ὁ Γλαῦκος πάλιν ἀναχωρεῖ, ἵνα μὴ τοῖς ἑτέροις σὶν αἴτιος γένηται δειλίας, καυχήσεως δὲ τοῖς Ἀχαιοῖ

391. ἀθρήσειε: ψιλωτέον· πᾶν γ̓ φωνῆεν πρὸ ϗ τȣ̃ ρ̄ ψιλȣ̃ται, ἴθρις Ὄθρυς ἄχρις ἀφρός ὄφρα, ὑπ μένȣ τȣ̃ ἄθρȣς πρὸς διάφορον σημαινόμενον. πρόδη κἀκ τῆς συναλοιφῆς, ὅτι ψιλȣ̃ται „ἡ δ' ȣ̓τ' ἀθρῆσ νατο" (Od. 19, 478). A.

392. Σαρπήδοντι δ' ἄχος γένετο: ἐδηλ διάθεσις τȣ̃ φίλȣ· διὰ γ̓ τὴν περίςασιν ȣ̓κ ἐξάγειν, ȣ̓ μυθεῖσθ ἐδύνατο. BL.

393. αὐτίκ' ἐπεί τ' ἐνόησεν: τὸ ἑξῆς, ἐπεὶ ἐνόησεν· παρέλκει γ̓ ὁ τέ. BL.

τὸ ἑξῆς ἐςὶν ἐπεὶ ἐνόησε, παρέλκοντος τȣ̃ τέ· πει συλλαβὴν ὀξυτονητέον. τοῦ δὲ ὅμως τὴν πρ ὀξυτονητέον· ἔςι γ̓ σύνδεσμος. προείρηθ δὲ τὸ αἴτι

ὁμοίως τῷ πρώτῳ ἦν ἢ ὅμως, ὡς ἔχει τὸ „ἔν ὅμως προσέφη" (Od. 11, 565). V.

394. ἡ διπλῆ, ὅτι οὐ Κάλχαντος ἀδελφὸς Ἀλκ ἀλλ' ὁμώνυμος, ἐπεὶ προσέθηκεν ἄν τι εἰς διάγνωσ

395. νύξ': ἄδηλον ποῦ. ὁ δὲ Ἀριςοφάνης ὡς κύπτοντα κατὰ τὸ γένειον αὐτὸν ἔβαλεν. V.

ἐκ δ' ἔσπασεν ἔγχος: δῆλον ὅτι πλησίον ὢν σαι ἐκ χειρὸς δυνάμενος· ἤδη γ̓ ἐπέβη τῷ τείχει. L δὲ μὴ κατὰ τὸ ῥητὸν λέγει πῶς προσῄεσαν, ȣ̓ θαῦμ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀρ ἤδη „κρόσσας μὲν πύργων ἔρυον." ἄλλως γ' ἀναβαίνειν ἀδύνατον. V.

397. ἔπαλξιν ἑλὼν: καθέλκει τὴν ἔπαλξιν πρὸς τὸ εἰσπηδῆσαι· σαθρὰ δὲ ὖσα κατηνέχθη. τινὲς δέ φασι κάτωθεν λαβεῖν τὴν ἔπαλξιν· ἔςι γ' ταπεινὸν τὸ τεῖχος. BL.

398. ἡ δ' ἕσπετο: ὡς ἐπὶ ἐμψύχȣ, ἵνα δηλώσῃ ὅτι ὥσπερ ἐπιταχθεῖσα ἠκολȣ́θησε. τὸ δὲ διαμπερές διηνεκῶς, δι' ὅλȣ. V.

τὸ ἐπὶ τοῖς ἀπροαιρέτοις τιθέναι προαίρεσιν γλυκύτης. L.

399. πολέεσσι: ἔμφασις μεγέθȣς λίθȣ. τὸ δὲ ἐγυμνώθη ἀπεκοσμήθη. V.

400. Αἴας καὶ Τεῦκρος: πιθανῶς ὡς ἀρίςȣ ἄμφω ςοχάζονται. V.

ὑπὸ τὴν ἔπαλξιν σκέπτεται ὁ Τεῦκρος. V.

ὁ μὲν: ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν. A.

402. ἀμφιβρότης: τινὲς βροτὸν ἐχȣ́σης. V.

ἀλλὰ Ζεὺς: ἄκρως κἀνταῦθα τῇ προσθήκῃ τὴν ἀποτυχίαν τȣ̃ Τεύκρȣ ἰάσατο. ϗ τοῖς βάλλȣσι γ' χαρίζεϑ, ϗ Πατρόκλῳ σώζει αὐτόν. BL.

404. ȣ̃τως ȣ̓δὲ διὰ πρό αἱ Ἀριςάρχȣ. ἡ δὲ κοινὴ ἡ δὲ διὰ πρό. A.

405. μεμαῶτα: μετὰ προθυμίας ἐφαλλόμενον. B.

406. χώρησεν: κατὰ τὴν ἀνάβασιν δηλονότι τὴν εἰς τὸ τεῖχος κατελύθη (ἐκωλύθη L). BL.

407. ἐέλπετο: ȣ̃τως διὰ τȣ̃ π̄ αἱ Ἀριςάρχȣ, οὐχὶ δὲ διὰ τȣ̃ δ̄ ἐέλδετο. A.

ἐβȣ́λετο: γράφεϑ ϗ ἐέλδετο. ϗ μᾶλλον. V.

410. ἀργαλέον: ἀργαλέον ϗ ῥῆξαι ϗ ὁδοποιῆσαι. V.

412. Ἀρίςαρχος ἐφαμαρτεῖτε, ἄλλοι δὲ ἐφομαρτεῖτον, ἄλλοι δὲ ἐφομαρτεῖτε. A.

413. ὑποδδείσαντες: ἐπὶ δὲ τῶν Ἑλλήνων ἅμα τῷ ἔει ϗ αἰδῶ παραλαμβάνει· ȣ̓ γ' ὡς τυράννοις ἐξ ἐπιταγῆς πακȣ́ȣσιν οἱ Ἕλληνες. BL.

414. ἐπέβρισαν: μετὰ βάρȣς ὥρμησαν. V.

416. δέ σφισι φαίνετο ἔργον: ἀνεφαίνετο αὐτοῖς μέγα ἔργον, οἷον ἡ μάχη μείζων ϗ δεινοτέρα καθίςατο. BL.

ἡ διπλῆ, ὅτι τὸ σημαινόμενόν ἐςι, μέγα ἤδη αὐτοῖς ἐνεδείκνυτο τῆς μάχης ἔργον, ȣ̓ κατὰ διάνοιαν. A.

417. ȣ̓τε γὰρ: ἀντίθεσις τὸ ϗῆμα· ἀκριβῶς γ' ἴσα πρὸς ἴσα ἀντιτίθησιν. BL.

420. ȣ̃τως πέλασθεν Ἰακῶς. A.

421. ἀμφ' ȣ̓ροισι δύ' ἀνέρε δηριάασθον: περὶ ὅρων ἁμιλλῶνϑ· ȣ̓δὲν γ' τȣ́τȣ ἰσοῤῥοπώτερον (ϗετλιώτερον ὁκεῖ τοῖς κτήτορσιν εἶναι V). BLV.

422. μέτρ': μέτρα τοὺς γεωμετρικοὺς καλάμους (τὰς κάινας ὡς ϗ οὗτοι τὰ δόρατα V). ἐπιξύνῳ δὲ κοινοὺς ὅρȣς ἐχȣ́σῃ. BLV.

423. ὀλίγῳ ἐνὶ χώρῳ: Ζηνόδοτος ὀλίγῃ ἐνὶ χώρῃ. A.

εἰς ἐπίτασιν· οἱ γ' πλείονα κεκτημένοι ἴσως καταφρονοῦσιν. V.

424. ὣς ἄρα: τὰ γ' ὅρια ἔθεσαν διὰ λίθων· „ἔμμεναι ȣ̓ρον ἀρȣ́ρης" (Il. 21, 405). V.

426. πρὸς τὸ λαισήϊα, ὅτι οἱ μὲν κατὰ ἀντιπαράθεσιν τῶν εὐκύκλων παραμήκεις τὰ λαισήϊα, οἱ δὲ ἐλαφρά, ἔνιοι δὲ δασέα ἐξ ἀδεψήτων βυρσῶν. A.

τὰ καὶ τῇ λαιᾷ δυνάμενα πάλλεσϑ ἀσπίδια. BL. Ἀμαζονικά. V.

428. ὅτῳ: Ζηνόδοτος ὅτεῳ, καὶ ἐμφαίνει Ὁμηρικὸν χαρακτῆρα· ϗ γ' ἀλλαχȣ̃ φησὶ „τῷ ὅτεῳ τε πατὴρ κέλεϑ" (Od. 2, 114). A.

ςρεφθέντι: ȣ̓κ ἐπὶ φυγήν, ἀλλὰ δι' ἄλλο τι. V.

ϗῆμα ἄριςον· ὤφειλε γ' εἰπεῖν οἱ μὲν γυμνωθέντες. L.

430. πάντῃ δή: ὁ μὲν Ἀρίςαρχος τὸν δή σύνδεσμον παρέλαβε· Τυραννίων δὲ ἐκδέχεται τὸ ῇ ἐπίῤῥημα τοπικόν, ἵνα δύο μέρη λόγȣ ὑπάρχῃ, δέ ϗ ῇ, ϗ προςίθησι τὸ ῑ ϗ δασύνει ὁμοίως τῷ „ῇ ῥ' ὅ γ' ὁ λυσσώδης" (Il. 13, 53). ȣ̓κ ἀναγκαῖον δέ· ἤδη γ' πρόκειται τὸ πάντῃ τοπικόν. A.

συνελὼν τὸν περὶ πάντων λόγον ηὔξησε τὴν ἔμφασιν, ϗ ἐναργῶς τὸ τεῖχος ῄμαγμένον δείκνυσιν. BL.

431. ἐῤῥάδατ': ἀπὸ τȣ̃ ῥάζω. A.

432. ἀλλ' ὡς οὐκ ἐδύναντο: ἄλλως ὤφειλε ϗηματίσαι τὸν λόγον· ὡς ȣ̓κ ἠδύναντο οἱ Ἕλληνες διῶξαι τοὺς Τρῶας. ὡς δὲ φιλέλλην ȣ̃τως εἶπεν. L.

433. ὥςε τάλαντα γυνὴ χερνῆτις: πάλιν τὸ ἰσοπαλὲς τῶν μαχομένων παρέβαλε ζυγῷ· ȣ̓δὲν γ' ȣ̃τως ἀκριβὲς πρὸς ἰσότητα. ϗ ἡ ταλαντεύȣσα ȣ̓κ ἔςι δέσποινα οἰκίας· ταύτην γ' οὐ λυπεῖ πολλάκις τὸ παρὰ βραχὺ ἴσον. ἀλλ' ȣ̓δὲ θεραπαινίς· οὐ γ' αὗται ζητοῦσι τὸ ἀκριβὲς εἰς τοσȣ̃τον, ἅτε δὴ ὑπὸ τȣ̃ δεσπότȣ τρεφόμεναι ϗ ȣ̓κ ἐν τῷ διαμαρτεῖν περὶ τὸν ςαθμὸν κινδυνεύȣσαι περὶ τροφήν. ἡ δὲ τῇ ἀληθείᾳ χερνῆτις λίαν ἀκριβολογεῖται· ἔςι δὲ χερσὶ τὰ πρὸς τὸ ζῆν ποριζομένη. BL.

ἡ ἀπὸ τῶν ἔργων τῶν ἰδίων χειρῶν ζῶσα, ὅ ἐςι μισθȣ̃ ἄλλοις ἐργαζομένη. AD.

τάλαντον παρὰ τὸ ταλαὸν ϗ ὑπομενητικὸν τȣ̃ ἔρȣς. AV.

434. ἀμφίς: ἑκατέρωθεν· μή ποτε παριδȣ̃ ἀποςερηθῇ τῆς τιμῆς τȣ̃ μισθȣ̃ ὀλίγον. ȣ̓ δύναται δὲ ἐ' τὸ ἀμφίς εἶναι ςιγμή· ȣ̓δέποτε γ' ὁ ἐννεακαιδέκατος χρόνος τȣ̃ ἔπȣς διαςολὴν δέχεται. BLV.

τάχα τὸ ἑξῆς ἐςὶν ἀμφὶς ἰσάȣσα, ἀμφοτέρωθεν ἰσȣ̃σα· οἱ γ' ἱςάντες ἑκατέρωθεν ἀφορῶσιν. V.

435. ἀεικέα: ὁ γ' μὴ ἀφ' ἑαυτοῦ ἔχων τὸ ζῆν, ἀλλὰ μετὰ κόπȣ ϗ δȣλείας αὐτὸ ποριζόμενος, ἀεικῶς ζῇ. L.

ἔν τισι μετὰ τȣ̃ ν̄ ἀνεικέ, ἔξω νείκȣς. A.

ἄλλως. ȣ̃τως μετὰ τȣ̃ ν̄ ἀνεικέα, ἔξω νείκȣς, τὸ ἴσον αὐτοῖς ἀπονέμουσα. ἄμεινον δέ, φησίν, ἀεικέα, τὸν εὐτελῆ. ἐν δὲ τῷ πρὸς τὸ Ξένωνος παράδοξον προφέρεται ἀμεμφέα μισθόν. A.

437. ὑπέρτερον τῶν Ἑλλήνων. ἢ ὃ πρώην ȣ̓κ εἶχεν. BL. ἀεὶ δὲ Διὶ ἀναφέρει πᾶν εὐτύχημα Ἕκτορος. V.

438. Πριαμίδῃ ὃς πρῶτος: ϗ πῶς φησὶ „κεῖται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνὴρ ὃς πρῶτος" (Il. 16, 558). ἢ ἴσως ἑκάτερος τῆς ἰδίας τάξεως πρῶτος. ἢ ἀντὶ τοῦ ἐσάλευσε τὸ ἐσήλατο. V.

439. διαπρύσιον: διὰ παντὸς τοῦ πέρατος ἀκουσθῆναι δυνάμενον. ἢ διαπεράσιμον εἰς ἀκοάς. ἢ διαφανὲς καὶ σημαντικόν, ἀπὸ τοῦ πυρός. B.

ἢ διπλῆ, ὅτι ἐπὶ τοῦ Διὸς τοῦτό φησιν, οὐκ ἐπὶ τοῦ Ἕκτορος· διὸ καὶ ἐπήνεγκεν „ὣς φάτ' ἐποτρύνων, οἱ δ' οὔασι πάντες ἄκουον." A.

Ἀρίσαρχος ἐπεὶ Διὸς ἕκητι. V.

441. καὶ νηυσὶν: πρὶν παρέλθῃ τὸ τεῖχος, βαρβαρικῷ ἔθει ἀλαζονεύεται περὶ τῶν νεῶν, ὥστε φοβῆσαι τοὺς Ἕλληνας. BL.

442. οὔασι πάντες ἄκουον: οὐ παρ' ἑτέρων. ἢ ἀναπεπταμένοις τοῖς ὠσὶ καὶ προθύμως. BL.

ὅτι διὰ τούτου εὐκρινὲς γίνεται τὸ τῆς προκειμένης ἀμφιβολίας. οὐ γὰρ δὴ ἄλλως ἐδύναντο πάντες ἀκούειν, εἰ μὴ ὁ Ζεὺς ἐπεφώνησεν. A.

444. κροσσάων: ὑποτρόχων κλιμάκων πρὸς τειχομαχίαν ἐπιτηδείων. D.

ἀκαχμένα δούρατ' ἔχοντες: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἐπεὶ θεοῦ ἔκλυον αὐδήν. A.

445. τὸ σύντομον καὶ ἰσχυρὸν διὰ τοῦ ἁρπάξας ἐδήλωσεν. BL.

Ἀρίσαρχος ἑστήκει χωρὶς τοῦ ι. βραχὺ δὲ διασαλτέον ἐπὶ τὸ πρόσθε, συναφὴν δὲ θετέον ὑπ' ἀμφοτέρας τὰς λέξεις· ἓν γὰρ τὸ σημαινόμενον, κατὰ τὸ ἔσχατον παχύς, κατὰ δὲ τὸ ἕτερον ὀξύς. A.

446. ὕπερθεν: τῷ εἰς ἀέρα νεύοντι μέρει. τοῦτο δὲ διὰ τὸ εἶναι εὐσύλληπτον, καὶ ἵνα ῥᾳδίως τῇ ὀξύτητι τὰς πύλας διαχίσῃ ὡς πέλεκυς. BLV.

447. τὸν δ' οὔκε δύ' ἀνέρε: διττὴ ἡ ἐπίτασις, καὶ τῶν δύο μὴ κινούντων τὸν λίθον, καὶ τοῦ ἑνὸς πάλλοντος ἐλαφρῶς. BLV.

δήμου: τῶν βροτῶν ὤφειλεν εἰπεῖν. L.

449. ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος: διὰ τὸν Δία. ἐπὶ δὲ Αἴαντος „χειρί γε τῇ ἑτέρῃ" (382?). V.

450. ἡ διπλῆ, ὅτι ἐκλύει τὴν τοῦ βαστάζοντος δύναμιν. καὶ Ἀριστοφάνης ἠθέτει, Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν. A.

451. οὕτω διὰ τοῦ ε φέρει. A.

ἄρσενος μέγας γὰρ ὁ τούτου πόκος. ἢ ὅτι τραχύτερος. ἢ ὅτι ῥυπωδέστερος ἐμφερής τε τῇ τραχύτητι καὶ τῷ χρώματι τοῦ λίθου ἐστί. θέλει δὲ παραστῆσαι τὸ τοῦ λίθου μέγεθος. ABL.

455. ὀχῆας δέ τε τὰ κάτω κλεῖθρα. δικλίδας δὲ δὶς κλεισμένας δυσὶ κλεισ V.

456. ἐπημοιβοί: ἐς μέσον συνάπτοντες· οἱ δέ, εἷς ἐφ' ἕνα· μία δὲ ἐπ' αὐτῶν κλεὶς ἥρμοστο. ABL.

ἡ διπλῆ, ὅτι δύο φησὶ μοχλοὺς εἶναι ἐπὶ τῆς πύλης, ἐξ ἑκατέρας φλιᾶς ἕνα, ἐπαλλαττομένους κατὰ μέσον, καὶ ἐπὶ τοῖς ἄκροις ἐπικλειομένους διὰ τὴν συμβολὴν μιᾷ κλειδί. A.

457. στῆ δὲ μάλ' ἐγγὺς ἰών: ἐν ἄλλῳ στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών. A.

458. εὖ διαβάς: συνεργεῖ γὰρ ἡ διάβασις πρὸς βιαιοτέραν τοῦ βαλλομένου φοράν. BL.

ἡ διπλῆ, ὅτι πᾶν τὸ βαλλόμενον βέλος λέγει, καὶ νῦν τὸν λίθον· καὶ ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἡρμήνευκεν. A.

459. θαιρούς: τοὺς ἄνω καὶ κάτω στρόφιγγας θαιρούς φησι διὰ τὸ δι' αὐτῶν θεῖν τὰς πύλας. ABL.

461. σανίδες δέ: πανταχόθεν ἐκίνησε τὴν ἐνέργειαν ἐκ τοῦ βάλλοντος, ἐκ τῶν διαῤῥιπτουμένων σανίδων, ἐκ τῶν εἰσπηδῶντος καὶ φοβερὸν βλέποντος, ἐκ τῆς τῶν ὅπλων λαμπηδόνος, ἐκ τῶν κατεχομένων δοράτων, ἐκ τῶν ὑπερβαινόντων τὸ τεῖχος καθ' ὃ μέρος ἔῤῥηξε Σαρπηδών, ἐκ τῶν εἰστρεχόντων εἰς τὰς πύλας καθ' ὃ μέρος ἔῤῥηξεν αὐτὰς ὁ Ἕκτωρ. BL.

462. λᾶος: προπερισπαστέον ὡς κλῆρος· ἀπὸ γὰρ εὐθείας πέπτωκε δισυλλάβου κατὰ τὴν τοῦ ποιητοῦ χρῆσιν. καὶ ὤφειλε τρισυλλαβεῖν ἡ γενική, συναλοιφὴν δὲ λαβοῦσα βαρύνεται τὴν δὲ πρόθεσιν Τυραννίων ἀναστρέφει, ἵνα τὸ ἑξῆς ὑπάρχει ὑπὸ λίθου ῥιπῆς. οὐκ ἀναγκαῖον δέ· τί γὰρ κωλύει φυλάσσειν τὸν τόνον τῆς προθέσεως καὶ εἶναι ὑπὸ ῥιπῆς λίθου; A.

ὁ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ: οὐδέν τι τὸν ἔνδον δεινῶν ὑπολογισάμενος. πάντα οὖν τοῦ θράσους σημοτικὰ καὶ τὰ ἑξῆς ὀνόματα. BL.

463. νυκτὶ θοῇ: ἤτοι τῇ ταχέως ἐπιλαμβανούσῃ τὴν γῆν, ἢ ἐπεὶ δοκεῖ ταχέως παριέναι ὡς πρὸς τὴν ἡμέρα κοιμωμένων ἡμῶν. D.

νυκτὶ τὰ φοβερὰ ὁμοιοῦσιν, ὡς ἐκ τῶν ἐναντίων τὸν εὐέκτους λέγουσιν ἡμέρους· παρὰ γὰρ τὸ ἡμέρα ἥμερος. BL.

ἡ διπλῆ, ὅτι τὰ φοβερὰ νυκτὶ ὁμοιοῖ. πρὸς τὸ „ὁ δ' ἤϊε νυκτὶ ἐοικώς" (Il. 1, 47). ὁ δὲ Ζηνόδοτος γράφει νυκτὶ ἐλυσθείς.

ὑπώπια: ἀπὸ μέρους τὸ ὅλον δηλοῖ. BLV.

465. οὐκ ἄν τίς μιν ἐρυκάκοι ἀντιβολήσας. Ἀρίσαρχος οὐ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας.

ὥσπερ ἐπὶ γραφῆς δείκνυσιν ὁποῖος ἦν ὁ Ἕκτωρ εἰσδραμὼν εἰς τὸ τεῖχος. BL.

466. νόσφι θεῶν: ἅμα μὲν ἐπαίρει τὰ τοῦ Ἕκτορος, ἅμα δὲ καὶ τεχνικῶς ὑπὲρ Ἑλλήνων ἀπολογεῖται, ἀντιγραφὴν πρὸς τὴν ἐκδρομὴν Ἕκτορος μὴ δυνηθέντων. BL.

468. τεῖχος ὑπερβαίνειν: ὅτι καθ' ὃ μέρος ὡς ποίησαν οἱ Λύκιοι, οὐ καθόλου. A.

ὀτρύνοντι: οὕτως διὰ τοῦ ο ὀτρύνοντι. A.

470. ἐσέχυντο: ἐμφαντικῶς τῷ ὀνόματι, διὰ στεγενομένης τῆς εἰσόδου καὶ ὠστιζομένων τῶν εἰσιόντων ἢ ἤδη εἰσεληλυθότων. BL. ἔπειτα καὶ ἔπειτα φορὰ ὁμοία φερεῖ τοῖς ἀπὸ βραχέος εἰς μείζονα χεομένοις ὑγροῖς. V.

πύλας: ἡ διπλῆ, ὅτι μία πύλη, πληθυντικῶς δὲ εἴρηται καὶ ὅτι ἔφευγον ὡς ἐπὶ τὰς ναῦς. διὰ ταύτης δὲ εἰσέρχεται τῆς πύλης δι' ἧς ὁ Ἕκτωρ. A.

471. τὸ μὲν ὅμαδος δασυντέον· ἔχει γὰρ τὸ ὁμοῦ ἐγκλιμένον· τὸ δὲ ἀλίαστος ψιλωτέον· ἔστι γὰρ στέρησις ἀπὸ τοῦ λιαστός, ὅπερ πέπτωκεν ἀπὸ τοῦ λιάζω· „ἡγεῖτ', ἀμφὶ ἄρα σφι λιάζετο κῦμα" (Il. 24, 96). A.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχειου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

SCHOLIA

IN HOMERI ILIADEM

EX RECENSIONE

IMMANUELIS BEKKERI.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

TOMUS ALTER.

BEROLINI
TYPIS ET IMPENSIS GE. REIMERI
A. 1825.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΕΙΣ ΤΗΝ Ν.

1. Ζεὺς δ' ἐπεὶ: ἐρειφθέντος τῆ τείχες καὶ τροπῆς
νομένης λοιπὸν ἦν ἀναςῆναι Ἀχιλλέα. ὁ δὲ ποιητὴς μῆ-
ς τε καὶ ποικιλίαν περιποιεῖ διὰ τῆς ἀχολίας τῆ Διός.
α δὲ ἐπειδὴ ἔφθασε περὶ τῆ Ἕκτορος προειπὼν „ἐκ ἄν
μιν ἐρυκάκοι ἀντιβολήσας νόσφι θεῶν" (Il. 12, 465),
ικαίως τῷ ἀνυπόςατον ἔχοντι τὴν δύναμιν τὸν Ποσει-
να ἀντιςατεύει (ἀντιςρατεύει LV). πῶς δ' ἂν ἐτόλμησε Πο-
δῶν προελθεῖν μὴ ἀχολεμένε Διός; διὰ τέτων δὲ χεδὸν
ὁ ποιητὴς ἐκ ἴδιον τῶν Τρώων γεγενῆθ τὸ κατόρθωμα,
ὰ τοῦ Διός. περιπαθῶς δὲ ἄγαν τὸ νηνσίν, οἷον οὐ
τείχει μόνον ἀλλὰ ἢ ταῖς ναυσίν, ἥπερ ἔτι μόνη τῶν
ήνων ἐλπίς. BL.

ἐπεὶ ἦν: ἐπειδή. ὅσα δηλοῖ τὸ ἐπεί, τὸ ὅτι „ἐπεὶ πο-
ώλεσα λαόν" (Il. 2, 115), ἢ ὅτε, ὡς νῦν, καὶ ἐπειδή,
ἀφ' ἧ. A.

Τρῶάς τε καὶ Ἕκτορα: ἡ διπλῆ, ὅτι κεχώρικε τῶν
ώων τὸν Ἕκτορα, ὡς κἀκεῖ „ἐ γ' ἔτ' Οἰνῆος μεγαλή-
ος, οὐδέ τ' αὐτὸς ἦην, θάνε δέ, ξανθὸς Μελέαγρος"
2, 641). A.

Πορφυρίε. κεχώρικε τῶν λοιπῶν Τρώων τὸν Ἕκτορα
ἐξοχήν. μετὰ δὲ τὴν Ἰλίε πόρθησιν Ἕκτωρ ὁ Πριάμε
ετὰ τὸν θάνατον τὴν ἀπὸ θεῶν εὐτύχησε τιμήν. οἱ γ'
οιωτίᾳ Θηβαῖοι πιεζόμενοι κακοῖς ἐμαντεύοντο περὶ
λαγῆς. χρησμὸς δὲ αὐτοῖς ἐδόθη παύσεθ τὰ δεινά,
ἐξ Ὀφρυνίε (ἀφνείε D) τῆς Τρωάδος τὰ Ἕκτορος ὀςᾶ
ομιωθῶσιν εἰς τὸν παρ' αὐτοῖς καλέμενον τόπον Διὸς
ς. οἱ δὲ τῆτο ποιήσαντες ἢ τῶν κακῶν ἀπαλλαγέντες
ιμῆς ἔχον Ἕκτορα, κατά τε τοὺς ἐπείγοντας καιροὺς
ηλῆθ τὴν ἐπιφάνειαν αὐτοῦ. ἡ ἱςορία παρὰ Ἀριςο-
ρ. ABD.

Ἕκτορα νηνσὶ πέλασσε: πρὸς τὸ δεύτερον ἀπήν-
ε· πρῶτος γ' Ἕκτωρ εἰσῆλθεν. ὑπεξεῖλε δὲ αὐτὸν ἰδίᾳ.
ὡς „θάνε δὲ ξανθὸς Μελέαγρος." V.

τὸς μέν: ἐὰν ἐπ' ἀμφοτέρων λέγῃ Τρώων ἢ Ἑλλή-
ἁπλέςερόν ἐςιν· ἐὰν δὲ περὶ τῶν Τρώων μόνων, ἐμ-
οεῖ ἦθος κατακερτομεῖντος τῆ ποιητῆ ὅτι μάτην ἐπό-
ὁ γ' ἔμελλον αἱ νῆες ἁλλοκότως ὑπὸ βαρβάρων ἁλώ-
αι. BL.

αρὰ τῆσι: Ζηνόδοτος ἢ Ἀριςοφάνης περὶ τῆσι·
τ' ἐν διχῶς. A. τινὲς πρὸς τῆσι. V.

α πόνον τὸ κατὰ πόλεμον ἔργον εἰρηκεν. A.

νος δηλοῖ τὴν ἐνέργειαν, ὡς τὸ „παύσαντο πόνου"
l. 467), ἢ τὴν κακοπάθειαν, ὡς τὸ „ἦ μὴν καὶ πόνος
(Il. 2, 291). BL.

νόδοτος δὲ ὀχέμεν. V.

τὸ πάλιν τὴν ἀπὸ τοῦ εὐθέος μεταςροφὴν δηλοῖ,
σύνηθες δέ ἐςιν Ὁμήρῳ· „ὅσσε πάλιν κλίνασα" (Il. 3, 427).
οἱ δέ, ἀνὰ μέρος Μυσίαν ἢ Θρᾴκην ὁρῶν· ἔςι δὲ ἢ τῆτο
σύνηθες Ὁμήρῳ· „πάλιν ποίησε γέροντα" (Il. 16, 456). ἢ
εἰς τοὐπίσω· „πάλιν ἐρύσασα" (Il. 5, 836). καὶ ἐναντίον·
„οὐδὲ πάλιν ἐρέει" (Il. 9, 56). AD. δείκνυσι δὲ ὅτι οὐδὲν
ἀθεώρητον τῷ δημιεργῷ θεῷ. φαεινὼ δὲ δὶ ὧν τὸ φάος
δίδοται τοῖς ὁρῶσι. BL.

Πορφυρίε. ἀδύνατόν φασιν· εἰ γ' ἀπετράπη ἀπὸ τῆς
Ἰλίε ἐπὶ τὴν Μυσίαν κατὰ τὰ τῆς Ἀσίας ἔθνη, ἀδύνατον
τὴν Θρᾴκην καθορᾶν ὄσαν ἐν Εὐρώπῃ. λύεται δὲ ἐκ τῆς
λέξεως· ὃ γ' λέγει τὴν Θρᾴκην αὐτὸν βλέπειν, ἀλλὰ τὴν
Θρᾳκῶν γῆν, ἧς ἦσαν ἄποικοι, κατοικῆντες δὲ Ἀσίαν Βι-
θυνοί τε ἢ οἱ Θυνοὶ Θρᾳκῶν ἄποικοι. B.

4. βραχὺ διαςαλτέον ἐπὶ τὸ νόσφιν· ἀναφέρει γ' αὐτὸ
ἐπὶ τὲς Τρῶας ἢ τὲς Ἕλληνας. A.

οἱ μὲν περισσῶς τὴν ἐπί· οἱ δὲ ἐπὶ ἵππων πολεμένων·
οἱ δὲ ὄνομα ἔθνες. τὸ δὲ ὁρώμενος ἀντὶ τῆ ὁρᾶν. V.

5. Μυσῶν: τινὲς τῶν ἐν Μακεδονίᾳ. V.

Ἀγαυῶν Ἱππημολγῶν: Ἀγαυοὶ ὄνομα ἔθνες· ἵπ-
πες δὲ ἀμέλγοντες ἕτοι τῷ γάλακτι ἐτρέφοντο. Δημήτριος
δὲ ἀγαυὲς τὲς εὐειδεῖς. AB.

ἵππες ἀμελγόντων· γαλακτοφάγοι γάρ εἰσιν, ὅθεν καὶ
γλακτοφάγες αὐτὲς εἶπεν. ἢ οἱ ἀρκέμενοι γάλακτι ἢ λιτῇ
διαίτῃ. καλῶς εἰρηνῆ δικαιότατοι· ἐπιθυμία γ' πλειόνων ἐπ'
ἀδικίαν ἄγει. τῆτο συνιδὼν ἢ Λυκᾶργος κοινὴν ἢ ἀ περιτ-
τὴν Λακεδαιμονίοις δίαιταν εἰσήνεγκεν. D.

Λακτῖνες ἔθνος οἱ γαλακτοποί. τινὲς τέτες Σαλμάτας
φασίν. V.

6. πολλῶν εἰρημένων περὶ τούτων πολλοῖς, βέλτιον, ὡς
Ἀρίσαρχος ἐδόκει, ἢ χωρὶς τῆ συνδέσμε προφέρεθ τὸν
σίχον, ἢ διασέλλειν βραχὺ μετά τε τὴν πρώτην λέξιν καὶ
μετὰ τὴν δευτέραν, ἵνα τὰ ἔθνη πολλὰ ἢ τὸ δικαιοτά-
των κοινὸν ἐπὶ πάντων νοέμενον μείζονα τὴν ἱςορίαν ἐμ-
φαίνῃ. A.

Ἀρίσαρχος χωρὶς τοῦ τέ, δικαιοτάτων ἀνθρώ-
πων. A.

Ἀβίωνε. τῶν βιοῖς μὴ χρωμένων ἤγεν τόξοις. B. ἄβιοι
δὲ καὶ ἀνέσιοι. L.

Ἀβίων τῶν νομάδων Σκυθῶν, ὅθεν ἢ ὁ Ἀνάχαρσίς
ἐςιν· ἃς δή φησιν ἁπάντων εἶναι δικαιοτάτες, ὅτι κοινοὺς
ἔχεσι παῖδας ἢ γυναῖκας ἢ τὰ πάντα πλὴν ξίφες ἢ πο-
τηρίε, τέτοις δὲ καὶ αὐτομάτως ἡ γῆ βίον φέρει, οὐδέ τι
ζῷον ἐθίζουσιν. τούτους Αἰσχύλος Γαβίες φησίν. ἄβιοι δὲ
ἐκλήθησαν ἢ παρὰ τὸν βίον ἢ τὴν βίαν. ἢ ἅμα βιῶν πο-
ρευόμενοι. ἢ ὅτι ἄοικοι. οἱ δὲ τὸ ᾱ κατ' ἐπίτασιν, ἵν' ᾖ
πολυβίων ἢ πολυετῶν, ὅτι μακρόβιοι. ἢ τὸν ἡμέτερον βίον

μὴ ἐγνωκότων· ἐπιφέρει γὰρ δικαιοτάτων ἀνθρώπων. ἢ μὴ βιαζομένων. ἢ ἀμαξοβίων. τινὲς δὲ τέτας Σαυρομάτας φασί· λέγεσι δὲ αὐτὲς τοὺς ὁδίτας τρέφοντας ἄλλον ἄλλῳ διαπέμπειν. AV.

πάντων Σκυθῶν ὑποκυψάντων Ἀλεξάνδρῳ μόνες Ἄβιες φασὶν ἐχ ὑπεῖξαι, μόνον δὲ ἐπισκεψαμένες τὴν ψυχὴν τῆ ἀνδρὸς ἐπικηρυκεύσαθ πρὸς αὐτόν. δικαιοτάτες δέ φησιν αὐτὲς διὰ τὸ ἀνεπίμικτον, ὡς καὶ Αἰθιοπῆας· ἢ ὅτι οὐκ ἠθέλησαν συσρατεῦσαι Ἀμαζόσιν εἰς Ἀσίαν. ABL. πῶς δὲ ἀδὲν περὶ αὐτῶν εἶπε; ἢ γὰ ἀδὲ περὶ τοῦ δικαιοτάτου τῶν Κενταύρων ἀδὲ περὶ τῆ κερδίςε Σισύφου. V.

8. οὐ γὰρ ὅγ' ἀθανάτων: Ἀριςοφάνης διὰ τῆ ε, ἐ γὰρ ἔτ' ἀθανάτων. A.

9. ἀρηξέμεν: γράφε ἢ ἀρήξειν. A.

10. ἀλαοσκοπιήν: ματαίαν τὴν κατασκοπήν· ἀλαὸς γὰ κατὰ διάλεκτον ὁ τυφλός. AD.

ἄλη ἄλαιος, ἢ ἀλαός Αἰολικῶς. διδάσκει δὲ διαφορὰν ἐπιμελείας ἢ ῥᾳθυμίας. πιθανῶς δὲ τὲς ςρατηγὲς καταςρατηγῆντας ἀλλήλων ἐποίησεν, ἐ βιαζομένες· ὁ μὲν γὰρ Ζεὺς ἀποδημῆντος ἐν Αἰθιοπίᾳ Ποσειδῶνος ἐπανάγει Ὀδυσσέα, Ποσειδῶν δὲ νῦν ἐνεργεῖ. BL.

11. θαυμάζων: θεωρῶν, ὡς τὸ „ἰςάμενοι θαύμαζον" (Il. 18, 496). BL. ἢ „ἡμεῖς δ' ἑςαῶτες θαυμάζομεν" (Il. 2, 320). γραφικῶς δὲ ἔχεσιν οἱ δύο θεοὶ ἀπὸ τῶν ὀρῶν θεώμενοι. V.

12. πιθανῶς τὸ ὑψῆ, ὥςε πάντα καταθεάσαθ. V.

ἐπ' ἀκροτάτης κορυφῆς: Ἀριςοφάνης πληθυντικῶς ἐπ' ἀκροτάτῃς κορυφῇς. οὐκ ἀπίθανον δὲ ἡ χωρὶς τῆ μ γραφή, Σάε ἀντὶ τῆ Σάμε· τὴν γὰ Σαώκην τὸ ὄρος φησὶ παραδηλῆσθ. A.

Σάμιοι οἱ ἐν Ἰονίᾳ μετὰ διακοσιοςὸν (ἢ ἑνατον D) ἔτος τῶν Τρωϊκῶν χρησμὸν ἔλαβον παρὰ τῆ Πυθίε εἰς τὴν ἐν Τρωάδι Θρᾴκην μετοικῆσαι, ἀφ' ὧν ἡ Σαμοθρᾴκη (προσηγορεύθη. ἡ ἱςορία παρὰ Ἀπολλοδώρῳ. D). Σάμον οὖν Θρηϊκίης τῆς Σαμοθρᾴκης. τὸ δὲ ἐν αὐτῇ ὄρος Σαώκη. AD.

Ἀρίςαρχος ὄρος ὁμώνυμον τῇ νήσῳ. οἱ δὲ ὑψηλοτέραν εἶναι τὴν Σάμον τῆ Ἄθω. V.

ἡ δὲ διπλῆ, ὅτι ἀδέποτε συνθέτως εἴρηκε Σαμοθρᾴκην. A.

13. Θρηϊκίης: πρὸς ἀντιδιαςολήν, διὰ τὴν πρὸς Ἰθάκην, ἣν Σάμην καλεῖ (Il. 2, 634). ἔςι δὲ καὶ ἄλλη Σάμος περὶ Μυκαλησσόν, καὶ ἑτέρα ἐν Πελοποννήσῳ περὶ Τριφυλίαν. BLV.

15. ἔνθ' ἄρ' ὅ γ': τρεῖς παράλληλοι ὀξεῖαι, μία μὲν ἡ ἄρχουσα, δευτέρα ἡ τῆ ἄρα, τρίτη δὲ ἡ τῆ ὅγε. A.

ἕζετ' ἰών: ὁ νῦν ἕζετο, ἀλλ' ὅτε ἐκάκε τὰ Ἑλληνικὰ ὁ Ζεύς. ἔδει δὲ πρῶτον εἰπεῖν ὅτι ἐκάθισεν, εἶθ' ἅτως ὅτι ἐθεώρει τὴν μάχην. BL.

16. Τρωσὶν δαμναμένες: ὅτι ἀντὶ τῆ ὑπὸ Τρώων. A.

18. κραιπνὰ ποσὶ προβιβάς: εἰ συνεχές, φησί, προέβαινε, πῶς παρακατιών φησι „τρὶς μὲν ὀρέξατο;" ἢ τάχ τὸ κραιπνὰ ἀντὶ τῆ πρόθυμα ἢ ἰχυρά. BL.

20. τρὶς μέν: ὑπερφυῶς τοσαύτην θάλασσαν ἢ ἔθν τρισὶ βήμασι παρῆλθεν. ὑπερβαλέσθ δὲ τᾶτο θελήσας Πίν δαρος εἰς ὑπόνοιαν ἦκε ψεύδες· „βάματι δ' ἐν πρώτῳ π χὼν παῖδ' ἐκ νεκρῆ ἅρπασεν" (Pyth. 3, 45). τίνος δὲ ἕ κεν ἐπὶ τὰς Αἰγὰς ἅπεισι, παρὸν ἐν Τροίᾳ εὐθὺς γενέ μετὰ τὸ λιπεῖν τὴν Σαμοθρᾴκην; ἴσως ἓν πρὸς κατάπλ ξιν τῶν Τρώων ἅπεισι τὸ ξίφος ληψόμενος. ἢ ὁπλιεῖτ ὡς ἐκ ἀνεξόμενος Διός. ἢ τῷ ἐπιτερπεῖ τῆς φράσεως τῆς μάχης συγνὸν διαλύει. ἢ ἀναχωρεῖ ὅπως μὴ ὑπόνοι διδῷ τοῖς Τρωϊκοῖς. αὗται δὲ αἱ Αἰγαὶ νῆσόί ἐσιν ἐν Αἰγαίῳ πελάγει, ὅθεν ἢ καλεῖται. BLV.

Πορφυρίε. ἐζήτηται διὰ τί οὐκ εὐθεῖα πορεύεται Τροίαν ὁ Ποσειδῶν, ἀλλὰ τὸν χρόνον δαπανῷ πορευθ εἰς Αἰγάς. ῥητέον ἓν ὅτι δυοῖν ἕνεκα πραγμάτοιν μεμηχ νηται αὐτῷ ἡ ἀποδημία, πρῶτον μὲν ἵνα ἀποπλανήσῃ Ἀία ὡς ἀπολελοιπὼς τὸν πόλεμον, δεύτερον δὲ ἵνα καὶ πλισθῇ εἰς τὸν τῆ Διὸς πόλεμον, ἐὰν ἄρα φωραθεὶς τὴν συμμαχίαν κινδυνεύσῃ. ABD.

21. Αἰγάς, ἔνθα δέ οἱ: ἡ διπλῆ, ὅτι κατὰ τὰς Α ἐν βυθῷ τὴν οἴκησιν τῆ Ποσειδῶνος ὑποτίθεται ἀορά ἀνθρώποις, ὥσπερ ἐπὶ τῆ Ὀλύμπου τῶν ἄλλων θεῶν ὁρωμένων. Αἰγαὶ δὲ πόλις Ἀχαΐας ἐν Πελοποννήσῳ, ἣ τιμᾶται μὲν ὁ Ποσειδῶν, ἄγεται δὲ ἢ Διονύσῳ ἑορτὴ ἢ ἐπειδὰν ὁ χορὸς συςὰς τὰς τῆ δαίμονος τελετὰς ὀργι θαυμάσιον ἐπιτελεῖσθαί φασιν ἔργον· ἄμπελοι γὰ ἃς κο σιν ἐφημέρες, ἀνιχέσης μὲν ἡμέρας καρπὸν βλαςάνο ὥςε τρέποντας αὐτὲς εἰς ἑσπέραν οἶνον ἄφθονον ἔχε ἱςορία παρὰ Εὐφορίωνι. ABD.

ἐν Αἰγαῖς τῆς Εὐβοίας παράδοξα πολλὰ γίνεθ. κα τὰς ἐτησίας τῆ Διονύσε τελετάς, ὀργιαζεσῶν τῶν μυ γυναικῶν, βλαςάνεσιν αἱ καλέμεναι ἐφήμεροι ἄμπελ τινες ἔωθεν μὲν τὰς τῶν καρπῶν ἐκβολὰς ποιῆθ, ἐ πάλιν βότρυας βαρυτάτες, ἢ τὲς πρὸ μεσημβρίας π νεσι, πρὸς δὲ τὴν ἑσπέραν τρεπόμενοι ἄκρατον χορηγ ψιλὲς ταῖς ἀπὸ τῆ χορῆ παρθένοις. οὐδεμία δὲ ἐνδεῖ νεται ὑπ' αὐτῆ κατεχομένην τὴν ἡμέραν, ἀλλ' ὁσάκι λίσκεθ, τοσαυτάκις δαψιλεύεθ. Νικοκράτης δὲ ἐν τ τῆ ἐν Ἑλικῶνι ἀγῶνος οὐ ταύτας φησὶ τὰς Αἰγ τὸν ποιητήν, ἀλλ' ἑτέραν τινὰ νῆσον ἐν τῷ Αἰγαίῳ π γει, περὶ ἣν ἢ παραδοξολογία τις εἶναι μυθεύεθ· τοὺ προσορμίζοντας τῇ νήσῳ νυκτὸς ἅπαντας ἀφανεῖς γί διὸ μηδὲ προσπελάζειν τινά. V.

κλυτὰ δώματα: τινὲς ὑποκλυζόμενα· οἱ δὲ διὰ δύναμιν τῆ θεῆ ἐν μέσῃ θαλάσσῃ εἶναι τὸ ἱερόν. τ βάθει τὸ ἄπιςον ἐκάλυψεν. BL.

22. ἄφθιτα αἰεί: ἐπεὶ Ἥφαιςος αὐτὰ ἐποίησεν Θέτις καὶ Εὐρυνόμη αὐτὸν ὑπεδέξαντο πεσόντα. V.

τὸ ἄφθιτα ἐπὶ πράγματος, τὸ ἀθάνατον ἐπὶ θεῆ.

23. ὑπ' ὄχεσφι τιτύσκετο: ὑποζευγνὺς τοῖς ὄ

ὑτρέπιζεν. BL. οἱ δὲ παρὰ τὸ τεύχειν· „Ἥφαιστος δὲ τεύχετο θεσπιδαὲς πῦρ" (Il. 21, 342). διὰ τί δὲ τὰς ἵππας καταλιμπάνων αὐτὰς κ᾽ θᾶττον βαδίζων; ἢ ἵν᾽ καλλιγραφῆσαι βέλῃ ὁ ποιητὴς τὴν ὁδὸν αὐτῇ, ἢ προπαρασκευάεται τῷ Διί. χαλκόποδε δὲ ἠχόποδας· „ἐρίγδουποι πόες ἵππων" (Il. 11, 152). εἰσὶν Ἐριώλης καὶ Γλαῦκος καὶ Ἐγκέλαδος καὶ Σθένιος. V.

ἀλλ᾽ ὁρᾶται, φασίν, ὑπὸ Διός. ἐκ ἴσασι δὲ ὅτι καιροηρεῖ αὐτῇ τὴν ἀπεσίαν. V.

24. ἐθείρησιν: ἔθειραι εἰρηνῷ αἱ τρίχες παρὰ τὸ ἔθος εἴρεσθαι ἤγουν συμπλέκεσθαι. BD.

25. χρυσὸν δ᾽ αὐτὸς: πάντα ποιητικά· ἀπὸ γ᾽ τῆς ἀρ᾽ ἡμῖν τιμωμένης ὕλης κ᾽ παρὰ θεοῖς λαμβάνει χρύσεα ὤματα κ᾽ χρυσᾶς τὰς τῶν ἵππων ἐθείρας. κ᾽ νῦν δὲ χρυσὸν λαμβάνει, τετέχει πανοπλίαν χρυσῆν, κ᾽ μάσιγα χρυσῆν· κ᾽ ἐκ τοῖς ἵπποις περιβάλλει πέδας χρυσᾶς. BL. ὥσπερ κ᾽ τὰ ἐρεά „σιδηρέῳ ἄξονι ἀμφίς" (Il. 5, 723). V.

γέντο: ἔλαβε. Δωρικὸν κ᾽ Αἰολικόν. L.

26. χρυσείην: χρυσῇ λαβῇ χρωμένην. V.

27. βῆ δ᾽ ἐλάαν: ὡς „μύσιξεν δ᾽ ἐλάαν" (Il. 5, 366). τίκα, ὡς λείπουτος τῆ ὦξε ἐλάαν. ἢ τὸ ἐλάαν ἀντὶ τοῦ άων, ὅ ἐστιν ἐλάσων. V.

ἄταλλε: εἰς νεότητα κατὰ διάθεσιν ἐγίνετο, ὅ ἐστιν κίρτα καὶ ἔχαιρεν. AD. ὑπ᾽ αὐτῇ δὲ ἀντὶ τῆ δι᾽ αὐτ. ἐν ἄλλῳ ὑπ᾽ αὐτῷ. A. τῷ δίφρῳ. V.

ἐσκίρτα· ἀπὸ τῶν νηπίων ἡ μεταφορά. ἐπὶ δὲ Ἑρμοῦ πέλαγος διανύοντος (Od. 5, 51) ἐδὲν τοιῆτον γίνε· τῷ τῆς θαλάσσης δεσπότῃ οἰκεῖα ταῦτα. ἀλλ᾽ ἐδὲ αὐτός, ε ἄνεισιν ἐξ Αἰθιοπίας θυμέμενος (ib. 282). τὸ δὲ ὑπ᾽ το ῦ ἀντὶ τῆ δι᾽ αὐτόν, ὡς τὸ „ὑπὸ τῆς νόσε ἀδυνα-." BLV.

28. πάντοθεν: ταῦτά εἰσι τὰ εἰς θεν τῷ ῦ παραληγμενα κ᾽ προπαροξυνόμενα ἐπιῤῥήματα, οἴκοθεν ἄλλοθεν οθεν ἔκτοθεν ἑκάσοθεν ἀπόπροθεν πάντοθεν. τὸ δὲ υθμῶν οἱ μὲν συγκοπήν φασιν, οἱ δὲ ὅτι κευθμῶν κῶς εἴρηται (οἱ δὲ ὅτι ὁ κευθμός ὡς τευθμός Ἰακῶς βαθύλειμος βαθυλείμων V). ABLV.

Ἀρίσαρχος ἠγνοίησαν, ἄλλοι δὲ ἠγνοίησεν. A.

ἡ διπλῆ, ὅτι ἠγνοίησαν γραπτέον· σύνηθες γ᾽ Ὁμήρ ὅτως λέγειν, ἠγνοίησαν τὰ κήτη, κ᾽ ἐκ ἠγνοίησεν. καὶ ι κευθμῶν εἴρηκεν. ἡ δὲ ὀρθή ἐστιν κευθμός ὡς αὐς. A.

29. γηθοσυνη: Ἡρόδικος τὴν θυσ συλλαβὴν ὀξύνει, ι ἢ τὸ πλῆρες γηθόσυνα, εἶτα ἡ δὲ θάλασσα· ὁ δὲ ρίσαρχος γηθοσύνη δὲ θάλασσά ἀντὶ τῆ γηθόσυ, χαίρουσα. εἰσὶ μέντοι οἳ ἀναγινώσκουσι γηθοσύνη κ᾽ κὴν πτῶσιν ἐκδέχονθ, ὥσπερ κ᾽ Ἀριστοφάνης, οἷς ἐγὼ κατατίθεμαι, ἵν᾽ ἢ τὸ ἀκόλουθον τοιῆτον, τῇ χαρᾷ ἡ λασσα διίσατο, ἵνα κ᾽ ἔθει Ὁμηρικῷ δοτικὴ ἀντὶ γεῆς παρειλημμένη ὑπάρχοι, ὑπὸ χαρᾶς ἡ θάλασσα διίσαμοίως τῷ „ὡς δὴ γήραϊ κυφὸς ἔη" (Od. 2, 16). τί δὲ ἐχι τὸ κινῆν με, ἐκθήσομαι. ὁρῶ τὰ διὰ τῆ συνῃ θηλυκὰ μὴ κατὰ θηλειῶν ἐπιθετικῶς τιθέμενα, πραγμάτων δὲ ὄντα κατηγορικά. πρόδηλος δὲ ἡ παρ᾽ αὐτῷ τῷ ποιητῇ χρῆσις. ἔχι γάρ τι κερδοσύνη πρᾶγμα, ἀχὶ κερδοσύνη γυνή· „ὡς φαμένη καὶ κερδοσύνῃ ἠγεῖτο" (Il. 22, 247)· „ἀρχὴν ξεινοσύνης" (Od. 21, 35)· „πλαγκτοσύνης δ᾽ ἐκ ἔχι κακόν" (Od. 15, 343)· „τὴν δ᾽ ἤνησ᾽ ἢ οἱ πόρε μαχλοσύνην" (Il. 24, 30)· „δρηξοσύνη δ᾽ ἐκ ἄν μοι" (Od. 15, 321)· „ταρβοσύνη, φὰν γάρ μιν" (Od. 18, 342). εἴπερ ἓν ταῦτα πάντα εὑρέθη ἐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος, πῶς ἂν γένοιτο γηθοσύνη θάλασσα; ἐγ᾽ ἀγαθοφροσύνη γυνή. ἄμεινον ἓν ἐπὶ πράγματος παραλαμβάνειν καὶ δοτικὴν πτῶσιν ἐκδέχεσθ. εἰκός τινα φήσειν ὑπὲρ Ἀριστάρχε κ᾽ τῶν ἄλλων ὡς ὅτι αὐτὸς ἤδη ὁ ποιητὴς ἀρσενικῶς τᾶτο ἀπεφήνατο „γηθόσυνος δ᾽ ἔρῳ" (Od. 5, 269)· ἕτως ἀκόλουθον θηλυκὸν γένοιτ᾽ ἂν τὸ γηθοσύνη. ὃν διδάξομεν ὡς ὅτι τὰ διὰ τῆ συνος, εἰ παράγοιτο ἐπιθετικῶς, ἀρσενικὰ ὑπάρχοντα μηκέτι ποιεῖ κατὰ τὸ πλεῖον θηλυκᾶ γένης παραχωματισμόν. τὸ ἓν δικαιόσυνος Ζεύς ἐκ ἔχει τὸ δικαιοσύνη θηλυκόν, ἔτι ἐπιθετικῶς κατά τινος θεοῦ τασσόμενον. A.

ὁ μὲν Ἀρίσαρχος ὀρθὴν αὐτήν φησιν, ὁ δὲ Ἡρωδιανὸς δοτικὴν διὰ πολλῶν ἀποδείκνυσι. λέγει δὲ ὅτι τόπον παρεῖχε τῷ θεῷ, κ᾽ ἐκ ἀνθίζατο κυμαίνουσα ἀλλὰ διίζατο, ἤτοι ὠδοποίει. BLV. κ᾽ τί θαῦμα; κ᾽ γ᾽ Ἀλεξάνδρῳ φησὶ τὸ κατὰ Παμφυλίαν πέλαγος Καλλισθένης. V.

31. εὐσκαρθμοι: εὐσκάριοι, ὅ ἐστιν εὐκίνητοι, ταχεῖς· σκαρθμὸς γ᾽ κατὰ διάλεκτον ὁ πές. AD.

εὐ σκαιροντες, ἢ εὔποδες. τινὲς δὲ καὶ τὸν δρόμον σκαρθμὸν ὀνομάζουσιν, ἵν᾽ ᾖ ταχεῖς. σκαρθμὸς δὲ κατὰ διάλεκτον ὁ πές. BL.

32. σπέος: σπήλαιον (οἴκημα πλατὺ D) ἀφώτιστον, παρὰ τὴν σβέσιν. BL.

λίμνης: νῦν θαλάσσης. D.

33. Τενέδοιο καὶ Ἴμβρου: νῆσοι πλησίον Τροΐας κείμεναι. καὶ ἡ μὲν Τένεδος κεῖται μέση τριῶν πελαγῶν, Αἰγαίε, Ἑλλησπόντε, μέλανος κόλπε (διὸ κ᾽ Τρίοδος ὑπ᾽ ἐνίων καλεῖται), ἡ δὲ Ἴμβρος ἐστὶν ἐν τῷ μέλανι κόλπῳ. AD.

34. ἔνθ᾽ ἵππους: ἄτοπον γὰρ τὸν ὁμοιωθησόμενον Κάλχαντι θεῖον ἔχειν ἅρμα. ἢ πρὸς τὸ Δία λαθεῖν. V.

35. βάλεν εἶδαρ: κομίσας δηλονότι· ἐγ᾽ φέει ἡ θάλασσα, πάσης δὲ ἡμῖς ἀπέχει μαλακίας, κ᾽ θεὸς εἰσάγων αὐτουργοῦντας. V.

36. πέδας: δεσμές. ἤτοι παρὰ τὸ πιέζειν εἴρηνται ἢ παρὰ τὰς πόδας, ὥσπερ παρὰ τὸν ὀβολὸν τὸ ἡμιωβέλιον. D.

37. ἄῤῥηκτους ἀλύτους: διχῶς ὁ δεσμὸς ἀφανίζεται, ἢ ῥήξει ἢ λύσει· ἄμφω δὲ συμπεριέλαβεν. BL.

39. Τρῶες δέ: ἐπὶ τὰ πρῶτα ἐπαναφέρει τὸν λόγον· „οἱ δ᾽ ἐσέχυντο νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ᾽ ἀλίαστος ἐτύχθη" (Il. 12 extr.). καίτοι ἐκεῖνο πλησίον ἦν „ὁ δ᾽ ἐς στρατὸν ᾖχετο Ἀχαιῶν." κατὰ δ᾽ ἔπραττεν. ἀλλ᾽ ἡ διαίρεσις ἐπὶ

τοὺς Τρῶας γέγονεν, ἵν' ἐπιζεύξειεν „ἀλλὰ Ποσειδάων Ἀργείους ὤτρυνε." πρὸς δὲ τὸ εὐκίνητον καὶ ἁρπακτικὸν καὶ ἠχητικὸν τούτοις εἰκάζει, ὅθεν οὐδ' ἐμψύχοις, οἷον λέουσιν ἢ λύκοις, διὰ τὴν ἄλογον ὁρμήν. ἀκόλουθα δὲ καὶ τὰ ἐπιφερόμενα· ἀπὸ γὰρ ἀνέμου καὶ πυρὸς ἦχος γίνεται. BL.

41. ἄβρομοι: πολύβρομοι· φύσει γὰρ ὄντες θορυβώδεις τῇ νίκῃ πλεῖον θορυβοῦσιν. ἔλαβε δὲ τὸν μὲν βρόμον ἀπὸ τοῦ πυρός, τὴν δὲ ἰαχὴν ἀπὸ τῆς θυέλλης. BL. „οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος" (Il. 14, 396). V.

ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἄγαν βρομοῦντες καὶ ἄγαν ἰαχοῦντες, κατ' ἐπίτασιν τοῦ ᾱ κειμένου· ἑκάστοτε γὰρ θορυβώδεις τοὺς Τρῶας παρίστησιν. A.

αὐΐαχοι: οἱ μὲν παρὰ τὸ αὔειν καὶ ἰάχειν· οἱ δέ, ἐξαιρεθέντος τοῦ ν̄ τὸ ῡ προσελθεῖν, ὡς ἀγαθὸς ἀγαυός, κατάξαντες καυάξαντες· οἱ δέ, κατ' ἐπίτασιν ὄντος τοῦ ᾱ, ἀΐαχοι, εἶτα πλεονάσαντος τοῦ ῡ. Χρύσιππος δὲ ὁ Στωϊκὸς καὶ Διονύσιος ὁ Θρᾷξ δασύνουσι τὸ αὐΐαχοι, ἵν' ᾖ ξηρόφωνοι. A.

42. Ἀχαιούς: γράφεται ἀρίστους. A.

43. γαιήοχος ἐννοσίγαιος: ἐπίθετα Ποσειδῶνος. καὶ τὸ μὲν ἓν δηλοῖ ὁ τὴν γῆν συνέχων, τὸ δὲ ἕτερον ὁ κινῶν αὐτήν. D.

44. Ἀργείους ὤτρυνε: τὰ ἐναντία δύο ἔλαβε· δύο γάρ εἰσιν ὧν χρὴ προΐστασθαι, τῶν ἀσθενῶν πρὸς διόρθωσιν, καὶ τῶν ὑγιῶν πρὸς παίδευσιν. BL.

καὶ γὰρ περὶ ἰατρὸν δύο ἐστὶν ὧν χρὴ προΐστασθαι, καὶ τὰ νοσερὰ διορθοῦσθαι καὶ τὰ ὑγιαινὰ προφυλάσσειν. D.

45. ἡ διπλῆ, ὅτι τὸ εἰσάμενος πολλὰ σημαίνει, νῦν μὲν ὁμοιωθείς, ἐν ἄλλοις δὲ „καί ῥ' ἐπιεισαμένη" (Il. 21, 424) ἐφορμήσασα. „εἴσατο δ' ὡς ὅτε ῥινόν" ἀντὶ τοῦ ἐφάνη (Od. 5, 281). A.

ἐπεὶ ὑπὲρ Ἀχιλλέως κατ' Ἀγαμέμνονος μέλλει λέγειν, πρὸς τὸ πιστευθῆναι Κάλχαντι εἴκασται. BL. οἱ δέ, ὅτι ὁ ποιήσας τὸ ἐν Εὐβοίᾳ ἱερὸν Κάλχαντος ἀδελφὸς ἦν. V.

ἀτειρέα φωνήν: οἱ μὲν ὅτι καὶ τῶν κηρύκων τῶν ἐννέα εἷς ἦν ὁ Κάλχας· οἱ δὲ τὴν ἑαυτοῦ θείαν φωνήν. V.

46. μεμαῶτε: τοῦ σώζειν ἢ μάχεσθαι. V.

49. ἄλλῃ: κατὰ ἄλλην τάξιν· πένταχα γὰρ ἦσαν κοσμηθέντες. BL.

50. ὑπερκατέβησαν: ὑπερβάντες καθείλοντο. V.

51. ἕξουσι: Ἀριστοφάνης σχήσουσιν, ὁμοίως τῷ „παρμένετ'· οὔτοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί" (151). A.

52. τῇδε: κατὰ ταύτην τὴν τάξιν. V.

περιδείδια: ὑπερδέδια. οὐκ ἀναστρέφεται δὲ ἡ περί, ὅτε τὸ περισσῶς δηλοῖ. BL.

ἔφαμεν ὅτι ἡ περί οὐκ ἀναστρέφεται, ὅτε σημαντικὴ ὑπάρχει τοῦ περισσῶς. A.

53. ᾗ δοτική ἐστιν ἄρθρου, ἐπιῤῥηματικῆς δὲ ἔχεται συντάξεως· τὸ δὲ ἀνταποδοτικόν ἐστιν αὐτοῦ „τῇ ἴμεν ᾗ κεν δὴ σὺ κελαινεφές" (Il. 15, 46)· „τῇ γὰρ ἔχ' ᾗ ῥα πολὺ πλεῖσται" (ib. 448). A.

τινὲς ἢ ὅγε ἀντὶ τοῦ ὅτι, ὥς φαμεν ἢ ὀμόσας μοι παρέβη. V.

λυσσώδης: λύσσα γίνεται παρὰ τὸ τὰς σώας λύ[illegible] φρένας. BL.

54. ὃς Διὸς: ἀλαζονεύεται· φησὶ γὰρ „τιοίμην δ' ὡς [illegible] Ἀθηναίη, ὡς ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν" (Il. 540) καὶ „ἐπὴν ἐς νῆας ἵκωμαι, μνημοσύνη πυρὸς γενέσθ[illegible] (ib. 181). BL.

55. ὧδε: οὕτως ὡς νῦν ὑπομένετε. V.

57. ἐρωήσαιτε: ἡσυχάσαι ποιήσαιτε. V.

58. εἰ καί μιν: τουτέστι τὸ „Διὶ δὲ κρατερῶς [illegible] μέσσα" (16). V.

59. σκηπανίῳ: Κυρηναῖοι οὕτω καλοῦσι τὸ σκῆπτρ[illegible] σκῆπτρον δὲ καὶ δόρυ Ποσειδῶνος ἡ τρίαινα. ἢ ὅτι ἐσ[illegible] πτροφόρουν οἱ μάντεις. σημειωτέον δὲ ὅτι θεὸς Αἴαντι[illegible] Τελαμωνίῳ βοηθεῖ. BLV.

κεκοπώς: λεληθότως. ἀμέλει θαυμάζουσιν αὐτοί. [illegible]

ὡς πεπληγώς. αἱ δὲ Ἀριστάρχου διχῶς, κεκοπώς [illegible] τετυφώς. V.

διχῶς Ἀριστοφάνης, καὶ κεκοφώς καὶ κεκοπώς. [illegible] δὲ τῇ Χίᾳ καὶ Ἀντιμάχου κεκοπών. A.

60. ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ κόπτων. A.

61. ὁ ἀστερίσκος, ὅτι νῦν ὑγιῶς κεῖται ὁ στίχος, ἐπ[illegible] Ὀδυσσέως κατὰ τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα (Il. 23, 772) οὐκέτ[illegible]

ἐντεῦθεν μετατίθεται εἰς τὸν ἐπιτάφιον καὶ γίνεται [illegible] δος καὶ ἄτοπον. ἔστι δὲ ὅμοιον τῷ „ὣς ἄρ' ἔπειτ' ἠρᾶτ[illegible] αὐτὴ πάντα τελεύτα" (Od. 3, 62). ἀρκεῖ δὲ τὸ „πλῆσε[illegible] νεος κρατεροῖο." V.

62. ὥστ' ἴρηξ: παραβολικός, οὐ φανταστικὸς ὁ λό[illegible] ὠκύπτερος δὲ ὁ τὴν ὠκύτητα ἐν πτεροῖς ἔχων. BL.

63. ἀπ' αἰγίλιπος πέτρης: μέλλων γὰρ ἀεὶ θη[illegible] ἀνέρχεται ἐφ' ὕψους. BL.

περιμήκεος: ὡς Διομήδεος. τὰ γὰρ εἰς ης σύνθ[illegible] παρ' οὐδέτερα γενόμενα τὰ εἰς ος, τῷ η παραληγό[illegible] βαρύνεσθαι θέλει, ὥσπερ ἔχει παρὰ τὸ κῆτος τὸ μεγακ[illegible] ἦθος κακοήθης. διὸ τὰ λαθικηδής οἰνοπληθής ὀξυνό[illegible] παρὰ ῥήματά φαμεν συντεθεῖσθαι, τὸ κήδω καὶ τὸ πλήθω[illegible]

64. ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, διὰ πεδίου, καὶ τὸ [illegible] δοκεῖ συγκεχυκέναι ἐπὶ τοῦ δευτέρου, εἰ μὴ ἄρα τὸ ἄλλ[illegible] τοῦ ἀλλοιογενοῦς ἀκουσόμεθα. A.

ἕτερον τῷ εἴδει· τῶν γὰρ ὁμοφύλων ἱέραξ οὐχ ἅπτε[illegible] ἔστι δ' „ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθυες [illegible] (Il. 21, 22). V.

65. ὣς ἀπὸ τῶν: θέλει ἐπιγνωσθῆναι, ἵνα ἐλπίσαν[illegible] προθυμότεροι γίνωνται. V.

66. ἡ διπλῆ πρὸς τὸ δυϊκὸν σχῆμα. ἡ δὲ ἀναφορὰ π[illegible] τὰ περὶ τῶν Σειρήνων, νηάων, Σειρήνοιιν (Od. 12, 5[illegible] ὅτι ὁ λόγος ὡς περὶ δύο. A.

πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας: ὡς ἰδίαν ἔχω[illegible] Τελαμώνιος δύναμιν οὐ ταχέως ᾔσθετο τῆς ἐπικουρίας· δὲ ἀσθενέστερος ὁ Λοκρὸς εὐθὺς νοεῖ. BL. ἢ ὅτι νω[illegible] ὁ Τελαμώνιος, ὁ δὲ ὀξύτερος. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΩΝ

Λοκρὸς μὲν ἦν τὸ γένος, ἀπὸ πόλεως Ὀπȣ̃ντος, πατρὸς Ὀϊλέως. ȣ̃τος μετὰ τὴν Ἰλίȣ πόρθησιν αἴτιος τοῖς Ἕλ-σιν ἀπωλείας ἐγένετο· Κασάνδραν γὰρ τὴν Πριάμȣ, ἱκέτιν ιαν Ἀθηνᾶς, ἐν τῷ τῆς θεȣ̃ σηκῷ κατῄχυνεν, ὥςε τὴν ιὸν τȣ̀ς ὀφθαλμȣ̀ς τȣ̃ ξοάνȣ εἰς τὴν ὀροφὴν τρέψαι, τοῖς Ἕλλησιν ὑποςρέφȣσι καὶ κατὰ τὴν Εὔβοιαν γενομένοις ιμῶνας διεγεῖραι μεγάλȣς, ὥςε πολλȣ̀ς αὐτῶν διαφθαρῆ-ι. διανηξάμενος δὲ Αἴας εἰς τὰς Γυράδας (χοιράδας A) ιλȣμένας πέτρας ἔλεγε χωρὶς θεῶν γνώμης διασεσῶσθ· ὁσειδῶν δὲ ἀγανακτήσας διέχισε τὴν πέτραν καὶ τὸν Αἴαντα ὁ κλυδῶνι παρέδωκεν· ἐκριφέντα δὲ αὐτὸν κατὰ Δῆλον κρὸν Θέτις ἐλεήσασα θάπτει. Ἀθηνᾶ δὲ ȣ̀δ' ȣ̃τως τῆς γῆς ἐπαύσατο, ἀλλὰ καὶ τȣ̀ς Λοκρȣ̀ς ἠνάγκασεν ἐπὶ χίλια η εἰς Ἴλιον ἐκ κλήρȣ παρθένȣς πέμπειν. ἡ ἱςορία παρὰ λλιμάχῳ ἐν Α αἰτίων καὶ παρὰ τῷ ποιητῇ ἐν τῇ Δ τῆς ȣσσείας παχυμερῶς. AD.

πῶς δέ, φασίν, ὁ Ποσειδῶν ȣ̀κ ἔλαθε τὸν Αἴαντα; καὶ τέον ὅτι φαντασίαν τινὰ παρέχει τὸ θεῖον ἑαυτȣ̃. AD.

68. Αἶαν: τὸ ἑξῆς ἐςίν, ἐπεί τις θεῶν κέλεθ μάχεσθ, δ' ἐμοὶ αὐτῷ· τὰ δὲ λοιπὰ ὡς διὰ μέσȣ λεγόμενα διορ-τέον. ἡ διπλῆ, ὅτι ἀναλόγως ἐκφέρει τὰ τοιαῦτα ὁ ποιη-, καὶ ȣ̀ δεόντως ὁ Ζηνόδοτος ἔγραφεν „ᾧ τε αὖ Κάλχα" (. 1, 86) χωρὶς τȣ̃ ν̄. A.

παρέλκει ὁ ἐπεί, ἢ ὅμοιόν ἐςι τῷ „ἐπεί με κατ' αἶσαν ἱκεσας" (Il. 3, 59). V.

69. μάντει εἰδόμενος: οὐ διαιρεῖ, ὡς τὸ „ἀΐδρει τὶ ἐοικώς" (Il. 3, 219). V.

71. ἴχνια: τὸ ἴχνιον προπαροξυτονητέον, ὁμοιοτόνως ἀράχνιον· ȣ̀ γάρ ἐςιν ὑποκοριςικόν, ἀλλ' ἀπὸ ῥήματος μάτιςαι. ὅτι δὲ ὁ ποιητὴς οὐδὲ ὑποκοριςικοῖς χρῆται, λώσαμεν ἐν τῇ Α. A.

ἴχνια ὁμοτόνως τῷ παίγνια· καὶ γὰρ ὃ μὲν παρὰ τὸν ἵξω λοντα ἔλαβε τὸν χηματισμόν, ὃ δὲ παρὰ τὸν παίξω. τὰ ἀπὸ μακρᾶς ἀρχόμενα ἔχει παροξυτονȣ́μενα τὰ ὑποκο-κὰ ȣ̀δέτερα, τυρός τυρίον, χρυσός χρυσίον, ἕρκος ἑρκίον, ος τειχίον· τὰ δὲ ἀπὸ βραχείας οὐκέτι, φάκος φάκιον, ος λάγιον, ῥάκος ῥάκιον, νάκος νάκιον. τὸ δὲ ἴχνια ὡς ονον ὑγρῷ συνεζευγμένον ȣ̀ ποιεῖ μακρὰν τὴν πρὸ αὐτȣ̃. A.

γράφεται καὶ ἴθματα· Ζηνόδοτος δὲ καὶ Ἀριςόφανης ματα. A.

ἀναχωρȣ̃ντος αὐτȣ̃ τὰς ἀποχαράξεις τῶν ποδῶν ἔγνων, ί, μὴ ἀπομαξαμένας ἴχνος. τὸ δὲ ῥεῖα πρὸς τὸ ἀπιόν-· ῥᾳδίως γὰρ ἀπηλλάγη ὡς θεός. BL. καὶ συνῳδὸν τὸ ος τῷ „αὐτὸς δ' ὥς' ἴρηξ" (62). V.

5. μαιμώωσι: ἀντὶ τȣ̃ αἱμώωσι. V.

6. οὕτω νῦν: ὅρα τὸ ἦθος ὡς ἁπλȣ̃ν· οὐδὲν μὲν γὰρ θεȣ̃ λέγει, ἁπλῶς δὲ τὸ παριςάμενον αὐτῷ δηλοῖ. V.

8. νέρθε πόδεσσιν: νέρθε δὲ ποσσίν. A.

9. ἔσσυμαι: τὸ θέμα σύω σύσω, ὅθεν καὶ σῦς. V.

ἶος: εἰ καὶ μετὰ Διός ἐςιν ἢ τȣ̃ τάγματος. V.

2. χάρμῃ γηθόσυνοι: χαίροντες τῇ μάχῃ. ἔςι δὲ ὅτε δηλοῖ ἡ λέξις καὶ τὸ χαίρειν τῇ εἰς μάχην παραθήξει, παρὰ τὸ χαράσσειν. τὴν γὰρ χαράν, ὥς φησιν (φησὶ μ' cod.) Ἀριςίδης, ȣ̀δετέρως ἀεὶ λέγει χάρμα. A.

χάρμῃ τῇ μάχῃ· ἡ γὰρ χαρὰ χάρμα καλεῖθ. νῦν δέ, ὡς Ἀρίςαρχος, τῇ εἰς τὸν πόλεμον προθυμίᾳ. BL.

ȣ̀κ ἂν ἐπήγαγε γηθόσυνοι, εἰ τὴν χαρὰν ἐδήλȣ. V.

ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ ἐπί, ἵν' ᾖ ἐπὶ χάρμῃ. A.

83. τοὺς ὄπιθεν: ὄπιθεν τῶν Αἰάντων Σαλαμίνιοι Λοκρούς. V.

84. ἀνέψυχον: ἀναψύξαι ἐςὶ τὸ ἀναπαῦσαι τὸ πνεῦμα καὶ ἐν ἀδείᾳ ἀναπνεῦσαι· καὶ γὰρ ἡ ψυχὴ πνεῦμά ἐςιν. BL.

κρύπτει τὴν φυγὴν αὐτῶν ὡς φιλέλλην. L.

85. γυῖα λέλυντο: ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ὡς „σπάρτα λέλυνται" (Il. 2, 135). A.

86. καί σφιν ἄχος: διπλȣ̃ν ἦν αὐτοῖς τὸ δεινόν· τὴν μὲν γὰρ ψυχὴν ἄχος, τὸ δὲ σῶμα κάματος ἐδάμαζεν. ἄχος δὲ παρὰ τὸ χέω, μετὰ τȣ̃ ςερητικȣ̃ ᾱ, τὸ μὴ διαχέον τὴν ψυχὴν ἀλλὰ συνέχον, ὥσπερ τȣ̀ναντίον ἐπὶ τȣ̃ χαίρω, παρὰ τὸ διαχεῖσθ. ἄχος δέ ἐςιν ἡ λύπη· εἴδη δὲ τῆς λύπης τέσσαρα, ἄχος ἄχθος φθόνος καὶ ἔλεος. ἄχος οὖν ἐςὶ λύπη ἀφωνίαν ἐμποιȣ̃σα· ἄχθος ἐςὶν ἡ λύπη βαρȣ̃σα καὶ ἐνοχλȣ̃σα ἐπὶ ἀβȣ́λων τῶν συμβαινόντων· φθόνος ἐςὶ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἔλεός ἐςι λύπη ἐπ' ἀλλοτρίοις κακοῖς· πάχει γάρ τις καὶ σὺ ἐλεεῖς. B.

περιπαθῶς πάνυ, ὅτι ὁρῶντες ἐν ὄψει τὸ κακὸν ἐπαμῦναι ἦσαν ἀδύνατοι· ὅθεν καὶ ἐπαναλαμβάνει τὸ „τȣ̀ς οἵ γ' εἰσορόωντες" (88)· τὰ γὰρ χετλιώτατα τῶν δεινῶν τὰ ἐν ὄψει ἐςὶν ὁρώμενα. εἰς ἔχατον δὲ προῆκθ τὰ τῶν Ἑλλήνων· ὅρα γὰρ ἐπὶ τῆς παρατάξεως ςρατιώτας κλαίοντας ἐνόπλȣς, καὶ ταῦτα Ἕλληνας. BL.

88. ὑπ' ὀφρύσι δάκρυα λεῖβον: ἐςέναζον, ἐδάκρυον· οἱ γὰρ ὀφθαλμοὶ καθ' Ὅμηρον ὑπὸ ταῖς ὀφρύσι· „κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ" (Il. 14, 236). διὰ δὲ τούτων ἐδάκρυον. ἕτεροι δὲ ἤκουσαν λεληθότως ἔκλαιον. ABD.

89. φεύξεσθαι ὑπ' ἐκ κακοῦ: τὸ φεύγειν γενικῇ συντάσσει· „πεφυγμένος ἦεν ἀέθλων" (Od. 1, 18). ἔςι δὲ ὑποφεύξεσθ ἐκ τȣ̃ κακȣ̃. V.

90. μετεισάμενος: πρὸς αὐτȣ̀ς ἀφικόμενος, μετελθών. ἢ μεταβληθείς. D.

91. Λήϊτον: ἐγγὺς γὰρ Λοκρῶν Βοιωτοί. ȣ̃τοι δεύτεροι μέν εἰσι κατ' ἀλκήν, πρόθυμοι δὲ πάντες καὶ νέοι. V.

92. Πηνέλεων: διὰ τȣ̃ ο̄ Ἀριςοφάνης, Πηνέλεον. A.

Θόαντα: ἐγάμει γὰρ Ἀνακτόραν τὴν Πηνέλεω. A.

Δηΐπυρον: Πύλιος ἦν, ὡς τινές· οἱ δὲ ἀδελφὸν Μηριόνȣ. ἰσοδυναμεῖ δὲ τὸ ὄνομα τῷ Πυραίχμῃ. A.

93. μήςωρας ἀϋτῆς: πρακτικȣ̀ς μάχης. V.

95. αἰδῶς: λείπει τὸ ἔςω. Ἑλληνικῶς δὲ τὸ τῆς αἰδȣ̃ς προβάλλεθ, ὁ δὲ Ἕκτωρ τοῖς βαρβάροις ȣ̀ τὸ αἰςχρὸν ἀλλὰ τὸν φόβον· „αὐτίκ' ἐμῷ ὑπὸ δȣρὶ τυπείς" (Il. 12, 250). εὖ δὲ καὶ τῆς ἀκμῆς ὑπομιμνήσκει ἐπὶ δειλίᾳ συγγνώμην ἐχȣ́-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σῃ· διὸ ϗ δὶς ἐπανέλαβε τὸ ὄνομα. οἱ δὲ (δὲ Λάκωνες L) τὸ κοῦροι ἀντὶ τοῦ εὐγενεῖς. BL. ἔςιν οὖν, αἰσχύνης ἄξια ποιεῖτε Ἕλληνες ὄντες εὐγενεῖς ϗ νέοι, κατὰ πεῦσιν. τινὲς αἰδοῦς ἄξιόν ἐςιν. V.

ἔμφασιν ἔχει πλείονα τὸ κοῦροι χωριζόμενον τοῦ νέοι. A.

96. ἁμάς: ἡμετέρας. τὸ ἁμάς ἐκτείνεται κατὰ τὸ τέλος, καίτοι Δώριον ἔχον τὴν πρὸ τέλους συλλαβήν, ἐπεὶ ἑνικῷ παράκειται τῷ διὰ τοῦ ῆ λεγομένῳ, ἁμήν, ὅπερ ὁλόκληρον ἂν ἦν Δωρικόν, εἴπερ εἰς ᾱν κατέληγεν. A.

αὐτὸς γὰρ αὐτὰς εἰς Ἴλιον ἤγαγε· „καὶ νήεσσί" φησιν „ἡγήσατ' Ἀχαιῶν" (Il. 1, 71). BL.

98. νῦν δὴ εἴδεται ἦμαρ: νῦν ἀνεφάνη ἡ ἡμέρα ἐν ᾗ ὑπὸ τῶν Τρώων ἀναιρεθήσεσθε. A.

φαίνεται. λείπει δὲ τὸ τοῦ, τοῦ ὑπὸ Τρωσὶ δαμῆναι. ἀντὶ τοῦ προφανές ἐςιν ὡς ἐν τῇ νῦν ἡμέρᾳ ἀπολούμεθα. ἐντέχνως δὲ τὸ φιλότιμον αὔξει τῶν νέων, τὴν αἰτίαν τοῦ σωθῆναι ϗ ἀπολέσθαι αὐτοῖς ἀναφέρων. BL.

101. Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας: ἐν ἤθει μετὰ θαύματος, ὡς τὸ „Ἕκτωρ δὴ παρὰ νηυσί" (123). μεγάλη δὲ ἡ ἔμφασις· ἔςι γὰρ μυρία προσυπακοῦσαι, οἷον τοὺς βαρβάρους ἐπὶ τὰς Ἑλληνικάς, τοὺς δειλοὺς ἐπὶ τὰς τῶν γενναίων, τοὺς ὀλίγους ἐπὶ τὰς τῶν πλεόνων. BL.

102. φυζακινῇς: ὁμοίως ἀναγνωςέον τῷ ἐαρινῇς. πῶς δ' ἐσχημάτισαι, δεδήλωται ἐν τῷ περὶ παρωνύμων. A.

ἐντέχνως τῷ ψόγῳ τῶν Τρώων ἐνέβαλε τὴν κατηγορίαν Ἑλλήνων· ποῖοι γὰρ ἂν εἶεν οἱ ὑπὸ τοιούτων ἡττώμενοι; BL.

103. θώων: ὅμοιον ὑαίνῃ τὸ ζῷον. φασὶ δὲ αὐτὸ ἅμα τῷ τίκτεσθαι βαδίζειν· ἡ δὲ βάδισις αὐτοῦ ἁλματώδης. BL.

ἄλλως. οἱ θῶες ζῷα ἄλκιμα ϗ εὐκίνητα· ἔνιοι δὲ παραπλήσια ὑαίνῃ. AD.

Ἀρίςαρχος βαρύνει τὸ θώων, καὶ ἐπείσθη ἡ παράδοσις· ὁ δὲ Πάμφιλος περισπᾷ, ἐπεῖ τὰ εἰς ες λήγοντα δισύλλαβα ὀνόματα ἐπ' εὐθείας πληθυντικῆς ἔχει γενικὴν περισπωμένην. διὸ καὶ τὸ Τρώων καὶ δμώων καὶ παίδων ἀνεγίνωσκε περισπῶν, ἔτι δὲ ϗ τὸ πάντων ϗ λάων ϗ τίνων, περὶ ὧν λόγον ἔδωκαν ϗ οἱ πρὸ ἡμῶν ϗ ἡμεῖς. A.

τὸ δὲ θώων ἔνιοι περισπῶσιν, ἵν' ὁμοτονῇ τῷ θηρῶν ϗ κυνῶν. οὕτως δὲ ϗ Ἀρίςαρχος προφέρεται, Διοκλῆς καὶ ὁ Θρᾷξ Διονύσιος ὡς βαρύνοντες τὴν λέξιν. Κάσιος δὲ ἀπολογούμενος ὑπὲρ τῆς βαρυτονήσεως φησὶν ὅτι τὰ μονοσύλλαβα, ὅταν μὲν ἔχῃ τὴν πληθυντικὴν ἐπὶ τῆς τελευταίας συλλαβῆς μετὰ συμφώνου λεγομένην, πάντως ϗ κατὰ τὴν γενικὴν περισπᾶται, οἷον θῆρες κύνες χῆνες, ὅταν δὲ ἀπὸ φωνήεντος ἀρχομένην, πάντως βαρυτονουμένην, οἷον Τρῶες δμῶες θῶες λᾶες. ἀντίκειται δὲ αὐτῷ τὸ παίδων ϗ πάντων. Χαῖρις δέ φησιν οὐκ εἶναι ἐν δισυλλάβοις ἀναλογίαν. A.

Ἀρίςαρχος παρδαλίων, ἄλλοι δὲ πορδαλίων. A.

ἤϊα τὰ τοῦ εἶναι αἴτια, ἢ τοῦ ἰέναι· οἱ γὰρ πεινῶντες τὰ γυῖα βαρύνονται. AL.

ἤϊα τὰ βρώματα, οὐ τὰ ἐν οἴκῳ ἀλλὰ τὰ ἐν ὁδῷ· „δεῦτε φίλοι ἤϊα φεροίμεσθα" (Od. 2, 410) φησὶν ὁ Σιμωνίδης· τὰ ἄχυρα δὲ ἤϊα λέγεται, ὡς τὸ „ὡς δ' ἄνεμος ζαὴς ἠϊόν θημῶνα τινάξει" (Od. 5, 368). καὶ „ὅπλισσόν τ' ἤϊα" (Od. 2, 289) τὰ ἐφόδια· οἰκείως ἀπὸ τοῦ ἰέναι εἴρηται. καὶ χρώμενος δὲ ὁ ποιητὴς λέγει ἀντὶ τοῦ ἑλώρια· κυρίως ἑλώρια λέγονται ἃ ἑλόντες αἱροῦσιν. B.

ἤϊα βρώματα, οὐ τὰ ἐν οἴκῳ δὲ ἐσθιόμενα ἀλλὰ τὰ ὁδῷ καὶ πλῷ· „δεῦτε φίλοι ἤϊα φερώμεθα," Σιμωνίδης (φησί addit D). καὶ τὰ ἄχυρα δὲ ἤϊα λέγεται· „ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξει." τάχα δὲ τὰ φερόμενα παρὰ τὸ ἰέναι· γενηθέντος γὰρ ἀνέμου δεῦρο κἀκεῖσε φέρεται. AD.

104. ἠλάσκουσαι: ἐκκλίνουσαι διὰ δειλίαν ϗ ἐν τόπῳ διάγουσαι, μὴ ἐπιμιγνύμεναι τοῖς ἄλλοις. V.

ἔπι: ἔπεςι. τινὲς δὲ οὐκ ἐπὶ χάρμῃ ἠλάσκουσαι. V.

107. Ἡρακλέων ἀξιοῖ ςίζειν πόλιος, ἵνα, φησίν, φαίνῃ τοιοῦτό τι· τί δὲ λέγω πόλιος; ἐπ' αὐταῖς γὰρ ταῖς ναυσὶ μάχονται. ἱκανὸν μέντοι βραχὺ διαςέλλειν.

τὸ ἕκαθεν πόλιος ἔμφασιν ἔχει ἑτέρου διαςήμα· ἐπιφέρει τὰς ναῦς, ἐν αἷς ἐςὶν αὐτοῖς ἡ σωτηρία. V.

Ζηνόδοτος δὲ ϗ Ἀριςοφάνης νῦν δὲ ἑκὰς πόλιος.

108. μεθημοσύνῃσί τε λαῶν: καλῶς οὐκ εἶπεν ἀνεία ἀλλὰ μεθημοσύναις· καὶ πάλιν „τῇδε μεθημοσύνῃσι" (121). λέγει δὲ τὰ εἰς ἀρέσκειαν τοῦ πλήθους· οἶδε αὐτοὺς ἀεὶ παρὰ τὰς ἀτυχίας μεμψιμοίρως ἔχοντας τυράννοις. BL.

109. οὐκ ἐθέλουσιν: εὖ τὸ μὴ φάναι οὐκ ἐθέλουσι πρὸς βασιλικοὺς γὰρ ἄνδρας ὁ λόγος, οὓς ἐλέγχειν ἀνδρεῖον παρῃτήσατο. ἐπὶ δὲ τὸν ὑποτεταγμένον ὄχλον τὸν ἔτρεψε, ϗ δοκεῖ μὲν κατὰ τῶν ἄλλων λέγειν, ἡ δ' ἐπιφορὰ πρὸς τοὺς ἀκούοντας γίνεται. BL.

ἐρίσαντες: ἀντὶ τοῦ ἐρίζοντες, ὡς ἤδη ψευσάμενος.

111. ἀλλ' εἰ δὴ: εἰ γὰρ ϗ εἶπεν „ἀασάμην οὐδ' ἀ" (Il. 9, 116), ἀλλ' ἐκμειλισσόμενος τὸ πλῆθος ἔλεγεν.

113. ἀπητίμησε: περισσὴ ἡ ἀπό. L.

115. ἀκεώμεθα: τὴν ἑαυτῶν ἀμέλειαν θεραπεύομεν. τινὲς δὲ τὴν εἰς Ἀχιλλέα ἀτιμίαν· ῥᾷςον γὰρ ἐπανόρθωσιν τὸ ἁμαρτηθὲν τοῖς ἐναρέτοις ἀνδρεῖον. ABL.

τὴν ἔριν, ἢ τὴν μῆνιν Ἀχιλλέως, ἢ τὴν ἀμέλειαν αὐτοῖς ὀνειδίζει. V.

τὸ δὲ ἀκεώμεθα ἀντὶ τοῦ ἰασώμεθα διὰ τάχους τοιγονὸς ἁμάρτημα· εὐΐατοι γὰρ ϗ εὐθεράπευτοι αἱ τῶν θῶν φρένες· ῥᾳδίως πρὸς τὸ κρεῖττον μετατίθενται, ἐθεράπευτοι οὖσαι. ἢ θεραπευτικαί εἰσι. ABD.

ὅτι ἀμφίβολον τὸ ἀκεώμεθα, πότερον ἰαθῶμεν ἢ ἰασώμεθα· ὃ ϗ ὑγιές, οἷον τὸ ἐλάττωμα ἰασώμεθα. A.

ἔν τισι τῶν ὑπομνημάτων διὰ τοῦ τέ, ἀκεςαί τε τοῦ ἀκεςαί τοι. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

117. πάντες ἄριςοι ἐόντες: τῷ ἐπαίνῳ θεραπεύει μειζόνως ἐλέγχει ὡς διαφθείροντας τὴν φύσιν τῇ ῥαμίᾳ. BL.

119. κῆρι: κατὰ ψυχήν. ἢ ὡς τὸ „περιβάλλει ἅπαντας ηςῆρας δώροισι" (Od. 15, 17). V.

120. ὦ πέπονες: τινὲς ἀντὶ τοῦ προσηνεῖς· τάχα γὰρ ραμυθεῖται αὐτούς. μεῖζον δὲ κακόν, δηλονότι τοῦ . BL.

122. αἰδῶ καὶ νέμεσιν: τήν τε κοινὴν αἰσχύνην καὶ ἐξ ἄλλων προσγινομένην μέμψιν. μεγάλη γάρ, φησί, λέμου φιλονεικία διανίςαται. BL.

123. 124. μετὰ θαύματος (ἀναςάσεως V) τὸ δίςιχον ενεκτέον, ὡς τὸ „Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας" 1). βοὴν δὲ ἀγαθὸν αὐτὸν καλεῖ πρὸς ἐρεθισμὸν ἐκεί-. BL. καὶ „Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθόν" (Il. 671). V.

124. ὀχῆα: τὸν ἑκατέρας πύλης· δύο γάρ εἰσι. καὶ „τὸν ἐλατῆρ' ἀφίει ἀκαχήμενον" (Il. 11, 702). V.

125. κελευτιόων: κελευτής κελευτιῶ κελευτιόω. καὶ αχῶ δέ φησι „κελευτιόων δ' ἐπὶ πύργῳ" (Il. 12, 265). ς δὲ καὶ τούτους κατὰ τὸ σιωπώμενον ἔπληξε τῷ σκηπα-, ὡς καὶ τοὺς Αἴαντας. τινὲς δὲ κελευθιόων ἀντὶ τοῦ ὁδη- τοὺς Ἕλληνας. ἴσως δὲ οὐ τὸ προςάσσων δηλοῖ, ἀλλὰ διεγείρων. BLV.

γαιήοχος: ἤτοι ὁ ἐπὶ γῆς ὀχούμενος ἢ ὁ χαίρων ς ἅρμασιν· ἵππιος γὰρ ὁ θεός. D. ὁ ἔχων ἤγουν βαςάζων γῆν· ἐπὶ γὰρ τοῦ ὕδατος ἡ γῆ ἐςήρικται. ὁ αὐτὸς καὶ ἐννο-αιος ὡς κινῶν τὴν γῆν· τῇ γὰρ τοῦ ὕδατος παρὰ χρόνον ὰ μεταςάσει γίνεται ὁ σεισμός. BD.

127. οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο: ἀλλὰ μᾶλλον μάσειεν. ἔςι δὲ μετὰ συλλογισμοῦ ὁ ἔπαινος, οὐκ αὐτοῦ λέγοντος ἐκτιθεμένου τὴν εἰκόνα τοῦ πράγματος, δι' ἐμ-εως δὲ καταλείποντος τοῖς ἀκροαταῖς σκοπεῖν ὁποῖαί ς ἦσαν. BL.

ἡ διπλῆ πρὸς τὴν τοῦ χρόνου ἀλλαγήν· ἔςι γὰρ ἀντὶ τοῦ ὀσατο. καὶ ὅτι δὶς παρείληφε τὸν σύνδεσμον, ἄν καὶ . A.

128. λαοσσόος: ἡ ὁρμῶσα ἢ σώζουσα τοὺς συμμαχο-ους, ἢ σοβοῦσα τοὺς ἐναντίους, ὅθεν καὶ ἐγρεκύδοιμος. V. ἡ λαοὺς σεύουσα, τουτέςιν εἰς φυγὴν ἄγουσα, ἢ σώζου- . D.

130. φράξαντες δόρυ δουρί: συνέβαλον μὲν ἀλλή-ς φαλαγγηδόν, συμβαλόντες δὲ διέλυον τὴν φάλαγγα, ὶ πῶς ὥρμων καὶ ὑπεχώρουν καὶ ἐσκύλευον; καὶ ἔοικεν ὡσεὶ πειρά τις εἶναι τῆς ὑπομονῆς τῶν πολεμίων. ἢ πρὸς τὸ δέξασθαι τὸν Ἕκτορα ἐπύκνωσαν (ἐγύμνασαν L) ἑαυτούς. τες μὲν οὖν ἐν ἀσπίσι καὶ θώραξι καὶ κράνεσι καὶ λόγχαις· τού- δὲ οἱ μὲν πρωτοςάται κατὰ τὸ μέτωπον (πρόσωπον L) ἦσαν, τες ὁμοίως τὰ δόρατα κατὰ τὴν προβολὴν ἔχοντες· κα-ιν δὲ τούτων οἱ δευτεροςάται, κατὰ τὰ δεξιὰ πλευρὰ τῶν ποςατῶν προβεβληκότες τὰ δόρατα, μείζω δυσὶ πήχεσιν· οἱ δὲ τρίτοι παρ' ἀμφοτέρους ὁμοίως, ὥςε εἰς τρεῖς ἀρχὰς ἀνέχειν τὰ δόρατα· οἱ τέταρτοι δὲ καὶ πέμπτοι τὰς αἰχμὰς εἶχον ὀρθάς, ὡς εἴ τι κενοῖτο τῆς τάξεως τιτρωσκομένων ἢ φονευομένων, τοῦτο πληροῦν. B.

τοῦτον δὲ τὸν συνασπισμόν, ὡς ὁ τακτικὸς Ἑρμόλυτος λέγει, ἐνομοθέτησε Λυκοῦργος, ἐδίδαξε δὲ ὁ Λύσανδρος Λάκων καὶ Ἐπαμινώνδας· εἶτα ὑπὸ Χαριδήμου Ἀρκάδες ἐδιδάχθησαν καὶ Μακεδόνες. V.

130. προθελύμνῳ: Ἀνδρόμαχος ἐν ἐτυμολογικοῖς φησὶ κυρίως λέγεσθαι προθέλυμνα τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρα, διὰ τὸ θηλυμανεῖν. BD.

προθελύμνῳ δὲ ἀλλεπαλλήλῳ ἢ ἀλλεπαλλήλους πτυχὰς ἔχοντι. V.

132. προπαροξυτονητέον τὸ ἱππόκομοι· ἡ γὰρ κόμη ἔγκειται, οὐ τὸ κομῶ· οὕτως οὖν ἀναγνωςέον, κυπαρισσόκομος καλλίκομος. τὰ δὲ ἀπὸ τῶν εἰς η̄ ληγόντων θηλυκῶν συντιθέμενα καὶ μεταβάλλοντα τὸ τέλος εἰς τὴν εἰς ος κατάληξιν προπαροξύνεται, ἄφωνος ἄναυδος· οὕτως ἱππόκομος. τότε μέντοι παροξυτονητέον τὸ ἱππόκομος, ὅτε τὸ κομεῖν ἔγκειται· „Νεςορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην" (Il. 8, 113). A.

φάλοισι: συρίγγια ἐπὶ τῶν μετώπων εἰς ἃ καθίενται οἱ λόφοι, ὥςε τοὺς ἐκ τῶν κορύθων λόφους ψαύειν ἀλλήλων. A.

φάλοι μὲν τὰ προμετωπίδια ἐπαναςήματα, ὧν καὶ ὁ λόφος ἔχεται, λόφος δὲ τὸ τῆς μέσης περικεφαλαίας ἐκ τριχῶν ἀνάςημα. τὸ δὲ πᾶν οὕτως, οἱ τῶν κορύθων λόφοι ἀλλήλων ἔψαυον. ἱππόκομοι δὲ αἱ ἱππείους ἔχουσαι κόμας. BL.

134. ἔγχεα δ' ἐπτύσσοντο: αὐτὰ τὰ ἔγχη κραδαινόμενα πτυσσομένοις ἔοικε. γίνεται δὲ ἐκ τοῦ πτύω τὸ βάλλω πτύσσω πλεονασμῷ τοῦ σ̄. BL. εἰς τὸ αὐτὸ συνήγετο καὶ ἐκάμπτετο κραδαινόμενα. D.

θρασειάων: τῶν θρασείαις ψυχαῖς ὑπηρετουσῶν. BL. ὡς „ἀσπίδα θοῦριν" (Il. 11, 32). A.

135. βραχὺ διαςαλτέον ἐπὶ τὸ φρόνεον· τὸ γὰρ ἑξῆς, οἱ δ' ἰθὺς φρόνεον μάχεσθαι, καὶ μέμασαν. A.

τινὲς σειόμενοι ἰθὺς ἐφρόνουν, ὥςε εὐθεῖαν πρὸς Τρῶας χωρεῖν. V.

136. προὔτυψαν: προπαρενέβαλον (προενήλασαν V), ἢ προσέπεσον καὶ συνῆλθον. ταῦτα δὲ τῇ εὐημερίᾳ θαῤῥοῦντες. BLV.

137. ὀλοοίτροχος: λίθος περιφερὴς καὶ ςρογγύλος, ὁ ἐν τῷ τρέχειν ὀλοός, ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπῖπτον βλάπτει. AD. Δημήτριος ὁ γονύπεσος δασύνει, ἵν' ᾖ ὅλος τροχοειδὴς καὶ κατὰ πᾶν μέρος ἀςήρικτος, τῷ δὲ τόνῳ ὡς κακότροπος· οὕτως δὲ καὶ Ἑρμαπίας καὶ Νικίας καὶ Ἀριςέας καὶ Ἀριςόνικος. Κόμανος δὲ καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ψιλοῦσι καὶ παροξύνουσιν, ἀκούοντες τὸν ἐπὶ τὸ τρέχειν ὀλοὸν καὶ δεινόν. ἐπένθεσις δὲ τοῦ ῑ περιττή· καὶ γὰρ χωρὶς αὐτοῦ σώζεται τὸ μέτρον, καὶ ἔδει αὐτὸ ἀναλογῆσαι τῷ „Ἄτλαντος θυγάτηρ ὀλοόφρονος" (Od. 1, 52). Δημόκριτος δὲ τὸ κυλινδρικὸν σχῆμα ὀλοοίτροχον καλεῖ. καλῶς δὲ βάρβαρον καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλογον ὁρμὴν ἀψύχῳ βάρει εἰκασέ διὰ παντὸς τόπου κυλινδεμένῳ. AB.

138. σεφάνης: περικεφαλαίας, ἢ ὄρος ἐξοχῆς· νῦν δὲ λείας πέτρας. AD.

τῆς ἐν πλάτει ἐξοχῆς. ἡ δὲ κατά ἀντὶ τῆς ἀπό ἢ ἀντὶ τῆς ἐξ. V.

139. ἀναγκαίως τὸ ἀσπέτῳ πρὸς τὸ δυνηθῆναι πέτραν ῥῆξαι. ἀναιδέος δὲ τῆς ἀνενδότου καὶ σκληρᾶς. τὰ δὲ ἔχματα τὰ ἐξέχοντα καὶ μὴ ἐῶντα κυλισθῆναι αὐτόν. BL. ἢ τὰ συνέχοντα τὴν πέτραν πρὸς τὸ ὄρος. V.

140. ὕψι, ὡς οἴκοθι καὶ ἄγχι, ὡς φησι Πτολεμαῖος. τινὲς δὲ τᾶτο ὀξύνεσιν, ὑψί. A.

ἀναθρώσκων: προσκρούων καὶ ἀφαλλόμενος. V.

141. ἀσφαλέως: ἀνεμποδίσως, μὴ σφαλλόμενος τῆς τῶ θεῖν σφοδρότητος. BL.

θέει: ἐψύχωσε τὸν λίθον. V.

ἕως: γράφεται ὄφρ' ἄν. L.

142. ἰσόπεδον: ἀντὶ τῶ ὁμαλὸν πεδίον, οἷον ἕως οὗ κατέλθῃ εἰς ἰσόπεδον πεδίον. ἀντὶ τοῦ ἴσην ἔχον γῆν καὶ ὁμαλήν. V.

143. εἶως: ἕως τινὸς μέν. οἱ δὲ ἀντὶ τῶ τέως. B.

τὸ εἶως ἐνταῦθα κεῖ ἀντὶ τῶ τέως, διόπερ ἅτε σιγμὴν ἅτε ἀνταπόδοσιν ἔχει ἐπιφερομένην. A.

ἀπείλει: ἠπείλει, ὑπιχνεῖτο. ἔωθ' ὅτε δὲ τὸ καυχᾶται καὶ ἐπιπλήσσει δηλοῖ. AD.

144. ῥεῖα διελεύσεσθαι: οὕτως Ἀρίσαρχος. οἱ δὲ ῥεῖα δ' ἐλεύσεσθαι. V.

ἡ δὲ διά ἔμφασιν ἔχει, ἀντὶ τῶ τὴς σκόλοπας καὶ τὴν τάφρον διελεύσεαθ. V.

146. μάλ' ἐγχριμφθείς: ἀντὶ τῶ λίαν ταῖς φάλαγξιν ἐμπελασθείς. BL.

147. ἡ διπλῆ πρὸς τὸ ἀμφιγύοισιν, ὅτι οἱ μέν, ἐπεὶ ἀμφοτέραις ταῖς χερσὶ διερείδοντες χρῶνται· οἱ δὲ ἀπὸ τῶ γυῶσαι, ὅτι βλάπτει ἀμφοτέρωθεν· οἱ δὲ μεταφορικῶς ἀπὸ τῶν γυίων, ὅτι ἑκατέρωθεν ἄκρον ἔχει· γυῖα γὰ τὰ ἄκρα. A. ἑκατέρωθεν ἡκονημένοις καὶ βλάπτειν δυναμένοις. D.

ἀμφοτέρωθεν βλάπτεσι καὶ γόνυ (γυῖον?) ἐπάγεσιν, ἀπὸ αἰχμῆς τε καὶ σύρακος. BL. τὰ δὲ ναύμαχα κατὰ σόμα μόνον εἰμένα· οὐκ ἔχουσι γὰ σύρακα. ἢ ἀμφοτέρωθεν πρακτικοῖς· γυῖα γὰ κυρίως πόδες καὶ χεῖρες, δι' ὧν πράσσομέν τι. V.

148. ὁ δὲ χασσάμενος πελεμίχθη: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ὁ δὲ χάσσατο πολλὸν ὀπίσσω. ἠγνόησε δὲ ὅτι τὰ ἐμπεπηγότα δόρατα τῇ ἀσπίδι ἀναχωρῶντες διατινάσσεσιν, ἵνα ἀποπέσῃ. A.

ἀντίσροφον τὸ χῆμα. V.

149. διαπρύσιον: διὰ παντὸς τῶ πέρατος ἀκουσθῆναι δυνάμενον. ἢ διαπεράσιμον εἰς ἀκράς. ἢ διαπύρσιον, διαφανὲς καὶ σημαντικόν. AD.

διαφανές, τετέσι τῇ φωνῇ ὡς πυρσῷ ἐσήμανεν. ἢ τὰς πάντων διαπερῶν ἀκοάς. BL.

150. Τρῶες: πῶς τὲς διεσκεδασμένες ἐνεκάλει κελεύων βάρβαρος ὁρμὴ καὶ ὑπερήφανος. V.

Δάρδανοι: οἱ ἐν Δαρδανίᾳ πόλει τῆς Τροίας ὄντες. D.

151. παρμένετ': ἀλλήλοις. αὐτὸς γὰ ἔχει Δία, προσδεῖταί τινος. BLV.

152. πυργηδόν: δίκην πύργε, ἐν τάξει. ἔσι δὲ ἐπίρρημα παραβολοειδές, ὅμοιον τῷ σφαιρηδόν. AD.

153. οἰω: ἄμεινον εἶναι μόνῳ, ἵνα μὴ Ἕκτωρ δίῃ ἢ τὸ οἴῳ ἀντὶ τῶ πέπεισμαι· „ἢ γὰ οἴομαι ἄνδρα χολῶμεν" (Π. 1, 78). BL.

εἰ ἐτεόν: ἐπεὶ ἐτεῶς. ὁ εἰ συναπτικὸς ἀντὶ τῶ ἐπεί τὸ „χρὴ δ' εἰ σοφὸς πέφυκας·" καὶ ὁ Εὐριπίδης „οὐκ εἴπερ εἴργασαι τάδε." V.

154. θεῶν ὤρισε: ἀντωνομασία ἀντὶ τῶ ὁ Ζεύς.

155. μένος λέγει τὴν προθυμίαν, παρὰ τὸ μένα προθυμᾶμαι. B. ὅθεν καὶ ὁ μέμονα παρακείμενος. V.

156. Δηΐφοβος: προσυνίζησιν αὐτόν, ὅτι μετὰ Ἕκτορος τελευτὴν διεδέξατο τὴν στρατηγίαν. V.

158. ὑπασπίδια προποδίζων: ὑπὸ τὴν ἀσπίδα (τῇ ἀσπίδι V) ῥέμα καὶ εὐρύθμως βαίνων, ἢ ὑπὸ τὴν ἀσπίδα τὲς πόδας τιθείς, τετέσι περικαλύπτων αὐτὲς τῇ ἀσπίδι κατὰ τὴν πορείαν· ἐξ ἧς πρόδηλον ὅτι ἐκ εἶχεν ὁ Δηΐφοβος ἀμφιβρότην ἀσπίδα ἐδὲ ὅπλα, ἢ ἂν αὐτὴν ἐκράτει (ἢ πλαγίαν αὐτὴν ἐκράτει V). ADV.

ἤτοι μετέωρα καὶ ὑψηλὰ προβαίνων, ἢ ἐπ' ἄκρων ποδῶν βαδίζων, ὅ ἐσιν (οἱονεὶ D) ἀκροβηματίζων. AD.

ἢ προβάλλων τὰ ἔχνη πρὸ τῆς ἀσπίδος. ἐν βραχεῖ δεδήλωται ὁ μετέωρα βαίνων καὶ τῷ κύκλῳ τῆς ἰδίας ἀσπίδος τὸ σῶμα κρύπτων. BL.

159. ἡ διπλῆ, ὅτι παραλέλειπται πρόθεσις ἡ ἐπί, καὶ γενικὴ ἀντὶ τῆς αἰτιατικῆς κεῖται· τὸ γὰ ὅλον ἀντὶ τοῦ αὐτόν, ὡς καὶ τὸ „ἀλλ' ἄγ' ὄτρυνον Μενελάῳ" (Il. 4, 100).

160. καὶ βάλεν ἐδ' ἁφάμαρτε: ταὐτὸν δι' ἀμφοῖν δηλοῖ. βάλλειν γὰ τὸ ἐπιτυγχάνειν φησὶν ὁ ποιητής· „ἔβαλες τὸν ξεῖνον" (Od. 20, 305) καὶ „βάλλ'· αἰεὶ δὲ ῥαὶ νεκύων" (Il. 1, 52). V.

τὸ ἐξῆς καὶ βάλε κατ' ἀσπίδα. ἔτως ἂν διορθωτέον.

161. τῆς δ' ἔτι διήλασεν: ἐδὲ τὸ τυχόν, φησὶ, αὐτῆς ἦλθε. BL.

162. ἐν καυλῷ: ἀντὶ τοῦ κατὰ τὸν καυλόν, ὡς „ἄξαντ' ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40). λέγει δὲ τὸ καθ' ἕνον εἰς τὸ κοῖλον τῶ δόρατος μέρος. BL. καυλὸς τὸ ἄνω τῶ δόρατος τὸ ἐμβαλλόμενον εἰς τὴν ἐπιδορατίδα. D.

165. χώσατο: συνεχύθη τὴν ψυχήν· ἅτε γὰ ἐπὶ ἅτε ἐπὶ ὀργῆς τίθεται, καὶ φθέγγεται μὲν ἐδέν (ἐ γὰ οἰκείῳ τῷ καιρῷ), τῇ δὲ ψυχῇ λελύπηται. BL.

ἐλυπήθη γὰ κατ' ἀμφότερα, ἐπί τε τῷ τὴν νίκην ἀφῃρῆθαι καὶ ἐπὶ τῷ κεκλάσθαι τὸ δόρυ. D.

ἡ διπλῆ, ὅτι νῦν χώσατο ἀντὶ τῶ συνεχύθη. A.

166. ἡ διπλῆ, ὅτι λείπεσιν αἱ προθέσεις, περὶ νίκης περὶ ἔγχεος. A.

τὸ ὅ ἀντὶ τοῦ ὅτι, ὡς τὸ „ὅ μοι γέρας" (Il. 1, 120). V.
Ζηνόδοτος (Ἀρίσαρχος V) ξυνέηξε. A.

168. οἰσόμενος: ἑαυτῷ. διὰ τί δὲ οὐκ ἄλλον πέμπει, ἀ' αὐτὸς ἄπεισιν; ὅτι ἐν τῷ θορύβῳ κεχώρισται τῶν ...υφόρων, καὶ ἡ σκηνὴ πλησίον ἦν, καὶ οἱ πεμπόμενοι οὐχ ...ίως ταχεῖς· καὶ παρὼν δὲ ὅμοιος ἦν τῷ μὴ παρόντι ...υ μὴ ἔχων. τοὺς μὲν οὖν ὡς τραυματίας πιθανῶς ὁ ποιη..., τοὺς δὲ καὶ ὅπλων ἐνδεεῖς ἐξήγαγε τοῦ πολέμου. δύο δὲ ... δόρατα, οἷς αὐτὸς ἐχρῆτο· διάφορα γὰρ τὰ τῶν βασι...ν, ὡς καὶ ἡ Ἀχιλλέως μελίη· εἶχε δὲ καὶ ἄλλα πολλά. ...φέρει δὲ τὸ οἴσων τοῦ οἰσόμενος· οἴσων μὲν γὰρ ἑτέρῳ, τὸ „οἴσετε δ' ἄρνα λευκόν" (Il. 3, 103), οἰσόμενος δὲ ...τῷ. BDV.

...τινὲς ἃ οἱ, ὡς „κῆτος ἃ μυρία βόσκει" (Od. 12, 97). V.
τὸ δὲ ὅλον διὰ τὸ ἀναπαῦσαι τοὺς ἀκροατὰς ἀπὸ τῆς ...ης τοῦτο πράττει ὁ ποιητής, ὅπερ ἔσαι Ἰδομενέως αὐ... συμβαλόντος. V.

171. Ἴμβριον αἰχμητήν: πιθανῶς ἐφ' ἑκάστῳ τῶν ...ήμων τὴν διήγησιν κατὰ τὰς ἀναιρέσεις ἐκφέρει· τὸ γὰρ προεκθέσθαι περὶ ἑκάστου περιττόν, τὸ δὲ ἐν τοῖς συμ...μασι παραδιηγεῖσθαι πιθανόν. BL.

Κέντορος ἔδει· οἰκεῖον γὰρ τῷ πολυΐππῳ τὸ κεντεῖν. V.

172. Πήδαιον: ὑπὸ τὴν Ἴδην πόλις πρὸς Θήβην, οἱ ...ρὸς Καρίαν. τινὲς δὲ τὴν αὐτὴν τῇ Πηδάσῳ. V.

...ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ὃς νάε Πήδαιον, ...κατάλληλον τὸν λόγον κατὰ συναλοιφὴν ποιήσῃ. ἀγνοεῖ ...τι Ὅμηρος διακόπτει τὰς φράσεις, ἵνα μὴ μακροπε...ος γένηται. ἄλλως τε καὶ κακόμετρον τὸ ἔπος ποιεῖ. A.

175. ἄψ: πάλιν ἀπὸ Πηδάσου ἦλθεν εἰς Ἴλιον, ἤδη γὰρ ...τε ἦλθεν εἰς Τροίαν διὰ τὸν γάμον. V.

177. ὑπ' οὔατος: ὑπὸ τὸ οὖς. κατὰ τὸ σιωπώμενον ...ετεσκεύαστο ὁ Τεῦκρος. V.

178. αὖτ' ἔπεσεν: ἐν ἄλλῳ αἶψ' ἔπεσεν. A.

179. ἥ τ' ὄρεος κορυφῇ: ἐν πεδίῳ γὰρ οὐ φύεται ἡ με...ἔμφασιν δὲ ἔχει ἄνωθεν πίπτουσα ἡ μελία. περιφαι...ένου δὲ κύκλῳ περιορωμένου· „ὅτε φαίνεται οἶον ἀπ' ...ν" (Od. 9, 192). ἢ ὑπερφαινομένου. BLV.

...ὕτως Ἀρίσαρχος ἑνικῶς. ἄλλοι δὲ κορυφῇς. A.

180. τέρενα: τρυφερά, ἁπαλά, ῥᾳδίως δυνάμενα τεί...ται, ἔτι δὲ χλωρά. ἔοικε δὲ ὥσπερ συναλγῶν τῷ δένδρῳ ...ῦτα εἰρηκέναι. D.

...ύλλα τοὺς κλάδους, ὡς οὗτος τὰ ὅπλα· τέρενα δὲ ...λωρά. ἔοικε δὲ ὁ ποιητὴς τῇ μελίᾳ συνάχθεσθαι. BL.

181. ἀμφὶ δέ οἱ: τὰ περὶ αὐτῷ ἢ ἐπ' αὐτῷ· „ἀμφὶ ...ζῆσαι τρίποδα" (Il. 18, 344). V.

...ράχε: ὠνοματοπεποίηκεν. ἐντεῦθεν δὲ ἀπὸ τοῦ ἤχου ...ὑδάτων καὶ τὸ βρέχειν ὠνόμασαι. BD.

184. ἄντα ἰδών: λείπει τὸ φερόμενον. χάλκεον δὲ ...ιέρους. BL. ὡς λευκώλενος. V.

185. Κτεάτου υἷ': ὅτι καὶ τὸ „υἷες ὁ μὲν Κτεάτου ...ὑρύτου Ἀκτορίωνε" (Il. 2, 621) ἀντὶ τοῦ Ἀκτοριώνων. V.

187. δούπησεν δὲ πεσών: κατὰ καρδίας καὶ πνεύμονος ἡ πληγή· διὸ ταχεῖα καὶ ἡ πτῶσις. BL.

190. ὀρέξατο: ἀντὶ τοῦ ὀρεξάμενος ἔψαυσεν. τινὲς δὲ ἀκόντισεν. V.

191. λείπει ἡ διά, διὰ τοῦ χροὸς ἐπορεύθη, παρὰ τὸ ἰέναι, ὡς „διὰ πρὸ δὲ εἴσατο" (Il. 4, 138) καὶ τῆς ἄρεος δὲ χερὸς εἴσα χροῦς ἐφάνη. οὕτως καὶ Τυραννίων, ἵν' ᾖ εὐθεῖα. Ζηνόδοτος δὲ χρώς. ὁ δὲ Ἡρωδιανὸς καὶ εὐθεῖαν καὶ γενικὴν δέχεται τὴν χροός, προκρίνει δὲ τὴν γενικήν. V.

ἡ διπλῆ, ὅτι διῄρηκε χρόος ἀντὶ τοῦ χρώς· διὸ βαρυτονητέον. καὶ ὅτι τὸ εἴσατο νῦν ἀντὶ τοῦ ἐφάνη. A.

οὕτως αἱ Ἀρισάρχου, χρόος ὡς λόγος· βούλεται δὲ διῃρῆσθαι τὴν εὐθεῖαν. Ζηνόδοτος δὲ γράφει χρώς. A.

Ἀλεξίων φησὶν ὅτι Ἀρίσαρχος ὡς σοφός προηνέγκατο, Τυραννίων δὲ ὡς πόλος, καὶ ἔχει λόγον ἑκατέρα ἡ ἀνάγνωσις. ἐὰν μὲν χρόος ὡς πόλος κατ' εὐθεῖαν πτῶσιν ἀναγνῶμεν, ἔσαι τὸ λεγόμενον, ἀλλ' οὐδαμῶς ὁ χρὼς ἐφάνη· ἐὰν δὲ χροός ὡς σοφός κατὰ γενικὴν πτῶσιν, ἔσαι, ἀλλ' οὐδαμῶς τοῦ χρωτὸς διῆλθε· τὸ γὰρ εἴσομαι καὶ τὸ φανῆναι σημαίνει καὶ τὸ διελθεῖν. ἐπικρίνομεν δὲ ἡμεῖς περὶ τῆς ἀναγνώσεως ἐκεῖνο, ὡς ὅτι πιθανόν ἐστι μᾶλλον τὴν γενικὴν ἐκδέχεσθαι ἤπερ τὴν εὐθεῖαν· οὐ γὰρ αὐτῷ ἔθος εὐθεῖαν μὲν ἐπίσασθαι εἰς ος περατουμένην „ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος" (Il. 4, 510)· καὶ ἀκόλουθος αἰτιατικὴ „χρῶτ' ἀπονιψαμένη" (Od. 18, 172). τὰς δὲ ἄλλας πλαγίους οἶδεν ἀπὸ τῆς εἰς ους εὐθείας· „χροῒ δ' ἔντε' ἐδύσετο παμφανόωντα" (Il. 9, 596)· καὶ τὴν αἰτιατικήν „μή τις χρόα καλόν·" ὥστε εἰ οὐ κεκώλυται τῆς γενικῆς ἡ σύνταξις, τί ἐστι τὸ κατεπεῖγον μὴ τῇ συνήθει κλίσει τὴν ἀνάγνωσιν ποιεῖσθαι; A.

τὴν εὐθεῖαν χρώς φησιν ὁ ποιητής, τὰς δὲ πλαγίας ὡς ἀπὸ τοῦ χροῦς κλίνει. καὶ συντίθησι δὲ τὴν λέξιν, ταμεσίχροας λέγων ὡς ἀπὸ τῆς ταμεσίχρους εὐθείας καὶ μελανόχροος ἀπὸ γενικῆς εἰς εὐθεῖαν, ὅθεν καὶ παρώνυμον μελαγχροιής καὶ εὐχροὲς δέρμα. οὕτω δὲ καλεῖ καὶ τὴν ἐπιφάνειαν καὶ τὴν ἐντοσθίδιον σάρκωσιν. BL. „χρὼς σήπεται" (Il. 24, 414) „ἵνα οἱ χρὼς ἔμπεδος εἴη" (Il. 19, 39). V.

πᾶς; ὅλος Ἕκτωρ, ἢ ὁ χρὼς αὐτοῦ. B. πρὸς δὲ τὸ „πᾶσαι δ' ὠΐγνυντο πύλαι" (Il. 2, 809) τὸ σημεῖον. V.

192. ὀμφαλὸν: τὸ μέσον, ἢ τὸ ἐπιτιθέμενον αὐτῇ πρὸς κόσμον. BL.

194. νεκρῶν ἀμφοτέρων: ὥστε μήτε τὸν πολέμιον σκυλεῦσαι μήτε τὸ τοῦ οἰκείου σῶμα ῥύσασθαι. BLV.

195. Στίχιος: τινὲς Σχεδίος γράφουσι. τοῦ δὲ Στιχίου ἐν τῷ καταλόγῳ οὐ μέμνηται, ὅτι οὐκ ἦν ἀναγκαῖον καὶ τοὺς δευτέραν τάξιν ἔχοντας καταλέγειν. τινὲς δὲ χλευάζουσιν ὡς νεκροφόρους. V.

196. μετὰ λαὸν: ἐν ἄλλῳ μετὰ ἔθνος. A.

197. ἡ διπλῆ, ὅτι συνεχῶς κέχρηται τοῖς δυϊκοῖς. ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ τῆς πατρίδος· Ἀθηναίων γὰρ ἴδιον. A.

198. αἶγα; Ζηνόδοτος αἶγε· οὐ γὰρ συμμαχοῦσιν ἀλλήλοις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέοντες. ἢ ὅτι τὰ ἐν τῇ παραβολῇ ὡς καθ' ὑπόθεσιν ἐκδεκτέον. ἢ τῶ ἑνὸς ἁρπάσαντος συναρπάζει ὑπαντῶν ὁ ἕτερος, ἑκατέρᾳ τὴν ἀγρὰν εἰς ἑαυτὸν μετάγοντος, ὡς ϰ' Αἰσχύλος περὶ Γλαύϰᾳ „εἶλκον ἄνω λυϰηδόν, ὥσε διπλόοι λύϰοι νεβρὸν φέρουσιν ἀμφὶ μαχάλαις." BLV.

ϰαρχαροδόντων: ὀξεῖς ϰ' ἐπιϰαμπεῖς ὀδόντας ἐχόντων. D.

τοὺς Τρῶας τοῖς φυλάσσουσιν εἰϰάζει ϰυσί, τὰς δὲ Ἕλληνας τοῖς ἁρπάζουσι λέουσι. V.

199. ῥωπήϊα: οἱ τόποι ἐν οἷς ῥῶπες φύονται. ῥῶπες δὲ πολύφυλλα ϰ' ἱμαντώδη φυτὰ δρυῶν. BD.

200. ὑψοῦ: πολὺ τὸ εὔτονον αὐτῶν, εἰ μηδὲν παρασύρσει τῶ φερομένῳ. V.

γαμφηλῇσιν: γαμφήλη παρὰ τὸ ϰεϰάμφθαι. V.

202. συλήτην: ἢ Δώριόν ἐστιν ἢ παρὰ τὸ συλησάτην. D.

203. ϰόψεν Ὀϊλιάδης: ἐ γ' ἦν τοῦτο τῆς μεγαλοπρεπείας τῶ Τελαμωνίῳ τὸ νεϰρῶ ἀποτεμεῖν ϰεφαλὴν ϰ' τοῖς πολεμίοις ῥιπτεῖν· ἀλλὰ περὶ τὰς ζῶντας ἐπονεῖτο. BL.

θερμότερος τὸν τρόπον ὁ Λοϰρός. V.

ὑπεραπολογεῖται αὐτοῦ ὁ ποιητὴς παρεντιθεὶς τὸ ϰεχολωμένος. θαυμαστῶς δὲ τῇ ἐπεξεργασίᾳ χρῆται· ὁ μὲν γὰρ Ἕϰτωρ τοῦ Ἀμφιμάχου οὐδὲ τὸ ϰράνος ἀφελεῖν ἐδυνήθη, ὁ δὲ Ἕλλην οὐ μόνον τὰ ὅπλα ἐσύλησεν, ἀλλὰ ϰαὶ τὸ σῶμα ἐλυμήνατο. ὡμὸν δέ φασι ϰαὶ οὐϰ Ἑλληνιϰὸν τὸ ἔργον· ἀλλὰ σύγγνωσον ὑπὲρ φίλου ἀγανάϰτῃντι, ὃ δηλοῖ ϰαὶ τὸ ἐπιφώνημα. BL. ἅπαξ δέ πᾳ τοῦτο πέπραϰται δι' ὀργὴν τοῦ Ἀχιλλέως εἰς Ἕϰτορα. ἀλλὰ ϰαὶ Ἱππόλοχος αὐχένος ϰ' χειρῶν ἀπεϰόπη ὑπὸ Ἀγαμέμνονος· Ἀντιμάχῳ γ' παῖς ἦν „ὅς ποτ' ἐνὶ Τρώων ἀγορῇ" (Il. 11, 139). V.

ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί, περὶ Ἀμφιμάχῳ· ϰ' ὅτι Ζηνόδοτος ἄρθρον ἐνόμιζε τὸ ου, Ἰλέως τὸν Αἴαντα ϰ' ἐϰ Ὀϊλέως ἀϰόων· διὸ ϰ' ἔγραφε ϰόψε γὰρ Ἰλιάδης. A.

204. σφαιρηδόν: δίϰην σφαίρας. τὸ δὲ ἑξῆς οὕτως, ἦϰε δέ μιν δι' ὁμίλου σφαιρηδόν, συρέψας τὴν χεῖρα πρὸς τὸ εὔτονον τῆς βολῆς. χαρίεν δὲ τὸ σύμπτωμα· ὁ μὲν γ' ἁπλῶς ῥῖψαι εἰς τοὺς πολεμίους, συνέβη δὲ παρὰ τὸν Ἕϰτορα ἐνεχθῆναι τὴν ϰεφαλὴν ὥσπερ εἰς ἔλεγχον ὧν αὐτὸς ἀπέτυχεν. BL.

205. Ἕϰτορι: ἡ διπλῆ, ὅτι πτῶσις ἤλλαϰται, ἀντὶ τοῦ Ἕϰτορος. A.

207. νίωνοῖο: τοῦ Ἀμφιμάχου δηλονότι, ὃν ὁ Ἕϰτωρ ἀνεῖλεν. BL. Κτέατος γ' Ποσειδῶνος. V.

210. δουριϰλυτός: ἁρμόδιον τὸ ἐπίθετον· οἱ γ' λοιποὶ Κρῆτες τοξόται μόνον ἦσαν. BL.

211. ἑταίρου: λείπει τὸ τίνος· ἐ γ' ἐξ ὀνόματος αὐτὸν ἐϰάλεσεν ὅσις ἦν. λέγει δὲ ὅτι συνήντησεν αὐτῷ ἐρχόμενος ἀπὸ σϰηνῆς τινὸς ἑταίρας, ἣ ϰ' ἡ σϰηνὴ πλησίον τῆς μάχης ἦν, ϰαὶ εἰς τὴν ἰδίαν πόῤῥω ἦσαν ἀπιών. πρὸ Μηριόνους δὲ ἀναχωρεῖ τῆς μάχης. BL.

λείπει τὸ τίνος. οἱ δὲ Ὀδυσσέως, οἱ δὲ Κοιράνου, οἱ δὲ Θεσορίδου Ἀλϰμάονος, οἱ δὲ Ἀγαμέμνονος· φησὶ γὰρ „σὲ μὲν τοι ἐγὼν ἐρίηρος ἑταῖρος" (Il. 4, 266). οἱ δὲ τοῦ ϰύριον. ἀληθείας δὲ μιμήσει τὸ μὴ πάντας φράζειν ἑξῆς ματος. V.

212. ἰγνύην λέγει τὸ ὀπίσω τῆ γόνατος μέρος, τὸ ἰϰνεῖωθ. ἦλθε δὲ ἀντὶ τοῦ ἀπηνέχθη εἰς τὴν ϰνήν. BL.

Ἰωνιϰῶς μετέβαλε τὸν τόνον, ἐπεὶ τὸ ἀϰόλουθον ἦν ἐξιν, ὡς Ἡρωδιανὸς ἐν τῷ ιᾱ τῆν ϰαθόλ. A.

213. ἡ διπλῆ, ὅτι ἔνειϰαν εἰρηϰεν ὡς βασαζομεν αὐτῆ διὰ τὸ τραῦμα. A.

ἰητροῖς: ϰατὰ ἔθνη γ' ἦσαν, ὥς πέ φησιν „ἰητῆ πολυφάρμαϰοι" (Il. 16, 28). V.

214. ἤϊεν ἐς ϰλισίην: ὁπλιόμενος δηλονότι· δὲ ἐς ϰλισίην τῆ ἑταίρᾳ. οἱ δὲ ἐς ἣν ἶεν ϰλισίην. V.

216. εἰσάμενος φθογγὴν: νοήσας, ἐπιγνούς, μέρος δηλονότι τὸ ὅλον σῶμα. BL. ὡς τὸ „δέμας ϰ' ῥέα φωνήν" (45). V.

217. ἡ διπλῆ, ὅτι πτῶσις ἤλλαϰθ, ἀντὶ τοῦ ὃς Πλευρῶνος. A. ἣν ᾤϰων οἱ Ἀϰαρνᾶνες. V.

218. Αἰτωλοῖσιν: Αἰτωλὸς παῖς μὲν ἦν Ἐνδυμνος, ὃς ἀϰέσιον φόνον δράσας (Ἅπιν ἀϰεσίως τὸν ρωνέως ἀνελών V) ἔφυγεν εἰς τὴν ἀπ' αὐτῆ προσαγορθεῖσαν Αἰτωλίαν, ϰἀϰεῖ τεϰνῆται Πλευρῶνα, ἀφ' ἧ Αἰτωλία πόλις Πλευρὼν ἐϰλήθη. τότε δὲ γίνονθ δύο δες, Κάρης ϰ' Καλυδών, ἀφ' ὧν ἄλλαι δύο πόλεις ἐτωλίᾳ προσηγορεύθησαν. ADV. ἔτω Δηΐμαχος. V.

219. Ἰδομενεῦ: ὁ μὲν ἀϰροατὴς ἀϰέσας τὸ „ἦ δὴ περὶ ϰῆρι Ποσειδάων ἐχολώθη" προσδοϰᾷ τινὰ βολὴν πολέμῳ γενέσθ μείζην· ὁ δὲ ποιητὴς φιλοπόνων ἄλλα ἐπεισάγει, τὴν συνάντησιν αὐτῆ, τὴν ἐρώτησιν, ἀπόϰρισιν, τὸν ὁπλισμὸν Ἰδομενέως, ϰαὶ ἕτερα. ἅπερ δὲ αἱ ϰαυχήσεις. BL.

ποῦ ἀντὶ τοῦ πῆ. τοί ἀντὶ τοῦ δή. V.

λείπει τὸ εἰσίν. ἔπειτα ἀπὸ ἄλλης διανοίας οἴχ τὰς Τρωσίν. D.

222. ὦ Θόαν: ἡ διπλῆ, ὅτι σὺν τῷ ν ἡ ϰλητιϰ ἀναφορὰ πρὸς τὸ „ὦ τε σὺ Κάλχαν" (Il. 1, 86), ὅτι δοτος χωρὶς τοῦ ν. A.

Ἀρίσαρχος μετὰ τοῦ γ, νῦν γ' αἴτιος. A. φάνης νῦν δ' αἴτιος. V.

223. ἡ διπλῆ, ὅτι ἐπιζάμεθα ἀντὶ τοῦ δυνάμ

224. οὔτε: ἔν τισι τῶν ἀντιγράφων διὰ τοῦ δέ,

ἀϰήριον: ϰεχωρισμένον ϰηρός. οἱ δὲ „οὐ δὲ ἀπολέσθ, ἐ γάρ τοι ϰραδίη μενεδήϊος" (Il. 12, 240).

οὔ τέ τις ὄϰνῳ: πάντα περιέλαβεν ἐξ ὧν ἂν τιαθείη· ἢ γ' δι' ἀπειρίαν ἢ διὰ δέος ἢ δι' ὄϰνον φεύ τὰ δεινά. BL.

225. ἅτως διὰ τοῦ ν ἀνδύεται αἱ Ἀριστάρχ. A. ἀπὸ τῶν ἀναδυομένων τὰ ζυγὰ ζῴων. τινὲς δὲ γρ σιν ἀδδύεται. V.

226. ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ ἔοικε τὸ μέλλει. A.

227. νωνύμνους: τινὲς ἀθρηνήτȣς· ὕμνον γὰρ καὶ Ἀνα-
ίων τὸν θρῆνόν φησιν. V.

υἷας Ἀχαιῶν: γράφεται καὶ ἐνθάδ' Ἀχαιȣ́ς. A.

228. μενεδήϊος: μένων τȣ̀ς δηΐȣς. Ἑλληνικὸν δὲ τὸ
ὄνημα· οὐ γὰρ ἀποκάμνει ταῖς τύχαις, ἀλλὰ καὶ ἄλλους
οτρέπεται. BL.

229. ἐνεςὼς ἀντὶ παρῳχημένου τὸ ὀτρύνεις, ὡς τὸ
αχρηεῖς τελέθȣσιν" (Il. 12, 347) ἀντὶ τȣ̃ ἐτέλεθον πα-
χημένȣ. AV.

ὅτε μεθιέντα ἴδηαι: γράφεται καὶ ὅθι μεθιέντα.
νόδοτος δὲ ὅτις μεθίῃσι πόνοιο. A.

230. μήτ' ἀπόληγε: κέλευε μὴ ἀπολήγειν. V.

233. κυνῶν μέλπηθρα: ἐμπαίγματα, παίγνια· μετὰ
ον γὰρ σφαιρίζȣσι τὰς σάρκας καὶ διαῤῥίπτȣσιν οἱ κύνες.
ν δὲ τὸ πᾶν ἐσθίει, καὶ Κύκλωψ· „ἤσθιε δ' ὥςε λέων"
d. 9, 292). ABDL.

235. ἀλλ' ἄγε: Ἑλληνικῶς τε καὶ λίαν φιλαλλήλως εἰς
θυμίαν ἀλείφȣσιν ἀλλήλȣς, ὃ χαρακτὴρ γενναίων. BL.
Ἑλληνικῶς πάνυ κοινȣ̃ται τὴν προθυμίαν ἑκάτεροι. τὸ
καὶ δύ' ἐόντε (236) περιπαθῶς, ὡς τῶν ἄλλων ἀπο-
κόντων. V.

236. ἡ διπλῆ, ὅτι τὸ σπεύδειν ȣ̓κ ἔςιν ἐπὶ τȣ̃ ταχύ-
, ἀλλ' ἐπὶ τοῦ ἐνεργεῖν μετὰ κακοπαθείας καὶ ταλαι-
ρίας. ABL.

237. Ζηνόδοτος (καὶ Ἀριςοφάνης V) συμφερτὸς δὲ
. A.

μάλα λυγρῶν: τὸ τῆς συναλοιφῆς σημεῖον ὑπὸ τὰς
υταίας δύο λέξεις θετέον· ἐξ ἀμφοτέρων γὰρ ἓν δηλȣ̃ται τὸ
ποτάτων, πρὸς ὃ καὶ Ἀρίςαρχος σημειȣ̃ται τὸν ςίχον, ἵν' ᾖ
ύγος, συμφορητή τις ἀνδρῶν ἀρετὴ καὶ τῶν ἀσθενεςάτων,
ȣ̓ μόνον κατὰ ἕνα ἀλλὰ καὶ κατὰ πλῆθος ἔςι τις ἀρετὴ
ιένη, κἂν εἷς ἕκαςος ἀσθενὴς ᾖ καθ' αὑτόν. ἐὰν δὲ χωρί-
ν τὰς δύο λέξεις, εὐεμπτώτως ἕξομεν ἐπὶ τὸ ἀπεμφαῖ-
ἐςι τοιȣ̃το, συμφορητή τις ἀρετὴ ἀνδρῶν ἐςί, καὶ μά-
τῶν ἀσθενῶν. ὅπερ ȣ̓κ ἔςιν. A.

τὸ ὅλον, καὶ ἡ τῶν δειλῶν καὶ ἀνάνδρων δύναμις εἰς ταὐτὸ
ελθȣ̃σα ἀρετὴν γεννᾷ. D. ȣ̓δεμίαν καταλείπει τοῖς γεν-
ις πρόφασιν εἰς τὸ μὴ ἀνδρίζεσθαι, εἴγε καὶ δειλοὶ ἀλλή-
συνιόντες συμφέροντα (συμφερόμενοι ἐνάρετα V) δρῶ-
ἔργα. ἀπὸ ἐλάττονος τὸ ἐπιχείρημα. εἰ γὰρ τῶν μάλα
ρῶν συμφέρȣσα γίνεται ἡ ἀρετή, πόσῳ μᾶλλον ἡ τῶν
αίων; ALV. ἐν πᾶσιν ȣ̓ν ἄριςον ἡ κοινωνία. V.

238. νῶϊ δέ: τὸ φορτικὸν ἐξέφυγεν, εἰπὼν ὅτι καὶ γεν-
ις ἰσόμαχοί ἐσμεν ἡμεῖς· ἐπιςάμεθα γὰρ ἀντὶ τȣ̃ δυ-
θα. BL.

ράφεται καὶ ἐπιςαίμεσθα. A.

41. τεύχεα καλά: τραγῳδεῖ αὐτȣ̃ τὴν πανοπλίαν ὡς
οντος ἀριςεύειν. V.

42. ἀςεροπῇ ἐναλίγκιος: πρὸς τὴν λαμπρότητα
ὅπλων καὶ πρὸς τὸ τάχος τȣ̃ φορȣ̃ντος ἡ ὁμοίωσις. ȣ̓κ
ἐπειδὴ δὲ ἔτρεχεν, ἔλαμπεν, ἀλλ' ὅτι καὶ ἔτρεχε καὶ ἔλαμπεν
ὁ χαλκός, ἀςεροπῇ αὐτὸν εἰκάζει. BL. τάχα δὲ καὶ πρὸς τὸ
ἐπιθυμητικὸν τῶν πολεμίων· φησὶ γὰρ καὶ πολέμȣ πολλάκις
αὐτὴν εἶναι σημεῖον. V.

244. χειρὶ λαβών: νῦν τὴν ἀςεροπὴν σκεῦος δηλοῖ. V.

245. περὶ ςήθεσσι: Ζηνόδοτος καὶ Ἀριςοφάνης ἐνὶ
ςήθεσσι. A.

246. ὁ Ζηνόδοτος καὶ ὁ Ἀριςοφάνης ἀντὶ τȣ̃ θεράπων
ἐΰς γράφȣσι δȣρὶ κλυτός. A.

ἄλλως. ὁ Ἀσκαλωνίτης φησὶν ὅτι ὁ Ἀρίςαρχος δύο
ποιεῖ, θεράπων καὶ ἐΰς· τινὲς δὲ ὑφ' ἓν ἀνέγνωσαν ὡς
Ἐτεωνεύς. ὅτι δὲ δεῖ κατὰ διάλυσιν ἀναγινώσκειν καὶ οὐ
παρωνύμῳ τύπῳ, διδαχθησόμεθα ἐξ αὐτῆς τῆς φωνῆς.
ἐγίνετο γὰρ ἂν θεραποντεύς· ἀπὸ γὰρ γενικῶν φιλεῖ ὁ τοιȣ̃τος
τύπος παράγεσθαι, εἴγε καὶ παρὰ τὴν λέοντος ὁ Λεοντεύς, ȣ̓χὶ
Λεωνεύς, παρά τε τὴν Αἰθίοπος Αἰθιοπεύς. A.

248. σθένος Ἰδομενέως εἶπεν, ἐπεὶ ἀριςείαν ἐπιδείξεται. V.

249. ἐν ἑνὶ ςίχῳ καὶ τῆς συγγενείας καὶ τῆς ἰσχύος καὶ τῆς
φιλίας αὐτὸν ὑπέμνησεν. BL.

251. ἠέ τι βέβληαι: ἆρα μέρος, φησί, τι τȣ̃ σώμα-
τος ἐτρώθης, καὶ ἡ ἀκίς σε τείρει; BL.

εὑρεσιλογία ὡς ȣ̓ τέτρωται. ἀπιθάνως δὲ πληγὴν ἢ χρείαν
ἑταίρων φησὶ δεῖν ἀποσπᾶν τῆς μάχης. ἡ δὲ Ἑκάβη „ἦ
μάλα δὴ τείρȣσι δυσώνυμοι" (Il. 6, 255). V.

252. ἠέ τευ ἀγγελίης: ἀπό τινος, ἢ περί τινος. τὸ
δὲ μετ' ἐμέ ἀντὶ τȣ̃ ἐπ' ἐμέ ἢ πρὸς ἐμέ. BL.

ἀγγελίης: ἀντὶ τȣ̃ ἄγγελος. A.

254. ἔν τισι μετὰ τȣ̃τον φέρεται „Ἰδομενεῦ Κρητῶν βȣ-
ληφόρε χαλκοχιτώνων." V.

256. εἴ τί τοι: εἶπε γὰρ „ὅ οἱ κλισίηφι λέλειπτο"
(168). ἢ ἐπαινῶν διςάζει, εἰ μὴ πάντα κατανάλωκε τοῖς πολε-
μίοις. V.

257. κατεάξαμεν ὃ πρὶν ἔχεσκον: πληθυντικῷ
ἑνικὸν ἐπήγαγεν (Αἰολίκως BL). καὶ Εὐριπίδης Ἴωνι (390)
„κωλυόμεσθα μὴ παθεῖν ὃ βȣ́λομαι." τινὲς δὲ κατέαξα
μέν, ἵνα ᾖ, ὃ μὲν γὰρ εἶχον, κατέαξα, ὡς „ἄφαρ δέ τε χεῖρες
ἀμύνειν εἰσὶ καὶ ἡμῖν" (814). ABLV.

ἄλλως. Ζηνόδοτος κατεήξαμεν, διὰ τὸ καὶ ἐν τοῖς
ἔμπροσθεν (166) ὃ ξυνέηξε λέγειν. A.

ἡ διπλῆ, ὅτι πληθυντικῶς κατεάξαμεν, καὶ ἑνικῶς
οἰσόμενος καὶ ἔχεσκον. A.

260. δȣ́ρατα δ': δȣ́ρατα δή, κἂν ἓν ζητῇς, κἂν εἴκοσι
θέλῃς, ὅ ἐςι πολλά. V.

ȣ̓κ ἀπίθανον διαςέλλειν ἐπὶ τὸ ἓν πρὸς τὸ σαφές. A.

261. ἐνώπια παμφανόωντα: τȣ̀ς κατὰ τὴν εἴσοδον
τοίχȣς, ἤτοι τȣ̀ς ἀπέναντι τῶν εἰσόδων. οἱ δὲ τὰ πρόθυρα
δι' ὧν τὸ φῶς εἰσέρχεται. BL.

οἱ ἐναντίοι κατὰ τὰς εἰσόδȣς τοῖχοι. βραχὺ δὲ διαςαλ-
τέον ἐπὶ τὸ ἐνώπια, ἵν' ᾖ δούρατα παμφανόωντα. τὸ δὲ
αὐτὸ καὶ ἐν τῇ Θ ῥαψῳδίᾳ (435) „ἅρματα δ' ἔκλιναν πρὸς
ἐνώπια παμφανόωντα." AD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

262. οὐ γὰρ ὄἵω: ἐκ ἀλαζονεύῃ, ἀλλ' ἐρεθίζει αὐτόν, λεληθότως ἐπιδεικνὺς ὡς ἔξι ἡ πολεμίᾳ δόρατι ὡπλισμένον μὴ ἀργεῖν. BL.

265. γανόωντες: γίλβοντες, ἀπὸ μεταφορᾶς τῆς γῆς τῆς κομιώσης τοῖς καρποῖς. BL.

κλισίῃ: διὰ τὴν συγγένειαν ἡ ἀξιοπιστίαν ἔχει σκηνὴν ἰδίαν. V.

268. ἐ χεδὸν ἔξιν ἑλέσθαι: δηλοῖ ὅτι ἄκων τῆς μάχης ὑπολείπεῃ, ὅπε μηδὲ ἐφ' ὃ ὥρμηῃ βαδίζειν ἐθέλει, ἀλλὰ ἀναδύεῃ. BL. τινὲς δὲ ἔτως, ἐκ ἔξι τὰ δόρατα τῶν Τρώων κατὰ τῶν πλησίον ἐλέαῃ ὡς διαφορώτερα κατασκευῇ ὄντα. V.

269. οὐδὲ γὰρ ἐδ' ἐμέ: τὸ ἓν οὗ περιττεύει. τὸ δὲ λελασμένον ἀντὶ τῆ ἐπιλήσμονα, ἢ ἐπιλαθέαῃ. BL.

270. μετὰ πρώτοισι: ἀντὶ τῆ ἐν πρώτοις. δηλοῖ δὲ ἡ τὸ „εἶσι μετά τ' ἤθεα ἡ νομὸν ἵππων" (Il. 6, 511). δοτέον δὲ Μηριόνῃ τὸν ἔπαινον πρὸς ἰδίαν ὠφέλειαν, ὡς ἡ Ὀδυσσεῖ ἐν Φαίαξιν. Ἰδομενεὺς μὲν γ' αὐτὸν ἀπὸ τῶν ἰδίων ἐγκωμίων προτρέπεῃ· ὁ δὲ ἀντεπεισάγει ὡς αὐτεπάγγελτός ἐξιν ἐν τῇ μάχῃ. BLV.

275. ἀρετήν: τὴν κατὰ τὸν πόλεμον ἀνδρείαν· „υἱὸς θ' υἱωνός τ' ἀρετῆς πέρι δῆριν ἔχεσιν" (Od. 24, 515). τὸ δὲ ταῦτα λέγεσθαι ἀντὶ τῆ περὶ τάτων λέγειν. BV. ἐ χρῆῃ γ' τῷ λέγειν, ἀλλὰ τῷ εἰπέμεν· „εἴπομεν Ἀτρείδης" (Il. 7, 373). V.

276. εἰ γὰρ νῦν: τὸ ἑξῆς ἐξίν, εἰ γ' νῦν λεγοίμεθα εἰς λόχον, ἐδέ κεν ἔνθα τεόν γε μένος· τὰ δὲ λοιπὰ διὰ μέσα πρὸς κατασκευὴν τῆ δυσυπομένητον εἶναι ἡ τοῖς ἀνδρειοτάτοις τὴν ἐνέδραν. AD. ἡ διπλῆ δέ, ὅτι παραλλήλως τὸ λεγοίμεθα, ποτὲ μὲν ἐπὶ τῆ ἀριθμοίμεθα („ἐν δ' ἡμᾶς πρώτας λέγε κήτεσιν" Od. 4, 452), ποτὲ δὲ ἐπὶ τῆ διαλεγοίμεθα. ABV.

277. ἔνθα μάλιστ': ἐν μὲν γ' τοῖς πολέμοις ἔξι συνιδεῖν πρὸς ποίους ἡ πόσας πολεμοῦμεν· ἐν δὲ τοῖς λόχοις τὰ τοιαῦτα ἄδηλά ἐξιν. LV.

278. ὅ τε: ὅς τε. καὶ τὸ ἐναντίον „μῦθος δ' ὃς μὲν νῦν ὑγιής, εἰρημένος" (Il. 8, 524). τὸ ὅς ἂν ἀντὶ τῆ ὅ, καὶ τὸ ἀνάπαλιν. V.

ὑποσκιεῖν μετὰ τὸ ἄλκιμος· λείπει γὰρ τὸ ἐσί ῥῆμα διὰ τὸ ὅς ὑποτακτικὸν ἄνθρον. A.

279. κακοῦ: τῆ δειλῆ· ψυχῆς γ' κάκωσις ἡ δειλία. BL.

281. μετοκλάζει: μετακαθίζει ἐπ' ἀμφοτέρας πόδας· ὀκλάξ γάρ ἐξι τὸ ἐπὶ γόνυ, ὅ ἐξιν ἐγκλίνει τὰ γόνατα διὰ δειλίαν μετακαθίζων. ADL.

ὀκλάζων μετακαθίζεῃ ὁ δειλός· ἢ ὁ θυμὸς αὐτὸν ὀκλάζειν ποιεῖ (ἐὰν δὲ ὁ θ. α. ὁ. ποιῇ, ἐδὲ τὰ σκέλη περιπλέκει V). ἐπεξηγεῖται δὲ τὸ μετοκλάζει διὰ τῆ ἐπ' ἀμφοτέρας πόδας ἵζει. ἀκόπως δὲ τὸ χῆμα τῆ ἀποδειλιῶντος ἐσήμανε ἡ συμμεταβάλλοντος τὸ σῶμα ταῖς τῆς ψυχῆς μεταβολαῖς· ἅμα δὲ ἡ τῆ δειλῆ, ἐζωγράφησε δὲ ἀμφοτέρας, παρακαλῶν ἡμᾶς εἰς ἀλκήν. BL.

282. 283. πάταγος κτύπος. πατάσσει ἓν κτυπ κινεῖται μείζονι παλμῷ ἀπὸ τῆ πολλῆ φόβε. AD.

283. κῆρας ὀϊομένῳ: πολλὲς θανάτες ὑπονοῆντ

284. τοῦ δ' ἀγαθοῦ: σημαίνει ἡ λέξις καὶ τὸν σιον· „τοῖς ἀγαθοῖς παραδρώωσι χέρηες" (Od. 15, νῦν δὲ τὸν ἀνδρεῖον λέγει καὶ τολμητίαν. V.

οὔτε τι λίην: ἀντὶ τῆ ἐδὲ ὅλως. ἢ ὅτι τὸ μηδὲ φοβεῖῃ ἀναιθησία· ἡ γ' ἀρετὴ μεσότης, ἐκ ἀκρότητ

286. ἀρᾶται: καὶ ἐπὶ Νεοπτολέμου „ἵππόθεν ἐ ναι" (Od. 11, 529). V.

287. τεόν γε: τῆ θαρσαλέε δηλονότι. λείπει τίς. B.

οὕτως διὰ τῆ γέ συνδέσμου αἱ Ἀρισάρχου. A.

ἡ διπλῆ, ὅτι ἐλλείπει τὸ τίς, ὄνοιτό τις. A.

288. βλεῖο: βληθείης. ἔξι δὲ ἀκόλαθον μετοχῇ τῇ μενος. κέχρηῃ Ἐπίχαρμος καὶ τῷ ἐνεργητικῷ· „αἰ βλείης σφενδόνᾳ." ὡς ἂν θέμενος θεῖο, ἔτω βλε βλεῖο· τὸ δὲ βλείης τῇ βλεῖς παράκειῃ. ἡ δὲ διπλῆ διέξαλκε τὸ βαλεῖν καὶ τύψαι. A.

289. ἔτως Ἀρίσαρχος, οὐκ ἄν, διὰ τῆ ᾱ· αἱ δι ναι οὔ κεν. A.

291. πρόσσω ἑμένοιο: καὶ ὁ Λυσίας τὸν Ἰφ τὴν ποιεῖ λέγοντα „τραύματα ἔχων ἐκ ἑτέρων ἐπ' ἐ χομένων, ἀλλ' αὐτὸς ἐπιών." ἀνδρογύης ἡ ἔτ' ὀλίγα ματα ἐξόπιθεν ἔχων τῆς δειλίας σημεῖα ἡ ἐχὶ τῆ σας. V. cf. Meinek. cur. crit. in Comicorum fragm.

προμάχων ὀαρισύν: τὴν μάχην μεταφορικῶ ρίως γ' ὀαρίζειν τὸ διδόναι τι ἡ λαμβάνειν ἡ ὁμιλεῖ ἀντικαταλλάσσονῃ δὲ σφαγάς. οἱ δὲ ἀρισύν, καὶ ὡς γηφάγος, ὀδάξ, ὀκλάξ, ὀτλάς. V.

292. νηπύτιοι: πνυτὸν γ' τὸν φρόνιμον ἔλεγον καὶ τοῦτο μετὰ τοῦ νη̄ σερητικοῦ καὶ τῆς ἀποβολῆ ν̄. BLV.

297. μέγα πτολέμοιο μεμηλώς: πολλὴν φρ μάχης ἔχων. BL.

298. οἷος δὲ: δύο δυσὶ πολεμικοῖς δαίμοσιν α σεν, ἐμφερῆ λαβὼν εἰκόνα. ἅμα δὲ ἡ τὴν τάξιν δι εἰκόνος τετήρηκεν· ὡς γ' ὁ Φόβος τῷ πατρὶ ἕπεῃ τάξει, ἔτω ἡ ὁ Μηριόνης τῷ φίλῳ, νέος τε πρεσβ καὶ τὴν τῆ θεράποντος χώραν ἔχων. BL.

πόλεμόνδε μέτεισι: ἢ τὸ δε̄ περισσόν, ἢ τὸ ἵν' ἦ πόλεμόνδε εἶσι. BL.

ἔτω μετὰ τῆς μετά προθέσεως, μέτεισι. A.

299. ἡ διπλῆ, ὅτι ῥητῶς Ἄρεως υἱὸς Φόβος. ἡ φορὰ πρὸς τὴν ἀμφιβολίαν τῆ „καί ῥ' ἵππας κέλε μόν τε Φόβον τε" (Il. 15, 119). A. πῶς ἂν Ἀντίμαχ Φόβον ἵππον Ἄρεός φησι; „καί ῥ' ἵππας κέλετο, Δ τε Φόβον τε, ζευγνύμεν." V.

ἀεὶ Ἐνυαλίῳ τὸν Μηριόνην εἰκάζων, νῦν τὴν τέραν ἀπένειμεν αὐτῷ τάξιν διὰ τὸ σὺν Ἰδομενεῖ BL.

299. 300. ἅμα ἕσπετο: ὡς τὸ „ἅμ' ἑσπόμεθα" (Il. 1,). ἀκολουθεῖ δὲ τῷ Ἄρει ὡς ἡνίοχος· οὐ γὰρ διαφόρους τὰς καταλέγει. τὸ δὲ ταλάφρονα οἱ μὲν ἀπὸ τοῦ ταλῶ, ν τὸ ταλάσω, οἱ δὲ ὡς τανύπτερος. τινὲς δὲ παράγω- φασι, καὶ μὴ ἐγκεῖσθαι τὴν φρένα. V. καρτερικὸν καὶ μονητικὸν φρόνημα ἔχοντα. D.

301. ἐκ Θρῄκης: ὅτι παρ' αὐτοῖς μᾶλλον τιμῶνται διατρίβουσιν. BL.

ἡ διπλῆ ὅτι πόλις ἐστὶν ἐπὶ Θεσπρωτίας ἡ Ἔφυρα, ἀφ' Ἔφυροι οἱ κατοικοῦντες λέγονται. λέγει δέ ποτε καὶ τὴν ρινθον Ἔφυραν, ἐξ ἡρωϊκοῦ προσώπου. A. ἰστέον δὲ ὅτι υραι τέσσαρές εἰσι, μία μὲν ἡ κατὰ Θεσσαλίαν, δευ- α δὲ ἡ κατὰ τὴν Ἤπειρον, τρίτη δὲ ἡ τῆς Ἤλιδος, καὶ άρτη ἡ νῦν καλουμένη Κόρινθος. νῦν οὖν λέγει τοὺς καλου- ους Κραννωνίους ἐν Θεσσαλίᾳ, ὡς Ἀπολλόδωρος ἱστο- AD. ὡς Θρᾳκῶν τούτοις μαχομένων ἀεί. V.

Ἐφύρους λέγει τοὺς Θεσπρωτούς· μάχιμοι δὲ οὗτοι ραστήριοι· Φλεγύας δὲ τοὺς Γορτυνίους. BL. οἱ δὲ τοὺς κοῦντας τὴν Δαυνίδα τῆς Φωκίδος, οὓς μεγαλήτορας εὶ δεινορέκτας φησὶ διὰ τὸ πεπορθηκέναι τὸν ἐν Πυθοῖ ν. V.

Φλεγύαι Γόρτυναν κατοικοῦντες παρανομώτατον καὶ ρικὸν διῆγον βίον, καὶ κατατρέχοντες τοὺς περιοίκους χα- ῶς ἠδίκουν. Θηβαῖοι δὲ πλησιόχωροι ὄντες ἐδεδοίκεσαν έχρι πολλοῦ, εἰ μὴ Ἀμφίων καὶ Ζῆθος οἱ Διὸς καὶ Ἀν- της ἐτείχισαν τὰς Θήβας· εἶχε γὰρ Ἀμφίων λύραν παρὰ σῶν αὐτῷ δεδομένην, δι' ἧς κατέθελγε καὶ τοὺς λίθους, καὶ πρὸς τὴν τειχοδομίαν αὐτομάτους ἐπέρχεσθαι. τούτων οὖν ζώντων οὐδὲν οἱ Φλεγύαι τοὺς Θηβαίους ἠδύναντο εῖναι· θανόντων δὲ αὐτῶν ἐπελθόντες σὺν Εὐρυμάχῳ βασιλεῖ τὰς Θήβας εἷλον. (καὶ ἔρημον γενέσθαι τὴν πό- μέχρι τῆς Κάδμου ἀφίξεως. ἐπὶ πλεῖον δὲ περὶ αὐτῶν εκτὸ Ἔφορος, ἀποδεικνὺς ὅτι τὴν Δαυλίδα καὶ οὐ τὴν τόνα ᾤκησαν· ὅθεν καὶ παρὰ Φωκεῦσι τὸ ὑβρίζειν φλε- λέγεσθαι. ἔστι δὲ ταῦτα ἐν τῇ τριακοστῇ τῇ Δημοφίλου. αὶ δὲ διεφέροντο Φωκεῖς πρὸς Θεσσαλούς· διὸ καὶ τὰς μοπύλας ᾤκισαν Φωκεῖς· εἴσοδον γὰρ ἔχουσιν ἀπὸ Θεσ- ίας V). πλείονα δὲ τολμῶντες ἀδικήματα κατὰ Διὸς αίρεσιν ὑπὸ Ἀπόλλωνος διεφθάρησαν (κατεταρταρώ- αν V). οὗτοι δὲ ἐνέπρησαν καὶ τὸν ἐν Δελφοῖς ναὸν τοῦ όλλωνος. ἡ ἱστορία παρὰ Φερεκύδει. ADV.

303. ἔκλυον ἀμφοτέρων: ἐξηγεῖται τὴν ἑτεραλκέα ν. V.

06. ἡ διπλῆ, ὅτι περισσὸς ὁ καὶ σύνδεσμος. A.

07. Δευκαλίδη: Δευκαλίωνος παῖ. γίνονται δὲ ἐκ ρας καὶ Δευκαλίωνος, ὥς φησιν Ἀπολλόδωρος, παῖ- Ἕλλην μὲν πρῶτος, ὃν ἐκ Διὸς γεγεννῆσθαι ἔνιοι λέγου- δεύτερος δὲ Ἀμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς λιος. A.

πὸ τοῦ Δευκαλιωνίδη κατὰ συγκοπὴν ἐγένετο· οἱ δὲ καὶ ἀπὸ τοῦ Δεύκαλος V. τὸ δὲ πῇ ἀντὶ τοῦ ποῦ. BL.

εἰς ποῖον ὅμιλον καταδῦναι, τὸν δεξιὸν ἢ τὸν ἀριστερόν. ποῦ μάλιστα χρεία συμμαχίας. V.

308. τὸ δεξιόφιν ἀντὶ τοῦ τὸν δεξιόν, ὡς τὸ „ἀγέληφιν ἐπέλθωμεν" ἐπ' ἀγέλην ἔλθωμεν. ἢ ἐπιδεξιόφιν ἑξῆς τοῖς βασιλεῦσιν ἀμείβειν τὰς λέξεις. λέγει οὖν οὐ τῆς νεωλκίας, ἀλλὰ τῆς παρούσης μάχης. V.

τῶν μαχομένων. οὐ γὰρ ταῖς Ὀδυσσέως ναυσίν. V.

309. τινὲς δὲ τὸν ἢ τρίτον περιέσπασαν· διαπορητικὸς γάρ ἐστιν. A.

ἐπεὶ οὔ ποθι: οὐδαμοῦ, φησίν, ἐνδεεῖς τοσοῦτον οἶμαι τῶν βοηθησόντων εἶναι τοὺς Ἀχαιούς, ὅσον ἐπὶ τὰ ἀριστερά· ἐκεῖ γὰρ ἐῤῥάγη τὸ τεῖχος, καὶ ὁ Ἕκτωρ „μάχης ἐπ' ἀριστερὰ μάρνατο πάσης" (Il. 11, 498). BLV.

τινὲς δὲ οὔ ποτε. V.

313. ἄριστος: καὶ πῶς φησὶν „οἷος δή με Φιλοκτήτης ἀπεκαίνυτο;" (Od. 8, 219). οὔπω γὰρ ἦν ἥκων ἐκ Λήμνου. A.

314. σταδίῃ: καὶ τὸ δόρυ παρὰ Θεσσαλοῖς στάδιον. A.

315. ἄδην ἐλόωσι: λίαν ἀπελάσουσι. γίνεται δὲ τὸ ἄδην παρὰ τὸ ἄδος, ὃ σημαίνει τὸ πλῆθος (τὴν πλησμονήν V). ἐσσύμενον δὲ τὸ ἐφιέμενον. BL.

κατ' ἔνια τῶν ὑπομνημάτων οἵ μιν ἄδην ἐάσουσι, ὅ ἐστι κορέσουσιν· καὶ ἐπὶ τοῦ Ποσειδῶνος (Od. 5, 290) „ἀλλ' ἔτι μέν μίν φημι ἄδην ἐλάαν κακότητος·" διὰ τῶν δύο αα παρέκειτο ἐάαν. μαρτυρεῖ καὶ τὸ „ἄσειν ἐν Τροίῃ ταχέας κύνας" (Il. 11, 817). οὕτως Ἀρίσταρχος. A.

λίαν κορέσουσιν, ὡς „ἄδην ἐλάαν κακότητος" (Od. 5, 290). οἱ δὲ ἄδην ἐσσύμενον. οἱ δὲ ἀάσωσι, παρὰ τὸ ἄσην ἐμποιεῖν. V.

ἄλλως. ἤτοι συναπτέον ἐσσύμενον πολέμοιο, ἀντὶ τοῦ ὡρμημένον εἰς τὸν πόλεμον, ἢ τὸ ἑξῆς ἐστὶν ἐλόωσι πολέμοιο, καθὸ διαστελήσεται βραχὺ τὸ ἐσσύμενον ἀπὸ τοῦ πολέμοιο. ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος ἀγνοήσας τὸ σημαινόμενον πεποίηκε καὶ ἐσσύμενον πολεμίζειν. ἔστι δὲ τὸ ἄδην ἐλόωσιν ἀντὶ τοῦ κορεσθῆναι αὐτὸν ποιήσουσι τοῦ πολέμου, καίπερ προθυμίαν ἔχοντα. A.

317. ἡ διπλῆ, ὅτι αἰπύ μεταφορικῶς ἀντὶ τοῦ δυσπρόσβατον, δυσχερές, καὶ ὅτι ὁ πέρ σύνδεσμος περισσός. AV.

τὸ δὲ ἐσσεῖται, ἐὰν μέν ἐστι Δώριον, παροξύνεται, ἐὰν δὲ Ἀττικόν, προπερισπᾶται. A.

318. κείνων: οὕτως πληθυντικῶς αἱ Ἀριστάρχου. A.

Ἀρίσταρχος ἀέπτους, ἄλλοι δὲ ἀάπτους. A.

319. νῆας ἐνιπρῆσαι: τὸ τῆς Ἀδραστείας οὖν δείκνυται, ἐν οἷς βεβίασται ὑπὸ τοῦ Ἕκτορος. V.

321. μέγας Τελαμώνιος Αἴας: ὄντως μέγας ὁ Αἴας ἐστί, καὶ ὑπὸ τῶν ἐφαμίλλων ἐπαινεῖται διὰ τὴν ἀνδρείαν. BLV.

322. ἔδοι: πολλάκις γὰρ θεοὶ ἀνδράσιν ὁμοιοῦνται· διὸ προσέθηκε τὸ ἔδοι. ἀκτὴν δὲ τὸ κλώμενον ἢ τὸ προηγμένον καὶ τῶν ἄλλων προτιμηθέν. BLV.

τὸν σῖτον, ἐπεὶ κατασσόμενος καὶ ἀλούμενος ἄρτος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γίνεται. D.

324. ἀδ' ἂν Ἀχιλλῆϊ: θέλει λέγειν ὅτι τὸ βίαιον Ἀχιλλέως μόνος Αἴας ὑπομένει. ἐναβρύνεται δὲ ἀεὶ τῷ Ἀχιλλεῖ. B.

325. ποσὶ δ' ἕπως ἔσιν ἐρίζειν: δικαίως· πρεσβύτερος γάρ ἐστιν. ἡ δὲ τῶ τάχει ὑπεξαίρεσις τὸ τῆς ἀλκῆς πιθὸν ἐμφαίνει. BL.

326. ἡ διπλῆ, ὅτι τὸ νῶϊν δύο πτώσεις σημαίνει, γενικὴν καὶ δοτικήν, ἡμῶν καὶ ἡμῖν· νῦν δὲ κεῖται ἀντὶ τῶ ἡμῶν ἐπ' ἀριστερά. V.

ὧδ': οὕτως ὡς ἔχεις νῦν ὁρμῆς. τὸ δὲ ἔχε ἀντὶ τοῦ πορεύου, βάδιζε. BL. „τῇ ῥ' ἔχε Μενέλαος" (Il. 23, 422). λείπει τὴν ὁρμήν. V.

327. εἴδομεν: ἐδέποτε τὸ περισπώμενον ὑποτακτικὸν συσέλλει. V.

ἡ διπλῆ, ὅτι ἔξωθεν συννυπακοῦσαι δεῖ ὀρέξει, ἢ τις ἡμῖν ὀρέξει. ὅλον δὲ συναπτέον τὸν στίχον· ὁ γὰρ λόγος, ἵνα ταχέως ἐπιγνῶμεν πότερον καύχησιν ἑτέρῳ δώσομεν ἢ ἕτερος ἡμῖν. A.

329. ἦρχ' ἴμεν: θαυμάσια τὰ ἤθη· καὶ γὰρ παρὸν αὐτοῖς ἡσυχάζειν ταττομένοις σύνηθως, τὸ κοινῇ λυσιτελοῦν τῇ ἰδίᾳ προκρίνουσιν. BL.

331. σὺν ἔντεσι δαιδαλέοισιν: ἐν ἄλλῳ σὺν ἔντεσι μαρμαίροντος. A.

λευγαλέοισι: γράφεται δαιδαλέοισιν· ὃ καὶ κρεῖττον. L.

332. κεκλόμενοι: ἀναδιπλασιασμὸς Αἰολικός. V.

333. ὁμόν: ἰσοβαρές· λέγει δὲ τῶν περὶ Ἰδομενέα Τρώων. πρυμνῇσι δὲ ταῖς ἐχάταις. BL. τινὲς δὲ ὁμόσε. V.

334. λιγέων: ταχὺ πνεόντων. A. τῶν ἐτησίων λέγει· ἔτοι γὰρ θέρους πνέουσιν, ὅτε κόνις ἐστίν. εἰκότως δὲ λιγεῖς εἴρηται· κατὰ λεπτὸν γὰρ πνέοντες ἀέρος ὑποσυρίττουσιν. BL.

335. ὅτε τε πλείστη κόνις: ψαφαρὰ γάρ ἐστιν ἡ γῆ διὰ τὴν ἔκκαυσιν τῶ κυνός. BL.

336. οἵ τ' ἄμυδις: λείπει τὸ πνέοντες, ἵν' ᾖ, οἱ ὁμῶς πνέοντες ὑποσύρουσι τὴν κόνιν δι' ἧς ὁμίχλη μεγίστη γίνεται. BL.

337. ὡς ἄρα τῶν: τὸ συμπεφυρμένον αὐτῶν εἴκασε τῇ ὑπὸ τῶν ἀνέμων μιγείσῃ κόνει. BL. τὸ δὲ ὁμόσε Ἀττικῶς ἐπὶ πολεμικῆς παρασκευῆς φασιν. V.

339. ἔφριξεν δὲ μάχη: ὠρθώθη τῆς μάχης τὸ δόρατα. A.

ποιητικῶς ἔφη φρίττειν τὴν μάχην διὰ τῆς ἀνατάσεως τῶν δοράτων. ἐγγὺς δὲ παραβολῆς ἡ μεταφορά· ἐν βραχεῖ γὰρ τὸ μετέωρον τῶν δοράτων καὶ τὴν κίνησιν δηλοῖ. BL. ὅμοιον γάρ τι τῇ τῶν ζαχύων κινήσει γέγονεν. V.

340. ταμεσίχροας: τμητικὰς τῶ χρωτός, παρὰ τὸ ταμῶ ῥῆμα, ἐξ μέλλων ταμέσω. AD. ἢ ἀνέπτυξε ποιητικῶς τὸ τμησίχροας. A.

ἄμερδεν: ἐξέρισκε τῶ ὁρᾶν. BL.

Πορφύριε. ἠξίας ἡμᾶς παρατηρῆντας τὴν ἐν πᾶσι τῶ ποιητῆ λεπτουργίαν ἰχνεύειν καὶ τὴν ἐν τοῖς ὀνόμασιν πρὸς αὐτὸν ὁμολογίαν. φωτὸς γὰρ ἐν τοῖς ὀφθαλμοῖς ὄντος συμμέτρου δι' οὗ ὁρῶμεν τὰ πεφωτισμένα, τὴν φλότητα ὁτὲ μέν φησιν „ὀφθαλμῶ ἀλάωσεν" (Od. 1, ἀφῃρῆσθ τὸ λεύσσειν παρισάς, ὁτὲ δὲ „ὀφθαλμῶ ἄμ (Od. 8, 64), τὸ τοῦ μαίρειν ἐξερημένον λέγων σκοτ καὶ τὸ τῶ μαίρειν ἀφῃρημένον εἴδωλον ἀμαυρὸν ἔφη (Il. 824)· φωτὸς γὰρ παρουσία καὶ ὀφθαλμὸς ὁρῶν τὰ ὁρ φαίνεται. διττῆς ἐν ὀφθαλμῶν ἕξεως καὶ κατὰ Πλάτωνα ταράξεως — ἢ γὰρ διὰ σκότος ἢ δι' ὑπερβολὴν τῶ συμ φωτός — τὸ μὲν διὰ σκότος μὴ μαίρειν ἢ μαρμ ἀμέρδειν εἶπε καὶ ἀμαυρόν, τὸ δὲ διὰ σιλβηδόνα ἐπ χαλκῶ· „ὅσσε δ' ἄμερσεν αὐγὴ χαλκείη κορύθων ἀπ πομενάων θωρήκων τε νεοσμήκτων σακέων τε φαει ὅθεν καὶ ἐπίθετα τῶ χαλκῶ ἐφιλοτέχνησε, τὸ νώροπα κόν (Il. 2, 578) καὶ ἤνοπι χαλκῷ (Il. 16, 408), σημ τὸν μὴ ἐῶντα τοὺς ὤπας ὁρᾶν διὰ τὴν προσᾶσαν ε δόνα. εἰ δὲ τὸ μέρδειν τὸ μαίρειν ἐξῆ καὶ τὸ μὴ μ ποιεῖν ἀμέρδειν, τὸ ἄγαν μέρδειν σμερδαλέον ἂν εἴη, ἐγκειμένης ὡς ἐν τῷ ζαχρηεῖς. ὅταν ἓν ἐπὶ δράκοντο „σμερδαλέον δέδορκε," τὸ ἄγαν σίλβον τῶν ὀφθαλμῶ σόμεθα· καὶ γὰρ δράκων παρὰ τὸ δράκω εἴρηται. ἐ λέοντος δὲ ὡσαύτως τὸ „σμερδαλέω δὲ λέοντε" (Il. 1 ἐπὶ τῆς ἐκφοβούσης αὐτῶν ἐνοράσεως ἐκδεξόμεθ γὰρ ὁ λέων παρὰ τὸ λεύσσειν ὠνόμασται. καὶ αὐτ ἡρμήνευσε τὸ σμερδαλέον ἐπ' αὐτῷ τί ἐστιν, εἰπὼν κιόων (Il. 20, 172). καὶ ἡ ἀσπὶς δὲ τῆς Ἀθηνᾶς δ μαρμαρυγὴν „δεινή τε σμερδνή τε" (Il. 5, 742)· γὰρ καὶ φοβερὸν καὶ τὸ ἄγαν λαμπρὸν καὶ σίλβον, τῆς Ἀθηνᾶς τῆς γλαυκώπιδος ἔφη „δεινὼ δέ οἱ φάανθεν" (Il. 1, 200), ὅπερ ἐπ' ἄλλων ἔφη „ὄμματι μαίροντα" (Il. 3, 397). γλαυκιόωντες δὲ λέοντες καὶ γλαυκῶπις ἀπὸ τῆ γάλακτος, ὃ ἐστιν ἄσκιον καὶ διὰ λευκόν, ὑπ' αὐτῆ εἰρῆ· μέλαινα γὰρ ἡ σκιά, οἷον „σκι τε πᾶσαι ἀγυιαί" (Od. 2, 388) ἤτοι ἡλίου δύνοντος σκοτοῦντο. ὀξὺ δὲ τὸ λευκόν, ὡς τὸ μέλαν ἀμβλύ· ὀξὺ ὁρῶσα γλαυκῶπις. ἀπὸ δὲ τῆ γάλακτος καὶ τῆς δόνος γλαυκὴ καὶ ἡ θάλασσα εἰρῆ, καὶ ἡ τῆ ὀφθαλμ γλήνη, καὶ τρίγληνα ἑλλόβια, ἀπὸ τοῦ ἐν λευκότητ σίλβειν· καὶ „ὃς γλήνεα πολλὰ κεχάνδει" (Il. 24, 19 μὴ ῥερυπωμένα ἱμάτια ἀλλὰ σιλπνὰ διὰ καθαρότ ζοφουμένης μὲν τῆς θαλάσσης „μελάνει δέ τε πό (Il. 7, 64) λέγει, ἀταράχῳ δὲ ἴσης καὶ διειδῆς „λευκ ἀμφὶ γαλήνῃ" (Od. 10, 94)· καὶ γὰρ ἡ γαλήνη ἀπὸ λακτος εἰρῆ. καὶ ἐπεὶ τὸ μέλαν σκυθρωπόν, τὸ δὲ λ ἀντίκειται τῷ μέλανι, ἱλαρὸν ἂν εἴη, γέλως δ' ἡ ἱλα „γέλασε δὲ πᾶσα περὶ χθών" φησι „χαλκῷ ὑπὸ στερο (Il. 19, 362), ἤτοι λαμπρυνθεῖσα φαιδρὰ γέγονεν. ἔτ καὶ τὸ „κόρυθες καὶ θώρακες λαμπρὸν γανόωντες" (265) τῆς γῆς τῆς λαμπύσης καὶ διὰ τῆς σιλβηδόνος φαιδρυ νης. καὶ ὁ γαίων δὲ τῷ κύδει (Il. 1, 405), ὁ διαχέομε

πρυνόμενος διὰ τὴν δύξαν. ἐπεὶ δὲ φῶς ἐξὶν ἐν τοῖς ὀφθαλμοῖς, ὅταν μὲν ἦμερον βλέπωσιν, φάεα αὐτὰ καλεῖ ὅσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά" Od. 16, καὶ ἦμερον ζῶον ἀνθρωπός φησι ζωῆς ἔτι μετέχον, ἀπὸ μὲν τοῖς ὀφθαλμοῖς φωτός· ὅταν γὰ ἀποθάνῃ „κατὰ δ' ἐρεβεννὴ νὺξ ἐκάλυψεν" (Il. 5, 659?)· ὅταν δ' ἐξαθῶσιν ὑπ' ὀργῆς καὶ ἐκκαυθῶσιν, ἔτι μὲν ἀρχομένης ὀργῆς „πυρὶ λαμπετόωντι ἐΐκτην" (Il. 1, 104), κρατέδὲ „πῦρ ὀφθαλμοῖσι δέδορκε" (Od. 19, 446)· καὶ γὰ τὸ ἀπὸ πυρός. καὶ τὸ ὕφαιμον δ' ὁρᾶν, διὰ τὸ πυρὶ ἐοικέναι τὸ αἷμα, σμερδαλέον εἰρῆθ· „σμερδαλέος δ' αὐτῇσι κεκακωμένος ἄλμῃ" (Od. 6, 137) ἦγεν ὕφαιμον βλέδιὰ τὸ πυρωτὸς ἔχειν τὰς ὀφθαλμὰς ἐκ τῆς ἁλός. καὶ τῷ πυρὸς δίκην μαινομένῳ εἰπὼν „μαίνετο δ' ὡς ὅτ' ἂς ἐγχέσπαλος ἢ ὁλοὸν πῦρ" (Il. 15, 605), ἐπάγει „τὼ δ' ὅσσε λαμπέθην." λοιπὸν δὲ κατὰ μεταφορὰν σμερδαλέα μὲν τὰ οἰκήματα τῷ "Αιδι ἔφη (Il. 20, 65), ἀπὸ τῶ μα εἶναι καὶ φόνων πλήρη, ἐπὶ τὴν ὄψιν ἀναφέρων. ἐπὶ δὲ λαμπρᾶς καὶ διαφανῆς, „σμερδαλέον κονάβησαν" 334) καὶ „σμερδνὸν βοόων" (Il. 15, 687)· καὶ ἐπ' ὀρχήσυντόνως μεταφέρων „μαρμαρυγάς" ἔφη „θηεῖτο ποδ' (Od. 8, 265), τὰς ἐν τῇ κινήσει σιλβηδόνας, ὡς ποιεῖ πῦρ κινούμενον. καὶ ἔχ οἱ φιλόσοφοι πρῶτοι τὸ λευκὸν ρίσαντο τὸ διακριτικὸν ὄψεως, ἀλλὰ πρὸ αὐτῶν "Ομημαρμαίρειν λέγων τὸ λάμπειν, ὃ ἐξι μερίζειν καὶ διαιἀφ' ἓ τὸ διακρίνειν· ὅθεν τὸ μὴ μερίζον ἀλλὰ σκοτεινὸν ἀμαυρόν. καὶ ὅτι παρὰ τὸ μερίζειν καὶ διακρίνειν καὶ ποιεῖν κέκληκε τὸ φωτίζειν μαρμαίρειν, δηλοῖ τὸ φῶς καλέσας („δάος μετὰ χερσὶν ἔχουσαι" Il. 24, 647), ᾧ αἱ δεκτικαὶ τῷ φωτὸς δαΐδες καὶ δᾷδες. B.

11. αὐγὴ χαλκείη: τολμηρός. ὃ γὰ εἶπεν ἡ ἀπὸ τῆ ᾗ αὐγή. μόνον ἐχὶ ἓν ἐφλόγωσε τὰ ὅπλα, ἡλίε λαμνα αὐτοῖς μαρτυρῶν. ἐμφατικώτερόν ἐξι τῷ ἑτέρωθι μένῳ „ἀμφὶ δὲ χαλκῷ ἐλάμπετο εἴκελος αὐγῇ ἢ πυρὸς μένῳ" (Il. 22, 134)· νῦν γὰ ἐδὲ τὸ ὅσσε δ' ἄμερδε. V.

12. νεοσμήκτων: ἃ καινῶν, φησίν, ἀλλὰ διὰ τῆ ἐπιτὴν περὶ αὐτὰ τῶν ἐχόντων δηλοῖ ἐπιμέλειαν. BL. χαδὲ καὶ τὸ ποικίλως τὴν κατ' εἶδος διαφορὰν φράζειν, καὶ μὲν κόρυθας λαμπομένας, τὰς δὲ θώρακας νεοσμήκτας, κεινὰς τὰς ἀσπίδας. διδάσκει ἓν ἐπιμελεῖῳ τῶν ὅπλων περὶ αὐτὰ ἀναστρεφομένῳ. BL.

13. εἴη: ἀντὶ τῷ ἦν. κατὰ συλλογισμὸν δὲ ἡ αὔξησις· ὁ μόνον ὁρῶν ἐλυπήθη, τί μᾶλλον ἐπὶ τῶν ἐνεργούναὐτῶν δεῖ σκοπεῖν; LV.

διπλῆ, ὅτι ἦλλαγ τὸ ῥῆμα, εἴη ἀντὶ τῷ ἦν. A.

14. ἡ διπλῆ πρὸς τὴν ἀλλαγὴν τῷ ῥήματος, ἀντὶ τοῦ σεν. καὶ ὅτι πόνον τὸ ἔργον. καὶ ὅτι ἀντικειμένως ἀπεν ἐδ' ἀκάχοιτο πρὸς τὸ σύνηθες. A.

15. ἀμφὶς: κεχωρισμένως καὶ μετ' ἀμφισβητήσεως. BL. ξει τὴν μάχην, ἃ μὲν ἐργάτας, οὓ δὲ θεατὰς αὐτῆς θεός. V.

ὁ λόγος ἀναφορικός ἐξιν, ἐπεὶ ὁ Ζεὺς βέλεται Τρωσὶ βοηθεῖν. V.

346. τετεύχετον: ἡ διπλῆ, ὅτι ἀντὶ τῷ τετευχέτην ἢ τεύχουσι. χρόνος δὲ ἥλλαγ· ἔξι γὰ ἀντὶ τῷ ἔτευχον, ὡς ἐπὶ τοῦ „ἢ κεμάδ' ἠὲ λαγωὸν ἐπείγετον" (Il. 10, 361) ἀντὶ τῷ ἤπειγον. A.

διὰ μέτρον ἀντὶ τῷ ἐτετευχάτην. V.

ἐν ἄλλῳ ἡρώεσσιν ἐτεύχετον. A.

347. Ζεὺς μέν ῥα: ἔτως Ἀρίσαρχος. ἄλλοι δὲ Ζεὺς μὲν ἄρα. A.

348. κυδαίνων Ἀχιλῆα: τὸ „Διὸς δ' ἐτελείετο βαλή" (Il. 1, 5) δηλοῖ. ὑπὲρ παραμυθίας δὲ τῶν ἀκροατῶν ταῦτα διὰ μέσε φησί· σχεδὸν γὰ ἀποδείκνυσιν ἀμφοτέρους τοῖς Ἕλλησι βοηθοῦντας, τὸν μὲν ἑνί, τὸν δὲ τῷ πλήθει. BLV.

ἐδέ τι: Ἀριστοφάνης ἐδ' ὅγε. A.

ἐδὲ ὅλως οἷον παντελῶς. V.

350. ἀθετεῖθ, ὅτι ἐκ ἀναγκαῖος· προείρηθ γὰ „κυδαίνων Ἀχιλῆα πόδας ταχύν." A. ἐντεῦθεν δὲ Μελανιππίδης κύεσαν ἀπὸ Διὸς Θέτιν ἐκδοθῆναι Πηλεῖ διὰ τὰ ῥηθέντα ὑπὸ Προμηθέως ἤτοι Θέμιδος. V.

351. ὀρόθυνε: τινὲς παρὰ τὸ ὄρω καὶ τὸ θύνω, ἵν' ᾖ ἐνθυσιωδῶς ὥρμα. ἄμεινον δὲ παράγωγον εἶναι. V.

μετελθών: ἢ μετά πρὸς τὸ Ἀργείος. καὶ ἔξιν ἀντὶ τῆς ἐπί. BL.

352. ὑπεξαναδύς: ἢ ὑπό τὴν κάτω δηλοῖ χέσιν, τὴν ἔξω ἢ ἔξ, καὶ τὴν ἄνω ἢ ἀνά. ἢ περισσὸν τὸ ὑπέξ· ἀναχρέφει δὲ αὐτὸ ἐν τῷ ἐξυπανέξη (Il. 2, 267). ταπεινὸς δὲ ὁ λάθρᾳ θέλων βοηθεῖν. διδάσκει δὲ μήτε τὰς φίλας παροῶν μήτε τοῖς φιλτάτοις προσκρέειν. ἡ δὲ συνέχεια τῶν προθέσεων τὸν λάθρᾳ μὲν προθύμως δὲ ἀναδύοντα δηλοῖ. BL.

τὸ λάθρῃ ἀμφοτέροις δύναθ προσδίδωσι· τὸ δὲ ἐξῆς ἐξίν, Ἀργείος δ' ὀρόθυνε Τρωσὶ δαμναμένους. τὸ δὲ ἦχθετο γάρ ῥα διὰ μέσε. εἰ μὲν γὰ συνάπτομεν, ἦχθετο γάρ ῥα Τρωσὶ δαμναμένους, σολοικοφανὴς μὲν γίνεται ἡ φράσις, ἀρχαῖον δέ μοι δοκεῖ τὸ χῆμα εἶναι. καὶ ἀλλαχοῦ „καί ποτέ τις εἴποι, πατρὸς δ' ὄγε πολλὸν ἀμείνω ἐκ πολέμε ἀνιόντα" (Il. 6, 479)· τὴν γὰ ἔλλειψιν τοῦ ὁρῶν οὐ παραδεχόμεθα. A.

353. Τρωσὶν δαμναμένους: λείπει τὸ ὁρῶν. BL. ἔξι δὲ τὸ τῆς φράσεως ἀρχαῖον. Εὔπολις ἐν Αὐτολύκοις „ἤδη γὰ Ἀρίσαρχον στρατηγοῦντ' ἄχθομαι." V.

354. ἴα πάτρη: ἀντὶ τῷ μία πατριά. ἠρέμα δὲ ἀφαιρεῖ διὰ τέτου τὸ ἐπὶ τῇ γενεᾷ οἴημα τῶν ἀνθρώπων, ὅτι ἐκ ἀποχρῆ γενέᾳ εὖ· τιμιώτερα γὰ τὰ πλεονεκτήματα. BLV.

πάτρη: πατερία πατρία. οὕτω δὲ ἡ εἰς τὸν πατέρα τῷ γένες ἀναφορά. ἔξιν ἓν ἀντὶ τοῦ μία πατριά, ὁ αὐτὸς πατήρ. V.

355. ἀλλὰ Ζεὺς πρότερος: τοὺς πρεσβυτέρους ἀεὶ πολυπειροτέρους φησίν· „ἐγὼ δέ κε σεῖο νοήματι κεν προβαλοίμην, ἐπεὶ πρότερος γενόμην" (Il. 19, 218). ἄμφω δὲ εἰς σύγασιν παρέλαβε, τό τε τῆς ἡλικίας καὶ τὸ τῆς σοφίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐ γὰρ περὶ τῆς δυνάμεως εἶπεν· αὔξει γὰρ δυνάμει Ποσειδῶνα, καὶ τιμῇ, ἐ ῥώμῃ φησὶν αὐτὸν εἶκειν Διί. διατείνει δὲ καὶ ἐπὶ πάντων ὁ λόγος, ὅτι δεῖ αἰδεῖσθαι ἀδελφὸς πρεσβυτέρους ἅμα καὶ σοφωτέρους. BL.

357. ἀνδρὶ: ἄλλοτε ἄλλῳ, ὡς ἔμπροσθεν Κάλχαντι, εἶτα Θόαντι. V.

358. τοὶ: ἤτως Ἀριστοφάνης. ἄλλοι δὲ οἱ. A.

ὁ λόγος, οἱ δὲ τὸ πέρας τῷ πολέμῳ καὶ τῆς ἔριδος συνάψαντες ἐπέτειναν ἀμφοτέροις, οἷον ἀμφοτέρωθεν. μετενήνεκθ μὲν ἓν ἀπὸ τῶν δεσμῶν· τῷ δὲ ἐπαλλάξαι ἐπὶ τῷ συνάψαι χρῶνθ καὶ τῶν πεζολόγων τινές, πλεονάζει δὲ Ἀριστόξενος ὁ μουσικὸς ἐπηλλαγμένα λέγων τὰ συνημμένα, ἤτως ὁ Κοτιαεύς. A.

ἄλλως. ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν τὰ πέρατα τῆς μάχης καὶ τῷ πολέμῳ τείναντες κατ' ἀμφοτέρων τῶν φρατῶν ἔδησαν ἰσχυρῷ δεσμῷ, ὃς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο· τέλος γὰρ ὑποτίθεται ἀλληγορικῶς τὰς ἑκατέρωθεν ἐξοχὰς ἐπιπεπλεγμένας, μίαν μὲν Τρώων, μίαν δὲ Ἑλλήνων καὶ κατὰ Ποσειδῶνος Διὸς γνώμην, καὶ τῶν ἐγκαταπεπλεγμένων κτεινομένων (κατατεινομένων?) ἀπὸ τῶν ἐξοχῶν τῶν μὴ δυναμένων μήτε ῥαγῆναι μήτε λυθῆναι. ταῦτα ἓν ἀλληγορεῖ εἰς τὸ ἰσόῤῥοπον αὐτῶν τὴν ἰσχὺν συσῆσαι διὰ τὰς τῶν θεῶν βοηθείας. ABD.

μικτὴ ἡ ἀλληγορία. ἔχει δέ τι ἴδιον ἡ παραβολή· ἐ γὰρ ἰδίᾳ περὶ ἑκατέρου εἶπε τῆς τε εἰκόνος καὶ τοῦ εἰκονιζομένου πράγματος, ὅτι ὥσπερ οἱ ἐξασφαλιζόμενοι τὰς δεσμάς, τὰ πέρατα αὐτῶν ἄλλοις ἐπιβαλόντες δεσμοῖς καὶ συμπλέξαντες, δυσδιάλυτον ποιῆσι τὸν δεσμόν, ἕτω καὶ οἱ Θεοὶ τὴν φιλονεικίαν τῶν φρατευμάτων ἔπλεξαν ὥστε δυσδιάλυτον αὐτὴν γενέσθαι· ἀλλ' ὥσπερ μεταφορᾷ κέχρηθ ἀπὸ τῶν δεσμῶν ἐπὶ τὴν μάχην. ἔριδος γὰρ πέρας καὶ πολέμου πέρας ὥσπερ χοινίων πέρατα ὠνόμασε· καὶ τὸ ἐπαλλάξαι δὲ ὡς ἐπὶ δεσμῷ ἔλαβε, καὶ τὸ τανύσαι, καὶ τὰ ἑξῆς ὀνόματα. τὸ δὲ λεγόμενον ἤτως, ὅτι ὁ Ποσειδῶν καὶ ὁ Ζεὺς τὸ πέρας τῆς ἔριδος καὶ τῷ πολέμῳ συμπλέξαντες ἥπλωσαν αὐτὸ ἐπ' ἀμφοτέρων τῶν φρατιωτῶν. Κράτης δὲ ἐπ' ἀμφοτέρων τῶν φρατευμάτων φησί· Τρῶες γὰρ καὶ Ἕλληνες. πῶς δὲ ὁ Ζεὺς ἀπεσταλμένος ὢν συμβάλλει τὴν μάχην; ἢ τάχα τοῦτο ἐπὶ τὸν νεὸν αὐτῷ ἀνενεκτέον, θέλει δὲ εἰπεῖν ὅτι ὁ μὲν ἔνθεν ὁ δὲ ἔνθεν εἵλκυσαν· ὅθεν τὸ ἀδιαλύτως μάχεσθαι παρίσησιν. BLV.

Πορφυρίς. ἐν τοῖς ἕτω λεγομένοις „τὼ δ' ἔριδος — γένατ' ἔλυσεν" δυνατώτερα καὶ τολμηρότερα ἀπὸ τῶν εἰς πέρατα χοινία συμβαλλόντων καὶ εἰς δεσμὸν ἐπαλλαττόντων τὰ πέρατα, ἔπειτα τεινόντων μετενήνοχεν, ἔριδος, λέγων, καὶ πολέμου τὰ πέρατα ἐναλλάξαντες καὶ δήσαντες ἐτάνυσαν ἐπ' ἀλλήλοις, ἤτως ἰσχυρῶς τὴν ἔριν τῷ πολέμῳ συνδήσαντες, ὡς τὸν δεσμὸν τοῦτον ἄῤῥηκτον μὲν εἶναι καὶ ἄλυτον αὐτοῖς, πολλῶν δὲ γένατ' ἔλυσεν. σκέψαι δὲ εἰ μὴ κακοζήλως εἶπε τὸν μὲν δεσμὸν ἄῤῥηκτον καὶ ἄλυτον, πολλῶν δὲ γένατ' ἔλυσεν. ἐν δὲ ἄλλοις ἐκ ἔφη ἄῤῥηκτον, ἀλλ' „ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν" (Il. 20, 55).

359. ἐπ' ἀμφοτέροισι: διχῶς Ἀρίσαρχος, καὶ ἀλλήλοισιν. ἐν δὲ δι' ἀμφοτέρων τὸ λεγόμενον, Ποσειδῶν καὶ ὁ Ζεὺς τὸν πόλεμον τῇ ἔριδι συνέδησα πέρας τῆς ἔριδος καὶ πάλιν τὸ τῷ πολέμῳ λαβόντες καὶ λάξαντες ἐπ' ἀμφοτέροις, ὥσπερ οἱ τὰ ἅμματα ποιῶ τόδε ἐπὶ τόδε, ἤτως Ἀρίσαρχος. ἡ διπλῆ, ὅτι παρα γορεῖ, δύο πέρατα ὑποτιθέμενος, ἕτερον μὲν ἔριδος δὲ πολέμου, ἐξαπτόμενα κατ' ἀμφοτέρων τῶν φρατευμάτ

360. ἄῤῥηκτόν τ' ἄλυτόν τε: ὅμοιον τῷ „κόλ δεσμὲς ἀῤῥήκτους ἀλύτους" (Od. 8, 274). V.

361. μεσαιπόλιος: ὁ λεγόμενος σπαρτοπόλιος, σπαρμέναι εἰσὶν αἱ πολιαί, ὁ μεσῆλιξ. D.

μεσαίπολιος (σπαρτοπόλιος V) Ἰδομενεύς, ὠμο Ὀδυσσεύς, γέρων Νέσωρ, ABV.

362. Τρώεσσι μετάλμενος: ἐν ἄλλῳ Τρῶε ἐπάλμενος. A.

363. Καβησόθεν ἔνδον ἐόντα: ἐν τῇ Ἀργ Ἐκάβης νόθον υἱὸν ἐόντα. καὶ τάχα ἂν εἴη ἀμάρ κατ' ἄγνοιαν τῆς Καβήσθ. A.

ἤτοι ἔνδον τῇ οἴκῳ Πριάμῳ, ἢ ἔνδον Ἰλίθ· οἱ δὲ ἐ νέοντα κεκινημένον. ἄμεινον δὲ τὸ ἔνδον ἐόντα ἀντ ἐνόντα καὶ παρόντα, ὡς τὸ „δεῖπνον δὲ ξείνῳ δότω ἔνδον ἐόντων" (Od. 7, 166), ὃ ἀντιφράζων φησὶ „ζομένη παρεόντων." Κάβησα δὲ πόλις Ἑλλησποντίς, ἣ νῦν Κάβασα. οἱ δὲ Θρᾴκης· καὶ συνᾴδει ἡ ἀκολα γάμῳ, οἱ δὲ Λυκίας. οἱ δὲ Καππαδοκίας. οἱ δὲ τῶν θύρσων, ὡς ἦκειν ἐκ τῆς πρὸς Αἵμον Θρᾴκης. οἱ δὲ φὸν Σαρπηδόνος. V.

364. ὅς ῥα νέον: κατὰ τοῦτο ἄρα καὶ φοβῆσαι Τρῶάς φησι τὸν Ἰδομενέα, ὅτι συμμαχίαν αὐτῶν νεω ἀφείλετο. θαυμαζῶς δὲ ἐπὶ μὲν Αἴαντος ἔφη „φό ἑτάροισιν ἔθηκε" (Il. 6, 7)· γενναῖος γὰρ ὁ ἐκεῖσε ἀνα Ἀκάμας („Ἀκάμαντ' ἠΰν τε μέγαν τε" ib. 8)· Ὀθρυονέως ἐ σωτηρίαν φησὶ τοῖς Ἕλλησι γενέσθ μενέως, ἀλλὰ φόβον τοῖς βαρβάροις· ἀλαζόνος γὰρ καὶ ἀνοήτου ἀναιρεθέντος ἀπίθανον ἦν ὠφεληθήσεσθ νας (ἀπίθανόν φασιν ὡς μεγάλα τινὸς κατορθωθέντα Ἕλληνας σεσῶσθ V). αὔξεθ δὲ διὰ τῷ φόβῳ τῶν Τ καὶ ἡ τῷ Ὀθρυονέως ἀλαζονεία, ὡς δηλονότι κἀκείνω ὑποχέσεσι πεπιστευκότων. BLV.

μετὰ κλέος: Ἀριστοφάνης κατὰ κλέος. A.

365. ἡ διπλῆ, ὅτι νῦν μὲν τὴν Κασσάνδραν εἶδος σην, ἐν ἄλλοις δὲ (Il. 6, 252) τὴν Λαοδίκην, καὶ ἐ τιμι. ἡ δὲ ἀναφορὰ πρὸς τοὺς χωρίζοντας· λύεται γὰρ τοιούτοις. A.

αὕτη τῶν ἀγάμων ὥρισε ἦν, τῶν δὲ γαμηθεισῶν δίκη. τινὲς δὲ εἰς τὸ θυγατρῶν εἰζουσιν. οἱ δὲ ε τὴν εἴδησιν φασι τῆς μαντείας. βαρβαρικὸν δὲ καὶ ἐδέποτε γὰρ εὑρήσομεν παρ' Ἕλλησι τὸ ἐπὶ μιᾷ φρα καὶ πρότερον αἰτεῖν καὶ χωρὶς ὑποχέσεως μὴ συμμαχεῖν.

ὴ τὸν μισθόν· κόρης γ' ἐπιθυμιῶν ἦκεν, οὐχ ὅτι βασι-
, ἀλλ' ὅτι εἶδος ἀρίζη· καίτοι παρ' Ἕλλησιν οἱ ἀκο-
ὑτατοι μνηστῆρές φασιν „εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν"
. 2, 206). ἢ τὸ ἀνάεδνον δὲ γλίχρον, ὅπερ γε ἢ οἱ ἀδι-
ατοι μνηστῆρες ἕδνα τῇ Πηνελόπῃ παρέχεσιν. BLV.

366. Κασσάνδρην: λεληθότως ἡμῖν τὰ τῆς Κασάνδρας
ραίνει, ἢ ἐν τῇ ὦ ἐπισυνάγειν αὐτὴν Ἀγαμέμνονι μέλλει. V.
ἀνάεδνον: δίχα τῷ δῶναι ἕδνα. BL.

ἡ διπλῆ, ὅτι ἕδνα ἐδίδοσαν οἱ μνηστευόμενοι· διὸ ἕτος
κόμενος ἐξελάσαι τοὺς Ἕλληνας ἀνάεδνον αἰτεῖ τὴν
σάνδρων. A.

ραχὺ διασαλτίον ἐπὶ τὸ ἔργον· ἐμφαίνει γάρ. A.

67. ἀπωσέμεν: Ἀρίσαρχος ἀνωσέμεν. A.
εἶ μὲν Ἀριστάρχῃ ἀνωσέμεν. Ζηνόδοτος δὲ φησι μὴ
ῆ τὸν ἐκ Τροίας πλῶν ἀναγωγήν. τινὲς δὲ ἐπάγουσι
τῶν ἔνθα ἢ ἔνθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν." ἢ οἰκεῖον
ψι βιβάντι. V.

68. ὑπό τ' ἔσχετο: φονεύων αὐτόν. V.

70. αὐτοῖο τιτύσκετο: ἐπ' αὐτὸν ἐσοχάζετο. V.

71. Ἀρίσαρχος βιβάντα ὡς δαμέντα, ἀπ' εὐθείας
ιακρὰ βιβάς. καὶ ἔτως ἔχει ἡ ὑγιὴς ἀνάγνωσις. A.
ς ἰσάντα· οἰκεῖον δὲ τῷ ὑψηλόφρονι ἢ τὸ βάδισμα.
εγαλοφρονοῦντος δὲ αὐτῷ ἐπὶ τῷ θώρακι περὶ τέτου
ωνεῖ. BL.

72. ἡ διπλῆ, ὅτι χαλκοῖ οἱ θώρηκες. πρὸς τὸ „ὀλίγος
ἣν λινοθώρηξ" (Il. 2, 529). A.

73. ἐπεύξατο: τινὲς δὲ κερτομέων ἔπος ηὔδα. V.

74. αἰνίζομ': φέρεται ἢ διὰ τῶ ξ, αἰνίξομαι, ἀντὶ
αινέσομαι· οἱ δέ, διηγημά σε ποιήσομαι, παρὰ τὸν
Ζηνόδοτος αἰνίσσομαι. A.
ἐπὶ τῶν αὐτομόλων ἢ ἐπὶ πάντων αἰχμαλώτων ἢ ἐπὶ
π' ἐλπίδι ἐπαγγελμάτων αἱ ἀναφωνήσεις τάττονται. οἱ
ν Τρῶες αὐτὸν ἐλπίδι νίκης θαυμάζεσι, ἢ ἀναιρου-
ροβᾶν· οἱ δὲ Ἕλληνες ἐπὶ ἀβελτηρίᾳ ἐπιφωνῶσιν. φο-
δὲ αὐτὸν ὁ Ἰδομενεὺς διδάσκει μὴ τὰ ὑπὲρ δύναμιν
ἑλλεσθαι, μήτε μὴν ταῖς τοιαύταις πιστεύειν ὑποχέσεσιν.
υχηματίαν δὲ προφέρει λόγον, ἀλλὰ σαρκασμῷ ἀνά-
λέγει γὰρ αἰνίζομαι ἤτοι ἐπαινῶ, παρὰ τὸν αἶνον,
βῶμαι, παρὰ τὸ αἰνόν· BLV. ἢ διηγήσιν σε ποιήσομαι,
τὸν αἶνον· „αἶνος μέν τοι ἀμύμων" (Od. 14, 508). V.

76. ἀφιγεῖται νῦν τὸ πραχθὲν ὁ Ἰδομενεύς, ἀλλ' ἐλέγ-
ὐτῷ τὸ ἀνόητον ἢ τὴν ὑπόχεσιν ὀνειδίζει. ἔστι δὲ τὸ
ἀνθ' ὑποτακτικοῦ, ὃς δὴ ὑπέχετο, ὁμοίως τῷ „ὃ δέ
ρελέξατο λάθρῃ" (Il. 2, 515). BL.

77. τὸ ταῦτα περισπαστέον κατὰ τὴν πρὸ τέλους
βήν, ἵνα ᾖ ἡ φράσις δεικτική. τινὲς μὲν ὦξυναν, ἵνα
αὐτά ὑπάρχῃ συναλοιφή· ὅπερ ἀ πιθανόν. AV.
λέσαιμεν: ἀ ψευσαίμεθα. V.

78. συνώμεθα: ἤτοι συνθώμεθα· ὅθεν ἢ τὰς συν-
συνημοσύνας φησί· „συνημοσύνας ἀγόρευε" (Il. 22, 50
λέγει δὲ ὅτι συνθήκας ἢ συμβόλαια ποιήσωμεν. BLV.

ἔτως συνώμεθα, ἀντὶ τῶ συμβόλαια καὶ συνθήκας
ποιησώμεθα. τῶτο δὲ Ἀρίσαρχος δασύνει, ὑγιῶς· ταὐτὸν
γ' τῷ συνθώμεθα. ἐχημάτισαι ἓν ἀπὸ τῶ ἵημι. δηλοῖ ἓν
τὸ κατὰ τὸ αὐτὸ ἀφῶμεν τὰ τῆς διανοίας. εἰσὶ μέντοι οἳ
ἐψίλωσαν, ἐκ εὖ. A.

82. ἡ διπλῆ, ὅτι ἕδνα ἐδίδοσαν οἱ μνηστῆρες. ἐεδνω-
ται δὲ κηδεσαί, πενθεροί· ἔτοι γ' τὰ ἕδνα παρὰ τῶν μνη-
στευομένων ἐνεδέχοντο. ὀξύνεται δὲ ὡς τὸ χρυσωταί. AB.

ἐεδνωταί, ὡς χρυσωταί ἢ ποιηταί· ἔτως πάντες. Τυ-
ραννίων δὲ προπερισπᾷ, οὐχ ὑγιῶς· προείρηται δὲ ἡμῖν τὰ
τῆς προσῳδίας, ὡς τὰ εἰς της ῥηματικὰ ὑπὲρ δύο συλλα-
βάς, φύσει μακρᾷ παραληγόμενα, ὀξύνεσθαι θέλει, αὐλητής
πειρατής χηρωσής βραβευτής. ἔτως οὖν καὶ τὸ ἐεδνωτής,
χηματισθὲν παρὰ τὸ „ἐεδνώσαιτο θύγατρα" (Od. 2, 53).
περὶ δὲ τῶν ἀήτης ἢ κυβερνήτης βαρυνομένων λόγον δι-
δομεν. A.

γράφεται κατὰ κρατερῆς ὑσμίνης. V.

83. εἶλκε: Ἀρίσαρχος ἕλκε. A.

84. τῷ δ' Ἄσιος: πιθανὸν τὸ ἀλαζόνι ἐπιβοηθεῖν
τὸν ὁμοιότροπον, ἢ ἄμφω ὑφ' ἑνὸς ἀναιρεῖσθαι. BL.

ἤλθεν ἀμύντωρ: Ἀρίσαρχος ἦλθ' ἐπαμύντωρ. A.

85. πεζὸς πρόσθ' ἵππων: παίζει αὐτόν. L.
ἢ ταῦτα εἰς τὸ ἦθος Ἄσιε, ὅτι ἐκ ἀφειςήκει τῆ ἅρ-
ματος· ἄλλῳ γ' ἂν τινὶ ἐπήλπιζεν ἢ τῷ κάλλει τῶν ἵππων.
τὸ ἕτοιμον δὲ τῆς φυγῆς ἢ τὴν δειλίαν δηλοῖ· ἕτω γ' ἦν
παρεσκευασμένος ὡς καταπνεῖσθαι ὑπὸ τῶν ἵππων. BL.

ὅτι περὶ τὰς ἵππες ἐπτόητο. νῦν δὲ ἀποδίδωσι τὸ „ἀδ'
ἄρ' ἔμελλεν ἵπποισιν ἢ ὄχεσφιν ἀγαλλόμενος παρὰ νηῶν
ἄψ ἀπονοσήσειν" (Il. 12, 113). V.

88. λαιμὸν ὑπ' ἀνθερεῶνα: τὸν ὑπ' ἀνθερεῶνα
λαιμόν. τινὲς δὲ περισσεύειν φασὶ τὴν πρό, ἵν' ᾖ διήλα-
σεν. ὁ δὲ Ἡρωδιανός φησιν ὅτι εἰς τὸ πρόσθεν διήλασεν. BL.

89. ἀχερωΐς: ἡ λεύκη, παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος
ποταμῶ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέος,
σεσαμένα αὐτὴν ἐπὶ τῇ Κερβέρε νίκῃ. ABD.

ὅτι μέγας ἦν, ἀλλαχῶ φησίν· „μίμνον ἐπέρχομενον μέ-
γαν Ἄσιον ἀδὲ φέβοντο" (Il. 12, 136). V.

90. βλωθρή: μακρά, παρὰ τὸ βλώσκειν, ὃ ἐσι βαί-
νειν· εὐαυξὴς γάρ. D.
τινὲς ἁπαλήν, κατὰ Ἀρκάδας· οἱ δὲ ὑψηλήν, κατὰ
Βοιωτούς, ἤτοι φλοιοβαρῆ, κατὰ Μάγνητας, ἢ τραχεῖαν,
κατὰ Δρύοπας, ἢ ηὐξημένην, κατὰ Τυρσηνούς, ἢ σκληράν,
κατὰ Καρυστίους. ἄκρως δὲ διὰ τῶν ἐπιθέτων τὰ ἰδιώματα
παρίζησι, δρυσὶν ὑψικόμοισιν, ἰτέαι ὠλεσίκαρποι, αἰγείρων
ὑδατοτρεφέων, ταναύφλοιόν τε κράνειαν, ἐλαίης ταννή-
κεος. ABL.

οὔρεσι τέκτονες; δύο δεῖ ποιεῖν, οὔρεσιν, εἶτα
τέκτονες, οὐχ ὑφ' ἕν, ὥς τινες· τί γὰρ πλέον σημαίνε-
ται ἐκ τῆς συνθέσεως; A.

Νικίας ὑφ' ἕν, κακῶς· ἔδει γ' ἢ τὸ ὄρεσι βεκόλοι (571)
συνάπτειν. ἄλλως τε ἔσονται οἱ ὄρη κατασκευάζοντες. δύο

ὖν μέρη λόγȣ ἐςί, ϗ λείπει τὸ ὖσαν. BL. ὡς τὸ „ἥν τ' ἐν ὄρεσσι χαλκίδα κικλήσκȣσι θεοί" (Il. 14, 290). V.

391. νεήκεσι: ὡς εὐμήκεσιν ἀνεγνώσθη. ȣ̃τως δὲ καὶ Ἀλεξίων. ὁ δὲ Ἀσκαλωνίτης ὡς εὐγενέσιν, ὅπερ ϗ ἐχρῆν· παρὰ γ̀ τὴν ἀκὴν ἡ σύνθεσις. τὰ δὲ παρὰ τὰ εἰς η̄ λήγοντα θηλυκὰ συντιθέμενα καὶ εἰς η̄ς περατȣ́μενα ἐπιθετικὰ τότε ὀξύνεσθαι θέλει, ὅταν ἔχῃ οὐδετέρȣ παραχηματισμὸν καὶ τὴν γενικὴν εἰς ȣ̄ς περατȣμένην, εὐτυχȣ̃ς εὐτυχές εὐτυχεῖς, εὐρυπυλȣ̃ς εὐρυπυλές εὐρυπυλεῖς. ȣ̃τως ὖν ἐχρῆν ϗ τὸ προκείμενον. ὅμως μέντοι ἡ παράδοσις τὸ νεήκης ϗ ταναήκης βαρύνει κατὰ συνεκδρομὴν τοῦ εὐμήκης μεγακήτης. δηλοῖ δὲ τὸ νεακονήτοις. AB.

392. πρόσθ' ἵππων καὶ δίφρου: διὰ τȣ́των τὴν περὶ τὸ ἅρμα ματαίαν αὐτȣ̃ σπȣδὴν ἐμφανίζει. BL.

393. βεβρυχώς: βρυχώμενος, σπώμενος, καὶ συντρίβων τȣ̀ς ὀδόντας, ἢ δάκνων. μεμίμηθ δὲ τὸ γινόμενον πάθος περὶ τȣ̀ς βιοθανατȣ̃ντας· εἰώθασι γὰρ τȣ̀ς ὀδόντας βρύχειν. AD.

ἐναργῶς δείκνυσιν εἴδωλον ἥρωος ἐν αὐτῷ τῷ θυμῷ τὴν ψυχὴν ἀφιέντος καὶ ἀπρὶξ τῆς γῆς δεδραγμένȣ. τινὲς δὲ ἓν ἐξ ἀμφοῖν· ἐν τῷ βρυχᾶν γάρ, φασί, τοῖς ὀδȣ̃σιν ἐδράσσετο τῆς γῆς. τὸ δὲ αἱματοέσσης μερικῶς ἀκουςέον, οἷον τῆς δι' αὐτȣ̃ αἱματοέσσης· καὶ γ̀ ἔμφασις δεδράχθαι αὐτὸν κόνεως πεφυρμένης τῷ ὑπ' αὐτοῦ αἵματι. BL.

394. ἐκ δέ οἱ ἡνίοχος: ἐξεπλάγη τὰς φρένας ὁ ἡνίοχος ὡς ἐπί τινι παραδόξῳ· εἰκὸς γ̀ ϗ τὸν Ἀσίȣ ἡνίοχον ἀλαζόνα τινὰ ϗ ἀνόητον εἶναι, καὶ ἀκαταμάχητον τὸν δεσπότην οἰόμενον, εἶτα τῷ παραδόξῳ πτώματι ἐκπεπληγμένον. πιθανὸν τὸ πλάσμα εἰς τὸ ἁλῶναι ϗ τȣ̀ς ἵππȣς· οὐ γ̀ ἦν ἐκ τȣ̃ εὐχερȣ̃ς ἁλίσκεσθ, εἰ ἐσωφρόνει. διὰ τὴν ἔκπληξιν ȣ̃ν αὐτȣ̃ πιθανῶς τὸ τοιȣ̃το πράττεται. BLV.

399. αὐτὰρ ὅ γ' ἀσθμαίνων: Ἀρίςαρχος χωρὶς τȣ̃ γ̄, αὐτὰρ ὁ ἀσθμαίνων. A.

εὐεργέος: νῦν μάλιςα ἁρμόδιον τὸ ἐπίθετον ἐπὶ τȣ̃ Ἀσίȣ δίφρου· αὐτός τε γὰρ μέγας, καὶ οἱ ἵπποι καλοί, ϗ ὁ δίφρος εὐεργής. V.

403. Ἀσίου ἀχνύμενος: ἡ διπλῆ ὅτι παρεῖται ἡ πρόθεσις, περὶ Ἀσίȣ. A. ὡς τὸ „θυμὸν ἑταίρȣ χώεθ αἰνῶς" (Il. 20, 29). V.

407. δινωτὴν: περιφερῆ· δῖνος γ̀ ὁ τόρνος. BL.

κανόνεσσ': ἐκ πλήρȣς αἱ Ἀριςάρχȣ κανόνεσσι. A.

οὐ γ̀ αὐτῶν ἔνδοθεν ἔχρῃζε πρὸς ἀσφάλειαν. ἡ δὲ τοῦ Σαρπηδόνος αὐτȣ̀ς ἔξωθεν εἶχεν. ἢ ἀντὶ πορπάκων αὐτȣ̀ς εἶχον, ὡς Αὐτόχθων. V.

408. ἡ διπλῆ, ὅτι τὸ πᾶς ἀντὶ τȣ̃ ὅλος. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „πᾶσαι δ' ὠΐγνυντο πύλαι" (Il. 8, 58) ἀντὶ τοῦ ὅλαι. A.

ἑάλη: συνειλήθη ϗ συνεκρύβη. ἄλλος δέ τις „πρόσσω κατέκυψε, τὸ δὲ ἐξόπισθεν δόρυ μακρὸν ȣ̓δει ἐνισκίμφθη" (Il. 16, 611). ὁ δὲ Ἕκτωρ „ἀλεύατο· ἕζετο γ̀ προϊδών" (Il. 22, 274). „ὁ δ' ὕπαιθα λιάσθη Πȣλυδάμας" (Il. 5, [illegible] τοσαύτη ἐςὶ τῷ ποιητῇ εὐπορία. BL.

409. καρφαλέον: ἐναργεςάτη ἡ ὀνομασία· τȣ̃ [illegible] ρατος πληγὴν μὲν ȣ̓ ποιήσαντος, διαδραμόντος δέ, [illegible] τὸν ψόφον τῆς ἀσπίδος ἐμιμήσατο. διὰ δὲ τοῦ ἄ[illegible] ἐλαφρὸν μὲν ἦχον ἐπὶ πολὺ δὲ παρατεινόμενον ἔφ[illegible] τȣ̃ δόρατος καὶ τὴν ἴτυν παρατρίψαντος. καρφαλέ[illegible] τὸ κατάξηρον· ὅθεν ϗ κάρφος. BL. ὅθεν ϗ ὁ καρπ[illegible] τὸ κάρφος. D.

411. ἀλλ' ἔβαλ' Ἱππασίδην: προσυνίςησι τὸν [illegible] φοβον, ἐπεὶ διάδοχος Ἕκτορος ἔςαι. ἀλλ' ὅρα πάλι[illegible] τέχνην· ἀποτυχὼν γὰρ τȣ̃ Ἰδομενέως ἄλλον ἀναιρεῖ [illegible] τινα τύχην ἐπιτυχών. BL. ὡς ϗ τὸν Ἀντίμαχον ἄλ[illegible] πράσσοντα ἀναιρεῖ. V.

412. ἧπαρ ὑπὸ πραπίδων: ἔβαλεν αὐτὸν [illegible] ἧπαρ ὑποκάτω τῶν φρενῶν. φρένες δὲ αἱ διεζωσμέν[illegible] ὑπὸ τῷ πνεύμονι καὶ τῇ καρδίᾳ τόπον, ὃς καλεῖται [illegible] φραγμα. BL. „ὑφ' ἧπαρ ϗ φρένας πεπληγμένη." V.

413. ἔκπαγλον: ὑβριςικόν. ἐξελέγχει δὲ ὁ ποιητ[illegible] ἄκαιρον· ȣ̓δὲν γ̀ μέγα διαπραξάμενος, ȣ̓δὲ ἐπιτυχὼ[illegible] προκειμένȣ, οὐδέ τινα τῶν ἐπισήμων ἀνελὼν κομ[illegible] σαρκασμὸς δὲ ταῦτα δι' Ἰδομενέα. BL.

415. πυλάρταο κρατεροῖο: ἡ διπλῆ, ὅτι τȣ̃ [illegible] ρῶς τὰς πύλας ἐπαρτῶντος, ὅ ἐςιν ἁρμόζοντος. ἀμφ[illegible] γὰρ πρὸς ἓν ληπτέον. A.

ἰόντα διὰ τȣ̃ ῑ αἱ Ἀριςάρχȣ. A.

419. οὐδ' ἀχνύμενός περ: ὡς τῆς λύπης κο[illegible] σης τὰς ὁρμάς. διὸ καὶ Ἀχιλλεὺς καμὼν ϗ ὑπὲρ Π[illegible] κλȣ λυπȣ́μενος ȣ̓ κατελάμβανεν Ἕκτορα. BL.

τὴν αἰτίαν ἐπιφέρει· ȣ̓ γ̀ ἦν αὐτȣ̃ ἑταῖρος. V.

420. περίβη: ἵνα μὴ ὑπὸ πολεμίων σκυλευθῇ.

ἡ διπλῆ πρὸς τὴν ἐξήγησιν τȣ̃ „ὃς Χρύσην ἀμ[illegible] βηκας" (Il. 1, 37) ἀντὶ τȣ̃ ὑπερμαχεῖς, κατὰ μετα[illegible] τῶν τετραπόδων. A.

421. ὑποδύντε: συνδήσαντες τὰς χεῖρας. L.

423. ȣ̃τως διὰ τȣ̃ ε̄ αἱ Ἀριςάρχȣ, ςενάχοντε, [illegible] τȣ̃ ᾱ ςενάχοντα ἐπὶ τȣ̃ νεκροῦ (γελοῖον γάρ) ἀ[illegible] τῶν βαςαζόντων. A.

ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει σ[illegible] χοντα, ἑνικῶς. A.

ἐπὶ τῶν φερόντων· Ζηνόδοτος δὲ γελοίως ἐπὶ [illegible] κροῦ. BL.

424. Ἰδομενεύς: τινὲς περισπῶσιν. οἱ δὲ μέ[illegible] ἀντὶ τȣ̃ μένȣς, ὡς „μέθυ χίλια μέτρα" (Il. 7, 471) [illegible] μέγα ἴετο μεγάλως ἐπεθύμει. ἄμεινον δὲ τὸ εὐθεῖαν εἶ[illegible] ὡς τὸ „ȣ̓δὲ Σκάμανδρος ἔληγε τεὸν μένος" (Il. 21, 305).

425. ἐρεβεννῇ νυκτὶ καλύψαι: περιφραςικῶς, [illegible] τȣ̃ ἀναιρῆσαι. BL.

426. ἡ διπλῆ, ὅτι ἐκ παρεπομένȣ τὸ ἀπολέσθ· οἱ γ̀ πολέμῳ πίπτοντες ψόφον ἀποτελȣ̃σι τοῖς ὅπλοις. ἡ δὲ ἀ[illegible] φορὰ πρὸς τȣ̀ς γλωσσογράφȣς· ȣ̃τοι γ̀ ἓν ἀνθ' ἑνὸς [illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

...το δεδουπότος ἀντὶ τοῦ τεθνηκότος (Il. 23, 679). A.

Ἑλληνικὸν τὸ φρόνημα τὸ ὑπὲρ φίλων ἑτοίμως ἔχειν ...εῖν. δουπῆσαι δὲ τὸ ἐν πολέμῳ ἀποθανεῖν, ἐξ οὗ καὶ τὸ ...δουπότος Οἰδιπόδαο" (Il. 23, 679). BL. (ὅταν δὲ εἴπῃ ... Οἰδ., ὡς κατακρημνίσαντος ἑαυτὸν ἐπὶ ταῖς συμφο-...ῖς). V.

ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον. L.

427. ἔνθ' Αἰσυήταο: τὸ ἑξῆς, ἔνθ' Αἰσυήταο υἱὸν ...ωα Ἀλκάθοον ὑπ' Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε· τὰ ...λοιπὰ διὰ μέσου. ἐπεὶ δὲ πολὺ διέστη τὸ ἑξῆς, εἰκότως ...ληφε τοῦ πράγματος τὴν ἀρχὴν σχεδὸν αὐταῖς φωναῖς· ...μὲν γὰρ τότε ἀντὶ τοῦ ἄνω κειμένου ἔνθα παρείληπται, ἡ ...τόν ἀντωνυμία κατ' ἀναφορὰν ἐπὶ τοῦ Ἀλκαθόου κεῖται. ...ὸς οὖν διορθωτέον, ὡς διὰ μέσου. A.

428. ἥρων τινὲς Ἀττικῶς· „ἀλλ' εἰς ἥρων τι παρή-...ρτον" Ἀριστοφάνης. V.

...γαμβρὸς δ' ἦν: ὑπὲρ ποικιλίας ἐξήλλαξε τὴν ἀπαγ-...ίαν, οὐκ ἐπιμείνας ἐπὶ τῆς αἰτιατικῆς. BL.

429. θυγατρῶν: ἐξ Ἐριώπιδος· αὕτη γὰρ γυνὴ Ἀγ-...ου. V.

430. περὶ κῆρι: ὑπὲρ τὸ τῆς φύσεως μέτρον. BL.

432. κάλλεϊ καὶ ἔργοισιν: καὶ ταῦτα εἰς σύστασιν τοῦ ...λκαθόου, ὅτι δι' ἀρετὴν τῆς ἀρίστης ἔτυχε γυναικός. ἔχει ...τι παιδευτικὸν ὁ λόγος, ὅτι καὶ τοῖς γονεῦσι πρὸς τοὺς ...δας εὔνοια πλείων γίνεται δι' ἀρετήν, οὐ διὰ φύσιν. BL. ...ὡς „οὐ δέμας οὐδὲ φυὴν οὔτ' ἄρ φρένας" (Il. 1, 115). ...εῖ τὰς γυναῖκας σπεύδειν πρὸς κοσμιότητα. V.

433. τινὲς ἄλλους ὑποτάσσουσι· „πρὶν Ἀντηνορίδας τρα-...μεν καὶ Πανθόου υἷας Πριαμίδας θ', οἳ Τρωσὶ μετέπρε-... ἱπποδάμοισιν, ἕως εὖο ἥβην εἶχεν, ὄφελλε δὲ οὔριον ...ος." V.

434. Ποσειδάων ἐδάμασσε: διὰ τὸ πιθανὸν καὶ ...τα πρόσκειται, μή πως ἀπιστοῖτο Ἰδομενεὺς ὑπὲρ τὴν ...κίαν τινὰ κατορθῶν. BL.

435. θέλξας ὄσσε φαεινά: μεταβαλὼν τῆς ὀξύω-...ς· ἵστατο γὰρ ἀκίνητος οὐχ ὁρῶν, τρόπον τινὰ τῆς ψυχῆς ...ρῷ ἐνοικούσης τῷ σώματι. καὶ „οὐδέ με θέλξε" (Od. 10, ...3) καὶ „ὡς οὔ τι πιὼν τάδε φάρμακ' ἐθέλχθης" (ib. 326). ...ν ἀπὸ τῆς πρώτης εὐτονίας μετεβλήθης. V.

ἄλλως. τὸ θέλξας ἀντὶ τοῦ παρατρέψας, ὡς τὸ „αὐτὰρ ...χαιῶν θέλγε νόον" (Il. 12, 254). ὅμοιον τῷ „στρεφεδί-...θεν δέ οἱ ὄσσε" (Il. 16, 792). B.

οὐδετέρως καὶ ἀλλαχοῦ· „τὼ δέ οἱ ὄσσε πὰρ ποσὶν αἱμα-...ντα" (616). V.

437. στήλην: παρὰ τὴν στάσιν καὶ τὸ λίαν ἡ στήλη ὠνό-...σαι. BL.

438. στῆθος μέσον: ἐδίδαξε ποῦ κεῖται ἡ καρδία, ὡς ...εὐδήμῳ δοκεῖ. BL.

439. ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα: περιέῤῥηξεν αὐτοῦ ...τι χιτῶνα. BL.

...ἡ διπλῆ, ὅτι σαφῶς τὸν θώρακα χιτῶνα χαλκοῦν. A.

441. τὸ αὖον δασυντέον· σημαίνει δὲ τὸ ξηρόν. θέλει δὲ σημᾶναι τὸν ὥσπερ ἤδη νεκρούμενον. A.

ἀντὶ τοῦ ὀξύ· καὶ ἔστιν ἀκοῦσαι σχιζομένου θώρακος ψόφον. ἐρεικόμενος δὲ ἀντὶ τοῦ σχιζόμενος. BL. ῥησσόμενος, ὅθεν ἐρειγμὸς καὶ ἐρεικτόν· „ἦψε κατερεικτῶν χύτρας." V.

443. ἀσπαίρουσα: Πορφυρίου. τὸ σπαίρειν καὶ τὸ σκαίρειν τινὲς συγχέουσιν, ταὐτὸν δηλοῦν νομίζοντες, καίπερ Ὁμήρου διακρίνοντος· τὸ μὲν γὰρ σπαίρειν μετὰ τοῦ ᾱ κατὰ Ἀττικὴν συνήθειαν λέγει ἀσπαίρειν· „ἀσπαίροντα δ' ἔπειτα" (Od. 12, 254) καὶ „ἀσπαίροντα λαβών" (Od. 19, 229) καὶ „ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιξεν ἔγχεος" καὶ „ἤσπαιρ' ὡς ὅτε βοῦς" (571). τὸ δὲ σκαίρειν οὐκέτι μετὰ τοῦ ᾱ· „μολπῇ δ' ἰϋγμῷ τε ποσὶ σκαίροντες ἕποντο" (Il. 18, 572). ἔστιν οὖν ἡ διαφορά, ὅτι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὃ γίνεται ἐν ἰχθύσι καὶ τῷ δεδεμένῳ κατὰ τὸν ποιητὴν βοΐ, τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον. οἶμαι δ' ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον κατὰ διαφόρους ἐννοίας διαφόρως προσηγορεῦσθαι, τῆς κινήσεως οὐχ ὁμοίως ἐν ἑκατέρῳ γινομένης, τῷ δὲ σκάρῳ πάντως ὀξυτέρας. καὶ Ὀππιανὸς ἐν τοῖς Ἁλιευτικοῖς (1, 134) φησὶ „καὶ σκάρος, ὃς δὴ μοῦνος ἐν ἰχθύσι πᾶσιν ἀναύδοις φθέγγεται ἰκμαλέην λαλιὴν (λαλαγὴν V) ἀφείς." ἀφ' ἧς καὶ τὴν πολύσκαρθμον Μυρίνην προσεῖπεν ὁ ποιητής (Il. 2, 814,) μίαν τῶν Ἀμαζόνων, ὥς φασι, καὶ εὐσκάρθμους ἵππους (31). ἀπὸ δὲ τοῦ αὐτοῦ ἐν τῇ συνηθείᾳ τὸ σκιρτᾶν καὶ τὸ σκαρδαμυκτεῖν τοὺς ὀφθαλμοὺς εἴρηται. BV.

οὐρίαχον: τὸν σαυρωτῆρα τοῦ δόρατος, τουτέστι τὸ ὄπισθεν μέρος, ὃν καὶ γρόσφον καὶ στρόφιγγά (στόρθυγκά D) φασιν. AD.

τὴν ἐπιδορατίδα. ἔδειξε δὲ ὁρμῶντα προσωτέρω τὸν σίδηρον καὶ ἀνακρουόμενον τῷ παλμῷ τῆς καρδίας, καὶ δηλοῖ ὡς μετὰ θάνατον τοῦ ἄλλου σώματος ἔτι ζῇ ἡ καρδία. BL.

πελέμιζεν: οὕτως διὰ τοῦ ζ̄ Ἀρίσταρχος καὶ Ἀριστοφάνης. ἄλλοι δὲ πελέμιξεν διὰ τοῦ ξ̄. A.

444. ἀφίει μένος ὄβριμος Ἄρης: τὴν εἰς τοὔμπροσθεν ὁρμὴν ὁ σίδηρος ἠφίει, μὴ συγχωρούμενος ὑπὸ τῆς καρδίας. οἱ δέ, τὴν ψυχὴν ἀφιέναι τὸ μένος ἐποίει. BL.

446. ἦ ἄρα: ὄντως ἄρα δή τινος νομίζομεν ἄξιον εἶναι τὸ τοὺς τρεῖς τούτους ἀνθ' ἑνὸς ἀνῃρῆσθαι, ἐφ' ᾧ σὺ μάτην πεφιλοτίμησο. ἢ οὕτως, ἄρα ἴσον ὀφείλομεν στοχάζεσθαι τὸ τρεῖς ἀνθ' ἑνὸς πεφονεῦσθαι, ἢ δῆλον ὅτι μεῖζον καὶ τριπλάσιον; BLV.

ἄλλως. ἄρα ἀξίως καὶ δεόντως δοκοῦμέν σοι αὐχεῖν, τρεῖς ἀνθ' ἑνὸς πεφονευκότες; AD.

οὕτως Ἀρίσταρχος (Ζηνόδοτος V), δή τι ἐΐσκομεν, χωρὶς τοῦ σ̄. A.

447. οὕτω διὰ τοῦ ο̄ Ἀρίσταρχος. Ζηνόδοτος διὰ τοῦ ᾱ. A.

448. ἐναντίον: γράφεται καὶ ἐναντίος. A.

449. ἴδῃς: οὕτω Ζηνόδοτος. Ἀρίσταρχος δὲ ἴδῃ διὰ τοῦ ῑ. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀρίςαρχος χωρὶς τȣ̃ σ̄ ἴδῃ. A.

450. Κρήτῃ ἐπίȣρον: τȣ̃το τριχῶς ἀνεγνώσθη. Ζηνόδοτος γὰρ ὡς ἐπίκȣρον, ἐκδεχόμενος βασιλέα καὶ φύλακα. καὶ Ἀρίςαρχος δὲ ȣ̃τως, ἐκδεχόμενος τὸν φύλακα. μέμνηται δὲ καὶ ὁ Δίδυμος τῆς ἀποδόσεως καὶ Τρύφων. ἐκεῖνο δὲ προςίθησιν ὁ Τρύφων, ὅτι ὁ ἐπίουρος, ὡς ἐπίσκοπος, οὐ πάντως ἔχει ἐγκείμενον τὸν ȣ̓ρόν τὸν φύλακα κατὰ ταύτην τὴν ἀπόδοσιν· τί γὰρ κεκώλυκε παρὰ τὸ ὁρῶ εἶναι ἐπίορον καὶ ἐπίȣρον τὸν ἐπιορῶντα, ἐψιλῶσθαι δὲ διὰ τὴν ἐπένθεσιν τȣ̃ ῡ; καὶ ἡμεῖς δὲ συγκατατιθέμεθα τȣ́τοις. εἰσὶ δὲ οἳ ἀνέςρεψαν τὴν πρόθεσιν, Κρήτῃ ἔπι. ὁ δὲ Ἀσκαλωνίτης παρέλκειν ἡγεῖται τὴν ἐπί· διὸ καὶ τὸν τόνον φυλάσσει τῆς προθέσεως, ὁμοίως τῷ „βοῶν ἐπιβουκόλος ἀνήρ" (Od. 3, 422). A.

οἱ μὲν ὡς τὸ ἐπίσκοπον· οἱ δὲ ἀναςρέφȣσι τὴν ἐπί· οἱ δὲ παρέλκειν αὐτὴν βȣ́λονται. ἄμεινον δὲ τὸ πρῶτον. BL.

πρὸς κατάπληξιν τȣ̃ πολεμίȣ λεγόμενον καὶ ἡμᾶς εὐκαίρως ἐδίδαξε. V.

452. ἔμ' ἔτικτε: ὀρθοτονητέον τὴν ἀντωνυμίαν· ἔςι γὰρ ἀντιδιαςολή. τίκτειν δὲ τὸ κτίζειν. ABL.

πολέσσ' ἄνδρεσσιν: εἶπε γὰρ „ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι" (Od. 19, 173). V.

453. εὐρείῃ: μεγάλῃ· „τȣ̃ μέν τοι κλέος εὐρύ" (Od. 19, 333) καὶ „εὐρύοπα Ζῆν'" (Il. 8, 206) καὶ εὐρυσθενές (Il. 7, 455). BL.

456. Ἀρίςαρχος ἤ τινα. ἄλλοι δὲ εἴ τινα. A.

ἑταρίσσαιτο: ὅτι ἀντὶ τȣ̃ συνεργὸν λάβοι. πρὸς τὸ „ἵκμενον ȣ̓ρον ἵει πλησίςιον ἐσθλὸν ἑταῖρον" (Od. 11, 7). AB.

458. δοάσσατο: τȣ̃ δοκῶ παραγωγόν ἐςι, δοκῶ δοκήσω δοκάσω, ἐδοκάσσατο δοκάσσατο, ἀποβολῇ τȣ̃ κ̄ δοάσσατο. BL. ὡς „ῥάδαλον δονακῆα" (Il. 18, 576) ἀντὶ τȣ̃ κράδαλον, εὐκράδαντον. V.

459. ὕςατον: ȣ̓ διὰ δειλίαν ȣ̓ραγεῖ, ἀλλὰ διὰ λύπην. L.

460. ἐπεμήνιε: ἐπεμέμφετο καὶ ᾐτιᾶτο. BL. „ὁ ξεῖνος δ' εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῷ" (Od. 17, 14)· „ἀλλ' ἀπομηνίσει" (Od. 16, 378). V.

461. τὸ μετ' ἀνδράσιν δύναται ἑκατέρωσε συντάττεσθαι· ἀδιάφορον γάρ. A.

οὔτι τίεσκεν: ὡς τιμώμενον αὐτὸν ὑπὸ τῶν Τρώων καὶ παραβλάπτοντα τὴν βασιλικὴν τιμὴν ȣ̓κ ἐτίμα, δεδιὼς τὴν ἐπιβȣλήν. BL.

διὰ τȣ̃το ἐπεμήνιεν Αἰνείᾳ, διότι παρά τȣ τῶν μάντεων ἤκουσεν ὡς μετὰ τὴν ἅλωσιν τῆς Τροίας μέλλει Αἰνείας κτίσαι πόλιν, καὶ ὅτι συνήργησεν Ἀλεξάνδρῳ εἰς ἁρπαγὴν τῆς Ἑλένης. L.

ἢ ὡς τῆς Ῥέας μηνισάσης Ἀλεξάνδρῳ. ἢ ὡς τιμωμένῳ ὑπὸ τῶν Τρώων· φησὶ γὰρ „Αἰνείας ὃς Τρωσὶ θεὸς ὣς τίετο δήμῳ" (Il. 11, 58). οἱ δὲ ὅτι πολίτῃ τὴν ἀδελφὴν δέδωκεν Ἀλκάθῳ. εἰ γὰρ ἐγνωκὼς τὸν χρησμόν, ȣ̓κ ἂν Αἰνείας ὑπερήσπισεν Ἕκτορος, ȣ̓ Κύπρις Ἀνδρομάχῃ παρέχε τὴν ἄμπυκα, ȣ̓ τὸ σῶμα ἐφύλασσεν Ἕκτορος. V.

φιλοδοτερός πως ȣ̃τος. εἰ γὰρ μὴ τοιȣ̃τος ἦν, ȣ̓κ κατὰ Πριάμȣ λύπην ἐκοινοποιεῖτο τοῖς Τρωσίν. V.

464. γαμβρῷ: τῷ τῆς ἀδελφῆς ἀνδρί· „οἷος σὺ βροῖσι κασιγνήτοισί τε σοῖσιν" (Il. 5, 474). BL.

κῆδος: κηδεία τȣ̃ νεκρȣ̃. V. συγγένεια, ὁτὲ δὲ λύ

465. ἐπαμύνομεν: καλῶς καὶ ἑαυτὸν τῇ ἐπικȣρίᾳ ριθμεῖ πρὸς τὴν ἐκείνȣ αἰδῶ. BLV.

ἡ διπλῆ, ὅτι ἐπαμύνομεν ἀντὶ τȣ̃ ἐπαμύνωμε ȣ̃τως χεδὸν ἅπασαι, ἐπαμύνομεν. A. τινὲς ἐπαμῦ

466. τυτθόν: ἡ λέξις Θεσσαλῶν. V.

468. θυμὸν ἐνὶ ςήθεσσιν ὄρινεν: τῶν γὰρ π αἰτία ἡ τȣ̃ περὶ καρδίαν αἵματος θέρμη. BL.

469. βῆ δὲ μετ' Ἰδομενῆα: ἡ γὰρ τȣ̃ φίλȣ συ τὴν πρὸς τὸν ἐχθρὸν ἀμαυροῖ μῆνιν. BLV.

470. ἡ διπλῆ, ὅτι σαφῶς φόβος ἀντὶ τȣ̃ φυγή.

τηλύγετον: ἤτοι μεμονωμένον ἢ γέροντα τὸν τῆς ἡλικίας ἐλθόντα. ἢ ὁ τέλος τῆς γενέσεως ἔχων ἀγαπητὸν διὰ τὸ τοῖς φίλοις ἀρήγειν. V.

ὁ τηλȣ̃ τῆς ἡλικίας γεγονὼς τοῖς γονεῦσι, μεθ' ἂν τις γένοιτο. οἱ τοιȣ̃τοι δὲ ἄνανδροι ὡς ἐπίπαν διὰ τὸ πλείονος τρυφῆς ἀξιȣ̃σθαι ὑπὸ τῶν γονέων. A

ὁ τέλος τῆς γεννήσεως ἔχων, μεθ' ὃν ἄλλο ἐτέχθη τῷ πατρί· οἱ τοιοῦτοι γὰρ ὡς ἐπίπαν δειλοί ἀνατρεφόμενοι διαίτῃ. καὶ πῶς αὐτός φησι „δείδια δ' Αἰνείαν" (481); ἢ τοίνυν τὴν φυγήν φησιν· ἐπάγε „ἀλλ' ἔμεν' ὡς ὅτε τις σῦς." τὸ τηλύγετος ἐνταῦ τȣ̃ πρεσβυτέρȣ, ȣ̓κ ἐπὶ τȣ̃ μονογενȣ̃ς ἢ ἐπὶ τȣ̃ ὁμ ὅτι δὲ ἐπὶ τȣ̃ πρεσβυτέρȣ καὶ τῆς τηλοτέρας γενεᾶς δῆλον ἀπὸ τȣ̃ εἰρηκέναι αὐτὸν ἐπὶ τȣ̃ μὴ ὁμήλικος δὲ πρότερος γενεῇ, προτέρων δ' ἀνθρώπων" (Il. 23 ἀλλ' Ἰδομενεὺς μὲν μεσαιπόλιος, καὶ διὰ τȣ̃το τῆς πρ γενεᾶς. προέγραψα καὶ τὰ περὶ τȣ́τȣ πλατύτερον. B.

471. ἡ διπλῆ, ὅτι ἀντιδιέςαλται τῷ φόβῳ τὸ ἔ ἐξ ȣ̃ σαφὲς ὅτι ὁ φόβος τὴν φυγὴν σημαίνει. A.

ὡς ὅτε τις σῦς: ὡς μεσαιπόλιος καὶ δυσκίνητος κάζεται λέοντι, ἀλλὰ τῷ δευτερεύοντι καὶ λοχῶντ ἐπιόντας. V.

ἀλκί: ἀπὸ τῆς ἄλξ εὐθείας, ὅθεν καὶ ἄλξις καὶ ἔπαλξι

472. κολοσυρτόν: ὁ μετὰ κολωȣ̃ ἐπισυρμός. ἢ γας θόρυβος· κόλον γὰρ τὸ μέγα, καὶ κολόκυμα. καὶ ὁ μ ἀφὴν ἔχων κόλαφος καλεῖται. BLV.

473. οἰοπόλῳ: ἤτοι ἐν ᾧ ὄϊες ἀναςρέφονται, ὅ ἐς βατα (πολεῖν γὰρ τὸ ἀναςρέφεσθαι)· ἢ ἐν ᾧ οἷός τις νος πωλεῖται, ἐξ ȣ̃ δηλοῖ τῷ ἐρήμῳ. AD. ὁ γὰρ μόνις μώτερος. V.

474. πυρὶ λάμπετον: ἡ διπλῆ, ὅτι πτῶσις ἤ καὶ πρόθεσις παρεῖται, ἀντὶ τȣ̃ ὑπὸ πυρὸς λάμπȣσι. A ἀλλαχȣ̃ δέ φησι „πῦρ δ' ὀφθαλμοῖσι δεδορκώς" (Od. 446). V.

475. θήγει: ἐναργῶς δὲ τὰ συμβαίνοντα περὶ συνεκτίθεται, ὡς μηδὲ χρείαν ἔχειν τȣ̃ ὀνόματος τȣ́τȣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

476. ὣς μένεν: τὸ μὲν μεῖναι γενναίου, τὸ δὲ καλεῖν ἑταίρους ἀσφαλῶς· προδιδόντος γάρ ἐστιν ἑαυτὸν τὸ τὴν προοῦσαν μὴ καλεῖν συμμαχίαν ἀλλ' οἰκείᾳ τὸ πᾶν ἐπιπειν δυνάμει. BL.

ἀμφικλυτός: ἀντιφράζει αὐτὸν ἐν τῷ πόδας ταχύν. ς δὲ ὀξύνουσιν, ἵν' ᾖ ὅμοιον τῷ βοηθόον. ἀδέ ποτε δὲ ηρος ἕτω τὸν σύμμαχον καλεῖ. V.

διὰ μέσσ τὸ ἀδ' ὑπεχώρει. A.

477. ἢ πτῶσις ἠλλαχθ, ἀντὶ τῶ Αἰνείᾳ ἑπιόντος. A.

478. ᾗ τὸ ἐσορῶν πραγματικῶς πρόσκειται ὑπὸ τοῦ πτῶ. V.

480. τοὺς ὅγ': ἐν πολλοῖς ἀ φέρεται. V.

481. οἴῳ: ἀντὶ τῶ μονωθέντι. ὁ δὲ δέ ἀντὶ τῶ γάρ. BL. ἡ συναλοιφὴ ὡς „ἔμ' οἴῳ ἐρῥοντι συνήντετο νόσφι" . 4, 367). V.

484. ἦβης ἄνθος: τινὲς τὸν καιρὸν τῶν κέ ἐτῶν, οἱ ῶν μ', ἐπεὶ ᾗ Ἡσίοδός φησι „τοῖς ἅμα τεσσαρακονης αἰζηὸς ἕποιτο" (O. 439). τὴν δὲ ἦβην Ἡσίοδος ᾗ κτηνῶν, ὡς τὸ „ἦβης μέτρον ἔχοντες" (ib. 436)· ὁ δὲ ης ᾗ ἐπὶ φυτῶν, ὡς τὸ „ἡμερὶς ἠβώωσα" (Od. 5, 69). ἐ ὅτε ἐὰν μὲν ᾖ χρονικόν, ἔξαι ἡ διάνοια ἕτως, ὅτε ἕκαχον ἄνδρα ἡ οἰκεία ἰσχὺς ἀκμάζει· ἐὰν δὲ ᾖ δύο λόγω, ἕτως, ὃ ἐστιν ἀνδρὶ κράτος μέγιστον, τὸ ἐν τῷ ιστάτῳ τῆς ἡλικίας εἶναι. κράτος δὲ εὐρωστία, εὐία. BLV. τινὲς δὲ ὅτε (ἐν τῷ ἀνθεῖν δηλονότι) κράἀνδρὶ μέγιστον. V.

485. τῷδ' ἐπὶ θυμῷ: ἐφ' ᾧ νῦν ἐγώ εἰμι, ἐπὶ τῇ παμοι προθέσει. AB.

τως αἱ Ἀριστάρχου, διὰ τῶ π, ἐπὶ θυμῷ, ἀντὶ τῶ ἐνὶ ῷ. ᾗ πᾶσαι ἕτως εἶχον. καὶ ἐν Ὀδυσσείᾳ „εἰ γ' ἐγὼν νέος εἴην τῷδ' ἐπὶ θυμῷ" (16, 99). Ζηνόδοτος δὲ λικίην σὺν τῷ ν ἔγραφεν. A.

ινὲς ᾗ χωρὶς τῶ ι. V.

486. φέροιτο — ἠὲ φερολμην: λείπει τὸ κατ' ἐμῆ τ' αὐτῆ. BL.

489. ἐκέκλετο οἷς ἑτάροισι: καίτοι νέος ὢν μόνος ν ἀχ ὑπομένει. B.

490. Δηΐφοβον: ἄκρως ἐξήλεγξεν ὁ ποιητὴς τὸν Δηΐφον ἀποζάντα τῆς μάχης, ὅτι νῦν αὐτὸν Αἰνείας προσται. BL.

492. μῆλα: ἀδινὰ γ' τὰ μῆλα, ᾗ μάλιστα ὅτε ἐπὶ ποτὸν σι. τινὲς δὲ κτίλοι τὸν ποιμένα. V.

493. ἡ διπλῆ, ὅτι ἐκ βοτάνης ἐξὶ μετὰ τὴν βόσκηὡς λέγομεν „ἐξ ἀρίστου παρέσομαι" ἀντὶ τῶ μετὰ τὸ ν. A. „κατήϊεν ἐκνομῆ ὕλης πιόμενος" (Od. 10, 159). V. ύνται: χαίρει μάλιστα γ' αὐτὰ πιαίνει ποτόν, δοκεῖ λλον ὑγιαίνειν τὰ ζῷα ὅταν ὀρέγηθ ποτῆ· ὅθεν θέρος μένες ἀλοτροφῆσιν αὐτά (θέρος τοῖς ῥ' μέδιμνον ἀλὸς μένες βάλλεσι διὰ πέντε ἡμερῶν V). πῶς δὲ τὲς τοἐκ ἡγεμόνας ἑνὶ κτίλῳ εἴκασεν; ὅτι πάντων ἡγεμονίτατος ἦν Αἰνείας. BL.

496. ἡ διπλῆ πρὸς τὸ αὐτοχεδόν, ὅτι ὡς χέδην καὶ συχάδην ἀγωνιέμενοι. A.

497. ξυστοῖσι: λείπει δόρασιν, ὡς ὅταν λέγωμεν „ἐν τῇ διπλῇ", λείποντος τῆ ςοᾷ. A.

499. ἔξοχον ἄλλων: ἕτως διὰ τοῦ ν ἔξοχον ἅπασαι. A. οἱ δὲ ἔξοχοι ἄλλων, οἱ δὲ ἔξοχον ἄλλως, ἐξόχως παρὰ πάντας. V.

502. πρῶτος: ἢ Ἀριστοφάνειος πρόσθεν, ᾗ μήποτε βέλτιον· πρότερος γ' ἂν εἶπεν. A.

ἀκόντισεν Ἰδομενῆος: ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ἔλλειπει ἡ πρόθεσις ᾗ πτῶσις ἠλλαχθ, ἀντὶ τοῦ ὡς ἐπ' Ἰδομενῆα. A.

ὡς τὸ „ὀΐζυσον Μενελάῳ" (Il. 4, 100). V.

εἰ αὐτοχεδὸν ὡρμήθησαν, πῶς ἀκοντίζει; ὑποκεχωρήκει γ' Ἰδομενεὺς ὡς πόῤῥωθεν ἀγωνιάμενος. BL.

506. Ἰδομενεὺς δ' ἄρα: θαυμασίως ἀμφοτέρους μὲν ἀποτυγχάνοντας ἀλλήλων εἰσήγαγεν, ἀλλὰ τὸν μὲν καθάπαξ μάτην ἀφιέντα τὸ δόρυ ἐπὶ τὴν γῆν, τὸν δὲ τοῦ μὲν Αἰνείᾳ ἀποτυγχάνοντα, ἄλλον δέ τινα ἀναιροῦντα. τὸ δὲ ἑξαίρετον ἐνταῦθα παραφυλακτέον, ὅτι κατὰ τὸ ῥητὸν ἐκ εἶπεν ὁ ποιητὴς τὴν ἄφεσιν τὴν ἀπὸ τῶ Ἰδομενέως ᾗ τὴν ἀποτυχίαν, ἀλλ' ἁπλῶς ἔφη βεβλῆθ τὸν Οἰνόμαον· καίτοι ἐ τῶτο προκείμενον ἦν τῷ Ἰδομενεῖ, ἀλλ' ἀποτυχίᾳ τῶ Αἰνείου τοῦτον βάλλει· ὁ δὲ ὡς προηγεμένως τῶτο κατεσχασμένε πεποίηθ τὸν λόγον. BL.

λείπει ἡ κατά, κατὰ γαστέρα. V.

507. ῥῆξε: διέτεμεν, ὥστε διῤῥηθ τὴν σύμφυσιν· διὰ γ' τὴν ὑγρότητα, καὶ διὰ τὸ ἀεὶ ἐν τῇ εὐρυχωρίᾳ πνεῦμα ἔχειν, ᾗ διὰ τὸ τῷ μεσεντερίῳ λαγαρῶς προσδεδέθ ἄτακτον ἔχοντα τὴν κίνησιν, ῥᾳδίως προπίπτειν πέφυκε. γύαλον δὲ τὸ κύτος. BL.

ὅτι ἐ κεχωρισμένος τῶ θώρακος τόπος τὸ γύαλον, ἀλλὰ καθόλε τὸ κύτος· καὶ γ' τὰ κεκοιλωμένα ἄντρα γυῖα καλῶσιν. A.

περιφραστικῶς θέλει εἰπεῖν τὸν θώρακα. V.

510. ἔτ' ἄλλα: οἱ μὲν τὸ πλῆρες ἐκδέχονθ τὰ ἄλλα, ἐν συναλοιφῇ δὲ γενέθ τἄλλα, ὡς τὰ ἄθλα τἆθλα. προείρηθ δὲ περὶ τῆς τοιαύτης παρ' αὐτῷ συναλοιφῆς τε ᾗ συντάξεως τῶν ἄρθρων. ἄμεινον ἐν ἐκδέχεθ ἔτι ᾗ ἄλλα. A.

511. ἐπείγετο: κατεσπεύδετο γ' ὑπὸ τῶν βελῶν. V.

512. ἔμπεδα: τὰ μὴ ὑπὸ δειλίας σαλευόμενα. ποδῶν δὲ γυῖα μερικῶς οἱ πόδες. BL.

513. ἔτ' ἄρ' ἐπάϊξαι μεθ' ἑὸν βέλος: ἅτε ὁρμῆσαι ἐπὶ τὸ ἴδιον βέλος. τοῦτο δὲ καθολικώτερον εἶπε διὰ τὴν ἡλικίαν, ἐπεί τοι ᾗ τῶ Οἰνομάου ἐξέσπασε τὸ δόρυ ᾗ τῶ Ὀθρυονέως. BL. τῷ δὲ Ἄρηϊ αὐτὸν εἰκάζει. τινὲς δὲ ὑφ' ἓν γράφουσι μεθεόν, τὸ ἀφεθέν. ἢ ὅτι μετὰ τὸ λαβεῖν τὸ ἴδιον ἔγχος οὐκ ἦν αὐτῷ ἐγκλῖναι καὶ φυγαδείαν ἀσπάσαθ, ἀλλὰ παρὰ πόδα ὑπεχώρει μαχόμενος. διὸ καὶ βάδην εἶπε. V.

515. τρέσσαι δ' ἐκέτι: εἰκότως ἓν ᾗ ἔμπροσθεν συΐ

αὐτὸν εἴκασε, τῷ δι' ὑπομονῆς ἑδραίας, ȣ δι' εὐκινησίας ἀμυνομένῳ τȣ̀ς ἐπιόντας. δείκνυσι δὲ ὅτι οἱ πόδες φέρȣσιν, ȣ φέρονται. BL.

ἡ διπλῆ, ὅτι τρέσσαι φυγεῖν μετὰ δέȣς, ἀλλ' ȣ ψιλῶς φυγεῖν· „τρεῖν μ' ȣκ ἐᾷ Παλλὰς Ἀθήνη" (Il. 5, 256). A.

517. δὴ γάρ οἱ: ὡς ἀντεραςὴς Ἑλένης, ὡς μαρτυρεῖ Ἴβυκος ϗ Σιμωνίδης. ἀλλ' ȣ̈τε ἤρα μεσαιπόλιος οὔτε τὸ παρὰ Ἰβύκῳ ἀληθές· ἀλλὰ διὰ τȣ̀ς πεσόντας. τὸ δὲ αἰεί ϗ ἐπὶ τȣ̃ ἐλαχίςȣ χρόνȣ τίθεϑ, ὡς „αἰεὶ δ' ἡνίοχον" (Il. 23, 502). κότος δὲ ȣκ ἐπὶ τȣ̃ ἀποκειμένȣ χόλȣ. ȣ̃τος δέ ἐςιν ὁ ἐπὶ τῷ Ἰδομενεῖ πάντας συναγαγών. ἀλλ' ȣ̈τε Αἰνείας ȣ̈τε αὐτὸς ἐπέτυχεν. V.

519. υἱὸν Ἐνυαλίοιο: τὸν Ἀσκάλαφον ϗ τὸν Ἰάλμενον Ἄρεος λέγων παῖδας ȣδὲν περὶ αὐτῶν φησί, κωμῳδῶν τȣ̀ς δίχα ἀρετῆς ἐπὶ γένει σεμνυνομένȣς. Ἀσκάλαφος δὲ παρὰ τὸ ἀσκελὲς τῆς ἁφῆς, ὁ λίαν σκληρός. V.

521. ȣδ' ἄρα πω: ȣδέπω ἐμεμαθήκει. ἐζήτηϑ δὲ πῶς θεὸς ὢν ὁ Ἄρης ȣκ ᾔδει περὶ τȣ̃ υἱȣ̃. ῥητέον ȣ̓ν ὅτι παρὰ τῷ ποιητῇ οἱ θεοὶ σωματικῶς λαμβανόμενοι ἀνθρωποειδῶς ἐφίςανϑ, ἀθανασίᾳ μόνῃ διαφέροντες τῶν ἀνθρώπων, τοῖς δ' αὐτοῖς ὑπόκεινται πάθεσιν. ABD.

βριήπυος: παρεξηλλαγμένον ἐςὶ τȣ̃ βοὴν ἀγαθός, ὡς ποδάρκης ϗ ποδήνεμος. ἢ διὰ τȣ̀ς βρυγμȣ̀ς (ὀρυγμαδȣ̀ς V) τῶν πολεμίων. οὐδ' ἄρα πώ τι πέπυςο δὲ εἶπεν, ἐπεὶ ἀνθρωποπαθεῖς οἱ Ὁμηρικοὶ θεοί· ἢ ȣ προσέςησεν. ἐπεισόδιον δὲ καινὸν ἑαυτῷ προμνηςεύεϑ· οἷον γ̓ ἔσται Ἄρης ὁπλιζόμενος ἐπὶ τȣ̀ς αὐθέντας τȣ̃ παιδός, δηλαδὴ ἐπὶ τȣ̀ς φίλȣς Τρῶας. LV.

τὸ βριήπυος ȣ̃τως ἐγίνετο. ἦπυς ὡς γῆρυς, μελίγηρυς, ἔπειτα γενικὴ βριήπυος, ἥτις εἰς εὐθεῖαν μετέςη, ὁ βριήπυος· ȣ γ̓ ἄηθες γενικὰς ἀναπέμπεσϑ εἰς εὐθείας, ϗ μάλιςα παρὰ τῷ ποιητῇ. διὸ ϗ προπαροξύνει αὐτὸ ἡ συνήθεια. ταῦτα Ἡρωδιανὸς ἐν τῷ θ' τῆς καθόλȣ. A.

523. ὑπὸ χρυσέοισι νέφεσσι: ὅ ἐςι ταῖς πύλαις τȣ̃ Ὀλύμπȣ. ἢ ἄλλα εἰς τὰ αἰθέρια νέφη, ἅπερ τῷ πλησιάζειν αὐτῷ χρυσίζει. V.

524. ἐελμένος: κεκλεισμένος. ἐξ οὗ ϗ ἐξȣ́λης δίκη ἡ ἀποκλείȣσα τὸν ἄνθρωπον τȣ̃ μὴ λέγειν τι. L.

527. Δηΐφοβος μέν: ὡς ἐπὶ τὸ πολὺ σκυλεύοντες εὑρίσκονϑ οἱ Ἕλληνες· ἐνταῦθα δὲ ὁ Δηΐφοβος ὥσπερ κλοπῇ κέχρηϑ ϗ ὀξυλαβείᾳ. ϗ ὅρα τὸ ῥῆμα· ȣ γ̓ ἐσκύλευσεν ἔφη, ἀλλ' ἥρπασε τὴν πήληκα. πλὴν ȣδὲ ȣ̃τως ἀποφέρεται τὸ σκῦλον ȣ̃τος, ἀλλὰ τρωθεὶς ἀφίησιν αὐτό. BL.

πήληκα: παρὰ τὸ πάλλεσϑ. V.

532. πρυμνοῖο: ἄκρȣ, τȣ̃ πρὸς τὸν ὦμον, ὡς νεαίρην γαςέρα, καὶ ἁπαλοῖο αὐχένος, ἔνθα μάλιςα ἁπαλὸς ὁ αὐχήν. BL.

Κόμανος θηλυκῶς φησὶ τὴν βραχίονα, ἵνα ἀκȣ́ωμεν τὴν χεῖρα. V.

533. Πολίτης: ȣκ ἄσημος· „βοὴν ἀγαθόν τε Πολίτην (Il. 24, 250)· „υἱεῖ Πριάμοιο Πολίτῃ" (Il. 2, 791). ἦν δὲ ἐξ Ἑκάβης. τὸ δὲ τιτήνας ἀντὶ τȣ̃ περιλαβὼν ταῖς χ[illegible]σίν, ἐκ τȣ̃ τιταίνω. V.

534. περὶ μέσσῳ χεῖρα τιτήνας: ἤγουν ἀγκ[illegible]σάμενος. L.

536. μάχης ἠδὲ πτολέμοιο: ϗ τῶν μαχομένων [illegible] πολεμȣ́ντων. πολλὰς δὲ τροπὰς τῆς μάχης λαμβανο[illegible] ἐμποδίζοντες ἀπηνέχθησαν εἴς τινα τόπον. BL.

539. νεȣτάτȣ: νεοτραυματίςȣ. L. νεοτρώτȣ. D.

541. ὥσπερ Ἑρμέας, ȣ̃τως Αἰνέας, καθὼς Ἡρω[illegible]δοκεῖ. BL.

ȣ̃τως Ἀρίςαρχος, χωρὶς τοῦ ῑ. ἔνιοι δὲ Αἰνεί[illegible] Ἀφαρῆα. A.

542. τὴν οἷ ὀρθοτονητέον· μεταλαμβάνεται γ̓ εἰς [illegible]θετον. A.

543. ἑάφθη: Ἀρίςαρχος δασύνει, ἀπὸ τȣ̃ ἕπεσϑ· γ̓ ὅτι ἐπηκολȣ́θησεν αὐτῷ· ϗ δῆλον ὅτι παρὰ τὸ ἕπω· ἢ εἵφθη ὤφειλεν εἶναι ὁ ἀόριςος, καὶ κατὰ διαίρεσιν [illegible]νετο ἑάφθη, ὡς τὸ ἤγη ἐάγη, ἥλη ἑάλη, ἥλω ἑάλω [illegible] δασείας ἐπὶ τὴν ἀρχὴν χωρȣ́σης, ὡς ἔθος. ταῦτα ὁ [illegible]φων ἀπεφαίνετο ὑπὲρ τȣ̃ Ἀριςάρχȣ, πιθανῶς πάνυ. [illegible] δ' ἔχομεν περὶ τὸν χηματισμόν τι ἐξαίρετον συμβ[illegible] ἐπιςῆσαι πρὸς τὸ πρῶτον. ἡ ει δίφθογγος ἐν τοῖς πα[illegible]μένοις ἄρχȣσα εἰ διαιροῖτο, εἰς δύο εε διαιρεῖται, [illegible] ἔερτο („ἀτὰρ ἠλέκτροισιν ἔερτο" Od. 15, 460)· [illegible] ἐέργνυ („κατὰ συφεοῖσιν ἐέργνυ" Od. 10, 238). ȣκ [illegible] τȣ̃ εἵφθη ἐγένετο ἡ διαίρεσις. δῶμεν δὲ ἀπὸ τȣ̃ η [illegible] τὸ ἥφθη, ἐπεὶ ἀδιαφόρως τὰ ἀπὸ τȣ̃ ε ἀρχόμενα [illegible] εἴωθε κλίνεσϑ ϗ διὰ τῆς ει διφθόγγȣ κατ' ἀρχὴν [illegible] τȣ̃ η· ἀπὸ γȣ̃ν τȣ̃ ἑλκῶ περισπωμένȣ εἵλκεον φήσ[illegible] παρατατικόν, διὰ τȣ̃ η τὸν ἀόριςον ἐξήνεγκεν ἐν τῷ [illegible] τὼ γ̓ ἥλκησε Διός" (Od. 11, 580). ἀλλ' ȣ θέλει πα[illegible] η τὸ κατ' ἀρχὴν τῶν παρῳχημένων εἰς ε καὶ α δια[illegible] ὁπότε ὁ ἐνεςὼς ἄρχει ἀπὸ τȣ̃ ε· ἀπὸ μέντοι τȣ̃ α[illegible] ὡς δῆλον ἐκ τῶν τοιȣ́των, ἥλη ἑάλη (ἁλῶ γ̓ τὸ [illegible] πρόδηλον κἀκ τῆς ἁλείς μετοχῆς), ἤγη ἐάγη. πῶς [illegible] τὸ ἕπω ϗ ἥφθη τὸ ἑάφθη δύναϑ διαιρεῖσϑ; διὸ ὁ [illegible]νίων ἐκδέχεϑ ἀπὸ τȣ̃ ἅπτω, ȣ̃ γίνεται ἀόριςος, [illegible] ἥφθη, καὶ ποιητικῶς ἅφθη, προσόδῳ δὲ τȣ̃ ε ἑάφ[illegible] δὲ τὸ προσερχόμενον ε ταῖς δασυνομέναις λέξεσι μετ[illegible]κὸν γίνεϑ τῆς ἐκείνων δασύτητος, πρόδηλον κἀκ τ[illegible] ἕεδνα ἑήνδανε ἑώρων. ȣ̃τως ȣ̓ν ϗ τὸ ἑάφθη ἔχει. [illegible] δὲ τὸ οἱονεὶ συνήφθη αὐτῷ. ταῦτα μὲν ὁ Τυραν[illegible] δὲ ἠβȣ́λετο ϗ διαίρεσιν παραλαμβάνειν ὁ ἀνήρ, [illegible] τὸ κωλῦον. A.

ἐπηκολȣ́θησε καὶ συνέπεσε, παρὰ τὸ ἕπω, ὃ [illegible] ἀκολȣθῶ· ὅθεν ϗ δασύνεται. BL.

544. θυμοραϊςής: τὸ ῥαῖσαι πολλάκις ϗ [illegible] ἀφελέσθαι τίθεται. V.

545. Ἀντίλοχος: καὶ προτρεπτικὸν τὸν νεανία[illegible]άγει ϗ μετ' ἐπιμελείας πάντα πράττοντα. τοιȣ̃τόν [illegible] θάδε καὶ τὸ δοκεύσας. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

546. ἀπὸ: Ζηνοδοτος διά. A.

547. ἥ τ' ἀνὰ νῶτα: οἶδε ϗ τὴν ἀνατομὴν ὁ ποιητής. ...ι δὲ τὴν καλȣμένην κοίλην φλέβα, τὴν ἐκ δεξιῶν τῆς ...εως ἀνερχομένην ἀπὸ τȣ̃ ἥπατος, ϗ κατὰ τὸ διάφραγμα ...ȣ̃σαν ἐπὶ τὴν καρδίαν καὶ ἀπὸ ταύτης ἐπὶ τὸν τράχη-... BL.

548. ἡ διπλῆ, ὅτι πᾶσαν ἀντὶ τȣ̃ ὅλην, ϗ ὅτι ἐπὶ τὴν ...γὴν πέπτωκε διὰ τὸ παραλελύσθȣ τὴν νωτιαίαν φλέβα ... μηκέτι εἶναι τὸ ἀντέχον νεῦρον. A.

...ὀρθῶς ἐπὶ τὴν πληγὴν ἐποίησε πίπτοντα· τῆς φλεβὸς ...διακοπείσης ϗ μηδεμιᾶς ἀντιχέσεως γενομένης ἐπ' αὐτὸ ...ἀλγȣ̃ν ἠνέχθη. BLV.

549. χεῖρε φίλοις: εἰς βοήθειαν παρακαλῶν. V.

551. παπταίνων: μέγα μὲν τὸ σκυλεῦσαι, μεῖζον δὲ ...προφυλάττεσθαι. V.

περιςαδόν: κυκλοτερῶς, ὡς „περιέςη τῇ πόλει τὰ ...ά." L. Ζηνόδοτος καὶ Ἀριςοφάνης διὰ τȣ̃ ᾱ παρα-...όν. A.

553. εἴσω: τὸν εἴσω χρόα. τέρενα δὲ τὸν νέον, ὡς τὸ ...λόν τέ σφ' ἦτορ." V.

554. Ποσειδάων: ἅμα μὲν ἐπεὶ πρόγονος, ὥς φασιν, ...ὐ ἐςίν· ὅθεν ϗ ἐν Ὀδυσσείᾳ (3, 43) τȣ́τῳ φαίνονται ...ντες· ἅμα δὲ ἔγκειται ϗ τὸ παιδευτικόν, ὅτι τῶν θεο-...ῶν οἱ παῖδες διασώζονται· ἐπάγει γὰρ ὅτι παῖς ἦν ...ορος. BLV. ȣ̓χ ὅτι αὐτȣ̃ ἀπόγονος. V.

555. καὶ ἐν πολλοῖσι βέλεσσιν: ϗ ἐν ταῖς ἄλλαις ...αις. ȣ̓ γ̀ νῦν βάλλεθ, ἀλλ' ȣ̓τάζεται. τάχιςα τὴν ἐνέρ-...ν αὐτοῦ δεδήλωκεν. V.

558. τιτύσκετο δὲ φρεσὶν ᾗσιν: πᾶσα προσοχὴ ...ὶ τȣ́τῳ εὑρίσκεθ, καίτοι νέῳ ὄντι ϗ ȣ̓χ ὑπερέχοντι τὸ ...α, ἀλλὰ διὰ σύνεσιν κατορθȣ̃ντι. BL.

...λέλικτο: ὅμοιον τῷ ἔγχεα πτύσσοντο (134). V.

562. ἀμενήνωσεν: μεταφορικῶς ἀπὸ τȣ̃ βαλόντος, ...υρον εἰργάσατο· ἡ γ̀ αἰχμὴ μένος ȣ̓κ ἔχει. BL.

563. κυανοχαῖτα: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ κυανοχαί-... A.

...ιότοιο μεγήρας: φθονήσας Ἀδάμαντι μὴ τὸν ...Ἀντιλόχȣ ἀφέληται· ἢ φθονήσας Ἀδάμαντι τȣ̃ βίȣ ...ιήσας αὐτὸν ἀναιρεθῆναι. BL. μεγαίρειν δὲ τὸ φθο-... Σαλαμίνιοι λέγȣσι. V.

564. σκῶλος: ἡ διπλῆ, ὅτι ἅπαξ ὁ σκῶλος. A. ἀκάν-... δὲ εἶδος ὁ σκῶλος, ἣ πυρωθεῖσα εὔτονος γίνεται. AD. ...κῶλον τὸν σκόλοπα· οἱ γ̀ ἄγροικοι ἀποξύνοντες τὰ ... πυρακτȣ̃σι (πυρικαυτȣ̃σι LV) τὸ ἄκρον, ὅπως πιληθὲν ...ερρότερον· χρῶνται δὲ αὐτῷ ἀντὶ αἰχμῆς. ἐπεὶ ȣ̓ν καὶ ...ρυ ȣ̓ σφόδρα τὴν δύναμιν ἐνεργὸν εἶχεν, ἔμεινε, φη-... ἐπὶ τοσȣ̃τον διελθὸν ὅσον ϗ σκῶλος περονῆσαι δύ-... ABLV.

...πίων φησὶ τὸν σκῶλον πεπυρακτωμένην ῥάβδον, Ἀρί-...ος δὲ ἀκάνθης τι γένος. ταύτας εἰώθασι πυρπολεῖν, ...ιώσαντες ἐφ' ὁρμήματα χρῆσθȣ ϗ πρὸς ἄλλας χρείας. B.

567. ἀπιόντα: προχωρȣ̃ντα, ὑποποδίζοντα· ȣ̓ γ̀ ςραφέντα· διὸ ἔμπροσθεν τιτρώσκεται κατὰ τὸ ἦτρον, ὃ νευρῶδες λίαν ἐςὶ ϗ ἐπώδυνον· ὅθεν οἱ διακεντȣ̃ντες τȣ̀ς ὑδερικȣ̀ς ȣ̓ κεντȣ̃σι κατωτέρω τοῦ ὀμφαλȣ̃, διὰ τὸ σπασμοὺς προσγίνεσθȣ. ἴσως δὲ ἐντροπαλιζόμενος ὑπεχώρει, ἐπεί τοι κἀν κατὰ τὴν ὀσφὺν ἀναχωρῶν ἐτρώθη. BL.

569. Ἄρης: ὁ πόλεμος κυρίως, δι' ὃν ἡ τρῶσις. A. ὑπάρχει ὁ σίδηρος ἀλγεινοποιός. L.

570. ἑσπόμενος: ἀκολȣθῶν. τινὲς δὲ χόμενος ἀντὶ τȣ̃ συνεχόμενος. BL. καταχεθείς, περιπαρεὶς τῷ δόρατι. D.

571. ἡ προσθήκη τȣ̃ ȣ̓ρεσι ἄγριον δείκνυσι τὸν ταῦρον. BL.

572. ἰλλάσιν: τοῖς ἐξ ἱμάντων χοινίοις. BL.

573. τυπείς: ϗ μὴν προεῖπε „βάλε δȣρί" (567). οἱ μὲν τὸ μέτωπον πληγείς, οἱ δὲ τὴν ψυχήν, ὡς τὸ „καταπληγεὶς φίλον ἦτορ." οἱ δὲ ὡς τὸ „Πήδασον ȣ̓τασεν ἵππον" (Il. 16, 467)· ἐβέβλητο γ̀ ὑπὸ Σαρπηδόνος. οἱ δὲ ἀντὶ τȣ̃ τύπτων τοῖς ποσὶ ϗ λακτίζων. V.

574. ὄφρα οἱ ἐκ χροός: ὅρα διὰ τούτου τὸ καίριον τῆς βολῆς· ἅμα γ̀ τὸ δόρυ ϗ τὴν ψυχὴν αὐτȣ̃ ἀνέσπασεν. BL. ὡς τὸ „τοῖο δ' ἅμα ψυχὴν ϗ ἔγχεος ἐξέρυσ' αἰχμήν" (Il. 16, 505). V.

575. ἡ διπλῆ ὅτι ἡ πτῶσις ἤλλακθ ἀντὶ τȣ̃ τȣ̃ δὲ σκότος ὄσσε. A.

577. Θρηϊκίῳ: μόνοι γ̀ ἐν βαρβάροις οἱ Θρᾷκες μεγίςοις ξίφεσι χρῶνθ. ἢ ȣ̓ν ἀπό τινος Θρᾳκὸς ἐπικȣ́ρȣ τότε ἀνέλαβεν, ἢ ϗ πρὶν ὡς καλλιςεῦον εἶχεν. ἔςι δὲ ἡ καλȣμένη παρ' αὐτοῖς ῥομφαία. τὸ δὲ ἄραξεν ἀντὶ τȣ̃ τȣ̀ς ἱμάντας ἀπέτεμεν. BL.

578. καί τις Ἀχαιῶν: ἡδέως πάνυ ϗ ἀξιοπίςως τὸ πλῆθος ἐμφαίνει, μὴ εἰπὼν τὸν ἄραντα. V.

582. ἄνακτι: παρὰ τὸ ἀνώγειν ϗ κελεύειν τȣ̀ς μάντεις, ὡς „Τειρεσίαο ἄνακτος" (Od. 11, 151). V.

583. τόξȣ πῆχυν ἀνεῖλκεν: οἱ μὲν κατὰ Δωριεῖς τὴν νευράν, οἱ δὲ τὸ κέρας· οἱ δὲ τῷ πήχει τὸ τόξον εἷλκεν. ABL.

584. ὁμαρτήτην: Ἀρίςαρχος ὁμαρτήδην ὡς τμήδην. A.

φοράδην, ἵν' ᾖ προεπίζευξις. οἱ δὲ ἁμαρτήτην, ἅμα προΐεντο, ὡς ἀπειλήτην. V.

ἢ ὁμȣ̃ ἢ κατ' ἀλλήλων ἐγένοντο. L.

ἡ διπλῆ, ὅτι ἐπὶ τȣ̃ Ἑλένȣ ὕςερον εἰπὼν ἀπ' αὐτȣ̃ ἤρξατο εἰπὼν „Πριαμίδης μὲν ἔπειτα," πρὸς τὸ δεύτερον. A.

585. νευρῆφιν: τȣ̃ τόξȣ συνεκδοχικῶς. V.

586. ἡ διπλῆ, ὅτι τὸ ἔπειτά ἐςι μετὰ ταῦτα, πρὸς τὸ „Φοῖνιξ μὲν πρώτιςα, αὐτὰρ ἔπειτ' Αἴας τε μέγας" (Il. 9, 168). ȣ̓κ ἔςι νῦν ἀντὶ τȣ̃ μετὰ ταῦτα, ἀλλ' ἀντὶ τοῦ δή· ἅμα γ̀ ἔπεμψεν ὁ μὲν τὸν ὀϊςόν, ὁ δὲ τὸ δόρυ. A. „οἱ μὲν ἔπειτα πεσοῖσι" (Od. 1, 106). V.

587. θώρηκος γύαλον: ἐν περιφράσει· ȣ̓ γ̀ μέρος. V.

588. πτυόφιν: πτύȣ. πτύον δέ ἐςιν ἐν ᾧ τὰ ἠλοημένα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεννήματα ἀναβάλλεσι χωρίζοντες (ἀναβάλλοντες χωρίζουσι Leid.) τοῦ ἀχύρου. ὁ δὲ τύπος παραγωγή. AD. τῇ τι παραγωγῇ ὁ ποιητὴς κατὰ τριῶν κέχρηται πτώσεων, ἐπὶ γενικῆς, δοτικῆς, αἰτιατικῆς. „ἢ ἐπὶ δεξιόφιν" (308)· ἔξι γὰρ ἢ ἐπὶ τὰ δεξιά. ἢ ἐπ' εὐθείας· Ἡσίοδος (O. 214) „ὁδὸς δ' ἑτέρηφι παρελθεῖν" ἔξι γὰρ ἑτέρα. ἐπὶ δὲ κλητικῆς Ἀλκμᾶν ὁ μελοποιὸς οὕτως „Μῶσα Διὸς θύγατερ ὠρανίαφι λίγ' ἀείσομαι·" ἔξι γὰρ ὠρανία. A.

ἄλλως. τινὲς τὰ μὲν σιδηρᾶ πτύα, τὰ δὲ ξύλινα καὶ τρόπον χειρὸς ἔχοντα, οἷς καὶ τὴν γῆν μεταβάλλουσι καὶ τὰς ἀσάχνας ἀναῤῥίπτουσι, θρίνακάς φασι. παρὰ δὲ Ἀττικοῖς πτύα. AB.

589. θρώσκωσιν κύαμοι: περιφερεῖς γ' ὄντες ῥᾷον ἀφάλλονται τῶν πυρῶν. τῷ δὲ ἐπιθέτῳ κεκάλυπται τὸ ταπεινὸν τῆς λέξεως. AB.

τὰς δὲ κυάμους ὡς μέλανας ἐκ ἐθίσουσιν οἱ ἱερεῖς. οἱ δὲ ἱερὸν λόγον φασίν· „ἶσον κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων" διὰ τὸ „ψυχῆς αἰζηῶν βάσιν ἔμμεναι ἠδ' ἀναβαθμὸν εἰς Ἄϊδαο δόμον, ὅταν αὔγασις ἀνίωσιν." οἱ δὲ ὅτι ἐπὶ Κρόνου ἄρτος ἦν ἀνθρώποις, ἵνα μηδ' ὅλως ἐκείνων μνῆμα φυλαχθῇ. V.

590. ἢ τίνα ἢ πότε δεῖ λικμᾶν ἐδίδαξε· λέγει γ' ὅτι ἢ ῥωμαλέος ἔσαι ὁ λικμῶν πρὸς τὸ ἀναβάλλειν αὐτά, τὸν ἄνεμον ἔχων συνεργόν. BL.

594. ἕτως, ἦ ῥ' ἔχε μετὰ τῶ ι, αἱ Ἀρισάρχε· ἔξι γάρ, καθ' ὃ μέρος κατεῖχεν, ὡς ἐπὶ τῶ „ἦ ῥ' ἴδε γυμνωθέντα" (Il. 12, 389). τινὲς δὲ ἄνευ τῶ ι γράφοντες ἐφ' ὅλης τῆς χειρὸς δέχονται τὸ λεγόμενον, τὴν κατέχουσαν τὸ τόξον χεῖρα. A.

597. χεῖρα: ὡς ἑωρακὼς διαγράφει γραφικῶς. V.

599. εὐσρόφῳ: Ἀρίσαρχος ἐὔσρεφεῖ, ὡς ἀπὸ τῶ εὐσρεφής. A.

οἰὸς ἀώτῳ: προβάτου ἄνθει, ὃ ἔξιν ἐρίῳ. DV. ἐξ ἐρίων γ' συνέπλεκον τὰ κῶλα τῆς σφενδόνης, οὐχ ὡς νῦν νεύροις, ἵνα διατείνοιτο ἐν τῇ ἀποῤῥίψει. πολλὰ δὲ δηλοῖ τὸ ἄωτον, ὥς φησιν Ἐπαφρόδιτος· νῦν δὲ τὸ τοῦ ἐρίου λεπτότερον καὶ καθαρώτερον, ὅθεν καὶ αἱ σφενδόναι ἐπλέκοντο. BLV.

600. θεράπων: δῆλος ὁπλοφόρος κατὰ Κρῆτας. τὸ δὲ ἔχε ἀντὶ τῶ ἀντιποιέμενος. V.

603. σοί: ἀναφώνησις τῶ ποιητῶ ὥσπερ ἀποδεχομένου καὶ οἷον ἐναβρυνομένου τῷ ἄνακτι ὡς ἰδίῳ ἀθλητῆ. τὸ δὲ σοὶ ἀντὶ τῶ ὑπὸ σῶ. A.

605. ἅμαρτε: κατὰ τὸ σιωπώμενον γ' ἀνήρηται τὸ δόρυ. V.

παραί: ὥστε παρὰ βραχὺ γενέσθαι τὴν ἐπιτυχίαν. V.

608. ἐπέχε τὴν ὁρμὴν τῶ δόρατος. καυλῷ δὲ τῷ τῆς ἐπιδορατίδος αὐλῷ, εἰς ὃν ἐνίεται τὸ ξύλον. BL.

γράφεται ἔσχετο. V.

609. καὶ ἐέλπετο: Ζηνόδοτος μέγα δ' ἤλπετο. A.

610. ξίφος ἀργυρόηλον: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χείρεσσι μάχαιραν. ἀγνοεῖ δὲ ὅτι Ὅμηρος τὴν παραξιφίδα μάχαιραν καλεῖ, τὸ δὲ πολεμιστήριον ξίφος.

611. ὑπ' ἀσπίδος: τὴν ὑπὸ τὴν ἀσπίδα κρυπτομένην· ἔφερον γ' πρὸς τὸ καταχίσαι τὰς ναῦς, ἀλλὰ καὶ τὴν μάχην ἐχρῶντο αὐταῖς. BL. „ὀξέσι δὴ πελέκεσσι ἀξίνῃσι" (Il. 15, 711). V.

612. ἐλαΐνῳ: παρὰ τὸ ἐλαία· ἐλαΐνος γ' ἦν, καὶ οὕτως ὑφήρηται τὸ ι. BL. καὶ γ' ἀπὸ τῶ Πείραιος Πειραΐδης φησί („Πτολεμαὶς Πειραΐδαο" Il. 4, 228) καὶ παρὰ Ἀλκαῖον Ἀλκαΐδης. V.

πελέκκῳ: τῷ σειλειῷ, διὰ τὸ περιέχεσθαι ὑπὸ τῶ πελέκεως. τινὲς δὲ καὶ αὐτὸν τὸν πέλεκυν ἕτως, ὡς καὶ τὸ πέλεκκα δηλοῖ. BL. καὶ τὸ συναμφότερον· „πέλεκυν δὲ Νεπτόλεμος Θρασυμήδης" (Od. 3, 442). κατεχρήσατο δὲ ἐπὶ τῆς ἀξίνης πέλεκυν λέγων. V.

613. ἀλλήλων: λείπει ἡ κατά, ἵν' ᾖ κατ' ἀλλήλων ἐφίκοντο: ἕτως Ἀρίσαρχος· ἄλλοι δὲ ἀφίκεσθαι. Ἀριστοφάνης δὲ ἀφικέσθην. A. (ἐφικέσθην V).

616. τὼ δέ οἱ ὄσσε: τὸ δὲ ὑγρὸν τὸ κατὰ τὰς ὀφθαλμὰς ἐξερρύη αὐτῶ μετὰ τῶ αἵματος. D.

617. δυϊκῶς τὸ αἱματόεντε. διὰ δὲ τῶ πέσεν ἔλωσεν οὐκ ἐκχυθέντας τοὺς ὀφθαλμούς, ἀλλ' ἅμα τῇ πτήξει ἐκπεπτωκότας. ἐπεὶ γ' κατὰ τὴν τῆς ῥινὸς ἀρχὴν γονεν ἡ πληγή, πιθανὸν ἐντεῦθεν ἐξωσθῆναι τοὺς ὀφθαλμοὺς ἐκ ῥίζης. BL. καὶ ἔχει ἔμφασιν ὁ λόγος· κοινὸν γὰρ προχυθῆναι τοὺς ὀφθαλμούς. τὸ δὲ πὰρ ποσί τινες Μενελάου. οἱ δὲ παραχρῆμα, ὡς τὸ „πὰρ ποσὶ κάππεσε μός" (Il. 15, 280). V.

ἕτως πέσον αἱ Ἀρισάρχου διὰ τῶ ο, ὡς ἐκεῖ „ὣς ἐκ χειρῶν βέλεα ῥέον" (Il. 12, 159). A.

618. ἰδνώθη: συνεκάμφθη ἐπὶ τένοντα. V.

620. λείψετέ θην: ἐκέτι παρέσεσθε, φησί, πολεμοῦντες ἐπ' αὐτάς. ἐν ᾗθει δ' ὃν ὁ λόγος, ὡς τὸ „ἐ μέν κάμετόν γε μάχῃ ἔνι" (Il. 8, 448). λείπει δὲ εἰς τὸ ἕτι τὸ ἀναιρέμενοι. BLV.

621. ὑπερφίαλοι: ἄσπονδοι, παράνομοι. εἰρᾶται δὲ τὸ ἀκόρητοι, ἐπεί φησιν „ἀμφὶ σὲ Πηλέως υἱὸς ἀκόρητον" (Il. 20, 2). ἢ οἱ μηδὲ καίπερ πολεμοῦντες καὶ φθειρόμενοι τὴν Ἑλένην ἀποδιδόντες. BL.

622. ἄλλης μὲν λώβης: τοῖς εἰς ἐμὲ ὑμῖν πεπραγόσι νοις ἄλλο μὲν ἐδὲν ἐνδεῖ τῶν αἰσχρῶν. A. (ἐνδεῖ γὰρ δεινόν BL).

ἐκ ἐνδεεῖς ἀλλὰ πλήρεις ἐσέ. D.

ὁ μὲν ἀντὶ τῶ μήν· ὁ γ' ἔχει τὸν δέ. BL.

τῶτο ἀπ' ἄλλης ἀρχῆς ἀναγνωσέον· λείπει γὰρ τὸ ἐσμέν.

623. κακαὶ κύνες: κατωφερεῖς δι' Ἀλέξανδρον ἀναιδεῖς δι' Ἕκτορα. ἄκρως δὲ καὶ τῷ θηλυκῷ κατεχρήσατο εἰς τὴν ἀνανδρίαν τῶν βαρβάρων. πρὸς δὲ μόνην τὴν λώβην. BL.

κατὰ τὴν παροιμίαν κύνες ἐπὶ φάτνην· ὁ γ' κύων τὸν ἵππον ἐᾷ ἐσθίειν ἅτ' ἐκεῖνος ἐσθίει. L.

ἡ διπλῆ, ὅτι πρὸς τὴν λώβην μόνην ἀπαντήσας

ἕνεν ἦν ἐμὲ λωβήσασθε. A.

ἡ μὲν συνήθεια πάλιν συνάπτει ἕως τῶ κύνες· δύναῖ δὲ καθ' ἑαυτὸ λέγεσθαι μόνον τὸ καὶ κύνες, ᾗ μᾶλλόν γε τὸν χετλιασμὸν ἐμφαίνει. A.

625. αὐτήν: γράφεῖ αἰπήν. ἡ εὐθεῖα ἡ αἰπή. L.

626. κουριδίην: ἐκ οἵδε γ' αὐτὴν ἐκ Θησέως Ἰφιτείαν ποιήσασαν. V.

ἡ διπλῆ πρὸς τὴν καριδίαν, ὡς ἐκ παρθενίας αὐτὴν ἔχων ὁ Μενέλαος, ᾗ ἐκ οἵδε τὰ περὶ τῆς Θησέως ἁρπαγῆς. A.

καὶ κτήματα πάντα: μετὰ γ' πολυτελῆς κατασκευῆς, ἐπὶ θυσίαν ἥκασα, ἥρπαζο ὑπ' αὐτῆ. BLV.

ἐν ἄλλῳ καὶ κτήματ' ἄμ' αὐτῷ. A.

627. οἴχεσθ' ἀνάγοντες: ἡ διπλῆ περιεσιγμένη, ἣ Ζηνόδοτος γράφει μὰψ οἴχεσθον ἄγοντες. ᾗ τὸ δεκὸν συγχεῖται ἐπὶ πολλῶν τασσόμενον· ᾗ ἠγνόηκεν ὅτι ἀγωγὴν καλεῖ τὸν ἐκ Πελοποννήσε εἰς Τροίαν πλοῦν. A.

φιλέεσθε: φιλοφροσύνης ᾗ ξενίας ἐτύχετε. D.

παρ' αὐτῇ: διχῶς αἱ Ἀρισάρχε, καὶ διὰ τῆ ε, περ σεῖῃ. A.

628. νῦν αὖτ': ὡς τὸ „οἱ μεμάασιν ἡμᾶς ἐξεναρίξαι προτέροισι κακοῖσιν" (Od. 22, 263). V.

629. ἡ διπλῆ, ὅτι σαφῶς πάντας τὲς Ἕλληνας ἥρωας εῖ, πρὸς Ἶρον λέγοντα μόνες τὲς βασιλεῖς ἥρωας λέται ὑφ' Ὁμήρε. A.

631. Ζεῦ πάτερ: ἠθικὴ ᾗ ἔμψυχος ἡ δικαιολογία ὡς ρς παρόντα τὸν Δία. τὸ δὲ περὶ φρένας ἔμμεναι ἀὶ τῆ ταῖς φρεσὶ περιεῖναι τῶν ἄλλων. BL.

τὸ ἄλλων πρὸς τὸ ἀνδρῶν ἀποδοτέον, ἤτοι πάντων· δὲ θεῶν συναπτέον τῷ λοιπῶν. εὖ δὲ τὸ μὴ προσθεῖ· σὺ δὲ ἀνόητος εὑρέθης, πάντα δὲ ἐκ σῆ ἐσὶ τὰ γινόμ· κρατεῖ γ' ὡς ἐχέφρων τῆς λύπης. BLV.

633. οἷον: ἀντὶ τῆ πῶς· ἔσι δὲ μετὰ θαύματος καὶ ψεως, ἅμα μὲν ἐπεὶ ταμίας ἐσὶ πολέμε, ἅμα δ' ἐπεὶ υσὶν ἐβοήθει διὰ Θέτιν. BL.

636. πάντων μὲν κόρος: κἀκείνων κόρος ἐσὶν ὧν τις ῃ πλησθῆναι μᾶλλον τῆς τῆ πολέμε πλησμονῆς. B. ndaros „κόρον δ' ἔχει ᾗ μελικὰ τέρπνα (τὰ τερπνὰ ἐν- margo) θεᾶς Ἀφροδίτας" (Nem. 7, 52). V.

637. περισσὸν αὐτὸν εἶναί φασί τινες· ἥττων γ' ἡ ἐπεία τῆς μολπῆς. ἢ ὅτι ἔμελεν αὐτοῖς „χοροῖο νέον λήτας καθίζειν" (Il. 3, 394). ᾗ παρὰ Φαίαξι δέ. ᾗ ἕως ὡς οἱ εὐγενεῖς νέοι ὠρχοῦντο ἐν ταῖς τραγῳδίαις. καὶ οἱ Ἀθηναῖ, οἱ δὲ Διοσκούρους φασὶν εὑρεῖν τὴν ὄρχησ. ἀμύμονος δὲ τοῦ ἀμωμήτε· ἔσι δέ τις καὶ φαύλη ἔσις. AV.

638. τῶν κέν τις: τούτων ᾗ μᾶλλον ἐπιθυμεῖ τις κοῆναι· πολέμε δὲ ἀδὲ τὴν ἀρχὴν γεύσασθαι (ψαῦσαι V) βεῖ, οὐχ ὅπως διακορὴς γενέσθαι. οἱ δὲ Τρῶες τέτε ἀκόοί εἰσιν. ὅτι δὲ ἀδικήσαντες μάχονῖ, τῶτο ὕβρεως, ἐκ ὠρίας. τὸ δὲ ἑξῆς ἕτως· πάντων μὲν κόρος ἐσί, Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν. BL.

ὁ νῶς· πᾶς τις, φησί, τῶν τερπνῶν βέλεῖ κορεσθῆναι ἢ τῆ πολέμε· οἱ δὲ Τρῶες ἐχ ἕτως. A.

640. τὰ μὲν ἔντε' — αἱματόεντα: τὰ μὲν αἱματόεντα ἔντεα, ὡς „τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα" (Il. 1, 11). BL.

643. ἡ διπλῆ πρὸς τὴν περὶ τῆ Πυλαιμένες ζήτησιν. A.

ἔνιοι τῶτον ἐνόμιζον εἶναι τὸν ἐν τῇ Ε (576) ἀναιρεθέντα· „ἔνθα Πυλαιμένεα ἐλέτην ἀτάλαντον Ἄρηϊ, ἀρχὸν Παφλαγόνων." ἔσιν ἓν ὁμωνυμία, ἐκεῖνε μὲν ἄρχοντος ὄντος, τέτε δὲ βασιλέως. πολλαὶ γ' παρὰ τῷ ποιητῇ ὁμωνυμίαι· Σχεδίοι γ' δύο Φωκέων ἡγέμενοι, ὁ μὲν Περιμήδης, ὁ δὲ Ἰφίτης, ὃς ἀμφοτέρες Ἕκτορ ἀναιρεῖ· Εὐρυμέδοντες δύο ἡνίοχοι, ὁ μὲν Ἀγαμέμνονος, ὁ δὲ Νέσορος· κήρυκες Εὐρυβάται δύο, ὁ μὲν Ὀδυσσέως, ὁ δὲ Ἀγαμέμνονος· Ἄδραστοι τρεῖς βάρβαροι, ὁ μὲν ὑπὸ Διομήδους ἀναιρούμενος, ὁ δὲ ὑπὸ Μενελάου, ὁ δὲ ὑπὸ Πατρόκλε· Ἀκόμαντες δύο, ὁ μὲν Εὐσώρου, ὁ δὲ Ἀντήνορος· Ἀσύροοι δύο, ὁ μὲν ὑπὸ Διομήδους ἀναιρούμενος, ὁ δὲ Πολυδάμαντος ἡνίοχος· Θόωνες βάρβαροι τρεῖς, ὁ μὲν ὑπὸ Διομήδες, ὁ δὲ ὑπὸ Ὀδυσσέως, ὁ δὲ ὑπὸ Ἀντιλόχε ἀναιρόμενοι· Μελάνιπποι τρεῖς, ὁ μὲν ὑπὸ Ἕκτορος παραινέμενος ἐμπεσεῖν ταῖς ναυσίν, ὁ δὲ ὑπὸ Τεύκρε, ὁ δὲ ὑπὸ Πατρόκλε ἀναιρόμενος· Ὀφελέσται δύο, ὁ μὲν ὑπ' Εὐρυπύλου, ὁ δὲ ὑπ' Αἴαντος· Πυλάρῖ δύο, ὁ μὲν ὑπ' Αἴαντος, ὁ δὲ ὑπὸ Πατρόκλε· Πείσανδροι δύο, ὁ μὲν ὑπ' Ἀγαμέμνονος, ὁ δὲ ὑπὸ Μενελάε. BLV.

εἴπερ ἐκείνε τῆ Πυλαιμένες ἦν υἱὸς ὁ Ἁρπαλίων, ἀλογώτατον ἦν μὴ φαίνεσθαι αὐτὸν ὑπερμαχῶντα τῆ πατρός. V.

644. πολεμίζων: Δωρικόν. γράφεῖ πολεμίζειν. L.

645. οὐδ' αὖτις: προαναφώνησις. L.

διὰ πρό: ἡ διά τὴν διαχώρησιν δηλοῖ, ἡ δὲ πρό τὸ ἔμπροσθεν. L.

649. ἡ διπλῆ, ὅτι πτῶσις ἤλλακται, χρόα ἀντὶ τοῦ χρωτός. A.

652. ὑπ' ὀσέον ἐξεπέρησεν: δηλονότι φεύγοντος. τῶτο δὲ Ἕλλην ἐχ εὑρίσκεῖ πεπονθώς. ὡς ἐπίπαν δὲ ὑπὸ Μηριόνε ἕτως τιτρώσκονται. BL.

653. κατ' αὖθι: βραχὺ διασαλτέον πρὸς τὸ σαφές. A.

654. θυμὸν ἀποπνείων: ἐντεῦθεν δῆλον ὅτι πνεῦμα ἡ ψυχή. ὡς σκώληξ δέ, ὅτι ἦν θίγῃ τις αὐτῆ, ἀκινητεῖ. BL. τῶτο δὲ ἐκ ᾔδει ὁ ποιητής, εἴπερ ἦν τυφλὸς ἐκγενετῆς. V.

657. ἀνέσαντες; ἤτοι καθίσαντες, μᾶλλον δὲ ἀναθέντες· νεκρὸς γάρ ἐσιν. ἐδένα δὲ τῶν ἀποθανόντων ἕτως ἐξάγει· διὸ ἀθετεῖται ὁ σίχος. ἢ δίφρῳ ἀπάγεῖ ὡς μακρὰν τῆς μάχης ἔσης· ἐπὶ ναυσὶ γ' μάχονται. BL.

Ἀπολλώνιος ὁ Ῥόδιος ἐν τῷ πρὸς Ζηνόδοτον ἐς δίφρον ἀναθέντες. A.

658. 659. ἀθετοῦνῖ ἀμφότεροι, ὅτι πλανηθείς τις ἐκ τῆ „ὃς ῥα πατρὶ φίλῳ ἕπετο" ἔταξεν αὐτές, ἵνα ᾗ ὁ πατὴρ τὸν υἱὸν ὀδύρηῖ. ὃ λέγει δὲ νῦν ἕπετο, ἀλλ' ὅτε τὸ πρῶ-

τον ἐκ τῆς πατρίδος παρεγίνετο. διὸ καὶ πρόσκειται τὸ „ἐς Τροίην, ἀδ' αὖτις ἀφίκετο." εἰ δὲ μένοιεν οἱ ςίχοι οὗτοι, νοητέον ὁμωνυμίαν εἶναι. A.

ὁ μὲν Ἀριςοφάνης ἀθετεῖ, ὁ δὲ Ἀρίςαρχος ἢ ἀθετεῖν φησὶ δεῖν ἢ ὁμωνυμίαν νομίζειν. V.

ζητεῖται πῶς ἀνωτέρω (Il. 5, 576) ἀνῃρημένος ὑπὸ Μενελάου ὁ Πυλαιμένης τὰ νῦν δύναται ἀκολουθεῖν τῷ παιδὶ καὶ κλαίειν. ἔςι δὲ λέγειν ὅτι δύο Πυλαιμένεις Παφλαγόνων ἡγεμόνας συνίςησιν ὁ ποιητής, ὡς Αἴαντας δύο καὶ Εὐρυβάτας δύο κήρυκας, τὸν μὲν Ἀγαμέμνονος, τὸν δὲ Ὀδυσσέως. ἔνιοι δὲ πιθανῶς μεταγράφουσι „μετὰ δ' ἄ σφι πατὴρ κίε δάκρυα λείβων." AD.

659. ποινὴ δ' οὔ τις: ἐπεὶ οὐχ ὁ πατὴρ τιμωρεῖ αὐτῷ, ἀλλ' ὁ Ἀλέξανδρος χαλεπήνας ὑπὲρ τῆς ἀνῃρημένου Εὐχήνορα τὸν Κορίνθιον ἀναιρεῖ. AD.

τινὲς δὲ τὴν ψυχὴν τοῦ πατρός. καλῶς δὲ διὰ τὸν καιρὸν ἡ περιτίθησιν αὐτῷ λόγους, ἀλλ' ἑτέρωθι τέτευς φυλάττει ἐπὶ Ἕκτορα. V.

662. ἁπλῶς ὁ ςίχος ἐςὶ καὶ ἀποίκιλος. μὴ θέλων δὲ αὐτὸν ἅτως ἐᾶσαι, ἄλλης ἀρχῆς ἐπελάβετο. BL.

663. Εὐχήνωρ Πολυΐδου: Φερεκύδης ἅτω γενεαλογεῖ, ἀπὸ Μελάμποδος Μαντίου, ἧ Κλεῖτον, ἧ Κοίρανον, ἧ Πολυΐδον. εἶτα Πολυΐδος, φησί, γαμεῖ Εὐρυδάμειαν τὴν Φυλέως τοῦ Αὐγέου, τῷ δὲ γίνονται Εὐχήνωρ καὶ Κλεῖτος, οἳ Θήβας εἷλον σὺν τοῖς ἐπιγόνοις, ἔπειτα εἰς Τροίαν ἔρχονται σὺν Ἀγαμέμνονι, καὶ θνήσκει Εὐχήνωρ ὑπ' Ἀλεξάνδρου. V.

ἡ διπλῆ, ὅτι δισσὰς εἱμαρμένας ὑποτίθεται τῇ Εὐχήνορος, καθάπερ καὶ ἐπ' Ἀχιλλέως (Il. 9, 411) „διχθαδίας κῆρας φερέμεν." A.

664. ἀγαθός: ἐξ ἀγαθότητος γὰρ πάσχουσιν ἄμφω, καὶ ὁ νέος, ὅτι ἦκεν εἰδὼς τὸν θάνατον, καὶ ὁ πατήρ, ὅτι οὐκ ἐκώλυσεν αὐτόν. BL.

Κορινθόθι: ὅτε ἥρως λέγει, Ἔφυραν ὀνομάζει. V.

665. ὅς ῥ' εὖ εἰδὼς: ἐκ εἶπεν ὅτι ὁ πατὴρ τάδε προεῖπεν αὐτῷ περὶ τοῦ τέλους, ἵνα μὴ ἀδολεχεῖν δοκῇ, καὶ ἵνα τὸ τελευταῖον προθῇ τοῦ διηγήματος καὶ τῷ παραδόξῳ τῆς ἀναφωνήσεως εἰς προσοχὴν τὸν ἀκροατὴν ἐπισπάσηται, εἶτα ἐξ ἀναςροφῆς πάλιν διηγῆται. BL.

669. θωήν: τὴν ζημίαν. λέγει δὲ τὸ τῆς ςρατείας ἐπιζήμιον. D. νῦν τὴν μέμψιν. A.

ὡς Κορίνθιος γὰρ ὑπὸ Ἀγαμέμνονα ἦν. V.

670. νοῦσον: τὴν ἐν γήρᾳ τιμωρίαν. ἢ νόσον ἁπλῶς. BL.

671. ὑπὸ γναθμοῖο καὶ οὔατος: ὑπὸ τῆς γνάθου, ἤτοι κατὰ τὸν ὑπὸ τὸ ἓς τόπον. οἱ δὲ γνάθον τὴν σιαγόνα. BL.

673. δέμας πυρός: κατὰ δέμας. ἤγαν δραςικῶς. ἢ κατὰ τὸ πῦρ. L.

674. βραχὺ διασαλτέον, Διὶ φίλος· διὰ μέσου γάρ ἐςι τὸ οὐδέ τι ἤδη. A.

τομήν τινα δαιμονίως ἐξεῦρε σιωπήσας. δαιμονίως γὰρ ἦν τὰ κατὰ Ἕκτορα, ἐφ' ᾧ ἀναςρέφει. V.

675. ἐπ' ἀριςερὰ τοῦ Ἕκτορος, ὁ τοῦ ςρατοῦ· εἰ γὰρ ἐπ' ἀριςεροῖς ἐςὶν ἡ πύλη δι' ἧς εἰσῆλθεν, αὐτόπτης ἂν ἐγίνετο. BL.

677. τοῖος: ἀντὶ τοῦ μετὰ τοσαύτης προθυμίας. BL.

678. πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν: ὁ πᾶν τὸ ἔργον ἦν τοῦ θεοῦ, ἀλλὰ πρὸς τῷ αὐτῶν σθένει καὶ αὐτὸς ἐπεκάρει. δηλοῖ δὲ ὅτι ἀεὶ ταῖς προθυμίαις συμβάλλεται τὸ θεῖον. BL.

681. ἡ διπλῆ, ὅτι τοῦ Λοκροῦ λέγει Αἴαντος· ἔτος γὰρ πλησίον ἐνεώλκει τοῦ Πρωτεσιλάου. πρὸς τὰ περὶ τοῦ ναυςάθμου. A.

683. τεῖχος χθαμαλώτατον ἀντὶ τοῦ χθαμαλόν, ὡς „ἀκρότατον δ' ἄρ' ὄιζός" (Il. 4, 139)· ἦν δὲ χθαμαλὸν διὰ τὴν ἀφῃρῆσθαι τῆς ἐπάλξεως ὑπὸ Σαρπηδόνος, ἢ ὡς πρὸς σύγκρισιν τοῦ πολυανδρίου, ὡς ἠπειγμένους ποιήσαντες ἐκ ἐξωμάλισαν αὐτό· διὸ καὶ ἡ ὑπέρβασις τοῖς βαρβάροις δυναςὴ γέγονεν. ABL.

684. ζαχρηεῖς: λίαν ἐπιβαρῦντες, παρὰ τὸ χραύειν. A.

εἰ μὲν τὸ αὐτοί τε καὶ ἵπποι ἐπὶ τῶν Τρώων ἐςὶ τὸ ζαχρηεῖς ἀντὶ τοῦ ἄγαν ἐπικείμενοι, ἀπὸ τοῦ ζα καὶ χράω τὸ ἐπίκειμαι· εἰ δὲ ἐπὶ τῶν Ἀχαιῶν ἐςί, τὸ ζαχρηεῖς ἀντὶ τοῦ ἑτέρας συμμαχίας χρείαν ἔχοντες. L.

685. Ἴαονες: οἱ ἐν Πελοποννήσῳ. A.

λέγει δὲ τοὺς Ἀθηναίους, ἀπὸ Ἴωνος τοῦ Κρεούσης καὶ Ἐρεχθέως καὶ Ξάνθης τοῦ Ἕλληνος. D.

ἄλλοι εἰσὶ παρὰ τοὺς Ἴωνας Ἰάονες· φησὶ γὰρ Ἀνδροτίων ὅτι ςήλην ἔςησαν ἐπὶ Λακεδαίμονος διορίσαντες ἅτως „τάδ' ἐςὶν οὐχὶ Πελοπόννησος ἀλλ' Ἰάονες," Ἴωνες (Λάκωνες) δὲ ἐκ τοῦ ἑτέρου μέρους ἅτως „τάδ' ἐςὶ Πελοπόννησος, οὐκ Ἰάονες," ὥςε τοὺς μὲν ἔνθεν εἶναι τοὺς δὲ ἐκεῖθεν. BL.

ἤτοι Ἴωνες. Βοιωτικῶς διεῖλεν εἰς τὸ Ἰάονες. εἴρηται δὲ ἀπὸ Ἴωνος τοῦ Ξάνθου καὶ Κρεούσης. V.

ἑλκεχίτωνες: οἱ ἐν τοῖς χιτῶσι τῶν ἐναντίων ποιοῦντες. οἱ δέ, ὅτι μέχρι τῆς Περικλέους ςρατηγίας πανοπλίαν εἶχον τοὺς χιτῶνας. BLV. καὶ τοὺς τέττιγας. V.

686. Φθιῶται οἱ ὑπὸ Ἀχιλλεῖ, Φθῖοι δὲ οἱ ὑπὸ Πρωτεσιλάῳ καὶ Φιλοκτήτῃ. AV. εἰσὶ δὲ αὐτῶν τάγματα μετὰ Λοκρῶν καὶ Βοιωτῶν. V.

φαιδιμόεντες: ἀντὶ τοῦ φαίδιμοι, παραγωγῶς· ἔγκειται δὲ τὰ ἔντεα. τινὲς δὲ σύνθετον ὑπονοοῦσι τὴν λέξιν, ἀντὶ τοῦ λαμπρὰς πανοπλίας ἔχοντες. BLV.

687. ἡ διπλῆ, ὅτι τὸ σπασθῇ ἀντὶ τοῦ μιάνῃς καὶ δυσέργον ἀπὸ τῶν νεῶν αὐτὸν ἀπεῖργον, ἐπεῖχον. AB.

689. οἱ μέν: οὐκ ἐτήρησε τὴν τάξιν· πρώτους γὰρ εἶπε Βοιωτούς. κατεῖχον δὲ τὰ τάγματα τῶν περάτων Βοιωτοὶ καὶ Ἀθηναῖοι, ἐπὶ μὲν τοῦ ἀριςεροῦ πρῶτοι ὄντες Βοιωτοὶ ἐπὶ δὲ τοῦ δεξιοῦ ἔχατοι ὄντες Ἀθηναῖοι. V.

690. Μενεσθεύς: καὶ ἀλλαχοῦ „Στιχίος τε δῖός τε Μενεσθεύς, ἀρχοὶ Ἀθηναίων" (195). V.

691. αὐτὰρ Ἐπειῶν: καὶ μὴν Ἀμφίμαχος καὶ Θάλπιος Ἠλείων ἦσαν ἡγεμόνες. Ἀρίςαρχος δὲ καὶ τοὺς ἐκ Δωλιχίου

ειὸς καλεῖ. ὡς γὰρ ἐξ Ἤλιδος φυγόντος Φυλέως, εἰκὸς αὐτῷ συναίρεσθαί τινας, ὧν ἦρχε Μέγης. εἰ δὲ ἐκείνων μέμνηται Ἐπειῶν τῶν ἐξ Ἤλιδος, πιθανὸν ἂν εἴη αὖ ῶσθαι αὐτῶν Μέγητα ὡς ὁμοεθνῆ. Ἀμφίμαχος γὰρ καὶ Διώ-ς οἱ τῶν Ἠλείων δυνάσαι ἀνῄρηνται, Θάλπιος δὲ καὶ Πο-ξενος τραυματίζονται. V.

μεταξὺ ἦσαν Ἀθηναίων καὶ Λοκρῶν· διό φησιν „Αἴαντα ὑν ἢ Φυλέος υἱὸν ἄνωγον" (Il. 10, 175). V.

692. ἡ διπλῆ περιεστιγμένη, ὅτι ἐν ἄλλοις οὐ νοῶν Ζηνό-ος ὅτι Μέγης Φυλέως ἐστί, γράφει „Φυλείδην τε Μέγην ' (Il. 19, 239). A.

ἄλλως. οὕτως Μέγης, ἔξω τοῦ τέ· οὐ γάρ ἐστι Φυλεί-δ. A.

693. Φθίων ὡς Χίων, βαρυτόνως· καὶ γὰρ Φθῖοι ὡς Χῖοι· οκροὶ καὶ Φθῖοι" (686). A.

694. ἡ διπλῆ, ὅτι σαφῶς Ὀϊλεύς σὺν τῷ ο· πρόκειται ἔρθρον, ὁ μὲν νόθος υἱός. πρὸς Ζηνόδοτον γράφοντα (. 12, 365) „ἀλλ' οὐκ Ἰλιάδην." A.

ἐξ Ἀλκιμάχης τῆς Αἰακοῦ ἦν ὁ Μέδων. V.

697. Ἐριώπιδος: Φέρητος ἦν αὕτη. V.

701. Αἴας: νῦν τοὺς Λοκρῶν ἡγεμόνας καταλέγει. V.

702. ἵστατ' ἀπ' Αἴαντος: Ζηνόδοτος χάζετ' ἀπ' αντος. A.

703. οἴνοπε: ἤτοι μέλανες ἢ ξανθοί. D. οἰνώδεις εἰς ὁρᾶν· οἱ δὲ μέλανες, ὡς τὸ „οἴνοπα πόντον" (Il. 1, 350). Πτολεμαῖος γὰρ εἰς τὸ τῆς Ἀρσινόης χιλιάροτρον τέμε-μέλανας ἐνῆκε βοῦς. τὴν τάξιν δὲ τῆς στάσεως καὶ τὴν θυμίαν ἡ παραβολὴ δηλοῖ. BL.

705. κεράεσσι: εἰσὶ γὰρ οἱ κεραελκέες καλούμενοι. οἱ δὲ πάχειν φασὶ τοῖς ποσὶ τὰ κέρατα τῇ διατάσει τῶν νεύ-· διὸ μετὰ τὸν κάματον ἀλείφειν δεῖ αὐτὰ κηρῷ ἢ ἐλαίῳ σσῃ, ὡς Ἀριστοτέλης φησίν (H. A. 8, 7). πρυμνοῖς δὲ παρὰ τὴν σάρκα. BLV. τοῖς ἐχάτοις μέρεσι τῶν κε-ων τοῖς πρὸς τὴν ἔκφυσιν. D.

πολὺς δ' ἀνακηκίει: χωρὶς τοῦ δέ αἱ πᾶσαι. V.

χωρὶς τοῦ ν, ἀνεκηκίει, καὶ διὰ τοῦ ι. A.

706. ἀμφὶς ἐέργει: ἀπ' ἀλλήλων αὐτούς, φησίν, ὁ ὸς χωρίζει. BL.

707. ἰεμένω: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἰεμένους· τὸ γὰρ ἰεμένω ὴν καὶ αἰτιατικὴν σημαίνει. A.

ὦλκα λέγει τὴν αὔλακα, τέλσον δὲ τὸ βάθος, ἢ τὸ ας τῆς γῆς, ὅπερ τέμνει τὸ ἄροτρον. BL.

τέμει ἀντὶ τοῦ τέμνῃ, καὶ τέλσον ὡς χέρσον· γέγονε δὲ ὰ μεταβολήν, παρὰ τὸ τέλος, πλεονάσαντος τοῦ σ. A.

710. οἵ οἱ σάκος ἐξεδέχοντο: τὸ τληπαθὲς Αἴαν-δείκνυσιν, εἴγε πολλοὶ καὶ ἐσθλοὶ τὸ σάκος αὐτοῦ δια-νῆ ἀποκάμνοντος, δεδιότες μή πως αὐτοῦ ἀγανακτή-τος ἀπόλοιντο. BL.

712. οὐδ' ἄρ' Ὀϊλιάδῃ: λεληθότως δεδήλωκε τὴν αἰ-ν τῆς συμπνοίας τῶν Αἰάντων· ἐν ὀλίγῳ γὰρ χωρίῳ γι-μένης τῆς μάχης, ἀχρεῖοι ἦσαν οἱ Λοκροὶ ψιλοὶ ὄντες. κοσμεῖ οὖν αὐτοὺς διὰ προβλήματός τινος· ὑποδύντες γὰρ ὑπὸ τοὺς ὁπλίτας Σαλαμινίους, ὄπισθεν βάλλουσιν. BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἀλλ' οὐκ Ἰλιάδῃ. ὁ δὲ Ὅμηρος σὺν τῷ ο λέγει Ὀϊλιάδῃ. A.

713. σφι: οὕτως Ἀρίσταρχος, χωρὶς τοῦ ν, σφι· Ἀρι-στοφάνης δὲ σὺν τῷ ν. A.

γράφεται ἔργ' ἐμεμήλει. V.

πῶς οὖν ἐν τῇ ἐπιπολήσει φησὶ „νέφος εἵπετο πεζῶν" (Il. 4, 274). ἢ ὡς ταραχῆς γεγονυίας καὶ ἄλλοι συνεμίχθη-σαν αὐτοῖς. V.

716. ἀώτῳ: ἔδει ἀώτοις. V.

719. οἱ μέν: οἱ Σαλαμίνιοι δηλονότι. B.

724. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

725. λείπει ἡ πρός, ἵν' ᾖ πρὸς θρασύν. BL.

726. Ἕκτορ: ἐν καιρῷ ἀναμιμνήσκει τὸν Ἕκτορα τῆς ἰδίας συμβουλῆς· ἔλεγε γὰρ „μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν" (Il. 12, 216). ἀλλ' οὐκ ἄντικρυς αὐτῷ λέγει (αὐτὸς ἐκφέρει V) ὅτι παρακούσας τῆς συμβουλῆς ἐκάκωσας τὴν στρατιάν· ἀπήχθετο γὰρ τῷ βασιλεῖ, καὶ φιλονεικότερον αὐτὸν ἐποίει καὶ ἄλλως θρασὺν ὄντα. εἰς πολλὰ οὖν τρέπει τὸν λό-γον, τῇ γνωμολογίᾳ χρώμενος. ἀμήχανος δὲ ἀνίκητος, ἢ ἀπαραμύθητος, τοῖς βουλομένοις σε πείθειν ἀμηχανίαν παρέχων. παραῤῥητοῖσι δὲ παρηγορητικοῖς λόγοις, πα-ραμυθήμασιν, ὑποθήκαις· οἱ δὲ συμβούλοις. BL.

727. τὸ περί ἀντὶ τοῦ περισσῶς· τὸ δὲ δῶκε προπερι-σπαστέον. A.

τοῦτο ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον· λέγει δὲ ἐν ὑπο-κρίσει ἐρωτῶν. A.

ἐν ἐρωτήσει ὁ λόγος. πραγματικῶς δὲ ἐν ἑνὶ στίχῳ θεο-φίλειαν καὶ ἀνδρείαν αὐτῷ μαρτυρῶν, ἕτοιμον πρὸς πειθὼ ποιεῖ. BL.

728. τοὔνεκα καὶ βουλῇ: καὶ τοῦτο τεχνικῶς. οὐ γὰρ ἀν-δρεῖον μὲν ἀνόητον δὲ αὐτὸν ἔφη· ἀλλὰ λεληθότως τὴν ἀνδρείαν εἰς ψόγον αὐτῷ τρέπει, αἰτίαν τοῦτο φάσκων τοῦ ἀπειθεῖν τοῖς ὀρθῶς συμβουλεύουσιν. BL.

730. πάντα εἰς θεὸν ἀναφέρει ὁ ποιητής, οἷόν ἐστι καὶ τὸ „ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο" (Il. 3, 66), καὶ δείκνυσιν ὅτι αἱ ἀρεταὶ θεόσδοτοι. πιθανῶς δὲ τὸ μὲν ἐκείνου ἐν πρώ-τοις, δεύτερον δὲ τὸ ἴδιον πλεονέκτημα. BLV.

ἀδύνατόν ἐστι, φησίν, ἃ σὺ θέλεις, ἔχειν σε. V.

Ζηνόδοτος δὲ ὁμαλῶς τίς (δὲ ὁ Μαλλώτης Heynius) προστίθησιν „ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν." V.

732. τιθεῖ νόον: νόον τίθει. οὕτως Ἀριστοφάνης. V.

733. τοῦ δέ: νοῦ. ἐπαυρίσκονται δὲ ἀπολαύουσιν· „ἐσθλὸς γὰρ κἀκεῖνος ὃς εὖ εἰπόντι πείθεται." (Hesiod. O. 293). BL.

πολλοί: Ἀριστοφάνης πολλόν. A.

734. πολεῖς: πολλούς. ἤδη δὲ προεῖπε „τοῦ δέ τε πολ-λοὶ ἐπαυρίσκονται." ἐὰν δὲ τὰς πόλεις ἀκούσωμεν, μείζων ἔσται ὁ ἔπαινος, ὅτι ἀνδρὸς ἑνὸς εὐβουλία καὶ πόλεις ὅλας σώζει. ἀμείνων οὖν τῆς ἀνδρείας ἡ φρόνησις, ὅσῳ καὶ πο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λυωφελεςέρα. BL.

περισπαςέον τὸ πολεῖς ὡς ταχεῖς, ὁμοίως τῷ „πολεῖς ὀλέσαντ' αἰζηούς" (Il. 15, 66). τῶτο δέ φημι, ἐπεί τινες βάλονθ' ἕνεκα ἐμφάσεως μείζονος βαρυτόνως ἀναγινώσκειν, οἷς μάχεται καὶ ἡ ὀρθογραφία ἡ κατ' Ἴωνας. ἡ διπλῆ δέ, ὅτι κατὰ συναλοιφὴν ἐκληπτέον, ἵνα διαιρῆται, μάλιςα δὲ ᾗ αὐτός. A.

πλεονάζει ὁ κέν. λέγει δὲ ὅτι μᾶλλον τῶν ἄλλων διέγνω τὴν ἐκ τῶ πράγματος ὠφέλειαν ᾗ σωτηρίαν. BL.

ἀνέγνω λέγεται ᾗ ἀνέπεισεν Ἰωνικῶς ὡς τὸ „ἀνέγνω τὸν βασιλέα πολεμεῖν." L.

735. δεόντως ἐπάγει νῦν τὴν ἰδίαν γνώμην, προπαρασκευάσας πρὸς πειθὼ τὸν ςρατηγόν. BL.

736. εἴωθεν ἀπὸ τῶ γάρ ἄρχεσθ ἐκ αἰτιολογικῶς. ςέφανος δὲ ὁ κύκλος, ἀπὸ τῆς ςεφάνης τῶν γυναικῶν· ἀδέναγε. BL.

γ' οἴδε ςεφανέμενον ὁ ποιητής. ἡ δὲ περί πρὸς τὸ δέδηεν. λέγει δὲ τὸ ὅλον ὅτι ὁ πόλεμος εἰς σὲ περισσῶς ἀνάκειθ, ἢ ὅτι ὁ τῶ πολέμω κύκλος παρὰ τῶν πολεμίων ἤδη σε περιείληφεν. BL.

ἡ διπλῆ, ὅτι ςέφανον ἡρωϊκὸν πρόσωπον ὠνόμακε διὰ ἐξιν. BL. ἅμα δὲ ᾗ τὸ ἄγριον αὐτῶ ᾗ φοβερὸν ὄρει πα
τῶν γενομένων αὐτῶν· ἔτε γ' οἱ τῆς Πηνελόπης μνηςῆρες ἔθ' οἱ Φαίακες ἔθ' οἱ ἐπὶ τῶν θυσιῶν ἐξέφοντο. ἀλλ' ἴσως κάζει χιόνι κεκαλυμμένῳ· τὸ γ' ἄνιφον πάντως ᾗ ἡμερο
ἀπὸ τῆς κατὰ τὴν ἐμπλοκὴν ςεφάνης διὰ τὸ κυκλοτερὲς εἴρηται. A.

737. Τρῶες δέ: τῶτ' ἂν εἴη ἀγαθοῦ συμβέλε τὸ μὴ μόνον τὰ καθ' ἑαυτὸν ᾗ τὸν ςρατηγὸν ἰδεῖν, ἀλλὰ ᾗ τὸ πᾶν κατασκέψασθ, ὃ νῦν ὁ Πολυδάμας ποιεῖ. BL.

ἐπεὶ κατὰ: ἀφ' οὗ κατέβησαν τὸ τεῖχος. V.

740. ἡ διπλῆ, ὅτι ἀρίςες τὲς ἀριςέας, πρὸς τὸ „ἕνεκ' ἄριςος ἦν" (Il. 2, 580). A.

ἀντὶ τῶ ἀριςεῖς. πιθανῶς δὲ χρῆθ τῇ συμβουλῇ, ἵνα μάθῃ ὁ Ἕκτωρ τὲς ἀνῃρημένες ᾗ ἀναχωρήσῃ. ἐκ τῶ καλέσαι, φησί, τὲς ἀρίςες βελευσόμεθα τὸ συμφέρον. BL.

742. ἦ κεν: καθόλε ἐςὶ τῆς ἑτέρας γνώμης ὁ Πολυδάμας, ἀλλ' ὲ φανερῶς λέγει· ἠπίςατο γ' οὐ δεξόμενον τὸν Ἕκτορα. ἄμφω ἓν τέθεικεν, ἵνα ἐπ' ἐκείνῳ ᾖ τὸ ἑλέσθ. ὅτι γ' ὡς παράδοξον αὐτὸ πρῶτον τέθεικε, δῆλον ἐκ τῆς ἐπιφορᾶς „αἴ κ' ἐθέλῃσι θεός," ὡς δύσκολον καὶ ἐπὶ μόνῳ θεῷ κείμενον τὸ ἑλεῖν τὰς ναῦς. BL.

744. πὰρ νηῶν: ᾗ ἐντεῦθέν ἐςι δῆλος ἀναζεῦξαι βελόμενος, ὅτι προσδοκᾷ τι δεινὸν ἐκ τῆς ἐπὶ ναυσὶ μάχης. ἄπιςον γ' ἠγεῖθ τὸ ἀπήμονας ἀναχωρῆσαι. V.

745. μὴ τὸ χθιζόν: ἡ διπλῆ, ὅτι μεταφορικῶς χθιζὸν χρεῖος τῷ ἴσῳ ςαθμῷ ἀποκατας ήσωσι, τουτέςι μὴ ὃ ἡμεῖς ἐλύβομεν χθὲς νικῶντες, σήμερον εἰσπράξωσιν. A.

ἄλλως. μήπως τὴν χθεσινὴν ἧττων ἀποδώσσιν ἡμῖν οἱ Ἕλληνες, ὥσπερ ςαθμῷ δεδανεικότες. AD.

ςαθμῷ ἀποδῶσι τὴν χθεσινὴν ἡμῶν εὐημερίαν· ἐν τῇ προτέρᾳ μάχῃ γ' εὐτύχησαν Τρῶες. σῆσαι δὲ τὸ ζυγοςατῆσαι ᾗ ἐξισάσαι τῷ αὐτῷ μέτρῳ. θεραπεύει δὲ τὸν Ἕκτορα λεληθόσιν ἐπαίνοις, ὑπομιμνήσκων αὐτὸν τῶν χθὲς αὐτῷ κατορθωμάτων. οἱ δὲ ἀρχαῖοι ςαθμῷ ἐδάνειζον χρεῖον ᾗ ἀργύριον καὶ τὰ παραπλήσια, ὡς νομισμάτων τότε μὴ ὑπαρχόντων. τὸ δὲ μὴ τὸ χθιζὸν ἀποτίσωσι χρεῖος ἀντὶ τοῦ ἴσον ἀπολάβωσιν, ὡς ἐν ζυγῷ τὸ ἴσ
ςήσαντες ᾗ ἀπομετρήμενοι ὄφλημα· χρεῖος γ' τὸ χρέος εἰ
ᾗ ὄφλημα, ἀχ ἁπλῶς τὸ πρᾶγμα. φησὶν οὖν, δέδοικα μ
ὡς δανεισάμενοι χθὲς τὴν νίκην ἀποδῶμεν αὐτοῖς, ςαθμ
ςήσαντες τὸ χρέος. BV.

747. ὃν οὐκέτι: πλεονεκτήμενοι γ' ἱκετεύσσιν αὐτόν.

748. ὣδε δ' Ἕκτορι μῦθος: διδάσκει πείθεσθ
καιροῖς. τοιῶτος γ' ἦν ᾗ Ἀγαμέμνων, ἐπιπλήσσων Ὀ
σεῖ καὶ Διομήδει ἐν τῇ ἐπιπολήσει, καὶ ὕςερον ἀνεχώ
αὐτῶν ἐν τῇ ἐπιπλήξει ᾗ τοῖς ὀνείδεσιν. BL.

751. ἐρύκακε: μὴ ἔα χωρίζεσθ, ἀλλ' εἰς ταὐτὸ
αγε. BL.

754. ἦ διπλῆ, ὅτι νιφόεντα τὰ ὄρη. καὶ Ὄλυμπος γαρᾶν ὄρος· νιφόεις γ' λέγεται (Il. 18, 615). A.

ᾗ Ὄλυμπος ἄρα ὄρος· φησὶ γ' „κατ' Ὀλύμπε νι
τος." πρὸς δὲ μέγεθος ἡ εἰκών, ἐπεὶ τὸ ὄρος ἀκί
ἐξιν. BL. ἅμα δὲ ᾗ τὸ ἄγριον αὐτῶ ᾗ φοβερὸν ὄρει πα
κάζει χιόνι κεκαλυμμένῳ· τὸ γ' ἄνιφον πάντως ᾗ ἡμερο

756. ἀγαπήνορα: τὸν διὰ τὴν οἰκείαν ἀνδρείαν ἀγα
μενον. BL. ἢ μᾶλλον ἐπεὶ βουλευτὴς ἦν, εἰκότως ἂν
ἀγαπήνωρ, οἷον ὁ τοὺς ςρατιώτας ποιῶν διὰ λόγων τ
βελευτικῶν ἀγαπᾶν τὴν ἀνδρείαν ᾗ μὴ προδιδόναι α
δειλίᾳ· ὁ παρασκευάζων ᾗ τὲς ἀνάνδρες ἀνδρείες γίνεσ

759. Ὑρτάκε ὡς θυλάκε· τὰ γ' εἰς κος λήγοντα τ
λαβα, τὴν πρώτην συλλαβὴν εἰς ἀμετάβολον καταλή
ἔχοντα, προπαροξύνεθ, Λάμψακος Ῥύνδακος· „Ῥύν
ἀμφὶ βαθύχοινον." ἔτως ἓν ᾗ Ὑρτακος. A.

761. ἡ διπλῆ, ὅτι συλληπτικῶς ἐπὶ τῶν τετρωμέν
τῶν ἀπολωλότων· ὲ πάμπαν μὲν γ' ἀπήμονες οἱ τρ
τίαι, ἐκ ἀνόλεθροι δὲ οἱ τετελευτηκότες. A.

ταχίῃ συλλήψει ἐδήλωσεν ὧν μὲν τρῶσιν ὧν δὲ
ἀναίρεσιν· Ἕλενος γ' ᾗ Δηΐφοβος ἐκ ἀπήμονες, Ὄθρ
δὲ ᾗ Ἄσιος ἐκ ἀνόλεθροι. BLV.

763. κέατο ψυχὰς ὀλέσαντες: πρὸς τὸ δεῦ
ἀπήντησε, τὸ δ' ἀνολέθρους. BL.

764. βεβλημένοι ἀτάμενοί τε: ἀντὶ τῶ οἱ μὲν
μήκες βεβλημένοι δόρατι ἢ ἰῷ, οἱ δὲ ἐκ τῶ ἐγγὺς τε
μένοι ξίφει ἢ τινι τοιάτῳ. AD.

ἄλλως. ὅτι πάλιν συλληπτικῶς· οἱ μὲν γ' ἐβέβλ
οἱ δὲ ἀτάμενοι ἦσαν. A.

765. ἀριςερὰ μὲν τῶ Ἕκτορος, δεξιὰ δὲ τῶ τείχες
ἡ διπλῆ, ὅτι τῶ ναυςάθμε τὰ ἀριςερὰ λέγει. A.

766. Ἑλένης πόσιν: ἐσπέδαζε γ' ἀνὴρ αὐτῆς ε
εἰ ᾗ μοιχὸς ἦν. ἢ τὸν τέως ἔχοντα αὐτὴν πόσιν λέγει
Μενέλαον ἐδέποτε πόσιν αὐτῆς καλεῖ. B.

768. προσέφη αἰχροῖς ἐπέεσσιν: ὡς αἴτιον
μάχης, ᾗ ἐπεὶ δι' αὐτὸν ὁ τῶν ἀρίςων κίνδυνος, ἐπει
ᾗ θαρσύνει τὲς ἑταίρες. ἔχει δὲ ἦθος ὁ λόγος· αὐτὸς

ον αἴτιος τῆς ἐκείνων ἀπωλείας γεγονως, ὡς ἀναγκάαὐτὸς διαβῆναι τὸ τεῖχος, ἄλλῳ τὴν αἰτίαν ἀναφέρει· ἴδιον τῶν δυχεραινόντων καὶ τὰ ἴδια ἁμαρτήματα μεθέντων, ὃ καὶ ἐξελέγχει ὁ Πάρις ἐν τῇ ἀποκρίσει „Ἕκτορ τοι θυμὸς ἀναίτιον αἰτιάασθαι" (775). BL.

69. τὸ εἶδος ἄρισε τῷ γυναιμανές συνάπτει, ἵν' λόγος ᾖτως, ἐπὶ μοιχείᾳ καλλωπιζόμενε, ἐπεί τοι ἀλεί „οὐχ ὁράᾳς οἷος κἀγά" (Il. 21, 108)· μέμφεσθαι γὰρ τὸ ος αὐτῷ οὐχ ὡς κακὸν ἀλλ' ὡς αἴτιον κακῦ. BLV.

72. ἠθικῶς ὁ τοί ἐνταῦθα· ὃ γὰρ παρέλκει, ἀλλὰ ἔχει ιν κυριωτάτην, ἐπεὶ καὶ τὸ ὅλον δι' Ἀλέξανδρον πράεἰκονικῶς δὲ ὁ ποιητὴς προβάλλεται τὴν φωνὴν καὶ τὸ μα τῷ χετλιάζοντος. κατ' ἄκρης δὲ διόλα ἕως τῆς πόλεως. ABL.

κατ' ἄκρης: ἕως τῆς ἀκροπόλεως. τινὲς δὲ κρῆς μολλάβως, ἐπεὶ καὶ κρῆθέν φησιν. ἄλλοι κατ' ἄκρης, καράτος. A.

73. ἡ διπλῆ, ὅτι θηλυκῶς ἡ Ἴλιος, καὶ τὸ τοί παρέὃ γὰρ αὐτῷ μόνῳ ἦν ὄλεθρος, ἀλλὰ καὶ τοῖς ἄλλοις. A.

ῶς: σωζόμενος· τᾶτο γὰρ ὀλέθρα σωζομένα, τὸ ὄλεθρον ιεῖν τοῖς ἐντυγχάνσιν. οἱ δὲ ἰσχρός. οἱ δὲ πλήρης. οἱ ὀσεος, ἵν' ᾖ νῦν σοι σωσέον τὸν ὄλεθρον, ὅ ἐσι, νῦν εις σκοπῆσαι πῶς σωθήσῃ. BL.

ὅν σοι ζήσεται αἰπὺς ὄλεθρος. A. νῦν ἐδὲν ἐλλείπει ὶς ἀπώλειαν. D.

75. ἐπεί τοι θυμὸς: λείπει θέλει. οἱ δὲ τὸ αἰτιάσθαι ἀντὶ τοῦ αἰτιᾶται. V.

76. ἐρωῆσαι: ὑποχωρῆσαι, τὴν ἐπὶ τὰ ὀπίσω ὁρμὴν αι· οὐ γὰρ νῦν. LV.

77. ἡ διπλῆ, ὅτι τὸ μέλλω ἀντὶ τῦ ἔοικεν. A.

78. ἐξ οὗ: ἐξ ὅτου παρώρμησας τὰς ἑταίρους ἐπὶ ναυσίν. ῥῆμα δὲ ἐλέγχει ὅτι ἐκεῖνος αἴτιος ἀναγκάνταῦθα ἐλθεῖν· σαφῶς δὲ ἐλέγχειν ὁ δύναται. BLV.

79. ὁμιλέομεν Δαναοῖσι: κατὰ ἴλας συμβάλλοιτοῖς. BL.

82. τετυμμένῳ ἐγχείῃσι: σύλληψις· φησὶ γὰρ βραχίονα τύψε" (529) καὶ περὶ ἑτέρᾳ „τὴν βάλεν ἔχε τόξον" (594). BL.

διπλῆ, ὅτι συλληπτικῶς τὸ τῷ ἑτέρῳ συμβεβηκὸς ἐπ' τέρων τέταχεν· ὃ γὰρ ἀμφότεροι ἐτύπησαν, ἀλλ' ὁ μὲν ος ἐβλήθη, ὁ δὲ Δηΐφοβος ἐτύπη. A.

85. ἐμμεμαῶτες: ἕτως Ἀρίσαρχος. ἄλλοι δὲ μετες. A.

86. ἀλκῆς: ἀντὶ τῦ ἀλεξήσεως καὶ βοηθείας. A.

η μοι πάρεσι δύναμις, παραυξήσω τὴν ἀλκήν, οὐκ ύσω. BL.

. πὰρ δύναμιν: τῶν πάνυ χρησίμων ἡ γνώμη καὶ ἑαυτὴν ὑπάρχσα. BL.

ξῆς, οὐκ ἔσι πολεμίζειν· τὸ δὲ ἐσσύμενον σα. ἕτως ἂν διορθωτέον διαζολῆ ἑκατέρωθεν. A.

Ὀρθαῖον ὡς Ἀλκαῖον, ἐπεί, φησί, τὰ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα τὴν πρώτην συλλαβὴν εἰς σύμφωνον καταλήγσαν, προπερισπᾶσθαι θέλει, χερσαῖος ὀρφναῖος ἐρσαῖος ἀρχαῖος Ἀρναῖος Τρικκαῖος Ἑρμαῖος· ὅθεν τὸ Ἑρμαῖον κάρα παρὰ Σοφοκλεῖ. τὸ δὲ „ὅθι δ' Ἑρμαιος λόφος ἐσίν" (Od. 16, 471) ὡς εἰς ἰδιότητα. καὶ τὸ ἐπὶ τῷ κυρίᾳ πρὸς ἀντιδιαζολὴν διάφορον τόνον ἀνεδέξατο, ὡς Ἀθηναῖος καὶ Ἀθήναιος, ἀγοραῖος καὶ ἀγόραιος. ἕτως ἓν καὶ Ὀρθαῖος προπερισπωμένως ἀναγνωσέον· ἀδεμία γὰρ ἀντιδιαζολὴ ἐπὶ τῦ ὀνόματος κεχώρηκεν. A.

Ὀρθαῖον ἁπλῶν, Εὔμιαιος σύνθετον. V.

793. ἀμοιβοὶ: οἱ μέν, πεζοί· οἱ δέ, ἀμειβόμενοι Πρίαμον ὑπὲρ ὧν ἐπεκάρησε Φρυξίν· οἱ δέ, διάδοχοι τῶν προκαμόντων, ἵν' ᾖ ἔπαινος τῶν Ἑλλήνων διαδοχῇ μὴ κεχρημένων. ABLV. καὶ ἐπὶ τῶν ἄλλων γὰρ νοητέον. παρατηρητέον δὲ ὅτι κατὰ μέρος τὰς ἐπεξεργασίας ποιεῖται. τὸ γὰρ εἰπεῖν ὅτι ἐγίνοντο διαδοχαὶ τῶν φρατιωτῶν ψυχρὸν ἦν, ἐπὶ δὲ τῆς χρείας χαρίεν. V.

ἡ διπλῆ, ὅτι ἀμοιβοὶ οἱ διαδεξάμενοι τὰς ἔμπροσθεν παραγενομένους ἐπικούρους, ἤτοι οἱ ἐξ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγενόμενοι συμμαχῆσαι τοῖς Τρωσὶν ἀντὶ τῶν πρότερον συνεργάντων αὐτοῖς πολιτῶν· διὰ γὰρ τὸ ἐπὶ δέκα ἔτη τὸν πόλεμον ἀνύεσθαι οἱ πρῶτοι, κεκμηκότες κατὰ μάχην, ἰσαρίθμων αὐτοῖς ἄλλων ἀποσελλομένων ἀπεπέμποντο, ὡς εἰκός. ἐξ ἀμοιβῆς ἀμύνοντες. ἢ οἱ ἀμοιβὴν ἀποδιδόντες τῷ Πριάμῳ διὰ τὸ καὶ αὐτὸν συμμαχῆσαι Φρυξίν (Il. 3, 188). ἐπιφέρει γὰρ „ἠοῖ τῇ προτέρᾳ·" λέγει γὰρ ἐν τῷ καταλόγῳ „Φόρκυς δ' αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδής" (Il. 2, 861). οἷον ἀμοιβοὶ πεζοί· διὰ γὰρ τῆς ἀμοιβῆς τῶν ποδῶν γίνεται ἡ τῶν πεζῶν ἔφοδος. AB.

795. ἀτάλαντοι ἀέλλῃ: κατ' ἀρχὰς μὲν ἀέλλῃ τὴν ἔφοδον αὐτῶν παρέβαλε διὰ τὸ σφοδρὸν τῆς ὁρμῆς, ὕστερον δὲ τὸ πλῆθος εἴκασε πελάγει· ὄχλα γὰρ κίνησις καὶ ὁρμὴ θαλάσσης παραπλήσιον. δι' ἔμφασιν δὲ καὶ τὸ ἀργαλέων ἀνέμων πρόσκειται, ἵνα τὲς σφοδρὲς ἐμφήνῃ. BL.

796. ἦ ῥά θ' ὑπὸ βροντῆς: μετὰ βροντῆς ἐπιφέρεται μὲν ὡς ἐπὶ τὸ πέδον, ἀποσκήπτει δὲ εἰς θάλασσαν, ὅ καὶ καλεῖται σκηπτός. BL.

797. θεσπεσίῳ: θείῳ. οἱονεὶ τῷ μετὰ θείᾳ καὶ σκηπτῷ φερομένῳ, ἢ μετὰ ὀργῆς θεῶν κατιόντι. δηλῶν ἂν θέλει τὴν ἀπὸ τῦ θεῦ καταβεβηκυῖαν ἄελλαν. BV.

ἕτως μετὰ τῦ συνδέσμ, θεσπεσίῳ δ' ὁμάδῳ. A.

798. κύματα παφλάζοντα: δεῖξαι θέλει καὶ φύσιν κυμάτων. καὶ μοι δοκεῖ καὶ τὸν ἦχον μιμήσασθαι διὰ τῆς περὶ τὴν σύνθεσιν τῶν στοιχείων τραχύτητος. ὅρα δὲ καὶ τὸ ὁμοιοκατάληκτον, κύματα παφλάζοντα, κυρτά, φαληριόωντα. καὶ ἔχει ἕκαστον τῶν ὀνομάτων ἰδίαν χάριν· τὰ μὲν γὰρ παφλάζοντα πρὸς τὸν ἦχον, τὰ δὲ κυρτὰ πρὸς τὸν ὄγκον, τὰ δὲ φαληριόωντα πρὸς τὸ χρῶμα. προειπὼν δὲ „ἐν δέ τε πολλὰ κύματα," ἐπεξηγεῖται πῶς πολλά· „πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα." εἰς δὲ τὴν συνέχειαν τῆς ἐπιφορᾶς τῶν πολεμίων ἡ εἰκών. BL.

παφλάζοντα: ἐν τῷ ἀναζεῖν ἠχοῦντα, πρὸς τὸν Τρωϊκὸν πόλεμον. BL. ὀνοματοποιία ὁ τρόπος. D.

799. φαληριόωντα: λευκανθίζοντα τῷ ἀφρῷ ὡς καὶ ἔτοι τῇ παντευχίᾳ. BL.

ἄλλως. ἐκ τοῦ φῶ τὸ φαίνω, ὁ μέλλων φάσω, ἀφ' οὗ καὶ φαλόν τὸ λαμπρόν, ἐξ οὗ καὶ φάλαρον („καπφάλαρ' εὐποίητα" Il. 16, 106)· ἐξ αὐτοῦ καὶ φαλακρὸς ὁ τὸ κάρα φάλαρον ἔχων, τουτέστι λαμπρόν. καὶ ὥσπερ ἐρευθος ἐρευθιῶ, οὕτως καὶ φάλαρον φαλαριῶ, καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ φαληριῶ, B.

διασαλτέον βραχὺ φαληριόωντα καὶ ἄλλα· σικτέον δὲ αὐτὰρ ἐπ' ἄλλα. A.

800. πρὸ μὲν πρόσω μέν, ἐπὶ ὀπίσω. B.

803. πρὸ ἔθεν: ὁμοίως τῷ ἀπὸ ἔθεν (Il. 6, 62) ἀναγνωσέον κατ' ὀρθὴν τάσιν. προείρηται δὲ περὶ τῆς ἀντωνυμίας. A.

805. πήληξ: παρὰ τὸ πάλλεσθαι ὠνόμασαι. στος δέ ἐστιν ὁ κορυθάϊξ. V.

806. προποδίζων: ῥῆμα ἕτερον ἐφ' ἕτερον πόδα τιθείς. BL.

807. ὑπασπίδια προβιβῶντι: μετὰ πολλῆς ἀσφαλείας βαίνοντι. τῷ δὲ βαδίσματι καὶ τῇ προτροπῇ δείκνυσιν ἄνδρα βάρβαρον ἐνδεικνύμενον τὴν εὐτυχίαν. BL.

808. ἡ διπλῆ, ὅτι Ζηνόδοτος ὑποτάσσει „λίην γ' σφι πᾶσιν ἐκέκριτο θάρσεϊ πολλῷ." τοῦτο δὲ ἐπὶ τῶν προκειμένων δηλοῦται. καὶ ὁ Ἀρίσαρχος περὶ τοῦ σίχθ ὅτως λέγει ὅτι ἐν τοῖς Ζηνοδοτείοις ἐφέρετο. A.

809. βιβάσθων: Τυραννίων περισπᾷ, ἐχ ὑγιῶς· ὁ γὰρ χαρακτὴρ βαρεῖαν τάσιν ἀπαιτεῖ, εἴτε ἀπὸ τοῦ βιβῶ βιβάθω γενομένῳ τοῦ ῥήματος, περιπλεονάσαντος τοῦ σ, ὥς φησι Φιλόξενος, εἴτε ἀπὸ ὀνόματος τοῦ βιβασός βιβάσθων ὡς ἀϊξός ἀΐσθων· γίνεται γάρ τινα ἀπὸ τῶν εἰς τος κατὰ μεταβολὴν τοῦ τέλους εἰς θω βαρύτονον ῥήματα, ἐγερτός ἐγέρθω, ἐρεκτός ἐρέχθω, ἀϊξός ἀΐσθων· ὅτως καὶ παρὰ τὸ βιβασός βιβάσθων. παρωτητέον δὲ καὶ τὸν ὀξύνοντας ὡς δεύτερον ἀόριστον. A.

βαρυντέον, εἴτε ἀπὸ τοῦ βιβῶ ἐγένετο εἴτε ἀπὸ τοῦ βιβασός. Ἀρίσαρχος δέ φησιν, ἐὰν ὀξύνηται, ἔσαι μακρὰ διαβάς. V.

810. Ἀρίσαρχος αὕτως· ἄλλοι δὲ ὅτως. A.

810. 811. δαιμονίως τῷ ἤθει χρῆται· τὸν μὲν γὰρ κίνδυνον ἴδιον αὐτῶν καθίζησι διὰ τοῦ χεδὸν ἐλθέ, τὴν δὲ ἀρετὴν κοινὴν ἁπάντων· „ἢ τοί τι μάχης ἀδαήμονές εἰμεν. BL. μετρίως δὲ ἐκ ἐμπειροί ἐσμέν φησιν, ἀλλ' ἐκ ἀδαήμονες. τούτοις δὲ ἀντιθεῖναι ἄξιον τὰ Ἕκτορος „αὐτὰρ ἐγὼν εὖ οἶδα" (Il. 7, 237). V.

812. μάσιγι: τῇ πληγῇ, μεταφορικῶς. V. τῇ θεομηνίᾳ. L.

814. ἄφαρ ῥᾳδίως. τινὲς δέ, ἐλπίζει ἄφαρ ἐξαλαπάξειν, εἰσὶ δὲ χεῖρες καὶ ἡμῖν ὥσε ἀμῦναι. ἢ εἰσὶ καὶ ἡμῖν χεῖρες ὥσε ἄφαρ ἀμῦναι. B.

815. ὑμή: ὑμετέρα. A.

817. σοὶ δ' αὐτῷ φημὶ: ἢ προμαντεύεται ἀλλὰ σοχάζεται· ἤκασε γὰρ καὶ Ἀχιλλέως „ἀμφὶ δέ τοι τῇμῃ κλισίῃ Ἕκτορα καὶ μεμαῶτα μάχης χήσεσθαι ὀΐω" (Il. 9, 645)· ὅθεν καὶ τὸ περισσὸν ὑποφαίνει. BL.

819. θάσσονας ἰρήκων: πολλὴ ὑπερβολὴ τοῦ δέος. V.

820. ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, διὰ πεδία. A.

824. ἁμαρτοεπές: τῶν βελτίσων λόγων ἁμαρτάνων. ὡς μοιρηγενές. ἐπιλέλησαι δὲ τοῦ „ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε καὶ πινυτήν" (Il. 7, 288). BL. τοιοῦτον γὰρ ὁ ἄνθρωπος· ὅτε μὲν κινδύνῳ συχεθῇ, ταπεινοῦται, ὅτε δὲ ὑπεκρυῇ, ἀφηνιάζει. V.

βουγάϊε: τὴν γῆν ἐργαζόμενε βοῦ, διὰ τὸ δυσκίνητον καὶ μὴ δρομικόν, ὡς Ἀχιλλεύς, καὶ μέγα τοῦ σώματος ἢ ἐπὶ τῇ ἀσπίδι γαίων, ὅ ἐστι γαυριῶν. οἱ δὲ βουκάϊε, ἐστιν ἀγροῖκε βοῦ. Νίκανδρος δέ φησιν ὅτι Δεσχιχιῶται καὶ Σάμιοι τὸν ἐθίοντας τὸ γάλα, μηδὲν δὲ ἐχόντας, βεγαῖον καλοῦσιν. AL. ἢ ἐπειδὴ εἶπε „χερσὶν ὑφ' ἡμετέρῃσιν" (816) καὶ Ἶρος γὰρ ἔλεγεν „ὃν ἂν κακὰ μητισαίμην" (Od. 18, 27). V.

βεκαῖος ὁ ἀγροῖκος, ὡς Νίκανδρος „βεκαῖός τ' ἀλέγει καὶ ὀροιτύπος." B et L, qui τοι λέγει ὀροικτύπος.

ἄλλως. τὸ βεγάϊον ἀκουσέον διὰ τὸ ὑπερμεγέθη ἔχειν βοείαν ἀσπίδα, ὡς εἰ ἔλεγεν ὁ γαίων ἐπὶ τῇ ἀσπίδι, ἢ κύδεϊ γαίων. ἐπὶ δὲ τοῦ Ἴρου „νῦν μέν μήτ' εἴης βουγάϊος μήτε γένοιο" (Od. 18, 78) χαριεντιζομένου ἀκουσέον διὰ μέγεθος, ὡς ὑπερμεγέθη ἂν ἔχοντος ἀσπίδα. λέγει δὲ εἴης μέγας μηδὲ γένοιο μέγας, ᾧ ὅμοιον τὸ „ἦ μάλα Ἶρος ἄϊρος" (ib. 72) „ἀπαγγέλλων ὅτε πέ τις ἀνώγοι" (ib. τούτῳ ὅμοιον τὸ „ὅτω γάρ κεν δή μοι ἐϋκλείη τ' ἀρετή εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπειτα" (Od. 402)· ταὐτὸ τῷ εἴη καὶ γένοιτο. B.

Ζηνόδοτος βουγήϊε διὰ τοῦ η̄· ὁ δὲ Ἀρίσαρχος τοῦ ᾱ, τάχα ἐπεὶ γαίων ὡς ἐπὶ τὸ πλεῖον ὁ ποιητὴς γει. A.

825. αἰ γάρ: τέσσαρα εὔχεται, καὶ παῖς Διὸς εἶναι, καὶ θεὸς ἀεί, καὶ ἐξ Ἥρας, καὶ ἴσος Ἀθηνᾷ καὶ Ἀπόλλωνι.

827. τιοίμην δ' ὡς: ἔνθεν Ἀθηναῖον ὑπονοοῦσιν Ὅμηρον· πατρῷον γὰρ τιμῶσιν Ἀπόλλωνα Δία. ἢ ὅτι αὐτοὶ νοι πιστεύονται τὴν αἰγίδα, τιμᾶται αὐτός φησιν. V.

830. μακρόν: τὸ μέγα, ἢ τὸ κατὰ βάθος ἐρχόμενον. λειριόεντα δὲ εὐτραφῆ καὶ ἀνθηρόν (σκιατραφηθέντα). χρόα δὲ λέγει τὴν ἕως ὀφῶν σάρκωσιν. BL.

831. λάψει: Ἀχαρνᾶνες ῥήξει. V.

σημειωτέον τὸ ἔπος· ὁ γὰρ περὶ λύμης σώματος ἀπειπὼν περὶ σῶμα αἰκισθήσεται. BL.

832. ἐπί: ἐν ἄλλῳ παρά. A.

835. ἐπίαχον: δηλονότι ἀνθισάμενοι, ὥστε ἐκ τῆς τέρων βοῆς μέγαν τινὰ ἦχον γενέσθαι. BL.

837. Ἴκετ' αἰθέρα καὶ Διὸς αὐγάς: ἐν τάχιστι μεγέθος τῆς βοῆς ἐσήμανεν εἰς ὅσον ἦρθη· Διὸς γὰρ αὐτ

λέγει τὸν ἠρανόν· τὸ δὲ μέγιστον ἔξαλμα ἠρανός ἐστι καὶ γῆ. B. τὸν ἠρανόν· „δι' αἰθέρος οὐρανὸν ἵκεν" (Il. 2, 458). οἱ δὲ Διὸς τὸν ὕτως Πλατωνικῶς. οἱ δὲ τὰ ὑψηλὰ τῶν ὀρῶν. οἱ δὲ αὐλάς, ἐπεί φησι „Ζηνός πε τοιήδε γ' Ὀλυμπίε ἔνδοθεν αὐλή" (Od. 4, 74). „Ζεὺς δ' ἵλαχ' ἠρανὸν εὐρὺν ἐν αἰθέρι" (Il. 15, 188). V.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῆ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΕΙΣ ΤΗΝ Ξ.

1. Νέορα δ' ἐκ ἔλαθεν ἰαχή: καθελὼν τὸ τεῖχος ὁ ποιητής, καὶ τὰς Τρῶας εἰσαγαγών, καὶ ἀναλώσας τὰ πολλὰ περιπτώματα καὶ τὰς ἐνεργείας τῶν λόγων (ἀναλ. τὰς πολλὰς ἐνεργείας τῶν λόγων εἰς πτώματα V), τὴν ἐπὶ ταῖς ναυσὶ μάχην ὑπερτίθεται διὰ Νέορος καὶ τῆς τῶ Διὸς κοιμήσεως, καὶ δείκνυσιν ὡς ἄκων ἐλιμπάνετο Νέορι τῆς μάχης συνὼν Μαχάονι διὰ τὸ αὐτὸν αἴτιον εἶναι τῆς τῶν ἄλλων σωτηρίας. ἀπάγει δὲ ἡμᾶς ἀπὸ τῶ ὁμοειδῶς, μὴ θέλων ἐπιμένειν τοῖς Ἑλληνικοῖς ἀτυχήμασιν. ἐχ ὅτι δὲ παράδοξον τὸ πίνοντα κρανγῆς ἀκῆσαι, τῶτο λέγει, ἀλλ' ὅτι καὶ πίνων ὅμως παρεφύλαττε τὰ ἐπὶ τῶ πολέμου γινόμενα· ἐπάγει γῶν (4) „μείζων δὴ παρὰ νηυσὶ βοή," ὥστε καὶ πρὸ τῆς βοῆς προσεῖχεν. BL.

Πορφυρίω. σφόδρα συνετῶς εἰσάγετ ὁ Νέστωρ μὴ νικώμενος ὑπὸ μέθης τὸν λογισμόν. AD. δηλοῖ δὲ ὡς ἐδὲ ἡ χρεία τῶν ἡδέων κατὰ τὴν δίαιταν τοῖς σπεδαίοις ἐμποδὼν πρὸς ἐπίσκεψιν γίνετ. A. ἐζήτητ δὲ πῶς ὁ Νέστωρ ἐπὶ τοσῶτον πίνει χρόνον, ἀρξάμενος ἀπὸ τῶν ἐχάτων τῆς Λ. καὶ ῥητέον ὅτι ἐ τοσῶτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηρος κατὰ παρέκβασιν ἀπαγγείλας τὰς πράξεις, βεληθεὶς τε ἐπὶ τὸν Νέορα μεταβῆναι, πάλιν ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο ἀφ' ἧσπερ αὐτὸν καὶ κατέλιπε ποιῶντα. AD.

σικτέον κατὰ τὸ τέλος τῶ σίχε· ὁ γὰρ λόγος, Νέορα δὲ καίπερ πίνοντα ὅμως ἐκ ἔλαθεν ἡ βοή· πρὸς ἄλλοις γὰρ ἦ τῶ πίνοντος ψυχή. ἀπρεπὲς δέ τινες οἰηθέντες εἶναι καὶ ἐ κατὰ πρεσβύτην τὸ πίνειν, ἐπὶ τὸ ἰαχή σξαντες τὰ ἑξῆς συνάπτουσι, πίνοντά περ ἔμπης ἀλλ' Ἀσκληπιάδην. πρὸς δὲ τῷ μὴ εἶναι Ὁμηρικὸν τὸ ὑπιρβατόν, καὶ τὸ περὶ τῶ Μαχάονος ἄτοπον, περὶ ἃ καὶ τὴν ἀρχὴν ἐζητεῖτο καὶ δεόντως τετρωμένος οἶνον προσεφέρετο. βελτίων ἂν ἡ συνήθης ἀνάγνωσις. A.

ἰαχή: τὸ ἰδίωμα, φησί, τῆς βοῆς οὐκ ἔλαθεν αὐτὸν ὡς πάλαι πολέμων εὖ εἰδότα. καὶ Μενέλαος οὖν φησὶ „τῷ ἰκέλη ὡς εἴ ἑ βιῴατο" (Il. 11, 467). τὸ δὲ λανθάνειν δηλοῖ καὶ τὸ ἀκέειν μέν, ἐθελοντὶ δὲ παραιτεῖσθαί τι. BL.

σημαίνει καὶ τὸ ἐκ προαιρέσεως μαθόντα παραπέμψασθαι, ὡς τὸ „καὶ τότ' ἐγὼ Κίρκης λαθόμην" ἐν Ὀδυσσείᾳ (12, 226). AD. καὶ „ἢ λάθετ' ἢ ἐκ ἐνόησεν" (Il. 9, 537). V.

πίνοντά περ ἔμπης: ἀκολάζως, φασί, καὶ ὡς μέθυσος πίνει. τάχα ἂν τὸν κυκεῶνα πίνειν φησίν, ὃς εἶχε καὶ οἶνον. τινὲς δὲ σίζουσιν εἰς τὸ ἰαχή, καὶ τὸ ἑξῆς ὕτως, ἀλλὰ καὶ πρὸς τὸν Ἀσκληπιάδην πίνοντα ἔφη. ὁ δὲ Ἀρίσαρχος ἀντὶ τῶ ὁμοίως τῷ Μαχάονι, ὡς τὸ „ἔμπης γαῖάν τε καὶ ἠρανόν" (174). „σὺ δὲ χαῖρε καὶ ἔμπης" (Od. 5, 205), παρών τε καὶ ἀπών. τόν τε πέρ πλεονάζειν, ὡς τὸ „ἔφυγόν περ αἰπὺν ὄλεθρον" (Od. 17, 47?). BL.

2. ἡ πρύ πρὸς τὸ Ἀσκληπιάδην. Ξάνθης δὲ καὶ Ἀσκληπιῶ υἱὸς ὁ Μαχάων. BL.

3. τὸ ἔσαι τοῦ γενήσεται διαφέρει· τὸ μὲν γὰρ ἐπὶ τοῦ ὑπάρχοντος, ὡς „ἔσαι γέρων ὅδε," τὸ δὲ ἐπὶ τῶ μὴ ὄντος, ὡς τὸ „γενήσεται παῖς." BD.

Μαχάων: ὡς Ἀνδραῖμον. V.

4. θαλερῶν: ἀπὸ τῶν νέων ἔτι καὶ θαλλόντων φυτῶν παρείληπτ ἡ μεταφορά. λείπει δὲ τῷ λόγῳ τὸ ἔχειν. BL.

5. ἀντὶ τῶ πῖθι, ὡς τὸ „διεφαίνετο χῶρος πιπτόντων" (Il. 10, 199) ἀντὶ τοῦ πεσόντων. ὡς ἐπιπολαίας δὲ οὔσης τῆς πληγῆς, ἅμα δὲ καὶ ὡς ἰατρὸς ὤν, καταφρονεῖ τῆς διαίτης καὶ πρὸς τὸ ποτὸν ἀδιαφορεῖ. AB.

οἱ δὲ γράφουσι „μίμνε καθήμενος ἐν κλισίῃσιν. V.

6. εἰσόκε θερμὰ λοετρά: προανακτησάμενος αὐτὸν τῷ κυκεῶνι, τότε λέει, ἀλλ' ἐκ εὐθέως, ἵνα μὴ ἀτονῶν γένητ ἀτονώτερος. BL. ἐ τὰ θερμὰ δὲ θερμήνῃ, ἀλλὰ θερμήνῃ ἃ ἐστι θερμὰ λετρά (ἃ ἐστι θερμαντικὰ μετὰ τὸ θερμῆναι L). LV.

7. βρότον: ἡ διπλῆ, ὅτι οὐ πᾶν αἷμα βρότος, ἀλλὰ τὸ ἀπὸ βροτῶ πεφονευμένε. τὴν δὲ πρόθεσιν ἀναχρεπτέον· τὸ γὰρ ἐξῆς ἐστὶν ἀπολέσῃ. A.

βρότος μὲν ὁ ἐξ αἵματος ῥύπος, βρωτὸν δὲ τὸ ἐσθιόμενον, καὶ βροτὸς ὁ φθειρόμενος ἄνθρωπος. ἀναχρεπτέον δὲ τὴν πρόθεσιν πρὸς τὸ λέσῃ. BL.

8. εἴσομαι: ὄψομαι, ἢ γνώσομαι. περιωπὴ δὲ πᾶν ὅθεν ἔστι περιοπτεύειν. λέγει δὲ ἢ κρημνόν τινα ἢ πρύμναν νεώς, ὡς Ἀχιλλεύς. καὶ ᾤετο μὲν μόνως ἀφ' ὕψους ἰδεῖν, ἐξελθὼν δὲ τῆς σκηνῆς εἶδεν αὐτὸς πλησίον ἤδη γεγονότας. ὄπτω ὀπή, ὡς τὸ κλέπτω κλοπή. V.

ἡ διπλῆ, ὅτι τὸ τάχα ἀντὶ τῶ ταχέως, καὶ ὅτι περιωπὴ τόπος ἐξ οὗ περιόψεταί τις πάντα. καὶ τὸν Ἀγαμέμνονα (Il. 10, 11) νοητέον προεληλυθέναι ἐπί τινα τοιῶτον τόπον, ἵνα ἴδῃ τὰ τῶν Τρώων πυρά. A.

9. τετυγμένον: εὔτυκτον, ὡς τὸ ὀρυκτὴν τάφρον καὶ πύλας ποιητάς· ἐν γὰρ πᾶσι λείπει τὸ εὖ. BL.

11. ὃ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο: πιθανῶς ὁ νέος εἰσῆκτ κεχρημένος τῇ χρυσῇ ἀσπίδι· προείρηκε γὰρ

περὶ αὐτῆς ὁ ποιητής ,ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον, ὄφρα (αἴ κε D) λάβοιμεν ἀσπίδα Νεσορέην, τῆς νῦν κλέος ἐρανὸν ἵκει (ἵκει D), πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν" (Il. 8, 191). AD.

διδάσκει ὅπως δεῖ περὶ κτημάτων πατέρας πρὸς παῖδας καὶ παῖδας διακεῖσθαι πρὸς πατέρας, μηδὲν ἡγουμένους οἰκεῖον. τάχα γᾶν ὑποχωρῶν τῆς μάχης (καὶ πρῶτος νοήσας τὸ Ποσειδῶνος V) ὁ Νέσωρ τὴν κρείττονα ἀσπίδα τῷ υἱῷ κατέλιπεν. BLV. ἵνα ἀπιὼν ῥηϊ φυγῆς δόξαν ἀπενέγκηται, ὡς καὶ Ἕκτωρ τὸ ἅρμα λιπὼν ἄπεισιν εἰς τὴν πόλιν. V.

12. ἄλκιμον εἴρηθ κατὰ τὴν πρὸς τὸν φορᾶντα ἤτοι κομίζοντα ἀναφοράν. ἀκάχμενον δὲ ἀκὴν ἔχον, ἠκονημένον, μὴ εἶκον, σκληρόν, ἀντίτυπον. BL.

13. τάχα δ' εἴσιδεν ἔργον ἀεικές: δαιμονίως τὴν ἔπειξιν τῷ πρεσβύτῃ παρέσχεν· ἐγγὺ προσωτέρω προελθὼν περισκοπεῖ, ἀλλ' ἅμα τῷ τῆς σκηνῆς ἐκτὸς γενέσθ· ἦσαν γὰρ ἔγγιστα. τάχα δὲ τὸ ταχέως. BL.

ἢ διπλῆ, ὅτι ἐ κατὰ τὸ ἀκριβὲς ἐκτὸς τῆς κλισίας ἔσῃ, ἀλλ' ἐπὶ τὴν περιωπὴν προῆλθεν. A.

15. Τρῶας ὑπερθύμους: τῇ ἐπιφορᾷ διέλυσε τὴν ἀμφιβολίαν, ὡς τὸ „ἦ δ' ἑτέρη θέρεϊ προρέει" (Il. 22, 151)· ἐδήλωσε γὰρ ὡς ἡ ἄλλη χειμῶνος ῥεῖ. BL.

ἐρέριπτο: ἔστι ῥῆμα ἐρίπτω, σημαῖνον τὸ πίπτω· „ἤριπε δ' ὡς ὅτε τις δρῦς ἢ ἀχερωΐς" (Il. 13, 389). σημαίνει δὲ καὶ τὸ καταβάλλω· „ῥεῖ' ὀχθας βαθείας ποσσὶν ἐρίπτων" (Il. 15, 356) ἀντὶ τοῦ καταρίπτων καὶ καταβάλλων. ἔστι γίνεται παθητικὸν ἐρίπτομαι ἀντὶ τοῦ καταβάλλομαι, καὶ ἠρίμμαι παρακείμενος, καὶ ἠρίμμην ὑπερσυντέλικος, ἤριψο ἤριπτο, καὶ Ἀττικὸς διπλασιασμὸς ἐρήριπτο, καὶ κατὰ συνολὴν ἐρέριπτο. AD.

ὡς φιλέλλην αὔξει τὴν συμφοράν, ἐπεὶ ἐ πᾶν, ἀλλὰ μόνη πέπτωκεν ἡ ἔπαλξις. BL.

16. πορφύρῃ: ἐν τῇ Ζηνοδότου πορφύρει διὰ τῆς ει. ἡ διπλῆ, ὅτι πορφύρῃ μελανίζῃ. εἴωθε δέ, ὅταν ἀρχὴν λαμβάνῃ κινήματος ἡ θάλασσα, μελανίζειν· διὸ μεταφέρει ἐπὶ τὰς κατὰ ψυχὴν μεριμνῶντας καὶ ταρασσομένους. καὶ ὅτι κωφῷ λέγει τῷ ἀφώνῳ καὶ μηδέπω καχλάζοντι καὶ ἀποτελοῦντι ἠχήν· μηδέπω γὰρ ἀνέμου εὐκρινῶς ὄντος τὸ κῦμα ἠρεμεῖ. A.

ἀντὶ τοῦ μελαίνεθ, ὡς τὸ πορφύρεος θάνατος. ἢ κατὰ βάθος κινεῖται· πορφύρειν γὰρ τὸ κατὰ βάθος μερίμνᾶν. κωφῷ δὲ ἀφώνῳ, μηδέπω παφλάζοντι· καὶ κωφὸν ὕδωρ τὸ ἄροιζον, κωφὴν δὲ γαῖαν τὴν ἀναίσθητον. τοῦτο δὲ Ἀττικοὶ κολόκυμα, Αἰολεῖς δὲ σκώληκα καλοῦσι. καλῶς δὲ μελαίνεσθαί φησι τὸ πέλαγος τὸ μηδέπω ὕπαφρον γενόμενον ἐκ κυμάτων παφλαζόντων. BL.

τινὲς πηγῷ γράφουσιν. V.

17. ὀσσόμενον: ἤτοι προσδεχόμενον ἢ προσημαῖνον. D.

18. αὔτως: ἀπράκτως. διαφέρει τὸ αὔτως. V.

ἔτως οὐδ' ἄρα τε, διὰ τοῦ τέ, αἱ Ἀριστάρχου. A.

παρέλκει ὁ τέ· τὸ δὲ πρό εἰς τὸμπροσθεν, τὸ δὲ ἑτέρωσε εἰς τὰπίσω, ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ κυλίνδεται, ὅ ἐστιν ἐσθ' ἑμπροσθεν (ἐσθ' εἰς τὰπίσω V, ἐσθ' ὄπισθεν D) ἀναπάλλεται τὸ κῦμα. BLDV. ἐκ ἐπὶ πολέμου, ἀλλὰ μεταβέβηκεν ὁ λόγος ἐπὶ τὸ κῦμα. V.

19. ἁπλανῆ, καθηρόν, ἢ τῶν ἄλλων κεχωρισμένων. ἔρος δὲ παρὰ τὸ ὀρόειν. διδάσκει δὲ ὅτι τὸ ἄνω θερμὸν τοῦ ἀέρα κινᾶν ἄνεμον ποιεῖ, λύον τὴν περικειμένην ὕλην· εἶσι δὲ ἐξ ἰκμάδος· ὅθεν καὶ ἴκμενος ἔρος, καὶ Ἴκμιος Ζεὺς τιμᾶται, ὁ τῶν ἀνέμων δεσπότης. BL. καὶ „κοιμήσας δ' ἀνέμους χέει ἔμπεδον." V.

ἐκ Διός: ἀντὶ τοῦ ἐκ τῶν νεφελῶν. D.

20. ὥρμαινε: ὥρμα τῇ διανοίᾳ. V.

δαϊζόμενος: διχῇ μεριζόμενος τῷ σκέμματι τὸν λογισμόν, τουτέστιν ἐπὶ πολλὰ τὸν λογισμὸν μεταφέρων καὶ διασκοπέμενος. AD.

διὰ μέσου τοῦ δαϊζόμενος. V.

21. διχθάδιά: τὸ πλῆρές ἐστι διχθάδια, ὥσπερ καὶ Ἀρίσταρχος βούλεθ. διὸ τὴν χθα συλλαβὴν ὀξυντονητέον παραιτητέον δὲ τοὺς βουλομένους εἶναι „διχθαδίη ἢ μεθ' ὅμιλον" καὶ τὴν δι συλλαβὴν ὀξύνοντας. A.

τινὲς δὲ διχθαδίη, ὡς τὸ „ἢ μ' οἷόν ἐρέοντι" (O. 4, 368). V.

τὸ τέλειον διχθάδια. ὥσπερ δὲ τὸ κῦμα ἀργὸν ἔστι πρὸ τῆς ἐμβολῆς τοῦ ἀνέμου, ἕτω καὶ ὁ γέρων. ἔστι δὲ ταῦτα τοῦ βουλευτικοῦ καὶ ἐμφρονος, ἐπιμένοντος ἐπὶ πλέον ταῖς σκέψεσι. περισπαστέον δὲ τὸν δεύτερον ἢ, ὡς δοκεῖ τῷ Ἡρωδιανῷ. ὡς λίαν δὲ τιμώμενος παρὰ Ἀγαμέμνονι, ἄτοπον ἡγεῖτο μὴ ὁρᾶν αὐτὸν τετρωμένον. ἢ ὅτι ἐδέν δεῖ πᾶν ἄνευ σκέψεως· δεῖσθ ἐν νενόμικε τῆς σὺν ἐκείνῳ βουλῆς, ὡς καὶ αὐτὸς ἐν τῇ νυκτί· ἐπάγει γᾶν „ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσαι τάδε ἔργα, εἴ τι νόος ῥέξει." BLV.

24. ἐπ' Ἀτρείδην: ἀντὶ τοῦ πρὸς Ἀτρείδην, ὡς „ἐμ' ἔρχεο" (Il. 10, 85). V.

οἱ δ' ἀλλήλους ἐνάριζον: ἐμάχοντο γὰρ ἐκεῖσε πρὸς ὃς ἀπελθεῖν ἐβάλετο. τοῦτο δὲ ἐπήγαγε πρὸς τὴν „μεθ' ὅμιλον ἴοι Δαναῶν." BLV.

25. λάκε: ἢ διπλῆ, ὅτι οἱ μὲν ἠλλάχθαι τὸν χρόνον οἱ δὲ ἀντὶ τοῦ ἔληκε, ἐνδείᾳ τοῦ ε („ὡς ἄνωρον κραδίην ἐλάκησε" Il. 21, 441) καὶ Ἰωνικῇ συζυγίᾳ τοῦ η εἰς α λάκε. ὠνοματοπεποίηται δέ. ὅθεν καὶ ἡ λακίς. A.

ἀτειρής: ἄτρωτος, ὁ τειρόμενος ὑπὸ Ἄρεος. I.

26. ἀμφιγύοισιν: ἀμφοτέρωθεν γυῶσαι δυναμένοις, ὃ ἐστι βλάψαι. ἢ ἀμφοτέρωθεν γυῖα ἔχουσι καὶ ἐπερείδειν δυναμένοις· γυῖα δὲ δοράτων τὰ ἄκρα τοῦ σιδήρου. I.

27. ξύμβλητο: συνέβαλον κατὰ συντυχίαν. ἢ ἐπεὶ ὁ Νέστωρ ὑπὸ τῆς βοῆς κινηθεὶς πρόεισιν, ἕτω καὶ οἱ τετιημένοι τραυματίαι ἐπὶ τὴν τοῦ βασιλέως σκηνήν, τεταραγμένοι ἐπὶ τῇ βοῇ, ὁμοῦ προέρχονται. BL.

28. πὰρ νηῶν: ἀπὸ τῶν πρὸς θάλασσαν ἐπὶ τὴν ἐν τῷ τείχει. A.

ἡ διπλῆ, ὅτι συλληπτικῶς εἴρηκε βεβλήατο ἐπὶ τῶν ἐτασμένων. A.

καὶ μὴν μόνος ἐν αὐτοῖς Διομήδης ἐβέβλητο. ἐκ ἔξιν ἦν σύλληψις· αἱ γὰρ συλλήψεις ἀπὸ τῶν ἴσων ἢ ἀπὸ τῶν πλειόνων γίνονται, ὡς καὶ τὸ „καὶ ἀτάμενοί περ ἀνάγκῃ" (128). ἔξι δὲ εἶδος ἀντὶ γένους, ἀντὶ τῶ ὅσοι τετρωμένοι ἦσαν. καὶ ἀλλαχῶ „ὅντινα τῶτον ἄγει βεβλημένον" (Il. 11, 612) ἀντὶ τῶ τετρωμένον· ἃ γὰρ δὴ ἤδει Ἀχιλλεὺς πότερον ἐξ ἀφέσεως ἢ συσάδην τέτρωται ὁ σὺν τῷ Νέςορι. BLV.

30. πολλὸν γάρ ῥ' ἀπάνευθε: ἐπεξηγεῖται τὸ ἀνιόντες. ἔξι δὲ περιπαθὴς ὁ λόγος, ὅτι καίπερ μακρὰν ὄντες ὅμως ἦεισαν ἐπὶ τὴν μάχην. BL. ἀλλὰ προληπτικῶς τὴν αἰτίαν εἶπεν. ἔδει γὰρ ὀψείοντες κίον· καὶ γὰρ πολλὸν ἀπάνευθε μάχης εἴρυντο νῆες. V.

31. τὰς γὰρ πρώτας: ὅτι ἐκ ἐν διεξιξίῳ ἦσαν, ὡς φησι Κράτης· εἶπε γὰρ ἂν προτέρας· καὶ „νηῶν μὲν ἐχώρησαν καὶ ἀνάγκη τῶν προτέρων" (Il. 15, 656). ἔξι δὲ ὁ πρῶτος τῶν πρός τι, καὶ εἰσὶ πρῶται μὲν αἱ πρὸς τῇ θαλάσσῃ νενεωλκημέναι (ἐξῆς γὰρ – 75 – φησὶ „νῆες ὅσαι πρῶται εἰρύατο ἄγχι θαλάσσης"), ἔχαθ' δὲ αἱ πρὸς τῷ τείχει. αἱ δὲ τῶ Ἀγαμέμνονος νῆες πᾶσαι πρὸς τῇ θαλάσσῃ ἦσαν, ὡς πέφησιν ὁ Διομήδης „νῆες δέ τοι ἄγχι θαλάσσης" (Il. 9, 43). οὕτως Αὐτόχθων. καὶ ὁ μὲν τὸ πρυμνῆσιν ἀντὶ τῶ ἐχάταις. ὁ δὲ Ἡρακλέων νῦν μὲν τὰς πρὸς τῷ τείχει καὶ πρώτας φησίν, ἐξῆς δὲ τὰς πρὸς τῇ θαλάσσῃ· „νῆες ὅσαι πρῶται εἰρύαθ' ἅγχι θαλάσσης." τὸ δὲ πρύμνῃσιν ἀντὶ τῶ πρύμναις. BLV.

32. προπαροξυντονητέον τὸ πρύμνῃσιν· Κράτης μέντοι προπερισπᾷ, ἀκέων ἐπὶ ταῖς ἐχάταις, πλανηθεὶς ἐκ τοῦ „τὰς γὰρ πρώτας πεδίονδε εἴρυσαν." ἀγνοεῖ δὲ ὅτι ὁ ποιητὴς ὡς ἐπὶ τὸ πολὺ τὸ πρυμνὸν ἀ τίθησιν ἐπὶ διεξῶτος σώματος ἀλλ' ἐπὶ ἠνωμένα· „πρυμνὸν ὑπὲρ θέναρος" (Il. 5, 339)· „τῶ δ' ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε" (ib. 292)· „πρυμνὴν ἐκτάμνοντες" (Il. 12, 149). A.

τινὲς προπεριέσπασαν, ἐχάταις ἐκδεχόμενοι, ἐκ ὑγιῶς. πρύμνῃσιν ἐν ταῖς πρύμναις, καὶ ἔξιν ἡ ἐπὶ ἀντὶ τῆς παρά· „ἀλλ' ἔρχεθ' ἐπὶ νηυσίν" ἀντὶ τῶ παρὰ ναυσίν. ἃ δύνασθαι δὲ ταῖς ἐχάταις· ἃ γὰρ πρυμνὸν ἄλλο ἄλλῳ, ἀλλ' αὐτὸ ἑαυτῶ· πρυμνὸν δὲ σκέλος τὸ περὶ ἄκραν τὴν σάρκωσιν. BLV.

33. εὐρύς: ἀντὶ τῶ μέγας, ὡς τὸ εὐρυκρείων. πλεονάζει δὲ τὸ ἐν ἑ. BL.

35. προκρόσσας ἔρυσαν: ἄλλην πρὸ ἄλλης παραλλήλως ἀνείλκυσαν κλιμακηδὸν καὶ ἀνθυπέταξαν αὐτὰς ἀλλήλαις· κρόσσαι γὰρ καλοῦνται αἱ τειχομάχοι κλίμακες. D.

ἡ διπλῆ, ὅτι προκρόσσας τὰς κλιμακηδὸν νενεωλκημένας ἑτέρας πρὸς ἑτέρων, ὥςε θεατροειδὲς φαίνεσθαι τὸ νεώλκιον· κρόσσαι γὰρ αἱ κλίμακες. AB.

36. μακρόν: διχῶς αἱ Ἀριςάρχου, μακρὸν καὶ πολλόν. Ζηνόδοτος καὶ Ἀριςοφάνης πολλόν. A.

διὰ τὸ ἔχειν ἐν ἑαυτῷ κοιλότητα πρὸς τὸ καθορμίζεσθαι τὰς ναῦς. ἄκραι δὲ τὰ κέρατα τοῦ ναυςάθμου, ὧν ἐκτὸς ἐκ ἦν ναῦς· ὅσον ἦν, φησί, ςόμα συνέκλειον αἱ ἄκραι τῆς ἠϊόνος, τετέςιν ἀπὸ τῶ ἑνὸς κέρως ἐπὶ τὸ ἕτερον. BI

ὅσον ἦν διάςημα, ὅσον συνέκλειον καὶ συνεδέσμευν αἱ τοῦ Ἑλλησπόντου ἄκραι, τὸ Ῥοίτειον καὶ τὸ Σίγειον. AD.

ἡ διπλῆ, ὅτι κεστὸς ἐκ παρεπομένη ὁ ποικίλος, ἀπὸ τοῦ διὰ τὰς ῥαφὰς κεκεντῆσθαι, ἐμπεποικιλμένης τῆς φιλότητος καὶ ἱμείρου καὶ ὀαρισμοῦ. καὶ ἐκ ἔχει κύριον ὄνομα, ὡς ἔνιοι τῶν ἀρχαίων· διὸ καὶ ἐπ' ἄλλου λέγει „ἄγχε δέ μιν πολύκεστος ἱμάς" (Il. 3, 371). A.

ἱμάντα· τὸ γὰρ ἐκτεταμένον νέας Ἀθηνᾶς, ὡς ἀλλᾶντα. V.

216. ἔνθ' ἔνι: Πορφυρίου. διὰ τί τὰ ἐρωτικὰ ἐν ἱμάντι φησὶν Ὅμηρος κατεσίχθαι; „ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος." Σάτυρος μὲν οὖν, ἐπεὶ πληγῶν ἄξια δρῶσιν οἱ ἐρῶντες· Ἀπίων δέ, ἐπειδὴ δεσμοῖς ἐοίκασι καὶ βρόχοις οἱ ἔρωτες καὶ τὰ τῶν ἐρώντων πάθη· Ἀρίσταρχος δέ, ὅτι ἄχρι τοῦ δέρματος διικνεῖται τὰ ἐρωτικὰ πάθη, τίκτοντα (τήκοντα Leid.) τοὺς ἐρῶντας καὶ ἀποξύοντα διὰ τῆς σύψεως τὰ μέλη. B. Leid.

ἐν δ' ὀαρισμοῦ: ἔν τισι τῶν ὑπομνημάτων ἦδ' ὀαρισμοῦ. A.

216. 217. ὀαρισμοὺς πάρφασις: συναπτέον ἀμφότερα τὰ ὀνόματα· τὴν γὰρ παραλογισικὴν ὁμιλίαν δι' ἀμφοτέρων δηλοῖ. A.

217. ἦ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων: προκατασκευάζει διὰ τοῦτο, ἵνα μὴ θαυμάζωμεν εἰ Ζεὺς ἠπάτηται, καὶ ἐπὶ θυμοῦ δέ φησιν „οἰδάνει ἐν στήθεσσι νόον

πύκα περ φρονεόντων" (Il. 9, 554). διδάσκει δὲ ὡς εἰ καὶ συνετὸς εἴη τις, ἁλίσκεσθαι τοῖς τῆ νῆ πάθεσιν, εἰ μὴ ἑαυτῷ προσέχοι. πάρφασις δὲ ἡ διὰ λόγου παράπεισις. BL.

218. τόν ῥά οἱ: ἡ διπλῆ, ὅτι ἡ πτῶσις ἐνήλλακται, ἀντὶ τῆ αὐτῆς ταῖς χερσίν. A.

219. τῇ: ἐκ τούτου γίνεται καὶ τήθη ἡ λέγουσα „δέξαι θήλασον·" θῶ γὰρ τὸ θηλάζω, ἐξ οὗ καὶ τὸ „θήσατο μαζόν" (Il. 24, 58). BLV. καὶ ἀντιφράζει αὐτῷ τὴν πίσυνον οὐδὲ ἔδεκτο (αὖ τῷ „τῇ πίε οἶνον" τὸ „ὁ δ' ἔδεκτο?" (Od. 9, 347. 353). V.

κολπῳ: τῷ τῆ ἱματίῳ κόλπῳ, τῷ κατὰ τὸ σῆθος πτύγματι τῆ πέπλου, ὡς „κόλπον ἀνιεμένη" (Il. 22, 80). ἐπεὶ κἀκείνη ἀπὸ σήθεσφιν ἐλύσατο, ἢ ἐπεὶ οἱ ταῦτα παρέχοντες παραγγέλλεσι μὴ ὁρᾶσθαι, ἵνα μὴ ἀλλοιοῖτο τῇ ὄψει τῇ ἀλλοτρίᾳ τὰ μαγγανεύματα. BLV.

ἡ διπλῆ, ὅτι τὸ κατὰ τὸ σῆθος κόλπωμα τοῦ πέπλου κόλπον εἶπε, καὶ ὅτι τὸ τῇ λάβε ἐστίν. A.

221. ἄπρηκτόν γε νέεσθαι: τοιοῦτον πορεύεσθαι· οὕτως Ἀρίσαρχος. Δημήτριος δὲ γενέεσθαι ἀντὶ τῆ γενήσεσθαι, βιαίως πάνυ· ἀδὲ γὰρ τὸ πυθέσθαι πυθέεσθαι γίνεται ἀδὲ τὸ λαβέσθαι λαβέεσθαι, ἵνα καὶ τὸ γενέσθαι γενέεσθαι γένηται. A.

ἀντὶ τῆ ὑποσρέψειν· οὕτως Ἀρίσαρχος. τινὲς δὲ τὸν γενέεσθαι μέσον μέλλοντα ἐδέξαντο διαλελυμένως· γείνω γὰρ γενῶ γενέσθαι γενεῖσθαι, καὶ διαιρέσει γενέεσθαι. ἐκ ἔσῃ, φησίν, ἄπρακτος ἧ προθυμῇ. BL. καλῶς δὲ ὁ μὲν ποιητὴς κατεῖλοχε τὴν δύναμιν τῆ κεφῆ, ἐχὶ δὲ Ἀφροδίτη, πρὸς τὸ μὴ μεγεθοποιεῖν τὴν χάριν. V.

223. μειδήσασα: ἡ διπλῆ, ὅτι ἐπὶ τῇ φήμῃ οἰωνισαμένη ἐμείδησε· προείρηκε γὰρ „ἐκ ἔσῃ ἄπρακτος." καὶ ἐν Ὀδυσσείᾳ (18, 112) τὸ ὅμοιον· „Ζεύς τοι δοίη, ξεῖνε, ὅττι μάλιστα ἐθέλεις· ὡς ἄρ' ἔφη, χαῖρεν δὲ κληδόνι δῖος Ὀδυσσεύς." A.

Ἀρίσαρχος μέσῳ, ἄλλοι δὲ ἑῷ. A.

ἑῷ: οὕτως Ἀρίσαρχος. Ζηνόδοτος δὲ μέσῳ. V.

224. πρὸς δῶμα Διός: διὰ γὰρ τὸ μὴ ἔχειν ἄνδρα τῷ τῆ Διὸς οἴκῳ ἐνδιαιτᾶται. V.

225. ῥίον: ὄρους ἀκρωτήριον, παρὰ τὸ ῥαίζειν καὶ καταλήγειν εἰς ὀξύ. D.

ἡ διπλῆ, ὅτι ὄρος ὁ Ὄλυμπος· τὸ γὰρ ῥίον ἰδίως ἐπ' ὄρους τάσσεται. AB.

226. Πιερίην: ἡ διπλῆ, ὅτι Μακεδονικὸς Ὄλυμπος, θεῶν οἰκητήριον· ἡ γὰρ Πιερία τότε ἀκρώρεια, καὶ Ἡμαθία τὸ πρότερον ἡ Μακεδονία ἐκαλεῖτο. παράκειται δὲ καὶ ἡ Θρᾴκη. καὶ ἐν Ὀδυσσείᾳ (5, 50) ἐπὶ τῆ Ἑρμῆ „Πιερίην δ' ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ." A.

οἱ μὲν μέρος Ὀλύμπου, οἱ δὲ χώραν ἀπὸ νύμφης ἢ Πίερος τῆ Ἐλευθῆρος. Ἡμαθία δὲ πρώην ἡ Μακεδονία. V.

Μακεδὼν ὁ Διὸς καὶ Αἰθρίας (Αἴωνος καὶ Αἰθυίας L), καταχὼν τὴν χώραν ἅπασαν τῆς Θρᾴκης, ἀφ' ἑαυτῆ Μακεδονίαν προσηγόρευσεν· γήμας δὲ μίαν τῶν ἐγχωρίων τεκνοῖ δύο παῖδας Πίερον καὶ Ἄμαθον, ἀφ' ὧν δύο πόλεις Πιερία καὶ Ἀμαθία ἐν Μακεδονίᾳ. ἡ ἱστορία παρὰ Μυρσίᾳ.

νῦν δὲ Ἡμαθίην καταχρηστικῶς ὅλην τὴν Μακεδονίαν φασίν. Πιερίαν δὲ ὄρος Μακεδονίας, ἱερὸν Μουσῶν. ADL.

ἄκρους τοὺς τόπους καὶ τὰς χώρας κατονομάζει, τὰς Ὁμήρου (ὁμόρους?) χώρας διεξιών, ὡς καὶ ἐν Ὀδυσσείᾳ (15, 297) „ἦ δὲ Φερὰς ἔβαλλεν ἐπειγομένη Διὸς ὄμβρῳ, ἠδὲ παρ' Ἤλιδα δῖαν ὅθι κρατέουσιν Ἐπειοί· ἔνθεν δ' αὖ νήσοισι." τῇ γὰρ ὀνομασίᾳ τούτων συμπαραθέουσα ἡ διάνοια τῶν ἐντυγχανόντων ἐν φαντασίᾳ καὶ ὄψει τῶν τόπων γίνεται. ἅμα ἐν τὸ ἀργὸν περιέφυγεν, ἐκ εὐθὺς ἀγαγὼν αὐτὴν ἐπὶ τὰ προκείμενα χωρία· μάρτυρας γὰρ τοὺς ἀκούοντας ἐπαγόμενος πιθανωτάτην καθίσησι τὴν διήγησιν. BLV.

227. σεύατ' ἔφ' ἱπποπόλων: ἐν ἄλλῳ ἔσσυτ' ἐφ' ἱπποπόλων. A. τινὲς ἱπποτρόμων. V. γράφει ἱπποκόμων. L.

228. ἀκροτάτας κορυφάς: λείπει ἡ πρός, πρὸς τὰς κορυφάς, ἢ ἐπί. V.

μάρπτε ποδοῖν: οἷον τὰ ἴχνη κόνιν τῆς γῆς ἐσυλάμβανον. V. καὶ ἐπὶ ποδῶν καὶ ἐπὶ χειρῶν. L.

229. ἐξ Ἄθω: Ἄθως ὄρος ἐν Θρᾴκῃ μέγα τε καὶ ὑψηλόν, ἔξέχον εἰς θάλασσαν, τὸν ἰσθμὸν ἔχον Χερσονησαδίων ιβ'. τοῦτον Ξέρξης ἀγανακτήσας, ὁ Περσῶν βασιλεύς, ὅτι πρὸς αὐτὸν νῆες αὐτοῦ διεφθάρησαν, διακόψας θάλασσαν ἐποίησεν. ἡ ἱστορία παρὰ Ἡροδότῳ. AD.

ἡ ἐπέκτασις ποιητική. εἴρηται δὲ ἀπὸ Γίγαντος τοῦ Ἄθω, ᾧ Ποσειδῶν τὸ ὄρος ἐπέθηκε. τοῦτο δὲ ὤρυξε Ξέρξης, ἐπαπλῆξαι βουλόμενος Ἕλληνας. Δημήτριος δὲ ὁ Σκήψις ψευδὲς εἶναι τοῦτό φησι. τιμᾶται δὲ ὁ Ζεὺς ἐν αὐτῷ· Αἴλιος Ἀγαμέμνονι (295) „Ἄθῳον αἶπος Ζηνὸς ἐδέξατο" τοῦτο δὲ τὸ ὄρος σάδια τριακόσια λήμνου ἀπέχον σκιᾷ αὐτήν· καὶ ἡ παροιμία „Ἄθως σκιάζει ὅτα Λημνίας βοός." Διοκλῆς δέ φασι τὸν Ῥηγῖνον ἀρχιτέκτονα Ἀλεξάνδρῳ ἐπαγγείλασθαι τὸν Ἄθω ἀνδριάντα αὐτοῦ κατασκευάσαι, θατέρᾳ μὲν χερὶ μυρίανδρον κατέχοντα πόλιν, θατέρᾳ δὲ ποτὸς προϊέμενον, ὡς τοῖς παραπλέουσι δοκεῖν σπένδειν. προπο-ξύνεται δέ· πλεονασμὸς γάρ ἐστι τοῦ ο. BLV.

Ζηνόδοτος καὶ Ἀριστοφάνης ἐς πόντον ἐβήσετο μήποτε ἄμεινον. A.

Ἀρίσαρχος ἐς πόντον. Πτολεμαῖος δὲ κατάδυσίν φησι δηλοῖ τὸ ἐς πόντον. ἀγνοεῖ δὲ τὸ „ἐς πόντον ἐπῆρεν φύγε πέτρας" (Od. 10, 131). ἄφεσιν ἐν δηλοῖ, οὐ δὲ τὸ δὲ „ἐλάαν ἐπὶ κύματα" (Il. 13, 27) ἐπάνω τῶν κυμάτων. καὶ „σεύατ' ἔφ' ἱπποπόλων" (227). θερμαὶ γὰρ ἐπὶ πορεύεται δὲ εἰς τὸ Ἴλιον. V.

230. πόλιν Θόαντος τὴν ὑπὸ Θόαντος πολιωθεῖσαν φησιν. εἰσὶ δὲ τῆς Λήμνου πόλεις δύο, Ἡφαιστιὰς καὶ Μύρινα. ὅμοιον δέ ἐστι τῷ „Ἴδην δ' εἰσαφίκανε Λέκτον" (283) „Κύπρον ἵκανεν ἐς Πάφον" (Od. 8, 362)· ἔθος γάρ ἐστιν αὐτῷ τοῖς ὅλοις τὰ μερικὰ ἐπάγειν. BL.

διὰ ποίαν αἰτίαν ἐν τῇ Λήμνῳ μάλιστα ὁ Ὕπνος ἀτρίβει; ῥητέον ἐν ὅτι Λήμνου μὲν ἦν δεσπότης Ἡφαιστος, γυνὴ δὲ τότε Χάρις· Πασιθέας δὲ τῆς Χάριτος ἀδελφῆς

ἐρωτικῶς ἔχων ὁ Ὕπνος ἐκεῖ διέτριβεν. ταύτην οὖν αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν Ἥρα. δύναται δὲ καὶ φυσικώτερον λυθῆναι, ὅτι οἰνοφόρος ἡ Λῆμνος, καθὼς λέγει „νῆες δ' ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι" (Il. 7, 467)· τοῖς δὲ πολυποτοῦσι μάλιστα ὁ ὕπνος παρέπεται. DL.

οὐκ οἶδεν Ὕπνου οἶκον, ὡς Ποσειδῶνος ἐν Αἰγαῖς· ἐπεὶ τρίτῳ βήματι ἐκεῖ ἂν εὕρητο ἡ θεός. V.

231. ἐνθ' Ὕπνῳ ξύμβλητο: πολυοίνων ὄντων καὶ φιλοίνων τῶν Λημνίων εἰκότως ἐκεῖσε διατρίβει ὁ Ὕπνος· καὶ γὰρ πολὺν ἔχουσιν οἶνον, ὥστε καὶ τοῖς Ἕλλησι χορηγεῖν· καὶ γὰρ καὶ οἱ Λήμνιοι παῖδες Αἰγύπτου, ὑπὸ τῶν γυναικῶν διὰ τὴν πολλὴν ἀναιροῦνται ἀκρασίαν. εἴωθε δὲ ὁ Ὕπνος ἐπὶ πάντας καὶ μᾶλλον ἐπὶ τοὺς μεθύσους ἐνδιατρίβειν. BL.

φίλοινοι γὰρ ὡς ἀπόγονοι Θόαντος τοῦ Διονύσου. καὶ Εὔνεως οἶνον πέμπει (Il. 7, 468)· καὶ Ὀδυσσεὺς ἀπὸ Θρᾳκῶν τὸν οἶνον δέχεται (Od. 9, 197)· καὶ οἱ σὺν Ῥήσῳ κοιμώμενοι ἀνῃρέθησαν (Il. 10, 470) καὶ οἱ Λήμνιοι ὑπὸ τῶν γυναικῶν· καὶ οἱ Ἀχαιοὶ ἐν Λήμνῳ πίνουσι „κρητῆρας ἐπιστεφέας οἴνοιο." (Il. 8, 230). ἢ διὰ Πασιθέαν τὴν γυναῖκα Ἡφαίστου πάρεστιν αὐτὸς λιπαρῶν τυχεῖν τῆς ἀδελφῆς· τὸ δὲ χαλκεῖον Ἡφαίστου ἐν Λήμνῳ. οἱ δὲ ὅτι Φιλοκτήτης ἐδεῖτο αὐτὸν εἶναι ἐκεῖ διὰ τὰς ὀδύνας. οἱ δὲ ἐκ τύχης συντετυχηκέναι. τινὲς δὲ γράφουσιν „ἐρχομένῳ κατὰ φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν." V.

„ἔστι τις γείτων πόλις" ἀντὶ τοῦ νῆσος. οἱ δὲ ἀντὶ τοῦ χώρα. ἐν ψηφίσματι τίθεται „καρτερός ἐστιν Αἴγυπτον καὶ Λιβύην τὼ πόλεε." οἱ δὲ πόλιν Θόαντος Μύριναν. V.

κασιγνήτῳ Θανάτοιο: Μνησίμαχος ὁ κωμικὸς περὶ Ὕπνου διαλεγόμενός φησιν ὅτι „ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια·" ὁ μὲν γὰρ θάνατος ἀπὸ ἰσχυρᾶς γίνεται καὶ τελείας λύσεως σώματος, ὁ δὲ ὕπνος ἀπὸ μικρᾶς καὶ καιρὸν ἐχούσης· ἀμφότεροι δὲ κακῶν ἀναπαύουσι. καὶ ὁ μὲν χωρίζει τὴν ψυχήν, ὁ δὲ συστέλλει μικρόν· καὶ ὁ μὲν διαλύει τὰς αἰσθήσεις, ὁ δὲ στερίσκει μόνον. BL. καὶ ἐν ἀμφοτέροις ἄπρακτος δίαιτα. V.

233. ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων: ἀλλαχοῦ γοῦν φησὶν „ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες εὗδον, Δία δ' οὐκ ἔχε" (Il. 2, 1). ὥσπερ οὖν τὸν κεστὸν ἀπεθαύμασεν, οὕτω καὶ τὸν Ὕπνον σεμνολογεῖ πρὸς πειθὼ αὐτὸν ὑπαγομένη. BL.

234. εἰ: γράφεται καὶ ἢ ἀντὶ τοῦ ἐὰν κατὰ τοὺς παλαιούς. L.

235. Ἀρίστάρχος χάριν εἰδέω· αἱ δὲ δημώδεις οἰδέω χάριν. A.

ἄλλως. ἔδει δὲ ἤτοι εἰδείην, ἵν' ᾖ τὸ ῥῆμα ἠλλαγμένον, ἢ ἐκ περισσοῦ νοουμένου τοῦ κέ ἐγὼ δέ σοι εἴσομαι χάριν. A.

Ἀττικῶς ἀντὶ τοῦ ὀφλήσω, ὡς Εὐριπίδης „ὦ παρθέν' εἰ σώσαιμί σ', εἴσῃ μοι χάριν." ἐπίτηδες δὲ ὑπέμνησεν αὐτὸν τῆς προγεγονυίας εὐεργεσίας· μνήμη γὰρ χάριτος παλαιᾶς παρασκευαστικὴ δευτέρας. οὐκ ἐγύμνωσε δὲ διὰ τὰ παρακολουθήσαντα τότε τῷ Ὕπνῳ τὴν χάριν. BLV.

236. οὕτως ὑπ' ὀφρύσιν ἡ Ἀριστάρχου καὶ Ἀριστοφάνους, ἵνα ᾖ τὰ ὑπὸ τοῖς ὀφρύσι. Ζηνόδοτος ἐπ' ὀφρύσι. συναπτέον δὲ τοὺς δύο στίχους ἄνευ πάσης διαστολῆς. A.

238. θρόνον: οὐ προλέγει τὸν τῆς Χάριτος γάμον ἀλλὰ φυλάττει εἰ ἀντιλέξει. καλῶς δὲ θρόνον ὑπισχνεῖται ἴδιον γὰρ τοῦ Ὕπνου, καὶ πρὸς ἀνάπαυσιν πεποίηται. BL. πάντα δὲ τὰ Ἡφαιστότευκτα ἄφθιτά φησι. V.

239. Ἥφαιστος: εἰς πίστιν τῆς ὑποχέσεως καὶ Ἡφαίστου μνημονεύει, ὅτι ἐκ προχείρου παρέξει παρὰ τοῦ ἰδίου αὐτίκα λαβοῦσα υἱοῦ. BL.

κ' ἐμός: ἡ διπλῆ, ὅτι οὐκ ἐκληπτέον κατὰ συναλοιφὴν τὸν καί ἀλλὰ τὸν κέ· ἔστι γὰρ Ἥφαιστος δ' ἐμὸς πάϊς τεύξει. ὥστε περισσὸν νοεῖσθαι τὸν κέ Ὁμηρικῶς. A.

240. τεύξει: δύναται καὶ εὐκτικὸν εἶναι, τεύξου, καὶ ὁριστικὸν τεύξει. V.

θρῆνυν: οὐδέτερον μέν ἐστι λῆγον εἰς υ· οὗτος δὲ ἀρσενικῶς αὐτὸ ἔφη. γίνεται δὲ παρὰ τὸ θρᾶνον, ὅ ἐστι μικρὸν ὑποπόδιον. BL.

ἀρσενικῶς· „θρῆνυν ἐφ' ἑπταπόδην" (Il. 15, 729). V.

ὑπὸ — ἥσει: ὡς „ὑπέβαλε ταῖς βουσὶ τὰ μοχία." L.

241. ἐπισχοῖες: οὕτως τὴν γραφὴν παρατίθεται ὁ Ἡρωδιανὸς ἐν τῷ ιζ' τῆς καθόλου, καὶ λέγει ἀπὸ τοῦ ἐπίσχοις πλεονασμὸν εἶναι τοῦ ε, ἢ συστολὴν τοῦ ἐπισχοίης. A.

ἄλλως. τῷ ἐπίσχοιμι ἀκόλουθόν ἐστι τὸ ἐπίσχοις, τῷ δὲ ἐπισχοίης τὸ ἐπισχοίην· καὶ ἴσως ἔδει οὕτως ἔχειν, παρεφθάρη δὲ ὑπὸ τῶν μεταχαρακτηρισάντων. τῷ δὲ χαρακτῆρι γενόμενον ὅμοιον τῷ ἰοίην καὶ ἀγαγοίην παρὰ Σαπφοῖ καὶ τῷ πεπαγοίην παρ' Εὐπόλιδι, εἰκότως ἐβαρυτονήθη τὸ ἐπισχοίης, γενόμενον ἐπισχοῖες ὡς Αἰολικόν. οὕτως Ἀλέξανδρος ο Κοτιαεὺς ἐν τῷ ι' τῶν παντοδαπῶν. A.

τινὲς ἐπάγουσιν „αὐτὰρ ἐπὴν δὴ νῶϊ κατευνηθέντες ἴδηαι, ἀγγεῖλαι τάδε πάντα Ποσειδάωνι ἄνακτι." ψευδὲς δέ ἐστιν· οὐ γὰρ ἂν ὤμοσεν Ἥρα. ἀλλ' ὁ Ὕπνος διὰ τὸν γάμον τῆς Χάριτος ὑπὲρ τὸ αἰτηθὲν ποιεῖ. V.

242. ἡ διπλῆ, ὅτι νήδυμος σὺν τῷ ν. A.

243. πρέσβα: ἀντὶ τοῦ πρεσβυτάτη, ὡς τὸ „δῖα θεάων." τὴν ἴσην δὲ τιμὴν ἀνταπέδωκεν αὐτῇ. BL.

245. καὶ ἂν ποταμοῖο ῥέεθρα: τεχνικώτατα διαλέγεται, τοῦ μὲν καὶ νῦν κρατῆσαι τοῦ Διὸς δύνασθαι πίστιν ἐπάγων ἐκ τῶν ἐπὶ τῷ Ὠκεανῷ, τοῦ δὲ μὴ δύνασθαι νῦν ποιῆσαι ἀπολογίαν κομίζων τὸ μηδὲ πρόσθεν αὐτῷ λυσιτελῆσαι τοῦτο πρᾶξαι, ἐξ οὗ δύο χρήσιμα πράττει, τήν τε δοθησομένην ἐπιτείνει δωρεάν, καὶ τῆς παλαιᾶς εὐεργεσίας τὴν Ἥραν ὑπομιμνήσκει· λέγει γὰρ ὅμως πρὸς ταῦτα ὑπηρετήσειν, ἃ μὴ κίνδυνον αὐτῷ φέροι. BLV.

δυσχερέστατον ποταμὸν ῥέοντα κοιμίσαι. V.

246. γένεσις πάντεσσι: Πορφυρίου. ἐπεὶ ἐξ ὑδάτων αἱ αὐξήσεις ὑπάρχουσιν. πῶς Ἡσιόδου (Th. 216) πάντων πρῶτον εἰπόντος γεγενῆσθαι τὸ Χάος, Ὅμηρός φησιν Ὠκεανόν; ῥητέον οὖν ὅτι ἕκαστος μὲν εἴρηκεν ὡς ἐβούλετο, Ὅμηρος δὲ φιλοσοφώτερον· τὸ γὰρ ὕδωρ πάντων ἡ ζωή, καὶ προέχει τῶν τεσσάρων στοιχείων, (ὅλα ὂν D), ὅθεν καὶ Πίνδαρος ἄριστον αὐτό φησιν. ABD.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλως. ἐκ γὰρ ὕδατος πάντα τὰ στοιχεῖα· ὅθεν καὶ τὸ σπέρμα πνεῦμά ἐστιν ὑγρῷ κραθέν. διὸ καὶ κροτρόφοι καλοῦνται οἱ ποταμοί. BL. καὶ αἱ πηγαί, οἷς τίνως ἀποκείρονται τὰς κόμας. V. ἐκ τούτου εἶπε Θαλῆς ὅτι τὰ πάντα ἐξ ὕδατος ἐγένοντο· πατὴρ γὰρ Ὅμηρος ῥητορείας καὶ φιλοσοφίας. L.

249. ἄλλο τεή: ἕτως κατ' εὐθεῖαν, ἄλλο τεή, καὶ Ἀρίσαρχος καὶ Ἡρωδιανός. A.

ἄλλως. Ἀρίσαρχος ἐλλείπειν φησὶ τὴν κατά, καὶ ἐκδέχεσθαι τὴν ἀντωνυμίαν εὐθείας πτώσεως, καὶ κατ' ἄλλο ἢ σὴ ἐσωφρόνισεν ἐντολή, ὥσε εἶναι ἢ τεή. Παρμενίσκος δὲ ἐκδέχεσθαι ἐπίῤῥημα τὸ ἄλλοτε, καὶ δασύνει τὸ ῆ, καὶ περισπᾷ ἐπὶ δοτικῆς πτώσεως, ἵνα ὑπάρχῃ, ὁ Ζεὺς τῇ ᾗ με ἐσωφρόνισεν ἐντολῇ. Ἀλέξιων δὲ προκρίνει τὴν Ἀρισάρχου· φησὶ γὰρ ἀπὸ τοῦ τ ἀρκτέον. καὶ ἡμῖν δὲ δοκεῖ· πρὸς γὰρ τὴν Ἥραν ἡ ἀπότασίς ἐστιν. αὐτὸς γὰρ ἐπεξηγεῖται αὐτό· „νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι" (Il. 15, 262). τοιοῦτον γάρ λέγει, ἤδη γάρ με καὶ ἄλλοτε ἡ σὴ ἐσωφρόνισεν ἐντολή. ὁ δὲ ἐπιθέτης Πτολεμαῖος καὶ Ζηνόδοτος σὺν τῷ ῑ γράφουσιν, οἷον τῇ σῇ ἐντολῇ ἐσωφρόνισέ με. A.

Ἀρίσαρχος ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή, ἵν' ᾖ, ἤδη γάρ με καὶ εἰς ἄλλο ἐπαίδευσεν ἡ σὴ πρόσαξις. εἰ γὰρ ἦν ὅτι τῇ ἰδίᾳ ὁ Ζεύς, ἔδει ἐπάγειν ὑπέρθυμος ἐὼς υἱός. ἄλλως τε ἀπειλῇ ἂν ἐσωφρόνισεν, ἐκ ἐφετμῇ. οἱ δὲ ἄλλοτε ᾖ ἐπίνυσσεν ἐφετμῇ, τοτέσι τῇ ἰδίᾳ ἐσωφρόνισε καὶ ἐνουθέτησεν ἀπειλῇ. λέγει δὲ τὸ πρᾶγμα κίνδυνον φέρειν, ἵνα καὶ παρωσάμενος συγγνώμην ἔχῃ καὶ ποιῶν μείζονα δοκῇ αὐτῇ χαρίζεσθαι. BL.

252. Διὸς νόον: τὸν Δία, ὃς ἐστιν ὁ τῆ κόσμου νοῦς. BL.

253. ἀμφιχυθείς: ὑγρὸς γὰρ ὁ ὕπνος, καὶ μᾶλλον τοῖς ὑγροῖς ἐπιχεόμενος. BL.

255. Κόωνδ': εἰς τὴν Κῶν νῆσον. γράφεται δὲ σὺν τῷ β̄ κατ' αἰτιατικήν. AD.

ἔνιοι διὰ τῶν δύο οο γράφουσι Κόον· καὶ Καλλίστρατος (Καλλίμαχος V) ἐν τοῖς διορθωτικοῖς. AV.

Κῶν Κόον ὡς σύον, διαλύσει, καὶ „χροὸς εἴσατο" (Il. 13, 391). τὸ δὲ πρόβατον κοῖον οἱ Κᾶρες ὀνομάζουσιν, ὅθεν Κῶς ἡ πολυῤῥίμμων. V.

Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν, γενόμενός τε κατὰ τὸ Αἰγαῖον πέλαγος, βεβλήσει Ἥρας σφοδρῷ συνεχέθη χειμῶνι· κατασυρεὶς δὲ εἰς Κῶ τὴν Μεροπίδα ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος, βασιλεύοντος αὐτῆς. βιασάμενος δὲ καὶ ὡς λῃστὴς ἐπιβὰς ἀνεῖλε τὸν Εὐρύπυλον καὶ τοὺς παῖδας αὐτοῦ, μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ Θεσσαλὸν ἐγέννησεν. ἡ ἱστορία παρὰ Φερεκύδει. ABD.

εὖ ναιομένην: ἢ δι' εὐβοσίαν, ἢ τὴν ὑ τότε ἀλλ' ὕστερον, ὡς τὸ „τῆς σὺ πρῶτον ἔσελθε δόμους εὖ ναιετάοντας" (Od. 17, 275)· ὑ γὰρ ὑπὸ τῶν μνησήρων ᾠκεῖτο τότε ἡ Κῶς. ἢ τὴν ὑπὸ γενναίων οἰκουμένην, οἳ νομίσαντες αὐτὸν λῃστὴν εἶναι ἐπῆραν αὐτῷ. BLV.

256. φίλων: ἢ τῶν πολιτῶν ἢ τῶν ἰδίων, ὡς τὸ „ἀπὸ μὲν φίλα εἵματα δύσω" (Il. 2, 261)· ἰδίᾳ γὰρ νηῒ ἐκεῖσε κατήχθη. BLV.

χαλέπαινεν ῥιπτάζων: ἀντιστροφή ἐστιν, ἀντὶ τοῦ χαλεπαίνων ἔῤῥιπτε. συναπτέον ἓν, καὶ μή τις ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκοι τὸ ῥιπτάζων. AD.

257. Θεός: δηλονότι τὸν συλλαμβάνοντας τῇ Ἥρᾳ. ἡ δὲ ἀπότασις εἰς τὸν Ἥφαιστον· φησὶ γὰρ ἐν τῇ A (590) „ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα ῥῖψε ποδὸς τεταγών". ὅτι δὲ ἐπεβοήθησαν τινὲς τῇ Ἥρᾳ, τοῦτο διέθηκεν ὁ Ζεὺς εἰπὼν ἐν τοῖς ἑξῆς „λῦσαι δ' ἐκ ἐδύναντο· ὃν δ' ἐλάβοιμι, ῥίπτασκον" (Il. 15, 22). τὸ δὲ ἔξοχα πάντων ἀντὶ τοῦ κατ' ἐξοχὴν παρὰ πάντας. BLV.

258. καί κέ μ' ἄϊστον: καὶ ἂν ἰδών με ἀνισόρροπον καὶ ἀφανῆ ἐποίησεν, βαλὼν ἀπὸ τοῦ ἐρανοῦ εἰς τὴν θάλασσαν. AD.

ἄϊστον: ἀνισόρροπον. τὸ δὲ ἔμβαλε ἀντὶ τοῦ ἐμβαλὼν ἐποίησεν, ὡς τὸ „βροτὸς ἕτασεν ἀνήρ" (Il. 5, 361) ἀντὶ τοῦ ἑτάσας ἐποίησεν. BL.

259. ἕτως ἐν πάσαις, δμήτειρα. Ἀριστοφάνης καὶ Ζηνόδοτος μήτειρα. A.

αἱ πᾶσαι μήτειρα, ἐπεὶ ἀρχαία θεός. ἄμεινον δὲ δμήτειρα· καὶ δεδμημένος γὰρ ὕπνῳ. V.

δαιμονίως τοῦτο λέγει· ὡς γὰρ τὸν Ὕπνον ἄνακτα θεῶν τε καὶ ἀνθρώπων φησίν, ἕτω καὶ τὴν Νύκτα δμήτειραν θεῶν καὶ ἀνδρῶν, ἤτοι δαμάστριαν. BL.

260. ἱκόμην: ἱκέτευσα. εἰκότως· φυσικώτερος γὰρ ὁ νυκτὶ ὕπνος τοῦ μεθ' ἡμέραν. BL.

261. θοῇ: ἤτοι ὅτι διὰ τὸν ὕπνον θᾶττον ὡς πρὸς τὴν ἡμέραν πάρεισιν, ἢ θείᾳ. D. τινὲς φίλῃ, ὃ καὶ ἄμεινον· γὰρ πρὸς τιμὴν ἡ θοὴ Νύξ; διδάσκει δὲ ὡς χρὴ καὶ ὀργὴν κρατεῖν εἰς πρόσωπον αἰδέσιμον ἀφορῶντας. BL.

ἔρδοι: ῥέζω οἱ Βοιωτοὶ ὡ ῥέδω ὑπανδ' ἔρδω. V.

262. ἀμήχανον: πρὸς ὃ μηχανὴν σωτηρίας ἐκ εὑροίμην. BL.

263. τὸν δ' αὖτε: γράφεται ὡς φάτο· μείδησε δὲ θεὰ λευκώλενος Ἥρα, χειρὶ τέ μιν κατέρεξεν.

264. Ὕπνε τίη δὲ: ἄκρως διασύρει τὸ πᾶν, οὐκ ἀξιοῦσα εἰς ἔννοιαν αὐτὸν λαμβάνειν ἐδὲ παραβάλλειν παρόντα ἐκείνοις· ἐ γὰρ ὁμοίως κινηθήσεσθαι τὸν Δία ἐν τοῖς Τρωσὶ κακωθεῖσιν, ὡς ὑπὲρ τοῦ ἰδίου παιδὸς ἐχαλέπηνε. καὶ ἔστιν ἠθικόν· ὡς γὰρ πρόδηλον ὂν τὸ τῆς συγκρίσεως αὐτὸν τὸν Ὕπνον ἐρωτᾷ αὐτό. BL.

βαρυντέον τὸν ῆ, παρέλκοντα ἀντὶ τοῦ δή. V.

265. 266. ὁ Ἀσκαλωνίτης βαρύνει τὸν ῆ· ἄμεινον δὲ, περισπᾶν. καὶ γὰρ εἰ διαπορεῖ, οὐκ ἀναγκαῖον ἐγκλίνειν αὐτόν· ἐ γὰρ ἕτερος αὐτῷ ἐπιφέρεται περισπώμενος, οἷον ἐπὶ τοῦ „ἦ δολιχὴ νῆσος ἦ Ἄρτεμις ἰοχέαιρα" (Od. 1, 172). A.

τὸ μὲν ῆ βαρυνόμενον ἐρώτησιν δηλοῖ, τὸ δὲ περισπώμενον ἀπόρησιν. B. ἐὰν δὲ ὀξυνθῇ, πρὸς τὸν νῶν συντάσσεται. V.

266. παιδὸς ἑοῖο: συντόμως πάνυ. ἐν γὰρ τῷ παιδὸς ἑοῖο πάντα κατάκειται δι' ἃ εἰκὸς ἦν ἐπ' ἐκείνῳ μᾶλλον χαλεπῆναι τὸν Δία. τεχνικῶς δὲ παρεδήλωσε καὶ τὴν χρείαν δι' ἣν θέλει κατακοιμῆσαι τὸν Δία, ἵνα καὶ ἐξῆς ὁ Ὕπνος πιθανῶς φαίνηται λέγων πρὸς τὸν Ποσειδῶνα „πρόφρων νῦν Δαναοῖσι Ποσειδάων ἐπάμυνε" (357), ὡς ἠθημένος τί ποτε πραγματεύεται ἡ Ἥρα ἐπὶ τῷ Διί, ᾧ καὶ ὕμνυσιν ἡ Ἥρα ὡς μὴ προπεμψαμένη Ποσειδῶνα. V.

267. ἀλλ' ἴθ' ἐγώ: τεχνικὸν καὶ τοῦτο· ὡς γὰρ ἤδη πείσασα ἐκέτι αἰτεῖ, ἀλλ' ὑπεργεῖν λοιπὸν προτρέπει. συνάπτει δὲ τῇ προτροπῇ καὶ τὴν ὑπόχεσιν. AL.

ἡ διπλῆ, ὅτι δύο γενέσεις Χαρίτων ὑποτίθεται, πρεσβυτέρας καὶ νεωτέρας· διὸ συγκριτικῶς λέγει ὁπλοτεράων. A.

Πορφυρίω. διὰ τί Ἥρας ὑποχομένης τῷ Ὕπνῳ δώσειν θρόνον ἀρνεῖται, αἰτεῖται δὲ Χαρίτων μίαν ὁπλοτεράων; καὶ τί βλέπει ἡ ὁπλοτέρα Χάρις; ῥητέον ἂν· τὸν μὲν θρόνον ἀρνεῖται, ὅτι Ὕπνος θρόνῳ δὲ δεῖται· θανάτῳ γὰρ τὸ τοιοῦτον, περιφοίτητον δὲ ὁ Ὕπνος πάθος ἐστὶ καὶ τῶν ἐπιόντων καὶ τῶν ἀπιόντων. Χάριν δὲ αἰτεῖται ἡ προκαταρκτικὴν ἀλλ' ἀμειπτικήν· ἀνθ' ὧν γὰρ εὖ ποιεῖ, ἀξιοῖ λαβεῖν τὴν ἀμοιβήν, ἐκ ἐξ ὧν αὐτὸς προκατήρχθη. αἱ μὲν οὖν προκατάρχουσαι Χάριτες εἶεν ἂν πρεσβύτεραι, αἱ δὲ ἀμειπτικαὶ ἔτι νεώτεραι· μεταγενέστερον γάρ, καὶ διὰ τοῦτο νεώτερον, τὸ δεύτερον τοῦ προτέρου. διόπερ τῶν ὁπλοτέρων φησὶν αἰτεῖσθαι μίαν Χαρίτων. B.

268. ὑπνιέμεναι: νομίμως γαμεῖν. οἱ δὲ ὁμιλεῖν καὶ μὴ οἴεσθαι· δι' ὁπὸς γὰρ αἱ ὁμιλίαι. V.

270. Ἴχήρατο δ' Ὕπνος: πιθανῶς, ὅτε μὲν θρόνον ὠνόμασεν, ἐκ ἤνυσεν, ὅτε δὲ γάμιον, ἐπιτείνοντος τὴν ἐπιθυμίαν τῇ κεστῷ· πρὸς γὰρ ἐρωτικὰ μόνα δυνατώτατός ἐστι. δύο δὲ θεὰς ἡ Ἥρα δι' ἡδονῆς ἐξηπάτησεν. BLV.

271. ὔμοσσον: τὸ ἔξῆς ἐστὶν ὔμοσον ἢ μὲν ἐμοί· τὰ δὲ ἄλλα διὰ μέσου. A.

ἀάατον: ὑπερεπιτατικὸν εἶναι τὸ τοιοῦτόν φασιν, ὃ ταὐτόν ἐστιν ἐνὶ ἁπλῷ, ὡς τὸ „ἀνάπυσα θεοὶ θέσαν" (Od. 11, 274)· ἀνάπηρον. ἀάατον ἂν ἐστὶ τὸ βλαπτικόν. V. δηλοῖ δὲ τὸ λίαν βλαπτικώτατον. BL.

τὸ ἄ καὶ σέρησιν καὶ ἐπίτασιν δηλοῖ, ὡς ἀβλαβὲς μὲν τοῖς εὐόρκοις, πολυβλαβὲς δὲ τοῖς ἐπιόρκοις. B.

κατὰ Στυγὸς δὲ ὀμνύναι λέγει, ὅτι τὸ τῆς Στυγὸς ὕδωρ ψυγότητος αἰτιόν ἐστι τοῖς ψευδομένοις, ἀπελέγχον αὐτὸς καὶ τῇ ἐν ἡδονῇ ζῆν σερίσκον. BL.

ὡς κατὰ ὑγρᾶ στοιχεῖα ὄμνυσιν. οἱ δέ, ὅτι πολέμιον θεοῖς τὸ ὑγρόν, πυρώδεσιν ἔσιν. V.

272. τῇ ἑτέρῃ μέν: ἡ διπλῆ, ὅτι ἐπὶ δύο τῷ ἑτέρῳ χρῆται κατὰ διαζολήν, Ἑλληνικῶς. τὰ βαρύτατα δὲ τῶν στοιχείων ὄμνυσι, καθάπερ ἐν τῇ συνηθείᾳ λέγομεν ξηρὸν καὶ ὑγρόν. ABD.

κατὰ ξηρᾶ καὶ ὑγρᾶ ὀμνύουσιν, ἐπεὶ πάντα ἐκ ξηρᾶ καὶ ὑγρᾶ τὴν σύστασιν ἔχουσιν. AL.

273. μαρμαρέην: τὴν λαμπρότητος θρεπτικήν, ἤτοι τῇ ἡλίᾳ· ἄναμμα γάρ, φησίν, ἡλίᾳ νοερὸν θάλασσα. BL.

274. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος μάρτυρες γράφει, ἀγνοῶν ὅτι μάρτυρος λέγειν δεῖ ἀκολάθως τῷ μάρτυροι. A.

θεοὶ Κρόνον ἀμφὶς ἐόντες: οἱ περὶ τὸν Κρόνον θεοί. λέγει δὲ τοὺς Τιτᾶνας, ἤτοι δέ εἰσιν οἱ Οὐρανῷ παῖδες, Κρόνος, Κρεῖος, Ὑπερίων, Ἰαπετός, Κοῖος. A.

ἢ συγκολαζόμενοι αὐτῷ, ἢ μᾶλλον ὑπ' αὐτῷ ταγέντες. BL. ἐπεὶ πῶς κατὰ κολαζομένων ὔμνυσιν; V.

276. Πασιθέην: ἐπίτηδες μὲν ἐσιώπησεν ἡ Ἥρα τὸ ὄνομα τῆς ἐρωμένης, ἵνα μὴ ὀνειδίσῃ τὸν ἔρωτα· ὁ δὲ Ὕπνος καὶ τὸ ὄνομα προσέθηκεν εἰς βεβαίωσιν. Πασιθέην δέ, ὅτι πανταχῆ δεῖ θέειν καὶ μὴ κεκρύφθαι τὴν χάριν. οὐκ οἶδε δὲ τὰ παρ' Ἡσιόδῳ ὀνόματα τῶν Χαρίτων. ὑποφαίνει δὲ διὰ τάτε ὡς ἐδὲ κοιμώμενον ἐπιλανθάνεσθαι χάριτος δεῖ, καὶ ὅτι τῷ Ὕπνῳ ἔνεστι χάρις καὶ ἡδονή· πανδαμάτωρ γὰρ ἐστὶ καὶ μαλακὸς καὶ ἡδύς. ἢ φιλοσοφώτερον ἔστιν ἀκέειν· Πίνδαρος γὰρ ὕπνον χάριτος ἄρχοντα πρὸ πάντων ὁμῶ τὸν ὕπνον ποιεῖ, αἰνιττόμενος τὸ συμβαῖνον περὶ τὰς χαρίτων τυχόντας, καί φησι „παλαιὰ μὲν εὕδει χάρις," ὡς λήθης καὶ ὕπνα τὰς περὶ χάριν ἀχαρίστους ἔχοντος BLV. καὶ Λήθης γενεαλογῆσι τὰς Χάριτας. καὶ ὁ κωμικὸς „ἅμα τετέλεσαι καὶ τέθνηκεν ἡ χάρις." V.

278. ὤμνυε: εἰκότως· πίστεως γὰρ ἔδει ἐρῶντι καὶ φοβουμένῳ. τινὲς δὲ γράφουσιν ὤμνυε δ' ἐκ πέτρης καταειβόμενον Στυγὸς ὕδωρ. V.

279. τοὺς ὑποταρταρίους: τοὺς ἐν τῷ Ταρτάρῳ ὄντας· οὐδὲν γάρ ἐστιν ὑπὸ Τάρταρον. Τιτὰν δὲ παρὰ τὸ τιτός, τιτάν. BL.

ἡ διπλῆ, ὅτι τοὺς περὶ Κρόνον θεοὺς ὑποταρταρίους προσαγορεύει. πρὸς τὸ „ὁππότε μιν ξυνδήσαι Ὀλύμπιοι" (Il. 1, 399), ὅτι καὶ τοὺς περὶ Κρόνον λέγει Ὀλυμπίους. A.

281. Λήμνου τε καὶ Ἴμβρου: τινὲς Λήμνοιο κατὰ μέγα ἄσυ λιπόντε· τί γὰρ νῦν πρὸς τὴν Ἴμβρον; ἔστι δὲ νῆσος πρὸς τῷ μέλανι κόλπῳ. ἀπέχουσι δὲ ἀλλήλων στάδια ρκ'. V.

282. ἠέρα: ἐπὶ θαλάττης ἀεὶ διὰ τοῦ ᾱ φησί. V.

πρήσσοντε: περῶ πρῶ, ὡς βείω βῶ, βορῶ βρῶ, ὃ μέλλων πρήσω. BLV.

283. 284. Ἴδην: ἀντὶ τοῦ Ἴδης· ἔστι δὲ μέρος Ἴδης τὸ Λεκτόν. ἐν ὑπερβατῷ δὲ καὶ ἀναστροφῇ ἑρμηνευτέον τὸ δίστιχον ἕτως, ἵνα μὴ δύσφραστον ᾖ, Ἴδης δ' ἐκέλθην πολυπίδακος Λεκτόν· τῷ δ' ἐπὶ χέρσῳ πρῶτον βήτην ὄθι λιπέτην ἄλα. Λεκτὸν δὲ ὠνομάσθη ἐκ τοῦ ἐν αὐτῷ κατακλιθῆναι Δία καὶ Ἥραν. BL.

ἕτως Λεκτόν ὀξυτόνως, ὡς φυτόν· ἕτως γὰρ ὁ τόπος καλεῖται. ἡ διπλῆ δὲ ὅτι ἰδίως εἴρηκεν, ἀντὶ τοῦ Ἴδης εἰς Λεκτόν· καὶ „Ἴδην δ' ἵκανε πολυπίδακα Γάργαρον" (Il. 8, 47)· καὶ ἐν Ὀδυσσείᾳ (8, 363) τὸ ὅμοιον· „ἣ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη ἐς Πάφον." A.

ἄλλως. Λεκτὸν ἀκρωτήριον τῆς Ἴδης, κεκλημένον ἀπὸ

τῇ ἐν αὐτῷ κατακλιθῆναι Δία ϗ Ἥραν. τρία δὲ τὰ πάντα ἀκρωτήρια τῆς Ἴδης, Λεκτόν, Γάργαρον, Φαλάκρη. AD. ἀφορᾷ δὲ τὸ Λεκτὸν ἐπὶ τὸ Αἰγαῖον πέλαγος. A.

Γάργαρον παρὰ τὸ γαργαρίζειν ἐξ ἐκείνης τὰ ὕδατα, ϗ Φαλάκρα παρὰ τὸ γυμνωθῆναι ταύτην παρὰ Φερέκλε ἐν τῇ τῶν νεῶν οἰκοδομῇ. L.

285. ἀκροτάτη — ὕλη: τὴν χαμαίζηλον βοτάνην φησίν. ὅτι γὰρ ἐ πατῆσι γῆν, δῆλον ἐκ τῆ „ἐδὲ χθόνα μάρπτε ποδοῖιν" (228). εἰσὶ δὲ γραφικά. V.

ὑπεσείετο: Ἀρίσαρχος ὑπό, εἶτα σείετο, Ἰακῶς. ἔτως καὶ Ζηνόδοτος ϗ Ἀριστοφάνης. A.

γράφεται Ἴδη. L.

286. 287. πάρος Διὸς ὄσσε ἰδέσθαι: πρὶν ἴδῃ τὰς ὀφθαλμιὰς τῆ Διός, ὅπως μὴ πρὸ τῆ δέοντος αὐτὸν κοιμίσῃ. ἐμφαντικώτατα δὲ εἴρηϑ, ὡς ἅμα τῷ προσβλέψαι τινὶ εὐθὺς κατακοιμίζοντος. τὸ δὲ εἰς ἐλάτην ἀντὶ τοῦ ἐπὶ ἐλάτην· ἔχει δὲ ἐπίμηκες καὶ ἄκαρπον δένδρον, ὡς ὁ ὕπνος. BL.

287. περιμήκετος: μῆκος μήκετος ἐπεκτάσει, ὡς πάχος πάχετος. V.

288. μακροτάτη: μακροτάτην φησὶν ὡς πολλῶν καὶ ἄλλων ἐσῶν ἐκεῖ. καλῶς δὲ τότε· νῦν γὰρ ἐ φύεται ἐκεῖ ἐλάτη. BL. καὶ ὅτι μετὰ τὰ ἡρωϊκὰ ὁ ποιητής. V.

διὰ τῆ τότε ἀνῄρηκε τὸ ψεῦδος, ὥσε μὴ ζητεῖν αὐτήν. D.

ἠέρος αἰϑέρ' ἵκανεν: ἡ διπλῆ, ὅτι καϑ' Ὅμηρον ἀὴρ ὁ ἀπὸ γῆς μέχρι νεφῶν τόπος· ὁ δὲ ὑπὲρ τὰ νέφη τόπος αἰϑήρ, καὶ ὁμωνύμως τῷ ϛερεμνίῳ ἀρανός. διὸ τὰ νέφη λέγει πύλας ἀρανῆ. A.

289. ἔνϑ' ἧϛ' ὄζοισι: πιθανῶς, ἵνα ϗ διὰ τὸ ὕψος ϗ διὰ τὰς κλάδας ϗ διὰ τὴν μεταμόρφωσιν μὴ ὁρῶτο. BL.

290. ὄρνιθι λιγυρῇ ἐναλίγκιος: κατὰ τὴν καθέδραν· ἡ γὰρ ὄρνις ἐ καθέζεϑ, κρύπτει δὲ ἡ χαλκὶς ἀεὶ τὴν κεφαλὴν ὑπὸ τὰς κλάδας ϗ διὰ τὴν μεταμόρφωσιν μὴ ὁρῶτο. BL.

291. χαλκίδα: χαλκὶς εἶδος ὀρνέε, ἥτις καλεῖται κύμινδις ἀπὸ τῆς φωνῆς. D. ὁ κύμινδις οἰκεῖ μὲν ὄρη, ἔχει δὲ μέλας, χαλκίζων τὴν χροιάν, ϗ μέγεθος ὅσον ἱέραξ ὁ φασσοφόνος, ὡς φησιν Ἀριστοτέλης (H. A. 9, 12). παρὰ δέ τισι ϑηλυκῶς λέγεϑ ἡ κύμινδις. εὐεπίφορον εἰς ὕπνον τὸ ὄρνεον. κύμινδις δὲ λέγεϑ διὰ τὸ ἀεὶ τὴν κεφαλὴν ὑπὸ τὰς κλάδας κρύπτειν. ABDV.

τὸ εὔφωνον ὄνομα τοῖς ϑεοῖς τίθησιν. οἶδε δὲ τὰ τῶν ϑεῶν ὡς ὑπὸ Μεσῶν καταπνεόμενος. τινὲς δέ φασιν αὐτὸν εἶναι Ἁρπαλύκην, ἣ μιγεῖσα τῷ Περικλυμένῳ κατὰ βίαν, ἐψήσασα τὸν υἱὸν Πρέσβωνα παρέϑηκεν αὐτῷ. ἢ ὅτι Διὶ συνῆλϑεν, Ἥρα δὲ ὠρνίϑωσεν αὐτήν· ἐν Χαλκίδι δὲ διῆγεν ἄνϑρωπος ὤσα. οἱ δὲ τὴν μητέρα τῶν Κορυβάντων Χαλκίδα φασίν. ἢ ὅτι χαλκίζει τὴν χροιάν. ἢ ὅτι κατὰ νύκτα ὁρᾶται. τινὲς δὲ τὴν γλαῦκα. V.

ϑέλων ὁ ποιητὴς δεῖξαι ὅτι μεσόληπτός ἐσιν, ἃ μόνον τὰ τῶν ἀνϑρώπων ὀνόματα ἐπαγγέλλεϑ εἰδέναι, ἀλλ' ἅπερ ϗ οἱ ϑεοὶ λέγουσιν. ἢ ἄλλως, ὡς εἰώϑεν ἀεί, δύο ὀνόματα εὑρὼν τὸ κρεῖττον τοῖς ϑεοῖς ἀνατίϑησι, τὸ δ' ἔλαττον τοῖς ἀνϑρώποις. L.

292. Γάργαρον: τὸ ἄκρον Γάργαρον, ἡ δὲ πόλις ϑηλυκῶς, καὶ οἱ πολῖται Γαργαρεῖς. BL.

294. ὡς δ' ἴδεν: ἐπαναλαμβάνει τὸ ἴδεν, ὑποφαίνων ὡς ἐκ ἐν παρέργῳ αὐτὴν εἶδεν, ὅμοιον δέ ἐσι τῷ „ἠράσατ' ὀφθαλμοῖσιν ἰδών" (Il. 16, 182). τὸ δὲ πυκινάς πρὸς ἐπίτασιν τῆ πάϑες. ἀμφεκάλυψε δὲ ἀντὶ τῆ ἤγρευσεν, ἀπὸ τῶν δικτύων. BL.

„ὡς ἴδεν, ὡς ἐμάνη" παρὰ Θεοκρίτῳ. L.

295. οἷον: γράφεται ϗ οἷος. A.

πρῶτόν περ: ἔτως Ἀρίσαρχος. ἄλλοι δὲ πρώτιςον. A.

Ἥραν τρεφομένην παρὰ τοῖς γονεῦσιν εἰς τῶν Γιγάντων Εὐρυμέδων βιασάμενος ἔγκυον ἐποίησεν· ἡ δὲ Προμηθέα ἐγέννησεν, Ζεὺς δὲ ὕστερον γήμας τὴν ἀδελφήν, καὶ γνὲς τὰ γενόμενα, τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα προφάσει τῆ πυρὸς δεσμοῖς ἀνήρτησεν, ἡ ἱςορία παρὰ Εὐφορίωνι. ABD.

296. φίλας λήϑοντε τοκῆας: καὶ πῶς φησὶ (202) παρ' Ὠκεανῷ αὐτὴν τρέφεσϑ; ἢ τὸ ἀτιτάλλειν ἐκ ἐκ νηπίας (φησὶ γᾶν „ἄταλλε δὲ κήτε' ὑπ' αὐτῆ" Il. 13, 27), ἀλλὰ τὸ ἐπιμελῶς τρέφειν φησί· „τὰς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ" (Il. 5, 271). λάϑρᾳ ἓν ἐμίγη· ὅτε δὲ ἐταρταρώϑη ὁ Κρόνος, ὡς παρϑένος ὑπονοουμένη ἐξεδόϑη Διὶ παρὰ Τηϑύος καὶ Ὠκεανοῦ. τεκοῦσαν δὲ τὸν Ἥφαιςον ἐκ τῆς νοθείας τῆς πρώτης φασὶ προσποιεῖσϑαι ὅτι ἄνευ μίξεως κύει, ϗ Κηδαλίωνι τῷ Ναξίῳ παραδῶναι χαλκευτικὴν διδάξαι· διὸ ϗ μέχρι νῦν ὑπόμνημα φυλάξασϑαι παρὰ Ναξίοις καὶ τὸν ἀμφιθαλῆ ἰτάλην συγκατατεθεῖσϑαι, ἄλλοι τὸν Δία φασὶν ἐν Σάμῳ λάϑρᾳ τῶν γονέων ἀποπαρϑενεῦσαι τὴν Ἥραν· ὅϑεν Σάμιοι μνηςεύοντες τὰς κόρας λάϑρᾳ συγκοιμίζουσιν, εἶτα παῤῥησίᾳ ϑύουσι τὰς γάμους. τοκῆας ἐν τὲς περὶ Κρόνον ϗ Ῥέαν· ἔνιοι δὲ τοὺς προγόνους τὲς περὶ Ὠκεανὸν ϗ Τηϑύν. BLV. „ἐκ δὲ τοκήων τῶν αὐτῶν, οἵ περ τέκον Ἀλκίνοον" (Od. 7, 54), ἵνα ϗ τὸ ἀτιτάλλειν ἐκ νηπίας τρέφειν λάβωμεν. ἔνιοι δέ φασι παρϑένον ἐσαν Ἥραν ἐραϑῆναι Εὐρυμέδοντος. V.

297. στῆ δ' αὐτῆς προπάροιϑεν: κινηϑεὶς ὑπὸ τοῦ κεσοῦ εἰκότως αὐτὸς τῇ γυναικὶ πρόσεισιν. BL.

298. τόδ' ἱκάνεις: λείπει τὸ ὅρος· „ἢ ἓν αὐτῷ χρεὼ ἐλδόμενος τόδ' ἱκάνεις" (Od. 1, 409). μή ποτε δὲ ἰσοδυναμεῖ τῷ παρ' Αἰολεῦσι τυῖδε. καὶ πληϑυντικῶς „ἀχ ὄφ ἄνευθε ϑεῶ τάδε μαίνεται" (Il. 5, 185) ἀντὶ τῆ ἐνθάδε. γινώσκει δὲ τὴν συσκευὴν διὰ τὰ πάϑη „ἃ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων." BLV.

299. ἵπποι δ' οὐ παρέασι: ἁρμοδίως πάνυ κατα παύει τὴν ὁδὸν ὡς μὴ τῶν ἐπιτηδείων παόντων, ἵνα πεσας μένειν εὖ τῇ χολῇ χρήσῃ· ἃ γὰ πιθανὸν ἦν ἀποτρψαντα τῆς ὁδῆ ϑέλειν ἐμπελάζειν. προφάσει ἐν χρῆτα

ἡ δὲ δολίως ἐπιτείνει τὴν ἐπιθυμίαν τῷ ἀνδρός, φάσκουσα πάντα αὐτῇ εὐτρεπῆ εἶναι τὰ πρὸς τὴν ὁδόν. δολίαν δὲ εἰσάγει τὴν Ἥραν καὶ ἐν τῷ περὶ Ἡρακλέους· „δολοφροσύνης ἀπάτησε" (Il. 19, 97). κεδνὸν δ' ἂν κηρύττει ὁ ποιητὴς φυλάττεσθαι τῶν γυναικῶν τὰς λόγους. L.

τῶν κ' ἐπιβαίης: Ζηνόδοτος καὶ Ἀριστοφάνης ἔξω τῷ κέ συνδέσμῳ, τῶν ἐπιβαίης. A.

δύναται καὶ πευσικῶς ὁ σίχος ἀναγινώσκεσθαι, οὐ μὴν ὑποσικτέον διὰ πευσικὴν ὑπόκρισιν. A.

301. ἀθετοῦνται οἱ σίχοι ὡς ἀμβλύνοντες τὴν ἐπιθυμίαν Διός, κακῶς· ἐ γὰρ ἠμβλύνθη τῷ κεῖσε ἐπιτείνοντος. ἄλλως τε περὶ ἀφροδισίων λέγουσα ἐπιτείνει τὸ πάθος, καὶ τὸν πόθον πλέον ἐξάπτει. ἄλλως τε λέγουσα, ἵνα μὴ ὕστερον αἰτία ᾖ ὡς εἰς τοῦτο ἐπίτηδες ἐλθοῦσα. BL.

303. οἵ με σφοῖσι: γράφουσί τινες οἵ μ' ἐν σφοῖσι. A.

304. καί σφ' ἄκριτα νείκεα λύσω: καὶ πῶς ἐν τῇ Α μετὰ τῶν θεῶν ἐλθοῦσα εἰς Ὠκεανὸν οὐ διήλλαξε τὴν ἔριν; ἀλλ' ὅτι ἐ σὺν αὐτοῖς ἦν, δῆλον ἐξ ὧν ἀπ' οὐρανοῦ πέμπει τὴν Ἀθηνᾶν παύσουσαν τῶν στρατηγῶν τὴν ἔριν. BLV.

διὰ τί ἡ Ἥρα ὅτε μὲν μετὰ τοῦ Διὸς ᾤχετο ἐπὶ τὸν Ὠκεανόν, ἐ διέλυσε τὴν Τηθὺν καὶ τὸν Ὠκεανόν, ὕστερον δὲ ἡμέραις πέντε ἢ δέκα πέντε ἐπιχειρεῖ ἐπὶ τοῦτο πορεύεσθαι; ἐ γὰρ δὴ μετ' ἐκείνας γε διηνέχθησαν· πάλαι γάρ φησιν αὐτὰς ἀπέχεσθαι εὐνῆς καὶ φιλότητος. ἢ ἐ λέγει ὁ ποιητὴς ὅτι ἐπορεύετο ἐπὶ τοῦτο, ἀλλ' ὅτι σκηπτομένη τοῦτο ἔπλαττε· „τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη" (300). καὶ „ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν" (307)· ἑδαμῶ δὲ ἦσαν οἱ ἵπποι, ὥστε ἐδ' ἡ πορεία ὄντως ἐπὶ τοῦτο παρεσκεύασαι. ἔπειτα οἱ Αἰθίοπες παρὰ τὸν Ὠκεανὸν οἰκοῦσιν· Ὠκεανὸς δὲ καὶ τὸ ὕδωρ καὶ ὁ Θεός, καὶ ἐχ ὁ τῷ ὕδατι ἐντυγχάνων κύκλῳ πᾶσαν περιθέοντι τὴν γῆν πάντως καὶ τῷ θεῷ ἐντυγχάνει κατὰ πᾶν μέρος τοῦ ὕδατος. ἐδ' ἐλθοῦσα μετὰ τοῦ Διὸς ἐπ' ἄλλα ἂν ἀπῆλθε, πάρεργα ἑκάτερα ποιεμένη, καὶ ἐγκαταλιποῦσα τὸν ἡγεμόνα ᾧ πάντες οἱ ἄλλοι θεοὶ ἠκολούθουν· „Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας" (Il. 1, 423) καὶ τὰ ἑξῆς. καὶ ταῦτα μέν, δόντες αὐτῇ ἀπελθεῖν μετὰ τοῦ Διός, ἕτω λύομεν· ὅτι δὲ ἐκ ἀπελήλυθεν, δηλοῖ τὸ ὀργιζομένῳ Ἀχιλλεῖ παραγινομένην τὴν Ἀθηνᾶν λέγειν ὑφ' Ἥρας πεπέμφθαι. πῶς ἂν, εἰ μὴ ἀπῆλθον καὶ αὗται, εἴρηται „θεοὶ δ' ἅμα πάντες ἕποντο" (ib. 424); καὶ διὰ τί φήσας πάντας τοὺς θεοὺς εἰς Αἰθιοπίαν ἐληλυθέναι „θεοὶ δ' ἅμα πάντες ἕποντο," τὴν Ἀθηνᾶν ἐκ τοῦ οὐρανοῦ φησιν ἐλθεῖν παρὰ τῆς Ἥρας πρὸς τὸν Ἀχιλλέα; μήποτε δὲ συλληπτικῶς εἴρηται ἀπὸ τοῦ πλείω τὸ πᾶν. ὥσπερ γὰρ ἐπὶ τῶν ἡγεμόνων τῶν Ἀχαιῶν εἰπὼν ὅτι πάντες ἐκάθευδον („ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν εὗδον παννύχιοι" Il. 10, 1), ὅμως ποιεῖ τὸν Ἀγαμέμνονα ἐγρηγορότα καὶ τὸν Μενέλαον („ἐ γὰρ αὐτῷ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν" ib. 25); ὕτως ἐκ τοῦ πλείω τὸ πάντας ἠκολουθηκέναι τοὺς θεοὺς τῷ Διὶ εἴρηκεν· ἐ γὰρ δὴ θεῶν ἔμελλεν ὁ ἐρανὸς καταλείπεσθαι ἔρημος. B.

304. 305. 306. ἀθετοῦνται σίχοι γ', καὶ ἀσερίσκοι παράκεινται, ὅτι πρὸς μὲν Ἀφροδίτην δεόντως λέγουσι (200), πρὸς δὲ τὸν Δία οὐκέτι· οὐ γὰρ προσεδεῖτο προφάσεως, ἔχουσα τὸν κεστὸν ἱμάντα. καὶ τάχ' ἂν συνεφώρμησεν αὐτῇ· οὐ δεῖ οὖν παρακινδυνεύειν. A.

ἄλλως. ἠθετοῦντο παρὰ Ζηνοδότῳ. A.

307. ἔν ἑσι τὸ πρυμνωρείῃ, ὥσπερεὶ ἐν ἀκροπόλει. A.

ὡς ἀκρωρείᾳ· σημαίνει δὲ τὸ πρὸς τῇ ῥίζῃ τοῦ ὄρους τῷ ἐδάφει συνορίζον. BLV. τὰ δὲ ὑπὸ τοῖς ἄκροις ἀκρώρεια καλοῦνται. V.

308. τραφερήν: ἐκ τοῦ παρεπομένου τὴν γῆν· „μάλα δ' ὦκα περιτρέφεται" (Il. 5, 903) ἀντὶ τοῦ πήγνυται. V.

πρυμνωρείας καλοῦσι τὰ ἔσχατα καὶ κατώτατα τῶν ὀρῶν. D.

309. τὴν σεῦ περισπασέον· ἔσι γὰρ ἀντιδιαστολή. A.

310. μή πώς μοι: ἐντέχνως αὐτὸν γοητεύει ὡς τῇ ἐξουσίᾳ ἐκείνου τὰς ἰδίας ἐπιτελοῦσα (ὑποξέλλουσα V) χρείας. καὶ γυναιξὶ δὲ νομοθετεῖ τὰς ἐξόδους ποιεῖσθαι συγκεχωρημένας ὑπὸ τῶν ἀνδρῶν. BL.

μετέπειτα: Ζηνόδοτος καὶ Ἀριστοφάνης μετόπισθε. A.

313. Ἥρη κεῖσε μέν: ὅρα οἷόν ἐσιν ἡ φιλησονία, ὑπέρθεσιν ἑαυτῇ δεχόμενον καὶ τῶν καθηκόντων ἐμποιῶν ἀμέλειαν. BL.

314. τραπείομεν: ἀντὶ τοῦ τερφθῶμεν· ἐκτρέπει γὰρ τοῦ δέοντος ἡ ἡδονή. BL.

315. οὐ γὰρ πώ ποτε: τίνος ἕνεκεν τοσοῦτον ἀκρατῆ παρίσησι τὸν Δία ὡς μὴ δύνασθαι κρατεῖν ἑαυτοῦ; φαμὲν ἐν ὡς ἀπελογήσατο περὶ τούτου ἐν οἷς φησὶν „ἄ τ' ἔκλεψε νόον." ἄλλως τε διδάξαι βέλεται τὸν νέον ὁ ποιητὴς ὅσον ἐσὶ χαλεπὸν μὴ κρατεῖν τῶν παθῶν, ὅπου γε καὶ Ζεὺς ὁ παγκρατὴς πάθει νικηθεὶς ἐζημιώθη τὴν ὄνησιν ἣν ἐξ ἀγρυπνίας περιεποιήσατο. BLV.

ἐδὲ γυναικός: ἀντὶ τοῦ θνητῆς, ὡς καὶ ἀλλαχοῦ „ἠὲ θεὸς ἠὲ γυνή" (Od. 10, 228). ὡς μείζονα δὲ τὸν γυναικεῖον ἐπήγαγεν ἔρωτα· ἢ ὅτι ὁ τῶν ὁμοφύλων ἔρως ἐ λίαν ἐσὶν ἐπιτεταμένος, ὡς ὁ τῶν παρὰ φύσιν. BL. ἢ διὰ τὸ συμπλεκτικὸν χῆμα· „εἰσῆλθε καὶ ὑπέρβη λάϊνον ἐδόν" (Od. 23, 88). καὶ γὰρ πρώτας τὰς θνητὰς καταλέγει. καὶ „μήτε θεῶν τόγε δείδιθι μή τέ τιν' ἀνδρῶν ὄψεαι" (342). V.

ἡ διπλῆ, ὅτι ἐξαρκεῖ τὸ κεφαλαιωδῶς εἰπεῖν· τὸ δὲ ἐξ ὀνόματος ἐπιφέρειν ἐνέκοπτε μᾶλλον ἢ ἐπιθεν. A.

316. περιπροχυθείς: περισσῶς χυθείς. ὁ δὲ Χίων γράφει περιπλεχθείς. A.

317. κοινὸν ἄνωθεν νοεῖ ἐπὶ πάντων τὸ ἐδέποθ' ὕτως ἠράσθην· διὸ καὶ ἕκαζον τῶν λεγομένων αὐτὸ καθ' ἑαυτὸ κόμμα ἐσί· διόπερ αἱ σιγμαὶ ἐν αἰτήματι τίθενται. ἀπὸ τότε δὲ ἕως τοῦ „ἐδ' ὁπότε Λητὼς ἐρικυδέος" (327) ἀθετοῦνται σίχοι ιά', ὅτι ἄκαιρος ἡ ἀπαρίθμησις τῶν ὀνομάτων· μᾶλλον γὰρ ἀλλοτριοῖ τὴν Ἥραν ἢ προσάγει. καὶ ὁ ἐπιγόμενος

συγκοιμηθῆναι διὰ τὴν τῆ κεχῆ δύναμιν πολυλογεῖ. ϰ᾽ Ἀριστοφάνης προηθέτει. A.

Ἰξιονίης ἀλόχοιο: τῆς Ἰξίονος γυναικὸς Δίας. ἦν δὲ αὕτη θυγάτηρ Ἰηονέως (Ἠιόνος V, Ἰονέως D, Δηϊονέως Heynius)· μετὰ δὲ τὸ φθαρῆναι αὐτὴν ὑπὸ Διὸς ὕστερον Ἰξίονι ἐζεύχθη. ADV.

τῆς εἰς ὕστερον γενομένης Ἰξίονος· παρθένῳ γὰ ὁ Ζεὺς συγγίνεται. BLV. ἐναντίον δὲ αὐτῷ τὸ „Ἀγαμεμνονέην ἄλοχον" (Od. 3, 264) τὴν πρώην Ἀγαμέμνονος. V.

319. Δανάης: Δανάη Ἀκρισίᾳ θυγάτηρ, ἣ Διὶ συγκοιμηθεῖσα Περσέα ἐγέννησε. χρωμένῳ γάρ, φασί, τῷ Ἀκρισίῳ περὶ γενέσεως ἀῤῥένων παίδων ὁ θεὸς ἔφη γενέσθαι (ἔφη τὸν γενόμενον D) παῖδα ἐκ τῆς θυγατρὸς αὐτῷ ϰ᾽ αὐτὸν κτεῖναι· δείσας δὲ ὁ Ἀκρίσιος τοῦτο, κατὰ γῆς θάλαμον χαλκᾶν κατασκευάσας τὴν Δανάην ἐφρούρει. αὐτὴ δέ, ὥς φησι Πίνδαρος ϰ᾽ ἄλλοι τινές, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς ϰ᾽ φάσις ἐκινήθη. ἔνιοι δέ φασιν ὅτι Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν ϰ᾽ διὰ τῆς ὀροφῆς εἰς τὸν Δανάης ῥοῦς κόλπον συνῆλθεν. αἰσθόμενος δὲ Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγεννημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔῤῥιψεν εἰς θάλασσαν. διασωθέντων δὲ τούτων εἰς Σέριφον τὴν νῆσον, συνέβη ἀνατραφῆναι τὸν παῖδα παρὰ Πολυδέκτῃ (Πολυδεύκῃ BD) ἢ ὡς ἔνιοί φασιν, ὑπὸ Δίκτυος τοῦ ἀδελφοῦ Πολυδέκτου. φυγόντος δὲ ὕστερον Ἀκρισίου τὴν Ἀργείων βασιλείαν παρέλαβε Περσεύς. ABD.

ἐξ Εὐρυδίκης ϰ᾽ Ἀκρισίου. Εὐφορίων „ὀθνεῖον Πέρσης, λέων γὲ μὲν Εὐρυμέδοντα." τινὲς δέ φασι πλείονα Ἡρακλέους αὐτὸν εἰργασμένον ἐ τυχεῖν δόξης, ὅτι Διόνυσον ἀνεῖλεν, εἰς τὴν Λερναίαν ἐμβαλὼν λίμνην. V.

320. ἀριδείκετον: τινὲς πολὺ φίλτατον. V.

321. Φοίνικος κόρης: Φοίνικος ϰ᾽ Κασσιεπείας Εὐρώπη. A. ἔνιοι δὲ αὐτὴν ἐ Φοίνικος ἀλλ᾽ Ἀγήνορος εἶπον. τὰ δὲ περὶ αὐτῆς ἀκριβῶς εἴρηται ἐν τῇ Μ ῥαψῳδίᾳ (292) ἐν τοῖς περὶ Σαρπηδόνος. D.

322. Ἀρίσαρχος Μίνων (Ἀττικῶς V) σὺν τῷ ν, Ζηνόδοτος χωρὶς τοῦ ν. A. τινὲς Μίνωνα. V.

Ῥαδάμανθυν: ἐπεὶ ἐμάνη περὶ τὰ ῥόδα τὰ ὑπὸ τῶ ταύρου προϊέμενα ἡ Εὐρώπη, Ῥαδάμανθυν ἐκάλεσε τὸν παῖδα. A.

323. Ἀλκμήνης: Ἀλκμήνης τῆς Ἠλεκτρύονος καὶ Ἀναξοῦς τῆς Ἀγκαίου ἡράσθη Ἀμφιτρύων, ὃς ἀνελὼν Ἠλεκτρύονα βοῶν ἀμφισβητήσεως χάριν ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας· σὺν αὐτῷ δὲ ϰ᾽ Ἀλκμήνη. ὑποδεχθέντες δὲ ἀσμένως ὑπὸ τῶν βασιλευόντων τῆς πόλεως Κρέοντος ϰ᾽ Ἡνιόχης τιμῆς ἐτύγχανον μεγίστης. ἐ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι, εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσι Τηλεβόαι, κατηγωνίσατο αὐτὸς Ἀμφιτρύων, προσλαβόμενος συμμάχους Βοιωτοὺς ϰ᾽ Λοκρούς, ἔτι δὲ Φωκεῖς, ἑνιαυτὸν προσεδρεύσας. ὡς δὲ ὑποσρέψας ἀπὸ τῆς σρατείας ἦγε τὸς γάμους ἑαυτῷ τε ϰ᾽ Ἀλκμήνης, τῇ αὐτῇ νυκτὶ ἐραθεὶς αὐτῆς ὁ Ζεὺς ϰ᾽ εἰκασθεὶς Ἀμφιτρύωνι ἐμίγη ϰ᾽ υἱὸν ἐποίησεν· ὁμοίως δὲ ϰ᾽ Ἀμφιτρύων τῇ αὐτῇ νυκτί. ἤδη δ᾽ ἐκείνης τὸν ἑπταμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης, γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διός, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. ABD.

ἐνὶ Θήβῃ: ἐκεῖ γὰ ἐτέχθη Ἡρακλῆς. V.

φασὶ Δία συγκοιμώμενον Ἀλκμήνῃ πεῖσαι τὸν Ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας· ὅθεν ἐπὶ τρεῖς νύκτας συγκοιμηθεὶς αὐτῇ ὁ Ζεὺς τὸν τριέσπερον Ἡρακλέα ἐποίησεν. ABD. ἡ ἱσορία παρὰ Φερεκύδει. Vratislav. ap. Heyn.

Ἀλκαῖος ἐκαλεῖτο· ὁ δὲ Πύθιος „Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει· ἦρα γὰ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἔξεις." οἱ δέ, ὅτι Πορφυρίωνος ἐραθέντος Ἥρας προσκαλεσαμένης αὐτῆς ἐβοήθησε· διὸ παρὰ τὸ ὑπὸ τῆς Ἥρας κληθῆναι Ἡρακλῆς λέγεται. V.

324. ὅτι ἔχει τι Ὁμηρικόν· πρὸς γὰ τὸ δεύτερον πρότερον ἀπήντηκε. A.

325. Σεμέλης: Σεμέλης τῆς Κάδμου θυγατρὸς Διὸς ἐραθεὶς Ἥρας κρύφα συνηυνάζετο. ἡ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας, ἐπινεύσαντος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιῆσαι, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνησευόμενος Ἥραν. Ζεὺς δὲ μὴ δυνάμενος ἀνανεῦσαι παραγίνεται εἰς τὸν θάλαμον αὐτῆς ἐφ᾽ ἅρματος, ἀσραπὰς ϰ᾽ βροντὰς ὁμοῦ ϰ᾽ κεραυνὸν ἀφιείς. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλειπούσης, ἑξαμηνιαῖον τὸ βρέφος ἐξαμβλωθὲν ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέῤῥαψε τῷ μηρῷ. ἡ ἱσορία παρ᾽ Εὐριπίδῃ ἐν Βάκχαις. AD.

Διώνυσον: Διόνυσος ἀπὸ τοῦ Διὸς ϰ᾽ τῆς Νύσης τοῦ ὄρους. οἱ δὲ Διόνυξος· κερασφόρος γὰ τεχθεὶς ἔνυξε τὸν μηρὸν τοῦ Διός. B. οἱ δὲ Δεύνυσος, ἐπεὶ βασιλεὺς Νύσης δεινὸν Ἄραβας τὸν βασιλέα. ἢ ἀπὸ τοῦ πολλὰ διανύσαι ϰατορθῶσαι. οἱ δὲ ἀπὸ τοῦ δονεῖν τὰ σώματα. V.

χάρμα βροτοῖσιν: διὰ τὸ εὑρεῖν συκῆν ϰ᾽ ἄμπελον. D. σημειωτέον ὅτι καθ᾽ Ὅμηρον εὑρέτης οἴνου Διόνυσος. V.

326. καλλιπλοκάμοιο: πλοκάμους τὰς ϛάχυας δι᾽ νοεῖν, ὡς ϰ᾽ ἰσορῆσιν αὐτὴν ἐσεμμένην τοῖς ϛάχυσιν. BD.

327. Λητοῦς: Κοίου θυγατρὸς ἑνὸς τῶν Τιτάνων, ἧ δύο παῖδες, Ἀπόλλων ϰ᾽ Ἄρτεμις. D.

κατέλειψε δὲ Λήδαν, φασίν, ἐ τὴν ἐκ Διὸς Ἑλένην. μὴν Ἀντιόπην ἀφῆκε ϰ᾽ Διώνην· ἐ γάρ, ὥς τινες ψυχρευόμενοι, ἐπεὶ πρὸ Ἀφροδίτης ἐκ ἦσαν ἔρωτες. V.

328. σέο: ὀρθοτονητέον· ἀντιδιαζολὴ γὰ πρὸς ἄλλα πρόσωπα. A. ἡ δὲ χρῆσις ἐγκλίνει. V.

330. αἰνότατε Κρονίδη: γυναικείῳ ἤθει ἐπιπλήττει ὡς ἀπηρυθριακότα· αἰδῶ δὲ προφασίζεται, ἀπάξαι αὐτὸν τῆς Ἴδης θέλουσα πρὸς τὴν εὐκαιρίαν τῆς ἐπικουρίας. BL.

τελεία ϛιγμὴ μετὰ τὸ Κρονίδη· προσαγορευτικὴ γάρ ἐϛιν ἡ περίοδος. ἡ δὲ ἑξῆς ἀνάγνωσις ἀμφίβολος· ἤτοι ϗ καθ᾽ αὐτὸ ἀναγνωϛέον ποῖον τὸν μῦθον ἔειπες, εἰ ἀφ᾽ ἑτέρας ἀρχῆς εἰ νῦν ἐν φιλότητι, ἡμεῖς ὑποϛίζομεν κορυφῇσι ϗ ἅπαντα, ϛίζομεν δὲ μετὰ τὸ πῶς κ

ἔοι, εἶτα ἀπ' ἄλλης ἀρχῆς εἴ τις νῶϊ θεῶν ἀλειγενετάων, καὶ ὑποστίζωμεν ἀθρήσειε, πεφράδοι, ἢν ἡ ἀνάγνωσις οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα. οὕτως δὲ ἔσονται ἀνταποδοτικὴ περίοδοι ἀμφότεραι ὀρθαί, τοιαῦται. εἰ νῦν ἐπὶ τῆς Ἴδης κοιμηθῆναι βούλει, πῶς ἂν εἴη, οἷον πῶς ἂν ἐνδέχοιτο; ἡ δὲ ἑτέρα, εἴ τις ἴδοι τῶν θεῶν καὶ τοῖς ἄλλοις εἴποι, οὐκ ἂν ἔλθοιμι εἰς τὸν σὸν οἶκον. ἢ ἀνεστραμμένας αὐτὰς ποιητέον, συνάπτοντα οὕτως, ποῖον τὸν μῦθον ἔειπες, εἰ νῦν ἐν φιλότητι λιλαίεαι. A.

ἄλλως. ἔστι δὲ στιγμὴ ἐν κορυφῇσι καὶ ἅπαντα, εἶτα καθ' ἑαυτὸ ἀπορούσης τῆς θεοῦ πῶς κ' ἔοι, πῶς ἂν τοῦτο ἐνδέχοιτο. ἢ καὶ τοῦτο αὐτὸ τοῖς ἑξῆς συναπτέον, πῶς κ' ἔοι εἴ τις νῶϊ θεῶν, ἕως τοῦ πεφράδοι, εἶτα ἀφ' ἑτέρας ἀρχῆς, οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην. A.

333. στικτέον εἰς τὸ ἔοι. ἀντὶ τοῦ πῶς ἂν εἴη. V.

338. ἔστιν τοι θάλαμος: δοκεῖ μὲν αἰδημόνως διαλέγεσθαι, ἔστι δὲ οὐδὲ τοῦτο ἄτεχνον αὐτῇ, ἀλλὰ θέλει κατακλεῖσαι τὸν Δία εἰς τὸ δωμάτιον, ἵνα μὴ διαναστὰς ἐκ προχείρου περιαθρήσῃ τὴν μάχην. BL.

φίλος υἱός: ἡ διπλῆ, ὅτι ἐκ Διὸς καὶ Ἥρας καθ' Ὅμηρον ὁ Ἥφαιστος. καὶ νῦν μὲν ἴσως τις ἐρεῖ ἀμφίβολίαν εἶναι· ἐν Ὀδυσσείᾳ δὲ σαφῶς λέγει ὁ Ἥφαιστος. ὁ δὲ Ἡσίοδος ἐκ μόνης Ἥρας. A. καὶ „ἀλλὰ τοκῆε δύω" (Od. 8, 312)· αἰτιᾶται ὅτι τῶν αὐτῶν Ἄρει ὢν τοκήων οὐκ ἔστιν ἀρτίπους ὡς ἐκεῖνος. V.

ἔνθ' ἴομεν: ὅτι εἰς τόπον πάλιν τὸ ἔνθα. V.

340. Ζηνόδοτος καὶ Ἀριστοφάνης ἐπεί νύ τοι εὔαδεν εὐνήν. A.

τὸ εὔαδεν ὁ Ἀσκαλωνίτης ψιλοῖ, λέγων ὡς ὅτι τὰ δασυνόμενα ἐν τῇ ἐπενθέσει τοῦ υ ψιλοῦται, ὡς ὅλος οὖλος· οὕτως οὖν καὶ τὸ ἔαδεν εὔαδεν γένοιτο ψιλούμενον. ἐγὼ δὲ πρὸς τὴν συνήθη ἀνάγνωσιν, δασύνουσαν τὸ ᾱ, ψιλοῦσαν δὲ τὴν ευ διφθογγον. καὶ ἔχομεν ἐκεῖνο εἰπεῖν, ὡς εἰ ἴδιον συνθέτων λέξεων τὸ καὶ κατὰ μέσον δασύνεσθαι, οἴδαμεν δὲ καὶ τὸ ἅδε ῥῆμα συνεχῶς παρὰ τῷ ποιητῇ („ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων" Il. 12, 80), εἰκότως ἂν φήσαιμεν ὅτι τὸ εὖ ἐπίῤῥημα προσῆλθε, καὶ οὕτως ἐφυλάχθη τοῦ ῥήματος ἡ δασεῖα ὡς ἐν λέξει συνθέτῳ· τὸ μέντοι ἔαδε διαίρεσίς ἐστι τοῦ ἧδε. A.

342. θεὸν: ἄμεινον θεῶν, ὡς ἀνδρῶν. πᾶς δὲ τόπος τῇ νομίμῃ μίξει θάλαμός ἐστι, τῇ δὲ ἀθέσμῳ οὔ. ἀμέλει Ἄρεα οὐκ ἔκρυψεν οὐδὲ ἡφαιστότευκτος ὢν ὁ θάλαμος. BL.

343. ἀμφικαλύψω: περιβαλῶ, ὡς τὸ „πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψεν" (Il. 5, 315). BL.

344. χρύσεον: μὴ μεμφέσθω Πλάτων χρυσοῦν νέφος καὶ ἥλιον νικῶν, οἷον ἂν οὐδὲ Ἥφαιστος ποιήσειε, καὶ εὐνὴν ἐξ ἀνθέων· (τοιοῦτος δέ ἐστιν οἷος καὶ Ποσειδῶν, καλύπτων κύματι τὴν μίξιν Od. 11, 243. V). τρεῖς δέ εἰσι τρόποι καθ' οὓς πᾶσα ποίησις θεωρεῖται, ὁ μιμητικὸς τοῦ ἀληθοῦς, φιλοπάτωρ, μισογύνης, ἄπιστος, παῤῥησιαστής· ὁ κατὰ φαντασίαν τῆς ἀληθείας, ὃν δεῖ μὴ κατὰ μέρος ἐξετάζειν, οἷον οὐχ ὅτι ψυχαὶ γεύονται καὶ λαλοῦσι, πάντως ἐρεῖ τις καὶ γλῶσσαν ἔχουσι καὶ βρόγχον· τρίτος δὲ ὁ καθ' ὑπέρθεσιν τῆς ἀληθείας καὶ φαντασίας, Κύκλωπες, Λαιστρυγόνες, καὶ ταῦτα τὰ περὶ θεῶν. BL.

345. οὔ τε καὶ ὀξύτατον: πῶς οὖν ὁ Ὕπνος διικνεῖται διὰ τοῦ νέφους; ἢ οὐχ ὁ σωματοειδὴς ὕπνος, ἀλλὰ τὸ πάθος. BL.

346. ἦ ῥα, καὶ ἀγκὰς: Πορφυρίου. πολλοί τινα χλεύην καὶ μακρὸν ἡγοῦντο κατάγελων τοὺς ἀκαίρους Διὸς ὕπνους ἐν Ἴδῃ καὶ τὴν ὄρειον ὥσπερ ἀλόγοις ζῴοις ὑπεστρωμένην εὐνήν, ἐν ᾗ δυσὶ τοῖς ἀφρονεστάτοις πάθεσι δεδούλωται Ζεύς, ἤγουν ἔρωτι καὶ ὕπνῳ. νομίζω τοίνυν ἔγωγε αὐτὰ ταῦτα δι' ἀλληγορίας ἐαρινὴν ὥραν ἔτους εἶναι, καθ' ἣν ἅπαντα φυτὰ καὶ πᾶσα χλόη ἐκ γῆς ἀνίεται, τοῦ παγετώδους ἡσυχῇ λυομένου κρύους. ὑφίσταται δὲ τὴν Ἥραν, τουτέστι τὸν ἀέρα, στυγνὸν ἀπὸ χειμῶνος ἔτι καὶ κατηφῆ· διὰ τοῦτο, οἶμαι, πιθανῶς φησὶ „στυγερὸς δ' αὐτῇ ἔπλετο θυμός" (158). μετὰ μικρὸν δὲ ἀποκρουσαμένη τὸ συννεφὲς τῆς ἀηδίας „λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ ἀμβροσίῳ ἑανῷ" (171) ἡ λιπαρὰ καὶ γόνιμος ὥρα· διὰ τοῦτο μετὰ τῆς τῶν ἀνθέων εὐωδίας ὑποσημαίνεται τοιούτῳ χρίσματι τὴν Ἥραν ἀλειψαμένην. τούς τε πλοκάμους αὐτήν φησιν ἀναπλέξασθαι „καλούς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο" (175), τὴν τῶν φυτῶν αἰνιττόμενος αὔξην, ἐπειδὴ δένδρον ἅπαν κομᾷ καὶ θριξὶν ὁμοίως ἀπὸ τῶν κλάδων ἀναρτᾶται τὰ φύλλα. δίδωσι δὲ ἐγκόλπιον τῷ ἀέρι καὶ τὸν κεστὸν ἱμάντα „ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς" (216), ἐπειδήπερ αὕτη μάλιστα τοῦ ἔτους ἡ ὥρα τὸ τερπνότατον ἐπεκληρώσατο τῶν ἡδονῶν μέρος· οὔτε γὰρ ὑπὸ τοῦ κρύους λίαν πεπήγαμεν οὔτ' ἄγαν θαλπόμεθα, μεταίχμιον δέ τι τῆς ἑκατέρωθεν ἀκρασίας ἐν τοῖς σώμασιν ἀνεῖται. τοῦτον τοίνυν τὸν ἀέρα συνέμιξεν Ὅμηρος μετὰ μικρὸν τῷ αἰθέρι· διὰ τοῦτο ἐπὶ τῆς ὑψηλοτάτης ἀκρωρείας καταλαμβάνεται ὁ Ζεύς, ἐν ᾗ „δι' ἠέρος αἰθέρ' ἵκανεν." ἔνθα δὲ κίρναται καθὲν ἀναμιχθεὶς ὁ ἀὴρ τῷ αἰθέρι, ἐμφαντικῶς τὴν ὀνομασίαν εἶπεν „ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν·" ἀγκαλίζεται γὰρ ἐν κύκλῳ περιέχων ὁ αἰθὴρ ὑφηπλωμένον αὐτῷ τὸν ἀέρα. τῆς δὲ συνόδου καὶ κράσεως αὐτοῦ τὸ πέρας ἐδήλωσε τὴν εἰαρινήν, εἰπὼν „τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην, λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν." ἴδια στέφη ταῦτα τῆς ἄρτι θαλλούσης ὥρας, ἐπειδὰν ἐκ τῶν προχειρίων παγετῶν ἡ στερίφη καὶ μεμυκυῖα πηγὰς κυοφορουμένας ἔνδον ὠδῖνος ἐκφήνῃ. προσεπισφραγιζόμενος δὲ τοῦτο, τὸν λωτὸν εἶπεν ἑρσήεντα, τὸν δροσερὸν τῆς ἐαρινῆς καταστάσεως ἐμφανέστερον ποιῶν καιρόν. „ἐπὶ δὲ νεφέλην ἕσσαντο καλήν, χρυσείην, στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι." τίς ἀγνοεῖ τοῦτο, ὅτι χειμῶνος μὲν ἐπάλληλα πυκνώματα τῶν νεφῶν ἐκμελαίνεται, καὶ μετὰ θολερᾶς ἀχλύος κατηφὴς ἅπας ὁ οὐρανὸς ἀμαυροῦται, τοῦ δὲ ἔαρος ὑποχίζοντος ἀργὰ τὰ νέφη μαλακῶς ὑποσπείρεται ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐναγκαλιζόμενα, καὶ παραπλήσιόν τι χρυσαῖς μαρμαρυγαῖς ἀποστίλβει; τοῦτο δὴ τὸ περὶ τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἴδην κορυφαῖον ἡμῖν νέφος τῆς εἰαρινῆς ὥρας δημιουργὸν Ὅμηρος ἐδήλωσεν. B.

347. τοῖσι δ' ὑπὸ χθών: ἐμπεσὼν (ἐκπεσὼν D) εἰς φορτικῆ πράγματος διήγησιν ἐφ' ἕτερα τὸν λόγον μετήγαγε, τὰ ἀπὸ τῆς γῆς φυόμενα ἄνθη καὶ τὸ νέφος, δι' ὧν ἀπέκλεισε τὸ περαιτέρω πολυπραγμονεῖν ἡμᾶς. ἀνθηρῶς δὲ γράφει τὴν εὐνήν, καὶ προθεὶς τὸ γένος ποίην ἐπιφέρει τὸ εἶδος. ἐκ εἶπε δὲ ῥόδον διὰ τὸ ἀκανθῶδες. νεοθηλέα δέ, ἐπεὶ τὴν ἄλλην ἐνεμήθη καὶ ἐπάτησε τὰ ζῷα. κατὰ συλλογισμὸν δὲ ἡ ὑπεροχή, εἴγε καὶ τὰ ἄψυχα αἰωθάνεται τῆς δυνάμεως τῆ θείᾳ. BDL.

348. λωτόν: εἶδος χόρτου ἐλείου· διὸ καὶ ἐρσήεντα, ὅ ἐστι δροσώδη. AD.

349. ἔεργε: ἀντὶ τοῦ ἀνέσελλεν, ὡς „ἐπ' ἀριστερὰ λαὸν ἔεργον" (Il. 12, 201). V.

ἐκ εἴα αὐτὸς ἐπὶ γῆς θλίβεσθαι, ἀλλ' ἀνεῖχε καὶ ἀπεκώλυεν αὐτός. D.

οὕτως Ἀρίσταρχος, ἔεργε τὸν Δία καὶ τὴν Ἥραν. ἐν δέ τισιν ἄειρε καὶ ἔερπε διὰ τοῦ π· ἐν δὲ τῇ Χίᾳ, Ἔκανε. Ζηνόδοτος ἵν' ἀπὸ χθονὸς ἀγκαζέσθην. A.

350. τῷ: τινὲς τῷ ἀπ' αὐτῶν θαλλῷ. V.

351. χρυσείην: αἰθέριον, ἐπειδὴ πυρωδῶν ὁ αἰθὴρ χρυσίζει. V.

σιλπναί: ὁμοίως τῷ ἰχναί· τὰ γὰρ εἰς νος δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ὀξύνεσθαι θέλει, πρυμνός ἰχνός πυκνός. ἐναντιῶται τὸ λίχνος· τὸ γὰρ λάγνος ἔννοιαν ἔχει συνθέσεως. A.

ὥσπερ παρὰ τὸ θάλπω θαλπνός, τέρπω τερπνός, ἑτως παρὰ τὸ σίλβω σιλπνός. BL.

ἀπέπιπτον: Ζηνόδοτος ἐπέπιπτον. A.

Ζηνόδοτος γράφει ἀνέπιπτον, ἀντὶ τοῦ ἐπέπιπτον, ὡς „χρυσέαισιν ἀν' ἵπποις." V.

ὁ Ἀσκαλωνίτης ἀξιοῖ παροξύνειν τὸ ἔερσαι ὁμοίως τῷ εὐτέρπαι· καὶ γὰρ τὸ ἑνικὸν ἔερση ἐστί („μή μ' ἄμυδις σίβη τε κακὴ καὶ θῆλυς ἔερση" Od. 5, 467), τὰ δὲ εἰς η λήγοντα θηλυκὰ μονογενῆ ὁμότονα ἔχει τὰ πληθυντικά, Ἑλένη Ἑλέναι· ἕτως εἰ ἔερση, καὶ ἔερσαι. ἠλιθίως πάνυ· ἐγὼ δ' ἐνόησεν ὅτι τὸ ἑνικὸν διὰ τὴν μετάληψιν τοῦ ᾱ εἰς η πρὸ τέλους ἔχε τὸν τόνον, ὁμοίως τῷ ἄελλα ἄελλη, οὕτως ἔερσα καὶ ἔερση· εἰ δὲ τὸ πληθυντικὸν οὐκέτι ἀντιθέσεως ἔχεσθαι, ἀπολήψεσθαι τῆ ἔερσα προπαροξυνομένῃ τὸν τόνον. A.

ἐπάγουσι δέ τινες „δή ῥα τότ' ὀφθαλμοῖσι Διὸς χύτο νήδυμος ὕπνος." τῆτο δ' δεῖ δηλωθῆναι. V.

354. ἡ διπλῆ, ὅτι σὺν τῷ ν νήδυμος. A.

355. ἀγγελίην ἐρέων: διὰ τὴν ἐπαγγελίαν τῆς ἐρωμένης καὶ ἃ μὴ κελεύσθη ὁ Ὕπνος ποιεῖ· ἐγὼ γάρ ἐστι τῶν συμμαχόντων, ὡς ἐδὲ Ἥλιος ἐδὲ Δημήτηρ. BL.

πόθεν μαθὼν ταῦτα ἀπαγγέλλει; ἢ συνῆκεν ἐκ τῆ εἰρημένῃ ὑπὸ τῆς Ἥρας „ἦ φῆς ὡς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν" (265). BL.

359. κῶμα καλύψω: ἐν ἄλλῳ κῶμ' ἐκάλυψα. A.

360. Ἥρη δ' ἐν φιλότητι: ἐκ ἀναγκαίως, φασί, τὰ ἀπόῤῥητον ἐξήνεγκεν. ἢ πρὸς τὸ θαῤῥαλεώτερον ποιῆσαι Ποσειδῶνα τὴν τέχνην τῆς Ἥρας ἐδήλωσεν. BL.

361. ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων: εἰκότως ἐπὶ τὰ φῦλα τῶν ἀνθρώπων πορεύεσθαι κατακοιμίσων αὐτός· οὐ γὰρ ἐμπεριέχεσθαι ὁ Ὕπνος τόπῳ. BL. εἰ δὲ ἕως κίου Λῆμνον ὑπέρεψεν ἂν ἐκεῖ, ὡς ἄνεμοι καὶ Ἄρης καὶ Ἀφροδίτη. V.

362. ἀνῆκεν: ἀνέπεισεν ἢ παρώρμησεν. ἀπὸ τῶν ἵππων ἡ μεταφορά, οἷς τὰς ἡνίας ἀνιᾶσιν. BLV.

363. μέγα προθορὼν ἐκέλευσεν: μέγα καὶ τὸ ἐκέλευσε καὶ τὸ προθορών. V.

ἐν ἤθει ὁ λόγος. λείπει δὲ ταῦτα λέγων. V.

364. Ἀργεῖοι: ταῦτα καὶ τὰ ἑξῆς κατ' ἐπερώτησιν ἀναγνωσέον. A.

ἐν ἤθει καὶ καθ' ἐρώτησιν ὁ λόγος. διεγείρει δὲ αὐτὸν διὰ τῆ λέγειν ὅτι τὰς νῆας ὁ Ἕκτωρ ἑλεῖ. BL.

366. εὔχεται: ἐκ ἔλπει, ἀλλ' εὔχεται· καυχηματίαι γάρ ἐστιν ὁ Ἕκτωρ. ἐμείωσε δὲ αὐτὸν ἐκ ἀλκῇ θαῤῥῶν, ἀλλὰ τῇ σπάνει τῶν πολεμίων. BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει καὶ ἔλπεται. ἁρμόττει δὲ τῷ προσώπῳ τὸ εὔχεται, καυχᾶται. A.

368. ἔτι λίην: περισσευόμενος· ἄμεινον γὰρ τῆ μηδ' ὅλίγα, ἃ τοσαύτη, φησί, χρεία γένηται Ἀχιλλέως, ἐὰν ἀλλήλοις παροξύνωμεν εἰς βοήθειαν. διδάσκει δὲ ὅτι δυνατὸν πεφύκασιν εἶναι τῶν πολεμίων τὰς ὁμοψύχους καὶ φιλαλλήλους. BL.

371. ὑποσικτέον κατὰ τὸ τέλος τῆ σίχε· λείπει γὰρ εἰσίν. A.

372. τὸ παναίθησιν οἱ πλείους προπερισπῶσιν, φράνωρ δὲ βαρύνει. φιλεῖ δὲ τὰ εἰς η λήγοντα θηλυκὰ σύλλαβα, ὀξυνόμενα, συντιθέμενα καὶ μὴ γινόμενα κύρια, τοτὲ μὲν φυλάσσειν τὸν τόνον, ὅτε μετὰ προθέσεως κεῖσθαι, τοτὲ δὲ ἀναβιβάζειν, ὅτε ἀ μετὰ προθέσεως. ἔστι τομὴ ἀνοχὴ συνοχή· ἰσοδόκη δὲ καὶ καπνοδόκη λατύπη καὶ συνοχόη. εἴπερ ἓν καὶ τὸ παναίθη ἀ μετὰ προθέσεώς ἐξ, κατονηθήσεται. τάχα δὲ καὶ παρώνυμόν ἐξι, καὶ πάλιν ὀφείλει βαρύνεσθαι· ὡς γὰρ παρὰ τὸ καλὸς ἐγένετο πάγκαλος καὶ παγκάλη, ἔστιν καὶ παρὰ τὸ αἶθος πάναιθος, ᾧ ἀκόλουθον τὸ παναίθη. A. ὡς περιξέξη. V.

βαρυντέον τὸ παναίθησι. τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ δισύλλαβα, ὀξυνόμενα, ἐν τῇ συνθέσει μὴ γινόμενα κύρια, τοτὲ μὲν φυλάσσει τὸν τόνον, ὅταν μετὰ προθέσεως τίθηται, ὡς τὸ ἀνατολή· εἰ δὲ μετὰ ἄλλε τινός, ἀναβιβάζει τὸν τόνον, ἰσοδόκη καπνοδόκη. ὥστε καὶ τὸ ὑδρορόη παρὰ τοῖς ἀρχαιοτέροις Ἀττικοῖς ἀναλόγως βαρύνεται, ἐπὶ δὲ ἀναῤῥοή βαρυνόμενον παρ' αὐτοῖς σημειωτέον. παναίθη δὲ ἀντὶ τῆ ὁλολάμπροις. BLV.

376. ὅς δέ κ' ἀνήρ: λείπει τὸ ᾖ, ὅς ἂν ᾖ· διὸ τρισυλλαβὴς καὶ ἐπὶ τῷ μενέχαρμος. A.

ἔχῃ: Ἀρίσταρχος διὰ τῆς ει διφθόγγε, ἔχει. A.

ἕτος καὶ ὁ ἑξῆς ἀθετῆσθαι, ὅτι γελοῖον μὴ τὰ ἁρμόττοντα ἀναλαμβάνειν, ἀλλὰ μείζονα εἰς ἐμποδισμὸν τῆς χρήσεως.

τό τε μενέχαρμός φησιν ἐκ οἶδεν ὁ ποιητής. τί ἦν ἐξὶ τὸ „τοῦ δ' Ἀντίλοχος μενεχάρμης" (Il. 13, 396). Ζηνόδοτος δὲ προηθέτει. A.

τὲς δύο Ζηνόδοτος μὲν οὐδὲ γράφει, Ἀριστοφάνης δὲ ἀθετεῖ. V.

ὀλίγον σάκος: μικρὰν ἀσπίδα· ἔξι δὲ ποσότης ἀντὶ πηλικότητος. AD. τινὲς δὲ ὀλίγον ἀνάξιον πρὸς τὴν κατασκευήν, μεῖζον δὲ ὃ ἄριστον ἂν εἶπεν. V.

379. τὲς δ' αὐτοὶ βασιλῆες: καλῶς αὐτὲς οἱ τραυματίαι κοσμῆσιν, ἐκ τῆς ἰδίας διεγείροντες εὐψυχίας πρὸς προτροπὴν γενναίων ἔργων. BL.

συλληπτικῶς τὸ ἐτάμενοι· Δισμήδης γὰ βέβληθ. V.

382. ἐσθλὰ μὲν ἐσθλός: τοῦτο ποιοῦσιν, ὅπως τὰ ἀσφαλέστερα ἔχοντες οἱ ἄριστοι κινδυνεύοιεν προθύμως. ἢ πῶς μετενδιδύσκονθ; ἐπισφαλὲς γὰ εἶναι δοκεῖ τὸ ἐναλλάσσειν τὰς πανοπλίας ἐν πολέμῳ, ὁπότε ἢ τὲς ὡπλισμένες ἐπιτηροῦντες ἐτίτρωσκον· „ἦ ῥ' ἴδε γυμνωθέντα βραχίονα" (Il. 12, 389) ἢ „πλευρὰ τά οἱ κύψαντι" (Il. 4, 468). ἔχουσιν ἓν σκέπην τὰς ναῦς, ἀσπίδας ἀμείβουσιν. ἀλλ' ἐκ ἂν ὡμολόγησέ τις χείρων εἶναι, ὡς μὴ ἀτιμωθείη. ἀλλ' ἐωρῶντο· „ᾧ θυμῷ ἦρα φέροντες ἀφέσασαν." εἰκός τε ἦν αὐτὲς πειθήσεαθ διὰ τὸ μέγεθος τῆ ἐπὶ ταῖς ναυσὶ κινδύνῳ, ἐπεὶ ἢ οἱ πλέοντες ἐν κινδύνῳ αὐτόχειρες γίνονθ τῶν σκευῶν, τὲς ναύτας παρωσάμενοι, εἰ ἄτεχνοί εἰσι. πῶς τε ἐκ ἦμελλον ἀπὸ τῆ νῦν γενναίως ἕκαστος πολεμεῖν, εἰδὼς ὡς ζῶν ἀπὸ πολίτε σκυλευθήσεθ μὴ πολεμῶν; BL.

χέρεια: ὡς τὸ πλέα συγκέκοπται. V.

ἡ διπλῆ, ὅτι ἕτος ὁ εἶχος τὲς προκειμένες ἀναιρεῖ· βέλτιονα μὲν γὰ τῇ κατασκευῇ ἐνδέχεθ ἀναλαμβάνειν, μεῖζονα δὲ ὄ. ἔνια δὲ τῶν ὑπομνημάτων δῶκεν ἀντὶ τοῦ δόσκεν· ἢ ἔξιν εὐφραδέστερον. A.

ἄλλως. ἕτως Ἀρίσαρχος, δόσκεν· ἐν τισὶ δὲ δῶκε. L.

383. νώροπα: τὸν λαμπρὸν ἢ εὐόρατον, παρὰ τὸ νοῆσαι, οἷον νοηρός νωρός, ὡς παρὰ τὴν βοὴν καὶ „βώσαντι ἐοικυῖαν" (Il. 12, 337). ὡς δὲ τῷ οἶνος ἀντιπαράκειθ οἰνοψ, σκόλοψ, ἕτως νῶρος νῶροψ. LV.

χαλκόν: τὴν ἐκ χαλκῆ ὕλην. V.

385. ἄορ: τινὲς τὴν τρίαιναν, ἐπεὶ ἢ Ἀρκάδες ἢ Αἰτωλοὶ πᾶν ὅπλον ἄορ καλῆσιν, ὅθεν ἢ „χρυσαόρῳ Ἀπόλλωνος" (Il. 5, 509) ἢ „Ἀθηναίης δολιχαόρου ἱερὸν ἄγυ." ὁ δὲ ποιητὴς μόνον τὸ ξίφος, παρὰ τὸ αἰωρεῖαθ. V.

387. δαΐ: ὁ Ἀσκαλωνίτης βαρύνει ὡς Θέτι· οἱ δὲ πλείες ὡς φλεαί ὀξύνεσιν, οἷς συγκατατίθεμαι. εἰ μὲν γὰ ἦν ἡ εὐθεῖα, ὡς οἴεθ ὁ Ἀσκαλωνίτης, δάϊς ὡς Θέτις βαρυνομένη, ἢ ὡς „πάντα Θέτι καλλιπλοκάμῳ" (Il. 18, 407), ἕτως δαΐ, πρῶτον ἐκτεινεαθ δεήσει τὸ ῑ, δεύτερον ἐκεῖνο ὁρῶμεν ἐναντιούμενον. τὰ γὰ εἰς ις λήγοντα καθαρὸν θηλυκά, τῷ ᾱ παραληγόμενα, ἢ φιλεῖ βαρύνεαθ· τοὐναντίον δὲ ὀξύνεαθ — ὁ δὲ λόγος ἐπὶ τῶν Ἑλληνικῶν, ἵνα μή τις τὸ Ξάϊς ἢ Σάϊς ἀντιθῇ, κείμενα παρ' Ἡροδότῳ —, οἷον Θηβαΐς Δαναΐς Λαΐς Θαΐς. ἕτως ἄρα δαΐς, χωρὶς εἰ μὴ λέγοι τις τοῦτο βεβαρυτονῆαθ πρὸς ἀντιδιαστολὴν τῆ ὀξυνομένη, ὥσπερ ἢ τὸ ἀκρίς. ἄμεινόν ἐξιν ἐκεῖνο λέγειν ὡς ὅτι εἴτε ἀπὸ τῆς δαΐς βαρυνομένης εἴτε ὀξυνομένης ἡ προκειμένη ἐξὶ δοτική, ὀφείλει ὀξύνεαθ τῷ τὰς εἰς ῑ συνεσταλμένον ληγούσας δοτικὰς ἢ μὴ συναλειφθείσας ἐπ' ὀνομάτων ἀρσενικάς τε ἢ θηλυκὰς ὀξύνεαθ, μηνί χηνί· ταύτῃ ἢ λιτί. οὕτως ἢ ἦ δαΐ, εἴτε ἀποκέκοπθ εἴτε συγκέκοπθ, ὀξυτονηθήσεται. A.

ἄλλως. ὅτι βαρύνεθ ἡ εὐθεῖα δάϊς, διδασκόμεθα ἐκ τῆς παρὰ Καλλιμάχῳ αἰτιατικῆς „ἐς δάϊν ὁπλισμὸν ἵππειον·" ἡ γὰ τοιαύτη αἰτιατικὴ βαρυνομένην αἰτεῖ εὐθεῖαν. καὶ τὸ δῆϊς συνομολογεῖ τῷ τόνῳ· τραπέντος γὰ τῆ ᾱ εἰς ῆ ἢ τῆ ῑ πλεονάσαντος ἐγένετο. A.

389. ἕτως διὰ τῆ ᾱ γραπτέον τάνυσσαν. A.

391. ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν. A.

392. ἐκλύσθη: ἐκλυδωνίαθη συναγανακτοῦσα Ποσειδῶνι ἢ αὔξουσα τὴν βοὴν τῶν Ἀχαιῶν. παρατηρητέον δὲ ὅτι πρὶν εἰπεῖν τι τῶν κατὰ τὴν μάχην, θορυβεῖ τὸν ἀκροατήν. BL.

394. οὔτε θαλάσσης κῦμα: περισπούδαστόν τι δηλοῖ τὰς τοιαύτας πληθύνων παραβολάς. τρία δὲ ταῦτα ἴσμεν ἐν ἀνθρώποις ἰσχυρότατα, θαλάσσης κίνησιν, πυρὸς βρόμον, ἀνέμου ὁρμήν. παρέλαβε δὲ αὐτὰ πρὸς αὔξησιν, καί φησιν, οὔτε κῦμα πελάγιον περιῤῥησσόμενον ἄκρῳ τόπῳ κατὰ χαλεπὴν λύσσαν Βορέου, εἶτα τὸν βρόμον τῆ πυρὸς οὐ κατοικιδίᾳ ἀλλ' ἔρεος ἐν βήσσῃς, ᾗ ἐξὶ κοιλώμασι· ψιλαὶ γὰ αἱ ἀκρώρειαι ὡς εἶναι ὅλᾳ ὄρες ἐμπρησμόν. εἶτα ὁ ἄνεμος οὐ διὰ μαλακῆ ἀέρος ἀνεμποδίσως θέων ἀλλὰ δι' ἀντιτύπων· περὶ δρυσὶ γὰ ὑψηλαῖς ἀντετειχισμέναις τῷ πνεύματι. οὐ παραβολαῖς δὲ χρῆται ἀλλ' ὑπερθέσεσιν, ὡς οὐκ ἔχων εἰκάσαι τὴν φωνὴν διὰ τὸ μέγεθος. ἑκάστῃ δὲ τῶν εἰκόνων ἐν ἄλλοις κατ' ἰδίαν χρησάμενος,*) νῦν πάσας ἅμα παραλαμβάνει. διὰ δὲ τοῦ βοάᾳ δηλοῖ ὡς οὐκ εἰς ὁμαλὴν ἠϊόνα ἐκπίπτει, εἰς ἀνώμαλον (ἀντίτυπον V) δὲ χέρσον, καὶ πνοιῇ βορέαο, ὃς εἴωθε κύματα μακρὰ κυλίνδειν. καὶ διὰ τῆς ἐκτάσεως τοῦ σοιχείε μεμίμηθ τὴν ἐπὶ πλείονα ἔκτασιν τοῦ ἤχυ, ὡς ἐπὶ τῆ „ἠϊόνες βοόωσι." ἀλεγεινῇ δέ, ἀλγεῖν παρεχέσῃ τοῖς ἐντυγχάνεσιν. BL.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος τούτων τῶν ὁμοιώσεων τὴν πρώτην τρίτην τέταχεν. ὁ δὲ Ὅμηρος τὰ ἐπιτα-

*) τῇ μὲν ἀπὸ θαλάσσης οὕτω κέχρηται· „ὡς δ' ὅτ' ἐπὶ προχοῇσι Διιπετέος ποταμοῖο βέβρυχε μέγα κῦμα ποτὶ ῥόον, τόσσῃ ἄρα Τρῶες ἴαχῃ ἴσαν" (Il. 17, 263). τῇ δὲ ἀπὸ τοῦ πυρός· „ὡς δ' ἀναμαιμάει βαθὲ ἄγκεα Θεσπιδιὲς πῦρ Ἄρεος ἀζαλέοιο, βαθεῖα καίεται ὕλη" (Il. 20, 490). τῇ δ' ἀπὸ τῶν ἀνέμων· „ὡς δ' Εὖρός τε Νότος τ' ἐριδαίνετον ἀλλήλοισιν οὔρεος ἐν βήσσῃς βαθέην πελεμιζέμεν ὕλην, φηγόν τε τανύφλοιόν τε κράνειαν, αὖτε πρὸς ἀλλήλης ἔβαλον τανυήκεας ὄζους ἠχῇ Θεσπείῃ, πάταγος δέ τε ἄγνυμενάων" (Il. 16, 765). V.

τικώτερα λέγει· πάντων δὲ ἐπιτατικώτερον ἀνέμῳ φορά, ἥτις καὶ τὰ ἄλλα κινεῖ, θάλασσαν καὶ πῦρ. A.

396. τόσσός γε: Ἀρίσαρχος φυλάσσει τὴν ὀξεῖαν ἐπὶ τῆς τοσ συλλαβῆς, ὁ δὲ Τυραννίων τοσσός γε ἀνέγνω, τὴν σος συλλαβὴν ὀξύνων, ἀκ εὖ· ὁ γὰ γέ ἐκ ἀλλάσσει τὸν τόνον τῶν πρὸ ἑαυτῦ λέξεων. εἰ δέ τις λέγοι ἐπέκτασιν εἶναι, μὴ σύνδεσμον, ἴσω ὅτι τὸ ἐναντίον χωρήσει· ἡ γὰρ διὰ τῦ γέ ἐπέκτασις τρίτην ἀπὸ τέλυς ἐποίει τὴν ὀξεῖαν, ἔγωγε ἔμοιγε. A.

Ζηνόδοτος τόσος γε. V.

βρόμος: κυρίως ὁ τοῦ πυρὸς ἦχος· ὅθεν καὶ τὸν Διόνυσον, ὄντα ἔφορον τῦ πυρός, καὶ αὐτὸν Βρόμιον καλῶσιν, ἀντὶ τῦ τὸν ἐπὶ τῦ πυρός. ἐν οἷς οἱ ποιηταὶ κὰ τὸν μῦθον ἔπλασαν ὅτι ἐκ Διὸς καὶ Σεμέλης ὢν ἐβλήθη τῷ κεραυνῷ, καὶ ὅτι πυρογενής ἐστιν. AD.

397. ὤρετο: ἔν τισι τῶν ὑπομνημάτων ὤρορε, κὰ ἔστιν ὅμοιον τῷ „ὦρορ' ἐπαΐξας" (Il. 2, 146). A.

398. τόσσον γε: ἔτως διὰ τῦ ν̄, τόσσον γε. A.

Ζηνόδοτος τόσσος γε. A.

399. χαλεπαίνων: χαλεπῶς ἐμπίπτων. ὁ δὲ ἄνεμος ἐκ παρατρίψεως κάει τὰ δένδρα. V.

400. ὅσση: ἔξω τῦ τ̄ αἱ Ἀρισάρχε· ἔτως κὰ Ζηνόδοτος κὰ Ἀριστοφάνης. ἄλλοι τόσση. AB.

ἄλλως. ἀφ' ἑτέρας ἀρχῆς ταῦτα. Ἀρίσαρχος δὲ χωρὶς τῦ τ̄ γράφων, ὅσση ἄρα Τρώων, πάντως τοῖς ἄνω συνάπτει, ἵν' ᾖ ὁ λόγος ἀνταποδοτικὸς ἀνεσταλμένος· οὐ τοσῦτον βοᾷ τὰ εἰρημένα ὅση τῶν Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή. A.

τῶν δὲ τριῶν παραβολῶν τινὲς τὴν πρώτην τιθέασιν. V.

402. Αἴαντος: ὅτι πρόθεσις παρεῖται κὰ πτῶσις ἥλλακε, ἀντὶ τῦ ἐπ' Αἴαντα. A. ὡς τὸ „ὥρμηθη δ' Ἀκάμαντος" (488). V.

ἀκόντισε φαίδιμος Ἕκτωρ: ἄρχει τῆς συμβολῆς ἅμα μὲν ὡς προπετὴς κὰ ἐπαιρόμενος, ἅμα δὲ κὰ τὸ ἀξιόπιστον τῷ λόγῳ πρόσκειται, ἵνα πιθανὸν γένηται τῦτον ἀρξάμενον τῆς συμβολῆς κὰ κακόν τι παθεῖν. ἀ συσάδην δὲ ἀγωνίζεται, πειραθεὶς αὐτῦ ἐκ τῦ μονομαχίας. BL.

404. τῇ: κατὰ τὴν κλεῖν. τρωτὸς δὲ ὁ Αἴας ὅλον τὸ σῶμα, οὐχ ὡς Αἰσχύλος τὰ περὶ τὴν μαχάλην. δῆλον δὲ κὰ ἐκ τῦ ἐπὶ Πατρόκλῳ ἀγῶνος· μονομαχῆντος γὰ αὐτοῦ πρὸς Διομήδην φησὶ „καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοί" (Il. 23, 822) ὡς δυναμένε κὰ τρωθῆναι. τῦτο δὲ ὑπονοῦσι διὰ τὸ μηδέποτε παρ' Ὁμήρῳ τετρῶσθαι αὐτόν. V.

405. διὰ τὸ ὧν. ἐπιτετυγμένοι δὲ ἦσαν. καὶ τὸ σάκος δὲ πόρπακα ἐκ εἶχεν, ἀλλὰ τελαμῶνι ἤρτητο κὰ κανόνι μετήγετο· Κᾶρες δὲ τὰς πόρπακας εὗρον. τινὲς δὲ πηλῷ βάλλεσθαι αὐτὸν ὑπὸ Τρώων, εἴ πως βαρηθείη ὑπὸ τῦ πηλοῦ ἀποσεισάμενον δὲ αὐτὰς δύο κολωνὰς ποιῆσαι. ἀλλ' ἀδὲ θεύς, φασίν, αὐτῷ βοηθεῖ. αἴτιον δὲ τάτε, ὅτι τὰ μὲν πρὸ τῆς μήνιδος ἐκ εἴρηκεν ὁ ποιητής, τὴν δὲ παιδείαν Διομήδες ἀρίστειαν εἶναι συνεργύσης Ἀθηνᾶς. τὰς δὲ ἄλλας μὴ ἔχειν θεάς, ἀπειπόντος Διός· διὸ ὀχ εὗρε καιρὸν εἰσάγειν θεόν. οἱ δέ, ὅτι τῆς ἀσπίδος ἐξέκοψε γλαῦκα, ὅτι ἐκ ἐβοήθει αὐτῷ Ἀθηνᾶ. V.

ἡ διπλῆ, ὅτι κὰ τὰ ξίφη κὰ τὰς ἀσπίδας ἐκ τελαμώνων ἀνῆπτον· διὸ δύο. A.

406. τώ οἱ ῥυσάσθην: τινὲς ὑπονοῦσι θώρακα αὐτὸν μὴ ἔχειν, ἐκ τῦ λέγειν, οἱ δύο τελαμῶνες αὐτὸν ἔσωσαν, κακῶς· διὰ γὰ τὸ ἀτελὲς τῆς βολῆς τῦτο μόνον λέγει. BL.

χώσατο: ὡς ἂν παρωξυγκὼς ἐφ' ἑαυτῷ τὸν ἄρισον. V.

ἡ διπλῆ, ὅτι χώσατο νῦν συνεχώθη, κὰ ὅτι ἐκ ἄτρωτος ὁ Αἴας καθ' Ὅμηρον· εἰ γὰ μὴ οἱ τελαμῶνες ἐσκέπαζον, ἐτρώθη ἄν. A.

408. ἐχάζετο: ἀ φεύγοντα ἐξ ὑποστροφῆς, ἀλλ' οἷοι ὑποχωρῦντα. BL.

410. χερμαδίῳ τά: τινὲς „ἃ μυρία βόσκει" (Od. 12, 97). ἐκ δὲ τῦ ἐναντίε Πίνδαρος (Ol. 3, 18) „θεόμητορ νείσονδ' ἐπ' ἀνθρώπως ἀοιδ' ὡς τινι κραίνων ἐφε". V.

ἔχματα: ἐρείσματα πρὸς τὸ μὴ ἔνθα κὰ ἔνθα κλίνεσθαι. BL.

411. πὰρ ποσὶ μαρναμένων: ἄγαν ποιητικῶς εὐπορίας οὔσης λίθων διὰ τὸ χωρίον. V.

412. βεβλήκει: ἔτως ἔξω τῦ ν̄, βεβλήκει, κὰ ἄνευ τῦ ε̄. Ζηνόδοτος κὰ Ἀριστοφάνης σὺν τῷ ν̄, βεβλήκειν. L.

413. ῥόμβον δ' ὡς: ὡς ῥόμβον περιφερῆ· λέγει τὸν καλούμενον βέμβηκα. δίκην ἓν ῥόμβε ἐποίησεν αὐτὰ στρέφεσθαι, σφοδρῶς πλήξας. AD.

τινὲς τὸν ἄτρακτον, ἀπὸ τῦ περιστρέφεσθαι· οἱ δὲ τὸ βέμβικα· οἱ δὲ στρογγύλον λίθον. ὑπεροχὴ δὲ ῥώμης ἀνδρὸς τηλικῦτον ἔνοπλον ἔτω δεδινῆσθαι. τινὲς δὲ ἐπὶ τῦ λίθῳ ἀκούσαι· πῶς γὰ ἂν ὑπὸ χερμαδίε ἔτω περιεστράφη; πῶς δὲ δρυὶ εἰκάζει, ἢ πεσῦσα αὐτὸ μένει; BLV.

414. πλαγῆς: γράφεται ῥιπῆς. A.

ὁ Αἴας Διὶ εἴκασαι, ὁ λίθος κεραυνῷ, ὁ Ἕκτωρ δρυὶ μεγίστῃ πεσούσῃ ἐκ ῥιζῶν. BL.

415. πρόῤῥιζος: ἰσορικῶς· ἅπαντα γὰ τὰ διόβλητα τῶν δένδρων ἐκ ῥιζῶν ἀνασπᾶται. BL. ὅθεν ἐνέφηνε κὰ τῷ ἐξερίπῃ ψιλὴν τὴν πτῶσιν οὖσαν. V.

θεείου: θείε. προσληπτέον δὲ κεραυνῦ. D.

416. ἅπερ ἔχει θράσος: ἡ διπλῆ ὅτι τὸ ἀντικείμενον δεῖ ὑπακέειν, ἀλλὰ δέος. Ἀριστοφάνης δὲ τὸν δ' οὐ τιν' ἔχει θράσος ὅσις ἴδηται. A.

418. ὦκα: Ἀρίσαρχος ὠκύ. A.

ἄλλως. ἡ διπλῆ, ὅτι ὠκὺ γραπτέον, εἴτε ἐπιθετικὸν εἴτε κατὰ μεσότητα ἀντὶ τῦ ὠκέως, ὡς „ὀξὺ δὲ κωκύσα" (Il. 18, 71). ἡ δὲ Μασσαλιωτικὴ κὰ ἡ Χία ὦκα.

ἐν κονίῃσιν: ἔδει ἐς κόνιν. V.

419. ἐπ' αὐτῷ δ' ἀσπὶς ἐάφθη: ἐπ' αὐτῷ (δηλονότι τῷ δόρατι) πεσόντι ἐπισυνήφθη κὰ ἐπηκολούθησεν ἡ ἀσπὶς κὰ ἡ κόρυς· ἅμα γὰ ὅλῳ συγκατηνέχθη τῷ σώματι. L.

ἐπικατήφθη (ἐπικατεκάμφθη D) δὲ αὐτῷ ἡ ἀσπίς, ὅ ἐξιν ἐπικατηνέχθη αὐτῷ. τὸ δὲ ἔάφθη ἀπὸ τῆ ἔπω, εἴφθη ἤφθη ἐάφθη. A.

421. ἡ διπλῆ, ὅτι τὸ ἰάχοντες ὡς ὀρέγοντες· ὅθεν βαρυτονεῖν δεῖ ἰάχων ὡς ὀρέγων. A.

422. ἀκόντιζον δὲ θαμειάς: ἐ πάντες· ἐ γὰ ἕκασος εἶχε πολλάς. V.

424. ἡ διπλῆ, ὅτι διαξέλλει τὸ ἐτάσαι καὶ βαλεῖν. A.

ἐτάσαι ἐγγύς, βαλεῖν πόῤῥωθεν. A. ὅθεν ἡμάρτηϑ τὸ „ὡς εἶδεν μέλαν αἷμα καταῤῥέον ἐξ ὠτειλῆς" (Il. 4, 149). V.

ἄρισοι: ἐν ἄλλῳ ἅπαντες. A.

εἰκότως πολὺ τὸ τῆς σπουδῆς· „αὐτὸς γὰ ἐρύετο Ἴλιον Ἕκτωρ" (Il. 6, 403). ὅρα δὲ πῶς ἐπὶ τὸ ἀκρότατον ἐξάγει τὰς ἀγωνίας. BL.

427. τῶν δ' ἄλλων ἔτις: ἐ μόνον πάντας τὲς ὑπερμαχῆντας κατέλεξεν, ἀλλὰ συλλήβδην τὲς λοιπὲς ἐπιφέρει, ὥςε πάντη πιθανὴν γενέϑ τὴν σωτηρίαν αὐτοῦ. λέγει δὲ ὅτι ἀδὲ τῶν ἄλλων ἦν τις ὃς ἠμέλησεν. BLV.

Ζηνόδοτος διὰ τῆ τ, τῶν τ' ἄλλων. διήλλαττον δὲ αἱ Ἀριςάρχου, ἀκήδεσᾶν καὶ ἀκηδέσατο, ἀκηδέστως ἔχον. A.

428. εὐκύκλους: περιφερεῖς γάρ εἰσιν αἱ ἀσπίδες, ὅ ἐξιν ἐπιμήκεις. τινὲς δὲ τὰ σάκη ἐπιμήκη φασίν, ἀγνοῶσι δὲ ὅτι ἀντιφράζει τῇ ἀσπίδι τὸ σάκος. V.

429. ἴκεϑ' ἵππους: καταχρησικῶς· κυρίως γὰ ἱκέϑ τὸ ποσὶ παραγενέϑ. BL.

433. πόρον λέγει τὸ διαβατὸν μέρος τῆ ποταμῆ, διὰ τὸ πορεύσιμον εἶναι. BL. πόρας τὲς ποταμὲς φησι διὰ τὸ πορεύεϑ αὐτῶν τὸ ῥεῖθρον εἰς ϑάλασσαν· ὃ τῇ ϑαλάσσῃ παρέπεται. ἢ τὸ διαβατὸν αὐτοῦ μέρος, ὡς „Ἀλφειοῖο πόρῳ" (Il. 2, 592). V.

εὐῤῥεῖος: εὐρέος εὐρεῖος ὡς ἱππέες ἱππεῖς. V.

434. Πορφυρίω. ἐναντίον δοκεῖ τὸ ἅμα μὲν φάναι „Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς," ἅμα δὲ ἐ ἐπὶ τῆ Ὠκεανῆ φάναι „ἐξ ἓ περ πάντες ποταμοὶ ἐ πᾶσα ϑάλασσα" (Il. 21, 196). λύοιτο δ' ἂν ἐκ τῆς λέξεως καθ' ἑκάτερα· ἐ γὰ τὸ πάντες δύναϑ λέγειν ἀντὶ τῆ πλείας, ἐ ποταμὸς ὁμωνύμως λέγεϑ ὅ τε θεὸς ἐ ῥεῦμα, ὥςε τὸν μὲν ἐθὺν ἐκ Διὸς εἶναι, τὸ δὲ ῥεῦμα ἐξ Ὠκεανῆ· λέγεται γὰ ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε. A.

ἄλλως. πῶς ποτὲ μὲν λέγει „τῷ ὧδε κρείων Ἀχελώϊος ὑποφαρίζει, ἐξ ἓ περ πάντες ποταμοί," ἐτέρωθεν δὲ „Ξάνθε δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς;" ἡ δὲ λύσις ἐκ τοῦ προσώπου· τὸ μὲν γὰ ἐκ Διὸς εἶναι ὁ ποιητὴς λέγει, ἐξ Ὠκεανοῦ δὲ ὁ Ἀχιλλεύς. οὐδὲν οὖν ἄτοπον ἐν διαφόροις προσώποις διαφωνίαν συνίσαϑ. B.

ἡ διπλῆ, ὅτι μὴ προσυσήσας εἰ ὁ Σκάμανδρος Ξάνθος καλεῖϑ, ὡς πρὸς εἰδότας κέχρηϑ τῷ ὀνόματι. A. ἰδίως δὲ τὸν μὲν σωματικὸν Ξάνθον Διὸς γενεαλογεῖ, τὸν δὲ ποταμὸν Ὠκεανῆ, λέγων „ἐξ ὅπερ πάντες ποταμοὶ καὶ πᾶσαι ϑάλασσαι ἐ πᾶσαι κρῆναι ἐ φρείατα μακρὰ νάουσιν." AD.

ἢ ὅτι χειμάῤῥους· ἢ τὸ μὲν σῶμα Διός, τὸ δὲ χεῦμα Ὠκεανῆ· ἢ ὅτι τὰ πάντα ἐκ ϑεῆ. V.

436. ἀμπνύνϑη: ἀνεκτήσατο τὸ πνεῦμα, ἔμφρων ἐγένετο. BL.

437. ἑζόμενος δ' ἐπὶ γῆνα: κακῶς· ἐδεὶς γὰ ἐπὶ γονάτων καθέζεϑ· δύο γὰ ςάσεις, ἡ μὲν κατὰ φύσιν, ἡ δὲ ἐπὶ τῶν γονάτων· φησὶ γοῦν „ςῆ δὲ γνὺξ ἐριπών" (Il. 8, 329). ἔξιν ἄν, ἑζόμενος δὲ τὸ αἷμα ἐπὶ τῶν γονάτων ἀπέμεσσεν ἀντὶ τῆ ἤμει. οἱ δὲ γράφεσιν ἀπέσεισεν· ἀνολκειος δὲ τῷ καιρῷ ἡ ἐνέργεια. πάντα δὲ δυνατῶς πέφρασαι, ὡς ἐ ἐπὶ Σαρπηδόνος. BLV.

διὰ τῆ ε αἱ Ἀριςάρχε ἐ αἱ πλείας, ἀπέμεσσεν· Ζηνοδότειος δέ ἐξιν ἡ διὰ τῆ α, ἀπέμασσεν. βραχὺ δὲ διαςαλτέον μετὰ τὸ γῆνα, ἐπὶ τὰ γόνατα καθίσας ἤμει. γελοῖοι δὲ οἱ τοῖς ἑξῆς συνάπτοντες, ἐπὶ γῆνα κελαινεφὲς αἷμ' ἀπέμασσεν, ἵν' ᾖ ἐπὶ τὰ γόνατα κάθηται. γελοῖοι δὲ οἱ τοῖς φαινομένοις μαχόμενοι· σύνηθες γὰ ἔτως λέγειν. A.

438. αὖτις δ' ἐξοπίσω: ἐναργῶς πάνυ· προσενεχθέντος γὰ αὐτῷ τῆ ὕδατος πρὸς ὀλίγον ἑαυτὸν συνέλεξεν, ἐμέσας δὲ τὸ αἷμα πάλιν παρείθη. BL.

τὼ δέ οἱ ὄσσε: ἔτως Ἀρίςαρχος· ἄλλοι δὲ καὶδ δέ οἱ ὄσσε. A.

439. βέλος: ἡ ἀπὸ τῆς βολῆς ὀδύνη· ἢ ὁ βεβλημένος τόπος. D. τὸ τραῦμα· „ὡς τις τέτων γε βέλος καὶ οἶκοθι πέσσοι" (Il. 8, 513). BL.

ὅτι βέλος τὸν βεβλημένον τόπον. A.

440. νόσφιν ἐόντα: γράφεται νόσφι κιόντα. A. οὕτως· τὸ γὰ κιόντα κατάχρησις. V.

442. ἡ διπλῆ, ὅτι οἱ τοιᾶτοι τόποι ἐπλάνησαν τὸν Ζηνόδοτον ὥςε δέξαϑ χωρὶς τῆ ὁ Ἰλῆος. A.

445. Σατνιόεντος: ἐπήγαγε τὴν αἰτίαν τῆ ὀνόματος, ἐμφῆναι ϑέλων διὰ τί Σάτνιος ἐκαλεῖτο. BL.

ἔτω ἐ ὁ τόνος. Σατνιόεις δὲ ποταμὸς Φρυγίας. τινὲς δὲ Σαγγαρίοιο. Ζηνόδοτος παρ' ὄχϑης. V.

449. ἦλθεν: τινὲς ἦεν. V.

451. Ἀρηϊλύκοιο: γράφεϑ Εὐρυλύκοιο. L.

452. ἀγοςῷ: ἔδει ἀγοςόϊς· φησὶ γὰ ὅτι τὰς χεῖρας ἐξέτεινεν ὡς πολὺ τῆς γῆς περιλαβεῖν. ἀγοςῷ δὲ τῷ ἕως τοῦ ἀγκῶνος περὶ τὴν συναγωγὴν ἐ ἐπίκαμψιν τῆ ἀγκῶνος. L.

453. ἔκπαγλον: ὑπερφάνως. γράφεϑ ἐ ἔκπαγλος. V.

454. μεγαϑύμου Πανθοίδαο: ἀντὶ τῆ τὸν ἐμόν, ὡς „τὸν δ' ἐσάωσεν ἐς ποταμῆ προχοάς" (Od. 5, 452) ἀντὶ τῆ ἑαυτῆ. ἕκαςον δὲ τῶν ῥημάτων ἐναργὲς ἐ φαντασίαν ἔχον βαρβαρικήν. BL.

456. κόμισε χροΐ: ἐν τῷ ἰδίῳ ἔλαβε σώματι ἐ ἀπηνέγκατο. BL. ἐπιμελείας ἠξίωσε, περιλαβὼν τῷ ἰδίῳ χρωτί. οἱ δὲ ἀπήνεγκεν. V.

ἔτως κόμισε, χωρὶς τῆ ν. A.

457. σκηπτόμενον: σκηριπτόμενον καὶ ἐρειδόμενον. σαρκασμὸς δὲ ὁ τρόπος. BL.

458. Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιϊ

ἐκ ἐπὶ τῇ ἀναιρέσει, ἀλλ' ἐπὶ τῇ χλεύῃ. καὶ ταῦτα δὲ ἀναγκαῖα, ἵνα παροξυνθέντες προθυμότεροι γένωνται. BL.

459. *Αἴαντι δὲ μάλιστα*: ἐπεὶ γὰρ ἔτος μέλλει ἀριστεύειν, πιθανὸν τῇ ἀρετῇ τῶ ἀνδρὸς συμπρᾶξαι καὶ τὸ βάρβαρον χλεύασμα. BL.

463. *λικριφίς*: παρὰ τὸ λέχριον, ὃ δηλοῖ τὸ πλάγιον. ἅπαξ δὲ νῦν καὶ ἐν Ὀδυσσείᾳ (19, 451). ὁ δὲ τόνος ὁμοίως τῷ ἀπρίξ. οἱ δέ, λίαν ἐγχρίμπτων καὶ προσπελάζων τῇ γῇ. BL.

ἡ διπλῆ, ὅτι δὶς κέχρηται τῇ λέξει, νῦν καὶ ἐν Ὀδυσσείᾳ. σημαίνει δὲ πλάγιος ὁρμήσας, ἀπὸ τῶ λέχριος, κατὰ κοινωνίαν τῶν συμφώνων. A.

Ἀρίσαρχος ὀξύνει ὁμοίως τῷ „ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς" (Od. 5, 481)· καὶ ἔτως ἐπεκράτησεν ἡ ἀνάγνωσις. A.

464. *Ἀρχέλοχος*: Ἀρίσαρχος ἀναλογώτερον τῶ Ἀρχιλόχῳ, ὡς Φερένικος Μενέλαος. V.

τῷ γάρ ῥα θεοὶ: τότῳ γὰρ ἐπεκλώθη τὸ εἱμαρμένον. BL.

465. *ἐν συνεοχμῷ*: ἐν τῇ συναφῇ τῶ ἱνίῳ, ἐν τῷ συνδέσμῳ. ἀσράγαλον δέ φησι τὸν σπόνδυλον τὸν ἐν τῷ ἱνίῳ. εἴρηται δὲ ἀσράγαλος κατ' ἀντίφρασιν· πολύσρεπτος γὰρ ὑπάρχει. AD.

τῷ συνέχοντι τὸν τράχηλον πρὸς τῇ κεφαλῇ τόπῳ, τετέσι τῷ τελευταίῳ σπονδύλῳ· ἐπιφέρει γὰρ „νείατον ἀσράγαλον" καὶ ἐν Ὀδυσσείᾳ „ἐκ δέ μοι αὐχὴν ἀσραγάλων ἐάγη" (11, 64). *γίνεται δὲ παρὰ τὸ ἔχω, ἐχμός, καὶ διπλώσει ὡς ἑλδωρ, εἶτα τροπῇ ἰοχμός ὡς πλεχμός πλοχμός, ἰοχμιός, συνεοχμός. νείατον δὲ ἀσράγαλον τὸν συνάπτοντα τὸν τράχηλον τῷ ἰνίῳ, ὃ καλεῖται παρὰ τῶν ἰατρῶν θέσις ἐγκεφάλῳ. τὸς δὲ ἐν τοῖς ποσὶν ἀσραγάλους Ἀριστοτέλης φησὶν ὅτε ἄνθρωπον ἔχειν οὔτε ἄλλο τι τῶν μονωνύχων καὶ ἀκεράτων.* BL.

467. *τῶ δὲ πολὺ πρότερον*: ἐπεὶ τὸ ἡγεμονικὸν περὶ καρδίαν, φησὶν ὅτι τῆς κεφαλῆς πεσέσης ἀκέραιον σὺν τῇ καρδίᾳ ἔμενε τὸ σῶμα. μή ποτε δὲ ὑπερβολικῶς τὸ τῆς ἀναιρέσεως τάχος ἐνέφηνεν. BL.

468. *ἡ κεφαλὴ προέλαβε τὰ κάτω πίπτοντα*. A. *οὐ γὰρ ἀνῃρέθη ἡ κεφαλή, ὡς οὐδὲ ἡ Δόλωνος. ἢ διὰ τὸ τὸς τένοντας ἀφῃρῆσθαι παραλέλυται ἡ κεφαλή.* V.

469. *ἀμύμονι Πουλυδάμαντι*: *Ζηνόδοτος ἀμύμονα Πουλυδάμαντα*. A.

470. *Ζηνόδοτος Πουλυδάμαν*. V.

οὐκ ἀκαίρως καυχᾶται, ἐκείνῳ κομπάζειν προαρξαμένου. BL.

473. *κασίγνητος Ἀντήνορος*: εἰκὸς ἀνοχὰς πρὸ τῆς μήνιδος γεγενῆσθαι δι' ὧν συνήεσαν ἀλλήλοις, ὡς καὶ ἐν τῇ συλλογῇ τῶν νεκρῶν καὶ ταῖς ταφαῖς Ἕκτορος. BL. ὅθεν καὶ Ὀθρυονέα ἴσασιν. V.

474. *αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐώικει*: Ἀριστοφάνης *αὐτῷ γάρ ῥα φρυὴν ἄγχιστα ἔοικεν*. A.

475. *ἦ ῥ' εὖ γινώσκων*: διὰ τῆς ἐπιφωνήσεως τὸ τῶν λόγων ἦθος παρέσησεν ὁ ποιητής, ὅτι τὸ ὅλον ἐν εἰρωνείᾳ ἐξέφερεν ὡς ἀμφιβάλλων. BLV.

Τρῶας: καὶ τότος ἐπὶ τῇ χλεύῃ. BLV.

476. *Πρόμαχον*: ὅτι τῶν δευτέρων ἐχόντων τάξιν ἔτός ἐστιν. BL.

ποικίλως πάνυ ἀνέσρεψε τὰ πράγματα, προτάξας μὲν τὴν ἀναίρεσιν, ἐπαγαγὼν δὲ τί πράττων ἀνῃρέθη. BL.

477. *ἡ διπλῆ πρὸς τὸ „ὃς Χρύσην ἀμφιβέβηκας"* (Il. 1, 37), *ὅ ἐστιν ὑπερμαχεῖς*. V.

479. *ἰόμωροι*: ἰοῖς μοῖραν διδόντες, ἢ περὶ αὐτὸς κακοπαθοῦντες, ἢ ἰὰς ὀξεῖς ἔχοντες· μόρον γὰρ τὸ ὀξὺ *Κύπριοι*, ὅθεν καὶ ὑλακόμωροι. ὅρα δὲ οἷόν ἐστι τὸ βάρβαρον ἦθος, ἀκρίτως τοῖς ὀνείδεσι χρώμενον. BL. ὀνειδίζει γὰρ αὐτῷ ἰὰς ὡς παρὰ Τρωσὶν ἐκ ὄντων τοξοτῶν. V.

ἀπειλάων ἀκόρητοι: μὴ πληροῦντες τὰς ἀπειλάς, ἀτελείωτα καυχώμενοι. BL.

481. *κατακτανέεσθε*: κτανθήσεσθε. V.

483. *ἵνα μή τι*: ἐν ἄλλῳ μή τοί τι. A.

484. *καὶ ἐν Ὀδυσσείᾳ* (16, 97) „οἷσί περ ἀνὴρ μαρναμένοισι πέποιθεν." V.

485. *Ἄρεως*: τῶ ἐν πολέμῳ θανάτῳ. οἱ δὲ περὶ Ζηνόδοτον ἀρῆς, ἵν' ἐπὶ πάσης βλάβης λαμβάνοιτο. BL.

ἀλεξητῆρα τῶ πολέμῳ καὶ βοηθόν, ἢ ὡς τινες φόνου τιμωρόν. D.

ἡ διπλῆ, ὅτι ἀντιπέφρακε τὸν γνωτὸν τῷ κασιγνήτῳ σαφῶς· ἔστι γὰρ ἀδελφός. Ζηνόδοτος δὲ ἐνὶ μεγάροισι ἀρῆς, ὡς ἐκεῖ „ἐμεῖο δὲ δῆσεν ἀρῆς" (Il. 18, 100). A.

488. *Ἀκάμαντος*: λείπει ἡ κατά. διὰ δὲ τῶ ὠρμήθη τὴν ἐρωὴν ἐπέφρασεν. BL.

491. *Ἑρμείας*: τὰς εὐποτμίας καὶ τὸ εὖ βιῶν καὶ πλουσίως εἰς τοῦτον ἀνάγεσι. μυθολογοῦσι γὰρ ἄγγελον εἶναι καὶ πομπὸν ψυχῶν. οἱ ἓν πολλὰ κεκτημένοι καὶ ζῶντες πλεῖστα τότῳ τὴν χάριν ἀναφέρουσι. διὸ καὶ τὸ κοινὸν τῶν θεῶν εὐδικὸν αὐτῷ ἔχει· διάκτορος γὰρ καὶ δώτωρ ἐάων. καὶ κλέπτης δέ ἐστιν, ἐπεὶ εὐχερές ἐστιν αὐτῷ, ὡς τὸ δῆναι, καὶ τὸ ἀφελέσθαι ἐπιμελῶς δὲ ἐκτηνοτρόφων οἱ παλαιοί. BLV. ὡς ἐπ' Ὀδυσσέως, καὶ τῷ Τυδεῖ τριχίλιαι ἵπποι καὶ ἄλλῳ χίλιαι ἵπποι ὁμοίως καὶ ἀλφεσίβοιαι. καὶ νόμιος θεός, καὶ „Ἑρμῇ Μαιάδι νίεῖ" (Od. 14, 435). V.

492. *μῆνον τέκεν Ἰλιονῆα*: πιθανῶς εἰς τὸ παθητικὸν αὐτὸν μόνον φησὶ γενέσθαι τῷ πατρί, καὶ ὅτι τἄλλα αὐτῷ εὖ ἔχει πράγματα, καὶ τετίμηται ὑφ' Ἑρμοῦ. συνισὰς δὲ τὸς ἀναιρεμένας θεραπεύει τὸς ἀναιροῦντας. BL.

493. *θέμεθλα*: βάσεις ἐφ' ὧν ἥδρασαι ὁ ὀφθαλμός. θέσιν, ῥίζαν, θεμέλια. γλήνην δὲ τὴν κόρην, παρὰ τὸ ἀγλήεσσαν εἶναι. BL.

499. *ὁ δὲ φῆ κώδειαν ἀνασχών*: ὁ μὲν Ζηνόδοτος καὶ τὸν δὲ καὶ τὸν φῆ ἐγκλίνει, ἵνα τὸ φῆ ταὐτὸν ὑπάρχῃ τῷ ὡς καὶ τὸ μεταλαμβανόμενον τοιοῦτον ἦ, ὁ δὲ ὡς κώδειαν ἀνασχὼν πέφραδέ τε Τρώεσσιν. ὁ δὲ Ἀρίσαρχος ἐκδεξάμενος τὸ ἔφη ῥῆμα ὁμοίως τῷ ἔβη, δοκεῖ ἀθετεῖν τὸν δι

τερον ςίχον. ὅπερ ἐκ ἀναγκαῖον· ποιητικὸν γὰρ ἔθος τὸ πολλάκις τὸ αὐτὸ ἐπαναλαμβάνεσθ. πρὸς δὲ τὸν Ζηνόδοτον ὑγιῶς ἀποφαίνεθ ἐκεῖνο, ὅτι ὁ ποιητὴς ἐδέποτε οἶδε τὸ φή ἀντὶ τοῦ ὡς, οἱ δὲ μετ' αὐτόν, ὥσπερ Ἀντίμαχος καὶ οἱ περὶ Καλλίμαχον. A.

ἄλλως. Ἀρίςαρχος τὸ φῆ ῥῆμα ἐκδέχεθ, καὶ ἀθετεῖ τὸν ἑξῆς. δύναθ δὲ καὶ διςολογία εἶναι, ὡς τὸ „τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἐχένηος, ὅσφιν ἐϋφρονέων ἀγορήσατο" (Od. 7, 155. 158) καὶ „ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν." ἢ τὸ πέφραδε διεσήμαινεν. A.

φή: ὡς. ἀλλ' ἔςι νεώτερον. ἄμεινον ἓν παραλελεῖφθαι μετὰ τὸ ἔφη τὸ ὡς („Τηλεμάχῳ ἑτάρῳ τε κασιγνήτῳ τε ἑοῖσι" Od. 21, 216) καὶ ἐκ παραλλήλου εἶναι τὸ φῆ πέφραδε ἠῦδα. LV.

κώδειά ἐςιν ἡ κεφαλὴ τῆς μήκωνος· φαντάζει δὲ ἡ ἐπ' ἄκρῳ τῇ δόρατος ἐμπεπαρμένη κεφαλὴ τὴν ἐπὶ καυλῷ κώδειαν. ςικτέον δὲ ἐπὶ τὸ ἀναςοχών· ἐὰν γὰρ συνάπτωμεν, ἐπὶ τὴν ἀπεκδοχὴν ἐνεχθησόμεθα καθ' ἣν τὸ φῆ ἀντὶ τοῦ ὡς κεῖται. A.

500. ἡ διπλῆ, ὅτι ἀναγνόντες τινὲς φη κώδειαν ὑφ' ἓν, ἵν' ᾖ ὡς κώδειαν, προσεπέταξαν τὸν ἠθετημένον. ἐδέποτε δὲ Ὅμηρος τὸ φῆ ἀντὶ τοῦ ὡς τέταχεν. ἴσως δὲ καὶ Ἀντίμαχος ἐντεῦθεν ἐπλανήθη „φη γέρων οἷσιν" (γεράνοισιν?) εἰπών. δεῖ δὲ ἔξωθεν προσλαμβάνειν τὸ ὡς, καὶ ἀθετεῖν τὸν ςίχον· ταυτολογίαν γὰρ περιέχει. A.

504. γανύσσεται: μεταφορικῶς· γάνος γὰρ ἡ χαρὰ καὶ τὸ λάμπρυσμα. BL.

505. σὺν νηυσί: Ζηνόδοτος καὶ Ἀριςοφάνης ἐν νηυσί. A.

506. τὰς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα: γράφεθ τὰς ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν. A.

508. ἔσπετε νῦν μοι: ἐκ ἀσκόπως τῷ προοιμίῳ χρῆθ· καινότης γὰρ γέγονε μάχης ἀμειψάντων τῶν ἀριςέων τὰ ὅπλα. BLV.

509. ἀνδράγρια ως ἀντάξια· καὶ γὰρ σύνηθες αὐτῷ τὸ τοιοῦτον εἶδος· καὶ γὰρ ζωάγρια εἶπε καὶ βοάγρια καὶ μοιράγρια. A.

ἡ διπλῆ, ὅτι νῦν καὶ ἐν Ὀδυσσείᾳ ἅπαξ εἴρηκεν ἀνδράγρια. A.

ἀθετοῦσι διὰ τὸ ξένον τῆς λέξεως καὶ μὴ κείμενον ἀλλαχοῦ. ἤτοι δὲ τὰ σκῦλα τὰ ἀπὸ ἀνδρῶν ἀγρευόμενα, ἢ ἀντ' ἀνδρῶν· ὅταν γὰρ μὴ δυνηθῶσιν ἀνελεῖν, ἀλλ' ἓν τὸν ἀναιρεθέντα σκυλεύσωσιν. ἐκ δὲ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον, ἀντὶ τοῦ τίς πρῶτος τῶν Ἑλλήνων ἀνεῖλέ τινα τῶν πολεμίων; τοῦτο γὰρ ἀποκρίνονται αἱ Μοῦσαι. σημαίνει δὲ σκῦλα ἠγρευμένα παρὰ ἀνδρῶν· ἀγρεῖν γὰρ τὸ λαμβάνειν. δεῖ δὲ νοεῖν ὅτι κατὰ τὸ σιωπώμενον τοὺς προπεσόντας ἐσκύλευσαν. ABL.

511. Ὕρτιον: πῶς ἐν τῷ διακόσμῳ ὁ μέμνηθ αὐτοῦ; V.

512. καρτεροθύμων: τινὲς βαρβαροφώνων. V.

516. Ἀτρείδης: ὁ Μενέλαος· φησὶ γὰρ „ἐδὲ γὰρ οἱ δὲ βίη Ὑπερήνορος ἱπποδάμοιο" (Il. 17, 24). V.

Ὑπερήνορα: ἡ διπλῆ, ὅτι ἕτος ἴσως ἐςὶν Ὑπερήνωρ, ὃν μέμνηται κατὰ τὴν πρὸς Εὔφορβον σύγκρισιν Μενέλαος· „ἐδὲ μὲν ἐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο ἦς ἥβης ἀπόνηθ' ὅτε." ἀλλὰ νῦν τούτων τῶν λόγων ὁ μέμνηθ, κατ' ἐπιδρομὴν ἐκφέρων τὰς ἀνῃρημένας. A.

517. ἔτασε καλλαπάρην: γράφεται οὖτα κατὰ λαπάρην. A.

518. ἡ διπλῆ, ὅτι παρετυμολογεῖ τὴν ὠτειλὴν ἀπὸ τοῦ ἔτασε. ἔτος δέ φησιν ἐξιέναι τὴν ψυχὴν διὰ τὸ ἅμα τῷ αἵματι χωρίζεθ αὐτήν. ABL.

521. τὸ μὲν ὁμοῖος ὡς ἀλλοῖος ἀναγνωςέον· τὸ γὰρ προπαροξύνειν μεταγενεςέρων ἐςὶν Ἀττικῶν. τὸ δὲ ἐπισπέσθαι παροξυτονητέον ὁμοίως τῷ ἀποθέσθ· ἔςι γὰρ τὸ ἁπλῶν σπέσθ. προείρηθ δὲ ἐπὶ τῶν τοιούτων ἀπαρεμφάτων. A.

ἐπιδιῶξαι, ἐπακολουθῆσαι τῇ τῶν ποδῶν ὁρμῇ. παροξύνεται δὲ τὸ ἐπισπέσθ. καὶ τὸ ὁμοῖος προπερισπᾶται· τὸ γὰρ ὅμοιος μεταγενεςέρων Ἀττικῶν ἐςὶν ἐφεύρημα. BL.

522. ὅτι ὁ λέγει τρεσσάντων δεισάντων, ἀλλὰ φυγόντων· „τρέσσαι δ' ἐκέτι ῥίμφα πόδες" (Il. 13, 515). A.

ὅτε τε Ζεύς: τινὲς ὅτε δὴ θεός. V.

κατὰ τὸ συμβεβηκὸς γέγονεν ὁ Ζεὺς αἴτιος τῆς ἥττης τῶν Τρώων, ἐπεὶ ἐκοιμᾶτο, ὡς καὶ ὁ κυβερνήτης τῆς ἀπωλείας τῆς νηὸς αἴτιος ἢ ὡς κοιμώμενος ἢ ὡς ἀποδημῶν. L.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριςαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ ςιγμῆς. A.

ΕΙΣ ΤΗΝ Ο.

1. αὐτὰρ ἐπεί: ἡ ἀναφορὰ πρὸς τὸ „πάπτηνεν δὲ κακὸς ὅπη φύγοι αἰπὺν ὄλεθρον (Il. 14, 507)· ἐνθάδε γὰρ τὸ πέρας τῆς διώξεως προσέθηκεν. ABL.

διά τε σκόλοπας: ἀντὶ τοῦ διὰ σκολόπων καὶ τάφρου, ὡς τὸ „διά τ' ἔντεα καὶ μέλαν αἷμα" (Il. 10, 298). ἢ τὸ ἑξῆς, διέβησαν τάς τε σκόλοπας καὶ τὴν τάφρον· ὑπερβατὸν γὰρ ὁ τρόπος. AD.

ἡ διακοπὴ τῆς λέξεως τὸ ταλαίπωρον καὶ δυσδιόδευτον ἐμφαίνει τῶν πολεμίων· ἃ γὰρ ἔφυγον „τῇ περ Ἀχαιοὶ ἐκ πεδίοι νίσσοντο" (Il. 12, 118), ἀλλὰ διὰ τῆς τάφρου. ABL.

ὁ Ἑρμογένης ἃ λέγει τὸ „διά τε σκόλοπας καὶ τάφρον ἔβησαν" ὑπερβατόν. ἐκεῖνος γὰρ τὸ κατ' ἔννοιαν ἀποδέχεθ ὡς τὸ „οἱ Ἀθηναῖοι, νυξὶ γὰρ ἦν, τῷ πολεμίου ἐλείποντο." τοῦτο δὲ λέγει ὡς ὁ ποιητὴς μιμούμενος τὸ δυσδιόδευτον

ἐκείνων καὶ θέλων δηλῶσαι αὐτὸ τὸ διέβησαν εἴρηκεν. L.

2. πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν: τῶτο διὰ μέσε· ἄλλοι γ' ἔδαμεν, ἄλλοι δὲ ἔφυγον. ABL.

δάμεν: ὁμοίως τῷ „πολλοὶ δ' Ἀργείων οἱ μὲν δάμεν οἱ δ' ἐλίποντο" (Il. 12, 14) ᾗ τῷ „φάνεν δέ οἱ εὐρέες ὦμοι" (Od. 18, 68) ἀνεγνώσθη κατὰ ἀφαίρεσιν τῦ ἄρχοντος χρόνου. ἔφαμεν δὲ τὰ τοιαῦτα ἀδιαφόρως εὑρεθῆναι παρὰ τῷ ποιητῇ. ὑποσικτέον δὲ φεύγοντες ᾗ χερσίν· ἡ γ' ἀνταπόδοσις ἐστὶν αὐτῷ οἱ μὲν δὴ παρ' ὄχεσφι. A.

3. οἱ μὲν δή: οἱ ἔξω καταλειφθέντες· ἐδεῖς γ' σὺν ἵπποις εἰσῆλθεν ἢ Ἄσιος ὁ Ὑρτακίδης. ἢ τὰς ἡνιόχας φησίν· εἶπε γ' „ἵππας μὲν θεράποντες ἐρυκόντων" (Il. 12, 76). ἢ αὐτὰς τὰς ἐκφυγόντας, θέλοντας ἑαυτές τε τῆς φυγῆς ἀναλαβεῖν ᾗ περισῶσαι τὰ ἅρματα· διὸ ᾗ ἐρητύοντο εἶπεν. ἡ γ' χρεία αὐτὴ ᾗ ἐδεῖς ἄλλος κατεῖχεν αὐτές. ἐ γ' ἀλλήλας ἐκδεχόμενοι· ἐ γ' τῶτο τῶ τῶν βαρβάρων ἤθες· φαίνονται γὰρ ἀεὶ τῆς ἰδίας σωτηρίας φροντίζοντες. BL.

4. χλωροὶ: ὠχροί, κατὰ ἀναγραμματισμόν. L.

ἢ ὑπό πρόθεσις ὑπαί ἐγένετο ὁμοίως τῇ „ὑπαὶ πόδα νείατον Ἴδης" (Il. 2, 824)· καὶ ἔξι τὸ ἐξῆς ὑπὸ δέος. ἔτω ᾗ Ἀρίσαρχος. διὸ παραιτητέον τὸν Τυραννίωνα βαρύνοντα τὴν ὑπαί, ᾗ ἡγέμενον ἀπὸ τῦ ὑπαιθὰ εἶναι πάθος τὸ τῆς ἀποκοπῆς. ἕως δὲ τῦ ὑπαὶ δείους ὀφείλομεν ἀναπαύεσθαι· ἐ γ' πιθανὸν ἕως τῦ χλωροί, εἶτα πεφοβημένοι, τετέσι φεύγοντες. ἔξι μέντοι ᾗ ἡ ἑτέρα ἀνάπαυσις ἐκ ἀδύκιμος. A.

τὸ ὑπαὶ δείους δύναθ ᾗ τοῖς ἐξῆς συνάπτεσθ καὶ τοῖς ἡγεμένοις· ἤτοι γ' χλωροὶ ὑπὸ δέος, ἢ ὑπὸ δέος πεφευγότες. AD.

δείους: εἰώθεν Ἰωνικῶς αὐτὰ συναιρεῖν· „τοίη μὲν θάρσεος πλῆσεν" (Il. 17, 573) „ἐξ Ἐρέβευς ἄξοντα" (Il. 8, 368) „ἡμετέρε δ' ἐκ ἔξι γένευς" (Od. 15, 533)· ἢ ἐντελῶς „βέλεος δέ σε τείρει ἀκωκή" (Il. 13, 251) „ἄξεος αἰὲν ὑπὲκ κατ' ἀμαξητόν" (Il. 22, 146). ἀλλὰ νῦν ἡ κακοφωνία τῆς φωνῆς κράσει ἐποίησεν αὐτὸν χρήσασθαι, καὶ ἐν τῷ „κατὰ σπείες" (Od. 9, 330). ABL.

ἔγρετο δὲ Ζεύς: καιριώτατα. εἰ γ' ἐπὶ βραχὺ τῆς μάχης ἀπέσησε τὸν Δία, ἐδὲν ἐκώλυσε κατὰ κράτος ἁλῶναι τὲς βαρβάρες. V.

5. Ἴδης: ἔδει εἰπεῖν περὶ τῶν κορυφῶν τῆς Ἴδης μετὰ τῆς Ἥρας κοιμώμενος· προσιθέασι δὲ ᾗ τὸ „ἕζετο δ' ὀρθωθείς, μαλακὸν δ' ἔνδυνε χιτῶνα." V.

6. ἀναΐξας: ἀνορμήσας τῆς κατακλίσεως, συνηθημένος τῆς ἀπάτης ᾗ ἑαυτῷ κατεγνωκὼς ὅτι ὕπνωσεν. BL.

ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς: θαυμασίως ἐν τάχει πάντα παρέλαβε, τῶν μὲν τὴν φυγήν, τῶν δὲ τὴν ἀρισείαν, τῷ Ποσειδῶνος τὴν βοήθειαν, τῷ Ἕκτορος τὴν πάθην, ἵνα ἐκ πολλῶν φαινηθ κεκινημένος ἐπὶ τὴν ὀργὴν ὁ Ζεύς. περὶ δὲ τῷ Ἕκτορος ᾗ ἀναγκαίως ἐπεξεργάζεθ, ἵνα μὴ μόνον διὰ τὴν ἀπάτην χαλεπήνῃ, ἀλλὰ καὶ διὰ τὸν Ἕκτορα, ὃς δι' αὐτὸν τοιάδε ἔπαθε· φησὶ γ' πρὸς Πολυδάμαντα „ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδήποιο λαθέσθ" (Il. 12, 235) ὡς αὐτῷ πεπιστευκὼς καὶ μαχόμενος. BL.

7. ὀρινομένους: μετὰ λύπης ταρασσομένες· „ὠρίνθη δέ οἱ ἦτορ" (Il. 16, 509)· ἔφυγον γ' μετὰ ἀπελπισμοῦ. κλονέοντας δὲ ἀπὸ τῦ κλονᾶν· τῶτο δὲ παρὰ τὸ κατακλᾶν ἢ τὴν κλίσιν. B.

ὅτι καὶ πρὸς τὸ πρῶτον ὑπαντᾷ ὁ ποιητής, ὡς καὶ ἐν τῷ „ἀρχὲς αὖ νηῶν ἐρέω νηάς τε προπάσας. Βοιωτῶν μὲν Πηνέλεως καὶ Θάλπιος, υἷες ὁ μὲν Κτεάτε" (Il. 2, 493)· „Ἀθηναίη τε ᾗ Ἥρη. ἦτοι Ἀθηναίη ἀκέων ἦν, ἐδέ τι εἶπεν" (Il. 4, 20). ᾗ ἄλλα πολλὰ τίθησιν ὁ Ἐπαφρόδιτος. V.

καὶ γ' ἀπὸ τῦ φθίω φθόη ᾗ φθόνος. V.

8. μετὰ δέ σφι: ὡς „ἕκδηλος μετὰ πᾶσιν" (Il. 5, 2) ἀντὶ τῦ ἐν πᾶσιν. δηλοῖ δὲ ᾗ τὴν ἐπί, ὡς τὸ „μεταΐξας θάνατον τεύξε" (Od. 21, 11), καὶ τὴν πρός, ὡς τὸ „ἐξ ἄλος ἦλθε μετ' αὐτές" (Il. 20, 14). BL. ᾗ τὸ „θέω μετ' ἀμύμονα Πηλείωνα." V.

ἢ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν. ἕνεκα δὲ σαφηνείας ἐπανέλαβε τὲς Ἀργείες. A.

9. κείμενον: ἀντὶ τῦ πεπτωκότα, ὡς τὸ „ὃ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα" (Od. 11, 577). δηλοῖ δὲ καὶ τὸ τεθάφθαι („ἔνθα μὲν Αἴας κεῖται" Od. 3, 109), καὶ τὸ κυρίως („εἵματα μὲν δὴ κεῖνται" Od. 6, 36), ᾗ ἀντὶ τῦ ἀνῄρηθ („κεῖται Πάτροκλος" Il. 18, 20), ᾗ τὸ νεκρὸν ἐρῦφθαι („κεῖται πὰρ νήεσσι νέκυς" Il. 22, 386), ᾗ τὸ διάγειν, ὡς τὸ „κεῖτο παρὰ μνησῇ ἀλόχῳ" (Il. 9, 556), καὶ τὸ ἔχειν, ὡς τὸ „θεῶν ἐν γάνασι κεῖται" (Il. 17, 514). BLV.

10. εἵαθ': ὁ μὲν Ἀρίσαρχος ψιλοῖ, ἀπὸ τῦ εἰμί ἐκδεχόμενος ἀντὶ τοῦ ὑπῆρχον („ἔνθ' ἄρα οἱ μύλαι εἵατο" Od. 20, 106)· ὁ δὲ Ἡρωδιανὸς δασύνει ἀπὸ τῦ ἕω τῦ καθέζομαι, ἵνα δηλοῖ τὸ περιεκύκλεν ᾗ παρεκάθηντο. B. καὶ ἔχειν ἀντὶ τῦ διέτριβον, ὡς „εἶμαι ἐνὶ Τροίῃ σέ τ' ἐκεῖ εἶδον" (Il. 24, 542). καὶ λέγομεν „παρακάθηθ τὴν πόλιν κρατός" ἀντὶ τῦ προσεδρεύει τῶν περὶ τῶν καθημένων τὸν Πρίαμον τὴν ἀσπίδα τῦ πολιορκῆντο. εἰ δὲ ἐψιλοῦτο ἢ ἄν φησι κοώμενος, ἀπὸ τῦ ἦσαν ἔασαν. ἔχειν ἂν περιέκυκλαι αὐτόν. V.

ἔνιοι δὲ τὸ εἵαθ' ψιλῶς· „ἔνθ' ἄρα οἱ μύλαι εἵατο" (Od. 20, 106) ἀντὶ τῦ ἦσαν· καὶ Ἀρίσαρχος δὲ ψιλοῖ τὸ εἵατο. ὁμοίως ᾗ ἐπὶ τῦ „εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν ἀμφὶ δέ τ' ἄλλαι εἵαθ' ὁμηγερέες" (Il. 24, 83)· ἐκδέχεται τε κλίσιν τὴν ἀπὸ τῦ εἰμί εἰς παθητικοῦ ὑπερσυντελίκου χρόνον, ᾗ μεταλαμβάνει εἰς τὸ ὑπῆρχον. ἔχει δὲ ἐπίσασιν εἰ τῦ εἰμί τὰ παθητικὰ δύναθ συζῆναι κατὰ σημαινόμενον ἢ χρῆσιν Ἑλληνικήν. διὸ ἄμεινον δασύνειν ᾗ ἐκδέχεσθ ἐνδιέτριβον ᾗ ἐκάθηντο· ᾗ γ' ἁρμόζον τοῖς ὑποκειμένοις κεῖσθαι μὲν τὸν Ἕκτορα, περικαθέζεσθ δὲ αὐτὸν τὲς ἑταίρες συγκάμνοντας. αὐτός τε ὁ ποιητὴς ἔκλινε τὸ ῥῆμα τῶτο τριχῶς· πῇ μὲν κοινῶς εἰπὼν „τοῖοι δ' ἄρα Τρώων ἡγήτορες ἧντο ἐπὶ πύργων" (Il. 3, 153), πῇ δὲ Ἰωνικῶς „οἱ δὲ ἕατ' εἰ

ἀγορῇ" (Il. 7, 414), πῇ δὲ ἐπενθέσει τοῦ ῑ πάλιν χρησάμενος Ἰωνικῶς „εἴατο καὶ πρȣ̃χοντες" (Od. 3, 8), ὡς καὶ τὸ προκείμενον. A.

ἀργαλέῳ ἔχετ' ἄσθματι: συνείχετο, φησίν, ȣ̓κ εὐπόρῳ ἀλλὰ ἀςαθμήτῳ ϗ ἀσθενεῖ ϗ ȣ̓κ εὐθεῖ πνεύματι. B. ὑπὸ πολλȣ̃ πνεύματος ϗ συνεχȣ̃ς ἀναπνοῆς. D.

κῆρ ἀπινύσσων: ἀπίνυτος ὢν τὴν ψυχήν, ἀντὶ τοῦ παραφρονῶν ϗ ἀναισθητῶν· πινυτὸν γ̓ τὸ αἰσθητικόν. τινὲς δὲ κῆρα· ȣ̓δαμȣ̃ δὲ τὸ πινύσσειν ἐπὶ τȣ̃ προσδοκᾶν ἔταξεν Ὅμηρος. πῶς δὲ δύναϑ προσδοκᾶν ὁ ἐσκοτωμένος ϗ ψυχοῤῥαγῶν ὑπὸ τῆς πληγῆς; BL. βαρύνεται δὲ ὡς μείρω ἀμείρω. V.

Ἀρίςαρχος τὸ κῆρ ȣ̓δετέρως ἐκδέχεϑ καὶ μετοχὴν τὴν ἀπὸ τȣ̃ ᾱ ἀρχομένην, ἵνα τοιȣ̃τόν τι σημαίνῃ τὸ κῆρ ἀσύνετος ὤν, διδασκόμενος ϗ ἐξ ἐκείνȣ τὸ „δοκέεις δέ μοι ȣ̓κ ἀπινύσσειν" (Od. 5, 342). τȣ́τῳ συγκατατίθεϑ ϗ ὁ Ἀσκαλωνίτης ϗ Ἀλεξίων ϗ ϙεδὸν πάντες, ϗ ἡμεῖς. εἰσὶ μέντοι οἱ ἄλλως διέςειλαν, ȣ̓ς ἐλέγχει ὁ Ἡρωδιανός. A.

Ἀριςοφάνης κῆρ ἀπινύσκων, διὰ τȣ̃ κ̄· ὁ δὲ Ἀρίςαρχος ϗ ἐν Ὀδυσσείᾳ διὰ τῶν δύο σσ̄ „δοκέεις δέ μοι ȣ̓κ ἀπινύσσειν" (Od. 5, 342). A.

ἡ διπλῆ, ὅτι κατὰ τὸ πλῆρες ἐκληπτέον κῆρ, εἶτα ἀπινύσσων, τὸ κέαρ ἀπινυτῶν. A.

11. αἷμ' ἐμέων: ἡ διπλῆ, πρὸς τὸ „αἷμ' ἀπέμασσεν" (Il. 14, 437) τȣ̃το ἄν τις σημειώσαιτο. A.

ȣ̓ μιν ἀφαυρότατος: ὅτι τὸ ἐναντίον ὑπακουςέον, ἀλλ' ἰςχυρότατος· ȣ̓ γ̓ ἐκ πλήρȣς ἀποδέδωκεν, ὡς ἐπὶ τȣ̃ ὁ δὸς φίλος, ȣ̓ γάρ μοι δοκέεις ὁ κάκιςος Ἀχαιῶν ἔμμεναι ἀλλ' ὤριςος" (Od. 17, 415). A.

ἀλλ' ὁ μείζων. ἡ κατάφασις δηλοῖ πλέον τῆς ἀποφάσεως. ἀλλαχȣ̃ δὲ ἔλαττον, ὡς τὸ ȣ̓κ ἔοικε μωρῷ ἀνδρί, ἢ ἐν, ὡς τὸ ȣ̓ καλός, ἀλλ' ȣ̓δὲ κακός. L.

13. δεινὰ δ' ὑπόδρα ἰδών: πῶς ὁ κεςὸς αὐτὸν ȣ̓κ ἐφάϋνεν; ἐρώτων μόνον ἐςὶ κινητικός, ȣ̓κ ἄλλων. ἄλλως ἡ περὶ αὐτὸν ἀπάτη ὑπεροχῆς ἦν ἐλάττωσις, καὶ μετὰ ταύτας ἀπειλάς. εἰκότως δὲ χαλεπαίνει, ψευδὴς πρὸς ἐστιν ἀποδειχθεὶς ϗ Ἕκτορα. BL.

14. κακότεχνος: ὁ ἐπὶ κακῷ τεχνηθείς· ἔςι γὰρ καὶ ἐςὸς δόλος. τὸ δὲ ἑξῆς μάλα ἀμήχανε, ἦ δὴ κακότεχνος ἐν δόλος. ἀμήχανε δέ, πρὸς ἣν οὐκ ἔςι μηχανήσασθ· „ἀμήχανός ἐσσι γεραιέ" (Il. 10, 167). δηλοῖ δὲ ϗ τὸ ἄπορα· „ἀμήχανα ἔργα γένοντο" (Il. 8, 130). πολλάκις δὲ ἐπιτάνοντες ἐπὶ τȣ̀ς πλησίον ἄγομεν τὰς αἰτίας. BL.

ἀμήχανε: ἡ διπλῆ, ὅτι δύο σημαίνει ἡ λέξις, ἤτοι δυναμένη μηχανὴν εὑρεῖν, ἢ πρὸς ἣν ȣ̓κ ἔςι μηχανήσασθ· ὅπερ ϗ θέλει εἰπεῖν. A.

15. ἡ διπλῆ, ὅτι ἀφ' ἑαυτȣ̃ ὁ Ζεὺς δῖον τὸν Ἕκτορα ἑξῆς τὴν θάλασσαν „ἢ εἰς ἅλα δῖαν" (161), πρὸς τὸ μὴ ἐπτεύειν τὰ ἐν Ὀδυσσείᾳ (1, 65) „πῶς ἂν ἔπειτ' Ὀδυσσεὺς ἐγὼ θείοιο λαθοίμην." οἱ δὲ παρὰ τὸ δέος, ἐπεὶ ϗ ἐκείνην τὴν ἀφοβίαν καλȣ̃μεν. V.

τινὲς ἐφόβησε δ' Ἀχαιȣ́ς ἀντὶ τȣ̃ φοβερȣ̀ς ἐποίησεν, ὡς „πάντας μέν ῥ' ἔλπει" ἀντὶ τοῦ ἐλπίζειν ποιεῖ" (Od. 2, 91). V.

οὐ μάν: Δωρικῶς. ἐν ἄλλοις δὲ „ϗ μὴν οἱ τότ' εἰ ἀγορὴν ἴσαν" (Il. 19, 45). V.

ὅπερ οἶδεν ἀκριβῶς, διςάζει. L.

16. κακοῤῥαφίης: κακομηχανίας· ἑξῆς γȣ̃ν φησὶν ἀντιφράζων „κακὰ μητιόωσα" (27). ἢ κακοσυνθεσίας ϗ κακοβȣλίας· BL. ἀλλαχȣ̃ πȣ́ φησιν „ȣ̓ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι" (Il. 18, 367) ϗ „εἰνάετες κακὰ ῥάπτομεν" (Od. 3, 118). V.

17. πρώτη: ἀντὶ τȣ̃ προτέρα, τȣ̃ Ποσειδῶνος δηλονότι (ἄμφω γ̓ συμμαχȣ̃ντες τοῖς Ἕλλησιν) ἢ τῶν Ἑλλήνων. πρὶν τȣ́τȣς φησὶν ἀπολαῦσαι καὶ ἐπαύρασθ τῆς σῆς δολιότητος. A.

ȣ̓́τως διὰ τȣ̃ ῆ, ἐπαύρηαι. A.

προπαροξυτονητέον τὸ ἐπαύρηαι, ὁμοίως τῷ „εἰσόκε τȣ̀ς ἀφίκηαι" (Od. 11, 122)· ἔςι γ̓ μέσος δεύτερος ἀόριςος. ταὐτὸν δὲ λέγομεν ϗ περὶ τȣ̃ „οὐδέ κεν κακὸν οἶτον ὄληαι" (Il. 3, 417)· ϗ γ̓ ȣ̓̃τος μέσος δεύτερος ἀόριςος. A.

ϗ ἐπὶ καλȣ̃ ϗ ἐπὶ κακȣ̃. συντάσσεϑ δὲ γενικῇ. L.

πληγῇσιν ἱμάσσω: κυρίως ἱμάντι πλήξω, τροπικῶς δὲ νῦν κεραυνώσω· μάςιγα γὰρ Διὸς τὸν κεραυνόν φησι· „Διὸς μάςιγι δαμέντες" (Il. 12, 37), δηλονότι τῷ φόβῳ τῆς χθιζῆς κεραυνοβολίας. BL. ϗ „ὅτε γ' ἀμφὶ Τυφωέα γαῖαν ἱμάσσει" (Il. 2, 782) ἀντὶ τȣ̃ κεραυνώσει. ἀντεςραμμένως καί σε ἱμάσθλῃ πλήξω. V.

18. διὰ τȣ̃ ῆ μέμνῃ εἶχον πᾶσαι. A. ἀλλαχȣ̃ τὸ ἐντελὲς „μέμνηαι ὅσα πάθομεν κακά" (Il. 21, 442). V.

21. ταῦτα ὁ Ὕπνος παρέλιπε, πόνον ϗ λύπην τῇ Ἥρᾳ φέροντα· ἃ δὲ εἶπεν ἐκεῖνος, νῦν ὁ Ζεὺς παρέλιπεν· οὐ γ̓ κατὰ ἀπόντος ἔδει θρασύνεσθ. BL.

ἐζήτηϑ δὲ διὰ ποίαν αἰτίαν ȣ̓́τως ἀχήμως ὑβρίζει τὴν Ἥραν ὁ Ζεὺς διὰ θνητὸν Ἡρακλέα· φησὶ γ̓ „ἢ ȣ̓ μέμνῃ ὅτε τ' ἐκρέμω." ῥητέον δὲ ὅτι φιλοσοφεῖ Ὅμηρος. μυθικῶς γ̓ Ζεὺς ἐνταῦθα ὁ αἰθὴρ ȣ̓ρανοῦ τοῦ περὶ τὸν ἀέρα δεσμός ἐςιν ὁ ἄγων τὰ ὑγρὰ ϗ ἐξ αὐτȣ̃ δεσμεύων τὰ πάντα· μετ' αὐτὸν δέ ἐςιν ἀὴρ μέσος γῆς ϗ αἰθέρος, ὃ δεῖ νοεῖν ἡμᾶς τὴν Ἥραν ὑπάρχειν· τȣ̃ δ' ἀέρος ἐκκρέμαϑ ὕδωρ τε ϗ γῆ, ȣ̓ς δὴ νῦν ἄκμονας λέγει παρὰ τὸ ἀκοπίαςα εἶναι τὰ ςοιχεῖα. καλῶς ȣ̓ν οὐ δύνανται οἱ θεοὶ τὸν δεσμὸν λῦσαι· ἰχὺς γ̓ τῶν ὅλων τὸ συνδεδέσθ. AD. ἡ διπλῆ δέ, ὅτι ἐκ δυεῖν τόπων, τȣ́τȣ τε ϗ τȣ̃ κατὰ τὴν Α ῥαψῳδίαν (587), ὁ ποιητὴς τῆς Ἡφαίςȣ ῥίψεως καὶ τῶν Ἥρας δεσμῶν πληρȣ̃ται μῦθον. A.

τȣ̀ς τῆς Ἥρας δεσμȣ̀ς νοητέον φυσικὴν τȣ̃ ἀέρος πρὸς τὸν αἰθέρα συμπλοκήν. διὰ τȣ̃το ȣ̓ν φησὶ χρύσεον ἄῤῥηκτον, ἵν' ᾖ δυσδιαχείριςον, ἐπεὶ ϗ τὸ πῦρ χρυσαυγὲς ϗ δυσδιάλυτον. ἄκμονας δὲ δύω τὰ βαρύτατα τῶν ςοιχείων, γῆν ϗ θάλασσαν. AD.

Ζηνόδοτος ȣ̓δὲ ὅλως τὴν κόλασιν τῆς Ἥρας γράφει. AB.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πορφυρίω. καὶ ἔμπροσθεν περὶ τούτων εἴρηται ἱκανῶς, ἀκριβῶς δὲ νῦν. διὰ γοῦν τούτων ὁ ποιητὴς τὴν κοσμικὴν αἰνιττεται φύσιν, Δία μὲν καὶ Ζῆνα τὸν ἀνωτάτω ὑποτιθέμενος ἀέρα διάπυρον, Ἥραν δὲ τὸν δεύτερον· καὶ ταύτην φησὶν ὑπὸ Ὠκεανῷ τεθράφθαι, ἐπειδὴ ἐκ τῆς τῶν ὑγρῶν ἀναθυμιάσεως γίνεται ὁ ἀήρ. ἄκμονας δὲ γῆν καὶ θάλασσαν λέγει. χρυσῆν δὲ δεσμὸν τὸ αἰθέριον πῦρ, ὅτι ἐν τῷ ἀνωτάτω μέρει συνῆπται αὐτῷ ὁ ἀήρ. καὶ ῥιπτόμενον τὸν Ἥφαιστον εἰς θάλασσαν, παρόσον μεταβάλλει εἰς ἄλληλα τὰ στοιχεῖα, πῦρ μὲν εἰς ἀέρα, ἀὴρ δὲ εἰς ὕδωρ. χαλκεύοντα δὲ ἐν Ὠκεανῷ, ὅτι τὰ στερρὰ τῆς διὰ ὑδατος καὶ πυρὸς ἐργασίας τυγχάνει. καὶ Ἡσίοδος Οὐρανὸν μὲν λέγει τὴν ἐκπύρωσιν, Κρόνον δὲ τὸν ἄνωθεν κρυηδὸν ἐπιφερόμενον ὄμβρον, Ῥέαν δὲ τὴν ἐπιῤῥεομένην ὕδασι γῆν, ἐκτομὴν δὲ Οὐρανοῦ τὴν τῶ πυρώδους ἐξ ὑγρῶν σβέσιν, λίθον δὲ καταπινόμενον ὑπὸ Κρόνου, ἐπειδήπερ ἡ μεταβολὴ τῶν ὑγρῶν εἰς στερρότητα πήγνυται· κρύπτεσθαι δὲ τὸν Δία διὰ τὸ τὸ ζῆν ἐπικρατεῖν τῷ τῷ χειμῶνι τοὺς καρποὺς ἀφανίζεσθαι πλεοναζόντων τῶν ὑγρῶν. BD.

Ἡρακλείτου. ἡ τῶν ἐπιφυομένων τῷ Ὁμήρῳ τόλμα τὰς τῆς Ἥρας δεσμὰς αἰτιᾶται, καὶ νομίζουσιν ὕλην τινὰ δαψιλῆ τῆς ἀθέου πρὸς Ὅμηρον ἔχειν μανίας ταῦτα „ἢ οὐ μέμνῃ ὅτε." λέληθε δ' αὐτοὺς ὅτι τούτοις τοῖς ἔπεσι ἡ τοῦ παντὸς ἐκτεθεολόγηται γένεσις, καὶ τὰ συνεχῶς ἀδόμενα τέσσαρα στοιχεῖα τούτων τῶν στίχων ἐστὶ τάξις, καθάπερ ἤδη μοι λέλεκται, πρῶτος αἰθήρ, καὶ μετὰ τοῦτον ἀήρ, εἶθ' ὕδωρ τε, καὶ γῆ τελευταία, τὰ πάντων δημιουργὰ στοιχεῖα. ταῦτα δ' ἀλλήλοις ἐπικιρνώμενα ζωογόνα τε καὶ τῶν ἀψύχων ἀρχίγονα καθίσταται. Ζεὺς τοίνυν ὁ πρῶτος τὸν ἑαυτοῦ ἀέρα κατέσησε, σειροὶ δ' ἄκμονες ὑπὸ ταῖς ἐχάταις αὐτοῦ τοῦ ἀέρος βάσεσιν ὕδωρ τε καὶ γῆ. καὶ τοῦτο ὅτι τοιοῦτόν ἐστιν, ἐφ' ἑκάστης λέξεως, εἴ τις ἀληθῶς θέλοι σκοπεῖν, τάληθὲς εὑρήσει. „ἢ ἐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν·" ἀπὸ γοῦν τῶν ἀνωτάτω καὶ μετεώρων τόπων φασὶν αὐτὴν ἀπηρτῆσθαι. „περὶ δὲ χερσὶ δεσμὸν ἤλασα χρύσεον, ἄῤῥηκτον." τί τοῦτο τὸ καινὸν αἴνιγμα τῆς κολακευούσης τιμωρίας; πῶς ὀργιζόμενος ὁ Ζεὺς πολυτελεῖ δεσμῷ τὴν κολαζομένην ἠμύνατο, χρυσοῦν ἀντὶ κραταιοτέρου σιδήρου τὸν δεσμὸν ἐπινοήσας; ἀλλ' ἔοικε τὸ μεταίχμιον αἰθέρος τε καὶ ἀέρος χρυσῷ μάλιστα τὴν χρόαν ἐμφερὲς εἶναι. πάνυ δὲ πιθανῶς, καθ' ὃ μέρος ἀλλήλοις ἐπισυνάπτουσι λήγων μὲν ὁ αἰθὴρ ἀρχόμενος δὲ μετ' ἐκεῖνον ὁ ἀήρ, χρυσοῦν ὑπεσήσατο δεσμόν. ἐπιφέρει γοῦν „σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν ἐκρέμω," τὸν ἄχρι νεφῶν τόπον ὁρίσας μέτρον ἀέρος. ἐκ δὲ τῶν τελευταίων μερῶν τοῦ ἀέρος, ἃ καλεῖ πόδας, ἀπήρτισε σιβαρὰ βρίθη, γῆν τε καὶ ὕδωρ· „ἐκ δὲ ποδοῖιν ἄκμονας ἧκα δύω." πῶς ἂν εἶπε δεσμὸν ἄῤῥηκτον, αὐτίκα τῆς Ἥρας λυθείσης, εἴγε τῷ μύθῳ προσεκτέον; ἀλλ' ἐπειδήπερ ἡ τῶν ὅλων ἁρμονία δεσμοῖς ἀῤῥαγέσι συνωχύρωται καὶ δυσχερὴς ἡ τοῦ παντὸς εἰς τἀναντία μεταβολή, τὸ μὴ δυνηθὲν ἂν διαζευχθῆναι ποτε κυρίως ὠνόμασεν ἄῤῥηκτον. ταύτην δὲ τὴν τετράδα τῶν στοιχείων καὶ μετὰ μικρὸν ἐν τοῖς ὅρκοις διεσάφησεν Ἥρα· „ἴσω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὑπερθε καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ" (36)· τρισὶ γοῦν ὅρκοις τὴν ὁμόφυλον αὐτῇ καὶ συγγενῆ φύσιν ὠνόμασεν, ὕδωρ τε καὶ γῆν καὶ τὸν ὑπερθεν οὐρανόν, τετάρτοις τὸν αἰθέρα· τέταρτον γοῦν στοιχεῖον ἦν ἡ ὀμνύουσα. διαπορῶν καὶ ἐπὶ πολλοῖς ἀλληγορικῶς παρισῶναι βουλόμενος ταυτὶ τὰ στοιχεῖα, καὶ μετ' ὀλίγον ἐν τοῖς Ποσειδῶνος πρὸς Ἶριν λόγοις αὐτὰ τάδ' ὑφίσαται, λέγων „ἦτοι ἐγὼν ἔλαχον ναιέμεν αἰεὶ πολιὴν ἅλα, παλλομένην, Ἀΐδης δὲ λάχεν ζόφον ἠερόεντα, Ζεὺς δὲ λάχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν· γαῖα δὲ τοι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος" (190). ἃ μὰ Δί', ἃ κλῆρος ὁ μυθευόμενος ἐν Σικυῶνι ταῦτα, καὶ διαίρεσις ἀδελφῶν ἔτως ἀνώμαλος ὡς οὐρανὸν ἀντιτίθεναι θαλάσσῃ καὶ Ταρτάρῳ. πᾶς γοῦν ὁ μῦθος ἠλληγόρηται περὶ τῶν τεσσάρων στοιχείων, πατὴρ δὲ τῶν ὅλων ὁ χρόνος, καὶ τελείως ἀμήχανος γενέσθαι τι τῶν ὄντων δίχα χρόνου· διὸ ῥίζα τῶν στοιχείων ἔτός ἐστιν. μητέρα δ' αὐτοῖς ἐνίεμεν εἶναι Ῥέαν, ἐπειδὴ ῥοῇ τινὶ καὶ ἀεννάῳ κινήσει τὸ πᾶν οἰκονομεῖται. χρόνου δὲ καὶ ῥύσεως τέκνα γῆν τε καὶ ὕδωρ αἰθέρα τε καὶ ἀέρα σὺν αὐτοῖς ὑπεξήσατο. καὶ τῇ μὲν πυρώδει φύσει τόπον ἔνειμεν οὐρανὸν τὴν δ' ὑγρὰν ὁσίαν Ποσειδῶνι προσέθηκε· τρίτον δὲ Ἅιδην, τὸν ἀφώτιστον ἀέρα δηλῶν· κοινὸν δ' ἁπάντων καὶ ἑδραιότατον στοιχεῖον ἀνεφήνατο εἶναι τὴν γῆν, ὥσπερ ἐξί τινα τῆς τῶν ὅλων δημιουργίας· „γαῖα δέ τι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος." διὰ τοῦτο δέ μοι δοκεῖ συνεχῶς ἀλληγορεῖν ὑπὲρ αὐτῶν, ἵνα ἡ δοκοῦσα τοῖς ἔπεσιν ἐφεδρεύειν ἀσάφεια σαφὴς τῷ διηνεκεῖ τῆς παραδόσεως ᾖ. B.

τὸ δὲ ἐκρέμω ἀπὸ τοῦ ἐκρέμασο ἐκρέμαο ἐκρέμω· ἠλύσεον ἄλυσα ταῦτα εἶναι ἔφασκον, ἢ ἑταράσσοντο παρὰ τὴν ἅλην. BL.

ἢ διπλῆ, ὅτι μακρὸς ὁ Ὄλυμπος ὡς ὄρος· τὸν δὲ οὐρανὸν εὐρὺν καλεῖ. B.

22. παρασαδόν: τοῦτο τοῖς ἄνω συναπτέον, ἵν' ὁ λόγος, λῦσαι δ' ἐκ ἐδύναντο παραξάντες, ὃν δὲ λάβοι δηλονότι παρισάμενον ἢ λύοντα. A.

ἢ βοηθητικῶς, ἀπὸ τοῦ „ὅτε μοι πρόφρασσα παρέστης (Il. 10, 290). οἱ δέ, ὃν δὲ λάβοιμί σοι παρισάμενον τὸ βοηθῆσαι. V.

ἢ ἀπὸ τοῦ παρίσασθαι καὶ ἁλάσειν ἐκ ἐδύναντο λῦσαι· λάβοιμι παρισάμενον, ἔῤῥιπτον ἐξ οὐρανοῦ. B.

τινὲς δὲ γράφουσι „πρὶν τότε δή σ' ἀπέλυσα πεδῶν, δησα δ' ἐνὶ Τροίῃ κάββαλον, ὄφρα πέλοιτο καὶ ἐσσομένοισι πυθέσθαι." δείκνυνται γοῦν ὑπὸ τῶν περιηγητῶν οἱ μύδροι.

23. ῥίπτασκον: ἐῤῥίπτουν, παραγωγὴ ὁ τρόπος.

βηλοῦ: τοῦ βαθμοῦ, παρὰ τὸν βήσω μέλλοντα. τὴν δὲ παράδοξον καὶ ἐν οὐρανῷ βηλὸν ὀνομάζειν, ὅπερ οἱ πύλας εἶναι λέγουσιν. B.

βαθμοῦ, παρὰ τὸ βήσω. Κράτης δὲ ὡς ἥλῳ. V.

ἢ διπλῆ, ὅτι καὶ ταῖς αὐταῖς λέξεσι κέχρηται κατ' ἀμφοτέρας τὰς τόπους (cf. Il. 1, 591). A.

24. ὀλιγηπέλεων: ὀλίγον ἔχων τὸ πέλειν. L.

Ἀρίσαρχος θυράν, ἄλλοι δὲ θυμός. A.

τινὲς θυμός, ἀντὶ τῆ ὀργή· ἄμεινον δὲ θυμὸν γράφειν, ἵνα δηλοῖ τὸ ἔνδον θερμὸν ἤτοι τὴν ψυχήν. BL. ἔστι γὰρ Ὁμηρικὴ ἡ φράσις· „νῖ σ' ὠτειλὴν αἶμ' ἀπολιμήσονθ'" (Il. 21, 122). V.

συναπτέον ἕως τῆ θείοιο (25)· ἐν χήματι γὰρ εἴρηθ. A.

25. ἀζηχής: σκληρά, ἀπὸ τῆς ἄζης, ἡ ἐστι ξηρασία ἐναντία τοῖς θάλασσι φυτοῖς. οἱ δὲ συνεχὴς καὶ ἄπαυστος. λέγει δὲ ἴσως τὴν διὰ τὴν ἀπάτην ὀργήν. BL.

26. ξὺν Βορέῃ: ἴσως ἐπεὶ τὸς υἱὸς αὐτῆ ἀνεῖλεν Ἥρακλῆς. ἄδηλον δὲ πότερον Ἥρα καὶ Βορέας ἀνέπεισαν τὰς θυέλλας, ἢ Ἥρα ὅμα Βορρᾷ τὰς θυέλλας ἔπεισεν. ἄμεινον δὲ τὸ δεύτερον. BLV.

πεπιθοῦσα: ὡς δραμοῦσα· ἔστι γὰρ δεύτερος ἀόριστος δεδιπλασιασμένος, ὥσπερ ἤδη καὶ ἐπὶ τοῦ ῥήματος ἔθος αὐτῷ ποιεῖν· „ῥηϊδίως πεπιθεῖν" (Il. 9, 184). A.

27. ἀτρύγετον ἄβυσσον, τρύγα μὴ ἔχοντα, ἢ ἄκαρπον, παρὰ τὴν τρύγην, ὡς Εὐριπίδης, ἀκάρπισα πεδία λέγων τὴν θάλασσαν. καὶ οἱ μὲν τὸ Μυρτῷον, οἱ δὲ τὸ Αἰγαῖον· οἱ δέ, ὑπὲρ τὴν εὔκρατον θάλασσαν. τινὲς δέ φασιν ἐπὶ Πελλήνην κατὰ Γιγάντων ἀπιόντα Ἡρακλέα πλανηθῆναι. AB.

28. εὖ ναιομένην: ἢ διὰ τὸ ὄνομα, ἢ διὰ τὴν πρὸς ἀλλήλες ὁμόνοιαν, ἥτις δυσεπίβατον ξένοις ἐποίει τὴν νῆσον. ἢ πολύανδρος. V.

29. ἀνήγαγον: ἢ πλεονάζει Ἀττικῶς ἡ ἀνά, ὡς „ἡμεῖς μὲν ξεινῶπὸν ἀνεπλέομεν" (Od. 12, 234) καὶ „ἐκ Τροίης ἀνιόντα" (Od. 10, 332). οἱ δὲ γράφουσιν ἀπήγαγον αὐτις. V.

30. καὶ πολλὰ περ ἀθλήσαντα: ἐμφαίνει ὅτι καρτερὰν μάχην ἐνίκησεν. V.

31. τὸ μνήσω κατὰ κοινὸς αἰτιατικῆ καὶ γενικῆ, κατὰ δὲ Ἀττικὸς αἰτιατικῆ μόνῃ. L.

ἀπολλήξῃς: διὰ τῆ ἑτέρᾳ λ αἱ Ἀριστάρχ. A.

δι' ἑνὸς λ ὀφείλει γράφεσθαι. V.

ἐκ εἶπεν ἀπατώμενος αὐτὸς παύεσθαι, ἀλλὰ παύειν ἐκείνην, τὴν ἑαυτῆ ἁμαρτίαν αὐτῇ προσάπτων. BL.

32. ἴδῃ χωρὶς τῆ ο. V.

33. ἔτε παρὰ Ζηνοδότῳ ἔτε παρ' Ἀριστοφάνει ἦν· καὶ μὴ ποτε περιττὸς ἐστιν. A.

36. τόδε: τοῦτο περὶ ὃ καὶ ὁ ὅρκος ἐτέτακτο, κατὰ τῶν προγόνων δὲ ἢ τῶν ὁμοιογενῶν ὕμνυσι στοιχείων· τὸ γὰρ ἐράνιον πῦρ αἰθέρα καλεῖ ὁ ποιητής. διὰ τριῶν δὲ ἦν ἔθος ὀμνύναι, ὡς Δράκων ἔταξε, Δία Ποσειδῶνα Ἀθηνᾶν· οἱ δὲ Δία Ποσειδῶνα Δήμητραν, ὡς Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτες. καὶ ὁ ποιητὴς „Ζεῦ πάτερ Ἀθηναίη καὶ Ἄπολλον" (Il. 2, 371) καὶ „Ζεὺς ξενίη τε τράπεζα ἔσσί τ' Ὀδυσῆος" (Od. 14, 158). BL.

37. Στυγὸς ὕδωρ: ἐπεὶ ἡ Στὺξ καὶ κατὰ τὸν Ἡσίοδον ἔστιν ἱερὰ πηγή, θυγάτηρ Ὠκεανῆ· ἢ ὡς τινές φασιν, ὅτι ὁμώνυμος ταύτῃ ἐστὶν ἡ πηγή, ἣν ἐν Ἅιδε ὅρκον φρικτὸν αὐτῶν οἱ θεοὶ πεποίηνθ βουλήσει Διός. AD. ἀπὸ δὲ τοῦ ἴσω νῦν τόδε γαῖα πᾶσαι διαιολαί εἰσι μέχρι τῆ ὀμόσαιμι· ἐνταῦθα γὰρ σικτέον, ἀσυνδέτου ὄντος τοῦ ἑξῆς λόγε. A.

38. δεινότατος: σεβάσμιος, ὡς „δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον" (Il. 18, 394). BL.

40. καρδίον: συμπαθῶς δελεάζουσα τῆς ἐκ παίδων μίξεως ὑπέμνησεν. εἰς ὁμόνοιαν δὲ ἄνδρας καὶ γυναῖκας καλῶν ὁ ποιητὴς σεμνύνει τὴν κοινωνίαν, ὅρκον αὐτὸν μέγιστον ποιῶν. ὁ μὲν ἓν Ζεὺς φιλότητα καὶ εὐνὴν εἶπεν (32), ἡ δὲ σεμνοτέραις ταῖς προσηγορίας χρῆθ, μὴ θέλασα ἐκφαυλίζειν τὴν κοινωνίαν. BL. καὶ προσέθηκε „τὸ μὲν ἐκ ἂν ἐγὼ μάψ ὀμόσαιμι," ἀξιοπιστίαν προσφέρασα τῷ λόγῳ· ὅθεν καὶ ἐμειδίασεν ὁ Ζεύς. V.

41. μὴ δι' ἐμὴν ἰότητα: ἴσω Γῆ καὶ Οὐρανὸς τοῦτο καὶ οἱ ἄλλοι ὅρκοι, οὐ δι' ἐμὴν γνώμην Ποσειδῶν Ἕλλησι βοηθεῖ. πληρέστατος δ' ἂν ἦν ὁ λόγος, εἰ καὶ σύνδεσμος ἔκειτο ὁ ὅτι ἢ ὡς· καὶ συνήπτετο ἂν τοῖς ἐπάνω, ἵν' ᾖ τοιαύτη ἡ φράσις, ἴσω Γῆ καὶ Οὐρανὸς ὅτι μὴ δι' ἐμὴν γνώμην. ἀλλὰ σπανίως τὰ τοιαῦτα λείπει, καὶ χεδὸν ἐπὶ μόνων τῶν ὅρκων, ὡς κἀκεῖ „ἴσω νῦν Ζεὺς πρῶτα· ἦ μέντοι τάδε πάντα τελεῖ" (Od. 19, 303). τάχα ἓν καὶ διὰ τοῦτο συναπτέον αὐτὰ τοῖς ἐπάνω, ἐπεὶ συνήθης ἐστὶ τῶν ὅρκων ἡ ἔλλειψις. A.

ἐσοφίσατο τὸν Δία, ἃ περὶ ὧν ἀπολογεμένη τῆς ἀπάτης ἀλλὰ δι' ὃ χολᾷ, τότε ἑωυτὴν ἀλλοτριώσασα. καὶ μειδιᾷ Ζεύς. V.

ἡ διπλῆ, ὅτι παρακέκρουσαι τὸν ὅρκον· οὐ γὰρ διὰ τὴν αὐτῆς βέλησιν ὁ Ποσειδῶν τοῖς Ἕλλησι βοηθεῖ, αὐτὴ μέντοι συνέργει καὶ κοιμήσασα τὸν Δία. καὶ ὅτι ἡ ἀπαγόρευσις ἡ μὴ ἀντὶ ἀρνήσεως τῆς ὄ. A.

λέγεθ ὡς τῶν πέντε ἐγκλίσεων αἱ μὲν δύο, ἤγουν ἡ ὁριστικὴ καὶ ὑποτακτική, ἔχουσι φυσικὸν τὸ ὄ, αἱ δὲ τρεῖς, ἤγουν ἡ προσακτικὴ καὶ εὐκτικὴ καὶ ἀπαρέμφατος, τὸ μή. L.

44. τειρομένους: ἐν τῇ Ἀριστοφάνες καὶ Μασσαλιωτικῇ καὶ Ἀργολικῇ ἕτως ἐφέρετο, κτεινομένους· καὶ ἔστιν ἐμφατικώτερον τῆ τειρομένους. ἅμα δὲ εἰς ἔλεον τῶν Ἑλλήνων ἐπάγεθ τὸν Δία καὶ ὑπὲρ Ποσειδῶνος λελησότως ἀπολογεῖθ. ἕτως Ἡρακλέων. AB.

45. καὶ κείνῳ: ἐκ πλήρες Ἀριστάρχος τὸν καὶ σύνδεσμον. A.

παραμυθησαίμην: παραινέσαιμι· συνωνυμεῖ γὰρ μῦθος καὶ αἶνος. τοσοῦτον, φησίν, ἀπέχω τοῦ ἐναντιοῦσθαί σοι ὥστε καὶ κἀκείνῳ παραινεῖν. BL.

ὡς καὶ αὐτῆς ἑπακολουθησάσης τοῖς Διὸς βελήμασι. V.

46. τῇ ἴμεν: ταύτῃ πορεύεσθ ᾗ ἂν κελεύῃς σύ, καὶ ἐν παντί σοι ἡγεμόνι χρῆσθ. BL.

47. μείδησεν: ἢ διὰ τὸ καὶ ὑπὲρ Ποσειδῶνος ἀπολογήσασθ, ἢ μᾶλλον διὰ τὸ λέχος· ἐνήργει δὲ ἄρα ὁ κεστός. BL. ἢ διὰ τὸ ἰδεῖν αὐτὴν δείσασαν καὶ τὰ θνμήρη αὐτῇ ἐπαγγελλομένην. V.

49. δὴ σύ γ' ἔπειτα: ἐκ παραλλήλου τὸ ἔπειτα ἀντὶ τοῦ δή, ὡς τὸ „δὴ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο" (Od. 5, 391). BL.

βοῶπι: διὰ τὸ μακρὰν ὁρᾶν ἐν τῷ ἀέρι· εἰς τέτον γὰρ ἀλληγορεῖ, ὃς ἔχει τὸ διηνὲς καὶ τὸ δίοσμον καὶ τὸ διειδές, ἅπερ καὶ τὸ ὕδωρ ἔχει, ἀλλ' ἐπ' ἔλαττον. L.

οἱ μὲν βοῶπι. V. Ἀριστοφάνης μετὰ τοῦ ō βοῶπις· καὶ ἔστιν εὐφραδέστερον. περιττεύει δὲ τὸ ἔπειτα. A.

50. ἶσον ἐμοὶ φρονέουσα: ἀντὶ τοῦ ὁμονοοῦσα καὶ ταὐτὸ βουλομένη. BL.

μετ' ἀθανάτοισι: γράφεται καὶ ἐν ἀθανάτοισι. V.

ἀθανάτοισι καθίζοις: ἐν ταῖς εἰκαιοτέραις ἀθανάτοισι θεοῖσι. A.

καθίζοις: ἀπὸ μέρους, ἀντὶ τοῦ εἴης. V. ἀλλοπαθὲς καὶ αὐτοπαθὲς τὸ καθίζοις. L.

51. τὸ τῷ νῦν ἀντὶ τοῦ ὁμοίως. BL.

52. τὸ νόον βέλτιον τοῖς ἡγεμένοις προσδίδοσθαι, ἵνα τὸν τοῦ Ποσειδῶνος λέγῃ. δύναται δὲ καὶ τοῖς ἑξῆς. A.

μετὰ σὸν καὶ ἐμὸν κῆρ: ὑπαλλακτικῶς εἶπεν, ἀντὶ τοῦ ἐπὶ τὰ ὑπὸ σοῦ καὶ ἐμοῦ πραττόμενα καὶ νοέμενα. BL.

53. ἔτως διὰ τοῦ γέ, ἑτεόν γε, καὶ Ἀριστοφάνης. A.

καὶ ἀτρεκέως: δὶς τὸ αὐτό φησιν ἐπιτάσεως χάριν. D.

54. κάλεσσον: ἐν ἄλλῳ κέλευσον. A.

55. κλυτότοξον: τινὲς κλυτὸν αὐδήν. ἐκ οἷδε δὲ αὐτὸν Ὅμηρος ᾄδοντα ἀλλὰ κιθαρίζοντα. V.

56. ἀπὸ τέτε ἕως τοῦ „λισσομένη τιμῆσαι" (77) ἀθετοῦσί τινες κβ', ὅτι ἐκ ἀναγκαίως παλιλλογεῖται περὶ τῶν ἑξῆς ἐπεισαχθησομένων, καὶ κατὰ τὴν σύνθεσιν εἰσιν εὐτελεῖς· καὶ ὅτι ὡς ἐπίπαν πρὸς τὸ δεύτερον πρότερον ἀπαντᾷ, νῦν δὲ πρὸς τὸ πρότερον ἀπήντηκεν „ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν." ψεῦδος δὲ καὶ τὸ „φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι Πηλείδεω Ἀχιλῆος" (63)· ἔτε γὰρ παραγεγόνασιν ἕως τῶν Ἀχιλλέως νεῶν, ἔτε τὸν Πάτροκλον ἀνέσησεν ἐπὶ τὸν πόλεμον ὁ Ἀχιλλεύς. καὶ τὸ πέσωσιν οὐχ Ὁμηρικόν· μᾶλλον γὰρ ἐκείνοις τὸ ἐμπεσεῖν ἐπὶ τοῦ ἐνσεῖσαι τίθησιν· „ἔφαντο γὰρ ἐκέτ' Ἀχαιὸς χήσεσθ' ἀλλ' ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι" (Il. 12, 125). ἡ δὲ παλίωξις ἐχ Ὁμηρικῶς παρείληπται· ἐ γὰρ λέγεται ἔτως ψιλῶς παρ' αὐτῷ ἡ φυγή, ἀλλ' ὅταν ἐκ μεταβολῆς οἱ πρότερον φεύγοντες διώκωσι· σαφῶς γὰρ ἐν ἄλλοις φησὶν „εἰ δέ χ' ὑποσρέψω καὶ παλίωξις δὲ γένηται" (ib. 71). ἀσύνηθες δὲ καὶ ἀδετέρως τὸ Ἴλιον νῦν ῥηθέν „Ἴλιον αἰπὺ ἕλοιεν" (71)· πάντοτε γὰρ θηλυκῶς λέγει. ἔν τε τῷ „λισσομένη τιμῆσαι" φησὶν ὁ Ἀρίσαρχος ὅτι ἐδαμῆ τὸν Ἀχιλλέα πτολίπορθον εἴρηκεν, ἀλλὰ ποδάρκη καὶ ποδώκη. A.

καὶ παρὰ Ἀριστοφάνει ἠθέτητο. A.

ἀθετοῦσι ὡς περιττοὶ κ' καὶ β' στίχοι, ὅτι ἐκ ἀρεσοὶ Ἥρᾳ, καὶ ὅτι ἐκ ἐμπίπτεσι ταῖς ναυσὶν Ἀχιλλέως. καὶ εἰ ἔκρινεν ἀπολέσθαι Σαρπηδόνα, τί ἐκεῖ (Il. 16, 433) οἰκτίζει; καὶ ἡ παλίωξις ἐκ ὀρθῶς· ἀφ' ἧς γὰρ Ἀχιλλεὺς ἐξῆλθεν, ἐκ εἰράπησαν Ἀχαιοί. καὶ τὸ „Ἀθηναίης διὰ βελάς·" διὰ τί γὰρ μὴ Ἥρας, καίτοι παρέσης; ῥητέον οὖν ὅτι τὸ χῆμά ἐς προανακεφαλαίωσις, ὡς Ὀδυσσεὺς (Od. 16, 258) προαναφωνεῖ Τηλεμάχῳ τὴν μνηστηροκτονίαν, ἀλλ' ἐδὲν ἧσσον διὰ τῶν πρακτικῶν αὐτίκα διηγεῖται. εἰσὶ δὲ τῇ Ἥρᾳ εἰ μὴ νῦν τερπνά, ἀλλ' ἔν γε χαρᾶς περιποιητικὰ τὰ λεγόμενα. πεσεῖν δὲ εἰς τὰς ναῦς ἀντὶ τοῦ δεηθῆναι Ἀχιλλέως, ὡς φαμεν „ἐνέπεσεν εἰς τὰς χεῖράς σε." οἰκτίζει δὲ Σαρπηδόνα, κρίνων μὴ ἐν (δὲ τὸν Ἕκτορα κρίνων σὺν τῇ Ἰλίῳ ἀπολεῖσθαι. πόθεν δὲ δῆλον, εἰ μετὰ θάνατον Ἀχιλλέως γεγόνασι τροπαί; τό τε Ἀθηναίης, ἐπεὶ σὺν Ἐπειῷ τὸν ἵππον ἐποίησε. πρὸς δὲ τέτοις παραμυθεῖται τὸν ἀκροτήν, τὴν ἅλωσιν τῆς Τροίας σκιαγραφῶν αὐτῷ· τίς γὰρ ἠνέχετο ἐμπιπραμένων τῶν Ἑλληνικῶν νεῶν καὶ Αἴαντος φεύγοντος, εἰ μὴ ἀπέκειτο ταῖς ψυχαῖς τῶν ἐντυγχανόντων, ὅτι οἱ ταῦτα πράξαντες κρατηθήσονταί ποτε; BLV.

ἡ μέν: πρὸς τὸ πρῶτον ὑπήντησεν, ὡς τὸ „ἴδε καὶ Τρῶας καὶ Ἀχαιούς, τοὺς μὲν ὀρινομένους" (6). V.

58. τὰ ἃ πρὸς δώματ': δύναται εἰς Ὄλυμπον λέγειν φησὶ γὰρ „ἔρχεται μετὰ φῦλα θεῶν καὶ εἰς ἄλα" (161)· γαῖα δ' ἔτι ξυνὴ καὶ μακρὸς Ὄλυμπος" (193). καὶ ὁ Κύκλωψ „εἰσχετο χεῖρ' ὀρέγων εἰς ὀρανόν" (Od. 9, 527). V.

63. 64. ἀθετοῦσι, ὅτι ψεῦδος. A.

63. ἀεὶ ἐπὶ Ἀχαιῶν τὸ πέσωσι· „καί νύ κεν ἐν νηυσὶ πέσον φεύγοντες Ἀχαιοί" (Il. 11, 311). V.

64. Πηλείδεω Ἀχιλῆος: τινὲς λέγουσι λείπειν τὸ ἕνεκα· διὰ γὰρ τὸν Ἀχιλλέα ἔπεσαν. V.

ἔτως, ἀνεσήσει ὄν, αἱ Ἀριστάρχου· τινὲς δὲ ἀνέσειεν διὰ τοῦ ε. Ζηνόδοτος δὲ ἀπὸ τοῦ „Πηλείδεω Ἀχιλῆος" ἕως τοῦ „λισσομένη τιμῆσαι" (77) ἀθ' ὅλως ἔγραφεν. A. ἐοίκασι γὰρ Εὐριπιδείῳ προλόγῳ ταῦτα. ἐναγώνιος δέ ἐστιν ὁ ποιητής, καὶ ἐὰν ἄρα, σπέρμα μόνον τιθείς· „καὶ δ' ἄρα οἱ πέλεν ἀρχή" (Il. 11, 603). τάχα δὲ ὁ ταῦτα ποιήσας καὶ τὸ „ᾠχόμεθ' ἐς Θήβην" (Il. 1, 366) καὶ τὸ „ἦ ῥα καὶ ὣς ἔφατο δ' ὡς πρῶτον Κίκονας δαμάσας" (Od. 23, 310).

69. ἐκ τοῦ: ἀ τοῦ νῦν, ἀλλὰ μετὰ τὸ ἀπολέσθαι Πάτροκλον. τινὲς δέ, ἣν ἐποίησε Πάτροκλος ἀπέλασιν τῶν νεῶν, παλίωξιν καλοῦσι. V.

ἀ πρὸ τοῦ Ἀχιλλέα ἐξελθεῖν, ἢ καὶ μετὰ τὸ ἐξελθεῖν, ἀλλὰ μετὰ τὸ τελευτῆσαι Ἕκτορα· ἐξελθόντος γὰρ Ἀχιλλέως ἦν παλίωξις. BL. παλίωξις δέ ἐστιν ἡ ἐξ ὑποστροφῆς τῶν φευγόντων διώξις, ὅταν οἱ πρότερον φεύγοντες ὕστερον πάλιν αὐτοὶ διώκωσι θαρρήσαντες. BDL.

69. ἡ διπλῆ σὺν ἀστερίσκῳ, ὅτι οὐχ Ὁμηρικῶς ἡ παλίωξις. A.

70. αἰὲν ἐγὼ τεύχοιμι διαμπερές: τετέχνιν εἰς αὐτὸ αὐτὴν ἐάσω, καὶ ἄλλην ἀ ποιήσω παλίωξιν. BL.

71. ὅτι νῦν μόνως ἀδετέρως εἴρηται Ἴλιον. Ἀρίσαρχος Ἴλιον ἐκπέρσωσιν. A.

σημειῶσαι τέτο ὅτι ἀδετέρως τὸ Ἴλιον ἐνθάδε φησὶ μόνον. διὸ καὶ ἀθετεῖται ὁ στίχος ἔτος. D.

ἀεὶ θηλυκῶς λέγει ὁ ποιητής· νῦν δὲ ἐκ ἀπὸ μόνης τῆς

πόλεως, ἀλλ' ὅλȣ τȣ̃ τόπȣ καλεῖ. τινὲς δὲ Ἴλιον ἐκπέρσωσι γράφȣσιν. BL.

Ἀθηναίης διὰ βουλάς: ἐπεὶ διὰ τȣ̃ δȣρείȣ ἵππȣ ἐκρατήθη ἡ Τροία. L.

72. ȣ̃τως Ἀρίςαρχος χωρὶς τȣ̃ σ̄, παύω. A.

ἄνευ τȣ̃ σ̄ οἱ περὶ Ἡρωδιανόν. διὰ τί δὲ χολᾷ τοῖς Ἕλλησιν ȣ̃τως; προσποιεῖ τελειῶσαι τὴν ἱκετείαν Θέτιδος, καὶ ἵνα μὴ πάλιν αὐτὸν ἡ Ἥρα ἱκετεύσῃ, ἀπεφήνατο οὕτως. BLV.

73. ἐνθάδ': ἔδει εἰπεῖν ἐν τῇ μάχῃ· ἄκυρον γὰρ τὸ ἐνθάδε. πρὸς σύγκρισιν ȣ̃ν Ὀλύμπȣ τὸ ἐνθάδε· πλησιαιτέρα γὰρ Ὀλύμπȣ ἡ Ἴδη ὡς πρὸς Ἴλιον. BL.

75. ὥς οἱ ὑπέςην: καὶ μὴν Θέτιδι ὑπέχετο. Ἀρίςαρχος ἀθετεῖ τὸ τιμήσαμεν εἴη· οὐδέποτε γὰρ κατηράσατο τοῖς Ἀχαιοῖς Ἀχιλλεύς. V.

κάρητι: τινὲς ἀπὸ τȣ̃ κάρη. Ἀρίςαρχος κάρῃ ὡς δάρῃ, ἵν' ᾖ ἀρσενικῶς. V.

77. πτολίπορθον: Ὀδυσσέα μόνον ȣ̃τω καλεῖ διὰ τὴν Ἴλιον. ἀλλὰ καὶ ἀλλαχȣ̃ (Il. 21, 551) λέγει „αὐτὰρ ὅγ' ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον." ἐπόρθησε γὰρ εἴκοσι πόλεις. V.

78. τινὲς μετὰ τȣ̃τον γράφȣσι „Ζῆν' ὑποταρβήσασα· νόος δέ οἱ ἄλλα μενοίνα." V.

79. βῆ δὲ κατ' Ἰδαίων: Ζηνόδοτος βῆ δ' ἐξ Ἰδαίων· ἀπὸ ἴσȣ γὰρ ἐπὶ τὸ ἴσον ἡ δίοδος. V.

80. ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος ἀνέρος: Πορφυρίου. ὥσπερ νȣ̃ς ἀνδρὸς πολλὴν ἐπεληλυθότος γῆν καὶ πολλὰ ἱςορηκότος ἐν ὑπομνήσει ποιεῖ τὰ ἱςορημένα καὶ ταχέως ἄλλοτε ἐπ' ἄλλο μεταβαίνει, ȣ̃τω καὶ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης ὀξέως παρεγένετο εἰς τὸν Ὄλυμπον. ABD.

ἡ διπλῆ, ὅτι τὸ κατὰ διάνοιαν θεῖον τάχος τῆς ἐπιπτήσεως τῶν τόπων τὸ κατὰ κίνησιν ἀντιπαρέθηκεν ὑπερβολικῶς, καὶ ὅτι τὸ παροιμιακὸν τὸ „διέπτατο δ' ὥςε νόημα" ἔκ τε τȣ́των καὶ τῶν κατὰ τὴν Ὀδύσσειαν (7, 36) σύγκειται „τῶν νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα," ȣ̃κ ὂν παρ' ȣ̃δενὶ ποιητῇ. A.

ἐν ἄλλοις ἁπλȣ́ςερον καὶ συντομώτερον εἶπε τὸ νόημα· ἐνταῦθα δὲ καὶ ἐπεξειργάσατο τὸ τάχος, καὶ οὐ παντὶ νῷ προσάπτει τὸν λόγον, ἀλλὰ πλάνητος καὶ συνετȣ̃ ἀνδρός. BL.

82. τὸ ἔνθ' εἴη ἢ ἔνθα σὺν τῷ ν̄ οἱ Ἀριςάρχειοι γράφȣσι, καὶ σημαίνει τὸ ὑπῆρχον, ὡς αὐτȣ̃ τȣ̃ ἀνδρὸς ἐπιλογιζομένȣ ποῖ πορευοίμην. ὁ δὲ λόγος ȣ̃τως, εἰς ἐκείνην τὴν χώραν ἢ ἐκείνην πορευθείην ἢ πορευοίμην. AB.

τὸ εἴην σὺν τῷ ν̄ οἱ Ἀριςάρχειοι, καὶ σημαίνει τὸ ὑπῆρχον, ὡς αὐτȣ̃ τȣ̃ ἀνδρὸς ἐπιλογιζομένȣ. εἴην πορευοίμην. ὁ δὲ λόγος, εἰς ἐκείνην τὴν χώραν πορευθείην ἢ εἰς ταύτην πορευοίμην. D.

παρὰ Ἀριςάρχῳ ἤειν μετὰ τοῦ ν̄ γράφεται εἴη καὶ ἐπάρχῃ. L.

ȣ̃τως Ἀρίςαρχος ἔνθ' εἴην, μετὰ τȣ̃ ν̄, καὶ διὰ τῶν ο ῆ μενοινήῃσί τε. A.

μενοινήσειε (δηλονότι ὁ ἀνήρ) πολλὰ μέρη τῆς γῆς, καὶ νοήσει ἐν οἷς ἔςαι καὶ πορεύσεται. BL.

84. ὁμηγερέεσσι: ἐν ἀσχολίᾳ ὄντες μακαρίως εὐωχȣ́μενοι διάγȣσι. καὶ ἐν τῇ Α (533) „Ζεὺς δ' ἑὸν κατὰ δῶμα· θεοὶ δ' ἅμα πάντες ἀνέςαν" ὡς ἐν Διὸς ἀφωρισμένȣ αὐτοῖς τόπου τοιούτου πρὸς τὰς εὐωχίας. οἱ δὲ πρὸς τῷ Ὀλύμπῳ. V.

86. δέπασσιν: οἱ περὶ Ζηνόδοτον ἀγνοήσαντες ἐπέεσσι γράφȣσιν· ἐλέγχονται δὲ φανερῶς ὑπὸ τȣ̃ „Θέμιςι δὲ δέκτο δέπας." BL.

Ἀρίςαρχος σημειȣ̃ται ὅτι ȣ̃τως μόνως γραπτέον δέπασσιν· φησὶ γȣ̃ν ἐν τοῖς ἑξῆς „Θέμιςι δὲ καλλιπαρῄῳ δέκτο δέπας." ἐν ἐνίοις δὲ „κάλεόν τέ μιν εἰς ἓ ἕκαςος," ȣ̃κ εὖ· ἰδίαν γὰρ ἔχει κάθέδραν· πῶς ȣ̃ν πρὸς ἑαυτὸν ἕκαςος καλεῖ; ἐπὶ μὲν τῆς Ἴριδος ἁρμόζει τῆς πρὸς τȣ̀ς ἀνέμȣς παραγεγονυίας (Il. 23, 203). ἀλλὰ μὴν οὐδ' ἐπέεσσι γραπτέον· ἐπιδίδωσι γὰρ ἡ Θέμις αὐτῇ τὸ ποτήριον. ὁ δὲ Θρᾷξ Διονύσιος παρακεῖσθαί φησι τὸ σημεῖον ὅτι διὰ παντὸς τοὺς θεȣ̀ς συνίςησι πίνοντας καὶ ταύτην ἀρίςην διαγωγὴν ἔχοντας, πρὸς τὸ ἐν Ὀδυσσείᾳ „ȣ̃ γὰρ ἔγωγέ τί φημι τέλος χαριέςερον εἶναι ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ" (Od. 9, 5). ταῦτα ὁ Δίδυμος ὁ Ἀριςονίκῳ λέγει περὶ τῆς γραφῆς τῆς δέπασσι. A.

ἐπὶ τȣ̃ ἐρωτικȣ̃ συμποσίȣ „κάλεόν τέ μιν εἰς ἓ ἕκαςος" (Il. 23, 203)· ἀκροθώρακες γὰρ ὄντες εἰς ἐρωτικὰ ἐκεκίνηντο. V.

87. ἡ δ' ἄλλȣς μέν: ȣ̃χὶ τȣ̀ς ἄλλȣς ἠτίμασε καὶ ταύτην πρȣ̃κρινεν, ἀλλ' ἔφθασε, φησί, τȣ̀ς λοιπȣ́ς· διὸ παρ' αὐτῆς λαμβάνει αὐτό. B.

ἔασε: παρῄτησατο· „τὸν δ' ἐχθρὸν ἐᾶσαι" (Hesiod. O. 342). V.

Θέμιςι: ὅτι πτῶσις ἤλλακται καὶ πρόθεσις παρεῖται, ἀντὶ τοῦ παρὰ Θέμιδος. A.

88. γράφουσι μέν τινες θέουσα, ἄμεινον δὲ τὸ φέρȣσα· ἀκατάςατον γὰρ τὸ θέȣσα, καὶ μάλιςα ἐπὶ Θέμιδος. ὑποφαίνει δὲ τὴν τάξιν ἀεὶ τηρεῖν. BL.

90. ἀτυζομένῃ: συμβάλλεται πρὸς τὴν ἀθέτησιν τῶν πρώην· εἰ γὰρ ἦν ἀκȣ́σασα τὰ περὶ τῆς ἁλώσεως, ȣ̃κ ἂν κατηπείχθη. τάχα δὲ τεταραγμένη ὑπέςρεψε δι' ὑπόμνησιν ἀτιμίας. V.

91. ἐφόβησε: ȣ̃ κατὰ προαίρεσιν ἐληλυθέναι ἐποίησεν, ἀλλ' ὅμοιόν τι φυγῇ παθεῖν. BL.

92. θεὰ λευκώλενος: ἐν ἄλλῳ βοῶπις πότνια. A.

93. οἶσθα καὶ αὐτή: πόθεν; ἢ ὅτι συνῴκηκεν αὐτῷ. τ' ἄλλα κȣριδίȣς αὐτȣ́ς φησιν. V.

94. ἐκείνȣ: Ἀρίςαρχος κείνȣ Ἰακῶς. A.

ὑπερφίαλος: ὅτι τῶν μέσων ἐςὶν ἡ λέξις, καὶ νῦν μὲν ἐπὶ ψόγȣ κεῖται, ἀντὶ τοῦ οὐκ ἔνσπονδος, ἐν ἄλλοις δὲ ἐπὶ ἐγκωμίȣ· „ὑπερφιάλοισι μεθ' ἡμῖν δαίνυσαι" (Od. 21, 289), εἰ μή φησιν, ȣ̃ς σὺ φῄς εἶναι ὑπερφιάλους. ἀπηνὴς δὲ ὁ ἄποθεν τȣ̃ αἰνεῖσθαι, ἢ τȣ̃ νεύειν ἐς ἅ τις βȣ́λεται, ἢ τῶν ἡνίων τῆς χρηςότητος. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

49. δὴ σύ γ' ἔπειτα: ἐκ παραλλήλȣ τὸ ἔπειτα ἀντὶ τȣ̃ δή, ὡς τὸ „δὴ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο" (Od. 5, 391). BL.

βοῶπι: διὰ τὸ μακρὰν ὁρᾶν ἐν τῷ ἀέρι· εἰς τȣ̃τον γ' ἀλληγορεῖϑ, ὃς ἔχει τὸ διηχὲς ϰ̀ τὸ δίοσμον ϰ̀ τὸ διειδές, ἅπερ ϰ̀ τὸ ὕδωρ ἔχει, ἀλλ' ἐπ' ἔλαττον. L.

οἱ μὲν βοῶπι. V. Ἀριςοφάνης μετὰ τȣ̃ σ̄ βοῶπις· ϰ̀ ἔςιν εὐφραδέςερον. περιττεύει δὲ τὸ ἔπειτα. A.

50. ἶσον ἐμοὶ φρονέουσα: ἀντὶ τȣ̃ ὁμονοȣ̃σα καὶ ταὐτὸ βȣλομένη. BL.

μετ' ἀθανάτοισι: γράφεϑ ϰ̀ ἐν ἀθανάτοισι. V.

ἀθανάτοισι καθίζοις: ἐν ταῖς εἰκαιοτέραις ἀθανάτοισι θεοῖσι. A.

καθίζοις: ἀπὸ μέρȣς, ἀντὶ τȣ̃ εἴης. V. ἀλλοπαθὲς ϰ̀ αὐτοπαθὲς τὸ καθίζοις. L.

51. τὸ τῷ νῦν ἀντὶ τȣ̃ ὁμοίως. BL.

52. τὸ νόον βέλτιον τοῖς ἡγȣμένοις προσδίδοσϑ, ἵνα τὸν τȣ̃ Ποσειδῶνος λέγῃ. δύναϑ δὲ ϰ̀ τοῖς ἑξῆς. A.

μετὰ σὸν καὶ ἐμὸν κῆρ: ὑπαλλακτικῶς εἶπεν, ἀντὶ τȣ̃ ἐπὶ τὰ ὑπὸ σȣ̃ ϰ̀ ἐμȣ̃ πραττόμενα ϰ̀ νοȣ́μενα. BL.

53. ȣ̃τως διὰ τȣ̃ γέ, ἐτεόν γε, ϰ̀ Ἀριςοφάνης. A.

καὶ ἀτρεκέως: δὶς τὸ αὐτό φησιν ἐπιτάσεως χάριν. D.

54. κάλεσσον: ἐν ἄλλῳ κέλευσον. A.

55. κλυτότοξον: τινὲς κλυτὸν αὐδήν. ȣ̃κ οἶδε δὲ αὐτὸν Ὅμηρος ᾄδοντα ἀλλὰ κιθαρίζοντα. V.

56. ἀπὸ τȣ́τȣ ἕως τȣ̃ „λισσομένη τιμῆσαι" (77) ἀθετȣ̃νϑ ςίχοι κβ', ὅτι ȣ̃κ ἀναγκαίως παλιλλογεῖται περὶ τῶν ἑξῆς ἐπεισαχθησομένων, ϰ̀ κατὰ τὴν σύνθεσίν εἰσιν εὐτελεῖς· ϰ̀ ὅτι ὡς ἐπίπαν πρὸς τὸ δεύτερον πρότερον ἀπαντᾷ, νῦν δὲ πρὸς τὸ πρότερον ἀπήντηκεν „ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν." ψεῦδος δὲ ϰ̀ τὸ „φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι Πηλείδεω Ἀχιλῆος" (63)· ȣ̃τε γ' παραγεγόνασιν ἕως τῶν Ἀχιλλέως νεῶν, ȣ̃τε τὸν Πάτροκλον ἀνέςησεν ἐπὶ τὸν πόλεμον ὁ Ἀχιλλεύς. ϰ̀ τὸ πέσωσιν οὐχ Ὁμηρικόν· μᾶλλον γ' ἐκείνοις τὸ ἐμπεσεῖν ἐπὶ τȣ̃ ἐνσεῖσαι τίθησιν· „ἔφαντο γ' ȣ̃κέτ' Ἀχαιȣ̀ς χήσεσθ' ἀλλ' ἐν νηυσὶ μελαίνῃσι πεσέεσϑ" (Il. 12, 125). ἡ δὲ παλίωξις ȣ̃χ Ὁμηρικῶς παρείληπϑ· ȣ̃ γ' λέγεται ȣ̃τως ψιλῶς παρ' αὐτῷ ἡ φυγή, ἀλλ' ὅταν ἐκ μεταβολῆς οἱ πρότερον φεύγοντες διώκωσι· σαφῶς γ' ἐν ἄλλοις φησὶν „εἰ δέ χ' ὑποςρέψω καὶ παλίωξις δὲ γένηϑ" (ib. 71). ἀσύνηθες δὲ ϰ̀ ȣ̃δετέρως τὸ Ἴλιον νῦν ῥηθέν „Ἴλιον αἰπὺ ἕλοιεν" (71)· πάντοτε γ' θηλυκῶς λέγει. ἔν τε τῷ „λισσομένη τιμῆσαι" φησὶν ὁ Ἀρίςαρχος ὅτι ȣ̃δαμῇ τὸν Ἀχιλλέα πτολίπορθον εἴρηκεν, ἀλλὰ ποδάρκη ϰ̀ ποδώκη. A.

ϰ̀ παρὰ Ἀριςοφάνει ἠθέτηντο. A.

ἀθετȣ̃νϑ ὡς περιττοὶ κ' ϰ̀ β' ςίχοι, ὅτι ȣ̃κ ἀρεςοὶ Ἥρᾳ, ϰ̀ ὅτι ȣ̃κ ἐμπίπτȣσι ταῖς ναυσὶν Ἀχιλλέως. ϰ̀ εἰ ἔκρινεν ἀπολέσϑ Σαρπηδόνα, τί ἐκεῖ (Il. 16, 433) οἰκτίζεϑ; καὶ ἡ παλίωξις ȣ̃κ ὀρθῶς· ἀφ' ȣ̃ γ' Ἀχιλλεὺς ἐξῆλθεν, ȣ̃κ ἐτράπησαν Ἀχαιοί. ϰ̀ τὸ „Ἀθηναίης διὰ βȣλάς·" διὰ τί γ' μὴ Ἥρας, καίτοι παρȣ́σης; ῥητέον οὖν ὅτι τὸ χῆμά ἐς προανακεφαλαίωσις, ὡς Ὀδυσσεὺς (Od. 16, 258) προανα- φωνεῖ Τηλεμάχῳ τὴν μνηςηροκτονίαν, ἀλλ' ȣ̃δὲν ἧσσον ϰ διὰ τῶν πρακτικῶν αὐτίκα διηγεῖϑ. εἰσὶ δὲ τῇ Ἥρᾳ εἰ ϰ μὴ νῦν τερπνά, ἀλλ' ȣ̃ν γε χαρᾶς περιποιητικὰ τὰ λεγό- μενα. πεσεῖν δὲ εἰς τὰς ναῦς ἀντὶ τȣ̃ δεηθῆναι Ἀχιλλέως ὥς φαμεν „ἐνέπεσεν εἰς τὰς χεῖράς σȣ." οἰκτίζεϑ δὲ Σαρ- πηδόνα, κρίνων μὴ ἐν (δὲ τὸν Ἕκτορα κρίνων σὺν τῇ V Ἰλίῳ ἀπολεῖσϑ. πόθεν δὲ δῆλον, εἰ μετὰ θάνατον Ἀχιλ- λέως γεγόνασι τροπαί; τό τε Ἀθηναίης, ἐπεὶ σὺν Ἐπει- τὸν ἵππον ἐποίησε. πρὸς δὲ τȣ́τοις παραμυθεῖϑ τὸν ἀκροα- τήν, τὴν ἅλωσιν τῆς Τροίας σκιαγραφῶν αὐτῷ· τίς γ' ἂ ἠνέχετο ἐμπιπραμένων τῶν Ἑλληνικῶν νεῶν καὶ Αἰαντο φεύγοντος, εἰ μὴ ἀπέκειτο ταῖς ψυχαῖς τῶν ἐντυγχανόντω ὅτι οἱ ταῦτα πράξαντες κρατηθήσονταί ποτε; BLV.

ἡ μέν: πρὸς τὸ πρῶτον ὑπήντησεν, ὡς τὸ „ἴδε κ Τρῶας ϰ̀ Ἀχαιȣ́ς, τȣ̀ς μὲν ὀρινομένȣς" (6). V.

58. τὰ ἃ πρὸς δώμαθ': δύναϑ εἰς Ὄλυμπον λέγει φησὶ γȣ̃ν „ἔρχεσϑ μετὰ φῦλα θεῶν ϰ̀ εἰς ἅλα" (161)· γαῖ δ' ἔτι ξυνὴ ϰ̀ μακρὸς Ὄλυμπος" (193). ϰ̀ ὁ Κύκλωψ „εὐ χετο χεῖρ' ὀρέγων εἰς ȣ̃ρανόν" (Od. 9, 527) V.

63. 64. ἀθετȣ̃νϑ, ὅτι ψεῦδος. A.

63. ἀεὶ ἐπὶ Ἀχαιῶν τὸ πέσωσι· „καί νύ κεν ἐν νη εσσι πέσον φεύγοντες Ἀχαιοί" (Il. 11, 311). V.

64. Πηλείδεω Ἀχιλῆος: τινὲς λέγουσι λείπειν ἕνεκα· διὰ γ' τὸν Ἀχιλλέα ἔπεσαν. V.

ȣ̃τως, ἀνςήσει ὅν, αἱ Ἀριςάρχου· τινὲς δὲ ἀνςη σειεν διὰ τȣ̃ ε̄. Ζηνόδοτος δὲ ἀπὸ τȣ̃ „Πηλείδεω Ἀχι λῆος" ἕως τȣ̃ „λισσομένη τιμῆσαι" (77) ȣ̃δ' ὅλως ἔγρα φεν. A. ἐοίκασι γ' Εὐριπιδείῳ προλόγῳ ταῦτα. ἐναγώνι δέ ἐςιν ὁ ποιητής, ϰ̀ ἐὰν ἄρα, σπέρμα μόνον τιθείς· „κα δ' ἄρα οἱ πέλεν ἀρχή" (Il. 11, 603). τάχα δὲ ὁ ταῦ ποιήσας ϰ̀ τὸ „ᾠχόμεθ' ἐς Θήβην" (Il. 1, 366) ϰ̀ τὸ „ἤ ξατο δ' ὡς πρῶτον Κίκονας δαμάσας" (Od. 23, 310).

69. ἐκ τȣ̃: ȣ̃ τȣ̃ νῦν, ἀλλὰ μετὰ τὸ ἀπολέσϑ Πάτροκλο τινὲς δέ, ἣν ἐποίησε Πάτροκλος ἀπέλασιν τῶν νεῶν, πα λίωξιν καλȣ̃σι. V.

ȣ̃ πρὸ τȣ̃ Ἀχιλλέα ἐξελθεῖν, ἢ ϰ̀ μετὰ τὸ ἐξελθεῖν, ἀλλ μετὰ τὸ τελευτῆσαι Ἕκτορα· ἐξελθόντος γ' Ἀχιλλέως ἦν παλίωξις. BL. παλίωξις δέ ἐςιν ἡ ἐξ ὑποςροφῆς τ φευγόντων δίωξις, ὅταν οἱ πρότερον φεύγοντες ὕςερον πα λιν αὐτοὶ διώκωσι θαῤῥήσαντες. BDL.

69. ἡ διπλῆ σὺν ἀςερίσκῳ, ὅτι οὐχ Ὁμηρικῶς ἡ πα λίωξις. A.

70. αἰὲν ἐγὼ τεύχοιμι διαμπερές: τȣτέςιν εἰς αὐτὸ αὐτὴν ἐάσω, ϰ̀ ἄλλην ȣ̃ ποιήσω παλίωξιν. BL.

71. ὅτι νῦν μόνως ȣ̃δετέρως εἴρηϑ Ἴλιον. Ἀρίςαρχος Ἴλιον ἐκπέρσωσιν. A.

σημείωσαι τȣ̃το ὅτι ȣ̃δετέρως τὸ Ἴλιον ἐνθάδε φησὶ μό νον. διὸ ϰ̀ ἀθετεῖϑ ὁ ςίχος ȣ̃τος. D.

ἀεὶ θηλυκῶς λέγει ὁ ποιητής· νῦν ȣ̃ν ȣ̃κ ἀπὸ μόνης τῆ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πόλεως, ἀλλ' ὅλȣ τȣ̃ τόπȣ καλεῖ. τινὲς δὲ Ἴλιον ἐκπέρσωσι γράφȣσιν. BL.

Ἀθηναίης διὰ βουλάς: ἐπεὶ διὰ τȣ̃ δȣρείȣ ἵππȣ κρατήθη ἡ Τροία. L.

72. ȣ̃τως Ἀρίςαρχος χωρὶς τȣ̃ σ̄, παύω. A.

ἄνευ τȣ̃ σ̄ οἱ περὶ Ἡρωδιανόν. διὰ τί δὲ χολᾷ τοῖς Ἕλησιν ȣ̃τως; προσποιεῖϑ τελειῶσαι τὴν ἱκετείαν Θέτιδος, αὶ ἵνα μὴ πάλιν αὐτὸν ἡ Ἥρα ἱκετεύσῃ, ἀπεφήνατο οὕως. BLV.

73. ἐνθάδ': ἔδει εἰπεῖν ἐν τῇ μάχῃ· ἄκυρον γ̓ τὸ ἐνάδε. πρὸς σύγκρισιν ȣ̓ν Ὀλύμπȣ τὸ ἐνθάδε· πλησιαιτέρα Ὀλύμπȣ ἡ Ἴδη ὡς πρὸς Ἴλιον. BL.

75. ὥς οἱ ὑπέςην: ϗ μὴν Θέτιδι ὑπέχετο. Ἀρίςαρχος θετεῖ τὸ τιμήσαμεν εἴη· οὐδέποτε γὰρ κατηράσατο τοῖς χαιοῖς Ἀχιλλεύς. V.

κάρητι: τινὲς ἀπὸ τȣ̃ κάρη. Ἀρίςαρχος κάρῃ ὡς δά, ἵν' ᾖ ἀρσενικῶς. V.

77. πτολίπορθον: Ὀδυσσέα μόνον ȣ̃τω καλεῖ διὰ τὴν ιον. ἀλλὰ καὶ ἀλλαχȣ̃ (Il. 21, 551) λέγει „αὐτὰρ ὅγ' ὡς όησεν Ἀχιλλῆα πτολίπορθον." ἐπόρθησε γ̓ εἴκοσι πόις. V.

78. τινὲς μετὰ τȣ̃τον γράφȣσι „Ζῆν' ὑποταρβήσασα· ος δέ οἱ ἄλλα μενοίνα." V.

79. βῆ δὲ κατ' Ἰδαίων: Ζηνόδοτος βῆ δ' ἐξ αίων· ἀπὸ ἴσȣ γ̓ ἐπὶ τὸ ἴσον ἡ δίοδος. V.

80. ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος ἀνέρος: Πορφυρίου. περ νȣ̃ς ἀνδρὸς πολλὴν ἐπεληλυθότος γῆν ϗ πολλὰ ἱςοκότος ἐν ὑπομνήσει ποιεῖϑ τὰ ἱςορημένα ϗ ταχέως ἄλτε ἐπ' ἄλλο μεταβαίνει, ȣ̃τω ϗ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης ως παρεγένετο εἰς τὸν Ὄλυμπον. ABD.

ἡ διπλῆ, ὅτι τὸ κατὰ διάνοιαν θεῖον τάχος τῆς ἐπιπτής τῶν τόπων τὸ κατὰ κίνησιν ἀντιπαρέθηκεν ὑπερβοῶς, ϗ ὅτι τὸ παροιμιακὸν τὸ „διέπτατο δ' ὥςε νόημα" τε τȣ́των ϗ τῶν κατὰ τὴν Ὀδύσσειαν (7, 36) σύγκειται ν νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα," ȣ̓κ ὂν παρ' ȣ̓δενὶ ητῇ. A.

ν ἄλλοις ἁπλȣ́ςερον καὶ συντομώτερον εἶπε τὸ νόημα· ῦθα δὲ καὶ ἐπεξειργάσατο τὸ τάχος, καὶ οὐ παντὶ νῷ τάπτει τὸν λόγον, ἀλλὰ πλάνητος ϗ συνετȣ̃ ἀνδρός. BL.

2. τὸ ἔνθ' εἴη ἢ ἔνθα σὺν τῷ ν̄ οἱ Ἀριςάρχειοι ȣσι, ϗ σημαίνει τὸ ὑπῆρχον, ὡς αὐτȣ̃ τȣ̃ ἀνδρὸς ἐπιλοιένȣ ποῖ πορευοίμην. ὁ δὲ λόγος ȣ̃τως, εἰς ἐκείνην τὴν ιν ἢ ἐκείνην πορευθείην ἢ πορευοίμην. AB.

ὁ εἴην σὺν τῷ ν̄ οἱ Ἀριςάρχειοι, ϗ σημαίνει τὸ ὑπῆρ ὡς αὐτȣ̃ τȣ̃ ἀνδρὸς ἐπιλογιζομένȣ. εἴην πορευοίμην. ὁ όγος, εἰς ἐκείνην τὴν χώραν πορευθείην ἢ εἰς ταύτην οίμην. D.

ρὰ Ἀριςάρχῳ ἤειν μετὰ τοῦ ν̄ γράφεται εἴη καὶ χῃ. L.

ως Ἀρίςαρχος ἔνθ' εἴην, μετὰ τȣ̃ ν̄, καὶ διὰ τῶν μενοινήῃσί τε. A.

μενοινήσειε (δηλονότι ὁ ἀνήρ) πολλὰ μέρη τῆς γῆς, ϗ νοήσει ἐν οἷς ἔςαι ϗ πορεύσεται. BL.

84. ὁμηγερέεσσι: ἐν ἀσχολίᾳ ὄντες μακαρίως εὐωχȣ́μενοι διάγȣσι. ϗ ἐν τῇ Α (533) „Ζεὺς δ' ἐὸν κατὰ δῶμα· θεοὶ δ' ἅμα πάντες ἀνέςαν" ὡς ἐν Διὸς ἀφωρισμένȣ αὐτοῖς τόπου τοιούτου πρὸς τὰς εὐωχίας. οἱ δὲ πρὸς τῷ Ὀλύμπῳ. V.

86. δέπασσιν: οἱ περὶ Ζηνόδοτον ἀγνοήσαντες ἐπέεσσι γράφȣσιν· ἐλέγχονϑ δὲ φανερῶς ὑπὸ τȣ̃ „Θέμιςι δὲ δέκτο δέπας." BL.

Ἀρίςαρχος σημειȣ̃ϑ ὅτι ȣ̃τως μόνως γραπτέον δέπασσιν· φησὶ γȣ̃ν ἐν τοῖς ἑξῆς „Θέμιςι δὲ καλλιπαρήῳ δέκτο δέπας." ἐν ἐνίοις δὲ „κάλεόν τέ μιν εἰς ἓ ἕκαςος," ȣ̓κ εὖ· ἰδίαν γ̓ ἔχει καθέδραν· πῶς ȣ̓ν πρὸς ἑαυτὸν ἕκαςος καλεῖ; ἐπὶ μὲν τῆς Ἴριδος ἁρμόζει τῆς πρὸς τȣ̀ς ἀνέμȣς παραγεγονυίας (Il. 23, 203). ἀλλὰ μὴν οὐδ' ἐπέεσσι γραπτέον· ἐπιδίδωσι γ̓ ἡ Θέμις αὐτῇ τὸ ποτήριον. ὁ δὲ Θρᾷξ Διονύσιος παρακεῖσθαί φησι τὸ σημεῖον ὅτι διὰ παντὸς τοὺς θεȣ̀ς συνίςησι πίνοντας ϗ ταύτην ἀρίςην διαγωγὴν ἔχοντας, πρὸς τὸ ἐν Ὀδυσσείᾳ „ȣ̓ γ̓ ἔγωγέ τί φημι τέλος χαριέςερον εἶναι ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ" (Od. 9, 5). ταῦτα ὁ Δίδυμος ὁ Ἀριςονίκῳ λέγει περὶ τῆς γραφῆς τῆς δέπασσι. A.

ἐπὶ τȣ̃ ἐρωτικȣ̃ συμποσίȣ „κάλεόν τέ μιν εἰς ἓ ἕκαςος" (Il. 23, 203)· ἀκροθώρακες γ̓ ὄντες εἰς ἐρωτικὰ ἐκεκίνηντο. V.

87. ἡ δ' ἄλλȣς μέν: ȣ̓χὶ τȣ̀ς ἄλλȣς ἠτίμασε ϗ ταύτην πρὀκρινεν, ἀλλ' ἔφθασε, φησί, τȣ̀ς λοιπȣ́ς· διὸ παρ' αὐτῆς λαμβάνει αὐτό. B.

ἔασε: παρῄτησατο· „τὸν δ' ἐχθρὸν ἐᾶσαι" (Hesiod. O. 342). V.

Θέμιςι: ὅτι πτῶσις ἤλλακται καὶ πρόθεσις παρεῖται, ἀντὶ τοῦ παρὰ Θέμιδος. A.

88. γράφουσι μέν τινες θέουσα, ἄμεινον δὲ τὸ φέρȣσα· ἀκατάςατον γ̓ τὸ θέȣσα, ϗ μάλιςα ἐπὶ Θέμιδος. ὑποφαίνει δὲ τὴν τάξιν ἀεὶ τηρεῖν. BL.

90. ἀτυζομένῃ: συμβάλλεϑ πρὸς τὴν ἀθέτησιν τῶν πρώην· εἰ γ̓ ἦν ἀκȣ́σασα τὰ περὶ τῆς ἁλώσεως, ȣ̓κ ἂν κατηπείχθη. τάχα δὲ τεταραγμένη ὑπέςρεψε δι' ὑπόμνησιν ἀτιμίας. V.

91. ἐφόβησε: ȣ̓ κατὰ προαίρεσιν ἐληλυθέναι ἐποίησεν, ἀλλ' ὅμοιόν τι φυγῇ παθεῖν. BL.

92. θεὰ λευκώλενος: ἐν ἄλλῳ βοῶπις πότνια. A.

93. οἶσθα καὶ αὐτή: πόθεν; ἢ ὅτι συνῴκηκεν αὐτῷ. τ' ἄλλα κȣριδίȣς αὐτȣ́ς φησιν. V.

94. ἐκείνȣ: Ἀρίςαρχος κείνȣ Ἰακῶς. A.

ὑπερφίαλος: ὅτι τῶν μέσων ἐςὶν ἡ λέξις, ϗ νῦν μὲν ἐπὶ ψόγȣ κεῖϑ, ἀντὶ τοῦ οὐκ ἔνσπονδος, ἐν ἄλλοις δὲ ἐπὶ ἐγκωμίȣ· „ὑπερφιάλοισι μεθ' ἡμῖν δαίνυσαι" (Od. 21, 289), εἰ μή φησιν, ȣ̓ς σὺ φῂς εἶναι ὑπερφιάλους. ἀπηνὴς δὲ ὁ ἄποθεν τȣ̃ αἰνεῖσθαι, ἢ τȣ̃ νεύειν ἐς ἅ τις βȣ́λεται, ἢ τῶν ἡνίων τῆς χρηςότητος. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ διπλῆ, ὅτι τὸ ὑπερφίαλος νῦν μὲν ἐπὶ ψόγε, ὁ ὑπέρσπονδος, βέλτιον δὲ ὁ ὑπέρμετρος· ἐν ἄλλοις δὲ ἐν τάξει ἐγκωμίε· „ἐκ ἀγαπᾷς ὃ ἔκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν", ἀντὶ τῶ ἀγαθοῖς. A.

95. ἄρχε θεοῖσι: παρὰ γὰρ ἀνθρώποις πολλὰ διὰ μέθην ἄτοπα γίνεται. διδάσκει δὲ ὅτι δεῖ τὸ δίκαιον ἐν τοῖς πότοις γίνεσθαι καὶ σώζεσθαι. BL.

96. μετὰ πᾶσιν ἀθανάτοισιν: ἀντὶ τοῦ ἐπὶ πάντων ἀθανάτων. A.

97. πιφαύσκεται: οἷον ἐνδείκνυται καὶ ὁ κρυφίως ποιεῖ. ὑπερβολικῶς δέ φησιν, ὡς ἤδη πεπραχότος ταῦτα τοῦ Διός. BL. ὡς „ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον" (Il. 1, 148). V.

δύναται καὶ καθ' ἑαυτὸ τὸ ἡμιςίχιον ἀναγινώσκεσθαι, ἵν' ᾖ θαυμαςικὸς ὁ λόγος. βέλτιον δὲ τὸ σύνηθες, ὡς καὶ ἐπάνω „οἶδα καὶ αὐτὴ οἷος ἐκείνε θυμός" (93). A.

οὐδέ τι φημι: ὁ νῦς, ἀκέτι οἶμαι τὸν Δία ἐδενὶ τῶν πάντων θεῶν ἢ ἀνθρώπων ἱλαρὸν ἔσεσθαι, εἰ ἄρα καί τις ἐν τῷ παρόντι τῇ αὐτᾶ προσηνείᾳ εὐωχεῖται ἐν ἱλαρότητι. A.

98. κεχαρησέμεν: χαροποιήσειν. B.

99. οὔτε θεοῖς: πρὸς τὸν Ἄρην ταῦτα δι' Ἀσκάλαφον. BL.

εἴπερ τις: ἠθικῶς· εἴγε, φησίν, ὅλως ὀφείλετε εὐωχεῖσθαι ὑμεῖς τὴν ψυχὴν εὐφραινόμενοι. δολερὸν δὲ καὶ γυναικεῖον ἐνέφηνεν ἦθος· ἀδικήσασα γὰρ Δία ἐπ' αὐτοῦ μὲν ἀπολογεῖται, νῦν δὲ ἠδικῆθαί φησι καὶ τὸν Δία ὑπερφίαλον καλεῖ καὶ ἐπανίςησιν αὐτῷ τὰς θεάς. BL.

101. ὄχθησαν: ἐμετεωρίσθησαν, ἢ ἐβαρύνθησαν ὡς ὄχθων προσκειμένων, ἢ ἠχθέσθησαν, παρὰ τὸ ἄχθος. BLV.

ἡ δὲ γέλασσεν: ἔτος ὁ γέλως Σαρδόνιος καλεῖται, ὅταν τις μὴ ἐκ διαθέσεως καὶ κρίσεως γελᾷ. καὶ τὸν Ἄρη δὲ ὑπομιμνήσκει τᾶ υἱᾶ φοβᾶσα, ἵν' αὐτὸν ἀποςήσῃ τῆς τῶν Τρώων συμμαχίας καὶ τὰς ἄλλας θεάς. A.

οὗτός ἐςιν ὁ Σαρδόνιος γέλως, ὁ μετὰ δηγμᾶ τῆς καρδίας (δ. πρὸς ὑπόκρισιν A) γινόμενος. ABL.

μέτωπον: Σοφοκλῆς „ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ". V.

103. ἰάνθη: διεχύθη, ἐκινήθη· ἰαίνεται δὲ δηλονότι χαῖρον. ἰαίνειν δὲ κυρίως τὸ θερμαίνειν („αἶψα δ' ἰαίνετο κηρός" Od. 12, 175), θερμὰ δὲ τὰ ἡδέα. νεμεσσηθεῖσα δὲ πᾶσι, μεμψαμένη ἐπὶ τῷ μὴ δέξαθαι τὰς λόγας αὐτῆς· ἢ τῷ Διὶ μεμφομένη ἐν πᾶσιν ἡδύ. BLV.

104. τινὲς ἐριδαίνομεν ἀφρονέοντι. V.

κατ' ἔνια τῶν ὑπομνημάτων ἀφρονέοντα. A.

105. 106. τὸν πρῶτον ἢ περισπαςέον· ἔςι γὰρ διαπορητικός· τοὺς δὲ ἑξῆς βαρυντέον (κλιτέον V)· εἰσὶ γὰρ διαζευκτικοὶ ἢ παραδιαζευκτικοί. BLV.

εφαμεν τὸν ἢ κατ' ἀρχὴν ὄντα διαπορητικὸν περισπᾶσθαι, ὥσπερ καὶ ἐνθάδε. τὰς μέντοι ἑξῆς ἐγκλιτέον ἐν τῇ συντάξει· εἰσὶ γὰρ ἤτοι διαζευκτικοὶ ἢ παραδιαζευκτικοί, ὡς τὸ „ἢ ἔπει ἠὲ βίῃ". A.

106. ἀφήμενος: ἀποκαθήμενος. B. ἄποθεν χωριζόμενος. V.

107. φησὶν: λογίζεσθαι, ὡς τὸ „ἦ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι" (Od. 18, 131). ὅτι δὲ ἐ πρὸς πεῖραν ἀλλὰ πρὸς πειθαρχίαν οἱ λόγοι, δῆλον ἐξ ὧν φησὶν „ἐκ ἄεις ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη" (130). BL.

108. διακριδὸν εἶναι ἄριςος: τῶτο πρὸς τὸ „τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν" (Il. 8, 27). ὡς τυπεινόφρονας δὲ αὐτὸς ἐλέγχει, πειράζεσα εἰ φράσαιντο κατὰ Διός· ὅθεν ἐκείνων σιωπησάντων κερτομῆσα τὸν ἐπίπλαγον ἐγέλασε γέλωτα, τόν τε Ἄρην ἐπανίςησι τῷ Διὶ καὶ τῆς συμμαχίας τῶν Τρώων ἀπανίςησιν. BL.

109. ἔχεθ': ἀνέχεσθε. διδάσκει δὲ ςέργειν τὴν θείαν διοίκησιν. τὸ δὲ ὔμμι ἀντὶ τῶ ὑμῶν. καὶ ταῦτα δὲ δεινῶς ὡς ἐ μόνον περὶ τὸν Ἄρην δεινᾶ τινὸς συμβεβηκότος, ἀλλὰ καὶ περὶ τὰς ἄλλας τῆς ὁμοίας ἔσης προσδοκίας. BLV.

112. ὃν: ἑαυτῶ· ἔςι δὲ ὅμοιον τῷ „μήτηρ μέν τέ μέ φησι" (Od. 1, 215). φασὶ δὲ τὸν Ἀσκάλαφον εἰς Ἑβραϊδα τεθάφθαι γῆν· διὸ καὶ Σαμάρειαν καλεῖσθαι, διὰ τὸ σῆμα ἆ Ἄρης ἐποίησεν. BL.

114. ἔτως καὶ ἡ Ἀριςάρχε καὶ πᾶσαι, ἔπος ἠὔδα οὐ προσηύδα. A.

116. ἰόντι: οὕτω τὸ τέλειον. τινὲς δὲ ἰόντα. V.

ἐπὶ νῆας Ἀχαιῶν: νῦν ἀποδείκνυται ἀλλοπρόσαλλος, μὴ γινώσκων ἐδ' ὅπῃ βαδιεῖται. εἰ μὲν γὰρ Ἕλλησι συμμαχήσει, ἀλλοπρόσαλλος εὑρίσκεται, εἰ δὲ Τρωσίν, ὡς πρόσθεν, ἐκ ἐκδικῶν τὸν υἱὸν ἀλλὰ καὶ τῷ φόνῳ αὐτᾶ συμβαλλόμενος. BLV.

ἔτός ἐςιν ὁ ἀλλοπρόσαλλος· οἱ γὰρ ἀδικήσαντες αὐτὸν ἦσαν οἱ Τρῶες, οἱ κατάρξαντες τῆ ἀδικήματος. A.

118. κεῖσθαι ὁμοῦ νεκύεσσι: ἀντιφράζεται τὸ „αὐτοῦ πήματ' ἔπαχον ἐν αἰνῇσιν νεκάδεσσιν" (Il. 5, 886). νεκάδας γὰρ τὰς τάξεις τῶν ἀνδρῶν φασίν. V.

119. Δείμόν τε Φόβον τε: ἡ διπλῆ ὅτι ἀντὶ τῶ Δείμῳ καὶ Φόβῳ, καὶ ὅτι ἐντεῦθεν ἡ πλάνη γέγονε τοῖς δεξαμένοις Δεῖμον καὶ Φόβον ἵππων ὀνόματα. εἰσὶ δὲ Ἄρεος υἱοί· ἐν ἄλλοις γὰρ ῥητῶς φησὶ „τῷ δὲ Φόβος φίλος υἱός" (Il. 13, 299). τὸ δὲ γένος τῆς ἀμφιβολίας ἔςιν εὑρεῖν καὶ ἀλλαχῆ· „τὸν δέ τ' ἄνδρα ἐλεῖν καὶ εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν" (Il. 5, 118)· καὶ ἐν Ὀδυσσείᾳ (3, 24) „αἰδὼς δ' ἔτε νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι," ὅπερ ἀγνοήσαντές τινες ἔγραψαν νέῳ ἀνδρί. L.

121. μείζων: τῶ πρὸς Ἥραν καὶ Ἀθηνᾶν καὶ Ποσειδῶνα χόλε. BL.

122. ἡ διπλῆ, ὅτι ἐκ παραλλήλε ὡς ἰσοδυναμοῦντα τὸ χόλον καὶ τὴν μῆνιν. A. οἱ δὲ τὸ χόλος γενικῶς. V.

123. εἰ μὴ Ἀθήνη: ἐκ τότε καὶ Ἀντιθένης φησὶν ὡς, εἴ τι πράττει ὁ σοφός, κατὰ πᾶσαν ἀρετὴν ἐνεργεῖ, οὕτως καὶ ἡ Ἀθηνᾶ τριχῶς νεθετεῖ τὸν Ἄρην. L.

πᾶσι: ἀντὶ τῶ πάντων. εἰκότως δὲ ὡς δεδοικυῖα τὸν πατέρα καὶ ἤδη πεπαιδευμένη μὴ ἐναντιοῦσθαι („ὄφρ' εἰ

γλαυκῶπις" Il. 8, 406) περὶ τῶν μελλόντων ἡ γλαυκῶπις φροντίζει. BLV.

περιδδείσασα: διὰ τῆ ἑτέρᾳ δ αἱ Ἀριστάρχ. A.

124. δι' ἐκ: ἢ ἐξ πρὸς τὸ ὦρτο. V.

ἔνθα θάασσεν: παραπληρωματικὸν τῇ πιπτούσῃ χιόνι. V.

125. τοῦ δ' ἀπὸ μὲν: καὶ ἐπὶ Ὀδυσσέως „αὐτίκ' ἀπὸ κροτὸς κυνέην κ' σάκος ὤμοιιν, δόρυ δ' ἔκβαλεν ἔκ τε χειρός" (Od. 14, 276). δῆλον δὲ ὅτι ἀφοπλίζουσα τὸν Ἄρεα ταῦτα ἔλεγεν· ἃ γ' σιωπῶσα. V.

127. ἢ: ἡ διπλῆ, ὅτι ἐξ ἀναλήψεως τὰ ἄρθρα λαμβάνει. ὅμοιον δέ ἐσι τοῦτο τῷ „αὐτὰρ Ἀθηναίη κόρη Διός" εἶτα „ἡ δὲ χιτῶν' ἐνδῦσα Διός" (Il. 5, 733. 736). δασυνέον δὲ τὸ ἢ ἄρθρον. δύναται μέντοι κ' σύνδεσμος ἐξακέεσθαι, ἵνα γένηται κ' ἐπέεσσι καθάπτετο. κ' ἔστιν ὅμοιον τοῖς τοιούτοις „βεβλήκει γλουτὸν κατὰ δεξιόν, ἡ δὲ διὰ πρό" (Il. 5, 66)· „ἡ δὲ χιτῶν' ἐνδῦσα" (ib. 736)· καὶ γ' ἐπὶ τούτων ἀμφῶς ἀνέγνωσαν, ὥσπερ κ' ἐπὶ τῆ ἐν τῇ Ὀδυσσείᾳ (5, 391) „αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη." ἄμεινον δὲ ἐπὶ πάντων ἄρθρον ἐκδέχεσθαι, ὥσπερ κ' Ἀριστάρχῳ δόκει. A.

καθάπτετο: καθάπτεσθαι δέ ἐσι καὶ τὸ προσφωνεῖν καὶ τὸ ἐξονειδίζειν· νῦν δὲ τὸ λόγῳ προσφωνεῖν. εἰκότως δὲ μὲν κεκίνηται εὐθὺς ὡς ὢν προπετής, καταπαύει δὲ αὐτὸν ἡ Ἀθηνᾶ ὡς συνέσεως προεσηκυῖα. BL.

128. μετὰ τὴν πρώτην λέξιν στικτέον· μετὰ δὲ τὸ ἠλέ ἀμφίβολος ἡ στιγμή. ἤτοι γ' κ' αὐτὸ προσαγορευτικόν ἐστιν ὦ φρένας ἠλέ," εἶτα καθ' ἑαυτὸ διέφθορας· ἢ συναπτέον οὕτως, ἵν' ᾖ τὸ ἐξῆς φρένας διέφθορας. τὸ δὲ ἠλέ ὡς καλὲ προσθετικῶς. εἴτε δὲ ἀπεκόπη εἴτε συνεκόπη ἐκ τῆ ἠλεέ, ἐρμηνεύεται τὰ τῆ τόνῳ. A.

δεῖ στίζειν εἰς τὸ μαινόμενε, τὸ δὲ ἐξῆς ὅλον συνάπτειν, φρένας ἠλὲ διέφθορας, ἤτοι τὰς φρένας ὦ ἠλὲ ἀπώλεσας. τῆ δὲ ἠλεέ εἴτε ἀποκοπὴ ἐστὶν εἴτε συγκοπή ἐστι· γίνεται παρὰ τὴν ἄλην, ἵν' ᾖ πεπλανημένε (ἢ ὃν πάντες ἀλεόμεθα· ἢ παρὰ τὸ θερμόν. V). αὐτὸς δὲ ἐπάγει πρὸς μὲν μαινόμενε „ἦ νύ τοι αὖτως ἅτ' ἀκεόμεν ἐσί," πρὸς τὸ τὰς φρένας διέφθορας ἠλέ „νόος δ' ἀπόλωλε κ' αἰδώς." (ἵν' ᾖ τὸ ἠλεέ θερμέ, πρὸς ὃν ἀνθυγήγαγε τὸ αἰδώς· γ' θερμοὶ ἀναιδεῖς. V.) ἐπὶ μὲν ἓν τῆ μαινόμενε τὸ τὰς φρένας διεφθάρθαι κατηγόρησεν, ἐπὶ δὲ τῆ κέφῳ καὶ μὴ βούλεσθαι τὸ ἀεσίφρων. BV.

οὕτω Πορφύριος. ἃ δεῖ στίζειν εἰς τὸ φρένας ἠλέ, εἶτα ἀπ' αὐτὸ λέγειν διέφθορας, ἀλλ' ὅλον συνάπτειν τὸ φρένας ἠλὲ διέφθορας, ἵν' ᾖ τὰς φρένας διέφθορας ὦ ἠλεέ. V. Ἀττικοὶ ἐνεργητικῶς φασὶ τὸ διέφθορας. νῦν δὲ ἐπὶ τῆ διέφθαρσαι. V.

θέλων δηλῶσαι ὁ ποιητὴς τὸ τῆς ῥητορικῆς αὐτῆ εὔφορον, τοῖς αὐτοῖς λόγοις κ' κεφαλαίοις ἀνασκευάζει καὶ κατασκευάζει, ὡς κ' ἐνταῦθα ἡ Ἀθηνᾶ τὸν Ἄρην τῷ αὐτῷ λόγῳ κ' τῇ αὐτῇ ἐννοίᾳ καταπαύνει, ὁποίῳ κ' ἡ Ἥρα ἠγρίωσεν. L.

128. ἦ νύ τοι αὖτως: εἰς τὸ μάτην ἀκέεσθαι ἔχεις τὰ ὦτα, ἃ μέντοι τὰ ἀκεόμενα διακρίνειν. BL.

132. ἀναπλήσας: οἷον κρατῆρα κακῶν πληρώσας. V.

134. ἦ Ἀριστοφάνειος κακὸν μέγα πᾶσι, Ζηνόδοτος δὲ θεοῖς μέγα πῆμα. A.

137. μάρψει: κυρίως χερσὶ συλλήψεται· μάρη γ' ἡ χεὶρ κατὰ Πίνδαρον, ὅθεν κ' εὐμαρές. δηλοῖ δὲ ἁπλῶς καὶ τὸ καταλαμβάνειν· κ' μάρναθαι δὲ τὸ διὰ χειρῶν μάχεσθαι. τάχα ἂν ἃ τοιοῦτος ὁ Ζεύς, ἀλλ' εἰς δέος Ἄρεως ἐπιτείνει τὸν λόγον· ἢ τὸ περὶ τοὺς ἄρχοντας πάθος ἐνδείκνυται. BL.

καὶ πῶς ὁ τοιοῦτος πατὴρ ἀνδρῶν τε θεῶν τε; V.

138. χόλον υἷος: τὸν ὑπὲρ τῆ παιδὸς χόλον. διδάσκει δὲ τὰ τῆ τέλεος (δὲ τὸ μοιρίδιον V) πράως φέρειν, ὡς κατὰ πάντων τὸ ἀπαράβατον ἔχοντος. BLV.

ἢ διπλῆ, ὅτι Ζηνόδοτος γράφει υἷος ἑοῖο. τοῦτο δὲ ἐν τῷ περί τινος λόγῳ τίθεται· νῦν δὲ πρὸς πρόσωπόν ἐσι, κ' δεῖ γράφειν ἑῆος. ἠγνόηκε δὲ τὴν λέξιν· ἔστι γ' ἑῆος ἀγαθῆ, κ' δοτῆρες ἐάων. προπερισπαστέον δὲ τὴν υἷος γενικήν· προείρηται δὲ πῶς γέγονεν. A.

Ἀπολλώνιός φησιν ἐν τῷ περὶ ἐπιῤῥημάτων ἠΰς καὶ γενικὴ ἠέος κ' ὑπερθέσει τῆ ε ἑῆος. V.

139. τοῦ γε: Ζηνόδοτος κ' Ἀριστοφάνης τῆ δέ. A.

140. πεφήσεται: πέφαμαι πέφασαι. τῦτο ποιεῖ μετ' ὀλίγον μέλλοντα πεφάσομαι, ὃ ἐξέτεινε διὰ μέτρον. V.

141. γενεήν τε τόκον τε: τὰς γονεῖς κ' τὸ γένος· διὰ δισσολογεῖ δι' ἀμφοτέρων τὴν γένεσιν. ὁ δὲ νᾶς, ἀδύνατόν ἐστι θεῷ ῥύσασθαι τὴν ἐξ ἑαυτῆ ἀνθρωπίνην γένεσιν· τὸ γ' ἀργαλέον νῦν ἀντὶ τῆ ἀδύνατον κεῖται. AD. „ἦ δὲ μάλ' ἀργαλέη περάαν" (Il. 12, 63). V.

ἀδύνατον, φησί, πᾶσαν γένεσιν ἀνθρωπίνην θανάτου ῥύεσθαι, ὅπως μηδὲ ἕνα τις ῥύηται· εἰ γ' κ' πρὸς καιρὸν ῥυσθῇ, πάλιν φθαρήσεται. BL. συσέλλει δὲ ὁ Θρᾷξ τὸ ῥῦσθαι· τὸ γ' πλῆρές ἐστι ῥύεσθαι. V.

142. ἵδρυσε θρόνῳ ἔνι: τὸ βίαιον τῆς ἕδρας ἡ διακοπὴ δηλοῖ· ἔστι γ' ἐνίδρυσεν. BL. διό τινες ἐκ ἀνέγρεφον τὴν ἐνί. τὸ δὲ ἵδρυσεν συσέλλεται, ὡς τὸ „ἐπίαχον υἷες Ἀχαιῶν" (Il. 7, 403). V.

ἀναγρεπτέον τὴν πρόθεσιν· τὸ γ' ἐξῆς ἐστὶν ἐν θρόνῳ, ὁμοίως τῷ „υἱὸς γάρ οἱ ὀλώλῃ μάχῃ ἔνι" (111). A.

143. διὰ τί ἐκτὸς αὐτὸς καλεῖ, ὁρῶσα παροξυνόμενον Ἄρην; ἵνα μὴ ἐπ' αὐτῆ πέμπουσα αὐτὸς πλέον αὐτὸν ἐρεθίσῃ ὡς ἐπὶ πόλεμον πέμπουσα, εἰκότως ἔξω καλεῖ· λογισαμένη γ' πότερον κρύφα ἢ ἐπὶ πάντων αὐτοῖς διαλεχθῇ, τὸ ἀσφαλέστερον αἱρεῖται. BL.

144. θεοῖσι μέτα: ἐν θεοῖς. ἀναγρέφεται δὲ διὰ τὴν συναλοιφήν. V.

146. καὶ τὸ Ζεύς κ' τὸ σφώ ἐγκλιτέον, τουτέστι βαρυτονητέον, ἐπεὶ δευτέρα προσώπου ἐστὶ καὶ μεταλαμβάνεται εἰς τὸ ὑμᾶς. A.

τῆς σφῶϊ ἀποκοπή. καὶ ὀρθῶς μὲν „σφὼ δὲ μάλ' ἠθέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λετον" (Il. 11, 782), ὥσε ἀ δεῖ ἐγκλίνειν. τινὲς δὲ ἐγκλίνουσιν, ἐπεὶ αἰτιατική, ἢ δηλοῖ ἀπολελυμένην. V.

147. 148. ἀθετοῦνθ' ἀμφότεροι, ὅτι ἀνηθοποίητοί εἰσι· ᾧ γ' εἰ μὴ ἐνετείλατο ἡ Ἥρα, ὤφειλον ὑπακούειν τῷ Διΐ. ᾧ λόγον ἂν εἶχεν ἡ ἐντολή, εἰ κεχαρισμένον τι αὐτῇ ἐπετέλουν ᾧ μὴ ἐναντίον, ὥς' ἔδει μᾶλλον παρακαλεῖν εἰς τὸ παριδεῖν τι τῶν ὑπὸ Διὸς προστασσομένων. A.

καὶ Ἀριστοφάνης προηθέτει. A.

οἱ δύο ἀθετοῦνθ· ἔξι γ' ἐμβρόντητον λέγειν „ἅπιτε καὶ ὃ ἂν εἴπῃ ποιήσατε" ᾧ γ' εἰ μὴ ἐκέλευσεν, ἐκ ἔμελλον παρακούειν Διός. ἄλλως τε πῶς φησὶ πείθεσθαι Διὶ τοῖς καθ' Ἑλλήνων πεμφθησομένοις, ἢ τάχα μεμψίμοιροί εἰσιν οἱ λόγοι, ἀπέλθετε ποιήσοντες ἃ κελεύει Ζεύς· ὅθεν τὸ δυσάρεσον ἐμφαίνει, ὡς φαμεν πρός τινα ὀργιζόμενοι, ποίει ὃ θέλεις. ὅτι δὲ μεμψίμοιροι οἱ λόγοι, δῆλον ἀπὸ τοῦ σιωπῆσαι τὴν αἰτίαν τῆς κλήσεως, καίτοι ἀλλαχοῦ παλιλλογεῖν εἰωθώς· φυσικὸν γάρ ἐσι μηδὲ μεμνῆσθαι τῶν λυπηρῶν ἐπὶ πλέον· διὸ συνέτεμε τὸν λόγον. BL. οἱ δὲ κατεπτηχυῖά φασι τὰς ἀπειλὰς εὐλαβεῖται μὴ καθ' ὑντινοῦν τρόπον ἐμποδιωθείσης τῆς Ἥρας Ζεὺς πάλιν ἐπ' αὐτὴν ἀγάγῃ τὴν αἰτίαν. V.

150. πετέσθην: ὑπερβολικῶς εἴρηται ἢ συλληπτικῶς· ἀ γ' Ἀπόλλων πτερωτός. D.

152. βέλτιον τὸ ἥμενον τούτῳ προσδίδοσθαι. A.

153. ἡ διπλῆ, ὅτι τοῦτό ἐσι τὸ νέφος ὑπὲρ οὗ ἔμπροσθέφησι (Il. 14, 350) „τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω," θύεν δὲ εὐῶδες, ἀπὸ τῶν θυμιαμάτων· „θύε δ' ἀνὰ νῆσον ὀδώδει" (Od. 5, 60). φασὶ δὲ οἱ φυσικοὶ τὰ ἤθα σαδίοις ὑπερέχοντα τὴν γῆν ὑφ' ἧμην νεφελίζεσθαι, ἔσιν οὖν μιθίριον νέφος τὸ περικείμενον. V.

τὸ τεθυμιαμένον ἀπό τε τῶν ἀναδοθέντων ἐκ τῆς γῆς ἀνθῶν καὶ τοῦ τῆς Ἥρας μύρου. BD.

154. νεφεληγερέταο: βραχὺ διασαλτέον πρὸς τὸ σαφέσερον. A.

155. ἐδέ σφωϊν: ἐγκλιτικῶς· ἔξι γ' ἐδὲ ἐχολώθη αὐτοῖς ἰδὼν αὐτούς. ἀόργητος δὲ ἔμεινε διὰ τὴν ταχεῖαν αὐτῶν παρουσίαν. BLV.

ἡ διπλῆ, ὅτι τὸ ἐναντίον ὑπακοῦσαι δεῖ, ἀλλ' ἀπεδέξατο. A.

157. Ἶριν δὲ προτέρην: πρεπόντως πάνυ, ἵνα ἀποσήσας τὸν Ποσειδῶνα τῆς μάχης τότε παρορμήσῃ τὸν Ἕκτορα διὰ τοῦ Ἀπόλλωνος. BL. ἐὰν δὲ ἐναλλάξῃς τὴν τάξιν, ἐκ ἁρμόζον φανεῖται. V.

158. ἡ διπλῆ, ὅτι ἐκ ἔσιν ἐπίθετον τὸ ταχεῖα, ἀλλ' ἀντὶ τοῦ ταχέως. A.

εἴρηται ἐν τῇ Ω (144), ὅτι ἀμφίβολός ἐσιν ἡ μεταξὺ τούτων (τῶν βύσκ' ἴθι?) διάσασις· ἡ μὲν γὰρ συνήθεια συνάπτει, ὁ δὲ λόγος χωρίζει. A.

159. πάντα: τὰ μέλλοντα λεχθῆναι. τὸ δὲ ἀγγεῖλαι ἀντὶ τοῦ ἄγγειλον. τοῦτο δὲ προσέθηκεν, ἐπεὶ πρὸς ἴσον ἡ ἀποσολή. καλῶς δὲ καίτοι πάντων δεσπόζων λόγοις ἡμέροις χρῆται, παιδεύων πραότητα. BLV. ἐ μεταπέμπεται δὲ αὐτόν, ἵνα μὴ τραχυνθῇ, ὃς μηδὲ ἐπεσράφη τῶν ἀπειλῶν τῶν ἐν τῇ Θ (10). V.

προπερισπαστέον τὸ ἀγγεῖλαι· ἔξι γ' ἀπαρέμφατον ἀντὶ προσακτικοῦ κείμενον, διὰ τὸ ἐπιφερόμενον „μηδὲ ψευδάγγελος εἶναι." ἐκ ἀναγκαῖον γ' διὰ τὸ ἄνωχθι προσακτικῶς ἀναγινώσκειν, καὶ ἔσιν ὅμοιον τῷ „τῇ δὲ τόδε κρήδεμνον ὑπὸ σέρνοισι τανύσσαι" (Od. 5, 346)· ᾧ ἐνθάδε γ' ἀπαρέμφατόν ἐσιν. A.

161. ἔρχεσθ μετά: γράφεθ ᾧ ἔρχεσθ' ἢ μετά. A.

δῖαν: μεγάλην. οἱ δὲ ὑγράν, παρὰ τὸ διαίνειν. οἱ δὲ φοβεράν, παρὰ τὸ δέος, ὡς „δῖα Χάρυβδις" (Od. 12, 104). BL.

ἡ διπλῆ, ὅτι ἀφ' ἑαυτοῦ ὁ Ζεὺς τὴν θάλασσαν δῖαν εἴρηκεν. A.

162. εἰ δέ μοι: τὸν δὲ ὀξυτονητέον· ἔξι γ' νῦν ἡ μοὶ ἐγκλιτικὴ ᾧ ἀπόλυτος. A. Ἀμμώνιος εἰ δέ μου. V.

εἰκότως σκληροτέρως ἐπανατείνεθ τῶν πρώην ἀπειλῶν ὁ φροντίσαντι. τὸ δὲ ἀλογήσει οἱ μέν, λόγον μὲ ὁ ποιήσει ἀλλὰ καταφρονήσει, οἱ δέ, ἄλογος γένηται καὶ μωρανεῖ. BL.

164. ταλάσσῃ: τινὲς θελήσῃ ἀντὶ τοῦ δυνηθῇ· „οὐδ' ἤθελε προρέειν" (Il. 21, 366) ἀντὶ τοῦ οὐκ ἠδύνατο. V.

165. ᾧ ἐπὶ τούτῳ ἐγκλιτική ἐσιν ἡ ἀντωνυμία ᾧ ἀπόλυτος· διὸ τὸν ἐπεί σύνδεσμον ὀξυτονητέον ὁμοφώνως τῷ „καί εὖ κράτος ἐσὶ μίγισον" (Il. 24, 293). A.

165. 166. βίῃ — καὶ γενεῇ: ἡ μὲν δύναμις δέος, ἡ δὲ γενεὰ αἰδῶ ποιεῖ· ἀρχικὸν δὲ τὸ ἀπὸ τοῦ δεινοτέρα ἄρξασθαι. BL.

166. ἐκ ὔθεται: ἐκ ἐπισρέφεται τῷ μὴ ἰσηγορεῖν, ἀλλὰ δηλονότι ἰσηγορεῖ. BL.

166. 167. τινὲς ἀσερίσκας αὐτοῖς παρατιθεῖσιν ὡς μεταχθεῖσιν ἀπὸ τῶν Ἴριδος λόγων. V.

ἀθετοῦνθ' ἀμφότεροι, ᾧ ἀσερίσκοι παράκεινται, ὅτι τοῦσε ὕσερον λεγομένες ὑπὸ τῆς Ἴριδος δι' ἐπιείκειαν ἐνθάδε τε μετενήνοχεν· ἀναρμόσως γ' ὁ Ζεύς, ὥσπερ δεδοικὼς καὶ συλλυθῆναι βουλόμενος, εἰξάτω μοι, φησί, καθόσον εἰμὶ προγενέσερος· τὰ γ' τοιαῦτα τῶν δεομένων· „καί μοι ὑποσήτω ὅσον βασιλεύτερός εἰμι ἠδ' ὅσον γενεῇ προγενέσερος" (Il. 9, 160). A. ἢ εἰωθεν ὁ Ζεὺς μετὰ τῶν ἀπειλῶν ᾧ σύγγνωμόν τι ἐπάγειν δι' ἃ „ὲ τόσον νεμεσίζομαι" (Il. 8, 407). πῶς γ' ἡ Ἶρις, καίτοι ἔμφρων ἐσα, πρὸς τηλικοῦτον ἐθρασύνετο θεὸν λέγειν ἀφ' ἑαυτῆς „σὸν δ' ἐκ ὄθεται φίλον ἦτορ." V.

167. συγέσσι: καταπλήσσονθ, ὡς τὸ „κατὰ δ' ἔσυγον αὐτήν" (Od. 10, 113). BL.

169. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐξ Ἰδαίων. ἁρμόζει δὲ μᾶλλον κατ' Ἰδαίων· κατάβασιν γ' δηλοῖ. A. „οἵη τ' Ἄρτεμις εἶσι κατ' οὔρεος" (Od. 6, 102). V

170. πτῆται: ταχέως φέρηθ, τούτοις δὲ εἴκασαι ᾧ σημαίνει ἡ Ἶρις· νιφὰς μὲν ἡ χιών, χάλαζα δὲ πεπηγὸς ὕδωρ

ὰ βροχῆς· θέλει ἓν σημαίναι τὴν ὁρθρίαν αὐτῆς πορείαν ὁ τάχος. τὴν δὲ Ἥραν, ὡς βασιλίδα, νοῦ εἴκασεν. BLV.
ὅτι διέσαλκε νιφάδα καὶ χάλαζαν. A.
71. τὸ ψυχρὴ ἑκατέρῳ δύναται προσδίδοσθαι· ἤτοι γὰρ ρὴ ὑπὸ βορέᾳ, ἢ πτῆται ὑπὸ βορέᾳ. A.
υχρὴ δὲ νιφὰς ἢ φύσει ψυχρά. ῥιπῆς δὲ τῆς ῥίψει γ' παραπλήσιόν τι πάσχουσιν οἱ ἄνεμοι. πῶς δὲ ίφων ὁ βορρᾶς αἰθρογενὴς ἐστι; ἤτοι ἓν παρέλκει τὸ ετον, ὡς τὸ „πῇ ἔβη Ἀνδρομάχη λευκώλενος" (Il. 6, , ἢ ἀπὸ τῶ πλεονάζοντος· πλείονας χιόνας γ' καὶ χα- ς ποιεῖ ὁ βορρᾶς ἢ εὐδίας· σκιόεντα γ' ὄντα τὰ νέφη ῖσι λιγυρῇσι διασκίδνησιν (Il. 5, 26). οἱ δέ, ὅτι τὸ ψύ- παρ' αὐτῷ αἴθρος καλεῖται· „αἴθρῃ καμάτῳ δεδμημέ- (Od. 14, 318). τάχος οὖν δίδωσι τῇ χιόνι ὁ ἄνεμος· ᾶ δὲ πνέοντος νιφετὸς ἐπιγίνεται. καὶ ἀλλαχοῦ „νὺξ δ' ἐπῆλθε κακὴ βορέαο πεσόντος" (ib. 475). BLV.
4. γαιήοχε κυανοχαῖτα: ἐδόξασεν αὐτὸν τοῖς δύο τοις, καὶ ἐκ ἐντολὴν αὐτῷ ἀλλ' ἀγγελίαν λέγει φέρειν Διός. A.
5. ἦλθον: οἷον οὐχ ἑκοῦσα, φησίν, εἰς τοῦτο ἦκω, ἀλλ' ἀλεῖσα. BL. ὡς καὶ Ἑρμῆς „Ζεύς με γ' ἠνώγει δεῦρ' ἐν" (Od. 5, 99) καὶ „τὸ νῦν σ' ἀνώγει ἀποπεμπέμεν" 2). V.
6. κέλεται: γράφεται κέλευε. A.
9. ὁ καὶ πρόσκειται, ἵνα δείξῃ ὡς οὐκ ἄρξει ὁ Ζεὺς άχης, ἀλλ' ἀμυνόμενος παρέξαι. τὸ δὲ ἠπείλει ἀντὶ εγεν. BL.
πλήρης τὸν σύνδεσμον Ἀρίσαρχος. A.
κεῖνος ἐκ πλήρης. ὃ καὶ ὁ Ζηνόδοτος γράφει. V.
λεμίζων: Ζηνόδοτος διὰ τοῦ ξ. A. πολεμίξων τῷ ξ. Ἀρίσαρχος δὲ διὰ τοῦ σ. θέλει δὲ εἰπεῖν ὡς σὺ ἄπει, ἐκεῖνος ἐλεύσεται πολεμήσων. λείπει δὲ τὸ
. ὑπεξαλέασθαι: ἐκκλῖναι καὶ φυλάξασθαι. παρίλ- ἐ αἱ προθέσεις. BL.
. σέο: ἀπολύτως. V.
. γενεῇ: τῷ τῆς ὑπερηλικιώσεως χρόνῳ. BL. τῷ τῆς ἡλικίας. τὸ δὲ σὸν ἦτορ ἐπιβάλλεται αὐτῷ ἰσηκὶ ἐκ ἐπισρέφεται. V.
. ἡ διπλῆ, ὅτι τὸ συγέουσιν ἀπὸ μιᾶς ὀρχῆς ἐν ᾗ μετάγει, νῦν μὲν δεδιασιν, ὅταν δὲ εἴπῃ „σμερειρώεντα, τά τε σγέουσι θεοί περ" (Il. 20, 65), ῖ μισθῶσιν· „κατὰ δ' ἔσυγε μῦθον ἀκέσας" (Il. 17, κατεσύγνασεν, ἀπὸ τῆς κατὰ τὸ πρόσωπον συγνόοἱ δὲ ἀσιρίσκοι, ὅτι ἐντεῦθεν μετάκεινται ἄνω, οὐχ A.
ὑπὲρ τὴν ἑαυτῶ ἰσχύν, ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μὴ ὄντων ὅπλων. BL.
εἴ μ' ὁμότιμον: ὁ μὲν τὸ τῆς ἡλικίας, ὁ δὲ τὸ σεως προβάλλεται, ὅτι ἀδελφός. V.
διὰ τῶν δύο κ γράφοντος Ἀρισάρχου ἐκ Κρόνου, ὃ κατεπείγει διασέλλειν, ὡς τινες ἀξιοῦσιν, ἐπὶ τὸ εἰμὲν. μὴ κειμένης γ' τῆς προθέσεως ὁμολογεῖται ὡς ἀμφίβολος ἦν ἡ προφορὰ συναπτομένη, νῦν δὲ ὁ κατεπείγει. A.
Ἄλλως. ἔτως Ἀρίσαρχος διὰ τῶν δύο κ, A. εἰ δὲ εἴη τε Κρόνου, λείπει ἡ ἐξ πρόθεσις, ὡς ἐν τῷ „αἱ δὲ βόες χρυσοῖο τετεύχατο" (Il. 18, 574). V.
Ῥέα: οἱ μὲν ἐκτείνουσι τὸ ᾱ, ἐπὶ δὲ τοῦ ἐπιῤῥήματος συσέλλουσιν· οἱ δέ φασι δεῖν συσέλλειν, ἵνα δάκτυλος γένηται, ὡς τὸ „πὺξ ἀγαθὸν Πολυδεύκεα" (Il. 3, 237) „ἀνδρόμεα κρέα" (Od. 9, 347) „εἵματο τεύχεα." A.
188. Ζεύς: οἱ μὲν αἰθήρ, οἱ δὲ ὁ διοικῶν τὰ πάντα λόγος, οἱ δὲ τὸ ἡγεμονικὸν τῶ κόσμου. εἴρηται δὲ παρὰ τὸ ζῆν· τῶ γ' ζῆν αἴτιος. Ποσειδῶν δὲ τὸ συνέχον αἴτιον τὴν θάλασσαν καὶ ἡ αὐτῆς θεία δύναμις, ἐπεὶ πόσεως αἴτιος· διηθημένης γ' θαλάσσης ἐκρέουσι ποταμοί· καὶ ὑετοὶ νᾶμα ἀπὸ θαλάσσης ἔχουσι· καὶ Ἀττικοὶ τὸν περὶ χειμερίας τροπὰς μῆνα Ποσειδεῶνα καλοῦσιν. ὁ δὲ Ἅιδης παρὰ τὸ ἄω, ὅ ἐστι πνέω· ἃ γ' μόνον τὰς ψυχὰς συνέχει, αἵ εἰσι πνεύματα, ἀλλὰ καὶ τοῖς καρποῖς αἴτιός ἐστιν ἀναπνοῆς καὶ αὐξήσεως, ἀφ' ὧν ἡμεῖς πνέομεν· διὸ καὶ Ζεὺς καταχθόνιος, ὅτι ζῆν ποιεῖ, καὶ Πλούτων, ὅτι πλουτεῖν. οἱ δὲ παρὰ τὸ μὴ ὁρᾶσθαι, ἢ ἀφανεῖς ἡμᾶς ποιεῖν. BL.
189. φυσικὴ φαίνεται διάταξις γεγενημένη. ὁ μὲν γ' τὸ ζῆν παρεχόμενος Ζεὺς ὠνόμασται, ὁ δὲ τὴν ὑγρὰν οὐσίαν ἀπὸ τῆς πόσεως Ποσειδῶν, Ἅιδης δὲ ὁ θάνατος παρὰ τὸ σκοτεινὸν καὶ ἀειδὲς τῆς τῶν ἀνθρώπων ἀπωλείας. AB.
δοκεῖ ἐναντιοῦσθαι πρὸς τὸ πάντα τὸ „γαῖα δ' ἔτι ξυνὴ πάντων" (193)· ὃ γ' ἔτι πάντα δέδασαι τέτιον μὴ δεδασμένων. λύοιτο δ' ἂν τῇ λέξει· τὸ γ' πάντα ἢ παρέλκει, ὡς ἐπὶ τῶ „δέκα πάντα τάλαντα" (Il. 24, 232). ἐὰν δὲ λάβωμεν αὐτὸ περισσόν, τί λοιπὸν δέδασαι; ἢ ἀντὶ τῶ πλεῖσα· συνεχῶς γ' τὸ πάντα ἐπὶ τῶ πλεονάζοντος τίθεται, ὡς εἰ ἔλεγεν, τὰ πλείονα μεμέρισαι πλὴν γῆς τε καὶ οὐρανοῦ· ταῦτα γ' ἔτι κοινά. BLV. τινὲς πάντα δέδασαι εἶασε δὲ τὸ γ', ὡς ἐν τῷ „ἐπίσιόν ἐστιν ἑκάστῳ" (Od. 6, 265). V.
ὅτι τὸ πάντα κατὰ παρολκήν, ὡς „οἱ δ' ἐννέα πάντες ἄνεσαν" (Il. 7, 161). A.
τιμῆς: βασιλικῆς δηλονότι, ὡς „τιμῆς τῆς Πριάμου" (Il. 20, 181). V.
190. ἤτοι ἐγὼν ἔλαχον: ὁ πάντως πρῶτος, ἐπεὶ προτέτακται. διδάσκει δὲ κλήρῳ ποιεῖσθαι τὰς διανομὰς καὶ μὴ φθονεῖν τοῖς περὶ κλῆρον εὐτυχήσασιν. ὁ δὲ κλῆρος τὸ εὐνοϊκὸν δείκνυσι τῶ Διός· οὐ γ' ἀθετεῖ τοὺς ἀδελφούς, καὶ ταῦτα δυνάμενος αὐτῇ τε τῇ γῇ καὶ τῇ θαλάσσῃ πάντας ἀνέλκειν. BL.
πολιὴν ἅλα: ὅτι τὴν κεφαλὴν ἤτοι τὴν ἐπιφάνειαν ἔχει ὑφρίζουσαν, ὅτιο δὲ καὶ τὸ θέρος διὰ τὴν λευκότητα (τὴν τῷ σίτῳ ξηρασίαν V), οἱ δὲ τὴν πολλήν· πλείων γ' τῆς γῆς ἡ θάλασσα, καὶ ἡ πολιὰ δὲ σημεῖον χρόνου πολλοῦ ἐστιν. BLV.
ἐπὶ τὸ αἰεί βραχὺ διασαλτέον. A.
191. ζόφον ἠερόεντα: τὰ ἀφώτιστα μέρη τῆς γῆς καὶ

τὸν περὶ τὴν γῆν ὑγρὸν ἀέρα. BL.

192. Ζεὺς δ' ἔλαχ' οὐρανόν: πάντα τὸν ὑπὲρ γῆς ἀέρα τῷ Διί φησι δοθῆναι, διὰ μὲν τῶν νεφελῶν τὸν φωτιζόμενον ἀέρα, ὅπερ ἐςὶν ἀπὸ γῆς ἕως νεφελῶν, διὰ δὲ τοῦ αἰθέρος τὸν ὑπὲρ τὰ νέφη τόπον, ὃν καὶ οὐρανὸν ὀνομάζει· ἔςι δὲ οὗτος ἄχρι τῆς ζώνης τῆς σελήνης καὶ τῶν πλανητῶν. ἀμέλει καὶ πύλας οὐρανοῦ τὰ νέφη ὀνομάζει. Ἀνακρέων „μεὶς μὲν δὴ Ποσειδηϊὼν ἕςηκεν, νεφέλη δ' ὕδωρ βαρὺ δ' ἄγριοι χειμῶνες κατάγουσιν." πιθανῶς δὲ εἶπε κοινὴν ἁπάντων εἶναι τὴν γῆν· αἵ τε γὰρ ἄνωθεν ἀπὸ Διὸς βολαὶ ἐπὶ ταὐτὸν ἀφίενται ὑετοῦ καὶ χιόνος καὶ χαλάζης καὶ κεραυνῶν, ἥ τε τοῦ Ἅιδου μοῖρα ὑπὸ γῆν ἐςί, καὶ τὸ περιέχον τὸ ὕδωρ οὐδὲν ἄλλο ἐςὶν ἢ γῆ. εἰκότως δὲ συνάπτει τὴν γῆν τῷ Ὀλύμπῳ ὡς ὄρει· κατ' ἐξοχὴν γὰρ Ὄλυμπος καὶ γῆ κοινὰ τοῖς πᾶσίν ἐςι. BLV.

εὐρύν: ἡ διπλῆ, ὅτι Ζηνόδοτος αἰπύν. τοῦτο δὲ ὄρεος ἐπίθετον. A.

193. πῶς δέ φησιν „γαῖα δ' ἔτι ξυνὴ καὶ μακρὸς Ὄλυμπος"; Κράτης ἐν δευτέρῳ Ὁμηρικῶν καὶ Στησίμβροτος πάντα οὕτως δέδαςαι. A.

οἱ μὲν τῶν Κρονιδῶν, οἱ δὲ ὅλων τῶν θεῶν, ἵνα πάντας τιμῷεν ὡς ἐφορῶντας τὰ ἀνθρώπεια. οἱ δὲ τὰ τέσσαρα ςοιχεῖά φασιν αὐτὸν λέγειν, Δία, Ποσειδῶνα ὕδωρ, Ἀΐδη ἀήρ, εἶτα γῆ καὶ κατ' ἐξοχὴν ἐν αὐτῇ ὁ Ὄλυμπος. V.

ἄλλως. κοινὴ ὅλων τῶν ςοιχείων ἡ γῆ, καθότι ἐν αὐτῇ εὑρίσκεται καὶ τὰ λοιπὰ τρία ςοιχεῖα· τὸ γὰρ ὕδωρ αὐτῇ συνεσφαίρωται, καὶ πυρὸς ἀναδόσεις περὶ αὐτὴν γίγνονται, ὥσπερ κατὰ τὴν Αἴτνην ἐν Σικελίᾳ καὶ περὶ τοὺς Ἡφαίςου κρητῆρας, ὁμοίως δὲ καὶ περὶ Κέραγον Λυκίας καὶ ὅσα τοιαῦτα. ὁμοίως δὲ καὶ ὁ ἀὴρ περὶ αὐτήν ἐςι. καλῶς δὲ καὶ τὸν Ὄλυμπον κοινόν φησιν, ἐπεὶ καὶ ὁ οὐρανὸς τὴν γένεσιν ἐκ τῶν τεσσάρων κέκτηται ςοιχείων. ABD.

ἡ διπλῆ δέ, ὅτι συναφὴς τῇ γῇ ὁ Ὄλυμπος ὡς ἂν ὄρος. τὸ δὲ ὅμοιον πεποίηκε καὶ ἐν Ὀδυσσείᾳ („ναιετάω δ' Ἰθάκην εὐδείελον, ἐν δ' ὄρος αὐτῇ" Od. 9, 21)· κεχώρικε γὰρ τὸ ὄρος τῆς Ἰθάκης, οὐχ ὡς μὴ ὂν ἐπ' αὐτῆς, καθάπερ καὶ τὸν Ὄλυμπον ἐπίγειον ὄντα τῆς γῆς· εἰ γὰρ ὁ αὐτὸς τῷ οὐρανῷ ἢ μέρος ἐπουράνιον, οὐκ ἂν κοινὸς ἀλλ' ἴδιος τοῦ Διός. AB.

194. τῷ ῥα καὶ οὔτι: διὸ οὐκ ἂν κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. Δημήτριος δὲ ἀποβήσομαι, εἴξω· οὕτως ἔχειν καὶ τὸ „οὐ γάρ μοι δηρὸν βέῃ" (Il. 16, 852), οὐ προβήσῃ κατὰ τὸ ζῆν πολὺν χρόνον. AD.

ἐπιςρέφομαι, διὰ φροντίδος ἔχω, παρὰ τὴν βίαν. τινὲς δέ, οὐκ ἀποσοβηθήσομαι τῆς βοηθείας διὰ τὸν Δία, ὡς τὸ „ὄφρ' ἂν ἐγὼ προτὶ Ἴλιον βείω" (Il. 6, 113). φησὶν οὖν ὅτι τοῦ κοινοῦ πάντως ἀπελαύνομαι χωρίου. BLV.

196. χερσὶ δὲ μή τί με: ὁ νοῦς, μηδὲ ὡς χερσὶ κακὸν ὄντα εἰς δέος ἀγέτω· ἢ ὡς κακὸν ὄντα εἰς τὸν διὰ χειρῶν ἀγέτω πόλεμον· ἢ ὡς χερσὶν ὑπερέχων. ABD.

μηδαμῶς με, φησίν, ὡς πάγχυ κακὸν ἐκφοβείτω. καταλιμπάνει δὲ νοεῖν ὅτι ὁ Ζεὺς ἰσοπάλῳ ἀπειλεῖ. BL.

197. υἱάσι: πλεονασμὸν ἔχει τοῦ α, διὰ τὴν υἷι. τινὲς δὲ υἱέσιν, ὅπερ ἐςὶν Ἀττικὸν ἁμάρτημα. V.

θυγατέρεσσιν: τὰς θηλείας πρὸς καταβιβασμὸν προέταξεν. BL.

Ἀρίςαρχος βέλτερον· οἱ δὲ εἰκαιότεροι γράφουσι κέρδιον· Ἀριςοφάνης κάλλιον. A.

198. ἐκπάγλοις: ὑπερηφάνοις, ἢ ὑπερέχουσιν. ἐνισσέμεν δὲ τὸ ἐπιπλήσσειν, παρὰ τὴν ἐνιπήν. BL.

199. ἡ ἕθεν νῦν ἀπόλυτός ἐςι καὶ ἐγκλιτική· διὸ τί οἱ ἄρθρον ὀξυτονοῦμεν. A.

ὀτρύνοντος: κελεύοντος, ἐπιτάσσοντος. BL. οἱ δὲ καὶ μὴ ὑβρίζοντος ἀλλὰ μότον λέγοντος. V.

201. οὕτω γὰρ δή: ἐπειδὴ ἐπὶ τὸ τραχύτερον προῆκται τὰ τῆς ἀποκρίσεως, βούλεται ὁ ποιητὴς τὸ μὲν ἦθος διαφυλάξαι τῶν ὀργιζομένων, καταπαῦσαι δὲ τὴν ἀψιμαχίαν διὰ τῆς Ἴριδος. ἔχει δέ τι ἦθος ὁ λόγος· οὐδὲ γὰρ ἀποτρέπουσα αὐτὸν συμβουλεύει ὅτι οὐ χρὴ τόδε πράττειν, ἀλλ' ἠθικῶς πυνθάνεται εἰ βούλεται ἀπηνῆ λόγον καὶ κρατερὸν ἀπαγγεῖλαι αὐτὴν τῷ Διί. καὶ ἑξῆς πάλιν τὸ ὅμοιον χῆμα τοῦ λόγου οὐ γὰρ εἶπε μετάςρεψον, ἀλλ' εἴ τι μεταςρέψεις, πάλιν πυνθανομένη. χρηςὸν δὲ πρὸς μίμησιν ἦθος ἀγγέλου παρέλαβεν. BL.

203. ςρεπταὶ: πρὸς τὰ ἐσθλά, φαύλων δὲ πρὸς τὰ φαῦλα. ἐν βραχεῖ δὲ τὸ Ἡσιόδου (O. 295) περιείληφε „ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται." BL.

204. οἶσθ': τοῦτο δυνατόν ἐςι καὶ ἐν ἐρωτήσει καὶ ἐν ἀποφάσει προάγειν. ἕπονται δὲ ἐπακολουθοῦσι καὶ συμμαχοῦσιν. πιθανῶς δὲ πρὸς τὸν λέγοντα „μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω" οὐκέτι φησὶν ὅτι ἰσχυρότερος σοῦ ἐςιν, ἀλλὰ πρεσβύτερος· τὸ γὰρ τοῦ γήρως πλεονέκτημα ἀπεπίφθονον. BL.

ἡ διπλῆ, ὅτι τοῦτο παρ' ἑαυτῆς προσέθηκεν ἡ Ἶρις· τὰ ἐν τοῖς ἐπάνω οὖν οὐχ ὑπὸ Διὸς εἴρηται „καὶ γενεῇ πρότερος" (182). A.

206. τοῦτο ἔπος: ἢ τὸ „ςρεπταὶ δέ τε φρένες," ἢ „ὡς πρεσβυτέροισιν Ἐρινύες," ἤ, ὃ καὶ ἄμεινον, πάντα τὸν λόγον τῆς Ἴριδος. BL.

Ζηνόδοτος ἐσημειώσατο. V.

207. ἐσθλὸν καὶ τὸ: καὶ Εὐριπίδης „ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος." ἄγγελον δὲ ἐσθλὸν ἔφα τιμὰ μεγίςαν πράγματι παντὶ φέρειν Πίνδαρος. BLV.

εἰδῇ: Ζηνόδοτος διὰ τοῦ π εἴπῃ. A.

209. ὁμῇ: περισπαςέον κατὰ δοτικὴν πτῶσιν, ὁμοίῳ ἐπιθετικῷ τῷ θερμῇ· καὶ γὰρ ὁμός αὐτοῦ τὸ ἀρσενικὸν ὁμοίως κατ' ὀξεῖαν τάσιν („οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος" Il. 437)· καὶ τὸ οὐδέτερον „ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος" (Il. 13, 354). παράκειταί τε τὸ ἐπίῤῥημα τὸ εἰς ως λῆγον περισπώμενον ὡς θερμῶς· „ὁμῶς δέ τοι ἤπια οἶδεν" (Od. 1, 405). A.

ὁμοίᾳ μεμερισμένον μοίρᾳ. τὸ δὲ ὁπόταν ἀντὶ τοῦ ἡνίκα, ἢ μᾶλλον ἀντὶ τοῦ ὅτι. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταχρηστικῶς ἐπὶ θεῶν ἡ πεπρωμένη. ἢ ἀπὸ πρώτης γενέσεως μέχρι τέλους. V.

210. χολωτοῖσιν: ἀντὶ τοῦ πικροῖς, παρὰ τὴν χολήν· ἢ εἰς χόλον ἐρεθίζουσιν. BV.

211. νεμεσσηθεὶς: μεμψάμενος αὐτῷ καὶ καταγνούς, ἢ μεμπτὸν ἡγησάμενος τὸ ἀντειπεῖν ἐκείνῳ. BL.

Ἀρίσταρχος μέν γε· ἄλλοι δὲ μέν κε. A.

212. ἀπὸ τούτου ἕως τοῦ „ἴσω τοῦθ' ὅτι νῶϊν" (217) ἀθετοῦνται στίχοι ἕξ, ὅτι εὐτελῆ τὰ κατὰ τὴν σύνθεσιν καὶ τὰ κατὰ τὴν διάνοιαν. προειπὼν γὰρ „νεμεσσηθεὶς ὑποείξω," οἱονεὶ μεταμεληθεὶς ἐπιφέρει ἀπειλήσω. ὅ τε Ποσειδῶν ἐπίσταται ὅτι οὐκ εἰς τέλος φείσεται τῆς πόλεως, ἀλλ' ὅσον μόνον ἕνεκα τοῦ τιμῆσαι τὸν Ἀχιλλέα ἐπαμύνει τοῖς Τρωσίν. τά τε τῶν θεῶν ὀνόματα μετενήνοχέ τις ἀπὸ τῆς θεομαχίας (Il. 21) συναθροίσας τῶν ἐναντιουμένων τοῖς βαρβάροις θεοῖς, οὐκέτι ἐπιστήσας ὡς οὔτε τῷ Ἑρμῇ οὔτε τῷ Ἡφαίστῳ ἔμελεν ἰδίᾳ τὰ τῆς πορθήσεως, ἀλλ' ἕνεκα τῆς ἀντικαταστάσεως μόνον παρείληφεν αὐτούς. A.

ἀθετοῦνται οἱ ἕξ· πρὸς τί γὰρ ἡ ἀπειλή; ἀλλά φαμεν ὡς εὐπρεπῶς ἐκστῆναι θέλει. εἰ δὲ ἤκουσεν ὡς ἁλώσεται Ἴλιος, πῶς νῦν ἀπιστεῖ; ἀλλὰ καὶ Ἀγαμέμνων „ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται" (Il. 4, 169), καίτοι εἰδὼς παρὰ Κάλχαντος. ἄλλως τε δεῖ ἀντεπαχθῆναι τῷ „ἀλλ' ἤτοι νῦν μέν κε." εὐχήμονα δὲ τὴν ἀπαλλαγὴν ὁρίζεται, ἐπανατείνων τὴν ὀργὴν εἰς ὕστερον, ὡς καὶ Ἀχιλλεὺς „τῶν δ' ἄλλων ἅ μοί ἐστι" (Il. 1, 300). BL.

214. τινὲς Ἥρης Ἡφαίστου τε καὶ Ἑρμείαο. A.

ἄλλως. Ἑρμείω Ἰωνικὴ γενικὴ παθοῦσα· εἰ γὰρ ὑγιής, ἔσται Ἑρμείεω ὡς Ἀτρείδεω. A.

215. πεφιδήσεται: ἀπὸ τοῦ φείδω φιδῶ, ὡς πείθω πιθῶ, τεύχω τυχῶ· „τύχησε γὰρ ἐρχομέμη νηῦς" (Od. 19, 291). BL.

218. ἐννοσίγαιος: ὁ κινῶν τὴν γῆν. οἱ παλαιοὶ γὰρ ἐκ τοῦ ὕδατος γίνεσθαι τὸν σεισμόν. L.

219. δῦνε δὲ πόντον ἰών: ἡνίκα μὲν σύμμαχον αὐτὸν ἦγε τοῖς Ἀχαιοῖς, ἐκαλλιγράφησε τὴν πορείαν· νῦν δὲ συνέτεμεν, ἐπεὶ μετὰ λύπης γίνεται. τὸ δὲ πόθεσαν δηλοῖ ὅτι ἐπὶ θάτερα γέγονεν αὐτοῖς ἡ μεταβολή. BLV. ταχέως δὲ ἔφρασεν ὅσον ἦν ὄφελος ἐκ τοῦ Ποσειδῶνος. V.

221. μεθ' Ἕκτορα: πρὸς ἢ ἐπί. πρεπόντως δὲ ὅτε Ποσειδῶνα μετέστησεν, Ἀπόλλωνα ἐξέπεμψεν· οὐ γὰρ ὤφειλεν αὐτὸν τῷ πρεσβυτέρῳ ἀντιτάττειν, ἀξιώσας ὑπ' ἐκείνου τιμηθῆναι διὰ τὸ πρεσβύτερον. BLV.

225. οἵπερ ἐνέρτεροι: πρὸς σύγκρισιν τῶν μετὰ Ἀϊδωνέως διαγόντων· ἄναξ γοῦν ἐνέρων Ἀϊδωνεύς. ἔστιν οὖν ἐνερώτερος ἐνέρτερος κατὰ συγκοπήν, καὶ ἀποβολῇ νέρτερος. BL.

ὅτι Ζηνόδοτος γράφει οἵπερ νέρτατοι. πρὸς οὐδὲν δὲ τὸ ὑπερθετικὸν μετάκειται· τοῦ γὰρ κατωτέρου κατώτερος οὐδείς ἐστιν. ἐνερτέρους δὲ καλεῖ καὶ οὐρανίωνας καὶ ὑποταρταρίους καὶ Τιτᾶνας τοὺς περὶ Κρόνον θεούς. A.

Ζηνόδοτος οἵπερ ἐνεύρτατοι. V.

226. ἠμὲν ἐμοί: ἐμοὶ μὲν διὰ τὸ μὴ τιμωρήσασθαι τὸν ἀδελφόν, ἐκείνῳ δὲ διὰ τὸ μὴ βληθῆναι· τὸ γὰρ ἀνιδρωτί ἐπὶ Ποσειδῶνος κεῖται. BL.

οἷ αὐτῷ: ὁ Ἀσκαλωνίτης ἀξιοῖ ἐγκλιτικῶς ἀναγινώσκειν, ἐπεὶ ἀπὸ προσώπου ἐπὶ πρόσωπον ἡ ἀναφορὰ καὶ εἰς ἁπλῆν ἡ μετάληψις· ἀντὶ γὰρ τῆς αὐτῷ δισυλλάβου. ἄμεινον δὲ πείθεσθαι τοῖς περισπῶσι διὰ τὸ ἤδη διαστολὴν γεγενῆσθαι διὰ τῆς ἐμοί· τὸ γὰρ ἑξῆς τοιοῦτόν ἐστιν ἐμοὶ καὶ αὐτῷ ἔπλετο, ὥστε ἀπὸ κοινοῦ λαμβάνεσθαι τὸ ἔπλετο ῥῆμα. ὁμοίως δὲ καὶ ἐπ' ἐκείνου κατ' ὀρθὸν τόνον ἀνέγνωμεν τὴν οἷ· „Μέντορ μή σ' ἐπέεσσι παραιπεπίθῃσιν Ὀδυσσεὺς μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δὲ οἷ αὐτῷ" (Od. 22, 213)· καὶ τὸ ἑξῆς ἐστὶ τοιοῦτον, μὴ πεισάτω σε Ὀδυσσεὺς ἡμῖν μάχεσθαι, αὐτῷ δὲ ἀμύνειν. καὶ καθόλου ἡ οἷ ὁπότε προηγεῖται τῆς αὐτός ἀντωνυμίας κατὰ δοτικὴν πτῶσιν, ὀρθοτονεῖσθαι θέλει, εἴτε εἰς ἁπλῆν εἴη ἡ μετάληψις εἴτε καὶ εἰς σύνθετον. διὸ μεμπτέον ἐκείνην τὴν ἀνάγνωσιν „ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσσῃ" (Od. 4, 667)· ἐχρῆν γὰρ διὰ τὴν ἐπιφερομένην ἀντιδιαστολὴν κατ' ὀρθὸν τόνον ἀναγινώσκεσθαι. A.

227. χρονικὸν ἐπίῤῥημα τὸ πάροιθε. νεμεσσηθεὶς δὲ ἤτοι μεμπτὸν ἡγησάμενος τὸ ἀντειπεῖν μοι, ἢ αἰδεσθείς, παρὰ τὴν νέμεσιν. BL.

229. λάβ' αἰγίδα: ὅτι τοῦ Διὸς ἡ αἰγὶς ὅπλον· Ἀπόλλωνι γοῦν δίδωσιν. A.

δύο ὁ Σιδώνιός φησιν εἶναι τὰς αἰγίδας, τὴν μὲν Διός, τὴν δὲ Ἀθηνᾶς αὐτὸ μόνον σκέπην, ἐφ' ἧς φησὶ „τὴν οὐδὲ Διὸς δάμνησι κεραυνός" (Il. 21, 401). καὶ γάρ φησιν ἐν τῇ Β (447) „αἰγίδ' ἔχουσ' ἐρίτιμον," οὐδενὸς κατεπείγοντος ἔχειν τὸ Διὸς ὅπλον. ἐν ταὐτῷ δὲ εὑρίσκονται οἱ δύο ἔχοντες αἰγίδας σφίσι καὶ τοῦτο ἄρα Κρονίδης ἐλέγετ' αἰγίδα μετ' ὀλίγον „ἀμφὶ δ' Ἀθήνη ὤμοις ἰφθίμοις βάλεν αἰγίδα" (Il. 18, 204). ἄτοπον δὲ ἔγχος μὲν αὐτὴν ἔχειν καὶ περικεφαλαίαν, ὅπλον δὲ μή. καὶ Ἄρης ὅτε Δία ἐμέμφετο, εἶπεν ἂν ὅτι καὶ τοῖς σοῖς ὅπλοις ὁπλίζεις αὐτὴν καθ' ἡμῶν. V.

Κρόνος χρησμὸν λαβὼν ὅτι ὁ ἴδιος αὐτὸν τῆς βασιλείας μεταστήσει υἱός, τὰ γεννώμενα κατέπινεν. Ῥέα δὲ τεκοῦσα Δία Κρόνῳ μὲν λίθον ἀντ' αὐτοῦ σπαργανώσασα ἔδωκε καταπιεῖν, τὸ δὲ παιδίον εἰς Κρήτην διακομίσασα ἔδωκε τρέφειν Θέμιδι καὶ Ἀμαλθείᾳ, ἣ ἦν αἴξ. ταύτην οἱ Τιτᾶνες ὁπόταν θεάσαιντο, ἐφοβοῦντο. αὕτη δὲ τοὺς ἑαυτῆς μαζοὺς ἐπέχουσα ἔτρεφε τὸ παιδίον. αὐξηθεὶς δὲ ὁ Ζεὺς μετέστησε τῆς βασιλείας τὸν πατέρα. πολεμούντων δὲ αὐτὸν τῶν Τιτάνων Θέμις συνεβούλευσε τῷ τῆς Ἀμαλθείας δέρματι σκεπαστηρίῳ χρήσασθαι· εἶναι γὰρ αὐτὴν ἀεὶ φόβητρον. πεισθεὶς δὲ ὁ Ζεὺς ἐποίησε καὶ τοὺς Τιτᾶνας ἐνίκησεν. ἐντεῦθεν αὐτόν φασιν αἰγίοχον προσαγορευθῆναι. AD.

ἀλληγοροῦσι τὴν αἰγίδα, καὶ λέγουσιν ὡς νέφος τι πυρῶδες τοὺς Ἕλληνας ἐσκότιζε τοῦ μὴ κατ' εὐθεῖαν πορεύεσθαι. L.

230. τῇ μάλ' ἐπισσείων φοβέειν: μάλα φοβεῖν, η μάλα ἐπισείων, Ἄρην δὲ οὐ πέμπει ὡς νεότρωτον, ἢ δι'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀσκάλαφον, ἵνα μὴ μετατραπῇ εἰς Ἕλληνας. ἥρωες δὲ πάντες οἱ ἐπὶ τὸ Ἴλιον ςρατευσάμενοι. πολλαὶ δὲ αἰτίαι τῆς ἥττης Ἑλλήνων, Ποσειδῶνος ὑποχώρησις, Ἀπόλλωνος κάθοδος, αἰγίδος ἐπεισόδιον. BL.

ἥρωας καλεῖ, καὶ οὐ μόνον τοὺς βασιλέας, ὡς Ἴςρος. A.

231. ἀπὸ τούτου ἕως τοῦ (235) „ὥς κε καὶ αὖτις Ἀχαιοί" ἀθετοῦνται ςίχοι πέντε, ὅτι ἄκαιροι οἱ λόγοι, ἐπὶ τοσοῦτον ἔγειρε τὸν Ἕκτορα ἕως ἐπὶ τὰς ναῦς φύγωσι· μετὰ δὲ ταῦτα ἐγὼ βουλεύσομαι ὡς δεῖ τοὺς φεύγοντας ἀναπνεῦσαι. καὶ ἄκαιρος ἡ πρόῤῥησις, καὶ οὐ κεχαρισμένη τῷ Ἀπόλλωνι. καὶ παρὰ Ἀριςοφάνει ἠθετοῦντο. A.

ἀθετοῦνται ὑπὸ Ἀριςοφάνους ὡς ἀχρεῖοι. ἢ ἵνα μὴ παντελῆ ποιήσηται ἀπώλειαν τῶν Ἀχαιῶν προσδιωρίσατο. V.

232. ὄφρ' ἄν: Ἀρίςαρχος τόφρ' ἄν, μετὰ τοῦ τ. A.

234. οὐκ εἶπε βοηθήσω τοῖς Ἀχαιοῖς, ἀλλὰ φράσομαι, ἵνα μὴ δύσθυμον ἐργάσηται τὸν Ἀπόλλωνα. ἔργον μὲν οὖν τὴν ἔξοδον Πατρόκλου, ἔπος δὲ τὸ „ἀμφοτέροισι δ' ἀρήγεθ' ὅπῃ νόος ἐςὶν ἑκάςῳ" (Il. 20, 25). BLV.

235. πόνοιο: τῆς ἀλγηδόνος· „ἑτέρου τίν' ἔχει πόνον" (Od. 13, 423) καὶ „δυσπονέος καμάτοιο" (Od. 5, 493). V.

237. ἵρηκι ἐοικώς: δυοῖν θεῶν κάθοδον ἐκφράζων, ἐπὶ μὲν τῆς Ἴριδος παρέλαβε καταφορὰν χαλάζης ἢ χιόνος, τούτοις εἰκάσας ἃ καὶ σημαίνει ἡ Ἶρις, τὸν δὲ ἱέρακα Ἀπόλλωνι· ἱερὸς γὰρ αὐτοῦ ἐςί. καὶ τὸ φασσοφόνῳ δὲ οἰκείως, ἐπεὶ καὶ ὁ θεὸς κάτεισιν ἐπὶ φόνῳ τῶν Ἀχαιῶν. BLV. δέκα δέ φασιν ἱεράκων γένη, ἓν τὸ φασσοφόνον. φάσσα δὲ ὅμοιον τρυγόνος, ὡς Ἀριςοτέλης φησίν. V.

238. ὅς τ' ὤκιςος: ἐπὶ δὲ ἀετοῦ „ὅς θ' ἅμα κάρτιςός τε καὶ ὤκιςος" (Il. 21, 253). V.

240. οὕτως Ἀρίςαρχος διὰ τοῦ ε ἐσαγείρετο, παρατατικῶς. ἄλλοι δὲ ἐσαγείρατο διὰ τοῦ α. A.

241. κατ' ὀρθὸν τόνον ἀναγνωςέον, ἀμφὶ ἓ γινώσκων· ἔςι γὰρ εἰς ἑκάτερον ἑαυτοῦ μέρος σκοπῶν. A. Χρύσιππος δὲ ψιλοῦν τὸ ε ὡς περισσεῦον, καί φησιν ἀμφιγνοῶν ἀντὶ τοῦ ἀμφιβάλλων. V.

ὀρθοτονητέον τὴν ἕ· μεταλαμβάνεται γὰρ εἰς σύνθετον τὴν ἑαυτόν. ἡ διπλῆ δέ, ὅτι τὸ γινώσκων ἴσον ἐςὶ τῷ ἀναλεγόμενος καὶ ἀναμιμνησκόμενος τῆς ἑκάςου ὄψεως, οὐκ ἐκ προχείρου γινώσκων, ἀλλ' οἷον ἀναγνωρίζων. A.

244. νόσφιν καὶ ἀπό ταὐτόν ἐςιν. ἠθικὸς δὲ ὁ λόγος, ὡς πρὸς νοσοῦντά φαμεν τί κατάκεισαι; BL.

245. δασυντέον τὸ ἦσαι· προείρηται δὲ περὶ τούτου. τὸ δὲ ὀλιγηπελέων ἕν ἐςιν, ὅμοιον τῷ ὀλιγοδρανέων. (ὀλίγην ἔχων τοῦ πέλειν μοῖραν, ἐγγὺς ὢν τοῦ ἐκλεῖψαι. BLV). τὸ δὲ ἦ πού τί σε, ὁ ἦ διαπορητικός ἐςι· διὸ περισπαςέον. A.

246. ὀλιγοδρανέων: τὸ ὀλιγηπελέων μετείληφεν, ἵν' ᾖ ὀλίγον ἔχων τὸ δρᾶν. καὶ πῶς οἶδεν ὅτι θεός ἐςιν; ἢ ἐκεῖνος ἑαυτὸν ἐγύμνωσεν ἀπὸ τοῦ ἐρέσθαι· πάντες γὰρ ᾔδεισαν οἱ Τρῶες τὸ γεγονός, καὶ οὐκ ἂν αὐτὸν ἀνηρώτων. BL.

248. ἀΐεις: αἰσθάνῃ. V.

ὅ με: ὅτι με· „ὅ μοι γέρας ἔρχεται ἄλλῃ" (Il. 1, 120). V.

249. βοὴν ἀγαθός: καὶ ἀλλαχοῦ „εἰ δέ που Αἴαντός τε βοὴν ἀγαθοῖο πυθοίμην" (Il. 17, 102). ἐπὶ δὲ Μενελάου καὶ Διομήδους συνεχῶς. V.

251. νέκυας καὶ δῶμ' Ἀΐδαο: περιφραςικῶς τὸν Ἅιδην. V.

252. ὄψεσθαι: Ἀρίςαρχος ἵξεσθαι, καὶ οὐκ ἔςιν ἄχαρις ἡ γραφή. A.

οἱ μὲν ἵξεσθαι γράφουσιν, οἱ δὲ ἱξεῖσθαι. V.

ἄϊον ἦτορ: ἤλγησα· ἥψατο γὰρ τῆς ψυχῆς ἡ ἄλγησις, ὥςε καὶ αἴσθησιν αὐτῇ γενέσθαι. BL.

ἀπέπνευσα τὴν ψυχήν. ἢ ἐπεὶ ᾐσθόμην ἀλγήσας τοῦ ψύχους· ἄϊον γὰρ νῦν τὸ ᾐσθόμην. D.

ἡ διπλῆ, ὅτι ἄϊον ἀντὶ τοῦ ἐπῃσθόμην, τοῦτο δέ ἐςι, τῆς ψυχῆς μου ἥψατο. καὶ ἐν ἄλλοις (Il. 11, 532) „τοὶ δὲ πληγῆς ἀΐοντες," ἐπαισθόμενοι τῆς πληγῆς· τῷ εἴδει τὸ γένος. A.

τρόπος ἐτυμολογικός. L.

254. Κρονίων: ὑπὸ μεγίςου καὶ ὑπερέχοντος θεοῦ φήσας πεπέμφθαι οὐ τὴν τυχοῦσαν δίδωσιν ἐλπίδα. BLV.

256. χρυσάορον: ἤτοι χρυσοφάσγανον, ἢ χρυσοῦν τὸν ἀορτῆρα τῆς φαρέτρας ἔχοντα ἢ τῆς κιθάρας, οὐκέτι δὲ τοῦ ξίφους· ἁγνὸς γὰρ ὁ θεός. AD. καὶ Πίνδαρος χρυσάορα τὸν Ὀρφέα φησί. τινὲς δὲ χρυσοῦν ξίφος ἔχοντα. AL.

Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος εὗρε λύραν, καὶ τοὺς Ἀπόλλωνος βόας κλέψας εὑρέθη ὑπὸ τοῦ θεοῦ διὰ τῆς μαντικῆς. ἀπειλοῦντος δὲ τοῦ Ἀπόλλωνος ἔκλεψεν αὐτοῦ καὶ τὰ ἐπὶ τῶν ὤμων τόξα. μειδιάσας δὲ ὁ θεὸς ἔδωκεν αὐτῷ τὴν μαντικὴν ῥάβδον, ἀφ' ἧς καὶ χρυσόῤῥαπις ὁ Ἑρμῆς προσηγορεύθη, ἔλαβε δὲ παρ' αὐτοῦ τὴν λύραν· ὅθεν καὶ χρυσάορ ὠνομάσθη, ἀπὸ τοῦ τῆς κιθάρας ἀορτῆρος. ABD.

258. ἱππεῦσιν ἐπότρυνον πολέεσσι: πολλοῖς ἱππεῦσιν ἐπίταξον· „οἵ ἔθεν ὀτρύνοντος" (Il. 15, 199) ἀντὶ τοῦ ἐπιτάττοντος. προοικονομεῖ δὲ ἐντεῦθεν ὥςε ἀπὸ ἴσου ὕψους γενέσθαι τὴν μάχην· „οἱ μὲν" γὰρ „ἀφ' ἵππων, οἱ δὲ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες" (384). ἄλλως τε ἔδει ἐπὶ τῇ δευτέρᾳ εἰσελάσει καὶ περιττόν τι φαίνεσθαι· πρότερον μὲν γὰρ πεζοὶ διέβαινον τὴν τάφρον, νῦν δὲ διὰ τὸν Ἀπόλλωνα μεῖζόν τι πράττεται. BL. ὥςε μηδὲν ἐμπόδιον εἶναι ἐκ τῆς τάφρου περὶ τὴν εἰσέλασιν τῶν ἵππων. V.

259. νηυσὶν ἔπι: δοτικὴ ἀντὶ αἰτιατικῆς, ὡς τὸ „ἐπ' ἄνθεσιν εἰαρινοῖσιν" (Il. 2, 89). L.

261. τρέψω δ' ἥρωας Ἀχαιούς: ὡς τὴν τάφρον καταβαλών, ἢ τοὺς Ἀχαιοὺς τρεψάμενος, ἵν' ᾖ ὁ δέ ἀντὶ τοῦ γάρ. BL.

262. ὣς εἰπὼν ἔμπνευσε: ἀναγκαία ἡ προσθήκη ὡς πρὸς ἀνάληψιν τοῦ πρὶν δεινῶς κεκακωμένου. BL.

Ζηνόδοτος ὁ Μαλλώτης ἐκ τούτου συνάγει ὅτι Παιήων ἐςὶν ὁ Ἀπόλλων, εἴγε αὐτὸς ἐπιῤῥώννυσι τὸν Ἕκτορα. V.

ἀκοςήσας: Κυπρεῖς ἀκοςὰς τὰς κριθάς. οἱ δὲ παρὰ τὸν γοῖτον λίαν ῥυπωθείς. ἢ ἄχος ἡγησάμενος τὴν ςάσιν. V.

263. τὸ ἐπὶ φάτνῃ δύναται καὶ τοῖς ἡγουμένοις καὶ τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑπομένοις συντάττεσθ, ἵν' ᾖ τὸν ἐπὶ φάτνῃ συνδ... A.

264. κροαίνων: τινὲς ἐπιθυμῶν. V.

265. ἀπὸ τούτου ἕως τοῦ „ῥίμφα ἑ γοῦνα φέρει" (268) ἀθετοῦνται ϛίχοι δ', καὶ ἀϛερίσκοι παράκεινται, ὅτι οἰκειότερον ἐπ' Ἀλεξάνδρου (Il. 6, 508)· καὶ τὸ τῆς καλλονῆς καὶ τὸ τῆς ὅλης μορφῆς καὶ τὸ τῆς ϛάσεως τοῦ ἵππου πρὸς τὸν ἐν θαλάμῳ διατετριφότα ἀντιπαράκειται, ἥ τε κατὰ τὴν αἰφνίδιον ἐξόρμησιν ὁμοιότης. καὶ τὸ „κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει" ἐφ' Ἕκτορος τοῦ ἀρτίως ἑαυτὸν ἀνιϛῶντος ἐκ τῆς λιποθυμίας οὐχ ἁρμόζει. τοὺς μέντοι προκειμένους τῶν ἠθετημένων δύο ϛίχους δεῖ μένειν, πρὸς οὓς καὶ ἡ ἀνταπόδοσις γίνεται. A. τινὲς δὲ ὡς καλὸς καὶ Ἕκτωρ· „οἱ καὶ ἐθηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν Ἕκτορος" (Il. 22, 370). εἰ δὲ τέτρωται, ἀλλ' ὑπὸ δύο θεῶν ἐπαίρεται. ἔϛι δὲ ἐπηρμένος καὶ ἀγαλλόμενος ταῖς τύχαις. V.

Ζηνόδοτος τοῦτον μόνον γράφει, Ἀρίϛαρχος δὲ καὶ τοὺς ἄλλους τρεῖς. V.

ποταμοῖο: λείπει ὕδατι. ἢ ἀντὶ δοτικῆς, ὅ ἐϛιν ὕδατι ποτίμῳ, ὡς καὶ τὸ „λοεσσάμενος ποταμοῖο" (Il. 21, 560). V.

267. ὁ δ' ἀγλαΐηφι πεποιθώς: σολοικοφανές. τὸν δὲ πεποιθότα ὤφειλεν εἰπεῖν. L.

268. ῥίμφα ἑ γοῦνα φέρει: ἡ θεραπεία τούτου ἐϛὶ τὸ τὰ γοῦνα λαμβάνειν ὡς αὐτὸ τὸ σῶμα. ὤφειλε γὰρ εἰπεῖν φέρεται. L.

τὰ ἤθεα κυρίως ἐπὶ ἀνθρώπων, καταχρηϛικῶς δὲ καὶ ἐπὶ ἵππων. ἡ παραβολὴ διὰ τὸ τάχος, ἡ δὲ τοῦ Πάριδος διὰ τὴν ἔπαρσιν. L.

269. γούνατ' ἐνώμα: τινὲς δὲ τὸ γενικόν, τὸ γυῖα. V.

270. τινὲς ὀτρυνέων· οὔπω γὰρ κατηντήκει εἰς τὸ πλῆθος τῶν Τρώων. V.

ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν: ὅτε ᾔσθετο ὅτι ἣν ἔκλυεν αὐδήν, θεοῦ ἐϛί. B.

271. κεραὸν: τινὲς τὸν ἄρσενα· οὗτος γὰρ κερασφορεῖ. ἢ οὖν ἐϛὶ τὸ „χρυσόκερων ἔλαφον θήλειαν ἄξοντα" παρὰ Πινδάρῳ (Ol. 3, 52) λεγόμενον; A.

ἄγριον αἶγα: διάλυσις Ἰωνική. L.

272. ἐσσεύοντο: Ἀρίϛαρχος ἐσσεύαντο διὰ τοῦ ᾱ, ἢ ἅπασαι. A.

ἀγροιῶται: ἀγρόται. οὕτω δὲ τοὺς θηρευτὰς ἀεί φασιν οἱ Ἀττικοί. BL. „οἷσί τε τέκνα ἀγρόται ἐξείλοντο" (Od. 16, 218). V.

273. τὸν μέν: τὸν αἴγαγρον· οὗτος γὰρ τῶν ἠλιβατούντων ἐϛίν. A.

ἠλίβατος: ἧς ἁμαρτάνομεν τῆς βάσεως. εἰ δὲ ἦν ὑφ' ἡλίου μόνου βαινομένη, ἢ εἰς ἣν ἥλιος μόνος ἐπιβαίνει, ἦν ἂν „τὸν μέν θ' ἠλίβατος πέτρη." A.

δάσκιος ὕλη: ἡ λίαν σκιώδης ἢ δασύσκιος. τὸν ἔλαφον δὲ ἡ ὕλη τρέφει, ὡς καὶ ἀλλαχοῦ „ἐκ νομοῦ ὕλης πιόμενος" (Od. 10, 159). AB.

274. περισσὸν τὸ τέ. τινὲς δὲ ταῖσφιν. αἴσιμον δὲ τὸ εἱμαρμένον· οἶδε γὰρ αὐτὴν καὶ μέχρι ζῴων ἀλόγων φθάνουσαν. οἱ δὲ ἀντὶ τοῦ καθῆκον. BLV.

ἐκ τούτου ἐλέγχονται οἱ φιλόσοφοι οἵ τινες λέγουσιν ὡς ἡ δημιουργία τοῦ θεοῦ μέχρι καὶ σελήνης κατήντησεν. ὁ δὲ ποιητὴς μέχρι καὶ ζῴων. L.

275. ὑπὸ ἰαχῆς: διεγερθεὶς δηλονότι. V.

λίς: παρὰ τὸ λιαρόν, ἢ τὸ ἑλεῖν, ἢ τὸ λεῖον· λεῖος γὰρ ὅλος πλὴν τῆς χαίτης. ἢ παρὰ τὸ λίαν φθείρειν. ABL.

276. εἰς ὁδόν: ἀντὶ τοῦ ἐν ὁδῷ· ἢ καὶ μεμαῶτας εἰς ὁδὸν πάντας ἔτρεψε καὶ ϛῆναι αὐτοῦ παρεσκεύασεν. BL.

277. πάλιν τὸ εἵως ἀντὶ τοῦ τέως κεῖται. οὐκ ἄρα ὑποϛιγμὴν ἀλλὰ ϛιγμὴν θετέον ἐπὶ τὸ ἀμφιγύοισιν. A.

Ζηνόδοτος γράφει τείως. ἔϛι δὲ ἀνταποδοτικόν. V.

φασὶ τὸ ἕως μετὰ συνδέσμου ὂν καὶ τὸ τινός ἐν παραλείψει ἐκδέχεσθ (δηλοῦν τὸ ἕως τινός V). ὁμιλαδόν δέ ἐϛιν ἐπίῤῥημα μεσότητος, καὶ ἔϛιν ἀντὶ τοῦ πολεμικῶς ἢ ἀθροιϛικῶς. τὸ δὲ αἰέν ἐνεϛῶτα δηλοῖ, οἷον ἐν ἐκείνῳ τῷ καιρῷ τῆς μάχης. BLV.

280. πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός: τὰς ψυχὰς ἐταπεινώθησαν ἅπαντες, λιποψυχήσαντες τὴν σωτηρίαν παρὰ τοῖς ποσὶν εἶχον. AD.

τοῖς πᾶσιν ἡ σωτηρία ἐν τοῖς ποσὶν ἤλπιϛο ἤτοι ἐν τῷ τρέχειν. Vindobon.

οὗτος ἐπὶ φόβου, ὁ δὲ Δημοσθένης ἐπὶ μωρίας, ὡς τὸ „τὸν ἐγκέφαλον ἐπὶ πτέρνας φορεῖ" (de Halonn. § 45). L.

ἡ ψυχὴ ἐνενεύκει εἰς τοὺς πόδας, ὅπως δι' αὐτῶν σωθῶσιν· ἢ ταῖς ψυχαῖς ἐταπεινώθησαν καὶ κατέπεσον· ἢ τὸ πὰρ ποσὶν ἀντὶ τοῦ παραυτά. οὐ δειλιῶντες δὲ τὸν Ἕκτορα, ἀλλὰ διὰ τὸ παράδοξον τῆς ἀναϛάσεως σκοποῦντες μὴ καὶ θεὸς ᾖ ὁ μαχόμενος. BL.

281. Θόας: οὗτος δὲ Γόργης υἱὸς τῆς Οἰνέως, ὑπὸ Διομήδους ἀποδειχθεὶς βασιλεὺς Αἰτωλίας. διδάσκει δὲ ὡς δεόντως Ποσειδῶν αὐτῷ εἴκαϛαι ὡς δυναμένῳ πείθειν ἐν λόγῳ. V.

282. ἄκοντι: λείπει τὸ χρῆσθ. ἢ τὸ ἐπιϛάμενος ἀντὶ τοῦ ἐπιϛήμων ἄκοντος. V.

284. τὸ ἑξῆς κοῦροι Ἀχαιῶν, ὡς υἷες Ἀχαιῶν· ἄτοπος γὰρ ἡ τῶν παίδων ἅμιλλα. V.

287. ὢ πόποι: τοῦτο ἀναφωνεῖται ἐπί τινι πάθει ὑποφαῖνόν τι παράδοξον. ἔϛι δὲ καὶ προσφωνητικόν· δισσῶς γὰρ λέγεται. BL.

288. ἦ: διαβεβαιωτικός ἐϛι· διὸ περισπαϛέον αὐτόν. A.

ὅτι τὸ θήν ἀντὶ τοῦ ὄντως που. A. ὡς καὶ ἀλλαχοῦ „ἦ θήν σ' ἐξανύω γε" (Il. 11, 365). V.

ἔλπετο: ἔδει ἐπέπειϛο. V.

292. ἔσσεσθαι: τὸ πολλῶν Δαναῶν γούνατα λύσειν. V.

293. ὅτι πρόμος σαφῶς ὁ πρόμαχος. A.

ὧδε μενοινῶν: οὕτως διαμάχεσθ ἡμῖν προθυμούμενος. BL.

295. πληθὺν μὲν προτὶ νῆας: ἵνα μὴ ἄρδην διωκόμενοι ὑπὸ τῆς ἵππου τῆς περὶ Ἕκτορα ἐμπέσωσι τῇ τάφρῳ. ἄλλως τε καὶ ἀσθενὴς ὄχλος καὶ ἀχρεῖος πρὸς ἄμυναν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ϰ μᾶλλον τροπῆς περιποιητικούς. BL.

297. *εἰομεν*: ϰ ἀλλαχῆ „ἀλλ' ἄγε δὴ εἴωμεν ϰ ὠξώμεσθα μένοντες" (Il. 22, 231). πλεονάζει δὲ ὁ *κέν*. BL.

ὥς κεν: γράφεϑ ϰ εἴ κεν. A.

εἰ ἐν πρώτοις αὐτὸν ὄντα ἐπίχωμεν ὑπαντήσαντες, ῥῖψω δείσεσϑ ϰ τὰ ἑξῆς. V.

298. *δέρατ' ἀναχόμενοι*: ἤτοι συναπτέον τῷ ὠτιάσαντες, ἢ διασαλτέον ἀπ' αὐτῶν, ἵν' ᾖ τὸ ἑξῆς *εἰομεν δέρατ' ἀναχόμενοι*. V.

299. *τὸ ϑυμῷ ἑκατέροις δύναϑ προσδίδοϑ*. A.

δείσεσθαι: ἀντὶ τῦ δείσειν, καὶ ἔτι βίαιον ἢ μέσον ὄντα αὐτὸν ἐδιπλασίασεν. V.

300. *κλύον ἠδ' ἐπίθοντο*: ἔκλυον αὐτῦ ϰ τοῖς λεχθεῖσιν ἐπείθησαν. V.

301. *Ζηνόδοτος ϰ Ἀριστοφάνης Αἴαντε δυϊκῶς*. A.

302. *Μέγην*: Ἀρίσαρχος βαρύνει ὡς „Μέϑλην τε Γλαῦκόν τε" (Il. 17, 216)· ϰ ἐπείϑη ἡ παράδοσις. ὁ δὲ Ἀσκαλωνίτης ϰ ἄλλοι περισπῶσιν ὡς Ἑρμῆν καὶ Ποδῆν· τὰ γὰρ εἰς ης λήγοντα, φασί, βαρύτονα δισύλλαβα, ἀπὸ βραχείας ἀρχόμενα, περισσοσυλλάβως κλίνεϑ, λέβητα Λάχητα· εἰ δ' ἐχ ἕτως ἐκλίϑη, δῆλον ὅτι περισπαϑήσεϑ. ἄλλως τε εἰ εὑρέϑη αὐτῦ ἡ αἰτιατικὴ ὡς ἀπὸ βαρυτόνυ („Φυλλείδην τε Μέγητα" Il. 19, 239), ὅτε μὴ ἕτως ἔχῃ, περισπαϑήσεϑ, ὡς Θαλῆν ϰ Θάλητα ϰ Φαλῆν καὶ Φάλητα. ἔσι δὲ ὑπὲρ τῦ Ἀριστάρχυ πρὸς αὐτὸς πρῶτον μὲν ἐκεῖνο εἰπεῖν, ὅτι ἐχ ἁπλῶς τὰ εἰς ης ἀλλὰ τὰ εἰς της λήγοντα τὴν προειρημένην ἀναδέχεϑ κλίσιν, ἐπεὶ τὰ πολλὰ ἔσι διχῶς κεκλιμένα. τὸ γᾶν Μύνης ὁ μὲν ποιητὴς περιττοσυλλάβως ἔκλινεν („πέρσεν δὲ πόλιν ϑείοιο Μύνητος" Il. 19, 296), ὁ δὲ Σοφοκλῆς ἰσοσυλλάβως „Μύνᾳ τ' Ἐπισρόφᾳ γε." μύκητα τε ϰ μύκην, εἰ ϰ πολλὰ σημαίνει ἡ λέξις. ϰ ὅτι ᾧ τὸ μέτρον αἴτιόν ἐσι, δῆλός ἐσιν Ἑκαταῖος ἕτως κλίνας· φησὶ γὰρ „ϰ ἐπαφήσας τὸν κολεὸν τῷ ξίφεος, τὸν μυκῆν εὗρεν ἀποπεπτωκότα." ὁ δὲ Ἄρατος (Dios. 244) περιττοσυλλάβως ἔκλινεν· „ἢ λύχνοιο μύκητες ἀγείρονϑ περὶ μοῖραν." ϰ μή ποτε ταῦτα συναγωνίζεϑ τῷ Ἀριστάρχῳ· ϰ γὰ ταῦτα διχῶς κλιϑέντα ὁ μετέβαλε τὸν τόνον, οἷς ὅμοιον δύναται εἶναι ϰ τὸ Μέγης. A.

ἐϰ ἐπὶ πάντων ὁ τέ συμπεπλήρωκε τὸν λόγον. V.

303. *ἤρτυνον*: παρεσκεύαζον ὥσε μάχεσϑ. οἱ δὲ κατήρτιζον εἰς μάχην τὰς ἀρισέας. V.

305. *ἡ πληϑὺς — ἀπονέοντο*: ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι πληϑυντικῶς ἀπήντηκεν. A.

πρὸς τὸ σημαινόμενον, ὁ πρὸς τὸ πληϑὺς ὑπήντησε τὸ ἀπονέοντο. BL.

306. *προὔτυψαν*: προενέπεσον. V.

ἦρχε: τῆς ἐμβολῆς. V.

307. *βιβάς*: Ἀρίσαρχος *βιβῶν*. A.

ἄλλως. βιβῶν πᾶσαι εἶχον. Ζηνόδοτος βοῶν, ἐπεὶ ϰ ἑξῆς φησὶν „ἐπὶ δ' αὐτὸς ἄϋσε μάλα μέγα" (321). A.

309. *δεινήν, ἀμφιδάσειαν*: διασαλτέον καϑ' ἕν· ἔμφασις γὰ μᾶλλον. A.

ἀμφιδάσειαν: πανταχόϑεν τετριμμένην, οἱ μὲν ἀμφίμαλλον, οἱ δὲ κύκλῳ δασεῖαν, διὰ τὰς ϑυσάνας. ὑφ' ἓν δὲ τὸ ὄνομα. ABDLV.

τρίτη ἀπὸ τέλες ἡ ὀξεῖα, ὁμοίως τῷ χαλκοβάρεια. ὅτι δὲ ἐχ ὡς οἴεϑ ὁ Ἀσκαλωνίτης ϰ Ἀλεξίων, σύνϑετόν ἐσιν ἀλλὰ παρασύνϑετον, εἰρῆϑ ἡμῖν ἐν τῷ περὶ τᾶ ἠριγένεια. A.

προπαροξυντέον, κἂν τε σύνϑετόν ἐσι κἂν τε παρασύνϑετον. BL.

310. *Ἥφαιστος Διὶ δῶκε*: ἡ διπλῆ ὅτι σαφῶς Διὶ ἐσκεύασαι ἡ αἰγίς, ϰ ἐϰ ἔσιν Ἀθηνᾶς, καϑὼς οἱ νεώτεροι ποιηταὶ λέγουσιν. A.

311. *ἡγήσατο*: ἡγοῦμαι τὸ ἄρχω γενικῆ, ἡγοῦμαι τὸ ὁδηγῶ δοτικῆ, ἐξηγοῦμαι αἰτιατικῆ. L.

312. *ἀολλέες*: γεγονότες. V.

313. *ὀξεῖ' ἀμφοτέρωϑεν*: πανταχόϑεν τὴν ἐνέργειαν ηὔξησεν, ἐϰ τῆς βοῆς τῶν μαχομένων, ἐϰ τῶν βαλλομένων βελῶν, ἐϰ τῶν δοράτων, ὧν μὲν ἐπὶ σκοπὸν φερομένων, ὧν δὲ μάτην ῥιπτομένων. BL.

314. *ϑρῴσκον*: ἐμψυχοῖ τὰ βέλη· L.

315. *ἄλλα μέν*: σχεδιασμός. ὤφειλεν εἰπεῖν ἔκρουον τοὺς Ἀχαιούς· ἐπεὶ δὲ δύο ἦσαν ἐνέργειαι τῶν βελῶν, κατὰ τᾶτο μερίζει αὐτά. L.

316. *μεσσηγύ*: μεσσηγὺ ἕσατο, μεσοπαγῆ ἐγίνετο μέχρι τῦ μέσυ ἐμπεπηγμένα τῇ γῇ. ἄλλως. ἐπιϑυμᾶντες τῶν ἐφ' ἃς ἐβάλλετο, ἐν τῇ διὰ μέσυ γῇ ἐπήγνυτο. BL.

χρόα λευκόν: ἡ διπλῆ, ὅτι ἀντὶ τῦ χροὸς λευκοῦ ἐπαυρεῖν ἐπιτυχεῖν. A. ὡς ἐπὶ πᾶν δὲ λευκόχροες οἱ παλαιοί. V.

317. *λιλαιόμενα*: ἐφιέμενα, ἐπιϑυμᾶντα. ἔσι δὲ λιλαίω ὡς κερῶ κεραίω („ζωρότερον δὲ κέραιε" Il. 9, 203), εἶτα λιλαίω. ABDL.

320. *κατενώπα*: Ἀρίσαρχος ὡς κατὰ δῶμα, ἀπ' εὐθείας τῆς ὤψ, ἥτις αἰτιατικὴν ἔχει τὴν ὦπα· ὁ δὲ Ἀλξίων ϰ οἱ πλείες ὡς κατέναντα, οἷς ϰ βέλτιον πείθεσϑαι ἵνα ᾖ ἀπὸ τᾶ κατενώπια κατὰ συγκοπὴν κατένωπα, ὡς μηρία μῆρα, σιτία σῖτα. ἔνεσι μέντοι βοηθῆσαι καὶ τῷ Ἀρισάρχῳ οὕτως, ὡς ἐνωπή ἡ πρόσοψις („ὡσεί τι κακὸν ῥέξεσαν ἐνωπῇ" Il. 5, 374), παρ' ἣν ἔσιν αἰτιατικὴ ἐνώπην. ὃν ἓν τρόπον τὴν ἰωκὴν ἴωκα εἶπε μεταπλάσας, ὅτι ϰ τὴν ἐνωπὴν ἐνῶπα προπερισπωμένως. ὑποσιγμὴ δὲ καὶ τὸ τέλος τᾶ σίχε καὶ σεῖσ', τᾶ δέ περιττεύοντος, τοῖ δὲ ϑυμόν. A.

ὁ μὲν Ἀρίσαρχος προπερισπᾷ, ἵν' ᾖ ἀπὸ τοῦ ἐνωπὴν ἐνῶπα ὡς ἰωκὴν ἴωκα, ἵνα δηλοῖ τὸ κατὰ πρόσωπον· ὁ δὲ Ἡρωδιανὸς προπαροξύνει, λέγων αὐτὸ εἶναι ἀπὸ τᾶ ἐνώπιον ϰ ἐνώπια, ὃ σημαίνει τὰ ἐναντία, κατὰ συγκοπὴν ὡς μηρία μῆρα καὶ σιτία σῖτα. BL.

κατενώπιον. τινὲς προπαροξυτόνως ὡς ὁ ἐναντίας ἀπὸ τοῦ ἐξ ἐναντίας. οἱ δὲ ἐϰ φανεροῦ· πρώην γὰ αὐτὴν εἶδεν „εἱμένος ὤμοιιν νεφέλην" (308). V.

322. ἔθελξε: παρέλυσεν, ἐσκότωσεν. τοῦτο δέ φησιν ἐπὶ τῶν λογισμῶν ἐκ ἐκ φανερᾶ φθείρεσθ. B. „λιγυρῇ θελκτές" (Od. 12, 44?) καὶ „θελκτήρια πάντα τέτυκτο" (Il. 14, 215). V.

θῆρε: λέοντες κατὰ Κεφαλλῆνας. V.

324. δύω: δύο μὲν τοὺς λέοντας παρέλιπεν, ἐπεὶ καὶ οἱ τοὺς Ἀχαιοὺς ταράττοντες δύο εἰσίν, Ἕκτωρ καὶ Ἀπόλλων. νυκτὸς δὲ ἤτοι ἐπιτίθεντο· ὁ γὰρ ἐν ἡμέρᾳ φόβος ἧττων (ἐν τῇ ἐπαύλει· νυκτὸς γὰρ ταῦτα ἐ νέμετο, φησὶ „μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν" Il. 12, 301. V). εἰς ἐπίτασιν δὲ τὴν ἀσέληνον καὶ τῆς νυκτὸς τὸ μεσαίτατον παρέλιπε. τό τε ἐξαπίνης χαλεπὸν πρὸς τὸ μὴ παραφυλάξασθ. καὶ ὁ ποιμὴν αὐτοῖς ἐ πάρεσι βοηθός, ὡς οὐδὲ ὁ Ποσειδῶν τοῖς Ἕλλησι συμμαχεῖ. BL.

ἀμολγῷ: ἐν ᾧ ἀ μογοῦμεν, ὕπνῳ βαθεῖ κατεχόμενοι. οἱ δὲ ἀκμῇ κατ' Ἀχαιούς. δεινὸς δὲ ὁ ἐν σκότῳ κίνδυνος. V.

οἱ μὲν τὸ μέσον τῆς νυκτὸς λέγουσιν, καὶ γίνεται ἀπὸ τῶν ἄ ςερητικῶν μορίων καὶ τοῦ μολῶ, ἐν ᾧ ἀ παραγίνονται οἱ ἄνθρωποι, καὶ πλεονασμῷ τοῦ γ. οἱ δὲ τὴν ἑσπέραν, ἐν ᾗ ἀμέλγουσιν. οἱ δὲ γλωσσογράφοι, ἦγεν Ἀπίων καὶ Ἡρόδωρος, τὴν ἀκμήν. L.

ὅτι καὶ πρὸς τὸ πρῶτον καὶ πρὸς τὸ δεύτερον ὑπαντᾷ ὁ ποιητής. V.

326. ὣς: ὃ ἐξ ι μηδὲ κατ' ὀλίγον ἀμύναθ συνηθέντες. V.

ἀνάλκιδες: ἀνάλκιδες τότε γενόμενοι, ὡς „κυκλοτερὲς μέγα τόξον" (Il. 4, 124). παράφυλακτέον δὲ ὅτι τῇ Ἑλληνικῇ φύγῃ θεὸν ἀεὶ ἀντιπαρατάττει. BL.

328. κεδασθείσης ὑσμίνης: τῆς τάξεως διαλυθείσης· τότε γὰρ ἄλλοι ἄλλῃ φέρονται. τοῦτο πρὸς τοὺς ζητοῦντας πῶς Λεῖκος πλησίον Αἴαντος εὑρεθεὶς τέτρωται (Il. 4, 491). μέγα δὲ τὸ παρὸν δυσύχημα· αἱ γὰρ ἀναιρέσεις τῶν ἡγεμόνων ἢ τῶν περὶ τέτας ἀριςέων ἔσονται. BLV.

330. ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν· ὁ γὰρ Ἀρκεσίλαός ἐςι Βοιωτός. A.

333. τὸν Οἰλέα Ζηνόδοτος ἑπόμενος Ἡσιόδῳ καὶ Στησιχόρῳ χωρὶς τοῦ ὃ ὀνομάζει Ἰλέα, τὸ δὲ ὃ ἄρθρον φησί. γελοῖον δὲ τὸ παρ' Ὁμήρῳ ἅτως ἀκέαιν· ἐ γὰρ ἂν αὐτὸ καὶ ἐπὶ βοτικῆς προσέθηκε πτώσεως „ἐδ' ἄρ' Ὀϊλιάδῃ μεγαλήτορι Μοκροὶ ἕποντο" (Il. 13, 712). καὶ νῦν δὲ ἠδύνατο εἰπεῖν ἦν ἔχεν Ἰλεύς." V.

ἡ διπλῆ, ὅτι τὸ Οἰλεύς σὺν τῷ ὑ, καὶ ὅτι πρὸς τὸ πρότερον ἀπήντηκε παρὰ τὸ ἔθος, καὶ ἐξ ὀνόματος ἐπανέλαβεν. A.

τῆς κατὰ μέρος ἰσορίας χάριν ἡ ἐπανάληψις. ἰδαιμονικῶς δὲ τῇ ἐξαλλαγῇ χρῆται· ἄνω γὰρ πρὸς τὸ δεύτερον ὑπαντήσας νῦν πρὸς τὸ πρῶτον. V.

ἐξ Ἀλκιμάχης τῆς Φυλάκε ἦν ὁ Αἴας, ὡς φησι Πορφύριος ἐν τῷ καταλόγῳ. ἀλλ' οὐ συμφωνεῖ τῷ ποιητῇ· Ἑριώπιδος γάρ φησι τὸν Αἴαντα. V.

335. Φυλάκη πόλις Θεσσαλίας. βαρυτόνως δὲ ἀναγνωτέον ὡς Ἰθάκη, ὡς πρὸς ἀντιδιαζολὴν τῆ δεσμωτηρίῳ. AD.

336. γνωτὸς ὁ ἀδελφός, ὁ πλέον τῶν ἄλλων γνωριζόμενος. BL. ὅθεν καὶ γνωςὲς εἰώθαμεν καλεῖν τὲς φίλες τὲς γινωσκομένες ἡμῖν πλέον ὑπὲρ τὲς κοινὲς ἀνθρώπες. V.

ἡ διπλῆ, ὅτι γνωτὸς ὁ ἀδελφός, καὶ Ἐρίωπις ὄνομα κύριον. A.

ὁμοίως τῷ ποιητῇ καὶ Ἑλλάνικος τὴν Ἐριώπην μητέρα Αἴαντός φησι. Φερεκύδης δὲ ἐν εω καὶ Μνασέας ἐν η' Ἀλκιμάχην· ὁ δὲ τῶν Ναυπακτικῶν ποιητὴς διώνυμον αὐτὴν φησι· „τὴν δὲ μέθ' ὁπλοτάτην Ἐριώπην ἐξονόμαζεν, Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν." V.

337. Ἴασος αὖτ' ἀρχός: τῶν τὴν δευτέραν ἡγεμονίαν ἐχόντων. V.

338. Σφήλοιο ὡς φίλοιο. ἔχει δὲ καὶ κανὼν ὡς τὰ εἰς λος δισύλλαβα, τῷ ῆ παραληγόμενα, κύρια ὄντα βαρύνεθ, θέλει, Τῆλος Μῆκος Βῆλος· ἅτως ἐν καὶ Σφῆλος. τὰ μέντοι προσηγορικὰ καὶ ὀξυτονεῖτο, πηλός χηλός, καὶ βαρύνετο, ὡς δῆλος τὸ ἐπιθετικὸν καὶ ἦλος καὶ ζῆλος, περὶ ὧν εἰρήσεται ἡμῖν ἐν τοῖς περὶ καθολικῆς προσῳδίας. A.

καλέσκετο: ἵν' ᾖ ὡς τὸ „σὴ παράκοιτις κέκλημαι" (Il. 4, 60) ἢ ὡς τὸ „μήτηρ μέν τέ μέ φησι" (Od. 1, 215). V.

339. Μηκισῆ: περισπαςέον, εἴτε κατὰ ἀποκοπὴν τοῦ ᾶ, ὡς Τυδῆ Τυδῆ, εἴτε Δωρική ἐςιν ἡ κρᾶσις, Μηκισέα Μηκισῆ, ὃ καὶ ἄμεινον. BL.

ὁμοίως τῷ „ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ ςεῖλαν Ἀχαιοί" (Il. 4, 384). καὶ ἤτοι ἀπεκόπη ἡ Μηκισῆα αἰτιατική, ἢ Δωρικῶς κέκλιται, ὅπερ μοι δοκεῖ καὶ ἄμεινον. A. τινὲς δέ φασι κἀκεῖνα μὴ κατὰ συναλοιφὴν εἶναι, „ὡς Ἀχιλῆ ὤτρυνεν" „εἰς Πηλῆ ἰκέτευσεν" (Il. 16, 574). V.

340. πρώτῃ ἐν ὑσμίνῃ: ἐν τοῖς πρωταγωνισαῖς· οὐ γὰρ νῦν ἐςὶν ἡ πρώτη συμβολή. B.

341. Πάρις: εἴρηται καὶ ἔμπροσθεν ὅτι Ἑκάβη τεκοῦσα Ἀλέξανδρον διὰ τὸν ὄνειρον ἐξέθηκεν εἰς Ἴδην, ὁ δὲ ποιμὴν εὑρὼν αὐτὸν διὰ τὸ μὴ γνωρισθῆναι ἐν πήρᾳ ἔτρεφεν, ἀφ' ἧς ὠνομάσθη Πάρις. D.

νείατον: τὸν πρὸς τῷ αὐχένι· οἱ δὲ πρὸς ἀντιδιαζολήν. Ἔχιος γὰρ πρώτῃ ἐν ὑσμίνῃ, ἔτος δὲ νείατος. BL.

342. ἐν προμάχοισι: τινὲς ἐν πυμάτοισι, καὶ οἰκεῖον τοῦτο Πάριδι. ἢ ἐν πρώτοις τῶν διωκόντων ὢν ὁ Πάρις, ἐκ αὐτὸν ἐν τοῖς προμάχοισι φεύγοντα. μόνος δὲ ἔτος Ἑλλήνων ὄπιθεν τέτρωται, καὶ Ἰονεὺς ἐν τῇ Η (11) ὑφ' Ἕκτορος. BL. τότε δὲ οἱ ἀπόγονοι Σάμον ἐξ Ἀθηνῶν συνῴκισαν. V.

343. ὄφρ' οἱ τὰς: ἕως οὗ αὐτοὶ τότας ἐσκύλευον, ἀφαιρούμενοι αὐτῶν τὰ ἡμαγμένα ὅπλα. AD.

ἐνάριζον: φονεύοντες ἐξέδυον. V.

344. ἐνιπλήξαντες: τὴν μετὰ δέος γενομένην ἄτακτον ἔμπτωσιν διὰ τῆς λέξεως ἐδήλωσεν. BL. „ἔρκει ἐνιπλήξωσι" (Od. 22, 469). V. ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων τῶν ἐμπεσόντων δικτύοις. L.

345. ἀνάγκη: δαιμονία ἡ προθήκη· ἐ γὰρ δι' ἀνανδρίαν ἔπραξεν τοῦτο, ἀλλὰ διὰ τὴν ἀπὸ τῶν θεῶν ἀνάγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κην. BL.

346. ἡ συνήθεια συνάπτει ᾗ τὸν νηυσὶν ἐπισσεύεσθαι, ἵνα ἡ μετάβασις ᾖ ἀπὸ τῆ διηγηματικῆ ἐπὶ τὸ μιμητικόν· „ὃν δ' ἂν ἐγὼν ἀπάνευθε" (Il. 8, 10). A.

347. νηυσὶν ἐπισσεύεσθαι: ὡς ἐπὶ τὰς ναῦς ὁρμᾶν. λείπει δὲ τὸ λέγω· ἢ ἀπαρέμφατά εἰσιν ἀντὶ προσακτικῶν. BL.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἐπισσεύεσθον. συγχεῖται δὲ τὸ δυϊκὸν κατὰ πλειόνων τασσόμενον. A.

349. αὐτῆ οἱ θάνατον: βαρβαρικὴ ἡ ἀπειλὴ ᾗ τὸ πρύσαγμα θρασύ, ἐχ ὡς ὁ Νέσωρ μεσικῶς ᾗ πεπαιδευμένως φησὶν (Il. 6, 70) „ἀλλ' ἄνδρας κτείνωμεν, ἔπειτα δὲ ᾗ τὰ ἕκηλοι νεκρὸς ἀμπεδίον συλήσετε," ἀλλὰ θρασέως ᾗ ἀπηνῶς. BLV.

τὸ πρῶτον ἔχατον ἔθηκεν· ὁ γὰ ἀναιρεῖν ἐπιβαλλόμενος προβαλευσάμενος τῆτο ποιεῖ. V.

350. λελάχωσι: ἀντὶ τῆ λαχεῖν ποιήσασιν. ἐντεῦθεν νόμος τὸν προδότην μὴ θάπτεσθαι. ABV.

351. ἡ διπλῆ, ὅτι ἐνεγῶτι ἀντὶ μέλλοντος κέχρηδ, ἐρύουσιν ἀντὶ τῆ ἐρύσσουσι. τρίτη δὲ ἀπὸ τέλους ἡ ὀξεῖα ἐπὶ τὸ ἐρύσσι. εἴρηδ δὲ περὶ τῆς προσῳδίας ἐν τῇ Α (454). AB.

352. κατωμάδον: κατὰ τῶν ἰδίων ἵππων (ὤμων L), ἀφ' οὗ τὸν βάρβαρον καὶ μετὰ θυμοῦ παριππεύοντα δηλοῖ. BL. παρὰ τοῦτο τὸ „κατωμαδίοιο πέλονται" (Il. 23, 431). V.

ἤλασεν ἵππους: ἤλαυνεν ἐπὶ ἕλκας τὰς ἵππας, τοῖς Τρωσὶ κεκλόμενος. ὅρα δὲ πῶς ᾗ ἤλαυνε ᾗ ἐπολέμει. BL.

354. ὁμοκλήσαντες: τοῖς ἵπποις δηλονότι. V.

ἐρυσάρματας: μεταπλασμός. L.

356. ὄχθας καπέτοιο: τὰς ἀνασκαφὰς τῆς τάφρου δηλονότι. Ἀργεῖοι ἓν τὴν τάφρον κάπετον ὠνόμαζον. BL.

ποσσὶν: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χερσίν. εὐλογώτερον δὲ μὴ κατακύπτειν τὸν θεόν, ἀλλὰ τοῖς ποσὶ συγχεῖν. A.

357. γεφύρωσεν: κυρίως τὸ ἐκ ξύλων γεγομφωμένον γέφυρα. ἐν βραχεῖ δὲ ἔδειξε τὸ ἔργον τῆ θεῆ. V.

359. σθένεος πειρώμενος: εὖ τὸ μὴ ἁπλῶς ἀκοντίζοντα παραλαβεῖν, ἀλλὰ τῆς ἑαυτῆ ἥβης ἀποπειρώμενον, ὥςε ἐπὶ πλέον ἐξικέσθαι. BL.

τὸ ᾖσιν ἀντὶ τῆ πέμψῃ. τὸ σι ἐπέκτασίς ἐχιν. B.

ἐπεκτέταδ τὸ ᾖσιν· ἀντὶ γὰ τῆ ᾖ ἐχὶν ὑποτακτικῆ, ὅπερ ἡ συνήθεια λέγει μετὰ προθέσεως ἀφῇ. διὸ ᾗ μετὰ τῆ ῑ γράφεται καὶ δασύνεται· ἀπὸ γὰ τοῦ ἵημι δασυνομένου κέκλιται. A.

360. φαλαγγηδόν: ὡς ὁμιλαδόν. προηγεῖτο δὲ αὐτῶν Ἀπόλλων. V.

τῶν τετηρημένων ἐχὶ ᾗ αὕτη ἡ σιγμὴ ἐπὶ τῆ ὀκτωκαιδεκάτῃ χρόνῃ· ὀλίγαι δ' εἰσὶ παρ' Ὁμήρῳ τοιαῦται. A.

361. σικτέον ἐπὶ τὸ ἐρίτιμον· λείπει δὲ τὸ ἦν. A.

362. ἦεῖα μάλ': ᾗ πῶς τοῖς θεοῖς πολλῆ ἐδέησε πρὸς παντελῆ ἀφανισμόν; διαναπαύσι δὲ τὸν πόνον αἱ παραβολαί, καὶ ταπεινὴ μὲν ἡ εἰκών, ὅμως πᾶσι γνωσή. ἀπὸ κοινῆ δὲ τὸ συνέχεεν. LV.

363. ἀθύρματο: πιθανῶς παίγνιά φησι τὰ δώματα τῶν νηπίων. BL.

βέλτιον μετὰ τὸ νηπιέῃσιν ὑποσικτέον. A.

364. ποσὶν καὶ χερσὶν: ὅλῳ γὰ ἐφάλλεδ τῷ σώματι. χρὴ δὲ ἐπὶ τὸ χερσὶ διαστείλαντα πρὸς βραχὺ ἐπάγειν καθ' αὑτὸ τὸ ἀθύρων, ἵνα ᾖ τῆ ὅλῃ ἐπεξήγησις· εἰ γὰ συνάψομεν, ἔσαι ἀθύρειν τὸ πατεῖν ἀκύρως. BL.

365. ἦϊε: τοξικέ, παρὰ τὴν ἄφεσιν τῶν βελῶν· ἔστι δὲ ἐπίθετον Ἀπόλλωνος. εἴρηδ δὲ κατὰ ἀφαίρεσιν τῆς πρώτης συλλαβῆς, ἵν' ᾖ ἰήϊε· ἰὸς γὰ λέγεδ τὸ βέλος παρὰ τὸ ἰέναι. ἔνιοι δὲ ψιλῶς ἀναγινώσκοντες ἀπέδοσαν ἰατρέ, ἐκ ὀρθῶς, ἐπεὶ θεῶν ἰατρὸν Παιήονα Ὅμηρος παραδίδωσιν. D.

Ἀρίσαρχος δασύνει, ἀπὸ τῆς ἕσεως τῶν βελῶν· οἱ δὲ περὶ τὸν Κράτητα ψιλῶς, ἀπὸ τῆς ἴασεως· ᾗ ὅτως ἐπείθησαν οἱ γραμματικοὶ πρὸς διάφορον ἐτυμολογίαν διαφόρως ἀναγινώσκειν. ἀγνοῦσι δὲ ὅτι ὁ χαρακτὴρ μάχεται· ἀεὶ γὰ τὸ ᾗ πρὸ φωνήεντος ψιλᾶται, ἠώς ἦϊα. ταύτῃ καὶ τὸ „ἦτε ξείνων θέμις ἐστί" (Od. 9, 268) δασύνεδ, τὸ δὲ ἠώς ψιλᾶται· ᾗ τὸ ἕως δασύνεδ, τὸ δὲ ἠώς ψιλᾶται· καὶ τὸ ἥλιος δασύνεδ, τὸ δὲ ἠέλιος ἐψιλώθη. ὥςε εἴτε ἐκ τῆ ἤϊος δασυνομένῃ ἐχὶν εἴτε ἐκ τῆ ψιλεμένῃ, μόνως ψιλωτέον. A.

Ἀρίσαρχος δασύνει, παρὰ τὴν ἕσιν τῶν βελῶν· ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ· ἀεὶ γὰ τὸ ᾗ πρὸ φωνήεντος ψιλᾶται. οἱ δὲ παρὰ τὴν ἴασιν ᾗ τὸ ἰέναι· ἥλιος γάρ ἐχιν. ἔσι δὲ περιπαθὴς ἡ ἀναφώνησις, καὶ ἐμφαντικὴ τῆς δυνάμεως τῆ θείῳ. BL.

366. αὐτοῖσι δὲ φύζαν ἐνῶρσας: ἐν ὅλοις χεδὸν διαμαρτύρεται ὅτι ὁ τὸν Ἕκτορα ἔφυγον ἀλλὰ τὸν θεόν. BL.

367. ἐρητύοντο: τῆς ὁρμῆς ἐπείχοντο. V.

369. εὐχετόωντο: δυσχυίας ἐπίτασις καὶ σωτηρίας ἀπόγνωσις εὐχὴ θεῶν. πιθανῶς δὲ τὰς τῆ πλήθους ἐν κεφαλαίοις εἶπε, τὴν δὲ τῆ εὐσεβεσάτῃ διεσάφησε ᾗ ἐξειργάσατο Νέσορος. ἀπὸ μετοχῆς δὲ εἰς ῥῆμα· „τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον" (Il. 3, 80). BLV.

371. χεῖρ': ἐ χεῖρα, ἀλλὰ χεῖρε δυϊκῶς. V.

ἀσερόεντα: ἐ τὸν τότε, ἀλλὰ τὸν τῇ φύσει. BL.

372. ἐν Ἄργεϊ πε: ὅλην τὴν Ἑλλάδα· περισσὸς δὲ ὁ πέ. πιθανὸν δὲ τὸ μὴ ὑπὲρ ὧν αὐτὸς ἔθυσε σωτηρίαν αἰτεῖν· ἐ γὰ ὑπὲρ ἑαυτῆ δέδοικεν, ἀλλ' ὑπὲρ πάντων· διὸ τὴν κοινὴν εὐσέβειαν προβάλλεται. BL.

373, ὄϊος: τινὲς οἷος, ἐπεὶ ἀεὶ δισυλλάβως, πλὴν τὸ „νῶτον δ' ἔθηκ' ὄϊος" (Il. 9, 207). ἡ δὲ κατὰ πρὸς τὸ καίων. V.

374. κατένευσας: πρὸς τὸ τὴν ὑπόχεσιν ποιῆσαι ἀμετάπτωτον. BL.

375. Ὀλύμπιε: τινὲς Ὀλυμπία πλησίον Πύλε Πίσα. V

376. ἡ διπλῆ, ὅτι πτῶσις ἑλλακὴ ᾗ πρόθεσις παρεῖδ ἀντὶ τῆ ὑπὸ Τρώων. A.

377. *μέγα δ' ἔκτυπε*: ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει *μέγα δ' ἔκλυε*. οὐχ ὑπήκουσε δὲ αὐτοῖς ὥςε πεισθῆναι, ἀλλὰ κατ' αὐτῶν ἐγένετο. A.

παιδευτικὰ ταῦτα διὰ τὸ ἐπισημαίνεσθ τὸν θεὸν ἑνὸς ἀνδρὸς εὐχῇ. ἄκρως δὲ κεκράτηκε τῆς οἰκονομίας ὁ ποιητής. τὸ μὲν γὰρ μηδὲν ἐπιγενέσθ τῷ πρεσβύτῃ σημεῖον ἀπίθανον, τὸ δὲ κατανεύειν ἤδη ἐναντίον· ὁ γὰρ μηδὲ Ἥρᾳ πειθόμενος ἀλλὰ φυλάττων τὴν πρὸς Θέτιν ὑπόςχεσιν πῶς ἂν ταχέως ἐπείσθη Νέςορι; BL.

378. *ἀράων ἀΐων*: οὐ γὰρ ἐξολώλασιν Ἕλληνες, ἀλλ' ἐνόςησαν. V.

379. τὸ ὡς ἀντὶ τοῦ ἐπεί. πρὸς αὐτῶν δὲ οὗτοι τίθενται τὸ ἀγαθόν. V.

381. *ὥςε μέγα κῦμα*: ἀεὶ ἑαυτὸν παρευδοκιμεῖ ὁ ποιητὴς ταῖς ὁμοιώσεσι· τί γὰρ ἐναργέςερον ἢ ἐμφαντικώτερον ἢ καθάπαξ συμφωνότερον ταύτης τῆς εἰκόνος; χειμῶνι μὲν τὸν κίνδυνον εἰκάζει, σκάφει δὲ τὸ τεῖχος, τοὺς δὲ μετὰ βοῆς ἐπιόντας κύμασιν· οἱ δὲ Τρῶες ὑπερέβησαν τὸ τεῖχος ὡς κῦμα ναῦν. *εὐρυπόροιο* δὲ μεγαλοπόρου, ἀναπεπταμένης, πλατείας· μείζονα γὰρ τὰ ἐν τῇ τοιαύτῃ θαλάσσῃ κύματα. BL.

382. *ὑπὲρ τοίχων*: ὥσπερ ὅταν τὸ κῦμα γένηθ τῶν τοίχων τῆς νεὼς ὑψηλότερον, οὕτως Τρῶες τοῦ τείχους. B.

οὐκ ἀναγκαῖόν ἐςιν ἀναςρέφειν τὴν πρόθεσιν, ἀλλὰ συντάσσειν τῇ *τοίχων* γενικῇ. A.

385. *ἵππους δ' εἰσελάσαντες*: ἰδιότητά (ἰδίωμα LV) φησιν Ἀρίςαρχος γεγενῆσθ περὶ τὴν μάχην. τῶν γὰρ Τρώων ἐντὸς τοῦ τείχους γεγονότων οἱ Ἕλληνες ἐπὶ τῶν πρυμνῶν μάχονθ· διὸ οἱ Τρῶες ὅπως ἀπὸ ἴσου βάλλοιεν ὕψους, ἀπὸ τῶν ἁρματείων δίφρων αὐτοὶ μάχονται, ὥςε ἀποςραφῆναι τοὺς ἵππους ὡς ἐπὶ τὴν Ἴλιον. ἔσονθ δὲ καὶ οἱ ἡνίοχοι ὡς ἐπὶ τὴν πόλιν τετραμμένοι, τὰ δὲ νῶτα δόντες τοῖς πολεμίοις, οἱ δὲ παραβάθ σκέποντες αὐτοὺς ἅμα καὶ μαχόμενοι· διὸ καὶ ὁ ἡνίοχος Πουλυδάμαντος Κλεῖτος κατὰ τὸν αὐχένα τέτρωται. BLV.

ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς μάχης, ὅτι οἱ μὲν ἐπιβεβηκότες ταῖς πρύμναις τῶν νεῶν, οἱ δὲ ἀποςρέψαντες τὰ ἅρματα ἐπὶ τῶν δίφρων, ἵν' ᾖ ἀπ' ἴσου. (ἀπὸ τῶν ἵππων, ἵν' ἀφ' ὕψους μάχοιντο, εἰσήλασαν δὲ τοὺς ἵππους διὰ τῆς ὑπ' Ἀπόλλωνος γενομένης κελεύθου. V). βραχὺ δὲ διαςαλτέον ἐπὶ τὸ εἰσελάσαντες πρὸς τὸ σαφέςερον. AV.

386. *αὐτοχεδόν*: αὐτόθεν, ἐκ τοῦ σύνεγγυς τόπου· τὴν γὰρ σύνεγγυς ἀντίςασιν χεδίην καλοῦσιν. ἐκπλήττων δὲ τὸν ἐκροατὴν ναυμαχίᾳ ἅμα ἱππομαχίαν κατέμιξεν. BL.

389. *ναύμαχα*; μακρὰ δόρατα τὰ πρὸς ναυμαχίαν ἐπιτήδεια. D.

οὕτως ὡς θαύματα. ἐξαιρέτως δὲ τὰ παρὰ ῥῆμα οὐδέτερα σύνθετα μονογενῆ, εἰς ον περατούμενα, προπαροξύνεθ, καρτότομον χειρόγραφον ἀκρατόφορον· οὕτως „ναύμαχον ἐν παλάμῃσιν" (677), ἵνα εἶδος δόρατος νοηθῇ ἐν διαφόρῳ μεγέθει. A.

παρὰ τὸ ναῦς γίνεθ καὶ τὸ μάχη· ναυμάχος μὲν οὖν ὁ ἀνήρ, ὡς παμφάγος, ναύμαχον δὲ τὸ δόρυ. φασὶ δὲ μήπω γνωρίζεσθ παρ' αὐτοῖς ναυμαχίαν. ὅπως δὲ ἀναςέλλοιεν τοὺς ἀπὸ γῆς εἴργοντας, τοῦτο ἐπετήδευσαν, καὶ ἵνα μὴ ἀνταναχθῶσιν οἱ Τρῶες. BLV.

εἰκὸς ἀπὸ Μίνωος πεπολιτεῦσθ ναυμαχίαν παρ' Ἕλλησι. καὶ Ἀγαμέμνων πολλῇσι νήσοισιν ἦρχεν (Il. 2, 108). πεντηκόντεροί τε μόνον οὐκ ἂν ἦσαν ναυσὶ φορτηγοῖς μόνον ἐχρῶντο. πεφράχθαι δὲ αὐτοὺς εἰκός, μὴ ἀνταναχθῶσιν οἱ Τρῶες. πεποίηται δὲ παρὰ τὴν μάχην ὡς ἱππόκομος παρὰ τὴν κόμην. V.

κολλήεντα: ἐκ πολλῶν συγκεκολλημένα, ἵνα γένηται μακρά, οἷον σύνθετα καὶ οὐ μονόξυλα. D.

ὑπὸ βλήτρων δηλονότι· φησὶ γοῦν καὶ ἀλλαχοῦ (678) „κολλητὸν βλήτροισι." *ςόμα* δὲ τὸ ἄκρον, παρὰ τὸ τμητικὸν εἶναι. δηλοῖ δὲ ὅτι οὐκ εἶχον κατ' ἄμφω τὰ μέρη σίδηρον· τοῖς γὰρ εἰς γῆν πηγνυμένοις καὶ σαυρωτῆρες ἦσαν. ταῦτα δὲ ἐπὶ τῶν νηῶν ἔκειτο. BLV.

390. *Πάτροκλος δ'*: ὅταν ἐπὶ τὰ ἄκρα ἀγάγῃ τὴν ποίησιν, τότε ταῖς μεταβάσεσι χρῆθ συνεχῶς, τὴν προσοχὴν τῶν ἀκροατῶν ἐρευνῶν (συνάγων V). μεταβαίνει οὖν ἐπὶ τὸν Πάτροκλον νῦν· ἐπὶ τούτῳ γὰρ καὶ διατρίβειν αὐτὸν παρὰ τῷ Εὐρυπύλῳ ᾠκονόμησεν, ὅπως ἐκ τῆς ὄψεως κινηθεὶς ἐντονώτερον Ἀχιλλέως δεηθῇ. πῶς δὲ ἐπιλαθόμενος Ἀχιλλέως τοσοῦτον διάγει χρόνον; ἢ οὐ πολὺς μὲν ὁ χρόνος, τὰ δὲ γεγονότα ποικίλα ἐν ὀλίγῳ καιρῷ. BLV.

393. *τὸν ἔτερπε λόγοις*: εἰκότως· καὶ Μένανδρος γὰρ ἔφη ὡς „ἰατρός ἐςιν ὁ λόγος ἀνθρώποις νόσων· ψυχῶν γὰρ οὗτος (ψυχῆς οὗτος V) μόνος ἔχει κουφίσματα," πρὸς τὸ μὴ συγκαταπίπτειν τῷ σώματι τὴν ψυχήν, ἀλλ' ὑπερορᾶν τὸ βάρος τοῦ σώματος. BLV.

ἅπαξ ἐνταῦθα ἐν τῇ Ἰλιάδι τὸ *λόγοις*. A.

τινὲς *ἔτερπε λούων*· τοὺς γὰρ νοσοῦντας ἔλουον· φησὶ γοῦν „εἰσόκε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη θερμήνῃ" (Il. 14, 6). ἄμεινον δὲ λόγοις· φησὶ γοῦν ἀπιὼν „ἀλλὰ σέ περ θεράπων ποτιτερπέτω" (401). καὶ Λητὼ καὶ Ἄρτεμις τὸν Αἰνείαν κυδαίνουσιν. V.

394. *ἀκήματα*: ἀκέσματα, θεραπεύματα. B.

ἔν τισιν *ἀκέσματ'*· οὕτως δὲ καὶ Ἀρίςαρχος. A.

ἄλλως. τὸ πλῆρες, *φάρμακα*, εἶτα *ἀκήματα*· παρὰ γὰρ τὸ ἀκέσασθ τὸ ἀκήματα ἐχημάτιςαι. εἴρηθ δὲ ἡμῖν ἐν ἑτέροις διότι καὶ ἡ ἄκεσις καὶ τὸ „ἀκεςαί τοι φρένες ἐσθλῶν", τὸ ε ἔχει κατὰ τὴν παραλήγουσαν. A.

395. *τοῖχος ἐπεσσυμένους*: τὸ ἑξῆς ἐπὶ τεῖχος ἐσσυμένους. V.

398. *ἔπος ηὔδα*: οὕτως Ἀρίςαρχος, *ἔπος ηὔδα*. A.

ἔπος ηὔδα, οὐ προσηύδα. V.

400. *ἐνθάδε*: τὴν ἐν τόπῳ νῦν δηλοῖ χέσιν.

401. *ποτιτερπέτω*: πρὸς τῷ φαρμάκῳ. V.

402. *σπεύσομ'*: ταχυνῶ, ἐνεργῶς πορεύσομαι. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

403. *τίς δ' οἶδ'*: δῆλός ἐστι κεχειρωμένος τοῖς λόγοις Νέστορος (Il. 11, 792), *δι' ὧν αὐτὸς ἐπὶ μνήμης ἄγει.* B.

παρέλκει δὲ ὁ κέν. V.

οἱ: ἡ διπλῆ, ὅτι ἔτως εἴρηκεν, αὐτῷ τὸν θυμὸν ὀρίνω, ἀντὶ τοῦ εἰ αὐτοῦ τὸν θυμὸν ὀρίναιμι. A.

σὺν δαίμονι: ἐφαψαμένω θεοῦ. V.

404. *ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου*: ἡ ἐξ ἑταίρου γινομένη παραμυθία ἀγαθή. BL. *ἐχ ἡ δύναμις τῆς ῥητορείας. διὸ ἐδὲ Νέστωρ ἀλλ' οἱ φίλοι ἐν ταῖς Λιταῖς πρεσβεύουσιν.* L.

405. ἡ διπλῆ, ὅτι οἱ πόδες αὐτὸν ἔφερον, ἐκ αὐτὸς τοὺς πόδας. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον γράφοντα (Il. 6, 511) „ῥίμφ' ἐὰ γοῦνα φέρει." A.

ὅτι οἱ πόδες αὐτὸν ἔφερον, ἐκ αὐτὸς τοὺς πόδας, σημείωσαι. ἢ ἀμφοτέρων μὲν ἡ ἐνέργεια, τὸ δὲ πλεῖον τῶν ποδῶν. BL.

αὐτὰρ Ἀχαιοί: ἔδει τὸ ἑξῆς παραγαγεῖν ὅτι ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ παρίσατο· ἀλλὰ τὸ διάσημα τῆς ὁδοῦ μέσην ἔχει τὴν μάχην. εἰκότως δὲ ἰσορροπῶσιν· οἱ μὲν γὰρ ἐλπίδι τοῦ νικᾶν ἐφράξαντο, οἱ δὲ ἀπογνώσει σωτηρίας ἐξῶσιν. BLV.

407. *παυροτέρους*: ἢ τοῖς συμμάχοις αὐτῶν ἐλάσσους ἦσαν Ἑλλήνων, ἀλλὰ μόνους. οἱ δὲ ἀντὶ τοῦ ἀσθενεστέρους. BL.

τοὺς μαχομένους μόνους λέγει. οἱ δὲ λοιποὶ ἐκ ἐμάχοντο. L.

ἡ διπλῆ, ὅτι σαφῶς οἱ Τρῶες ἐλάττονες συνίσανθ τῶν Ἑλλήνων, καὶ τῶν ἐπικούρων ἐξεληλυθότων. A.

408. *ποτε*: ἀντὶ τοῦ ἐν τῷ μέρει τῆς ἡμέρας ταύτης. V.

409. *μιγήμεναι*: ὡς τὸ „συχνὰ ἐπεμίγην τοῖς Σικελιώταις." BL.

ἔδδὲ νέεσσιν: ἐν ἄλλῳ ἤδὲ νέεσσιν. A.

410. *σάθμη ἐργαλεῖον τεκτονικόν, ἡ καὶ κατευθυντηρία λεγομένη· τύπτῳ δὲ κανονίζειν τὰ ξύλα.* AD. *ἔστι δὲ καὶ χοινίον λεπτὸν ἐρυθρῷ ἢ μέλανι χρώματι κεχρισμένον.* A. *ἐξισθύνει δὲ ἴσον ποιεῖ, ἐξορθοῖ.* AD.

πρὸς τὸ ἀκριβὲς τῆς ἰσότητος ἐν ἄλλοις μὲν τάλαντα ἕλκεσαν ἔλαβεν, ἀλλαχοῦ δὲ ζυγὸν καὶ μέτρα γῆς· νῦν δὲ ὑπὸ τέκτονος ἐμπείρου ἐξισθυνόμενον ξύλον πρὸς τὴν σάθμην. δυνατῶς δὲ πάντα φράζει. ABLV.

εὖ εἰδῇ σοφίης: ἔμπειρος ᾖ τεκτονικῆς· τὸ γὰρ παλαιὸν πᾶς τεχνίτης σοφὸς ὠνομάζετο συγκεχυμένῳ ὀνόματι. ὕστερον δὲ Πυθαγόρας τοῦτο μεμψάμενος σοφὸν μὲν μόνον τὸ θεῖον εἶπεν ὀνομάζεσθαι, καὶ φιλοσοφίαν (σοφίαν D) μόνην τὴν ἔχουσαν τὸ τέλειον καὶ ἅπταιστον τῆς ἐπιστήμης. AD.

σημείωσαι δὲ ὅτι ἁπαξ ἐνταῦθα σοφίαν ὠνόμασεν, οὐ τὴν λογικὴν ἀλλὰ τὴν τεκτονικὴν τέχνην· οἱ γὰρ παλαιοὶ πάντας σοφιστὰς ἐκάλουν (καὶ τὸν κιθαρῳδὸν σοφιστὴν Σοφοκλῆς, καὶ τὸν ῥαψῳδὸν Εὔπολις. V), πλὴν οἱ νεώτεροι ἐκ ἠθέλησαν ταὐτὸν τῇ γνώσει φέρειν καὶ ταῦτα ὄνομα. οἱ δὲ φιλόσοφοι φιλοσοφίαν εἶναι ὁρίζονται ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῆς περὶ ἑκάτερον αἰτίας. ABLV.

ἀντὶ τῆς τέχνης. διό φασι μὴ εἶναι Ὁμήρου τὴν Ὀδύσσειαν διὰ τὸ μὴ εἶναι ἐκεῖ σοφίαν. V.

412. *ὑποθημοσύνῃσιν*: διδασκαλίαις. *τῷ γὰρ νηΐ τις οὐκ ἀκριβώσει τὴν ἰσότητα, κινδυνεύει πάντως ἑτερο-βαρῶς γινομένης τῆς νηός.* BL.

413. *ἐπὶ ἶσα*: πῶς ἴσοι εἰσὶ τοσοῦτον πρότερον τῶν Τρώων ὑπερεχόντων; ἢ τάχα φάσει, ἐ δυνάμει· οἱ μὲν γὰρ ἀπὸ τῶν νεῶν, οἱ δὲ ἀπὸ τῶν ἁρμάτων. *δαιμονίως δὲ παροτρύνεται τῷ ἀκροατῇ ὁ ποιητὴς μείζω ἡγεῖσθαι τῶν λόγων τὰ ἔργα· ὡς ἔνια δὲ καὶ ὑπερβαίνων ὑπονοεῖν ἡμῖν αὐτὰ δίδωσιν.* BL.

414. ἡ διπλῆ, ὅτι ἐκ τότε διεσκεύασαι ὁ τῆς τειχομαχίας στίχος (Il. 12, 175) „ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν." A. *ἀρέσκει γὰρ Ἀρισάρχῳ μίαν εἶναι πύλην.*

415. *ἐείσατο*: ὥρμησεν. *ἀκέσασθαι δὲ τὴν ἧττων θέλει ὑπὸ θεῶν φυσώμενος (ἐπικερᾴμενος V).* BLV.

416. *μιῆς περὶ νηός*: ἴσως τῆς Πρωτεσιλάου. V.

ἐδύναντο: ἀνθ' ἑνικοῦ τοῦ ἐδύνατο. V.

417. *Ἀρίσαρχος χωρὶς τοῦ σ γράφει νῆα, προσεῖναι γὰρ „τὼ δὲ περὶ μιῆς νηὸς ἔχον πόνον."* A. *οὐ δεῖ οὖν γράφειν νῆας. ἀλλ' ἐδὲ τὸ μέτρον ἐπιδέχεται νῆας γράφειν.* V.

418. *δαίμων*: ἢ ὁ Ἀπόλλων ἢ ὁ Ζεύς. *παρατήρει πάλιν τὴν προθήκην, ὅτι τὴν ἐπὶ τὰς ναῦς παρουσίαν Ἕκτορος θεῷ ἀναφέρει.* BL.

419. ἡ διπλῆ, ὅτι ἕτος ὁ Κλυτίος ἐστὶν ἀδελφὸς Πριάμου „Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμον Λάμπόν τε Κλυτίον τε" (Il. 20, 238). A. *διὸ καὶ ἑξῆς φησὶν „Ἕκτορ δ' ὡς ἐνόησεν ἀνεψιόν"* (422). *ἀλλαχοῦ „καὶ Δόλοπα Κλυτίδην"* (Il. 11, 302), *υἱὸν Κλύτου, ἐπεὶ ἔδει Κλυτιάδην, μὴ ἐνέλειψεν.* V.

Καλήτωρ ἀνεψιὸς Ἕκτορος. ἔστι δὲ καὶ ἕτερος Κλυτίου ὁμώνυμος· „καὶ Δόλοπα Κλυτίδην." AD.

420. *νῆα*: τὴν ἀμφήρισον. V.

421. *δαλός*: οἱ νεώτεροι Ἴωνες δαυλός. V.

425. *Τρῶες*: ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μικτόν. V.

426. *περισσός ἐστιν ὁ πως· ἐ γὰρ προσάσσει νῦν μὲν μένειν, ὕστερον δὲ ὑποχωρῆσαι. σείνει δὲ τῷ μεταξὺ νεῶν τῆς τάξεως τῶν ἵππων ξενῷ τόπῳ.* BL.

ξενοχωρίαν ἔχοντι τόπῳ. ἢ τῇ μάχῃ τῇ ξενοχωρούσῃ καὶ πανταχόθεν πεπυκνωμένῃ. D.

427. *σαώσατε*: ἔδει σαώσωμεν. *ἀντὶ τοῦ ἐκσκυλεῦσαι ῥύσασθε ἀβλαβῆ ἀπάξωμεν.* V.

μιν: ἀντὶ τοῦ αὐτόν, Ἀττικῶς. V.

428. ἡ διπλῆ, ὅτι ἀγῶνι τῷ ἀθροίσματι τῶν νεῶν ἐστὶ τῷ ναυσάθμῳ. A.

431. *Κυθήρειον*: ἀπὸ Κυθήρων· *Κύθηρα δὲ νῆσος ἱερὸν τῆς Λακωνικῆς, Ἀφροδίτης ἱερόν, ἔνθεν καὶ Κυθέρειαν ὀνομάζουσι τὴν θεάν.* AD. *τὸ ἑξῆς, Λυκόφρονα ἴβαν κεφαλὴν ὑπὲρ ἕατος, τὰ δὲ ἄλλα ὡς διὰ μέσου διορθωτέον.* A. *τινὲς διὰ τῶν δύο ῥῶ, καὶ τὸν Κυθηρεῖς δηλοῦντας Ἀττικῆς φασίν, ὃς μᾶλλον οἰκείας εἶναι Αἴαντι.* V.

432. *Κυθήροισι*: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ ἐν· ἔστι γὰρ ἐν Κυθήροις. καὶ ὅτι ἀπόδειξις τῷ συνεχαλμένως ἐκφέρειν τὸ *κατέκτα*· καὶ ἐν Ὀδυσσείᾳ (11, 409) „ἔκτα σὺν ἀλοσύνῃ ἀλόχῳ." A.

437. ἄξιον ἀποδέξασθαι τὴν συνήθειαν μετὰ τὸ *πέπον* ἔθεσαν, καὶ μὴ μετὰ τὸν δή σύνδεσμοι. A.

437. 438. ἡ διπλῆ, ὅτι παραλλήλως καὶ διδασκαλικῶς ἡ διαφορὰ τῷ νῶϊν καὶ νῶϊ. A.

438. *Κυθηρόθεν ἔνδον ἐόντα*: ἐκ Κυθήρων ἐπιδημοῦντα τοῖς ἡμῶν οἴκοις. V.

439. *τοκεῦσιν*: ἡ διπλῆ περιεσημείωται, ὅτι Ζηνόδοτος γράφει *τέκεσσιν*. ἐχ ἁρμόζει δὲ τὸν περὶ τὸν Αἴαντα νέους ὄντας λέγειν τέκεσσιν· πρὶν γὰρ παιδοποιήσασθαι ἐστρατεύοντο. A. οὐ πρέπει δὲ ταῖς ἡλικίαις· Αἴαντος γὰρ ἐκ Χειροβαφίας Φιλαιόν φασι. V.

Ἀρίσαρχος *τέκεσσι*, κακῶς· ἐ γὰρ ἔχουσι παῖδας. ὅτι δὲ τοὺς γονεῖς οἱ παλαιοὶ ἐτίμων, δῆλον ἀπὸ τοῦ λέγειν μεμνῆσθαι πατέρος καὶ μητέρος." ὁμοπάτριος δὲ ὁ Τεῦκρος Αἴαντος. BL. οἱ δὲ ἐκ τούτων φασὶ καὶ ὁμομήτριον Αἴαντι Τεῦκρον εἶναι. V.

441. *ὠκύμοροι*: οἱ ταχέως τὸν μόρον τοῖς εἰς οὓς ἐπέσωσι τελειοῦντες. BL. οἱ τ. τ. μ. πληροῦντες· „ὠκύμορος δή μοι, τέκος, ἔσσεαι" (Il. 18, 95). V.

ἡ διπλῆ, ὅτι *τόξον* λέγει ἐ τὸ σκεῦος τὸ πολεμικόν, ἀλλὰ τὴν τοξικὴν τέχνην. A.

ἡ τῆς τοξικῆς ἐμπειρία· ἐ γὰρ τόξον αὐτῷ παρέχειν ὁ Ἀπόλλων, ἀλλὰ τὴν ἐκ τῶν τόξων ἐκβολίαν. BL.

442. *ξυνέηκε*: ἀντὶ τοῦ ἤκουσε. V.

443. *πρὸς μὲν τὸ τόξον τὸ ἔχων ἀντὶ τοῦ κρατῶν, πρὸς τὸ φαρέτρην τὸ φορῶν*. L.

444. *ἰοδόκον*: πιθανώτερον Ἀλεξίων παροξύνει, ὡς νοδόκον, ἐπεὶ αὕτη ἡ φαρέτρα δέχεται καὶ ἔστιν ἐνεργητικόν. ἄλλως. προπαροξυτόνως τινὲς τὸν δεχόμενον ἰούς, ἰοδόκον δὲ τὸν ξενίζοντα παροξυτόνως, ἢ τὸν ξένους δοντα. καὶ Ἀτταλος δὲ παροξύνει. A.

βέλεα: ἀντὶ τοῦ βέλος. V.

445. Κλειτός ὄνομα κύριον· ὀξυντέον δὲ ὁμοίως τῷ ἐπιθέτῳ, ἐπειδὴ κόσμου ἐστὶ τὸ ἐπίθετον. A.

ἀμφίβολόν ἐστι πότερον τὸ κλειτὸν ἔστιν ὄνομα ἢ τὸ ἐναντίον. καὶ τινὲς μὲν τὸ Κλειτὸν φασι παράλογον· Κλειτὸν γὰρ ἔδει εἶναι πρὸς ἀντιδιαστολὴν τοῦ κλειτόν, ὃ σημαίνει τὸν ἔνδοξον. ἄμεινον ἓν τὸ μὲν κλειτὸν ἀντὶ τοῦ ἔνδοξον, τὸ δὲ Ἀγλαὸν ἀντὶ κυρίου ὀνόματος ἐκλαμβάνειν. Leid.

447. *πεπόνητο καθ' ἵππους*: καθ' ἵππους εἶχε τὸ πόνημα. V.

449 — 451. ἀθετοῦνται οἱ στίχοι γ' καὶ ἀσερίσκοι παράκεινται, ὅτι Ἱππόθοῳ τῷ ἐπικούρῳ ἁρμόζει ἐν τῇ P (291) „Ἕκτορι Τρώεσσι χαριζόμενος," ἐπὶ δὲ τούτου, καθάπερ νῦν, οὐχ ἁρμόζει· ἐ γὰρ Ἕκτορι χαριζόμενος ἀλλ' ἑαυτῷ καὶ παρὰ τὰ τῆς πληγῆς ἀνακόλουθα· πῶς γὰρ ὁ ἀντίον ἡνιοχῶν ἐπὶ τὰ ὄπισθε κατὰ τὸν αὐχένα τύπτει; ὕστερον δὲ ἐν τοῖς περὶ τῷ ναυσάθλῳ ἀπολογεῖται· τὸν γὰρ ἡνίοχόν φασιν ἀπερράφθαι πρὸς τὸ πεδίον καὶ τὰς ἵππους, τὸν δὲ παραιβάτην πρὸς τὰς ναῦς ἐπὶ τῷ δίφρῳ, ἵνα ἀπὸ τῆς ἴσης γένηται ἡ μάχη. ἔστι δὲ καὶ ἀλλαγὴν πτώσεως νοῆσαι, ἀντὶ τοῦ αὐχένος ὄπισθεν. A.

ἀποστρεφόντων τὰ ἅρματα τῶν Τρώων πρὸς τὸ ἐξ ἴσης πολεμεῖν ἐπιβεβηκόσι τῶν νεῶν τοῖς Ἕλλησιν, ὥστος ὁ ἡνίοχος τετραμμένος πρὸς τὰς ἵππους βέβληται κατὰ τοῦ αὐχένος. D.

ἀθετοῦνται οἱ τρεῖς, οἱ μὲν γὰρ ἐπίκουροι δεόντως ἂν λέγοιντο χαρίζεσθαι Ἕκτορι, ὡς Πάνδαρος „ἡγεόμην Τρώεσσι φέρων χάριν Ἕκτορι δίῳ" (Il. 5, 221)· ἀνοίκειον δέ φησιν ὁ Ἀρίσαρχος ἐπὶ Κλείτου τὸ Τρώεσσι χαριζόμενος. καὶ διὰ τὴν πληγὴν ἀθετητέος ὁ στίχος· πῶς γὰρ ἡνίοχος ὢν ὄπισθεν βάλλεται; ἄτοπον γάρ ἐστι τὸ ἀπερραμμένας εἶναι τὰς δίφρους· ἐπρηνίσθησαν γὰρ ἂν οἱ παραβάται μόνον κινηθέντων τῶν ἵππων εἰς τὴν πτέρναν τῷ δίφρῳ ἐξῶτες. (ποία τε χρεία τοῦτον πονεῖσθαι περὶ τὰς ταρασσομένας τῶν πολεμίων; ὅθεν ὑπονοεῖ ὁ Ἀρίσαρχος μετενηνέχθαι τὰς στίχας. V) ῥητέον δὲ πρὸς ταῦτα ὅτι χαρίζεται τῷ Ἕκτορι καὶ αὐτὸς ἴσως ὡς ἐπίκουρος· Δαρδάνιος γὰρ ἦν. φησὶ γοῦν περὶ Εὐφόρβου τοῦ ἀδελφοῦ Πολυδάμαντος „Δάρδανος ἀνήρ, Πανθοίδης" (Il. 16, 808) ἐπίκουρος ἦν. καθ' Ὅμηρον δὲ ἄλλη ἐστὶν ἡ Τροία καὶ ἄλλη ἡ Δαρδανία. εἰκὸς δὲ αὐτὸν ἐπαινεῖν τῆς προθυμίας, ὅπου μόνος ἄνευ παραβάτου πολεμεῖ, ὡς Αὐτομέδων. διὸ καὶ βάλλεται ἴσως σφαῖρις· ποικίλη γάρ ἐστιν ἡ κίνησις τοῦ πολέμου, ὡς καὶ αὐτός φησιν „ἦμεν ὅτῳ σφεθέντι μετάφρενα γυμνωθείη" (Il. 12, 428). αὐχένα δὲ ὁ ποιητὴς τὴν πᾶσαν περιφέρειαν τοῦ τραχήλου φησίν. ἀντιπρόσωποι δὲ ἐν ἐμάχοντο. εἰ δὲ λέγοις „καὶ πῶς ὠρέγοντο ἀλλήλων, μεσολαβέντων τῶν ἵππων;" ὡς καὶ Διομήδης τὸν ἐπιπάπελεθρον Ἄρεα τέτρωκεν. BL.

450. διχῶς Ἀρίσαρχος, καὶ *ἐμένῳ* καὶ *ἐμένων*. A.

451. τὸ *ἔμπεσεν* ἀντὶ τοῦ διῆλθεν, ὡς τὸ „αἰχμὴ δ' ἐξελύθη παρὰ νείατον ἀνθερεῶνα" (Il. 5, 293). V.

ὄπισθε: Ἀριστοφάνης πρόσθε γράφει· καὶ ἔστι μᾶλλον εὔλογος ἡ γραφή. V.

454. *Πελυδάμας καὶ πρῶτος*: ὁ ἄναξ τῶν ἵππων ἐναντίος ὑπήντησεν αὐτοῖς δίχα ἡνιόχου ἀπιοῦσιν. B.

459. Ζηνόδοτος *μάχης*, ἄλλοι δὲ *μάχην*· καὶ Ἀριστοφάνης δὲ *μάχην*. A.

460. *ἐξείλετο θυμόν*: λείπει τὸ αὐτῷ. BL.

462. ἡ διπλῆ, ὅτι ἐνήλλακται ἡ πτῶσις, *Τεῦκρον* ἀντὶ τοῦ *Τεύκρῳ*. A.

463. *ἐϋστρεφέα*: ἐκ ἀναγκαῖον ἐκτείνειν τὸ ῡ· ἀπήρτισε γὰρ εἰς μέρος λόγου ὁμοίως τῷ „ἀμφιρεφέα τε φαρέτρην" (Il. 1, 45). A.

ἀμύμονι: ἤτοι κατὰ μετουσίαν τοῦ φορέντος, ἢ παρὰ τὸ ταχόθεν ἀμείπτου καὶ ὑγιεῖ. D.

κατὰ μεταφορὰν τοῦ φορέντος. ἀφοπλίζει δὲ τοὺς ἀρι-

ςεῖς, φλέξαι θέλων τὴν ναῦν, νῦν μὲν Τεῦκρον, ἑξῆς δὲ Αἴαντα. BLV.

464. ὅτι πτώσεως γέγονεν ἐναλλαγή, δοτικὴ ἀντὶ γενικῆς, ἐρύοντι ἀντὶ τȣ̃ ἐρύοντος τὴν νευρὰν ἐπὶ τȣ́τῳ. A.

465. χαλκοβαρής: ἐπὶ γ̓ὰ τὸ χαλκωθὲν μέρος καταφέρεϑ τῷ βάρει. BLV.

467. ὢ πόποι: ἐν ἄλλῳ ὦ πέπον. A.

ἐπὶ μήδεα κείρει: τὸ ἑξῆς ἐπικείρει, οἷον ȣ̓κ ἐᾷ αὔξεσθαι. BL.

468. ὅ τε: ἀντὶ τȣ̃ ὅςις. οἱ δὲ ὅτι· „ὅτε με βροτοὶ ȣ̓ τι τίȣσιν" (Od. 13, 129) ἀντὶ τȣ̃ ὅτι. V.

470. ἀμφότερα γράφεσθαί φησιν ὁ Ἀρίςαρχος, πρῴην ϰ̓ πρώϊον, ταὐτὸν δὲ ἐξ ἑκατέρȣ σημαίνεσθ. εὕρομεν δὲ ϰ̓ ἐΰςροφον γεγραμμένον, ϰ̓ ἔχει τινὰ ἐπίτασιν. A.

ἄλλως. ὅτι Ζηνόδοτος γράφει πρῴην· ἔμφασις δὲ γίνεϑ πλείονος χρόνȣ. τὸ δὲ πρώϊόν ἐςι πρωΐας· ϰ̓ γ̓ὰ γέγονεν ȣ̓τως· τῇ πρὸ ταύτης ἡμέρᾳ „ῥῆξε δέ οἱ νευρήν, νάρκησε δέ" (Il. 8, 328), ὥςε εὔλογον τῇ ἑξῆς ἐκείνης πρωΐας ἐνῆφθαι. AB.

472. ταρφέας: ȣ̓ς συνεχῶς βάλλεις κατὰ τῶν πολεμίων· ȣ̓ γ̓ὰ τῶν ἰῶν ἐπίθετον. εὐψύχȣ δὲ τὸ ἀντιπαρατάσσεσθ τῇ τύχῃ ϰ̓ μὴ ἀπολήγειν πρὸς τȣ̀ς κινδύνȣς. BL.

476. ἡ διπλῆ, ὅτι ἀσπȣδί χωρὶς κακοπαθείας. A.

477. μνησώμεθα χάρμης: οἷον μὴ προώμεθα (καταπρόωμεν V) τὴν μάχην, ἀλλὰ μᾶλλον ἔτι μνησθῶμεν αὐτῆς. BL.

479. τετραθέλυμνον: τετράβυρσον. L. τετράπτυχον, τέσσαρας θέσεις ἔχον ἐπαλλήλȣς. D.

480. ἡ διπλῆ, ὅτι πρότερον τὴν ἀσπίδα εἴληφεν, εἶτα τὴν περικεφαλαίαν· ὁ δὲ Ζηνόδοτος ἐνήλλαχεν ἐπὶ τῆς Ἀλεξάνδρȣ μονομαχίας (Il. 3, 334). ϰ̓ ὅτι ȣ̓κ εἶχον κόρυθας οἱ τοξόϑ. ϰ̓ ἐπὶ τῶν Λοκρῶν „ȣ̓ γ̓ὰ ἔχον κόρυθας χαλκήρεας" (Il. 13, 714). A.

482. ἄλκιμον: ἀλκιμοποιόν. L.

488. νῆας ἀνὰ γλαφυράς: βέλτιον τοῦτο τοῖς ἄνω συνάπτειν· προτρέπει γ̓ὰ αὐτȣ̀ς ἐπὶ τὰς ναῦς ὁρμᾶν. A.

489. ἀναγκαίως τὸ διόθεν, ἵνα τȣ̀ς μὲν ἐπιῤῥώσῃ, τȣ̀ς δὲ περιδεεῖς καταςήσῃ. τῇ ἀπὸ θεῶν οὖν ἐλπίδι ἀνεγείρει τὸν ςρατόν. BDL. βλαφθέντα δὲ βεβλαμμένα τῆς τῶν τόξων χρήσεως. BL.

τὸ βλαφθέντα ἐςὶν ἀόριςος πρῶτος, τὸ δὲ βλαβέντα ἀόριςος δεύτερος. ἔςι δὲ τὸ μὲν κοινόν, τὸ δὲ ποιητικόν. L.

490. ῥεῖα δ' ἀρίγνωτος: ἡ νίκη ὅταν ἐκ θεȣ̃ (κατὰ προαίρεσιν θεȣ̃ V) γένηϑ, φανερά ἐςι, φησίν. BLV. εἶπε δὲ αὐτῷ Ἀπόλλων „θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων" (254) ϰ̓ Ἶρις „εἰσόκε νῆας" (Il. 11, 208). V.

491. τὸ ὅτοισι τρισύλλαβον ἐπὶ τὴν πρώτην ἔχει συλλαβὴν τὴν ὀξεῖαν, τὸ μέντοι ὁτέοισιν ȣ̓κέτι, ἐπεὶ ἤμελλε τρίτη ἀπὸ τέλȣς πίπτειν ἡ ὀξεῖα· διὸ ἐπὶ τὴν δευτέραν ἀπὸ τῆς ἀρχȣ́σης μετέςη. A.

τρίτη ἀπὸ τέλȣς ἡ ὀξεῖα· ἀπὸ γ̓ὰ τȣ̃ ὅτοισίν ἐςιν. B.

πλεονασμὸς τȣ̃ ε̄. οἱ δὲ τȣ̃ τέοισι πευςικȣ̃ ἀναφορικὸν τὸ ὁτέοισι. V.

492. ὅτινας: ἀπὸ τȣ̃ ὅτις ἀναφορικȣ̃, ὃ καθ' ἓν μέρος λόγȣ ἐςίν. BL. τινὲς τὸ ō ἀντὶ τȣ̃ πληθυντικοῦ ἀντὶ τȣ̃ μὴ θέλῃ. V.

494. ἡ ὑμέων ἀντωνυμία ἀπόλυτός ἐςι ϰ̓ ȣ̓κ ἔχουσα ἀντιδιαςολήν· διὸ τρίτην ἀπὸ τέλȣς ἔχει τὴν ὀξεῖαν. A. τινὲς δὲ παροξύνȣσι διὰ τὴν μακρὰν κακῶς. V.

495. ἡ διπλῆ, ὅτι διαςέλλει τὸ βαλεῖν ϰ̓ τύψαι. AB.

θάνατον καὶ πότμον: ἡ διπλῆ προφορὰ πρὸς τὴν τȣ̃ βλήμενος ἠὲ τυπείς διαβολήν. L.

496. τεθνάτω: ȣ̓ κεκράτηκε τῆς συμβȣλῆς παραινέσαι ὑπὲρ πατρίδος κινδυνεύειν μὴ ἀναβάλλεσθ, ἀλλὰ ϰ̓ τὰ περὶ τῶν οἰκείων εἰς πλείονα τίθησι ζῆλον. (οὐ κεκράτηκε τῆς φράσεως εἰπὼν ὃς ἂν θάνῃ τεθνάτω. ἐὰν γ̓ὰ εἶπε ὃς ἂν ἀποθάνῃ ἀποθανεῖϑ μέν, κερδήσει δὲ πολλά. ἢ ὁ ἀλλὰ ἀντὶ τȣ̃ γάρ. V). κάλλιον δέ φησι ταῦτα τȣ̀ς νέȣς ἀναγινώσκει Κράτης εἰς διέγερσιν ἢ ἃ Τυρταῖος Λακεδαιμονίοις ἔγραψε. ὅρα δὲ πῶς ἐν βραχεῖ καὶ δυνατῶς καὶ κατὰ τάξιν πάντα ἔγραψε. ῥητορικῶς δὲ τὸ ἓν πρᾶγμα, τὴν πόρθησιν, εἰς πολλὰ κατεμέρισεν, ὡς ϰ̓ τὸ „ἄνδρας μὲν κτείνȣσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δ' ἄλλοι ἄγȣσι" (Il. 9, 593). ϰ̓ Δημοσθένης αὔξων τὴν Μειδίȣ κακίαν φησὶ (§ 20) „καταδείσαντες γ̓ὰ τȣ̃τον ϰ̓ τὸ τȣ́τȣ θράσος ϰ̓ τȣ̀ς περὶ αὐτὸν ἑταίρȣς ϰ̓ τὸν πλȣ̃τον ϰ̓ τἆλλα δὴ ὅσα πρὸς αὐτόν, ἔφυγον ἐκποδών." τȣ́των ἔχον ἡσυχίαν· τὸ γ̓ὰ ἁπλȣ̃ ἦν, φοβηθέντες τȣ̃τον ἐσιώπησαν. BLV.

497. ἀλλ' ἄλοχός τε σόη: ἀλλ' ἐγώ, φησί, πρὸ ἐκείνης ὤφειλον σώζεσθ. ἀγνοεῖ δὲ ὡς περὶ πολλοῦ τὴν τῶν γυναικῶν ὕβριν ἐποιȣ̃ντο ϰ̓ τὰς ψυχὰς ὑπὲρ τῶν οἰκείων ἐτίθεντο. BL. εἴρηϑ ϰ̓ σάος, ὅθεν σαώτερος, ϰ̓ „σόον ἀνένευσε" (Il. 16, 252). V.

καὶ παῖδες ὀπίσσω: ἠδύνατο μὲν εἰπεῖν καὶ νήπια τέκνα· ἀλλὰ τῷ σεμνοτέρῳ ὀνόματι τῶν παίδων χρῆται παῖδας καλῶν τὴν πᾶσαν γενεὰν ϰ̓ διαδοχήν. καλὴ δὲ ϰ̓ προσθήκη τȣ̃ ὀπίσω, αἰωνίαν διαδοχὴν τȣ̃ γένους παρὰ ςᾶσα. BL.

498. καὶ οἶκος καὶ κλῆρος: ϰ̓ ἡ ȣ̓σία ϰ̓ ὁ βίος.

ἄλλως. κλῆρος χωρικὴ περίκτησις ϰ̓ ȣ̓σία, ἐπεὶ οἱ πρῶτοι καταλαβόντες χώραν κλήρῳ αὐτὴν διενέμοντο. ABL.

ἡ ȣ̓σία, ὡς τὸ „τοὶ δὲ ζωήν τε ϰ̓ ἐπὶ κλήρȣς ἐδάσαντο" (Od. 14, 208). εἰκότως δὲ πάντα ἐπεξεργάζεται, παραμυθίαν τῷ θανάτῳ ἐπιφέρων, ὡς ἀντιτιθεὶς αὐτῷ τὰ λυσιτελῆ. BLV.

500. μένος: τὴν προθυμίαν, παρὰ τὸ μένω. θυμὸν δὲ τὴν ψυχήν, ἢ αὐτὸν τὸν κυρίως θυμόν. BL. οἱονεὶ τὴν ὁρμήν, παρὰ τὸ θύω τὸ ὁρμῶ. V.

502. αἰδώς: λείπει τὸ ἐγγενέσθω. καλὴ δὲ παρ' Ἕλλησιν αἰδȣ̃ς ὑπόμνησις, ȣ̓ φόβος ἀπειλȣ́μενος ϰ̓ νεκρὸς ἄτοφος, ὡς παρ' Ἕκτορι. BL.

ἄρκιον: ὠφέλιμον, ἢ ἕτοιμον, ὃ ϰ̓ ἄμεινον. οἱ δύο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ ἀντὶ τῦ καί, οἷον ᾗ σωθῆναι ᾗ ἀπολέσθ, σωθῆναι μὲν νικῶντας, ἀπολέσθ δὲ μή, ἐπεὶ τοῦ δίχα νίκης σωθῆναι κρείττων ὁ θάνατος. οὐ μόνον δὲ ἔργοις ἀλλὰ καὶ λόγοις ἀλλήλοις ἀνταγωνίζονται. BLV.

504. ἢ ἔλπεσθ': ἦθος ᾗ εἰρωνεία ᾗ βάρος μεθ' ὑποκρίσεως αὐτῦ τὰ ὡμολογημένα πυνθανομένυ. BL.

505. ἐμβαδόν: πεζῇ· ὅθεν ἡ μὴ πεζευομένη ἄβατος. οἱ δὲ τὸν ἐμβατήριον ῥυθμόν, πρὸς ὃν Λακεδαιμόνιοι νικῶντες εἰσβάλλεσιν εἰς τὴν πατρίδα. ABL.

ἡ διπλῆ, ὅτι ἤτοι ἠθικῶς λέγει ἐλπίζετε ἐμβήσεσθ ἐπὶ τὰς καησομένας ναῦς, ἢ ᾗ ἐλπίζετε ἐμβάντες ἐπὶ τὴν θάλασσαν ἀφίξεσθ ἐπὶ τὰς πατρίδας, ὅ ἐξι βάδην ἐπὶ τῆς θαλάσσης πορευόμενοι. A.

506. ἢ ἐκ ὀτρύνοντος ἀκούετε: πάνυ ἐναργῶς ἀπὸ τῦ ὑπογύως πραχθέντος τὴν προτροπὴν λαμβάνει. BL.

507. ὃς δὴ νῆας: διόλυ παραφυλακτέον ὅτι ἐκ ἀφίζεται τῦ τῶν νεῶν κινδύνυ· ἔχατον γὰ τῦτον πάντων ἡγεῖθ κίνδυνον. BL.

508. χορόν: ἐνέργειαν τῦ χορεύειν· ἐπικαλούμενος γὰ „Τρῶες ᾗ Λύκιοι" ἐκ εἰς χορὸν αὐτὸς βοᾷ καλῶν. BL.

509. ἔτις τάδε νόος: τὸν Αἴαντα νῦν ἄριζον σύμβολον προήγαγε τῦ πολέμου ἀναγκάζοντος· ἄπεζι μὲν γὰ ὁ βασιλεύς, ἱκανὸς ᾗ εἰπεῖν ᾗ πρᾶξαι τυγχάνων, ἄπεζι δὲ Ὀδυσσεὺς ᾗ Διομήδης, τραυματίαι γενόμενοι· ὁ δὲ Νέζωρ γέρων ᾗ ἐπὶ τῶν νεῶν φαίνεθ ἀδυνατῶν. τὸ δὲ αὐτοχεδίῃ μετὰ τῦ ν τινές. ἐδὲν δέ φησιν ἡμῖν ἐζὶ προτιμότερον ἢ χωρῆσαι εἰς χεῖρας. BLV.

511. ἡ διπλῆ, ὅτι ἐκ ἐκληπτέον τρεῖς διαζολάς, ἀλλ' ἐκ τῦ ἢ αὐτοχεδίῃ, βέλτερον ἢ ἀπολέσθ καθ' ἕνα χρόνον περὶ ἓν μέρος, πρότερον δὲ τὸ ἠὲ βιῶναι· ὁ γὰ λόγος, βέλτιον καθ' ἕνα χρόνον συντόμως ἀπολέσθ ἢ πολὺν χρόνον φθειρεσθ· τὸ γὰ ζρεύγεσθαι ἐζι ζραγγίζεσθαι κατ' ὀλίγον ἐκλείποντας. A.

βέλτιον πρὸς βραχὺ κινδυνεῦσαι, ἢ ζῶντας ᾗ κατ' ὀλίγον ἀπολλυμένυς ταλαιπωρεῖν. D.

ἄλλως. διαζολὴ δὲ ἐπὶ τὸ βιῶναι· μέχρι δὲ αὐτοῦ συναπτέον· ὁ γὰ λόγος, ἢ ἀποθανεῖν ἢ ζῆσαι συντόμως βέλτιόν ἐζιν ἢ μετὰ παρολκῆς καταπονεῖσθ. ζρεύγεσθαι ζραγγίζεσθ, κακοπαθεῖν, ταλαιπωρεῖν. AB.

αἱρετώτερον καθ' ἕνα χρόνον ζῆν ἢ τεθνάναι συντόμως μᾶλλον ἢπερ κάμνειν ἐν πολυχρονίῳ μάχῃ ἔτως ὑπὸ ἀμύνων πολεμεμένους. τὸ δὲ καθ' ἕνα χρόνον ἀντὶ τῦ ἐν ὀλίγῳ καιρῷ. BL. ἐν μιᾷ ῥοπῇ. D.

513. ὧδ' αὖτως: ἔτω γραπτέον, ὧδ' αὖτως. ἡ διπλῆ ἔ, ὅτι τὸ ὧδ' ἀντὶ τῦ ἔτως A. οὐ τοπικῶς. V.

ὑπ' ἀνδράσι χειροτέροισι: ἀντὶ τῦ ὑπὸ ἀνδρῶν ἀσσόνων. γενναῖα δὲ τὸ κὰν ταῖς συμφοραῖς διαφυλάττειν τὸ φρόνημα, ᾗ χείρας ἡγεῖσθ ᾗ νικῶντας τὰς Τρῶας. ἁμα δὲ καὶ πρὸς ἐντροπὴν Ἑλλήνων, ὅτι ὑπὸ χειρόνων τιῶνται. BL.

515. ἡ διπλῆ, ὅτι ἕτός ἐζι Σχεδίος ὁμώνυμος τῷ ἐν καταλόγῳ (Il. 2, 518)· καὶ ἀμφότεροι ὑφ' Ἕκτορος ἀνῄρηνθ· ἀλλ' ἐκεῖνος μὲν Ἰφίτε πατρός, ἕτος δὲ Περιμήδες. ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ Πυλαιμένες. A.

516. ἀρχὸν Φωκήων: τινὲς ἀρχὸν Ἀθηναίων. V.

518. Κυλλήνιον: Ἀρκάδα. Κυλλήνη δὲ ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμῦ, καὶ ὑπ' αὐτὸ πόλις ὁμώνυμος. D.

ἡ διπλῆ, ὅτι ἐκ ἀπὸ Κυλλήνης τῦ ἐν Ἀρκαδίᾳ ὄρες, ἀλλ' ἐπίνειόν ἐζιν Ἠλείων Κυλλήνη. ἕτοι δέ εἰζιν Ἠλεῖοι. A.

519. Φυλείδεω: τῦ Μέγητος· ὁ γὰ Φυλεὺς Ἠλεῖος ἦν ᾗ ἀποικίαν ἤγαγεν εἰς τὰς Ἐχινάδας νήσες. V.

520. ὕπαιθα λιάσθη: εἰς τὸμπροσθεν ἀνεχώρησεν· ἴσως γὰ ἐκεῖνος ἐκ πλαγίε ὥρμησεν, ὁ δὲ ἐπὶ τὸ ἔμπροσθεν ὁρμήσας ἄπρακτον ἐποίησε τὴν βολήν. BL.

522. Πάνθου υἱὸν: ὡς Τρῶα ᾗ ἀριζέα. τινὲς δὲ τὸν Πάνθαν Δελφόν φασιν, ἱερέα τῦ Ἀπόλλωνος. V.

525. ἡ διπλῆ, ὅτι ἕτος Τρωϊκὸς Λόλοψ, Λάμπε υἱὸς τῦ ἀδελφῦ Πριάμυ, ὁμώνυμος τῷ ἐν τῇ Λ (302) Λόλοπι „καὶ Λόλοπα Κλυτίδην καὶ Ὀφέλτιον". A.

526. Λαμπετίδης: ὡς πάχος πάχετος, πλεονασμῷ τῦ ε· ἀφ' ἧ τὸ Λαμπετίδης. V.

ἔζιν ἡ εὐθεῖα ὁ Λάμπος ᾗ ὁ Λάμπετος. L.

φέρτατος ἀνδρῶν: τῶν ἰδίων υἱῶν. V.

υἱὸν: γράφεται ἀνδρῶν. L.

527. Λαομεδοντιάδης: καὶ ἐν ἄλλοις „Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πριάμόν τε Λάμπον τε Κλυτίον τε" (Il. 20, 237). ἦν δὲ τὸ πατρωνυμικὸν αὐτῦ Λαομεδοντίδης, ἀλλ' ἐπλεόνασε τὸ ᾶ ὡς ἐν τῷ Λαερτιάδης. V.

530. γυάλοισι: ἀντὶ τῦ γυάλῳ. Θώρηκος γύαλον γῆν πανταχῦ φησίν. V.

ἡ διπλῆ, ὅτι τὰ κύτη ᾗ τὰ κοιλώματα τοῦ θώρακος γύαλα, ἐκ ὡρισμένος τόπος. A.

531. ἦγαγεν ἐξ Ἐφύρης: ἐν ἄλλῳ ἠγάγετ' ἐξ Ἐφύρης. ἡ δὲ διπλῆ, ὅτι τῆς Θεσπρωτιακῆς Ἐφύρας λέγει, ἐκ ἐκ τῆς Κορίνθ. δῆλον δὲ ἐκ τῦ Σελλήεντος, ἀφ' ἕ ᾗ Σελλοὶ οἱ περίοικοι. καὶ ὅτι ἕτερός ἐζι Σελλήεις ποταμός (Il. 2, 839). A.

τῆς ἐν Ἤλιδι, ἧς ᾗ ἐν ἄλλοις μνημονεύει· „ἢ ᾗ εἰς Ἐφύρην ἐθέλεις πλειραν ἄνδρων ἐλθεῖν" (Od. 2, 328). V.

τῆς ἐν Ἤλιδι, ἣ νῦν καλεῖται Οἰνόη. D.

ποταμὸς Ἤλιδος ὁ Σελλήεις, ὃς ῥεῖ ἀπὸ Λασίωνος ὄρες. ἐζι δὲ ᾗ Θεσπρωτίας. V.

532. Εὐφήτης: ζήτει περὶ τύτε τίς ἐζιν. V.

533. ἀλεωρήν: σκέπην, παρὰ τὸ ἀλέασθαι. V.

534. περιττὸς ὁ ζίχος· ἤδη γὰρ εἶπεν ἀνωτέρω (529) „πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ." V.

536. κύμβαχον: τὸ διάκενον τὸ ὑπὲρ τῆς κορυφῆς, ὅθεν ᾗ κυβιζᾶν. ἐπεξηγεῖται δὲ διὰ τῆς ἑξῆς λέξεως τὸ ὄνομα, διὰ τῦ ἀκρότατον. A.

τὸ διάκενον τὸ ὑπὲρ τῆς κορυφῆς κεφαλῆς, ὅθεν ᾗ κύμβια, τοιαύτη ποτήρια. εἰς τῦτο δὲ καθίεθ ὁ λόφος. εἴρηθ δὲ ὕτως, ὅτι τὴν κεφαλὴν κύμβην ἔλεγον, ὅθεν ᾗ τὸ κυ-

βιεῖαν. λέγει ἓν τὸ ἄκρον τῆ κράνεϊ, παρὰ δὲ Αἰολεῦσι κύμβη καλεῖται ἡ τῆς ῥάχεως ἀπὸ αὐχένος ἀρχή. BLV.

538. νέον φοίνικι φαεινός: ἡ διπλῆ, ὅτι τὸ σημαινόμενόν ἐστι νεωστὶ πεφοινιγμένος, ἄνθει νεωστὶ κεχρωσμένος εἰς λαμπρότητα, φοινικῷ χρώματι νεωστὶ λελαμπρυσμένος. BL. (βεβαμμένος, ὅ ἐστιν ἐρυθρῷ τῷ αἵματι. D.)

539. ἥλπετο νίκην: ἑκάτερος αὐτῶν δηλονότι, οὐ μόνος ὁ τύψας. BL.

540. τῷ Μέγητι δηλονότι. περισσὸς δέ ἐστιν ὁ δέ. B.

ἦλθεν ἀμύντωρ: ἐν ἄλλῳ ἦλθ' ἐπαμύντωρ. A.

541. εὐρὰς: ἃ τὸ ἐκ πλαγίᾳ δηλοῖ, ἀλλὰ τὸ κατὰ τὸ ἔμπροσθεν, ἢ ὄπισθεν, παρὰ τὸ εὖρος. BL.

τὸ λαθὼν τάχα ἂν δύναιτο καὶ τοῖς ἑξῆς συντάττεσθαι. A.

ὦμον: τὸν δεξιὸν ὦμον· εὔλογον γὰρ τὸν Μενέλαον μὴ τὰ γυμνὰ τῆ σώματος ἔχοντα ἐναντία τοῖς ἐχθροῖς ἀνῃρηκέναι τὸν Δόλοπα, τὰ δὲ ὑπὸ τῆς ἀσπίδος ἐσκεπασμένα. BL.

542. μαιμώωσα: κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν φορούντων. V.

543. ἐλιάσθη: ἀπεκλίθη. V.

544. ἐεισάσθην: ἡ διπλῆ, ὅτι ἀμφίβολόν ἐστι πότερον ἐφώρμησαν, ἀπὸ τῆ ἰέναι, ἢ ἔδοξαν, φαντασίαν ἔλαβον τῆ συλῆσαι τὸν νεκρόν. BL.

545. κασιγνήτοισι: συγγενέσιν· ἔτι γὰρ παρ' Ἴωσι τὲς συγγενεῖς κασιγνήτες φασὶ καλεῖσθ. ὁμοίως δέ φασι καὶ τὸ „ἔνθα ἑ ταρχύσωσι κασίγνητοί τε ἔται τε" (Il. 16, 674). ἢ τοῖς ἀδελφοῖς· πρὸ δὲ τῶν ἀδελφῶν τὸν Μελάνιππον ὠνείδισεν. BL.

ἡ διπλῆ, ὅτι κασίγνητοι κοινότερον οἱ συγγενεῖς. σημειοῦνθ γάρ τινες ὅτι τὲς ἀνεψιὲς κασιγνήτες ἐκάλουν· ὁ γὰρ Μελάνιππος ἀνεψιὸς ἦν Ἕκτορος. ἀνεψιοὶ δέ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες, ὥσπερ Αἴας καὶ Ἀχιλλεύς, ὁ μὲν Τελαμῶνος, ὁ δὲ Πηλέως. AD.

546. ἐνένισπεν: ἐπέπληξεν, ἀπὸ τῆς ἐνιπῆς, ἥ ἐστιν ἐπίπληξις. BL.

547. εἰλίποδας: ἐπιβάλλεσι γὰρ τῷ προτέρῳ ποδὶ τὸν ὀπισθίδιον πόδα. V.

548. ἐν Περκώτῃ: ὁμοίως τῷ ἐν Οἰνώνῃ. τὴν δὲ ἀπὸ πρόθεσιν ἐκ ἀναγρεπτέον· πρὸς γὰρ τὴν ἐόντων μετοχὴν συντέτακται. A.

Λαμψακηνῶν χώρα. V. πόλις Ἑλλησπόντε. οἱ δὲ Θράκης, D.

553. οὕτω δή: ὃν τρόπον νῦν, φησί, μεθίεμεν, ἕτω μεθήσομεν καὶ ἐκ ἀντιληψόμεθα τῶν συγγενῶν (τῶν πραγμάτων V). BLV.

554. ἀνεψιῆ: πρωτεξαδέλφε. L. τὴν ψι συλλαβὴν ἐκτατέον διὰ τὸ μέτρον. A.

555. ὁ Ἀσκαλωνίτης ἐκ ἀναιρέφει τὴν περὶ· εἶναι γὰρ τὸ ἑξῆς περιέπεσι. κἀγὼ δὲ αὐτῷ συγκατατίθεμαι, ἐπεὶ καὶ τὸ ῥῆμα τῆτο τὸ ἔπω παρὰ τῷ ποιητῇ ἐν τοῖς ἐνεργητικοῖς κινήμασιν ὡς ἐπὶ τὸ πλεῖσον θέλει ἔχειν πρόθεσιν συντεταγμένην. A.

ἢ περὶ πρὸς τὸ ἕπεσι· τὸ γὰρ ἕπω ἐν τοῖς ἐνεργητικοῖς κινήμασι παρὰ τῷ ποιητῇ προθέσει συντάσσεται. BL.

556. ἀλλ' ἕπεν: ἀλλ' ἕπε· τῆς γὰρ πρὸς Ἀργείους, φησίν, ἐκ ἀποσατέον μάχης, πρὶν ἢ κατακτείνωμεν ἢ ἐκεῖνοι ἡμᾶς ἑλόντες τὴν Ἴλιον πορθήσωσι. μέγας ἐν καὶ τελευταῖος ἀγὼν πρόκειται, ὥστε ἀναγκαῖον καὶ τὸν ἀκροατὴν τῷ ἀκμαιοτάτῳ τάτῳ μέρει τῆς ποιήσεως προσέχειν. BL.

557. κατ' ἄκρης: ὁλοτελῶς· „ἔλασε μέγα κῦμα κατ' ἄκρης" (Od. 5, 313) οἷον ὅλον αὐτὸν ἐβάπτισε τὸ κῦμα. V.

558. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

560. Αἴας: ἐντεῦθεν ἀνυψοῖ τὸν Αἴαντα. L.

563. χωρὶς τῆ συνδέσμε ἔγραφεν Ἀρίσαρχος αἰδομένων ἀνδρῶν, πάντως ἵνα ἀσύνδετος γενόμενος ὁ λόγος πλέον τε διαῇ καὶ μᾶλλον ἐμφήνῃ. ἄλλοι δὲ μετὰ τῆ δ, αἰδομένων δ' ἀνδρῶν. A.

τῶν αἰδεμένων ἀλλήλες καὶ ἀγωνιζομένων πλείονες σώζονθ ἥπερ φονεύονται· ἐπὰν δὲ φύγωσι, καὶ ἀδοξία καὶ ἀσθένεια αὐτὲς καταλαμβάνει. BL.

566. ἀεὶ παθητικὸν τὸ φράξαντο. L.

567. χαλκείῳ: σερεῷ, τῷ διὰ τῶν ἀσπίδων. V. ἤγεν ἀσπίσι κεκαλυμμέναις ὑπὸ χαλκῆ. L.

568. Ἀντίλοχον δ' ὦτρυνε — Μενέλαος: φαλνεται τις αὐτοῖς ὑπῆσα φιλία διὰ τὴν γειτνίασιν· „Νέσωρ φάχ' ὁ γέρων, ὅτ' ἐπιμνησαίμεθα σεῖο" (Od. 4, 191)· τὸ τε ὁμότροπον ἐχυρὸν πρὸς φιλίαν. ἐν ἑτέροις δέ φησι „περὶ γὰρ δίε ποιμένι λαῶν, μή τι πάθῃ" (Π. 5, 566) καὶ μετὰ τὴν παράβασιν τῶν ὅρκων πρῶτος πολέμιον ἀνείλε (Il. 4, 457). BV.

570. θάσσων: τῶν ἡλικιωτῶν. ἢ καὶ ὡς ἐπὶ Αἴαντος „ὃ γάρ οἵ τις ὁμοῖος ἐπισπέθ ποσὶν ἦεν ἀνδρῶν τρεσσάντων" (Π. 14, 521). τὸ δὲ οὐδ' ἄλκιμος πρὸς τὸ „πρῶτος δ' Ἀντίλοχος" (Il. 4, 457) ἀναφέρεται. V.

571. εἴ: ὁ σύνδεσμος ἀντὶ τῆ εἴθε· διόπερ ἀδὲ ὑποσικτέον. A.

ὅτι τῷ εὐκτικῷ ἀντὶ προστακτικῆ ἐχρήσατο, ὥς φησι Διονύσιος. V.

βάλοισθα: ὅτι τὸ βαλεῖν προέμενόν ἐστιν ἐπιτυχεῖν. A.

574. ἀμφὶ ἑ παπτήνας: τὰ περὶ ἑαυτῆ σκοπήσας, μή τις αὐτὸν ἐξαλλόμενον τῶν ἄλλων βάλῃ, ὡς καὶ Ὀδυσσεύς. ὑπὸ δὲ αὐτῆ, φησίν, ἀκοντίσαντος διεχωρίθησαν οἱ Τρῶες. BL.

577. νισσόμενον πόλεμόνδε: οὐχ ὡς νῦν πρῶτον ἐξιόντα, ἀλλὰ διὰ τὴν τροπὴν Ἕκτορος ἐπὶ τὸ δρᾶσαί τι ὁρμῶντα. BL.

580. ἐξ εὐνῆφι φορέοντα: ἢ ἐπεὶ πτοηθεὶς ἐξάλλετ τῆς κοίτης. V.

581. ἐτύχησε βαλών: ἔτυχε βαλών, τυχὼν ἔβαλε. τοσῆτον δὲ Ἀντίλοχος μείζων Μελανίππε ὅσον νεβρεῦ κύων. τὸ ἀδεὲς δὲ καὶ ταχὺ καὶ πρόθυμον τῆ Ἀντιλόχε διὰ

τȣ̃ κυνὸς δηλοῖ. BL.

582. ἡ διπλῆ πρὸς τὴν ἀποςροφήν. A.

586. θηρὶ κακὸν ῥέξαντι ἐοικώς: δαιμονίως τῇ παραβολῇ κέχρηϑ· ϗ γὰρ ἡ φυγὴ τȣ́τῳ κατὰ πρόνοιαν, οὐ κατὰ δειλίαν γίνεϑ. καλῶς δὲ ȣ̓κέτι παραβέβληϑ κυνί· οὐ γὰρ ἔδει τὸν ἥρωα φεύγοντα κυνὶ εἰκάζειν, ἀλλὰ λέοντι οὐ δεδιότι τȣ̀ς ἐναντίȣς ἀλλ' ἔφοδον πλειόνων ὑφορωμένῳ ἀγροίκων. BL.

587. ἀμφὶ βόεσσι: ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἀμφί οἱ αὐτῷ. γίνεϑ δὲ τὸ ὑπερβατὸν ȣ̓ καθ' Ὅμηρον, ὅςε κύνα κτείνας ἢ βȣκόλον φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν ἀμφί οἱ αὐτῷ. A.

593. Διὸς: τȣ̃το γὰρ εἶπεν ὁ Ζεύς· „καὶ νῆας ἐϋσσέλμȣς ἀφίκηαι" (Il. 11, 208) ϗ „τρέψω δ' ἥρωας Ἀχαιȣ́ς" (261). V.

594. μέγα: ὥςε γενέσϑ μέγα. ἢ μεγάλως. V.

θέλγε: ἐγοήτευεν, ἠπάτα ϗ παρῃρεῖτο τὴν τȣ̃ ἀμύνασϑ δύναμιν. D. ἐπὶ τὸ χεῖρον ἠπάτα. βασανίζει δὲ τὴν διάνοιαν τȣ̃ ἀκροατοῦ τὸν ἐμπρησμὸν προσδοκῶντος. BL.

598. ἐξαίσιον: παρὰ τὸ καθῆκον γενομένην μεγάλην, ἢ ȣ̓κ ἀγαθήν. D. ἄδικον· τȣ̀ναντίον γὰρ ἐναίσιμα τὰ καθήκοντα ϗ δίκαια. ἢ ὑπερβαλλόντως μεγάλην. ἀρὴν δὲ αἴτησιν· καὶ γὰρ ἡ εὐχὴ αἴτησις παρὰ θεȣ̃ τυγχάνει. ἢ τὴν καθ' Ἑλλήνων κατάραν· ὡς φιλέλλην δὲ λοιδορεῖ τὴν εὐχὴν Θέτιδος. BL. ἐξαίσιον γὰρ τὴν ἔξω τȣ̃ αἰσίȣ γινομένην φησίν, οἷον τὴν παρὰ τὸ ὅσιον, ὅπερ σημαίνει τὸ αἴσιον. V.

599. μεγαλοφυῶς θεατὴν καθίςησι τὸν Δία τῶν γινομένων. V.

βραχὺ διαςαλτέον κατὰ τὸ τέλος πρὸς τὸ σαφέςερον. A.

601. δὴ τοῦ: ἐπιςάμενος τȣ̀ς ἀκροωμένȣς συναχθομένȣς τοῖς Ἕλλησιν, εὐέλπιδας ἀπεργάζεται τῇ τῆς μελλȣ́σης ἴκης προεκθέσει. BL.

Ἀριςοφάνης μέλλε Ἰακῶς. A.

ἡ δὲ διπλῆ, ὅτι ὑγιῶς παλίωξιν, πάλιν δίωξιν, ὅταν ὑποςροφῆς διώκωσιν οἱ διωκόμενοι. ϗ πρὸς τὸ ἔμελλεν, ὅτι ἀντὶ τȣ̃ ἐῴκει. A.

605. μαίνετο: νῦν σφοδρότερον ἐκινεῖτο καὶ ἐνήργει ἐνθȣσιαςικῶς. D. ἐναργῶς ἐκινεῖτο τῷ σώματι. ϗ χαλεπὸν ἐν εἰς ἔννοιαν ἐλθεῖν ϗ σωφρονȣ̃ντος Ἄρεως· ὁ δὲ ϗ τὸ μαίνετο προσέθηκε. καὶ ȣ̓ μέχρι τȣ́τȣ τὴν εἰκόνα ἵςησιν, ἀλλ' ἀφρίζειν αὐτῷ τὸ ςόμα τρόπον φησὶ θηρίȣ, καὶ τὰ ὄμματα λάμπειν ὥσπερ ἐνθȣσιῶντος. BLV.

ἄλλως. κἂν ἐν τῇ συνηθείᾳ δὲ ἐπὶ τῶν ὑπερβαλλόντων τοῖς ἔργοις κατ' ἀνδρείαν μαίνεταί φαμεν, μανίαν τὴν ἐνθȣσιαςικὴν πρᾶξιν λέγοντες. ϗ Πλάτων δὲ διαιρῶν τὰς μανίας δείκνυσι τὰς ἀγαθάς τε καὶ θείας αἵ τινές εἰσιν. ἐνθέως ϗ ἐπὶ τȣ̃ Διονύσȣ μαινόμενος εἴρηϑ, ȣ̓ κατὰ βλαμημίαν, ἀλλὰ παραςατικῶς τῆς τȣ̃ θεȣ̃ κατὰ βακχείαν ἐνθέως, φλέγοντος ἰσχυρῶς ϗ ἀκμάζοντος ἐῤῥωμένως ἐν τῇ τοῦ χορείας καταςάσει. B.

πᾶσι τοῖς δεινοῖς αὐτὸν εἴκασεν, Ἄρει μαινομένῳ καὶ πυρὶ ὕλης ἐπειλημμένῳ. V.

606. τάρφεσιν ὡς βέλεσιν οἱ πλείȣς· καὶ ἡμεῖς δὲ συγκατατιθέμεθα· ȣ̓ γάρ ἐςιν ἐπιθετικόν, ὡς ἀξιοῖ Τυραννίων. ὁ μέντοι Ἀριςοφάνης ἐκεῖνό φησιν, ὅτι ἐὰν μὲν τοῖς δάσεσιν ὡς βέλεσι, τάρφεσιν, ἐὰν δὲ τὸ ἐπιθετικόν, ταρφέσιν ὡς ὀξέσιν. A.

ἀπὸ τȣ̃ τάρφος. καὶ βαθέης δίχα τοῦ ῑ. καλῶς δὲ ϗ τῷ πυρὶ τροφὴν δασείας ὕλης δέδωκεν. V.

607. ἀφλοισμός: ὀξυτόνως ἀναγνωςέον· τὰ γὰρ εἰς μος λήγοντα ὑπὲρ δύο συλλαβάς, ἔχοντα πρὸ τȣ̃ μ̄ τὸ σ̄, ὀξύνεσϑ θέλει, μερισμός ὁπλισμός. ἔνιοι δὲ αὐτὸ παρὰ τὸ ἀφρισμός, μεταβολῆς γενομενης τȣ̃ ρ̄ εἰς τὸ λ̄ ϗ πλεονάσαντος τȣ̃ ο̄. οἱ δὲ παρὰ τὸ φλέω καὶ φλύω, φλοισμός ϗ ἀφλοισμός ἐν πλεονασμῷ τȣ̃ ᾱ· διὸ ȣ̓ δεόντως ὁ Τυραννίων προπαροξύνει. A.

ἀφρός κατὰ Αἰτωλȣ́ς· λαμβάνεται δὲ ϗ πεποιημένως ἐπὶ ἰδιώματος ὕδατος ἤχȣ. BDLV.

τὼ δέ οἱ ὄσσε: καὶ ἀλλαχȣ̃ „νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια" (Il. 12, 463). V.

608. ἀμφὶ δὲ πήληξ: τετύπωκε τὸν κορυθαίολον. V.

610. ἀθετȣ̃νϑ ςίχοι ε'· ἐπιςάμεθα γὰρ ὅτι περὶ Ἕκτορός ἐςιν ὁ λόγος. ϗ τὴν ἔνθȣν ὁρμὴν τȣ̃ Ἕκτορος ταῦτα παρενειρμένα ἐκλύει· συναπτόμενα γȣ̃ν τὰ γνήσια τὴν δεινότητα σώζει. ϗ κυκλικῶς ταυτολογεῖται· προείρηϑ γὰρ „τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν Ἕκτορα Πριαμίδην" (603)· πρὸς τί ȣ̓ν παλιλλογεῖται „Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ;" A.

ἀθετȣ̃νϑ ε', διὰ τὸ λέγειν ὅτι ὀλιγοχρόνιον αὐτὸν ἐτίμα, ϗ ὅτι ἀπ' αἰθέρος· ἀπὸ γὰρ Ἴδης ἦν. ϗ διὰ τȣ̃ μαρναμένοιο νοεῖται τὸ Ἕκτορος. τινὲς δὲ τὸ γάρ ἀντὶ τοῦ δέ, ὡς „αὐτίκα γάρ μοι ὀΐσατο θυμὸς ἀγήνωρ ἄνδρ' ἐπελεύσεσϑ" (Od. 9, 213). καὶ ἀνάγεϑ ἡ φράσις εἰς τὰ τοιαῦτα· „ȣ̓δ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμεν, ὄφρα τί μιν προτιείποι" (Il. 22, 328) „ἦλθε δ' ἐπὶ Νότος ὦκα, ὄφρ' ἔτι τὴν ὀλοήν" (Od. 12, 427). τὸ δὲ ὄνομα ἐπανείληπϑ πρὸς πλείονα ἔμφασιν· εἴωθε γὰρ θαυμάζων τινὰ τῶν ἔργων πολλάκις ἐπαναλαμβάνειν τὸ ὄνομα. τὸ δὲ ἀπ' αἰθέρος, ὅτι αἰθέριος ὁ Ζεύς· ȣ̓ γὰρ ἀπὸ τῆς μερικῆς αὐτὸν ἀλλ' ἀπὸ τῆς τελείας διατριβῆς ἐχαρακτήρισε. ϗ ἡ πρόληψις δέ ἐςι σχῆμα ποιητικόν. προσεκτικὸν δὲ ταῦτα τὸν ἀκροατὴν καὶ περιπαθέςερον ἀπεργάζονϑ. ϗ τȣ̃ λέγοντος τὸ ἦθος χρηςόν, ϗ ὡς ἀπὸ συναλγȣ̃ντος ἡ πίςις. BL.

ἀθετȣ̃νϑ ςίχοι πέντε ὡς περιττοί. ȣ̓δὲ παρὰ Ζηνοδότῳ δὲ ἦσαν οἱ πέντε. V.

618. πυργηδόν: πυκνῶς, ἀσφαλῶς, ἐν τάξει ϗ δίκην πύργȣ. D.

ἠΰτε πέτρη: ἡ μὲν ἐμβολὴ τῶν βαρβάρων κύμασιν εἴκαςαι ταχὺ διαλυομένοις, ἡ δὲ τῶν Ἑλλήνων καρτερία τῷ τῆς πέτρας ἀκινήτῳ ϗ δυσπαθεῖ. BL.

619. ἠλίβατος: ψιλοῖ ἡ παράδοσις· παρὰ γὰρ τὸ ἀλι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τεῖν ἐχὶ τὸς ἐπιβαίνοντας αὐτῆς. BLV.

ψιλῶς· ἀπὸ γ' τῶ ἀλιτεῖν ἐχημάτισαι· καὶ ὤφειλεν ὅμοιον εἶναι τῷ ἠλιτόμηνος, συγκοπὴν δὲ ἔπαθεν, διδάσκει δὲ ᾗ τὸ τῆς συναλοιφῆς ὅτι ψιλῶται· „τὸν μέν τ' ἠλίβατος πέτρη" (273). οἱ μέντοι δασύνοντες ἐτυμολογοῦσι παρὰ τὸν ἥλιον, τὴν ἡλίῳ βατὴν οὖσαν μόνῳ· ἐκ ἐπείθη δὲ ἡ παράδοσις, ὡς πρόδηλον ἐγένετο ἐκ τῆς συναλοιφῆς. A.

620. λιγέων: ἦχον ἀποτελέντων τῇ βίᾳ. κέλευθα δὲ τὰς ἐφόδους. LV.

κέλευθα: μεταπλασμός. L.

621. τροφόεντα: τρόφιμα. V.

αὐτήν: ἤτοι Ἀρίσαρχος μετὰ τοῦ ν, τὴν πέτραν. A.

οἱ μὲν ἀκτῇ, οἱ δὲ αὐτήν, ὃ ᾗ ἄμεινον, ἵν' ᾖ τὰ ὑπὸ θαλάσσης πρὸς αὐτὴν ἐξωθέμενα κύματα τὴν πέτραν. BL.

622. ἡ διπλῆ, ὅτι ἔν τισι γράφεται ἐξ ἁλός, ὡς Δ-ναοί. αἱρεῖ δὲ τὸ κινῆν τὴν ἔμφασιν τῆς ἐμμόνε σάσεως· μένον γ' ἔμπεδον, φησίν, ὡς πέτρα ἐναρηρυῖα τῷ πεδίῳ. A.

623. λαμπόμενος πυρὶ; περιλαμπόμενος ὑπὸ τῶν ὅπλων ὡς ὑπὸ πυρός. BL.

τῶτον μὲν ἀπὸ τῶν ὅπλων πυρὶ φησι καταλάμπεωθ, τὸν δὲ Ἀλέξανδρον ἰσορῶσιν ἀπὸ τοῦ ἰδίε σώματος ἀποπέμπειν τὸ πῦρ. L.

624. ἐν δ' ἔπεσ': εὖ τὸ μὴ φάναι ἐπῆλθεν ἢ ἐπέδραμεν, ἀλλ' ἐνέπεσε, σφοδρὰν ἐμφαίνων τὴν βίαν. εἰς ἐπίτασιν δὲ πρόσκειται τὸ ἀνεμοτραφές. πεπύκνωται δὲ ταῖς παραβολαῖς ὁ τόπος πρὸς ἔμφασιν τῶν πραγμάτων. BLV.

625. ἀνεμοτρεφές: ὑπὸ ἀνέμε ηὐξημένον, ὑψηλόν. ὅταν δὲ τὸ Ἀγαμέμνονος ἀνεμοτρεφὲς φησιν, ὥσπερ ἐν τῇ Λ (256), ἀντὶ τοῦ ἰσχυρόν· τὰ γ' ὑπεύδια ᾗ κατασκιαζόμενα τῶν δένδρων εὐγενῆ μὲν ᾗ λεῖον τὸν ὄρπηκα ποιεῖ, ἀσθενῆ δὲ ᾗ μαλακὸν ᾗ ἀγύμναστον ἀναδίδωσιν· οἷς δὲ προσπίπτει τραχὺς ἀὴρ ᾗ ἀνεμώδης, ταῦτα ταῖς τῶν πνευμάτων τριβόμενα πληγαῖς εὔτονον ᾗ δύσθραυστον ἔχει τὴν σερρότητα, ὡς φησι Πλούταρχος ἐν μελέταις Ὁμηρικαῖς. AD. ᾗ Σιμωνίδης „ἀνεμοτρεφέων πυλάων" εἴρηκεν. V.

ηὐξημένον ὑπὸ ἀνέμε, ὡς εἶναι ὑποκάτω τῶν νεφῶν ᾗ πλησιάζειν αὐτοῖς. οἱ δὲ ἀνεμοτρεφές φασι τὸ εὔτονον. ὁ δὲ κόμπος τῶν λεγομένων ᾗ ὁ ψόφος τῶν ὀνομάτων οὐκ ἐᾷ ἰδεῖν τὴν ναῦν ἀφρῷ κεκαλυμμένην. BL.

ἡ δέ: ἡ ναῦς δηλονότι ὑπὸ τῆς ὄχνης ἐσκεπάσθη. ὄχνη δὲ τὸ ἀφρῶδες ᾗ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. AD.

ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος χωρὶς τοῦ ι ὄχνη. A.

626. πᾶσάν φησι δηλονότι τὴν ναῦν τῷ ἀφρῷ τῶ κύματος περικαλυφθεῖσαν ὑποκρυβῆναι. BL.

ὅτι ἀρσενικῶς δεινὸς ἀήτη, ἀλλ' ἐ δεινή, ὡς „κλυτὸς Ἱπποδάμεια" (Il. 2, 742). ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι δεινὸς ἀήτης· ἀλλ' ἐ δεῖ γράφειν ἅτως. A.

ἀρσενικῶς τὸ δεινὸς ἀήτη, ὡς τὸ „κλυτὸς Ἀμφιτρίτη" (Od. 5, 422). τινὲς νοήσαντες κακῶς ἠλυκῶς ἐκφέρουσιν· ἡ γ' ἀρσενικὴ ἐκφορὰ ἐμφαντικώτερον τὸν λόγον ἀπεργάζεται ᾗ τὸν ἄνεμον σφοδρότερον δείκνυσιν. BL.

627. ἰσίῳ ἐμβρέμεται: προσλακτίζων αὐτῷ τῇ βίᾳ δηλονότι. ναῦται δ' εἶεν ἂν οἱ ἐπιβάται· τάτες γάρ τις ᾗ βραχὺς κίνδυνος κλονεῖ· ἐπὶ τὲς ναύτας δὲ φθάνων ὁ φόβος μέγεθος μεγίστε κινδύνε παρίςησιν. BLV.

ναῦται: οἱ ἐν τῇ νηΐ· „ἢ ναύτῃσι τέρας" (Il. 4, 76). ὁ δὲ Αὐτόχθων εἰς ἐπίτασιν τῶ κινδύνε φησίν. ἐπιβάτας γ' κ. τ. λ. V.

628. τυτθὸν γάρ: βραχὺ γάρ ἐςι τὸ διεῤῥογον αὐτὲς τῶ θανάτε διάςημα. ὅ ἐςι, παρ' ὀλίγον θνήσκεσι· τὸ τυχὸν γ' ἀπέχεσι τῶ θανάτε. AD.

πρῶτος δὲ εἶπε τὸ Ἀναχάρσιδος τῶ Σκύθε, ὃς ἐρόμενός τινα τῶν ναυτῶν πόσον ἀπέχομεν τοῦ ὕδατος, ᾗ μαθὼν ὡς τέσσαρας δακτύλες, τοσῶτον, φησί, ᾗ τῶ θανάτε. καὶ Ἄρατος (299) „ὀλίγον δὲ διὰ ξύλον." ABL. ᾗ Καλλίμαχος μέσον ἐπὶ ναύταις. V.

629. ἐδαΐζετο θυμός: διεκόπτετο ἡ ψυχὴ ἀγωνιῶσα πρὸς τὸ τελευταῖον δὲ τῆς παραβολῆς τὸ „τρομέεσι δέ τ φρένα ναυῖ" τὴν ἀνταπόδοσιν ἐπήγαγε τῆς παραβολῆς. LV

630. ὥσε λέων: πολλὰς ἤδη ἐφόδες λεόντων παρέλαβεν εἰς ὁμοίωσιν, νῦν δὲ ἐξεῦρέ τι καινόν· πρόκειται γ' πρωτόπειρος νομεὺς ἀνεπιςήμων τῆς πρὸς λέοντας μάχης. νεμομένας τὰς βῶς παρέλαβεν, εἰκότως· ἀδὲ γ' Ἕλληνες ἐπαρατάξεώς εἰσιν ἀλλ' ἐσκεδασμένοι, ὥσε ᾗ εὔκολον εἶναι τὴν ἐπιχείρησιν διὰ τὸ ἄτακτον. BL.

ἄδηλον εἰ ὁ φύσει ὀλοόφρων. V.

631. εἰαμενῇ: καθύδρῳ τόπῳ, ᾗ οἱ μὲν παρὰ τὴν ἄνεσιν καὶ ἀνάδοσιν τῶν λιβάδων· οἱ δὲ τοὺς τόπες ἀφ' ὧν τῶ ὕδατος ὑπεκρυέντος πόαι γίνονται. BL. οἱ δὲ παρὰ τὸ ἐν ἐνθα ἴσα ὕδωρ ᾗ συνῆκται. V.

δασυντέον, ἀπὸ τῆς ἕσεως τῶν ὑδάτων. A.

632. οὔπω σάφα εἰδώς: οὐ κατ' εὐτονίαν σώματος οἷος γ' δήποτ' ἂν ᾖ, ἐ δύναται εἷς ὢν πολεμεῖν λέοντι· ἀλλὰ κατ' ἐμπειρίαν· ὁ γ' ἔμπειρος τῆς πρὸς τὸ θηρίον μάχης ἢ κύνας προσαφῆκεν ἢ λαμπάδας προσάγει. BL.

633. ἕλικος; τὸ ἁπλῶν ἀντὶ συνθέτε, ὡς ᾗ Διονύσιος φησιν, ἀντὶ τοῦ εἰλίποδος, φονῇσι δὲ τῷ φόνῳ, ἢ τῷ τόπῳ ἔνθα πεφόνευται. BLV.

περὶ ἀνῃρημένης βοός, ἢ ὑπὲρ τοῦ μὴ ἀναιρεθῆν ἕλικος δὲ ἤτοι μελαίνης, ἢ ἑλικοειδῆ τὰ κέρατα ἐχάσης ἢ τῆς ἐν ἕλει τεθραμμένης. AD.

634. πρώτῃσι καὶ ὑσταίῃσι: ἐν πρώταις καὶ ὑστεραις. ὁ δὲ καί σύνδεσμος ἀντὶ τοῦ ἢ κεῖται διαζευκτικοῦ, ὡς τὸ „μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρεῖ" (Il. 21, 339). ἢ ἤτοις, ποτὲ μὲν πρώταις ποτὲ δὲ ὑσταίαις, ὅπερ ἄμεινον, ἵν' ᾖ ταῖς πρώταις ᾗ ὑσταίαις. AD.

635. ὁμοσιχάει: συμπορεύεται. βάρβαρον δέ φησιν εἶναι αὐτὸ Διονύσιος. BL.

ἐν μέσσῃσιν: σόλοικον, εἰ μὴ ἀντὶ τοῦ εἰς μέσας.

637. ὑφ' Ἕκτορι καὶ Διΐ: αὔξει Ἕκτορα, συγκαλέγων αὐτὸν τῷ Διΐ. V.

639. Κοπρῆος: ἤτοις ὁ Κοπρεὺς ἦν κῆρυξ Εὐρυσθέως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τȣ̃ τῶν Ἀργείων βασιλέως, ὃς τὰς παρὰ Εὐρυσθέως ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ τῶν ἄθλων ἕνεκα ἔξωθεν τῆς πόλεως μένοντι· δεδοικὼς γὰρ αὐτὸν ȣ̓κ εἴα ἔνδον εἰσελθεῖν. AD.

Κοπρεὺς Ἡλίȣ παῖς τȣ̃ Πέλοπος. ἔςι δὲ ϗ ἄλλος, Βοιώτιος, Ἁλιάρτȣ παῖς. V.

Εὐρυσθῆος: φασὶν Ἥρας αὐτῷ παραςάσης ἐπιτάσσειν, τὸν δέ, Ἑρμȣ̃ ϗ Ἀθηνᾶς εἰπόντων ὡς διὰ τȣ̃το ἔσοιτο ἀθάνατος, καταδέχεσθ. οἱ δὲ παιδικὰ Ἡρακλέȣς θέλȣσιν Εὐρυσθέα· διὸ χαριζόμενον αὐτῷ ἐπιτάσσεσθ τȣ̀ς ἄθλȣς. V.

640. ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀγγελίην· γίνεται δὲ τὸ οἴχνεσκε κρεμάμενον. καὶ νῦν δὲ ἀγγελίης ἀντὶ τȣ̃ ἄγγελος. A.

οἴχνεσκε: ἐπορεύετο, παρὰ τὸ ἴχνος. V.

641. τȣ̃ γένετ' ἐκ: ȣ̓ κεκράτηκε τῆς φράσεως, ὥς φησιν Ἄτταλος. τὸν μὲν γὰρ λίαν ἐπαινεῖ, τὸν δὲ ἀποδοκιμάζει, ὥςε ȣ̓κ ἔςιν ἐκ συγκρίσεως ὁ λόγος. V.

642. πόδας: ὅτι ϗ τάχος ἐν ταῖς ἀρεταῖς. V.

644. ὅς ῥα τόθ' Ἕκτορι: ὥςε ȣ̓δὲ τȣ̃το ἀφ' ἑαυτȣ̃ κατορθώσας φαίνεται ὁ Ἕκτωρ, τῇ δὲ τȣ̃ Περιφήτȣ δυςυχίᾳ συγκέχρηται· τὸ γὰρ πτῶμα συνέπραξε πρὸς τὸ εὐχερῆ γενέσθ τὴν ἀναίρεσιν. BL.

ὑπέρτερον: ὅτι ȣ̓χ ἑκών. L.

645. τὸ μετόπισθε βέλτιον τοῖς ἑξῆς συνάπτειν. A.

παραποδισθεὶς τῷ μήκει τῆς ἀσπίδος κατὰ τὴν ἄντυγα ὕπτιος κατηνέχθη. πάλτο δὲ ἀντὶ τοῦ ἐπελάσθη. οἱ δὲ ἐβλάβη, Ἰακῶς· φησὶ γοῦν τὸ πρόσθ' ἐνιβλαφθείς (647). ἐςράφη δὲ ὅπως φυλάξεται, συςείλας ἑαυτὸν ὑπὸ τὴν ἀσπίδα. BL.

κατ' ἔνια τῶν ἀντιγράφων χωρὶς τȣ̃ π̄ ἆλτο. διχῶς δὲ τὸ ςρεφθείς, διὰ τȣ̃ ᾱ ϗ διὰ τȣ̃ ε̄. A.

646. ἡ διπλῆ, ὅτι ἀνδρομήκεις αἱ ἀσπίδες. A.

651. ἀχνύμενοί περ ἑταίρου: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί, περὶ ἑταίρȣ. Ἑλλάνικος δὲ Αἰολικῶς νομίζει τὴν περί πέρ εἰρῆσθ. A.

λείπει ἡ περί. τινὲς δὲ Αἰολικῶς τὸ πέρ ἀντ' αὐτῆς λαμβάνουσιν. ἀήθης δὲ Ὁμήρῳ ἡ τοιαύτη συναλοιφή. BL. Ἄτταλος δὲ συγκοπήν φησιν, ὡς ἐν τῷ „πὰρ Ζηνί" (Il. 5, 1). V.

652. αὐτοὶ γάρ: ὅμοιόν τι πάσχȣσι Μενελάῳ, ὅς φησιν „ȣ̓ τι τόσον νέκυος περιδείδια, ὅσον ἐμῇ κεφαλῇ περιδείδια" (Il. 17, 240). V.

653. εἰσωποὶ δ' ἐγένοντο νεῶν: ὑπέςειλαν ἑαυτȣ̀ς ὑπὸ τὰς ναῦς καὶ ἐντὸς αὐτῶν αἱ ἄκραι νῆες ἀνέλαβον αὐτȣ́ς· εἰς γὰρ τὰ μεταξὺ διαςήματα φεύγȣσι, βραχύ τι μέρος ὑπολειπόμενοι τῶν νεῶν, ὡς τὰς πρύμνας αὐτȣ̀ς ὑποβεβηκέναι. οἱ δέ, ὅτι ὑποχωρησάντων τῶν Ἑλλήνων ἐν ἀπόψει γέγονε τὸ πλῆθος τῶν νεῶν τοῖς Τρωσίν. BL.

ἐν ὄψει τὰς ναῦς ἔβλεπον, ὅ ἐςιν εἰσῆλθον εἰς αὐτὰς ϗ ὑπὸ τὴν ςέγην αὐτῶν ἐγένοντο. AD.

656. γράφεται πρώτων ϗ προτέρω ϗ πρωτέων. A. γράφεται προτέρων. L.

ἀπὸ τȣ̃ πρώτων. μέμφεται δὲ Διονύσιος· ȣ̓ γὰρ τὸ πρώτων, φησί, περισπᾶται. κατὰ συνίζησιν δὲ φαίνεται. παρὰ κλισίῃσι δὲ ὡς μετὰ τὰς πρύμνας τῶν πρώτων νεῶν παρεσκηνωμένων αὐτῶν πρὸς ταῖς πρώραις. ςρατὸν δὲ νῦν τὸ ςρατόπεδον. αἰδὼς δὲ καὶ δέος, τὸ μὲν ἵνα μὴ φανῶσι κακοί, τὸ δὲ περὶ τῶν νεῶν. τὸ δὲ ἀζηχές ἢ λίαν σκληρῶς ἢ ἀδιαλείπτως. BL.

Πορφυρίου. διὰ τί οὐ τὰς πρώτας ναῦς ἐνέπρησαν οἱ Τρῶες „εἰσωποὶ δ' ἐγένοντο νεῶν, πέρι δ' ἔχεθον ἄκραι;" πότερον ὅπως πλείςȣς ἀπὸ τῆς περιεχομένης διαφθείρωσιν, ἢ ὅπως μὴ διὰ πυρὸς ἀναχωρήσωσιν; ἢ ὅτι αὐτοῦ ἦσαν, ὧν ἤδη ἐντὸς ἦσαν. B.

660. τὸ ὑπὲρ τοκέων ἑκατέροις δύναται προσδίδοσθ. ἄλλως δὲ ἀμφίβολον τὸ λεγόμενον· ἤτοι γὰρ ὡς λέγομεν πρὸς Διός, ἢ ὅπερ ἂν παρόντες ἐποίȣν οἱ γονεῖς. ὅπερ μᾶλλον εἰκός· ἐπιφέρει γὰρ „τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι" (665). A.

πρώην μὲν εὔχετο, νῦν δὲ παρακαλεῖ. V.

662. ἄλλων ἀνθρώπων: τὴν ἐξ ἄλλων ἀνθρώπων παρακολȣθȣ̃σαν αἰσχύνην. πολὺς δὲ ὁ τῆς αἰδȣ̃ς λόγος· ϗ ἀλλήλȣς φησὶν αἰδομένȣς ϗ τȣ̀ς ἄλλȣς ἀνθρώπȣς. πάντα δὲ πρὸς διέγερσιν. BL.

663. παίδων ἠδ' ἀλόχων: ἵνα μηδὲ ἐκείνοις ὄνειδος ἐπακολȣθήσῃ δι' ὑμᾶς. καλῶς δὲ ἔχει ἡ προτροπὴ τέκνων ϗ γάμων ἀσφάλειαν, πλȣ́τȣ φυλακὴν ἀναφαίρετον, γονέων ζώντων μὲν αἰδῶ τεθνηκότων δὲ μνήμην. πρεπόντως δὲ τὰ περὶ τέκνων ϗ γυναικῶν ȣ̓ τοῖς Αἴαντος ἐμφέρεται λόγοις, ἀλλὰ τοῖς Νέςορος· πατρὸς γὰρ ἐπέχει τάξιν. διήκει δὲ ἡ παράκλησις οἷς μὲν ὁλοτελῶς, οἷς δὲ μερικῶς. BL.

665. τῶν ὕπερ: ἀναςρεπτέον τὴν πρόθεσιν. A.

ἀντὶ τȣ̃ δι' αὐτῶν· ἵνα, φησίν, ȣ̓τω σπεύδητε ὡς ἐκείνȣς ὁρῶντες δεομένȣς. BL.

666. ἡ διπλῆ πρὸς τὸ ἀκατάλληλον τῆς φράσεως· ἔδει γάρ, μὴ τρωπᾶσθε δέ· ϗ ὅτι φόβονδε εἰς φυγήν. τοῦτο ϗ καθ' ἑαυτὸ δύναται ἀντὶ προςακτικοῦ· καὶ γὰρ τὸ ἑξῆς τοιȣ̃το. A.

668. ἀπὸ τȣ́τȣ ἕως τȣ̃ „ἠδ' ὅσσοι παρὰ νηυσίν" (673) ἀθετȣ̃νται ςίχοι ς', ὅτι ȣ̓ προσυνίςαται ἀχλὺς, ἀλλὰ συνεχῶς μάχονται. νῦν δέ φησιν „Ἕκτορα δὲ φράσσαντο βοὴν ἀγαθὸν ϗ ἑταίρȣς·" πρότερον δὲ οὐ καθεώρων, ὅτε ἔλεγε „τὼ δὲ μιῆς πέρι νηὸς ἔχον πόνον" (416) ϗ ὅτε παρεκάλει αὐτȣ́ς „ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες" (494). πῶς δὲ ϗ ἔφυγον σκότȣς ὄντος; ἥ τε Ἀθηνᾶ ȣ̓ πάρεςι διὰ τὴν τȣ̃ Διὸς ἀπειλήν. A.

ἀθετȣ̃νται ςίχοι τρεῖς· ȣ̓ γὰρ προδιεσάφησεν ὡς εἶχον ἀχλύν τινα. πόθεν δὲ καὶ ἡ Ἀθηνᾶ ἄφνω παρεφάνη νῦν, πρὶν συγκαθημένη τοῖς θεοῖς τοῖς ἄλλοις; εἰ μὴ λέγοις ὅτι χῆμα ἐλλειπτικὸν ὂν δίδωσι νοεῖν τοῖς ἀκροαταῖς διὰ τȣ́του ὅτι ἠχλύωντο (λέγοις ὡς λείπει ἄλλα ποιήματα, δι' ὧν ἐδεδήλωτο ταῦτα. V.) ἡ δὲ Ἀθηνᾶ ἐδύνατο ϗ ἀπȣ̃σα ἀφαιρεῖσθ αὐτήν, ὡς τὸ „εἰ μὴ ἐπὶ φρεσὶ θῆκ' Ἀγαμέμνονι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πότνια Ἥρη" (Il. 8, 218)· ὁ γὰρ ἐκεῖ παρῆν. BLV. Τήλεφος δὲ ὡς ἐπὶ Διομήδους ἀκούει (Il. 5, 127). ἐν σχήματι δὲ ἐδήλωσεν ὅτι σκότος εἶχον. V.

669. τὸ θεσπέσιον ἐὰν μὲν τοῖς ἄνω νέμῃ τις, ἔσται θεσπέσιον νέφος, ἐὰν δὲ τοῖς ἑξῆς, θεσπέσιον φῶς. A.

670. ἠμὲν: ἔδει ἐπαγαγεῖν τὸν ἠδέ, εἰ μή τί γε ὁ καὶ ἀντὶ αὐτοῦ ἐστίν, ἵν' ᾖ καὶ περὶ τὰς ναῦς καὶ περὶ τοὺς πολεμοῦντας. BLV.

673. μάχην ἐμάχοντο: τὸ ὅμοιον τῷ „δαίτην δαινυμένους" (Od. 7, 50). A.

674. οὐδ' ἄρ' ἔτ' Αἴαντι: οὐ μόνον γὰρ τοὺς ἄλλους ἀλλὰ καὶ Αἴαντα ὁ Νέστωρ ἔρρωσε τῷ λόγῳ. ὅρα δὲ οἷόν ἐστιν ἡ κατὰ καιρὸν προτροπή. BL.

676. ἴκρια ὡς δέμνια· ἔστι γὰρ ῥηματικόν, ὡς ἐν ἑτέροις εἴρηται. A.

ἄλλως. ἴκρια οἱ μὲν τὰ καταστρώματα, οἱ δὲ τὰ κατὰ πρῶραν καὶ πρύμναν ὡς σανιδώματα. ἢ τὰ ἐξέχοντα ἄκρα. ἢ τὰς καταγωγάς. ABL.

βιβάσθων: βαρυτονητέον· γέγονε δὲ ἤτοι ὥς φησι Φιλόξενος, κατὰ πλεονασμὸν τοῦ σ̄, ἢ ὅπερ καὶ βέλτιον, παρὰ τὸ βιβαστός βιβάσθω, ὡς καὶ ἀϊστός, κατ' ὀξεῖαν τάσιν, ἀΐσθων· „ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων" (Il. 16, 468). A.

678. βλήτροισι: συμβλήμασι καὶ συμπλοκαῖς. B. τοῖς κατὰ τὰς ἁρμονίας γόμφοις, τοῖς ἐπιούροις. D.

τὸ μὲν βλῆτρον βαρυτονητέον, ἐπεὶ πάντα τὰ εἰς τρον λήγοντα μονογενῆ οὐδέτερα βαρύνεται, σεσημειωμένου τοῦ λουτρόν. τὸ δὲ δυωκαιεικοσίπηχυ ὑφ' ἓν ἀναγνωστέον· τοὺς γὰρ ἀριθμοὺς οὕτω προφέρει, διὰ τοῦ ῑ, ὡς εἰκοσινήριτα. τινὲς δὲ καὶ κατὰ παράθεσιν, ὡς τὸ τρισκαιδέκατος, ὥστε καὶ τὸ θηλυκὸν τρισκαιδεκάτη. AV.

679. ἡ διπλῆ, ὅτι κέλητα αὐτὸς μὲν οἶδε, χρωμένους δὲ τοὺς ἥρωας οὐ συνίστησιν. τὸ δὲ κελητίζειν κέλητι ἱππεύειν· καὶ ἐν Ὀδυσσείᾳ (5, 371) „ἀμφ' ἑνὶ δούρατι βαῖνε, κέληθ' ὡς ἵππον ἐλαύνων." παραγωγὸν δέ ἐστι τὸ ῥῆμα παρὰ τὴν κέλητος γενικήν· ἀντὶ γὰρ τοῦ ἱππεύειν. κακῶς οὖν ὅσοι διαστέλλουσι· καὶ γὰρ ἐλέγχονται ἐκ τῆς τοῦ τ̄ ψιλότητος. A.

ὑφ' ἓν τὸ κελητίζειν· παραγωγὸν γὰρ ἐστι παρὰ τὴν κέλητος γενικήν, ἐπεὶ ἔδει κέληθ' ἵζειν. ἀδιανόητον δὲ τὸ ἵπποις κέλητα ἵζειν. ἔστι δὲ ἀναχρονισμός· οὐ χρῶνται γὰρ κέλησιν οἱ Ἕλληνες. ἡ δὲ παραβολὴ τὸ γενναῖον αὐτοῦ καὶ εὐσταθὲς δείκνυσιν, ἄλλοτε ἐπ' ἄλλην ναῦν μεταπηδῶντος ῥᾳδίως. ὁ μὲν οὖν εἷς ἐζευγμένος ἵππος κέλης ὠνόμασται, οἱ δὲ δύο ἅμιπποι, ὃ καὶ ξυνωρίς· οἱ δὲ τέσσαρες τέτρωρον καὶ τέθριππον. BL.

κέλης μονάμπυξ ὁ νῦν λεγόμενος σελάριος. Par. ap. Heynium. ὁ μονάμπυξ, παρὰ τὸ κέλειν τὸ βαδίζειν, ὅθεν καὶ κέλευθος, ἐπεὶ τὸ παλαιὸν ὡς ἐπὶ πᾶν τοῖς ἅρμασιν ἐχρῶντο. D.

680. ἐκ πολέων πίσυρας συναγείρεται: ἀντὶ τοῦ ἐκ πολλῶν τοὺς ἐπιτηδείους καὶ οἷον ἀρίστους καὶ ἰσοταχεῖς συναγάγῃ ἐκλεξάμενος· κίνδυνος γὰρ ἐκπεσεῖν μεθαλλομένῳ ἀπὸ ἄλλου εἰς ἄλλον. οἱ δὲ συναείρεται, ἀντὶ τοῦ συζεύξει, ὡς τὸ „σὺν δ' ἤειρεν ἱμᾶσιν" (Il. 10, 499). BL.

681. μέγα προτὶ ἄστυ: οὐ γὰρ ἐν μικρᾷ πόλει ταῦτα γίνεται. V.

δίηται: γράφεται διώκῃ. A.

682. λαοφόρον: πολυπληθῆ. V.

683. ὁ δ' ἔμπεδον: μέγα τὸ ἐγκώμιον καὶ ἀσφαλῶς καὶ ἀεὶ ἐφαλλομένου. Δημήτριος δὲ ὁ γονυπεσὸς τεθεωρηκέναι τοῦ μεταβαίνοντος ἀνεμπόδιστον τηροῦντος τὸν δρόμον τῶν ἵππων, κατέχοντος τοὺς χαλινούς. καὶ νῦν δὲ ἐν Ῥώμῃ ποιοῦσί τινες. V.

685. ὣς: οὕτως καὶ ὁ Αἴας ἐνεργῶς μετήρχετο. V.

686. βιβάς: γράφεται βιβῶν. A.

687. αἰεί: ἀντὶ τοῦ συνεχῶς. κατ' ἐκείνην δὲ τὴν ἡμέραν, ὡς τὸ „αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον" (Il. 23, 502). BL.

688. τινὲς ἐπισυνάπτουσι τούτῳ τόνδε· „ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων." V.

689. πύκα θωρηκτάων: ἐκ τοῦ παρεπομένου τῶν πολεμιστῶν. V.

690. ὥστ' ὀρνίθων: ἀπὸ καταφρονουμένου μὲν ζῴου τὴν παραβολὴν φέρει τοῖς Ἕλλησιν, ὡς καὶ ἀλλαχοῦ „τῶν δ' ὥστε ψαρῶν" (Il. 17, 755). ἀλλὰ καὶ παραμυθεῖται ἀντιτάσσων τὸν Δία. αἴθων δὲ θερμός, ἢ ξανθός, ἢ μέλας. BL. ὀξύς ἢ σφοδρὸς κατὰ τὴν πτῆσιν. D.

691. βοσκομενάων: εἰ ἀρσενικῶς ἐλέγοντο οἱ κύκνοι πάντως ἂν ἐπεκράτησεν· καὶ τὰς γεράνους γάρ φησι καὶ τοὺς χῆνας. A.

694. ἀΐσσων: γράφεται ἀΐξας. Ἀρίσταρχος ἀντίθεσιν διὰ τοῦ σ̄. A.

ὦρσεν: Ἀρίσταρχος ὦσεν, χωρὶς τοῦ ρ̄. A.

695. χειρί: λείπει τὸ ὡς. οἱ δὲ τῇ δυνάμει. ἐκπληκτικὸν τὸ τῆς φαντασίας· ἡ χεὶρ τοῦ Διὸς μέχρι τῆς γῆς φθάνει θνητὸν ὠθοῦσα. BLV.

696. δριμεῖα: ὀξεῖα ἀπὸ τῶν ὀσφραντῶν, ὡς νῦν ὀσχὴν τοῦ πολέμου λαβόντος. BL.

697. ὅτι ὡς πρός τινα διαλέγεται. οὐκ ἔστι δέ· ἀλλ' ἐμφαίη τις ἄν. A.

698. ἄντεσθ': Τυραννίων παροξύνει, ὡς λαβέσθ' ἀνθέσθ', ἐκδεχόμενος μέσον δεύτερον ἀόριστον, οὐχ ὑγιῶς· ἐμφαίνει γὰρ παρατατικόν, καὶ ἔστι τὸ ῥῆμα παρ' αὐτῷ καὶ βαρυνόμενον. τὸ γὰρ „ἤντησ' οὐδὲ ἴδον" (Od. 4, 201) καὶ „ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος" (Il. 16, 423) ἀπὸ περισπωμένου κέκλιν. τὸ δὲ „ὡς ἄν τίς σε συναντόμενος" (Od. 17, 165) ὡς ἀπαρέμενος, καὶ „ἤντετο γάρ τοι Φοῖβος" (Il. 16, 788) ὡς ἥπτι ὁμολογεῖ τὴν βαρεῖαν τάσιν· οἷς ἀκόλουθον καὶ τὸ ἄντεσθ' στικτέον δὲ ἐπὶ τὸ πολέμῳ, καὶ τὸ ἑξῆς καθ' αὑτό· μᾶλλον γὰρ ἐμφαίνει τὸ ἀσύνδετον. A.

700. οὐκ ἔφασαν φεύξασθαι: οὐ λέγει ὅτι ἀπεγνωκότες τῆς σωτηρίας ἐμάχοντο, ἀλλ' ὅτι ταύτην εἶχον τὴν διάνοιαν ὡς μέχρι θανάτου μαχησόμενοι ἢ φευξόμενοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ Τρῶες ἤλπιζον τὰς ναῦς ἐμπρήσειν καὶ κτεῖναι τοὺς Ἀχαιούς. B.

ὅμοιον τῷ „ἦ ἔλπεαθ' ἦν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ, ἐμβαδὸν ἴξεσθ ἦν πατρίδα" (504). V.

705. ὠκυάλοι: ψιλωτέον· ὁ γὰρ ἁλός ἔγκειται, ἀλλὰ παραγωγὴ ἐξι διὰ τῆ ἅλος, ὡς ἐπὶ τῆ Ἄταλος Βάταλος. V.

ἐψίλωσαν τὸ ᾱ, παραγωγὴν δεξάμενοι καὶ ὁ σύνθεσιν· καὶ ἔτως ἡ παράδοσις ἐπείσθη. καὶ τάχα ἐπεὶ μηδὲν ἄλλο ἢ τὸ ὠκὺ ἐκ τῆς λέξεως σημαίνει. ἡ δὲ ἁλός γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρει τὸ πνεῦμα, Εὐρύαλος Ἀμφίαλος Ἀσύαλος· ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα „πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ" (Od. 1, 395) „ἀγχιάλην τ' Ἀντρῶνα" (Il. 2, 697), ὕφαλος. ὥςε καὶ κατὰ τῆτο ἐλέγχει τὸ ὠκύαλος ψιλόμενον. A.

σχόλιον. ἐπιθετικὸν γὰρ ὂν δασύνεσθαι ὤφειλεν. ἀλλὰ τοῦτο, εἰ σύνθετον ἦν, ἐγένετο ἄν· νῦν δὲ ὡς ἐν τοῖς ἄνω εἶπεν, παραγωγὴν ἔλαβε τῆς ἅλος κατὰ παρολκὴν κειμένης. Διονύσιος δὲ ὁ Ἁλικαρνασεὺς ἐν τετάρτῳ Ἀττικῶν ὀνομάτων οὕτως ἔφη· φίλιππος μὲν τῆς μέσης δασυνομένης τὸ προσηγορικόν· οὕτως γὰρ καὶ ἐν Τηρεῖ Σοφοκλέους ἀναγινώσκομεν „ἦλιε φιλίπποις Θρῃξὶ πρόσβιτον σέλας." Φίλιππος δὲ ψιλῶς ὁ Μακεδών. καὶ ὠκύαλος μὲν δασέως ἡ ναῦς, ψιλῶς δὲ ὁ ἀνήρ· „ὦρτο μὲν Ἀκρόνεώς τε καὶ Ὠκύαλος" (Od. 8, 111). ἐναντίως δὲ ὁ Ἡρωδιανός. A.

ἦ Πρωτεσίλαον ἔνεικεν: εὐπρεπῶς ἐπὶ τὴν τοιαύτην ναῦν ἦγαγε τὸν Ἕκτορα, ἧς ἔτε τὸν ἡγεμόνα μέμψαθ ἑνῆν μὴ κωλύσαντα τὴν οἰκείαν ναῦν ἐμπιπραμένην (θανὼν γὰρ ἦν) τάς τε πολίτας συγγνώμης ἂν τις ἀξιώσαι εἰ ἀσρατήγητοι ὄντες ἀδυνάτως εἶχον ἐπιβοηθεῖν. ἵνα οὖν μὴ κατὰ ζῶντός τινος ἐπάξῃ τὸ ὄνειδος, τὴν Πρωτεσιλάε φησί. καὶ ὅτι κατὰ τὰς πύλας πρώτη ἦν· „ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάε" (Il. 13, 681). ἴσως δὲ καῦσαι πάσας οὐκ ἠθέλησεν. BLV.

τὰ μὲν ἔμψυχά φησιν ἄγεσθ, τὰ δὲ ἄψυχα φέρεσθ. καλῶς ἐν νῦν φησὶ τὸ ἔνεικε, καὶ ταῦτα ἐπαγαγὼν τὸ ἀπήγαγεν. ὅμοιον δέ ἐξι τῷ „νῆες δ' ἐκ Λήμνοιο παρέτρεσαν οἶνον ἄγεσαι" (Il. 7, 467) ἀντὶ τῆ φέρεσαι. V.

706. ἐδ' αὖτις ἀπήγαγε: τινὲς γράφεσιν ἐδ' ἀμφίκετο περιπαθήσας. ὡς προαναφώνησις. V.

709. ἀϊκάς ὡς παλλακάς· καὶ ἐγένετο παρὰ τὸ ἄϊσσω ἀϊκή ὡς φυλάσσω φυλακή, ὑλάσσω ὑλακή. ἔξι μέντοι καὶ ἑτέρα εὐθεῖα ἡ ἄϊξ, ἥτις ἐν συνθέσει ἐξὶ καὶ παρ' αὐτῷ· „πολυάϊξ γυῖα δ' ἔθηκεν" (Il. 5, 811) καὶ „πολυάϊκος πολέμοιο" (Il. 1, 165) καὶ „κορυθάϊκι πολεμιςῇ" (Il. 22, 132). καὶ δῆλον ὅτι εἰ παρὰ ταύτην τὴν ἄϊξ εὐθεῖαν τὴν πληθυντικὴν αἰτιατικὴν χηματίζομεν, ὀφείλομεν κατὰ συζολὴν ἀναγινώσκειν, ὅπερ οὐκ ἔτως ἔχει· δῆλον γὰρ ἐκ τῆ μέτρου. χρὴ μέντοι ἐκεῖνο ἐπισῆσαι, ὡς τὰ εἰς κῆ λήγοντα ὑπὲρ δύο συλλαβάς, τῷ ῑ παραληγόμενα, φιλεῖ βαρύνεσθ, ὡς ἔχει τὸ ἑλίκη ἐρίκη μυρίκη φοινίκη. τὸ μέντοι ἀϊκὴ ὠξυτονήθη, ἴσως ὅτι ῥηματικὸν ὑπῆρχε, τῶν ἄλλων οὐκ ἔτως ἐχόντων. A.

ἐκτέται τὸ ῑ· παρὰ τὸ ἄϊσω γὰρ γίνεται. V.

ἀϊκάς τὰς ὁρμάς, ἀπὸ τῆ ἀΐσσειν. τόξων δὲ τῶν τοξευμάτων. ἀμφὶς δὲ χωρὶς ἀλλήλων, ἢ ἀντὶ τῆ περιέμενον, ὡς „Κρόνον ἀμφὶς ἐόντες" (Il. 14, 274). BL.

711. ἀθετεῖ Ἀρίσαρχος· ἐπιφέρει γάρ, φησί, περὶ ξιφῶν, φασὶ δὲ ὅτι πληθύνει τὰς τῶν ὅπλων φωνὰς διὰ τὸ φαντάζειν τὸν ἀκροατήν. BL.

ὁ μόνον εἰς τὸ φονεύειν, ἀλλὰ καὶ εἰς τὸ διαχίζειν τὰς ναῦς τὰ τοιαῦτα. V.

712. ἀθετεῖ, ὅτι εὐτελὴς ὁ ξίχος καὶ ἰδιότης τῆς μάχης ὁ σώζει· ξίφεσι μὲν γὰρ καὶ ἔγχεσι πάντοτε μάχονται, νῦν δὲ πελέκεσι καὶ ἀξίναις. ὁ δὲ Διονύσιος, πῶς ἂν ἐπιφέρει „πολλὰ δὲ φάσγανα ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον," εἰ μὴ εἶχον ξίφη; A.

713. μελάνδετα: σιδηρόδετα, ἐπεὶ φησι (Hesiod. O. 151) „μέλας δ' ἦκε ἔσκε σίδηρος." οἱ δὲ μελαίνας λαβὰς ἔχοντα δεδεμένας· τὴν δὲ λαβὴν δεσμὸν καλεῖ ὁ Σιμωνίδης. οἱ δὲ ἐπιμελῶς ἐνδεδεμένα ὡς πρὸς τὴν λαβήν. BLV. μελανὰς λαβὰς ἔχοντα· ἔξι γὰρ ἡ λαβὴ δεσμός τις τῆ ξίφες. D.

714. ἐκ χειρῶν: σὺν ταῖς χερσὶν ἀποκοπτόμενα, ἄλλα δὲ σὺν ὦμοις· γελοῖον γὰρ τὸ οἴεσθ ἀπὸ τῶν ὤμων ἐκπίπτειν τὰς μαχαίρας. BL.

ἡ διπλῆ, ὅτι ὁ χρωμένων τοῖς ξίφεσι πρὸς μάχην χαμαὶς ἔπιπτον, ἀλλὰ τῶν ὤμων κοπτομένων τοῖς πελέκεσι καὶ τῶν καρπῶν σὺν τοῖς ξίφεσι. A.

πέσον: ἔτως διὰ τῆ ὃ πέσον. A.

716. ἐχὶ μεθίει: ἡ διπλῆ περιεχιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐκ ἐμεθίει. A. ὥςε βαρβαρίζειν τὸν Ὅμηρον. ἐκ ἔξι γὰρ τὸ μεθίει σύνθετον ἐκ τῆς μετά καὶ τοῦ εἶω, ὡς εἴ τις λέγοι ἐμετεκάλει. V.

717. ἄφλασον: τὸ λεγόμενον ἀκροζόλιον τῆς νεὼς πρύμνης. εἴρηται δὲ κατ' ἀντίφρασιν· εὔθλασον γὰρ ὑπάρχει. AD.

οὐ τὸ ἀκροζόλιον, ἀλλὰ τὸ ἐπὶ τῆς πρύμνης εἰς ὕψος τεταμένον ἐκ κανονίων πλατέων, διήκοντος δι' αὐτῆ πλατέος κανονίε, θρανίτε μὲν ὠνομασμένα, ὑπηρεισμένου δὲ τῷ ςυλίσκῳ τῷ ὄπιθεν τῆ κυβερνήτε. κρέμαται δὲ ἐκ τῶν κανονίων καὶ τῆ θρανίτε τὰ ἠνία. ἀκροζόλιον δὲ τὸ ἀπὸ τῆς πτυχῆς ἀνατεῖνον ἐπὶ πρῶραν ξύλον· πτυχὴ δέ ἐξιν ὅπου ζωγραφῶνται οἱ ὀφθαλμοὶ καὶ τὸ τῆς νεὼς ἐπιγέγραπται ὄνομα. τινὲς δὲ τὸ ἄφλασον ἐπιῤῥηματικῶς γράφεσιν, „ἵν' ᾖ τὸ ἄμφω ταῖς χερσὶν ἐπεςραμμένως ἐπειλῆφθαι τῆς νεώς. BV.

718. ἡ διπλῆ, ὅτι οἴσετε ἀντὶ τῆ φέρετε· οὐ γὰρ τὸν μέλλοντα δηλοῖ τὸ οἴσετε, ἀλλ' ἀπὸ τοῦ „οἶσε θεεῖον" (Od. 22, 481) ἐξὶν ἀνάλογον τῷ φέρε. A.

ἀὐτήν; ἅμα γὰρ τῇ κραυγῇ καὶ δέος γίνεται τοῖς πολεμίοις. V.

719. νῦν ἡμῖν; ἀντὶ τῆ πάντων τῶν τολμηθέντων εἰς ἡμᾶς ἀξίαν ἀμοιβὴν παρέχειν ἡμῖν ὁ Ζεὺς πρὸς τὸ ἑλεῖν τὰς ναῦς. AD.

ἀντὶ τῶ πάντων πόνων ἰσόῤῥοπον ὁ Ζεὺς ἡμέραν ἐχαρίσατο. BL.

720. Θεῶν ἀέκητι: ἄδηλον πότερον παρὰ γνώμην Θεῶν μολῶσαι, ἢ ἡμῖν πήματα θέσαν Θεῶν ἀέκητι. κακότητι δὲ ἀβουλίᾳ. τὸ δὲ ἴδιον ἀθενὲς τοῖς γέρουσι περιάπτει· ὃ γὰρ ἤθελεν ἐξιέναι δι' Ἀχιλλέα. BL.

722. ἡ διπλῆ, ὅτι δεῖ κατὰ τὸ τέλειον προφέρεσθαι ἐθέλοντα. A.

725. ἀνώγει: τινὲς περισπῶσι διὰ τὸ „ἠνώγει Πετεῶο" (Il. 12, 355). ἀλλ' ἔχει „ἀγορῇ Μενέλαος ἄνωγεν" (Il. 11, 139). V.

βαρυτόνως ἀναγνωστέον. εἰ δὲ μή ὡς ἀπὸ περισπωμένου δείκνυταί τινα ἔχων κινήματα, ὥσπερ ἐπὶ τῶ „μὴ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔπος" (Il. 7, 364), ἀναγκαῖον ξενίζειν τὴν ἀνάγνωσιν μὴ περισπᾶν· κλίνεται γὰρ μὴ ὡς βαρύτονον, ὥσπερ ἐπὶ τῶ „ὄππότ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν." πρόδηλον κἀκ τῶν προσακτικῶν ἀνώγετον, ἀνωγέτω· „ἄνωχθι δέ μιν γαμέεσθαι" (Od. 2, 113). διὸ καὶ βαρυτόνως ἀναγνωστέον. A.

728. ἀνεχάζετο: ὅπως τῷ μεγίστῳ χρήσηται δόρατι, οἰόμενος μᾶλλον ἀποθανεῖσθαι ἢ παραχωρήσειν Ἕκτορι. BLV.

τὸ ἑξῆς, ἀνεχάζετο τυτθὸν θρῆνυν ἐφ' ἑπταπόδην. ἕως ἂν διορθωτέον. A.

729. θρῆνυν: ὑποπόδιον. θρῆνυν δὲ βέλτιον καλεῖσθαι ὑπὸ Ὁμήρου τὰς καθέδρας τῶν ἱερατῶν· ἀναχωρῶν γὰρ ἀπὸ τῆς νεὼς τῶν καταστρωμάτων ἐπὶ ταύτας ἀφικνεῖται. τινὲς δὲ τόπον τῆς νεὼς βάσιν ἔχοντα, ἐφ' ᾧ τὸν κυβερνήτην τὰς πόδας τιθέναι, ὃ μὴ ἐδώλιόν φασιν. ἄλλοι δὲ τὴν ὑποδεχομένην τὸν ἱστὸν τράπεζαν εἶπον. οἱ δὲ διαβάθραν ἀπὸ νεὼς εἰς γῆν. AD.

τὴν τῶν κωπηλατῶν καθέδραν, ἢ τὴν τοῦ κυβερνήτου. Ἀττικοὶ δὲ θρᾶνον τὸ τοῦ κωπηλάτου φασί, μὴ θρανίτας αὐτούς. BL.

730. ἡ διπλῆ, ὅτι παθητικῶς δεδοκημένος ἀντὶ τῶ δοκεύων, ἐπιτηρῶν, ὡς „ῥάβδῳ πεπληγυῖα" (Od. 10, 238). A.

735. τὸ φαμὲν ἐντελὲς ἔχει μὴ ἐνεστῶτα χρόνον σημαίνει· διὸ τὰς δύο συλλαβὰς βαρυτονητέον. εἰ μέντοι παρατατικὸς γίνοιτο, δῆλον ὅτι ἀποβολὴν χρόνου τῶ κατ' ἀρχὴν πάσχει, καὶ ἐπὶ τὴν ᾱ συλλαβὴν ἡ ὀξεῖα τάσις ἔσται, ὅμοιον ὡς τὸ ἔφαμεν ἐντελές, ὥσπερ ἐπ' ἐκείνου „φάμεν δέ οἱ οὐ τελέεσθαι" (Od. 4, 664), ὅπερ ἐκ ἐπιζητεῖ νῦν ἡ διάνοια. A.

ὅμοιος τῷ πρώην ὁ λόγος, τὸ μὲν ἐρωτήσεως ἔχων, τὸ δὲ ἀποφάσεως. λέγει δὲ ὅτι ἆρα ἐλπίζομεν ἥξειν ἐπικούρους μετὰ ταῦτα; ἀδαμῶς. BL.

736. ἄρειον: βέλτιον ἢ κατεσκευάσαμεν. V.

737. ὑμέν τις: Ἀρίσαρχος χωρὶς τῆ σ ὑμέν τι. A.

πόλις: ἐν ᾗ ἐπιφυγόντες ἀμυνόμεθα. V.

738. ἑτεραλκέα: ἑτεραλκέμενον (νικώμενον V) ἔχοντες τὸν ἴδιον δῆμον. οἱ δέ, τὸν ἀπὸ τῆς πόλεως δῆμον ἔχοντες ἑτέραν ἡμῖν ἀλκὴν περιποιοῦντα. πάντα δὲ εἰρωνικῶς. BLV.

δυνάμενον ὄχλον ἐν μέρει πρὸς τὸ κατεπείγοντα βοηθεῖν τοῖς κατεπτοημένοις. D.

739. Τρώων πεδίῳ: ἐν ἄλλῳ Τρώων ὁμάδῳ. A.

πύκα θωρηκτάων: ὡς ἀπὸ τοῦ ποιητικοῦ τοῦτο προσώπου. V.

740. κεκλιμένοι: προσερηρεισμένοι μὴ προσανακείμενοι· συνέσταλται δέ. ἐμφαντικῶς δὲ πάντα πέφρασαι. L.

περικλειόμενοι. συνέσταλται δὲ ὡς τὸ „τρὶς δὲ περίξιξας" (Od. 4, 277). V.

741. ἕως Ἀρίσαρχος σὺν τῷ ῑ, μειλιχίῃ. A.

ἄλλως. Ἀρίσαρχος κατὰ δοτικὴν ἔγραφε, συνάπτων δηλονότι ὅλον τὸν στίχον· ἔσαι δὲ ἕως τὸ ἑξῆς, τῷ ἐν χερσίν, ὃ μειλιχίῃ τέλος πολέμοιο, οἷον ἐν τῷ δόρατι, ὃ ἐν προσηνείᾳ δὲ ἐν ἀργίᾳ κεῖται ἢ τῶ πολέμῳ σωτηρία. Διονύσιος δὲ ὁ Θρᾷξ κατ' εὐθεῖαν πτῶσιν, ᾧ ἀκόλουθόν ἐστίζειν ἐπὶ τὸ φόως τελείᾳ στιγμῇ· μὴ ἔσαι καθ' ἑαυτὸ ἐκάτερον ἡμιστίχιον. ὁ δὲ λόγος, δι' ὅπερ ἐν χερσὶν ἡ σωτηρία προσήνεια δὲ ὃ ἔστι πολέμῳ οἰκεία. AV.

ἄλλως. σὺν τῷ ῑ τὸ μειλιχίῃ· τὸ γὰρ λεγόμενον τοιοῦτόν διὸ τὸ τῶ πολέμῳ φῶς ἡμῖν ἐν ταῖς χερσίν, ὃ ἐν τῇ μειλιχίᾳ ἀπαντήσει. A.

σὺν τῷ ῑ τὸ μειλιχίῃ. ἕως ἐξηγητέον· ὃ ἔστι προσήνεια οἰκεία πολέμῳ, ἵν' ᾖ τὸ ἡμιστίχιον γνωριμώτερον· διὰ ἐν ταῖς χερσὶν ἡμῶν μὴ τῷ μάχεσθαι ἡ σωτηρία, ἀλλ' ἐν τῇ μειλιχίᾳ ἡμᾶς μὴ πρᾶος εἶναι τοῖς πολεμίοις, ὅ ἔστιν, ὅτι περὶ τὸν πόλεμον φιλανθρωπία. B.

742. ἔφεπ' ἔγχεϊ: καίτοι πολέμιον ἔχων Δία. A.

743. κολλῆς ἐπὶ νησί: ἀντὶ τῶ ἐπὶ ναῦς. V.

744. κηλείῳ: τὸ ἐντελὲς κτητικὸν κηλείου ἔστι. τὸ γὰρ κήλεον Ἰακόν. V.

746. νεῶν: ὑπὲρ νεῶν. V.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῦ μὴ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΕΙΣ ΤΗΝ ΙΙ.

1. οἱ μέν: ὁ περὶ Ἕκτορος μὴ Αἴαντος ποιεῖται λόγον, ἀλλὰ περὶ ἀμφοτέρων τῶν στρατευμάτων· οἱ μὲν γὰρ ὡς ἀρχηγὸν πονηρῶν ἔργων ἀπολέσθαι θέλουσιν, οἱ δὲ καὶ μετὰ θάνατον χάριν εἰδότες τῷ δεσπότῃ σῶσαι τὴν ναῦν προθρηνῦσι. ὡς μέλλων δὲ ἑτέρων μεγάλων ἐνάρχεσθαι πραγμάτων, παραγραφὴν ἐνέβαλε τὸν στίχον. ἔστι δὲ τοιαῦτα πολλά

παρ' Ὁμήρῳ· „ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον" (Il. 9, 1)· „ὣς οἱ μὲν μάρναντο" (Il. 11, 596)· „ὣς ὁ μὲν ἐν κλισίῃσιν" (Il. 12, 1)· „ὣς οἱ μὲν ϛενάχοντο·" „ὣς ὁ μὲν ἔνθ' ἠρᾶτο" (Od. 7, 1)· „ὣς ὁ μὲν ἔνθα καθεῦδε" (Od. 6, 1). ἡ δὲ περί ἀντὶ τȣ̃ ἕνεκα ἀντιφράζεϑ. δηλοῖ δὲ ϰ̀ τὴν ὑπέρ, ὡς τὸ „λεπτὸν ϰ̀ περίμετρον" (Od. 2, 95), καὶ τὸ περισσῶς· „τὴν περὶ κῆρι φίλησε πατὴρ ϰ̀ πότνια μήτηρ" (Il. 13, 430). BL.

ἡ περί ἀντὶ τῆς ἐπί· ἀντιφράζει γὰρ αὐτὴν τῷ ἕνεκα· „Πατρόκλῳ ἐπάμυνον, ȣ̃ εἵνεκα φύλοπις αἰνή" (Il. 18, 171). „χήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος" (Il. 17, 182). V.

ἐϋσσέλμοιο: σέλμα ἐϛὶ τὸ μεταξὺ τῶν σανιδωμάτων, ὃ ϰ̀ σελὶς καλεῖται ϰ̀ καθέδρα ἐϛὶ τȣ̃ ἐρέτȣ. σέλμα εὔσελμος ὡς σῶμα εὔσωμος. γέγονε δὲ παρὰ τὸ σέλλω, ὃ σημαίνει τὸ ὁρμῶ. ϰ̀ σέλμος (ὅλμος L, σόλος Berglerus) ὁ μεθ' ὁρμῆς ῥιπτȣ́μενος λίθος. ABL.

οἱ δὲ καλὰ σπάρτα ἐχȣ́σης· σελμὶς γὰρ λέγεται τὸ σπάρτον. BL.

3. μελάνυδρος: βαθεῖα, σκοτεινή· τȣ̃ γ̀ μελαίνεϑ αἴτιον τὸ βάθος. τὰ δὲ ἐξ ἐπιπολῆς ὕδατα λευκά, καθότι πλέον ταῖς τȣ̃ ἡλίȣ ἀκτῖσι καταυγάζεται. AD.

ἡ βαθύυδρος, ἣ κατὰ τȣ̀ς φυσικȣ̀ς μέλαν ἐϛὶ τὸ ὕδωρ. εἰκότως δὲ ὁ πρᾶος Πάτροκλος κλαίει, τὰ μὲν ἀκοῇ τὰ δὲ αὐτοψεὶ τῶν δεινῶν ἐπισκοπήσας. διὸ ȣ̀δὲ φθέγξασθαί τι οἷος τέ ἐϛι, συγκεχυμένος ὑπὸ τῶν δακρύων, ἀλλὰ σιωπῶν ἵϛαϑ, διὰ τȣ̃ χήματος τὸν ἔλεον ἐπαγόμενος. BL. καὶ ἐν ταῖς λιταῖς ὁ Φοῖνιξ „δάκρυ ἀναπρήσας· περὶ γ̀ δίε κηυσὶν Ἀχαιῶν" (Il. 9, 433). V.

4. αἰγίλιπος: ὑψηλῆς, ἧς ϰ̀ αἶγες ἀπολιμπάνονϑ διὰ τὸ ὕψος· ἐλαφρὰ δὲ ἔχȣσι ϰ̀ νευρώδη τὰ σκέλη αἱ αἶγες. ἡ δὲ τῆς μηδὲν φυȣ́σης, κατ' Ἀργείȣς· ὃ γ̀ ἀποτρώγει ἄξ, ἄσπορον αὐτὸ ποιεῖ. οἱ δὲ καθύγρȣ ϰ̀ λιπαινȣ́σης τὰς αἶγας. ABL.

ἀθρόων ἔκχυσιν δακρύων παριϛὰς κατὰ πετρῶν φησὶ τὴν κρήνην· τὰ γ̀ ἀφ' ὑψηλῶν φερόμενα ὕδατα σφοδροτέραν ἔκχυσιν (πρόχυσιν V) ἐμφαίνει. BLV.

δνοφερόν: τὸ μετὰ δονήσεως φερόμενον. V.

5. Ἀρίϛαρχος γράφει θάμβησεν· οὐ γ̀ ἂν ἔπληξεν τῷ πυνθάνεϑ, εἴπερ ᾤκτειρεν. V.

7. ἠΰτε κȣ́ρη: πᾶσαν ἡλικίαν εἰσαγαγὼν ὁ ποιητής, πρόντων νέων ἐφήβων, ἐπεὶ ϰ̀ βρέφος εἰσήγαγε τὸν Ἀϛυπακτα, θήλειαν ȣ̀ δυνάμενος εἰσαγαγεῖν διὰ παραβολῆς ἐν λεῖπον πρόσωπον ἀνεπλήρωσε, ϰ̀ λαβὼν εὐτελὲς πρᾶγμα μεγαλοπρεπῶς καὶ μετ' ἐναργείας αὐτὸ ἐκφέρει. δεκτέον δὲ τὴν μητέρα χερνῆτιν, σπεύδȣσαν „ἵνα παισὶν ἀεικέα μιτὸν ἕληϑ" (Il. 12, 435) ϰ̀ ȣ̀ θέλȣσαν αὐτὴν ἀνελεῖν· κατὰ Ἡσίοδον „χαλεπὴ ὑπόπορτις ἔριθος" (O. 601). ἄτοπος δὲ ἔϛαι αὐτὸς μὲν ἕνεκα παλλακίδος κλαίων, τὸν δὲ Πάτροκλον κόρην καλῶν ἐπὶ τοιȣ́τοις δακρύοντα δεινοῖς. ἴσως ἐν αὐτὸν ἐπίτηδες ἐταπείνωσε, παύων τῆς ἱκετείας. ὅπως δ' ἄν τις ἤθȣς ἔχοι, τȣ̀ς πέλας ψέγει. οἱ μὲν σκληροὶ τȣ̀ς ἐπιεικεῖς καὶ πράȣς γυναιξὶν εἰκάζȣσιν· οἱ δὲ ἐπιεικεῖς τȣ̀ς ϛερεȣ̀ς ἀγρίȣς καὶ ἀνημέρȣς φασί. ϰ̀ νῦν ὁ μὲν Ἀχιλλεὺς τὸν Πάτροκλον ὡς κόρην, ὁ δὲ Πάτροκλος τὸν Ἀχιλλέα ὡς πετρῶν παῖδα. ȣ̀κ ἠρκέϑη δὲ τῷ κȣ́ρη, προσέθηκε δὲ ϰ̀ τὸ νηπίη, προανελεῖν αὐτȣ̃ θέλων τῇ αἰδοῖ τὴν δέησιν. BLV.

ταῦτα δὲ ἐκ τȣ̃ ποιητικȣ̃ προσώπȣ εἰσί· πολλαχȣ̃ γὰρ ἐνδύεται τὰ ἡρωϊκὰ πρόσωπα. V.

8. ἅμα μητρὶ θέουσ': ȣ̀χ ἅμα ἐκείνῃ θεȣ́σῃ ϰ̀ αὐτὴ σύνθεῖ, ἀλλὰ προσυπακȣϛέον τῷ μητρί τὸ βαδιζȣ́σῃ, ὅπως συνεξανύῃ θέȣσα ἡ κόρη. καλῶς δὲ τὸ ἀνώγει· αἱ γ̀ τῶν βρεφῶν ἀξιώσεις τοῖς κελεύσμασιν ἐοίκασιν. BL.

καὶ ὡς περισπώμενον αὐτὸ ἔκλινε· „καὶ δὲ τόδ' ἠνώγειον εἰπεῖν ἔπος" (Il. 7, 394). τὸ γ̀ „ἠνώγει Πρίαμός τε" (ib. 386) ἄδηλον μὴ ὑπερσυντελίκȣ ἐϛίν, ὡς ἠείδειν ἤϊδεν· ἀνώγειν „ἀνώγεα· τοὶ δὲ μέγα νήπιοι ȣ̀κ ἐπίθοντο" (Od. 9, 44). V.

9. εἱανοῦ: τȣ̃ ἐνδυτηρίȣ πέπλȣ. καὶ ἐν ἄλλοις „πέπλον μὲν κατέχευεν ἑανόν" (Il. 5, 734). σημειωτέον δὲ ὅτι ϰ̀ ἐπὶ εὐτελȣ̃ς πέπλȣ. δηλοῖ δὲ ϰ̀ τὸ λαμπρόν· „ἑανȣ̃ κασσιτέροιο" (Il. 18, 613). ἁπτομένη δὲ τὸ ἐπισπωμένη, ὡς τὸ „πρύμνης νεὸς ἥψατο" (Il. 15, 704). „ἥψατο δ' ἡμιόνȣ" (Il. 23, 666). δηλοῖ δὲ καὶ τὸ καθικνεῖϑ, ὡς τὸ „ἅπτηϑ κατόπιϑεν" (Il. 8, 339). ὅθεν καὶ καθάπτεϑαι τὸ διὰ λόγων καθικνεῖϑαι. AL.

ἡ διπλῆ, ὅτι ἑανὸς ϰ̀ πέπλος τὸ ἔνδυμα. A.

πέπλος ὡς ἐπὶ πολὺ τὸ γυναικεῖον ἱμάτιον, τὸ δὲ ἀνδρεῖον χιτών. D.

10. ποτιδέρκεται: Ζηνόδοτος προσδέρκεται. A.

ὄφρ': ἵνα ἢ ἕως· προσλιπαρȣ̃σι γ̀ ἄχρις ἂν ȣ̃ βȣ́λονϑ τύχωσιν. BL.

11. κατὰ δάκρυα εἴβεις: κατείβεις, καταϛάζεις. V.

12. ἦ: πάντες περιεσπάϑησαν οἱ σύνδεσμοι κατὰ λόγον τῶν ἐρωτηματικῶν. A.

πιφαύσκεαι: προορᾷς, προσημαίνεις. εἰρωνευόμενος δὲ ταῦτά φησιν· ἐπίϛαϑ γ̀ περὶ ȣ̃ κλαίει, καὶ τελευταῖον τοῦτο ἐπιφέρει „ἠὲ σύ γ' Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται;" AL.

13. ἐξ: τὴν πρόθεσιν χωριϛέον ἀπὸ τȣ̃ ἔκλυες· βραχὺ μέντοι παντελῶς τὸ διάϛημα, ὡς κἀκεῖ, „ὑπερώϊον εἰς ἀναβᾶσα" (Il. 2, 514) „μάχης ἐξ ἀπονέεϑ".

14. Μενοίτιον: Αἰακὸς ὁ Διὸς καὶ Αἰγίνης, γήμας Ἐνδηΐδα τὴν Χείρωνος θυγατέρα, ἔχε δύο παῖδας, Πηλέα ϰ̀ Τελαμῶνα· μιγεὶς δὲ ϰ̀ Ψαμάθῃ τῇ Νηρηΐδι γεννᾷ Φῶκον. τȣ̃τον Πηλεὺς ἀποκτείνας ἔφυγεν εἰς Μαγνησίαν τῆς Θεσσαλίας πρὸς Χείρωνα· Τελαμὼν δὲ ἐν τῷ λόχῳ τοῦ Καλυδωνίȣ συὸς ἀνελὼν ἀκȣσίως ϰ̀ αὐτὸς ἕνα τῶν κυνηγȣ́ντων ἔφυγεν εἰς Σαλαμῖνα, ϰ̀ γήμας Ἠερίβοιαν (Ἐρίβοιαν D) τὴν Ἀλκάθȣ ἐγέννησεν Αἴαντα. Μενοίτιος δὲ ἀποικήσας εἰς Ὀπȣ̃ντα Πάτροκλον ἐτέκνωσεν· ὁ δὲ ἀποκτείνας ϰ̀ αὐτὸς ἀκȣσίως Ἀμφιδάμαντος παῖδα Κλεισώνυμον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔπεμπε πρὸς Πηλέα τὸν Χείρωνος θεῖον (Κλήσ., καὶ ἐπὶ τέτῳ φυγὼν εἰς Φθίαν πρὸς Πηλέα κατὰ συγγένειαν, ἐπέμφθη παρ' αὐτῆ πρὸς Χείρωνα D), ὃς αὐτὸν μετ' Ἀχιλλέως ἔθρεψεν. ἡ ἱστορία παρὰ Φιλοξεφάνῳ. AD.

τὴν μητέρα Πατρόκλε ἀπ ὠνόμασεν ὡς προθανοῦσαν. ἦν δὲ ὅθεν ἔλης ὁ διάκτωρ τὸ ἀνέκαθεν Μυρμιδόνων. V.

16. τῶν κε: περὶ ὧν ἄν, οὐχὶ ἑκάτερος περὶ τῆ ἰδίᾳ, ἀλλὰ περὶ τῶν ἀλλήλων· τῆτο γὰ τὸ δεῖγμα τῆς τελείας κ ἀληθῆς ἀγάπης τῶν φίλων. BL.

καλὸν διάταγμα πῶς χρὴ περὶ γονέας ἔχειν, καὶ ὡς ἡ τέτων τελευτὴ πάντων ἔχατόν ἐσι κακόν. BL.

διὰ τῆ ἢ τεθνηώτων αἱ Ἀρισάρχε. A.

17. Ἀργείων: ἠθικῶς πάνυ κ ἐπὶ τῆτο ἦκε τελευταῖον, καίτοι γε ἀκριβῶς εἰδὼς τὴν πρόφασιν τῶν δακρύων. ἅμα δὲ κ ὡς ἤδη μετατεθεὶς τὴν γνώμην εἰς τὲς περὶ Ἑλλήνων προκαλεῖται λόγες· διὰ τῆτο γὰ αὐτὸν κ ἀπεχάλκει πρὸς Νέσορα. BL.

ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί, περὶ Ἀργείων. A.

18. ὑπερβασίης: τῆς παραβάσεως τῆ δικαίε. λελη-θότως δὲ ὑπεραπολογεῖται, ὡς ἀδικηθεὶς ὠργισαι. BL.

20. ἡ διπλῆ πρὸς τὴν τῆ λόγε ἀποσροφήν. A.

21. Πηλέος υἱέ: ἔτως Πτολεμαῖος, οἱ δὲ ὑπομνη-ματισάμενοι Ἰακῶς. V.

ὁμιλητικὴ ἡ ἀρχὴ κ Θεραπεύσα φιλότιμον ἄνδρα. ὁ δὲ λόγος φιλικὴν ἔχει δέησιν, ἔλεον ἀτυχέντων, ἐπίπληξιν ἀπηνείας, μεγάλε ἔργε κ ῥᾳδίως ἀνυσθησομένε ἐλπίδα. BL.

22. μὴ νεμέσα: λείπει τὸ δεδακρυμένῳ, κλαίοντί μοι, φησί, μὴ μέμφε· εὐλόγως γὰ ἐπὶ τοῖς Ἑλληνικοῖς ἀτυχή-μασι τῆτο πράττω. L.

βεβίηκεν: ἀπὸ τῆ βιῶ βιᾷς, κ διαίρεσις „οἳ κεῖνον βιόωντ" (Od. 11, 503) „ὡς εἴ ἑ βιῴατο" (Il. 11, 467). τὸ δὲ ἀπὸ τῆ βιάζω „ἦ μάλα δή σε βιάζετ' ὠκὺς Ἀχιλλεύς" (Il. 22, 229) ἐςὶν ὅμοιον τῷ „ἦ μάλα δή με βιάζετε μᾶνον ἐόντα" (Od. 12, 297), ἐνεργητικὸν ἀντὶ παθητικῆ. V.

24. οὐτάμενοι: ὡς ἰσάμενοι. προείρηται δέ. A.

ἡ διπλῆ πρὸς τὴν σύλληψιν· οἱ μὲν γὰ βεβλημένοι ἦσαν, οἱ δὲ ὠτασμένοι. A.

25. βέβληται; ἀντὶ τῆ ἐκ βολῆς τέτρω, ἐζήτη δὲ πῶς Πάτροκλος περὶ Μαχάονος μηδὲν εἰπὼν κατάλογον ποιεῖται τῶν τετρωμένων. κ ῥητέον ὡς βεβαιοῖ τὴν Ἀχιλ-λέως πρόληψιν, ἵνα εἰς ἔλεον κινήσῃ, παραλιπὼν ὡς ἐλάτ-τονα. λέγει δὲ περὶ ὧν μᾶλλον ἠγωνία. AD.

Ἀρισοφάνης ἔξω τῆ ἄρθρε, μὲν Τυδείδης. A.

τῷ μὲν καταλόγῳ τῶν τραυματιῶν ἐκπλήσσειν αὐτῆ τὴν διάνοιαν (ἡδονὴν V) οἴε, ὃ προτάττει δὲ Ἀγαμέμνονα, ἵνα μὴ προήσῃ τὴν ἔντευξιν ἐπὶ τῷ ὀνόματι χαλεπήνας ὁ Ἀχιλ-λεύς. ἀλλ' ἐδὲ ἑκατον· δέος γὰ ἦν μὴ τῇ τῆ ὀνόματος μνήμῃ ἀνανεύσῃ πρὸς τὸ παρόν, διὸ εἰς μέσην αὐτὸν ἔταξε χώραν. πρῶτον δὲ Διομήδην, πρὸς ὃν μάλιςα δυσχεραίνει λέγοντα „εἰσόκε τέκμωρ Ἰλίε εὕρωμεν" (Il. 9. 48) καὶ ὡς „μὴ ὄφελες λίσεσθαι" (ib. 698)· εἶτα Ὀδυσσέα φίλον ὄντα κ χθὲς ὁμώροφον γεγονότα. Εὐρυπύλῳ δὲ δέδωκε τὴν ἐσχά-την τάξιν· ὡς δὲ ἐκταραχθεὶς ἐξελάθετο Μαχάονος, δι' ὃν κ ἐπέμφθη. τάχα δὲ σιωπᾷ τὸν Μαχάονα, ὑποφαίνων ὡς τέτων αὐτόπτης γεγονὼς ἐδὲ συνέτυχε Νέσορι, ἵνα μὴ δοκῇ ταῦτα παρ' ἐκείνε ἀκηκοὼς λέγειν. τινὲς δὲ ἤθελον μὴ τε-τρῶσθαι Μαχάονα, δι' ὧν ὁ θεραπεύε, ὁ βελτκεῖ, ἀλλὰ κ τὸν κυκεῶνα πίνει· κ ὀβελίζεσι τὰς σίχας ἐν οἷς φησὶν ὁ Νέσωρ (11, 663) „τῆτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πο-λέμοιο ἰῷ ἀπὸ νευρῆς βεβλημένον," ὅτι οἶδεν ὅτι οὐ διὰ Μαχάονα ἐπέμφθη. οἱ δέ φασιν ὡς ἔθος Ὁμηρικόν, περὶ ὧν τις πεμφθῇ, μὴ παλιλλογεῖν περὶ αὐτῶν, ὡς Θέτις πρὸς Ἀχιλλέα ἐδὲν περὶ Διός, ἐδὲ Ὀδυσσεὺς περὶ Χρύσε κ ἡ Ἶρις περὶ Ποσειδῶνος. δαιμονίως δὲ ἐπαίρει τὸν Ἀχιλλέα, τὴν πᾶσαν σωτηρίαν τῶν Ἑλλήνων αὐτῷ ἀνατιθείς, κ δι-δάσκων ὅτι ἐδὲν ὤνησαν τοὺς Ἀχαιοὺς οἱ ἄλλοι ἀριςεῖς, ἀλλὰ κεῖνται τετρωμένοι. BLV.

26. Ἀγαμέμνων: δίχα ἐπιθέτε τὸ τῆ Ἀγαμέμνο-νος ὄνομα ἀναγκαίως ἔταξεν. V.

27. κατὰ μηρόν: ἀντὶ τῆ ἐπὶ τὸν μηρόν, ὡς τὸ „νύξε δέ μιν κατὰ χεῖρα" (Il. 11, 252). ἔςι δὲ κ ἀντὶ τῆς ἐξ, ὡς τὸ „βῆ δὲ κατ' Οὐλύμποιο καρήνων" (Il. 1, 44). BLV.

28. ἰητροί: ἡ διπλῆ, ὅτι ἓ μόνοι οἱ περὶ Μαχάονα κ Πο-δαλείριον συνεπεπλεύκεισαν ἰατροί, ἀλλὰ κ ἄλλοι πλείονες. A.

ἡ ἀμφὶ πρὸς τὸ τούς, ἵν' ᾖ ἀμφὶ μὲν τέτους, ὅτι δὲ κατὰ ἔθνος ἰατροὶ ἦσαν, δῆλον ἀπὸ Ἰδομενέως· „ὁ δ' ἰη-τροῖς ἐπιτείλας" (Il. 13, 213). τῆτο δὲ λέγει αὔξων τὸ δει-νόν· ἐδένα γὰ ἐν πολέμῳ περιοδεύοντα εἶδεν. πολυφάρ-μακοι δὲ ἐχ οἱ ἑκάσης νόσου φάρμακα ἔχοντες, ἀλλ' οἱ ἑκάσῃ νόσῳ ποικίλας προσάγοντες θεραπείας. BL.

29. ἀμήχανος: ἀπροσμιχάνητος, ἀκαμπής. D. ἀπροσ-μάχητος, πρὸς ὃν ἐκ ἔχει μηχανὴν εὑρεῖν. ἐκείνε μὲν γάρ φησίν, ἰάσονται οἱ ἰατροί· σὺ δὲ ἔοικας ἀνίατος εἶναι τὴν ψυχήν. BL.

ἡ διπλῆ, ὅτι νῦν ἀμήχανος, πρὸς ὃν οὐκ ἔχει μηχα-νήσασθαι, ἐκ αὐτὸς μὴ δυνάμενος μηχανήσασθαι. A.

30. μὴ ἐμέ: καλῶς διὰ τῆς εἰς ἑαυτὸν εὐχῆς ἀπέςρεψε τὸν Ἀχιλλέα τῆς νόσε. ἀντιμετείληφε δὲ τὴν μῆνιν εἰς τὸν χόλος. ἢ τάχα ἐφ' ἑαυτῷ ἠὔξατο μὴ κατὰ τὸ τυχὸν ἐμ-πεσεῖν εἰς χόλον, πόσῳ δὲ μᾶλλον εἰς μῆνιν. BL.

ἡ διπλῆ, ὅτι ὁ χόλος ἀντιμετείληπται ὡς ἰσοδυναμῶν τῇ μήνιδι. A.

31. αἰναρέτη: σύνθετόν ἐσι παρὰ θηλυκόν, ὡς τὸ ὑψαγόρη μισογύνη, ὅπερ ἀγνοῦντες γράφεσιν αἰναρέτης ἵν' ᾖ ὁ χόλος ὁ πολέμιος καὶ ἐχθρὸς ταῖς ἀρεταῖς. ἡ δὲ δίχα τῆ ᾱ ἀνάγνωσις Ἀριςάρχειός ἐσι, κ ἔςιν εἰς αἰνὸν χρώμενε τῇ ἀρετῇ, εἰς ὄλεθρον, ἐκ εἰς σωτηρίαν. δι' ἑνὸς δὲ ὀνόματος ἔπαινον ἐμιξε κ ψόγον· ὅτι μὲν γὰ ἔχει ἀρετήν φησίν, ὅτι δὲ ἐκ ἐπ' ἀγαθῷ τῶν φίλων, διαβάλλει. BL

ἡ διπλῆ, ὅτι τινὲς γράφεσιν αἶν' ἀρετῆς, κ ἐκφέ-ρεσι κατὰ τὸ περισπώμενον, ἵν' ᾖ πρότερον αἰνέ, εἶτα πρὸ τὰ κάτω ἀρετῆς τί σευ ἄλλος ὀνήσε. πιθανώτερον δ

συνθέτως αἰναρέτη, ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων. A.

τῦτο καθ' ἑαυτὸ προενεκτέον· μᾶλλον γ' ἐμφαίνει τὸν χετλιάζοντα. A.

τίς σευ ἄλλος ὀνήσεται ὀψίγονός περ: γίνεται γ' ἐκ τῦ ζήλε καὶ ἐκ τῆς μιμήσεως τῶν παλαιῶν ὠφέλειά τις. ὅθεν καὶ Νέςωρ τὰς οἰκείας διηγεῖται πράξεις, ζῆλον ἐντιθεὶς τοῖς ἀκέεσσιν. B.

33. οὐκ ἄρα σοί γε: ἔκ ἦν, φησίν, ὡς ἔοικέ σοι πατήρ. προαιτησάμενος δὲ συγγνώμην διὰ τῦ δακρύειν πικρότερον ἅπτεται τῶν ἐγκλημάτων· τοιαῦτα γὰρ τὰ τῶν φίλων, καὶ μᾶλλον ὅταν πρὸς κρείσσες παῤῥησιάζωνται. BL.

34. γλαυκὴ δέ σ' ἔτικτε θάλασσα: διὰ τὸ σκυθρωπὸν καὶ δύχρων καὶ ἀπαραίτητον τῆς θαλάσσης, καὶ μάλιςα ἐν χειμῶσι. καὶ τὰς ἀπηνεῖς δὲ Κύκλωπας καὶ Λαιςρυγόνας Ποσειδῶνός φησι καὶ Πολύφημον Θοώσης τῆς Φόρκυνος. γλαυκὴν δὲ ἅπαξ εἰπόντος αὐτὴν Ὁμήρε, Ἡσίοδος ἀντὶ κυρίε αὐτὸ ἐξέλαβεν. ὅρα δὲ πῶς καὶ αὐτὰ τὰ δυσχερῆ δοκοῦντα πρὸς τὰς τῶν γονέων ἁρμόζεσιν οἰκήσεις· ὁ μὲν γὰρ οἰκεῖ τὸ Πήλιον ὄρος, ἡ δὲ τὴν θάλασσαν. BLV.

ἡ διπλῆ, ὅτι νῦν ἅπαξ τὴν θάλασσαν ἐπιθετικῶς γλαυκὴν εἶπεν. τῦτο δέ φησι διὰ τὸ τῆς θαλάσσης ἐπικίνδυνον καὶ ἀνηλεὲς καὶ τῶν πετρῶν τὸ σκληρόν. ὁ δὲ Ἡσίοδος χωρὶς τῦ θάλασσά φησι „καὶ τοῖς οἳ γλαυκὴν δυσπέμφελον" (Th. 440). A.

35 ὅ τι τοι: τρία μέρη λόγε, ἵν' ᾖ τὸ ὅ ἀντὶ τῦ διό. περισσεύει δὲ τὸ τι. Ἀρίσαρχος δὲ γράφει ὅτε τοι. V.

36. εἰ δέ τινα: ἐρεθισικῶς ταῦτα τῷ φιλοδόξῳ φησί, πρὸς ὃ μάλιςα δηχθεὶς ἀπολογεῖται ὡς ἐ δέει θανάτου τὸ λειποτάξιον πεποίηται. BL.

37. Θέτις καταναγκαθεῖσα ὑπὸ Διὸς Πηλεῖ γαμηθῆναι, τὰ γεννώμενα παιδία εἰς πῦρ ἔβαλλε, νομίζεσα τὰς θνητὰς τῷ πυρὶ σάρκας καταφλέξειν, τὸ δὲ ἀθάνατον διαφυλάξειν. οὕτως ἓξ παῖδας διέφθειρεν. ἕβδομον δὲ γενόμενον Ἀχιλλέα ὁμοίως εἰς τὸ πῦρ ἔβαλλεν· θεασάμενος δὲ Πηλεὺς ἁφῄρπασε τὸν παῖδα, καὶ ἐνεγκὼν εἰς τὸ Πήλιον ὄρος τρέφειν παρέδωκε Χείρωνι. ὁ δὲ λεόντων καὶ ἄρκτων μυελοῖς τρέφων ἐκάλεσεν Ἀχιλλέα· διδάξας δὲ τὴν ἰατρικὴν τέχνην καὶ λυρικὴν καὶ μεσικὴν ἀπέδωκε τῷ πατρί. ἀγανακτήσασα δὲ Θέτις καὶ καταλιποῦσα τὸν Πηλέα ἐχωρίσθη εἰς θάλασσαν. στρατευομένῳ δὲ ἐπὶ Ἴλιον τῷ Ἀχιλλεῖ προεῖπεν ὅτι πολεμῶν μὲν Τρωσὶ ζωὴν ὀλιγοχρόνιον κτήσεται, πλείςην δὲ τὴν δόξαν, ἀπεχόμενος δὲ τῆς μάχης ἄδοξον μὲν βίον πολυχρόνιον δὲ διάξει. ἃ μαθὼν ὁ Ἀχιλλεύς, δόξαν αἰώνιον ζωῆς προσκαίρε προκρίνας, ἐςράτευσεν. ἡ ἱςορία παρὰ Λυκάονι. AD.

41. ἡ διπλῆ, ὅτι τὸ ἴσκοντες ἀνάλογόν ἐςι τῷ κατὰ διαίρεσιν ἑἴσκοντες, ὁμοιοῦντες· „ἔικτο δὲ θέσκελον αὐτῷ" (Il. 23, 107). ἡ δὲ ἀναφορὰ πρὸς τὰς ἀπεκδεξαμένους τὸ „ἔσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν" (Od. 19, 203)· τὸ δ' ἔσκεν ὑπολαμβάνσι κεῖθι ἀντὶ τῦ ἔλεγεν, ἐκ ὀρθῶς. A. ἄλλως. ὁ Ἀσκαλωνίτης κατὰ ἀφαίρεσίν φησιν εἶναι τῦ ἔ τὸ ἴσκοντες· Ἀρίσαρχος δὲ ἐκτεταμένως ἀναγινώσκει, παρὰ τὸ εἴσκω ἐκδεξάμενος. ἄμεινον δὲ ἡ τῦ Πτολεμαίου ἀνάγνωσις· πρὸ γὰρ τῆς διὰ τῦ σκω παραγωγῆς σπάνιόν ἐςι δίφθογγον εὑρεθῆναι, ὅτι μὴ τὴν αὖ. ταύτῃ δέ μοι δοκεῖ ἀπὸ τῦ εἶδω εἶναι ὁ μέλλων εἴσω· καὶ ἅμα τῇ ἐπενθέσει τῦ κ εἴσκω γεγενῆθαι κατὰ τὴν διαίρεσιν, ἵνα μὴ δίφθογγος γένηται, καὶ ἀποβολῇ τῦ ε ἴσκω. ἔτως ἓν καὶ τὸ ἴσκοντες ὀφείλομεν κατὰ ἀποβολὴν τοῦ ε ἀναγινώσκειν· οὐ γὰρ μέτρον κωλύει. A.

ὁμοιοῦντες. οἱ δὲ νεώτεροι ἐπὶ τῦ λέγοντος τάττεσι τὴν λέξιν. καλῶς δὲ καὶ λίαν ἐντέχνως, ὀνειδίσας δειλίαν, ἐγγὺς τέθεικε τὸ τῆς ὑπεροχῆς, εἴγε μόνη φαντασία Ἀχιλλέως ἱκανὴ τρέψαθαι τὰς πολεμίας. BL.

43. ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο: ἡ περιλειπομένη αὐτοῖς τῦ πολέμου ἀναπνοὴ μικρά ἐςιν· ἔτι γὰρ ὅσον καὶ ἀπολώλασι· δεῖ ἓν ταχὺ ἐπιβοηθῆσαι. ἢ καὶ ἔτως· ὀλίγον ἐςὶ δι' ἓ ἀνάπνευσις πολέμε γίνεται, ἵνα κατασκευάζῃ ὅτι ἐκείνας μὲν μέγα ὠφελήσομεν, αὐτοὶ δὲ ὀλίγον πονήσομεν. καὶ ἔςαι σύμφωνον καὶ τὸ ἐπιφερόμενον, τὸ „ῥεῖα δέ κ' ἀκμῆτες." δεῖ γὰρ ἐπὶ τελευτῇ τῦ λόγε καὶ ῥίζην τὴν βοήθειαν ἀποδεῖξαι, ἵνα καὶ διὰ τάτε προτρέψηται. BL.

44. ἀκμῆτες: ὡς ἀδμῆτες· καὶ καθόλε, ὅσα παρακείμενα συντέθειται ὀνόματα εἰς ης λήγοντα, ὧν τὸ τέλος μίαν συλλαβὴν ἀποφέρει τῦ ῥήματος μετὰ δύο συμφώνων, ὀξύνει, οἷον ἰθυντής· μία συλλαβὴ ἐπὶ τέλεσ ἀπὸ παρακειμένε, καὶ δύο σύμφωνα πρὸ τοῦ η. φλεβοτμής, ἀβλής, προβλής. ἔτως ἀκμής. A.

44. 45. οἱ ἀςερίσκοι, ὅτι ὑπὸ Νέςορος ἐκ ὀρθῶς λέγονται (Il. 11, 801). A.

46. μέγα νήπιος: ὡς ἀνεννόητος τῶν μελλόντων. αἱ δὲ προαναφωνήσεις αὗται τὸν ἀκροατὴν ἐπαίρεσιν, ἤδη προσδοκῶντα τὸ δεινόν. BL.

ὡς „νηπίη, οὐθ' ἑνόησεν ὅ μιν μάλα τῆλε λοετρῶν" (Il. 22, 445). V.

ἡ μὲν συνήθεια ἀνεπιτηδεύτως συνάπτει ἄχρι τῦ μέγα νήπιος· τάχα δ' ἂν μείζων γένοιτο ἡ ἔμφασις, εἰ καθ' ἑαυτὸ λέγοιτο τὸ μέγα νήπιος. A.

ἡ διπλῆ, ὅτι καὶ νῦν τὸ ἔμελλε σαφῶς ἐκ ἐπὶ χρόνε· ὁ γὰρ ἔμελλε λιτανεύσειν, ἀλλ' ἐλιτάνευσεν. ἔςι δὲ ἀντὶ τῦ ἐώκει. καὶ ὅτι διὰ μέσε ἀναπεφώνηται τὸ „ἦ γὰρ ἔμελλεν οἱ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι," ὡς καὶ ἐν Ὀδυσσείᾳ (1, 18) „ἐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων καὶ μετὰ οἷσι φίλοισιν." A.

47. λιτέσθαι: ἐχρῆν μὲν αὐτὸ προπαροξύνεσθαι· ἐνεγκῶτος γάρ ἐςιν, ὡς καὶ τὸ νοητὸν ἀπαιτεῖ. ὅμως ἡ παράδοσις παροξύνει· ἐνεγκῶτος γὰρ ὂν ὡς ἀορίςου παρωξύνθη. ἔχει δὲ καὶ λόγε· τὰ γὰρ εἰς θαι ἀπαρέμφατα τῷ ε παραληγόμενα, ἐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλες τὸ ι συνεσαλμένον, μὴ ἐπιφερόμενε διπλῦ μηδὲ δύο συμφώνων, παροξύνει, ἱκέσθαι ἰδέσθαι λιπέσθαι πιθέσθαι καὶ λιτέσθαι. λέγει δὲ ὅτι ἔμελλε πρὸς ἑαυτῷ βλάβην παρακαλεῖν·

ἤτοι ἡ παράκλησις αὐτοῦ εἰς θάνατον ἐτελεύτα. τὸ δὲ ἔμελλεν ἀντὶ τοῦ ἐώκει· οὐ γὰρ αὖθις ἔμελλε παρακαλεῖν. BL.

ὁ Ἀσκαλωνίτης ἀξιοῖ ὁμοίως τῷ λίσσεωϑ, ἐπεὶ ἐνεσῶτος χρόνου ἀπὸ ὁρισικῆ τῆ λίττομαι. εἰσὶ δὲ οἳ παροξύνουσιν ὁμοίως τῷ λαβέωϑ. ἐγὼ δ' ἐπαινῶ τὸν Ἀσκαλωνίτην προπαροξύνοντα ἐπὶ ἐνεσῶτος· τῦτο γάρ ἐστι καὶ τὸ δηλούμενον· ἔμελλε γὰρ αὐτῷ θάνατον λίσσεωϑ. δοκεῖ δέ μοι ἡ πλείων παράδοσις παροξύνειν ἐκ ἀπιθάνως. ὅπερ γὰρ τρόπον ἐν ἑτέροις διαλαμβάνων περὶ τῆ „μεταλλῆσαι καὶ ἐρέωϑ" (Od. 3, 69), ἀξιόντων πάντων τῷ ἐρέωϑ ὁμοίως τῷ πυϑέωϑ, ἐπειδήπερ μέσος δεύτερος ἀόριστός ἐστιν, ἀπεφηνάμην ὡς ἡ παράδοσις τρίτην ἀπὸ τέλους ἐποίησε τὴν ὀξεῖαν, ὑ τῷ σημαινομένῳ πειϑεῖσα ἀλλὰ τῷ χαρακτῆρι τῆς φωνῆς, ἐπὶ τὰ τοιαῦτα τῶν ἀπαρεμφάτων προπαρωξύνετο, ὄντα ἐνεσῶτος, οἷον φέρεωϑ δίρεωϑ, καὶ εἶχε τὴν ρε συλλαβὴν πρὸ τέλους, τῆς ἀρχούσης συλλαβῆς εἰς τὸ ε ληγούσης. ὕτως καὶ τὸ ἔρεωϑ ἀναδεξάμενον τὸν αὐτὸν χαρακτῆρα προπαρωξύνετο, ὑ τῷ λόγῳ τῦ ἀορίστου, τῇ δὲ ὁμοιότητι τῆς φωνῆς. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῦ προκειμένου. ὀφείλει γὰρ τὸ λιτέωϑ προπαροξύνεσϑαι· τῦτο γὰρ αἰτεῖ καὶ τὸ νοητὸν καὶ ὁ χηματισμός, παρὰ τὸ λίτομαι, ἀλλ' ἐπὶ τὰ εἰς ῶμαι ἀπαρέμφατα τῷ ε παραληγόμενα, ἐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ τὸ ι συνεζαλμένον, μὴ ἐπιφερομένων αὐτῷ μήτε δύο συμφώνων μήτε διπλῆ, παρωξύνετο, ὥσπερ ἔχει τὸ λιπέωϑ πιϑέωϑ ἰδέωϑ ἱκέωϑ, ὕτως καὶ τὸ λιτέωϑ παρώξυνεν ἡ παράδοσις, ὑ τῷ λόγῳ τῦ ἐνεσῶτος πειϑεῖσα, τῷ δὲ τῦ χαρακτῆρος. παρεκτέταται τὸ κεφάλαιον τῷ Ἡρωδιανῷ. A.

50. ἦν τινα: Ἀρίσαρχος εἴ τινα, ἵν' ᾖ ἠϑικώτερον· εἰ καὶ οἶδα, φησί, τινὰ μαντείαν, ἀλλ' οὐ φροντίζω αὐτῆς. μέμνηϑ δὲ τῆς μαντείας ἐν ταῖς λιταῖς. χειλιάζει δ' ἐν πρὸς τὸ „εἰ δέ τινα φρεσὶ σῇδι" (36). πρὸς δὲ τὸν Πάτροκλον καὶ εὔλογος ἡ ἀγανάκτησις, ὅτι ὡς ἀγνοῶν τὴν αἰτίαν τῆς μήνιδος Ἀχιλλέως ταῦτα ἔφη· ὅϑεν καὶ ἄνωϑεν διηγεῖϑ τὸ γνωριμώτατον, ὥσπερ ἐξελέγχων αὐτὸν ὅτι τὴν αἰτίαν εἰδὼς τῆς ὀργῆς ἄλλας ὑπονοίας ἐκόμιζε μὴ ὔσας ἱκανάς (ἀγαϑάς L). BL.

53. δή: Ἀρίσαρχος τις. V.

ἀμέρσαι: μέρους σερῆσαι. μέτριον δὲ τὸ μὴ φάναι κρείσσονα, ἀλλ' ὅμοιον. L. ἄνδρα ἀπὸ κοινῆ. V.

53. 54. τὸ δίσιχον τῦτο ἢ τοῖς ἄνω προσδοτέον, ἵνα τὸ προβεβήκει σίζωμεν, ἢ τοῖς ἑξῆς, ἵνα τὸ μὲν ἱκάνει σίζωμεν, τὸ δὲ προβεβήκει ὑποσίζωμεν. A.

54. ἄψ ἀφελέσϑαι: δὶς πάλιν σερῆσαι. τὸ δὲ ὅτε ἀντὶ τῦ ἐπεί· ἢ ἀντὶ τῦ ὅσε, ἵν' ᾖ, ὁππότ' ἀνὴρ ὅσε κράτεϊ προβέβηκε, τὸν ὅμοιον ἐϑέλησιν ἀμέρσαι. προβέβηκε δὲ πρῦχει τῶν ἄλλων. κράτεϊ δὲ τῇ ἀρχῇ, τῇ βασιλείᾳ. ἴσως δὲ ἐκείνων μέμνηϑ ὧν ἔλεγε Νέσωρ· „ἀλλ' ὅδε φέρτερός ἐστιν, ἐπεὶ πλειόνεσσιν ἀνάσσει" (Il. 1, 281). καὶ Ἀγαμέμνων „καί μοι ὑποσκήτω ὅσσον βασιλεύτερός εἰμι" (Il. 9, 160). L.

56. κύρην ἦνε ταῦτα ἀπ' ἄλλης ἀρχῆς· παραδιηγεῖϑ γὰρ τὰ γεγονότα. ὑποσκτέον δὲ ἐπὶ τὸ Ἀχαιῶν καὶ πέρσας. A.

τὸν φόβον τῦ ϑανάτε ἀπωσάμενος ἐπὶ τὴν ὀργὴν μετέσησε τὴν αἰτίαν. καὶ πρὸς εἰδότα μέν φησιν, ὃς καὶ τῆς χειρὸς ἐξήγαγε τὴν παῖδα καὶ παρέδωκε τοῖς κήρυξιν, ἔστι δὲ ἠϑικόν· ἔϑος γὰρ τοῖς ϑυμουμένοις τὰ αὐτὰ πρὸς τὰς εἰδότας διηγεῖϑ. ἄλλως τε καὶ ἀνάγκη προσβαλεῖν τὴν αἰτίαν ἐπεὶ ὑπερτίϑεϑ τὴν ἔξοδον. καὶ τῷ Πατρόκλῳ δὲ μεγάλου ὄφελει δοκεῖν χαρίζεϑ, ἐκδιδὺς αὐτὸν μεϑ' ὕβριν τοσαύτην· εὖ δὲ καὶ δύο δικαιώματα προβέβληϑ, ὅτι τε παρ' Ἑλλήνων τὸ γέρας εἴληφεν, ὑ παρ' Ἀγαμέμνονος, καὶ ὅτι ἐξ ὧν ἔκαμε λαβὼν ἀφῄρηται. BLV.

δι' ὅλε φαινεϑ τῦ ὀνόματος κρατῶν, καὶ γέρας, ὑ παλλακίδα καλεῖ. V.

57. ἡ διπλῆ, ὅτι ἰδίως καὶ παρὰ τὴν ἡμετέραν συνήϑειαν κτεάτισσα κατὰ τὸ ἐνεργητικόν, ἀντὶ τῦ ἐκτησάμην. καὶ ἐν Ὀδυσσείᾳ (2, 102) „πολλὰ κτεατίσσας" ἀντὶ τῦ κτησάμενος. A.

ἡ τετριμμένη ἀνάγνωσις προπαροξύνει τὸ εὐτείχεα τοῦ λόγου ἀξιοῦντος παροξύνειν, εἴγε τὸ εὐτειχής ὀφείλει ὀξύνεσϑαι. τὰ γὰρ παρ' ἑϑέτερα δισύλλαβα εἰς ος λήγοντα, μὴ τῷ η παραληγόμενα, συντιϑέμενα, εἰς ης λήγοντα, ἀρσενικὰ ὀνόματα ὀξύνεϑ ἐπιϑετικὰ ὄντα, εἴδος εὐειδής, βάϑος „ἀγχιβαϑὴς δὲ ϑάλασσα" (Od. 5, 413). τὴ παρῃτησάμην διὰ τὸ εὐμήκης, τὴν δισύλλαβιαν διὰ τὸ εὐμεγέϑης, τῶν παρὰ τὸ ἔτος ὑπεξαιρεμένων· „ὄτριχας" γὰρ „οἰέτεας" ἀνέγνωμεν (Il. 2, 765)· μόνως ἂν εὐτειχής ἡ εὐτειχέα. δευτέρῳ λόγῳ, ὅσοις κυρίοις εἰς ης λήγουσι βαρυτόνοις συνϑέτοις παράκειϑ ἐπιϑετικὰ ὀξυνόμενα, Διογένης αὐτὰρ ὁ διογενής, Πολυνίκης – ἀλλὰ πολυνικὴς διελέγη Παγκράτης – παγκρατὴς ἀλήϑεια, Εὐρυσθένης – ὁ πλῶτος εὐρυσθενής. εἰ δὴ Εὐτείχης ὄνομα κύριον παρὰ Ἀλκμᾶνι ὀξύνεϑ τὸ ἐπιϑετικόν. πόϑεν ἂν ἡ τετριμμένη βαρεῖα τάσις; δώσομεν ἀφορμήν. τὰ εἰς ος λήγοντα ἑϑέτερα συντιϑέμενα ἀπ' εὐϑείας συντίϑεϑ, ξίφος ἄξιφος· μόνον τὸ τεῖχος καὶ ἀπὸ γενικῆς, τείχεος εὐτείχεος, ἀφ' οὗ τὸ „δῶσι πόλιν Τροίῃ εὐτείχεον ἐξαλαπάξαι" (Il. 1, 129). μεταπλασμὸς εὐτείχεος ὡς πυργοκέρατον πυργοκέρατα. πάϑος παρέλαβον, ἵνα βοηϑήσω τῇ τετριμμένῃ τάσει. A.

τὴν Πήδασον οἱ τῶν Κυπρίων ποιηταί, αὐτὸς δὲ Λυρνησόν (Il. 2, 690). σημειωτέον δὲ τῦτο πρὸς τὸ „δῶσι πόλιν Τροίης εὐτείχεος," ὅτι ἐ μόνον Τροία εὐτειχής. V.

58. ἅτε τὸ κρείων ἀμύζον ἐχθρῷ παρὰ ἐχθρῦ, οὗ τὸ ἐκ χειρῶν ἀφείλετο Ἀγαμέμνων ἀληϑές· οἱ γὰρ κήρυκες παρέλαβον αὐτήν. ῥητέον δὲ ὡς τὸ μὲν πρότερον ἠϑικῶς ἠϑει ἀναπεφώνηϑ, ὥσπερ εἰ ἔλεγεν ἀναχετλιάζων ὁ ϑαυμάσιος καὶ κράτιστος· τὸ δὲ δεύτερον ὑ ψεῦδος, ὅτι τὰς αἰτίας ὑ τοῖς ὑπηρέταις ἀλλὰ τοῖς ἐπιτάττουσι λογιστέον. ἔχει δὲ καὶ ἔνδειξιν ὁ λόγος πολλήν, καὶ αὔξει τὴν κατηγορίαν. i

δὲ τῇ ῥητορικῇ καὶ ἑνὸς ὀνόματος χρῆσις εὔκαιρος τὸ ὅλον ἑτεροποιεῖ. BL.

59. μετανάστην: ἐν τῇ Μασσαλιωτικῇ καὶ τῇ Ῥιανοῦ μεταναστεῖν, καὶ ἀκούουσι τὴν Βρισηΐδα. ἐδόκουν δὲ ἀτιμότεροι εἶναι οἱ μέτοικοι ὡς διὰ μοχθηρίαν τρόπων τὰς ἰδίας καταλιπόντες. „κατὰ ξένου μετοίκου" ὁ κωμικός. V.

ὁ μὲν Ἀρίσταρχος γράφει μεταναστήν, καὶ πρὸς τὴν Βρισηΐδα ἀκούει· ὁ δὲ Ἡρωδιανὸς αἰτιατικὴν ἀντὶ γενικῆς φησίν, ἵν' ᾖ, ὡς ἐκ χειρὸς ἀτιμήτου μετανάστου ἀφείλετο. BL.

ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἀτιμήτου μετανάστου, ὡς τὸ „ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1, 299) ἀντὶ τοῦ ἐμοῦ. A.

60. ἡ διπλῆ, ὅτι τὸ ἐάσομεν ἀντὶ τοῦ ἐάσωμεν. A.

61. ἀσπερχές: ἀδιαλείπτως, ἄγαν ἐπιτεταμένως, ἀμεταβλητί. B. ἀντιφράζει αὐτὸ τῷ „οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν" (62). V.

βέλτιον τοῖς πρώτοις τὸ ἐνὶ φρεσίν συντάττειν. A.

ὅτι τὸ ἔφην γε ἀντὶ τοῦ διενοήθην. A.

62. μηνιθμόν: μῆνιν, ὀργήν. παραχηματισμὸς ὁ τρόπος. D.

πρὸς τὸ μηνιθμόν, ὅτι παραλλήλως τέταχε τῷ χόλῳ. A.

μέμνηθ' ὧν ἐν λιταῖς ἠπείλησε „πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον Μυρμιδόνων ἐπί τε κλισίας νῆάς τι ἱκέσθαι" (Il. 9, 651). V.

64. τύνη δ': οὐ βούλεται ταχεῖαν κρίσιν ἐπαγαγεῖν τῷ πολέμῳ· διὸ καταχὼν Ἀχιλλέα προαπόπειράν τινα διὰ Πατρόκλου ποιεῖθ', ἵνα λαμπρὸν τοῦτον ἐπιδείξας λαμπρότερον μετ' αὐτὸν ἐξαγάγῃ Ἀχιλλέα. BL.

65. ἄρχε μάχεσθαι: πρὸς τὸ μάχεσθαι ἡγοῦ, οὐ πρὸς τὸ δεσπόζειν. BL.

ἀναγκαῖαι αἱ διαστολαί, μάχεσθαι, ἐπικρατέως, Ἀργεῖοι· στικτέον δὲ ἐπὶ τὸ θάρσυνος. A.

66. εἰ δή: εἰ δὴ τὸ τῶν Τρώων πλῆθος ὡς νέφος κατέχει τὸν ναύσταθμον. νέφος γὰρ νῦν τὸ τῶν στρατιωτικῶν πλῆθος. AD.

εἰ δὴ ταῦτα οὕτως ἔχει ὡς φῄς. γράφεθ' δὲ καὶ ᾗ δή, ἵν' ᾖ, ἐν ᾧ τόπῳ τὸ τῶν πολεμούντων πλῆθος ἀμετακίνητόν ἐστιν, ἐκεῖ καὶ αὐτὸς ἄρχε Μυρμιδόσιν. BDL. ὅθεν φησὶν „ὡς δ' ὅθ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο κινήσει πυκινὴν νεφέλην στεροπηγέρα Ζεύς" (297). V.

ἀμφιβέβηκε: περικεκύκλωκε. V.

68. κεκλίαται: προσανάκεινθ' καὶ περικλείονθ' τῷ τῆς θαλάσσης αἰγιαλῷ. ἀεὶ δὲ ἡ κλίσις παρ' Ὁμήρῳ τὴν περιοχὴν δηλοῖ. A.

ἄλλως. ἠγνόησαν οἱ πολλοὶ ὅτι ἡ κλίσις παρ' Ὁμήρῳ τὴν περιοχὴν σημαίνει, καὶ πάντα τὰ ἐσχηματισμένα ἀπ' αὐτῆς ῥήματα, οἷον „οἱ δὲ ῥηγμῖνι θαλάσσης κεκλίαθ', χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες." λέγει γὰρ ὅτι περιεχόμενοι ὑπὸ τῶν Τρώων ἐπὶ ῥηγμῖνι θαλάσσης συνηλάθησαν. οὕτως λύσεις καὶ τὸ „ὣς οἱ μὲν — ὤμοισι κλίναντες" (Il. 22, 1—4)· λέγει γὰρ περιεχόμενοι τῷ τείχει οἱ Τρῶες, οἱ δ' Ἀχαιοὶ τὰ σάκη περιέχοντες τοῖς ὤμοις. καὶ τὸ „εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα ἥμενον, ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω" (Il. 5, 355), δῆλον περιέχεθ'. καὶ περὶ τοῦ „κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο" (Od. 13, 235), κεῖται περιεχομένη. πάλιν ὡσαύτως καὶ τὸ „ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε μέγα πλέτοιο μεμηλώς, λίμνῃ κεκλιμένος" (Il. 5, 708), δῆλον περιεχόμενος. καὶ τὸ „οἳ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυθ', ἀσπίσι κεκλιμένοι" (Il. 3, 134) ἀντὶ τοῦ περιεχόμενοι ὑπὸ τῶν ἀσπίδων. γέγονε δὲ ἀπὸ τοῦ κλείω· τὸ γὰρ ἀποκλεισθὲν περιέχεθ'· „οὐδὲ πύλῃσιν εὗρεν ἐπικεκλιμένας σανίδας" (Il. 12, 120). τὸ δ' αὐτὸ παρίστησι καὶ τὸ „ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα" (Il. 15, 739), ἀντὶ τοῦ ὑπὸ τοῦ πόντου περιεχόμενοι. A.

βραχὺ διαστολτέον μετὰ τὸ κεκλίαται πρὸς τὸ σαφέστερον. A.

69. Τρώων δὲ πόλις: τὸ πλῆθος τῶν Τρώων. πόλις γὰρ διχῶς λέγεθ', ἥ τε κατασκευὴ τῶν οἰκημάτων καὶ τὸ κατοικοῦν πλῆθος. πόλις οὖν ἀντὶ τοῦ οἱ πολῖται, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. ABD. ἢ τὴν Τροίαν φησὶν ἐπιβεβηκέναι τῷ ναυστάθμῳ, ἐναργῆ τιθεὶς φαντασίαν, ὡς εἴ τις ἐπιβῇ νεκρῷ. V.

διὰ τοῦ πόλις τοὺς πολίτας παρέστησεν, ἀπὸ τοῦ περιέχοντος τὸ ἐντὸς δηλῶν. BL.

70. θάρσυνος: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ τεθαρσηκυῖα. A.

λεύσουσι: ἡ πόλις ἢ οἱ Τρῶες. οὐκ ἐξέκλινον δὲ οἱ παλαιοὶ τὸ αὐτοέπαινον. μεγαλοφυῶς δὲ φθέγγεθ'· οὐ γὰρ ἔφη ὅτι δεδοίκασι μαχόμενον, ἀλλ' ὡς μηδὲ τὴν αὐγὴν τῶν ὅπλων αὐτοῦ ὑφισταμένων τῶν βαρβάρων. BL.

71. ἐγγύθι λαμπομένης: ἧς καὶ μακρὰν ἀπούσης οὗτοι δοκοῦσι πλησίον εἶναι διὰ τὸν φόβον. BL.

οὕτως ἐναύλους διὰ τοῦ ν̄. A. τοὺς διὰ στενοῦ ῥέοντας ποταμούς, διώρυχας. D.

προαναφθέγγεθ' τὴν παραποτάμιον μάχην· φησὶ γὰρ ὁ Σκάμανδρος „οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον, στεινόμενος νεκύεσσιν" (Il. 21, 219). ἔναυλοι δὲ τὰ ἐν ὄρεσι κοιλώματα. οἱ δὲ ἐναύλους τοὺς παρὰ τὴν τάφρον τόπους, ἔνθα ἐστρατοπεδεύοντο οἱ Τρῶες. οἱ δὲ τοὺς ἀγρούς. οἱ δὲ στενὰς διώρυχας· αὐλὸς γὰρ πᾶν τὸ στενὸν καὶ βαθὺ καὶ ἐπίμηκες. BLV.

73. εἰδείη: εἰδὼς ἦν· οὐ γὰρ εἰς φιλίαν αὐτὸν προκαλεῖται. καλῶς δὲ ἔφρασε τὸ εὐνοεῖν. BL.

74. οὐ γὰρ Τυδείδεω: πρὸς τὸ „μὴ ὄφελες λίσσεσθαι" (Il. 9, 692) ἀντιλέγει· καὶ ὅτι αὐχηματίας ὢν ἔλεγεν „εἰ καὶ ἐμὸν δόρυ μαίνεται." BL. ἢ ἐπειδὴ πρῶτος ἠρίστευσε Διομήδης, εἶτα Ἀγαμέμνων. V.

ἡ διπλῆ, ὅτι ἔοικεν ἀκηκοότι τὰ εἰρημένα ὑπὸ Διομήδους μετὰ τὴν πρεσβείαν. A.

75. ἀπὸ λοιγὸν ἀμῦναι: τὸ ἑξῆς ἐστὶν ἀπαμῦναι· διὸ οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν. A.

76. οὐδέπω Ἀτρείδεω ὀπὸς ἔκλυον: ὅτι στρατηγος ὢν οὐ θαῤῥεῖ προτρέπειν τὰ πλήθη. οἱ δὲ πρὸς τὸ „καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ ἔνι ἔῤῥιγ' ἀντιβολῆσαι" (Il. 7

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

13). οἱ δέ, ὅτι πρὸ τῆς ἀριστείας ἐβόησεν· „ἠδὲ ζώννυθ᾽ νωγεν" (Il. 11, 15). AL.

ὀπὸς: ἔν τισι τῶν ὑπομνημάτων ἔπος. A.

αὐδήσαντος: παρακελεύσαντος. V.

Πορφυρίω. διὰ τί ὁ Ἀχιλλεὺς ἐπὶ καθαιρέσει Διομή- 5 δους μέμνηται καὶ Ἀγαμέμνονος καὶ ἑδενὸς ἄλλου, λέγων „οὐδ᾽ Τυδείδεω Διομήδεος, ἐδέ πω Ἀτρείδεω;" ῥητέον ἔν τι Ἀγαμέμνονος μὲν εἰκότως· ἦν γὰρ ἐχθρὸς αὐτῷ· καὶ Διομήδους δὲ διὰ λόγους ὑβριστικούς, ὃς εἰς αὐτὸν ἀπερρίφει μετὰ τὴν πρεσβείαν· λέγει γάρ „μὴ ὄφελες λίσσεσθαι ἀμύμονα 10 Πηλείωνα" (Il. 9, 698). ABD.

77. ἐχθρῆς ἐκ κεφαλῆς: τὸ ἦθος τῶ ὠργισμένου ἔτι διατηρεῖ ὁ ποιητής· γενόμενος γὰρ ἐπὶ τὸ ὄνομα τοῦ Ἀγαμέμνονος, καθὸ καὶ κεκίνηται, ἐνδιατρίβει βλασφημῶν. BL.

78. περιάγνυται: παραπορεύεται. V.

79. βραχὺ διασαλτέον κατέχεσι. A.

80. νεῶν ἀπὸ λοιγὸν ἀμύνων: ἐκ ἀφίσαται τῶ ὀνόματος τῶν νεῶν. τῶτο δὲ δι᾽ ὅλε παραγγέλλει, τὸν ἀπὸ τῶν νεῶν κίνδυνον ἀπώσαθαι μόνον, μὴ περαιτέρω δὲ προβαλεῖν ἑαυτόν. διὸ καὶ ἐπιφέρει „μὴ δὴ πυρὸς αἰθομένοιο νῆας ἐνιπρήσωσι" καὶ ἑξῆς „ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν." διὰ γὰρ τὴν εἰς Ἀγαμέμνονα ὀργὴν ἃ βέλεται ἄλλο τι καταπράξαθαι ἢ τὰς ναῦς περισῶσαι. BL.

τὸ ἑξῆς ἀπάμυνον. οἱ δὲ ἀναστρέφουσι τὴν ἀπό. V.

81. ἡ διπλῆ, ὅτι παθητικὸν ἀντὶ ἐνεργητικῶ, αἰθομένοιο ἀντὶ τῶ αἴθοντος· καὶ ὅτι ἡ ὑπό πρόθεσις ἐλλείπει, ὑπὸ πυρός. βραχὺ δὲ διασαλτέον, ἐπικρατέως. τάχα δ᾽ ἂν εἰ σίζοιμεν τελείᾳ, ἐμφατικώτερα ἔσαι τὰ ἑξῆς καθ᾽ ἑαυτὰ λεγόμενα. A.

83. πείθεο δ᾽ ὥς τοι ἐγώ: βάσκανον ἐνταῦθα τὸ ἦθος ἐκ ἐῶντος τὸν φίλον ἀπολαμπρύνεσθαι τέλεον. ἀπρεπὲς δὲ καὶ τὸ παλλακίδος καὶ δώρων μεμνῆσθαι. ἢ τοίνυν ὡς φιλέταιρος ἐξίσησιν αὐτὸν τῶν κινδύνων, εἰδὼς ὑπὲρ μὲν τῶν νεῶν ἅπαντας αὐτῷ συγκινδυνεύσοντας, μετὰ δὲ ταῦτα ἐκέτι θελήσοντας συνακολουθεῖν διὰ τὸν κάματον. πῶς ἂν ἐκ ἐκφέρει ταῦτα πρὸς τὸν Πάτροκλον, εἴπερ ἕτω διενοεῖτο; ἢ τὸ μὲν ἀληθὲς εἰπὼν ἤδει Πάτροκλον τῆς ἰδίας σωτηρίας καταφρονήσοντα· ἐφ᾽ ἑαυτὸν δὲ περισπάσας τὴν αἰτίαν ἤδει Πάτροκλον φυλαξόμενον. ὅτι δὲ κηδεμονικῶς ταῦτα τῷ φίλῳ συμβελεύει, ἐπιμαρτυρεῖ καὶ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς· „νήπιος, εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν, ἦ τ᾽ ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο" (686). ὑποφαίνει δὲ τὴν προαίρεσιν αὐτῶ, ἐπαγαγὼν τὸ „μή τις ἀπ᾽ Οὐλύμποιο θεῶν," εὐπρεπῶς ἃ Τρῶας ἀλλὰ τὸν Ἀπόλλωνα δεδοικώς. οὐ βασκανίας ἂν κριτέον Ἀχιλλέα ἀλλὰ φιλεταιρίας, ὅς γέ φησιν εὐχόμενος „ἦ ῥα καὶ οἷος ἐπίσταται πολεμίζειν" (243). BLV.

84 — 86. τὰς τρεῖς σίχας ἢ τοῖς ἄνω προσδοτέον, ἵνα σίζωμεν ἐπὶ τὸ πόρωσιν, ἢ τοῖς ἑξῆς, ἵνα ἀπ᾽ ἄλλης ἀρχῆς ἀναγινώσκωμεν ὡς ἄν μοι τιμὴν μεγάλην, καὶ ὑποσίζωμεν ἐπὶ τὸ πόρωσιν. ὃ καὶ βέλτιον· καλῶς γὰρ ἔχει πρώτην μὲν τὴν ἐντολὴν λέγεσθαι, πείθητί ὡς ἐγώ σοι λέγω, ἔπειτα αὐτὸ τὸ πρᾶγμα προφέρεσθαι· ἵνα δόξαν τε καὶ τιμὴν παρ᾽ Ἕλλησι ποιήσειας, ἀπελάσας τὸς Τρῶας ὑποσρεφε. A.

85. ἀτὰρ οἱ: τὸ οἱ ἄρθρον ἐξὶν ἐγκλιτικόν· διὸ ἐν τῇ συντάξει ἐγκλιτέον. A.

ὀρθοτονητέον τὴν οἱ· ἄρθρον γάρ ἐξι πληθυντικόν, ἵν᾽ ᾖ οἱ δὲ Ἕλληνες. ἔρωτα δὲ παλλακίδος καὶ φιλαργυρίαν ἐπιδείκνυνται οἱ σίχοι. BL.

86. ἂψ ἀπονάσσωσιν: εἰς τὲπίσω ἀποκαταξήσσσιν, ἀποδώσσσιν. A.

87. ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν: ἀπελάσας, φησί, μόνον τῶν νεῶν ἴεσο τῇδε, μὴ φιλοτιμότερον τῇ νίκῃ χρώμενος καὶ διώκων. BL.

τὸ αὖ περισπαξέον· δύο γάρ ἐξιν, αὖ καὶ τοί. A.

88. ἀρέσθαι: παροξυτονητέον· ἔσι γὰρ μέσος δεύτερος ἀόριστος. A.

89. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος τῆτον καὶ τὸν ἑξῆς ἦρκεν, πεποίηκε δὲ ἕτως „μὴ σύ γ᾽ ἀγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι," ἵν᾽ ἐπιβάλλῃ ἡ συνέπεια. ἀναγκαῖοι δέ εἰσι· σκοπὸς γὰρ τῷ Ἀχιλλεῖ μὴ ἀτιμωθῆναι τάτε κατευημερήσαντος. A.

90. ὁ Ἀσκαλωνίτης ἀπόλυτον καὶ μονοσύλλαβον ἐξεδέξατο τὴν μέ ἀντωνυμίαν· διὸ καὶ ἐγκλιτικῶς ἀνέγνω· οὐ γὰρ πρὸς ἕτερον πρόσωπόν ἐξιν αὐτῷ ἡ διαζολή. καὶ ἕτως ἔχει ἡ ἀμείνων ἀνάγνωσις· κεῖται γὰρ καὶ ὁ δὲ ἀντὶ τῆ γάρ. A.

92. ἐναιρόμενος: ἀντὶ τῆ ἐναίρων, ὅ ἐσι φονεύων. V.

ὅτι Ζηνόδοτος προτὶ Ἴλιον αἰπὺ δίεσθαι. A.

93. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος κατὰ τὸ ἑξῆς τέσσαρας ἀπὸ τάτε ἦρκε, γράφει δὲ ἀντὶ αὐτῶν τῆτον „μή σ᾽ ἀπομουνωθέντα λάβῃ κορυθαίολος Ἕκτωρ". ἔσι δὲ εὐτελὴς καὶ τῇ συνθέσει καὶ τῇ διανοίᾳ. A. ὃν παρῴδει Διονύσιος ὁ Θρᾴξ, ἀντὶ τῆ λάβῃ δάκῃ λέγων. V.

ἐκφοβεῖ τῷ θεῷ. ὅτε δὲ λέγει „μηδ᾽ Ἕκτορι ἶφι μάχεσθαι" (Il. 18, 14), ἀναφέρει ἐπὶ τὸ „μηδ᾽ ἀπάνευθε ἐμεῦ." V.

94. ἐμβήῃ: ἐμποδὼν σῇ, ἐναντίως σοι τῇ βάσει χρήσεται· ἤτοι ἐναντιωθῇ σοι εἰς πάλην. BL.

95. Νικίας ὑφ᾽ ἓν ἀνέγνω παλιντροπάασθαι, Ἀπολλόδωρος δὲ κατὰ διάλυσιν. ἔφαμεν δὲ περὶ τῆς τοῦ πάλιν συνθέσεως, ὁπότε καὶ περὶ τῆ παλιμπλαγχθέντας διελαμβάνομεν (Il. 1, 59), ὡς ὅτι τὸ πάλιν ἀεὶ θέλει τοῖς ῥήμασι κατὰ διάλυσιν προσγίνεσθαι. A.

πάλιν τρωπᾶσθαι: συνήθως· ἔσι γὰρ ποιητικόν. V.

96 δηριάασθαι: πολεμεῖν καὶ μάχεσθαι. V.

97 — 100. ἀθετῆται σίχοι τέσσαρες, διότι κατὰ διασκευὴν ἐμφαίνεσι γεγράφθαι ὑπό τινος τῶν νομιζόντων ἐρᾶν τὸν Ἀχιλλέα τῆ Πατρόκλε· τοιῆτοι γὰρ οἱ λόγοι, πάντες ἀπόλοιντο πλὴν ἡμῶν. καὶ ὁ Ἀχιλλεὺς ὁ τοιῆτος, συμπαθής δέ. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παντελῶς ἐκβλητέον τὰς τέσσαρας σίχας, πρῶτον ὅτι παιδιώδης ἡ ἀδύνατος ἡ εὐχή, εἰθ' ὅτι φθονερά, εἶτα ἐρωτική. τί δὲ ἠδίκησαν οἱ Μυρμιδόνες; πῶς τε Φοῖβον ἐπικαλεῖται, ὃν ἤκουσεν ὑπὸ Θέτιδος φονέα ἑαυτῷ ἔσεσθαι (Il. 21, 277); τί δὲ θαυμαστόν, εἰ ἐρήμην πορθοῖεν πόλιν; ἡ τὸ λύειν τὰ οἰκοδόμιων ἐστί. πῶς δὲ τὸ νῶϊν εὐθεῖαν δηλώσει; καλῶς ἔν, φησὶν Ἀρίσαρχος, Ζηνόδοτος ὑπώπτευκεν ὡς εἶεν παρεντεθέντες οἱ σίχοι ὑπὸ τῶν ἀρσενικὰς ἔρωτας λεγόντων εἶναι παρ' Ὁμήρῳ καὶ ὑπονοούντων παιδικὰ εἶναι Ἀχιλλέα Πατρόκλου. V.

98. μήτε τις οὖν Τρώων: τινὲς ὑπερβολικῶς φασὶν ἀντὶ τοῦ ἀπόλοιντο οἱ ἀριστεῖς. ἢ ἡ δεόντως πεποίηται τὴν εὐχήν, τὰς μὲν μισῶν ὡς πολεμίας, τὰς δὲ ὡς ὑπεριδόντας ὑβριζόμενον. ἄλλως τε καὶ αὔξει τὴν εἰς Πάτροκλον χάριν, εἰ τὰς Ἕλληνας σώζει δι' αὐτόν, ὃς ἀπολέσθαι θέλει, ὡς ἀ κατὰ κηδεμονίαν τῶν Ἑλλήνων ἐκπέμπων τὴν συμμαχίαν, ἀλλὰ τῷ Πατρόκλῳ ἀντιλέγειν μὴ βουλόμενος. BL.

99. ἐκδύμεν: παροξυτονητέον· τὸ γὰρ πλῆρές ἐστιν ἐκδύμεναι, ὁμοίως τῷ „θοῶς ζευγνύμεν ἄνωγεν" (145). καὶ δῆλον ὅτι λείπει τὸ γένοιτο. A. εἰ γὰρ τὸ δύοιμεν εὐκτικοῦ συγκοπὴν αὐτὸ φήσομεν, ἀ κατάλληλος ἔσαι ὁ λόγος. V.

παροξυντέον τὸ ἐκδύμεν· ἔστι γὰρ ἀπὸ τοῦ ἐκδύμεναι ἀπαρεμφάτου, ἵν' ᾖ ὁ λόγος, ἡμῖν δὲ γένοιτο ἐκδῦναι τὸν ὄλεθρον. καὶ λείπει τὸ εἴη. BL.

ἡμεῖς δὲ ἐκφύγωμεν. A.

100. κρήδεμνα: νῦν τὰ τείχη, μεταφορικῶς· ἰδίως γὰρ κρήδεμνον τὸ τῆς κεφαλῆς κάλυμμα. AD.

101. ὣς οἱ μὲν: μέτεισιν ἐπὶ τὴν μάχην, ὅπως τὴν ναῦν ἐμπιπραμένην δείξας Ἀχιλλεῖ τὸν Πάτροκλον ἐξαγάγῃ. καλῶς δὲ τῇ ἐκλογῇ τῶν ὀνομάτων χρῆται· φυγὴν γὰρ οὐκ ὠνόμασεν, ἀλλ' ὅτι μένειν οὐκ ἐδύνατο, ἡ τὰς πολλὰς αἰτίας ἐπάγει. θαυμάσιον δὲ τὸ κατὰ τὴν ἀπαγγελίαν ὁρῶ. φασὶ μὲν γὰρ ὅτι οἱ ποιηταὶ φαντασίαν παρέχεσι τῷ λόγῳ ἐπὶ τροπικὰ χωροῦντες, καὶ παρ' αὐτῷ Ὁμήρῳ ἐστὶ πολλὰ τοιαῦτα· ἐνταῦθα δὲ χωρὶς παραβολῆς τοιαύτης πάσης ἡ τροπικῆς ἀπαγγελίας ἐπῆρται ὁ λόγος, ἐπ' αὐτῶν τῶν πραγμάτων γινομένης τῆς φράσεως. BL.

πῶς πάντα ὑπισχνούμενος εἰδέναι ἀ λέγει ταῦτα; ἔλεγον ὅτι πράγματα μὲν μνημονεῦσαι ῥᾴδιον, ἀ μὴν λόγους· ἀφανίζονται γὰρ πτερόεντα ὄντα. LV.

102. βιάζετο: ὑπὸ βελῶν κατεπονεῖτο. τρωτὸς ἦν ἄρα. ἡ „ὅσσον ἐμῇ κεφαλῇ περιδείδια μή τι πάθῃσι" (Il. 17, 248). V.

103. δάμνα μιν: μέγιστον ἐγκώμιον τῷ Αἴαντος, ὅτι ἡ πρότερον καταξασιαθεὶς ὑπὸ Διὸς ἐπέμενεν. V.

104. πρὸς ἐπίτασιν ἐπλεόνασε τῷ ῥήματι, βάλλοντες λέγων ἡ βαλλομένη ἡ βάλλετο. ἀμίμητα δὲ ταῦτα ἡ γραφεῦσι ἡ πλάσαις. BL.

σὺν τῷ ν τὸ δεινήν, ὡς Ἡρωδιανός. ὅρα δὲ πῶς ἡ μὴ ψαύοντες ἀκοντίζεσι τῆς κεφαλῆς ἡ ψαύοντες τύπτεσι τὴν ἀσπίδα. ὁ δὲ ἔσηκεν ἀκίνητος τὴν προσβολήν. ἡ ἔστιν αὐτὸν παραβάλλοντας τῷ Ἕκτορι τὴν ὑπεροχὴν γνῶναι· ὁ μὲν γὰρ ὑπὸ Διομήδους τὴν κόρυθα θλιβεὶς σκοτοδινιᾷ, ὁ δὲ ὑπὸ πολλῶν βαλλόμενος ἀνέχει. BL.

105. ἡ διπλῆ, ὅτι τινὲς γράφουσι τύπτετο δ' αἰεί. προείρηκε δὲ βαλλομένην ἡ βάλλοντες. τὸ δὲ βαλεῖν ἐξὶν ἐκ χειρὸς τύψαι. A.

106. γράφεσθαί φησιν ὁ Ἀρίσαρχος καὶ τύπτετο δ' αἰεὶ καπφάλαρ' εὐποίητα διὰ τοῦ π, ἐκ εὐ. βάλεται γὰρ λέγειν ἡ τὰ φάλαρα καναχὴν εἶχεν. A.

ἡ διπλῆ, ὅτι ἔν τισι γράφει καπφάλαρα. ὑπερβατὸν δέ ἐστι. δεινὴν δὲ καναχὴν ἡ πήληξ ἔχει, ἡ τὰ φάλαρα ἐβάλλετο συνεχῶς. φάλαρα δὲ τὰ κατὰ τὸ μέσον τῆς περικεφαλαίας μικρὰ ἀσπιδίσκια, ἅτινα κόσμου χάριν ἐντίθεται. A.

ἄμεινον καὶ φάλαρα γράφειν, ὡς τῶν παλαιῶν οἱ πλείους, ἵν' ᾖ ἡ πήληξ ἐβάλλετο ἡ τὰ φάλαρα. ἡ πήληξ μὲν ἐν εἰς ὃ τὸν λόφον τιθέασι, φάλαρα δὲ τὰ κατὰ τὰς παρειὰς ἐπιπίπτοντα μέρη, διὰ τὸ φανὰ εἶναι ἡ λαμπρά· ὡς δὲ ὁ Θρᾴξ, ὁ ἑκατέρωθεν αὐτῆς κόσμος. BL.

ἄλλως. Ἀρίσαρχος διὰ τοῦ καὶ συνδέσμου καὶ φάλαρα γράφων πάντως βραχὺ διέσελλεν ἐπὶ τὸ αἰεί. A.

ὁ δὲ: ὡς περὶ ἑτέρου. ὅμοιον δέ ἐστι τῷ „ὃ δ' ἐρεύγετο οἰνοβαρείων" (Od. 9, 374). V.

107. αἰὲν ἔχων: διὰ τὸ μὴ ἔχειν τοὺς διαδεξομένους ὁπλοφόρους πλησίον „οἵ οἱ σάκος ἐξεδέχοντο, ὅτε μιν κάματός τε ἡ ἱδρώς" (Il. 13, 710). πάντῃ δὲ ἀντὶ τοῦ γάρ. ἐπαινεῖται δ' ὁ τύπος ὡς ἡ ζωγραφίας ἐναργέστερον ἔχων. V.

ἐδ' ἐδύναντο: τὸ περὶ αὐτῷ σάκος ἐδ' ὅσον ἐδύναντο κινῆσαι. V.

108. ἐρείδοντες: πατάσσοντες. κυρίως δὲ ἐρεῖσαι τὸ ἐκ χειρὸς πατάξαι. εὕρηται δὲ ἡ ἐπὶ βολῆς· „ἡ διὰ θώρηκος πολυδαιδάλου ἠρήρεισο" (Il. 3, 358). BL.

112. ὡς παράδοξον μέλλων λέγειν τὴν ὑποχώρησιν Αἴαντος, τὸν ἀκροατὴν προσεκτικώτερον ποιεῖ τοῖς παρὰ Μουσῶν λόγοις. συνέτεμε δὲ τὸ προοίμιον ἐπειγόμενος τῷ καιρῷ· ἐκεῖνος μὲν γὰρ ὁ λόγος ἐδέετο τερατείας, ἐξαρίθμησιν ἔχων νεῶν ἡ ἡγεμόνων, ὁ δὲ μιᾶς νεὼς ἐμπρησμόν. BL.

114. Ἕκτωρ Αἴαντος: πάλιν ἐπὶ τὸ κινδυνωδέστατον προήγαγε τὴν ὑπόθεσιν· παράδοξον γὰρ τὸ Αἴαντος ἐγγὺς παρεῖσαι τὸν Ἕκτορα. ἀλλ' ἑδετέρῳ τρῶσιν ὑπέθετο, τῷ μὲν διὰ τὴν ὑπεροχήν, εἰ ἡ ὑπὸ θεῷ νῦν καταξασιάζεται, τῷ δὲ διὰ τὴν ὑπὸ τοῦ Διὸς βοήθειαν. ἀλλ' ἔδει τὸν ἕτερόν γε βλαβῆναι καὶ ἀνανδρίας κριθῆναι (βλ. ἐκ τῆς ἐμπλάσεως V). διὰ μέσου ἂν ἐχώρησε, τὴν ὑποχώρησιν Αἴαντος τῷ δόρατι περιθείς. δείκνυσι δὲ ὅτι ἐδὲ θεῷ εἶξεν, εἰ μὴ ἀχρεῖον αὐτῷ τὸ δόρυ ἐγένετο. BLV.

115. καυλόν: τὸ καθιέμενον μέρος εἰς τὴν ἐπιδορατίδα. εἰ δ' ἀπάραξε, πῶς ἐπιφέρει „τῆλε δ' ἀπ' αὐτοῦ αἰχμὴ χαλκείη;" ἔστιν ἐν νοεῖν περὶ τὴν ἀπαγγελίαν τάχος, ἡ ὅτι τὸ μὲν ἀπάραξε περὶ ὅλου τοῦ πράγματός φησιν, ἔπειτα τὰ κατὰ μέρος ὑποτίθησιν. BL.

116. ἡ διπλῆ, ὅτι δοκεῖ μάχεσθ· εἰ γὰρ ἀπήραξε κατὰ ἡμπέρασμα, ὃ ἔχιν ἀπέθρυνσεν, πῶς ἐπιφέρει „τῆλε δ' ἀπ' αὐτῆ αἰχμὴ χαλκείη χαμάδις," ὡς πρότερον μὴ ἀποκομμένη, ἀλλ' ὅτε διέσεισεν ὁ Αἴας ἀποπεπτωκότος; ὁ μὲν ὖν Ἀρίσαρχος τὸ συμπέρασμα λέγει προειρῆσθ, εἶτα κατὰ μέρος ἐπηκριβῶσθ, ὡς εἴ τις λέγοι „ὅδε τις τόνδε ἐς τὰ σπλάγχνα δόρατι παῖσας ἀπέκτεινεν· ἐκσπασθέντος δὲ τοῦ δόρατος ἀπέθανεν," ὡς ἐγένετο ὕστερον ἐπιδιηγούμενος. ἴστως ἀπάραξε κ' κόλον δόρυ λέγει κατὰ συμπέρασμα· ὡς δὲ ἀπέπεσεν ὕστερον ἡ αἰχμὴ διακραδαθέντος τοῦ δόρατος, ἐπεξηγεῖ. φαίνετ γὰρ ὁ Αἴας μικρῷ τινὸς ἔτι διακραδαίνοντος τὴν ἐπιδορατίδα πειράζων κραδᾶναι, ἀποπεσούσης δὲ ταύτης παντελῶς ἀπεγνωκέναι ὅτι ἠχρείωτ τὸ δόρυ. διὸ κ' τὸ αὖτως πρόσκειτ, ὅτι κατὰ κενὸν ἐκράδαινεν, ὁ δυνάμενος αὐτῷ χρῆσθ. τινὲς δὲ κ' τὸν γάρ ἀντὶ τοῦ δέ λαμβάνουσιν· τῆλε γὰρ ἀπ' αὐτοῦ. A.

117. πῆλ' αὖτως: ἐκράδαινε πρὸς τὸ διαγνῶναι εἰ τέλεον ἠχρήκωτ· διασείσαντος δὲ αὐτῆ ἀπέῤῥιπτ ἡ αἰχμή. οἱ δὲ τὸ κόλον ἀντὶ τοῦ κολοβωθησόμενον. οἱ δὲ προειρῆσθ τὸ κεφάλαιον, ἐπανειλῆφθαι δὲ ὡς γέγονεν ἔκαστον, ὡς τὸ „ὡς πολέας πέφνοντα Μενοιτίε ἄλκιμον υἱὸν Ἕκτωρ Πριαμίδης χεδὸν ἦσι (ἔγχεϊ V) θυμὸν ἀπηύρα" (827)· καίπερ ἔτι ζῇ Πάτροκλος. οἱ δὲ τὸ τῆλε δέ, ἀντὶ τοῦ γάρ τὸν δέ. BL.

αὖτως: δίχα μάχης, ἐπεὶ διάπειρα. V.

κόλον: ἴστως ὡς λόγον ὁ Ἀσκαλωνίτης· κἀγὼ δὲ συγκατατίθεμαι. A.

ἄλλως. ἕως νῦν παρ' Ἴωσιν οἱ κολοβοκέρατοι κριοὶ κόλοι λέγονται. A.

119. 120. συναπτέον μέχρι τῶ θεῶν. δύναται δὲ ζίζεσθ κ' ἐπὶ τὸ ἀμύμονα. A.

120. ῥίγησεν: ὁ τὸν Ἕκτορα, ἀλλὰ τὰ τῶν θεῶν ἔργα. καὶ χεδὸν μὲν νενίκηται, ἡ δὲ νίκη οὐ τοῦ Ἕκτορος ἀλλὰ θεῶν. BL.

Ἀρίσαρχος κεῖρε, χωρὶς τοῦ ῑ· ἄλλοι δὲ κείρει. A.

ἄλλως. ἴστως Ἀρίσαρχος κεῖρε, χωρὶς τοῦ ῑ, Ἰακῶς· ἔσι γὰρ ἔκειρε, εἰς ἄπορον καθίσῃ τὰ τῆς μάχης, ὡς μηδὲν ἔχειν μήσασθ. A.

παρατατικῶς· τὸ γὰρ ἐξῆς ἐσίν, ἔγνω ὁ Αἴας εἰς ἄπορον ἥκουσαν αὐτῷ τὴν μάχην, ὡς μηδὲν δύνασθαι ἔτι μηχανήσασθαι· ὁ γὰρ Ζεὺς ἐπίκειρε τὰ βουλεύματα τῶν Ἀχαιῶν. BL.

ἔῶρα γὰρ κ' ἔβλεπεν ὅτι παντελῶς τῆς μάχης τὰ ἐνθυμήματα ἠλάττω κ' ἠφάνιζεν ὁ Ζεύς, τοῖς δὲ Τρωσὶν ἠβούλετο νίκην· ἢ μᾶλλον τὰ τῶν μαχεσαμένων ἐνθυμήματα ἠλάττου. V.

122. ἐκ βελέων: ἐκ εἶπεν ἐκ νεῶν. V.

τοὶ δ' ἔμβαλον: τοσοῦτον ἄρα ἐφεσὼς ὑπῆλθε. ὥσε κ' τὸ ἐν ἀρχῇ „ὡς οἱ μὲν περὶ νηός" (1) εἰκότως ἐξηκόμεν περὶ τοῦ Αἴαντος κ' πάντων τῶν Τρώων. V.

123. ἡ διπλῆ, ὅτι ἔσι μὲν ἐκ πλήρους λαβεῖν κατά, εἶτα σβεσῇ τὸ συμβαῖνον ἐπιθετικῶς· ἔσι δὲ κ' κατὰ συναλοιφὴν ἀσβέση, οἷον ἀκατάσβεστος, ὃ ἔσι δυσκόλως σβεσῇ. ὃ κ' μᾶλλον· ἴστως γὰρ εἴωθε λέγειν· „ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως" (Il. 1, 599)· τὸ δὲ σβεσῇ ἀνέμφατον. κ' τὸ χῆμα Ὁμηρικόν, ἀσβέση, καθάπερ „ῥεῖα δ' ἀριγνώτη πέλεται" (Od. 6, 108) ἀντὶ τοῦ ἀρίγνωτος. A.

ἄλλως. Ἀρίσαρχος κατὰ βαρεῖαν τάσιν ἀσβέση, παρώνυμον ἐκδεχόμενος τοῦ „ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως," ὑγιῶς πάνυ· ὃ γὰρ ἔχει τὸ ἀνάλογον ἤτε ἔμφασις τῆ δηλουμένη, κ' πολὺς ὁ τοιοῦτος χηματισμὸς Ὁμηρικός. A.

μόνως ἀσβέση ἀναγνωσέον, ὃ κατασβεσῇ· ἴστως γὰρ εἴωθε λέγειν „ἄσβεστος γέλως." κ' τὸ χῆμα δὲ Ὁμηρικόν· ὡς τὸ ἀρίγνωτος ἀριγνώτη, ἄσβεστος ἀσβέση. δηλοῖ δὲ τὸ δυσκατάσβεστος. οἱ δὲ τάχιστα σβεσθησομένη. BL.

ἢ ταχέως κατασβεννυμένη, ἢ ἡ δυσκατάσβεστος, παρωνύμῳ χαρακτῆρι. D.

κέχυτο: ὡς ἐπὶ ὑγροῦ καταχυθέντος ἐμφαντικῶς τῷ ῥήματι χρῆτ διὰ τὸ τάχος καὶ τὴν ὁρμὴν τῆς τοῦ πυρὸς διαδόσεως. ἀλλὰ γὰρ κ' τὰ ὑπεκκαύματα κ' ἡ καιομένη ὕλη πέφυκεν εὐδιάλυτος εἶναι διά τε τὰ ξύλα κ' τὸ χρῖσμα τῆς πίττης. BL.

124. τὴν μὲν πρύμνην: πρὸς τὴν φράσιν, ὅτι ἴστως εἴρηκε τὴν μὲν πρύμνην ἀντὶ τοῦ τῆς μὲν τὴν πρύμνην. A.

125. μηρῶ πληξάμενος: μεγίση νῦν κ' καιρία ἡ συμφορά, ὅπου γε κ' Ἀχιλλέα εἰς τὴν τοιαύτην μετέβαλε λύπην κ' ἀγωνίαν. BL.

126. ἱπποκέλευθε: ἱππικώτατε, τοῖς ἵπποις εὐτρόπιζον ὁδόν, ἢ ἐφ' ἵπποις τὴν πορείαν ποιούμενε. BL. ἢ οἷον παραπλησίαν ἵπποις ὁρμὴν ἔχων. D.

127. λεύσω δή: ἤδη πέρας οἱ λόγοι αὐτῷ ἀπειλήφασι κ' μέμνηται αὐτῶν. διὸ κ' μεταβάλλετ· ἠπείλει γὰρ μὴ πρὶν ἐξιέναι πρὶν ταῖς ναυσὶν ἐπελθεῖν τὸς Τρῶας. BL.

ἰωήν: ὁρμήν, παρὰ τὸ ἰέναι. V. ἐν τῇ Μασσαλιωτικῇ ἐρωήν. A.

128. μὴ δή: ταῦτα ὁμολογουμένως καθ' ἑαυτὰ λέγεται· ὑπερευλαβούμενος γὰρ λέγει. δύναιτο δ' ἂν κ' τὸ ἐξῆς εἶναι ὕρσεο, μὴ δὴ νῆας ἕλωσιν· ἀλλὰ βέλτιον τὸ πρότερον. παρατηρητέον δὲ πρὸς τὰ ἀσύνδετα τὴν προσωποποιίαν, ὅτι ἐμφαντικωτάτη. A.

ἡ διπλῆ, ὅτι ἴστως εἴρηκε πληθυντικῶς πέλωνται ἀντὶ τοῦ πέλητ, ὁμοίως τῷ „σπάρτα λέλυνται" (Il. 2, 135). A.

129. δύσεο τεύχεα: πῶς γὰρ ἂν ἐκ ἦν φθονερός, μὴ δεχεσθ συγχωρῶν τῷ φίλῳ, δι' ὧν δὲ ἄρισα μάχεσθ μέλλων μὴ συγχωρῶν; V.

ἀγείρω: ὅτι ἀντὶ τοῦ ἀγείραιμι. A.

ἄλλως. ὁμοίως τῷ ὀχείρω· ἐνεστὼς γάρ ἔσι σημαίνων μέλλοντα, ὥσπερ καὶ ἐπ' ἄλλων παρεθέμεθα· „ἐγὼ δέ κ' ἄγω Βρισηΐδα" (Il. 1, 184)· „ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει" (Il. 7, 124). ἴστως κ' τὸ ἐρύσσιν ἔχει. ἴστως δὲ καὶ Ἀρίσαρχος. A.

δαιμονίως ἐπισπεύδει, οὐκ ἐπιτρέπων πάντα τῷ φίλῳ,

ἀλλὰ μέρος τι ϗ αὐτὸς συμβαλλόμενος, ὅπερ ἀγάπης τεκμήριον. BV.

131. κνημῖδας: σπεύδοντα δεῖ προφέρεσθ ταῦτα, ἐπιπόλησιν τῆς ἐξόδȣ μιμȣ́μενον. V.

134. ποικίλον ἀςερόεντα: ἤτοι ἀςέρας ἐμπεποικιλμένȣς ἔχοντα, ἢ λαμπρόν. D. ἄςρων κεχρωματισμένον ϗ πεποικιλμένον μορφαῖς. BL.

τινὲς κακῶν βελέων ἀλεωρήν· ϗ γ̓ „ξεῖνος γάρ οἱ ἔδωκε δηΐων ἀνδρῶν ἀλεωρήν" (Il. 15, 532). V.

135. ξίφος: τὸ ἴδιον ξίφος· διὸ Ἥφαιςος ȣ̓ ποιεῖ. V.

140. ἔγχος δ' ȣ̓χ ἕλετ' οἷον: ἐχρῆν γάρ τι ἐξαίρετον εἶναι τῷ Ἀχιλλεῖ. ἄλλως τε ȣ̓κ ἦν τέκτων Ἥφαιςος· ȣ̓ γάρ ἐςιν ἐν ȣ̓ρανῷ ξύλα. εἰκότως ȣ̓ν ὅπερ ȣ̓κ ἐνῆν κατασκευάσαι, τȣ̃το Ἀχιλλεῖ τετήρηκε. κατέκρυψε μέντοι τὸ πλάσμα τῇ τȣ̃ Ἀχιλλέως ὑπεροχῇ, δι' ἀσθένειαν ȣ̓ δυνηθῆναι φήσας τὸν Πάτροκλον τῷ δόρατι χρῆσθ. BL.

προκατεσκεύακε μόνον αὐτὸ τὸ δόρυ σώζεσθ διὰ τὸ ξύλα μὴ ἐργάζεσθ τὸν Ἥφαιςον. κατὰ γ̓ τὸν Πηλέως ϗ Θέτιδος γάμον οἱ θεοὶ συναχθέντες εἰς τὸ Πήλιον ἐπ' εὐωχίᾳ κόμιζον Πηλεῖ δῶρα, Χείρων δὲ μελίαν εὐθαλῆ τεμὼν εἰς δόρυ παρέχεν. φασὶ δὲ Ἀθηνᾶν μὲν ξέσαι αὐτό, Ἥφαιςον δὲ κατασκευάσαι. τȣ́τῳ δὲ τῷ δόρατι καὶ Πηλεὺς ἐν ταῖς μάχαις ἠρίςευσε ϗ μετὰ ταῦτα Ἀχιλλεύς. ἡ ἱςορία παρὰ τῷ τὰ Κύπρια ποιήσαντι. AD.

διὰ τί ȣ̓ν μόνον τὸ Πηλιωτικὸν αὐτῷ ἀναρμοςεῖ δόρυ, τῶν ἄλλων ἁρμοσάντων ὅπλων; Μεγακλείδης ἐν δευτέρῳ ἡμέρȣ προοικονομεῖσθαί φησιν Ὅμηρον τὴν ὁπλοποιίαν· ϗ ἐπειδὴ τὰς μὲν ἄλλας ὕλας, ἐξ ὧν ὁ Ἥφαιςος ἐδημιȣ́ργει τὰ ὅπλα, τὸν χρυσὸν ϗ τὸν ἄργυρον, ȣ̓κ ἀπίθανον εἶναι ϗ ȣ̓ρανῷ, δένδρον δὲ ȣ̓ράνιον λέγειν καταγελαςότατον ἦν, διὰ τȣ̃το τὰ μὲν λοιπὰ ὅπλα πεποίηκε τὸν Πάτροκλον φέροντα, ἃ ϗ ἀπολόμενα ἐτύγχανεν ἂν τῆς Ἡφαίςȣ δημιȣρίας, μόνον δὲ τὸ δόρυ ἐάσαντα, ἵνα σωθῇ καταλειπόμενον· ἔπο γ̓ ἀπολόμενον ȣ̓κ ἂν ὁ Ἥφαιςος κατεσκεύασε πιθανὸς διὰ τὸ τὴν ὕλην αὐτοῦ μὴ ȣ̓ράνιον ἀλλ' ἔγγειον καὶ Πηλιῶτιν εἶναι. A.

Ζηνόδοτος τοῦτον ἀθετήσας τοὺς ἑξῆς τέσσαρας οὐκ ἔγραφεν. A.

141. βριθὺ μέγα ςιβαρόν: καθ' ἕκαςον βραχὺ διαστέον. A.

πᾶν τὸ μένον ἰσχυρὸν ϗ ςιφνὸν λέγȣσιν. V.

141. 142. ἀςερίσκȣς ἔχȣσι κακῶς· φησὶ γ̓ (καθώς φησι L) Ζηνόδοτος ὅτι ποῖόν τι ἦν ὡς μὴ δύνασθ αὐτὸ αἴρειν τȣ̀ς ἄνας; ἔςι δὲ κατὰ συλλογισμὸν ὁ ἔπαινος ϗ σύγκρισιν. BL.

142. ἐπίςατο: ἠδύνατο. ϗ Σοφοκλῆς „ȣ̓ πώποθ' ὑμᾶς ἐπιβαλεῖν ἐπίςαμαι." τῇ ἐπιςήμῃ δὲ προσάπτει τὴν δύναμιν. BLV.

ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ ἐδύνατο, μόνος ἐδύνατο χρήσασθ δόρατι· τὸ γ̓ πῆλαι ἐκ παρεπομένου τὴν χρῆσιν σημαίνει. A.

ἡ δὲ πλάττονθ λέγοντες ὅτι Πηλεὺς μὲν παρὰ Χείρωνος ἔμαθε τὴν χρῆσιν αὐτῆς, Ἀχιλλεὺς δὲ παρὰ Πηλεως· ὁ δὲ οὐδένα ἐδίδαξε. καὶ ὁ τῆς μικρᾶς Ἰλιάδος ποιητὴς „ἀμφὶ δὲ πόρκης χρύσεος ἀςράπτει ϗ ἐπ' αὐτῷ δίκροος αἰχμή." V.

143. Πηλιάδα: τὴν ἐκ Πηλίȣ ὄρȣς Θεσσαλικȣ̃ τμηθεῖσαν. D.

μελίην: τὴν ἐκ μελίης. A.

διχῶς, ϗ τάμε ϗ πόρε. A.

144. ἐκ κορυφῆς: ϗ ἐν κορυφῇς. ἔςι δὲ ἄκρα Χειρώνειος ὑπὲρ Σηπιάδος ἄκρας, πρὸς Ζέφυρον ἄνεμον νεύȣσα, ἔνθα ᾤκει ὁ Χείρων. V.

145. ἵππȣς δ' Αὐτομέδοντα: ζῶντος Πατρόκλου ȣ̓κ ἦν Αὐτομέδων ἡνίοχος Ἀχιλλέως. προπαρασκευάζει δὲ νῦν ἵνα ϗ Ἀχιλλεὺς αὐτῷ χρήσηθ ἡνιόχῳ. BL.

ζευγνύμεν: ζευγνύμεναι τὸ τέλειον. V.

146. παιδευτικὸν ϗ τȣ̃το, ὅτι μετ' Ἀχιλλέα εἶχεν αὐτόν· τὸ γ̓ συμμέτρȣς εἶναι τὰς φιλίας ἄριςον ϗ τȣ̀ς φίλȣς εἰς πίςιν διεγεῖρον. BL.

ἡ διπλῆ, ὅτι Πάτροκλος μὲν Ἀχιλλέως ἡνίοχος, Πατρόκλȣ δὲ Αὐτομέδων. A.

147. πιςότατος: πιςότατόν φησι τὸν παρὰ τὴν μάχην ȣ̓κ ἐγκαταλιμπάνοντα τȣ̀ς φίλους, οἷον ὁ ἐν πολέμῳ κοινωνεῖν θέλων τῶν κινδύνων μεγάλην πίςιν τῇ φιλίᾳ παρέχεται. BL.

148. ὕπαγε ζυγόν: ὑπὸ ζυγὸν ἦγεν, ὑπεζεύγνυεν. BL. ϗ ἀλλαχȣ̃ „τὴν ὅγ' ὑπὸ ζυγὸν ἦγε μέγα δρόμȣ ἰσχανόωσαν" (Il. 23, 300). V.

149. Ξάνθον καὶ Βαλίον: τὸν μὲν ἀπὸ τῆς χροιᾶς ὀνομάζει, τὸν δὲ ἀπὸ τȣ̃ πηδᾶν. ἐν δὲ τῷ καταλόγῳ περὶ αὐτῶν ȣ̓δὲν λέγει, ὅτι μὴ ἐν πολέμῳ ἐξῄεισαν· ȣ̓δὲ γ̓ περὶ τῶν Μυρμιδόνων· σκοπὸς γ̓ ἦν αὐτῷ τȣ̀ς πολεμȣ̃ντας ἐμφῆναι. νυνὶ δὲ μερικῶς πως αὐτῶν βȣ́λεται μνημονεῦσαι, ὅτε ϗ ἐπὶ πόλεμον ἐξάγει. εἰκότως δὲ Ἁρπυίας Ποδάργης ϗ Ζεφύρȣ τȣ̀ς ἵππȣς καλεῖ διὰ τὸ τάχος τὸ ὑπερβάλλον, ὅτι ϗ εὔψυχοι ϗ καρτερικοὶ ϗ πολύπνοοι. φησὶ δὲ ϗ Ἀριςοτέλης ὅτι μόναι ὁτὲ μὲν πρὸς νότον ὁτὲ δὲ πρὸς βορρᾶν ὡς ἐξ ἀνέμȣ κύȣσιν. BL. εἰκὸς δὲ μετὰ τὸν θάνατον Ἀχιλλέως τὸν δόντα Ποσειδῶνα πάλιν αὐτȣ̀ς ἀνακομίσασθ, ὡς ϗ τὸ Ἀγαμέμνονος σκῆπτρον. V.

παροξυτονητέον τὸ Βαλίον. ϗ εἴρηθ περὶ τῶν τοιȣ́των. A.

150. Ἅρπυια: ἤτοι ἀνέμȣ εἶδος, παρὰ τὸ ἁρπάζειν, ἢ δαίμονες ἁρπακτικαί, ὧν τὰ ὀνόματα Ἀελλώ, Ὠκυπέτη, Ποδάργη. τινὲς δὲ φασιν Ἅρπυια ποδάργη, ἵν' ᾖ ὄνομα φορβάδος λευκȣ̀ς πόδας ἐχȣ́σης. AD.

Ἅρπυια Ποδάργη: ὡς „Νηΐς Ἀβαρβαρέη" (Il. 6, 22). V.

Ποδάργη: εἴτε σύνθετόν ἐςιν εἴτε παρασύνθετον, παροξυτονητέον εἰς ἰδιότητα. A.

ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει Ἅρπυια πόδαργος, ὡς ἐπιθετικόν, ἵν' ᾖ ποδώκης. ἔςι δὲ τὸ κύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ριον ὄνομα Ποδάργη. σαφὲς δὲ καὶ ἐκ τούτων (Il. 19, 400) „Ξάνθε τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης." A. καὶ οἱ Ἐριχθονίδι ἐκ Βορέου, ἅμα μὲν διὰ τὸ ὑπερβάλλον τάχος, ἅμα δέ, ὥς φησιν Ἀριστοτέλης, ὡς ἐξανεμόμενοι ὁτὲ μὲν πρὸς νότον ὁτὲ δὲ πρὸς βορρᾶν κύουσιν. V.

151. παρὰ ῥόον: ἢ ἔτεκεν ἢ βοσκομένη. V.

152. παρηορίῃσιν: ταῖς ἔξω τῶν ζυγῶν ἡνίαις. D. παρηρτημέναις σειραῖς πρὸς τὴν ζεῦξιν τῶν περισσῶν ἵππων. διὰ τί δὲ δεῖ παρηόρους; οἱ μὲν γὰρ ἄλλοι δεόντως πρὸς τὸ εἰκάμοι ἢ τρωθείη εἰς ἀντεπεισάγεσθαι τὸν παρήορον ἀντὶ αὐτῶν τοῖς δὲ ἀθανάτοις ποῖον δέος τρωθῆναι ἢ καμεῖν; ἔξιν ἂν εὔηθες τὸν μὲν Ὁμηρικὸν θεὸν τιτρώσκεσθαι, ἵππους δὲ μή. ἄλλως τε ποικίλαι θέλει τὴν Σαρπηδόνος μάχην καὶ οὐκ ἄπρακτον αὐτὸν ἀνελεῖν. ἄπορον δὲ πῶς Ἀχιλλεὺς τοῖς ἀθανάτοις ἵπποις θνητὸν συμπλέκειν ἀξιοῖ· τὸ γὰρ χεῖρον παρὰ πολὺ τοῖς κρείσσοσι συμπλεκόμενον αἰσχύνην φέρει. ἴσως ἐν ἁρμόσει λέγειν ὅτι τοῦτον προσέθηκεν ἐκείνοις, ἵνα ἐγκόπτοιντο ἐν τῷ δρόμῳ· μέτριον γὰρ εἶναι τὸ τάχος αὐτῶν ἐβέλετο καὶ οὐχ ὑπερβάλλον σφόδρα, ἐπεὶ καὶ τοῦτο ἄχρηστον ἐνίοτε. ἢ τάχα τὸν ἡνίοχον ἐπαινεῖ δυνάμενον ἀναχαιτίζειν τὴν ὁρμὴν τῶν ἀθανάτων ἵππων, ὅπως ἂν ὁ θνητὸς αὐτοῖς ἰσοδρομῇ. ἢ βέλει ὁ ποιητὴς τὴν φύσιν ἐνδείκνυσθαι τοῦ ἥρωος, μικτὴν ἐσαν ἐκ θνητοῦ καὶ ἀθανάτου. πῶς δὲ ἀλεγεινοὶ ὄντες ἀνδράσι Πατρόκλῳ ὑποτάσσονται; ἀλεγεινὸν ἐν ἐστὶ τὸ μετὰ φροντίδος κατορθούμενον (τὸ μετὰ τῆς μεγίστης καὶ δεύσης φροντίδος γινόμενον BL). BLV.

153. Ἠετίωνος πόλιν: Θήβας τὰς ὑποπλακίους λέγει. D.

ἤγαγεν: ἀντὶ τοῦ ἐκόμισε· φέρεται γὰρ ὡς αὐτοκίνητον τὸ ἔμψυχον, κομίζεται δὲ τὸ ἄψυχον. D.

155. θώρηξεν: ἄμεινον ἐκόσμησε· „τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον" (Il. 14, 379). ἑαυτὸν γὰρ ἕκαστος θωρήσσει, καὶ ὡς μὴ εἰρημένον νοεῖται. διὰ τοῦτο σὺν τεύχεσιν. V.

156. πάντας: Ζηνόδοτος πάντῃ. A.

οἱ δὲ: διὰ μακρᾶς ἀπέδωκεν αὐτῷ τὸ ῥώοντο (166). κεκορεσμένους δὲ εἰκασε καὶ ἐπὶ ποτὸν ἐρχομένους, ἐπεὶ πεινῶντες μὲν διασκεδάννυνται ἄλλος ἄλλοσε ἐς νομάς, ἐς ποτὸν δὲ ἀθρόοι ἀπίασιν. BL.

158. μέγαν: πρὸς τὸ κορέσαι αὐτούς. V.

159. πᾶσιν: ἀντὶ τοῦ πάντων. V.

φοινόν: πεφοινιγμένον ἀπὸ τοῦ αἵματος. λέγει δὲ καὶ „αἵματι φοινικόεις" (Il. 23, 717?) καὶ „χλαῖναν θέτο φοινικόεσσαν" (Od. 14, 500) καὶ „φοίνικι μιήνῃ" (Il. 4, 141) καὶ „ἡνία φοινικόεντα" (Il. 8, 116). καὶ Φοίνικες, οἱ παρὰ τὴν ἐρυθρὰν θάλασσαν ᾤκεν, ἣν Φοινίκην Διονύσιος καλεῖ. καὶ τὸ φυτόν, ὅτι ὡς ἐπὶ τὸ πολὺ φοινίκεον ποιεῖ καρπόν. καὶ „φοινήεντα δράκοντα" (Il. 12, 202) ἀπὸ τοῦ φοινός. BL. καὶ „φοίνιον αἷμα" (Od. 18, 97) ἐπὶ τοῦ ἱεροῦ. οὐ γὰρ πεφόνευται, ἵνα εἴπῃς ὅτι παρὰ τὸν φόνον γεγένηται ἡ λέξις. V.

160. ἀγεληδόν: κατὰ ἀγέλας. ἔξι δὲ ἐπίρρημα παραβολῆς δηλωτικόν. D.

βραχὺ διαλτέον ἐπὶ τὸ ἵασι πρὸς τὸ σαφέστερον. A.

σικτέον εἰς τὸ ἵασι καὶ εἰς τὸ ἄκρον, ἵν' ᾖ λάψοντες ἀπὸ τῆς κρήνης τὸ ἄκρον ὕδωρ· ἐὰν γὰρ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ ὡς οἱ βόες. BL. οἱ δὲ λύκοι, πάρδοι, ἵπποι καὶ τὸ ἥμισυ τῆς ὄψεως. τινὲς δὲ τῷ φόνον ἐπισυνάπτασιν, ἄκρον φόνον τὸ ἀνωτάτω αἷμα τοῦ καταπινομένου καὶ ὄντος ἐν τῷ στομάχῳ. V.

161. λάψοντες: πιόμενοι. Ζηνόδοτος δὲ λάψαντες, ἐμπλησθεῖσιν αὐτοὺς εἰκάζων, ἐὰν καλῶς. ὀνοματοποιηθὲν δὲ ἡ λέξις ἀπὸ τοῦ γινομένου ἤχου ἐν τῇ πόσει τῶν κυνῶν καὶ τῶν λύκων. ABL.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει λάψαντες διὰ τοῦ α. ἔσονται δὲ ἤδη πεπωκότες, καὶ ἐκλίλυται ἡ ἔμφασις· οἱ μὲν γὰρ αἵματος ἐμπεφορημένοι καὶ διὰ δίψαν ὁρμῶντες ἐπὶ τὴν κρήνην σώζεσθαι τὸ παράσημα. ἐπλάνησε δὲ τὸν Ζηνόδοτον τὸ ἑξῆς, δεξάμενον ἀπὸ κρήνης ἴασιν· οὐκ ἔδει δέ, ἀλλ' εἰς κρήνην πιόμενοι πορεύονται. A.

ἀραιῇσιν: δασείαις, ἀθενέσιν, ἐπιμήκεσιν. ἢ λεπταῖς. ἢ (οἱ δὲ ψιλῶς V) βλαπτικαῖς. BLV.

μέλαν ὕδωρ: Ἀναξαγόρας, ἐπεὶ φύσει μέλαν· καὶ γῆν ὁ καπνὸς μέλας ἐστὶν ἐκ τοῦ ὕδατος τῶν ξύλων ἀνιέμενος. οἱ δὲ διὰ τὴν σκιὰν τῶν φυτῶν. A.

162. ἄκρον: ἀπὸ ἄκρου τοῦ στόματος. D. τὴν πρώτην λέξιν τοῖς ἄνω προσδιδόναι βέλτιον. τὸ γὰρ συμβαῖνον αὐτὸ ἀπαγγέλλει· οἱ πίνοντες ἄκρον προσφέρονται τὸ ὕδωρ. A.

ἀσαφὲς τὸ „λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ ἄκρον, ἐρευγόμενοι φόνον αἵματος." δεῖ δὲ ζίζειν μετὰ τὸ ἄκρον, ἵν' ᾖ τὸ λάψοντες ἄκρον ὕδωρ· τὸ γὰρ ἐπιπολῆς ὕδωρ λάπτουσιν, ὃ ἔφη ἄκρον λάπτοντες· ἐὰν δὲ ἀνασπῶσιν ἐκροφοῦσιν, ἀλλὰ λάπτουσι τὸ ἄκρον. τὸ δὲ ἐρευγόμενοι φόνον αἵματος ἀντὶ τοῦ φόνου αἷμα, ὅμοιον τῷ „χασάμενος πελεμίχθη" (Il. 4, 535) ἀντὶ τοῦ πελεμιχθεὶς ἐχάσατο. B.

163. στένεται: ἡ διπλῆ, ὅτι ἔξι μὲν ἐκδέξασθαι καὶ συνοχωρεῖται („στενόμενος νεκύεσσιν" Il. 21, 220), ὥστε καταρρέφειν εἰς τὸ βαρύνεται· βέλτιον δὲ παρεμπεπτωκέναι τὸ σ ὡς ἐπὶ τῆς φερεσβίου, ὥστε εἶναι καὶ τὸ περιστένεται ἀντὶ τοῦ περιτείνεται, διὰ τὸ ἐμπλησθῆναι τοῦ αἵματος. A.

Ἀρίσαρχος ἀντὶ τοῦ περιτείνεται. οἱ δὲ στένει διὰ τὴν αὐτὴν αἰτίαν. V.

166. ῥώοντ': ἐῤῥωμένως καὶ μετὰ πολλῆς προθυμίας καὶ γενναιότητος περὶ αὐτὸν ἔχοντο, ἐπιθυμίαν ἔχοντες πολλῆς μίσους αἵματος, ὡς οἱ λύκοι. BL.

167. ἵππους: τὰς ἱππέας, ὡς φαμεν νικᾶν τὴν ἵππον τῶν πολεμίων· ὅθεν καὶ ἀντέταξεν αὐτῷ τὸ ἀσπιδιώτας. ἢ τὰς ἰδίας ἵππους στρύνων καὶ διεγείρων. BL. νοεροὶ γὰρ ἦσαν ὡς θεῖοι. V.

170. πῶς, φασίν, ἐν ἅπασιν αὔξων Ἀχιλλέα τὸν μειοῖ, ἀνὰ πεντήκοντα μόνον λέγων ἔχειν τὰς ναῦς; τινὲς μὲν ἂν φασὶν ὅτι οὐκ ἐν πλήθει ἡ ἀρετή (Αἴας γὰρ ιβ' ναῦ

ἔχει), ἀλλ' ἐν τοῖς περὶ αὐτὴν σεμνύνεϑ. Ἀρίςαρχος δέ φησιν ὅτι διὰ τȣ̃ ἐπὶ κλῆϊσιν ἐδήλωσεν ὡς μόνοι οἱ ἐρέϑ ἦσαν ἀνὰ πεντήκοντα· τὸ δὲ λοιπὸν πλῆϑος τῶν πολεμιςῶν ȣ̓κ ἐμνημόνευσεν, ὅπερ ἐπιφέρονται αἱ νῆες. BL. ἢ λιτὰς κ̄ πρὸς ὑπηρεσίαν. Διονύσιος δὲ τὸν μέγιςον ἀριθμὸν ρκ' τίμιον, τὸν δὲ λοιπὸν ἐν τῷ μεταξὺ τȣ́των ἄγεσϑ, ὡς φθάνειν πάσας ἀπὸ τ̄ε̄ ἀνδρῶν. ϗ Πίνδαρος πεντηκονταερέτμȣς φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι. V.

171. πέντε: τάχα πρὸς τὸν παρόντα καιρόν. εἰ μὴ γ̓ τȣ̃το, ἔδει ϗ Πάτροκλον ἄρχειν, εἰ μὴ Ἀχιλλεῖ συμπαρετάσσετο. τὸ ἑξῆς, ἐποιήσατο σημαίνειν οἷς δι' ἀρετὴν ἐπεποίθει τὸ σημαίνειν. V.

172. μέγα κρατέων: τὴν κατὰ πάντων ἔχων ἐξȣσίαν ϗ αὐτῶν τῶν ἀρχόντων ἄρχων· τοιȣ̃τοι γάρ εἰσιν οἱ εὐρυκρείοντες. BL.

173. ἰῆς ςιχός: τῆς μιᾶς τάξεως, παρ' ὅσον ἐπὶ ςίχον ἡ τάξις πορεύεται. V.

στιχός ὡς τριχός, ἀπ' εὐθείας τῆς ςίξ. τὸ δὲ ἰῆς περισπῶσιν, καὶ τὸ „ἰῇ δ' ἐν νυκτὶ γένοντο" (Il. 18, 151), ȣ̓κ ἀκολȣ́θως εὐθείᾳ τῇ ἴα βαρυνομένῃ· „ȣ̓ γ̓ πάντων ἦεν ὁμὸς θρόος ȣ̓δ' ἴα γῆρυς" (Il. 4, 437). εἴπομεν δὲ ἤδη περὶ αὐτȣ̃. A.

174. Σπερχειοῖο: Σπερχειὸς ἐκ Πίνδȣ κατιὼν ϗ δι' Αἰνιάνων ϗ Δολόπων εἰς θάλασσαν ἐρεύγεϑ, εἰς τὸν Μηλιακὸν ἐκδιδȣ̀ς κόλπον. οἱ δὲ διὰ Μηλίδος ϗ Φαρσάλου ἐπὶ Θερμοπύλας, ἔνϑα Πυλαίας Δήμητρος ἱερόν. V.

φασὶ Πέλωρα τὸν γίγαντα σπερχόμενον ὑπὸ Ποσειδῶνος ἁλέσϑ εἰς τὸν ποταμόν, ϗ πληγέντα τὴν πρύμνην ἀποκανεῖν. V.

διιπετέος: ἤτοι ἀπὸ Διὸς πεπτωκότος, διὰ τὸ ὑπὸ τῶν ὀμβρίων ὑδάτων πληρȣ̃σϑαι τȣ̀ς χειμάῤῥȣς, ἢ ἀφανοῦς. AD.

τȣ̃ θείȣ, ἢ τȣ̃ ἐκ τῶν τȣ̃ Διὸς ὑετῶν τὴν ἀρχὴν ἔχοντος. V. τȣ̃ ἀπὸ τȣ̃ Διὸς ἤτοι τȣ̃ ἀέρος ἐκρέοντος. L.

λαμπρȣ̃. ϗ Εὐριπίδης „λαμπρότερός τίς ἐςι (ἦρι V) ϗ διιπετέςερος." ἐπεὶ δὲ χειμάῤῥȣς, πρόσκειϑ τὸ Σπερχειοῖο, ἀπὸ τȣ̃ σπέρχω τὸ κατεπείγω· σφοδρῶς γ̓ οἱ χειμάῤῥοι φέρουσιν. BL.

175. ὅν: χωρὶς τȣ̃ τ, ὃν τέκεν, Ἀρίςαρχος. ȣ̓τως ϗ Ἀριςοφάνης. A.

ἡ διπλῆ, ὅτι Φερεκύδης τὴν Πολυδώραν φησὶν ἀδελφὴν Ἀχιλλέως· ȣ̓κ ἔςι δὲ καϑ' Ὅμηρον διαβεβαιώσασϑ. ἀνώτερον ȣ̓ν ὁμωνυμίαν εἶναι, ὥσπερ ϗ ἐπ' ἄλλων. A.

ἄλλως. ἐκ τίνος Πηλεὺς Πολυδώραν ἔχεν; ὡς μὲν Στάφυλός φησιν ἐν τῇ σ̄ (ἐν γ' D) Θεσσαλικῶν, ἐξ Εὐρυδίκης τῆς Ἄκτορος θυγατρός· Φερεκύδης δὲ ἐξ Ἀντιγόνης τῆς Εὐρυτίωνος, ἄλλοι (Σȣΐδας V) δὲ ἐκ Λαοδαμείας τῆς Ἀλκτίνοος. ADV.

Ἡνόδοτος δὲ Κλεοδώρην φησίν, Ἡσιόδȣ ϗ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλȣ́ντων. V.

Πηλῆος: ἑτέρȣ, φασί, Πηλέως. εἰ γ̓ ἦν ἀδελφιδοῦς Ἀχιλλέως, πῶς ȣ̓κ ἐμνήσϑη αὐτοῦ ἢ τῆς ἀδελφῆς ἐν τῷ Ἅιδῃ περὶ τȣ̃ πατρὸς ἐρωτῶν ϗ τȣ̃ υἱȣ̃; ϗ ἐν ταῖς λιταῖς φάσκων „ἔνϑα δέ μοι μάλα ϑυμὸς ἐπέσσυτο κτῆσιν ἐμὴν δμῶάς τε" (Il. 9, 398. 19, 333) ἔφασκεν ἂν ϗ τῆς ἀδελφῆς ἀπόλαυσιν. ἅμα τε ȣ̓κ οἶδεν ὁ ποιητὴς Πηλέα ἑτέρᾳ συνελϑόντα γυναικί. οἱ δὲ νεώτεροι ἀδελφιδȣ̃ν αὐτοῦ λέγουσιν· ὅϑεν ϗ τῆς πρώτης τάξεως ἡγεῖϑ, καὶ πολέμων ἐπιςήμων μαρτυρεῖϑ, ϗ ὡς Ἀχιλλέως ἀδελφὴν γαμῶν ἀπερείσια δίδωσιν. εἰ δὲ μὴ ἐμνήσϑή αὐτῆς ἐν Ἅιδȣ, ȣ̓ ξένον· ȣ̓δὲ γ̓ Ὀδυσσεὺς Κτιμένης (Od. 15, 363)· περὶ γ̓ τῶν καιριωτέρων αὐτῷ ἡ φροντίς. ἄλλως τε ἐπειδὴ νόϑη ἦν ἡ Πολυδώρη αὐτȣ̃ ἀδελφή, τάχα ȣ̓δὲ μνημονεύειν αὐτῆς ἐβȣλήϑη. ἢ ὅτι ϗ αὐτὴ ἤδη τετελευτηκυῖα ἦν. BLV.

176. ἀκάμαντι δέ, ὅτι οἱ πανόμενοι πόροι δοκοῦσιν ὥσπερ ἀποκαμόντες ἑςάναι. φασὶ δὲ Πέλωρα τὸν γίγαντα, ἐρασϑέντα Πολυδώρης, ἐπιτηρῆσαι αὐτὴν πότε λȣ́εϑ ἐν τῷ Σπερχειῷ· ϗ ὅτε αὐτὴν εἶδεν εἰσελϑȣ̃σαν, ϗ αὐτὸν εἰσελϑεῖν ϗ ὑποκρυβῆναι τῷ ὕδατι· εἶτα πρὸς τὸ μέσον γεγονυῖαν κρατῆσαι ὡς ἐν προφάσει δῆϑεν Σπερχειȣ̃, ϗ μιγῆναι αὐτῇ. ἀφ' ȣ̃ ὁ Μενέσϑιος. BL.

177. Περιήρεος: Περιήρȣς τȣ̃ Διοπλήϑȣς τȣ̃ Μυρμιδόνος. V.

υἷι: διὰ τȣ̃ ῑ μόνȣ γράφεϑ ἡ τελευταία συλλαβή· διὸ προπερισπαςέον ὁμοίως τῷ „Νηληΐῳ υἷι ἐοικώς" (Il. 2, 20). εἰ μέντοι διὰ τῆς ε̄ι διφϑόγγȣ ἐγράφετο ἡ τελευταία, περιεσπᾶτο, ἀπ' εὐθείας οὖσα τῆς υἱεύς, ὁμοίως τῷ „υἱεῖ ἐμ' ὠκυμόρῳ" (Il. 18, 458). A.

178. ὃς: ὁ Περιήρης. V.

ὄπυιε: τὴν αὐτὴν Πολυδώρην. V. κατὰ νόμον συνῴκει, ἐγεγαμήκει. D.

ὅτι ἕδνα τὰ ὑπὸ τῶν γαμȣ́ντων διδόμενα ταῖς γαμȣμέναις. A.

179. ἀντὶ τȣ̃ τῆς δευτέρας τάξεως διὰ τὸ μέτρον εἶπεν ἑτέρης. A.

ἐπὶ τῆς δευτέρας εἴρηκεν ἑτέρας διὰ τὸ μὴ ἐπιδέχεσϑ τὸ μέτρον εἰπεῖν δευτέρας. πρὸς αὐτὸ δὲ τὸ προδεδηλωμένον τῇ δυϊκῇ διαςολῇ κέχρηται. A.

180. παρϑένιος: ὁ ἐκ νομιζομένης παρϑένου γεννηϑείς. BD. φϑαρείσης λάϑρᾳ. D.

ἡ διπλῆ, ὅτι παρϑένιος λέγεϑ ὁ ἐξ ἔτι παρϑένȣ νομιζομένης γεννώμενος, σκότιος δὲ ὁ κατὰ λαϑραίαν μίξιν ϗ ȣ̓κ ἀπὸ νομίμȣ γάμȣ. καὶ ὅτι τὸ χορῷ καλή προσεκληπτέον καλλίχορος, διαπρέπȣσα ἐν τῷ χορεύειν. A.

προειπὼν τὸ κεφάλαιον πάλιν ἐπὶ μέρȣς ἐξηγεῖϑ. χορῷ δὲ καλή οἱονεὶ καλὴ ἐν χορῷ ȣ̃σα, καλλίχορος· ἀρετῆς γάρ ἐςι ϗ τȣ̃το παρϑένων. διὰ τȣ̃το ϗ μετὰ μελπομένῃσιν αὐτῆς ἠράσϑη. BL.

181. κρατύς: πάντων γ̓ περιγίνεϑ ὁ λόγος· ὅϑεν καὶ σῶκος, διὰ τὸ σωκεῖν, ὅ ἐςιν ἰσχύειν. BL.

Ἀργειφόντης: ὁ Ἑρμῆς. ἁγνὸς ϗ ἀργὸς ϗ καθαρὸς φόνȣ· εἰρηνικὸς γ̓ ὁ ϑεός. D.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

182. διαςαλτέον βραχὺ μετὰ τὸ ἠράσατο. A.

183. ἐν χορῷ: ὡς διὰ τὴν ἀρετὴν ἀξιωθείσης αὐτῆς χορεύειν τῇ θεῷ, ἢ ὡς συγχορευούσης τῇ θεῷ. ἀθετεῖ δὲ ἠδέωθη γ' ἂν τὴν θεόν. V.

χρυσηλακάτου: καλλιτόξῳ, ἢ χρυσῷ τῷ βέλει χρωμένης· ἠλακάτην γ' καλῶσι καὶ τὸ βέλος καὶ τὸ γυναικεῖον ἐργαλεῖον, ἐξ ἧς τὸ νῆμα ἕλκουσιν, ὡς ἐκεῖ ὁ ποιητής „ἠλακάτη τετάνυσο ἰοδνεφὲς εἶρος ἔχουσα" (Od. 4, 135), καὶ τὸ ὑπὲρ τὸ ἰςίον (ἱποϊςίον D), ὅταν λέγῃ „κάδδ' αὐτῇ λίνα χεῦον ὑπ' (ἐπ' D) ἠλάκατα τανύσαντες." AD.

χρυσοῖς βέλεσι χρωμένης· τὸν κάλαμον γ' τῶν βελῶν τινὲς ἠλακάτην φασί, καὶ Αἰσχύλος ἐν Αἴτναις τὰς ποταμὰς πολυηλακάτας φησί. κελαδεινῆς δὲ διὰ τὰς ἐν θήραις ἐκβοήσεις, ἢ διὰ τὰς χορείας. BL. ἢ ἐπεὶ Ἐγκέλαδον ἀπέκτεινε βιαζόμενον αὐτήν. V.

κυνηγετικῆς, παρὰ τὸν γιγνόμενον ἐν τοῖς κυνηγίοις κέλαδον, ὅ ἐςι θόρυβον, ὡς πε καὶ ἐν τῇ θήρᾳ τῶ Καλυδωνίε συός „ἡ δ' ἀμφ' αὐτοῖσι (αὐτῷ θῆκε D) πολὺν κέλαδον καὶ ἀϋτήν" (Il. 9, 543). AD.

184. ὑπερῷ': ὅτι ταῖς γυναιξὶν ἀνάγωιοι θάλαμοι ἐγίνοντο πρὸς τὸ μὴ συντυγχάνειν τοῖς ἀνδράσι. τὰ μετέωρα δὲ τῶν οἰκημάτων ὥα Λακεδαιμόνιοι καλῶσιν, ἃ νῦν ὑπερῷά φαμεν. δύναῖ δὲ νῦν τῶ ὑπερώϊον εἶναι ἀποκοπὴ καὶ τῶ ὑπερῷα συναλοιφή. V.

ἡ διπλῆ, ὅτι οἱ τῶν θηλειῶν θάλαμοι ὑπερῷοι, ἵνα μὴ εὐδίοπτοι ὦσιν. A.

185. ἀκάκητα: θεραπευτικός. ἢ ὁ ἐν Ἀκάκῃ τιμώμενος, ὄρει Ἀρκαδίας. L.

πάντων ἀγαθῶν αἴτιος. καὶ οἱ μὲν θεοὶ κοινῇ δοτῆρες ἐάων, ὁ δὲ Ἑρμῆς ἰδίᾳ δώτωρ ἐάων. BL. ὅθεν καὶ υἱὸς αὐτῶ Εὔδωρος. ἐξ αὐτῶ δὲ τὸ Ἀκακήσιον ὄρος. οἱ δὲ υἱὸν ἀκακῆτα προπερισπωμένως ὡς γυμνῆτα. V.

Ἑρμῆς αὐτῇ ἀγαθὸν δῶρον ἔδωκε τὸν υἱόν· διὸ καὶ Εὔδωρος· μέγα γ' δῶρον παιδοποιία. V.

Ἀρίςαρχος προπαροξύνει ἀκάκητα· οἱ δὲ ἄλλοι ἀναλογίᾳ πειθόμενοι προπερισπῶσιν. ἐπεληθη δὲ ἡ παράδοσις. A.

ἡ διπλῆ, ὅτι τῇ προσαγορευτικῇ ἀντὶ τῆς ὀρθῆς κέχρηῖ, ἀντὶ τῶ ἀκακήτης, ὡς κυανοχαῖτα ἀντὶ τοῦ κυανοχαίτης. καὶ ἐκ ἀπὸ τῶ ἐν Ἀρκαδίᾳ ἄντρε Ἀκακησίε προσηγόρευῖ καθ' Ὅμηρον ὁ Ἑρμῆς Ἀκακήσιος, ἀλλὰ διὰ τὸ κακῶ μηδενὸς παραίτιος γίνεσθ. ἢ ὁ μὴ δυνάμενος κακωθῆναι ὑπὸ ἑτέρε (μήτε δὲ κακῶσαι ἄλλον διὰ τὴν οἰκείαν ἀρετήν D)· ὅθεν καὶ δοτὴρ ἐάων, ὅ ἐςι τῶν ἀγαθῶν. A.

187. μογοςόκος: μογῶσα περὶ τὰς τόκες. ἐνικῶς δὲ εἶπε τὸ ὄνομα τῶ συςήματος τῶν Εἰλειθυιῶν, ὡς „μῆνιν ἄειδε θεά." V.

Εἰλείθυια: ἡ λήθην ἐμποιῶσα ταῖς τικτέσαις. V.

188. ἐξάγαγεν φώωσδε: οὕτως καὶ Ἀριςοφάνης, φώωσδε. Ζηνόδοτος δὲ προφόωσδε. A.

ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει προφόως. ἀγνοεῖ δὲ ὅτι ἐπὶ μὲν Εὐρυθέως (Il. 19, 118) ἔτως γράφειν ἐγχωρεῖ· πρὸ γ' τῶ τεταγμένε ταῖς τικτέσαις χρόνε ἐγεννήθη, διὸ καὶ ἠλιτόμηνος εἴρηται· ἐπὶ δὲ τῶν ἄλλων ἐκέτι. A.

Ἀρίςαρχος χωρὶς τῆς πρό. Ζηνόδοτος μᾶλλον ἐπὶ τῶ Εὐρυθέως ἁρμόζειν φησὶ τὸ προφόως· ἠλιτόμηνος γάρ. V.

ἄλλως. ἢ περισσεύει ἡ πρό, ὡς „νῆάς τε προπάσας" (Il. 2, 493), ἢ τόπον δηλοῖ, ὡς „διαπρὸ δὲ χαλκὸν ἔλασσεν" (Il. 13, 388). οἱ δὲ ὅτι πρὸ τῶ γαμηθῆναι τῷ Ἐχεκλεῖ ἐγεννήθη, ὡς καὶ τὸν Εὐρυθέα ἡ Ἥρα „ἐκ δ' ἄγαγε προφόωσδε καὶ ἠλιτόμηνον ἐόντα" (Il. 19, 118). τῶτο γ' αἰτήσαθ' Ἑρμῆν τὰς Εἰλειθυίας. V.

191. ὁ γέρων: ὁ πατὴρ Πολυμήλης. V.

192. ἀμφαγαπαζόμενος: φιλοφρονέμενος. V.

195. Πηλείωνος ἑταῖρον: τὸν Πάτροκλον κατ' ἐξοχὴν δηλοῖ. BL.

196. γέρων ἱππήλατα: τινὲς γράφεσι γερήνιος ἱππότα, λέγοντες ὡς καὶ Νέςωρ διὰ τὸ εἶναι γέρων ἔτως ἐκαλεῖτο. δαιμονίως δὲ παρέλιπεν ἐπὶ τέτε τὸν πλείονα λόγον, ἐπεὶ φθάνει καὶ τὸν βίον καὶ τὸ γένος αὐτῶ διασημῆναι ἡμῖν. ἐκ ἔδει δὲ παρὰ Πηλέως λαβόντα τὴν Δολόπων ἀρχὴν διὰ τὸ γῆρας αὐτῆς ἀφαιρεθῆναι. BL.

197. Λαέρκεος: ὁμώνυμος αὐτῶ ὁ Πύλιος χρυσοχόος (Od. 3, 425). V.

200. ἀπειλάων: ἀπειλῶν συνήθως, ἢ τῶν καυχήσεων. πραότητα δὲ Ἀχιλλέως ἐμφαίνει ὁ λόγος, τότε μὲν ὑπερενεγκόντος τὰς ὕβρεις, νῦν δὲ ἀντὶ προτροπῆς αὐτὰ προβαλλομένε. ἐδὲν δὲ τῶν πρακτέων παρέλιπεν, ἀλλὰ τάσσει καὶ προτρέπει, διὰ τῶν ἰδίων λόγων αὐτὸς ἐντρέπων καί φησιν, μή τίς μοι ἀπειλάων λελαθέσθω, ἵνα μὴ δοκῇ πρὸ μὲν τῶν κινδύνων εἶναι θρασεῖς, ἐν αὐτοῖς δὲ δειλοί. BL.

202. ἡ διπλῆ, περιεςιγμένη, ὅτι Ζηνόδοτος ἓν ποιῶν γράφει χωρὶς τῶ ῑ μητιάασθε, λαμβάνων ἀπὸ τῆς μήτιδος, οἷον ἐβελεύεσθε. γίνεῖ δὲ ἀδιανόητον· διὸ δεῖσὶν τ ῑ γράφειν ἢ τιάασθε. καὶ ὅτι πάνθ' ὑπὸ μηνιθμὸ ἤτοι μετὰ πάσης μήνιδος καὶ χόλε, ἢ κατὰ πάντα τὸν τῆ μήνιδος χρόνον. A. ὃς ἦν μετὰ τῆς παρέσης ἡμέρας ἐ καιδεκάτης. πρὸς τὸ ἐν τῇ H (421) ζήτημα. V.

λείπει τὸ ταῦτα λέγοντες. πάλιν δὲ οἰκείως τὴν σύντ ξιν τοῦ ἐπιμεριζομένε ἀπέδωκε. τινὲς δὲ μητιάασθ κακῶς. BL.

203. ἡ διπλῆ, ὅτι ἀπέςροφε τὸν λόγον ἀπὸ τῶ διηγ ματικῶ ἐπὶ τὸ μιμητικόν, καὶ ἐλλείπει τὸ τάδε λέγων ἔκα ἐμὲ ἠτιάασθε. καὶ ὅτι χόλῳ ἀρσενικῶς ἀντὶ τῶ χολ ὑπερβολικῶς ὁ γάλακτι, ἀλλὰ χολῇ. A.

διὰ τὸ ἄμετρον τῆς ὀργῆς. χόλος δέ ἐςι τὸ περὶ ψ χὴν πάθος, ἢ ἡ χολή. B. ἔςι δὲ ὡς Σάμιος ἀντὶ τῶ Σά (Il. 2, 634) καὶ „ἐν πύλῳ ἐν νεκύεσσιν" (Il. 5, 397) ἀ τῶ πύλῃ. V.

204. νηλεές: ταῦτα ἀφ' ἑτέρας ἀρχῆς· διαςαλτέον ἐπὶ τὸ νηλεές. A.

ἐκ ἐγκαλῶσιν ὅτι συμμαχεῖν ἐθέλεις, ἀλλ' ὅτι καὶ τὸς ἑταίρους κατέχεις. V.

206. χόλος: νῦν ὁμοίως ἡμῖν τὸ περὶ ψυχὴν πάθος φησίν. V.

207. ταῦτα: ἐπὶ τὴν τᾶ συλλαβὴν ὀξεῖα· ἐγκλιτικὴ γάρ ἐστιν ἡ μέ· ταῦτά με ἀγειρόμενοι. ἕτω καὶ Ἀρίσαρχος. ὁ μέντοι Κρατήτειος Ἑρμείας τὸ ἅμα λέγει ἐγκεῖσθαι. ἕτω δὲ δώσει καὶ διὰ τᾶ Θ τὴν γραφήν, ἐκ ἔχεσαν ἕτως. A.

τὸ πλῆρες ταῦτά μοι. ἢ ἐβάζετε ταῦτα εἰς ἐμέ. ταῦτα ἅμα ἐχ ὑγιῶς. V.

θάμ' ἐβάζετε: Ἀρίσαρχος Ἰακῶς, θαμὰ βάζετε. A.

νῦν δὲ: νῦν δὲ ἐν τῷ μέσῳ ἐσὶν ἡ μάχη. V.

208. ἔης: διήρηται ὡς τὸ „ὅθ κλέος" (Il. 2, 325). V.

ἐντέχνως χάριν αὐτοῖς δοκεῖ κατατίθεσθαι προπέμπων, καὶ τὴν ὁρμὴν ἔρωτα κέκληκε· καὶ ὡς ἐπιτυχόντας ὧν ἐπεθύμων, ἀνδρίζεσθαι παρακελεύεται. BL.

211. ἄρθεν: ἠρμόσθησαν, ὡς δῆλον ἐκ τῆς παραβολῆς. οἱ δὲ ἀντὶ τᾶ ἐπῄρθησαν καὶ φρονήματος ἐπληρώθησαν. BL.

Ἀρίσαρχος δασύνει. δεῖ δὲ ψιλᾶν, ὡς ἐπεδείξαμεν ἐν τῇ Α ῥαψῳδίᾳ (137), διαλαμβάνοντες περὶ τᾶ „ἄρσαντες κατὰ θυμόν." A.

ὅτι καὶ Ἀγαμέμνων βασιλεύς. διό φησιν ὁ Ἀγαμέμνων „ὅσον βασιλεύτερός εἰμι" (Il. 9, 160). V.

213. ὑψηλοῖο: ταῦτα γοῦν μᾶλλον καταπνεόμενα κρεῖττον οἰκοδομεῖται· ἀμελέσερον δὲ τὰ ταπεινά. BL.

215. κόρυν: τινὲς κόρυθα· ἐ γοῦν ἔχιν ὅμοιον τῷ πίτυς, ἵνα εἰς ν̄ ποιήσῃ τὴν αἰτιατικήν. καὶ „κόρυθα βριαρήν" φησιν (Il. 11, 375). ἔχι δὲ ὅμοιον τῷ ὄρνιν. V.

217. νευόντων: σικτέον· μᾶλλον γοῦν ἐμφαίνει. A.

ἐφέσασαν ἀλλήλοισιν: καὶ κατὰ σίχον ἔσασαν, ὅ ἐσι κατὰ βάθος, καὶ κατὰ ζυγόν, ὅ ἐσι κατὰ μέτωπον. V.

218. θωρήσσεσθον: γράφεται θωρήσσοντο. A.

221. χηλᾶ: παρὰ τὸ κῆλα, ὅ ἐσι ξύλα· οἱ δὲ παρὰ τὸ χῶ τὸ χωρῶ. καλεῖται δὲ παρὰ μὲν Λάκωσι κιβωτός, παρὰ δὲ Ἀττικοῖς λάρναξ, παρὰ δὲ Μιτυληναίοις ἀντίπηξ. BL.

οἱονεὶ κῆλος, παρὰ τὸ ἐγκεῖσθαι. V.

ἀνέωγε: πλεονασμῷ τᾶ ξ, ὁμοίως τῷ „ἐπιξόμ' ἀνέωγεν" Ἀττικῶς. V.

222. δαιδαλέης: δαίδαλα ἔλεγον τὰ ποικίλα κατασκευάσματα, ἀπὸ Δαιδάλης τῆς Μήτιδος μητρός, παρ' ἣν Ἀθηνᾶ ἐτράφη. V.

τήν οἱ Θέτις: ἡ διπλῆ, ὅτι ἐ δωδεκαταῖον ἀπέλιπε τὸν Ἀχιλλέα γεννήσασα ἡ Θέτις, καθάπερ οἱ νεώτεροι ποιηταί, ἀλλὰ συνεβίβ Πηλεῖ. ἐκπέμπει γᾶν ἐπὶ τὸν πόλεμον Ἀχιλλέα, φησὶν (Il. 18, 59) „τὸν δ' ἐχ ὑποδέξομαι αὖτις οἴκαδε νοσήσαντα δώμοιο πηλ " ὡς ἂν ἐπὶ τᾶ οἴκᾳ μένσα. A.

ἐκ ἄρα κεχώρισαι Πηλέως μετὰ τὴν γένεσιν Ἀχιλλέως ἢ Θέτις ἀλλὰ μέχρι γήρως σύνεσιν αὐτῷ. δῆλον δὲ καὶ ἐκ τᾶ „πολλάκι γὰρ σέο πατρὸς ἐνὶ μεγάροισιν" (Il. 1, 396). BL.

223. ἄγεσθαι: Ζηνόδοτος καὶ Ἀριστοφάνης ἰόντι. A.

224. ἕλων ὡς δόλων. προείρηται δὲ ἡμῖν τὰ τῆς ἀναλογίας. A.

εὐειλήτων διὰ μαλακότητα, ἀφ' ἧς καὶ ἱλόθριξ. BL.

225. τετυγμένον: εὖ πεποιημένον. ὁ γραμματικώτης δέ, ἀλλὰ Πυθαγορικός τις δοκεῖ νεανίας εἶναι. V.

227. ὅτι: ἕτως Ἀρίσαρχος, ὅτι· ἄλλοι δὲ διὰ τοῦ ε, ὅτε. A.

Ἀρίσαρχος ὅτι διὰ τᾶ ι· ἐ γοῦν ὅτε Διΐ, καὶ τοῖς ἄλλοις ἔθνει. καλῶς δὲ τῷ προπάτορι Διὶ ἀφώρισε μόνῳ τὴν φιάλην. BL.

228. ἕτως Ἀρίσαρχος τό ῥα, διὰ τᾶ ἑνὸς ῥ. A.

τᾶτο κατὰ ἔθος πάτριον. V.

231. μέσῳ ἕρκεϊ: ἐπεὶ ἐν μέσῳ τᾶ οἴκᾳ Ἕρκεϊ Διὸς βωμὸς ἵδρυτο, μεσέρκειον καλῶσι τὸν Δία. ἕρκεϊ δὲ τῷ περιφράγματι τῆς σκηνῆς. BL.

233. Δωδωναῖε: ἐν χωρίῳ τῷ Ὑπερβορέῳ τῇ Δωδώνῃ τιμώμενε. Δωδῶναι δὲ δύο, ἡ μὲν Θεσσαλίας, ἡ δὲ Μολοσσίας. τινὲς δὲ Δωδώνην τὴν γῆν, παρόσον πάντα δίδωσιν· δυχείμερον δέ, ὅτι πάγοις καὶ κρυμοῖς ὑπὸ τᾶ ἀρανᾶ συνέχετο. τίς δέ ἐσιν ὁ τᾶ Δωδωναίε Διὸς λόγος, καὶ τῶν τόπων ἐξ ὧν αὐτὸν ἐπικαλεῖτο ἕτως; Δευκαλίων μετὰ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμὸν παραγενόμενος εἰς τὴν Ἤπειρον ἐμαντεύετο ἐπὶ τῇ δρυΐ. πελειάδος δὲ χρησμὸν αὐτῷ δόσης κατοικίζει τὸν τόπον, συναθροίσας τὰς περιλειφθέντας ἀπὸ τᾶ κατακλυσμᾶ, καὶ ἀπὸ τᾶ Διὸς καὶ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων Δωδώνην τὴν χώραν προσηγόρευσεν (καὶ γήμαντα Δωδώνην Ὠκεανίδα τὴν πόλιν οὕτως προσαγορεῦσαι V). ἡ ἱστορία παρὰ Θρασυβόλῳ καὶ Ἀκεσοδώρῳ. ABDV.

Δωδώνη δὲ πόλις ἐν Θεσπρωτίᾳ Πελασγίᾳ, ἐν ᾗ ἵσαν δρῦς, ἐν ᾗ μαντεῖον ἦν γυναικὸς προφήτιδος· καὶ εἰσιόντων τῶν μαντευομένων ἐκινεῖτο δῆθεν ἡ δρῦς ἠχοῦσα, αἱ δὲ ἐφθέγγοντο ὅτι τάδε λέγει ὁ Ζεύς. καὶ ἀνδριὰς ἵστατο ἐν ὕψει ῥάβδον κατέχων, καὶ παρ' αὐτὸν λέβης ἵστατο· καὶ ἔπαιεν ὁ ἀνδριὰς τὸν λέβητα, ἐξ ἧς ἠχός τις ἐναρμόνιος ἀπετελεῖτο· αἱ δὲ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσιν. B.

ὅτι δὲ ἐν Θεσπρωτοῖς οἶδε τὸ μαντεῖον τᾶ Διὸς ὁ ποιητής, φανερὸν ἐποίησεν ἐν Ὀδυσσείᾳ. καὶ Εὐριπίδης „Θεσπρωτὸν ἕ δασσαμένας Δωδώνης βάθρα." Ὅμηρος δὲ ἐκ οἶδε Διὸς ἱερὰν δρῦν, ἐπεὶ κἂν εἰρήκει, ὡς περὶ τῆς ἐν Ἰλίῳ „φηγῷ ἐν ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο" (Il. 7, 60) καὶ „Διὸς περικαλλέϊ φηγῷ" (Il. 5, 693). V.

Δήμων φησὶν ὅτι τὸ τᾶ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπτο· τέτας δὲ ψαύειν ἀλλήλας καὶ κρουσθέντος τοῦ ἑνὸς ἠχεῖν ἐκ διαδοχῆς πάντας, ὡς διὰ πολλᾶ χρόνα γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων, δύο φησὶ ζύλας εἶναι, καὶ ἐπὶ μὲν τᾶ ἑτέρᾳ λέβητα, ἐπὶ θατέρᾳ δὲ παῖδα κρατοῦντα μάστιγα,

ἧς τὲς ἱμάντας χαλκέες ὄντας σειομένες ὑπ' ἀνέμε τῷ λέβητι προσκρέειν· τὸν δὲ τυπτόμενον ἠχεῖν. B. ὠνόμασαι δὲ ἀπὸ Δωδώνε τῆ Διὸς καὶ Εὐρώπης τῆς Ὠκεανῆ, ὃς καὶ παρὰ Διὸς τὴν μαντικὴν εἰλήφει. V.

ἄλλως. εἰκότως τὸν πολίτην καὶ γείτονα καὶ προπάτορα θεὸν ἐπικαλεῖ, ὡς καὶ Χρύσης τὸν Σμινθέα (Il. 1, 39) καὶ τὸν Λυκογενῆ Πάνδαρος (Il. 4, 101). ὁ δὲ Δωδωναῖος καὶ ναΐος· ὑδρηλὰ γὰ τὰ ἐκεῖ χωρία. οἱ δὲ γράφουσι Φηγωναῖε· Σκοτεσσαῖοι γάρ φασι παρ' ἑαυτοῖς λόφον εἶναι φακόεντα ἀπέχοντα Σκοτέσσης σταδίες ιέ, ἐν ᾧ Διὸς Φηγοναίε ἐσὶν ἱερόν. οἱ δὲ γράφεσιν Βωδωναῖε· πόλις γὰρ Θεσσαλίας ἡ Βωδών, ἔ τιμᾶ Ζεύς, ἡ νῦν Βονδίτζα. τινὲς δὲ ἀναδωδωναῖε ὑφ' ἕν, παρὰ τὴν ἀνάδοσιν τῶν ἀγαθῶν. Πελασγικὲ δέ, ὅτι ὑπὸ Πελασγῶν ἵδρυ τὸ περὶ Δωδώνην τέμενος. οἱ δὲ Πελαργικέ· λόφον γὰ εἶναι λευκὸν ἐκεῖ φασὶν ἕτω καλέμενον. οἱ δὲ Πελασικέ, ἔ πέλας ἐσὶν ὁ ἀήρ. τηλόθι δὲ ναίων, ὅτι ἄποθεν ἡμῶν ὁ αἰθήρ· Ζεὺς γάρ ἐσιν ἡ τῆ κόσμε ψυχή, ἀεροειδὴς ἔσα. BL.

Πελασγία πρότερον ἡ Θεσσαλία ἐκαλεῖτο, ἐξ οὗ Θαυμαξὸς καὶ (ἔ καὶ Πελασγικὸς ὡς D) ὑπὸ Πελασγῶν τιμώμενος, ἐπεὶ Πελασγοὶ κατῴκεν τὴν Δωδώνην, ἐκβληθέντες ἀπὸ Βοιωτίας ὑπὸ Αἰολέων. AD. ἐξ Ἄρνης τῆς Θθιώτιδος. ἡ μέντοι πόλις Πελασγία. D.

234. δυσχειμέρε: οἱ περὶ Ζηνόδοτον πολυπίδακος διὰ τὸ Καλλιμάχε „κρηνέων τ' Εὐρώπη μισγομένων ἑκατόν." V.

Σελλοί: ἔθνος Ἠπειρωτικὸν τῆς Θεσπρωτίας, κληθὲν ἀπὸ τῆ παραῤῥέοντος ποταμοῦ Σελλήεντος. D. Πίνδαρος Ἕλλοι χωρὶς τῆ ο, ἀπὸ Ἑλλῆ τοῦ δρυτόμου, ᾧ φασὶ τὴν περιςερὰν πρώτην καταδεῖξαι τὸ μαντεῖον. AD.

ἀπὸ Σελλῆ τῆ Θετταλῆ τὸ γένος, ὅθεν κατὰ διαδοχὴν οἱ τῆ Διὸς ἱερεῖς ἐγίνοντο. BL.

ὁ μὲν Πίνδαρος Ἕλλες αὐτὲς οἴεται. δεῖ δὲ ἀπὸ τῆ ο ἄρχεσθ τὴν λέξιν, ἀπὸ Σελλήεντος ποταμῦ. ὀξύνε δὲ τὸ ὄνομα· τὰ γὰ εἰς λος ἑτέρω λ παραληγόμενα, οὗ τὸ α μὴ προηγεῖ, ὀξύνε· κιλλός εἶδος χρώματος (ἐν Στεφανοπώλισιν Εὐβέλε „εὔχρων τι κιλλὸν μανθάνεις θερίςριον"), πολλός, κυλλός, Ἕλλος ἢ Σελλός („ἀμφὶ δὲ Σελλοί"), σκελλός, Φελλός τὸ προσηγορικόν. τὸ δὲ Γάλλος καὶ ἄλλος τὸ α ἔχει πρὸ τῆ λ· ἔτι δὲ τὸ ἄλλος καὶ ὡς ἐπιμεριζόμενον βαρύνε. A.

ἡ διπλῆ πρὸς τὸ τῆς γραφῆς ἀμφίβολον· οἱ μὲν γὰ Σελλές, οἱ δὲ Ἕλλες ἐξεδέξαντο. δεῖ δὲ νοεῖν ὡς ἔςιν ἐκ πλήρες Σελλοί· καὶ γὰ ὁ συνορίζων τοῖς τόποις ποταμὸς Σελλήεις, ἀφ' ἔ εἰκὸς τὲς παροίκες Σελλὲς καλεῖθ. A.

Ἕλλοι ἀπὸ Ἑλλῆ τῆ Θεσσαλῆ. ὅσω δὲ ὁ ποιητὴς καὶ οἱ παλαιοί. τινὲς δὲ Σελλοί, ἀπὸ Σελλήεντος τῆ ποταμῆ, ὃς νῦν ὡς καλῶς καλεῖ. ἐὰν δὲ εἴπωμεν Σελλοί, ἔσονε περὶ πᾶσαν τὴν Δωδώνην οἰκῆντες, ἃ περὶ τὸ τέμενος τῆ θεῆ. καὶ βέλτιον· ἐν Δωδώνῃ γὰ τὸ γένος ἐξὶ τῶν ἱερέων τῆ Διὸς κατὰ διαδοχήν. κοινὸν δὲ τοῖς πᾶσιν Ἕλλησι τὸ ἐνταῦθα ἱερόν. σημειωτέον ὅτι ἄνδρας φησὶν αὐτόθι προφητεύειν. V.

235. ἐποφῆται: ὑπομάντεις ἱερεῖς, ὅ ἐξι χρησμῳδοί, θεολόγοι, προφῆ· προφήτας γὰ λέγεσι τὲς περὶ τὰ χρηςήρια ἀχολεμένες καὶ τὰς μαντείας τὰς γινομένας ὑπὸ τῶν ἱερέων ἐκφέροντας. AD.

ἀνιπτόποδες: ἤτοι βάρβαροι σκληρῶς τε καὶ νομαδικῶς ζῶντες, ταύτην ἔχοντες δίαιταν ὡς μηδὲ ἀπονίζεθ τὲς πόδας διὰ τὸ μὴ παραδέχεθ τὴν ἐκ τῆ πρώτε βίου μεταβολήν, ἢ τᾶτο ἔκ τινος ἔθες ἐπὶ τιμῇ τῆ θεῆ ποιῦντες· ἔνιοι γὰ καὶ λετρῶν ἀπέχονε καὶ τῆς τοιαύτης ἐπιμελείας. τινὲς δὲ αὐτὲς διὰ τᾶτο λέγεσιν ἀνιπτόποδας, ὅτι ἐκ ἐξίασιν ἔξω τῆ ἱερῆ· διὸ ἔτε ἀπολέεθ ἀνάγκην ἔχεσιν. Ἄνδρων δὲ ἐν ἱςορίαις φησὶν ἕτως κληθῆναι, ἐπεὶ φιλοπόλεμοι ὄντες ἕτως ἑαυτὲς ἐσκληραγώγεν. Ἀλέξανδρος δέ φησιν ὁ Πλευρώνιος ἔθνος εἶναι τὲς Ἕλλες ἀπόγονον Τυῤῥήνων, καὶ διὰ πατρῷον ἔθος ἕτω τὸν Δία θρησκεύειν. AD.

οἱ φυλασσόμενοι μή τι μιαρὸν πατῆσαι. ἢ μὴ προϊόντες τῆ ἱερῆ, ὡς μὴ δεῖθ νίπτρων· καὶ Καλλίμαχος „ἦσεν ἐκδοὺς σάμβαλον αὐλειε." ἢ διὰ τὸ ὑποδεδέθ. ἢ καθ' ὑπόμνησιν τῆ κατακλυσμῆ, ὅτι πεπολημένοι μετὰ τὸ σωθῆναι ηὔξαντο τῷ Διί. οἱ δὲ ἀντὶ τῆ ἀνιπτάμενοι ταῖς διανοίαις καὶ μετεωρολόγοι. χαμαιεῦναι δὲ οἱ χαμαὶ ὄντες καὶ τὰ πόῤῥω σκοπῦντες. BLV.

236. ἢ διπλῆ, ὅτι ὁ προσυνέγε περὶ τῆς τῶν Ἀχαιῶν κακώσεως εὐχόμενος, ὁδὲ κατ' εὐχὴν τετίμηται, ἀλλὰ διὰ τὰς τῆς Θέτιδος λιτάς. διὸ ἀθετητέον τὸν ἑξῆς τίμησας μὲν ἐμέ· καθολικῶς γὰ λέγει, καὶ ἐκ ἀφωρισμένον ἀναφέρει καιρὸν τὸν τῆς μήνιδος. A.

τὴν ἀπὸ τῆς μητρὸς δέησιν ἑαυτοῦ εὐχὴν νενόμικεν· ἐ γὰ τὴν Θέτιν αὐτῷ ἀνεὶς Ἀχιλλεὺς ἦν, καὶ εἰς αὐτὸν ἄγε ἡ εὐχή. BL. καὶ Ἀλκμᾶν γάρ φησι „καί ποτ' Ὀδυσσῆος ταλασίφρονος ὠτά θ' ἑτάρων Κίρκη ἐπαλείψασα." οὐ γὰ αὐτὴ ἤλειψεν, ἀλλ' ὑπέθετο Ὀδυσσεῖ. V.

237. ὁ μὲν ὀβελὸς πρὸς τὴν προειρημένην ἀθέτησιν, ὁ δὲ ἀςερίσκος, ὅτι ἐκ τῆς τῆ Χρύσε εὐχῆς (Il. 1. 454) μετενήνεκται. A.

Ζηνόδοτος ὁδὲ γράφει, Ἀριςοφάνης ἀθετεῖ. V.

239. αὐτὸς μὲν γάρ: ὡς πρὸς παρόντα τὸν θεόν, ἀγνοῦντα δέ, ἀνθρωπείως διαλέγεται· πάντα γὰρ οἶδεν ὁ θεός. BL.

ὅτι νηῶν ἀγῶνι τῷ ἀθροίσματι καὶ ναυςάθμῳ. A.

240. ὁ ἀλλά ἀντὶ τῆ δέ. V.

241. κῦδος: πρέπον Ἀχιλλεῖ δόξαν αἰτεῖθ πρὸ σωτηρίας· διὸ καὶ ὁ Ζεὺς διδὲς τὸ ἕτερον τὸ μεῖζον αὐτῷ δίδωσι, φημὶ δὲ τὴν ἀνδραγαθίαν· ὁδεὶς γὰ πάντα κατορθοῖ παρὰ θεῶν τὰ αἰτήμενα. BLV.

243. ἐπίσηται: ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐπισέαται. ἀγνοεῖ δὲ ὅτι τὰ τοιαῦτα ῥήματα πληθυντικὰ ἐξι, καὶ νῦν ἀνάλογον ἔξει τὸ ἐπισέαθ τῷ ἐπίσαθ, ὅπερ ὁ συμφωνεῖ. ἔςιν ὃν ἀντὶ τῆ ἐπίσαθ, καὶ μετείληπται τὸ α εἰς τὸ η. A.

ἐπίσηται: δύναται. V.

244. θεράπων: Ἀρίσαρχός φησιν ἠκολωθηκέναι Πάτροκλον Ἀχιλλεῖ ὡς ἡνίοχον, ἐν οἷς φησὶ „κλαῖον ἐπειδὴ πρῶτα πυθέσθην ἡνιόχοιο" (Il. 17, 427). οἱ δὲ ἐν Ἰλίῳ γεγενῆσθαι. πῶς οὖν Ἀχιλλεῖ συναγωνίζεται ἡνίοχος ὤν; ἢ τί θαυμαστὸν ἡνιοχῆντα καιρῷ ἢ ἀναιρεῖν; ὅπερ γε καὶ Αὐτομέδων τῦτο ποιῶν φαίνεται. BLV. ἡνιοχῶν Πατρόκλῳ. V.

ἤ: ὡς ἐρωτηματικὸν περισπαστέον. V.

245. βαρέως τὸ ἴω ῥῆμα δισύλλαβον· ὁ γὰρ πέρ σύνδεσμος. A.

246. ναῦφι: ἰδίως ἀπὸ ὀρθῆς παρῆκται, γενικὴν δηλοῦν. V.

δίηται: διώξῃ κατὰ Μάγνητας. V.

247. ἀσκηθής: ἐκ τῦ ἀσκῶ, ὃ δηλοῖ τὸ θεραπεύω καὶ ὑγιάζω· ἐκ τῦ γὰρ θεραπεύειν τὸ ὑγιαίνειν. ἡ δὲ λέξις Αἰτωλῶν. ἡ δὲ προσθήκη τοῦ μοί τὸ φιλόσοργον ἦθος δηλοῖ. BLV.

248. τεύχεσί τε σὺν πᾶσι: ἴσον νομίζει θάνατον καὶ ἀποβολὴν ὅπλων. BL.

κατὰ παράθεσιν ἐδεξάμεθα ἐνθάδε τὴν σύν πρόθεσιν διὰ τὴν διαζολὴν τὴν πρὸς τὰς ἑταίρας. διὸ προπερισπᾶται τὸ πᾶσι, σὺν τεύχεσι πᾶσι καὶ τοῖς ἑταίροις. ἔστι μέντοι καὶ σύνθετόν ποτε, καὶ τρίτη ἀπὸ τέλους ἔσαι ἡ ὀξεῖα ἀπ' εὐθείας τῆς σύμπαντες καὶ αἰτιατικῆς τῆς σύμπαντας· „τοῖς δ' οὔτι δυνήσεται ἀχνύμενος·" καὶ οὕτως ἀνεγνώσθη τὸ „σύμπασι Πυλίοισι" (Od. 3, 59). καὶ δῆλον ὅτι ἐνθάδε μὲν ἡ γραφὴ διὰ τῦ μ ἐστί, ἐπεὶ κατὰ σύνθεσιν, ἐν δὲ τῷ „τεύχεσί τε ξὺν πᾶσι" φυλάξει τὸ ν ἑαυτῆς ἡ πρόθεσις διὰ τὴν παράθεσιν. A.

249. ὡς ἔφατ': σαφῶς καὶ διὰ βραχέων τὸ πᾶν ἐξήνεγκεν. V.

251. νηῶν μέν: πρὸς τὸ πρῶτον ὑπήντησεν. V.

252. διχῶς γράφεται, καὶ σόον καὶ σάον. A. διὰ τὸ „σαώτερος ὡς κε νέηαι" (Il. 1, 32) καὶ „σάω δ' ἐρίηρας ἑταίρας" (363). ἢ πρὸς τὸ „ἦν δή με σάωσι θεοὶ καὶ οἴκαδ' ἵκωμαι" (Il. 9, 393). V.

254. ἔτως ἀπέθηκε διὰ τῦ ῡ. A.

255. στῆ δὲ: εἰκότως θεατὴς τῆς μάχης γίνεται, καραδοκῶν τὸ ἀποβησόμενον. BL.

259. σφήκεσσιν ἐοικότες: σφηξὶν ὅμοιοι διὰ τὸ θερμὸν αὐτῶν καὶ πληκτικόν. D. παρόσον ὁμοθυμαδὸν ὁρμῶσι τῶν σκηνῶν καὶ θυμῷ μεσοί· θυμικὸν γὰρ σφῆξ, καὶ μάλιστα ἐνόδιος, ἀδιαλείπτως ἐρεθιζόμενος ὑπὸ τῶν ὁδιτῶν. BL.

260. εἰνοδίοις: παρὰ τὴν ὁδὸν ἔχουσι τὴν σφηκιάν. ἐριδμαίνωσι δὲ εἰς ἔριν ἐμβάλλωσιν· οἱ δὲ ἐρεθίζωσιν. ἔθοντες δὲ ἐξ ἔθους ἐπιόντες. BL. „ἔθων Οἰνῆος ἀλωήν" (Il. 9, 540). V.

ἡ διπλῆ, ὅτι τὴν αὐτὴν διάνοιαν ἔχει τῷ ἑξῆς, καὶ ὑγιέστερον εἴρηται. A.

261. ἀθετεῖται. τὸ κερτομεῖν οὐ τίθησιν ἐπὶ τοῦ δι' ἔργων ἐρεθίζειν, ἀλλὰ διὰ λόγων. καὶ ὅτι διὰ τοῦ προειρημένα εἶχε ταὐτὸν εἰρῆσθαι· τὸ γὰρ εἰνοδίοις ταὐτόν ἐστι τῷ ὁδῷ ἐπὶ οἰκί' ἔχοντες, καὶ τὸ ἐριδμαίνωσιν τῷ κερτομέοντας, ἢ τὸ ἀεὶ τῷ ἔθοντες, ἐξ ἔθους συνεχῶς ἐπιφοιτῶντες. ἠθέτει καὶ Ἀριστοφάνης. A.

ἀθετεῖται διὰ τὴν ταυτολογίαν· τὸ γὰρ ἀεὶ ταὐτόν ἐστι τῷ ἔθοντες, τὸ δὲ κερτομέοντες τῷ ἐριδμαίνωσιν, τὸ δὲ ἐπὶ ὁδῷ τῷ εἰνοδίοις. ἄλλως τε ὁ ποιητὴς κερτομίζειν ἀεί φησι τὸ διὰ λόγων ἐρεθίζειν, οὐκ ἔργῳ. τινὲς δὲ ὁδῷ ἐπὶ οἰκί' ἔχοντες γράφουσιν, ἐπὶ τῶν παίδων ἀκόντες. καὶ εἰς τὸ κερτομέοντες λείπει τὸ οἱ, ἵν' ᾖ οἱ κερτομητικοί. BLV.

Ἀρίσαρχος ἔχοντας διὰ τῦ ᾱ, καὶ ἅπασαι. A.

263. παρά τίς τε κιών: παροδεύων τις. πλεονάζει ἓν ὁ τέ σύνδεσμος. BL.

264. οἱ δ': ἀκόλουθον ἦν εἰρηκέναι τῶν δέ. D.

265. πρόσσω πᾶς πέτεται: ἤκιστα ἂν ἴδοις σφῆκα φεύγοντα, διώκοντα δὲ προθυμότατα. V.

ἡ διπλῆ, ὅτι πληθυντικῶς εἰπὼν „οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες" ἑνικὸν ἐπιφέρει „πᾶς πέτεται" διὰ τὸ τὴν ἔννοιαν τῦ πᾶς πληθυντικὴν εἶναι, μόνον δὲ τὸ χῆμα ἑνικόν, ὅμοιον τῷ „ἀγρόμενοι πᾶς δῆμος" (Il. 20, 166). A.

267. βοὴ δ' ἄσβεσος ὀρώρει: Ἀχαιῶν μὲν ἐπὶ τῇ χαρᾷ βοησάντων, Τρώων δὲ θορυβηθέντων. BL.

268. ἑτάροισιν: ἵνα ἐμβάλλωσιν εἰς τὸν πόλεμον, ἀλλὰ περὶ αὐτὸν ἦσιν, ἐπεὶ δ' ἂν ἠκούσθη τῇ βοῇ. καλῶς δὲ ἐπὶ μὲν Ἀχιλλέως ἡσυχίαν ἄγει· νῦν δὲ ἐπ' ἐξόδου γεγονὼς παρακαλεῖ γενναίαν καὶ φιλόσοργον παράκλησιν, φίλος τε Ἀχιλλέως καλῶν ἰσάζεσθαι παρακαλεῖ τῷ φίλῳ. BL.

271. ὡς ἂν Πηλείδην τιμήσομεν: μέγαν αὐτοῖς ὑπογράφει σκοπὸν ἀνδραγαθίας, τὴν Ἀχιλλέως τιμήν. BLV.

272. καὶ ἀγχέμαχοι θεράποντες: ἀπὸ κοινῦ τὸ μέγ' ἄριστοι. Σέλευκος δὲ ἀθετεῖ. V.

273. γνῶ δὲ καὶ Ἀτρείδης: ἔμφρων ὁ Πάτροκλος ὁ παρόντα μὲν ἐλέγχων μετὰ παῤῥησίας („νηλεές, ἦ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς ἠδὲ Θέτις μήτηρ"), ὑπὲρ ἀπόντος δὲ τῦ φίλου ἀπολογούμενος. τὰ αὐτὰ δὲ τῷ Ἀχιλλεῖ προφέρει ἔτι. ἅμα δὲ καὶ ἐμβριθὴς ἡ παράκλησις, δεῖξαι σπεύδοντος Ἀγαμέμνονι ὡς αἴτιος τῆς Ἑλληνικῆς γέγονε συμφορᾶς. BLV.

274. οὐδέ: ἡ διπλῆ, ὅτι τὸ δεν παρέλκει· ἔστι γὰρ ὅτι τὸν ἄριστον τῶν Ἀχαιῶν ἐκ ἔτισεν. A.

276. ἐν δ' ἔπεσον: ἀκολούθως τοῖς Ἀχιλλέως παραγγέλμασιν ἐπικρατέως ἐνέπεσον. BL.

νῆες: οὐ πᾶσαι, ἀλλὰ αἱ τῶν Μυρμιδόνων. V.

278. εἴδοντο Μενοιτίου: αὐτοὶ μὲν ἐκ εἶδον ὡς Μενοιτίου υἱόν, προαναπεφώνηκε δὲ τῦτο ἀφ' ἑαυτῦ ὁ ποιητής. BL.

279. αὐτὸν καὶ θεράποντα: Αὐτομέδοντα ἐν τοῖς ὅπλοις ὄντα Πατρόκλου ᾠοντο εἶναι Πάτροκλον, Πάτροκλον δὲ Ἀχιλλέα. BL.

280. πᾶσιν: ἀντὶ τῦ πάντων. ἐνδείκνυται δὲ ὁ ποιητὴς

τὲς πολλὲς ἐκ ἀληθείᾳ, δόξῃ δὲ κ᾽ φαντασίᾳ τῶν πραγμάτων ἐχομένης. BL.

281. ἐλπόμενοι: σημείωσαι τὴν ἐλπίδα ἐπὶ κακῷ. L.

ἡ διπλῆ, ὅτι ἰδίως εἴρηκε φάλαγγες ἐλπόμενοι πρὸς τὸ νοητόν· σύσημα γ᾽ ἀνδρῶν εἰσὶν αἱ φάλαγγες. ἢ δεῖ τὴν πτῶσιν μεταλαβεῖν, ἐλπομένοις. A. ἔστι τὸ ὅμοιον κ᾽ παρὰ Θουκυδίδῃ (1, 110) „ἔχον Ἀθηνῶν κ᾽ τῆς ἄλλης συμμαχίας ν᾽ πλήρεις πλέουσαι ἐπ᾽ Ἄγυρτον ἔχον κατὰ τὸ Μενδήσιον κέρας, ἐκ εἰδότες τῶν γεγενημένων οὐδέν.“ V.

ἄλλως. ἀντὶ τῶ ἐλπομένων. Ζηνόδοτος δὲ γράφει ἐλπόμεναι ἐπὶ τῶν φαλάγγων. ἐπαινεῖ δὲ Ἀρίσαρχος ὅτι ὐ φεύγοντας ἐποίησεν εὐθέως, ἀλλὰ καταπλησσομένους. V.

283. πάπτηνεν: δεινότατον τῶν ἐπῶν Ὁμήρου τοῦτό φησιν Ἀριστοτέλης, ἐν ᾧ πάντες φευκτιῶσι. κ᾽ οἰκεῖον βάρβαρον. V.

286. νηΐ πάρα πρυμνῇ: καλῶς τῇ κινδυνευούσῃ νηΐ πρώτῃ ἐπικουρεῖ· τοῦτο γ᾽ ἔλεγεν Ἀχιλλεύς „μὴ δὴ νῆας ἕλωσι“ (128). A.

287. Πυραίχμην: πεποίηθ τὸ ὄνομα τοῦ στρατηγοῦ παρὰ τὸ πῦρ κ᾽ αἰχμὴν φέρειν ἐν τῇ νηΐ. D.

ἱπποκορυστάς: Μίμνερμος „Παίονας ἄνδρας ἄγων, ἵνα τε κλειτὸν γένος ἵππων.“ ἐν δὲ τῷ καταλόγῳ „κ᾽ Παίονες ἀγκυλότοξοι“ (Il. 2, 848). ἢ ἤτοι ὑπὸ Ἀστεροπαῖον, οἱ δὲ ἱππεῖς ὑπὸ Πυραίχμην. ἢ διαφόρῳ ὁπλίσει ἐχρῶντο. ἢ ἱπποτοξόται ἦσαν. V.

288. Ἀμυδὼν φρούριόν ἐστι Μακεδόνων, παρὰ τὸν Ἀξιὸν ποταμὸν κείμενον. V.

290. Ἀρίσαρχος Ἰακῶς ἀμφὶ φόβηθεν. A.

ἐκ πλήρους ἡ ἀμφί. τὸ δὲ ἑξῆς, ἀμφί μιν ἤτοι περὶ αὐτὸν οἱ Παίονες ἐφόβηθεν. ἐκ πρώτου δ᾽ ἠϋξηθ τῇ Πατρόκλου ἡ ἀρετή, ὁ τὸν τυχόντα ἀνελόντος. πιθανὸν δὲ φεύγειν τὲς ἄλλες διὰ τὴν ὑπεροχὴν τῶ ἀναιρεθέντος. BL.

293. ἔσβεσεν: τῆς σβέσεως αἴτιος ἐγένετο. σβεννύει δὲ ὁ Πάτροκλος ὅπερ ὁ Ζεὺς ἀνῆψεν. ἐπαινετὰ δὲ τὰ ἑπῆ ὡς ἐν τῷ τύχει κ᾽ τὴν ἀξιοπιστίαν ἔχοντα. BL. εἰ μὴ πᾶν εἶπε πεπρῆσθ τὸ σκάφος. V.

αἰθόμενον: ἐν ἄλλῳ ἀκάματον. A.

294. ἐναργῶς ἔχει τὸ ἡμιδαής· χεδὸν γ᾽ αἴρει (ἐπάγει V) τὰς αἰσθήσεις ἡ τῶν ὀνομάτων αἴσθησις, κ᾽ ἐν ὄψει τὸ πρᾶγμα δείκνυσιν. BLV.

τοὶ δ᾽ ἐφόβηθεν: ὅρα ὅτι ἐκ ἀφίσαθ τῶ ῥήματος· τοῦτο γάρ ἐστι τὸ καιρὸν παραχὸν κατασβέσαι τὴν ναῦν, ἡ τῶν πολεμίων ὑποχώρησις. BL.

297. ὡς δ᾽ ὅτ᾽ ἀφ᾽ ὑψηλῆς κορυφῆς: ἐπεὶ ἐν ταῖς ἀκρωρείαις πυκνὰ νέφη ἐπικαθίσαντα σκοτίζειν εἴωθε τὸν ὑποκείμενον τόπον, εἰκότως εἴληπθ ἡ παραβολή. BL. μέμνηθ δὲ αὐτῶ ὁ ποιητής· ἔλεγε γὰρ „εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκεν“ (66). V.

298. κινήσῃ: ὑπ᾽ ἀνέμου δηλονότι. A. πιθανῶς ἐκ εἶπε σκεδάσῃ· ὁ γ᾽ προτροπάδην ἀπίασιν. ὁπότε δὲ προτροπάδην φεύγουσιν „ὡς δ᾽ ὅτ᾽ ἀπ᾽ ἐρανῶ νέφος ἔρχεθ“ (364?). V.

κ᾽ ταῦτα δὲ Ὅμηρος τὰ αὐτόματα θεοῖς ἀνατίθησιν. οἱ δὲ μετ᾽ αὐτὸν μετεωρολέσχαι ἀδαμῶ προσιθέασιν ὄνομα θεοῦ. V.

299. σκοπιαί: τόποι ἐπιτήδειοι πρὸς τὴν πόρρω σκοπήν. BL.

πρώονες: ὡς σώφρονες. προείρηται. A.

οἱ λόφοι τῶν ὀρῶν παρ᾽ Ἀργείοις. ἔστι δὲ τοῦ πρῶνες διαίρεσις. A.

299. 300. ὅτι ἐνταῦθα οἰκείως κεῖνθ· ἐπικειμένης γ᾽ τῆς Τρωϊκῆς φάλαγγος ὡς νέφους ὄρει, αἰφνιδίως ὡς ἄνεμος ἐπιπνεύσας ὁ Πάτροκλος ἀπῶσε κ᾽ ἐτρέψατο. ἐν δὲ τῇ Θ (557) κακῶς. V.

300. ὑπερρήγη ἄσπετος αἰθήρ: τῶν νεφῶν διαρραγέντων ὤφθη ὁ αἰθήρ, ὥς φαμεν ῥαγῆναι τὸν ὑετόν. BL.

ἐξαίφνης διέλαμψεν αἰθριον. ὁ δὲ λόγος, ξηρᾶ δὲ καὶ πυρώδης πνεύματος περὶ τὴν παχύτητα τῶν νεφῶν ῥαγέντος, ὑπὸ τὸν οὐρανὸν ἐξέλαμψεν αἰθήρ, τουτέστιν ἀσραπὴ ἐγένετο. διορῶνθ ἔν φησι κ᾽ τοῦ αἰθέρος ἀσέρες νεφέλης ῥαγείσης. AD.

Νέστορος εἰπόντος „εἴ κέν τι φόως Δαναοῖσι γένηαι“ (Il. 11, 797) φησὶν „ἄσπετος αἰθήρ.“ V.

301. ὡς Δαναοί: ἔθος Ὁμηρικὸν τὸ ἐξαλλάσσειν τὰς ἀποδόσεις τῶν παραβολῶν. L.

302. ἐρωή: νῦν ὁρμή. ἔστι δὲ ὅτε κ᾽ τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν δηλοῖ. D.

303. ἐ γάρ πω: δαιμονίως ἔτι συνέχει τὸν ἀγῶνα ὁ ποιητής· ἐ γ᾽ πιθανὸν μηδενὸς δεινῶ γενομένου προτροπάδην τὲς βαρβάρες φυγεῖν. BL.

304. προτροπάδην: ἀμετάτρεπτοι. V. ἠπειγμένως, ὁλοχερῶς ἐκστρέψαντες τὰ νῶτα. D.

305. ἔν ἔστι τὸ ἀνθίσαντο, ἐχὶ ἄντα ἐπίῤῥημα κ᾽ ἴσαντο, ὥς τινες. A.

ζητῶ περὶ τοῦ τόνου τοῦ ὑποεῖκον, πῶς δεῖ ἀναγινώσκειν. A.

306. κεδασθείσης ὑσμίνης: ἄλλος γ᾽ ἄλλῃ ἔφυγεν· διὰ δὲ τῶν Μυρμιδόνων σβέσας τὸ πῦρ κ᾽ τὲς πολεμίους ἐάσας, τὲς ἡγεμόνας προήγαγεν ἀριστεύοντας, δεικνὺς ὡς σβέννυθ τὸ γενναῖον τῶν ἀνδρῶν ἐν ταῖς συμφοραῖς. οὐ δεδειήθησαν ἐν ἀναψύξεως, ἀλλ᾽ ἐκθυμότερον ἀφ᾽ ὧν ἔπαθον ἀμύνονθ τὲς Τρῶας. BL.

307. τὸ ἡγεμόνων βέλτιον ἡ συνήθεια τοῖς ἄνω προσνέμει. A.

308. αὖτίκ᾽ ἄρα: τοῦτο κ᾽ ἀπ᾽ ἄλλης ἀρχῆς δύναθ λαγεῖν, ἵνα σίζωμεν ἐπὶ τὸ υἱός. κοινὸν δὲ νοηθήσεθ καὶ ἐκείνης τῆς διανοίας τὸ ἔλεν. A.

στρεφθέντος: εἰς φυγὴν δηλονότι. BL.

311. Θόαντα: ἀντὶ τῶ Θόαντος. V.

ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν, ὅτι Τρωϊκὸς ὁ Θόας ἦτος. A.

313. Ἀριστοφάνης ὑφορμηθέντα, ἀντὶ τῶ ὑποχωρήσαντα· κ᾽ ἐκ ἄχαρις ἡ γραφή. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

314. ἔφθη ὀρεξάμενος: ἀντὶ τῆ παίσας ἔφθη πρὶν ἐτάσαι. V.

πρυμνὸν σκέλος: τὸ ἔσχατον ὡς πρὸς τὸν μηρόν. λέγει δὲ τὴν γαστροκνημίαν. ὀρεξάμενος δὲ πρὸς τὸ τύψαι· ὁ γὰρ τύπτων ἐκτείνει τὴν χεῖρα. BLV.

315. μυών: μύες καλῶνται αἱ συνεσταλμέναι σάρκες. A. ἡ γαστροκνημία, ἥτις συνέσηκεν ἐκ πολλῶν νεύρων καὶ συνεσταλμένων σαρκῶν. D.

μέμφονται λέγοντες τὰς πρὸς τοὺς μύας πληγὰς ἐπωδύνους μέν, μὴ θανασίμους δὲ διὰ τὸ μὴ συνάπτεσθαί τινι τῶν καιρίων. οἱ δέ φασιν ὡς μύες ἐκ νευρῶν εἰσὶ πεπλεγμένοι καὶ σαρκὸς περιφῆς, ὅθεν ἐν ταῖς διακοπαῖς αὐτῶν ὀδύναι γίνονται ἕνεκεν τῶν νευρῶν, αἱμορραγίαι δὲ διὰ τὰς φλέβας καὶ ἀρτηρίας, τελευταῖον δὲ διὰ τὰς τοῦ ἐγκεφάλου συμπαθείας· δύο γὰρ καταπεφύκασιν αὐτῷ νεῦρα ἀπὸ νωτιαίου μυελοῦ. συμπαθεῖ δὲ καὶ ἡ καρδία τῷ ἐμπεφυκέναι αὐτῇ τὰς φλέβας. καλῶς δὲ καὶ πάχιζον αὐτόν φησιν· ὁ γὰρ ἐν τῷ σώματι παχύτατος μῦς ἐν τῇ κνήμῃ ἐστὶ καταγόμενος (καθάπτων V) ἐπὶ τὴν πτέρναν, ὃς καὶ τένων καλεῖται. BLV.

317. Νεσορίδαι: ἀντὶ τῶ Νεσοριδῶν· ἢ ἀπὸ κοινῶ τὸ ἔτασαν. δεῖγμα δὲ φιλαδελφίας καινὸν παρέλαβε, καὶ τὸν λόγον ἥδιζα κατεχημάτισεν. BLV.

ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ Νεσοριδῶν ὁ μὲν Ἀντίλοχος οὔτασεν Ἀτύμνιον, ὁ δὲ Θρασυμήδης Μάριν. μετὰ δὲ τὸν δέ σύνδεσμὸν διασαλτέον. A.

321. τῶ δ': ὑπερφυὴς ἡ ποικιλία· οὐ γὰρ ἔρη ὅτι δύο ἀδελφοὶ δυσὶν ἀδελφοῖς ἐπεχώρησαν, ἀλλὰ μετὰ τὴν τοῦ προτέρου ἀναίρεσιν ὁ δεύτερος ἐπαμύνων τῷ ἀδελφῷ ἐπιχειρεῖ τῷ Ἀντιλόχῳ, ἀναιρεῖ δὲ αὐτὸν Θρασυμήδης ὑπερμαχῶν τῶ ἀδελφῶ. τὴν ἑκατέρω ἓν διόλω φιλαδελφίαν ἐμφαίνει, τῶ μὲν δι' ἀδελφὸν ἀποθανόντος, τῶ δὲ δι' ἀδελφὸν ἀνελόντος. BLV.

323. πρυμνὸν δὲ βραχίονα: τὸν ἔσχατον μυῶνα τῶ βραχίονος ἀπέδρυψεν ἡ ἀκωκὴ τῶ δόρατος. εἰ μὲν ἓν τῶ ἐγκεφάλω ἀποπέφυκε τὰ νεῦρα εἰς νωτιαῖον μυελόν, ἐκ νεύρων δὲ οἱ μύες, ἐκ καρδίας δὲ αἱ φλέβες εἰς τὸν μῦν, συμπάθειαν ἔχουσι καὶ τὰ καίρια· ὅθεν αἱ ἀθρόαι κατὰ τῶν μυῶν πληγαὶ θανατῶσιν. BLV.

324. τὸ ἑξῆς, ἀπάραξεν ὀξέον ἄχρις. τὸ δὲ ἄχρις ἀντὶ τοῦ ἕως ὀξέου· τὸ γὰρ ἄχρις καὶ χρονικὸν καὶ τοπικόν, ὡς οἶμαι. BLV.

Ἀρίσαρχος ὡς μέχρις ἀνεγίνωσκε, παρὸ καὶ ἐγένετο. ἐκεῖνο δὲ ἔχομεν λέγειν, ὡς τὰ εἰς ις ἐπιρρήματα δισύλλαβα βαρύνεται, ὡς ἔχει τὸ ἄνις ἄλις μόγις ἄχρις αὖθις. ὀξύνεται δὲ τὸ χωρὶς καὶ ὁμοῦ, διότι μακρὰν ἔχει ἤτοι φύσει ἢ θέσει. τὰ μέντοι βαρυνόμενα ἤτοι βραχεῖαν εἶχεν ἢ τὴν κοινὴν καλεμένην, ἥτις ἐδύνατο σχεδὸν βραχεῖα εἶναι. διὸ ἐμάχετο τὸ αὖθις βαρυνόμενον. δοκεῖ δέ μοι ἀποφυγεῖν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶς ἐλέγετο κατὰ τὸ τέλος, αὖθις αὖθι αὖθιν. τὸ δὲ τοιοῦτον ἐωρᾶτο καὶ ἐπὶ τῶ πέρυσι βαρυνομένω. A.

ἡ διπλῆ, ὅτι πτῶσις ἦλλαχται, δοτικὴ ἀντὶ γενικῆς, καὶ ἢ ὑπὸ πρόθεσις παρεῖται· ἔστι γὰρ ἀντὶ τῶ ὡς τὼ μὲν ὑπὸ δοιῶν κασιγνήτων δαμέντε. A. ὡς τὸ „Ἀχιλῆϊ δαμασθείς" (Il. 22, 55). V.

328. Ἀμισωδάρω: ἔτος Καρίας δυνάσης, ἣ τὴν θυγατέρα ἔγημε Βελλεροφόντης, ὡς Ξενομήδη ἔφη. V.

ὅτι ὁ πέπλασται τὰ περὶ τὴν Χίμαιραν, πίστιν ἐπιτίθησι διὰ τῶ χρόνω καὶ τῶ θρέψαντος. ἴσως ἓν ἐν αἰπολίῳ χίμαρος τραφεὶς ἠγριώθη, οὐδὲ μὴν ἑτεροφυὴς ἦν, ὡς Ἡσίοδος ἔπλασεν. V.

329. ἀμαιμακέτην: τὴν ἀκαταμάχητον. V.

330. Αἴας δέ: πιθανῶς τὸ ζωγρῆσαι οὐκ ἄλλῳ τινὶ περιέθηκεν ἢ τῷ Ὀϊλέως Αἴαντι· ἔστι γὰρ τάχιστος. διὸ καὶ τὸ ἐπορέσας πρόσκειται· ἱκανώτατος γὰρ ἦν τῶν ἄλλων ἐπιδραμεῖν συλλαβεῖν τινά. BL.

333. πᾶν: ἀντὶ τῶ ὅλον. τοῦτο δὲ ἐμφαίνει τὴν ἀθρόαν αἱμορραγίαν. ἀλλαχῶ δὲ „ψυχρὸν δ' ἔλε χαλκὸν ὀδόντα" (Il. 5, 75). A.

τὸ τὸν δέ ἀντὶ τῶ τῶ δέ· ἡ δὲ κατά πρὸς τὸ ἔλαβεν. L.

335. Πηνέλεως: τὸ διήγημα κατὰ ἀναστροφήν· ἔστι γὰρ πρῶτον ἀποτυχόντας εἰσάγει, εἶτα διὰ τοῦτο συμπλεκομένους, ἀλλ' ὥσπερ αἰτίαν τῆς συνδρομῆς ἀποδιδοὺς τὸ προγεγενημένον, δεδήλωκεν ὅτι ἀκοντίσαντες ἐπ' ἀλλήλους ἥμαρτον. BL.

336. μέλεον: ματαίως. οἱ τραγικοὶ δὲ τὸ μέλεον ἐπὶ τῶ οἰκτρῶ τάσσουσιν. ὁ δὲ δέ ἀντὶ τῶ γάρ. BL.

ἡ διπλῆ, ὅτι μέλεον ἀντὶ τῶ μελέως, ματαίως. καὶ διὰ παντὸς ἔστως Ὅμηρος χρῆται· οἱ δὲ τραγικοὶ ἐπὶ τῶ οἰκτρῶ καὶ τάλανος, καὶ ἡ συνήθεια. πρὸς ὃς καὶ ἡ σημείωσις. A.

339. ἐρραίσθη: διεκλάσθη καὶ διεφθάρη ὑπὸ τῆς βίας τῶ τύψαντος. BL. ὡς τὸ Μενελάω „τριχθά τε καὶ τετραχθά" (Il. 3, 363). V.

θεῖνε: ἀντὶ παρωχημένω τῶ ἐπάταξε. ποικίλλει δὲ συνήθως τὰς πληγάς. ABL.

340. ἔσχεθε: μόνον δὲ τὸ δέρμα κατέχε καὶ κατεκράτει τὴν κεφαλὴν ἐκκοπεῖσαν. V.

342. κιχείς: ἀπὸ τῶ κίχημι· ἢ τῆς κιχῶν παθητικόν, ὡς τῆς λιπῶν ἡ λιπείς, τῆς ἐριπῶν ἡ ἐριπείς. A. „ἐριπέντι Πολυνείκει." V.

343. ἐπιβησόμενον: ἐπιβατικῶς ἔχοντα. V.

345. Ἐρύμαντα: παρὰ τὸ ἔρυμα. τινὲς δὲ Ὀρύμαντα. V.

κατὰ σόμα: ποικίλως πάνυ· φθάνει γὰρ τὸ ἐναντίον διαθέμενος τῶ περὶ Πάνδαρον. τῶ μὲν γὰρ ἄνωθεν πληγέντος τὸ δόρυ διὰ τῶ σόματος διέρχεται· ἐνταῦθα δὲ ἡ μὲν πληγὴ διὰ τῶ σόματος γίνεται, διαπερᾷ δὲ τὸ δόρυ διὰ τῆς κεφαλῆς. BL.

347. νέρθεν ὑπ' ἐγκεφάλοιο: ἐπάνω τῆς ὑπερώας ἠνέχθη ἡ πληγὴ κατὰ τὸν ἐγκέφαλον. οἱ δὲ ὀδόντες κατὰ τὴν ἐπιδρομὴν τῶ δόρατος ἐξετινάχθησαν. ὀξέα δὲ Ἀπολλώνιος τὰς σπονδύλους φησίν. οἰκείως δὲ ἐπὶ μὲν τῶν ὀξῶν ἐκέασθεν, ἐπὶ δὲ τῶν ὀδόντων ἐτίναχθεν, ἐπὶ δὲ τῶ δόρατος ἐξεπέρησέ φησιν. BL.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κέδασε: γράφεϑ κέασε. L.

348. ἐνέπλησθεν δέοἱ: ἡ αἱμορῤῥαγία ὅλην τὴν κεφαλὴν διελθοῦσα διὰ τῶν ὀφθαλμῶν ἐφάνη μάλιστα· εἰσὶ γὰρ ἐξ ὑμένων λεπτῶν. ὅθεν οἱ ἰκτεριῶντες ἀπ' ὀφθαλμῶν δῆλοι τὰ πρῶτα γίνονϑ, τῆς χολῆς ὑποδραμέσης. BL.

349. βραχὺ διασαλτέον ἐπὶ τὸ ὀφθαλμοί. ἔσαι δ' ὁ λόγος, ἐπληρώθησαν δὲ αὐτῶ οἱ ὀφθαλμοὶ αἵματος, ὃ δὴ διά τε τῶ σώματος καὶ τῶν ῥινῶν χανὼν ἀπεφύσησεν. A.

350. πρῆσε: ἐξεφύσησε· καὶ ἀλλαχοῦ „ἐν δ' ἄνεμος πρῆσεν" (Il. 1, 481). εἰκὸς δὲ τῶν ἐν τῇ κεφαλῇ φλεβῶν διακοπεισῶν προχυθὲν τὸ αἷμα διὰ τῶν ὀφθαλμῶν καὶ τῶ σώματος καὶ τῶν ῥινῶν χωρῆσαι. BL.

351. βραχὺ διασαλτέον Δαναῶν διὰ τὸ ἀπεμφαῖνον. A. ἐν ἄλλῳ ἄνδρας ἀρίστους. A.

352. ὡς δὲ λύκοι: ὅταν ἑνὸς ἔφοδον δηλῶσαι θέλῃ, λέοντα εἰς τὴν εἰκόνα παραλαμβάνει· „ἤτοι ὁ μὲν πρώτῃσι βόεσσι" (Il. 15, 634). νῦν δὲ τὴν τῶ πλήϑος ἔφοδον ἐμφῆναι βουληϑεὶς τὰ ἀγεληδὸν ἐφορμῶντα ζῷα παρέλαβε, τὰς λύκους. AL.

ἐπέχραον: ἀθρόοι ἐπεβάρησαν ἢ ἀθρόοι ἐπήλθοσαν. V.

353. ὑπὲκ μήλων αἱρεύμενοι: ἀντὶ τῶ ὑπεξαιρούμενοι τῶν προβάτων. BL.

μήλων: προβάτων καὶ αἰγῶν. ἐν ἄλλοις „μῆλ' ὄϊές τε καὶ αἶγες" (Od. 9, 184). πρόβατα γὰρ πάντα ἐκάλουν τὰ θρέμματα οἱ παλαιοί, καὶ Εὔπολις προβατικὸν χορὸν φησι τὸν ἐξ αἰγῶν. AB.

ἔτως αἵ τε, θηλυκῶς, αἱ ὄϊες. A.

καλῶς δὲ καὶ τὸν σὸν καὶ τὸ θῆλυ καὶ τὸ ἐν ὄρεσιν, ἔνθα ἐκ ἔξι φυγή. V.

354. ἡ διπλῆ, ὅτι οὕτως δεῖ γράφειν διέτμαγεν ὡς κόσμηϑεν, ἵν' ᾖ διετμάγησαν, παϑητικῶς· τὸ γὰρ διέτμαγον ἐνεργητικόν ἐστιν. A.

356. Δαναοί: καὶ Μυρμιδόνας συμπεριλαμβάνει. V.

357. δυσκελάδοι: προσφυὲς τὸ ἐπίϑετον· βοῶσι γὰρ καὶ οἱ διώκοντες καὶ οἱ διωκόμενοι. BL.

358. Αἴας δ' ὁ μέγας: ἡ διπλῆ, ὅτι συγκριτικῶς λέγεται πρὸς τὸν ἕτερον Αἴαντα ὁ μέγας, ὁ Τελαμώνιος, ἐπεὶ ἐκεῖνος μείων. A.

δαιμονίως ἐκ ἄλλῳ περικειϑ τὸ ἐπιτηρεῖν τὸν Ἕκτορα, ἀλλὰ τῷ Αἴαντι, εἰκότως· ἔχει γάρ τι πρὸς αὐτὸν ὁ ἥρως ὡς ἂν δι' αὐτὸν ἀποκρεϑεὶς τῆς νεώς· εἰκὸς οὖν αὐτὸν σπεύδειν ἀποδῦναι τὰ ὅμοια. BLV.

361. σκοπεύων ἐφύλαττεν ἑαυτόν. καλῶς δὲ ἐπὶ μὲν τῶ ταχέος καὶ κέφα ῥοιζόν φησιν, ἐπὶ δὲ τῶ βραδέος καὶ βαρέος δόπον. BL.

ἡ διπλῆ, ὅτι τὸ σκέπτετο ἴσον τῷ οἷον ἀπεσκόπευε καὶ παρετήρει εἰς τὸ μὴ πληγῆναι. A.

τᾶτον δὲ ἀκοντοδόκον φασίν. V.

364. νέφος ἔρχεται: ἀ τὴν ἄνω φορὰν ποιούμενον (πῶς γὰρ ἐξ αἰθέρος γινομένης τῆς λαίλαπος ὑψοῦται τὰ νέφη;) ἀλλὰ τὴν εἰς πλάτος. ἔτω καὶ οἱ Τρῶες προσεδρεύοντες πρώην τῷ ναυςάθμῳ ἐπεξετάθησαν εἰς τὸ πεδίον. Ὄλυμπος δὲ καὶ ὁρανὸς ὁ περὶ τὰ νέφη τόπος. λέγει δὲ ὅτι ἀπὸ τᾶ τόπε, ἃ εἰσὶ κινέμεναι, περιέρχονϑ τὸν ὅλον ὁρανόν. ἐξήλλαξε δὲ τὸν λόγον, εἰπὼν Ὄλυμπον καὶ ὁρανόν. AL

364. ὡς δ' ὅτ': ὡς ἐξ εὐδίας ἐπιταράσσεϑ ὁ ὁρανός, ἔτως ταραχὴ γέγονε τῶν Τρώων. BLV.

Οὐλύμπε: τῆ τόπε, ἔνθα τὰ νέφη ἐπικαϑέζεται. V.

ἡ διπλῆ, ὅτι σαφῶς ἐκ ἔξιν Ὄλυμπος καὶ ὁρανὸς ὁ αὐτός· ὡς γὰρ ἀφ' ἑτέρε ἐφ' ἕτερόν φησι τὸ νέφος ἔρχεσϑαι, δὲ μὴν τόπος ἐπεράνιος· ὁ γὰρ Ὅμηρος ἀπὸ τῶν γινωσκομένων πᾶσι ποιεῖϑ τὰς ὁμοιώσεις. καταλείπεται τοίνυν τὸ ὄρος σημαίνεσϑ· καὶ γὰρ ἀπὸ τῶν ὀρῶν λέγει τὰ συνεχῶτα νέφη μεταχωρεῖν· „ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο κινήσῃ πυκινὸν νέφος" (297). τοιγαροῦν καὶ ὅταν λέγῃ „ὡς δ' ὅτ' ἀπ' Οὐλύμποιο νέφος ἔρχεϑ," ἀπὸ ὄρους σημαίνει. A.

365. πῶς αἰθέρος; τὰ γὰρ πάϑη ταῦτα περὶ τὸν ἀέρα συμβέβηκεν. τάχα ἓν συγχεῖται ὁ ἀὴρ πρὸς τὸν αἰθέρα, ὡς καὶ ἐν τῇ Α (54) „αἵματι μυδαλέας ἐξ αἰθέρος" καὶ „Ζεὺς δ' ἔλαχ' ὁρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέεσσιν" Il. 15, 192). οὐ γὰρ αἱ νεφέλαι ἐν τῷ αἰθέρι. AD.

τοῦτο ἑκατέροις δύναϑ προσδίδοσϑ. τὸ μέντοι ζήτημα ὁμοίως μένει· ἀέρος γὰρ πάϑη ταῦτα. τάχα ἓν κεῖται ὁ αἰθὴρ ἀντὶ τῶ ἀέρος. A.

δίης δὲ τῆς ὑπὸ Διὸς ἀρχομένης, ὡς Ὀδυσσῆος νόμος. LV.

ὅτε τε Ζεύς: ὅταν ἐκ τῆς αἰθέρος ὁ Ζεὺς ἐκτείνῃ λαίλαπα. ἐν δὲ τοῖς ὑπομνήμασι κατὰ δοτικὴν ἦν λαίλαπι, ἵν' ᾖ ὅταν ὁ Ζεὺς ἐν λαίλαπι παρατείνῃ τὰ νέφη. LV.

367. Ἕκτορα δ' ἵπποι: καὶ μὴν ἔξω τὴν ἵππον εἶναι. ἀλλὰ ὁ Ἀπόλλων ἱππήλατον ὁδὸν αὐτοῖς ἐποίησεν· „αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον πᾶσαν λειανέω" (Il. 15, 260) καὶ „ἵππες δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχονται" (ib. 385). BL.

369. Τρωϊκόν, οὓς: ὅτι πρὸς τὸν νᾶν ὑπήντησεν. V.

ἐν χήματι πέφρακεν· ἔδει γὰρ εἰπεῖν ὃν ἀέκοντα. D.

371. ἄξαντ' ἐν πρώτῳ ῥυμῷ: πρὸς τὰς συνωρίδας αἷς ἐχρῶντο Τρῶες τὸ δυϊκόν. πρώτῳ δὲ ῥυμῷ τῷ ἄκρῳ πρὸς τὸν ζυγόν. οἱ δὲ τῷ πρὸς τὸν ἄξονα. BL. ὃ καὶ μᾶλλον τρίβεται. V.

ἡ διπλῆ, ὅτι ἀντὶ τῶ ἄκρῳ, καὶ ἐχ ὡς δευτέρᾳ ὄντος ῥυμῷ· εἷς γάρ ἐστι. „πρώτῃσιν δὲ πύλῃσιν" (Il. 8, 411) ἀντὶ τῶ ἄκραις. A.

372. σφεδανόν: ἐσπευσμένως. οἱ δὲ συντόνως, ἀφ' καὶ σφὴν ὁ διατείνων πάντα καὶ σφίγγων. V.

ἠπειγμένον καὶ δυνατὸν τοῖς Μυρμιδόσιν. L.

ἔτως ὡς σφοδρόν. προείρηϑ. A.

374. τμάγεν: διεκόπησαν καὶ διεσκορπίσθησαν ἀπ' ἀλλήλων. δι' ὧν δὲ μεσοῖ τὰς ὁδὰς πάσας, τὸ πλῆθος παρίησι „πολλαὶ γὰρ ἀνὰ στρατὸν εἰσι κέλευθοι" (Il. 10, 66). BL

ἄελλα: ὁμιχλώδης κονιορτός. V.

375. ὑπὸ νεφέων: ἔμπροσθεν τῶν νεφῶν. V.

τανύοντο: ἐμφαντικώτερον τοῦτο τῶ ὑπέτρεχον. V.

συντεταμένως ἔτρεχον, ἓ ἐναντίον τὸ πλίσσοντο (Od. 6, 318) ἀντὶ τῦ ἐβημάτιζον, Αἰολικῶς. L.

376. νεῶν ἄπο καὶ κλισιάων: ἐν ἄλλῳ ἐλιχθέντων ὑπ' Ἀχαιῶν. A.

377. ᾗ: ὅπερ πολὺν ἐργάσαιτ' φόνον ἠδύνατο. V.

378. ἔχ': ἤλαυνε τὸς ἵππους. V.

ὑπὸ δ' ἄξοσι: οἱ Τρῶες, φησί, πρηνεῖς πίπτοντες ὑπὸ τοῖς ἄξοσιν ἐγίνοντο, εἰς ὃς κ' ἀνεκυμβαλίαζον οἱ δίφροι, ὡς τὸς πίπτοντας αἰτίος πτωμάτων τοῖς ἐπιβάταις γίνεσθ'. πρηνεῖς δὲ ἔπιπτον ὡς ὄπισθεν τιτρωσκόμενοι. LV.

379. ἀνεκυμβαλίαζον: ἀνεπήδων, ἀνεκρίζοντο, ἀπὸ τῶν κυμβάλων ἃ προσκρούομενα ἀλλήλοις ὑπερπηδᾷ. ἅμα δὲ κ' βομβῶδες ὂν τὸ ῥῆμα ἔμφασιν ἔδωκε τῆς ἀναπροπῆς. τὸ δὲ ἑξῆς ὅτως ἐγὼ οἶμαι, ὑπὸ τῶν ἀξόνων πρηνεῖς κατέπιπτον ἐξ ὀχέων. οἱ γ' δίφροι ἀνεκυμβαλίαζον· ἀνακρουομένων ἓν τῶν ἀξόνιων πρηνεῖς ἔπιπτον κ' οἱ ἐπιβάτ'. BL.

ὅτως Ἀρίσαρχος, ἀνακυμβαλίαζον, διὰ τῦ ᾱ· οὐ γ' ἐκάστοτε τὰ σύνθετα μεταβάλλει παρὰ τοῖς Ἴωσιν. ἄλλοι δὲ ἀνεκυμβαλίαζον. A.

380. ἀντικρὺ: τοῦτο πρὸς τὴν ἀρετὴν τῶν Ἀχιλλέως ἵππων. Ἕκτωρ δὲ αὐτὸ μόνον ἐκανχήσατο, ἃ μὴν ἐτέλεσεν· „ἵπποι δὲ ῥέα τάφρον" (Il. 8, 179). Αἰσχύλος δὲ Ἀχιλλέα σὺν τῇ πανοπλίᾳ φησὶν ὄπισθεν ὁρμήσαντα πηδῆσαι τὴν τάφρον, μὴ δείξαντα τὰ νῶτα τοῖς ἐχθροῖς. V.

382. ἐπὶ δ' Ἕκτορι: παρεκελεύετο γ' αὐτοῦς κατὰ τὸν Ἕκτορος ὁρμᾶν. V.

383. ἔκφερον: ἐξενηνόχεισαν διὰ τῆς ὑπ' Ἀπόλλωνος γεγονυίας ὁδῦ. πῶς δὲ αὐτὸν ὁ διώκει (καταλαμβάνει) Πάτροκλος; ἢ ὅτι κ' αὐτὸς διαφόρως ἵππους ἔχει, ὡς Αἰνείας κ' γ' ἐν Ἀβύδῳ ἱπποςύσια ἔχει Πρίαμος, ἀφ' ἓ κ' ἐν Ἀσίᾳ „τὸν Ἀρίσβηθεν φέρον ἵπποι" (Il. 2, 838), ὧν κ' διὰ τὴν ὑπεροχὴν ἐπιμελεῖτ' Ἀνδρομάχη. ἢ ὅτι τάχιον ἐξεπίπτας προέφυγεν. ἄτοπον δὲ ἦν ἐπιδιώκοντα πόρρω που ἐκεῖνον ἀμελεῖν τῶν λοιπῶν. BLV.

384. λαίλαπι: λαῖλαψ ὁ μετὰ ὑετοῦ ἄνεμος, ποτὲ δὲ ἁπλῶς ὑετός. V.

385. ὀπωρινῷ: τῷ μετοπωρινῷ· κ' γ' ὄμβρος πολὺς κατὰ τὸ μετόπωρον γίνεται. Ὁμήρῳ δὲ ἐκ ἀρκεῖ τὸ φυσικὸν μόνον πρὸς αὔξησιν, ἀλλὰ κ' τὴν ἀπὸ τῦ θείου ὀρμὴν προσπαρέλαβεν, ὠφελῶν κἂν ταῖς παραβολαῖς κ' δεινὸς ὢν τοῦς ἀδικῦσι συμπίπτει δεινά. BL. οὐ καθ' ἕνα οὖν ἀλλὰ κοινῇ, ὅθεν Ἡσίοδός φησι „λιμὸν ὁμῦ καὶ οἰμήν" (O. 241). V.

387. οἳ βίῃ: περὶ ἀδικίας κριτῶν. A.

οἱ κακῶς κρίνοντες σκολιὰς ποιήσοσι τὰς θέμισας. παιητικὰ δὲ πρὸς τὰς βασιλεῖς ταῦτα κ' τὰς κριτάς. ἐκοῦν ἂν παρὰ καιρόν τι φαίνηθ' γενόμενον, ἐκ ἐχρῆν ἐπικαλεῖν τὸ δαιμόνιον· ἔοικε γ' τὰς ἀδίκως κολάζειν. BLV.

σκολιὰς: ἀδίκως, ἀπὸ τῦ εὐθέος κ' ὀρθῦ παρατραμμένας ἐπὶ τὸ ἄδικον, ὅ ἐσι σφεβλάς. D.

ὅτι θέμιστας ἀντὶ τῦ δίκας. A.

388. θεῶν ὅπιν οὐκ ἀλέγοντες: τὴν τῶν θεῶν ἐπισκοφὴν μὴ ἔχοντες ἐν λόγῳ. BL.

390. κλιτῦς αἱ ἀποκλίσεις τῶν ὀρῶν. A. κλίματα ὀρῶν. μεμάκρυνθ' δὲ τὸ κλι κ' περισπᾶται τὸ τυς, ἐπεὶ ἀπὸ τοῦ κλιτύας, ὡς ὀσφύας ὀσφῦς. BL.

ἐχρῆν μὲν διὰ τὸ κλιτύας ἐρῆας περισπᾶσθ' τὸ κλιτῦς, ἀνεγνώσθη δὲ κατ' ὀξεῖαν τάσιν ἐν ἐγκλίσει, ὁμοίως τῷ „κνημῖδας ῥαπτὰς δέδετο, γραπτὺς ἀλεείνων" (Od. 24, 228). A.

σχόλιον. ἐν μέντοι τῇ Ὀδυσσειακῇ προσῳδίᾳ φανερῶς τὸ γραπτῦς περισπᾷ, καί φησιν ὅτι εἴη εἰρηκὼς ὡς καὶ τὸ κλιτῦς δεῖ περισπᾶσθαι. ἀμφίβολος δ' ἐφ' ἑκατέρων ὁ τόνος· εἰ γὰρ τοῖς ἐνταῦθα εἰρημένοις πεισθείημεν, ἐκεῖνο ἀνθέλκει, εἰ δὲ ἐκείνοις, τοῦτο πάλιν ἀντίκειται. A.

χαράδραι: οἱ ὑπὸ τῶν χειμάρρων ἐκρηγνύμενοι αὐλῶνες, παρὰ τὸ χαράσσειν καὶ τραχύνειν τὴν γῆν. D. κυρίως οἱ κοῖλοι τόποι, παρὰ τὸ κεχαράχθαι· νυνὶ δὲ αἱ ῥύσεις. χάραδρος μὲν ἓν ὁ ἐν γεωλόφοις κατερρηγμένος τόπος, χαράδρα δὲ ὁ ἐν ἐπιπέδοις. BL. ἐκ ποταμῶν κ' ὑετῶν ἐκρεύμενος. V.

πρὸ τέλους ἡ ὀξεῖα, ὡς παρέτραι. προείρηθ' δὲ τὰ τῆς ἀναλογίας. ὅτως δὲ κ' Ἀρίσαρχος. A.

391. στενάχουσι ῥέουσαι: πρὸς τοῦτο ἡ πᾶσα παραβολή· τὰ δὲ ἄλλα εὐσεβείας χάριν παρενέθηκεν. BL.

392. ἐπικάρ: τὸ τέλειον ἐπὶ κάρα, ὅ ἐσιν ἄνωθεν κάτω. ἄμεινον δὲ ἐπικαρσίως εἶναι τὸ τέλειον, διὰ τὸ σύνηθες τῶν ἀποκοπῶν. B. οἱ δὲ ἐπικάρπια ἔργα μινύθει. V.

ἤτοι ἄνωθεν ἐκ τῦ προσάντες, ἢ ἐπικάρσιαι κ' πλάγιαι, ἢ ἐπὶ τὴν κεφαλὴν κ' εἰς τὸ κάταντες. D.

ἡ διπλῆ, ὅτι ἐπὶ κάρα ἐσὶ κατ' ἀποκοπήν. σημαίνει δὲ τὴν ἄνωθεν καταφορὰν τῦ ὕδατος. A.

τῦ κάρη ἐσὶν ἀποκοπή, ἃ τῦ κάρα· ἃ λέγει γ' ὁ ποιητὴς ποτε κάρα, ἀλλὰ κάρη. αὐτὸ δὲ τὸ κάρη τῦ κάρηνόν ἐσιν ἀποκοπή· τὰ γ' εἰς ᾗ ἐδέτερα ἢ δυϊκά ἐσιν ἢ πληθυντικά. AD.

393. ὡς: ὡς αἱ χαράδραι. κέχρηθ' δὲ ἐνταῦθα τῇ παρισώσει· μεγάλα σενάχσι ῥέεσθαι· εἶτα ἀντέθηκε μεγάλα σενάχοντο ῥέεσθαι. BLV.

394. Πάτροκλος δ' ἐπεὶ ἓν: θαυμάσειεν ἄν τις τὴν Ὁμήρου φύσιν κατὰ πολλὰ ὅτι λανθάνει τὰ ὅμοια λέγων, ὥσε δοκεῖν ἄλλα καὶ ἄλλα εἶναι. ταῦτα γῶν ἐδὲν διαφέρει τῶν ἐπ' Ἀχιλλεῖ λεγομένων, ὅπου κατὰ νώτου φησὶν αὐτὸν τῶν πολεμίων γενόμενον τὴν ἑτέραν μοῖραν τῶν βαρβάρων διώκειν· „ἔνθα διατμήξας τὸς μὲν πεδίονδε δίωκεν" (Il. 21, 3). BL.

395. ἆψ ἐπὶ νῆας ἔτραπε παλιμπετές: εἰς τὰ ὀπίσω πεπτωκότας. D. πάλιν ὀπισθορμήτους ἀπεῖργεν ἐπὶ τὰς ναῦς. V.

παλιμπετῶς· ἀπὸ τῶν εἰς τὰπίσω πιπτόντων βελῶν. BL.

ἀναμφιβόλως δὲ αὐτὸς ἔχειν βούλεθ', ὅπερ κ' ἐπὶ Δόλωνος γράφουσι. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

399. ἐνθ' ἤτοι Πρόνοον: συντόμως ἅμα καὶ κεχαρισμένως τῷ ἀκροατῇ πεποίηθ τὴν τῶν Ἑλλήνων ἐκδίκησιν. BL. παραβάτης ἦν ἕτος, διὸ καὶ ἀσπίδα φέρει· ὁ δὲ Θέσωρ ἡνίοχος αὐτῶ. LV.

δουρὶ φαεινῷ: ἐν ἄλλῳ ποιμένα λαῶν. A.

401. ἡ διπλῆ, ὅτι ὡς περὶ ἄλλθ ἐπήνεγκεν ὁ δὲ Θέσορα, τῶ λύγθ ὄντος περὶ τῶ αὐτῶ. A.

402. ἐ σικτίον μετὰ τὸ ὁρμηθείς, ἀλλὰ διασταλτέον· ἐπαναλαμβάνει γάρ. γίνεθ ἐν τὸ ἑξῆς ἕτιος, ὁ δὲ Θέσορα Ἥνοπος υἱὸν δεύτερον ὁρμηθεὶς ἔγχει νύξε παρασύς. A.

εὐξέσῳ: ἀδιαίρετον διὰ τὸ μέτρον. BL.

403. ἀλεείς: συσραφείς. A.

συσραφεὶς ἐν ἑαυτῷ ὑπὸ τῶ φόβε καὶ τῆς ἐκπλήξεως. BL.

ἡ διπλῆ, ὅτι τὸ ἐκ γὰρ πλήγη ἀντὶ τῶ ἐξεπλάγη γάρ, κατὰ μετάληψιν τῶ η εἰς τὸ α. A.

σημείωσαι τὸ πλήγη. περὶ τὰς σωματικὰς μὲν φρένας ἔπαθεν, οὐ μὴν τὰς ψυχικάς. L.

405. γναθμὸν: ἀρσενικῶς, καίτοι τῆς γνάθθ θηλυκῶς λεγομένης, ἐπεὶ πᾶν εἰς μος ὀξύτονον ἀρσενικόν ἐσιν, ὡς καὶ λιμός. V.

405. διὰ δ' αὐτῶ πεῖρεν ὀδόντων: διέπειρε τῶν ὀδόντων αὐτῶ, Ἀττικῶς. BL.

406. ἕλκε χωρὶς τῶ ι Ἀρίσαρχος, καὶ ἑξῆς (409) ὡς ἕλκ' ἐκ δίφροιο. A. ὃ μὲν προσίθεται τὸ ι, εἰ μὴ δι' ἀνάγκην. V.

ἐμφαντικῶς τῇ προσθήκῃ τῶ ὑπὲρ ἄντυγος καὶ τὸν τόπον ἔδειξε δι' ὃν εἵλκε, καὶ τὸ πρᾶγμα ὑπ' ὄψιν ἤγαγε. παντάπασι δὲ ἡ παραβολὴ ὡμοίωται. καταδέδυκε μὲν ἐν τῷ δίφρῳ ὡς ὁ ἰχθὺς ἐν τῇ θαλάσσῃ. καὶ ὁ μὲν τῷ ἀγκίστρῳ, ὁ δὲ τῇ αἰχμῇ ἐνέχεθ. κεχήνασιν ἀμφότεροι. καὶ ὁ μὲν ἕλκων παραβέβληθ τῷ ἁλιεύοντι, ὁ δὲ ἑλκόμενος τῷ ἰχθύϊ, τὸ δὲ δόρυ δι' ὃ εἵλκετο τῷ ἁλιευτικῷ καλάμῳ. BL.

407. πέτρῃ ἔπι προβλῆτι: διδάσκει πῇ δεῖ τοὺς ἁλιεύοντας καθέζεσθαι, οὐ παρ' αἰγιαλῷ, ὅπθ σπανίως ἰχθὺς παρατρέχει. LV.

ἱερὸν ἰχθύν: ἤτοι μέγαν, ἢ Ποσειδῶνος, ἢ τὸν ἀνετόν, διὰ τὸ μὴ πεπτωκέναι ὑπὸ χρῆσιν τὴν ἀπὸ τῶν ἰχθύων τροφὴν ἐπὶ τῶν ἡρώων, μήτι γε κατὰ τὸ σπάνιον δι' ἀνάγκην λιμῶ. A.

οἱ μὲν τὸν ἀνθίαν, ἐπεὶ Ἀριστοτέλης ἐν τῷ ιθ' (9, 37) περὶ ζώων ἱστορεῖ ὅτι ὅπου δ' ἂν ἀνθίας ὁραθῇ, ἐκ ἀδικεῖ τι θηρίον· ᾧ καὶ σημείῳ χρώμενοι κατακολυμβῶσιν οἱ σπογγιεῖς, καὶ καλῶσιν ἱερὸς ἰχθύας τούτθς. οἱ δὲ χρύσοφρυν, οἱ δὲ πομπίλον. ἄμεινον δὲ μέγαν καὶ ἀσυνήθη, θεοῖς ἀνειμένον θαλασσίοις. οἱ δὲ διερόν. Πλάτων δὲ ἀγνοῶν ἱερόν φησι διὰ τὸ μὴ θηρεύεσθαι ἐπὶ τῶν ἡρωϊκῶν ἐστί. V.

ἡ διπλῆ, ὅτι ἐκ ἐπί τι εἶδος ἰχθύος φερόμενος εἴρηκε ἱερὸν ἰχθύν, καθάπερ τινὲς ἀποδεδώκασι τὸν πομπίλον, οἱ δὲ τὸν κάλλιχθυν· ἀλλὰ κοινότερον τὸν ἀνετὸν καὶ εὐτραφῆ, ὡς ἱερὸν βῶν λέγομεν τὸν ἀνειμένον. A.

408. λίνῳ: τῇ διὰ νεύρων ἢ τριχῶν ἱππείων ὁρμιᾷ· καὶ ταῦτα μὲν λίνα φασί. τὸ δὲ θύραζε ἀντὶ τῶ ἔξωθεν, ὁμοίως τῷ „δόρυ μείλινον ὥσε θύραζε" (Il. 5, 694). A.

αἱ μὲν ὁρμιαὶ λιναῖ, περὶ ἃς ἧπτον συρίγγια κεράτινα, ἵνα μὴ ἀποτρώγωσιν οἱ ἰχθύες τὸ λίνον. A.

χαλκῷ: τῷ ἀγκίστρῳ· ἀπὸ δὲ τῶ ὅλε τὸ μερικόν. ἤνοπι δὲ ἐμφώνῳ· μόνος μὲν τῶν ἀψύχων ποικίλην ἔχει φωνήν. οἱ Πυθαγορικοὶ γάρ φασι τὸν χαλκὸν παντὶ συνηχεῖν θείῳ πνεύματι, καὶ ἐν νηνεμίᾳ πολλάκις ἀτρεμούντων ἁπάντων σειομένοις ἐοικέναι τὰ κοῖλα χαλκώματα. ἢ καὶ ὁ ἄσημος· τὸ μὲν ἤνοπι δηλοῖ τὸ ἐμφώνῳ· τυπτόμενος γὰρ ἦχον ποιὸν ἀποτελεῖ. BLV. ἢ λαμπρῷ, ἐν ᾧ ἔξιν ἐνοπτίσασθαι. V.

409. ὣς: ἑτοίμως. οὕτως Ἀπίων. V.

411. βάλε πέτρῳ: πῶς λίθων εὐπορεῖ ἐφ' ἅρματος ὤν; ἔοικε κατὰ τὸ σιωπώμενον καταβεβηκέναι ἀπὸ τῶ δίφρου εἶτα μετὰ τὸ πλῆξαι τὸν Ἐρύαλον πάλιν ἐπαναβεβηκέναι. ὅτι μὲν ἐφ' ἁρματός ἐσι, πάλιν ἑξῆς (427) φησὶν „Πάτροκλος δ' ἑτέρωθεν ἐπεὶ ἴδεν, ἔκθορε δίφρου." καὶ τὸ ἐπεσσύμενον ἐπὶ μὲν πεζοῦ οἰκεῖον, ἀπίθανον δὲ ἐπὶ ἵππότου. BL.

γράφεται καὶ ἐπεσσύμενος. κατῆλθεν ἐκ τῶ δίφρου κατὰ τὸ σιωπώμενον· πῶς μὲν ἂν εἶλε τὸν πέτρον; καὶ τί δόρυ εἰς τὴν λαιὰν ἐπήγαγεν. οἱ δὲ ἐπὶ πέτρον ἐσσύμενον. Δημήτριος δὲ πεζὸν ἀγωνιζόμενον ἄχρι τῶ ἅρματος, ὅτι Σαρπηδόνα εἶδε, προθορεῖν, ὡς τὸ „ἐκ δ' ἔθορε προμάχων" (Il. 15, 573). ἐκ ἂν δ' ἐμέμνητο τῶ δίφρου, εἰ πεζὸς ἦν. ἄμεινον δὲ λέγειν ὅτι νῦν μὲν κατῆλθε κατὰ τὸ σιωπώμενον, εἶτα μετὰ τὸ πλῆξαι τὸν Ἐρύαλον πάλιν ἀναβεβηκέναι. V.

414. θυμοραϊσής: τετρασυλλάβως καὶ βαρυτόνως Γλαῦκός φησιν, ἵν' ᾖ θυμοραΐσης. ἀλλὰ κακῶς· ἀντίκειται γὰρ αὐτῷ τὸ θυμοραϊσέων. BL.

οὐδέποτε μὲν τὸ ῥαῖσαι εἶπεν ἢ δισυλλάβως. πῶς ἂν οὖν θυμοραϊσέων διεῖλε; V.

415. αὐτὰρ ἔπειτ': διὰ καλλίσης καὶ ταχείας τῆς φράσεως καταλέγει τίσιν ἐπιτρέχει· τὸ μὲν ἐπὶ πάντων καὶ μέρος ἐπεξεργάσασθαι ἀδόλεχον ἦν. B,

415. Ἀμφοτερὸν: εἰς διαζολὴν τὸ κύριον ὀξυτόνει. ἀνέγνω ὁ Ἀρίσαρχος ὡς δεξιτερόν· καὶ ἐπείθησαν οἱ γραμματικοί. περὶ δὲ τῆς τοιαύτης ἀνωμαλίας τῶ ἀνδρὸς ἑτέροις ἡμῖν εἴρηται. A.

εἰς ἰδιότητα ὤξυνεν Ἀρίσαρχος τὸ Ἀμφοτερούς. ἀγνοεῖ δὲ ὅτι ἐπὶ τῶ ἀριθμῶ ὃ λέγεθ ἐνικῶς. τὸ μὲν „ἀμφότερα βασιλεὺς ἀγαθός" (Il. 3, 179) μεσότητός ἐσιν ἐπίρρημα.

417. τὸ πολύμηλος ἐπίθετον, Ἀργεάδης δὲ κύριον. εἰ δὲ κύριον ὁ Πολύμηλος, ἔσαι τὸ Ἀργεάδης πατρωνυμικόν. V.

419. Σαρπηδὼν δ': ὡς τῷ Ἀχιλλεῖ τὸν ἄριστον τῶν Τρώων φυλάσσων, τῷ Πατρόκλῳ τὸν ἄριστον τῶν συμμάχων ἄγει εἰς μάχην. ἔδει δὲ ἀπὸ τῶν πολεμίων γενέσθαι ἡ

νὰ ὑπεναντίωσιν· τὸ γ᾽ μέχρι παντὸς ἀναιρεμένης αὐτὴς εἰσάγειν ἀπίθανον καὶ ἀργόν. BL.

ἀμιτροχίτωνας: τὰς χιτῶνας μὲν ἔχοντας, τὰς δὲ μίτρας μὴ ἐζωσμένας. A. ἀζώστους, ἢ μίτρᾳ καὶ θώρακι μὴ χρωμένας. D.

ἐχ ὑποζωννυμένης μίτρας τοῖς θώραξιν, ἢ ἀζώστους· ἐδέποτε δὲ μίτραν φησὶ τὴν ζώνην ὁ ποιητής. ἄτοπον δὲ ἕτω καταφρονεῖν ϗ μὴ χρῆσθ μίτρᾳ, ὅπε γε ϗ Ἄρης αὐτῇ χρῆται. οἱ δὲ τὰς ἅμα θώρακι συνηρτημένην ἔχοντας μίτραν. οἱ δέ, ἀπ᾽ ἐπὶ πάντων τὸ ἐπίθετον, ἀλλ᾽ ἐπὶ τῶν ἀνηρημένων, ἐπεὶ εἶδεν αὐτὰς ἀμιτροχίτωνας γεγενημένας διὰ τὸ ἐσκυλεῦσθ. BLV. ἢ ἀνακώλας ἔχοντας χιτῶνας πρὸς τὸ μὴ δεῖσθ μίτρας. οἱ δὲ ἀζώστους. V.

422. νῦν θοοὶ ἔσε: ἀγαθοὶ ϗ ταχεῖς εἰς τὸ πολεμεῖν γίνεσθε, ὡς τὸ „νῦν τοι ἐελδέωθ πόλεμος κακός, εἰ θοός ἐσσι" (494). καιρίως δὲ κεῖται τὸ νῦν, οἷον εἰ ϗ πρότερον ἐφεύγετε, νῦν ἐπισρέψατε ἑαυτές. BL.

423. ἀντήσω: ἐναντίος ἦξω. ἀνύσιμοι δὲ αἱ ἐκ τῶν πονέντων παραινέσεις. BL.

ὄφρα δαείω: οἶδε μὲν ὅτι ἀπ᾽ Ἀχιλλεύς, ἀγνοεῖ δὲ εἰ Πάτροκλός ἐσιν. V.

428. ὥς᾽ αἰγυπιοί: ἄκρως τὸ ὁμοίωμα παρετήρησεν· ὁ γ᾽ ἀφανῶς συμβάλλει τὰ ζῷα ταῦτα εἰς μάχην· φησὶ γᾶρ ϗ Ἀλέξανδρος ὁ Μύνδιος μετὰ βοῆς ἐπὶ πετρῶν ταῦτα μάχεσθ. πρὸς τὸ ἰσοδυναμῶν ἂν τῶν ἀντιμαχομένων τῇ εἰκόνι κέχρησθ, ἐνδείξασθ βαλόμενος ὅτι ὅμοιοι ἦσαν. ABV. διόπερ ἀπ᾽ ἐτεροῖον ἢ ὄρνεα ὑποτίθεται. V.

ἀγκυλοχεῖλαι: παρασύνθετον ἐκ τῆ ἀγκυλόχειλος, ἢ ὡς τὸ δεδόκεσθ παρὰ Κρατίνῳ. V.

430. κεκλήγοντες: ὡς λέγοντες, ἀπὸ εὐθείας ἐνικῆς τῆς εἰς ω̄, κεκλήγων. ἔθος δὲ τῷ ποιητῇ ἕτω χηματίζειν. A.

ἐν τῇ ἑτέρᾳ τῶν Ἀριςάρχᾳ κεκληγῶτες. A. ἕτως ϗ αἱ πλείες. ὁ γ᾽ ἀναγκαῖον τὸ Αἰολικόν, μέτρᾳ μὴ ἐπείγοντος. V.

431. τοὺς δὲ ἰδὼν: ἅμα μὲν ἵνα διάζημα γένηται ἀπὸ τῆς μάχης, ἐπιβάλλει ταῦτα ὁ ποιητής· οὐδὲ γ᾽ ἦν ἄξιον τοιῆτον ὄντα τὸν Σαρπηδόνα ἀνεπισήμαντον ἐᾶσαι· ἅμα δὲ προσοχὴν ἐργάζεσθ τῇ τῆ μονομαχίᾳ σκέψει. B.

432. ἡ διπλῆ περιεζιγμένη, ὅτι Ζηνόδοτος καθόλε περιγράφει τὴν ὁμιλίαν τῆ Διὸς ϗ τῆς Ἥρας, ἐκ αἰσθόμενος ὅτι πολλὰ κατὰ συμπέρασμα λέγει ὁ ποιητὴς σιωπωμένως γεγονότα, ϗ ἐ δέον ἐπιζητεῖν πῶς ἡ μικρὸν ἔμπροσθεν (Il. 15, 79) ἐπὶ τὸν Ὄλυμπον παρακεχωρηκυῖα νῦν ἐπὶ τῆς Ἴδης ἐςίν. A.

παρὰ Ζηνοδότῳ ἐκ ἦν ὁ διάλογος τῆς Ἥρας καὶ τοῦ Διός· πῶς γᾶρ φησιν ἐκ τῆ Ἴδη εὑρεῖ ἡ θεός; οἱ δὲ ὡς ἠκούσης αὐτῆς εἰς Ἴδην κατὰ τὸ σιωπώμενον, ἵνα μετὰ τοῦ Διὸς σκέψηται τὰ περὶ τῶν Ἑλλήνων, ὡς ἤδη τῷ Διὶ μεταβεβλημένῳ τῷ γεγενῆσθ ἃ ἠξίωσεν ἡ Θέτις. V.

αἱμομίκτε Διὸς ἀνασκαφῆ τὰ ἔτη. A.

433. ὤ μοι: ἐ μεμπτέον τὸν ποιητὴν τὰ τῇ συγγενείᾳ παρεπόμενα κατὰ μέρος διεξιόντα. διδάσκει δὲ παιδευτικῶς ὁ ποιητὴς διὰ τούτων ὅτι δεῖ τοῖς συμβαίνεσιν ἐμμένειν ἀνιαροῖς, ὅπε ϗ Ζεὺς ὁ τῶν θεῶν ἄριςος. BL.

436. τὸν μὲν πρῶτον ἢ ὀξυτονητέον, τὸν δὲ δεύτερον περισπαςέον, ἢ ἤδη χείρεσσι. A.

437. θέλω: θήσω, Αἰολικῶς. L.

438. ἐκ ἔτι δισαγμᾶ τὸ ἢ ἤδη δαμάσσω· ἐ γᾶρ τᾶτο σκέπτεται ὁ Ζεύς, εἰ ὕςερον ὑπὸ Πατρόκλῳ δαμάσει, ἀλλ᾽ ὅτι δύο βάλεται, ἢ σῶσαι ἢ δαμάσαι νῦν. AL.

441. πεπρωμένον αἶσης: κεκριμένον τῇ μοίρᾳ. εὐπρεπῶς δὲ ἀντιλέγει, ἐ διὰ τὴν πρὸς βαρβάρες ἀπέχθειαν τὰ ἐναντία συμβαλεύειν προσποιεμένη, ἀλλὰ διὰ τὸ καθόλου καθῆκον. BLV. ἔτι δὲ αὐτᾷ μητρυιά, σύμμαχος δὲ Ἑλλήνων ἡ μοῖρα. V.

442. ἐξαναλῦσαι: ἀναλῦσαι, τοῦτο ἀπὸ τῶν μίτων τῶν Μοιρῶν. L.

445. ἕτως Ἀρίσαρχος μονοσυλλάβως, ζῶν· ἄλλοι δὲ ζῳόν. A.

ἕτως ζῶν αἱ Ἀριςάρχᾳ, ἀπ᾽ εὐθείας τῆς ζώς, τὸν ζῶν· „ἦ κε ζὼς ἀμενηνὸς ἔα" (Il. 5, 887). A.

τὸ ὅνδε εἴτε ἔχει παρέλκοντα τὸν δέ σύνδεσμον, εἴτε ὁμοιόν ἐσι τῷ οἰκόνδε ἀντὶ τᾶ εἰς οἶκον, πάλιν ἐν τῇ συντάξει βαρυτονηθήσεται, ὡς ἐν τῷ „ἀγρόνδε προΐαλλε" (Od. 15, 370), ὥσε περισσὴ ἡ ὀξεῖα ἐν τῇ ὃν αἰτιατικῇ κατὰ τὴν σύνταξιν. A.

446. μή τις ἔπειτα: ἰσχυρότατα ἀντιλέγει, φάσκουσα μιμήσεσθ ϗ τὰς ἄλλας τὴν Διὸς διάθεσιν· χρὴ γᾶρ ὑπόδειγμα ὥσπερ τοῖς ὑπηκόοις εἶναι τὸν βασιλέα. ἔχειν ἂν τὸ κατὰ παράθεσιν ἐνθύμημα. BL.

449. υἱέες ἀθανάτων: Ἰάλμενος Ἄρεως, Μενέσθιος Σπερχειοῦ, Εὔδωρος Ἑρμοῦ, Ἀχιλλεὺς Θέτιδος, Αἰνείας Ἀφροδίτης. BL.

450. Ἀρίσαρχος φίλος ἐσί, ἄλλοι δὲ φίλον ἐσί. A.

453. ἐπειδή: ἐν ἄλλῳ ἐπὴν δή. A.

454. πέμπειν μιν: δεξιὸν ἐσι τᾶτο τὴν ἀποθύμια διαλεγομένην τὸ μέν τι ἀνατρέπειν, τὸ δὲ χαρίζεσθ. ἁρμόδια δὲ καὶ ταῦτα τῇ μητρυιᾷ· συγχωρεῖ γᾶρ τὸ μηδὲν ἐκεῖνον ὠφελᾶν. AL.

ἡ διπλῆ, ὅτι σαφῶς νήδυμον μετὰ τᾶ ν̄· ϗ ἐπὶ τῶν ἀμφιβόλων ἄρα τόπων σὺν τῷ ν̄ ἐκληπτέον. ϗ ὅτι τῷ ἀπαρεμφάτῳ κέχρησθ ἀντὶ προσακτικᾶ τᾶ πέμπε. A.

455. ἵκωνται: ἐν ἄλλῳ ἵκοιτο. A.

457. τύμβῳ τε ςήλῃ τε: ἀπόχρη ἄρα τάφος ϗ ςήλη τοῖς τεθνεῶσι, ϗ μὴ περιεργάζε πλέον. V.

458. ἐδ᾽ ἀπίθησε: διδακτὸν τὸ ϗ τὸν Δία φέρειν τὴν εἱμαρμένην. V.

459. αἱματοέσσας δὲ ψιάδας: ἁρμόδιος ἡ τερατεία, ἐφ᾽ ἥρωϊ τοιούτῳ καὶ πατρὸς πενθοῦντος Διὸς τὸν κόσμον μόνον ἐχὶ συνάχθεσθ. L.

ἄλλως. πολλάκις ἐν μεταβολαῖς τῶν μεγάλων πραγμάτων ἰσορῶσι τεράζια τῷ βίῳ συμφέρεσθ ϗ σημεῖα ποτα-

ιῶν τε καὶ πηγαίων ναμάτων αἱμοφορύκτοις νάμασιν ἐκμαιομένων, ὡς ἐπ' Ἀσωπῷ τε καὶ Λίρκης παραδιδόασιν οἱ τάλαι μῦθοι. λόγος δ' ἔχει καὶ κατὰ νεφῶν ψεκάδας ὕεσθαι ρόνθ τισὶ κηλῖσιν ἐπικεχρωσμένας. ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλε τοῖς βαρβάροις, ἐγγὺς δ' ὁ τῆ κατ' ἀλκὴν ἀρίστ Σαρπηδόνος ὄλεθρος, ὡσπερεὶ τεράσια προφανῆ ταύτης τῆς συμφορᾶς ἀγγελτικά φησιν „αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε." τῶτον δὴ τὸν φονέα ὄμβρον ἀλληγορικῶς εἶπεν αἰθέρος δάκρυα, Διὸς μὲν ἅ (ἄκλαυσος γάρ), ἐκ δὲ τῶν ὑπεράνω τόπων ὡσπερεὶ θρήνοις μεμιγμένα καταῤῥαγέντος ὕετοῦ. ταυτὶ μὲν ἴσως ἐλάττω τεκμήρια περὶ τῶν ἠλληγορημένων. B.

460. παῖδα: ἀπήρκεσεν αὐτῷ τὸ ὄνομα πρὸς ἔνδειξιν τῆς τῆ θεῆ διαθέσεως. AL.

463. ἔνθ' ἤτοι: πάλιν διὰ μέσα ὁ ἑξῆς στίχος, καὶ κατ' ἐπανάληψιν εἶπε τὸν βάλε νειαιραν, ὥστε εἶναι τὸ ἑξῆς, ἀγαθὸν Θρασύδημον βάλε νειαιραν. A.

κατ' ἀρχὴν πολλάκις ἀποτυγχάνειν ποιῶν τὸς βάλλοντας, ἐναγώνιον ποιεῖ τὸν ἀκροατήν. V.

ἄλλως. ἐν ἄλλῳ Θρασύδημον, ἐν ἄλλῳ Θρασύβολον. A.

χαρίεν τὸ πρὸ τῆς ἀναιρέσεως προαγῶνά τινα γενέσθ· ὁ μὲν γ' βάλλει τὸν θεράποντα, ὁ δὲ τὸν Πήδασον. BL.

465. νειαιραν: ἀπὸ τῆ τὰ σιτία νεῖσθ δι' αὐτῆς· οὐδαμῆ γ' χρῆ ἐπὶ τῆ ἐχάτῃ τῷ ἐπιθέτῳ τέτῳ. L.

νέω νέαιρα, ὡς χέω χέαιρα ἰοχέαιρα.

467. οἱ ὑπομνηματισαὶ δεύτερον διὰ τῆ ν. V.

ὁ δέ: ἡ διπλῆ, ὅτι ἐξ ἐπαναλήψεως τὸ ἄρθρον εἴληφε κατὰ τῆ αὐτῆ προσώπῃ καὶ ἃ περὶ ἑτέρᾳ λέγει, ἀντὶ τῆ Πήδασον δὲ ἔτασεν. καὶ ὅτι δοκεῖ συγκεχύσθ τὸ ἔτασε· βεβλήκει γ' τὸ δόρυ. A.

δοκεῖ διὰ τούτων συγχεῖσθαι ἡ διαφορὰ τοῦ βαλεῖν καὶ οὐτάσαι· βέβληται γ' ὁ Πήδασος. καὶ μή ποτε γραφή τις ἐφέρετο, δι' ἧς τὸ τῆς λέξεως σύνηθες ἐφύλασσεν Ὅμηρος· ἃ γ' ἂν αὐτὸ ἀπαραμύθητον ὁ Ἀρίσαρχος ἀφῆκεν. ἐν τοίνυν τῇ Φιλήμονος οὕτως ἐφέρετο ὁ δὲ Πήδασον ἤλασεν ἵππον· ἔξι γ' ὅτε ἐπὶ τῆς πληγῆς τὸ ἤλασεν κεῖθ, ὡς ἐπὶ τῆ Ἀρήτ (Il. 17, 517) „καὶ βάλεν Ἀρήτοιο," εἶτα „νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν." διὰ μέντοι τῆ ν γραπτέον τὸ δεύτερον ὁρμηθείς. A.

ἐτάσαι τὸ ἐκ χειρὸς τρῶσαι. ἐνταῦθα δὲ ἐπὶ τῆ βαλεῖν τῷ ῥήματι κέχρηθ· λέγει γ' „Σαρπηδὼν δ' αὐτῆ μὲν ἀπήμβροτεν," ὅπερ ἐπὶ τῶν ἀφιέντων τάσσεθ. διὸ καὶ γράφει Ἀρίσαρχος ὁ δὲ Πήδασον ἀγλαὸν ἵππον, τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἦγαγ' Ἀχιλλεύς, ὃς καὶ θνητὸς ἐὼν ἔπεθ' ἵπποις ἀθανάτοισιν, τὸν βάλε δεξιὸν ὦμον. V.

468. αἴσθων: βαρυτονητέον ὡς ἔθων· καὶ εἴρηται ὡς ὁμοίως ἐγένετο τῷ βιβάθων. A.

469. μακών: εἰς μῆκος ἐκταθείς. ἢ βοήσας. V. μυκησάμενος, φθεγξάμενος βαρύ. D.

470. κρίκε: γράφεθ καὶ κρίγε καὶ τρίγε· πάντα δὲ τῶν κατὰ μίμησιν εἰσι. γραφικῶς δὲ ἔδειξε τὸν μὲν πάρῃορον κείμενον, τὰς δὲ ἡνίας συγκεχυμένας, τὲς δὲ ἵππες διεσῶτας, τὸ δὲ ζυγὸν ἠχῆν τῇ παρατρίψει. L.

θέλεσιν ἐμβεβηκέναι Πάτροκλον τῷ δίφρῳ, ἵνα κινδυνεύων καταπεσεῖν ἀναιρῇ τὸν Σαρπηδόνα. V.

472. τοῖο: τῆ ἀπευθυνθῆναι τὲς ἵππες, ἢ τῆ συγχυθῆναι τὰ ἡνία. V.

474. ἄξας: ἐνέφηνε τὴν συντομίαν διὰ τοῦ ῥήματος ἐπὶ δὲ Νέςορος τῷ παρατατικῷ κέχρηθ· „ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέτεμνεν" (Il. 8, 87). καὶ ἐπ' ἐκείνῃ μὲ „φασγάνῳ ἀΐσσων" (ib.) φησίν, ἐπὶ δὲ τῆ Αὐτομέδοντος ἄξας. V.

ἐμάτησεν: ἐματαιοπράγησεν. ἐπίκρισις ποιητοῦ. L. ἐκ εἰς μάτην δὲ διεπράξατο. V. ἢ ἠμέλησεν. D.

475. ἰθυνθήτην: εἰς ὀρθὸν κατέςησαν. ἐχ ὡς αἰτία δὲ τὸ ἰθυνθῆναι τὲς ἵππες παρέλαβε τῆς συνόδ τῶν ἡρώων ἃ γ' ἐπὶ τῶν ἁρμάτων μάχονθ· ἀλλὰ τὰ περὶ τὲς ἵππους διηγησάμενος ἐπὶ τὰ περὶ Πάτροκλον μεταβαίνει. L.

ῥυτῆρσι: χαλινοῖς, ἡνίαις, παρὰ τὸ ἐρύειν, ὅ ἐςιν ἕλκειν. D. ἀντὶ τῆ ἕλκυσῆρσι, παρὰ τὸ ἐρύω τὸ λαμβάνω· δηλοῖ δὲ καὶ τὸν βοηθόν, ὡς τὸ „ῥυτῆρα βίου τ' ἔμεναι" (Od. 21, 173)· παρὰ τὸ ῥύω τὸ σώζω. L.

γράφεται καὶ ῥυτῆρι. V.

481. φρένες: τὸ ὑπὸ πνεῦμονα διάζωμα τῆ θώρακος· τοῖς δὲ τὰς φρένας τρωθεῖσιν ἕπεθ ἐρεύγεσθ τὸ μεῖζον μεγάλας τὰς ἐκπνοὰς ποιεῖσθ. ἔρχαται δέ, οἷον εἰργμέναι εἰσίν. αἱμορῥαγίας δὲ γενομένης θνήσκει· θάτερον γὰρ μέρος τῆ πνεύμονος τὴν ἐκ τῶν ὑμένων ἔχει σκέπην, καὶ ἔξαπαθές· καὶ ὁ θαῦμα εἰ φθέγγεθ. διελθὸν δὲ τὸ δόρυ τὸ διάφραγμα, ὃ καλεῖται φρένες, μέχρι καρδίας ἦνυσεν, ὡς λέγει κῆρ. A.

ἡ διπλῆ, ὅτι σαφῶς διὰ τῆ ἔβαλε σημαίνει τὸ ἔτυχε εἰς ἐκεῖνον τὸν τόπον, ὅπ αἱ φρένες ἐγκαθειργμέναι ε περὶ τὴν ψυχήν. A.

ἀδινόν: πυκνόν, παρὰ τὸ ἄδην. κέαρ δέ φησι τὴν καρδίαν· πυκνὴ δὲ αὕτη καὶ νευρώδης κατὰ τὴν ὀσίαν. BL. φύσει λαμπρὸν καὶ ἡδὺ μέρος τῆς ψυχῆς. D.

482. ἀχερωΐς: δένδρον ὃ καλεῖθ λεύκη. ἔνιοι δὲ φησ εἶδος εἶπον αὐτήν. AD.

ἀπὸ τῆ Ἀχέροντος γὰρ ἀνήχθη παρὰ τοῦ Ἡρακλέο διὰ τῆτο καὶ ἄκαρπος καὶ τοῖς νεκροῖς ἀφω . L.

483. Ἀρίσαρχος κατ' ἰδίαν τὸ ἔρεσι καὶ τὸ τέκτονι· Νικίας δὲ συνθέτως ἀνέγνω· ἐκ ἀναγκαῖον δέ. A.

486. βερυχώς: βρυχώμενος, ποιὸν ἦχον ἀποτελῶν πιλῶν τὰς ὀδόντας καὶ συναρμόζων αὐτές. D.

τινὲς διὰ τῆ κ, κακῶς. V.

487. ἠΰτε ταῦρον: ἡ πρώτη εἰκὼν πρὸς τὸ πτῶμα τὴν ἐπὶ πολὺ ἔκτασιν, ἡ δὲ δευτέρα πρὸς τὴν σοναχήν. ἃ δὲ καὶ παραβέβληται τῇ τῆ Σαρπηδόνος πρὸς τοὺς ἄλλα Τρῶας ὑπεροχῇ ὡς ταῦρε ἐν ἀγέλῃ βοῶν. BL.

488. διὰ τȣ̃ ν̄, ἐν εἰλιπόδεσσι, αἱ Ἀριςάρχȣ. A.

γράφεϑ ἐπ' εἰλιπόδεσσι· αἱ δὲ πλείȣς διὰ τȣ̃ ν̄. V.

490. ὣς: ἐναντία ἡ ἀπόδοσις τῆς παραβολῆς κατὰ τὴν σύνταξιν. L.

491. ἡ διπλῆ, ὅτι τὸ μενέαινεν ἐνθάδε μὲν ἐλιποθύμει, ἐν ἄλλοις δὲ προεθυμεῖτο, ὡς τὸ „μενέαινε κῦδος ἀρέσθαι" (Il. 21, 543). ἢ ἐθυμοῦτο. V. „Ζηνὶ μενεαίνομεν" (Il. 15, 104) ἀντὶ τȣ̃ ὀργιζόμεθα. D.

492. ἄμεινον γράφειν πάρος πολεμιςά ἀντὶ τȣ̃ πέπον· ἀντίκειϑ γὰρ τῷ „νῦν σε μάλα χρή." V.

τὸ μετ' ἀνδράσιν ἑκατέρῳ δύναται προσδίδοσθϑ. εἰ μὲν ȣ̓ν τοῖς ἄνω, ἔςαι πολεμιςὴν αὐτὸν ἐν τοῖς ἀνδρειοτάτοις λέγων· εἰ δὲ τοῖς ἑξῆς, ϗ αὐτὸ χρῄζει τινὰ λόγον. βέλτιον δὲ τοῖς ἄνω· μᾶλλον γὰρ εὔφωνόν τε καὶ ἐμφατικόν ἐςι τὸ ȣ̓τως ἄρξασθϑ, νῦν σε μάλα χρή, ϗ νῦν σοι ἐελπέσθω. A.

494. ἐελδέσθω: ἐν ἐπιθυμίᾳ γενέσθω. τὸ δὲ κακός ἀντὶ τȣ̃ θρασύς. τινὲς θρασύς γράφȣσιν· πῶς γὰρ ἂν προτρέπων αὐτὸν πολεμεῖν, κακὸν εἶπε τὸν πόλεμον; BL.

κακός: ὁ φύσει, ὡς γάλα λευκόν. L.

496. ἡ διπλῆ, ὅτι ἤτοι ἀπέςροφε τὸν λόγον, ὡς περὶ ἑτέρȣ λέγων Σαρπηδόνος ἀντὶ τȣ̃ ἐμȣ̃· ἢ ἐλλείπει τὸ τάδε λέγων, ϗ τὸ ἀπαρέμφατον ἀντὶ προςακτικȣ̃ κεῖται, ἵν' ᾖ, ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας τάδε λέγων, Σαρπηδόνος ἀμφὶ μάχεσθϑ. A.

497. περιμάρναο: ὑφ' ἓν Ἀρίςαρχος. δύναϑ δὲ διχῶς ἀναγινώσκεσθϑ ἡ πρόθεσις. V.

δύναϑ ἀναςρέφεσθϑ ἡ περί, ἵνα τοιȣ̃τό τι ᾖ, περὶ ἐμȣ̃ μάχȣ· δύναϑ δὲ καὶ ὡς ὁ Ἀσκαλωνίτης ἀξιοῖ φυλάσσειν τὸν τόνον, ἀντὶ τῆς ὑπέρ κειμένη, ἀντὶ τȣ̃ ὑπερμάχει. εἴρηϑ δὲ περὶ τῶν ἐναλλασσόντων προθέσεων ὡς φυλάσσȣσι τȣ̀ς αὐτȣ̀ς τόνȣς. A.

498. κατηφείη καὶ ὄνειδος: αἴτιος αἰσχύνης ϗ ὀνείδȣς. ἐνάρετος δὲ ὁ ἥρως ȣ̓ τὸν θάνατον αἰδȣ́μενος, ἀλλὰ τὸ τὰ λάφυρα καταλεῖψαι τοῖς πολεμίοις. BL.

499. εἴ κέ μ' Ἀχαιοί: ἐν ἄλλῳ εἴ κεν Ἀχαιοί. A.

500. ἄμεινον παροξυτόνως ἀναγινώσκειν νέων· οὐ γὰρ παρὰ ταῖς ναυσίν ἐςιν ὁ κίνδυνος νῦν. ἔςι δὲ ὅμοιον τῷ „νέων δ' ἀλάπαζε φάλαγγας" (Il. 11, 503). τὸ δὲ ἀγῶνι τῷ ἀθροίσματι τῶν νεῶν· οἱ δὲ τῇ μάχῃ. BL.

ἡ διπλῆ, ὅτι νεῶν ἀγῶνα τὸ ἄθροισμα, τὸ ναύςαθμον. ϗ ἐν ἄλλοις „εἴ πȣ δύσονϑ ἀγῶνα" (Il. 7, 298), τὴν συναγωγὴν τῶν θεῶν. A.

502. τέλος θανάτοιο: τέλος θανάτȣ αὐτὸ τὸ ἀποπνεῦσαι· διαλεγόμενος γὰρ τελευτᾷ. BL.

ὁ δὲ θάνατος αὐτȣ̀ς ἔλαβεν τȣ́ς τε ὀφθαλμȣ̀ς καὶ τὰς ῥῖνας, ἐπεὶ οἱ τελευτῶντες ȣ̓τε βλέπȣσιν ȣ̓τε ἀναπνέουσιν ȣ̓τε δὲ φρένας ἔχȣσιν. AD.

504. ȣ̓τως Ἀρίςαρχος ἕλκε χωρὶς τȣ̃ ῑ, καὶ ἔχοντο ȣ̓τως διὰ τȣ̃ χ̄. A.

φρένες: τὰς σωματικὰς λέγει φρένας· κατ' ἐκεῖνο γὰρ γέγονεν ἡ πληγή. τῷ δόρατί φησιν ἐξελκομένῳ οἱ ὑμένες ἐνείχοντο τȣ̃ διαφράγματος. BL.

ἀεὶ ὁ ποιητὴς φρένας καλεῖ τὸ διάφραγμα. D.

507. διὰ τȣ̃ ε̄ λίπεν, ἐπειδὴ τὰ ἅρματα τῶν ἀνάκτων ἐλείφθησαν, ἠρημώθησαν. Ζηνόδοτος δὲ διὰ τοῦ ο̄ λίπον. A.

ὅτι Ζηνόδοτος γράφει ἐπεὶ λίπον, ἀγνοῶν ὅτι τὸ λίπεν νῦν ȣ̓κ ἔςιν ἑνικόν, ἀλλὰ ἀνάλογον τῷ ἐλείφθησαν τὰ ἅρματα, ὥσπερ κόσμηθεν ϗ „ποιμένος ἀφραδίῃσι διέτμαγεν" (354) ἀντὶ τȣ̃ διετμάγησαν. εἴωθε γὰρ τοῖς ȣ̓δετέροις πληθυντικοῖς πληθυντικὰ ῥήματα συντάσσειν, ὡς „σπάρτα λέλυνται" (Il. 2, 135). A.

διὰ τȣ̃ ε̄· τὸ γὰρ ἑξῆς ἐςίν, ἐπειδὴ τὰ ἅρματα ἐλείφθησαν τῶν ἀνάκτων, τȣτέςι τῶν δεσποτῶν ἠρημώθησαν. L.

508. ἀΐοντι: παρατατικῇ φωνῇ ἀντὶ συντελικῆς ἐχρήσατο. BL. ἀντὶ τȣ̃ ἀκȣ́σαντι. V.

ὡς λέγοντι. ȣ̓τως ϗ Ἀρίςαρχος. A.

510. ἐπίεζε: διὰ τοῦ ε̄· „χερσὶ ςιβαρῇσι πίεζον" (Od. 12, 174) „ἐπὶ μάςακα χερσὶ πίεζεν" (Od. 4, 287). V.

515. ἡ διπλῆ, ὅτι ȣ̓τως εἴωθε λέγειν πάντοσε ἀκούειν, εἰς πάντα τόπον ἀκȣ́ειν, ἐπὶ τῶν ἐκ τοπȣ̃ εἰς τόπον ἀφικνȣμένων· „πεύθετο γὰρ Κύπρονδε μέγα κλέος" (Il. 11, 21), εἰς Κύπρον ἠκȣ́ετο. διὸ ϗ νῦν κατὰ συναλοιφὴν ἀκȣςέον, ἵν' ᾖ τὸ πλῆρες πάντοσε ἀκȣ́ειν. A.

ἄλλως. Ἀρίςαρχος τὸ πλῆρες ἀκȣ́ει πάντοσε. Ζηνόδοτος πάντες ἀκȣ́ειν διὰ τοῦ ε̄. πάντοσε ὡς πάντοθεν· τὰ γὰρ εἰς ε̄ ἐπιῤῥήματα τοῖς εἰς θεν ὁμοτονεῖ, ἄλλοθεν ἄλλοσε, ὁμόθεν ὁμόσε. ȣ̓τως ȣ̓ν εἰ „πάντοθεν ἐκ κευθμῶν" (Il. 13, 28), ϗ „πάντοσε δαιδάλλων" (Il. 18, 479). A.

τινὲς δὲ πάντοθι. ὅταν ἐκ τόπȣ εἰς τόπον ἀφικνȣμένης φωνῆς ἢ φήμης ἄφιξιν δηλοῖ, τῷ εἰς τόπον χρῆϑ. V.

Ἀρίςαρχος τὸ πλῆρες ἀντὶ τȣ̃ παντός, Ζηνόδοτος δὲ ἀντὶ τȣ̃ παντί. ἄμεινον δὲ τὸ τοπικόν, ὡς Ἡρωδιανός. ἡ δὲ δοτικὴ ἀντὶ γενικῆς. L.

τὸ δὲ ἀκȣ́ειν ἀντὶ τȣ̃ ὑπακȣ́ειν. ȣ̓δέποτε γὰρ ἐπὶ ψιλῆς ἀκοῆς τάσσει τὸ ῥῆμα. L.

516. ἀνέρι: ἀντὶ τȣ̃ ἀνέρος· „Ἀχιλλῆος ἕλε κῆρ δερκομένῳ" (Il. 13, 139) „τῆς δ' αὐτȣ̃ λύτο γȣ́νατα σήματ' ἀναγνȣ́σῃ" (Od. 23, 205). V.

519. τερσῆναι δύναται: ȣ̓ δύναται ξηρανθῆναι τὸ αἷμα. ἀλλαχοῦ δὲ τὴν ξηρασίαν φησὶν ὀδύνης ποιητικήν. BL. „τέρσετο δ' αἷμα, ὀξεῖαι δ' ὀδύναι δῦνον μένος" (Il. 11, 267). V.

522. ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί· ἔςι γάρ, ȣ̓δὲ περὶ τȣ̃ ȣ̃ παιδὸς ἀμύνει, οἱ δὲ ἀγνοήσαντες γράφȣσιν ὁ δ' οὐδ' ᾧ παιδὶ ἀμύνει. A.

Ἀρίςαρχος ȣ̓δ' ȣ̃ παιδός. A.

ȣ̃ παιδὸς ἀμύνει· ȣ̓τως ἔχει ἡ γραφή, ϗ λείπει ἡ περί. V.

523. ἄκεσσαι: Ἀρίςαρχος ἀπαρέμφατόν φησιν, ἀγνοῶν ὅτι τὸ ἀκῶ ἐνεργητικῶς ȣ̓δέποτε ἔκλινεν ὁ ποιητής, ἀλλ' ἢ παθητικῶς ἢ μέσως. ἔςιν ȣ̓ν προςακτικόν. V.

524. Αἰολικὸν κοίμησον ἀντὶ τȣ̃ κοίμισον. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

526. ὅτως διὰ τοῦ ἢ αἱ Ἀριςάρχου, κατατεθνηῶτι. A.

527. τὸ ἔκλυε ἀντὶ τοῦ ἐπήκουσεν· οὐδέποτε γὰρ ἐπὶ ψιλῆς ἀκοῆς τάσσει τὸ ῥῆμα. B.

πανταχοῦ τοὺς εὐσεβεῖς φέρει Ὅμηρος ἀκουομένους. L.

530. Γλαῦκος δ' ἔγνω: τὸ γὰρ παραυτίκα παῦσαι τὴν ὀδύνην καὶ μένους αὐτὸν ἐμπλῆσαι προφανῶς θεῖόν ἐςι. BL.

ἤτοι ςικτέον ἐπὶ τὸ φρεσί, ἢ διαςαλτέον, ἵνα κοινωνῇ ἔγνω καὶ ἐχάρη ὅτι οἱ ὦκ' ἤκουσε. A.

532. πρῶτα μὲν ὤτρυνε: ὑπεκκαύματα τῷ πολέμῳ πάλιν δίδωσιν ὁ ποιητής. BL.

542. εἴρυτο: Ἀρίςαρχος τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν ποιεῖ, ὑγιῶς πάνυ· ὁ δὲ Τυραννίων προπερισπᾷ, ἐκ τοῦ εἰρύετο φάσκων αὐτὸ συνηλεῖφθαι. δύναται δὲ τὸ εἴρυτο κλιθὲν ἀπὸ τῶν εἰς μι ὁμοίως τῷ ἐζεύγνυτο ἤνυτο („θοῶς δέ οἱ ἤνυτο ἔργον" Od. 5, 243) ἐκτετάσθαι. ὅτως ἀξιοῦμεν καὶ ἐπὶ τοῦ εἵλυτο (640) καὶ εἴρυτο. A.

δίκησί τε καὶ σθένεϊ ᾧ: ταῦτα γὰρ σώζει, τὸ μὲν πόλιν καὶ οἰκήτορας, τὸ δὲ ἀπεῖργον τοὺς πολεμίους. Αἰσχύλος „ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη, ποία ξυνωρὶς τῶνδε καρτερωτέρα;" τὴν δίκην δὲ προτάσσει ὡς μᾶλλον τῶν ἄλλων ἁρμόζουσαν βασιλεῖ. BL.

544. ἀλλὰ φίλοι πάρςητε: ἀπὸ τῶν ὀνειδιςικῶν εἰς τοὺς ἱκετικοὺς ἧκε, καὶ ἀπὸ τῶν πρὸς τὸν Ἕκτορα ἐπὶ τὸ πλῆθος τὸν λόγον μετήγαγεν. BL.

ὡς τὸ „Ἀτρείδη νῦν δή σε ἄναξ ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιςον θέμεναι·" εἶτα ἑξῆς „τλῆτε φίλοι καὶ μείνατε" (Il. 2, 284. 299). V.

545. τὸ ἀεικίσσωσιν ἐκ τοῦ ὑβρίσωσιν. αἰκία δὲ οὐχ ἡ ὕβρις μόνον, ἀλλὰ καὶ τὸ αἶσχος, παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ τὸ καθήκειν, ὥς φησι „δαίνυ δαῖτα γέρουσιν, ἔοικέ τοι ὄτι ἀεικές" (Il. 9, 70), ὡς εἰ ἔλεγε, πρέπει σοι καὶ καθήκει τοῦτο. ὅτι δὲ ἡ αἰκία καὶ ἐπὶ τοῦ αἴσχους, δηλοῖ· εἰπὼν γὰρ „τοῖο δ' Ἀπόλλων πᾶσαν ἀεικίην ἄπεχε χροΐ" (Il. 24, 18), φησὶν αἶσχος, ὅπερ ἐξηγούμενος τὴν ἀεικίαν „κωφὴν γαῖαν ἀεικίζει μενεαίνων" (ib. 54), ἀντὶ τοῦ ὑβρίζει. B.

546. ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ περί πρόθεσις, περὶ Δαναῶν. A.

547. τοὺς ἐπὶ νηυσί: παλαιᾶς ἀνδραγαθίας ὑπέμνησεν, ὅπως μὴ ἀπολέσωσιν αὐτὴν τοῖς νῦν. BL.

548. κρῆθεν: Ἀρίςαρχος δισύλλαβον ἐκδέχεται τὴν λέξιν καὶ προπερισπᾷ, ὑγιῶς πάνυ· καὶ οὐκ ἐπίςαται ὁ ποιητὴς τὸ κάρη ὀξυνόμενον θηλυκόν, ἀλλ' οἱ ἄλλοι πάντες. καὶ οὐδὲν θαυμαςόν· καὶ γὰρ ἄλλας παραλόγους φωνὰς ἐπίςαται, ἀγνοῶν τὰς πρωτοθέτους αὐτῶν λέξεις. τί οὖν θαυμαςὸν εἰ παρὰ τὸ κάρη ὀξυνόμενον κάρηθέν ἐςι καὶ κρῆθεν ἐν συγκοπῇ; τοῦτο δέ φημι, ἐπεὶ καὶ Ἡσίοδος (Scut. 7) ὅτως ἐξεδέξατο, εἰπὼν τὸ „τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων." AV.

κάρα κάρηθεν τὸ ἀνάλογον, καὶ κατὰ συγκοπὴν κρῆθεν, καὶ μετὰ τῆς προθέσεως κατακρῆθεν. BLV. δύναται καὶ ἀπὸ τοῦ κάρητος καρητόθεν κάρηθεν κρῆθεν. V.

τινὲς ἄκρηθεν, ἐπεί φησι „μέγα κῦμα κατ' ἄκρης" (Od. 5, 313) „ὤλετο πᾶσα κατ' ἄκρης" (Il. 13, 772). V.

549. βραχὺ διαςαλτέον μετὰ τὸ ἄσχετον διὰ τὴν ἔμφασιν. A.

ἕρμα: τὸ σήκωμα τῆς νεὼς πρὸς τὸ μὴ ἀνατρέπεσθαι ἐν τῷ πεσεῖν· νῦν οὖν τούτου φησὶν ἀναιρεθέντος ἀνατραπῆναι τὴν Ἴλιον. οἱ δὲ τὸ ὑποςήριγμα· ὅθεν καὶ Πίνδαρος ἔρεισμα Ἀκράγαντος εἶπε τὸν Θήρωνα. ῥητορικῶς οὖν αὔξει τὸν οἶκτον, ἐπιμαρτυρῶν τῷ ἀποθανόντι. ABL.

550. πολέες: ἵνα μὴ εἴπῃ τις „εἷς ἀνὴρ οὐδεὶς ἀνήρ," τοῦτο ἐπάγει τὸ πολέες. L.

553. ὅτι ἐλλείπει ἡ περί, καὶ ὅτι τὸ χωόμενος ἀντὶ τοῦ συγχεόμενος. A.

554. λάσιον κῆρ: συνετὴ ψυχή. περίφρασις καὶ μεταληπτικόν. L.

556. φίλον ἔςω: ἐν ἄλλῳ μένος ἔςω. A.

557. οἷοί περ πάρος ἦτε: πρὸς τοὺς πόνους προθυμίαν ἐργάζεται τῶν προπεπονημένων ἡ μαρτυρία. BL. τῶν πεπραγμένων αὐτῷ ὑπομιμνήσκει πρὸς ἀμύνης ὑπόμνησιν. LV.

δύναται μὲν ςίζεσθαι ἐπὶ τὸ ἀνδράσιν· δύναται δὲ λείπει τὸ ἔςε ἢ γίνεσθε· δύναται δὲ καὶ σχῆμα εἶναι ἀπὸ δοτικῆς ε αἰτιατικήν, ὡς κἀκεῖ „αἰεί τοι φίλον ἐςὶν ἐμεῦ ἀπόνοσφι ἐόντα κρυπτάδια φρονέοντα" (Il. 1, 541). παρατηρητέον δὲ τὸν ςίχον πρὸς τὸ ἐπάνω ὑποκείμενον „Γλαῦκε πέπα πολεμιςὰ μετ' ἀνδράσι" (492). A.

558. ὃς πρῶτος ἐσήλατο: πῶς δὲ ἀλλαχοῦ φησι „Ἕκτωρ Πριαμίδης ἐσήλατο" (Il. 12, 437); ἢ τάχα ἑκέτερος τῆς ἰδίας φάλαγγος. LV.

πῶς ἑτέρωθι λέγων ὁ ποιητὴς τὸν Ἕκτορα πρῶτον ἐσάλεσθαι, νῦν λέγει τὸν Σαρπηδόνα; ῥητέον οὖν ὅτι τὸ ἐσήλατο ἀντὶ τοῦ ἐσάλευσεν τότε τὴν ἔπαλξιν πρῶτος ἐπισπασάμενος καὶ ψιλῶς ἀναγνωςέον καὶ δι' ἑνὸς λ. A.

Ἀρίσταρχος καὶ οἱ ἀπ' αὐτοῦ δασύνουσι, Λυσανίας (Πορφύριος V) δὲ ψιλοῖ, προσνέμων τὸ σ τῷ σάλασθαι γάρ φησι σημαίνειν τὸ ἀποσπᾶν καὶ σαλεύειν. ὁ δὲ σαλεύσας πρῶτος τὸ τεῖχος Σαρπηδών ἐςιν, ὁ δὲ εἰσπηδήσας Ἕκτωρ. φησὶ γοῦν „Σαρπηδὼν δ' ἔπαλξιν ἑλὼν χειρὶ ςιβαρῇσιν ἕλχ', ἡ δ' ἕσπετο πᾶσα" (Il. 12, 397)· ἐπὶ τοῦ Ἕκτορος „ῥῆξε δ' ἀμφοτέρους θαιρούς," εἶτα ἐπιφέρει „ὁ δ' ἔσθορε φαίδιμος Ἕκτωρ" (ib. 462). ἄμεινον δὲ πρόθεσθαι Ἀριςάρχῳ δασύνοντι, ἐκδέχεσθαι δὲ ἡμᾶς ὅτως τὸ ἐσήλατο, ὅτι πρῶτος ἐφήλατο καὶ ἐπεπήδησε τῷ τείχει. ὁ γοῦν ὡς οὐκ εἶπε πρῶτος διῆλθεν· ὁ μὲν γὰρ Ἕκτωρ πρῶτος διῆλθεν, ὁ δὲ Σαρπηδὼν πρῶτος ὥρμησεν ἐπὶ τὸ τεῖχος „ὥς ῥα τότ' ἀντίθεον Σαρπηδόνα θυμὸς ἀνῆκε τεῖχος ἐπαΐξαι" (ib. 308), ὥςε τὸ ἥλατο ταὐτὸν εἶναι τῷ ἐμῆσαι. A.

559. ἀλλ' εἴ μιν: ἐν τῇ Ῥιανοῦ ἀλλ' εὖ μιν. A.

ἡ διπλῆ, ὅτι ἔξωθεν προσυπακουςέον τὸ καλῶς ἂν ἔχοι· εἰ αὐτὸν ἀνελόντες ἀεικισαίμεθα, καλῶς ἂν ἔχοι. καὶν Ὀδυσσείᾳ „ἀτὰρ πελέκεα αἰεὶ κείωμεν ἅπαντας" (Od. , 260). A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰ ἀντὶ τῆ εἰθε. Ἀρίσαρχός φησι λείπειν τὸ καλῶς ἂν γένοιτο. V.

ἀεικισσαίμεθ' ἑλόντες: ὅπερ σπεύδει δρᾶσαι, τοῦτο αὐτὸς κινδυνεύει παθεῖν ὑφ' Ἕκτορος, ὡς κἀκεῖνος ὑπ' Ἀχιλλέως· ἕτω τὰ τῆς Ἀδρασείας ἐνδείκνυ. πῶς δὲ μέλλιχον ὑποζησάμενος τὸν ἄνδρα ἦθος αὐτῷ νῦν περιέθηκεν ὠμόν, τὸ θέλειν λυμήνασθαι σῶμα ἀναίσθητον; ἢ τάχα τὸ προκείμενον ἀπολογία ἐπὶ τῆς ὠμότητος „ὃς πρῶτος ἐσήλατο," καὶ καλεπαίνει δικαίως τῷ πρῶτον ἐς τὸ τεῖχος εἰσθορόντι. BL.

νόμος γὰ τοῖς κειμένοις μὴ ἐπιβαίνειν. δηλοῖ οὖν τὴν πολλὴν εἰς ἐκεῖνον μῆνιν, ὅτι ἐκεῖνος καὶ πολλὰς ἀνεῖλε καὶ τὸ τεῖχος πρῶτος ἐσήλατο. L.

561. αὐτῆ: ἡ διπλῆ, ὅτι ἀμφίβολον εἰ λείπει ἢ περί, ἵν' ᾖ περὶ αὐτῆ, ἢ τοπικῶς ἐκληπτέον τὸ αὐτοῦ, ἐν τῷδε τῷ τόπῳ. A.

564. τὰ δύο στρατεύματα χωρίζει εἰς τέσσαρα, ἵνα μεγαλύνῃ τὸς Μυρμιδόνας. L.

χῆμα τὸ χιασόν. ἢ ἐκ τούτου βέλει παρασῆσαι τὸ πλῆθος τῶν ἐπικούρων, ὅτι ὅσον ἐλείποντο τῷ ἀριθμῷ οἱ Μυρμιδόνες τῶν Ἀχαιῶν, τοσοῦτον διέφερον τῇ πληθύϊ οἱ ἐπίκουροι τῶν Τρώων. L.

567. νύκτ' ὀλοήν: σκότον, ὡς τὸ „ὀρώρει δ' οὐρανόθεν νύξ" (Od. 5, 294). καὶ ἐπὶ Πατρόκλῳ „ἐπεὶ ἐδὲ Μενοιτιάδην ἤχθαιρε" (Il. 17, 270). ἐπ' αὐτῷ δὲ δεινὴν τὴν μάχην ἤγειρε· μόνος γὰ ἐν ἀμφοτέροις τοῖς στρατοῖς Διὸς υἱός. BLV.

569. ὦσαν δὲ πρότεροι Τρῶες: πιθανῶς, ὡς μὴ πάντα τοῖς Ἕλλησι καταχαρίζεσθαι δοκοίη· γενομένης γὰ τῆς Γλαύκου προτροπῆς εἰκὸς συστραφῆναι ὡς ἂν περὶ μειζόνων ἀγωνισομένους. ἑλικῶπες δὲ οἱ ἀξιοθέατοι, πρὸς ὃς ἑλίσσομεν τὰς ὄψας. BL.

572. ἐν Βαδείῳ: Βάδειον πόλις Θεσσαλίας. D. τὸ Βάδειον πόλις Φθιῶτις, ἀπὸ Βαδείας (Βάδας L) τῆ Ἄργους ὠνομασμένη. πῶς δὲ ἂν ἱκέτευε τὸν βασιλέα τῆς ἑαυτῆ πόλεως; ἢ γὰ ἦν ἔθος τοῦτο. ἴσως ἦν ἀπὸ Βαδείας τῆς ἀποκτιμένου τῆς Βοιωτίας μητρὸς Ἐργίνου ἐπώνυμος ἦν πόλις ἐν τῇ Βοιωτίᾳ τὸ Βάδειον. ἢ τάχα ἑτέρα παρὰ ταύτην ἐστί. BLV.

574. ἡ ἕς ἀντὶ τῆς πρός. σημειωτέον δὲ ὅτι ἕως τῆς ἐπὶ Ἴλιον στρατείας συνῆν Θέτις Πηλεῖ. ἱκέτευσε δέ, ἱκέτης ἦλθε. τὸ ἧμερον δὲ Πηλέως δείκνυ ἀπὸ Πατρόκλου Φοίνικος καὶ τούτου. L.

ἡ διπλῆ, ὅτι ἐκ ἀπολελοίπει ἡ Θέτις τὸν Πηλέως οἶκον ὡς οἱ νεώτεροι, ἀλλὰ συνῴκει αὐτῷ. A.

581. Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο: δριμυτέραν τὴν μάχην ἐργάζει, ἐ τὸν τυχόντα ποιῶν ἀναιρούμενον ἀλλ' ἑταῖρον Πατρόκλου, ἵν' ἐπὶ τούτῳ πλέον χαλεπήνῃ. BL.

582. ἴρηκι ἐοικώς: πρὸς τὴν ὁρμὴν καὶ τὸν ἀπ' αὐτῆ γενόμενον φόβον τοῖς πολεμίοις. εἶτα παρέλαβεν ἐπὶ τῶν φευγόντων τὰ ἀγεληδὸν ἱπτάμενα τῶν ὀρνέων καὶ εὐκαταφρόνητα, κολοιοὺς καὶ ψᾶρας. L.

582. 584. σχῆμα πανάριστον. ἄρχει γὰ ἀπὸ τρίτου προσώπου καὶ κατέρχει εἰς δεύτερον. L.

583. ψῆρας: διὰ τὸ κακόφωνον τοὺς ψᾶρας. ἐκεῖ δὲ (Il. 17, 755) ὡς τὸ ψαρῶν· αὖμιν ξηράνῃ (Il. 21, 347) ἐδὲ θερμήνῃ φησίν. V.

τὸ κώνειον ἐσθίοντες οἱ ψᾶροι ἐ θανατοῦ, ἐπεὶ θερμότατοί εἰσι καὶ πυκνὰς τὰς πόρους τῆς καρδίας ἔχοντες. καὶ οἱ ὄρτυγες δὲ ἐλλέβορον. L.

586. ἡ διπλῆ, ὅτι μεταβέβηκεν ἐκ τοῦ πρὸς τὸν Πάτροκλον λόγου καὶ εἰς τὸν περὶ αὐτοῦ· εἴρηκε γὰ ἔβαλε καὶ οὐχὶ ἔβαλες ὦ Πάτροκλε. A.

589. αἰγανέη εἴρη ἀπὸ τῆ νεῦσθαι εἰς αἶγας· ἔστι δὲ εἶδος ἀκοντίου (πρὸς αἰγῶν ἄγραν ἐπιτηδείου Leid). ταναοῖο δὲ τεταμένης. ἐ βέλει δὲ πλέον τὸς Τρῶας φεύγειν· διὸ εἴληφε σύμμετρον ἀκοντίου διάστημα, βουλόμενος σημῆναι τὸ ὅσον ὑπεχώρησαν. L.

ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ταναοῖο εἴρηκεν ἀρσενικῶς ἀντὶ τῆ ταναῆς. A.

590. ἦν ῥά τ' ἀνήρ: ἦν ἀφῇ ἀνὴρ ἐν ἄθλῳ πειρώμενος, ἢ καὶ ἐν πολέμῳ, ἐχὶ πειρώμενος ἔτι· τίς γὰ ἂν πεῖρα ἐν πολέμῳ γένοιτο; ἀλλὰ τὸ μὲν πειρώμενος ἐπὶ τοῦ ἐν ἀγῶνι μόνου βεβλημένου ἀκοντίου τέτακε, τὸ δὲ ἠὲ καὶ ἐν πολέμῳ πρὸς τὸ ἀφέῃ. ἡ δὲ ὑπό ἀντὶ τῆς μετά, ἢ πλεονάζει. τινὲς δὲ ὑπὸ δηΐων πειραζόμενος. L.

591. ἡ ὑπό περιττή. A.

593. Γλαῦκος δὲ: ποικίλως χρῆται τῇ τάξει· μετὰ γὰ τὴν τοῦ Γλαύκου προτροπὴν ἄρχει ὁ Ἕκτωρ τοῦ ἔργου ὡς ἂν ὑπερέχων· ἐν δὲ τῇ ὑποστροφῇ τὰ πρωτεῖα Γλαύκῳ περίκειται. BL.

594. ἐτράπετ': ἐδήλωσεν αὐτὸ σαφέστερον διὰ τοῦ „στρεφθεὶς ἐξαπίνης" (598). καινὸς δὲ ὁ τρόπος· ὁ γὰ φεύγων ἐπιστραφεὶς κτείνει τὸν διώκοντα. L.

595. Χάλκωνος: Πρόδικος ἀπὸ τῆς τοῦ χαλκοῦ κτήσεως καὶ Βαθυκλέα. εἴρηκε δ' ἂν Χρύσωνος ἀπὸ τῆς καλλίστης ὕλης. V.

Ἑλλάδι: Ἑλλὰς πόλις Θεσσαλίας, ἧς οἱ πολῖται πρῶτοι εἶχον τὸ ὄνομα τοῦτο τὸ καλεῖσθαι Ἕλληνες ἀπὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ Πύῤῥας. ὕστερον δὲ πάντες Ἕλληνες οἱ τῆς Εὐρώπης ἐκλήθησαν ὀνόματι κοινῷ, ὡς φησι καὶ Θουκυδίδης ἐν τῇ α'. πρὸ δὲ αὐτοῦ (πρότερον δὲ D) μόνοι ἦσαν Ἕλληνες ἐκαλοῦντο, οἱ δὲ ἄλλοι κατὰ ἔθνη ἕκαστος, ὥς πού καὶ ὁ ποιητὴς ἐν τῷ καταλόγῳ λέγει „Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί" (Il. 2. 684). AD.

Ἑλλὰς χώρα ὑπὸ Ἀχιλλέως. V.

599. πυκινὸν: γράφει δεινόν. L.

600. συναπτέον ἕως τοῦ ἀνήρ· τὸ γὰ ὡς αἰτιον. A.

601. στὰν δ' ἀμφ' αὐτόν: ἔσησαν περὶ τὸν Γλαῦκον, ἐπιβοηθοῦντες τῷ προκαταρξαμένῳ τῆς ὑποστροφῆς. BL.

604. Λαόγονον: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· κύριον γάρ. A. ὡς ὀρίγανον. V.

Ὀρασὺν: γράφει φίλον· τί γὰ ἐποίησε θράσος; V.

606. ὑπὸ γναθμοῖο καὶ ἔατος: μεταξὺ τοῦ ὀχοῦ τῆς σιαγόνος καὶ τῶ ὠτός. BL.

607. ἔν τισιν ἐπεφέρετο „Μηριόνης δ' ἀνέπαλτο, φίλον δέ οἱ ἦτορ ἰάνθη." διὸ καὶ ἐπισκώπτει ὁ Αἰνείας. V.

611. πρόσσω γὰρ κατέκυψε: ὑπὲρ τῶ ἀξιοπίστου τὸν μὲν Αἰνείαν ἐπιτυγχάνοντα ποιεῖ· ἐπέτυχε γάρ, εἰ μὴ κατέκυψεν ὁ Μηριόνης. BL. καὶ τὸ τοῖς Ἕλλησι κεχαρισμένον διὰ τῆς τῶ Μηριόνα σωτηρίας. V.

612. οὐρίαχος: τὸ ὄπισθεν μέρος τῶ δόρατος, ὃ καὶ σαυρωτὴρ καλεῖται. D.

613. ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχῳ ἐκ ἐφέρετο καθάπαξ· ἐν δὲ τῇ δευτέρᾳ ἄλογος αὐτῷ παρέκειτο. V.

617. ὀρχηστήν περ ἐόντα: εὐκίνητον κατὰ τὸν πόλεμον, ὃ ἐξι συγκεκροτημένον τὰ πολεμικὰ καλῶς. ἐπυρρίχιζον γὰρ τοῖς ὅπλοις οἱ Κρῆτες πρὸς ἄσκησιν τῶν πολεμικῶν, ὃ ἐξι σὺν τοῖς ὅπλοις τὴν πυρρίχην καὶ ἔνοπλον ὄρχησιν ἠσκοῦντο· τρία γὰρ εἴδη ὀρχήσεως, πυρρίχη, σίκιννις, ἥτις ἐξὶν ἱερά τις (ἱερατικὴ AD), καὶ ὁ κορδακισμός, αἰσχρός τις ὢν καὶ μᾶλλον κωμικοῖς (βεβήλοις D) ἁρμόδιος. ABD.

Κρῆτες γὰρ ἀσκοῦσι τὴν ἐνόπλιον ὄρχησιν, ἔμπειροι ὄντες ἀπὸ τῆς τῶν Κρητῶν μυθολογίας· καὶ οἱ μὲν αὐτοῖς, οἱ δὲ Νεοπτολέμῳ, οἱ δὲ Μολοσσοῖς, οἱ δὲ Κάζορι, οἱ δὲ Διονυσίῳ τὴν εὕρεσιν διδοῦσιν. ἄκρως δὲ ἐξεφαύλισε τὸ εὐκίνητον τοῦ ἀνδρός· βουλόμενος γὰρ αὐτὸν ἐλαφρὸν εἰπεῖν, τοῦτο παρατρέψας εἰς ὄρχησιν ἐχλεύασεν. ἠπίσατο γὰρ ἐν ἑαυτῷ ὅτι εὐσόχως μὲν ἁφῆκε, διὰ δὲ τὴν ἐκείνου παραπροπὴν γέγονεν ἡ ἁμαρτία. BLV.

618. τινὲς διαμπερὲς εἰ σ' ἔβαλόν περ, ἵν' ἦ, εἰ σε ἔβαλλον, διεπερόνησα ἂν. ἀλλ' ἐδὲν ἀναγκαῖον οὕτως συνάπτειν· τὸ γὰρ ἔβαλον ἀντὶ τοῦ ἔτρωσα, τὸ δὲ κατέπαυσε διαμπερές οἷον εἰς αἰεί. A.

620. χαλεπόν: ἀδύνατον καὶ ἀτελείωτον. L. χαλεπὸν δὲ γῆν ὀρύσσειν. V.

621. σβέσαι μένος: σβέσις γὰρ δυνάμεως ὁ θάνατος. ἔμψυχος δὲ ἡ μεταφορά. καὶ εἰκότως· ὁ γὰρ θάνατος σβέννυσι τὴν δύναμιν. BL.

πάντων ὅς κε σεῦ: πρὸς τὸ χῆμα γὰρ ὁ λόγος. BL.

625. δοίης: ἐν ἄλλῳ δώης. A.

628. ἤτοι Τρῶες ὀνειδείοις: ἀποτροπὴ τοῦ λοίδορον εἶναι, ὅπερ καὶ τοὺς πολεμίους ἐκ ἐᾷ λοιδορεῖν, διδάσκει δὲ καὶ αὐτοὺς ὁρᾶν ἐν ἐκείνῳ τῷ καιρῷ, μὴ λέγειν κακῶς. BL.

630. ἐν γάρ: ὁ πόλεμος μὲν γὰρ χειρῶν δεῖται, βουλὴ δὲ καὶ ἐκκλησία λόγων. D. καλὴ καὶ βραχύλογος ἡ γνώμη. V.

633. ἡ διπλῆ, ὅτι ἀμφιβόλως κεῖται τὸ ὀρώρει, πότερον ἐπὶ τῶν μαχομένων λέγεται, τούτων ὀρώρει ὁρμαγδὸς ὡς δρυτόμων, ἢ ἐπὶ τῶν δρυτόμων, ὡς δρυτόμων ἀνδρῶν ὁρμαγδός, ἕτως καὶ τῶν μαχομένων, ὅπερ καὶ βούλεται, ὥστε τὸ ὄρωρε τὸν ἐνεστῶτα χρόνον σημαίνει. ἐὰν γράφωμεν ὀρώρει, πάντα σίζομεν, βήσσης καὶ ἀκωή, καὶ δὶς ἔσαι ἡ ἀνταπόδοσις λεγομένη· κοινὸν γὰρ νοεῖται τὸ ὀρώρει, κατά τε τῶν δρυτόμων καὶ τῶν ἡρώων. βέλτιον δὲ γράφεται μὲν ὄρωρεν, ὑποσίζεται δὲ βήσσης καὶ ἀκωή, τὸ δὲ τῶν ἐπανειλῆφθαι, τῶνδ' ὥστε. A.

τὸ δὲ ὀρώρει ἐ δύναται κατὰ τῶν μαχομένων· ἐπάγει γὰρ „ὡς τῶν ὤρνυτο δοῦπος." ἔστιν οὖν ἀνθ' ὑποτακτικοῦ τὸ ὀρώρει. V.

ἄλλως. οὕτως ὀρώρει Ἀρίσταρχος. ἔν τισιν ὄρωρεν. A.

633. ὄρα τὸ ἐπιτυχὲς τῆς παραβολῆς. εἰ γὰρ καὶ ξύλα κυριολεκτικῶς κόπτονται, κατακόπτεται δὲ οἱ ῥήτορές φασι τὸς ἐν πολέμῳ, ἀκόλουθον καὶ τὸς ἐν ἀμφοῖν κτύπος παραλληλίζεσθαι. L.

ἐπίτηδες νῦν ἐτράχυνε τὴν φράσιν ὁ ποιητής, ἀναλόγως τῷ πράγματι πλεονάσας τῷ ρ̄ στοιχείῳ. τὰ δὲ λεῖα, ὡς ἐπ' ἐκφράσεως κήπων, ὀφείλουσι πλέσιον ἔχειν τὸ λ̄. ὁ δὲ Πλάτων φησὶ τὸ ρ̄ ἐπὶ κινήσεως ἐτάχθη ὄργανον, ὡς τὸ ῥεῖ φορά ῥεῦμα, τὸ δὲ λ̄ ἐπὶ ὀλιγοθήσεως, ὡς τὸ γλίχρον λιπαρόν ὀλιγοθρόν ὀλίγον. L.

πρὸς τὸ πᾶν ἁρμόζει ἡ παραβολή, πρός τε τὸν ἄναρθρον (ἄθρουν V) κτύπον, ἅμα δὲ καὶ τοῖς τεμνομένοις ὅπλοις· τὰ τεμνόμενα σώματα εἰκάσαι, καὶ τὰ ξίφη τοῖς πελέκεσι παραβέβληται. BL.

634. ἀκωή: Ἀριστοφάνης ἀϋτή. AV.

635. εὐρυοδείης: παραγωγὸν ἡγοῦνται τὴν λέξιν, τετέσι παρολκὴν τῆς ἐπὶ τέλους λέξεως· διὸ ἐψιλωσαν. βραχὺ δὲ διασταλτέον εὐρυοδείης· διχόθεν γάρ φησι τὸν ἦχον φέρεσθαι, ἀπό τε τῆς γῆς καὶ τῶν ὅπλων. A.

ἐκ τοῦ ὀδεύειν ἐστὶ τὸ ἐν τῇ παραληγέσῃ δίφθογγον. L.

636. χαλκοῦ: τῶν χαλκῶν ἀσπίδων. ῥινοῦ δὲ τῶν ἀκατεργάστων βοῶν, ὃ ἐστι τῶν λαισήϊων. εὐποιητάων δὲ τῶν εὖ γεγονυιῶν. BL.

ἄμεινον εἶχε, φησὶν ὁ Ἀρίσταρχος, εἰ ἐγέγραπτο βοῶν εὐποιητάων, ἔξω τοῦ τέ συνδέσμου, ἵν' ᾖ ῥινὸς βοῶν. A.

ἡ διπλῆ, ὅτι προειπὼν ῥινοῦ τε, ὡς ἑτερόν τι διάφορον συμπλέκει βοῶν τε· καὶ ἤτοι ἐξ ἐπαναλήψεως νοητέον λεγεσθαι τὸ αὐτό, ὡς „πυκνοὶ καὶ θαμέες" (Od. 12, 92) καὶ „πόλεμόν τε μάχην τε" (251)· ἢ τὸν τέ σύνδεσμον περιττὸν νομιστέον, ἵν' ᾖ ῥινοῦ βοῶν, τετέσι τῶν ἀσπίδων. A.

τὸ εὖ ἐ θέλουσι κατ' ἰδίαν προφέρεσθαι, ἀλλ' ἐν ποιεῖται εὐποιητάων, ἐπεὶ καὶ ἐν ἑτέροις φησὶ τὴν δοτικὴν „εὐποιήτῃσι πύλῃσι" (Il. 5, 466) παρωνύμως. κἀγὼ δὲ συγκατατίθεμαι. A. ἐν δέ τισιν εὕρομεν ῥινῶν τε βοῶν τε κατὰ τὸ πληθυντικόν. A.

ἀπὸ ὅλου τὸ μέρος. διττῶς δὲ τοῦτο. ἡ εὐθεῖα ἡ ποιήτη, ὡς ἀσβέστη Ἀττικῶς. ἢ εὖ ποιητάων ἡ ποιητή εὐθεῖα. L.

638. φράδμων λεγέσθω καὶ ὁ διορατικὸς καὶ ὀξύς, καὶ ὁ ἔμπειρος, καὶ ὁ ἐπιστήμων. ὁ δὲ λόγος, ἐδὲ ὁ πάνυ γνώριμος καὶ συνήθης τῷ Σαρπηδόνι ἠδύνατο γνωρίσαι αὐτὸν διὰ τὸ αἵματι καὶ κόνει πεφύρθαι. BD.

Ἀρίσταρχος κατὰ δοτικήν, Σαρπηδόνι δίῳ. A.

αἱ μὲν κοιναὶ κατ' αἰτιατικὴν Σαρπηδόνα, αἷς ἀκόλου-

θόν ἐστι τὸ συνάπτειν Σαρπηδόνα δῖον ἔγνω, ἵν' ὁ φράδμων τὸν συνετὸν καὶ λελογισμένον δηλοῖ. ἐὰν δὲ ὡς Ἀρίσαρχος γράφει, Σαρπηδόνι δίῳ κατὰ δοτικήν, βραχὺ διασαλτέον ἐπὶ τὸ δίῳ· τὸ γὰρ λεγόμενον, ἐδὲ ὁ — πεφύρθαι. A.

641. ὡς ὅτε μυῖαι: πρὸς τὸ πλῆθος καὶ τὸ πρόθυμον ἡ παραβολή. BL.

642. σαθμῷ: τῇ τῶν βοσκημάτων σάσει καὶ ἐπαύλει. D.

περιγλαγέας: περισσῶς γεγλακτωμένας, ὅ ἐστι πληθούσας γάλακτος, ἢ περιβεβρεγμένας. πέλλη δὲ ξύλινον ἄγγος, ἀπὸ τῶ πεπελεκῆσθαι. BL.

647. ἀμφὶ φόνῳ Πατρόκλε μερμηρίζων: τί δήποτε τιμήσειν ὑποχόμενος Ἀχιλλέα μεῖζον αὐτὸν ἔβλαψε; καὶ γάρ φησιν „ἀλλὰ τί μοι τῶν ἦδος" (Il. 18, 80). ἢ μὴ δεόντως χρησάμενος τῇ παρὰ Διὸς δωρεᾷ ἀτυχεῖ· ἐ γὰρ ἀποχρῆν ἡγήσατο, εἰ μὴ τὸ πᾶν ἀπόλοιτο τῶν Ἀχαιῶν, καὶ τὰς λιτὰς ἐ προσήκατο. BLV.

648. ἦ: ἀντὶ τῶ εἴ. V.

ἐκ πλήρες καὶ κεῖνον αἱ Ἀριστάρχ. A.

651. ἦ: τοῦτον τὸν ἢ περισπαστέον. V.

τὸ ὀφέλλειεν ἐκ ἐνεστῶτός ἐστιν ἀλλ' ἀορίστε πρώτε, ὡς δῆλον ἐκ τῆς ἀναλογίας. L.

653. Θεράπων Πηληϊάδεω: πολλὴ ἡ εἰς Ἀχιλλέα τιμή, ὅπε καὶ τῶ υἱῶ φονέα ὄντα τὸν Πάτροκλον τιμᾷ διὰ τὴν Ἀχιλλέως τιμήν. BL.

656. ἐνῆκεν: γράφε ἐνῶρσεν. L.

657. φύγαδ': ὁ Ἀσκαλωνίτης τὸ φύγα ἀπὸ τῆς εὐθείας κλίνει τῆς φύξ, ὡς Στύξ Στύγα. μεταπλασμός· ὡς τὸ ἰωκήν ἰῶκα, ἕτω καὶ φυγήν φύγα. L.

ἔτραπε: προσυπακουστέον ἵππος. V.

κέκλετο τῷ ἔργῳ, οὐ τῇ φωνῇ, ὡς τὸ „Ἀργείων προκαλίζετο πάντας ἀρίστους" (Il. 3, 19). ἀγαθῶ δὲ στρατηγῶ τὸ μὴ ἄλλῳ ἢ θεῷ εἴκειν. L.

660. βεβλαμμένον ἦτορ: τετέξι νεκρόν. γράφεται δεδαϊγμένον ἦτορ. A.

663. ἔντε' ἕλοντο: εἰ γὰ ἀσκύλευτον αὐτὸν ἔκλεψεν Ἀπόλλων, οὐδ' ἂν ἐτόλμησαν Ἀχαιοὶ πρὸς τὸ τεῖχος ἐλθεῖν. BL.

666. Ἀπόλλωνα: ὡς κατὰ τὸ σιωπώμενον εἰς τὴν Ἴδην ἀφικομένε τῶ Ἀπόλλωνος. μικρᾷ δὲ παρεκβάσει τὸν ἀκροατὴν ἀναπαύει καμόντα. BL.

ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος καὶ ἐνταῦθα διεσκεύακε γράφων „καὶ τότ' ἄρ' ἐξ Ἴδης προσέφη Ζεὺς ὃν φίλον υἱόν," ἵν' ἐκ τῆς Ἴδης προσφωνῇ τὸν ἐν τῷ πεδίῳ Ἀπόλλωνα. γελοῖον δὲ τὸ κραυγάζειν ἀπὸ τῆς Ἴδης τὸν Δία. ἐ νενόηκεν ἓν ὅτι τὰ τοιαῦτα κατὰ τὸ σιωπώμενον ἐνεργέμενα δεῖ παραδέχεσθ, καθάπερ καὶ ἐν τοῖς ἐπάνω περὶ τῆς Ἥρας. A.

667. κάθηρον: ἠθέτει Ζηνόδοτος· ἄτοπον γάρ φησι τὸν ἀπενθῆ τοιαῦτα διακονεῖν. ἀλλὰ τοῦτο προσάσσεθ ὡς τιμώμενος ἐν Λυκίᾳ. V.

668. οὕτως Ἀρίσαρχος, Σαρπηδόνι, κατὰ δοτικήν· Σαρπηδόνι κάθηρον τὸ αἷμα. μή ποτε δὲ Ζηνόδοτος ὀρθῶς ἠθέτηκε τέτες· παράλογον γὰ τὸν ἀπενθῆ τοιαῦτα διακονεῖσθαι. A.

ἀντὶ τῶ Σαρπηδόνος. δύναθ δὲ ἀντὶ τῶ καθαρθῆναι ποίησον, ὡς „ἀλλ' ὅτε δή μιν ἐγὼν ἐλόευν" (Od. 4, 252). ὑπακόει δὲ ὁ θάνατος· Ἀπόλλωνι γὰ ἀνάκειν οἱ αἰφνίδιοι τῶν θανάτων. V.

669. τινὲς τὴν ἀπό ἀναγράφουσιν, ἵνα σημαίνῃ τὸ ἄπωθεν, ὥσπερ καὶ ὁ Ἀσκαλωνίτης. εἰσὶ μέντοι οἳ παρολκὴν ἐδέξαντο τῆς πρό, καὶ ἐφύλαξαν τῆς ἀπό τὴν προσῳδίαν, ἵνα ᾖ τὸ ἐξῆς ἀποφέρων. ἔτως δὲ καὶ Φιλόξενος ἠξίε, ἐπεὶ πολλὴ ἐστι παρέλκεσα ἡ πρό· „νώτε ἀπὸ πρὸ ταμιών" (Od. 8, 475)· „ἡ δὲ διὰ πρὸ Πηλιὰς ἤϊξε" (Il. 20, 276)· „περὶ πρὸ γὰ ἔγχει θῦεν" (699). ἔτως δὲ καὶ ἐγὼ συγκατατίθεμαι. A.

ἀπό ἄποθεν, πρὸ δὲ ἔμπροσθεν. BL.

670. εἵματα ἕσσον: τρόπος ἐτυμολογικός· ἐκ τοῦ ἕσασθαι γὰρ τὸ εἷμα. L.

672. διδυμάοσιν: τελευτώντων γὰ ἐκλείπει παντελῶς ἡ ψυχή, καθευδόντων δὲ συγέλλεθ ἡ δύναμις τῆς ψυχῆς. L.

673. γράφεται Θήσουσιν Λυκίης. A. ἠρῷον φαίνεθ Σαρπηδόνος ἐν Λυκίᾳ. τινὲς δὲ Γλαῦκον κατελθόντα θάψαι αὐτόν. V.

674. κασίγνητοι ἁπλοϊκῶς νῦν πάντες οἱ συγγενεῖς· ἐδεὶς γὰ ἐξόρησεν αὐτῶ ἀδελφός. ABL.

676. οὐδ' ἄρα: ἐδὲν φθέγγεται ἐπείγοντος τῶ καιροῦ. BLV.

677. ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος καὶ τῶτον περιῄρηκε, τηρῶν τὸ σύμφωνον ἑαυτῷ. A.

684. Πάτροκλος δ' ἵπποισι: ὑποσρέφει ὁ Πάτροκλος διὰ τὸ μὴ προτροπάδην τὰς Τρῶας φεύγειν ἀλλ' ἔτι ἀνθίσαθ. οἱ δέ, ἐπεὶ „νεώτεροι ἀφραδέεσσιν" (Od. 7, 294). ὁ δὲ ποιητὴς „ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος" (688). ὁ μὲν γὰ Ἀχιλλεὺς συνεβάλευσε τὰ ἄριστα, κρατεῖ δὲ ἡ τῶ Διὸς γνώμη, βελομένε αὐτὸν ἀνελεῖν ὑπὲρ ἐκδικίας Σαρπηδόνος. BL.

ἁπλοϊκὸν τὸ ἵπποις κελεῦσαι· ὡς λογικοῖς σὺν τῷ Αὐτομέδοντι, εἰ μὴ ἄρα κατὰ μῦθον διὰ τὸ θεῖον γένος τῶν ἵππων, ὧν ὁ ἕτερος καὶ φωνὴν ἀνθρωπίνην ἐν τοῖς ἑξῆς (Il. 19, 404) ἀφίησιν. L.

686. τὸ νήπιος καθ' ἑαυτό· ἔτως γὰ μᾶλλον ἐμφαίνει τὸν ἐπιχετλιάζοντα. ἁμαρτάνεσι δὲ οἱ συνάπτοντες. A.

687. ἦ τ' ἂν ὑπέκφυγε: δόγμα Ὁμηρικὸν τὸ δύο τὰς μοίρας εἶναι, ὡς καὶ ἐπ' Ἀχιλλέως „διχθαδίας μοίρας φησὶ φερέμεν" (Il. 9, 411). V.

688. ἡ διπλῆ, ὅτι τινὲς χωρὶς τῶ ν̄ γράφεσι κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς σὺν τῷ ν̄ λέγεθ. καὶ τὸ κρεῖσσον ἐπὶ τῶ κατὰ δύναμιν τίθησιν ὁ ποιητής. A.

ἰδίᾳ εἶπεν· ἔδει γὰ κρεῖσσον ἀνδρῶν. V.

688. ἀνδρός: γράφεται ἀνδρῶν. A.

693. *Πατρόκλειος*: ἤδιται αἱ ἀποστροφαὶ τῷ ποιητικῷ εἴδει· ἄλλως τε καὶ ἀεὶ προσπάχει ὁ ποιητὴς ἠθικῶς τῷ Πατρόκλῳ. BV.

694. *Ἀντίνοον καὶ Ὀπίτην*: γράφεται καὶ Αὐτόνοον καὶ Ἔχεκλον. L.

697. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει τὰς ἕλες. ἀγνοεῖ δὲ ὅτι ἀπέστρεφε τὸν λόγον ἐκ τῆς πρὸς αὐτὸν ἐπὶ τὸν περὶ αὐτῆς, καὶ πολλάκις ἀποστροφὰς ποιεῖται. A.

φύγαδε: τοῦτο ἐκ ἰσοδυναμεῖ τῷ εἰς φυγήν, ὡς τὸ „ὁ μὲν φύγαδ' αὖθις ὑποστρέψας" (Il. 11, 446)· ἀντὶ γὰρ αἰτιατικῆς, ἐ μετὰ τῆς εἰς. διὸ καί τινες ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου ἐξίν, ἤτοι κατὰ μεταπλασμὸν γενομένης τῆς αἰτιατικῆς ποιητικῶς, ὡς σκέπην σκέπα, φυγήν φύγα, ἢ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ἀπ' εὐθείας τῆς φύξ, ὡς Στύξ Στύγα, τῶ δὲ ἐνθάδε παρέλκοντος. ἢ ἐπιρρήμα ἐστὶ ταὐτὸ σημαῖνον τῇ αἰτιατικῇ, ὡς καὶ ἄλλα παραγωγὰ ἐπιρρήματα ἰσοδυναμοῦντα τοῖς πρωτοτύποις· „Ἰδηθεν μεδέων" (Il. 3, 276) „δόρυ δ' ἔκβαλεν ἔκτοσε χειρός" (Od. 14, 277). ἀλλ' ἔν γε ὡς ἂν ἔχῃ, ἐκ ἐναντιῶται τὸ τῶ τόνῳ· ἤτοι γὰ δύο τόνοι ἔσονται φύγαδέ, ὡς Οὐλυμπόνδε, ἢ εἷς, ὡς ἀγρόνδε. τὸ γᾶν „ἄλαδ' ἑλκομενάων" (Il. 14, 100) δύναται καὶ δύο μέρη λόγου εἶναι, ὡς οἰκόνδε, ἐντελοῦς ἕσης τῆς αἰτιατικῆς, ἢ πάλιν κατὰ παραγωγήν, ὡς ἀγράδε, ἄλαδε. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῷ ιθ' τῆς καθόλου. A.

699. *περὶ πρὸ γ' ἔγχει θῦεν*: ὑπὲρ γε τοὺς ἄλλους ἴσχυε καθ' ὑπερβολὴν καὶ ἐνθουσιωδῶς ὥρμα, ὃ ἐστιν ἐμμανῶς ἐμάχετο σὺν τῷ δόρατι. D.

702. *ἀγκῶνος*: ἐξοχῆς. καὶ ὁ Ἕκτωρ „πύργῳ ἐπὶ πρὲξοντι" (Il. 22, 97). ὕψος δὲ ἔχει ὁ ἀγκὼν ὑπὲρ μῆκος ἀνδρός, ὡς ἐγγὺς εἶναι τῆς ἐπιθέσεως τῆς ἐπάλξεως. BL.

ἡ διπλῆ, ὅτι ἀγκῶνος τῆς γωνίας λέγει. A.

τὶς γυνὴ Ὀμφάλη ἐβασίλευσε τῶν Λυδῶν. ἐπεὶ δὲ συνέβη ἐκείνῃ καθυβρισθῆναι παρ' ἀνδρός, ἐποίησε τόπον καλέμενον ἀγκῶνα καὶ ἐκεῖ κόρας μετὰ νέων ἀφῆκεν ἢ δεσποίνας τοῖς δούλοις. ἔκτοτε οἱ ἐκείνων ἄνδρες τὸ πικρὸν τῆς πράξεως εἶπον τὸ γλυκὺς ἀγκών. δηλοῖ δὲ ὁ ἀγκὼν γωνίαν ἢ ἐξοχὴν γωνιώδη, ὅπερ δοκεῖ κερτομηθῆναι παρὰ τὸ ἀγκὰς ἔμαρπε Ζεὺς τὴν Ἥραν. ἕτερος δὲ λόγος τοιοῦτος. Λυδοὶ πόρρω προάγοντες ὕβρεως τὰς γυναῖκας εἰς τόπον συνάγοντες ἀγκῶνα καλούμενον ὕβριζον εἰς αὐτάς. ὅθεν ἀγνέων ἀγκών. ἱστορεῖ δὲ ὁ ἕτερος Ξάνθος τὸν Σάμιον Πολυκράτην ἄδικον ἐφ' ὁμοίοις. ὁμοίως γ' τῷ γλυκεῖ ἀγκῶνι τὴν λαῦραν ξενὴν περιωπὴν κατεσκεύασεν. L.

704. *χείρεσσ' ἀθανάτῃσι*: ἄμφω ταῖς χερσὶν ἀποθέμενος τὴν ἀσπίδα. ἐμφαντικὸς δὲ ὁ λόγος. BL.

βέλτιον τοῖς ἑξῆς τοῦτο συνάπτειν. A.

705. *ἀλλ' ὅτε δή*: ἤδει μὲν ἀκέσας ὅτι „μάλα τός γε φιλεῖ ἑκάεργος Ἀπόλλων" (94), ἀπόνηρος δὲ ὢν ἐπελάθετο τῆ λόγου, ἢ καὶ φιλοδοξῶν· διὸ κινδυνεύει ἀναιρεθῆναι. BL.

706. *ἔπεα πτερόεντα προσηύδα*: γράφεται προσέφη ἑκάεργος Ἀπόλλων. A.

707. *ἤ νύ τοι*: Ἀρίσαρχος ἦ νύ πω. A.

709. *ἐδ' ὑπ' Ἀχιλλῆος*: ἐπικεκαλυμμένως ἐνδείκνυται ὡς ἐκ Ἀχιλλεὺς πορθεῖ τὴν Ἴλιον· προετελεύτησε γὰ χάριν Πολυξένης. BL.

710. η διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει τυτθόν. ὁ δὲ αὐτὸς σίχος καὶ ἐπὶ τῶ Διομήδους κεῖται (Il. 5, 443). καὶ εὐλόγως ἐκεῖ μὲν γράφεται τυτθόν· συμπάρεστι γὰ ἡ Ἀθηνᾶ προτρεπομένη θεομαχεῖν· ἐνθάδε δὲ πολλόν· προεντέταλται γὰ ὁ Ἀχιλλεὺς „μάλα τόν γε φιλεῖ ἑκάεργος Ἀπόλλων". A.

καὶ δέδιε πρᾶος ὢν καὶ ὑπ' ἐδενὸς θεῶ βοηθέμενος. V.

714. *ὁμοκλήσειεν*: μετὰ ἀπειλῆς κελεύσει. A.

716. *ἔτως εἰσάμενος*· ἐπιφέρει γᾶν „τῷ μιν ἐεισάμενος" (720). A.

717. *μήτρως*: μητρὸς ἀδελφός. οἱ δὲ νεώτεροι τὸν πρὸς μητρὸς πάππον μήτρωα καλῶσιν. εἰκότως δὲ τούτῳ εἴκασαι, ἵνα διὰ τὴν συγγένειαν δέξηται τὴν παραίνεσιν. BL.

718. *Δύμαντος*: Δύμαντος καὶ Εὐνόης νύμφης, ὡς Φερεκύδης. Ἀθηνίων δὲ Κισσέως καὶ Τηλεκλείας. εἰ μὴ ἄρα ὁμομήτριος αὐτῇ ὁ Ἄσιος. νεωστὶ δὲ πάρεσιν ὁ Ἄσιος· διὸ ἐδὲ ἐν τῷ καταλόγῳ αὐτῶ μέμνηται. ὁ δὲ ἕτερος Ἄσιος Ὑρτάκε ἐστίν, Ἄσιος Ὑρτακίδης (Il. 2, 838). V.

ἡ διπλῆ, ὅτι Ὅμηρος τὴν Ἑκάβην Δύμαντος, ὁ δὲ Εὐριπίδης Κισσέως. A.

719. ἡ διπλῆ, ὅτι Ὅμηρος ἑτέραν τὴν Φρυγίαν τῆς Τροίας οἶδεν. A.

721. *Ἕκτορ τίπτε*: καὶ τοῦτο προτροπῆς ἐστὶν εἶδος, τὸ μαρτυρεῖν μὲν ἀρετήν, ἐλέγχειν δὲ ὡς ἀνάξια πράττοντα. BL.

725. διασολὴ μέν ἐστι βραχεῖα ἐπὶ τὸ ἕλῃς· κοινὸς γὰ ὁ αἴκεν σύνδεσμος καὶ ἐπὶ τῆ ἕξῃς, ἐάν πως αὐτὸν ἕλῃς καὶ σοὶ δῶ τὴν νίκην ὁ Ἀπόλλων. δύναται δὲ σίζεσθαι ἐπὶ τὸ ἕλῃς, καὶ ἔχει ἦθος. A.

732. *ἔφεπε*: ἐν ἄλλῳ ἔπεχε. A.

734. *σκαιῇ*: γραφικῶς τοῦτο. V.

735. *τόν οἱ*: χειροπλήθη. V;

736. *ἄζετο*: ηὐλαβήθη, ἀντὶ τοῦ ἐδὲ ὅλως ηὐλαβήθη αὐτόν. A. ἄζετο καὶ ἀπέχετο. V.

739. *μετώπιον τὸ μεσόφρυον, τὸν μεταξὺ τῶν ὠπῶν τόπον*. BL. ὥσπερ ἴχνος ἴχνιον καὶ ὅρκος ὅρκιον, παραγώγως. L.

740. *σύνελεν*: συνέχεε καὶ εἰς ἓν συνήγαγεν. BL.

741. *χαμαὶ πέσον*: δῆλον ὅτι ἐκθλιβέντες ὑπὸ τῶν συντριβέντων ὀχῶν. BL.

742. *αὐτῆ πρόσθε ποδῶν*: ἔμπροσθεν τῶν Πατρόκλε ποδῶν ἑξακοντισθέντες. ἢ ὅπε ἔμελλε κυβιστῶν ὁ νεκρὸς ἕξειν τὲς πόδας. BL.

ἀρνευτῆρι: κυβιστητῆρι, ἀπὸ μεταφορᾶς τῶν ἀρνῶν· ἤτοι γὰ ἐν τῷ τρέχειν τὴν κεφαλὴν ἐπισείουσιν. D.

744. διὰ τῆ κερτομέων τὸ τῶν ῥηθησομένων λόγων ἦθος καὶ τὸ εἶδος ἀπογυμνῶται. B.

745. *ἦ μάλ' ἐλαφρός*: σαρκάζων. V.

747. *τήθεα διφῶν*: οὐχ ὅμοια ταῦτα τῇ ἄλλῃ περὶ

τὰς ἥρωας διαίτῃ· ἀδὲ γ᾽ ἀδὲ τὰς ἁβροδιαίτας Φαίακας ἢ μνηςῆρας τοῖς τοιούτοις χρωμένας εἰσήγαγεν. ἤτοι ἓν ὅπερ αὐτὸς ἀλλαχόθεν ἡπίςατο τοῖς ἥρωσι περιέθηκεν. οὐχ ὡς ἀεὶ χρωμένων τοῖς ὀρείοις πρὸς τροφὴν τῶν ἡρώων, πρὸς ἀνάγκην δὲ ἐν πλῷ. τᾶτο γάρ φησιν ὁ Πάτροκλος· ἐπιφέρει γᾶν „νηὸς ἀτοθρώσκων.“ ἀδὲ γ᾽ ἰχθύσι χρωμένας εἰσήγαγεν ἢ ὄρνισιν· ἀλλ᾽ ὅμως δι᾽ ἀνάγκην καὶ τοῖς τοιούτοις ἐπιχειρᾶσιν οἱ Ὀδυσσέως ἑταῖροι (Od. 4, 368?). καθόλου γ᾽ τὴν τοιαύτην χρῆσιν διὰ τὸ μικροπρεπὲς παρῃτήσατο, κρέασι δὲ ὀπτοῖς χρῆσθ αὐτές φησιν, ἵνα καὶ ἐπ᾽ Ἀχιλλέως εἰπεῖν δυνηθῇ „τῷ δ᾽ ἔχεν Αὐτομέδων, τάμνε δ᾽ ἄρα δῖος Ἀχιλλεύς“ (Il. 9, 209). ὧρα δὲ οἷον ἦν ἰχθὺν καθαίρειν τὸν τῆς Θέτιδος ἢ τὸν ζωμὸν ἕψειν. τήθεα δὲ εἶδος ὀςρέων. ὠνόμαςαι δὲ ὅτι ἀπόθετά ἐςι καὶ ἐκ ἐπινήχεται· προσπέπλαςαι γ᾽ ταῖς πέτραις. BLV.

εἶδος ὀςρέων· οἱ δὲ ἁπλῶς ὄςρεα. D.

ἡ διπλῆ, ὅτι ἅπαξ εἴρηκε τήθεα. ἔςι δὲ εἶδος τῶν θαλασσίων ὀςρέων. πρὸς τὰς χωρίζοντας· φασὶ γ᾽ ὅτι ὁ τῆς Ἰλιάδος ποιητὴς ἀ παρεισάγει τὰς ἥρωας χρωμένας ἰχθύσιν, ὁ δὲ τῆς Ὀδυσσείας. φανερὸν δὲ ὅτι εἰ καὶ μὴ παράγει χρωμένας, ἴσασιν, ἐκ τᾶ τὸν Πάτροκλον ὀνομάζειν τήθεα. νοητέον δὲ τὸν ποιητὴν διὰ τὸ μικροπρεπὲς παρῃτῆσθ. καὶ μὴν ἀδὲ λαχάνοις παρεισάγει χρωμένας· ἀλλ᾽ ὅμως φησὶ „δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες“ (Od. 17, 299). A.

διφῶν: ψηλαφῶν. V.

748. δυσπέμφελος: δυσχείμερος, ὁ πόντος δηλονότι ὁ μὴ εὐχερῶς πέμπων τὰς ναῦς. κολυμβητὴν δὲ ἄκρον δείκνυσι, τᾶ θηρᾶν ἐκ ἀφισάμενον ἀδὲ χαλεπαινόσης τῆς θαλάσσης. BL.

ἢ ἀπλήρωτος. καὶ Ἡσίοδος „ναυτιλίης δυσπεμφέλου“ (O. 616)· κέρδος γ᾽ ἀ πίμπλαται. V.

Ζηνόδοτος δυσπέμφελοι εἶεν γράφει, δηλονότι οἱ ξένοι, οἱονεὶ δυσάρεςοι. L.

ἡ διπλῆ περιεχομένη, ὅτι Ζηνόδοτος γράφει εἰ καὶ δυσπέμφελοι εἶεν, ὥςε ἐπὶ τῶν ἀνδρῶν εἶναι, οἷον εἰ καὶ δυσάρεςοι εἶεν οἱ συνεθίοντες, ὡς καὶ Ἡσίοδος „πολυξείνη δαιτὸς δυσπέμφελος εἶναι“ (O. 720). βέλτιον δὲ ἐπὶ τῆς θαλάσσης, εἰ καὶ δυσχείμερος εἴη καὶ τραχεῖα· τὴν γ᾽ τᾶ κολυμβητᾶ ἐντρέχειαν ἀντιπαρατίθησι τῷ ἀπὸ τᾶ δίφρου κεκυβιςηκότι. καὶ Ἡσίοδος δὲ ἐπὶ τῆς θαλάσσης τέταχε „καὶ τοῖς οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται“ (Th. 440). AV.

752. οἶμα: ἐκ τᾶ οἴμημα συγκοπὴν ἔχει, ὡς κῦμα ἐκ τᾶ κύτμα ἢ κύκημα. L.

δαιμονίως τῇ εἰκόνι χρῆται· μέλλοντα γ᾽ αὐτὸν τελευτᾶν λέοντι εἰκάζει ὑπ᾽ ἀλκῆς καὶ πρυθυμίας ἐνηρημένῳ· διὸ καὶ πρόσκειται τὸ ἐή τέ μιν ὤλεσεν ἀλκή. καὶ τὸ ἀντιπρόσωπον δὲ ὄντα κατὰ τὸ εᾖθος πληγῆναι τῆς ἀρετῆς καὶ τᾶ θράσεος σημεῖον. BL.

κεραΐζων: ἀπὸ τῶν κερατηφόρων ζώων. V.

756. λέοντ᾽ ὣς: ἡ εἰκὼν ἐμφερεςάτη ἐπί τε τῶν μαχομένων καὶ περὶ ἃ ἡ μάχη· πεφονευμένῳ γ᾽ ζῴῳ ὁ πεφονευμένος Κεβριόνης εἴκασαι. L.

καὶ ἐπ᾽ ἐκείνης τῆς παραβολῆς ἐσημειωσάμεθα „ὥςε δέ᾽ αἶγα λέοντε“ (Il. 13, 198) ὅτι λέοντες ἀ διαμάχονται πρὸς ἀλλήλους περὶ ζῴων. λύει δὲ διὰ τᾶ πεινάοντε. V.

762. Ἕκτωρ μὲν κεφαλῆφιν: ἐναργέςατα ἔδειξε τὴν ὁλκὴν τᾶ σώματος, προθεὶς καὶ τὰ μέρη ὧν ἐχόμενοι ἕτοι ἀνθείλκον. BL.

765. ὡς δ᾽ εὖρός τε νότος τ᾽: ἡ παραβολὴ πρὸς τὸ συρράςσειν καὶ συμπλέκεσθ ἀλλήλοις. ἔςιν ἓν ἰδεῖν διᾶ τῶν ἐπῶν δύο ἀνέμων μάχην, ἑκατέρα κρατεῖν βιαζομένα. ὅμοιον δέ ἐςι τὸ „Βορέης καὶ Ζέφυρος“ (Il. 9, 5). ABLV.

766. εὖ τὸ βαθεῖαν εἰπεῖν τὴν ὕλην· σφοδρὸς γ᾽ ἕτως ὁ ἄνεμος ἐμπίπτει διέξοδον ἐκ ἔχων. BLV.

767. ταναύφλοιον: ἀπὸ τᾶ τετανόν ταναὸν καὶ ἰμαντῶδες. πρὸς ἀντιδιαςολὴν δὲ εἰρηται τῆς φηγᾶ καὶ τῆς μελίας, ὧν ὁ φλοιὸς ἀ ταναός. L.

768. τὸ ταννήκεας ὡς εὐμήκεας. ἕτως ἀνεγνώσθη. εἴπομεν δὲ ἐν ἑτέροις καὶ τὴν ἀφορμήν. A.

ἡ διπλῆ, ὅτι ἐκ ἐντέτακται ἡ ἀκή, καθάπερ ἐπὶ τᾶ ξίφεος „ταννήκες ἄορ,“ ἀλλὰ κατὰ παραγωγήν, ταννήκεας ὄζους οἷον ταναούς, ὡς κελαινεφὲς αἷμα. A.

769. ἀγνυμενάων: ἢ ἐπὶ παρατελεύτᾳ μακρότης παρίςησι τὸν ὑπὸ τῆς συμπτώσεως τῶν κλάδων ἐπεκτεινόμενον ἦχον. V.

770. τὸ συνεκτικὸν τῆς παραβολῆς τὸ ἐπ᾽ ἀλλήλοισι θοροῦντες ἐςίν. BL.

772. ἀμφὶ περί, ἐκ ἐν αὐτῷ. L.

774. βραχὺ διαςαλτέον ἐπὶ τὸ μεγάλ᾽. A.

Ἀρίςαρχος διὰ τᾶ ᾱ ἀςυφέλιξεν. A.

775. ὁ δὲ τροφάλιγγι: καὶ ἡδέως ἐπεφώνησε καὶ περιεπαθῶς. εἰς δὲ τὸ τροφάλιγγι λείπει ἡ ἐν. BL.

Ἀρίςαρχος ὁ δ᾽ ἐν τροφάλιγγι, σὺν τῷ ν. A.

776. ἐπὶ τὸ μεγαλωςὶ βραχὺ διαςαλτέον. A.

ὁ ἀςερίσκος, ὅτι εἰς τὴν δευτέραν νέκυιαν (Od. 24, 40), μετάκειται, ἐκ ὑγιῶς. καὶ ὅτι Ἰακῶς λελασμένος ἀντὶ τᾶ λελησμένος, πρὸς τὸ „ἐν καρὸς αἴσῃ“ (Il. 9, 378), ὅτι ἀντὶ τᾶ ἐν κηρὸς μοίρᾳ. A.

779. βουλυτόνδε: ἐπὶ τὴν ἑσπέραν, καθ᾽ ὃν καιρὸν οἱ βόες ἀπολύονται τῶν ἔργων. AD.

780. ὑπὲρ αἶσαν: ὑπὲρ βίαν, ἢ πλέον ἢ κατὰ τὸ μέτρον, ὑπὲρ τὸ καθῆκον. BV.

784. τρὶς μὲν: τρίτον, φησίν, ὁρμήσας τρὶς ἐννέα ἀνεῖλεν, ὅπερ ἀπίθανον. ἢ τάχα τῇ ὁρμῇ καιρὸν παρεῖχεν. BL.

τρίτον ὁρμήσας ἐννέα ἐφόνευσεν, ὑπὲρ μέτρον γ᾽ τὸ φονεύειν κζ. V.

787. Πάτροκλε: ἡ ἀποςροφὴ σημαίνει τὸν συναχθόμενον. σοὶ γάρ, φησίν, ὦ Πάτροκλε, τῷ ἕτως ὑπ᾽ Ἀχιλλέως ἀγαπωμένῳ, τῷ τὸ πᾶν εἰς σωτηρίαν τῶν Ἑλλήνων πραγματευσαμένῳ, τῷ Νέςορος φιλοπόνως ἀναχομένῳ, τῷ φιλοςόργως Εὐρύπυλον ἰασαμένῳ, τῷ ὑπὲρ Ἑλλήνων δα-

κρίσαντι, τῷ τὸν σκληρῶς διακείμενον Ἀχιλλέα πείσαντι, τῷ κατὰ τῆς σεαυτῆ ψυχῆς τὴν ἔξοδον κατορθώσαντι, βίᾳ τέλος ὤφθη. ταῦτα πάντα ἔνεσιν ἐπαναφέροντας ἐπὶ τὴν ἀποστροφὴν τὸ ἐν αὐτῇ περιπαθὲς σκοπεῖν. BLV.

ἡ διπλῆ, ὅτι ἀπέστροφε τὸν λόγον ἐκ τῆ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτῆ. AB.

789. δεινὸς: δεινῶς ϗ ἐπιφανῶς. V.

792. καταπρηνεῖ: πλατεῖα ϗ διατεταμένη. B.

στρεφεδίνηθεν: περιενεχθέντα ἐστράφη. ἐκ δύο δὲ ὀνομάτων τὸ αὐτὸ δηλόντων τραχεῖαν συνθεὶς τὴν προσηγορίαν, τὴν βίαν τῆς πληγῆς παρίστησιν. BL.

793. κυνέην βάλε Φοῖβος Ἀπόλλων: ἐντεῦθεν ἔστιν ὁρᾶν τὴν προσπάθειαν τῆ ποιητῆ, ὅτι τὴν ἀρίστειαν τῆ Ἕκτορος τῷ Ἀπόλλωνι περιτίθησιν. A.

ἀφοπλίζει αὐτόν, ἴσον τῇ ὁπλίσει ἀπεργαζόμενος Ἕκτορα Ἀχιλλεῖ. ἅμα δὲ ϗ διαναπαύων τὸν ἀκροατὴν ὁπλοποιίαν παρεισάγει ϗ ἐπιτερπῆ κοσμοποιίαν. ἠθέλει δὲ μετὰ θάνατον σκυλευθῆναι Πάτροκλον· αἰσχρὸν γὰρ Ἕλλησιν ἦν. ἔλεον δὲ ϗ ἀνδρείαν Πατρόκλε φησὶν ὡς ἐκ ἄλλως κρατηθέντος ἢ ἐν τῇ γυμνώσει τῶν ὅπλων. BL. ἡ δὲ Ἀθηνᾶ ἀντὶ τούτε τὸν Ἕκτορα ἀπατᾷ, ὡς καὶ Εὐμήλε τὸν ἄξονα ἀντὶ τῆς μάζιγος Διομήδες. V.

795. ἔθειραι: αἱ τρίχες τῆ ἵππου αἱ ἐν τῇ κόρυθι. ὅρα δὲ ὅτι ἐπὶ ἵππε τὸ ἔθειραι. L.

797. ἱππόκομον: ἵππε κόμην ἔχουσαν. διὸ ϗ προπαροξύνεται. BL.

τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐνθάδε· ὅταν δὲ ἐπὶ τῆ κομῶντος τὸν ἵππον, τότε πρὸ τέλους ἡ ὀξεῖα. προείρηται δὲ περὶ τῶν τοιούτων, ϗ ὡς ἐν τῷ κυπαρισσόκομος ϗ ἐλόκομος προπαροξυνομένοις ἡ κόμη ἔγκειται. A.

ἐμπαθῶς τῷ θείῳ ὅπλῳ συνάχθεται. V.

798. τὸ χαρίεν δῆλον ὡς ἐπὶ ὀνόματος παροξύνεται. ϗ ἀπαιτεῖ τοῦτο ἡ ἀναλογία τῆ τιμῆεν φωνῆεν αἰγλῆεν. τὸ δὲ προπαροξύτονον χάριεν Ἀττικόν ἐστιν ἐπίρρημα παρενεχθὲν ἀντὶ τῆ χαριέντως. L.

800. χεδόθεν: ἐκ τῆ σύνεγγυς χρόνε· ἢ ὡς τὸ „χεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη". τὴν ἀγανάκτησιν δὲ τῶν ἀκουόντων ἴσασι, ἐκ ἐπὶ πολὺ φάσκων ἀπολαύειν τῶν ὅπλων Ἕκτορα. BL.

801. ἡ διπλῆ, ὅτι τὸ πᾶν ἀντὶ τῆ ὅλον. A.

ὅλον ἐκ μέσε, καθὸ κατεῖχεν αὐτό. BL. εἰ δὲ ἡ Πηλιὰς ἦν, ἐκ ἂν ἐκλίθη. V.

803. τερμιόεσσα: ποδήρης, ἢ ὅλον τὸν ἄνθρωπον σκέπουσα, μεγάλη. D.

804. λῦσε: ἐχ ὅτι ἥνωντο, ἀλλὰ ζωξῆρσι συνείχοντο οἱ θώρακες. V.

806. ςῆ δὲ ταφών: ἔζη δὲ παραπληγεὶς ϗ πρὸς τὸν θεὸν ὄπιθεν ὄντα ἀπεραμιμένος, ὃς αὐτὸν ἅμα νοήματι ἀπέδυσε. διὸ ϗ εἰς τὰ μετάφρενα τιτρώσκεται. BV. ἐπερραμμένος δὲ ὑφ' Ἕκτορος εἰς τὴν λαγόνα τιτρώσκεται. V.

807. ἡ διπλῆ περιεζωμένη, ὅτι Ζηνόδοτος γράφει χεδὸν ἔτασε Δάρδανος ἀνήρ. ἀγνοεῖ δὲ ὅτι ἐκ βολῆς τέτρωται, ὡς διὰ τῶν ἑξῆς δείκνυ „ὡς τοι πρῶτος ἐφῆκε βέλος" (812). A. δηλοῖ ἂν τῶν χεδίων, ὡς „τὸν δὲ χεδὸν ἄορι τύψας" (Il. 20, 462). Σέλευκος δέ φησιν ἀ δύναται χεδὸν βάλειν. V.

Δάρδανος: ϗ πῶς Πάνθοος μετὰ τῶν Ἰλιέων δημογερόντων καταλέγεται (Il. 3, 146); τινὲς ἂν μέτοικον αὐτὸν λέγουσιν εἶναι. V.

808. εἰκότως τὸ πρόσωπον συνίζησιν, ὡς ἂν μὴ δοκοίη ὑπὸ τῆ τυχόντος ἀναιρεῖσθαι. τὸ ἐγκώμιον ἐν τῇ Εὐφόρβε τῆς Πατρόκλε ἀρετῆς ἐστὶν αὔξησις. V.

810. ποτε: διὰ τῆ τ αἱ Ἀριστάρχε, τότε, ὡς τῶν τότε μελετώντων τὴν τοιαύτην ἄσκησιν ὥστε τὸν ἀντελαύνοντα ἀνατρέψαι ἀπὸ τῆ ὀχήματος. A.

ἡ διπλῆ, ὅτι σύνηθες ἦν τοῖς ἀρχαίοις ἁρματομαχεῖν, ἐσφαιρωμένοις δόραι χρωμένες, ϗ ἀνατρέπειν ἐκ τῶν ὀχημάτων. ὁ δὲ Διονύσιος ἐκ ἐπὶ μελέτης, ἀλλ' ὅτι ἀνεῖλε πρώτως εἰς πόλεμον παραγενόμενος. A.

811. τὸ σὺν ὄχεσφιν ἑκατέροις δύνα προσδίδοσθαι. διδασκόμενος δὲ πεῖραν λαμβάνων. πόλεμον δὲ τὸν ἐν Ἰλίῳ φησί· νέος γὰρ ἦν, ὡς ὁ ποιητὴς δηλοῖ (ὡς ϗ ἡ αὐτῆ παραβολὴ V). AV.

διδασκόμενος πολέμοιο: γίνεται ἡ τοιαύτη σύνταξις ἢ κατ' ἔλλειψιν προθέσεως, διδασκόμενος περὶ πολέμε, ἢ καθ' ὁμοιότητα τῆ εἰδώς, διδασκαλίαν ἔχων, ὡς ἐκεῖ εἰδήσιν ἔχων. L.

812. ὅτι βέβληται ϗ ἐκ ἔταμε, ὡς Ζηνόδοτος. βέλος γὰρ κέκληκε διὰ τὸ βεβλῆσθαι. ϗ πρὸς τὴν ἀποστροφήν. A.

814. ἐδ' ὑπέμεινε: φιλέλλην ὁ ποιητής, κατακωμῳδῶν τῶν βαρβάρων ϗ τὴν τῆ Πατρόκλε δύναμιν αὔξων. BL.

817. ἐχάζετο: ταῦτα τῆ ἀληθῆς ἔχει. εἰ γὰρ προσέθηκεν ὅτι ϗ γυμνὸς ἐπολέμει, ἐξέπιπτε τῆ πιθανῆ. BL.

δορὶ δαμασθείς: πῶς λέγει ἀνωτέρω „ἐδ' ἐδάμασσεν" (813), ἐνταῦθα δὲ δορὶ δαμασθείς; ἢ τάχα τὸ ἐδ' ἐδάμασσεν ἐκ ἔπληξε καιρίαν, ἐνταῦθα δὲ δαμασθείς ἀντὶ τῆ πληγείς μόνον ὥσπερ ἐν θεῖ πληγῇ ἔτω ϗ ἐν δόρατι. ἢ ἐδ' ἐδάμασσε κατὰ τὸν ποιητήν, ὅτι ἐκ εἶδεν ἔτε αἷμα ἔτε πληγήν, Πάτροκλος δὲ ἤθετο τῆς πληγῆς ἔνδοθεν. L.

819. ὅτι ὁμόλογον τῷ βεβλῆσθαι αὐτόν. A.

820. ἀγχίμολον: σύνεγγυς. καὶ „τόνδ' ἐξ ἀγχιμόλου ἰδών" (Il. 24, 352). χρονικῶς δὲ „ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δῶμ' Ὀδυσῆος" (Od. 17, 336). V.

822. δάπησεν: τῷ σώματι· ὅπλα γὰρ ἐκ εἶχε. δηλοῖ δὲ ὅτι ἀπέθανεν. BL. ὡς τὸ „δεδεπότος Οἰδιπόδαο" (Il. 23, 679) ἀντὶ τῆ ἀποθανόντος. V.

ἡ διπλῆ, ὅτι ἐκ τῶν τοιούτων ἀπεδέξαντο οἱ γλωσσογράφοι τὸ δεπῆσαι ἐν ἀνθ' ἑνὸς ἀντὶ τῆ ἀποθανεῖν. ἀγνοῆσι δὲ ὅτι ἐκ ἐπὶ παντὸς θανάτε τάσσει τὴν λέξιν, ἀλλ' ἐπὶ τῶν ἐν πολέμῳ πιπτόντων διὰ τὸν παρακολουθοῦντα ψόφον ἐκ τῶν ὅπλων. A.

ἤκαχε λαὸν Ἀχαιῶν: διὰ τὴν Πατρόκλε ἀρετήν,

διὰ τὸ Ἀχιλλέως ἐπ' αὐτῷ πένθος, διὰ τὴν προσδοκωμένην τροπήν, διὰ τὸ μηδεμίαν φθάσαι ἀποδοῦναι χάριν ὡς εὐεργέτῃ. BL.

823. ἀκάμαντα ἰχυρόν, ἰχυρότερον. μέχρι μὲν οὖν ἴσοι ἦσαν, λέουσιν αὐτοὺς εἴκαζε· νῦν δὲ ἐπεὶ ἐνδεέστεροι, ζῴοις καὶ ἀνίσοις. BLV.

825. πίδακος ἀμφ' ὀλίγης: ἐν μὲν γὰρ κρήνῃ ἀφθόνως ῥεούσῃ οὐκ εἰκὸς περὶ ὕδατος μάχεσθαι· ἐν δὲ τῇ βραχείᾳ πίδακι ὥσπερ ἆθλον πρόκειται τῷ νικῶντι τὸ ποτόν. BL.

ἐθέλουσι δὲ πιέμεν: τὸ δίψος παρέλαβεν εἰς αἰτίαν τῆς συμπλοκῆς, ἐπεὶ οὐδ' ἂν περὶ ταύτης ἔρις ἦν αὐτοῖς. BL.

826. ἀσθμαίνοντα: φύσει γὰρ τοιοῦτος ὁ σῦς· πολλῷ δὲ μᾶλλον διὰ τὴν μάχην ἀσθμαίνει. δηλοῖ δὲ τὸν ἀγωνιζόμενον. BL.

827. πέφνοντα: ὡς τέμνοντα· οὕτως καὶ Ἀρίσταρχος. ὁ δὲ Τυραννίων παροξύνει ὡς λαβόντα, δεύτερον ἀόριστον ἐκδεχόμενος. οὕτως δὲ καὶ τὴν εὐθεῖαν ὀξύνει („κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων" Il. 17, 539), τοῦ Ἀριστάρχου βαρύνοντος. καί μοι δοκεῖ ὁ Τυραννίων λόγῳ ὑγιεῖ χρῆσθαι. εἰ γὰρ πέφνω πέφνεις πέφνει οὐ λέγομεν, ὑποτακτικῶς δὲ πέφνω πέφνῃς πέφνῃ καὶ „πέφνε γὰρ Ὀθρυονῆα" (Il. 13, 363), καὶ ἔστι δεύτερος ἀόριστος ὡς ἔλαβε λάβω λάβῃς λάβῃ, δῆλον ὅτι ὀφείλομεν καὶ τὴν μετοχὴν ὀξύνειν. ὁ μέντοι Ἀρίσταρχος καὶ τῷ χαρακτῆρι τῆς φωνῆς ἐπείσθη, καὶ οὕτως ἐβάρυνεν. ἐπεὶ γὰρ αἱ εἰς νων λέγουσαι μετοχαί, ἔχουσαι πρὸ τοῦ ν σύμφωνον κατ' ἐπιπλοκήν, ἤτοι ἐβαρύνοντο ἢ περιεσπῶντο, οὐδέποτε δὲ ὠξύνοντο, ὥσπερ ἔχει ἡ τέμνων κάμνων πίτνων, ἐδοκίμαζε καὶ τὴν πέφνων βαρύνειν, οὐχὶ ὀξύνειν. εἰ δέ τις λέγοι διὰ τί γὰρ οὐ περισπᾷ, διδαχθήσεται ἐκ τῆς κλίσεως· οὐ γὰρ πεφνοῦντα ἐροῦμεν ἢ πεφνῶντα ὡς νοοῦντα. οὕτως δὲ καὶ ἡ ι μετοχὴ ἐβαρύνετο τῷ χαρακτῆρι καὶ τῇ ποιότητι τοῦ στοιχείου, οὐ τῇ κλίσει τῇ τοῦ ἐνεστῶτος, ὥσπερ ἀπεδείξαμεν. A.

828. ὅτι οὗτος μὲν οὔτασεν, ὁ δὲ Εὔφορβος βέβληκεν. A.

830. ἦ που ἔφησθα: οὐκ ἐᾷ ἐπ' ἄκρον φέρεσθαι τὰς ἐλπίδας. V.

833. Ἕκτορος ὠκέες ἵπποι: προπολεμοῦσιν οἱ Ἕκτορος ἵπποι, τουτέστιν αὐτὸς ὁ Ἕκτωρ ἐπ' αὐτῶν ὀχούμενος. D.

ὅρα τὸ ἔμπληκτον τοῦ βαρβάρου· τὴν γὰρ ἀλαζονείαν ἐξελέγχων αὐτὸς εἰς τὰ ὅμοια ἐμπίπτει, καὶ οὐ θείαν τὴν νίκην οἴεται ἀλλὰ τῆς αὑτοῦ δυνάμεως. BL.

834. ὀρωρέχαται: ὁρμῶνται, ἢ ἐκτέτανται, ὡς τὸ „τανύοντο δὲ μώνυχες ἵπποι" (375). BLV.

836. ἦμαρ ἀναγκαῖον: τὸ εἰς ἀνάγκην ἄγον, ὃ καὶ „δούλιον ἦμαρ" (Il. 6, 463). BLV.

839. μή μοι πρίν: κατὰ τὸ πιθανὸν μιμεῖται, τίνας εἰκὸς εἰρῆσθαι λόγους ὑπ' Ἀχιλλέως, ὅτε αὐτὸν ἐξέπεμπεν ἐξ ὑπολήψεως. BL.

842. οὕτως διὰ τοῦ ε, σε προσέφη. A.

845. Ζεύς: ἐπεὶ αὐτὸς συνεχώρησεν. ὃ δὲ ᾔδει ὁ ποιητής, τοῦτο τῷ ἡρωϊκῷ προσώπῳ περιέθηκε. τὸ δ' ἐδάμασσαν ἀντὶ τοῦ δαμασθῆναι ἐποίησαν. BL.

847. τοιοῦτοι δ' εἴπερ: ἀξιομίμητον τὸ ἦθος· οὐ γὰρ κατεπλάγη τὸν θάνατον, οὐ τὸ βάθος τῶν ἀλγηδόνων, οὐ τὴν ἐρημίαν τοῦ βοηθήσοντος, ἀλλ' ἔτι μεστός ἐστι φρυάγματος καὶ ἐρεθίζει μᾶλλον ἢ ἱκετεύει, ἀντιποιούμενος τῆς νίκης καὶ τελευτῶν. BL.

850. πῶς τέσσαρας καταριθμήσας, Μοῖραν Ἀπόλλωνα Εὔφορβον Ἕκτορα, ἐπιφέρει σὺ δέ με τρίτος ἐξεναρίζεις; ἔστι δὲ λέγειν ὅτι τὴν Μοῖραν οὐ κατηρίθμησεν ὡς κοινὴν πᾶσιν ἀνθρώποις ἐπικειμένην. ἔνιοι δὲ τὸ ἑξῆς οὕτως ἀποδιδόασιν· ἀλλά με Μοῖρα ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός, ἀνδρῶν δ' Εὔφορβος τρίτος· σὺ δέ με ἐξεναρίζεις. ἢ σὺ δέ με τρίτατος ἐξεναρίζεις, ἵν' ᾖ πολλοστός. AD.

πολλοστός, ὡς τὸ „ἀσπασίη τρίλλιστος" (Il. 8, 488). οἱ δὲ Μοῖραν καὶ Ἀπόλλωνα ἕν· ἄμφω γὰρ θεοί. οἱ δὲ κατὰ κοινοῦ τὴν Μοῖραν παρειλῆφθαι. τινὲς δὲ τὸ ἐξεναρίζειν ἐπὶ τῶν αὐτοχείρων, καὶ οὕτως Ἕκτωρ τρίτος. τινὲς δὲ καθ' ὑπερβατόν, ἵν' ᾖ τρίτος Εὔφορβος, σὺ δέ με ἐξεναρίζεις. αὔξει δὲ ἑαυτὸν ὡς ὑπὸ πολλῶν θεῶν καὶ ἀνθρώπων ἀναιρεθέντα, μειοῖ δὲ τὸν Ἕκτορα ὡς Εὐφόρβου δεύτερον. BL.

ἡ διπλῆ πρὸς τὸ ζητούμενον· τέσσαρας γὰρ προειπὼν ἐπιφέρει σὺ δέ με τρίτος. τὴν δὲ κοινὴν πᾶσι παρεπομένην Μοῖραν οὐκ ἀριθμεῖ, αὐτοὺς δὲ τοὺς ἐπενεγκόντας αὐτῷ χεῖρας. A.

852. βέῃ: βιώσῃ· „τί νυ βείομαι αἰνὰ παθοῦσα" (Il. 22, 431). V.

854. δαμέντ': ἐκ πλήρους τὸ δαμέντα Ἀρίσταρχος. A. ἐκ πλήρους γραπτέον τὸ δαμέντι. V.

πόθεν ὁ Πάτροκλος οἶδεν ὅτι Ἀχιλλεὺς κτενεῖ τὸν Ἕκτορα; δόγμα ἐστὶ τοῦτο τῷ ποιητῇ, ὅτι ὅταν ἀθροισθῇ ἡ ψυχὴ ἐξ ὅλου τοῦ σώματος πρὸς τὸ ἐκκριθῆναι, μαντικωτάτη γίνεται· θείας γάρ ἐστι μέρος φύσεως, καὶ θειοτέρα γίνεται χωρισθεῖσα τῆς ὕλης τοῦ σώματος καὶ πρὸς τὸ οἰκεῖον ἀναδραμοῦσα. BL.

δόγμα ἐστὶ τοῦτο τῷ ποιητῇ, ὥστε ἀπαλλασσομένας τὰς ψυχὰς ἔχειν τι μαντικόν. πλησίον γὰρ ἤδη τῆς θείας φύσεως γινομένη ἡ ψυχὴ προγινώσκει τι τῶν μελλόντων. V.

πόθεν ὁ Πάτροκλος οἶδεν ὅτι Ἀχιλλεὺς κτενεῖ τὸν Ἕκτορα, ὥσπερ Ἀχιλλεὺς ἀκούσας παρὰ Θέτιδος; ὅτι (ἢ ἐπεὶ V) κατ' Ἀρτέμωνα τὸν Μιλήσιον ἐν τῷ περὶ ὀνείρων, ὅταν ἀθροισθῇ ἡ ψυχὴ ἐξ ὅλου τοῦ σώματος πρὸς τὸ ἐκκριθῆναι, μαντικωτάτη γίνεται. καὶ Πλάτων ἐν ἀπολογίᾳ Σωκράτους (p. 135, 4) „καὶ γάρ εἰμι ἐνταῦθα ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι." AV.

856. ἡ διπλῆ, ὅτι πάντα τὰ μέλη ῥέθη Ὅμηρος προσαγορεύει. οἱ δὲ Αἰολεῖς μόνον τὸ πρόσωπον. A. οἱ δὲ τοῦ προσώπου· ὕστατα γὰρ τὸ πνεῦμα ἐντεῦθεν ἀναχωρεῖ. V.

δῆλον ἐντεῦθεν ὅτι πνεῦμα ποιόν ἐστιν ἡ ψυχή, κατὰ παντὸς οἰκοῦν τοῦ σώματος. BLV.

ἐκ τούτου δὲ Πλάτων ὁρμηθεὶς καὶ πτερὰ τῇ ψυχῇ προστίθησι· πταμένη γάρ. L.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ τούτου καὶ οἱ Στωϊκοὶ ὁρίζονται τὴν ψυχήν· ψυχή ἐστι πνεῦμα συμφυὲς καὶ ἀναθυμίασις αἰθητικὴ ἐκ τῶν τῷ σώματος ὑγρῶν ἀναδιδομένη. L.

857. ὃν πότμον γοόωσα: λυπεῖ ἡ ψυχή, μή ποτε ἀνάξια πράξασα ἑαυτῆς ἀναξίοις περιπέσῃ, καὶ ὅτι σῶμα ἐᾷ ἀκμάζον. ὁ δὲ Πυθαγόρας κακῶς φησὶν ὅτι ἡ ψυχὴ μετὰ τὸ ἐξελθεῖν εἰς φυτά τινα καὶ σώματα καὶ θάμνους μεταβάλλει, ὅθεν καὶ λελύπηται. πρὸς ἀρετὴν δὲ μᾶλλον ὁ ποιητὴς συγκαλεῖ, μή ποτε κακὰ διαπραξάμενοι τοῖς αὐτοῖς περιπέσωμεν. ἀνδροτῆτα δὲ ἀ τὴν ἀνδρείαν, ἀλλὰ τὴν ἀνθρωπότητα, τὴν ἀνδρὸς φύσιν· ἀνδρείαν γὰ ἀ καταλείπει, ἀρετὴν ὄσαν ἰδίαν. BL.

ἄλλως. ὁ Πυθαγόρας ἔλεγεν ὅτι ἡ ψυχὴ τελευτῶντος ἀνθρώπου καὶ τῶν ἄλλων ἁπάντων, ἀπαλλαγεῖσα τοῦ σώματος, ἐν ἐκείνῳ γίνεται ἐν ᾧ πλανωμένη ἐγκαταληφθῇ γενομένῳ ζῴῳ, ἢ καὶ ἐν φυτῷ. τοῦτο Ὅμηρος ἐν τῷ Ἕκτορος καὶ Πατρόκλου θανάτῳ πρόβαλεν· γενναίους γὰρ ἄνδρας παράγων ἀποθνήσκοντας, τὴν ψυχὴν φησιν ἀπαλλαττομένην θρηνεῖν τὴν μοῖραν αὐτῆς, ἀχθομένην ὅτι καταλείπει ἀκμάζον καὶ εὐσθενὲς σῶμα, καὶ δεδοικυῖαν μὴ ἐγκαταληφθῇ μοχθηρῷ τινὶ γεννωμένῳ, ᾧ λυπήσει συνοῦσα, ἢ ἐπί τινι ἄλλῳ. ἅμα δὲ διὰ τοῦτο καὶ πρὸς ἀρετὴν ἡμᾶς προτρέπει, δηλοῦν ὡς τὰ γενναῖα σώματα καὶ ἡ ψυχὴ καταλείπουσα θρηνεῖ. καλῶς δὲ τοῦτο ἔλεγεν ὁ Πυθαγόρας. B.

858. διὰ τοῦ ἢ τὸ τεθνηῶτα Ἀρίσαρχος. A.

860. τίς δ' οἶδ': τοῦτο διαπορητικόν. A.

ἄλλως. δεινοῦ ὁ λόγος· τὰ δὲ ὑπ' Ἀχιλλέως ἀνδρεῖα· „τέθναθι" γάρ φησι μὴ δισάζων· „κῆρα δ' ἐγὼ τότε δέξομαι" (Il. 22, 365). BL.

867. ἄμβροτοι: ἀ μετέχοντες θανάτου. V.

Πηλῆϊ θεοί: ἡ ἀναφορὰ ἐπὶ τὸν Ποσειδῶνα. φησὶ γὰρ „Ποσειδάων δὲ πόρε αὐτῷ πατρὶ ἐμῷ Πηλῆϊ, ὁ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν" (Il. 23, 277). φασὶ γὰρ ἐν τοῖς γάμοις ὑπὸ μὲν Ποσειδῶνος τοὺς ἵππους δοθῆναι, ὑπὸ δὲ Ἡφαίστου ὅπλα καὶ ξίφος. V.

τινὲς γράφουσιν „ἤματι τῷ ὅτ' ἔγημε Θέτιν λιπαροκρήδεμνον." καὶ γάρ φησι „τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν ἤματι τῷ ὅτε σε βροτῷ ἀνέρος ἔμβαλον εὐνῇ" (Il. 18, 84). V.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΕΙΣ ΤΗΝ Ρ.

1. ἀδ' ἔλαθ': καθ' ὑπερβατόν, ἐκ ἔλαθε δέ. A.

Μενέλαον: εὖ Πατρόκλου πεσόντος πρῶτος αἴθεται Μενέλαος· φησὶ γὰρ „ὃς κεῖνον ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς" (92). καὶ ὅτι ὁμότροποι· ἄμφω γὰρ ἤπιοι. ὁ δὲ Μενέλαος ἀ μόνον πρὸς τοὺς ἀρχομένους ἤπιος ἦν, ἀλλ' ἤδη καὶ πρὸς τοὺς πολεμίους, ὥστε Ἄδρηστον ζωγρήσας σώζειν ἐβέλετο. ἢ ὅτι καὶ περὶ πάντα σπουδαῖος ὁρᾶται, δεόντως τὸν Μενέλαον ἐν τῷ νῦν παρεισήγαγε καιρῷ βοηθοῦντα καὶ ἀγωνιζόμενον, μάλιστα μὲν διὰ τὸ τετρῶσθαι τοὺς ἀριστεῖς· ἔπειτα δὲ καὶ δίκαιον ἡγεῖτο τοὺς δι' αὐτὸν τελευτήσαντας μὴ καταλιπεῖν, ἀλλὰ βοηθεῖν παντὶ σθένει. AB.

ἢ ὅτι καὶ περὶ πάντας σπουδαῖος ὁρᾶται, ὃς αὐτόματος ἦκε πρὸς τὴν δαῖτα, καὶ Ὀδυσσέως καταπονουμένου ἄγων ἦκεν Αἴαντα, καὶ τῷ ἀδελφῷ προανέῃ, καὶ ἔμεινεν ἐν τῷ Σθενίῳ „ἐπειγόμενός περ ὁδοῖο ὄφρ' ἕταρον θάπτοι" (Od. 3, 284)· ἢ προθυμότερον σύμμαχον ἑαυτῷ ποιῶν Ἀχιλλέα. ἄλλως τε οἱ ἄλλοι τραυματίαι εἰσί, πλὴν Αἴαντος, ὃν (ᾧ LV) νῦν οὐκ ἔδει ὑπείκειν Ἕκτορι (Ἕκτορα LV). BLV.

ἡδέως σφόδρα τέτοις ἀνταπέδωκεν „ὣδ' ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησεν Πατρόκλοιο πεσόντος ἀμύμονος" (9). A.

2. Τρώεσσι: Ἕκτορι καὶ Εὐφόρβῳ· καὶ γὰρ καὶ τοὺς Δαρδανίδας Τρῶας φησιν. BL.

ἀντὶ τοῦ ὑπὸ Τρώων δαμασθείς. AD.

ἄλλως. ἀμφίβολον πότερον Τρώεσσι συνήθως κατὰ ἐναλλαγὴν πτώσεως παρείληπται, ἀντὶ τοῦ Τρώων, ὡς „Αἴαντι δὲ μάλιστα" (Il. 14, 459) ἀντὶ τοῦ Αἴαντος. καὶ ἔστι δαμεὶς ἐν Τρώων δηϊοτῆτι, ἐν τῇ τῶν Τρώων μάχῃ, ὡς τὸ „ἦν μὴ καὶ σὺ θάνῃς Ἀχιλῆϊ δαμασθείς" (Il. 22, 55), ἤτοι Τρώεσσι δαμασθείς ἀντὶ τοῦ ὑπὸ Τρώων· δαμεὶς δὲ δαμασθείς. ἢ αὐτὸ δὲ τοῦτο διχῶς, ἤτοι ἐπιπεσόντων πάντων τῶν Τρώων δαμείς, ἢ ὑφ' Ἕκτορος, ὥστε τὸ ἐνικὸν πληθυντικῶς ἐξενηνέχθαι· καὶ Τρῶας κατὰ τὸ πληθυντικὸν ἔφη τόν τε Ἕκτορα καὶ τὸν Εὔφορβον· ὑφὸ μὲν γὰρ ἐβλήθη, ὑφ' ἕτέρου δὲ ἐτάσθη. A.

3. κεκορυθμένος: ὅθεν καὶ κορυσής. ἀντιμετείληπται τὸ θ τοῦ σ. A.

4. τὸ σημεῖον πρὸς τὸ „ὃς Χρύσην ἀμφιβέβηκας" (Il. 1, 37). V.

περὶ πόρτακι μήτηρ: πόρταξ καὶ πόρτις τὰ νέα τῶν βοῶν ἔκγονα, διὰ τὸ σκιρτητικὰ εἶναι· τὸ δὲ αὐτὸ πόρτις καὶ πόρις. ὅρα δὲ καὶ τὰς ἔξωθεν αὐξήσεις· ἀ γὰρ ἔφη, ὡς τις περὶ πόρτακι βοῦς ἔσηκεν, ἀλλὰ μήτηρ, τὸ φιλοστοργότατον ὄνομα. A.

τὸν Αἴαντα λέοντι εἰκάζει διὰ τὸ καρτερὸν καὶ ἰσχυρόν, τὸν Ὀδυσσέα κυνὶ διὰ τὸ ταπεινότερον μέν, ὅμως δὲ θαρσαλέον· τὸν δὲ Μενέλαον συμπαθεῖ μὲν ζῴῳ, ἀ μὴν βιαίῳ· τοῦτο γὰρ τῷ ἤθει τοῦ ἀνδρὸς καὶ τῇ παρούσῃ τύχῃ οἰκεῖον. εἰ δὲ ἀντὶ τοῦ βοῦς τὸ μήτηρ ἔλαβε, τὸ φιλοστοργότατον τῆς φύσεως ὄνομα. τὸ δὲ πόρτακι ὑποκοριστικῶς. τριχῶς δὲ

τὸ ὄνομα παρ' αὐτῷ λέγεῖ· πόρταξ, ὡς νῦν· πόρις „ὡς δ' ὅταν ἄγραυλοι πόριες" (Od. 10, 410)· πόρτις, ὡς τὸ „πόρτιος ἠὲ βοός" (Il. 5, 162). BL.

5. πρωτοτόκος: πρὸς τὸ μὴ εἶναι ἀσθενῆ, ἀλλὰ καὶ φιλόστοργον. κινυρὴ δὲ οἰκτρόφωνος· πρόσκειται δὲ διὰ τὴν Μενελάου λύπην. ὑφ' ἓν δέ, ἵν' ᾖ ἐν τῷ τίκτειν θρηνοῦσα. BL.

κινυρὴ ἡ οἰκτρόφωνος· κινύρασθαι γὰρ τὸ θρηνεῖν. ὑφ' ἓν δὴ προενεκτέον πρωτοτόκος κινυρή, ἡ περὶ τὸν τόκον κινυρά. τὸ δὲ πρωτοτόκος, πρὸ τέλους ἡ ὀξεῖα· ἔχει γὰρ δρασικὸν καὶ μὴ ὑποπίπτον τοῖς τρόποις τοῖς προπαροξύνουσιν. τὸ δὲ προπαροξυνόμενον δηλοῖ τὴν πρώτως τεχθεῖσαν. A.

πρωτοτόκος ἡ πρῶτον γεννήσασα, πρωτότοκος δὲ ἡ πρώτως τεχθεῖσα. εἰδυῖα δὲ ἀντὶ τοῦ ἐγνωκυῖα καὶ ἐπισταμένη. BL.

4 εἰδυῖα τόκοιο: „νήπιον οὔπω εἰδόθ' ὁμοίου πολέμοιο" (Il. 9, 440). V.

7. οἱ: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἕ, ὅ ἐστιν αὐτοῦ. Ζηνόδοτος πρόσθε δέ ἑ, κακῶς. A.

8. τῷ: τῷ Μενελάῳ, ἢ τῷ Πατρόκλῳ, ὃ καὶ πιθανώτερον. A. αὐτῷ, τῷ Μενελάῳ ἢ Πατρόκλῳ. B.

9. ἀδ' ἄρα Πάνθοϊ υἱός: ὡς γὰρ ἐν κυνηγεσίοις πρωτόλεια τῷ πρώτως βαλόντι δίδοῦ, ἵνα καὶ ἕτος τῶν ὅπλων ἀντιποιεῖῃ· εἰ γὰρ καὶ γεγύμνωται, ἀλλ' εἰκὸς αὐτῷ πάρακεῖσθαι τὰ ὅπλα. ABL.

ἐϋμμελίης: ἤτοι ὁ καλὰ μέλη ἔχων καὶ εὔμορφος, ἢ ὁ τῇ μελίᾳ χρώμενος, τατέστι πολεμικὸς καὶ ἀνδρεῖος. D.

καὶ ἐπὶ τέτταρα πρὸ τέλους ἡ ὀξεῖα· ὁμοτονεῖ γὰρ τοῖς ἑνικοῖς τὰ εἰς αι λήγοντα πληθυντικὰ ἐπὶ τῶν εἰς ας καὶ εἰς ης ἰσοσυλλάβως κλινομένων καὶ βραχεῖα παραληγομένων. A.

13. ἐν ἑνὶ σίχῳ κεῖνται τρεῖς ἔννοιαι. Εὔφορβος δὲ ταῦτά φησι λακωνίζων πρὸς τὸν Λάκωνα Μενέλαον. L.

ἕα δ' ἔναρα: ἔκειντο γὰρ ἐπὶ τῆς γῆς λύσαντος αὐτὰ Ἀπόλλωνος. D.

14. πρότερος: ἔδει πρῶτος εἰπεῖν· ἐγγὺς γὰρ ἐστι πρὸς ἕνα ἡ σύγκρισις. προσυπακουέον δὲ τὸ ἐμοῦ. A.

15. ἡ διπλῆ, ὅτι βέβληται ὁ Πάτροκλος ὑπὸ τοῦ Εὐφόρβου καὶ ἐκτέτακται, καθάπερ Ζηνόδοτος γράφει „κεῖται δὲ οὔτασε Δάρδανος ἀνήρ" (Il. 16, 807). A.

19. ὑπέρβιον εὐχετάασθαι: ὑπερβίως αὐχεῖν, ὃ ἐστιν ὑπὲρ τὴν δύναμιν. A.

πολυκίνητος ὁ λόγος. ἐχετλίασε πρῶτον, εἶτ' ἐλογίσατο τὴν ὑπεροψίαν τῶν Πανθοιδῶν, καὶ ἔτως ἐπὶ τὴν ὑπόμνησιν τῶν πάλαι μετῆλθεν· εἶτα μετὰ ἦθος ἀπειλεῖ τῷ πολεμίῳ, ἀναχωρεῖν αὐτῷ παραινῶν. ὑπέρβιον δὲ εὐχετάασθαι, ὑπὲρ δύναμιν αἰχεῖν. καὶ τὸ μὲν σημαινόμενον πρὸς Εὔφορβον, ἡ δὲ ἀναφορὰ πρὸς Δία· ὅταν γὰρ οἱ μέτριοι ἀδικῶνται παρὰ τῶν βιαίων, ἄγεσι τὴν μέμψιν εἰς θεόν. καὶ ἑτέρωθι γὰρ ὁ Μενέλαος πρὸς τὸ θεῖον ἀγανακτῶν παρατάττεται· „Ζεῦ πάτερ ἤτις σεῖο θεῶν ὀλοώτερος ἄλλος" (Il. 3, 365). BLV.

20. πορδάλιος: διὰ τῆς ᾱ αἱ Ἀρισάρχου. A.

πάρδαλις τὸ ζῷον, ἡ δὲ δορὰ παρδαλῆ, ὃ μὲν ἀπὸ τῆς προσάλλεσθαι, ἡ δὲ ἀπὸ τῆς περιβάλλεσθαι. D.

πρῶτον ἔθηκε τὸν πόρδαλιν· θρασὺ γὰρ τὸ ζῷον τοῦτο. δεύτερον δὲ τὸν λέοντα· μετὰ γὰρ θράσους δεῖ καὶ ἀλκῆς. τρίτον σῦν, οὐχ ὡς γενναιότερον, ἀλλ' ὡς ἀλογίστῳ ὁρμῇ φερόμενον, λεόντων καὶ πορδάλεων πολλάκις τὸ παθεῖν φυλασσομένων· διὰ τοῦτο ἐπήνεγκεν „οὗ τε μέγιστος θυμός." ἄλλως τε λέων μὲν καὶ πόρδαλις πολλάκις ἡμερῶνται, ἔτος δὲ ἀεὶ ἄγριος. BL.

21. συὸς κάπρου: κατ' ἐπίτασιν· ἀλκιμώτερος γὰρ ὁ κάπρος· διὸ ἐπὶ πᾶσι τέτακται. ἢ, ἀλλὰ διὰ τὸ θυμικώτερον εἶναι τὸν κάπρον τῶν ἄλλων ζῴων ἐπενήνοχε πρὸς αὔξησιν. καὶ ἔστι σῦς μὲν τὸ γενικόν, κάπρος δὲ τὸ εἰδικόν, ἀπὸ τῆς κάπτειν. A. ὡς τὸ „ἠΰτε βᾶς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων, ταῦρος" (Il. 2, 480). V.

23. Πάνθοος υἷες: Εὔφορβος, Πολυδάμας, Ὑπερήνωρ· ἔτοι Πανθοῖδαι. BL.

φρονέουσι: γράφεῖ φορέουσι, ὠθένος δηλονότι. L.

24. τὸ σημεῖον Διονύσιος διὰ τὸν Ὑπερήνορά φησιν· προείρηται γὰρ „Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν ἔτασε" (Il. 14, 516). καὶ ἴσως κατὰ τὸ σιωπώμενον ἐκεῖ αὐτὸν ὠνείδισεν. A.

ἢ πρὸ τῆς μήνιδος ἢ νῦν κατὰ τὸ σιωπώμενον ἀνῄρηται. ἢ τάχα ἐν τῇ Ξ αὐτῶν συμβαλόντων πεφόνευται, ἔνθα φησὶν „Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν." φεύγων ἐν ἀνῄρηται. ἢ τάχα ἔθος Ὁμηρικὸν τὸ ἔνια παραλείπειν καὶ ὕστερον φράζειν· „ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν" (Il. 20, 90) „οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεναι" (Il. 9, 353) „πρῶτον μέν μοι τε καὶ Ἥρῃ ζεῦτ' ἀγορεύων" (Il. 5, 832). περισσὸν δὲ τὸ ἐν ᾧ. BLV.

25. ἀπόνηθ': ὄνησιν ἔλαβεν. ὤνατο δὲ ὠνείδισεν· ὠνόσατο δὲ ἐμέμψατο. B.

26. ἐλέγχιστον πολεμιστήν: καὶ „μαλθακὸς αἰχμητής" (Il. 17, 588). ἀλλ' αἱ τῶν πολεμίων ἀποφάσεις οὐκ εἰσὶν ὀχυραί. V.

27. ἐδέ ἑ: διὰ τῆς τέ, ἐδέ τε, Ἀρίσαρχος. A.

συγγνωστός ἐστιν ἰδίας ἑαυτῷ ἀπαγγέλλων πράξεις· προσφόρως γὰρ ἐκ ἄλλης τινὸς μέμνηται ἢ ἀδελφῆς Εὐφόρβου, ἐκ τῶν οἰκείων δυσχημάτων ἀνακόπτων αὐτῷ τὸ θράσος. BL.

28. κεδνούς: ὧν ἂν κήδοιτό τις καὶ φροντίζοι. V.

φασὶ Πυθαγόραν ἐν τῷ κατὰ Ἄργος Ἡραίῳ ἀσπίδα χαλκῆν θεασάμενον εἰπεῖν ὡς ταύτην φορῶν ἀρήρηται ὑπὸ Μενελάου, ὧν Εὔφορβος· γρίψαντος δὲ Ἀργείου τὴν ἀσπίδα ἰδεῖν ἐπίγραμμα Εὐφόρβου. V.

30. 3 . 32. ὁ ἀριστάρχειος, ὅτι ἄμεινον τὰ ἑπτὰ ταῦτα λέγεῖ ὑπὸ Μενελάου, ἐπὶ δὲ τῆς Ἀχιλλέως πρὸς Αἰνείαν συμβάσεως (Il. 20, 196) ἐκεῖ· ἐπεξεληλυθὼς γὰρ μόνον οὐχὶ συναρπάσαι τὴν πόλιν ἕνεκα τῆς Πατρόκλου ἀναιρέσεως. A.

31. ἴσαν: διὰ μέσου ἐστὶ τὸ μηδ' ἀντίους ἔσασ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμεῖο. τὸ δὲ ἑξῆς, ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω ἐς πληθὺν ἰέναι, πρίν τι κακὸν παθέειν. διὰ μέσȣ δὲ τὰ λοιπά. AB.

τὸ ἑξῆς, ἐς πληθὺν ἰέναι, πρίν τι κακὸν παθέειν. A.

32. ῥεχθὲν δέ, φησί, νήπιος ἔγνω, ὅτε μηδέν ἐςιν ὄφελος. παροιμιακὸν δὲ τȣ̃το. εὐμνημόνευτον δὲ αὐτὸ ποιεῖ ἡ συντομία τῆς ἐπαγγελίας. BL.

τȣ̃το ἀπὸ παροιμίας εἴληπτ. νηπίȣ γ' καὶ ἄφρονός ἐςι μετὰ τὸ πραχθῆναι τὸ κακὸν θεραπείαν καὶ ἐπανόρθωσιν αὐτȣ̃ ζητεῖν. ὁ γ' ἄφρων ȣ̓ προορᾷ τὸ μέλλον ἀλλὰ πραχθὲν γινώσκει. D.

ἡ σύνταξις ὁμοία τῆδε· „ἤδ' περὶ ἔργα ἰδεῖν, ἀλλὰ ςοναχῇ τε γόῳ τε ἧςαι" (Od. 16, 144). V.

ἄλλως. πιςὸν τὸ παίδευμα, ϗ πολλῆς ὠφελείας περιεκτικόν. A.

φιλόσοφος ἡ γνώμη. ὁ ἄφρων μετὰ τὸ περιπεσεῖν ἁμαρτήματι γινώσκει ὅτι κακῶς ἔπραξεν· ὁ δὲ φρόνιμος προπερισκέπτετ ϗ προπερινοεῖ τὰ ἐσόμενα· διὸ ἐκλέγεται τὸ συμφέρον, ἵνα μὴ ἁμάρτῃ μηδὲ μετανοῇ γενόμενος ἐν κακῷ. διὰ τȣ̃το ὁ μὲν Προμηθεὺς φρόνιμος δαίμων, ὁ δὲ Ἐπιμηθεὺς φαῦλος· μετανοεῖ γ' ὅτε οὐδὲν ὄφελος. ὅτι δὲ εἰς παροιμίαν παραδέδοτ, λέγει ϗ Πλάτων ȣ̓́τως δή· „καί σοι λέγω ὦ Ἀγάθων μὴ ἐξαπατᾶσθ ὑπὸ τȣ́τȣ, ἀλλ' ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα εὐλαβηθῆναι, καὶ μὴ κατὰ τὴν παροιμίαν ὥσπερ νήπιον παθόντα γνῶναι" (Conviv. p. 466, 10). A.

34. ἦ μάλα τίσεις: ἀντὶ τσῦ τιμωρίαν δώσεις ὑπὲρ τȣ̃ ἐμȣ̃ γνωτȣ̃, ὅ ἐςιν ἀδελφȣ̃. D. ὡς „τίσειαν Δαναοὶ ἐμὰ δάκρυα" (Il. 1, 42). ἔν τισι τῶν ὑπομνημάτων ἦ τάχα τίσεις. V.

ἡ διπλῆ, ὅτι ἰδίως ἐξενήνοχεν· ἔςι γ' μάλα τίσεις περὶ τοῦ ἐμοῦ γνωτοῦ δίκας περὶ οὗ ἔπεφνες. τίσεις μου τὸν ἀδελφόν. A.

36. θαλάμοιο νέοιο: νεωςὶ κατεσκευασμένου, προσφάτȣ. D. ὅμοιον τῷ „ϗ δόμος ἡμιτελής" (Il. 2, 701). A.

37. ἀρητόν: ἤτοι βλαπτικόν, παρὰ τὴν ἀρὰν τὴν βλάβην, ἢ κατάρατον, ἢ ἀπευκτόν, ἢ ἀεὶ ῥητόν, ἀεὶ διὰ μνήμης ἐσόμενον. A.

ἄλλως. ἑτέρως διαςεῖλαι ἔςιν, ἀρητόν, ἐν εὐχῆς μέρει καθεςῶτα σὺ πένθος ἔθηκας, ἵν' ᾖ κατ' ἀρσενικὴν αἰτιατικὴν ἐπὶ τȣ̃ Ὑπερήνορος, τὸν ἀρητόν. ἢ ȣ̓́τως, εἰς τοῦτο αὐτὸν κατέςησας ὥςε εὐχὴν ἡγεῖσθ τὸ θρηνεῖν τὸν ἑαυτῶν παῖδα, ϗ ἔχειν ἐξȣσίαν σχολάζειν γόοις ϗ θρήνοις. A.

μισητὸν καὶ ἐπάρατον, παρὰ τὸ ἀρά. ὀξύνετ δὲ ἐπίθετον ὄν. B.

τὰ εἰς τος ῥηματικά, παραληγόμενα τῷ η̄, ὑπὲρ δύο συλλαβάς, ὀξύνεσθ θέλει. A.

38. σφίν: τοῖς πατράσι ϗ τῇ γυναικί. L.

κατάπαυμα γενοίμην: καταπαύσαιμι δ' ἂν τȣ̃ θρήνου τοὺς ἀθλίους γονέας τȣ̃ Ὑπερήνορος, εἰ ἀνελῶ σε ϗ καρατομήσας δώσω τὴν κεφαλήν σου καὶ τὰ ὅπλα αὐτοῖς. AD.

περισπαςέον τὸν ἦ βεβαιωτικόν. A.

ἡ διπλῆ, ὅτι δειλοῖσιν εἶπεν ἀντὶ τȣ̃ δειλαίοις. A.

40. Φρόντιδι: ἡ μήτηρ ἐςὶν αὐτȣ̃ Φρόντις ὡς Θέτις. A.

ὄνομα κύριον τῆς Πάνθȣ γυναικὸς ἡ Φρόντις. τὴν γ' παρατέλευτον συλλαβὴν δεῖ ὀξυτονεῖν, ἵν' ᾖ κύριον θηλυκόν. ἔςι ϗ ἀρσενικὸν ὁ Φρόντις ἐν Ὀδυσσείᾳ (3, 282). D.

ἄλλως. Φρόντιδι ὡς Ἤλιδι. ȣ̓́τως Τυραννίων, ϗ ἐπείσθη ἡ παράδοσις. ὁ μέντοι κανὼν ὀξυτονεῖ τὸ φροντίς· τὰ γ' εἰς τις λήγοντα θηλυκὰ δισύλλαβα, μὴ ὄντα ἐπιθετικά, παραληγόμενα δὲ τῷ ο̄ ἤτοι μόνῳ ἢ σὺν ἑτέρῳ φωνήεντι, ὀξύνεσθ θέλει, κοιτίς Προιτίς φροντίς, ȣ̓τίς τὸ ζῷον παρ' Ἀλκμᾶνι. ȣ̓́τως ȣ̓ν ϗ φροντίς, εἰ μὴ ἄρα, ἐπεὶ κύριον τȣ̃το, ϗ βαρυτονηθήσετ. οὐ μάχετ τὸ πόρτις· ϗ γ' χωρὶς τȣ̃ τ̄ „πόριες περὶ βȣ̃ς ἀγελαίας" (Od. 10, 410). μὴ ὄντα ἐπιθετικά πρόσκειτ διὰ τὸ πότις, ᾧ παράκειτ τὸ πότης. A.

πρὸς τὸ ἔθος σημειωτέον. ϗ γ' τῇ Ἀλκμήνῃ τὴν κεφαλὴν ἐκόμισαν Εὐρυσθέως, ϗ τὴν Μελανίππȣ Τυδεῖ, καὶ „ἕλχ' ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ" (126). V.

41. ἀλλ' οὐ μὰν: τὸ ἔργον ȣ̓κέτι ἀπείρατον ἔςαι ȣ̓δὲ ἄμαχον, ὥςε ἢ ἀλκὴν ἐπιδείξασθ ἢ φυγήν. κατ' ἔνια δὲ τῶν ὑπομνημάτων διὰ τȣ̃ π̄, ἐπὶ δηρόν, ὁμοίως τῷ „ἐπὶ δηρὸν δέ μοι αἰών" (Il. 9, 415). A.

ȣ̓κ ἔςαι, φησίν, ἡμῖν ἀπείρατος ὁ πόνος τȣ̃ ἀμύνεσθαι ἢ φεύγειν, ἀλλὰ δηλονότι διὰ πείρας ἐλευσόμεθα ϗ ȣ̓ χωρὶς μάχης ἐσόμεθα, ὥςε ἢ ἀνδρίσασθ ἢ φυγεῖν. B.

42. διὰ μέσȣ τὸ ȣ̓δ' ἔτ' ἀδήριτος, τὸ δὲ ἑξῆς ἀπείρητος πόνος ἔςαι ἤτ' ἀλκῆς ἤτε φόβοιο, οἷον πειρασόμεθα ἤτοι ἀνδρείας ἢ φυγῆς. ȣ̓́τως Νικάνωρ. A.

ἤτ' ἀλκῆς ἤτε φόβοιο: Ἀρίςαρχος ἀμφότερα διὰ τȣ̃ δ̄, ἠδ' ἀλκῆς ἠδὲ φόβοιο. A.

44. χαλκός: ȣ̓́τως Ἀρίςαρχος, ἵν' ᾖ ἡ ἐπιδορατίς· ἄλλοι δὲ χαλκόν. AV.

46. ἐπευξάμενος Διὶ: τοιȣ̃τος πανταχȣ̃ Μενέλαος, κἀν τῷ πρὸς Ἀλέξανδρον μονομαχίῳ. B.

47. ςομάχοιο θέμεθλα: ςομάχȣ θέμεθλα ȣ̓ λέγει τὸ ςόμα τῆς κοιλίας, καθάπερ ἡμεῖς, ἀλλὰ τὸν βρόγχον, οἷον τὰ ἔσχατα μέρη τȣ̃ λαιμȣ̃. ἐπιφέρει γȣ̃ν „ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος". θέμεθλα δὲ ἡ θέσις. A.

τȣ̃ βρόγχȣ τὴν θέσιν, ἤτοι τὰ τȣ̃ λαιμȣ̃ τέλη. B.

48. ἡ διπλῆ πρὸς τὸ αὐτός· ȣ̓ γάρ ἐςι περὶ ἑτέρȣ ὁ λόγος. ὅμοιον τῷ „ὁ δ' ἐρεύγετο οἰνοβαρείων" (Od. 9, 374), ἕτερός τις ȣ̓κ' ἀλλ' αὐτὸς ὁ Κύκλωψ. A.

βαρείῃ: τȣ̃ πράγματός ἐςι τὸ ἐπίθετον· βαρεῖαν γ' χεῖρα τὴν μετὰ βίας ἐρείδȣσαν τὸ δόρυ φησί, συνεπιβαρύνας τὴν χεῖρα τῷ δόρατι. AB.

49. δι' αὐχένος: τȣ̃το ἀποδεικτικόν ἐςι τȣ̃ ςόμαχον λέγειν τὸν βρόγχον· εἰ γ' τὸ ςόμα τῆς κοιλίας ἐπεπλήγει, ȣ̓κ ἂν ἄντικρυς διὰ τȣ̃ αὐχένος τὸ δόρυ ἐφέρετο. A.

εἰκότως διῆλθε· ϗ γ' ἡ τρώσασα χεὶρ βαρεῖα ϗ ὁ αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἁπαλός, ὥσε ἐπετήδευσε μονομάχιον ἐπιδεῖξαι δύο κα-
κὴ γ' Μενέλαος ξανθός, εὔμηρος, καλλίσφυρος· καὶ
δὲ χαριτύες. B.

61. *χαρίτεσσιν ὁμοῖαι*: ἀντὶ τῆ ταῖς τῶν Χα-
ν κόμαις ἴσοι. ἀπίθανον δέ ἐσιν· ἀμόρφωτος γ' ἡ κό-
εἰ μὴ ὅτως. *Μακεδόνες* δὲ κὴ Κύπριοι χάριτας λέγεσι
συνεσραμμένας κὴ ἕλας μυρσίνας, ἃς φαμεν σεφανίτι-
ABD.

κ εἰκῆ ἡ ἐπεξεργασία τῆς κόμης· ἀλλ' ἐπεὶ ἔφθη εἰ-
(Il. 16, 795) „μιάνθησαν δὲ ἔθειραι αἵματι κὴ κονίη-
παραμυθίαν εἰσφέρει τοῖς λυπεμένοις ὑπὲρ Πατρόκλε,
εῖς ἀντιπαραθεὶς τρίχας ταῖς ἐ ψευδέσιν. B.

διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει Χαρί-
σι μέλαιναι (ὑπὸ Χαρίτων μελανθεῖσαι· αὗται γ'
V), ἀδιανόητον ποιῶν. A.

2. *πλοχμοί*: οἱ πεπλεγμένοι πλόκαμοι. B.

χρυσῷ τε κὴ ἀργύρῳ ἐσφήκωντο: οἱ ὑπὸ
ῦ κὴ ἀργύρε συνεσφιγμένοι ἦσαν. τινὲς δὲ θέλεσι λεί-
τὸ ὡς· ἀλλὰ λανθάνεσιν οἱ βάρβαροι ἐκ ἐπὶ καλ-
μῷ φέροντες τὸν χρυσόν, ἀλλὰ λάφυρα τοῖς πολε-
A.

κρεμέναι ἄνωθεν περιεδέδεντο. ἔσι δὲ βαρβαρικὸς ὁ
ος. τὰ τοιαῦτα δέ τινες καλῶσι κάλυκας. B.

3. *ἐλαίης*: *Λαπίθαι* μὲν δρυσίν „αἵ τ' ἄνεμον μι-
κὴ ὑετόν" (Il. 12, 132) εἰκαζον, *Ἕκτωρ* δὲ πεπτω-
ρυῒ κερανωθείσῃ (Il. 13, 389)· τῷ γ' μεγέθει ἐκεί-
ῆρμοττεν ἡ ἀπὸ τῶν τοιάτων δένδρων εἰκών. ἐνταῦθα
ιαῖον γράφων τὸν Εὔφορβον ἐλαίαν παρέλαβε, δέν-
εὐειδὲς κὴ τῷ ἀειθαλεῖ τὸ κάλλος διαφυλάττον. σκό-
ὲ τὰς κατὰ μέρος ἐξεργασίας. τὸ μὲν πρῶτον ἐκ ἔφη
ομεῖσθαι τὸ δένδρον, ἀλλ' ὡς ἐπὶ ζῴε ἐμψύχε τρέ-
δηλῶν τὸ ἥμερον κὴ εὐάγωγον τῆς φύσεως τῷ φυτῷ,
αὐτοματίζον ἀλλ' ἐπιμελείᾳ γεωργῶν αὐξόμενον ἐν
ἐρήμῳ φυτῶν, ἵνα μὴ ἐμποδίζηται τῇ ἐκφύσει τῶν
ον ῥιζῶν. συνεργεῖ δὲ αὐτῷ κὴ τὸ ὕδωρ πρὸς αὔξησιν,
λοιπὰ δὲ ἔσαι (ἦν V) τὰ τῆς ψυχῆς κὴ τῶν ἔξωθεν.
ληφε δὲ κὴ τὰς παντοίας ἀνέμας, ἵνα εὔτονον γινόμε-
ὸν καρπὸν φυλάττῃ. B.

4. *οἰοπόλῳ*: ἐν ᾧ μόνος τις πωλεῖται. A. ἤτοι ἐρή-
μονήρει, ἢ ἐν ᾧ ὗες πωλεῖσθαι κὴ ἀναῤῥέφεσθαι δύνανται,
βύσκεσθαι. D.

ισικὸν ἔσι τὸ κοτινοφόρας εἶναι τὰς ὑψηλὰς τόπους·
ι ἐν ἀκροπόλει Ἀττικῆς πρῶτον ἐφάνη. ἐκεῖ κὴ ταύ-
γεσθαι βάλλει πρὸς τὸ μὴ κόπτεσθαι ὑπὸ τῶν ὁδοιπόρων,
σύντροφα ὄντα τὰ τοιαῦτα φυτὰ ἀλλήλων τὴν εὐ-
ἀφαιροῦνται. BV.

οσειδῶν κὴ Ἀθηνᾶ περὶ τῆς Ἀττικῆς ἐφιλονείκεν· κὴ
δῶν μὲν ἐπὶ τῆς ἀκροπόλεως τῆς Ἀττικῆς κράσας
ιαίνῃ κῦμα θαλάσσης ἐποίησεν ἀναδοθῆναι, Ἀθηνᾶ
αίαν· κριτὴς δὲ αὐτῶν γενόμενος Κέκροψ ὁ τῶν τό-
τῆς Ἀττικῆς βασιλεὺς τῇ θεῷ προσένειμε τὴν χώ-
ραν, εἰπὼν ὅτι θάλασσα μὲν ἔσι πανταχῆ, τὸ δὲ φυτὸν
τῆς ἐλαίας ἴδιον Ἀθηνᾶς. ἡ ἱσορία παρὰ Καλλιμάχῳ.
AD et Mosc.

ἀναβέβρυχεν: ἀναπηγάζει, ἀναβλυσάνει, ἀναδίδο-
ται. B. *πιαίνεται ἐξ ὑετῶν, ὡς τὸ καταβρόξειεν* (Od. 12,
240). V.

*Ζηνόδοτος διὰ τῆ ō ἀναβέβροχεν, ὡς ἐκεῖ „ἀλλ'
ὅτ' ἀναβρόξειε θαλάσσης"* (ib.). A.

*ἀναβέβροχεν ἀντὶ τῆ ἀναπέπωκεν. ἐὰν δὲ ἀναβέβρυχε,
δηλοῖ τὸ ἀναβρύειν, ὅ ἐσιν ἀναπηδᾶν κὴ ἀναβάλλεσθαι μετὰ
ψόφου.* D.

55. *πνοιαὶ δονέεσιν*: ἵν' ἑδραῖον γένηται· τὰ γ' μὴ
τοιαῦτα ἀσθενῆ εἰσὶ καὶ ἐπισκήπτοντος ἀνέμε τὸν καρπὸν
ἀπόλλυσιν. B.

56. *βρύει*: νεωσὶ θάλλει. *ἄνθεϊ δὲ λευκῷ τῷ κυ-
πρισμῷ τῆς ἐλαίας· ἐ γ' τελεσφορεῖ τὸν καρπὸν διὰ τὸ
νέον. ἀπὸ δὲ βρύω τᾶ ἄρτι θάλλω γίνεται κὴ ἔμβρυον.* B.

58. *βόθρου τ' ἐξέρεψε*: μετέωροι γ' αἱ τῆς ἐλαίας
ῥίζαι· διὸ κὴ γυρόσε ἐπισκάπτεσιν αὐτάς. ἐμφατικῶς δὲ κὴ
τὴν ἐξ πρόθεσιν παρείληφε, δεικνὺς τὴν ἐλαίαν σὺν ταῖς
ῥίζαις ἀναβεβλημένην. λείοις δὲ χρησάμενος τοῖς ἔπεσι,
νῦν συνετράχυνε τῷ πάθει τὴν ἀπαγγελίαν. ὅρα δὲ πῶς
ἐπὶ μὲν τῆς τροφῆς αὐτῆς πνοὰς ἀνέμων φησίν, ἐπὶ δὲ
τῆς πτώσεως ἄνεμον κὴ λαίλαπα. B.

αἱ γ' ῥίζαι αὐτῆς ἐν ὑγρῷ εἰσὶ κὴ γυμνὸς ὁ τόπος. V.

62. *ἥτις ἀρίση*: πάντα παρέλαβε, πάσῃ μὲν τῇ ἀγέ-
λῃ τὸ πλῆθος τῶν Τρώων εἰκάζων, τὸν δὲ Εὔφορβον ὄντα
ἄριςον τῇ ἀρίςῃ αὐτῶν. ὅτι δὲ ἄριςος, μαρτυρεῖ ὁ ποιη-
τής· „Πατρόκλῳ περιβὰς Τρώων τὸν ὄριςον ἔπεφνε" (80).
τὸν κτείναντα Μενέλαον λέοντι, τὴν ἀπραξίαν τῶν Τρωϊ-
κῶν ἀριςέων βεκόλοις κὴ κυσὶν ἐπαμῦναι μὴ δυναμένοις.
*τὸ δὲ λαφύσσει ἀντὶ τῆ μετὰ σκυλμῆ κὴ σπαραγμῆ λά-
βρως ἐσθίει.* B.

64. *λαφύσσει*: λάπτει. *τῶν δὲ κατὰ μίμησιν ἡ λέξις.* A.
*λάπτει, ὅ ἐσι μετὰ σκυλμῆ λάβρως κὴ μετὰ σπαραγμῆ
ἐσθίει.* D.

65. *δηῶν*: περισπαςέον, ἐπεὶ κὴ ἐν ἑτέροις λέγει κατὰ
διαίρεσιν σὺν τῷ ō „ἔγχει δηϊόων" (Il. 18, 195). *γέγονε δὲ
παρὰ τὸ δηΐος· διὸ κὴ σὺν τῷ ῑ γράφεται τὸ δῃῶν.* A.
σὺν τῷ ῑ, κὴ περισπᾶται· ἔσι γ' τὸ θέμα δηϊόω. A.

66. *ἰύζουσιν οἱ νομῆες· οἱ δὲ κύνες ὑλακτῶσιν.* A.
ἀγροικικῇ φωνῇ προσφωνῶσι, παρὰ τὸ ἰὲ ἐπίῤῥημα. BD.

70. *ἡ διπλῆ, ὅτι τὰς χρύνας ἐνήλλαχε καὶ τὰ ῥήματα·
ἔδει γ' φάναι, τότε δ' ἂν ῥαδίως ἔφερον.* A.

71. *τὸ ἀγάσσατο νῦν ἀντὶ τῆ ἐφθόνησεν κὴ ἀντὶ τοῦ
ἐθαύμασεν.* A.

73. *ὅτι τῶτον τὸν Μέντην ἐν τῷ Τρωϊκῷ διακόσμῳ ὁ
παραδέδωκεν, ἀλλὰ Εὔφημον μόνον („Εὔφημος δ' ἀρχὸς
Κικόνων ἦν αἰχμητάων" Il. 2, 864), ὡς ἂν πλείοσιν ἡγε-
μόσι χρωμένων. ἴσως δ' ἀμοιβὸς ἦν νεωσὶ ἥκων· καὶ γὰρ
πρὸς τὸν ἐν τῇ Ὀδυσσείᾳ ὁμώνυμον Μέντην· ἕτερος γὰρ

Ταφίων βασιλεύς. Μέντης δὲ ὁ μεντικὸς ἐν τοῖς πολέμοις. A.

νοητέον ὅτι ἦσαν μέν τινες πρῶτοι ἄρχοντες ἐν παντὶ τάγματι, ἦσαν δὲ καὶ ὑποδεέστεροι, ὡς ὁ Ἀχιλλεὺς „πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο" (Il. 16, 171). V.

τινὲς γράφουσι Πείρῳ, ἵν' ᾖ ὁμώνυμος τῷ Θρᾳκί. V.

75. Ἕκτορ: μετὰ τὸ ὄνομα στικτέον· προσαγορευτικὴ γάρ ἐστι. τὸ δὲ ἀκιχητά φασι Ποσειδώνιον τὸν Ἀριστάρχου ἀναγνωστὴν τοῖς ἑξῆς προσνέμειν, καὶ τὸν Ἀρίσταρχον ἀποδέχεσθαι. A.

ἀκιχήτως, ἀκαταλήπτως, ἀφθάστως. D.

ἀκατάληπτα. προοικονομεῖ δέ, ἵνα νοῶμεν μετὰ θάνατον Ἀχιλλέως ἀνακεχωρηκέναι αὐτὸς πρὸς τὸν δόντα. V.

76. ἀλεγεινοὶ: πολυφρόντιδες καὶ πολλῶ λόγω δεόμενοι εἰς τὸ ἀνθρώπῳ ὑποταγῆναι. ἢ δυσχερεῖς. B.

80. Πατρόκλῳ περιβάς: πρὸς τὴν περίβασιν. Τρὼς οὖν ὁ Εὔφορβος. ἀλλὰ καὶ Δάρδανος· οἱ ἄρα Δάρδανοι Τρῶες. καὶ ὅτι ἀντὶ τοῦ τὸν ἐν τοῖς Τρωσὶν ἄριστον· ἐπεὶ γάρ ἐστιν ὡς „Μυρμιδόνων τὸν ἄριστον" (Il. 18, 10). A.

83. Ἕκτορα: ἀντὶ τοῦ Ἕκτορος. V.

85. τὸν μὲν: σχεδὸν ἔδειξε τὸ πρᾶγμα ἐν πίνακι. V.

86. κατ' οὐταμένην ὠτειλήν: κατὰ τὸ ἐξ ἐτήσεως τραῦμα. B.

ἢ διπλῆ, ὅτι παρητυμολόγησεν τὸ ὄνομα. A.

87. βῆ δὲ διὰ προμάχων: ἀναγκαίως, ἵν' ἐν τοσούτῳ ὁ Μενέλαος ἔχῃ καιρὸν διαλογίσασθαι· ὁ μὲν γὰρ συγκαλεῖ τοὺς ἀρίστους, ὁ δὲ σκέπτεται περὶ αὐτοῦ. B.

88. μετὰ τὸ κεκληγὼς βραχὺ διασταλτέον· μᾶλλον γὰρ ἐμφαίνει. A.

91. ὤ μοι ἐγών: εἰκότως ἐμβαθύνει τῷ λογισμῷ· μένειν μὲν γὰρ ἡ ἐκ Πατρόκλου τιμὴ καὶ ὁ ψόγος Ἑλλήνων προτρέπει, φεύγειν δὲ τὸ πλῆθος τῶν Τρώων καὶ ὁ Ζεύς. δαιμονίως δὲ ἑαυτὸν δυσωπεῖ παραμεῖναι τῷ δι' αὐτὸν τελευτήσαντι. B.

τὸ ἑξῆς ἐστὶ καταλίπω· διὸ ἀναγρεπτέον τὴν πρόθεσιν. AB.

92. ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς: ἀντὶ τοῦ ὃς ἐμὲ τιμήσας κεῖται. D. ἢ ἕνεκα τῆς ἐμῆς τιμωρίας, τουτέστι τοῦ ἐμὲ τιμωρῆσαι τοὺς Τρῶας. B.

ἢ διπλῆ, ὅτι ἡ τιμὴ ἀντὶ τῆς τιμωρίας καὶ νῦν (Il. 1, 159) τέτακται· ἕνεκα ἐμοῦ κεῖται τιμωρούμενος τοὺς Τρῶας. A.

93. διγακτικόν ἐστι τὸ μή. προκατασκευάζει δὲ ὅπως πιθανὴ ἡ ἀναχώρησις γένηται. B.

νεμεσήσεται: ἀντὶ τοῦ νεμεσήσῃ, μέμψηται. A.

94. 95. ὑποστικτέον ἐπὶ τὸ αἰδεσθείς, στικτέον δὲ ἐπὶ τὸ πολλοί· ὁ γὰρ λόγος ἐλλιπής ἐστι, λείποντος τοῦ εὐλαβῆσθαι ἤ τινος τοιούτου, ὡς καὶ ἐν τοῖς προκειμένοις „μή τίς μοι Δαναῶν"· ἔστι γὰρ τὸ πλῆρες, εὐλαβῆσθαι μή με τῶν Ἑλλήνων μέμψηταί τις. τὸν αὐτὸν τρόπον καὶ ἐνθάδε· ἐὰν δὲ μόνος ὢν Ἕκτορι καὶ Τρωσὶ μάχωμαι αἰδεσθείς, εὐλαβῆσθαι μή πώς με περισήσωσ' ἕνα πολλοὶ ὄντες. A.

95. Ἀρίσαρχος διὰ τοῦ ῆ, περισήωσι. A.

96. εἰς τὸ πιθανὴν γενέσθαι τὴν ἀναχώρησιν προκατασκευάζει. A.

98. ὁππότ' ἀνὴρ: ὅτε ἀνὴρ βάλῃ ἀνδρὶ μάχεσθαι ὃν θεὸς τιμᾷ, πρὸς θεὸν μάχεται. A.

ὅταν ἀνὴρ ἐθέλῃ παρὰ γνώμην θεοῦ μάχεσθαι ἀνδρὶ ὅτε θεὸς τιμᾷ. δηλοῖ γὰρ καὶ τὴν παρὰ ἢ πρός. A.

ἄλλως. ὁπότε, φησίν, ἐθέλῃ τις ἀνθρώπῳ μάχεσθαι ὃν θεὸς προέχηκεν, ἐν κακοῖσι γίνεται, ὅ ἐστι, διὰ φωτὸς εὐρίσκει δαίμονι μαχόμενος, ἀντὶ τοῦ δι' ἀνθρώπου. ὃς γὰρ ἂν διὰ ἀνθρώπου θεῷ μάχηται, τάχα αὐτῷ μέγα πῆμα κυλίσθη. BD.

ἄλλως. πῶς ἅμα πρὸς δαίμονα καὶ ἅμα φωτὶ μάχεσθαι, ἀλλὰ τὸ πρὸς δαίμονα τοιοῦτόν ἐστιν ὡς λέγομεν πρὸς κῦμα ἐναντιούμενος δαίμονι· ὁ γὰρ φωτὶ μαχόμενος τῷ ὑπὸ θεῶν τιμωμένῳ ἢ ὑπὸ θεῶν ἀγαπωμένῳ αὐτῷ τῷ θεῷ μάχεται τῷ ἐκεῖνον σέργοντι. ὁ Πίνδαρος ἴσον μὲν θεὸν ἄνδρα φίλον ὑποτρέσαι ἐκέλευσεν, ἐπ' ἴσης τὸν θεὸν καὶ τὸν φίλα θεῷ ἄνδρα θεοφιλῆ. „μὴ θαύμαζε γάρ" φησὶν ὁ Πλάτων „εἰ ἱέρακες μὲν καὶ ἴβεις ἔχουσι τοὺς ὑπερασπίζοντας θεοί, ἀνδρὸς δὲ ἀγαθοῦ ἐκ ἂν τις ὑπερασπίσαι. A.

ἄλλως. ἐκ ἄρα τῷ πολέμῳ ἐδὲ τοῖς Τρωσὶν ὑποχωρεῖ, ἀλλὰ τοῖς θεοῖς ἐναντιοῦσθαι ἃ βάλῃ. τὸ δὲ τῆς διανοίας οὕτως· τῷ φωτὶ ὅν κε θεὸς τιμᾷ, πρὸς δαιμονά ἐστι μαχέσθαι. A.

ἄλλως. ἡ ὑποζυγὴ μετὰ τὸ τιμᾷ. ὁ δὲ λόγος, ὑπόταν τις βάλῃ παρὰ θεοῦ γνώμην ἀνδρὶ μάχεσθαι, ὀφείλει ταχέως αὐτῷ κακὸν ἐπέρχεσθαι. τὸ γὰρ πρὸς δαίμονα ἀντὶ τοῦ παρὰ θεοῦ γνώμην, ὡς καὶ „πρὸς δαίμονά περ πως ἐρυσαίμεθα" (104). V.

101. χωρήσαντ': ἀντὶ τοῦ παραχωρήσαντα, ὑποχωρήσαντα. A.

ἐκ θεόφιν: θεόθεν. περισσὸν δὲ ἡ ἐξ. B.

102. βοὴν ἀγαθοῖο: τινὲς τὴν φωνήν· σπανίως αὐτὸν βοὴν ἀγαθόν φησι. BV.

103. ἰόντες: Ζηνόδοτος ἰόντε δυϊκῶς. A.

104. καὶ πρὸς δαίμονά περ: θαρσήσας τῇ τοῦ Αἴαντος ἀλκῇ καὶ μείζονα προσφθέγγεται. αὔξει δὲ Αἴαντα δυνάμενον. AB.

105. κακῶν δέ κε φέρτατον εἴη: ὡς ἐν κακοῖς τίς ἂν εἴη φέρτατον τὸ ῥύσασθαι τὸν νεκρὸν τῷ Ἀχιλλεῖ. A.

ἄλλως. τῶν δὲ παρόντων κακῶν τοῦτο ἂν εἴη τὸ ἄμεινον. ἢ ἐκ πολλῶν τῶν προγεγονότων κακῶν τὸ ἄμεινον νοητο. AD.

ἄλλως. ἐὰν πρὸς τῇ ἀναιρέσει καὶ τὴν τοῦ σώματος κάκιαν ὑπομείνῃ ὁ Πάτροκλος. A.

109. ὥσε λῖς: ἔτως γὰρ καὶ λέων ὑποχωρεῖ, μὴ διδοὺς τὰ νῶτα τοῖς διώκουσιν, ἀλλὰ κατ' ὀλίγον ὑποβαίνων. I

ἐκ ἀσθενεῖ ζῴῳ παρέβαλεν, οὐδὲ τῷ εἰωθότι φεύγειν ἀλλὰ τῷ ἀλκιμωτάτῳ, ὃν φησιν ἐκ ἀδικεῖσθαί τι πρὸς ἀμυνομένων, δρᾶσαι δὲ κωλύεσθαι. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

110. πολὺς γ᾽ γίνεται θόρυβος κυνῶν ἀνδρῶν ὅπλων βοῆς, ὅπως ἀναχωρήσῃ παθὼν μὲν ἀδέν, δρᾶσαι δὲ κωλυθείς. τὸ δὲ ἔγχεσι καὶ φωνῇ πρὸς τὸ δεύτερον ὑπήντησεν. B.

ἄλλως. δίωνται ὡς λέγων᾽. ἔχει δὲ καὶ ἀπὸ τοῦ δίημι ἡ κλίσις παρ᾽ αὐτῷ. A.

ἕτως δίεν᾽ ὡς τίθεν᾽. μένιν᾽ ὁ Ἡρωδιανὸς ἐν τῷ μ΄. A.

112. παχνῶται: συγκλεῖ᾽, ὑπὸ λύπης πήγνυ᾽. ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης. D.

φρίσσει, ἢ λυπεῖ᾽· τὰ γ᾽ προσηνῆ καὶ καλὰ θερμὰ ἐκάλεσεν, ὥσπερ καὶ τὰ λυπηρὰ καὶ κακὰ ψυχρά. μεσσαύλοιο δὲ τῆς ἐπαύλεως. B. ἀντιπέφρασαι γ᾽ τῷ σαθμοῖο. V.

ἢ διπλῆ, ὅτι τὴν κατὰ ἀγρὸν ἔπαυλιν μέσαυλον· οἱ δὲ Ἀττικοὶ τὴν μέσην θύραν τῆς αὐλῆς, τὴν διορίζουσαν τήν τε γυναικωνῖτιν καὶ τὸν ἀνδρῶνα. τὸ δὲ παχνῶται πήγνυ᾽, φρίσσει, ἀπὸ τῆς μάχης διὰ τὴν αὐλήν. A.

115. ὅτι πάλιν μέγαν εἶπε τὸν Τελαμῶνος Αἴαντα κατὰ σύγκρισιν τῶ Ὀϊλιάδη· ἐκεῖνος γ᾽ μικρότερος· „μείων, οὔ τι τόσος γε ὅσος Τελαμώνιος" (Il. 2, 528). A.

117. θαρσύνονθ᾽ ἑτάρους: ἔνδειξις καὶ τοῦτο τῆς Αἴαντος ἀρετῆς, εἰς μάχην προτρεπομένη ἕσπερ Ἀπόλλων φοβεῖ. B.

118. θεσπέσιος ὁ ἐκ θεῦ τοῖς ἀνθρώποις ἐμπίπτων. B.

120. Αἴαν: βραχὺς ὁ λόγος τοῦ σπεύδοντος πρὸς τὴν συμμαχίαν. V.

121. προσέθηκεν Ἀχιλλεῖ εἰς μείζονα προτροπήν· καὶ γ᾽ αἰσχρὸν ἦν τῷ Αἴαντι μάλιστα ὑπὸ Ἀχιλλέως καταγνωσθῆναι, μεθ᾽ ὧν ἦν αὐτὸς ἄριστος. A.

123. θυμὸν ὄρινε: ἐλυπήθη μέν, ἐ συγκέχυ᾽ δέ, ὡς Ἀντίλοχος τῇ ἀφωνίᾳ συνεχέθη. BV.

125. ἡ διπλῆ, ὅτι ἔοικε παρεπιτιμῶντι ὁ Ἀρίσταρχος τῷ Ὁμήρῳ· ἐ γ᾽ αὐτὸς ἦν ὁ Ἕκτωρ ὁ σκυλεύσας τὸν Πάτροκλον, ἀλλ᾽ ἀπ᾽ αὐτοῦ περιόντος ἀφείλετο τὰ ὅπλα οὕτως Ἀπόλλων, ὁ δὲ αὐτὸν γυμνὸν ἔτρωσε· „λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων" (Il. 16, 793). ὁ δὲ Διονύσιος τὸ σημεῖόν φησιν, ὅτι ἥλακε᾽ πτῶσις „Πάτροκλον ἐπεὶ κλυτὰ τεύχε᾽ ἀπηύρα" ἀντὶ τῦ Πατρόκλε. A.

ἀντὶ τοῦ Πατρόκλου Ἀττικῶς κατεχρήσατο. πῶς δὲ Ἀπόλλωνος σκυλεύσαντος περὶ Ἕκτορός φησιν.; ἢ τάχα περὶ μόνων τῶν κνημίδων φησίν. ἢ ὡς Ὀδυσσεύς φησι „σκοπὸν εἴλομεν" (Il. 10, 561) κατὰ συνεκδοχήν, ἕτω καὶ Ἀπόλλωνος ἀφῃρημένε τὸν κοινωνὸν τῶν κατορθωμάτων συναριθμεῖ. B.

126. η διπλῆ, ὅτι νῦν οἰκείως ἔχει τὴν ὄρεξιν ταύτην ὁ Ἕκτωρ ἴλκειν, ἵνα ἀφέλη᾽ τὴν κεφαλήν, τὸ δὲ σῶμα τοῖς κυσὶ ῥίψῃ· ᾠδέπω γ᾽ ὁ Γλαῦκος ὠνείδισεν αὐτὸν ὡς ἀμελήσαντα τῶν συμμάχων, ὅτι τὸ Σαρπηδόνος σῶμα ὑπὸ τοῖς Ἀχαιοῖς ἀφῆκε γενέσθ᾽· δεῖν ἓν πολεμήσαντα καὶ ἀνθελκύσαντα τὸν Πάτροκλον ῥυσιάσαι, μέχρι ἂν ἀποδῶσιν ἐκεῖνοι τὸν νεκρὸν τῷ Σαρπηδόνος καὶ τὰ τεύχη, ἀντικομιζόμενοι τὸν Πάτροκλον· δοκῶσι γ᾽ τὸν Σαρπηδόνα ὑπὸ τῶν Ἀχαιῶν ἥρθαι καὶ κεῖσθαι ἐπὶ τῶν νεῶν, ἐκ εἰδότες ὅτι ὑπὸ Ἀπόλλωνος εἰς Λυκίαν ἀναρπασθεὶς ἀποκεκόμισαι. ὁ δὲ Ὅμηρος, ἵν᾽ ἐπιφανῇ τὸν ἀγῶνα ποιήσῃ τὸν ἐπὶ τοῦ σώματος Πατρόκλε, ταῦτα ὑπέθετο. οἵ τε γ᾽ Τρῶες ὡς ὑπὲρ Σαρπηδόνος κινδυνεύειν κρίνουσιν, οἵ τε Ἀχαιοὶ τὸν Σαρπηδόνα ἐκ ἔχοντες μάχον᾽ ὑπὲρ τῆς αἰκίας τῦ Πατρόκλε. χαλεπὴ ἡ αἰκία, καὶ συγγνωστὸς ὁ Ἀχιλλεὺς αἰκιζόμενος τὸν Ἕκτορα ὑπεκδικίᾳ τῦ φίλε· χαλεπώτερον γ᾽ τὸ ἄρξαι τινὸς ἀδικήματος. A.

127. τὸν δὲ νέκυν: εὔλογον προκατασκευάζει τὴν εἰς τὸν Ἕκτορα αἰκίαν, λέγων ὅτι αὐτὸς ταύτην διαθεῖναι περὶ τὸν Πάτροκλον ἔσπευσεν. B.

128. Αἴας: εὐκαιρότατα ἔρχεται Αἴας ἤδη μέλλοντος Πατρόκλε σύρεσθαι. V.

131. Τρωσὶ φέρειν προτὶ ἄστυ: ἀντίθες τῷ κατὰ τὸν Μενέλαον. ὁ μὲν ἀναχωρεῖ συμμαχίαν προσκαλεσόμενος, ὁ δὲ ἐχ ἵνα ὠφελήσῃ τὲς φίλες, ἀλλ᾽ ἵνα κοσμήσῃ᾽ τοῖς ὅπλοις, ὥσπερ μειράκιον ἐπὶ ξολῇ αὐχῶν (εἰς πομπὴν μέλλον προϊέναι V). BV.

132. Αἴας δ᾽ ἀμφὶ Μενοιτιάδῃ: ἕτος ὥσπερ τεῖχος εἰς σκέπην τῷ σώματι τῦ Πατρόκλου τὸ σάκος προβέβληται. A.

133. ὥς τίς τε λέων: ἐπὶ μὲν τῆς προτέρας παραβολῆς (4) ἀντὶ τοῦ κυρίου τῷ τῆς μητρὸς ἐχρήσατο ὀνόματι· ἐπεὶ δὲ ἀπεμφαῖνον ἦν ἐνταῦθα κατὰ τοῦ λέοντος χρήσασθαί τινι τοιούτῳ, τῷ μὲν κυριωτέρῳ κέχρηται κατὰ τότε, τὲς δὲ σκύμνες αὐτῦ τέκνα ὀνομάζει τῷ φιλοσόργῳ ὀνόματι. καλῶς δὲ καὶ νήπια ποιεῖ τὰ τέκνα· μείζων γ᾽ ἡ περὶ τούτων φροντίς. φασὶ δὲ μὴ σκυμναγωγεῖν τὸν λέοντα. ἴσως ἓν τὴν Θηλειάν φησιν· ἐκ οἶδε γ᾽ Ὅμηρος τὸ λέαινα· διὸ φθάσας εἰπεῖν λέων ὅλα ἀρσενικῶς ἐπάγει. καὶ ἀλλαχῦ „ἐπεὶ σε λέοντα γυναιξὶ Ζεὺς ἔθηκε" (Il. 21, 483). A.

ἐπὶ μὲν τῆς Μενελάε εἰκόνος τὴν φιλοσοργίαν τῆς βοὸς παρέλαβεν, ἐπὶ δὲ τῆς τῦ Αἴαντος τὸ ἄλκιμον. A.

134. 135. 136. παρὰ Ζηνοδότῳ καὶ ἐν τῇ Χίᾳ ἐκ ἦσαν οἱ γ᾽ ςίχοι. ἴσως, φασὶν ἔνιοι, ὅτι οἱ ἄρσενες λέοντες ἐ σκυμναγωγῦσιν, ἀλλὰ θήλειαι μόναι. κατὰ δὲ τὸ ἀρσενικὸν καὶ ἐπὶ τῆς Θηλείας τέτακ᾽ ὁ λέων, καὶ ἔςιν ἐπίκοινον. ἔςι γάρ τινα ὀνόματα ἀρσενικὰ ἃ καὶ ἐπὶ θηλυκῶν τάσσε᾽, καὶ θηλυκὰ ἃ καὶ ἐπ᾽ ἀρσενικῶν, οἷον ἱέραξ μὲν καὶ ἐπ᾽ ἄρσενος καὶ θηλείας τάσσε᾽, πάρδαλις δὲ θηλυκὸν ὄνομα καὶ ἐπ᾽ ἀρσενικῦ τίθε᾽. ἐκῦν κατὰ μὲν τὴν ἡμετέραν συνήθειαν λέων μὲν λέγε᾽ ὁ ἄρσην, λέαινα δὲ ἡ θήλεια· κατὰ δὲ τὸν Ὅμηρον μήπω τὴν λέαιναν εἰθίσαι, ἀλλὰ τὸ ἀρσενικὸν μόνον· διὸ εἶπεν ἀρσενικῷ ἄρθρῳ χρώμενος „ᾧ ῥά τε νήπι ἄγοντι," ἐχὶ ἧ ῥά τε νήπι᾽ ἀγέσῃ. ὁ δὲ Ἀντίμαχος ἐκ τούτου πλανηθεὶς ᾠήθη καὶ τὸν ἄρσενα σκυμναγωγεῖν. τὸ μέγεθος δὲ Αἴαντος ὑποφαίνει ἡ παραβολή. A.

134. νήπι᾽ ἄγοντι: φυσικὴν οἶδε τὴν τῶν τέκνων φιλοσοργίαν. καὶ ἐπὶ μὲν ὀρνίθων φησὶν „μάσαχ᾽ ἐπεί κε λάβῃσιν, ἀπτῆσι νεοσσοῖς προφέρε᾽" (Il. 9, 324)· ἐπὶ κυνῶν „ὡς δὲ λέων ἁμαλῇσι περὶ σκυλάκεσσι" (Od. 20, 14)· ἐπὶ

θρεμμάτων „ὥς τίς τε περὶ πόρτακι μήτηρ" (4)· ἐπὶ θηρίων ἀγρίων, ὡς νῦν. B. σημειωτέον δὲ ὅτι ᾗ οἱ ἄρρενες τῶν λεόντων σκυμναγωγῶσιν. D.

135. ἐπακτῆρες: κυνηγοί, ἀπὸ τοῦ ἐπάγειν (ἐπάγεσθαι D) τὰς κύνας. AD.

136. ἐπισκύνιον: τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος, ἤτοι τὸ τῆ δέρματος (ἤτοι δέρμα τὸ D) συνοφρύωμα τοῦ μετώπου. ὅθεν ᾗ σκύζεσθαι τὸ ὀργίζεσθαι, διὰ τὸ ἐνδιάθετον γίνεσθαι τῆτο τὸ μέρος τοῖς ὀργιζομένοις. ABD.

ἄλλως. ἰσύρηται τῆτο ἐπὶ τῆς ἀληθείας· φασὶ γάρ, ὅταν ἐμπίσῃ λέων ἔχων σκύμνας, μαχόμενον αὐτὸν πρὸς τοὺς κυνηγοὺς κατανεύειν ᾗ καλύπτειν τὰ φάη, ὅπως μὴ θεωρῶν τὰ ἐπιφερόμενα βέλη δειλιάσας καταλίπῃ τὸ τέκνον. A. ὑπερέβαλε δὲ ὁ λόγος ᾗ τὴν γραφικήν. V.

ἕλκεται ἴφη ἀντὶ τῆ ἕλκει. καλύπτων δέ, ὁ λέων· διὸ ᾗ διὰ τῆ ῶ γράφεσθαι συνεφώνων ἅπασαι. A.

139. ἐσήκει: ἔξω τῆ ῑ. A.

140. Γλαῦκος: εἰκότως διὰ τὸν Σαρπηδόνα. V.

142. Ἕκτορ: μάλιστα τὸν Ἕκτορα ἔμελλε κινεῖν, ᾗ τῆτο ἦν ἀναγκαῖον τῆτῳ πρώτῳ χρῆσθαι. A.

μάχης ἄρα πολλὸν ἐδεύετο: δειλίαν αὐτῷ ὀνειδίζει, ᾧ μάλιστα αὐτὸν κινεῖν ἔμελλεν. ἐπεὶ δὲ δικαίως ἀγανακτεῖ, φέρει αὐτὸν ὀνειδίζοντα. B.

143. φύξηλιν: παράγωγον ἀπὸ τοῦ φύξω μέλλοντος, φυγάδα ὄντα ᾗ δειλόν. ᾗ τὸ φεύγειν ᾗ τὸ ἀλέσθαι ἔγκειται ἐν τῇ λέξει. περισπαστέον δὲ τὸν ῆ, εἴτε θαυμαστικῶς εἴτε βεβαιωτικῶς κεῖται. A.

φύξηλίς ἐστιν ὁ φεύγων τὰς ἴλας, δειλὸς δὲ ὁ δεδιὼς τὰς ἴλας, μενεδήϊος δὲ ὁ ὑπομένων τὴν δηϊοτῆτα, ἐθλὸς δὲ ὁ ἐθέλοντὴς μαχόμενος, οἱονεὶ ἐθελός. ὁ δὲ ἐναντίος „ἐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ" (Il. 9, 353) ἀντὶ τῆ ἐχ ὑπέμεινεν ἄποθεν τῶν τειχῶν μάχεσθαι. ἔτως ἔχει καὶ τὸ „ᾗ σ' αὖτως κλέος ἐσθλὸν ἔχει φύξηλιν ἐόντα." τῆ δὲ φύξηλιος „ἐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων" (Il. 12, 247)· ᾗ τὸ „οἷον ἀναΐξας ἄφαρ οἴχεθ', οὐδ' ὑπέμεινεν· ἐ μὲν γάρ τοι κακὸς εἰς ὦπα" δηλοῖ οὐχ ὑπέμεινε γνῶναι ἔτε ἡμᾶς αὐτὸν ἔτ' αὐτὸν ἡμᾶς. B.

144. σαώσεις: ἔτως Ἀρίσαρχος. ἄλλοι δὲ σαώσῃς διὰ τῆ ῃ. A.

146. οὐ γάρ τις: ὅρα τὴν τάξιν τῆ λόγου ᾗ τὴν τομήν. πρῶτον ἔθηκε τὸ κατὰ τὸν Ἕκτορα, ὡς ἀφέσηκε τῆς μάχης ᾗ ἀμελεῖ τῶν συμμάχων· εἶτα ἐπάγει τὸ καθ' ἑαυτόν, ὡς δίκαιον ποιῶν εἰ ἀποσαίη ᾗ αὐτὸς μετὰ τῶν Λυκίων· καὶ τὴν αἰτίαν ἐπεξεργάζεται, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν. B.

οἱ γρατιῶ φησίν, ὁρῶντες τὰς τελευτήσαντας ἀνεκδικήτες ἀποσήσονῦ τῆ κινδύνου," ἐπεὶ οὐκ ἔστι χαρισέον σοι τῆτο. τὸ γῦ ἐκ ἄρα ἀντὶ τῆ ἐχ ὡς ἐοικός· „ἐκ ἄρα μῦθον ἔην ἐρίδων γένος" (Hesiod. O. 11) „οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ" (Od. 17, 454). ἀντὶ τῆ ὡς ἔοικε γάρ ἐστι τὸ ἄρα· οἷον ἐ γάρ ἐστί σοι τῆτο εἰς χάριτος τάξιν. ᾗ ἐδὲν αὐτοῖς χαρίζῃ. B.

149. πῶς κε σὺ χειρονα: ὁ γῦ τῆ βασιλέως πεσόντος ἀμελήσας ποῖος φανεῖῦ περὶ τὰς ἐκείνε χείρονας; τὸ δὲ μεθ' ὅμιλον οἱονεὶ ἐν πολέμῳ ᾗ ἐκ πολέμε. BV.

διὰ τῆ ν̄, μεθ' ὅμιλον. παρὰ δὲ Ζηνοδότῳ μεθ' ὁμίλε· ᾗ λόγον ἔχει ἀντὶ τῆ ἔξω ὁμίλε. A.

150. ἀγνοοῦσι τὰ ᾠκονομημένα περὶ τοῦ Σαρπηδόνος Ἀπόλλωνι. A.

151. τὸ κάλλιπες τὸν ἐθελόκακον δηλοῖ. πῶς δὲ δίκαιον τὸν ξένον, τὸν φίλον, τὸν σύμμαχον περιορᾶσθαι; A.

ἕλωρ: ἀναίρεμα. V. ᾗ διπλῆ, ὅτι τὰ ἑλώρια ἐκ ἔστι βρώματα, ὡς οἱ γλωσσογράφοι, ἀλλ' ἑλκύσματα. A.

152. πόλλ' ὄφελος: πολλαχῶς ὠφέλημα. A.

πολλάκις, πολλαχῶς. ᾗ λείπει ᾗ κατά. B.

153. ᾗ διπλῆ, ὅτι ὑπόνοια τοῖς Τρωσὶν ἐγένετο ὡς κυνοβρώτε τῆ σώματος ἐσομένε, εἰ μὴ τὸν Πάτροκλον ἀνθελκύσαιεν ᾗ ὑφ' αὑτὸς ἔχοιεν εἰς ἀνταπόδοσιν τὴν περὶ Σαρπηδόνος· ἄριστος γῦ ἦτος, ὥστε μὴ ἀμεληθῆναι τὴν ἀναμοιδὴν τῆ σώματος αὐτῆ, ἐξ ἧ συνέβαινεν ἀνταποδίδοσθαι τὸν Σαρπηδόνα. διὸ ἐπιφέρει „τοίου γῦ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος Ἀργείων παρὰ νηυσί." A.

ἄλλως. ᾗ διπλῆ, ὅτι Ζηνόδοτος γράφει κύον ἔτλης ἄλογον δέ. A.

154. ἤτοι ὑποσικτέον ἀνδρῶν, ἵνα εἰζώμεν ἴμεν, ὁ δὲ λόγος εἴη, διόπερ εἴ τίς μοι πειθοίη τῶν Λυκίων, οἴκαδε πορευσόμεθα· ᾗ ὑποσικτέον ἐπὶ τὸ ἴμεν, ἵν' ᾗ ἀπαρέμφατον, ὁ δὲ δέ σύνδεσμος περισσεύῃ, Τροίῃ δέ, τοῦ λόγου τοιᾶτε γινομένε, διόπερ νῦν εἴ τίς μοι πειθοίη τῶν Λυκίων οἴκαδε ὑποζρέφειν, ἀπόλοιτο ἂν ᾗ Τροία. A.

155. ἴμεν: γράφεται ἴω. V.

τὸ πεφήσεται ἐκ ἔστιν ὅμοιον τῷ „πέφαῦ δ' ὦρισε Ἀχαιῶν" (689), ἀλλὰ πεφήσεται ὄλεθρος φανήσεται. A. προφανὴς γενήσεται. B.

156. εἰ γὰρ νῦν: ἀπειλήσας τὴν ἐπάνοδον πάλιν πρέπει ἐπὶ τὴν βοήθειαν, ὀργιζομένε ᾗ κηδομένε ἐμφαίνει ἦθος. λεληθότως δὲ ᾗ Τρώων καθάπτεται. B.

161. ἔτως διὰ τῆ η̄, τεθνηώς. A.

καί μιν ἐρυσαίμεθα χάρμης· ᾗ διὰ μάχης αὐτὸν ἐξελκύσαιμεν. AV.

163. λύσειαν: ἀνταποδοῖεν. B.

ᾗ διπλῆ, ὅτι ἐκ ἴσασιν οἱ περὶ τὸν Γλαῦκον εἰ ἀποκόμισαι ὁ Σαρπηδὼν εἰς Λυκίαν ὑπὸ τῆ ὕπνε ᾗ τῆ θανάτε· διὸ φησιν ἀντιρυσιάσαι τὸν Πάτροκλον ἕως ἂν κομίσαι τὸν Σαρπηδόνα. A.

ὅτι ἐπ' ἀψύχων τὸ ἀγοίμεθα. A.

ἄλλως. διὰ τὸν Πάτροκλον ταχέως ὢν ἀπολυτρωθείη σῶμα τῆ Σαρπηδόνος. πῶς; διδάξει διὰ τῶν ἐπιφερομένων „τοίῃ γῦ θεράπων πέφατ' ἀνέρος." ἐκ ἂν ἐναδιαφοροίη τῇ αἰκίᾳ τῆ Πατρόκλου διὰ τὸ εἶναι αὐτὸν ὑπερέχοντος ἀνδρὸς θεράποντα, ἀλλὰ ταχέως ἂν ἀπολυτρώσαιεν τὸν Σαρπηδόνα, ἵνα ᾗ αὐτοὶ κομίσωνῦ τὸν Πάτροκλον. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

164. ὃς μέγ' ἄριστος: ἀξιόπιστα τὰ ἐγκώμια ὑπὸ πολεμίᾳ λεγόμενα. τεχνικῶς δὲ μέγα δείκνυσι τὸ κατόρθωμα, μᾶλλον προτρέπων αὐτές. B.

165. ἀγχέμαχοι: γενναῖοι ὥσε ἐγγὺς ἑξῶτες ἀλλήλων μάχεσθαι. D.

166. οὐκ ἐτάλασσας: ἐχ ὑπέμεινας. ἀπὸ τέτου καὶ τλήμων ὁ ὑπομενητικός. A.

167. στήμεναι ἄντα: ἐ μόνον ἐκ ἀντιςῆναι ἠδυνήθης, φησίν, ἀλλ' ἐδὲ ἀντιβλέψαι. B.

δηΐων ἐν ἀϋτῇ: ἐν τῇ πρὸς τὲς πολεμίες μάχῃ. V.

170. ἐκ εὐπορῶν ἀπολογίας ὡς ὑβρισμένος μὲν ἀγανακτεῖ, πρὸς δὲ τὰ κατηγορηθέντα ἐδὲν ἀποκρίνεθ, κ τὴν αἰτίαν ψεύδεθ, εἰς τὸν Δία τὸ ὅλον ἀναφέρων. B.

171. ὦ πόποι: παρὰ Ζηνοδότῳ ὦ πέπον, ἐ κακῶς. A.

172. μεμείωκε τὴν ἔμφασιν, κ τὰ τοιαῦτα εἴωθεν ἀθετεῖν ὁ Ἀρίσαρχος. A.

173. παρὰ Ζηνοδότῳ νῦν δέ σε, ἔξω τῦ ν. A.

ὅτι νῦν μὲν ὀρθῶς ἔχει, ἐν δὲ τῇ Ξ (95) κακῶς ἐντεῦθεν μετενήνεκται. A.

174. μέφηις: ἀξιοῖ ὁ Ἀσκαλωνίτης ἀναγινώσκειν δισυλλάβως ἐπὶ ὁρίσε χρόνε, ὁ μέντοι Ἀλεξίων μονοσυλλάβως ἐπὶ ἐνεςῶτος χρόνε· διὸ κ σὺν τῷ ῑ γράφεσθαι. τῦτο δὲ ἀπαιτεῖ κ ἡ διάνοια. κἀγὼ δὲ συγκατατίθεμαι. διὸ ἐν τῇ συντάξει ἐγκλιτέον· ὀξύνεται γὰρ ἐπὶ ἐνεςῶτος χρόνε. A.

176. αἰγιόχοιο: γράφεται ἠέ περ ἀνδρός. A.

178. παρὰ Ἀριςοφάνει τότε δ' αὐτός. A.

ἡ διπλῆ, ὅτι ἀκαταλλήλως κ ἰδίως ἐπενήνοχε τὸ ὅτε δ' αὐτός· ἔδει γ' ἢ ἕτως εἰπεῖν, τότε δ' αὐτὸς ἐποτρύνει, ἢ προσληπτέον ἔξωθεν τὸ ἔχιν, ὥσε γίνεθαι τὸ πλῆρες ἔχι δ' ὅτε κ αὐτὸς ἐποτρύνει μάχεσθαι. A.

179. ἀλλ' ἄγε: ὅρα ἃ ἐπαγγέλλεθ καὶ τί μέλλει ποιεῖν. V.

181. τὸ ἑξῆς ἕτως, ἤ τινα κ μεμαῶτα ἀμυνέμεναι χήσω τῆς ἀλκῆς. B.

186. ὄφρ' ἂν ἐγὼν: προσεδόκησεν ἄν τις αὐτὸν δυσωπηθέντα τὲς λόγες καὶ κινηθέντα ἐπὶ τῷ πράγματι, οἷς αὐτὸς ἐπηγγείλατο, ἐμμένειν. ὁ δὲ ἐπιλέλησαι μὲν ὧν αὐτὸς εἶπεν, ἠμέληκε δὲ τῶν ὀνειδῶν, περὶ δὲ τὸ κοσμεῖθ γίνεται (ἐπὶ δὲ τὴν ἑαυτῦ ἐπιθυμίαν ἑλκύεθ B). AB.

ἄλλως. ἕτος ἀλαζονεύεθ μηδὲν ἀξιόλογον δεδρακώς· διὸ ἐπιμελῶς χαρακτηρίζει τὲς βαρβάρες, τοιύτες παραδιδές. ἐνταῦθα μὲν ἓν ὀρθῶς ἔχει τὰ λεγόμενα, ἀνωτέρω δὲ ἐκέτι· αὐτὸς γ' ἦν Ὅμηρος ἰσορῶν „Ἕκτορ μὲν Πατρόκλοιο ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα, ἕλχ' ἴν' ἀπ' ὤμοιν" (105). A.

189. θέων δ' ἐκίχανεν ἑταίρας: ἔπεμψε μὲν τὲς φέροντας τὰ ὅπλα, μὴ δυνηθεὶς δὲ πρὸς τὴν ἐπιθυμίαν ἐντυχεῖν μετανοεῖ κ σπεύδει καλλωπίσαθαι, διὰ τῶν θείων ὅπλων δύξαν κ φυλακὴν παρέχων ἑαυτῷ, θέλων τε τὲς Τρῶας ἐτιρῶσαι καὶ τὲς Ἀχαιὲς φοβῆσαι. ἅμα δὲ καὶ ἀποδοθῆναι θέλει τὰ ὅπλα τῷ Ἀχιλλεῖ ὁ ποιητής. B.

τὸ ἑξῆς ἐςὶ „θέων ἐκίχανεν ἑταίρας, ὥκα μάλα κραιπνοῖσι ποσὶ μετασπών." τετέςι μετελθὼν αὐτές, ἀπὸ τοῦ σπέθαι κ ἕπεθαι, μετ' αὐτὲς ἀκολυθήσας. A.

190. βραχὺ διασαλτέον ἐπὶ τὸ μάλ', τῆλε. A.

ὅπω τῆλε: αὕτη αἰτία ἀποδέδοθ τῷ ὠκὰ αὐτὲς κατειληφθαι· ὅπω γ' ἦσαν τῆλε αὐτοῦ καὶ μακρὰν κεχωρισμένοι. A.

μετασπών: ὡς καταλαβών· ἔςι γ' δεύτερος ἀόριςος. ἀδεμία δὲ μετοχὴ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, ὅτι μὴ μόνη ἡ ἀέκων, περὶ ἧς ζητῦμεν. A.

τινὲς ἐβάρυναν, ἐκ εὖ· ἀδεμία γ' μετοχὴ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, εἰ μὴ ἡ ἄκων. B.

ἐάλωκεν ἕτος τῷ ἐξαιρέτῳ τῶν ὅπλων κάλλει, καὶ νυνὶ μετὰ πάσης σπεδῆς ἐπείγεθ καταλαβεῖν τὲς φέροντας, μὴ φθάσωσιν εἰς τὴν πόλιν πορευθέντες. μετενόησε δὲ κρατόμενος ὑπὸ τῆς ἐπιθυμίας. A.

191. Πηλείδαο: ἐν ἄλλῳ Πηλείωνος. A.

193. ὅτι θηλυκῶς εἶπε τὴν Ἴλιον. A.

197. γηράς: ἀποκοπὴ τῦ γηράσας, ὡς τὸ ὑποφθάς ἀντὶ τῦ ὑποφθάσας κ ἐπιπλώς. τινὲς δὲ ἀπὸ τῦ γήρημι, ὡς κίχρημι. ὅθεν καὶ τὸ „γηράντεσσι τοκεῦσι" (Hesiod. O. 186)· παρατάσεως γ' μᾶλλόν ἐςιν ἢ συντελείας, γηρῶσι τοῖς γονεῦσι κ ἐν παρατάσει ὄσι τῦ γηρᾶν, ἐχὶ τέλος λαβῶσι τῦ γήρως· ὁ γ' τέλος λαβὼν τέθνηκε. κ ἐνθάδε ἀντὶ τὸ γηράς ἀντὶ τῦ γηρῶν, ἐ γηράσας. B. κ κ' ὥρινα βροντᾶς ἀντὶ τῦ βροντήσας. V.

ἡ διπλῆ, ὅτι ἔτως εἰώθασι χηματίζειν, ἀντὶ τῦ γηράσας. περιπαθὲς δὲ τὸ δυσγχέρερον εὑρίσκεσθαι τῦ πατρὸς τὸν υἱόν. A.

198. τὸν δ' ὡς: ἐλέγξαι βυλόμενος τὴν κενοσπυδίαν Ἕκτορος ἐκ τῦ ἰδίε προσώπε τὸν λόγον ἐποιήσατο· ἐφαίνετο γ' ἂν πρὸς ἀπέχθειαν κατηγορῶν. περιθεὶς δὲ τῷ Διὶ τὲς λόγες ἀξιοπιςότερον τῦ βαρβάρε κατηγόρησεν. B.

201. ζητεῖ ὁ Ἡρωδιανὸς ἐν τῷ α' ὑπομνήματι τῦ περὶ παθῶν Διδύμε περὶ τῦ ἀ δειλ', πῶς δεῖ τονίζειν αὐτό, καί φησι, πολὺ δὲ πρότερον παρὰ τῷ ποιητῇ ἐςὶ τὸ τῆς ἀναγνώσεως, ἀ δειλ' ἐδέ τί τοι θάνατος, ἢ ἀ δειλ' ἐδέτι τοι θάνατος. τὸ γ' πλῆρές ἐςιν ἀ δειλέ· ἐ γάρ, ὡς οἱ ἐξηγησάμενοι, τῦ δείλαιε ἀποκοπή· ἐν ἑτέροις γ' αὐτὸς λέγει „ἀ δειλοὶ τί νυ δάκρυα κατείβεται". περιγέγραπται ἐν ἡ ὀξεῖα, εἶτα κ ἀνάπαυσις γέγονεν. ἀρά γε ἐν φυλαχθήσεθ ἡ ὀξεῖα, ἢ ἐπεὶ περιγέγραπ τὸ φωνῆεν τῆς ὀξείας, περιγέγραπ κ ὁ τόνος; τὸ κρινόμενον ἐκεῖνο, ἵνα ἐπιςάμενοι ἀναγνῶμεν· ἓν ἐςιν εἰπεῖν, εἰ ἅπαξ περιγέγραπ τὸ φωνῆεν τὸ ἔχον τὴν ὀξεῖαν, ὁ τόνος γενέσω τῆς προτέρας συλλαβῆς, ἐχὶ τῆς ἐπὶ τέλες. A.

ἄθλιον καλεῖ τὸν Ἕκτορα τῶν μελλόντων ἀνόητον ὄντα. ὁπότε ἓν παρεισῆκ αὐτὸς ὁ Ζεὺς καταμεμφόμενος τῷ Ἕκτορος τὴν ἀλαζονείαν, διδάσκει Ὅμηρος καθ' αὐτὸν ἕκασ ν φρονεῖν κ μὴ τὰ μείζονα τῆς ἑκάσε φύσεως ἐπτοῆθ. A.

σχετλιάζων ἐπὶ τῷ ἐπάρματι τῆς εὐτυχίας διδάσκει μετριάζειν. B.

ἡ διπλῆ, ὅτι οὕτως εἴρηκε καταθύμιος, ἀντὶ τοῦ κατὰ ψυχήν ἐστιν, οὐ μεριμνᾷς περὶ τοῦ θανάτου. ἡμεῖς δὲ ἐν τῇ συνηθείᾳ λέγομεν καταθύμιον τὸ ἀρεστόν. A.

202. οὐχ οὕτως παρείληπται ὡς ἡμεῖς ἐν τῇ συνηθείᾳ τάσσομεν διστακτικῶς τὸ χεδόν, ἀλλ' ἀντὶ τοῦ ἐγγύς. αἱ δὲ Ἀριστάρχου ὃς δή τοι χεδὸν εἶσι. A.

204. ἐνηέα: τὸν προσηνῆ, τὸ ἐναντίον τῷ ἀπηνεῖ. ὁ δὲ Ζώϊλος τὸ ἐν τῇ Ὀδυσσείᾳ (8, 200) „χαίρων οὕνεχ' ἑταῖρον ἐνηέα λεῦσσ' ἐν ἀγῶνι" ὡς ὄνομα ὑπέλαβεν. A.

205. οὐ κατὰ κόσμον: ἐπεὶ μὴ ἀνελὼν τὸν Πάτροκλον τὰ ὅπλα φορεῖ. A. Πηλεῖ γὰρ καὶ τοῖς Πηλέως ἐπέβαλεν αὐτὰ φορεῖν, οἷς ἔδωκαν οἱ θεοί. V.

ἰδοὺ καὶ αὐτὸς ὁ Ζεὺς λέγει ὅτι Ἕκτωρ ἀφείλετο τὰ ὅπλα, αὐτῷ δὲ ἐπιτιμᾷ ὁ Ἀρίσταρχος. A.

207. τῶν ποινὴν: εἰ καὶ ἔμελλέ τις τῶν ἀκουόντων ὀργισθήσεσθαι καὶ ἀγανακτήσειν ἐπὶ τῷ τὸν Ἕκτορα χρῆσθαι τοῖς ὅπλοις, μαθὼν δὲ ὅτι καὶ οὐκ ἐπὶ πολὺ φορέσει, κἂν ἠλέησε τὸν Ἕκτορα. AB.

πάθος ἐργάζεται ταῖς ἀλλοτρίαις συμφοραῖς συναλγοῦν τὸ πρόσωπον. ἡ φιλανδρία δὲ Ἀνδρομάχης δείκνυται, εἰωθυίας ὁπλίζειν Ἕκτορα. B.

208. δέξεται: καὶ τοῦτο ἠθικόν, ὅτι οὐ φθάσει πρὸς τοὺς οἰκείους καλλωπίζεσθαι τοῖς ὅπλοις, οὗπερ ἐπεθύμει ὁ Ἕκτωρ. A.

νεῦσε Κρονίων: τραγῳδίαν ἔχει τὸ ἐπὶ κυρώσει μεγάλων παθῶν νεῦμα. ἐπένευσεν οὖν ἵνα νικήσῃ· τὸ γὰρ ἀποθανεῖν ἐπέπρωτο. B.

210. ἥρμοσε τεύχε': τὸν Δία ἀκουστέον ἁρμόσαι τὰ ὅπλα τῷ Ἕκτορι, οὐ τὰ ὅπλα συγκαθίσαι· οὐ γὰρ Ἀχιλλεῖ ὁ Ἕκτωρ ἰσομεγέθης. B. πολλοὶ δὲ κέχρηνται τοῖς ὅπλοις τούτοις, Πηλεύς, Ἀχιλλεύς, Πάτροκλος, Ἕκτωρ· καὶ πᾶσιν ἁρμόζουσι. φύσις γὰρ αὕτη τῶν Ἡφαιστοτεύκτων, τὸ πᾶσιν ἁρμόδια γίνεσθαι. V.

δῦ δέ μιν Ἄρης: εἰσῆλθεν εἰς αὐτὸν ὁ Ἄρης διά τε τὴν Διὸς ἐπίνευσιν καὶ τῶν ὅπλων χάριν. Ἄρης δὲ πολέμου ἔρως. B.

211. ἐνυάλιος: φονικός, παρὰ τὸ ἔνω τὸ φονεύω καὶ τὸ ἅλις. ἀπὸ δὲ τοῦ ἔνω καὶ τὸ αὐθέντης συντέθειται. B.

ἡ διπλῆ, ὅτι ἐπιθετικῶς ἀπὸ τῆς Ἐνυοῦς πολεμικῆς οὔσης ὁ Ἄρης Ἐνυάλιος, ὡς καὶ Ἀρήϊός τις ἀπὸ τοῦ Ἄρεως· οὐχ ὡς οἱ νεώτεροι Ἐνυοῦς υἱόν, οὐδὲ Ἀττικοί, ὡς διαφέροντα τοῦ Ἄρεως θεόν τινα. A.

213. ἰνδάλλετο: ὡμοιοῦτο Πηλείωνι. οὕτως Ἀρίσταρχος. V.

214. αἱ κοιναὶ ἐκδόσεις ἔχουσι μεγαθύμου Πηλείωνος, καὶ ἀκόλουθόν ἐστι συνάπτειν ὅλον τὸν στίχον, ἡ δὲ Ἀριστάρχειος διόρθωσις κατὰ δοτικὴν ἔχει μεγαθύμῳ Πηλείωνι· ᾗ ἀκόλουθόν ἐστι βραχὺ διαστέλλειν ἐπὶ τὸ λαμπόμενος. A.

οὕτως Ἀρίσταρχος κατὰ δοτικήν· ἄλλοι δὲ μεγαθύμου Πηλείωνος. A. Ζηνόδοτος Πηληϊάδεω Ἀχιλῆος. V.

215. Ζηνόδοτος ὄτρυνεν. A.

ἀκόλουθον ἦν ὡπλισμένον πολεμεῖν, καὶ τοῦτο δὴ ἀκόλουθον τῇ τοῦ Ἕκτορος ἀλαζονείᾳ, πρότερον περιελθόντα ἕκαστον ἐνδείξασθαι τὴν κτῆσιν τῶν ὅπλων καὶ φανῆναι ὅμοιον τῷ Ἀχιλλεῖ. A.

προπαρασκευή τις τῆς μάχης ἔοικε γίνεσθαι ὑπὸ τοῦ ποιητοῦ· ἅμα δὲ καὶ ἀκόλουθον τῇ κενοδοξίᾳ Ἕκτορος τὸ καθ' ἕκαστον ἐνδείκνυσθαι τὴν κτῆσιν τῶν ὅπλων καὶ φανῆναι ὅμοιον Ἀχιλλεῖ. ἡδέως δὲ πάνυ καὶ ἀρχαιοπρεπῶς τῇ ἐπαλληλίᾳ τοῦ συνδέσμου ἐχρήσατο (216 - 8). B.

218. Φόρκυν ὡς βότρυν, ἀπ' εὐθείας τῆς εἰς σ̄ ληγούσης· ἡ μέντοι Φόρκυνα αἰτιατικὴ ἀπ' εὐθείας τῆς εἰς ν̄, τὸ δὲ τοιοῦτον ἴδιον ποιητικῆς. οὐχ ὑγιῶς δὲ ὁ Τυραννίων ἐκτείνει τὸ ῡ, ἐπεὶ εὑρέθη, φησί, καὶ ἡ εὐθεῖα ἐκτεινομένη· „Φόρκυς αὖ Φρύγας ἦγε" (Il. 2, 862)· ἐκεῖ γὰρ τὸ μέτρον κατήπειγεν, ἐνθάδε δὲ οὐδὲν κατεπείγει. A.

ὅτι τὸν ἐν τῷ διακόσμῳ Χρόμιν εἰρημένον („Μυσῶν δὲ Χρόμις ἦρχε" Il. 2, 858) νῦν Χρομίον εἴρηκε διὰ τὸ μέτρον. ὁ δὲ Διονύσιος, εἴ τις ζητοίη, φησί, πότερον παραπεποίηται, εἴποιμεν ἂν τὸν Χρομίον· εὔλογον γὰρ ἐκεῖ τὸ ὄνομα πρῶτον. A.

καὶ ἕτερον παραδίδωσιν Ἔννομον, ὑπὸ Ὀδυσσέως ἀνῃρημένον. A.

220. κέκλυτε: ἐπῆρται τῇ εὐτυχίᾳ, καὶ ἄλλως ὑπὸ τοῦ Γλαύκου δεινῶς ὀνειδισθεὶς ἀνταποδίδωσι τοῖς ἐχθροῖς τὴν ὕβριν. παραβάλωμεν δὲ Ἑλληνικὸν καὶ βαρβαρικὸν ἦθος. ἄμφω προτρέπουσιν ἐπὶ τὴν μάχην, Ἕκτωρ καὶ Μενέλαος· ἀλλ' ὁ μὲν οὐδὲ ῥῆμα φιλοφροσύνης εἶπεν, ὁ δὲ „ὦ φίλοι Ἀργείων ἡγήτορες" (248)· καὶ ὁ μὲν δημοσίας τιμῆς καὶ σιτήσεως ὑπομιμνήσκει, ὁ δὲ δώρων καὶ ἐδωδῆς, φορτικὴν καὶ δουλοπρεπῆ ὀνειδίζων αὐτοῖς δόσιν, καὶ ἐκτρίβειν τὸ ὑπήκοόν φησι πρὸς τὸ τούτων χάρισμα, ὁμολογῶν ὅτι ἄκων καὶ μισθῷ προτρέπει· καὶ ὁμολογεῖ ἄχθεσθαι τοῖς λαμβάνουσι, λέγων ὅτι ἐκ τοῦ λαοῦ ὢν εὐποροῦσιν αὐτοῖς ἡ εὐπορία γίνεται· ὁ δὲ καὶ Νέμεσιν προβάλλεται. BV.

221. ἡ διπλῆ, ὅτι ἀπὸ τοῦ γάρ ἤρξατο, ὡς καὶ ἐπ' ἐκείνου „ὦ φίλοι οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος" (Od. 10, 190). A.

ἐπὶ σωτηρίᾳ, φησίν, ὑμᾶς ἤγαγον, οὐ μεγάλην ἐμαυτῷ σπουδάζων περιβαλέσθαι ἀρχήν. V.

224. ἤτοι ὑποστικτέον Ἀχαιῶν, ἢ στικτέον, τοῦ διστιχίου τοῖς ἑξῆς ἐπάνω προσδιδομένου. A.

225. κατατρύχω: καταπονῶ, ὑμῖν δηλονότι δωρεὰς καὶ τὰ ἐπιτήδεια παρέχειν ἀναγκάζω. A. „ἵνα μὴ σὲ κατατρύχω καὶ ἑταίρους" (Od. 15, 309). V.

ἄλλως. ὅρα τὸ αἰσχρόν· κατατρύχεσθαί φησι τοὺς Τρῶας εἰς τὴν τῶν συμμάχων διατροφήν.

226. ἀέξω: ἀγάλλω, λαμπρύνω. V.

227. ἰθύς: κατ' εὐθὺ τῶν πολεμίων. ἄλλως σκόπει τὴν ἄνοιαν· ἀξιοῖ ἀντὶ τῶν τροφῶν ὧν παρέχεν αὐτοῖς, ἀντι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δῦναι τὰς ψυχάς. A.

ἢ ἀπολέσθω: ὡς χαλεπαίνων τῷ ἀδήλῳ τῆς τύχης, τὴν χεῖρω ἐλπίδα πρὸθηκεν. B.

228. ὀαρισύς: ὀαρίζειν κυρίως ἐστὶ τὸ ὁμιλεῖν· νῦν δὲ μεταφορικῶς. τίς ἡ πολέμου ὁμιλία; ἢ ὄλεθρος ἢ σωτηρία. ὁ δὲ λόγος, αὕτη γάρ ἐστιν ἡ τοῦ πολέμου ὁμιλία, ὅ ἐστιν, ἕτως δεῖ ἀναστρέφεσθαι ἐν πολέμῳ καὶ ἀριστεύειν· αὕτη γὰρ καὶ ἀρετὴ πολεμόντων. A.

229. τεθνειῶτα: διὰ τοῦ η Ἀρίσαρχος. A.

230. εἴξῃ δέ οἱ Αἴας: ἐμφαντικῶς ἐκ εἶπε κρατήσει Αἴαντος, ἀλλ' ᾧ εἶξει μόνον, ἀντὶ σύμπαντος τοῦ πλήθους παραλαβὼν αὐτόν, καὶ εἰκότως· κατέπληξε γὰρ αὐτὸν ἐκ τῆς μονομαχίας καὶ τοῦ λίθου τῆς βολῆς. B.

231. τῶν: Ἀρίσαρχος κατὰ δοτικήν, τῷ. A.

οὕτως τῷ Ἀρίσαρχος κατὰ δοτικήν, τῷ ἐρυσσαμένῳ. ἐνάρων δὲ λέγει ὧν περιέκειτο. A.

233. βρίσαντες: ἑαυτοὺς καταβαρύναντες, ςῖφος ποιήσαντες καὶ στερεώσαντες. A. συνασπίσαντες, εἰς τὸ αὐτὸ πάντες ὁρμήσαντες. B.

234. ἕλπετο: ἕτως Ἀριστοφάνης διὰ τοῦ ε· γράφεται καὶ διὰ τοῦ η. A.

ἤθελε: Ἀριστοφάνης δὲ ἕλπετο γράφει. V.

ἐκ ἀπεικότως φησὶν αὐτὸς ἐλπίσαι ταῦτα· πάντες γὰρ ἐλπίζουσιν. ὅρα δὲ πῶς ἀντέθηκε τῷ παντὶ πλήθει τῶν Τρώων τὸν Αἴαντα. B.

236. νήπιοι: ἐπεὶ ἐδειναποίησε τὴν προθυμίαν τῶν Τρώων, διὰ τοῦτο προαναφωνεῖ τὸ ἐσόμενον εἰς εὐθυμίαν τῶν ἀκουόντων. B.

237. ἡ διπλῆ, ὅτι ἡ πρὸς ἔλλειπει,' ἵν' ᾖ προσεῖπε τὸν Μενέλαον. καὶ ἐν Ὀδυσσείᾳ (23, 191), „ἧσο κάτω ὁρόων, ποτιδέγμενος εἴ τί μιν εἴποι" προσείποι. A.

238. τὸ Περιπατητικὸν δόγμα οἶδεν ὁ ποιητὴς πρῶτος, ὅτι ἐδὲ αὐτὸς ὁ ἐνάρετος ἄφοβος ἐδὲ ἀπαθής· ὁ γὰρ Αἴας οὐ φεύγει, ἀλλ' ὁμολογεῖ δεδιέναι καὶ συμμαχίαν αἰτεῖ. B.

240. νέκυος πέρι: κατὰ Ἀρίσαρχον ἀναστρεπτέον τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστὶ περὶ νέκυος. ὁ δὲ Ἀσκαλωνίτης ἐφ' ἕν. V.

ἡ διπλῆ, ὅτι ἄδηλον πότερον περὶ νέκυος Πατρόκλου ἢ περὶ Πατρόκλου τοῦ νέκυος γεγονότος. ἀναστρεπτέον δὲ τὴν πρόθεσιν, ὕπως τὸ ἑξῆς γένηται περὶ νέκυος. A.

ἄλλως. Ἑλληνικῶς καὶ ἐπιεικῶς ἐδὲν μεγαληγορεῖ ὡς οἱ βάρβαροι. A.

ἢ ὡς κυβερνήτης ἀγαθὸς προσκοπεῖ τὸν ἐσόμενον κλυδῶνα τῆς μάχης, ἐν δὲ τοῖς πρακτέοις ἀριστεύει· ἢ τάχα τὸν ἀκροατὴν ἐγείρων ὁ ποιητὴς καὶ αὐτὸν τὸν ἰχυρότατον ἀγωνιῶντα παρίςησιν. B.

καὶ δὴ οἱ δημοτικοί φασιν „εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε" (21). V.

242. ἐνθάδε οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ἐπεὶ δοκεῖ ἀντὶ τῆς ὑπὲρ κεῖσθαι καὶ ἐνηλλάχθαι πτῶσις· ἀντὶ γὰρ τοῦ ὑπὲρ ἐμῆς κεφαλῆς. διὸ καὶ σημεῖον παράκειται. A.

ἢ περὶ ἀντὶ τῆς ὑπέρ, ἵν' ᾖ ὑπὲρ τῆς ἐμῆς κεφαλῆς. B.

243. ἐπεὶ πολέμοιο νέφος: ἐπεὶ ὡς νέφος πολέμου ὁ Ἕκτωρ πάντα καλύπτει. ἢ ἐπεὶ ὁ Ἕκτωρ τὸ νέφος τοῦ πολέμου ἐπάγων, ὅ ἐστι τὸ πλῆθος, πάντοθεν ἡμᾶς περικαλύπτει. B.

245. ἤν τις ἀκόσῃ: δύναται μὲν λέγειν, ἐάν τις ἀκόσῃ διὰ τὸν κτύπον καὶ τὸν θόρυβον· δύναται δὲ καὶ ἕτως, ἐὰν ἄρα τις ὑπακόσῃ καὶ μὴ καταπτήξῃ. A.

ἀκόσῃ καὶ μὴ καταπτήξῃ τὸν πόλεμον. ἢ διὰ τὸν κτύπον τῶν ἀσπίδων καὶ τὸν θόρυβον τῶν μαχομένων· ὃ καὶ ἄμεινον. B.

248. ὦ φίλοι: τεθεῖσα ἐκ παραλλήλου ἡ δημηγορία αὕτη τῇ τοῦ Ἕκτορος ἠλεγξε μὲν τὸ τῶν βαρβάρων ἀνόητον, ἔδειξε δὲ τὴν Ἑλληνικὴν σύνεσιν. εἰς γὰρ τὸ αὐτὸ πρᾶγμα ὁ μὲν Ἕκτωρ τροφὴν ἐγκαλέσας ὠνείδισε μᾶλλον ἢ ἐδυσώπησεν, ὁ δὲ τιμῆς αὐτὸς ὑπομνήσας προετρέψατο. B.

κἀνταῦθα τὸ Ἑλληνικὸν δείκνυται· ἃ γὰρ κατ' ἄνδρα κληθέντες ἐδὲ κατὰ πρόσωπον διαιρεθέντες συνέρχονται, ἀλλ' ὁμοῦ πάντες· ἕκαστος γὰρ αὐτῶν τὸ τοῦ ἀριστέως ὄνομα κυριώτερον ἡγεῖτο τῆς φυσικῆς ὀνομασίας. A.

250. πίνεσιν: πρὸς τὴν ἀποστροφήν· ἃ γὰρ εἶπε πίνετε. δήμια δὲ τὰ παρὰ τοῦ δήμου ἐξαιρέτως διδόμενα τοῖς βασιλεῦσιν. A.

τὰ ἐκ τῶν κοινῶν καὶ δημοσίων χρημάτων χορηγούμενα τοῖς βασιλεῦσιν. B.

ἕκαστος: ἔν τισι διὰ τοῦ ᾱ, ἕκαστα. A.

251. ἐκ δὲ Διός: παρὰ τὸ „ἐκ δὲ Διὸς βασιλῆες" (Hesiod. Th. 96). A.

253. τόσση: θαυμαστικῶς, οἷον μεγάλη. A.

254. αὐτός: αὐτόματος. V.

255. Πάτροκλον: αὐτὸ τὸ ὄνομα ἤρκεσε πρὸς δυσώπησιν. αἰδέσθητε, φησί, Πάτροκλον ὑπὸ κυνῶν σπαραχθῆναι, ἐδὲν τῶν προσόντων αὐτῷ προσλαβών, ἃ τὸ μειλίχιον, ἃ τὸ φιλέταιρον, ἃ τὸ σωτήριον, ὡς καὶ τῆς Ἑλένης τὸ ὄνομα ἤρκεσε τῷ Εὐριπίδῃ πρὸς πᾶσαν λοιδορίαν, λέγοντος „Ἑλένη (Ἑλένην V) τί σοι λέγοιμ' ἄν;" AB.

μολπὴ δὲ νῦν ἡ παιδιά· οἱ γὰρ κύνες, ὅτε χορταθῶσι, παίζουσι τοῖς λιμώττουσιν. B.

256. ταχὺς Αἴας: προπετὴς ἕτος καὶ ταχὺς τὴν γνώμην. B.

260. τίς κεν ἧσι φρεσίν: ἐν ἄλλῳ τις κ' ἧσιν ἑνὶ φρεσίν; A.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθέτηκεν. ἐδὲν δὲ ἔχουσιν εἰς ἐπαιτίασιν, ἀλλ' αὔξουσι τὸ μέγεθος τῆς ὑπὲρ Πατρόκλου μάχης. A.

ἡ ἀποσιώπησις τὸ πλῆθος ἠΰξησε. V.

263. προχοῇσι: εἰς θάλασσαν ἐκροαῖς. V. προχοὰς Ὅμηρος λέγει τὰς εἰς θάλασσαν προχύσεις τῶν ποταμῶν, αὐτὰ τὰ ῥόματα. διιπετέος δὲ διοπετοῦς· οἱ γὰρ ὄμβροι ἀπὸ Διός. A.

ἃ μόνον ῥεύματι ποταμοῦ ἐδὲ κύματι θαλάσσης εἴκασε

τὸν ἦχον, ἀλλ' ἄμφω συνέπλεξε· καὶ ἔξιν ἰδεῖν κῦμα μέγα θαλάσσης ἐπιφερόμενον ποταμῷ ῥεύματι καὶ τῷ ἀνακόπτεσθαι βρυχώμενον, καὶ τὰς ἑκατέρωθεν τοῦ ποταμοῦ θαλασσίας ἠϊόνας ἠχέσας, ὃ ἐμιμήσατο διὰ τῆς ἐπεκτάσεως τοῦ βοόωσιν. αὕτη ἡ εἰκὼν Πλάτωνος ἔκαυσε τὰ ποιήματα· ἵνα ἐναργέστερον τῷ ὁρωμένῳ τὸ ἀκουόμενον παρίστησε. δεικτικὸν δὲ καὶ τὸ ἐρευγομένης. τὸ δὲ ἔξω τὴν ἐπὶ πλεῖστον ἔκχυσιν τῆς θαλάσσης δηλοῖ. B.

διιπετέος: ἐξ ὄμβρου συγκειμένου. μεγαλοφυῶς δὲ οὐδένα παραλαμβάνει τῶν ἀεννάων ποταμῶν (ἠρεμαιότεροι γὰρ ἔτοι) ἀλλὰ χειμάρρουν, πρός τε τὸ αὐξῆσαι τὸ μέγεθος τῆς βοῆς καὶ πρὸς τὸ ἐπιδεῖξαι τὴν ἐναντίωσιν. συμπράττει δὲ τῇ φαντασίᾳ καὶ ἡ τῶν φωνῶν τραχύτης καὶ ἡ ἐπέκτασις τῷ βοόωσιν. B.

καταφερῆς, πρανῆς. ἤτοι τῷ ὑπὸ Διὸς πληρωμένου, οἷον χειμάρρους, ἢ διαφανῆς καὶ οἱονεὶ διαπεπετασμένος. D.

Θαυμάσῃ ἄν τις τὸν ποταμὸν οἰηθέντας, ὃν Ὅμηρος Αἴγυπτον ποταμὸν κέκληκε, διιπετῆ εἰρῆσθαι διὰ τὸ ἀφανεῖς ἔχειν τὰς πηγὰς κατὰ τοὺς Αἰγυπτίους ἐν οὐρανῷ καὶ οὐρανόθεν ῥεῖν· λέγει γάρ „οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν, πρὶν δ' ὅταν Αἰγύπτοιο διιπετέος ποταμοῖο αὖθις ὕδωρ ἔλθῃς" (Od. 4, 475). πρῶτον μὲν γὰρ καὶ τὸν Σπερχειὸν διιπετῆ λέγει („υἱὸν Σπερχειοῖο διιπετέος ποταμοῖο" Il. 16, 174) καὶ τὸν πρὸς τῇ Φαιάκων γῇ („ἐγὼ δ' ἀπάνευθε διιπετέος ποταμοῖο" Od. 7, 284· „ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ ῥόμα καλλιρόοιο" Od. 5, 441). καὶ ἁπλῶς δὲ καὶ πάντας διιπετεῖς ἐν παραβολῇ λέγει („ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον") τὸ παντὶ ποταμῷ τῷ τὴν ἐκβολὴν εἰς θάλασσαν ποιουμένῳ παρακολουθῶν περὶ τὸν ἦχον διατακτικῶς ἐμφανίζων. διιπετεῖς δὲν λέγει τοὺς ποταμοὺς τοὺς ἐκ Διὸς γεγεννημένους· τῷ γὰρ πεσεῖν ἀντὶ τοῦ γεννᾶσθαι χρῆται, ὡς τὸ „ὅς τ' ἐπ' ἦματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικός" (Il. 19, 110). ἀλλαχοῦ δὲ ἔφη ἀντὶ τοῦ διιπετοῦς „Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς" (Il. 14, 434). τοῦτο δέ, ὅτι φύσει οἱ ποταμοὶ ἐκ Διὸς πληροῦνται, ὡς πού ἔφη „καί σφιν Διὸς ὄμβρος ἀέξει" (Od. 9, 111)· ᾧ λόγῳ καὶ τὰς νύμφας τοῦ Διὸς θυγατέρας λέγει· „νύμφαι κρηναῖαι κοῦραι Διός" (Od. 17, 240)· ἔτι „νύμφαι ὀρεσιάδες κοῦραι Διός" (Il. 6, 420), ἐπειδὴ καὶ τὰ ἐν τοῖς ὄρεσι φυτὰ τῷ τοῦ Διὸς ὄμβρῳ τρέφεται. Ζηνόδωρος δὲ διιπετῆ τὸν διαυγῆ ἀποδίδωσιν· διὰ τοῦτο καὶ γράφει διειπετῆ, διὰ τῆς ει διφθόγγου. B.

264. βέβρυχεν: ἐν τῇ κατὰ Ἀριστοφάνη βεβρύχῃ. A.

ὠνοματοπεποίηται ἡ λέξις. ποτὶ ῥόον δέ, ὅτι ἀντιπίπτει τῷ ῥεύματι τοῦ ποταμοῦ τὸ τῆς θαλάττης. B.

265. Σόλωνά φασι τὸν νομοθέτην, μιμησάμενον τὴν Ὁμήρου ποίησιν ἐν ἅπασιν, ἐνθάδε γενόμενον καὶ προχούντα τῷ εἴχῳ σφόδρα κατ' εὐξίαν ἐπιτετευγμένῳ διαπορῆσαι, καὶ θαυμάσαντα κατακαῦσαι πάντα τὰ ἴδια σκέμματα (ὡς καὶ Πλάτων Leid.). τῆς γὰρ ἐπαλλήλου τῶν ὑδάτων ἐκβολῆς τῇ τοῦ βοόωσιν ἀναδιπλωσις ὁμοίαν ἀπετέλεσε συνῳδίαν. καὶ ἀλλαχοῦ χρῆται τῇ λέξει· „οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ" (Il. 14, 394). ABV.

268. φραχθέντες: Ζηνόδοτος ἀρθέντες. A.

ὡς τὸ „φράξαντο δὲ νῆας ἔρκεϊ χαλκείῳ" (Il. 15, 566). V.

ἀμφὶ δ' ἄρα σφιν: ἐπὶ τιμῇ τοῦ Πατρόκλου τοῦτ' φαίνεται πράττων, ὥσπερ καὶ ἐπὶ Σαρπηδόνος (Il. 16, 459 „αἱματοέσσας δὲ ψιάδας" ἀφῆσι. καίτοι δὲ ὑποχόμενο Ἕκτορι μέγα κράτος ἐγγυαλίξαι, νῦν φαίνεται κηδόμενος τ Πατρόκλου· εὐσεβὴς γὰρ δὶ ὅλης τῆς ποιήσεως. AB.

270. ἤχθαιρε: Ἀρίσταρχος διὰ τοῦ ε, ἔχθαιρε. A.

272. μίσησεν: ἰδίως κέχρηται τῇ λέξει, καὶ ἄπαξ γε νῦ μόνον. λέγει δέ, μισητὸν ἡγήσατο ἐγκύρημα γενέσθ κυ τὸν Πάτροκλον. A.

μισητὸν ἡγήσατο, οἷον κατάβρωθῆναι αὐτὸν κυσὶν ἐ ἠθέλησεν. B.

πιθανὴ ἡ προαναφώνησις, ἵνα μαθόντες τὸ πέρας ἀνι χώμεθα τῶν κινδύνων. V.

273. ἑταίρους: ἐν ἄλλῳ Ἀχαιούς. A.

277. ἀλλὰ νέκυν ἐρύοντο: μικροψυχίας κατηγο ρημα, εἰ τῆς τῶν πολεμίων ἡμέλησαν σφαγῆς, καὶ ταῦτα ἐπ θυμοῦντες, διὰ τὸ ἑλκύσαι τὸν νεκρόν. B.

281. συὶ εἴκελος: εὖ τὸ μὴ λέοντα παραλαβεῖν, ἀλλ κάπρον ζῷον φεῦγον· ἔτος γὰρ εἰώθει ἐν ταῖς φυγαῖς στρ φεσθαι πυκνῶς καὶ ἀναιρεῖν τοὺς διώκοντας. B. οὗτος γὰρ τι χισα μεταστρέφεται ἐν ταῖς πληγαῖς. καὶ ἀλλαχοῦ φησι „ταρφ τε στρεφθείς, εἴχας ἀνδρῶν πειρητίζων" (Il. 12, 47). V.

286. οἱ περί: ἀντὶ τοῦ τῶν περὶ Πάτροκλον. ἢ ὅμοι ἔστι τῷ „ἐκίνηθεν δὲ φάλαγγες ἑλπόμενοι παρὰ ναῦφι (Il. 16, 280). A.

290. δησάμενος τελαμῶνι: ἐναργὴς καὶ καινοπρεπ ἡ διάθεσις· ἐπεὶ γὰρ δέδιε πλησιάζων τοῖς ἀντιπάλοις, ἕλ τὸ σῶμα κεκρυμμένος. διὸ καὶ κατὰ κεφαλῆς πλήττεται.

ἢ παρά πρὸς τὸ δησάμενος. ὁ δὲ Ἕκτωρ περὶ ταῦτ τέτρηται. V.

292. Ἀρίσταρχος ἑεμένων διὰ τοῦ ν, πληθυντικῶς.

297. ἐγκέφαλος δέ: ὁ δὲ ἐγκέφαλος παρὰ τὴν ἀν τασιν τοῦ κράνους σφόδρα καὶ ἐκτεταμένως τῇ τοῦ αἵματ ῥύσει συνεξέρρευσεν. αὐλὸς γὰρ καλεῖται πᾶν τὸ ξενὸν καὶ ἐν μηκες κατὰ μεταφορὰν τοῦ ὀργάνου. ὅθεν τὸ ῥάδιον διαυλ ἐκάλεσαν διὰ τὸ μῆκος. νῦν δὲ αὐλόν φησι τὸν τοῦ αἵματ ἀκοντισμόν. ἔοικε δὲ ὅτε καὶ τὸ ἐπίμηκες τοῦ δόρατος. D.

παρ' αὐλόν: τινές, καθ' ὃ μέρος τοῦ δόρατος τὸ μ λον εἰσέρχεται, ἐπεὶ καὶ τὰς αἰγανέας δολιχαύλους φησίν (Od 156). οἱ δὲ τὸν ἄκρον ἑξακοντισμὸν τοῦ αἵματος, ὡς ὅτ πω πηδήσαντος τοῦ ἐγκεφάλου. θέλει δὲ εἰπεῖν ὅτι ἐκράτ ὁ ἐγκέφαλος τῷ αἵματι· διὸ καὶ αἱματόεντα ἔφη αὐτόν. B.

298. αὖθι: παρὰ τῷ Πατρόκλῳ, πρίν τι δρῶσαι, π αὐτὸν ἑλκύσαι. B.

300. ἐπὶ νεκρῷ: ἐναντίον τῷ ἄγχι τὸ ἐπί, εἰ μὴ ἀὶ τῆς παρά ἦ. B.

301. Λαρίσσης: οὐ τῆς ἐν Τροίᾳ· οὐ γὰρ ἂν εἶρε

τῆλε. ἀλλ' ἔξιν ὁμώνυμος Ἀάρισσα ἐν Κύμῃ, ἣ ἀπέχει χιλίας διακοσίας ςαδίας τῆς Ἰλίου. φασὶ τὴν Φρικωνίδα Ἀάρισσαν. V.

302. θρέπτρα: σὺν τῷ ρ γραπτέον καὶ παροξυτονητέον. V. ᾠκίσατο περὶ τὴν διήγησιν ἱκανῶς. V.

306. Σχεδίον: καὶ ἄλλος, Περιμήδεος υἱός, ἀρχὸς Φωκήων (Il. 15, 515). V.

307. ἐν κλειτῷ Πανοπῆϊ: ἐν τῇ ἐνδόξῳ Πανοπεῖ. V.

309. τὸν βάλ': πολλὴν ἐμφαίνει πανταχῆ τὴν ποικιλίαν· νῦν γ' προεῖπε τῷ θανάτῳ τὸ γεγονός, ἀλλαχῆ δὲ τὸ ἐναντίον. B.

310. νείατον ὦμον: τὸ ἔσχατον μέρος τῆ ὤμῳ, ὡς τὸ „νειάτῃ δ' ἐν γαστρί" (Il. 5, 539). B.

313. διὰ τῆ μέσην γαστέρα τὸν ὀμφαλὸν δηλοῖ. B.

314. θώρηκος γύαλον: κατὰ περίφρασιν τὸν θώρακα. V.

διὰ δ' ἔντερα: παράδοξον καὶ τὸ διὰ τῆς ἐπιφανείας τῆ σώματος προχυθῆναι ἔντερα. τὸ δὲ διὰ τοῦ θώρακος πολὺ θαυμασιώτερον· ἐνόησον γ' οἷα ἡ θεωρία. B.

317. ἐρύσαντο δὲ νεκρούς: πῶς μὴ καὶ Πάτροκλον εἵλκυσαν; ὅτι περὶ τοῦτον οἱ Τρῶες σπουδαιότεροι ἦσαν, τῶν δὲ ἰδίων καὶ ἡμέλουν νεκρῶν. B.

321. Διὸς αἶσαν: ἀντὶ τῆ γνώμην Διός· ὀργιζομένου γ' Ἀχιλλέως τιμᾶν ἤθελε Τρῶας, ὡς δὶ Ἴριδος ὑπέχετο. B. „δύη τ' ἠέλιος" (455) καὶ „αὐτάρ τοι νῦν γε κράτος ἐγγυαλίξω" (206). V.

324. [κήρυκι:] διὰ μέτρον συζαλτέον τὸ ρυ. [τὸ δὲ Ἠπυτίδῃ τινὲς πατρωνυμικῶς· ἀλλ' ἀπὸ τοῦ Ἠπύτης Ἠπυτάδης ὤφειλεν. ἔξιν ἓν παραγωγὸν ἀπὸ τοῦ „ἠπύτα κῆρυξ" (Il. 7, 384). BV.

325. γήρασκε: ἡ ἡλικία καὶ ἡ φιλία ἑτοίμη πρὸς πειθώ. B.

327. ὑπὲρ θεόν: ἀπέφυγε τὸ κοινόν, τὸ εἰπεῖν καὶ ἐναντιωμένῳ θεῷ. προτρεπτικὸς δὲ ὁ λόγος καὶ ἐλεγκτικός. δείκνυσι δὲ ὅτι ἕτεροι καὶ ὑπὸ θεῶν ὁ βοηθούμενοι καὶ ὄντες τῷ πλήθει ὀλίγοι γενναίως μάχονται, ἐλέγχων τὸς μὴ μαχομένους καὶ πολυπληθείᾳ πρῦχοντας καὶ βοηθείᾳ θεῷ. B.

328. ἴδον ἀνέρας ἄλλους: ἀξιόπιστος ὁ λόγος, κήρυκος περικείμενος πρόσωπον· πλάνητες γ' ἔτοι καὶ πολλὰ ἰσορηκότες. ἑώρακα ἐγώ, φησί, καὶ τῷ πλήθει ἥττονας καὶ τὴν ἀπὸ τῶν θεῶν βοήθειαν ἐναντίαν ἔχοντας, ἐπὶ μόνῳ δὲ κατορθοῦντας τῷ ὠθεῖν. ἐλεγκτικῶς δὲ ἡ παράθεσις γίνεται. B.

330. πλήθεΐ τε σφετέρῳ: τῷ ἰδίῳ πλήθει, ἐκ ἐπικαιρικῷ. τὶ δὲ ὑπερδέα σφόδρα ἐνδεῆ, ὥςε ἔνεσι καὶ ἐπὶ τῶν λειπομένων τῷ ἀριθμῷ πλῆθος ὀνομάζειν. τὸ δὲ σχῆμα ἐκ τῆ ἐναντίᾳ δείκνυσι, ὅτι ἕτεροι καὶ ὑπὸ θεῶν ὁ βοηθούμενοι καὶ τῷ πλήθει ὀλίγοι ὄντες γενναίως μάχονται. B.

332. ἄσπετον: μεγάλως. ἔξι δὲ ἄσπετον, ᾧ ἐκ ἄν τις παρακολουθήσειε διὰ τὸ μέγεθος. B.

334. ἔγνω: ἔγνω τοίνυν καὶ ἡ Ἑλένη τὴν Ἀφροδίτην. V.

ἰσάντα ἰδών: ἀντὶ τῆ ἄντικρυς. V.

336. ἦδε: ἀντὶ τῆ ὧδε, τροπῇ τῆ ω εἰς η. A.

338. ἀλλ' ἔτι: ὁ ἀλλὰ πρὸς τὸ „ἰθὺς Δαναῶν" (340). V.

339. ὕπατον μήςωρα μάχης: μέγιςον ποιητὴν καὶ τεχνίτην τῆς μάχης. B.

340. ἰθὺς Δαναῶν: ἐπ' εὐθείας ὡς αὐτές. V.

348. ἐπίθανον τινὲς οὕτως. V.

351. καὶ δὲ μετ' Ἀσεροπαῖον: προσυνίςησι τὴν παραποτάμιον μάχην (Il. 21, 139). V.

354. ἔρχατο: συνειρμένοι ἦσαν, παρὰ τὸ εἴρω τὸ συμπλέκω. διὸ ψιλώσομεν τὴν λέξιν. B.

358. οὔ τέ τινα προμάχεσθαι: καὶ Νέςωρ τοῦτο παραινεῖ· „μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθὼς οἷος πρόσθ' ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι" (Il. 4, 303). καὶ γ' ἐκ ἧττον λυπεῖ τῷ φεύγοντος ὁ προμαχῶν, διασπῶν τὴν τάξιν. B.

359. βεβάμεν: ἀπὸ τῆ βεβάναι ἀπᾶραι. V.

363. καὶ Δαναῶν: ὡς παράδοξον εἰσήγαγε τὸ καὶ τινας τῶν Δαναῶν πίπτειν. V.

365. ἀλλήλοις καθ' ὅμιλον ἀλεξέμεναι: στρατηγικῶς δείκνυσι πόθεν γίνεται νίκη, ἀ τὸ ἰδίᾳ λυσιτελὲς σκοπῦντος ἑκάςου, μᾶλλον δὲ τὸ τῆ πλησίον. καὶ „ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισι" (Il. 3, 9). σωτήριον ἄρα ἐν εἰρήνῃ καὶ πολέμῳ ἡ πρὸς φίλες εὔνοια. B.

αἰπύν: προσάντη. φόνον δὲ δεῖ γράφειν, ἀ πόνον. V.

367. οὔ τέ ποτ' ἠέλιον: ὑπελάμβανον ἓν ἔκλειψιν εἶναι τῶν ςοιχείων αὐτῶν. V.

368. ἠέρι γὰρ κατέχοντο: ὑπὲρ τῆ δεινῶσαι τὴν μάχην, εἰς ὃ τύχοι μέρος τῶν πληγῶν φερομένων. V.

μάχης ἔπι θ' ὅσσοι ἄριςοι: περισσὸς ὁ τέ· ἔξι δὲ ἔτως· ὅσοι γ' ἄριςοι ἐπὶ τὴν μάχην, περὶ τὸν Μενοιτιάδην ἔςασαν καὶ ἠέρι κατείχοντο. B.

τὸ ἑξῆς ἐφ' ὅσον, καὶ ἐκ ἀναςρεπτέον. ὁ δὲ τέ πλεονάζει. ἔξι γ' ὁ λόγος καὶ ὁ νῦς ἔτως· ἐφ' ὅσον οἱ ἄριςοι ἔςασαν, ἐπὶ τοσοῦτο ἀέρι κατείχοντο. Ζηνόδοτος ἐπὶ τόσσον. Ἀριςοφάνης μάχῃ ἔνι. V.

371. εὔκηλοι: εὐδιάδοχοι· ἐπιφέρει γ' „μεταπαυόμενοι δὲ μάχοντο," ὅ ἐςιν, οἱ μὲν ἀναπαυόμενοι, οἱ δὲ μαχόμενοι ἐκ διαδοχῆς καὶ ἀναπαύσεως. BD.

373. γαίης οὐδ' ὀρέων: ἔτε χαμόθεν ἦν νέφος ἰδεῖν ἔτε ἐπὶ ὄρες ἀναβάντα. τὴν βαθεῖαν ἓν αἰθρίαν ἐδήλωσεν· καὶ γὰρ ἐν ταῖς αἰθρίαις ἔξιν ἐπὶ τῶν ὀρῶν νέφη τινά. B.

μεταπαυόμενοι: ἐκ διαδοχῆς ἀναπαυόμενοι. ὡς ἀντιποιεῖται μὲν ὁ λέγων ἐμόν ἔξι, μεταποιεῖται δὲ ὁ καὶ ἐμόν ἔξιν. ἔτως Ἀρίςαρχος. B.

377. δύο δ' οὔπω φῶτε πεπύσθην: ἐχ ὡς τῶν ἄλλων πυθομένων (ἄτοπον γ' ἐπὶ πάντας διαβῆναι τὴν φήμην) ἀλλὰ τῶν ἀρίςων. τῦτο δὲ ποιεῖ, ἐπεὶ θάτερον αὐτῶν ἀποςέλλειν ἐθέλει φίλτατον ὄντα Ἀχιλλεῖ. B.

381. ἐπιοσσομένω: ἐπιβλέποντες, ἵνα τῶν μὲν πιπτόντων ὑπερμαχοῖεν, τὰς δὲ φυγάδας προτρέποιντο. ἄλ-

λως. προορώμενοι ϗ προσδοκῶντες μήτε ἀποθνήσκειν τὸς ἑταίρους μήτε φεύγειν, ἐπὶ τῆς αὐτῆς ἓμενον τάξεως. B.

382. ἐπετέλλετο: ὑπερμαχεῖν δηλονότι τῶν ἑταίρων. B.

384. παννημερίοις: ἐν τῷ λειπομένῳ παντὶ μέρει τῆς ἡμέρας. B.

386. γούνατά τε: εὖ τὸ μὴ ἐπὶ κεφαλαίῳ τὰ μέλη φράσαι, ἀλλὰ κατὰ μέρος ὅλον ἐπιλθεῖν τὸ σῶμα· τοῦτο γὼ ϗ ἐνάργειαν προβάλλει ϗ τῆς ταλαιπωρίας τὸ μέγεθος δείκνυσι. τὰ δὲ μέσα ϗ τὸν θώρακα ῥᾴδια πρὸς ἰδρῶτα ὄντα παρέλιπεν. ἀκατάλληλον δὲ τὸ ὀφθαλμοὶ πάλασσετο. ἔοικε δὲ ὅμοιον τῷ „ἔνθα Ποσειδάων κατ' ἄρ' ἔζετο ϗ θεοὶ ἄλλοι" (Il. 20, 149). πρὸς μὲν τὰ γόνατα τὸ παλάσσετο προσυπακούομεν, τοῖς δὲ πληθυντικοῖς τὸ παλάσσοντο. B.

389. ὡς δ' ὅτ' ἀνὴρ: ἐνδείξασθ ὅλων ϗ τὴν βίαν τῶν ἑλκόντων ϗ τὴν τῆ ἑλκομένῳ σώματος ταλαιπωρίαν, δορὶν διατεινομένην παραλαμβάνει, καὶ ταύτην ἀκμαίαν, ἥτις πολλὴν ἐπίδοσιν ποιεῖται, ϗ ἐλαίῳ διάβροχον· τούτῳ γὼ τὰ κατισκληκότα μαλάττονται, πολλὸς δὲ τὸς ἕλκοντάς φησιν· οὕπω γὼ ἐπαττάλευον τὰς βύρσας ἴσως. ἔοικε δὲ ἐξ εὐτελῶς μὲν ἡ εἰκών, τῇ δὲ ἐναργείᾳ κεκόσμηται. B.

ἴδει βοὸς ταύρῳ προτάσσειν τὸ γενικὸν τῆ εἰδικῆ, ὡς „ἠΰτε βοῦς ἀγέληφι ταῦρος" (Il. 2, 480). ἔοικε δὲ Ἀττικὸν τὸ ὕτω ἀντιάττειν. V.

392. κυκλόσ': Ζηνόδοτος κύκλῳ, Ἀρίσαρχος κύκλος, ὡς „πληθὺς ἀπονέοντο" (Il. 15, 305)· ϗ ἐπὶ Μενελάου ὁμοίως ἐν τῇ Δ (212). οἱ δὲ ἄλλοι ἐπίῤῥημα, ϗ παροξύνουσιν. ἀλλ' ἴδει κυκλόφι. V.

393. τάνυται δέ τε πᾶσα διαπρό: διατείνει δὲ πᾶσα εἰς τὴμπροσθεν μεγεθυνομένη· τὸ γὼ πάχος λεπτυνόμενον εἰς μέγεθος ἄγεται. B.

395. εἴλκεον Ἀρίσαρχος, ὅτι πλεονάζει τὸ ι. V.

398. λαοσσόος: ὁ τὸς λαοὺς παρορμῶν· φησὶ γὰρ „ὦρσε τὸς μὲν Ἄρης, τὸς δὲ γλαυκῶπις Ἀθήνη" (Il. 4, 439). V.

399. ὀνόσαιτ': ψέξαι· „ἦ ὄνειδ' ὅτε μοι Κρονίδης" (Il. 24, 241) ἀντὶ τῦ ψέγετέ με καὶ εὐτελίζετε. V.

401. οὐδ' ἄρα πω: εἰώθε συμπάθειαν ἐγείρειν διὰ τούτων, ἐπὰν οἱ τὰ μέγιστα δυσχωροῦντες ἐν ἀγνοίᾳ τῶν κακῶν εἶεν ϗ ἐπὶ χρησοτέρων φέρωνθ ἐλπίδων, ὡς Ἀνδρομάχη ϗ Λύλων ϗ νῦν Ἀχιλλεύς. B.

404. τό μιν οὔποτε ἔλπετο θυμός: παιδευτικὸς ὁ λόγος ὅτι ὁ δεῖ ἀεὶ ταῖς ἐλπίσι πεποιθέναι. B.

Ζηνόδοτος ἀπὸ τῦ τείχει ὕπο Τρώων ἕως τῦ χάλκεον οὐρανόν (405) οὐ γράφει. Ἀρίσαρχος μόνον ἀθετεῖ ὡς δέ τις αὖ Τρώων (420). V.

409. νόημα: τὴν εἱμαρμένην· „ὃ γάρ τ' εὖ οἶδεν ἅπαντα". V. τὴν θέλησιν καὶ βουλήν. τινὲς δὲ τῶν φιλοσόφων μοῖραν ἔλεγον εἶναι τὴν τῦ θεῦ βυλήν (τὸν λόγον τοῦ Διός V). BV.

οὐκ ἔοικε περισσός, ἀλλ' ὡς τὸ „δίδαξε γὼ Ἄρτεμις αὐτή· ἀλλά οἱ τῦ ἔχραισμ' Ἄρτεμις" (Il. 5, 53). V.

413. τινὲς ἐνχρίπτοντο ὡς τὸ „ζῶ' ἐνιχριμφθέντα πύλῃσιν" (405). V.

415. ὦ φίλοι: πολλὴ σπουδὴ ἑκατέρῳ κρατῦ τῦ νεκρῦ κρατῆσαι, τοῖς μὲν αἰδουμένοις δεύτερον ἁμαρτεῖν εἰς Ἀχιλλέα, τοῖς δὲ βυλομένοις ἀμύναθ Ἀχιλλέα ὧν πρότερον ὑπαθον ὑπ' αὐτῦ. λέγει δὲ ὅτι δεῖ προτιθέναι τὴν εὐκλειαν τῆς σωτηρίας. B.

421. οἱ καὶ μοῖραι οἱ μὲν Ἕλληνες ἀποθανεῖν εἶχον τῦ νεκρῦ μὴ κρατήσαντες· οἱ δὲ μελλητικῶς φάσκουσιν, ἐϗ μοιρίδιον ἡμῖν ἀποθανεῖν, τῆς μάχης ϗ δεῖ ἀφίσασθ. BV.

424. σιδήρειος: ὁ σεσὸς ϗ πολυΐχυρος. A. ἢ ἀπὸ ὅπλων τῦ σιδήρυ ψόφος. D.

425. ἀτρυγέτοιο: ἀτρύτυ. ἢ ἐπεὶ ϗ αὐτὸς ὁμοίως τῇ θαλάσσῃ ὁ τρυγᾶται. B.

426. Ἵπποι δ': μετάγει τὸν λόγον ἀπὸ τῶν συνεχῶν πόνων. ἔοικε δὲ τὸ ζῷον φρενῆρες ϗ οἰκειότητα φυσικὴν ἔχον πρὸς τὸς τρέφοντας· Ἕκτωρ γῶν τοῖς ἵπποις διαλέγεται (Il. 8, 184). οὗτοι δὲ ὡς ἀθάνατοι ϗ πλείω τὴν αἴσθησιν ἔχουσιν. BV.

430. θοῇ: ταχυποιῷ. ἐπεμαίετο δὲ ἀντὶ τῦ ἥπτετο καὶ ἐμάσσετο. B.

θείνων: τύπτων· ὅθεν ϗ θὶς ὁ αἰγιαλός, παρ' ὅσον τύπτεθ ὑπὸ τῶν κυμάτων. D.

431. ἀρείῃ: κυρίως τῇ ἐν πολέμῳ ἀπειλῇ. V.

432. πλατὺν: οὐ τὸν καθόλυ πλατύν, ἀλλὰ τὸν καθ' ὃ μέρος ἑαυτῦ ἐστὶ πλατύτατος. B.

434. ὥστε σήλη: τοὺς μὲν Λαπίθας δρυσὶν ἐῤῥιζωμέναις εἴκασεν (Il. 12, 132). ἐνθάδε δὲ ἔχει τι πλέον ἡ παραβολή· ὃ γὼ τὴν σάσιν μόνον σημαίνει, ἀλλὰ καὶ τὴν ποιάν, τὴν ἐπὶ τῷ πένθει. πρὸς γὼ τὴν κατηφῆ σάσιν ἡ παραβολή. B. ἅμα δὲ ὅτι ϗ ἀσεβὲς κινεῖν σήλην. V.

437. ἐνισκίμψαντες: ἀντὶ τῦ προσερείσαντες ϗ πλάσαντες διὰ λύπης ὑπερβολήν. B.

439. θαλερὴ: πρῶτος συνεῖδε τοῖς καλοῖς ἵπποις ἁρμόδιον χαίτην ὁ μόνον καλὴν ἀλλὰ ϗ βαθεῖαν. V.

440. ἀμφοτέροισι: τοῖς ἵπποις δηλονότι. B.

443. ἀ δειλώ: τὸ ὅλον εἰς καταβολὴν τῦ ἀνθρωπίνου γένους· εἰ γὼ οἱ ἵπποι διὰ τὸ συνωμιληκέναι ἀνθρώποις ἐν χαλεποῖς γίνονθ ϗ διὰ τῦτο δειλοί, πόσῳ μᾶλλον αὐτοὶ οἱ ἄνθρωποι. εἶτα ϗ κατασκευάζει, πάντων ζώων εἶναι φήσας χείριστον τὸν ἄνθρωπον· πλεονεκτοῦμεν γὼ τῶν ζώων τῷ λογισμῷ μόνῳ, ἀλλὰ κατὰ πολλὰ ἐνδεέστεροί ἐσμεν, ἐν αὐτῷ δὲ ᾧ δοκοῦμεν πλεονεκτεῖν, τὴν ἀντίληψιν τῶν κακῶν ποιούμεθα. διδάσκει ἓν μὴ μέγα φρονεῖν. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος ὑπὸ θεῦ λεγόμενος. B.

447. πάντων ὅσα τε γαῖαν ἐπιπνείει: ὑπὲρ πάντα τὰ γαῖαν ἐπιπνέει. λείπει δὲ ἡ κατά. πᾶν μὲν οὖν ἔμψυχον ὑποπέπτωκεν ἀτυχίαις, πλέον δὲ ὁ ἄνθρωπος. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

448. ἀλλ' ἐ μὰν: ἵνα μὴ ἀγωνιῶμεν ϗ περὶ τῶν ἵππων. V.

449. οὐ γὰρ ἐάσω: τινὲς οὐδέ τις ἄλλος, ἵνα μὴ ζητῶμεν τὲς ἵππες. οἱ δέ φασιν ὡς ἐ πάντα ἀναιρεῖ, ἐδὲ τὸν Διομήδες θώρακα, ἐ τὸ σκῆπτρον Ἀγαμέμνονος, οὐ τὰ ὅπλα τὰ δοθέντα Νεοπτολέμῳ. V.

451. γούνεσσι: ἀπὸ τῆς τὸ γένος εὐθείας. ἢ ἀπὸ τῶ γούνασι τροπῆ. V.

453. σφίσι: μετήγαγε τὸν λόγον ἀπὸ τῶ Ἕκτορος ἐπὶ τὲς Τρῶας. V. δηλονότι τοῖς Τρωσί. προλέγει δέ, ἵνα μὴ λυπῇ τὸν ἀκροατὴν ἐπὶ πλεῖον, τὴν προθεσμίαν διδάξας τῆς εὐημερίας. B.

456. μένος ἠΰ: ἕτως Ἀρίσαρχος. Ζηνόδοτος δὲ μένος πολυθαρσὲς ἐνῆκε, καὶ προστίθησιν „αὐτὸς δ' Οὔλυμπόνδε μετ' ἀθανάτοισι βεβήκει." V.

459. τοῖσι δ' ἐπ' Αὐτομέδων: κρεῖττον ϗ τόδε ἀλέξειν τῷ ἑταίρῳ ᾤετο. ἄλλως τε οἱ ἵπποι αὐτὸν ἐκεῖσε ἄγεσιν. B.

463. ἦρει τὸ κατελάμβανεν, ὡς τὸ „ἐκ δέκα ποδῶν ἦρει λέγων τὲς ῥήτορας"· νῦν δὲ ἀντὶ τῶ ἀνῄρει. B.

τὸ ἦρει ἄνευ τῶ ῑ πᾶσαι εἶχον. V.

464. ἱερῷ: τῷ μὴ ἄλλῳ ἐπιβατῷ ἢ Ἀχιλλεῖ. B. ϗ ὑπ' ἀθανάτων ἵππων φερομένῳ. V.

465. οἱ περὶ Ἀρίσαρχον ἐπίχειν κατὰ παρατατικόν, οἱ δὲ περὶ τὸν Ἀσκαλωνίτην κατὰ ἀόριςον ὡς λαβεῖν. ϗ ὁ Ἡρωδιανὸς δὲ ἐπίχειν παροξυτόνως, εἰ μή τις λέγοι ὅτι ἔθος ἐςὶ τῷ ἀορίςῳ συντάττεσθ τὴν ἐπί. V.

477. θεόφιν μήςωρ ἀτάλαντος: ἴσος θεοῖς εἰς τὸ κατεργάσασθαί τι. B.

481. βοηθόον: τὸ ἐν τῇ μάχῃ ταχύ. οὐ θέλει δὲ ἀπράκτως ἐπὶ τὰς ναῦς παραγαγεῖν τὸ ὄχημα τῶ Ἀχιλλέως. V.

Ἀρίσαρχος ὑφ' ἓν βοηθόον, οἱ δὲ ἀπὸ τῆς χολῆς διῃρημένως. V.

483. ἀπόρσε: τῶ ἰδίῳ ὁρματος, ϗ κατῆλθε πεζῇ πολεμήσων. B. ὅτε Πάνδαρος μεταγαγὼν τὸν νῶτον τὴν ἀσπίδα, τὸ δὲ δόρυ ἁρπάσας παρακείμενον. V.

486. ἵππω τώδ' ἐνόησα: εὐτυχήσας τῆς πανοπλίας ἐπιθυμεῖ ϗ τῶν ἵππων. προτρέπεθ δὲ τὸν Αἰνείαν ἐ μόνον ὡς ἀριςέα, ἀλλὰ καὶ ὡς ἀχάλλοντα ἐπὶ τῇ ἀφαιρέσει τῶν ἰδίων ἵππων. BV.

492. βοέης: συλληπτικῶς· ἣν ϗ εἶχεν ὁ Ἕκτωρ, οὐ βοείη ἦν. B.

494. Ἄρητος: Ἄρατος Ἄρητος ϗ Ἀρήτη Ἰακῶς. καὶ κοινὸν γέγονε. V.

505. φοβῆσαι δὲ: διὰ τῶ δέ, οὐ τέ. V.

507. Αἴαντε: πιθανὸν ἀνακεχωρηκότος Ἕκτορος καὶ τὸν Αἴαντα τολμῆσαι τὸ σῶμα καταλιπεῖν τοῖς μετ' αὐτὸν ἀρίςοις, ἔνθεν αὐτῷ ἐντυγχάνει. B.

514. ἐν γένασι: ἐν τοῖς κόλποις, διὰ τὸ τὰ ἐν αὐτοῖς ὑποκείμενα πρόχειρα εἶναι. οἱ δέ, ἀπὸ μέρες τῇ δυνάμει. B.

515. μελήσει: ἀντὶ εὐκτικῶ τῶ μελήσοι. V.

520. 521. ἄμφω ηὔξησε, τὸν μὲν πέλεκυν τῇ ὀξύτητι, τὸν δὲ ἄνδρα τῷ αἰζηός, ὡς εὐτονωτέραν τὴν καταφορὰν γενέσθ. ὁ δὲ τόπος τῆς πληγῆς καιριώτατος· ὄπιθε γὰρ φησι κεράτων εἰς τὴν ἀρχὴν τῶν νευρῶν. περὶ ϗ τὰς τῶν κεράτων ῥίζας πυκνὰ καὶ συνεχῆ τὰ νευρὰ ϗ αἱ ἀρτηρίαι κεῖνται. B.

522. πᾶσαν: ἦν ϗ μὴ ὅλον διακοπῇ τὸ νευρόν, ἐ πίπτει ὁ βῶς. καὶ τὸ μὲν ἐξῆς ἐςὶ διατάμῃ, τῇ δὲ διακοπῇ τῆς λέξεως μεμίμηθ τὸ γινόμενον. ἐκ ἀναςρέφει δὲ ἡ διά, ἵνα μὴ συνεμπέσῃ τῇ Δία αἰτιατικῇ. ἡ δὲ ἀντὶ καὶ ἀμφὶ ὡς τρίχρονοι. B.

προθορών: βοῶν μὲν οἰκεῖον τὸ προπίπτειν, τῶν δὲ ἄλλων ζώων τὸ ἀνακλᾶσθ. B.

523. προθορὰν πέσεν: προπίπτειν μέλλοντα βίαιος ὅσα ἡ πληγὴ ἀνέςρεψεν. ἡ δὲ ἀναβολὴ πρὸς τὸ προθορεῖν μόνον· ϗ ϗ ἕτος προέθορε μὲν ὡς ταῦρος, ἐκ ἔπεσε δὲ ὡς αὐτός. B.

524. νηδυΐοισι: τοῖς κατὰ νηδὺν σπλάγχνοις. ἅπαξ δὲ εἴρηται ἡ λέξις. B.

529. ἔνθα δ' ἔπειτ' ἀφίει: τότε δὲ ἴςη τὴν ὁρμὴν ὁ σίδηρος· ὅταν ϗ μηκέτι προϊέναι ἰσχύσῃ, τὸ τηνικαῦτα ἰσάμενος κραδαίνεται. B.

533. τὲς ὑποταρβήσαντες: μηδέ πῶ τινος δεινῶ γεγονότος φεύγουσι. A.

535. Ἄρητον δέ: ἡδέως πάνυ ἀνεφώνησε τῷ ὅλῳ ἔργῳ τῶν περὶ τὸν Ἕκτορα. V.

538. ἦ δὴ μάν: ἴδιον τῷ παρ' ἐλπίδα εὐτυχήσαντι ϗ πλέον τι φθέγγεσθ κατὰ τῶν ἐχθρῶν. B.

539. κῆρ ἄχεος μεθέηκα: ἐπανῆκα τὴν ψυχὴν τῇ ἐπὶ Πατρόκλῳ λύπῃ. V.

καταπέφνων: Ἀρίσαρχος ὡς τέμνων. A

542. κατὰ ταῦρον ἐδηδώς: ἡ διακοπὴ τῆς λέξεως τὸν εἰς πολλὰ διεσπασμένον παρέσησε ταῦρον, ἐ τῶ μέτρῳ ἀπαιτῶντος· παρῆν ϗ φάναι ταῦρον κατεδηδώς. ϗ Ἀνακρέων „διὰ δέρην κόψε μέσην, κἀδ δὲ λῶπος ἐχλόη." V.

543. ἀψ: εἰκότως, τῶν περὶ τὸν Ἕκτορα ὑποςρεψάντων ἐπὶ τὸ σῶμα. V.

545. Ζηνόδοτος ἀθετεῖ. τινὲς δὲ γράφεσι. πῶς ϗ ἐν τῇ Ἴδῃ ὢν ὁ Ζεὺς αὐτὴν πέμπει, ἡ δὲ ὑρανόθεν κάτεισιν; ἢ ὅτι ὑρανὸν τὸν ὑπερνέφιον ὀνομάζει τόπον. V.

547. Ἶριν: ὅταν ἐξ ἐναντίας τῷ ἡλίῳ νέφος ᾖ πεπιλημένον ϗ πλῆρες ὕδατος, αἱ δὲ ἀκτῖνες προσπίπτωσι τῷ νέφει ϗ καθάπερ ἀπὸ κέντρε τῶ ἡλίε περιγράφωσι κύκλες, τότε τῶ μὲν τῶν ἀκτίνων ἐρυθροῦ ἀνειμένε πρὸς τὸ κροκοειδές, τῶ δὲ ἐν τῷ νέφει μέλανος ἐκλυομένε πρὸς κυάνεον, ἡ κρᾶσις ἀμφοῖν Ἶρις ἐςι. ϗ Ἀναξαγόρας δέ φησιν „Ἶριν δὲ καλέομεν τὸ ἐν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ." χειμῶνος ἓν ἐςὶ σύμβολον· τὸ ϗ περιχεόμενον ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν ἢ ἐξέχεεν ὄμβρον. τῶτο ἓν πρὸς τὲς ἐπιςήμονας. πρὸς δὲ τοὺς ἀπείρους τὸν πόλεμον. τὸ δὲ

πορφυρέην, ἀπὸ μέρους τὴν ποικίλην· ἢ ὅτι ἔχει τινὰ πορφυρίζοντα. πιθανῶς δὲ τὴν τῆς θεῦ κατάβασιν θειοτέρᾳ εἰκόνι ὡμοίωσεν. B. καὶ ἀλλαχοῦ „οἷον δ' ἀςέρα ἧκε Κρόνȣ παῖς" (Il. 4, 75). V.

550. μῆλα: ἀπὸ μέρȣς τὰ θρέμματα ἅπαντα. B. „μῆλα τά μοι μνηςῆρες ὑπερφίαλοι κατέκειραν" (Od. 23, 356). καὶ Ἡσίοδος „βȣ́δορα πάντα" φησίν (O. 504), ἀπὸ τȣ̃ βοὸς πάντα δηλῶν. V.

551. ἓ αὐτήν: ȣ̓δέ ποτε ὁ ποιητὴς οἶδε συνθέτȣς ἀντωνυμίας. V.

553. πρῶτον δ' Ἀτρέος υἱόν: ȣ̓κ εἰκῇ, ἀλλ' ἐπεὶ φαίνεϑ ȣ̃τος μόνος ἀγωνιῶν ὑπὲρ Πατρόκλȣ. B.

555. δέμας καὶ ἀτειρέα φωνήν: δύο γάρ ἐςι δι' ὧν μάλιςα γνωρίζομεν, φωνὴ καὶ εἶδος. εἰκότως δὲ Φοίνικι εἴκαςαι· ἡγεῖτο γὰρ καὶ αὐτὸς φάλαγγος, καὶ μέλει αὐτῷ λίαν περὶ Πατρόκλȣ. ἅμα δὲ καὶ τὸ γῆρας ἱκανὸν πρὸς αἰδῶ. B.

556. κατηφείη: αἰσχύνη, ἀπὸ τȣ̃ κάτω ἔχειν τὰ φάη. B.

557. ἐντρέπει αὐτὸν τῇ μνήμῃ Ἀχιλλέως, ȣ̃ δέονϑ πρὸς τὴν μάχην. B.

559. ἔχεο: τȣ̃ πολέμȣ ἢ τȣ̃ νεκρȣ̃. V.

561. ἄττα: τροφεῦ. ἔςι δὲ νεωτέρȣ πρὸς πρεσβύτερον ἠθικὴ προσφώνησις. D.

564. ἐσεμάσσατο θυμόν: ἔπληξέ μου τὴν ψυχήν· μάσσασϑ γὰρ τὸ ἅψασϑ· „χεῖρ' ἐπιμασσάμενος" (Od. 9, 302)· „ἐπεμαίετ' ἄρ' ἵππȣς" (Il. 5, 748)· „τὸν δ' ἐπιμασσάμενος προσέφη κρατερὸς Διομήδης" (Od. 9, 446?). καὶ μέχρι δὲ νῦν ἐν τῇ συνηθείᾳ φαμὲν „ἥψατό μȣ ὁ θάνατος τȣ̃ φίλȣ τȣ̃δε ἢ συγγενȣ̃ς." BV.

565. πυρός: διὰ τὸ εὐκίνητον καὶ θρασύ. B.

567. γήθησεν δὲ θεά: „ἔνεςι γὰρ δὴ κἀν θεῶν γένει τόδε· τιμώμενοι χαίρȣσιν ἀνθρώπων ὕπο." B.

569. ὤμοισι: ταῦτα γὰρ τῶν μελῶν ἐνεργεῖ μάλιςα. V.

570. μυίης θάρσος: πιθανῶς ȣ̓ μυίᾳ αὐτὸν εἴκασεν (ἦν γὰρ ἀναξία τȣ̃ ἥρωος ἡ εἰκών), ἀλλὰ τὸ θάρσος αὐτῆς προσέθηκεν. ἐπὶ τὰ ἐλάχιςα δὲ κατάγεϑ, τὸ ἁρμόδιον τῷ πράγματι ζητῶν· αἱ δὲ ποιητικαὶ λέξεις ἐπικαλύπτȣσι τὸ ταπεινόν. πρὸς τὸ ἰταμὸν ȣ̓ν καὶ ἐπίμονον ἡ εἰκών· ȣ̃τος γὰρ ἀποτρεπόμενος εἰς ἄλλον τόπον ἔτρεχεν εἰς τὸν αὐτόν. B.

572. λαρόν: ἀπολαυςικόν, παρὰ τὸ λῶ, ὅ ἐςι θέλω. V.

573. ἡ ἀμφί πρὸς τὸ πλῆσεν. V.

575. Ποδῆς υἱὸς Ἠετίωνος: ἐπισημαίνεϑ πάντα, πόλιν ὄνομα γένος φιλίαν, ὡς ἀνιχνεύσας τὴν ἀλήθειαν. ὁ δὲ Ἠετίων ὁμώνυμος τῷ τῆς Ἀνδρομάχης. εἰ δὲ ἦν τῶν Κιλίκων ὁ Ποδῆς, εἶπεν ἂν ὅτι μάλιςα τῶν βασιλέων αὐτὸν ἐτίμα, ȣ̓ τȣ̃ δήμȣ. προαπώλοντο δὲ καὶ οἱ Ἀνδρομάχης ἀδελφοί. καὶ τὸ ἀφνειός δὲ δείκνυσιν ὡς ἕτερος ἦν· ὁ γὰρ τȣ̃ Ἀνδρομάχης πατρὸς οἶκος ἠρήμωτο. B.

577. εἰλαπιναςής: σύσσιτος, ἐν τῷ εὐωχεῖσϑ φίλος. οἱ δὲ παράσιτος. τὸ δὲ ὄνομα τȣ̃ παρασίτȣ εἰρηϑ ἐν ἐλπίδι παρ' Ἐπιχάρμῳ. V.

578. κατὰ ζωςῆρα: πιθανὸν τὸν εἰλαπιναςὴν κατὰ γαςρὸς τυφθῆναι ὑπὸ Λάκωνος ἀνδρός, οἳ εἰσι γαςριμαργίας ἐλεύθεροι. B.

582. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει Ἕκτορα δὲ φρένα δῖος Ἄρης ὄτρυνε μετελθών. πόθεν δὲ ȣ̃τως Ἄρης ἐξαίφνης πάρεςι; A.

584. ξείνων φίλτατος: ἐπεὶ περὶ φίλου ὀνειδίζει δεόντως φίλῳ ὡμοίωϑ πρὸς τὸ αἰσχῦναι αὐτόν. B.

588. πρέποντας πολεμίῳ τȣ̀ς λόγȣς περιτέθεικεν ὁ ποιητής, ἐπεί τοί γε οὐκ οἶδε δειλὸν τὸν Μενέλαον· βοὴν ἀγαθὸν πανταχȣ̃ καλεῖ αὐτόν, ὅ ἐςιν ἐν μάχῃ ἀνδρεῖον. ABD

τὸ σημεῖον, ὅτι ȣ̓χ ὡς τῷ ὄντι μαλθακȣ̃ αἰχμητȣ̃ ὄντα τȣ̃ Μενελάȣ ληπτέον, ἀλλὰ τὸ πρόσωπον πολέμιον ὂν ἐν διαβολὴν λέγει· ἀρηΐφιλον γὰρ ὁ ποιητὴς αὐτὸν καλεῖ (Il. 52). AB.

591. τῇ αἰγίδι, ὡς Ἀρίςαρχος. V.

593. ἕλετ': ἡτοιμάσατο πρὸς τὴν χρῆσιν, ὡς „χερὶ τρίαιναν ἑλών" (Od. 5, 292). V.

594. μαρμαρέην μὲν τοῖς ἀμυνομένοις, τοῖς δὲ καταπονȣμένοις ἐρεμνήν. B.

ἡ διπλῆ, ὅτι ἴδιον ὑποτίθεται τῆς αἰγίδος τὸ ἀνέμους ποιεῖν συςροφάς. ἀπὸ τȣ̃ αὐτȣ̃ δὲ καὶ καταιγίδες αἱ πνοὰ αἱ κάτω ἀΐσσȣσαι. A.

595. ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει γῆ δ' ἐτίναξε· ταύτην γὰρ ἐπισείων ἀνέμους ποιεῖ. διὸ λέγει „αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσιν" (Il. 4, 167). βραχὺ δὲ διαςαλτέον ἐπὶ τὸν δέ· ἐπὶ γὰρ τῆς βροντῆς ἐπίτασις μάλα μεγάλ'. A.

597. φόβοιο: ἡ διπλῆ, ὅτι ἀντὶ φυγῆς. A. φόβος νῦν ἡ συνδίωξις. D.

ȣ̓ δειλός, εἴπερ εἴκει Διί. εἰ δὲ πρῶτος, τέτρωϑ γὰρ πρόσω τετραμμένος. ὅτι δὲ γενναῖος, συμφεύγȣσι πάντα εἰ δ' ἀσθενής, πῶς ὁ Ποσειδῶν „Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων Πηνέλεών θ' ἥρωα" (Il. 13, 92).

599. ἡ διπλῆ, ὅτι τὸ ἐπιλίγδην μεσότητός ἐςιν· ἐπὶ ψαύδην, ὅσον δι' ἐπιπολῆς ψαῦσαι, μὴ εἰς βάθος. εἰ οὐ ἐπιλίγδην, πῶς „γράψεν δέ οἱ ὀςέον ἄχρις;" κατὰ βάθος γὰρ φαίνεϑ ἡ πληγὴ ἐπενηνεγμένη. ἀλλ' ἐρεῖ Ὅμηρος, οὐ ἐγώ, ἀλλ' ὁ τόπος εἰς ὃν κατηνέχθη ἡ πληγή· ἔςι γὰρ ὠμοπλάτη ἀσαρκοτάτη. A.

καὶ ὅτι νῦν ἅπαξ καὶ ἐν Ὀδυσσείᾳ (22, 278) „λίγδην ἄκρον δέ." A.

ἐπιξεςικῶς. καὶ πῶς ὀςέον ἄχρις; ἢ μᾶλλον κατ' ἐκδρομήν. B.

600. Πȣλυδάμαντος: οὐ προειπὼν τὸν τρώσαντα νῦν διεσάφησε, ποικίλλων καὶ χαριτοποιῶν τὸν λόγον ἐξαλλαγῇ. B.

ἔοικεν εἰς συμμαχίαν γεγενῆσϑ κατὰ τὰ τῶν Βοιωτῶν τάγμα· οἱ γὰρ ἡγεμόνες αὐτῶν εἰσὶν οἱ τετρωμένοι. V.

602. Ἀλεκτρυόνος: η διπλῆ, ὅτι ȣ̓κ εἴρηϑ παρὰ τὸν ἀλεκτρυόνα τὸ ζῷον τὸ ὄνομα· ȣ̓δέπω γὰρ ἔγνωςο. A

605. σκόπει τὸ τῆς ἀπαγγελίας τάχος· προειπὼν γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ τȣ̃ Ἕκτορος, ὡς ἐπὶ τὸν Λήϊτον ὥρμησε, νῦν ἐν μέσῳ τὴν Ἑλληνικὴν ἀρετὴν διηγεῖται, εἶτα πάλιν μεταβαίνει ἐπὶ τὸν Ἕκτορα. ϗ φεύγοντας αὐτȣ̀ς ἐγκωμιάζει, ὅτι καίπερ πεφοβημένοι ἀρτίως ὑπὸ Διὸς ἀγωνίζονται. B.

607. ἐν καυλῷ: τὸ ἄκρον τȣ̃ δόρατος τὸ ἐμβαλλόμενον τῇ αἰχμῇ, ὅ ἐςι τῇ ἐπιδορατίδι. D. τὸ τῆς ἐπιδορατίδος. λέγει δὲ ἀντὶ τȣ̃ κατὰ τὸν καυλόν. A.

ἐβόησαν φοβηθέντες μή τι πάθῃ. B. ȣ̓κ ἐφόβηθεν· διώκȣσι γ̓ ȣ̃τοι. ȣ̃τως Ἀρίςαρχος. V.

ȣ̃τως Ἀρίςαρχος, τοὶ δ' ἐβόησαν. A.

ȣ̃τως δὲ μόνως φησὶν ὁ Δίδυμος ἐν τοῖς διορθωτικοῖς, τοὶ δ' ἐβόησαν· ἀβέλτερον γ̓ τελέως τὸ τοὶ δ' ἐφόβηθεν· ȣ̓ γ̓ φεύγȣσιν ἀλλὰ διώκȣσιν. ϗ ἐπὶ Πατρόκλου τὸ ὅμοιον· „ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε Τρωϊκός" (723). A.

608. Ἰδομενῆος: τὸ σημεῖον, ὅτι ἐπ' Ἰδομενέα. A.

κατὰ Ἰδομενέως βάλλει νεωςὶ τῷ δίφρῳ ἐπιβάντος· πεζὸς γ̓ ἐκ τȣ̃ ναυςάθμȣ ἦλθε, ϗ δὴ πεσὼν ἂν ὕψωσε τȣ̀ς Τρῶας, εἰ μὴ ὁ Κοίρανος αὐτῷ παρέςησε τὸ τȣ̃ Μηριόνȣ ἅρμα, ὃς ἐκ Λύκτȣ Μηριόνῃ συνεςράτευσεν, ἡνίοχος ὢν τȣ̃ Μηριόνȣ. λέγει δὲ ὅτι ἤδη ἀναβῆναι φθάσαντος Ἰδομενέως ἧκε τὸ βέλος, ϗ τὸν ἡνίοχον ἔτρωσε κατὰ τύχην. εἰ μὴ ȣ̓ν ἤνεγκε τȣ̀ς ἵππȣς τροπῆς γεγονυίας, μεσαιπόλιος ὢν ὁ Ἰδομενεὺς ϗ μὴ δυνάμενος φεύγειν ἀπώλετο ἄν. B. ἔςι δὲ ἡ φράσις ὡς (Il. 2, 740) „τῶν αὖθ' ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης, υἱὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς." ϗ μετὰ ταῦτα „ȣ̓κ οἶος, ἅμα τῷγε Λεοντεύς." V.

ἄλλως. ἕως τȣ̃ „αὐτὸς δ' ὤλεσε θυμόν" (616). λίαν τȣ̃των πέπλεκ͂ ὁ λόγος, ϗ ἔςι τῶν ἔξω περιφερομένων ζητημάτων. „ὁ δ' Ἰδομενῆος ἀκόντισε δίφρῳ ἐφεςαότος· πεζὸς γ̓ τὰ πρῶτα λιπὼν νέας ἤλυθε." τίς πεζὸς ἤλυθε, „καί κε Τρωσὶ μέγα κράτος"; ȣ̃τως αὐτὸς ἐτρώθη, ὅτι πεζὸς ἦν. ἀλλὰ δεῖ νοεῖν τὰ μὲν διὰ μέσȣ εἰρημένα, τὰ δὲ κεφαλαιωδῶς ἐξενηνεγμένα ὕςερον τῆς ἐπὶ μέρȣς ἐπεργασίας τυχόντα κατ' ἐπανάληψιν. τὸ δὲ „πεζὸς γ̓ τὰ πρῶτα" ȣ̓κ ἐπὶ τȣ̃ Κοιράνȣ ἀκȣςέον, ἀλλ' ἐπὶ τȣ̃ Ἰδομενέως. σαφὲς δ' ἐκ τȣ̃ ἐπιφέρεσθ͂ „καί κε Τρωσὶ μέγα κράτος·" ȣ̓ γ̓ ἂν τάσσοιτο τȣ̃το οἰκείως ἐπὶ τȣ̃ Κοιράνȣ (ἦν γ̓ ȣ̓ τῶν ἀριςέων) ἀλλ' ἐπὶ τȣ̃ Ἰδομενέως. διὰ μέσȣ δὲ ταῦτα „δίφρῳ ἐφεςαότος, τȣ̃ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν, αὐτὰρ ὁ Μηριόναο, ὀπάονά θ' ἡνίοχόν τε Κοίρανον, ὅς ῥ' ἐκ Λύκτȣ ἐϋκτιμένης ἕπεθ' αὐτῷ," ὥςε εἶναι τὸ ἑξῆς, ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο· πεζὸς γ̓ τὰ πρῶτα λιπὼν νέας ἤλυθεν ὁ Ἰδομενεύς. εἴωθε δὲ ὁ ποιητής τινα διὰ μέσȣ τάσσειν. κεφάλαιον δὲ νοητέον αὐτὸ μόνον προειρῆσθαι ἐν τῷ „ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο δίφρῳ ἐφεςαότος"· εἶτα ἐπεξηγεῖται τὴν αἰτίαν πῶς ἐγένετο ἐν τῷ δίφρῳ, πρότερον μὲν ἦν πεζός, τότε δὲ ὁ Κοίρανος αὐτῷ παρέςησε τὸ ἅρμα. πεζὸς μὲν γ̓ τὰ πρῶτα λίπεν νέας ἐν τῇ N (240) ἀπὸ τῆς σκηνῆς ὁ Ἰδομενεύς, νῦν δὲ ἄφνω πέφηνεν ἐφ' ἅρματος· ȣ̓ γάρ ἐςιν ὁ λόγος ὅτι ἀπὸ Κρήτης πεζὸς ἦλθεν, ȣ̓ χρησάμενος ἅρματι, καθάπερ ὁ Ὀδυσσεύς, τραχεῖαν ἔχων τὴν Ἰθάκην. σημαίνει ȣ̓ν ὅτι ἀπὸ τῶν νεῶν πεζὸς ἦλθεν ἐπὶ τὸν πόλεμον. προθεὶς οὖν τὸ κεφάλαιον, ὕςερον ἐπεκδιδάσκει πῶς ἔχεν ἅρμα· „καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν, εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππȣς." τȣ̃το ȣ̓ν προλαβὼν ἐξήνεγκεν „ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο δίφρῳ ἐφεςαότος." πῶς; ὁ γ̓ Κοίρανος ἤλασε τȣ̀ς ἵππȣς, ἐπεὶ αὐτός γε πεζὸς ἐλήλυθε· πεζὸς γ̓ τὰ πρῶτα λιπὼν νέας ἤλυθε. τίς γ̓ ἡ ἰδιότης, ὅτι εἴπερ ἐμάχετο πεζός, ἀπολώλειεν οἷς ἐντροπὴ ἐγένετο πρὸς ȣ̓ς Πηνέλεως ἦρχεν. A.

610. μακρὰ ἡ παρέκβασις ϗ πάντα διὰ μέσȣ· τὸ γὰρ ἑξῆς „Κοίρανον βάλ' ὑπὸ γναθμοῖο. A.

613. καί κε Τρωσὶ: πάντως ἀπώλετο ἂν ὁ Μηριόνης, εἰ μὴ πεζὸς ἀφίκετο, ὡς εἴ γε τῷ Ἰδομενεῖ ἡνιόχει, ἀπολώλει ἄν, καθὰ ϗ ὁ Κοίρανος. τὸ γὰρ „πεζὸς γὰρ τὰ πρῶτα" καὶ ἐπὶ τȣ̃ Μηριόνȣ ἀκȣςέον. A.

ἐκδεκτέον τὸν λόγον ἐπὶ τȣ̃ Ἰδομενέως. ὁ Κοίρανος ἰδὼν τὸν Ἰδομενέα κινδυνεύοντα πεζόν (πεζὸς γ̓ ἀπὸ τȣ̃ ναυςάθμȣ) ἐξήλασε τȣ̀ς ἵππȣς, δεξάμενος αὐτὸν ἐπὶ τῶν ἵππων. ἔφθασε τὴν τȣ̃ Ἕκτορος βολήν, ὥςε μετὰ τὸ ἀναβῆναι ἐπὶ τὸ ἅρμα τότε πεμφθῆναι τὸ δόρυ αὐτῷ. αὐτὸς δὲ ὁ Κοίρανος ἀπώλετο, σώσας τὸν Ἰδομενέα. A.

615. καὶ τῷ μὲν: καινὸν καὶ περιπαθὲς τὸ σύμπτωμα. V.

617. ὑπὸ γναθμοῖο: κατὰ τὸ εἰκὸς πλαγία ἡ πληγὴ γίνε͂ περιςρέφοντος αὐτȣ̃ τȣ̀ς ἵππȣς. ϗ γ̓ ὑπὸ τὴν σιαγόνα διαβὰν τὸ δόρυ ἀνέχε διὰ τῆς ἑτέρας· ϗ ȣ̓κ ἔςιν ἀδύνατον τȣ̃το, ὡς προείρῆ, διὰ τὸ περιςρέφοντα αὐτὸν τȣ̀ς ἵππȣς βεβλῆσθαι. A. (ἀδ. τȣ̃ μὲν Ἕκτορος πεζȣ̃ βαλόντος, τȣ̃ δὲ τῷ ἅρματι ἐπιβεβηκότος B). ἔςι δὲ τὸ ἑξῆς, ἀτὰρ Μηριόναο ὀπάονά θ' ἡνίοχόν τε, τὸν βάλ' ὑπὸ γναθμοῖο· τὰ δὲ ἄλλα ἐν μέσῳ. B. διόπερ ϗ ἐδέησε περισσοῦ τȣ̃ ἄρθρȣ. V.

618. δόρυ πρυμνόν: ἡ ἐπιδορατίς, ὡς πρώρας ȣ̓σης τȣ̃ ςύρακος. B.

ἕως τȣ̃ ἐχάτȣ τȣ̃ δορὸς ὦσεν. V.

620. καὶ τά γε: τὸ ἑξῆς ȣ̃τως, ϗ τά γε Μηριόνης ἐκ πεδίȣ ἔλαβε κύψας. ἀνελόμενος, φησί, χαμόθεν τὰ ἡνία ἐπιδίδωσι τῷ Ἰδομενεῖ, αὐτὸς πεζὸς ὤν· ὅτι γ̓ ȣ̓κ ἔςιν ἐν τῷ ἅρματι, δηλοῖ τὸ μάςιε νῦν. φιλικὸν δὲ τὸ ἦθος τοῦ Ἕλληνος· αὐτὸς μὲν γ̓ ὡς νέος ϗ ἀκμάζων ἔτι κινδυνεύειν βȣ́λε͂, τὸν δὲ μεσαιπόλιον ἀποπέμπει, τὴν ἀσφάλειαν αὐτῷ ποριζόμενος. AB.

627. ἑτεραλκέα νίκην: ȣ̓ γ̓ ἄλλως νίκη γίνε͂ ἢ τῶν ἑτέρων ἐπ' ἀλκῆς ὄντων. A.

628. τοῖσι: ὅτι ἐπὶ δύο τὸ τοῖσι. V.

630. ἀρήγει: ἐν ἄλλῳ ἀμύνει. A.

631. ἐφείη: διχῶς, καὶ ἀφείη. A.

632. τὸ ἔμπης ἀντὶ τȣ̃ ὁμοίως τέτακται. A.

634. ἐμφαντικὸν τὸ αὐτοί περ, οἷον ἡμεῖς μόνοι οἱ καταλελειμμένοι ὑπὸ τῶν φευγόντων. ἢ τῇ ἰδίᾳ ἀρετῇ, οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ ἀπὸ θεῶν συλλήψει. ζηλωτὰ δὲ ταῦτα· ᾗ τὸν Δία γ' πολέμιον οἶδε, καὶ ἃ καταλείπει τὸν νεκρόν. B.

637. οἵ που δεῦρ': οὕτως Ἀρίσαρχος. ἄλλοι δὲ οἵ που νῦν. A. κακῶς. V.

639. ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, αὐτὲς ἐμπεσεῖσθε ταῖς νανσίν, ἢ τὸν Ἕκτορα. πιθανώτερον δὲ τὸν Ἕκτορα ἐμπεσεῖσθαι ταῖς νανσί. A.

640. εἴη δ' ὅσις: ἐπεὶ τελευταῖον τοῦτο βοήθημα τῆς δυσχυίας, εἰς τοῦτο εἰκότως καταφεύγει. B.

643. ἔ πῃ: πῶς παρείληπται τὸ ἔπῃ; σημαίνει γὰρ τὸ εἰς τόπον· „πῇ ἔβη Ἀνδρομάχη" (Il. 6, 377); τὸ δὲ πᾶ ἐστὶν ἐν τόπῳ, ὅπερ καταλληλότερον· ἀλλ' ἃ δύναμαι ἔν τινι τόπῳ ἰδεῖν τινὰ τῶν Ἀχαιῶν τοιοῦτον. μήποτε ἂν ἀχ ὡς τοπικὸν ἐπίρρημα ἀλλ' ὡς παραπληρωματικὸν συνδεσμον ἐκληπτέον. A.

644. ἠέρι: ἡ διπλῆ, ὅτι ἀέρα τὴν σκοτίαν καλεῖ· καὶ γ' αὐτὸς ὁ ἀὴρ τῇ δύσει σκοτεινός ἐστι, λαμπρύνει δὲ ἐπιφανέντος τοῦ ἡλίου· „ἀὴρ γ' παρὰ νηυσὶ βαθεῖ' ἦν" (Od. 9, 144). A.

κατέχονται: ἐν ἄλλῳ κεκάλυπται. A.

645. ῥῦσαι ὑπ' ἠέρος: θαυμαστὸν τὸ ἦθος· οὐ γὰρ σωτηρίαν αἰτεῖ, ἀλλὰ τὸ μὴ ἐμποδίζεσθαι ἀπὸ ἔργων ἀγαθῶν. διὸ καίπερ ἐναντιώμενος ὑπακούει ὁ Ζεύς. B.

646. αἴθρην: αἴθρη ὁ ἀνέφελος ᾗ εὔδιος ἀήρ. D.

ἰδέσθαι: ἐν ἄλλῳ ὁρᾶσθαι. μεγαλοφρόνως ἃ σωτηρίαν αἰτεῖ ἀλλὰ φῶς πρὸς τὴν τῶν ὀφθαλμῶν χρείαν, ἵνα δρῶντες ᾗ πάθωσιν. A.

648. δάκρυ χέοντα: περιπαθῶς εἰσάγει τὸν Αἴαντα δακρύοντα. ἃ γ' ἐν ἄλλοις εὑρίσκομεν αὐτὸν δεδακρυκότα· ἃ γὰρ ἦν κατ' Αἴαντα. A.

τετέχει τῆς κατὰ παράλειψιν διηγήσεως· ἄνω γ' οὐδὲν εἰπὼν περὶ δακρύων τοῦτο ἐνέφηνε. B.

649. ἠέρα: ἡ διπλῆ, ὅτι σαφῶς τὴν σκοτίαν ἀέρα λέγει· ἔστι γ' ταὐτὸν τῷ ὁμίχλῃ· ᾗ ἀπῶσε τὸν ἀέρα, ὅ ἐστιν ὁμίχλην. A.

651. ἡ διπλῆ, ὅτι ἀκ εἶπε βοὴν ἀγαθῷ Μενελάῳ, ἀλλὰ κατὰ παράλειψιν τῆς προθέσεως, πρὸς βοὴν ἀγαθὸν Μενέλαον. A.

652. ἔμφασιν ἔχει τῆς δυσπραγίας τὸ αἴκεν, ὡς οὐκ ἐλπίζοντος ἔτι ζῆν ἐδὲ τοῦτον. B.

καὶ τοῦτο περιπαθές, ὡς ἀκ ἐλπίζων ἔτι ζῆν τὸν ἥρωα διὰ τὴν συνέχειαν τῆς μάχης. A.

657. ὥς τίς τε λέων: πολλαὶ αἱ εἰκόνες τοῦ ἥρωος, ᾗ ἐκάστη κατὰ καιρὸν ἁρμόδιος. πρῶτον γ' αὐτὸν εἴκασε διὰ τὴν φιλοσοργίαν βοΐ, νῦν δὲ λέοντι ἀκέστιον ποιεμένῳ ἀποχώρησιν· ᾗ ἐξῆς διὰ τὴν ὀξυδορκίαν ἀετῷ παρέβαλεν αὐτόν. λέγει τὸν λέοντα ἐν τῇ ἀρᾷ ἐκ φύσεως ἔχειν λεπτόν τι κεντρῶδες, ὑφ' ἧ νυττόμενος ᾗ πονῶν πλέον ἀγριοῦται. AB.

μεσσαύλοιο: τῆς ἐπ' ἀγρῷ ἐπαύλεως. A.

658. κε κάμῃσι: ὅτι ὁ κέ περισσός, ἢ ὑφ' ἓν κεκάμῃσι. A.

659. πᾶρ: τὸ λίπος τῆς πιμελῆς, ἐκ παρεπομένου δι τὸ ζῆν. A. τὴν λιπαρωτάτην τῶν βοῶν. D.

663. καιόμεναί τε δεταί: ᾗ Ἀριστοτέλης ἐν τῷ περ ζώων φησὶ λέοντα μάλιστα τὸ πῦρ δεδοικέναι. δεταὶ δ ὀξυτόνως αἱ συνδεδεμέναι ἐκ ξύλων λαμπάδες. B.

664. τετιημότι θυμῷ: ἐν ἄλλῳ τετιημένος ἦτορ ὅ ἐστι βεβλημένος διὰ λύπης. A.

666. ἦϊε πόλλ' ἀέκων: πρὸς τοῦτο μόνον ἡ παραβο λή· τὰ δὲ ἐν μέσῳ πρὸς οὐδὲν ἐξείργασαι περιτιθέμενοι τῷ ἥρωϊ. B.

667. πρὸ φόβοιο: ὅτι ἀντὶ τοῦ ὑπὸ φόβου, ὅ ἐστιν ὑπ φυγῆς, καὶ ὅτι ἔλωρ ἕλεμα. A.

ἀντὶ τοῦ ὑπὸ φόβου, ὡς τὸ „ἀεθλεύων πρὸ ἄνακτος" (Il. 24, 734). B.

670. ἐνηείης: προσηνείας· ἀπηνὴς δὲ ἐναντίος. A.

πολλαὶ μὲν αἱ τοῦ ἥρωος ἀρεταί· νῦν δὲ παρέλαβε τὴ μάλιστα δυσωπῆσαι δυναμένην. ὅτι δὲ πρᾶος ἦν, δῆλον ἐ ὧν διαφερομένων τῶν βασιλέων ἡσυχάζει, Νέορος ἐπιμε λῶς ἀκέει, φιλοσόργως Εὐρύπυλον ἰᾶται, κλαίει πρὸς Ἀχιλ λέα. BV.

671. αὐξητικὸν τὸ πᾶσιν, ἀκ Ἀχιλλεῖ μόνῳ, ἀλλ κοινῶς πᾶσιν. AV.

ἔνδειξις τῆς ἀρετῆς Πατρόκλου. ἔστι δὲ παιδευτικὸς λόγος, ὅτι οἱ χρησοὶ τὴν γνώμην τῆς πάντων φροντίδο ἀξιοῦνται, B.

674. ἀξιοπίστως τὸ φασίν προσέθηκεν, ὡς πρὸ τοῦ ἐπι βαλέσθαι τῇ ποιήσει ἐξητακὼς ἀκριβῶς ἅπαντα. B.

675. ὀξύτατον δέρκεσθαι: φησὶν ὁ Ἀριστοτέλη ὡς τὰς νεοσσὰς πρὸς τὸν ἥλιον ἴσχειν ὁ ἀετός, ἀναγκάζων βλέπειν· ᾗ ὁ μὲν δυνηθεὶς ὁρᾶν τοῦ ἀετοῦ ἐστὶν υἱός, δὲ μὴ ἐκβέβληται ᾗ γέγονεν ἀλιαίετος. ABD.

676. πάντοθεν αὔξει τὴν ὀξυωπίαν· ὑψηλὸς ὢν γ' πέτα, τὸ δὲ κατασκοπέμενον λαγώς, τῇ χροιᾷ γεῶδες ὡ μὴ ῥᾳδίως διακρίνεσθαι, ᾗ τῷ μεγέθει βραχύ. βοηθεῖ δὲ ὁ θάμνος, ὑφ' ᾧ κέκρυπται ὁ λαγώς. B.

681. ἕτως Ἀρίσαρχος, ἴδοιτο, τὰ ὅσσε δηλονότι. A ἄλλως. ἕτως αἱ Ἀριστάρχειοι, ἴδοιτο. τίς; τὰ προκείμενα ὅσσε· διὸ ᾗ τὸ σημεῖον. ἢ νοητέον ἀποστροφὴν λόγου πρὸ τὸν Μενέλαον ἀπὸ τοῦ περὶ αὐτοῦ λόγου. A.

οἱ μὲν μετὰ τοῦ ν, διὰ τὸ πλῆθος, οἱ δὲ χωρὶς τοῦ ν· ὡς τὸ τάδε παιδία παίζει. οἱ δὲ ἀπὸ τῆς χολῆς ἴδοιο γράφουσιν. λέγει δὲ ὅτι διεστρέφοντο οἱ ὀφθαλμοί, εἴ που θεάσαιντο Νέστορος υἱόν. BV.

688. κυλίνδει: Ἀρίσαρχος βαρύνει, ὑγιῶς πάνυ διὰ τὰ κινήματα· „κυλίνδετο" γὰν φησίν (Od. 8, 81. 11, 598) ἀχὶ ἐκυλινδεῖτο, ᾗ „ἡ δὲ κυλινδομένη καναχὴν ἔχε" (Il. 16 794). διὸ καὶ βαρέως τὴν κυλίνδων ἀναγινώσκομεν· „μέγα κῦμα κυλίνδων" (Od. 5, 296). A.

689. παρατήρει ποσάκις εἰπὼν περὶ τῆς ἀναιρέσεως Πατρόκλου ἑβδομῇ προσκορὴς ἐφάνη. V.

694. κατέσυγε: κατεσύγνασεν, ἠνιάθη. A. ἐν συγνότητι καὶ κατηφείᾳ ἐγένετο. D.

698. βῆ δὲ θέειν: πολλῷ περιπαθέστερον ἄνοπλον ὄντα καὶ τρέχοντα παρασῆναι τῷ Ἀχιλλεῖ. A. καὶ Πηνελόπη γὰν „ἐκέτι ἔτλη δίφρῳ ἐφέζεσθ" (Od. 4, 716) ἀκέσασα περὶ τῷ παιδός. τινὲς δὲ Λαοδόκῳ παραδῶναι τὰ ὅπλα, ὅπως δοκῇ ἐκεῖνος τοῖς πολεμίοις Ἀντίλοχος εἶναι· τὸ δὲ ἅρμα καταλιπεῖν τῷ πατρί, εἰ δέοι φυγεῖν. ἀλλ' εἶχεν ὁ Νέστωρ ἵππον ἅρμα καὶ Εὐρυμέδοντα ἡνίοχον. ἄμεινον οὖν διὰ τὸ πένθος. V.

ἐζήτηθ πῶς ἐκ ἔξιν Αὐτομέδων μηνυτὴς τῆς τῶ Πατρόκλε ἀναιρέσεως, ἀλλὰ Ἀντίλοχος, καὶ διὰ τί γυμνὸς τρέχει. ῥητέον ἐν ὅτι Αὐτομέδοντα μὲν αἰσχρὸν ἦν μετὰ τῶν ἵππων ἔρχεσθ πρὸς Ἀχιλλέα ἄπρακτον, τῶν ἄλλων ἀγωνιζομένων περὶ τῶ σώματος· Ἀντίλοχος δὲ ταχύς τε ὢν τῶν ἄλλων προεκρίθη, καὶ γυμνὸς ἅπεισι, μετὰ τῶν ὅπλων τὰς συμφορὰς ἐκπομπεύειν παραιτήμενος, ἢ διὰ τὸ μὴ βαράμενον τοῖς ὅπλοις χρονίσαι ἐν τῇ ὁδῷ. ABD.

πάντοθεν ἐπεσημήνατο τὸ πένθος, μάλισα δὲ ἐκ τοῦ μηδὲ πυθέσθ τὸν τρόπον τῆς τελευτῆς. γίνεθ ἓν ἡ σιωπὴ παντὸς λόγω μείζων. ἔχει δὲ καὶ φίλος Πατρόκλῳ, ὡς πα καὶ ἐν τῇ νεκυίᾳ φησὶ „καὶ Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο" (Od. 11, 468), καὶ πρὸς τῇ αὐτῶ φιλίᾳ Νέστωρ αἴτιος ἐγεγόνει τῶ θανάτω αὐτῶ. ἄριστα δὲ ᾠκονόμησεν ὁ ποιητὴς τὴν ἄγνοιαν τῶ Πατρόκλε θανάτω, ὡς καὶ ἐπὶ Ἀνδρομάχης· καὶ γὰ καὶ αὐτὴ ἐκτὸς ὑπονοίας ἦσα τῶ τεθνηκέναι τὸν Ἕκτορα, ἐν χαλεπωτέρῳ γίνεθ πένθει ἀκέσασα. B.

700. πόδες φέρον: πρὸς τῷ πάθει εἶχε τὴν διάνοιαν, μηδ' ὅτι τρέχει εἰδώς. ἢ διπλῆ δέ, ὅτι ἔτως εἰώθε λέγειν, οἱ πόδες ἔφερον, ἀχὶ τὰς πόδας· πρὸς Ζηνόδοτον μεταγράφοντα (Il. 6, 511) „ῥίμφ' ἐὰ γῆνα φέρει." A.

τρόπον τινὰ τὸ πένθος ἀράμενον αὐτὸν ᾤχετο· φησὶ γᾶν „πόδες φέρον." ἐφ' ἅρματος δὲ ἐκ ἅπεισιν ὡς ταπεινῶν ἄγγελος· ἢ τὸ πένθος αὐτὸν τῶτο συνιδεῖν ἐκ ἐᾷ. B.

702. ἐδ' ἄρα σοι: ὅτι πάλιν ἀπέστρεφε τὸν λόγον. A.

703. ἔνθεν: ἀντὶ τῶ ὅθεν. V.

705. ἡ διπλῆ, ὅτι ἀπέστρεφεν ἐκ τῶ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτῶ λόγον. τὸ δὲ ἀνῆκεν ἀνέπεισεν, παρώτρυνεν. AB.

710. Ἕκτορι δίῳ: ἐν ἄλλῳ Ἀτρείωνι. A.

711. ἐ γάρ πως ἄν: πολλάκις γὰ ὑπὸ περισάσεως πράξαντές τι ὕστερον συνορῶμεν τὸ ἀδύνατον αὐτῶ. B. τὰ δὲ τῶ Πατρόκλε ἐκ ἐνδύεται ὅπλα ἢ ὡς ἐλάσσω τῶ σώματος ἢ ἐκ εἶχεν. V.

712. ἡμεῖς δ' αὐτοί περ: γενναῖον πρὸς προτροπὴν τὸ ἀπὸ τῶν ἰδίων ἐνδείκνυσθ καὶ μὴ περιμένειν τὴν ἑτέρων ἐπικουρίαν. B.

714. ὥσπερ βοὴν λέγει τὴν μάχην ἀπὸ τῶ ἀλαλαγμοῦ, ἔτως καὶ ἐνοπῆς νῦν ἀπὸ μέρους τῆς μάχης φησίν. A.

719. νῶϊ μαχησόμεθα: ἡ διπλῆ, ὅτι ἐντεῦθεν τοῖς νεωτέροις ὁ βαζαζόμενος Ἀχιλλεὺς ὑπ' Αἴαντος, ὑπερασπίζων δὲ Ὀδυσσεὺς παρῆκται. εἰ δὲ Ὅμηρος ἔγραφε τὸν Ἀχιλλέως θάνατον, ἐκ ἂν ἐποίησε τὸν νεκρὸν ὑπ' Αἴαντος βαζαζόμενον, ὡς οἱ νεώτεροι. A.

720. ὁμώνυμοι: ὁ λόγος, ἁπλέστερος ὁ Αἴας παράγεθ, ὃς γε τοιαῦτα λέγει, ἡμεῖς μαχώμεθα, ἐπειδὴ τὸ αὐτὸ ὄνομ' ἔχομεν· οἱ γὰ δύο Αἴαντες καλέμεθα. βουγαῖος γὰρ ὡς ἀληθῶς. A.

πάντοθεν προτρέπει τὸν Λοκρόν. καὶ Ἀλέξανδρος, ἐν Πέρσαις ὁρῶν τινὰ Ἀλέξανδρον ἀνδριζόμενον, ἴσος φησὶν ὤφθη τῆς ὁμωνυμίας. V.

721. μένοντες: Ἀριστοφάνης δυϊκῶς μένοντε. A.

722. ἐμφαντικῶς ἐμήνυσε τὸς περιειληφότας ὥσπερ τὸν νεκρόν· καίτοι ἐνῆν καὶ ἄλλως εἰπεῖν, ἐρύοντο· ἀλλ' ἐκ ἦν οἰκεῖον τῆς προσηνείας Πατρόκλε τὸ ἕλκεσθ. ἐγγὺς δὲ θέλεσσι τῶν νεῶν κομίσαι, ἵνα κὰν καταπονῶνται, βοηθήσῃ Ἀχιλλεύς. διὰ δὲ τῶ ἀγκάζοντο τὸ σπεδαῖον καὶ μοχθηρὸν ἐνέφαινεν. BV.

725. κύνεσσιν ἐοικότες: πρὸς τὸ θράσος τῶν Τρώων ἡ παραβολή· καὶ τὴν αἰτίαν δὲ τοῦ θάρσους παρίσησι τὸ βλημένῳ. ἀλλὰ καὶ τὸ ἑλίξεται συμπράττει· ῥέφεθ γὰ τῶτο μόνον τῶν ζώων διωκόμενον, ὁ κάπρος. A.

727. ἕως μέν: ἕως τινός. B.

τὸ ἕως ἀντὶ τῶ τέως· διόπερ οὐδὲ ὑποζυγὴν ποιεῖ. A.

731. οἱ μὲν ἐγγὺς ξίφεσιν, οἱ δὲ πόῤῥω δόρασιν. A.

737. ἠΰτε πῦρ: ὃ κατὰ μεταφορὰν ἐξήγαγεν ἑτέρωθι, καυσειρὴν τὴν μάχην λέγων (Il. 4, 342. 12, 316), τῶτο νῦν ἐπεξεργασάμενος εἰς παραβολὴν ἄγει. ηὔξησε δὲ αὐτὸ διὰ τῶ ἀνέμου καὶ τῶ αἰφνιδίου, ἵνα λανθάνον νέμηται. A.

742. ὣσθ' ἡμίονοι: βόες μὲν ἰσορρόπως ἕλκουσιν ἕκατερος φέρων τὸ ἴδιον βάρος· ἡμίονοι δὲ διωθούμενοι τὸ βάρος ἀντιμεταβάλλουσιν ἀλλήλοις. τοιῦτον ἔπαχον καὶ οἱ τὸν νεκρὸν κομίζοντες, εὐχερῆ τὴν δίοδον διὰ τὴν ἐπιφορὰν τῶν πολεμίων οὐκ ἔχοντες. κατὰ τὰς ἀποκλίσεις τοῦ φερομένου ἑκάτερος ἐβαρεῖτο· διὸ ἐπιτείνων τὸ ταλαίπωρον αὐτῶν σκολιὰν παρέλαβεν ὁδόν, καὶ νεκρὸν τὸ ἑλκόμενον ξύλον διὰ τῆς ὁδῶ. τὸ δὲ ἀμφιβαλόντες, ἰσοβαρήσαντες τῇ δοκῷ τὴν προθυμίαν, ὡς τὸ „ἥλικες ἰσοφόροι" (Od. 18, 373), ἢ συμπλέξαντες καὶ ἑνώσαντες τὴν ἀλλήλων δύναμιν τῇ δοκῷ. AV.

746. οὕτω διὰ τῶν δύο μ. τινὲς δὲ οἱ μὲν ἄρ' ἐμεμαῶτε. V.

747. πρώων: προοχὴ ὄρυς. ἱκάνει δὲ τῆς εἰς θάλασσαν ἐκρύσεως. ἄκρως δὲ ἐκ ἐμψύχοις αὐτὸς εἴκασεν, ἀλλ' ἀσαλεύτοις πρήοσιν, ἀντέχεσι ποταμοῖς. ἔχει δὲ ἡ εἰκὼν ὅλη πρὸς ὅλον. Αἴαντες γὰ ἐῤῥιζωμένῳ ὄρει εἰσὶ παραβεβλημένοι, ὕδατι δὲ οἱ Τρῶες. ὡς δὲ ὁ πρὼν κωλύει τὸ ἐπιφερόμενον ὕδωρ εἰς τὸ χωρίον ἐλθεῖν, τὸ δὲ περιεχόμενον εἰς τὸ ὑποκείμενον πεδίον ῥεῖ, ἔτως ἐπὶ τῷ σώματι Πατρόκλου ἑδραίως ἑστῶτες ἀπέτρεπον τοὺς Τρῶας ἐπὶ ἄλλο μέρος. AV.

748. πεδίοιο διαπρύσιον τετυχηκώς: διόλε προήκων καὶ διατεταμένος τῷ πεδίῳ ὁ πρών. A. παρ' ὅλον τὸ

πεδίον παρατεταμένως διήκων. D.

750. πᾶσι ῥόον: ἀποσρέφει τὰ ῥεύματα πάντων. V.

751. ἠδέ τέ μιν: Ἀριστοφάνης ἠδέ τί μιν. V.

755. ὥς τε ψαρῶν νέφος: ταπεινοῖ τοὺς Ἕλληνας τῇ παραβολῇ πρὸς σύγκρισιν τῶ πολεμοῦντος Διός. τὴν αὐτὴν δὲ εἰκόνα καὶ ἐπὶ τῶν βαρβάρων ἔλαβεν, ὅτε αὐτὸς ὁ Πάτροκλος ἐδίωκεν· „Ἴρηκι ἐοικὼς ὠκεῖ, ὅς ῥ' ἐφόβησε κολοιούς τε ψῆράς τε" (Il. 16, 583). ἀλλ' ἐκεῖνοι μὲν ἐναντιουμένου θεοῦ ταῦτα πάσχουσιν, ἀλλὰ διὰ τὴν ἀρετὴν τοῦ διώκοντος· τούτοις δὲ ὁ Ζεὺς αἴτιος τῆς ταπεινῆς εἰκόνος. ὅρα δὲ πῶς καὶ ἐκεῖ κολοιοὺς συνέμιξε· συναγελαστικὸν γὰρ ὁ κολοιὸς καὶ φιλάλληλον, ὡς ἡ παροιμία· „καὶ γὰρ κολοιὸς παρὰ (π. αἰεὶ κ. ποτὶ D) κολοιὸν ἰζάνει." εἰσὶ δέ πως καὶ τῶν ἄλλων ἀνοητότεροι, ὡς καὶ ὁ τῆς θήρας αὐτῶν μαρτυρεῖ τρόπος. ἐλαίᾳ γὰρ πλήρη κρατῆρα τιθέασιν· οἱ δὲ κολοιοὶ ἐπιβάντες τῷ χείλει, καὶ ἀφορῶντες εἰς τὴν σκιὰν ἑαυτῶν, ἄλλους κολοιοὺς ὁρᾶν νομίζουσιν· εἶτα ἐπιπεσόντες τῷ ἐλαίῳ, ὡς δῆθεν πρὸς τοὺς ἑταίρους κατιόντες, ἁλίσκονται συγκολληθέντες τὰ πτερὰ τῷ ἐλαίῳ. ὕπτιοι δὲ καὶ ἀγεληδόν· ὅτε δὲ ἴδωσιν ἱέρακα, συσραφέντες εἰς ἀλλήλους ὀξὺ βοῶσιν, ὅπερ Ὅμηρος ὅλον ἐκάλεσεν. τῶν δὲ ἡδομένων ὀρνέων χαλαρὰ καὶ ἀνειμένη ἐστὶν ἡ φωνή. ἐπὶ μὲν οὖν Τρώων ἔλαβε τοὺς κολοιοὺς διὰ τὸ ταραχώδες καὶ ἀνόητον, ἐπὶ δὲ Ἑλλήνων διὰ τὸ φιλάλληλον· ἀεὶ γὰρ ἡ πτῆσις αὐτῶν ἀγεληδὸν γίνεται. τὴν ἀγέλην δὲ νέφος ὠνόμασεν οὐ διὰ τὸ πλῆθος μόνον, ἀλλὰ καὶ ὅτι ἐπισκιάζει τὸν ἀέρα τῇ πυκνότητι. A.

ψαρῶν: διὰ τὴν εὐφωνίαν. ἐκεῖ δὲ „κολοιούς τε ψῆράς τε" (Il. 16, 583). V.

756. ἅλον: ὀξύ, ἢ πυκνόν. D.

κεκλήγοντες: πρὸς τὸ σημαινόμενον ὑπήντησεν. A.

757. κίρκον: ὁ γὰρ ἀετὸς μεγάλα φονεύει, ἐπὶ δὲ τῶν εὐτελῶν καὶ ἀσθενῶν οὐδέποτε κάτεισιν (οὐδ. τυτθῆσιν εἶπεν V). AV.

760. τεύχεα καλὰ πέσον: πεφεισμένως οὐκ εἶπεν ὅτι οἱ Ἕλληνες ἀπέβαλον τὰ ὅπλα, ἵνα μὴ ῥιψάσπιδας εἴπῃ ἀλλ' ὅτι ἔπεσον, ὡς οὐχ ἑκοντὶ ῥίψαντες, ἀλλ' ἐκ τύχης τινὸς παθήματος γενομένου. καὶ τὸ μὲν πρᾶγμα μεμήνυται, οὐδὲν δὲ ἧττον αἰσχρὸν τῶν Ἑλλήνων κατεῖπεν. A.

761. πολέμου δ' ἐγένετ' ἐρωή: οὐκ ἔξιν ἐναντίου τὸ λέγειν καὶ φεύγειν αὐτὸς καὶ μὴ γίνεσθαι ἐρωὴν τοῦ πολέμου· ἔφευγε μὲν γὰρ ὁ πολὺς καὶ χυδαῖος τῶν Ἑλλήνων ὄχλος, ὑπερώων δὲ οἱ Αἴαντες καὶ οἱ ὑπερμαχοῦντες τοῦ νεκροῦ. ἐρωὴ δὲ ἡ ἐπίχεσις. A. (δὲ οὐκ ἐπίχεσις ἀλλὰ τοὐναντίον αὔξησις V).

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ σιγμῆς. A.

ΕΙΣ ΤΗΝ Σ.

1. δέμας πυρός: πυρὸς τρόπον. τὸ δὲ ἔμπυρον τῆς μάχης βέλεσι δηλῶσαι. A.

λείπει τὸ ὡς· ὡς πῦρ γὰρ ἐμάχοντο μετὰ πάσης ἐνεργείας· καὶ γὰρ τὴν μάχην καυσειρὰν λέγει καὶ ἔμπυρον. ποικίλλει δὲ πάλιν μετάγων ἡμᾶς ἐπὶ τὰς σκηνάς. τινὲς δέ φασιν, εἰ δέμας τὸ σῶμα, τὸ δὲ σῶμα εἶδος, εἶδος δὲ ὁ τρόπος, δέμας πυρὸς ὁ τρόπος τοῦ πυρός. λέγει δὲ ὅτι ὠλόθρευον ἀλλήλους ὡς πῦρ, ἤτοι ἐμπύρως ἐπολέμουν. B.

3. προπάροιθε: νῦν ἐπὶ τόπου· καὶ ἐν Ὀδυσσείᾳ „καὶ δ' ἔβαλε προπάροιθε νεώς" (9, 482). τάσσεται δὲ καὶ ἐπὶ χρόνου· „σεῖο δ' Ἀχιλλεῦ οὔτις ἀνὴρ προπάροιθε μακάρτατος" (Od. 11, 482). AB.

ὀρθοκραιράων: τῶν τὰς κεφαλὰς ὀρθὰς ἐχουσῶν· κραῖραν γὰρ λέγουσι τὴν κεφαλήν, καὶ οἱ Ἀττικοὶ τὸ τῆς κεφαλῆς ἥμισυ ἡμίκραιραν. λέγει δὲ διὰ τὸ τὰς πρώρας καὶ πρύμνας ἀνατετάσθαι, ἐκ μεταφορᾶς τῶν βοῶν. A.

κατὰ πρύμναν καὶ πρῶραν ἀνατεταμένων, ὀρθοκεφάλων· κραῖρα γὰρ ἡ κεφαλή. B.

ὀρθὰς κεραίας ἐχόντων, ὀρθοπρύμνων. καλεῖ δὲ κεραίαν τὸ ἐπάνω τοῦ ἱστοῦ δεδεμένον πλάγιον ξύλον, οὗ ἐξάπτεται ἡ ὀθόνη. D.

4. τὰ φρονέοντ': οἱ περὶ τῶν φίλων ἀγωνιῶντες καὶ τοῖς κινδύνοις δυσέλπιδές εἰσιν. ἔξι δὲ τῶν ἐν ἀτυχίᾳ προληπτικὸς ὁ νοῦς. AB.

5. ὀχθήσας: ἤτοι λυπηθείς, ἀπὸ τοῦ ἄχθους, ὃ ἐστι βάρος· λέγοιμεν δ' ἂν καὶ βαρυνθείς. ἢ τὸ ὀχθήσας ἀπὸ τοῦ ὄχθου ὠνόμασαι, ὄχθοι δὲ τὰ ὑψηλά· οἷον ἐπαρθεὶς τῷ θυμῷ. A.

6. ὤ μοι ἐγώ: περιπαθῶς ἄγαν ἑαυτὸν ἀπολοφύρεται ἐπὶ τῇ ὑπονοουμένῃ τοῦ φίλου συμφορᾷ. μεγαλοφυῶς δὲ ἅπτεται τῆς φυγῆς τῶν Ἀχαιῶν ἐοικότως πεπτωκέναι Πάτροκλον· οὐκ ἂν γὰρ αὐτοῦ ζῶντος ἔφυγον, ἦκεν ἂν αὐτὸς πρὸς Ἀχιλλέα. B.

7. νηυσὶν ἔπι: ἐπὶ τὰς ναῦς. ἀναστρεπτέον τὴν πρόθεσιν, ὁμοίως καὶ ἐπὶ τοῦ „νηυσὶν ἔπι προέηκα" (439). ἢ διὰ πλῆ δέ, ὅτι λείπει ἡ διά, φεύγοντες διὰ τοῦ πεδίου. ABV.

ἀτυζόμενοι: βεβλαμμένοι, ἢ φεύγοντες· πεποίηται ἡ λέξις παρὰ τὸ ἄτη. τινὲς δὲ ἀντὶ τοῦ ἐκπληττόμενοι καὶ ὀδυρόμενοι. B.

9. διεπέφραδε σοὶ μοῖρ' ἔειπε: ὁμοιόν ἐστι τῷ „ἔπος ἔφατ' ἔκ τ' ὀνόμαζεν." B.

Ἄκτωρ γένει μὲν ἦν Λοκρός, γήμας δὲ Αἴγιναν τὴν

Ἀσωπῷ τῷ Θηβαΐδ ποταμῷ θυγατέρα μετὰ τὴν Διὸς μίξιν, ᾗ καταμείνας ἐν Οἰνώνῃ, ἐγέννησε Μενοίτιον, ὃς ἀνελθὼν ἐπὶ τὴν πατρῴαν Ὀπῦντα Πάτροκλον ἐγέννησεν, ὃν ἀκότως Μυρμιδόνα εἶπε διὰ τὸ γεννηθῆναι τὸν πατέρα αὐτῷ ἐν Αἰγίνῃ. D.

10. 11. ἐν τῇ Ῥιανῇ ᾗ Ἀρισοφάνης ἐκ ἦσαν οἱ β', ἴσως ἐπεὶ ἐκ ἦν Μυρμιδὼν ὁ Πάτροκλος· Λοκρὸς γὰρ ἦν ἐξ Ὀπῦντος. δεῖν δέ φησιν ὁ Ἀρίσαρχος ἕτως αὐτὸν παραδέχεσθ, τὸν μετὰ τὸν ἄριστον τῶν Μυρμιδόνων. καὶ κατά τινας δὲ τῶν μεθ' Ὅμηρον Ἄκτωρ ὁ πατὴρ τῷ Μενοιτίῳ λέγεται λαβεῖν Αἴγιναν, ἐκ ταύτης δὲ γενέσθ Μενοίτιον ᾗ οἰκῆσαι ἐν Ὀπῦντι· ἕτως ἂν γίνετο τὸ ἀνέκαθεν Μυρμιδὼν ὁ Πάτροκλος. δύναται δὲ ᾗ ἑτέρως Μυρμιδὼν ὁ Πάτροκλος λέγεσθ διὰ τὸ μετὰ τὸν Ἀχιλλέα ἡγήσασθ τῶν Μυρμιδόνων. πῶς δέ, φασί, τᾶτο πεπυσμένος παρὰ τῆς μητρὸς ἔπεμπε τὸν Πάτροκλον εἰς τὸν πόλεμον; ὅτι, φαίη τις ἄν, ἅτε τἔνομα σαφῶς εἶπεν ἅτε τὸν χρόνον, παρά τε τὸν καιρὸν λήθη γίνεται τῶν τοιάτων· ὅταν δὲ ἀποβῇ, μιμνήσκονται. A.

Ἄκτωρ Λοκρὸς μὲν ἦν τὸ γένος, ἀπὸ Ὀποῦντος πόλεως, γήμας δὲ ἐν Οἰνώνῃ πόλει Φθιώτιδι γεννᾷ Μενοίτιον τὸν τῷ Πατρόκλῳ· ὅθεν ἀναγκαίως τὸν Πάτροκλον Μυρμιδόνα καλεῖ. διὸ ᾗ ἄριστον, ἃ κρείττονα εἶπεν. ἐπὰν γὰ πρὸς πολλὰς ὁμογενεῖς συγκρίνωμεν, τῷ ὑπερθετικῷ χρώμεθα, οἷον πλεσιώτατος Ἀλεξανδρέων Πτολεμαῖος, εἰ δὲ πρὸς ἀλλογενεῖς, τῷ συγκριτικῷ. τὸ γὰ συγκριτικὸν οὕπω τὴν τελείαν ἔχει λέξιν· ἀμέλει γέ τοι ᾗ ἔτι ἐπιτείνεται· τὸ δὲ ὑπερθετικὸν τὸ τέλος εἴληχε. τῷ δὲ ἐντελεῖ συγκρινόμενον ἐκ ἀχθεσθήσεται τὸ πλῆθος, τῷ γε μὴν ἀτελεῖ. πιθανὸν δὲ τὸ μὴ ὀνομαζὶ περὶ Πατρόκλ προειρηκέναι τὴν Θέτιν· ᾗ γὰ ὁ τῶν χρησμῶν χαρακτὴρ τοιᾶτος, ἐχόμενος τῷ ἀμφιβόλῳ. B. διὸ ᾗ μετὰ τὰς ἀποβάσεις ὑρῶνται, ὡς καὶ ἐπὶ τῷ Ἀλκινόου. BV.

ἢ τὸν ἐν Μυρμιδόσιν ἄριστον. ἐνηρίθμητο γὰ αὐτοῖς, εἰ ᾗ Λοκρὸς ἦν. V.

δύναται δὲ Μυρμιδόνων λέγειν τὸν ἄριστον οἷον τῆς Μυρμιδόνων ῥατιᾶς. διὸ ᾗ ἄριστον, ἃ κρείττω εἶπεν. V.

χαρίεν τάτῳ τῷ τρόπῳ προειπεῖν τὴν Θέτιν· ἃ γὰ ἐβάλετο τὸ μέλλον ἐπιτελεσθῆναι πάντως ἐκ πολλᾶ προειποῦσα λυπεῖν τὸν υἱόν. ἐπίτηδες δὲ εἰπεῖν τὸ Μυρμιδόνων τὸν ἄριστον, ἵνα μὴ φανερῶς εἴπῃ τὸν Πάτροκλον. A.

ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, πῶς Μυρμιδόνων ἄριστον λέγει τὸν Πάτροκλον Λοκρὸν ὄντα. A.

11. χερσὶν ὕπο Τρώων: ἀντὶ τῷ ὑπὸ τῶν χειρῶν τῶν Τρώων. A.

12. ἦ μάλα δὴ τέθνηκε: ἀντὶ τῷ λίαν κατείληφα ὅτι τέθνηκε· μάλα οἶδα ᾗ πέπεισμαι. A.

μάλιστα τῇ διανοίᾳ κατείληφεν ὅτι τέθνηκεν· ἐκ τῷ βίᾳ δὲ τὸ πάθος εἴλκυσε· δεινοὶ γὰ ἀεὶ τὸ χεῖρον εἰκάζειν οἱ σφόδρα ἐργοντες. A.

ἀκριβῶς δὴ τέθνηκεν. οὕτως γὰ ᾗ ἐν Ὀδυσσείᾳ ἔχει (23, 149) „ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν," ἵν' ἦ ἀκριβῶς ἔγημεν. D.

13. σχέτλιος: ἀντὶ τῷ χετλιασμῷ ἄξιος ᾗ ἀγνώμων. ὡς πρὸς ἑαυτὸν δέ. D.

τάλας ἦ τλήμων ἐνταῦθα. ὁ ἑαυτῷ κακῶν αἴτιος. ἀναφαίνεται δὲ ἐνταῦθα ἡ γνώμη τῷ Ἀχιλλέως, ὅτι κατὰ πρόνοιαν τῷ φίλῳ ἀπέχεθ τῷ τείχους συνεβάλευσεν, ἃ βασκαίνων (Il. 16, 87). A.

14. ἂψ ἐπὶ νῆας ἴμεν: ἕτως ἡ Ἀρισάρχ. ἐν ἐνίαις δὲ φαύλως νῆας ἐπ' ἄψ ἰέναι. A.

Ἀρίσαρχος καὶ Ἀρισοφάνης ἂψ ἐπὶ νῆας ἴμεν. AV.

Ἕκτορι: ἀπὸ μέρους τοῖς πᾶσι Τρωσίν. B. ἔφη γὰρ „Τρῶας ἐναιρόμενος προτὶ Ἴλιον" (Il. 16, 92). V.

17. δάκρυα θερμὰ χέων: ἵνα πλησίον γένηται τῆς ὑπονοίας ὁ Ἀχιλλεύς, ᾗ μὴ περιμείνῃ τὴν ἀγγελίαν. A.

ὥσπερ συναλγῶν ἐπὶ τῇ Πατρόκλ συμφορᾷ ὁ ποιητὴς ἐπιφωνεῖ ὅτι ἀληγεινὴ ἡ ἀγγελία ἦν τὸ τὸν Πάτροκλον ἀγγεῖλαι τετελευτηκότα. B.

18. ὤ μοι: δεξιῶς πάνυ ὁ Ἀντίλοχος ἅτε τὸν τελευτήσαντα κατοικτίζεται ἅτε τὸν Ἀχιλλέα, εἰς ἑαυτὸν δὲ τὴν συμφορὰν ἐπενεγκὼν ηὔξησε τὸ πάθος. A.

περιπαθῶς ᾗ ἀξίως τῆς φιλίας ἀναφθέγγεται, ἐκ ἐπὶ τὸν τεθνεῶτα ἐδὲ ἐπὶ τὸν ἀκέοντα ἀλλ' ἐφ' ἑαυτὸν ἀνενεγκὼν τὴν ἀτυχίαν· διὰ γὰ τῷ ᾧ μοι οἰκειᾶται τὴν συμφοράν. τὸ δὲ Πηλέως ὡς τοιάτ πατρὸς ὢν μετριάζει ταῖς συμφοραῖς. τὸ δὲ λυγρῆς ἔννοιαν αὐτῷ τῷ δεινῷ δίδωσιν. B.

20. κεῖται Πάτροκλος: προδὲς ἴχνη τῆς συμφορᾶς τῷ δακρύῳ ᾗ τῇ προφωνήσει ἅτως ἐπὶ τὴν διήγησιν ἔρχεται· αἰφνίδιον γὰ προσπεσόντα τὰ δεινὰ τοῖς ἀκέσσιν ἐξίστησιν. AB.

οἷον ἐκ ἀνήρπασαι. διὰ δὲ τῷ ἀμφὶ μάχονται εὐμενῆ τοῖς Ἀχαιοῖς αὐτὸν ἀπεργάζεται. ἱκανῶς δὲ ἐτάχυνε τὸν κακάγγελον, ἐν ὅλοις τέσσαρσι στίχοις· καὶ ἐν βραχεῖ πάντα ἐδήλωσε, τὸν ἀποθανόντα, τὰς ὑπερμαχομένας, τὸν κτείναντα. ἐκ ἐζήλωσαν δὲ τᾶτο οἱ τραγικοί, ἀλλὰ τοῖς λυπουμένοις μακρὰς ἐπάγουσι τὰς διηγήσεις τῶν συμφορῶν. B.

21. ἀτὰρ τά γε τεύχε' ἔχει: δεδήλωκε μετὰ συντομίας τὸ γεγενημένον πρᾶγμα ἀναγκαίως, καὶ τὸ συμβὰν τῷ ἥρωϊ εὐχημόνως ἀπήγγειλεν· ἃ γὰ ἔφη, σκυλεύσας τὰ ὅπλα ἔχει, ἀλλὰ μόνον ἐσήμανεν. A.

22. τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε: Πλάτων ἐν τρίτῳ πολιτείας κατηγορεῖ τῶν ὀδυρομένων, λέγων ὑπὲρ τῶν τεθνεώτων μὴ δεῖν τᾶτο ποιεῖν ὡς δεινόν τι πεπονθότων. Ζωΐλος δέ φησιν ἄτοπον νῦν εἰδέναι τὸν Ἀχιλλέα· προειδέναι τε γὰ ἐχρῆν ὅτι κοινοὶ οἱ πολεμικοὶ κίνδυνοι, τόν τε θάνατον ἐκ ἐχρῆν δεινὸν ὑπολαμβάνειν, τό τε οὕτως ὑπερπενθεῖν γυναικῶδες. ἕτως ἔτ' ἄν βάρβαρος τιθὴ ἐποίησεν. καίτοι Ἑκάβης ἐπὶ τῷ συρμῷ Ἕκτορος ἐδὲν τοιᾶτόν ἐσιν. Ζηνόδωρος δὲ ἀπολογεῖται λέγων ὅτι διὰ τὴν ὑπερβολὴν τῶν πεπραγμένων θρηνεῖ. ᾗ ἄλλως συνήθη ταῦτα τῷ τε βίῳ· „τᾶτό νυ ᾗ γέρας οἷον ὀΐζυροῖσι βροτοῖσι κεῖ-

ραθαι τε κύμην βαλέειν τ' ἀπὸ δάκρυ' παρειῶν" (Od. 4, 197). A.

ἄλλως. εἰ γ' Ἀντίλοχον ἥττονα φίλον καταλαμβάνει πένθος ἀκέσαντα, τί πείσεται Ἀχιλλεύς; μεῖζον δὲ τὸ πάθος ἔδειξε δακρύσας. A.

23. κόνιν: τὴν σποδόν φησιν „μέλαιν' ἀμφίζανε τέφρη" (25). οἱ δὲ τεφρώδη κονιορτόν. B. καὶ ἐπὶ Πριάμῳ „ἀμφὶ δὲ πολλὴ κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι" (Il. 24, 164). V.

ὅτι τὴν ἀπὸ πυρὸς τέφραν κόνιν λέγει. διὸ καὶ αἰθαλόεσσαν αὐτὴν λέγει. A.

25. νεκταρέῳ εὐώδει, ἢ εὐπρεπεῖ, ἢ θείῳ. B.

26. μεγαλωστί: Ἀνακρέων ἡρωϊζει (ἡρωϊζί?). Φερεκράτης ἀντὶ τοῦ ταχέως. A.

τινὲς ὡς τί. δεῖ δὲ μεγαλιστί, ὡς Φρυγιστί, Ῥωμαϊστί. V.

28. δμωαὶ δ': φιλοπενθὴς γυνὴ βάρβαρος αἰχμάλωτος, καὶ διὰ τὸ πρᾶον τοῦ ἀποθανόντος καὶ τὴν τιμὴν τοῦ ζῶντος. εἰ δὲ αὗται θρηνῶσι, πῶς ἐκ ἂν Ἀχιλλεύς; ἐκ περισσοῦ δὲ τοῦτό φησι· μὴ μνηθέντος γ' ἐδεῖς ἐπεζήτησεν. B.

περιπαθῶς ἀναπεφάνηται τὸ ὄνομα τοῦ Πατρόκλου. A.

. λητῖσατο: ἐκ λαφυραγωγίας ἐκτήσατο. A.

πανταχόθεν ἐκίνησεν, ἄνωθεν μὲν τοῖς εὐεργετήμασι, νῦν δὲ τῇ ἐξ ἑτέρων σπουδῇ. V.

33. ὁ δ' ἔσενε κυδάλιμον κῆρ: τοῦτο διὰ μέσου. τὸ γ' ἐξῆς „χεῖρας ἔχων Ἀχιλῆος· δείδιε γάρ." A.

34. δείδιε γὰρ: οἶδε γ' τὰς μεγαλοψύχους ἐπὶ σφᾶς αὐτὰς ἐν συμφοραῖς ὁρμωμένας. V.

τινὲς ἐφοβεῖτο γὰρ Ἀχιλλεὺς μὴ καὶ ἀποδειροτομήσῃ Ἕκτωρ τὸν Πάτροκλον· ὁ δὲ Ἀντίλοχος, φασί, πρὸς τὸ μὴ ἐπιχεῖν τὴν κόνιν κατεῖχεν αὐτόν· ὡς φιλέταιρος δὲ τοῦτο ὑπονοεῖ Ἀχιλλεύς. BV.

ἀποτμήξειε: οὕτως Ζηνόδοτος. Ἀρίσαρχος ἀπαμήσειε. A.

ἀπαμήσειε: Ἀρίσαρχος ἀποτμήσειε, Ζηνόδοτος ἀποτμήξειε. V.

ἡ διπλῆ, ὅτι ἀμφίβολον, μὴ τὸν ἑαυτῆ λαιμὸν ὁ Ἀχιλλεύς, ἢ τὸν Ἀντιλόχου. A.

35. σμερδαλέον δ' ὤμωξεν: θρηνητικὸν ἀνεφθέγξατο. προκατασκευὴ δὲ χρειώδης τῆς μεγαλοφωνίας Ἀχιλλέως· „τρὶς μὲν ἀπὸ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς, τρὶς δὲ κυκήθησαν Τρῶες" (228). συνετῶς δὲ ὀλιγόξαντα μόνον αὐτὸν παρεισάγει· λόγον γ' οἰκεῖον εὑρέσθαι ἐκ ἐνῆν εὐθέως τηλικαύτῃ συμφορᾷ πεπληγότι. B.

36. ἠμένη ἐν βένθεσσιν ἁλός: ἄλλα ἐπεισόδια καινά· καὶ ἀπὸ τῆς γῆς καὶ ἐπὶ θάλατταν μεταφέρει τὸ πένθος. A.

38. Νηρηΐδες: ἔντευθεν πλανηθέντες οἱ περὶ Ἡσίοδον Νηρέως ἀνέγραψαν θυγατέρα καὶ Θέτιν, τοῦ ποιητοῦ παρὰ τὸ νεῖν τὴν λέξιν ποιησαμένου, ὅθεν καὶ νῆσος, καὶ ναρόν τὸ ῥευστικόν. ἦσαν δὲ Πρωτέως, φησίν, ἢ Φόρκυνος· ἤτοι γ' γέροντες ἐνάλιοι παρὰ τῷ Ποσειδῶνι. „καὶ „ὑψόμεναι τε γέροντ' ἅλιον" (141). V.

39. ὁ τῶν Νηρεΐδων χορὸς προηθέτηται καὶ παρὰ Ζηνοδότῳ ὡς Ἡσιόδειον ἔχων χαρακτῆρα· Ὅμηρος γ' κατὰ τὸ κοινὸν Μούσας λέγει καὶ Ἐλευθερίας, ἀλλ' ἐκ ὀνόματα. γελοῖόν τε ἐξ ὀνόματος προθέμενον εἰπεῖν πάσας, ὥσπερ ἀποκαμόντα εἰπεῖν „ἄλλαι δ' αἱ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν." ὁ δὲ Καλλίστρατος ἐδὲ ἐν τῇ Ἀργολικῇ φησὶν αὐτὰς φέρεσθαι. τό τε ἔνθα ἔτε χρόνον σημαίνει ἔτε τόπον. διακόπτεταί τε ἡ λύπη τῷ καταλόγῳ. A.

ἄλλως. ἐνθάδε ἐβάρυνεν ὁ Ἀρίσαρχος τὸ Γλαύκη, εἰς ἀποφυγὴν τῆς ἐπιθετικῆς τῆς „γλαυκὴ δέ σ' ἔτικτε θάλασσα" (Il. 16, 34). ἐπὶ δὲ τῆς Νημερτοῦς τε καὶ Ἀψευδοῦς ἐκ ἐποιήσατο μεταβολὴν τόνου. ἔφαμεν δὲ ἤδη περὶ τῶν τοιούτων. A.

40. Θόη θ' Ἅλιη τε: ἀπὸ τοῦ ᾱ τὴν ἀρχὴν τοῦ ὀνόματος δεῖ ποιεῖσθαι, Ἁλίη· οἰκεῖον γ' Νηρεΐδι παρὰ τὴν ἅλα παρῆχθαι. A.

Ἀρίσαρχος χωρὶς τοῦ θ Ἅλεια, παρὰ τὴν ἅλα. A.

44. Δεξαμένη: τινὲς ὀξυτόνως διὰ τὸ Δεξαμενός. ἀντιτάσσεται δὲ αὐτοῖς τὸ Δαναός Δανάη καὶ κολωνός κολώνη. B.

51. σήθεα πεπλήγοντο: ἐκπληκτικὸν τοσαῦθ θεαὶ κοπτόμεναι περὶ τὴν Θέτιν θρηνῆσαν. V.

52. ὄφρ' εὔπασαι: διὰ μέτρον συνέξειλεν. V.

53. ἐνί: Ἀριστοφάνης ἐπί. A.

54. δυσαριστοτόκεια: ἐκ τριῶν σύνθετον, ὡς τὸ ἀμτροχίτωνας. λέγει δὲ ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα, ὃν ἄν τις εἴποι ἐπὶ δυσχερίᾳ εὐτεκνος. A.

ἐπὶ κακῷ τὸν ἄριστον τεκοῦσα, ἄριστον καὶ δύσηνον. καὶ Ὀλυμπιὰς ἐντεῦθεν περὶ Ἀλεξάνδρου φησὶ „κρείσσων γέγονεν ἢ μητρὶ συνέφερεν." B.

56. ἢ ὑποσιγμὴ ἤτοι ἐπὶ τὸ ἡρώων, ἵνα ὁ μὲν σύνδεσμος περισσεύῃ, ἢ καὶ ἐπὶ τὸ ἴσος, ἵνα ᾖ ἀνταπόδοσις „τὸν μὲν ἐγὼ θρέψασα." A.

57. τὸν μὲν ἐγὼ θρέψασα: ἡ διπλῆ, ὅτι ἡ Θέτις ἐκ ἀπελείφθη τοῦ Πηλέως οἴκου, καθάπερ οἱ νεώτεροι, δωδεκαταῖον καταλιποῦσα τὸν Ἀχιλλέα, ὁ δὲ Πηλεὺς Χείρωνα παραδίδωκεν, ἵνα τραφῇ. A.

γουνῷ ἁλωῆς: τῷ γονίμῳ τόπῳ τῆς γῆς, ἢ τῷ ὑψηλοτάτῳ, μεταφορικῶς ἀπὸ τῶν γονάτων τῶν ἐν τῷ σώματι, ἅπερ ἐξέχει. A.

τῷ γονίμῳ. τινὲς δὲ τὸ γεώλοφόν φασιν, ὃ καὶ τῶν καταιγίδων ἀπήλλακται καὶ ταῖς πραείαις αὔραις αὔξει μᾶλλον τὰ φυτά. A.

59. τὸν δ' ἐχ ὑποδέξομαι αὖτις: ἐκεῖν δεινότερον τῶν θνητῶν πέπονθεν ἡ Θέτις· κεκέρδηκε γ' ἐκ τῆς ἰδίας φύσεως τὸ πρὸ πολλοῦ λυπεῖσθαι καὶ θρηνεῖν, προεγνωκυῖα τὸν τοῦ παιδὸς θάνατον. B.

60. Πηλήϊον εἴσω: ἡ διπλῆ, ὅτι Ὅμηρος ἐκ οἶδεν ὡς οἱ νεώτεροι ποιηταί, κεχωρισμένην τὴν Θέτιν ἀπὸ τοῦ Πηλέως ὑπὸ τὴν Ἀχιλλέως γένεσιν· ἀλλ' ὅτι καὶ μετὰ τὸν Τρωϊκὸν πόλεμον σύνεσι, λέγει. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

63. ἴδοιμι: ἀντὶ τῦ συντύχοιμι. ϗ ἐν Ὀδυσσείᾳ (9,229) „ὄφρ' αὐτόν τε ἴδοιμι," καὶ „ὄψομαι δώματα πατρός" (141). B.

ἠδ' ἐπακέσω: τῦτο ὡς ἐν ποιήσει ἀκεξέον· ϗ γὰρ πιθανὸν τὴν προειρηκυῖαν περὶ τῆς τῦ Πατρόκλε τελευτῆς ὑπὸ αὐτῦν αὐτὸ τῦτο ἀγνοῦσαν φαίνεσθαι. A.

64. ἀπὸ: Ἀρίσαρχος φυλάττει τὸν τόνον τῆς προθέσεως. ἔφαμεν δὲ ἐν ἑτέροις ὅτι ἡ ἀπό ἐὰν συντάσσῃ τῇ γενικῇ μὴ μεταξὺ πιπτόντων λέξεων καὶ σημαίνῃ τὸ ἄποθεν, φυλάσσει τὸν τόνον. ἔστω γῶν ἀνέγνωμεν „ἀπὸ πατρίδος ἄνδρα κατακτάς" (Il. 13, 696) καὶ „οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος" (Il. 9, 353)· „καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο" (Il. 2, 292). προσέθηκα δὲ μὴ μεταξὺ πιπτόντων λέξεων διὰ τὸ „ἄπο πλυνοί εἰσι πόληος" (Od. 6, 40)· ϗ γὰρ ἐπλησίασε τῇ γενικῇ, ἀλλὰ μεταξὺ ἀνεδέξατο λέξεις. A.

ἀκ ἀναιρεπτέον τὴν ἀπό· τότε γὰρ ἂκ ἀναιρέθη ὅτε δηλῶσα τὴν ἄποθεν συντάσσει γενικῇ, μὴ πιπτόντων μεταξὺ ἄλλων λέξεων· „ἀπὸ ἧς ἀλόχοιο" „ἀπὸ πατρίδος ἄνδρα κατακτάς". πρόσκειται μὴ πιπτόντων μεταξὺ ἄλλων λέξεων διὰ τὸ „πολλὸν γὰρ ἄπο πλυνοί εἰσι πόληος·" ἐνθάδε γὰρ ἀναιρέφεται. B.

66. τὴν ἐνέργειαν ἐσήμανεν, ὡς ϗ ἐπὶ Ποσειδῶνος. ἀκ ἀνθηρογραφεῖ δὲ διὰ τὸ κατηφές. V.

68. ἐπισχερώ: ὀξύνει ϗ σεσημείωται, ὥσπερ ϗ τὸ ἰώ· ἀδὲν γὰρ εἰς ὦ λῆγον ἐπίῤῥημα θέλει ὀξύνεσθαι. A.

ὀξύνει, ϗ δηλοῖ τὸ ἐφεξῆς. τῦτο δὲ σεσημείωται, ϗ τὸ ἰώ· ἀδὲν γὰρ εἰς ὦ λῆγον ἐπίῤῥημα ὀξύνει, εἰ μὴ τὰ δύο ταῦτα. B.

τὸ ἐπιχερώ ἑκατέρωσε δύναται προσδίδοσθαι· ϗ γὰρ τὰς Νηρείδας ἀνίεναι τάξει πρέπον, ϗ τὰς ναῦς εἰκὸς ἐφεξῆς τετάχθαι, ὡς ἐν τῷ περὶ ναυςάθμε λέγεται. A.

71. ὀξὺ δὲ κωκύσασα: περιπαθὲς τὸ σχῆμα, ὅτι πάλιν κωκύει θεασαμένη τὴν κατάςασιν τῦ παιδὸς ϗ ὑπ' αὐτῆς τῆς ὄψεως κινηθεῖσα. BV.

περιπενθὲς τὸ σχῆμα· ϗ γὰρ φιλοφρονεῖται, ὡς Πηνελόπη „κύσε δ' ἄρα μιν κεφαλήν" (Od. 16, 15). V.

75. πρίν γ' εὔχεο: κατὰ τὸ λεληθός· ἢ ἐπεί φησι „πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο" (Il. 1, 393). B. καὶ αὐτὸς „ἦ μὲν δή ποτ' ἐμεῦ πάρος ἔκλυες" (Il. 16, 236). V.

76. ἀλήμεναι: ὡς παρὰ τὸ βῆναι βήμεναι ἐγένετο, ὕτως ϗ παρὰ τὸ ἀλῆναι ἀλήμεναι· „λαὸς ἐς τεῖχος ὁμαδήσας ἀλῆναι" (Il. 16, 714). ψιλῦται δὲ ϗ τὸ ἴαλη (Il. 13, 408) καὶ πᾶς ὁ σχηματισμός, ἐπεὶ ϗ τὸ θέμα αὐτῶν ἐψιλῦτο. A.

77. ὁ Ἀσκαλωνίτης ἀεκήλια, οἷον ἀχ ἥσυχα οὐδὲ ἀρηικά, ἐπεὶ ἔκηλος ὁ ἥσυχος, ὥςε εἰρῆσιν αὐτῶν ἐκδέχεσθαι. ἔστω δὲ ϗ Ἀρίσαρχος, οἷον ταραχώδη. ἢ ἀκούσια, ἃ ἂκ ἂν τις ἑκὼν πάθοι, ὁμοίως δὲ ϗ Ἀλεξίων· ϗ ἔχον τῦ δηλωμένυ. A.

ἃ ἄκοντες πάσχομεν, ὃ ἐςι δυςχερῆ. Ἀρίσαρχος δέ φησι τὰ ἀναγκάζοντα αὐτὸς σιωπᾶν. ἢ παρὰ τὸ ἔκηλος, τὰ μὴ ἡσύχια μηδὲ εἰρηναῖα. B.

ἢ διπλῆ πρὸς τὴν συναλοιφήν, ὅτι ἀεκήλια ἐκληπτέον κατὰ ἀπόφασιν τῦ ἐκήλε, ἐφ' οἷς ἐχ οἷόν τε ἡσυχάζειν. A.

80. τί μοι τῶν ἦδος: ὑπερβολὴ φιλίας, ὅτι ἀδὲν αὐτὸν ἥδει ὡς ἡ ζωὴ τῦ φίλε. B.

82. εἰκτέον ἐπὶ τὸ κεφαλῇ· μᾶλλον γὰρ ἐμφαίνει. A.

περιπαθῶς πάνυ τὸ ἀπώλεσα ὡς ἐπὶ κτήματος μεγάλε τῦ φίλε. Πυθαγόρειοι δὲ ἐρωτώμενοι τί ἐςι φίλος, ἔλεγον ἄλλος ἐγώ. B.

83. ἀπέδυσε: τινὲς ἀπέλυσε διὰ τὸ „λῦσε δέ οἱ θώρηκα" (Il. 16, 804). V.

84. τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν: δεινὸν αὐτῷ δοκεῖ λάφυρον γενέσθαι πολεμίῳ κτῆμα πατρὸς ϗ δῶρα θεῶν. κινεῖ δὲ ϗ τῷ τῦ Ἕκτορος φθόνῳ· φιλότιμος γάρ. ἅμα δὲ ϗ ἐν χρείᾳ ὅπλων ἐςί· διὸ πολυλογεῖ περὶ αὐτῶν. B.

86. αἶψ' ὄφελες: ταῦτα ἀπ' ἄλλης ἀρχῆς ἀναγνωςέον. A.

γράφεται ὡς ὄφελες. A.

Ἀπολλώνιος ἐν τῷ περὶ συντάξεως (p. 249, 29) τίθησι τὸν εἶχον. ἔστω ἔχοντα. A.

αὖθι: ἀναφορικῶς, ἐκεῖ ἐν τῷ τόπῳ τῶν Νηρηίδων, ὡς καὶ ὁ Κάλχας „πολεμίξομεν αὖθι" ἀντὶ τοῦ ἐκεῖ ἐν Τροίᾳ. φιλομήτωρ δὲ ὁ εὐχόμενος μὴ γενέσθαι, ὅπως μὴ γεγονὼς λυπήσῃ τὴν μητέρα. BV.

87. ἀγαγέσθαι: ὡς τὸ λελαβέσθαι. V.

88. διὰ τὸν ἵνα σύνδεσμον ὑποςιγμὴ ἐπὶ τὸ ἀποφθιμένοιο, ἵνα ὁ λόγος ᾖ τοιῦτος· νῦν δ' ἵνα ϗ σὺ πενθήσῃς τὸν υἱὸν ἀπολέσασα, τῦτον ἐχ ὑποδέξῃ ὑποςρέψαντα οἴκαδε. ἢ παντελῶς παραιρεθήσεται ἡ ὑποςιγμή, κοινῦ νοουμένυ ἄνωθεν τῦ „ἀνέρος ἔμβαλον ἐνῇ." A.

συμφορὰν ἑαυτὸν τῇ τεκέσῃ γεγενῆσθαι ὁμολογῶν, ἔλεον ἑαυτῷ θηρᾶται. ἠθικὸν δέ ἐςι ϗ βιωφελὲς τὸ πρᾶγμα· εἰώθαμεν γὰρ λέγειν τοῖς φίλοις ὡς αἰτιοί ἐσμεν τῶν κακῶν. B.

90. οἴκαδε νοςήσαντ': ἡ διπλῆ, ὅτι πάλιν συνοικεῖ τῷ Πηλεῖ ἡ Θέτις. A.

92. πρῶτος: ἔδει πρότερος· δύο γάρ εἰσιν. ἐμφαντικῶς δὲ ἄγαν πάντα μὲν ὁμῦ συνήγαγε τὰ κεφάλαια, ϗ μετ' ἄλλες δὲ ἐπιθυμεῖν φησὶ τῆς Ἕκτορος ἀναιρέσεως, ἀλλ' ἐκείνε προτέρε. B. (ἀλλὰ πρῶτον ἐκεῖνον ἀνελεῖν V).

τὸ ἑξῆς ἐςὶν ἀπολέσῃ· διὸ οὐκ ἀναιρεπτέον τὴν ἀπό. τὴν μέντοι ὑπό, ἐπεὶ τὸ ἀκόλεθόν ἐςιν ὑπ' ἐμῷ. εἰσὶ μέντοι οἳ οὐκ ἀνέγραψαν, ἀλλὰ συνέταξαν τῇ δοτικῇ, δουρὶ ἐμῷ· ἐν ἑτέροις γὰρ οὕτως αὐτὸν εἰρηκέναι „δουρὶ δ' ἐμῷ κτεάτισσα" (Il. 16, 57). A.

τὴν μὲν ἀπό ἂκ ἀναιρεπτέον· ἔχει γὰρ ἀπολέσῃ. τὴν δὲ ὑπό οἱ μὲν συντάσσοντες τῷ δουρὶ ὀρθοτονῦσιν, οἱ δὲ τῷ ἐμῷ ἀναιρέφεσιν. B.

93. ἡ διπλῆ, ὅτι τὰ ἕλωρα οὐ βρώματα ἀλλὰ ἐλκύσματα. A.

ὑπὲρ ὧν εἵλκυσεν, ἵνα ἀνθελκυσθῇ. B.

94. τὸν δ' αὖτε προσέειπε: ἐν ἄλλῳ τὸν δ' ἠμείβετ' ἔπειτα. A.

95. ὠκύμορος δή μοι: περιπαθῶς ἀνεβόησεν ἀποτρέπουσα τῆς ἐξόδου αὐτόν. περιπαθὲς δὲ καὶ τὸ τὴν αὐτὴν εἶναι προθεσμίαν Ἀχιλλεῖ τῆς τε τοῦ ἐχθροῦ τιμωρίας καὶ τῆς αὐτοῦ μεταλλαγῆς. B.

98. αὐτίκα τεθναίην: ἡ μὲν ᾤετο διὰ τὸν λόγον ἀποτρέψειν αὐτὸν τῆς σπουδῆς· ὁ δὲ αὐτὸ τοῦτο πρῶτον μετ' ἐπιτάσεως τάσσει διὰ τῶν αὐτίκα, ὡς τῷ φίλῳ ἀκολουθήσων. A.

διὰ τί τὸν Ἀχιλλέα ἔτως ἀνώμαλον πεποίηκεν, ὃς γε, ὅτε ἔζη, τεθνάναι ἐβάλετο, τεθνεὼς δὲ ζῆν δουλεύων μᾶλλον ἢ ἔχειν τὴν τοῦ Ἅιδου βασιλείαν (Od. 11, 488); ἢ ὅτε τὸ τεθνάναι δι' αὐτὸ αἱρετῶς φαίνεται οὔτε τὸ ζῆν, ἀλλὰ μόνα τὰ καλὰ ἔργα, καὶ ὅπως πράττῃ ταῦτα. ἵνα μὲν γὰρ βοηθήσῃ τῷ Πατρόκλῳ, τεθναίην φησίν, ἵνα δὲ τῷ πατρί, ζῆν ἐθέλει. ὥσε καλῶν ἔργων προκειμένων ὁ φιλόκαλος καὶ ζῶν τεθνάναι αἱρήσεται, εἰ μέλλοι καλόν τι πρᾶξαι ἀποθανών, καὶ ἀναβιώσεσθαι πάλιν, εἰ μέλλοι τῶν κατ' ἀρετήν τι πρᾶξαι ἀναζήσας. ὅρα δὲ πῶς τῷ αὐτῷ ὀνόματι χρησάμενος ᾧ καὶ ἡ Θέτις, τὸν δι' ἀρετὴν καταφρονῆντα θανάτου ἐνέφηνε. καλὸν δὲ πρὸς φιλεταιρίαν παράδειγμα, εἴ γε τοῖς τοσούτοις μὴ πειθεὶς δώροις δίχα τούτων καὶ θάνατον αἱρεῖται ὑπὲρ φίλου. B.

99. σικτέον ἐπὶ τὸ ἀμῦναι. A.

100. ἐμεῖο δὲ δῆσεν: ὅμοιον τῷ „ἦ μάλα πολλὸν ἀποιχομένου Ὀδυσῆος δεύῃ" (Od. 1, 254)· καὶ Σοφοκλῆς (Trach. 1175) „δεῖ σοῦ γενέσθαι τῷδέ γ' ἀνδρὶ σύμμαχον." ἔστι δὲ ἀντὶ τοῦ ἐδέησεν. ἀρῆς δὲ τῆς βλάβης, ὡς τὸ „Μέντορ ἄμυνον ἀρήν" (Od. 22, 208). ἐμοῦ γάρ, φησίν, ἐδέησε τῷ Πατρόκλῳ ὥσε με βοηθὸν τῆς βλάβης γενέσθαι. τινὲς δὲ Ἄρεως τοῦ πολέμου (ἀπὸ τοῦ ἄρεος V)· καὶ ἔστιν ὁ λόγος τοιοῦτος, ἐμοῦ δὲ ἐδέησε τὸν ἀλεξητῆρα γενέσθαι τοῦ Ἄρεως, καθ' ὃν ἀπώλετο Πάτροκλος. BV.

προπερισπαστέον τὸ δῆσε· τὸ γὰρ ἕ τοῦ δέ ἐστι. V.

τινὲς περιέσπασαν τὸ ἀρῆς, ἵνα σημαίνῃ τὸ βλάβης. ἔτως καὶ ὁ Ἀσκαλωνίτης καὶ ἡμεῖς. τὸ δὲ δῆσεν δισύλλαβον ἐκδεκτέον ποιητικόν, καὶ τὸ ἕ τοῦ προκειμένου ἐστὶ συνδέσμου. A.

ἄλλως. ἀρῆς ἀλκτῆρα βλάβης καὶ κακώσεως ἀποτρεπτικόν, ὃ ἐστι κωλυτὴν καὶ βοηθόν. οἱ δὲ Ἄρεω (ἄρεος D) ἀλκτῆρα ἀποτρεπτικὸν πολέμου. Παρμενίσκος μὲν οὖν βαρυτόνως τὸ ἔδησεν ἀποδίδωσιν οὕτως· ὁ δὲ πόλεμος τὴν ἐμὴν ἀφελόμενος πανοπλίαν ἔδησέ μου τὴν ἔξοδον, ὥσε ἀλκτῆρα μὴ γενέσθαι Πατρόκλου, ὃ ἐστι βοηθόν. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης περισσὸν τὸ ἔδησέ φησιν. AD.

διὰ τοῦ ὦ Ἄρεω ἡ Ἀρισάρχου καὶ ἔστι τὸ λεγόμενον, ἐμοῦ δὲ ἐδέησε τὸ ἀλεξητῆρα γενέσθαι τοῦ Ἄρεω καθ' ὃν ἀπώλετο. ἀπ' εὐθείας τῆς ὁ Ἄρεως, ὡς ὁ Πείρεως· „Πείρεω υἱόν" (Il. 20, 484). ἐν δὲ τοῖς εἰκαιοτέροις ἀρῆς τῆς βλάβης, ἐπεὶ καὶ Ἡσίοδος „ἀρῆς ἀλκτῆρα" βλάβης καὶ κακώσεως ἔφη (Scut. 29 et 128). A.

101. ὅτι εἴωθε τῷ ἐπεὶ μὴ ἐπαγαγεῖν ἀνταπόδοσιν. Vi
φησὶ τὸ ἑξῆς· „νῦν δ' ἐπεὶ ἀ νέομαί γε (114), νῦν δι
εἰμ' ὄφρα φίλης κεφαλῆς," ὡς καὶ „Ἕκτορ ἐπεί με κατ
αἶσαν ἐνείκεσας, νῦν αὖτ' εἰ μ' ἐθέλεις" (Il. 3, 59. 67)· τ
δὲ ἄλλα διὰ μέσου. οἱ δὲ ἕτως· ἐπεὶ νόσον ἐξέρημαι οὐδ
τοῦτο ἐγένετό μοι τὸ ἐπαρκέσαι τῷ φίλῳ καὶ τοῖς ἄλλοι
Ἕλλησιν ὑπὸ Ἕκτορος κατὰ τὴν τῆς μήνιδος χρόνον. ο
ὑποσιγμαὶ δὲ μέχρι τοῦ (106) „ἀμείνονές εἰσι καὶ ἄλλοι" ἀπα
τελοῦντι, τῷ ἐπεὶ συνδέσμῳ τὸν λόγον ἀρτῶντος, ἵν' ᾖ ἀν
ταπόδοσις (107) „ὡς ἔρις ἔκ τε θεῶν." ὁ δὲ λόγος ἠθι
κός· νῦν δ' ἐπεὶ μήτε εἰς τὴν πατρίδα ὑποστρέψαι εἰμαρ
μένον ἐστὶ μήτε ἐξεδίκησα τοὺς ἀναιρεθέντας, τὸ φιλονεικεῖ
ἔκ τε θεῶν καὶ ἀνθρώπων ἀπόλοιτο. ἢ τὸ ἑξῆς τοῦ λόγου
νῦν δ' ἐπεὶ οὐ νέομαι, νῦν δ' εἰμ' ὄφρα φίλης κεφαλῆς
καὶ γ' ἐπανείληφε τὸ χρονικὸν ἐπίρρημα ὥσπερ εἰς ὑπόμνη
σιν τῆς ἀρχῆς ἣν παραλιπὼν παρεξέβη. A.

τὸ ἑξῆς, νῦν δ' ἐπεὶ ἀ νέομαί γε, εἰμ' ὄφρα φίλης κε
φαλῆς ὀλετῆρα κιχείω. τὰ δὲ ἄλλα διὰ μέσου. B.

102. οὐδέ τι Πατρόκλῳ γενόμην φάος: τοῦτ
κατ' ἰδίαν. A.

103. Ἕκτορι εἴῳ: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ὑφ' Ἕκτορ
δίου. A.

104. ἐτώσιον ἄχθος ἀρέρης: ἐχθρὸς γὰρ τῆς ἀργ
ὁ ἥρως, φιλότιμος δὲ περὶ τὰς πράξεις. A.

ἄχθος διὰ τὴν ἀπραξίαν τὸ μέγεθος τοῦ ἥρωος, εἴ
ἢ πάντα φέρουσα γῆ αὐτὸν ἃ φέρει ἀργῆντα. BV.

105. οἷος ἔτις: ἀλαζών, φασί, καὶ φορτικός. ῥητέον
ὅτι ἔθος ἦν πᾶσιν ἑαυτὸς ἐπαινεῖν. A.

ἐπὶ τοῖς προφανέσι πλεονεκτήμασιν ἀνεμέσητον τὸ ἑα
τὸν ἐπαινεῖν. ἔθος γὰρ τοῖς παλαιοῖς ἑαυτοὺς ἐγκωμιάζε
ὡς πρὸς Φαίακας Ὀδυσσεὺς καὶ πρὸς Λυκάονα Ἀχιλλεὺ
διὰ δὲ τῶ ἐγκωμίῳ ἑαυτῷ κατηγορεῖ, ὅτι γε τοῖς ταλαιπ
ροις οὐκ ἤμυνε τοιοῦτος ὤν. B.

106. ἀγορῇ δέ: τὸ τῶν λόγων ἐκὼν παρεχώρησεν. ἐ
γὰρ ῥήτωρ, μαρτυρεῖ ἡ Ἰραψῳδία. ἀλλὰ τῷ διελεῖν τ
ἔπαινον ἀπελύσατο τὸν φθόνον. V.

107. ὡς ἔρις: Ἡράκλειτος τὴν τῶν ὄντων φύσιν κ
ἔριν συνεχάναι νομίζων μέμφεται Ὅμηρον, σύγχυσιν κόσ
δοκῶν αὐτὸν εὔχεσθαι. πρὸς ὃν ἄν τις εἴποι ὅτι οὐ λέγει τ
τὴν ἐναντίωσιν ἔριν, ἀλλὰ τὴν ἔχθραν· ὅθεν ἐπιφέρει
χόλος·" οὐ γὰρ ἡ τῶν πραγμάτων ἐναντίωσις τὰς φρονίμ
ἐξίστησι τῶν λογισμῶν. A.

Ἡράκλειτος σύγχυσιν αὐτὸν εὔχεσθαι ἁπάντων φησί· κα
γὰρ ἐναντίωσιν τὰ πάντα συνέχει. ἀλλὰ τὴν ἐπὶ τὸ χεῖρ
ἄγουσαν ἔριν νῦν φησίν. ἄλλως τε δοτέον τοῦτο φλεγμ
νοντος τῷ πάθει. V.

108. πολύφρονά περ: ἀπολογία αὕτη Ἀχιλλέως, ὃ
καὶ περὶ τοὺς ἄγαν φρονίμους τὸ πάθος συμβαίνει. χαλ
πῆναι δὲ τὸ εἰς χαλεπότητα ἀχθῆναι. τὸ δὲ ἐφέπε
ἀντὶ τοῦ ἐν ἐφέσει ποιεῖ γενέσθαι τοῦ χαλεπῆναι καὶ τὸν πολ
φρονα. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

109. γλυκίων: γλυκέως γ' διατίθεσθαι τὰς ἐκπληρώσεις τὰ κατὰ θυμὸν συμβαίνει. A.

καταλειβομένοιο: τῷ ἐν μελισσουργείοις καταχύζοντος (ἢ ᾧ τοσοῦτο συμβέβηκε V). βέλεσι δὲ διὰ τέτρητο τὸ πλῆθος ἐμφῆναι. BV.

110. ἠΰτε καπνός: θυμός ἐστι ζέσις τῆς περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. τοῦτον δὲ τὸν ὅρον πρῶτος Ὅμηρος παρέδωκε· καπνὸν γὰρ τὸ πῦρ φησίν, ὡς τὸ „καπνίσαντες κατὰ κλισίας" (Il. 2, 399) καὶ „ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται" (207)· ἄτοπον γὰρ καιομένης καὶ λαμπούσης φλογὶ καπνὸν εἰκάζειν. ζέσις δὲ οὐκ ἂν χωρὶς πυρώσεως γένοιτο. παρέπεται δὲ αὐτῇ (ἡδονὴ δὲ παρ. V, ἡ δίνη δὲ παρ. A) τοῖς ὀργιζομένοις διὰ τὸ σπεύδειν ἀμύνασθαι τὸν ἀντίπαλον. τὸν δὲ καπνὸν παρείληφε πρὸς τὴν αὔξησιν. δῆλον δὲ ὅτι κατὰ ἀναθυμίασιν τὴν ἀπὸ τῆς ὀργῆς φερομένην ὁ θυμὸς ἀναφέρεται. ABV.

111. Ἀγαμέμνων: ῥῆμα παραπολογεῖται ὑπὲρ ἑαυτῷ ὅτι ἄλλος αἴτιος τῆς ὀργῆς κατέστη. B.

112. ἀλλὰ τὰ μέν: ἤδη τινὰ μετάνοιαν ποριζεται τῇ ὀργῇ. ὅρα δὲ τὴν τοῦ θυμοῦ ὑπερβολήν· τὸ γὰρ ἀχνύμενοί περ τοιοῦτόν ἐστι, καίπερ ἠδικημένοι καὶ δικαίως ἂν ἐπ' αὐτοῖς ἐπὶ πλεῖον μηνίσαντες. ἐκεῖν δύο ὄντων τῶν παθῶν περὶ τὴν ψυχὴν Ἀχιλλέως, ὀργῆς καὶ λύπης, θάτερον κεκράτηκε, καὶ τὸ ἐπιφερόμενον τοιοῦτόν τι ὑποβάλλει, ὅτι ὑπὸ μείζονος ἀνάγκης κρατηθῆναι δεῖ τὴν ὀργήν· πάντων γὰρ μεῖζον τὸ ἐπὶ Πατρόκλῳ πάθος· διὸ δεῖ τὴν μῆνιν ἀποῤῥίψαντα τιμωρήσασθαι τοὺς πολεμίους. θυμὸν δὲ τὸ θυμικὸν πάθος, τὴν ὀργήν. B.

113. δύο κατεχόντων παθῶν τὸν Ἀχιλλέα, θυμοῦ καὶ λύπης, μεῖζον τὸ κατὰ τὴν λύπην πάθος ἐπιγενόμενον ἐκράτησε τῆς ὀργῆς. πρῶτος δὲ Ὅμηρος τὸν θυμὸν ἀπὸ λογισμοῦ σβεννύμενον ἐδογμάτισεν. A.

ἐκ τούτων λέγουσι τὸν Πλάτωνα τριμερῆ τὴν ψυχὴν ἀποφήνασθαι· τὸ μὲν γάρ τι θυμικὸν αὐτῆς εἶναι, τὸ δὲ ἐπιθυμητικόν, τὸ δὲ λογιστικόν. A.

τὸ αἴτιον τοῦ πάθους διὰ τῆς μεταφορᾶς ἐδήλωσε. V.

115. κῆρα δ' ἐγώ: γενναία ἡ ὑπομονὴ τῆς εἱμαρμένης. ἐμφαντικὸν δὲ καὶ τὸ δέξομαι, οἷον προθύμως ὑποστήσομαι. B.

ἐντεῦθεν εἴληπται τὸ „ἄγοις δέ μ' ὦ Ζεῦ καὶ σύ γ' ἡ πεπρωμένη, ὁποῖά ποθ' ὑμῖν εἰ μὴ διατεταγμένος" (Epictet. ult.). V.

117. οὐδὲ γὰρ οὐδέ: περισσὴ ἡ μία ἀπόφασις. παρηγορία δὲ γέγονε τὸ Ἡρακλεῖον παράδειγμα Ἀχιλλεῖ καὶ τῇ μητρί· παραμυθία γὰρ τῶν ἐν συμφοραῖς ἡ περὶ κρείσσονας ἀτυχία. B.

βίη Ἡρακλῆος: μεγαλοφρόνως φαίνεται παραδείγματα ἑαυτῷ συνειλοχώς, ἃ τῶν καθ' αὐτόν τινος, ἀλλὰ τῶν γενναιοτάτων. ταῦτα δὲ λέγει ἄλλως τὴν μητέρα παραμυθούμενος, τὸ καὶ τοὺς κρείττους τεθνηκέναι. A. (λ. πρὸς τὴν μητέρα, ὅτι οὐδὲν παράδοξον πείσεται τὰ αὐτὰ Διὶ πάσχουσα περὶ παῖδα. V.)

ἡ διπλῆ, ὅτι οὐκ οἶδεν ἀθάνατον τινα Ἡρακλέα. A.

ἄλλως. τινές φασιν ὅτι Ὅμηρος οὐκ οἶδεν Ἡρακλέα ἀποθεωθέντα διὰ τὸ λέγειν ὅτι τέθνηκεν. ἢ οὐδὲν κωλύει γινώσκοντα ὅτι ἀπεθεώθη, λέγειν ὡς οὐκ ἔφυγε τὴν κῆρα· καὶ γὰρ οἱ ἀποθεῶντες αὐτὸν ὁμολογοῦσι τεθνάναι καὶ καῆναι ἐν τῇ Οἴτῃ καὶ μανῆναι καὶ τὰς υἱεῖς ἀνελεῖν καὶ ὕστως ἀπαθανατισθῆναι. σημειοῦσθαι δὲ τὰ ἔπη πρὸς τὴν ἀθέτησιν τὴν „αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι τέρπετο" (Od. 11, 602), ὅτι οὐκ οἶδεν αὐτὸν θεωθέντα. A.

118. φίλτατος ἔσκε Διΐ: πιθανῶς ὡς φιλότιμος ἀνὴρ ἃ τὰς πράξεις ἀντέθηκε τῷ Ἡρακλέει (ἐφαίνετο γὰρ ἂν ὕστως κατὰ πολὺ ἐνδέων), τὴν δὲ οἰκειότητα μόνον τὴν πρὸς τὸν Δία ἐσήμαινεν. A.

121. κείσομ' ἐπεί κε θάνω: ἡ μὲν Θέτις ἀπεῖργε τῆς ἐξόδου διὰ τὸν θάνατον· ὁ δὲ δαιμονίως ἀντέθηκεν ὅτι τῶν τετελευτηκότων ἴδιον ἡ ἀργία καὶ τὸ ἄπρακτον καὶ τὸ κεῖσθαι, τίς ἂν χρεία καὶ ἐν τῷ ζῆν τὴν ἀπραξίαν τῷ θανάτῳ μιμεῖσθαι; B.

ἀνύητόν ἐστι τὸ λέγειν· δῆλον γὰρ πᾶσιν ὅτι κείσεται ἀποθανών. ἀλλ' ἀσαφέστερον ἐξενήνεκται, ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· ζῶντα μὲν ἐχρὴ ἀργὸν εἶναι οὐδὲ κεῖσθαι ὥσπερ νεκρόν, ἀλλὰ τότε ὅταν ὁ θάνατος ἔλθῃ. A.

122. καί τινα Τρώϊάδων: ἤδη ὑπ' ὄψιν λαμβάνει τὰ ἐπακολουθήσοντα τοῖς πολεμίοις δεινά, ὥσπερ ἐμπιμπλάμενος τῆς αὐτῶν τιμωρίας διὰ τῆς ἐλπίδος. B.

124. ἀδινὸν: ὕστως Ἀρίσταρχος. ἄλλοι δὲ ἀδίν. A.

125. γνοῖεν: ὅτι ἀντὶ τοῦ ἵνα γνῶσιν. A.

πῶς δὲ δηρόν φησι; δεκαπέντε γάρ εἰσιν ἡμέραι σὺν αἷς οἱ θεοὶ εἰς Αἰθιοπίαν διέτρεψαν. ῥητέον δὲ ὅτι πρός τί ἐστι τὸ πολύ· καὶ γὰρ μία ἡμέρα Ἀχιλλεῖ πολὺ ἦν ἀφεσῶτι· φιλοπόλεμος γάρ ἐστι, λέγει δὲ ὅτι ἀθρόα αὐτοῖς ἀποδώσω, κἂν εἰ πολὺν χρόνον τοῦ πολεμεῖν ἀπέσχην, ὡς καὶ ἡμεῖς ἐν τῷ βίῳ λέγομεν „ἡμία μοι ἡμέρα αἰῶν ἐστιν." A.

ὅρα δὲ πῶς δηρὸν χρόνον λέγει τὰς δώδεκα τῆς τῶν θεῶν ἐκδημίας ἡμέρας καὶ τὰς τρεῖς τὰς ἐν ταῖς παρατάξεσι· τὸν γὰρ ὀλίγον χρόνον πολὺν ἡγεῖται διὰ τὸ ἐνειθίσθαι τῷ πολέμῳ καὶ μὴ θέλειν ἀργεῖν. καὶ ὁ ποιητὴς φησι „δηρὸν δὲ μάχης ἐπέπαυτο" (Il. 19, 46), οὐ πρὸς τὰς τρεῖς ἀφορῶν ἡμέρας, ἀλλὰ πρὸς τὸ ποικίλον τῶν συμφορῶν. BV.

126. μηδέ μ' ἔρυκε: τὸν πλείω λόγον αὐτῆς περιτέμνει ὡς ἐμποδίζοντα τῇ σπουδῇ. ἔχει δὲ ὅμοιος Πινδάρου (Ol. 1, 134) „ἀλλ' ἐμοὶ μὲν ἄεθλος ἕτος ὑποκείσεται." ὅλος δὲ τὴν ἐκδίκησιν τοῦ φίλου σκοπῶν οὐδὲ ἐπιλογίζεται τὸ κατὰ τὰ ὅπλα, ὅτι ἄπορος αὐτῷ νῦν ἡ ἔξοδος. BV.

128. ναὶ δή: γενναῖον καὶ τῆς Θέτιδος τὸ ἦθος, ἐν δευτέρῳ τιθεμένης τὴν ἰδίαν συμφορὰν τῆς τοῦ παιδὸς εὐκλείας, καὶ ἐπαινέσης τὸν ὑπὲρ τῶν φίλων κίνδυνον, ὃς λυπεῖν ἐμελλε τὴν μητέρα. B.

πῶς, φασίν, οὐκ ἀποτρέπει μᾶλλον τῆς μάχης, ἀλλὰ καὶ

ἐπιῤῥώννυσιν; ἢ ὅτι εὐκλεῆ τὸν θάνατον αὐτῷ βέλεϑ γενέϑῃ. τὸν ἓν μετ' εὐκλείας συναινεῖ θάνατον· διόπερ τῆς μοίρας ἃ προεῖπεν αὐτῷ μὴ περιέληπϑ (προέληϑ?) τὴν εἰς οἶκον ἀνακομιδήν. ϛικτέον δὲ ἤτοι ἐπὶ τὸ ἐτήτυμον, ἵνα λείπῃ τὸ ἐξίν, ὁ δὲ λόγος, ταῦτα ἀληθῶς ἐξίν· ἢ συναπτέον· ἔϛι δὲ χῆμα σολοικοφανές, ὅτι τῷ πληθυντικῷ τὰ ἑνικὰ ἐπενήνεκϑ, ἐτήτυμον κακόν. ἀλλὰ τὸ μὲν ἐτήτυμον δύναιτ' ἂν ἀντὶ ἐπιῤῥήματος κεῖϑῃ· τὰ δὲ ἄλλα παραπλήσια ἐκείνῳ δύναται εἶναι „δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες τόσσα κακὰ ῥέζεσι" (Il. 4, 31). A.

130. ἡ διπλῆ, ὅτι ἔχονται ϗ ἐκ ἔχεϑ. A.

131. χάλκεαι: κεχαλκευμένα· ϗ τὸν χρυσοχόον γὰρ χαλκέα καλεῖ· „ἦλθε δὲ χαλκεύς, ὅπλ' ἐν χερσὶν ἔχων χαλκήϊα οἷσί τε χρυσὸν εἰργάζετο" (Od. 3, 432). καὶ „ἦν ἄρα χαλκεὺς Ἥφαιϛος ποίησεν" (Il. 15, 309?). BV.

πῶς δὲ χάλκεα λέγει τὰ παρ' Ἥφαιϛι ὅπλα ἀπὸ τῆς χείρονος ὕλης· ἔχει γ' ϗ κασσίτερον ϗ ἄργυρον ϗ χρυσόν. κοινότερον ἓν ϗ χαλκεῖς ἔλεγον ϗ τὲς ταῦτα ἐργαζομένες· „ἦλθε δὲ χαλκεύς" Ὅμηρος τὸν χρυσοχόον λέγων. A.

136. νεῦμαι: ἀντὶ τῦ νεύσομαι. A. ἀντὶ τῦ πορεύσομαι. B. ὡς Διογενεῦς· „Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ" (Od. 24, 398). V.

ἢ διπλῆ, ὅτι τὸ νεῦμαί ἐϛιν ἐπὶ τῦ ἐνεϛῶτος, ἀντὶ τῦ νέομαι· βέλεϑ δὲ εἰπεῖν ἐλεύσομαι. ϗ ὅτι ἐν μιᾷ νυκτὶ κατεσκεύασαι τὰ ὅπλα. A.

137. τεύχεα καλὰ φέρεσα: ἐπαγγέλλεϑ αὐτῷ κομίσαι ὅπλα, εἰδυῖα Ἥφαιϛον τὸν ἄριϛον δημιουργὸν χάριτας αὐτῇ εἰδότα πολλάς. B.

138. ἑοῖο: ἐν ἄλλῳ ἓῆος. A.

140. ὅτι τὸν Ἑλλήϛποντον ϛενὸν ὄντα εὐρέα ἐκάλεσεν. A.

141. ὀψόμεναί τε γέρονϑ': νόμον τίϑεϑ συνεῖναι γονεῦσι, ϗ ὑπὲρ τῆς ἀπεϛίας, ὅτε χωριϑεῖεν, ἀπολογεῖϑῃ· τῦτο γ' δηλοῖ τὸ „καί οἱ πάντ' ἀγορεύσατε." A.

142. ἀγορεύσατ': παρὰ Ζηνοδότῳ ἀγορεῦσαι, ϗ ὑποφαίνει τὸ Ὁμηρικὸν ἔθος. A.

143. αἴ κ' ἐθέλῃσι: πρὸς μὲν τὸν υἱὸν ὡς διοριζομένη φησὶν οἴσειν πάντως τὰ ὅπλα· ἐκέτι δὲ ἦν πρέπον ὁμοίως πρὸς τὲς ὁμοτίμες διαλέγεϑῃ, ὥϛπερ ἐπιτάττειν μέλλουσαν τῷ Ἥφαιϛῳ. AB.

145. αἱ δ': αἱ διαιρέσεις θαυμασταὶ ϗ τὸν νῆν ἀναρτῶσαι τῶν ἀκροατῶν· αἱ μὲν τάδε ἔπραττον, ἡ δὲ Θέτις ἀπῄει πρὸς τὸν Ἥφαιϛον, οἱ δὲ Ἀχαιοὶ ἐν τοιέτοις ἦσαν. B.

148. πόδες φέρον: πρὸς Ζηνόδοτον μεταγράφοντα (Il. 6, 511) „ῥίμφ' ἐὰ γένα φέρει." ϗ ὅτι λέγει πόδες αὐτὴν ἔφερον, ἐκ αὐτὴ τὲς πόδας. A.

αὐτὰρ Ἀχαιοὶ: δαιμονίως ἀναλαμβάνει ἀφ' ὧν ἀπέλιπεν· ἦν δὲ ταῦτα τὰ ἔπη „πολλὰ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον φευγόντων" (Il. 17, 760). καὶ τὸ διάκενον τῆς πορείας Θέτιδος ποικίλλει ταῖς περὶ Πάτροκλον πράξεσι. BV.

151. οὐδέ κε: ἐν ἄλλῳ ϐδ' ἄρα. A.

τοῖς μὲν ἀκροαταῖς ἐλπὶς ἦν ἐξειλκύϑῃ Πάτροκλον· δὲ πάλιν ἐπιταράττει τὴν διάνοιαν, ἵνα ἐπὶ τὸ ἀκμαιότατον προαγαγὼν τὴν ἀγωνίαν πιθανὴν ποιήσῃ τὴν Ἀχιλλέως ἔξοδον. B.

155. ἡ διπλῆ περιεϛιγμένη, ὅτι Ζηνόδοτος γράφει ἅτω „Ἕκτωρ τε Πριάμοιο συῒ ἴκελος ἀλκήν, ὃς μιν τρὶς μετὰ πιϑε ποδῶν λάβε ϗ μέγ' αὔτει, ἑλκέμεναι μεμαώς, κεφαλὴ δέ ἑ θυμὸς ἀνώγει πῆξαι ἀνὰ σκόλοπας οἱ ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς," κακῶς. ἐγγὺς ὑπὸ τῦτον τὸν καιρὸν ὁ Ἕκτωρ ἑλκύσαι τὸν Πάτροκλον ἐβέλετο, ἵνα αἰκίσηται, ἀλλ' ἔμπροσθεν (Il. 17, 125). ὅτε δὲ Γλαῦκος ὠνείδισε τῷ προλοιπότι τὸ σῶμα τῦ Σαρπηδόνος τοῖς Ἀχαιοῖς, τότε ἑλκησαι φιλοτιμεῖται τὸν Πάτροκλον εἰς ἀντικατάλλαξιν τε Σαρπηδόνος, ἐκ εἰς αἰκίαν. ὅταν μὲν ἓν ὕϛερον ἡ Ἶρις εἰπῃ τῷ Ἀχιλλεῖ ὅτι βέλεϑ ὁ Ἕκτωρ τὸν Πάτροκλον αἰκήσαϑῃ, νοητέον μὴ τἀληϑὲς ὑποφαίνειν, ἀλλὰ παρορμῆσαι αὐτὸν εἰς τὴν κατὰ τῶν βαρβάρων ὀργήν. A.

158. ἔμπεδον: ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τῷ πέδῳ ἑδραίων οἰκοδομῶν ἢ τῶν φυτῶν. B.

159. κατὰ μόϑον: κατὰ τὴν μάχην, ἀπὸ τῦ ὁμιλεῖν. A.

160. μεγαλήτορος: καὶ τῦτο πρὸς τὴν τῶν πολεμίων κατάπληξιν. B.

ἡ διπλῆ περιεϛιγμένη, ὅτι Ζηνόδοτος γράφει μεγαλήτορος. πρὸς τί δὲ λυπέμενος ἐρήκει, ἀλλ' ἐκ ἰάχων ϗ ἐπεγκελευόμενος τοῖς Τρωσὶν ἀφαιρεῖϑῃ τὸν νεκρόν; A.

161. ἀπὸ σώματος: ἀπό τινος ζῴου· νεκρᾷ γάρ φαμὴ ἅπτεϑῃ λέοντα. D.

παντάπασιν εἰκαῖαι λέοντι μὲν ὁ Ἕκτωρ, ὁ δὲ νεκρὶ σώματι ζῴῳ, ἄψυχον ἀψύχῳ, οἱ δὲ Αἴαντες ποιμέσιν. ἐπεὶ γεῦ δὲ ϗ τῇ πείνῃ ὁ λέων. B.

162. δίεσθαι: ὡς τίϑεϑῃ· τρίτη ἀπὸ τέλες ἡ ὀξεῖα· ἔϛι γάρ τι δίημι ῥῆμα, παρ' ὃ ϗ τὸ δίεσαν πληθυντικὸν ὡς ἐτίϑεσαν· „αὖτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες" (584). παραιτητέον γ' τὲς οἰομένες πλεονασμὸν εἶναι τῦ δ ϗ δασύνοντας· διδάσκει γ' ἡμᾶς ὁ ποιητὴς ϗ δι' ἄλλης κλίσεως τὸ ἀκόλϑϑον κίνημα· ὡς γ' τίϑεϑ, οὕτω δίεϑ· „ἵπποι ἀερσίποδες πόλεος πεδίοιο δίενται" (Il. 2, 475). ὥϛπερ ἓν παρὰ τὸ τίϑεϑ ἔϛιν ἀπαρέμφατον τίϑεσθαι, ἕτως ϗ παρὰ τὸ δίεϑ τὸ δίεσϑῃ. ἐπίσαϑ δὲ ϗ ὑπτακτικὸν αὐτῦ· „τόν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ ϛαθμοῦ δίωνται" (Il. 17, 110). A.

168. διὰ τί, φασί, κρύβδα Διός; καὶ μφησι „μίσησεν δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι" (Il. 17, 272). ἀλλ' ἐπεὶ ὑπέσχετο Ἕκτορι ἀριστεύειν ἓν ἐσπέρας, διὰ τοῦτο αὐτὸν λάθρᾳ βούλεται προαναῤῥῆσαι ἵνα τὸν τῷ Διὸς ματαιώσῃ λόγον. B. εἰκὸς δὲ μετὰ τὴν ἔξοδον ἐπιῤῥῆσαι Δία, ὅθεν φησὶν „ἔπρηξας καὶ ἔπειτα (357). V.

ἄλλων τε θεῶν: τῶν τοῖς Τρωσὶ συμμαχόντων. A.

171. *Ἀρίσαρχος κατὰ γενικὴν Πατρόκλου.* A.

ἡ Ἀριστάρχου κατὰ γενικὴν Πατρόκλου ἐπάμυνον. ἔλλειπει δὲ ἡ περί, περὶ Πατρόκλου. ὅμοιον δέ ἐστι τὸ „ὃ δ' ὀδὺ ἔ παιδὸς ἀμύνει" (Il. 16, 522)· *κἀκεῖ γ' κατὰ γενικὴν γράφει.* A.

174. *σὶ δὲ ἐρύσσεσθαι: πρὸς παροξυσμὸν τῶ Ἀχιλλέως· ἐ γ' ἄλλον τὸν σπαδάζοντα ἢ τὸν ἀνελόντα.* A.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει Ἴλιον αἰπὺ θέλοντες, ᾗ τὰς ἑξῆς ἀπὸ τοῦ „ἑλκέμεναι μέμονεν" ἕως τοῦ „πῆξαι ἀνὰ σκολόπεσσι" ἄνω μετατέθεικεν. ὁ μὲν ἓν Ἕκτωρ ἐκέτι ταύτην ἔχει τὴν ὁρμήν, ὡς προείρηϑ· ἡ δὲ Ἶρις ὡς πρὸς τὸ διεγεῖραι τὸν Ἀχιλλέα ταῦτα πλεύει. ᾗ ἐδέποτε κατὰ τὸ ἑδέτερον λέγει Ἴλιον. A.

176. *ἀνώγει: ἐν ἄλλῳ ἄνωγεν.* A.

177. *πῆξαι ἀνὰ σκολόπεσσι: πάντα ὑπὲρ παροξυσμοῦ τίθησιν· οἶδε γ' αὐτὸν ὑπὸ Θέτιδος ἐντεταλμένον μὴ ἐξιέναι.* B.

179. *Πάτροκλον Τρωῆσι κυσί: δαιμονίως διέτεμε τὴν αἰκίαν, καὶ τὸ μὲν ἐν τῇ διηγήσει ἐξήνεγκεν, ὅτι ἀναξαυρῶσαι τὴν κεφαλὴν βάλεϑ Ἕκτωρ, τὸ δὲ ἐν τῇ προτροπῇ κατάκειϑ, ὅτι ἀνόσιον ὑπὸ κυνῶν αἰκιαϑέντα περιιδεῖν Πάτροκλον.* B.

180. *σοὶ λώβη: ὡς φιλεταίρῳ ᾗ πρακτικῷ.* B.

ταῦτα ἀπ' ἄλλης ἀρχῆς. A.

182. *τίς γάρ σε: ἡ ἑτέρα τῶν Ἀριστάρχου διὰ τοῦ τ, τίς τάρ σε. μήποτε δὲ ἀμείνων ἡ προτέρα, παρόσον σύνηϑες Ὁμήρῳ ἀπὸ τοῦ γάρ ἄρχεσθαι.* A.

μέμνηϑ τῶν τῆς μητρὸς ἐντολῶν· ἐ γ' ἐπέτρεπεν αὐτῷ ἡ μήτηρ ἐξελϑεῖν. πυνϑάνεϑ ἓν τῆς θεᾶ, ἵνα ἀξιόχρεων ἔχῃ πρὸς τὴν μητέρα τὸν προτρεψάμενον λέγειν ᾗ μὴ τῇ ἰδίᾳ φρονίμῃ ἐξεληλυϑὼς φαίνηται. A.

ἀναγκαίως γνῶναι βάλεϑ εἰ τῆς κελευσάσης μένειν ἀξιοπιστότερός ἐστιν ὁ προσάσσων ἐξιέναι. BV.

185. *οὐδ' οἵδε Κρονίδης: δεόντως καὶ τοῦτο, ἵνα ἐπισπεύσῃ τὴν ἔξοδον πρὶν μαϑεῖν τὸν Δία.* B.

186. *ἡ διπλῆ, ὅτι ὡς ὄρος τὸν Ὄλυμπον ἀγάννιφον λέγει.* A.

188. *πῶς τ' ἄρ' ἴω: ϑαυμαστοὶ οἱ διάλογοι, πάσας ἐν συντόμῳ τὰς ἐρωτήσεις περιέχοντες· ἔδει γ' ᾗ τὴν ἀπορίαν τῶν ὅπλων ᾗ τὰ παρὰ τῆς μητρὸς ἀντιϑεῖναι.* B.

191. *παροισέμεν: Ἀρίσαρχος ἀναιρέφει τὴν πρόθεσιν πρὸς τὸ μὴ ἀμφιβάλλεσϑαι τὸν λόγον, καίτοι τῶν συναλειφομένων μὴ ἀναιρεφομένων, ὡς ᾗ Ἀπολλώνιός φησιν. ἐπείϑη δὲ ἡ παράδοσις Ἀριστάρχῳ. ἡ διπλῆ δέ, ὅτι κατὰ διαίρεσιν, ἀντὶ τοῦ διωρίζετο. ἀναφέρεϑ δὲ πρὸς τὸ „εὖτο δὲ διψάων" ἐν τῇ Ὀδυσσείᾳ* (11, 583). AB.

χαίρει τῷ τὰς συναλειφϑείσας προϑέσεις μὴ ἀναιρεῖσϑαι, καὶ ἐνϑάδε οὐκ ἀναιρέφει, ἵνα μὴ διάφορον σημαινόμενον νοηϑῇ· διαφέρει γ' τὸ παρενεγκεῖν Ἥφαιστον ὅπλα. ὅτι δὲ ᾗ ἐν ἄλλοις ἀναγνώσμασιν ὁ ἀνὴρ τοιοῦτος, προείπομεν ἤδη. A.

192. *ἄλλου δ' οὔ τευ οἶδα: ζητεῖται διὰ τί τὰ Πατρόκλου ἐ λαμβάνει, εἰ καὶ τὰ αὐτῷ ἐκείνῳ ἥρμοσεν. τινὲς ἡνίοχον λέγοντες εἶναι τὸν Πάτροκλον, φασὶ μὴ ἔχειν αὐτὸν ὅπλα. ῥητέον δὲ ὅτι εἶχε ᾗ ἐμάχετο· Ἀχιλλεύς φησιν „ἦ οἱ τότε χεῖρες ἄαπτοι μαίνοντο"* (Il. 16, 244). *τινὲς δὲ ὅτι τὰ μείζονα τῷ ἐλάττονι ἁρμόζει μαλαγμάτων προσιϑεμένων, τὰ δὲ ἐλάττονα τῷ μείζονι ἐκέτι. ῥητέον δὲ ὅτι δύναταί τις ᾗ ἐλάττοσι πρὸς καιρὸν χρῆσϑ. Κράτης, ὅτι τὰ Πατρόκλου Αὐτομέδων εἶχεν, ὅπως ἰσωϑῇ τὸ εἶδος ᾗ δόξωσιν εἶναι ὁ μὲν Ἀχιλλεύς, ὁ δὲ Πάτροκλος.* A.

διὰ τί τοῖς Πατρόκλου ὅπλοις ἐχ ὁπλίζεϑ; φασὶν Αὐτομεδοντα φορεῖν τὰ Πατρόκλου, ὅπως δόξῃ Πάτροκλος εἶναι. ἢ ὅτι μείζονα μὲν ἴσως ἁρμοσθεῖεν ἥσσονι, ἐ μέντοι τὸ ἀνάπαλιν, ὥσε ἐκ ἠδύνατο αὐτοῖς ὁπλισθῆναι Ἀχιλλεύς. ἢ τῷ μεγέθει μὲν ἴσα ἦν, ἀσθενῆ δέ· διὸ ἐχ ἥρμοττεν Ἀχιλλεῖ προπηδῶντι εἰς πάντα κίνδυνον. B. *φασί τινες ὅτι καταγέλαστον ἦν ταπεινὸν φανῆναι τοῖς τεθαρρηκόσιν.* D.

194. *ἔλπομ' ἐνὶ Τρώεσσιν ὁμιλεῖ: λείπει τὸ ὅτι· ἔλπομαι ὅτι ᾗ αὐτὸς ἐν πρώτοις ὁμιλεῖ.* A.

197. *κλυτά: κατ' ἔνια καλά.* A.

198. *αὖτως: παρὰ Ζηνοδότῳ ᾗ Ἀριστοφάνει διὰ τοῦ ō αὐτός, ἵν' ᾖ αὐτὸς χωρὶς ὅπλων· ᾗ λόγον ἔχει χαρίεντα, καὶ ἐκ ἄλογός ἐστιν ἡ γραφή.* A.

204. *αἰγίδα ϑυσανόεσσαν: ἐπεὶ ἄνοπλος ἐξιὼν ἔμελλεν ἐκπλήξειν τὰς Τρῶας, εἰκότως κέχρηϑ τῇ ἔξωϑεν φαντασίᾳ.* A.

ἀξιοπρεπὴς ἡ τερατεία ᾗ μείζων τῆς Διομήδους, εἴ γε τὴν οἰκείαν αἰγίδα περιτίθησιν αὐτῷ, Ἀχιλλεὺς δὲ οὐ γινώσκει τὴν ἐνέργειαν τῆς θεᾶ. V.

206. *ἐκ δ' αὐτῷ δαῖε φλόγα: πῶς δέ, φασίν, οὐκ ἐκαίετο; ᾗ γ' οἱ θεοὶ αὐτοὶ τρωτοί. ῥητέον δὲ ὅτι φαντασία ἦν.* A.

207. *ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται: οἱ περὶ Διονύσιον τὸν Θρᾷκά φασιν Ἀρίσαρχον πρώτῃ ταύτῃ χρώμενον τῇ γραφῇ μεταθέσϑ, καὶ γράψαι ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηϑ.* (*ᾗ γ' ἄτοπον, φησί, πῦρ εἰκάζεσϑ καπνῷ.* V.) *ἐμφατικῶς τὸ ἐν πολέμῳ πῦρ ἐπιτεθὲν τῷ Ἀχιλλεῖ παρέβαλε τῷ ἐν πολεμισμένῃ ἁπτομένῳ.* A.

ἄλλως. ἔϑος ἦν τοῖς ἀρχαίοις τὸς πολεμισμένους τῇ μὲν ἡμέρᾳ καπνὸν ἀπὸ τῶν τειχῶν διεγείρειν, τῇ δὲ νυκτὶ φλόγα, τὴν ἀπὸ τῶν περιοίκων βοήθειαν ᾗ συμμαχίαν ἐπικαλεμένους· ἐδέπω γ' ἦν εὑρεθεῖσα ἡ σάλπιγξ. AD.

καπνὸν ἐκ παρεπομένου τὸ πῦρ φασίν, ὡς τὸ „κάπνισάν τε κατὰ κλισίας" (Il. 2, 399). *οἱ δὲ διὰ τὸ πλεῖον ὑψοῦσϑαι τὸν καπνὸν τοῦ πυρὸς ᾗ μάλιστα ἡμέρας ὁρᾶσϑ. καλῶς δὲ ἀπὸ πολέμου ἡ εἰκών, ᾗ νησιωτῶν οἷς ἄπορος ἡ φυγή, ᾗ ὅτι πόρρω ἀπῳκισμένοι μεγάλων καὶ συνεχῶν πυρσῶν δέονϑ, ᾗ ὅτι ἐδενὸς ἐπιπροσθέντος διὰ τοῦ πελάγους φανήσονϑ. μετὰ δὲ δύσιν ἡλίου, ὅτε οὐκ ἀμαυρωθήσεϑ ὑπὸ τοῦ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δυνατωτέρα πυρός. ἀλλ' ἐδὲ νὺξ βαθεῖα ὑπόκειτο, ἵνα μὴ ὑπὸ τῆ σκότες κρύπτοιτο ὁ καπνός. B.

208. ἐκ νήσα: ἐκ ἔχει ψιλὸν τὸ τῆς νήσου, ἀλλ' ἔχει ἐπίτασιν περὶ τὴν σπαδὴν τῶν πνρείων, ἵνα γνωριμώτερον φαίνηται. A.

209. συγερῷ κρίνονται Ἄρηϊ: ἀντὶ τῆ ὑπὸ συγερῆ Ἄρηος. A.

210. ἄστεος ἐκ σφετέρου: Ζηνόδοτος ἄσυ ποτὶ (περὶ V) σφέτερον. AV.

211. πυρσοί: ἔθος ἦν τοῖς ἀρχαίοις τῇ μὲν ἡμέρᾳ τὰς πολεμίας διὰ καπνῆ μηνύειν, τῇ δὲ νυκτὶ φλόγα ἀνάπτειν καὶ συμμαχίαν ἐπικαλεμένοις. B.

ἐπήτριμοι: οἱ ἐκ φρυγανώδες ὕλης ἀναπτόμενοι ἀλλεπάλληλοι. B. καὶ Πίνδαρος „αἴθομεν πῦρ ἅτε διαπρέπει νυκτί" (Ol. 1, 1). V.

ὁ Ἀσκαλωνίτης ὀξύνει ὡς πολεμικοί, ἐκ εὖ· τὰ γὰρ διὰ τοῦ ιμος ὑπὲρ δύο συλλαβὰς τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, νόμιμος σπόριμος, ἕτως καὶ ἐπήτριμος. A.

213. Ἄρεως: Ἀρίσαρχος Ἄρεω. A.

215. ἀπὸ τείχεος: ἄπωθεν τῆ τείχες. V.

215. 216. ἀδ' ἐς Ἀχαιὸς μίσγετο: ὅτε φαινεῖ τῇ μητρὶ ἀπειθῶν, διὰ τὸ μὴ κεχωρηκέναι εἰς μέσην τὴν παράταξιν, ἅτε τῆς Ἥρας ἀνηκεσῶν, διὰ τὸ μὴ πεφηνέναι ἐν τῷ πολέμῳ. ἄλλως δὲ οἰκονομία ἐστὶ τῆ ποιητῆ τὸ τοιῆτο, ἵνα μὴ δόξῃ ἄπιστα λέγειν εἰσαγαγὼν τὸν Ἀχιλλέα χωρὶς ὅπλων εἰς τὴν μάχην. A.

216. μητρὸς γάρ: ἐτρέπετο τῷ λογισμῷ ἐπὶ τὴν τῆς μητρὸς ἐντολὴν καὶ ᾔδεῖτο αὐτήν. B.

217. ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη: ἀπίθανον γὰρ ἐκεῖνο τὸ διὰ μόνης τῆς Ἀχιλλέως φωνῆς τρέψαι τὰς Τρῶας. A.

ἐπεὶ ἄπιστον ἦν ἐν τοσούτῳ θορύβῳ τὸ μὴ μόνον ἀκοῆσαι ἀλλὰ καὶ ταραχὴν ἐμποιῆσαι, εἰκότως τὴν Ἀθηνᾶν συνεπιφθεγγομένην προσέλαβεν. BV.

219. σάλπιγξ: ὅτι αὐτὸς οἶδε σάλπιγγας, χρωμένους δὲ τοὺς ἥρωας οὐκ εἰσάγει. AB.

ἄλλως. ἀπὸ τῶν ἰδίων χρόνων ὁ ποιητὴς ὠνόμακε τὴν σάλπιγγα, ἐπεὶ οὐδέπω ηὕρητο παρὰ τοῖς παλαιοῖς. κόχλῳ δὲ θαλασσίῳ ἐσάλπιζον. AD.

τῆς σάλπιγγος τῆς Ἑλληνικῆς τὸ μὲν μέγεθος ἐπίμηκες, ἡ δὲ φωνὴ παχεῖα καὶ μεγίση, ἥτις ἐν πολέμῳ τὸ πλῆθος καλοῦσα κινεῖ. B.

Μήλας δὲ Ἡρακλέης καὶ Ὀμφάλης ἐν τῇ καθόδῳ τῶν Ἡρακλειδῶν ἀγαγὼν κατέπληξε τοὺς πολεμίους. σαλπίγγων δὲ εἴδη ἓξ. πρώτη ἡ Ἑλληνική, μακρὰ τὸ σχῆμα, ἣν Τυρρηνοῖς εὗρεν ἡ Ἀθηνᾶ, διὸ καὶ σάλπιγξ παρὰ Ἀργείοις τιμᾶται. δευτέρα ἡ σρογγύλη, ὑπὸ Αἰγυπτίων εὑρημένη, ἣν χοῦν καλοῦσι· χρῶνται δὲ αὐτῇ πρὸς θυσίαν, καλοῦντες τοὺς ὄχλους δι' αὐτῆς· ἣν εὗρεν Ὄσιρις. τρίτη ἡ Γαλατική, χωνευτή, ἃ πάνυ μεγάλη, τὸν κώδωνα θηρίου ἔχουσα δὲ ἔσωθεν εἰρόμενον αὐλὸν μολίβδινον, εἰς ὃν ἐμφυσῶσιν οἱ σαλπιγκταί· ἔστι δὲ ὀξύφωνος καὶ καλεῖται ὑπὸ τῶν Κελτῶν κάρνυξ. τετάρτη ἡ Παφλαγονική, ἥτις μείζων μέν ἐστι τῆς Ἑλληνικῆς, τὸν δὲ κώδωνα βοὸς προτομὴν ἔχει· ἔστι δὲ βαρύφωνος καὶ ἀναφυσητή, καλεῖται δὲ βόϊνος. πέμπτη Μηδική· τὸν αὐλὸν καλάμινον, τὸν δὲ κώδωνα βαρύφωνον ἔχουσα ὀγκόφωνος· καλεῖται δὲ πέμπτη Μηδική. ἕκτη ἡ Τυρσηνική τῷ τὸν κώδωνα κεκλασμένον ἔχουσα· ἔστι δὲ λίαν ὀξύφωνος καλεῖται δὲ λιγύη. ταύτης δέ εἰσιν εὑρεταὶ Τυρσηνοί, ἐν τῇ παρ' Ἕλλησιν. V.

220. τὸ ἑξῆς, ὑπὸ θυμοραϊξέων δηΐων ἄξυ περιπλομένων. A

ἢ πλεονάζει ἡ ὑπό, ἢ τὸ ἑξῆς, ὡς δ' ὅτ' ἀριζήλη φωνὴ δηΐων ὑπο θυμοραϊξέων, περιπλομένων δὲ περικαθεζομένων, εὐλόγως δὲ τῷ χαλκεοφώνῳ Ἀχιλλεῖ τὴν χαλκεόφωνον σάλπιγγα εἴκασε· καὶ τῷ εἰς μάχην δὲ βοῶντι ἡ εἰκὼν ἀπὸ πολεμικῆ ὀργάνε εἴληπται. B.

222. χάλκεον ἀντὶ τῆ χαλκέην. A.

ἀμέτρως ὁ Ζηνόδοτος ὕπα χαλκέην, οὐ συνεὶς ὅτι παραπλήσιόν ἐστι τὸ χῆμα τῷ „κλυτὸς Ἱπποδάμεια" (Il. 8. 742) καὶ „θερμὸς ἀϋτμή" (Hymn. in Mercur. 110?). χάλκεον δὲ τὴν λαμπρὰν ἅμα καὶ σερεάν. A.

224. ἄψ ὄχεα τρόπεον: εἰς τἐπίσω τὰ ἅρματα ἔτροπον. A.

καινὸν εἶδος καὶ ἄξιον Ἀχιλλέως, τῇ βοῇ ἀνατρεπόμενα ἅρματα καὶ τοῖς ἰδίοις δόρασι περιπείροντα τὰς ὀχεμένες. V

ὄσσοντο: οἱ ἵπποι ἢ οἱ ἐπιβάται. V.

230. ἔνθα δέ: ἄδηλον εἰ καθ' ἑκάσην κραυγὴν ὤλλυντο δώδεκα, ἢ μόνην τὴν ἐχάτην. τοσοῦτος δὲ ἦν ὁ τάραχος τῆς φάλαγγος ὡς περιπταίοντας τοῖς ἅρμασιν ἀπόλλυσθαι. E

ἀπίθανόν φασι καὶ ἄμετρον τὸ τῆς ὑπερβολῆς. ῥητέον δὲ ὡς οὐκ ἔστιν ὁ τῆς αἰγίδος φόβος, ἣν ἐπέσεισεν Ἀθηνᾶ, καὶ τὸ καιόμενον πῦρ ἐκπλῆξιν τοσαύτην παρέσχεν ὥσε αὐτὸς ὑφ' ἑαυτῶν ὑπὸ ταραχῆς ἀπολέσθαι. A.

ἢ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐνθάδε κῆροι ὄλοντο δυώδεκα πάντες ἄριστοι οἵσιν ἐν βελέεσσιν. εἰσὶ δὲ ὅτε τῇ συνθέσει Ὁμηρικοί, οὔτε τῇ οἵσιν βελέεσσιν ὑγιῶς εἴρηται τοῖς ἑαυτῶν· ἔδει γὰρ τοῖς ἀλλήλων. A.

ἐν ἄλλῳ ἀμφὶ σφοῖς ξιφέεσσι. A.

236. φέρτρῳ: φορείῳ. ἢ ἀσπίδος δὲ ἢ τινος τοιούτου φέρεσιν. B.

ὅτι ἅπαξ τὸ φέρτρον· ἔστι δὲ φορεῖον. A.

238. νοσήσαντα: ἀφικόμενον εἰς τὸν τόπον ἔ ἐχωρίωθη.

239. ἠέλιον δ' ἀκάμαντα: ἐν ἄλλῳ ἠέλιον μὲν ἔπειτα. A.

ζητεῖται διὰ τί ἄκοντά φησι τὸν ἥλιον δῦναι. Κράτης μὲν τὸν αὐτὸν Ἀπόλλωνα εἶναι καὶ ἥλιον· ἐπιτυγχανόντων ἓν τῶν Τρώων χρονίζειν ἡδόμενόν τε καὶ μηκύνοντα αὐτοῖ τὸ ἐπίτευγμα· Ἥραν δὲ τὰ ἐναντία βελομένην ἀναγκάζειν αὐτὸν δύνειν. Ἀγαθοκλῆς δέ φησι συνάγεσθαι ὅτι καθ Ὅμηρον ἐναντίως τῷ ἑρανῷ φέρεται ὁ ἥλιος, τῇ δὲ δίνῃ αὐτῆ συνέλκεται· Ἥραν γὰρ εἶναι τὴν τῆ παντὸς φύσιν ἐ

τῶ „ἡ ἀ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν" (Il. 15, 18), ἕλκεσθαι δὲ ἄκοντα τὸν ἥλιον ὑπὸ τῆς δίνης ὑπὸ τὰς δυσμάς. A.

240. ἐπεὶ ὑπέχετο Ζεύς (Il. 17, 455) „δύῃ τ' ἠέλιος." Ἀπόλλων δὲ ὁ ἥλιος, ὃς ἄκων δύει· ἠπίσατο γ' πρὸς ἀριστείαν Τρωσὶ δοθεῖσαν παρὰ Διὸς τὴν ἡμέραν. μυθικὸν δέ ἐστι τὸ ὅλον. B. ὡς καὶ ἐν Ὀδυσσείᾳ „ἠὼς δ' αὖτ' ἐρύσατ' ἐπ' ὠκεανῶ." V.

243. ἀπὸ κρατερῆς ὑσμίνης: ἐν ἄλλῳ ἐπὶ θρωσμῷ πεδίοιο. A.

244. ἕλυσαν ὑφ' ἅρμασιν: ἀντὶ τῶ ὑπέλυσαν τῶν ἁρμάτων. πῶς ἂν ἐκ ἀναστρέφῃ; ὅτι συνήλειπται. A.

τὰς ὑφ' ἅρμασιν. V.

245. ἐς δ' ἀγορήν: πρὸς τί, φασίν, ἐκκλησίαν ἀθροίζει; τινὲς μὲν ἂν τὸν ποιητήν φασι μετάγειν τὴν μάχην εἰς λόγους, ἀεὶ θηρώμενον τὸ ποικίλον. οἱ δὲ διὰ δέος τὸν Τρῶας αὐτομάτως συνδραμεῖν καὶ ἀναγκαωθῆναι δημηγορεῖν τὸς ἡγεμόνας. D.

ἄκρως τὴν πτοίαν αὐτῶν δηλοῖ· πλῆθος γὰρ ἐστι συντρέχον εἰς ἐκκλησίαν ἐ στρατηγῶ καλοῦντος ἀλλὰ τῶ φόβῳ καὶ ἑσῶτες ἐκκλησιάζουσιν, ἀδὲ τὸν ἡμερινὸν πόνον ὀλίγῳ παραμυθησάμενοι· καὶ ἰδιώτης δημηγορεῖ, τὸν στρατηγὸν παρωσάμενος. B.

πάρος: πρὸ τῆς ἐπιμελείας τῶ σώματος. ὅρα ἂν τὴν ἔπειξιν. A.

246. καταγελῶσι τῶ ὀρθῶν ἑαυτῶν. ῥητέον δὲ ὅτι ἐπεὶ ὀρθῶταί τις καὶ καθήμενος, οἷον „ἕζετο δ' ὀρθωθείς" (Il. 23, 235). A.

ἐπεὶ δηλοῖ καὶ τὸ μετεωριωθῆναι τὸ σῶμα („ὀρθωθεὶς ἔνδυνε" Il. 10, 21), προσέθηκε τὸ ἑαυτῶν. V.

247. τρόμος: Ζηνόδοτος φόβος, κακῶς, ἀγνοῶν ὅτι φόβος ἐστὶ καθ' Ὅμηρον ἡ μετὰ δέους φυγή. διὸ ἡ διπλῆ. A.

248. ἤτοι συναπτέον ἕως ἀλεγεινῆς, ἵνα αἰτία τάττῃ τῶ χήματος κέηται· πάντες γ' εὐλαβοῦντο, ὅτι Ἀχιλλεὺς ἐφάνη πολὺν κεχωρισμένος τῆς μάχης χρόνον· ἢ ἐπὶ τὸ ἐξεφάνη σικτέον, ἵνα τὸ ἐξῆς ὡς ἐπὶ τῶ ποιητῶ ἐπιφωνούμενον λέγηται. A.

ὁ δὲ ἀντὶ τῶ γάρ. B.

250. ὁρᾷ πρόσσω καὶ ὀπίσσω: τέλειον ἐγκώμιον τῶ φρονίμου. τὰ δὲ ἐναντία ἐπὶ τῶ ἄφρονος· „οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω" (Il. 1, 343). A.

σύσασίν τινα ἐποιήσατο τῶ μέλλοντος ῥηθήσεσθαι λόγου· συνετῶ γ' ἀνδρὸς τὸ τὰ μέλλοντα διορᾶν (ἀνδρὸς πρὸς τὰ μέλλοντα ἁρμόζεσθαι V) καὶ προγνωσικώτερον τῶν ἄλλων φαίνεσθαι, ὅπερ καὶ ἐν λοιδορίας μέρει παραλαμβάνει· „οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω." AV.

πρόσσω τὸ παρελθόν, ἐπειδὴ τὸ ἔμπροσθεν βλέπει· καλεῖ δὲ πρόνοια. ὀπίσσω δὲ τὸ μέλλον, ὅτι ἀφανές ἐστι· καλεῖ δὲ ἀγχίνοια. B.

251. Ἕκτορι δ' ἦεν ἑταῖρος: διὸ παῤῥησιάζει ἀεὶ πρὸς τὸ συμφέρον αὐτῶ, ὥστε δεῖ τὸς ἑταίρους ἀ τὰ προσφιλῆ ἀλλὰ τὰ συμφέροντα λέγειν. B.

ᾗ δ' ἐν νυκτὶ γένοντο: πῶς ἐν μιᾷ νυκτὶ γενόμενοι τοσοῦτον ἀλλήλων διαφέρουσι, τῆς συμπαθείας τῶν ἡρωίνων ὁμοίως πρὸς ἀμφοτέρους ἐχούσης; ἔστιν οὖν διαφορὰ τοῖς γεννωμένοις ἐκ ἐν νυκτὶ μόνον ἀλλὰ καὶ κατὰ τὴν τῆς ὥρας ἀκρίβειαν. Ἡράκλειτος ἐντεῦθεν ἀστρολόγον φησὶ τὸν Ὅμηρον, καὶ ἐν οἷς φησι „μοῖραν δ' ἔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν, οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται" (Il. 6, 488). AV.

ἔγκειταί τι θαυμαστὸν τῶ λόγῳ. συνήλικες ὄντες καὶ ὁμᾶ γενόμενοι ἀ τὰ αὐτὰ ἐπιτηδεύουσιν, ἀλλ' ὁ μὲν συνετός, ὁ δὲ πολεμικός. οὐδὲν ἄρα χρήσιμος ὁ χρόνος τοῖς ἀφυέσι πρὸς τὰ χρήσιμα. A.

ἔννοιαν ἔχει τινὰ γενναίαν τὸ λεγόμενον, ὅτι ἐκ ἐν ταῖς ἡλικίαις ἀλλὰ παρὰ τὰς φύσεις ἡ σύνεσις τοῖς ἀνθρώποις ἐπιγίνεται. BV.

252. ἀλλ' ὁ μέν: δαιμονίως τῇ διαιρέσει, ὡς καὶ ἐν ἄλλοις· „μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων" (Il. 9, 443) καὶ „οἳ περὶ μὲν βελῇ Δαναῶν, περὶ δ' ἐσὲ μάχεσθε" (Il. 1, 258) καὶ „νέας πινυτὸς καὶ ἔγχεσιν εἶναι ἀρίστους" (Od. 4, 211). V.

253. ὃς σφιν: τοῦτο σημειωτέον πρὸς τὸ „ὁ δὲ φῇ κάδειαν ἀναχών, πέφραδέ τε Τρώεσσι, καὶ εὐχόμενος ἔπος ηὔδα" (Il. 14, 500). A.

254. φράζεσθε: ἀδέποτε τὸ φράσαι ἐπὶ τοῦ εἰπεῖν ὁ ποιητὴς τίθησιν, ἀλλ' ἐπὶ τῆς διανοίας. ἔστιν ἓν περισκέψασθαι, τῇ διανοίᾳ μάλα περισσῶς βουλεύσασθαι. A.

εἰς ἐπίτασιν εὐθὺς αὐτὸς ἄγει διὰ τῆς εἰσβολῆς, λέγων ὅτι πολλῆς ἐπισκέψεως τὰ παρόντα δεῖ· ἔδει γ' πρῶτον τὸν σύμβουλον δεῖξαι ὅτι περὶ μεγάλων ἡ σκέψις. καὶ τὸ φίλοι προσαγωγόν, ἵνα ἐμφήνῃ τὴν κηδεμονίαν. B.

255. ἄσυδε νῦν λέναι: κεφάλαια συμβουλευτικὰ τὸ καλόν, τὸ δυνατόν, τὸ ἀναγκαῖον, τὸ συμφέρον· ὧν τὸ καλὸν πρὸς δόξαν ὁρᾷ, ὃ καὶ παρῆκε διὰ τὸν καιρόν (τὸ γ' ἀναχωρεῖν πλῆρες ἀδοξίας), τοῖς δὲ ἄλλοις ἀγωνίζεται. καὶ γ' δυνατόν φησι τὸ ἀναχωρεῖν νῦν, τὸ δὲ εἰς τὴν ἐπιοῦσαν ἡμέραν ἀδύνατον καταληφθέντας ὑπὸ Ἀχιλλέως· καὶ δυνατὸν τὸ ἀπὸ τείχους πολεμεῖν, εἰ δὲ καταλάβοι Ἀχιλλεύς, ἄ. τὸ δὲ συμφέρον, ὅτι νῦν βλαβεῖς ἀπελεύσονται. ἀναγκαῖον δὲ ἡ φυλακὴ τῆς Ἰλίου, νυκτὸς μὲν ἀγρυπνούντων, ἡμέρας δὲ ἀπὸ τείχους πολεμούντων. B.

ἄλλως. μείζην δὲ ἔμφασιν ἔχει τὸ νῦν· ὃ γ' ὑποβάλλει, τοιοῦτόν ἐστι· νῦν πορεύεσθε· μὴ περιμένετε τὴν μεθημερινὴν φυγήν (τὴν μεθ' ἡμέραν ὅτε μὲν φεύγοντες ὅτε δὲ διώκοντες φυγήν. Leid.)· τότε γ' πάντως φεύξεσθε βιασθέντες. ἄμεινον ἂν προνοῆσαι τῆς ἀσφαλείας καὶ προλαβεῖν τὸν κίνδυνον. B.

256. ὁ δέ ἀντὶ τῶ γάρ· καὶ εἰμὲν ὑπάρχομεν. A.

257. ἕτος ἀνήρ: οἷον ὁ ἀρτίως κινήσας ἡμῖν τὸν θόρυβον. A. ἕτος ὃν ἔχομεν ἐν νῷ. ἠθικὸν δὲ τὸ μὴ ὀνομάσαι Ἀχιλλέα· ἐν ᾧ τῷ ἕτος μείζονα τὴν ἔμφασιν εἰργάσατο. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

258. ῥητέροι πολεμίζειν· τετέχνη εὐκαταμαχητότεροι, ὥστε τὸ πολεμίζειν ἀντὶ τοῦ πολεμίζεσθαι. A.

Ἀττικῶς ἔχει ἡ ἀπαγγελία· ῥᾴδιοι, φησίν, ἡμῖν ἦσαν εἰς πόλεμον, τουτέστιν εὖ ἡμῖν ἤττηντο. B.

259. ἰαύων: ἐπαυλιζόμενος. A.

261. δείδοικα ποδώκεα Πηλείωνα: ἀναγκαῖον καὶ τοῦτο, ἵνα δείξῃ ὅτι ὁ κατ' ἴδιον ὄκνον ἀναχωρεῖν κελεύει, ἀλλὰ διὰ τὸ ἐμπείρως ἔχειν Ἀχιλλέως. B.

262. ὑπέρβιος: τοῦτο ἰδίᾳ ἀναγνωστέον. ἢ ἐστιν, ὑπεράγων τῇ βίᾳ. B.

καὶ τοῦτο καθ' ἑαυτό· μᾶλλον γὰρ ἐμφαίνει. A.

264. δατέονται: διαιρῶνται τὸν πόλεμον, παρόσον ὁτὲ μὲν ἕτοι ὁτὲ δὲ οἱ ἕτεροι νικῶσιν. A.

μερίζονται τὸν πόλεμον νικῶντες καὶ νικώμενοι, ἢ ἄλλος ἄλλο τι πράσσοντες μερίζονται τὰ τοῦ πολέμου ἔργα, ὁ μὲν τοξεύων, ὁ δὲ ἀκοντίζων, ὁ δὲ σκυλεύων. B.

265. μαχήσεται: ἐν ἄλλῳ μαχέσσεται. A.

ἠδὲ γυναικῶν: τοῦτο σημειωτέον πρὸς τὸ „ἀμυνέμεναι ὥρεσσιν" (Il. 5, 486) καὶ „ἄρων ἕνεκα σφετεράων" (Il. 9, 327), ὅτι κἀκεῖ γυναιξί λέγει, καθάπερ ἐνθάδε ῥητῶς ἐξηγούμενος ἐκεῖνο λέγει. AV.

266. ἀλλ' ἴομεν: ἄκρως προτρέπει ἁρπάσαι τὸν καιρὸν καὶ τοῦ κινδύνου τὴν ἀσφάλειαν προνοῆσαι, ἐχ ὑπόνοιαν ἀλλ' ἀλήθειαν βεβαίαν προβαλλόμενος. B.

Τυραννίων παρώξυνε τὸ πίθεσθε, ἀγνοῶν ὅτι μεταγενεστέρων Ἰώνων ἐστὶ τὰ τοιαῦτα, πιθέσθε λαβέσθε. V.

ὧδε γὰρ ἔσται: ἐμφαίνει ὅτι οὐ διὰ δειλίαν ταῦτα συμβουλεύει. A.

269. σὺν τεύχεσιν: ἀδὲ τοῦτο ἀργόν· ὑποβάλλει γὰρ ὅτι καὶ νῦν διὰ τὸ ἄνοπλος εἶναι ἀπέχετο τοῦ πολέμου. A.

καιρίως κεῖται τὸ σὺν τεύχεσιν· ἄοπλος γὰρ ἦν, φησί, πρὸς τῷ καὶ νύκτα ἐπιγεγονέναι· διόπερ νῦν ἡμῶν ἀπέχετο. B.

εὖ νύτις: κακόν τι πεισόμενος ὑπ' αὐτοῦ δηλονότι. A.

270. γνώσεται αὐτὸν πάχων παρ' αὐτοῦ κακῶς. διὰ τί δὲ μὴ ἰδίᾳ ταῦτα πρὸς Ἕκτορά φησιν; ὅτι τὸ πλῆθος ἐξαίφνης τὸ πολὺ καὶ ταραχῶδες εἰς ἐκκλησίαν συνέρρευσεν. B.

271. πολλὸς δὲ κύνες: ἀ κατάρατα καὶ βλάσφημα ταῦτα, ἀλλὰ φόβου ἕνεκα λέγεται· ἐπάγει γὰρ τὸ ἦθος ἑαυτοῦ. A.

ἐκ ἐν βλασφημίᾳ ταῦτα καὶ εἰρωνείᾳ φησίν, ἀλλ' ἐκφοβεῖ, ἵνα δέξωνται τὴν συμβουλήν. B.

272. ἀπ' ἄατος: ἄπωθεν τοῦ ὠτός, οἷον μὴ ἀκέσαιμι· „αἲ γὰρ ἀπ' ἄατος εἴη ἐμεῦ ἔπος" (Il. 22, 454). A.

εἴθε δέ μοι τοῦτο ἀμόνον μὴ ὀφθείη ἀλλὰ μηδὲ ἀκουσθείη. B.

τινὲς δὲ ἀπέατον τὸν κακόν, ἵν' ᾖ τὸν Ἀχιλλέα, ἀντὶ τοῦ εἴθε γὰρ κακὸς ἐγένετο, τετέχνη δειλός. D.

273. πιθώμεθα: ἐν ἄλλῳ πιθοίμεθα. A.

ἡ ὑποζυγὴ ἤτοι ἐπὶ τὸ πιθώμεθα, ἢ κατὰ τὸ τέλος τοῦ σχὲς· καὶ λόγον ἔχει ἀμφότερα. A.

274. νύκτα μέν: τὴν νύκτα κατισχύσομεν καὶ κρατήσομεν τῇ βουλῇ. ἄλλως. ὃ λέγει, τοιοῦτόν ἐστι· διεσπαρμένην συλλέξομεν καὶ τὰς ἀνὰ τὸ πεδίον καὶ τὰς ἀνὰ τῆς πόλεως φυλάττοντας νῦν· ὕστερον δὲ ἅμα ἡμέρᾳ ἡμεῖς πολεμήσομεν. A.

πρὸς τὸ σημαινόμενον, ὅτι ἔστι βουλευσόμεθα, τῇ βουλῇ κρατήσομεν. A.

διὰ νυκτὸς κρατερῶς βουλευσώμεθα· τὴν δὲ πόλιν οἱ πύργοι σώσουσιν. V.

σθένος τὴν δύναμιν, ὃ ἐστι τὴν στρατιάν. οὕτω καὶ οἱ συγγραφεῖς δύναμιν καλοῦσι τὸ στράτευμα. (καὶ Σοφοκλῆς „ἐν τοῖσιν ἵπποις τοῖσιν ἐκλελειμμένοις ἴδιον εἰ χωρῶμεν ἢ παντὶ σθένει." V.) φησὶν ἐν ὡς νυκτὸς ἐν ἐκκλησίᾳ βουλευσόμενοι συνάξουσι τὸν στρατόν. ἢ ἰσχυροποιήσομεν ἑαυτοὺς ἠθροισμένοι, ὅ ἐστιν, ἐν τῷ ἠθροῖσθαι φυλαχθησόμεθα· τὸ γὰρ εἰν ἀγορῇ νῦν ἐκ ἐν ἐκκλησίᾳ σημαίνει, ἀλλ' ἐν τῷ ἀθροίσματι. B.

275. πύλαι: νῦν αἱ ὁδοὶ· ἀλλαχοῦ δὲ ἐπὶ τῶν πυλῶν· „ἐν χερσὶ πύλας ἔχετε" (Il. 21, 531)· „μέγα δ' ἀμφὶ πύλαι μύκον" (Il. 12, 460)· „ἐρρήξε δὲ πύλας καὶ μακρὸν ὀχῆα" (Il. 13, 124). AV.

277. τὸ πρῶϊ καὶ ἕως ἕκτης ὥρας δηλοῖ· διὸ προσέθηκε τὸ ὑπηοῖοι, ὡς καὶ Φιλήμων φησὶν „μεμίσθωνταί με δείλης πρωΐας" ἀντὶ τοῦ ἀρχομένης δείλης. A.

278. σησόμεθ' ἀμπύργας: ἀναγκαίως τῷ προδεδιαγμένῳ κινδύνῳ ἐκ τοῦ μένειν ἀντέθηκε τὴν ἐκ τῆς ἀναχωρήσεως ἀσφάλειαν, καὶ ὅτι ὁ πολέμιος μᾶλλον κινδυνεύσει ἢ ἡμεῖς. B.

279. σικτίον ἐπὶ τὸ μάχεσθαι. A.

281. ἠλασκάζων: περὶ τὸν αὐτὸν τόπον ἀλώμενος καὶ ἐκ ἀνύων ὁδόν. ἄλλως δὲ μετ' ἐλιγμοῦ ἐλαύνων καὶ τὴν δίωξιν ποιούμενος. ἔγκειται δὲ καὶ τὸ ἠλεόν, ὅπερ ἐστὶ ματαίως ἐλαύνων. A.

πλανῶν, παρὰ τὴν ἄλην, ὡς τὸ „ἐμὸν μένος ἠλασκάζει" (Od. 9, 457). ὑποφαίνει δὲ ἡ λέξις τὸν μετὰ ἀναστροφῆς ἐλαύνοντα τοὺς ἵππους καὶ διαπειρώμενον εἰσελάσαι εἰς τὴν πόλιν. B.

283. ἡ διπλῆ, ὅτι τοιοῦτόν ἐστι τὸ λεγόμενον, πρότερον αὐτὸν οἱ κύνες κατέδονται ἢ ἐκπέρσει. καὶ ἐκ ἔστιν ἐλλιπὴς ὁ λόγος, ὥσπερ ἀδ' ἐπ' ἐκείνοις „τὴν δ' ἐγὼ ἀ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν" (Il. 1, 29). σικτέον δὲ ἐπὶ τὸ ἐκπέρσει· μᾶλλον γὰρ ἔτως ἐμφαίνει· ἐὰν δὲ συνάπτηται, ἀδιανόητον γίνεται. A.

οἷον τεθνήξει πρότερον ἢ πέρσει, ὡς τὸ „ἀ λύσω πρίν μιν καὶ γῆρας ἔπεισιν." A.

284. ὑπόδρα ἰδών: τὸ βλέμμα δηλοῖ ὅτι δυσαρεστεῖ πρὸς τοὺς λόγους. B.

285. Πελυδάμα: ἔδει σὺν τῷ ὦ Πελυδάμαν. τοιοῦτο δὲ καὶ τὸ Λαοδάμα, παρὰ τὸν ὀρθὸν λόγον. A.

σὺ μὲν ἐκέτ' ἐμοὶ φίλα: τυραννικὴ ἡ ἀνταπόκρισις· ἀ γὰρ ὅτι μὴ σύμφορα εἰσηγήσατο, ἀνατρέπει, ἀλλ' ὅτι ἐκ ἡδέα. B.

286. ὁ μὲν φυλάσσειν τὴν πόλιν ἔφη· ὁ δὲ δεινοτέρῳ ὀνόματι τὸν λόγον ἐξεφαύλισε, προθεὶς τὸ ἁλῆμεναι. A.

ὁ μὲν τῆς ἀσφαλείας φροντίζων σεμνοῖς ὀνόμασιν ἐχρήσατο· ὁ δὲ μετατίθησι τὰ ὀνόματα, δυσωπῶν τὲς ἀκόντας, ἀλήμεναι λέγων τὸ ἀναχωρῆσαι ϗ „ἐλμένοι ἐνδόθι πύργων." B.

287. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει κεκόρησθον, συγχέων τὸ δυϊκόν. A.

πρὸς τὸ „κέλομαι γ' ἔγωγε ἄσυδε νῦν ἰέναι" (254). V.

288. μέροπες: οἱ μεριθεῖσαν ϗ διαρθρωθεῖσαν τὴν ὄπα ἔχοντες. οἱ δὲ τὴν κτῆσιν μερισθέντες. BV. τῶν ζώων. V.

290. ἐξαπόλωλε δόμων κειμήλια καλά: ὁ τοῦ Ἕκτορος λόγος μετὰ τῆ καλῆ ϗ τὸ συμφέρον ἔχει, τατέςι, συμφέροντος μέρος ἐςὶ ϗ τὰ περὶ τῶν χρημάτων, ἃ πολυχρονίῳ πολέμῳ ἐξαναλῶσθ λέγει. δείκνυσιν ὅτι μείζων ἡ βλάβη πολιορκεμένων ἢ τῇ συμβολῇ κρίσιν διδόντων. BV.

291. ἡ διπλῆ, ὅτι ἑτέρα ἡ Φρυγία παρὰ τὴν Τροίαν, ϗ ὅτι ἐλλείπει ἡ εἷς, ἵν' ᾖ εἰς Φρυγίην. A. καὶ Λυδία ἔπω ἐκαλεῖτο. V.

292. κτήματα περνάμεν' ἴκεὶ: Φρυγῶν ϗ Μηόνων ἀγορὰς κομιζόντων τοῖς Τρωσὶ καὶ ἀντὶ τάτων ἀντιφορτιζομένων. τῶν πολεμίων ἀπαγόντων ϗ πωλάντων, ἢ αὐτῶν τῶν Τρώων, ἵνα χρήματα λαμβάνωσι πρὸς τὸν πόλεμον ϗ παρέχωσι τοῖς συμμάχοις, οἷον ὁ Ἕκτωρ ἔφη „τὰ φρονέων δῶρα κατατρύχων" (Il. 17, 225). A.

κυρίως ἐπὶ τῶν διαπερωμένων ζώων. ἢ ἐπεὶ χρυσίᾳ μὴ ὄντος ταῦτα ἐδέχοντο οἱ ἐπίκαροι. V.

293. ὅτε πέρ μοι ἔδωκε Κρόνᾳ παῖς: ςρατηγικῶς μὲν αὐτὲς ὑπέμνησε τῆς εὐνοίας τῶν θεῶν, βαρβαρικῶς δὲ ϗ ἀλαζονικῶς τὸ πᾶν εἰς ἑαυτὸν ἀναφέρει. B. μηδαμῆ ἐκεῖνον ἀντιτιθείς, ὅτι ϗ κρείσσων ὁ ἐξιὼν ἐπ' αὐτούς. V.

296. εἰ μέχρι τῆ ἐπιπείσεται προήγαγε τὸν λόγον, ἔννοιαν ἐδίδα ὡς μὴ πειθομένων ἐκοντὶ Πετυδάμαντι τῶν Τρώων· ὁ δὲ τυραννικῶς τὴν κρίσιν ἐ τῷ πλήθει κατέλιπεν, ἀλλ' ἐπὶ τὴν ἑαυτῆ ἐξεσίαν περιέσπασεν ὡς διὰ φόβον Ἕκτορος ἐ πεισομένων αὐτῶν. B.

298. ἐν τελέεσσι: ὅτι ἀντὶ τῆ μὴ λύσαντες τὰς τάξεις. A.

300. ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει: εἴ τις εὐλαβεῖται μὴ ἀπολέσῃ τὰ ἴδια κτήματα, μερισάτω αὐτὰ τοῖς Τρωσίν. πρὸς Πετυδάμαντα δέ, ὡς ἵνα φυλάσσηται τὰ κτήματα, συνεβάλευεν ἀπὸ τοῦ τείχεος ἀμύνεσθαι. A.

ἄλλως. τῶν Τρώων ὅσις ἂν ὑπερβαλλόντως ἀνιᾶται ἐπὶ τοῖς χρήμασιν ὡς μέλλων ἀπολεῖν αὐτὰ ὑπὸ πολεμίων (τῦτο γ' ἐλλεῖπον προσυπακέεται), συναγαγὼν αὐτὰ δότω τοῖς πολίταις· βέλτιον γάρ ἐςιν ὑπὸ τάτων ταῦτα δαπανηθῆναι. AD. ἴσως δὲ ταῦτα κατηγορεῖ ὁ Ἕκτωρ, ἵνα σώζηται αὐτῷ τὰ χρήματα. A.

ὁ πλέσιος δότω τοῖς ἄλλοις, ὅπως αὐτὲς συμμάχους ἔχοι ϗ φύλακας τῶν ἰδίων. ἐμφαίνει δὲ ὡς ὁ Πετυδάμας πλέσιος ὢν δειλιᾷ προκινδυνεύειν· φησὶ γᾶν, ὅσις τῶν Τρώων λυπεῖ τὸ κοινὸν αὐτὸς ἔχων πλείσην ἐσίαν, ἐκείνην δημευσάσθω· ϗ ἔςι τῦτο προτρεπτικὸν τῆ πλήθους. ὑπονοεῖ δὲ τὲς πλησίες ὀκνεῖν ἐκςρατεύεσθαι δειλιῶντας κινδυνεύειν. B.

ἄλλως. τῦτο ϗ ςρατηγήματός τινος ἔχεθ· ὑποπτεύσας γ' τὲς πλησίες ἀνιᾶσθ ἐξιόντας εἰς πόλεμον διὰ τὸ μὴ ἔχειν τὲς τηρήσοντας τὰ χρήματα, φησὶ δεῖν διανέμειν τῷ πλήθει αὐτά. A.

305. εἰ ἐτεόν: καλὸν τὸ δισάζειν ϗ τέως ἔτι μὴ κυρῶσαι (δῆναι V) ὅτι ἀνέςη. παρὰ ναῦφι δέ, ἀπὸ τῶν νεῶν. B.

οἴεται διὰ τὸ σῶμα Πατρόκλου αὐτὸν ἐξεληλυθέναι. V.

306. ἄλγιον: ἐπίπονον, ἀδύνατον. εἰς δὲ τὸ ἐθέλησι λείπει τὸ μάχεσθαι. B.

307. δυσηχέος: διὰ τὲς ἀναιρεμένους. V.

308. σικτέον ἐπὶ τὸ σήσομαι. A.

ἤ κε φέρῃσι: πρὸς τὸ παράδοξον ἀντέθηκεν· ἀπίσα γ' ὄντος τῆ ἀντισῆναι Ἀχιλλεῖ τὸν Ἕκτορα, προαθεὶς τὸ τῆς ἀδηλίας παρεμυθήσατο τὴν ἀπισίαν. A.

πρὸς τὸ δοκᾶν εἶναι ἀναντίῤῥητον, ὅτι ἀμείνων Ἀχιλλεύς, δημοκοπικῶς ἀντέθηκε τὴν ἐν πολέμοις ἀδηλίαν, ὡς τὸ „ἐπιμὶξ δέ τε μαίνετ' Ἄρης" (Od. 11, 537). ταῦτα δὲ λεγόμενα πρὸς τὲς νέες καταφρονεῖν διδάσκεσιν, ὡς μὴ ἐχόντων τῶν κρεισσόνων κατὰ τῶν ἐλαττόνων ἐλπίδα. πρότρεπτικῶς δέ φησιν ἑαυτὸν ἐπιδώσειν τῷ κινδύνῳ. ἅμα δὲ θαῤῥεῖ τοῖς ὅπλοις ϗ τῷ ἄοπλον εἶναι Ἀχιλλέα. B.

309. ξυνὸς Ἐνυάλιος: κοινὸς ὁ πόλεμος πολλάκις τὸν κτείνειν βελόμενον κατέκτα. ὅμοιον δὲ τῷ „ἐπιμὶξ δέ τε μαίνεται Ἄρης" (Od. 11, 537). A.

κοινὴ ἡ τῆ πολέμ τύχη, ϗ τὸν ἐλπίζοντα ἀνελεῖν τὸν πλησίον συμβαίνει πολλάκις ὑπ' ἐκείν ἀναιρεθῆναι. D.

Πορφυρίς. πρὸς τὰς ἀδυναμίαν Ὁμήρ κατηγορᾶντας ἐκ τῆ πολλάκις τὰς αὐτὰς ῥήσεις ποιεῖν ἢ λέγοντας τὲς ἐκπέμποντας ϗ τὲς πεμπομένες ἀγγέλες ϗ κήρυκας, ἢ διηγεμένες πράξεις ἢ λόγες ῥηθέντας πρότερον, ἄξιον σημειῶσθ ὅτι ποικίλλων αὐτὸς ἑαυτὸν ἄλλως ϗ ἄλλως ἑρμηνεύει διὰ δύναμιν. οἷον εἰπὼν τὸ „ξυνὸς Ἐνυάλιος" καὶ ἐξηγησάμενος πῶς κοινός („καί τε κτανέοντα κατέκτα"), ἄλλως τῦτο λέγων φησὶν „ἦ τ' ἔβλητ' ἦ τ' ἔβαλ' ἄλλον" (Il. 11, 410), καὶ πάλιν ἄλλως „ἤ κε φέρῃσι μέγα κράτος ἦ κε φεροίμην" (308) „ἕλοιμί κεν ἦ κεν ἁλοίην" (Il. 22, 253), καὶ πάλιν „νίκη δ' ἐπαμείβεται ἄνδρας" (Il. 6, 339). πάλιν τὸ τειχίσαι πόλιν καὶ κύκλῳ περιβαλεῖν τὸ τεῖχος ἢ ὅλως τὰ κυκλοτερῶς συνέχοντα ἑρμηνεύων λέγει „ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει" (Od. 6, 9) καὶ „περὶ δ' ἕρκος ἔλασσε" (564) καὶ „ἤλασε τάφρον ἐπ' αὐτῷ" (Il. 9, 349). εἶτ' ἄλλως ἑρμηνεύων φησὶ „τεῖχος ἐς ἀμφίχυτον" (Il. 20, 145) τὸ πέριξ κεχυμένον. καὶ ἐπ' οἴκῳ κύκλῳ περιέχοντος „περὶ δὲ κλισίη θέε πάντῃ" (Od. 24, 208), ὡς τὸ „περὶ δὲ χρύσεος θέε πόρκης" (Il. 6, 320).

καὶ ἄλλως „ἐν δὲ μετώπῳ λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον ἠΰτε μήνη" (Il. 23, 454). ὅρα δὲ ἄλλων ὀνομάτων ἀφθονίαν ἐν ἑνὶ καὶ ταὐτῷ μέρει. „ἄνδρα" φησὶ „βαλών," καὶ ἐπάγει „τὸν [δὲ σκότος ὄσσε κάλυψεν" (Il. 6, 711). εἶτ' „Ἄξυλον δ' ἄρ' ἔπεφνε," καὶ ἐπιφέρει „ἀλλ' ἄμφω θυμὸν ἀπηύρα" (ib. 12. 17), ἔπειτ' ἄλλως „Δρῆσόν τ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξεν" (ib. 20), εἶτα „Ἄξυλον δ' ἄρ' ἔπεφνεν" (ib. 28), ἔπειτα „Ἀντίλοχος ἐνήρατο" (ib. 32)· μεθ' ἃ ἐπιφέρει „Φύλακον δ' ἕλε Λήϊτος ἥρως" (ib. 35), εἶτα ἀνάπαλιν „Ἄδρηστον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος ζωὸν ἕλε" (ib. 37), ἔπειτα ἐξ ὑπαρχῆς „τὸν δὲ κρείων Ἀγαμέμνων ἔτυ κατὰ λαπάρην" (ib. 63). ἔπειτα ὁ Νέστωρ φησὶν „ἀλλ' ἄνδρας κτείνωμεν" (ib. 70). A.

310. ἐπὶ δὲ Τρῶες κελάδησαν: πολλὰ ἦν τὰ συναναγκάζοντα πεῖσαι τοὺς Τρῶας, πρῶτον μὲν ἡ ἄνοια ἡ βαρβαρική, δεύτερον δὲ τὰ χρήματα ἃ προέτεινεν αὐτοῖς, τρίτον ὅτι τὴν μὲν ἀπόλαυσιν ἐκείνοις ἐχαρίσατο, τὸν δὲ κίνδυνον αὐτὸς ἐπανεῖλεν. A.

311. ἐκ γάρ σφεων: ἡ ἐλπὶς τῷ δημοβορῆσαι ἐκ ἐᾷ αὐτοὺς προνοῆσαι τὸ μέλλον, καὶ ἡ τῷ Ἕκτορος ὑπόχεσις ἐπαγγειλαμένου ὑποσήσειν Ἀχιλλέα. πρός τε τὴν ὅλην ποίησιν πιθανὴν τὴν οἰκονομίαν ὁ ποιητὴς διέθετο. εἰ γὰρ ἔφυγον εἰς τὴν πόλιν, ταὐτὰ τοῖς ἐν ἀρχῇ ἐγένετο, τειχήρεις τε οἱ Τρῶες καὶ πολιορκία· καὶ ἐδ' ἂν ὁ Ἕκτωρ ἀπώλετο, κωλυόμενος ὑπὸ τῶν δημογερόντων προελθεῖν· καὶ κατέσχε ἂν ἐξαγώνιον τὸ λοιπὸν μέρος τῆς Ἰλιάδος. B.

δείκνυσιν ὅτι τῆς ἑαυτοῦ γνώμης αὐτοκράτωρ ἐστὶν οὐδείς. B.

313. οὔ τις: ἔ τι γράφει Ἐπαφρόδιτος, ἵν' ᾖ ἀντὶ τοῦ οὔ. δύναται δὲ τὸ ἐπήνεσαν κοινὸν εἶναι. V.

314. αὐτὰρ Ἀχαιοί: ὅρα τὰς μεταβάσεις ὡς ποικίλαι, ποτὲ μὲν ἐν τοῖς ἔργοις ὁτὲ δὲ ἐν τοῖς λόγοις ἀγωνιζομένου τοῦ ποιητοῦ· νῦν δὲ καὶ ἐφ' ἑνὶ εἴδει, τῷ θρήνῳ. A.

316. ἀδινᾷ: λεπτῇ καὶ ἀσθενεῖ, ὡς διὰ τὸ μὴ δύνασθαι μεῖζον λέγειν· τοιοῦτον γὰρ τὸ φθέγμα τοῦ λυπουμένου. οἱ δὲ δασυλῶς, παρὰ τὸ ἄδην. B.

317. χεῖρας: τὰς ἑαυτοῦ χεῖρας ἐπιθεὶς τοῖς σήθεσσι τοῦ ἑταίρου, ἢ τοῖς ἑαυτοῦ σήθεσσιν ἐπιθέμενος τὰς χεῖρας τοῦ ἑταίρου. B.

ἀμφίβολον πότερον τὰς ἑαυτοῦ ἀνδροφόνου χεῖρας ὁ Ἀχιλλεὺς ἐπιθεὶς τῷ τοῦ ἑταίρου σήθει, ἢ τὰς τοῦ ἀνδροφόνου Πατρόκλου ἐπιθεὶς τῷ ἰδίῳ σήθει. βέλτιον δὲ τὸ πρότερον. AD.

διὰ τοῦ ō ἅπασαι, ἀνδροφόνους. A.

318. ὥσε λὶς ἠϋγένειος: ἐμπείρως πάνυ· αἱ γὰρ θήλειαι κάλλιστον ἔχουσι γένειον, οἱ δὲ ἄρσενες χαίτην. νῦν δ' ἐπὶ θηλείας· ἄρσην γὰρ ὁ σκυμναγωγεῖ. τὸ δὲ λέαινα νεώτερον ὄνομα. A.

ἀκολούθως τῷ Ἀχιλλέως ἀξιώματι τὴν εἰκόνα παρέλαβεν, ἐκ ἄλλου τινὸς ζῴου ἀλλὰ λέοντι παραβαλών, καὶ τὴν λύπην τῇ λύπῃ ὁμοιώσας· ἐδὲν γὰρ ἂν ἐμφαντικώτερον φανείη πρὸς τὸ δεῖξαι τὴν Πατρόκλου φιλίαν τῆς πρὸς τὰ τέκνα τῶν γεγεννηκότων διαθέσεως. ὅλον δὲ πρὸς ὅλον παραβέβληται· τό τε γὰρ λυπούμενον ἅμα καὶ ὀργιζόμενον διὰ τῆς παραβολῆς ἔδειξε. καὶ ἑκατέρων ἡ λύπη παραπλησία ἀπολειφθέντων τῆς βοηθείας, καὶ ὁ ζητῶν τὸν ἐλαφηβόλον τῷ παρὰ Ἕκτορος δίκην λαβεῖν ἐπειγομένῳ. B.

319. σκύμνους: σκύμνος ὡς ὕμνος εἰς ἰδιότητα ἀνεγνώσθη· τὸ μέντοι ἀνδρωνυμικὸν ὀξύνεσθαι ἀξιοῖ ὁ Ἀσκαλωνίτης πρὸς διαφοράν. ὁ μέντοι λόγος συναγωνίζεται τῇ βαρείᾳ τάσει· τὰ γὰρ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου δισύλλαβα μονογενῆ, ἔχοντα ἐν τῇ πρὸ τέλους συλλαβῇ τὸ ῡ, βαρύνεσθαι θέλει, ὕμνος κύκνος λύχνος Κύθνος ἔτως ἄρα καὶ σκύμνος. A.

ὀξυτονουμένης μὲν τῆς πρώτης συλλαβῆς τὸ τῶ λέοντο ἔκγονον, βαρυνομένης δὲ τὰ τῶν ἄλλων ζῴων. D.

ἐλαφηβόλος: τοῦτο ἴσως πρῶτον ἠγόρευται, ἀφ' οὗ ἔμεινε τὸ ὄνομα. ἢ ὅτι τάχιστον τῶν ἄλλων. ἢ διπλῆ δὲ ὅτι ἔτως τοὺς κυνηγοὺς καταχρηστικῶς λέγουσιν οἱ ποιηταί. A.

320. ὕστερος: ὕστερον τῶν ἁρπασάντων. V.

ἄγκε': φάραγγας, σπήλαια. A.

321. ἴχνι': Ἀρίσταρχος γὰρ ἴχνευε. V.

322. δριμύς: ἡ μεταφορὰ ἀπὸ τῶν γευομένων μετεκλήπται. B.

323. μετεφώνει: γράφεται μετεφώνεε. A.

324. ἄλιον ἔπος ἔκβαλον: ἐκτείνει τὸ πάθος ὁ τοιοῦτος λόγος· ἐ γὰρ ἐφ' οἷς αὐτὸς ἠπατήθη λυπεῖσθαι φησιν ἀλλ' ἐφ' οἷς αὐτὸς ἠπάτησε τὸν Μενοίτιον. A.

περιπαθὲς τὸ προοίμιον· μάλιστα γὰρ οἱ ἐν ἀξίᾳ μὴ πληρῶντες τὰς ὑποχέσεις ἄχθονται. B. διὸ ἔκβαλόν φησι. V.

325. θαρσύνων ἥρωα Μενοίτιον: καὶ τοῦτο περιπαθῶς, ὡς τῷ Μενοιτίῳ οὐκ ἂν δώσοντος τὸν παῖδα διὰ τὴν πρὸς τὸν υἱὸν φιλοστοργίαν, εἰ μὴ Ἀχιλλεῖ κατεπίστευσεν ὡς σῶσαι ἱκανῷ ὄντι καὶ ἐπαγγειλαμένῳ τοῦτο. A.

περιπαθὲς δὲ καὶ τοῦτο, ὅτι φησὶν εὐλαβῶς πατρὸς ἀπέσπασα Πάτροκλον, ἐκ ἂν ἐκπέμψαντος αὐτὸν εἰ μὴ δι' ἐμὰς ὑποχέσεις. B.

326. περίκλυτον: ἀντὶ τοῦ ἔνδοξον γενόμενον ἐκ τῆς νίκης. B.

327. Ἴλιον ἐκπέρσαντα: ἀνατυπωσάμενος ἑαυτῷ πλείονα ἤδεα ὁ Ἀχιλλεύς, πορθήσειν Ἴλιον καὶ ἑαυτὸν σὺν τῷ φίλῳ ἀπονοσφίσαντα καὶ ἀποδιδόντα Μενοιτίῳ τὸν Πάτροκλον, ἐκ ἐπὶ τῷ θανάτῳ μόνον ἀποδύρεσθαι, ἀλλ' ἐπὶ πᾶσι λυπεῖσθαι τοῖς ἀπὸ τῆς ἐλπίδος προσδοκηθεῖσιν. δῆλον δὲ ὡς ἐδέν αὐτῷ ἐν Φθίᾳ περὶ τῆς εἱμαρμένης ἡ Θέτις εἶπεν· ἐκ ἂν γὰρ ταῦτα ὑπιχνεῖτο, ἀλλ' ἐδ' αὐτὸς ἐξῆλθεν. B. τινὲς δέ φασιν οἴκοι μὲν πυθέσθαι, ἀπιέναι δὲ οἰόμενοι ἐκφοβεῖν αὐτὸν τὴν μητέρα πρὸς τὸ μὴ κινδυνεύειν. V.

328. ἀλλ' οὐ: κλάει ὅτι μὴ ἔξιν εἶς τῶν πορθησάντων τὴν Τροίαν. V.

329. ἐρεῦσαι: φοινίξαι, ἐκ τοῦ ἐρεύθω τὸ βάπτω, ἐξ οὗ καὶ ἐρυθρὸς καὶ Ἐρυθραῖον πέλαγος. ἐκλήθη δὲ Ἐρυθραῖον

ἀπὸ Ἐρυθρῆ τινὸς βασιλέως· ἀποθανόντος γὰρ αὐτῆ ἔρριψαν αὐτὸν ἐν τῇ θαλάσσῃ, ἐπιγράψαντες τῷ αὐτῆ τάφῳ ἔτως „ἐνθάδε τύμβος ἁλὸς παμμεδέοντος Ἐρυθρῆ." B.

331. ἱππηλάτα: ἱππικός. (ἐ φυγάς, ὡς οἱ νεώτεροι V). ἄκρως δὲ ἀντιτίθησι τῷ Μενοιτίῳ τὸν ἑαυτῆ πατέρα, ὅτι ὁ μόνος αὐτὸς τὰ ὅμοια πείσει τῷ φίλῳ, ἀλλὰ καὶ οἱ γονεῖς αὐτῆ ὅμοια Μενοιτίῳ καρτερήσουσιν. B.

332. ἡ διπλῆ, ὅτι συνεβίω ἡ Θέτις τῷ Πηλεῖ, καὶ ὅτι ἐκ ἀπεκόμιζον τὰ ὀξᾶ τῶν τετελευτηκότων ἐπὶ ξένης εἰς τὰς πατρίδας. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „ὡς κ' ὀξέα παισὶν ἕκαστος οἰκαδ' ἄγῃ" (Il. 7, 334). A.

333. Πάτροκλε: περιπαθὲς καὶ ἠθικὸν τὸ πρὸς τοὺς τεθνεῶτας ὡς ζῶντας διαλέγεσθαι· καὶ ἔξι τῆτο ἔμψυχον εἶδος τῆ λόγε. B.

334. ἤ σε πρὶν κτεριῶ: πῶς, φησίν, ἄταφον ἐᾷ τὸ σῶμα, τῆς τῆ Ἕκτορος ἀναιρέσεως ἀδήλου ἔσης; ῥητέον δὲ ὅτι παρὰ τῆς μητρὸς ἐδιδάχθη ὅτι ἐγγὺς αὐτῷ φόνος ἐσί. πῶς δὲ τὰ ἑαυτῆ ὅπλα Ἕκτορός φησιν; ἢ τοίνυν τὸ Ἕκτορος πρὸς τὸ κεφαλὴν μόνον ἐκληπτέον· ἢ ὅτι καὶ αὐτὰ τῆ ἀφελομένῳ κτῆμά γέγονεν. BV.

335. μεγαθύμε: αὔξει τὸν θάνατον τῆ φίλου καὶ τὴν ἐπικρίαν ἑαυτῆ. B.

336. ἀποδειροτομήσω: κυρίως ἡ τῶν ἀλόγων, παρόσον ἐκεῖθεν ἐκδέρονθ· καταχρησικῶς δὲ νῦν. B.

338. αὕτως: ὡς ἔχεις V. διὰ τῆ ᾱ αὕτως πᾶσαι εἶχον. A.

339. βαθύκολποι: ἐδέ ποτε τὰς Ἑλληνίδας βαθυκόλπες φησί. πῶς ἓν Ζηνόδοτος γράφει „ἕσπετε νῦν μοι μῶσαι Ὀλυμπιάδες βαθύκολποι;" (Il. 2, 484). V.

341. καμόμεσθα: ἐκ παρεπομένε· οἱ γὰρ κτώμενοι κακοπαθῆσιν. A.

342. πιείρας: εὐγείους, ὡς τὸ „ἐπεὶ μάλα πῖαρ ὑπ' ἤδας" (Od. 9, 135). φιλοσόργως δὲ τὸν Πάτροκλον συνεργὸν ὑποφαίνει τῶν κατορθωμάτων, καὶ ἀπὸ τῶν ἑαυτῶν οἰκτίζειθ εἰς τὰ κατ' αὐτόν. B.

344. ἀμφὶ πυρὶ ςῆσαι: ὡς συνήθες ὄντος καίειν πρῶτον, εἶτα ἐπιτιθέναι τὸν τρίποδα ὕςερον. V.

346. λοετροχόον: ἐξ ἧ τὰ λετρὰ καὶ καθάρσια γίνονται. D. εἰς ὃν τὰ λοετρὰ ἐγχέονθ. εἰς ταπεινῶν δὲ πραγμάτων ἀπαγγελίαν ἐμπεσὼν ἐκύλυσεν αὐτὰ τῇ συνθέσει τῶν ἐπιθέτων. τὸ δὲ τὰ μικρὰ καὶ ἄδοξα μεγαλοπρεπῶς ἐξενεγκεῖν καὶ σεμνῶς ἀπαγγεῖλαι θαυμασίας καὶ μεγίςης ἐςὶ δυνάμεως. B.

349. ἤνοπι: λεπτῷ καὶ καθαρῷ, ἐν ᾧ ἔξι καὶ ἐνοπτρίσαιθ ἔςιν ἓν ὡς τὸ „φαεινὴν ἀμφὶ σελήνην" (Il. 8, 555). A.

350. ἤλειψαν: ὅτι ἀρχαῖον τὸ ἦθος. V.

351. ὠτειλάς: ὅτι ὑπὸ μὲν Εὐφόρβε βέβληθ ὁ Πάτροκλος, ὑπὸ δὲ Ἕκτορος ἔτυχε, καὶ συλληπτικῶς εἴρηκε πάντα τὰ τραύματα ὠτειλάς. A.

συλληπτικῶς καὶ τὴν Εὐφόρβε ὠτειλὴν φησι. καλῶς δὲ ὠτειλὰς εἶπε· πλείονες γὰρ ἦσαν, καὶ ὅτι Ἕκτωρ αὐτὸν ἐτύπησας ἀναιρεῖ. B.

ἐννεώροιο: ἐναετῆς· ὧρος γὰρ ὁ χρόνος. D. ἔτως ὡς φαρμακώδη δύναμιν ἔχοντος τῆ παλαιῆ ἐλαίε. A.

νέε. ξηραντικῷ δὲ ἐλαίῳ χρῆται, ὃ φυλάσσει τοὺς νεκρούς, ὡς τὸ κέδρινον. B.

352. ἑανῷ: ἐ λαμπρῷ· ἐπάγει γὰρ „καθύπερθε δὲ φάρεϊ λευκῷ." ἔςιν ἓν λεπτῷ, ὡς „ἑανῆ κασσιτέροιο" (613) τῆ εἰς λεπτὸν ἐλαθέντος. οἱ δὲ ἑανῷ τῷ ἐνδυτικῷ. οἱ δὲ ἐξ ἀντιφράσεως τῷ ποικίλῳ. B.

λιτί: λιτῷ καὶ ἀποικίλτῳ ὑφάσματι, ὃ ἔξι λινῷ. οἱ δὲ ἐξ ἀντιφράσεως τὸ ποικίλον. οἱ δέ, ὅ φασιν Ἀττικοὶ λῆδιον. δεῖ δὲ ὀξυτόνως ἀναγινώσκειν τὸ λιτί κατὰ τὸν κανόνα τῆ Ἡρωδιανῆ· πᾶσα δοτικὴ δισύλλαβος ἐπὶ ὀνομάτων ὀξύνεσθαι θέλει, φωτὶ παντὶ θητί. ἔτως γὰρ καὶ ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ ἐν τῇ Ψ λέγει ὅτι δεῖ ὀξύνειν κατὰ τῆτον τὸν κανόνα. ἔτως γὰρ καὶ Ἀρίσαρχος. εἰσὶ δὲ οἱ περισπῶσιν, ἃ καλῶς. εἶτα ἐπάγει ἔτως· παραιτητέον δὲ τὸν Ἀσκαλωνίτην οἰόμενον ἀπὸ τῆς λῖς εὐθείας κεκλίσθαι τὴν λιτί δοτικὴν καὶ τὴν λῖτα αἰτιατικήν· ἐ γάρ ποτε ἐμελέτησε τὰ εἰς ις μονοσύλλαβα διὰ τῆ τ κλίνεσθαι. μεταπλασμὸς ἓν ἐξὶ τῆς λιτῷ δοτικῆς, ὡς ἡ κλαδί τῆς κλάδῳ· καὶ ἡ αἰτιατικὴ λῖτα μεταπέπλασαι ἐκ τῆς λιτόν ὡς κρόκα ἐκ τῆς κρόκην. τὸ δὲ παρὰ τῷ ποιητῇ „κάθηράν τε ῥύπα πάντα" (Od. 6, 93), εἰ μὴ ἐξι πληθυντικὸν ἐδέτερον, τῆ προκειμένε μεταπλασμῆ ἔχεθ. ἐχ ὁμότονος δὲ ἐγένετό ἡ λῖτα τῇ λιτόν, ἐπεὶ πᾶσα αἰτιατικὴ εἰς ᾰ λήγεσα ἐβαρύνετο, ὑπεσαλμένης τῆς τινά κατὰ ἀόριςον προφοράν. A.

356. Ζεὺς δ' Ἥρην: ἡ διπλῆ, ὅτι κατὰ τὸ σιωπώμενον ἐξ Ἴδης εἰς Ὄλυμπον γέγονεν ὁ Ζεύς, καὶ ἐ ξενιςέον ὅταν λέγῃ κατὰ συμπέρασμα. AV.

Πορφυρίε. Ζηνοδώρῳ (Ζηνοδότῳ Leid.) τῷ συγγράψαντι περὶ τῆς Ὁμήρε συνηθείας τὰ δέκα βιβλία συγγέγραπθ καὶ περὶ τέτε τῆ τόπε· ἐν ᾧ συγγράμματι πειρᾶται ἀποδεικνύναι διεσκευασμένον τοῦτον τὸν τόπον, ἐπῶν ιγ'. πρῶτον γάρ φησι τὰς εἰσαγομένας τῶν θεῶν ὁμιλίας ἐκ ἐκτὸς τῆς ὑποθέσεως παραλαμβάνεσθαι, ἀλλ' ἢ ὑπὲρ διδαχῆς τινὸς τῶν εἰς τὴν Ἰλιάδα συντελέντων ἢ καὶ ὑπὲρ ἐπιδείξεως ἱςορίας παλαιᾶς, οἷον τὴν Διώνην πρὸς Ἀφροδίτην λέγεσαν „τέτλαθι τέκνον ἐμόν· πολλοὶ γὰρ δὴ τλῆμεν· τλῆ μὲν Ἄρης" (Il. 5, 382)· ἱςορίαν γὰρ παλαιὰν ἐκτίθεθ τὴν δὲ Ἥρας πρὸς Δία ἐπικερτόμησιν· „Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι ὅττι κεν εἴπω; ἦ μάλα δή τινα Κύπρις" (ib. 421)· διδάσκει γὰρ ὅτι ὑπὸ Ἀφροδίτης ἠπατήθη Ἑλένη. καὶ τὰς ἄλλας δὲ ὁμιλίας τῶν θεῶν οὐκ εἰκῇ φησὶ παραλαμβάνεσθαι. ταύτην δὲ ἅτε ἱςορίαν φησὶ λέγειν, οὔτε τοῖς ὑποκειμένοις πράγμασι πλέον τι προσιθέναι. ἔπειτα μέλλοντα τὸν Ὅμηρον διατίθεσθαι τὰ περὶ Ἡφαίςου πρὸς Θέτιν, ἐκ ἂν πρὸ αὐτῆς ἄλλην διάλεξιν θεῶν παραλαβεῖν, ποικίλλειν ἀεὶ σπεδάζοντα τὴν ποίησιν, καὶ ἀπὸ μὲν τῶν ἀνθρωπίνων ἐπὶ τὰ θεῖα, ἀπὸ δὲ τῶν θείων ἐπὶ τὰ ἀνθρώπινα μεταβάλλειν εἰωθότα· ἐκ ἂν ἓν ἐπαλλήλως τὰ ὅμοια διαθέσθαι. εἶτα ἀνόητον τὸ λέγειν „ἔπρηξας καὶ ἔπειτα," ὡς

ἐκ πείσματος παρηκολουθηκότος τῇ γενομένῃ· ἐδὲ γὼ ῥητῶς δεδήλωκεν ὁ ποιητὴς ὅτι ταῦτα ὕστερον ἔμαθεν ὁ Ζεύς, ὡς ἐν τῇ Α (522) „ἀλλὰ σὺ μὲν αὖτις ἀπόσχεο" κ' (ib. 536) „οὐδέ μιν Ἥρη ἠγνοίησεν." εἶτά φησιν ὅτι ἄλογον τῇ μὲν Ἥρᾳ χαλεπαίνειν αὐτὸν ἐπὶ τῇ τῆς Ἰριδος ἀποστολῇ, τῇ δὲ Ἀθηνᾷ μηδὲ κατὰ βραχύ, τῇ κ' συμπραξάσῃ Ἀχιλλεῖ κ' τὸ πῦρ δειξάσῃ πρὸς κατάπληξιν τῶν πολεμίων, ὁπότε ἔμπροσθεν (Il. 8, 406) τῇ μὲν Ἥρᾳ συγγινώσκειν φησὶ τὸν Δία, τῇ δὲ Ἀθηνᾷ χαλεπαίνειν πλέον. καὶ ὅτι πολλὴ ἡ ἀλογία φαίνεται, εἰ παρὰ καιρὸν ἦλθε δύναντος ὑπὸ Ἥρας (241) ἐδὲν περὶ τάτε ἐγκαλεῖ ὁ Ζεύς, παρεγχειρισμένης τῆς τῶ κόσμω τάξεως. πῶς τε ἐκ ἐναντίον φάσκειν περὶ Διὸς (Il. 17, 268) „μίσησε δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι", νῦν δὲ ἐπὶ τῇ σωτηρίᾳ αὐτῶ ἀγανακτεῖν; ἐδὲν γὰρ ἄλλο πέπρακται ἐκ τῆς Ἀχιλλέως ἀναιρέσεως ἢ τᾶτο μόνον, τὸ μηδὲν παθεῖν τὸ σῶμα. πῶς τε τὴν ἀπὸ Ἴδης μετάβασιν τῶ Διὸς ἐ δεδήλωκεν; ἀλλὰ τᾶτο μὲν συγχωρητέον κατὰ τὸ σιωπώμενον γεγενῆσθαι· τὰ δὲ ἄλλα σαθρά ἐστι κ' ὕποπτα. (ἀλλὰ ταὐτὸν ἐν ἄλλοις στίχοις μὴ ἀμφισβητεμένοις ἐκ ἱκανὸν πρὸς κατηγορίαν. συγχωρητέον κατὰ τὸ σιωπώμενον τᾶτο γεγενῆσθαι. ὅπε δὲ τἆλλα σαθρά ἐστι καὶ ὕποπτα, κ' τᾶτο ὕποπτον V). ἥ γε μὴν ἀπολογία τῆς Ἥρας κ' ἀνοήτως ἔχει· δέον γὰ προβαλέσθαι ὅτι κακὸν ἐδὲν εἰργάσατο τὸς Τρῶας σώσασα Πάτροκλον, ὅπερ κ' τῷ Διὶ ἐκεχάρισο, ἡ δέ φησιν ὅτι „ἐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι·" ἐδὲν γὰ ἄλλο πράττει νῦν ἢ συκοφαντεῖ ἑαυτήν. ταῦτα ὡς ἐν κεφαλαίῳ ὑπὸ Ζηνοδώρε συγγέγραπται. ἀφαιρεμένων δὲ τῶν ιγ' στίχων τὸ λοιπὸν ἁρμονίαν ἔχει. B.

357. ἔπρηξας: ἀντὶ τῶ ἐξετέλεσας δὴ κ' ἤνυσας ὃ ἠβουλήθης, ὦ Ἥρα, ἀναστήσασα τὸν Ἀχιλλέα. D.

περισσὸς ὁ καί· τὸ δὲ ἔπειτα ἀντὶ τῶ παραυτίκα νῦν. ἠθικῶς δὲ διαλέγεται ὡς ἐπιμενούσης αὐτῆς τῇ ἐξ ἀρχῆς βουλῇ. ἐμψύχως δὲ τὴν ὑπερβολὴν ἔδειξε τῆς φιλίας. B.

362. καὶ μὲν δή πά τις: ὀργισθεὶς αὐτῷ ὁ πρόθεν ποιήσειν ποιεῖ. B.

πρὸς τὸ κάτω τὸ κακά (367) ἡ ἀπόδοσις. A.

364. πῶς δὴ ἔγωγ': τὸ ἑξῆς, πῶς δὴ ἔγωγ' ἐκ ὄφελον Τρώεσσι· τὰ δὲ λοιπὰ ὡς διὰ μέσε διορθωτέον. παρὰ δὲ Ζηνοδότῳ καταδώριον ἐγών. A.

ἔτε ἀρνεῖται τὸ γεγονός, ἔτε ὡς δικαίως ἔπραξε παρῆσιάζετο· θεραπεύσα γὰ τὸν Δία ἠθικῶς φησὶν ὅτι δίκαιον ἦν ἐκτελεσθῆναι τὰ τῆς ἐπιθυμίας αὐτῆς, ἔσης καὶ γυναικὸς κ' ἀδελφῆς. B.

367. οὐκ ὄφελον: ἀντὶ τῶ ἐκ ἔμελλον. ἐπερωτηματικὸς δέ ἐστιν ὁ λόγος. B.

368. ἀγόρευον: κυρίως τὸ ἐν πλήθει λέγειν ἀγορεύειν, κ' τὸ ἀλλήλας ἐπὶ πλήθες. ταῦτα δὲ ἐπὶ δύο ἔταξε καταχρησικῶς. A.

369. Ἡφαίσε: ὅτι ἐν Ὀλύμπῳ τὸ χαλκεῖον Ἡφαίσε φησὶ γᾶν (148) „τὴν μὲν ἄρ' Οὐλυμπόνδε". V.

370. ἄφθιτον: ἀκατάλυτον. ἀσεροέντα δὲ τὸν λαμπρόν, ἐχὶ τὸν ἀσερώδη. B. φησὶ γοῦν „ἀσὴρ δ' ὡς ἀπέλαμπεν" (Il. 6, 295). V.

372. τὸν δ' εὗρ' ἱδρώοντα: πρὸ πολλᾶ ταῦτα ᾠκονόμηται ἐπὶ τῆς Α ῥαψῳδίας, κ' δημιεργὸς οὗτος ὁ θεὸς εἰσῆκται, κ' τὰς θαλάμους τοῖς θεοῖς κατασκευάζει καὶ τὸ σκῆπτρον τῷ Διί, ἵν' ἐπὶ τῆς μείζονος χρείας μὴ παράδοξος ἡ ταχυτὴς φανῇ (παράδοξον φανῇ τὸ χαλκέα τινὰ τῶν θεῶν εἰσάγεσθαι V). ἑλισσόμενον δὲ ἀντὶ τῶ εἱλούμενον· κ' ὅτι ἡ πυρώδης ὁσία εἱλεῖται. B.

ἤτοι ἐπισρεφόμενον, ὡς χωλόν· ἢ μεμίμηται ἐπὶ τῶ Ἡφαίσε τὴν τῶ πυρὸς κίνησιν. A.

373. σπεύδοντα: ἐκ ἐπὶ τῶ κακοπαθεῖν νῦν κεῖται τὸ σπεύδειν. ἐργάζεται δὲ ἐ δεόμενος τῶν ἀναγκαίων, ἀλλὰ μὴ ῥᾳθυμεῖν διδάσκει ὁ ποιητής, ὅπε κ' θεοὶ ἐργάζονται. τὰ δὲ ἔμψυχα ἔργα πίσιν τε ἅμα τῆς ἀσπιδοποιίας ἔχει καὶ τὸ συμπτώματος τῶν ποδῶν ἀναπλήρωσιν. δῆλος δέ ἐσιν ἐκ δὼς μηχανικήν. A.

εἴκοσι πάντας: ὡς „εἴκοσι δ' ἔκβαλε πάντα" (Od. 5, 244)· „οἱ δ' ἐννέα πάντες ἀνέσαν" (Il. 7, 161). V.

ἡ διπλῆ, ὅτι τὸ σπεύδοντα ἐνεργᾶντα, καὶ ὅτι τὸ πάντας παρέλκει. A.

374. μεγάροιο: τῶ τῶν θεῶν, ὅταν ἐπὶ τὸ αὐτὸ εἰσὶ συνηγμένοι πάντες. V.

375. ὑπὸ κύκλα: τινὲς ὑπόκυκλα, ὡς ὑπότροχα· τὸ μέντοι ἐν τῇ Ὀδυσσείᾳ (4, 131) „τάλαρόν θ' ὑπόκυκλον" κατὰ σύνθεσιν ἀνεγνωσμένον ἑτέρᾳ ἔχεται σημαινομένου. A.

ἡ ὑπό πρὸς τὸ ἔθηκε. τινὲς δὲ ὑπόκυκλα ὑφ' ἓν, ὡς ὑποπόδια, κακῶς. B.

376. ἡ διπλῆ, ὅτι ἐγκεκλιμένως ἀναγνωστέον, ἵνα ᾖ ὄφρα αὐτῷ. κ' ὅτι θεῖον ἀγῶνα λέγει τὴν συναγωγὴν τῶν θεῶν· ἐν δὲ ταῖς εἰκαιοτέραις θεῖον κατὰ δῶμα νέοντα (νέοιντο V). A.

ἐν ἄλλῳ δύσονται ἀγῶνα. A.

νῦν τὸν ναὸν λέγει. ἀγὼν δὲ σημαίνει τε, τὸν τόπον ὡς τὸ „λείηναν δὲ χορόν, καλὸν δ' εὔρυναν ἀγῶνα" (Od. 6, 206)· τὸ ἄθροισμα „ἦλθε μετ' ἀγῶνα νεῶν καὶ Παλλάδ' Ἀθήνην" (Il. 20, 33)· τὸ πλῆθος, ὡς τὸ „λύτο δ' ἀγών" (Il. 24, 1)· τὸ ἆθλον, ἀγῶνος ἆθλα· τὸν ναόν, ὡς ἐνταῦθα κ' „αἴ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα" (Il. 7, 298). A.

377. βραχὺ διαστολέον ἐπὶ τὸ νεοίατο· μᾶλλον γὰρ ἐμφαίνει. ἀξιοπίστως δὲ ὡς παρών. A.

διὰ τῶν τοιούτων προσθηκῶν γίνεται πιστὸς ὁ λόγος· ὁμολογεῖ γὰ αὐτὸς ὁ ποιητὴς ὅτι θαυμαστά εἰσι καὶ ἐκπληκτικὰ τοντα. B.

378. τόσσον μέν: ὅτι ἐπὶ τῶν παρὰ μικρὸν τετελειωμένων ἔτως λέγει. „ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν" (Il. 23, 454)· „τῶ δὲ κ' ἄλλο τόσον μέν ἔχε χρόα" (Il. 23, 382). A.

ἀντὶ τῶ ὅλον· οἱ δέ, ἐπὶ τοσᾶτον ἔχον τὸ τέλος ὥστε

τῶν ὤτων προσδεῖσθαι. τινὲς δὲ τόσσον τὸ λοιπόν. B. οἱ δὲ γλωσσογράφοι τόσον ἀντὶ τοῦ τὸ σῶμα. V.

379. ἤρτυε: ἡτοίμαζε. κόπτε δὲ ἀντὶ τοῦ ἤλαυνε. δεσμούς δὲ τὰς λαβάς, ἢ τοὺς ἥλους οἷς ἐσήρικται ἡ λαβή, ὥσε καταπεῖραι τὰ ὦτα. BV.

ἥλοις, καθὸ συμβάλλουσι καὶ συνδεσμοῦσι τὰ ὦτα τοῦ τρίποδος. BA.

μείζων δὲ ἡ χάρις τοῦ καταλιπόντος ἡμιτελὲς τὸ ἔργον. B.

ἵνα δειχθῇ ἡ πρὸς τὴν Θέτιν σπουδή, ὅτι ἀτέλεστον τὸ ὑποκείμενον ἔργον ἐάσας ἐτελείωσεν ὅσα ἠθέλησεν. A.

381. ἐν ἄλλῳ καὶ ἕτος εὑρέθη, ἀπέσκαπτο δέ· „τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα." A.

382. ἴδε προμολοῦσα Χάρις: προϋπαντᾷ τῇ εὐεργετησάσῃ ἡ τοῦ Ἡφαίστου χάρις, ὅτι δεῖ τοὺς εὐεργέτας ἑτοίμως ἀμείβεσθαι. διὰ δὲ τὸ χαρίεντα εἶναι τὰ δημιουργήματα Χάριν αὐτῷ καὶ Ἀφροδίτην συνοικίζουσιν. ἢ ὡς πλησίῳ συνοικεῖ· τούτοις γοῦν ἕπεται τὸ χαρίζεσθαι. τὸ δὲ καλή, ὅτι οὐδὲν χάριτος ἡδύτερον τῷ διδόντι καὶ τῷ λαμβάνοντι. B.

ζητεῖται διὰ τί ἐν Ὀδυσσείᾳ (8, 266) τὴν Ἀφροδίτην παρίζησι γυναῖκα Ἡφαίστου, ἐνθάδε δὲ τὴν Χάριν. κατ' ἀμφότερα, ὅτι τῇ τέχνῃ τὴν χάριν προσεῖναι δεῖ, ἵνα καὶ ἐπίχαρις ᾖ, καὶ ὅτι χάριν ἀποδίδωσι τῇ Θέτιδι τῶν εἰς ἑαυτὸν ὑπ' αὐτῆς εὐεργεσιῶν γενομένων πρότερον. A.

λιπαροκρήδεμνος: ἤτοι λαμπρὰ ἔχουσα περιβόλαια τῇ κεφαλῇ, ἐξ οὗ εὐσαλὴς καὶ κοσμία, ἢ λιπαρὰ ἀπὸ τοῦ ἐλαίου. D. καὶ ἀλλαχοῦ λιπαροκρήδεμνα τὰ λαμπρά. V.

383. τὸ ὤπυιε παρὰ τὴν ὤπα, ἢ διὰ τὰς ὁμιλίας τὰς πρὸς τὸν γάμον, ἢ ἀπὸ τοῦ ὀπάζειν ἣν πεποίηνθ' ἐκ μνηστείας· ἢ παρὰ τὸ ἐφορᾶν τὰ κατὰ τὴν γυναῖκα, ὡς τὸ „τὸν ἐμὸν βίον ἀμφιπολεύει" (Od. 18, 254). (τὸ ἐκείνου ἀγ' ἔχθων cod.) A.

παρὰ τὴν ὄπα, ὅθεν καὶ ὄαροι· ἢ διὰ τὰς πρὸ τῶν γάμων γινομένας ὁμιλίας. B.

τινὲς Θάλειαν αὐτήν, οἱ δὲ Ἀγλαΐαν ὀνομάζεσθαι. V.

385. παρὰ Ζηνοδότῳ ἡμέτερόνδε, καὶ Θέτις ταχύπεπλος ἱκάνεις. A.

ἡ χρηστὴ προσηγορία τὸ ἦθος ἐνδείκνυται τῆς Ἡφαίστου χάριτος (ἐνδ. Ἡφαίστου ὡς ἀεὶ ἐκείνου μεμνημένου αὐτῆς V). ἄγαν δὲ ὁ ζῆλος συντετρόχασαι τῇ προθυμίᾳ τῆς ἐρωτήσεως. B.

386. ἔτι: ἀντὶ τοῦ ἐδαμῶς. ἐν ἦθει δέ, ὡς φαμέν τί σὺ πρὸς ἡμᾶς; ἆ γοῦν πυκνῶς εἴωθας παραγίνεσθαι. AB.

387. προτέρω: ἀντὶ τοῦ εἰς τὸ ἔμπροσθεν. B.

392. ὦδε: ἕτως ὡς ἔχεις χήματος· τοῦτο γοῦν ἂν σπουδαῖον φαίνοιτο, ὡς Ἀχιλλεὺς „αὐτῇ σὺν φόρμιγγι" (Il. 9, 185) καὶ „γείτονες ἄζωοι ἦσαν" (Hesiod. O. 343). οἱ δὲ πλεονάζειν τὸ ἕτως ὡς „μετ' ἕτως ἀπόπροθεν" (Od. 6, 218?), ἐπεὶ τοι καὶ συντίθησι τὰ σκεύη καὶ ἐποικτίζεται. ὦδέ ποτε δὲ τὸ ὧδε τοπικῶς εὑρηται παρὰ τῷ ποιητῇ. σύντομος δὲ ὁ λόγος καὶ πρέπων Χάριτι σπευδούσῃ πρὸς ἀπόδοσιν. BV.

ἡ διπλῆ, ὅτι τὸ ὧδε ἕτως ὡς ἔχεις, ὦδεν ὑπερθέμενος. καὶ ἐν Ὀδυσσείᾳ „ἀμφίσαθ' ἕτως." A.

σεῖο χατίζει: διὰ τὸ μὴ θαμίζειν ἐξόχασαι τὴν νῦν παρουσίαν αὐτῆς ὡς κατὰ χρείαν γενομένην. Πλάτων δὲ πρὸς τοῦτο γενόμενός φησι „Πλάτων νύ τι σεῖο χατίζει." A.

394. ἦ ῥά νύ μοι: χρηστὸν τὸ ἦθος· ἂν γοῦν μήπω εἶδεν ἀκέσας, ἐνδείκνυται τὴν προθυμίαν. ὥσπερ πρὸ πολλοῦ εὐχόμενος δεηθῆναι αὐτοῦ τὴν Θέτιν, ἀναπεφώνηκεν εἰλημμένος ὧν ἤθελεν. A.

ἐκ ἐμέλλησεν ὁ Ἥφαιστος· ὦδε γοῦν προελθὼν καὶ θεασάμενος τὴν Θέτιν ἤρξατο τῶν λόγων, ἀλλ' ἐντὸς ὢν ἀναβοᾷ· διό φησιν ἑξῆς „ἦ καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέσχη." ἄκρως δὲ παιδεύει ὁ λόγος τῶν χαρίτων μὴ ἐπιλανθάνεσθαι. B.

395. ἦ μ' ἐσάωσ': κάλως αὐτὸς μέμνηται τῆς εὐεργεσίας, ὁ Θέτις· ὀνειδιζούσης γοῦν ἦν· ὡς Δημοσθένης „ἐγὼ νομίζω τὸν εὖ παθόντα δεῖν ἀεὶ μεμνῆσθαι πάντα τὸν χρόνον, τὸν ποιήσαντα δὲ εὐθὺς ἐπιλελῆσθαι." ὁ δὲ Ζεὺς (ἔδει γοῦν αὐτὸν τύραννον ὁμολογεῖσθαι τὸ μέλλειν δεδέσθαι) λόγῳ μὲν ἐχ ὁμολογεῖ, ἔργῳ δὲ ἀποδίδωσι. χρηστὸν ἂν τὸ ἦθος ἐπικρύσης ἀεὶ τοῖς δεομένοις, Ἡφαίστῳ, Διονύσῳ, Διΐ. καὶ τῆς ποιήσεως δέ ἐστιν οἰκονομία ἡ τῆς Θέτιδος χρηστοήθεια· Διὶ μὲν ἀμύνει, ἵνα κακώσῃ Ἕλληνας, Ἡφαίστῳ, ἵνα ποιήσῃ Ἀχιλλεῖ πανοπλίαν, Διονύσῳ διὰ τὸν κρατῆρα ὃν ἔχει Ἀχιλλεύς. B. διὰ τὸν ὀμφιφορῆα, ἵνα τῷ Ἀχιλλεῖ εἴη σορός· καὶ τάφῳ γοῦν αὐτὸν κοσμῆσαι πέρα τῶν ἄλλων βέλεσι. φιλότεκνος δὲ ἡ πάσης εὐεργεσίας ἀμοιβὴν εἰς τὸν παῖδα καταθεμένη. V.

ἃ λέγει ὅτι ἄνωθεν ἀπ' ἐρανοῦ ἐρρίψεν αὐτὸν ἡ μήτηρ, ἀλλὰ τὸ πεσόντα τεχθέντα ἐστίν, ὡς τὸ „πέσῃ μετὰ ποσσὶ γυναικός" (Il. 19, 110). τὸ δὲ τῆλε ἀντὶ τοῦ τηλόθι· παρ' Ὠκεανῷ γοῦν ἐγεννήθη. B.

τινὲς γεννηθέντα· „πέσῃ μετὰ ποσσὶ γυναικός." καὶ ἀποδοθέν φασι κρύφα μιγνυμένην Διὶ τετοκέναι· διὸ καὶ κεκρυφέναι παρ' Ὠκεανῷ. ὕτω καὶ ἐτρέφετο. V.

396. κυνώπιδος: ἐπὶ μνήμην ἐλθὼν τῶν ἀτυχημάτων λοιδορεῖται τῇ μητρί. B.

γράφεται καὶ βοώπιδος. V.

ἡ μὲν τοῦ παιδὸς δόξαν προέκρινεν· ἡ δὲ Θέτις τὸν ξένον, εἰ καὶ χωλὸς ἦν, ἐκ ὑπεβάλετο. B.

399. Εὐρυνόμη: ἡδέως τῇ ἐπαναλήψει τοῦ ὀνόματος καὶ ἐπὶ τῆς ἀπουσίας ἐνδεικνύμενος τῇ Θέτιδι ὡς οὐ διὰ παρουσίαν αὐτῆς ἀπομνημονεύει τῆς χάριτος. A.

εὐχάριτος ὁ καὶ τῆς ἀπούσης εὐεργέτιδος μνημονεύων. μᾶλλον δὲ ἦθος ἐμφαίνει ἐπαναληφθὲν τὸ ταύτης ὄνομα. B.

ἐπαναλαμβάνει ὡς τῆς χάριτος μητρὸς οὔσης Εὐρυνόμης· „οἱ δέ κ' Εὐρυνόμη Τιτηνιὰς εἶπε τέκτε." V.

ἀψορρόου: ταχυρρόου, ἐπειδὴ Ὠκεανός· ἢ παλιρρόου διὰ τὸ κύκλῳ περιθεῖν τὴν γῆν. B.

400. τῆσι παρ': ἔσι μὲν τὸ ἑξῆς παρὰ τῆσι, ἐκ ἀναγρεπτέον δὲ διὰ τὴν συναλοιφήν. A. ἀναγροφὴ ὁ τρόπος. D.

πολλά: ἐκ ἀναγρεπτέον τὴν παρά, ἐπεὶ πᾶσα πρό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΚΡΑΝΩΝΟΣ

θεσις συναληλιμμένη ϗ μὴ ἔχȣσα ἀνάπαυσιν ὐκ ἀναςρέφεται. σεσημείωϑ τὸ „ςεῦτο γὰρ Ἡφαίςοιο πάρ' οἰσέμεν" (191). δαίδαλα δὲ μικρὰ τορεύματα, ὡς ϗ ἐπ' Ὀδυσσέως „πάροιθε δὲ δαίδαλον ἦεν" (Od. 19, 227). οἰκεῖα δὲ ταῦτα καὶ τῇ ἡλικίᾳ τȣ̃ δημιȣργȣ̃ καὶ ταῖς ὑποδεξαμέναις αὐτὸν θεαῖς. B. τελειωθεὶς δὲ ἔμψυχα δημιȣργεῖ. V.

πολλά: Ζηνόδοτος ϗ Ἀριςοφάνης πάντα. A.

401. πόρπας: αἷς αἱ χλανίδες καταβάλλονϑ, περόνας δηλαδή. D.

ἕλικας: ἤτοι οἱ σύνδεσμοι τῆς κεφαλῆς, ἢ κόσμος ἀπὸ τῶν ὅρμων ἐξηρτημένος. A. λέγει δὲ τὰ ψέλλια καλȣ́μενα. D.

κάλυκας: ἐμφερῆ ῥόδοις· οἱ δὲ δακτυλίους· οἱ δὲ ἐνώτια· οἱ δὲ χρυσᾶς σύριγγας, αἳ τȣ̀ς πλοκάμȣς περιέχȣσιν, ὥς φησιν „οἳ χρυσῷ τε ϗ ἀργύρῳ ἐσφήκωντο" (Il. 17, 52). AB.

σωληνίσκȣς. λέγει δὲ τὰς λεγομένας σύριγγας, αἳ περιλαμβάνȣσι τȣ̀ς πλοκάμȣς, ἢ εἰς ἃς κατακλείονται αἱ περόναι. D.

403. μορμύρων: ἀναβράσσων, ἢ θηριȣ́μενος, παρὰ τὴν μορμώ. B. φοβερῶς ζέων ϗ οἱονεὶ ἀναζέων. D.

ȣ̀δέ τις ἄλλος: δεῖγμα χρηςότητος· ȣ̀ γὰρ μόνον ἔλαβον ϗ ἔτρεφον, ἀλλὰ ϗ ἐν ἀῤῥήτῳ φυλακῇ, ἵνα μὴ λάθοι ἐπιβȣλευθεὶς ὑπὸ Κρόνȣ. B.

404. ȣ̃τως ᾔδεεν. γράφεϑ δὲ ϗ ᾔδειν. A.

406. πρὸς τὸ πρῶτον ὑπήντησε. V.

407. ζωάγρια: χαριςήρια τοῦ εἰς τὸ ζῆν ἦχθαι. B. μετὰ δὲ τȣ̃ ῑ, ἐπεὶ ϗ Σιμωνίδης φησὶ „τὸ ζῷον κάκιςον κέκτηϑ βίον" (leg. ὃ ζωΐων κ. ἔκτηϑ β. coll. Etym. M. p. 413, 24) περὶ τȣ̃ κανθάρȣ. V.

μετὰ τȣ̃ ῑ τὸ ζωάγρια ὁ Ἀρίςαρχος. A.

409. ὅπλα: τὰ πρός τι εὔθετα ϗ συνεργȣ̃ντα τῷ τεχνίτῃ. B. „ὅπλ' ἐν χερσὶν ἔχων" (Od. 3, 433). V.

410. ἀκμοθέτοιο: τοῦ ἐπὶ τῷ ἀκμοθέτῳ ἔργου. A. τόπῳ ᾧ ἁρμόζεϑ ὁ ἄκμων τῷ κορμῷ. D.

πέλωρ αἴητον: τέρας μέγα. τὸ γὰρ πέλωρ ἀεὶ ἐπὶ μεγέθȣς τάσσεϑ· τὸ δὲ αἴητον ὁ Ἡρωδιανὸς ςχηματίζει παρὰ τὸ εἰμί, ἐτόν ἄητον αἴητον, τὸ μέγα ϗ ἀνυπέρβλητον (ἀνύπαρκτον V) ϗ παρὰ μηδενὶ ὄν. οἱ δὲ ὡρμημένον, παρὰ τὸ „δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο" (Il. 21, 386). τινὲς δὲ ὁ αἰετηδὸν χωλεύων· τὰ γὰρ γαμψώνυχα τῶκ ὀρνέων χωλεύει. BV. οἱ δὲ παρὰ τὸ αἴθω τὸ πυρῶδες. V.

πέλωρα λέγȣσι τὰ παρηλλαγμένα· ὁ δὲ Ἥφαιςος ἀμφιγυήεις. αἴητον δὲ μέγα· καὶ ἐπέγκειται τὸ ῑ· „θάρσος ἄητον ἔχȣσα" (Il. 21, 395). A.

ἄλλως. ὁ Ἀσκαλωνίτης προπαροξύνει, ἐκδεχόμενος πλεονασμὸν τȣ̃ ῑ, παρὰ τὸ „θάρσος ἄητον ἔχȣσα," οἷον ταχὺ ϗ κινητικόν. Πρωτέας δὲ τῷ ὡρμημένῳ, παρὰ τὸ ἄω. ἄλλοι δὲ ἐκ παραλλήλου τὸ μέγα, παρὰ τὴν αἶαν τὴν γῆν. ἐγὼ δὲ ἐπιζητῶ τὸ ἄητον πῶς δυνατὸν τρίτην ἀπὸ τέλȣς ἔχειν τὴν ὀξεῖαν, ἐπιθετικῶς κείμενον. μήποτε ȣ̃ν ὀφείλομεν πείθεσθ τῷ Φιλοξένῳ· φησὶ γὰρ αὐτὸ σύνθετον εἶναι παρὰ τὸ ἐτός, ὡς θετός, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ ϗ γίνεϑ ἐτεός. ἐγένετο δὲ ϗ τὸ πληθυντικὸν ȣ̀δέτερον ἐν ἐπιῤῥηματικῇ τάξει. ϗ τὸ παρὰ τοῖς Ἀττικοῖς οὐκ ἐτός ἀντὶ μεσότητος τῆς ἐτῶς. τὸ παρὰ μηδενὶ οὖν ὑπαρκτόν, τȣτέςι μέγα, ἄετον ϗ ἄητον. ϗ δῆλον ὅτι ἀπολέλυται ὁ τόνος· ὁρᾶται γὰρ σύνθετα τοιαῦτα βαρυνόμενα, ἄῤῥητον ἄκλητον ἄκμητον· ȣ̃τως ἄητον. A.

ἢ πελώριος ὁ μετέωρος. ἀπὸ μεταφορᾶς δὲ τὸ αἴητον ἀπὸ τῶν ἀετῶν· κατὰ γὰρ τὴν πτῆσιν οἱ ἀετοὶ πολύ τι ἑαυτȣ̀ς βαςάζȣσι. κακῶς ȣ̃ν ὑφ' ἓν μέρος ἀναγνόντες πελωραίητον ἀποδιδȣ̃σι τὸ μέγα ἀπὸ τȣ̃ μεγέθȣς. D.

411. ἁραιαί: λεπταί· εἰ δὲ ψιλȣ̃μεν, βεβλαμμέναι. B. δυσύνεται τὸ ἁραιαί. A.

412. ὅπλα: νῦν τὰ χαλκευτικὰ ἐργαλεῖα. D.

413. λάρνακα: τὸ Ἑλληνικόν. τὸ δὲ ἀντίπηξ δῶρον (Δωρικὸν Heyn.) ϗ γαζοφυλάκιον. ἀρτάβη Περσικόν. V.

ἡ διπλῆ, ὅτι λάρνακα τὴν κιβωτόν· νεωτερικὸν γὰρ ὄνομα ἡ κιβωτός. ϗ ὅτι ἐπονεῖτο ἀντὶ τȣ̃ ἐνήργει. A.

414. σπόγγῳ: ἵνα εὐπρεπῶς συντύχῃ. V.

415. αὐχένα τε ςιβαρόν: ἄνωθεν γὰρ παχεῖς εἰσὶν οἱ τὰ κάτω μέρη πεπηρωμένοι. B.

λαχνήεντα: ἡ γὰρ πυρώδης ȣ̀σία ϗ ἐν ἡμῖν αἰτία τῆς τριχοφυΐας. B.

416. χιτῶν': ὡς ἐργάτης, ȣ̀ φᾶρος. B.

ἕλε δὲ σκῆπτρον: ὡς χωλός. ἢ ὅτι δίχα ὕλης οὐ σώζεται πῦρ. V.

ἡ διπλῆ, ὅτι ȣ̀ παρέλκει τὸ παχύ, ἀλλὰ πρὸς τὸ ἐπερείδειν χωλὸν ὄντα τὸν Ἥφαιςον, περὶ ȣ̃ φησὶ „πέλωρ αἴητον ἀνέςη·" ὡς ϗ τὸ „ςησαμένη μέγαν ἱςόν" (Od. 2, 94). A.

417. ὑπὸ δ' ἀμφίπολοι: ϗ ταῦτα πάλιν προκατασκευὴ εἰς τὴν ὁπλοποιίαν, ὅτι ϗ τὰς θεραπαίνας εἶχεν ὑφ' ἑαυτȣ̃ δεδημιȣργημένας. ἀξιοπίςως δὲ τὸ εἰσί ϗ ἴσασιν· ὡς γὰρ πεπεισμένος ϗ παρηκολȣθηκὼς ἐκφέρει ταῦτα. V.

418. ζῳῇσι: οἶδεν ἄρα ϗ ἀνδριαντοπλαςικήν. V.

420. ἔργα: τὰ γυναικεῖα, δηλονότι τὰ τῆς ταλασιȣργίας. V.

421. ὕπαιθα: ἔμπροσθεν. V.

ὅτι ἔῤῥων ȣ̀ ψιλῶς πορευόμενος, ἀλλὰ διὰ τὴν χωλότητα ἐπαχθῶς βαδίζων. A.

424. παρὰ Ζηνοδότῳ ἡμέτερόνδε, ϗ Θέτις τανύπεπλος ἱκάνεις. A.

ἐπαινετὸς ὁ ἄρχων τȣ̃ λόγȣ ϗ μὴ περιμείνας τὴν αἴτησιν. δείκνυϑ δὲ ϗ τὸ σύντομον τȣ̃ ἐπειγομένȣ ἀποδȣ̃ναι, καὶ τὸ σῶφρον τῆς ἐπαγγελίας ὡς δυνατὰ ἐπαγγελλομένου. BV.

425. πάρος γε μέν: ἐκ τȣ́τȣ ϗ αὐτὸς ἐπισημαίνεται χρείας ἕνεκεν ἥκειν τὴν Θέτιν, τῷ πρόσθεν οὐκ εἰωθυῖαν τȣ̃το πράσσειν. B.

426. ἄνωγεν: ἐν ἄλλῳ ἀνώγει. A.

428. Θέτις κατὰ δάκρυ χέουσα: περιπαθές ἐςι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ τῆς Θεᾶ πρόσωπον· τρεῖς γ' Θεὰς εὐεργετήσασα, τὰς ἀμοιβὰς εἰς τὸν παῖδα εὕρισκε παρ' αὐτῶν λαμβάνουσα κατατιθεμένη. τὸ δὲ δακρύειν πρὸς πάθος αὐτῇ συμβάλλεται. A. *)

429. ἦ ἄρα δή τις: ἐμιμήσατο ἦθος γυναικεῖον, οὐ περὶ ὧν ἠρώτηθ' ἀποκρινομένη, ἀλλὰ περὶ ὧν ἐλελύπητο. B. καὶ οὐδὲ ταῖς εὐεργεσίαις ἐμαρτύρησε λέγουσα „ναὶ δὴ ταῦτά γε." V.

431. Ζεὺς ἄλγε' ἔδωκεν: καὶ πῶς φησὶν ἡ Ἥρα (Il. 24, 60) „κὴ ἀνδρὶ πόρον παράκοιτιν;" ἢ ὅτι τῶν συμβαινόντων τῷ Διὶ τὴν αἰτίαν ἀναφέρουσιν ὡς ἄρχοντι· ἢ ὅτι αὐτὸς αὐτῇ αἴτιος τᾶ γάμω. B.

432. ἐκ μέν: ἔοικεν ἀγνοεῖν τὰ περὶ Ψαμάθης ὁ ποιητής. A.

433. ἔτλην: οἰκεῖα ἡ λέξις ἐπὶ πῆς ἀκάσης. B.

ἐπὶ τὸ εὐνήν βραχὺ διασαλτέον. A.

434. ἐκ ἐθέλουσα: ἐχ ὅτι μετεβάλλετο, ἀλλὰ προειδυῖα τὰ μέλλοντα ἔσεσθαι τῷ γάμῳ δυσχερῆ ἀπηρνεῖτο τὴν σύζευξιν. A.

ἐντεῦθεν οἱ νεώτεροι τὰς μεταμορφώσεις αὐτῆς φασίν. ἔξιν ἓν ἐπὶ πολὺ ἐ θέλουσα. V.

435. ἀρημένος: βεβλαμμένος τῇ ταπεινώσει τοῦ γήρως. B.

σικτέον ἐπὶ τὸ νῦν, καὶ ἀπ' ἄλλης ἀρχῆς ἀναγνωσέον τὸ διήγημα, υἱὸν ἐπεί μοι δῶκεν, ὡς κἀκεῖ „κάρην ἦν ἄρα μοι" (Il. 16, 56). ὁ δὲ λόγος, ἄλλα δέ μοι νῦν ἔχει, λείποντος τᾶ ῥήματος. A.

ἀπὸ κοινᾶ τὸ „ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν." B.

437. ἔξοχον ἡρώων: ἐ μόνον υἱᾶ φησίν, ἀλλὰ καὶ ἀρισέως σερίσκομαι, τὸ δεινότερον. B.

438. ἡ διπλῆ, ὅτι καθ' Ὅμηρον ἡ Θέτις ἔθρεψε τὸν Ἀχιλλέα, οὐ Χείρων, ὡς οἱ νεώτεροι. A.

441. ἐν τισιν ἐ κεῖται. B.

442. οἰκεῖον μητρὶ τὸ ζώει μοι. B.

πάντα ἓν δεινά, ὅτι καὶ ὠκύμορος κ τὸν βραχὺν τοῦτον χρόνον λυπεῖται. B.

444 — 456. ἀθετᾶνθ' σίχοι ιγ', ὅτι συνήγαγέ τις τὰ διὰ πολλῶν εἰρημένα εἰς ἕνα τόπον, ὡς ἐκεῖνα (Il. 1, 366) „ᾠχόμεθ' ἐς Θήβας ἱερὴν πόλιν." διὰ δὲ τῶν ἑξῆς ἐπιδείκνυσιν ὅτι τε ὁ Πάτροκλος τελευτήσας ἀπώλεσε τὰ ὅπλα ἡ πάρεσιν ἕτερα ληψομένη. διὰ μέντοι τᾶτων οὐδὲν ἀναγκαῖον λέγεται. καὶ ψεῦδος περιέχουσιν· οὐ γ' ταῖς λιταῖς πιωθεὶς Ὀδυσσέως κ Αἴαντος ἐξέπεμψε τὸν Πάτροκλον, ἀλλ' ὕστερον ἑκουσίως ὁ Πάτροκλος κατελεήσας τὴν φθορὰν τῶν Ἑλλήνων ἱκέτευσε δοθῆναι αὐτῷ τοῦ Ἀχιλλέως τὰ ὅπλα. A.

ἀνακεφαλαίωσις αὖτη· κακῶς οὖν Ἀρίσαρχος ἀθετεῖ. πῶς γ' ἐκ ἄτοπον τὰ μὲν περὶ τᾶ γάμου παλαιά τε ὄντα κ πᾶσι δῆλα λέγειν, σιωπᾶν δὲ δι' ὃ ἦλθεν; B.

457. γούναθ' ἱκάνομαι: ἱκετεύω. ἀπὸ ἐλέου δὲ ἤρξατο κ εἰς ἔλεον κατέπαυσε τὸν λόγον, ἐχ ὡς ἀπαιτᾶσα χάριν ἀλλ' ὡς δεομένη. B.

μετρίως πάνυ ὡς χάριν αἰτουμένη καὶ ἐκ ὀφειλομένην ἀπαιτᾶσα. A.

458. ἔξω τᾶ ῑ τὸ ἐμῷκυμόρῳ· συνεκτέθλιπ' γὰρ τῷ ῶ τὸ ῑ. ἐ διαλείπει τᾶτο προβαλλομένη, ὡς κ πρὸς τὸν Δία „τίμησόν μοι υἱὸν ὃς ὠκυμορώτατος ἄλλων ἔπλετο" (Il. 1, 505). A.

ἄνευ τᾶ ῑ τὸ ἐμῷ· ἐκτέθλιπ' γάρ. ἔλεον δὲ ἐκίνησε, πρὸς ὀλιγοχρόνιον χρῆσιν αἰτουμένη παρ' αὐτᾶ τὴν τῶν ὅπλων χάριν. B.

460. ὃ γὰρ ἦν οἱ: ἡ διπλῆ, ὅτι καταλλήλως εἴρηκεν, ὃ γ' ἦν αὐτῷ, ἀντὶ τᾶ ὃν γ' εἶχεν· κ ὅτι οἱ ἠθετημένοι περισσοί. ὑποσικτέον δὲ μετὰ τὸ οἱ· τὸ γ' ὃ ἀντὶ ὑποτακτικᾶ κεῖται τᾶ ὅς· ὃς γ' ἦν αὐτῷ, τᾶτον ἀπώλεσεν ὁ ἑταῖρος. λείπει γ' τὸ τοιᾶτον, τῆς ἀναφορᾶς ἐπὶ τὸν Θώρακα, οὐκ ἐπὶ τὸν Πάτροκλον ἔσης, ὡς ᾠήθησάν τινες. A.

τινὲς ἐπὶ τᾶ Θώρακος τὸ ὅ· ἀλλὰ πάντα ἀπώλεσε, καὶ ἐκ ἂν περὶ τῆς ἀπωλείας μόνα τᾶ Θώρακος εἶπεν. οἱ δὲ ἐπὶ τᾶ ἑταῖρος, ἵνα λίπῃ ταῦτα. τινὲς δέ, ἃ γ' ἦν οἱ ὅπλα. πῶς δὲ ξίφος ἐκ αἰτεῖ; τινὲς ἔν φασι ξίφος Πηλέα παρ' Ἡφαίσου ἔχοντα δᾶναι Θέτιδι, τὴν δὲ Ἀχιλλεῖ. ἢ ὅτι κ ἄλλα ἴσως εἶχεν ἰσοπαλῆ τῷ ἀπολομένῳ ξίφει. BV.

461. ἡ διπλῆ, ὅτι εἰ προειρήκει ὅτι Πάτροκλος ἀνῄρηθ', ἐκ ἂν ἐκ δευτέρα ἔλεγεν· κ ὅτι Τρωσὶν ἀντὶ τᾶ ὑπὸ Τρώων. A.

463. ταῦτα: τὰ περὶ τῶν ὅπλων, περὶ ὧν κ διαλέγεθ' αὐτῷ. B. ταῦτα γ' ὑπάρξει, ὅσα ἐσὶν ἐπὶ τῷ Ἡφαίσῳ. V.

464. 465. διασαλτέον ἐπὶ τὸ ἱκάνοι· τὸ γ' ὡς κυρίως κεῖται ἐπιφερόμενον. ὁ δὲ λόγος, εἴθε γ' αὐτὸν κ τᾶ Θανάτα δυναίμην ἀπαλλάξαι ὡς κάλλιστα ὅπλα ἕξει. A.

εὐχρηστον ἦθος εὐχομένα δύναθ' πρὸς ἀπόδοσιν χάριτος ἐ μόνον τὰ αἰτηθέντα ποιεῖν, ἀλλὰ περὶ ὧν ἀδυνάτως ἔχει. B.

466. παρέσσεται: παρ' αὐτῷ ἔσαι. ἑτοίμως δὲ ἐπαγγέλλεθ', ἐ τόπον, ἐ χρόνον προβαλλόμενος. καὶ ἡ μὲν ὡς δεομένη μακρηγορεῖ· ὁ δὲ ἐδὲ λόγων αὐτῇ δευτέρων καὶ-

*) V. 429 haec apponit B, quae ad Od. 8, 266 referenda esse vidit Heynius: Ἴλιος: μετὰ τὴν τελευτὴν Ἡφαίσου τοῦ βασιλέως Αἰγύπτου Ἴλιος ὁ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διεδέξατο, ζήσας ἡμέρας ϕυοζ', ὡς γίνεσθαι ἔτη ιβ', μῆνας γ', ἡμέρας ι. οἱ μὲν γὰρ τὰς ἡμέρας ἐνιαυτὸς ἐψήφιζον, οἱ δὲ τὰς περιόδους τῆς σελήνης, ἕτεροι δὲ τοὺς τέτταρας καιρούς· οἱ γὰρ μετὰ ταῦτα δυναστεύσαντες καὶ ὑποτελεῖς τὰς χώρας ποιήσαντες ἀπὸ τῆς αὐξήσεως τῶν καρπῶν τοὺς χρόνους διέκριναν καὶ ἐνιαυτοὺς κυρίως ἐκάλεσαν. ὁ τοίνυν Ἴλιος τὴν τοῦ πατρὸς φυλάσσων νομοθεσίαν, εὑρηκὼς μοιχευομένην γυναῖκα, ταύτην ἐθριάμβευσεν· ὅπερ μετέβαλε ποιητικῶς ὁ Ὅμηρος, ὅτι ὁ Ἴλιος τὴν Ἀφροδίτην ἔδεξε ῥιγνυμένην τῷ Ἄρει, Ἀφροδίτην μὲν τὴν ἐπιθυμίαν καλέσας, Ἄρεα δὲ τὸν μετ' αὐτῆς καταληφθέντα ϝρατιώτην. B.

ρὸν δίδωσι τῇ σπουδῇ, ἐπειδὴ ἄτοπον ἦν ἐν τῇ ἐξύδῳ σπεύδοντος Ἀχιλλέως ἔτι ἐγχρονίζειν τῷ λόγῳ. βέλεται δὲ τὸν τῆς νυκτὸς καιρὸν ἀναλῶσαι τῇ ὁπλοποιίᾳ. Β.

παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει παρέξομαι. Α.

467. θαυμάσσεται: συμμέτρως τῇ ὑποχέσει. περὶ μὲν γὰρ τῆς εὐεργεσίας Θέτιδος τοσαῦτα ἐξέτεινεν, αὔξων αὐτῆς τὴν εὐποιίαν· ὅτε δὲ εἰς τὴν ἀμοιβὴν ἦλθεν, ἣν αὐτὸς ἀποδίδωσι, μετρίως τὸν λόγον ἐποιήσατο. Α.

468. ἐνταῦθα μεγάλῃ τινὶ καὶ κοσμοτόκῳ διανοίᾳ τὴν τῶν ὅλων περιήθροισε γέννησιν· ὅθεν γὰρ αἱ πρῶται τῶν παντὸς ἔφυσαν ἀρχαί, καὶ τίς ὁ τούτων δημιουργός, καὶ πῶς ἕκαστα πληρωθέντα διεκρίθη, [ὅτι] σαφέσι τεκμηρίοις παρέσχησε, τὴν Ἀχιλλέως ἀσπίδα τῆς κοσμικῆς περιόδου χαλκευσάμενος εἰκόνα. καὶ τὸ πρῶτον ὑπεσήσατο τῆς παντελοῦς δημιουργίας νύκτα καιρόν, ἐπειδήπερ αὕτη χρόνῳ πάτρια κεκλήρωται, καὶ πρὶν ἢ διακριθῆναι τὰ νῦν βλεπόμενα νυξὶ ἦν τὸ σύμπαν, ὃ δὴ χάος ποιητῶν ὀνομάζουσι παῖδες. ὁ γὰρ ἔτως ἄθλιόν τινα καὶ κακοδαίμονα παρεισάγει τὸν Ἥφαιστον, ὡς μηδὲ νυκτὸς ἀνάπαυσιν ἔχειν τῆς χειρωνακτικῆς ἐργασίας, ὅπερ γε καὶ παρ' ἀνθρώποις ἀθλίοις ἄτοπον εἶναι δοκεῖ· τὸ μηδὲ τὴν νύκτα τῶν πόνων ἐκεχειρίαν ἄγειν· ἀλλ' ἐκ ἔτι ταῦτα χαλκεύων Ἀχιλλεῖ πανοπλίαν Ἥφαιστος, ὃν' ἐν οὐρανῷ βαῦνοι χαλκῆ καὶ κασσιτέρῳ ἀργύρῳ τε καὶ χρυσῷ εἰσίν· ἀμήχανον γὰρ τὰς ἀηδεῖς καὶ φιλαργύρους γῆς νόσους ἐπ' οὐρανὸν ἀναβῆναι. φυσικῶς δὲ τῆς ἀμόρφου ποτὲ καὶ μὴ διακεκριμένης ὕλης τὸν καιρὸν ἀποφηνάμενος εἶναι νύκτα, δημιουργόν, ἡνίκα ἔμελλε τὰ πάντα μορφοῦσθαι, τὸν Ἥφαιστον ἐπέσησε, τετέτι τὴν θερμὴν οὐσίαν· πυρὸς γὰρ δὴ κατὰ τὸν φυσικὸν Ἡράκλειτον ἀμοιβῇ τὰ πάντα γίνεται. ὅθεν συνοικοῦσαν οὐκ ἀπιθάνως τῷ τῶν ὅλων ἀρχιτέκτονι πεποίηκε τὴν Χάριν· ἔμελλε γὰρ ἤδη τῷ κόσμῳ χαριεῖσθαι τὸν ἴδιον κόσμον. ὕλαι δὲ τίνες αὐτῇ τῆς κατασκευῆς; „χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε." εἰ μὲν Ἀχιλλεῖ κατεσκεύασε πανοπλίαν, πάντα ἔδει χρυσὸν εἶναι· καὶ γὰρ οἶμαι χέτλιον Ἀχιλλέα μηδὲ Γλαύκῳ κατὰ τὴν πολυταλαντίαν ἴσον εἶναι. νῦν δὲ τέτταρα στοιχεῖα κίρναται· καὶ χρυσὸν μὲν ὠνόμασε τὴν αἰθερώδη φύσιν, ἄργυρον δὲ τὴν αὐτῇ τῇ χροιᾷ προσωμοιωμένον ἀέρα· χαλκὸς δὲ καὶ κασσίτερος ὕδωρ καὶ γῇ προσαγορεύεται διὰ τὴν ἐν ἀμφοτέροις βαρύτητα. πρῶτον δὲ ἀπὸ τούτων τῶν στοιχείων ἀσπὶς ὑπ' αὐτοῦ χαλκεύεται, σφαιροειδὲς ἔχουσα σχῆμα, δι' οὗ τὸν κόσμον ἡμῖν ἐμφανῶς ἐσήμανεν, οὐκ ἀπὸ τῆς ὁπλοποιίας μόνον ἀλλὰ καὶ διαδήλων τεκμηρίων ἐπίσταται κυκλοειδῆ. συντόμως δὲ ἐν παρεκβάσει τὰς ὑπὲρ τούτων φιλοτεχνοῦντες ἀποδείξεις δηλώσομεν. συνεχῶς τοίνυν τὸν ἥλιον ἀκάμαντα καὶ ἀλέκτορα καὶ ὑπερίονα προσαγορεύει, διὰ τῶν ἐπιθέτων οὐκ ἄλλο τι πλὴν τὸ σχῆμα τοῦτο σημαίνων. ὅ τε γὰρ ἀκάμας ὁ μὴ κάμνων ἔοικε, καὶ ὅρους ἔχων οὐκ ἀνατολὴν ἢ δύσιν, ἀλλὰ τὴν ἀεὶ περίδρομον ἀνάγκην. ἠλέκτωρ δὲ δυοῖν θάτερον· ἢ ἀλέκτωρ ὅθεν ὀνομάζεται μηδέπω κοίτης ἐπιψαύων, ἢ τὰ πιθανώτερα, ἐπιελίκτωρ τις ὢν καὶ κυκλοτερεῖ φορᾷ δι' ἡμέρας καὶ νυκτὸς τὸν κόσμον ἀναμετρούμενος. ὑπερίονα δὲ νομιζέσθω αὐτὸν τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς, ὥσπερ οἶμαι καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν „ἠέλιος θ' ὑπεριέμενος γαῖάν τ' ἐπιθάλπων." εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἂν Ὑπεριονίδην ὡς Ἀτρείδην τὸν Ἀγαμέμνονα καὶ Πηλείδην τὸν Ἀχιλλέα. ἥ τε θοὴ νὺξ ἐκ ἄλλο τι σημαίνει ἢ τὸ σφαιροειδὲς ὅλε τῇ πόλε σχῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει, καὶ πᾶς ὁ καταλειφθεὶς ὑπ' αὐτῆς τόπος ὑπὸ ταύτης εὐθὺς ἐκμελαίνεται. σαφῶς γὰρ ἐτέρωθί πε τοῦτο μηνύων φησὶν „ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, ἕλκων νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν" (Il. 8, 485). ὥσπερ γὰρ ἀπηρτημένην ἑαυτῷ τὴν νύκτα κατόπιν ἐφέλκεται, συγχωροῦσαν τοῖς ἡλίου τάχεσιν· εἰκότως ἂν αὐτὴν Ὅμηρος εἴρηκε θοήν. δύναταί γε μὴν πιθανώτερόν τις ἐπιχειρῶν θοὴν ὀνομάζειν μεταληπτικῶς ἀ τὴν κατὰ κίνησιν ὀξεῖαν, ἀλλὰ τὴν κατὰ σχῆμα· καὶ γὰρ ἑτέρωθί πέ φησιν „ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν" (Od. 15, 299), ἀ τὸ τάχος τῶν ἐρριζωμένων νήσων — ἠλίθιον γάρ — δηλῶσαι ἐσπουδακώς, ἀλλὰ τὸ σχῆμα, ὡς ὀξεῖαν ἀπολήγουσαν ἀποτελεῖν γραμμήν. εἰκότως οὖν νύκτα θοὴν λέγεσθαι τὴν ἐπ' ὀξὺ τέλος ἀποτερματίζουσαν τῆς ἐχάτης σκιᾶς. φυσικῶς δὲ περὶ τούτων ὁ λόγος ἀποδείκνυσιν ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. τριχῇ γὰρ οἱ μαθηματικοὶ τὰ σχήματα τῶν σκιῶν ἀποπίπτειν φασίν, ἐπειδὰν γὰρ ἔλαττον ᾖ τὸ περιλάμπον τοῦ καταλαμπομένου τόπου, κωνοειδῆ συμβέβηκε γίνεσθαι τὴν σκιάν, ἀπὸ πλατείας τῆς ἀρχῆς εἰς λεπτὸν ἀποσενεῦσθαι πέρας. ἐπειδάν γε μὴν ἴσον ᾖ τὸ καταλάμπον τῷ καταλαμπομένῳ, κυλίνδρου δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς. βουλόμενος ἐν Ὅμηρος τὸν ἥλιον ἄλλως μείζονα τῆς γῆς κατὰ τὴν τῶν πλείστων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, εὐλόγως θοὴν τὴν νύκτα προσηγόρευσεν, εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι σχῆμα λήγουσαν, ἅτε οἶμαι μήτε κυλινδροειδῶς τῆς σκιᾶς πίπτειν δυναμένης, ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελούσης· ὃ δὴ πρῶτος Ὅμηρος ἐκ μιᾶς λέξεως ὑπανιξάμενος τὰς μυρίας τῶν φιλοσόφων ἀμίλλας ὑποτέτμηκεν. καὶ μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τὸν κόσμον σφαιροειδές. Βορέας μὲν γὰρ ἀπὸ τῆς ἄρκτου πνέων μετέωρος „μέγα κῦμα κυλίνδει" (Od. 5, 296)· τὴν γὰρ ἀπὸ τοῦ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον ἀνακυκλοῖ. ἔτι γε μὴν μετὰ τῶν ἄλλων ἀπείρονα γαῖαν ὀνομάζει. καὶ πάλιν ἐπὶ τῆς Ἥρας „εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης" (Il. 14, 200), ἀδέπω μαχομέναις δόξαις πρὸς αὐτὸν γαμιάζων, ἀλλ' ἐπειδὴ πᾶν σφαιροειδὲς σχῆμα ἄπειρόν ἐστι πεπερασμένου· τὸ γὰρ ὅρον τινὰ καὶ περιγραφὴν ἔχον εὐλόγως αὐτὸ πεπεράσθαι νομιστέον· ἄπειρον δ' ἂν ὁ κύκλος ὀνομάζοιτο δικαίως, ἐπειδήπερ ἀμήχανόν ἐστι δεῖξαι πέρας ἐ

αὐτῷ τι. ταυτὶ μὲν ἓν ἀθρόα τεκμήρια τῆ σφαιροειδῆ τὸν κόσμον εἶναι παρ' Ὁμήρῳ, τὸ δ' ἐναργέστατον εἶναι συμβολὴν ἡ τῆς Ἀχιλλέως ἀσπίδος κατασκευή· κυκλοτερὲς γὰ τῷ σχήματι μετεχάλκευκεν ὅπλον Ἥφαιστος, ὥσπερ εἰκόνα κοσμικῆς περιόδου. μυθικῶς μὲν ἓν ἀσπίδα χαλκευομένην ὑποσησάμενος ἁρμόζουσαν Ἀχιλλεῖ τὴν διὰ πάντων ἐχάρασσε πορείαν. τίς δὲ ἦν αὕτη; „σησάμενοι δὲ μάχονθ — ἕλκε ποδοῖιν" (533 — 537). ταῦτα μὲν ἦν ὁ διηνεκὴς Ἀχιλλέως βίος. νῦν δὲ Ὅμηρος ἰδίᾳ τινὶ φιλοσοφίᾳ δημιουργῶν τὸν κόσμον, εὐθὺς τὰ μέγιστα τῆς προνοίας ἔργα μετὰ τὴν ἀδιακρίτητον καὶ κεχυμένην ὕλην ἐχάλκευσεν. „ἐν μὲν γαῖαν — πλήθουσαν" (483. 484). ἡ τῆς κοσμικῆς γενέσεως εἱμαρμένη πρῶτον μὲν θεμελιῶχον ἐκρότησε τὴν γῆν, εἶτα ἐπὶ ταύτης καθάπερ τινὰ θέσιν ςέγην τὸν οὐρανὸν ἐπ' ὀρόφῳ, καὶ κατὰ τῶν ἀναπεπταμένων αὐτῆς κόλπων ἀθρόαν ἔχεε τὴν θάλατταν, εὐθύς τε ἡλίῳ καὶ σελήνῃ τὰ διακριθέντα τῶν ζοιχείων ἀπὸ τῆ παλαιᾶ χάος ἐφώτισεν· „ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐςεφάνωθ" (485), δι' ἧ μάλιςα σφαιροειδῆ παραδέδωκεν ἡμῖν τὸν κόσμον· ὥσπερ γὰ ὁ ςέφανος κυκλοτερὴς τῆς κεφαλῆς κόσμος ἐςίν, ἕτως τὰ διεζωκότα τὴν οὐρανίαν ἁψῖδα κατὰ σφαιροειδῆς ἐπηρμένην χήματα. εἰκότως ἓν ςέφανον ὠνόμασεν. διακριβολογησάμενος δὲ ὑπὲρ τῶν ὁλοχερῶν ἀςέρων, καὶ κατὰ μέρος ἐπιφανέςατα δεδήλωκεν· ὃ γὰ ἠδύνατο πάντα θεολογῶν, ὥσπερ Εὔδοξος, Ἰλιάδα γράφειν, ταῦτα ἀντὶ τῶν μὴ φαινομένων ὑποςησάμενος ἑαυτῷ. μεταβέβηκεν ἓν ἀλληγορικῶς ἐπὶ τὰς δύο πόλεις, τὴν μὲν εἰρήνης τὴν δὲ πολέμου παρεισάγων, ἵνα μηδ' Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος ἀπ' ἄλλε τινὸς ἢ παρ' Ὁμήρε τὴν Σικελικὴν ἁρπάσηται δόξαν. ἅμα γὰ τοῖς τέσσαρσι ςοιχείοις κατὰ τὴν φυσικὴν θεωρίαν παραδέδωκε τὸ νεῖκος καὶ τὴν φιλίαν. τέτων δ' ἑκάτερον Ὅμηρος ὑποσημαίνων πόλεις δύο ἐνεχάλκευσε τῇ ἀσπίδι, τὴν μὲν εἰρήνης, τετέςι φιλίας, τὴν δὲ πολέμε, τετέςι νείκους. πτύχας δὲ ἐπεςήσατο τῆς ἀσπίδος πέντε σχεδόν, ἐκ ἄλλο τι πλὴν τὰς μεποικιλμένας τῷ κόσμῳ ζώνας ὑπαινιξάμενος. ἡ μὲν γὰ ἐσχατέρω περὶ τὸν βόρειον εἱλεῖθ πόλον, ἀρκτικὴν δὲ αὐτὴν ὀνομάζεσιν· ἡ δὲ ἐφεξῆς εὔκρατός ἐςιν· εἶτα τὴν τρίτην διακεκαυμένην καλέσιν· ἡ τετάρτη δ' ὁμωνύμως τῇ δευτέρᾳ εὔκρατος ὀνομάζεθ· πέμπτη δ' ἐπωνύμως τὸ νοτίε μέρος, ἡ νότειός τε καὶ ἀντεσιος καλεμένη. τούτων αἱ μὲν δύο τελέως ἀοίκητοι διὰ τὸ κρύος, ἥ τε τὸν βόρειον πλησιᾶα πόλον καὶ ἡ τὸν ἀπάντικρυ νότον. ὁμοίως δ' αὐταῖς ἡ διακεκαυμένη καθ' ὑπερβολὴν τῆς πυρώδες ἀσίας οὐδενὶ βατὴ ζῴῳ. δύο δὲ τὰς εὐκράτες φησὶν οἰκεῖσθαι, τὴν ἴσην ἑφ' ἑκατέρας ζώνης κρᾶσιν ἐπιδεχομένας. ὁ γᾶν Ἐρατοσθένης καὶ σφοδρότερον ἐν τῷ Ἑρμῇ ταύτας διηκρίβωσεν, εἰπὼν „πέντε δέ οἱ ζῶναι περιηγέες ἐσπείρηντο, αἱ δύο μὲν γλαυκοῖο κελαινοτέρου κυάνοιο, ἡ δὲ μία ψαφαρά τε καὶ ἐκ πυρὸς οἷον ἐρυθρή, τυπτομένη φλογμοῖσιν, ἐπεὶ ῥά ἑ ταῦραν ἐπ' αὐτὴν κεκλιμένην ἀκτῖνες ἀειθερέες πυρόωσιν. αἱ δὲ ἑκάτερθεν πόλοιο περιπεπηγυῖαι, ἀεὶ βριμαλέαι, αἰεὶ δ' ὕδατι μογέσσαι" (cf. Bernhard. Eratosthen. p. 144). ταύτας ἓν Ὅμηρος πύλας ὠνόμασεν, ἐξ ὧν φησὶν „ἐπὶ δὲ πέντε πτύχας ἦλασε κυλλοποδίων, τὰς δύο χαλκείας, δύο δ' ἐνδόθι κασσιτέροιο" (Il. ξο, 270)· τὴν δὲ ἄλλην χρυσῆν εἰπών, τὴν διακεκαυμένην, ἐπειδήπερ ἡ πυρώδης ἀσία κατὰ τὴν χρόαν ἐμφερεςάτη χρυσῷ· „δύο δ' ἐνδόθι κασσιτέροιο," τὰς εὐκράτες ὑποσημαίνων· ὑγρὰ γὰ ἡ ὕλη καὶ τελέως εὔθικτος ἡ τῆ κασσιτέρε, δι' ἧς τὸ περὶ τὰς ζώνας εὐαφὲς ἡμῖν καὶ μαλθακὸν ἐδήλωσεν. τὸ μὲν ἓν ἐν οὐρανῷ σεμνὸν ἐργαλεῖον Ἥφαίςου τὴν ἱερὰν φύσιν οὕτως ἐδημιδργησεν. B.

470. χοάνοισιν: ἄδηλον τὸ γένος. λέγει δὲ τοῖς ἀγγείοις εἰς ἃ τήκεται ὁ χαλκός, ἅπερ ἐςὶ παρ' ἡμῖν πήλινα. V.

ὅτι τὸ πᾶσαι παρέλκει· διὸ ἡ διπλῆ. B.

ἐφύσων: δηλόνοτι αὐτόμαθ. εἰ δὲ ἔμψυχα αὐτοῦ τὰ ἐργαλεῖα, διὰ τί χρὴ ἀπιςεῖν περὶ τῶν κατασκευαζομένων; V.

κεκράτηκεν ἀῤῥήτε πράγματος, ὅτι ὄτε Ἥφαιςος ἐσπευδε, καὶ αὐταὶ ἠπείγοντο καὶ τεχνικῶς ἐφύσων. B.

471. παντοίην: τοιᾶτόν ἐςιν, οἷον ὁτὲ μὲν ἐπηρμένην, ποτὲ δὲ σύμμετρον. BV.

διὰ τῆ σ εὔπρηςον. τινὲς δὲ διὰ τῆ κ, εὔπρηκτον, καὶ ἀκόυσι πρὸς πρᾶξιν εὐάρμοςον. A.

παρὰ τὸ ἔπρεσε. τινὲς δὲ ἔκπρησον. V.

472. παρέμμεναι: εἰς τὸ παρεῖναι καὶ ἕτοιμοι εἶναι καὶ σπεύδοντι καὶ μή. A.

σπεῦδε ὁμοίως ἡμῖν. V.

ἄλλοτε δ' αὖτε: ἐλλείπει τὸ μὴ σπεύδοντι. A.

474. ἀτειρέα: τῶν γὰ ἄλλων χωνευομένων αὐτὸς ἐλαυνόμενος πολὺν εἰς τὸ δημιουργηθῆναι τῷ τεχνίτῃ παρέχει κόπον. κοινὸν δὲ καὶ ἐπὶ τῆ κασσιτέρε τὸ ἀτειρέα, εἴγε ἡ κνημὶς ἐξ αὐτοῦ, καὶ βάλλεται ὑπὸ τοῦ Ἀγήνορος, καὶ οὐκ εἶκει (Il. 21, 592). BV.

477. ῥαιςῆρα: σφῦραν σιδηρᾶν, παρὰ τὸ ῥαΐζειν, ὅ ἐςιν ἐνεργεῖν. AD.

παρὰ Ζηνοδότῳ κρατερόν, διὰ τῆ ρ. A.

δαιμονίως τὸν πλάςην αὐτὸς διέπλασεν, ὥσπερ ἐπὶ σκηνῆς ἐγκυκλήσας καὶ δείξας ἡμῖν ἐν φανερῷ τὸ ἐργαςήριον. μεγάλην δὲ καὶ σφῦραν ἔλαβεν· ἕπω γὰ τῆ λεπτουργεῖν καιρός, ἀλλὰ πρῶτον ἐξελάσαι τὴν ὕλην. B. εἰς δὲ τὸ τορεύειν ἄλλοις χρῆθ ἐργαλείοις καὶ τὰς πόρπας ἐποίει. V.

πυράργην: τὸν χαλκευτικὸν καρκίνον, τὸν ὀξύλαβον, παρὰ τὸ τὰ ἐκ πυρὸς ἀγρεύειν, ὅ ἐςι λαμβάνειν. AD.

478. σάκος: διὰ τί μάχαιραν ὁ Ἥφαιςος οὐ κατασκευάζει; ὅτι ἡ μάχαιρα παντὶ ἁρμόζει· τὸ γὰ σκεῦος εὔκτητον. τὸ δὲ δόρυ ὑπεξῄρηθ δι' ἑτέραν αἰτίαν. A.

479. πάντοσε δαιδάλλων: εἰς πᾶν μέρος δαίδαλα ἐνθείς, ὅ ἐςι ποικίλλων αὐτό. D.

ἔδει πάντοθεν εἰπεῖν γὰ αὐτὸ ἐν αὐτῷ. V.

ἄντυγα: τὸν ἔξω τῆς ἀσπίδος κύκλον. BD.

480. τρίπλακα: τρίπτυχον. μαρμαρέην δὲ διὰ τὸν

ἐπικεχυμένον αὐτῇ τέχνῃ τὸν Ὠκεανόν. B.

481. πτύχες: τὰ ἐλάσματα τῆς ἀσπίδος. B.

τινές φασι τὰς μὲν βοείας εἰκότως δεῖσθαι πολλῶν πτυχῶν. V.

483. ἐν μέν: ὅτι Ζηνόδοτος ἠθέτηκεν ἀπὸ τούτου τοῦ στίχου τὰ λοιπά, ἀρκεσθεὶς τῇ κεφαλαιώδει προεκθέσει. Ὅμηρος δὲ οὐκ ἂν προετραγῴδησεν τὰ κατὰ τὰς φύσας, εἰ μὴ καὶ τὴν τῆς ποικιλίας κατασκευὴν ἔμελλε διατίθεσθαι. A.

γαῖαν: λείπειν φασὶ τὸ ὡς. ὃ παρ' αὐτὰ τὰ στοιχεῖα ἀπέθετο. V.

Δαλὶς ἡ Κερκυραία φησὶ πιθανῶς ὡς Ἥφαιστος, Ἐριχθονίου πατὴρ ὤν, τὴν ἀρχαιογονίαν τῆς Ἀττικῆς ἐγκατέγραψε τῇ ἀσπίδι. γῆν μέν, ὅτι αὐτόχθονες· οὐρανόν, πρὸς ὃν συνεστήσαντο τὴν πολιτείαν· θάλασσαν, ἐφ' ἧς οἰκοῦσι δύο πόλεις, Ἐλευσῖνα καὶ Ἀττικήν. καὶ γάμος μὲν Ἀθήνησι πρῶτον εὕρηται δὲ ὑπὸ Κέκροπος, ὅθεν καὶ διφυᾶ φησὶν αὐτὸν λέγεσθαι ὁ Χάραξ, ὅτι τοὺς δύο φύντας δι' αὐτὸν πρῶτον ἔγνωσαν ἄνθρωποι. διὸ τὸ ξένον αἱ γυναῖκες ἱστάμεναι ἐθαύμαζον. καὶ δίκη φονικὴ ἐκεῖ πρῶτον περὶ Ἁλιῤῥοθίου. περὶ Ἐλευσῖνα δὲ δύο στρατοί, Φόρβαντος ἐξ Ἀκαρνανίας καὶ Εὐμόλπου ἐκ Θρᾴκης. προεστήκασιν Ἄρης μὲν ἀπολυθεὶς τοῦ φόνου, Ἀθηνᾶ δὲ ὡς πολιάς. εἰ δέ φησιν „ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, ἄλλον τεθνειῶτα" (536)· οὗτοι γὰρ ἀπέθανον ὑπὸ τῶν Ἐλευσινίων Ἰμμάραδος ὁ Εὐμόλπου, Κλύτιος ὁ Ἀγριόπου τοῦ Κύκλωπος, Ἔγρεμος Εὐρυνόμου τοῦ μετὰ Φόρβαντος. καὶ ἄροτρον δὲ πρῶτον ἐκεῖ Μαίνιδος ὁ καὶ Βουζύγης ἔζευξε. τρίπολον δὲ τὴν ἄρουράν φησιν, ἐπεὶ Τριπτόλεμος πρῶτος ἔσπειρε σῖτον, ὃν βασιλέα φησίν. ἐν δέ τισιν ἐγράφετο μετὰ τὸν (551) „ἤμων ὀξείας δρεπάνας" „καρπὸν Ἐλευσινίης Δημητέρος ἀγλαοδώρου." καὶ βοῦν φησὶ θύεσθαι (559)· ἐκεῖσε γὰρ πρῶτος ἔθυσε βοῦν Θαύλων φυγαδευθείς. οἶνόν τε Ἰκάριος εὗρεν. ὁ δὲ χορὸς (590) ὁ πεμφθεὶς μετὰ Θησέως ἐπὶ Κρήτην. συμβουλευτικὰ δέ ἐστι πάντα. ἡ γὰρ εἰρηνευομένη πόλις ὑπονοεῖν παρέχει Τρωσὶν ὅσων ἂν ἀπέλαυσαν ἀγαθῶν, εἰ εἰρήνευον· ἡ δὲ πολεμουμένη τὴν διχόνοιαν αὐτῶν· κἀκεῖ γὰρ οἱ μὲν τὰ Πάριδος οἱ δὲ τὰ Ἀντήνορος ἐφρόνουν. καὶ οἱ μὲν περὶ Διονύσιόν φασιν αὐτοί, ἵν' ᾖ τὰ αὐτὰ εἶναι ὡς τοὺς τρίποδας· οἱ δὲ περὶ Ἀριστόνικον συντιθέντες, ἐπεὶ μή εἰσι παρὰ θεοῖς. τί οὖν οἱ κύνες Ἀλκινόου; τοῦτο πλάσμα ἦν. ἀλλὰ καὶ τοῦτο πλάσμα· δίδονται γοῦν τῷ ναυαγεῖν μέλλοντι Ὀδυσσεῖ. ἄρα δὲ ἄτρωτα τὰ Ἡφαιστότευκτα. καὶ πῶς οὐκ ἄτοπον τοὺς μὲν ἥρωας τιτρώσκεσθαι, τὰ δὲ ἔργα αὐτῶν μή; οὐ γὰρ ἂν ἐδέησε πεντάπτυχον ποιῆσαι τὴν ἀσπίδα. V.

484. ἀκάμαντα: τινὲς μέγαν· „ὡς δ' ὅτε σῦν ἀκάμαντα" (Il. 16, 823). V.

πλήθουσαν: τὴν οἷον πεπληρωμένην καὶ ἐγκύμονα τοῦ ἡλιακοῦ φωτός· λέγει δὲ τὴν πανσέληνον. εἴρηται δὲ σελήνη οἱονεὶ σέλας νέον. AD.

τινὲς τήν ποτε πλήθουσαν, ὡς „ἠΰκομος Νιόβη" (Il. 24, 602). οἱ δὲ φυσικοὶ ἀεί φασι τὸ ἡμισφαίριον αὐτῆς, εἰ καὶ μὴ φαίνεται ἡμῖν, πλήθειν. οἱ δὲ τὴν πληρωτικὴν σωμάτω[illegible] κογχυλίων τε καὶ δένδρων καὶ ποταμῶν καὶ θαλάσσης καὶ ὠκεαν[illegible] καὶ τῶν ἄλλων. BV.

485. τείρεα: ὡς τείχεα. A.

παρὰ τὸ τερατώδη καὶ σημεῖα ταῦτα εἶναι. B.

Ζηνόδοτος ἐστήρικται, Ἀρίσταρχος ἐστεφάνωκεν. [illegible]

486. Πληϊάδας: ζ' ἀστέρες εἰσὶ κείμενοι ἐπὶ τῇ οὐρ[illegible] (τὴν πλευρὰν D) τοῦ ταύρου, μᾶλλον δὲ ἐπὶ τοῦ διχοτομ[illegible]ματος αὐτοῦ· ὁ γὰρ ταῦρος σῶος οὐκ ἀνηστέρισται, ἀλλ' ἕ[illegible] τῶν ἰχίων. αὗται δέ εἰσιν Ἄτλαντος καὶ Πληϊόνης θυγατέρ[illegible] ὧν τὰ ὀνόματα Μαία, Ταϋγέτη, Κελαίνη (κελαινὼ D), Μ[illegible]ρόπη, Ἠλέκτρα, Στερόπη, Ἀλκυόνη. Ἄτλας δὲ εἷς τ[illegible] Γιγάντων μιγεὶς Πληϊόνῃ. τῇ Ὠκεανοῦ ἔχε θυγατέρας αἳ τὴν παρθενείαν ἀγαπήσασαι συνεκυνήγουν τῇ Ἀρτέμι[illegible] θεασάμενος δὲ Ὠρίων ἠράσθη, καὶ ἐδίωκεν αὐτὰς μιγῆ[illegible] βουλόμενος. αἱ δὲ περικατάληπτοι γενόμεναι θεοῖς ηὔξαν μεταβαλεῖν τὴν φύσιν· Ζεὺς δὲ ἐλεήσας αὐτὰς καὶ διὰ τ[illegible] ἄρκτων (αὐτὰς πελειάδας ἐποίησε καὶ δι' αὐτῶν ἄστρον [illegible] κατηστέρισεν. ὠνομάσθησαν δὲ Πληϊάδες ἀπὸ Πληϊόνης τ[illegible] μητρὸς αὐτῶν. φασὶ δὲ Ἠλέκτραν οὐ βουλομένην τὴν Ἰλ[illegible]πόρθησιν θεάσασθαι διὰ τὸ κτίσμα εἶναι τῶν ἀπογόνων κ[illegible]ταλιπεῖν τὸν τόπον οὗ κατηστέριστο· διόπερ οὔσας πρότερ[illegible] ζ' γενέσθαι ς'. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς. AD.

Ὑάδας: οἱ ἐπὶ τῶν κεράτων τοῦ ταύρου ζ' ἀστέρες κ[illegible]μενοι. καλοῦνται δὲ Ὑάδες ἤτοι διὰ τὴν πρὸς τὸ Υ στοιχεῖ[illegible] ὁμοιότητα, ἢ ἐπειδὴ αἴτιοι ὄμβρων καὶ ὑετῶν καθίστανται. A[illegible]

ἄλλως. Ζεὺς ἐκ τοῦ μηροῦ γεννηθέντα Διόνυσον τ[illegible] Δωδωνίσι Νύμφαις τρέφειν ἔδωκεν, Ἀμβροσίᾳ, Κορωνί[illegible] Εὐδώρῃ, Διώνῃ, Αἰσύλῃ, Πολυξοῖ. αὗται θρέψασαι τ[illegible] Διόνυσον περιῄεσαν σὺν αὐτῷ, τὴν εὑρεθεῖσαν ἄμπελ[illegible] ὑπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις χαριζόμεναι. Λυκοῦργος δὲ μέ[illegible] τῆς θαλάσσης συνεδίωξε τὸν Διόνυσον· ἐκείνας δὲ ὁ Ζε[illegible] ἐλεήσας κατηστέρισεν. ἡ ἱστορία παρὰ Φερεκύδει. AD.

ἄλλως. τὰς μὲν κατηστερισμένας ἐν τῷ μετώπῳ τ[illegible] ταύρου Ὑάδας φασὶν εἰρῆσθαι, τὰς δὲ ἐπὶ τῆς ἡμιτόμου πλε[illegible]ρᾶς Πληϊάδας καλεῖσθαι. Ἄτλαντος γὰρ τοῦ Ἰαπετοῦ καὶ Αἰθ[illegible]ρας τῆς Ὠκεανοῦ, καθά φησι Τίμαιός, θυγατέρες ιβ' [illegible] υἱὸς Ὕας. τοῦτον ἐν Λιβύῃ κυνηγετοῦντα ὄφις κτείνει· καὶ μὲν ε' τὸν ἀδελφὸν θρηνοῦσαι ἀπόλλυνται, τὰς δὲ λοιπὰς οἶκτον καταστερίσας Ζεὺς Ὑάδας ἐπωνόμασεν ἐπωνυμίᾳ [illegible] ἀδελφοῦ. αἱ δὲ πλείους ζ' βραδέως μέν, πλὴν ἀποθανοῦσ[illegible] Πληϊάδες εἴρηνται. Φερεκύδης δέ, καθὰ προείρηται, τὰς Ὑ[illegible]δας Δωδωνίδας νύμφας φησὶν εἶναι καὶ Διονύσου τροφο[illegible] ἃς παρακαταθέσθαι τὸν Διόνυσον Ἰνοῖ διὰ τὸν Ἥρας φ[illegible]βον, καθ' ὃν καιρὸν αὐτὰς καὶ Λυκοῦργος ἐδίωξεν. τῶν Πληϊάδων οὐσῶν ζ' πάνυ ἀμαυρὸς ὁ ἕβδομος ἀστήρ ἐς[illegible] ὡς μὲν Ἄρατος ἐν τῷ πρὸς Θεόπροπον ἐπικηδείῳ φησ[illegible] Τροίας πορθουμένης τὴν Δαρδάνου μητέρα Ἠλέκτραν, μι[illegible]οῦσαν τῶν Πλειάδων, φυγεῖν τε τὴν τῶν ἀδελφῶν σύνοδο[illegible] καὶ τὰς κόμας λύσασαν ἐνίοτε κομήτην ἀστέρα φαίνεσθαι. φη[illegible] δὲ καὶ Ἑλλάνικος ἐν τῷ πρώτῳ τῶν Ἀτλαντικῶν τὰς μ[illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξ' θεοῖς συνελθεῖν, Ταϋγέτην Διί, ὧν γενέσθ Λακεδαίμονα, Μαίαν Διί, ἀφ' ὧν Ἑρμῆς, Ἠλέκτραν Διί, ὧν Δάρδανος, Ἄλκυόνην Ποσειδῶνι, ὧν Ὑριεύς, Στερόπην Ἄρει, ὧν Οἰνόμαος· Κελαινὼ Ποσειδῶνι καὶ αὐτὴν συγγενέσθ, ὧν Λύκος· Μερόπην δὲ Σισύφῳ θνητῷ ὄντι, ὧν Γλαῦκος· διὸ κ ἀμαυρὰν εἶναι. Ὑάδας δὲ εἰρῆσθ ἤτοι παρὰ τὸ ὑῆμα τῆς τῶν ἀςέρων θέσεως (τῷ γ' Υ ςοιχείῳ παραπλήσιόν ἐςιν), ἢ ἐπεὶ ἀνατελλουσῶν αὐτῶν κ δυνουσῶν ὗει ὁ Ζεύς. αἱ δὲ Πλειάδες ἤτοι ἀπὸ τῆς μητρὸς αὐτῶν Πληϊόνης· ἢ ὅτι πλείους ὁμῦ κατὰ μίαν συναγωγὴν εἰσι (βότρυν γ' αὐτὰς λέγουσιν)· ἢ ὅτι πλείους μὲν κ ζ' εἶναι δοκοῦσιν, ἐπὶ δὲ τῆς ἀληθείας ἐλάττους εἰσίν· ἢ πλησιάδας (πλησίον γ' κεῖνται)· ἢ ὅτι πλείους δι' αὐτῶν αἱ τῶν ὡρῶν ἐπισημασίαι· ἢ ὅτι πλειῶνος, ὅ ἐςιν ἐνιαυτοῦ, σημαντικαί· χειμῶνα γὰρ κ θέρος διορίζουσιν, καθὸ ἐπιφέρονθ, κ διὰ μόνων αὐτῶν σημειοῦνθ τὰς ἑῴας ἐπιτολὰς πρὸς θέρος κ τὰς ἑσπερίας πρὸς ἄροτον, ὡς Ἡσίοδος „Πληϊάδων Ἀτλιγενέων ἐπιτελλομενάων ἄρχεσθ' ἀμήτοιο, ἀρότοιο δὲ δυσομενάων" (O. 381). τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς καταξεριοῦσθαί φησιν Αἰσχύλος. Πληϊάδων δὲ ἀνατολὴ ἑῴα ἡλίου ὄντος ἐν διδύμοις, δύσις δὲ ἑῴα κατὰ τὴν διάμετρον ἡλίου ὄντος ἐν σκορπίῳ· ταύρου δὲ ὄντος ἡλίου κατὰ τὸ εἰκὸς ἑκατέρωθεν ἐπίφασις γίνεθ. κ γ' τὸν προανατέλλοντα κριὸν ἐπὶ ε ἡμέρας προκαταλάμπει κατ' ἀρχὰς ἐγγὺς ὢν αὐτοῦ, κ τοὺς προανατέλλοντας διδύμους ἐπ' ἄλλας ἡμέρας ε, ὥσπερ τὸ ἔν τινι καιόμενον πῦρ θέρμης ἀπόῤῥοιαν ἔχει βραχεῖαν κ πρὸς τὰς ἑκατέρωθεν. διὰ τοῦτο καὶ Ἡσίοδος ἔφη „αἰ δή τοι νύκτιας τε κ ἤματα τεσσαράκοντα κεκρύφαται" (O. 383), διότι καταυγάζονται. AD.

σθένος Ὠρίωνος: περιφραςικῶς τὸν Ὠρίωνα. ὁ δὲ Ὠρίων ἐςὶν ἄςρον μέγιςον ἐν τῷ οὐρανῷ κατηςερισμένον ἔτους, Διὸς Ποσειδῶνος κ Ἑρμοῦ παῖς. Ὑριεὺς ὁ Ποσειδῶνος κ Ἀλκυόνης, μιᾶς τῶν Ἄτλαντος θυγατέρων, ᾤκει μὲν ἐν Τανάγρᾳ τῆς Βοιωτίας, φιλοξενώτατος δὲ γενόμενος ὑπεδέξατό ποτε κ θεούς. Ζεὺς γ' κ Ποσειδῶν κ Ἑρμῆς ἐπιξενωθέντες αὐτῷ, κ τὴν φιλοφροσύνην ἀποδεξάμενοι, παρήνεσαν αἰτεῖν ὅ τι ἂν βέλοιτο. ὁ δὲ ἄτεκνος ὢν ᾐτήσατο παῖδα. λαβόντες ἐν οἷς θεοὶ τὴν τοῦ ἱερουργηθέντος αὐτοῖς βοὸς βίρσαν ἀπεσπέρμηναν εἰς αὐτήν, κ ἐκέλευσαν κρύψαι κατὰ γῆν κ μετὰ δέκα μῆνας ἀνελέσθ· ὧν διελθόντων ἐγένετο ὁ Οἰρίων, ἔτως ὀνομασθεὶς διὰ τὸ ἐρῆσαι ὥσπερ τοὺς θεούς, ἔπειτα δὲ κατ' εὐφημισμὸν Ὠρίων. συγκυνηγετῶν δὲ ἔτος Ἀρτέμιδι ἐπεχείρησεν αὐτὴν βιάσασθ. ὀργισθεῖσα δὲ ἡ θεὸς ἀνέδωκεν ἐκ τῆς γῆς σκορπίον, ὃς αὐτὸν πλήξας κατὰ τὸν ἀςράγαλον ἀπέκτεινε. Ζεὺς δὲ συμπαθήσας κατηςέρισεν αὐτόν· διὸ τοῦ σκορπίου ἀνατέλλοντος Ὠρίων δύνει. ἡ ἱςορία παρὰ Εὐφορίωνι. AD.

487. εἰς ἰδιότητα ἄμαξαν ἐψιλωσαν' οἱ πρὸ ἡμῶν, ἐπεὶ ἡ συναλοιφὴ ἔτως εὑρέθη „τιλλέσθην ἐπ' ἄμαξαι" κ „αἱ δ' ὑπ' ἀμάξησιν," ὥσπερ κ τὸ ἄλυσις ἐκ τοῦ ἐναντίου ἐδασύνθη εἰς ἰδιότητα. Ἀττικοὶ μέντοι οἱ νεώτεροι τὴν ἅμαξαν δασύνουσιν, ἴσως διὰ τὸν χηματισμὸν καὶ διὰ τὸ φιλησεῖν τῇ βασείᾳ· ἔνθεν παρ' αὐτοῖς κ ἡ συναλοιφὴ διὰ βασέος, καθημαξευμένα. ἄρκτοι δὲ δύο δείκνυνθ ἐν τῷ Βορείῳ κλίματι, αὕτη τε ἡ μεγάλη, ἡ καλουμένη κ ἅμαξα διὰ τὸ εἰς ἁμάξης τύπον κατηςερίσθ, κ ἡ ἐγγὺς ἐκείνης, ἡ μικρά, ἡ Κυνόσουρα καλουμένη διὰ τὸ ὡς κυνὸς ἔχειν ἀνακεκλασμένην τὴν οὐράν, ἧς Ὅμηρος ἀ μέμνηνθ ὡς ὕςερον εὑρεθείσης ὑπὸ Θαλοῦ τοῦ Μιλησίου, ἑνὸς τῶν ζ' σοφῶν. AD.

ἄλλως. Ζεὺς Καλλιςοῦς τῆς Λυκάονος ἐραθεὶς ἐμίσγετο αὐτῇ λανθάνων Ἥραν. ἐπιγνοῦσα δὲ ἡ θεὸς μετέβαλεν αὐτὴν εἰς ἄρκτον, κ ὡς θηρίον Ἀρτέμιδι προσέταξε τοξεῦσαι. Ζεὺς δὲ εἰς οὐρανὸν αὐτὴν ἀναγαγὼν πρώτην κατηςέρισεν. ἡ ἱςορία παρὰ Καλλιμάχῳ. AD.

488. ἥ τ' αὐτῷ: ἥτις περὶ τὸν ἀρκτικὸν κ ἀειφανῆ καλούμενον κύκλον ἤτοι πόλον ςρέφεθ, κ ἐπιτηρεῖ τὸν Ὠρίωνα, νεύσασα εἰς αὐτὸν ὡς κυνηγέτην· βλέπει γ' ἡ μεγάλη ἄρκτος πρὸς τὸ τῆ Ὠρίωνος ἄχρον. AD. πόλοι δὲ καλοῦνθ τὰ ἄκρα τοῦ ἄξονος περὶ ἃ ἀποτελεῖται καὶ ςρέφεται ὁ κόσμος. A.

εἰκότως αὐτὸν ἐπιτηρεῖ, ἅμα μὲν χαριέντως ὡς κυνηγόν, ὕςια δὲ ὅτι κ τὴν αὐτὴν κίνησιν αὐτῷ ποιεῖθ, ὥσπερ φησὶν ὁ Ἄρατος (226) „ὃς ῥά τε καὶ μήκιςα διωκόμενος περὶ κύκλα ἐδὲν ἀφαυρότερον τροχάει κυνοσυρίδος ἄρκτης." ἐκ ὀνομάζει δὲ τὴν ἄλλην, ἐπειδὴ τῶν ἐμφανεςέρων μέμνηται. B. τινὲς δέ φασι ἄκαι, ἵν' ᾖ κ κυνόσουρα· αὕτη γὰρ „μειοτέρη πᾶσα περισρέφεθ ςροφάλιγγι" (Arat. 43). ἀλλὰ πρῶτα μὲν ἅμφω ἅμαξαι ὀνομάζονθ, ὡς κ Ἄρατος „ἀτὰρ καλέονται ἅμαξαι" (27). ἄλλως τε ὅτε τὸ τέ ὑποτάσσει ὁ ποιητὴς τῷ ἄρθρῳ, ὃ σημαίνει. κ „ὅν τε κ ὑψόθ' ἑόντα" (Il. 17, 676)· „ἥ τε κύν' Ὠρίωνος" (Il. 22, 29?)· „ἥ τε κατ' αἰγίλιπος πέτρης" (Il. 9, 15)· „ἥ τ' ἀνὰ νῶτα θέουσα" (Il. 13, 547). οἱ δὲ τὸ ἄρκτον ἀντὶ πληθυντικοῦ, ὡς τὸ „θήγει δέ τε λευκὸν ὀδόντα" (Il. 11, 416). V.

ὅτι κυκλοτερής ἐςιν ὁ οὐρανός, δηλοῖ τὸ ςρέφεται, ὡς κ τὸ ἐςεφάνωται. V.

489. οἵη: ὡς πρὸς τὰ προειρημένα ἄςρα, ἐπεὶ κ ἄλλα ἐςὶ μὴ δύνοντα. A.

τὸ οἵη ἐκ ἔχει τὴν σύγκρισιν πρὸς ἅπαντα τὰ ζῴδια, ἀλλὰ πρὸς μόνα τὰ τῇ ἀσπίδι ἐντετυπωμένα· εἰσὶ γ' καὶ ἄλλα μὴ δύνοντα. B.

ἄλλως. ἀντὶ τοῦ μόνη ἡ δύνει εἰς τὸν Ὠκεανόν· αἱ γ' ἄρκτοι ἃ δύνεσιν ἐσαι ἐν τῷ ἀεὶ φαινερῷ, αἵ εἰσιν ἀμφότεραι τοῦ ὑπ' αὐτῶν καλουμένου πόλου ἀρκτικοῦ. μόνη ἓν δῆλον ὅτι τῶν κατηςερισμένων ἅμοιρός ἐςι τῶν Ὠκεανοῦ ῥείθρων κ ἁ καταδύεθ, ἐπεί τοι κ ἄλλα τινά ἐςιν ἀειφανῆ, ὅσα ὁ ἀρκτικὸς ἀποτέμνεθ κύκλος· ἔςι δὲ ἥ τε Κυνόσουρα καλουμένη ἄρκτος, κ ὁ διὰ ἀμφοτέρων τῶν ἄρκτων δράκων, κ ἡ χεὶρ τοῦ Βοώτου, μέρη τε τοῦ Κηφέως τὰ ἀπὸ ἴξυος ἕως ποδῶν. AD.

ἀνισόρητόν ἐςι τοῦτο· κατηγορῆσι μὲν γ' κατὰ τὸν περὶ τῆς ἄρκτου λόγον φύσκοντος „οἵη δ' ἄμμορός ἐςι λοετρῶν

Ὠκεανοῖο·" καθόλου γὰρ πάντα τὰ ἐν τῷ ἀρκτικῷ μὴ δύνειν. λύοιτο δ' ἂν ἐκ τῆς ἀναφορᾶς τῶν πρὸς ἃ εἴρηται διὰ τῆς λέξεως· εἰρημένου γὰρ „Πληϊάδας θ' — Ὠρίωνα δοκεύει" (486 - 488), τὸ „οἵη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο" πρὸς ταῦτα τὰ ῥηθέντα ἄρα καὶ τὰ συγκαταλεχθέντα ἔχει τὴν ἀναφοράν. κἂν διαιρῇ δέ, ἡ δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο, κατὰ λέξιν ἡ λύσις ὑπάρχει. ἀπρεπὲς δὲ δοκεῖ τὸ τῶν παρὰ θεὸς τὰ πλεῖστα παρ' Ὁμήρῳ λελέχθαι, ὧν ἡ λύσις κατὰ τὸ πλεῖστον ἀπὸ ἔθους λαμβάνεται· ἐξ ἔθους γάρ τινος τοῖς ποιηταῖς παρακεχώρηται καὶ τοῖς ζωγράφοις καὶ τοῖς πλάσαις ἀνθρωποπαθείας τῶν θεῶν διατυπᾶν καὶ μάχας αὐτῶν πρὸς ἀλλήλους καὶ ἀλλοιώσεις διαμυθολογεῖν. B.

490. ἐν δὲ δύῳ: ἐπὶ τὰ ἐπίγεια φέρει. διοικεμένη δὲ τῷ βίᾳ πολέμῳ καὶ εἰρήνῃ, τὰ ἐν ἀμφοτέροις τοῖς καιροῖς συμβαίνοντα πρὸς ἐκλογὴν τοῦ ἀμείνονος παραβέβληται. ἐπειδὴ δὲ ἡ μὲν Ἰλιὰς ὄψιν εἶχε πολέμου, ἀμνημόνευτος δὲ ἦν ἡ εἰρήνη, τῷ πολέμῳ πρὸς ὀλίγον ἐμνήσθη, τὸ δὲ περὶ τῶν εἰρηνικῶν ἐμήκυνεν. ἀναγκαίως δὲ τῷ βίῳ τὰ ἐναντία δίδωσι, πόλεμον καὶ εἰρήνην, ἡδονήν τε καὶ πόνους. BV.

τίνες δέ εἰσιν αἱ δύο πόλεις; Ἀγαλλίας ὁ Κερκυραῖος, ὁ Ἀριστοφάνει γνώριμος, εἶπε τὰς δύο πόλεις εἶναι Ἀθήνας καὶ Ἐλευσῖνα, κατασκευάζων ἔτως, τὴν μὲν προτέραν, ἐπεὶ κατὰ γένεσιν τῷ κόσμῳ πρώτη πόλις αἱ Ἀθῆναι, κατὰ δὲ τὴν φύσιν τῶν στοιχείων ὁ θεὸς τὴν πόλιν τειχοποιεῖ. ἐπιφέρει δὲ γάμους καὶ ὑμεναίους· ἐν Ἀθήναις γὰρ ταῦτα πρῶτον ἤχθη, αὐλές τε ἐν τοῖς γάμοις εὗρεν Ἀθηνᾶ. δίκην τε ἐν τῇ πόλει· παρὰ γὰρ Ἀθηναίοις πρῶτον ἐγένετο δικαστήριον ἐπὶ Ἁλιρρόθιῳ τῷ Ποσειδῶνος. οἱ δὲ δικασταὶ Ἀθήνησι μισθὸν λαμβάνουσι, καὶ διὰ τοῦτο λέγει κεῖσθαι ἐν μέσῳ χρυσοῦ δύο τάλαντα, τὴν δὲ ἑτέραν πόλιν οὖσαν τὴν Ἐλευσῖνα· πόλεμον δὲ ἔσχον Ἀθηναῖοι πρὸς Ἐλευσῖνα, ὃν αὐτοῖς ἐπολέμησεν Εὔμολπος ὁ Ποσειδῶνος. βοηθοί τε αὐτοῖς εἰσὶν Ἄρης τε καὶ Ἀθηνᾶ, ὁ μὲν χάριν ἀποδιδοὺς ὅτι ἀπελύθη κριθεὶς ἐν Ἀρείῳ πάγῳ, ἡ δὲ ὅτι τῆς πόλεως ὡς οἰκείας ἐκήδετο. καὶ τὰ ἐπαγόμενα δὲ ἴδια Ἐλευσῖνος „εὐρεῖα τρίπολος" (542), ἐπείπερ Ἐλευσῖνι πρῶτον καρπὸς Δημήτηρ ἔδωκεν. ἡ δὲ „σαφυλῇσι μέγα βρίθουσαν ἀλωήν" (561), ἐπὶ Ἰκαρίῳ καὶ Διονύσῳ πορείᾳ. ὁ δὲ ποικιλλόμενος χορὸς Ἀριάδνης καὶ Θησέως ἔχει πράξεις. ἴδιος δὲ καὶ ὁ τεχνίτης τῶν Ἀθηνῶν Ἥφαιστος· Ἐριχθονίῳ γὰρ τῷ υἱῷ χαριζόμενος· βασιλεύοντι τῶν Ἀθηνῶν τὴν τοιαύτην κατασκευὴν παρεισήγαγε. τὸν δὲ Ἄρειον πάγον ἑρμηνεύει τὸν ἱερὸν κύκλον· οἵ τε δικασταὶ Ἀθηναῖοι. διὰ ποίαν δὲ αἰτίαν μόνος ὁ Ὠκεανὸς ποταμὸς ἀ πάρεσι τῇ ἐκκλησίᾳ τῶν θεῶν; ῥητέον δὲ ὅτι ἐπεὶ συνεκτικὸν ἔχει τὸ κόσμου τὸ ῥεῦμα· φησὶ γὰρ „Ὠκεανὸς ᾧ πᾶσα περίῤῥυτος ἐνδέδεται χθών." A.

492. νύμφας: νῦν τὰς γαμουμένας. D.

ἐκ θαλάμων: Ζηνόδοτος ἐς θαλάμους· καὶ ἔστιν ἐκ ἀπίθανος ἡ γραφή. A.

ὕπο: μετά. Ἀθήνησι δὲ ἔτως τὰς νύμφας ἄγουσι. B. ἡ διπλῆ, ὅτι ἡ ὑπό ἀντὶ τῆς μετά, μετὰ δάδων· Ἀρχίλοχος „ᾄδων ὑπ' αὐλητῆρος." ἢ πρὸς τὸ ἀρχαῖον ἔθος ὅτι οἱ νυμφίοι τὰς νύμφας μετὰ δάδων παρελαμβάνοντο. A.

493. πολὺς δ' ὑμέναιος ὀρώρει: ἐξῆπτο, διεγήγερτο πλείστη γαμήλιος ᾠδή. τὸν δὲ ὑμέναιον ἐτυμολογοῦσί οἱ μὲν ἀπὸ τοῦ ναίειν ὁμοῦ τὸν νυμφίον καὶ τὴν νύμφην, ἄλλοι δὲ φυσικῶς, ἐπεὶ ὑμήν ἐστιν ὁ ῥηγνύμενος ἐν τῇ τῶν παρθένων διακορήσει. οἱ δέ, ὅτι Ὑμέναιός τις Ἀργεῖος παρὰ πλείστων τὰς Ἀθήνας κατέλαβεν Ἀττικὰς παρθένους ἁρπαζομένας ὑπὸ Πελασγῶν τινῶν, αἷς ἐπιφανεὶς αἴτιος ἐγένετο τοῦ μὴ βιασθῆναι, ἀποδιώξας τοὺς Πελασγούς. διὰ τοῦτο καὶ νομίμως γαμουμένας, ὥσπερ ἐπικαλουμένου αὐτόν, ὕμνουν τινὰ ἔλεγον εἰς αὐτόν, ὃν ἐκάλουν ὑμέναιον. ABD.

493. ὁ ἐπὶ ὁμονοίᾳ ᾀδόμενος· ἢ παρὰ τὸ ὁμοῦ εὐνάζειν αὐτούς. B.

495. ὅτι ἐνθάδε μὲν καὶ ἐν τῇ Κ (13) μέμνηται αὐλῶν. A.

Φρυξὸς ὁ αὐλός. ἆρα τῆς τότε εἰρηνευούσης Ἰλίου παράδειγμα ἡ πόλις· καὶ ὅτε γὰρ νυκτηγρετοῦσι Τρῶες, αὐλοῦσιν, παρὰ δὲ Ἕλλησιν ἀδαμοῦ αὐλός. ἐχ ὡς ἀποτελεσμένου δὲ ἦχε τινὸς ἐν τῇ ἀσπίδι τοῦτο ἀναγράφει, ἀλλ' οἷον τὸ εἴδωλα ὡς αὐλοῦντα καὶ κιθαρίζοντα ἦν. τὸ δὲ θαύμαζον ἀντὶ τοῦ ἐθεώρων. BV.

496. ἡ διπλῆ, ὅτι θαύμαζον ἐθεῶντο, οὐκ ἐξεπλήττοντο. A.

497. λαοὶ δ' εἶν ἀγορῇ ἔσαν ἀθρόοι: ἀγορὴ τόπος ἐν ᾧ ἀγείρονται. ἡδονὴν δὲ διαγράψας μέτεισιν ἐπὶ τοὺς τὰ τοιαῦτα τηροῦντας νόμους. ἔστι δὲ ἡ φάσις καταχρηστική, τῷ μὲν λέγοντος δεδωκέναι τὴν ποινήν, τῷ δὲ ἀρνουμένου εἰληφέναι τὴν ποινήν, ἣν παρέχοντες ἔφευγον τὸ ἔγκλημα τῷ φόνου. B.

ἐνείκεον: ἐφιλονείκουν, ἠμφισβήτουν· δικαστήριον γὰρ εἰσάγει δύο τινῶν ἀνδρῶν, ὧν ὁ μὲν ἐγκαλούμενος ἐδόκει λύτρα ἀποδεδωκέναι ὑπὲρ τοῦ πεφονευμένου ἐπιτίμια, ὁ δὲ ἐγκαλῶν ἔλεγε μηδὲν εἰληφέναι· δύο δὲ τάλαντα χρυσοῦ κατέθεντο, ὥστε τὸν ἀποδείξαντα τὸ ἀληθὲς λαβεῖν ἀμφότερα. ποινῆς δὲ λέγει τῆς καλουμένης παρὰ τοῖς Ἀττικοῖς ὑποφονίων, ἃ ἐδίδοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. λέγεται δὲ καὶ κοινῶς πᾶσα ἀντέκτισις ποινή. A

προσίμια, ἃ καὶ ὑποφόνια καλοῦσιν. V.

499. ἀποφθιμένου: παρὰ Ζηνοδότῳ ἀποκταμένου καὶ ἐν ταῖς πλείσταις· καὶ ἔστιν ἐκ ἀπίθανος ἡ γραφή. A.

ὁ μὲν διεβεβαιοῦτο λέγων δεδωκέναι τὸ ἀρχὰν πρὸς ὅλο τὸ ἀδίκημα, ὁ δὲ ἠρνεῖτο. B.

βραχὺ διασαλτέον ἐπὶ τὸ ἀποδοῦναι· ἐν γὰρ τῷ δήμῳ ἔλεγε πάντα ἀποδεδωκέναι, ἀ τῷ δήμῳ παραδεδωκέναι. A

500. πιφαύσκων: τοῖς περιεζωσι τῷ δήμῳ διασαφῶν. V

501. ἄμφω δ' ἑσθην: ἄμφω δὲ μάρτυρα παρεῖχον τῶν λεγομένων, καὶ ἐπὶ τούτῳ ἔθεντο τὸ πέρας τῆς δίκης ἀντὶ τοῦ ἤθελον ἄμφω ἐπὶ τῷ μάρτυρι πέρας λαβεῖν τῆς δίκην. B.

μάρτυρι ἢ κριτῇ τὸ τέλος τῆς δίκης οἱ δικασταὶ ἐτίθεντο, ὥστε τὸν παρέχοντα μαρτυρίαν νικᾶν. A.

ἀπὸ τῦ εἶδω εἶσω ἶζω, ἐλλείψαντος τῦ ε, ἐπεὶ τῷ ι τὸ ϝ ἐπεφέρετο, ὡς ἐν τῷ ἰϝῶ ἰϝίον. ἴζημι. ὅθεν καὶ δασύνεται, ἐπεὶ τὸ ι πρὸ τῦ ϝ μόνα δασύνεται. πρόσκειται τὸ μόνα, ἐπεὶ τὸ Ἵζρος ψιλῦται. A.

502. ἀμφοτέροισιν ἐπήπνον: ἐπεφώνων ἀμφοτέρωθεν ὡς βοηθοί. B.

παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει ἀμφοτέρωθεν· ἡ Μασσαλιωτικὴ ἀμφοτέρωθεν ἐπίπνυον. A.

503. γέροντες: γέροντας ἀξιοῖ δικάζειν ὡς συνέσει καὶ πολυπειρίᾳ πραγμάτων προῦχοντας· τὸν δὲ τόπον αὐτῶν ἱερὸν διὰ τὸ δίκαιον, ὥσε εἰς τὸ θεῖον ἀσεβῦσιν οἱ παρακρίνοντες καὶ οἱ ἀπειθῦντες. B. ἐν δ' Ἀρείῳ πάγῳ γέροντες δικάζουσι. V.

504. ἱερῷ ἐνὶ κύκλῳ: Θέμιδι γὰρ ἱερὰ τὰ δικαστήρια. A.

505. σκῆπτρα: ὅτι καὶ οἱ δημηγορῦντες καὶ οἱ δικάζοντες σκῆπτρα ἐλάμβανον· καὶ ἐν Ὀδυσσείᾳ (ρ, 37) „σῆ δὲ μέσῃ ἀγορῇ, σκῆπτρον δέ οἱ ἔμβαλε χειρί." ἠεροφώνων δέ, ὧν ἡ φωνὴ μέχρι τῦ ἐμφανῦς ἰκνεῖται. καὶ ἐν ἄλλῳ „φωνὴ δέ οἱ αἰθέρ' ἵκανε" (Il. 15, 686). A.

ἢ τῶν τὸν ἀέρα φωνάντων· ἀὴρ γὰρ πεπληγμένος ἐστὶν ἡ φωνή. B. ὡς Ἀπολλώνιός φησιν. D. ἢ ἕωθεν συγκαλέντων. V.

506. ἦϊσσον: ἦτοι ἐξώρμων σὺν τοῖς σκήπτροις ἄλλος ἐν ἄλλῳ τόπῳ· ἢ ἀνισάμενοι ἔφερον τὴν ψῆφον. A.

κατέσειον ἐπὶ τὸ σιωπῆσαι. A.

συμπεριέφερον τὰ σκῆπτρα τοῖς λεγομένοις, ὡς καὶ οἱ δημηγορῦντες· ὅθεν καὶ Ὀδυσσεὺς ἔδοξεν ἀμαθὴς εἶναι μὴ κινῶν ὑπὸ πανεργίας τὸ σκῆπτρον (Il. 3, 218). V. ἔπω γὰρ ἀνέδην τὰς χεῖρας ἐκίνει. V.

ἀμοιβηδὶς δὲ δίκαζον: ἦτοι ἐκ διαδοχῆς οἱ δικασταὶ ἐκαθέζοντο, παρὰ μέρος τὸ ἐν πρᾶγμα δικάζοντες, καὶ ἕκαστος τὸ καθ' ἑαυτὸν ἐν μέρει ἀπεφαίνετο. τὸ δὲ ἀμοιβηδὶς κατ' ὀξεῖαν τάσιν· εἴρηται δὲ περὶ τῶν εἰς δὶς ληγόντων ἐπιῤῥημάτων. A.

ἢ πάντες βελευσάμενοι μίαν ἐξέφερον γνώμην, ἐναλλὰξ δὲ ἕκαστος τὸ δακῶν δίκαιον ἀπεφαίνετο. ὁ δὲ Ἀρίσταρχός φησιν ἀντὶ τῦ κατὰ τάξιν τῆς ἡλικίας. B.

αἱ Ἀρισάρχῳ ἀμοιβηδόν ὡς κλαγγηδόν. κατὰ τάξιν τῆς ἡλικίας. A. ὡς καὶ ἡ γερουσία Λακεδαιμονίων. V.

507. δύω χρυσοῖο τάλαντα: ἦτοι τοσῦτον δικαιικὸν ἐπιχῦντο. ἀλλ' ἐπεὶ ἀπίθανόν ἐστιν, ἄμεινον κατ' αὐτῶν κρινομένων τῷ φανέντι ψευδομένῳ ἐπικλασαι δύο τάλαντα ἐπιδῦναι τῷ τὰ ἰθύντατα εἰπόντι. A.

508. τῷ δόμεν: ἐπὶ δικαιοσύνην παρακαλῶν τὸς δικαστάς, ἆθλον δικαιοκρισίας φησὶν αὐτοῖς παρὰ τῶν δικαζομένων δίδοσθαι. ἄδηλον δὲ ὁπότερον πρὸς ἓν ἢ πρὸς δύο ἀπέθετο, ἵνα ἢ ὁ νικήσας ἢ ὁ ἡττηθεὶς δῷ τῷ δικαστῇ, διὰ τὸ συκοφαντεῖν πολλούς. τῦτο δὲ καλεῖται συνηγορικὸν τέλος. B.

509. τὴν δ' ἑτέρην: ἤτοι ἐξηγητέον· πόλιν τινὰ περικαθεζόντες δύο πολεμίων στρατοὶ τὴν λείαν ἀφείλοντο. ἠνάγκαζον δὲ καὶ τὴν κτῆσιν διανείμασθαι τὸς πολίτας ἐπὶ τῷ παῦσαι τὸν πόλεμον. οἱ δὲ πολῖται οὐκ ἐπείθοντο, ἀλλὰ σκοπὸς πέμψαντες ἐλόχων ὁπότε ἥξουσι τὰ θρέμματα αὐτῶν ἐπὶ νομήν, ἵνα ἀφέλοιντο τῶν πολεμίων. καὶ δὴ τῦτο ποιῦσιν. οἱ δὲ τὸν θόρυβον ἀκούσαντες — ἔτυχον γὰρ περὶ τάτα σκοπῦντες, πότερον ἀρκεθήσονται τῇ λείᾳ ἢ πολεμήσουσιν — ἐπιβάντες τῶν ἵππων συνῆψαν πόλεμον. B.

δύω στρατοί: ἓν στράτευμα νοητέον εἰς δύο διῃρημένον· πολιορκία γὰρ ἦν καὶ ἡ πεδιὰς ἡ μάχη. AD. ἢ δύο στρατὸς τὸς τὸν ἐν τῇ πόλει καὶ τὸν ἐπελθόντα φησίν. A.

ἢ ὁ πολιορκῶν καὶ πολιορκέμενος, ἢ δύο ἐπὶ διαφόροις ἥκοντες αἰτίαις, ὁμονοήσαντες δὲ κατὰ τῆς πόλεως. ABV.

Πορφυρίω. πολλῆς ταραχῆς πλήρη ἔδοξεν εἶναι τὰ ἔπη ταῦτα „τὴν δ' ἑτέρην πόλιν" — μέχρι τοῦ „ἐν δ' ἐτίθει νειὸν μαλακήν, πίειραν ἄρουραν" (541). ταράσσει γὰρ τοὺς πολλοὺς οἱ δύο στρατοί, ἆρά γε πολέμιοί εἰσι τῶν κατοικέντων καὶ ἀλλήλοις φίλοι, ἢ εἷς μὲν τῶν ἐκ τῆς πόλεως, ὁ δ' ἕτερος πολέμιος· καὶ πρὸς τίνας διχονοῦσιν, ἆρά γε πρὸς ἀλλήλους ἢ πρὸς τὸς ἔνδον· καὶ ἐπὶ τίνων τὸ „οἱ δ' ἔπω πείθοντο," ἆρά γε τῶν εἴσω ἢ τῦ ἑτέρου στρατῦ. καὶ πάλιν ἐπὶ τίνος τὸ „λόχῳ δ' ὑπεθωρήσσοντο," ἆρά γε ὁ ἕτερος τῶν στρατῶν ἢ οἱ ἔνδον· καὶ τίνων οἱ σκοποί· καὶ τίνων ἡ λεία· πῶς τε, εἰ τῶν ἔνδον ἡ λεία, ὁ λόχος παρ' αὐτῶν· καὶ τίνες οἱ ἐπεξιόντες, ἆρα οἱ δύο στρατοὶ ἢ οἱ ἕτεροι· ὅλως τε τίς ἡ διατύπωσις τῦ πλάσματος. ἐν τῷ δευτέρῳ τῶν ἐξηγητικῶν φησὶν Ἀλέξανδρος ὁ Κοτυαεὺς ὅτι δύο στρατοὶ περιεκάθηντο τὴν πόλιν πολέμιοι, ἢ πορθεῖν ἀξιῦντες αὐτὴν ἢ τὰ ἡμίσεα λαβόντες ἀπιέναι· οἱ δ' ἔνδον ὄντες οὐκ ἐδέχοντο τὴν πρόκλησιν. οἱ ἓν πολέμιοι, φησίν, ἐνέδραν τινὰ ἐποιήσαντο τοῖς ποιμνίοις καὶ τοῖς βουκόλοις, ἃ ἦν κτήματα τῶν ἐν τῇ πόλει. εἶτα ἀξιοῖ τὸ μὲν „οἱ δ' ἔπω πείθοντο" ἀκύειν περὶ τῶν ἐν τῇ πόλει, τὸ δὲ „λόχῳ δ' ὑπεθωρήσσοντο" περὶ τῶν πολεμίων, καὶ τὸ „οἱ δ' ἦσαν" περὶ τῶν πολεμίων τῶν εἰς τὴν ἐνέδραν ἀπιόντων. οἱ δὲ σκοποὶ τῶν πολεμίων εἰσί. τὸ δὲ „οἱ δ' ὡς ἓν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσίν" ἐπὶ τῶν ἐν τῇ πόλει ἀκύει· ἐκαθέζοντο γὰρ ἐν ἐκκλησίᾳ βουλευόμενοι, τὰ τείχη φρουρεῖν παραδόντες τῇ ἀπολέμῳ ἡλικίᾳ· τὸ γὰρ „ἰράων προπάροιθε καθήμενοι" σημαίνει ἐκκλησίας, ἐν αἷς εἵρυσι καὶ ἐκκλησιάζουσιν. ὅτε δ' αὐτοῖς ἐμηνύθη τὰ κατὰ τὰ ποίμνια, ἐπιτρέχουσι, καὶ ἐξελθόντες συμβάλλουσι μάχην. εἶχε δ' ἂν πιθανότητα ἡ διατύπωσις, εἰ μὴ πρῶτον μὲν βεβιασμένη ἡ ἀπόδοσις ἦν τῷ τοιάτῳ σίχῳ „οἱ δ' ἔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο." τὸ μὲν γὰρ „οἱ δ' ἔπω πείθοντο" ἀξιοῖ περὶ τῶν ἔνδον διακύειν, τὸ δὲ „λόχῳ δ' ὑπεθωρήσσοντο" περὶ τῶν ἐκτός, ἵν' ᾖ τὸ „οἱ δ' ἔπω πείθοντο" ἀντὶ τῦ μὴ πειθομένων αὐτῶν εἰς λόχον ἐθωρήσσοντο οἱ τὰς προκλήσεις ποιούμενοι. τὸ δὲ „οἱ δ' ἔπω πείθοντο" ἂν ἀκύωσιν ἀντὶ τῦ μὴ πειθομένων αὐτῶν, βίαιον. πάλιν δὲ μεταξὺ τῦ „λόχῳ δ' ὑπεθωρήσσοντο, οἱ δ' ἦσαν" ἐμβεβλῆσθαι φάσκειν περὶ τῶν ἔνδον, ὅτι οἱ ἀπόλεμοι ἐτειχοφυλάκουν ὑπ' ἀσθενείας, ἔστιν ἐλεγ-

χόντων τὸν ποιητὴν μὴ δυνάμενον φράζειν ἀταράχως. πάντως δὲ λόχος ἐκ τῶν πάντων ἦν τῶν ἐν τοῖς δύο στρατοπέδοις, ἀλλὰ τινῶν· πῶς οὖν ὑπεξίασιν οἱ ἐν τῇ πόλει φανερῶς τε καὶ ἀδεῶς τῶν πολιορκούντων κωλυόντων; ἀμείνους ἦν οἱ ὕστω διατυπώσαντες τὸ πλάσμα. δύο στρατοὶ ἐπελθόντες πόλει τὴν λείαν περιήλασαν, καὶ τὴν πόλιν πολιορκοῦντες ἀξιοῦσι τῶν ἐν αὐτῇ κτημάτων λαβεῖν τὸ ἥμισυ ἐφ' ᾧ τε καταθέσθαι τὸν πόλεμον. οἱ δ' ἐν τῇ πόλει οὐκ ἐπείθοντο, ἀλλ' ἐνεδρεύσαντες ἐπὶ πότον ἐρχόμενα τὰ τετράποδα ἀπήλασαν. οἱ πολέμιοι δὲ στρατοί, καίπερ ἐκκλησιάζοντες, ἐπεὶ ἐπύθοντο τοῦτο, τῶν ἵππων ἐπιβάντες ἐπῆλθον αὐτοῖς· ὅτι γὰρ αὐτοί εἰσι (λέγω δὲ οἱ στρατοί) ἐκκλησιάζοντες, δεδήλωκε περὶ αὐτῶν εἰπὼν „δίχα δέ σφισιν ἥνδανε βουλή." ἀκολούθως εἴρηται ἐπὶ τῶν ἐκτός, ὅτι οὐκ ἐπείθοντο μέν γε, εἰς δὲ λόχον καθωπλίζοντο, παραδόντες τοῖς ἀστρατεύτοις τὴν φρουρὰν τῶν τειχῶν. καὶ τὸ „οἱ δ' ἴσαν" ἐπὶ τῶν ἐκ τῆς πόλεως ἀκολούθως ἐπῆκται, λάθρᾳ ἐξιόντων αὐτῶν, καθ' ὅθεν οὐκ ἦν προσδοκῆσαι τοῖς ἔξω ἀνοχὰς ἔχουσι τῷ πολέμῳ καὶ ἐκκλησιάζουσιν. αὐτῶν τε οἱ σκοποὶ τῶν εἰς τὸν λόχον ἐξελθόντων. καὶ οἱ τερπόμενοι ταῖς σύριγξι νομεῖς εἰσὶ μὲν τῶν πολεμίων εἷεν, ἔχει λόγον, εἰ δὲ τῶν ἐκ τῆς πόλεως, παράλογον· ἐδύναντο γὰρ οἱ τῶν πολιορκεμένων ἑτέρποντο, ἀλλ' οἱ τῶν πολιορκόντων. καὶ λοιπὸν ἀκολούθως ἐπελθόντων τῶν στρατῶν περικάθητο μὲν ἁπλῶς τὴν πόλιν, μάχη δὲ περὶ τὸν λόχον γίνεται. ἄλλοι δὲ ἠξίουν τῶν δύο στρατῶν τὸν μὲν φίλιον εἶναι τῶν ἔνδον, τὸν δὲ πολέμιον· καὶ τὸν μὲν πολέμιον ἐλεῖν βούλεσθαι τὴν πόλιν, τὸν δὲ φίλιον ἀξιοῦν τὰ ἥμισυ δοῦναι τῶν ἐν τῇ πόλει κτημάτων· τοὺς δὲ πολεμίους μήπω πείθεσθαι ἀλλὰ βουλεύεσθαι· ὧν βουλευομένων, λόχον αὐτῶν τῇ πόλει συσῆσαι τοὺς τῶν ἔνδον φίλους στρατιώτας. τετάρακται δὲ καὶ ἡ τοιαύτη ἐκδοχή, ὡς ἐπιόντι σοι κατ' αὐτὰ τὰ ἔπη ἔσαι δῆλον, ὥστε ἡ δευτέρα ἀπόδοσις ἔχεται τῆς Ὁμηρικῆς διανοίας. B.

510. δίχα δέ: τοῖς πολιορκοῦσιν ἐχωσμένη ἦν ἡ γνώμη· ἐὰν μὲν θελήσωσιν οἱ πολιορκούμενοι τὰ οἰκεῖα διανείμασθαι κτήματα, ἀπαλλάττεσθαι τῆς πολιορκίας, εἰ δὲ μή, πορθῆσαι τὴν πόλιν. B.

σημειοῦνται τινες ὅτι οἱ ἐπιστρατεύσαντες πόλει τινὶ καὶ μετὰ σπονδῶν ἀπαλλασσόμενοι ἐλάμβανον παρὰ τῶν πολεμουμένων τὸ ἥμισυ τῶν ἐν τῇ πόλει κτημάτων. AD.

ἡ διπλῆ πρὸς τὸ ἀρχαῖον ἔθος, ὅτι οἱ πολιορκούμενοι ἐξίσασαν τοὺς πολεμίους ἐπιμεριζόμενοι τὰ κτήματα. A. ὡς καὶ Ἕκτωρ φησὶ „μή τι κατακρύψαι ἀλλ' ἄνδιχα" (Il. 22, 120). V.

511. ἐμψυχός ἐστιν ἡ γραφή, ὡς καὶ τὰ ἀφανῆ δηλοῦν. τὸ δὲ πάντα πρὸς τὰ σημαινόμενα κτήματα ἀπέδωκεν. B.

513. οἱ δ': οἱ ἔνδον. A.

ἔπω: παρέλκει τὸ πω, ὡς τὸ „ἐδέπω Ἀτρείδαο ὀπὸς ἔκλυον" (Il. 16, 76). λέγει δὲ ὅτι οὐκ ἐπείθοντο οἱ πολῖται. δεῖ δὲ νοεῖν τὴν λείαν ἣν οἱ πολέμιοι ἀφεῖλοντο, τούτους λοχῆσαι σπεύδειν. B.

514. 515. *Πορφυρίς.* ἐκεῖνο μέντοι παρελθεῖν ἐκ ἄξιον, ὅτι οἱ περὶ *Παρμενίσκον* ἐπὶ τῷ „τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα ῥύατ' ἐφεσσάμενοι, μετὰ δ' ἀνέρες ὃς ἔχε γῆρας" (514) εἶζειν ἠξίουν μετὰ τὸ ῥύατο, εἶτα συνῆπτον τὸ ἑξῆς „ἐφεσσάμενοι μετὰ δ' ἀνέρες ὃς ἔχε γῆρας." ἐὰν γοῦν τοῖς ἄνω, φασί, συνάψωμεν, σολοικισμὸς ἔσαι, ἐπεὶ θηλυκὸν πρόκειται καὶ ἀδέτερον, τὸ δὲ ἐσαότες ἀρσενικόν· ἐδυνάμην ἂν φάναι πρὸς αὐτὰς ὅτι καὶ ὕστως Ὅμηρος πολλαχηματίζει· καὶ αὐτὸς γοῦν λέγει „κλυτὸς Ἱπποδάμεια" (Il. 2, 742) καὶ „θῆλυς ἀϋτμή" καὶ „ὁλοώτατος ὀδμή" (Od. 4, 442) καὶ „ὄπα χάλκεον" (222) καὶ „ἅλὸς πολιοῦ" (Il. 20, 229), καὶ ἐπὶ δυϊκῶν „ἐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ" (Il. 8, 455). ἄλλως τε ἐν τοῖς τέκνοις καὶ οἱ ἄρσενές εἰσι· τί ἂν κωλύει πρὸς τὸ σημαινόμενον ἀπηντηκέναι, ὡς ἐπ' ἄλλων μυρίων, οἷον „νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν ὄποτ' ἐρωεῖ" (Od. 12, 74)· πρὸς γὰρ τὸ νέφος ἡ ἀπόδοσις. πάλιν „ἠδ' ἐπὶ δεξιὰ ἠδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν ἀζαλέην, τό μοι ἐξετελεύρινον πολεμίζειν" (Il. 7, 238)· πρὸς γοῦν τὸ σάκος ἡ ἀναφορά. καὶ εἰπὼν „ἐπ' εἰροπόκοις οἴεσιν" ἐπάγει „τὰ δ' ἐρῆμα φοβεῖται" (Il. 5, 137. 140)· πρὸς γὰρ τὰ πρόβατα τὸ χῆμα. καὶ ἐν ταῦθα οὖν πρὸς τὰς παῖδας φαίη ἄν τις τὴν ἀναφοράν· ἐν δὲ τοῖς ὑποκειμένοις καὶ δύο χήματ' ἔμιξεν ἐπὶ τῷ „διὰν δίχα πάντα δάσασθαι, κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐν τοῖς ἔεργει·" τὸ γοῦν ἅπαντα ἀναφέρεται πρὸς τὸ κτῆμα, τὸ δὲ ὅσην πρὸς τὴν κτῆσιν. ἐμοὶ δὲ δοκεῖ παραπλήσιόν τι νῦν κἀνθάδε πεπονθέναι τὴν φράσιν τῷ λεγομένῳ Ἀλκμανικῷ χήματι, ὅπερ ἐξῆν τοιοῦτον· „ἔνθα μὲν εἰς Ἀχέροντ' Περιφλεγέθων τε ῥέουσι Κωκυτός τε" (Od. 10, 513) καὶ „τὸν δέ κ' Ἄρης ἄρχουσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (Il. 20, 138). ὥσπερ γοῦν ἐν τούτοις ἐν μέσῳ κεῖται ὃ ἔδει ἐπάγεσθαι, ὅτι καὶ ἐπὶ τῶν νῦν ζητουμένων· εἰ γὰρ τὸ ἐφεσσάμενοι ἐπάγοιμι τῷ „μετὰ δ' ἀνέρες ὃς ἔχε γῆρας," οὐδ' ἂν ἔτι ζητοῖτο· μόνῳ δὲ τούτῳ διαφέρει τοῦ Ἀλκμανικοῦ· ἐκεῖνο μὲν τοῖς παρ' ἀριθμὸν χήμασιν ὑποπίπτει, τοῦτο δὲ τοῖς παρὰ γένος· ὑπερβατῷ δὲ ἀμφότερα λύεται. B.

Παρμενίσκος τοῖς ἑξῆς συνάπτει τὸ ἐφεσσάμενοι, ἐπεὶ σολοικοφανές, φησί, τέκνα ἐφεσσάμενοι καὶ ἄλοχοι. εἰ δὲ καὶ τοῖς τέκνοις εἰσὶ καὶ ἄρρενες, τί κωλύει πρὸς τὸ σημαινόμενον αὐτὸν ἀπηντηκέναι, ὡς καὶ ἐπ' ἄλλων μυρίων; „νεφέλη δέ μιν ἀμφιβέβηκε τὸ μὲν ὄποτ' ἐρωεῖ·" „νωμῆσαι βοτό μοί ἐστιν." ὕστως καὶ ἐνθάδε ἑσαότες παῖδες. A. πρὸς τὸ ἀρσενικὸν ἀπέδωκεν, ὡς ἐν τῷ „μήτε τις ἓν θήλεα Θεὸς τόδε μήτε τις ἄρσην" (Il. 8, 7)· „ἀλλ' ἅμα πάντε ἤϊθεοι καὶ παρθένοι ὀρχεῦντο χεῖρας ἔχοντες" (593)· „Κύπρίς τε καὶ ἀργυρότοξος Ἀπόλλων τῶτον ἀνέντες" (Il. 5, 760). τινὲς εἰς τὸ ῥύατο εἶζησιν, ἵνα τῷ ἀνέρες μόνῳ ἁρμόσῃ τὸ ἐφεσσάμενοι, ἵνα ὃ ἔδει ἐπάγεσθαι, τοῦτο ἐν μέσῳ κείμενον· οὕτω γοῦν „μετὰ δ' ἀνέρες ἐφεσσάμενοι." ὁ *Πλάτων* δὲ ἐν τοῖς νομίοις ἀξιοῖ γυμνάζεσθαι γυναῖκας τὰ πολεμικά, παρ' Ὁμήρου μαθών. καὶ *Σαυροματῶν* αἱ γυναῖκες τὴν αὐτὴν τοῖς ἀνδράσιν ἐνδύομεναι στολὴν πολεμοῦσιν. B.

516. οἱ δ' ἴσαν: οἱ ἀπὸ τῆς πόλεως ἐξῆσαν εἰς τὸ

λόχον. ὡς ἠδικημένοις δὲ καὶ τὸ θεῖον συλλαμβάνει. B.

518. μεγάλως: δυνάμει, ἢ μεγέθει. B.

ὥσε θεώ: ὡς τὸ „ῥεῖα μάλ' ὥσε θεός" (Il. 3, 381). V.

519. ὑπολίζονες: προπαροξυτονητέον· πρόδηλον κἀκ τῆ παρακειμένῃ ἀδετέρᾳ „ἀδὲν ὄλιζον ἔξομαι," εἴ γε ὁμοτονεῖ τοῖς ἀδετέροις ἀεὶ τὰ ἀρσενικὰ κατὰ τὸ τέλος κατὰ τὴν ἡμετέραν διάλεκτον, ἑνὸς ἀντικειμένῃ τῇ ἓν διὰ τὸ μὴ δύνασθαι περισπωμένην ἐπὶ βραχείας εἶναι. τὰ δὲ παραδείγματα ἄφθονα ἐπὶ πάσης καταλήξεως ἐχούσης παραχηματισμὸν ἀδετέρᾳ, μέλας μέλαν, τάλας τάλαν, πᾶς πᾶν, εὐμήκης εὔμηκες, ταχὺς ταχύ, φίλος φίλον, σώφρων σῶφρον. ὅθεν εἰ ἔτως ἀνέγνωμεν „ἀδὲν ὄλιζον ἔξομεν," καὶ τὸ ὀλίζων βαρύνειν ὀφείλομεν. καὶ γὰ ἀδέποτε τοῖς εἰς ων ὀξυνομένοις ὀνόμασι παράκειτ' ἀδετέρᾳ παραχηματισμούς, τοῖς μέντοι βαρυνομένοις, σῶφρον τλῆμον. εἰ δὴ παράκειτ' τὸ ὄλιζον, δῆλον ὅτι καὶ τὸ ἀρσενικὸν βαρύνετ'. ἐχημάτισαι δὲ συγκριτικῶς κατὰ πάθος· παρὰ γὰ τὸ ὀλιγώτερος κατὰ δεύτερον τύπον τὸ ὀλιγίων μὴ εἰρημένον συγκριτικῶς, ὑπερθετικῶς δὲ ἐν τῷ ὀλίγιστος, ἐξέπιπτε τρίτος τύπος ὁ διὰ δύο σσ, ὀλίσσων· τὰ δὲ δύο σσ μετέπεσεν εἰς τὸ ξ, καὶ ἀπετελέσθη τὸ ὄλιζον. ἔτως οὖν ἐχηματίσαμεν καὶ τὸ μεῖζον, λέγω δὲ κατὰ τὴν αὐτὴν τροπὴν τῶν στοιχείων. A.

ἐλάττονες καὶ μικρότεροι. D. ἥττως τῷ μεγέθει τὰ σώματος· ὁ δὲ Ἐπαφρόδιτος τῇ δυνάμει. περισσὴ δὲ ἡ ὑπόφησι δὲ Ὅμηρον τὸ ὀλίγον οὐδέποτε ἐπ' ἀριθμοῦ τάσσειν ἀλλ' ἐπὶ μεγέθους. B. „νῦν δέ με ὧν ἐτιδανὸς καὶ ὀλίγος" (Od. 9, 515). V.

ἡ διπλῆ ὅτι ἅπαξ κέχρηται τῇ λέξει, καὶ σημαίνει ὀλίγοι. A.

520. εἶκε: ἀντὶ τοῦ πρέπον καὶ ἐφίκτὸν ἦν. B.

521. ἐν ποταμῷ: ἀντὶ τοῦ παρὰ ποταμῷ. B.

ἀρδμός: ἀρδεία καὶ ἀπάρυσις ὕδατος. καὶ ἐν Ὀδυσσείᾳ „ἓν δ' ἀρδμοὶ ἐπετανοί" (Od. 13, 247). ἐκτατέον δὲ τὴν ἄρχουσαν αὐτοῦ. βοτοῖσι δὲ γραπτέον, ὅθεν καὶ βοτῆρες καὶ βοτάνη. B.

ἐκτατέον τὴν πρώτην συλλαβὴν τοῦ ἀρδμός, ἐπεὶ καὶ τὸ ἄρδω ἔχει ἐκτεινόμενον τὸ ᾱ· „τὸν νῶν ἵν' ἄρδω, καὶ λέγω τι δεξιόν." ἔχ ὅσα μέντοι ἐν ῥήμασιν ἔκτασιν ἔχει, καὶ ἐν ὀνόμασιν· παρὰ γὰ τὸ ἄσσω καὶ κατάσσω καὶ μέλλοντα τὸν ἄξω καὶ προσακτικὸν τὸ „ἄξον δὴ ἔγχος Διομήδεος" (Il. 6, 306) ἡ ἀξίνη συνέλλει τὸ ᾱ, παρά τε τὸ ἀρῶ καὶ ἀρῶμαι ἐκτείνομεν ὄνομα Ἄρην· „πισσοκονίας Ἄρην" Κρατῖνος. A.

523. τοῖσι: αὐτοῖς τοῖς ἐνεδρεύσι. B. τοῖς ἀπὸ τῆς πολιορκουμένης πόλεως. V.

525. οἱ δέ: οἱ βῶς καὶ τὰ μῆλα· περὶ ἀμφοτέρων γὰ ὁ λόγος. V.

526. τερπόμενοι σύριγξι: ἤτοι ἐπεὶ ἀνύποπτον ἦν τὸ ἐν τῷ πολέμῳ λοχᾶν, ἢ καὶ διὰ τὴν τέρψιν τῶν συρίγγων. A.

Ἀριστοφάνης δυϊκῶς τερπόμενω. A.

δόλον δ' ἔτι προνόησαν: διὰ τὸ ἀπροσδόκητον· ἐικὸς ἦν τὰς πολιορκουμένας τοῖς πολιορκοῦσιν ἐπελθεῖν. B.

528. τάμνοντ': ἀπήλαυνον. B.

πώεα καλά: παρὰ Ζηνοδότῳ πῶϋ μέγ' οἷᾶν. A.

530. οἱ δ': οἱ ἐν τῇ πόλει ὃς προέπεμψαν. A.

δηλονότι οἱ πολιορκοῦντες, ὧν τὰ ποίμνια περιηλαύνετο. BV.

531. ἰράων: τῶν βελευτηρίων. B.

ὅτι εἴρας λέγει τὰς ἀγορᾶς, χηματίζων ἀπὸ τοῦ εἴρειν, ὃ ἐστι λέγειν. A. ὅθεν ὁ Ἶρος. D.

535. ἐν δ' Ἔρις: κατὰ τὴν τάξιν τῶν πραγμάτων καὶ τὰς ὀνομασίας ἔθηκεν. B.

ἄλλως. ἐν τάξει τῶν συμβαινόντων λέγει· ἄρχεται γὰρ Ἔρις, καὶ τελευτᾷ εἰς πόλεμον· ὁ δὲ πόλεμος ἀποτελευτᾷ εἰς κῆρας. αἱ δὲ τοῦ πολέμου κῆρες πολλαί· διὸ „ἄλλον ζωὸν ἔχουσα νεώτατον, ἄλλον ἄστυ, ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν." A.

536. ἔχουσα: πρὸς τὸ Ἔρις ὑπήντηκεν. B. ἢ μοῖρα ἡ αὐτὴ τῶν τριῶν ἐδέδρακτο. νοητέον δὲ ὅτι ἐξ ἀμφοτέρων τῶν ταγμάτων εἰσὶν οἱ πεσόντες. V.

537. τεθνειῶτα: Ἀρίσαρχος τεθνηῶτα. A.

538. εἶμα δ' ἔχ': ἐν τῇ Μασσαλιωτικῇ εἶμά τ' ἔχε. A.

δαφοινεόν: λίαν πεφοινιγμένον ἀπὸ τοῦ αἵματος. V.

φόνῳ πλῆρες, ὡς τὸ „Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσφιν δάϊε χαλκῷ ῥωγαλέον" (Il. 2, 416), διερρωγὸς τῷ σιδήρῳ. δηλοῖ δὲ τὸ δαφοινὸν τὸ σφόδρα φοινικόν· δαφοινοὶ θῶες (Il. 11, 474) καὶ δράκων δαφοινός (Il. 2, 308). ἀλλὰ ταῦτα μὲν ἐνεργητ'· τὸ δὲ αἷμα δαφοινὸν καὶ αὐτὸ σφόδρα φόνῳ πλῆρες. καὶ ἡ δασπλῆτις δὲ Ἐρινὺς (Od. 15, 234) ἡ σφόδρα προσπελάζουσα, ἀπροσπέλαστος. B.

ὀξύνεται· ἐπὶ γὰ τῶν εἰς ος ὀνομάτων ὁ πλεονασμὸς τοῦ ε φυλάσσει τὴν ἐπὶ τέλους ὀξεῖαν, κενός κενεός, ἀδελφός ἀδελφεός. A.

κἀκ τούτων φαίνεται γραφικὴν εἰδώς· κατὰ χρώματα γὰ ποικίλλει. V.

539. ὥσε ζωοὶ βροτοί: οὐκ ἄρα ζωὰ ἦν τὰ ἐπιγεγραμμένα, ἀλλ' ὅμοια ζωοῖς ἐκ τῆς ποικιλίας τῶν χρωμάτων. B.

540. ἡ διπλῆ, ὅτι ἐπὶ τῶν τοιούτων τόπων οἱ γλωσσογράφοι νεκρὰς τὰς νέας ὑπέλαβον λέγεσθαι. A.

κατατεθνειῶτας: Ἀρίσαρχος διὰ τοῦ η. A.

541. νειόν: τὴν λεγομένην νεατόν, ὃ ἐστιν ἠροτριασμένην, ἀπαλὴν καὶ διακεχυμένην· ὡς γὰρ νέα φαίνεται ἡ τοιαύτη. AD.

τρίτον ἐστὶ τοῦτο· μετὰ γὰ τὰ θεῖα καὶ τὰς πόλεις γεώργιόν τι παραλαμβάνει. δαιμονίως δὲ διὰ τῶν ἐπιθέτων ἐδείξεν εἰς ὁποίαν δεῖ γῆν πόνον κατατίθεσθαι, εἰς μαλακὴν καὶ εὔβωλον. B.

τῆς εἰρηνευομένης δηλονότι αὕτη ἡ γῆ. οἱ γὰ πολιορκοῦντες τὴν πολεμουμένην χώραν. V.

542. εὐρεῖαν: ἀκόλουθόν ἐστι καὶ τοῦτο· ταύτην γὰ πολλοῖς ζεύγεσι φησιν ἀρᾶσθαι ὡς εὐρεῖαν. B.

τρίπολον: τρὶς ἐςραμμένην ϗ ἠροτριασμένην. BD.

545. δέπας μελιηδέος οἴνȣ: πλȣσίȣ ὁ ἀγρός, παρ' ον πονȣ̃σι μὲν αὐλακίζοντες ἐν βάθει τὴν γῆν, ἀνακτῶνϑ δὲ αὐτȣ̀ς τῷ πότῳ. B.

546. ὄγμȣς: τὰς ἐπ' εὐθείας τȣ̃ ἔργȣ διεξόδους φησί, τὰς αὔλακας. D. ȣ̓̃τε τὴν ἐπίςιχον φυτείαν φησὶν Ἐπαφρόδιτος, ȣ̓̃τε παρὰ τὸ οἴγειν· φησὶ γοῦν „ὄγμον ἐλαύνωσιν" (Il. 11, 68). ἔςιν ȣ̓̃ν, ὡς Ἡρακλέων, τὰς ἑλκύσεις, παρὰ τὸ ἕλκω, ὄλγμος, ἐξ ȣ̃ ϗ ὄλξ, ἢ τὴν συνέχειαν τῶν αὐλάκων. BV.

547. ἱέμενοι: ἔσπευδον παρὰ τὰ ἔργα διὰ τὸ ἐπίχειρα αὐτοῖς κεῖσϑ τὴν πόσιν. B.

τέλσον: βαρυτόνως ὡς μέτρον. ἐγένετο δὲ παρὰ τὸ τέλος ἐν ὑπερθέσει τȣ̃ σ̄ ϗ προσόδῳ τȣ̃ ν̄. A.

548. μελαίνετ': κατὰ γὰρ τὴν διαβολὴν τῶν βώλων μελανȣ̃ϑ ἡ γῆ· σκιὰν ȣ̓̃ν εἰκὸς ἐγκεῖσϑ τῷ χρυσῷ. A.

ἡ ὀπίσω τȣ̃ ἀρότρȣ. V.

ἀρηρομένῃ: ἢ ἐνδεῖ τὸ σίγμα ἀπὸ τȣ̃ ἀρηροσμένη· ἢ παρὰ τὸ ἀρῶ ἀροτῶ, ἠρότημαι, ἠροτημένη, ἠρομένη· ἢ ἀπὸ τȣ̃ ἀρῶ ἄρωμι ἀρȣ́ς, ἠρομένος, ἠρομένη, Ἀττικῶς ἀρηρομένη. B.

549. ȣ̓̃τως Ἀρίςαρχος, τέτυκτο, Ἰακῶς. A.

ἄπιςον δέ, ϗ αὐτὸς διὰ τȣ̃ θαυμάζειν πιςὸν εἰργάσατο. V.

550. ὅτι τὸν ἀποτετμημένον τόπον τέμενος λέγει. A. χωρίον εἰς τιμὴν ἀποτετμημένον τινί. D.

βασιλήϊον: τὸν δεσπότην τȣ̃ κλήρȣ βασιλέα φησίν. ἢ βασιλικὸν αὐτῷ περιτίθησι κάλλος, τὸ καλλιςεῦον ϗ ἔντιμον διαγράψαι θέλων. B.

γράφεται βαθυλήϊον. A.

ἔριθοι: νῦν ἐργάϑ, γεωργοί, παρὰ τὴν ἔραν τὴν γῆν· ἢ παρὰ τὸ ἐρίζειν ἐν τῷ ἔργῳ. ἔριθοι δὲ κυρίως οἱ ἐριȣργοί, καταχρηςικῶς δὲ ϗ οἱ μισθȣ̃ ἐργαζόμενοι. A.

οἱ μίσθιοι, οἱ ἐπὶ μισθῷ ἐργαζόμενοι τὴν ἔραν ἢ τὴν γῆν. B.

551. ἤμων: δαιμονίως πᾶσαν γεωργίας ἰδέαν κατέγραψε τῇ ἀσπίδι, περὶ ἀρότρȣ, περὶ θερισμοῦ. μετέπειτα δὲ καὶ ἀμφελόφυτον διατυπώσει· τὸ γὰρ ὅλον τȣ̃ τρόπȣ διδασκαλικόν ἐςιν. B.

δρεπάνας: Ἰωνικῶς· ȣ̓̃τοι γὰρ τρέπȣσι πάντα εἰς θηλυκά, ὡς τὸ τάφρη κύρτη ϗ ἀςραγάλη. BV.

552. δράγματα: τὰ τῶν χειρῶν πληρώματα. D. δραγμάτων γὰρ ἐπιλαβόμενοι θερίζȣσι, ϗ τεμόντες ἐῶσι κεῖσϑ· ἄλλοι δὲ δεσμȣ̃σιν. B.

553. ἀμαλλοδετῆρες: οἱ ἐκ τῶν ἀμαλλῶν δεσμὰ ποιȣ̃ντες. ἐλλεδανοῖσι δὲ τοῖς τῶν ἀςαχύων δεσμοῖς, ȣ̓̃ς ȣ̓λοδέτας καλȣ̃σιν· ȣ̓̃λαι γὰρ αἱ κρῖθαι. B. παρὰ τὸ ἐνειλεῖσϑ ἐν αὐτοῖς τȣ̀ς πυρȣ́ς. A.

556. βασιλεύς: νῦν ὁ τȣ̃ χωρίȣ δεσπότης. D.

557. ἔξω τοῦ ῑ ἑςήκει αἱ Ἀριςάρχου. ἄλλοι εἱςήκει. A.

γηθόσυνος κῆρ: ἐφαίνετο γὰρ τῷ προσώπῳ ἡδόμενος ϗ τοιαύτην ἔχων κατάςασιν. A.

ϗ τὸ ἐφεςάναι αὐτὸν πιθανόν, καὶ τὸ χαίρειν ἐπὶ τοῖς ἔργοις, ϗ τὸ μὴ κατεπείγοντος αὐτοῦ τὰ ἔργα γίνεσϑ· δεῖ γὰρ μὴ φόβῳ ἀλλὰ πραότητι τὸν βασιλέα ζητεῖν τὸ ὑπȣργεῖσθαι. B.

558. ὑπὸ δρυΐ: πρὸς ὑπόμνησιν τῆς ἀπὸ τῶν δρυῶν τροφῆς. καλῶς δὲ καρπιζόμενοι θύȣσιν. Ἀθηναῖοι δὲ κατὰ νῦν τȣ̀ς περὶ ἱερȣργίαν πονȣμένȣς κήρυκάς φασιν. A.

560. ἡ διπλῆ, ὅτι δεῖπνον τὸ ὑφ' ἡμῶν ἄριςον, ϗ ὅτι ἔριθος πᾶς ὁ μισθȣ̃ ἐργαζόμενος. A.

πάντες οἱ μισθȣ̃ ἐργαζόμενοι, καὶ μάλιςα οἱ τὴν ἔραν. ἔριθοι λέγονται. B.

560. πολλὰ πάλυνον: ἄλλως πόλλ' ἐπάλυνον. A. ἔμασσον ἢ ἔφυρον. V.

561. ςαφυλῇσι μέγα βρίθȣσαν ἀλωήν: ὡς ἐν γραφῇ κατακλωμένας βότρυσι δείκνυσι τὰς ἀμπέλȣς. πάντα δὲ τέλεια ἔγραψε, σελήνην τε πλήθȣσαν ϗ τὸ λήϊον βαθὺ ϗ τὴν ἀλωὴν ἤδη κεκαρποφορηκυῖαν, ἵνα περικαλλῆ τὴν φαντασίαν τῶν ἐντετυπωμένων παρεχόντων ὁ δημιουργὸς ἐπαινεθείη. B.

563. κάμαξι: ςύλοις, οἵ εἰσι ξύλα ὀρθὰ παραπεπηγότα ταῖς ἀμπέλοις. D. τοῖς ἀπὸ καλάμων ϗ ξύλων ἀναβαςάγμασι. πολυειδῶς δὲ τὰς ἀμπέλȣς φράζει· αἱ μὲν γὰρ αὐτῶν χθαμαλαὶ κατ' ὄρχους εἰσίν, ἐν οἷς φησὶν „ὄρχους δέ μοι ὧδ' ὀνόμηνας" (Od. 24, 341), αἱ δὲ σκέπουσαι τὸ σπέος Καλυψȣ̃ς, ἄλλαι δὲ ξύλοις καὶ καλάμοις βαςαζόμεναι ὡς νῦν. B.

ἀργυρέῃσιν: Ζηνόδοτος ἀργυρέοισιν. A.

564. ἀμφὶ δέ: πρὸς τὸ δυσεπιχείρητον τοῖς κακȣργεῖν βȣλομένοις εἶναι ϗ ἡ τάφρος ἔσκαπϑ ϗ τὸ τειχίον προβέβληϑ· ὅθεν ἐπιφέρει μία δ' οἴη ἀταρπιτός, ὅπως οἱ μὴ δι' αὐτῆς ἰόντες κατάφωροι ὡς κλέπϑ εἶεν. B.

τὴν ληνόν. Ζηνόδοτος δέ φησιν ἀπὸ χαλκȣ̃ κεκαυμένȣ. V.

565. ἐπ' αὐτήν: παρὰ Ζηνοδότῳ ἐς αὐτήν, ϗ ἔχει λόγον ἡ γραφή. A.

566. φορῆες: οἱ φέροντες τȣ̀ς βότρυς. A.

567. ἀταλά: τρυφερά, νήπια, πρᾶα. κατ' ἐπικράτησιν δὲ τȣ̃ ἄῤῥενος εἴρηκε, φρονέοντες εἰπὼν ϗ ȣ̓ φρονέουσαι. A.

καλῶς οἱ θάλλοντες καρποὶ ὑπὸ θαλλόντων σωμάτων φέρονται. B.

568. Ἀρίςαρχος ταλάροισι ϗ πλεκτοῖσι. A.

μελιηδέα καρπόν; ȣ̓̃τως αἱ Ἀριςάρχȣ. V.

570. λίνον δ' ὑπὸ καλὸν ἄειδε: ἤτοι τὸ λίνον ᾖδεν ὃ ἐξῆπτο ἀντὶ νευρᾶς τῆς κιθάρας, ἐπεὶ οἱ πρῶτοι τοῖς θεοῖς μετὰ ᾠδῆς ὑποκιθαρίζοντες ȣ̓κ ἐξ ἐντέρων κατεσκευάζοντο τὰς κιθάρας, ȣ̓χ ὅσιον ȣ̓δὲ θεοῖς ἀρεςὸν εἶναι ὑπολαμβάνοντες διὰ τὸ ἐκ νευρῶν πεποιῆσϑ, ἀλλ' ἐκ λίνου πεποιημένȣ. ἢ λίνον δ' ὑπὸ καλὸν ἄειδεν ἀντὶ τȣ̃ τὴν ἐπὶ Λίνῳ τῷ Ἀπόλλωνος παιδὶ ᾠδήν, ὄντι νηπίῳ ϗ ὑπὸ κυνῶν ποιμενικῶν διασπασθέντι πρώτην ᾀσθεῖσαν. AD.

παρὰ Ζηνοδότῳ λίνος δ' ὑπὸ καλὸν ἄειδε. ὁ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀρίσαρχος βέλτ. μὴ τὴν χορδὴν λέγεσθαι, ἀλλὰ γένος τι ὕμνου τὸν λίνον, ὥσπερ εἰ ἔλεγε παιᾶνα ᾄδειν ἢ τι τοιοῦτον. διὸ ἡ διπλῆ. A.

Ἀρίσαρχος εἶδος ᾠδῆς τὸν λίνον φησίν, ὡς παιᾶνα καὶ εἴ τι τοιοῦτον, ἀπὸ Λίνου τοῦ ἥρωος. ἡ δὲ κατὰ Λίνον ἱστορία παρὰ Φιλοχόρῳ ἐν τῇ ιθ' καὶ παρὰ Μελανιππίδῃ· ἥ τε καλουμένη σφαῖρα ποίημά ἐστιν εἰς τὸν Λίνον, ἀναφέρεται δὲ εἰς Ὀρφέα. φασὶ γάρ ὅτι τὸ πρῶτον ἀντὶ χορδῶν λίνῳ ἐχρῶντο πρὸς τὴν κιθάραν, ἀπομείναντος τοῦ ὀνόματος, ὡς καὶ λίθον τὴν ἄγκυραν καλοῦσιν ἕως νῦν. οἱ δέ, ὅτι ἄγροικος ὁ παῖς, λίνον ἐντετάκει τῇ κιθάρᾳ. ὁ δὲ ἥρως ἦτος ὁ Λίνος καταλύσας τὸ λίνον πρῶτος χορδαῖς ἐχρήσατο, καὶ διὰ τοῦτο ὑπὸ Ἀπόλλωνος ἀνῃρέθη. φασὶ δὲ αὐτὸν ἐν Θήβαις ταφῆναι καὶ τιμηθῆναι θρηνῴδεσιν ᾠδαῖς, ἃς λινῳδίας ἐκάλεσαν. ἔστι δὲ μέλος θρηνητικὸν ὁ λίνος μετ' ἰσχνοφωνίας ᾀδόμενος. ἆρα ἦν ὁ νεανίας διὰ τῆς μιμήσεως ταύτης τὰ κατὰ τὸν Λίνον ᾖδεν; ἐθρηνεῖτο γάρ ἦτος παρὰ τῶν Μουσῶν ἦτος· „ὦ Λίνε θεοῖς τετιμημένε, σοὶ γὰρ πρώτῳ μέλος ἔδωκαν ἀθάνατοι ἀνθρώποισι φωναῖς λιγυραῖς ἀείσαι· Φοῖβος δέ σε κότῳ ἀναιρεῖ, Μοῦσαι δέ σε θρηνέουσιν". („ὦ Λίνε πᾶσι θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείσαι ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σε θρήνεον αὐταὶ μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίκα αὐγάς". V). AV. ἡ δὲ ὑπό περιττεύει. τάχα ἂν ᾄδειν τοῖς τρυγῶσι λέγει τὸν νέον πρὸς τέρψιν καὶ ἐπικουφισμὸν τῶν πόνων. B.

ἄλλως. „κρύπτω τὸν θεὸν ἄνδρα Λίνον, Μουσῶν θεράποντα, τὸν πολυθρήνητον Λίνον αἰὲν Λίνον ᾖδε πατρῷα Φοιβείοις βέλεσιν γῆ κατέχει φθίμενον." καὶ Ἡσίοδος „Οὐρανίη δ' ἔτικτε Λίνον πολυήρατον υἱόν, ὃν δήσοι βροτοί εἰσιν ἰδίδαι καὶ κιθαρισαί, πάντες μὲν θρηνεῦσιν ἐν εἰλαπίνῃσι τυναις τε χοροῖς τε, ἀρχόμενοί τε Λίνον καὶ λήγοντες καλέουσιν." ὁ μέντοι Ἡρακλέα διδάξας μουσικὴν ἕτερος παρὰ τοῦτόν ἐστι. V.

τὸ λίνον κατὰ βαρεῖαν τάσιν προενεκτέον, ὅ τι ἂν σημαίνῃ, εἴτε τὴν λινῆν ἐσθῆτα, εἴτε καὶ ἐπὶ τῆς χορδῆς τάσοιτο, εἴτε καὶ αὐτὸ τὸ λεπτὸν νῆμα, εἴτε σημαίνοι εἶδος ὕμνου, ὥσπερ καὶ ἐνθάδε, ὡς παιὰν καὶ διθύραμβος. A.

571. ῥήσσοντες: ἀντὶ τοῦ κροτοῦντες σὺν ἁρμονίᾳ καὶ τύπῳ τοῖς ποσὶ τὸ ἔδαφος. D.

εἰ καὶ ἑτέροις ὀνόμασιν ἐχρήσατο ὡς ἐπὶ ἀγροίκων, μὴ ἐν παρέβαλε τὰ Ἡσιόδου (Theog. 3.) „πόσσ' ἀπαλοῖσιν ὀρχεῦνται" ἐπὶ θεῶν καὶ εὐρύθμων. V.

572. ἰυγμῷ: γράφεται καὶ ἰωγμῷ, ἵνα ᾖ διώξει. οἱ γὰρ κατὰ τάξιν πορευόμενοι καὶ προηγούμενοι κινηθέντες ἐπὶ τῷ σκαίρειν εἷς τὸν ἕνα διώκει, δῆλον ὅτι ὁ ὄπισθεν τὸν ἔμπροσθεν αὐτῷ κἀκεῖνος τὸν πρὸ αὐτοῦ καὶ ἐφεξῆς πάντες. Paris. ap. Heynium. V.

573. ὀρθοκραιράων: εὔκεροι γὰρ οἱ κάλλιστοι βόες. ὀρθοκραιράων δὲ ὡς πρὸς σύγκρισιν τῶν κριῶν. B.

574. χρυσοῖο τετεύχατο κασσιτέρου τε: ὑπὲρ τοῦ ἐξαλλαγήν τινα φαίνεσθαι περὶ τὴν χροιὰν τὰς δύο ὕλας παρέλαβεν. B.

575. μυκηθμῷ: παραδόξως καὶ τὴν φωνὴν ἐμιμήσατο. ὅτε δὲ ἐξίασι τῶν βοοσασίων, ταχεῖς τε καὶ σκιρτῶντες εἰσὶ διὸ καὶ τὸ ἐπεσσεύοντο, οἷον μετά τινος ταχυτῆτος καὶ σφοδρότητος ἐπορεύοντο. B.

κόπρου: βοοσασίου. A. τῆς ἐπαύλεως, τοῦ βεβάθμου. D.

576. ῥοδανόν: τὸν ῥᾳδίως ἀναφύοντα, ἢ τὸν εὐκίνητον διὰ λεπτότητα· καὶ ῥοδανίζειν γὰρ αἱ γυναῖκες φασὶ τὸ συνεχῶς τὴν κρόκην τινάσσειν. οἱ δὲ ῥοανόν ἤτοι ῥευσικόν, κατὰ πλεονασμόν. οἱ δὲ τὸν ἰσχνοκαλαμώδη. Ζηνόδοτος δὲ γράφει κραδαλόν ἀντὶ τοῦ εὐκίνητον, οἱονεὶ κραδανόν τινα ὄντα, παρὰ τὸ κραδαίνεσθαι λέγει δὲ ὅτι πορεύονται ἐπὶ τὸν καλαμῶνα τὸν διὰ ἰσχνότητα καλάμων ἢ ὕψος εὐκράδαντον. BV.

παρὰ Ζηνοδότῳ διὰ ῥαδαλόν· ὁ δὲ Ἀριστοφάνης παρὰ ῥαδαλόν. ῥαδαλόν δὲ ἀκουστέον τὸν εὐκράδαντον διὰ ὕψος. φησὶ δὲ Διονύσιος γράφεσθαι καὶ δονακῆα κατὰ τὸ ἑξέτερον, ὡς καὶ τὸν πευκῶνα πευκᾶα. A.

579. ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου δύο πρώτῃσι βόεσσι. παρὰ δὲ Ζηνοδότῳ κυανέῳ δὲ λέοντε. A.

580. ἐρύγμηλον: μέγα μυκώμενον, ἢ ἐρευγόμενον τὴν τροφήν. D. τὸν τῇ δυνάμει τῶν ἄλλων ἡγούμενον, ἐκ τοῦ ἐρυγῶ τὸ ὑπερισχύω, ἐξ οὗ καὶ ἐρυγήτορα· ἐρυγεῖν γὰρ τὸ μετὰ βίας ἀνασπᾶν τὸ πνεῦμα· καὶ „ἤρυγεν ἑλκόμενος" (Il. 20, 204) καὶ „ἐρευγόμενος ἁλὸς ἔξω" (Il. 17, 265). προπαροξύνεται δέ. BV.

ἐρύγμηλον ὡς βέβηλον. τὰ γὰρ διὰ τοῦ ηλον ὑπὲρ δύο συλλαβὰς προσηγορικὰ ἢ κύρια προπαροξύνεσθαι θέλει, κάμηλος καὶ φάσηλος, Στύμφηλον· τὰ μέντοι ἐπιθετικὰ ὀξύνεσθαι μὲν θέλει, ὅτε παραχηματισμὸν ἔχει θηλυκῆ, σιγηλός ὑψηλός ἀπατηλός, μὴ ὄντος δὲ ἔχοντα βαρύνεσθαι, βέβηλος κίβδηλος κάπηλος. εἰ δὴ καὶ τὸ ἐρύγμηλος ἐκ ἔχει θηλυκόν, δῆλον ὅτι ὑγιῶς βαρυτονηθήσεται καὶ οὐ δεόντως αὐτὸ Τυραννίων ὀξύνει. ἐγένετο δὲ παρὰ τὸ ἐρύγω, ἔνθεν παρατατικὸς „ἤρυγεν ἑλκόμενος ἕλκει" (Il. 20, 404)· ἐρύγηλος, καὶ ἐν πλεονασμῷ τοῦ μ ἐρύγμηλος. A.

581. τὸν δέ: παρὰ Ζηνοδότῳ τοὺς δέ, τοὺς λέοντας. τὸ δὲ ἕλκετο χωρὶς τοῦ ι. A.

583. λαφύσσετον: ἔδει διὰ τοῦ η· ἢ τάχα ἐνεργῶς ἐστιν ἀντὶ παρωχημένου. δηλοῖ δὲ τὸ ἐπὶ πολὺ κενῶν. B.

ἡ διπλῆ, ὅτι χρόνος ἤλλακται· τὸ γὰρ λαφύσσετον λαφύσσουσιν, παρείληπται ὅμοιον τῷ „λαὸς ἀποτμήξαντε διώκετον" (Il. 10, 364). A.

584. ἐνδίεσαν: ἐδίωκον, παρὰ τὸ δίημι, ὃ δηλοῖ τὸ διώκω. B. μάτην ἤφιεσαν ἐπὶ τοὺς λέοντας. V.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἦτοι, ἐνοήσας ὅτι τὸ αὖτως ἐστὶ κενῶς καὶ πρὸς ᾐδέν, διὰ τὸ εἴδωλα εἶναι. τὸ δὲ ἐνδίεσαν παρὰ τὸ δίεσθαι, ὃ ἐστι διώκεσθαι· „τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον" ἀντὶ τοῦ ἐδιώχθην (Il. 22, 251). σημαίνει δὲ τὸ ἐπώτρυνον. εἴρηται δὲ ὅτι κλίσις ἐστὶ τοῦ δίημι τὸ ἐνδίεσαν· καὶ ὁ προσεκτέον τῷ Ἀσκαλωνίτῃ δασύνοντι τὸ ι καὶ πλεονασμὸν τοῦ ι δεχομένῳ. AV.

586. ἰσάμενοι: γραφικῶς ἔδειξε τὸ πᾶν. V.

587. ἐν δὲ νομόν: φασὶν Ἀθηναῖοι πρῶτον ἐπινοῆ-

σαι τὴν ἐξ ἐρίων ἐσθῆτα, ὅθεν καὶ πέπλον προσφέρουσιν. ἐν ἴσαρι δέ φασι μόνον νέμεσθαι τὰ πρόβατα. V.

588. βήσσῃ: οἱ μὲν βόες παρὰ τὸν ποταμόν, αἱ δὲ ὄϊς ἐν βήσσῃ, τετέσι κοιλώματι γῆς ὥσπερ βαίνεσθαι, ἀ γεωλόφῳ. BV.

589. σταθμές: τὰς κατ' ἀγρὸς αὐλὰς τῶν θρεμμάτων· „σταθμῶν ῥυτῆρα γενέσθαι" (Od. 17, 187) καὶ „παρὰ σταθμὸν μεγάροιο" (Od. 17, 96). κλισίας δὲ τὰς τῶν ποιμένων οἰκίας, καὶ σηκὰς ἔνθα κοιμῶνται τὰ θρέμματα. AB.

590. χορόν: τὸν πρὸς χορείαν τόπον. δῆλον δὲ ἐκ τῆς ἐπιφερομένης „ἔνθα μὲν ἠΐθεοι ὠρχεῦντο," ἤτοι ἐν τῷ τόπῳ. B.

τὸν τόπον χορὸν εἴρηκεν, ἀ τὸ σύσχημα τῶν χορευόντων. A.

ποίκιλλε: ποικίλῃ τορνεύσει ἐποίει. D.

ἐν ποικιλίᾳ εἰργάζετο, οἷον κίονάς τε καὶ ἀνδριάντας τῷ τύπῳ προκοσμήσας ἐν κύκλῳ. ἢ ὅτι ἐξ ἀρσένων καὶ θηλειῶν ἦν. V.

ἄλλως. ἐγκατεσκεύασε δὲ ἐπιμελῶς ὁ Ἥφαιστος καὶ χορὸν ὁμοίαν τάξιν ἔχοντα χορευόντων τῷ ὑπὸ Δαιδάλου τῇ μηχανικῇ κατασκευασθέντι Ἀριάδνῃ ἐν Κνωσσῷ πόλει τῆς Κρήτης. ἰσόρρηθ γὰρ ὅτι Θησέα παραγενόμενον ἐξ Ἀφιδνῶν εἰς Ἀθήνας νεωσί, καταλαβόντα δὲ τὸν δασμὸν ἀποπεμπόμενον Μίνωϊ εἰς Κρήτην, τὰς δὶς ζ' ἠϊθέους καὶ παρθένους (ἐτέλουν δὲ τὸν δασμὸν οἱ Ἀθηναῖοι τοῦτον ἐπὶ τῷ δεδολοφονηκέναι Ἀνδρόγεων τὸν παῖδα Μίνωος ἀγωνιζόμενον καὶ νικῶντα παρ' αὐτοῖς τὰ Παναθήναια), ἑκόντα ἂν φασὶν αὐτὸν συγκαταλέξαι τοῖς ἀπιοῦσι, καὶ παραγενόμενον εἰς Κρήτην ἠδέως ὀφθῆναι φασὶν ὑπὸ Ἀριάδνης τῆς τοῦ Μίνωος θυγατρός, καὶ διὰ τοῦτο τέχνῃ Δαιδάλου σωθῆναι τρόπῳ τοιῷδε. μίτων ἀγαθῖδα ἔδωκε Δαίδαλος τῇ Ἀριάδνῃ, εἰπὼν δοῦναι τῷ Θησεῖ, ὅπως τὴν ἀρχὴν ἐξάψας τῆς εἰσόδου τῆς ἀγαθῖδος, ἕως ἀνελὼν αὐτὴν εἰσέλθοι εἰς τὸν λαβύρινθον, καὶ περιγενόμενος τῷ θηρίῳ πάλιν ἔχοι ῥᾳδίαν καὶ εὐύρετον αὐτῷ τὴν ἔξοδον τοῦ λαβυρίνθου ποικίλως ἐπιπεπλεγμένας ἔχοντος τὰς εἰσόδους. ἐξελθὼν δὲ μετὰ τὸ νικῆσαι ὁ Θησεὺς μετὰ τῶν ἠϊθέων καὶ παρθένων, χορὸν τοιοῦτον ἔπλεκεν ἐν κύκλῳ τοῖς θεοῖς, οἷόπερ καὶ ἡ τοῦ λαβυρίνθου εἴσοδός τε καὶ ἔξοδος αὐτῷ ἐγεγόνει. τῆς δὴ χορείας τὴν ἐμπειρίαν ὁ Δαίδαλος αὐτοῖς ὑποδείξας ἐποίησεν. AB.

591. πολυθρύλλητον ἐνθάδε τὸ ζήτημα, πῶς ὁ θεὸς τὸν ἄνθρωπον μιμεῖται. καὶ οἱ μὲν ψιλῶσι τὸ οἷον, συνάπτοντες αὐτὸ τῷ ἴκελον, μιμητὴν τῶν ἔργων Ἥφαίστου ποιοῦντες τὸν Δαίδαλον, ἵν' ᾖ τούτῳ μόνον ὁ Δαίδαλος ἐποίησεν ὅμοιον χορόν, ὁ δὲ Ἥφαιστος δηλονότι πολλὰ τοιαῦτα εἰργάσατο. ἢ τάχα ἔξεσιν ἐκεῖνο φάσκειν, ὅτι ἐπεὶ πρώην διακεχωρισμένως ἐχόρευον ἄνδρες τε καὶ γυναῖκες, πρῶτοι οἱ μετὰ Θησέως σωθέντες ἐκ τῆς λαβυρίνθου ἠΐθεοι καὶ παρθένοι ἀναμὶξ ἐχόρευσαν, ὅπερ μόνον ὁ θεὸς ἐμιμήσατο, ἀ τὸ κάλλος ἀδὲ τὴν τέχνην Δαιδάλου. ἴσως δὲ καὶ διδάσκει ὁ ποιητὴς μιμεῖσθαι τὰ χρησά, εἰ καὶ ἐξ εὐτελῶν εἶεν. BV.

διαζαλτέον μετὰ τὸ ἴκελον, τὸ δὲ ἑξῆς δασέως ἀναγνωστέον, ὥσπερ ἡ τριβὴ ἔχει. τούτῳ γὰρ παραπλήσιόν φησι τὸν Ἥφαιστον πεποιηκέναι, οἷον Δαίδαλος ἐν Κνωσσῷ Ἀριάδνῃ κατεσκεύασεν. ὑπολαβόντες δέ τινες δύσφημον εἶναι μᾶλλον δὲ ἀπρεπές, Ἥφαιστον μιμητὴν γίνεσθαι τῶν Δαιδάλου ἔργων καὶ λέγεσθαι τοῦτο ὑπὸ Ὁμήρου — μᾶλλον γὰρ ἂν ἠὔξησε τὸ ἔργον, εἰ περὶ Δαιδάλου διαλεγόμενος ἔλεγεν ὅτως αὐτὸν πεποιηκέναι ὡς Ἥφαιστος ἐποίει —, διὰ τοῦτο ἀφ' ἑτέρας ἀρχῆς ἀξιοῦσιν ἀναγινώσκειν „τῷ ἴκελον οἷόν ποτ' ἐνὶ Κνωσῷ," καὶ ψιλῶς ἀναγινώσκουσιν, ἵν' ᾖ ὁ λόγος, τούτῳ παραπλήσιον μόνον ἐν Κνωσῷ ποτὲ Δαίδαλος ἐποίησεν Ἀριάδνῃ. καὶ οἰήσεταί τις τοῦτο μᾶλλον ἐμφαίνειν τὴν καλλιεργίαν τῇ θεῷ, εἴ γε μόνον παρ' ἀνθρώποις ἐν παραπλήσιοις ἐγένετο, καὶ ταῦθ' ὑπὸ Δαιδάλου τοῦ διαβοήτου. γελοίως δὲ ἔχει ἡ ἐπίνοια. ὅτε γὰρ ἀπρεπὲς τὸν θεὸν ἀνθρώπῳ μιμητὴν γενέσθαι, μᾶλλον δὲ καὶ πρεπωδέστερα τὰ ἔργα ἀπὸ τῶν ἀρχαιοτέρων γίνεσθαι, καὶ μάλιστα ὅταν ᾖ ἐπιτετευγμένα. ἄλλως τε δὲ ὁ ποιητὴς τοῦτο λέγει, ἀλλ' ἁπλῶς ταῦτα ὅμοια εἶναι, ἀ τὸ ἕτερον τῷ ἑτέρῳ μίμημα. εἰ δὲ καὶ τὴν σύγκρισιν ταύτην ἀσεβῆ δόξουσιν εἶναι, ῥητέον τὸ πολλοῖς ἤδη εἰρημένον, ὅτι ἀπὸ τῶν ἐν ὄψει καὶ γινωσκομένων τὰ ἀφανῆ καὶ ἄγνωστα παρίστασιν οἱ τοῖς παραδείγμασι χρώμενοι. Ἡφαίστου μὲν γὰρ ἔργον ἁδεὶς εἶδε πώποτε, Δαιδάλου δὲ πολλὰς πολλοὶ εἰκὸς ἑωρακέναι. καὶ τάχα ὅμοιόν τι εἶχεν ἡ κατασκευή, ὅτ' ἐξ ἠθέων καὶ παρθένων, ἢ ὅτι ὀθόνας εἶχον καὶ σεφάνας. A.

592. Ἀριάδνῃ: παρὰ Ζηνοδότῳ Ἀριήδνῃ. A.

593. ἀλφεσίβοιαι: τέλειαι, θρέμματα ἤδη δεξάμεναι παρὰ μνησήρων. B.

ἔντιμοι καὶ διὰ τὴν εὐμορφίαν βόας εὑρίσκουσαι ἔδνα θρέμματα γὰρ τὸ παλαιὸν ἐδίδοτο πρὸ γάμων δῶρα. ὠνόμασαι δὲ ἀπὸ μέρους, ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες ἄλφειν (ἀλφαίνειν D) γὰρ τὸ εὑρίσκειν, καὶ ἀλφὴ ἡ τιμή, καὶ ἄλφα τὸ στοιχεῖον, ὅτι εὑρέθη πρὸ τῶν ἄλλων. A.

594. ἔχοντες: ὀρθῶς καὶ τοῦτο κατ' ἐπικράτησιν τοῖς ἀρσενικῆ πέφρακεν. D.

595. λεπτάς: ἐν ἄλλῳ καλάς. A.

ὀθόνας ἐνδυτηρίας πέπλους, παρὰ τὸ ἔθος, ἐθόνη τις ἦσα. ἡ διπλῆ δέ, ὅτι συνήθως πρὸς τὸ δεύτερον πρότεροι ἀπήντησαν. A.

596. ἧκα σίλβοντας ἐλαίῳ: ἐκ ἄγαν λαμπρὰς, ἀλλ' ἡσυχῇ ὡς ἔλαιον ἀποσίλβοντας. ὅμοιον δὲ ἐσι τῷ „ἠΰτε λευκὸν ἐλέφαντι" (Il. 5, 583) ἀντὶ τοῦ ἐμφερῆ ἐλέφαντι. λείπει ἓν τὸ ὡς, ὡς ἐλαίῳ. B.

597. σεφάνας: κόσμους γυναικείους χρυσοῦς, περὶ κεφαλὴν κειμένους. D.

οἰκεῖος ὁ κόσμος ἐπί τε ἀρρένων καὶ γυναικῶν. V.

597. 598. ἀθετοῦνται οἱ δύο, ὅτι ἀδέποτε μάχαιραν εἶπε τὸ ξίφος. ἄλλως τε καὶ ἁ πρέπον χορεύοντας μαχαίρας ἔχειν. ἦσαν δὲ ἀδὲ παρὰ Ἀριστοφάνει ἦσαν. A.

599. ἐπισταμένοισι: ἐπισημονικοῖς. τὴν δὲ ὀξύτητα τῆς ἐν κύκλῳ κινήσεως αὐτῶν τροχῷ εἰκάσειν· ὀξύτητος γὰρ χάριν τὸ τοῦ κεραμικοῦ τροχοῦ παράδειγμα, ὃς ἐσι τοῦ ἑτέρου τῇ κινήσει ὀξύτερος. καλῶς δὲ καὶ τὸ ἄρμενον· εἴτε γὰρ μείζων εἴτε ἐλάττων γένοιτο, ἐμποδίζει τῇ χρείᾳ. καὶ τὸ

κειρήσεται θαυμάσιον· οὐδέπω γὰρ ἐργαζόμενον τὸν τροχὸν ἔλαβεν· ἐν ᾧ τῷ ἐργάζεσθαι ὁ πηλὸς βαρύνων ἐμποδίζει πρὸς τὸ ὀξύ. λέγει δὲ ὅτι ποτὲ μὲν κυκλοτερῆ τὸν δρόμον ἐποιοῦντο, ποτὲ δὲ ἀντιμέτωποι ἀλλήλοις γινόμενοι κατ' ὀρθὸν δι' ἀλλήλων ἔθεον. B.

διὰ τῆς τῶ τροχῶ παραβολῆς ἐγκύκλιον αὐτῶν τὴν πορείαν ὑφιζᾷ. ἄρμενον δὲ εὖ ἡρμοσμένον πάντοθεν. A.

604. τερπόμενοι: ἡ διπλῆ, ὅτι πρὸς τὸ σημαινόμενον ἀπήντηκεν, ὅμιλος τερπόμενοι. A.

ἄλλως. ἐκ τῆς διαθέσεως τῶν θεωμένων ἐξῆρε τὸ κάλλος ᾗ τὴν τέχνην τῶν ὀρχεμένων. B.

κυβιστητῆρε: οἱ μετὰ κυβισήσεως ὀρχούμενοι. B.

607. ἐν δ' ἐτίθειτ πειρῶνταί τινες ἀπὸ τούτου λέγειν μὴ εἶναι καθ' Ὅμηρον σφαιροειδῆ τὸν κόσμον· τὸν γὰρ ὠκεανὸν ἔξω τῶν ἄρκτων ἔθηκεν. V.

609. θώρηκα φαεινότερον πυρὸς αὐγῆς: διὰ τί μὴ πλείονα περὶ τῶ θώρακος φράζει; φαμὲν ὅτι ἔρρθη ἐκφράσαι τὸν Ἀγαμέμνονος θώρακα (Il. 11, 19) ὃς ᾗ αὐτὸς ἡφαιστότευκτος ἦν, ᾗ νῦν ὁ φράζει, ὡς ᾗ τὴν Πατρόκλου πυρὰν δεινολογήσας τὴν Ἕκτορος παρέδραμεν. B.

612. ἑανῶ: εὐχύτῳ, ἁπαλῷ. D. παρὰ τὸ τρυφερὸν τῆς ὕλης. A.

τῇ μαλακῇ ὕλῃ διὰ τὸ εὐποίητον (εὔτυκτον V) χρῆ. ἑανῶ δὲ μαλακῷ, λεπτῷ, λαμπρῷ. B.

613. τὰ πολεμιστήρια ὅπλα ἐκάλεσεν ὁμοίως ἡμῖν νῦν. διὰ δὲ τὴν ὑπερβολὴν τῶν κατασκευασμάτων τῷ κάμεν ἐχρήσατό ἀντὶ τῶ ἐποίησεν. BV.

615. Ἴρηξ ὡς: ὀξεῖαν αὐτῆς τὴν ἀπαλλαγὴν πεποίηκε σπευδούσης τελειῶσαι τὴν ὑπόχεσιν τῷ παιδί. B.

καλῶς τὸ μὴ λαλεῖν τὸν Ἥφαιστον ἐπαινοῦντα καθὼς ἐσκεύασεν, μαρτυρόμενον ὡς ἀπέδωκε τὴν χάριν, τό τε τὴν λαβοῦσαν ἡσυχάζειν· σπεύδει γὰρ πρὸς τὸν υἱόν. A.

616. γράφε τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα μετὰ ὑπομνηματίδ καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχειου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῷ ᾗ ἐκ τῶν Νικάνορος περὶ σιγμῆς. A.

ΕΙΣ ΤΗΝ Τ.

1. ῥοάων: Βοιώτιος ἡ φωνή· ποιοῦσι δὲ ᾗ ἀπὸ τῶν εἰς ες ἀρσενικῶν· „Ἄρτεμι Κρητάων πότνια τοξοφόρων" λαοὶ „τοξοχίτωνος ἀκούετε Σειρηνάων". Ἐπίχαρμος· καὶ ἀπὸ τῶν εἰς ος· „καλοὶ νησάων ἀςέρες." ᾗ ἀπὸ ἑτέρων· „βλεφάρων ἄπο κυανεάων." BV.

ἄλλως. καὶ ἐξ ἡρωϊκοῦ προσώπου φησὶν „οὐδὲ σέ γ' ἠριγένεια ἀπ' ὠκεανοῖο ῥοάων". V.

2. ὄρνυθ': ὅθεν καὶ ὄρθρος ὁ ὀρνὺς ἡμᾶς. V.

φόως: τὸ τοῦ ἡλίου ἢ τὸ ἴδιον. V.

3. θεοῦ πάρα δῶρα: τὰ παρὰ θεῶ δωρηθέντα. διὸ ἀναςρεπτέον, ὡς καὶ τὸ „Ἡφαίστοιο, πάρα κλυτὰ τεύχεα δέξο" (10). B.

4. περικείμενον: περιπεπλεγμένον· διὸ ἐκ ἀναςρεπτέον τὴν πρόθεσιν, ὥς φησιν Ἡρωδιανός. μόνον οὐχὶ δὲ διὰ τῆς μεταφορᾶς τὸν τῷ νεκρῷ προσηλωμένον ἐδήλωσεν. ἐπὶ δὲ τῆς γυναικὸς „ἀμφ' αὐτῷ χυμένη" φησὶ (284). δαιμονίως δὲ ἀμφότερα ᾗ λίαν μιμητικῶς. B.

τινὲς ἀνέγρεψαν τὴν περί, ἵν' ᾖ περὶ Πατρόκλῳ κείμενον, ἐπεὶ καὶ ἐν ἑτέροις (284) ἔφη „ἀμφ' αὐτῷ χυμένη," τῇ δοτικῇ συντάξας τὴν πρόθεσιν, ᾗ τῇ μετοχῇ. ἡμῖν δὲ δοκεῖ, ὥσπερ ἔτι ᾗ τοῖς πλείοσι ᾗ τῷ Ἀσκαλωνίτῃ, ἓν εἶναι τὸ περικείμενον· ἔμφασις γὰρ μείζων νοεῖται. A.

5. κλαίοντα: πάντας τὸς ἥρωας ἁπλότητος χάριν εὐχερῶς ἐπὶ τὰ δάκρυα ἄγει, Ἀγαμέμνονα, Πάτροκλον, Ὀδυσσέα, ἐφ' ᾧ ᾗ τὴν παραβολὴν τῆς γήρας ἔλαβεν· „αἰεὶ δ' ἀριδάκρυες ἀνέρες ἐσθλοί." λιγέως δὲ ὀξέως ἢ ἡδέως· „μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ" (Od. 15, 399). ABV.

6. μύρονθ': ἐθρήνει, ἢ ἐχέοντο· ὅθεν καὶ μύρον τὸ πρῶτον ἐκχυθὲν δάκρυον ὑπὸ Μύρρης τῆς μιγείσης τῷ πατρί. A.

7. 8. ἔν τ' ἄρα οἱ φῦ χειρί: δαιμονίως ἀμφότερα. καὶ διὰ μὲν τῆς θίξεως ἐνδείκνυται ὅτι μάταιόν τι ᾗ περιττὸν ποιεῖ νεκρῷ συμπεπλεγμένος, διὰ δὲ τῶ ἑάσομεν ὡς συμπάσχουσα ὑπάγεται τὸν παῖδα. BV.

8. ἡ διπλῆ, ὅτι ἑάσομεν ἀντὶ τῶ ἐάσωμεν. B.

πρῶτα: ἅπαξ. ἰότητι δὲ ὁρμῇ, παρὰ τὸ ἰέναι. πάντα δὲ πρὸς τὸ θεῖον ἀναφέρουσι, καὶ μᾶλλον οἱ ἀτυχεῖς. B.

χρή, φησίν, εἶκειν τῷ μοιριδίῳ. V.

γράφεται καὶ θεοῦ ὑπὸ χειρί. V.

10. σημειοῦνταί τινες ὅτι Δωρικὸν τὸ τύνη. A.

πάρα: ἀναςρεπτέον τὴν πρόθεσιν· ἔςι γὰρ παρ' Ἡφαίστου. τὸ δὲ τύνη ἀεὶ ἐπὶ ἀρσενικῶ λαμβάνει ὁ ποιητής. A.

11. οἵ' οὔ πώ τις ἀνὴρ: νῦν γὰρ φιλοτιμησάμενος Ἥφαιστος κρείττονα τῶν πρώτων εἰργάσατο. ὁ δὲ τῶν ὅπλων ἔπαινος χρήσιμος εἰς τὸ διεγεῖραι τὸν φιλότιμον Ἀχιλλέα. BV.

13. ἀνέβραχε: ἀντὶ τῶ φωνὴν ἀφῆκεν. ἔςι δὲ ἡ λέξις πεποιημένη, ὡς τὸ „ἔβραχε δὲ θύρετρα" (Od. 21, 48) καὶ „ἔκλαγξαν ὀϊστοί" (Il. 1, 56). οὐκ ἄρα οὖν ἔμψυχα ἦν, ἀλλ' ἤχησαν. οἱ δὲ Μυρμιδόνες τὸ κάλλος ἐκπλήττονται, ἀνατρθαλμεῖν μὴ δυνάμενοι. B.

ἐψύχωσε δὲ τὰ ὅπλα διὰ τοῦ ἔβραχεν, ὡς ᾗ ἐπὶ Ἄρεος „τόσσον ἔβραχ' Ἄρης ὅσος πολέμοιο" (Il. 5, 863). τοιοῦτον „ἔκλαγξαν δ' ἄρ' ὀϊστοί" (Il. 1, 56) πρὸς τὸ „Τρῶες μὲν κλαγγῇ" (Il. 3, 2). ἐντεῦθέν τινες ἔμψυχα τὰ ὅπλα ἐνόμισαν εἶναι. διὰ τοῦτο εἰκότως ᾗ οἱ Μυρμιδόνες δεδοίκασι. V.

δαίδαλα: παρὰ τὸ δαῆναι, ὅθεν ᾗ δαίδαλος ᾗ δαίμων. V.

14. ἕλε τρόμος: ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει ἕλεν φόβος. καθ' Ὅμηρον δέ ἐςι φόβος ἡ φυγή. A.

οὐδέ τις ἔτλη: πρὸς τὴν αὐγὴν αὐτῶν ἀδυνατοῦντες ἀντοφθαλμεῖν. καὶ τί πείσονται ἄρα Τρῶες; V.

15. ἔτρεσαν: ἡ διπλῆ, ὅτι ἐλέγχεται Ζηνόδοτος γράφων ἕλεν φόβος· τὸ γὰρ τρέσαι ἀπὸ τοῦ τρόμου. A.

16. ὥς μιν μᾶλλον ἔδυ χόλος: πολλὴ ἡ τῶν ἄλλων ὑπεροχή· οὐ μόνον γὰρ παραμένει, ἀλλὰ καὶ θυμοῦται ὑπὲρ τῆς ἀφαιρέσεως τῶν ἄλλων· ἠρέθιςαι γὰρ τῇ ὁμοιότητι. ἢ ὅτι „αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος" (Od. 16, 294). BV.

17. ὡσεὶ σέλας ἐξεφαάνθη: ὡς πῦρ ἐφάνησαν ὑπὸ τοῦ θυμοῦ (ὑπό τε θυμοῦ καὶ τῆς ἀνταυγάσεως τῶν ὅπλων V). σέλας δὲ κυρίως τὸ νυκτερινὸν φῶς, ἀφ' οὗ καὶ σελήνη· ἢ πᾶν πῦρ, παρὰ τὸ σαλεύεσθαι. BV.

ἐξεφάανθεν: οὕτως Ἀρίςαρχος· ἄλλοι δὲ ἐξεφαάνθη. A.

18. ἐν χείρεσσιν ἔχων: ψηλαφῶν· οὐ γὰρ εἰς χεῖρας αὐτῷ ταῦτα ἀνετίθετο. B. τινὲς δὲ γράφουσι τέρπετο δ' ὀφθαλμοῖσιν ὁρῶν. V.

21. ὅπλα μὲν πάντα κοινῶς τὰ συντελοῦντα εἰς χρείαν τινά· νῦν δὲ τὰ πολεμικά φησιν. B.

νῦν τὰ πολεμικά. καὶ τὰ τῆς νεώς· „ὅπλα τε πάντα εἰς ἄντλον" (Od. 12, 410). καὶ „ὅπλ' ἐν χερσὶν ἔχων χαλκήϊα" (Od. 3, 433). V.

οἷ' ἐπιεικές: ὁποῖα εἰκὸς θεοῦ ἔργα εἶναι, τουτέστιν οἷα ἔπρεπε θεὸν παρέχειν· ἐπιεικὲς γὰρ τὸ πρέπον. D.

ἐν ἑαυτῷ τὸ πρᾶγμα τὴν ὑπερβολὴν ἔχον ὑπερβολὴν οὐκ ἐπιδέχεται μείζονα. B. καὶ Ἀνακρέων „κωμάζει δὲ ὡς ἂν δεῖ Διόνυσος," αὐτὸν αὐτῷ συγκρίνας. V.

23. θωρήξομαι: ὡπλισμένος μαχοῦμαι. V.

24. ἄλκιμον υἱόν: τὸν τότε, οὐ τὸν νῦν· ἁρμόζει γὰρ τῇ συμπαθείᾳ ἡ τῆς ἀλκῆς ὑπόμνησις, καὶ τῆς αἰκίας αὐτὸν ἐλεεῖ. καὶ τὸ „μή μοι" δὲ πολλῆς ἐςὶ φιλίας καὶ συμπαθείας. B.

τινὲς ἀγλαὸν υἱόν, ἵνα ἁρμόζῃ τῇ αἰκίᾳ ἡ ὑπόμνησις τοῦ κάλλους. V.

25. μυῖαι καδδῦσαι: ἐντίκτουσι γὰρ αἱ μυῖαί τι ταῖς σαρξίν, ἐξ οὗ οἱ σκώληκες γίνονται. χαλκότυπος δὲ ἡ χαλκῷ τετυπωμένη. συλληπτικῶς δὲ εἶπε πάσας ὠτειλάς· πεσόντα γὰρ πολλοὶ ἔτρωσαν, ὡς καὶ Ἕκτορα· „οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέςη" (Il. 22, 371). ὀξυτόνως δὲ τὰς εὐλάς, ὅπερ ἀπὸ τῆς εἰλήσεως παρῆκται. BV.

26. εὐλὰς ἐγγείνωνται: σκώληκας ἐγγεννήσωσιν. ἴσως δὲ εἴρηνται εὐλαὶ οἱ σκώληκες παρὰ τὴν εἴλησιν. D.

εὐλάς ὡς αὐλάς· εὐλή γὰρ ὡς αὐλή· τὰ γὰρ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ, διφθόγγῳ παραληγόμενα, ὀξύνεσθαι θέλει, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως· „οὐλὴν μὲν πρῶτον" (Od. 24, 331), αὐλή ἀπειλή ὠτειλή. οὕτως καὶ εὐλή. τὸ μέντοι „ἑτέρῃ δ' ἔχεν οὖλας" (Od. 3, 441), λέγω δὲ ἐπὶ τῶν κριθῶν, ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. προσέθηκα δὲ εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως διὰ τὸ δείλη βαρυνόμενον· ἐτυμολογεῖται γὰρ παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ, δεείλη. ἡ διπλῆ δέ, ὅτι ἐν τοῖς Ζηνοδότου ἐγγείνωνται διὰ τοῦ ι γέγραπται· δεῖ δὲ σὺν τῷ ι ἔςι γὰρ ἐγγεννήσωσιν· „οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεται αὐτός" (Od. 20, 202), ὅ ἐςι γεννήσῃς. A.

27. ἐκ δ' αἰὼν πέφαται: ὁ βίος καὶ ἡ ζωὴ πεφόνευται καὶ παρῄρηται. τοῦτο δὲ διὰ μέσου. V.

ἤτοι ἀνῄρηται ὁ βίος, ὅ ἐςι ζωῆς ἐςέρηται, ἢ ὡς οἱ γλωσσογράφοι, αἰὼν ἔφθαρται, ὅ ἐςιν ὁ νωτιαῖος μυελός. D.

ἀπογυμνωθῇ δὲ καὶ φανερωθῇ ὁ αἰών, ἤγουν ὁ νωτιαῖος μυελός. B.

τοῦτο διὰ μέσου· τὸ γὰρ ἑξῆς ἀεικίσσωσι δὲ νεκρόν, κατὰ δὲ χρόα. A.

τὸ ἐκ δ' αἰὼν πέφαται οὔ τοι παρέργως κεῖται, ἀλλὰ ὅτι τῆς ψυχῆς ἀπολιπούσης τὸ σῶμα εὐχερῶς αἱ μυῖαι λυμαίνονται τοῖς νεκροῖς σώμασι. A.

27. κατὰ δὲ χρόα πάντα σαπήῃ: ὁ νεκρὸς κατασαπῇ τὸν χρόα. Ἀττικῶς δὲ ἔχει ἡ σύνταξις. B.

οὕτως Ἀρίςαρχος διὰ τοῦ ῆ, σαπήῃ. A.

30. ἀλαλκεῖν: Ἀριςοφάνης ἀλαλκέμεν. V.

ἄγρια νῦν τὰ θρασέα καὶ ἀναιδῆ καλεῖ. ἀρηϊφάτου δὲ τοὺς ὑπὸ σιδήρου πεφονευμένους. B. ἐξῆρε δὲ τὰς μυίας ταῖς λέξεσιν. V.

ἄγρια φῦλα μυίας: ἀντὶ τοῦ μυιῶν. ἢ τὰς μυίας αἵ εἰσιν ἄγρια φῦλα. V.

32. τελεσφόρον: τὸν εἰς τέλος φέροντα τὰ φυόμενα. B. τὸν πάντα τελειοῦντα, ὅ ἐςι τελείους καρποὺς φέροντα. D.

34. ἡ διπλῆ, ὅτι πάντες ἥρωες ἐλέγοντο, οὐχ οἱ βασιλεῖς, ὡς Ἴςρος. βραχὺ δὲ διαςαλτέον Ἀχαιούς καὶ λαῶν πρὸς τὸ σαφέςερον. A.

36. ἀλκήν: τινὲς τὴν πανοπλίαν· ἔςι δὲ ὅμοιον τῷ „ἀναιδείην ἐπιειμένε" (Il. 1, 149). B.

37. μένος ἐνῆκεν: ἠσθενήκει γὰρ τῇ ἀγρυπνίᾳ καὶ τῇ λύπῃ. V.

38. ἐρυθρόν: αἵματος ποιητικόν. ἢ ὅμοιον οἴνῳ τῇ χροιάν. V.

39. στάξε: συλληπτικῶς ἐπὶ τῆς ἀμβροσίας. ἢ ὡς μιξάσης αὐτά V.

ῥινῶν τινὲς τῶν βυρσῶν. μετὰ δὲ τὸ ἔμπεδος εἴη γρ.

40. θαλάσσης: ἐν ἄλλῳ ποδάρκης. A.

οὐκ ἀναμένει διὰ κηρύκων συνάγειν. καὶ Ἀγαμέμνων δὲ „μετὰ πρώτοισι πονεῖτο" (Il. 9, 12). D.

ἐζήτηται δὲ δι' ἣν αἰτίαν οὐ χρῆται κήρυκι Ἀχιλλεὺς πρὸς τὸ συγκαλέσαι τοὺς ὄχλους. ῥητέον οὖν ὅτι ἔθος ἐςὶ ἀρχαῖον αὐτῷ τοῦτο· οὕτως γοῦν καὶ ἐν τῇ Α ῥαψῳδίᾳ (54) αὐτὸς Ἀχιλλεὺς συγκαλεῖ. ἄλλως τε καὶ διὰ τὴν χαρὰν μετὰ σπουδῆς συνδεδραμήκασιν, οὐδὲ τοὺς κήρυκας ἀναμείναντες. AD.

41. ἥρωας: παρ' Ἀριςοφάνει καὶ Ῥιανῷ ἐρίηρας. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τινὲς τοὺς βασιλεῖς νῦν. V.

42. καί ῥ' οἵπερ ἕως τȣ̃ δοτῆρες (44): τȣ̀ς γ' τȣ́τȣς ςίχȣς τοῖς ἑξῆς συνάπτεσθ βέλτιον, ϗ ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκοντας ὑποςίζειν, μένεσκον νηῶν δοτῆρες. ὁ δὲ λόγος· καὶ ὅσοι πρότερον ἐν τῷ ναυςάθμῳ ἔμενον, καὶ ȣ̃τοι τότε παρῆσαν εἰς τὴν ἐκκλησίαν. A.

Μυρμιδόνες. ἢ οἱ τῶν ἄλλων Ἑλλήνων. V.

νεῶν ἐν ἀγῶνι: τὸ ἄθροισμα τȣ̃ ναυςάθμου. A.

44. καὶ ταμίαι: τινὲς ἀπὸ κοινοῦ τὸ οἵ, καὶ οἱ ταμίαι. V.

σίτοιο: σῖτος μὲν καλεῖ ϗ ὁ κατειργασμένος ϗ ὁ ἀκατέργαςος, πυρὸς δὲ μόνος ὁ ἀκατέργαςος. ἔνδειξιν δὲ τῆς ἀρετῆς Ἀχιλλέως ἔχει ἡ τȣ̃ τοσȣ́τȣ πλήθȣς σύνοδος. B.

καὶ νόμον ἀτελείας κυβερνήταις ϗ σιτοχορηγοῖς. V.

σῖτον καὶ τὸν ἀκατέργαςον („σῖτος ἀθέσφατος" Od. 13, 244) καὶ τὸν εἰργασμένον („σίτȣ θ' ἅπτεσθον" Od. 4, 60). V.

45. ἡ διπλῆ, ὅτι τῆς ὑπὸ Ἴλιον ςρατιᾶς ἡγεῖτο ὁ Ἀχιλλεὺς ϗ πρὸ τȣ̃ μηνῖσαι· διὸ νῦν πάλιν ἀποκαθίςαται ἡ ἡγεμονία. A.

46. ἐξεφάνη: αἰφνιδίως ὤφθη. ὁ δὲ δέ ἀντὶ τοῦ γάρ. B.

47. σκάζοντε: καὶ τῷ Ὀδυσσεῖ ἡ πλευρὰ ἐμπόδιός ἐςι τετρωμένη. V. συλληπτικῶς πέφρακε· μόνος γ' ὁ Διομήδης ὤφειλε σκάζειν, κατὰ τȣ̃ ταρσȣ̃ τετρωμένος, ὁ μέντοι Ὀδυσσεὺς τὴν πλευράν, εἰ μὴ κατὰ συμπάθειαν τῶν μερῶν δόξαιμεν αὐτὸν τȣ̃το πεπονθέναι. D.

49. ἔγχει: ἑκάτερος τῷ ἰδίῳ, ὡς τὸ „φεύγωμεν φίλην ἐς πατρίδα γαῖαν" (Il. 2, 140). B.

ἡ διπλῆ, ὅτι συλληπτικῶς εἴρηκεν· ὁ γ' Διομήδης μόνος τὸν πόδα τετρωμένος (Il. 11, 376) ὑπέρεισμα ἔχει τὸ δόρυ. ὁ δὲ Διονύσιος τὸ σημεῖόν φησιν, ὅτι οἷον μυκτηρίζοντός ἐςι τὸ „ἔτι γ' ἔχον ἕλκεα λυγρά·" δευτεραῖοι γάρ εἰσι τραυματίαι. τȣ̃τ' ȣ̃ν λέγεσθ, ὅτι χρῆσθ αὐτοῖς μέλλει εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα πρὸς τὰ ἐναντία τοῖς τραύμασιν ἀγωνίσματα. ὑπεξαιρȣ́μενος ȣ̃ν λέγει ὡς δὴ πρὸς τὸ ὑγιάσθ ὄντων. A.

50. πρώτῃ ἀγορῇ: τῇ προεδρείᾳ. D. καὶ ἀλλαχοῦ „ἕδρῃ τε κρέασί τε" (Il. 8, 162). V.

51. ἡ διπλῆ, ὅτι δεύτατος ἀπὸ τȣ̃ δεύεσθ ὁ ἔχατος· τὸ δὲ δεύεσθαι ἐνδεῖν ἐςί. προσυνήχθη δὲ τὸ πλῆθος ὑπ' Ἀχιλλέως. A.

53. Κόων: Φερεκύδης Κύνωνά φησιν. ἄμεινον δὲ παρὰ τὴν σύνεσιν· Ἀντήνορος γ' αὐτὸν λέγει. V.

56. τὸν ἦ σύνδεσμον περισπαςέον· ἔςι γ' διςακτικός, τῆς κλητικῆς ἀνάπαυσιν λαβȣ́σης. εἰσὶ μέντοι οἳ ἐνέκλιναν αὐτὸν καθ' ὑπερβατὸν συντάσσοντες τῷ πέρ, ἵνα τὸ ὅλον τοιȣ̃τον ᾖ, ἵνα ᾖ ἐρώτησις Ἀττική, ἆρά τις κρείσσων ἐκ τῆς ἔριδος ἐγένετο ἡμῖν; ἐν δὲ τῇ Χίᾳ ὄνειαρ ἐγέγραπτο, ἐν τῇ Μασσαλιωτικῇ ἄμεινον. A.

ἆρά σοι δοκεῖ τὰ τῆς ἔριδος καλῶς ἡμῖν προκεχωρηκέναι; ὁ γ' Ἡρωδιανὸς τὸν ἦ σύνδεσμον περισπᾷ· ἔςι γάρ, φησίν, ἀρκτικός, τῆς κλητικῆς ἀνάπαυσιν δεχομένης. τινὲς δὲ καθ' ὑπερβατὸν αὐτὸν ποιȣ̃ντες συντάσσȣσι τῷ ὅτε νῶϊ περ, ἵνα τὸ ὅλον τοιȣ̃τον ᾖ· ἄρτι τȣ̃το ἀμφοτέροις ἔπλετο ἄρειον ἤπερ ὅτε ἡμεῖς ἀχνύμενοι μενεήναμεν. B.

58. ἔριδι μενεήναμεν: ὡς τὸ „ἔριδι συνέηκε" (Il. 1, 8). πιθανῶς δὲ ἐπ' ἄμφω τὴν αἰτίαν ἤγαγε, ϗ κȣ́ρην, ȣ̃ γέρας αὐτὴν καλεῖ, ταῖς διαλλαγαῖς πρεπόντως τὰς ἀληθείας ἐκτιθείς. B.

59. ἐν νήεσσι: παραυτὰ ὅτε ἐνέβη ἐπὶ τῆς νεὼς μετὰ τῆς ἄλλης λείας, δεινοποιεῖ δὲ τὸν λόγον διὰ τὴν Πατρόκλȣ τελευτήν. B.

61. ὀδὰξ ἕλον: τȣ̃το ὑπὸ ἀγανακτήσεως καὶ ὀδύνης πάχȣσι τελευτῶντες. V.

62. ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ ὑπὸ χειρῶν, καὶ ὅτι περισσὴ ἡ ἀπό πρόθεσις, ἀντὶ τȣ̃ μηνίσαντος. Νικίας ἀναςρέφει τὴν πρόθεσιν· ȣ̃κ ἀναγκαῖον δέ. A. Χαμαιλέων δὲ γράφει ἐπιμηνίσαντος. V.

ὁ μὲν Ἀσκαλωνίτης ὡς ἀποφοιβήσαντος· ϗ ȣ̃τως ἔχει ἡ παράδοσις. A.

ὑφ' ἓν τὸ ἀπομηνίσαντος. ἡ δὲ ἀπό ἀντὶ τῆς ἐπί, ὡς τὸ „Πριάμῳ ἐπεμήνιε δίῳ" (Il. 13, 460). ἢ παντελῶς μηνίσαντος. B.

63. Ἕκτορι: ὁ μὲν Νέςωρ ἔλεγεν „ἦ ἵκεν γηθήσαι Πρίαμος" (Il. 1, 255)· ὁ δε παρωξυμμένος ἀντὶ τȣ̃ Πριάμου τὸν Ἕκτορα λαμβάνει. B.

ἀντωνυμία μὲν ὁμολογȣμένως τὸ τό μόριον, ȣ̃ μὴν διαςαλτέον κατ' αὐτό, ὡς ἔδοξέ τισιν. A.

64. δηρόν: τῶν γ' κακῶν μόλις ἐπιλανθανόμεθα· διὸ καὶ ἄλαςα καλȣ̃νται. B.

65. προτετύχθαι: προγενέσθαι αὐτὰ λογισώμεθα ϗ μὴ νῦν εἶναι. B.

67. 68. ἡ διπλῆ, ὅτι ἀντιπέφρακε τῇ μήνιδι τὸν χόλον. A.

68. ἀσκελέως: ἀντὶ τȣ̃ ἄγαν σκληρῶς· σκέλλειν γὰρ τὸ σκληροποιεῖν, ϗ ὁ σκέλετος κατεσκληκὼς διὰ τὴν ἀσαρκίαν, ϗ Ἀσκληπιὸς κατὰ ςέρησιν ἠπιότητος ὁ διὰ ἰατρικῆς μὴ ἐῶν σκέλλεσθ. οἱ δὲ ἀπέδωκαν ἀσκελέως ἀδιαλείπτως κατὰ μέμψιν· τὸ γ' ἀσκελὲς ἄβατον, ἀπόρευτον. B.

μενεαινέμεν: ὅτι νῦν ἀντὶ τȣ̃ θυμȣ̃σθ. A.

69. ὄτρυνον πόλεμόνδε: τὴν ἐξȣσίαν τῆς ἐξόδȣ τῷ βασιλεῖ ἀναφέρει. B. ὁμονοητικῶς. V.

70. οὕτως Ἀρίςαρχος διὰ τȣ̃ ν̄; ἀντίον. A.

71. ἰαύειν: παραυλίζεσθ. σαρκαςικὸς δὲ ὁ λόγος. B.

ἡ διπλῆ, ὅτι τὸ ἰαύειν ȣ̃κ ἔςι νῦν κοιμᾶσθαι ἀλλ' ἐπαυλίζεσθ· „ὡς ϗ ἐγὼ πολλὰς μὲν ἀΰπνȣς νύκτας ἴαυον" (Il. 9, 325). καὶ ὅτι ἀντὶ τȣ̃ αἴ κ' ἐθέλοιεν. A.

72. ἀσπασίως: ἡδέως, ἢ ἀπροσδοκήτως. τȣ̃το δὲ διὰ τὴν σύντονον φυγήν. B.

γόνυ κάμψειν: οἱ φεύγοντες τεταμένον ἔχȣσι τὸ γόνυ, οἱ δὲ καθήμενοι κεκαμμένον. ἀσπασίως ȣ̃ν, φησί, καθεδεῖταί τις τῶν φευγόντων ἐκ τȣ̃ πολέμȣ, ὃς ϗ ἀναπαυσει αὐτὸν καὶ τὰ σκέλη. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

73. φεύγων: γράφεται δηΐῳ. A.

75. ἀπειπόντος: Ἀρίσαρχος ἔξω τῶ ο, ἀπειπόντος, καὶ αἱ πλεῖαι. A.

76. τοῖσι: τέτοις οἷς Ἀχιλλεὺς ἐδημηγόρησεν. B.

76. 77. τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων αὐτόθεν ἐξ ἕδρης, ἐδ' ἐν μέσσοισιν ἀναστάς: ἕτως ἢ παρ' Ἀρισοφάνει. ἐν δὲ τῇ Μασσαλιωτικῇ καὶ Χίᾳ „τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων, μῆνιν ἀναστενάχων ἢ ὑφ' ἕλκεος ἄλγεα πάσχων." ἕτως ὁ Δίδυμος. A.

77. αὐτόθεν ἐξ ἕδρης: μὴ ἀναστάς· φησὶ γὰρ ἑξῆς „ἂν δ' Ἀγαμέμνων ἕστατο" (249). ἢ ὁ προελθὼν εἰς μέσην τὴν ἐκκλησίαν, ἵν' ᾖ, ἀναστὰς ἐδημηγόρει ἐκ ἐν μέσοις, ἀλλ' ἐκ τῆς ἕδρας τῶν βασιλέων. Ἐπαφρόδιτος δέ φησιν ὅτι καθεζόμενος ἐδημηγόρει, ὅπως μὴ ἔκπυστοι οἱ μῦθοι γένωνται ταπεινοὶ ὄντες· ἢ ὅτι τὸ τραῦμα αὐτὸν ἴσασθαι ἐκ ἐᾷ. BV.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος τᾶτον μὲν ἐκ ἔγραφε, τὸν δὲ πρὸ αὐτῆ μόνον ἕτως „τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων." ὁ δὲ Ἀγαμέμνων ἐκ ὀρθὸς δημηγορεῖ διὰ τὴν τῆ τραύματος ἀλγηδόνα· διὸ ἐπιφέρει ὑποτιμώμενος, καλὸν μέν ἐστιν ἐστῶτα δημηγορεῖν, ὡς δηλονότι καθήμενος. A.

79. ἑσταότος μὲν: καλῶς ἔχει τῆ ἑστῶτος καὶ δημηγορᾶντος ἀκέειν ἢ μὴ ὑποκρέειν μηδὲ ἐμποδίζειν· τᾶτο γὰρ δηλοῖ τὸ ὑββάλλειν· χαλεπὸν γὰρ ἢ τῷ πάνυ δεινῷ ἐν ταραχῇ εἰπεῖν. τᾶτο ἀγνοήσας Ἀρίσαρχος, καὶ οἰηθεὶς παραίτησίν τινα ἐκ τῆ Ἀγαμέμνονος γίνεαθ, παρενέθηκε τὸν „αὐτόθι ἐξ ἕδρης." πρῶτον μὲν ἓν τί ἂν καθέζοιτο τὸν ἀγκῶνα τετρωμένος; ἔπειτα ἕτως ἐρῶνται ὥςε ὀλίγον ὕςερον (252) κάπρον ἀποσφάττειν, ἕτως ὁ Κοτυαεύς. A.

Ἀρίσαρχος ἐν ᾠήθη παραίτησιν εἶναι τὸν λόγον, ὡς διὰ τὸ τετρῶαθ τῆ Ἀγαμέμνονος συγχωρεῖν ἀξιᾶντος εἰ καθήμενος λέγει· καί φησι, διὰ τᾶτο ἐνέθηκε τὸ „αὐτόθεν ἐξ ἕδρης ἐδ' ἐν μέσσοισιν ἀναστάς." ἄτοπος δὲ ἡ παραίτησις· ἐ γὰρ τὸν πόδα ἀλλὰ τὴν χεῖρα τέτρωαθ, καὶ τὴν χεῖρα δὲ ἕτως ἐρῶτο ὥςε ὀλίγον ὕςερον αὐτὸς τὸν κάπρον ἀποσφάττει. κἂν προσκείμενον δὲ τῷ στίχῳ ᾖ τὸ „αὐτόθεν ἐξ ἕδρης," ἀκεσόμεθα ἐκ τᾶ τῶν ἀριςέων συνεδρίου, ὡς' ἐν ἐκείνοις ὄντα λέγειν αὐτὸν ἢ ἐκ ἐν μέσῳ τῷ πλήθει. Ἀπολλώνιος μὲν ἓν ὁ διδάσκαλος ἡμῶν, ἢ αὐτὸς συγκαταθέμενος ὅτι ἔσχεν ὁ Ἀγαμέμνων, παραιτεῖ, φησί, τὸν ὑποβολέα ὡς ἂν ἐκ τῆ αὐτοσχεδίᾳ λέγειν μέλλων· ἐμὲ γάρ φησιν ἀκέσατε, καὶ μηδείς μοι ὑποβαλέτω, ἵν' εἶπω· χαλεπὸν γὰρ τὸ ὑποβαλλόντων ἀκέειν τῷ ἐπισήμοντι τῆ λέγειν. ἢ πῶς γὰρ ἂν τις ἐν πολλῷ ὁμίλῳ ἀκέσει τῆ ὑποβάλλοντος, ἢ ὁ ἀκέσας εἴποι; ὥςε ἢ λιγὺν ὄντα δημηγόρον, καὶ δύναμιν ἔχοντα τῆ αὐτοσχεδιάζειν, βλάπτεαθ ἐμποδιζόμενον τῷ ἐξ ὑποβολῆς λέγειν ἐν πολλῷ θορύβῳ. εἶχε δ' ἂν τινα λόγον ἡ ἐξήγησις, εἰ ἐγίνωσκεν Ὅμηρος τὸ τοιᾶτον εἶδος τῆς δημηγορίας, λέγω δὲ τὸ ἐξ ἀναγνώσεως ἢ γραφῆς ὑποβαλλόμενον. Ἀλέξανδρος δὲ ὁ Κοτυαεύς φησι λέγων· καλῶς ἔχει τὸ ἑξῶτος τῆ δημηγορᾶντος ἀκέειν, καὶ μὴ ὑποκρέειν αὐτὸν καὶ ἐμποδίζειν· τᾶτο γὰρ σημαίνει τὸ ὑββάλλειν· χαλεπὸν γὰρ ἢ τῷ πάνυ δεινῷ ἐν ταραχῇ εἰπεῖν. τὸ γὰρ „χαλεπὸν ἐπισάμενόν περ ἐόντα" κατὰ Ἀττικὴν συνήθειαν πλεονάζει τὸ ἐόντα· ἐκείνοις γὰρ ἦν σύνηθες λέγειν „μὴ προδοὺς ἡμᾶς γένῃ" ἀντὶ τῆ μὴ προδῷς ἢ „παίζεις ἔχων" ἀντὶ τῆ διαπαίζεις. καὶ ἐνταῦθα χαλεπὸν γὰρ ἐπισάμενόν περ ἐόντα, ἀντὶ τῆ τὸν ἐπισάμενον μὲν θορυβεῖαθ χαλεπόν, ὡς ἢ τῆ ἐπισήμονος ῥήτορος ἐν θορύβῳ χαλεπῶς δημηγορᾶντος. ἐμοὶ δὲ δοκεῖ δύνασθαί τινα ἕτως ἀποδιδόναι τὴν διάνοιαν. ἐκκλησίας ἀθροισθείσης ὁ Ἀγαμέμνων παύει προοιμιαζόμενος τὸν θόρυβον, λέγων ὡς ἡ ἐκκλησία ἃ πρὸς αὐτὸς ἔχει τὴν ἀπότασιν, ἀδὲ δεῖν νῦν ὑποκρέειν, ζητᾶντας μαθεῖν τίνος ἕνεκα συνεληλύθασιν· χαλεπὸν γὰρ θορυβεῖν τὸν ἐπισάμενον τὰ ὄντα. τίνα δὲ ἦν τὰ ὄντα, πάντες πα ἐγίνωσκον, ὅτι ἐμήνισαν πρὸς ἀλλήλης Ἀχιλλεὺς ἢ Ἀγαμέμνων, καὶ ὅτι νῦν κατηλλάγησαν, καὶ ὅτι ἡ σύνοδος διὰ τᾶτο. τὸ ἓν ἐπιστάμενόν περ ἐόντα τὰ ὄντα λέγει ἢ ἐνεςῶτα τὸν καθ' ἕκαςον αὐτῶν ἐπίςαωθ, ὡς ἔφη πα „ὃς ἤδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τε ὄντα" (Il. 1, 70). χαλεπὸν ἓν ἢ δεινὸν πρᾶγμά ἐςι τὸ ἐπισάμενον τὰ ὄντα ἢ ἐνεςηκότα θορυβεῖν, πανθανόμενον ἢ ἀγνοᾶντα, ἢ ζητᾶντα περὶ ὧν οἶδεν ἀκέειν. καὶ ὅτι τᾶτο νοεῖ, δῆλον δι' ὧν ἐπάγει „Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι, αὐτὰρ οἱ ἄλλοι σύνθεαθ' Ἀργεῖοι ἠμὲν νέοι ἠδὲ γέροντες." λέγει γὰρ ὅτι ἡ ἀπότασις μὲν τῆ λόγα πρὸς τὸν Ἀχιλλέα ἐςίν, ἃ πρὸς ὑμᾶς τὰς εἰδότας δι' ἃ συνελήλυθαμεν. ἔςιν ἓν ὁ νᾶς· μὴ θορυβεῖτε ὦ ἄνδρες, ἀκόοντες διὰ τί συνεληλύθαμεν· ἐπίςαωθ γὰρ τὰ πάντα, καὶ ὁ λόγος μοι τὰ νῦν ἃ πρὸς ὑμᾶς ἀλλὰ πρὸς τὸν Ἀχιλλέα ἔχει τὴν ἀπότασιν· χαλεπὸν γὰρ τὰς εἰδότας τὴν αἰτίαν τῆς συνόδα ὡς μὴ εἰδότας θορυβεῖν, καὶ διὰ τᾶτο ἐμποδίζειν ἢ τῷ λέγοντι καὶ τῷ ἀκόοντι, πρὸς ὃν ὁ λόγος ὁ παρὼν ἔςηκε. πολλὰ δὲ τοιαῦτα ἢ παρὰ τοῖς ῥήτορσι προοίμια ἐπιγράφεται πρὸς τὰς θορύβας. B.

ἄλλως. εἰδὼς ὁ Ἀγαμέμνων ὅτι μέλλει θορυβεῖαθ ὡς αἴτιος γεγονὼς φθορᾶς τῇ Ἑλληνικῇ στρατιᾷ, ἡσυχίαν ἑαυτῷ προκατασκευάζει λέγων δύσκολον εἶναι ἐν πολλῷ θορύβῳ διαλέγεαθ. ἔνιοι δὲ καθεζόμενον τὸν Ἀχιλλέα ὑπενόησαν δημηγορεῖν. BD.

ἄλλως. τινὲς ἑαυτὸς ἀντὶ τῆ εὐσταθῶς, ἡσύχως, ἀρκέντως, ἐθελόντως. οἱ δέ φασι τὰς φιλαχιλλεῖς κραυγάζειν καὶ ὑποκρέεαθ τὸν λόγον, ὡς τὸ „τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς" (Il. 1, 292). καλὸν οὖν, φησί, σιωπῆ τῆ ἑαυτὸς ἀκέειν, ἢ μὴ διακόπτειν ἐξ ὑποβολῆς τὸν λόγον· ὑββάλλειν γὰρ τὸ ὑποκρέεαθαι θορύβῳ τὸν λέγοντα. B.

ἀκούειν: ἕτως Ἀρίσαρχος. ἄλλοι δὲ ἀκουέμεν. A.

80. ὑββάλλειν: ὑποκρέειν, ἐμποδίζειν τὸν λέγοντα. τινὲς δὲ κακῶς ἤκεσαν τὸ δι' ἑτέρα λέγειν. D.

ἡ διπλῆ, ὅτι τὸ ὑββάλλειν ἐξὶν ὑποβάλλειν· χαλεπόν ἐξιν ἑτέρῳ ὑποβάλλειν τὸν λόγον, ὃν αὐτός τις εἰπεῖν βέλεται, κἂν ὅτι μάλιςα ἐπιτιμῶν τις ἦν. τὸ δὲ ὑββάλλειν ψιλωτέον· ἔςι γὰ Αἰολικόν, ὡς φησιν Ἡρωδιανὸς ἐν τῷ κ' τῆς καθόλ. A.

Ἀρίςαρχος ἐπιςαμένῳ περ ἐόντι. A.

81. πῶς κέν τις ἀκέσαι: ὁ Ἀρίςαρχος ἐλλείπειν φησὶ τὸ ἔτως χρώμενος· τὸ γὰ λεγόμενον τοιῦτον εἶναι, ἐν δὲ πολλῶν ἀνδρῶν ὁμίλῳ πῶς ἄν τις ἔτως χρώμενος ἢ εἴποι ἢ πῶς οἱ ἀκέοντες ἀκέσειαν; ἔτως Δίδυμος. τὸ ἀκέσαι παροξυτονητέον· ἔςι γὰ εὐκτικόν. A.

82. βλάβεται: βλάπτω βλάβω ὡς κρύπτω κρύβω. λέγει δὲ ὅτι κἂν τίς ἐςι σοφός, οἱ δὲ λαοὶ μὴ γλωσσοκρατοῖεν, βλάπτεῖ κὰ οἷον ἐπιλήσιμον τῶν λόγων γίνεται. B.

83. ἐνδείξομαι: οἷον τὴν ἀπότασιν τῶν λόγων πρὸς Ἀχιλλέα ποιήσομαι φανερῶς, ἢ ἀπολογήσομαι. AD.

οἷον διαλέξομαι καὶ πρὸς αὐτὸν ἀπερείσω τὸν λόγον· ὅθεν κὰ ἀριδείκετος, πρὸς ὃν τις δι' ἀξίωμα τὸν λόγον ἀπερείδει. τὸ δὲ σύνθεσθε δηλοῖ τὸ κατὰ νᾶν λάβετε. βέλεται δὲ αὐτὸν ταπεινοῖς εὐμενίσαθαι λόγοις, καὶ οὐχ ὑψηγορεῖ. B.

84. σύνθεσθ': κρίνατε, δοκιμάσατε. A. οἱ δὲ λοιποὶ ἀκέσαντες εἴπατε τοῖς μὴ ἀκέσασιν. D.

85. τοῦτον: ποῖον τῦτον; τὸν „ἦ ἄρτι τόδ' ἀμφοτέρωσιν ἄμεινον" (56). εὔνοιαν δὲ αὐτοῖς παρ' Ἀχιλλέως πορίζεῖ ὡς ἀγανακτήσασιν ἐπὶ τῇ ὕβρει αὐτῦ· ἐλελύπητο γὰρ καὶ εἰς Ἕλληνας ὡς μὴ ἐπαμύναντας τῷ δι' αὐτοὺς ὑβρισθέντι. B.

σημειῶνται τινες ὡς ἂν λεγόντων τινῶν ὅτι ἠδίκησεν ἀφελόμενος τὴν Βρισηΐδα. A.

86. καί τέ με νεικείεσκον: ὁ γὰ Νέςωρ φησὶ „σὺ δὲ σῷ μεγαλήτορι θυμῷ εἴξας, ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας" (Il. 9, 109). Θερσίτης „ὃς κὰ νῦν Ἀχιλῆα ἔο μέγ' ἀμείνονα φῶτα ἠτίμησεν" (Il. 2, 240). καὶ „οἱ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλησι" (Il. 13, 309). πιθανῶς δὲ ἐκ ἐπὶ ὁπότερον αὐτῶν ἄγει τὴν αἰτίαν. κὰ νῦν γὰ οἱ ἀδυνατοῦντες ἀπ' αὐτῆς τῆς ἀληθείας ἀπολογεῖσθαι τῇ τύχῃ τῆς εἱμαρμένης τὸ ὅλον ἀναφέρουσιν αἴτιον. BV.

παρ' Ἀριςοφάνει κὰ τῇ Χίᾳ νεικείουσιν. A.

87. ἠεροφοῖτις: ἡ διὰ τοῦ σκότους φοιτῶσα, ἢ ἀόρατος, ἢ ἡ ἀπροοράτως φοιτῶσα κὰ ἐπερχομένη ὡς τιμωρὸς τῶν ἀδικημάτων. ἔςι δὲ καταχθονία δαίμων ἡ Ἐριννύς, οἷον ἡ ἐρευνῶσα τὰ ἐν ταῖς πράξεσιν ἔργα. D.

προπερισπαςέον ὁμοίως τῷ πρωθῆβις κὰ πολῖτις. περιςέον δὲ μᾶλλον τοῖς παρὰ τὸν ἀέρα ἐκδεξαμένοις τὴν σύνθεσιν γεγονέναι, ἐπεὶ ἀοράτως φοιτᾷ· ἀέρα γὰρ λέγει τὸ σκοτεινὸν κατάςημα· „ἠέρι γὰ κατέχοντο" (Il. 17, 368) καὶ „ἀὴρ γὰ παρὰ νηυσὶ βαθεῖ' ἦν" (Od. 9, 144). A.

τινὲς τὸ ᾱ ἄρθρον ἐδέξαντο, ἵν' ᾖ ἡ ἠροφοῖτις, παρὰ τὴν Ἥραν, ἡ ἐν τῇ γῇ φοιτῶσα ἢ οἷον ἠερβοφοῖτις. ἔνιοι δὲ ἠροπῶτις παρὰ τὸ Αἰχύλειον παρὰ τὸ εἰς ἔριν νεύειν. οἱ δὲ εἰαροπῶτις, ἐγκειμένου τῦ εἶαρ, ὅπερ ἐςὶ κατὰ Σαλαμινίους αἷμα. ἄμεινον δὲ γράφειν ἠεροφοῖτις, ὃ ἐςιν ἡ ἐξ ἀφανοῦς φοιτῶσα. ἔτως Ἡρωδιανός. BV.

89. Ἀχιλλῆος γέρας: ἐκ τῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ. B.

90. ἔξω τῦ ν αἱ Ἀριςάρχῃ, ἀλλὰ τί κε ῥέξαιμι. γράφεῖ δὲ κατ' ἔνια θεὸς διὰ πάντα τελευτᾷ, διὰ τὸ θεὸς τέλος πάντα λαμβάνει. ἐν δέ τισι θεὸς διὸ πάντα τέτυκται. σικτέον δὲ ἐπὶ τὸ ῥέξαιμι. καλῶς δὲ ἔχει κὰ κατὰ τὸ τέλος τῦ σίχῃ σίζειν, ἵνα ἔτος μὲν ὁ λόγος καθολικὸς ᾖ, θεὸς πάντων τὸ τέλος ἔχει, τὰ δὲ ἐξῆς ἀπ' ἄλλης ἀρχῆς, ἵνα λείπῃ τὸ ἐςὶ ῥῆμα. ὁ δὲ λόγος, Διὸς θυγάτηρ ἐςὶν Ἄτη, ἐξ ἧ τὸ θεῖον κὰ τὸ ἰσχυρὸν παρίςησιν. ὡς μὲν γὰ ἡ τριβὴ συνάπτει, ψεῦδος εἶναί μοι δοκεῖ· οὐ γὰρ πάντων ἡ Ἄτη τὸ τέλος ἔχει, ὥσπερ οὐδὲ τῶν ἀγαθῶν. B.

σικτέον εἰς τὸ ῥέξαιμι εἰς τὸ τέλος τῦ σίχῃ, ἵν' ᾖ ἔτος μὲν καθολικὸς ὁ λόγος, θεὸς τὸ πάντων ἔχει τέλος, τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς, ἵνα λείπῃ τὸ ἐςίν, ὡς ἔθος. τὴν δὲ διά ὁ μὲν Ἀσκαλωνίτης περισσὴν ἡγεῖται, ὁ δὲ Δίδυμος σημαίνειν τὸ διόλε, ὡς κὰ διαλείτης ὁ διόλε ἁμαρτάνων, ἢ δι' ἑαυτῆς πάντα τελεῖ. Ἑλλάνικος δὲ θεόσδια τὰ θεόςδοτα γράφει κὰ θεὼς, ἵνα λείπῃ ἡ διά. Λεσβοκλῆς δὲ διαιρεῖ εἰς τὸν δή σύνδεσμον κὰ τὸ ἶα ὄνομα, ἵν' ᾖ μία δὴ θεὸς ἡ Ἄτη τὸ πάντων ἔχει τέλος. B.

ἄλλως. ὁ μὲν Ἀσκαλωνίτης περισσὴν ἡγεῖται τὴν διά πρόθεσιν· εἶναι γὰ τὸ ἑξῆς, θεὸς πάντα τελευτᾷ. Δίδυμος δὲ ἡγεῖτο σημαντικὴν αὐτὴν εἶναι τῦ διόλε κὰ μὴ παρέλκειν, ὥσπερ ἐπὶ τοῦ διηλίτης ὁ δι' ὅλε ἁμαρτάνων. οὐ προσεκτέον δὲ τοῖς ὑφ' ἓν ἀνεγνωκόσιν. B.

οὐδεμία λέξις ἁπλῆ κατὰ τὴν Ἰάδα κὰ τὴν Ἀτθίδα κατ' ἐπιπλοκὴν ἔχει τὸ σδ. V.

91. πρέσβα Διὸς θυγάτηρ: κατ' εὐφημισμὸν ὁ λόγος, οἷον καθὸ θεός, πρέσβα πᾶσι κὰ τιμία, ἐπεὶ πῶς αὐτὴν ἐλομένην καλεῖ; τὸ δὲ πρέσβα ἀπὸ τῦ πρέσβεια συγκέκοπεῖ, ἢ παράκειεῖ τῷ πρέσβυς. συγγνώμην δὲ ἑαυτῷ ποριζόμενος ὡς θεοβλαβεῖ αὔξει τὴν δαίμονα, ὡς ὑπὸ μείζε θεᾶ βλαπτόμενος, κὰ ἵνα τὰς ἁμαρτάνοντας μὴ μέμφοιτό τις. BV.

92. τῇ μέν: ἔτως Ἀριςάρχος. ἄλλοι δὲ τῆς μέν. A.

ἀπαλοὶ πόδες: λανθάνει γὰ ἐπιφοιτῶσα· ἢ ὅτι αἱ πρῶται τῆς Ἄτης ἀρχαὶ ἁπαλαί. ὅταν δὲ εἴπῃ „ἦ δ' Ἄτη θεναρή τε κὰ ἀρτίπους" (Il. 9, 505), τὴν τὰς ὑβρίσαντας ἱκέτας μετερχομένην δηλοῖ. B.

93. κατ' ἀνδρῶν κράατα: ὃ γὰ πίπτει βλάβη οὐδεμία χαμαῖ, ἀλλ' εἰς κεφαλήν τινὸς ἀποσκήπτει τὴν ἀτυχίαν, κὰ ἐπὶ κράατα βαίνει τὸν νᾶν βλάπτωσα, ὅς ἐςιν ἐν τῇ κεφαλῇ· ἢ ὅτι ταπεινοῦσα τῇ μετανοίᾳ αὐτοὺς ταῖς κεφαλαῖς ἐπίκειεῖ κὰ ἐπικαταθλᾷ αὐτάς. ἡ δὲ κατά ἀντὶ τῆς ἐπί, ἵν' ᾖ ἐπὶ ἀνδρῶν κράατα. B.

94. ἕτερον: τὸν ἕνα τῶν ἐριζόντων. ἢ οὐκ ἐμὲ μό-

νον, ἀλλὰ καὶ ἕτερον. B.

ἀθετεῖται ὡς περισσὸς ᾗ κακοσύνθετος· τί γὰρ ἄλλο δύναται ποιεῖν ἡ Ἄτη ἢ βλάπτειν; ἐχ ὑγιῶς δὲ ἐδὲ τὸ ἕτερον τέτακται· ἔδει γὰρ ἄλλον. βιάζονται δέ τινες τὸν Ἀγαμέμνονα λέγειν ἐφ' ἑαυτῷ ᾗ τῷ Ἀχιλλέως· καθολικὸς δέ ἐστιν ὁ λόγος. κοινότερον γὰρ εἰπὼν ἐπὶ τὸν ἡγεμονικώτατον Δία ἀνῆλθεν. καὶ ὅλως παρῴδηται ἐκ τῶν Λιτῶν (Il. 9, 503)· „βλάπτεσθ' ἀνθρώπες· αἱ δ' ἐξακέονται ὀπίσσω." A.

95. Ἀρίσαρχος Ζεὺς ἄσατο· καὶ ἔτως ἐν ἁπάσαις, Ζεὺς ἄσατο· ᾗ ἔστι ποιητικώτερον. ἐν δέ τισι τῶν εἰκαιοτέρων Ζῆν' ἄσατο. A.

καὶ ἐν οἷς ἐλεεινολογεῖται, ὑψοῖ ἑαυτόν, εἰκάζων τῷ μεγίστῳ θεῷ. μακρολογεῖ δέ, θεραπεύων Ἀχιλλέα, ὡς ἐκ αὐτὸς αὐτῷ τῆς ἀπωλείας αἴτιος Πατρόκλῃ. καλῶς δὲ ᾗ ἐκ Πελοποννήσου τὸ παράδειγμα ἔλαβεν. B.

96. φάσ': ἄδηλα γὰρ τὰ περὶ θεῶν. ἢ φασιν ὅτι καὶ τὸν Ζῆν' ἄσατο, ὅ ἐστιν ἔβλαψεν. B.

παρὰ Ἀριστοφάνει ἀλλά νυ καὶ τόν. ἐν δὲ τῇ Χίᾳ φαμέναι, ἠθικῶς. A.

97. ἡ διπλῆ, ὅτι ἔτως χρηματίζει θῆλυς ὡς πῆχυς· ἀφ' ἧς πίπτει θήλεας ὡς πήχεας. A.

διὰ τὸ θῆλυς ᾖ μόνον τὴν φύσιν ἀλλὰ καὶ τὸ ἀσθενὲς παρέσχησεν αὐτῆς τὸ πρὸς τὸν Δία. B.

99. ἐϋσεφάνῳ ἐνὶ Θήβῃ: κατατετειχισμένῃ, μεταφορικῶς διὰ τὸ ὑπὸ Ἀμφίονος ᾗ Ζήθου αὐτὴν τετειχίσθαι. D. παρὰ γὰρ ταῖς Ἠλεκτραίαις πύλαις ἐτέχθη Ἡρακλῆς. V.

100. ὅτι τὸ εὐχόμενος σαφῶς ἐστιν αὐχώμενος, παρὰ τὸ αὐχεῖν. V.

διαβεβαιούμενος· δεόντως δὲ εἰς τοῦτο ἦλθε τὸ διήγημα· ὡς γὰρ ἠνιᾶτο Ζεὺς ὁρῶν τὸν Ἡρακλέα ὑποτασσόμενον, ἕτω καγώ. πῶς δὲ τὰ παρὰ θεοῖς οἵδε γινόμενα; ῥητέον δὲ ὅτι κοινὸν ὄντα τὸν μῦθον παρείληφεν. B.

103. μογοσόκους: ἡ παραιρεμένη τὸν μόγον τῶν τοκετῶν. B. ἢ περὶ τὰς τικτούσας κοπιῶσα. D.

104. ἐκφανεῖ: ἐξαγάγῃ πρὸς τὸ φῶς καὶ φανερώσει, ὅ ἐστι γεννηθῆναι ποιήσει. B.

ἐξάξει. φησὶ γὰρ „ἐκ δ' ἄγαγε προφόως" (118). V.

105. τῶν: τούτων· λείπει δὲ τὸ τῶν ὄρθρου, ὡς τὸ „εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν" (Od. 2, 206), ἵν' ᾖ τῆς γενεᾶς τούτων τῶν ἀνδρῶν. μεγάλη δὲ παραίνεσις πρὸς τὸ μὴ ἐπιορκεῖν, εἴ γε ᾗ ὀμφιβόλου ὄντος τοῦ „ἐξ ἐμεῦ αἵματος" — δηλοῖ γὰρ ᾗ υἱὸς ᾗ ἀπόγονος — ᾖ παρέβη ὁ Ζεὺς τὸ ἐπάγγελμα. B.

ἄλλως. παρὰ Ἀριστοφάνει ἔξω τοῦ ἐ οἱ αἵματος. A.

αἵματος: μεταφορικῶς ἀντὶ τοῦ γένος, ὡς καὶ παρ' ἡμῖν ἔτι λέγεται, ὁ γὰρ παῖς ἔτος αἱμά μέ ἐστιν. B.

τούτων τῶν ἀνδρῶν οἱ ἐκ τῆς σῆς σπορᾶς τὸ αἷμα ἔχουσιν. A.

ὅτι τὸ ἐξῆς ἐστιν, οἷς τὸ αἷμα ἐξ ἐμοῦ ἐστιν, οὐχὶ οἱ αἵματος ἐξ ἐμοῦ εἰσιν· ἐπεὶ κὖν ἡ σύναρθρος ἔκειτο, ὅθεν καὶ ἐξῆς φησὶ „τῶν ἀνδρῶν οἱ σῆς ἐξ αἵματός εἰσι γενέθλης," οἷς τὸ αἷμά ἐστιν ἐκ σοῦ. A.

107. ψευσήσεις: ὡς κρατήσεις. A. ὑφ' Ἓν Ἀρίσαρχος, ἀντικειμένως τῷ ἀληθεύσεις. ἄτοπον γὰρ τὸ διαιρεῖν ψεύσης εἶ. V.

ψεύσεις. ἄτοπον γὰρ λέγειν Διὶ ψεύσῃ εἶ. V.

εἰκότως ψεύδεσθαι αὐτόν φησιν, ἐρεθίζουσα ἐπὶ τὸν ὅρκον. B.

108. εἰ δ' ἄγε: ἐν ἄλλῳ αἰ δ' ἄγε. A.

ἄλλως. διὰ τί ἡ Ἥρα ὀμόσαι πρὸς τὸν Δία; ἢ δῆλον ὡς ᾗ ποιοῦντα ἃ ἂν φῇ. εἰ δὲ τοῦτο, διὰ τί οὐ κατανεῦσαι ἀλλὰ ᾗ ὀμόσαι ἠξίωσεν, ὡς ᾗ ψευδομένῃ, ἂν μὴ ὀμόσῃ; ὁ δὲ ποιητής φησιν ἀληθεύειν „ὅ τι κεν κεφαλῇ κατανεύσῃ" (Il. 1, 527). τὸ μὲν ἓν ὅλον μυθῶδες· ᾗ γὰρ οὐδ' ἀφ' ἑαυτῆ ταῦτά φησιν Ὅμηρος, οὐδὲ γινόμενα εἰσάγει, ἀλλ' ὡς διαδεδομένων περὶ τὴν Ἡρακλέους γένεσιν μέμνηται. ῥητέον δὲ ὅτι ᾗ ὁ μῦθος εἰκότως εἰσάγει τὴν Ἥραν ὀμόσαν τὸν Δία· πάντες γὰρ περὶ ὧν ἂν φοβῶνται μὴ ἄλλως ἀποβῇ, πολὺ τῷ ἀσφαλεῖ προέχειν πειρῶνται· διὸ ᾗ ἡ Ἥρα, ἅτε οὐ περὶ μικρῶν ἀγωνιζομένη, καὶ τὸν Δία εἰδυῖα ὅτι αἰθόμενος τὸν Ἡρακλέα δηλεύοντα ὑπεραγανακτήσει, τῇ ἰσχυροτάτῃ ἀνάγκῃ κατέλαβεν αὐτόν. ἔτως Ἀριστοτέλης. A.

διὰ τί μὴ νεῦσαι αὐτὸν κελεύει; ἢ τάχα φοβεμένη μὴ μετατεθῇ, ἐπὶ τὸ ἰσχυρότερον ἔρχεται. B.

110. μετὰ ποσσὶ γυναικός: μεταξὺ τῶν τῆς γυναικὸς ποδῶν. εὐχημόνως δὲ ᾗ σαφῶς ἀνήνεγκε τὴν λοχείαν. B.

114. ῥίον Οὐλύμποιο: πρὸς τὰ περὶ τῷ Ὀλύμπου. ἔδει δὲ λίπεν ἠρανὸν ἀερόεντα· Ἀγαμέμνων γὰρ ὁ λέγων. A.

115. ἡ διπλῆ, ὅτι τὴν Πελοπόννησον Ἄργος Ἀχαϊκὸν λέγει, τὴν Θεσσαλίαν δὲ Ἄργος Πελασγικόν. A.

τὸ ἐν Πελοποννήσῳ, ὃ ᾗ Ἴασον ᾗ ἱππόβοτον καλεῖ. V.

ἤδη: ἤδεεν ἡ Ἥρα. B.

116. ἄλοχον Σθενέλου: Δίδυμος παρατίθεται Φερεκύδην μὲν λέγοντα αὐτὴν τὴν Πέλοπος Ἀμφιβίαν· Ἡσίοδος δὲ Ἀρτιβίαν τὴν Ἀμφιδάμαντος ἀποφαίνεται. A.

οἱ μὲν Ἀμφιβίαν τὴν Πέλοπος, οἱ δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος. Ἡσίοδος δὲ Νικίππην φησὶ τὴν Πέλοπος. V.

τὴν Θεσσαλῆ γυναῖκα ἰφθίμην λέγει ἐπιθετικῶς ἀντὶ τῆ ἀγαθήν· τὸ γὰρ κύριον αὐτῆς ὄνομα ἦν Λευκίππη. D.

Περσηϊάδαο: πέντε γὰρ παῖδες γεγόνασι Περσέως, Ἀλκαῖος, Ἠλεκτρύων, Μήσωρ, Ἔλειος, Σθένελος, οὗ Εὐρυσθεύς. B.

Περσέως καὶ Ἀνδρομέδας Ἀλκαῖος, ἧ ᾗ Λαονόμης ἢ Ἀσυδαμείας τῆς Πηλέως Ἀμφιτρύων· Ἠλεκτρύων, ἧ καὶ Λυσιδίκης τῆς Πέλοπος Ἀλκμήνη· Αἴλιος, ἀφ' οὗ πόλις τῆς Λακωνικῆς Ἦλος· Μήσωρ, ἧ Ἱπποθόη ἡ Πτερελάῳ γαμηθεῖσα· Σθένελος, ἧ καὶ Μενίππης Εὐρυθεύς. V.

117. μείς: Ἰωνικόν ἐστι, καὶ κλίνεται τῷ μήν ὁμοίως. B.

ἐν τῇ Χίᾳ μής. ἄλλως μείς, Αἰολικῶς. ὥσπερ δὲ ῥὶς ῥινός ᾗ θὶς θινός, οὕτω καὶ μείς μηνός κλιθήσεται κατὰ τὴν ἀναλογίαν. AD.

118. ἡ διπλῆ, ὅτι νῦν ὑγιῶς γράφεται σὺν τῇ προθέσει

προφόως· πρὸ γ' τῶν μηνῶν τῶν καθηκόντων ἐγεννήθη, διὸ ἡλιτόμηνος. ὁ δὲ Ζηνόδοτος καὶ ἐπ' ἄλλου οὕτως γράφει (Il. 16, 188). A.

ἢ πρό δηλοῖ τὸ πρὸ τῶ δέοντος. καὶ ἡλιτόμηνον δὲ καλεῖ τὸν ἡμιαρτηκότα τῶν δεόντων μηνῶν· ἑπταμηνιαῖος γ' ὁ Εὐρυσθεὺς ἦν. ἁλιτεῖν ἓν τὸ ἀποτυχεῖν. BD.

119. Εἰλειθυίας: ὠδῖνας κατὰ μετωνυμίαν, ὡς Ἄρης ὁ σίδηρος καὶ τὸ πῦρ Ἥφαιστος. B. Ἴστρος δέ φησιν ὠδινέσης Ἀλκμήνης τὰς χεῖρας συνέχειν τὰς μοίρας, γαλῆς δὲ παρελθέσης ἀπολῦσαι, καὶ τεχθέντος αὐτῶ νομισθῆναι γαλῆν εἶναι αὐτῷ τροφόν. V.

ἢ διπλῆ, ὅτι τὰς ὠδῖνας Εἰλειθυίας ἔφη. A.

Ζεὺς μιγεὶς Ἀλκμήνῃ τῇ Ἠλεκτρύονος (ὃν δὲ τρόπον, εἴρηθ' ἐν τῇ Ξ) ἔγκυον κατέσησε, μελλόσης δὲ τίκτειν ὤμοσεν ἐν θεοῖς τὸν ἐκείνῃ τῇ ἡμέρᾳ γεννηθέντα τῶν ἐξ ἑαυτοῦ βασιλεύσειν. Ἥρα δὲ ζηλοτύπως διατεθεῖσα τὰς μὲν Ἀλκμήνης ὠδῖνας ἐπέσχε, Ἀντιβίαν δέ, ἥν τινες Νικίππην εἶπον, τὴν Σθενέλε γυναῖκα, κυοφορῆσαν Εὐρυσθέα ἑπτάμηνον τεκεῖν ἐποίησεν· ὅθεν καὶ τὰ ἑπτάμηνα γεννώμενα τροφῆς μοῖραν ἔλαχεν. βασιλεύων δὲ Εὐρυσθεὺς Ἥρακλεῖ τὰς ἆθλας ἐπέτασσεν, ὃς τελειώσας κατὰ Ἀθηνᾶς καὶ Ἀπόλλωνος ὑποθήκας ἀθανασίας μετέλαβεν. ἡ ἱστορία παρὰ Ἀριανῷ (Ῥιανῷ?). ABD.

πῶς τὰ ἑπταμηνιαῖα ζωογονεῖθ', τὰ δὲ ὀκταμηνιαῖα ἧ; καὶ λέγομεν τρεῖς κινήσεις ἔχειν τὸ βρέφος ἐν τῇ γαστρί, τὴν κατὰ δ' μῆνα, καθ' ἣν τὰς φυσικὰς ἐμφαίνει κινήσεις, καὶ ἔτι τὴν καθ' ἑβδομον, καθ' ἣν ἔχει κίνησιν τῆς εἰς φῶς προόδε, ἀλλ' ἡ μήτηρ ἀδυνατεῖ καὶ ἄωρός ἐστιν ἀποβαλεῖν. διὰ τοῦτο γίνεθ' καὶ ἑτέρα κίνησις κατὰ τὸν θ', καθ' ἣν ἔχει πρὸς δυνάμεως καὶ ἡ μήτηρ ἀποβαλεῖν αὐτό. αἱ δὲ κινήσεις εὐτάκτως εἰς δ', εἶθ' ἕτως εἰς τρεῖς ὡς εὐθενέστεραι, εἶτα εἰς δύο μῆνας ὡς ἔτι εὐθενέστεραι· ἐξ ὧν ἀποτελεῖται τὸ ἐννεάμηνον. ἕτως ἔχουσι καὶ αἱ ὀπῶραι ἀπότριψιν ὡριμότητα καὶ ἀποβολὴν τῆς μητρός, καθ' ἣν ἀποβάλλει ἡ μήτηρ, ὅταν ξηρανθῇ τὸ μεταξὺ τῆς μητρὸς καὶ τῆς ὀπώρας λεγόμενον πισμάτιον. εἰς τοίνυν τὸν ἕβδομον μῆνα, ἐπεὶ ἔχει κίνησιν τῆς εἰς φῶς προόδε, εἰ γένηθ' τῶτο, ἀλγεῖ μὲν ἡ μήτηρ, τὸ δὲ βρέφος σώζεθ'. κατὰ δὲ τὸν η' ὃν συνεχῆς κίνησεως ἧσης πρὸς τὸν θ' καὶ διακοπείσης ἐκείνης ἀπόλλυθ' τὸ κυοφορέμενον καὶ πολλάκις καὶ ἡ μήτηρ· εἰς γ' τὴν συνεχῆ κίνησιν εἰ γένηθ' τμῆσις, ἐπὶ πλέον βλάπτει· καὶ δῆλον ἐκ τῆς φλεβοτομίας. οἱ δὲ Πυθαγόρειοι καὶ μαθηματικῶς ἤτοι ἀριθμητικῶς τὴν αἰτίαν ἀποδιδόασιν, λέγοντες ἐκκείθω τρίγωνον σκαληνὸν τὸ α' β' γ', ἔχον τὴν μὲν α' β' μονάδων δ', τὴν δὲ β' γ' μονάδων ε'. φανερὸν ὅτι κατὰ τοὺς Πυθαγορείους ὁ μὲν γ' καὶ ὁ ε' ἄῤῥενες ὡς περιττοί, ὁ δὲ δ' θῆλυς ὡς ἄρτιος. πεπολυπλασιάθω ὁ δ' ἐπὶ τὸν ε' γίνονται κ'. καὶ ὁ ε' ἐφ' ἑαυτόν· κε'. ὁμῶ με'. ταῦτα ἐπὶ τὸ ἥμισυ τῶ ἐμβαδῶ τῶ τριγώνε ἤτοι τὸν ς' γίνονθ' σο', ἃ περιέχεσι χρόνον μηνῶν θ'. πάλιν τὸν δ' ἐπὶ τὸν ε' γίνονθ' κ'. τὸν γ' ἐπὶ τὸν ε' γίνονθ' ιε'. ὁμῶ λε'. ταῦτα ἐπὶ τὸ ἥμισυ τῶ ἐμβαδῶ τῶ τριγώνου τὸν ς'· ὁμῶ σι', ἃ περιέχεσι χρόνον μηνῶν ζ'. πάλιν τὸν γ' ἐπὶ τὸν ε' γίνονθ' ιε'. ἐφ' ἑαυτόν· γίνονθ' κε'. ὁμῶ μ'. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῖ ἐμβαδῶ τὸν ς' γίνονθ' σμ', καὶ περιέχεσι χρόνον μηνῶν η'. ἐπεὶ ἓν μόνον ἐπὶ τῶν θ' καὶ ζ' κατὰ φυσικὴν συμπλοκὴν ἄῤῥενος καὶ θήλεος τῶ ε' καὶ δ' καὶ γ' οἱ ἀριθμοὶ τῶν ζ' καὶ θ' γίνονθ', εἰκότως τὰ ἕτω τικτόμενα ζωογονεῖται. ἐπὶ δὲ τῶν η' μηνῶν ὁ φαινεθ' ἄῤῥενος συμπλοκὴ πρὸς τὸ θῆλυ· ὅτε γ' ὁ ε' ὅτε ὁ γ' γίνονθ' ἐπὶ τὸν δ', ὃς ἐσι θῆλυς. εἰκότως ἓν παρὰ φύσιν ὅσης τῆς συμπλοκῆς ὁ ζωογονεῖται τὰ τικτόμενα. D.

120. ἀγγελέουσα: μέλλουσα ἀπαγγέλλειν τὰ γεγονότα. B.

ἢ διπλῆ, ὅτι ἰδίως ἀγγελέουσα προσηύδα· ἐχρῆν γὰρ ἀγγελέσσα ἦκε καὶ προσηύδα. A.

123. δύναθ' καὶ τοῖς ἑξῆς συνάπτεσθαι, ἵν' ᾖ χῆμα, Εὐρυσθεὺς σὸν γένος. βέλτιον δὲ ςίζειν εἰς τὸ Περσηϊάδαο, καὶ καθ' ἑαυτὸ λέγεσθαι τὸ σὸν γένος, ἵνα λείπῃ τὸ ἐςίν. AB.

δῆλον ἐκ τότε ὡς περὶ ἰδιώτε τῶ Σθενέλε διηγεῖται, ἐπεὶ τί παράδοξον ἦν πατρῴαν ἀρχὴν λαβεῖν τὸν Εὐρυσθέα; ταὐτὸν δὲ καὶ ἐπὶ Ἡρακλέες παρηκολέθει· ὃ γ' βασιλέως παῖς ἦν, ἀλλὰ διὰ τὸν Δία ἐβασίλευσεν ἄν. V.

124. Ἀργείοισιν: κατ' ἐνίας τῶν ἐκδόσεων ἀνθρώποισιν. A.

126. λιπαροπλοκάμοιο: εὐτρίχε. B.

οἱ μέν, ἀπὸ τῆς ἑαυτοῦ κεφαλῆς τῆς λιπαροπλοκάμου εἶλε τὴν Ἄτην· φησὶ γοῦν (93) „ἀνδρῶν καὶ θεῶν κράατα βαίνει." ἀλλ' οὐδέποτε πλοκάμες ἐπὶ ἀνδρὸς εἶπε. τί ἂν ἐςὶ τὸ „πλοχμοὶ θ' οἵ χρυσῷ τε καὶ ἀργύρῳ" (Il. 17, 52); οἱ δὲ τὸ κεφαλῆς λιπαροπλοκάμοιο ἐπὶ τῆς Ἄτης ἤκουσαν· ἀλλ' οὐδέποτε ἐκ κεφαλῆς ῥιπτῶν παρ' Ὁμήρῳ, ἀλλ' ἡ ποδός, ὡς Ἥφαιστος (Il. 1, 591), ἢ χειρός, ὡς Ἀσυνάξ (Il. 24, 735)· „ῥῖψει χειρὸς ἔχων ἀπὸ πύργε." ἐρῶμεν δὲ ὅτι ἐκεῖνοι ἄῤῥενες ἦσαν· ἄτοπον δὲ γυναικὶ ῥίπτεσθαι ποδός. λιπαροπλόκαμος δ' ἡ Ἄτη, ὅτι ξηρασίας αἰτία τοῖς βλαπτομένοις, ὡς καὶ ὁ Ὕπνος γρηγορῶν τὰς ἄλλας ὑπνοῦν ποιεῖ. B.

131. ἔργ' ἀνθρώπων: τὴν γῆν· ταύτην γ' ἐργάζονθ' οἱ ἄνθρωποι. εἰς Ἴλιον δὲ ἠνέχθαι φασίν, ἀφ' ἧ καὶ Ἄτης λόφος. B.

132. τήν: δι' ἣν. ἐπαινετέον δὲ τὸ ἀψευδὲς Διὸς καὶ ἀμετάβλητον· ὃ γ' εἶπεν ὡς Εὐριπίδης „ἡ γλῶσσ' ὀμώμοκεν." BV.

133. ἀέθλων: καμάτων. εἰσὶ δὲ καθ' Ὅμηρον Κέρβερος καὶ οἱ Λαομέδοντος ἵπποι. V.

139. ἄλλους: ἢ σύμπαντας (ἀποδίδωσι γ' αὐτῷ πάλιν τὴν στρατηγίαν) ἢ τὰς Μυρμιδόνας πάντας. B.

140. παραχεῖν: ἀντὶ τῶ παράχω· ἢ λείπει τὸ ἕτοιμός εἰμι. μεγαλοφρόνως δὲ καίτοι αὐτοματίζοντι Ἀχιλλεῖ δῶρα δίδωσιν. B.

141. χθιζὸς: τῇ νυκτὶ τῆς χθὲς ἡμέρας· ὁ γὰρ ἄλλως τὸ χθὲς συμφωνήσει. φαίνεται δὲ εἰδὼς προϋποζᾶσαν τὴν νύκτα τῆς ἡμέρας. B.

142. Ἄρηος: ἀπὸ τοῦ πολέμου εἰς τὸν πόλεμον. B.

143. θεράποντες: ἐδαμοῦ τῆς Ἰλιάδος θεράποντας καλεῖ τοὺς δύλους, ἀλλὰ τοὺς ὑποδεεστέρους καὶ ὑπηρετικοὺς τῶν φίλων. τὸ δὲ οἴσουσι συλληπτικῶς· τὰ γὰρ ἔμψυχα οὐ φέρονται ἀλλὰ ἄγονται. B.

147. ὑποσικτέον εἰς τὸ ἐθέλησθα, τῷ παραχέμεν ἀντὶ τοῦ παράχες κειμένου καὶ τῷ ἐχέμεν ἀντὶ τοῦ ἔχε. ἡ δὲ παρὰ παροξυνομένη (148) σημαίνει τὸ πάρεσιν. B.

ὑποσικτέον μετὰ τὸ ἐπιεικές καὶ μετὰ τὸ ἐχέμεν· τελειώσεις δὲ εἰς τὸ πάρα σοι ἀντὶ τοῦ πάρεστί σοι. καλῶς δὲ καὶ δέχεσθαί φησι τὰ δῶρα, ἵνα μὴ εὐτελίζειν αὐτὰ δοκῇ, καὶ συγχωρεῖν, ὅπως μὴ ἐπὶ μείζω πολεμοίη ἀλλ' ἐπὶ ἐκδικήσει τοῦ φίλου. B.

149. κλοτοπεύειν: τινὲς καλολογεῖν, οἱονεὶ κλυτεπεύειν. ἢ κλέπτειν τὴν μάχην. ἢ ὡς ἔνιοι, στρατεύεσθαι· τοῦτο γὰρ ἐστιν ὃ χρὴ ἐνταῦθα ὄντας στρατεύεσθαι, ἀλλ' ἐν τῷ πολέμῳ. B.

150. μέγα ἔργον: τὸ ἀναιρεθῆναι Ἕκτορα καὶ δίκην ὑπὲρ Πατρόκλου λαβεῖν. B.

151. ὡς κέ τις αὖτ' Ἀχιλῆα: ὅπως ἂν ἐμέ. ἠθικῶς δὲ ἑαυτὸν ὀνομάζει· ἐμέ, φησίν, Ἀχιλλέα, ὃν ὁ προσεδόκων οἱ Τρῶες φανήσεσθαι. B.

ἐμέ, ὡς τὸ „Ζῆν' ὕπατον μήσωρα" (Il. 8, 22). V.

152. ὑποσικτέον εἰς τὸ φάλαγγας. ὁ δὲ λόγος ὅτως· ὅτως δέ τις ὑμῶν μαχέσθω, ὡς ἂν ἐμὲ Ἀχιλλέα ἴδοι Τρώων ὀλέκοντα φάλαγγας, μεμνημένος τῆς μιμεῖσθαί με. B.

154. Ὀδυσσεύς: Νέστωρ σιωπᾷ· ὕποπτος γὰρ ἦν τῷ Ἀχιλλεῖ διὰ τὸν θάνατον Πατρόκλου. B.

156. νήσιας: ὁ δι' ἑαυτὸν (συμπάρεσι γὰρ αὐτῷ ἀσιτῶν), ἀλλὰ τοὺς συμπαρόντας ἀσίτους λέγει. ἐπαίρει δὲ Ἀχιλλέα, προτάσσων τὸν ἔπαινον. καὶ ὁ μὲν ὡς ὀργιζόμενος ὁ συνορᾷ, ὁ δὲ καθεστηκὼς σκοπεῖ τὸ εὖ ἔχον. ἐπαγωγῶς δὲ συμβουλεύει τῇ προθυμίᾳ τοῦ σπεύδοντος, καὶ ὃν νῦν δοκεῖ καταργεῖν χρόνον, ὕστερον ἀποληψεσθαι φάσκει αὐτὸν ἐν τῇ παρατάσει τῆς μάχης. ἔστι δὲ παρρησιαστικὸς καὶ φίλος αὐτῷ. B.

160. ἀλλὰ πάσασθαι ἄνωχθι: τοῦτο εὐπρεπῶς· ὁ γὰρ ἀντιλέγει καθάπαξ, ἀλλὰ τὰ τῷ συμβέλτ πράττει, τὴν μὲν ἐξουσίαν τοῦ παντὸς ἀπονέμων Ἀχιλλεῖ, παρακαλῶν δὲ ἐπιμεληθῆναι ἐπιτρέψαι τοὺς στρατιώτας. BV.

161. μένος ὑπομονή, ἀλκὴ ἀλέξησις. V.

τοῦτο γὰρ τῆς θρεπτικῆς δυνάμεώς ἐστι παρασκευαστικὸν παντὸς τοῦ σώματος. D.

163. ἄκμηνος σῖτος: ἄγευστος, παρὰ τὴν ἀκμήν· οὕτω δὲ Αἰολεῖς τὴν ἀσιτίαν λέγουσιν. οἱ δέ, μὴ παραβαλὼν ἐν ἀκμῇ (προκαμὼν ἐν παρασκευῇ V) ἄρισε. οἱ δέ, ἀκμάζων ἐν ἀσιτίᾳ. ἢ ὁ χωρὶς ἐκμάδος ὀξηρός. B.

165. λάθρῃ: ἀντὶ τοῦ κατὰ μικρόν. B.

ἕνια τῶν ὀνομάτων ἀναμίλλητά ἐστι τῇ ποιητῇ καὶ τὴν σημασίαν ἐναργεστάτην ἔχοντα, ὡς κἀνθάδε βαρύνεσθαί φησι τὰ γυῖα. V.

166. Ἴωνες δίψα, Ἀττικοὶ δίψος. B.

167. ὃς δέ κ' ἀνὴρ οἶνοιο κορεσσάμενος: καὶ Πλάτων ἐν τοῖς νόμοις φησὶ πιόντα τὸν ἄνθρωπον ἥττω τε ἢ πρότερον γίνεσθαι, ἀγαθῶν τε ἐλπίδων καὶ δυνάμεως πληροῦσθαι· παῤῥησίας γὰρ μεστὸν καὶ ἐλευθερίας πάσης καὶ ἀφοβίας, ὡς εἰπεῖν καὶ πρᾶξαί τι αὐκνως ἔχει· ὅθεν Λακεδαιμόνιοι ἀκρατοποτοῦντες ὑπλίζονται. BV.

170. πρὶν πάντας ἐρωῆσαι πολέμοιο: πρὶν παύσασθαι τῆς μάχης ἅπαντας. οἱ δὲ παροξύνεσι τὸ ἐρωῆσαι ἀντὶ τοῦ ἐρωήσειεν. BV.

171. ἄνωχθι: πάλιν ἠθικῶς ἐπ' ἐκείνῳ τὴν ἐξουσίαν καταλείπει τοῦ κελεῦσαι, ὡς ἂν μὴ δοκοίη ἐξ ἐπιτάγματος τούτου ταῦτα συγχωρεῖν, ἀλλ' ἑκουσίως πειθεὶς ὁ Ἀχιλλεύς. B.

172. ὄπλεσθαι: ἐκ τοῦ ὁπλέσθαι συγκέκοπται· φησὶ γὰρ „ὤπλεον" (Od. 6, 73) ἀντὶ τοῦ ἡτοίμαζον. B.

τὰ δὲ δῶρα: εἰκότως περὶ τῶν δώρων ὑφηγεῖται, τὸ κεκρυμμένον ὑπ' ἀμφοτέρων σαφηνίσαι βουλόμενος· αὐτὸς γὰρ πρεσβευσόμενος σπεύδει δι' ἑαυτοῦ ἀποδοθῆναι αὐτά. ἢ καὶ εἰδὼς αὐτὸν φιλοῦντα Βρισηΐδα διὰ προφάσεως αὐτὴν ἄγει. BV.

174. σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς: γενναίως χρῆται τῷ διανοήματι· ὁ γὰρ ἔρη ὡς ἂν πλησιώτερος γένῃ, ἀλλὰ τὸ τῆς τιμῆς προβάλλεται. τὸ δὲ ἰανθῇς διὰ τὴν τιμήν. τάττῳ τῷ διανοήματι ἁρμόττει καὶ τὸ ἵνα πάντες Ἀχαιοὶ ὀφθαλμοῖσιν ἴδωσιν· ἡδὺ γὰρ τὸ ἐπὶ πολλῶν φαίνεσθαι τιμώμενον. BV.

175. ὀμνύετω δέ τοι: καὶ τὸ τὸν Ἀγαμέμνονα ἀρχόμενον τῆς λόγου τοῦτο προσθεῖναι μειρακιῶδες ἂν ἐφάνη, τὸ τὸν Ἀχιλλέα τοῦτο ἀπαιτεῖν πάνυ ἀναίσχυντον καὶ τοῦ καιροῦ ἐχ ἁρμόττον, κειμένου Πάτροκλου περὶ τῆς παλλακίδος ἀκριβολογεῖσθαι. ἄκρως ἓν ὁ διαλλακτὴς τὸ παρ' ἀμφοτέρων σιωπηθὲν ἐξελέγχει, ὅλως πεῖσαι τὸν Ἀχιλλέα σπεύδάζων ἀποθέσθαι τὴν πρὸς Ἀγαμέμνονα μῆνιν· μεμνῆσθαι γὰρ ὧν παρὰ τὴν πρεσβείαν ἔλεγε „τῇ παριαύων τερπέσθω" (Il. 9, 336). ὅτι δὲ καὶ Ἀγαμέμνων ἑτοίμως εἶχεν ὀμόσαι, δῆλον ἐξ ὧν ὑπισχνεῖτο τοὺς πρέσβεις ἐμπέμπων „καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖμαι μήποτε τῆς εὐνῆς ἐπιβήμεναι" (ib. 132). καλῶς ἂν συνισᾷς αὐτῷ τὴν σωφροσύνην ἐπὶ τοῦ στρατοῦ φησιν „ὀμνύετω δέ τοι ὅρκον." ὅθεν καὶ ὁ βασιλεύς φησι „χαίρω σεν Λαερτιάδη τὸν μῦθον ἀκούσας" (185). B.

179. δαιτί: πρὸς τὸ μὴ ἄσιτον αὐτὸν ἐξελθεῖν. σημειοποιεῖ δὲ τὴν τροφὴν, βασιλικὴν ἑστιάσιν αὐτὴν καλῶν. B.

ἀρεσάσθω: φιλοφρονησάσθω. ἐκ τούτου καὶ τὸ ἀπαρέσασθαι. V.

180. δίκης: τῷ δικαίῳ, ἵνα μηδὲν δέῃ σοι τῷ δικαίῳ. τὰ δῶρα διὰ τὴν ἄμυναν, ὅρκον διὰ τὴν ἐρωμένην, ἑστιασιν διὰ τὴν ὕβριν. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

181. σὺ δ' ἔπειτα: ἐπειδὴ μικροπρεπῆ καὶ ἀγανάκτησιν φέροντα ἐπέταξε τὸ ὀμόσαι περὶ τοῦ παλλακιδίου, ἄκρως αὐτὸν ἐπάγεται, ὅτι καὶ αὐτῷ συμφέροντα συνεβούλευσεν· ὑφισάμενος γὰρ τὴν ἐπὶ τῇ ἀναιρέσει τοῦ ἠδικημένου ἐπακολουθήσασαν αἰσχύνην ἀποσχήσῃ καὶ εἰς τὸ ἑξῆς τῆς πλημμελείας. νῦν οὖν, φησί, τὰ δίκαια ποιήσας καὶ περὶ ἄλλον ἔσῃ δικαιότερος. B.

183. ἄνδρ' ἀπαρέσσασθαι: ἀμφίβολον διὰ τὴν αἰτιατικήν. ἔστι δὲ ὁ λόγος περὶ τοῦ βασιλέως, ὅτι οὐκ ἔστι νεμεσητόν, εἰ βασιλεὺς ἄνδρα βλάψας καὶ τῆς ἀδικίας προϋπάρξας ἀπαρέσεται αὐτόν. ἔστι δὲ τὸ ἀπαρέσσασθαι τὸ τῆς ἀρᾶς ἀπᾶραι, τουτέστι τῆς βλάβης ἀπαλλάξασθαι καὶ ἐξιλάσασθαι. B.

χαλεπήνῃ: χαλεπότητος καὶ ἀδικίας ἄρξῃ. θαῤῥούντως δὲ ταῦτά φησιν Ὀδυσσεύς, ὅτι πολλάκις ἀκήκοεν Ἀγαμέμνονος (Il. 2, 378) „ἐγὼ δ' ἦρχον χαλεπαίνων." A.

188. πρὸς δαίμονος: κατά, ὡς ὁρκίζοντές φαμεν πρὸς Διός. V.

189. τέως: ἐν τοσούτῳ, ἐν ὀλίγῳ, δίχα τοῦ πέρ. καὶ βραχὺ διασαλτέον ἐπὶ τὸ τέως πρὸς τὸ σαφές, καὶ ἵνα διὰ τῆς σιωπῆς τοῦ χρόνου τὸ μέρος σώζηται. ἐν δὲ ταῖς εἰκαιοτέραις μετὰ τοῦ πέρ. B.

190. μίμνετε δ' ἄλλοι πάντες: φιλοδοξῆσαι γὰρ θέλει, ὑπὲρ πάντων τὰ δῶρα ἐπὶ πάντων διδούς. B.

ὄφρα: ἀνταπέδωκε τῷ τέως τὸ ὄφρα. V.

194. ἐνεικέμεν: ὡς λαβέμεν, παρὰ τὴν ἐνεικών μετοχὴν καὶ ῥῆμα τὸ ἐνείκω. V.

ἐνεικέμεν τὰ οἰστέα, ἀγέμεν δὲ γυναῖκας. V.

197. περὶ ἀφροδισίων ὀμνὺς κάπρον θύει, ἢ ὡς μὴ ἐγνωσμένου τοῖς Ἕλλησι τοῦ περὶ Ἀδώνιδος μύθου, ἢ ὅτι περὶ τοῦ μὴ συγγεγονέναι ὄμνυσι, τὸ ἐναντίον θύων. πρὸς δὲ τὰ ὁρκία τρισὶν ἐχρῶντο Ἀττικοί, κάπρῳ, κριῷ, ταύρῳ. B.

ταμέειν: λείπει τὸ ὥστε. τῶν δὲ ὁρκίων ἐτέμνοντο τοὺς λαιμούς· ὅθεν καὶ ὁρκιοτομεῖν ἔλεγον. B.

201. μεταπαυσωλή: ἡ μετὰ ταῦτα ἀνάπαυσις. B.

202. μένος: κατὰ τῶν πολεμίων ὀργή. τὸ δὲ ᾖσιν ἀντὶ τοῦ ὑπάρχει. B.

203. οἱ μέν: ἵνα μὴ δοκῇ διὰ Πάτροκλον μόνον πολεμεῖν ἀλλὰ καὶ τοὺς λοιπούς, κοινοποιεῖ τὸν λόγον. BV.

205. ὑμεῖς: πρὸς Ὀδυσσέα καὶ Ἀγαμέμνονα. B.

207. νήστιας ἀκμήνους: νῆστις μὲν ὁ οὐ πάντως λιμώσσων, ἄκμηνος δὲ ὁ εἰς ἀκμὴν ἥκων τοῦ πεινῆν καὶ δεόμενος τοῦ φαγεῖν. B.

208. ἡ μετά τὸ μετὰ εὐφροσύνης καὶ χαρᾶς τῆς ἐκ τῆς ἥσσης τῶν πολεμίων γενησομένης. B.

μετα. τὸ μετα. εὐφροσύνης. οἱ δὲ γράφουσι μετα ἀντὶ τοῦ μετὰ τὸ νικῆσαι. V.

τισαίμεθα: ἐκπράξαιμεν, ἀπαιτήσαιμεν. B.

209. οὔπως ἂν ἔμοιγε: εἰ καὶ ὑμῖν, ἀλλ' οὐκ ἐμοί. B.

ἰείη: ψιλῶς. καὶ παράκειται τὸ ἰέναι ἀπαρέμφατον. V.

212. κεῖται ἀνὰ πρόθυρον: κεῖται ἐπὶ τὴν θύραν ὁρῶν, ὅ ἐστι τετραμμένους ἐν αὐτῇ ἔχων τοὺς πόδας. οὕτω γὰρ τίθενται οἱ νεκροὶ διὰ τὸ ἐξερχομένους τοῦ ἀνθρωπίνου βίου μηκέτι ἀναστρέφειν εἰς τοὺς οἴκους. BD.

ἄλλως. πρὸς τὴν θύραν ὁρῶν, ὡς ἔθους ὄντος τούτου. προὐτίθεσαν δὲ αὐτούς, εἶτα ἔθαπτον, εἶτα ἐτυμβοχόουν, εἶτα ἐκτέριζον. B.

τὸ μέγεθος ἐνέφηνε τοῦ Πατρόκλου, ὡς „κεῖτ' ἔντοσθ' ἄνδροιο." V.

216. ὦ Ἀχιλεῦ: ἤρξατο μὲν ὡς ἄν τις μάλιστα θεραπεύσειε νέον φιλότιμον, προεπαινέσας δὲ ἀνεπιφθόνως ἑαυτῷ ἀποδίδωσι τὰ τῆς φρονήσεως, διὰ γῆρας τοῦτο φάσκων ἔχειν, ᾧ εἶξέ γε ὁ νεώτερος ἐλπίδι τοῦ ἔσεσθαι συνετώτερος γεγηρακώς. B.

218. θαυμασία καὶ διαβόητος ἡ στιγμὴ ἡ εἰς τὸ προβαλούμην, καὶ ἀναφέρεται εἰς Ἀριστοκλέα· ἀπρεπὲς γὰρ δοκεῖ αὐτῷ τὸ πολλόν τοῖς ἡγουμένοις συνάπτειν. ἐμοὶ μέντοι οὐδεμίαν ἀπρέπειαν ἐμφαίνειν δοκεῖ· τὴν γὰρ ἐναντίαν ἀρετὴν ἀπένειμεν Ὀδυσσεὺς Ἀχιλλεῖ. ὡς γὰρ τῷ „κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος" πρόσκειται τὸ „οὐκ ὀλίγον περ," οὕτως κἀνθάδε τὸ πολλόν. βέλτιον οὖν τοῖς ἄλλοις συνάπτειν αὐτό, ἵν' ᾖ ὅμοιον τῷ „ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα" (Il. 18, 252)· ἀπὸ κοινοῦ γὰρ τὸ πολλόν. A.

ἄλλως. τινὲς πολλὸν ἐπεὶ πρότερος, ἀντὶ τοῦ ἐπειδὴ πολὺ πρότερος ἐγενόμην, ἵνα μὴ παροξύνηται Ἀχιλλεύς. ἀλλ' αἰεὶ ἄρχει τὸ ἐπεί παρ' Ὁμήρῳ, τὸ δὲ πολλόν ὑποτάσσεται· „ἐπεὶ πολλὸν ἐκείνων ἐπιδεύεαι ἀνδρῶν" (Il. 5, 636)· „ἐπειὴ μάλα πολλὰ μεταξύ" (Il. 1, 156). AV.

219. πλείονα οἶδα: καὶ αὐτός φησιν „ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι" (Il. 18, 106). V.

220. μύθοισιν: τοῖς ἀπὸ τῶν λόγων προστασσομένοις ἔργοις. B.

222. ὁ τρόπος μικτὴ ἀλληγορία· εἰ γὰρ εἶπε „ταμίης καρποῖο τέτυκται," τελεία ἦν ἀλληγορία. ἄμητος δὲ ὁ καιρὸς τοῦ ἀμᾶν προπαροξυτόνως, ὡς καὶ παρ' Ἡσιόδῳ „ἄρχεσθ' ἀμήτοιο" (O. 382)· ὀξύνεται δὲ αὐτὸς ὁ καρπός. ὁ δὲ νοῦς ὅλος οὕτως· ὅταν κλίμα καὶ τροπὴ τῆς μάχης γένηται, ἐν ὀλίγῳ διώξαντες χρόνῳ πολλὰ καταβαλοῦμεν τῶν πολεμίων σώματα. B.

ἄλλως. ζητοῦσι τίνα νοῦν ἔχει τὰ ἔπη ταῦτα ᾐνιγμένα ὑπὸ τοῦ Ὀδυσσέως. ἐπεὶ ἡ ἄμητος λέξις σημαίνει καὶ τὸν χρόνον ἐν ᾧ ἀμῶσι, τουτέστι τὸν θερισμόν, σημαίνει δὲ καὶ τὸν ἀμώμενον καρπόν, καθ' ἑκάτερα τῶν δύο σημαινομένων ἐκδεξάμενοι πειραθῶμεν αὐτῶν διασαφῆσαι τὴν διάνοιαν. ἔσται τοίνυν ἐκ τοῦ σημαινομένου δῆλον ὡς καλάμη μὲν λέγεται τὸ τῶν ἀποθνησκόντων πλῆθος, ἀμητὸς δὲ καὶ καρπὸς οἱ σωζόμενοι. φησὶν οὖν ταχέως κόρον γίνεσθαι ἐκείνης τῆς μάχης, ἐν ᾗ πολὺς μὲν ὁ πίπτων, ὀλίγοι δὲ οἱ σωζόμενοι· ἐξ οὗ δηλοῦται ὅτι τῆς σφοδροτάτης μάχης ταχὺς ὁ κόρος, καὶ μάλιστα ὅταν τύχῃ τις διὰ λιμὸν ἠσθενηκώς·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν ᾧ δ' ἂν ἐν πολέμῳ κλίναντος τῶ Διὸς τὴν νίκην καὶ ἑτερορεπῶς τῆς μάχης γεγονυίας πολὺς μὲν ᾖ ὁ ἀναιρούμενος, ὀλίγος δὲ ὁ περισωζόμενος, κόρος ἐνταῦθα ταχέως γίνεται, τῶν μὲν καλάμην πολλὴν ἐκλεγόντων, ἀμητὸν δὲ οὐ καιρὸν ὄλιγον. τὴν καλάμην οὖν τὸν καιρὸν ἐπὶ τῶν τραπέντων ἀκουσόμεθα, ὧν πολὺς μὲν ὁ ἀποθνήσκων, ὃς τέτακται ἐπὶ τῆς καλάμης, ὀλίγος δὲ ὁ διασωζόμενος, ὃς τέτακται ἐπὶ τῶ καιρῶ· τὸν δὲ κόρον ἴσχειν ταχὺν τὸς ταῦτα δρῶντας καὶ νικῶντας, οἳ τοῖς ἀμηταῖς εἶεν ἀνάλογοι. ἔτως ἄρα δὴ ἐπὶ τῶν αὐτῶν τὸ ἀμητὸς ὀλίγιστος ἀκουέον· ἐκέτι γ' ἑτερορεπὴς ἔσαι ἡ μάχη, οὐδ' οἱ μὲν νικῶντες οἱ δὲ ἡττώμενοι, ἀλλ' ἐπ' ἴσης ἐξ ἀμφοῖν πολλὴ μὲν ἡ καλάμη ὀλίγος δὲ ὁ καιρός, οὓς οἱ ἀμῶντες ζητηθήσονται. κἂν ἄμητον δὲ ἐπὶ τῶ θερισμῶ ἀκούσωμεν καὶ τῶ χρόνου καθ' ὃν ἀμῶσιν, ἔσαι μὲν ἄμητος ἡ πρώτη τῶν στρατοπέδων συμβολὴ πρὸ τῆς τῶν ἑτέρων τροπῆς, πλείστη δὲ ἡ καλάμη τὸ πλῆθος τὸ μετὰ τὴν τροπὴν τῶν πιπτόντων. λογιζόμενος ἦν ὁ Ὀδυσσεὺς ὡς ἐκ ἂν ὑποσαῖεν οἱ Τρῶες τὴν Ἀχιλλέως συμβολήν, τραπήσονθ' δὲ εὐθύς, πολὺν τὸν κάματον ἕσεσθαί φησι τοῖς διώκουσιν ἅμα καὶ παίουσι καὶ φονεύουσι, καὶ κόρον αὐτίκα λήψεσθ' νήσιας ὄντας. ἐνδείξασθ' δὲ ταῦτα μᾶλλον καὶ αἰνίξασθ' βάλετο ἢ φανερῶς λέγων δόξαν κολακείας ἀπενέγκασθ'. λέγει γᾶν, ἐν ὀλίγῳ χρόνῳ τροπῆς γενομένης τῶν πολεμίων, πολλῶν ἀναιρεμένων ἐκ πρώτης καὶ βραχείας συμβολῆς, αἶψα κόρος ἡμῖν γίνεται, ἐὰν μὴ τύχωμεν τὸν μέλλοντα κάματον διὰ τῆς τροφῆς προανακτησάμενοι. πεποίηται δὲ τὴν ἀλληγορίαν ὁ ποιητὴς ἐκ τῆς παραβολῆς ἐκείνης „οἳ δ' ὥς' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν ἤγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ' ἄρουραν πυρῶν ἢ κριθῶν, τὰ δὲ δράγματα ταρφέα πίπτει" (Il. 11, 67). εἶτ' ἀνταποδίδωσιν „ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες δῄϊον, οἱ δ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο" (ib. 70). ἀλλ' ἕτοι μὲν τὸν ἄμητον παρέτειναν ἰσόπαλοι ὄντες· ἐφ' ἧς δ' ἂν μάχης τροπὴ γένηται ἐκ μικρᾶς συμβολῆς καὶ ὀλίγου ἀμήτου, ταχὺς ὁ κόρος τοῖς ἀναιροῦσι καὶ τὴν καλάμην πολλὴν ποιῆσιν, εἰ μὴ τύχωσι τὴν ἰσχὺν διὰ τῆς τροφῆς αὐταρκῆ παρασκευάσαντες. μήποτε δὲ ὁ ἄμητος ὁ τὴν ἐπικαρπίαν ἀλλὰ τὸν χρόνον τῆς ἐνεργείας δηλοῖ· αὐτὸς γοῦν ὁ Ὀδυσσεὺς πρὸς τὸν Ἀχιλλέα ταῦτα προεῖπεν· „ὃ γοῦν ἀνὴρ — γένατ' ἰόντος — πανημέριος πολεμίζει — ἐρωῆσαι πολέμοιο" (162 — 170). ὀλίγος ἓν ἄμητος καὶ ὁ χρόνος ὁ τῶ ἀμᾶν γίνεται καὶ τῶ πλείστην καλάμην ἔχειν καὶ πολλὰς ἀναιρεῖν, τροπὴν τῶ Διὸς ἐμβαλόντος τοῖς πολεμίοις, ἐὰν μὴ τύχωσιν οἱ ἀναιρῶντες τροφῆς μετειληφότες, ἵνα ᾖ ὁ λόγος. ἐν ᾗ δ' ἂν μάχῃ ἐν ὀλίγῳ χρόνῳ πολὺς ᾖ ὁ ἀναιρούμενος τροπῆς γενομένης, εὐθέως ἐν ταύτῃ ὁ κόρος. δεῖ δεῖ ἰσχύειν τὰς βουλομένας ἐπὶ πλέον τυχεῖν τῆς νίκης. B.

223. ἐπὴν κλίνῃσι τάλαντα: ὁπόταν τροπὴν ἐργάσηται ὁ Ζεύς. D. ὅταν κλίμα γένηται τῆς μάχης, ἐν ὀλίγῳ χρόνῳ πολλοὶ πεσοῦνται. V.

226. ἐπήτριμοι: ἀπὸ τῶν ἐν τοῖς ὕφεσιν ἐπαλλήλων σημείων ἡ μεταφορά, ἃ ἤτρια καλοῦνται καὶ ἕτερα ἐφ' ἑτέροις ἐσίν. B.

227. πόνοιο: τῶ ἐν πολέμῳ ἔργου. B.

228. καταθάπτειν: ἀντὶ τῶ καίειν. καὶ ἡ Πατρόκλου ψυχὴ ὅτε φησὶ „θάπτε μ' ὅττι τάχιστα" (Il. 23, 71), ἀντὶ τῶ καῖε μέ. καὶ „φιτροὺς δ' αἶψα τεμόντες ἐθάπτομεν" (Od. 12, 11). ὁ πάντα δὲ λέγει νεκρόν, ἀλλὰ τοὺς ἐν πολέμῳ. B.

229. ἐπ' ἤματι: ἐπ' αὐτῇ τῇ τῆς ταφῆς ἡμέρᾳ. ταῦτα δὲ πρὸς παραμυθίαν τὴν ἐπὶ Πατρόκλῳ φησί. βραχὺ δὲ διασαλτέον εἰς τὸ ἔχοντας. B.

230. πολέμοιο: λείπει ἡ ἐκ. ἡ δὲ περί πρὸς τὸ λίπωνται. B.

231. ὄφρ' ἔτι μᾶλλον: τοσοῦτον εἰς ἀρετὴν ὁ ποιητὴς ὁρᾷ, ὅτι καὶ τὴν ἀναγκαίαν τροφὴν ταύτης ἕνεκα δεῖν προσφέρεσθαί φησι. B.

233. μηδέ τις: μή τις τῶν λαῶν τὴν ἐξ ἑτέρου τρυντὸν ἐκδεχέσθω, ἀλλ' αὐτοκέλευστος ἐξίτω. ἔστι δὲ ἡ λέξις Ἀττική (Ἀντιμάχειος V)· χαίρει δὲ καὶ Ἐρατοσθένης ταῖς τοιαύταις ἐκφοραῖς, ὡς τὸ „πολλὴ ἀντιμαχήσυς." BV.

235. κακὸν ἐκείνῳ τῷ περιμένοντι. B.

ποῖον κακόν; „ἢ οἱ ἔπειτα ἄρκιον ἐσσεῖται φυγέειν κύνας" (Il. 2, 393). V.

238. ὀπάσσατο: διὰ φωνῆς ἐπέκρινε, παρὰ τὴν ὄπα. ἢ ὀπαδὸς ἔλαβεν. ἢ δι' ὀφθαλμῶν προσελάβετο (ἐπεδείξατο V), παρὰ τὰς ὤπας. BV.

240. Λυκομήδεα: Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡσίοδος καταλέγων τὰς μνηστῆρας Ἑλένης. V.

245. ἀμύμονα: κρεῖσσον τῶν ἔργων ἢ τὸ ἐπίθετον. B.

246. ἑπτά: Ζηνόδοτος ἕξ, ἀτὰρ ἑβδομάτην, τοῦ ποιητοῦ λέγοντος „δώσω δ' ἑπτὰ γυναῖκας Λεσβίδας" (Il. 9, 128). ἡ δὲ Βρισηὶς Λυρνησσὸς ἦν. V.

247. ςήσας: ἀριθμήσας ἢ διὰ ζυγῶ ςήσας· ἕτως γοῦν οἱ ἀρχαῖοι τὰ χρήματα ἐσταθμίζοντο· ὅθεν ὀβολοςάται εἴρηνται. D.

250. θεῷ ἐναλίγκιος: ἢ τῷ Ἑρμῇ (ἕτος γοῦν θεὸς κηρύκων), ἢ ἀκαταπόνητος τὴν φωνήν. V.

252. χείρεσσι: τῇ μὲν γοῦν λαιᾷ ἀντελάβετο τῶ κωλεῶ, τῇ δὲ δεξιᾷ τῆς λαβῆς. μάχαιραν δὲ τὴν περιξιφίδα, ἣν νῦν ζωνομάχαιραν (ζώνην V) καλοῦσιν. BV.

254. ἀπὸ τρίχας ἀρξάμενος: ἀπήρχοντο τῶν τριχῶν τοῖς θεοῖς, ὅτι κοσμοῦσιν ἡμᾶς αἱ τρίχες, ἢ ὅτι ἐωθῆτος εὑρημένης οὐκέτι τετριχωμένοις ἐχρῶντο δέρμασιν. B.

255. ἐπ' αὐτόφιν: τὸ ἐξῆς ὑφείατο αὐτοῦ. ἢ ἀπ' αὐτῶ τῷ τε Ἀγαμέμνονι καὶ Ταλθυβίῳ. V.

257. εὐξάμενος: εὐχόμενος· εὔχετο γάρ, οὐκ ἤδη εὔξατο. B.

258. ἴστω: μαρτυρείτω, ὅθεν καὶ ἴσωρ ὁ μάρτυς· „ἴσορα δ' Ἀτρεΐδην" (Il. 23, 486). φοβεραὶ δὲ αἱ ἀραί, ζῶντι μὲν κινδύνους ἐπάγουσαι ἐκ Διὸς καὶ Ἠλίου, τεθνεῶτι δὲ κολασμοὺς ἐξ Ἐρινύων. δείκνυσι δὲ ὅτι δεινὸν στρατηγοῖς ἀκολασίας

ψόγος. B.

259. αἵ θ': τινὲς οἵ τε, ἐπὶ Πλούτωνος καὶ Περσεφόνης. V.

261. μὴ μὲν ἐγώ: ὡς τὸ „μὴ δι' ἐμὴν ἰότητα" (Il. 15, 41)· „μὴ μὲν τοῖς ἵπποισιν ἀνήρ" (Il. 10, 330). V.

262. οὔτ' εὐνῆς: ἔστε κοίτης χάριν, τετέχει τῷ ῥῶσαι ὑπερβολικῶς· ἢ γ' περὶ μίξεως λέγει. B.

263. ἀπροτίμαος: ἀνέπαφος· μάσαιτ γ' τὸ ἐφάψασθαι· „μάλις' ἐσεμάσσατο θυμόν" (Il. 17, 564) ᾗ Εὐφορίων „Μοῦσαι ποιήσαντο ᾗ ἀπροτίμαος Ὅμηρος," οὗ δυχερὲς ἐφικέσθαι τῆς δυνάμεως. B.

265. ὅτις σφ' ἀλίτηται ὁμόσσας: ὃς ὁμόσας εἰς αὐτὸς ἁμάρτῃ. B. τὸ δὲ σφέ ἔσθ' ὅτε ᾗ ἐπὶ ἑνικῶ· „καὶ γάρ σφε πάρος" (Il. 11, 111). V.

267. πολιῆς: πολιᾶς, πλοίμης, ἢ λευκῆς, ἢ τιμίας, ἢ πολλῆς· ὡς γ' παρὰ τὸ ἑκατὸς ἑκάτη ἑκατιά („ἀγροῦ ἐπ' ἑκατιῆς" Od. 5, 489) καὶ σκοπὴ σκοπιά („ἔσην δ' ἐς σκοπιήν" Od. 10, 97), ἔτως καὶ παρὰ τὸ πολλὸς πολλὴ πολιή, τὸ διὰ πολλῶ χρόνω ἐρχόμενον, καὶ πολιά. μήποτε ἔν ἀπὸ τῶ συμβεβηκότος ἐπὶ λευκῆς ἐσίν· ἐκεῖνο μὲν γὰρ εὑρηται, ἐπὶ πολλῷ χρόνῳ ἥκει· τῶτο δὲ ἐπὶ μόνης εὑρηθ τῆς λευκότητος. B. ἀλλ' εὑρηθ μὲν ἐπὶ πολλῷ χρόνῳ ἥκειν. ἀπὸ δὲ τέτου τὸ λευκή ὁ Ἡρωδιανὸς ἐν ἐπιμερισμῷ τῶν „ἐκ ὄγχνη ἐ πρασίη τοι" (Od. 24, 247). V.

λαῖτμα: λάταμα λέγεθ τὸ μέγα ἔκταμα· μήποτε οὖν ἐξ αὐτῶ ἐσὶ κατὰ συγκοπήν, ᾗ δηλοῖ τὸ μέγα κῦμα. BV.

268. βόσιν ἰχθύσιν: σημειωτέον ὅτι τὰ ἀπὸ τῶν ὅρκων ἱερεῖα ἐκ ἤθιον ἀλλ' ἐρίπτον ἢ ἔκαιον. B. ὡς ἐν τῇ Γ φησίν. D.

ὡς ποτὸν πόσις, δοτὸν δόσις, ἔτω βοτὸν βόσις. παρὰ τὸν αἰγιαλὸν δὲ ἄρα ἡ ἐκκλησία. B.

270. Ζεῦ πάτερ: διὰ τὸ τῶ ὅρκε μέγεθος πιςεύσας τῇ σωφροσύνῃ τῶ βασιλέως ἐπὶ θεὸν ἄγει τὴν αἰτίαν τῆς μήνιδος. B.

δίδοισθα: οἱ μὲν βαρύνεσιν ὡς Αἰολικόν, ἀπὸ τῶ δίδοιμι, δίδοις δίδοιθα, ὡς τίθηθα· οἱ δὲ περισπῶσιν, ἐπέκτασιν εἶναι οἰόμενοι ἀπὸ τοῦ διδοῖς. B. φησὶ γοῦν „πολλὰ διδοῖ" (Il. 9, 519). V.

273. τὸ ἀμήχανος τῷ ἑξῆς συναπτέον, ἵνα ἐπὶ τοῦ Διὸς ᾖ, πρὸς ὃν ἐδείς τι δύναται μηχανήσασθ· ἀμήχανον γὰρ τὸ ἀδύνατον καλεῖται. BV.

276. λῦσεν δ' ἀγορὴν: καὶ γ' αὐτὸς ἤγειρεν αὐτήν. αἰψηρήν δέ, ἐπίῤῥημα ἀντὶ τῶ ταχέως, ὡς τὸ „θοὴν ἀλεγύνετε δαῖτα" (Od. 8, 38) ἀντὶ τῶ θοῶς. λαιψηρὸν δὲ τὸ ἐν καιρῷ γινόμενον σύντομον. B.

278. δῶρα δὲ Μυρμιδόνες: δεξιῶς πάντα μεμέρισαι ᾗ ἐπεξεργασίας τετύχηκεν. V.

279. θείοιο: ἢ πρὸς σύγασιν Ἀχιλλέως Πατρόκλου θεῖον αὐτὸν λέγοντος, ἢ πειραθεῖσα διαθέσεως αὐτοῦ ἡ γυνὴ θεῖον αὐτὸν καλεῖ ὡς τὸν Μύνητα. V.

281. ἀγέλην φησὶ τὸ συναχθὲν πλῆθος αὐτῷ· ἐφορ- βάδων δὲ ἵππων ἀλλὰ πολεμιςηρίων, ὧν τὰς ἡνιόχας ἀνεῖλεν. ἀζεύκτας δὲ ἵππας ἐκ εἶχεν· ἐ γ' δεδαμασμένας ἤδη μετὰ φορβάδων ἔβαλλον. B.

282. Βρισηΐς: ἐνθάδε μόνον αὐτὴν ᾗ ἐν τῇ Α Ἀγαμέμνων ἐξ ὀνόματος παρέλαβεν (αὐτὴν παρέλαβεν, ὡς καὶ Φοίνικα ἐν τῇ Ι. V). ἔςι δὲ λίαν φίλανδρος, ὡς ἀπὸ τῶν ῥηθησομένων ᾗ τῶ „ἡ δ' ἀέκασ' ἅμα τοῖσι γυνὴ κίε" (Il. 1, 348). καὶ οἱ μὲν δημογέροντες περὶ Ἑλένης φασὶν „αἰνῶς ἀθανάτῃσι θεαῖς" (Il. 3, 158)· ὁ δὲ ποιητὴς τῇ καλλιςευόσῃ τῶν θεῶν ταύτην εἰκάζει. ἐπεὶ γ' ἐπ' ἀλλοδαπῆς τέθνηκε Πάτροκλος, ἔνθα μὴ πάρεισι συγγενεῖς γυναῖκες, αἳ μάλιςα κινεῖν (αἳ λίαν χεῖν V) δάκρυα φιλῶσι, χορὸν αἰχμαλωτίδων πεποίηκε θρηνοῦντα, ἐξάρχοντος ἐνδόξε προσώπε. ὁ δὲ τόπος μέσε χαρακτῆρος ὑπάρχων τῷ μὲν διηγηματικῷ σεμνῶς πέφραται ᾗ λίαν ἐςὶ γραφικός, τῷ δὲ μιμητικῷ συμπαθὴς ᾗ γοερός· τὸ γ' τοιοῦτον πρόσωπον τὸ θεαῖς ἐοικός, περὶ ἓ ὁ Ἀχιλλεὺς τοσέτοις κακοῖς ἐνέβαλε τὰς ὁμοφύλας, ἕ χάριν ἀρνεῖται γάμον βασιλίδος, ποῖον ἐκ ἂν οἶκτον κινήσειεν ἐλεεινὰς προϊέμενον φωνὰς ᾗ πηγὰς δακρύων, τά τε κάλλιςα τῶ σώματος αἰκιζόμενον μέλη; B.

χρυσῇ: ἀπὸ τῆς παρ' ἡμῖν τιμίας ὕλης τὴν ἔντιμόν φησι. B.

283. χαλκῷ: παλαιὰ ἡ χρῆσις τῶ χαλκὸν ὀνομάζειν τὸν σίδηρον. ἀμέλει ᾗ χαλκέας λέγομεν τὰς τὸν σίδηρον ἐργαζομένας. δεδαϊγμένον δὲ τὸν λελωβημένον. B.

284. χυμένη: πρὸς τὸ ἁπαλὸν τῶ γυναικείε σώματος· ἐπὶ δὲ Ἀχιλλέως „Πατρόκλῳ περικειμενόν" φησιν (4). ἡ συντομία τῆς φράσεως τὸ περιπαθὲς αὐτῆς καὶ σπεδαῖον ἐμφαίνει. BV.

λίγ' ἐκώκυε: εἰς ἡδονὴν προκαλεμένη τὰς ἀκόντας, ὡς καὶ Θέτις· „μέγα γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ" (Od. 15, 400). B.

285. ἀπαλὴν δειρήν: ἐπέτεινε τὸν οἶκτον ἡ ἁπαλὴ δειρὴ ᾗ τὸ καλὸν πρόσωπον. δοκεῖ δὲ ᾗ αὐτὸς συνάχθεσθ αἰκιζομένη αὐτῇ, ὡς ἀνοίκειον ἀμύσσεσθαι τὰ οὕτω καλὰ μέλη. BV.

288. ζωὸν μέν σε ἔλειπον: ἀξιοπίςως ἔχει τὰ τοῦ θρήνε· ἐ γ' ἐπ' αὐτῷ ἀπολοφύρεθ μόνον, ἀλλὰ ᾗ τὰ αὐτῇ ἐπακολεθήσαντα· ἐκπλήττει γ' αὐτὴν τὸ μεταξὺ τῆς ζωῆς ᾗ τῶ θανάτε βράχιςον ὄν. παρατατικῇ δὲ φωνῇ ἐχρήσατο ὡς μόγις ᾗ ἄκεσα πεπορευμένη ᾗ πάλιν βραδέως ὑποςρέψασα διὰ τὸ μὴ ἡδέως θεάσασθ τὸ πτῶμα Πατρόκλου. διὸ ᾗ ἐπήγαγε κακὸν ἐκ κακῶ· τῆς γ' παρ' Ἀγαμέμνονι διατριβῆς, φησί, τῶτό μοι χεῖρον. B.

291. ᾧ ἔδοσάν με: ᾧ με ἠγγύησαν καὶ ἐμνήςευσαν· παρθένος γ' ἦν, διὸ ᾗ κόρη λέγεθ. τὸ τῶ πατρὸς δὲ ὄνομα πρόκειθ τῶ τῆς μητρὸς ὡς τὸ πρῶτον αἴτιον αὐτῶ ἔχοντος, ὅτι ᾗ ἐπὶ τῶν ἡμιθέων· „σὲ μὲν Πηλέως, μητρὸς δ' ἐκ Θέτιδος" (Il. 20, 206)· „υἱὸς μεγαλήτορος Ἀγχίσαο, μήτηρ δέ οἱ ἐς' Ἀφροδίτη" (Il. 5, 247). σωφροσύνης δέ

ἐχι δεῖγμα ὁ παρὰ γονέων νυμφίος. φιλάνδρα δὲ γυναικὸς τὸ προθεῖναι τῆς τῶν ἀδελφῶν τὴν τῷ ἀνδρὸς ἀπώλειαν· τοιαύτη δὲ καὶ Ἀνδρομάχη. (κατὰ γὰρ Μνασέαν Βρισέως υἱὸς ἦν Ἠετίων. V). οἰκεῖον δὲ τοῖς πενθοῦσι καταφέρεσθαι ἐπὶ τὴν μνήμην τῶν οἰκείων κακῶν. B.

292. εἶδον: ἐπιτείνει τῇ ὄψει τὰ παθήματα. καὶ ὁ Σοφοκλῆς „ἡ γὰρ ὄψις οὐ πάρα." ὄψις γὰρ ὠτων κριτικωτέρα πᾶσιν. BV.

293. μία γείνατο μήτηρ: καὶ τἐναντίον „ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορος" (Il. 21, 95). V.

294. κηδείης: προσφιλεῖς, πεφροντισμένους μοι· ἢ ἀνίαν μοι παραχόντας. ἀπαραμύθητον δὲ τὸ ἅμα πάντας ἀποθανεῖν· εἰ γὰρ καθεὶς ἦν, τῇ ἐλπίδι τῶν περιλειπομένων ἐκεφίζετο τὸ πένθος. τὸ δὲ ἐπέσπον τὸ πρόθυμον τῶν ὑπερμαχέντων τῆς πατρίδος δηλοῖ· ἐ γάρ φησιν ὅτι ἐπῆλθεν αὐτοῖς ὁ θάνατος, ἀλλ' αὐτοὶ πρὸς τὸν θάνατον ἠὐτομόλησαν. B.

295. ἄνδρ' ἐμόν: ἔμφασιν φιλανδρίας ἔχει τὸ δεύτερον ἐπιμνηθῆναι τῷ ἀνδρός. ποικίλως δὲ αὐτῷ ἐμνήσθη κοινῇ τε καὶ εἰδικῇ προσηγορίᾳ, καὶ μετὰ ταῦτα θεῖον αὐτὸν ἐκάλεσεν. B.

297. Ἀχιλλῆος θείοιο: πρὸς σύγκρασιν Ἀχιλλέως καὶ αὐτὴ λέγει, Πατρόκλεα θεῖον αὐτὸν ἀκούουσα λέγοντος· ἢ πειραθεῖσα διαθέσεως αὐτῷ θεῖον καλεῖ. ἐπίτασιν δὲ ἔχει ταῦτα· ἐ γὰρ μόνον ἄχρι τῆς ἐν Ἰλίῳ διατριβῆς ἔλεγεν ἔχειν αὐτὴν ὁμιννον, ἀλλὰ καὶ ναυτικῷ σόλῳ πολυτελῶς εἰς Φθίαν ἄξειν κἀκεῖ τὸν γάμον ἐπιτελέσαι. ὡς πρῶος δὲ πολλὴν ὑπέφαινεν αὐτῇ ἐλπίδα. εἰς δὲ τὸ κεριδίην λείπει τὸ ὡς. B. ὡς „Τηλεμάχῳ ἑτάρῳ κασιγνήτῳ" (Od. 21, 216). V.

Συναχθρείμ. ἐχ ὡς τισιν ἔδοξεν ἐνταῦθα ἀκέσθαι χρὴ τὸ ὡς, ἀλλὰ ἔτως ἐμοὶ δοκεῖ, θήσειν ἤγουν κατὰ θέσιν ποιήσειν ἄλοχον κεριδίην, τοῦτο γενομένην τῇ θέσει καὶ τῇ χέσει θετικῶς, ὅπερ κατὰ φύσιν ἡ παρθενικὴ τυγχάνει. Leid.

300. μείλιχον ἀεί: ἐπεὶ ἐδόκει τοῖς θρήνοις ὑπερεκπίπτειν, ἀλλότριον τῷ γένει ἄνθρωπον ἔτως ὀλοφυρομένη, δαιμονίως ἅμφω ὁ ποιητὴς τετήρηκε, καὶ πάθος ἐπαγόμενος διὰ τῶ προσώπε τῆς Βρισηΐδος, καὶ ὑπὲρ τῶ πιθανὸν τὸν λόγον κατασῆσαι αἰτίαν θεὶς τῆς τοιαύτης εὐνοίας τὴν ἀπὸ τῶ Πατρόκλε κηδεμονίαν πρὸς τὴν γυναῖκα. διδάσκει δὲ ἀντιποιεῖσθαι πραότητος, εἴ γε καὶ μετὰ θάνατον εὔνοιαν πορίζεται τοῖς ἔχθσιν. B.

302. Πάτροκλον πρόφασιν: ἐ γὰρ ἦσαν πειραθεῖσαι αὐτοῦ. V.

306. κελεύετε: παρακαλεῖτε. καὶ „ἐπῄνεόν ὡς ἐκέλευον" (Il. 4, 380) ἀντὶ τῶ παρεκάλεν. V.

ποτῆτος: ποτῆς. ἐκ τοῦ ποτότης συγκέκοπται. V.

308. δύντα δ' ἐς ἠέλιον: ἕως δύνει ὁ ἥλιος. V.

310. Ἀτρείδα μενέτην: εἰκότως Ἀγαμέμνων ὡς ἂν βασιλεύς, καὶ Ὀδυσσεύς· διαλλακτὴς γὰρ γέγονεν. ἀλλὰ καὶ Νέστωρ διὰ τὴν ἡλικίαν, καὶ Ἰδομενεὺς ὁμοίως. Φοῖνιξ δὲ ἐ μόνον διὰ τὴν ἡλικίαν, ἀλλὰ καὶ ὡς διδάσκαλος Ἀχιλλέως. πῶς δὲ Αἴας συγγενὴς ὢν ἐ συμπάρεξιν; ὀργίζεται διὰ τὴν πρεσβείαν· βαρύμηνις γάρ. καὶ πῶς τὸν ἐπιτάφιον ἀγωνίζεται; ἀρετῆς χάριν καὶ φιλίας τῶ ἡπιωτάτε Πατρόκλου. B.

θεῖος Ὀδυσσεύς; συνεκδεκτέον τὸ ἔμενεν. V.

312. τέρποντες: πειρώμενοι τέρπειν, ἢ ἀποτρέποντες τῆς λύπης. οἶδε δὲ καὶ τὸ παραμυθητικὸν μέρος φιλοσοφίας ὁ ποιητής. B.

313. πολέμου στόμα: τὸ τομώτατον καὶ ἀναλωτικώτατον μέρος τῶ πολέμε. B.

314. ἀνενείκατο: κάτωθεν τὴν φωνὴν ἀθρόαν ἐκ βάθες ἀνήνεγκεν. B. ἀθρόως καὶ ἐλεεινῶς καὶ οἰκτρῶς ἀνέκραξεν, ἢ οἱονεὶ ἀνεξέναξε καὶ πολὺ ἤγαγε πνεῦμα. D.

316. παρὰ δεῖπνον ἔθηκας: ἀπὸ τῶν γινομένων ὁ θρῆνος· ἐπεὶ γὰρ ἤτην αὐτὸν φαγεῖν, ὑπομιμνήσκει τραπέζης ἣν ὁ φίλος αὐτῷ παρετίθει πολλάκις. ἠθικὸν δὲ τὸ ὡς ζῶντι διαλέγεσθαι τῷ νεκρῷ. καὶ λαρὸν δεῖπνόν φησι τὸ ὑπὸ τῶν τῶ φίλε χειρῶν παρατιθέμενον, τετέχνη ἡδύ. B.

317. αἶψα καὶ ὀτρηρέως: τὸ αὐτὸ δὶς εἶπεν ἐπιτάσεως χάριν. D.

ὀτρηρέως: διεγερτικῶς· ἤτοι καὶ τὰς ἄλλας ὑπηρέτας εἰς τᾶτο παροτρύνων. σημειωτέον δὲ ὅτι καὶ πρὸ τῆς μήνιδος παρατάξεις ἦσαν. B.

322. τῷ πατρὸς: ἡ προθήκη τῶ ἄρθρε τὴν ἐξοχὴν παρίζησι. τᾶτο δὲ ὅτι ὁ μὲν εὔχετο πρὸ τῶ παιδὸς ἀποθανεῖν, τῷ δὲ ὠφείλετο τὸ ζῆν· καὶ ὅτι τὸ πρόσφατον πάθος τῶ μέλλοντος ἐπικρατεῖ. καὶ ἄλλως δὲ ἐπὶ νεότητος ἐπ ἔξι νεμεσητὸν τὸ λεγόμενον. B.

322 — 326. τοῦ πατρός, ἠὲ τὸν: χῆμα ἀπὸ γενικῆς ἐπὶ αἰτιατικὴν τὴν μετάβασιν ἔχον. V.

323. τέρεν θαλερόν, νέον· ἀεὶ γὰρ ἐπιμιμνησκόμενος καθ' ἑκάσην νεάζει δακρύων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν θαλλόντων φυτῶν· ταῦτα γὰρ μαλακὰ ἔχει φύλλα. B.

324. ἀλλοδαπῷ: παραγωγή, ἐ σύνθεσις, ὥς φησιν Ἐπαφρόδιτος. V.

325. ῥιγεδανῆς: συγητῆς· τὰ γὰρ λύπην τῇ ψυχῇ περιβάλλοντα καὶ λυπηρὰ ψύχει παραβάλλει. καὶ περὶ αὐτῆς φησὶν „εἵνεκ' ἐμεῖο κυνὸς κακομηχάνε ὀκρυοέσσης" (Il. 6, 344). BV.

326. Σκύρῳ: τινὲς μὲν ἐκεῖ ἐκτεθῆναι αὐτὸν ὑπὸ Θέτιδος. ὁ δὲ τὴν μικρὰν Ἰλιάδα ἀναζευγνύντα αὐτὸν ἀπὸ Τηλέφε προσορμισθῆναι ἐκεῖ· „Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα· ἔνθ' ὅ γ' ἐς ἀγαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης." ἔχει δὲ νῆσος πρὸς τῇ Εὐβοίᾳ, λιμένας ἔχουσα Ἀχιλλεῖον καὶ Κρήσιον, ᾤκησαν δ' ἐν αὐτῇ καὶ Δόλοπες, μοῖρα Θεσσαλῶν. Νεοπτόλεμος δὲ ἀπὸ τῶ πατρὸς ὠνόμασαι, ὅτι νέος ὢν ἐπολέμησεν. ἔχει δέ, ὥς τινες, ἐξ Ἰφιγενείας· φησὶ γὰρ Δῦρις ὅτι κλαπεῖσα εἰς Σκῦρον ἐξέθη ὑπ' αὐτῦ. ἐκ ἦσαν δὲ ἀπὸ τῆς ἁρπαγῆς Ἑλένης ἕως τῆς ἁλώσεως κ' ἔτη. ἐκ ἂν γὰρ ἂν καιρὸν εἶχεν γαμηθῆ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναι Πηνελόπῃ ϗ Τηλέμαχος ἦν ἂν λ' ἐτῶν „παῖς νήπιος οὔτε πόνων εὖ εἰδὼς οὔτ' ἀγοράων" (Od. 4, 818) καὶ „ἐπεὶ οὔπω χερσὶ πέποιθα ἄνδρ' ἀπαλέξασθαι" (Od. 16, 71). ἡ δὲ ἑτέρα ἱςορία διαψεύδεται. ὅρα δὲ πῶς ἀπὸ γενικῆς εἰς αἰτιατικὴν ἡ μετάβασις γέγονεν. ὀδύρεται δὲ τὴν ἰδίαν ἀτυχίαν ὡς ἴσως αὐτὸν καὶ υἱοῦ ςερήσουσαν. ἡ δὲ ἑτέρα ἱςορία ἔχει οὕτως. Ἀλεξάνδρου Ἑλένην ἁρπάσαντος Ἀγαμέμνων ϗ Μενέλαος τοὺς Ἕλληνας κατὰ τῶν Τρώων ἐςρατολόγησαν. Πηλεὺς δὲ προγινώσκων ὅτι μοιρίδιον ἦν ἐν Τροίᾳ θανεῖν Ἀχιλλέα, παραγενόμενος εἰς Σκῦρον πρὸς Λυκομήδην τὸν βασιλέα παρέθετο τὸν Ἀχιλλέα. ὁ δὲ γυναικείαν ἐσθῆτα ἀμφιάσας αὐτὸν ὡς κόρην ἀνέτρεφε μετὰ τῶν θυγατέρων. χρησμοῦ δὲ δοθέντος μὴ ἁλώσεσθαι τὴν Ἴλιον χωρὶς Ἀχιλλέως, ἐπέμφθησαν ὑφ' Ἑλλήνων πρὸς Πηλέα Ὀδυσσεὺς Φοῖνιξ ϗ Νέςωρ. τοῦ δὲ Πηλέως ἀρνουμένου παρ' αὐτῷ τὸν παῖδα μὴ τυγχάνειν, πορευθέντες εἰς Σκῦρον ϗ ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι, ταῖς Ὀδυσσέως ὑποθήκαις ὅπλα ϗ ταλάρους ἔῤῥιψαν σὺν ἰςουργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος. αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάρους ὥρμησαν ϗ τὰ λοιπά, ὁ δ' Ἀχιλλεὺς ἀνελόμενος τὰ ὅπλα κατάφωρος γέγονε ϗ συνεςρατεύσατο. πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους, ἥτις ἐξ αὐτοῦ ἐγέννησε Πύῤῥον τὸν ὕςερον Νεοπτόλεμον κληθέντα, ὅςις τοῖς Ἕλλησι νέος ὢν συνεςρατεύσατο μετὰ θάνατον τοῦ πατρός. B. ἡ ἱςορία παρὰ τοῖς κυκλικοῖς. D.

327. ϗ Ἀριςοφάνης προηθέτει τὸν ςίχον, ὥς φησι Καλλίςρατος. τό τε γὰρ ἐπὶ παιδὸς κομιδῇ λέγεσθαι διςακτικῶς εἴ που ἔτι ζώει, ϗ ταῦτα μηδὲ πόῤῥω τῆς Σκύρου κειμένης, ὕποπτον, τό τε θεοειδής ἀκαίρως προσέῤῥιπται. τεκμήριον δὲ τῆς διασκευῆς τὸ καὶ ἑτέρως φέρεσθαι τὸν ςίχον, εἴ που ἔτι ζώει γε Πυρῆς ἐμός, ὃν κατέλειπον. A.

331. νηΐ: γράφεται σὺν νηΐ. A.

333. ἀρσενικῶς τὸ δμῶας· συνυπακούεται δὲ αὐτῷ ϗ τὸ θηλυκόν. B.

οὕτως Ἀρίςαρχος δμῶας, ἔξω τοῦ ῑ. A.

335. ἀκάχησθαι: προπερισπᾶται ὡς λελυπῆσθαι. οἱ δὲ προπαρώξυναν ὡς Αἰολικὸν ἐν παρατατικῇ σημασίᾳ, ἐπεὶ οἶδε ϗ τὴν ἀκαχήμενος μετοχὴν τοιαύτην, οἷς καὶ ἐπείσθη ἡ παράδοσις. A.

δαιμονίως ἐνέφηνε τὸν ὀλίγως ζῶντα διὰ τὴν ἀσθένειαν. V.

339. μνησάμενοι τὰ ἕκαςος: ὅμοιόν ἐςι τῷ „Πάτροκλον πρόφασιν" (302). ἄλλως. ὅμοιόν ἐςι τῷ „οἱ δὲ ἕκαςος σπείσαντες" (Il. 9, 656). V.

342. δὴ πάμπαν: ἔθος ἔχει ἀπὸ τοῦ δή ἄρχεσθαι· ἔδει γὰρ πάμπαν δή. V.

ἀποίχεαι: κεχώρισαι. ἑῆος δὲ τοῦ ἀγαθοῦ, ἀπὸ τοῦ ἠῶ· ὅθεν ϗ τὸ „ἠοίη προλιποῦσα δόμους" (Hesiod. Scut. 1).

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἑοῖο. τοῦτο δὲ παρὰ τὸ πρόσωπόν ἐςιν. A.

ἀμβροσίην ἐρατεινήν: εὐωχίας αἰτίαν· αὕτη γὰρ ἐρατεινή· „δαιτὸς ἐπηράτου ἔργα μέμηλεν" (Il. 9, 228). ἄσιτον μὲν οὖν αὐτὸν ποιεῖ διὰ τὸ πάθος τοῦ φίλου· διὰ δὲ τὸ πιςὸν εἰς θεοὺς ἀνάγει τὴν αἰτίαν. B.

ἡ διπλῆ, ὅτι κατ' ἀμφοτέρων τὸ ςάξον, τῆς ἀμβροσίας ϗ τοῦ νέκταρος· ἡ γὰρ ἀμβροσία ἐςὶ ξηρὰ τροφή. A.

343. μέμβλεται: συγκοπὴ ϗ πλεονασμὸς τοῦ β̄. V.

διδάσκει μὴ ἀμνηςεῖν τῶν φίλων. V.

344. προπάροιθε: χρονικὸν ϗ τοπικόν. V.

350. ἅρπῃ: εἶδος ὀρνέου. τινὲς ἰκτῖνον καλοῦσιν, ἕτεροι δὲ φήνην. λέγεται δὲ ϗ τὸ δρέπανον. D. τῷ ἰκτίνῳ. οἱ δέ, ζῷον θαλάσσιον πολεμοῦν λάρῳ καὶ βρέννῳ. φιλεῖ δὲ τὴν τροφὴν ἣν ἂν συνάγει φυλάττειν ἐπὶ τοῖς γάμφεσι (τάρφεσι V), ϗ ταύτην ἐπιχορηγεῖ τοῖς νεοσσοῖς· ᾧ νῦν οἰκείως οὖν εἴκασε τὴν Ἀθηνᾶν. οἱ δὲ τὸν ἰκτῖνον, ὅτι ἐφ' ὕψους ἱπτάμενος εὐχερῶς ὅπου θέλει καταῤῥάσσει. ABV.

355. αὐτὴ δέ: ἐν ἄλλῳ αὐτὴ δ' αὖ. A.

357. ταρφειαί: κυρίως ἐπὶ τῆς εὐτραφοῦς ὕλης ἡ λέξις. V.

Ἀρίςαρχος ἀνέγνω ὡς πυκναί. οὕτως δὲ ϗ ὁ Ἀσκαλωνίτης· ϗ ἐπείσθη ἡ παράδοσις. A.

358. αἰθρηγενέος: τοῦ αἰθρίας αἰτίου ϗ γεννητικοῦ, τουτέςι τοῦ ψύχους· ψύχος γὰρ ὁ Βοῤῥᾶς ἐπιφέρει. B.

τοῦ γεννῶντος αἰθρίαν, τουτέςι τὸ ψύχος· ἐνίοτε δὲ καὶ τὸν αἰθρίας αἴτιον. ἔςι δὲ μαχόμενον τῷ ψυχραὶ νιφάδες. αὕτη γὰρ προτέρᾳ ἐκδόσει συμφωνεῖ. V.

361. κραταιγύαλοι: ἡ διπλῆ, ὅτι οἱ κραταιοὶ κατὰ τὰ γύαλα ϗ κύτη ϗ κοιλώματα. ἀπὸ δὲ μέρους οἱ ὅλοι κραταιοί· γύαλον γὰρ πᾶν τὸ κοῖλον τοῦ θώρακος. A.

362. γέλασσε δὲ πᾶσα περὶ χθών: περιήςραψεν· ἀπὸ γὰρ τῶν τοιούτων περιςίλψεων διάχυσις γίνεται τοῦ περὶ γῆν ἀέρος. τινὲς δὲ τὸ περί ἀντὶ τοῦ περισσῶς. B.

365 — 368. ἀθετοῦνται ςίχοι τέσσαρες· γελοῖον γὰρ τὸ βρυχᾶσθαι τὸν Ἀχιλλέα, ἥ τε συνέπεια οὐδὲν ζητεῖ διαγραφέντων αὐτῶν. ὁ δὲ Σιδώνιος ἠθετηκέναι μὲν τὸ πρῶτόν φησιν αὐτῶν τοὺς ἀριθμούς, ὕςερον δὲ περιελεῖν τοὺς ὀβελούς, ποιητικὸν νομίσαντας τὸ τοιοῦτο. ὁ μέντοι Ἀμμώνιος ἐν τῷ περὶ τῆς ἐπεκδοθείσης διορθώσεως οὐδὲν τοιοῦτο λέγει, διπλῆν δὲ προσθετέον τῷ „δῦν' ἄχος ἄτλητον, ὁ δ' ἄρα Τρωσὶ μενεαίνων," ὅτι τὸ μενεαίνων νῦν θυμούμενος σημαίνει. A.

365. τοῦ καὶ ὀδόντων: ἔπριε τοὺς ὀδόντας, οὐχ ὡς Δόλων (Il. 10, 375). V.

366. ἐν δέ οἱ ἦτορ: μετὰ τὰς τοῦ σώματος ἐκφράσεις εἶτα ϗ τῆς ψυχῆς τὴν διάθεσιν δηλοῖ. V.

368. κάμε τεύχων: ὁ τρόπος ἀντίφρασις. V.

374. ἀπάνευθε σέλας γένετ': πόῤῥω διέβη ἔκλαμψις. V.

ἠΰτε μήνης: καλῶς οὐχ ἡλίῳ εἴκασαι διὰ τὴν τῶν ὑλῶν μελανότητα· παρέπονται γὰρ ϗ τῇ σελήνῃ τινὲς μελανότητες. B. ἔνθεν τὸ σκοτεινῶς σημαίνειν μηνύειν φαμέν. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

376. *Ἀρίσαρχος τό τε καίεται.* **A.**

377. *τὰς δ' ἐκ ἐθέλοντας: ἐκ ἑῶνται, φησίν, ὑπὸ τῶν πνοῶν πλησιάσαι τῇ γῇ, ἀλλ' ἄκοντες πελαγίζονϑ.* **B.**

380. *ὅτι ἀναλαβὼν τὴν ἀσπίδα μετὰ ταῦτα ἐπὶ πᾶσι τὴν περικεφαλαίαν τίθησιν.* **A.**

381. *ἀσὴρ ὥς: πιθανὴ ἡ ὁμοίωσις· τὴν μὲν γὼ ἀσπίδα σελήνῃ, τὸ δὲ κράνος ἀϛέρι, τὸν δὲ Ἀχιλλέα ἡλίῳ παραβάλλει.* **B.**

382. *ἵππουρις: καταχρηϛικῶς· οὐ γὰρ τοιαύτη ἦν. ἔθειραι δὲ αἱ τημελημέναι τρίχες.* **B.** *κακῶς ἐν Καλλιμαχος „ἐπεὶ κτενὸς ἔσκον ἔθειραι."* **V.**

384. *πειρήϑη: ἐπειρήϑη ὅπως εἰδῇ πότερον ἔσφιγχϑ ἢ σαλεύϑ περὶ τῷ σώματι. τὸ δὲ ἐντρέχοι, εἰ συνάλλεαϑ τοῖς ὅπλοις δύναιτο κ μὴ ἐμποδίζοιτο.* **B.**

ἢ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἐᾶ αὐτᾶ. συγχεῖ δὲ τὸ σύναρϑρον ἀντὶ ἀπολελυμένα λαμβάνων. τὴν οἷ ἀντωννμίαν περισπᾷ ὁ Ἀσκαλωνίτης, καί φησι κεῖϑαι δοτικὴν ἀντὶ γενικῆς· οἱ δὲ βαρυτονᾶσιν. ἔϛι μὲν ἓν κ ἐγκλιτικὴν εὑρέαϑ τὴν οἷ ἀντὶ γενικῆς κειμένην, ὥσπερ ἐπὶ τᾶ „οἱ δέ οἱ ἐβλάφϑησαν" (Il. 23, 387)· ἔϛι δὲ κ ὀρϑοτονουμένην ἀντὶ αἰτιατικῆς, ὥσπερ ἐπὶ τοῦ „νεῦσ' ἐπὶ οἷ καλέσας" (Od. 17, 330) κ „προτὶ οἷ δὲ λαβὼν ἔντερα" (Il. 20, 418). οὐ μέντοι ποτὲ ἐν τῇ καλεμένῃ ἐπιταγματικῇ συντάξει· ἄλογον γὼ τὸ τοιᾶτον ὥϛε ἐπιφέρεαϑ τὴν αὐτᾶ γενικὴν κ' τὴν οἷ προκειῶϑ δοτικὴν ὑπάρχϑσαν, ὅπερ ἐκ ὑγιές· ἀεὶ γὼ ταῖς πρωτοτύποις ὁμοιόπτωτος συντάσσεϑ ἡ αὐτᾶ ἀντωννμία. πειϛέον ἓν Ἀριϛάρχῳ γράφοντι πειρήϑη δ' ἕο αὐτοῦ.* **A.**

385. *ἐντρέχοι: ἀκωλύτως χρῶτο ὥϛε μὴ ἐμποδίζεσθαι.* **D.**

386. *ἔτως εὖτε Ἀρίσαρχος· συνέσαλϑ δὲ τὸ ἠΰτε, κ διὰ τᾶ ε εἰρηϑ. παρὰ δὲ Ἀριϛοφάνει τῷ δ' ὥϛε. ἐν δὲ ταῖς ἀπὸ τῶν πόλεων τῶν δ' αὖτε.* **A.**

οὕτως γραπτέον, τῷ δ' εὖτε, ἵνα ᾖ ὡσεὶ πτερὰ διὰ τὴν κούφοτητα· ἐξωϑεν δὲ τὸ ὥς. πρότερον δὲ γράφων ὁ Ἀρίσαρχος τῷ δ' εὖτε, καὶ κατὰ συϛολὴν δεχόμενος ἀντὶ τᾶ ἠΰτε, ὡς ἐπὶ τᾶ „εὖτ' ὄρεος κορυφῆσι" (Il. 3, 10), μετέγραψεν ὕϛερον τῷ δ' αὖτε, ἐμφατικώτερον νομίσας εἶναι, ὑπακουομένα τᾶ ὥς, ὡς κἀκεῖ „καιροσέων δ' ἀθονέων ἀπολείβεται" (Od. 7, 107). **A.**

ἄειρε: τινές φασιν ὅτι ἐμετεώριζεν αὐτὸν ὁ κόσμος κ γαυριᾶν ἐποίει. ἢ τάχα ἡ συμμετρία τῶν ὅπλων κ κοφότητα ἐνεποίει, ὡς μὴ δοκεῖν αὐτὸν φέρειν ταῦτα, ἀλλ' αὐτὸν τᾶτον. εἰ δὲ μείζονα ἦν, βαρύτερα ἂν ὑπῆρχε. καὶ τὰ πτερὰ δὲ πολλὴν ἁρμονίαν ἔχει. ὁ δὲ λόγος ὑπερβολή· τὰ ὅπλα γᾶν, φησί, κᾶφα γεγόνασιν ὡς πτερά, κ ᾖρε καὶ ἐκόφιζε τὸν Ἀχιλλέα, ὡς ὄρνιϑας τὰ πτερά· τὸ γὼ ἄειρεν ἀντὶ τοῦ ἐκούφιζε· „Νέϛωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρε" (Il. 11, 637)· *„ἦ μ' ἀνάειρ' ἢ ἐγὼ σέ"* (Il. 23, 724). *τετόλμηϑ γᾶν ὁ λόγος ὡς τῶν ὅπλων βαϛαζόντων τὸν Ἀχιλλέα, ἃ βαϛαζομένων.* **B.**

387. *ἀθετοῦνται εἴκοι τέσσαρες, ὅτι ἐκ τοῦ Πατρόκλου ὁπλισμᾶ* (Il. 16, 141) *μετάκειν ϑ. ἡ δὲ περιεϛιγμένη διπλῆ, ὅτι ἐνταῦϑα μὲν αὐτὸς Ζηνόδοτος καταλέλοιπεν, ἐπὶ δὲ Πατρόκλᾳ ἠϑέτηκεν. ἐκεῖ δὲ ἀναγκαίως λέγονϑ, ἵνα γνῶμεν διὰ τί ἐκ ἔλαβε τὴν μελίαν.* **A.**

ἀδὲ ἐν ταῖς ἄλλαις ἦσαν οἱ ἀθετέμενοι. **A.**

ἔτοι κ ἐπὶ Πατρόκλᾳ κεῖνϑ, ἵνα γνῶμεν διὰ τί παρέλιπεν αὐτό, κ ἐνταῦϑα πρὸς αὔξησιν Ἀχιλλέως, ὅτι τὶ ἄλλοις μὴ φορητὸν εὐκόλως ἔτος περιῆγε. βριϑὺ δὲ τὶ ἐπώδυνον· τὸ γὼ βάρος ἐπὶ τῶν δοράτων ἄχρηϛον. **B.**

389. *τὸ ἐπίϛατο ἐξηγᾶνϑ ἀντὶ τᾶ ἐδύνατο· προειπὼν γάρ φησι „τὸ μὲν οὐ δύναϑ' ἄλλος Ἀχαιῶν πάλλειν." πλανᾶνϑ δέ· τῇ γὼ ἐπιϛήμῃ καὶ τὴν δύναμιν προσάπτει, ὡς πά φησιν „ἐπεὶ ἀδ' ἐμὲ νήϊδά γ' οὕτως ἔλπομαι ἐν Σαλαμῖνι γενέαϑ τε τραφέμεν τε"* (Il. 7, 198) *καὶ „φῶϑ' Ἡρακλῆα μεγάλων ἐπίϛορα ἔργων"* (Od. 21, 26), *τϛτέϛιν ἐπιγνώμονα κ ἐπιϛήμονα, ὡς τὸ „ἴϛορα δ' Ἀτρείδην Ἀγαμέμνονα ϑείομεν ἄμφω"* (Il. 23, 486) *κ „ἄμφω δ' ἴέϑην ἐπὶ ἴϛορι πεῖραρ ἑλέϑαι"* (Il. 18, 501), *τϛτέϛιν ἐπὶ ἐπιϛήμονι δικῶν κρίϛεως.* **B.**

εἰώϑει. ποιεῖ γὼ Ἀχιλλέα παρὰ Χείρωνι διδασκόμενον πάλλειν τὴν μελίαν. **V.**

390. *τάμε: ἐν ἄλλῳ πόρε.* **A.**

391. *ἐν κορυφῇς: ἔτως πληθυντικῶς αἱ Ἀριϛάρχϛ.* **A.**

392. *ἡ διπλῆ, ὅτι τὸν Ἀλκιμέδοντα* (Il. 16, 197) *νῦν Ἄλκιμον λέγει.* **A.**

393. *ἔτως διὰ τᾶ ᾱ ζεύγγυον.* **A.**

λέπαδν': τὰς καθειμένας κατὰ τῶν ἱππείων τραχήλων περιϛηθίας ἱμάντας πρὸς τὸ δεσμεῖν. **B.**

ϑέσαν ἀντὶ τᾶ ἔσαν κατὰ παράληψιν τᾶ ϑ̄. **V.**

396. *χειρὶ λαβὼν ἀραρυῖαν: τῇ χειρὶ ἀραρυῖαν, οἷον ἐκ ἐξολιωϑαίνϑσαν τῆς χειρός.* **B.**

398. *ἠλέκτωρ: ὁ εἰς λέκτρον μὴ ἐρχόμενος. ἢ παρὰ τὸ μὴ κοιμᾶϑ εἰλέμενον, διὸ κ ἵππας αὐτῷ ἐκ ὑποζεύγνυσι, τὸν δὲ ἐρανὸν ὄχημα αὐτᾶ φησίν. ἢ μᾶλλον ὁ μὴ κοιμίζων· τὰ γὼ εἰς τωρ κατ' ἐνεργείας τάσσει, ὡς τὸ σημάντωρ κοσμήτωρ. λέγω δὲ τὸ κοιμίζω, ὅϑεν καὶ λέχος· „λέξον δή με τάχιϛα"* (Il. 24, 635). **AB.**

398. *ὑπερίονα: ὅτι κ ὅτε αὐτὸν δοκεῖμεν ἡμεῖς κάτω φέρεαϑ, κ τότε τὴν γῆν κυκλοῖ κ ὑπεράνω ἡμῶν ἐϛίν. εἰκότως δὲ πυρὸς αὐγῇ τὸν ϑώρακα* (Il. 18, 610), *τὸ δὲ σάκος σελήνῃ* (374), *τὸ δὲ κράνος ἀϛέρι εἰκάσας* (381), *τὸν ἐκ πάντων τάτων καταλαμπόμενον ἡλίῳ μάλιϛα εἰκάζει τῷ λαμπροτάτῳ.* **B.**

ἄλλως. συνεχῶς τοίννν τὸν ἥλιον ἀκάμαντα κ ἠλέκτορα κ ὑπερίονα προσαγορεύει, διὰ τῶν ἐπιϑέτων οὐκ ἄλλο τι πλὴν τᾶτο τὸ χῆμα σημαίνων. ὅ τε γὼ ἀκάμας, ὁ μὴ κάμνων, ἔοικεν ὅρος ἔχειν ἐκ ἀνατολὴν κ δύϛιν, ἀλλὰ τὴν ἀεὶ περίδρομον ἀνάγκην. ἠλέκτωρ δὲ δνοῖν ϑάτερον, ἢ ἥλεκτρος ὁ ϑεὸς ὀνομάζϑ μηδέποτε κοίτης ἐπιψαύων, ἢ τάχα πιϑανώτερον, ἐπιελίκτωρ τις ὢν κ κυκλοτερεῖ φορᾷ δι' ἡμέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρας ϗ νυκτὸς ἀναμετρούμενος τὸν κόσμον. ὑπερίονα δὲ νομιςέον αὐτὸν ὡς ὑπεριέμενον ἀεὶ τῆς γῆς, ὥσπερ, οἶμαι, ϗ Ξενοφάνης ὁ Κολοφώνιός φησιν „ἠέλιός θ' ὑπεριέμενος γαῖάν τ' ἐπιθάλπων." εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἂν Ὑπεριονίδης, ὡς Ἀτρείδην εἶπε τὸν Ἀγαμέμνονα ϗ Πηλείδην τὸν Ἀχιλλέα. B.

400. σημειοῦνταί τινες ὅτι ἐντεῦθεν ἡ διασκευὴ τοῦ τεθρίππου πεποίηται „Ξάνθε τε ϗ σὺ Πόδαργε" (Il. 8, 185). A.

401. ἄλλως: μὴ ὡς ἐπὶ Πατρόκλῳ. ἔςι δὲ ὁ μὲν Αὐτομέδων θνητός, οἱ δὲ ἵπποι ἀθάνατοι· διὸ μᾶλλον ἐγκαλεῖ τοῖς σώζειν δυναμένοις. ἢ ὅτι διὰ τῶν ἵππων ϗ τῷ ἡνιόχῳ ἐπιπλήττει. B. ἢ ὅτι „τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο" (Il. 11, 654). V.

402. Δαναῶν: ἐν ἄλλῳ λαῶν. A.

ἐπεί χ' ἕομεν: τινὲς χέομεν ἀντὶ τοῦ ὑποχωρήσομεν. ἄλλοι δὲ ἀντὶ τοῦ ἀναμιχθῶμεν τοῖς πολεμίοις. V.

ὅτι δασυντέον τὸ ἑῶμεν· ἔςι γὰρ ἄδην ἔχωμεν, κορεσθῶμεν. A.

403. αὐτοῦ: γράφεται αὐτόθι. A.

405. ἤμυσε καρήατι: παρέκλινε τὴν κεφαλὴν αὐτοῦ. ταχέως δὲ εἰς θάτερον μέρος ἔκλινε τὴν κεφαλήν, παρεπιςρέψας εἰς τοὐπίσω ὡς προσβλέψων τῷ Ἀχιλλεῖ, μέλλων αὐτῷ διαλέγεσθαι. AD.

παρέκλινε τὴν κεφαλήν, ἐπιςρέφων ἑαυτὸν ὥςε ἐναντίος τῷ Ἀχιλλεῖ γενέσθαι ϗ πρὸς αὐτὸν λαλῆσαι. B.

406. ζεύγλης: ζεύγλη τὸ ὑπὸ τὸν ζυγὸν μέρος, εἰς ὃ ὁ τράχηλος ἐντίθεται. B.

407. αὐδήεντα: λογικοῦ ζῴου φωνὴν ἔχοντα. οὐκ εὐπρεπὲς δέ, φασί, τὴν Ἥραν παραιτίαν λύπης γενέσθαι τῷ Ἀχιλλεῖ. ῥητέον δὲ ὅτι εἰς πρᾶγμα τολμηρὸν καταβαίνων ὁ ποιητής, τὸ φωνῆς μετέχοντας ἵππους εἰσάγειν, θεῷ τὴν αἰτίαν ἀνατίθησι, ϗ Ἥρᾳ, ἐπεὶ φωνή ἐςιν ἀὴρ πεπληγμένος. τί δὲ ἄτοπον, ὅπου γε ϗ Θέτις προεῖπεν (Il. 18, 96) „αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος;" B.

τὸ αὐδήεντα οὐκ ἔςι φωνὴν ἔχοντα, ἀλλ' ἀνθρωπείᾳ φθεγγόμενον ὀπὶ ὡς οἱ ἄνθρωποι, καὶ ὡς παράδοξον ἐπεσημήνατο. ϗ τὸ „Κίρκη ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα" (Od. 10, 136) σημαίνει τὸ ἀνθρωπίνως φθεγγομένη, οὐχ ὡς θεός. διὰ σημείων γάρ, οἰωνῶν ϗ ἱερείων καὶ θυσιῶν, ϗ δι' ὀνείρων ϗ ἐφετμῶν, ϗ οὐκ αὐδῆς φθέγγονται οἱ θεοί. ϗ ἀλλαχόθι „οἵ τ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων" (Od. 4, 353), τῶν θεοπροπίων λέγει. ἡ δὲ Κίρκη „καλὸν ἀοιδιάει" (Od. 10, 227) ὡς ἄνθρωπος. B.

ἄλλως. εἰ θείας μετέχουσι φύσεως, τί ἄτοπον ϗ φωνεῖν; πρῶτος δὲ Ὅμηρος τοῦτο ἐποίησεν. Ἡσίοδος ἐπὶ τοῦ ἱέρακος, Ἀρχίλοχος ἐπὶ τοῦ ἀετοῦ. ϗ Αἴσωπος ὕςερον κατεχρήσατο. V.

ἀθετεῖται ὡς περιττὸς καὶ ἐναντίον ἔχων· ἐπιφέρει γὰρ (418) „ὣς ἄρα φωνήσαντος Ἐρινύες ἔχεθον αὐδήν," ὡς δηλονότι ϗ παραχοῦσαι. τοιοῦτος γὰρ ὁ ποιητής· „τὸν μὲν ἀρίζηλον θῆκεν θεὸς ὥσπερ ἔφηνε" (Il. 2, 318). A.

411. νωχελίῃ: νωχελία παρὰ τὸ μὴ δύνασθαι κέλλειν· ὅθεν παρῆκται καὶ χελώνη. B.

413. θεῶν ὤριςος: ἥλιος γάρ ἐςιν ὁ μείζων πάντων τῶν ἄςρων. B.

415. ἅμα πνοιῇ Ζεφύροιο: τοῦτο γὰρ παρὰ τοῦ πατρὸς Ζεφύρου ἔχουσιν. ἢ ὑπερβολικῶς. V.

416. 417. ἀθετοῦνται ςίχοι ϗ οὗτοι οἱ δύο, ὅτι οὐκ ἀναγκαῖοί εἰσιν· οἴδαμεν γὰρ ὅτι ἡ πνοὴ ἐλαφροτάτη ἐςί. τὸ δὲ καὶ προσθεῖναι φασίν ὡς ἀπὸ ἱςορίας ἐςὶ παρειληφότα ἀγνοούμενόν τι, ϗ ἀπίθανον ἵππον λέγειν φασίν ὥσπερ ἄνδρα πολυΐςορα. A.

416. ἀλλὰ σοὶ αὐτῷ: τὴν ἁμαρτίαν τοῦ πατρὸς ἄλλοθεν κομίζει. δῆλον δὲ ὡς ἀθάνατοι ὄντες τῶν ἀνθρωπίνων πύθονται μύθων. V.

417. θεῷ τε καὶ ἀνέρι: φασὶν ὅτι ἐν χήματι Πάριδος Ἀπόλλων ἐτόξευσεν αὐτὸν διὰ τὸν Πολυξένης ἔρωτα. BV.

418. ὣς ἄρα φωνήσαντος: οὕτως εἰπόντος, φησί, τοῦ ἵππου ἐπέχον αὐτοῦ αἱ Ἐρινύες τὴν φωνήν· πάντα γὰρ τὰ παράλογα ϗ τεράςια δοκεῖ ὑπὸ Ἐρινύων γίνεσθαι. AD. ἡ διπλῆ δὲ πρὸς τὴν ἀθέτησιν τοῦ „αὐδήεντα δ' ἔθηκεν·" εἰ γὰρ ἡ Ἥρα παρέχε, ϗ ἐπιχεῖν ὤφειλεν, οὐχ αἱ Ἐρινύες. A.

ἐπίσκοποι γάρ εἰσι τῶν παρὰ φύσιν. ἢ τὸν περὶ θανάτου λόγον ἀνεγράψαντο. B.

423. ἄδην ἐλάσαι: ἀθρόως κορέσαι ϗ πληρῶσαι. μεγαλοφυῶς δὲ οὐδὲ πλησίον τοῦ κινδύνου γενόμενος ἀποτρέπεται τῆς ὁρμῆς, βουλόμενος καὶ ἐν αὐτῇ τῇ τελευτῇ ἀνδραγαθίαις ἐνθανεῖν. BV.

424. ἐν πρώτοις: ἀντὶ τοῦ εἰς ἥρωας τοὺς τῶν Ἀχαιῶν. V.

Παράκειται τὰ Ἀριςονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριςαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ ϗ ἐκ τῶν Νικάνορος περὶ ςιγμῆς. A.

ΕΙΣ ΤΗΝ Υ.

2. ἀμφὶ σὲ Πηλέος υἱέ: ὅτι πάσης τῆς ςρατείας ἡγεμὼν αὐτὸς ἐγένετο, ϗ αὐτῶν τῶν ἡγεμόνων. ὀρθοτονητέον δὲ τὴν ἀντωνυμίαν διὰ τὴν πρόθεσιν. προσφωνεῖ δὲ ὁ ποιητὴς ἡρωϊκοῖς μὲν προσώποις πέντε, Ἀχιλλεῖ Μελανίππῳ Πατρόκλῳ Εὐμαίῳ Μενελάῳ, θεῶν δὲ Ἀπόλλωνι· „ἀμφὶ σὲ ἤϊε Φοίβε" (152). B.

ἐὰν πληθυντικῶς γράφηται ἀκόρητοι, συνάψομεν τῇ τελευταίᾳ λέξει ὡς ἂν ἐπιθετικὸν ἐκείνης· ἐὰν δὲ ἑνικῶς, βραχὺ διαςελοῦμεν· ἐπὶ γὰρ τοῦ Ἀχιλλέως ἀκουσθήσεται. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰ μὲν πληθυντικῶς εἴπωμεν, ἡ ξύγμὴ εἰς τὸ υἱέ· εἰ δὲ ἑνικῶς, ἐπὶ Ἀχιλλέως, διαξολὴ εἰς τὸ ἀκόρητον. B.

3. θρωσμῷ πεδίοιο: ὑψηλῷ τόπῳ, ὅθεν καταθορεῖν καὶ πηδῆσαι ἔξιν. ἔστι δὲ ἕτος ἐν Ἰλίῳ, σταδίων πέντε τὴν περίμετρον, μεταξὺ Σιμόεντος τοῦ ποταμοῦ καὶ τῆς Ἰλιέων καλουμένης κώμης, ὅπου καὶ αἱ θεαὶ κριθῆναι δοκοῦσι περὶ κάλλους. ὀνομάζει δὲ Καλλικολώνην, ἐπεὶ τῶν πέριξ τόπων ἐπισημότατός ἐστιν. ἡ ἱστορία παρὰ Δημητρίῳ τῷ Σκηψίῳ. γίνεται δὲ ἐκ τοῦ θορῶ θρῶ. ABD.

4. Θέμεσται: ἀντὶ τοῦ Θέμιν, δικαιοσύνην, ἥτις ἐστὶ μία τῶν Τιτανίδων. D.

πρὸς μὲν τὰς ψιλὰς ἀγγελίας Ἰριδι χρῆται· ὅταν δὲ μεῖζόν τι δέῃ διοικῆσαι, τὸν Ἑρμῆν ἀποστέλλει· νῦν δέ, ὡς νομιμωτάτης ἐσομένης τῆς ἀγορᾶς καὶ τέλος ἐπιθεῖναι μελλούσης τοῖς πράγμασι, πρὸς τὴν σύγκλησιν τῇ Θέμιδι χρῆται, οὐχ ὡς κήρυκι, ἀλλ' ὅτι καὶ τὰς τῶν „ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει" (Od. 2, 69), διὰ τὸ κατὰ νόμους ἐγχειρεῖν τοῖς πρακτέοις ἢ μή. καὶ ὧραι δὲ αὐτῆς παῖδες, ἐπεὶ τῇ δικαιοπραγίᾳ τὰ σωζόμενα φύει (φυόμενα σωζει?). τὸ δὲ Θέμισα Ἀττικῶς ἀντὶ τοῦ Θέμισι. μεγαλοφυὴς δὲ ἡ ἔξοδος Ἀχιλλέως, ὅπου γε ἐκκλησία θεῶν δι' αὐτὸν γίνει καὶ θεομαχία. BV.

ἡ διπλῆ, ὅτι ἐκ ἀγγέλῳ κελεύει καθάπερ Ἰριδι, ἀλλὰ τῷ τὰς ἀγορὰς διαλύειν καὶ πάλιν συνάπτειν. καὶ ὅτι ἀντὶ τοῦ Θέμισι. A.

5. κρατὸς ἄπ' Οὐλύμποιο πολυπτύχου: τοῦτο βέλτιον τοῖς ἄνω προσνέμειν, ἵνα μὴ μακρὸν ὑπερβατὸν ποιῶμεν. τὸ δὲ ἑξῆς ἐστί, κέλευσε κρατὸς ἀπ' Οὐλύμποιο καλέσσαι. ἡ διπλῆ δέ, ὅτι Ὄλυμπος ὄρος· διὸ πολύπτυχος. A.

ἐκεῖσε γὰρ ὁ οἶκος τοῦ Διός, καὶ αὐτόθεν αὐτὴν παρακελεύεται εἰς τοῦτο. πολυπτύχου δὲ πολλὰς ἀνακλίσεις (ἀποκλίσεις καὶ ἐξοχὰς D) ἔχοντος· ἢ ἰσχυρᾶς, ἀπὸ τῶν πολυπτύχων ἀσπίδων. BD. ἢ ὅτι ὀκτὼ σφαίρας ἔχει ὁ οὐρανός, μίαν τῶν ἀπλανῶν, ἑπτὰ τῶν πλανήτων. V.

7. οὔτε τις ἔην ποταμῶν ἀπέην: προσικονομεῖ Ἀχιλλεῖ ἀντίπαλον προαγαγεῖν Σκάμανδρον τὸν ποταμόν. V.

τὴν γῆν παρῆκε, μὴ διορισάμενος εἴτε παραγέγονεν εἴτε καὶ ὄ. ἀλλὰ καὶ βέλτιον περὶ αὐτῆς ὑπονοεῖν ὡς ἀπολειπομένης τοῦ συλλόγου. ἢ τάχα ὡς ὡμολογημένον αὐτὸ παρῆκεν ὁ ποιητής· ἀνάγκη γὰρ μένοντος τοῦ Ὠκεανοῦ καὶ τὴν γῆν μένειν· περὶ γὰρ ταύτην τὸ ὕδωρ. ἐκ ἔδει δὲ τῶν ἐξ αὐτῶν κινεμένων καὶ ταῦτα κινεῖσθαι· ὡς γὰρ πρόγονοι πάντων ἀκίνητοι μένουσιν. ἢ ἵνα μὴ κωλύῃ αὐτὸς τῆς πρὸς ἀλλήλους μάχης πρεσβύτης ὤν. BV.

ἡ διπλῆ, ὅτι ποταμὸν καὶ θάλασσαν τὸν Ὠκεανὸν παραδίδωσι. A. τὸν δὲ Ὠκεανὸν ἀ παρέλαβεν εἰς τὸ τῶν θεῶν συνέδριον, ἵνα μὴ κωλύσῃ αὐτὸς τῆς πρὸς ἀλλήλους μάχης πρεσβύτατος ὑπάρχων. AD.

πρόγονος γὰρ θεῶν, ἵνα μὴ τοῖς ἀπογόνοις ἑαυτῷ παρῇ πολεμοῦσιν. V.

8. οὔτ' ἄρα νυμφάων: τὴν γὰρ Λητὼ μίαν τῶν νυμφῶν οἴεται. ὅθεν παίζουσι μετὰ τῆς Ἀρτέμιδος αἱ νύμφαι „γέγηθε δέ τε φρένα Λητώ" (Od. 6, 106). V.

αἵ τ' ἄλσεα καλὰ νέμονται: αἱ τὰ ἄλση κατοικοῦσαι νύμφαι ἀλσηΐδες (ἀλσηΐτιδες D) καλοῦνται, αἱ δὲ ἐπὶ τῶν δένδρων ἁμαδρυάδες, αἱ δὲ τὰ νάματα τῶν ὑδάτων ναΐδες καὶ ὑδριάδες, καὶ τούτων αἱ μὲν κρηνίδες, αἱ δὲ ἐποποταμίδες. αἱ δὲ ἐπὶ τῶν βοσκημάτων ἐπιμηλίδες, αἱ δὲ ἐπὶ τῶν ὀρῶν ὀρειάδες, καὶ ὅσαι τούτοις ὅμοιαι. ὁμοίως δὲ καὶ αἱ ἐπὶ τῶν ἑλῶν ἑλειονόμοι. ABD.

9. πείσεα: τὰ βοτανώδη καὶ ὑδρηλὰ χωρία· ὅθεν ἔστι πεῖσαι ἦγεν ποτίσαι. B.

ἄλλως. πίω πίσω πεῖσος, πλεονασμῷ τοῦ ε, ὡς μύω μύσω μύσος· τοῖς γὰρ μιαιφόνοις ἐκ ἐξῆν προσφωνεῖν τινά. BV.

11. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐφίζανον. αἱ δὲ αἴθουσαι ἐκ εἰσὶ θρόνοι ἢ καθέδραι, ἵνα λέγῃ ἐφίζανον, ἀλλὰ σοαὶ καὶ συλωταὶ ἕδραι, ἢ τόποι ὑφ' ἡλίῳ καταλαμπόμενοι. τινὲς δὲ γράφουσιν ἐνίδρανον, οἰηθέντες εἶναι τὰς καθέδρας. AV.

αἴθουσαί εἰσι τόποι πρόσωοι, ὑφ' ἡλίου καταλαμπόμενοι. B.

12. ἕτως διὰ τοῦ τ τὸ ἐδυλῄσι· καὶ τέλειον τὸ ποίησε. A.

παντοδαπὸς τεχνίτης. V.

13. ἡ διπλῆ, ὅτι Διὸς ἔνδον εἴρηκε τοπικὸν ἐπίρρημα, ἀντὶ τῆς ἔν προθέσεως· θέλει γὰρ εἰπεῖν ἐν Διός, ὡς (Il. 21, 145) „εἴσω ἁλὸς εὐρέα κόλπον." A.

οὐδ' Ἐνοσίχθων: ὁ δὲ Ποσειδῶν ἀ παρήκεσε τῆς Θέμιδος, τοῦτο δὲ εἴρηκε διὰ τὴν γεγονυῖαν αὐτῷ μικρῷ πρόσθεν πρὸς τὸν Δία φιλονεικίαν. AD.

ἐπεὶ πρότερον ἐξελαθῆναί φησιν αὐτὸν τῆς μάχης ὑπὸ τοῦ Διός, ὥσπερ τι παράδοξον εἰσάγει ὅτι ἐκ ἐμνησικάκησεν τῆς ὕβρεως, ἀλλὰ πειθαρχῶν φαίνει, καὶ ἀ μόνον συνῆλθεν, ἀλλὰ καὶ τῷ λέγειν ἄρχεται. B.

16. τίπτ' αὖτ': ἀξίωμα ἐμφαίνει αὐτῷ ὡς προλαμβάνοντος τὰς λόγους τοῦ Διός. τὸ δὲ αὖτε παραπληροῖ, ἢ σημαίνει τὸ πάλιν, ἵνα φαίνῃ ἀπομνημονεύων ἠθικῶς τῶν πρόσθεν, ὅτι αὐτοῖς ἀπηγόρευε μάχεσθαι. B.

17. ἦ: ἐρωτηματικὸς ὁ σύνδεσμος, καὶ ἅπαξ εἰλημμένος κατὰ μίαν διάνοιαν· διὸ περισπᾶται. τοῦτο δὲ φημὶ πρὸς τὰ τοιαῦτα „ἦ δολιχὴ νόσος ἦ Ἄρτεμις ἰοχέαιρα" (Od. 11, 171) „ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐσσι" (Od. 1, 175)· ἐν γὰρ ταῖς τοιαύταις συντάξεσιν ὁ μὲν πρότερος ἢ ἐγκλίνει, ὁ δὲ δεύτερος περισπᾶται. A.

21. ὧν ἕνεκα ξυνάγειρα: καὶ τοῦτο ἑκατέρωσε δύναται προσδίδοσθαι. εἰ μὲν ἐν τοῖς ἄνω, σύζομεν ἐπὶ τὸ ξυνάγειρα, εἰ δὲ τοῖς ἑξῆς, ὑποσύζομεν ἐπ' αὐτό. A.

ὧν: ἤτοι ἀνδρῶν. μέλουσι δὲ αὐτῷ ὡς πατέρι θεῶν καὶ ἀνδρῶν. ὁ δὲ πέρ περιττεύει. B.

23. βέλτιον τὸ ἥμενος τοῖς ἄνω συνάπτειν, ἵνα μὴ δύο μετοχαὶ ἀσυνδέτως κέωνται. τέρψει δὲ διὰ τὸ σώζεσθαι τὸ μοιρίδιον, ἢ ἁλισκομένης τῆς Ἰλίου. ἐπάγει γὰρ τὴν αἰ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σίαν· „εἰ γὰρ Ἀχιλλεὺς οἷος ἐπὶ Τρωσὶ μαχεῖται, ἀδὲ μίννηθ' ἕξουσιν." ABV.

25. ἀμφοτέροισι δ' ἀρήγεθ': τοῖς μὲν Ἀχαιοῖς, μὴ νῦν ἀπὸ τῆ Ἀπόλλωνος Ἀχιλλεὺς τοξευθῇ, τοῖς δὲ Τρωσί, μὴ ὑπ' Ἀχιλλέως πάντες ἀπόλωνθ', ἐκτραγῳδῶν δὲ τὰς ποιήσεις, θεῶν παρατάξεις συμμίσγει αὐταῖς. BV.

26. εἰ γὰρ Ἀχιλλεὺς οἷος: δόξειεν ἂν τἐναντίον ἢ ὁ Ζεὺς βέλεθ γίνεσθαι, τῶν θεῶν ἐκπεμπομένων ἐπὶ τὴν μάχην. ὁ μὲν γὰρ φησιν, εἰ μὴ παραγένοιντο, ἀδὲ πρὸς ὀλίγον ἀνθέξουσιν οἱ Τρῶες μαχόμενοι τῷ Ἀχιλλεῖ, ἐκ δὲ τῆ ἀφικνεῖσθ αὐτὸς μᾶλλον ἰσχυρότερος γίνεθ τῷ εἶναι τοὺς Ἕλληνικὸς θεὸς ἰσχυροτέρους τῶν Τρωϊκῶν· ἐὰν γὰρ δύο ἀνίσοις ἴσα προσεθῇ, τὰ ὅλα ἐξίν ἄνισα· ἡ γὰρ αὐτὴ ὑπεροχὴ τῶν ἐξ ἀρχῆς ὑπερεχόντων μένει, εἰ δὲ κ ἴσοι ἦσαν, περιττὴ ἦν ἡ ἐπικουρία τῶν θεῶν. ἐρῶμεν δὲ ὡς ὁ διὰ τὴν μάχην τῶν θεῶν ἡ κάθοδος γέγονεν, ἀλλ' ἵνα πρόφασις Ἀχιλλεῖ τῆς ἀπάτης Ἀπόλλωνος γένηθ (Il. 21, 599), δυνηθῇ δὲ κ Σκάμανδρος παρεμποδίσαι Ἀχιλλεῖ. B.

27. ἔξουσι: ἀντὶ τῆ ἀνθέξουσιν. V.

28. καὶ δέ τε: Ἀρίσαρχος καὶ δέ τι, διὰ τῆ τ'. A.

29. ἑταίρου χώεται: λείπει ἡ περί· ὅτε κατὰ θυμὸν περὶ ἑταίρῳ χολῆται, τὸ δὲ αἰνῶς ἑκατέροις δύναται προσδίδοσθαι. AB.

30. Ἀριστοφάνης καὶ οἱ πλείους ὑφ' ἓν προήνεγκαν τὸ ὑπέρμορον, ὡς ὑπέρβιον, ἵνα ἀντὶ τῆ ὑπερμόρως κεῖται· δύναται μέντοι κ ὑπὲρ μόρον κατὰ διάλυσιν λέγεσθαι. B.

Ἀριστοφάνης ὡς ὑπέρβιον, ἓν μέρος λόγ ποιῶν· καὶ ὁ Ἀσκαλωνίτης, ἐπεὶ ἀντὶ ἐπιῤῥήματος τῆ ὑπερμόρως παρείληπται, ὁμοίως πληθυντικῷ τῷ „ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόσος" (Il. 2, 155), καὶ ὃν τρόπον „ἐ μὲν καλὸν ἀτέμβειν" (Od. 21, 312) ἀντὶ τῆ καλῶς ἐχί, καὶ τὸ πληθυντικὸν „ἐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο" (Il. 6, 326), ἕτως κ τὸ προκείμενον ἑνικῶς κ πληθυντικῶς εἰς σύνταξιν παρελεύσεθ ἐπιῤῥήματος· „δείδω μὴ κ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ" καὶ „ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόσος." ἐντελῶς δὲ ἐν τῇ B περὶ τῆς προσῳδίας διελάβομεν· διὸ νῦν παρίημι, ἐκεῖνο μέντοι ὑπομνήσω, ὡς ὅτι δύναται καὶ τᾶτο κ τὸ ἐν τῇ Ὀδυσσείᾳ (1, 35), λέγω δὲ τὸ „ὥς κε νῦν Αἴγισθος ὑπέρμορον," κατὰ διάλυσιν ἀναγινώσκεσθ, ὁμοίως τῷ „μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος" (336), ὥσπερ ἤδη ἀπεφηνάμην. A.

τινὲς γράφουσιν ἀντὶ τῆ δείδω μὴ καὶ τεῖχος „οὐ μέντοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆος Ἰλιὰ ἐκπέρσας εὐναιόμενον πτολίεθρον ἔπερσε δηράτεος ἵππος κ μῆτις Ἐπειῦ." πῶς γὰρ ὁ εἰδὼς μοῖράν τ' ἀμμορίην τε (Od. 20, 76) νῦν διςάζει; V.

33. Ἥρη μὲν: Ἥρα εἰς νόμιμον γάμον ἀδικηθέντι Μενελάῳ βοηθεῖ, Ἀθηνᾶ δὲ τοῖς δικαίως καὶ φρονίμως μαχομένοις. Ἐριδύνης δὲ ὁ ἐρευνητικός (λόγος γάρ ἐστιν) ἢ ὁ μέγιστα ὠφελῶν, πλεονάζοντος τῆ ῦ· οἱ δὲ τραγικοὶ τὸν καταχθόνιον. ἐπεὶ ἓν μετὰ λόγ ποιοῦνθ τὴν μάχην οἱ Ἕλληνες, βοηθεῖ αὐτοῖς. ἅμα δὲ κ διὰ Κυλλή... Ποσειδῶν δέ, ὅτι ἀπὸ θαλάσσης πρὸς τὲς ἐν τῇ ξηρᾷ πολεμοῦσιν. Ἥφαιστος δὲ διὰ τὸ φρόνιμος κ μηχανικὸς καὶ τεχνίτης εἶναι, οἷοι καὶ Ἕλληνες. B.

34. Ποσειδάων: νησιῶται γὰρ οἱ πλείους Ἑλλήνων, κ εἰς Ἑλίκην τε κ Αἰγὰς δῶρ' ἀνάγουσιν. ἢ διὰ Λαομέδοντα. V.

35. Ἀρίσαρχος κέκασαι, ὁ διὰ τῆ ῦ κέκασο. A.*)

36. Ἥφαιστος: πολέμιος Ἄρει, φίλος Ἀθηνᾷ. „Ἥφαιστος δαίδασε κ Παλλὰς Ἀθήνη" (Od. 6, 233). καὶ „μητρὶ φίλῃ ἐπίηρα φέρων" (Il. 1, 572). καὶ ὅτι τεχνικὸν τὸ Ἑλληνικόν. V.

βλεμεαίνων: οἷον βλεμεόντων αἷς ὑδρηλοί. ἢ διὰ τὸ πῦρ, ἢ ἐπεὶ τὰ ἄνω δεινός ἐστι κ πέλωρ θέσπιτον. V.

37. ῥώοντο ἀραιαί: ἐῤῥώννυντο αἱ ἀσθενεῖς. A. ἐῤῥωμένως ἐπειρῶντο βαδίζειν, B.

38. ἐς δὲ Τρῶας Ἄρης: ὁ μὲν Ἄρης ἁρπαγῆς κ βίας δεσπόζει ὡς οἱ Τρῶες (φησὶ γὰρ „ἐπιδήμιοι ἁρπαξῆρες" Il. 24, 262), ὁ δὲ Φοῖβος κ Ἄρτεμις χορῶν δεσπόζουσι κ παιγνίων· κ οἱ Τρῶες δὲ „χοροιτυπίῃσιν ἄριστοι" (ib. 261)· ἅμα δὲ ὅτι κ τοξόθ εἰσὶ τοῖς Τρωσὶν ὁμοίως. Λητὼ δέ, ὅτι ἐπιλήσμονες ἐξ ἀφροσύνης ἦσαν. ὁ δὲ Ξάνθος, ὅτι δίκην ὕδατος πρὸς τὰς αἰχρότητας ἐφέροντο, ὅτι δὲ πορνικοὶ κ θηλυδρίαι, καὶ ἡ Ἀφροδίτη συνέπεται. ὁ μέντοι Ἅιδης ὁ βοηθεῖ, ὅτι ἀπωλείαις ἥδεθ, ὁ Ἥλιος, ὅτι πάντας ἂν ὁμοίως ἔβλαψε σκοτοποιῶν. Δημήτηρ δὲ καὶ Διόνυσος καρποφόροι ὄντες ἄχθονθ τῷ πολέμῳ δηοῦντι τὲς καρπές, BV.

39. ἀκερσεκόμης: ἐπεὶ καροτρόφος· ἐπὶ δὲ τοῖς πένθεσιν ἐκείροντο. δηλοῖ τοίνυν τὸν ᾧ εὐχόμεθα ἀπενθεῖς ἡμᾶς διατηρεῖν. B. ἢ ἀκερσεκόμης ὁ μὴ κειρόμενος τὴν κόμην ἀλλ' ἀεὶ κομῶν, διὰ τὰς ἀκτῖνας· ἴσος γὰρ ἡλίῳ ὁ Ἀπόλλων. BD,

40. ἡ διπλῆ, ὅτι ὁ προδιασυρήσας τὸν αὐτὸν ποταμὸν Ξάνθον κ Σκάμανδρον ὄντα προκατακέχρηθ τῇ τῆ Ξάνθῳ ὀνομασίᾳ, ὡς παραδεδομένοις δηλονότι χρώμενος καὶ οὐκ αὐτὸς πλάσσων τὰ ὀνόματα. A.

φιλομμειδής: γράφεθ Διὸς θυγάτηρ· ἄτοπον γὰρ τὸ φιλομμειδὴς ἐπὶ τῆς πολεμούσης. V.

42. τέως Ἀχαιοί: ἐν ἄλλῳ τόφρα δ' Ἀχαιοί. A.

44. Τρῶας: ἀντὶ τοῦ Τρώων, ὡς „Τρῶας δὲ σίχας Ἄρης ὤτρυνεν" (Il. 5, 461). V.

48. λαοσσόος: πῶς λαοσσόον τὴν Ἔριν προσηγόρευσεν; ἃ γὰρ σώζουσα φαίνεθ ἀλλὰ φθείρουσα μᾶλλον τὰ πλήθη. ῥητέον δὲ ὅτι ἔριν τὴν τῶν Ἑλληνικῶν καὶ Τρωϊκῶν θεῶν φιλονεικίαν φησίν· ἡ γὰρ τούτων πρὸς ἀλλήλους ἔρις σωσικὴ ἐγένετο τῶν ἀνδρῶν. ἢ τὸ λαοσσόος δηλοῖ τὴν τὸν λαὸν σεύουσαν κ παρορμῶσαν. δύναθ δὲ καὶ εἰς τὸ κρατερή

*) Apponit B, quae apud Suidam leguntur v. Ἑρμῆν.

σιγμὴ γενέσθ, τὸ δὲ λαοσσόος τοῖς ἑξῆς συνάπτεσθαι, Β.

αὖε: πανταχόθεν τὴν ἐνέργειαν ποιεῖ μὲν σάλπιγγος ὁ ποιητής, τὰς δὲ ἥρωας ὁ ποιεῖ χρωμένους, τεραςιωτέρας οἰόμενος τὰς τῶν θεῶν μεγαλοφωνίας. V.

ἡ διπλῆ, ὅτι ὁ δέ σύνδεσμος περισσός ἐςιν ἐν τῷ „αὖε δ' Ἀθήνη." A.

50. ἐπ' ἀκτάων: ἐπὶ τῶν αἰγιαλῶν, λέγω δὴ τῶν ἐπιθαλασσίων τόπων τῶν τῇδε κἀκεῖσε τῆ ναυσάθμη προβεβλημένων. D.

52. ἀκροτάτης πόλιος: ἰδίως διαλύσας τὴν λέξιν ὑπερτίθεικε τὸ ἄκρον αὐτῆς, ἀντὶ τῆ ἄκρης ἀκροτάτης εἰπών. ἐξ ὕψους δὲ βοᾷ, πάντα τὸν τόπον πληρῶν τῆς βοῆς. Β.

53. Θεῶν ἐπὶ Καλλικολώνῃ: ἡ διπλῆ, ὅτι τόπος ἔτως καλεῖ ἐπὶ τῆς Ἴδης, Θεῶν Καλλικολώνη. ὁ δεόντως ἂν τινὲς ἀνέγνωσαν θέων ἀντὶ τῆ τρέχων. A.

Δημήτριος ὁ Σκήψιος λύφον εἶναί φησι ςαδίων πέντε τὴν περίμετρον, μεταξὺ Ἰλιέων κώμης καὶ Σιμόεντος, ὃς ἀπέχει κατὰ διάμετρον Σιμόεντος μὲν ςάδια πέντε, Ἰλιέων δὲ κώμης ςάδια δέκα. Θεοῖς δὲ αὐτὴν ἀνατίθησιν ὡς πλήθουσαν λιβάσι καὶ λειμῶσι. τὸ δὲ θεῶν καὶ θέων δύνᾳ γράφεσθ, ἵνα δηλοῖ τὸν ἐπειγόμενον. Β.

ἄλλως. Ἡρόδικος βαρέως ἀνεγίνωσκεν ὡς τρέχων, μετοχὴν ποιῶν· ὁ μέντοι Ἀρίςαρχος περιέσπα, λέγων ἔτως καλεῖσθ τὸν τόπον, Θεῶν Καλλικολώνη, ὥσπερ καὶ Ἀχαιῶν λιμήν. ἔτως δὲ ἐχέσης τῆς ἱςορίας περισσὴ ἡ τῆ Ἡροδίκη ἀνάγνωσις. ἡ μέντοι ἐπί πρόθεσις κατὰ ταύτην τὴν ἔννοιαν ὤφειλε προηγεῖσθ τῆ λόγῳ, ὥςε εἶναι ἐπὶ θεῶν Καλλικολώνῃ· διὸ ἐτόλμησάν τινες ἀναςρέψαι. οἱ μέντοι περὶ τὸν Ἀσκαλωνίτην ἐκ ἀνέςρεψαν, ἀλλὰ συνέταξαν τῇ ἑξῆς λέξει· καὶ ἔτως ἐπείθη ἡ παράδοσις, λέγω δὲ τῇ συντάξει τῆς δοτικῆς· καὶ γὰ διὰ τῶν ἑξῆς (151) Καλλικολώνης φησὶν ἐκ προσνείμας τὸ θεῶν· „ἐδ' ἑτέρως ἐκάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης." A.

τὴν δὲ πρόθεσιν ἡ συνήθεια ἐκ ἀναςρέφει, καίτοι δυναμένην ἀναςρέφεσθαι. V.

56. δεινὸν δ' ἐβρόντησε: φαντασίαν ποιεῖ ὡς περὶ τὸν ὅλον κίνδυνον εἶναι δοκεῖ. V.

57. αὐτὰρ ἔνερθε: Ἀρίςαρχος Ἰακῶς αὐτὰρ νέρθε. A.

κάτωθεν· ἐνοσίχθων γάρ ἐςιν. Β.

58. γαῖαν: ἡ διπλῆ, ὅτι διέξειλε τῆς γῆς τὰ ὄρη, ὡς ἐκεῖ „γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος" (Il. 15, 193). A.

ἀπειρεσίην: τὴν πέρας μὴ ἔχουσαν, διὰ τὸ σφαιροειδῆ εἶναι. Β.

59. πόδες: τὰ καταλήγοντα τῶν ὀρῶν μεταφορικῶς. D.

πολυπίδακος: ἔτως Ἀρίςαρχος, πολυπίδακος· ἄλλοι δὲ πολυπιδάκου. A.

61. ἄναξ ἐνέρων Ἀϊδωνεύς: εἰ ὁ τῆ θανάτε δεσπότης δέδιε, τίνα χρὴ νομίζειν περὶ τὲς ἀνθρώπες συμβῆναι διάθεσιν; ὁ παρατάσσει δὲ Ἅιδην· ἀπωλείαις γὰρ ἥδεται. ἢ ὡς σεμνότερον αὐτὸν νομίσας· Δία γὰν καταχθόνιον αὐτὸν καλεῖ. Β.

62. ἄλτο: ἐν ἄλλῳ ὦρτο. ἔτως ἡ Μασσαλιωτική. A.

ἐκπληκτικὸν τῆτο, μὴ μόνον δεῖσαι ἀλλὰ καὶ ἀναθορεῖν τῆ θρόνε. εἶτα καὶ τὸ ἵαχε κινητικὸν τῆς διανοίας τῆ δρίσαντος. V.

65. εὑρώεντα: ὅτι πάντα χωρεῖ. V.

67. ἦτοι μὲν γὰρ ἔναντα: ἡ τῶν θεῶν μάχη περιέχει φυσικὴν ςοιχείων πρὸς ςοιχεῖα ἀντίταξιν, κακιῶν πρὸς ἀρετάς. Ἀπόλλων μὲν γὰ ἐναντιᾶ Ποσειδῶνι, τὸ μερικὸν πῦρ τῷ παντὶ ὑγρῷ· Ἀθηνᾶ δὲ Ἄρει, ἡ φρόνησις τῇ ἀφροσύνῃ· Ἥρα δὲ Ἀρτέμιδι, ὁ περίγειος ἀὴρ τῇ σελήνῃ· Ἑρμῆς δὲ Λητοῖ, ὁ λόγος τῇ λήθῃ· Ἥφαιςος δὲ Ξάνθῳ, τὸ ὅλον πῦρ μέρει τῆ ὕδατος. διὰ τί δὲ ἔτοι οἱ θεοὶ προῄρηνται βοηθεῖν τοῖς Ἕλλησιν, Ἥρα, Ἀθηνᾶ, Ποσειδῶν, Ἥφαιςος, Ἑρμῆς, τοῖς δὲ Τρωσὶν Ἄρης, Ἀπόλλων, Ἄρτεμις, Λητώ, Σκάμανδρος, Ἀφροδίτη; Ἥρα μὲν ἓν Ἕλλησι βοηθεῖ, ὅτι γαμήλιός ἐςιν ἡ θεός, μισεῖ δὲ μοιχὸν ὄντα τὸν Ἀλέξανδρον· ἢ ὅτι ἐν τῷ Ἄργει ἐτιμᾶτο λαμπρῶς ὅθεν φησὶν ὁ ποιητὴς τὸ „Ἥρη τ' Ἀργείη·" ἢ καὶ ὅτι ὡς τὸ Ἄργος, ἔτως οἰκεία ἦν αὐτῇ καὶ ἡ Σπάρτη καὶ ἡ Μυκήνη, ὡς φησιν ἐν τῇ δ' (5:). Ἀθηνᾶ δὲ ἤτοι διὰ τὸ ἀποδοκιμασθῆναι ὑπὸ Ἀλεξάνδρε, ἢ διὰ τὸ ἀλλοτρίας εἶναι τῆς συνέσεως τὲς βαρβάρες. Ποσειδῶν δέ, ἐπειδὴ οἱ πλείες τῶν Ἑλλήνων νησιῶται εἰσιν, καὶ διὰ τὸ ὀργίζεσθ δὲ Λαομέδοντι ἐπὶ ἀποζερήσει μισθῆ τῆς τειχοποιίας. Ἑρμῆς δὲ ἢ ὅτι ἐξ Ἀρκαδίας, ἢ ὅτι λόγιος, ἢ ὅτι κήρυκας ἀποσταλέντας πρὸς αὐτὲς ὑπὸ Ἑλλήνων ἐπὶ διαλύσει τῆς διαφορᾶς Ὀδυσσέα καὶ Μενέλαον ἠβελήθησαν ἀνελεῖν πειθέντες Ἀντιμάχῳ· τῶν δὲ κηρύκων προσάτης Ἑρμῆς. Ἥφαιςος δὲ διὰ τὸ μισεῖν Ἄρη, ὅτι ἐμοίχευσεν αὐτῆ τὴν γυναῖκα Ἀφροδίτην. τοῖς δὲ Τρωσὶ παρέςη Ἄρης, τὸ ὅμοιον μεταδιώκων· φιλοπόλεμος γὰ ὁ θεός, φιλοπόλεμοι δὲ καὶ οἱ Τρῶες· (καὶ τὴν μοιχείαν τῆ Πάριδος περιέπων ὡς μοιχός D). ὁ δὲ Ἀπόλλων ἤτοι διὰ τὸ τόξον· τοξικοὶ δὲ οἱ Τρῶες, καὶ ἐν πρώτοις Ἀλέξανδρος· ἢ ὅτι κιθαριςὴς καὶ εὔμορφος, ὡς Ἀλέξανδρος. Ἄρτεμις δὲ καὶ Λητὼ χαριζόμενοι τῷ Ἀπόλλωνι, ἢ ὅτι παρὰ τοῖς βαρβάροις τιμῶνται. Ξάνθος δὲ ὡς ὑπὲρ οἰκείας χώρας μάχεται. ἡ δὲ Ἀφροδίτη διὰ τὸ ὑπὸ Ἀλεξάνδρε προκριθῆναι· καὶ χεδὸν εἰπεῖν αὐτὴν ἀνθίζανται τῷ πολέμῳ· καὶ εἰκότως πάρεστι βοηθοῦσα τοῖς Τρωσίν. AD.

διὰ τί δὲ κατὰ τὸν πόλεμον ἔτοι οἱ θεοὶ ἐναντίωνται ἀλλήλοις; Ποσειδῶν μὲν Ἀπόλλωνι, ὅτι κατὰ τὸν μῦθον συναδικηθεὶς αὐτῷ ὑπὸ Λαομέδοντος ἐκείνοις συνήργει· Ἄρης Ἀθηνᾷ, ἐπεὶ ἐκώλυσεν αὐτὸν τὸν Ἀσκαλάφε θάνατον ἐκδικῆσαι, ἢ ὅτι ἐν ὄψει θεῶν ὕβρισεν αὐτὸν εἰπᾶσι „μαινόμενε φρένας ἠλεὲ" (Il. 15, 128). Ἥρα δὲ Ἄρτεμις ἔξι γὰ αὐτῆ μητρυιά. Λητοῖ δὲ Ἑρμῆς, δικαίως· μεσικὸν γὰ ὑπάρχων τὴν τὸν μεσικὸν Ἀπόλλω γεννήσασαν καὶ τῶ

ἐκτηδευμάτων ἀντίζηλον μεμίσηκεν· ἢ ὡς λόγιος καὶ μνήμων ἀποχρέφει αὐτὴν ὡς λήθην. Ἥφαιστος δὲ Ξάνθῳ εἰκότως, ὅτι ἡ μὲν τῶν ποταμῶν φύσις πέφυκεν ὑγρά, Ἥφαιστος δέ ἐστι τῆ πυρὸς δεσπότης, ᾗ τροφὴ τὰ ξύλα. κατὰ δὲ τὸν φυσικὸν λόγον Ἀπόλλων ἥλιος ὢν ἀναπίνει τὰ ὑγρὰ στοιχεῖα. Ἀθηνᾶ δέ ἐστι φρόνησις, Ἄρης δὲ ἀφροσύνη· ἐναντία δὲ καὶ πολέμια ἐστι ταῦτα ἀλλήλων. Ἥρα δέ ἐστιν ἀήρ, Ἄρτεμις δὲ σελήνη, ἀερότεμίς τις ἔσα, ἡ τὸν ἀέρα τέμνουσα ἐξ ἧς ἤρτηται· τὸ δὲ βαρῦνον αὐτὴν πολέμιον νενόμικεν. Ἑρμῆς δέ ἐστι λόγος, Λητὼ δ' ἀμνημοσύνη, οἷον ληθώ τις τῶν λόγων. Ἥφαιστος δὲ τὸ πῦρ, Ξάνθος δὲ τὸ ὑγρόν· ἀλλότριον δὲ τὸ πῦρ τῆ ὑγρᾷ. AD.

τῆ ἀσυμφόρᾳ μὲν ὁ περὶ θεῶν ἔχεται καθόλου λόγος, ὁμοίως δὲ καὶ τῆ ἀπρεπεῖ· ἃ γὰρ πρέποντας τοὺς ὑπὲρ τῶν θεῶν μύθους φησίν. πρὸς δὲ τὴν τοιαύτην ἐπίλυσιν οἱ μὲν ἀπὸ τῆς λέξεως κατηγορῆντες, ἀλληγορίᾳ πάντα εἰρῆσθαι νομίζοντες ὑπὲρ τῆς τῶν στοιχείων φύσεως, οἷον ταῖς ἐναντιώσεσι τῶν θεῶν· καὶ γάρ φασι τὸ ξηρὸν τῷ ὑγρῷ καὶ τὸ θερμὸν τῷ ψυχρῷ μάχεσθαι καὶ τὸ κῦφον τῷ βαρεῖ. ἔτι δὲ τὸ μὲν ὕδωρ σβεστικόν ἐστι τῆ πυρός, τὸ δὲ πῦρ ξηραντικὸν τῆ ὑδατος. ὁμοίως δὲ καὶ πᾶσι τοῖς στοιχείοις ἐξ ὧν τὸ πᾶν συνέστηκεν, ὑπάρχει ἡ ἐναντίωσις, καὶ κατὰ μέρος μὲν ἐπιδέχεσθαι φθορὰν ἅπαξ, τὰ πάντα δὲ μένειν αἰωνίως· μάχας δὲ διατίθεσθαι αὐτόν, διονομάζοντα τὸ μὲν πῦρ Ἀπόλλωνα καὶ Ἥλιον καὶ Ἥφαιστον, τὸ δὲ ὕδωρ Ποσειδῶνα καὶ Σκάμανδρον, τὴν δ' αὖ σελήνην Ἄρτεμιν, τὸν ἀέρα δὲ Ἥραν, καὶ τὰ λοιπὰ ὁμοίως. ἔθ' ὅτε καὶ τὰς διαθέσεις ὀνόματα θεῶν τιθέναι, τῆ μὲν φρονήσει τὴν Ἀθηνᾶν, τῆ δ' ἀφροσύνη τὸν Ἄρεα, τῆ δ' ἐπιθυμίᾳ τὴν Ἀφροδίτην, τῷ λόγῳ δὲ τὸν Ἑρμῆν, καὶ προσοικειῶσι τούτοις. οὗτος μὲν ἂν τρόπος ἀπολογίας ἀρχαῖος ὢν πάνυ καὶ ἀπὸ Θεαγένους τῆ Ῥηγίνῳ, ὃς πρῶτος ἔγραψε περὶ Ὁμήρου, τοιοῦτός ἐστιν ἀπὸ τῆς λέξεως. ἔνιοι δὲ ἀπὸ ἔθους ἀπολογοῦνται· συγκεχώρηται γὰρ ὑπὸ τῶν πόλεων καὶ τῶν νομοθετῶν τοιαῦτα περὶ θεῶν μὴ μόνον ᾄδειν ἐν ποιήσεσιν, ἀλλὰ καὶ τοῖς μυστηρίοις παραδιδόναι, ἔν τε ἱεροῖς ἀναθήμασι, καὶ ἔτι σύμφωνα τοῖς μύθοις κατασκευάζειν, καὶ τὸν πέπλον ἀνάγειν ἐνυφασμένον τῆς γιγαντομαχίας. οἱ δ' ἀπὸ τοῦ καιροῦ τοῦτο κατὰ τὴν Ἑλλάδα παραμυθοῦνται· βασιλευομένης γὰρ τότε τῆς Ἑλλάδος καὶ κοινῆ καὶ κατὰ πόλεις, τὸ τῶν βασιλέων γένος αὔξοντας ποιεῖ, ἀπὸ τοῦ ὡς ἂν μὴ παντάπασιν πόρρω εἶναι δοκεῖν ἡ ἀνθρωπίνη φύσις τῆς θείας· ὑποπλάττει δὲ καὶ περὶ θεῶν ὁποῖα περὶ ἀνθρώπων ὁρῶμεν φάσκοντας. τὸ μὲν ἂν λίαν ἔν τε τῷ ἀσυμφόρῳ ταράττον καὶ τῷ ἀπρεπεῖ τοιοῦτόν ἐστι· τὰ δ' ἐπὶ μέρος δίιμεν, ὡς μὲν ἀσυμφόρως ταῦτα κατηγορεῖται. B.

ἄλλως. φρικώδης καὶ χαλεπὸς ἀνίσασθαι ἐφ' Ὁμήρῳ τῶν συκοφαντέντων φθόνος ὑπὲρ τῆς Θεομαχίας· οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνὴ παρ' αὐτῷ συνέρρωγεν, ἀλλ' ἀράνιοι ταραχαὶ καὶ σάσεις τὸ θεῖον ἐπινέμονται· „ἤτοι μὲν γὰρ ἐναντα Ποσειδάωνος" κ. τ. ἑ. ἀκέτι ταῦθ' Ἕκτωρ πρὸς Αἴαντα μαχόμενος, οὐδ' Ἀχιλλεὺς πρὸς Ἕκτορα καὶ μετὰ Πατρόκλου Σαρπηδόνα· ἀλλὰ τὸν μέγαν οὐρανῷ πόλεμον ἀγωνοθετήσας Ὅμηρος οὐδ' ἄχρι μελλήσεως τὸ κακὸν ὤπλισεν, ἀλλ' ὁμόσε τὰς θεὰς συνέρραξεν ἀλλήλοις· ἐπτὰ μὲν γὰρ Ἄρης ἐπέσχε πέλεθρα πεσών, ἐκόνισσε δὲ χαίτας· μετὰ δὲ ταῦτα Ἀφροδίτης λύτο γόνατα καὶ φίλον ἦτορ· Ἄρτεμις δὲ καὶ προσεξυβρίσθη, τοῖς ἰδίοις ὅπλοις ὡς νηπία κόρη σωφρονισθεῖσα· Ξάνθος δὲ παρ' ὀλίγον ὁ ποταμὸς ἐρρύη διὰ Ἥφαιστον. ὅμως δ' ἐν ταῦτα πάντα κατ' ἀρχὴν μὲν οὐδ' ὅλως σφόδρα πείθειν δύναται τοὺς πολλούς· εἰ δὲ θελήσει τις ἐνδότερον καταβὰς τῶν Ὁμηρικῶν ὀργίων ἐποπτεῦσαι τὴν μυστικὴν αὐτοῦ σοφίαν, ἐπιγνώσεται τὸ δοκοῦν αὐτῷ ἀσέβημα πηλίκης μεσόν ἐστι φιλοσοφίας. ἐνίοις μὲν ἂν ἀρέσκει λέγειν τὴν τῶν ἑπτὰ πλανητῶν ἀστέρων ἐν ἑνὶ ζῳδίῳ σύνοδον ὑφ' Ὁμήρου διὰ τούτων δὴ λεχθεῖσαν· φθορὰ δὲ παντελής, ὅταν τοῦτο γένηται. σύγχυσιν οὖν τοῦ παντὸς ὑπαινίττεται, συνάγων εἰς ἓν Ἀπόλλω, τουτέστιν ἥλιον, καὶ Ἄρτεμιν, ἣν φαμεν εἶναι σελήνην, τόν τε τῆς Ἀφροδίτης καὶ Ἄρεως, ἔτι δὲ Ἑρμῆ καὶ Διὸς ἀέρα. ταύτην μὲν ἂν πιθανωτάτην μᾶλλον ἢ ἀληθείας ἐχομένην τὴν ἀλληγορίαν ἄχρι τοῦ μὴ δοκεῖν ἀγνοεῖν παρειλήφαμεν· ἃ δ' ἐστὶν ἐναργέστερα καὶ τῆς Ὁμήρου σοφίας ἐχόμενα, ταῦτα δὴ σκοπεῖν ἀναγκαῖον. ἀντιτέταχε γὰν κακίας μὲν ἀρεταῖς, ταῖς δὲ μαχομέναις φύσεσι τὰς ἀντιπάλους. αὐτίκα τῶν θεῶν ἡ ζεῦξις ἅτε πεφιλοσόφηται. ἄρχουσι τῆς μάχης Ἀθηνᾶ καὶ Ἄρης, τουτέστιν ἀφροσύνη καὶ φρόνησις· ὁ μὲν γάρ, ὥσπερ ἔφην, μαινόμενός ἐστιν („τυκτὸν κακόν, ἀλλοπρόσαλλον"), ἡ δ' ἐν πᾶσι θεοῖς „μήτι τε κλέος καὶ κέρδεσιν". ἀδιάλλακτος μὲν ἔχθρα τοῖς τὰ βέλτιστα διευκρινοῦσι λογισμοῖς πρὸς τὴν ἀδὲν ὁρῶσαν ἀφροσύνην· ὡς δὲ μάλιστα τὸν βίον ὀνήσειν ἔμελλεν, ἅτε διευκρίνησε τὰ τῆς μάχης· ἃ γὰρ ἡ μεμηνυῖα καὶ παραπλὴξ ἀναισθησία τῆς συνέσεως γέγονε κρείσσων, ἐνίκησε δὲ Ἀθηνᾶ τὸν Ἄρην καὶ κατὰ τῆς γῆς ἐξέτεινεν, ἐπειδήπερ ἅπασα κακία χαμαιπετὴς καὶ ἐν τοῖς ταπεινοτέροις ἐρρίπται βάθροις, πατέμενον νόσημα καὶ πρὸς πᾶσαν ὕβριν ὑποκείμενον. ἀμέλει συνεξέτεινεν αὐτῷ τὴν Ἀφροδίτην, τουτέστι τὴν ἀκολασίαν· τῷ μὲν γὰρ ἄμφω κεῖται ἐπὶ χθονὶ πολυβοτείρῃ συγγενῆ καὶ τοῖς πάθεσι γειτνιῶντα νοσήματα. Λητοῦς δ' ἀντέστη Ἑρμῆς, ἐπειδήπερ ὁ μὲν οὐδὲν ἄλλο πλὴν ἄγγελος ἐστι τῶν ἔνδον ἐν ἡμῖν παθῶν· λόγῳ δὲ παντὶ μάχεται, Λητοῖ, οἱονεὶ ληθώ τις ἔσα καθ' ἑνὸς στοιχείου μετάθεσιν· τὸ γὰρ ἀμνημονεύμενον ἐκεῖ ἀγγελθῆναι δύναται, διὸ δὴ καὶ μητέρα Μουσῶν Μνημοσύνην ἱστοροῦσι, τὰς προσαγορευούσας λόγου θεὰς ὑπὸ μνήμης γεγεννῆσθαι λέγοντες. εἰκότως ἂν τὴν λήθην πρὸς ἀντίπαλον ἄμιλλαν ἐξωρμηκέναι. δικαίως δ' ὑπεῖξεν αὐτῇ· λόγου γὰρ ἧττα λήθη, καὶ τὸ φανερὸν ὑπ' ἀμνηστίας ἐν κωφῇ νενίκηται σιωπῇ. τῶν γε μὴν ὑπολειπομένων θεῶν ἡ μάχη φυσικωτέρα. „ἤτοι μὲν γὰρ ἐναντα Ποσειδάωνος ἄνακτος ἔζετ' Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα." ὕδατι πῦρ ἀντέθηκεν, τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύσας, τὴν δ' ὑγρὰν φύσιν Ποσειδῶνα. τούτων δ' ἑκάτε-

ρον ὡς ἐναντίαν ἔχον δύναμιν τί δεῖ καὶ λέγειν; φθαρτικὰ γὰρ κατ' ἐπικράτειαν θάτερον θατέρᾳ, καὶ μὴν ὑπὸ λεπτῆς τῆς περὶ τὴν ἀλήθειαν θεωρίας διαλύειν ἔξιν ἀμφοῖν τὴν μάχην, ἐπειδήπερ ἡλίᾳ τροφὴν ἀπεφηνάμεθα τὴν ἔνυγρον ἀσίαν, καὶ μάλιστα τὴν ἀλμυράν· λελῃθότως γὰρ ἀπὸ τῆς γῆς τὸ δίυγρον ἀνασπῶν τῆς ἀτμίδος τούτῳ μάλιστα τὴν πυρώδη φύσιν αὔξει. χαλεπὸν δ' ἦν τῷ τρέφοντι τὸ τρεφόμενον ἀνθεξάναι· διὰ τοῦθ' ὑπεῖξαν ἀλλήλοις. „Ἥρη δ' ἀντέξῃ χρυσηλάκατος κελαδεινὴ Ἄρτεμις ἰοχέαιρα." ἀδὲ τοῦτ' ἀλόγως εἰσήγαγεν Ὅμηρος, ἀλλ' ὥσπερ ἔφην, Ἥρα μέν ἐστιν ὁ ἀὴρ, τὴν δὲ σελήνην Ἄρτεμιν ὀνομάζει. πᾶν δὲ τὸ τεμνόμενον ἀεὶ πολεμίον ἐστὶ τῷ τέμνοντι· διὰ τοῦτ' ἐχθρὰν ἀέρι τὴν σελήνην ὑπεσήσατο, τὴν ἐν ἀέρι αὐτῆς φορὰν καὶ τοὺς δρόμους ὑποσημαίνων. εἰκότως δὲ ταχέως νενικῆσθαι τὴν σελήνην, ἐπειδήπερ ὁ μὲν ἀὴρ πολὺς καὶ πάντῃ κεχυμένος, ἡ δ' ἐλάττων καὶ συνεχῶς ὑπὸ τῶν ἀερίων παθῶν ἀμαυρουμένη, τοῦτο μὲν ἐκλείψεσι, τοῦτο δ' ἀχλύϊ καὶ ταῖς ὑποτρεχούσαις νεφέλαις. διὰ τοῦτο καὶ τῆς νίκης τὰ βραβεῖα τῷ μείζονι καὶ συνεχῶς βλάπτοντι προσέθηκεν. „ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης." ἐν τοῖς ὑπὲρ Ἀπόλλωνος καὶ Ποσειδῶνος λόγοις τὸν ἠρίνιον ἡμῖν αἰθέρα καὶ τὴν ἀκήρατον ἡλίᾳ ἡλόγα δηλώσας νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν πῦρ, καὶ τοῦτο ἀνθωπλισε τῷ ποταμῷ, τὴν διάφορον ἑκατέρῳ φύσιν εἰς μάχην παροτρύνας. πρότερον μὲν οὖν εἰκοντα τὸν ἥλιον παρεισάγει Ποσειδῶνι, νῦν δὲ τὴν ὑγρὰν ἀσίαν ὑπὸ τῆς πυρώδους ἡττωμένην· δυνατώτερον γὰρ τόδε τὸ στοιχεῖον θατέρου. τίς ἂν οὕτω μέμηνεν ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν, Ὁμήρου φυσικῶς ταῦτα δι' ἀλληγορίας θεολογήσαντος; B.

68. Ἀπόλλων: λοιμῶν αἴτιος ὁ Ἀπόλλων, τῇ περιγείῳ μέρους σὺν Ἀρτέμιδι δεσπότης ὤν, ὑγείας δὲ Ποσειδῶν, διὰ τῶν πνοῶν ἀποκαθαίρων πάντα. χολῇ δὲ Ἀπόλλωνι ὡς ἐπικαίροντι παρὰ τὸ δέον Τρωσίν. σέβε δὲ θεούς, εἰδὼς ὅτι εἰς τὸ κεχαρισμένον τοῖς φίλοις καὶ ἀλλήλοις μάχονται. ὅσον δὲ κακὸν ἡ ϛάσις, ὅτε καὶ πρεσβυτέροις νέος ἀντιτάττει. BV.

ἡ διπλῆ, ὅτι πικνῶς κατὰ τὸν τόπον πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν· ἀρξάμενος γὰρ ἀπ' Ἀχαικῆ θεοῦ, καὶ ἀντιτάξας τούτῳ Τρωϊκὸν θεόν, πάλιν ἀπὸ Τρωϊκοῦ ἦρκται κατὰ τὸ δεύτερον ζυγόν. A.

69. ἄντα δ' Ἐνυαλίοιο: ἐξ ἐναντίας δὲ τῷ Ἄρεως. ὁ δὲ τρόπος μετωνυμία, ὡς ἀπὸ τῆς Ἐνυοῦς τῆς πολεμικῆς δαίμονος. AD.

Ἐνυάλιος ὁ Ἄρης ἐπιθετικῶς, καὶ οὐχ ἕτερος θεός. B.

Ἀθήνη: φρόνησίς ἐστι, διὸ καὶ φυλάττει τὰς ἀκροπόλεις· ὁ δὲ Ἄρης ταραχώδης καὶ ἀλλοπρόσαλλος. παρθένος ἡ Ἀθηνᾶ, ὁ δὲ Ἄρης μοιχός· καὶ ὁ Τρωϊκὸς δὲ πόλεμος ἐκ μοιχείας τὴν ἀρχὴν εἴληφεν. Ἐνυάλιος δὲ παρὰ τὸ αὔειν, ὃ ἐστι φωνεῖν (βοᾶν· φησὶ γᾶν „ὅσσον τ' ἐνεάχιλοι" Il. 5, 860. V.), ἢ παρὰ τὸ ἔνω, ὅθεν καὶ αὐθέντης. B.

70. ὁ μὲν συναπτόμενος τῷ αἰθέρι ὑγρὸς ἀὴρ σωτήριός ἐστιν, διὸ καὶ τελεία καὶ Εἰλειθυιῶν μήτηρ ἡ Ἥρα, ὁ δὲ περίγειος ἀὴρ Ἀρτέμιδι ἀνάκειται· „ἐπεί σε λέοντα γυναιξὶν Ζεὺς ἔθηκεν." ἡ μὲν οὖν Ἄρτεμις σελήνη, ὁ δὲ Ἥρα ἀὴρ ἡλίῳ καὶ αἰθέρι καθαρῶς κιρνάμενος· καὶ ὁ μὲν μόναις γυναιξὶ καὶ τοῖς ἀσθενέσι καὶ λευκοτέροις σώμασι βοηθεῖ, ἡ δὲ Ἥρα πᾶσι καὶ ζῴοις καὶ φυτοῖς. τὸ δὲ ἀντέξῃ, τινὲς ἄντα ἔσῃ· ἐνίοτε δὲ τὸ ἄντα πτώσει ἑτέρᾳ ἢ γενικῇ συνάπτεται· „ἄντα δ' Ἐνυαλίοιο." B.

ὑφ' ἓν τὸ ἀντέξῃ προενεκτέον· δοτικῇ γὰρ συντάσσει, ὡς „Λητοῖ δ' ἀντέξῃ," τὸ δὲ ἄντα, ὅπερ ἐστὶν ἐξ ἐναντίας, γενικῇ· „ἄντα δ' Ἐνυαλίοιο," „ἄντα δ' ἄρ' Ἡφαίστοιο." A.

χρυσηλάκατος: ἐργατική· νῦν δὲ ἡ χρυσᾶν τόξον ἔχουσα, τοξευτική. ἀπὸ τούτου δὲ καὶ κελαδεινὴ ἀντὶ τοῦ κυνηγετική· κραυγάζουσι γὰρ οἱ κυνηγοί. AD.

72. Λητοῖ: Λητὼ ἡ λήθη, ὅτι λήθην ἁμαρτημάτων δι' αὐτῆς αἰτοῦσι λαβεῖν παρὰ τῶν παίδων. V.

σῶκος: Τυραννίων ἀξιοῖ ὀξύνειν, ἵνα ἀποφύγῃ τὸ κύριον βαρυνόμενον „ὦ Σῶχ' Ἱππάσα υἱέ" (Il. 11, 450), ὥσπερ ἐπὶ τῶ Λεῦκος Γλαῦκος. ἐκ ἔξι δὲ ὅμοιον τοῖς προκειμένοις κοινοῖς ἐπίθετον, ἀλλὰ ἴδιον τῷ Ἑρμῇ, ὥσπερ καὶ τῷ Ἀπόλλωνι βαρυνόμενον τὸ Φοῖβος. διὸ βαρυτονητέον, ὁμοίως καὶ αὐτῷ τῷ κυρίῳ. εἰσὶ δὲ οἳ ἀξιοῦσι καθότι σύνθετόν ἐστι βαρύνεσθαι αὐτό· ἐκ γὰρ τοῦ σάοικος γεγενῆσθαι τὴν κρᾶσιν, ἵτω δὲ σάοσι καὶ προσκείμενον τῷ ω τὸ ι, τῆς παραδύσεως ἐκ ἔτι ἐχούσης. τὰ μέντοι εἰς κος λήγοντα δισύλλαβα, παρεχηματισμένα εἰς γένος θηλυκόν, φύσει μακρᾷ παραληγόμενα βαρύνεσθαι θέλει, οἷον φῶκος θῶκος· οὕτως σῶκος. σεσημείωται τὸ σηκός. A.

ἄλλως. σῶκος ἤτοι ὁ ἰσχυρός (σωκεῖν γὰρ τὸ ἰσχύειν). ἢ σοούμενος ὠκέως, τουτέστιν ὁρμῶν ταχέως· ἄγγελος γὰρ ὁ θεός. AD.

ὡς παρὰ τὸ θάσω θᾶκος, σάω σάκος, ἵτω σώζω σῶκος. V.

παρὰ τὸ σώζω σῶκος, ὁ σωτικώτατος. ἀνθίσαι δέ, ὡς ἔθος, τῷ λόγῳ καὶ τῇ φρονήσει ἀφροσύνη καὶ λήθη καὶ ἐλλογία. B.

74. ὃν Ξάνθον καλέουσι: καλεῖται δὲ Ξάνθος, ἐπὶ τὰ σώματα τῶν λεομένων ἢ τὲς καρπὲς ξανθίζει. οἱ δὲ ὅτι πρὸ τῆς κρίσεως Ἀφροδίτη λεσαμένη αὐτῇ ξανθὴ γέγονεν. ἐνταῦθα δὲ μόνον τὴν διωνυμίαν ἐπισημαίνει. BV.

ἡ διπλῆ, ὅτι τὸ διφορούμενον τῆς ὀνομασίας νῦν συνέξησεν. A.

καλέουσι θεοί: παρὰ Μεσσῶν ταῦτα οἶδε. τινὲς δὲ τὰ εὐφραδέστερά φασιν αὐτὸν παρατιθέναι. V.

τῶν διωνύμων τὸ μὲν προγενέστερον ὄνομα εἰς θεοὺς ἀναφέρει ὁ ποιητής, τὸ δὲ μεταγενέστερον εἰς ἀνθρώπους. AD.

Σκάμανδρον: φασὶ τὸν Ἡρακλέα δίψει ποτὲ κατασχεθέντα εὐξασθαι τῷ Διὶ πατρὶ ἐπιδεῖξαι αὐτῷ μικρὰν λιβάδα· ὁ δὲ μὴ θέλων αὐτὸν κατατρύχεσθαι, ῥίψας κεραυνὸν

ἀνέδωκε μικρὰν λιβάδα, ἣν θεασάμενος ὁ Ἡρακλῆς καὶ σκάψας εἰς τὸ πλησιώτερον ἐποίησε φέρεσθ. ᾗ διὰ τοῦτο ἐκλήθη Σκάμανδρος, διὰ τὸ ἐσκάφθαι ὑπὸ τῆ ἀνδρός, ἢ διὰ τὸ καμάτῳ ᾗ κόπῳ παραίτιον γενέσθ τῷ ἀνδρί. B.

75. αὐτὰρ Ἀχιλλεύς: ἐφαμίλλως θεοῖς δείκνυσι τὸς ἥρωας, παράλληλον θεὶς τὴν μνήμην αὐτῶν. B.

76. Ἕκτορος ἅντα: εἰς τὴν καθ' Ἕκτορος ἐναντίαν μάχην. B.

77. μάλιστά γε: Ἀρίσαρχος μάλιστά ἐ, μάλιγα αὐτόν. A.

78. ταλαύρινον: ἐν πολέμῳ καρτερικόν. B.

79. ἰθύς: ὅτι ἀντὶ τῆ ἐπ' εὐθείας ᾗ κατ' ἐναντίον. A.

80. ἀντία Πηλείωνος: ἀμβλύνων αὐτῆ τὴν καθ' Ἕκτορος ὁρμήν. B. παράδοξον δὲ τὸ μονομάχιον ᾗ τὸς ἐκ θεαινῶν πολεμεῖν ἐνάγων ἄλλως. V.

84. οὕτως διὰ τῆ ῑ, ὑπίχεο. A.

οἰνοποτάζων: τῶν δημοσίων τιμῶν τε καὶ γερῶν ἀπολαύων καὶ εὐωχέμενος. D.

παιδευτικὰ ταῦτα, τῆς παρὰ τοῖς συμποσίοις προπετείας ἀπαλλάσσοντα, δι' ὧν φησὶ τὸν Αἰνείαν διὰ τὰς παρ' οἴνῳ ὑποχέσεις ὀλίγα δεῖν κινδυνεῦσαι. οἰνοποτάζων δὲ πίνων, ἀχὶ ἐθίων. B.

ἡ διπλῆ, ὅτι περὶ τὸν οἶνον αἱ καυχήσεις γίνονθ, πρὸς τὴν ἀθέτησιν τῆ „ἔσθοντες κρέα πολλά" (Il. 8, 231). βασιλεῖς δὲ ᾗ τὲς κατὰ μέρος ἄρχοντας λέγει· „δώδεκα γὰρ βασιλῆες ἀριπρεπέες κατὰ δῆμον" (Od. 8, 390). A.

89. διόλα παρατηρητέον ὅτι τὰ ἔργα τῆ Ἀχιλλέως δεόντως κατὰ μέρος δεδήλωκεν· „δώδεκα δὲ ξὺν νηυσὶ πόλεις· πεζὸς δ' ἕνδεκά φημι" (Il. 9, 328). νῦν δὲ ᾗ ἀξιοπιστότερον τὸ παρὰ τῆ πολεμίᾳ ἐγκώμιον. AB.

95. ἣ οἱ πρόσθεν ἰοῦσα: εὐπρεπῶς ἐπεκάλυψε τὴν ἧτταν, φάμενος Ἀθηνᾶν αὐτῷ συλλαμβάνεσθ. φιλαλήθης δὲ ὢν ἐκ ἀποκρύπτει τὴν ἧτταν. φάος δὲ τὴν σωτηρίαν, ὡς τὸ „ἦν πέ τι φόως Δαναοῖσι γένωμαι" (Il. 16, 39). B.

96. Λέλεγας: τὲς ἐν Ἑλλησπόντῳ ἀπὸ τῆς Θεσσαλίας πρώτες κατοικῶντας. D.

98. αἰεὶ γὰρ πάρα εἶς γε θεῶν: εὐπρεπῶς ᾗ τοῦτο, ἵνα διὰ τὴν τῶν θεῶν βοήθειαν ᾗ μὴ διὰ τὴν ἰδίαν δειλίαν ὀκνεῖν δοκῇ. B.

99. ἐν ἄλλῳ ἰθύ, χωρὶς τῆ σ. A.

100. διελθεῖν: γράφεται διελθέμεν. A.

εἰ δέ: ἐξ ἴσα ὑπὸ θεῶν βοηθουμένων ἡμῶν. V.

101. ἶσον τείνειε: τροπικῶς τῷ ῥήματι ἀπὸ τῶν ζυγῶν κέχρηται. B.

104. καὶ σὺ θεοῖς: ἀναιρεῖ τὴν πρόφασιν ἐπ' εὐχαῖς θεῆ ἀναπέμπων τὸν Αἰνείαν. V.

105. καὶ δὲ σέ: ὁ Ἀσκαλωνίτης ὠρθοτόνησε τὴν ἀντωνυμίαν, τὸν δὲ σύνδεσμον ἀντὶ τῆ γὰρ παραλαβών· καὶ ἔτως ἔχει τὰ τῆς ἀναγνώσεως ᾗ τῆς διανοίας. AB.

107. σεσημείωται πρὸς τὰς ἐξῆς ἄκαιρον γενεαλογίαν ἔχοντας· καὶ ὅτι ἐκ Διὸς ἡ Ἀφροδίτη καθ' Ὅμηρον. A.

109. λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω: ἀναγκαῖον ᾗ τῆτο· καταπλήξει γῶ αὐτὸν ὁ Ἀχιλλεύς, ὅπερ ἔδει προλαβεῖν τὸν θεὸν πρὸ τῆς συμβολῆς. λευγαλέοις δὲ εὐτελέσι ᾗ ἀχρείοις πρὸς τοὺς ἐκδεχομένους· λευγαλέος δὲ θάνατος ὁ ὀλέθριος. τινὲς τὸ ἀρειῇ, τῇ ἀπὸ τῆ Ἄρεως βλάβῃ. BV.

ὅτι λευγαλέοις ἀ διύγροις, ὡς οἱ νεώτεροι, ἀλλ' ὀλεθρίοις, παρὰ τὸν λοιγόν. A.

113. ἐλαμόν: τὸ πύκνωμα, ἀπὸ τῆς ἑλότητος, ἢ τὴν εἴλησιν. AB.

114. ἐκδέχεται Ἡρωδιανὸς τὸ ἦ ὡς ἄρθρον, τὸν δὲ δὴ παραπληρωματικὸν σύνδεσμον, ἵν' ᾖ, ἐὸ' ἐλαθε λευκώλενον Ἥρην, ἢ δή. τὸ δὲ ἄμυδις ψιλῶθ καίτοι παρὰ τὸ ἅμα παρηγμένον· ᾗ τάχα ἀμάδις αὐτὸ ἔδει εἶναι ὡς χαμάδις, ἀλλὰ τροπῆς γενομένης Αἰολικῆς ἅπαξ τῆ ᾱ εἰς ῡ ἐψιλώθη ᾗ τὸ πνεῦμα. προπαροξύνεται δὲ ὁμοίως τῷ ἄλλυδις· ᾗ ἔτι δύο ταῦτα προπαροξυνόμενα τῶν εἰς δις ἐπιῤῥημάτων τῷ ῡ παραληγόμενα. BV.

Ἀρίσαρχος τὸ ἦ ἄρθρον ἐκδέχεθ· Ζηνόδοτος δὲ περιέσπασε ᾗ ἐψίλωσεν, ῥῆμα ἐκδεξάμενος, ὁμοίως τῷ „ἦ καὶ κυανέῃσιν" (Il. 1, 528), ᾗ ὅλον τὸν εἶχον μεταποιεῖ, ἦ δ' ἄμυδις καλέσασα θεὰς ῥεῖα ζώοντας, ἔφη δὲ εἰς ἓν συναγαγοῦσα τὰς θεάς. ἠγνόησε δὲ ὧς ὁ ποιητὴς ᾧ χρῆται τῷ ἦ ῥήματι ἐν ἀρχῇ λόγῳ, ἀλλὰ τοῖς ῥηθεῖσιν ἐπιλέγει. ᾗ τάττῳ γε παρ' αὐτῷ διαφέρει τῆ ἔφη, ὅτι τὸ μὲν ᾗ προτάττεθ ᾗ ὑποτάττεθ. Ἀρίσαρχος δὲ ἦ δ' ἄμυδις σήσασα, καὶ αἱ πλεῖσαι. τὸ δὲ ἄμυδις ψιλωτέον καίτοι παρὰ τὸ ἅμα γενόμενον, ἐπεὶ Αἰολικὸν χαρακτῆρα ἀνεδέξατο. A. ὅτι δὲ ψιλῶθ, δηλοῖ ᾗ ἦ συναλοιφή· „οἵ τ' ἄμυδις κονίης μεγάλην ἰᾶσιν ὀμίχλην." V.

καλέσασα: Ζηνόδοτος ἔτως, Ἀρίσαρχος σήσασα. V.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει θεοὺς ῥεῖα ζώοντας, ἐξ ἓ φανερός ἐσι κατὰ τὸ περισπώμενον ἀνεγνωκὼς ἦ δ' ἄμυδις, ἵν' ᾖ ἔφη, ὡς ἐκεῖ „ἦ ᾗ κυανέῃσιν." ἠγνόηκε δὲ ὅτι ἐπί τισι πρόειρημένοις τίθεθ παρ' Ὁμήρῳ τὸ ἦ, ἐκ ἐν ἀρχῇ λόγῳ. A.

115. Ποσείδαον καὶ Ἀθήνη: δι' ὑπεροχὴν τέτας προσεφώνησεν. V.

125. ἕως τῆ γεινομένῳ ἐπέννησε (128) ἀθετοῦνται εἴχοι τέσσαρες, ὅτι τἐναντίον ὁ Ζεὺς λέγει „εἰ γ' Ἀχιλλεὺς οἷος ἐπὶ Τρώεσσι μαχεῖθ, ἐδὲ μίννηθ' ἕξασι" (26), ᾗ σώζει μᾶλλον τὴν Ἀχιλλέως ἀξίαν. ἡ δὲ Ἥρα φησὶ τὲς θεὲς κατελῆλυθέναι, ὅπως μὴ πάθῃ τι ὑπὸ τῶν Τρώων ὁ Ἀχιλλεύς. A.

ἠθέτηνθ εἶχοι δ' ὡς ἐναντιέμενοι τοῖς ὑπὸ Διὸς εἰρημένοις „δείδω μὴ ᾗ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ" (30). ἢ αὔξει τὴν πρὸς ἐκεῖνον φιλοσοργίαν τῷ δεδοικέναι. B.

127. αἶσα: τὸν τῆ παντὸς λόγον Ζῆνα καλεῖ, ἐπεὶ τῆ ζῆν αἴτιος, Δία δέ, ἐπεὶ διὰ τῆτον τὰ πάντα, αἶσαν δὲ παρὰ τὸ δαίω τὸ μερίζω, ᾗ μοῖραν ᾗ εἱμαρμένην παρὰ τὸ μείρω πεπρωμένην, ὅτι πάντας εἰς πέρας ἄγει· Λάχεσιν

δὲ παρὰ τὸ ἔκαζον λαγχάνειν ἃ μέλλει πείσεσθ· πρόνοιαν δὲ δι' ὧν εὐρύοπα καλεῖ αὐτόν. τῆς δὲ ἀνάγκης ἀπαραβάτε αἰτίας ἔσης, φησὶν „ἀναγκαίη γ' ἐπείγει" (Od. 19, 73). τύχην δὲ οὐδ' ὅλως οἶδεν ὁ ποιητής, εἰ μὴ τὰ ἀπὸ ταύτης, ὡς τὸ „τύχε κατὰ σεφάνης." B. (ἀλλὰ τὸ ἀπ' αὐτῆς· „ἕνεκά μοι τύχε πολλά" Il. 11, 684). V.

133. παρὲκ νόον: παρὰ τὸν καθήκοντα νοῦν. πάνυ δὲ φρονίμως (πρεσβυτικῶς δὲ πάνυ V) ὁ βέλεσ τῆς μάχης ἄρχειν ὡς συνετός. BV.

134. ἔριδι ξυνελάσσαι: λείπει τὸ μάχεσθ, ἵν' ᾖ ὡς τὸ „τίς τ' ἄρ σφωε θεῶν ἔριδι συνέηκε" (Il. 1, 8). V.

137. ἐκ πάτου: πόρρω, ἔξω. V. ἐκτοθεν τῆς κοινῆς ὁδοῦ, τετέσι τῆς συναρροφῆς. D.

ἐς σκοπιήν: εἰς τόπον σκοπιὰν ἔχοντα. λέγει τὸ Ἡρακλέες χῶμα. D.

138. ἄρχωσι: Ἀρίσαρχος προκρίνει τὴν διὰ τοῦ ω γραφήν· γράφεσθ δέ φησι καὶ διὰ τοῦ η ἄρχησι. A.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἄρχησι. ὁ δὲ Ὅμηρος τὸ κατ' ἀμφοτέρων τῶν ὀνομάτων τιθέμενον ῥῆμα εἰώθε ποτε, τὸ ἕτερον προτάξας ὄνομα, μεταξὺ τάσσειν· „ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος" (Il. 5, 744) καὶ „ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε" (Od. 10, 513). καὶ τούτῳ πεπλεόνακεν Ἀλκμάν, διὸ καὶ Ἀλκμανικὸν καλεῖται, οὐχ ὅτι πρῶτος αὐτῷ ἐχρήσατο. A.

ἔριφασιν ἔχει τὸ οἰκεῖν μὲν ἄρχεσθ, θαρρεῖν δέ· οἱ γοῦν τῆς μάχης ἴσως ἀρξάμενοι ἡσσηθήσονθ. τὸ δὲ χῆμα καλεῖται Ἀλκμανικόν· κατακορέστερον γὰρ αὐτῷ χρῆται ὁ Ἀλκμάν. ἔστι δὲ προεπίζευξις. B. ὅμοιον τῷ „ἡ μὲν δὴ θάρσος Ἄρης τ' ἔδοσαν καὶ Παλλὰς Ἀθήνη". V.

ἢ Φοῖβος Ἀπόλλων: ἕτως Ἀρίσαρχος, καὶ ὁ ἢ ἀντὶ τοῦ καί. V.

γράφεται εἰ δέ κεν ὣς ἄρχωσιν Ἄρης καὶ Φοῖβος Ἀπόλλων. V.

140. παρ' αὐτόφι: παρ' αὐτοῖς, ἢ παρ' αὐτά· προεῖπε γὰρ τὸ αὐτίκα. B.

νεῖκος ὀρεῖται: γράφεθ καὶ ἐτύχθη, ἵν' ᾖ εὐθέως ἐκείνων τῆς μάχης ἀρξαμένων καὶ ἡμῖν ἐγένετο ἡ μάχη. Paris. ap. Heyn.

143. ἀνάγκῃ ἴφι: γράφεται ἀναγκαίηφι. A.

145. ἀμφίχυτον: τὸ περικεχυμένον· φησὶ γὰρ „χεύαντες δὲ τὸ σῆμα πάλιν κίον" (Il. 23, 257). ἐκ λίθων δὲ ἄλλ' ἐξ ἀναχωμάτων ἦν, ὑπὲρ τοῦ ῥᾳδίως ἀνατρέχειν τὸν Ἡρακλέα ἐπ' αὐτό, τὴν τοῦ κήτες ὑποφεύγοντα ἔφοδον. B.

εἰκαίρως Τρωϊκὴν ἱστορίαν παρέλαβε Τληπόλεμος, αἴρων τὴν ἀρετὴν τοῦ πατρός. ἀμφίχυτον δὲ περικεχωσμένον. V.

146. τὸ ὑψηλόν ἑκατέροις δύναθ προσδίδοσθ, ἵν' ᾖ τὸ ἐξῆς τεῖχος ὑψηλόν ἢ ὑψηλὸν ποίεον. A.

Ποσειδῶν καὶ Ἀπόλλων, προσάξαντος Διὸς Λαομέδοντι θητεῦσαι, ἐπὶ μισθῷ τεταγμένῳ τὸ τεῖχος κατασκευάζουσιν. Λαομέδων δὲ παραβὰς τὰς ὅρκους καὶ τὰς συνθήκας, μὴ δοὺς τὸν μισθόν, ἀπήλασεν αὐτούς. ἀγανακτήσας δὲ Ποσειδῶν ἔπεμψε τῇ χώρᾳ κῆτος, ὃ τούς τε παρατυγχάνοντας ἀνθρώπους καὶ τὰς γιγνομένας καρπὰς διέφθειρεν. μαντευομένῳ δὲ Λαομέδοντι χρησμὸς ἐδόθη Ἡσιόνην τὴν θυγατέρα αὐτοῦ βορὰν ἐκθεῖναι τῷ κήτει καὶ ἕτως ἀπαλλαγήσεσθ τοῦ δεινοῦ. προθεὶς δὲ ἐκεῖνος τὴν θυγατέρα, μισθὸν ἐκήρυξε τῷ τὸ κῆτος ἀνελόντι τοὺς ἀθανάτους ἵππους δώσειν, οὓς Τρωὶ Ζεὺς ἀντὶ Γανυμήδους ἔδωκεν. Ἡρακλῆς δὲ παραγενόμενος ὑπέχετο τὸν ἆθλον κατορθώσειν, καὶ Ἀθηνᾶς αὐτῷ πρόβλημα ποιησάσης τὸ καλούμενον ἀμφίχυτον τεῖχος, εἰσδὺς διὰ τοῦ στόματος εἰς τὴν κοιλίαν τοῦ κήτους, αὐτοῦ τὰς λαγόνας διέφθειρεν. ὁ δὲ Λαομέδων ὑπαλλάξας θνητοὺς δίδωσιν ἵππους. μαθὼν δὲ Ἡρακλῆς ἐπεστράτευσε καὶ Ἴλιον ἐπόρθησε, καὶ οὕτως ἤλαυνε τοὺς ἵππους. ἡ ἱστορία παρὰ Ἑλλανίκῳ. ABD.

147. ἡ διπλῆ, ὅτι ἕτως εἴρηκε σὺν τῷ ἄρθρῳ τὸ κῆτος, ὡς παραδεδομένης τῆς ἱστορίας τῆς περὶ τοῦ κήτους. A.

ἔτε ποῖον κῆτος ἔτε τίνος ἕνεκα, ὡς διαβεβοημένης τῆς ἱστορίας. V.

149. καὶ θεοὶ ἄλλοι: ἢ πάντες, ἀλλ' οἱ Ἑλληνικοὶ καραδοκοῦσι γοῦν τὴν ἐκείνων καταρχήν. B.

152. ἀμφὶ σέ: ὀρθοτονητέον τὴν ἀντωνυμίαν ὁμοίως τῷ „ἀμφὶ σὲ Πηλέως υἱέ" (2). AB. τὸ δὲ ἦϊε παρὰ τὸ ἴέναι τὰ βέλη, καὶ δασύνεθ· ἢ παρὰ τὴν ἴασιν, καὶ ψιλοῦθ. B.

154. δυσηλεγέος: κακοκοιμήτου· οὐκ ἔστι γοῦν αὐτὸν κοιμηθῆναι δίχα πολλῶν θανάτων. ἢ κακὰς φροντίδας ἔχοντος. εἰ δὲ θεοὶ οἰκοῦσι πολεμεῖν, πολλῷ μᾶλλον ἡμεῖς. B.

155. κατ' ἕνια διὰ τοῦ ο, ὄκνεον. A.

κέλευε: βοηθεῖν οἷς βάλονται. V.

156. Ἀρίσαρχος Ἰακῶς λάμπετο. A.

157. ἀνδρῶν ἠδ' ἵππων: καὶ τοῦτο τάχα ἄν τις τοῖς ἑξῆς συνάπτοι· τὸ δὲ ὑπερβατὸν οὐκ εὖ ἔχει. A.

κάρκαιρε: ἐκραδαίνετο, ἐσείετο, ἐψόφει. B. ὀνοματοποιία ὁ τρόπος. D. τινὲς εἰς τὸ γαῖα διαζέλλουσιν. V.

158. γράφεθ καὶ ἄμυδις δὲ δύ' ἀνέρε, ἵν' ᾖ ὁμοῦ δὲ δύο ἄνδρες ἐξ ἐναντίας ἀλλήλων. Paris. ap. Heyn.

161. πρῶτος: ἔδει εἰπεῖν πρότερος. V.

162. βριαρῇ: καταπληκτικῇ, ὡς τὸ „βριθύ, μέγα, στιβαρόν" (Il. 5, 746)· ἢ γοῦν ἐγκώμιον δόρατος τὸ βαρύ. B. ἐζωγράφησεν ἅπαντα. V.

163. τίνασσε δέ: γράφεθ καὶ τινάσσων. Paris.

164. λέων ὥς: λέοντι εἰκασαι ἢ πεινάοντι ἢ τὸ πῖαρ ἐλεῖν θέλοντι ἢ σκυμναγωγοῦντι ἢ σαθμὸς πορθοῦντι, ἀλλ' ὅλην χώραν λυμαινομένῳ, ἣν γεωργεῖν μὴ δυνάμενοι συρίασι κατ' αὐτοῦ. ὁ δὲ πρῶτα μὲν φαύλως κινεῖθ (φλαυρίζει V) ὡς ὅτε θελήσειε κρατεῖν αὐτῶν δυνάμενος· ἐπὰν δὲ βληθῇ, ἐρεθίζεται καὶ συρρέφει ἑαυτὸν πρὸς τὸ μειζόνως πηδῆσαι. B.

166. ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι δῆμος ἀγρόμενοι, ἐπεὶ ὁ δῆμος ἔννοιαν πληθυντικὴν ἔχει. A.

ἀτίζων: ἀτιμάζων, καταφρονῶν. A. καὶ Ἀριςοτέλης ἐν τῷ περὶ ζῴων ἱςορεῖ ὅτι οὐδέ ποτε δεδοικὸς τὸ ζῷον οὐδὲ ὑποπτεύει ἔφοδον· ἢν δὲ ὑπὸ περιςάσεως ἀναγκασθῇ φυγεῖν, ὑπὸ σκέλος χωρεῖ. V.

168. ἐάλη: συνεςράφη πρὸς τὸ πηδῆσαι. B.

169. εἰ μέν ἐςιν εὐθείας τὸ κραδίη, τοιοῦτόν ἐςιν, ςένει ἡ καρδία ἥτις ἐςὶν ἦτορ· εἰ δὲ δοτικῆς, ἀγγεῖον τῆς ψυχῆς ὑπονοητέον τὴν καρδίαν. τὸ δὲ πρότερον ὁμηρικώτερον· φησὶ γὰρ (Od. 20, 18) „τέτλαθι κραδίη" καὶ ἐπάγει „καθαπτόμενος φίλον ἦτορ." θερμὸς δὲ φύσει ὢν ἐπὶ πλέον θερμαίνεται· διὸ ςένει. BV.

170. οὐρῇ δὲ: ἔχει γὰρ ὑπὸ τῇ οὐρᾷ κέντρον (δέ τι ἐν τῇ οὐρᾷ ἀναμέσον τῶν τριχῶν κεντρίον D) μέλαν, ὡς κεράτιον, δι' οὗ ἑαυτὸν μαςίζει καὶ ὑφ' οὗ νυττόμενος πλέον ἀγριοῦται. B.

γράφεται ἀμφοτέρωσε ἔν τισιν, οὐ φαύλως. A.

171. ἑέ: ἡ ἓ τοῦ τρίτου προσώπου ἀντωνυμία ἐπλεόνασε κατ' ἀρχήν, ὥσπερ ἐπὶ τοῦ ἑόν ἑοῦ ἑῷ· ἅμα δὲ τῷ πλεονασμῷ μετέβη καὶ τὸ πνεῦμα. A.

172. γλαυκιόων: ἔμπυρον ὁρῶν, παρὰ τὸ γλαύσω, ἀφ' οὗ καὶ ἡ γλαύξ, ὃ μόνον τῶν σαρκοφάγων καὶ γαμψωνύχων οὐ τίκτει τυφλὰ διὰ τὸ πολὺ πυρῶδες, ὃ περὶ τοὺς ὀφθαλμοὺς ἔχει, ὃ τμητικὸν ὂν διεγείρει (διαιρεῖ V) τὴν θέαν· διὸ καὶ ἐν ταῖς σκοτομήναις τῶν νυκτῶν ὁρᾷ. καὶ μὴ τετρωμένον τρωθέντι λέοντι εἰκάζει· τότε γοῦν ὡς ἰσχυρότερος ἑαυτοῦ γίνεται. ἢ ὅτι ὅσον τὸ καθ' ἑαυτόν, ἔτρωσεν αὐτὸν Αἰνείας· τότε γὰρ ὡς τρωθεὶς ὥρμησε· τὰ γὰρ πρῶτα καὶ ἀπέτρεπεν αὐτόν, καθ' Ἕκτορος ὡρμημένος. BV.

180. ἐλπόμενον: ἐντέχνως ἄξιον βασιλείας ἀποφαίνει τὸ κατόρθωμα. B.

ἀθετοῦνται ςίχοι ζ' ὡς καὶ τὴν διάνοιαν ἀπρεπεῖς καὶ τὴν σύνθεσιν εὐτελεῖς. πῶς γὰρ ὁ τοσοῦτον σπεύδων κατὰ τῶν ἐχθρῶν ἤμβλυνται τοσοῦτον; ἢ τάχα ἔντεχνοι οἱ λόγοι· μέγιςον γὰρ εἰς κατάπληξιν τῶν ὁμοφύλων φεύγων ὁ πρῶτος ὀφθείς, καὶ ςρατηγικὸν τὸ ἀκινδύνως φοβεῖν τοὺς πολεμίους. καὶ καθ' Ἕκτορος ἔχει τὴν πᾶσαν ὁρμήν· φησὶ γὰρ „Ἕκτορος ἄντα μάλιςα" (76), εἰκότως οὖν πρῶτα μὲν ὁρμῇ λέοντος αὐτὸν ἐκδειματοῖ, ὡς δὲ μένει, λόγοις, σπεύδων ἐπὶ Ἕκτορα. ἄλλως καὶ κερτομεῖ τὸν Αἰνείαν ὡς ἐνεδρεύοντα τῇ Πριάμου ἀρχῇ. B.

ἀθετοῦνται ςίχοι ζ', ὅτι εὐτελεῖς εἰσὶ τῇ κατασκευῇ καὶ τοῖς νοήμασι, καὶ οἱ λόγοι οὐ πρέποντες τῷ τοῦ Ἀχιλλέως προσώπῳ. A.

181. τιμῆς τῆς Πριάμου: ἕνεκεν τῆς βασιλείας. ἀντιφέρει γὰρ οὕτως „τοὔνεκα Πρίαμος γέρας." D.

λείπει ἡ ἀντί. ἢ ἐν Τρωσὶν ἀνάξειν τῆς τιμῆς Πριάμου. BV.

183. ἀεσίφρων: κοῦφος καὶ ἀσύνετος τὴν φρένα. A.

ἀεσίφρων λέγεται ὁ μὴ διεγηγερμένος τὰς φρένας. γίνεται δὲ ἐκ τοῦ ἄω τὸ κοιμῶμαι, ἀφ' οὗ καὶ τὸ „τί πάννυχον ὕπνον ἀωτεῖς" (Il. 10, 159); B.

185. ἐσθλὸν: γράφεται καλόν. A.

187. ἤδη μὲν σέ γε: ἔθος ἀρχαῖον τὸ ἐξονειδίζειν δειλίαν ἢ καὶ ἀχαριςίαν· καὶ ἀλλαχοῦ „ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων" (Od. 16, 424). καὶ τὸ μὲν ἀμεταςρεπτὶ φεύγειν ὀνειδισμός ἐςιν ἐχάτης δειλίας· αὐτὸς δέ φησιν ἑλεῖν καὶ τὴν ὑποδεξαμένην αὐτὸν πόλιν. B.

188. ἀναςρεπτέον τὴν πρόθεσιν· ἔςι γὰρ τὸ ἑξῆς ἀπὸ βοῶν. ἔνιοι δὲ συντάσσουσι τὴν ἀπό τῷ σεῦα. ἐν τῇ Χίᾳ δὲ βοῶν ἔπι. AB.

ἄλλως. ἡ Ῥιανοῦ καὶ Ἀριςοφάνους βοῶν ἔπι, οὐκ ἀχαρίτως. A.

194. ἀτὰρ σὲ Ζεὺς ἐῤῥύσατο: ἀναλαβέσθαι αὐτόν φησι τὸν θεὸν καὶ ἀλλαχοῦ διασῶσαι, ἐπεὶ μὴ εὑρέθη ἐν Λυρνησσῷ. B.

195. οὕτως Ἀρίςαρχος ἐρύεσθαι χωρὶς τοῦ σέ. A.

ἕως τοῦ „πρίν τι κακὸν παθέειν" (198) ἀθετοῦνται ςίχοι τέσσαρες, ὅτι ἐπὶ τῆς Μενελάου πρὸς Εὔφορβον συςάσεως (Il. 17, 30) ὀρθῶς λέγονται· σκοπὸς γὰρ ἀμφοτέροις ἐςὶν ἀνελέσθαι τὸν νεκρὸν καὶ τὰ ὅπλα· νῦν δὲ παντελῶς ἐκλελυμένος τις ὁ Ἀχιλλεὺς φαίνεται, τῷ πρώτῳ συςάντι τοιαῦτα λέγων. B.

198. πρίν τι κακὸν παθέειν: ὁρῶν αὐτοῦ τὴν προθυμίαν, σημειοῦται τὸν ἐσόμενον αὐτῷ ὄλεθρον. BV.

200. μὴ δή μ' ἐπέεσσι: ἀποσιωπᾷ τὰ περὶ τῆς ἥττης· ἀπρεπὲς γὰρ τὸ συνομολογεῖν πρὸς τὸν πολέμιον. ἐν δὲ τῷ πρὸς Ἀπόλλωνα λόγῳ εὐπρεπέςερον αὐτὰ ἀνωμολόγησεν (90). B.

202. κερτομίας τοὺς σαρκασμοὺς οὓς εἶπεν ὡς περὶ τῆς ἀρχῆς αὐτοῦ μαχομένου· αἴσυλα δὲ τὰς παρὰ τὸ καθῆκον λεγομένας ἀπειλάς. πιθανῶς δὲ τοῖς λόγοις Ἀπόλλωνος κατάχρηται πρὸς τὸν φόβον καὶ αὐτός, ὑπομιμνήσκων ὅτι μείονος γενέσεως τυγχάνει παρ' αὐτόν. B.

204. πρόκλυτ': προηκουσμένα καὶ προεγνωσμένα. B. τὰ ὑπὸ τῶν προτέρων πεφημισμένα, παλαιά. D.

205. ἕως τοῦ „εὔχομαι ἐκγεγάμεν" (209) ἀθετοῦνται ςίχοι πέντε, ὅτι οὐκ ἀναγκαῖα τὰ δι' αὐτῶν λεγόμενα, κατὰ τὴν γενεαλογίαν ἀμφοτέρων γινωσκομένων. B.

207. ἁλοσύδνης: ἐναλίας θεοῦ, ἐν θαλάσσῃ κατοικούσης. D.

210. ἕτεροι: διὰ τὸ δύο εἶναι τοὺς γονέας ἑκατέρου. δῆλον δὲ διὰ τούτου ὅτι ἔτι ζῇ Ἀγχίσης. B.

211. καὶ τὸ σήμερον ὁμοίως τοῖς προκειμένοις. A.

ἑκατέροις δύταται προσδίδοσθαι τὸ σήμερον πρὸς διάφορον ςιγμήν. B.

ὑπερβολικῶς εἴρηκε τὸ σήμερον· πῶς γὰρ ἔμελλεν ἐν Φθίᾳ ὢν ἀκούσεσθαι; ἢ λείπει τὸ ἀναιρεθέντα. D.

213. δαήμεναι: ἡ διπλῆ, ὅτι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ τοῦ δάηθι. A.

παρῆκται ἡ ὁμιλία κατὰ ποιητικὴν συνήθειαν πρὸς ὠφέλειαν τῶν ἀκροατῶν, ἵνα τὴν Τρωϊκὴν γενεαλογίαν μάθωμεν. ἢ ὅτι τοῖς πολεμίοις ἐξεταζόμενα τὰ γένη λαμπρότητα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μείζην φέρει· τὸς γ' εὐγενεῖς καὶ εὐψύχους νομίζουσιν. ἀεὶ δὲ σπεύδει ὁ ποιητὴς παραπλέκειν τὰ ἀρχαῖα γένη, ὥσπερ ἐν τῇ Γλαύκῳ καὶ Διομήδει συγάσει ὅλον τὸ Αἰόλου γένος εἶπεν. ἀλλὰ καὶ τῶν Μελαμποδιδῶν ἐπὶ τῷ Θεοκλυμένῳ. καὶ ἐν τῇ νεκυίᾳ μυρία ὅσα, καίτοι ἐχ ὑποχύμενος γενεαλογίας γράφειν. ἔοικε δὲ λέγειν ὅτι τὸ μὲν κατὰ μητέρα γένος τοιοῦτο· εἰ δὲ καὶ τὸ κατὰ πατέρα θέλεις, πολλοῖς ὢν γνώριμον, ἄκου. B.

215. *Δάρδανον αὖ πρῶτον*: οὐ ψιλὸν ὀνόμασι ποιεῖται τὸν κατάλογον, προστίθησι δέ τι δόξης χάριν. V.

Δάρδανος υἱὸς Ἠλέκτρας τῆς Ἀτλαντίδος καὶ Διός. ἔτος ᾤκει ἐν Σαμοθρᾴκῃ· τῷ δὲ κατακλυσμῷ συμβάντος κατασκευάσας σχεδίαν καὶ ἀσκὸν ἑαυτῷ περιθεὶς ἐφέρετο τοῖς ὕδασι. προσοκείλας δὲ τῇ Ἰδῃ τὴν Δαρδανίαν ἔκτισεν. ἑτέρα δὲ ἡ τῆς Ἰλίου Δαρδανία, ὥσπερ καὶ ἡ Φρυγία· οἱ δὲ νεώτεροι συγχέουσιν. A.

Δάρδανος ὁ Διὸς καὶ Ἠλέκτρας τῆς Ἀτλαντος θυγατρός, διιὼν τὴν Σαμοθρᾴκην, ἐπομβρίας γενομένης κατασκευάσας σχεδίαν καὶ ἀσκὸν ἑαυτῷ περιθεὶς διεκομίσθη εἰς τὴν Ἴδην τῆς Τρωάδος, καὶ ἀποβὰς Διὸς ὑποθεμένου κτίζει πόλιν, ἣν ἀφ' ἑαυτοῦ Δαρδανίαν ἐκάλεσεν. ἡ ἱστορία παρὰ Λυκόφρονι. BD.

ἢ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον· καὶ ὅτι ἑτέρα τῆς Ἰλίου ἡ Δαρδανία, ὥσπερ καὶ ἡ Φρυγία. A.

217. *ἐν πεδίῳ*: διὰ γ' τὰς νομὰς καὶ τὰς ὑετὰς ἐν τοῖς ὄρεσι πρώην ὤκουν· ὅθεν καὶ πόλεις τὰς ἀκροπόλεις καλοῦσιν. A.

218. *γράφεται πολυπιδάκου*. A.

221. *ἕλος κάτα*: τὸ ἑξῆς ἑξὶ καθ' ἕλος· διὸ ἀναστρεπτέον τὴν πρόθεσιν. A.

φιλόλουτρον γάρ ἐστι τὸ ζῷον, ἥδεται δὲ τοῖς ἕλεσι καὶ τοῖς θολεροῖς τῶν ὑδάτων. B.

βουκολέοντο: κατὰ μετάθεσιν ὁ λόγος, ὡς καὶ Εὐριπίδης „ἱπποβακόλοι ἄνδρες." B.

223. *τάων καὶ Βορέης ἠράσσατο*: ἄδηλον μὴ τῶν πώλων ἠράσθη. φησὶ δὲ Ἀριστοτέλης ὁρμητικωτάτην εἶναι τὴν ἵππον πρὸς συνδυασμούν, καὶ ἐξανεμεμένην πρὸς ἄρκτον ἢ πρὸς νότον τίκτειν. B.

ἡ διπλῆ, ὅτι ἐλλείπει τὸ τινῶν, τούτων τινῶν· οὐ γὰρ πασῶν ἠράσθη. AB.

λείπει ἡ ἐκ πρόθεσις, ἵν' ᾖ ἐκ τούτων. D.

224. *παρελέξατο*: ἡ διπλῆ, ὅτι καταχρησικῶς· ἵππος γὰρ ὢν παρακοιμᾶται ἀλλ' ἐπιβαίνει. τινὲς δὲ γράφουσιν ἵππῳ δ' εἰσάμενος ἐμίγη φιλότητι καὶ εὐνῇ. A.

ἢ πρὸς τὴν φύσιν τῷ θεῷ ὑπήντησεν. V.

227. *ἀνθερίκων*: νῦν τῶν ἐν τοῖς ῥάχεσι λεπτῶν ἀθέρων. ἐλαφρῶς ἂν, φησίν, ἄνωθεν αὐτῶν διέτρεχον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς τῶν κυμάτων ἐπιφανείας μὴ βαπτιζόμενοι τῷ ὕδατι. κυρίως δ' ἀνθέρικος καλεῖται ὁ τῇ ἀσφοδέλῳ καυλός· ἔστι δὲ τὸ φυτὸν λαχανῶδες. AD.

ὑπερβολικῶς εἶπεν, ἔστι δὲ ἀνθέρικος, ὡς τινες, ὁ τῆς ἀσφοδέλου καυλός. οἱ δὲ τὸς ἀθέρας τὸ σῖτα φασίν, ὡς καὶ Ἡσίοδος ἐκλαβὼν ἐπὶ Ἰφίκλου φησὶν „ὡς ῥ' ἐπὶ πυραμίνους ἀθέρας φοίτασκε πόδεσσιν." B. καὶ ἔστι παρὰ τὸ ἀθέρικος, πλεονασμῷ τοῦ ν. διὸ καὶ „ἐπὶ ζείδωρον ἄρουραν" φησὶ ταῦτα γ' φέρει ἡ ζείδωρος, ἐκ ἀσφοδέλου. V.

228. Ἀρίσαρχος ἄλλ' ὅτε δέ, ἄλλοι δὲ ἄλλ' ὅτε δή· διὰ τοῦ η. A.

Ἀρίσαρχος ἄλλοτε, ὁ δὲ Ἡρωδιανὸς ἀλλ' ὅτε. B.

229. σημειοῦνταί τινες ὅτι ἁλὸς πολιοῖο ἔφη. ῥηγμῖνος δὲ τῆς ἐπιφανείας τῆς θαλάττης· „ἡμεῖς μὲν κώπησιν ἁλὸς ῥηγμῖνα βαθεῖαν" (Od. 12, 214). V.

232. *Τρωός*: καὶ Καλλιρόης τῆς Σκαμάνδρου, ὡς Ἑλλάνικος. V.

233. *ὃς δὴ*: ἔχατον αὐτὸν ὀνομάσας πάλιν ἀνέλαβεν, ἐπείπερ αὐτῷ γένος ἐχ ὑπελείπετο. B.

ἢ διπλῆ, ὅτι ὡς ἂν ἁρμόζῃ πρὸς τὸ ἐγκώμιον τίθησι τὸ κάλλιστος· καὶ γ' ἄλλας καλλίστας λέγει, καὶ ὅτι πρὸς τὰ δεύτερον πρότερον ἀπήντηκεν. B.

234. Ἀρίσαρχος μὲν ἐν ποιεῖ τὸ ἀνηρείψαντο, τιτέρι τὸ ἀνήρπασαν· εἰσὶ μέντοι οἳ τὸν ἄν σύνδεσμον παρέλαβον, ὧν ἐστὶ καὶ Ἀπολλώνιος ὁ τοῦ Θέωνος, τοιοῦτόν τι ἐκδεχόμενος, ἀνήρπασαν ἂν αὐτὸν οἱ θεοὶ τῷ Διὶ χάριν τοῦ κάλλους, εἰ ἔζη. τοῦτο δέ φησιν, ἐπεὶ οὐδαμοῦ παρεισάγει αὐτὸν ὁ ποιητὴς τῷ Διὶ διακονέμενον· ἡ γ' Ἥβη βλέπεται καὶ ὁ Ἥφαιστος. πρὸς δὲ ταῦτα ὑγιῶς ἀπεφήναντό τινες, καὶ ὁ Ἀσκαλωνίτης, ὡς ὅτι ὁ ποιητὴς τῷ ἠρείψαντο οὐδέποτε ἐχρήσατο ἄνευ τῆς προθέσεως. δεύτερον ὡς εἰ ἦν ὁ ἄν σύνδεσμος, ἐχρῆν τινὰ αἰτίαν ἐπενεχθῆναι, ὥσπερ ἐπὶ τοῦ „οὐδ' ἄν πω χάζοντο κέλοντες δῖοι Ἀχαιοί, εἰ μὴ Ἀλέξανδρος Ἑλένης πόσις ἠυκόμοιο παῦσεν ἀριζεύοντα μάχης" (Il. 11, 504). ὡς δὲ ἐν ἑτέροις περὶ τῆς ἁρπαγῆς τοῦ Γανυμήδους ὑπόμνησιν ποιεῖται, ὁπότε ὁ Διομήδης λέγει „τῆς γάρ τοι γενεῆς ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς δῶχ' υἷος ποινὴν Γανυμήδεος" (Il. 5, 265). ἀλλά, φησίν, οὐ διακονεῖ εὐλόγως, πρῶτον μὲν ὅτι τὰ πάντα συμπόσια δύο ἐστίν, ἐν μὲν ἐν τῇ Α, ἐν ᾧ ὁ Ἥφαιστος παρεισάγεται διακονέμενος ἕνεκα γέλωτος, ἄλλο δὲ ἐν τῇ Δ, ὅπου ἡ Ἥβη κοινῶς οἰνοχοεῖ πᾶσι θεοῖς. ἔχομεν δὲ ἡμεῖς προωθεῖναι τὸ κυριώτατον, φημὶ δὴ τὸ τῆς συντάξεως· ὁ γ' καὶ σύνδεσμος ἐναντίος ἐστὶ τῷ ἄν. ὁ μὲν γ' τίθησι, μᾶλλον δὲ συμπλέκει, ὥσπερ ἐπιζητῶν καὶ ἕτερα συμπλέξαι· ὁ δὲ ἄν σύνδεσμος ἀναιρεῖ τὰ παρωχημένα. A.

ἀνηρείψαντο: ἀπὸ τῆς ἔρας ἀνεβάσασαν. ὑφ' ἓν δὲ τὸ ἀνηρείψαντο. τινὲς δὲ τὸ ἄν σύνδεσμον ἀνεδέξαντο, ἵν' ᾖ ὁ λόγος ἅπας· τοῦτον δὲ ὅσον ἕνεκα τοῦ κάλλους καὶ ἀνηρείψαντο ἂν οἱ θεοί, δηλονότι εἰ μὴ ἐτεθνήκει. καὶ γ' ἀδέποτε, φασί, παρὰ τῷ ποιητῇ εἰσάγεται οἰνοχοεύων ὁ Γανυμήδης. ἀλλὰ πρὸς τοῦτο λεκτέον, πρῶτον μὲν ὡς ἀδέποτε χωρὶς τοῦ ἂν ὁ ποιητὴς λέγει τὸ ἠρείψαντο· ἔπειτα ἐν ἑτέροις λέγει „δῶχ' υἷος ποινὴν Γανυμήδεος." τὸ δὲ πάντων μεῖζον· ὃ καὶ συμπλεκτικὸς ἐπιζητεῖ πράγματα ἃ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμπλέκει, ὁ δὲ ἂν ἀναιρετικός ἐστι τῶν ὑπαρχόντων (προϋπαρχθέντων V)· πῶς οὖν δύναται συνταχθῆναι ὁ ἂν τῷ καί; εἰ δέ φασιν ὡς ἀ φαίνεται διακονέμενος τοῖς θεοῖς, ἴσωσαν ὅτι δύο συμπόσια παρεισάγουσι, καὶ ἐν μὲν τῷ πρώτῳ γέλωτος ἕνεκεν ὁ Ἥφαιστος οἰνοχοεῖ, ἐν δὲ τῷ ἑτέρῳ Ἥβη· παρεῖναι γοῦν τοῦτον οὐκ εἰκὸς εἰς καταφροφὴν Πλάτ βλεπομένοις θεοῖς. Μνασέας δέ φησιν ὑπὸ Ταντάλου ἁρπάσθαι καὶ ἐν κυνηγεσίῳ ἀναιρεθῆναι (πεσόντα ταφῆναι ἐν τῷ Μυσίῳ Ὀλύμπῳ κατὰ τὸ ἱερὸν τῆς Ὀλυμπίου Διός), Δωσιάδης δὲ ὑπὸ Μίνω· καὶ ὁ λιμὴν ὅθεν ἡρπάσθη, Ἁρπαγίας καλεῖται· ἀξιοῦντος δὲ μιγῆναι αὐτῷ κατακρημνίσαι αὐτόν· τὸν δὲ θάψαι καὶ πλάσασθαι τῷ πατρὶ ὡς θύελλα καὶ νέφος ἥρπασεν αὐτόν. (εἰς οὐρανόν. οἱ δὲ μετὰ κυνηγεσίαν ἀφυπνώσαντα διασπαραχθῆναι ὑπὸ θηρῶν. οἱ δὲ κερανωθῆναι. ἤρξατο δὲ ἀπὸ Λακώνων παιδεράσεια τῶν γυμνασίας ἐπινοησάντων. V) ἐξ αὐτῶν δὲ πρῶτον ἡ παιδερασία ἤρξατο· τῇ γοῦν εὐεξίᾳ τῶν σωμάτων ἐκινήθησαν κατ' ἀλλήλων. BV. ῥητῶς δέ φησιν ὅτι ὁ Ζεὺς ἥρπασεν ἀλλὰ οἱ θεοί, καὶ ἵνα οἰνοχοῇ. ἔθος γοῦν ἦν, ὡς καὶ Σαπφώ φησι, νέους εὐγενεῖς εὐπρεπεῖς οἰνοχοεῖν· „κῆροι μὲν κρητῆρας" (Il. 1, 470) „ᾠνοχόει δ' υἱὸς Μενελάου" (Od. 15, 141). ἴσως ὃν νέου ἀποθανόντος αὐτῇ ἐπλάσαντο. καὶ ὁ ποιητὴς δέ, τὸ ἀλαζονικὸν τῶν βαρβάρων εἰδώς, οὐκ ἀφ' ἑαυτοῦ τὸν μῦθον εἶπεν, ἀλλ' Ἥβην φησὶν οἰνοχοεῖν. V.

ἄλλως. κατηγορῆσι τῷ ποιητῇ ὡς μαχόμενα λέγοντος, ὅταν ποτὲ μὲν τὸν Γανυμήδην οἰνοχόον εἶναι τῶν θεῶν λέγει, ποτὲ δὲ τὴν Ἥβην. ἀκὸν λύσομεν ὀνόματι καὶ λέξει, ὅτι ἐχὶ τῶν θεῶν ἀλλὰ τοῦ Διὸς αὐτὸν οἰνοχόον ἀποφαίνει (ἔχει γοῦν ἡ λέξις ὅτως „τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν"), ἡ δὲ Ἥβη τοῖς θεοῖς οἰνοχοεῖ. προσώπῳ δέ, ὅτι τὸ μὲν ἐκ τοῦ ποιητοῦ λέγει, τὸ δὲ ἐξ Αἰνείου, ὃν εἰκὸς μεγαλύνειν τὸ αὐτοῦ γένος. καιρῷ δὲ καὶ χρόνῳ, ὡς ἐγχωρεῖ πάλαι ποτὲ αὐτὸν ἁρπασθέντα πρὸς τὴν διακονίαν ταύτην ὑπὸ τοῦ θνητὸν εἶναι μηκέτι παραμένειν ἕως τῶν Ἰλιακῶν. Ἔθει δέ, ὡς πολλοῖς νενομισμένον ἐστὶν οἰνοχόοις χρῆσθαι ἄρρεσι καὶ θηλείαις, ὡσε οὐδ' ἐν θεοῖς ἄτοπον τοῦτο. τὸ μὲν οὖν ἐναντίον οὕτως ἐλέγχεται, τὸ δ' ἀδύνατον ἐγκαλεῖται ὅτως. B.

ἄλλως. ἢ διπλῆ ὅτι ἐναντιοῦται τοῖς νεωτέροις· ὁ γοῦν δι' ἔρωτα τὸν Γανυμήδην ὑπὸ Διὸς ἀνηρπάσθη, ἀλλ' ὑπὸ τῶν θεῶν, ἵνα οἰνοχοῇ τῷ Διὶ διὰ τὸ κάλλος. καὶ ὅτι ὁ καὶ περισσός. κατ' ἔνια τὸν μὲν ἀνηρείψαντο. A.

235. καὶ τοῦτο ὁμοίως. ἢ γοῦν ἀνηρείψαντο κάλλους εἵνεκα οἷο, ἢ ἵνα ἀθανάτοισι μετείη κάλλεος εἵνεκα οἷο.

ὁ ἀριστάρχειος, ὅτι τοῦτον γράφουσι τὸν στίχον καὶ ἐν τῇ Ὀδυσσείᾳ (15, 251) ἐπὶ τοῦ Κλείτου ὁ δεύτερος. A.

236. τέκεθ' υἱόν: ἐξ Εὐρυδίκης τῆς Ἀδράστου. V. ἐκ Βατίας τῆς Τεύκρου, ὡς Ἑλλάνικος. V.

237. Τιθωνὸν τέκετο: ἐκ Τρωμοῦς τῆς Σκαμάνδρου. V.

240. Ἕκτορα: ἀπὸ τοῦ ἀρίστου τῶν Πριαμιδῶν ἠρκέθη τὸ σύμπαν δηλῶσαι γένος. B.

242. ἀρετήν: τὴν ἀνδρείαν. τοῦτο δὲ διὰ τὸν ὀνειδισμὸν τῆς φυγῆς, ὡς καὶ Ἕκτωρ „ὅσε κε ἄλκιμον ἄνδρα φοβεῖ" (Il. 17, 177). ἢ τὴν βασιλικὴν δόξαν. φησὶν ἓν ὅτι νῦν μὲν ὅτοι ἔχουσιν, ὕστερον δὲ ἴσως ἡμεῖς ἕξομεν. B.

243. ὃ γάρ κ' ὄχ' ἄριστος: ἐν ἄλλῳ ὃ γὰρ κάρτιστος. A.

246. ἔσι: τεχνικῶς ἐκ ἀπολογεῖται μὲν περὶ τῆς φυγῆς, διασύρει δὲ τὸ ὀνειδίζειν. A.

247. ὑπὸ ἑκατὸν ἐρετῶν ἐλαυνομένη· ζυγὰ γοῦν αἱ τῶν ἐρεσσόντων καθέδραι. D.

ἑκατόζυγος: ἤδη ἓν καὶ ἐπὶ τῶν Τρωϊκῶν τηλικαῦται νῆες. ἢ τὴν πολύκωπόν φησιν. V.

248. εὐρεπής: πολύεδρος, εὐμεγέθης. A.

καθολικὸς ὁ λόγος, ἀμοιβὴν δεικνὺς φαύλων τε καὶ χρησῶν λόγων. B. ὃν Ἡσίοδος ἐμέρισεν· „εἰ δὲ κακὸν εἴποις" (O. 719). V.

ἔνι: ἔνεισιν. B.

249. πολὺς νομός: ὥσε πολλὰ εἰπεῖν, καὶ ἐπαινέσαι καὶ ψέξαι, καὶ εἰς ἑκάτερα τὸν λόγον ἀγαγεῖν. ὀξύνει δὲ τὸ νομός, οἷον πανταχῇ τῷ λόγῳ ἰόντος καὶ νεμομένου. B. ὥστε πολλὰ νεμηθῆναι καὶ ἐπιδραμεῖν καὶ ψέξαι καὶ ἐπαινέσαι. πρῶτος γοῦν τῶν Ἀκαδημαϊκῶν οἶδε τὸν εἰς ἑκάτερα λόγον. V.

ὀξυτόνως, ἵνα σημαίνηται ὡς ἐν τῇ συνηθείᾳ ἡ νέμησις· τοῦτο γοῦν ἐμφάσεως μειζονός ἐστι σημαντικόν. A.

251. ἕως τοῦ „πόλλ' ἐτεά τε καὶ ἐκί" (255) ἀθετοῦνται στίχοι πέντε, ὡς ἄκαιροι καὶ ὀχληροὶ προειρημένου τοῦ „ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα" (244). τοῦτο δὲ παραγράφοντός ἐστι τὸν λόγον· πῶς ἓν καθάπερ ἄλλην ἀρχὴν ποιούμενος ἔτι ἀναλαμβάνει „ἀλλὰ τίη ἔριδας;" καὶ τὰ λεγόμενα ἀνάξια τῶν προσώπων. καὶ παρὰ βαρβάροις δέ ἐστι τὸ τὰς γυναῖκας προερχομένας λοιδορεῖσθαι, ὡς παρ' Αἰγυπτίοις. περὶ δὲ τοῦ ἢ τοῦ ὑποτασσομένου τῷ τί καὶ τῷ ἐπεί ἐδηλώσαμεν ἐν τοῖς πρὸ τούτων, ὡς τῷ τί ὑποτασσόμενος μὲν ἐγκλίνεται (ὀξύνεται B), τῷ δὲ ἐπεί περισπᾶται. A.

καὶ νείκεα: ἐν ἄλλῳ καὶ ὀνείδεα. A.

252. ὥσε γυναῖκας: φησὶ γοῦν Ἀριστοφάνης (Ἀριστοτέλης V) „γυνὴ ἀνδρὸς ἐπιφθονώτερον, μεμψιμοιρότερον, φιλολοίδορον, φιλοπληκτικώτερον, μᾶλλον ἀρίδακρυ." BV.

253. χολωσάμεναι: περὶ ἔριδος εἰς χόλον ἀχθεῖσαι. τοῦτο δὲ περὶ ἀσέμνων (ἐπὶ βαρβάρων V) γυναικῶν. BV.

255. ὅτως Ἀρίσαρχος, πολλὰ τά τε καὶ ἐκί, τά τε τοῖς ἀληθείαις ὄντα καὶ μή. τὰ δὲ φαυλότερα τῶν ἀντιγράφων ἑτεά ἔχει, τετέσιν ἀληθῆ. A.

ἄλλως. ὅτως Ἀρίσαρχος· ἄλλοι δὲ πολλά τ' ἐόντα, τὰ δ' ἐκί. A.

πολλά τε ὄντα καὶ οὐκί. ὅτως αἱ Ἀριστάρχου, ἀντὶ τοῦ τά τε τῆς ἀληθείας ὄντα καὶ ὄ. V.

ἄλλως. πολλά τε ὄντα καὶ ἐκ ὄντα· πολλὰ τῆς ἀληθείας ἐχόμενα καὶ πολλὰ ψευδῆ. B.

256. μετασρέψεις: γράφεται ἀποσρέψεις. A.

258. γευσόμεθ': ἀντὶ τῦ ἀψόμεθα, ὅ ἐξιν ἀπόπειραν ληψόμεθα τῆς ἀλλήλων δυνάμεως. εἴρηται δὲ μεταφορικῶς. D.

259. ὅτως ἡ Ἀρισάρχ. διαιρετέον τὸ σάκεϊ, ϗ Ἰακῶς τὸ ἔλασσε. ϗ τὸ δινῷ δὲ ἔξω τῦ ε, ἀπὸ τῦ δινεῖσθαι· „δινωτὴν φορέεσσα" (Il. 13, 407). A.

ἤλασεν: ἔπληξεν, ὡς τὸ „πολέες γ' ἐπ' αὐτῷ χαλκὸν ἔλασσαν" (Il. 24, 421). A.

260. μύκε: ἡ διπλῆ, ὅτι ἀντὶ τῦ ἤχησε ϗ ὁ διεκόπη. A. γράφεται καὶ ἀκωκή. Paris.

261. ἀπὸ ἕο: ἔξω ἀνέτεινεν ἑαυτῦ. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἀπὸ οὗ. A.

263. ῥεῖα: Ἀρίσαρχος ἔξω τῦ ι, ῥέα. A.

265. ῥηΐδια τὰ δυνατά. λέγει δὲ ὅτι τρωτὰ μέν, οὐ ῥηΐδια δὲ εἰς τὸ δαμασθῆναι. ἢ τάχα τὸ Ἀχιλλέως πρόσωπον ὑπεξαίρων ὅτως ἀποσεμνύνει τὰ ὅπλα· ὁ γ' Ἄρης ἡφαιστότευκτα φορῶν νείατον ἐς κενεῶνα τιτρώσκεται (Il. 5, 857). B.

ῥηΐδια: δυνατά· „ἐνθ' ἄ κεν ῥέα ἵππος" (Il. 12, 58). εἰσὶ δὲ τρωτὰ τὰ ἡφαιστότευκτα, ὡς δῆλον ἐξ ὧν Ἕκτωρ φέρων τὰ Ἀχιλλέως ὑπὸ Ἰδομενέως ἐν κανλῷ βάλλεται· „ἐν κανλῷ δ' ἐάγη δολιχὸν δόρυ" (Il. 17, 607). καὶ αὐτὸς ὑπὸ Ἀσεροπαίου· „οὐδὲ διὰ πρὸ δυνήσατο" (Il. 21, 164). Ἄρης τε τιτρώσκεται „νείατον ἐς κενεῶνα" (Il. 5, 857). ϗ Ἀρήϊθοος „ὦ οἱ πύρε χάλκειος Ἄρης" (Il. 7, 146). καὶ Διομήδης ϗ νῦν διὰ τὸ πτύχες. φησὶν ἓν ὅτι τρωτὰ μέν, ἀ ῥηΐδια δέ. ἡ δὲ κνημὶς, ὡς περιφερὴς ϗ εὐόλισθος, οὐ βέβληται. οἱ δὲ τὸ ἔλασεν συνέκρωσεν, ὡς μηδὲ πτύχας πάσας δυνηθέντος συγκρῦσαι τῦ πολεμίου. V.

δῶρα: ἔν τισιν ἔργα. A.

266. δαμήμεναι ἀδ' ὑποείκειν: ἐχ ὅσον τρωθῆναι, ἀλλ' ἀδ' ἐνδῦναι. πρὸς τὰ ἐξῆς ἀθετούμενα. V.

πρὸς τὴν ἐξῆς ἀθέτησιν· ἄτρωτα γ' καὶ ἄθλαζα τὰ ἡφαιστότευκτα. A.

267. ἀδὲ τότ' Αἰνείας: οὐκ ἀρκεῖ τὸ ἄτρωτα ἦν, ἀλλ' ἀδ' Αἰνείας ἔτρωσεν αὐτά φησιν. V.

268. χρυσὸς γὰρ ἐρύκακε: τῦτο δοκεῖ μάχεσθαι τῷ „ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας," ὥσε ἐρρῆξεν. ἔχει δὲ ἀπὸ τῆς λέξεως ἡ λύσις· εἰ γ' μὴ διόλα διῆλθεν, οὐκ ἐρρῆξε τὸ σάκος. ϗ τὸ ἔλασσεν ὁ πάντως ἔρρηξε τὸ σάκος, ἀλλὰ διέθλασεν. B.

269. ἀθετῶ σίχοι δ', ὅτι διεσκευασμένοι εἰσὶν ὑπό τινος τῶν βυλομένων πρόβλημα ποιεῖν. μάχεται δὲ σαφῶς τοῖς γνησίοις· ἄτρωτα γ' τὰ ἡφαιστότευκτα συνίσαδ. ἵνα δὲ μὴ δοκῇ λύσεώς τι εἰρηκέναι, ϗ διὰ τῦτο ἠθετηκέναι φησίν, ὅτι τῆς χρυσῆς πτυχῆς πρώτης κατὰ τὴν ἐπιφάνειαν κειμένης νοητέον τὸ δόρυ τῆς πλείονος ὁρμῆς ἐγκοπὴν εἰληφέναι, διακεκόφθαι μέντοι τὸ σάκος ἕως τῆς τρίτης πτυχῆς, ὃν τρόπον ἐπὶ τῆς πτυχῆς Μενελάου λέγει „ἦ οἱ πλεῖστον ἔρυτο, διὰ πρὸ δὲ εἴσατο καὶ τῆς" (Il. 4, 138). A.

ἤτοι ϗ προηθετῦντο παρ' ἐνίοις τῶν σοφιστῶν. ἐν ἐνίοις δὲ ἀδὲ ἐφέροντο. V.

ἄλλως. ἀτρώτων ὑπαρχόντων παρ' Ὁμήρῳ τῶν Ἀχιλλέως ὅπλων, ϗ ἔξωθεν κατ' ἐνίας τεταγμένης διὰ πλείονα κόσμον τῆς χρυσῆς πτυχός, οὕτως ἀποδοτέον τὸν λόγον· ἀλλὰ μέχρι μὲν δύο πτυχῶν προῆλθεν ἡ τῆς πληγῆς ἐνέργεια, εἴξεως ϗ οἱονεὶ συνιζήσεως γενομένης, ἐν δὲ τῇ τρίτῃ ἐπιχέθη. ἀπορία. πῶς, φασὶν, ἄτρωτον ὑποσησάμενος τὴν ἀσπίδα νῦν τῦτό λέγει; ῥητέον ἓν ὅτι ὁ χρυσὸς μαλθακώτερος ὢν χαλκῦ ἢ σιδήρυ ἐνέδωκε τῷ δόρατι καὶ ἐκοιλάνθη, ϗ ἐγένετο κοιλύτης, ἃ τρῶσις. ABD.

271. τὰς δύο χαλκείας: μέσην νομιστέον τὴν χρυσῆν· ἀπαλώτερος γ' ὢν ὁ χρυσὸς ἐκλελυμένον τὸ δόρυ μετὰ τὴν τῶν χαλκῶν βίαν εὐχερῶς ὑποδέξεδ. ὅτι γ' ἐκ ἦν ἐν τῇ ἐπιφανείᾳ τῆς ἀσπίδος ὁ χρυσός, δηλοῖ δι' ὧν φησὶ τεχνώμενον Ἥφαιστον τὴν ἀσπίδα τὸ μὲν τορεύειν ἐκ χαλκῦ, τὸ δὲ ἐκ κασσιτέρου, τὸ δὲ ἐκ χρυσοῦ. τάχα ῥῦν ἡ μὲν πρώτη ἦν χαλκῆ, ἡ δὲ δευτέρα κασσιτερίνη, ἡ δὲ τρίτη χρυσῆ, ἡ δὲ τετάρτη κασσιτερίνη, ἡ δὲ πέμπτη χαλκῆ. ὁ δὲ Αὐτόχθων πρώτην εἶναί φησι τὴν χρυσῆν ὡς τιμίαν, δευτέραν τὴν χαλκῆν ὡς ἰσχυράν, μέσας τὰς δύο κασσιτερίνας πρὸς τὸ συνάπτειν τὰς πτυχάς, ϗ πέμπτην τὴν χαλκῆν. ὅτι δὲ ἐν τῇ ἐπιφανείᾳ ἡ χρυσῆ, δῆλον ἐξ ὧν φησὶ „χρυσείη περ ἐῦσα." ϗ ἐκ ἂν τὸ καλλιστεῖον ἐπέκρυψε. τὸ δὲ ἔχετο, τῆς ὁρμῆς ἐπαύσατο· ἐχ ὅτι ἐκ ἔτρωσεν, ἀλλ' ὅτι τὸ πλατὺ τῆς ἐπιδορατίδος οὐ διῆλθεν ἀλλ' ἐνεχέθη κατὰ τὸ μέρος τῦτο ἐν τῷ χρυσέῳ. τῷ γ' δόρατος ἡ μὲν ἀκμὴ τιτρώσκει, τὸ δὲ πλάτος τέμνει. τὴν μὲν ἓν ἐκ τῆς ἀκμῆς νύξιν ἐδέξατο ὁ χρυσός, καὶ διὰ τοῦτο καὶ ὁ ὑποκείμενος χαλκός· τὴν δὲ ἐκ τοῦ πλάτους τομὴν οὐκέτι παρεδέξατο ὁ χρυσός. οὐκοῦν ἡ πρὸς τὸ πλάτος τοῦ σιδήρυ ἀντίβασις τῆς χρυσῆς ἐπέχε τὴν τῆς ὕλης ἀσπίδος διακοπήν. B.

ἄλλως. ἐν τῇ Αἰνείᾳ πρὸς Ἀχιλλέα μάχῃ ζήτησιν παρέχε τὰ ἔπη ταῦτα „ἦ ῥα, ϗ ἐν δεινῷ σάκει ἤλασεν ὄβριμον ἔγχος" ϗ τὰ ἑξῆς μέχρι ϗ αὐτῦ τῦ σίχ (272) „τὴν δὲ μίαν χρυσῆν, τῇ ῥ' ἔχετο μείλινον ἔγχος." τῆς γ' χρυσῆς πτυχὸς δοκώσης πρώτης εἶναι, εἴ γε κόσμα ἕνεκα τῆς χρυσῆν εἰς τὸ ἔξω ϗ ὁρώμενον πρώτην ἐνέθηκεν, ὑπ' αὐτὴν δὲ χάριν ϗ τελευταίας τὰς κασσιτερίνας, πῶς δύο τε διέκοψε πτύχας ϗ ἐν τῇ χρυσῇ πτυχὶ ἔξω ἔσῃ ϗ διατμηθεῖσα ἐνεχέθη τὸ δόρυ; ἀπολυόμενοι ἓν τὴν ἀπορίαν οἱ πλέῖοι, τὸ ἔλασεν οὗ φασιν εἰληφθαι ἄνωθεν διέκοψεν, ἀλλ' ἀντὶ τῦ διέθλασεν· θλασθῆναι μὲν γ' ϗ κοιλανθῆναι δύο πτύχας, τὴν χρυσῆν ϗ μίαν τῶν χαλκῶν ὑπὸ τὴν χρυσῆν, μὴ διακοπῆναι δέ, ἀλλὰ χεθέντος ἐν τῇ χρυσῇ τῦ δόρατος, καὶ κοιλάναντος μὲν αὐτὴν ϗ τὴν ὑπ' αὐτὴν, οὐ διακόψαντος δέ. οἱ δὲ ϗ αὐτόθεν ἀξιῶσι μὴ ἔλασσε γράφειν ἀλλὰ θλάσεν, ἄνωθεν φάσκοντες ἁμαρτάνοντά τινα γράψαι τὸ ἔ, τὴν λοιπὴν περιφέρειαν τῦ θ παρέντα· ἄτρωτα γ' ὄντα

τὰ ἡφαιστότευκτα μὴ διακοπῆναί. ἐγὼ δὲ ἐν τῇ χρυσῇ πτυχὶ ἀκέων ἐνχεθῆναι αὐτῷ λέγοντος τὸ δόρυ τῆς εἰς τὸ πρόσω ὁρμῆς, ἃ δύναμαι ἐπινοῆσαι τὴν χρυσῆν πτύχα οὔτ' οὖν διακοπεῖσαν ἔτε θλαθεῖσαν. πῶς γὰρ οἷόν τε ἐλαθῆναι μὲν λέγειν, τετέρι διακοπῆναί, ἢ θλαθῆναί γε δύο πτύχας, ἐν αἷς ἦν ἡ χρυσῆ, ἐνχεθῆναι δὲ ἐν τῇ χρυσῇ τὸ δόρυ; τὸ γὰρ ἐνχεθῆναι τὸ μὴ τὸ αὐτὸ παθεῖν τὴν χρυσῆν, ὅπερ αἱ ἄλλαι, δηλοῖ. οἱ δ' αὖ τὴν πρώτην παθεῖν βέλος μᾶλλον ἢπερ τὴν ὑπ' αὐτήν· ἃ γὰρ ἂν ἐνχεθῆναι ἐν τῇ τρίτῃ, εἰ μὴ ἡ δευτέρα ἐπ' ἔλαττον ἔπαθε τῆς πρώτης. φημὶ τοίνυν ὡς ὁ κόσμος χάριν ἀδὲ τέρψεως ὁ Ἥφαιστος κέχρηται τῇ χρυσῇ πτυχί, ἀλλ' εὐτονίας. εὐτονώτερος δὲ χαλκῆ χρυσός. μέσην ἂν τὴν τῆ χρυσῆ πτύχα ἐξύφανεν εἰς συνοχὴν τῆ παντὸς σάκεος· ἀπαλώτερος γὰρ ὢν ὁ εὔτονος ὁ χρυσός, ὑποκείμενος τῷ χαλκῷ, διεδέχετο τὴν ὁρμὴν ἐκλυθεῖσαν ὑπὸ τῆς τῆ χαλκῆ ἀντιτυπίας εἰς τὸ ἄτρωτον ὑπὸ τῆς προσέσης αὐτῷ εὐτονίας. πρῶτος δὲ ὢν ὁ χρυσός, καὶ παθὼν ὑπὸ τῆς ἐμβολῆς πρώτης, ταχείαν παρεῖχε τὴν διακοπὴν ταῖς ἐκ τῶν εὐθραύστων συνεχώσαις. ὅτι δὲ καὶ χαλκαῖ πτύχες ἦσαν ἐν τῇ ἔξωθεν ἐπιφανείᾳ, μέση δὲ μετ' αὐτὴν ἡ χρυσῆ, ὑφ' ἣν αἱ τῆ κασσιτέρου, δηλοῖ τὸ ἐν τῇ ὁπλοποιᾳ ἐπισημαινεσθαι τὸν ποιητὴν ὅτι τάδε μὲν ἐκ χρυσῆ ἐποίησεν, τάδε δὲ ἐξ ἄλλης ὕλης, ἐκ χαλκῆ δὲ μὴ εἰπεῖν, ὡς ἂν τορεύοντος αὐτῆ ἐν ἄλλῃ πτυχὶ τὰ πλάσματα· „ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη, ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην" (Il. 18, 516). πῶς γὰρ αὐτὸς χρυσῆς ἔφη, χρυσῆς ἔσης τῆς ὑποκειμένης ἐπιφανείας, εἰ μὴ ἐξηλλαγμένα ταῦτα παρὰ τὸ ὑποκείμενον ἐποίει, ἤτοι ἐγκυκλῶν ἢ] ἐγκολλῶν ἢ ἐντορεύων; καὶ νειὸς χρυσῆ „ἀρηρομένη δὲ ἐΐκει χρυσείῃ περ ἐούσῃ" (ib. 548)· „ἐν δ' ἐτίθει σαφυλῆσι μέγα βρίθουσαν ἀλωήν, καλήν, χρυσείην, μέλανες δ' ἀνὰ βότρυες ἦσαν. εἰρήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν· ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασε κασσιτέρου" (ib. 561). καὶ πάλιν „ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων· αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε· χρύσειοι δὲ νομῆες ἅμ' ἐσιχώωντο βόεσσι" (ib. 73). καὶ πάλιν „καί ῥ' αἱ μὲν καλὰς σεφάνας ἔχον, οἱ δὲ ἀχαίρας εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων" (ib. 597). ὧν γὰρ ἐμποικιλλομένων ἔχειν ὧν τὰς ὕλας εἰπὼν ἀργύρου ἐν ἐμνήσθη ἢ χρυσῆ ἢ κασσιτέρου, χαλκῆ δὲ ἐκέτι, ὡς ἂν ἀλκῆς ὑποκειμένης ἐπιφανείας ἐνταῦθα (ἔνθα?) ἐνεποίκιλλεν. ἔφη δὲ ἄτρωτα εἶναι ὅπλα, ἀλλ' ἑαδίως ὑπὸ θνητῶν ἀκοπτόμενα· „ἐδ' ἐνόησε κατὰ φρένα ἢ κατὰ θυμὸν ὡς ἤτοι ἐσι θεῶν ἐρικυδέα δῶρα ἀνδράσι γε θνητοῖσι δαμῆναι ἠδ' ὑποείκειν." ἔδει ἂν μηδὲ θλαθῆναι, ὅπερ ἀξιοῖν ἔλασσεν ἀκέειν, εἴ γε μηδ' ὑπείκειν αὐτὰ ἔλεγεν. φησὶ δ' αὐτὸς ἔφη ὅτι ἐκ ἐῤῥήξε μὲν τὸ σάκος „χρυσὸς ἐρύκακε δῶρα θεοῖο." δύο δὲ διήλασε πτύχας, ἐκείθη δ' ἐν τῇ χρυσῇ, δι' ἣν ἐκ ἐῤῥάγη διὰ παντός. πάνυ δὲ δυσκόλως τὴν κατασκευὴν ἐδήλωσεν, καὶ τὸ μέχρι τίνος ἡ ἐις· πέντε μὲν γὰρ πτύχας ἤλασε Κυλλοποδίων. εἶτα λέγει πρὸς τῇ ἐπιφανείᾳ πρώτας, ὅτι καὶ πρώτας „τὰς δύο χαλκείας," εἶτα τὰς ἀντικειμένας ταῖς πρώταις ἑκάτας· „δύο δ' ἐνδόθι κασσιτέροιο." τὸ δ' ἐνδόθι πρόκειται, ἵνα τὰς χαλκᾶς ἐξωτάτας νοήσωμεν, ὡς τὰς τῆ κασσιτέρου ἐνδόθι, εἶτα λοιπὴν τὴν μέσην· „τὴν δὲ μίαν χρυσῆν." εἰ ἐν „τῇς ἔχετο μείλινον ἔγχος," αἱ δύο χαλκαῖ ἐτρώθησαν πρῶται ὡς ἔσαι πρῶται, αἱ δὲ τρεῖς ἔμειναν ἄτρωτοι· „χρυσὸς γὰρ ἐρύκακε δῶρα θεοῖο." ἕτω δὲ καὶ ἐπὶ τῆς Αἰνείου ἀσπίδος ὕπεξιν ὁ χαλκὸς τῇ βύρσῃ, ὁ μιαλακώτερος τῇ ξηροτέρᾳ· καὶ ὁ κόσμος ἕνεκα χαλκὸς πρόσκειται ἐν ἐπιφανείᾳ, ἀλλ' ὑπόκειται δι' ἀσφάλειαν, ὡς ἐπὶ τῆς Ἀχιλλέως ὁ χρυσός· λέγει γὰρ ἐπὶ τῆς Αἰνείου „δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος, καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα παντοσ' εἴσην, ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατος θὲ χαλκός, λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός." καὶ μέντοι ἀκέωμεν „τὰς δύο χαλκείας" τὴν πρώτην καὶ τὴν πέμπτην, „δύο δ' ἐνδόθι" τέτων τὰς κασσιτερίνας τὴν δευτέραν καὶ τὴν τετάρτην, καὶ ἕτως μέση καὶ τρίτη ἐντὸς ἡ χρυσῆ „τῇ ῥ' ἔχετο μείλινον ἔγχος," μιᾶς καὶ κασσιτερίνης ῥαγείσης. B.

273. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος μετεποίησεν ἕτως, μελίην ἰθυπτίωνα ἀσπίδα νύξ' ἐς χαλκὸν ἀμύμονος Αἰνείαο. ἐκ ἐκ χειρὸς δὲ ἐπέτυχεν ὁ Ἀχιλλεύς, ὅπερ διὰ τῆ νύξε σημαίνεται, ἀλλὰ βέβληκε τὸ δόρυ· διὸ καὶ ἐξῆς αὐτὸ βέλος εἴρηκεν. A.

275. πρύτην: τὴν ἄκραν, ὡς τὸ „ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40). πρὸς τὸ εὐκατάκλειστον δὲ λεπτύνει ὁ χαλκός. B.

276. ἡ δὲ διὰ πρό: κατὰ τὸ ἄνω μέρος τῆς ἀσπίδος διόλυ διαπεράσαν τὸ δόρυ ὀπίσω ἐπάγει τῇ Αἰνείᾳ. A.

277. λάκε: διεκόπη, ὡς καὶ ἐν τοῖς ἱματίοις λακίδες λέγονται αἱ διακοπαί. BD.

278. ἐάλη: συνειλήθη. B.

279. ἡ διπλῆ, ὅτι σαφῶς παρίσησιν ὅτι βέβληται. A.

280. ἀμφοτέρως ἕλε κύκλως: τὸν βύρσινον καὶ τὸν χαλκῆν. B.

283. ἡ διπλῆ, ὅτι βέβληκε τὸ δόρυ ὁ Ἀχιλλεύς, ἃ νένυχεν ἐκ χειρός, ὥσπερ Ζηνόδοτος πεποίηκεν· τὸ γὰρ ἄγχι παγῆναι ἐκ ἄλλως ἔχειν ἢ ἐκ προθέσεως. A.

284. ἐπόρουσεν: καὶ τῦτο σημεῖόν ἐσι τῆ ἠκοντικέναι τὸ δόρυ. V.

288. ἔνθα κεν: πάντα ἠρτημένως ἕως τῆ „εἰ μὴ ἄρ' ὀξὺ νόησε" (291). διορθωτέον ἐν αὐτὰ ὡς ἐν τῇ B (261) „εἰ μὴ ἐγώ σε λαβών." A. καὶ τὰ ἑξῆς. V.

289. τό: ἢ τὸ σάκος, ἢ αὐτὸ τὸ πρᾶγμα τὸ βληθῆναι τὴν κόρυθα ἢ τὸ σάκος, ἅπερ ἐκ ἤμελλε βληθέντα ὄλεθρον ἐπάξειν τῷ Ἀχιλλεῖ· ἰσχυρὰ γὰρ ἦσαν. AB.

290. χεδόν: ἀντὶ τῆ ἐγγύς, καὶ ἀχ ὡς ἡμεῖς. V.
ἡ διπλῆ πρὸς τὸ χῆμα· τὸν δὲ τὴν ψυχὴν ἀφείλετο. A.

291. εἰ μὴ ἄρ' ὀξὺ νόησε: ἅμα τῷ διανοήματι δεῖ νοῆσαι καὶ τὸν λόγον τῶν θεῶν, εἴγε καὶ τὰ ἔργα αὐτῶν τοιαῦτα· „ὡς δ' ὅτων ἀΐξῃ νόος ἀνέρος" (Il. 15, 80) καὶ „τρὶς μὲν ὑρέξατ' ἰὼν" (Il. 13, 20). εἰ γὰρ τοσαῦτα λέγων ἐνε-

βράδυνεν, ἀνῃρέθη ἂν Αἰνείας. πῶς δὲ ἡ Ἀφροδίτη οὐ βοηθεῖ τῷ υἱῷ; ὅτι δέδιε τὴν Παλλάδα. AB.

ζήτηται πῶς τὸν Αἰνείαν ἐκ Ἀπόλλων ἐρρύσατο ἀλλὰ Ποσειδῶν, καὶ φασιν ὅτι ἡ μεγάλη περὶ θεὸς εὐσέβεια δυσωπῆσα τυγχάνει καὶ τὰς δι' ἔχθρας ὄντας. AD.

293. ἄχος μεγαλήτορος Αἰνείαο: λείπει ἡ περί. B.

298. ἡ διπλῆ, ὅτι Αἰνείας ὁ συνεγράφη τῷ τῶν Πριαμιδῶν πολέμῳ· διὸ καὶ ὁ Πρίαμος ὑπώπτευεν αὐτόν, ἐκ ὡς ἔνιοί φασιν, ὅτι ἐπετίθετο τῇ βασιλείᾳ. βραχὺ δὲ διασαλτέον ἐπὶ τὸ μάψ πρὸς τὸ σαφέστερον. A.

299. ἡ διπλῆ, ὅτι ὅτως εἶπε θεοῖσι καὶ ἐκ ἡμῖν, ὡς ἐκ ὢν καὶ αὐτὸς θεός. καὶ ἐν Ὀδυσσείᾳ (1, 66) „πέρι δ' ἰρὰ θεοῖσι." A.

303. Ἀρίσαρχος γράφει ὄφρα μὴ ἄφαντος γενεὴ δμηθέντος ὄληται. Paris.

304. Δαρδάνε: προϊσόρησεν ἤδη τίς ὁ Δάρδανος, ἵνα μὴ νῦν ζητῶμεν. V.

306. ἤδη γάρ: διὰ τὴν τῶν ὅρκων παράβασιν μισητὸν ὁ Ζεὺς ἡγήσατο τὸ τῶ Πριάμε γένος. B.

ἤχθηρε: παρὰ Ἀριστοφάνει ἤχθαιρε. A.

307. τὸ νῦν τὸ μέλλον δηλοῖ. οἱ δὲ Αἰνεία ἀπόγονοι καὶ Ῥώμην κτίζουσιν· οὐ γὰρ οἱ τῶν παίδων παῖδες μόνης ἄρχουσι τῆς Ἰλίου. οἱ δέ φασιν, ἐδὲ τὸ Ἴλιον Αἰνείας ἔκτισεν, ἀλλὰ τὸ βίη ἀντὶ τῶ γενεά λαμβάνουσι. B.

Αἰνείαο βίη Τρώεσσιν ἀνάξει: σημειῶνταί τινες πρὸς τὴν ἱστορίαν, καὶ ἐπεὶ μεταγράφουσί τινες Αἰνείω γενεὴ πάντεσσιν ἀνάξει, ὡς προθεσπίζοντος τῷ ποιητῇ τὴν Ῥωμαίων ἀρχήν. AB. Ἀφροδίτη, χρησμῷ ἐκπεσόντος ὅτι τῆς τῶν Πριαμιδῶν ἀρχῆς καταλυθείσης οἱ ἀπ' Ἀγχίσε Τρώων βασιλεύσουσιν, Ἀγχίσῃ ἤδη παρηκμακότι συνῆλθεν· τεκοῦσα δ' Αἰνείαν, καὶ βαλομένη πρόφασιν κατασκευάσαι τῆς τῶν Πριαμιδῶν καταλύσεως, Ἀλεξάνδρῳ πόθον Ἑλένης ἐνέβαλε, καὶ μετὰ τὴν ὑρπαγὴν τῷ μὲν δυκεῖν συνεμάχει τοῖς Τρωσί, ταῖς δὲ ἀληθείαις παρηγόρει τὴν ἧττταν αὐτῶν, ἵνα μὴ παντελῶς ἀπελπίσαντες ἀποδῶσι τὴν Ἑλένην. ἡ ἱστορία παρὰ Ἀκεσιλάῳ. ABD.

Τρολας ἀλύσης Αἰνείας Ἀγχίσην παραλαβὼν τὸν πατέρα ἔφυγεν· ναυαγίῳ δὲ περιπεσὼν περὶ τὸν Ἄθω ἀνῆει σὺν τῷ πατρί. καὶ Ἀγχίσης μὲν πρὸς τῷ Κάλαύρῳ ὄρει πλησίον Ἀνθέμε ποταμῷ τελευτᾷ, θάψας δὲ αὐτὸν Αἰνείας, ὅπε καὶ νῦν τάφος ἐστὶν Ἀγχίσε λεγόμενος ἐν πυάνῃ, κατὰ βούλησιν τῆς μητρὸς Ἀφροδίτης πόλιν ἔκτισε τὴν ἀπ' αὐτῦ Αἰνειάδα προσαγορευθεῖσαν. τελευτήσαντος δὲ τέτε ὁ ἐξ αὐτῆς γενόμενος παῖς λάθρᾳ ἐπὶ τὴν πατρῴαν ἀρχὴν παραγενόμενος, καὶ πόλιν ἀναιρήσας, παραλαβὼν δὲ τὸν ερατόν, μετῴκησεν εἰς Ἰταλίαν, καὶ κτίζει πόλιν Ῥώμην. AD.

οἱ μὲν διὰ Ῥωμαίους φασίν, ἅπερ εἰδέναι τὸν ποιητὴν ἐκ τῶν Σιβύλλης χρησμῶν. οἱ δέ, ὅτι Αἰολεῖς ἐξέβαλον τὲς ἀπογόνες Αἰνείε. παίεσι δὲ ὅσοι φασὶ τῦτο εἰδυῖαν Ἀφροδίτην μηχανήσαθ τὸν Τρωϊκὸν πόλεμον. V.

308. αἱ διὰ τῶν πόλεων λίπωνται· εἶχον ἀντὶ τῦ γένωνται. A.

311. ἡ διπλῆ, ὅτι περισσὸς ὁ κέν, ἢ ἔχει τὸ ἐξῆς, ἢ ἐρύσεις ἢ αὐτὸν ἐάσεις. ἡ δὲ ἀναφορὰ πρὸς τὰς τοιαύτας ἀνα-γνώσεις, ὅτι „πρῶτον μέν, ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι" (Il. 6, 260) „μάλιστα δέ κ' αὐτὸς ἀνέγνω" (Il. 13, 734). A.

313. ὠμόσσαμεν ὅρκια: καὶ γάρ φησιν „ἴστω νῦν τόδε γαῖα καὶ ὐρανός, καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, σή θ' ἱερὴ κεφαλὴ καὶ νωίτερον λέχος" (Il. 15, 36). V.

323. ἀθετῦνθ εἶχοι τρεῖς, ὅτι ἐκ ἐνέχηθ τῇ ἀσπίδι τὸ δόρυ τῦ Ἀχιλλέως, ἀλλὰ „διὰ πρὸ Πηλιὰς ἤϊξεν μελίη" (276) καὶ „ἐγχείη δ' ἄρ' ὑπὲρ νώτε ἐνὶ γαίῃ" (276). πῶς ἐν ὁ Ποσειδῶν ἐκ τῆς ἀσπίδος ἦρυσε τὸ δόρυ; A.

ἀθετῦσί τινες τὲς εἴχας ὡς ἐναντίες τοῖς προκειμένοις· ἐ γὰρ ἔχη ἐν τῇ ἀσπίδι τὸ δόρυ· φησὶ γὰρ „διὰ πρὸ Πηλιὰς ἤϊξεν μελίη" καὶ „ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ ἔχη ἐμένη." ἔοικε δὲ τοιοῦτόν τι σχῆμα περὶ τὴν πληγὴν γεγενῆσθ· κατὰ μὲν γὰρ τὴν αἰχμὴν ἐμπεπήγει τῇ γῇ, κατὰ δὲ τὸν σύρακα τῇ ἀσπίδι· ὅθεν τῆς ἀσπίδος προσερειδομένης τῷ δόρατι, ὥρμησεν ὅτος εἰς τὴν τοῦ λίθου βολήν (προσερ. τῷ σώματι τὸ ξίφος ἐπισπάσαθ μὴ δυνάμενος ὥρμησεν ἐπὶ τὸν λίθον. V). BV.

325. Αἰνείαν δ' ἔσσευεν: πολλή τις ἔμφασις Ποσειδῶνος τὸν ἥρωα τοσῦτον διάστημα μετεωρίσαντος. V.

327. δύνα ἡ ἀπό καὶ ἀναιρέφεσθ, ἵν' ᾖ ἀπὸ θεῦ, καὶ φυλάσσειν τὸν τόνον, ἵν' ᾖ ἀπορᾶσα· ὅπερ καὶ βέλτιον. A.

329. Καύκωνες: περὶ Παφλαγονίαν φασὶν οἰκεῖν τὲς Καύκωνας. καὶ πῶς ἐ συγκατέλιξεν αὐτὲς ἐν τῷ καταλόγῳ; ἢ τοίνυν νεήλυδές εἰσιν, ἢ ἐν τοῖς Λέλεξι περιέχονται. AB. τινὲς δὲ καὶ φέρουσι τὸ „Καύκωνας αὖτ' ἦγε Πολυκλέος υἱὸς Ἀμειβος, οἱ περὶ Παρθένιον ποταμὸν κλυτὰ δώματα ναῖον." V.

οἱ μὲν Τρωϊκὸν ἔθνος βάρβαρον, ἄλλοι δὲ Παφλαγονίας, οἱ δὲ τὲς ἐπίκλην Καυνίες· ἡ δὲ Καῦνος πόλις παρὰ λιος Λυδίας καὶ Καρίας. BD.

331. καί μιν φωνήσας: παρὰ Ζηνοδότῳ καί μιν εικείων, παρὰ Ῥιανῷ τὸν καὶ νεικείων. A.

332. ἀτέοντα ἀφροντιζῦντα, φρενοβλαβοῦντα· „ὃ δ' πρῶτον μὲν ἀτίζων ἔρχε" (166). καὶ ἀτίζω τὸ μωραίνω. AB.

ὅτως ἐν ἁπάσαις. ἀτέοντα ἀφροντιζῦντα. Καλλίμαχος „Μισέων κεινὸς ἀνὴρ ἀτέει." τὸ ἀτέοντα ὡς νοέοντα ἔχει γ' τῆς πρώτης συζυγίας τῶν περισπωμένων. ABV.

333. ἐν ἄλλῳ δὲ ἀντὶ Ἀχιλλῆος πολεμίζειν ἠὲ μάχεσθαι. A.

334. σεῦ: ὀρθοτονητέον τὴν ἀντωνυμίαν, ὡς ἐκεῖ (Il. 2, 27) „ὃς σεῦ ἄνευθεν ἐών" ἔχει γ' καὶ ἀντιδιασταλτική. AB.

φίλτερος ἀθανάτοισι: πολλάκις γ' καὶ τῦ ἰχυρῦ περιγίνεται ὁ Θεοφιλής. BV.

335. συμβλήσεαι: ἀπροοράτως συμβάλῃς. πρὸς κατάπληξιν καὶ τὸ ὑπὲρ μοῖραν τέθειθ. ἐ μόνον δὲ διασώζει, ἀλλὰ καὶ εἰς τὸ μέλλον ὑποθήκας δίδωσι σωτηρίας. B.

346. τῷ δ' ἐφέηκα: ἐν ἄλλῳ τῷ ἐφέηκα. ἡ διπλῆ, ὅτι βέβληκε τὸ δόρυ ἐπὶ τὸν Αἰνείαν καὶ οὐκ ἐκ χειρὸς ἔτρωσεν, ὡς Ζηνόδοτος γράφει. λέγει γοῦν ῥητῶς ἐφέηκα. A.

356. δέ μοι: ἄμεινον ἐνθάδε ἀπόλυτον λαμβάνειν τὴν ἀντωνυμίαν, τουτέστιν ἐγκλιτικήν. A.

357. τόσσους δ': ὁ Ἀσκαλωνίτης προπερισπᾷ, ἐπεί, φησί, κατὰ δεῖξιν λέγεται καὶ τὸ „τοσσῆσδ' ὑσμίνης" (359). Ἀρίσταρχος μέντοι καὶ οἱ πλείους παρολκὴν ἐξεδέξαντο τοῦ δε, καὶ ἐπείσθη ταύτῃ τῇ ἀναγνώσει ἡ παράδοσις. οὐκ ἀδόκιμος δὲ καὶ ἡ τοῦ Ἀσκαλωνίτου. A.

362. στιχός: ὡς τριχός, ἀπ' εὐθείας τῆς στίξ· καὶ γὰρ στίχες λέγει καὶ στίχας. τὸ δὲ εἶμι προπερισπαστέον· σημαίνει γὰρ τὸ πορεύομαι. AB.

ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι δι' ὅλης τῆς τάξεως πορεύσομαι δι' ἀνταίας ἀπ' ἀρχῆς ἕως τοῦ πέρατος τῆς φάλαγγος. AB.

367. καί κεν ἐγὼν ἐπέεσσι: εἰς τὰ ἔργα κελεύει ἀφορᾶν, οὐκ εἰς τὰς ἐπαγγελίας. τάχα δὲ διδάσκει μὴ μέγα κατὰ τῶν ἀπόντων φρονεῖν. B.

370. κολούει: ἀτελὲς ποιεῖ, ὡς τὸ „πῆλ' αὐτὸς ἐν χειρὶ κόλον δόρυ" (Il. 16, 117). B. ὡς τὸ „ἐνικλᾶν ὅττι νοήσω" (Il. 8, 408). V. ἀκέφαλον καὶ ἀτελῆ ποιήσει, τουτέστιν ἀποτεύξεται πρὸ τοῦ ποιῆσαι. D.

371. τῷ δ' ἐγώ: ἐν ἄλλῳ τοῦ δ' ἐγώ. A.

372. πρὸς τὴν ἐπανάληψιν, ὅτι ἐν Ἰλιάδι συνεχῶς, ἐν δὲ Ὀδυσσείᾳ ἅπαξ. A.

ποικίλον τὸ διανόημα, καὶ πολὺν ἐν βραχεῖ νοῦν ἔχον, καὶ διὰ τῆς ἐπαναλήψεως ἐμφαῖνον ὑπερβολὴν τῆς ἀμφοῖν δυνάμεως, πυρὸς μὲν ὀξύτητα, σιδήρου δὲ καρτερίαν παραλαβόν. AB.

373. ἔγχε' ἄειραν: γράφεται ἔσαν Ἀχαιῶν. A.

375. Ἕκτορα εἶπε: ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ πρός πρόθεσις, πρὸς Ἕκτορα. καίτοι παρῆν εἰπεῖν Ἕκτορι εἶπεν, ἀλλὰ συνήθως παρέλιπε τὴν πρόθεσιν· „καὶ τότ' ἄρ' Αἴας εἶπε τοὴν ἀγαθὸν Μενέλαον" (Il. 17, 237). A.

376. μηκέτι: μηδαμῶς προμάχει, ἀλλὰ σὺν τοῖς ἄλλοις αὐτὸν ἐκδέχου. ταμιεύεται δὲ ὁ ποιητὴς τὸ πρόσωπον Ἕκτορος εἰς τὰ τελευταῖα. B.

378. ἡ διπλῆ, ὅτι διέσταλκε τὸ βαλεῖν καὶ τὸ τύψαι διαστολικῶς προσθεὶς χεδόν, οἷον χέδην, ἐκ τοῦ σύνεγγυς. A.

383. ἐσθλὸν Ὀτρυντείδην: ἔθος μὲν αὐτῷ ποικίλλειν ἐν ταῖς ἐπιδιηγήσεσι τὸν λόγον, νυνὶ δὲ καιριώτατα χρῆται τῷ τοιούτῳ εἴδει· μετὰ γὰρ τὰς τοσαύτας μάχας καὶ παιρέσεις ἔδει καὶ ἄλλοις ἔξωθεν ἔπεσι χρήσασθαι (ἔδει καλλωπίσμασι χρήσασθαι ἔξωθεν V) διὰ τὸ προσκορές. ἅμα δὲ περὶ τοῦ συστῆσαι τὸν πρώτως ὑπ' Ἀχιλλέως ἀνῃρημένον, ὅτι οὐ τῶν τυχόντων ἦν. B.

384. ὅν: ἔν τισι τῶν φαύλων ἀντιγράφων τόν διὰ τοῦ A.

385. Τμώλῳ: ὄρος Λυδίας. B.

οὕτως Ὕδης διὰ τοῦ δ, τῆς Λυδίας· Ὕλη δὲ τῆς Βοιωτίας. B.

διὰ τοῦ δ τὸ Ὕδης· ἔστι γὰρ πόλις Λυδίας (ἡ νῦν καλουμένη Σάρδεις D). γράφεται δὲ καὶ διὰ τοῦ λ, ὡς τὸ „Ὕλῃ ἔνι οἰκία ναίων" (Il. 7, 221)· ἔστι δὲ πόλις τῆς Βοιωτίας. B.

386. ἰθὺς μεμαῶτα: ἀντὶ τοῦ εἰς εὐθὺ ὁρμῶντα. B.

387. πᾶσα: ἀντὶ τοῦ ὅλη. B. „πάντα νέκυν καταείνυον" (Il. 23, 135). V.

388. δούπησεν: ἡ διπλῆ, ὅτι ἐκ τοῦ παρακολουθοῦντος ἀντὶ τοῦ ἀπέθανεν. AB.

389. ὅτι ὁ Ἀχιλλεὺς γινώσκων αὐτὸν ἐξ ὀνόματος καλεῖ. B.

390. ἕν ἐστι τὸ ἐνθάδε, ὡς καὶ ὁ Ἀσκαλωνίτης. ἔστι γὰρ δεικτικὸν τῆς ἐν τόπῳ χέσεως, ὥσπερ καὶ τὸ „ἐνθάδε κ' αὖθι μένων" (Od. 5, 208), ὥστε πρὸ τῆς δε συλλαβῆς ἡ ὀξεῖα. A.

δεικτικόν ἐστι τὸ ἐνθάδε, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον. B.

γενεὴ δὲ: σημειωτέον ὡς δι' ἀκριβείας ἴσασιν ἀλλήλους, ὡς καὶ Δόλωνα οἱ περὶ Διομήδην. V.

391. Γυγαίῃ: οὕτως ἐν Λυδίᾳ λίμνη καλουμένη Γυγαίη, ἤτοι ἀπὸ Γύγου τοῦ Κανδαύλου, ὃν πρῶτόν φασι βασιλεῦσαι Λυδῶν, ἢ ἀπό τινος ἐγχωρίου ἥρωος, Γύγου καλουμένου. AD.

τέμενος πατρώϊον: κώμη ἐστὶ Λυδίας Ἅλαδα, ἔνθα φησὶν Ἡρόδοτος βωμὸν Ἰφιτίονος καὶ ἄγαλμα λίθινον κολοσσικὸν ἠκρωτηριασμένον, ἀρχαίῳ τύπῳ εἰργασμένον· καὶ τοὺς περὶ τὴν λίμνην καλάμους συνδονεῖσθαι εἰλειδίοις, ὥς φησιν „ὅθι τοι τέμενος πατρώϊόν ἐστι." V.

392. Ὕλλῳ ἐπ' ἰχθυόεντι: τὸ σχῆμα ὁμοιόπτωτον. ἐν βραχεῖ δὲ τό τε πλῆθος ἔδειξε τῶν ἰχθύων τοῦ Ὕλλου, τοῦ τε Ἕρμου τὸ ταχὺ τῶν ῥευμάτων· δυσπέρατος γὰρ ἐστιν. B.

Ὕλλος νῦν Ὀῤῥύγιος καλεῖται. ἐκβάλλει δὲ μεταξὺ Θυατείρων καὶ Σάρδεων. V.

394. δατέοντο: ἐναργῶς ἔδειξεν αἰκισμὸν σώματος ὑπὸ τῶν παραθεόντων τροχῶν διαιρουμένου. B.

395. Δημολέοντα: οὕτως Ἀρίσταρχος. τινὲς δὲ Δηϊλέοντα. B.

ἐν ὀλίγοις ὅλα δεδήλωκε, τὸ ὄνομα, τὸν τρόπον, τὸν πατέρα, τὸν τόπον ἐφ' ὃν ἡ πληγή, ὅτι ἐπὶ τὴν κεφαλήν, καὶ ὅτι διὰ τῆς κυνῆς, καὶ κατὰ ποῖον μέρος τῆς κεφαλῆς, καὶ μέχρι ποῦ διῆλθε. καὶ ἡ ἐπεξεργασία δὲ θαυμασία. ἄμφω γὰρ κατὰ τῆς κεφαλῆς τέτρωνται· ἀλλ' ὁ μὲν πρόσω ἱέμενος κατὰ μέσην τὴν κεφαλὴν τέτρωται, ὁ δὲ ἤδη παρατρέχων, ὡς ἔοικε, καὶ εἰς φυγὴν ὁρμώμενος διὰ τοῦ κροτάφου. ὁ δὲ τρίτος κατὰ τὸ μετάφρενον ἀπεστραμμένος τιτρώσκεται. B.

396. ἐσθλὸν ἀλεξητῆρα: ἀγαθὸν ἐν τῇ μάχῃ βοηθόν. δύναται δὲ καὶ εἰς τὸ ἐσθλόν ἡ στιγμὴ τίθεσθαι, καὶ γράφεσθαι μάχης. A.

ἐκ τῶν τριῶν λέξεων ἓν σημαίνει, ἐν πολέμῳ ἀγαθόν. θετέον οὖν ἐπ' αὐτὸν τὴν συναφὴν σύνδυο τῆς τε πρώτης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ᾗ δευτέρας καὶ τρίτης λέξεως. δύναται δὲ καὶ τὸ ἐωθλὸν καθ' ἑαυτὸ εἶναι. A.

401. ἀΐξαντα: γράφεται ἀΐσσοντα, καταβάντα τῶν ἵππων. A.

404. ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν τῶ ἤρυγεν. A.

Ἑλικώνιον ἀμφὶ ἄνακτα: τὸν Ποσειδῶνα, ἤτοι ὅτι ἐν Ἑλικῶνι ὄρει τῆς Βοιωτίας τιμᾶται, ἢ ἐν Ἑλίκῃ· μᾶλλον ὢν παρὰ τὸν ἐν Ἑλίκῃ, ὅτι Ἑλικὼν μὲν Βοιωτίας ὄρος, Ἑλίκη δὲ νῆσος τῆς Ἀχαΐας, ἱερὰ Ποσειδῶνος. ἡ δὲ ἱστορία αὕτη. Νηλεὺς ὁ Κόδρου χρησμὸν λαβὼν ἀποικίαν ἔσχεν εἰς Μίλητον ἀπὸ τὴν Καρίαν ἐξ Ἀθηνῶν καὶ τῆς Ἀχαϊκῆς Ἑλίκης. παραγενόμενος δὲ εἰς τὴν Καρίαν ἱερὸν Ποσειδῶνος ἱδρύσατο, ἀπὸ τῶ ἐν Ἑλίκῃ τεμένους Ἑλικώνιον προσηγόρευσε. δοκεῖ δ' ἐπὰν θύωσι τὸν θεὸν βοησάντων μὲν τῶν βοῶν προσδέχεσθαι τὸ θεῖον τὴν θυσίαν· σιγῶντα δὲ λυπεῖνται, μηνίειν νομίζοντες. ἡ ἱστορία παρὰ Κλειτοφῶντι. A.

Ἄλλως. οἱ Αἰολεῖς παρὰ τὰς γενικὰς τῶν πρωτοτύπων ποιοῦσι κτητικὰς τύπους, Ἑταίρων Ἑταιρώνιος, Ἀνεμώνιος, Ἑτοιμώνιος, Ἑλικώνιος. τὰ δὲ διὰ τῶ ιος, εἰ μὲν τὸ πρωτότυπον εἰς ος ἔχει, διὰ τῆ ησιος, Ἰθάκος Ἰθακήσιος, βροτήσιος, ἐτήσιος· εἰ δὲ τρέποιτο τὸ η τῆ πρωτοτύπῳ εἰς α παρὰ Δωριεῦσι, διὰ τῆ α, Πρυμνάσιον, Κορυφάσιον. ἔτως ἔχει καὶ τὸ Κοράσιον, ὃ μᾶλλόν ἐστι Μακεδονικόν. B. φησὶν ὧν τὸν ἐν Ἑλίκῃ τῆς Ἀχαΐας τιμώμενον. V.

Ἀπελεύς, φασίν, ἐν Μιλήτῳ ἱερὸν Ποσειδῶνος Ἑλικωνίου ἱδρύσατο κατὰ μίμησιν τῶ ἐν Ἑλίκῃ τῆς Ἀχαΐας. σύνηθες δὲ τοῖς ἐκεῖ καθ' ἕκαστον ἔτος ἐγκυκλεῖν τὰς θυσίας τῷ θεῷ, σημεῖα λαμβάνουσιν ἀπὸ τῆς τῶν ταύρων ἐργῆς· βοώντων γὰρ τῶν ταύρων δοκῆσιν εὐμενῆ τε εἶναι τὸν θεὸν καὶ τὴν θυσίαν ἀσπάζεσθαι. εἰκότως δὲ ἔτος ἀνεργγάνων τὸ αἷμα καὶ ἀξέως ἀποθνήσκει· τὴν γὰρ τραχεῖαν ἀρτηρίαν διεκόπη καὶ τὸν σόμαχον διῤῥῆ (ὃ ἐστὶ τὸν οἰσοφάγον V). καὶ μέχρι δὲ τῶ θυμῶ φθάνει τὸ δόρυ. θυμὸς δέ ἐστιν ἄδην μεταξὺ τῶν κλειδῶν κείμενος πρὸς τὸ μὴ πλήττεσθαι ὑπὸ τῆ ὀξῆ τὴν τραχεῖαν ἀρτηρίαν. BV.

406. ἐργγόντα: ὡς φαγόντα· ἔστι γὰρ δευτέρᾳ ἀορίστῳ, καὶ ὡς ἔφυγε φυγόντα, ἔτως ἤρυγεν ἐργγόντα. A.

πρὸς τὴν ἐπανάληψιν τῶ ἤρυγε τὸ σημεῖον. V.

410. πάντας: τοὺς νόθους μόνον· ὁ γὰρ Πολίτης „σκοπὸς ἧε ποδωκείῃσι πεποιθώς" (Il. 2, 792). ἐπινοεῖ δὲ ἑκάστῳ τὸ πρὸς διήγησιν ἡδύ. λέγει δὲ ὅτι τὸ πλεονέκτημα ἀνέπεισεν αὐτὸν ἀντιζῆναι Ἀχιλλεῖ, ἐλπίσαντα φεύξεσθαι ταχύ. B.

414. νῶτα παραΐσσοντος: τὰ νῶτα παρακλίνοντος. B.

ἔτως κατὰ γενικὴν παραΐσσοντος. A.

ὀχῆες: ἧλοι ἢ κρίκοι. συνέχεσθαι δὲ τὸν ζωστῆρα πρὸς τὸν θώρακα νοητέον. ἢ καθ' ὑπερβατὸν ἐκδεκτέον, ἀντικρὺ δὲ διέχε παρ' ὀμφαλὸν ὄθι ζωστῆρος ὀχῆες. διπλοῖ δὲ ἦσαν οἱ θώρακες κατὰ τὸν τῆς ζώσεως τόπον. B.

415. ἡ διπλῆ, ὅτι κατὰ τὴν τῶ ζώματος ἐπιβολὴν πρὸς τὸν σατὸν θώρακα, καὶ διπλᾶς ἦν ὁ θώραξ. B.

418. ποτὶ οἱ δ' ἔλαβε: πρὸς ἑαυτὸν ἀποκλισθεὶς (ἀποκυλισθεὶς V) ἔλαβε τὰ ἔντερα. περισπαστέον δὲ τὴν οἱ. BV.

περισπαστέον τὴν οἱ· ἔστι γὰρ πρὸς ἑαυτόν. A.

421. κάρ ῥά οἱ ὀφθαλμῶν: ὁ γὰρ ἥλιος ἀμελεῖν αὐτὸν τῆς ψυχῆς τε καὶ τῆς ἐντολῆς Ἀπόλλωνος ποιεῖ.

424. ἀνέπαλτο: ἐδήλωσε διὰ τῆς λέξεως τὸν ὑπὸ τῆς ἡδονῆς οἷον ἑαυτῶ κρείττω γενόμενον. B.

ἀνεπήδησεν, ἀνήλατο. A.

425. ἐσεμάσσετο θυμόν: ἤψατο τῆς ψυχῆς, ἢ ἐκηλίδωσεν. B.

426. Ἀρίσαρχος δ' ἂν ἔτι δήν, διὰ τῶ ἄν. A.

427. ἀνὰ πτολέμοιο γεφύρας: ἐν τοῖς μεταξὺ τῶν φάσεων διαστήμασιν. B.

431. Πηλείδη μὴ δή: σύντομος ὁ λόγος τοῦ πρὸς τιμωρίαν σπεύδοντος. πρὸς Αἰνείαν δὲ πλείων ἀποτέτακται λόγος. B.

434. κατ' εἰρωνείαν τὸ ἐσθλός· προεῖπε γὰρ τὸ „οἱ ταρβήσας" (430). B.

435. ἐν γένασι: ἰκεσίαις, λιταῖς, ἢ κόλποις, ἢ δυνάμει. B.

436. χειρότερος: χέρειος, χερειότερος, συγκοπῇ καὶ πλεονασμὸς χειρότερος. A.

437. ὀξὺ πάροιθεν: συναφὴ ἐπὶ τὰς τελευταίας δύο λέξεις· ἐν γὰρ ἐξ ἀμφοτέρων δηλῶται, τὸ ὠξυμμένον κατὰ τὸ ἔμπροσθεν μέρος. A.

πάροιθεν: ὅτε τὸν Πάτροκλον ἀνῄρηκεν. V.

439. ἐπὶ τὸ πνοιῇ βραχὺ διαυλιτέον πρὸς τὸ σαφέστερον. AB.

καταγέλασα ταῦτα, ὥς φησιν Ἡρακλέων. V.

πάλιν: ἐπὶ τὸ ἕτερον μέρος τοῦ Ἀχιλλέως, ὃ ἐστὶ τὸ ἐναντίον. B.

440. ἦκα μάλα ψύξασα: πάνυ ἠρέμα καὶ πράως καὶ ταπεινεύσασα καὶ ὑποκλάσασα τῆς ὁρμῆς, ἢ κάθοφον ποιήσασα. D. τῇ κινήσει τῆς χειρὸς ἠρέμα ἐξανεμίσασα, ἢ τὸ „ψύχεος ἰμείρων κατελέξατο" (Od. 10, 555). BV.

ἡ διπλῆ, ὅτι ψύξασα, φυσήσασα τῷ ἑαυτῆς πνεύματι ἀπέρεψε τὸ δόρυ. A.

443. τὸν δ' ἐξήρπαξεν Ἀπόλλων: πιθανῶς ἀναιτᾷ τὴν ἐπιθυμίαν τῶν ἀκροατῶν, εἰς τέλος τῶν ποιήσεων ἑαυτῷ ταμιευόμενος τὴν σφαγὴν Ἕκτορος. πρὸς δὲ ἄπιστον βοηθείᾳ χρῆται, ὥσπερ ἀπολογούμενος ὑπὲρ τῶ ἀπὸ διὰ τῶ ῥεῖα μάλ'. AB.

450. ἐρύσσατο: γράφεται ἐρύσατο. A.

451. ἡ διπλῆ, ὅτι ἀντὶ τῶ ᾧ ἔοικας εὔχεσθαι παραγενόμενος εἰς πόλεμον. AB.

ἄλλως. ἐν ἄλλοις ὁ στίχος ἔτος ἀ κεῖται.

452. περισπαστέον τὸν ἢ· ἔστι γὰρ βεβαιωτικός, ἴσος τῷ

δή. τὸ δὲ ἀνύω βαρυτόνως ἀναγνωξέον· ἔξι γ' ἐνεστὼς ἀντὶ μέλλοντος. A. ὡς τὸ ἐρύω. V.

453. εἴ πού τις: καὶ τῆς νῦν ἀποτυχίας παιδευτικῶς τὴν αἰτίαν εἰς θεὸς ἀνήγαγε ἢ τῆς αὖθις ἐπιτυχίας. B.

454. ἐπιείσομαι: ἐπιπορεύσομαι. ὡς πρόσθεν δὲ ἀποτυχὼν Αἰνείᾳ εἰς τὸ πλῆθος τρέπεῖ, ἕτω ἢ νῦν. B.

γράφεῖ νῦν αὖ τὰς ἄλλας ἀντὶ τοῦ νῦν δ' ἄλλας Τρώων. V.

ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ἰδίως πληθυντικῷ ἑνικὸν ἐπήνεγκεν, ὃν κε κιχείω.

456. ὁ δὲ τὸν μὲν ἔασε: ἐπιτρέχει τὸν τῶν βαρβάρων θάνατον, ἐπὶ τῇ εὐχερείᾳ ἢ ὀξύτητι Ἀχιλλέως ταχύνων καὶ αὐτὸς τὸν λόγον. B.

458. ἠρύκακε: κατέχε τοῦ φυγεῖν. B.

461. βραχὺ διασαλτέον εἰς τὸ ἐφορμηθείς. εἰκότως δὲ τὸν μὲν πρῶτον διὰ βολῆς ἀναιρεῖ, τὸν δὲ ἕτερον τῷ ξίφει, πλησίον γενόμενος. παρέλιπε δὲ αὐτῶν τὰς πληγάς, ἵνα μὴ πρὸς κόρον ὁ λόγος ᾖ. AB.

462. ἡ διπλῆ, ὅτι πάλιν ἀντιδιέξειλεν. A.

463. Τρῶα δ' Ἀλαστορίδην: παραλλάσσων τὸ ὁμοειδές, ἐποίησέ τινα ἱκετεύοντα. τὸ δ' ἑξῆς, Τρῶα δ' Ἀλαστορίδην φασγάνῳ ἕτα καθ' ἧπαρ, καὶ τὰ λοιπὰ διὰ μέσα. ἢ κοινὸν τὸ ἔτυψεν ἐκδεκτέον ἀπὸ τοῦ χεδὸν ἄορι τύψας (462). B.

ἤτοι κομματικῶς εἶπεν, ὡς ἔθος πολλάκις τοῖς ποιηταῖς· ἢ τὸ ἑξῆς ἐσὶ, Τρῶα δ' Ἀλαστορίδην φασγάνῳ ἕτα καθ' ἧπαρ. ταῦτα δὲ ἐν παρεκβάσει εἰπὼν ἐπαναλαμβάνει διὰ τοῦ „ὁ δὲ φασγάνῳ", ὡς εἰώθεν. ἕτω δὲ ἔχαι τὰ λοιπὰ διὰ μέσα. ἢ κοινὸν ἄνωθεν· τὸ ἔτυψε ἀπὸ τοῦ „τὸν δὲ χεδὸν ἄορι τύψας." A.

464. ἡ εὖ ἀντωνυμία ἐν τῇ συντάξει ἐνέκλινε τὸν τόνον· ἔξι γ' ἀπόλυτος. ἐχ ὧν τρόπον δ' οἴεται ὁ Ἀσκαλωνίτης τὸ πῶς πάντως ὀξυτονηθήσεῖ, ἐπεὶ ἤδη ἐμελέτησε ἢ ἄλλων ἐγκλιτικῶν ἐπιφερομένων τὸ πῶ ἢ τὸ πῶς τοῦτο μὴ πάχειν· „ἔπως ἐτ' Ἀγέλαε διοτρεφές" (Od. 22, 136)· „μήπως με προϊδών" (Od. 4, 396)· „μήπω μ' ἐς Θρόνον ἷζε διοτρεφές" (Il. 24, 553)· „ἔπω μίν φασι φαγέμεν" (Od. 16, 143). ἕτως ἂν ἢ τὸ „εἴ πως εὖ πεφίδοιτο" ἐκ ἀναγκαιοκὴν ἕξει τὴν ἐπὶ τοῦ πως ὀξεῖαν. ὁ μέντοι Ἀρίσταρχος γενόμενος κατὰ ταύτην τὴν προσῳδίαν τοῦτο μόνον ἀπεφήνατο, ἐγκλίνοντα δεῖν τῷ τόνῳ ἢ δασύνοντα λέγειν τὴν τρίτην συλλαβήν· σημαίνει γὰρ εἴ πως αὐτῷ· διὸ καὶ ἡ διπλῆ. A.

δασυντέον τὸ ᾧ· ἔξι γὰρ ἀντὶ τοῦ αὐτῷ. B.

467. οὐ γάρ τι: γράφεται οὐ γάρ τις ἢ οὐ γὰρ ἔτι. A.

γλυκύθυμος: ἐκ ἀνειμένος τῷ θυμῷ καὶ ἠπιόφρων, ἀλλ' ἐκ τοῦ ἐναντίε σκληρὸς ἢ χαλεπός. ὁ μὲν γὰρ ὡς ἀκμάζοντος τοῦ πένθους περίλυπός ἐσιν· ὅτε γὰρ θάπτομεν τοὺς φίλους, τότε μάλιστα αὐτῶν ἐλπίζοντες ςερίσκεσθαι αὖξομεν τὴν ὀδύνην. ἐκ ἐπαινῶν δὲ ὁ ποιητὴς τὸ θυμικόν, σκληρόφρονα αὐτὸν καλεῖ. AB. ὡς τὸ „ἀεικέα μήδετο ἔργα" (Il. 22, 395). V.

γλυκὺ τὸ ἀνειμένον· „σπεῦδε μὴ γλύκος γένῃ." V.

470. ὄλισθεν: ὀλισθηρὰ γὰρ ἡ φύσις τοῦ ἥπατος· αἱμορραγία δὲ πολλὴ γέγονε δύο μεγίσων ἀγγείων διηρημένων, τοῦ ἥπατος ἢ τῆς κοιλίας (ἢ κατὰ κυρτὰ ἔγκειῖ V) τῆς τε πύλης ἥτις ἐσι κατὰ τὰ σκαιά· τὸ δὲ αἷμα, φησὶ, κατὰ τοῦ ἥπατος ἐκκρεμίζον τὸν τοῦ χιτῶνος ἔπλησε κόλπον. B.

471. ἐνέπρησεν Φιλόξενος ἢ Ἀρίσαρχος. περὶ δὲ τῆς γραφῆς Ἀρισάρχε ἐν ποιήματι φησιν ἕτως· τὸ αἷμα ἀπὸ τοῦ ἥπατος ἐκρένιζε χύδην ἢ τὸν τοῦ χιτῶνος κόλπον ἐνέφυσησεν. A.

473. δουρὶ: σπεύδων ἐκ εἶπεν ἐδὲ ὅπως τὸ ξίφος ἀπέθετο. V.

παρ' ἕς: γράφεῖ καὶ κατ' ἕς. B.

ὅρα ὅσαι πληγαὶ κατὰ τῆς κεφαλῆς ἠνέχθησαν, ἡ μὲν μέσην κὰκ κεφαλήν, ἡ δὲ κατὰ κρόταφον, ὅπως δὲ διὰ τοῦ ὠτός. V.

476. δαιμονίως τὸ βάθος τῆς πληγῆς διὰ τῆς λέξεως παρέδειξεν. B.

478. τένοντές εἰσιν αἱ ἀπονευρώσεις τῶν μυῶν, δι' ὧν γίνονται αἱ ἐκτάσεις ἢ κάμψεις. B. τὰ τεινόμενα νεῦρα. D.

ἡ διπλῆ, ὅτι πάντα τὰ τεταμένα νεῦρα τένοντας Ὅμηρος λέγει. A.

479. τόν τε: γράφεται τόν γε. A.

481. πρόσθ' ὀρόων: Ζηνόδοτος χωρὶς τοῦ θ, πρόσ' ὀρόων. V.

483. τινὲς εὐθεῖαν τὸ σφονδυλίων ἐκδέχονται, ἵν' ᾖ ὁ σφονδυλίων μυελός. B.

484. ἕτως Πείρεω, ὡς ἀπ' εὐθείας τῆς Πείρεως. A.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει Πείρεως υἱόν, ἄμετρον ποιῶν τὸν εἶχον ἢ παράλογον. ἔξι γὰρ Πείρως τὸ ὄνομα (Il. 2, 844)· νῦν δὲ ἐχημάτικεν ἀπὸ τοῦ Πείρεως, ὡς Μενέλεω. ἄδηλον δὲ εἰ τοῦ Θρᾳκῶν ἡγεμόνος ἢ ἑτέρου τινὸς ὁμωνύμε. A.

Πείρεω ὁμοίως τῷ Μενέλεω· ἢ γὰρ εὐθεῖά ἐσι Πείρεως. ἐν ἄλλοις δὲ Πείροος λέγεται καὶ Πείρως. B.

485. Ῥίγμον: ὡς ὅρμον, εἰς ἰδιότητα· τὰ γὰρ εἰς γμος λήγοντα πάντα ὠξύνετο, ἀγμός ψυγμός λυγμός. δοκεῖ δὲ τὸ ὄγμος ἀντικεῖσθαι. A.

ἀπὸ τοῦ ῥίγμον Αἰολικῶς αὐτό φησιν εἰρῆσθαι ῥῖγμον· ἢ γὰρ τὸ ῥηγνύμενόν φασιν. ἔνιοι δὲ Ῥίγμονα λέγουσιν εἶναι τὸ τέλειον. V.

ἄλλως. τινὲς ἀπὸ εὐθείας τῆς Ῥίγμων. V.

486. ἐν πνεύμονι: ἐν ἄλλῳ ἐν νηδύϊ. A.

ἅπαντα καταχρησικῶς τῇ μελίᾳ, εἰ μὴ ἢ ἄλλο ἔτυχεν ἔχων δόρυ. V.

490. ἕτός ἐσι περὶ οὗ φησὶν „εἰ χεῖρας ἔοικεν" (371). πολλάκις δὲ χρησάμενος τῇ ἀπὸ τοῦ πυρὸς παραβολῇ, ἐμψύχῳ νῦν τῇ ὀνοματοποιίᾳ χρῆται, μαιμᾶν λέγων τὸ πῦρ ὡς πᾶσαν ἐπειγόμενον τὴν ὕλην ἀναλῶσαι. πάντα δὲ πᾶσι παρα-

βέβληθ'. ἥ τε γ' προθυμία τῆ Ἀχιλλέως ὁμοία τῇ τῆ πυρὸς ἐπιδρομῇ· καὶ τὸ πλῆθος τῶν ἀναιρεμένων ὅμοιον τῷ τῆς ὕλης βάθει· καὶ τὸ εὐμεταχείριστον τῶν Τρώων τῷ τῆς ὕλης καταξήρῳ ἀπείκασαι· διά τε τῆ εἰλυφάζειν τὴν ἐπὶ πλεῖον εἵλησιν τῆ πυρὸς ἔδειξεν. B.

ἀναμαιμάει: μετ' ἐνθουσιασμοῦ ἀναβάλλει τὴν κίνησιν. V.

ἄγκεα: τοῦ ὄρους τὰ μὲν ἀνωτάτω ἀκρώρειαι, τὰ δὲ ὑψηλὰ σκοπιαί, τὰ δὲ προνενευκότα πρῶνες, τὰ δὲ κεκλιμένα κλιτύες, τὰ δὲ βάσιμα βῆσσαι, τὰ δὲ κοῖλα ἄγκη, τὰ δὲ σύνδενδρα νάπαι, τὰ δὲ κάτω πρυμνώρειαι, ἡ δὲ παρὰ ταῖς πρυμνωρείαις πεδιὰς παρόριον. B.

491. ἀζαλέοιο: ξηρὰν ἔχοντος ὕλην. V.

494. ῥέε δ' αἵματι γαῖα: ἡ γῆ ὑπὸ τοῦ αἵματος ἐῤῥεῖτο. V.

495. ὡς δ' ὅτε τις ζεύξῃ: ὅλον ὅλῳ παραβέβληται. V.

496. ἐϋκτιμένῃ: γράφεται ἐϋτροχάλῳ. A.

497. ὑπό: ἐκ ἀναστρεπτέον τὴν πρόθεσιν· ἔχει γὰρ σύνταξιν πρὸς τὴν ἐπιφερομένην δοτικὴν τὴν ποσσίν, ὁμοίως τῷ „ὡς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὦρνυτ' ἀελλὴς" (Il. 3, 13). A.

502. κῦδος: ἤτοι τὸ ἐκ τῆς ἀναιρέσεως Ἕκτορος καὶ τὸ ἐκ τῆ συνειλῆσαι τὰς πολεμίας εἰς τὸ ἄξυ. V.

503. λύθρῳ: λύθρος ὁ ἐκ πολεμικῆς ἐνεργείας μολυσμός, ἢ τὸ μετὰ κονιορτῆ καὶ ἱδρῶτος ἀνθρώπειον αἷμα. AD.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῆ καὶ ἐκ τῶν Νικάνορος περὶ σιγμῆς. A.

ΕΙΣ ΤΗΝ Φ.

1. ἀλλ' ὅτε δή: πᾶσαν ἰδέαν μάχης διελθὼν ἐν τῷ πεδίῳ καὶ περὶ τὸ τεῖχος καὶ ἐν ταῖς ναυσί, καινόν τι ἐξεῦρεν ἐπὶ τῇ Ἀχιλλέως ἐξόδῳ, τὴν παρὰ τῷ ποταμῷ μάχην, καινάς τινας διαθέσεις ἐπεισφέρων τῇ ποιήσει. τετάρτην γὰρ ταύτην συνισὰς μάχην ἐπὶ λήξει τῆς ποιήσεως, ἐπεὶ μὴ ἀξιομάχους οἷδε τὰς βαρβάρους Ἀχιλλεῖ, καὶ ἄτοπον εἰς ἀκατέργαστον λῆξαι τὴν ποίησιν, θεῶν τε μάχην παρεισάγει καὶ τὸν ποταμὸν ἀντιτίθησιν, εὔλογον ἀφορμὴν λαβὼν τὴν ἀπὸ τῶν νεκρῶν ςένωσιν. B.

πόρον: ἤτοι τὸν ποταμόν, περιφραςικῶς, ἢ τὸ διαβατὸν αὐτῆ μέρος, καθ' ὃ διαπορεύονται αὐτόν. AD.

τὸν πορευτὸν αὐτῆ τόπον· „ἠδ' Θρύον Ἄλφειοῖο πόρον" (Il. 2, 592). οἱ δὲ τὸν ῥῆν. οἱ δὲ πόρον Ξάνθε κατὰ περίφρασιν τὸν Ξάνθον. B.

Ἀριςοφάνης γράφει ῥόον. A.

ἐϋῤῥεῖος: ἀπὸ τῆ εὐρεύς, καὶ κατ' ἔπένθεσιν τῆ ι. ἢ ἀπὸ τῆ εὐρέης εὐρέος, καὶ κράσει. V.

2. Ξάνθε μὲν τῆ ξανθὰς ποιοῦντος τὰς τρίχας, διηνέντος δὲ τῆ περιφερῆ ῥεύματα ἔχοντος. B.

ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀθάνατον, ἵνα μὴ ὁ Ζεὺς ἀθάνατος λέγηται ἀλλ' ὁ Ξάνθος. καὶ ἐν ἄλλοις δὲ εἴρηται „νίὸς Σπερχειοῖο, ὃν ἀθάνατος τέκετο Ζεύς" (Il. 16, 174). καὶ καθόλε „ἀθανάτοισι θεοῖσι." A.

ὃν ἀθάνατος τέκετο Ζεύς: πῶς ὕςερον μέν φησιν ἐπὶ τῆ Ὠκεανῆ „ἐξ ἧ περ πάντες ποταμοί," νῦν δὲ Διὸς τὸν Ξάνθον γενεαλογεῖ; ῥητέον δὲ ὅτι τῆ μὲν θεῆ πατὴρ ὁ Ζεύς, τῆ δὲ ῥεύματος χορηγὸς Ὠκεανός, ἐξ ἧ περ πάντες ποταμοί· „πατὴρ ἀνδρῶν τε θεῶν τε." ἢ διὰ τὸ πλέον χειμάῤῥουν εἶναι τὸν Ξάνθον Διὸς αὐτόν φησι· φησὶ γὰρ „ὀρόθυνον ἐναύλους·" „ὃν ῥά τ' ἔναυλος ἀποέρσῃ" (285). BV.

διὰ τί πάντων τῶν ποταμῶν ἐξ Ὠκεανῆ ῥεόντων, μόνον τὸν Ξάνθον ὁ ποιητὴς φησιν „ὃν ἀθάνατος τέκετο Ζεύς;" πῶς ἦν, φησί, καὶ Ὠκεανῆ καὶ Διὸς παῖς; ῥητέον ἦν ὅτι εἰκότως ἂν καὶ Διὸς καλοῖτο παῖς, εἴγε οἱ ὄμβροι μὲν ἐκ Διός, ὄμβρῳ δὲ ἕτος αὔξεται. φέρε δὲ καὶ ἄλλη τις ἱςορία, ὅτι ὁ Ἡρακλῆς ποτὲ δίψει καταχεθεὶς ηὔξατο τῷ πατρὶ Διὶ ἐπιδεῖξαι αὐτῷ νᾶμα, ὁ δὲ μὴ θέλων αὐτὸν τρύχεσθ, ῥίψας κεραυνόν, ἀνέδωκε μικρὰν λιβάδα, ἣν θεασάμενος ὁ Ἡρακλῆς, καὶ σκάψας εἰς τὸ πλουσιαίτερον μετεισφέρεσθ, μετωνόμασε Σκάμανδρον, οἱονεὶ Κάμανδρον γενόμενον ἤγων καμάτε ἑαυτῷ παραίτιον (κ. γ. κ. ἄκος ἑαυτῷ D). ὅθεν εἰκότως ὁ ποιητὴς τὴν ἐκείνε γένεσιν προσῆψε τῷ Διί. Ξάνθος δὲ προσηγορεύθη ἀφ' ἧ περὶ τῆ κάλλες ἐκρίνοντο Ἥρα Ἀθηνᾶ Ἀφροδίτη, ὅτι ἐν αὐτῷ λασάμεναι ξανθὰς ἔχον τὰς κόμας. (δὲ ἐκλήθη ὅτι λουσάμεναι τοῦ ὕδατος αἱ Τρωάδες ξανθὰς κόμας ἔχον D). ABD.

ἄλλως. ὡς „νίὸς Πειριθόοιο, τὸν ἀθάνατος τέκετο Ζεύς" (Il. 2, 741) καὶ „ἀθανάτοισι θεοῖσι" Διὸς δὲ ὅμως. V.

3. ἔνθα διατμήξας: θαυμαςήν τινα φαντασίαν ὑποτίθεθ, τοσαύτας μυριάδας ἀνδρῶν ὑφ' ἑνὸς διαιρεθῆναι, καὶ μεταξὺ τῶν δυοῖν αὐτὸν τάξεων εἶναι ἀπονειμάμενον αὐτῷ τὴν ἑτέραν μοῖραν. τάχα ἂν ποικίλλει τὸν λόγον, μόνον αὐτὸν λαμβάνων· ἦσαν δὲ καὶ οἱ λοιποὶ ἐκεῖσε. B.

4. ἦπερ Ἀχαιοί: ἡ διπλῆ, ὅτι γράφεται ἦπερ οἱ ἄλλοι. A.

δείκνυσιν ὅτι δι' ἧς ὑπερηφάνως ἐδίωκον Τρῶες, ταύτῃ διώκονται. B.

τὸ τῆς νεμέσεως ἔδειξεν, ὅτε δι' ἧς ἐδίωκον Τρῶες, ταύτῃ διώκονται. καὶ ὃ φησιν „ὁμοίῃ πολέμοιο," τοῦτο νῦν καὶ τόπῳ δείκνυσιν ἐμφανῶς. V.

5. ἐμαίνετο: ἐνθουσιωδῶς ἐμάχετο. διὸ ἐκ εἶπεν ἐμάρνατο. A.

τοῦτο ἂν τις σημειώσαιτο πρὸς τὸ „τινάσσετο μαι-

νομένοιο" (Il. 15, 609)· γράφουσι γάρ τινες μαρναμένοιο. A.

6. καὶ τὸ προχέοντο, ὡς καὶ ἐπὶ τῶν προβάτων „ἐπ' ἀλλήλοισι κέχυνται" (Il. 5, 141), τὸ ἄτακτον καὶ ἀνώμαλον τῆς φυγῆς τούτων δηλοῖ. πεφυζότες δὲ ἀντὶ τοῦ δειλιῶντες. B. „θεσπεσίη ἔχε φύζα" (Il. 9, 2) ἀντὶ τοῦ δειλία. V.

εἰ δὲ Ἥρα ὁ ἀὴρ κατὰ τοὺς φυσικούς, πῶς τοῖς μὲν ἐπιχέεται, τοῖς δὲ οὔ; ἀλλὰ Ἀθηνᾷ ἀχλὺν θεσπεσίην κατέχευε τῷ Ὀδυσσεῖ καὶ Ποσειδῶν Ἀχιλλεῖ ἀχλὺν ἐπέχει. ὥσε οὖν ἐκπεσόντας τῆς πόλεως ἐμπεσεῖν τῷ ποταμῷ, τοῦτο ποιεῖ ἡ Ἥρα. V.

7. πίτνα: ἐξέτεινε. B. „πιτνὰς εἰς ἐμὲ χεῖρας" (Od. 11, 392). V.

8. εἰλεῦντο: συνωθοῦντο. B.

9. ἐκ εἶπεν ἐνέβησαν, ἀλλ' ἐνέπεσον, τὸ ἀκούσιον βαλόμενος σημῆναι. πάταγος δὲ ψόφος ἐκ τριῶν γινόμενος, ὅπλων, βοῆς, ὕδατος. B. καὶ Θουκυδίδης (7, 84) „ἐπὶ ταὐτὸν ἐπίπτασιν ἐδέησε κόσμῳ." V.

ἄλλως. πατάγῳ, βράχε, ἴαχον, ἀλαλητῷ· πάντα ταῦτα συνήγαγε πρὸς ἔμφασιν. V.

10. ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον: αἱ περὶ τὸν ποταμὸν ὄχθαι ἀμφίαχον. ἢ πρὸς ἔμφασιν αἱ δύο κεῖνο προθέσεις, τὸ μέγεθος καὶ πλῆθος τῆς βοῆς παραδηλῶσαι, ἢ ὡς συνάδεσαι τοῖς ἐγχωρίοις. ἔμφασιν δὲ ἔχει ὁ τόπος ἐφ' ἑκατέραν ὄχθην τῶ ψόφω καὶ τῆς βοῆς ἀνακλωμένων. ὄχθη δὲ καὶ κρημνὸς ταὐτά· φησὶ γᾶν „μεσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης" (172) καὶ „ὃ δύνατ' ἐκ κρημνοῖο ῥύσσαι" (175). B.

11. ἔννεον: ἔνιαι τῶν κατὰ πόλεις νήχοντ'. τὸ δὲ ἔνθα καὶ ἔνθα ἑκατέροις δύνασθαι προσδίδωσι. A.

οἱ μὲν πρὸς τὸ ἀνωφερές, οἱ δὲ πρὸς τὸ κατωφερὲς ὀλισθόμενοι. καὶ ἔμπροσθεν „ἡμίσειες δὲ ἐς ποταμὸν εἰλεῦντο" (7). ἢ ἐπὶ πολλὰς τόπους διερρῖφθαι τοὺς νηχομένους φησί. διὰ γὰρ τοῦτο τοὺς οὐκ εὐχερῶς νήχεσθαι δυναμένους διὰ τὴν σφοδρότητα τοῦ ῥεύματος δείκνυσι. V.

περὶ δίνας: γράφεται κατὰ δίνας. A.

12. ὡς δ' ὅθ': ἐπεὶ ταπεινὴ ἡ εἰκών, ἐφαίδρυνεν αὐτὴν λέξεσι, τῷ ῥιπῆς καὶ τῷ ἠερέθονται. ἄπτεσι δὲ οἱ γεωργοὶ πῦρ, διώκοντες αὐτὰς τοῦ σπόρου. ἐμφερέσατα δὲ ἐφ' ἑκατέρᾳ τῇ εἰκόνι κέχρηται· τὸ μὲν γὰρ ἀκαταμάχητον τοῦ διώκοντος πυρὶ παρέβαλε, τὸ δὲ ἄπρακτον τῶν φευγόντων ἀκρίσιν. ἐντεῦθέν τινες Κυπριὸν φασι τὸν ποταμόν (τὸν ποιητὴν Heynius)· κατά τινας γὰρ χρόνους ὀχλεῖται ἡ Κύπρος ὑπὸ ἀκρίδων ὡς Κυρήνη καὶ ἡ Βύρκη. ἀκρὶς δὲ παρὰ τὸ ἀκρίζειν, ὅ ἐστι τὰ ἄκρα τρώγειν. ἠερέθονται δὲ τὸ ἐρεθίζονται. B. πλεονάζει γὰρ τὸ η, ὡς ἠμύει. V. ἢ εἰς ἀέρα αἴρονται καὶ ἀποκρύπτονται. D.

ἀκρίδες: παρὰ τὸ κρᾶν, ὅ ἐστιν ἐρθίειν· „ὃς αἰζηῶν ἔκρανε κηδεμόνας." ἢ παρὰ τὸ ἀκρίζειν, ὅ ἐστι τὰ ἄκρα ἐσθίειν. A. βρῶχος δὲ παρὰ τὸ βρύκειν. V.

14. ψιλῶς τὸ ὅρμενον· παρὰ γὰρ τὸ ὄρω κέκλιται ψιλόμενον καὶ βαρυνόμενον. καὶ ἤτοι ἐκ τοῦ ὠρμένον ἐστί, παρηχημένον σημαίνοντος, καὶ ἔπαθε συζυγὴν καὶ ἀναδρομὴν τοῦ τόνου· ἢ καὶ ἐκ τοῦ ὀρόμενον συνεκόπη. AB.

πτώσσουσι: ἐμπίπτουσι καταπτήξασαι. V.

16. κελάδων: βαρυτονητέον τὴν μετοχήν· κελάδοντος γὰρ ἡ γενική, καὶ ἡ αἰτιατικὴ κελάδοντα („πὰρ ποταμὸν κελάδοντα" Il. 18, 576), ὁ κελαδῶντα. περὶ δὲ τοῦ ὀξύνεσθαι τὸ ἐπιμίξ εἴπομεν ἤδη πολλάκις. AB.

17. διογενής: μόνον τοῦτον ὕτω δίχα τοῦ κυρίου καλεῖ. V. ἢ διπλῆ, ὅτι ἀποτίθεται μὲν τὸ δόρυ ῥητῶς, ἀναλαμβάνει δὲ ὁ κατὰ τὸ ῥητόν, ἀλλ' ὕστερον (67) αὐτῷ φαινόμενος. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον, ἀγνοοῦντα ὅτι πολλὰ δεῖ προσδέχεσθαι κατὰ τὸ σιωπώμενον ἐνεργούμενα. A.

18. κεκλιμένων: ἀνακεκλιμένον, ἀνακείμενον, προσερηρεισμένον. B. προκεκλεισμένον, κεκρυμμένον. V. περιεχόμενον, κεκαλυμμένον. D.

Πυθοκλῆς ὡς ἓν περιφέρεται τὸ ὁ δέ, ἵν' ᾖ ἀντὶ τοῦ καί, ὡς ἠδὲ καὶ ἰδέ. A.

ἔσθορε: γράφεται καὶ ἔνθορε. ἐν ἐνίαις δ' αἶψ' ἐσόρουσεν. A.

γράφεται καὶ ἔκθορεν. ἔνιοι δὲ γράφουσιν αὐτὸς δ' αἶψ' ἐπόρουσεν. V.

20. ἐπισροφάδην: συνεχῶς, ἰσχυρῶς, ἢ μηδένα τόπον παραλιμπάνων. ὡς καὶ ἐπὶ τῆς τειχομαχίας (Il. 12, 430) „πάντῃ δὴ πύργοι καὶ ἐπάλξεις αἵματι φωτῶν ἐρράδατ' ἀμφοτέρωθεν." ἑκατέρωθεν γὰρ ὑπ' ὄψιν ἤγαγε τὸ πρᾶγμα καὶ τὸ πλῆθος τῶν ἀναιρεμένων παρέσχεσε. φόνος δὲ ἀεικὴς ὁ δεινὸς καὶ χαλεπὸς συναγμός. B.

22. ὡς δ' ὑπὸ δελφῖνος: καλῶς τὰ τῆς παραβολῆς· ὅτε μὲν γὰρ ὁ διώκων ἐπὶ γῆς ἦν, οἱ δὲ φεύγοντες εἰς τὸν ποταμὸν συνωθοῦντο, τὸν μὲν πυρὶ τοὺς δὲ ἀκρίσιν ὡμοίωσεν· ὅτε δὲ ἐν ὕδατι ὁ διώκων καὶ οἱ διωκόμενοι, πρὸς τὸν ὑποκείμενον τόπον ἡ παραβολὴ συνάδει. B. καλῶς δὲ καὶ δελφῖνι εἴκασαι θαλασσίας γὰρ δαίμονος υἱός. ὡς ἰχθύος τε ὄντος τοῦ δελφῖνος τὸ ἄλλο εἶπε. καὶ Πίνδαρος „ἰχθὺν παιδοφάγον" ἐπὶ τοῦ κήτους. V.

μεγακήτεος: μεγάλου κήτους. V. μεταφορικῶς μεγάλου, ἢ μέγα κύτος ἔχοντος, ὡς „μεγακήτει νηΐ" (Il. 8, 222). A.

23. μυχοὺς τὰς καταδύσεις. γίνεται δὲ παρὰ τὴν νύκτα, νυχός καὶ μυχός. A. φωλεούς. λέγει δὲ τοὺς ἐσωτάτω τόπους καὶ ἀποκρύφους. D.

25. δεινοῖο: μεγάλου καὶ θαυμαστοῦ. A. δινὰς ἔχοντος καὶ ἤδη ἀκροκελαινιόωντος. V.

26. πτῶσσον: κατέπτησσον ταπεινοῦντες ἑαυτούς. κρημνοὺς δὲ τὰς ἐπικρεμαμένας ὄχθας τοῖς ὕδασιν. B. Ἑρμόδωρος ὁ ῥαψῳδὸς χεῖρας ἐναίρων ἤκουσε χειροκοπῶν. κατεχρήσατο δὲ· κυρίως γὰρ ἐναίρειν τὸ σκυλεύειν, ὅθεν καὶ κατηναρισμένας φησὶν ὁ Σοφοκλῆς (Aiac. 26). V.

27. λέξατο κέρας: ἐκλέγεται αὐτὰς ὡς εἰς θυσίαν μέλλων παρισάνειν Πατρόκλῳ κατὰ τὴν ὑπόχεσιν (παρ.

τὴν καλεμένην δωδεκάδα V). μεγάλην δὲ τὴν ὑπεροχὴν κ᾽ διὰ τέτε παρίσησιν, ἐπιλέξαθ᾽ αὐτὸν τὲς αἰχμαλώτες λέγων οἵες κ᾽ ὅσες ἐβάλετο, καὶ καθ᾽ ἕνα συνδῆσαι πάλιν, ὥσπερ ἀνδράποδα προτείνοντας τὰς χεῖρας. τοίνυν συννπέργεν αὐτῷ οἱ ἑταῖροι ἐν τέτοις πᾶσι. τὸ δὲ ὅλον ἦν τὸ αὐτός. B.

29. θύραζε: καταχρησικῶς, ὡς καὶ „ἐκ πόντοιο θύραζε. V.

31. τὲς αὐτοὶ φορέεσκον: περιπαθῶς κ᾽ τᾶτο· δείκνυσι γ᾽ ὅτι ταῦτα αὐτοῖς ἀφορμὴ τῶν δεσμῶν ἐγένετο, ἃ εἰς σωτηρίαν ἐπήγοντο. B.

ῥρεπτοῖσι: ἀντὶ τῶ εὐκλώζοις· ἐνήθετο γ᾽ κ᾽ ἡ κρόκη. ἐδέποτε δὲ ἐγινώσκετο (τρίψις κρόκης, ἀλλὰ νῆσις V) τὸ ῥοδανίζειν, ἀλλὰ νήθειν. Μένανδρος „κρόκην δὲ νήσεις ῥίμονα." AV.

ἡ διπλῆ, ὅτι ῥρεπτὲς χιτῶνας τὲς νηεῖς· ὑποδύτας γ᾽ εἶχον ὑπὸ τὲς ῥατὲς μαλάγματος ἕνεκα· „αἷμα δ᾽ ἀνηκόντιζε διὰ ῥρεπτοῖο χιτῶνος" (Il. 5, 113). A.

δαϊζέμεναι: γράφεται κατακτάμεναι. A.

ἡ διπλῆ πρὸς τὴν ἐναλλαγὴν τᾶ χρόνου, ὅτι ἀντὶ τοῦ δαΐξαι προθυμέμενος κατὰ τὸ συντελικόν. A.

34. ἔνθ᾽ υἱεῖ Πριάμοιο συνήντετο: μετέβαλε τὴν διήγησιν εἰς ἄλλην διάθεσιν, ποικίλλων αὐτήν. πρῶτος ἓν κ᾽ τὸ τῶν περιπετειῶν εἶδος ἔδειξε, ποικίλον ὂν κ᾽ θεατρικὸν κ᾽ κινητικόν. πάντα δὲ λέγων ἀληθοποιεῖ τὸν λόγον. τὸ δὲ υἱεῖ περισπαξέον κ᾽ διὰ διφθόγγε γραπτέον· ὡς ἀπὸ τᾶ υἱεύς γ᾽ γίνεται. B.

36. ἀλωῆς: δενδροφόρε γῆς. ἐκ ἐθέλοντα δὲ ἀντὶ τᾶ μετὰ βίας. B.

ἡ διπλῆ, ὅτι ἀλωὴν τὴν δενδροφόρον γῆν νῦν λέγει· ἐπιφέρει γ᾽ „ὁ δ᾽ ἐρινεόν." A.

37. ἐννύχιος: φησὶ γ᾽ „πολλὰς μὲν ἄϋπνος νύκτας ἴαυον" (Il. 9, 325). V.

37. 38. ἐρινεὸν ὀξεῖ χαλκῷ τάμε νέους ὄρπηκας: ἡ διπλῆ, ὅτι πτῶσις ἥλλακ᾽, ἀντὶ τᾶ ἐρινεοῦ νέους ὄρπηκας. καὶ ἐν Ὀδυσσείᾳ „ὁ δ᾽ ἄρ᾽ οἰνοχόον βάλε χεῖρα" (Od. 18, 396) ἀντὶ τᾶ οἰνοχόε. ἔζι δὲ ἡ φράσις συνήθης αὐτῷ. B.

ἐρινεὸν: ἀντὶ τᾶ ἐρινεοῦ, ὡς τὸ „γυναῖκά τε θήσατο μαζόν" (Il. 24, 58) κ᾽ „οἰνοχόον βάλε χεῖρα" (Od. 18, 396). τινὲς δὲ ἀντὶ τοῦ ξύλε. ἐ γ᾽ εὐθετεῖ ὁ ἐρινεὸς εἰς ἅρματα. εἴη ἂν ἓν ξύλον ἀντὶ τᾶ ξύλε τεθεικώς. ἀπὸ τᾶ γενικᾶ δὲ εἰς τὸ εἰδικὸν μεταβέβηκε. καὶ εἰ διαξειλαιμεν βραχὺ εἰς τὸ τάμνε, εὐλογώτερον ἂν τὸ χῆμα γένοιτο, ὡς πρὸς τὸ σημαινόμενον ἀπηντηκότος αὐτᾶ. τὸ δὲ ὄρπηξ ψιλᾶται· ἔζι γ᾽ παρὰ τὸ ὄρω, πλεονασμῷ τᾶ π. B.

ὁ Ἀσκαλωνίτης ἐνθάδε γενόμενος ἀξιοῖ ψιλᾶθ᾽ τὲς ὄρπηκας, ἐπεί, φησί, παρὰ τὸ ὀρέειν ἐγένετο, ἐπιλαθόμενος ἑαυτᾶ· ἐν γ᾽ ταῖς Ὀδυσσειακαῖς προσῳδίαις φησίν, ὅσα ὀνοματικῶς χηματίζε᾽ ἀπὸ ψιλῶν ῥημάτων, ταῦτα δασυνθήσε᾽, ὡς ἀπὸ τᾶ ὀρέει ὄρπηξ. γελοῖον δὲ τὸ τοιοῦτον. ἄμεινον ἓν ἐζὶν ἐκεῖνο λέγειν, ὡς ἐπεὶ τὸ ᾰ κ᾽ τὸ ᾱ καταλήγοντα εἰς τὸ ῥ ἑπομένε τᾶ π δασύνεθ᾽ ἤθελεν, ὡς ἔχει τὸ ἅρπη ἁρπάζω ἁρπαλέος ἑρπετόν ἑρπύζω ἅρπυια, κ᾽ τὸ ὄρπηξ τέτοις συνεξομοιᾶντές τινες ἠθέλησαν δασύνειν, οἷς ἐκ ἐπείθη ἡ παράδοσις, ἀλλὰ τῇ ἐτυμολογίᾳ· παρὰ γὰρ τὸ ὄρω ἐν πλεονασμῷ φησὶ τοῦ π γεγενῆσθαι τὸ ὄνομα. A.

39. ἀνώϊστον: ἀνεπιλόγιζον· νωΐσαθ᾽ γ᾽ τὸ νοῆσαι. (παρὰ τὸ ὀΐσαθ᾽ ἀνώϊζον κ᾽ κατ᾽ ἐπέκτασιν V). ἀναγκαίως δὲ προεκτίθε᾽ τὰ περὶ αὐτὸν ἅπαντα, ἵνα ἐξῆς ἱκετεύοντος αὐτᾶ γνώριμος ὁ λόγος καταξῇ. B.

40. ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ εἰς, εἰς Λῆμνον. A.

ἤδη γ᾽ αὐτὴν ᾤκεν Ἕλληνες τῶν Ἀργοναυτῶν. κυρίως δὲ περάσαι τὸ εἰς πέραν ἀποδόθαι. V.

πέραν θαλάσσης ἐπώλησεν. D.

41. ἄγων: ἴσως κελεύσας Πατρόκλῳ, ὡς κ᾽ „λέσας ἐν ποταμῷ" (Od. 6, 210). V.

42. τὸ ἐξῆς ἐζίν, ἐλύσατο Ἴμβριος Ἠετίων· διὰ μέσου δὲ τὸ πολλὰ δ᾽ ἔδωκεν. AB.

ξεῖνός μιν ἐλύσατο: ἐκεῖ ἐπιξενωθεὶς ἠλευθέρωσεν. A.

43. Ἴμβριος Ἠετίων: πρὸς τὴν ὁμωνυμίαν. κ᾽ ὅτι φίλοι τοῖς Ἕλλησιν οἱ Λήμνιοι, ἐχθροὶ δὲ τοῖς Τρωσίν, ἐπεί τοι διὰ τί μὴ τὸν υἱὸν τᾶ βασιλέως ἀπέδωκαν; V.

Ἀρίσβη μεταξὺ Περκώτης καὶ τῆς Ἀβύδου. V.

46. ἐλθὼν ἐκ Λήμνοιο: σωθεὶς ἀπὸ τῆς Λημνίας δηλείας ἐτέρπετο. B.

48. περισσὸς ὁ καί. ἴσως δὲ τὸ φιλόψυχον αὐτᾶ κωμῳδεῖ, κ᾽ τὸ τᾶ τρόπε δειλόν. B.

49. τὸ ἐξῆς ἐζί, τὸν δ᾽ ὡς ἓν ἐνόησεν, ὀχθήσας δ᾽ ἄρα εἶπεν· τὰ δὲ λοιπὰ διὰ μέσε διορθωτέον. B.

50. γυμνόν, ἅτερ κόρυθος: ἕτως γ᾽ κ᾽ πέπραται, ἕτως κ᾽ ἐγνωρίθη. B.

οὐδ᾽ ἔχεν ἔγχος: ὅμοιον τὸ χῆμα τῷ „ἰοῖσί τε τιτυσκόμενοι λάεσσί τ᾽ ἔβαλλον" (Il. 3, 80). ἴσως δὲ κ᾽ διὰ τῆς ἐξαλλαγείσης χλευάζει τὸ πρόσωπον, ὡς ἐδὲ τῶν ἀμυντηρίων ἑαυτῷ τι καταλιπεῖν ὑπέμεινεν. V.

55. ἦ μάλα δή: ταῦτα ἀπ᾽ ἄλλης ἀρχῆς ἀναγνωσέον. διὸ κ᾽ τὸν ἦ περισπαξέον, ὡς ἐκεῖ „ἦ μάλα δή τινα Κύπριν" (Il. 5, 422) „ἦ μάλα δὴ τέθνηκεν" (Il. 18, 12). δύναται δὲ κ᾽ τοῖς ἄνω συνάπτεθ᾽, βαρυνομένε τᾶ συνδέσμε, ἵν᾽ ᾖ ὁ λόγος, μέγα δὴ τᾶτο καὶ θαυμαζὸν εἶπω, εἰ οἱ Τρῶες ἐξ Ἄιδε ἀναζήσονθ᾽ ὃς ἀνεῖλον. A.

ὑπερβολικῶς εἶπε, τάχα Τρῶες κ᾽ ἐξ Ἄιδε φεύξονται, ὅπε θαλασσοκρατέντων Ἑλλήνων ἀπὸ νήσε ἔφυγον. ὁ δὲ Πίος γίζει εἰς τὸ μεγαλήτορες. τὸ δὲ ἐξῆς ἐν ἤθει φησὶν ἀναφωνήσας· διαναζήσονται ἄρα καὶ οἱ τεθνεῶτες, εἴγε ἔτος ἴσχυσε διαπεραιωθῆναι. B.

57. ὑπὸ: ἔφαμεν ὅτι ἐὰν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως κέη, μὴ γίνεθ᾽ ἀναζροφήν, ὥσπερ ἐνθάδε. A.

58. πεπερημένος: εἰς τὸ πέρας πεπραμένος. A.

60. ἀλλ' ἄγε δὴ καὶ δουρός: γενναῖον ἦθος καὶ ἐπάνω τῶν δεινῶν κείμενον ἡ εἰρωνεία παρίςησιν. B.

62. ἐκ πλήρους τὸν καὶ σύνδεσμον Ἀρίςαρχος. A.

63. φυσίζοος: ἢ καλὸν τὸ ἐπίθετον, ἐπὶ νεκρῶν καὶ τύμβων ταττόμενον. V.

64. μένων: ὁ μὲν περιμένει, διὰ τὴν ὑπεροχὴν τεθαρρηκὼς ἑαυτῷ καὶ ἐκ οἷον ἁρπάζων τὸν καιρόν· ὁ δὲ ἐμπέδως πάντα ὁρῶν ἄφυκτα ἑαυτῷ, αὐτὸς πρόσεισι. B.

65. περὶ δ' ἤθελε θυμῷ: ἐπιτείνει τὸ φιλόζωον, ὅπως συγγνώμην ἔχοι παρατείνων τὰ τῆς δεήσεως. B.

67. ἦτοι ὁ μὲν δόρυ: ὅπως ἀνείλετο, ῥητῶς οὐκ εἶπεν. A.

ὅτι κατὰ τὸ σιωπώμενον ἀνέλαβε τὸ δόρυ. V.

ἔςιν ἰδεῖν ὥσπερ ἐν γραφῇ τὸν μὲν ἐπατατεινόμενον τὸ δόρυ, τρῶσαι θέλοντα, τὸν δὲ φθάσαντα τὴν πληγὴν καὶ τοῖς γόνασι προσπίπτοντα· καὶ τὴν μὲν αἰχμὴν τῇ γῇ προσπεπηγυῖαν, τὸν δὲ ἐκ τὸ δόρυ κατέχοντα τοῦ κτείνοντος καὶ τῶν γονάτων ἐχόμενον. B.

68. οὐτάμεναι: ὥςε οὐκ ἀφῆκε τὸ δόρυ, ἀλλ' ἐνέπηξε τῇ γῇ. τὸ γὰρ σὺ τῆσαι ἐπὶ τῶ τρῶσαι. V.

70. ἄμεναι: γεύσασθαι. B. „ἄσασθαι κλαυθμοῖο." ἐναγώνιον δὲ τὸ ἐνιαχῶ ἀποτυγχάνειν ἐκ παρέχειν καιρὸν τοῖς ἐλεεινολογήμασιν. V.

73. τῶτον προςιθέασί τινες, ἐ φερόμενον ἐν ταῖς Ἀριςάρχ. ἐν δέ τισι καὶ ῥ' ὀλοφυρόμενος. ἄλλοι καὶ μιν λισσόμενος. A.

74. σὺ δέ μ' αἴδεο καὶ μ' ἐλέησον: ὡς ἱκέτην προσδέχῃ. δύο γὰρ πρὸς σωτηρίαν ἀνυσικά, αἰδὼς καὶ ἔλεος. B.

75. ἀντί τοί εἰμ' ἱκέταο: ἴσος ἱκέτῃ εἰμί. ἱκέταο δὲ τῶ εἰς τὴν ἕξιν ἥκοντος καὶ ἱκετεύοντος. πιθανὴ δὲ ἡ ἐπανάληψις· ὁ γὰρ αἰχμάλωτος ἱκέτην ἑαυτόν φησιν. ἱκέτην μὲν γάρ φησι κυρίως καλῶμεν τὸν ἐκεσίως καταφυγόντα· ὁ δὲ τῷ ὁμωρόφιος γεγονέναι καὶ τροφῆς μετεχηκέναι εἰς τὸ τῶν ἱκετῶν δίκαιον ἑαυτὸν τάττει. B.

ἡ διπλῆ, ὅτι ἀντὶ τῶ ἴσος ἱκέτῃ εἰμί· „ἀντὶ κασιγνήτου ξεῖνος" (Od. 8, 546) ἀντὶ τῶ ἴσος κασιγνήτῳ. A.

ὡς ἀντιάνειρα καὶ ἀντίκλειδα. V.

76. ἀπορῶσι πῶς ὁ ἱκετεύων πρὸς τὸν Ἀχιλλέα ἔφη „πὰρ γὰ σοὶ πρώτῳ πασάμην Δημητέρος ἀκτήν". τὸ γὰρ λέγειν, καθάπερ Στησίμβροτος, ὅτι οἱ βάρβαροι ἅλφιτα ἐκ ἐθίσιν ἀλλ' ἄρτες κριθίνες, ψεῦδος· ἤθελε γὰ ὡς ἂν βασιλέως ὢν υἱός, καὶ ἀδαμῶς τῶτο ὁ ποιητὴς ἐπεσημήνατο. ἡ δὲ λύσις, ὅτι παρ' Ἕλλησι πρώτῳ καὶ ξένῳ τῷ Ἀχιλλεῖ γεγονέναι φησί· πρὸς γὰ τὴν ἱκεσίαν εἰχέ τινα βοήθειαν τῶτο, ὥσπερ τετυχηκὼς ξενικῆς τραπέζης παρ' ἐκείνῳ πρῶτον. AB.

Σεναχηρείμ. ἐμοὶ δὲ δοκεῖ τὸ πρώτῳ πασάμην μὴ κατὰ τάξιν τινὸς τῶν ἑξῆς λέγεσθαι, ἀλλ' ἐχάτως ἀντὶ τοῦ πρότερος. Leid.

Δημητέρος ἀκτήν: τὸ τῶ σίτου λεπτότερον. λέγεται δὲ ἀκτὴ ἡ ὑγροῦσα ἡμᾶς καὶ πορεύεσθαι ποιῶσα. ἄτοπον δὲ τὸν μεταδόντα τροφῆς, ἐξ ἧς ἄνθρωποι ζῶμεν, τῆς ζωῆς ἀφαιρεῖσθαι. καὶ Δημητέρος φησὶν εἰς δεισιδαιμονίαν παρακαλῶν. καὶ ὁ μὲν εἰς τροφὴν ἐπὶ τῷ πωλῆσαι παρέλαβεν, ὁ δὲ τῶτο εἰς τὸ τῶν ἱκετῶν δίκαιον ἔλαβεν. καὶ θαυμάσαι ἄξιον τὴν εὐπορίαν τῶ ποιητῶ· πολεμίῳ γὰ προσώπῳ λόγον περιθείς, ὅμως εὐπόρησε πρὸς τὴν σωτηρίαν εὐλόγῳ προφάσεως. B.

78. καὶ μ' ἐπέρασας: ἐν ἄλλῳ καὶ με πέρασας. A.

79. ἑκατόμβοιον: οἱ παλαιοί, πρὶν ἐπινοηθῆναι τὰ νομίσματα, τὴν συναλλαγὴν ἐποιῶντο διὰ τῶν τετραπόδων· ὅθεν ὕςερον ἐφευρεθέντων τῶν νομισμάτων βῶν ἐπ' αὐτῶν ἐξετύπων, ἐνδεικνύμενοι τὸ ἀρχαῖον ἔθος. καὶ παροιμία, βῶν ἐπὶ γλώσσης, ὃ ἐςι νομίσματα. ἁρμόζει δὲ ἡ παροιμία αὕτη ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα ὑπὲρ τῶ μὴ κατασυνηγορῆσαί τινος ἀλλὰ σιωπῆσαι. BD.

80. λύμην τρὶς τόσσα πορών: λυτρωθείην, ἂν τριπλάσια δίδῶ σοι. A.

εὐκτικῶς, ἀντὶ τῶ λυθησαίμην παραχὼν τοσαῦτα τριπλασίως· πρὸς ὃ φησι „μή μοι ἄποινα πιφαύσκεο" (99). ἀφ' ἧς ἐκ πληθυντικῶς κατὰ ἀναδιπλασιασμόν „λέλυντο δὲ γυῖα ἑκάςου." συνέςαλται δὲ διὰ μέτρον. V.

83. ἔοικα, φησίν, ἀπεχθὴς γεγονέναι τῷ Δί. ἄκρως δὲ διαγράφει δειλόν, ἀπεγνωκότα μέν, ὅμως τὴν δι' ἐλέους σωτηρίαν ἀναμένοντα· ἔχει γὰ ἁπάντων ἡ ἀμείνων ἐλπίς. A.

ἡ διπλῆ, ὅτι ἀντὶ τῶ ἔοικα ἀπεχθάνεσθαι. A.

84. Ἀρίςαρχος Ἰακῶς δῶκε. A.

85. Λαοθόη: φασὶ Πρίαμον πρὸ τῆς Ἑκάβης γῆμαι τὴν Λαοθόην, πασῶν τῶν Ἀσιατίδων εὐγενείας ἕνεκα προκρίναντα τὸν γάμον τῆς κόρης. V.

86. Ἄλτεω: τὸ αὐτὸ ὄνομα διχῶς ἐχημάτισεν, Ἄλταο ὡς Ἀτρείδαο καὶ Ἄλτεω ὡς Μενέλεω. σημειωτέον δὲ τὴν ἐπανάληψιν. λέγει δὲ ταῦτα, ἵνα δείξῃ ὅτι καὶ πρὸς μητρὸς εὐγενὴς ἐςὶ καὶ πολλὰ δύναται δᾶναι. ἅμα δὲ ὅτι οἱ ἐν τύχαις μεγίσαις ἐλεῶνται ἀτυχοῦντες. B.

ἡ διπλῆ, ὅτι τὸς Λέλεγας ἐν καταλόγῳ παρῆκεν, καὶ πρὸς τὴν ἐπανάληψιν τῶ ὀνόματος. ἔνιαι τῶν κατὰ πόλεις ἄνασσε ἀντὶ τῶ ἀνάσσει. A.

Ἀρίςαρχος σὺν τῷ ῦ τὸ ἀνάσσειν, οἱ δὲ χωρὶς· ἐκ ἀλόγως γὰ περὶ Πηδάσου ὡς πεπορθημένης· „πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον" (Il. 20, 92). εἰ μὴ ἄρα φαίημεν πεπορθῆσθαι μὲν πρότερον τὴν Πήδασον, ἀνειληφέναι δὲ πάλιν τὴν ἀρχὴν τὸν Ἄλτην. V.

87. ἐ πὸ Σατνιόεντι: ἐπὶ τοῖς ποταμοῖς φαμὲν κεῖσθαι τας πολλάς. V.

88. τοῦ δ' ἔχε θυγατέρα Πρίαμος: αὔξει τὸ γένος, Πρίαμον λέγων ἐπιθυμῆσαι αὐτῆς (ἐπιδεδικάωζ τὴν συγγένειαν Ἄλτου V). ἀλλοτριῶν δὲ ἑαυτὸν τῶ γένους τῷ Ἕκτορι, φησὶ πολλὰς δὲ καὶ ἄλλας. B.

ἐν τῇ Μασσαλιωτικῇ πολλῶν τε καὶ ἄλλων. A.

89. σὺ δ' ἄμφω: ἐν ἐρωτήσει. τινὲς δέ, ἵνα μὴ εἰδὼς

πάλιν παρακαλῇ. V.

δειροτομήσεις: τὸν τράχηλον κόψεις· δειρὴ γὰρ ὁ τράχηλος. D. καταχρησικῶς, ἀνιιρήσεις. V.

92. μοι: ἄμεινον ἀπολύτως ἀναγινώσκειν· πρὸς γὰ τίνα ἡ διαιολή; ἐν ἄλλῳ κακὸν ἔσσεαι. A.

95. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἐπεὶ οὐκ ἰογάιριος, παρόσον ἐν ἄλλοις ἔφη „ἰῆς ἐκ νηδύος" (Il. 24, 496). ἴα δέ ἐσιν ἡ μία· καὶ ὁ τίθησιν Ὅμηρος τὸ μία ἐπὶ τῶ ὁμῶ, ἀδὲ κατὰ σύνθετον ἐκφέρει· „τῆς μὲν ἰῆς σιχὸς ἦρχεν" (Il. 16, 173). A.

96. ἐνηέα: ἐν τῷ ἐπιθέτῳ τῶ φίλε μαλάσσειν αὐτὸν οἰεῖ, διδάσκων ζηλῶν τὴν προσήνειαν τῶ φίλε. B.

99. νήπιε: διὰ τῶ ἐπιθέτε πᾶσαν ἐλπίδα τῶ πείθειν ἐξέκοψε. B.

μή μοι ἄποινα: τινές, ἐπεὶ ἔλεγεν „ἑκατόμβοιον δέ τοι ἦλφον" (79). ἢ ἐπεὶ διὰ τῶ „μή με κτεῖνε" (95) τῶτο ἐπέφηνεν. ἢ διὰ τῶ „νῦν δ' ἐλέμην" (80). V.

100. πρὶν μὲν γὰρ Πάτροκλον: τάχα φησὶν ὅτι ἐκεῖνος ἦν ὁ πρὸς τὲς ἁλισκομένες αὐτὸν ἡμερῶν· ὅθεν καὶ αἱ αἰχμαλωτίδες αὐτὸν ὡς ἥπιον καὶ ἀγαθὸν αὐταῖς ἀπωδύροντο. B.

101. τόφρα: τότε. πλεονάζει τὸ τί. B.

ἐν ἄλλῳ τόφρα δέ μοι. παροξυτονητέον τὸ πεφιδέσθαι, ὁμοίως τῷ „εὖ δ' οἴκαδ' ἰκέσθω" (Il. 1, 19)· ἔσι γὰ μέσος δεύτερος ἀόριςος. AB.

102. ἠδ' ἐπέρασα: ἐν ἄλλῳ ἠδὲ πέρασσα. A.

105. καὶ πάντων: γράφεται καὶ συμπάντων. A.

περὶ δ' αὖ Πριάμοιο: ὁ μὲν ἔλεγεν ἐκ εἰμὶ Ἑκάβης, ὁ δὲ ἀντέθηκεν ἀλλὰ Πριόμβ εἶ. καὶ ὁ μὲν ἐπ' εὐγενείᾳ τὸ ὄνομα Πριάμε ἔλαβεν, ὁ δὲ διὰ τῶτο φονεύειν αὐτόν φησιν. B.

106. πιθανὴ τῶ φίλος ἡ εἰρωνεία πρὸς τὸν ξενίαν προβαλλόμενον. θανάτε δὲ κρείσσων ὢν παραμυθεῖ τὸν ὀγεννῶς τῶ ζῆν ἐφιέμενον. τινὲς δὲ ἀξιῶσι μετὰ τὸ θάνε σίζειν, ἵν' ᾖ, ὁ φίλος Πάτροκλος ἔθανε, καὶ σὺ τί θρηνεῖς ἅτως; B.

τὸ ὑγιὲς συνάπτειν τῆς ἀντωνυμίας μέχρι, ἵν' ᾖ ἐν χήματι, ἀλλ' ὦ φίλε καὶ σὺ ἀπόθανε, εἰρωνείας νοεμένης. εἶτα ἀφ' ἑτέρας ἀρχῆς τὴ ὁλοφύρεαι. A.

ἅτως διὰ τῶ ᾱ ἅπασαι ἅτως. A.

108. καλός τε μέγας τε: ὁπότερον γὰ ἂν θατέρου σερηθῇ, πρὸς σωματικὸν κόσμον ἀτελές. B.

110. ἐκ ἀναιρεπτέον τὴν ἐπί· τὸ γὰ ἐξῆς ἐσὶν ἐπὶ σοὶ καὶ ἐμοί. ὁ δὲ Ἀρίσαρχός φησιν, ἀλλ' ἔπεσι καὶ ἐμοὶ θανάτος καὶ μοῖρα, καὶ ἀξιοῖ σίζειν εἰς τὸ κραταιή. τὸ δὲ ἐξῆς ἀπὸ ἄλλης ἀρχῆς, ἔσσεται ἢ ἠὼς ἢ δείλη. ἔσαι τις ὄρθρος ἢ μεσημβρία ἢ δείλη. ἠὼς μὲν γὰρ ἡ ἔωθεν ἕως μεσημβρίας ὥρα, μεσημβρία δὲ ὁ καιρὸς τῆς ἕκτης, ἣν Ἀττικοὶ δείλην λέγεσι πρωΐαν, δείλη δὲ ἡ μετὰ τὴν ἕκτην, ἥ καὶ δείλη ὀψία καλεῖται. εὐθεῖαι δέ εἰσιν αἱ τρεῖς. τὸ δὲ δείλη χωρὶς τῶ ᾱ, ὡς φησι Δίδυμος. B.

τὸ ἐξῆς ἐσὶν ἐπ' ἐμοί. ἵν' ᾖ τὸ ἐξῆς, ἀλλὰ καὶ ἐπ' ἐμοὶ ἔσσεται. τινὲς δὲ τελείαν δόντες ἐν τῷ προτέρῳ, τὸν ἐξῆς ὡς ἀπό τινος ἀρχῆς προφέρονται, τὸν ἔσσεται ἢ ἠώς, καὶ τὴν ἐπὶ ἀναιρέσεσιν, ἵν' ᾖ ἔπεσιν. ἅτως Ἀρίσαρχος καὶ Νικίας. ἄμεινον δὲ τὸ πρῶτον, ὥσπερ ἔχει καὶ τὰ τῆς παραδόσεως. V.

Ἀρίσαρχός φησι τὴν ἐπὶ ἀναιρέσαι, ἵνα σημαίνῃ τὸ ἔπεσιν, ὁμοίως τῷ „σῷ δ' ἔπι μὲν μορφὴ ἐπέων" (Od. 11, 367). οἱ δ' ἐφύλαξαν τὸν τόνον, τῇ ἐμοὶ ἀντωνυμίᾳ συντάσσοντες αὐτήν, ὥσε τὸ ἐξῆς εἶναι ἀλλὰ καὶ ἐπ' ἐμοί· καὶ ἅτως ἔχει τὰ τῆς ἀναγνώσεως. σικτέον δὲ κατὰ τὸ τέλος τῶ σίχε τάτε, ὡς καὶ τοῖς περὶ Ἀρίσαρχον δόκει· λείπει γὰ τὸ ἐσί ῥῆμα. τὸ δὲ ἐξῆς ἀφ' ἑτέρας ἀρχῆς, ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ. ἔσαι δὲ ὁ λόγος τοιῶτος· ἔσαι τις ὄρθρος ἢ καὶ μεσημβρία ἢ καὶ δειλίνη ὥρα, καθ' ἣν καμέ τις ἀνέλῃ. ἅτως δὲ χωρὶς τῶ ᾱ γραπτέον, ὡς καὶ Διδύμῳ δοκεῖ ἐν τῇ διορθώσει. A.

111. ἠώς: ἔωθεν ἕως μεσημβρίας, ὡς τὸ „ὄφρα μὲν ἠὼς ἦν" (Il. 8, 66) καὶ „πᾶσαν δ' ἠοίην· ἔνδιος δ' ὁ γέρων" (Od. 4, 447. 450). ἡ δὲ μετὰ μεσημβρίαν ἕως ἑσπέρας δείλη. ἢ τὸ μὲν πρῶτον δείλην πρωΐαν, τὸ δὲ πρὸς ἑσπέραν δείλην ὀψίαν Ἀττικοί φασι. τρισὶ δὲ διαζήμασιν ὥρισε τὴν ἡμέραν διὰ τὸ μηδέ πω ὡροσκοπίαν παραδεδόσθαι. V.

ἡ διπλῆ, ὅτι ὅλην τὴν ἡμέραν εἰς τρία διαιρεῖ, ἢ τὴν πρωΐαν, μεσημβρίαν πᾶν τὸ μέσον τῆς ἡμέρας, δείλην, ὅτε ἐνδεῖ ἡ τῶ ἡλίε ἕλη, τετέσιν ἡ αὐγή, ὥσπερ καὶ τὴν νύκτα εἰς τρία, ἑσπέραν, ἀμολγόν, ἑώαν. A.

Ἀρίσαρχος χωρὶς τῶ ᾱ, δείλη. A. ὅλαι εὐθεῖαί εἰσι. δίχα τῶ ᾱ δείλη. V.

112. Ἄρῃ: τῷ σιδήρῳ· συνήλειπται δὲ ἀπὸ τῶ ἀρηΐ. τινὲς δὲ ἀρῇ βλάβῃ. A.

113. ἦ ὄγε δερί: πέπεισαι γὰ ὡς ἐδεὶς αὐτῷ συνελθὼν συσάδην μαχεῖται. B. ἀνελεῖ. V.

114. αὐτῆ: ἐν ᾧ ἦν ἑσὼς καὶ ἱκετεύων τόπῳ. B.

115. ἕζετο χεῖρε πετάσσας: ἀπογνὺς τῆς ζωῆς, τὸν σύντομον αἱρεῖται θάνατον. B.

120. ποταμόνδε: τὸ μὲν τοὺς ἐν τῷ ποταμῷ ὄντας ἐπιβάντα ἀναιρεῖν σκυθρωπὸν μέν, ὅμως συγγνωσόν· τὸ δὲ καὶ τὲς ἐν τῇ γῇ ἀναιρεμένες εἰς τὸ ῥεῖθρον ἐμβάλλειν αἰτίαν παρέχει τῷ ποταμῷ εἰς τὴν κατ' Ἀχιλλέως ἐπιβουλήν. ἀλλὰ μὴν καὶ βλασφημεῖ αὐτόν· θηρώμενος γὰ ὁ ποιητὴς τὴν πρὸς τὸν ποταμὸν μάχην, ἐξευρίσκει πιθανὰς αἰτίας. B.

121. πτερόεντ' ἀγόρευε: γράφεται πτερόεντα προσηύδα. A.

122. κεῖσο: τινὲς ἧσο γράφουσιν, ἀντὶ τοῦ διαγε, ὕπαρχε, ὃ καὶ δασύνεται. τὸ δὲ ἐνταυθοῖ περισπαζέον Ἀττικῶς. B.

Διονύσιος ὁ Θρᾴξ, Τίμαρχος καὶ Ἀριστοτέλης ἐνταυθοῖ ὁμοίως τῷ ἐνταῦθα περισπωμένως ἀνέγνωσαν. Paris. apud Ruhnken. praef. Hesych. p. VIII.

τὸ ἐνταῦθοῖ περισπαξέον· ἔχει γὰρ ἀπὸ τῆ ἐντάῦθα Ἀττικῆ. οἱ δὲ ἐνταυθοῖ ἦσο· δασυντέον δὲ τὸ ἦσο. φέρει δὲ καὶ ἡ κεῖσο γραφή. A.

ἄλλως. διχῶς, κεῖσο καὶ ἧσο. A.

ἔτως διὰ τῆ ν, ὠτειλήν, ἅπασαι. A.

123. ἀπολιχμήσονται: καταφάγωσιν· ἀπὸ τῆ λείχειν δὲ εἴληπται τὸ λιχμᾶν. ἀκηδέες δὲ οἱ μὴ κηδόμενοί τινων. B.

ἀ κηδόμενοι. οἱ δέ, ὡς ἀνηλεές ἐπὶ τῆ Λυκάονος. V.

ἀκηδέες: ὡς εὐσεβές, ἵνα αὐτοὶ οἱ ἰχθύες ἔχωσι τὸ ἐπίθετον, τετέχσι μηδεμίαν φροντίδα ἔχοντες. A.

ἐδέ σε μήτηρ: ἐπεὶ πολλὰ περὶ τῆς μητρὸς προβάλλετο ἐκεῖνος, ὅτι ὡραία καὶ πλησία ἦν, ἔτος, ὥσπερ ὑπερεμπιπλάμενος τῆς εἰς τὸς πολεμίους κολάσεως, φησὶν ὅτι οὐδὲ ἐκείνη σοι ἐπιχαρήσεται, οἱονεὶ κἀκείνην τιμωρέμενος δι' αὐτοῦ. B.

125. ἡ διπλῆ, ὅτι τὸ εἴσω ἰσοδυναμεῖ τῷ εἰς, ἀντὶ τῆ εἰς ἅλός. A.

ἀντὶ τῆ εἰς ἅλός, πλεονασμῷ τῆ ῶ. B.

126. 127. ἐφαλλόμενος καὶ νηχόμενός τις τῶν ἰχθύων κατὰ θάλασσαν, καὶ ἐμπληθεὶς τῆς Λυκάονος πιμελῆς, πάλιν ὑπὸ τὴν μέλαιναν φρῖκα κατελεύσει. φρὶξ δέ ἐσιν ἡ ἠρεμαία τῆ ὕδατος κίνησις. D.

ἡ διπλῆ πρὸς τὸ σημαινόμενον. Φιλητᾶς γὰρ καὶ Καλλίστρατος γράφουσι φρῖχ' ὑπαλύξει, λέγοντες ὅτι οἱ πίονες τῶν ἰχθύων καὶ εὔτροφοι τὸ ψύχος ὑπομένουσι καὶ ἃ φθείρονται. ὁ δὲ ποιητὴς ἀδέποτε φρίκην τὸ ψύχος εἴρηκεν, ἀλλὰ τὸ ἐκ γαλήνης πρῶτον ἐξορθούμενον κῦμα, ὁμωνύμως δὲ τούτῳ καὶ τὸν ἄνεμον τὸν οἱονεὶ ἐπιζέοντα τὴν θάλασσαν· „οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρίξ" (Il. 7, 63) καὶ „ὡς δ' ὑπὸ φρικὸς Βορέης" (Il. 23, 692). ἡμεῖς δὲ λέγομεν ψύχος κρύος καὶ πάχνην. ἔσιν ἂν τὸ λεγόμενον, μέλαιναν φρῖχ' ὑπαΐξει, τὸ μέλαν κῦμα ὑποτροχάσει ἰχθύς, ὡς φάγοι ἂν τῆ Λυκάονος τὸν δημόν, πλοάζοντος καὶ ἐξ ἐπιπολῆς φερομένε τῆ νεκρῆ· τὸ γὰρ ὅς κε φάγῃσι, ὅς φάγοι ἄν. καὶ ἐν Ὀδυσσείᾳ (1, 396) „τῶν κέν τις τόδ' ἔχῃσι," ὡς. A.

ὁ μὲν Ἀρίσαρχος φρῖχ' ἐπαΐξει, οἱ δὲ ἄλλοι ὑπαΐξει. ἔτως δὲ Ἀρίσαρχος ἐξηγεῖται· τῶν δὲ ἰχθύων τις κατὰ τὸ κῦμα θρώσκων, ὃ ἐσι κολυμβῶν, ἐπὶ τὴν φρῖκα ἅΐξει, ἵνα φάγῃ σε φερόμενον. δεῖ γὰρ τὸν μέλλοντα ἰχθὺν φερομένε τινὸς γεύεσθαι ἄνω μετέωρον ἐπὶ τὴν φρῖκα τῆς θαλάσσης ἐλθεῖν. τὸ δὲ πᾶν ἔτως· νεοσφαγὴς μὲν ὢν καταδύσῃ πρὸς τὸ βάθος τῆ ποταμῆ, ἔνθα σὺν τοῖς ἰχθύσιν ὧν ἀπολιχμηθήσῃ τῆ αἵματος· ἐπὶ πλέον δέ σε ἄταφον ὄντα καὶ μετεωριζόμενα ἐκβαλεῖ παρὰ τὴν θάλασσαν ὁ ποταμός, ἔνθα τις τῶν ἰχθύων σε κατέδει ἐπὶ τὴν φρῖκα φερόμενος. Φιλητᾶς δὲ ἀρεσκόμενος τῇ ὑπαλύξει γραφῇ, φησὶν ὡς ἐκεῖνος ὁ λιπανθεὶς ἰχθὺς ὑπὸ τοῦ δημοῦ τὴν ψυχρασίαν ὑπαλύξει. BV.

ἄλλως. Πορφυρίε. ὁ μὲν Ἀριστοφάνης βάλει τὸν ἰχθύν, ὥσε καταφάγῃ τὸν Λυκάονος δημόν, ἢ διαφαγόντα, θρώσκειν κατὰ κῦμα καὶ ὑπαΐσσειν τὴν φρῖκα· καί φησιν, ἐπιπολαίως ἐπινήξει τῷ ἀφρῷ τῆ ὕδατος ὑποδεδυκώς, ἐπειδὴ καὶ τῶν ἀποθανόντων τὰ σώματα, ἕως ἂν εἴη πρόσφατα, ἄνωθεν ἐπιπλεῖν εἴωθε. πρῶτον μὲν ἓν ἐκ ἔχιν ἐπινοῆσαι νηχόμενον ἰχθὺν ὑπεράνω μὲν ὕδατος, ὑποκάτω δὲ ἀφρῆ τῆ ὕδατος, οὐδὲ τούτων μεταξὺ νεκρὸν ἄνδρα φερόμενον. ἀλλ' ἐδὲ τὴν φρῖκα ἀκέειν δύναμαι τὸν ἀφρόν, Ὁμήρου μὲν μέλαιναν φρῖκα λέγοντος, τάτου δὲ ἀξιοῦντος τὸ λευκότατον ἀκούειν. ἐπί τε τοῦ Πρωτέως λέγει πάλιν Ὅμηρος „μελαίνῃ φρικὶ καλυφθείς" (Od. 4, 402)· καὶ ἀλλαχῆ „ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλει ἰχθύς, θινὶ ἔπι φρικόεντι, μέλαν τέ ἑ κῦμ' ἐκάλυψε" (Il. 23, 692). καὶ ἀλλαχῆ τῆς φρικὸς μνημονεύσας ἐπάγει „μελάνει δέ τε πόντος ὑπ' αὐτῆς" (Il. 7, 64). καὶ ἔσιν ἡ φρὶξ κινεμένε τῆ πνεύματος ἀρχή. Σιμωνίδης δὲ αὐτὴν καὶ δεῖξαι πειρώμενος οὕτως ἔφη „ἐς ἅλα εἰζέσσα πνοιά." τὸ δὲ λέγειν ὅτι τὰ πρόσφατα σώματα φέρει τῶν κυμάτων ἐπιπολῆς ψεῦδος. τἀναντίον γὰρ ἐν ἀρχῇ μὲν διὰ ξερότητα καὶ πυκνότητα τοῦ σώματος ἰσχυρότερος ὢν τῆ ξηρίζοντος ὕδατος ὁ νεκρὸς διισαμένε καταδύει, χήματι καταβαίνων καὶ βάρει· πληρέμενος δὲ τῆς ὑγρότητος, πλείω τόπον ἐπιλαμβάνων τῷ χήματι, μετέωρος αἴρει, βάρει τῆ φέροντος ἐλαττέμενος· τίς ἦν ὁ νῆς τῶν ἐπῶν; διττὴ γὰρ ἡ γραφή· ἐν οἷς μὲν γὰρ γράφει μέλαιναν φρῖχ' ὑπαΐξει, ἐν οἷς δὲ μέλαιναν φρῖχ' ὑπαλύξει. κἂν μὲν κρατοίη τὸ ὑπαΐξει, φήσομεν λέγειν αὐτόν, τῶν πηδώντων τις κατὰ τὸ κῦμα ἰχθύων ὑπὸ τὴν φρῖκα ἅΐξει, τετέχσιν ἐκ τῆς ἄνωθεν θρώσεως παυσάμενος ὑπὸ τὴν φρῖκα ὑποδύσει καὶ ὁρμήσει κάτω, συγκαταφερόμενος τῷ νεκρῷ, ὃς φάγοι ἂν τὸν Λυκάονος δημόν. τοῦτο μὲν ἓν, εἰ ἐπιπολῆς τῆ κύματος θρώσκειν ὑπακέομεν. εἰ δ' ἐκ βάθες ἀναπηδῶντα ἐπὶ τὸ κῦμα, ἔσαι ὡς ἐπὶ τῆ λίθα εἴρηκεν „ὕψι τ' ἀναθρώσκων πέτει" (Il. 13, 140), ἵνα σημαίνῃ ἐπὶ τῆ ἰχθύος τὸ ὑψοῦ τὸ ἐκ βυθῆ κάτωθεν κατὰ τῆ κύματος θορεῖν, μὴ μέντοι ὑπερθορεῖν τὴν φρῖκα, ἀλλ' ὑπ' αὐτὴν ὄντα ἅπτεσθαι τῆ νεκρῆ, εἰ ἐπιπολαίως φέροιτο. εἰ δ' ὑπαλύξει γράφοιτο, φησὶ Πολύχλειτος τὸν νῆν τοιῆτον ἔσεσθαι· καταδύσει μὲν εἰς τὸ βάθος τῆ κύματος ὁ ἰχθύς, φεύγων τῆς φρικὸς τὴν ψυχρότητα. καὶ γὰρ αὐτῷ πολεμιώτατον· τῆ γῆν χειμῶνος ἐκ τῆ πελάγες εἰς τὴν γῆν καταίρεσιν οἱ ἰχθύες· πολλὲς δὲ αὐτῶν καὶ φωλεύειν κατὰ τῆ βάθες διὰ τὴν αὐτὴν αἰτίαν ἴσορεῖ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ περὶ ζῴων φύσεως. ψυχροτάτη δ' ἡ φρική, καὶ μάλισα ἂν Βόρειος ᾖ. γενόμενος δὲ ἐν τῷ βάθει ἕδεται τὸ λίπος τοῦ Λυκάονος. οὐδείς δέ μοι τούτων δοκεῖ ὀρθῶς ἀποδεδωκέναι τὸν νῆν τῶν ἐπῶν. ἐ γὰρ εὐθύς φησιν Ὅμηρος αὐτὸν σφαγέντα καὶ ῥιφθέντα τοῦτο παθεῖν, ἵνα ἐκδεχώμεθα ὅτι κάτω ἐνεχθέντος ὁ ἰχθὺς κάτω χωρεῖν λέγοιτο εἰς τὰ βάθη τῆ κύματος ἐπὶ τὴν βρῶσιν, ἀλλ' ἐξενεχθέντα ὑπὸ τῆ Σκαμάνδρε ἐπὶ τὴν θάλασσαν, ὥσε οὐκέτι ὑποβρύχιον, ἄνωθεν δὲ αὐτὸν ἐπιπλεῖν ἀνάγκη. ἔχει γὰρ ἔτως τὰ ἑπῆ· „ἐνταυθοῖ — οἵ σ' ὠτειλῆς —

δημόν." νεοσφαγῆ μὲν ἓν ὄντα φησὶ κεῖσθ μετ' ἰχθύσιν, ὡς ἂν κάτω ἀπενιχθέντα, ὅπερ φησὶ τῆς ὠτειλῆς αὐτὸν αἷμα ἀπολιχμήσεσθαι τοὺς ἰχθύας· χρονίζοντα δὲ ἄταφον ἐκβληθῆναι εἰς θάλατταν ὑπὸ τοῦ ποταμοῦ, ὅτε καὶ ἀναπλεῦσαι ἀνάγκη, καὶ θρώσκοντα οὐχ ὑπὲρ τὸ κῦμα τῶν ἰχθύων ἀλλὰ κατὰ κῦμα (κατὰ κῦμα γ' ἔφη, οὐχ ὑπὲρ κῦμα) ὑπὸ τὴν φρῖκα αἴσσειν· τὸ γ' μέτρον τῆς εἰς τὰ ἄνω ὁρμῆς τοῦ ἰχθύος δηλῶν, ἀφορίζει, ἀλλ', ἄχρι τῆς φρικός· ὃ γ' ἂν ἐπέθρωσκε κατὰ κῦμα, ἀλλ' ὑπὲρ τὸ κῦμα, εἰ καὶ τὴν φρῖκα ὑπερεπήδα. ἐκφερομένῳ δ' ὑπὸ τῆς ἐκβολῆς τοῦ ποταμοῦ πεπηδῆσαι κατὰ τὸ κῦμά φησι τὸν ἰχθύν, καὶ γενέσθαι ἄνω ὑπὸ τὴν φρῖκα, ἔνθα ἐντεύξεσθαι τῷ νεκρῷ. ἔστω ἐξηγήσαντο καὶ οἱ Ἀριστάρχειοι, λέγοντες, ὑπὸ τὴν φρῖκα αἴσσει τις τῶν ἰχθύων κατὰ τὸ κῦμα κολυμβῶν, ὃς φάγοι ἂν τὸν Λυκάονος δημόν· πάντως γ' ἔδει τὸν μέλλοντα τῷ ὑπερφερομένῳ νεκρῷ ἅπτεσθαι ἰχθὺν ἄνω μετέωρον ὑπὸ τὴν φρῖκα ἐλθεῖν. Φιλητᾶς δὲ τῇ ὑπαλύξει γραφῇ συντιθέμενός φησιν ὅτι ὁ φαγὼν ἰχθὺς τὸν Λυκάονος δημόν, πιμελώδης γενόμενος, τὸ κρύος ἐκφεύξεσθαι. ἀγνοεῖ δὲ καὶ τοῦτο ὅτι τὸ διανεχηκὸς τῆς θαλάττης ἐπιπολῆς, ἐν τῷ κρύος φησὶν Ὅμηρος φρῖκα· „ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθύς" (Il. 23, 692), τῆς ἐπιτρεχούσης κατὰ τὴν θάλατταν πρὸ τῆς τοῦ ἀνέμου ἐμβολῆς· καὶ ἐπὶ τοῦ συὸς κατὰ μεταφοράν „φρίξας εὖ λοφιήν" (Od. 19, 446)· καὶ „ἔφριξε δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν" (Il. 13, 339). B.

127. ὅς κε φάγῃσι: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ὃς φάγοι ἄν. B.

Ἀριστοφάνης διὰ τοῦ ὧ ὅς κε φάγῃσιν. AV.

οὐ δεῖ τὸ ὅς κε φάγῃσιν ἄρθρον ὑποτακτικὸν λαμβάνειν, ἀλλ' ἀντὶ τοῦ ὡς κεν ἐπὶ ῥῆμα ὑπαΐξει. ὁ δὲ νῦς, ὁ δὲ ἰχθὺς ἐκ ἐπιπολῆς γενήσεσθαι ἀλλ' ἐπὶ τὴν φρῖκα αἴσσει· τὰ γ' νεοσφαγῆ τῶν σωμάτων ἄνωθεν ἐπιπλεῖ. D.

128. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

130. ἕως τοῦ „ὃς ἐπὶ νηυσὶ θοῇσιν" (135) Ἀριστοφάνης ἠθέτηκεν. V.

Ἀρίσαρχος διὰ τῶν ποιημάτων Ἀριστοφάνη φησὶ εἶχες ἐξ ἠθετηκέναι ὡς παρεμβληθέντας ὑπὸ τῶν ἀπορούντων διὰ τί ὁ ποταμὸς ὀργίζεται, καίτοι σαφῶς αὐτοῦ λέγοντος τὴν αἰτίαν· „Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν, ὃς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον ὀδ' ἐλέαιρεν" (146)· εἰ γ' ἐβλάσφημήθη ὁ ποταμός, ἔλεγεν ἂν τοῦτο πρὸς Ἥραν καὶ Ἥφαιστον. καὶ τὸ δηθά ὡς οὐχ Ὁμηρικῶς κείμενον αἰτιῶνται. μήποτε μέντοι καὶ ὁ Ἀρίσαρχος συγκατέθετο τῇ ἀθετήσει, μηδὲν ἀντειπὼν τῷ Ἀριστοφάνει. A.

131. δηθά: ἐκ πολλοῦ δηλονότι χρόνου. B.

Ἀρίσαρχος πολέας· ἔνιοι δὲ πολεῖς. ἠθέτει δὲ αὐτὰς Ἀριστοφάνης. A.

πολεῖς: οὕτω τινές. ἠθέτει δὲ αὐτοὺς Ἀριστοφάνης, ἄμεινον ἓν πολέας. V.

132. ἵππους: τὰ ὁρμητικώτατα γὰρ τῶν ζώων αὐτοῖς ἀφιᾶσιν. V.

135. νόσφιν ἑμεῖο: λείπει τὸ ὄντος. B.

136. χόλωσατο κηρόθι μᾶλλον: ῥιφέντος Λυκάονος ἦρκται τοῦ θυμοῦ· νῦν δὲ μᾶλλον διὰ τὸ κακῶς ἀκοῦσαι. B.

ἐκ ὅτι ἐβλασφημήτο, ἐπεὶ κἂν πρὸς Ἥραν τοῦτο εἰρῆκει καὶ πρὸς Ἥφαιστον· φησὶ γοῦν „ἐπεὶ κεχόλωτο δαϊκταμένων." ἀλλὰ διὰ τὸ τοὺς ἐπὶ γῆς ἀναιρεμένους εἰς αὐτὸν ῥίπτεσθαι. V.

140. Ἀξεροπαίῳ: πῶς πρὸ ε' ἡμερῶν τὸν κατάλογον ποιησάμενος Ἀξεροπαῖον παρέλιπε, λέγοντα ῥητῶς πρὸ ε' ἡμερῶν ἐληλυθέναι; (καὶ οἱ μὲν ὑποτάσσουσι εἶχον ἐν τῷ τῶν Παιόνων καταλόγῳ· „αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους, Πηλεγόνος θ' υἱὸς περιδέξιος Ἀξεροπαῖος" ὃν καὶ ἐν πολλοῖς τῆς Ἰλιάδος φέρεσθαι V). ἐ θαυμαστὸν ἂν τ παραλιπεῖν αὐτὸν ἐν τῷ καταλόγῳ· μόνων γ' ἐμνήσθη τῶ τὴν κυρίαν ἡγεμονίαν ἐχόντων. ἐν δὲ τοῖς κατὰ μέρος κα τὰς μετ' ἐκείνας τεταγμένας παρέλαβεν, ὡς ἐπὶ Ἀθηναίων ἐν μὲν γ' τῷ καταλόγῳ Μενεσθέα φησὶν εἶναι τὸν ἡγεμόνο ἐν δὲ τῇ ἐπὶ ναυσὶ μάχῃ „Φείδας τε Στιχίος τε Βίας τ εὖς" (Il. 13, 691). ἔστω ἓν ἔσαι καὶ ἐπὶ Ἀξεροπαίᾳ· ὁ μὲ γ' Πυραίχμης τὴν πρώτην τῶν Παιόνων ἡγεμονίαν εἶχ τὴν δὲ δευτέραν Ἀξεροπαῖος. νυνὶ μέντοι τὴν πᾶσαν αὐ τῷ ἡγεμονίαν ἀνατίθησι διὰ τὸ τὸν Πυραίχμην ὑπὸ Πα τρόκλου ἀνῃρῆσθαι. B. ὥσπερ καὶ Πρωτεσιλάου ἀποθανόντο ὁρῶμεν τὸν Ποδάρκην ἄρχοντα. V.

141. υἱεῖ Πηλεγόνος: τίς χρεία τοῦ πατρός, μέλλον τος αὐτῷ γενεαλογεῖν αὐτόν; ἀλλ' ὁ μὲν ὡς μὴ γνώριμο Ἀχιλλεῖ (τῶν γ' ἐπηλύδων ἦν) ἐδίδαξεν αὐτὸν τὸ γένος ὁ δὲ ποιητής, ἵνα μὴ ἐκεῖνος τῷ οἰκείῳ ἐπιμένοι καταλό γῳ, ἐνταῦθα συνέτεμε καὶ τὴν μητέρα ἐδίδαξεν. B.

Πηλεγόνος: ὡς Σαρπηδόνος. ἔστω καὶ ὁ Ἀσκαλωνί της, ἐπεί, φησίν, ἡ εὐθεῖα ὀξύνεται, Πηλεγών. τὸ δὲ τοιοῦ τον ἔπω ἐχυρόν, ἐπεί τοι ἐπιζητήσει τις διὰ τί γ' ἡ εὐ θεῖα ὁ βαρύνεται; ἄμεινον ἓν ἔστω λέγειν, ὡς ἐκ τῆς κλί σεως πολλάκις καταλαμβανόμεθα τὰς τόνους τῶν εὐθειῶ τὰ δὲ εἰς γων λήγοντα ὑπὲρ δύο συλλαβὰς τότε μὲν θέλ ὀξύνεται, ὁπότε διὰ τοῦ ō κλίνεται, τότε δὲ βαρύνεται, ὁπό διὰ τοῦ ω ἢ διὰ τοῦ ντ. τοῦ μὲν ἓν προτέρᾳ Παφλαγόνι Λαισρυγόνος Πηλεγόνος, Πηλεγόνον ἐλατῆρα, ἀρηγών. λι γω δὲ ἐπὶ τοῦ συμμάχου ἀρσενικῶς· „ἀρηγόνος ἡμετέροιο ἔστω ἓν καὶ τὸ Πηλεγών ὀξυτονηθήσεται· Πηλεγόνος γάρ, Πηλεγόνα ἡ αἰτιατική· „ὃς τέκε Πηλεγόνα." τὰ δὲ ἄλλα κλιθέντα βαρύνεται, Οὐκαλέγων Πελάγων Σαλάγγων· „μέσῳ Σαλάγγωνος ποταμῷ." τὸ δὲ καταπύγων, βαρυνόμενον κ διὰ τοῦ ō κλιθέν, εἶχεν ἀφορμὴν τὸ παρώνυμον εἶναι τι κατάπυγος, ὡς καὶ τοῦ ἄπειρος τὸ ἀπείρων. A.

142. ὀξυτονητέον τὸ Ἀκεσσαμενός, ἵνα ὄνομα γένηται ἔστω δὲ ἔχει καὶ Δεξαμενός Τισαμενός. B.

143. τῇ γάρ ῥα μίγη: ἐν ἄλλῳ τῇ γάρ μίγη. A.

145. μένος δέ οἱ ἐν φρεσὶ θῆκε: ψυχικὴ γ' ἀρε

ἐςιν ἡ εὐθαρσία. πιθανῶς δὲ αὐτὸν υἱὸν ποιεῖ ποταμοῦ, ἵνα πλέον ἐρεθίσῃ τὸν ποταμόν. B.

δαιμονίως ȣ̓κ ἀθρόον τὴν τȣ̃ ποταμȣ̃ ὀργὴν εἰσάγει, ἀλλὰ πρῶτον μὲν δι' ἑτέρȣ ἐπιβȣλεύει τῷ Ἀχιλλεῖ, εἶτα δ' αὐτὸς ἀφέξεται. V.

146. ἡ διπλῆ, ὅτι λείπει ἡ περί πρόθεσις. A.

147. ȣ̓δ' ἐλέαιρεν: Πίος ψυχρόν φησι τὸ ἐπίθετον, εἴτε ἐπὶ τῶν Τρώων· πῶς γ̓ ἄξιον ἐγκαλεῖν Ἀχιλλεῖ ὅτι τȣ̀ς πολεμίȣς ȣ̓κ ἐλεεῖ; εἴτε ἐπὶ τȣ̃ ποταμȣ̃, ὅτι αὐτὸν ȣ̓κ ἠλέει, ȣ̓χ ἁρμόζον ἐπὶ θεȣ̃. B.

150. τίς πόθεν εἰς ἀνδρῶν: πιθανὴ ἡ εἰσβολὴ ἐκ τȣ̃ καιρȣ̃, ὅτι τῶν ἄλλων φευγόντων ȣ̃τος μόνος ἀντέςη. B.

ὅ μεν: τινὲς ὁμοῦ. V.

155. ἡ διπλῆ, ὅτι ἕτερος ȣ̃τος Παιόνων ἡγεμών, ὃν οὐ κατείλοχε διὰ τοῦ καταλόγου. ἐν ἄλλῳ ἄγων ἀντὶ τοῦ ἔχων. A.

δολιχεγχέας: καὶ πῶς ἐν τῷ καταλόγῳ (Il. 2, 848) ἀγκυλοτόξȣς αὐτȣ́ς φησιν; ἴσως ȣ̓ν διττὸν ἦν τὸ γένος, τὸ μὲν τοξεῦον, τὸ δὲ ἀκοντίζον. ἢ ϗ ἐπαμφοτερίζȣσιν, ὡς ϗ Τεῦκρος. ϗ οἱ μὲν ὑπὸ Πυραίχμῃ, οἱ δὲ ὑπὸ Ἀςεροπαίῳ εἰσίν. παροξύνεϑ δὲ τὸ δολιχεγχέας ὡς εὐειδέας. B.

ὡς εὐειδέας· παραιτητέον γ̓ τοὺς ἄλλως ἀναγινώσκοντας. A.

156. εἰλήλουθα: ἀντὶ τȣ̃ ᾠχόμην, ὡς „ᾤμωξαν ἀολλέες" ἀντὶ τȣ̃ ᾤμωζον, ὥςε πρὸ ἕνδεκα ἡμερῶν ἐκ Παιονίας ἐξεληλυθέναι. διὰ τȣ́τȣ δὲ λύσις τȣ̃ πῶς πρὸ πέντε ἡμερῶν τὸν κατάλογον ποιησάμενος ȣ̓κ ἐμνήσθη τȣ̃ Ἀςεροπαίȣ· ȣ̓πω γ̓ ἦν φθάσας. V.

158. δύναται ϗ τὸ γαῖαν μὴ τὴν γῆν λέγειν ἀλλ' ὄνομα κρήνης. φέρει ϗ τὸ ἔπος ϗ Εὔδοξος δίχα τοῦ ν̄· „Ἀξιοῦ κάλλιςον ὕδωρ ἐπικίδναται Αἶα·" πολλῶν γ̓ ποταμῶν ἐμβαλλόντων εἰς τὸν Ἀξιὸν θολερῶν, Αἶα ἡ κρήνη διαυγέστατον ἀνίησιν ὕδωρ. B.

159. 160. μέ: ὁ Ἀσκαλωνίτης ἐκ πλήρȣς λαμβάνει τὴν ἀντωνυμίαν ϗ ὀρθοτονεῖ· εἰσὶ μέντοι οἳ ἀπολύτως ἀνέγνωσαν. ὅμοιον δέ ἐςι τὸ ἐν Ὀδυσσείᾳ (1, 215) „μήτηρ μέν τέ μέ φησι τȣ̃ ἔμμεναι." ϗ ȣ̓δέν ἐςι τὸ κωλῦον. A.

160. γείνεσθαι: ἐν ἄλλῳ γείνασθαι. A.

162. ἁμαρτῇ δȣ́ρασιν ἀμφίς: ἅμα ἀφῆκε δύο δόρατα. B.

Ἀρίςαρχος ἀποκοπὴν εἶναι βȣ́λεται τȣ̃ ἁμαρτήδην, ὅ ἐςιν ἅμα· διὸ ϗ χωρὶς τȣ̃ ῑ γράφεται. ἐν δὲ τῇ Μασσαλιωτικῇ ὁ δ' ἁμάρτῃ δȣ́ρασιν ἄμφω· ϗ λόγον ἔχει. A.

ἄλλως. περισπαςέον καὶ σὺν τῷ ῑ γραπτέον κατὰ τὸν χαρακτῆρα τῶν εἰς τη̄ ληγόντων ἐπιῤῥημάτων· ϗ διελέγχει ἡ παράδοσις τὸν Ἀρίςαρχον, ἔχȣσα τὸ ῑ. A.

ἀμφίς: δίχα· „τὼ δ' ἀμφὶς φρονέοντε" (Il. 13, 345)· „ζυγὸν ἐΰξοον ἀμφὶς ἐέργει" (ib. 706) ἀντὶ τȣ̃ εἰς ἑκάτερα διείργει· „ϗ εἴριον ἀμφὶς ἀνέλκει" (Il. 12, 434)· „ἀμφὶς ἐάγη" (Il. 11, 558). ἀμφίβολον δὲ πότερον ἁμαρτῇ ἀνέσχετο ἢ ἁμαρτῇ ἀμφίς, ἐξ ἑκατέρȣ μέρȣς· ὃ ϗ ἄμεινον· περιδέξιος γάρ ἐςιν. τὴν δὲ ἀσπίδα ἀπέβαλεν ὡς δύχρηςον ἐν ὕδασι. δύναϑ δὲ ϗ πελτάριον ἔχειν ὡς οἱ τοξόται. BV.

163. περιδέξιος: ἄμεινον συνθέτως ἀναγινώσκειν, ὡς ἐπιδέξιος ϗ ἀμφιδέξιος. A.

τινὲς ἀντὶ τȣ̃ ὑπερδέξιος, μεγάλως δεξιός, ὡς „περίεσσι γυναικῶν" (Od. 18, 247). οἱ δὲ ἀμφιδέξιος. V.

Πτολεμαῖος ὁ Πινδαρίων ἀναςρέφει τὴν περί, ἵνα σημαίνῃ τὸ περισσῶς. Paris.

165. χρυσὸς γὰρ ἐρύκακε: οὐκȣ̃ν ἐπιπολαῖος ἦν ὁ χρυσός. εἰ δέ φησιν ὅτι μέχρι τινὸς ἔῤῥηξεν, μέσος ἦν ὁ χρυσός, ὡς Πορφύριος. δύναϑ δὲ ϗ ȣ̃τως εἶναι πρῶτος. B.

ἡ διπλῆ, ὅτι ἄτρωτα τὰ ἡφαιςότευκτα ὅπλα. ἡ δὲ ἀναφορὰ πρὸς τοὺς ἠθετημένους ἐν τῇ πρὸ ταύτης ῥαψωδίᾳ (Il. 20, 268) „ἀλλὰ δύο μὲν ἔλασσε διὰ πτύχας." A.

166. ἡ διπλῆ, ὅτι ἀρχαϊκῶς πάλιν τὸν πῆχυν αὐτὸν ἔβαλεν, ȣ̓χὶ τὸν πῆχυν αὐτȣ̃. ὑπὸ μόνȣ δὲ τȣ́τȣ ὁ Ἀχιλλεὺς τιτρώσκεται. A.

ἐπιγράβδην: ἐπιξεςικῶς, ἄχρι μόνȣ τȣ̃ δέρματος. B.

167. ὅτι τῷ ἑτέρῳ εἰρηκὼς ἐπήγαγεν „ἡ δ' ὑπὲρ αὐτȣ̃ γαίῃ ἐνεςήρικτο." A. ὡς τὸ „νεφέλη δέ μιν, τὸ μὲν οὔποτ' ἐρωεῖ" (Od. 12, 75), ȣ̃τω ϗ νῦν πρὸς τὴν ὁμώνυμον μελίαν ὑπήντησε. V.

169. Ἀρίςαρχος ἰθυκτίωνα, ὅ ἐςιν ἐπ' εὐθείας ἔχȣσαν τὰς ἀκτεδόνας ϗ τὰς ἐν τοῖς ξύλοις διαφύσεις. V.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει ἰθυκτίωνα διὰ τὸ κτεδόνας λέγεσθαι τῶν ξύλων τὰς γραμματοειδεῖς διαφύσεις. παρέλκει δὲ νῦν τὸ περὶ τῆς τȣ̃ ξύλȣ φύσεως εἰπεῖν. τὸ μέντοι ἰθυπτίωνα εἰς εὐθὺ φερομένην, ἀναφερομένȣ τȣ̃ ἐπαίνȣ εἰς τὸν ἀκοντίζοντα. ϗ δ' ἄλλως „τȣ̃ δ' ἰθὺς βέλος πέτετ'" (Il. 13, 99). A.

ἡ μεταφορὰ ἀπὸ τȣ̃ „ἰθὺ βέλος πέτεται." ἀπὸ δὲ τοῦ φορȣ̃ντος τὸ πλεονέκτημα ἐπὶ τὸ φορȣ́μενον μετήγαγεν. ἔςιν ȣ̓ν κατ' εὐθὺ πετομένην. B.

171. καὶ τοῦ μέν: ἐναγώνιον τὸ τιτρώσκεσθϑ ϗ ἀποτυγχάνειν Ἀχιλλέα. V.

172. μεσσοπαλές: μέχρι τȣ̃ μέσȣ παλλόμενον· οὕτω γ̓ τὸ μετὰ βίας ἐκπεμφθὲν σημαίνει, ὅτι μέχρι τȣ̃ μέσου καταπεπηγὸς τὸ δόρυ περὶ τὸν οὐρίαχον ἐπάλλετο. δηλοῖ δὲ ϗ τὸ ὑποκείμενον ἔδαφος τελματῶδες ὄν. B. τȣ̃το δὲ οἰκονομεῖ, ἵν' ἑξῆς ἐπιχειρῶν Ἀςεροπαῖος ἀνελκύσαι αὐτὸ ἀδυνάτος ᾖ. ἢ ὅτι πᾶν δόρυ ἐκ μέσȣ πάλλεται. V.

ἄλλως, ἔνιοι μεσσοπαγές διὰ τȣ̃ γ̄, ȣ̓κ εὖ· βȣ́λεται γ̓ λέγειν ἕως μέσȣ παλλόμενον, δι' ȣ̃ τὸ σφοδρὸν τῆς βολῆς παρίςησιν. ȣ̃τως Ἀρίςαρχος. A.

ἡ δὲ διπλῆ, ὅτι ἣν νῦν ὄχθην εἴρηκεν, ἑξῆς κρημνόν· „ȣ̓ δύνατ' ἐκ κρημνοῖο." πάντα γ̓ τὰ ὑψηλὰ ὄχθαι λέγονϑ. A.

173. ἡ διπλῆ, ὅτι ὡς περὶ ἑτέρȣ λέγει, προειπὼν „δεύτερος αὖτ' Ἀχιλεύς." A.

174. ἡ οἷ ἀντωνυμία ἀπόλυτός ἐςι καὶ ἐγκλιτική· διὸ τῆς ἐπί προθέσεως τὸ τέλος ὀξύνȣσιν. A.

179. χεδόν: λείπει τὸ ἐλθών. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄσρι: τῷ δόρατι. Φιλητᾶς „καί κεν Ἀθηναίης δολιχαόρȣ" ἀντὶ τȣ̃ μέγα δόρυ ἐχȣ́σης. V.

181. χολάδες: τὰ ἔντερα, ἀπὸ τῆς κοιλότητος ἢ τοῦ κεχαλάσθ, ὅθεν ϗ κῶλον. οἱ δέ, τὰ ἔντερα ἃ τὴν ξανθὴν ἔχει χολήν· τῆς γ̓ χολῆς ἡ μὲν ξανθή, ὅθεν ὁ ἴκτερος, ἡ δὲ μέλαινα, ἀφ' ἧς αἱ μελαγχολίαι. B.

183. ἐν ἐνίαις διὰ τȣ̃ ζ̄, ἐξενάριζε. A.

ἡ διπλῆ, ὅτι εὐχόμενος ἀντὶ τȣ̃ καυχώμενος. A.

185. ἡ διπλῆ, ὅτι περισσὸς ὁ πέρ, ὡς ἐκεῖ „φυγόντι περ αἰπὺν ὄλεθρον" (Od. 17, 47). ȣ̃τως δὲ κατὰ δοτικὴν ἐκγεγαῶτι αἱ Ἀριςάρχȣ. παισὶν δὲ ἐκγόνοις. A. Αἰακȣ̃ γ̓ ϗ Μενεδηΐδος τῆς Σκείρωνος Πηλεύς, ȣ̃ Ἀχιλλεύς. V.

186. προπερισπαςέον τὸ φῆσθα· παρατατικȣ̃ γάρ ἐςιν. ὁ δὲ Τυραννίων βαρύνει ὡς ἐνεςῶτος. B. καὶ μετὰ τοῦ ῑ γράφει. A.

εἴτε ἐνεςῶτα σημαίνει, προπερισπασθήσεται, εἴτε δεύτερον ἀόριςον, ὁμοίως. τούτῳ δὲ μόνῳ διαλλάξει τῷ σὺν τῷ ῑ γράφεσθ τὸ ῆ ἐπὶ τȣ̃ ἐνεςῶτος. A.

ποταμȣ̃ γένος: ἀλλὰ ϗ Αἴγινα Ἀσωπȣ̃. οὐκ εὐτελίζει ȣ̓ν τȣ̀ς ποταμοὺς ἀλλὰ Δία προκρίνει. ἄλλως τε τὰ τῶν πατέρων ἀεὶ προκρίνει ὁ ποιητής. V.

189. Αἰακός: ἐπειδὴ ἀετῷ εἰκασθεὶς ἐμίγη αὐτῇ, τὸν παῖδα Αἰακὸν ὠνόμασεν. V.

190. ἁλιμοιρηέντων: κυρίως μύρεσθ τὸ ἐπὶ μόρῳ τινὸς θρηνεῖν, ὅπερ ϗ ἐν ἐνταῦθα Ἀρίςαρχος οὐ καλῶς ὑπενόησε, διὰ ψιλȣ̃ γράφων τȣ̃ ῡ· δηλοῖ γ̓ τȣ̀ς τὴν ἰδίαν μοῖραν εἰσβάλλοντας ἐν ἁλί. B.

191. Ἀρίςαρχος ἔξω τȣ̃ δέ κρείσσων αὖτε. A.

192. 193. ποταμός γε πάρα: ἤτοι περὶ τοῦ Ἀξιοῦ φησίν, οἷον πάρεςί σοι ποταμὸς ὁ πρόγονος· ἢ ϗ μᾶλλον πάρεςί σοι ὁ Ξάνθος, ἵνα διὰ τȣ́τȣ ἐπὶ τὴν ὀργὴν προκαλῆται τὸν Ξάνθον. V.

ἤτοι συναπτέον μέχρι τȣ̃ χραισμεῖν, ἢ ςικτέον μετὰ τὸ μέγας, ὑποςικτέον δὲ μετὰ τὸ εἰ δύναταί τι, ἵνα τὸ χραισμεῖν ἀντὶ προςακτικȣ̃ κέηται. A.

μέγας, φησίν, ἐςὶν ὁ ποταμός, εἴ γε δύναται καὶ χραισμεῖν, ἵνα μὴ ςίζωμεν εἰς τὸ μέγας. εἰ δὲ ᾖ ςιγμὴ εἰς τὸ μέγας, λέγει ὅτι εἰ δύναται χραισμεῖν, χραισμείτω. B.

194. ȣ̓τε διὰ τȣ̃ τέ. τινὲς δὲ ȣ̓ γράφȣσι τὸν ςίχον θέλοντες ἐξ Ἀχελῴου ῥεῖν· τὸν γ̓ αὐτὸν Ὠκεανὸν Ἀχελῴῳ φασίν. V.

Ἀχελώϊος: τῶν ἄλλων πάντων ποταμῶν μείζονα εἶναι λέγουσιν Ἀχελῷον· ὅθεν καὶ κρείοντα αὐτὸν πρὸς τȣ̀ς ἄλλȣς λέγει (πρεσβύτερον τῶν ἄλλων ἥγην) τὸν Ἀχελῷον· διὸ ϗ κρείοντα αὐτόν φησιν V). ῥεῖ δὲ δι' Ἀκαρνανίας ϗ Δωδώνης. ἐναντίον δὲ δοκεῖ τὸ ἅμα μὲν φάναι „Ξάνθȣ δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς," ἅμα δὲ ἐπὶ τȣ̃ Ὠκεανȣ̃ φάναι „ἐξ ȣ̃περ πάντες ποταμοὶ ϗ πᾶσα θάλασσα." λύεται δὲ ἐκ τῆς λέξεως καθ' ἕτερον· καὶ γ̓ τὸ πάντες δύναται λέγειν ἀντὶ τȣ̃ πλείȣς, ϗ ποταμὸς ὁμωνύμως λέγεται ὅ τε θεὸς ϗ τὸ ῥεῦμα, ὥςε τὸν μὲν θεὸν ἐκ Διὸς εἶναι, τὸ δὲ ῥεῦμα ἐξ Ὠκεανοῦ· Ζεὺς γ̓ πατὴρ ἀνδρῶν τε θεῶν τε. B.

Ἡρακλῆς εἰς Ἅιδȣ κατελθὼν ἐπὶ τὸν Κέρβερον συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα. καταλαβὼν δὲ μνηςευομένην τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμόν, διεπάλαισεν αὐτῷ ταύρȣ μορφὴν ἔχοντι· ȣ̃ ϗ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον. φασὶ δὲ αὐτὸν Ἀχελῷον παρὰ Ἀμαλθείας τῆς Ὠκεανȣ̃ κέρας λαβόντα δȣ̃ναι τῷ Ἡρακλῆ ϗ τὸ ἴδιον ἀπολαβεῖν. δοκεῖ δὲ τῶν ἐν τῇ Ἑλλάδι ποταμῶν μέγιςος εἶναι ὁ Ἀχελῷος· διὸ ϗ πᾶν ὕδωρ τῇ τȣ́τ προσηγορίᾳ καλεῖται. ἡ ἱςορία παρὰ Πινδάρῳ. ABD.

ἡ ἀρχαιοτάτη Ἑλλὰς περὶ Δωδώνην καὶ Σελλȣ̀ς ἔκειτο ὅθεν ὁ Ἀχελῷος ἐκρέων δι' Αἰτωλίας εἰς τὸν Ἀμβρακικὸν ἐξῄει κόλπον, ἄχρις ȣ̃ Ἡρακλῆς αὐτὸν ἀπέςρεψεν. μέγιςος ȣ̓ν τῶν ταύτῃ ποταμῶν ὁ Ἀχελῷος. διὸ Ἀχελῷον πᾶν πηγαῖον ὕδωρ. καὶ τὸ ἐν Δωδώνῃ δὲ μαντεῖον ἅπασι τοῖς χρησμοῖς κελεύει θύειν Ἀχελῴῳ. V.

195. ȣ̓δέ: Ἀρίςαρχος ȣ̓τε. A.

ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος αὐτὸν ȣ̓κ ἔγραφ γίνεται δὲ ὁ Ἀχελῷος πηγὴ τῶν ἄλλων πάντων. ἔςι δ καθ' Ὅμηρον ὁ Ὠκεανὸς ὁ ἐπιδιδοὺς πᾶσι τὰ ῥεύματα διὸ ϗ κατὰ τιμήν φησιν „ȣ̓τε τις ȣ̓ν ποταμῶν ἀπέην νόσφ Ὠκεανοῖο." A.

196. πᾶσα θάλασσα: ὅλη· ἢ ἐπεὶ πολλὰ πελάγη εἰσίν, Ἀτλαντικόν, Λιγυςικόν, Τυῤῥηνικόν, Λιβυκόν, Μυρτῷον, Αἰγύπτιον, Παμφύλιον, Ἰκάριον, Αἰγαῖον, Ἑλλήσποντος, μέλας κόλπος, Εὔξεινος πόντος, Κάσπιος ϗ ἐρυθρός. AB.

197. μακρά: βαθέα, ὡς τὸ ἐναντίον „ἠϊόνος προπάροιθε βαθείης" (Il. 2, 92) ἀντὶ τȣ̃ τῆς μακρᾶς. νάȣσι δ τὸ βλαςάνȣσιν. B.

200. ἡ διπλῆ, ὅτι ἀντιπέφρακε τῇ ὄχθῃ τὸν κρημνόν. I

202. δίαινε: διαίνεσθ κυρίως τὸ ἐκ Διὸς βρέχεσθ. V

203. ἐγχέλυες: χωρίζει αὐτὰς τῶν ἰχθύων, ἐπεὶ ȣ̓ ἐξ ὀχείας γίνονται ȣ̓τε ζῷα τίκτȣσιν ȣ̓τε σπερματικȣ̀ς ȣ̓θ ὑςερικȣ̀ς ἔχȣσι πόρȣς· ȣ̓κ εἰς θῆλυ ϗ ἄῤῥεν διακρίνοντα ἀλλ' ἐκ τῶν καλȣμένων γῆς ἐντέρων αὐτόματα συνίςαν ἐν τῷ πηλῷ. ζῶσι δὲ ὄμβρῳ ϗ ὕδατι. φασὶ δὲ ϗ ἀλληλοφάγȣς αὐτὰς εἶναι, ϗ ζῆν ἑπτὰ ἢ ὀκτὼ ἔτη. ϗ ἐν τῷ ἀγορανομικῷ δὲ νόμῳ Ἀθηναίων διέςαλται ἰχθύων ϗ ἐγχελύων τέλη. φησὶ δὲ ὡς καὶ οἱ ἐν βάθει ἰχθύες ἀνέβρασσα ἐσθίοντες αὐτόν· ἢ ὅτι μάλιςα τῶν ἄλλων ἰχθύων σαρκοφαγεῖ. B.

ὅτι Ὅμηρος διαςέλλει τὰς ἐγχέλυας ἀπὸ τῶν ἰχθύων· ἐξῆς (353) „τείροντ' ἐγχέλυές τε ϗ ἰχθύες." ἔςι δὲ πιθανεύσασθ ȣ̃τως δεχόμενον, ἐγχέλυες ϗ οἱ ἄλλοι ἰχθύες, ὡς „Ζεὺς δ' ἐπεὶ ȣ̓ν Τρῶάς τε ϗ Ἕκτορα" (Il. 13, 1) κατ ἐξοχήν. A.

204. συναπτέον ὅλον τὸν ςίχον· τὸ γ̓ ἑξῆς δημὸν ἐπι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεφρίδιον. τὸ δὲ ἐρεπτόμενοι καὶ κείροντες διλογεῖται. AB. κυρίως δὲ τὸ ἀπὸ τῆς ἔρας τῇ γλώσσῃ ἐπαίρειν ἐρέπτεσθαι. A.

204. ἐπινεφρίδιον: περὶ γὰρ τοὺς νεφροὺς πολλή ἐστιν ἡ πιμελή. εἴρηνται δὲ νεφροί, ἀφ' ὧν νίφεται τὰ οὖρα. τὸ δὲ κείροντες ἀντὶ τοῦ ἀπλήστως ἐσθίοντες· ὅθεν ὁ κόρος. AB.

205. Παίονας ἀγκυλοτόξους: διεπολέμουν γὰρ πρὸς τοὺς ὁμόρους Θεσσαλούς. διὸ τὴν διαφορὰν συνέστησεν, ὡς Λυδίων καὶ Λυκίων. V.

213. εἰσάμενος, βαθέης δ': γράφεται καὶ εἰδόμενος. τὸ δὲ βαθέης χωρὶς τοῦ δ̄. A.

214. αἴσυλα: τὰ τῆς αἴσης ἐστερημένα, ὅ ἐστι τοῦ δικαίου καὶ τῆς ἰσότητος. οὐκ ἀναστρεπτέον δὲ τὴν περί· ἔστι γὰρ ἀντὶ τοῦ περισσῶς. AB.

τοιοῦτόν τί ἐστιν ὃ λέγει· ἐν ᾧ διὰ τοὺς θεοὺς κρατεῖς, ἀδικεῖς. V.

217. οὕτως διὰ τοῦ γέ, ἐμέθεν γ' ἐλάσας. A. τινὲς πελάσας. V.

218. ἐρατεινὰ ῥέεθρα: ἡ διπλῆ, ὅτι ἄκαιρον τὸ ἐπίθετον· πεφοίνικται γὰρ ὑπὸ τοῦ αἵματος. ὅμοιον οὖν τῷ „ἐσθῆτα φαεινήν" (Od. 6, 74) καὶ „ἄστρα φαεινὴν ἀμφὶ σελήνην" (Il. 8, 555). A.

καλῶς τὸ ἐπίθετον, εἰς ἔνδειξιν τοῦ ὅτι τὰ τοιαῦτα ῥεύματα μεμίανται. B.

219. προχέειν: ἐπεὶ καὶ προχοαὶ τὰ ῥεύματα. V.

δῖαν: μεγάλην, ἀπὸ μεταφορᾶς τοῦ Διός. B. ἢ ὅτι θρεπτικὴ τῶν οὐρανίων. V.

220. στεινόμενος: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ στενοχωρούμενος ὑπὸ τοῦ πλήθους τῶν νεκρῶν, οὐ στενάζων. A.

221. ἔασον: ψιλῶς· ἔστι γὰρ ἀφές, ἀπὸ τοῦ ἐῶ περισπωμένου κείμενον. A.

πληρώθητι, κορέσθητι, παρὰ τὸ ἆσαι. ἢ ἔασον τοῦ μιαίνειν τῷ φόνῳ τὰ ῥεύματα. B.

ἀπὸ τοῦ ἥδω τινὲς οἰόμενοι τὸ ἔασον κατὰ διαίρεσιν τῆς πρώτης συλλαβῆς ἐδάσυναν, ἵνα σημαίνῃ τὸ πληρώθητι. ἄμεινον δὲ ψιλοῦν· ἔστι γὰρ ἀπὸ τοῦ ἐάσω τὸ ἔασον. V.

ἄγη: θαυμασμός, παρὰ τὸ ἄγαν. V.

223. ἔσαι ταῦτα Σκάμανδρε: ἀμφιβόλως συγκατατίθεται ἀφέξεσθαι τῆς εἰς τὸν ποταμὸν τῶν νεκρῶν ἐμβολῆς· εἶθ' ἑξῆς παραβαίνει τὰς συνθήκας καὶ πάλιν ἐπεισβαίνει τῷ ῥείθρῳ. V. ὅθεν αὐτῷ ἐπεξέρχεται ὁ ποταμός. B.

226. ἤτοι στικτέον ἐπὶ τὸ ἀντιβίην, ἵνα ὀξυτόνως ἀμφοτέρους ἀναγινώσκωμεν τοὺς διαζευκτικοὺς συνδέσμους, ἤ κέν με δαμάσσεται ἤ κεν ἐγὼ τόν, ἵνα τοῦ κέν συνδέσμου δὶς περισσεύοντος ὁ λόγος ᾖ ἀποφατικός, ἢ ἀνελεῖ με ἢ ἐγὼ αὐτόν. ἢ τοῖς ἄνω συναπτέον, ἵν' ᾖ ὁ λόγος διαπορητικός, τοῦ Ἕκτορος πειραθῆναι ἄντικρυς πότερον αὐτὸς ἀνελεῖ με ἢ ἐγὼ αὐτόν. A.

229. οὐ σύ γε βουλάς: διὰ τὸ „ἀμφοτέροισι δ' ἀρήγεθ' ὅπῃ νόος ἐστὶν ἑκάστου" (Il. 20, 25). καὶ πρὸς τὸ „εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται" (ib. 26). ὑπομιμνήσκει οὖν ὅτι δεῖ κωλύειν ἀριστεύοντα οὕτως τὸν Ἀχιλλέα, ἐξουσίαν ἅπαξ δόντος τοῦ Διός. B.

232. δείελος: τὴν πρὸς τὴν τοῦ ἡλίου δύσιν, ὀψίαν δείλην ὑπὸ Ἀττικῶν ὠνομασμένην, οὗτος δείελον ἔφη ἀρσενικῶς. εἴρηται δὲ δείλη, ἐπεὶ δειλότεροι τότε ἐγίνοντο, τὸ νυκτερινὸν οἰωνιζόμενοι σκότος. δείλη δείελος προπαροξυτόνως, ὡς ἕσπερος. BV.

ἡ διπλῆ, ὅτι ἀρσενικῶς τὴν δείλην δείελον. A.

ἡ δείλη δείελος εἴρηται ὡς ἡ ἑσπέρα ἕσπερος, ὠνὴ ὦνος, χολὴ χόλος. τὸ δὲ ὀψὲ δύων ἐν δυσὶ μέρεσι λόγου· εἰ γὰρ ἦν σύνθετον, διὰ τοῦ ῑ ἐγράφετο, ὀψιδύων, ὡς ὀψιμαθής ὀψιτέλευτον. οὕτως δὲ καὶ τὸ „ὀψὲ δύοντα Βοώτην" (Od. 5, 272). ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῷ ιθ' τῆς καθόλου. A.

234. ἐδεινοποίησε τὸν λόγον (τόπον V) τοῖς ὀνόμασιν· τὸ γὰρ μὲν ἐπέσσυτο σφοδρὰν τὴν ὁρμὴν παρίστησι, τὸ δὲ οἶδμα ἀπὸ τῆς θαλάσσης μετήνεγκε, τὸ δὲ θύων τὴν ἐμμανῆ δηλοῖ ὁρμήν. ἡ μεταφορὰ δὲ τοῦ κυκωμένου ταραττόμενον ὅλον τὸν ποταμὸν παρίστησιν. B.

235. πάντα: θείας ἐνεργείας τὸ μιᾷ ὁρμῇ τοὺς μὲν νεκροὺς ἐκβάλλειν, τοὺς δὲ ζῶντας ἐγκρύπτειν κολποῦντα ἑαυτόν, τὸν δὲ Ἀχιλλέα περιίστασθαι. διὸ εἶπε πάντα ῥέεθρα ὄρινεν ἀντὶ τοῦ διήγειρεν. V.

237. ἔκβαλλε: ἐν ἄλλῳ ἐξῆγε. A.

συναπτέον μέχρι τοῦ χέρσονδε, τὰ δὲ ἑξῆς ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωστέον· τὸ γὰρ ἑξῆς ἔκβαλλε θύραζε. A.

ἠΰτε ταῦρος: ἐντεῦθεν δὲ κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ ταυρομόρφους λέγουσιν εἶναι τοὺς ποταμούς. ABD.

ἐντεῦθεν ὁρμηθέντες τὸν Ἀχελῷον ἐταύρωσαν Ἡρακλεῖ ἀγωνιζόμενον. Ἀρχίλοχος μὲν οὐκ ἐτόλμησεν Ἀχελῷον ὡς ποταμὸν Ἡρακλεῖ συμβαλεῖν, ἀλλ' ὡς ταῦρον· Ὅμηρος δὲ πρῶτος ποταμοῦ καὶ ἥρωος ἠγωνοθέτησε μάχην. ἑκάτερος οὖν τὴν αὐτὴν ὑπόθεσιν ἐμέτρησε τῇ δυνάμει, καὶ οὐκ εὐλαβήθη Ὅμηρος μὴ ἀπολειφθῇ, πάσης ὕλης ὑψηλοτέραν ἔχων φύσιν. ἔστι δὲ αὐτῷ ὁ Ἀχιλλεὺς προοίμιον πυρὸς καὶ ὕδατος μάχης, ἀντιπάλων στοιχείων. B.

238. χέρσονδε: μέχρι τούτου τὰ τῆς ἀναπαύσεως, εἶτα ζωοὺς δὲ σάω, ἵνα διαστολὴ γένηται ἥ τε τῶν νεκρῶν καὶ ἡ τῶν ζώντων. A.

στικτέον εἰς τὸ χέρσονδε, ἵνα μὴ ὁ νοῦς ἐμποδίζοιτο. B.

239. ἐν δινῇσι βαθείῃσιν μεγάλῃσι: τὸ ὁμοιοτέλευτον δίδωσι πλάτος τῷ ποταμῷ. V.

241. ὤθει δ' ἐν σάκεϊ: ἀντίπαλος γάρ ἐστιν Ἡφαίστου τοῦ δημιουργοῦ. V.

242. γράφεται καὶ εἶχε στηρίξασθαι, ἵν' ᾖ οὐδὲ τοῖς ποσὶν εἶχε δύναμιν ὁ Ἀχιλλεὺς ὥστε στῆναι. Paris.

πτελέην: ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ ιά τῆς καθόλου· πτελέα, ἰτέα· καὶ „ὃν πτελέαι τε καὶ ἰτέαι" (350?)· ὁμοίως γὰρ τὸ ἰτέαι καὶ τὸ πτελέαι. καὶ „ὁ δὲ πτελέην ἕλε χερσίν". ἐπὶ μὲν οὖν τούτου κατὰ τὴν αἰτιατικὴν πτῶσίν τινες ὀξύνουσι· διὸ καὶ τὴν εὐθεῖάν τινες ὤξυνον· καὶ δῆλον ὅτι κατὰ μεταβολὴν τόνου, ὥσπερ καὶ ἐπὶ τοῦ „ἦλθε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατ' ἰγνύην βεβλημένος" (Il. 13, 212) τὴν μεταβολὴν τῆς τάσεως ἐποιήσατο. A.

Ἑλλάνικος ἐν δευτέρῳ Τρωϊκῶν „ὑπὸ δὲ τοῦτον τὸν χρόνον ἐν τῇ Ἴδῃ" φησίν „ὅθεν καὶ ὁ Σκάμανδρος τὸ ῥεῖθρον ὑπερβαλὼν ὑπὸ τῆ ὁμβρίᾳ ὕδατος τὸ ἔχον κοῖλα χωρία ἐπῆλθεν.-τῷ ῥοῒ τάτῳ ὁ Ἀχιλλεὺς ἡγέμενος τᾷ στρατᾷ πρῶτος ἐνέτυχε, καὶ δείσας τὸν ῥοῦν, μή τί μιν πημήνῃ, ἐν πεδίῳ πτελέας πεφυκυίας λαβόμενος ἐμετεώρισεν ἑαυτόν· οἱ δ' ἄλλοι προϊδόμενοι τὸν ῥοῦν ἐτράποντο ὅπᾳ ἐδύναντο ἕκαστος, ἄλλος ἄλλῃ, καὶ ἐπὶ τὰ τῶν ὀρῶν ὑπερέχοντα τοῦ πεδίου ἀνέβαινε." Σιμόεις δὲ ἐν τρίτῳ τῶν Τρωϊκῶν „πλῆθος δὲ νεκρῶν ἐσωρεύθη κατὰ τὸν ῥοῦν· εἶτα ἀνακοπτομένᾳ τῷ ῥεύματος διὰ τὸ ἀποπεφράχθαι τὸν πόρον ἐλιμνάζετο ὁ ποταμός." B.

πτελέην εὐφυέα: κυριολεξία, ὡς καὶ ἐπὶ τῆ „καί μοι φύσιν αὐτῆ ἔδειξεν" (Od. 10, 303). V.

243. ἐ παρέλκει τὸ ἐκ ῥιζῶν· βαθύῤῥιζον γὰ τὸ δένδρον· ὅθεν καὶ ὅλῳ συγκατηνέχθη τῷ κρημνῷ. B.

244. κρημνὸν ἅπαντα διῶσεν: τὴν συνεχομένην ὑπὸ τῶν ῥιζῶν γῆν πᾶσαν διέλυσε. προπερισπωμένως δὲ τὸ διῶσεν. BV.

προπερισπαζέον. ἤδη δὲ προείπομεν περὶ τῶν τοιούτων ῥημάτων, λέγω δὲ τῶν κατὰ τὰς παρῳχημένας, τίνα τε τῶν συντεθειμένων φυλάσσει τὸν τόνον καὶ τίνα ἀναδίδωσιν. A.

245. δέ μιν αὐτόν: ἐν ἄλλῳ δὲ κέλευθον. A.

246. Ἀρίσαρχος ἐκ δίνης, ἄλλοι ἐκ λίμνης. A.

ἐκ λίμνης: ἔτως ἡ γραφή. οἱ δὲ ἐκ δίνης. καὶ ἕτεραι ἐκ λίμνης. εἰ δὲ μὴ τὸ εὐγαθὲς ὕδωρ Ὠκεανᾶ, ὃ καλεῖ ἔτως. καὶ ἐν Ὀδυσσείᾳ „ἀνεδύσατο λίμνης" (5, 337). τινὲς δὲ καὶ ῥιπῆς γράφουσιν. V.

ἡ διπλῆ, ὅτι διχῶς γράφεθ, ἐκ λίμνης καὶ ἐκ δίνης. τὸ μὲν ἓν ἐκ δίνης, ἐκ τῆς συρροφῆς τᾶ ῥᾶ, τὸ δὲ ἐκ λίμνης ἐκ τᾶ καθ' ὕδατος τόπᾳ, διὸ καὶ τὸν Ὠκεανὸν λίμνην καλεῖ. A.

247. ἦϊξε: εἰ τὰς πολεμίας διώκων ὠκύτατος ἦν, χρὴ ἐννοεῖν περὶ τῆς ἰδίας σωτηρίας δεδοικὼς ποῖος ἦν. B.

ὅτι ἐλλείπει ἡ διά. A.

γράφεται πεδίον δὲ ἀντὶ τᾶ πεδίοιο· καὶ ἐν ἄλλῳ φέρεσθαι ἀντὶ τᾶ πέτεσθαι. A.

249. ἀκροκελαινιόων: σκυθρωπάζων διὰ τῆς ἐπιφανείας. V. τὸ ἄνω μέρος τᾶ κύματος ἐξ ἐπιπολῆς μελαινόμενος. τοιᾶτοι δέ εἰσι πάντες οἱ ὀξεῖς ποταμοί. D.

ἐπὶ μὲν τῶν τῆς θαλάσσης κυμάτων λέγει „κυρτὰ φαληριόωντα" (Il. 13, 799)· ἀκριβέστατα δὲ ἐπὶ τῶν ποταμῶν παρεφύλαξε· κυμαινομένων γὰ αὐτῶν μέλαινα ἡ ἐπιφάνεια ὁρᾶται, τῇ δὲ παραγωγῇ καὶ συνθέσει τῶν λέξεων ἔδειξεν ἐπαιρόμενον κῦμα καὶ μελαινόμενον. B.

πόνοιο: ἡ διπλῆ, ὅτι τᾷ πολεμικᾷ ἔργ. ἔτως δὲ πόνοιο αἱ Ἀρισάρχ διὰ τῆ π. Ἀριστοφάνης φόνοιο, καὶ λόγον ἔχει. A.

251. ἐρωὴ: μεθ' ὁρμῆς βοή. V.

ἐφ' ὅσον ἡ θερὸς ἐρωή. ἢ ὅσον ἐπὶ θερὸς ἐρωήν, ὅ φησιν ἀλλαχόθι (Il. 10, 357) δουρηνεκές. Schol. excerpta ap. Heyn.

252. τὸ μὲν οἵματα δασυντέον, τὸ δὲ τοῦ ἄρθρου ἐκδεκτέον, ἐχ ὥς τινες ὑφ' ἓν ἀναγινώσκουσι μελανόεν. A.

μέλανος ὄντος, εἶτα ἀπὸ ἄλλης ἀρχῆς τᾶ θηρητῆρος. τινὲς δὲ μέλανός του ἦγαν μέλανός τινος. μελανόσου Ἀριστοτέλης συνθέτως κατὰ βαρεῖαν τάσιν ὡς Ὀρέσβ· φησὶ γὰρ τὰς ἀετὰς μέλανα ὀσέα ἔχειν. τινὲς δὲ γράφουσι μελανόσσου παρὰ τὸ μέλανας ὀφθαλμοὺς ἔχειν. D.

Ἀριστοτέλης μελανόσου ἀναγινώσκει, τᾷ μέλανα ὀσᾶ ἔχοντος· ἀγνοεῖ δὲ ὡς ὀ δεῖ ἀπὸ τῶν ἀφανῶν ποιεῖσθ τὰ ἐπίθετα. οἱ δὲ μελανόσσου, μέλανας ὀφθαλμὰς ἔχοντος. Ἀρίσαρχος ἐγκλιτικῶς μέλανός του· ἀγνοεῖ δὲ ὅτι ὁ ποιητὴς τῷ ἐγκλιτικῷ τᾷ ὀ χρῆται. ἄμεινον ἓν ἄρθρον αὐτὸ ἐκδέχεσθ· ὀ γὰ ἀεὶ λείπει τοῖς ἄρθροις ὁ ποιητής. B.

λέοντι, δελφῖνι, ἀετῷ αὐτὸν εἰκασεν. καλεῖται δὲ μέγας ἀετὸς καὶ φασσοφόνος· ἔστι δὲ μικρὸς μέν, τῶν δὲ ἄλλων ἰσχυρότερος. V.

255. ἡ διπλῆ, ὅτι τὸ ὕπαιθα εἰς τὸ μπροσθεν σημαίνει. A.

257. ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς: ἀπὸ τᾶ ἄρδᾳ ἐπὶ τὸ ἰχνὸν ἔρχεται καὶ ἀνθηρόν. ἡ δὲ παραβολὴ πρὸς τὴν ταχεῖαν ἐπιφορὰν καὶ τὴν παραλλαγὴν τᾶ ὕδατος. κόσμου δὲ ἕνεκεν παρεδιηγήσατο τὰ λοιπά. παραφυλάττει δὲ τὴν ἐπεξεργασίαν· ἀπὸ κρήνης μὲν τὴν φορὰν τᾶ ὕδατος πρὸς τὸ δαψιλὲς τῆς ἐπιῤῥύσεως, ἐν κατάντει δὲ χωρίῳ πρὸς τὸ συνεχὲς καὶ ταχὺ τᾶ ῥεύματος. ὀχετηγὸς δὲ ὁ ὑδραγωγός· ὀχετοὶ γὰ αἱ ἐπιῤῥύσεις. B.

258. ἡγεμονεύει: ὁδηγῶν τὸν ῥόον τᾶ ὕδατος. V.

259. μάκελλαν: μάκελλα ἡ σκαλὶς ἡ μακέλλωσα καὶ κινοῦσα· δίκελλα γὰ ἡ διχόθεν κέλλωσα. B.

ἀμάρης ἐξ ἔχματα βάλλων: τὰ κωλύματα τῆς διώρυχος ἐκβάλλων. ἀμάρη δὲ ἡ ὑδρορόη, παρὰ τὸ τῇ ἄμῃ ῥεῖν, ἢ παρὰ τὸ τὰ μὴ παραπεφυκότα αὐτῇ μαραίνεσθαι. B.

260. 261. ἡ ὑπό πρὸς τὸ ὀχλεῦνται, ἵν' ᾖ ὑποκινοῦνται. B.

261. κελαρύζει: μετὰ κελάδθ ῥεῖ, ἢ κατὰ ἀντίθεσιν λακερύζει. B.

262. προαλεῖ: κατάντει, καθ' ὃν τὸ ὕδωρ ἔρχεται ἅλις. B.

τινὲς ἐδύσυναν τὸ προαλεῖ, παρὰ τὸ ἄλλεσθ ἐκδεχόμενοι τὸν χηματισμόν. ἄμεινον δὲ ψιλᾶν, ὡς καὶ ὁ Ἀσκαλωνίτης, φάσκων ἀπὸ τᾶ ἁλίζεσθ γεγενῆσθ, τετέχθαι ἀθροίζεσθαι, ὥστε σημαίνεσθ τὸ κατωφερῆ· καὶ γὰ τᾷ χωρίᾳ ἐπὶ τὸ ἐπίθετον. τᾷ δὲ φθάνει ἑκτατέον τὸ ᾱ διὰ τὸ μέτρον, ὥσπερ καὶ Ἀρίσαρχος ἠξίω. A.

Ἀρίσαρχος ἐξέτεινε τὸ ᾱ διὰ τὸ μέτρον· Ζηνόδοτος

φθανέει ὡς νοσέει. V.

ἄλλως. ἔτως φθάνει διὰ τῆ ἑτέρᾳ ε, ἢ φθανέει. B.

264. λαιψηρὸν: λίαν ταχύν. B.

265. ὁρμήσειε: γράφεται καὶ οἰμήσειε. προκρίνει δὲ τὴν διὰ τῆ ῳ γραφὴν Ἀρίσαρχος. AV.

τινὲς ἀντὶ τῆ διανοήσειε. γράφεται δὲ καὶ οἰμήσειε. προκρίνει δὲ Ἀρίσαρχος τὴν διὰ τῆ ι γραφήν. B.

266. εἴ μιν ἅπαντες: ἀντὶ τῆ εἰ μηδένα ἔχει βοηθὸν ἀλλὰ πάντας ἐπιβάλῃς· ἢ εἰ ἄρα δύναταί τισι τῶν θεῶν καὶ εἰς μάχην ἐλθεῖν. B.

269. πλάσσεν, ἔπλησεν, ὡς καὶ „δύο ἔτι ἥματι κύματι πηγῷ πλάζετο" (Od. 5, 388). ἀλλὰ καὶ „πλάζε δὲ πίνοντας" (Od. 2, 396) καὶ „πλάζε δ' ἀπὸ πατρίδος αἴης" (Od. 1, 75). V.

ὅλον τὸ πεδίον πέλαγος γεγενημένον ὑπὸ τῆ ποταμοῦ ἔδειξεν, ὥςε καὶ τὰς ὤμους ἐπικλύζειν τῆ Ἀχιλλέως. καὶ πρὸς μὲν ἀλήθειαν ταῦτα ἀ πιθανά· τί γὰρ ἐπράττετο περὶ τὰς ἄλλας στρατιώτας; ἀπίθανον γὰρ μόνον τὸν Ἀχιλλέα ὑπὸ τῆ ποταμῆ ταῦτα πάχειν. ὡς δὲ ἐν ποιήσει καὶ λίαν παράδεκτα. καὶ ἔτως τῇ ἀπαγγελίᾳ κατώρθωται, ὥς' ἐδ' ἀνίησι τὸν ἀκροατὴν ἐπιλογίσασθαί τι τῶν λεγομένων, εἰ ἀληθὲς ἦν ἢ μή. ὅτι γὰρ εἰς τὸ πεδίον τραπόμενον τὸν ποταμὸν ὁρᾶν ταῦτά φησι, δῆλον ἐκ τῆ „ἄψορρον δ' ἄρα κῦμα" (382). πλάζειν δὲ τὸ στροφοδινεῖν καὶ οἱονεὶ σκοτίζειν, καὶ πλασμὸς ἡ ἐξ ἀμφοῖν τῶν μερῶν ἐπεισβολὴ τῆ κύματος. ἐπήδα δὲ ὁ Ἀχιλλεύς, ἵνα μὴ τὸ κῦμα ποσῶς αὐτὸν ὑφ' ἑαυτὸ χῇ. B.

ὑψόσε: ἵνα ὑπερβάληται τὸ πνεῦμα. V.

271. ὑπέρεπτε: ὑπῆλθεν, ὑπέσυρεν, ὑπέσπα. ἐμφαντικῶς δὲ τὴν κατὰ μικρὸν ὑπονοστῆσαν γῆν ἔδειξεν, ὅπως ἀκρατὴς εἴη τῆς βάσεως ὁ ἥρως. B.

γράφεται καὶ ὑπέρεπτεν ἀντὶ τῆ ὑφήρπαζεν. ἀφῃρεῖτο τῶν ποδῶν τὸν κονιορτόν, ὄπιθεν ὑποδυόμενος. Paris.

273. ἐλεεινόν: ἐλέᾳ ἄξιον τυγχάνοντα. A.

ἐμὲ τὸν ἐλεεινόν. ἢ λείπει τὸ ὄντα. τὸν ἀκλεῆ δὲ θάνατον ὀδύρεται. καὶ Λεωνίδας ὁ Λάκων τὴν χεῖρα βληθεὶς ἀποθνήσκων ὠδύρετο ὅτι μὴ ἔχων τὴν χεῖρα τελευτᾷ. B.

274. ἔπειτα: μετὰ τὸ σωθῆναι ἐκ τῆ ποταμῆ. V. σωθείην ἐκ τῆ ποταμῆ, ἔπειτα δὲ καὶ πάθοιμί τι, κατὰ τὸ „ἐν φάει δὲ καὶ ὄλεσον" (Il. 17, 647). D.

276. ψεύδεσσιν: ὡς βέλεσσιν· ἃ γὰρ ἐπίκειταί τινι ἐπιθετικῶς. ἔστι δὲ αὐτῆ τὸ ἐνικὸν „ψεῦδος δ' ἐκ ἐρέω" (Od. 3, 20). A.

ἔθελγεν: μεγαλοφυῶς ἐπὶ τῇ τῆ τοιούτῳ θανάτῳ ἐλπίδι θέλγεσθαί φησιν, ὥσπερ ἡδέσι λόγοις πεισεύσας. λυπεῖ δὲ ἐν αὐτὸν ἐκ ἡ τελευτὴ ἀλλ' ὁ τρόπος. B.

278. λαιψηροῖς: τοῖς αἰφνίδιον ἀποκτείνουσιν. B.

279. ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι: ὅρα τὸ μεγαλοφυές· ἃ γὰρ μόνον τὸν ἐν πολέμῳ θάνατον αἱρεῖται, ἀλλὰ καὶ ὑπὸ τῆ ἀρίστου ἀναιρεθῆναι. ἔοικεν ἐν καὶ ἡ Θέτις δικαίως ἀποκρύψασθαι τὴν ἀλήθειαν καὶ τὸν Ἀπόλλω ἀντὶ Ἀλεξάνδρου παραλαβεῖν. B.

ἐνθάδε γ' ἔτραφ' ἄριστος: ἐν ἄλλῳ ἐνθάδε τέτραφ' ἄριστος. A.

παροξυτονητέον· τὸ γὰρ τέλειόν ἐστιν ἐτράφη. καὶ μέμνηται αὐτῆ ὁ Ἡρωδιανὸς ἐν τῇ ἀρχῇ τῆς Ξ (21), ὅπου διαλαμβάνει περὶ τῆ „διχθάδι' ἢ μεθ' ὅμιλον." καὶ λέγει ὅτι συναλοιφὴν πέπονθε διὰ τῆ η. δεῖ ἓν διὰ τοῦ γ γράφειν, ὃς ἐνθάδε, εἶτα ἐτράφετ' ἄριστος, οὐχ ὡς οἱ πολλοὶ τέτραφ' ἄριστος, ἀπὸ τῆ τ ποιοῦντες τὴν ἀρχὴν τῆ ῥήματος καὶ προπαροξύνοντες. A,

τέτραφ': ἀντὶ τῆ ἐτράφη· τὰ γὰρ ἐνεργητικὰ τέτε τῆ ῥήματος ἀντὶ παθητικῶν τάσσει. AB.

280. ἀγαθὸν δέ κεν ἐξενάριξεν: ἐχ ὅτι καὶ νῦν ἐκ ἔχιν ἀγαθὸς ὁ Ἀχιλλεύς, κἂν ὑπὸ τοῦ ποταμοῦ φθαρείη, ἀλλὰ τοιῆτόν ἐστιν ὃ λέγει, ἀγαθὸν ὄντα καὶ πράττοντά τι γενναῖον. B.

281. λευγαλέῳ: χαλεπῷ, ἢ διύγρῳ, ὡς Ἡσίοδος. τί γὰρ ἐπὶ τῆ „λευγαλέοι τ' ἐσόμεσθα." V.

ἡ διπλῆ, ὅτι ἐκ τέτε οἱ νεώτεροι ἐξεδέξαντο λευγαλέον τὸν δίυγρον· ἔστι δὲ κατὰ κοινωνίαν στοιχείων λευγαλέον ὀλέθριον, παρὰ τὸν λοιγόν. καὶ ἐν Ὀδυσσείᾳ (2, 61) „λευγαλέοι τ' ἐσόμεσθα." A.

282. ἐρχθέντ': ψιλωτέον δέ· ἔστι γὰρ παρὰ τὸ εἴργω. Ἀττικοὶ δὲ δασύνουσιν. B.

σημειῶνται τινες ὡς ἅπαξ εἰρηκεν. A.

ἐν τῇ Μασσαλιωτικῇ εἰρχθέντα. V.

ὡς παῖδα συφορβόν: πρὸς τὸ ἀγεννὲς καὶ εὐτελὲς τῆ θανάτε καὶ διὰ τῆς ἡλικίας καὶ διὰ τῆ ἐπιτηδεύματος ταπεινοῖ τὸ πρόσωπον· καὶ παιδὶ συφορβῷ ἑαυτὸν εἰκάζει ὁ λέγων „ἐγὼ καλός τε μέγας τε" (108). B.

283. ἔναυλος: χειμάῤῥους διὰ στενῆ τόπε καὶ περιμήκης ποιούμενος τὴν ῥύσιν. B.

χειμῶνι περῶντα: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ χειμῶνος διαπερῶντα. ἐναύλους δὲ τὰς ποταμιὰς τὰς ἐπιμήκεις. A.

ἀποέρσῃ: παρὰ τὴν ἔρσαν. κυρίως τὸ ἐν ὕδατι ἀπολέσαι. BV.

284. μάλ' ὦκα: ἔδει γὰρ πολλῆ τάχες εἰς τὸ ἀνακτήσασθαι τὸν ἔτως ἠθυμηκότα. διὸ καὶ δύο θεοὶ πάρεισιν, καὶ ἃ μόνον διαλέγονται ἀλλὰ καὶ πισῆσιν ἑαυτές. B.

286. χειρὶ δὲ χεῖρα λαβόντες: διὰ τῆς δεξιᾶς πίστιν ἐποίησαν· ἔθει γὰρ ἀρχαιοτέρῳ ἔτως εἰς βεβαίωσιν ἀληθῆ ἐπιξῆντο ἀλλήλοις. B.

287. ἡ διπλῆ, ὅτι δυεῖν ὄντων πληθυντικῶς εἴρηκε τοῖσι δὲ μύθων ἦρχε. A.

288. τρέε: ὑποχώρει καὶ φεῦγε. ἱκαναὶ δὲ αἱ προσθῆκαι ὑπὲρ τῆ θαρσῆσαι Ἀχιλλέα, ὅτι τε θεοί εἰσιν οἱ συμμαχῆντες, καὶ ὁ Ζεὺς ἐπένευσε, καὶ τὸ μοιρίδιον ἔτως ἐλήλυθε. πρὸς δὲ τὲς ζητῆντας πῶς διαλέγονται μὲν αὐτῷ οἱ θεοί, ἐκ ἐπιβοηθῆσι δέ, ῥητέον ὅτι ἕτερος ἦν ὁ τῷ Σκαμάνδρῳ ἀντιτεταγμένος. B.

290. ἀθετεῖται, ὅτι ἀπίθανον εἰς ἀνδρὸς μορφὴν ὁμοιω-

μένον λέγειν „ἐγὼ ϗ Παλλὰς Ἀθήνη·" τίς γάρ ἐςιν, οὐ μὴ νοήσῃ. A.

ἡμάρτηται ὅτι τὸ ἑαυτȣ̃ ὄνομα ȣ̓ προσέθηκε. κατὰ τὸ σιωπώμενον δὲ ἴσως ἐκελεύσθησαν. V.

292. λωφήσει: κοπάσει. κυρίως δὲ ἐπὶ τῶν ὑποζυγίων. V. μετενήνεκθ ἡ λέξις ἀπὸ τῶν τὰ φορτία ἀποθεμένων τȣ̃ λόφȣ ὑποζυγίων. D.

293. αἴ κε πίθηαι: οὐ πάνυ οἰκεῖόν φησιν αὐτὸ ὁ Πίος· διὰ τί γδ ἔμελλε μὴ πεισθήσεσθ ϗ θεοῖς ϗ τὰ κεχαρισμένα συμβȣλεύȣσι; τάχα ȣ̓ν πρὸς τὰ ἑξῆς ἐςί „σὺ δ' Ἕκτορι θυμὸν ἀπȣρας ἄψ ἐπὶ νῆας ἴμεν·" ὁρωσι γδ αὐτὸν ἐπιτεταμένως ἔχοντα πρὸς τὸν φόνον τῶν πολεμίων ϗ δυσκόλως ἀφεξόμενον τῆς σφαγῆς, κἂν Ἕκτορος κρατήσῃ. B.

294. μὴ πρίν: ἀφ' ἑτέρας ἀρχῆς τοῦτο ἀναγνωςέον· τὸ γδ ἀπαρέμφατον κεῖται ἀντὶ προςακτικȣ̃ τȣ̃ παῦε. AB.

295. Ἰλιόφιν: συνήθης ϗ Θηβαίοις ὁ χηματισμός. V.

296. 297. ἐπὶ τὸ φύγῃσι βέλτιον ςίζειν, ἵνα ἀφ' ἑτέρας ἀρχῆς σὺ δ' Ἕκτορι, τȣ̃ ἀπαρεμφάτȣ ἴμεν πάλιν ἀντὶ προςακτικȣ̃ κειμένȣ τȣ̃ ἴθι. ἡ διπλῆ δέ, ὅτι Ἕκτορι ἀντὶ τȣ̃ Ἕκτορος, ϗ φύγῃσιν ὃς ἂν φύγοι. AB.

299. τὸ ἑξῆς αὐτὰρ ὁ βῆ ἐς πεδίον. τὰ δὲ ἄλλα ὡς διὰ μέσȣ διορθωτέον. AB.

θεῶν ὤτρυνεν ἐφετμή: ὑπεκκαύματα δέδωκε τῇ ἀπαγγελίᾳ, τὸν μὲν ὑπὸ θεῶν ῥώσας, τὸν δὲ Σκάμανδρον μᾶλλον κατ' αὐτȣ̃ προσεταιριζόμενον ϗ προσεπιτιθέμενον εἰπών. B.

301. δαΐ κταμένων: ἄμεινον κατὰ διάλυσιν, ὡς ἄρηϊ κταμένων· ȣ̓δὲν γδ πλέον ἐκ τῆς συνθέσεως. AB.

302. καὶ νέκυες: ἀλλὰ τριταῖοι πλέȣσιν. τάχα οὖν ἡ τῶν ῥευμάτων σφοδρότης αὐτȣ̀ς ἀνῆκεν. B. ἢ ȣ̓ν ὑπὸ ὀργῆς ἐπῆρε κατὰ τȣ̃ Ἀχιλλέως τὰ σώματα, ἢ ἐν τῇ μάχῃ ἀπολόμενοι. V.

303. ἀΐσσοντος ἀν' ἰθύν: ἀνὰ τὴν ἀναφορὰν τοῦ ὕδατος ὁρμῶντος. B.

ἔσχεν: Ἀρίςαρχος διὰ τȣ̃ ῑ ἴσχεν. A.

305. ἔληγε: ἔπαυεν, ὡς τὸ „Ἰδομενεὺς δ' ȣ̓ λῆγε μένος μέγα, ἵετο δ' αἰεί" (Il. 13, 424). V.

306. κόρυσσε: ἐμετεώριζεν ἢ ὥπλιζε κατὰ Ἀχιλλέως. B.

307. ἀειρόμενος: μετεωριζόμενος· „ἵςατ' ἀειρομένη" (Il. 2, 151). V.

308. φίλε κασίγνητε: καὶ ἀδελφὸν κατὰ ἀνθρώπου παρακαλεῖ ϗ ὑπὲρ φίλης πόλεως. B.

310. Τρῶες δέ: οἱ Τρῶες, φησίν, ȣ̓ μενȣ̃σιν Ἀχιλλέα κατὰ τὴν μάχην· χρεία οὖν ὀξυλαβείας πρὸς τὸ σῶσαι αὐτήν. B.

γράφεται κακὸν θεόν, οἷον κακὸν ἐπίκȣρον Τρῶες ȣ̓ μενέȣσιν, ἀλλ' ὀξυλαβείας χρεία πρὸς τὸ σῶσαι αὐτȣ́ς. V.

312. ἐναύλȣς: τȣ̀ς χειμάῤῥȣς, τὰς ςενὰς διώρυχας. B.

314. φιτρῶν καὶ λάων: πολλὴ ἡ ὁρμὴ κελεύοντος ϗ τὰ παρακείμενα κατασπᾶν φυτὰ ϗ τȣ̀ς παρατυγχάνοντας λίθȣς. V.

316. ȣ̓τε βίην: δαιμονίως κατείλοχε πάντα οἷς ἐπηρμένος Ἀχιλλεὺς ὑπερηφάνως διέκειτο, ὑπὸ ἀνδρείας, ὑπὸ κάλλȣς, ὑπὸ τῆς πανοπλίας. B.

317. τὰ τεύχεα καλά: ἡ διπλῆ, ὅτι ἀντὶ τȣ̃ τὰ καλὰ τεύχεα, ὡς „ȣ̓νεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα" (Il. 1, 11). A.

νειόθι λίμνης: πρὸς τὸ κατώτατον τῆς θαλάσσης μέρος. B.

318. ἰλύος: τὸ ῡ ἐκτέταται διὰ τὸ μέτρον· τὸ γδ ἀκόλȣθόν ἐςιν ἰλύος ὡς ἰχύος. A.

319. χέραδος: τὸ πλῆθος τῶν ποταμίων ἢ θαλασσίων ψηφίδων, ἢ τῶν εἰς χερμαδίας ἐπιτηδείων λίθων, ἢ πᾶσαν ἀκαθαρσίαν συῤῥέȣσαν ἐκ τῶν ὑδάτων, κατὰ μίμησιν τȣ̃ ςίχȣ τȣ̃ γινομένȣ κατὰ τὴν σύρσιν. ἀντιφράζει γȣ̃ν αὐτῷ „πολὺν δ' ὀρυμαγδὸν ἐπῆρεν φιτρῶ." ȣ̓κ ὀλίγον ȣ̓ν πλῆθος τῶν ποταμίων λίθων ἐπισωρεύσας χώσω. B.

τὸ χέραδος ȣ̓δέτερον προπαροξυτόνως ὡς κίναδος. ϗ Πίνδαρος δὲ τὴν δοτικὴν ἐξήνεγκε χειράδει ὡς μεγέθει. V.

ἄλλως. Ἀρίςαρχός φησι χεράδας καλεῖσθ τοὺς ποταμȣ̀ς ϗ τȣ̀ς ἐν αὐτοῖς λίθȣς· εἶναι δὲ τὸν νȣ̃ν τοιȣ̃τον, πολλῇ ἰλύϊ ȣ̓κ ὀλίγον πλῆθος τῶν ποταμίων λίθων ἐπισωρεύσας χώσω. χεράδας ȣ̓ν λιθάδας. AD.

ἄλλως. τὸ χέραδος, τȣ̃ χεράδȣς. φασὶν ȣ̓δέτερον. ἅπαξ δὲ εἴρηται παρὰ τῷ ποιητῇ. σημαίνει δὲ τὰς ψηφῖδας τῶν ποταμῶν, ἢ τὰς ἀκαθαρσίας. A.

ἡ διπλῆ, ὅτι ἅπαξ τὸ χέραδος. ἔςι δὲ τὸ συναγειρόμενον ἐν τῇ ῥύσει πλῆθος ἰλύος ϗ ὀςράκων ϗ λίθων. φησὶ γȣ̃ν „πολὺν δ' ὀρυμαγδὸν ὄρινε φιτρῶν ϗ λάων" (Il. 21, 313). A.

εἰλύσω: ἐὰν μὲν διὰ τῆς ει, εἰλύσω, δηλοῖ τὸ εἰλήσω· ἐὰν δὲ διὰ τȣ̃ ῑ, τὸ σκεπάσω, ἀφανίσω, ἀντὶ τȣ̃ τῇ ἰλύϊ καλύψω. διχῶς ȣ̓ν ἡ γραφή. V.

320. ἐπιςήσονται: δυνήσονθ· „ἐπίςατο πῆλαι Ἀχιλλεύς" (Il. 16, 142). B.

ἡ διπλῆ, ὅτι ἐπιςήσονται ἀντὶ τȣ̃ δυνήσονται. ϗ ἐν Ὀδυσσείᾳ (13, 207) „νῦν δ' ȣ̓τ' ἄρ πῃ θέσθ ἐπίςαμαι" ἀντὶ τȣ̃ ȣ̓ δύναμαι. A.

321. ἄσιν: τὸν ἐν ὕδατι συρφετὸν ϗ ξηρόν, ἀπὸ τῆς ἄζης. οἱ δὲ τὴν ἐκ τȣ̃ ποταμȣ̃ δεῖσαν· ὅθεν ϗ Ἄσιον τὸν λειμῶνα ἤκȣσαν, ϗ ἀσιογεῖαι αἱ αἱμασιαί. ὁ δὲ Ἀρίςαρχος διὰ τȣ̃ ν̄ ἀνλέξαι ἀντὶ τȣ̃ ἀλλέξαι. ABV.

323. τυμβοχοῆσ': τὸ πλῆρες τυμβοχοῆσαί ἐςι· χυτȣ̀ς γδ τȣ̀ς τάφȣς. διὸ περισπαςέον τὸ η̄· ȣ̓τως ϗ Ἀρίςαρχος (ϗ ὁ Ἀσκαλωνίτης ϗ οἱ πλείȣς D). τοιȣ̃τον δέ ἐςιν, οὐκ ἔςαι αὐτῷ χρεία χώσεως τάφȣ. Κράτης μέντοι γενικὴν πτῶσιν ἐξεδέξατο· ϗ δῆλον ὅτι ἐβάρυνεν ὁμοίως τῷ οἰνοχόης· ἄμεινον δὲ ἐν τῷ ῥήματι τὸ πρᾶγμα παραλαμβάνειν ἢ ἐν τῷ ὀνόματι. A.

ἄλλως. ὅτι τὸ πλῆρές ἐςι τυμβοχοῆσαι· διὸ σημειȣ̃νται τινες. A.

325. μορμύρων: ἀναβράσσων, ἢ θηριούμενος, παρὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν μορμώ. ἔχει δὲ ἀπαραμίλλητα ταῦτα τῷ Ὁμήρῳ· ὃ γὰρ μόνον τῇ μεγαληγορίᾳ τῶν ὀνομάτων ἀλλὰ καὶ τῇ ἐννοίᾳ κατώρθωται· ἔχει γὰρ ἰδεῖν κῦμα μετέωρον αἵματι καὶ ἀφρῷ μεμιγμένον, καὶ τούτῳ ἐπιπλέοντα τὰ σώματα. BV.

327. κατὰ δ' ἦρες: κατέβαλλε καὶ κατεπόνει, ἀπὸ τῶν αἴρω τὸ καταβάλλω. καὶ δασύνεται. B.

τὸ αἴρω περισπώμενον δασύνεται, σημαῖνον τὸ καταλαμβάνω· διὸ καὶ ἐνθάδε δασυντέον. A.

328. Ἥρη δὲ μέγ' ἄϋσε: κατὰ συλλογισμὸν ἐνέφηνε τὸν κίνδυνον. οἰκεῖον δὲ τὸ σχῆμα θηλείᾳ. V.

329. ἀποέρσειε: Κυπρίων ἡ λέξις. A.

331. ἀθετεῖται ὅτι ἄκαιρον τὸ ἐπίθετον· ἢ γὰρ φιλανθρωπευομένη καὶ λέγουσα ἐμὸν τέκος ἐκ ὤφειλεν ἀπὸ τῶν ἐλαττώματος προσφωνεῖν. τὸ δὲ κυλλοπόδιον Ἀρίσαρχος προπαροξύνει, ᾧ καὶ ἐπείθημεν, ὥσπερ ἤδη προείπομεν ἐπὶ τῶν ὀλβιόδαιμον (Il. 3, 182) γενόμενοι. A.

λέγει, εἰ καὶ κυλλοποδίων· εἰ, ὅμως ὄρσο. V.

ἐπὶ τὸ τέκος ὁ λόγος ςίζει. A.

προπαροξυτόνως τὸ κυλλοπόδιον· εἰς δὲ τὸ τέκος ἡ ςιγμή. διδασκαλία δέ ἐςι ρατηγικῶν πραγμάτων· εὐμήχανον γὰρ εἶναι δεῖ, καὶ συνορᾶν ταχέως δύναςθ τίνα καὶ ποῖα τίσι καὶ ποίοις μάχεσθ, καὶ τίνων ἀφεκτέον, καὶ τίσι πολεμητέον. B. νῦν γὰρ ἀντίπαλον Σκαμάνδρῳ πέμπει τὸν υἱόν, ἐξῆς δ' Ἑρμῆς ἀπολέγει τῇ Λητοῖ καὶ Ἀπόλλων Ποσειδῶνι. V.

332. ἠΐσκομεν: εἰκότως νομίζομεν ὅτι ἐναντίον ἔχει τὸ ὕδωρ τῷ πυρί. B.

333. πιφαύσκεο: ἐνδείκνυε, ἐξύφαπτε. B.

334. Ζεφύροιο: Ζέφυρος παρὰ τὸν ζόφον· καὶ ἡ ἀπὸ δύσεως πνοὴ ζοφόπνοια καλεῖται. ἀργεςὴς δὲ ὁ Νότος, ὅτι λευκαίνει τὰς νεφέλας. B. ἐπεὶ ἀπὸ Ἄργους εἰς τὴν Τροίαν πνεῖ. V.

ἀργεςᾶο Νότοιο: τῶ λεγομένω λευκονότω. A.

κἂν μὴ διαςείλωμεν ἐπὶ τὸ εἴσομαι, τὸ ὑπερβατὸν νοεῖται· αὐτὰρ ἐγὼ εἴσομαι Ζεφύροιο καὶ Νότοιο χαλεπὴν ὄρσασα θύελλαν ἐξ ἀλόθεν. A.

335. εἴσομαι: ἀντὶ τῶ πορεύσομαι. B.

ἡ διπλῆ περιεςιγμένη, ὅτι Ζηνόδοτος γράφει ὄρσασα. ἐκ δὲ τούτου φανερὸς ἔχει δεδεγμένος τὸ εἴσομαι γνώσομαι, καὶ τὸ ἦ κεν ἀπὸ Τρώων ψιλῶς ἀνεγνωκώς. οὐ βέλεται δὲ γνῶναι ἀλλὰ πορευθῆναι παρασκευάσασα. A.

χαλεπὴν θύελλάν φησι τὴν ἐκ δύο κρυμαμένην ἀνέμων. V.

336. Τρώων κεφαλάς: αὐτοὺς τοὺς Τρῶας. B.

προπεριςπαςέον τὸ κῆαι· ἔχει γὰρ ἀπαρέμφατον. A.

337. φλέγμα: τὴν φλόγα, ὡς καῦμα θεσπέσιον ἀντὶ τῶ καῦσις. V.

ἡ διπλῆ, ὅτι τὴν φλόγα κατὰ τὸ ὀδέτερον. A.

κακόν: κακοποιόν. V.

339. ἀρειῇ: ἀπειλῇ. B. ὁ καὶ ἀντὶ τῶ ἦ. V.

341. ἰάχουσα: ὡς φέρουσα. V.

ἀκάματον: ἀκατάπαυςον, πολύ. ἢ παρ' ὅσον τὸ πῦρ ἄκμητι ἐκβόσκει τὴν ὕλην. D.

343. πρῶτα μὲν ἐν πεδίῳ: ἵνα ἀναξηράνῃ τὸ εἰς αὐτὸ ἐκκεχυμένον ὕδωρ. καῖτε δὲ νεκρούς, Ἀχιλλέα δὲ οὔ· οὐδὲ γὰρ ὁ Σκάμανδρος τοὺς Τρῶας ἔπνιγεν ἐν ἑαυτῷ. καὶ διὰ τί τῷ Σκαμάνδρῳ καιομένῳ ὁ Ἀχιλλεὺς ἐν ζέοντι αὐτῷ ἀποληφθεὶς ἐπνίγετο μέν, ἐκ ἐκαίετο δέ; ἢ διότι ἐχ ὅλος ὁ ποταμὸς ἐκαίετο. ἐνδέχεται ἐν μὴ ἐν τοῖς ζέουσιν αὐτὸν τῷ ποταμῷ μορίοις εἶναι· καὶ γὰρ ἂν ἕτως γε ὁ Ἥφαιςος ἦν αὐτὸν ὁ διαφθείρων, ὃν ἐκ εἰκὸς βοηθεῖν μὲν αὐτῷ, τοῦτο δὲ μὴ ὁρᾶν ὅπως μή, ἔνθα ἦν ἐκεῖνος, ὁ ποταμος πονήσῃ. ὡς ἂν ὁ Σκάμανδρος πνίγων Ἀχιλλέα τοὺς ἐμβεβηκότας τῶν Τρώων εἰς αὐτὸν „ζωὸς δ' ἐσάω κατὰ καλὰ ῥέεθρα, κρύπτων ἐν δινῇσιν" (238), ἕτω καὶ ὁ Ἥφαιςος τὸν μὲν ποταμὸν ἔκαιε, τῷ δ' Ἀχιλλεῖ διὰ τῶ πυρὸς συνεμάχει. BV.

καὶ πῶς μὴ ἐκαίετο Ἀχιλλεύς; ἀλλ' ὥσπερ ὁ Σκάμανδρος Ἀχιλλέα μὲν ἔπνιγε Τρῶας δὲ ἔσωζεν, ἕτως καὶ ὁ Ἥφαιςος πᾶν μὲν ὑφάπτει τὸ ἄλλο τῷ ποταμῷ πλὴν ἐκείνου τῷ τόπῳ ἔνθα ἦν Ἀχιλλεύς. B.

ἡ διπλῆ πρὸς τὸ ζητούμενον πῶς οὐ κατακαίεται ὁ Ἀχιλλεὺς ἀναζέοντος τοῦ ὕδατος. λέγει δὲ ὁ Ἀρίσαρχος ὅτι πρῶτον τὸ πεδίον ἀνεξήρανται τῇ φλογί, εἶτα εἰς τὸ ῥεῦμα τῶ ποταμῷ τρέπει τὴν φλόγα, ὅτε ὁ Ἀχιλλεὺς ἤδη ἐν τῷ πεδίῳ ἐγεγόνει. A.

345. πᾶν: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ ὅλον, καὶ ὅτι τὸ προτερον ἀνεξηράνθη τὸ πεδίον. A.

346. ὀπωρινὸς Βορέης: ἰχυρότεροι γὰρ κατὰ τὴν ὀπώραν οἱ Βορέαι πνέουσιν. εὐκταῖον δὲ ἀρδευθείσῃ γῇ Βορρᾶν ἐπιβαλεῖν· πυκνουμένης γὰρ τῆς ἐπιφανείας δύνει κατὰ ῥιζῶν ἡ νοτίς. ὀπωρινὸς δὲ ὁ θερινὸς κατὰ Σικυωνίους. V. ἄλλως. οἱ γὰρ ἐτησίαι ξηρότεροι τοῦ ἐν χειμῶνι πνέοντος Βορέα. B.

347. Ἀρίσαρχος ἀνεξηράνη. A.

μετὰ τῶ ν. καὶ θερμήνῃ μέν φησιν (Il. 14, 7), ἀλλ' ἐ ξηρήνῃ διὰ τὸ κακόφωνον, ὡς ψαρῶν καὶ ψῆρας (Il. 16, 583). Ἀριςοφάνης δὲ γραφεῖ αἶψ' ἐξευαίνειν. V.

ὅστις ἐθείρῃ: ὁ γεωργὸς ὅςις ἔθος ἔχει σκάπτειν αὐτήν. B.

348. ἐξηράνθη: οἰκονομικὸν καὶ τοῦτο, ἵνα τὰ ἑξῆς διάθηται. V.

349. ὅτι πάλιν ἐπανέλαβεν. A.

350. καίοντο πτελέαι: δηλονότι ὑποφυγόντος τοῦ ποταμῷ καὶ εἰς τὸ ἴδιον ῥεῖθρον τραπέντος. τοῖς δὲ ὑπ' αὐτῷ τραφεῖσιν ὕλῃ χρῆται κατ' αὐτῶ. B.

351. θρύον: εἶδος πόας ὁ λεγόμενος θρύσις. D.

αἱ ἐκ τῶν πόλεων ἠδὲ κυπάρων (κύπαιρον V) εἶχον. A. ἔνιοί φασι κήβριον. D.

353. ὅτι διέξειλε τὰς ἐγχέλεις ἀπὸ τῶν ἰχθύων. A.

καὶ τὰς ἐγχέλυας εἰπεῖν καιομένας ἐ πάνυ ἁρμόδιον. ἐ γὰρ οἷον καὶ αὐτῶν ἅπτεται τὸ πῦρ, ἀλλὰ πνοῇ μόνον καὶ

τῇ ἀναφορᾷ τῶ πυρός. V.

ὑπερβολὴ τὸ κατὰ βάθος καίεσθαι. V.

354. κυβίσων: σημαντικώτερον ἐκ ἂν εὕροιμεν ὄνομα. ἐ γὰ ἀναπάλλεσθ τὰς ἰχθύας ἔφη, ὅπερ καὶ χωρὶς πυρὸς συμβαίη ἄν· ἀλλὰ τὰς ἀναπαλλομένας τε ὕμα καὶ καταδυομένας πάλιν ὑπὸ τῆς φλογὸς διὰ τῶ ῥήματος ἔδειξεν. B.

355. ἔτως πνοιῇ. ἔν τισι δὲ ῥιπῇ. A.

356. καίετο: Πτολεμαῖος ὁ Πινδαρίων τὸν καὶ σύνδεσμον καὶ τὴν ἔ ἀντιωνυμίαν ἐνόμιζεν, ἵν' ᾖ καὶ αὐτὸν τόδε εἶπεν ἰς ποταμοῖο. V. ἐπὶ τὸ ποταμοῖο σικτέον. A.

357. ἔτις σοί γε: ἀνίκητον γὰ τὸ πῦρ, καὶ σίδηρον γᾶν μαλάσσει, καὶ ἐδὲ ὑπὸ ἄλλε μαραίνετ ἀλλ' ἐφ' ἑαυτῶ· καὶ Ζεὺς πύρινον ἔχει τὸ δόρυ. λεπτομερεζάτη γὰ ἡ οὐσία τῶ πυρὸς καὶ διὰ πάντων διικνεμένη. B.

εὐφυῶς ἄγαν ἥτταν ὁμολογέμενος καὶ τὰς ἄλλας θεοὺς συμπεριλαμβάνει. V.

361. ἀνὰ δ' ἔφλυε: ἀνέζει· ἔνθεν καὶ τὸ ἐκ θερμιότητος ἀνάζημα φλυκτίς, καὶ φλύαρος ὁ ἀναζίων τοῖς λόγοις. ἐμφαντικῶς δὲ ἄγαν ὡς ἐπὶ ἀγγείε καιομένε. B. εἶτα καὶ τῇ εἰκόνι τοιαύτῃ χρήσεται. V.

362. ἐμφαντικῶς τὸ ἔνδον, ἵνα καὶ τὴν κοιλότητα δείξῃ καὶ τὴν κάτωθεν ἀνάζεσιν. κοῖλα δὲ ἀμφότερα, καὶ ὁ ποταμὸς καὶ ὁ λέβης. B.

τὸ ἑξῆς, ζεῖ ἔνδον πάντοθεν ἀμβολάδην. καὶ ἡμεῖς ὑπὲρ τῶν ζεόντων φαμὲν ἀναβάλλειν τὸ χαλκεῖον. ἀναβάλλει δὲ πάντοθεν διὰ τὴν τῆς φλογὸς ὑπερβολήν. διὸ καὶ ἐπάγει „ὑπὸ δὲ ξύλα κάγκανα κεῖται." V.

ἡ διπλῆ, ὅτι οἷδεν ἔψησιν κρεῶν, χρωμένας δὲ τὰς ἥρωας ἐ παρεισάγει. A. πῶς ἓν βοείας πόδας ἐθίεσι μνηςῆρες; ἐ γὰ ἂν ὤπτησαν πόδας. V.

363. κνίσην: ἔτως Ἀρίσαρχος· ἄλλοι δὲ κνίσης. A.

μελδόμενος: ὅτι ἀντὶ τῶ μέλδων, τήκων τὰ κνίση, παθητικὸν ἀντὶ τῶ ἐνεργητικῶ. γράφεσι δέ τινες κνίσην σὺν τῷ ν· ἔτως γὰ καὶ Ἀρίσαρχος, καί φησιν ὅτι ἀντὶ τῶ τηκόμενος, ὅπερ ἰσοδυναμεῖ τῷ τήκων. κνίσην δὲ πᾶν τὸ πιμελές. A.

σὺν τῷ ν Ἀρίσαρχος. τὸ δὲ μελδόμενος ἀντὶ τῶ τήκων. κνίση δὲ πᾶν τὸ πιμελές. τινὲς δὲ ἑδετέρως ἤκεσαν, ἵν' ᾖ τὰ κνίση ὡς τὸ „Τηλέμαχος τεμένη νέμετ" (Od. 11, 184)· ἀλλ' ἀεὶ παρ' Ὁμήρῳ ἡ κνίσα θηλυκῶς εἴρηται. Ἑρμογένης δὲ ἐν τῷ περὶ τῶν (τῶν ε' V) προβλημάτων γράφει κνίσῃ μελδόμενος (μελδομένε, ἵν' ᾖ τῇ κνίσῃ μελδομένε. ἄμεινον δὲ τῇ συνήθει γραφῇ χρῆσθαι V) ἵν' ᾖ τῇ κνίσῃ λιπαινόμενος· καὶ ἔζι μελδόμενος ἀντὶ τῶ τὰ μέλη ἁλδόμενος, ὡς ἀλλαχῶ „μέλη ἤλδανε ποιμένι λαῶν" (Od. 18, 70). μέλδειν δὲ κυρίως τὸ τὰ μέλη ἔδειν ἢ ἁλδαίνειν. κνίσα δὲ σημαίνει τὴν ἐκ τῶν κρεῶν ἀναθυμίασιν, ὡς ὅταν λέγῃ „καὶ τότε με κνίσης ἀμφήλυθεν ἡδεῖ' ἀϋτμή" (Od. 12, 369) καὶ „κνίση δ' ἐρανὸν ἷκε" (Il. 1, 317). σημαίνει δὲ καὶ τὸ λίπος, ὡς ἐπὶ τῶν γαςέρων ἔφη „ἐμπλείην κνίσης τε καὶ αἵματος" (Od. 18, 118). σημαίνει δὲ καὶ τὸν ἐπίπλεν, ὡς ὅταν λέγῃ „κατά τε κνίσῃ ἐκάλυψαν δίπτυχα ποιήσαντες" (Il. 1, 460). διπλᾶ γὰ τὰ κνίση ποιήσαντες τὰς μηρὰς ἐπεκάλυψαν. δίπτυχα δὲ αὐτὰ τὰ κνίση· ἐπειδὴ γὰ δύο οἱ μηροί, τὸν ἐπίπλεν εἰς δύο διελόντες ἑκάτερον τῶν μηρῶν θατέρῳ μέρει τῶ ἐπίπλε ἐκάλυπτον. σιάλοιο δὲ τῶ ἐντροφίε καὶ σιτευτῶ. B.

ἄλλως. οἱ μὲν ἓν διορθῶντες ἠξίεν μετὰ τῶ ν γράφειν, κνίσην μελδόμενος, ἀντὶ τῶ τήκων ἀκόοντες, ἵν' ᾖ τὴν κνίσαν τήκων. ἐκ εἶχον δὲ παρ' Ὁμήρῳ δεικνύναι ἑδετέρως τὸ κνίσσος λεγόμενον, ἀλλ' ἀεὶ θηλυκῶς· „κνίσση δ' ἐρανὸν ἷκεν" (Il. 1, 317) καὶ „κνίσσην ἐκ πεδίε ἄνεμοι φέρον" (Il. 8, 549). μήποτε ἓν ἐκ ἔζι μελδόμενος τὸ τήκων· οὐδὲ κεῖται τὸ ἔδειν ἀλλὰ τὸ ἔλδειν. ὅπερ ἓν λελυμένως ἔφη „μέλη ἤλδανε ποιμένι λαῶν" (Od. 18, 69), σημαίνων τὰ εὐτραφῆ λιπαρὰ ἐποίει, εὐρύνσα τὰ μέλη, τῶτο συνελὼν μελδόμενος ἔφη, κατὰ μεταφορὰν τὰ μέρη τοῦ λέβητος μέλη λέγων, ἅπερ λιπαίνεθ τηκομένῃ τῇ πιμελῇ χριόμενα. τὸ ἓν ἀλειφόμενον λιπαίνεθ μέλδεθ ἔφη, ὡς ἐν ἄλλοις „ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο" (Il. 18, 351). τινὲς δὲ ἔτως, κνίσσῃ μελδόμενος ἀντὶ τῶ κνίσσῃ μέλη ἐδόμενος, δοτικὴν ἀντὶ τῆς γενικῆς λαβών· ἢ τῇ κνίσσῃ ζεέσῃ αὐξάνων τὰ μέλη ἤτοι τὰ κρέη· ἢ αὐτὸς τῇ κνίσσῃ τοῦ εὐτραφῆς χοίρε ὁ λέβης λιπαινόμενος καὶ τηκόμενος. B.

366. ἐδ' ἔθελε: ἡ διπλῆ, ὅτι ἀντὶ τῶ ἐκ ἠδύνατο. καὶ ἐν Ὀδυσσείᾳ (3, 121) „ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεύς." A.

ἐκ ἠδύνατο. ἀϋτμὴ δὲ ἡ ἐξατμιζομένη πυρώδης πνοή· τὸ μὲν γὰ καθαρὸν ὕδωρ, ὡς τὴν ἰδίαν φύσιν ἔχον, ἀκολάθως ὅπῃ θέλει ῥεῖ, τὸ δὲ θερμαινόμενον βραδύπορον γίνεται, πολὺ τῆς δυνάμεως ἀφῃρημένον. Ἥφαιςος δέ ἐςιν ἡ πυρώδης ὅλη ἐσία, Σκάμανδρος δὲ μέρος τῆς ἐσίας τῶ ὕδατος. B.

369. τίπτε: ἐπὶ τίνι αἰτίᾳ; τὸ δὲ ἐπέχραεν ἀντὶ τῶ μετὰ λυπήσεως ἐπῆλθε, βλαπτικῶς ἐφώρμησεν. B. „μητέρι μοι μνηςῆρες ἐπέχραον" (Od. 2, 50). V.

370. ἐξ ἄλλων: παρὰ τὰς ἄλλας Ἑλληνικὰς θεάς, ἢ ὑπὲρ τὰς ἄλλας συμμάχας τῶν Τρώων ὥρμησεν ἐμὲ λυπεῖν. B.

βέλτιον ἡ συνήθεια τοῖς ἄνω συνάπτει τὸ ἐξ ἄλλων. A.

αἴτιος: τῶ μὴ ἁλίσκεσθ τὴν Τροίαν. V.

373. ἐπὶ καὶ τόδ' ὀμῶμαι: ἐπὶ τούτοις καὶ τόδ' ὀμῶμαι. ἢ ἐπομῶμαι μετὰ τὸ λῆξαι. B.

374. ἐπὶ Τρώεσσιν: τὸ ἑξῆς ἐπαλεξήσειν. B.

375. μαλερῷ: παρὰ τὴν ἀλέαν, πλεονασμῷ τῶ μ· ἢ παρὰ τὸ μαλεῖν, ὅ ἐςιν ἀφανίζειν. δηλονότι τῷ θερμῷ καὶ καυσικῷ. BV.

ἀναγωνεῖ τὸ τέλος τῆς ἱςορίας εὐκαίρως ὁ ποιητής· ἐ γὰ πρόκοψει μέχρι τούτων αὐτῷ τὸ σύγγραμμα. B.

379. ἀγακλέες: εὔκαιρον πρὸς τὴν νίκην τὸ ἐπίθετον. B.

380. ευφελίζειν: σκληρῶς τύπτειν καὶ βλάπτειν. B.

382. ἄψορρον: ἐπιφερὲς ὂν τὸ ἔπος ἐδήλωσε τὴν κατάσασιν ᾗ πρόχυσιν τῷ ποταμῷ, ὡς τὴν ἔπαρσιν τὸ ἀκροκελαινιόων. V.

κατέσχετο: γράφεῦ ᾗ κατέσυτο, ἵν' ᾖ τὰ καλὰ ῥεῖθρα ὥρμησεν. D.

385. ἐν δ' ἄλλοισι: τὸ ἐξῆς ἐνέπεσε. ἔνδοξος δὲ Ἀχιλλεύς, ᾧ τὴν γένεσιν ᾄδεσι θεοὶ καὶ τὴν τελευτὴν καὶ τὸν πόλεμον. V.

386. ἄητο: ᾐωρεῖτο, ἢ ὥρμα. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀλλήλοις ἀντιπνεόντων ἀνέμων. B.

387. πατάγῳ: γράφεται ὁμάδῳ. A.

388. σάλπιγξεν μέγας ἠρανός: εὖ πόλεμον θεῶν κελεύσματι ἠρανῷ διήγειρεν. περιήχησε τοίνυν διαδεδομένης τῆς φωνῆς, ὅ φησιν ἀλλαχῆ „ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα" (Il. 13, 837). καινὸν δὲ ἐποίησε τὸ διανόημα, σαλπίζειν τὸν ἠρανὸν φήσας· εἰ γὼ εἶπεν ἐβρόντησεν, ἐδέν ἂν εἰσηγήσατο παράδοξον. B. ἐδὲ καταπληκτικόν. V.

ἡ διπλῆ, ὅτι αὐτὸς μὲν οἶδε σάλπιγγα, χρωμένους δὲ τοὺς ἥρωας ἐκ εἰσάγει. A.

389. ἐγέλασσε: διὰ τὸ ἧκισα ἐπιχειρηθῆναι παρὰ τῶν διχονοούντων. ᾗ Μένανδρος „ᾗ τοῦτο θύων οὐδεπώποτ' εὐξάμην ἐγὼ τὸ σῶζον τὴν ἐμὴν οἰκίαν, ἀλλὰ παρέλιπον οἰκετῶν εἶναι φάσιν ἔνδον παρ' αὐτῷ πρᾶγμα χρησιμώτατον." τοιοῦτο καὶ τὸ „χαῖρε νόῳ ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο" (Od. 8, 78). ἢ ἐπεὶ ὁρᾷ περὶ ἀρετῆς αὐτὲς ἀγωνιζομένες, χαίρει ὁ Ζεύς. V.

χαίρει γὼ ἵν' ἐπιτεθῇ τέλος τῷ προοιμίῳ. ᾗ Ἀγαμέμνων ἔχαιρεν „ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο," ἐπεὶ ἑώρα περὶ ἀρετῆς αὐτὲς ἀγωνιζομένες. ᾗ Μένανδρός φησιν „ἐδέποτε θύων εὐξάμην ἄλλως σώζεσθῇ τὴν οἰκίαν ἢ φάσιν οἰκετῶν εἶναι ἐν αὐτῇ." A.

ἄλλως. δοκεῖ ἐναντίον εἶναι τῷ ὑπὸ Διὸς λεγομένῳ πρὸς Ἄρεα „αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε" Il. 5, 891). ἡ δὲ λύσις ἐκ τῆς λέξεως· τὸ γὼ αἰεί προσκείμενον τὴν διαφωνίαν ἔλυσεν. B.

392. ῥινοτόρος ὁ τιτρώσκων ᾗ διακόπτων τὲς ῥινές· ῥινοὶ δὲ καλῶνται αἱ ἀσπίδες, ὅτι ἐκ βοείων βυρσῶν εἰσίν. μοίως δὲ ᾗ τὸ τῶν ἀνθρώπων δέρμα. ABD.

πρῶτον γὼ αἱ ἀσπίδες τιτρώσκονται, εἶτα τὰ σώματα. B.

394. κυνάμυια: ἀναιδὴς ᾗ θρασεῖα ᾗ αἱματοποτῆσα. ἄγεται δὲ τὸ ζῷον καὶ κυνάμυια ᾗ κρότων. B.

κυνῶν μυῖα ἡ κινοῦσα τὴν μυῖαν (τὸν μῦν Heynius) ἐν ὀφθαλμιῶν ᾗ μὴ ἠρεμαῖον ἔχουσα τὸ βλέμμα. V.

ἡ διπλῆ, ὅτι αὐτὸς ἐχημάτισε τὸ ὄνομα ἀπὸ τῆ κυνὸς ᾗ τῆς μυίας· ὁ μὲν γὼ κύων ἀναιδής, ἡ δὲ μυῖα θρασεῖα. A. κ δύο ἀναιδῶν τελείων, τῆ τε κυνὸς ᾗ τῆς μυίας, διὰ τὸ περβάλλον τῆς ἀναιδείας. D.

395. θάρσος ἄητον ἔχουσα: δύναται καθ' ἑαυτὸ ἐχεσθῇ τὸ ἡμιστίχιον κατὰ κλητικὴν πτῶσιν, ὦ θάρσος ἄητον ἔχουσα. V.

ἄητον: μέγα, παρὰ τὴν αἴαν. B.

μέγας δέ σε: μετεωρισμὸς δέ σε ψυχῆς ἀνέπεισεν. V.

397. πανόψιον: φανερόν, ἃ πειρωμένη λανθάνειν. V.

ἔτως Ἀρίσαρχος πανόψιον, τὸ οἱονεὶ πανόρατον ᾗ λαμπρὸν ᾗ ἐπιφανές. δύναται δὲ ᾗ τὸ πάντων τελευταῖον ἀκέσθῃ, ἵνα τὸ ὀψὲ ἐγκέηται καὶ μὴ τῇ ἔγχους δεχώμεθα, ἀλλὰ τοιῆτον νοῶμεν, τὸ δὲ πάντων ἔχατον αὐτὴ τὸ ἔγχος λαβῆσα ἐπ' ἐμὲ ὦσας. A.

ὅτι πανόψιον τὸ λαμπρὸν καὶ ἐπιφανές. ἢ ὀπισθίδιον ἔχουσα ἀπὸ τῆ σύρακος. ἢ τάχα ἐπὶ χρόνῳ εἴρηται· αὐτὴ δὲ τὸ πάντων ἔχατον τὸ ἔγχος ἑλῆσα ἔτρωσας. A.

πάντων ἔχατον· ἡ γὼ ὀψία ὁ ἔχατος καιρός, ἵνα λέγῃ, τὸ δὲ πάντων ἔχατον αὐτὴ λαβῆσα τὸ ἔγχος ἐπληξάς με. ἢ τὸ ὁλόλαμπρον, ὡς ταὐτὸν εἶναι τῷ πάνοπτον πρωτοτύπῳ. Ἀντίμαχος δὲ γράφει ὑπονόσφιον· ᾗ τί ποτε δὲ αὐτῇ θέλει δηλῆσθῇ ἄμεινον; κακῶς δὲ τῆς ἑαυτοῦ ἥσσης ὑπομιμνήσκει· ἔδει γὼ ὡς Ζεὺς „ἅ ῥ' ἐμέμνη ὅτε τ' ἐκρέμω ὑψόθεν" (Il. 15, 18). ἢ θέλει αὐτὴν πλῆξαι ὡς δίκην νῦν ληψόμενος. B.

398. ἰθὺς ἐμεῦ ὦσας: ἐξ ἐναντίας ἐμοῦ τὸ δόρυ ἴθυσας. B.

399. ἀποτισέμεν: διὰ τιμωρίας ἐκτίσειν. B.

400. κατ' ἀσπίδα: γράφεται κατ' αἰγίδα. A.

401. ἡ διπλῆ, ὅτι ἰδίως ἐπὶ τῆς αἰγίδος τῦτό φησιν, ἣν Διὸς ὅπλον παραδίδωσιν. A.

402. τῇ: ἐκεῖ B. ἐχ ὡς τῦ Ἄρεος ἐκεῖσε βαλόντος, ἀλλὰ τῆς Ἀθηνᾶς μετενεγκέσης πρὸς τὸ μὴ τρωθῆναι. V.

403. χειρὶ παχείῃ: ἐν ἄλλῳ Παλλὰς Ἀθήνη. A.

405. ἕρον ἀράρης: ὅριον γῆς. B.

406. αὐχένα: ὅτι ὑψαύχην ἡ ὕβρις. B.

407. πέλεθρα: ὅτι τὸ πλέθρον ἔχει πόδας ἑκατόν, πήχεις δὲ ἑξήκοντα ἓξ δίμοιρον. A. εἰ δὲ ζητοίης πῶς Διομήδης ἔφθασε τρῶσαι τὸν τηλικῦτον, ἴσθι ὡς συνεργέσης Ἀθήνης. B.

408. ἀμφαράβησε: ἄραβος κυρίως ἡ ἐν Ἄρει βοή, καταχρησικῶς δὲ ἦχος ὅπλων. B.

409. καί μιν: γράφεται καί οἱ. A.

410. ὅσσον ἀρείων: ἔζι γὼ ἡ μὲν ἐξ ἀνδρὸς μόνε, ὁ δὲ ᾗ ἐκ γυναικός. ᾗ ἡ μὲν ἔνοπλος γεννηθεῖσα συμπεφυκυῖαν τοῖς ὅπλοις τὴν ἀρετὴν ἔχει· ᾗ ταύτην ὁ πατὴρ ἅμα τῇ γενέσει νίκην ἐποίησεν. ἄλλως τε τὸ δίκαιον ἀεὶ ἐπικρατεῖν πέφυκεν. B.

411. ἰσοφαρίζεις: ἐν ἄλλῳ ἀντιφαρίζεις. A.

412. Ἐρινύας: τὰς κατάρας. ἔτω δὲ ὡς πρὸς κρείσσονας ἐθέλων μάχεσθῇ. B.

τιμωρίας ἀποδοίης τῇ Ἥρᾳ. A.

414. ἀμύνεις: γράφεται ᾗ ἀρήγεις. A.

416. Διὸς θυγάτηρ: γράφεται φιλομμειδής. A.

τὸν δ' ἄγε: δεῖ γὼ κρᾶσιν εἶναι τῶν ἠθῶν· Ἁρμονίαν γοῦν παῖδα ἐχήκασιν. ἢ ἐπειδὴ τὸ πλέον διὰ γυναικείας αἰχρότητας ᾗ πορνείας οἱ πόλεμοι, τύτε χάριν αὐτῷ βοηθεῖ. ἢ τὴν τῶν ἵππων ἀνταμείβεται χάριν. Ἥρα δὲ ἀπέ-

χεται Ἀφροδίτης διὰ τὸν κεχόν. B.

ἡ διπλῆ, ὅτι οἱ χωρίζοντές φασι τὸν τῆς Ἰλιάδος ποιητὴν εἰδέναι συνοῦσαν τῷ Ἄρει τὴν Ἀφροδίτην, τὸν δὲ τῆς Ὀδυσσείας διαφώνως Ἡφαίστῳ. λέγειν δὲ δεῖ ὅτι οὐχ οἱ αὐτοὶ χρόνοι ἦσαν τῆς συμβιώσεως. A.

417. ἐσαγείρατο θυμόν: τὸ ζωτικὸν πνεῦμα συνέλεξε. παρατατικὸν δὲ τὸ ἐσαγείρατο Ἀρίσαρχος. BV.

419. αὐτίκ' Ἀθηναίην: ὅτε τὸν πολέμιον αὐτῆς ὠφελεῖν ἐπιχειρεῖ. V.

421. γράφεται τὴν κυνάμυιαν. A.

422. κατὰ κλόνον: κλόνος ἡ μάχη, ἐν ᾗ κλονοῦνται οἱ πολεμοῦντες. B.

κλόνος, ἐν ᾧ κλίνεται τὰ πράγματα. A.

424. ἡ διπλῆ, ὅτι ἐπιεισαμένη ἐξὶν ἐπελθοῦσα, ἐφορμήσασα, ἀπὸ τοῦ εἶμι, ὡς τὸ „ἦ τάχα κε δαλῷ βεβλημένος εἶθα θύραζε" (Od. 19, 69). A.

πρὸς ζήθεα δέ, ὅτι ἐκεῖσε ἡ ἀφροσύνη ἐγκάθηται. B.

426. ἐπὶ χθονί: γράφεται ποτὶ χθονί. A.

427. ἀγόρευεν: γράφεται προσηύδα. A.

428. ἀεὶ τὸ νῦν φυλάσσον τὸν χρόνον καὶ τὸν τόνον φύλασσει· εἴ πε δὲ συζαλῇ διὰ μέτρον, ἐγκλίνεται. B.

εἴρηται ὅτι τὸ νῦν ἀεὶ παρὰ τῷ ποιητῇ περισπᾶται, κἂν παρέλκῃ, χωρὶς εἰ μὴ μέτρον κωλύοι, ὡς ἐπὶ τοῦ „δεῦρό νυν ἢ τρίποδος" (Il. 23, 485) καὶ „ἐκτελέει ὅσα πού νυν ἐέλπεται" (Il. 10, 105). A.

430. τλήμονες: εὔτολμοι. οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ δυσυχοῦς τιθέασι τὴν λέξιν. B.

ὅτι ὑπομενητικοὶ οἱ τλήμονες, καὶ οὐκ ἀτυχεῖς, ὡς οἱ νεώτεροι. A.

431. ἐπίκερος: ἐν ἄλλῳ ἐπίερος. A.

433. Ἰλίῃ: γράφεται Ἴλιον. A.

435. κρείων: ὁ τῆς αὐξήσεως αἴτιος· ὑγρὸς γάρ, καὶ κραίνειν δηλοῖ τὸ τελειοῦν (τὸ πληροῦν λέγεται A). B.

436. διέσαμεν: ἀντὶ τοῦ ἀφέσαμεν τῆς μάχης. A.

ἢ πολεμεῖμεν, ἢ μιγνύμεθα· μίγνυσθαι γὰρ λέγεται τὸ πολεμεῖν. αἰσχρὸν δὲ τὸ ἀργεῖν μαχομένων τῶν ὁμοφύλων. καὶ τὸ πρεσβύτην δὲ τῆς μάχης ἄρχειν δεινότερον. B.

437. ἀμαχητί: συγελλόμενον Δώριον, ἐκτεινόμενον δὲ Ἀττικόν. V.

440. καλόν: δηλονότι τὸ ἄρχειν. B.

441. ἔχες: ἀντὶ τοῦ εἶχες. B.

442. ἔτως ἐνταῦθα, μέμνηαι· διπλῆ γὰρ ἡ χρῆσις. A.

444. πὰρ Διός: τινὲς ἐκ τοῦ ὀρανοῦ, ἀπὸ τοῦ Διὸς οἰκεῖ· „ἐν Διὸς εἰλεῖται" Ἄρατος (224). V.

ἠθέλησαν γὰρ συνδῆσαι τὸν Δία Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων (Il. 1, 400). οἱ δὲ ἐπὶ τῷ πειρῶσαι τὴν ὕβριν Λαομέδοντος· „καί τε θεοὶ ξείνοισιν ἐοικότες" (Od. 17, 485). ὡς ἀποθανόντος ἐν τῇ αἰτίᾳ, τιμώμενος νῦν ἐν Ἰλίῳ Κίλλῃ Χρύσῃ Τενέδῳ, βοηθεῖ αὐτοῖς. οἱ δὲ δύο φασὶν ἐργασαμένους ἁμιλλᾶσθαι ἀναθεῖναι Ἀπόλλωνι καὶ Ποσειδῶνι. οἱ δὲ ὅτι ἀπὸ τῶν ἱερατικῶν χρημάτων ᾠκοδόμησεν αὐτά. V.

ἡ διπλῆ, ὅτι Ὅμηρος οὐ παραδίδωσιν αἰτίαν δι' ἣν ἐθήτευσαν ἔτοι οἱ θεοὶ Λαομέδοντι. A.

445. μισθῷ ἔπι ῥητῷ: ἐπὶ ὡμολογημένῳ καὶ ὡρισμένῳ μισθῷ. πῶς δέ, φασίν, Ἀπόλλων μὲν ὁ μέμνηται τῆς παρὰ Λαομέδοντι θητείας, Ποσειδῶν δὲ μνείαν τέτε ποιεῖται; καὶ ῥητέον ὅτι Ποσειδῶν εἰκότως· καὶ γὰρ Ἕλλησι βοηθεῖ καὶ προσέτι τῇ μνήμῃ παροξύνεται· Ἀπόλλων δὲ ὁ μνησικακεῖ, διότι μᾶλλον τιμᾶται παρ' αὐτῶν· πᾶσα δὲ χάρις, κἂν ᾖ τελευταία, δύναται μεῖζον ἔγκλημα λῦσαι. ABD.

μισθὸς λέγεται ἡ ἐλαχίστη ἀμοιβή, παρὰ τὸ μεῖον. ῥητῷ δὲ τῷ ὡρισμένῳ· ὅθεν καὶ αἱ ὡρισμέναι συνθῆκαι ῥηταὶ (ῥῆτραι V) καλοῦνται. B.

446. γράφεται πόλει, ὡς Ἀριστοφάνης. A.

ἡ περὶ τῷ ῥήματι συντάσσεται· διὸ φυλακτέον τὸν τόνον. A.

ἡ διπλῆ πρὸς τὴν ἐν τοῖς ἐπάνω ἀθέτησιν, ὅτι διαφωνεῖ ταῦτα ἐν οἷς φησὶ (Il. 7, 452) „τότ' ἐγὼ καὶ Φοῖβος Ἀπόλλων ἦρῳ Λαομέδοντι." A.

447. „ἵν' ἄρρηκτος πόλις εἴη: ἀσφάλιος γὰρ καὶ θεμελίοχος ὁ Ποσειδῶν, καὶ πάντων σύσασις· ὁ δὲ Ἀπόλλων νόμιος ὡς ἐπὶ πλεῖστον καὶ τῶν θρεμμάτων αὐξητικός. φασὶ δὲ ὡς ἐπεὶ ἀρχὴν ὡς ἐπὶ πᾶν ὁ λοιμὸς ἀπὸ τετραπόδων λαμβάνει, αὐτοῖς ἐπέσησαν αὐτόν, ὅπως ἀναβαλλόμενος ἅπτεσθαι τέτων ἔσαι καὶ τοῖς ἀνθρώποις σωτήρ. B.

φασὶ τὸν Ἀπόλλωνα κεκλῆσθαι νόμιον διὰ τοιαύτην αἰτίαν. οἱ παλαιοὶ τὰς λοιμὰς ἐξ Ἀπόλλωνος ἐνόμιζον. πᾶς δὲ λοιμὸς ἀπὸ τῶν ἀλόγων ἄρχεται, ὡς καὶ Ὅμηρός φησι „ἠρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς" (Il. 1, 50) βελόμενοι ἓν τὸν θεὸν δυσωπεῖν, ἵνα τὰς λοιμὰς ἀποτρέπῃ νόμιον καὶ φύλακα τῶν βοσκημάτων ἐκάλεσαν· ὅθεν Ὅμηρον εἰπεῖν ὅτι ἐβεκόλησε παρὰ Λαομέδοντι καὶ Ἀδμήτῳ ἱπποφόρβησεν. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ. ABD.

448. ἕλικας τὰς βᾶς φησὶν ἐπιθετικῶς, ἤτοι ἀπὸ τῆς κινήσεως τῶν ποδῶν, καθὸ εἰλίποδες λέγονται, ἢ τὰς ἐλικοειδῆ ἔχοντας τὰ κέρατα, ὅ ἐξιν ἐπικαμπῆ. AD.

450. πολυγηθέες: αἱ πολλοῖς αἴτιοι τοῦ χαίρειν καὶ ξῆσι γὰρ τὰς καρπούς. ἢ ἐς πολλὴν ἄγουσαι χαρὰν τοὺς καρπιζομένους. B.

451. ἐξέφερον: ἀντὶ τοῦ ἐμήνυον καὶ ἐφανέρων. ἐβιήσατο δὲ ἀντὶ τοῦ μετὰ βίας ἔχε παρ' ἑαυτῷ. B.

453. πόδας καὶ χεῖρας: ἐξαγκωνίσαι. V.

454. τηλεδαπάων: τῆλε τὸ πέδον ἐχουσῶν, ἢγουν μακρὰν ἀπὸ τῆς Τροίας οὐσῶν. B. καταχρηστικῶς δὲ ἐπὶ αὐτῆς ἐδάφους προσῆκαι φασί τινα. V.

ἔτως Ἀρίσαρχος, τηλεδαπάων. αἱ ἀπὸ τῶν πόλεων θηλυτεράων. A.

455. στεῦτο: κατὰ ψυχὴν ἔσπευδε. λεψέμεν δὲ τὸ σιδήρῳ τεμεῖν. B.

γράφεται ἀπολεψέμεν ἅπαντα. ἡ δὲ διπλῆ, ὅτι στεῦτο κατὰ διάνοιαν ὡρίζετο, διεβεβαιᾶτο, πρὸς τὴν νεκυίαν (Od. 11, 583) ἀθετέμενα· καὶ ὅτι καταχρηστικῶς

ἀπολεψέμεν ἀντὶ τῦ ἀποκόψειν, A.

456. ἄψορροι: ὀπισθόρμητοι εἰς ἐρανόν. V.

458. τοῦ δή: ἐν ἤθει ταῦτα. V.

μεθ' ἡμέων: λείπει γενόμενος. V.

462. οὐκ ἄν με σαόφρονα: εἰ μάχην σοι, φησί, συμβαλοίμην, ὃ μὴ δεῖ, ἐκ ἂν ἔτι με συνετὸν ὑπολάβοις. B.

τινές φασιν ἐγγὺς γεγονότος Ποσειδῶνος μηκέτι δύναῳ τὸν τοξότην πολεμεῖν. V.

464. δειλῶν: ἀθενῶν (ἀτυχῶν V)· Δειλας γὼ ὁ Θρᾴξ ἐφεῦρε πρῶτον τὸν εἰς φόνος κλῆρον. B. ὥς φησι Θεόκλυτος. V.

465. ζαφλεγέες τελέθουσιν: μεγαλόφρονες γίνονῦ, καίπερ θνητὴν σιτέμενοι τροφήν. ὅταν δὲ ἀποβλέψῃ εἰς τὴν θείαν ὁ ποιητὴς φύσιν, τότε τὰ ἀνθρώπεια εὐτελίζει πράγματα. B.

466. ἄλλοτε δέ: γράφεται ἄλλοτε δ' αὖ. A.

467. δηριαάσθων: τὸ δεύτερον ᾱ ἐκτατέον· τῦτο γὼ ὁ χαρακτὴρ βέλεῦ. A. τὸ δεύτερον ᾱ ἐκτέταῦ, ὡσπερ ἐπὶ τῦ ἀδιαιρέτῳ. B.

468. πάλιν ἐτράπετ': ἐπεὶ ὁ ἥλιος ἐκ θαλάσσης τρέφεται, εἰκότως αὐτῷ μάχην ἐ συμβάλλει. ἔχει δὲ πειδευτικὸς ὁ λόγος πρὸς τὸ αἰδεῖῳ τὲς εὐεργέτας, καὶ μᾶλλον τὲς πρεσβυτέρες. B. ὡς τὸ „Λητοῖ ἐγὼ δέ τοι ἔ τι μαχήσομαι· ἀργαλέον γάρ" (498) καὶ „ἀλλά τοι ἐκ ἐθέλουσα Ποσειδάωνι μάχεσθαι." V.

469. πατροκασιγνήτοιο: τῦτον οἱ μὲν πάτρωα, οἱ δὲ θεῖον καλῦσι. V.

μιγήμεναι: τινὲς γράφυσι δαμήμεναι. V.

470. πότνια: ἡ δεσπότις. μεταβαλὼν δὲ Ἀνακρέων φησὶ „δέσποιν' Ἄρτεμι θηρῶν." οἰκεῖον δὲ αὐτῇ τὸ προπετές, διὸ ᾗ βλάβῃ περιπίπτει. B. ὥσε ᾗ τὰ πεπραγμένα ἐν τῇ θεομαχίᾳ τολμηρότερον ἀφορμὰς ἔχει Ἄρην καὶ Ἄρτεμιν. V.

471. ἀθετεῖται, ὅτι περισσός· „τὸν δὲ κασιγνήτη μάλα νείκεσε πότνια θηρῶν." τίς δὲ κυνηγετικὴ θεὸς εἰ μὴ ἡ Ἄρτεμις; A.

ὕτω δὲ παρὰ Συρακυσίοις ᾗ Ἀθηναίοις τιμᾶται· „τῇ δ' Ἀγροτέρᾳ παρήνεσα κατὰ χιλίων εὐχὴν ποιήσασθαι" (Aristophan. Eq. 657). V.

ὀνειδειον: ὡς τέλειον καὶ ὅρειον· ἔτως γὼ ἐκπίπτει ᾗ τὰ τῆς παραγωγῆς, εἰ μὴ τὸ ῡ παραλήγοι ἐν τῷ εἰς ῦς λήγοντι ἀδετέρῳ, ἢ δύο σύμφωνα· ὧν τὸ μὲν ληκτικὸν εἴη τῆς πρώτης συλλαβῆς, τὸ δὲ ἀρκτικὸν τῆς δευτέρας. οἷον ἕλος ἕλειος· διὰ τῆς ει διφθόγγυ ἡ παραγωγὴ ᾗ προπαροξύνεῦ· ἐ γὼ ἦν ἐν τῷ ἀδετέρῳ τὸ ᾱ. τέλος τέλειος, ὄρος ὄρειος. ἔτως ὄνειδος ὀνείδειος. παρεφυλάξατο δὲ τὰ δύο σύμφωνα διὰ τὸ Ἀργεῖος ᾗ τὸ ἑρκεῖος, ᾗ τὸ ᾱ, ἐπεὶ φιλεῖ διὰ τῦ ῑ γράφεσθαι ἡ παραγωγή, πελάγιος πάγιος θάλπιος. (παρῃτησάμεθα δύο σύμφωνα διὰ τὸ ἕρκος ἕρκιος, τὸ ᾱ διὰ τὸ πέλαγος πελάγιος, ἅγος ἅγιος. τὸ γὰρ Ἀργεῖος ἐκ ἀπὸ ἀδετέρυ παρῆκται, ἄλλως τε καὶ ἔχει δύο σύμφωνα. V). AV.

473. μέλεον: ἄμοχθον καὶ ἄλυπον. B.

474. ἀνεμώλιον: ἀνεμωλίως, ἀντὶ τῦ ἀπράκτως. B.

475. ἀπὸ τότε ἀθετῆνῦ εἴχοι γ'· ἐ δύναῦ γὼ ὁ αἰδούμενος „πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσιν" ἀεὶ προκαλεῖῳ τὸν Ποσειδῶνα ἐν τῷ Ὀλύμπῳ πρὸς μάχην. ἄλλως τε ἀδὲ πολεμικός ἐξιν, ἀλλὰ χοροῖς καὶ φόρμιγγι τέρπεται. A.

παραπεποίηνταί πως ἐκεῖθεν οἱ εἴχοι „πολλάκι γὼ σέο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα εὐχομένης" (Il. 1, 396). τί δὲ καὶ βλόμενος συνεχῶς τῦτο ἐκαυχᾶτο ὁ Ἀπόλλων; V.

478. τὴν δ' ὅτι προσέφη: προείρηκε γὼ τὴν αἰτίαν τῆς παραιτήσεως. δισσολογεῖν δ' ἐ βέλεῦ ὁ ποιητής. B.

479. ἡ διπλῆ, ὅτι κοινὸν δεῖ δέξαῳ τὸ προσέφη· ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις προσέφη. ἔτως ἐν κἀκεῖ „παῖδα τέ σοι ἀγέμεν Φοίβῳ Θ' ἱερὴν ἑκατόμβην" (Il. 1, 443)· ἀπὸ κοινῦ γὼ τὸ ἀγέμεν, καὶ περιττὸς ὁ ἑξῆς „ῥέξαι ὑπὲρ Δαναῶν." AB.

482. μένος ἀντιφέρεσθαι: ἐξ ἐναντίας τὸ ἐμὸν μένος φέρειν. ἐπεὶ δὲ εἶπε „τί νυ τόξον ἔχεις," φησὶν ὅτι εἰ καὶ τοξοφόρος εἶ, ἐγώ σοι χαλεπὴ πολέμιος ἔσομαι. BV.

483. τὸ λέοντα ἀντὶ τῦ λέαιναν· ἀδέποτε δὲ παρ' Ὁμήρῳ εὕρηῦ τὸ λέαινα. λέγει δὲ αὐτὴν λέαιναν διὰ τὸ ἀναιρετικόν, ἐπειδὴ κατὰ μὲν τὰς πανσελήνες νύκτας, ὡς φησι Χρύσιππος, εὐτοκώτατα γίνονῦ αἱ γυναῖκες, κατὰ δὲ σκοτομηνίας δύσκοποι ἄγαν. B.

485. ἐναίρειν: φονεύειν, ἢ σκυλεύειν· περιάπτεῦ γὼ νεβρίδας. Ἄλκμὰν „ἐπάμεναι παρὰ δέρματα θηρῶν." σημειῦνῦ δέ τινες ὅτι ἔναρα ἐπὶ ἀλόγων ζῴων ἐκ ἔχει. V.

ὅτι ἐναίρειν καταχρηστικῶς· θῆρες γὼ ἐκ ἔχουσι πανευχίαν ὥσε σκυλευθῆναι. A.

486. ἀγροτέρας: τινὲς τὰς μὴ ταχέως γηρώσας. V.

487. ὑποσικτέον ἤτοι ἐπὶ τὸ ἐθέλεις ἢ ἐπὶ τὸ δαήμεναι, ὡς ἐν τῇ Ζ ῥαψῳδίᾳ προείρηται. ἢ ᾗ κομματικὸν ἀπέλιπε τὸν λόγον ἐπίτηδες ὁ ποιητής, τῆς θεοῦ διὰ τῶν ἔργων τὸ λεῖπον ἀναπληρωσάσης. A.

σικτέον εἰς τὸ δαήμεναι· ἔχει δὲ ἀντὶ τῦ δάηθι. B.

ὅτι ἀντὶ τῦ δάηθι προτακτικῦ. A.

489. χεῖρας: τῆς Ἀρτέμιδος δηλονότι. ἔμφασιν δὲ ἔχει πολλῆς δυνάμεως. B.

490. ποιητικῶς ἀντὶ βελῶν τόξα φησίν. ἢ πᾶσαν τὴν τοξικὴν κατασκευήν. B.

492. ἐντροπαλιζομένη: ἐξ ὑποστροφῆς ἀνθισαμένη. τινὲς δὲ κατ' αἰτιατικὴν ἤκουσαν, ἵν' ᾖ ἐκτρέπουσαν τὰς ὄψεις πρὸς τὰς τῆς χειρὸς καταφοράς. B.

ἔτως τὸ ἐντροπαλιζομένην διὰ τῦ ν̄. A.

493. ὕπαιθα: γράφεται ἔπειτα. A.

πέλεια ὡς Μάλεια καὶ Θάλεια· τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. ἔχει δὲ ᾗ πελειάς ὀξυτόνως· ἔνθεν τὸ „αἳ δὲ βάτην τρήρωσι πελειάσι" (Il. 5, 778). καὶ ἔχιν ὅμοιον τῷ μαῖα ᾗ μαιάς. A.

Ἀριστοτέλης φησὶ μικροτέραν τῆς περιστερᾶς εἶναι καὶ

ὑπέρυθρον καὶ ταχύπουν. V.

495. χηραμόν: ἡ διπλῆ, ὅτι αὐτὸς ἐξηγεῖται τί ἐστι χηραμός, ὅτι κοίλη πέτρα. A.

ἀπὸ τοῦ χωρεῖν. λέγει δὲ πέτραν διαγωγὰς ἔχουσαν πολλάς, ὥστε χωρεῖσθαί τι. σημειωτέον δὲ ὅτι προεξηγήσατο τίς ἡ χηραμός, καὶ νῦν ἐπεξηγήσατο, ἐπεξηγεῖσθαι εἰωθώς, οὐ προεξηγεῖσθαι· „νεβρὸν ἔχοντ' ὀνύχεσσι, τέκος ἐλάφοιο" (Il. 8, 248). V.

οὐδ' ἄρα τῇγε: καὶ ἐν ἀλόγοις μοιρίδιον οἶδεν, οὐ μόνον ἐπὶ ἀνθρώποις. V.

498. οὔτι μαχήσομαι: ἄτοπον γὰρ τὸν λόγιον καὶ εἰρηνικὸν θεὸν μάχεσθαι. ἢ ὡς φιλῶν μίξεις· καὶ γὰρ μετ' Ἀφροδίτης ἐθέλει δεθῆναι, καὶ Πελασγοὶ δὲ ἐντεταμένον τὸν Ἑρμῆν ἱδρύονται. ἄλλως τε ἄνοπλοι ἀμφότεροι, καὶ ἄτοπος ἡ δίχα ὅπλων μάχη. B.

499. πληκτίζεσθ': μάχεσθαι. τῶν ἅπαξ δὲ εἰρημένων ἡ λέξις. B.

501. εὔχεσθαι ἐμὲ νικήσειν: καλῶς ἄτυφος ὁ λογικὸς θεός, μηδὲ ἀδοξίας φροντίσας· λέγει γὰρ ὅτι εἰ βούλει, καυχῶ ὡς ἐμὲ νικήσασα. B.

ἡ διπλῆ, ὅτι εὔχεσθαι ἀντὶ τοῦ εὔχου, καυχῶ. A.

502. τόξα: μεταφορικῶς ἀπὸ τοῦ τόξου τὰ βέλη. ἢ συλληπτικῶς τά τε τόξα καὶ τὰ βέλη· ὡς γὰρ χοῖνιξ τὸ μετροῦν καὶ τὸ μετρούμενον, οὕτω καὶ τόξα ἐπὶ ἑκατέρου δεκτέον. συνῆξε δὲ αὐτά, ἵνα μὴ ἐκεῖ κείμενα τὴν θυγατέρα πλέον αἰσχύνοιεν. B.

502. 503. ὅτι μέμιχε τὸν κατὰ τοῦ τόξου λόγον τῷ κατὰ τῶν βελῶν· καμπύλα μὲν γὰρ τὰ τόξα, πεπτεῶτα δ' ἄλλυδις ἄλλῃ τὰ βέλη. ὡς χοῖνιξ τὸ μετροῦν καὶ τὸ μετρούμενον, καὶ κοτύλη, οὕτως καὶ τὰ βάλλοντα καὶ τὰ βαλλόμενα τόξα. A.

ἴσως πρὸς τὸ σκῦλα μὴ μεῖναι τῆς θυγατρός, ὅπερ ἐκ περιουσίας ὁ ποιητὴς προσῆψε. V.

503. πεπτεῶτ': γράφεται καὶ πεπτῶτα. A.

506. ἐφέζετο γούνασι: ἀφελὴς ἡ διάθεσις καὶ μὴ πρέπουσα γυναικί, καὶ μάλιστα παρθένῳ. ἢ τάχα ὡς θυγάτηρ τοῦτο ποιεῖ. ἡ δὲ Ἀφροδίτη οὐκ ἐν τοῖς γόνασι τοῦ Διὸς ἀλλ' ἐν τοῖς τῆς Διώνης, καίτοι γεγαμημένη οὖσα. πῶς δὲ ἡ μὲν ἐμπίπτει, ἡ δὲ ἐφέζεται; ὅτι ἐκείνη διὰ τὸ καταπονεῖσθαι τῇ πληγῇ ἐφέζεσθαι οὐ δύναται. B.

507. ἑανὸς τρέμε: καιρίως διὰ τῆς ἐσθῆτος ἐμφῆναι τὸ σῶμα βούλεται τρέμον αὐτῆς. B.

οἷ: τὴν ἀντωνυμίαν ὀρθοτονοῦσιν, οὐ διὰ τὴν πρόθεσιν, ἀλλ' ὅτι εἰς σύνθετον παρελαμβάνετο, προσελάβετο ἑαυτῷ, τουτέστι προσεπτύξατο. V.

509. τίς νύ σε: εἰδὼς ἐρωτᾷ, ἠθικῶς ἀγνοεῖν προσποιούμενος. τὸ τίς ἐρωτηματικόν. B.

511. ἐϋστέφανος: στέφανος ἐπικεφάλιος γυναικῶν κόσμος. κελαδεινὴ δὲ παρὰ τὸ κοῖλα. ἢ ὅτι Ἐγκέλαδον σὺν Ὠρίωνι ἀνεῖλε βιαζόμενον αὐτήν. ἢ παρὰ τὸν κέλαδον ὃν ποιοῦσιν οἱ κυνηγοί. B.

ἡ διπλῆ, ὅτι ἠρκέσθη τοῖς ἐπιθέτοις. περιττὸς οὖν κἀκεῖ τὸ „Ἄρτεμις ἀγροτέρη." A.

512. σή μ' ἄλοχος: πιθανῶς καὶ αὐτὸν πιθανολογεῖται διὰ τῆς ἀλόχου. V.

513. νεῖκος: πληθυντικῶς νείκεα αἱ Ἀριστάρχου. V.

ἐφῆπται: ἀντὶ τοῦ ἐπισυνδέδεται καὶ ηὔξηται καὶ πεπλήθυνται. τινὲς δὲ καὶ νείκεα πληθυντικῶς γράφουσι. B.

514. τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον: οὔτε γὰρ ἀπολύει τὴν Ἥραν τοῦ ἐγκλήματος, ἵνα μὴ λυπῇ τὴν ὑβρισθεῖσαν, οὔτε αὐτῇ ἐγκαλεῖ, ἵνα μὴ πλέον ὀργισθῇ. B.

515. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

προοικονομεῖ πάλιν εἰς τὰ ἑξῆς, ἵνα ὑπολειφθεὶς μόνος πλανήσῃ τὸν Ἀχιλλέα ἀπὸ τοῦ τείχους. V.

516. διαστάλτεον μετὰ τοῦ οἷ. V.

πόληος: Αἰολικῶς, ὡς ἀκτίνας καὶ ψιμύθιον. V.

519. ὅτι σαφῶς χωόμενοι συγχεόμενοι. A.

520. πὰρ Ζηνί: γράφεται παρὰ πατρί. A.

522. ἱκάνει: γράφεται ἵκηται. A.

523. αἰθομένοιο: ὑπὸ τῶν πολεμίων δηλονότι. A.

ἀνῆκε: ἀντὶ τοῦ ἐφῆκε. A.

πηλίκον δέ ἐστι τὸ πῦρ οὗ τὸ τέλος ἅπτεται τοῦ οὐρανοῦ. καὶ τοῦτο δὲ λέγει θεόπεμπτον, ἵνα μὴ ταχέως σβεννύηται. τὴν ἐπὶ πλεῖστον δὲ νέμεσιν τοῦ Ἀχιλλέως ἡ παραβολὴ τοῦ πυρὸς ἐνέφηνεν. B.

524. γράφεται ἔτευξεν. V.

526. Πρίαμος θείου ἐπὶ πύργου: ἐναργῶς ὁ τῆς ἀγωνίας μεστὸς γέρων δείκνυται τοῖς τείχεσιν ἐπιβεβηκώς. μεταγαγὼν δὲ ὁ ποιητὴς τὴν στρατείαν ἐπὶ τὰ ἔνδον, οὐκ ἄλλῳ πιθανὸν ἐνόμισε προσκεῖσθαι τὰ τῆς διατάξεως ἢ τῷ Πριάμῳ· βασιλεὺς μὲν γάρ ἐστι καὶ συνετός, τῶν δὲ ἔργων διὰ τὴν ἡλικίαν ἀπεχόμενος. θεῖον δὲ τὸν πύργον λέγει παρόσον ἐστὶ θεοποίητος. BV.

528. πεφυζότες: ὅθεν ἄφυζαν τὸν λέοντα Ἡσίοδός φησιν. A.

ἀπὸ τοῦ φύζα· ὅθεν ἄφυζαν Ἴωνες ἐκάλουν τὸν λέοντα. B.

530. ὀτρύνων: οὕτως Ἀρίσταρχος ἔξω τοῦ ε ὀτρύνων· ἄλλοι δὲ ὀτρυνέων. B.

τοῦ καιροῦ ἐπείγοντος καὶ ὁ γέρων στρατηγεῖ. πᾶσαν δὲ φιλοφροσύνην τὴν πρὸς τοὺς φύλακας ὁ καιρὸς ἀφαιρεῖται· Νέστωρ δ' „οὕτω νῦν φίλα τέκνα φυλάσσετε" (Il. 10, 192). B.

531. πύλας: νῦν τὰς θύρας, ὡς „εἴ τιν' ἑταίρων ἐκ πολέμου φεύγοντα." V.

533. κλονέει: ἀντὶ τοῦ κινεῖ καὶ ταράσσει τὸ πλῆθος· ὅθεν καὶ κλόνις ἡ εὐκίνητος ὀσφύς. B.

νῦν οἴω: πρεσβυτικῶς τὸν καιρὸν ὁρᾷ, ὅτι εἰς κακὸν προχωρήσει, καὶ ὀλοθρευθήσεσθαί φησι τοὺς Τρῶας. B.

534. ἀλέντες: ἐκκλίναντες, ἢ συστραφέντες. B.

535. ἐπ' ἂψ θέμεναι: ἐν ἄλλῳ ἐπανθέμεναι. A.

ἄλλως. οὕτως Ἀρίσταρχος, ἐπανθέμεναι διὰ τοῦ ν, οἷον ἀναθεῖναι. τινὲς δὲ τῶν κατὰ πόλεις ἐπ' ἂψ θέμεναι. A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

536. οὖλος: καὶ Καλλίμαχός φησιν „οὔλου μητέρ' Ἄρηος," ἤτοι τῇ ὀλοθρευτικῇ. B.

ψιλῶς τὸ ἆλῆται. ἔχει δὲ μέσος δεύτερος ἀόριστος ὑποτακτικός, ἀκόλουθος τῷ ἀλῆναι, ἀπαρεμφάτῳ παθητικῷ δευτέρῳ ἀορίστῳ ὑπάρχοντι („ἦ λαὸς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι" Il. 16, 714) καὶ μετοχῇ τῇ „αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀνανεύσωσιν ἀλέντες" (534) καὶ „πύλις δ' ἔμπλητο ἀλέντων" (607). ἡ δὲ ἐνικὴ εὐθεῖα ἦν „οἴμησεν δὲ ἀλείς" (Il. 22, 308), παρακειμένη ῥήματι ὁριστικῷ τῷ ἐάλη· „τῇ ὕπο πῦς ἐάλη", καὶ „οἱ δή τοι εἰς ἄξυ ἅλεν" (Il. 13, 408). B.

537. ἀπῶσαν: ἀπεκρύσαντο καὶ ἄποθεν τῶν πυλῶν ἀπώσαντο ὡς συνεκτικὸς ὄντας αὐτῶν. B.

538. ἡ διπλῆ, ὅτι Ζηνόδοτος τὸ ϛίχος ἠθέτηκε, γελοῖον ἡγούμενος διὰ πύλης φωτίζεσθαι τὴν πόλιν, τῷ παντὸς τόπου ἐναιθρίου ὄντος. λέγει δὲ „τεῦξαν φάος" ἀντὶ τοῦ τὴν σωτηρίαν τοῖς φεύγουσιν ἐποίησαν, ὡς ἐν τῷ „φόως δ' ἑτάροισιν ἔθηκεν ἄνδρα βαλών" (Il. 6, 6). A.

σωτηρίαν δηλονότι παρέχον τοῖς φεύγουσι Τρωσὶ διὰ τὸ εἰσέρχεσθαι εἰς τὸ τεῖχος. B.

539. ἀντίος: τῷ Ἀχιλλεῖ. ἡ δὲ ϛιγμὴ εἰς τὸ ἐξέθορεν. B.

ἀλάλκοι: ἐν ἄλλῳ ἀμύναι. A.

ἄλλως. παροξυτονητέον τὸ ἀμύναι· ἔχει γὰρ εὐκτικόν, ὅπως ἀμύνειεν. οἶδα δὲ καὶ τὴν ἀλάλκοι γραφήν. A.

541. δίψῃ: ἡ διπλῆ, ὅτι πτῶσις ἤλλακται, ἀντὶ τοῦ ὑπὸ δίψης. A.

ὅτι παρεῖται ἡ ὑπό πρόθεσις. A.

καρχαλέοι: ξηραίνει γὰρ καὶ τραχύνει τὴν γλῶτταν ἡ πολλὴ δίψα. ἄκρως δὲ ὑπέγραψε τὴν φυγὴν καὶ τὸ ϛῆμα τῶν διωκομένων. B.

542. σφεδανῶν: σφοδρῶς διώκων. A.

ἄλλως. ἔτω σφεδανῶν, ὑπερῥωμένος τῷ θυμῷ καὶ σφοδρὸς ὑπάρχων, καθάπερ ἀπὸ τῆ φονᾶν τὸ φονῶν. A.

περισπαϛέον ὡς ϛεφανῶν. V.

ἄλλως. ἡ διπλῆ, ὅτι σφεδανῶν σφοδρῶς διώκων· „Ἀτρείδης δὲ ἐπῴχετο Δαναοῖσι σπευδανόν" (Il. 11, 165). τῷ δὲ τόνῳ ὥσπερ ἐνοχλῶν· προκατάρχει γὰρ τῆ σφεδανός, παρ' ὃ ἐγένετο σφεδανόν. A.

ἐπίῤῥημα ἀντὶ τοῦ σφεδανῶς, ἤτοι μετ' ἐπιτάσεως καὶ βίας. οἱ δὲ σφεδανῶν γράφουσιν, ἵν' ᾖ μετοχή, ἀντὶ τῆ κατεπείγων αὐτάς, ἢ τῷ θυμῷ ἐπαιρόμενος, ἢ φονῶν, ἀπὸ τῆ φόνος. B.

λύσα: ἐκλύσα τὰς λογισμὰς ἀνία. A.

543. κῦδος ἀρέσθαι: κῦδος τὸ τῆ Ἕκτορος λαβέσθαι, ὡς τὸ „ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον" (Il. 22, 393). B.

544. ὑψίπυλον Τροίην: ὁμωνύμως τῇ χώρᾳ τὴν Ἴλιον εἴρηκεν· ἐ γάρ ἐϛιν ἡ χώρα πύλας ἔχουσα. B.

ἡ διπλῆ, ὅτι ὁμωνύμως τῇ χώρᾳ τὴν Ἴλιον Τροίαν εἴρηκεν. A.

549. φηγῷ κεκλιμένος: ἀντὶ τῷ ὑποκρυπτόμενος τῇ δρυΐ. B.

550. Ἀχιλλῆα πτολίπορθον: ἡ διπλῆ, ὅτι πλεονάζει ἐπ' Ὀδυσσέως τὸ πτολίπορθος διὰ τὴν Ἰλίου πόρθησιν, νῦν δὲ ἅπαξ ἐπ' Ἀχιλλέως, πρὸς τὰς χωρίζοντας τούτοις γ' χρῶνται. τινὲς δὲ Ἀχιλλέα Πηλείωνα ποιοῦσι, ξενιωθέντες πρὸς τὸ ἐπίθετον. ἀλλ' ἤδη αὐτὸς εἶπε „δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξα" (Il. 9, 328). AV.

551. πόρφυρε: παρὰ τὸ πορφύρω, ὃ σημαίνει τὸ διανοοῦμαι καὶ σκέπτομαι. B.

555. αἱρήσει με καὶ ὣς: καὶ ἔτως συλλήψεταί με καὶ ἁδὲ ἀμυνόμενον ἀναιρήσει, ὡς ἀνάλκιδα δηλονότι. B.

556. διὰ τὸν εἰ σύνδεσμον ὑποϛικτέον μετὰ τὸ ῥωπήϊα δύω, τῇ ἑξῆς συνδέσμῳ περιττεύοντος, τῇ δέ. δύναται δὲ καὶ ϛίζεσθαι ἐπὶ τὸ δύω, τῇ εἰ συνδέσμῳ κειμένου ἀντὶ τοῦ ἆρα διαπορητικῇ. ἔχει δὲ ἔτως ὁ ἂν περιττός. B.

557. ἄλλῃ: ἀντὶ τῆ εἰς τόπον ἄλλον. A.

558. Ἰλήϊον: τὸ πρὸς τῷ τάφῳ τῆ Ἴλα. ὁ δὲ Κράτης Ἰδήϊον γράφει, ἵν' ᾖ τὸ ὑποκείμενον τῇ Ἴδῃ. B.

ἔτως Ἰλήϊον, διὰ τῆ λ, ἀντὶ τῆ Ἰλιακόν. ὁ δὲ Κράτης Ἰδήϊον, τὸ Ἰδαῖον. A.

559. κατά τε ῥωπήϊα δύω: ὑποκρυβήσομαι τοῖς θαμνώδεσι τόποις. B.

561. ἰδρῶ ἀποψυχθείς: πνεύμασι τὸν ἱδρῶτα ξηράνας. B.

563. ἀπαειρόμενον: ἀντὶ τοῦ ἀπαίροντα καὶ ἀποχωρῶντα. B.

μετενήνεκται ἀπὸ τῶν πλεόντων καὶ ἐπαιρόντων τοὺς ἱϛούς· „ἱϛὸν δ' ἐλάτινον κοίλης ἔντοσθε μεσόδμης ϛῆσαν ἀείραντες" (Od. 2, 424). ἔτω δὲ λέγουσι καὶ τὸ ἐπαίρειν. ἔτως ἔχει καὶ τὸ „μῆλα γ' ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν" (Od. 21, 18) ἀντὶ τῆ ἀείραντες ἀπήλασαν. B.

567. εἰ: τῆτο ὁμολογουμένως διαπορητικόν ἐϛιν, ἀντὶ τῆ ἆρα κειμένῳ τῇ συνδέσμῳ. A.

569. ἐν δὲ ἓα ψυχή: ὁ διαλογισμὸς ἀνθρώπινος, ὅτι ἓν σῶμα καὶ μία ψυχὴ καὶ τρωτὸς ὁ χρώς· ἀλλὰ τὴν ἀρετὴν αὐτῇ ἐδαμῇ ἐνθυμεῖται. εἰ δὲ τοιαῦτα πάντες ἐνενόουν οἱ μαχόμενοι, οὐκ ἂν ἔδεισάν ποτε τὰς πολεμίας. B.

τῆτο εἰρωνευόμενός φησι. δοκῶ, καὶ αὐτὸς θνητός ἐϛι. V.

570. ἀθετεῖται, ὅτι ὡς ἐλλείποντος τῇ λόγῳ ἐνέταξέ τις αὐτόν. δεῖ δὲ τῷ „θνητὸν δέ ἕ φασ' ἄνθρωποι" προσυπακοῦειν τὸ εἶναι. καὶ ὅτι ἐπιφερόμενον τὸ „αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει" ἐναντίον ἐϛὶ τῷ προτρέποντι τὸν Ἀγήνορα ἀντιϛῆναι Ἀχιλλεῖ. A.

ἀθετεῖται ὡς λύων τὸν ἐπιλογισμόν. κρέμαϑ γάρ τις νομίσας τὸν λόγον προσέθηκε τὸν ϛίχον. V.

571. ἀλεὶς μένεν: συρρέψας τὸ πρώην ὁρμιώμενον σῶμα εἰς φυγὴν ἔμενεν. B.

573. ἠΰτε πόρδαλις: θυμικὸν τὸ ζῷον καὶ πολεμικὸν μέχρι θανάτου. τοσῆτον δὲ τῶν ἄλλων προῆχει ὅσον ἐκεῖνα τῶν ἡμέρων. ἐν δὲ παρδάλεσι καὶ ἄρκτοις τὰ θήλεα ἰσχυρό-

τερα. B. οὕτω δὲ ἐπιτέτευκται, ὅτι μηδὲ αὐτὸς Ὅμηρος ἄλλην μάχην παρδάλεως ἐτόλμησεν εἰπεῖν. V.

διὰ τοῦ ᾱ πάρδαλις εἶχον αἱ Ἀριςάρχου. A.

575. ἡ διπλῆ, ὅτι τὸ φοβεῖται ἀντὶ τοῦ φεύγει· καὶ ὅτι ἔν τισι γράφεται κυνυλαγμόν. οὐκ ἀνάγκη δέ ἐςιν· ὁ γὰρ ὑλαγμὸς ἴδιος κυνῶν. σύνδεσμος δέ ἐστιν ὁ κέν, εἶτα ὑλαγμόν. D.

Ἀρίςαρχός τινάς φησι γράφειν κυνυλαγμόν· οὕτω καὶ Ζηνόδοτος. καὶ Στησίχορος δὲ ἔοικεν οὕτως ἀνεγνωκέναι· φησὶ γοῦν „ἀπειρεσίοιο κυνυλαγμοῖο." οὐχ ὁρῶ δὲ τί πλέον ἐκ τῆς συνθέσεως· ὁ γὰρ ὑλαγμὸς καὶ χωρὶς τοῦ προσκεῖσθαι τὸ ὄνομα ἰδίως ἐπὶ κυνῶν ἀκούεται, ὡς ὁ χρεμετισμὸς ἐπὶ τῶν ἵππων. ἄλλως τε τὰ εἰς γμος ῥηματικὰ μετὰ προθέσεως πέφυκε συντίθεσθαι, τῆς αὐτῆς τάσεως μενούσης, μετ' ἄλλου δὲ οὐδενός, παιγμός ἐμπαιγμός, κηρυγμός ἐκκηρυγμός. καὶ τὸ ὑλαγμὸς οὖν παρὰ τὸ ὑλάσσειν γεγονὸς οὐ συντεθήσεται μετ' ἄλλου μέρους λόγου. σύνδεσμος οὖν ἐστὶν ὁ κέν. BV.

576. αἱ ἀπὸ τῶν πόλεων φθάμενός τις. V.

ἡ διπλῆ πρὸς τὴν ἀντιδιαςολὴν τοῦ οὐτάσαι καὶ βαλεῖν. A.

581. ἀσπίδα μὲν πρόσθ' ἔχετο: φησὶν Ἡρακλέων ἐν Ῥώμῃ τοῦτο τεθεᾶσθαι. ὁ δὲ βαλών, φησί, τὸ θωράκιον (πάλιον V) ὃ περιέκειτο, ἑτέρῳ περιέθηκεν ὡπλισμένῳ καὶ ἀκμῆτι, ἵνα ἐπ' αὐτὸν τραπῇ. BV.

582. τιτύσκετο: κατεςοχάζετο. B.

583. τινὲς τὸ ἤδη χρονικὸν ἐκδέχονται, καὶ παροξύνουσιν, οὐκ εὖ· ἄμεινον γὰρ περισπᾶν, ἐκ παραλλήλου τοῦ συνδέσμου κειμένου. A.

περισπῶμεν τὸν ἢ σύνδεσμον, ἠθικὸν καὶ ἐρωτηματικὸν νῦν ὄντα. BV.

585. ἦ μάλα: γράφεται ἤ τ' ἔτι. A.

586. ἀνέρες εἰμέν: ἐν ταῖς πλείοσιν οὕτως ἐφέρετο, ἄνδρες ἔνειμεν· καὶ μήποτε οὐ καλῶς. A.

ἄλλως. ἐν ἄλλῳ ἄνδρες ἔνειμεν. A.

587. οὕτως αἱ Ἀριςάρχου οἳ καὶ πρόσθε. ἔν τισι δὲ τῶν εἰκαιοτέρων οἵ κε πρόσθε. B.

588. σὺ δ' ἐνθάδε: ἡ πεπρωμένη σοι, φησίν, ἐνθάδε τελευτήσεται, καὶ παρ' ἡμῶν ἀναιρεθήσῃ. B.

ἐφέψεις: Νικίας ἀναςρέφει τὴν πρόθεσιν, οὐκ εὖ. προείπομεν δὲ περὶ τῶν τοιούτων προθέσεων, ὡς οὐ θέλουσιν ἀναςρέφεσθαι· καὶ σημειούμεθα ἀναγκαίως ἀναςραφεῖσαν τὴν „ςεῦτο γὰρ Ἡφαίςοιο πάρ' οἰσέμεν" (Il. 18, 191). A.

589. ἔκπαγλος: προπετής, θρασύς. B.

590. βαρείης: γράφεται παχείης. A.

591. κνήμην: τὴν κνημῖδα. B.

594. οὐδ' ἐπέρησε: ἡ διπλῆ, ὅτι ἄτρωτα τὰ ἡφαιςότευκτα ὅπλα, πρὸς τοὺς ἠθετημένους (Il. 19, 365). A.

596. ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι: ἐν ἄλλῳ ἔασεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων. A.

598. ἡσύχιον: λάθρᾳ, κρυφῇ καὶ ἀθορύβως. B.

600. αὐτῷ γὰρ ἑκάεργος: οὕτως Ἀρίςαρχος. ἄλλοι δὲ αὐτῷ γάρ ῥ' ἑκάεργος. B.

602. ἕως ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο: ἀπ' ἄλλης ἀρχῆς τοῦτο, καὶ ἡ ἀνταπόδοσις πρὸς τὸ τόφρα. B.

πυροφόρου: εὐθέτου πρὸς ἄροσιν. B.

604. τυτθὸν ὑπεκπροθέοντα: θνητὴν γὰρ ἐμιμεῖτο ταχυτῆτα, καταλιμπάνων ἐλπίδα τῷ διώκοντι. B.

ὑποςικτέον δὲ προθέοντα ποσὶν οἷσι· ἡ γὰρ ἀνταπόδοσις, τόφρ' ἄλλοι Τρῶες. A.

605. ὑποςικτέον εἰς τὸ οἷσιν· ἡ γὰρ ἀνταπόδοσις, ἕως ὁ τόν, τόφρ' ἄλλοι Τρῶες. B.

606. πεφοβημένοι ἦλθον ὁμίλῳ: ὑπὸ τῶν Ἑλλήνων διωκόμενοι. ἀλλὰ διὰ τὸ τὸν λόγον εἶναι περὶ τῆς Ἀχιλλέως ἀριςείας, παραιτεῖται καὶ ἄλλους εἰσάγειν ἀριςεύοντας. B.

ὁμίλῳ ἀντὶ τοῦ τῷ πλήθει, ὅ ἐςι τὸ πλῆθος τῶν μαχομένων παρεγένοντο εἰς τὴν πόλιν. ἄλλως. ὡς εἶχε ποδῶν ἕκαςος ἐσώζετο, τῶν συμμάχων οὐ μεμνημένος, ἕκαςος δὲ τὸ καθ' ἑαυτὸν σκοπῶν. ἡ δὲ διπλῆ, ὅτι πεφοβημένοι ἀντὶ τοῦ φεύγοντες. AB.

607. ἀσπασίως: ἀσπάσιοι, ἄσμενοι, ἐπὶ τῇ ἑαυτῶν ἐμπειρίᾳ, οὐκ ἔχοντες καιρόν. V.

πόλις δ' ἔμπλητο: παρὰ Ἀντιμάχῳ καὶ Ῥιανῷ πύλαι δ' ἔμπληντο. A.

610. ἐσσυμένως: γράφεται ἀσπασίως. A.

611. σάωσαν: Ἀρίςαρχος εὐκτικῶς σαώσαι ἀντὶ τοῦ σαώσειεν. A.

Παράκειται τὰ Ἀριςονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριςαρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ ςιγμῆς. A.

ΕΙΣ ΤΗΝ Χ.

1. πεφυζότες: καὶ τὴν μετὰ δέους κατάπληξιν οὕτως καλεῖ. ἔςιν οὖν ἀντὶ τοῦ δεδειλιακότες· φησὶ γοῦν „Τρῶες αὐτὰρ κλονέοντο πεφυζότες" (Il. 21, 528). καὶ ἔςιν ὅμοιον τῷ „τίφθ' αὕτως ἔςητε τεθηπότες ἠΰτε νεβροί (Il. 4, 432). ἔςιν οὖν φύζα φυζῶ, ὡς κίσσα κισσῶ· καὶ μέσος παρακείμενος πέφυζα, οὗ ἡ μετοχὴ πεφυζώς. B.

βραχὺ διαςαλτέον μετὰ τὸ νεβροί· πεφευγέναι γὰρ αὐτούς φησιν ὡς νεβρούς, οὐ τὸν ἱδρῶτα ἀποψύχεσθαι. νεβροὶ δὲ οἱ νεωςὶ ἐπὶ βορὰν ἰόντες· ἢ νήποροι, οἱ μηδέπω παρεύεσθαι δυνάμενοι. AB.

2. ἱδρῶ ἀπεψύχοντο: πρὸς ἄνεμον ἐξηραίνοντο ἀνεκτῶντο ἑαυτούς. D. ἀντὶ τοῦ τὸν ἱδρῶτα τῷ ἀνέμῳ ἀνε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψύχοντο ϗ παρηγορῶντο. ὁ δὲ Ἀρίσαρχος ἀνεψύχοντο γράφει. χαριέστερον δὲ τὸ ἀπεψύχοντο. B.

διχῶς, ἀνεψύχοντο καὶ ἀπεψύχοντο· χαριεστέρα δὲ ἡ διὰ τῶ Ϝ. A.

ὡς παρὰ τὸ εἰκώ εἰκώς, αἰδῶ αἰδώς, ἔτως ἰδρῶ. ὅθεν ϗ ἀναλογώτερον Αἰολεῖς, θηλυκῶς λέγοντες. V.

ἀκέοντο: ἀκεῖθϑ κυρίως τὸ τὸ ἄχος ἰᾶθϑ· καὶ τὸ ὁδήποτε θεραπεύειν, ὅθεν Φρύγες ἀκεσὴν τὸν ἰατρόν, καὶ Ἀθηναῖοι ἀκέσριαν (ἀκέσορα φασι D). BD.

δίψαν: δίψα Ἰωνικῶς, δίψος δὲ Ἀττικῶς. A.

3. κεκλιμένοι καλῆσιν ἐπάλξεσιν: προσκεκλιμένοι, ὅ ἐσι περιεχόμενοι ὑπὸ τῶν τειχῶν· ἐπάλξεις γὰ οἱ τῶν τειχῶν λεγόμενοι προμαχῶνες. AD.

ἤτοι ἐπαναπαυόμενοι ϗ ἐπερειδόμενοι ταῖς ἐπάλξεσιν, διὰ τὸν κόπον τῆς μάχης, ὡς Αὐτόχθων ϗ Ἐπαφρόδιτος· χαρίεν γὰ τὸ μὴ ἀναχωρεῖν ἀπὸ τοῦ τείχους εἰσδραμόντας εἰς τὴν πόλιν. ἢ ἐπάλξεσιν ἔφη ἀπὸ μέρους ἀντὶ τοῦ ὅλῳ τῷ τείχει. A.

Πορφυρίϑ. ἠγνόησαν οἱ πολλοὶ ὅτι ἡ κλίσις παρ' Ὁμήρῳ τὴν περιοχὴν σημαίνει, καὶ πάντα τὰ ἐχηματισμένα ἀπ' αὐτῆς ῥήματα· „ὣς οἱ μὲν — ὦμοισι κλίναντες" (1 — 4)· λέγει γάρ, περιεχόμενοι τῷ τείχει οἱ Τρῶες, οἱ δ' Ἀχαιοὶ τὰ σάκη περιέχοντες τοῖς ὤμοις. ἔτω λύσεις ϗ τὸ „οἱ δ' ἐπὶ ῥηγμῖνι θαλάσσης κεκλίατο" (Il. 16, 67)· λέγει γὰ ὅτι περιεχόμενοι ὑπὸ τῶν Τρώων ἐπὶ ῥηγμῖνι θαλάσσης συνηλάθησαν. ϗ τὸ „ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω" (Il. 5, 356) δηλοῖ περιείχετο. καὶ τὸ „κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο" (Od. 13, 235) ἀντὶ τῶ κεῖται περιεχομένη. ϗ πάλιν „ὃς δ' ἐν Ὕλῃ ναίεσκε, μέγα πλήτοιο μεμηλώς, λίμνῃ κεκλιμένος" (Il. 5, 708) δηλοῖ περιεχόμενος. καὶ „ἀσπίσι κεκλιμένοι" (Il. 3, 135) ἀντὶ τοῦ περιεχόμενοι ὑπὸ τῶν ἀσπίδων. ἀπὸ δὲ τῶ κλείω γέγονεν· τὸ γὰρ ἀποκλειαθὲν περιέχεται· „ἐδὲ πύλῃσιν εὖρ' ἐπικεκλιμένας σανίδας" (Il. 12, 120). τὸ δ' αὐτὸ παρίζησι ϗ τὸ „ἀλλ' ἐν γὰ Τρώων πεδίῳ πύκα θωρηκτάων πόντῳ κεκλιμένοι ἐκὰς ἥμεθα" (Il. 15, 739) ἀντὶ τῶ ὑπὸ τῶ πόντε περιεχόμενοι. B.

4. ἴσαν: παρεγένοντο. A.

5. αὐτῶ: αὐτόθι, ἔνθα Σκαιαί εἰσιν. ἤδη δέ τι τῶν ἑξῆς προαναφωνεῖ, ὅτι κατέχεν αὐτὸν ἡ μοῖρα ἐπὶ κακῷ μεῖναι. V.

6. ἐν ἀριστερῇ τῶ τείχους αἱ πύλαι ἔκειντο, αἳ ἐκαλοῦντο Δαρδανίσι. ἡ διπλῆ πρὸς τὰς Σκαιάς. A.

11. ἦ νύ τοι: ἆρα, φησίν, ὁ κεκόπωσαι διώκων τοὺς Τρῶας; τὸ δὲ ἐφόβησας, εἰς φυγὴν ἔτρεψας. B.

ἡ διπλῆ, ὅτι σαφῶς ὁ πόνος ἐκ ἔχει ἀληθών· οὐ γὰ ἂν λέγοιτο, ὁ μέλει σοι ἡ τῶν Τρώων ἀληθών· ἀλλ' ἔτως εἴρηκεν ἀντὶ τῶ ὁ μέλει σοι τὸ περὶ τὰς Τρῶας πονεῖν ϗ ἐνεργεῖν. ϗ ὅτι ἐφόβησας εἰς φυγὴν ἔτρεψας. A.

12. οἱ δή τοι: ἐκεῖνοι, φησί, σῶ ἐνταῦθα ἀποκλιθέντος πρὸς τὴν πόλιν συνεσράφησαν. B. λείπει τὸ ἀφικόμενοι, ἐπεὶ ἔδει εἶναι τί ἆλεν. ἢ τὸ ἆλεν ἀντὶ τῶ ἐξέκλιναν. V.

13. ἔτι μούσιμός εἰμι: ἐκ εἰμί, φησί, φονεύσιμος. οἷον ἐχ ὑπόκειμαι μοίρᾳ, ὡς Ἕκτωρ δν ἤλπισας διώκειν. B.

15. ἔβλαψάς μ' ἐκάεργε: ϛοχάζεϑ ἢ ἀπὸ τῶ „μάλα τές γε φιλεῖ ἑκάεργος Ἀπόλλων" (Il. 16, 94) ἢ τῶ „λαιψηροῖς ὀλέεϑ Ἀπόλλωνος βελέεσσιν" (Il. 21, 277). ἢ ἀπὸ τῆς τοξικῆς σκευῆς· ἅμα γὰ λέγων ἀνέφηνεν ἑαυτὸν τῇ ϛολῇ, οἷος ἦν. ἢ ὅτι καὶ ἀπὸ Αἰνείου γινώσκει ὅτι αὐτός ἐσιν ὁ ἐμποδίζων, παρὰ Ποσειδῶνος μαθών (Il. 20, 330). ὀλοώτατε δὲ ὀλέθρε παρασκευαστικέ, δηλονότι ἐμοί· ἢ ὁ λοιμῶν αἴτιος. τινὲς δὲ δολιώτατε, διὰ τὸ „δόλῳ γὰ ἔθελγεν Ἀπόλλων" (Il. 21, 604). ἐκθύμως δὲ παῤῥησιάζεϑ, ἀφῃρημένος ἑταίρε ϗ νίκης. B. ϗ ἔσιν ὡς τὸ „δικαιότατος Κενταύρων" (Il. 11, 832). V.

18. ἐμὲ κῦδος ἀφείλευ: ἐμεῖο ἀφείλεο Ἀττικῶς, ὡς τὸ „ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1, 299). τὸ δὲ ἀφείλεο διὰ τῶ εο γραπτέον. V.

20. ἦ σ' ἂν τισαίμην: ἐτισάμην ἄν σε, εἴ μοι δύναμις ἦν ἴση τῇ σῇ. γενναῖος δὲ ὁ μὴ καταπτησσόμενος τὸν φονέα, ϗ μεγαλόφρων ὁ μετὰ θάρσους ἀπειλῶν θεῷ. B.

ἀπ' ἄλλης ἀρχῆς τῶτο ἀναγνωσέον, τῶ ῆ ψιλουμένω. A. προφέρεϑ δὲ ταῦτα δεῖ ὁ τεθαῤῥηκυία φωνῇ, ἀλλ' ὡς ἂν εἴποι ἀνὴρ γενναῖος μεγαλόφρων ἀπειλῶν θεῷ. V.

22. ἀεθλοφόρος: νικητής. πρὸς τὸ τάχος δὲ ϗ τὸ σοβαρόν. ϗ μᾶλλον κέλητι αὐτὸν εἰκάζει· εἷς γὰ ὄχημα οὐ φέρει. κέλητα ἓν φησὶν ἁμιλλώμενον ὀχήματι. BV. ὅσε ϗ τὸ νικᾶν. Ἀλέξανδρον δὲ ϛατῷ ἵππῳ. A.

23. ἡ διπλῆ, ὅτι θέῃσιν ἀντὶ τοῦ θέῃ. πλεονάζει δὲ τῷ τοιούτῳ χήματι Ἴβυκος. καὶ ὅτι ἐλλείπει ἡ διά, διὰ πεδίοιο. A.

πεδίοιο: ἀντὶ τῶ διὰ τῶ πεδίε. B.

24. λαιψηρά: ἀντὶ τῶ λαιψηρῶς ἤτοι λίαν ταχέως. B.

25. τὸν δ' ὁ γέρων Πρίαμος: ἡ γὰ περὶ τὸν υἱὸν εὔνοια παραιρεῖται τὴν ἀμβλυωπίαν τῶ γήρως. ἄλλως τε προτρέχει τῶν αἰσθήσεων ὁ νῶς· ϗ „νῶς ὁρᾷ ϗ νῶς ἀκέει." BV. ὡς ϗ Νέσωρ „πρῶτος κτύπον ἄϊεν" (Il. 10, 532)· ὀξύτερος γὰ περὶ τὰς αἰσθήσεις τὰς προσήκοντας ποιεῖ. V.

27. εἶσι: ἐξέρχεται ϗ ἄνεισιν. ἔδει δὲ πρὸ ὀπώρας εἰπεῖν· τότε γὰ ἡ τῶ κυνὸς ἐπιτολὴ γίνεται. B.

28. ἄρασιν: κατὰ μεταπλασμὸν γίνεται ὡς τὸ πρόβασι ϗ ἔγκασιν. B.

Ἀρίσαρχος ὡς πατρώσιν. ἄμεινον δὲ προπαροξύνειν, ὥσπερ ϗ τοῖς πλείοσιν ἔδοξε καὶ Φιλοξένῳ, ἵν' αὐτῆς τῆς ἡτώσεως, λέγω δὲ τῆς δοτικῆς, μεταπλασμὸν λάβωμεν. ὅτι γὰ κατὰ πτῶσιν γίνονϑ μεταπλασμοὶ ἐξουσίᾳ ποιητικῇ, δεδήλωται μοι ἐν ἑτέροις. ὧν ἓν τρόπον ἡ ἐγκάτοις ἔγκασιν ἐγένετο („ἔγκασι φωτός") ϗ ἐκ ἀναγκαζόμεθα ἑνικὴν εὐθεῖαν ἀκόλεθον ἐπιζητεῖν, ἥ τε προβάτοις πρόβασιν, ἥ τε πετάλοις πέταλσιν, οὕτως ἄρροις ἄρρασιν, ἐπεισελθόντος τῶ ᾱ, ἵνα συσῇ ἡ λέξις. A.

οἱ μὲν ὡς δέρμασιν, οἱ δὲ ὡς κέρασιν, οἱ δὲ κατὰ πλεονασμὸν ὡς ἔγκασιν πρόβασιν· οἱ δὲ ἀπὸ τοῦ ἀσήρ, ὡς πατρώσιν. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

29. ἡ διπλῆ, ὅτι περισσὸν ὁ τέ σύνδεσμος. ὁ Σιδώνιος ὑφ' ἓν ἀναγινώσκει κυνωρίωνος. ἄμεινον δὲ κατὰ παράθεσιν, ὅτι οἱ κύνες πολλάκις ὀνομάζονται μετὰ τῶν κτητόρων, οἷον Κέρβερος Ἄιδα, Ὄρθος (Ὄρθρος Heynius) Γηρυόνα, Ἄλκαινα Ἀκταίωνος· ἔτως κύνα Ὠρίωνος. τῷ δὲ κυνηγετικὸν αὐτὸν εἶναι καὶ πλησίον κατηξέρισαν τὸν κύνα. A.

τὸν ἀρρῶον κύνα ἔτως ἔφη. ἔνιοι δέ φασι τὸν κατηξερισμένον κύνα ἐκ Ὠρίωνος ἀλλ' Ἠριγόνης ὑπάρχειν, ὃν καταξεριωθῆναι διὰ τοιαύτην αἰτίαν. Ἰκάριος γένος μὲν ἦν Ἀθηναῖος, ἔχε δὲ θυγατέρα μονογενῆ Ἠριγόνην, ἥτις κύνα πήπιον ἔτρεφε. ξενίσας δέ ποτε ὁ Ἰκάριος τὸν Διόνυσον ἔλαβεν ἀπ' αὐτῶ οἶνόν τε καὶ ἀμπέλου κλῆμα. κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας περιῄει τὴν γῆν, προφαίνων τὴν τοῦ Διονύσου χάριν, ἔχων σὺν ἑαυτῷ τὸν κύνα. γενόμενος δὲ ἐκτὸς τῆς πόλεως βυκόλοις οἶνον παρέχεν· οἱ δὲ ἀθρόως ἐμφορησάμενοι, οἱ μὲν εἰς βαθὺν ὕπνον ἐτρύπησαν, οἱ δὲ περιλειπόμενοι, νομίσαντες θανάσιμον εἶναι φάρμακον τὸ πόμα, πλήσσοντες ἐφόνευσαν τὸν Ἰκάριον. μεθ' ἡμέραν δὲ νηψάντων αὐτῶν, καταγνόντες ἑαυτῶν εἰς φυγὴν ἐτράπησαν. ὁ δὲ κύων ὑποστρέψας πρὸς τὴν Ἠριγόνην δι' ὠρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γεγονότα· ἡ δὲ μαθοῦσα τἀληθὲς ἑαυτὴν ἀνήρτησε. νόσῳ δὲ ἐν Ἀθήναις γενομένης, κατὰ χρησμὸν Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσίαις ἐγέραιρον τιμαῖς. οἱ καὶ καταξεριωθέντες, Ἰκάριος μὲν Βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος· ὁ δὲ κύων τὴν αὐτὴν ὀνομασίαν ἔχεν. ABDL. ἡ ἱστορία παρὰ Ἐρατοσθένει. A. ἱστορεῖ Ἐρατοσθένης ἐν τοῖς ἑαυτοῦ καταλόγοις. BD.

31. ἡ διπλῆ, ὅτι ἅπαξ ἐνταῦθα ὁ πυρετός, καὶ ὅτι πυρετὸν κυρίως λέγει, οὐχ ὡς τινες δέχονται τὴν διάκαυσιν τοῦ ἀέρος· πρὸς γὰρ τὸ φθοροποιὸν ἡ παραβολή. καὶ ὅτι δειλοῖσιν ἀντὶ τοῦ δειλαίοις. A.

32. χαλκὸς ἔλαμπε: ἔδει χρυσὸς ἔλαμπεν ἀπὸ κρείσσονος καὶ λαμπροτέρου, εἰ μὴ ὅτι καὶ χαλκὸς ἐκέκρατο· φησὶ γὰρ „χαλκὸν δ' ἐν πυρὶ βάλλε" (Il. 18, 474). ἄλλως. συμφωνεῖ τοῦτο τῷ περὶ τὴν ἐπιφάνειαν τῆς ἀσπίδος εἶναι τὴν χαλκῆν πτυχήν. V.

34. ὕψοσ' ἀνασχόμενος: πρῶτον τοῖς θεοῖς ἄρας τὰς χεῖρας, ἔτω κόπτει τὴν κεφαλήν. B.

ἄδηλον τίνος τὸ μέγα. V.

36. ἔτως Ἀρίσαρχος ἐσήκει ἄνευ τοῦ ι. A.

Ἀχιλῆϊ μάχεσθαι: ἄξιον ζητήσεως πῶς ἀπέντος Ἀχιλλέως μηδεὶς πολεμεῖ Ἕκτορι. ἢ τάχα συνεπορεύοντο αὐτῷ καὶ οἱ λοιποὶ ἀριστεῖς διώκοντι Ἀπόλλωνα. Μεγακλείδης δέ φησι ταῦτα πάντα πλάσματα εἶναι. B.

37. χεῖρας ὀρεγνύς: ὡς ἐπ' αὐτὸν ἐκτείνας τὰς χεῖρας· ἔδει γοῦν οὐ μόνον λόγοις παρακαλέσαι τὸν Ἕκτορα, ἀλλὰ καὶ διὰ τοῦ χήματος, ἵν' εἰ τύχοι μὴ ὑκούσας τῶν λεγομένων, ἀλλὰ οὖν τὸ χῆμα τοῦ πατρὸς ὁρῶν οἰκτείρῃ τὸν γέροντα. γραφικῶς ἂν κεῖται τὸ χῆμα. BV.

38. Ἕκτορ: πιθανῶς διεῖλε τὸν οἶκτον εἰς μέρη, τό τε πρὸ θανάτου καὶ μετὰ θάνατον, ἵνα μήτε μακρὸς εἴη μήτε ἀσυμπαθής. πῶς γὰρ Ἀλεξάνδρῳ μὲν τὸ μονομάχιον ἐκαρτέρει θεωρεῖν, Ἕκτορος δέ; ἢ ὅτι ὁ μὲν ἐν τῷ πεδίῳ συνέβαλεν, ὁ δὲ πρὸ τῶν τείχων, ἔνθα παρῆσαν πάντες τῷ μεγέθει τοῦ κινδύνου καταπλησσόμενοι. ἄλλως τε ἐκεῖνον μὲν ἀπιὼν ἐᾷ πολεμεῖν, εἰδὼς ὀλίγον λειπόμενον Μενελάῳ καὶ τῶν θανάτων πρόξενον γεγονότα, ἢ ὅτι ἐδέη πρὸς σωτηρίαν τῆς πόλεως ἐκεῖνος ὡς Ἕκτωρ ἠδύνατο· τὸν δὲ μένων ἱκετεύει μὴ πολεμεῖν, τὸ διάφορον ἑκατέρων εἰδὼς τῆς τε ἰσχύος καὶ τῆς πρὸς τὴν πόλιν ὠφελείας. ἄλλως τε ὁ θεατὴς τοῦ πολεμεῖν ἀλλ' ἱκέτης τοῦ μὴ πολεμεῖν ἐπιμένει. B.

ἀνέρα τοῦτον: οἱονεὶ δακτυλοδεικτεῖ αὐτῷ τὸν Ἀχιλλέα. B.

39. οἷος: περικόπτει αὐτοῦ πάσας τὰς ἀντιρρήσεις, λέγων ὅτι εἰ μένειν δεῖ, ἀλλ' ὁ μόνον. BV.

ὡς Ἀγαμέμνων „μηδ' ἔθελ' ἐξ ἔριδος" (Il. 7, 111). ἀγαθὸν δὲ τοῦτο μὴ ἔτω φιλοτεκνεῖν ὡς καὶ ἀπατᾶσθαι περὶ τὴν κρίσιν, τὰ βελτίω ὑπείληφοτα περὶ τῶν παίδων. V.

40. Πηλείωνι δαμείς: ἡ διπλῆ πρὸς τὸ χῆμα. A.

41. σημειοῦνταί τινες ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον δέδηλωκεν. AB.

αἴθε θεοῖσι φίλος: ἀντὶ τοῦ εἰπεῖν, εἴθε ἐχθρὸς τοῖς θεοῖς γένοιτο ὡς ἐμοί, ὁμοίως εἶπε τῷ „τίω δέ μιν ἐν Καρὸς αἴσῃ" (Il. 9, 378). B.

τοσσόνδε: πρὸ τέλους ἡ ὀξεῖα· ἓν γάρ ἐσι μέρος λόγου. A.

42. Ἀρίσαρχος ἔδοιεν. A.

τινὲς ἔδοιντο γράφουσιν εὐκτικῶς. ἃ δὲ ἀπεύχεσθαι τῷ παιδί, ταῦτα τῷ πολεμίῳ ἀρᾶται. B.

44. εὐνίν: ὃ ἐσιν εὐναζόμενον, ἐξ οὗ τὸ ἡσυχάζον δηλῶται, ἐξ οὗ τὸ ἠρεμωμένον, ἐξ οὗ τὸ ἐσερημένον· ἢ παρὰ τὸ εἷς ἑνὸς ἕνις εὐνις ὁ μεμονωμένος. BDL. καὶ δασύνεται. καὶ τοῦτο δὲ εἰς ἔλεον εἰσάγει, ὡς ἄξιον κἂν διὰ τὴν τῶν ἄλλων παίδων ἀποβολὴν ἐλεῆσαι τὸν πατέρα. ἅμα δὲ καὶ ὑπομιμνήσκει τῆς Ἀχιλλέως δεινότητος καὶ ἀνδρίας. BV.

45. τηλεδαπάων: τινὲς θηλυτεράων, διὰ τὸ Λῆμνον καὶ Ἴμβρον ὑπὸ θηλειῶν βασιλεύεσθαι. ἀλλ' ἐκ εἰς ταύτας μόνον ἐπωλοῦντο. ἢ εὐγείων· „ἀλλ' οὔ τις νήσων ἱππήλατος ἀδ' εὐλείμων" (Od. 4, 607). V.

48. ἔτως Ἀρίσαρχος διὰ τοῦ τ, τέως· ἄλλοι δὲ ὅς. A.

κρείσσα γυναικῶν: ἀντὶ τοῦ βασιλικωτάτη καὶ ἐντιμοτάτη, ὡς τὸ „δῖα γυναικῶν." B.

49. εἰ μὲν ζώσειε ἐλεεινὴ λίαν ἡ ἄγνοια τοῦ πατρός. ὁ δὲ Ἕκτωρ ἤδει περὶ τῆς ἀναιρέσεως αὐτῶν. ἴσως δὲ διὰ τοῦτο λέγει, ἵνα εἰ μὴ ἐκεῖνοι ζῶσι καὶ ἀναῤῥύονται, κἂν ἔτος ὑπολειφθῇ, τὸν πατέρα ἐλεήσας τῆς ἐρήσεως τῶν τοσούτων καὶ τοιούτων υἱῶν. A.

ἡ διπλῆ, ὅτι περισσὸς ὁ ἄν σύνδεσμος· εἰ γὰρ ἐνετέτακτο κυρίως, ἐπήνεγκεν ἂν ἀπολυσόμεθα. A.

περισσὸς ὁ ἄν· εἰ γὰρ ἦν εὐκτικόν, ἔδει τὸ ἐξῆς ἀπολεσαίμεθα. ἢ παραπληρωματικός ἐσιν. B.

50. ἀπολυσόμεθα: ἐν ἄλλῳ ἀπολύσομεν. A.

ἔχει γὰρ ἔνδον: κοινὸν τὸ χαλκὸς ϗ χρυσός. V.

51. αἱ ἀπὸ πόλεων παιδὶ φίλῃ ἀντὶ τοῦ παιδὶ γέρων. A.

ὅτι οἱ πατέρες ταῖς θυγατράσι γαμουμέναις δῶρα παρεῖχον· „ἐγὼ δ' ἐπὶ μείλια δώσω" (Il. 9, 147). A.

τὸ ὀνομάκλυτος ὡς τοξόκλυτος· ἔτως δὲ ϗ Ἀρίσαρχος. ἐν μέντοι τῇ Ὀδυσσείᾳ (19, 183) κατὰ παράθεσιν ἀναγνωσέον „ἐμοὶ δ' ὄνομα κλυτὸς Αἴθων·" ἰδίᾳ συζῆσαι γ' αὐτῇ βέλεϑ τὸ ὄνομα, ἐπεί τοι ἔξαι κρεμάμενος λόγος. εἴπομεν δὲ ἐν τοῖς πρὸ τέτε βιβλίοις (Il. 10, 109) πότε τὸ κλυτός κατὰ τὸ τέλος συντιθέμενον φυλάσσει τὸν τόνον, καὶ πότε ἀναδίδωσιν. A.

κατὰ σύνθετον προεκτέον. σημαίνει δὲ τὸ ὅλον ὀνομαςός· ὁ γ' κλυτός ἐπὶ τῆ διαβεβοημένε. A.

Ἀρίσαρχος ὑφ' ἓν ὡς πασιμέλεσα (Od. 12, 70). ἐν δὲ Ὀδυσσείᾳ „ὄνομα κλυτὸς Αἴθων" κατὰ παράθεσιν. εἰ δέ, φασίν, ἐκ ἔξιν ἐξ ἑδετέρε ϗ ἀρσενικῆ σύνθετον, τί ἐξι τὸ Ἀξυάναξ ϗ ποιηματογράφος; κατὰ σύνθεσιν ἓν ἐξίν, ὡς τὸ τοξόκλυτος παρὰ Πινδάρῳ καὶ περίκλυτος. B. ἔξι γᾶν παρὰ Πινδάρῳ τὸ θηλυκὸν αὐτῆ ἐν παρωνύμῳ χαρακτῆρι· ὀνομακλύτα γάρ ἐξιν. V.

Ἀθηνόκριτός φησι τὸν Ὅμηρον πρώην Ἄλτην καλεῖϑ διὰ τὸ ἐπαινεῖν αὐτόν. V.

52. βραχὺ διασαλτέον ἐπὶ τὸ τεθνᾶσι, καὶ ὑποσικτέον δόμοισι. ἴσως δ' ἄν τις ἐπὶ τὸ τεθνᾶσι ὑποζίζοι, τὰ δὲ ἑξῆς πάντα συνάπτοι, ἵν' ᾖ ὁ λόγος καὶ ἀποθανόντες ἀνιασόμεθα, ὁμοίως τῷ „εἰ δὲ θανόντων περ καταλήϑη εἰν Ἄϊδαο, αὐτὰρ ἐγὼ καὶ κεῖϑι φίλος μεμνήσομαι" (389). A.

καὶ εἰν Ἄϊδαο δόμοισιν ἄλγος ἐμῷ ϑυμῷ: οὕτω δεῖ συνάπτειν, ἵνα ἐπιταϑῇ, ὡς τὸ „αὐτὰρ ἐγὼ καὶ κεῖϑι φίλος μεμνήσομαι ἑταίρε.". V.

53. τοὶ τεκόμεσθα: ὁμοίως τῷ „Δάρδανον αὖ πρῶτον τέκετο" (Il. 19, 215) ἐπὶ ἀρσενικῆ. A.

55. Ἀχιλῆϊ δαμασθείς: ἡ διπλῆ πρὸς τὸ χῆμα, ἀντὶ τοῦ ὑπὸ Ἀχιλλέως, ὡς „Τρωσὶ δαμείς" (Il. 18, 461). A.

ἦν μὴ καὶ σὺ ϑάνῃς: ἀδεὶς γ' αὐτὲς ποϑήσει σοῦ περιόντος. ἄκρως δὲ αὐτὸν ὑπερηύξησε· τὴν μὲν γ' τῶν ἄλλων παίδων ἀναίρεσιν μόνοις φησὶ τοῖς γονεῦσι πένθος παρέχειν, τὸν δὲ Ἕκτορος ϑάνατον δημοσίαν ἔσεσϑ συμφοράν, ἵνα εἰ ϗ πρὸς τὴν ἰδίαν σωτηρίαν ὀλιγωροίη, ἀλλὰ ἓν τῶν κοινῇ συμφερόντων προνοησάμενος ἀποςῇ τῆ κινδύνου. BV.

ἄλλως. ὁ νῆς τῶν ἐπῶν ἔτως ἔχει· τοῖς ἄλλοις δὲ λαοῖς ὀλίγη γενήσεϑ ἡ ϑλῖψις, ἐὰν ϑ ϑάνῃς ϗ σύ, δαμασθεὶς ὑπὸ τῆ Ἀχιλλέως, ὥςε ἦν ϗ σὺ ἀποθάνῃς, μεγάλη ἐσεῖται τοῖς λαοῖς καὶ ἡ ὑπὲρ ἐκείνων λύπη. B.

56. τεῖχος τὴν πόλιν· Καλλίμαχος „ὁ δ' ἐκ Λοκρῶν τείχεος Ἰταλικῆ παρῆν Ἀμύντωρ." φιλοπάτριδα δὲ ὄντα ὑπομιμνήσκει τῆς πόλεως. τινὲς δὲ συμπαθέςερον γράφεσιν ἐμὸν ϑάλος. B.

56. 57. ὄφρα σαώσῃς Τρῶας: φιλότιμον αὐτὸν εἰδὼς ὑπήλλαξε τὴν ἀδοξίαν πρὸς εὔκλειαν, ϗ κοινὴν σωτηρίαν αὐτῆ τὴν φυγὴν εἶναι λέγει. B.

ἤτοι εικτέον μετὰ τὸ Τρῶας καὶ Τρῴας, ἵνα ἀπ' ἄλλης ἀρχῆς ἀπαγορευτικὸς ὁ λόγος γένηται, μηδὲ μέγα κῦδος ὀρέξῃς. εἰ δὲ συνάπτοιμεν, ἔξαι ἐπανάληψις τῶν ὑποτακτικῶν, κοινῆ νοεμένε τῆ ὄφρα, ἵνα σαώσῃς καὶ μὴ ὀρέξῃς, ἤτοι ϗ μὴ ἀμερϑῆς αἰῶνος. AB.

58. φίλης αἰῶνος: ἔοικε ταῦτα πατρὶ καὶ γέροντι ϗ πεῖσαι ϑέλοντι, ἐγκωμιάζειν ἄρτι τὸ ζῆν ϗ ἐπὶ φιλοψυχίαν παρακαλεῖν. ἀντιτέθεικε δὲ τῇ τῆ ἐχθρῆ δόξῃ τὴν αὐτῆ ἀτυχίαν, εἰς φϑόνον κινῶν τὸν Ἕκτορα. ἡ δὲ κατασκευὴ ἀπὸ τῆ ποιεῖν καὶ πάσχειν. A. αἰῶν δὲ παρὰ τὸ ἀεί. ἢ τὸν ὑπόλοιπον τῆς ζωῆς χρόνον. V.

59. πρὸς δ' ἐμέ: ἔτως ὀρθοτονητέον. A.

ἔτι φρονέοντ': ἔτι σωφρονῆντα πρὶν ἐπιξῆναί σοι τὲς πολεμίες. ἦγεν ἕως τῆ φρονεῖν εἰμὶ κύριος. D.

ἀντὶ τῆ τὸν ἔτι εὖ φρονῆντα ϗ συμβελεύοντα. ἢ ἀντὶ τῆ ζῶντα· τὸ γ' ζωτικὸν φρένας καλεῖ, ὡς ἐπὶ Πατρόκλε „ἀτὰρ φρένες ἔκ ἔνι πάμπαν" (Il. 23, 104), ὅ ἐξι τὸ συνεκτικὸν τῆ ζῆν. B. τινὲς δὲ ἔτι ζώοντ' ἐλέησον. V.

σημειωτέον ὅτι τὰ ὀκτὼ μέρη τῆ λόγε ἔχει ὁ εἶχος. A.

60. γήραος ἀδῶ: ἐξόδῳ τῆ βίε, ἐφ' ᾧ ἤδη ὁ βίος ἐπεραιώϑη ϗ διεξελήλυθεν ἐξ αὐτῆ. B.

62. υἷάς τ' ὀλλυμένους: προαναφωνεῖ τὴν Ἰλίου ἅλωσιν. A.

ἐναργῶς πέφρακε τὰ τῶν πορθήσεων, ὡς ϗ ἐν ἄλλοις· „ἄνδρας μὲν κτείνεσι πόλιν δέ τε" (Il. 9, 589). ϗ μὴ γράψας δὲ τὴν Ἰλιὰ πόρθησιν ὅμως ἐδήλωσεν αὐτῆς τὰ παθήματα, πᾶσαν ἡλικίαν τὴν ἐν πολέμῳ τι πάσχεσαν παραλαβών. ταῖς δὲ γυναιξὶν ἡ εἰς τὸ σῶμα ὕβρις δαιμονίως μείζων πάντων, καὶ τοῖς ἀνδράσιν ἐπιφθονωτέρα. πάντα δὲ ὑπ' ὄψιν ἤγαγεν ἐν βραχεῖ, χρησάμενος ἅμα καὶ ἀπειρίεργως ταῖς λέξεσιν· ἃ γ' ὑψορόφας ἢ δαιδαλέας ϑαλάμας λέγει, ἀδὲ ϑύγατρας καλλικόμες ἢ καλλισφύρες· ἀλλ' ἀπήλλακται τῶν ἐπιθέτων αὐτῷ τὰ δυσυχῆντα τῶν σωμάτων. BV.

63. κεραϊζομένους: ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς κέρασι βαλλόντων ζώων· ὅθεν τὸν ἄϑυμον ϗ ἀόργητον ἀκέραιον καλῆμεν. B.

νήπια τέκνα: ἐντεῦθεν ὁ περὶ Κασάνδρας ϗ Ἀσυάνακτος ἐρρύη μῦθος παρὰ τοῖς τραγικοῖς. V.

65. νυούς: τὰς τῶν υἱῶν γυναῖκας. B.

66. περισσὸς ὁ ἄν. πρώταις δὲ ϑύραις ταῖς αὐλείοις, ταῖς ὑπὸ τὴν εἴσοδον. πρώταις ὡς πρὸς τὰς ἔνδον. ϗ τὸ πύματον δὲ πολλῆς οἰκτρότητος, οἷον ἐπιδόντα τὰ τῆς πορθήσεως δεινά. BV. ἐντεῦθεν ὑπὸ τῷ βωμῷ τῷ ἑρκίου Διός φασιν αὐτὸν ἁνηρῆϑ· φησὶ γᾶν „μηρί' ἔκηεν αὐλῆς ἐν χόρτῳ." V.

ἡ διπλῆ, ὅτι πρώτησι ἀντὶ τῆ ἄκραις. πρώτησι δὲ

πύλῃσι πρὸς τὸ „ἄξαντ' ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40). A. ταῖς προαυλείοις. D.

67. ἐρύουσιν: ἡ διπλῆ, ὅτι χρόνος ἤλλακται ἀντὶ τοῦ ἐρύσουσιν· καὶ ἐν Ὀδυσσείᾳ (21, 97) „νευρὴν ἐντανύειν" ἀντὶ τοῦ ἐντανύσειν. τὸ δὲ ὠμησταί Ἀρίσταρχος ὡς ἀθληταί, Τυραννίων δὲ ὡς κομῆται. ἔφαμεν δὲ ἐν τῇ Λ ἐντελῶς περὶ τῆς προσῳδίας, ὡς ἐπεκράτησεν ἡ Ἀριστάρχου. A.

ὠμηστής καὶ ὀρχηστής παραγωγά, οὐ σύνθετα. τὸ δὲ ἐρύουσιν ἐνεστώς ἐστιν ἀντὶ μέλλοντος. οἰκτροτάτη δὲ ἡ μετὰ θάνατον αἰκία· καὶ ὅτι οὐδὲ ἐν τοῖς βασιλείοις ταφήσεται (σφαγιασθήσεται V), ἀλλ' ἔξω που ῥιφήσεται. BV.

68. ῥεθέων μελῶν. δείκνυσι δὲ ὅτι κατὰ παντὸς μέλους τὸ ζωτικὸν καὶ ψυχικόν ἐστι. ῥέθη δὲ τὰ ζῶντα μέλη, δι' ὧν ῥέζομέν τι· Αἰολεῖς δὲ τὸ πρόσωπον· καὶ ῥεθομαλίδας τοὺς εὐπροσώπους φασί. ABD. Διονύσιος δέ φησι καὶ νῦν τὸ πρόσωπον δηλοῦσθαι· διὰ γὰρ μυκτήρων ἢ στόματος ἐκπνέομεν, καίτοι γε τοῦ ποιητοῦ λέγοντος (Il. 14, 518) „ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν ἔσσυτο". AB.

ἡ διπλῆ πρὸς τὴν διαστολὴν τοῦ βαλεῖν καὶ τύψαι· καὶ ὅτι ῥέθη πάντα τὰ μέλη. οἱ δὲ Αἰολεῖς τὸ πρόσωπον. A.

ἕληται: ἐν ἄλλοις ἕλοιτο. A.

69. πυλαωρούς: Ἀρίσταρχος θυραωρούς, θυροφύλακας. A.

Ἡρωδιανὸς θυραωρούς γράφει· πύλας γὰρ ἐπὶ πόλεών φησι. πάλαι δὲ ἔθος τηρεῖσθαι κυσὶ τοὺς πυλῶνας, ἵνα βαΰζοντες δηλοῖεν τοῖς ἔνδον τοὺς ξένους. B.

70. ἀλύσσοντες: ἄγαν λυσσῶντες· τοῦτο γὰρ τοῖς κατοικιδίοις συμβαίνει κυσίν, ἐπὴν γεύσωνται σώματος. οἱ δέ, ἐν ἄλῃ ὄντες, ὡς τὸ „ἡ δ' ἀλύουσ' ἀπεβήσετο". οἱ δὲ παρὰ τὴν ἀλύν, ὅ ἐστι παίγνιον, ὁμοίως τῷ „κυνῶν μέλπηθρα". B.

ἀδημονοῦντες· ὑπὸ πλησμονῆς ἀλύοντες, οἷον ἐν ἄλῃ ὄντες, δυσφοροῦντες. οἱ δὲ εἶπον, ἄγαν λυσσῶντες. A.

71. νέῳ δέ τε πάντ' ἐπέοικεν: δοκεῖ τοῦτο προτρεπτικὸν εἶναι μᾶλλον ἐπὶ θάνατον ἢ ἀποτρεπτικόν· καίτοι φαίνεται βουλόμενος πείθειν τὸν Ἕκτορα εἰσιέναι εἰς τὸ τεῖχος καὶ μὴ ὑπομένειν τὸν Ἀχιλλέα. ῥητέον δὲ ὅτι τῷ ἅπαξ ἀναγκασθέντι ἀποθανεῖν νέῳ τοῦτο ἔοικεν, ὁ δὲ τὸν ἐκ προπετείας ὑφίστατο θάνατον. διό φησι σαφηνίζων τὸν νοῦν „πάντα δὲ καλὰ θανόντι περ ὅττι φανήῃ." ὡς ἄρα καλὸν τὸ ἀποθανεῖν ὑπὲρ πατρίδος καὶ οἰκείων ἐπὶ λυσιτελείᾳ τῶν προσηκόντων, ἵν' ᾖ, πάντα δὲ τὰ τῆς αἰκίας καλά εἰσι τῷ θανόντι, ἐὰν ἐκ τοῦ ἀποθανεῖν καλόν τι φανῇ καὶ λυσιτελές· σὺ δέ, φησί, ῥιψοκινδύνως ταῦτα βούλει παθεῖν, οὐκ ὠφελῶν τοὺς οἰκείους. B.

73. οὕτως Ἀρίσταρχος φανήῃ διὰ τῶν δύο η̄. A.

74. κάρη: κάρη καὶ γένειον τῶν οἰκτρῶν ἧκται μερῶν καὶ ἃ κομῶσιν οἱ πενθοῦντες. V.

75. αἰδῶ: τὰ αἰδοῖα. A. ἢ τὴν ἀπὸ τῆς ὄψεως καὶ τοῦ σώματος ἐκτροπήν. V.

αἰδώς ἐστιν ἡ ἀπὸ τῆς τοῦ σώματος ὄψεως αἰσχύνη. B.

77. πολιάς: ὅρα πῶς εἰς αὐτὰ λήγει ἀφ' ὧν ἤρξατο· „ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅγε κόψατο χερσίν" (33). A.

79. μήτηρ δ' αὖθ' ἑτέρωθεν: παθητικὰ ταῦτα, καὶ κόρον φέροντα τῷ μήκει· διὸ ταμιεύεται τὴν Ἀνδρομάχην ἐπὶ νεκρῷ καὶ συρομένῳ τῷ Ἕκτορι, ἵνα μὴ πάλιν οἱ αὐτοὶ θρῆνοι ὦσιν. B.

80. κόλπον ἀνιεμένη: ὅτι ἀντὶ τοῦ χαλῶσα, ἀναστέλλουσα· καὶ ἐν Ὀδυσσείᾳ (2, 300) „αἶγας ἀνιεμένους" ἀναδέροντας. ἔστιν οὖν ἀπογυμνοῦσα τὸ κατὰ τοὺς μαστοὺς κόλπωμα. A.

γυμνοῦσα τὸ περὶ τοὺς μαζοὺς κόλπωμα· καὶ „αἶγας ἀνιεμένους" ἀντὶ τοῦ γυμνοῦντας καὶ ἐκδέροντας. κινητικὸν δὲ καὶ γραφικὸν τὸ σχῆμα. ἔδειξε δὲ ὅσον φιλοτεκνώτεραι αἱ γυναῖκες· ὁ μὲν γὰρ περὶ ἑαυτοῦ δέδιεν, ἡ δὲ περὶ τοῦ παιδὸς καὶ ἄνω καὶ κάτω βοᾷ „φίλον θάλος, ὃν τέκον αὐτή" (87), τῶν ἐπὶ τῇ πατρίδι δεινῶν ἐπιλελησμένη. παρατηρητέον δὲ καὶ τὸ σχῆμα τοῦ λόγου, ἀπὸ μετοχῆς εἰς ῥῆμα μεταβαῖνον. B.

ἀποκαλύπτει δὲ τὰ γεννήσαντα καὶ θρέψαντα μέλη (μέρη, ὡς „ἀπὸ κόλπου μητρὸς Εἰλειθυίης ἤλθετε βουλομένης" V). ἐλέγετο δὲ κόλπος τὸ ἐπάνω τῆς ζώνης κόλπωμα τοῦ πέπλου· ὅθεν καὶ προκόλπιον· περὶ γὰρ τὰς ὀσφῦς ἐζώννυντο. B.

82. τέκνον ἐμόν: οὐκ ἀρκεῖται τῷ τέκνον, ὡς ἀλλαχοῦ τῷ „τέκνον τίπτε λιπὼν πόλεμον" (Il. 6, 254), ἀλλὰ τὸ ταραχῶδες καὶ ἐναγώνιον τῆς ψυχῆς παρασκευάζει αὐτὴν καὶ τὸ ἐμόν προσθεῖσι. τὸ δὲ αἴδεο ἀντὶ τοῦ ἀπόδος τούτοις τὴν χάριν ὑπὲρ ὧν σοι ἐποίησαν. B.

83. αὐτήν: εἰ μὴ σαυτόν, φησίν, ἐλεεῖς καὶ τῆς σῆς φροντίζεις ζωῆς, ἐμὲ αὐτὴν τὴν γεννήτριαν καὶ τροφὸν ἐλέησον. συναπτέον δὲ μέχρι τοῦ ἐπέσχον, καὶ ἀπὸ ἄλλης ἀρχῆς τὸ εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον· μετὰ δὲ τὸ ἐπέσχον ὑποστιγμή. B. τινὲς δὲ παρ' Ἴωσιν αὐτὴν τὴν μητέρα λέγεσθαι· „τέκν' ἔφαγεν στρουθοῖο καὶ αὐτήν" (Il. 2, 317). V.

ἤτοι συναπτέον μέχρι τοῦ ἐπέσχον, εἶτα ἀπ' ἄλλης ἀρχῆς τῶν μνῆσαι φίλε τέκνον· ἢ στικτέον εἰς τὸ αὐτήν, εἶτ' ἀπ' ἄλλης ἀρχῆς εἴ ποτέ τοι λαθικηδέα· ἔστι δὲ ὑποστιγμὴ μετὰ τὸ ἐπέσχον. B.

οὕτως διὰ τοῦ τ̄, εἴ ποτέ τοι. A.

λαθικηδέα: τὸν λήθην ἐμποιοῦντα τοῖς παισὶ τῶν κακῶν ἁπάντων. AD. καὶ „ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ" (Il. 6, 251). V.

84. ἡ διπλῆ, ὅτι ἰδίως φίλε τέκνον ἀντὶ τοῦ φίλον τέκνον. καὶ ἄμυνε ἀντὶ τοῦ ἀμύνου. B.

πρὸς τὸ σημαινόμενον ὑπήντησε. τὸ δὲ ἄμυνε ἀντὶ τοῦ ἀμύνου. ἱκανὰ δὲ ταῦτα πρὸς πειθώ· οὐ γὰρ ἀποστῆναι τῆς μάχης αὐτῷ συμβουλεύει, ἀλλὰ μετὰ ἀσφαλείας ἀπομάχεσθαι. ἄκρως δὲ τῶν φυσικῶν ὀνομάτων οὐκ ἀφίσταται, Ἕκτορ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φίλον τέκνον, φίλον θάλος, ὃν τέκον αὐτή. BV.

85. ἐών: ὅτως Ἀρίσαρχος· ἄλλοι δὲ ἰών. A.

ἐών γραπτέον, ἐκ ἰών. πρόμος δὲ ὁ πρὸ τῶν ἄλλων μαχόμενος, ἐχ ὁ βασιλεύς. B.

ὅτι σαφῶς πρόμος ὁ πρόμαχος, ἐχ ὁ βασιλεύς. A.

86. σχέτλιος: ὁ πολλῶν ἡμῖν αἴτιος κακῶν. ἐπιφωνήσεις (ἐκφωνήσεις V) δὲ πολλὰς καὶ ποικίλας ἀπαιτεῖ τὸ πάθος. BV.

87. τέκος: γράφεται θάλος. A.

88. οὐδ' ἄλοχος: ὡς φιλογύνην ὑπέμνησε τῆς γυναικός. πολύδωρος δὲ ἡ εὔμορφος· περὶ γὰρ τούτων πολλὰ δίδοται ἕδνα· „ἐκ δύμ' Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα." V.

φίλοικτον χρῆμα ἡ γυνή. καὶ τοῦτο μέγα τοῖς τεθνεῶσιν οἴονται. AV.

ἡ διπλῆ, ὅτι ἕδνα ἐδίδοσαν οἱ παλαιοὶ ταῖς θυγατράσι· καὶ πολύδωρον λέγει τὴν πολύεδνον. A.

τὸ μέγα νῦν ἐπὶ τῆ τόπε. οἶδε δὲ αὐτὸν τοῦτο μάλιστα δεδοικότα, τὴν τῶ σώματος ἀπώλειαν· διὸ καὶ εἰς μέσον αὐτὸ ἤγαγε· φησὶ γὰρ ὅτος πρὸς Αἴαντα „οἴκαδ' ἐμὸν σῶμα δόμεναι πάλιν" (Il. 7, 79). B.

90. αὐδήτην: ἡ παρατατικῶ ἐξὶ Δωρικῶ ἢ ἀορίστου συγκεκομμένε. ἄμεινον δὲ διὰ τῶ παρατατικῶ τὴν ἀδιάλειπτον δηλοῦσθαι δέησιν. V.

91. πολλὰ λισσομένω: σημαίνει ὅτι πολλὰ παρελίλοιπεν, ἃ προσεπινοεῖν δεῖ. B.

οὐδ' Ἕκτορι: ὅτι ὑπερβίβασαι ὁ δὲ Ἕκτορι δὲ θυμὸν ἐκ ἐπειθον, πρὸς τὸ „ἐδ' ἵκετο γήραος ἕδόν" (Od. 15, 246). A.

ἔξι γὰρ θρασὺς μὲν καὶ ἕτοιμος, ἀλόγιστος δὲ καὶ ἀμετάβλητος. B.

93. χειῇ: ἐπὶ μὲν τῶν ἄλλων ζώων ξυλόχας τε καὶ εὐνάς φησι· δύνασθαι γὰρ καὶ ἕτερα ζῶα χωρῆσαι. νῦν δὲ χειάν, τὴν αὐτὸν μόνον χωρῆσαν καὶ τρόπον τινὰ ἕλυτρον αὐτοῦ ὄσαν· „ἐδὸς δ' ἀμφοτέρες ὅδε χείσεται" (Od. 18, 17). ἢ ὅτι δίκην ὕδατος ἐκχεῖται εἰς αὐτὴν τὸ θηρίον. ἀγριώτερα δὲ τὰ ἐν ἐρήμω γεννώμενα. φησὶ δὲ καὶ ἐν τῷ ς' περὶ ζώων Ἀριστέλης ἐσθίοντα αὐτὸν μύρμηκας καὶ κανθαρίδας μετὰ τὴν φώλευσιν ἰᾶ πληροῦσθαι πλείονος τῆ ἰμφύτε καὶ ἐρεθίζεσθαι καὶ λυσσᾶν, ἐπιθυμῶντά πε ἀπομάξασθαι τὸν ἐνοχλοῦντα ἰόν. B.

ἡ διπλῆ, ὅτι τὴν τῶν ὄφεων κατάδυσιν χειὰν εἴρηκεν, ἀπὸ τῆ χεῶσθαι, ὃ ἐξι χωρῆσαι· εἰς αὐτὸ γὰρ μηχανῶνται οἱ ὄφεις εἰς τὸ χωρῆσαι τὸ σῶμα ὥσπερ ἕλυτρον· „ἐδὸς δ' ἀμφοτέρες ὅδε χείσεθ'." ἔνιαι δὲ τῶν κατὰ πόλεις διὰ τῆ ῦ, ὀρέσερον, καὶ ἀντὶ τῆ μέννησι δοκεύῃ. A.

ἔν τισι τῶν ἀπὸ τῶν πόλεων ὀρέσερον ἄνδρα δοκεύοι. A.

95. σμερδαλέον δέ: εἰκασικὸς ὁ λόγος· βλέπων γὰρ χαλεπόν, ἑλίσσει τὴν σπεῖραν περὶ τὴν χειάν· γίνεται γὰρ ἐπὶ τῆ μάχῃ αὐτοῦ τεθηγμένου ὅ τε ἕλιγμὸς τῶν σφονδύλων χαλεπὸς καὶ ὁ συριγμὸς σφόδρα φοβερὸς καὶ τὸ βλέμμα δεινὸν καὶ ὕφαιμοι οἱ ὀφθαλμοί. ἡ δὲ τροφὴ ὕλη τῆς ὀργῆς, ἡ δὲ σάσις τεκμήριον τῆς ῥώμης καὶ εὐτολμίας, ὁ δὲ τόπος ἔρημος καὶ ἀνήμερος πρὸς κατάπληξιν. B.

δέδορκε: βλέπει. διὰ γοῦν τοῦτο καὶ δράκων εἴρηται, διὰ τὸ ὀξέως δεδορκέναι. D.

97. πύργῳ ἔπι προὔχοντι: παρὰ τὸ προέχον τοῦ πύργου, ὡς νείατον ἀνθερεῶνα καὶ νείαιραν γαςέρα. ἢ δὲ ἐπὶ ἀντὶ τῆς παρά. ὑπονοητέον δὲ τὴν οἰκοδομὴν κάτωθεν οὖσαν πλατεῖαν καταλήγειν εἰς ςενόν. προὔχοντα δὲ τὸ προέχον τοῦ πύργου λέγει. B. ἢ ἐπὶ ἀντὶ τῆς παρά, ὡς „ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες." ὡς ἀνδριαντοπλαςῆς δὲ νῦν μὲν τοῦτον, ὕςερον δὲ ἐπὶ τῆς ἱδρύει τὸν Ἀχιλλέα. A.

99. ὤ μοι ἐγών: διαπόρησις ὁ τρόπος. δείκνυσι δὲ ὅσον κακὸν ἢ φιλοτιμία· διὰ γοῦν τὸ μὴ ἀκῆσαι κακὸς ὑπὸ κακωτέρε ἀπόλλυται. καὶ ἔξιν ὁ λογισμὸς γενναίε μὲν φρονήματος, ἄφρονος δὲ μᾶλλον· κακὸν γὰρ κακῷ ἠθέλησεν ἰάσασθαι. A.

100. ἀναθήσει: ἀντὶ τῆ περιάψει. καὶ πάλιν ἐκ τοῦ ἐναντίε „ἀγάλματ' ἀνῆψεν" (Od. 3, 274) ἀντὶ τῆ ἀνατέθεικεν. Ἀττικοὶ δέ φασιν ἀναθεῖναι τὸ φορτίον ἀντὶ τοῦ ἐπιθεῖναι. οἱ δὲ ἀντὶ τῆ αὐξήσει. B.

101. τὸ ἕξῆς, ὃς μ' ἐκέλευεν νύχθ' ὕπο τήνδ' ὁλοὴν Τρωσὶ ποτὶ πτόλιν ἡγήσεσθαι. ςικτέον δὲ εἰς τὸ ὁλοήν· ἐὰν γοῦν συνάψωμεν, ἐναντίον φαίνεται· ἐ γοῦν νυκτὸς ὥρμησεν Ἀχιλλεύς, νυκτὸς μέντοι ὁ Πολυδάμας συνεβούλευσεν (Il. 18, 254). B.

105. καὶ Τρωάδας: τὰ γοῦν τῶν γυναικῶν ἀνείδη χαλεπώτερα. B.

106. κακώτερός: ἀντὶ τῆ ἧσσων· ἐ γοῦν κακὸς Ἕκτωρ. ἔθος δὲ τοῖς χείροσι ψέγειν τὰ τῶν κρεισσόνων ἔργα, καὶ τοῖς μείζοσιν ἀνιαρὸν τὸ ὑπὸ ἐλασσόνων κακολογεῖσθαι. B.

108. κέρδιον: αἱ κατὰ ἄνδρα κάλλιον. A.

109. κατακτείναντα: διχῶς, καὶ κατακτείναντι. A.

110. ἠέ κεν αὐτῷ ὀλέσθαι: οἰωνίζεται νῦν ἐν κινδύνῳ ὢν τῶν δυσχερῶν τι καὶ τῶν καλῶν. B.

ἡ διπλῆ, ὅτι ὁ κέν περισσός, καὶ ὅτι ἀμφίβολον πότερον ἐμοὶ αὐτῷ ὀλέσθαι, ἢ καθ' Ὁμηρικὴν συνήθειαν ἀντὶ τοῦ ὑπ' αὐτῆ ὀλέσθαι. A.

πρὸ πόλιος: ὑπὲρ τῆς πόλεως· ὑπὲρ αὐτῆς γὰρ ἀγωνίζεται. A.

111. εἰ δέ κεν: ἤρτηται μέχρι τῆ (129) „ἀλλὰ τίη μοι ταῦτα," καὶ ἐδὲν αὐτοῖς ἀνταπεδόθη. ἤτοι ἔν διαπορητικός ἐξι κἀνταῦθα ὁ λόγος, ὡς ἐλέγομεν κἀν τῇ Φ· ἆρα τὴν ἀσπίδα κατάθωμαι καὶ τὴν περικεφαλαίαν, πρὸς δὲ τὸ τεῖχος ἐρείσας τὸ δόρυ αὐτὸς προσέλθω Ἀχιλλεῖ καὶ τὰ καὶ τὰ ποιήσω· ἢ κομματικῶς εἰρῆσθ ὑπολητέον, ὡς καὶ ἡμῖν σύνδεσμος πολλάκις, ἂν δὲ κατάθωμαι καὶ πορευθῶ. δύναται δὲ καὶ ἠθικῶς ὁ Ἕκτωρ ἅπαξ ἐν μετανοίᾳ γενόμενος, πρὶν ἀνταποδοῦναι, διακόψαι τὸν λόγον. τὸ ὅμοιον νοητέον καὶ ἐπὶ τῶν ὑπ' Ἀγήνορος ἀνωτέρω λεγομένων. ςίζομεν δὲ ταῦτα ὡς πλήρη. AV.

λέγει δὲ ἀποθέσθαι τὰ ὅπλα, ὅπως μὴ δοκῇ ὡς πολεμίῳ προσιέναι, ἢ ἵνα μὴ διὰ τῆς θέας τῶν ὅπλων ἐπ' αὐτὸν ὁρμήσῃ (ἔτι αὐτὸν πυρώσῃ V). ὅσον δέ ἐστιν ἐν ταῖς νίκαις ἀφόρητος, τοσοῦτον ἐν ταῖς ἀτυχίαις ταπεινός. ἄλλως τε τὸ μὲν ἅπαντα ἐνθυμεῖσθαι συνετῷ, τὸ δὲ ἐκλέγεσθαι τὰ ἄριστα γενναίῳ. BV.

113. ἀντίος: ἱκέτης. ὅθεν ἀνταῖος ἱκέσιος Ζεὺς παρὰ ἱκποβότοις. V.

118. ἅμα δ' ἀμφὶς ἄλλ' ἀποδάσεσθαι: ἅμα τῇ προτέρᾳ ὑποχέσει ἡ ἑτέρα, χωρὶς ὧν Ἀλέξανδρος ἥρπασεν. οἱ δὲ τὸ ἀμφὶς ἀντὶ τοῦ δίχα, ὅ ἐστιν εἰς δύο· τὸ δὲ ἔθος ἡ ἐν τῇ ὁπλοποιίᾳ. ταύτην δὲ τὴν ἀντέκτισιν ἴσως ποινὴν Ἀγαμέμνων καλεῖ. B.

ἢ διπλῆ, ὅτι ἀντὶ τοῦ ἀμφιδάσασθαι, δίχα μερίσασθαι. πάλιν δὲ ὁ δὲ σύνδεσμος περισσός. A.

Ἀρίσταρχος ἀποδάσσεσθαι διὰ τοῦ ε. A.

μέλλοντός ἐστι· διὸ διὰ τοῦ ο. V.

ὅσσα πτόλις: γράφεται ὅσα τε πτόλις. A.

119. μετόπισθε: μετὰ τὴν πρὸς Ἀχιλλέα ὑπόχεσιν. γερέσιον δὲ σεμνόν, ἢ τὸν τοῖς γέρεσιν ὀφείλοντα προτείνεσθαι (τὸν ἐπὶ τῶν ἐντίμων ὅρκον, ον ἐν τοῖς ἐντίμοις ἐξῆν ὀμόσαι D). τὸ δὲ Τρωσὶν ἀντὶ τοῦ παρὰ Τρώων. B.

ἔλωμαι: γράφεται ὀμόσαι. A.

121. ἕτως χωρὶς τοῦ δ, ἀλλὰ τίη μοι. A.

123. ἵκωμαι: τινὲς ὡς φιλῶμαι ἀναγινώσκουσιν, ἵνα τὸ ἱκετεύσω σημαίνῃ. οὐκ ἀναγκαῖον δὲ ἐναλλάσσειν τὸν τόνον· ἡ γὰρ βαρυνόμενον ταὐτὸν ὑπισχνεῖται, ἡ ἀκόλουθόν ἐστι μέσῳ δευτέρῳ ἀορίστῳ ὁριστικῷ τῷ „τὴν ἰκόμην φεύγων" (Il. 14, 260). ὡς ἐν ἐλιπόμην λίπωμαι, ἕτως ἰκόμην ἵκωμαι. A.

ὅτι τὸ ἵκωμαι ἀντὶ τοῦ ἱκετεύσω. παράκειται δὲ ἐν τῷ ἰών, ἐπεὶ προσεγγιζόμενοι ἂν προσφέρωμεν ἱκετείαν. A.

διὰ τοῦ ἰών ἐδήλωσεν ὅτι τὸ ἵκωμαι ἀντὶ τοῦ ἱκετεύσω, ὡς τὸ „τὴν ἰκόμην φεύγων." ἀνάπαλιν δὲ „ἐκεῖσε Πηλῆ' ἱκέτευσεν" (Il. 16, 574) ἤτοι ἦλθεν. B.

124. αἰδέσεται: μετὰ αἰδοῦς δέξεται. B. ὡς „αἰδεῖσθαί θ' ἱερῆα" (Il. 1, 23) ἡ „αἰδοίοισιν ἔδωκα" (Od. 15, 372) ἀντὶ τοῦ ἱκέταις. ἐπιμελῶς δὲ τοῦτο τίθησιν ἐπὶ τῶν ἱκετῶν. V.

ὅτι αἰδέσεται ὡς ἱκέτην προσδέξεται· „αἰδεῖσθ' θ' ἱερῆα." A.

γυμνὸν ἑόντα: τοῦτο γὰρ αἰσχρὸν ἡγεῖται, εἰ δίχα τῶν ὅπλων ὑποθανεῖται. A.

126. 127. ἐκ ἔξιν ἀρχαῖα μυθολογεῖν τῷ Ἀχιλλεῖ νηπίων δίκην, ὡς τῶν πρώτων ἀνθρώπων ἐκ δρυῶν ἡ πετρῶν γεγεννῆσθαι λεγομένων. A.

οὐκ ἔξι, φησίν, ἄντικρυς Ἀχιλλέως μύθους διηγεῖσθαι, ὁποίους ἂν παρθένοι ἡ ἤθεοι. οἱ γὰρ παλαιοὶ τὰ ἐκτιθέμενα βρέφη παρὰ δρυσὶν ἢ πέτραις εὑρίσκοντες ἐνόμιζον ἐκ τούτων γεγενῆσθαι. ἐκ τοιούτου δὲ ἐγένετο ἡ ὑπόληψις. οἱ παλαιοὶ νομαδικῷ ἐχρῶντο τῷ βίῳ, οἰκίας μηδέπω κεκτημένοι. αἱ ἂν γυναῖκες τίκτεσαι ἐν τοῖς ὄρεσιν ὑπὸ τὰ κοιλώματα τῶν πετρῶν ἡ δρυῶν. εὑρίσκοντες δέ τινες, νομίζοντες ἐκεῖθεν γεγενῆσθαι, ἀνέτρεφον. ἡ ἱστορία παρὰ Διδύμῳ. ABD. τοῦτο δὲ ἡ κατὰ τὴν Ὀδύσσειαν ἐμφαίνει „ὦ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου" (Od. 19, 163) καὶ τὰ ἑξῆς. B.

127. ὀαριζέμεναι: ὁμιλεῖν, προσπαίζειν. ὄαροι δὲ αἱ ὁμιλίαι, ἐπειδὴ ὁμοῦ τοὺς συνιόντας ἁρμόττουσιν. ἢ ὅτι τὸ ὄας ἐντίθενται δῆθεν ὡς μὴ συνιέντες εὐθέως, ἀλλ' ὁμιλοῦσι μακρὰ καὶ ἀπηρτημένα ἐναπολαύοντες ἐπὶ πολὺ τῆς πρὸς ἀλλήλους θέας. V.

ληρώδεις ἀρχαιολογίας διηγεῖσθαι, ἀπὸ τοῦ τὸ παλαιὸν ὀρεινόμους ὄντων τῶν ἀνθρώπων ἐκεῖσε τίκτεσθαι. ἢ ἐπεὶ μεληγενεῖς λέγουσι οἱ πρώην ἄνδρες ἡ ἀπὸ τῶν λίθων Δευκαλίωνος. ἢ χρησμὸς διηγεῖσθαι· Δωδώνη γὰ δρῦς, πέτρα δὲ Πυθώ. ἢ περιττολογεῖν ἀπὸ τῶν περὶ τὰς δρῦς φύλλων ἡ περὶ τὰς πέτρας κυμάτων. ἢ οὐκ ἔχειν αὐτῷ τὴν ἀρχὴν τοῦ γένους διηγεῖσθαι τῶν ἀνθρώπων. καλῶς δὲ τὸ φλύαρον τῶν λόγων ταῖς τῶν ἀκύκων ὁμιλίαις παραβάλλει μύθοις τερπομένων παλαιοῖς, διὰ δὲ τὴν πολυλογίαν τῇ ἀναλήψει ἐχρήσατο. B.

128. ἢ διπλῆ πρὸς τὴν ἐπανάληψιν, ὅτι πυκνῶς ἐν Ἰλιάδι. ὀαρισμὸς δέ ἐστιν ἀνδρὸς ἡ γυναικὸς ὁμιλία· ὄαρες γὰ αἱ γυναῖκες. A.

129. ἔριδι ξυνελαυνέμεν: εἰς ἔριν ἢ μετ' ἔριδος συμβαλεῖν. B.

129. 130. ὅττι τάχισα: ἐν ἄλλοις ὄφρα τάχισα. τοῦτο δὲ ἑκατέρωθι δύναται προσδίδοσθαι. A.

130. εἴδομεν: λείπει τὸ ἵνα. καίτοι δὲ προλογισάμενος ὁ μένει τὴν θέαν Ἀχιλλέως, ἀλλὰ νικᾶται τῷ πάθει. B.

131. ὁ δέ οἱ κεδνὸν ἦλθεν: ὑφ' ἓν πάντα πράττει· οἱ μὲν δέονται, ὁ δὲ διαλογίζεται, ὁ δὲ ἔπεισιν. ἅμα δὲ πάντα λέγειν ἀδύνατον. B.

132. ἶσος: τινὲς διὰ τῆς ει διφθόγγου ἀντὶ τοῦ ὅμοιος ἐπεὶ ἡ τὸ εἰσάμενος ἀντὶ τοῦ ὁμοιωθείς. V.

κορυθάϊκι: τῷ κινοῦντι ἐν τοῖς πολέμοις τὴν περικεφαλαίαν, ὡς τριχάϊκες καὶ κορυθαίολος· „ἀμφὶ δὲ πήλη σμερδαλέον κροτάφοισι τινάσσετο" (Il. 15, 609). B.

133. ἕτος ὁ εἶχος μετατιθέμενος Ἰωνικὸς γίνεται ἀπὸ μείζονος· σεῖον μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον. ἀλλ' ἡ σύνθεσις ἡ τὸν ἄρρενα τόνον τεθήλυκεν. V.

135. ἠελίῳ ἀνιόντος: πρὶν διασκεδάσει τὰς αὐγάς ὅτε ἡ ὁραθῆναι δύναται. B.

ὑγρότερος ὁ εἶχος ἐγένετο τῇ παραλληλίᾳ τῶν φωνηέντων. V.

136. ὑπερβατῶς, Ἕκτορα δ' ἕλε τρόμος. A.

137. ὀπίσω δὲ πύλας λίπε: φεύγει γὰ ἐπὶ τὸν ἐρινεὸν ἡ τὸ τοῦ Ἴλου σῆμα εἰς τὰ δεξιὰ τῆς πόλεως· ὁ γὰρ Ἀχιλλεὺς ἀπὸ τοῦ Σκαμάνδρου ἡ τῶν ἀριστερῶν μερῶν ἀναφέρει. ἢ ὀπίσω ἀντὶ τοῦ κατὰ νώτα, καὶ πύλας ἐφ' ᾗ ὁ Πρίαμος εἰσήκει. B.

βῆ δὲ φοβηθείς: ἀντὶ τοῦ φεύγων ἀπέβη. AB.

139. κίρκος ὄρεσφιν: ὄρειος γάρ ἐστι καὶ ὀξύπτερο

παλεῖται διὰ τὸ τάχος τῆς οἰκείας πτήσεως. B.

141. πάλιν φοβεῖται ἀντὶ τοῦ φεύγει. ὕπαιθα δὲ ἀντὶ τῦ ἔμπροσθεν ἢ ἐκ πλαγίε. B.

ὅτι καὶ νῦν σαφῶς ἀντὶ τῦ ἔμπροσθεν φεύγει. A.

ὀξὺ λεληκώς: ἐγγὺς γ' γεγονώς πυκνὰς τὰς ἐπιπτήσεις ποιεῖ καὶ βοᾷ τῇ τῦ λαβεῖν ἐλπίδι. ἰδίωμα δὲ φωνῆς τὸ λεληκέναι ὡς τὸ κλάζειν. B. κεκραγώς, νῦν δὲ ἦχον διὰ τῆς πτήσεως ἀποτελῶν. D.

143. ἰθὺς: πάλιν κατ' εὐθεῖαν. V.

τρέσε: μετὰ δέος ἔφυγεν. V.

ὅτι τὸ τρέσαι οὐ τὴν πτόησιν σημαίνει, ἀλλὰ σὺν τῷ φεύγειν. ἐπήνεγκε γῶν „τεῖχος ὑπο Τρώων." A.

145. σκοπιήν: τὸ Αἰσυήτε μνῆμα. φησὶ γοῦν „τύμβῳ ἐπ' ἀκροτάτῳ Αἰσυήταο" (Il. 2, 793). V.

ἐρινεόν: ὃ τὸν ὄντα πρὸς τὸ τεῖχος, ἀλλ' ἐπὶ τὸ σῆμα τῦ Ἴλε. B.

ἠνεμόεντα: καταπνεόμενα, ὑψηλά· τὰ γ' ὑψηλότερα μέρη μᾶλλον καταφυσᾶται τῶν κοίλων. D.

146. βραχὺ διαιαλτέον μετὰ τὸ ὑπέκ· τὸ γ' ἑξῆς, ὑπὲκ τείχεος κατὰ τὸν ἀμαξιτόν, οἷον ὑπὸ τὸ τεῖχος. ἡ δὲ ἑξῆς πρόθεσις προκειμένη ἐμφαίνει ὡς καὶ μικρὸν ἔξω τῦ τείχες ἐδίωκον. B.

τὸ ἑξῆς, κατ' ἀμαξιτὸν αἰὲν ἐσσεύοντο ὑπὲκ τείχεος. βραχὺ δὲ διαιαλτέον μετὰ τὸ ὑπέκ. ἐμφαντικώτατα δὲ κεῖνται αἱ προθέσεις· δηλῶσι γ' τὸν μὲν ὑποδῦναι τὸ τεῖχος σπεύδοντα, τὸν δὲ ἐξωθῦντα αὐτόν. ἀμαξιτὸς δὲ ἡ λεωφόρος καὶ βασιλικὴ ὁδός. B. „τῇ περ ἅμαξαι ἄιξυδ' ἀφ' ὑψηλῶν ὀρέων" (Od. 10, 103). V.

Ἀττικῶς πεπλεόνακε ταῖς προθέσεσι, τὸ δυσέλικτον τῦ δρόμου παριιάς. V.

147. κρουνοὶ καλῦνται καὶ οἱ ἀπὸ τῶν ὀρέων μετὰ ψόφε καὶ κρόσεως νάοντες χειμάῤῥοι („κρουνῶν ἐκ μεγάλων" Il. 4, 454). νυνὶ δὲ αἱ τῶν πηγῶν ἀπόῤῥοιαι· ὁ γ' Σκάμανδρος κατὰ ἀνατολὰς τῆς Ἴδης ῥεῖ, πρὸ τριῶν τῆς Ἰλίε σαδίων, ὑπόγειος δὲ γινόμενος ἐν Ἰλίῳ δύο ἀναδίδωσι πηγάς, ἀφ' ὧν οἱ κρουνοί. εἰς δὲ τὸ Σκαμάνδρε λείπει ἡ ἀπό, ἵν' ᾖ ἀπὸ Σκαμάνδρε. δαιμονίως δὲ τὸν τῆς διώξεως καιρὸν ἐκ ἀργὸν κατέλιπεν, ἀλλ' ὥσπερ διατριβὴν ποριζόμενος τῇ ἀκοῇ τὰς μὲν τρέχειν φησίν, αὐτὸς δὲ ψυχαγωγεῖ τῇ ἐπεισαγωγῇ τῆς ἀφηγήσεως τὸν ἀκροατήν. BV.

κρουνοὶ κυρίως μὲν αἱ ἀρχαὶ τῶν ῥευμάτων, νῦν δὲ οἱ τύποι ὅπε πλύνεσιν. D.

αἱ δὲ ἀληθιναὶ πηγαὶ Σκαμάνδρε κατὰ ἀνατολὰς τῆς Ἴδης πρὸ τ σαδίων τῆς Ἰλίε εἰσίν. ἴσως δὲ ὑπόγειος ῥέων ἐξ Ἴδης· ὧδε ὁρᾶται. ἀλλὰ καὶ πῶς ἐν τῇ Μ ἀπὸ τῆς Ἴδης φησὶν ἔχειν αὐτὸν τὰς πηγάς; ῥητέον ἐν ὅτι νῦν φησὶ τὰς πηγὰς ταύτας ἀναβλύζειν ἀπὸ τῦ Σκαμάνδρε, ἵνα λείπῃ ἡ ἀπό, ἀπὸ Σκαμάνδρε. οἱ δὲ τοπικώτερον ἰσορῦντες δύο λιβάδας εἶναι ἑτέρας τῶν ἀπὸ τῆς Ἴδης πηγῶν, ἃς εἰς τὸν Σκάμανδρον ἐμβάλλειν. μεταξὺ δὲ αὐτῶν καὶ τῦ τείχες τρέχει ὁ Ἕκτωρ ἴσως ἀναζηριζόμενος ἀπὸ τοῦ τείχους ὑπὸ Ἀχιλλέως. V.

Πορφυρίε. ζητῆσί τινες πῶς τὸν Σκάμανδρον ἀπὸ τῆς Ἴδης εἰπὼν ῥεῖν (κατηρίθμητο γ' δῖός τε Σκάμανδρος τοῖς ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσιν Il. 12, 19. 21) ὕστερόν φησιν „χρουνὼ δ' ἵκανον καλλιῤῥόω, ἔνθα δὲ πηγαὶ δοιαὶ ἀναΐσσουσιν Σκαμάνδρε δινήεντος," ὑπὸ τὸ τεῖχος τὰς πηγὰς τῦ Σκαμάνδρε λέγων ῥεῖν· μάχεται γ' δὴ τὸ ἐν τῷ πεδίῳ ὑπὲκ κατ' ἀμαξιτὸν τὰς πηγὰς εἶναι τῦ Σκαμάνδρε τῷ ἐκ τῆς Ἴδης αὐτὰν λέγοντι ῥεῖν. λύει δὲ ἐκ τῆς παραλείψεως τῆς ἑξ. ἔχει γ' τὸ πλῆρες, ὅτι πηγαὶ δύο ἐκ τοῦ Σκαμάνδρε ἀνίασι κατὰ τὸ πεδίον, ἀλλ' ὀχ ὅτι τῦ Σκαμάνδρε εἰσὶν αἱ ἐν τῷ πεδίῳ πηγαί. BV.

148. ὅτι λείπει πρόθεσις ἢ ἐκ ἢ ἀπό· ἐκ Σκαμάνδρου γάρ, ἢ ἀπό. A.

149. ὕδατι λιαρῷ ῥέει: ἀντὶ τῦ περιῤῥέει τῷ ὕδατι (ἢ ῥεῖται ὕδατι ἢ ὕδωρ ῥεῖ. V). προσληπτέον δὲ τὸ χειμῶνι. B. φασὶ δὲ ὡς τὰς ἐν Ἴδῃ πηγὰς τῦτο πάχειν: V.

151. Θέρεϊ: ἢ διπλῆ, ὅτι ἐκ τῆς ἀντιδιαιολῆς ταύτης σαφὲς ὅτι ἡ ἑτέρα πηγὴ ὕδατι λιαρῷ ῥεῖ κατὰ χειμῶνα. A.

εἰκυῖα: ἀντὶ τῦ εἰκότως ἢ εἰκός. V. ὑγρὸν δὲ ἐποίησε τὸν εἶχον τῇ ἐπὶ τὸ αὐτὸ τῶν φωνηέντων παραλήψει. V.

152. χιόνι ψυχρῇ: ψυχροτέρα γ' χαλάζης χιών· καὶ Θέρους γ' γίνεται χάλαζα. ὁ δὲ κρύσαλλος καὶ τῆς χιόνος ψυχρότερος. B.

153. ἐπ' αὐτάων: ὅτι πρόθεσις ἤλλακται ἢ πτῶσις, ἀντὶ τῦ παρ' αὐταῖς. A.

ἐγγύς: ἐ τῆς πόλεως ἀλλ' ἀλλήλων, ἐπεί τοι ἔδει καὶ τῷ πολέμῳ ἀδεῶς ἐξεῖναι αὐτάς. ἔασι δὲ ἀντὶ τῦ ἦσαν. V.

154. καλοὶ λαΐνεοι: ἐκ καλῶν λίθων γεγονότες, ἢ διαυγὲς ὕδωρ ἔχοντες. B.

157. βραχὺ διαιαλτέον παραδραμέτην καὶ φεύγων. A.

διώκων: ἀεὶ τὸ διώκειν ἐπὶ τῦ φεύγοντός τινος κατόπιν ἐπιτρέχοντος τίθησιν. B.

158. ἡ διπλῆ, ὅτι ὑγιῶς διώκεθ λέγει τὸν φεύγοντα. ἐν ἐνίοις δὲ φέρεται εἶχος ὑπὸ τῦτον εὐτελῆς· „φεῦγ' υἱὸς Πριάμοιο, δίωκε δὲ δῖος Ἀχιλλεύς." A.

ὅτι πρὸς τὸ πρῶτον ὑπήντησε καὶ τῷ ἀντιθέτῳ χήματι χρῆται. V.

159. βοείην: τὸ παλαιὸν γ' ἐν ἀγῶνι βύρσας ἐδίδουν ἔπαθλα. καὶ ἱερεῖον μὲν πᾶν θῦμα, ἰδίως δὲ παρὰ Ἀττικοῖς τὸ πρόβατον. B.

καὶ νῦν Οἰταῖοι, Ἡρακλεῖ πεντετήριον ἀγῶνα ποιῦντες, βύρσας διδόασιν. V.

ἀρνύσθην: ἀντικατήλλασσον τῷ δρόμῳ. A.

ἄρνυσθαι τὸ ἀντί τινος λαμβάνειν τι. B.

161. ἡ διπλῆ, ὅτι ὡς περὶ ἑτέρων λέγει τρεχόντων περὶ τῆς Ἕκτορος ψυχῆς, αὐτῦ τῦ Ἕκτορος ἐνὸς ὄντος τότων. A.

ἐλεεινὸν τὸ πρᾶγμα· τὸ θατέρε γ' ἴδιον κοινὸν ἆθλον ἦν ἀμφοτέρων, τῦ μέν, εἰ ἐκφύγοι, τὸ ἴδιον ὡς ἆθλον ἔχοντος, τῦ δέ, εἰ προφθάσοι, τὸ ἐκείνε λαμβάνοντος. BV. καὶ

234. γνωτῶν: γνωτὸς ὁ ἀδελφὸς παρὰ τὸ πλέον τῶν ἄλλων γνωρίζεσθαι. B.

235. τιμήσασθαι: λείπει τὸ σέ, ἵν' ᾖ νῦν δὲ καὶ μᾶλλον κατὰ νῆν ἔχω τιμῆσαί σε B.

241. τοῖον: τοίως ὡς μηδένα συγχωρεῖσθαι πολεμεῖν αὐτῷ. B.

244 — 246. βραχὺ διαλτέον φειδωλῇ γ' εἴδομεν, τἆλλα δὲ συναπτέον ἕως τῷ γλαφυρά. ἤτοι δὲ σικτέον ἐπὶ τὸ γλαφυρά ἢ βραχὺ διαλτέον. περισπαξέον δὲ τὸν ῃ σύνδεσμον· ἀδύνατον γ' ἑῷ ῃ συνδέσμῳ ἑπόμενον αὐτὸν ὀξύνεσθαι. A.

246. σῷ δουρί: εὖ τὸν κίνδυνον ἐκοινοποιήσατο, τὴν δὲ νίκην μόνῳ περιῆψεν Ἕκτορι. B.

247. βραχὺ διαλτέον ἐπὶ τὸ φαμένη· μᾶλλον γὰρ ἐμφαίνει. τὸ δὲ ἑξῆς ἐξὶ καὶ ἡγήσατο, οἷον οὐ μόνον διὰ λόγων αὐτὸν ἠπάτησεν ἀλλὰ καὶ διὰ τῆ προσελθεῖν ἀξιοπίστως. B.

ἢ περισσὸς ὁ καί, ἢ τὸ φαμένη ἀντὶ τῆ ἔφη. ἢ πρὸς τῷ ταῦτα εἰρηκέναι καὶ δολίως ἡγήσατο. B.

τινὲς πληθυντικῶς κερδοσύνῃς. B.

250. φοβήσομαι: ἡ διπλῆ, ὅτι σαφῶς φεύξομαι. B.

251. δίον: ἀντὶ τῆ ἔδεισα· „περὶ γ' δίε ποιμένι λαῶν" (Il. 5, 566). ἢ ἐδιώχθην, ὡς τὸ „ἀπὸ μεγάροιο δίεσθαι" (Od. 17, 398). ἢ φοβηθεὶς ἔφυγον. B.

ἡ διπλῆ, ὅτι τὸ δίον ἐδιώχθην. ἐ μάχεῖ δὲ τῷ „ἀλλ' ὅτε δὴ τὸ τέταρτον" (208)· τρεῖς μὲν γ' τελείας κύκλους περιέδραμον, τὸ δὲ τέταρτον ἕως τῶν κρουνῶν ἐλθόντες ἐκέτι περιῆλθον τὴν πόλιν. A.

γράφεται καὶ δίες· καὶ ἕτως εἶχον αἱ χαριέστεραι. A.

253. ἕλοιμί κεν ἢ κεν ἁλοίην: τὰ ἀμείνω πρῶτα λέγει καὶ λίαν θρασύνεται. καὶ ἑξῆς „ἐ γ' ἐγώ σ' ἔκπαγλον ἀεικιῶ" (256). ἔξι δὲ τὸ θράσος αὐτῆ ἐλεεινόν, ἐκ φενακισμῆ καὶ πλάνης ἐγειρόμενον. B.

254. ἐπιδώμεθα: ἑαυτοῖς μάρτυρας καὶ ἀναδόχους ἢ ἐπόπτας ποιήσωμεν πρὸς τὸ ἰδεῖν. ἢ εἰς ἐρανὸν ἀποβλέψωμεν, ᾧ εἰσὶν οἱ θεοί. ἢ μαρτυροποιησώμεθα· τὲς γ' μάρτυρας Ἀττικοὶ δήας φασίν. οἱ δὲ ἐπικαλεσώμεθα αὐτές. B.

ὅτι ἐπιμαρτυρώμεθα. A.

255. ἡ διπλῆ, ὅτι μάρτυροι, ἐ μάρτυρες· καὶ γ' τὸ ἐνικὸν „Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔζω" (Il. 7, 76). A.

ἁρμονιάων: συναρμογῶν, ἀφ' ᾗ δηλοῖ τὸ ὁμολογιῶν καὶ συνθηκῶν, συμβολῶν. AB.

ἀναλογιζέον πῶς ἂν διετέθη ἐπὶ τοῦ λόγου ἡ Ἀθηνᾶ. ἐμοὶ δοκεῖ μὴ ἄν ποτε μετὰ κρείττονος διαθέσεως ἢ καιριωτέρως ῥηθῆναί τι τοιῆτον παρ' ἑτινοσῶν. Leid.

257. καμμονίην: τὴν μονομερῆ νίκην. περὶ ὃ δὲ μάλιστα δέδιεν, αἰκιζόμενος ὁ Ἕκτωρ οἷκτον κινεῖ. B.

ἡ διπλῆ, ὅτι καμμονίη νίκη οὐ καθολικῶς ἀλλὰ ἡ ἐκ καταμονῆς. διὸ ἐπὶ τῶν μονομαχέντων καὶ πυκτευόντων τίθησιν, ἐπὶ δὲ δρομέων ἐκέτι. A.

259. ῥέζειν: ὅτι ἀντὶ τῆ ῥέζῃ. A.

261. ἄλαξε: ἄλαξόν φησι τὸν ἀνεπίληπτα καὶ δεδρακότα. συνημοσύνας δὲ συνθήκας· οἱ γ' συντιθέμενοι εἰς ταὐτὸν ἀφιᾶσι τὴν γνώμην. BV.

σύμβολα καὶ κοινοβλίαι. B. ἔξι γ' παρὰ τὸ ἵημι σύμβολα. σύνεσίς τε δύο ποταμῶν ἀντὶ τῆ συμβολή. V.

δασυντέον· σημαίνει δὲ τὰς συνθήκας ἀπὸ τῆ εἰς ταὐτὸν ἐφεῖναι τὰ τῆς διανοίας. παρὰ τὸν ἧσο οὖν ἥμων τί ἔχει, καὶ ἥμονος ἡ γενική, παρ' ἣν τὸ ἡμοσύνη. οὕτως δὲ εἶχε καὶ τὸ μεθημοσύνη. A.

262. 263. 264. αἱ ὑποσιγμαὶ πιστά, ἔχουσιν, ἀλλήλοισιν· ἡ γ' ἀνταπόδοσις ὡς ἐκ ἐς' ἐμὲ καὶ σέ. A.

ἐντεῦθεν τὸν περὶ λεόντων καὶ ἀνθρώπων μῦθον Αἴσωπος ἀνέπλασεν. V.

263. ἐδὲ λύκοι τε καὶ ἄρνες: ἐντεῦθεν ἡ παροιμία φησὶν „ἴτως φιλῆσι λύκοι τὲς ἄρνας ὡς φιλέουσιν ἀντερασταί. BV.

ἐντεῦθεν ἡ παροιμία, ἄρνα φιλῆσι λύκοι νέον ὡς φιλέσσιν ἐρασταὶ τὴν ἐρωμένην. V.

γνωρίμους τὰς εἰκόνας, οὐ τὰς ἐπὶ κεφαλαίων παρατρέχει. V.

265. φιλήμεναι: ἀντὶ τῆ φιλῆσαι ἀλλήλες. A.

266. ὅτι τὰ ὅρκια ἔσσονται, ἐκ ἔσσεται. A.

εἰς τῆτο ἡ διάνοια καταξρέφει, ὅτι πρότερον συμβήσεται τὸν ἕτερον ἡμῶν πεσεῖν πρὶν ἢ ὅρκες ἡμᾶς ποιήσασθαι· ὡς τὸ „πρίν μιν καὶ γῆρας ἔπεισιν ἡμετέρῳ ἐνὶ οἴκῳ" (Il. 1, 29). ABV.

270. οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις: ἡ καύχησις ὑπὲρ ἄνθρωπον· ἐ γ' ἀνατίθησι τῇ τύχῃ (τέχνῃ V) τὰς ἐλπίδας, ἀλλὰ θαῤῥῶν τῇ θεῷ διαβεβαιῆται τὸ μέλλον. BV.

272. κήδε' ἐμῶν ἑτάρων: ὁ νῦς ἴτως· νῦν δώσεις ἀθρόας δίκας ὑπὲρ τῆς λυπήσεως τῆς γενομένης μοι ἕνεκεν τῶν ἑταίρων. B.

Μυρμιδόνων ἑδένα ῥητῶς ἀνῄρηκεν. τῶν Ἀχαιῶν οὐ φησίν. V.

274. ἠλεύατο: ἐναγώνιον τὴν φάσιν ποιεῖ διὰ τῆς ἀποτυχίας, καὶ μικρῆ δεῖν τῆς νίκης ἐλπίδα Ἕκτορι δίδωσιν. ἐπιλειψάσης δὲ ἐκεῖνον τῆς Μοίρας καὶ οἱ θεοὶ πάντες ἐῶσιν. B.

275. χάλκεον: ἐν ἄλλῳ μείλινον. A.

280. τὸ ἐκ Διὸς ἠείδης ἀντὶ τῆ ἀκριβῶς ἠπίστω. ἔξι γ' καὶ τὸ ἐκ Διός ἐπὶ τῆς ἀκριβείας, καὶ τὸ ἠείδης μετ' ἐπιτάσεως τῆ ῃ. Leid.

ἤτοι ἔφης γε: ἔφης γε μὲν εἰδέναι, οὐκ ἤδεις δὲ ἀκριβῶς. ταῦτα δὲ διὰ τὸ „ἄφαρ δέ σε Παλλὰς Ἀθήνη ἔγχει ἐμῷ δαμάᾳ" (270). B.

281. ἀρτιεπής: ἄρτιος καὶ ἱκανὸς εἰπεῖν ὥστε πιστεύεσθαι. Leid.

σημειῆται δὲ Ἀρίσαρχος ὅτι οὐκ ἐπὶ ἐπαίνου τὸ ἀρτιεπής. V.

ὅτι ἐκ ἐν ἐπαίνῳ ὁ ἀρτιεπής, κατὰ τἐναντίον τῷ ἀμετροεπεῖ, ἀλλὰ ὁ λάλος καὶ ὁ ἀπηρτισμένον παραλογιζόμενος

τὸ δόρυ. A.

ἀπηρτισμένος εἰς τὸ λέγειν ὥςε πιςεύεσθ. ἐπίκλοπος δὲ ἡσκηκὼς λόγοις ἀπατᾶν, διὰ λόγων τὰς πολλὰς παραλογιζόμενος. B.

ἡσκηκὼς λόγοις ἀπατᾶν. οἱ δὲ ἐπιθυμητής· κλέπτεσθ γ̓ τὸ ὀρέγεσθ, ᾗ „ἐπίκλοπος ἔπλετο τόξων" (Od. 21, 397). ἢ ἀσκῶν διὰ λόγων παραλογίζεσθ, ὡς τὸ „κλέπτε νόῳ" (Il. 1, 132). A.

283. οὐ μέν μοι φεύγοντι: ὃ ἐςιν ἐκ ἀποτρέψεις με λόγοις. V.

284. ἰθὺς μεμαῶτι: εἰς τὸμπροσθεν κατὰ σᾶ μοι χωροῦντι. ἀγαθὰ δὲ ταῦτα τοῖς νέοις πρὸς μίμησιν. B.

285. ἄλευαι: προσακτικῶς ἀναγινώσκειν δεῖ· διὸ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. εἰρωνεία δὲ τοῦτό φησιν. A.

ἄλευε: προπαροξυτόνως· ἔςι γ̓ προσακτικόν. ἐν εἰρωνείᾳ δὲ ὁ λόγος. B.

286. ςικτέον μετὰ τὸ χάλκεον· τὸ γ̓ ὡς ἀντὶ τοῦ εἴθε, διόπερ ἀπ' ἄλλης ἀρχῆς ἀναγνωςέον. AB.

πᾶν: ὅτι ἀντὶ τοῦ ὅλον. A.

287. καί κεν: ἐν ἄλλῳ καί σφιν. A.

290. ἐδ' ἀφάμαρτε: ἐκ ἀφάμαρτε δέ. V.

291. χώσατο: ὅτι ἀντὶ τοῦ συνεχύθη. A.

293. κατηφήσας: κάτω τὰ φάη ἔχων. A.

ἐδ' ἄλλ' ἔχε μείλινον ἔγχος: ἀεὶ δὲ δύο ἔχων δόρατα („πάλλων γάρ" φησιν „ὀξέα δοῦρα" Il. 6, 104. 11, 212. „δοῖα δὲ χερσὶ δοῦρ' ἔχε" Il. 12, 464) πῶς νῦν ἐκ ἔχει; ἢ κατὰ το σκοπούμενον θάτερον ἐν τῷ δρόμῳ πρὸς βάρος ὃν ἀπεβάλετο. B.

294. ἐκάλει: αἱ τῶν πόλεων ἐβόα. V.

ἡ διπλῆ, ὅτι ἅπαξ εἴρηκε λευκάσπιδα. A.

ἅπαξ ἐχρήσατο. τὸ παράσημον δὲ τῶν ὅπλων τὴν ἀρετὴν ἐμφαίνει τοῦ φοροῦντος. B.

295. ἦτεε: ἡδέως χρῆται τῷ ἀσυνδέτῳ. ἀλλὰ καὶ τῇ ἐπιφορᾷ ἐλεεινοτάτῃ. V.

297. ὦ πόποι: ἐλεεινοτάτη ἡ ἀναφώνησις ᾗ εἰς οἶκτον κινοῦσα. B.

300. 301. βραχὺ διαςαλτέον εἰς τὸ κακός, ςικτέον δὲ τὸ ἄνευθεν· τὸ γ̓ ἐδ' ἀλέη καθ' ἑαυτὸ προενεκτέον, λείποντος τοῦ ἔςι. δηλοῖ δὲ τὴν ὑπάλυξιν ᾗ ἔκκλισιν. AB.

300. ἐδέ τ' ἄνευθεν: ὡς τὸ „ἐ πολλὸν ἐπὶ χρόνον ἀλλὰ μίννθα" (Od. 15, 494). V.

301. πάλαι τότε: πάροιθέ γε. ἐν δὲ ταῖς εἰκαιοτέραις πάλαι τόγε. V.

304. ἀσπεδί: δίχα ταλαιπωρίας. B.

ἡ διπλῆ, ὅτι ἀσπεδὶ χωρὶς μόγε ᾗ κακοπαθείας. A.

305. μέγα: λείπει τὸ ἀγαθόν, ὡς Ἀλκμὰν „μέγα γείτονι γείτων." ἢ τὸ εἰς τὰς πολεμίους κακόν, ὡς „σύν τε μεγάλῳ ἀπέτισαν" (Il. 4, 161) ᾗ „ἔπαθον μεγάλα." V.

καὶ ἐςομένοισι πυθέσθαι: ὡς ᾗ τοῖς ἐςομένοις πυθέσθαι. BV.

307. τέτατο: ἀπὸ τελαμῶνος ἤρτητο. B.

308. οἴμησεν: ὅτι κἀκεῖ (Il. 21, 252) γραπτέον „αἰετῷ οἴματ' ἔχων," ἐχ ὡς Φιλητᾶς ὄμματα. A.

ἀλείς: ἀθρόον συςραφείς· οἱ γ̓ εἰς δρόμον ἑαυτοὺς δόντες ἐκ ἀνειμένως πορεύονται. B.

309. διὰ νεφέων: τινὲς ἀπὸ νεφέων. V.

310. ἀμαλήν: ἁπαλήν, κατὰ συγγένειαν τῶν ςοιχείων. οἱ δὲ ἅμα τῇ μητρὶ ἀλλομένην. οἱ δὲ τὴν μὴ ἔχουσαν μαλλόν, ὃ ἐςιν ἰχυρόν. B. οἱ δὲ τὴν μὴ ἔχουσαν μαλλίον. Leid.

πτῶκα λαγωόν: ἰδίως τὸ πτώξ ἐπὶ λαγωᾶ. V. παρὰ τὸ πτήσσειν· δειλὸν γ̓ τὸ ζῷον. D.

314. κόρυθι δ' ἐπένευεν: ἕτός ἐςιν ὁ κορυθάϊξ. V.

ἔθειραι: νῦν καταχρηςικῶς αἱ χαῖται τῆς κόρυθος. V.

315. καλαί: αἱ πλείας δειναί. A.

317. νυκτὸς ἀμολγῷ: τὴν ἑσπέραν ἀμολγὸν καλεῖ· ᾗ τότε γ̓ ἀμέλγονται τὰ θρέμματα. λέγει δὲ ἀλλαχοῦ καὶ τὸ μεσονύκτιον. B.

318. ἀπὸ τοῦ ἑσπέρα ἕσπερος. τὸ δὲ ἑσπέρα παρὰ τὸ τῆς ἕω πέρας εἶναι. καλεῖται δὲ ὁ ἕσπερος καὶ ἑωσφόρος κατὰ καιρῶν μεταβολάς· ὅταν μὲν προηγούμενος τοῦ ἡλίου συνδύνῃ αὐτῷ πρῶτος τῶν ἄλλων, ἕσπερος, ὅταν δὲ ἑπόμενος ἡλίῳ προανατείλῃ, τότε ἑωσφόρος καλεῖται. κάλλιςος δέ ἐςιν, ἐπεὶ μέγας ᾗ λαμπρότατος (προσηνής, Ἀφροδίτης χάριν ἀπολάμπων V). θαυμασίως ἓν ὁ ποιητής, ὅτε μέν ἐςιν ἑωσφόρος, φησὶν „ἔρχεται ἀγγελίων φάος ἠῦς ἠριγενείης" (Od. 13, 94) ᾗ „εἶσι φόως ἐρέων" (Il. 23, 226)· ὁρῶμεν γ̓ αὐτὸν ἀνατέλλοντα ὑπὲρ τὸν ὁρίζοντα. ὅτε δέ ἐςιν ἕσπερος, ἐδεὶς αὐτὸν ὁρᾷ ἀνατέλλοντα, ἀλλ' ὑπὲρ τὴν γῆν μετέωρον ἑςάμενον ἐν τῷ δύνοντι τῷ ἐρανῷ μέρει. BV.

ἡ διπλῆ, ὅτι νῦν τὸν ἕσπερον κάλλιςον, ἐν ἄλλοις δὲ (Od. 13, 93) τὸν ἑωσφόρον φαάντατον· ᾗ ἐ δεῖ ὡς μαχόμενον λαμβάνειν. ἕτερον δὲ τὸν ἕσπερον ὡς ἂν παλαιὸς οἶδε τοῦ ἑωσφόρου. A.

τὸν ἕσπερον Πέρσαι μὲν Τῆρων, Ἕλληνες δὲ Ἀπόλλωνά φασιν. V.

ἕςαται: ᾗ μὴν τῶν πλανητῶν ἐςὶν ὁ τῆς Ἀφροδίτης. ἢ ἓν ἀντὶ τοῦ ἀνίςαται, ἀνατέλλει· ἢ πρὸς τὴν ἡμῶν φαντασίαν, καθὸ ἐ δυνάμεθα συνιδεῖν τὸν δρόμον αὐτοῦ. B.

319. εὐήκεος: καλὴν ἀκὴν ἐχούσης. B.

ὅτι ἐπὶ τῶν αἰχμὰς ἐχόντων εὐήκεος λέγει ᾗ τανυήκεος· τὴν γ̓ αἰχμὴν ἀκὴν λέγει. ᾗ ὅτι κυρίως ἐνταῦθα ἐπὶ τῆς ἐπιδορατίδος τῆς εὖ ἠκονημένης, ἐκεῖ δὲ παρῆκθ τὸ „τανυήκεας ὄζους" (Il. 16, 768). A.

321. ὅπῃ εἴξειε: ὅπου χωρήσειεν ἡ αἰχμή. B. ᾗ ἀλλαχοῦ „πλευρὰ τά οἱ κύψαντι παρ' ἀσπίδος" (Il. 4, 468). φυλάσσεται γ̓ τὰ τοῦ πατρὸς ὅπλα τρῶσαι. ἐμφαίνει δὲ ὅσον ἐρεθισμὸν ἐνεποίει Ἀχιλλεῖ ἡ θέα αὐτοῦ. V.

322. ὅτι ἔτως εἰώθε λέγειν ἄλλο τόσον, ἐπειδὰν ἀπολείπῃ τι τοῦ ὅλου μικρὸν τέλος· „οἱ δή τοι τόσσον μὲν ἔχον τέλος" (Il. 18, 378). ᾗ ἐνθάδε ἓν τὸ μὲν ἄλλο σῶμα καθώπλιςο, γυμνὸν δὲ μόνον διεφαίνετο ἀπὸ τῶν ὤμων ἐπὶ τὸν αὐχένα. A.

ὅταν τὸ μὲν ἀπολειπόμενον ἔλασσον εἴη, τὸ δὲ γεγονὸς πλεῖον, τόσσον φησίν· „οἱ τόσσον μὲν ἔχον τέλος" (Il. 18, 370) „τὸ μὲν ἄλλο τόσον φοίνιξ ἦν" (Il. 23, 454). λέγει δὲ ὅτι τὸ μὲν πλεῖον σῶμα τὰ τεύχη κατεῖχε κρυπτόμενον. B. οἱ δὲ γλωσσογράφοι τόσον ἀντὶ τῦ τὸ σῶμα. V.

324. φαίνετο δ' ἦ κλῆῖδες: ἔν τισι τῶν ὑπομνημάτων φαῖνεν δὲ κλῆῖδες, ἵν' ἦ ἐπὶ τῶν τευχέων, τὰ τεύχη ἐκ ἐκάλυπτε τὴν λαυκανίην, ἀλλ' ἐποίει φαίνεσθαι. A.

φαίνετο δὲ κλῆϊδες: ἔν τισι φαῖνον δὲ ἦ κλῆϊδεσιν. V.

ἄλλως. ἐφαίνετο δὲ κατὰ τὴν λαυκανίαν, ἥπερ αἱ κλῆῖδες αἱ ἀπὸ τῶν ὤμων διήκουσαι συνέχουσι τὸν αὐχένα. V.

τὸ μὲν ἄλλο σῶμα ἐσκέπετο· ἐκεῖνος δὲ ὁ τόπος ἐφαίνετο, ὅπου αἱ κλῆῖδες τῆς λαυκανίης τὸν αὐχένα συνέχουσιν. κλῆῖδες δὲ αἱ ἀπὸ τῶν ὤμων διήκουσαι διατάσεις τῶν νεύρων ἃς συνέχουσαι τὸν αὐχένα. λαυκανίη δὲ ἡ περὶ τὸν γαργαρεῶνα τῶν ἔξωθεν μυῶν συνοχή. B.

325. ψυχῆς ὤκιχος ὄλεθρος: καίτοι ἀθάνατον οἶδε τὴν ψυχήν. νῦν ἐν τὴν ἀφάνειάν φησιν αὐτῆς ἃ τὸν ἀπὸ τῦ σώματος χωρισμόν. Πραξαγόρας δὲ ἐν τῇ ἀνατομῇ ὕτως φησί· „μετὰ δὲ τὴν τῆς γλώττης θέσιν ὑπέρκειται κατὰ τὸ ἔχατον τῦ ἀρανῦ ἡ κιονίς· μετὰ δὲ ταῦτα φάρυγξ ἃ σύμαχος. ἔχει δὲ ὁ μὲν φάρυγξ ἐκ τῦ ἐμπροσθίου, ὁ δὲ σύμαχος ἐκ τῦ ὀπισθίου, προσπεφυκὼς τοῖς τῦ τραχήλυ σπονδύλοις. ἃ ὁ μὲν φάρυγξ ἐμφύεται εἰς τὸν πνεύμονα, ὁ δὲ σύμαχος εἰς τὴν κοιλίαν. μεταξὺ δὲ φάρυγγος ἃ γλώσσης ἐπιγλωσσίς, ἐπιπωματίζουσα τοῦ φάρυγγος τὸ στόμα. Ποσειδώνιος δέ φησι κατὰ ῥιπὴν τῆς τροφῆς σκέπεσθαι ὑπὸ τῆς ἐπιγλωττίδος τὸν βρόγχον. BDLeid.

326. ἐπὶ οἱ: ἐπὶ αὐτῷ. ὀρθοτονητέον δὲ τὴν οἱ. V.

328. ἀσφάραγος ὁ γαργαρεών. ἴσως δὲ ἐκκλίναντος αὐτοῦ πλαγία γέγονεν ἡ πληγὴ ἃ ὁ διεκόπη ὅλος. ἃ τοῦτο δέ, ἵνα ἃ ἀποθνήσκων μὴ ἀπροσφώνητος ᾖ. εἴωθε δὲ τὰ ἐκ τύχης ὡς ἐξ αἰτίας λέγειν. B. „ἦλθε δ' ἐπὶ νότος ὦκα ὄφρ' ἔτι τὴν ὀλοήν" (Od. 12, 427) „ὥρσαν νύμφαι ὄφρα δειπνήσειαν ἑταῖροι" (Od. 9, 154). ἔστι δὲ πρόληψις ὁ τρόπος. V.

329. ἀθετεῖται, ὅτι γελοῖος, εἰ ἡ μελία ἐπετήδευσε μὴ ἀποτεμεῖν τὴν ἀσφάραγον, ἵνα προσφωνήσῃ τὸν Ἀχιλλέα. ἀπολογούμενοι δέ φασιν ὅτι τὸ ἐκ τύχης συμβεβηκὸς αἰτιατικῶς ἐξενήνοχεν. διὰ τὸ ὅμοιον ἀθετεῖται κἀκεῖνο (Od. 17, 359) „εὖθ' ὁ δεδειπνήκει, ὁ δὲ παύσατο θεῖος ἀοιδός." A.

331. ἄφαρ ἀντὶ τῦ εὐθέως, κάφως, ἀφρόνως. ἴσως ἐπεὶ ἔλεγε „τίς δ' οἶδ' εἴ κ' Ἀχιλλεὺς φθίῃ ὑμῶν ὑπὸ δουρί" (Il. 16, 860). V.

332. σῶς: τινὲς ἐκ τῦ σόος. ἀλλ' ἔδει σᾶς. τινὲς δὲ ἀπὸ τῦ σαός. Ἀλκαῖος δὲ ἃ τὰ δύο οω εἰς ω συναλείφει. ἐπὶ νοῶν δέ τινες ἐπὶ νέας τε ἃ εἰσὶ αὗται ἀντὶ τῦ ἐπὶ νεῶν. V.

οὐδέν: ψιλῶς, ἵνα παρέλκῃ τὸ δεν. δύναῖ δὲ ἃ δασέως. ἔχει δὲ ἀντὶ τῦ ἐμοῦ. V.

333. ἀμείνων: σῦ δηλονότι· ἐ γ' φιλῶν Πάτροκλον συνέκρινεν ἂν αὐτὸν ἑαυτῷ. B.

334. μετόπισθε: ἢ τοπικῶς, ὡς τὸ „νῦν δέ σε τῶν ὄπιθεν γενάζομαι" (Od. 11, 66), ἢ χρονικῶς ἀντὶ τῦ μετὰ ταῦτα. B.

335. σὲ μὲν κύνες: ἀφορμὴν αὐτῷ δέδωκε δεήσεως, ἀπειλήσας περὶ τῆς αἰκίσεως· πολλὴν γὰρ εἶχε πρόνοιαν τῦ θάπτεσθαι. B.

336. ἐλκήσουσ' ἀϊκῶς: οἱ περὶ Ἀντίμαχον ἐπὶ τὸ γνωριμώτερον ἐλκήσουσι κακῶς. A.

ἀϊκῶς: ἀπὸ τῦ αἰκίας, ὃ δηλοῖ τὸ αἰκισικῶς, γίνεται αἰκῶς καὶ ἀϊκῶς. B.

οἱ μὲν δισυλλάβως αὐτὸ προφέρονται, οἱ δὲ συνεζάλθαι φασί. περισπᾶται δέ· ἔχει γὰρ ἐκ τῦ ἀϊκίας πεπονθός, ὃ σημαίνει τὸ αἰκισικῶς ἃ χαλεπῶς. V.

337. ὀλιγοδρανέων: ὀλίγον τῦ δρᾶν ἔχων. πολὺς δὲ ἔλεος τῦ πρὸς τῷ τελευτᾶν φωνὴν ἀφεῖντος. B.

338. ὑπὲρ ψυχῆς: κατὰ ψυχῆς, ὡς τὸ „ὑπὲρ πατρὸς καὶ μητρὸς γενάζομαι" B.

342. ἦ διπλῆ, ὅτι ἃ οἱ ἐπὶ τῆς ἰδίας πατρίδος τελευτῶντες διὰ πυρὸς ἐθάπτοντο. A.

343. λελάχωσι: ἦ διπλῆ, ὅτε ἀντὶ τῦ λαχεῖν ποιήσωσιν. A.

344. τὸν δ' ἂρ' ὑπόδρα ἰδών: ἐν ἄλλῳ τὸν δ' ἀπαμειβόμενος. A.

346. Θυμὸς ἀνήῃ: προθυμία με ἀναπείσῃ. A.

τὸ ἑξῆς, ἐκ ἔχιν ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι καὶ γάρ πως αὐτόν με μένος ἃ θυμὸς ἀνήῃ ὧμ' ἀποταμνόμενον κρέα ἔδμεναι. μεταξὺ δὲ ἀνεφώνησε τὸ οἷά μ' ἔοργας. BLeid.

ἐκλύει τὴν ἔμφασιν τὸ ἀποταμνόμενον, εἰ μὴ ἀντὶ τῦ ἀποσπαράσσοντα κεῖται. B. ἔχε δὲ ὡς τὸ „ὠμὸν βεβρώθοις" (Il. 4, 35) καὶ „ἐδέμεναι προσφύσα" (Il. 24, 213). V.

347. κατὰ συζυγίαν τὸ κρέα ἀνεγνώσθη, ὥσπερ ἃ ἐν τῇ συνηθείᾳ. ἐκτείνει δὲ ὁ Τυραννίων. ἀλλ' ἐνίοτε ὁ ποιητὴς κρέα εἶπεν. V.

348. ὡς οὐκ ἔσθ' ὅς: οὐδὲ νεκρὸς ὢν ἕξεις τὸν βοηθήσοντα. V.

βέλτιον πρὸ τούτου σίζειν, καὶ τὸ ὡς εἰς τὸ ἕτω μεταλαμβάνειν. A.

Ἀρίσαρχος ὡς χωρὶς τῆς βαρείας. Paris.

349. οὐδ' εἴ κεν: ἤτοι ἀπὸ τούτου ἀρκτέον, ἵνα ὑποσίζωμεν ἐνθάδ' ἄγοντες, ἄλλα, τῆς ἀνταποδόσεως ἔσης οὐδ' ὡς σέ γε πότνια μήτηρ· ἢ τοῖς ἄνω προσαπτέον „ὡς οὐκ ἔσθ' ὅς σῆς γε κύνας, οὐδ' εἴ κεν δεκάκις τε" καὶ τὰ ἑξῆς ἔσαι δὲ ἀπ' ἄλλης ἀρχῆς „οὐδ' ὡς σέ γε πότνια μήτηρ. B.

σημειῶνταί τινες πρὸς τὴν εἰκοσινήριτα λέξιν, ὅτι πρὸς εἴκοσι ἐξισάμενα, εἰκοσαπλᾶ. A.

εἰκοσαπλᾶ, εἰκοσάκις ἐξισάμενα τοῖς ὑπὸ σῦ νοεμένοις δώροις· τὸ γ' ἐρίζειν ἃ ἐπὶ τῦ ἐξισῦσθαι τάσσεται. A. „Νέσωρ οἷος ἔριζεν" (Il. 2, 555) „ἐριζέμεν οὐκ ἐθελήσω" (Od. 8, 223) καὶ „μεγήριτα τέκνα θεάων" (Hesiod. Th. 240) οἷον θεοῖς ἐρίζοντα. V.

τὸ εἰκοσινήριτ' ὑφ' ἓν ἀναγνωσέον, ὡς τὸ εἰκοσά-

βοια· ἔχαι δὲ πρὸς εἴκοσιν ἐρίζοντα, ὃ ἔχιν ἐξιδούμενα. παραφυλακτέον δὲ ὅτι ὁ εἴκοσιν ἀριθμὸς εἰς ν̄ καταλήξας συνετέθη· τὸ γὰρ ν̄ τῶ εἴκοσίν ἐχι. B.

350. σήσω᾽: παραχήσωσιν, ἢ ἰσόζαθμά σοι κομίσωσιν. B.

351. οὐδ᾽ εἴ κεν: ἐδὲ ἐάν σοι ἰσοζάθμῳ χρυσῷ ἀναλαβεῖν βουληθῇ· ἐδὲ ἐὰν θελήσῃ σε πρὸς χρυσὸν ἀντιζῆσαι (ἐρύσασθαι γὰρ νῦν τὸ ζυγοσατῆσαι D). τοῦτο δὲ ὑπερβολικῶς εἶπεν. B.

ἡ διπλῆ, ὅτι ὑπερβολικῶς λέγει, ὁ δὲ Αἰχύλος ἐπ᾽ ἀληθείας ἀνθισάμενον χρυσὸν πεποίηκε πρὸς τὸ Ἕκτορος σῶμα ἐν Φρυξίν. B. ὁ μέντοι Αἰχύλος Ἕκτορος λύτροις ἀληθὲς αὐτὸ ἐξεδέξατο. V.

354. κατὰ πάντα δάσονται: ἀντὶ τῶ κατέδονται. ἔμφασιν δὲ ἔχει τῆς διακοπῆς τὸ ὑπερβατόν. B.

355. τὸν δὲ καταθνήσκων: δαιμονίως τῶν καιρῶν ἔχεται· ἔμπροσθεν μὲν γὰρ ὠλιγοδράνει παρ᾽ αὐτὴν τὴν τρῶσιν, νυνὶ δὲ ἤδη καὶ ἀποθνήσκει. BV.

356. τὸν ἢ σύνδεσμον περισπαστέον· ἔχι γὰρ βεβαιωτικός. A.

προτιόσσομαι: προσφθέγγομαι, παρὰ τὴν ὄσσαν. ἀλλ᾽ ἐκ οἶδεν ὁ ποιητὴς τὸ ὄσσα ἐπὶ θνητῆς φωνῆς. ἔχιν ἐν ἀντὶ τῶ προορῶμαι. BV. ὡς „ὀσσόμενος πατέρ᾽ ἐῶλόν" (Od. 1, 115). V.

ἡ διπλῆ, ὅτι ἀπὸ τῶν ὄσσων ἡ μεταφορά. προβλέπω τῷ νῷ, ἀντὶ τῶ προέβλεπον· ἠλλαγὴ γὰρ ὁ χρόνος. καὶ πρὸς τὸ ἀὐ᾽ ἄρ᾽ ἔμελλον ἀντὶ τῶ ἐκ εἰκὸς ἦν με πείσειν. A.

358. θεῶν μήνιμα: τῆς ἐκ θεῶν σοι βλάβης αἴτιος. A.

μὴ ὁ ἐμὸς θάνατος τὴν ἐκ θεῶν μῆνιν ἐπὶ σὲ ἐρεθίσῃ. BV. ἐπεὶ καὶ αὐτόν σε δείσει ὑπὸ Τρώων ἑλκυσθῆναι. V.

359. ἤματι τῷ: τῇ ἑξῆς μετὰ τὰς ταφὰς ἀνῃρέθη· „αὐτίκα γάρ τοι ἔπειτα μεθ᾽ Ἕκτορα πότμος" (Il. 18, 96). V.

οἱ μέν φασιν ὅτι ταῦτα λέγει, ἐπεὶ αἱ ψυχαὶ ἐξερχόμεναι μαντικαὶ γίνονται, οἱ δέ, ὅτι ζοχάζεται αὐτὸν εἰς τὴν πόλιν εἰσελθεῖν σπεύδοντα καὶ λοχηθῆναι ὑπονοεῖ. BV.

362. ψυχὴ δ᾽ ἐκ ῥέθεων: σημειῶνταί τινες ὅτι μόνη κάτεισιν εἰς Ἅιδα ἡ ψυχή, καὶ δεῖται τῆς Ἑρμῆ παροπομπῆς. A.

365. κῆρα δ᾽ ἐγὼ τότε δέξομαι: καλὸν τοῖς νέοις μεμνῆθαι τῶν ἐπῶν· ὁ δὲ Ἕκτωρ φιλόψυχος ὢν φησι πρὸς Πάτροκλον „τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον" (Il. 16, 859). ὑπερβολὴ δὲ μανίας τὸ πρὸς νεκρὸν ὁμιλεῖν. B.

367. καὶ ἐκ νεκροῖο: ἔχι πάλιν ὡς ἐπὶ γραφῆς τὸ πᾶν σκοπῆσαι. V.

369. ἄλλοι δὲ περίδραμον: ὡς ἐπὶ παράδοξον γὰρ πρᾶγμα συντρέχουσι. B.

370. φυὴν καὶ εἶδος ἀγητόν: καὶ ταῦτα εἰς οἶκτον τῶ ἀνῃρημένω. B.

371. ἀνάστητί: εἰ μὴ ἔτρωσεν αὐτόν. V. δημώδης πλήθος τὸ ἔργον· συνέχονται γὰρ δύο πάθεσιν, ἐκπλήξει τε καὶ μίσει. αὔξεται δὲ διὰ τάτε ἡ ἀρετὴ τῶ κειμένω. BV.

373. ἦ μάλα δή: σαρκαστικῶς ὁ λόγος, ὅταν ἐν ἐπαίνῳ λεγόμενος ψόγον ἔχῃ, ὡς τὸ „ἦ μάλ᾽ ἐλαφρὸς ἀνήρ" (Il. 16, 745) καὶ „ὄφρ᾽ ἐπὶ νηυσὶ σὺν ὦμεθα" (Il. 13, 384). AV.

375. καὶ οὐτήσασκε παρασάς: ἅμα λέγοντες ἐπέτρωσκον. τὸ δὲ ὁμοιοτέλευτον σχῆμα ἐκ ἐπὶ τέλους· ἔνθεν λανθάνει τὸν ἀκροατὴν προσέχοντα ταῖς αἰκίαις Ἕκτορος. V.

ἡ διπλῆ, ὅτι ἐ πάντως πρότερον ἔλεγον, ἀλλ᾽ ἅμα παίοντες ἐπεφώνουν, ὥς᾽ εἶναι, ὡς ἄρα τις ἔλεγε καὶ ἐτήσασκε. A.

τῶ Σεναχηρείμ. πολλῶν ἠθετημένων στίχων ἔτος πῶν ἄλλων δικαιότερος ἀθετεῖσθαι. ἐ μόνον γὰρ σεμνότητος καὶ ὠμότητος ὑπερβολικῆς ἔμφασίς ἐχι δι᾽ αὐτῶ, ἀλλὰ καὶ θηριώδης ἀγριότητος καὶ ἀπανθρωπίας. καὶ ἐ τῶτο μόνον, ἀλλὰ καὶ τὸ μεῖζον, ὅτι ἡ μεγαλοπρέπεια τῶν Ἑλλήνων, ἣν διὰ πολλῶν λόγων καὶ πραγμάτων καὶ μεθόδων καὶ οἰκονομιῶν καὶ μεταβολῶν συνέχεσεν ὁ ποιητής, ὑφ᾽ ἑνὸς τάτε μόνε στίχε καταβέβληται, τὴν ἐχάτην ἐπιμαρτυρῶντος αὐτοῖς εὐτέλειαν καὶ ἀθένειαν. τίς γὰρ ἐκεῖνα παραδέξεται, βλέπων αὐτὸς νεκρὸν σῶμα βάλλοντας; ἐ γὰρ τὸ αἰκίζειν τόσον, ὅπερ Ἀχιλλεὺς ποιεῖ. ἐκεῖνο γὰρ τεθεράπευται πολλαχόθεν. ἔτοι δὲ ηὐτελισμένοι παντάπασιν ἐλέγχονται, καὶ μᾶλλον οἱ μὴ ζῶντος αὐτῶ ἀντιζῆναι δυνάμενοι, νῦν δὲ τιτρώσκοντες. Leid.

378. ὦ φίλοι: ἡ διπλῆ, ὅτι Ζηνόδοτος ἀντὶ τάτε πεποίηκεν „Ἀτρείδη τε καὶ ἄλλοι ἀριζῆες Παναχαιῶν." ἐ πάρεσι δὲ ὁ Ἀγαμέμνων ἐπὶ ταύτης τῆς μάχης, ἀλλ᾽ ἐπὶ τῆς σκηνῆς ἔτι τραυματίας ὤν. A.

Ἑλληνικῶς κοινοποιεῖ τὴν νίκην, τὸ συμμαχικὸν ἀναζωπυρῶν. οἴχεται φησὶ τὰ πράγματα μετὰ τελευτὴν Ἕκτορος. BL.

379. παιδευτικὸν καὶ τῶτο πρὸς εὐσέβειαν· ἐπὶ τηλικάτῳ γὰρ κατορθώματι ἐδὲν ἀλαζονεύεται. τὴν δὲ αἰτίαν τοῦ πράγματος προῄθηκεν· ἔδει γὰρ εἰπεῖν δεῦτε πειραθῶμεν εἰ καταληψόμεθα τὴν πόλιν, ἐπειδὴ τόνδε ἄνδρα. BLeid. ἔχι δὲ ὅμοιον τῷ „πολλοὶ γὰρ τεθνᾶσι" (Il. 7, 328). V.

ὅτι τὴν αἰτίαν προτέταχεν, ἐπειδὴ τόνδ᾽ ἄνδρα θεοί. ἔδει δὲ ἕτως „εἰ δ᾽ ἄγετ᾽, ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν, ὄφρα κ᾽ ἔτι γνῶμεν Τρώων νόον, ἢ καταλείψουσι πόλιν ἄκρην τῶδε πεσόντος, ἠὲ μένειν μεμάασιν, ἐπεὶ δὴ τόνδ᾽ ἄνδρα θεοὶ δαμάασαθ᾽ ἔδωκαν." ὁ δὲ Διονύσιος δισάζει μὴ πρὸς τὴν ἀπόλειψιν τῶ χρόνου· παρασκευάζει γὰρ τὸ „ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο" (Il. 23, 2) καὶ „ἐπίτονος βέβλητο" (Od. 12, 423)· τὰ γὰρ τοιαῦτα ἐσημειῶντο πρὸς κρίσιν ποιημάτων, ὅτι σπανίως Ὅμηρος κακομέτρως ποιεῖ. A.

σημειωτέον ὅτι καὶ ἀκεφάλοις χρῆται ὁ ποιητής, ὥςε ἐ δεῖ προπερισπᾶν τὸ „φίλε κασίγνητε" (Il. 5, 359). VD.

380. γράφεται ἔρδεσκεν. A.

381. ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν: στρατηγικῶς μὲν τὸν καιρὸν συνίησι, καταπλήσσων τὸς πολεμίως παρὰ τὴν πτῶσιν τῶν ἀπολωλότων· φιλοσόργως δὲ μετάγεται, τὸ φιλέταιρον προθεὶς τῶ φιλοτίμω. B.

385. ἀλλὰ τίη: ἐνταῦθα ἀνακύπτει τὸ δεξιὸν τῆς οἰκονομίας, τὸ πρὸ τῆς Πατρόκλε ταφῆς ἐξιέναι τὸν Ἀχιλλέα. ἄλλως. οἱ περὶ Ἡρόδικόν φασι προφασίζεσθαι αὐτὸν τὸν περὶ τὰς Σκαιὰς πόλεμον. V.

388. ὅτι ζωὸς ἐν Ἀργείοισι φιλοπτολέμοισι μετείω. A.

390. αὐτὰρ ἐγὼ καὶ κεῖθι: κάλλιςα πρὸς φιλεταιρίαν τὰ ἔπη καὶ φίλοις ἀναγινώσκειν ἁρμόδια. B. ἀμέλει καὶ ἐν Ἅιδου συνὼν αὐτῷ ὁρᾶται. V.

391. παιήονα: τὸν ἐπὶ καταπαύσει κακῶν ᾀδόμενον ἢ ἐπὶ τῷ μὴ γενέσθαι. V.

ȣ̓ μόνον συμποτικὴ ϗ μετ' ὀρχήσεως ἡ πάλαι μȣσική, ἀλλὰ ϗ εἰς θρήνȣς ἐπιτηδεία· ἥ τις ϗ μέχρι τῶν Πυθαγορείων ἐθαυμάζετο, καλȣμένη κάθαρσις. περὶ δὲ τὴν ἐαρινὴν εἰς ταὐτὸν συνιόντες ἤκȣον ἑνός, ὃς μέσος καθήμενος ᾖδε λύριον ἔχων ταῖς ἠρεμαίοις ἁρμονίαις. Ἀχιλλεὺς δὲ μόνος ϗ Πάρις οἶδε παρ' Ὁμήρῳ, ὁ μὲν ὑπὸ Χείρωνος τȣ̃ ϗ Ὀρφέα παιδεύσαντος, ὁ δὲ ἐν Ἴδῃ τραφείς, οὗ διέτριψαν Ἰδαῖοι δάκτυλοι μȣσικώτατοι γεγονότες ϗ πολλὰ εἰς τήνδε τὴν τέχνην, ὧν ἕνα Κρινόεντά φασιν, ὃς πρῶτος Μȣ́σαις ἔθυσεν· ȣ̃ ἀπόγονος Τέρπανδρος ὁ Ἀντισσαῖος. ἐπὶ δὲ τȣ̃ „ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι" (Od. 14, 464) οὐκ ἀποδοκιμάζων τὸ ᾄδειν φησίν, ἀλλὰ διὰ τὸ μάλα. τὸ δὲ „ἁπαλὸν γελάσαι" (ib. 465)· ὅ ἐςι ϗ ᾆσαι. ἡ δὲ ἁπαλὴ ὄρχησις μόθων ϗ βαυκισμὸς καὶ χεδισμὸς ἅπαντα τοῖς μαλακοῖς δέδοται. V. πῶς δὲ τὸν πολέμιον Ἀπόλλωνα ὑμνεῖ; ȣ̃ ὁ ὕμνος. ἢ ὡς Τρῶες Ἀθηνᾶν εὐμενίζονϑ (Il. 6, 87), ȣ̃τως ȣ̃τος τὸν θεόν· ȣ̓δεὶς γ' ἐχθρὸς εἶναι δύναται θεῷ. ἢ εὕρημα μὲν αὐτοῦ ὁ παιάν, οὐ πάντως δὲ ἀεὶ εἰς αὐτὸν ᾀδόμενος. BV. μετὰ δὲ τὴν νίκην τοῦ δράκοντος αὐτὸν ἐξεῦρεν. V.

393. 394. ἀθετοῦνται ςίχοι δύο, ὅτι παρὰ τὴν ἀξίαν Ἀχιλλέως οἱ λόγοι· αὐτὸς γ' ἦν ὁ λέγων (Il. 16, 243) „ὄφρα ϗ Ἕκτωρ εἴσεται ἤ ῥα ϗ οἶος ἐπίςηται πολεμίζειν ἡμέτερος θεράπων." A.

395. ἀεικέα: χαλεπὰ ϗ αἰκιςικά, ἢ ἀπρεπῆ. μήδετο δὲ ἀντὶ τȣ̃ εἰργάζετο. B.

396. ἡ διπλῆ, ὅτι νῦν τένοντας εἶπε τὰ διατεταμένα τῶν σφυρῶν νεῦρα ὄπισθεν τῆς κνήμης. A.

397. ἐς σφυρὸν ἐκ πτέρνης: διὰ τί Ἀχιλλεὺς θανόντα σύρει τὸν Ἕκτορα; ϗ λέγομεν ὅτι οὐ δι' ὠμότητα, ὅς γε ϗ Ἠετίωνα φονεύσας ȣ̓κ ἐσύλησεν ἀλλὰ σὺν αὐτοῖς τοῖς ὅπλοις ἔθαψεν (Il. 6, 417), ἀλλ' ὅτι πρότερος ὁ Ἕκτωρ εἰς τὸν Πάτροκλον „ἀεικέα μήσατο ἔργα," οἷα ϗ λέγει περὶ αὐτȣ̃· „κεφαλὴν δέ ἑ θυμὸς ἄνωγε (ἀνώγει Leid.) πῆξαι ἐπὶ ἀνὰ L) σκολόπεσσι, ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς" (Il. 16, 176)· παρανομȣ̃σι δὲ ȣ̓χ οἱ ἀμυνόμενοι ἀλλ' οἱ ἄρξαντες. ὁ δὲ Καλλίμαχός φησιν ὅτι πάτριόν ἐςι Θεσσαλοῖς τȣ̀ς τῶν φιλτάτων φονέας σύρειν περὶ τȣ̀ς τῶν φονευθέντων τάφȣς· Σίμωνα γάρ φησι, Θεσσαλὸν τὸ γένος, Εὐρυδάμαντα τὸν Μειδίȣ ἀποκτείναντα Θράσυλλον τὸν ἀδελφὸν αὐτȣ̃ ἄρξασθαι τȣ̃ νόμου πρῶτον· τοῦτον γ' ἐξάψαι τȣ̃ δίφρου τὸν φονέα ϗ περὶ τὸν τοῦ τετελευτηκότος τάφον ἕλκειν. ὡς Θεσσαλὸν ȣ̓ν ϗ τὸν Ἀχιλλέα πατρίῳ ἔθει ϗ τȣ̃το ποιῆσαι ϗ δῆσαι τὸν Ἕκτορα. ABLeid.

ἐκ τῶν σφυρῶν ϗ τȣ̃ κάτω μέρȣς τῆς πτέρνης ἐτρύπησεν, ὥςε ὑπολύσασθϑ τὴν ἀγκύλην. B.

ἐκ τȣ̃ ὑποκάτωθεν μέρȣς τȣ̃ κατὰ τὴν πτέρναν ὡς ἐπὶ τὸ σφυρόν, ὥςε ὅλην λύσασθϑ τὴν ἀγκύλην. Λεπτίνης δὲ κακῶς φησὶν ἐκ πτέρνης τȣ̃ ἅρματος. V.

402. πίλναντο: ἔν τισι πίμπλαντο. A.

πίτναντο: ἐξεπετάννυντο, διὰ τοῦ τ̄. τινὲς δὲ πίδναντο. V.

ἐξεπετάννυντο ϗ πρὸς γῆν ἥπλωντο. B.

403. δυσμενέεσσι: ἐν ἄλλῳ τερπικέραυνος. A.

πῶς ὁ ϗ παρὰ τὴν εἱμαρμένην θέλων σώζειν ȣ̓κ ἤμυνεν; ἢ ὅτι παρείπετο τῷ θανάτῳ ἡ αἰκία· ἐάσας ȣ̓ν ἀποθανεῖν, καὶ αἰκισθῆναι εἴασεν. ἢ τὸ δῶκεν ἀντὶ τοῦ οὐκ ἤμυνεν. V.

406. τίλλε κόμην: ȣ̓ λειποψυχεῖ ὡς ἐθὰς φόνων υἱῶν πολλῶν ϗ προαρξαμένη τῆς λύπης ἐν τῷ διώκεσθαι αὐτόν. τῇ δὲ Ἀνδρομάχῃ ἀθρόον προσέπεσε τὸ πάθος. BLeid.

πῶς Ἑκάβη μὲν ȣ̓ πίπτει, Ἀνδρομάχη δὲ τȣ̃το πάσχει; ῥητέον ȣ̓ν ὅτι ἐκείνη μὲν ἐκ τȣ̃ κατ' ὀλίγον ϗ ἐκ προσαγωγῆς δεξαμένη τὸ πάθος ȣ̓χ ἡττήθη τῷ κακῷ τοσȣ̃το, Ἀνδρομάχῃ δὲ ἀπροσδοκήτως ἐμπεσὸν εἰκότως ἐπεκράτησεν (467). AD.

ἀπὸ δὲ: ἤλλαξε τὴν τάξιν· ῥίψασα γ' ἔτιλλε. V.

408. ἐπὶ μὲν ἄῤῥενος ᾤμωξεν, ἐπὶ δὲ τῆς θηλείας κώκυσεν· ἡ μὲν γ' ἄναρθρος, ὁ δὲ μετὰ λόγȣ. καὶ ἑξῆς „κωκυτῷ τ' εἴχοντο" γυναῖκες δηλονότι „καὶ οἰμωγῇ" ἄνδρες. BV.

410. τινὲς τὸ ὡσεὶ διὰ τȣ̃ ῑ γράφȣσι ϗ δασύνȣσιν, ἀντωνυμίαν ἐκδεχόμενοι τρίτου προσώπȣ ἀντὶ τȣ̃ ὡς αὐτή· ἀλλ' ȣ̓ χρῆται αὐτῇ ὁ ποιητής. Σοφοκλῆς Οἰνομάῳ· „ἡ μὲν ὡσεὶ θάσσο. ἡ δὲ ὡσιτέξȣ παῖδα." ἔςιν ȣ̓ν δφί. V.

τινὲς περιέργως διὰ μόνȣ τȣ̃ ῑ γράφοντες ἀποδιδόασιν ὡς αὐτὴ ἅπασα. ȣ̓κ οἶδε δὲ ὁ ποιητὴς ȣ̓τε τὴν ῑ ȣ̓τε τὴν σφεῖς. ἔςιν ȣ̓ν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ (10, 419) „σοὶ μὲν νοςήσαντι, διοτρεφές, ὧδε χωρῆσαι, ὡς εἴ τ' εἰς Ἰθάκην ἀφίκοιτο." A.

ὁ λόγος τοιȣ̃τος· τοιȣ́τῳ θρήνῳ ὅμοιον ἦν ὥσπερ εἰ κατεφλέγετο ὑπὸ τȣ̃ πυρὸς ἡ Ἴλιος ἅπασα. B. καὶ Θȣκυδίδης „ȣ̓δὲν γ' ἄλλο ἢ πόλει ἁλισκομένῃ ἐῴκεσαν." V.

411. ὀφρυόεσσα: ἐπὶ ὀφρυώδȣς τόπȣ κειμένη. V. εἰς ὕψος πεπολισμένη. μεταφορὰ ὁ τρόπος. D.

ἡ διπλῆ, ὅτι θηλυκῶς ἡ Ἴλιος. τὸ δὲ σμύχοιτο καταφλέγοιτο. ὁ δὲ λόγος, τοιȣ̃τος δέ φησι θρῆνος διεγήγερτο ὡσπερεὶ τῆς Ἰλίȣ πάσης ὑπὸ πυρὸς καταφλεγομένης. Ἀρίςαρχος σμώχοιτο ἀντὶ τȣ̃ σμύχοιτο. B.

σμύχεσθϑ τὸ ἐκ τȣ̃ κατ' ὀλίγον αὔξεσθαι τὸ πῦρ τρεπόμενον ἐς φλόγα. B.

414. κατὰ κοπρον: ἀντὶ τȣ̃ κατὰ τὸ συρφετὸν τῆς γῆς. ἔςι δὲ ϗ ἐπίγραμμα ὃ εἰς Ἐπίχαρμον ἀναφέρεϑ· „εἰμὶ νεκρός, νεκρὸς δὲ κόπρος, γῆ δ' ἡ κόπρος ἐςίν· ἡ δὲ (εἰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέ τε Leid.) γῆ νεκρός ἐϛ', ἢ νεκρός, ἀλλὰ θεός." BV.

415. ἐξονομακλήδην: ἢ κοινῶς ἀλλ' ἰδίως. V.

416. καί μ' οἷον ἐάσατε: ὀνειδιστικῶς. εἰ ϗ ὑμεῖς, φησί, δειλιᾶτε ἐξελθεῖν, ἀλλ' ἐμὲ μόνον ἐάσατε. BV.

κηδόμενοί περ: ἔτως αἱ Ἀριϛάρχε, καίπερ ὀδυνώμενοι καὶ αὐτοί. A.

418. λείπει ὁ ἵνα, ἵνα λίσσωμαι. V.

ἀτάσθαλον ὀβριμοεργόν: λοιδορεῖ ὃν ἱκετεύει, ἐπεὶ ϛασιάζει ἐπ' αὐτῷ τῷ πάθει. B.

420. καὶ δέ νυ τῷδε πατήρ: προμελετᾷ τὴν ἱκετηρίαν· καὶ γ' ἱκετεύων τὰ περὶ τοῦ πατρὸς πρῶτον προβάλλεϑ· „μνῆσαι πατρὸς σοῖο" (Il. 24, 486). A.

423. τηλεθάοντας: ἀντὶ τῶ θήλειας ὄντας. ἢ γ' ἔγκειϑ τὸ τῆλε. V.

425. κατοίσεται: κατοίσει. V.

428. τὸ δυσάμμορος ἐπίθετον ἑκατέρωθι δύναται προσδίδοσθαι. βέλτιον δὲ ἴσως τοῖς ἑξῆς. A.

δεδιπλασίακε πρὸς τὴν ἐπίτασιν· τὸ γ' ὄυς καὶ ᾱ ταὐτὸν δηλᾶσιν. B.

429. πολῖται: γράφεται γέροντες. A. ἄμεινον δέ· ἁρμόζοντα γ' πατράσιν εἴρηκεν. V.

430. ἀδινᾶ: πυκνᾶ ϗ συνεχᾶς. ἢ οἰκτρᾶ κατὰ Αἰτωλάς. B. Ἀρίϛαρχος ἀθρόα. V.

431. ϛικτέον ϗ μετὰ τὸ τέκνον ϗ μετὰ τὸ δειλή. βέλτιον δὲ ἑξῆς συνάπτειν μετὰ τὸ τέκνον πάντα, ἵν' ᾖ τὸ ἑξῆς τί νυ βείομαι ἐγὼ δειλή, αἰνὰ παθοῦσα; A.

τέκνον: ἢ συνεχὴς τᾶ ὀνόματος ἀνάκλησις ἐπικαθίζει μικρόν. A.

τί νυ βείομαι: ἀντὶ τοῦ ἐς τί ἔτι βιώσω, ὃ ἐϛὶ ζήσω. A.

ἔτως Ἀρίϛαρχος, πῶς ζήσομαι. τὸ δὲ αἰνὰ τεκοῦσα ὡς τὸ δυσαριϛοτόκεια. τινὲς δὲ παθοῦσα. V.

Ἀρίϛαρχος διὰ τᾶ η, βήομαι βιώσομαι. A.

τὸ δὲ βείομαι Ἀρίϛαρχος διὰ τᾶ ἰῶτα γράφει, ἵν' ᾖ πῶς βιώσομαι καὶ ζήσομαι σᾶ θανόντος. τὸ δὲ αἰνὰ παθοῦσα τεκοῦσα γράφει, ἵν' ᾖ ὅμοιον τῷ δυσαριϛοτόκεια. τινὲς δὲ ἀντὶ τᾶ πῶς ἀποβήσομαι, πῶς φροντιεῖ θήσομαι, ὡς τὸ „ἔτι βέομαι Διός" (Il. 15, 194) ἤτοι ἐ φροντίζω. BV.

Πορφυρίω. τετέϛιν εἰς τί βιώσομαι. τὸ δὲ βείω παρὰ τὸ βαίνειν τὸν ζῶντα ἐπὶ τὴν γῆν· „ὄφρ' ἂν ἐγὼ βείω προτὶ Ἴλιον" (Il. 6, 113). ὅτι γ' ζῶντα λέγει τὸ ἕκαϛον ἐπὶ τῆς γῆς βαδίζειν „ὅϛα τε γαῖαν ἐπιπνείει τε ϗ ἕρπει" (Il. 17, 447). αἰῶνα δὲ λέγει τὸν ἑκάϛε βίον· „ἐκ δ' αἰὼν πέφαται" (Il. 19, 27)· ἔφθαρται δὲ αὐτᾶ ὁ βίος· ϗ „μινυθάδιος δέ οἱ αἰών" (Il. 4, 478). ὅπερ ἐν ἄλλοις „ἄνερ ἀπ' αἰῶνος νέος ὤλεο" (Il. 24, 725), ἀπὸ τοῦ βίου νέος, ἢ γηράσας τὸν βίον ἀδὲ τὸν αἰῶνα καὶ βίον πολυχρόνιον ἔχες. καὶ πάλιν „φίλης αἰῶνος ἀμερθῆς" (Il. 22, 58), ὅμοιον τῷ „γλυκὺς αἰών" (Od. 5, 152). καὶ τίς ὁ αἰὼν ἐξηγούμενος „τῇ περ ῥηΐϛη βιοτή" (Od. 4, 565). τὰ δὲ τῇ βιοτῇ ἀναγκαῖα βίοτος· „βίοτον δέ οἱ ἄλλοι ἔδϛι" (Od. 13, 419). ϗ ζωήν· „ἢ γάρ οἱ ζωὴ ἦν ἄσπετος, ᾧ τινι τόϛϛη" (Od. 14, 96). Leid.

433. εὐχωλή: ἐμοὶ μέν, φησί, δόξα, ϗ τοῖς δὲ πολίταις ὄφελος. AB.

434. οἵ σε θεὸν ὡς: καθ' ἑκάϛην ἐν ἡμέραν, φησίν, ὡς θεῷ σωτῆρί σοι ηὔχοντο. ϗ ὁ ζῶν ἰσόθεος νῦν οὐδὲ νεκρὸς εὐτυχής. AB.

437. ἄλοχος δ' ἔπω: ἅμα πάντα γέγονεν. ἀμέλει ϗ ἐξελθοῦϛα ἀκμὴν εὑρίϛκει αὐτὸν ὑπὸ τῶν ταχέων ἵππων ἑλκόμενον. ἀλλ' ἀδύνατον πάντα ὑφ' ἓν διηγήσαϑαι. V.

440. ἡ διπλῆ, ὅτι ἀϛυμπαθὴς ἡ Ἀνδρομάχη ἐν τοϛούτῳ θορύβῳ κατ' οἶκον ἀτρεμοῦϛα, καὶ ταῦτα τὴν Ἀχιλλέως ἔφοδον ἐκ ἀγνοοῦϛα. ἔοικεν ἐν, φησὶν ὁ Ἀρίϛαρχος, προκαταχρησάμενος ὁ ποιητὴς τῷ τῆς Ἀνδρομάχης προσώπῳ κατὰ τὴν πρὸς Ἕκτορος κοινολογίαν (Il. 6, 394) ἀπεσχῆϑ νῦν τᾶ προσώπε. A.

ἢ τὰ αὐτὰ γ' ἂν εἶπε τοῖς γονεῦϛι ϗ περισϛὴ ἐφαίνετο· ἢ ἐλεεινότερον εἰποῦϛα ϗ ἐλύετο ἢ ὑπὸ θεᾶ. V.

καλῶς τὸ μυχῷ προσέθηκε, πρὸς τὸ μὴ ῥᾳδίως αἰϑεσθαι. B.

441. δίπλακα: διπλοΐδα, ἣν οἷόν τε διπλῆν περιβαλέϑαι. ϑρόα δὲ τὰ βαπτὰ ἔρια. ἡ δὲ ἐν πρὸς τὸ ἔπασσεν. δηλοῖ δὲ κατὰ Κυπρίους τὸ ποικίλλειν· ἀφ' οὗ καὶ παχός. B.

γράφεται καὶ μαρμαρέην. V.

ϑρόνα: τὰ βαπτὰ ἔρια, κατὰ μετωσίαν, ὁμοίως τοῖς ποιοῦϛι τὰ ποιήμενα. AV.

ἄλλως. ἄνθη ποικίλα ἐξ ὧν βάπτωϛι. A.

444. Ἕκτορι ϑερμὰ λοετρά: αὔξει τὸ πάθος· τοϛοῦτον γ' ἀπέχει τᾶ ἐννοεῖν τι τῶν συμβεβηκότων ὡς καὶ λετρὰ τῷ ἀνδρὶ παρασκευάζειν, μονονοχὶ ὁρῶϛα τὸν Ἕκτορα· διὸ ϗ ἐπεφώνησεν ὁ ποιητὴς συμπαθῶς τὸ νηπίη ἐδ' ἐνόησεν, ὥϛπερ ἐλεῶν τὴν ἄγνοιαν αὐτῆς AB.

445. καθ' ἑαυτὸ τὸ νηπίη. A.

τῆλε λοετρῶν: εἰώθαμεν λέγειν ὅτι οὐκ ἐν τούτῳ ὁ παρών ἐϛι καιρός. V.

447. κωκυτᾶ δ' ἤκωϛε: ἀντὶ τᾶ θρήνε ἤκωϛεν. ἐζήτηται δὲ πῶς τοϛούτε γενομένε ϑορύβε μόλις Ἀνδρομάχη προῆλθεν; φαϛὶ δὲ ὡς ὅτι ἡ προτέρα τᾶ ἀνδρὸς ἐπίπληξις ἡ ἐν τῇ Z (490) σωφρονεῖν αὐτὴν ἀναγκάζει. ABD.

448. ἐλελίχθη: τρόμῳ ἐσείϑη. ἀνυπέρβλητον τὸ πάθος· ἐννοεῖν γ' χρὴ ποδαπὴ ἔϛαι ἐπιγνοῦϛα τὴν συμφοράν, ὁπότε ἐν ἀμφιβόλῳ τῇ ὑπονοίᾳ κατείληπται μὲν τρόμῳ, ὅπερ σημαινεῖ διὰ τᾶ τῆς δ' ἐλελίχθη γυῖα, ἀκρατὴς δὲ γέγονε τῶν ἐν χερϛίν. ἐ γ' ἀποβάλλει τὴν κερκίδα ὡς ἐγνωκυῖα τὸ κακόν, ἀλλὰ χαλαϑέντων αὐτῆ τῶν μελῶν ἐκπίπτει τῶν χειρῶν. BV.

κερκίς: παρὰ τὸ κρέκειν· ἐπῇδον γ' αὐταῖς. V.

451. ἐκυρῆς ὀπὸς ἔκλυον: δι' ἔθος μὲν γ' οἰμωγῆς ἦκε, τὸ δὲ τῆς Ἑκάβης λίαν αὐτὴν ἐξένισεν. B.

452. πάλλεται ἦτορ ἀνὰ ϛόμα: ἐμφαντικῶς δηλοῖ

τὴν ψυχὴν ἐκπηδῆσαι βιαζομένην. V.

νέρθε δὲ γύνα: ᾗ Καλλίμαχος „ἐκόλλησαν γὼ ἀνίαι γόνατα" (Lav. Pallad. 83). B.

455. Θρασὺν Ἕκτορα: οἶδε γὼ αὐτῷ τὸ φιλότιμον· φησὶ γῶν „φθίσει σε τὸ σὸν μένος" (Il. 6, 407). A.

ὅτι εἴωθεν ὁ ποιητὴς τὸ ἓν ἐν δύο περικοπαῖς φράζειν. V.

457. ἀλεγεινῆς: τῆς ἐμοὶ λυπηρᾶς. V.

459. τὸ ὃν μένος οὐδενὶ εἴκων: προέτρεχε, φησίν, οὐδενὶ παραχωρῶν τὴν ἑαυτῷ ψυχικὴν δύναμιν. B. ἐβόα γοῦν „δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι" (Il. 7, 75). V.

460. μαινάδι ἴσηι μαινομένῃ ἰοικυῖα, ὁμοία Βάκχῃ. V.

463. ἔξη παπτήνασ': εὖ τὸ μὴ πυθέσθαι παρ' ἑτέρων· ψυχῆς γὼ φιλάνδρου καὶ ταρασσομένης ἔργον τὸ αὐτόπτην εὐθέως γενέσθαι τῶν τοιούτων. B.

465. ἀπὸ τῆς Ἀχιλλέως διαθέσεως ἀκηδέσως φησὶ τοὺς ἵππους ἕλκειν. οἰκτον δὲ ἔχει ᾗ τὸ ἐν ὕψει τῶν φιλτάτων ἕλκεσθαι, ἑδενὸς ἀμύνειν δυναμένου. B.

466. τῆς μὲν τὸ πάθος ἐμάρανεν ἡ κατ' ὀλίγον θέα, τὴν δὲ ἡ αἰφνίδιος ὄψις ἐπάταξεν. B.

467. ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν: ὑπερβολικῶς, ἀντὶ τοῦ ἐξέπνευσεν. B.

468. αἱ Ἀρισάρχου βάλε δέσματα, αἱ δὲ κοιναὶ χέε. A.

ὅτι βέλτιον ἂν ἦν ἡ διάθεσις, εἰ μὴ ἐκπεπληγμένη τὰ ἐπὶ τῆς κεφαλῆς ἀπέβαλεν, ἀλλ' ὕστερον (476) ὅτε ἀναπινύσκεταί τε ᾗ ἑαυτὴν ἀναλαμβάνει, ἵν' ᾖ ὅτως „ἡ δ' ἐπεὶ ἓν ἄμπνυτο ᾗ ἐς φρένα θυμὸν ἀγέρθη, ἀμβλήδην γούωσα, τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα." A.

καὶ πῶς ἀποφύξασα ἐνεργεῖ; ἔξι δὲ σύνηθες Ὁμήρῳ τὸ ὀφειλόμενον ἁπλῶς ἑρμηνεύεσθαι ἐν δυσὶ περικοπαῖς ἐκφέρειν· „αὐτὰρ ἐπὴν δὴ πάντα τελευτήσῃς τε ᾗ ἔρξῃς" (Od. 1, 293) ἀντὶ τοῦ ἔρξας τελευτήσῃς· „ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας" (Il. 21, 537) ἀντὶ τοῦ ἀπώσαντες ἄνεσαν· „τιμήσῃ, ὀλέσῃ δὲ πολίας" (Il. 2, 4) ἀντὶ τοῦ ὀλέσας τιμήσῃ· „σθέγγεο ᾗ ἐγρήγορθαι ἄνωχθι" (Il. 10, 67) ἀντὶ τοῦ σθεγγόμενος ἄνωχθι γρηγορεῖν. ὅτως „ἐκάπυσσε, τῆλε δ' ἔχεεν" ἀντὶ τοῦ χέασα τῆλε ἐκάπυσσε. τινὲς δὲ ὡς τὸ „θρέψασα τεκοῦσά τε" (Od. 12, 134). B.

δέσματα σιγαλόεντα: εἰς μνήμην ἄγει τῆς παλαιᾶς εὐδαιμονίας, ὅπως τῇ μεταβολῇ αὐξήσῃ τὸν οἶκτον. μὴ ἐῶν δὲ ἡμᾶς ἀχημόν τι σκοπεῖν περὶ τὸ πτῶμα τῆς γυναικός, τῇ γραφικῇ ἠχόλησέ τε ἡμᾶς περὶ τὴν κεφαλὴν αὐτῆς ᾗ περιέσησε τοὺς συγγενεῖς. ὕρα δὲ ᾗ ἐν τοῖς λεπτοτάτοις τὴν παρατήρησιν τοῦ ποιητοῦ. ἐπὶ μὲν γὼ τῆς Ἑκάβης διὰ συντόμων εἰπὼν „ἀπὸ δὲ λιπαρὴν ἔβαλε καλύπτρην" (406)· ἐνὸς γὼ ἕδει καλύμματος τῇ προσβύτιδι· ἐπὶ δὲ ταύτης ὡς ἂν νέας ᾗ γυναικὸς τοῦ μάλιστα εὐδοκιμοῦντος ἐπεξεργασίᾳ χρῆται. B.

469. ἄμπυξ ἀρσενικῶς τὸ διάδημα τὸ πρὸς ἀνάδησιν τῶν τριχῶν, ἃς περιστέλλοντες οἱ παλαιοὶ ὑπὸ τοῦτον περιῆγοντο. καὶ νῦν ἀμπυκίζειν τὸ τὰς ἐμπροσθίους τρίχας ἀναδεῖσθαι. καὶ „χρυσάμπυκες ἵπποι" διὰ τὸ δεῖσθαι τροφῆς τὰς κορυφαίας τῶν τριχῶν, παρὰ τὸ ἀμπέχειν. ἀναδέσμη δὲ λέγεται σειρὰ ἣν κύκλῳ περὶ τὸς κροτάφους ἀναδοῦσι. καλεῖται δὲ ὑπ' ἐνίων καλαυδάκη (καλυνδεύκη V, calantica Heyn.). κρήδεμνον δὲ πάλιν τὸ μαφόριον (ὠμοφόριον Leid.), ὡς τὸ „χομένη λιπαρὰ κρήδεμνα" (Od. 1, 334). ABLeid.

κεκρύφαλον: παρὰ τοῖς νεωτέροις ἐκτείνεται τὸ ῡ τῆ κεκρυφάλῳ. A. κεκρύφαλος ὁ κροκύφαντος. DV.

470. θ': ἐκ πλήρους ὁ τέ συνδεσμος, κρήδεμνόν τε. ὅτως ἅπασαι. A.

473. γαλόῳ, ὅτως, τῇ γυναικὶ αἱ τῶ ἀνδρὸς ἀδελφαί. A.

πρὸ τέλους ἡ ὀξεῖα· αἱ γὼ εἰς ῶ λήγουσαι δοτικαὶ βαρύτονοι, συνεμπίπτουσαι πληθυντικαῖς εὐθείαις, συνεμπίπτουσι κατὰ τὸν τόνον· τῷ λιπόνεῳ, οἱ λιπόνεῳ. A.

πρὸ μιᾶς ὁ τόνος· ὐδέ ποτε γὼ παρὰ τῷ ποιητῇ συμφώνου προηγουμένου τῶ ῶ τρίτη ἀπὸ τέλους εὑρέθη ἡ ὀξεῖα. τοῦτο δέ φημι πρὸς τὸ παρ' Ἀττικοῖς φιλόγελως καὶ δύσερως. V.

μετὰ τῶ ῑ γραπτέον γαλόῳ· ἔξι γὼ πληθυντικὴ εὐθεῖα Ἀττική, ὡς τὸ οἱ Μενέλεῳ. σημαίνει δὲ τὰς τῶ ἀνδρὸς ἀδελφάς. εἰνατέρες δὲ αἱ γυναῖκες τῶν τῶ ἀνδρὸς ἀδελφῶν. B.

εἰνατέρες δὲ αἱ τῶν ἀδελφῶν γυναῖκες πρὸς ἀλλήλας. εἰνατέρες ὡς Δημητέρες. ὅτως πάντες· ᾗ τὰ τῆς ἀναλογίας ἐπικρατεῖ. ὅτως ἔχοντα, ὡς ἐδείχθη. A.

γραφεται ἄλιες ἦσαν. A.

474. ὀρθοτονητέον τὴν σφίσιν· εἰς γὼ σύνθετον ἡ μετάληψις. ἔφαμεν δὲ ὡς ὐκ ἀναιρεῖ τὰ τῶ λόγ. A.

ἀτυζομένην: ταρασσομένην, ἄτη συνεχομένην. ἢ ἑαυτὴν ἀποῤῥῖψαι τῶ τείχους θέλουσαν· ἔλεγε γὼ „ἐμοὶ δέ κε κέρδιον εἴη σεῦ ἀφαμαρτόσῃ χθόνα δῦμεναι" (Il. 6, 410)· ἔξι δὲ ἰδεῖν οἰκτροτάτην ὄψιν, ἐκεῖθεν μὲν Πρίαμον κατεχόμενον, ἐξελθεῖν θέλοντα πρὸς Ἀχιλλέα ᾗ θανατῶντα τὸν γέροντα, ἐντεῦθεν δὲ τὴν Ἀνδρομάχην ὑπὸ τῶν γυναικῶν διειλημμένην πρὸς τὸ μὴ ῥιφῆναι τῶ τείχους. BV.

475. ἄμπνυτο: διὰ τοῦ ε Ἀρίσαρχος ἔμπνυτο, ἔμπνυς ἐγένετο. ᾗ ἐπὶ τῶ Σαρπηδόνος (Il. 5, 697) „αὐθι δ' ἐμπνύνθη." A.

Ἀρίσαρχος ἔμπνυτο γράφει, ἔμπνυς ἐγένετο, ἐν ἑαυτῇ τὸ πνεῦμα ἤγαγε ᾗ συνῆξεν. B.

Θυμὸς ἀγέρθη: ἠθροίσθη ἡ ψυχή, ἐσκορπισμένη ἔσα τὸ πρίν. B.

476. ἀμβλήδην: ἀντὶ τοῦ ὐκ ἀπὸ τῶν ἐνεστώτων ἀρξαμένη δεινῶν, ἀλλ' ἐκ προοιμίων ἑτέρων. B. ἀναφέρεσθαι ἀθρόως τὸ πνεῦμα. D.

477. Ἕκτορ, ἐγὼ δύστηνος: ἠθικὸς ὁ λόγος καὶ ἁρμόδιος γυναικί. λέγει δὲ ἑαυτὴν δύσηνον διὰ τὸ μὴ συναποθανεῖν· ὁ γὼ ἀποθανὼν πάντων ἀπήλλαχθ τῶν δεινῶν. σικτέον δὲ μετά τε τὸ Ἕκτορ καὶ μετὰ τὸ δύστηνος. ABLeid.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

478. κατὰ δῶμα: αἱ κοινότεραι ἐνὶ οἴκῳ. A.

480. τυτθόν: ἀντὶ τῆ τυτθήν, ὡς „θερμὸς ἀϋτμή" (h. in Merc. 110). V.

481. ἔτως αἰνόμορον, ὥςε τὸν μὲν Ἠετίωνα δύσμορον λέγεσθαι, αἰνόμορον δὲ τὴν Ἀνδρομάχην. B.

484. αὕτως: ἀντὶ τῆ ὡσαύτως ἐμοί· ἐγὼ γ' χήρα, καὶ ἔτος νήπιος καὶ ὀρφανός. ἢ ὃν ματαίως ἐτέκομεν. σύνηθες γ' ταῖς γυναιξὶν ἐν τῇ μνήμῃ τῶν ἀνδρῶν τῆς ὀρφανίας τῶν παίδων μνημονεύειν. B. καὶ τὴν κοινὴν παιδοποιίαν ἀπολοφύρεσθαι. V.

βραχὺ διασαλτέον μετὰ τὸ αὕτως· γελοῖοι γ' οἱ τοῖς ἑξῆς αὐτὸ συνάπτοντες, ἵν' ᾖ ὃν μάτην ἐγεννήσαμεν. τοῖς δὲ ἄνω προσδιδόμενον σημαίνει τὸ ὡσαύτως, οἷον νήπιός ἐςιν, ὡς καὶ πρότερον ἐδέπω τέλειός ἐςιν. A.

485. τέκομεν σύ τ' ἐγώ τε: πρὸς τὴν τῶν παίδων γένεσιν ἀμφοτέρων ἡ ἐνέργεια. B.

486. οὔτε σοὶ ἔτος: τὸ χῆμα ἀντὶ μεταβολῆς. V. δαιμονίως γ' ἔμιξε τὸ πάθος, ἐφ' ἑκατέρῳ οἰκτον κινῆσα, ἐπί τε τῷ ἀπολειφθέντι τῆς τῆ πατρὸς ἀρετῆς, ἐπί τε τῷ μὴ ἀπολαύσαντι τῆ παιδός. B.

487. ἀπὸ τέτε ἕως τῆ „δακρυόεις δέ τ' ἄνεισι" (499) ἀθετοῦνται στίχοι ιγ', ὅτι ἀδιάθετοι· τὸ γ' περιέρχεσθαι τὸν Ἀσυάνακτα, καὶ τὸν φίλον τοῦ πατρὸς τὸν μὲν χλαίνης ῥύειν τὸν δὲ χιτῶνος, ἵνα βρόγχον πίῃ, Πριάμε περιόντος ἢ ἄλλων ἀδελφῶν Ἕκτορος καὶ αὐτῆς τῆς Ἀνδρομάχης, ἄτοπον. διὰ τί δὲ ἔμελλον ἀφαιρεῖσθαι τὰς ἀποτετιμημένας ὁρέρας, κατὰ τὸ βασιλικὸν γένος κληρονόμε τῆ υἱῆ Ἀσυάνακτος ὄντος; ὅλως δὲ ἐδ' ἔχιν ἴδιον τῆ περὶ τὸν Ἀσυάνακτα οἴκτε, ἀλλὰ κοινῶς ἐπὶ παντὸς ὀρφανῆ ἁρμόζει τὰ ἐγόμενα. βέλτιον ἦν ἔτως ἐπιβαλεῖν· ἔτε σὺ τέτῳ ἔσσεαι Ἕκτορ ὄνειαρ, ἐπεὶ θάνες, ἔτε σοὶ ἔτος Ἀσυάναξ ὃς πρὶν ἐὸν. A.

ἕως τῆ „δακρυόεις τ' ἄνεισιν" ἀθετοῦνται στίχοι ιγ', ὡς τὴν σύνθεσιν εὐτελεῖς καὶ τῷ καιρῷ ἀνάρμοσοι· ἀδολεχίαν ποιῆσι τοσάτῳ προσώπῳ περικείμενοι. ἀλλὰ ἦθος γυναικῶν ἄκρως ἀπεμιμήσατο· σύνηθες γ' γυναιξὶ πολυλογεῖν τοῖς πένθεσι καὶ μάλιςα ἐπὶ τοῖς πάθεσι πάθος κινεῖν. B.

γράφεται ἦν περ γάρ. A.

488. ἐν ἄλλῳ ἀλλ' ἤτοι τέτῳ. A.

489. ἀπερήσσσιν: κυρίως τῶν ὅρων ἀφαιρήσονται· μὲν γ' Πρίαμος ἑκατογήρως, ἄλλος δὲ ἓκ ἔςιν ὁ ἐλεήσων τὴν ὀρφανίαν αὐτῆ· ἡ δὲ ἀτυχία πάντα τὰ χείρω προσποιῶν αὐτὴν ποιεῖ. B.

490. ἦμαρ δ' ὀρφανικόν: τὸ τῆς ὀρφανίας ἦμαρ ἢ ἀμφηλικιωτῶν ἔρημον τίθησι τὸν παῖδα. ἔνιοι δὲ διὲ μένως πᾶν, εἶτα ἀφήλικα, ἵν' ᾖ πᾶν ἦμαρ τὸν ὀρφανικὸν παῖδα ἀφήλικα τίθησιν, ὃ ἔςιν ἐκτὸς τῶν ἡλικιωτῶν, πάντων ἔρημον τῶν ἡλικιωτῶν. AB.

491. πάντα δ' ὑπεμνήμυκε: πάντα αὐτὸν τὰ δεινὰ ἀνάμνησιν ἄγει τῆ δυσφορεῖν. ἢ πάντα αὐτῷ καταπέπωκε καὶ κατακέκλιται, παρὰ τὸ ἡμύω ἡμύσω ἤμυκα ἐμήμυκα, καὶ περισσὸν τὸ ν. ἑτερῶς δὲ τὰ παρειά. ἔνιοι τὸ ὑπεμνήμυκεν ἀντὶ τῆ συγνάζειν καὶ καταμεμύχθαι. B.

καταμέμυκε, κατεσύγνακε, κάτω βλέπει. ὁ δὲ Ἀρίσαρχος ἐπὶ τῆ κατανένευκεν ἐκδέχεται. οἱ δὲ ἀντὶ τῆ εἰς ἀνάμνησιν ἔρχεται τῆ πατρός. AD.

παρειαί: Ἀρίσαρχος ἑτερῶς παρειά. A.

492. δευόμενος: ἐνδεής. A.

ἐς πατρὸς ἑταίρες: ὅτι ἀντὶ τῆ πρὸς πατρὸς ἑταίρες, ὡς „εἰς Ἀγαμέμνονα δῖον" (Il. 7, 312). A.

494. κοτύλη εἶδος ποτηρίου, ἢ τὸ κοῖλον τῆς χειρός. B.

ὅτι εἶδος ποτηρίε ἡ κοτύλη, καὶ λέγεται ἀρσενικῶς κότυλος. καὶ ἐν Ὀδυσσείᾳ (17, 12) „πύρνον καὶ κοτύλην," ὁμωνύμως τὸ ἄγγειον τῷ ὑγρῷ. A.

495. ἑδίην': ἔβρεξε. A.

ὑπερώην: τὸν ὑρανίσκον. AD.

ὑπερώη τὰ ἕλα, ἢ ἀπὸ μέρες τὸ ὅλον σῶμα. οἱ δὲ τὸν γαργαρεῶνα. B.

496. ἀμφιθαλὴς ὁ ἐπ' ἀμφοῖν μητρὶ καὶ πατρὶ καὶ πλέτῳ εὐδαίμων, παρὰ τὸ ἀμφοτέρωθεν θάλλειν· καὶ γ' „θαλίῃ ἐνὶ πολλῇ" (Il. 9, 143) τῇ εὐδαιμονίᾳ. ἅπαξ δὲ εἴρηται ὁ ἀμφιθαλὴς παρ' Ὁμήρῳ. B.

497. ἐνίσσων: ὅτι ἀντὶ τῆ πλήσσων. A.

500. Ἀσυάναξ: τὸ ἀπὸ τῆς εὐδαιμονίας αὐτῷ συμβὰν ὄνομα λέγσα πλέον οἰκτίζεται καὶ συμπάθειαν κινεῖ. B.

501. μυελόν: τὸ νοσιμώτατον τῆς τροφῆς. D.

ἐσήμανεν οἵοις τε καὶ ὅσοις δεῖ τιθηνεῖσθαι τοὺς παῖδας εὖ δὲ τὸ ἁβροδίαιτον ἐδήλωσε τῆ βασιλικῆ καὶ μονογενοῦς παιδός. B.

502. νηπιαχεύων: νήπια φρονῶν, νηπιευόμενος. D. παραγωγόν ἐςι τὸ ῥῆμα, παρὰ τὸ νηπίαχος νηπιαχεύω, ὡς ἵππος ἱππεύω. A.

503. ἀγκαλίδεσσι: ἔχσι γ' ἐν ταῖς ἀγκάλαις σρωμνὴν σύμμετρον· ἢ ὡς τῆς τροφοῦ συγκοιμωμένης αὐτῷ. ἐμείωσε δὲ τὴν λέξιν ὁμοίως τῇ βραχύτητι τοῦ παιδός. AB.

504. θαλέων: παντοδαπῶν τροφῶν καὶ ἐδεσμάτων. B. πάντων τῶν πρὸς τὸ θάλλειν. D.

505. ἂν πολλὰ πάθῃσι: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ πάθοι ἄν. πρὸς τὸ „ἰχθὺς ὅς κε φάγῃσι" (Il. 21, 127). A.

509. αἰόλαι: εὔσροφοι καὶ ποικίλαι. πιθανῶς δὲ ἀνέσρεψεν ἐπὶ τὰς ὀδυρμὰς ἀφ' ὧν ἤρξατο. B.

εὐλαί: σκώληκες, παρὰ τὸ αἰολεῖσθαι, ὃ ἐσι κινεῖσθαι. τῷ δὲ τόνῳ ὡς εὐναί. D.

511. λεπτά τε καὶ χαρίεντα: ἃ τὸν κόπον καὶ τὴν δυσχυίαν ἑαυτῆς ἀλλὰ τὴν Ἕκτορος ἐμφαίνει, ὡς δι' αὐτὸν τὰ τοιαῦτα ποιήσασα, οἷς οὐκ ἐπανεπαύσατο. B.

512. πάντα καταφλέγω: παθητικὰ ταῦτα καὶ βιωτικά· συναφανίζσι γ' τοῖς τεθνεῶσι τὰ κάλλισα, ἐξασφαλιζόμενοι αὐτὰ εἰς ἑτέρων μὴ ἥκειν χρῆσιν. λέγει δὲ ὅτι ὄντως φλέξω αὐτά· σοὶ γ' ἐξ αὐτῶν οὐδὲν ὄφελος. B. διὸ

ψιλώσομεν τὸ οὐδέν, ὡς περισσῆ ὄντος τῆ ἓν· ὃ καὶ ἄμεινον. V.

513. κείσεαι: κήσεαι, κιήση. ἐνετίθετο γὰρ τὰ ὀξᾶ τοῖς ἱματίοις, ὡς ἀπὸ Λαέρτα καὶ Ἕκτορος δῆλον. ἔξι δὲ γυναικεῖον ὡς ὠφελίμα ὕσης τῆς ἐωθῆτος, εἰ συνέκειτο αὐτοῖς. V.

514. πρὸς Τρώων καὶ Τρωϊάδων: ὁμοίως ἂν φιλεργῶν, ἤτοι ὡς ἂν πλεσίων, ἢ διὰ τὴν ἐκ τοῦ πλήθους δόξαν. D.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῆ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΕΙΣ ΤΗΝ Ψ.

1. ζεναχοντο: ἡ διπλῆ, ὅτι εἰ ἦν ζεναχῶν ὡς φρονῶν, ἐκ ἂν ἔτως ἔλεγεν ζενάχοντο· ἀλλ' ὥσπερ ἀπὸ τῆ φέρων ἐφέροντο, ἔτως ἀπὸ τῆ ζενάχων ζενάχοντο λέγει. A.

πτόλιν: πόλιν. Κυπρίων τῶν ἐν Σαλαμῖνι ἡ λέξις. κεῖται δὲ καὶ παρὰ κωμικῷ Ἀλεξάνδριδη ἐν Σωσίππῳ. A.

2. ἐπειδή: ἀκέφαλον καλεῖ τῆτο τὸ μέτρον· πέπονθε γὰρ κατ' ἀρχὰς ὁ ςίχος. D.

νῆας τὸν τόπον τῶν νηῶν, Ἑλλήσποντον δὲ τὴν μέχρι Σιγείε θάλασσαν. B. τὴν πέριξ Ἰλίε θάλασσαν. D.

3. ἐσκίδναντο: ἀπ' ἀλλήλων ἐχωρίζοντο. B.

4. ἀποσκίδνασθαι: ἀφ' ἑαυτῆ χωρίζεσθς. ἢ παρέλκει ἡ ἀπό, ὡς ἐν τῷ ἀπητίμησεν (Il. 13, 113)· ἢ ἐγκλίνεται. AB.

6. ταχύπωλοι: καὶ ὁ Θεὸς ἐν τῷ πρὸς Αἰγιεῖς χρησμῷ ἵππον Θεσσαλικήν. V.

7. μὴ δή πω: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ μηδέ πω. A. ὡς τὸ εἰς κόρακας. Λοκροὶ δὲ οἱ πρὸς τῇ Ἰταλίᾳ χρῶνται τῷ ἢ ἀντὶ τῆ ἔ. V.

ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππας: τὰς ὑπὸ τοῖς ὀχήμασι μώνυχας ἵππας. A.

8. αὐτοῖς ἵπποισι: ὅτι λείπει ἡ σύν. B. κατὰ Ἀττικὸν ἔθος. D. ὡς τὸ „αὐτῷ γωρυτῷ" (Od. 21, 54). V.

9. ὃ γὰρ γέρας: ἡ διπλῆ, ὅτι ἀντὶ τῆ τὸ γὰρ γέρας. ἢ περισσὸς ὁ γάρ. A.

10. τεταρπώμεσθα γόοιο: Αἰσχύλος „οἵ τοι ςεναγμοὶ τῶν πόνων ἰάματα." V.

14. μετὰ δέ σφι Θέτις: ἢ καὶ αὐτὴ ἀνακαλεμένη, ἢ θεία δυνάμει ἐμπνεύσασα συμπάθειαν αὐτοῖς. V.

ἰάσατο τὸ ἁπρεπὲς τῆ κλαίειν ἐνόπλους ςρατιώτας διὰ τῆς Θέτιδος. καὶ ἦρξε μὲν τῆς οἰμωγῆς Ἀχιλλεύς, οἱ δὲ συνῴμωξαν, ὥσπερ ἐνδύσιμον λαβόντες καιρὸν ὑπ' αὐτοῦ, καὶ πρότερον μὴ κλαύσαντες. A.

15. 16. ἐπὶ τὸ τεύχεά τινες διαςέλλειν ἀξιοῦσιν, ἵνα, φασί, τοῖς τῶν ἀνθρώπων δάκρυσιν αἵ τε ψάμαθοι καὶ τὰ ὅπλα βρέχηται· τερατῶδες γὰρ τὸ δακρύειν τὰ ὅπλα. ἡ διπλῆ δέ, ὅτι ὡς „σπάρτα λέλυνται" (Il. 2, 135). AB.

16. τοῖον: αὐξητικῶς καὶ θαυμαςικῶς μετ' ἐμφάσεως, ἵν' ᾖ τὸν μέγαν καὶ περιβόητον. οἱ δὲ γλωσσογράφοι ἀντὶ τῆ ἀγαθὸν ἤκεσαν. τὸ δὲ μήςωρα φόβοιο, μήσασθαι φυγὴν πολεμίοις δυνάμενον. B.

ἡ διπλῆ, ὅτι αὐξητικῶς τὸ τοῖον, ἐχ ὡς οἱ γλωσσογράφοι ἀξιῶσιν, ἀγαθόν. A.

17. ἀδινᾶ: ἀθρόου, οἰκτροῦ· δεῖ γὰρ ἐν τοῖς θρήνοις προϊέναι μὲν ἀθρόον τὸ πνεῦμα, μὴ δυνάμενον δὲ φέρειν ὑπεκλύεσθαι. A.

18. ἔτως Ἀρίςαρχος σὺν τῷ ϖ, ἐπ' ἀνδροφόνες. A. δίχα δύναται λέγεσθς, ἐάν τε αὐτὸς ᾖ ὁ τὰς χεῖρας ἐπιθεὶς τῷ φίλῳ, ἐάν τε τὰς ἐκείνε χεῖρας τοῖς ἑαυτῆ ςήθεσιν ἐπιθείς. B.

ἡ διπλῆ πρὸς τὸ ἀμφίβολον, πότερον τὰς ἑαυτῆ χεῖρας εἰς τὰ τῆ Πατρόκλου. ςήθη ἢ τὰς τοῦ Πατρόκλου εἰς τὰ ἑαυτῆ. A.

19. χαῖρέ μοι: οἰκτε κινητικὸν ἢ πρὸς νεκρὸς ὁμιλία. κατέχεται δὲ τῇ κοινῇ ἐννοίᾳ ὁ Ἀχιλλεύς, καὶ ἔοικεν ἀηδές τι τὸν θάνατον ὑπειληφέναι· τῆτο γᾶν ἐν ὑπερβολῇ φησίν, καὶ ἐν Ἅιδαο δόμοισιν ὧν ὅμως χαῖρε, οἷον εἰ ἔξι παραμυθία καὶ χαρὰ ἐν τοῖς τετελευτηκόσι, ταύτην δέχε παρ' ἡμῶν. AB.

20. τελέω: ὅσον ἔπω τελέσω. V.

21. ὠμὰ δάσασθαι: ὠμῶς ἀπομερίσασθαι. εἰώθασι δὲ οἱ κύνες ἄλλος ἄλλοσε ἀποσπᾶν καὶ μερίζεσθς τὸ σῶμα. B.

24. ἀεικέα: ἀπεοικότα καὶ ἀπρεπῆ. τῆτο δέ ἐςι τὸ ἐπὶ σόμα ἐκτεῖναι τὸ σῶμα καὶ ἐνυβρίζειν τῷ ἐκ ἀντιλαμβανομένῳ· „κωφὴν γὰρ δὴ γαῖαν." ἢ τῆτο ἀεικὲς τὸ τὸν μείζονα παρὰ τῇ τῆ ἥσσονος ἐρρῖφθαι σκηνῇ. τὸ δὲ μήσατο νῦν ἀντὶ τοῦ εἰργάζετο, ἐποίει. B.

26. οἱ δέ: ἀντὶ τῆ τῶν δὲ ἕκαςος. V.

ἕκαςος: γράφεται ἕκαςοι. A.

27. ὑψηχέας: ὑψῆ ἠχοῦντας· φησὶ γοῦν „οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων" (Il. 5, 504). ἢ ὑψοῦ ἀνέχοντας ἑαυτάς· φησὶ γᾶν „ὑψῆ δὲ κάρη ἔχει" (Il. 6, 509). B.

γράφεται λύοντο δὲ μώνυχας ἵππας. A.

28. παρὰ νηΐ: λείπει καὶ σκηνῇ, ὡς „παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ" (Il. 1, 329). φησὶ γοῦν „ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ κεῖται" (Il. 19, 24). V.

29. ἡ διπλῆ, ὅτι τάφον τὸ δεῖπνον τὸ περὶ τὴν ταφὴν γινόμενον. A. τὸ περίδειπνον τὸ ἐπὶ τοῖς τετελευτηκόσι παρασκευαζόμενον. D.

ἢ τὴν μετὰ τὸν τάφον εὐωχίαν, ἵν' ᾖ τὸ δαῖνυ ἀντὶ τῆ παρεσκεύαζεν, ἢ τὴν πρὸ τῆ τάφε, ἵνα δύο εὐωχίαι ὦσιν, ἡ μὲν πρὸ τοῦ τάφου πρὸς τὸ προθύμως ὑπουργῆσαι τῇ ταφῇ, ἡ δὲ μετὰ τὸν τάφον διὰ τὸν ἐκ τῆς ταφῆς κόπον καὶ εἰς εὐκλειαν τῆ ταφέντος. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἰδίως νῦν ἐπὶ τῷ μὴ ταφέντος· φησὶ γᾶν „χεύαντες δὲ τὸ σῆμα πάλιν κίον, αὐτὰρ ἔπειτα" (257). ᾗ ἐπ' Αἰγίσθ „δαίνυ τάφον Ἀργείοισιν· αὐτῆμαρ δέ οἱ ἦλθεν" (Od. 3, 309). εἰ δὲ εὑρήκει αὐτόν, ἐκ ἂν εἴασε ταφῆναι· φησὶ γᾶν „τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν." εἰ μὴ τὸ δαίνυ ἀντὶ τῷ παρεσκεύαζε. Κύπριοι δὲ τάφον τὸν φόνον· „πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησα" (Od. 24, 87), ὅ ἐστι φόνῳ. B.

30. ἀργοί: ταχεῖς· ἀλλὰ εἰλίποδες. λευκοί· ἀλλ' οὐ θύεται λευκὰ τοῖς τεθνεῶσι· δῆλον γ' ἐκ τοῦ „ἐνθ' οἵν ἀρνειὸν ῥέξειν θῆλύν τε καὶ μέλαιναν" (Od. 10, 527) καὶ „οἵν ἱερευσέμεν οἴῳ παμμέλαινα" (ib. 524). ἢ ἓν μετὰ τὸ ἐκδαρῆναι διὰ τὴν πιμελήν· ἢ ὅτι ὁ τῷ Πατρόκλῳ, ἀλλ' εἰς τὸ δεῖπνον τῶν ζώντων τὰς βόας ἔθυον. B. ἢ ἀργῶς, ὅ ἐστι ταχέως, ὡς „ταχέες δ' ἵπποι ἄγερθεν" (287). τινὲς δὲ ἀργοὶ συνεχεῖς, ταχεῖς, ἀδιάλειπτοι. ἢ ἀργῷ σιδήρῳ τῷ πολιῷ. V.

ὀρέχθεον: κατὰ μίμησιν ἦχος τραχέος πεποίηται τὸ ῥῆμα, ἀντὶ τῷ ἕλκειν ἀναιρούμενοι. V.

ἄλλως. ἀπεζείνοντο ἀναιρούμενοι· τὸ γ' ἰδίωμα μιμεῖται τῆς φωνῆς, ἣν προΐενται ἀναιρούμενοι οἱ βόες. ἢ ἐξετείνοντο ἀποθνήσκοντες, ὡς τὸ „κεῖτο μέγας μεγαλωστί" (Od. 24, 110). οἱ δέ, διεκόπτοντο· ἀπὸ τότε καὶ ἐρεγμὸς ὁ ἀποκεκομμένος κύαμος. BD.

τινὲς ἀθετοῦσιν ὡς ἐκ ὄντος σιδήρου τότε. τί ἂν φησὶ „πολιόν τε σίδηρον" (Il. 9, 366). V.

31. πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες: ἐκέτι ὠρέχθεον, ἀλλ' ἐμήκαζον. ἡ δὲ ἐπανάληψις τῷ πολλοὶ τὸ πλῆθος ἐμφαίνει καὶ τὸ ἀόριστον. A.

μηκάδες: μηκητικαί, ἀπὸ τῷ ἰδιώματος τῆς φωνῆς. D.

33. εὐόμενοι: τὸ εὔειν ἐστὶ τὸ ἀποκαίειν τὰς τρίχας. A. ἀντὶ τῷ τὴν πιμελὴν ἐτήκοντο. V.

34. ἡ διπλῆ, ὅτι ψιλῶς προενεκτέον κοτυλήρυτον· ᾗ γ' ἀπὸ τῆς ῥύσεως, ἀλλ' ἀπὸ τῷ ἀρύσαι. κοτύλη δὲ εἶδος ποτηρίου κοίλου. Ἀρίσαρχος πολύ, ὥστε κοτύλῃ ἀρύσασθαι. A. τοσοῦτον τῷ πλήθει ὥστε καὶ κοτύλῃ ἀρύσασθαι. κοτύλην δὲ πᾶν τὸ κοῖλον ἔλεγον, ὥστε καὶ τὸ κοῖλον τῆς χειρὸς κοτύλην λέγεσθαι. D.

ἐρρέεν αἷμα: ἐχ ὅτι ἥπτετο τῷ νεκρῷ (κεῖται γ' ἐν τοῖς λέχεσιν), ἀλλὰ περὶ αὐτὸν ἐχεῖτο. κοτυλήρυτον δὲ τὸ δαψιλές, τὸ κοτύλῃ ἀρυόμενον, παρὰ τὸ ἀρύω ἀρύσω ἀρυτόν, κοτυλάρυτον. καθόλε δὲ κοτύλας ἐκάλεν πάντα τὰ κοῖλα· καὶ Αἰσχύλος ἐν Ἠδωνοῖς τὰ κύμβαλα· „ὃ δὲ χαλκοδέτοις κοτύλαις ἠχεῖ" (σοβεῖ V. an ὑτοβεῖ?) ἔστι δὲ καὶ τὸ μικρὸν ποτήριον, ὡς τὸ „κοτύλην τις τυτθὸν ἐπέχεν" (Il. 22, 494) „πίρνον καὶ κοτύλην" (Od. 15, 312). καὶ τὸ περὶ τὸν μηρόν. καὶ αἱ τῶν πολυπόδων φολίδες, ὡς τὸ „πρὸς κοτυληδονόφιν πυκιναὶ λαῖγγες ἔχονται" (Od. 5, 433). καὶ τὸ κοῖλον τῆς χειρός. καὶ παιδιὰ δέ τις ἐν κοτύλῃ λέγεται, ἐπειδὰν τὰς χεῖρας κοιλάναντες εἰς τὰπίσω δεχώμεθά τινα ἐπεβεβηκότα μὲν τοῖς γόνασιν αὐτῷ, ταῖς δὲ χερσὶν τὼς ὀφθαλμὼς κατειληφότα. ταύτην δὲ οἱ μὲν ἐπιδιφρισμὸν καλοῦσιν, οἱ δὲ πρικαδίαν, οἱ δὲ ἀπόῤῥαξιν. καὶ κοτυλίσκον κρατῆρα, ὃν ἐφέροντες παρατιθέασι Διὶ ἐν ταῖς θυσίαις. BV.

36. εἰς Ἀγαμέμνονα: ἀντὶ τῷ πρός. A.

σημειώσαι ὅτι τῇ εἰς ἐπ' ἐμψύχων· ὤφειλε γὰρ τὴν πρός. A.

37. σπουδῇ: μόγις. παροξυτόνως δὲ τὸ παρπεπιθόντες· ἔστι γ' δευτέρα ἀορίστε. B.

χωόμενον: συγκεχυμένον καὶ λυπέμενον. B.

ἡ διπλῆ, ὅτι σπεδῇ μετὰ πολλῆς κακοπαθείας. καὶ ἐλλείπει ἡ πρόθεσις· ἔστι γ' ἀντὶ τῷ περὶ ἑταίρε. καὶ τὸ χωόμενον ἀντὶ τῷ συγχεόμενον. τὸ πεπιθόντες ὡς καταλαβόντες. A.

39. Ἀρίσαρχος κέλευσαν, πληθυντικῶς. A.

ἐκέλευσαν, πληθυντικῶς, οἱ βασιλεῖς, ὡς Ἡρωδιανός. B.

40. τρίποδα: λέβητα βάσιν ἔχοντα τριῶν ποδῶν. D.

εἰ πεπίθοιεν: φιλικῶς ἄγαν· προειλήφασι μὲν γ' ὅτι ἐκ ἐθελήσει, παρασκευάζονται δὲ ὅμως. τῦτο δὲ δηλοῖ διὰ τῷ εἰ πεπίθοιεν. B.

41. βρότον αἱματόεντα: τὸν ἐξ αἵματος μολυσμόν. B. τὸ ἀπὸ φόνε αἷμα. οἱ δὲ τὸν πηλόν. V.

42. ἠρνεῖτο: παρὰ τὸ αἴρειν τὰς τρίχας. A.

σερεῶς: ὁλοχερῶς, ἀπαρακλήτως. B.

43. οὐ μὰ Ζῆν': τὴν ἄρνησιν καὶ ἀπόμοσιν ὁμῶ τέθεικεν. B.

θεῶν ὕπατος καὶ ἄριστος: δυνάμει καὶ τιμῇ τῶν ἄλλων πρώτων θεῶν. B.

44. καρήατος: ἀπὸ τῆς καρῆαρ, ὡς ἤπατος. V.

λείπει τὸ ἐμῶ· ἀσεβεῖν γ' οἱ φιλόσοργοι νομίζεσι τὴν τῶ σώματος ἐπιμέλειαν τῆς κηδείας προτιθέντες. B.

46. ἐπεὶ οὔ μ' ἔτι: ἐν ἄλλῳ ἐπεὶ ἔτί με. A.

48. ἔτως πειθώμεθα, ἢ τερπώμεθα. A. ἄκρως διὰ τῶ πειθώμεθα τὸ πρὸς βίαν καὶ παρὰ τὸ δέον δηλοῖ. B.

50. παράτε χεῖν ὡς ἐπιεικές: παραχεῖν ὡς ἁρμόζει καὶ καθῆκόν ἐστιν. B.

51. ζόφον: σκότος, ὃν ἡμεῖς Ἅιδην λέγομεν. D.

53. θᾶσσον ἀπ' ὀφθαλμῶν: ἀντὶ τῷ ἵνα ταχύτερον ἐκτὸς τῆς ὄψεως ἡμῶν γένηται. A. τιμὴ γ' τῷ νεκρῷ ἐδόκει τὸ τάχιον ταφῆναι. B.

ἐπὶ ἔργα τράπωνται: ὡς ἐπὶ τιμῇ τῷ νεκρῷ ἀργίας ἐχέσης τὸ ῥᾴτευμα. V.

55. οὐ παρέλκει νῦν τὸ ἐσσυμένως, ἀλλ' ἐσπέρας ὄσης καὶ κομίσαι τὴν ὕλην παρασκευαζομένες ἔδει ταχῦναι τὸ δεῖπνον. ἀποσιωπᾷ δὲ τὴν περὶ τὸ δεῖπνον διάθεσιν· ἐν γ' πένθει καὶ κατηφείᾳ ἦν. ἰσέον ἦν ὡς τὸ μὲν πρῶτον οἱ Μυρμιδόνες εὐωχῆνται μόνοι, νῦν δὲ καὶ Ἑλλήνων πλῆθος. B.

ἐχ οἱ Μυρμιδόνες· τότοις γ' τὸν τάφον ἐδαίνυ. V.

58. οἱ μὲν κακκείοντες: ὅτι σύνηθες ἦν ἀναλύειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐπὶ τῶν μνηστήρων. A.

59. ἐπὶ θινί: πρέπουσα κοίτη τῷ πενθοῦντι καὶ ἀλύοντι.

τύχα δὲ τὰς παρηγορίας τῶν φίλων ἃ φέρων καθ' αὑτὸν τρέπεται, χολάζειν τῷ πένθει θέλων. AB.

61. κλύζεσκον: τινὲς ἐπέκλυζον. V.

62. εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ: δικαίως οὖν προωκονόμει τὸν δρόμον Ἀχιλλέως, ὅπως περιπαθὲς ἐπεισόδιον ἐνέγκῃ. πῶς γὰρ ἂν ὁ ἄφροντις ἕτω βαθεῖ ὕπνῳ ἐβλήθη; τὸ δὲ εὖτε ἀντὶ τοῦ ἡνίκα. B.

63. νήδυμος: ἢ διπλῆ, ὅτι σαφῶς ἀπὸ τοῦ ν ἄρχεται το ὄνομα. A.

64. Ἕκτορ' ἐπαΐσσων: τὸ πλῆρες ἐπὶ Ἕκτορι, ὡς „Κίρκη ἐπῄξεν" (Od. 10, 322). V.

ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

65. Πατροκλῆος: ἡ διπλῆ, ὅτι ἀπ' εὐθείας τῆς ὁ Πατροκλῆς, ἢ τὸ δειλοῖο δειλαίη. ἄκρως δὲ ἐπεξεργάζεται τὴν ἐπιφάνειαν τοῦ ὀνείρου· ἔναυλος γὰρ τῷ Ἀχιλλεῖ ὁ τοῦ φίλου τύπος. ἐντεῦθεν Ἀντιφάνης ὁμοχήμονάς φησι τὰς ψυχὰς τοῖς περιέχουσι σώμασιν εἶναι. Χρύσιππος δὲ μετὰ τὸν χωρισμὸν τοῦ σώματος σφαιροειδεῖς γενέσθαι δογματίζει. AB.

πιθανὴ ἡ περιπέτεια· μετὰ γὰρ τὸν Ἀχιλλέως θρήνους ἐξεῦρέ τι καινότερον, ἢ τῷ τετελευτηκότι λόγῳ περιτίθησι διὰ τοῦ ὀνείρου. B.

69. εὕδεις, αὐτὰρ ἐμεῖο: πλήρης φιλοσοργίας ὁ λόγος ἢ μέμψεως ἠθικῆς. λελασμένος δὲ ὑπάρχεις ἀντὶ τοῦ ἐπιλέλησαι. B. ὡς ληρεῖς ἔχων. V.

70. ἀκήδεις: ἄμεινον βαρύνειν ὡς ἐνόησε, τῆς ἀρχέσης συζαλείσης ποιητικῶς· ὡς γὰρ τὸ ἤκεσα ἄκεσα, ἕτως ἢ τὸ ἠκήδεις ἀκήδεις. A.

περιπαθὲς τὸ ἀναμνῆσαι τῆς φιλίας. μαρτυρῶν δὲ αὐτοῦ τὴν ἐν τῷ ζῆν ἐπιμέλειαν, [καὶ νῦν ἐπὶ τὰ ἴσα προτρέπεται. B.

71. ἡ διπλῆ, ὅτι λείπει τὸ ἵνα ἢ ὅπως. τὸ δὲ ὅττι τάχιστα ἑκατέροις δύναται προσδίδοσθαι. A.

πύλας Ἄϊδαο: πύλας Ἅιδου τὸν Ἀχέροντα· ἐκεῖ γάρ εἰσιν αἱ τῶν κολαζομένων ψυχαί· ἢ τὰς περὶ Τιτυὸν εἶδεν Ὀδυσσεύς. ὁμοίως καὶ Ὅμηρος ἐκεῖνο ᾅδην καλεῖ. ἴσως δὲ πρὸς τὸ πεῖσαι φαντάζει· πῶς γὰρ ἄταφοι μνηστῆρες διαβαίνουσιν; V.

Πορφυρίω. πῶς ὁ μὲν Πάτροκλος λέγει „θάπτε με ὅττι τάχιστα, πύλας Ἄϊδαο περήσω," εἰπὼν δὲ καὶ τὴν αἰτίαν προσίθησι δι' ἣν βάλῃ ταφῆναι („τηλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων")· ἐν δὲ τῇ Ὀδυσσείᾳ (24, 1) ἀποθανόντων τῶν μνηστήρων, πρὶν ταφῆναι φησὶν „Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο ἀνδρῶν μνηστήρων·" εἶτα ἄγει λαβὼν αὐτὰς εὐθὺς εἰς Ἅιδα, κἀκεῖ τοῖς περὶ τὸν Ἀγαμέμνονα ἐντυγχάνουσιν. εἰ γὰρ οἱ ἄταφοι τοῖς ἄλλοις ἀμίγνυνται νεκροῖς, ἐνταῦθα δὲ πλησιάζουσιν, μὴ ἐναντίωμα ᾖ. λύεται δὲ τοῦτο ἐκ τῆς προσώπου· τὰ μὲν γὰρ περὶ τοὺς μνηστῆρας ὁ ποιητὴς ἀπεφήνατο, ἢ τὸ ἀληθὲς ἔτως ἔχει· τὰ δὲ ἕτερα φανταθῆναί φησι τὸν Ἀχιλλέα, εἴτε ἀληθῶς ἐπισάντα αὐτὸν εἴτε ἢ ἄλλως τοῦτο νομίσαντα. B.

72. τῆλέ με: ἀπόλυτος ἡ μέ. V.

εἴδωλα καμόντων: ὥρισε τί ἐστι ψυχή. V.

73. οὐδέ με: ἀπόλυτος ἡ ἀντωνυμία, διὸ ἐγκλιτικῶς ἀναγνωστέον. ἡ διπλῆ δέ, ὅτι ἐκτὸς τοῦ ποταμοῦ ὑποτίθεῖ τὰς τῶν ἀτάφων ψυχάς, ἢ μὴ ἐπιμισγομένας ταῖς ἐν τῷ ἐρέβει. ἡ δὲ ἀναφορὰ πρὸς τὰ ἀθετέμενα ἐν τῇ νεκυίᾳ. A.

74. εὐρυπυλές: τὸ πᾶσιν ἐφηπλωμένον. B.

75. ὀλοφύρομαι: ὅτι τὸ ἵνα λείπει, καὶ συνέζαλκεν, ἀντὶ τοῦ ἵνα ὀλοφύρωμαι. A.

76. νίσομαι ἐξ Ἄϊδαο: ἐκ ἐλεύσομαί σοι εἰς ὄψιν. ἐδέ ποτε γὰρ κηδευθεῖσα ψυχὴ παρ' αὐτῷ φαντάζεται. ἴσως δὲ τοῦτο ποιεῖ τὸς ἕνα τῶν πολλῶν ἀποτρέπων. V.

παρὰ τοῖς τραγικοῖς μετὰ τὴν ταφὴν ἐπιφαίνονται. A.

77. οὐ μὲν γάρ: γράφεται οὐ γὰρ ἔτι. A.

ἄλλως. ἔν τισι τῶν πολιτικῶν οὐ γὰρ ἔτι. A.

ἑταίρων: τῶν ἡμετέρων· τοῦτο γὰρ προσυπακουέον. D.

78. γενναίως ἐδενὸς τῶν ἡδέων ἐμνήσθη, ἀλλ' ἐν οἷς περὶ τῶν συμφερόντων ἐβουλεύοντο. B.

79. ἀμφέχανε: κατέφαγε ἢ κατέπιεν. B. „εἴθ' ἄμμε χάνοι περὶ πάντας ὄλεθρος" ἀντὶ τοῦ καταπίοι. V.

λάχε: ὅθεν μία τῶν Μοιρῶν Λάχεσις. παρείληφε δὲ ὅτι τῇ γενέσει συνδιατάσσεται καὶ ὁ τῆς τελευτῆς καιρός. ὅθεν Ζηνόδοτος ὁ Κρατήτειος Χαλδαῖον τὸν Ὁμηρὸν φησιν. A.

80. καὶ δὲ σοὶ αὐτῷ: εὐαγγελίζεται αὐτῷ μετ' οὐ πολὺ πρὸς αὐτὸν ἀπελεύσεσθαι, ἵνα μὴ τῆς κηδείας ἀμελῇ. B.

81. εὐηγενέων: τῶν καλὸς ἀγρὸς ἐχόντων ἢ γένη. οἱ δὲ εὐηφενέων, παρὰ τὸ ἄφενος, τῶν καλῶς χρωμένων τῷ ἀφένῳ. B.

ἐν τῇ Ῥιανοῦ ἢ Ἀριστοφάνους εὐηφενέων διὰ τοῦ φ, εὖ τῷ ἀφένῳ χρωμένων, ὡς Κλέαρχος ἐν ταῖς γλώτταις. A.

82. ἐφήσομαι: ὅθεν Ἀχιλλεύς φησι „καί μοι ἕκας' ἐπέτελλεν" (107). V.

83. μὴ ἐμά: τοῦτο ἀπ' ἄλλης ἀρχῆς ἀναγνωστέον· τὸ γὰρ ἀπαρέμφατον κεῖται ἀντὶ προσακτικοῦ τοῦ τίθει. A. εἶτ' ἐπιφέρει ἀλλ' ὁμοῦ ἐμφαίνεται δὲ ἦθος τοῦ ἄγαν ἐπιθυμοῦντος διὰ τοῦ σαφέστερον τὴν ἐπιθυμίαν ἐπαναλαβεῖν. V.

Λάκωνες τὸ θάπτειν τιθέμενοι φασιν. V.

84. γράφεται ἐτράφημεν. A.

86. ὑμέτερόνδε: προσληπτέον οἶκον. D.

ἀνδροκτασίης: καταχρηστικῶς· παῖδα γὰρ ἀνεῖλεν ὁ μὲν Κλεισώνυμον, οἱ δὲ Αἰανῆ, οἱ δὲ Λύσανδρον καλεῖσθαι. ἀπέκτεινε δὲ αὐτὸν παρ' Ὀθρονεῖ τῷ γραμματιστῇ, ὡς φησιν Ἀλέξανδρος ὁ Αἰτωλὸς ἐν ἀσρολογιαῖς. BV.

87. τὸν Κλεισώνυμον Φερεκύδης ἱστορεῖ. A. ἡ δὲ ἱστορία εἴρηται ἐν τῇ Μ. D.

88. ἀμφ' ἀσραγάλοισι χολωθείς: αἱ πλείους τῶν κατὰ ἄνδρα ἀμφ' ἀσραγάλῃσιν ἐρύσας (ὁρίσας V? an ἐρίσσας?)· ἢ ἔστιν Ἰωνικώτερον. „ἀσραγάλαι δ' Ἔρωτός εἰσι μανίαι τε καὶ κυδοιμοὶ" Ἀνακρέων. A.

ἄλλως. ὅτι ἅπαξ τῆς διὰ τῶν ἀσραγάλων παιδιᾶς μέμνηται. A.

οἱ νεώτεροί φασι διὰ τὸν Εὐρυτίωνος τοῦ Ἴρου φόνον. V.

90. ἔτραφε: ἐν ἄλλῳ ἔτρεφε. A.

ὀνόμηνεν: καλεῖσθαι ἐποίησεν, ὅ ἐστιν εἶναι. B. „σὴ παράκοιτις κέκλημαι" (Il. 4, 60). V.

91. σορὸς ἡ ἔσω ὠρῦσα, ὅ ἐστι φυλάττουσα. V.

ἡ διπλῆ, ὅτι ἅπαξ ἡ σορός. A.

ἀθετεῖται, ὅτι εἰ σορὸν δέδωκεν, ἦν ἐν ἄλλοις λάρναν καλεῖ („κὴ τά γε χρυσείην ἐς λάρνακα θῆκε" Il. 24, 795), πρὸς τί καὶ ἀμφιφορῆα; μετενήνεκται δὲ ἐκ τῆς δευτέρας νεκυίας (Od. 24, 74). τὸ γ' οἴκοθεν ἐπάγεσθαι δυσοιώνιστον. A.

ἐν πάσαις ἐκ ἦν ὁ στίχος. κὴ Ἀρίσαρχος ἐκ τῆς νεκυίας αὐτὸν ἐσπάσθαι φησί· „δῶκε δὲ μήτηρ χρύσεον ἀμφιφορῆα." ἀλλ' ἐκεῖ εὐλόγως πρὸς τῆς ταφῆς. V.

92. ἐ κενὴν σορὸν δέδωκεν αὐτῷ ἡ μήτηρ (δυσοιώνιστον γὰρ τοῦτο ἐπὶ πόλεμον ἐξιόντι) ἀλλ' ἴσως μεζὸν οἴνου ἀμφορέα, ὃν ἀξιοῖ σορὸν γενέσθαι. σορὸς δέ ἐστι κιβώτιον, οὗ ἔσω ὀρῦσαι ἔξεστιν. BV.

Διόνυσος Ἥφαιστον γενόμενον ἐν Νάξῳ μιᾷ τῶν Κυκλάδων ξενίσας, ἔλαβε παρ' αὐτοῦ δῶρον χρύσεον ἀμφορέα. διωχθεὶς δὲ ὕστερον ὑπὸ Λυκόργου κὴ καταφυγὼν εἰς θάλασσαν, φιλοφρόνως αὐτὸν ὑποδεξαμένης Θέτιδος, ἔδωκεν αὐτῇ τὸν ἡφαιστότευκτον ἀμφορέα. ἡ δὲ τῷ παιδὶ ἐχαρίσατο, ὅπως μετὰ θάνατον ἐν αὐτῷ αὐτοῦ ἀποτεθῇ τὰ ὀστᾶ. ἱστορεῖ Στησίχορος. ABD.

94. ἠθείη κεφαλή: προσφώνησις νέου πρὸς πρεσβύτερον. δῆλον ὅτι πρεσβύτερος Ἀχιλλέως ὁ Πάτροκλος. Χαμαιλέων γράφει ὦ θείη κεφαλή. γελοῖον δὲ ἐπὶ νεκρῷ τὸ θείη· διὸ ἡ διπλῆ. A.

96. πάντα μάλ' ἐκτελέω: βραχὺς ὁ λόγος καὶ ἐμφαίνων τὸν σπεύδοντα πρὸς τὴν ἀμοιβήν. μῆκος δὲ λόγου ἄκνον χάριτος ἀναδέχεται. B.

ὡς σὺ κελεύεις: ἐν ἄλλῳ ὥς με κελεύεις. A.

97. ἐκατέρωσε δύναται προσδίδοσθαι τὸ ἀλλήλους. καὶ ἐνταῦθα δέ, ὡς εἴρηται, λείπει ὁ ἵνα· ὁ γὰρ λόγος, ἀλλά μοι πλησίον ζῆθι ἐπ' ὀλίγον γε, ἵνα ἀλλήλους περιπτυξάμενοι ὀδυρώμεθα. A.

ἀμφιβαλόντε: ἀμφιχυθέντες, περιλαβόντες. B. „ἀμφιχυθεὶς πατέρ' ἐσθλόν" (Od. 16, 214). V.

98. ὁλοοῖο: ἐν ἄλλῳ κρυεροῖο. A.

99. ὠρέξατο: ἐπεθύμησε, τὰς χεῖρας ὤρεξε. V.

100. ἠΰτε καπνός: διὰ τὸ λεπτὸν κὴ ἀφανὲς κὴ πνευματῶδες. B. ἢ πρὸς τὴν κίνησιν. Ζώϊλος δέ φησιν ὅτι ἀλλ' ὁ καπνὸς ἄνω φέρεται. V.

101. τετριγυῖα: ἐλεεινὰ βοήσασα, ὡς ἐπὶ τῶν νεοσσῶν (Il. 2, 314). B.

102. χερσί τε συμπλατάγησεν: ἐπὶ τῇ παραδόξῳ φαντασίᾳ τὰς χεῖρας συνέκρουσεν. B.

ἔπος ὀλοφυδνὸν τὸ μετὰ πίλσεως τριχῶν γενόμενον. B. ὁ μετὰ τιλμοῦ τῶν τριχῶν οἶκτος. ὤλοψας δὲ αἴθηφι. V.

104. φρένες: τινὲς σῶμα· μέρος γὰρ σώματος αἱ φρένες. τοῦτο δὲ εἶπε, παρ' ὅσον ἐκταθεὶς ἐκ ἔλαβε. κάλλιον δέ, ὅτι φρένας οἱ τεθνεῶτες ἐκ ἔχουσιν· ἐμέμφετο γὰρ ὡς ἠμελημένος. κὴ μὴν οἱ ἄταφοι προμαντεύονται. ἢ εἰσὶ μέν, ἀ μὴ πάμπαν. B. γράφεται δὲ κὴ πᾶσαι. V.

ἐμφρόνως καὶ συνετῶς διείληκται πάντα ὁ Πάτροκλος. ἐνοίσεισαι ἓν ἐκ τῆς Ὀδυσσείας ὁ στίχος· ἐκεῖ γὰρ τὰς ψυχὰς εἴδωλα σκιώδη, φρονήσεως ἀμέτοχα, ὑπέθετο. ἢ φρένας λέγει ἀ τὸ διανοητικόν, ἀλλὰ μέρος τι τῶν ἐντὸς σώματος, ὡς κὴ ἀλλαχοῦ „ἔν τε φρένες ἦπαρ ἔχουσι" (Od. 9, 301) κὴ πάλιν „ἔνθ' ἄρα τε φρένες ἔρχαται" (Il. 16, 481). ἔστιν ἓν ἀπὸ μέρους τὸ ὅλον σῶμα. ἔστως Ἀριστοφάνης ὁ γραμματικός. ἡ διπλῆ δέ, ὅτι τὰς τῶν ἀτάφων ψυχὰς Ὅμηρος ἔτι σωζούσας τὴν φρόνησιν ὑποτίθεται. A.

106. ὁ Ἀρίσαρχος ἐφεξήκει χωρὶς τοῦ Γ. A.

107. θέσκελον: ἀληθῶς, ὡσεὶ θεοῦ τὴν ὁμοιότητα κατασκευάσαντος. B.

108. τοῖσι δὲ πᾶσιν: ὑπερβολὴ πένθους ἐστίν, ὥστε οἱ τὰς παραμυθίας ὀφείλοντες προσφέρειν αὐτοὶ κατάρχουσι τῶν δακρύων. BV.

110. νέκυν: Ἀττικῶς ἐξέτεινε τὸ νέκυν. V.

111. ἀξέμεν: κόπτειν, παρὰ τὸ ἄξαι. ἢ φέρειν· ἄγεται γὰρ τὸ ζῷον. D.

ἡ διπλῆ, ὅτι σαφῶς ἐρῆες οἱ ἡμίονοι, πρὸς τὸ „ἐρῆας μὲν πρῶτον ἐπῴχετο" (Il. 1, 50). κατὰ δὲ πολλὰ τῶν ἀντιγράφων ἐρῆας ὤτρυνεν, ἔξω τοῦ τέ. A. „οἱ δ' ὡς ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπόν" (Il. 17, 742). V.

116. πάραντα: μήτε ἀνωφερῆ μήτε κατωφερῆ, ἀλλ' εὐθύτομα. δόχμια δὲ τὰ ἐκ πλαγίου. B.

117. πολυπίδακος: ἔστως Ἀρίσαρχος· ἄλλοι δὲ πολυπιδάκου. A.

„πίδακος ἀμφ' ὀλίγης" (Il. 16, 825). οὕτως ἓν πολυπίδακος. V.

119. 120. κτυπέσσαι πίπτον: ἡ διπλῆ, ὅτι τὸ ἐναντίον ἔφη· πίπτουσαι γὰρ κτύπον παρεῖχον. A.

ἤλλακται ἡ τάξις κατὰ παράφρασιν. B.

120. διαπλήσσοντες: διακόπτοντες πρὸς τὴν συμμετρίαν· κὴ „τῷ οἱ ἀποπλήξας κεφαλήν" (Od. 10, 440). τὸ δὲ διαπλήσσοντες ἀντὶ τοῦ τοῖς ποσὶ διαβάντες. B.

ἔστως διαπλήσσοντες διὰ τοῦ η αἱ Ἀρισάρχου, ἀντὶ τοῦ διακόπτοντες. ἄλλοι δὲ διαπλίσσοντες διὰ τοῦ ι. παρασημειώσαιτο δ' ἄν τις τοῦτο πρὸς τὸ ἐν τῇ Ὀδυσσείᾳ (10, 440) „τῷ οἱ ἀποπλήξας κεφαλήν" ἀντὶ τοῦ ἀποκόψας. A.

121. ποσσὶ δατεῦντο: διέκοπτον ταῖς ὁπλαῖς τὸ ἔδαφος, ἢ διεμερίζοντο τοῖς ποσὶ τὴν γῆν· μερισμῷ γάρ τινι ὁμοιόν ἐστιν, ἄλλοτε ἄλλῃ τιθεμένων τῶν ποδῶν. ABD.

122. τὸ γὰρ ἐξῆς ἐστί, ταὶ δὲ χθόνα ποσσὶ δατεῦντο, διὰ ῥωπήϊα πυκνὰ ἐλθόμεναι πεδίοιο· ἐ γὰρ τοῦ πεδίου τὰ ῥω-

πήϊα λέγει, ἀλλ' εἰς τὸ πεδίον αὐτὰς ἐπείγεσθαι ἀπὸ τῶν ὀρέων. A.

123. πάντες δ' ὑλοτόμοι: νόμος γάρ ἐστι στρατιωτικὸς μηδένα κῶφον ἐν ταῖς τοιαύταις χρείαις διατελεῖν. AB.

ὡς γὰρ ἀνώγει Μηριόνης: Κρήτη γὰρ ὀρεινὴ καὶ δενδροφόρος· ὅθεν Μηριόνης. A.

125. ἐπισχερώ: ἐφεξῆς, παρὰ τὸ ἄλλο ἐπ' ἄλλῳ τὴν χέσιν ἔχειν. AB.

126. ἠδὲ οἱ αὐτῷ: ἴσως ἀφ' ἑαυτῆ τοῦτο ἀναπεφώνηκεν ὁ ποιητής. V.

130. χαλκὸν ζώννυσθαι Ἀριστοτέλης φησὶ τοὺς πρυλεῖς Ἀχιλλέως. τοὺς δὲ Ἀχαιοὺς τὸν νόμον εἰς Κρήτην κομίσαι· τῶν γὰρ βασιλέων κηδευομένων αὐτὸς προηγεῖτο πυρίχιζων ὁ στρατός. V.

131. ἐν τεύχεσσιν ἔδυνον: ἀντὶ τοῦ εἰς τὰ τεύχη. B.

132. ἔν δίφροισι: ἀντὶ τοῦ εἰς τοὺς δίφρους. B.

παραιβάται: οἱ ἐπὶ τῶν ὁρμάτων συμπολεμοῦντες, τετέχι κύριοι τῶν ἁρμάτων. D.

ὧδε μόνον αὐτὸς ἐκάλεσεν, ἐκεῖ δὲ σημαίνει· „Ἄντιφος αὖ παρέβασκε περικλυτός" (Il. 11, 104). V.

ὅτι νῦν παραιβάτας εἴρηκε τοὺς ὁπλίτας. A.

133. νέφος εἵπετο πεζῶν: τὸ πλῆθος διὰ τοῦ νέφους ἐδήλωσε, καὶ τὸ χῆμα, καὶ πῶς ἐπορεύοντο. B.

135. καταείνυον: ἀντὶ τοῦ περιεκάλυπτον. τὸ πλῆθος δὲ τῶν κειρομένων διὰ τούτου ἐμφαίνει. B.

κατεκάλυπτον, ἐσκέπαζον, τετέχι πολλὰς τρίχας κατέβαλλον ὥστε καλύπτειν τὸν νεκρόν. τοῦτο δὲ πρὸς τιμῆς ἐγίνετο τῷ θνήσκοντι, ὡς καὶ ἀλλαχοῦ φησὶ „τὸ γὰρ γέρας ἐστὶ θανόντων (Il. 16, 457 et 675) κείρασθαί τε κόμην βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν" (Od. 4, 198). AD. δασέως δὲ τὸ εἴνυον· ἀπὸ γὰρ τοῦ εἰνύω ἐστὶ θέματος, ὁ παρῆκται παρὰ τὸ ἕω δασυνόμενον. ἔν τισι δὲ καταείλυον, τετέχιν εἴλεν. Ἀρίσαρχος δὲ καταείνυσαν. ἡ διπλῆ δέ, ὅτι τὸ πάντα ἀντὶ τοῦ ὅλον, πρὸς τὸ „πᾶσαι δ' ὠΐγνυντο πύλαι" (Il. 2, 809. 8, 58). A.

136. κάρη ἔχε: ἔθος φησὶ παρὰ Λινδίοις τοῦτο. V.

137. ἔτως Αἴδόσδε, ἐκ Ἄϊδος δῶ, ὁ Ἡρωδιανός φησιν ἐν τῷ ιθ' τῆς καθόλου. A.

ἄλλως. ἔτως Ἡρωδιανός. ἄλλοι δὲ Ἄϊδος δῶ. A.

138. ἵκοντο: γράφεται ἵκανον. A.

139. μενοεικέα: τὴν ἀρεσκομένην Ἀχιλλεῖ, ἢ τὴν πρέπουσαν τῇ πυρᾷ. B. φησὶ γὰρ „παρά τε χεῖν ὡς ἐπιεικές" (50). μετενήνεκται δὲ ἀπὸ τῶν ζώντων· κυρίως γὰρ ἂν εἴποι τις μενοεικὲς τὸ τῷ τε μένει ἀρεσὸν καὶ καταθύμιον. V.

ἡ διπλῆ, ὅτι τινὲς τὸ μενοεικές πολὺ ἀπέδοσαν. ἔστι δὲ τὸ τῷ μένει ἐοικός, οἷον τὸ ἀρεσόν, ἐξ ἧς τὴν ἱκανὴν βούλεται σημῆναι. A.

141. χαίτην: καὶ ὁ Πάρις εἶχε χαίτην, ἀλλ' ἐπὶ γυναιμανίᾳ καὶ ἀπάτῃ ἔτρεφεν. A.

142. Σπερχειῷ: ὡς συγγενεῖ· Πολυδώραν γὰρ εἶχε τὴν Πηλέως θυγατέρα. ἢ ὅτι ἀπὸ Φθίης τῆς Σπερχειᾶς. δῆλον ὅτι ἐν Τροίᾳ ἤκουσε διὰ τὸ περὶ αὐτῆς λόγιον. V.

τοῖς ποταμοῖς ἔτρεφον τὰς κόμας, ἐπεὶ καροτρόφοι νομίζονται, διὰ τὸ αὐξητικὸν τὸ ὑγρὸν εἶναι. ὅτι δὲ αὐξητικόν ἐστι, καὶ παῖδες πρώτῃ τροφῇ χρῶνται τῇ ὑγρᾷ. B.

καὶ τοῖς γαμοῦσι δὲ τὸ λουτρὸν ἐξ αὐτῆς ἐκόμιζον, γονὴν οἰωνιζόμενοι. καὶ τοῖς πρὸ γάμων τελευτῶσιν ἡ λουτροφόρος καλπὶς ἐτίθετο. V.

τινὲς δὲ τρόφιμόν φασι τὸ ὕδωρ, καὶ τὰς βελιμῶνας πίνοντας κορέννυσθαι. V.

ἔθος ἦν τοῖς ἀρχαίοις μετὰ τὸ παρακμάζειν τῆς νεότητος τὰς κόμας ἀποκείρειν τοῖς ποταμοῖς· τότε γὰρ ἐνόμιζον τῶν ἀνατροφῶν αἰτίους εἶναι. διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ εἰς τοὺς ποταμοὺς ἀπὸ τῶν ποταμῶν ὕδωρ ἐκόμιζον, τέκνων τε γενέσεως καὶ παιδοτροφίας οἰωνὸν τιθέμενοι. διόπερ καὶ τὰς Ἀχιλλέως κόμας Πηλεὺς τότῳ καθιέρωσεν· ἦν γὰρ ἐκ Φαρσάλων τῆς Θεσσαλίας. AD. ἡ ἱστορία παρὰ τοῖς Ἀργολικοῖς συγγραφεῦσιν. A. καὶ Ἀντίμαχός φησι τῷ Κηφισσῷ κατὰ τὴν Λίλαιαν τεθυκέναι καὶ κόμην. V.

143. ὀχθήσας: στενάξας, καὶ ὡς ἐπὶ τὴν πατρίδα καὶ τὸν Σπερχειὸν ἀποβλέψας. B.

144. ἄλλως ἀντὶ τοῦ μάτην, ὡς καὶ Εὐριπίδης ἐν Μηδείᾳ „ἄλλως ἄρ' ὑμᾶς ὦ τέκν' ἐξεθρεψάμην, ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις." καὶ παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσι „τί κινυράμεθα ἄλλως." καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀντὶ τοῦ μάτην ἐχρῶντο οἱ Ἀττικοὶ τῷ ἄλλως· καὶ παρὰ Θουκυδίδῃ συνεχῶς ἔστιν αὐτὸ εὑρεῖν κείμενον. A.

147. δυνάμεως καὶ αὐξήσεως αἴτιον τὸ ὕδωρ· ὅθεν ἔνορχα θύουσιν, οἱονεὶ τὰ εὐθαλέστερα καὶ δυνάμει πρόχοντα τοῖς αἰτίοις τοῦ δύνασθαι. B.

παρ' αὐτόθι: ἐν ἄλλῳ παραυτίκα. A.

μὴλ': σκεπτέον μὴ μῆλα νῦν τὰς ταύρους φησί· τούτους γὰρ τοῖς ποταμοῖς ἱερεύετε ταύρους· „ταῦρον Ἀλφειῷ" (Il. 11, 727). V.

153. θῆκεν: παθητικῶς, ἐχ ὡς οἱ λοιποὶ ἐπέρριψεν. V.

155. εἰ μὴ Ἀχιλλεὺς: τοσοῦτος ὁ θρῆνος ὅτι καὶ Ἀχιλλεὺς διαγινώσκει τὴν ἀμετρίαν αὐτοῦ. B.

ἡ διπλῆ, ὅτι ἔξωθεν τὴν πρὸς ληπτέον· ἔστι γὰρ πρὸς Ἀγαμέμνονα. B.

156. σοὶ γάρ τε: ἐν ἄλλῳ σοὶ μέν τε. A.

157. ὅτι πρὸς τὸ νοητὸν ἀπήντηκεν, ὁ λαὸς πείσονθ'. A.

ἐπαγγελτικῶς προενεκτέον τὸ ἔστι, ὡς „ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολύς, ἔστι δὲ χαλκός." V.

λείπει τὸ ὕστερον, ἵν' ᾖ, ἔστι καὶ ὕστερον ἆσαι γόοιο. ἐνέηκε δὲ αὐτὸ διὰ τοῦ „νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον." A.

158. δεῖπνον: τὴν πρὸ τοῦ δείπνου τροφήν. ὑπερβολικῶς ἓν εἶπε τὸ „καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος." B.

160. τὸ κηδεός τινες ἀντὶ τοῦ φροντίδος ἄξιος. B. κηδεύσιμος ἢ κήδιστος. V.

ὀξυτόνως τὸ κηδεός παρὰ τὸ κηδεύω, ὡς λοχεύω λοχεός. δηλοῖ δὲ τὸν κηδεύσιμον. B.

φροντίδος ἄξιος. ἡ διπλῆ, ὅτι τινὲς ἐβάρυναν, ὥστε εἶ-

ναι γενικήν· ἄμεινον δὲ ὀξύνειν, ἵνα ᾖ ῥηματικόν, ἀπὸ τῆ κηδεύω· τὰ γ' εἰς ος λήγοντα ὀνόματα, παρὰ ῥῆμα γινόμενα, καθαρεύοντα καὶ τῷ ε παραληγόμενα ὀξύνεσθαι θέλει, φωλεύω φωλεός, ὀχεύω ὀχεός καὶ ἐν πλεονασμῷ τῆ ω ὀχεός. καὶ παρὰ τὸ σωρεύω δὲ ὁ σωρεός· τὸ δὲ σωρός κατὰ συγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεός ἔσαι, κατ' ὀξεῖαν τάσιν· „ὅ δ' ἐκ λοχεοῖο πάϊς" (Hesiod. Th. 178). ἀλλ' ἦν γε βαρυτόνως οἱ πλείας ἀνέγνωσαν, πλεονασμὸν ἐκδεξάμενοι τῆ ε, ὥσε παρὰ τὴν λόχα γενικὴν („ἐκ λόχα ἀμπήδησε" Il. 11, 379) λόχοιο γενέσθαι καὶ λοχέοιο. ἔτως δὲ κατὰ τὸν προειρημένον κανόνα ῥήματος ὄντος τῆ κηδεύω τὸ παρ' αὐτὸ ὄνομα, λέγω δὲ τὸ κηδεός, ὀξυτονηθήσεται. A.

παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων: τὸ ἑξῆς παραμενέτωσαν· διὸ φυλακτέον τὸν τόνον τῆς προθέσεως. Διονύσιος δ' ἡγεῖτο πλεονάζειν τὸν τέ σύνδεσμον, καὶ ἀγὲς ἡγεῖτο τὲς ἡγεμόνας. ὁ μέντοι Ἀρίσταρχος ταγὲς ἐξεδέξατο, καὶ κεδὸν ἅπαντες, παρὰ τὸ τάσσω ῥῆμα τῆ χηματισμοῦ γενομένε. διὸ καὶ ἐγὼ συγκατατίθεμαι. τὸ δὲ μενόντων ἀντὶ τῆ μενέτωσαν. A.

163. κηδεμόνες: οἱ εἰς τῆτο ἀποτεταγμένοι πρὸς τὸ ἀδιασπάστως φροντίζειν αὐτῆ παρὰ τὲς ἄλλες. B.

οἱ μάλιστα ἀνιώμενοι διὰ τῆτο καὶ φροντίζοντες. AV.

164. ἑκατόμπεδον: ἑκατὸν ποδῶν πλευρὰς ἐκ παντὸς μέρες ἔχεσαν, ὡς τὸ τετράπες λίθος. B.

ὥσε ἑκάσην πλευρὰν ρ' ποδῶν μέτρον ἔχειν. AD.

ἔνθα καὶ ἔνθα: τῆδε κἀκεῖσε, κατὰ μῆκος καὶ πλάτος. D.

165. ἐν δὲ πυρῇ ὑπάτῃ: ἐν τῷ ἀνωτάτω αὐτῆς καὶ μέσῳ, ὡς τὸ „ῥινὸς ὕπερ πυμάτης" (Il. 13, 616). B.

168. δημὸν ἐλών: πρὸς τὸ ταχὺ τὴν πιμελὴν ἐξαφθῆναι τῆτο ποιεῖ Ἀχιλλεύς. AD.

169. περὶ δὲ δρατὰ σώματα νήει: περὶ αὐτὸν ἐσώρευεν ὑπὲρ τῆ καὶ τὴν ἀπ' ἐκείνων πιμελὴν συμπράσσειν πρὸς τὴν καῦσιν. ἅμα δὲ καὶ τῆ περὶ τὸν νεκρὸν εὐχήμονος ἕνεκεν· συνσπᾶσθαι γ' τὰ καιόμενα τῶν σωμάτων εἰώθεν. V. δρατὰ δὲ τὰ ἔκδαρτα κατὰ ἀντιστροφήν. B.

τὰ πολλὰ τῶν ὑπομνημάτων διὰ τῆ ε δρετά· καὶ τάχα ἀπὸ τῆ δέρειν. ἡ διπλῆ δὲ πρὸς τὴν μετάθεσιν, ὅτι ἀντὶ τῆ δαρτά. A.

„ταυτὶ δέδραθ'" Ἀριστοφάνης. ἐν ἐνίοις γράφεται δρατά. V.

171. πρὸς: πρὸς τὸ σῶμα αὐτῆ, ἢ πρὸς τὰς πλευράς, ἢ πρὸς ὃν ἐκεῖτο τόπον. B.

πίσυρας: κατὰ πλευρὰν ἕνα. οἰκεῖος δὲ τῷ νεκρῷ ὁ ἴσος ἀριθμός· διὰ τῆτο τῷ Ποσειδῶνι πέντε (θ V) θύουσιν. A.

173. καὶ πρότερον λίαν ὠμὸν ὄντα πλέον ἠγρίωσε νῦν ὁ Πατρόκλε θάνατος, ὡς καὶ κύνας αὐτῷ συγκλείειν. διὸ ὡς ἀγανακτῶν ὁ ποιητὴς φησι (176) „κακὰ δὲ φρεσὶ μήδετο ἔργα." B.

ἴσως τὸ ὠμὸν αὐτῆ εἰδὼς καὶ ὁ πατὴρ μεσικὴν αὐτὸν ἐδίδαξεν, V.

177. σιδήρεον: ἄμφω γ' τμητικά, πῦρ καὶ σίδηρος. τὸ δὲ νέμοιτο ἐμφατικῶς ἀντὶ τῆ φάγοι· φησὶ γᾶν „τὸς ἅμα σοὶ πάντας πῦρ ἐλθέτω" (184). A.

179. χαῖρέ μοι: ἀντὶ τῆ ἤδη, ὅτι σοι τὰ πρὸς ἡδονὴν ἀπεπλήρωσα. B.

180. τελέω τὰ πάροιθεν ὑπέσην: ἐν ἄλλῳ τετελεσμένα ὥσπερ ὑπέσην. A.

181. συναπτέον τῷ ἑξῆς εἰχῳ· τὸ γ' τάς κεῖται ἀντὶ τῆ τάτες, ἵν' ᾖ ὁ λόγος, δώδεκα μὲν Τρώων υἱὸς τάτες σὺν σοὶ τὸ πῦρ ἐλθέτω, δεικτικῶς. ἐὰν δὲ εἰζώμεν ἐπὶ τὸ ἐλθές, ἔσαι τὸ τάς ἀντὶ ὑποτακτικῆ ἄρθρε τῆ ἕς. A.

183. ἀλλὰ κύνεσσιν: ἡ διπλῆ, ὅτι ἀπὸ κοινῆ τὸ δαπτέμεν. A.

184. ἀπειλήσας: συνήθως ἡμῖν, ὡς τὸ „ἀπείλησαν γ' οἱ ἄλλοι" (Il. 2, 665). διὰ δὲ τῆς ἀναφωνήσεως ἐθεράπευσε τὸν ἀκροατήν· ἤδη γ' συνέπαχε τῇ τῆ Ἕκτορος αἰκίᾳ. B.

186. χρῖεν ἐλαίῳ: ἰσχυροποίησε τὸ σῶμα διὰ τῆς χρίσεως, ἵνα μὴ ἑλκόμενον ὑπ' Ἀχιλλέως ἀποξέοιτο. B.

οἰκεῖον δὲ τὸ ἀλείφειν τῇ θεῷ. V.

ἡ διπλῆ, ὅτι μύρα τὴν μὲν ὀνομασίαν ἀγνοεῖ, τὴν δὲ σκευασίαν οἶδεν· τὸ γὰρ ῥόδινον ἔτως νῦν εἶπεν ἔλαιον ῥοδόεν. A.

190. μὴ πρὶν: μή πως πρὸ τῆ ἀπολυθῆναι τοῖς οἰκείοις τὸ σῶμα σκελετῶδες ποιήσειεν. B.

191. σκήλει': σκληροποιήσειεν, ξηράνῃ. A. ὅθεν καὶ σκελετὸς ὁ ξηρός. D.

192. οὐδὲ πυρὴ: τὴν ἔμφασιν τῶν ὑγρῶν ἐμφαίνει, νικησάντων τὸ πῦρ. V.

193. δοιοῖς ἀνέμοισιν: ἐκ ἄτοπον θεὸς καλεῖν ἐπὶ τεθνεῶσιν, ὅπε καὶ ἐν πολέμοις καλᾶσι καὶ αὐτὸς ὁ Ἀπόλλων νεκροφορεῖ. V.

195. Βορέῃ καὶ Ζεφύρῳ: ὡς Θρᾳξὶ· Θρᾴκη γὰρ Τροίας πλησίον. B.

196. δέπαϊ: ὅτι συνῃρημένως. ἀλλαχῆ δὲ ἐν δέπαϊ χρυσέῳ. V.

197. ἐλθέμεν: γράφεται ἐλθεῖν. A.

φλεγεθοίατο: Εὐφορίων κακῶς τῷ ῥήματι ἐνικῶς χρῆται. V.

198. ἐσσεύαιτο: ὁρμὴν λάβοι· ἀπὸ δὲ τῶν ἐμψύχων μετῆκται. χωρὶς δὲ τοῦ ν τὸ ὕλη. οἱ δέ, ὕλην τ' ἐσσεύοντο ἀντὶ τῆ ὁρμήσειαν οἱ ἄνεμοι καίειν τὴν ὕλην. AV.

ἐν ἄλλῳ ὕλη τε σεύαιτο. οὕτως δὲ καὶ ἔξω τοῦ ν ὕλη. A.

ἀντὶ τῆ ὁρμὴν λάβοι ἡ ὕλη τῆ καῆναι, ἵν' ᾖ, ὕλη τ' ἐσσεύοιτο καήμεναι. εἰ δὲ ᾖ ὕλην τ' ἐσσεύαιτο καήμεναι, ἀντὶ τοῦ ἵν' ὁρμήσειαν οἱ ἄνεμοι τὴν ὕλην καίειν. B.

199. μετ' ἄγγελος ἦλθ' ἀνέμοισιν: Ἰωνικῶς, ἀντὶ τῆ πρὸς ἀνέμες ἦλθεν, ὡς Ἀρχίλοχος „μετέρχομαι σύμβολον" (μ. ἐς σύμβολον ποιεύμενος V). ἐκ ἐποίησε δὲ ἐκείνας ἀκόντας, ὅτι βάλεται δηλῶσαι ὡς ἡ Ἶρις φανεῖσα

πολλάκις ἀνέμων κίνησιν δηλοῖ, οἱονεὶ πρὸς διέγερσιν αὐτῶν ὁρωμένη. B.

200. δυσαέος: οὐκ ἀεί, ἀλλὰ χειμῶνι· ἔςι γὰρ χειμῶνος μὲν δυσαής, θέρους δὲ προσηνής. AB. „Ζεφυρίη πνείουσα τὰ μὲν φύει" (Od. 7, 119). V.

203. πάντες ἀνήϊξαν: ἔςι γὰρ ἐρωμένη Ζεφύρου, ἀφ' ὧν καὶ τὸν Ἔρωτά φασιν. ἴσως δὲ ἀκροθώρακες ὄντες ἐρῶσιν αὐτῆς. V.

205. οὐχ ἕδος: οὐχ ἑδραςέον. B.

αὖθι: γράφεται αὖτις. A.

206. Αἰθιόπων ἐς γαῖαν: χαρίεν ἐν παρέργῳ δεδήλωκεν ὅτι ἀπηλλάγησαν οἱ θεοὶ τοῦ πολέμου καὶ παρ' Αἰθίοψι πανηγυρίζουσι, πέρας ἐχόντων ἤδη τῶν περὶ τὴν Ἀχιλλέως βούλησιν. ἢ τάχα πρὸς ἀπαλλαγὴν τῶν ἐνοχλούντων ψεύδεται· χθὲς γὰρ θεαταὶ τῆς μάχης ἦσαν, καὶ ἕωθεν φιλονεικοῦσι περὶ Ἕκτορος. B.

ἐς γαῖαν: ἐς δῆμον, ὡς αἱ ἀπὸ τῶν πόλεων. A.

208. τὸν δυσαῆ νῦν κελαδεινὸν εἶπεν· ἔςι δὲ ταὐτὸν ἐκ παραλλήλου. B.

214. πόντον: τὸν Θρᾴκιον πόντον καὶ Ἑλλήσποντον. V.

217. ἔβαλλον: τῷ πνεύματι ἔβαλλον. A.

218. ὁ δὲ πάννυχος: πολὺ τὸ φιλέταιρον, ὅτι τοσαύτην ἀγρυπνίαν φέρει καὶ χοὰς τοσαύτας χέει. B.

219. ἑλών: ἐν ἄλλῳ ἔχων. A.

221. ἡ διπλῆ, ὅτι δωδεκασύλλαβος καὶ ἐκ σπονδείων. A.

222. ὡς δὲ πατήρ: αὔξησιν μεγίςην ὅλη ἔχει ἡ παραβολή· εἰς γὰρ ἔνδειξιν ςοργῆς πατρὶ παραβέβληται. ἀλλ' οὐκ ἤρκεσεν Ὁμήρῳ τὰ τῆς εἰκόνος· οὐ γὰρ τὴν τυχοῦσαν ἡλικίαν τοῦ παιδὸς παρέλαβεν, ἀλλὰ νυμφίον, τέλειον μέν, παίδων δὲ οὔπω πατέρα, ὥςε οὖν ὁ πατὴρ καὶ παῖδας ὄψεσθαι τοῦ παιδὸς προσδοκήσας, μετὰ τῆς δευτέρας ἐλπίδος καὶ τὴν πρώτην ἀπώλεσεν. B.

223. νυμφίου: δηλοῖ ἡ λέξις ἐνταῦθα καὶ τὸν ἤδη πατέρα παίδων· „νυμφίον ἐν μεγάροις μίαν οἴην παῖδα λιπόντα" (Od. 7, 65). AB.

224. 225. βραχὺ διαςαλτέον καίων, πυρκαϊήν· μᾶλλον γὰρ οὕτως ἐμφαίνει. A.

225. ἑρπύζων: βαρεῖά τις καὶ μογηρὰ κίνησις διὰ τοῦ ἑρπύζειν δηλοῦται. τοῦτο δὲ πρὸς τὸ ταπεινὸν Ἀχιλλέως διὰ τὴν λύπην. B.

διὰ τῶν παρατατικῶν τὸ ἀδιάλειπτον τῆς λύπης σημαίνει. V.

226. φόως ἐρέων: „ὅςε μάλιςα ἔρχεται ἀγγέλλων φάος Ἠοῦς" (Od. 13, 93). V.

ἡ διπλῆ, ὅτι μεταφορικῶς ἐρέων ἀντὶ τοῦ ἀπαγγελῶν. τοῦτο δέ ἐςι προσημαίνων· οὐ γὰρ διὰ λόγου τοῦτο ποιεῖ ἀλλὰ δι' ἐπιτολῆς. A. ἑωσφόρος δὲ ὁ κατὰ τὴν ἡμέραν ἀνατέλλων λαμπρότατος ἀςήρ, ὃς καὶ ἕσπερος καλεῖται. οὗτος δέ ἐςιν ὁ τῆς Ἀφροδίτης. AD.

ἡ ἐπὶ πρὸς τὸ εἶσιν. οὐκ ἀναςρέφεται δὲ διὰ τὸ μεταξὺ τεθεῖσθαι ἕτερον μέρος λόγου. V.

228. ἐμαραίνετο: καὶ ἐκεῖ οὖν „φλὸξ ἐμαράνθη" γραπτέον (Il. 9, 212). V.

229. οἱ δ' ἄνεμοι: εἰ οὖν αὐτεξούσιοι οἱ ἄνεμοι, τετεράτευται τὰ περὶ τοῦ Αἰόλου. V.

232. κλίνθη κεκμηώς: ἐξέφρασε τὸν μετὰ πολὺν τὸν κόπον εἰς ὕπνον ἀποκλίναντα. καὶ διὰ τοῦ ὄρουσε τὸ τάχος ἐνέφηνε τοῦ ὕπνου, διὰ πολλὴν ἐπελθόντος ἀγρυπνίαν. B.

234. δοῦπος ἔγειρεν: τῶν γὰρ λυπουμένων ἐπιπολαῖος καὶ εὐδιάλυτος ὁ ὕπνος. B.

239. λέγωμεν: τοῖς ἄλλοις τὸ σβέσαι ἐπιτάσσει, συμπεριλαμβάνει δὲ ἑαυτὸν εἰς τὴν ὀςολογίαν. V.

243. χρυσέῃ φιάλῃ: ἀγγείῳ λεβητοειδεῖ, ἐκπεπλατυσμένῳ ἄνωθεν. B.

δίπλακι: ὅτι ἀρσενικῶς. V.

δημῷ τὰ ὀςᾶ καλύπτει πρὸς τὸ λιπαινόμενα μὴ εὔσηπτα εἶναι. AB.

244. θείομεν: ἡ διπλῆ, ὅτι συνέςαλκεν ἀντὶ τοῦ θείωμεν· καὶ ὅτι κατὰ συγκοπὴν κλεύθωμαι ἀντὶ τοῦ κελεύθωμαι, οἷον πορεύομαι. ἐν ἄλλῳ αὐτὸς ἰὼν ἀντὶ τοῦ αὐτὸς ἐγών. A.

ἐκελεύθωμαι: ἀντὶ τοῦ κελεύθωμαι, πορεύομαι. τινὲς δὲ κεύθομαι, οὐκ εὖ. V.

245. πολλόν: μέγαν· „πολλὸς γάρ τις ἔκειτο" (Il. 7, 156). B.

ἡ διπλῆ, ὅτι τὸ πονέεσθαί ἐςιν ἐνεργεῖν. A.

246. ἐπιεικέα τοῖον: ἠθικῶς, ἀντὶ τοῦ μικρὸν καὶ σύμμετρον. B.

248. δεύτεροι: ὕςεροι. καὶ „δεύτατος ἦλθεν" (Il. 19, 51) ἀντὶ τοῦ ἔσχατος. A.

ἔσχατοι. γενναίως δὲ τὸν ἑαυτοῦ οὐκ οἰκτίζεται θάνατον. BV.

251. τέφρη: ἐν ἄλλῳ ὕλη. A.

254. λιτί ὡς φωτί. οὕτως καὶ Ἀρίςαρχος. πᾶσα γὰρ δοτικὴ δισύλλαβος ἐπ' ὀνομάτων εἰς τι λήγουσα ὀξύνεται χρωτί δαιτί Κρητί· οὕτως οὖν καὶ λιτί. τούτῳ γὰρ τῷ λόγῳ βλητί ὀφείλομεν κατ' ὀξεῖαν τάσιν ἀναγινώσκειν· „νύμφη φίλη, καὶ βλητὶ λίθῳ ἐνὶ δάκρυ ἧκας." οὕτως οὖν καὶ λιτί, ἵνα ᾖ μεταπλασμὸς τῆς λιτῷ δοτικῆς, ὡς ἡ κλαδί τῆς κλάδος. ὁμοίως δὲ καὶ ἡ αἰτιατικὴ ἡ λῖτα μεταπέπλαςαι ἐκ τῆς λιτήν, ὡς καὶ ἡ κρόκα ἐκ τῆς κρόκην. τὸ δὲ παρὰ τῷ ποιητῇ „καθήραντες ῥύπα πάντα" (Od. 6, 93), εἰ μή ἐςι πλεθυντικὸν οὐδέτερον, τοῦ προκειμένου μεταπλασμοῦ ἔχεται. οὐ ὁμότονος δὲ ἐγίνετο τῇ λιτόν αἰτιατικῇ ἡ λῖτα, ἐπεὶ πᾶσα αἰτιατικὴ εἰς ᾱ λήγουσα ἐβαρύνετο, ὑπεςαλμένης τῆς τινὸς κατ' ἀόριςον προφοράν. A.

λιτί: ἀποικίλτῳ. τοιοῦτος δὲ καὶ Ἀνδρόμαχός φησιν „ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς" (Il. 22, 513). V.

255. τορνώσαντο: κύκλῳ περιέγραψαν. A.

ὡς ὁ ζωγράφος προϋπογράφει πρῶτον, οὕτως καὶ οὗτος προδιέγραψαν τὸ σχῆμα τοῦ τάφου. τὸ δὲ τορνογραφεῖν κυκλοτερῆ δείκνυσι τὸν τάφον. B.

τοῦτο ποιοῦσιν, ὅπως καὶ τὰ ὑπὸ τοῦ πυρὸς διαφθαρέν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ ἐκτὸς ἐαθῇ. τὸ δὲ προβάλοντο ἀντὶ τȣ̃ πρὸ τῆς πυρᾶς ἔβαλον, ὅ ἐςι κύκλῳ τῆς πυρᾶς. B.

256. ἡ διπλῆ, ὅτι ȣ̓ πᾶσα γῆ χυτή, ἀλλ᾽ ἡ τοῖς νεκροῖς ἐπιχεομένη. A.

258. ἀγῶνα: τὸν τόπον ἐν ᾧ ἠγωνίζοντο. λείπει δὲ ἡ εἰς. B.

καθεσθῆναι ἐποίησε τὸ πολὺ πλῆθος. ἢ εἰς εὐρύχωρον τόπον, ἵνα λείπῃ ἡ εἰς. V.

259. νηῶν: τȣ̃ τόπȣ ἔνθα ἦσαν· ἐν νεωλκηθείσῃ γ̓ νηῒ ȣ̓δὲν τίθεται, οὐδὲ διατρίβει τις ἐν αὐτῇ· φησὶ γοῦν „οἰσέμεναι κλισίηθεν." B.

κ̀ παρὰ Ἀριςοφάνει ἠθέτηται τȣ̃το. V.

262. ἱππεῦσι: τινὲς ἵπποισι· κατὰ τȣ́των γ̓ τὸ ἐπίθετον, ȣ̓ τῶν ἱππέων. V.

ποδώκεσιν: βαρύνειν δεῖ τὸ ποδώκης, κ̀ εἴρηται περὶ αὐτȣ̃. A.

263. ἡ διπλῆ πρὸς τὴν ἀμφιβολίαν, πότερον ἀμύμονα γυναῖκα ἢ ἀμύμονα ἔργα. κ̀ ὅτι συνεκδέξασθαι δεῖ τῷ καὶ τρίποδ᾽ ὠτώεντα τὸ φέρεσθαι· ἀκριβὴς γ̓ ὁ ποιητὴς περὶ τὰ ἀκτὰ κ̀ φορητά. A.

γυναῖκα μὲν τεχνῖτιν τῷ νικήσαντι τίθησιν, ὅτι σοφίας δεῖ κ̀ τέχνης πρὸς τὴν νίκην, τρίποδα δὲ διὰ τὴν ςάσιν καὶ καρτερίαν. B.

264. δυωκαιεικοσίμετρον: ὑφ᾽ ἕν, οἷον ὡς τὸ δυωκαιεικοσίπηχυ. V.

265. τῷ δευτέρῳ: ὁ μετὰ τὸν ἡνίοχον δεύτερος ὁ ἵππος. τῷ δὲ τρίτῳ ἀνεῦρον τὸν τρίποδα. V.

266. ἑξετέ: ὁ Ἀσκαλωνίτης ἐνθάδε προπαροξύνει ὁμοίως τῷ „ὅτριχας οἰέτεας" (Il. 2, 765). εἰσὶ δὲ οἳ παροξύνȣσιν ὁμοίως τῷ εὐγενέα, καὶ ȣ̃τως ἐπείσθη ἡ παράδοσις. προείρηται δὲ περὶ τῆς προσῳδίας. A.

βρέφος: ἐναντίως ἡμῖν τὸ ἔμβρυον. τὸ δὲ τεχθὲν ἔμβρυον. βρύειν γ̓ τὸ αὔξεσθαι· „καί τε βρύει ἄνθεϊ λευκῷ" (Il. 17, 56). V.

267. τριτάτῳ: σημειȣ̃νταί τινες ὅτι ἀντὶ τȣ̃ τρίτῳ, καὶ ὅτι ἄπυρον τὸν ἀναθηματικόν, ἕτερον τȣ̃ ἐμπυριβήτȣ. A.

268. κεχανδότα: ἀντὶ τȣ̃ χανδάνοντα. λευκὸν δὲ τὸν καινόν. B.

ὅτι ὥριςο τὸ μέτρον. V.

269. ἡ διπλῆ, ὅτι ȣ̓κ ἴσον τῷ καθ᾽ ἡμᾶς ταλάντῳ καὶ παρὰ τοῖς ἀρχαίοις ἦν· ὡς γ̓ ἧσσον τȣ̃ τρίποδος καὶ τȣ̃ ἵππȣ καὶ τȣ̃ λέβητος τίθεται. τὸ δὲ τάλαντον νῦν μὲν ρκ᾽ δραχμὰς ἔχει· τὸ δὲ παλαιὸν ὁ μὲν Πολέμαρχος δ᾽ δραχμῶν, Θεόφραςος δὲ ιδ᾽, Τίμαιος δὲ κδ᾽. A. ἔςιν οὖν αντίμετρον. κ̀ Ἀλκίνȣς φησὶ „φᾶρος ἐϋλυνὲς ἠδὲ χιτῶνα κ̀ χρυσοῖο τάλαντον ἐνείκατε" (Od. 8, 332)· αὐτὸς δὲ ὡς μεῖζον δώσων „τόδ᾽ ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω" (ib. 430). V.

πῶς τῷ τετάρτῳ πάντων μεῖζον δίδωσι; φησὶν ȣ̓ν ὁ Ἀριςοτέλης μὴ εἶναι τὸ τάλαντον ὡρισμένον ποσόν, ἀλλὰ κ̀ ἐπὶ ἥσσονος κ̀ μείζονος λαμβάνεσθαι· νῦν μὲν γ̓ ὡς ἧττον ἵππȣ λαμβάνεται, ἐν δὲ ταῖς λιταῖς ὡς μεῖζον. εἶχε δὲ ποτὲ μὲν ἑκατὸν δραχμάς, ποτὲ δὲ πεντήκοντα, ποτὲ δὲ λ᾽, ποτὲ εἰκοσιτέσσαρας, ποτὲ δ᾽, ὥς φησι Τίμαιος, κ̀ τὸ τελευταῖον μίαν. B.

270. ἡ διπλῆ, ὅτι φιάλην ȣ̓ τὸ παρ᾽ ἡμῖν ποτήριον, ἀλλὰ γένος τι λέβητος ἐκπέταλον ἐκ παντὸς μέρȣς δυνάμενον ἔχειν· διὸ ἀμφίθετον. A.

διπλῆν, οἱονεὶ ἔχȣσαν κ̀ ἐπὶ ςόμα κ̀ ἐπὶ τὸν πυθμένα θέσιν. D.

οἱ μὲν ἐξ ἀμφοῖν μεροῖν αἰρομένην, οἱ δὲ πανταχόθεν ἱςαμένην. ἀγγεῖον δὲ λεβητῶδες ἦν δύο ἔχον ὦτα ἀμφοτέρωθεν, δι᾽ ὧν ἐβαςάζετο. B.

διὰ τȣ̃ ἀπύρωτον ὡς δὴ κ̀ ἀναθεματιαίων ὡς ȣ̓σῶν τοιȣ́των διελὼν εἰς ἣν ἐτέθη τὰ ὀςᾶ Πατρόκλου. V.

271. μῦθον ἐν Ἀργείοισιν ἔειπε: ȣ̓ διὰ κήρυκος· ȣ̓ γ̓ πρὸς πάντας ἀλλὰ πρὸς τȣ̀ς ἀριςεῖς διαλέγεται. B.

ὥςε ȣ̓ κατὰ τὰ ἔθη τὰ παλαιά. V.

272. ἐϋκνήμιδες Ἀχαιοί: γράφεται ἀριστῆες Παναχαιῶν. A.

273. ἡ διπλῆ, ὅτι τὸ δεδεγμένα ἀντὶ τȣ̃ προσδεχόμενα, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἐμψύχων. τινὲς δὲ γράφȣσιν ἱππεῦσι τάδ᾽ ἄεθλα. A.

διχῶς Ἀρίςαρχος, δεδεγμένα κ̀ δεδεχμένα. A.

διχῶς. εἰ μὲν διὰ τȣ̃ γ̄, ἀντὶ τοῦ ἐπιδεδειγμένα· εἰ δὲ διὰ τȣ̃ χ, ἀντὶ τȣ̃ ἐκδεχόμενα, ὡς ἐπὶ ἐμψύχων. V.

274. συςαλτέον τὸ νῦν· ἀντὶ γ̓ τȣ̃ δή. V.

275. πρῶτα: πρωτεῖα. V.

276. περιβάλλετον: ὑπερβάλλȣσιν. A.

ὅτι δυϊκῶς περιβάλλετον· συνωρίδι γ̓ ἐχρῶντο. A.

277. ἀθάνατοί τε: πρὸς τὸν φθόνον· οὐ γ̓ αἰσχρὸν ἀθανάτοις ἡσσᾶσθαι. V.

Ποσειδάων: ὁ ἵππιος θεός. V.

280. κλέος: γράφεται σθένος. A.

ὅτι ἡνίοχος Πάτροκλος Ἀχιλλέως. V.

λαβόμενος μικρᾶς ἀφορμῆς πάλιν ἐπὶ τὴν μνήμην ἔρχεται τοῦ φίλου. V.

281. ἐγκλιτικῶς τὴν σφῶϊν ἀντωνυμίαν ἀναγνωςέον· ἔςι γ̓ τρίτȣ προσώπȣ. ȣ̃τως κ̀ δι᾽ ἑνὸς σ̄, ὡς τὸ „ὅ σφιν ἐϋφρονέων ἀγορήσατο" (Il. 1, 73). A.

ὑγρὸν ἔλαιον: ἤτοι τὸ σωμάτων χαλαςικόν, ἢ τὸ ἐν ὑγρότητι διαφυλάττον κ̀ μὴ ἐῶν ξηραίνεσθαι· ἢ ὅτι τὸ ἔλαιον οὐκ ἀποκρυςαλλȣ̃ται, πολὺ ἔχον ἐν ἑαυτῷ τὸ θερμόν. AD. τρίτον δὲ κοτύλης ἐλαίȣ τὸ πᾶν ἀνθρώπȣ τέγγει σῶμα. A.

ἐντεῦθεν Ξενοφῶν τὴν κεφαλὴν τῶν ἵππων ὕδατι πλύνειν ἀξιοῖ κ̀ τὸ προκόμιον, ὁμοίως δὲ κ̀ τῶν βοῶν· καὶ ἐλαίῳ τῷ ἀρκȣ̃ντι λιπαίνειν. B.

285. τὸ κατὰ ςρατόν ἑκατέροις δύναται προσδίδοσθαι· βέλτιον δὲ τοῖς ἑξῆς. A.

287. ἄγερθεν: ȣ̃τως Ἀρίςαρχος. ἄλλοι δὲ ἔγερθεν. A

ἄλλως. ȣ̃τως ἔγερθεν διὰ τȣ̃ ε̄ αἱ Ἀριςάρχȣ, οἷον ἠγέρθησαν, ἀνέςησαν, ὡς ἑξῆς „καί ῥ᾽ ἥμονες ἄνδρες ἀνέςαν" (886). ἡ διπλῆ δέ, ὅτι ἀντὶ μεσότητος τȣ̃ ταχέως, ȣ̓ κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἱππέων. A.

ἀντὶ τῆ ταχέως, ὡς τὸ „λῦσε δ' ἀγορὴν αἰψηρήν" (Il. 19, 276). A.

288. *Εὔμηλος*: ὡς Θετταλικὰς ἵππους ἔχων καὶ ὑπὸ Ἀπόλλωνος τραφείσας. V.

289. *ὃς ἱπποσύνῃ ἐκέκασο*: ἐ μόνον ἵππων ἀρετῇ θαρρῶν ἀνέξη πρῶτος, ἀλλὰ καὶ τέχνῃ ἱππικῇ. B.

291. *Τρωὲς ὡς πολλὲς ἀνεγνώσθη*. προείπομεν δὲ περὶ τῆς προσῳδίας. A.

οὗς ποτ' ἀπηῦρα: ὡς τὸ „ὅς ποτ' ἔδωκας ἀντιθέῳ Ὀδυσῆϊ" (Od. 22, 290). V.

ἐνδείκνυ τὲς ἐξ ἀριστείας ληφθέντας, ἐ τὲς κλαπέντας. ἄλλως τε ὅτι μέλλεσι νικᾶν τὲς Ἀπολλωνοτραφεῖς, τούτους παρέλαβεν. πῶς δὲ ὁ ἔναγχος τρωθεὶς ἀγωνίζει; ὅτι εἶχον τὰ σώματα διαφορώτερα τῶν νῦν καὶ τὲς Ἀσκληπιάδας ἰατρευτάς. V.

293. *ὦρτο ξανθὸς Μενέλαος*: εἰς τιμὴν Ἀχιλλέως οἱ βασιλεῖς ἀγωνίζονται. ἄτοπον δὲ ἦν, εἰ ἡσσήθη Ἀγαμέμνων· τὸ δὲ μηδέτερον ἀγωνίσασθαι ἀπρεπές. B.

295. *Αἴθην*: ὄνομα τῆς ἵππε, πεποιημένον ἴσως ἀπὸ τῆ θέρμῶς καὶ ταχέως τρέχειν. ἡ διπλῆ δέ, ὅτι ἐντεῦθεν παρῴδηται τὰ ὀνόματα τῶν Ἕκτορος ἵππων, Αἴθων καὶ Ποδάργος (Il. 8, 185)· ἐ γὰρ εἰσάγει τετρώρῳ χρωμένες. A.

τὴν Ἀγαμεμνονέην: τὴν τοῦ ἀδελφοῦ ζεύγνυσιν ἵππον, ἵνα τρόπον τινὰ κοινῇ ἀγωνίζοιντο. πρὸς δὲ τὸ φιλάδελφον ἐκ ἐντυγχάνοντα περὶ τῆς ἵππε πεποίηκεν αὐτὸν τῷ ἀδελφῷ, ἀλλὰ μετ' ἐξουσίας ζευγνύντα. ἔπαινος δὲ ἐξὶ τῆ δυναμένῃ εὐθύνειν τὸ ἀνόμοιον ζεῦγος. τάχα δὲ καὶ συνεργεῖ πλέον ἡ Θῆλυς· ἐ γὰρ ἐδίδα ἀνοχὴν Ποδάργῳ τῆ θηλυμανεῖν καὶ ἀμελεῖν τῆ δρόμε. καὶ ὁ τὴν Τιτανομαχίαν δὲ γράψας δύο ἄρρενάς φησιν ἡλίε καὶ δύο θηλείας ὑπαινν . . . καὶ ὑπαινίττεται ὁ ποιητὴς ὡς ὅτι περὶ τὰ παιδεργὰ μόνον διαφέρειν ὀφείλεσιν ἄρρεν καὶ θῆλυ, κατὰ δὲ τὴν ἀρετὴν καὶ τὸ τῆ βίε πρακτικὸν ἐδεμία αὐτοῖς διαφορά. B.

296. *Ἀγχισιάδης Ἐχέπωλος*: ἡ διπλῆ, ὅτι ἄδηλον ποῖον τὸ κύριον ὄνομα, μᾶλλον δὲ τὸ Ἐχέπωλος. A.

Ἀκεσίλαος ἐν τρίτῳ γενεαλογιῶν κύριον ἤκεσε τὸ Ἐχέπωλος ἕτως „Κλεωνύμε δ' Ἀγχίσης, τῆ δὲ Ἐχέπωλος." καὶ Φερεκύδης ἐν τῷ τρίτῳ „Κλεώνυμος δὲ ὁ Πέλοπος ᾤκει Κλεωναῖσι καταςήσαντος Ἀτρέως. τῆ δὲ γίνεται Ἀγχίσης, τῆ δὲ Ἐχέπωλος." V.

τύραννος Σικυώνιός τις ἦν ὑπὸ Ἀγαμέμνονα. V.

297. *δῶρ' ἵνα μή οἱ ἔποιθ'*: ἀπεσέμυνε τὴν ἵππον ἕτως αὐτὴν εὐγενίσας, ὥσε καὶ δῶρον (λυτρὸν V) ἀςρατείας δοθῆναι. κρεῖττον δὲ ἠγήσατο πολεμικὴν (πολεμιὴν V) ἵππον ὑπὲρ ἀπόλεμον ἄνθρωπον Ἀγαμέμνων. B.

χρησιμώτερον γὰρ ἐνόμιζε πολεμικὸν ἵππον ἢ ἀςράτευτον ἄνδρα λαβεῖν. A.

ἡ διπλῆ δέ, ὅτι θηλυκῶς τὸ Ἴλιον. A.

300. *τὴν ὅγ'*: ἐν ἄλλῳ τὴν τόθ'. A.

301. *ἐ μάτην Ἀντίλοχος ἀγωνίζεται· ἱππικῆ γάρ ἐξι πατρός, καὶ παρέξει ἀφορμὰς τῷ πατρὶ ὑποθήκας αὐτῷ ἡνιοχείας παραδῶναι*. B. ἄλλως τε καὶ ἀπόγονός ἐξιν ἱππίε θεῆ Ποσειδῶνος. V.

303. 304. *Πυλοιγενέες*: γράφεται καὶ παλαιγενέες· „ἄμφω γὰρ ἀτέμβονται νεότητος" (445). τὸ δὲ ὠκύποδες ἐπὶ νεότητος, ὡς τὸ „ἐϋμελίης Πρίαμος" καὶ „πεδίῳ ἀνθεμόεντι" τῷ Σκαμανδρίῳ (Il. 2, 467). V.

304. ἡ διπλῆ, ὅτι κοινότερον κατακέχρηται τῷ ἐπιθέτῳ· ἐπιφέρει γᾶν „βάρδιοι θείειν" (310). A.

305. *βραχὺ διαιτέον ἤτοι ἐπὶ τὸ ἀγαθά ἢ ἐπὶ τὸ φρονέων, ἢ ἐπ' ἀμφότερα. ἐὰν μὲν ἓν συνάπτωμεν, ἔσται ὁ λόγος, εἰς ἀγαθὰ φρονέων, οἷον εὐνοῶν· ἐὰν δὲ χωρίζωμεν, μυθεῖται εἰς ἀγαθά, ἔλεγεν ἐπ' ἀγαθῷ, ὡς καὶ ἐν ἄλλοις „ὅτ' ἄν τινα θυμὸς ἀνώγῃ εἰπεῖν εἰς ἀγαθόν" (Il. 9, 102), ὃ καὶ βέλτιον. καὶ ἡ ἑξῆς διαιτὴ λόγον τινὰ ἔχει, φρονῶν αὐτὸς φρονῆντι καὶ αὐτῷ*. A.

ἐπὶ τὸ ἀγαθὸν αὐτὸν σωφρονίζων καὶ ἐμβιβάζων εἰς τὴν νίκην καὶ περὶ ἱππικῆς διδάσκων. B.

306. 307. *τὸ μὲν φιλεῖν ἐπ' ἀμφοτέρων δεκτέον, τὸ δὲ τῆς ἱππικῆς ἐπὶ μόνε Ποσειδῶνος. συλληπτικῶς δὲ εἴρηται, ὡς ἐπὶ τῷ „Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων ἄφρονα τῦτον ἀνέντες"* (Il. 5, 760). A.

307. ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει *ἐδίδαξαν*, Ἀρίσαρχος δὲ *ἐνικῶς ἐδίδαξεν*, ἐπὶ τῆ Ποσειδῶνος· ἵππειος γάρ. A. ἴσως δὲ διὰ τὸ τάχος τῶν νεῶν „αἵ θ' ἅλὸς ἵπποι" (Od. 4, 708) ἵππιος. V.

310. *τῷ τ' οἴῳ*: τὸ τέλειον τῷ τοι οἴῳ· σπανία δὲ παρ' Ὁμήρῳ ἡ συναλοιφή. τινὲς δὲ τὸν τέ οἴονται, καὶ ἔξι περισσός. B.

311. ἡ διπλῆ πρὸς τὸ *ἀφάρτεροι*, ὅτι ἅπαξ ἐνταῦθα καὶ ἐχημάτισαι παρὰ τὸ ἄφαρ, ὃ ἐξι ταχέως. A.

παρὰ τὸ ἄφαρ, ὃ σημαίνει τὸ εὐθέως, οἱ εὐθεῖς καὶ ταχύτατοι. B.

ἐδὲ μέν: ὁ δὲ παρέλκει, ὁ δὲ μέν ἀντὶ τῆ μήν, ὃ ἐξιν οὐ μήν. V.

311. 312. *ἐκ εἶπεν ὅτι κρείσσων τυγχάνεις, ἀλλ' ὅτι ἐδὲ ἥσσων*. B.

314. 315. *ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα*: ἐχ ὡς ἄμοιρον ἄθλε ἐσάμενον, ἀλλ' ἵνα μὴ πέμπτος μείνῃ· εἰ γὰρ ἄεθλόν ἐξι τὸ ἐπὶ νίκῃ διδόμενον, ἄρα τὸ πέμπτον ἐκ ἔξιν ἄεθλον. B.

315. *μήτι τοι δρυτόμος*: ἵνα κατὰ τὴν φύσιν τοῦ ξύλε καὶ ἁρμονίαν κόπτῃ, καὶ μὴ κατὰ τὸ ἐναντίον. B.

316. *μήτε δ' αὖτε κυβερνήτης*: ἵν' ἀντιτάττηται τῷ πνεύματι, καὶ τὸ ἐπιὸν δεχόμενος ἀποκλῶ τὸ λιπόμενον· ἐκεῖνος γὰρ ἄριστος κυβερνήτης, ὁ ἐν χειμῶνι ὀρθὴν ἄγων τὴν ναῦν. *ἐρεχθομένην* δὲ οἱονεὶ ἐρεθομένην ἤτοι ἐρεθιζομένην. γράφεται δὲ καὶ *ἐργομένην* ἤτοι συνεχομένην καὶ κωλυομένην. καλῶς δὲ ἔδειξεν ὅτι ὧ μάλιςα βίας ἔργον εἶναι δοκεῖ, τοῦτο τέχνης δεῖται. τῇ δὲ ἐπαγωγῇ πρῶτος ἐχρήσατο Ὅμηρος. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τάχα βραχὺ διαξέλλοντες ἐπὶ τὸ κυβερνήτης σαφέστερον ἂν ποιοῖμεν τὸν λόγον. A.

317. ἐρεχθομένην: ἐρεθομένην, ὃ ἐστιν ἐρεθιζομένην, ὡς τὸ „θυμὸν ἐρέχθων" (Od. 5, 83) ἀντὶ τῆ ἐρεθίσας. ἢ ἐργομένην ἀντὶ τῆ συνεχομένην. A.

319. δασυντέον τὸ ὃς· ἔχει γὰρ ἄρθρον, ὅτως ὁ Ἀσκαλωνίτης. Ἀντίγονος μέντοι ἄλλως ἀνεγίνωσκεν, ἀ παραδεχόμενος τὸ ἄρθρον. A.

ἐναντιότητος ἔλαβεν ἐνθύμημα, τέχνης ἐπιτυχίαν καὶ ἁμάρτημα ἐπιτυχίας. οἱ μὲν γάρ, φησίν, ἀτεχνεῖς ὄντες, ἵππων δὲ γενναίων ἐπιτυχόντες, τῇ ἐπιτυχίᾳ τὴν ἧτταν ἐκτήσαντο, μὴ περιγενόμενοι τῶν ἵππων, ἀλλὰ διὰ τὸ εὔδρομον (τὸ μὴ εὐθυδρομεῖν V) πλείσην ὁδὸν ᾗ ἐκ εὐθεῖαν εἱλόμενοι. ὁ δὲ τεχνίτης, κἂν βραδεῖς ἔχοι ἵππους, τάχιον τῷ τέλει εὐθυδρομῶν ἐφικνεῖται. B.

322. ὅς δέ κε κέρδεα εἰδῇ: τέχνης βουλεύμασι „κέρδεσιν, ὅτι τάχει γε παραφθάμενος" (515). B.

ἡ ὑποσιγμὴ ἀμφίβολος· ἤτοι γὰρ μετὰ τὸ εἰδῇ ἢ μετὰ τὸ ἵππους τίθεσθαι ὀφείλει. A.

323. ῥέφει ἐγγύθεν: κάμπτει ἐγγὺς τῆ καμπτῆρος, ἵνα μὴ ἐξαγώνιος αὐτῷ γένηται ὁ δρόμος. B.

οὐδέ ἑ λήθει: ἀ λήθει αὐτὸν ἐὰν ἔξω τῆ καμπτῆρος τρέχωσιν. ἢ ἀ λήθει αὐτὸν τὸ ἐγγὺς τῆ καμπτῆρος ῥέφειν τὰς ἵππους. B.

327. δασυντέον ᾗ προπεριισπαστέον τὸ αὖον· προείπομεν δὲ ᾗ περὶ τούτου. A.

ὀργυιὰ ἡ τῶν δύο χειρῶν εἰς πλάτος ἔκτασις. D.

ὑπὲρ αἴης: ἔν τισιν ἐνὶ γαίῃ. A.

328. ἀ καταπύθεται: Θεόφραστός φησι (Hist. Plant. 6, 5) τὰ τοιαῦτα ξύλα κατορυσσόμενα ἢ ἐν λίμναις βρεχόμενα μὴ σήπεσθαι· ἐὰν δὲ ἐν θαλάσσῃ ᾖ, σήπεσθαι. B.

330. ξυνοχῇσιν ὁδῶ: ταῖς συμπτώσεσι ταῖς ἀπὸ εὐρυχωρίας εἰς στενὸν συγκλειομέναις· ᾗ „ἐπὶ σῆμα συνοχωκότες" (Il. 2, 218). τὸ σιγματοειδὲς ἓν τῶν στοιχείων συνοχὴν φησι. BV.

ἀμφὶς: μετὰ τὴν ἀποστένωσιν. οἱ δὲ χωρὶς, μετὰ τὴν τελευτήν. V. χωρὶς ἦγεν ἐκτὸς τῆς στενώσεως. B.

καλῶς ἡ συνήθεια σίζει μετὰ τὸ ὁδῶ· φησὶ γὰρ τὸν καμπτῆρα εἶναι ἐν τῷ μέσῳ καὶ στενωτάτῳ τῆς ὁδοῦ (τοῦτο γὰρ συνοχὰς εἴρηκεν), λεῖον δὲ εἶναι τὸ πλησίον τῆ καμπτῆρος χωρίον, ὃ καὶ ἱππόδρομον εἶπε. κἀν τοῖς ἑξῆς (358) „σήμηνε δὲ τέρματ' Ἀχιλλεὺς τηλόθεν ἐν λείῳ πεδίῳ," τῷ ἀμφὶς σημαίνοντος τὸ πέρας. A.

331. ἦ τεν σῆμα βροτοῖο: Ἀρίσταρχος γράφει „ἦε σκίρος ἦεν· νῦν αὖ θέτο τέρματ' Ἀχιλλεύς." σκίρον δὲ τὴν ῥίζαν διὰ τὸ ἐσκιάσθαι. ὅθεν τὸ σκιάδιον Ἀττικοὶ σκίρον καλοῦσιν. V.

336. ἦκ': τὸ πλῆρές ἐστιν ἦκα. καλῶς ἡ συνήθεια σίζει ἐπὶ τὸ τοῖσιν· τῶν γὰρ ἵππων δεῖν φησὶν αὐτὸν ἐπ' ἀριστερὸν κλιθῆναι. A.

ῥέμα κλιθῆναι πρὸς τὸ μὴ τρέψαι τὸν δίφρον, ᾗ τὸν δεξιὸν ἵππον κεντρίσαι πρὸς τὸ δραμεῖν. B. ἀλλὰ καὶ κεφιωθῆναι τὸν δ. καὶ περιδραμεῖν· ὁ δὲ ἀριστερὸς χολαίτερον ἀνύει. V.

337. ἡ διπλῆ, ὅτι εἶξαι ἀντὶ τῆ χαλάσαι. A.

338. ἐν (ἐπὶ D) δὲ τῷ καμπτῆρί σοι ὁ ἀριστερὸς ἵππος οὕτως ἐμπελασάτω ἀκριβῶς, ὥστε τὴν ἔξωθεν τοῦ τροχοῦ περιφέρειαν δόξαι ψαύειν τῆς χοινικίδος. τοῦτο δὲ πάσχειν δοκεῖ ὁ παρὰ τὸν καμπτῆρα τροχός. AD.

339. δοάσσεται: φανταωθῇ, νομιωθῇ. B.

340. λίθου: τῆ προειρημένῃ λίθῳ· „λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ" (329). A.

343. ἔσσεται: τινὲς δίχα τοῦ τ. V.

εἶναι: ἀντὶ τῆ ἔσο. ἢ λείπει τὸ σπεῦδε. B.

345. ἀκ ἔσθ' ὅς κέ σ' ἕλῃσι: ἀδεὶς μετὰ σὲ ὁρμῶν καταλάβοι σε· εἰ δὲ ᾗ καταλάβοι, ἀλλ' ἐ παρέλθοι. B.

ἡ διπλῆ, ὅτι ἀντὶ τῆ ὃς ἂν ἕλῃ σε. A.

346. Ἅριονα: Ποσειδῶν ἐραθεὶς Ἐρινύος, καὶ μεταβαλὼν τὴν αὐτῆ φύσιν εἰς ἵππον, ἐμίγη κατὰ Βοιωτίαν παρὰ τῇ Τιλφούσῃ (τιφλώσῃ D) κρήνῃ. ἡ δὲ ἔγκυος γενομένη ἵππον ἐγέννησεν, ὃς διὰ τὸ κρατιστεύειν Ἀρείων ἐκλήθη. Κοπρεὺς δὲ Ἀλιάρτῃ βασιλεύων πόλεως Βοιωτίας ἔλαβε δῶρον αὐτὸν παρὰ Ποσειδῶνος· ὕστος δὲ αὐτὸν Ἡρακλεῖ ἐχαρίσατο γενομένῳ πρὸς αὐτόν. τότῳ δὲ διαγωνισάμενος Ἡρακλῆς πρὸς Κύκνον τὸν Ἄρεως υἱὸν καθ' ἱπποδρομίαν ἐνίκησεν ἐν τῷ τῆ Παγασαίᾳ Ἀπόλλωνος ἱερῷ, ὃ ἔστι πρὸς Τροιζῆνι. εἶθ' ὕστερον ἕστος ὁ Ἡρακλῆς Ἀδράστῳ τὸν πῶλον παρέσχεν· ὑφ' ἧ μόνος ὁ Ἄδραστος ἐκ τοῦ Θηβαϊκοῦ πολέμου διεσώθη, τῶν ἄλλων ἀπολομένων. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς. ABD.

ἴσως ἐπεὶ ἐν Σικυῶνι γέγονεν ὁ Ἀρείων, εὖ ἐδόκει ἡ Αἴθη ἀπόγονος εἶναι. V.

346. δῖον: διὰ τὸ λίαν ταχὺ τῆ δρόμῳ ᾗ τὸ κάλλος τῆ εἴδους θειοτέρας αὐτὸν ὑπερβολικῶς ἔφησε φύσεως. καλῶς δὲ τὰ ἐν ἑκατέρᾳ ἠπείρῳ διαφέροντα τῶν ἵππων γένη παρέλαβεν. B.

ὅς ῥ' ἐκ Θεόφιν: Ὅμηρος μὲν ἁπλῶς ὅτι θειοτέρας ἦν φύσεως· οἱ δὲ νεώτεροι Ποσειδῶνος ᾗ Ἅρπυίας αὐτὸν γενεαλογοῦσιν, οἱ δὲ ἐν τῷ κύκλῳ Ποσειδῶνος ᾗ Ἐρινύος. V.

348. τράφεν: ἐπὶ παθητικῆ τέτραφεν. V.

τῷ τέτραφεν ἐπὶ παθητικῆ χρῆται, ὡς ἐκεῖ (Il. 21, 279) „ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ' ἄριστος." V.

350. ἑκάστε πείρατ': τὰ ἀπὸ τῆς ἐμπειρίας ἀποβησόμενα πράγματα. B.

351. Μηριόνης δ' ἄρα: οὐδὲ ὁ Μηριόνης αὐτῷ ἀσκόπως πρὸς τὴν ἀγωνίαν παρείληπται, ἀλλ' ἵνα διάθηται τὰ περὶ τὸν Ἰδομενέα περιέχοντα φιλονεικίαν ὄχλῳ πρέπουσαν. B.

353. ἐκ δὲ κλῆρος θόρε Νεσορίδαο: ἐναγώνιον συνίζησι τὸν ἀγῶνα, εἴγε ὁ πρῶτος ὕστερος ᾗ ὁ ὕστερος πρῶτος ὁρᾶται. ἦν δὲ ὁ δρόμος ἀ δολιχός· κάμπτεσθαι γάρ. ἀλλ' ἀδὲ πολλάκις κάμπτεσθαι· ἔδει γὰρ πολλάκις εἶναι τὸν καμπτῆρα.

δίαυλος ἦν ἐξὶ μακρότατος· διὸ καὶ σκοπὸς κάθηϑ Φοῖνιξ καὶ σημαίνει τὸ τέρμα τηλόθεν, μή πώς τις ἐντὸς τᾶ καμπτῆρος κάμψῃ· ἅπαξ γὰρ ὁρῶνται ἐπὶ τᾶ αἰγιαλᾶ καὶ ἅπαξ φιλονεικᾶσι περὶ αὐτῶν. B. εἰ δὲ λέγοις „ἀλλ' ὅτε δὴ πύματον," τῶν δύο τὸν ἔχατόν φησι. V.

358. μεταξοιχεί: ἀντὶ τᾶ μετὰ ξοιχειώσεως καὶ τάξεως. B.

ἐπὶ σίχον, ὡς τὸ „μετὰ Ξάνθον τε" ἀντὶ τᾶ ἐπὶ Ξάνθον. σίχος δὲ ἡ ἐπὶ τὸ βάθος σάσις τῶν χορευτῶν. οὐ γὰρ κατὰ μέτωπον ἔζησαν, ἐπεὶ διὰ τί δ' κλῆρος ἐπάλθη; οὐ γὰρ ἔγραφον τὰς σίχας ὡς νῦν ἡμεῖς· ἐν γὰρ γράψαντες ἕτερον ἔγραφον καὶ τρίτον καὶ τέταρτον. V.

ὅτι ἀντὶ τᾶ ἐπὶ σίχα· ἀ γὰρ ἀπὸ ταυτᾶ τέρματος ὥσπερ ἐπὶ τῶν δρομέων ἡ ἄφεσις γίνεται· διὸ καὶ κληροῦνται περὶ τᾶς σάσεως. ἀ δεόντως ἦν ἐπὶ τῶν δρομέων μετάκειται ὁ σίχος ἐντεῦθεν (757). A.

361. μεμνέωτο: ἐπιμέλοιτο· „μεμνῆσθ πατρὸς καὶ μητρός." προπαροξυντέον δὲ καὶ μετὰ τᾶ ῑ γραπτέον. B.

προπαροξυτονητέον τὸ μεμνέωτο. γράφεται δὲ καὶ σὺν τῷ ῑ τὸ ῶ. ἕτω δὲ καὶ ὁ Ἀσκαλωνίτης, ἐκ τοῦ μεμνέοιτο ἡγέμενος αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τᾶ ε ἐξὶν ὁ χηματισμὸς καὶ προπερισπᾶται, ἐν Κύρ παιδείας πρώτῳ (6, 3) „ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν Θεὸν μεμνῷτο." τὸ δὲ ἀνάλογον διὰ τᾶ ῆ, προσκειμένᾳ τᾶ ῑ, παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ (992)· „ἵνα τἠμὸν ἱμάτιον φορῶν μεμνῆτό μου." καὶ πάλιν προπερισπαστέον. ἐν ἑτέροις μέντοι ἐντελῶς περὶ τᾶ χηματισμᾶ διέλαβον καὶ περὶ γραφῆς τῆς κατὰ γενικήν, λέγω δὲ τῆς δρόμου, ἢ αἰτιατικῆς πληθυντικῆς τῆς δρόμους. A.

ἄλλως. δρόμους πληθυντικῶς Ἀριστοφάνης. A.

362. οἱ δ' ἄρα πάντες: πᾶσαν φαντασίαν ἐναργῶς προβέβληται, ὡς μηδὲν ἧττον τὰς ἀκροατὰς τῶν θεατῶν ἐχηκέναι. B.

ἄρα: γράφεται ἅμα. A.

364. ἡ διπλῆ, ὅτι λείπει ἡ διά, διὰ πεδίου. A.

365. νόσφι νεῶν: ἤρξαντο μὲν ἀπὸ Σιγείου, ἔνθα ἦν Ἀχιλλεύς, ἔτρεχον δὲ ἐπὶ τὸ Ῥοίτειον· νόσφιν ἦν νεῶν τῶν πρὸς τῷ αἰγιαλῷ νεωλκηθεισῶν. κατὰ δὲ Ἀριστοφάνην ὁ δρόμος γέγονεν ἐν τῷ ἀπὸ τᾶ τείχους διαξήματι ἄχρι τῆς θαλάσσης. B. ε' σαδίων. V.

368. ἐν μὲν τῇ πεδιάδι χθονὶ πίλνατο, ἐν δὲ τοῖς πετρώδεσιν ἄνω ἦρτο. βεβαία δὲ αὐτῶν ἡ σάσις, ὅτι μὴ ἐπίπτον τῇ τῶν ἁρμάτων ἀναβολῇ. B.

372. ἐπέτοντο: πρὸς γὰρ τῷ τέλει τῆς νίκης ταχύνεσι πλέον. V.

κονίοντες: κονιορτόμενοι ἢ ἐγκονοῦντες. V.

ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, διὰ πεδίοιο. A.

374. ἐφ' ἁλός: ἕτως Ἀριστοφάνης. αἱ δὲ πλείους ἀφ' ἁλός· καὶ μήποτε λόγον ἔχει. A.

375. τάφη: σύντονος ἐγένετο· ἐκτείνονται γὰρ ἐν τῷ δρόμῳ οἱ ἵπποι. D.

377. οὐκ ἀναστρεπτέον τὴν μετά· πέπτωκε γὰρ μέσος ὁ δέ. A.

378. ἐδέτι: ὅτι δὶς τὸ αὐτό. V.

φιλονεικίαν κινεῖ τοῖς ἀκέφσι τὸ ἐφάμιλλον τῶν ἀγωνιζῶν. V.

382. ἀμφήριφον: ἀμφισβητήσιμον. B.

383. εἰ μή: συναγωνιᾶν αὐτοῖς ποιεῖ τὰς θεατὰς κατὰ Πίνδαρον „πολλοὶ δὲ καὶ μέμνανται καλὸν εἴ τι πολιανθῇ" (Ol. 6, 16). V.

σεμνοποιῆσαι θέλων τὸν ἀγῶνα, καὶ θεὰς συμφιλονεικάντας εἰσάγει. κατὰ Διομήδας δὲ χωρεῖ ὁ Ἀπόλλων, ὅτι ἐ θεὸν μέγαν ἄζετο, εἰ μὴ μόνῃ εὔχετο Ἀθηνᾷ. B. καὶ ὡς ἱπποβακόλος Ἀδμήτου. V.

δεόντως τῶν Εὐμήλε ἵππων προνοούμενος εἰσάγεται ὁ Ἀπόλλων, ἐπεὶ αὐτὸς ἀνεθρέψατο αὐτὰς κατὰ τὸν ποιητὴν λέγοντα „τὰς ἐν Πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων, ἄμφω θηλείας, φόβον Ἄρεος φορεύσας" (Il. 2, 766). δοκεῖ γὰρ κατὰ τὸν μῦθον Ἀπόλλων θητεῦσαι Ἀδμήτῳ τᾷ Εὐμήλου πατρί, ὡς μὲν Εὐριπίδης ἐν Ἀλκήστιδι, διὰ τὰ φονεῦσαι Κύκλωπας, ὡς δὲ Καλλίμαχος, διὰ τὸ ἐραθῆναι Ἀδμήτα. ABD.

385. χωομένοιο: συγχεομένα καὶ λελυπημένου ἐπὶ τᾷ ἀτυχίᾳ. B.

ἡ διπλῆ, ὅτι χωομένοιο ἀντὶ τᾶ συγκεχυμένα. A.

387. οἱ δέ οἱ: ὁ Ἀσκαλωνίτης ἐκδέχεται τὸ πλῆρες εἶναι ἑοί, καὶ μεταλαμβάνει εἰς τὸ ἴδιοι, καὶ μήποτε ὑγιῶς· ὡς γάρ φαμεν οἱ ἐμοὶ ἐβλάφθησαν ἵπποι, οἱ σοὶ ἐβλάφθησαν, ἕτως οἱ οἱ ἐβλάφθησαν, τετέχιν οἱ αὐτᾶ. τινὲς μέντοι εὐλαβηθέντες, ὧν ἐξὶ καὶ Ἀρίσαρχος, τῷ τὴν οἱ ὀρθοτονεμένην ἀντωνυμίαν πολλάκις εἰς σύνθετον μεταλαμβάνειν, ἐγκλιτικῶς ἀνέγνωσαν, ἐκέτι ἐκδεχόμενοι πληθυντικὴν κτητικὴν εὐθεῖαν, ἀλλ' ἑνικὴν δοτικὴν μονοσύλλαβοι ὁμοίως τῷ „οἱ δέ οἱ ἵπποι ὑψόσ' ἀειρέσθην" (500), καὶ δηλονότι δοτικὴν ἀντὶ γενικῆς. καὶ ἕτως τὰ τῆς ἀναγνώσεως. B.

ἐγκλιτέον τὴν οἱ· ἔξι δὲ ἀντὶ τᾶ αὐτᾶ. B.

388. ἐλεφηράμενος: παραλόγως καὶ ἀδίκως βλάψας αὐτόν. B.

391. γράφεται κοτέσσα βεβήκει. A.

δεῖ τοίνυν καὶ τὰς ἐπικρίσεις παραπεφυλαγμένως ποιεῖσθαι, ὅπως μὴ μᾶλλον, ὧν προϊσάμεθα, τούτους βλάψωμεν. BV.

392. ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν: ἐτάχυνε τὴν ἀπαγγελίαν, μιμέμενος ψόφον ἁρμάτων κλωμένων. B.

393. ἀμφὶς ὀδᾶ δραμέτην: τῆς προκειμένης ὁδὸ χωρὶς ἔδραμον. B.

ἐλύσθη: συνερρύη, συνέπεσεν, ὡς „λασίην ὑπὸ γαστέρ' ἑλυσθείς" (Od. 9, 433). B.

396. θρυλίχθη: περιεθραύσθη. A.

ἡ ὀνοματοποιία τᾶ θρυλίχθη τὴν ταραχὴν τᾶ θραυσθέντος προσώπα δηλοῖ. B.

397. θαλερὴ ἡ σύντονος καὶ μεγάλη. A.

398. παρατρέψας: νηφαλεωτάτη ἡ προαίρεσις· τᾶι

ᾗ ἦν δεξιᾶ ἡνιόχη, τὸ μὴ ἐπενεχθῆναι τῷ συντετριμμένῳ ἅρματι. B.

401. τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης: ἐπέκειτο τούτῳ Μενέλαος. εἰκότως δὲ τοῦτον τρίτον παρέλαβεν, ἅ κ τὰς ἵππους κατονομασίας ἠξίωσεν. V.

403. ἔμβητον: ἠθικὴ ἡ προσφώνησις κ συνήθης· κ γ' οἱ ἐν πολέμῳ κ ὀνόματα αὐτοῖς εἰώθασι τιθέναι διὰ τὸ μὴ ξενοφωνοῦντας ἴσασθαι. B.

σφῶϊ τιταίνετον: ἀντὶ τῆς ὑμᾶς αὐτὰς τείνετε πρὸς δρόμον. γίνεται δὲ ἐκ τοῦ ταίνω τοῦ σημαίνοντος τὸ τείνω, ἀφ' ἧς κ τιταίνω. B.

ἡ διπλῆ, ὅτι ὑγιῶς κεῖται ἡ ἀντωνυμία χωρὶς τοῦ ν. A.

404. οὔ τι κελεύω: ὡς ἐκ ἀσύνετος. V.

405. 406. ἀθετοῦνται οἱ δύο· πῶς γ' τὸ ἐκ τῆς Ἀθήνης γενόμενον οἶδεν ὁ Ἀντίλοχος; κ τὸ τοῦ Τυδείδεω ἵπποισι δῆλον ὅτι περὶ τοῦ Διομήδους ἐστὶν ὁ λόγος. A.

405. οἷσιν Ἀθήνη: τὴν ἐκ τῆς Ἀθηνᾶς ροχάζεσθαι βοήθειαν, ὡς ἂν συνετός. καὶ Αἴας (782) „ἦ μ' ἔβλαψε θεά." B.

407. τὸ ἐξῆς κιχάνετε καρπαλίμως. τὰ δὲ ἄλλα διὰ μέσου. A.

408. μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ: αἰδοῖ καὶ φόβῳ διεγείρει αὐτούς. B.

ἡ διπλῆ, ὅτι σφῶϊν ὑμῖν ἢ ὑμῶν. ἄνω δὲ „ἔμβητον κ σφῶϊ τιταίνετον" ἀντὶ τοῦ ἔμβητε ὑμεῖς. A.

411. κομιδή: ἔν τισι βιοτή. ἡ διπλῆ δὲ πρὸς τὸ σφῶϊ, ὅτι ἐχ ὑμῖν. B.

413. ἀποκηδήσαντε: ἀφροντιςήσαντες, ἀμελήσαντες. B.

ἡ διπλῆ, ὅτι ἔδει ἀποκηδησάντων ὑμῶν. ἢ ἀποκηδήσαντε ἐγώ τε καὶ ὑμεῖς. A.

414. διχῶς ἐφαμαρτεῖτον. A.

417. διὰ τοῦ ἑτέρου δ τὸ ὑποδδείσαντες. V.

419. βαρυτονητέον τὸ ςεῖνος, ἐπεὶ ἀδὲν ἀδέτερον ὄνομα εἰς ος λῆγον ὀξύνεται. ἦτως εἶχε κ τὸ μάκρος παρ' Ἀριςοφάνει (Αν. 1131) „ὦ Πόσειδον τοῦ μάκρους" βαρυνόμενον κ μὴ ὁμοτονοῦν τῷ ὀξυνομένῳ ἀρσενικῷ. ἐπίςασθε δὲ ὁ ποιητὴς καὶ τὴν δοτικήν· „ςείνει ἐν αἰνοτάτῳ" (Il. 8, 476). A.

τὸ γενικώτερον προέταξεν, ὅτι ἦν στενὴ ἡ ὁδός· εἶτα ἐπάγει ῥωχμὸς ἔην, ὃ ἐςι χάσμα ἐκ ῥύακος γεγενημένον. ςεῖνος δὲ ςείνωμα κοιλάδας ἔχον περικειμένας. βαρύνεται δὲ τὸ ςεῖνος ὡς τὸ μάκρος. B.

420. ῥωχμὸς ἔην: ἔκρηξίς τις ἦν μικρὸν ἀνωτέρω τοῦ καμπτῆρος. ἐν δεξιᾷ ταύτης Μενέλαος ἤλαυνεν. BV.

ὁ Ἡρωδιανὸς ἐν τῇ ἀρχῇ τοῦ ζ διὰ τοῦ γ φησὶ ῥωγμός. A. ῥωγμὺς δέ ἐςι τόπος κεχαραγμένος ὑπὸ ὄμβρίου ὕδατος. AD.

421. ἐξέῤῥηξεν ὁδοῖο: Ἀττικῶς ἀντὶ τῆς ὁδόν. V. χῶρον ἅπαντα: Ἀριςοφάνης χῶα ἐνέρθεν. V.

422. τῇ: Ἀρίςαρχος χωρὶς τοῦ τ ῇ. A.

ἅματροχιάς: τὰς εἰς ταὐτὸ συνόδους τῶν τροχῶν. A. δασέως τὴν ἀρχουσαν. ὀξύνεται δὲ ὁμοίως τῷ φυταλιάς. A.

Πορφυρίω. ἃ δεῖ δυχεραίνειν εἰ τῶν νῦν παιδευτῶν τὲς πολλὲς λανθάνει τινὰ τῶν Ὁμηρικῶν, ὅπε κ τὸν δοκοῦντα εἶναι ἀκριβέςατον καὶ πολυγράμματον Καλλίμαχον ἔλαθεν ἡ διαφορὰ τῆς ἁρματροχίας, ἣν ἔχει πρὸς τὴν χωρὶς τοῦ ρ λεγομένην ἁματροχιάν. ἔςι δὲ ἁματροχιὰ τὸ ἅμα τρέχειν κ μὴ ἀπολείπεσθαι, οἷον ὁμοδρομία τις ἐσα· τρόχες γ' τὲς δρόμες ἔλεγεν. ἁρματροχία δὲ τῶν τροχῶν τὸ ἴχνος. ἄμφω δὲ παρ' Ὁμήρῳ κεῖται, τὰς δυνάμεις αὐτοῦ τοῦ ποιητοῦ ἐξηγησαμένου. ὅτι γὰν τὸ ἅμα τρέχειν δηλοῖ ἡ ἁματροχιά, παρίςησιν ἐπὶ τοῦ Μενελάου λέγων „τῇ ῥ' εἶχε Μενέλαος ἁματροχιὰς ἀλεείνων." ὑπελείπετο γ' διὰ τὸν ῥωχμὸν τῆς γῆς κ τὴν ῥῆξιν, τὴν συνέμπτωσιν τοῦ δρόμου φυλαττόμενος. τοῦτο γ' μεταλαβὼν ἐν ἄλλοις ἐξηγήσατο, εἰπὼν (Il. 15, 635) „αἰὲν ὁμοςιχάει." καὶ ἐπὶ τοῦ Εὐμαίου δὲ ἐχομένου τῆς τροφῆς κ συμβαδίζοντος μετὰ δρόμου αὐτῇ φησι (Od. 15, 450) „παῖδα γ' ἀνδρὸς ἑῆος ἐνὶ μεγάροις ἀτιτάλλω, κερδαλέον δὴ τοῖον, ἁματροχόωντα θύραζε," τετέχνηται ἤδη μοι ἔξω συντρέχειν δυνάμενον κ βάδην σὺν ἐμοὶ πορευόμενον, ἐκ ἐπικολπίδιον· „ἦ δέ με χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε." ἁματροχιὰ μὲν ἐν ἔτως. μετὰ δὲ τοῦ ρ, ἁρματροχία, ὅτι τὸ ἀπὸ τῶν τροχῶν δηλοῖ, αὐτὸς πάλιν παρίςησι λέγων „οὐδέ τι πολλὴ γίνετ' ἐπισσώτρων ἁρματροχίη κατόπιθεν ἐν λεπτῇ κονίῃ" (503)· διὰ γ' τὸ λεπτὸν κ ὀλίγον τῆς κόνεως μὴ πολὺ γίνεσθαι τὸ τῶν ἐπισσώτρων ἴχνος φησίν. ἐξηγήσατο δὲ πῶς γίνεται ἴχνος, ὅτι λειπόμενον ὀπίσω τοῦ ἑμένου εἰς τὸ ἐμπροσθεν. ἀγνοήσας δὲ ταῦτα ὁ Καλλίμαχός φησιν „ἀλλὰ θεόντων ὡς ἀνέμων ἀδὲς εἶδεν ἁματροχιάς." βέλτιον μὲν γ' εἰπεῖν ὡς ἀδὲς εἶδεν ἴχνος διὰ τὸ θεῖν ὡς ἀνέμους· ἁματροχιαὶ δὲ ἃ δηλοῦσι τὰ ἴχνη τῶν θεόντων ἁρμάτων, ἀλλ' αἱ μετὰ τοῦ ρ λεγόμεναι ἁρματροχίαι. B.

424. ἐκ τῆς ὁδοῦ εἰς τὰς ῥωγάδας ἑαυτὸν δός, ἵνα παρελάσῃ τὸν ἐντὸς ἔχων δρόμον ὀρθότερον, καὶ φθάσῃ ἐπὶ τὸν καμπτῆρα. ὁ δὲ Μενέλαος ἐξωτέρω τὸν ἀσφαλέςερον ἤλαυνε δρόμον. B.

424. παρακλίνας: ἐν ἄλλῳ παρακλινθείς. A.

426. ἀφραδέως: ἀπείρως· ἃ γ' οἶδεν ὅτι κακοεργεῖ. B.

ἄνεχ': ἄνω ἔχε, μὴ ἐπίκεισο. B.

427. τάχα δ' εὐρυτέρῃ: ὅταν παρέλθῃς τὸ ςενόν, ταχέως ἐν τῇ εὐρυτέρᾳ παρελάσεις. B.

εὐρυτέρῃ περ ἐλάσσεις: παρελάσαι. λείπει τὸ ἔςαι. ὅταν παρέλθῃς τὸ ςενόν, ἔςαι ταχέως εὐρυτέρα ὥστε ἐλάσαι. V.

428. κύρσας: συμπεσών, συῤῥάξας, συμβαλών. B.

430. ἐκ αἴοντι ἐοικώς: προσποιούμενος μὴ ἀκούειν. B.

431. οὖρα τὰ ὁρμήματα. κατωμαδίοιο δὲ τοῦ κατὰ τῶν ὤμων φερομένου (τοῦ ὤμου βαλλομένου)· ἄνωθεν γ' αὐτὸν ῥίπτουσι. B.

ἡ διπλῆ πρὸς τὸ χῆμα, ὅτι ἆρα πέλονται καὶ οὐ

πέλεται. A.

433. αἱ δ': αἱ τῷ Μενελάῳ. A.

ἠρώησαν: ὑπεχώρησαν. A.

440. φάμεν: παρατατικός ἐστιν ἀντὶ τοῦ ἔφαμεν. Ἰωνικῶς δὲ ἀναγνωστέον, τὴν φᾶ συλλαβὴν ὀξύνοντας. A.

πεπνῦσθαι: ὁ γὰρ ἀδικῶν ἀ λογιωθήσεται φρόνιμος εἰκότως. B. ὅτι ἀκολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταί· ἀ γὰρ φρόνιμος ὁ ἀδικῶν. V.

445. ἀτέμβονται νεότητος: ξέρον), ἐνδεεῖς εἰσὶ καὶ χρείαν ἔχοντες ἥβης. B. οἱ δὲ γλωσσογράφοι μέμφον). V.

450. πρῶτος δ' Ἰδομενεύς: ἀγωνιᾷ γὰρ διὰ τὸν φίλον, καὶ διὰ τοῦτο εἰς τὴν περιωπὴν ἄνεισιν ὡς σκοπήσων ὃ συμβαίνει. B.

451. ἐκτὸς ἀγῶνος: καὶ πῶς ἐκτὸς ὄντας ἀγῶνος ὁ ἀγωνοθετῶν Ἀχιλλεὺς διαλύει; ἴσως ἐν αἰωρόμενος διαπληκτιζομένων ἀναξὰς κωλύει. περιωπὴ δέ, ὅθεν ἔξι πάντας ἰδεῖν ἢ ὑπὸ πάντων ὁρᾶσθαι διὰ τὸ ὕψος. B.

452. ἄνευθεν ἑόντος: μακρὰν ἀπόντος τοῦ ἡνιόχου. BV. χωρὶς ὄντος τοῦ ὁμοκλητῆρος. V.

454. τὸ μὲν ἄλλο τόσον: ἕτως εἴωθε λέγειν τὸ παρὰ μικρόν, ἀντὶ τοῦ ὃς τὸ μὲν λοιπὸν σῶμα. A.

τόσον: ἀντὶ τοῦ ὅλον· ἕτω γάρ φησι πρὸς τὰ παρ' ὀλίγον τετελεσμένα. οἱ δὲ γλωσσογράφοι τόσον ἀντὶ τοῦ τὸ σῶμα. Χαμαιλέων δέ φησι τοὺς τοιούτους ἵππους ἀρίστους εἶναι. B.

455. ἕτως Ἰακῶς τέτυκτο ὁ Ἀρίσαρχος. A.

458. οἷος ἐγὼν ἵππους: καὶ ταῦτα εἰωθότα ἐν τοῖς ἀγῶσι· θρύπτονται γὰρ ὡς ἀκριβέστερον θεώμενοί τινες, καὶ ἐν ἤθει καταλαζονεύονται τῶν πολλῶν. B.

ἠὲ καὶ ὑμεῖς: τοῦτο ἠθικῶς. V.

459. ἡ διπλῆ πρὸς τὸ παροίτεροι, ὅτι τοπικῶς ἀντὶ τοῦ πρότεροι κατὰ τὸν δρόμον. A.

παρὰ τὸ πάρος, ἵν' ἦ οἱ πρότεροι· καὶ πλεονάζει τὸ ῑ ὡς ἐν τῷ μυχοίτατοι (Od. 21, 146). οἱ δὲ ἀπὸ τοῦ πάροιθεν τοπικῶς. B.

461. κεῖσε: Ζηνόδοτος καὶ Ἀριστοφάνης κεῖθι· καὶ ἔστιν ἀναλογώτερον. A.

εἰς ἐκεῖνον τὸν τόπον πορευόμεναι. ἔξι δὲ ὡς „τηλόσε δῆπον ἐν ἔρεσιν ἔκλυε ποιμήν" (Il. 4, 455) ἀντὶ τοῦ τηλόθι, καὶ Κύπρονδε (Il. 11, 21). V.

462. ὑποσκιτέον ἐπὶ τὸ βαλέσας, περισσεύοντος τοῦ ἐπιφερομένου συνδέσμου. A.

τὰς πρῶτα ἴδον: καμπτούσας μὲν αὐτὰς εἶδε, μετὰ δὲ τὸ κάμψαι ἐκέτι. B. ἐκεῖ γὰρ αὐτὸς ἔπεσεν. V.

ὁ δὲ λόγος· ἃς τὸ πρῶτον ἴδον καμπτούσας, νῦν οὐ δύναμαι ἰδεῖν. A.

463. οὔ πω: περισσὸν τὸ πῶ· τὸ γὰρ πῇ τὴν εἰς τόπον δηλοῖ σχέσιν, ἀ τὸ πῶ. B.

ἕτως διὰ τοῦ ἦ νῦν δ' οὔ πῃ Ἀριστοφάνης. A.

464. αἰ Ἀριστάρχου παπταίνετον. A. Ἀρίσαρχος παπταίνεται. V.

465. ἦέ: ἐρωτηματικῶς· διὸ προπερισπᾶται. V.

466. ὃν ἐτύχησεν ἐλίξας: ἀπέτυχε, φησί, τοῦ ἐλίξαι καὶ συσρέψαι τοὺς ἵππους. B.

467. σύν θ': γράφεται κατά θ'. A.

468. ἐξερώησαν: ἔξω τοῦ δρόμου ὥρμησαν. B. κεφιωθεῖσαι τοῦ ἡνιόχου. V.

471. ἀθετεῖται, ὅτι τὸ ἐπεξηγεῖσθαι ποιητικόν, οὐχ ἡρωϊκῶν προσώπων. ἄλλως. ἀθετεῖται ὡς ληρώδης· καὶ πρὸς τῷ τέλει τῆς ποιήσεως γεγονὼς διασαφεῖν ἐθέλει τὸν προγνωσθέντα Διομήδην. V.

474. λαβρεύεαι: πολυλογεῖς, ἢ προγλωσσεύῃ. A. λάβρως καὶ ἀ μετὰ σκέψεως (ἐπισάσεως V) λαλεῖς. B.

ἀγροικώδης μὲν ἡ λοιδορία, ἀλλὰ μιμεῖται διαθέσεις θεατῶν· δέδοκται (δέδοται V) γὰρ τῷ ποιητῇ πᾶν εἶδος ἔργων καὶ λόγων διαγράψαι (εἶδος κινεῖν πρὸς ψυχαγωγίαν V). B.

475. πεδίοιο δίωνται: ὅτι διὰ πολλοῦ πεδίου. ὡς λύβωνται. εἴπομεν δὲ δὴ ὡς ἔξι καὶ δίω βαρυνόμενον, ὃ σημαίνει ἂν τὸ διώκω. ἔνθεν τὸ „τρὶς περὶ ἄξυ μέγα Πριάμοιο δίον" (Il. 22, 251) καὶ τὸ „κνώδαλον ὅττι δίοιτο" (Od. 17, 317). καὶ περισπώμενον, ἔνθεν τὸ δίημι ἐγένετο, παρ' ὃ τὸ „ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενθ" καὶ τὸ „αὔτως ἐνδίεσαν" (Il. 18, 584). A.

477. ἔτε τοι: ἔτε ἔκδηλον καὶ πολὺ ὁ ὀφθαλμός σε ὁρᾷ. ὀξύτατον δέ, ὅτι τμητικὴ ἔστιν ἡ θέα τοῦ ὑποκειμένου ἀέρος. B.

478. λαβρεύεαι: ἐμφαντικῶς μετήνεγκεν ἀπὸ τῶν λάβρως ἐθιόντων. V.

ἄλλως. πρόγλωσσος ἀεὶ καὶ θρασὺς Αἴας, καὶ νῦν τὸ ἴδιον νόσημα ἑτέρῳ ἐπιδίδωσι· διὸ καὶ ἐπὶ τῆς γλώσσης (διὰ τὴν γλῶτταν B) κολάζει νῦν τε καὶ ἐν τῷ ναυαγίῳ. AB.

ἐδέ τί σε χρή: ἀπὸ κοινοῦ τὸ λαβρεύεσθαι· ὃ μὴ νοήσας τις προσέθηκε τὸν ἑξῆς στίχον. V.

479: ἀμείνονες: εἰς τὸ λαβρεύεσθαι. τινὲς δὲ „ἔ τέ τοι ὀξύτατον κεφαλῆς· παρὰ γὰρ καὶ ἀμείνονες." καὶ πῶς δύναται ὑπερθετικῷ ἐπῆχθαι συγκριτικόν; A.

τὸ δὲ πάρα ἀντὶ τοῦ πάρεισι· διὸ τὴν πρώτην ὀξυτονητέον, ὁμοίως τῷ „πάρα δ' ἀνὴρ ὃς καταθήσει" (Od. 16, 45). A.

ἀθετεῖται, ὅτι οὐκ ἀναγκαῖος· πρόκειται γὰρ τὸ „ἀλλ' αἰεὶ μύθοισι λαβρεύεαι." καὶ τὸ „πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι" ἀ δεόντως ἐπιλέγεται· ἀ γὰρ ἀμεινόνων ἔργον τὸ λαβρεύεσθαι. A.

481. εὔληρα: ἅπαξ χρῆται τῇ λέξει. ὁ δὲ Ἡρωδιανὸς καὶ ἐπὶ ἱματίου καὶ ἐπὶ δεσμοῦ τίθεσθαί φησι τὴν λέξιν. ἔξι δὲ παρὰ τὸ εἴλω, εἴληρα καὶ εὔληρα. δηλοῖ δὲ τὰ ἡνία. B.

ἡ διπλῆ, ὅτι ἅπαξ τοὺς ἡνίας ἕτως κέκληκεν ἐνταῦθα. A.

483. νείκει ἄρισε: Ἀρίσαρχος νεῖκος ἄρισε, ὡς „εἶδος ἄρισε" (Il. 3, 39). A.

κακοφραδές: κακολόγε, κακὰ ἐπιλογιζόμενε. B.

485. ὅτι ἀντὶ τοῦ ἄγε τὸ δεῦρο. A.

τὸ δεῦρο δηλοῖ καὶ τὸ εἰς τοῦτον τὸν τύπον. λέγεται δὲ καὶ ἐγκελευστικῶς, ὡς τὸ „δεῦρ' ἄγ' ἰών" (Od. 12, 184). τὸ δὲ νῦν ἐνθάδε διὰ τὸ μέτρον συναλτέον. B.

ἐνθάδε τὸ νῦν συναλτέον διὰ τὸ μέτρον. τὸ δὲ περιδώμεθόν ἐστιν ἕν, ἐπεὶ δηλοῖ τὸ συνθήκας ποιησώμεθα. A.

συνθώμεθα. καὶ λείπει ἡ περὶ εἰς τὸ τρίποδος. B.

486. ἴσορα: μάρτυρα, συνθηκοφύλακα. B.

ἡ διπλῆ, ὅτι ἴσορα ἀντὶ τοῦ μάρτυρα, οἷον συνθηκοφύλακα. A.

487. ἵνα γνοίης ἀποτίνων: ἵνα γνῷς, φησίν, ἀποδιδοὺς καὶ ζημιούμενος ὁποῖαι πρῶται ἵπποι. B. ὁ νεώς, ἵνα τὸ ἐπιτίμιον διδοὺς γνῷς ὁπότεραί εἰσιν ἵπποι πρότεραι. A.

490. προτέρω: ἀντὶ τοῦ εἰς τοὔμπροσθεν, εἰς μεῖζω προέβη τὰ τῆς ἔριδος. B.

491. εἰ μὴ Ἀχιλλεύς: ὡς ἀγωνοθέτης γὰρ προΐσταται τῆς εὐκοσμίας. B.

καὶ φάτο μῦθον: ἐν ἄλλῳ καὶ κατέρυκε. A.

493. κακοῖς: ἄμεινον ἀντ' αὐτοῦ γράφειν ἄναξ· προεῖπε γὰρ χαλεποῖσιν. B.

497. τότε δέ: τοιοῦτος καὶ ἐν τοῖς νῦν ἀγῶσί τινες πρεσβυτικοὶ καὶ εὐσαθεῖς θεαταί, μηδὲν πρὸ τοῦ καιροῦ προλαμβάνειν ἀξιοῦντες. V.

500. μάσι: ἀπὸ τῆς μάσιος, Ἰωνικῶς, ὡς Θέτι. A.

κατωμαδόν: κατὰ τῶν ὤμων τῶν ἰδίων ἵππων τὴν μάστιγα ἐπαίρων. B. ὡς τὸ κατωμαδίας. V.

501. ὑψόσ' ἀειρέσθην: τοῦτο πρὸς τὸ ἄβρὸν καὶ τὸ τῶν ποδῶν εὔρυθμον. B.

502. ἡνίοχον: τὸν Διομήδην· καὶ τὰς ἱππέας γὰρ ἡνιόχας καλεῖ (Il. 11, 151)· καὶ ἐκ ἄτοπον. B.

ἡνίοχον τὸν Διομήδην, ὡς „θρασὺν ἡνίοχον φορέοντες Ἕκτορα" (Il. 8, 89). τί ἐν ἄτοπον, εἰ καὶ τὰς ἡνιόχας ἱππῆας ἐν τῇ Λ καλεῖ; ἔξι δὲ τὸ αἰεί ὡς τὸ „αἰεὶ δὲ πυραὶ νεκύων καίοντο" (Il. 1, 52). V.

503. ἅρματα δὲ χρυσῷ: διὰ τῆς πολυτελείας θαυμασὴν δείκνυσι τὴν θέαν. ἐψύχωσε δὲ αὐτά, ὡς καὶ αὐτῶν ὁρμιώντων αὐτοκινήτως. V.

504. ὅτι τὰ ὕρματα ἐπέτρεχον καὶ ἐκ ἐπέτρεχεν. A.

ἐδέ τι πολλή: μετὰ τάχους γὰρ διαβαίνοντες οἱ τροχοὶ ἐ πάνυ τὴν γῆν ἐχάρασσον. B.

ὡς μὴ πάνυ χαράσσειν τὴν γῆν. μέτρον δὲ ἔχουσα ἡ ὑπερβολὴ πιζεύεται. V.

506. πετέσθην: ἐν ἄλλῳ πέτεσθον. A.

μᾶλλον ἐμφαίνει τὴν κεφύτητα. V.

507. ᾗ δέ: ἀντὶ τοῦ ἐπαύσατο τοῦ δρόμου. ἀγῶνι δὲ τῷ ἀθροίσματι. B.

Σεναχηρείμ. ἀπὸ τοῦ „ᾗ δὲ μέσῳ ἐν ἀγῶνι" μέχρι τοῦ (513) „καὶ τρίποδ' ὠτώεντα φέρειν" ἐμφαντικῶς χρὴ τοὺς διὰ μέσου εἴχους ἐκδέχεσθαι, ἵνα διασήματος παραδρομὴ ἐμφαίνηται μεταξὺ τοῦ τε διελθεῖν τὸν Διομήδην καὶ μετ' αὐτὸν τὸν Ἀντίλοχον. καὶ λογίζηται ὁ ἀκροατὴς τόσον προδραμεῖν τὸν Διομήδην τῶν ἄλλων, ἐφ' ὅσον ἦν δυνατὸν γενέσθαι ἅπερ διὰ τῶν εἴχων τούτων λέγει γενέσθαι. ὅπερ μὴ ὂν ἐν τῷ Ἀντιλόχῳ καὶ τῷ Μενελάῳ φησὶν (516) „ἀλλὰ καὶ ὡς Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους" καὶ τὰ ἑξῆς. Leid.

509. δίφροιο — παμφανόωντος: ἡ διπλῆ, ὅτι τοῦτο διακρίνει τὴν ἐν ἄλλοις ἀμφιβολίαν. πρὸς τὸ ἐνώπια παμφανόωντα (Il. 8, 435)· δείκνυται γὰρ τὰ ἅρματα παμφανόωντα. A.

510. ἐδὲ μάτησε: ἐ μάταιον ἡγήσατο τὸ λαβεῖν τὸ ἄθλον· ἐξ ἧς τὸ ἐκ ἠφροντίζησεν, ἀφ' ἧς τὸ οὐκ ἠμέλησε νοητέον. B.

512. 513. αἱ διπλαῖ πρὸς τὴν διαφορὰν τοῦ ἄγειν καὶ φέρειν. A.

514. ἡ διπλῆ, ὅτι ἀπὸ τοῦ προπάτορος ὁ Ἀντίλοχος Νηλήϊος· ἔξι γὰρ θεᾶ υἱὸς ὁ Νηλεὺς Ποσειδῶνος. (Νηλεὺς γὰρ θεοῦ. τὸ ἦν „τίσις ἔσσεται Ἀτρείδαο" (Od. 1, 40) Ἀγαμέμνονος, ἐκ Ὀρέστου καὶ τὸ „μέγ' ἄριστε Ἀχαιῶν Φηρητιάδαο" (Il. 2, 763) τοῦ Ἀδμήτου). βραχὺ δὲ διαστολεῖον ἐπὶ τὸ ἵππους πρὸς τὸ σαφέστερον. A.

515. κέρδεσιν ὅτι τάχει: Ἀντίλοχος μὲν διδαχθεὶς παρὰ τοῦ πατρὸς παρατρέχει· ὁ δὲ ταχεῖς ἵππους ἔχων μέλλει παραδραμεῖν. B.

517. προσφυεστάτη ἡ εἰκών· χρῆται γὰρ τοῖς διαστήμασι τῶν ἁρμάτων, καὶ ἀπὸ τῆς ὁμοίας χρείας δέχεται τὴν εἰκόνα. B.

518. πεδίοιο: ἡ διπλῆ, ὅτι διὰ πεδίου. A.

519. τῷ μέν τε ψαύουσιν: ὅσον γὰρ διαβαίνει ὁ ἵππος τρέχων, τοσοῦτον ἕπεται ὁ τροχός. B.

521. πεδίοιο: ἡ διπλῆ, ὅτι διὰ πεδίου. A.

523. σημειοῦνταί τινες ὅτι ἃ ἄνω, εἶπε δίσκε ἔρα, νῦν δὲ συνθέτως δίσκερα. A.

ἄλλως. Πτολεμαῖος καὶ οἱ πλείους δίσκερα ὡς λίπερα. καὶ Ἀρίσαρχος δέ φησιν· ὅπερ ἄνω κατὰ διάλυσιν εἶπεν „ὅσσα δὲ δίσκε ἔρα," τοῦτο νῦν κατὰ σύνθεσιν ἐξήνεγκεν. κἀγὼ δὲ συγκατατίθεμαι. A.

τινὲς δύο μέρη φασίν, ἵν' ᾖ δίσκε ἔρα· ἄμεινον δὲ σύνθετον εἶναι. B. καὶ γὰρ ἀπὸ τῶν κατὰ τῶν ὤμων φησὶ κατωμαδίοιο. V.

524. ὀφέλλετο: ὡς τὸ „ἦ γάρ τε μάλιστά τε θυμὸν ὄφελλεν." V.

526. προτέρω: ἀντὶ τοῦ ποῤῥωτέρω. B.

527. ἡ διπλῆ περιεσιγμένη, ὅτι Ζηνόδοτος γράφει ἦ ἀμφήριστον ἔθηκεν, ἐκ εὖ· νῦν γὰρ ἐχ ὁμολόγει, ἐπὶ Διομήδους δὲ τοῦ σύνεγγυς τρέχοντος. διὰ δὲ τοῦτο βέλτιον λέγειν ἐδ' ὅλως ὀμφήριστον. A.

529. δουρὸς ἐρωήν: ἔκτασιν καὶ ὁρμὴν δόρατος πορευομένου. B.

531. ἡ διπλῆ, ὅτι τὸ ἤκιστος τῶν ἅπαξ εἰρημένων ἐσί. γέγονε δὲ παρὰ τὸ ἧκα, ὃ ἐστιν ἡσυχῇ. καταῤῥέφει δὲ εἰς τὸ ἐλάχιστος· διὸ καὶ ψιλοῦται καὶ ἐχ ὡς παρὰ τοῖς Ἀττικοῖς δασύνεται. ἔξι δὲ ἐναντίον τὸ ἧκιστα τῷ μάλιστα. A.

παρὰ τὸ ἧκα, ὃ δηλοῖ τὸ ἡσυχῇ. τοῦτο δὲ παρὰ τῷ

ποιητῇ ψιλῶται καὶ δηλοῖ τὸ ἐλάσσων, παρὰ δὲ Ἀττικοῖς δασύνεται καὶ σημαίνει τὸ ἀδὲ ὅλως. οἱ δὲ ἄτεχνος· ἄλλοι ἀσθενής. B.

533. ὅτως πρόσσοθεν ἐλαύνων. κατεαγότος δὲ τῷ δίφρῳ, ἀφικνεῖται ἐκ τῶν ἔμπροσθεν ἐλαύνων τὺς ἵππους, ὥσπερ οἱ τῶν ἀγωγέων περιεχόμενοι, καὶ τῇ μάσιγι περιελαύνων κατὰ τὸν αὐχένα καὶ τὰς πλευράς· ὅτως γὰρ ἄκεσίον, καὶ ἀ κυρίως. ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος γράφει ἐλαύνων ὠκέας ἵππους, ὡς ἡνιοχῶντος αὐτῷ συντετριμμένου δὲ τῷ ἅρματος ἔμπροσθεν γενόμενος ἐλαύνει, τὰς πλευρὰς τῶν ἵππων τύπτων. βραχὺ δὲ διαιταλτέον ἐπὶ τὸ καλά πρὸς τὸ σαφέστερον. τὸ δὲ πρόσσοθεν ὡς ἔμπροσθεν, καὶ συνεσάλη τὸ ω εἰς τὸ ο. A.

τῶν ἔμπροσθεν αὐτοὺς εἶκον, ὃ ἐκ διὰ τῶν ἀγωγέων εἶκον καὶ τῇ μάσιγι τοὺς αὐχένας τύπτων. συγκέκοπται δὲ ἀπὸ τῷ πρόσσωθεν, τὸν δὲ τόνον ἐφύλαξεν. B.

537. ἀλλ' ἄγε δή οἱ δῶμεν: διδάσκει τὺς παρὰ τὴν ἀξίαν ἀτυχοῦντας ἐλεεῖν καὶ μὴ τῆς ἀρετῆς ἐᾶν ὑπερτερεῖν τὴν τύχην. B. ἄλλως τε καὶ Θεσσαλὸς ὁ Εὔμηλος. V.

538. δεύτερ': φιλτάτῳ γὰρ ὄντι Ἀντιλόχῳ ἐκ οἴεται λύπην παρέξειν ἐν τάτῳ. V.

ἀτὰρ τὰ πρῶτα: ἵνα μὴ δοκῇ Διομήδει ὕπελος εἶναι καὶ φοβερός. B. διὰ τὴν ὑποψίαν τὴν φθάσασαν ἐγγενέσθαι αὐτοῖς. καὶ ἐν τῇ πρὸς Αἴαντα μάχῃ, τῷ πλήθει ἐπ' ἴσης ἀπαλλάξαντος αὐτός, δίδωσι τὸ πλῆθος (ξίφος?) αὐτῷ. V.

ὅτι ἐν τισιν ὑποτάσσονται τάτῳ „τὰ τρίτα δ' Ἀντιλόχοις, τέτρατα ξανθὸς Μενέλαος, πέμπτα δὲ Μηριόνης θεράπων ἐὺς Ἰδομενῆος." χωρὶς δὲ τῷ μηδὲ τὸν χαρακτῆρα ἔχειν Ὁμηρικόν, ἔτι καὶ πρὸς ἀδὲν γίνεται ἡ ἐξαρίθμησις τῆς τάξεως. A.

539. ὡς ἐκέλευεν: ἐν ἄλλῳ ἠδὲ κέλευον. B.

540. ἐπήνησαν γὰρ Ἀχαιοί: ἐν ἄλλῳ ἐπήνησαν γὰρ οἱ ἄλλοι. A.

543. κεχολώσομαι: σημειῶνται τινες ὅτι ἀντὶ τοῦ μηνίσω. B.

ὁ τῷ Νέξορος υἱὸς Ἀντίλοχος καὶ λόγῳ καὶ πράξει ἐξὶ δυνατός· τὸ μὲν γὰρ κεχολώσομαι ἁπλουστάτης ἐξὶ διαθέσεως καὶ φιλεταιρίας, τὸν δὲ Μενέλαον ἠπιότητι νικᾷ. καὶ μεμιμῆται νέῳ χρησοῦ ἦθος ὁ ποιητής. B.

544. μέλλεις: ἡ διπλῆ, ὅτι ἀντὶ τῷ ἔοικας. A.

546. ἀλλ' ὤφελεν ἀθανάτοισιν: ἐναντιώσῃ ἂν τοῖς θεοῖς, εἰ ὃ ἀφῄρηνται ἐκεῖνοι, αὐτὸς δώσεις. BV.

548. ὅτως διὰ τῷ ο, φίλος, πᾶσαι εἶχον. A.

549. ἔξι τοι: ἐπαγγελματικῶς τὸ ἐξι διὸ ὀξέως. V.

551. ἡ διπλῆ, ὅτι τὸ ἔπειτα ἀντὶ τῷ μετὰ ταῦτα· ἀντιδιέσαλται γὰρ τὸ αὐτίκα. ἡ δὲ ἀναφορὰ πρὸς τὸ „Φοῖνιξ μὲν πρώτισα, αὐτὰρ ἔπειτ' Αἴας τε μέγας" (Il. 9, 169). A.

μεῖζον ἄεθλον: ἀδετέρως. εἴωθε δὲ καὶ ἀρσενικῶς λέγειν ὁ ποιητής. B.

556. χαίρων Ἀντιλόχῳ: λείπει ἡ ἐπί. ὅσῳ δὲ διατέταται πρὸς αὐτόν, τοσάτῳ πλέον δέδεικται τὸ γνήσιον τῆς ἑταιρίας, καὶ ἐκ ἀναβάλλεται τὸ δῶρον. B.

559. ὑποσικτέον μετὰ τὸ ἐπιδῶναι, τῷ ἑπομένῳ συνδέσμῳ περιττεύοντος. A.

561. 562. εἰσὶν οἳ ἀνέγρεψαν τὴν περί. ὁ μέντοι Ἀσκαλωνίτης καὶ οἱ πλείους κατὰ παρολκὴν ἐξεδέξαντο κεῖῳ, διὰ τὸ ἀμφιδεδίνηται· διὸ ἐκ ἀναγρέφουσιν. A.

561. χεῦμα: ἐδήλωσε τὸν ἐκκεχυμένον τε καὶ πεπηγμένον τῷ δύρατι (Θώρακι Heynius) κασσίτερον. B.

566. θυμὸν ἀχεύων: ἐ διὰ σμικρολογίαν ἐφίεται τῇ μείζονος ἄθλῳ, ἀλλὰ φύσει πάντες νικᾶν θέλομεν. φιλότιμος μὲν ἐν ἐξὶ περὶ τὴν νίκην· ὅτι δὲ ἀ δύσερις, ἐδείξε παραχρῆμα διαλυσάμενος. μέμφεται δὲ αὐτῷ ἀπατήσαντι καὶ παρὰ τὴν ἡρωϊκὴν ἁπλότητα πανουργήσαντι. καὶ Ἀχιλλεὺς „ἐκ γὰρ δή μ' ἀπάτησε" (Il. 9, 375). A.

568. χειρὶ: γράφεται χερσί. ἡ δὲ διπλῆ πρὸς τοὺς δημηγορῦντας, ὅτι σκῆπτρα ἔλαβον. A.

σκῆπτρον δέχεται διὰ τὸ μέλλειν δημηγορεῖν· „σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ ἥρως Πεισήνωρ" (Od. 2, 37). ὁ δὲ Ἀντίλοχος πρὸς μόνον Μενέλαον διαλέγεται. BV.

570. πεπνυμένε: φρόνιμον αὐτὸν εἰπών, ἔδειξεν ἑκὼν ὡς ἥμαρτεν. ὅτω δὲ τὸ ἔγκλημα μεῖζον ἀποφαίνεται. B.

574. ἐς μέσον: ἐξ ἴσου, ἐκ παραλλήλου, μὴ ἑτεροβαρῶς. καὶ ἐπιφέρει μηδ' ἐπ' ἀρωγῇ. καὶ ἔξιν ἡ διάνοια θαῤῥοῦντος τῷ δικαίῳ· ἀδένα γὰρ αὐτῶν διὰ τὸ ἄξιωμα καταχαρίσασθαι ἀξιοῖ. B. οἱονεὶ μεσολαβήσατε τὴν δίκην καὶ ἴσως δικάσατε. D.

ἡ διπλῆ, ὅτι ἐκ εἰς τὸ μέσον παρελθόντες, ἀλλὰ μέσον δικάσατε, μήτε τούτῳ προχαριζόμενοι μήτε ἐμοί. διὸ ἐπιφέρει μηδ' ἐπ' ἀρωγῇ. A.

579. καί μ' οὔ τινά φημι: ἔδειξεν ὅτι τῷ εἰς ὅρκον παρακελευομένῳ ἐκ ἔξιν ὁ ἀνταίρων. B.

581. ἀθετεῖται, ὅτι ἀκαίρως λέγει διοτρεφές, ὀργιζόμενος αὐτῷ. A.

περισσὸν τὸ ἐπίθετον, ὡς „δῖον Ἀλέξανδρον" (Il. 3, 329) „Ἀνδρομάχῃ λευκώλενος" (Il. 6, 377) „ὕρσεο Κυλλοπόδιον" (Il. 21, 331). ὁ δὲ ψόγος περισσός. ἀλλά φασι θωπεύει Νέξορα. ἀλλ' οὐ πρέπει τῷ φλεγμαίνοντι θῦσαι (θωπεῦσαι Heynius). V.

582 — 585. διασολαὶ ἐπὶ τὸ ἅρματος, ἔλαννες καὶ ἀψάμενος· μέχρι γὰρ τῷ ἅρμα πεδῆσαι ἤρτηται λόγος. B.

583. ῥαδινήν: λεπτήν, ἐπιμήκη, χαριεστάτην. B.

584. γαιήοχος ὁ τοῖς ὀχήμασι γαίων, ὃ ἐξι γαυριῶν ἱππικὸς γὰρ ὁ θεός. D.

585. ὤμνυθι: εἰκότως ἐπὶ ὅρκον καταφεύγει· ἀ γὰρ ἐν τῇ πλήθυς γενομένης τῆς ἐπιθέσεως, ἐδ' ὄντων μαρτύρων ἐπὶ τὸ συνειδὸς αὐτῷ κατέφυγεν (ἔρχεται V). BV.

587. ἄνχεο: ἐν ἄλλῳ ἴσχεο. A.

589. ὑπερβασίαι: αἱ παραβάσεις τῷ δέοντος. ἔγνω δὲ ὡς οἱ εἴκοντες νικῶσι τὺς φίλους. τὸ δὲ συγγνώμην διδόμενον εἰς ἀπολογίαν φέρει τὴν ἡλικίαν. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

590. κραιπνότερος: ὀξύτερος κατὰ κίνησιν ἢ πρᾶξιν· ἡ δὲ βελὴ ἀθενής. B.

591. φιλοτίμως τὴν μὲν νίκην προσποιεῖται, τῶ δὲ ἄθλω ἑξῆς ἐκών· ὁ γὰρ λέγων αὐτὸς δώσω κατασκευάζει ὅτι ἐμὴν ἦσαν λήψῃ αὐτήν, ἐκ ἐκ μέσω ἀλλὰ παρ' ἐμοῦ. τάττω δὲ συνάδει καὶ τὸ „εἰ καί νύ κεν οἴκοθεν ἄλλο"· διὰ γὰρ τοῦ ἄλλο διδάσκει ὅτι καὶ τοῦτο οἰκοθέν ἐστι καὶ ἤδη ἐμὸν ἆθλον. BV.

592. εἰ καί: ταῦτα ἀπ' ἄλλης ἀρχῆς ἀναγνωστέον. ὑποκριτέον δὲ μετὰ τὸ ἀπαιτήσειας. B.

593. ἐπαιτήσειας: ἐπὶ τῷ ἵππῳ αἰτήσειας μεῖζόν τι. B.

595. ἐκ θυμῶ πεσέειν: πιθανῶς τὴν ἔχθραν ἐκπτωσιν φιλίας φησίν. θεραπευτικῶς δὲ ἀγαθὸν καὶ θεοφιλῆ αὐτὸν καὶ ἰσόθεον ἀποδείκνυσι. πρὸς μὲν ἓν Ἀχιλλέα τῇ δικαιολογικῇ χάσει ἐχρήσατο, νῦν δὲ τῇ παρορμητικῇ, ἀφιγάμενος μὲν τῶ δικαιολογεῖν, θεραπείαις δὲ καὶ τιμαῖς ὁμιλητικῶς ἀνακτώμενος. B.

596. ἵππον ἄγων: ἠθικὸν τὸ αὐτοχειρὶ ἄγοντα παραδῶναι. V.

598. ἰάνθη: καὶ οἱ γεωργοὶ πολλάκις μεταφέροντες γελᾶν τὰ φυτὰ καὶ ἱλαρὰ εἶναι λέγουσιν. ὥσπερ δὲ τὸ λῆϊον περιχυθὲν τῇ δρόσῳ φαιδρύνεται, μεταβαῖνον ἀπὸ συγγότητος εἰς κάλλος, ἕτω καὶ ὁ Μενέλαος. B.

599. ὅτε φρίσσουσιν ἄρουραι: ὅτε τελειοῦται οἱ σάχυες· τότε γὰρ φανερὰ γίνεται ἡ δρόσος, ἐχ ὅτε εἰσὶ ταπεινοί. ἢ ἀνορθῶνται. ἢ κινῶνται. B. ἔστι δὲ καὶ πρὸς πολεμίους πρᾶος Μενέλαος. V.

ἀντὶ τοῦ φρίσσοντας ἔχουσι τοὺς σάχυας. B.

603. ἡ διπλῆ, ὅτι παρήορος ὁ παρηρτημένος τοῖς φρένας, ἐκ ἀραρὼς ἀδὲ κατὰ χώραν ἔχων αὐτάς· καὶ ὅτι χωόμενος νῦν ἀντὶ τοῦ χολόμενος. A.

ἀεσίφρων: ματαιόφρων, δολιόφρων, ἢ βλαψίφρων. B. ἀνεμώλια φρονῶν. V.

604. ἡ διπλῆ, ὅτι νῦν μόνον ἕτως ἐχημάτισε, νεοίη ἀντὶ τοῦ νεότης. B.

ἄλλως. νεοίη ὡς ὁμοίη. οἱ μέντοι μετ' αὐτὸν ὡς ἐπὶ πλεῖον νεοείαν λέγουσι. περὶ δὲ τῆς λέξεως, εἰ ὑγιῶς ἐχημάτισαι, ἐν τῷ προτατικῷ ἐζήτησα. ἅπαξ δὲ ἐχρήσατο τῇ λέξει. οἱ δὲ περὶ Ἀντίμαχον νόημα γράφουσιν ἀντὶ τοῦ νόον. A.

605. δεύτερον: γράφεται ὕστερον. B.

δείκνυσιν ὡς σκαιῶς μὲν τὸ μὴ συγγνῶναι καθάπαξ ἁμαρτάνοντι, ἀθενῶς δὲ τὸ πολλάκις. B.

607. διὰ τούτων καὶ τὴν πρὸς ἅπαντας χάριν ὁμολογεῖ. B.

610. δώσω ἐμήν περ ἐοῦσαν: ἄκρως ἐλέγχει Ὅμηρος τὰς φύσεις τῶν ἀνθρώπων, ὅτι καὶ νέοις καὶ πρεσβυτέροις ἐνέσακται τὸ φιλότιμον. ὅρα γὰρ μεθ' ὅσας λύπας ἀντιποιεῖται τῆς νίκης, καὶ παραχωρεῖν τῷ ἰδίῳ ἄθλῳ φησὶν ἑκών. B.

612. Νοήμονι: ὄνομα κύριον καὶ ἐν Ὀδυσσείᾳ (2, 386) „υἱὸς Φρονίοιο Νοήμων." A. δεῖ δὲ τοιοῦτον εἶναι τὸν Ἀντιλόχῳ ἑταῖρον. V.

616. ἡ διπλῆ πρὸς τὴν ἀμφίθετον, ὅτι ἡ πανταχόθεν ὑπέρεισιν ἔχουσα· καὶ ὅτι οἰκονομικῶς ὑπολείπεται ἆπαθλον, ἵνα μὴ ὁ Νέστωρ ἄτιμος γένηται ἐν τῷ ἐπὶ Πατρόκλῳ ἀγῶνι. βέλτιον δὲ ζίζειν ἐπὶ τὸ φιάλη, καὶ τῷ λάγῳ διαζέλλειν ἀξιοῦντος, ἵνα ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκωμεν „τὴν Νέστορι δῶκεν Ἀχιλλεύς" ἀντὶ τοῦ ταύτην. A.

τὴν Νέστορι: ἀγαθός ἐστι νομοθέτης, ἀξιῶν καὶ φρονήσεως ἆθλα τίθεσθαι. παρ' Ὁμήρου τοίνυν διδαχθεὶς Ἰσοκράτης ἐπιτιμᾷ τοῖς μὴ φρονήσεως ἆθλα τιθεῖσιν. ὥσπερ δὲ τὸν βασιλέα, ἕτω καὶ τὸν συνετὸν ἀκονιτὶ στεφανοῖ. B.

δῶκεν Ἀχιλλεύς: ἠὔξησε τὴν φιλοτιμίαν ἀ διὰ θεράποντος διδύς. B.

619. τάφου: τῆς ταφῆς, ὡς ἔσπερον καὶ πύλον. ἢ τοῦ ἐπιταφίου, ὡς „ἐς τάφον, ἔνθα δὲ πάντας ἐνίκα" (680). V.

621. ἡ διπλῆ, ὅτι προτάσσει τὴν πυγμήν, ὡς καὶ ἐν Ὀδυσσείᾳ (8, 246) „ἀ γὰρ πύγμαχοί εἰμεν". ὁ αὐτὸς ἄρα ποιητής. A.

622. ἐνδύσεαι: Ἀρίσαρχος ἐσδύσεαι. A.

ἄλλως. ἕτως ἐσδύσεαι σχεδὸν ἅπασαι· ἀδέποτε γὰρ Ὅμηρος τῇ ἐν ἀντὶ τῆς εἰς κέχρηται. AB.

623. ἐπείγει: γράφεται καὶ ὀπάζει καὶ ἑκάνει καὶ ἔπεισι. A.

624. χαίρων: ἐπὶ τῇ τιμῇ δηλονότι. B.

626. ναὶ δή: εἰπόντος Ἀχιλλέως „ἀ γὰρ πύξ γε μαχήσεαι" ἠθικῶς φησὶν ὅτι ἀληθῶς λέγεις, ἀ δι' ἄλλο ἢ τὸ γῆρας. B.

627. ἡ διπλῆ, ὅτι ἀπὸ τοῦ γάρ ἦρκται, τὸ αἰτιατικὸν προτάξας· καὶ ὅτι ἐπεξηγήσατο τὴν ἔμπεδα γυῖα λέξιν. βραχὺ δὲ διαλτέον ἐπὶ τὸ φίλος, ὅτι, ὡς εἴρηται, ἐπεξηγεῖται τὰ γυῖα, ὅτι πόδες καὶ χεῖρες. A.

628. ἑλαφραί: ὅταν γὰρ ἐξασθενήσῃ τὸ κινῶν πνεῦμα, βαρέα γίνεται τὰ μέλη. B.

630. ἡ διπλῆ, ὅτι τῶν ἀναξίων ἀγώνων μέμνηται, ἱερῶν δὲ οὔ. A.

631. βασιλῆος: ἢ οἱ τοῦ βασιλέως παῖδες, ἢ περὶ βασιλέως. B.

632. ἔνθ' ἤ τίς μοι ὁμοῖος: ἀεὶ παραδείγμασιν οἰκείοις χρῆται. ὅταν μὲν γάρ τινα ἐπὶ μονομάχιον ἐξαναζῆσαι θέλῃ (Il. 4, 319), τὰ περὶ Ἐρευθαλίωνα λέγει, ὅταν δὲ Ἀχιλλέα ἐπὶ τὴν μάχην (Il. 11, 669), τὰ περὶ τὸν Ἠλιακὸν πόλεμον. καὶ νῦν ἐν τοῖς ἐπὶ Πατρόκλῳ ἆθλοις παλαιᾶ ἐπιταφίου μέμνηται ἀγῶνος. BV.

633. Αἰτωλῶν: τινὲς τῶν Ἠλείων, ἀπὸ Ὀξύλου. ψευδὲς δέ· ἀ γὰρ ἐπὶ Νέστορος ἡ κάθοδος τῶν Ἐπειῶν. τοὺς Ἠλείους δηλοῖ· „Ἦλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί" (Od. 13, 275). Αἰτωλῶν δὲ τῶν ἁρπαζομένων· φησὶ γὰρ „Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον" (635). V.

634. Κλυτομήδεα: οἰκεῖον πύκτῃ ὄνομα· δεῖ γὰρ αὐτὸν μηχανᾶσθαι. V.

ἡ διπλῆ, ὅτι τὴν ὁμοίαν τάξιν καὶ ὁ Νέστωρ τηρεῖ τῶν ἀγωνισμάτων. A.

635. Ἄγκαῖον: παρὰ τὸ „ἀγκὰς ἀλλήλων λαβέτην" (711)· μεγάλας γὰρ εἶχε χεῖρας. ἴσως δὲ καὶ παρὰ τὰς πλευρὰς Πλευρώνιος. BV.

πάλῃ: Ἀρίσαρχος σὺν τῷ ν πάλλην. A.

ἡ διπλῆ πρὸς τὸ ὅς μοι ἀνέστη· δεῖ γὰρ αὐτὸν ὑποστῆσαι καθήμενον, τῷ δὲ κήρυκος παλαιτὰς καλέσαντος ἀνιστάμενον. A.

ἴσως δὲ ἀπὸ τῆς θέας ἀναστὰς ἠγωνίσατο τοῦ κήρυκος βοήσαντος. καὶ ἐν Ὀδυσσείᾳ (18, 333) „μή τίς τοι ἀμείνων ἄλλος ἀναστῇ." BV.

636. Ἴφικλον: ἰφίκωλος. ἴσως δὲ τὸν Φυλακίδην φησί. V.

637. Φυλῆα: τὸν Αὐγέα φησὶν ἴσως υἱόν. ἄκραν δὲ εὐεξίαν σώματος ἔχει, εἴγε τὰ κεφά τε ἅμα καὶ βαρέα νικᾷ. V.

638. 639. σεσημείωται ὁ τόπος πρὸς τὰ περὶ τῶν Μιλησιονίδων ζητούμενα· ζητεῖται γὰρ τί ἐστι τὸ πλήθει πρόσθε βαλόντες, καὶ ὁποῖοί τινες ἦσαν τὴν φύσιν ὡς λέγεσθαι ἐπ' αὐτῶν οἱ δ' ἄρ' ἔσαν δίδυμοι, τίς τε τῆς ἁρματηλασίας ὁ τρόπος, καὶ τί τὸ τῆς νίκης αἴτιον. Ἀντόδωρος μὲν ἐν ὁ Κυμαῖος τὴν μὲν φύσιν αὐτῶν, οἷα τίς ποτέ ἐστιν, ἐ προσποιεῖται, τινὰς δέ φησι λέγειν ὅτι ἅρματα πλείονα καθῆκαν εἰς τὸν ἀγῶνα, οἷς ἐνεπόδιζον τὰ τῶν ἀντιπάλων, καὶ τοῦτο εἶναι τὸ πλήθει πρόσθε βαλόντες. ἄλλοι δέ φασι πρὸς τὴν ἄφεσιν τῶν ἁρμάτων συνηγωνίσθαι τοῖς Ἄκτορος υἱοῖς τοὺς ἀθλοθετοῦντας, διόπερ ἀφεῖναι πολὺ προλαβεῖν τὰ τούτων ἅρματα, καὶ τοῦτοις τὸ πλήθει πρόσθε βαλόντες. Ἀρίσαρχος δὲ διδύμους ἀκούει ἐκ ὅτους ὡς ἡμεῖς ἐν τῇ συνηθείᾳ νοοῦμεν, οἷοι ἦσαν καὶ οἱ Διόσκουροι, ἀλλὰ τοὺς διφυεῖς, δύο ἔχοντας σώματα, Ἡσιόδῳ μάρτυρι χρώμενος, καὶ τοὺς συμπεφυκότας ἀλλήλοις. ὅτως γὰρ καὶ τὸ λεγόμενον ἐπ' αὐτῶν σαφηνίζεσθαι ἄριστα· ἀναξάντοιν γὰρ δὴ τοῦ Νέστορος ἐπὶ τὸν ἀγῶνα καὶ αὐτοὺς ἀναξῆναι· εἶτα τὸν μὲν Νέστορα λέγειν ὡς ὁ δίκαιοι εἶεν ἀγωνίζεσθαι παρηλλαγμένοι τὴν φύσιν ὄντες· ὁ δὲ δῆμος συναγωνίζοιτο αὐτοῖς, καὶ λέγοι ὡς εἶεν εἷς ἀμφότεροι καὶ διὰ τοῦτο ὀφείλοιεν ἑνὸς ἐπιβαίνειν ἅρματος ἅτε δὴ συμπεφυκότες, καὶ κρατοῖέν γε οἱ πολλοί, καὶ τοῦτο εἶναι τὸ πλήθει πρόσθε βαλόντες. A.

ἤτοι τῶν χειρῶν ἢ τῶν ἁρμάτων ἢ τῶν συναιρομένων αὐτοῖς θεατῶν τῷ πλήθει ἐμὲ νικήσαντες· διφυεῖς γὰρ καὶ ἀνὰ τέσσαρας χεῖρας ἔχοντες ἰσορρῆναι. D.

639. ἀγασσάμενοι. ἔν τισι διὰ τοῦ ω ἀγασσαμένω. A.

640. συναπτέον τοῦτον τὸν στίχον, εἶτα ἀπ' ἄλλης ἀρχῆς ἀναγνωστέον. ἢ γὰρ τοῦτό ἐστι τὸ λεγόμενον, ὅτι ἐφθόνησαν διὰ τὸ μέγιστα εἶναι τῶν ἵππων ἆθλα, ἢ τοῦτο, οὕνεκα τὰ μέγιστα ἆθλα παρ' αὐτοῖς ἦν, νενικηκόσι δηλονότι. ὅτως δὲ παρ' αὐτόφι διὰ τοῦ φ ἀντὶ τοῦ παρ' αὐτοῖς. A.

641. δίδυμοι: ἀντὶ τοῦ συμφυεῖς καὶ ἅμα γεγεννημένοι. B.

συμφυεῖς, ὡς Ἀρίσαρχος. ἐκ ἔστι δέ. V.

642. ἔμπεδον: ἀντὶ τοῦ ἑδραίως καὶ ἀσφαλῶς. πολλὴν δὲ ἔχει ἡ ἐπανάληψις ἀναφοράν. B.

ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν, ὅτι πυκνῶς μὲν ἐν Ἰλιάδι, ἅπαξ δὲ ἐν Ὀδυσσείᾳ. A.

643. νεώτεροι ἀντιόωντων: νομοθετεῖ καθ' ἡλικίαν ἀεὶ ποιεῖν καὶ μὴ ὑπὲρ ὅ τις δύναται ὑπεύθυνον φαίνεσθαι. B.

644. ὅτι ὁ σίχος ἕτος καὶ ἑξάμετρος γίνεται καὶ τρίμετρος παρὰ τὴν ἀγωγὴν τῆς προφορᾶς. A.

ἐπιτέτευκται ὁ σίχος ταῖς κοιναῖς, ὡς', ἢν θέλωμεν καὶ ἴαμβος ἔσαι, ὡς τὸ „σμύρνης ἀκράτου καὶ κέδρου νηλεῦς καπνῷ." V.

646. κτερείϊζε: γέραιρε καὶ δόξαζε τὸν σὸν φίλον τοῖς ἄθλοις. γίνεται δὲ παρὰ τὸ κτέρας, ὃ δηλοῖ τὸ κτῆμα. B. „τῇ μὲν κτέρας ἐδὲν ὁμοῖον" (Il. 10, 216). V.

648. ὥς μευ: γράφεται ὥς μευ. A.

τὸ ἐνηέος βέλτιόν ἐστι τοῖς ἑξῆς συνάπτειν, εἰ καὶ ἐχ Ὁμηρικὸν τὸ ὑπερβατόν, ἵνα ᾖ τὸ ἑξῆς, ἐδέ σε λήθω ἐνηέος τιμῆς. ἐὰν δὲ τοῖς ἄνω προσδῶμεν αὐτό, ὡς ἡ συνήθεια ποιεῖ, λείπειν φήσομεν τὸ ὡς, ἵν' ᾖ ὡς ἐνηέος. ἢ διὰ μέσου ἐστὶ τὸ ἐδέ σε λήθω. A.

ἐνηέος: ἀντὶ τοῦ ἐνηῶς. ἢ ὡς τὸ „οἶκον ἄτιμον ἔδεις" μετὰ ἀτιμίας, ὅτω καὶ νῦν μετὰ προσηνείας. V.

649. ἧς τέ μ' ἔοικε τετιμῆσθαι: ὕψωσεν ἑαυτὸν ὡς ὀφείλοντα τιμᾶσθαι, εὐλόγιστον ἀποφήνας τὸν τιμήσαντα· τίνος γὰρ ἄλλου ἐδεῖτο πρεσβύτης διηνεκὼς μὲν τοσαύτα ἐπὶ νεότητος, εἰς χάριν δὲ τῶν φίλων καὶ νῦν στρατεύων, ἐπ' ἀξιώματος ὢν μεγίστου καὶ παίδων πατὴρ καὶ οἰκεδεσπότης εὐδαίμονος; B. ἴσως δὲ τὸ τιμῆς νῦν ὡς ἐπὶ ὠνίων. V.

650. βραχὺ διαστελτέον ἐπὶ τὸ ἀντί. A.

652. αἶνον: τινὲς τὸν ἀπόκρυφον καὶ ἐσχηματισμένον λόγον, ἐπεὶ ἐδόκει αὐτῷ ἐν ὑπονοίᾳ εἶναι, νυνὶ δὲ τεθεράπευκεν, ὡς τὸ Ὀδυσσείας Ξ (508) „αἶνος μέντοι ἀμύμων ὃν κατέλεξας"· ὁ γὰρ τὸν ἔπαινόν φησιν. B.

εὖ τὸ ὑπομεῖναι τὴν φλυαρίαν τῷ γέροντος εἰς τὴν ἐκείνου τιμήν. V.

653. ἀλεγεινῆς: πολυφρόντιδος καὶ πολλῆς δεομένης τῆς ἐπισκέψεως. B.

654. ταλαεργόν: ὑπομένουσαν πρὸς τὰ ἔργα. διὸ καὶ τὸ „ἀλγίστη δαμάσσαι"· σφριγῶσα γὰρ ἐκ εἴκει τῷ ζυγῷ. V.

πρὸς τὴν ὑπομονὴν τοῦ πύκτου καὶ ὁ ἆθλος. B.

656. οἰκείως τὸ δέπας τῷ νικωμένῳ πρὸς ἀνάκτησιν δίψας, ἀφ' ἧς μάλιστα νικῶνται· ἢ ὅτι οἱ πόται ἧσσονες. B.

658. Ἀτρείδη τε καὶ ἄλλοι: τοὺς ἀρίστους καλεῖ διὰ τὸ ἐναγώνιον· ὥστε γὰρ τῶν ἐπισήμων τινὰς ἀναστῆσαι. εἰ ἦν δὲ μόνων τῶν ἀρχόντων ὁ ἀγών, ἀλλὰ καὶ τῶν ἀρχομένων. ἦν δέ, ὡς ἔοικε, καὶ τέχνη παρ' αὐτοῖς τῆς πυγμῆς ἐ μόνον ἡ δύναμις. B.

659. ἡ διπλῆ, ὅτι ἰσαρίθμως τοῖς ἐπάθλοις ἀγωνιοῦσι καλεῖ, καὶ τοῦτο ἐπὶ πάντων τάττει. A.

ὅπως μηδὲ εἷς ἀτιμάζοιτο, δίχα ἐπάθλα ἀναχωρῶν. V.

660. μάλ' ἀνασχομένω: δυνατωτέρα γὰρ ἡ πληγὴ ἄνωθεν ἐπαγομένη, τὸ δὲ πεπληγέμεν πλήσσειν. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀπόλλων: Φόρβας ἀνδρειότατος τῶν καθ' αὐτὸν γενόμενος, ὑπερήφανος δέ, πυγμὴν ἤσκησεν, καὶ τὲς μὲν παριόντας ἀναγκάζων ἀγωνίζεσθ ἀνῄρει, ὑπὸ δὲ τῆς πολλῆς ὑπερηφανίας ἠβέλετο καὶ πρὸς τὲς θεὲς τὸ ἴσον φρόνημα ἔχειν. διὸ Ἀπόλλων παραγενόμενος καὶ συεὰς αὐτῷ ἀπέκτεινεν αὐτόν· ὅθεν ἐξ ἐκείνε καὶ τῆς πυκτικῆς ἔφορος ἐνομίσθη ὁ θεός. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς. ABD.

661. καμμονίην: τὴν ἐκ καταμονῆς νίκην. οὐκ ἂν ἓν εἴποι αὐτὸ ἐπὶ δρομέων. V.

ἢ διπλῆ, ὅτι ἐκ ἔχιν ἓν ἀνθ' ἑνὸς καμμονίη νίκη, ὡς οἱ γλωσσογράφοι, ἀλλ' ἢ ἐκ πολλῶν· διὸ ἐπὶ δρομέων οὐ τάσσει, ἀλλ' ἐπὶ τῶν πυκτευόντων καὶ μονομαχέντων· μία γὰ καταμονῆς. A.

662. φερέσθω: ἐν ἄλλῳ νεέσθω. A.

664. μέγας τε: τὸ γὰ μῆκος συμβάλλει πρὸς τὸ σφοδρὸν ἄνωθεν τῆς πληγῆς. V.

665. Παιονοπῆυς: στρατεύσας σὺν Ἀμφιτρύωνι κατὰ Τηλεβοίων, ἐκ τῶν κοινῶν λαφύρων κεκλοφὼς Ἐλαγάρειαν ἔχει υἱὸν Ἐπειόν, ὃς ὑδροφόρει τοῖς Ἀχαιοῖς. ἐλεήσασα δὲ ἡ Ἀθηνᾶ ἐν τοῖς χορευταῖς φησὶ τὸν ἐκ ἐθέλοντα φέρειν στέττιγος ἄεθλον ἀντὶ τᾶ ὃς νίκην μοι περιποιῆσαι τῷ Παιονοπῆι δηλῶσ μετὰ δεῖπνον Ἐπειῷ ζημίαν. V.

666. ἄψατο δ' ἡμιόνε: πολὺ τὸ ἦδος καὶ ἀγωνιστικόν, πάντας δὲ τὲς μεγάλες ἡσσᾶν τᾶτον ἔχει, προδιατυπῶν ἡμῖν τὸ πρόσωπον πρὸς τὴν τᾶ ἵππου κατασκευήν. B. ἢ τάχα ὅτι αἱ χεῖρες τετυλωμέναι τῶν τοιούτων. V.

670. μάχης ἐπιδεύομαι: τὸ ὁμολογεῖν ἐφ' οἷς τις ἡττᾶται, πίσιν ἐμποιεῖ περὶ ὧν τις ἐπαγγέλλεται. AB.

672. τὸ δὲ καί: γράφεται καὶ μήν. A.

673. ἀντικρύ: ἐξ ἐναντίε ἀγωνιζόμενος. ἐ γὰ κλέπτων ἐμὴν μάχην πέποιθα ἐμαυτῷ. B.

674. κηδεμόνες: οἱ κηδόμενοι αὐτᾶ. B. ἐπιμεληταί, ἢ προσήκοντες κατὰ γένος. D.

675. ἐξοίσεσιν: φοράδην δηλονότι. B.

676. ἀκὴν ἐγένοντο: διὰ τὸ ὑπερήφανον τῆς ἀπειλῆς. B.

677. Εὐρύαλος: τρίτος ἐξὶ βασιλεὺς Ἀργείων μετὰ Διομήδην καὶ Σθένελον. ἔξι δὲ υἱὸς Μηκισέως, Μηκισεὺς δὲ καὶ Ἄδραστος Ταλαᾶ παῖδες. B.

οἷος ἀνίσατο: ἔτως ἔχει καὶ τὸ „Ἀγκαῖον δὲ πάλιν Πλευρώνιον ὃς μοι ἀνέιξε" (635). V.

679. ὅς: ὁ Μηκισεύς· πρὸς γὰ τὸ δεύτερον ὑπαντᾷ, καὶ συνάδει τῇ ἡλικίᾳ. τὸ δὲ δεδεπότος ἀντὶ τᾶ τεθνηκότος ἐν πολέμῳ. B.

ἔτως Θήβασδε, εἰς Θήβας. A.

ἢ διπλῆ, ὅτι ἐπὶ τᾶ Μηκισέως ἀκουσίον ὅς ποτε Θήβας ἦλθεν, ἐκ ἐπὶ τᾶ Εὐρυάλε, ὡς ὁ Κράτης, καὶ ὅτι οἱ νεώτεροι παρὰ τὸν Ὅμηρον τὸν Οἰδίπεν φασὶν ἑαυτὸν τυφλώσαντα ποδηγέμενον εἰς Ἀθήνας ἐλθεῖν καὶ ἐκεῖ τελευτῆσαι· νῦν δὲ ὁμόλογον ὅτι ἐν Θήβαις ἐτελεύτησεν. καὶ πρὸς τὸ δεδεπότος· οἱ γλωσσογράφοι γὰ ἓν ἀνθ' ἑνὸς τεθνηκότος ἐξεδέξαντο. ἐκ παρεπομένε δὲ νοητέον ὅτι ἦτοι ἐν πολέμῳ τετελεύτηκε· ψοφῶσι γὰ οἱ πίπτοντες· „δέπησεν δὲ πεσών" (Il. 4, 504)· ἢ κατεκρήμνισεν ἑαυτόν· καὶ γὰ ἔτος ὁ θάνατος μετὰ ψόφε. A.

ἢ ὡς ὑπερπαθήσαντος καὶ ῥίψαντος ἑαυτὸν ἐξ ὕψους, ἢ καταχρησικῶς, ἀποθανόντος, ὡς τὸ „ὁ δ' Ἀτρείδην ἐναρίζοι" (Il. 1, 191)· κυρίως γὰ τὸ σκυλεύει. V.

ὅτι βασιλεύοντα ἐν Θήβαις φησὶν ἀπολέσθ, ἐχ ὡς οἱ νεώτεροι. καὶ Ἡσίοδος δέ φησιν ἐν Θήβαις αὐτᾶ ἀποθανόντος Ἀργείαν τὴν Ἄδρασε σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν αὐτᾶ. V.

680. πάντας: ἢ τὲς πύκτας, ἢ τὸν ἄριστον νικήσας πάντων περιγέγονεν. V.

681. ἀμφεπονεῖτο: διὰ τὴν συγγένειαν· ἔξι γὰ αὐτᾶ συγγενὴς μητρῷος ἐξ Εὐρυάλε. B. ἔξι γὰ Δηϊπύλης τῆς Ἄδράσε, καὶ γαμεῖ Εὐρυάλειαν τὴν Ἄδράστου. ὁ δὲ Εὐρύαλος Μηκισέως ἐξὶ τᾶ ἀδελφᾶ Ἄδράσε. V.

οἷδε καὶ τὰς παραινέσεις τῶν παιδοτριβῶν ὁ ποιητής. V.

683. ζῶμα: περιζώματα γὰ ἕως ποδῶν διήκοντα ἐφόρεν πρὸς τὸ μὴ εὐκόλως πλήττεσθ. ὕστερον δὲ Ἀθήνησί τινων ἀγωνιζομένων ἄρχοντος Ἱππομένες συνέβη ἕνα αὐτῶν πεσόντα πρὸς τὸ ἐμποδισθῆναι ὑπὸ τᾶ περιζώματος τελευτῆσαι (κατὰ τὴν ιδ' Ὀλυμπιάδα, ἐφ' Ἱππομένες Ἀθήνησιν ἄρχοντος, Ὀλυμπίασι ράδιον θεόντων ἐν περιζώμασι συνέβη ἕνα αὐτῶν Ἔρσιππον ἐμποδισθέντα ὑπὸ τοῦ περιζώματος πεσεῖν καὶ τελευτῆσαι V). ὅθεν ἐθεσπίσθη γυμνὲς ἀγωνίζεσθ μέχρι τᾶ νῦν. διὸ καὶ οἱ τόποι ἐν οἷς ἔκτοτε ἐπονοῦντο, γυμνάσια καλῶνται. νεώτερος δὲ Ἡσίοδος γυμνὲς εἰσάγων ἀγωνισάς B. γυμνὸν εἰσάγων Ἱππομένη ἀγωνιζόμενον ταλάντων (τῇ Ἀταλάντῃ Heynius). V.

ἢ διπλῆ πρὸς τὸ παλαιὸν ἔθος, ὅτι ἐν ἑνὶ περιζώματι ἠγωνίζοντο. A.

ἄλλως. ζῶμα νῦν περίζωμα. πρῶτον δὲ ἦν τοῖς παλαιοῖς περιζώματα φέρειν ἐν τοῖς αἰδοίοις (περὶ τὰ αἰδοῖα D) καὶ ἔτως ἀγωνίζεσθ. κατὰ δὲ τὴν τ' καὶ β' (λβ D) Ὀλυμπιάδα Ὀρίππε τᾶ Λακεδαιμονίε λυθὲν ἀγωνιζομένου τὸ περίζωμα αἴτιον αὐτῷ νίκης (ἥττης D) ἐγένετο, ἐξ οὗ νόμος ἐτέθη γυμνὲς τρέχειν. AD.

684. ἱμάντας βοός: ἔτοι γὰ οἱ ἱμάντες βαρεῖς καὶ ἐπιτήδειοι. V.

686. ἄντα δ' ἀναχόμενοι: ἀνατεινάμενοι καὶ οἷον διατιναχθέντες. B.

τᾶτο πλεονέκτημα πύκτου. V.

βραχὺ διασαλτέον μετὰ τὸ ἀνασχομένω ἢ ἐπὶ τὸ σιβαρῆσι. A.

688. χρόμαδος: ὠνοματοποίησε τὸν ψόφον· ἅμα γὰ καὶ τρίζεσιν οἱ πύκται, ἐπάγοντες τὰς πληγάς. AB.

690. παπτήναντα: προδεδειχότι τὸ παρῄϊον Ἐπειοῦ περιεβλέψατο καὶ ἔτως ἐπλήγη. ὤρνυτο οὖν ἐπῆρτο. καὶ Θεόκριτός φησιν (22, 102) „ἐτώσια χερσὶ προδεικνύς." V.

691. ὅτως ἔξω τοῦ ῑ ἑςήκειν. ἔςι δὲ Ἰωνικόν. A.

ὑπήριπε φαίδιμα γυῖα: εἰκότως· ὀςώδης γὰρ ὁ τόπος καὶ διασεῖσαι πᾶσαν τὴν κεφαλὴν δυνάμενος. B.

692. ὡς δ' ὅθ': ὅταν ἀρχομένου πνεῖν ἀνέμου ὑποκινῆται καὶ οἷον μελαίνηται (ἀν. ἐπιςίζηται V) τὸ πέλαγος, τότε ἄλλονθ' οἱ ἰχθύες ἄνω καὶ κάτω. καὶ ἐκεῖ „μέλαιναν φρῖχ' ὑπαλύξει" (Il. 21, 126). οἱ δὲ γράφουσιν ὑπαὶ ῥιπῆς. ἐναργὲς δὲ τὸ τῆς εἰκόνος· ἀναπηδᾷ γὰρ ἑκάτερος καὶ πάλιν καταφέρεται. BV.

693. θίν' ἐπί: τὸ τέλειον ἐπὶ θινί. καὶ ὅτι ἀρσενικῶς. V.

φυκιόεντα: φυκία ἔχοντι. φῦκος δέ ἐςιν ἤτοι ἡ ἄχνη τῆς θαλάσσης ἢ πόα παραθαλασσία οὕτω καλουμένη. D.

μέγα: γράφεται μέλαν. A.

695. ὤρθωσε: νόμος γάρ ἐςι καὶ ἔθος ἄχρι καὶ νῦν τὸ μὴ πεσόντα πλήττειν. B.

697. παχύ: πολύ· τὸ γὰρ ὀλίγον τῷ σιέλῳ λεπτύνεθ. B. ἐναργῶς δὲ αὐτὸν παρέςησεν. V.

βάλλονθ': ἐν ἄλλῳ βαλόνθ'. A.

698. ἀλλοφρονέοντα: ἀντὶ τοῦ παραφρονοῦντα. B.

ἀλλοφρονέοντα ὡς σωφρονέοντα. τὴν δὲ σφίσιν ὀρθοτονητέον· εἰς γὰρ σύνθετον ἡ μετάληψις. A.

701. δεικνύμενος: φιλοτιμούμενος. B.

Δαναοῖσι: λαοῖσι. A.

702. ἐμπυριβήτην: οὐκ ἀναθεματικόν, πρὸς τὸ μετὰ τοὺς ἱδρῶτας ἀπολούσασθαι. V.

703. τὸν δέ: ἀπετιμῶντο τὸν τρίποδα δωδεκάβοιον. B.

σφίσι: καὶ ταύτην τὴν ἀντωνυμίαν ὀρθοτονητέον, ὁμοίως τῇ προκειμένῃ. A.

704. γυναῖκ': διὰ τὸ μαλακὸν καὶ ἀσθενές. B.

707. ἡ διπλῆ, ὅτι ἰσαρίθμους τοῖς ἐπάθλοις δύο καλεῖ. A.

ἐοίκασι τὸ παλαιὸν δύο μόνοις προτίθεσθαι πυγμῆς καὶ πάλης ἀγῶνας. διὸ μόνοι δύο ἀνίςανται ἀγωνιούμενοι. V.

709. κέρδεα εἰδώς: δείκνυσιν ὅτι ἐφάμιλλος τέχνη ἀνδρίας. B.

ἴσως ὑπὸ Ἀθηνᾶς ἰάθησαν τὰ ἕλκη. V.

711. ἀλλήλων: ἀντὶ τοῦ ἀλλήλω, ὡς „ἄμφω δ' ἑζομένων" (Il. 3, 211) ἀντὶ τοῦ ἑζομένω. V.

παλαιὸς καὶ ἀγροικώδης ὁ τρόπος· τὴν γὰρ εὐώνυμον ἑκάτερος ὑπὸ τὴν πλευρὰν ὑπέβαλλε τοῦ ἀγωνιςοῦ, τῇ δὲ δεξιᾷ κρατεῖ τὴν ὑποβεβλημένην ἑκάτερος τοῦ ἀγκῶνος· τοῖς δὲ μετώποις ἀντηρείδοντο. δηλοῖ δὲ τὸ ἀγκάς τὴν τῶν χειρῶν περιβολήν. B.

συναπτέον πάντα ἕως τοῦ βίας ἀνέμων ἀλεείνων (713). βραχὺ παντελῶς διαςαλτέον ἐπὶ τὸ ἀμείβοντες. εἰ δέ τις ἀναγινώσκοι ἀφ' ἑτέρας ἀρχῆς ὡς ὅτ' ἀμείβοντες, ἁμαρτάνει· ἡ γὰρ ἀνταπόδοσις οὐκ ἐπιφέρεθ ἀλλὰ προαποδέδοται. ἀμείβοντες δὲ δοκοὶ μεγάλαι, ἀλλήλαις προσπίπτουσαι ὥςε βαςάζειν τὴν ὀροφήν, οἵτινες καὶ συςάθ καλοῦνται. A.

ἀμείβοντες: οἱ συστάται, οἳ τὸ χῆμα τοῦ Λ ςοιχείου ἀποτελοῦσιν. B. οἱ δὲ τιθεῖσι τὰς δοκοὺς τὰς παχείας πρὸς τὰς λεπτάς. V.

714. τετρίγει δ' ἄρα νῶτα: τοῦτο πρὸς τὸ βίαιον τῆς διατάσεως καὶ τὸ τῶν σωμάτων ςερεόν. BV.

715. ῥέεν ἱδρώς: τοσοῦτον ἦν βίαιος ἡ πρόςριψις. δεινὴ δὲ ἡ καρτερία καὶ τῶν ὑπομενόντων καὶ τῶν σφιγγόντων. δηλοῖ δὲ ὡς ἡ αὐτὴ μὲν αὐτοῖς ἦν ςάσις, μετέςησαν δ' ἐπὶ πολλὰ μέρη τοῦ σώματος· ἐπεὶ πῶς ὁ πολὺς ἱδρὼς ἔῤῥει; B.

718. τρίποδος πέρι ποιητοῖο: ἔφαμεν περὶ τῶν τοιούτων, πότερον δεῖ ἀναςρέφειν τὰς προθέσεις μεταξὺ κειμένας δύο ὀνομάτων, ἢ οὔ, ὡς ἐπὶ τοῦ „μάχη ἔνι κυδιανείρῃ" (Il. 6, 124) καὶ ὡς οἱ πλείους θέλουσι τοῖς ἐπιθετικοῖς συντάσσειν αὐτάς. διὸ καὶ ὁ Ἀσκαλωνίτης ἐνθάδε οὐκ ἀναςρέφει. A.

οὐκ ἀναςρεπτέον τὴν περί· δύναται γὰρ ἰσοδυναμεῖν τῷ περισσῶς, ἵν' ᾖ ἀντὶ τοῦ ἐξαιρέτως πεποιημένου. B.

720. ἲς Ὀδυσῆος: ἡ μετὰ τέχνης· τούτῳ γὰρ ἐνίκα, οὐ βίᾳ. ἔςι δὲ παλαιςὴς ἐπιςήμων. B. εἴγε καὶ τὸν Φιλομηλείδην κατεπάλαισεν (Od. 4, 342). V.

721. ἀνίαζον: εἰς ἀνίαν ἦγον· ἀηδὲς γάρ ἐςι θεαταῖς τὸ ἐπὶ πολὺ τῶν παλαιςῶν ἢ πυκτῶν ἰσόῤῥοπον. B.

ἐϋκνήμιδες Ἀχαιοί: ἡ γὰρ εὐκνήμιδας Ἀχαιούς. καὶ τὸ ἀνίαζον εἰς ἀνίαν ἦγον, ὡς „Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς" (Od. 9, 59) εἰς κλίσιν ἦγον. V.

ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ εἰς ἀνίαν ἦγον καὶ ἐχρόνιζον. τοῦτο δὲ μὴ νοήσαντες μετέγραψαν ἐϋκνήμιδες Ἀχαιοί. A.

724. ἤ μ' ἀνάειρ': εἰκότως προκαλεῖται· πέποιθε γὰρ ἀγωνίσασθαι τῇ ἰσχύϊ. εἰώθασι δ' ἐν τοῖς ἀγῶσι τοῦτο ποιεῖν ὃ καλεῖται λαβή, καὶ ἀντιδιδόναι ἀλλήλοις ἢ τὸν νῶτον ἢ τὸν αὐχένα ἢ πολλάκις τὸν πόδα. B.

725. δόλου ὡς εἰωθότων τῶν πρώην (ἡρώων Heyn.) ἰσχύϊ καταγωνισασθαι καὶ οὐ δόλῳ. V.

ἡ διπλῆ, ὅτι τὸ δόλιον τοῦ ἥρωος καὶ διὰ τούτων δείκνυται, καὶ ὅτι οὐδέπω τέχνην ᾔδεσαν ἐν τῷ παλαίειν. A.

726. κώληπα: τὸν ἀςράγαλον, ἢ μᾶλλον τὴν ἰγνύην· λαβόμενος γὰρ τοῦ νώτου ἐπῆρεν· ὡς δὲ μετεωρισθέντος αὐτοῦ οἱ πόδες πρὸς τοῖς γόνασιν ἐγένοντο, ὀπισθοβαροῦς ἤδη γεγονότος Αἴαντος, τῇ πτέρνῃ βάλλει τὴν ἰγνύην. ὑπτιασθέντος δὲ Αἴαντος Ὀδυσσεὺς ἐπὶ τὰ ἴδια ςήθη πίπτει. δύναται δὲ καὶ ἐπὶ τὰ τοῦ Αἴαντος. B.

ἔκρουσεν αὐτοῦ, φησίν, ἐπιτυχὼν ὄπιθεν τὴν ἰγνύην, ἥτις καὶ ἀγκύλη καλεῖται. ὡς τὴν μέσην αἰρόμενος (τῶν μέσων ἐῤῥωμένων D) περιπλέκεται. AD.

σημειοῦνται δέ τινες καὶ τὸ κόψ' ὄπιθεν κώληπα, ὅτι τὸ κῶλον οὕτως εἶπεν. A.

727. καδδ' ἔπεσ': γράφεται καδδ' ἔβαλ'. A.

728. θάμβησάν τε: τὸν βουγάϊον καὶ ἀνδρεῖον ὑπὸ τοῦ ὠμογέροντος καὶ ἥσσονος νικώμενον ὁρῶντες ἐθαύμαζον. B.

729. δεύτερος αὖτ' ἀνάειρε: τὸ χῆμα πρῶτος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὥρε κ̄ , καλεῖται δὲ τȣ̃ ὢν (δὲ ἰγνύων Eustath.) ὑφαίρεσις, ὥς φησι Σώπατρος. V.

730. κίνησεν δ' ἄρα τυτθὸν: εἰς ὕψος μὲν ἆραι διὰ τὸ μέγεθος οὐ δύναται· καὶ ἵνα μὴ ὃ ἐποίησε πάθῃ. ἄρας δὲ τοσȣ̃τον ὅσον τῆς ϛάσεως παρακινῆσαι, τῷ δεξιῷ γόνατι παρατρίψας τὸ ἀριϛερὸν αὐτȣ̃ σκέλος ἔπαισε· καὶ πλάγιοι πίπτȣσιν. ἔϛιν ȣ̃ν τὸ δεύτερον πτῶμα Ὀδυσσέως· τῷ γ̃ βάρει καμών (οἱ δέ, ὅτι κατ' ὤμων τῇ ἐντάσει τȣ̃ βάρους V) συναπεκύλισεν ἑαυτῷ τὸν ἀντίπαλον. εἰ δὲ εἰς ὕψος ἦρεν, ἐδαπάνησεν ἂν τὴν ἑαυτȣ̃ δύναμιν. τὸ μέντοι χῆμα οἱ μὲν παράπλαϛον (μεταπλασμὸν Eustathius, παραπλαγιασμὸν Heynius), οἱ δὲ παρακαταγωγὴν ὀνομάζȣσιν. BV.

731. ἐν: Λεπτίνης δασύνει ὡς ἐπ' ἀριθμȣ̃, τὸ ἓν γόνυ ἔκαμψεν, ὡς ἐπὶ τȣ̃ „ἓν δέπας ἐμπλήσας" (Od. 9, 209). οἱ δὲ ἄλλοι πάντες πρόθεσιν ἐξεδέξαντο διὰ τὸ ἀεὶ ἕτερον λέγειν τὸν ποιητὴν ἐπὶ δύο, ἓν δὲ ȣ̃δέποτε· „χωλὸς δ' ἕτερον πόδα" (Il. 2, 217)· „τὸν δ' ἕτερον σκοπελόν" (Od. 12, 101). A.

735. μηκέτ' ἐρίδεϛθον: μὴ ἐρίζετε, φησίν, ἔτι, μηδὲ καταπονεῖϛθε κακȣ̃ντες ἑαυτȣ́ς. B.

λείπει ἡ διά, οἷον διερείδεϛθε. τρίβεϛθε δὲ καταπονεῖϛθε κακȣ̃ντες ἑαυτȣ́ς. V.

736. ἀέθλια δ' ἶσ' ἀνελόντες: τινές φασιν ὅτι τὸ πρῶτόν ἐϛιν Ὀδυσσέως, τὸ δὲ δεύτερον κοινόν. χαρίζεται δὲ ὡς συγγενεῖ. B. καθὰ κ̀ Εὐμήλῳ. ἔϛι δὲ ψεῦδος. V.

741. τετυγμένον: ὡς ξεϛὴν τράπεζαν (Od. 1, 138) κ̀ „τρίποδος πέρι ποιητοῖο" (718) καὶ „Τίρυνθά τε τειχήεσσαν" (Il. 2, 559). V.

μέτρα: ὡρισμένον ἴσως ἦν τὸ μέτρον. V.

742. ἐνίκα: τȣ̀ς ἄλλȣς δηλονότι κρατῆρας. B.

743. Σιδόνες πολυδαίδαλοι: ἄριϛοι τεχνῖται τὰ τοιαῦτα οἱ Σιδόνιοι· „ἔργα γυναικῶν Σιδονίων" (Il. 6, 289) καὶ „Σιδόνος πολυχάλκου εὔχομαι εἶναι" (Od. 15, 425). τὸ δὲ εἶδος εἰπὼν τὸ γένος ἐπήγαγεν. B. ὡς τὸ „Δȣλιχίοιο Ἐχινάδων θ' ἱεράων νήσων" (Il. 2, 625). πρῶτοι δὲ Φοίνικες τὰ μέγιϛα διεπέρασαν πελάγη. V.

744. ἠεροειδέα: σκοτεινόν, μέγαν. ἢ ἀναπεπταμένον, ἐν ᾧ ἀὴρ μόνος ὁρᾶται. D.

745. ϛῆσαν δ' ἐν λιμένεσσι: ἀντὶ τȣ̃ προσώρμισαν, ὡς τὸ „ϛῆσαν δ' ἐν Αἰγύπτῳ ποταμῷ" (Od. 4, 581). B.

750. καὶ πίονα: ἐν ἄλλῳ καταπίονα. A.

751. λοισθήϊ': γράφεται λοισθῆϊ ἔθηκε. A.

ἡ συνήθεια λοιϛθήϊον ἔκφερ' ἄεθλον. ȣ̃ γ̃ κλίναϊ λοιϛθεύς, ὥς τινες. γέγονε δὲ παρὰ τὸ λείπω. V.

753. ἡ διπλῆ περιεϛιγμένη, ὅτι Ζηνόδοτος γράφει πειρήσεσθον, τριῶν ὄντων τῶν κεκλημένων πρὸς τὸν δρόμον. A.

757. μεταϛοιχεί: κατὰ τάξιν. B.

διπλῆ κ̀ ἀϛερίσκος· πῶς γ̃ κλήρȣ μὴ βληθέντος ἵϛαν̄ μεταϛοιχί; μετῆκ̄ ȣ̃ν ἀπὸ τȣ̃ ἱπποδρομικȣ̃ ἀγῶνος ὁ ϛίχος. δολιχὸς δὲ ἦν ὁ δρόμος, καὶ ἡ ἄφεσις ἀπὸ τῶν καμπτήρων. V.

ὀβελὸς σὺν ἀϛερίσκῳ, ὅτι μετενήνεκ̄ ἐνθάδε ἀπὸ τῆς ἁρματοδρομίας. ἐκεῖ μὲν ȣ̃ν μεταϛοιχὶ λέγει, ἐπὶ ϛίχον ἵϛανται κεκληρωμένοι· ἐνταῦθα δὲ ȣ̃κέτι, ἀλλὰ κατὰ ζυγὸν ἡ ϛάσις λέγε̄, κατὰ μέτωπον πάντων ἐξ ἴσȣ ὄντων. A.

758. τέτατο δρόμος: ὀλίγος τις ἦν ὁ δρόμος, ἔνθα μηδὲ κάμψαι ἐνῆν. ἐπεὶ ȣ̃ν μὴ κάμπτȣσιν, ȣ̃ ταμιεύουσιν εἰς τὸ τέλος τὸ τάχος, ἀλλ' εὐθέως προπηδῶσιν. B.

759. ἔκφερ': παρὰ Ζηνοδότῳ ἔκθορ'. A.

760. ὡς ὅτε τις: ταῦτα ἢ τοῖς ἄνω συναπτέον ἢ ἀπ' ἄλλης ἀρχῆς τοῖς ἑξῆς. ἥ τε διαφορὰ περὶ τῆς ἀνταποδόσεως· εἰ μὲν γ̃ δὶς κέοιτο, τοῖς ἄνω συναφθήσεται ἡ παραβολή, εἰ δὲ ἅπαξ, τοῖς ἑξῆς. A.

761. κανών: ὁ κάλαμος περὶ ὃν εἱλεῖται ὁ μίτος ὁ ἱϛȣργικός. D.

762. πηνίον: εἵλημα κρόκης. D. τὸ ὕφασμα, παρὰ τὸν Πᾶνα· ȣ̃τος γ̃ εὑρέτης ὑφασμάτων. οἱ δὲ ὑφηνίον τὸ ὑπὸ τȣ̀ς μίτȣς ὄν. παρὲκ μίτον δὲ ἀντὶ τȣ̃ παρὰ μίτον. πάντα δὲ τὰ ἔργα ἐν παραβολαῖς εἰπὼν νῦν κ̀ περὶ γυναικωνίτιδος ἔφη. BV.

764. πάρος κόνιν ἀμφιχυθῆναι: πολλὴ ἡ ἀγχιϛεία, εἴγε φθάνει τὸ βῆμα τὴν καταφερομένην ἐπὶ τὸ ἴχνος κόνιν, ἣν ὁ προτρέχων ἀνέϛησεν. BV.

765. ἐκ κεφαλῆς: γράφεται οἱ κεφαλῆς. τὸ δὲ ἀϋτμένα ὡς ποιμένα τῷ τόνῳ· καὶ καθόλȣ τὰ εἰς μην λήγοντα ἁπλᾶ ὀξύνεϛθαι θέλει. A.

παρὰ τὸ ἀΰω, ὅ ἐϛι φωνῶ· φωνῆς δὲ γένεσις πνοὴ κ̀ ἀήρ. κ̀ θηλυκῶς δὲ ἀϋτμή ἡ πνοή. τȣ̃το δὲ ὡς κολοβωτέρȣ ὄντος Αἴαντος. BV.

767. ἱεμένῳ: ἐν ἄλλῳ ἱέμενοι. A.

τȣ̃το τὸ εὐνοϊκὸν τῶν Ἑλλήνων παρίϛησιν· χρειωδέϛερος γάρ, ὁ δὲ πρὸς πάντας ἀπηνής. καλῶς δὲ προσέθηκε τὸ μάλα δὲ σπεύδοντι κέλευον· τοῖς γ̃ ἀμελȣ̃σιν ἄτοπον συναγωνίζεϛθαι. BV.

768. πύματον: τὸν πρὸς αὐτὰ τὰ τέρματα. B.

770. κλῦθι θεά: σύντομος κ̀ ἁρμόδιος ἡ εὐχὴ τῷ καιρῷ· ἀϛθμαίνει γ̃ κ̀ σπεύδει. B.

772. ὀβελὸς σὺν ἀϛερίσκῳ, ὅτι ἐπὶ Διομήδȣς ὀρθῶς ἐτέτακτο (Il. 5, 122)· ἐνταῦθα δὲ ὀλίγῳ λείπε̄ τȣ̃ Αἴαντος· εἰ ȣ̃ν τὰ γυῖα ἐλαφρὰ ἐποίησεν, ἐνίκα ἂν πάντως. πρὸς τί ȣ̃ν ἔτι τὸν Αἴαντα κατέβαλεν;

περισσὸς ὁ ϛίχος κ̀ λύων τὸ ἐναγώνιον· ȣ̃ γ̃ βεβαρημένα ἦν αὐτῷ τὰ μέλη. ἄλλως τε ἤρκει πρὸς νίκην τὸ πεσεῖν Αἴαντα· εἰ γ̃ τȣ̃το ἦν, κ̀ προειλήφει ἂν αὐτόν. μετῆκ̄ ȣ̃ν ἀπὸ τῶν περὶ Διομήδȣς. ἢ δείκνυσιν ὅτι τοῖς ἐκ ψυχῆς αἰτȣ̃σι τὸ θεῖον καὶ ὑπὲρ ὃ αἰτȣ̃νται δίδοται. BV.

ψεύδεται συνήθως Ὅμηρος· οὐ γὰρ ἔδραμεν ὁ Ὀδυσσεύς. A.

χεῖρας: φασὶ τοῖς προτρέχȣσι δίκην πτερῶν εἶναι τὰς χεῖρας. V.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

774. *Αἴας μὲν ἅλισθε: ὑπὸ Ὀδυσσέως συνεχόμενος καὶ ὑπεκβὰς τῆ δέοντος δρόμε πίπτει πρηνής.* AB.

777. *ὄνθε βοέε πλῆτο σόμα: κεχηνὼς γὰρ ἔτρεχε διὰ τὸ εὐκόλως ἀναπνεῖν. ὁ δὲ τὸν πρεσβύτην λαβραγόρην εἰπὼν (474) κατὰ τῆ σόματος κολάζεται.* B.

783. *μήτηρ ὡς: βραχὺ διαλτέον μετὰ τὸ ὡς, πρὸς τὸ μὴ ἀπεμφαίνειν συναπτόμενον.* A.

ὅτι τὴν παρθένον εἴκασε μητρί. ὁ δὲ Ἴστρος ἐκτεθῆναι ὑπὸ Ἀντικλείας Ὀδυσσέα φησὶν ἐν Ἀλαλκομεναῖς τῆς Βοιωτίας, ἣ ἐστιν ἱερὰ Ἀθηνᾶς. V.

διὰ τῆτο ἴσως φησὶ „καὶ ἐχθόμενός περ Ἀθήνῃ" (Od. 4, 502). V.

786. *μειδιόων: προλαμβάνων τὸν κατάγελων καὶ ὑπεκλύων τὸ φιλότιμον τῶν νικησάντων. πάντας δὲ τοὺς διαφέροντας ἔν τινι ἡττωμένες ὁ ποιητὴς ἔδειξε, μὴ μέγα διδάσκων φρονεῖν.* B. *ἢ ὅτι νέων ἐσὶ ποδωκέστατος.* V.

καίτοι ἐπιχειρήσαντα αὐτὸν ἀφελέσθαι τὸν ἆθλον πρώην ἐκ ἐμνησικάκησεν ἀλλ' ἠύξη διὰ τὴν παροιμίαν φησί· παροιμιῶδες γὰρ τὸ ἀθάνατοι τιμῶσιν. ἢ ὅτι ἄριστος ὢν ἥττηται, ὡς Εὔμηλος. V.

789. *Αἴας μέν: καὶ τὰς ἡλικίας τῶν ἡρώων σημαίναι ἠθέλησεν· ἔστι γὰρ Ἀντίλοχος νέος, μείζων Αἴας, εἶτα ὁ βαγάϊος, εἶτα Ὀδυσσεύς, εἶτα Ἰδομενεύς, εἶτα Νέστωρ.* B.

791. *ὠμογέροντα: τὸν μὴ καθηψημένον ὑπὸ τῆ γήρως. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κρεῶν τῶν ἑψηθέντων μέν, ἐ μὴν τελείως. καὶ „ἐν ὠμῷ γήρᾳ θῆκεν" (Od. 15, 356), ὡς καὶ ἐφθὸν τῷ γήρᾳ φησίν. ἡ διπλῆ δέ, ὅτι ἅπαξ ἐνταῦθα ὠμογέροντα εἶπεν.* AB.

ἔτω λέγεσιν ἤτοι τὲς ἔτι συνεζῶτας καὶ μήπω πάνυ γέροντας, ἀλλὰ πλησίον τῆ γήρως, ἢ τὲς πρὸ ὥρας γεγηρακότας. AD.

ἀργαλέον δέ: φησὶν ἓν ὅτι ἐχ ἥσσηθ' Ὀδυσσεῖ ἀλλὰ τῇ Ἀθηνᾷ. V.

792. *ἐριδήσεσθαι: ἀπὸ τῆ ἐριδῶ, ὅθεν τὸ „ἐριδαίνετον ὧδε" (Il. 1, 574). ἐν δέ τισι τῶν ὑπομνημάτων γράφεται ἐριζήσεσθαι.* V.

Ἀχιλλεῖ: Ἀχιλλῆϊ διὰ τῆ η. V.

793. *κύδηνεν: γαῦρον ἐποίησε καὶ ὕψωσε διὰ τῆ ἐπαίνου.* B. *καὶ „ὑψῆ δὲ κάρη ἔχει" (Il. 6, 509).* V.

795. *μέλεος: μάταιος, ἐκ οἰκτρός, ὡς οἱ τραγικοί.* V. *ἡ διπλῆ, ὅτι μάταιος καὶ πρὸς ἐδέν· οἱ δὲ νεώτεροι τὸν ταλαίπωρον μέλεον.* A.

ὅσον ἐπιδέξιος ὁμιλία δύναται, δι' Ἀντιλόχε ἐδήλωσεν. B.

800. *Σαρπήδοντος: ἡ διπλῆ, ὅτι ἀπ' εὐθείας βαρυτόνως ὡς Χαλκώδων.* A.

802 — 806. *συναπτέον πάντα μέχρι τῆ χαλκὸν ἑλόντες, ἐ λείποντος τῆ μάχεσθ ἢ τινος τοιέτε. καὶ γὰρ μόνον αὐτὸ κελεύειν εἴωθε τιθέναι καθ' ἑαυτὸ ὁ ποιητής, ὡς ἐν Ὀδυσσείᾳ (21, 175) „Ἀντίνοος δ' ἐκέλευσε Μελάνθιον αἰπόλον αἰγῶν", καὶ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ (Il. 24, 90) „εἶπε δὲ κεῖνος ἄνωγε μέγας θεός"; καὶ μετ' ὀλίγον ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωσέον ὁππότερός κε φθῆσιν ὀρεξάμενος, καὶ ὑποσικτέον μέλαν αἷμα. εἰ μὲν γὰρ συνάπτοιμεν τὸ ἄνδρε δύω, ὁππότερος' κε φθῆσιν, σολοικισμὸς γίνεθ.* A.

804. *ἀλλήλων — πειρηθῆναι: ἔοικε σκιομαχία τις εἶναι· ἐ γὰρ ἔχει τρώσεις· φησὶ γὰρ „καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομαι" (810). τάχα ἓν ὁ εὐθυνθεὶς εἰς τὸ τρῶσαι τὸν πλησίον εὐκόλως, ἐ τρώσας δὲ διὰ τὸ ὁμογενές, ἐκεῖνος νικᾷ.* B.

805. *ὀρεξάμενος: πατάξας, ἐκ παρεπομένε· συμβαίνει γὰρ τοῖς πατάσσεσθαι ἐκτείνεσθαι. ἢ ἀντὶ τῆ ὀρέξαι.* AB.

806. *ἀθετεῖθ, ὅτι ἐνδίνων θέλει λέγειν τῶν ἐντοσθίων σπλάγχνων· ἕως γὰρ τῆ ἀμύξαι μόνον τὸν χρῶτα μονομαχῆσι. καὶ „διά τ' ἔντεα καὶ μέλαν αἷμα" ἐκ τῆς Δολωνείας (Il. 10, 298) μετάκειται.* A.

ἀθετεῖ τὸν στίχον Ἀρίσαρχος· ἐ γὰρ εἰς τὸ ἄγων. ἐνδίνων δὲ ἀκόλει ἔνδον τῆ χρωτός. τό τε διά τ' ἔντεα καὶ μέλαν αἷμα μετῆκται ἀπὸ τῆς Δολωνίας. οἱ δὲ ἐνδίνων τῶν ἐντὸς ὅπλων. Ἀριστοφάνης δὲ οὕτω γράφει „ὁππότερός κεν πρόσθεν ἐπιγράψας χρόα καλὸν φθήῃ ἐπευξάμενος διά τ' ἔντεα καὶ φόνον ἀνδρῶν." V.

ἐνδίνων ὡς σελίνων. παρῆκται δὲ παρὰ τὸ ἔνδον τὸ ἔνδινον· καὶ γὰρ παρὰ τὸ ἔντοσθεν ἐντοσθίδια λέγεται. ἔτως δὲ ἔχει καὶ τὰ ἔντερα καὶ τὰ ἔγκατα, παρὰ τὴν αὐτὴν ἔννοιαν. A.

τῶν ἔνδον τῆ χρωτός· οἱ δέ, τῶν ἐντὸς ὅπλων, ἀπὸ τῆ ἔνδον. B.

τῶν ἐντὸς τῶν ὅπλων μελῶν, ἀπὸ τοῦ ἐντεῖνεσθαι αὐτὰ τῷ θώρακι. οἱ δὲ ἀποδιδόντες ἐντέρων ἀγνοῆσιν· οὐ γὰρ μέχρι θανάτε μονομαχῆσιν. AD.

810. *ἀθετεῖται, ὅτι ἔδει καὶ πᾶσιν, ἀλλ' ἐχὶ τέτοις μόνον· τί γὰρ τέτοις πέπρακται πλέον;* A.

δεῖ γὰρ ἐπιχυδέστερόν τι ἔχειν τὴν ὁπλομαχίαν. V.

815. *δερκομένω — πάντας Ἀχαιούς: ἐν ἄλλῳ δερκόμενοι — εἰσορόωντας.* A.

ἐν βραχεῖ τὴν διάθεσιν τῶν θεατῶν παρέσησεν. V.

817. *ὠρμήθησαν: ὠρέχθησαν, ἀντὶ τῆ ἐπάταξαν.* V.

818. *Αἴας μέν: ἔτος ἁπλοϊκώτερον ποιεῖ καὶ γενναιότερον. ὁ δὲ Διομήδης κακοτέχνως καὶ φθονερῶς τὸν ἀντίχενα τηρεῖ.* B. *τινὲς δὲ τὴν ὁπλομαχίαν Διομήδην εὑρεῖν φασί.* V.

821. *αἰὲν ἐπ' αὐχένι κῦρε: ἀεὶ ἐπὶ τῷ αὐχένι ἐτύγχανε· διὸ καὶ δεδίασιν. ἐνταῦθα δὲ ὁ ποιητὴς τοὺς ἀριστεῖς ἥσσᾳ τοῖς ἐλάττοσιν, Εὔμηλον Διομήδει καὶ Αἴαντι Ὀδυσσεῖ καὶ Ἀντίλοχον.* B.

κύρσε: κύρσων ἐτύγχανε. διὸ δὴ καὶ περιδείσαντες Ἀχαιοὶ ἐκέλευσαν. ἢ ὅτι οἱ κρείττες ἡττῶνται. ἢ ἐπεὶ κέκμηκε τῇ ἐπὶ νησὶ μάχῃ, Διομήδης δὲ ἀναπέπαυται. V.

ἱσόρηται ὅτι κατ' ἐκεῖνο καιροῦ ἔτυχεν Ἡρακλῆς, τὴν νῆσῳ Σαλαμῖνι κατά τινα χρείαν προσπλεύσας, Τελαμῶνα δὲ ἄρτι γενέσθ τὸν παῖδα Αἴαντα. ἐπισὰς οὖν Ἡρακλῆς καὶ ἀναλαβὼν τὸν παῖδα περιέβαλε τῇ λεοντῇ, ἐφ' ᾧ ἠύξατο αὐτὸν γενέσθ ἄτρωτον. ὁ δὲ ηὐξήθη, καὶ τὸ πᾶν τοῦ σώ-

ἄτος ἐγένετο ἄτρωτος πλὴν τῆ αὐχένος· τῆτο γ᾽ ἐδόκει τότε κατὰ τύχην τὸ μέρος μὴ περιβεβλῆσθ τῇ λεοντῇ. ABD.

822. *Αἴαντι περιδδείσαντες*: ἡ διπλῆ, ὅτι ἐκ τούτων καὶ τῶν τοιούτων φαίνεται καθ᾽ Ὅμηρον μὴ ὢν ἄτρωτος ὁ Αἴας. A.

823. *παυσαμένους ἐκέλευσαν*: τῶν γ᾽ ἀγαθῶν ἐν πολέμῳ ἀνδρῶν ἐπιμελόμενοι, τὴν οἰκείαν ἡδονὴν τῆς ἐκείνων ἐς προκίνδυσι σωτηρίας. B.

824. 825. *ἠθέτηνται*· συλλύσεως γ᾽ γεγενημένης ἔδει κοινῇ διελέσθ τὰ ἔπαθλα· καὶ γ᾽ προείρηται „ἀέθλια ἰσ᾽ ἀνελέσθ.“ προηθετῆντο δὲ παρὰ Ἀριστοφάνει. A.

ἀθετεῖ Ἀρίσαρχος, ἄτοπόν τέ φησιν ἰώμενον τὴν ἔχθραν Διομήδης ἑτέραν αἴρειν πρὸς Αἴαντα σάσιν. ἄλλως τε εἶπεν „ὁππότερός κεν φθῆσιν·“ ὁ δ᾽ ἐκ ἔτρωσεν. οἱ δέ, ὅτι διαλυομένων αὐτῶν ἰδίᾳ Ἀχιλλέως γενέσθ τὰ ὅπλα, ὥσπερ ἐπὶ τῆς πάλης. ἐπειδὴ ἓν ἐκεῖσε (736) ἐδωρήσατο Αἴαντι, νῦν Διομήδει. V.

διὰ τί προκρίνει τὸν Αἴαντα; διὰ τὴν σάσιν· θρασὺς γ᾽ ὢν ἐκ ἂν ἠνέχετο, ἢ κ᾽ ἔτι πολεμῆσαι ἠθέλησεν. B.

825. *ἐϋτμήτῳ*: εὐκατασκευάσῳ. ἐκ ἦσαν δὲ παρὰ τοῖς παλαιοῖς δερμάτινοι. B.

826. *σόλον*: ὥσπερ τοῖς μονομαχῆσιν ὅπλα, ἕτω καὶ τοῖς δισκεύσι τὸν δίσκον τίθησι. διὰ τί δὲ μὴ ποιεῖ καὶ δευτερεῖα; ὅτι μὴ μέγα ἦν τὸ κατόρθωμα, ἀλλὰ κ᾽ μεμπτὸς ὁ ἀπολειπόμενος· ὁ δὲ νικήσας εἶχε τὸν σόλον. σόλος δὲ παρὰ τὸ ὅλος εἶναι, ὃ ἐξ περιφερής, καὶ αὐτοχόωνος ὁ καθ᾽ ἑαυτὸν κεχωνευμένος καὶ μηδὲν ἔχων ἐπείσακτον. ὁ δὲ Ἀρίσαρχός φησιν ὅτι χαλκῆς ἦν· ὁ γ᾽ σίδηρος ἐ χωνεύεται. ὅταν δὲ εἴπῃ „ἀτεμβόμενος σιδήρε ποιμήν,“ σημαίνει ὡς ἀλλάξει τῆ χαλκῆ τὸν σίδηρον. εἰ δὲ μὴ καταδεχόμεθα τὸν σόλον χαλκῆν εἶναι ἀλλὰ σιδηρῆν, ἔσαι τὸ αὐτοχόωνον καταχρησικῶς τὸν εἰκῇ γεγονότα. ὁ δὲ δίσκος λίθος ἦν κυκλοτερής, μέσην ἔχον ὀπὴν ἐξ ἧς ἐχάλων καλώδιον πρὸς τὸ μετεωρίζοντας βάλλειν. κ᾽ ἐν Ὀδυσσείᾳ (8, 190) „βόμβησε δὲ λίθος.“ AV.

σημειῶνταί τινες ὅτι σόλον τὸν δίσκον εἶπεν. διαφέρει σόλος κ᾽ δίσκος, ὅτι ὁ μὲν δίσκος πλατύς ἐσι κ᾽ κυκλοτερής, ὁ δὲ σόλος σρογγύλος κ᾽ σφαιροειδής. AD.

αὐτοχόωνον: ἐκ χεομένης ὕλης εἰκῇ κεχωνευμένον, αὐτοχώνευτον, οἷον μὴ ἔχοντα κατασκευὴν τερπνὴν ἤγουν τεχνικήν, ἀλλ᾽ ἐκ μόνης χωνείας ἀναληφθέντα. D.

829. *ἄγετ᾽ ἐν νήεσσι*: τὰ ἐπὶ νεὼς φερόμενα ἄγεσθαί φησι. φιλόκαλος δὲ Ἠετίων οἷ ζῆλον τῶν κτημάτων ἔβαλλεν Ἀχιλλέα. V.

833. *ἔξει μιν*: ὁ σαθμῷ τὸ βάρος ἐνέφηνεν, ἀλλὰ χρήσει πολυχρονίῳ. B.

835. *ποιμήν*: δεῖται γ᾽ σιδήρε ὁ ποιμὴν πρὸς τὸ χειμῶνος κόπτειν θαλλὸς κ᾽ ἀκάνθας εἰς φραγμὸς καὶ ξύλα πρὸς κλισιῶν κατασκευήν. B.

838. *ἂν δ᾽ Αἴας*: ἰάσασθ θέλων τὰ φθάσαντα καὶ δεῖξαι ὡς πάντα ἤσκηται, τῦτῳ ἐπιχειρεῖ. ὁ τυγχάνει δὲ τὸ τέλειον τῷ ἤδη προκεκμηκέναι. B. δῆλον ἓν ὡς ἐπ᾽ ἴσης τοῖς ἄλλοις διελύθη ὁ Αἴας. V.

840. *γέλασαν δ᾽ ἐπί*: βέλ᾽ εἰπεῖν ὅτι καταγέλαςος ἐγένετο ἐπ᾽ ὀλίγον βαλών· ἢ ὅτι εὐχερῶς ἦκεν αὐτὸν καὶ χαίροντες γελῶσιν. B. ὅτι καταγελάσως ἐρρίψεν ἐπ᾽ ὀλίγον βαλών, ἢ εὐχερῶς τὴν χεῖρα σχηματίσας, ἢ μὴ διασήσας τὼ πόδε. V.

843. *ἀθετεῖται*, ὅτι δυεῖν προδεδισκευκότων ἔδει εἰπεῖν ἀμφοτέρων. μετενήνεκται δὲ ἐκ τῆς Ὀδυσσείας (8, 192)· κ᾽ ἐκεῖ εὐλόγως ἔχιν „ὑπέρβαλε σήματα πάντων·“ πλείονες γ᾽ δισκεύσιν. A.

γελοῖον γ᾽ τὸ πάντων ἐπὶ δύο. ἀλλὰ φέρσι τὸ „εἰσέλθετε μηδ᾽ ἅμα πάντες“ (Od. 21, 230). ἀλλὰ καὶ ἑαυτὸν Ὀδυσσεὺς καταριθμεῖ· „πρῶτος ἐγώ, μετὰ δ᾽ ὔμμες.“ V.

844. 845. 846. *ὑποσκιτέον Πολυποίτης, ἀνήρ, ἀγελαίας*· τῇ γ᾽ προτέρᾳ ἀνταποδόσει ἑτέρα μετενήνεκθ. A.

845. *καλαύροπα*: τὴν βακολικὴν ῥάβδον. ἔσι δὲ ξύλον κατὰ τὸ ἕτερον μέρος ῥοπὴν ἔχον. D. ῥάβδον καλὴν ῥοπὴν ἔχσαν. βάλλσι δὲ αὐτὴν ὅτε συνενωθείσας βέλονθ διακρῖναι τὰς βᾶς. ἔχει δὲ ἐν τῷ κάτω μέρει δεσμόν, εἰς ὃν εἵρσι τὴν χεῖρα. παρὰ τὸ ῥέπω δὲ γίνεται ῥέψω ῥέψ ῥόψ καλαῦροψ. κ᾽ Ἀντίμαχος „πάντες δ᾽ ἐν χείρεσσι καλαύροπας ἐατοέσσας ἕλον.“ τῶν ἁπαξ δὲ εἰρημένων ἐσὶν ἡ λέξις. B.

ἡ διπλῆ, ὅτι ἅπαξ καλαύροπα. σημαίνει δὲ τὸ ῥόπαλον, ἀπὸ τῆ καλῆ κ᾽ τῆ ῥέπειν. A.

846. *διὰ βᾶς*: διὰ βοῶν, ὡς τὸ „διά τ᾽ ἔντεα“ (806). A.

850. *ἰόεντα*: ἡ διπλῆ, ὅτι τινὲς ἰόεντα τὸν μέλανα, ὡς „ἰοειδέα πόντον“ (Od. 11, 107). βέλτιον δὲ τὸν εἰς ἰὸς εὐθετῆντα· οἰκεῖον γ᾽ τὸ ἔπαθλον τοξόταις. A. ὡς τοῖς δισκεύσι τὸν σόλον. V.

μέλανα, ὡς τὸ ἰοειδέα πόντον. οἱ δὲ εἰς βελῶν ἐργασίαν ἐπιτήδειον, ἐξ ἧ τὸν καθαρόν· ἡ γ᾽ εἰς λεπτὰ κατασκευὴ καθαρᾶ δεῖται σιδήρε. B.

851. *πελέκεας ἀξίνας δισόμες*. ἔσι δὲ σαθμὸς σιδήρε, ἔχων μνᾶς δέκα. τὸ δὲ ἡμιπέλεκκον τὸ ἥμισυ τῆ πελέκεως, τὸ ἐκ τῆ ἑνὸς μόνε μέρες ἔχον ἀκμήν, ὃ κ᾽ δισράλιον καλῆσιν· ἔσινας ἐφεξῆς ἑσάντες ἐπί τινων βαθμῶν (βωμῶν A) ἐγυμνάζοντο οἱ τοξόται, πέμποντες διὰ τῶν τρητῶν αὐτῶν τὸ βέλος, δι᾽ ἃ ἐμβάλλεθ αὐτοῖς ἡ σειλειός (σηλία A). AD.

ἡ διπλῆ, ὅτι καὶ ἐν Ὀδυσσείᾳ (19, 572. 21, 120) ὁ αὐτὸς τρόπος· πελέκεις γ᾽ τίθησι, δι᾽ ὧν παρακελεύει τοξεύειν τὲς μνησῆρας· κ᾽ νῦν τὸ αὐτὸ τῆτο ἔπαθλον γίνεθ. A.

δισόμες πελέκεις, δίχα τῶν σελεῶν· οἱ δὲ ὄνομα σαθμῷ ἐξαμνῆν παρὰ τοῖς Βοιωτοῖς ἕτω λεγόμενον. οἱ δὲ κατά τινας τάλαντον σιδήρε, κατὰ δὲ ἐνίας ἑκατὸν μνᾶς. οἱ δὲ ἃ τιθέντες δι᾽ αὐτῶν ἐτόξευον. κ᾽ ἔσι χαρίεν· ὡς γ᾽ τοῖς μονομάχοις ἆθλον τέθεικε πανοπλίαν κ᾽ τοῖς δισκεύουσιν αὐτὸν τὸν δίσκον, ἕτω τοῖς τυξεύσι πελέκεας, οἷς εἰώθασι χρῆσθ. δύο δὲ τίθησι διὰ τὸ μὴ εἶναι πολλὲς ἁρίσες τοξότας τοῖς Ἀχαιοῖς. ἡμιπέλεκκα δὲ τὲς μονοσόμες πελέκεις. B.

854. *μηρίνθῳ*: τῇ σπάρτῳ, παρὰ τὸ μὴ ῥύεσθαι. V.

ἧς ἄρ': ἐν ἄλλῳ ἧς γάρ. γράφεϑ ϰ̀ ὡς γάρ. κατ' ἔνια δὲ δῆσεν πόδα. A.

855. ἡ διπλῆ, ὅτι ἀπὸ τȣ̃ διηγηματικȣ̃ ἐπὶ τὸ μιμητικὸν μετῆλθεν οὕτως· ὁ γ̀ Ἀχιλλεὺς τοῦτο λέγει, ὃς μέν κε βάλῃ. A.

λείπει τὸ τάδε λέγων. εἴωθε δὲ μεταβαίνειν ἀπὸ τοῦ διηγηματικȣ̃ ἐπὶ τὸ μιμητικόν. ἔςι δὲ δυχερέςερον τὸ τῆς περιςερᾶς· τȣ̃ ἑνὸς γ̀ δέδεϑ ποδός, ϰ̀ πτερυσσομένη δυχερής ἐςι πρὸς τὴν βολήν. B.

856. οἰκόνδε: ἐν ἄλλῳ κλισίηνδε. A.

857. ὃς δέ κε μηρίνθοιο: ϰ̀ μὴν τοῦτο ἐμπειρότερον. ἀλλὰ πρȣ̃κειτο ἡ τȣ̃ ζῴȣ τύχη· τύχης δὲ προσεδεῖτο, πτοȣμένης τῆς ὄρνιθος ϰ̀ ȣ̀κ ἐν ταὐτῷ μενȣ́σης. AD.

ἡ διπλῆ, ὅτι βέλτιον ἦν τȣ̃το μὴ προλέγεσϑ ὑπὸ Ἀχιλλέως ὥσπερ προγινώσκοντος τὸ ἀπὸ τύχης συμβησόμενον. A.

858. ἥσσων γὰρ δὴ κεῖνος: τȣ̃το διὰ μέσȣ κείμενον ἦθος ἔχει. V.

δύο μέρη ἐςὶ λόγȣ, ὁ ϰ̀ δέ· διὸ βαρυτονητέον· οὐ γ̀ δείκνυσιν ἤδη τὸν οἴσοντα τὰ ἡμιπέλεκκα, ἀλλὰ κατὰ ἀναφορὰν ἀποφαίνεται. A.

859. ὦρτο δ' ἔπειτα βίη Τεύκροιο: ϰ̀ πῶς φησὶν Ὀδυσσεὺς „οἷος δή με Φιλοκτήτης ἀπεκαίνυτο τόξῳ" (Od. 8, 219). πρὸς τȣ̀ς ἀγνωρίςους καυχᾶται, ὡς καὶ τὸ „δȣρὶ δ' ἀκοντίζω ὅσον ȣ̀κ ἄλλος τις ὀϊςῷ" (ib. 229). B.

861. κλήρους δ': ἴσως γ̀ ὁ πρῶτος φθάσας βαλεῖ τὴν ὄρνιν ϰ̀ νικήσει. BV.

862. πρῶτος: ἔδει πρότερος. V.

863. ἐπικρατέως: ἰσχυρῶς ϰ̀ δυνάμει πολλῇ, πρὸς τὸ ἐπιτυχεῖν. B.

ἡ διπλῆ, ὅτι νῦν ἠπείλησεν ἀντὶ τȣ̃ ηὔξατο. A.

865. μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων: ἐπὶ εὐσέβειαν τȣ̃το προτρέπει. B.

866. τῇ δέδετ' ὄρνις: ἑκατέρωσε δύνανται προσδίδοσθαι. A.

868. ἡ μὲν: ἄνωθεν καὶ κάτωθεν ἐκίνησε τὴν ἐνέργειαν. V.

870. σπερχόμενος: ἐπειγόμενος ἀπέσπασε τῆς χειρὸς τȣ̃ Τεύκρȣ τὸ τόξον· ἑνὶ γ̀ ἠγωνίζοντο τόξῳ ὡς ἑνὶ δίσκῳ. B.

ἄλλως. ἑνὶ τόξῳ ἐχρῶντο οἱ τοξόται· διὸ ταχέως ἀφαιρεῖται ὁ Μηριόνης τȣ̃ Τεύκρȣ τὸ τόξον. B.

871. ὀϊςὸν γ̀ ἐξ ὅτȣ ἐκεῖνος ἐτόξευε ϰ̀ ἐπὶ τὸν σκοπὸν ἴθυνεν, ȣ̃τος ἀναλαβὼν κατεῖχεν. B.

870. 871. ἐν τῇ Μασσαλιωτικῇ „σπερχόμενος δ' ἄρα Μηριόνης ἐπεθήκατ' ὀϊςὸν τόξῳ· ἐν γ̀ πᾶσιν ἔχε (γὰρ χείρεσσιν ἔχεν V) πάλαι, ὡς ἴθυνεν." ἐν δὲ τῇ κατὰ Ἀντίμαχον ȣ̃τως· „σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείλετο τόξον χερσίν" (ἐξείρυσε Τεύκρȣ τόξον· χερσὶ δ' ὀϊςὸν ἔχεν πάλαι ὡς ἴθυνεν V). ὁ μέντοι Ἀρίςαρχος διὰ τῶν ὑπομνημάτων ἐπειγόμενον βȣ́λεϑ τὸν Μηριόνην ἐκσπάσαι τῆς τȣ̃ Τεύκρȣ χειρὸς τὸ τόξον· ϰ̀ γ̀ κοινὸν τῶν ἀγωνιζομένων αὐτὸ εἶναι ὥσπερ τὸν δίσκον. τὸ δὲ „ἀτὰρ ὀϊςὸν ἔχεν πάλαι" ἐπὶ τȣ̃ Τεύκρȣ ἀκȣςέον. A.

τί λέγει ἐν τȣ́τοις τοῖς ἔπεσι, ζητήσειεν ἄν τις· „Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν, αὐτίκα δ' ἰὸν ἧκεν ἐπικρατέως" ϰ̀ τὰ ἑξῆς μέχρι τȣ̃ „ἀτὰρ δὴ ὀϊςὸν ἔχεν πάλαι ὡς ἴθυνεν." οἱ μέν φασι σπεύδοντα τὸν Μηριόνην ἑλκύσαι τὸ τόξον, τὸν ὀϊςὸν ἔχοντα πάλαι ἐγκείμενον, δηλονότι ἐνηρμοσμένον τῇ νευρᾷ· σημαίνει γ̀ διὰ τȣ́των ὅτι τοξεύοντος τȣ̃ Τεύκρȣ εἱςήκει ὁ Μηριόνης κρατῶν τὸ τόξον ἐντεταμένον, ἡρμοσμένον ἔχων τὸν ὀϊςὸν πάλαι ἐν τῇ νευρᾷ· τότε δ' εἵλκυσε τὴν νευράν, ὡς ἴθυνε βέλος. ἢ ȣ̀ν τοῦτο λέγει, ἢ ὅτι τὸ τόξον μὲν ἦν ἕν, ᾧ ἔμελλε τοξεύειν, βέλη δὲ δύο, ἑκατέρῳ ἑνὸς δοθέντος. τὸν μὲν ȣ̀ν ὀϊςὸν κατεῖχε πάλαι ὁ Μηριόνης ἕως ἴθυνεν ὁ Τεῦκρος ϰ̀ ἐτόξευε λαχὼν πρῶτος· ἐπεὶ δ' ἀπετόξευσε ϰ̀ ἀπέτυχε, σπερχόμενος ὁ Μηριόνης ἐξείλετο τὸ τόξον ἐκ τῆς χειρὸς τȣ̃ Τεύκρου· τȣ̃το γ̀ παρίςησι τὸ „σπερχόμενος — ἴθυνεν." ἐνηρμοσμένον τῇ νευρᾷ ἐξείρυσε τόξον ὡς ἴθυνε τὸν ὀϊςόν· εἶχε πάλαι δηλονότι ἐνηρμοσμένον τῇ νευρᾷ. ἀντιδιαιρεῖ γὰρ τι μὲν κατεῖχε πάλαι ὁ Μηριόνης ϰ̀ τί ὕςερον ἔλαβε· τὸν μὲν γ̀ ὀϊςὸν εἶχε πάλαι ὡς ἴθυνε. πῶς ȣ̀ν πάλαι; τοσȣ̃τόν φησι χρόνον ὡς ἴθυνεν ὁ Τεῦκρος πρῶτος τοξεύων. τὸ δὲ τόξον ἐξείρυσε χειρός, ὃ ȣ̀ κατέχεν αὐτός, τῆς τȣ̃ Τεύκρȣ. σπερχόμενος δὲ διὰ τὸ ἁρπάζοντι ἐοικέναι, διὰ τὸ τάχος τῆς πετομένης περιςερᾶς. B.

876. ἀντικρὺ δὲ διῆλθε: τὰ πάντα θεματικῶς εἶπε. V.

877. πρόσθεν Μηριόναο: τὸ εὔςοχον ἐδήλωσε τῆς βολῆς διὰ τȣ̃ πρὸ τῶν ποδῶν τȣ̃ βαλόντος παγῆναι τὸ βέλος. B.

879. λίασθεν: ἀπεκλίθησαν, τὴν ἰδίαν ἁρμονίαν ἀφέντα. B.

ȣ̃τως Ἀρίςαρχος διὰ τῶν δύο σ̄· ἡ δὲ Μασσαλιωτικὴ λιάσθη. A. ὡς „ὁ δὲ νόσφι λιασθείς" (Il. 11, 80). V.

880. ἡ διπλῆ, ὅτι ὠκύς ἀντὶ τȣ̃ ὠκέως, ὅ ἐςιν ἐνθέως. A.

ἀντὶ τȣ̃ ταχέως· ἢ ἐπειδὴ πνεῦμά ἐςι. πολλὰ δὲ ἐν τῇ ποιήσει κατορθώματα Τεύκρῳ περιάψας, νῦν τȣ̃το Μηριόνης διὰ τὸ πιθανὸν πορίζεται. B.

882. ἡ διπλῆ, ὅτι παρέλκει τὸ πάντας. A.

885. ἀνθεμόεντα: ἀναθεματιαῖον. ἢ ποικίλον. ἢ τετορευμένον. A.

ἀνθεματιαῖον ἤτοι ποικίλον, ἀπὸ τῶν ἐντετορευμένων ἀνθῶν, ἃ ϰ̀ ἄνθεμα καλȣ̃σιν. B. καὶ Πίνδαρος (Ol. 2, 171) „ἄνθεμα δὲ χρυσȣ̃." V.

886. ἡ διπλῆ, ὅτι ἥμονες οἱ ἀκοντιςαί, ἀπὸ τȣ̃ ἱέναι τινὲς δὲ ἀνέγνωσαν ῥήμονες, οἰόμενοι τȣ̀ς ῥήτορας· ȣ̀ ἔςι δὲ λογιςικὸς ὁ ἀγών. τὸ δὲ ἥμονες δασυντέον· παρὰ γ̀ τὸν ἥσω μέλλοντα ἐχημάτιςαι ἡ λέξις· „ἥσω γ̀ ϰ̀ ἐγώ" (Il. 17, 515). παρὰ δὲ τȣ̃το ϰ̀ τὸ ἧμα ἐγεγόνει πάλιν δασυνόμενον· „καὶ ἥμασιν ἔπλευ ἄριςος" (891). A.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τινὲς ῥήμονες· ἀλλ' εἶπεν „ἥμασιν ἔπλευ ἄριστος." ἀπὸ τῆ ἥσω ἓν ἐστί· διὸ καὶ δασύνεται. καλῶς δὲ Ἀγαμέμνων ἀγωνίζεται, ὡς καὶ αὐτὸς χρεωστῶν τῷ θανόντι· δι' αὐτὸν γὰρ ἀναιρεῖται· καὶ ἵνα ἀνακτήσηται Ἀχιλλέα. πανταχῆ δὲ εὔσοχός ἐστιν ἀκοντιστής. B.

ἀγωνίζεται, ἔνθα μὴ ἤμελλε γυμνωθῆναι τῆς βασιλικῆς στολῆς. V.

891. ἡ διπλῆ, ὅτι ἥμασιν ὁμοίως ἀκοντίσασι· καὶ δασυντέον πάλιν. A.

892. ἀλλὰ σὺ μέν: ὡς βασιλέα ἀκοντὶ σεφανοῖ, καὶ ἃ πρότερον, εἰ μὴ αὐτὸς ἐκέλευσεν. B.

897. κήρυκι δίδου περικαλλὲς ἄεθλον: δηλονότι ἐπὶ (δῶρον δηλονότι· ἃ γὰρ ἐπὶ V) τῷ ἀπαγαγεῖν εἰς τὴν βασιλικὴν σκηνήν. B.

Παράκειται τὰ Ἀριστονίκε σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχειου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. A.

ΕΙΣ ΤΗΝ Ω.

1. λύτο: εἰ μέν ἐστι μέσος δεύτερος ἀόριστος, ἀπὸ τῶν εἰς μι γίνεται, ὁμοίως τῷ „λύτο γένατα" (Il. 21, 114), ὃ καὶ ἄμεινον· εἰ δὲ παρατατικός, ἀπὸ τῆ ἐλύετο κατὰ κρᾶσιν ὁμοίως τῷ „ῥῦσθ' γενεήν τε τόκον τε" (Il. 15, 141). ἢ ἀπὸ τῆ λέλυτο λύτο, ὡς βέβλητο βλῆτο. B et Mosq.

εἰ μὲν μέσος δεύτερος ἀόριστός ἐστιν ἀπὸ τῶν εἰς μι, ὥσπερ ἤδη ἐπίσταται λέγων „νῦν δὲ λύμην τρὶς τόσσα πορών" (Il. 21, 80) καὶ „τῆς δ' ἄρα κλαιέσης λύτο γένατα," ἔκτασις ἐγένετο διὰ τὸ μέτρον· εἰ δὲ παρατατικόν τινες ἀκδέχονται, δύναται κρᾶσις τοῦ ἐλύετο γεγενῆσθ, ὥσπερ ἐπὶ τῶ ἰχθύες ἰχθῦς, μύες μῦς, ῥύεσθ ῥῦσθ· „πάντων ἀνθρώπων ῥῦσθ γενεήν τε τόκον τε." ἢ ἀπὸ τῆ λέλυτο λύτο ὡς βέβλητο βλῆτο. A.

ἀγών: ἢ τὸ πλῆθος, ὡς τὸ „ἂν' ἀγῶνα νεῶν" (Il. 20, 30?)· ἢ αὐταὶ αἱ διαγωνίσεις. παρὰ δὲ Βοιωτοῖς ἀγὼν ἡ ἀγορά, καὶ τὸν ἀγορανόμον ἀγώναρχον καλοῦσιν· ὅθεν καὶ ἀγωνίας θεὸς Αἰσχύλος τὸν ἀγοραῖον καὶ Ἡσίοδος „ἐρχόμενος δ' ἂν' ἀγῶνα" (Th. 91). ἔστι δὲ καὶ ἀγὼν ὁ κυκλοτερὴς τόπος καὶ μὴ ἔχων γωνίαν. οἱ δὲ ἀπὸ τῆ Πέλοπος ἡνίοχε Ἀγῶνος. οἱ δὲ ἀπὸ τῆ συνάγεσθ. οἱ δέ, ἀπὸ ῥήματος τῆ ἄγω ἀγών ὡς ἀείδω ἀηδών. BM.

λαοὶ δέ: τὸ ἑξῆς, ἔκαζον δὲ τῶν λαῶν ἐσκίδναντο ἐπὶ τὰς νέας ἰέναι. V.

2. δόρποιο: δόρπος ἡ πρὸς ἑσπέραν τροφή, μεθ' ἣν ἐπὶ τὸ ἰαύειν ἔρπομεν, ὅ ἐστι κοιμᾶσθ· ἢ ἀπὸ τῆ δρέπεσθ ὡς πόνος· ἢ δόροπόν τι ὖν, τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων. AM. μέδοντο δὲ προενοοῦντο, ἢ ἐφρόντιζον. A.

3. ταρπήμεναι: τέρψιν λαβεῖν. ἀπὸ κοινῆ δὲ τὸ μέλλοντο. λελῃθότως δεδήλωκεν ὅτι μέχρις ἑσπέρας παρετάθη ἡ ἀγών. AM.

4. κλαῖε: ἐπειδὴ ἀπὸ τῆς ἀνέσεως τῆ ἀγῶνος ἐν ἄλλῃ καταστάσει πεποίηκε τὸν ἀκροατήν, ὥστε ὑπονοεῖν μὴ καὶ ἐφῆκεν ἐκ τῆς ψυχῆς τὴν ἀνίαν ὁ Ἀχιλλεύς, πάλιν ἐπὶ τὸ συνεκτικὸν μεταβαίνει πρόσωπον· μονωθεὶς γὰρ ὁ Ἀχιλλεὺς ἔστι τῇ λύπῃ κρατεῖται. AM.

5. ἧρει: ἧρει μέν, οὐκ ὁλοτελῶς δὲ διὰ τὸ πένθος. ἢ πάντας δαμάζων αὐτὸν οὐκ ἧρει, ὥστε ἀνωτέρω τὸ αἴτιον οὗ ὕπνου ὁ κόπος ἦν. παυδαμάτωρ δὲ ὁ μηδένα ἐῶν ἀδάμαστον. Σιμωνίδης δὲ δαμασίφωτα τὸν ὕπνον εἶπεν. BMV.

6. ἕως τῆ „τῶν μιμνησκόμενος" (9) ἀθετοῦνται στίχοι δ', ὅτι εὐτελεῖς εἰσίν, ἀρθέντων δὲ αὐτῶν καὶ ἐμφαντικώτερον δηλοῦται ἡ τῆ Ἀχιλλέως λύπη· „ἀλλ' ἐσρέφετ' ἔνθα καὶ ἔνθα, ἄλλοτ' ἐπὶ πλευράς." καὶ τοῖς αὐτοῖς καταγίνεται ἀνδρότητα, μένος· ἐδὲν γὰρ διαφέρει· καὶ ἐδέποτε ἀνδρότητα εἴρηκε τὴν ἀνδρείαν, ἀλλ' ἠνορέαν. ἔχει δὲ καὶ τὸ δυσεξέλεγκτον, τῶν μιμνησκόμενος· καὶ γὰρ ἄνω εἴρηκεν „ἑτάρῳ μεμνημένος." προηθετοῦντο δὲ καὶ παρὰ Ἀριστοφάνει. ταῦτα δὲ ἤτοι συναπτέον τοῖς ἄνω, ἵν' ᾖ κοινὸν τὸ ποθέων, ἢ ἀφ' ἑτέρας ἀρχῆς ἀναγνωσέον, ἵνα ὑποζίζωμεν ἐπὶ τὸ κύματα πείρων. ὁ δὲ λόγος· καὶ ὅσα σὺν αὐτῷ κατειργάσατο ἔργα πολεμῶν τε καὶ πλέων, τούτων μιμνησκόμενος ἐδάκρυεν. A.

δεξιῶς ὑπόκειταί τινα ἦν τὰ ἀναμιμνήσκοντα αὐτὸν πένθος· ἃ γὰρ ὅτι συνέπαιζεν, ἀλλ' ὅτι αὐτὸν ἐκολάκευεν, ἀλλ' ὅτι ἡδὺς συμπότης ἦν, ὡς ὁ τῆ Ἕκτορος „ἐπεὶ οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής" (Il. 17, 577), ἀλλ' ὅτι κοινωνὸς ἀρετῆς καὶ γενναίων ἔργων. οἱ δὲ ἀθετοῦντες τὰς στίχας πῶς ἐκ ἐμβρόντητοι, ῥηματίων κακοχόλως ἐχόμενοι καὶ τοιούτων ἐπῶν κατηγοροῦντες; (ὅτι ὡς σύγκοιτον ποθεῖ, ἐκ οἷον ἡμίθεον. ἀλλ' ἐδὲ ἡμιγυναικῶν ἄξιον. εἰ γὰρ ὅλως τοῦτο ὑπονοεῖν δεῖ, ἐρασὴς ἂν εἴη Πάτροκλος ὡς νεωτέρᾳ καὶ περισαλλεστέρᾳ V). ἀθετοῦνται δέ, ὅτι ἀνδροτής ἐστιν ἡ τῆ ἀνδρὸς φύσις. ἀλλ' εἶπε καὶ μένος ἠΰ. καὶ ὅτι ἐδαμῶς συνετολύπευσέ τι αὐτῷ. ἀλλ' ἐν πᾶσιν αὐτῆ τοῖς ἔργοις εὑρίσκομεν ὅτι συνήργει· συνέκδημος γὰρ αὐτῷ ἐξ αὐτῆς τῆς Φθίας ἦν. BM. αὐτός τε ἐπὶ κεφοτέροις αὐτοῦ μέμνηται· „ἦ ῥά νύ μοί ποτε καὶ σὺ δυσάμορε." V.

μένος ἠΰ: προθυμίαν, ὁμόνοιαν. ποθεῖ ἐν αὐτῆ ἀρετὴν καὶ ὁμόνοιαν. V.

7. τολύπευσε: εἰς τέλος ἤγαγεν, ἀπὸ τῶν ἐρίων· τολύπη γὰρ ἡ σφαῖρα τῶν ἐρίων, ὅθεν τὸ ἐκ πολλῶν πραγμάτων εἰς ἕν τι κεφαλαιῶν τολυπεύειν λέγεται. καλῶς δὲ καὶ τὸ πάθεν, ἐπεὶ ῥέξαντά τι καὶ παθεῖν ἔοικεν. BM.

αἱ δημῶδεις καὶ πάθεν ἔργα. V.

8. πείρων: Πάμφιλος περισπᾷ, λέγων τὴν πρόσθεσιν τῆ ῑ μὴ ἐξαλλάσσειν τὸν τόνον· εἰ δὲ περῶ οἶδεν ὁ ποιη-

τὴς τὸ ῥῆμα καὶ περόωσι (Od. 6, 272) καὶ „περάᾳ μέγα λαῖτμα" (Od. 5, 174), δῆλον ὅτι ϗ πειρῶν. ὁ μέντοι Ἀρίσαρχος βαρύνων ἀναγινώσκει, ὡς κείρων. φησὶ γῶν οὕτω γενόμενος ἐπὶ τῶ „παννυχίη μὴν ῥ' ἦ γε καὶ ἠῶ πεῖρε κέλευθον" (Od. 2, 434)· τὸ πεῖρε διδάσκει ἡμᾶς ϗ τὴν πείρων μετοχὴν βαρύνειν· ὡς γ' ἔκειρε κείρων, οὕτως ἔπειρε πείρων· εἰ γ' περιεσπᾶτο, ἦν ἂν ὁ παρατατικὸς ἐπείρα. ἔξιν δὲ διττὸν τὸ ῥῆμα, ϗ τὸ μὲν σὺν τῷ ῑ περισπασθήσεσθ. A.

βαρυτόνως· φησὶ γῶν „νύκτας τε ϗ ἠῶ πεῖρε κέλευθον" (Od. 2, 434), εἰ δὲ καὶ ἕτος ἀθετεῖται, ἄλλο φησίν „ἄλλα τ' ἔπειρον" (Od. 3, 33) ϗ „περὶ δερὶ πεπαρμένος" (Il. 21, 577). ϗ ὡς σπείρω σπόρος, φθείρω φθόρος, ἕτως πείρω πόρος· „πόρες ἀλὸς ἐξερεείνων" (Od. 12, 259). ϗ „ἀκροπόρες" (Od. 3, 463) τὲς πείροντας τὰ κρέα τοῖς ἄκροις. BMV. ϗ „ὠκύπορος ἠώς." καὶ ὡς περωμένη ποντοπείρος δὲ ἡ περῶσα. ϗ ὡς κείρω κορμός, πείρω πορμός ϗ πορθμός. V.

11. πρήνης: ὐκ ἔχει πρόθεσιν ἡ λέξις· τὸ γ' „προπρηνέα τύψῃ" (Od. 22, 98) πλειονός ἐσιν ἐμφάσεως. τὸ δὲ τότε ἀντὶ τῦ ἄλλοτε. BM.

12. δινεύεσκ': περιήρχετο. ἀλύων δὲ ἀλώμενος τὴν ψυχήν, λυπέμενος, ἀσατῶν, ἀδημονῶν. B. λύσιν μὴ εὑρίσκων τῶν κακῶν. D.

ψιλῶς τὸ ἀλύων· δῆλον κἀκ τῆς συναλοιφῆς. A.

ἐδέ μιν ἠώς: ἐμφαίνει ἄδηλον εἶναι τὸν ἐπὶ τῷ μήκει τῆς νυκτός, ὡς ϗ ἡ Ἀνδρομέδα „ὦ νὺξ ἱερά." V.

13. ἄλλα: τὸν ὠκεανόν φησι. V.

15. περισσὸς ὁ δέ, καὶ χωρίς τινος ἐμφάσεως κείμενος. A. ὥσπερ ϗ ἐν τῷ „τοίηδ' ἀμφὶ γυναικί" (Il. 3, 157) ἐδεῖ προπερισπᾶν τὸ τοίηδε. V.

Πορφυρίω. διὰ τί ὁ Ἀχιλλεὺς τὸν Ἕκτορα εἷλκε περὶ τὸν τάφον τῦ Πατρόκλε, παρὰ τὰ νενομισμένα ποιῶν εἰς τὸν νεκρόν; ἢ παρανομῶσι τὰ αὐτὰ ὐχ οἱ ἀμυνόμενοι ἀλλ' οἱ ἄρχοντες, ὁ δὲ Ἕκτωρ πρότερος ἐνεχείρησε λωβήσασθαι Πάτροκλον τὰ τοιαῦτα· τίς γὰρ ἡ γνώμη Ἕκτορος περὶ Πατρόκλου; „μάλιζα δὲ — ἁπαλῆς ἀπὸ δειρῆς" (Il. 18, 175 — 7). εἵλκυσαί τε πρότερος Πάτροκλος διὰ τὴν τῶν Τρώων περὶ τὸν νεκρὸν προθυμίαν· „ὡς δ' ὅτ' ἀνὴρ — εἵλκον ἀμφότεροι" (Il. 17, 389 — 395). καὶ πάλιν „Ἕκτωρ μὲν — κεφαλὴν τάμοι" (ib. 125 — 6). ἐκείνων ἓν λελυκότων τὸν νόμον ἕτως ἐχρήσατο αὐτοῖς Ἀχιλλεύς· ὅταν γ' βαλόμενός τις κωλυθῇ, ἐκεῖνος μὲν πεποίηκεν, ἀλλ' ὁ πάχων ϗ πέπονθεν. Πάτροκλος δὲ φθάσας περιείλκυσαι γυμνὸς ἐν τῷ πεδίῳ διὰ πρόφασιν τῶν προθεμένων αἰκίσασθαι τὸ σῶμα, ὡς' ἀπολαμβάνοντι ἔοικεν ὁ Ἕκτωρ ἃ δέδρακεν, οὐ μὴν πάχοντι τὰ παράνομα. καὶ φιλανθρωπότερόν γε ὅτι μόνον, ἃ δρᾶσαι δεδύνηται, ϗ πέπονθεν, ὐχ ὅσα δὲ δρᾶσαι διενοήθη. ἔξι δὲ λύσις, φησὶν Ἀριστοτέλης, καὶ εἰς τὰ ὑπάρχοντα ἀνάγων ἔθη, ὅτι τοιαῦτα ἦν, ἐπεὶ ϗ νῦν ἐν Θετταλίᾳ περιέλκεσι περὶ τὲς τάφες. BM.

16. τρὶς: ἀντὶ τῦ πολλάκις. B. ἔξι δὲ ὡς τὸ „οἱ δὲ τρὶς περὶ νεκρόν" (Il. 23, 13). περὶ ἀνατολὰς δὲ εἵλκεν αὐτόν· φησὶ γοῦν „ἕλκεν ἀκηδέσως, ἠὼς ὅτε δῖα φανῇ" (417). V.

17. αὖτις ἐνὶ κλισίῃ: ἀπὸ τῆς ἑαυτῦ σκηνῆς ἀρχόμενος αὐτὸν ἑρύειν, ϗ πολλάκις ἑρύων, τελευταῖον πάλιν μέχρι τῆς σκηνῆς γενόμενος ἐπαύετο τῦ ἕλκειν αὐτόν. BM.

παυόμενος ἐν τῇ κλισίᾳ ἐγίνετο. ἢ ἀνεπαύετο ϗ ἔκριτο. V.

ἡ διπλῆ, ὅτι παρεῖται ἡ ἀνά, ϗ ἔξιν ἀναπαυέσκετο. ἢ ὅτι ὁ δὲ πάλιν περισσός· οὐ γάρ ἐξι λέγειν ὃν ἐδέσμευεν ἀλλὰ χωρὶς ὁ δέ. εἶτα ἔασκεν ἀντὶ τῦ εἴα. A.

ἀντὶ τῦ ἑνὸς οἱ δύο σύνδεσμοι, ὡς τὸ „τόνδ' ἐγὼν ἐπὶ νῆα δεδέξομαι" (Il. 5, 238?). τινὲς δὲ ἔασκεν ἀντὶ τῦ ἐδέσμευεν. BM.

ὁμοίως ἀναγνωστέον τὸ τόνδε τῷ „τόνδε δ' ἐγὼν ἐπιόντα" (Il. 5, 238) ϗ „τόνδε δ' ἐγὼ κομιῶ" (Od. 15, 545). λέγω δὲ ὀξύνων τὴν πρώτην, ἵν' ᾖ ἐπέκτασις ἡ διὰ τοῦ δέ. A.

18. κόνι: ὡς Θέτι (Il. 18, 407). V.

προπρηνέα: ἡ διπλῆ, ὅτι ἐδὲν πλέον τῦ πρηνέα, ὡς ὅταν λέγῃ ἀταρτηρὸν τὸν ἀτηρόν. A.

πλεονάζει ἡ πρό, ὡς τὸ „νῆάς τε προπάσας" (Il. 2, 493). B.

19. χροΐ: ἀντὶ τῦ χρουΐ. προτρέπεσθ δὲ ἡμᾶς διὰ τάτε πρὸς ἔλεον ϗ ἐπιμέλειαν τῶν νεκρῶν. B.

20. 21. ἀθετῦνται οἱ δύο· νέφει γ' αὐτὸν σκέπει· „τῷ δ' ἐπὶ κυάνεον νέφος ἦγαγε" (Il. 23, 188). καὶ αἰγὶς οὐκ ἔξιν αὐτῦ. BM.

ἀθετῦνθ· ἀρκεῖ γ' τὸ προειρῆσθ „πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων." τὸ δὲ πῶς μηκέτι ἐπεκδιδάσκει, ὅτι ἀπεμφαῖνόν ἐξιν· ἀνίερον γ' ϗ ἀκάθαρτον τὴν τῦ Διὸς αἰγίδα νεκρῦ περίβλημα γίνεσθ. πῶς δὲ ϗ κατείληπτο τῇ αἰγίδι ἑλκόμενος, ἵνα μὴ ἀποσραφῇ; ἢ πῶς ἔλαβε τὴν αἰγίδα παρὰ Διός; ἐ γ' συγκατατέθειθ τῇ ἀπολυτρώσει τῦ νεκρῦ ἀλλ' ὕστερον· ὁ δὲ Ἀπόλλων ἐκ εἶχεν ἐξουσίαν τῆς αἰγίδος· εἰ δὲ ταῦτα ἐγέγραπτο, ἐκ ἂν ἄλλας αἰτίας εἰσέφερε τοῦ καταδρύπτεσθ. λέγει μέντοι (Il. 23, 186) „ῥοδόεντι χρῖεν ἐλαίῳ ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυσάζων." ϗ περὶ τῦ Ἀπόλλωνος ὃν τρόπον „πᾶσαν ἀεικείην ἄπεχε χροΐ," λέγει „τῷ δ' ἐπὶ κυάνεον νέφος ἦγαγε Φοῖβος Ἀπόλλων," ἵνα διαμένῃ ἔνικμος ϗ περινίζηθ τὴν ἀπὸ τῦ φόνου ἀκαθαρσίαν, ὡς φησιν ὁ Ἑρμῆς τῷ Πριάμῳ „θηοῖό κεν αὐτὸ ἐπελθών, οἷον ἐερσήεις κεῖται· περὶ δ' αἷμα νένιπθ" (418). A.

20. 21. ἕτως αἰγίδα χρυσείην αἱ Ἀρισάρχε· περὶ ὅλον αἰτὸν ἐκάλυπτε τὴν χρυσῆν αἰγίδα. ϗ μή ποτε Ὁμηρικώτερον· „τοῦόν τοι ἐγὼ νέφος ἀμφικαλύψω χρύσεον" (Il. 14, 343). A. καὶ „τόσσην οἱ ἄσιν καθύπερθε καλύψω" (Il. 21, 321). V.

20. κάλυπτε: ἐν ἄλλῳ κάλυψε. A.

22. Πορφυρίω. τὸ ἀείκιζεν ἀντὶ τῦ ὕβριζεν. αἰκία ἐ ὐχ ἡ ὕβρις μόνον ἀλλὰ ϗ τὸ αἶχος, παρὰ τὸ μὴ ἐοικέναι ὃ δηλοῖ τὸ καθῆκον, ὡς φησιν „δαίνυ δαῖτα γέρουσιν· ἔυ τοι, ἔτι ἀεικές" (Il. 9, 70), ὡς εἰ ἔλεγε, πρέπει σοι ϗ καθήκει τῦτο. ὅτι δὲ ἡ αἰκία ϗ ἐπὶ τῦ αἴχους, δηλοῖ εἰπὼν

γὰρ „τοῖο δ' Ἀπόλλων πᾶσαν ἀεικείην ἄπεχε χροΐ," εἶτά φησιν, αἶχος ἄπειρον, ἐξηγούμενος τὴν αἰκίαν, „ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο ἕλκει ἀκηδέϛως, οὐδέ μιν αἰχύνει" (416)· „κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων" (54). ὑβρίζει, ἢ ἀεικίζει ἐφ' οἷς οὐκ ἄν τις εἴξειεν· ἢ ἀνόμοιον ποιεῖ τῷ πρόσθεν καὶ οὐκ ἐοικὸς ἑαυτῷ. ὅθεν ἐπαγγελλόμενος τὸ μὴ αἰκίσαι φησὶν „ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ, νεκρὸν Ἀχαιοῖσι δώσω πάλιν· οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ" (Il. 22, 258. 259. 256). πρὸς ὃ εἶπεν, χωρὶς τοῦ ἀπεοικότα γενέσθαι δώσω τὸν νεκρόν. τὸ δὲ παρὰ τὸ καθῆκον ἀεικέλιον λέγει· „δμωάς τε γυναῖκας ῥυϛάζοντας ἀεικελίως" (Od. 16, 108). ῥυϛάζειν δὲ τὸ ἕλκειν εἰς ὕβριν· „πῶς νῦν, εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισιν ἥμενος ὧδε πάθοι ῥυϛακτύος ἐξ ἀλεγεινῆς, σοί τ' αἶχος λώβη τε μετ' ἀνθρώποισι γένοιτο" (Od. 18, 223). τὴν γὰρ ὕβριν ἔφη ῥυϛακτὺν μεταφορικῶς ἀπὸ τῶν ἑλκομένων· οὐ γὰρ εἱλκύσθη ἀλλ' ὑβρίσθη. τὸ μέντοι ἕλκειν εἰς ὕβριν ἔφη· „Λητὼ δὲ εἵλκυσεν" ὕβρισε „Διὸς κυδρὴν παράκοιτιν" (Od. 11 580). καὶ ἐκ πλήρους ἐν ἄλλοις „ἑλκύσουσιν ἀεικελίως." παρατηρητέον δὲ τὰ ἐκ πλήρους παρ' αὐτῷ λεγόμενα, ἵνα καὶ τὰ ἐλλιπῶς προενηνεγμένα ἐκεῖθεν ἀναπληρώσωμεν. ἐκ πλήρους μὲν γὰρ ἔφη „πῶς κεν ἔοι τάδε ἔργα" (Il. 11, 837), ἐλλιπῶς δὲ „πῶς κ' ἔοι, εἴ τις νῶϊ θεῶν αἰειγενετάων εὕδοντ' ἀθρήσειε" (Il. 14, 333)· καὶ ἔτι ἐλλιπέϛερον „πῶς οὖν εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισι" (Od. 18, 223). τὸ δὲ πλῆρες „πῶς κεν ἔοι τάδε ἔργα." ὅτι δὲ τὸ ἀεικίζειν ἤτοι αἰκίζειν τὸ μὴ ἐοικότα ποιεῖν, δῆλον ἐκ τοῦ κατῄκιϛαι, τουτέϛιν ἀνωμοίωται. καὶ ἀσκηθὴς οὖν ὁ μὴ παθὼν ἀεικέλια μηδὲ ἀάσχετα μηδ' αἰσχυνθείς, ἀλλ' ὁλόκληρος. ἐξηγεῖται δὲ αὐτός· „ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο τεύχεσί τε ξύμπασι καὶ ἀγχεμάχοις ἑτάροισι" (Il. 16, 247). τούτῳ ἴσον τὸ ἀρτεμής· „ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα" (Il. 7, 308). M.

23. ἀπὸ τούτου ὀκτὼ ἀθετοῦσι, καὶ τοὺς μὲν ἓξ οὐκ ἀλόγως. ὁ δὲ πρῶτος ἐμοὶ δοκεῖ δεόντως κεχρῆσθαι, ὥϛε τὴν συναφὴν εἶναι „τόνδ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες· ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο." πιθανὸν γὰρ πάντων μὲν ἅπτεσθαι τὸν ἔλεον, ἄρξασθαι δὲ τῶν λόγων τὸν μᾶλλον κηδόμενον Ἕκτορος. οἱ ἑπτὰ οὖν δεόντως ἀθετοῦνται, ὡς Ἀρίϛαρχος· τὸ γὰρ κλέπτειν δι' Ἑρμοῦ θεοῖς οὐ πρέπον, ἄλογόν τε τὸ εἰπόντα τὴν γνώμην τῶν θεῶν τὴν περὶ τῆς κλοπῆς ἐπάγειν τοὺς λόγους τοῦ Ἀπόλλωνος κοινῇ κατηγοροῦντος τῶν θεῶν. ἄντικρυς οὖν ἐλέγχονται μὴ ὄντες Ὁμήρου· οὐκ ἔδει γὰρ θεοὺς τὸν αὐτὸν θυμὸν ἔχειν Ἀχιλλεῖ. καὶ ὅτι Ποσειδῶν οὐ διὰ χειρὸς Ἀχαιοῖς ἐπίκουρος. καὶ τὸ νείκεσεν ἄκυρον ἐπὶ δικαϛοῦ· ἐπὶ γὰρ τῶν δικαζομένων αὐτὸ τίθησιν, ὡς τὸ „ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς" (Il. 18, 498) „κρίνων νείκεα πολλὰ δικαζομένων" (Od. 12, 440). οἱ δὲ νεώτεροι ἐπὶ τοῦ τὸ νεῖκος διαλύειν, ὡς Ἀντίμαχος „εὐνεικέα δ' ἔσαν λόγια" („μετὰ δὲ εὐνείκες κρίνον" V, „εὐνείκεϛα δ' ἦσαν τὰ λόγια" M) ἀντὶ τοῦ εὐδιακρίτα. καὶ ἡ μέσαυλος σημαίνουσα τὴν ἐν ὄρει οἴκησιν, Ὁμήρου παραδεδωκότος ἐν ἄϛει τεθράφθαι τὸν Ἀλέξανδρον καὶ μουσικὴν ἠσκηκέναι· „οὐκ ἄν τοι χραισμήσῃ κίθαρις ἥ τε κόμη τό τε εἶδος," (Il. 3, 54) ἅπερ οὐδαμῶς ἀγροίκῳ ἁρμόζοντα. ἥ τε μαχλοσύνη νεωτέρων ἐϛίν· ἀμέλει οὐδ' ἐπὶ τῶν θεραπαινῶν Πηνελόπης αὐτῇ κέχρηται· ἐπὶ ἀνδρῶν δὲ οὐ τίθεται ἡ λέξις. ἀλλ' οὐδὲ λαγνείαν αὐτῷ προσέβαλεν, ἀλλὰ καλλίϛην γυναῖκα. τήν τε ἔριν τοῦ κάλλους οὐκ οἶδεν ὁ ποιητής· εἰ γὰρ ᾔδει τὴν κρίσιν, οὐκ ἂν εἶπε Ζεὺς „τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες τόσσα κακὰ ῥέζουσι" (Il. 4, 31), φανερᾶς οὔσης τῆς αἰτίας. ἀλλὰ καὶ ὁ Πρίαμος θεοῖς ἀναφέρει τὴν αἰτίαν τοῦ πολέμου, ἀλλ' οὐ τῇ κρίσει· „θεοί νύ μοι αἴτιοί εἰσιν" (Il. 3, 164). ἥ τε Ἑλένη οὔτε ἐν τῷ πρὸς Ἕκτορα λόγῳ οὔτε ἐν τοῖς θρήνοις οὔτε ἐν τῇ πρὸς Πρίαμον διαλέξει τῆς κρίσεως ἐμνήσθη, τὸ πᾶν δὲ ἀναφέρει Ἀλεξάνδρῳ. πῶς δ' ἂν τὰς ναῦς ἀρχεκάκους εἶπε (Il. 5, 63), καὶ οὐ τὴν κρίσιν; πῶς δὲ οὐκ ἄτοπον Ἀθηνᾶν περὶ ἧς φησὶ „δεινὼ δέ οἱ ὄσσε φάανθεν" (Il. 1, 200), ἐρίζειν Ἀφροδίτῃ περὶ ἧς φησὶ „καὶ ὄμματα μαρμαίροντα" (Il. 3, 397), ὡς εἰ καὶ Ἡρακλῆς ἀγωνίζοιτο πρὸς Ἄδωνιν. οἶδέ τε ἡ Ἀθηνᾶ τὸ κάλλος μύρον αὐτῆς ὄν. πῶς τε Ἥρα ἤρισε μητρὸς ἔχουσα τάξιν; φησὶ γοῦν „ἦ ῥά νύ μοί τι πίθοιο φίλον τέκος" (Il. 14, 190). οἶδέ τε Ἥρα τὰ πειθοῦς ὄργανα παρ' αὐτῇ ὄντα, οἷς πάντας θεοὺς καὶ ἀνθρώπους δαμάζει. BMV.

24. κλέψαι: Σεναχηρείμ. ἠδύνατο τοῦτο πλάσαι ὁ ποιητής. ἀλλ' ἐπεὶ καταβλητικὸν ἦν τῆς τιμῆς τοῦ Ἀχιλλέως καὶ τοῦ φθάσαντος κατορθώματος ἀνάξιον, καὶ κίνδυνος προσῆν ἐκεῖθεν τῷ μεγίϛῳ ἔργῳ, αὖθις δ' ἑτέρωθεν ἀναγκαῖον εὕρηται λυθῆναι αὐτόν, ἵνα μὴ πρὸς κακίαν ἡ ποίησις ἐκτραχηλισθῇ, ἀμφοτέρωθεν οἰκονομεῖται τὰ τοῦ πράγματος, καὶ τιμᾷ μὲν κἀκ τῆς τῶν δώρων προσαγωγῆς τὸν Ἀχιλλέα, φυλάττει δὲ καὶ τὸ ἐκεῖσε καθῆκον. ἐπεὶ δὲ ἔλυσε τὸν υἱόν, τότε παρὰ τοῦ Ἑρμοῦ ἐξάγεται τοῦ ϛρατοπέδου μετὰ τοῦ νεκροῦ. M.

Ἀργειφόντην: οὐχ ὅτι κατὰ τοὺς Ἡσιόδου μύθους τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν, ἀλλ' ἐπειδὴ μία παντὸς λόγου φύσις ἐκφαίνειν ἐναργῶς τὸ νοούμενον. A.

Ζεὺς ἐρασθεὶς Μαίας τῆς Ἀτλαντίδος, λαθὼν Ἥραν ἐμίγη· ἡ δὲ ἔγκυος γενομένη ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας Ἑρμῆν ἐγέννησεν, ὅστις ἐπιθυμίαν ἔχε τοῦ κλέπτειν, ὅτι καὶ Ζεὺς κλέψας τὴν Ἥραν ἐμίγη Μαίᾳ. καὶ δή ποτε τῆς μητρὸς μετὰ τῶν ἀδελφῶν αὐτῆς λουομένης λαθὼν ὑφείλετο τὰς ἐσθῆτας· γυμναὶ δὲ ἐκεῖναι οὖσαι ἠπόρουν τί πράξωσιν. γέλωτα δὲ διὰ τούτου Ἑρμῆς ποιήσας ἀπέδωκεν αὐταῖς τὰς ἐσθῆτας. ἔκλεψε δὲ καὶ τὰς Ἀπόλλωνος βοῦς. ἡ ἱϛορία παρὰ Ἐρατοσθένει. ABMD.

25. ἕως τοῦ (30) „τὴν δ' ᾔνησ' ἥ οἱ πόρε μαχλοσύνην" ἀθετοῦνται ϛίχοι ϛ'· γέλοιον γὰρ τὸ „οὐδέποθ' Ἥρῃ οὐδὲ Ποσειδάωνι οὐδὲ γλαυκώπιδι κούρῃ·" τίνες μὲν γὰρ ἔτι ἐλείποντο τῶν τριῶν σεμνότεροι μετὰ τὸν Δία τῶν μὴ συνευδοκούντων; τήν τε περὶ τοῦ κάλλους κρίσιν οὐκ οἶδεν· πολλαχῇ γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἂν ἐμνήσθη. ϗ τὸ νείκεσσε ἐκ ἔχει κρῖναι, ἀλλ' ἐπιπλῆξαι ἢ διαφέρεσθαι· „νεικείων Ἕλενόν τε Πάριν" (249) ἀντὶ τῶ ἐπιπλήσσων· „δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς" (Il. 18, 498), διεφέροντο. καὶ ἡ μαχλοσύνη κοινῶς ἐπὶ γυναικὶ μανία· δέδωκε δ' αὐτῷ ἀ ταύτην, ἀλλὰ τὴν καλλίσην τῶν τότε Ἑλένην. Ἡσιόδειος δ' ἐστὶν ἡ λέξις· ἐκεῖνος γ' πρῶτος ἐχρήσατο ἐπὶ τῶν Προίτε θυγατέρων. A.

27. ἔχον: διέκειντο· ἔτως, φησί, διαθέσεως εἶχον καὶ διέκειντο ὡς ἀπ' αὐτῆς τῆς ἀρχῆς. BM.

28. ἄτης: ἐν ἄλλῳ ἀρχῆς. A.

εἵνεκ' ἄτης: ἔτως Ἀρίσαρχος· τὸ γ' ἕνεκα τῶ ἀπολογαμένω ἐστίν. V.

30. ἦ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν: παρ' Ἀριστοφάνει καί τισι τῶν πολιτικῶν ἦ οἱ κεχαρισμένα δῶρ' ὀνόμηνε. ϗ τάχα μᾶλλον ἔτως ἂν ἔχοι· ἀθετεῖ γ' Ἀρίσαρχος διὰ τὴν μαχλοσύνην τὸν σίχον. A.

μαχλοσύνην: τὰ πρὸς πορνείαν ἐπιτήδεια, τὴν κόμην δηλονότι ϗ τὸ εἶδος. BM.

31. ἐκ τοῦο: ἐξ οὗ Ἕκτωρ ἀπέθανεν. ἐν μιᾷ γ' ἀπέθανεν, εἶτα ὑλοτόμησαν, τρίτη δὲ ἡ τῶ ἀγῶνος, εἶτα μετὰ ταῦτα ἐννέα· φησὶ γοῦν (107) „ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν," ϗ ὁ Ἑρμῆς φησὶ „δυωδεκάτη δέ οἱ ἠὼς κειμένῳ" (413). ἐπίτηδες δὲ ἀνοχὰς παρέχεσι Τρωσὶ γνωσιμαχῆσαι. ἢ ὅτι πλέον ἐβάλετο Πάτροκλον ὁ στρατηγὸς Ἀχιλλεὺς πενθῆσαι. BMV.

33. σχέτλιοι: ἐπιβλαβῆ καὶ δυσανάσχετα πράσσοντες. λείπει δὲ ὁ καί, ἵν' ᾖ ϗ δηλήμονες, ὃ ἐστι φθαρτικοί. ϗ τοῖς μὲν Τρωϊκοῖς μέμφεται ὅτι τῶν θανόντων ἀμελοῦσι φίλων, τοῖς δὲ Ἑλληνικοῖς ὅτι πέρα τῶ δέοντος θυμῶνται. BM.

γράφεται ἤ νύ ποθ' ὑμῖν. ἐγκλιτικῶς τὴν ὑμῖν ἀναγνωσέον· ἔστι γ' ἀπόλυτος. A.

36. οἰκτίζεται γονέων μνησθεὶς καὶ γαμετῆς ϗ τέκνων, εἰργομένων τῷ φιλτάτῳ τῶ κοινῶ μεταδῶναι πυρός. BM.

38. ἢ διπλῆ, ὅτι οὐ μόνον οἱ ἐπὶ ξένης τελευτῶντες ἐκαίοντο, ἀλλὰ ϗ οἱ ἐπὶ τῆς ἰδίας πατρίδος. ἔτως δὲ διὰ τῶ ᾱ ἡ παραλήγουσα, κτερίσαιεν. A. ὁμηρικώτερον δὲ τὸ κτερίσειαν, ὡς „τίσειαν Δαναοί" (Il. 1, 42). V.

39. ὀλοῷ: ὀλοθρευτικῷ, ἢ ὀλέθρω ἀξίῳ. BM.

ἐπαρήγειν: προσεῖναι ϗ προσίθεσθαι ϗ τοῖς ἐκείνου εἴκειν θελήμασιν. BM.

40. φρένες ἐναίσιμοι: φρόνημα καθῆκον. V.

41. γναμπτόν: εὐπειθές. πιθανῶς δὲ τῇ εὐσεβείᾳ Ἕκτορος ἀντέθηκε τὴν Ἀχιλλέως ὠμότητα. BM.

42. ὃ ἐπεί σύνδεσμος περισσεύει· διόπερ ἐκ ἐπιζητητέον τὴν ὑπ' αὐτῶ εἰωθυῖαν ἀποτελεῖσθαι ὑποσιγμήν· ὁ γ' λόγος, ὃς τῇ γε δυνάμει καὶ τῇ ἐπιθυμίᾳ εἶξας ἐπέρχεται θρέμμασιν. ἐπεὶ δὲ σπανίως ἔσιν εὑρεῖν τοῦτον τὸν σύνδεσμον περισσεύοντα, μήποτε διὰ τοῦ ᾗ ἐγέγραπτο εἶξῃ, ἵνα ὑποζίζωμεν μετ' αὐτό. ϗ ὁ λόγος· ἐπειδὰν τῇ δυνάμει ϗ τῇ ἐπιθυμίᾳ κρατηθῇ, ἐπέρχεται θρέμμασιν. A.

περισσόν ἐστι τὸ ἐπεὶ ἄρ. ἢ ἀντὶ τῶ εἶξας γραπτέον ἦξησιν, ἵν' ᾖ ἐπὰν ἤξησιν ἐπὶ μῆλα. V.

περισσόν ἐστιν, εἰ μὴ λείπει τινός. A. τὸ δὲ ἐξῆς ἀθετητέον· ἁρμόζει γάρ τινι γνωμολογοῦντι. ἐρεῖ δ' Ἀχιλλεὺς ὅτι νῦν ἐμὲ βλάπτει. V.

43. ἀθετεῖται, ὅτι ἐκ τῶν Ἡσιόδω (O. 316) μετενήνεκται ὑπό τινος νομίσαντος ἐλλείπειν τὸν λόγον. ϗ γ' τοῖς ὑποκειμένοις ἐναντίον τι πεποίηκεν· εἰ γ' βλάπτει ἡ αἰδώς, εὔλογον Ἀχιλλεὺς ἀναιδέστατος βέλτιστος εἶναι. παρὰ μὲν γ' Ἡσιόδῳ γνωμικῶς· ἐκεῖ γ' ὄντι λόγον ἔχει, τῆς αἰδοῦς ποτὲ μὲν ὠφέλειαν περιποιούσης ποτὲ δὲ βλάβην. δεῖ δὲ ἔξωθεν προσυπακοῦσαι τὸ ἐστί, ἵν' ᾖ, οὐδὲ οἱ αἰδὼς ἐστί· ϗ πλήρης ὁ λόγος. A.

τινὲς ἐδάσυναν τὸ ἥδε, ἵνα ἡ αἰδὼς διττὴ ὑπάρχῃ, ἡ μὲν βλάπτουσα, ἡ δὲ ὠφελοῦσα. οὕτως δὲ καὶ Εὐριπίδης (Hippol. 385) ἐξεδέξατο εἰπὼν διττὰς εἶναι αἰδέας. δύναιτο δ' ἂν ἡ αὐτὴ οὖσα πῇ μὲν ὠφέλιμος εἶναι πῇ δὲ βλαβερά. A. ὅπως γ' αἰδὼς καὶ αἰσχύνη διεκέκριτο, ἀλλ' ἐπὶ διαφόροις πράγμασιν ἐν ἧν ὄνομα. πανταχῶ δὲ τῶν ὑπομνημάτων ἔτως εὗρον, πλὴν Ἡρακλέωνος. V.

46. μέλλει: ἀντὶ τῶ ἔοικεν. AB.

47. κασίγνητον ὁμογάστριον: φαίνεται Ὅμηρος προτιμῶν τὴν μητρὸς ἀδελφότητα. D. οὗτοι γ' ἐνδιάθετοι ἀδελφοί· τὰς δὲ ὁμοπατρίους ἐκ ᾤοντο τελείας συγγενείας εἶναι· „ἐπεὶ οὐκ ὁμογάστριος Ἕκτορός εἰμι" (Il. 21, 95). BM.

ὃς μὲν γ' ἴσασιν ὄντας ἀδελφούς, τὰς δὲ ὁμοπατρίους οἴονται. ϗ Ἑλένη „τώ μοι μία γείνατο μήτηρ" (Il. 3, 238) ἔτως, οὐχ ὡς ὁ κασίγνητος ϗ ὁμογάστριος. V.

ἡ διπλῆ, ὅτι τοῦτο προσέθηκεν, ἐπεὶ κασιγνήτης τοῦ ἀνεψιᾶς πως λέγει (Il. 15, 545). πάλιν δὲ ὁμογάστριος λέγει, οὐχ ὡς Ζηνόδοτος ἔγραφεν ἐκεῖ (Il. 21, 95) „μή με κτεῖνε ἐπεὶ οὐκ ἰογάστριος Ἕκτορος." A.

48. ὀδυράμενος: γράφεται ϗ ὀδυρόμενος. A.

49. τλητὸν γάρ: τοῦτο δείκνυσιν ὅτι δεῖ γενναίως τὰ συμβαίνοντα φέρειν ὡς μηδὲν τῆς ἀγανακτήσεως ὠφελήσης. BM. καὶ Εὐριπίδης (Or. 3) „ᾗς οὐκ ἂν ἄρωτ' ἄχθος ἀνθρώπου φύσις." V.

50. Ἕκτορα: ἀντὶ τῶ Ἕκτορος. V.

52. ἄμεινον: λείπει τὸ ἔσαι. τὰ δὲ συγκριτικὰ ἀντὶ ἁπλῶν, ἢ τῶ παύσασθαι. BM.

53. ἀθετεῖται· πῶς γ' ὃν ὀλοὸν εἶπεν, νῦν ἀγαθόν φησιν; ἢ ἀντὶ τῶ ἀνδρείῳ ἐστίν. B.

Ἀρίσαρχος νεμεσσηθέωμεν, διὰ τῶ θε. A.

54. κωφήν: ἀντὶ τῶ ἀναίσθητον. κέχρηται δὲ τῷ εἴδει κῷ ἀντὶ γενικῶ. κωφὸν δὲ ϗ τὸ μὴ προϊέμενον φωνήν· „κωφὸν γ' βέλος" (Il. 11, 390) ϗ „κύματι κωφῷ" (Il. 14, 16). καλῶς δὲ τὸ ἀναίσθητον γῇ παρείκασεν· ἢ ὅτι ἀπὸ γῆς τὸ σῶμα, ϗ ὅτι βαρὺ ϗ γεῶδες, ὡς ϗ Ἐμπεδοκλῆς φησὶ (γ. ὡς ϗ Ἡράκλειτος V) „νέκυες κοπρίων ἐκβλητότεροι." AM.

55. χολωσαμένη: ἐπὶ τῇ κατηγορίᾳ Ἀχιλλέως ὠργισται. τὴν δὲ ἀπολογίαν πρὸς ἕτερα πεποίηται· ὃ γ' ὅτι ἐκ ἥμαρτεν ἀπολογεῖται, ἀλλ' ὥσπερ λαβὴν εἴληφε τὸ ὑπὸ

Ἀπόλλωνος εἰρημένον „ἀλλ' ὀλοῷ Ἀχιλῆϊ θεοὶ βούλεσθ' ἐπαρήγειν," καί φησιν ὅτι δεόντως οὗτος τιμᾶται διὰ τὴν ἀρετήν. AM.

56. εἴη κεν καὶ τοῦτο τεὸν ἔπος: πρέπον σεαυτῷ εἴρηκας· ἢ ἔοικε σὸν τὸ ἔπος εἶναι· ἢ εἴη ἂν καὶ τοῦτο τὸ ἔπος τῶν σῶν φλυαρημάτων. BM.

57. θήσετε: ἀντὶ τοῦ θήσεις σὺ καὶ μόνος καὶ πρῶτος· οὐ γὰρ ἄλλος τις. BM.

58. ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ γυναικὸς μαζόν. Ὁμηρικὸν δὲ τὸ ἔθος· „ὣς τὴν μὲν πρύμνην ἄμφεπε" (Il. 16, 124). A.

οὐδὲν πρὸς τὸ θνητός ἀντιδιέστειλεν. V.

ἄλλως. τοῦτο ἔνιοι τῶν κριτικῶν κατὰ συνωνυμίαν μεταλαμβάνουσι, λέγοντες αὐτὸν εἶναι γυναῖκα καὶ ἄνθρωπον καὶ θνητόν, ὡς γίνεσθαι τοιοῦτον· Ἕκτωρ μὲν θνητός, θνητόν τε θήσατο μαζόν. ἄλλοι δὲ παρειλῆφθαι τὸ γυναῖκα ἀντὶ τοῦ κτητικοῦ γυναικεῖον· τοὺς δὲ Ἀττικοὺς καὶ Δωριέας τοῖς κυριωτέροις χρῆσθαι ἀντὶ κτητικῶν, Ἕλληνα στρατόν ἀντὶ τοῦ Ἑλληνικόν, καὶ ἄνθρωπον ἦθος ἀντὶ τοῦ ἀνθρώπινον, καὶ Ἑλλάδα διάλεκτον. A.

ἀντὶ τοῦ γυναικός, ὡς τὸ „ὁ δ' ἐρινεὸν τάμνε νέους ὄρπηκας" (Il. 21, 73)· ἢ γυναικεῖον· ἢ παρέλκει τὸ μαζόν. τοὺς δὲ τοιούτους σολοικισμοὺς ἐπιχυμισμοὺς καλοῦσι διὰ τὴν ἀνισοσημίαν. οὕτως δὲ ἔλεγον ὁ παῖς θηλάζει. ἢ λείπει εἰς τὸ μαζόν ἡ κατά. V.

59. ἀντὶ τοῦ γόνος τινὲς γράφουσι πάϊς· ὡς γὰρ ἐπὶ προγόνων ἐστὶ τὸ γόνος. V.

60. ἀτίτηλα: ἔτι ἀταλὴν ἤτοι νέαν καὶ ἁπαλὴν οὖσαν ἀνεθρεψάμην. BM.

61. φίλος γένετ' ἀθανάτοισιν: εἵμαρτο γὰρ θνητῷ αὐτὴν γαμηθῆναι· ἐγὼ δὲ τῷ ἰσοθέῳ δέδωκα. V.

62. ἀντιάασθε: εὐμοιρεῖτε καὶ μετελαγχάνετε. B. μετελαμβάνετε. ἐγένετο δὲ ἐν τῷ ἄντρῳ τοῦ Χείρωνος. V.

ἐν δὲ σὺ τοῖσιν: ὅ ἐστι, τί νῦν ἀτιμάζεις ἃ ἐτίμας ἐρώην; V.

63. ἔχων φόρμιγγα: οἰωνίζονται τὸν Ἀπόλλωνα δαιτὶ σχολάζειν καὶ μὴ λοιμοῖς. διὸ κιθάρην αὐτῷ νέμουσιν, ἣν ἄρα θεοὶ δαιτὶ ἐποίησαν ἑταίρην (Od. 17, 271). V.

κακῶν ἕταρε: Ἀλεξάνδρου καὶ Ἕκτορος. Ἡσίοδος „μηδὲ κακῶν ἕταρον" (O. 716). V.

αἰὲν ἄπιστε: ὡς ὑποσχομένου βοηθήσειν Ἀχαιοῖς· „ἐπέγναμψε γὰρ ἅπαντας Ἥρη λισσομένη" (Il. 2, 31). BM.

64. τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς: πιθανῶς ὁ Ζεὺς διαδέχεται τὴν δικαιολογίαν τοῦ παιδὸς οὐ θελήσαντος ἐπὶ τοῦ πατρὸς ἐρίζειν τῇ γυναικί. BM.

τινὲς τὴν δὲ μέγ' ὀχθήσας, ὡς δυσχεραίνων ἐπὶ τῇ ἀποδόσει. V.

65. ἀποσκύδμαινε: ὥσπερ ἐρίζω ἐριδμαίνω, οὕτω καὶ σκύζω σκυδμαίνω. ἢ ἀπὸ τῶν ὀργιζομένων λεαινῶν ἐπὶ τῇ ἀφαιρέσει τῶν σκύμνων. ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον ἐν τῷ ὀργίζεσθαι συστολῆς τοῦ δέρματος. BM. ὁ σκῦτος καλεῖται. τινὲς δὲ οὐκ εὖ παρὰ τὸ ἐπισκύνιον. V.

66. οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται: οὐχ ἕνα μόνον τιμήσομεν· ἢ οὐχ ὁμοία ἐπὶ πάντων ἔσται τιμή. BM.

68. ὡς γὰρ ἔμοιγ': ὅσον ἐπὶ τῇ ἐμῇ κρίσει. A.

λείπει τὸ δοκεῖ· ἢ ὡς ἐμοὶ καὶ τοῖς ἄλλοις ἦν φίλος. BM.

ἐπεὶ οὔ τι: ἐπεὶ οὐχ ἡμάρτανεν ὁ Ἕκτωρ ἐμοὶ τὰ προσηνῆ ποιεῖν. V.

69. ἐΐσης: τῆς ὀφειλούσης καὶ δεούσης· καὶ αὐτοῖς γὰρ μοίρας ἀπένεμον καὶ ἀπήρχοντο ἐξ ὅλων τῶν μελῶν, τούτῳ δὲ πλέον. BM.

71. κλέψαι μὲν ἐάσομεν: τὴν περὶ τοῦ κλέψαι βουλὴν ἐάσομεν. BM.

71. 72. 73. ἀθετοῦνται στίχοι γ', ὅτι ψεῦδος περιέχουσιν· οὐ γὰρ διὰ παντὸς συνδιατρίβει αὐτῷ ἡ Θέτις. τὸ δὲ ἐάσομεν νῦν ἀντὶ τοῦ παρῶμεν, οἷον μηδὲ λέγωμεν· ὅπερ ἀγνοήσαντες οἱ περὶ Ἀντίμαχον ἐποίησαν κλέψαι μὲν ἀμήχανον. γράφεται δὲ κατ' ἔνια εὖ γάρ οἱ αἰεί ἀντὶ τοῦ ἦ γάρ οἱ αἰεί. διὰ μέσου δὲ τὸ οὐδέ πῃ ἔστι. τὸ δὲ ἑξῆς, ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν λάθρῃ Ἀχιλλῆος. A.

θρασὺν Ἕκτορα: ἄμεινον δὲ γράφειν νέκυν Ἕκτορος. V.

72. οὐκ ἀναγκαῖον τὸ ἢ ἄρθρον ἐκδέχεσθαι καὶ δασύνειν· ἔθος γὰρ αὐτῷ ἔσθ' ὅτε παραλείπειν τὰ ἄρθρα· „ἀλλὰ φίλη μήτηρ" (Il. 21, 276) „μήτηρ μέν τέ μέ φησι" (Od. 1, 215). σύνδεσμος οὖν ἐστὶ βεβαιωτικός· διὸ περισπαστέον. A.

73. μήτηρ παρμέμβλωκε: ψευδὲς τοῦτο. τάχα οὖν φησὶν ὅτι ὡς μήτηρ συμπάρεστιν αὐτῷ τῷ νεκρῷ Ἀχιλλεύς. B. ἢ ὑπερβολικῶς τοῦτο εἶπεν ἀπὸ τοῦ συνεχῶς αὐτὴν ἐκεῖσε φοιτᾶν. V.

ἦμαρ: σολοικοφανές· ἔδει γὰρ ἤματα. V.

74. ἀλλ' εἴ τις: ἀλλ' εἴθε τις. ὥσπερ δὲ εἰπόντος „ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν" ἀνέστη Κάλχας, οὕτω καὶ νῦν ἡ Ἶρις. BM.

τὸ εἴ ἀντὶ τοῦ εἴθε· διὸ οὐδὲ ὑποστικτέον. A.

τινὲς τὸ θεων ἐπὶ τοῦ τρέχων ἐξεδέξαντο, μετοχὴν παραλαμβάνοντες, καὶ ἐβάρυναν. ἀπίθανον δέ· διὸ περισπαστέον· γενικὴ γάρ ἐστι πληθυντικὴ ὀνόματος τοῦ θεός. A.

75. ὄφρα τί οἱ εἴπω: ἅμα ἵνα καὶ νουθετήσῃ αὐτὸν ἡ μήτηρ. V.

77. ὦρτο δὲ Ἶρις: ἔτι πρὸς τὸ προκείμενον, διὰ τὴν ὁμοιότητα τοῦ μαρτυρίου. A.

ἡ διπλῆ, ὅτι ἐξ ὀνόματος μὴ καλέσαντος τοῦ Διὸς ἡ πρὸς τοῦτο τεταγμένη Ἶρις ὑπακούει, ὥστε καὶ ὅταν ὁ Ἀχιλλεὺς λέγῃ κοινότερον „ἀλλ' ἄγε δή τινα μάντιν" (Il. 1, 62), εὐλόγως οὖν πάλιν ἐρεῖ ὁ Κάλχας (ib. 74) „ὦ Ἀχιλεῦ κέλεαί με." A.

ἀελλόπος: Εὐφορίων „ἀελλόποδος αἰθαρύτας." V.

78. Σάμου: τῆς νῦν Σαμοθράκης. σάμους δὲ τοὺς λόφους ἔλεγον. ἐκαλεῖτο δὲ Λευκωνία, εἶτα οἰκισθεῖσα ὑπο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σαμίων, ὧν τὰ σκάφη οἱ αἰχμάλωτοι Θρᾷκες κατέδυσαν, Σαμοθρᾴκη ὠνόμασαι. B.

ἡ διπλῆ, ὅτι τὴν Σαμοθρᾴκην οὕτως εἶπεν. A.

79. μείλανι πόντῳ: μέλανι, τῷ καὶ ἔτι νῦν καλουμένῳ μέλανι κόλπῳ. D. ἀντὶ τοῦ μέλανι κόλπῳ, ὃς ἀπὸ Μέλανος ποταμοῦ καταφερομένου εἰς αὐτὸν ὠνόμασαι. οἱ δὲ ἀπὸ τοῦ Φριξίδου Μέλανος ἐκεῖ ναυαγήσαντος. ἢ ὅτι ἐκ μελαγγείων ὁ ποταμὸς κατιὼν μελαίνει αὐτόν. ἐκεῖ δέ ἐστι καὶ ἡ Σαρπηδονία ἄκρα. τάχα δὲ τοῦτο τοῦ ὕδατός ἐστιν ἐπίθετον, ὡς „μέλαν δέ ἑ κῦμα" (Od. 5, 353). νῦν δὲ Καρδιανὸς ὁ κόλπος ὀνομάζεται. V.

ἐπεστενάχησε: ἀεὶ βαρυτόνως φησὶ στενάχων. V.

80. μολυβδαίνῃ: τῷ μολίβδῳ ὃ πρὸς τῇ ὁρμιᾷ καὶ τῷ ἀγκίστρῳ ἐστὶ πρὸς τὸ θᾶττον καθικνεῖσθαι τοῦ βυθοῦ. BM. οἱ δὲ τὴν βολίδα. ἢ μόλιβον δέ φησιν ἢ μόλυβδον. V.

βυσσόν: ἐπεκράτησε τὸ ὀξύνεσθαι τῷ τὰ εἰς ος λήγοντα ὀνόματα δισύλλαβα, ἀρχόμενα ἀπὸ συμφώνου ἢ συμφώνων, δεδιπλασιασμένον ἔχοντα τὸ σ ὀξύνεσθαι θέλειν, κισσός πεσσός. ἀντιπίπτει τὸ μέσσος. A.

81. κέρας: ὃ προσάπτουσι τῇ ὁρμιᾷ πρὸς τὸ μὴ ἐσθίεσθαι καὶ ὁμόχροον εἶναι τῇ θαλάσσῃ. οἱ δὲ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν. B. ὁμοίαν κέρατι· „τὸν κεροπλάστην ἄειδε Γλαῦκον" Ἀρχίλοχος. V.

ἡ διπλῆ, ὅτι οὐ λέγει βοὸς κέρας βοὸς τρίχα, διὰ τὸ τριχίνην εἶναι τὴν ὁρμιάν· λιναῖς γὰρ ἐχρῶντο· „ἐκ πόντοιο θύραζε λίνῳ ἐνὶ ἤνοπι χαλκῷ" (Il. 16, 408). οἱ δὲ νῦν οὐδὲ βοείαις χρῶνται, ἀλλ' ἱππείαις. λέγοι ἂν οὖν βοὸς κέρας κυρίως· κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος βοείου, ἣν παρετίθεσαν τῇ ὁρμιᾷ ὑπὲρ τὸ ἄγκιστρον, ὅπως μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸν λίνον. A.

ἐμβεβαυῖα: ἐν ἄλλῳ ἐμμεμαυῖα. A.

82. κῆρα φέρουσα: ἔνιαι τῶν κατὰ πόλεις πῆμα φέρουσα· ἄτοπον γὰρ ἐπ' ἰχθύων κῆρα λέγειν. τὸ δὲ ὠμηστῇσιν ὡς ὀρχηστῇσιν· προείρηται δέ. A.

τοῖς ὠμοῖς ἐσθιομένοις· νῦν γὰρ περὶ τῶν μικρῶν ὁ λόγος. V.

83. ἀμφὶ δ' ἄρ' ἄλλαι: γράφεται ἀμφὶ δέ τ' ἄλλαι. A.

84. Ἀριστοφάνης τὸ εἵατο δασέως, Ἀρίσταρχος δὲ ψιλοῖ. προείπομεν δὲ περὶ τῆς λέξεως. A.

85. ἐν τῇ κατὰ Ῥιανὸν ὃς τάχ' ἔμελλεν. A.

ἔμελλε: ἀντὶ τοῦ ἐμοιρήθη, ἢ ἀντὶ τοῦ ἐῴκει. B.

ἀντὶ τοῦ ὃς τῷ υἱῷ ἥρμοστο. περισσὸς οὖν ὁ ἑξῆς. V.

86. ἀθετεῖται, ὅτι περισσός ἐστι· τὸ γὰρ οἷ ἐστὶν αὐτῷ, καὶ τὸ ἔμελλεν ἀντὶ τοῦ ἐῴκει. Ὁμήρῳ, οὐχὶ τῇ Θέτιδι ἔμελλεν ἐν Τροίᾳ φθίσεσθαι. A.

ἐπειδὴ μέλλει καταστρέφειν τὸν λόγον εἰς τὰς Ἕκτορος ταφάς, προλαβεῖν τι ἐπιχειρεῖ τῶν ἑξῆς, καὶ τὸ κέντρον ἐγκαταλιπεῖν, ὡς ὁ κωμικός φησι, τοῖς ἀκροωμένοις, ὥστε ποθῆσαί τι καὶ περὶ τῆς Ἀχιλλέως ἀναιρέσεως ἀκοῦσαι, καὶ ἐννοεῖν παρ' ἑαυτοῖς οἷος ἂν ἐγένετο ὁ ποιητὴς διατιθέμενος ταῦτα. καὶ ἔστι περιπαθὲς τὸ κλαίειν τὸν ζῶντα. BM.

88. ἄφθιτα: ἀναλλοίωτα καὶ ἀμετάβλητα. BM.

90. 91. τὸ ἑξῆς, τίπτε μ' ἄνωγε μίσγεσθ' ἀθανάτοισιν ἢ λείπει τὸ ἐλθεῖν μετὰ τὸ θεός. AM.

91. ὁ δέ ἀντὶ τοῦ γάρ. ἄκριτα δὲ τὰ ἀναρίθμητα. B.

92. οὐδ' ἅλιον ἔπος ἔσσεται: οὐ ματαιώσω τὴν κέλευσιν αὐτοῦ. BM.

94. ἔσθος: παρὰ τὸ ἕω τὸ ἐνδύομαι· παρὰ τοῦτο δὲ ἡ ἐσθής. οἰκεῖον δὲ θαλασσίᾳ καὶ πενθούσῃ θεῷ τὸ μέλαν. BM.

ψιλῶς τὸ ἔσθος καὶ ἐσθής, οὐ μόνον διὰ τὴν συναλοιφήν ἀλλὰ καὶ ἄλογον (καὶ καθ' ὃν λόγον?) ἡμεῖς προείπομεν ἀνασκευάσαντες τοὺς ὑπὸ τῶν πρὸ ἐμοῦ εἰρημένους· τὰ γὰρ φωνήεντα ψιλοῦσθαι θέλει ἐπιφερομένου τοῦ σ, ὀσφύς ὀσφραίνεσθαι ἀσφόδελος ἀσφάραγος ἀσχάλλω ὄχεος ἴσχω ἰσχύς ἀσθενής ἐσθλός ἆσθμα ἔσθω· οὕτως ἄρα καὶ ἔσθος καὶ ἐσθής. A.

96. λιάζετο: ὑπεχωρίζετο, διίστατο, ὥσπερ ὁδὸν παρέχον. BM.

97. εἰσαναβᾶσαι: ἡ Ἀρίστάρχου ἐξαναβᾶσαι, αἱ πλείους. A.

οὐρανόν: τὸν ὑπερνέφιον τοῦ Ὀλύμπου τόπον· φησὶ γοῦν „ἤλυθες Οὔλυμπόνδε θεὰ Θέτι" (104). ἀκτὴν τὴν τοῦ μέλανος κόλπου. BM.

πρὸς τὰ πέρατα τοῦ Ὀλύμπου· οὐρανὸν γὰρ νῦν εἰπὼν ὑποβάς φησιν „ἤλυθες Οὔλυμπόνδε." παρ' ὅσον ἐπουράνιστινα μέρη ἐστὶ τοῦ Ὀλύμπου, ὑπὲρ τὰ νέφη διήκοντα. A.

100. εἷξε δ' Ἀθήνη: ἡ μὲν Ἀθηνᾶ ὡς νεωτέρα θρόνου ὑπείκει, ἡ δὲ Ἥρα ὡς βασιλὶς τῇ δεξιώσει φιλοφρονεῖται. BM.

ἐκ δεξιῶν, ὥς φησι Πίνδαρος „πῦρ πνέοντος ἄτερ κεραυνοῦ ἄγχιστα δεξιαν κατὰ χεῖρα πατρὸς ἵζεαι." καὶ ἐν Κατετωλίῳ δὲ οὕτως ἵδρυται ἡ Ἀθηνᾷ. V.

ἡ διπλῆ πρὸς τὴν καθέδραν Ἀθηνᾶς καὶ Ἥρας, ὅτι ἑκατέρωθεν τοῦ Διός. καὶ ὅταν λέγῃ „αἰδοῖαι Διὸς ἀμφὶ" (Il. 8, 444) τὸ αὐτὸ σημαίνει, Διὸς ἑκατέρωθεν, οὐχ ὥς τινες δέχονται, χωρίς, ἀλλὰ μόνον καθ' ἑαυτὰς ἔχουσαι γνώμας. A.

102. ἀντὶ τοῦ ὀρέξασα ἔπιεν. M.

104. ὅτι ἄνω εἶπεν εἰς οὐρανὸν ἠϊχθήτην, νῦν δὲ Ὄλυμπον παραγεγονέναι· αἱ γὰρ κορυφαὶ τοῦ Ὀλύμπου ἐπουράνιοι. A.

108. ἡ διπλῆ, ὅτι οὕτως λέγει Ἕκτορος νέκυϊ, Ἕκτορα. καὶ ἀλλαχοῦ „οἰσέμεναι νεκρὸν Ἐλπήνορα" (Il. 12, 10). A.

109. ἐντεῦθεν γέγονεν ἡ προδιασκευή (ἐντεῦθεν δὲ ἄνω διεσκεύασαι περὶ κλοπῆς V)· „ἀλλ' ἤτοι κλέψαι ἐάσομεν." ἡ δὲ Μασσαλιωτικὴ ὀτρύνουσιν. οὕτως ἡ Χία. A.

ἐΰσκοπον: συνετόν, κατὰ τοῦ σκοποῦ φέροντα γνώμην. B.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

110. ἡ διπλῆ, ὅτι προϊάπτω Ἀρίσαρχος. καὶ ταὐτόν ἐστι τῷ προϊάλλω. A.

ἄλλως. Ἀπολλόδωρος ᾗ Ἀρητάδης ᾗ Νεοτέλης καὶ Διονύσιος ὁ Θρᾷξ διὰ τοῦ τ τὴν πρόθεσιν γράφουσι, καὶ δασύνουσι τὸ ἅ, ἵνα ᾖ προσάπτω, ἀνατίθημι· οἱ δὲ χωρὶς τοῦ τ ἔγραψαν ᾗ ἐψίλωσαν τὸ ἅ, ἵνα ταὐτὸν ὑπάρχῃ τῷ προϊάλλω, οἷον δίδωμι, προσπεύδω. ἔτως δὲ ᾗ Ζηνόδοτος ᾗ Ἀρίσαρχος ἐν τοῖς πρὸς Κωμανόν. A.

προτιάπτω: ἀντὶ τοῦ προσάπτω ᾗ παρέχω. προϊάπτω δὲ τὸ βλάπτω. B.

111. μετόπισθε: λείπει ὁ καί, ἵν' ᾖ καὶ εἰς ὕστερον θέλων τὴν πρὸς σὲ φιλίαν τηρῆσαι. BM.

εἵνεκεν τῶν δεσμῶν (Il. 1, 398). τινὲς δὲ διὰ τὴν μῖξιν· ὅπερ ἄτοπον. V.

112. τὴν Θέτιν ἀποστέλλει πρὸς Ἀχιλλέα διὰ τὸ τῆς συμβουλῆς εὐπαράδεκτον· ἦκεν γὰρ αὐτῆς ὡς πάντα προειδυίας. M.

114. μαινομένῃσι: μανίας γὰρ ἴδιον τὸ αἰκίζεσθαι τὰ ἀναίσθητα. BM.

116. ἐμέ τε δείσῃ: συνδέσμοις διέζευξε, δέον εἰπεῖν δείσας λύσῃ. V.

ἀπό θ' Ἕκτορα λύσῃ: ᾗ μὴν ἐκ ἤτησέ τις. ἢ ἐπεὶ ὡς μὴ ἀπολύσων διέκειτο, ἐδὲ ἐὰν ἀντίῤῥοπον δοῖεν χρυσόν. B.

117. Ἶριν ἐφήσω: ἐντελεμένην αὐτῷ τὰ περὶ τέτου τὴν Ἶριν ἀποπέμψω. τὸ δὲ ἐφήσω ἐκ ἔχει ἐπιπέμψω ἁπλῶς, ἀλλ' ἔχει ἐντολὰς αὐτῇ δὸς πέμψω. τίς δὲ ἡ ἐντολή; „λῦσαθ' φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν" ἐφετμὴ γὰρ ἐντολή, παρὰ τὸ ἐφίεσθαι γεγοννῖα, ὃ ἔχει ἐντέλλεσθαι· „ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω" (Od. 13, 7), ὡς εἰ ἔλεγεν, ἐφετμὰς ποιέμενος. BM.

121. ἡ διπλῆ, ὅτι πάλιν ἐξ Ὀλύμπου λέγει κατιέναι· ἄνω δὲ (97) „ἠρανὸν ἀϊχθήτην." A.

122. ἔνθ' ἄρα: γράφεται ἐν δ' ἄρα. A.

123. ἀδινά: ἀθρόως καὶ ὡς ἐξ ἀνακλίσεως. ἢ ἀδιαλείπτως. BM.

124. ἡ διπλῆ, ὅτι ἅπαξ νῦν ἐν Ἰλιάδι ᾗ ἅπαξ ἐν Ὀδυσσείᾳ (16, 2) τὸ ἄριστον. ἔχει δὲ τὸ πρώϊνον ἔμβρωμα· τρὶς γὰρ τροφὰς ἐλάμβανον οἱ ἥρωες. A.

125. ἔτως Ἀρίσαρχος ἐνικῶς ἐν κλισίῃ. A.

129. βραχὺ διαλτέον μετὰ τὸ κραδίην. Πυθαγόρας παραινεῖ καρδίαν μὴ ἐσθίειν, ὃ ἔχει ἄλυπον καὶ ἀτάραχον διάγειν τὸν ἄνθρωπον. A.

ἐντεῦθεν ᾗ Πυθαγόρας παραινεῖ μὴ ἐσθίειν ζῴα καρδίαν· ὁ γὰρ ἐκείνην ἐσθίων ᾗ τὴν ἑαυτοῦ ἐσθίει, τετέχνην ἐδέποτε ἀτάραχον ᾗ ἄλυπον ἑαυτὸν τηρεῖ. BM.

οὔτε τι σίτου: διὰ τὸ „λισσόμενος δειπνῆσαι· ὁ δ' ἠρνεῖτο ξεναχίζων" (Il. 19, 304). V.

130. ἀθετεῖται· ἀνοίκειος γὰρ ἥρωϊ ᾗ θεᾷ. ἴσως διὰ τὸ πολλὰς ἀντ' αὐτοῦ κτήσασθαι ἐκγόνους. ἢ τάχα ὑποκλέπτουσα αὐτὸν τῷ πένθος ταῦτά φησι. συγκοιμᾶται ἐν Βρισηΐδι μετὰ ταῦτα (675). V.

130. 131. 132. ἀθετοῦνται εἴχοι γ', ὅτι ἀπρεπὲς μητέρα υἱῷ λέγειν „ἀγαθὸν ἔστι γυναικὶ μίσγεσθαι." ἔτι δὲ ᾗ ἁπάντων ἀσυμφορώτατόν ἐστι, ᾗ μάλιστα τοῖς εἰς πόλεμον ἐξιοῦσι χρεία γὰρ εὐτονίας ᾗ πνεύματος. ᾗ τὸ λέγειν ὅτι ὁ θάνατός σου ἐγγύς ἐστιν ἄκαιρον. διεσκεύακε δέ τις αὐτούς, οἰηθεὶς ἀποκρίμασθαι ἐδέ τι σίτου. πλῆρες δέ ἐστι, σὴν ἔδεσι κραδίην, ἐδὲ τὸ τυχὸν σίτου μεμνημένος. A.

134. ἡ διπλῆ, ὅτι ἔτως εἶπεν ἀντὶ τοῦ ἑαυτόν, ἐξ Καλλίστρατος ἦν καὶ Ἀρίσαρχος δασύνουσι τὸ πρῶτον ε τῆς ἀντωνυμίας. τῷ δὲ τόνῳ ὡς ἐμέ. A.

δασυντέον τὸ πρῶτον ε τοῦ ἑέ. τῷ δὲ τόνῳ ὡς καλέ. BM.

137. νεκροῖο δὲ δέξαι ἄποινα: τὰ μὲν ἄποινά φησιν ὑπὲρ ζώντων, σὺ δὲ ὑπὲρ νεκροῦ ᾗ ἀχρήσου δέξαι αὐτὰ ᾗ κερδάνῃς. BM.

ὑπὲρ τοῦ κοινοῦ, ὡς εἰ ἔλεγε καίτοι ἀχρήσου ὄντος. V.

138. τὴν δ' ἀπαμειβόμενος: τινὲς τὴν δὲ μέγ' ὀχθήσας, ὡς δυσχεραίνων ἐπὶ τῇ ἀποδόσει. V.

139. τῇδ': ἀντὶ τοῦ ἐνθάδε, ὡς „τῇδε γὰρ ἔβρισαν" (Il. 17, 512). τὸ δὲ εἴη ἀντὶ τοῦ ἴοι ᾖ παραγένοιτο. ὁ δὲ Ζώπυρος (τοῦ Ζωπύρου V) ἀντὶ τοῦ ἔσω. BMV.

ἐν ἄλλῳ τῇ εἴη· ὃς δῶρα φέρει. A.

140. εἰ δή: αὐτός φησιν „ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ" (Il. 1, 218). V.

141. ἐν νηῶν ἀγύρει: ὅπερ δι' ἄλλων λέγει „νηῶν ἐν ἀγῶνι" (Il. 14, 428). A.

143. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. A.

144. ταχεῖα: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ταχέως. AB.

145. εἴσω: ἡ διπλῆ, ὅτι τοπικῶς ἀντὶ τῆς προθέσεως· θέλει γὰρ εἰπεῖν εἰς Ἴλιον. A.

148. ἔτως διὰ τοῦ ν, οἷον. A.

οἶδε γὰρ ἡνιοχεῖν ὁ Πριαμος. οἷον δὲ γραπτέον, οὐχ οἷος. V.

μηδέ τις ἄλλος: ὑπὲρ τοῦ λαθεῖν. ἅμα δὲ ᾗ ἔλεον ἡ μόνωσις ἐργάζεται. MV.

149. γεραίτερος: ὡς δικαιότερος, παλαιότερος, ἔτως γεραιότερος ᾗ κατὰ συγκοπὴν γεραίτερος, ὡς „θερείταται εἰσι κέλευθοι" (Arat. 149). V.

μόνον ἀπελθεῖν μετὰ τοσάτων λύτρων ἀδύνατον, ἐπάγεσθαι δέ τινα τῶν νέων εἰς πολεμίων στρατὸν ἀπίθανον. ᾗ μόνον ἂν κῆρυξ ἕπεται, ὅπερ ἐσὶ σπονδῶν καὶ πίστεως σύμβολον, ἀλλὰ ᾗ ἔτος γέρων. BM.

150. ἠδέ: γράφεται ἢ κε. A.

151. ἡ διπλῆ, ὅτι ἔτως εἴρηκεν, νεκρὸν ὃν ἔκτεινεν, ἀντὶ τοῦ ὃν κτείνας νεκρὸν ἐποίησεν, ὡς ἐπὶ τοῦ „ἕλκος ἀναψύχοντα τό μιν βάλε Πάνδαρος ἰῷ" (Il. 5, 795). A.

152. τάρβος ὁ φόβος, ἀπὸ τοῦ τείρω, τάρος, ᾗ πλεονασμῷ τοῦ β τάρβος. BM.

ἐν ἐπιτάσει· ἐχ ὅτι θάνατος, ἀλλὰ μηδὲ τάρβος. V.

154. εἵως: τοπικῶς. χρονικῶς δὲ „ἕως ὁ ταῦθ' ὥρμαινε" (Il. 1, 193). αἰτιωδῶς δὲ „εἵως Πηνελόπειαν ὀδυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρομένην" (Od. 4, 800). V.

155. ἔσω κλισίην: εἰς κλισίην. V.

156. οὔτ' αὐτὸς: διὰ πάντων ἀσφαλῆ τὴν ἔξοδον αὐτῷ κατασκευάζει, τὸν μὲν ἐν τῇ ὁδῷ κίνδυνον δι' Ἑρμῆ διαφεύξεωϛ ὑπιχνέμενος, ἐν Ἀχιλλέως δὲ γενόμενον ὀμόνον ὑπ' αὐτῆ μὴ κινδυνεύειν, ἀλλὰ δι' ἐκείνη ϗ τὴν τῶν ἄλλων ἀσφάλειαν ποριεῖϛ, διὰ τὸ πρὸς τὰς ἱκέτας καθῆκον. BM.

157. τάχισα συνέλαβε πόθεν οἱ ἄνθρωποι ἐπὶ τὸ ἀδικεῖν ἔρχονται. ἢ γ' δι' ἀσυνεσίαν, ὃ διὰ τῆ ἄφρων· ἢ ἀκόντως, ὃ διὰ τῆ ἄσκοπος, ὃ δηλοῖ τὸν μὴ τῆ συμφέροντος προνοούμενον· ἢ ἑκουσίως, ὃ διὰ τῆ ἀλιτήμων παρέχεσεν, ὃ δηλοῖ τὸν ἀλιτάνεντον, τὸν ἑκουσίως τῆ δέοντος ἁμαρτάνοντα. ἠθικῶς δὲ ἀπολογεῖται ὑπὲρ Ἀχιλλέως, δι' ἃ εἶπεν Ἀπόλλων (40) „ᾧ ὔτ' ἄρ φρένες ἐναίσιμοι." BM.

158. ἐνδυκέως: ἐπιμελῶς. ϗ διόλυ ϗ ἐντελῶς. B.

περιδήσεται: μετ' ὀλίγον μέλλων, ἀπὸ τῆ φιδῶ. V.

160. ἐς Πριάμοιο: ὁμοιόν ἐϛι τῷ ἐς διδασκάλυ. V.

ἐνοπήν τε γόον τε: τὸν μετὰ θορύβυ θρῆνον. BM.

161. παῖδες μὲν πατέρ' ἀμφὶ: οἶκτον ἔχει τὸ τὰϛ παῖδας κλαίοντας κλαίοντι παραϗαθῆϗαι τῷ γέροντι. BM.

162. ἔφυρον; οἰκεῖον ἡρωϊκῆς σεμνότητος τὸ πένθος. V.

163. ἐντυπὰς ἐν χλαίνῃ: ἐντυπωδῶς, ὡς διὰ τῆς σκέπης ὁρᾶωϛ τὸν τύπον. ἔϛι δὲ ποιότητος ἐπίῤῥημα. ὑπερβολὴν δὲ πένθους ἀξίαν ἐϗ εὑρίσϗων αὐτῷ περιτιθεῖναι ἐκάλυψεν αὐτόν, ὑπονοεῖν ἡμῖν καταλιμπάνων οἷον ἄρα ἦν αὐτῷ τὸ πένθος. BM. ἄλλως τε ϗ ἄϋπνος ἦν, ἀφ' οὗ ὁ Ἕϗτωρ ἐτεθνήϗει. ἐντεῦθεν ὁ Σικυώνιος γραφεὺϛ μαθητευθείς, τῆς ἐν Αὐλίδι Ἰφιγενείας γράφων τὴν σφαγήν, ἐκάλυψε τὸν Ἀγαμέμνονα. V.

ἄλλως. ὕτω φησὶν αὐτὸν κεκαλύφθαι τῇ χλανίδι, ἐντετυπωμένοις τοῖς ἱματίοις ὅλον τὸ σῶμα, ὥϛε μόνον τὸν τῶν μελῶν τύπον φαίνεθαι. ADM.

ἢ διπλῆ, ὅτι ἐν ἴσῳ τῷ ἐντυπαδίῳ, ὥϛε διὰ τῆ ἱματίυ τὸν τῆ σώματος τύπον φαίνεθαι. A.

τινὲς γράφουσιν ἡ χλαίνη· ϗαὶ ἄμεινον. V.

164. κόπρος σημαίνει τρία, τὸν κῆπον, ὡς ϗ ἡμεῖς („δμῶες ἀνάγϗη τέμενος μέγα ϗοπρίσσαντο" Od. 17, 299)· ϗ τὴν τῶν βοῶν ϛάσιν, ὡς τὸ „μυϗηθμῷ δ' ἀπὸ ϗόπρου ἐπεσσεύοντο νομόνδε" (Il. 18, 575)· ϗαὶ τὴν ϗόνιν, ὡς ἐνταῦθα ϗ ὡς τὸ „ὑπὸ δὲ ϛέρνοισι ϗονίη ἴϛατ' ἀειρομένη" (Il. 23, 365). B.

Ἀρίϛαρχος σποδός. τινὲς δὲ ϗόπρια· „αὐλῆς ἐν χόρτοισι ϗυλινδόμενος ϗατὰ ϗόπρον" (640). σημαίνει δὲ ϗαὶ τὴν βυρσίαν. V.

τυτὸ γέροντος: τάτυ τῆ γέροντος. οἱ δὲ θαυμαϛικῶς τὸ τοῖο. B.

ἢ διπλῆ, ὅτι τὸ τοῖο ἐϗ ἔϛιν ἀγαθῦ, ὡς οἱ γλωϛσογράφοι, ἀλλὰ θαυμαϛικῶς τοιάτυ. ϗαὶ ὅτι ϗόπρος τὰ ϗόπρια. B.

165. καταμήσατο: ἀθρόως ἐπεσπάσατο, ὡς τὸ „ἄφαρ δ' εὐνὴν ἐπαμήσατο" (Od. 5, 482). BM. τὸ δὲ ἀμητήρ διὰ μαϗρῆ τῆ ᾶ φησί, ϗ „λειμωνόσε ἀμήσαντες" (451). „τέϗνον, μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνος ἀμήσῃς" Εὐφορίωνος. V.

ἐῆσιν: γράφεται φίλῃσιν. A.

168. κέατο: τινὲς δὲ ἀντὶ τῆ ϗεϗαμένοι (ϗεϗαμμένοι M, ϗεϗαϗωμένοι V: an ϗεϗεασμένοι?) ἦσαν. B. ὅθεν τὸ „κέδρῳ εὐϗεάτοιο" (Od. 5, 60). V.

170. τυτὸν φθεγξαμένη: πρὸς τὸ μὴ ἐϗπλῆξαι τὸν γέροντα. ὁ δὲ ὕμνος οὐδὲ τῦτο ὑποφέρει· προπεπονθυῖα γ' ἡ ψυχὴ πᾶν τὸ μέλλον τῆ παρόντος χεῖρον λογίζεθ. BM.

172. ὑσσομένη; προορωμένη. οἱ δὲ προαγγέλλουσα. BM. παρὰ τὴν ὕσσαν, ἣν ἀεὶ ἐπὶ θείας φωνῆς λέγει. V.

ἢ διπλῆ, ὅτι ἀπὸ τῶν ὕσσων προορωμένη, ϗ τὸ τόδε τοπικῶς ἀντὶ τῆ ἐνταῦθα. A.

173. ἀγαθὰ φρονέουσα: φρονῆσαι σε ποιήσουσα ἀγαθά. BV.

174. ἀϛερίσϗος, ὅτι ἐνταῦθα ὑγιῶς λέγεθ, ἐϗεῖ δὲ (Il. 2, 27) ϗαϗῶς ὑπὸ τῆ Ὀνείρυ πρὸς τὸν Ἀγαμέμνονα. A.

175. σε κέλευεν: γράφεται σ' ἐϗέλευσεν. A.

179. ϗαὶ ἅμαξαν: τὴν ἀπήνην ὕτως εἶπε. φησὶ γὰρ „ἡμίονοι ἕλϗον τετράϗυϗλον ἀπήνην" (324). V.

180. ἢ διπλῆ, ὅτι νεϗρὸν ὂν ἔϗτανε. A.

184. ἔσω κλισίην: ἢ διπλῆ, ὅτι ἀντὶ τοῦ εἰς κλισίην. A.

190. ὁπλίσαι: ἀντὶ τῆ εὐτρεπίσαι, παρὰ τὰ ὅπλα, ὡς τὸ ἐντῦναι παρὰ τὰ ἔντεα. BM.

πείρινθα: τὸ πλινθίον τὸ ἐπάνω τῶν ἁμαξῶν τιθέμενον. A. ἐφ' ᾧ φέρυσι τὰ φορτία· ὃ ϗαὶ ὑπερτιρίαν ϗαλῦσιν. D.

τὸ τετράγωνον πλινθίον τὸ ἄνωθεν περιδήμενον ταῖς ἁμάξαις. ἐϗ ῥιπῶν δέ φαϛιν αὐτὸ πλέϗεθαι, ὥϛε εἶναι ῥίπινθα, τὰ ἐϗ ῥιπῶν πλαϗέντα· ῥίπα δὲ λέγονται τὰ τῆς οἰσύας πλέγματα. ὁ δὲ Ξενοφῶν ϗώναθρον αὐτό φησι· ϗάννη γὰρ ἡ ψίαθος, ἵν' ᾖ πλέγμα ψιαθῶδες, συνέχειν τὸν φόρτον δυνάμενον. BM.

191. κηώεντα: τὸν εἰς τὸ ϗοιμᾶθαι ἐπιτήδειον. ἔνιοι δὲ τὸν εὐώδη. BM. διὰ τὴν κέδρον. V.

192. γλήνεα: χρήματα ϗατὰ Ἠλείους· οἱ δὲ ἀξιοθέατα πράγματα. ϗυρίως δὲ γλήνεα τὰ ϗοροϗόσμια λεγόμενα. τὰ ἐξῆς ἐπεϗαλέσατο. B.

ἀξιοθέατα. γλήνη δὲ παρὰ τὸ γλαμυρόν, ὃ ἔϛιν διύγρον· ὅθεν ϗ „Ἀρχέδημος ὁ γλάμων." ϗ παροιμία „ἐν τυφλῶν πόλει γλαμυρὸς βασιλεύει." ἢ ἀπὸ μέρυς εἴρηϗεν· γλήνας γὰρ ϗυρίως τὰ ϗοροϗόσμια λέγουσιν. DMV.

ὅτως Ἀρίϛαρχος, ϗεχάνδη, διὰ τοῦ η, ἀντὶ τοῦ ϗεχάνδει· ἡ δὲ Μασσαλιωτιϗὴ ϗεϗεύθει. A.

Ἀρίϛαρχος ϗεχάνδει. A.

197. τί τοι φρεσὶν εἴδεται εἶναι: ἀνθρώπινον τὸ ἀνατίθεθαι τὸ πρᾶγμα γυναιϗὶ ϗοινωνῷ τῶν παθημάτων· ϗ ϗέϗριϗε μὲν, ἐρωτᾷ δὲ εἰ σύμψηφος ἔϛαι αὐτῷ. ὅτι γ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦτο ἤθελε, δῆλον· ὁ γὰρ πρὶν καταβῆναι ἐρωτᾷ, ἀλλ' ἐπὶ δεδογμένοις ἀναφέρει τὴν γνώμην. BM.

198. Ἀρίσαρχος ἄνωγεν ἔξω τῆ ζ. A.

199. ἔσω κρατόν: ἀντὶ τῆς εἰς κρατόν. B.

200. καὶ ἀμείβετο: Ἀρίσαρχος ᾗ ἀνήρετο. A.

201. ὤ μοι: γυναικεία ἡ ἀναφώνησις, ἐξισαμένης ἐπὶ τῶν τηλικούτων τολμῶν. V.

ἧς τὸ πάρος περ: ἐφ' αἷς πρώην. V.

202. ἔκλε': ἔκλεο κατὰ συγκοπήν, ἀντὶ τοῦ ἐδεδόξασο. BM.

τὴν κλε συλλαβὴν ὀξυτονεῖ ὁ Ἀσκαλωνίτης, ἡγούμενος τὸ πλῆρες εἶναι ἐκλέε. ἐκ ἔξι δέ, ἀλλ' ἐκλέεο τετρασυλλάβως. ᾗ δῆλον ὅτι εἴτε συγκέκοπται ἡ ὀξεῖα εἴτε ἡ βαρεῖα ἡ μετὰ τὴν ὀξεῖαν, ὀφείλει πάλιν τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα φυλάττεσθαι· οὐδὲ γὰρ χαρακτὴρ κωλύει. τὸ μέντοι „σὺ δ' αἴδεο καί μ' ἐλέησον" (Il. 21, 74) ᾗ τὰ τοιαῦτα, πρώτης ὄντα συζυγίας τῶν περισπωμένων, ἄλλης ἀναλογίας ἔχεσθαι, ὡς ἐν ἑτέροις εἴρηται. A.

205. ἡ διπλῆ, ὅτι ὑποτάσσουσι εἶχον ὡς ἐλλείποντος τοῦ λόγου „ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες" (οἱ ἐρανὸν εὐρὺν ἔχουσιν V). πλείων δέ ἐστιν ἔμφασις μὴ προσκειμένου αὐτοῦ. A.

τινὲς ἐξήνεξε, τῆς ἀρχῆς ἐξέβαλε. V.

206. τὸ ἐξῆς ἐστίν, εἰ γάρ σ' αἱρήσει, ἕ σ' ἑλεήσει· τὰ δὲ ἄλλα διὰ μέσου. A.

ἀντιστρόφως. εἰ γάρ σ' ἐσόψεται ᾗ αἱρήσει, ἀντὶ τοῦ, εἰ μόνον θεάσεται, εὐθὺς ἀναιρήσει. BM.

207. ὠμηστής: ὠμὸς καὶ ἄγριος καὶ αἱμοπότης. BM. ταῦτα δὲ ἀπολύτως. V.

208. αἰδέσεται: ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ προσδέξεσθαι ὡς ἱκέτην· „μή μιν ἐγὼ μὲν ἶκωμαι ἰών" (Il. 22, 123). A. ἀδοῖοι γὰρ οἱ ἱκέται. V.

ἄνευθεν: ὡς οὐδὲ ἐλπίδα ἔχοντές ποτε θάψαι τὸν υἱόν. A.

209. τῷ δ' ὡς ποθι: εἰ τῆς σωτηρίας τοῦ γέροντος προνοουμένη μόνον ἐφαίνετο, ἀπρεπὴς ἦν παντελῶς ὁ λόγος, ὅτι καταφρονεῖ υἱῷ τοιούτῳ ὑπὲρ ἀσφαλείας πρεσβύτου ψυχῆς. νῦν δὲ ὡς ἀδυνατοῦσα κομίσασθαι τὸν υἱόν, ἀ βάλλεται προσαποβαλεῖν ᾗ Πρίαμον. BM.

μίμηκται τούτοις λογισμοὺς ᾗ πάθος. ὡς ποθι δὲ ἕτωσ τοῦ. V.

210. ἡ διπλῆ, ὅτι ἐνταῦθα καλῶς κεῖται, ἐπὶ δὲ Ἀχιλλέως ἐν τῇ Υ (128) ἐκέτι. A.

212. ἔχοιμι: κατέχοιμι εἰς τὸ ἐσθίειν. A.

δαιμονίως τῇ ἐμφάσει χρῆται· θανάσιμον γὰρ τὸ τοῦ πατρὸς πάθος. ᾗ μέσον, ἕ ἡ χολὴ ᾗ πολὺ τὸ ἐσθιόμενον· ἐν παρατάσει τὸ ἐσθίειν. τό τε ἐμφῦσα ἐμφαντικώτατον· ἃ γὰρ λαβοῦσα τῇ χειρί, ἀλλ' αὐτῷ προσφῦσα τῷ ἥπατι ἡ ῥόμα, ὡς ἐπὶ σαρκοφάγα θηρίου. εἴγε δὲ μὴ προειλήφειμεν τὸ περὶ αὐτὴν πάθος, δυσπαράδεκτον ἦν τὸ μέγεθος τῆς ὑπερβολῆς. οἰκεῖα δὲ ταῦτα μητρὶ ᾗ πρεσβύτιδι ὑπὲρ τέκνου ἐκ ἀναιρεθέντος μόνον ἀλλὰ ᾗ αἰκιζομένου ἀτάφου. BM.

213. Ἀπολλόδωρος καὶ Καλλίστρατος τιτά, ὥστε τρία εἶναι, ἐπίρρημα τὸ τότε ᾗ σύνδεσμον τὸν ἄν ᾗ ὄνομα τὸ τιτά. ὁ δὲ Ἀσκαλωνίτης ἄντιτα παραλαμβάνει, μεταλαμβάνων εἰς τὸ ἀντέκτισα. ἕτω ᾗ οἱ πλείους, ὁμοίως τῷ ἄτιτα (Il. 14, 484). ἔχεσθαι μὲν ἂν ἡ κατὰ σύνθεσιν ἀνάγνωσις ἐμφάσεως, ᾗ μᾶλλον τῇ νοητῇ· μελλήσει δὲ λείπειν τὸ ἄν ἐν τῇ συντάξει, ἐπιζητοῦντος τῇ γένοιτο εὐκτικῇ τὸ τοιοῦτο. παραφυλακτέον δὲ ὅτι ᾗ συλλαβὴ λείπει ἡ τι, τῇ ἐντελῶς ὄντος ἀντίτιτα. A.

τὸ τέλειον ἀντίτιτα, ἵν' ᾖ ἀντιτιμώρητα. ᾗ ἔχει ὅμοιον τῷ „τρεῖς ἐνὸς ἀντὶ πεφάθοι" (Il. 13, 447). συγκέκοπται δὲ ἡ τι συλλαβή. λείπει δ' ὁ ἄν. ἐκ ἀξιόχρεων δὲ ἡγεῖσθαι τὸν θάνατον τῇ πολεμίᾳ, εἰ μὴ ᾗ τῶν σαρκῶν αὐτῆς ἐμφάγοι. BMV.

214. οὕτως ἐπεὶ οὔ ἑ, ἐπεὶ οὐκ αὐτόν. αἱ δὲ κοιναὶ ἐπεὶ οὔτι. A.

ἐπεὶ ἐχ ὁ τυχὼν ἦν ἐδὲ γύννις. τοιοῦτο δὲ ᾗ τὸ „ἀνδρὶ πάρα κρατερῷ" πρὸς σύγκρισιν Ἕκτορος. αὔξεσθαι δὲ τὸ πάθος ἐπὶ τῷ ἀναξίως ὑβριζομένῳ. τοιαῦτα καὶ ὁ Πρίαμος ἐρεῖ πρὸς Ἀχιλλέα, ἀλλὰ πεφεισμένως· „τόνδε σὺ πρώην κτείνας ἀμυνόμενον περὶ πάτρης" (500). τὸ δὲ κακιζόμενον ἀντὶ τοῦ ὡς δειλὸν ᾗ ἄνανδρον. B.

215. πρό: ἕτως χωρὶς τοῦ ὃ. A.

δίχα τοῦ σ ὡς τὸ „οἷον προσῄσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι" (Il. 4, 156). M.

ἡ διπλῆ πρὸς τοὺς γράφοντας (Il. 2, 484) „ἕσπετε νῦν μοι Μοῦσαι Ὀλυμπιάδες βαθύκολποι," ὅτι ἐπὶ βαρβάρων τὸ ἐπίθετον τίθησιν. A.

ἔτι φόβος μεμνημένον: φιλοσόργως ταῦτα, ἐπεί τοι φεύγοντα ἀνεῖλεν. B.

220. ἄλλος: ἄλλος, ᾗ μὴ θεός. BM.

221. ᾗ ἐνταῦθα ἀξιοῦσί τινες διαγέλλειν μετὰ τὸ εἰσί, ὡς καὶ ἐν τῇ Α ῥαψῳδίᾳ (62) τὸ γένος, φησί, προειπὼν ἐπιφέρει τὸ εἶδος· „ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν." δοκεῖ δέ μοι ἐνθάδε μὴ ἐπείγειν, ἐπεὶ ἐνδέχεται τὸ δεύτερον τῇ πρώτῃ ἐπίθετον εἶναι, μάντεις θύται· ᾗ ἄλλως τῶν ἱερέων ἕτεροι νοοῦνται. θυοσκόοι μὲν οἱ διὰ τῶν ἐπιθυομένων μαντευόμενοι, οἱ ἐμπυρόσκοποι — καλοῦσι δὲ αὐτὸς λιβανομάντεις —, ἱερεῖς δὲ οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι. τὰ μὲν γὰρ θυμιάματα θύη καλεῖται, τὰ δὲ σπλάγχνα ἱερά. κοινὸν δέ ἐστι τὸ μάντις. AB.

θυοσκόοι: θυοσκόποι οἱ τὰς θυσίας ἐπιτελοῦντες ᾗ δι' αὐτῶν μαντευόμενοι· ἢ οἱ λιβανομάντεις. M.

222. ἢ παρέλκει τὸ μᾶλλον Ἀττικῶς, ἢ μᾶλλον τοῦ ποιεῖν ἐχωριζόμεθα ᾗ τῷ βαδίζειν ἐπὶ τὰς ναῦς. BMV.

ὁ ἀσερίσκος, ὅτι ἐνταῦθα ἁρμοζόντως λέγεται ὁ εἶχος, ὑπὸ δὲ Νέστορος ἐν τῇ Β (81) ἐκέτι. A.

223. βραχὺ διασαλτέον μετὰ τὸν δέ· τὸ γὰρ ἐξῆς, νῦν δὲ εἶμι. A.

ἐνῆν ᾗ ἕτως εἰπεῖν, νῦν δὲ θεὸς ὁ εἰπών. ὁ δὲ ἐμφαν-

τικῶς τὴν αὐτῆ αὐτοψίαν προβάλλεται, ἐνήλλαξε δὲ τὴν τάξιν. V.

224. 225. ἡ ὑποσιγμὴ ἀμφίβολος· ἤτοι γὰρ μετὰ τὸ αἶσα, ἵνα λείπηται τὸ ἐστίν, ἢ μετὰ τὸ χαλκοχιτώνων, ἵνα κοινῇ τὸ τεθνάμεναι ᾖ κατὰ τῶν ἑξῆς. A.

226. βέλομαι: τῆς τῶν ἀκουόντων διανοίας ἥψατο ταῦτα λέγων. BM.

227. ἐπὰν γόε ἐξ ἔρον εἴην: ἐπὰν κορεσθείην τῆς τῆ ἐπ' αὐτῷ θρήνε ἐπιθυμίας. BM.

228. φωριαμῶν: ἔχουσι γὰρ ἃ φορῶμεν· λέγει δὲ τὰ κιβώτια. ἐπιθήματα δὲ τὰ πώματα ᾗ καλύμματα. καὶ ἐπιθεῖναι τὸ κλεῖσαι λέγουσιν. BV.

Ἀρίσαρχος δέ φησι τὴν κιβωτὸν λέξιν νεωτέραν εἶναι. ἀγνοεῖ δὲ ὅτι ᾗ Σιμωνίδης ᾗ Ἑκαταῖος μέμνηται αὐτῆς. V.

φωριαμῶν: Ἀρίσαρχος ὡς κιβωτῶν. ᾗ ἔχομεν τῶν διὰ τῆ αμος παρηγμένων ὀνομάτων κανόνας τοιόσδε, πρῶτον μὲν ὡς τὰ τριβράχεα, μὴ ὄντα ἐπιθετικά, βαρύνεσθαι θέλει, κάλαμος Πρίαμος. τὸ ποταμὸς ἐγένετο παρὰ τὸ ποτασμός, καθ' ὑφαίρεσιν τοῦ σ· τὸ δὲ ἰταμὸς ἐπιθετικόν ἐστι. δεύτερον δὲ ὡς τὰ ἔχοντα τὴν ἄρχουσαν μακράν, εἰ μὲν θέσει ᾖ, βαρύνεται, ὄρχαμος Τύρταμος Πέργαμος· εἰ δὲ φύσει, κύρια μὲν ὄντα βαρύνεται πάλιν, ὡς ἔχει τὸ Πύραμος Τεύταμος, οὐχ ὅτως δὲ ἔχοντα ὀξύνεται, ὡς ἔχει τὸ ἀλαμός χηραμός. τάτῳ ἂν τῷ λόγῳ, εἴτε παρὰ τὸ τὰς φῶρας ἀπείργειν ᾗ ἀπὸ τῆ τὰ φάρη φυλάσσειν ᾗ προκειμένη λέξις παρῆκται, ἔσαι κατ' ὀξεῖαν τάσιν, φωραμός, ᾗ πλεονασμῷ τῆ ῑ φωριαμός. ᾗ διπλῆ δέ, ὅτι ἐπιθήματα τῶν κιβωτίων τὰ πώματα, καταχρησικῶς δὲ πίθων καὶ τῶν ὁμοίων. A.

229. πέπλος, φᾶρος, χιτών, χλαῖνα· ὅτι διάφορα ταῦτα, τῶν ἐδήλωσεν. πέπλοι γὰρ οὓς περιεβάλλοντο (περονῶνται V) μόναι γυναῖκες, οἱ ᾗ ἑανοὶ καλῶνται· φησὶ γᾶν „πορφυρέοις πέπλοισι καλύψοντες" (796) τὰ ὁσᾶ Ἕκτορος καὶ τὰ Πατρόκλε „ἐν κλισίῃσι δὲ θέντες ἑανῷ" ᾗ „ἑανῷ λιτὶ κάλυψαν" (Il. 18, 352) ἤτοι πέπλῳ. χιτὼν δὲ ἀνδρεῖον ἔνδυμα, φᾶρος ἱμάτιον ἀνδρῶν ᾗ γυναικῶν, χλαῖνα τὸ περίβλημα τῆς κλίνης. ABM.

ᾗ διπλῆ, ὅτι διέζαλκε τὸν πέπλον ἀπὸ τῶν χλαινῶν, ᾗ τὰ φάρη ὡς διαπρέποντα τὸν πέπλον οὕτως προσηγόρευσεν. A.

232. ᾗ διπλῆ, ὅτι παρέλκει τὸ πάντα. A. ᾗ τὰ πάντα δέκα. V.

234. Θρῆκες: ὡς φιλοπόται οἱ Θρᾷκες ποτήρια χαρίζονται. V.

235. ἐξεσίην: δημοσίαν ἔκπεμψιν. δασύνεται δὲ ᾗ δευτέρα συλλαβή, παρὰ τὸν ἥσω μέλλοντα. ABM.

ἄλλως. Ἀρίσαρχος δασύνει τὴν δευτέραν συλλαβήν· παρὰ γὰρ τὸ ἵημι, φησίν, ἐγένετο. ἐπιφέρει γᾶν „πρὸ γ' ἧκε πατὴρ ἄλλοι τε γέροντες." παρὰ δὲ τὸν ἥσω μέλλοντα ᾗ ἔσια ἐγένετο ᾗ ᾗ ἐξεσία ὡς ᾗ παρὰ τὸ θήσω θεσία· „πῇ δὴ συνθεσίαι τε" (Il. 2, 339). τὸ αὐτὸ ᾗ ἐπὶ τῆ „τῶν ἕνεκ' ἐξεσίην" (Od. 21, 20). ἔτως δὲ ᾗ Νικίας. Νεοπτόλεμος δὲ ὁ Παριανός, λέγων παρὰ τὸ ἐξιέναι πεποιῆσθαι τὴν λέξιν, οἷον τὴν ἔκπεμψιν, ἀξιοῖ ψιλᾶν. ἄμεινον δὲ τῷ Ἀρισάρχῳ πείθεσθαι· ἠπίσατο γὰρ ὁ ποιητὴς ᾗ τὸν ἥσω μέλλοντα δασυνόμενον „ἥσω γὰρ ᾗ ἐγώ" (Il. 17, 515). παρὰ δὲ τοὺς μέλλοντας ὁρισικὲς ἐγίνετο τὰ τοιαῦτα ὀνόματα, ἃ παρ' ἐνεσῶτας ἀπαρεμφάτε ἐγκλίσεως· θύσω γᾶν θυσία, ἄξω ἀξία, δώσω δοσία, προδώσω προδοσία. ἔτως ἦν ᾗ παρὰ τὸν ἥσω ἐσία ᾗ ἐξεσία. A. οἱ δὲ ψιλᾶσι διὰ τὸ ὄνομα γενῆσθαι. V.

236. φείσατο: ἢ ὡς πολυτελῆς ἢ ὡς φυλασσομένων τῶν ξένων. V.

238. αἰθέσης: τῆς προσώπ, παρὰ τὸ ὑπὸ τῆ ἡλίου καταίθεσθαι. BM.

αἰσχροῖσιν: κακοῖς. ᾗ „αἴχιος δὲ ἀνήρ" (Il. 2, 216) ἀντὶ τῆ κάκιος. BM.

ἐνίσσων: Αἰολεῖς ἀντὶ τῆ ἐνίπτων. V.

239. λωβητῆρες: ψεῦσαι· „ἔτι σε λωβεύω τέκνον" (Od. 23, 26). οἱ δὲ ἐπονείδιστοι. B. λώβη γὰρ ἡ ὕβρις. V.

οὔ νυ καὶ ὑμῖν: ὡς ἐκ ἔχοντες, φησί, πένθος ἐμὲ παραμυθεῖθε. ἐμοί, φησί, συμπαθήσοντες ἥκετε, ἐχὶ δὲ ἕκαστος ἴδιον ὁρίζετε πένθος τὸν θάνατον Ἕκτορος. βέλεται δὲ λέγειν ὅτι δεῖ ἕκαστον οἴκοι μένοντα πενθεῖν τὸν Ἕκτορα. BM.

240. κηδήσοντες: βαρήσοντες τὸν ἐν κήδει ὄντα παραμυθησάμενοι. V.

241. οὔνεσθ': οἷον μικρὸν ᾗ φαῦλον οἴεσθε τὸ συμβεβηκός. ᾗ διπλῆ δέ, ὅτι οὔνεσθε, ἐκφαυλίζετε ᾗ ἐδενὸς ἄξιον ἡγεῖσθε. A.

ἄλλως. ᾗ ὄνησιν ἔχετε. A.

ἄλλως. Ἀρίσαρχος ᾗ ὀνόσασθ'· ἐμέμψασθε ᾗ ἐξεφαυλίσασθε. βέλεται δὲ λέγειν, ἐμοὶ συλλυπησόμενοι καὶ ἐχὶ ἕκαστος ἴδιον κακὸν νομίζει τὴν Ἕκτορος ἀπώλειαν. A.

ᾗ ἐπὶ ταῖς συμφοραῖς με εὐφραίνεσθε, ἀπὸ τῆ ὄναθ ᾗ ἐκφαυλίζετέ με ὡς μόνον δεινῶς πάσχοντα, ᾗ δοκεῖτε αἰτοὶ ἐδὲν ἔχειν, ἐδὲ κοινὸν τὸ κακὸν εἶναι λογίζεσθε. M.

242. ἀτὰρ γνώσεσθε: μαθήσεσθέ γε μὴν πάσχοντες κακῶς ὅτι Ἕκτωρ ἀπώλετο. BMV.

243. ῥηΐτεροι γὰρ μᾶλλον: καὶ πρὶν μὲν ῥᾴδιοι τοῖς Ἕλλησιν ἦτε, εἰ μὴ Ἕκτωρ ἠρίζευε· νῦν δὲ ῥαδιώτεροι γενήσεσθε, ἤτοι εὐκόλως τῇ καθ' ὑμῶν χρήσοντα μάχῃ. BM.

246. βραχὺ διαζαλτέον μετὰ τὸ ἰδεῖν πρὸς τὸ σαφέστερον. A.

247. δασέως δλεπ', παρὰ τὸ ἔπω δασυνόμενον· ὅτι ᾗ Ἀρίσαρχος ᾗ οἱ πλείους. οἷον διὰ τῶν ἀνδρῶν ἐπορεύετο ᾗ διίξα αὐτές. ᾗ ἔτως ἔχει τὰ τῆς ἀναγνώσεως. A.

σκηπανίῳ: ῥάβδῳ, σκήπτρῳ. δίεπε δὲ ἀνέρας ἀντὶ τῆ διὰ τῶν ἀνδρῶν ἦει. οἱ δέ, διεῖργε ᾗ διίξα τὰς ἀνδρας. ᾗ ἤπιος μὲν αἰεὶ ἦεν, ὡς πό φησιν „οἷς δ' ὁ γέρων μετέπη (Il. 3, 109) ᾗ „ἥκυρος δὲ πατὴρ ὡς ἤπιος ἦεν" (770).

νῦν δὲ τὸ πένθος δύσκολον αὐτὸν ἐποίησεν ἀπειρηκότα τῇ ζῆν. BM.

τὸ δὲ ἔξω ἑκατέροις δύναται συντάττεσθαι· βέλτιον δὲ τοῖς ἄνω. A.

248. σπερχομένοιο: ἐπειγομένῳ τῇ διώκειν, ἢ σπέρχοντος. τῆτο δὲ πρὸς τὸ θυμῶδες καὶ ἀπειθὲς τῶν ὠκιζομένων εἰς τὰ βασίλεια. BMV.

υἱάσιν: τισὶν ἀπὸ τῆ υἱάς, ὡς Ἀρκάς. V.

249. οἰκεῖον μὲν τῷ πάθει τὸ δυσχεραίνειν πρὸς πάντας· λελῃθότως δὲ Ὅμηρος κατάλογον ποιεῖται τῶν ἔτι τῷ Πριάμῳ ὑπολειφθέντων παίδων. BM.

251. Ἀλεξάνδρᾳ τοξευθέντος ὑπὸ Φιλοκτήτε, Πρίαμος τὸν Ἑλένης γάμον ἔπαθλον ἔθηκε τῷ ἀρισεύσαντι κατὰ τὴν μάχην, Δηΐφοβος δὲ γενναίως ἀγωνισάμενος ἔγημεν αὐτήν. ἡ ἱστορία παρὰ Λυκόφρονι. ADM.

ἢ διπλῆ, ὅτι ὁμώνυμος ὁ Ἱππόθοος τῷ Πελασγῷ· „Ἱππόθοος δ' ἄγε φῦλα Πελασγῶν" (Il. 2, 840). καὶ ὅτι ἄδηλον πότερόν ἐστι τὸ κύριον ὁ Δῖος ἢ ὁ Ἀγαυός. A.

Φερεκύδης τὸν Δῖον γόθον υἱὸν Πριάμε φησίν. ἔσαι δὲ τὸ ἀγαυόν ἐπίθετον. V.

252. ἐννέα: ἢ τῶν ἐξ Ἑκάβης ὀκτωκαίδεκα ἦτοι ὑπελείποντο, ἢ τῶν πεντήκοντα. V.

253. σπεύσατε: πᾶν γὰρ αὐτῷ βραδὺ φαίνεται πρὸς τὰ λύτρα, κἂν ταχὺ ᾖ. παροξυτόνως δὲ τὸ κατηφόνες, ὡς τὸ κηληδόνες σειρηδόνες. εἰς μιαλακίαν δὲ αὐτὸς ἐπισκώπτει ὡς συγγνίας αἰτίας. γίνεται δὲ κατηφὼν ἀπὸ τῆ κατηφῶ, ὅθεν φησὶ „σῇ δὲ κατηφήσας" (Il. 22, 293), ὡς εἴκω εἰκών. ὁ κάτω ἔχων τὰ φάη δι' αἰσχύνην ἢ ὀνειδισμὸν ἢ λύπην. οἱ δέ, ἄξιοι τῇ φονεύεσθαι. ὁ δὲ Νέσωρ ἐπὶ τῆς θυσίας εἶπεν „ἄγε δή μοι φίλα τέκνα" (Od. 3, 418). BMV.

κατηφόνες ὡς Μακεδόνες. οὕτως Ἀρίσαρχος, καὶ ἄμεινον· θηλυκῇ γὰρ προσηγορίᾳ ὀνειδίσαι τὰς υἱὰς ἠθέλησεν, οἱονεὶ κατήφειαι. Κράτης μέντοι κατηφέες γράφει. A.

254. ὠφέλετε: καὶ Καλλίμαχος „μὴ ὀφέλετ' ἀλλήλοισιν ἐπὶ πλέον ὄμματα δῦναι." V.

255. ὤ μοι ἐγώ: ἠθικὴ ἡ μεταξὺ ἀναφώνησις. ὀργιζόμενος δὲ τοῖς λελειμμένοις ἀφορμὴν ἔχει ὀδύρεσθαι τοὺς τετελευτηκότας. ἐλεεινὸν δὲ καὶ τὸ ἐπεὶ τέκον. ἐ δεινὸν ἦν τὸ μὴ γεννῆσαι ὡς τὸ γεννηθέντας ἀπολέσαι. πάντα δὲ κινητικά· ςενάζει, προσάσσει, λοιδορεῖ. BM.

257. ἡ διπλῆ, ὅτι ἐκ τῆ εἰρῆσθαι ἱππιοχάρμην τὸν Τρῶϊλον οἱ νεώτεροι ἐφ' ἵππε διωκόμενον αὐτὸν ἐποίησαν. καὶ οἱ μὲν παῖδα αὐτὸν ὑποτίθενται, Ὅμηρος δὲ διὰ τοῦ ἐπιθέτε τέλειον ἄνδρα ἐμφαίνει· ἐ γὰρ ἄλλος ἱππόμαχος λέγεται. A.

ἐντεῦθεν Σοφοκλῆς ἐν Τρῳΐλῳ φησὶν αὐτὸν ὀχευθῆναι ὑπὸ Ἀχιλλέως ἵππον γυμνάζοντα παρὰ τὸ Θυμβραῖον καὶ ἀποθανεῖν. ὑπονοήσειε δ' ἄν τις τὸν Μήςορα πρεσβύτατον εἶναι τῶν Πριαμιδῶν, καὶ τὸν Τρῳΐλον ἐ παῖδα, δι' ὧν τοῖς ἀρίςοις καταλέγεται. V.

258. Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν· ἐ μόνον δι' ἀρετὴν ἐξαίρετος ὁ τῆ Ἕκτορος ἔπαινος, ἀλλὰ καὶ διὰ τὸ πρόσφατον τῆς συμφορᾶς. ἠθικῶς δὲ Πρίαμος κρείττονά φησι τὸν παῖδα τῇ δοκεῖν ἐξ ἑαυτοῦ γεγεννῆσθαι. BM.

259. θεοῖο: Στησίχορος Ἀπόλλωνος αὐτόν φησιν, οὐ νοήσας τὴν ὑπερβολήν. V.

261. χοροιτυπίῃσιν: ἐκ ἐν πολέμοις. ἐκείνην γὰρ τὴν ὄρχησιν σημαίνει („καὶ ὀρχηςὴν περ ἐόντα" Il. 16, 617)· τὴν δὲ ἀπαλλαγὴν ἀποδοκιμάζει. V.

262. ἐπιδήμιοι ἁρπακτῆρες: ἐν τῷ ἰδίῳ δήμῳ πρὸς τὸ ἀδικεῖν γενναῖοι. ἔνθεν τὸ „οἶκοι μὲν λέοντες, ἐν μάχῃ δὲ ἀλώπεκες." BM.

264. ἐπιθεῖτε: ὡς „διακριθεῖτε τάχιςα" (Il. 3, 102). V.

265. οἳ δ' ἄρα: δεόντως σιωπῶσιν· ἐδὲ γὰρ ἀντιλέγειν ἔδει πατρὶ πενθοῦντι. BM.

266. ἐκ μέν: ἔξω μέν. πρᾶγμα δὲ βιωτικὸν ἐκόσμησε ποιητικῶν λέξεων ποικιλίᾳ. A.

267. πρωτοπαγῆ: πρώτως παγεῖσαν, ὅ ἐςιν ἐξόχως ἢ πρῶτον πεπηγυῖαν, ὅ ἐςι καινόν. ἔςι γὰρ τὸ μὲν τάξεως, τὸ δὲ ποιότητος. BDV.

268. καδ: τὸ ἐξῆς καθῆρεν. V.

269. ὀμφαλόεν: ὑπεροχὰς ἔχον ἐν μέσῳ τινάς, αἷς περιειλοῦντο οἱ ἱμάντες. οἱ δέ, ἕνα μέσον ἔχοντες ὀμφαλόν, ᾧ προσδεῖται ὁ ῥυμός. BM.

οἰήκεσσι: κρίκοις, δι' ὧν ἐνειρόμεναι αἱ ἡνίαι τοὺς ἵππους οἰακίζουσιν. ἢ γὰρ ἡνία τρόπον τινὰ οἷαξ ἐςὶ τῆ ἅρματος. BMV.

ἐκ ἦν παρὰ Ζηνοδότῳ ἦτος ὁ σίχος. A.

270. ζυγόδεσμον: ἱμάντα ἢ χοῖνον, ᾧ δεσμεῖ τὸν ζυγόν. B.

271. τὸ μὲν: τὸ ζυγόδεσμον. BM.

272. πρώτῃ: ἡ διπλῆ, ὅτι πρώτῃ ἀντὶ τοῦ ἄκρᾳ· „ἄξαντ' ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40). A.

πέζῃ: πᾶν τὸ ἄκρον πέζα καλεῖται. ἔχει δὲ ὁ ῥυμὸς πέζας δύο, τὴν πρὸς γῆν καὶ τὴν πρὸς τὸ ζυγόν. τὴν οὖν πρὸς τὸ ζυγὸν πρώτην λέγει. BM.

ἔσορι: τῷ πεπηγότι πασσάλῳ κατὰ τῆ ῥυμῆ καὶ τοῦ ζυγῆ, περὶ ὃν τὰ ζυγόδεσμα εἵλεῖται καὶ ὁ κρίκος ἔγκειται. A.

τῷ κατὰ τὸ ἄκρον τῆ ῥυμῆ ἐμπεπηγότι πασσαλίσκῳ, περὶ ὃν ὁ κρίκος ἐμβαλλόμενος τῷ ζυγῷ ἐντίθεται. δασύνεται δὲ τὸ ἔσορι ἀπὸ τῆς ἔσεως. BM.

δασέως, ἀπὸ τῆς ἔσεως· τὸν γὰρ βαλλόμενον πάσσαλον ἐπ' ἄκρᾳ τῇ ζυγῇ νοητέον. A.

τινὲς δὲ γράφουσιν ἔκτορι οἷον ἐχέτορι. D.

273. ἑκάτερθεν ἔδησαν: ἑκατέρωθεν ἔδησαν, ἀμφαλλάσσοντες τὸν ἐν μέσῳ τῇ ζυγῇ ὀμφαλόν, ἵνα μὴ ἑτεροκλινήσῃ. BM.

274. ὑπὸ γλωχῖνα: ὑπὸ τὴν γωνίαν τὴν γεγονυῖαν ἐκ τῆ ῥυμῆ καὶ τῆ ζυγῆ· ὅταν γὰρ συνδεθῇ τῷ ῥυμῷ ὁ ζυγός, ἀποτελῶνταί τινες γωνίαι. δηλοῖ δὲ καὶ τὴν γλωσσίδα.

ἔγναμψαν δὲ ἀπετερμάτισαν, ἵνα μὴ κρέμηϑ ὁ ἱμάς. BM.

ἔκαμψαν: ἔκοψαν, ὑπέκοψαν, ἀπετερμάτισαν. V.

275. διαςαλτέον μετὰ τὸ φέροντες πρὸς τὸ σαφέςερον. A.

277. ἐντεσιεργούς: τοὺς ὑποζυγίους καὶ μὴ ψιλῶς νωτοφόρους, ἀλλὰ τήν τε ἅμαξαν καὶ τὴν πείρινθα ἕλκοντας, ὅπερ καὶ ἔντεά φησιν. AMD.

οὐ τοὺς μετὰ κανθηλίων νωτοφοροῦντας, ἀλλὰ τοὺς ἅρματα ἕλκοντας. καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· „ἱππείοις ἔντεσι μεταΐσσων" (Ol. 13, 28). ἢ τοὺς ἑτοίμους πρὸς τὰ ἔργα. B.

278. Μυσοί: Μυσοὶ πλησίον ὄντες Ἐνετῶν, ὅθεν ἡμιόνων γένος (Il. 2, 852). ἢ ὡς καὶ παρὰ Μυσοῖς διαφόρων ὄντων. Ἀνακρέων ἱππόθορον δὲ Μυσοὶ εὑρεῖν μῖξιν ὄνων πρὸς ἵππους, ἐξ ὧν ἡμίονοι. καὶ νῦν μὲν ἀρσενικῶς εἶπεν, ἑξῆς δὲ „τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων" (325). V.

281. 282. ζευγνύσθην: ζευγνύναι προσέτασσον· τούτοις γὰρ διὰ τῶν Πριαμιδῶν τὸ ζεῦγμα παρεσκευάζετο. καὶ οἰκοδομεῖ μὲν ὁ ἐργάτης, οἰκοδομεῖται δὲ ὁ χορηγός· καὶ γλύφει μὲν ὁ γλυφεύς, γλύφεται δὲ ὁ δεσπότης. ζεύγνυσιν ὁ ὑπηρετῶν, ζεύγνυται δὲ ὁ προςάσσων. B.

282. ἡ διπλῆ, ὅτι εἰ μὴ προσέθηκε τὸν ςίχον, οἱ θέλοντες συγχεῖσθαι τὰ δυϊκὰ παρ' Ὁμήρῳ, Ἐρατοσθένης καὶ Κράτης, ἔλεγον ἂν ἐπὶ τῶν ἐννέα Πριαμιδῶν τετάχθαι τὼ μὲν ζευγνύσθην. A.

283. τετιηότι: περιλύπῳ. B.

285. λείψαντε: συλληπτικῶς· μόνος γὰρ σπένδει ὁ Πρίαμος. BM.

292. αἴτει δ' οἰωνόν: γυναικεῖον ἦθος τὸ ἐπὶ μαντείας καταφεύγειν, εἴ τί που περίφοβον σχοῖεν. BM.

ταχύν: ἐν ἄλλῳ ἑόν. τὸ ἑξῆς αἴτει δ' οἰωνὸν δεξιόν· τὰ δὲ ἄλλα διὰ μέσου. A.

ἑόν: ἀγαθόν. οἱ δὲ τὸν αὐτοῦ. V.

ἐγκλιτικῶς ἀναγινώσκουσι τὴν οἱ, ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψίς ἐςιν, ὁμοίως τῷ „ἀλλά οἱ αὐτῷ Ζεύς" (Od. 4, 667). A.

293. φίλτατος: ἢ ὅτι τῇ αὐτῇ ἡμέρᾳ αὐτῷ ἐγεννήθη· ἢ ὅτι ὁρμῶντι αὐτῷ ἐπὶ τὴν βασιλείαν ἐφάνη καὶ ἐνεφάνισεν αὐτῷ τὰ μέλλοντα. τινὲς δέ φασιν ὅτι γεννηθέντα Δία εἰς οὐρανὸν ἐκόμισεν. οἱ δέ, ὅτι Μέροψ ὁ Κῷος ἀπαύςως ἐπένθει τὴν γυναῖκα, ξενίσας δὲ τὴν Ῥέαν μετεβλήθη καὶ συμπάρεςιν ἀεὶ τῷ Διί. V.

φασὶν ἐπὶ τὴν βασιλείαν ὁρμῶντι αὐτῷ αἰετὸν φανῆναι σύμβολον τῆς εὐτυχίας καὶ τοῦ κράτους, ἔνθεν αὐτὸν τῶν ἄλλων μᾶλλον ἐφίλει. BM.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει καὶ οὗ. ἔςι δὲ ἀντὶ τοῦ ἑαυτοῦ, καὶ ἀδιάφορος ὁ λόγος. B.

μάλιςα: γράφεται μέγιςον. A.

295. Δαναῶν ταχυπώλων: γράφεϑ χαίρων ἐνὶ θυμῷ. A.

297. οὐκ ἂν — κελοίμην: ἐξ ἀντικειμένου φησὶν ὅτι κωλύσω σε. BM.

300. ὦ γύναι, οὐ μέντοι: πείθεται Πρίαμος οὐκ ἀπιςῶν Ἴριδι, ἀλλὰ τὴν γυναῖκα θαρσοποιῶν. BM. μᾶλλον ἐκ τοῦ καταδέξασθαι τὸν τῆς γυναικὸς λόγον φαίνεται πληροφορίαν ἔχων τῶν λόγων τῆς Ἴριδος, πεπεισμένος ἐξ ἐκείνων ὅτι καὶ τοῦτο τελέσει ὁ Ζεύς. οὐ γὰρ ἄν, εἰ περὶ ἐκείνων ἀμφέβαλλε, τούτῳ συγκατέθετο τῆς γυναικὸς ἐνιςαμένης ἄλλως μὴ ἐᾶσαι αὐτόν. M.

303. ἀκήρατον: καθαρόν, ἀθόλωτον, ἀμίαντον. BM.

304. χέρνιβον: οὐχ ὥς τινες τὸ ἀγγεῖον· ἐπιφέρει γὰρ πρόχοόν θ' ἅμα. ἀεὶ δὲ παρὰ τῷ ποιητῇ τὸ ὕδωρ δηλοῖ. BM.

ἡ Μασσαλιωτικὴ ταμίη μετὰ χερσὶν ἔχουσα διὰ τὸ μὴ εἰρῆσθαι νῦν συνήθως αὐτῷ ἐπὶ τῶν ὑδάτων ἀλλ' ἐπὶ τοῦ σκεύους τὰ χέρνιβα. εἰ μὴ ἄρα ἑνικῶς ἐνθάδε γραπτέον χέρνιβον ἀμφίπολος. V.

ἀθετεῖται, ὅτι παρὰ τὸ σύνηθες αὐτῷ χέρνιβον τὸ ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ ὕδωρ, ὡς ἡμεῖς· τοῦτο δὲ αὐτὸς εἴωθε καλεῖν λέβητα, τὸ δὲ κατὰ τῶν χειρῶν διδόμενον ὕδωρ χέρνιβα. ἔνιοι δὲ διπλῇ σημειοῦνται ὡς ἅπαξ ἐνταῦθα εἰρημένον. A.

305. λείπει ἡ παρά. A.

306. μέσῳ ἕρκεϊ: ἐν τῷ μέσῳ τῆς αὐλῆς, ὅπου καὶ βωμὸς τοῦ ἑρκείου Διὸς ἦν, πρὸς ὃν μετὰ τὴν ἅλωσιν καταφυγὼν ἀπέσφακται. BMV.

ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ πρόθεσις, ἀντὶ τοῦ ἐν μέσῳ ἕρκει ςὰς εὔχετο. A.

309. ἐς Ἀχιλλῆος: ἀντὶ τοῦ πρὸς Ἀχιλλέα· ἤμελλε γὰρ αὐτὸν ἔνδον εὑρήσειν. τὸ δὲ φίλον ἐλθεῖν, ὡς μὴ ἐχθρῶς προσδεχθείην· ἐλεεινὸν δὲ ἐλέου ἄξιον. καὶ ὡς ἐχθρὸς μὲν τῆς ἔχθρας αἰτεῖται λύσιν, ὡς δὲ δυςυχῆς ἐλέου τυχεῖν. BMV.

310. ταχύν: ἐν ἄλλῳ ἑόν. A.

311. μάλιςα: γράφεται μέγιςον. A.

315. τελειότατον: ἐπιτελεςικὸν εἰς ὃ ἂν ὀφθείη. ὁ τὸν ἀξιώματι ὑπερέχοντα, ὡς λέων τελειότατος θηρῶν, τουτέςι κυριώτατος καὶ βασιλικώτατος. BM.

ἡ διπλῆ, ὅτι οὐ τὸν τῷ σώματι τέλειον, ἀλλὰ τὸν ἐπιτελεςικώτατον. A.

πιθανῶς οὐδὲν ἔχει ὁ ἀετός, ὅπως σημαίνῃ Πριάμῳ ὅτι οὐ μὴ συλληφθῇ ὑπὸ τῶν φυλάκων. μέλας δὲ ὢν τῆς εἰς σόδου ἐδήλου τὸ λαθρίδιον, ὁ δὲ θηρευτὴρ τὸ ἐπιτευκτικόν. οὐδὲν δὲ κτείνων οὐδὲ ἁρπάζων φαίνεται, ἀλλ' ἥμερος, τοιοῦτον δηλῶν ἔσεσθαι τὸν Ἀχιλλέα. BM.

ἄλλως. ἐζητήθη ποίου μέμνηται ἐνταῦθα Ὅμηρος αἰετοῦ τοῦ πυγάργου ἢ τοῦ ἀφροδισίου ἢ πελλοῦ, περὶ ὧν φησὶν ἐν τῇ Ἰλιάδι Κ (274). καὶ πάλιν, „αἰετοῦ οἴματ' ἔχων μέλανος τοῦ θηρητῆρος," περὶ οὗ φησὶν ἐν τῇ Ἰλιάδι Φ (252). ἔςι δὲ ὁ αὐτὸς καλούμενος μόρφνος ὀνόματι, καὶ μέλας δὲ ὢν περὶ οὗ φησὶν Ἀριςοτέλης· ἕτερος δὲ μέλας χρόαν καὶ μέγεθος ἐλάχιςος καὶ κράτιςος· οἰκεῖ δ' ὄρη καὶ ὕλας, καλεῖται δὲ μελαναίετος καὶ λαγωσφόνος, ἔςι δὲ ὠκυβόλος. ἐπεὶ τοίνυν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κοινῶς αἰετὸν ἔφη, προσέθηκε μέλανος, εἶτα ἐπικυρῶν τῷ θηρητῆρος. οἱ δὲ κατεψεύσαντο τῷ ποιητῇ ὡς μελανόξυ ὑφ' ἓν ὡς Ὀρέξυ εἰρηκότος διὰ τὸ καὶ Δημόκριτον ἰσορεῖν ἐπὶ τῷ ἀετῷ τὰ ὀξὰ μέλανα εἶναι, καταψευδόμενοι τῆς ἀληθείας· ὀξὺν γὰρ μέλαν ἐδενὸς ζῴου εὑρίσκεται· οὐδ' ἂν εἶπεν ὁ ποιητὴς ὀξὺν, εἰωθὼς ὀξέον λέγειν τρισυλλάβως, ἀλλ' ὅτός ἐστιν ὁ μέλας, ὁ θηρητήρ, ὃν Ἀριστοτέλης μὲν κράτιστον ἔφη, Ὅμηρος δὲ „ὃς θ' ἅμα κάρτιστός τε καὶ ὠκιστος πετηνῶν." εἰώθασι δὲ καὶ ὁ Ἀρχίλοχος μελάμπυγον τοῦτον καλεῖν· „ἦ τεν μελαμπύγου τύχης." (cf. Müller. Dor. 1. p. 458). ἄλλος γὰρ ὁ πύγαργος, ἄλλος δὲ ὁ μέλας ὅλος. διὰ τοῦτο καὶ μελάμπυγον. ἀλλ' ἐκ τούτου ἀναφέρων θυόσας κατωμαδὸν πρὸς Ἡρακλέους τερομένους τὰς ὑπὸ τὰ ἰσχία αὐτῶν καταμαθεῖν πυγάς, καὶ γελάσαντας οὕτω τυχεῖν σωτηρίας, ἀλλὰ πρὸς τὸν πύγαργον ἀετὸν συγκρίνων καρτερὸν εἶπε τὸν μελάμπυγα. διὸ ἔτε τὸ μελανοξῷ συναπτέον, ἔτε τὸ μελανόσσῳ γραπτέον οἷον μελανοφθάλμῳ· μελαναίετος γὰρ ὡς ὅλος μέλας. ἔτε, ὥς φησιν Ἀρίσαρχος, ἐγκλίνοντες ἂν προφεροίμεθα μέλανός τε· ἐπιτηδεύων γὰρ εἶπε τῷ θηρητῆρος, ἐπεὶ ὁ μέλας τοιοῦτος. ἀλλὰ τὸ ἄρθρον λυπεῖ προκείμενον. λυπείτω ἔν γε ἐπὶ τῷ Τελαμωνιάδῃ καὶ Ἀσκληπιάδῃ καὶ „ἕνεκα τοῦ Χρύσην ἠτίμασεν." ἀπὸ δὲ τούτου ὅτι τὸν αὐτὸν μόρφνον καὶ περκνὸν καλεῖ, συναγάγοι ἄν τις ἐκ τοῦ κἀκεῖνον θηρῆτηρα εἰπεῖν, μόρφνον θηρητῆρα, εἰ μὴ ἄρα ἄλλος μὲν ὁ περκνός, ὃς καὶ θηρητὴρ κοινῶς εἴρηται, ἄλλος δὲ ὁ μέλας, ὃς καὶ θηρητὴρ ἰδίως καλεῖται. BM.

316. μόρφνον ὡς ὕπνον· καὶ ὅτως ἔχει ἡ ἀνάγνωσις. εἴτε μορύφνους ἐστὶν, εἴτε παρὰ τὴν ὄρφνην ἐχημάτισται πλεονάσαντος τοῦ μι κατ' ἀρχήν, ἵνα σημαίνηται ὁ μέλας, εἴτε παρὰ τὸ μύρπτω μόρφνος ἐστὶ καὶ μόρφνος ὁ συλλαμβάνων, ἐξ οὗ σημαίνεται ὁ ταχύς, κατὰ πάντα τρόπον ὀφείλει βαρύνεσθαι διά τε τὰς χηματισμὰς καὶ τὸν χαρακτῆρα. καὶ γὰρ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παραχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται, ὑπεξαλμένων τῶν εἰς μος ληγόντων, οἷον κόρτος φόρτος ὄρκος, ὄρθος τὸ μονογενές, πόρνος· οὐ γὰρ θηλυκὸν αὐτοῦ τὸ πορνή. ὅτως δὲ θέλει καὶ τὸ πτόρθος· ὅτως μόρφνος. παρεφύλαξα δὲ τὰ εἰς μος διὰ τὸ κορμός γορμός. τὸ μέντοι περκνός ὀξύνεται ὁμοίως τῷ πυκνός. ὅτως καὶ ὁ Ἀσκαλωνίτης, μεταλαμβάνων εἰς τὸν μέλανα. καὶ ἐμοὶ δὲ δοκεῖ ὅτως ἔχειν ὑγιῶς, ἐπεὶ οὐδὲ παραλήγεται τῇ ορ συλλαβῇ, ὡς καὶ τὰ προκείμενα. ὁ μέντοι Ἀρίσαρχος ἀετῶ εἶδος, καὶ βαρύνει· ἀλλ' ἔν γε ἐπείσθη ἡ παράδοσις τοῖς ὀξύνουσιν. A.

μόρφνον: ἀπὸ τοῦ μεμοιρῆσθαι περὶ τὸν φόνον, ἢ μόρφνον ἐπάγειν. οἱ δὲ εὔμορφον, οἱ δὲ μάρπτοντα. περκνὸν δὲ μέλανα· ἐξ οὗ καὶ βότρυς περκάζων καὶ οἰονεὶ περκνάζων καὶ μελαινόμενος. BM.

317. θύρη θαλάμοιο: τῶν γὰρ τοιούτων καὶ μέγισαι αἱ θύραι, μάλιστα φιλοτιμουμένου τοῦ κατασκευάζοντος. BM.

318. ἡ διπλῆ, ὅτι δύναται καὶ κατὰ σύνθεσιν εὐκλήϊς, εὐεπίκλειστος, χωρὶς δὲ τὸ ἀραρυῖα· δύναται δὲ καὶ κατὰ συναλοιφήν, εὐ ταῖς κλεισὶν ἀραρυῖα. A.

Ἀρίσαρχος ἐϋκλῆϊς ὡς ἐϋκνήμις, σύνθετον ποιῶν τὴν λέξιν· ὅτως καὶ ὁ Ἀσκαλωνίτης. εἰσὶ δὲ οἳ διεῖλον, ἐῢ κλῇσ' ἀραρυῖα, οἷς συγκατατίθεται καὶ Τρύφων, οὐκ εὖ· ἄμεινον γὰρ ἐπιθετικῶς ἀκοῦσαι καὶ μὴ πάθος ἐκδέχεσθαι πληθυντικῆς δοτικῆς, λέγω δὲ τὸ τῆς ἐκθλίψεως. ὃ δέ φημι, τοιοῦτόν ἐστιν, ὡς ὅτι ἐκθλίβεται μὲν τὸ ι τῆς δοτικῆς παρὰ τῷ ποιητῇ καὶ ἑνικῆς ὑπαρχούσης καὶ πληθυντικῆς („κερκίδ' ὕφαινε" Od. 5, 62· „χέρσ' ἐρέται" Od. 13, 115· „καὶ νήεσσ' ἠγήσατ' Ἀχαιῶν" Il. 1, 71), ἓ γέμειν τὸ ἀπὸ τῶν εἰς ις ἐκτεταμένον θηλυκῶν. εἰ δ' ἡ προκειμένη λέξις κρίσεως δεῖται κατὰ τὴν ἀνάγνωσιν, δῆλον ὅτι συνθέτως ἀναγνωσόμεθα, ὅπως μὴ πληθυντικῶς δῶμεν τὴν χρῆσιν παρὰ τὴν συνήθειαν τῷ ποιητῇ καὶ ἐκθλιψιν σημειώσῃ. εἰ δὴ σύνθετόν ἐστι τὸ εὐκλῆϊς, καὶ παροξύνειν δεῖ αὐτό· μακρὸν γὰρ τὸ ι καὶ ἐν τῇ συνθέσει, ὡς ἐν τῷ κ' τῆς καθόλου φησὶν ὁ αὐτός· ἀπὸ γὰρ τοῦ χρόνου τὸν τόνον ἐσήσαμεν. καὶ ἐν τῷ τρίτῳ δὲ τῶν ὀνοματικῶν περὶ τῆς ἐκτάσεως αὐτῶν ταῦτά φησιν· „ἄλλως τε εἰ ἐπιζητοῦσιν ἐκτεταμένον τὸ ι, ἔχουσιν ἐν τῷ εὐκνήμις, μελαμψήφις· καὶ εἰ τοῦτο," φησί „δῆλον ὅτι παροξύνεται." A.

319. καταχρηστικῶς πτερὰ αἱ πτέρυγες. κυρίως δὲ εἰσὶ πτερὰ τὰ πτίλα. AB.

εἴσατο: ἀντὶ τοῦ ἐφάνη. B.

320. ὑπέρ: γράφεται διά. A.

322. ὁ γεραιὸς ἑοῦ: γράφεται ὁ γέρων ξεσῷ. A.

323. προθύροιο: τὰ τῆς αὐλῆς τειχία. Κύπριοι δὲ παχάδα ἀμφίθυρον. BM. Σικελοὶ δὲ τὴν αὔλειον θύραν. V.

ἰριδούπου: μεγαλοήχου. καὶ ἀλλαχοῦ (Od. 4, 72) „κατὰ δώματα ἠχήεντα." V.

326. ἐφέπων: ἔμπειρος γὰρ ἡνιοχείας. V.

328. τὸ κινδυνωδες τοῦ πράγματος καὶ ἔτι ἀμφιβάλλειν αὐτὸς ποιεῖ. M.

329. πόλεος: γράφεται πόλιος. αἱ δὲ ὑποζυγιαὶ κατέβαν, ἀφίκοντο· ἡ δὲ ἀνταπόδοσις πρὸς τὸ οἱ μὲν ἂρ' ἀφ' ἵππων (330). A.

330. οἱ μέν: τούτῳ συναπτέον τὸ παῖδες καὶ γαμβροί (331). V.

331. 332. οὕτως τὴν συναλοιφὴν διεῖλεν Ἀρίσαρχος, Ζῆ-ν', ἐν ἀρχῇ τοῦ ςίχου τὸ ν θείς. A.

ἡ διπλῆ πρὸς τὴν συναλοιφήν, ὅτι ἐν δύο ςίχοις· τὸ γὰρ πλῆρές ἐστι Ζῆνα ἐς πεδίον φανέντε. A.

332. προφανέντε: ἐν τῇ Χίᾳ καταβάντε. A.

334. Ἑρμεία, σοὶ γάρ: ἀπήλλαξεν ὁ ποιητὴς ζητήσεως ἡμᾶς, προθεὶς τὴν αἰτίαν διὰ τί νῦν τῷ Ἑρμῇ χρῆται διακόνῳ καὶ ὁ τῇ Ἶριδι. ὁ παραγγελίας μόνης ἔδει ψιλῆς, ὅπερ γε δὴ ἐκ τοῦ προφανῆς ἑαυτὸν ὁμολογεῖ Ἱριόμῳ, ἀλλ' ἐπὶ τῷ φιλοποιῆσαι αὐτὸν Ἀχιλλεῖ καὶ κλέψαι τὴν πορείαν. BM. διὸ καὶ τὴν ῥάβδον ἔχει, ὥςε κοιμίσαι τὰς φύλακας καὶ ἐπεγεῖραι τὸν Πρίαμον. ἐν δὲ Ὀδυσσείᾳ ὀλίγως. V.

335. ἑταιρίσσαι: φίλον γενέσθ᾽ ᾗ ἑταῖρον. A.

συνεργῆσαι. οἱ δὲ παραγενέσθ᾽· ὅθεν ᾗ ἑταιρὶς ἡ συμπαραγινομένη ἄλλοτε ἄλλῳ εἰς μῆξιν. ἢ φιλοποιήσασθαι πρὸς γὸ τὸ φίλον αὐτῷ Ἀχιλλέα ποιῆσαι πέμπεται. BM.

τινὲς καὶ τ᾽ ἔκλυες. καὶ λείπει, φασί, τὸ ἀεί, ἀντὶ τῆ κλύεις. V.

337. ἡ διπλῆ, ὅτι ἴδῃ ᾗ νοήσῃ παραλλήλως ταὐτόν ἐστιν. AB.

338. ἡ διπλῆ, ὅτι ὕτως εἴρηκε Πηλείωνάδε, εἰς Πηλείωνα, ἀντὶ τῆ πρὸς Πηλείωνα ἢ ἐπὶ Πηλείωνα. AB.

ὁμοίως τῷ „εἰς Ἀγαμέμνονα δῖον ἄγον" (Il. 7, 312). V.

340. πέδιλα: Ἀριστοτέλης αὐτὰ πτερωτὰ οἴεται, ψευδῶς. V.

341. 342. ὁ ἀστερίσκος, ὅτι ἐνταῦθα ὀρθῶς κεῖνται καὶ ἐπὶ τῆ πρὸς Καλυψὼ διαπεραιωμένῳ Ἑρμῆ (Od. 5, 44), ἐν δὲ τῇ Ραψῳδίᾳ τῆς Ὀδυσσείας (97) ἐκέτι. A.

341. ὕτως διὰ τῆ ο, φέρον. A.

343. τὴν ῥάβδον συγαλτέον κατὰ τὴν πρώτην συλλαβήν, ἐχ ὅτι παρὰ τὸ ῥάπτω ἐγένετο, ἔνθεν ᾗ τὸ ῥαπίζω, ἀλλ᾽ ὅτι ᾗ τὸ ᾱ πρὸ τῆ β συσέλλεσθ᾽ θέλει, ἁβρὸς Ἀβδηρος Ἀβαρβαρέῃ ἐπιγράβδην. ὕτως ἂν ἐχέτω ᾗ ἡ ῥάβδος. διὸ τὸ ἄβαλε ᾗ κατὰ τῆτο ἐσημειῆτο. A.

ταύτην Ἀπόλλων αὐτῷ δέδωκεν, ὥς φησι Φερεκύδης. ᾗ οἱ μὲν παρὰ τὸ ῥᾳδίως βαδίζειν ἐκτείνεσιν, οἱ δὲ παρὰ τὸ ῥαπίζειν συσέλλεσιν· ὃ ᾗ ἄμεινον. τὸ γὰρ ᾱ πρὸ τοῦ β συσέλλεσθ᾽ θέλει, εἰ μὴ κατὰ διάλεκτον ἐκτροπὴ τοῦ ῃ εἴη. V.

τῇ τ᾽ ἀνδρῶν ὄμματα: ὕπνε γὰρ ᾗ ἐγέρσεως δεσπόζει· ὁ γὰρ λόγος καλεῖ τε ᾗ ἀναπτεροῖ. BM. καὶ τὴν εὐαρμοστοτάτην λύραν ἐξεῦρεν, ὡς καλεῖ τε ᾗ κινεῖ τοὺς πολεμίους. V.

344. ὕτως Ἀρίσαρχος, ἐθέλει, διὰ τῆ ε· αἱ δὲ κοιναὶ διὰ τῆ η, ἐθέλῃ. A.

346. αἶψα δ᾽ ἄρα Τροίην: ἐν ἄλλῳ αἶψα δ᾽ ἄρ᾽ ἐς Τροίην. A.

347. αἰσυητῆρι: Ἀρίσαρχος αἰσυμνητῆρι, τουτέστι βασιλικῷ. A.

ὕτως αἰσυμνητῆρι βασιλεῖ τὴν μορφὴν ἐοικώς. καὶ ἀλλαχῆ „παναπαλῷ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν" (Od. 13, 222). A.

οἱ μὲν ὄνομα ἡλικίας· οἱ δὲ ἐῤῥωμένῳ, παρὰ τὸ σεύεσθαι εὖ (παρὰ τὴν εὖσοιαν V)· οἱ δὲ εὐδαίμονι· οἱ δὲ δικαίῳ, παρὰ τὴν αἶσαν· οἱ δὲ εὐμήρῳ ᾗ σεμνῷ, ἵνα ἐκπλήξῃ Πρίαμον· οἱ δὲ κοσμίῳ, πρὸς τὸ μὴ δέξασθ᾽ παρὰ Πριάμῳ δῶρα· οἱ δὲ κεκινημένῳ, παρὰ τὸ αἴσσειν· οἱ δὲ νομίῳ. Ἀρίσαρχος δὲ αἰσυμνητῆρι, ὃ ἐστι βασιλεῖ, οἱονεὶ αἰσιονομητῆρι· οἱ γὰρ βασιλεῖς τὰ αἴσια νέμεσι. κούρῳ δέ, ὅπως αἰδεσθῇ τὸ γῆρας Πριάμῳ. BMV.

348. πρῶτον ὑπηνήτη: μεθόριον ἡλικίας ἀνδρὸς ᾗ παιδός, ἁβρότερον μὲν ἢ κατ᾽ ἄνδρα, γενναιότερον δὲ ἢ κατὰ παῖδα. περὶ τὲς τοιύτες δὲ ἦν ᾗ ὁ Σωκρατικὸς ἔρως. καὶ μύσαξ μὲν αἱ ἐπὶ τῆ ἄνω χείλες τρίχες, τὸ δὲ κάτω πάππος, τὸ δὲ ἐξ ἀμφοῖν ὑπήνη, ὡς τὸ „ᾗ μολύνων τὴν ὑπήνην." οἱ δὲ κοινῶς εἶπον τὸ γένειον· πρῶτον ὑπηνήτῃ ἀρχομένῳ γενειάζειν. AB.

χαριεσσάτη: πρὸς τὰς πράξεις ᾗ πρὸς τὸ δύνασθ᾽. BM. ἢ μίξεως ἀντιποιεμένη· χάριν γὰρ ταύτην καὶ Πίνδαρος εἶπεν. V.

350. ὄφρα πίοιεν: διὰ γὰρ τὸ πένθος τοῖς κτήνεσιν οἴκοι ποτὸν ἐκ ἐδίδοσαν. BMV.

351. ἢ ἔν ἀντὶ τῆς παρά. B.

352. ἐξ ἀγχιμόλοιο: ἐκ τῆ σύνεγγυς γεγονότα. V.

ἐφράσσατο: ἐν φρεσὶν εἶδε, συνεῖδε, διέγνω. Πρίαμος δὲ ὅλος ἐξὶ περὶ τὸ πῶς παρακαλέσει Ἀχιλλέα· διὸ ἐχ ὁρᾷ. ὁ δὲ κῆρυξ μᾶλλον τῆς ἰδίας σωτηρίας ἢ τῆς τοῦ νεκρῆ λυτρώσεως φροντίζει. τῷ δὲ τοιύτῳ ἤθει ᾗ τὰ ἑξῆς ἀκολουθεῖ· φεύγειν γὰρ συμβουλεύει. BMV.

354. φραδέος: συνετῆ· ὅθεν ᾗ ἀφραδέες οἱ ἀσύνετοι. BM.

355. διαῤῥαίσεσθαι: διαφθαρήσεσθ᾽. ἴδιον δὲ βαρβάρων τὸ αἰεὶ τὰ χείρω προσδοκᾶν ᾗ πρὸς φυγὴν ἑτοίμως εἶναι. BV.

356. φεύγωμεν ἐφ᾽ ἵππων: καταλείψαντες αὐτὰ δηλονότι τὰ τῆ ἀπήνης, ἵν᾽ ἀχοληθῇ περὶ αὐτά. BM. ἵνα σχολῇ τῇ περὶ αὐτὰ ὑπερίδῃ ἡμῶν. V.

358. ὡς φάτο· σὺν δὲ γέροντι: ἄκρως μεμέρισται ὁ λόγος, περὶ μὲν τῆ φεύγειν ᾗ τῆ δεῖν ἱκετεύειν τῷ ταπεινοτέρῳ προσώπῳ, τῷ δὲ Πριάμῳ συγχυθῆναι μὲν τὸν νῆν ᾗ ὀρθὰς αὐτῷ τὰς τρίχας σῆναι, ᾗ μέντοι ἀγενές πεποιηκέναι. BMV. τὴν δὲ ταραχὴν τῆς διανοίας μεμίμηται διὰ τῆ ὑπερβατοῦ. V.

360. ταφών: μὴ δυνάμενος φωνῆσαι τῇ ἐκπλήξει. BM.

361. χεῖρα: πρὸς πίστιν ἡ δεξιά. V.

362. πῇ: εἰς τόπον· καὶ τὸ ποῖ. τὸ δὲ πόθι ἐν τόπῳ τὸ δὲ ποῦ ἄμφω. V.

πάτερ: δεύτερον τῆς δεξιᾶς αὐτὸν θαρσύνει. V.

363. νύκτα δι᾽: διὰ τῆς νυκτός. V.

364. οὐδὲ σύ γ᾽ ἔδδεισας: αὔξει τὴν χάριν καιρῷ, τῷ τῶν πολεμίων εὐεπηρεάστῳ, τῷ ἰδίῳ δυνατῷ, ὃ ἐκ τοσούτων αὐτὸν δεινῶν ῥύεται. V.

365. ἀνάρσιοι: ἐναντίοι τῶν ἐριήρων. V.

366. θοὴν διὰ νύκτα: ἡ θοὴ νὺξ ᾗκ ἄλλο τι σημαίνει πλὴν τὸ σφαιροειδὲς ὅλα τῆ πόλα χῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει, καὶ πᾶς ὁ καταλειφθεὶς ὑπ᾽ ἐκείνα τύπος εὐθὺς ὑπὸ ταύτης ἐκμελαίνεται. σαφῆ γῶν ἑτέρωθί πε τῆτο μηνύων φησὶν „ἐν δὲ πέσ᾽ Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, ἕλκων νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν" (Il. 8, 485)· ὥσπερ γὰρ ἀπηρτημένην ἑαυτῆ τὴν νύκτα κατόπιν ἐφέλκεθ᾽, σύγχρονον ὖσαν τοῖς ἡλίᾳ τόποις. εἰκότως ἂν αὐτὴν Ὅμηρος εἴρηκε θοήν. δύναται δὲ μὴν πιθανώτερόν τις ἐπιχειρῶν θοὴν ὀνομάζειν μεταληπτικῶς ᾗ τὴν κατὰ κίνησιν ὀξεῖαν, ἀλλὰ τὴν κατὰ χῆμα.

γὰρ ἑτέρωθί πέ φησιν „ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσιν" (Od. 15, 299)· ἐ τὸ τάχος τῶν ἐρριζωμένων νήσων (ἠλίθιον γ') δηλῶσαι ἐσπέδακεν, ἀλλὰ τὸ χῆμα πρὸς ὀξεῖαν ἀπολήγουσαν ἀποτελεῖν γραμμήν. εἰκότως ἓν νύκτα θοὴν λέγεσθι τὴν ἐπ' ὀξὺ τέλος τῆς ἐχάτης σκιᾶς ἀποτερματίζουσαν. φυσικῶς δὲ περὶ τᾶ ὅλᾳ ἀποδείκνυσιν ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. τριχῆ γ' οἱ μαθηματικοὶ τὰ χήματα τῶν σκιῶν φασὶν ἀποπίπτειν. ἐπειδὰν γ' ἐλαττόν ἐστι τὸ περιλάμπον τᾶ καταλαμπομένᾳ, τὴν σκιὰν συμβέβηκε καλαθοειδῶς ὑπὸ τὴν ὑσάτην πλατύνεσθι βάσιν, ἀπὸ λεπτᾶς ἀνισαμένην τῆς κατὰ κορυφὴν ἀρχῆς εἰς λεπτὸν ἀποσενεῦσθι πέρας. ἐπειδάν γε μὴν ἴσον ᾖ τᾷ καταλαμπομένᾳ τὸ καταλάμπον, κυλίνδρᾳ δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς. βελόμενος ἓν Ὅμηρος τὸν ἥλιον ἄλλως μείζονα τᾶς γᾶς κατὰ τὴν τῶν πλείσων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, εὐλόγως γᾶν θοὴν τὴν νύκτα προσηγόρευσεν, εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι χῆμα λήγουσαν, ἅτε οἶμαι μήτε κυλινδροειδῶς μήτε καλαθοειδῶς τᾶς σκιᾶς πίπτειν δυναμένης, ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελούσης. ᾧ δὴ πρῶτος Ὅμηρος ἐκ μιᾶς λέξεως ὑπαινιξάμενος τὰς μυρίας τῶν φιλοσόφων ἀμίλλας ἐπιτέτμηθ. ᾗ μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τᾶ κόσμᾳ σφαιροειδές. Βορέας μὲν γ' ἀπὸ τᾶς ἄρκτω πνέων μετέωρος „μέγα κῦμα κυλινδεῖ" (Od. 5, 296)· τὴν γ' ἀπὸ τᾶ μεταρσίᾳ φορὰν ἐπὶ τὸ ταπεινότερον ἐκ μιᾶς λέξεως κατεκύλισεν ὁ ῥῖχος. τἀμπαλὶν δὲ ἐπὶ τᾶ νότᾳ, πνέοντος ἀπὸ τῶν κάτω τόπων, ἰσόρροπον· „ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ" (Od. 3, 295), τὴν ἀπο τᾶ ταπεινοτέρᾳ κίνησιν εἰς τὸ μετέωρον ἀνακυκλοῖ. B.

367. ὀνείατ': χρήματα, παρὰ τὴν ὄνησιν. δηλοῖ δὲ ἀλλαχόθι κ' τὰ βρώματα. BM. καὶ „ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα" (Il. 9, 91). V.

ἡ διπλῆ, ὅτι ἐ πάντως βρώματα τὰ ὀνείατα, ὡς οἱ γλωσσογράφοι, ἀλλὰ πάντα τὰ ὄνησίν τινα περιποιοῦντα, ὡς νῦν τὰ δῶρα. καὶ ὅτι ἄγοντα εἴρηκεν, ἐ φέροντα· ἐ γὰρ αὐτὸς ἐβάσαζεν. A.

τίς ἂν δή τοι νόος εἴη: τίνα ἕξεις νοῦν; τί διανοήσῃ; τί ἐργάσῃ; BM.

369. ἄνδρ' ἀπαμύνασθαι: παροιμιακὸς γέγονεν ὁ ῥῖχος. V.

370. οὐδέν: ἡ διπλῆ, ὅτι τὸ δεν παρέλκεται. A.

πλεονάζει τὸ δεν, ὡς τὸ „ἔργον δ' οὐδὲν ὄνειδος" (Hesiod. O. 311). V.

κακά: γράφεται κακόν. A.

371. φίλῳ δέ σε πατρὶ ἐΐσκω: διδάσκει φιλοπάτορας εἶναι καὶ τὰς ἡλικιώτας τῶν πατέρων σώζειν. καὶ μνῆσαι πατρὸς σεῖο" (486). M. καὶ Πλάτων κοινὰς εἶναι τὰς γυναῖκας ἐκέλευσεν, ὅπως οἱ γέροντες ὡς πατέρες τιμῶνται. V.

373. ἔτως διὰ τᾶ π, οὕτω πη. ἐν δέ τισι διὰ τοῦ δ, τέως δή. A.

ἔτως, ὦ τέκνον, ἐπικίνδυνός ἐστιν ἡ πορεία. ἑωρακὼς δὲ φιλοπάτορα, καὶ τέκνον αὐτὸν ὀνομάζει. BM.

374. ἀλλ' εἴ τις: γράφεται ἀλλ' ἔτι τις, A.

ὑπερέσχεθε: ὑπερμαχεῖ. V.

376. 377. ἐντεῦθεν οἱ ἀπὸ τᾶ περιπάτω τὴν τριάδα τῶν ἀγαθῶν εἰλήφεισαν· τὸ γ' δέμας καὶ εἶδος τῶν σωματικῶν, τὸ δὲ πέπνυσαι τῶν ψυχικῶν· τὸ δὲ μακάρων ἔξεσσι ἐπ' εὐγενείας εἴληπται, ᾗ ἔτε ψυχικὸν ἔτε σωματικόν ἐστι πλεονέκτημα. τὸ δὲ ἔξεσσι ἐκγέγονας, ἢ ἐκ μακάρων ἐσσί. ἀπὸ τῆς ὄψεως δὲ τᾶ παιδὸς ζοχάζεσθ ὁποῖαι οἱ γονεῖς εἰσί. BM.

οἱ γὰρ εὔμορφοι βασιλικοί τε καὶ θεῶν ἐνομίζοντο παῖδες. A.

„βασιλῆϊ γ' ἀνδρὶ ἔοικεν" (Il. 3, 170). ἢ πῶς οὐ δεῖ τοιότω παιδὸς τὰς γονέας ἀνακαλεῖν, ὥς πᾰ „τρισμάκαρες μὲν σοί γε πατὴρ ᾗ πότνια μήτηρ" (Od. 6, 154). V.

381. ἠέ πῃ ἐκπέμπεις: βέλτιον ἀφ' ἑτέρας ἀρχῆς τὴν πεῦσιν γίνεσθαι· ἆρα ἐκπέμπεις; A.

τᾶτο γ' ἔθος τοῖς πολεμωμένοις, ὥς πᾰ καὶ Πρίαμος Πολυμνήσορι Πολύδωρον ἐξέθηκεν. BM.

383. ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον. B.

385. οὐ μὲν γάρ: ἐχ ὑσέριζεν ἐν τῷ πολέμῳ τῶν Ἑλλήνων. B.

388. ὥς μοι καλά: εἰ μὲν θαυμασικῶς λέγοι τᾶτο, ἀπ' ἄλλης ἀρχῆς· εἰ δὲ μή, τοῖς ἄνω συναπτέον. A.

ἔνισπες: ὡς ἔδραμες· ἔστ γ' ὁρισικὸν ἐκ τοῦ ἤνισπες τὴν ἄρχουσαν συσείλαντος. τὸ μέντοι προσακτικὸν πρὸ τέλους ἔχει τὴν ὀξεῖαν („σὺ δ' ἀληθῶς ἐνίσπες" Od. 3, 247), ὁμοίως τῷ ἐπίχες. καὶ δῆλον ὅτι ὅπᾰ μὲν τὸ ῑ ἐστι τῆς προθέσεως, ὅπᾰ δὲ τᾶ ῥήματος. τὸ μέντοι ἄνευ τᾶ σ προστακτικὸν προπαροξύνεθ, λέγω δὲ τὸ „νημερτές μοι ἔνισπε" (Od. 4, 642). V.

390. πειρᾷ: πειρώμενός μᾰ ἐρωτᾷς περὶ Ἕκτορος. BMV.

εἴρεαι Ἕκτορα: ὡς „εἰρόμεναι παῖδάς τε κασιγνήτους τε" (Il. 6, 291). V.

394. θαυμάζομεν: ἡ διπλῆ, ὅτι ἀντὶ τᾶ μετ' ἐκπλήξεως ἐθεώμεθα. ABM.

395. κεχολωμένος: ὅτι τὴν μῆνιν διὰ τᾶ χόλος ἀντέφρασεν. V.

396. μία δ' ἦγαγε νηῦς: ἑταῖρον ᾗ φίλον ἑαυτὸν βέλεται συσῆσαι Ἀχιλλεῖ ὁ Ἑρμῆς πρὸς πλείονα πίστιν· οἱ γ' τοιᾶτοι μιᾶς νεὼς ἐπιβαίνεσιν. D.

397. οὐκ ἀναῤῥέφεται ἡ ἐξ ὡς μονοσύλλαβος· τὸ γὰρ ἑξῆς ἐκ Μυρμιδόνων εἰμί. B.

398. ἀφνειός: ἀναγκαίως, ἵνα μὴ ὡς ἄδοξος ᾗ πένης εἰς τὴν τᾶ ἀδικεῖν ὑποψίαν κατενεχθῇ· τὸ δὲ γέρων, ὅτι ἐλεήσει ὡς ἐοικότα τῷ πατρί. BM.

399. ἐξ δέ οἱ: γράφεται ἐξ δὲ τῷ A.

ἀπὸ τᾶτων ζοχάζονται ὅτι τὸ ἕβδομον τῶν Ἑλλήνων ἐστράτευσεν εἰς Τροίαν, κλήρῳ λαχόν. V.

καλῶς ἕβδομος· εἷς γάρ ἐστι τῶν ἑπτὰ πλανήτων. V.

400. ἕτως τῶν μέτα. ἀναχρέφσει τὴν πρόθεσιν· ἔχει γὰρ μετὰ τῶν. A.

μεταγράφσει τοῖσι δὲ πρῶτον ὑπηνήτης. ἔχει τοίνυν δεκαέτης ὢν ἐκλήρωσα. V.

401. νῦν δ' ἦλθον: κατάσκοπήσων ἦκω, φησί, μή τις ἐξ ὑμῶν εἴη ἐνέδρα, ὡς ἑταῖρος ὢν Ἀχιλλέως, ὃς ἄρχει τῆς ὑπαίθρε ϛρατιᾶς. BMV.

408. ἢ ἔτι πὰρ νήεσσιν: πρὸ πάντων περὶ τῶ σώματος πυνθάνεται· τί γὰρ χρὴ ἀπίεναι μηκέτι ὄντος τῶ σώματος; BM.

409. μελεΐϛι: τινὲς οἰκτρῶς, ἐκ εὖ· μέλεον γὰρ ὁ ποιητὴς τὸ μάταιόν φησιν. ἔχει ἐν ἀντὶ τῶ κατὰ μέλος. B.

411. ἔπω: παρέλκει τὸ πῶ· ἐδὲ γὰρ μέλλεσι φαγεῖν. BM.

413. αὕτως: ὁμοίως τῷ ὅτε μετήλλαξεν. V.

ἐν κλισίῃσι: ἐν τῷ περιβόλῳ τῶ ναυσάθμε. BM.

414. πάντα μὲν διεξέρχεται ὅσα συμβαίνει τοῖς χρονίοις νεκροῖς, ἐδὲν δὲ τούτων φησὶ πεπονθέναι τὸν Ἕκτορα, ἵνα ἀνακτήσηται τὸν γέροντα. BM. τὰ μέντοι τῆς αἰτίας οὐ παρῆκε, κἂν τέτῳ ἀξιοπιϛίαν τῷ λόγῳ προσάπτων. V.

418. θειοῖο: διὰ τῆς ὄψεως ἰδὼν θαυμάσειας. BM. ἔχει δὲ διὰ τῶ ῆ. οἱ δὲ θειοῖο. V.

419. ἐερσήεις: δεδροσισμένος, ὑγρότητα ἔχων, ἢ κατεσκλετερμένος. BM. τῶτο γὰρ διὰ τὴν νεφέλην Ἀπόλλων, ὥς πέ φησιν „ἐπὶ δὲ νεφέλην ἔσσαντο· ϛιλπναὶ δ' ἀπέπιπτον ἕρσαι" (Il. 14, 350). V.

420. ἐδέ ποθι μιαρός: οὐδὲ ἔν τινι μέρει μύσος ἔχων. BM.

μέμυκε: παράδοξον· τὰ μὲν γὰρ τῶν ζώντων ἕλκη μετὰ θάνατον μύει, τὰ δὲ μετὰ θάνατον γινόμενα σήπεται. V.

ἀδύνατον νεκρῶν τραύματα μύειν, ὡς φησιν Ἀριϛοτέλης εἰρηκέναι Ὅμηρον „μῦσεν δὲ περιβροτόεσσα ὠτειλή." τῶτο δὲ τὸ ἡμιϛίχιον ἐδὲ φέρεται. V.

421. πολέες: „ἐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέϛη" (Il. 22, 371). V.

423. καὶ νέκυος: ὡς περισσὸς ὁ ϛίχος ἀθετεῖται. V.

ἐπείσφι: ἐχ Ὁμηρικῶς κεῖται ἡ ἀντωνυμία· διὸ καὶ προηθετεῖτο. V.

425. ἦ ῥ' ἀγαθόν: λείπει τὸ ἐϛίν. ἐναίσιμα δὲ ἀντὶ τῶ ἐναισίμως, τουτέϛιν εὐσεβῶς καὶ προθύμως. εἰς δὲ τὸ διδῶναι τὸ ῡ διὰ τὸ μέτρον ἐπλεόνασεν· ἢ ἀπὸ τῶ διδόϊεναι καθ' ὑποζολὴν τῶ μι συνήλειψεν. BM.

426. εἴ ποτ' ἔην γε: ἀντὶ τῶ καθ' ὃν ἔζησε χρόνον. B. ἄχρις ἔζη. M.

428. τῶν: τῶν θυσιῶν δηλονότι. B.

τῷ οἱ: τινὲς τῶν οἱ γράφσιν, τουτέϛι τῶν θυσιῶν αὐτῶ ἐμνήσθησαν. M.

καὶ Θεόπομπός φησιν Ἀλέξανδρον Φεραῖον Διόνυσον τὸν ἐν Παγασαῖς, ὃς ἐκαλεῖτο πέλεκος, εὐσεβεῖν διαφόρως. καταποντωθέντος δὲ Ἀλεξάνδρε, Διόνυσος ὕναρ ἐπισάς τινι τῶν ἁλιέων ἐκέλευσεν ἀναλαβεῖν τὸν φορμὸν τῶν ὀϛῶν. ὁ δὲ ἀπελθὼν ἐς Κράννωνα τοῖς οἰκείοις ἀπέδωκεν, οἱ δὲ ἔθαψαν. V.

429. ἄλεισον: ποτήριον· κυρίως δὲ τὸ τετορνευμένον. D.

ποτήριον. δίδωσι σύμβολον εὐφροσύνης, ὡς εὐφρανθεὶς παρ' αὐτῶ τῷ ἐπὶ τῶ παιδὸς λόγῳ. καλὸν δέ, ἵνα πείϛῃ αὐτὸν λαβεῖν. BM.

430. σύν γε θεοῖσιν: ἀντὶ τῶ συμβοηθέντων καὶ τῶν θεῶν καὶ μὴ ἀντιπραττόντων. BM.

434. παρὲξ Ἀχιλῆα: ἐκτὸς Ἀχιλλέως, ἢ χωρὶς, ὡς τὸ „παρὲξ ἄγε νῆα" (Od. 15, 200) καὶ „παρὲξ ἄλα φῦκος ἔχευαν" (Il. 9, 7). ἐ δι' ὑπερηφανίαν δὲ ἀπωθεῖται τὴν δόσιν, ἀλλὰ διὰ τὸ δέος Ἀχιλλέως· ἀπροφαϛίως γὰρ ἀπωθεῖϖ τὴν χάριν ἄτοπον, καὶ δωροδοκεῖϖ τὸν θεὸν ἀτοπώτερον. BM.

435. δείδοικα καὶ αἰδέομαι: εἰκότως ἀμφότερα· καὶ γὰρ καὶ ἡ παροιμία φησὶν „ἵνα περ δέος, ἔνθα καὶ αἰδώς." BMV.

436. συλεύειν: ἀληθῶς συλᾶν ἐδόκει, εἴ τι τῶν ἐκείνῳ φερομένων ὑφῃρεῖτο. BM.

437. κ' κε κλυτὸν Ἄργος ἱκοίμην: ἐ μόνον, φησί, μέχρι τῆς σκηνῆς Ἀχιλλέως, ἀλλὰ καὶ τῆς πατρίδος αὐτῦ. B.

438. πεζός: ὑπερβολή. ἢ ἀντὶ τῶ καὶ ἐν νηΐ, πῇ δὲ καὶ πεζός. ἢ ὡς ἂν εἴποις πῇ δὲ καὶ πετόμενος, οὐ μόνον συμπλέων. V.

440. ἀναΐξας Ἐριήνιος ἅρμα καὶ ἵππες: ἀνὰ τὸ ἅρμα καὶ τὰς ἵππες ἀΐξας. BM.

444. οἱ δὲ νέον: καὶ πῶς ἄνω (363) Ἑρμῆς φησὶ „νύκτα δι' ἀμβροσίην;" αὖξειν θέλων τὴν χάριν. ἄλλως. ὡς ἐκεῖ „ὃς γὰρ νέον ἄλλοθεν εἰλήλαθεν" (Od. 3, 318) καὶ „φῆσειν νέον ἠβώοντα" (Il. 9, 446). V.

δόρπα: ὡς λύχνα. τινὲς δὲ ἀπὸ τῶ δόρυ, κακῶς. A.

446. ὤϊξε θύρας καὶ ἀπῶσεν: ἤλλαξε τὴν τάξιν. V.

θύρας: πύλας. οἱ μὲν παραπυλίδα, οἱ δὲ τὴν ἱππήλατον ἐξ ἀριϛερῶν τῶ ναυσάθμε. V.

450. δᾶρ' ἐλάτης: κλάδους δηλονότι. ἔρεψαν δὲ ἀντὶ τῶ ἐϛεφάνωσαν, ἐκάλυψαν· ὅθεν καὶ ὀροφή. B.

451. λαχνήεντ': ἁπαλὸν καὶ χνοώδη· ἔχει δὲ εἶδος καλάμε. B.

λαχνήεντ': τὸν δασύν. λέγει δὲ τὴν ἀπὸ καλάμης ὕλην καὶ τῆς τέτων κόμης· ὄροφος γὰρ εἶδος καλάμιου πρὸς ὀροφὰς ἐπιτηδείε. DM.

ὄροφον: τινὲς ὀξυτόνως. V.

452. ἀμφὶ δέ οἱ: περὶ αὐτὴν τὴν σκηνήν. BM.

453. ϛαυροῖσιν: ϛαυροί εἰϛι ξύλα ἀπεξυσμένα ἀμφοτέρωθεν καὶ προσπεπηγμένα τῇ γῇ πρὸς τὸ εἴργειν τὰ εἰσιέναι βαλομένες. τὸ δὲ ἐπιβλής ὡς τὸ προβλής ὀξύ. νεῦ. μοχλὸς δέ ἐϛιν ἐπιβαλλόμενος ἀπὸ τοίχε εἰς τοῖχον. BM.

θύρην αὐτὸ τὸ σῶμά φησιν, ὃ ἐπεῖχεν ὁ ἐπιβλὴς μοχλός. τὴν δὲ θύραν μονόθυρον χρὴ νοεῖν. D.

454. ἐπιῤῥήσσεσκον: ἐπέκλειον, ἀπὸ τῶ γινομένε κατὰ τὴν κλεῖσιν ἦχε. BM.

455. κληῖδα: τὸν μοχλόν· τὰ γὰρ ϖυνέχοντα τὴν ἐπικεκλεισμένην θύραν κληῖδας καλεῖ. καὶ ἐν Ὀδυσσείᾳ δὲ τὰς

κλεῖθρον ἔτως ὠνόμασεν. BM. „ἐπὶ δὲ κλῆῖδ' ἐτάνυσσεν ἁμάντι" (Od. 1, 442). V.

456. ἐπιῤῥήσεσκε: προσδεκτέον ὅτι καὶ ἤνοιγε. μεγάλην δὲ αὐτῷ τὴν ὑπεροχὴν ἐμφαίνει, εἴγε Διομήδης (Il. 5, 302) „χερμάδιον λάβε χειρὶ ὃν οὐ δύο ἄνδρες φέροιεν, οἷοι νῦν βροτοί εἰσιν," ὁ δὲ Ἀχιλλεύς, ἣν τρεῖς Ἕλληνες ἀνέωγον, μόνος ἀνέῳγεν. ὡς ἔοικεν οὖν, ἐξαπλάσιον τῶν νῦν ἐδύνατο, εἴγε οἱ μὲν κατὰ τὰς αὐτῆ χρόνας πρὸς δύο τῶν νῦν ἰσχύουσιν, αὐτὸς δὲ τῶν τότε πρὸς τρεῖς. BM.

458. ἄγαγε: ἐπὶ ἀψύχων τὸ ἄγειν, εἰ μὴ ἄρα ἐπὶ τῆ ἡμάξῃ φησίν. V.

460. ἄμβροτος: ἄφθαρτος, ὁ μὴ βροτοῖς ὅμοιος (ὁ μὴ ἔχων βρότον, ὅ ἐστιν αἷμα· „ἀναλμονές εἰσι καὶ ἀθάνατοι καλέονται" Il. 5, 342. V). ἀεὶ δὲ τὸ βροτὸς συντιθέμενον μετὰ τοῦ πλεονάζει, πλὴν τοῦ „νῦξ ἀβρότη" (Il. 14, 78) καὶ „ἀβροτάξομεν ἀλλήλοιιν" (Il. 10, 65). ἀναγκαίως δὲ ἑαυτὸν ἐμφανίζει ἀπαλλαττόμενος, ἵνα εὐθαρσέστερον αὐτὸν καταστήσῃ. τὸ δὲ παρεῖναι τὸν θεὸν τοῖς οἰκτοις καὶ ἐωθέναν αὐτοῖς ἐκ εὐπρεπές· ἄλλως τε ὑπηνήτης ὢν ὑπόνοιαν ἐπιβαλῆς παρέχειν ἂν Ἀχιλλεῖ. BM.

462. πάλιν εἶσομαι: εἰς τὰπίσω πορεύσομαι. B. ἀντὶ τοῦ ἐκ ἥξω εἰς οἶκτον Ἀχιλλεῖ. V.

469. ἄλτο: ἄμεινον βαῖνε γράφειν ἐπὶ τοῦ γέροντος. τῆς περισάσεως οἰκεῖον τὸ ἄλτο. V.

471. ἰθύς: κατ' εὐθεῖαν, ὡς ἐπὶ τὸν οἶκον. B.

472. τὸ μὲν κοινόν. τινὲς δὲ τὸ ἔν ἀντὶ τοῦ ἔνδον, ὡς „Ἴλιον εἴσω" (Il. 18, 439) ἀντὶ τοῦ εἰς. V.

474. Ἄλκιμος: κατὰ μεταπλασμὸν ὁ Ἀλκιμέδων, ὡς Πελάνθιος καὶ Μελανθεύς. BM.

476. ἔσθων: τὸ ἐσθίων ἐκ ὑποπίπτει μέτρῳ ἡρωϊκῷ. ἠσὶ δὲ καὶ „ἔσθειν καὶ πίνειν" (Od. 5, 197) „ἔσθοντες κρέα πολλά" (Il. 8, 231). εἰ δὲ εὐτελεῖς οἱ ςίχοι, καὶ ἄλλοι. „εἰπτε Θέτι τανύπεπλε ἐκάνεις ἡμέτερον δῶ" (Il. 18, 385)· „δέ κεν ἀμβαίη βροτὸς ἀνήρ, ὁ καταβαίη" (Od. 12, 77)· „ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει" (Od. 10, 358)· „τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου" (Od. 5, 263)· „ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα" (Il. 11, 679)· „ἔνθα μὲν ἔτε βοῶν" (Od. 10, 98). ἔτοι γ' πάντες, ὡς Σέλευκος, ἔμμετρον λαὸν ἔχουσιν. A.

ἔτι καὶ παρέκειτο: ἀθετεῖται· ἐ γ' ἀφῃροῦντο αἱ τράπεζαι παρ' αὐτῶν, ἀλλὰ μέχρι ἀναςῶσιν ἔκειντο· φησὶ γοῦν „οἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ἦρεον ἠδὲ τραπέζας" (Od. 19, 61). ἢ τάτε ὡς πενθοῦντος ἤρετο. V.

477. οὐ πρὸς ἔπαινον τὸ μέγας, ἀλλ' ὅτι καὶ μέγας ἔλαθεν. V.

480. ὡς δ' ὅταν ἄνδρ' ἄτη: ὡς εἰ φυγάς τις φονεὺς φῆς ἀπανισάμενος τῆς πατρίδος ἀπέρχεται πρὸς τὸν νίσοντα, καὶ θαμβοῦνται πάντες τὸ αἰφνίδιον τῆς ἀφίξεως, ὡς ὁ Πρίαμος πάντας λαθὼν εἰσέρχεται καὶ παρακάθηται ἑστίᾳ, καὶ πάντες ὁρῶντες ἐκπλήσσονται. ἡ δὲ παραβολὴ πρὸς τὸ αἰφνίδιον τῆς εἰσόδου. B. ἴσως δὲ ἀναχρονισμός ἐστιν, ὡς καὶ τὸ „ἴαχε σάλπιγξ." τὸν δὲ καθαίροντα καὶ ἀγνίτην ἔλεγον. V.

484. ἐς ἀλλήλους δὲ ἴδοντο: τὸ παράδοξον ἔδειξε τῆς εἰσόδου διὰ τῶν ἀλλήλοις διανευόντων πόθεν ἢ τίς ὁ ξένος. B.

485. περισσὸς ὁ καί. τὸ δὲ ἑξῆς πρὸς τόν. A.

486. μνῆσαι πατρὸς σεῖο: πολεμίῳ διαλεγόμενος, ἢ τῶν παίδων αὐθέντῃ, καὶ μισθῦντι ἑξαιρέτως αὐτόν τε καὶ τὰς ἐκείνῳ διὰ τὴν τῆ φίλου ἀποβολήν, ἄλλην ἀρχὴν οἰκειοτέραν ἐκ εἶχεν ἢ τὴν τῆ πατρὸς ὑπόμνησιν. V.

σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα τῷ Πριάμῳ δεδήλωκεν ὁ ποιητὴς ἀλληγορήσας· ἐδεῖ γ' ἔτως ἔοικε πειθήνιον ἀνδράσιν ὀργιζομένοις, ἐκ ἄργυρος, ὁ χρυσός· μειλίχιον δὲ ἢ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν ἡ διὰ τῆ λόγῳ πειθώ. πάνυ γῶν ἀληθῶς Εὐριπίδης φησὶν „ἐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος." τότῳ τε Πρίαμος ὥσπερ ὀχυρᾷ παντευχίᾳ καθώπλισαι, ᾧ ἢ μάλιςα τὴν Ἀχιλλέως ἐπέκλα ὀργήν, ἐκ ἐν ἀρχῇ δείξας δώδεκα πέπλους, δώδεκα δ' ἁπλοΐδας χλαίνας τά τε λοιπὰ τῶν κομισθέντων δώρων· ἀλλ' αἱ πρῶται τῆς ἱκεσίας αὐτῆ φωναὶ τὸς ἄρρενας αὐτῆ θυμὸς ἐξεθήλυναν („μνῆσαι πατρὸς — γήραος ὀδῷ,") δι' ὀλίγων προοιμίων τῶν λόγων συναρπάσαντος Ἀχιλλέα, καὶ χεδὸν ἀντὶ Πριάμου γεγονότος Πηλέως. διὰ τῦτο ἠλέηται μὲν ἄχρι τραπέζης, λετροῖς δὲ κοσμηθὲν ἀποδίδοται τὸ Ἕκτορος σῶμα. τοσῦτον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος, ὃν ἀπέςειλεν Ὅμηρος αὐτῆ τῆς ἱκετείας παράκλητον. ἀρ' ἐκ ἀποχρῆ δι' ὅλης τῆς Ἰλιάδος συνάδεται καὶ διηνεκὴς ἡ Ὁμήρε φιλοσοφία, ἐν ᾗ τὰ περὶ θεῶν ἠλληγόρησεν. B.

σοῖο: Ζηνόδοτος σεῖο, κακῶς. V.

θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ: θεοφιλῆ ἢ θεοῖς ὅμοιον εἰπὼν ἀποτρέπει τῆς περὶ τὸν ἱκέτην ἀτιμίας, εἴγε ἢ θεοὶ τὰς ἱκέτας αἰδῦνται. B.

487. ὥς περ ἐγώ: ἔδει ἐπαγαγεῖν ἡλίκος ἐγώ. ἔςι δὲ ὡς τὸ „ὅσσων Φαίηκες περὶ πάντων ἴδριες, ὡς δὲ γυναῖκες ἰῷ τεχνῆσαι" (Od. 7, 108). τινὲς δὲ λείπειν φασὶ τὸν καί, ἵν' ᾖ ὥσπερ ἢ ἡμεῖς. V.

Ζηνόδοτος πρεσβύτερον Πηλέα φησὶν, εἴγε συστρατεύσας Πηλεῖ Ἡρακλῆς ἀπέδοτο Ἡσιόνῃ μικρὸν ὄντα τὸν Πρίαμον. V.

488. περιναίεται ἀμφὶς ἐόντες: οἱ περίοικοι οἱ ἀμφὶς ὄντες, ὅ ἐςι κεχωρισμένοι τῇ γνώμῃ ἢ ἐναντίοι, ἢ χωρὶς οἰκοῦντες, ἢ κυκλόθεν. τινὲς δὲ ἐόντος, ἵν' ᾖ χωρὶς σῶ ὄντος. ἐντέχνως δὲ πρὸ τῶν ἰδίων τῶν τῆ Πηλέως ἐμνήσθη, ὅπως αὐτὸν ἢ τῶν οἰκείων κακῶν οἰκτίσῃ μνήμη. B.

ἢ παρὰ τῶν Εὐρωπαίων τῦτο μαθών φησιν, ἢ οἰκτιζόμενος. λέγει δὲ Ἄκαςον καὶ τὸς υἱύς, Ἄρχανδρον καὶ Ἄρχε... ἴσως δὲ παρὰ Ἀσεροπαίῳ πέπυσαι νεωςὶ ἥκοντος ἐκ Παιονίας (Il. 17, 350), ἥτις ἐςὶ πλησίον Θεσσαλίας. V.

ὁ μέν· ἀντὶ τοῦ μήν. V.

490. ἀλλ' ἤτοι κεῖνός γε: ἠΰξησε τὸν ἔλεον, εἰγε ὁ μὲν τὸν ἕνα ἔχει, ὁ δὲ τῶν πεντήκοντα ἀφῄρηται. B.

496. ὑφ' ἓν τὸ ἐννεακαίδεκα. Πάμφιλος δὲ εἰς τρία διῄρησε μέρη. B.

πιθανὸν μίαν τεκεῖν ἐννεακαίδεκα, ἐχ ὡς Βακχυλίδης πεντήκοντα τῆς Θεανῦς ὑπογράφει παῖδας. V.

497. ἔτικτον: καλὴ ἡ παράτασις· ἃ γοῦν εἶπεν ἔτεκον. ἔθος δὲ τοῖς βαρβάροις βασιλεῦσι παιδοποιεῖν ἐκ πλειόνων. B. ἔχε δὲ καὶ Ἀρίσβην τὴν Μέροπος τῦ Περκωσίου, ἐξ ἧς Αἴσακος, Ἀλεξιρόην τὴν Ἀρτάνδρα, Λαοθόην τὴν Ἄλτη. τῶν δὲ Πριαμιδῶν πρεσβύτατον Πολίτην φασίν. V.

498. θοῦρος Ἄρης: δεδιὼς ἃ λέγει σύ, ἵνα μὴ θυμώσῃ αὐτόν. B.

499. οἷος ἔην, εἴρυτο δὲ ἄστυ: οἷος πρὸς τὸ σώζειν τὴν πόλιν. ἓν δὲ πρᾶγμα δύο περικοπαῖς πέφρασται, ὡς τὸ „τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα" (Il. 11, 267) ἀντὶ τῦ παυσαμένε τῦ αἵματος ἐτέρσετο τὸ ἕλκος· „ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνάσχον" (Il. 3, 318), ἀναχόντες εὔξαντο. B. ἢ ὅτι εἶπεν „αἴθ' ἅμα πάντες Ἕκτορος ὠφέλετ' ἀντί" (253). καὶ ἡμεῖς φαμὲν ἕνα τὴν πόλιν πόλις ἔχειν. V.

500. ἀμυνόμενον: ἃ προκατάρξαντα πολέμε πρὸς. V.

502. ἀπερείσι' ἄποινα: ἐκ ἀκριβολογεῖ περὶ τῶν δώρων· ἢ γοῦν ἂν ἔλυσε τὸ πάθος. V.

504. σῦ πατρός: ὡς ἱκανῦ πρὸς ἔλεον ἀπ' αὐτῦ ἤρξατο καὶ εἰς αὐτὸν ἔληξε. καλῶς δὲ καὶ ἐλεεινότερος· καταπονεῖται γοῦν καὶ ἐκεῖνος, ἀλλ' οὗτος πλέον. B. ἢ ἀντὶ ἁπλοῦ. V.

506. ἀνδρὸς παιδοφόνοιο: ταῦτα μὲν εἰς ὀργὴν ἄγοντα Ἀχιλλέα ἔδει κρύπτεσθ. ἀλλ' ἐκ τοῦ πάθους εἰς τῦτο παρεσύρη. B.

χεῖρε δυϊκῶς· εἶπε γοῦν „καὶ λάβε χεῖρας δεινὰς ἀνδροφόνες" (478). θέλει δὲ λέγειν ὅτι ᾧ σόματι τὸν υἱὸν ἐφίλεν, τύτῳ νῦν τὸν ἐκείνε φονέα. ὀρέγεσθαι δὲ ἀντὶ τῦ ἐκτείνειν πρὸς τὸ σόμα τὰς χεῖρας. V.

510. ἐλυσθείς: παρεθείς, ἢ συνειληθείς, ἢ κυλισθείς. B. ὅθεν καὶ προελυσθείς. V.

511. κλαῖεν ἑὸν πατέρ': λείπει καὶ ἐνταῦθα τὸ ἄλλοτε, ἵν' ᾖ ἄλλοτε μέν. B.

διπλάσιος ὢν αὐτῷ ὁ θρῆνος παρισωθήσεθ τοῖς δάκρυσι Πριάμου. ἐποίει δὲ αὐτῷ τὴν ἑκατέρε μνήμην ἡ Ἕκτορος καὶ Πριάμε. B.

512. δώματ': ἡ διπλῆ, ὅτι καταχρησικῶς τὰς σκηνὰς ἔτως εἶπεν. Ζηνόδοτος δὲ σεναχή διὰ τῦ ε γράφει. ἐκπίπτει δὲ τὰ διὰ τῦ ε ῥήματα ἐν τοῖς ὀνόμασιν εἰς τὸ ο, λέγω λόγος, μένω μονή· ἔτως σενάξαι σοναχή. A.

514. ἀθετεῖται· προείρηται γοῦν ἱκανῶς διὰ τοῦ „αὐτὰρ ἐπεί ῥα γόοιο," καὶ ἀκύρως τέθειται τὸ γυίων· ἃ γοῦν ἔτως λέγει πάντα τὰ μέλη, ἀλλὰ μόνον τὰς χεῖρας καὶ τοὺς πόδας. A.

ἀθετεῖ ὁ Θράξ· ὁ γοῦν ὅμερος περὶ μόνην τὴν ψυχήν. γυῖα δὲ ἐχ ὅλα τὰ μέλη φησίν. εἰ μηδέ τις σερνοτυπεῖ τῦτο ἃ γράφει. V.

χειρὸς ἀνίσῃ: παράδοξον τὸ τὸν ἐχθρὸν ἕτω χειραγωγῆσαι καὶ τιμῆσαι. τάχα ἂν τῦτο ποιεῖ τῦ γήρως τοῦ πατρὸς μνηθείς. B.

518. ἔτως Ἀρίσαρχος, κάκ' ἄνσχεο. A.

522. ὅτι τὸ ἁπλῶν ἐσὶν ἔζευ· τύτῳ δὲ ἀνάλογον τὸ σύνθετον κατ' ἄρ' ἔζευ, ἐχὶ ἵζευ. καὶ ὅτι τὸ ἔμπης ἀντὶ τῦ ὅμως. ἔωθ' ὅτε δὲ ἀντὶ τῦ ὁμοίως· „ἔμπης μοι δοκέεις δαΐδων σέλας" (Od. 18, 353). A.

523. κατακεῖσθαι ἐάσομεν: ἀποβαλέσθ γοῦν τὸ πάθος ἀδύνατον, πλὴν τοῖς κλαυθμοῖς ἀναῤῥιπίζειν ἃ δεῖ. B.

524. πρῆξις: ἄντσις ἡ ἐκ θρήνε. λείπει δὲ ἡ ἐξ. A. ὅτι δὲ ἄπρακτον ἡ ἀνία, καὶ οἱ φιλόσοφοί φασι, καθὸ μὴ κατορθῶταί τι τῶν ἠτυχημένων. V.

οὐ γάρ τις τ' ἄντσις ἐν ἄλλῳ. A.

525. ἐπεκλώσαντο: εἱμαρμένον ἐποίησαν, ἐπεμοίρησαν. ἀπὸ μιᾶς Μοίρας εἴρηται τῆς Κλωθῦς· τρεῖς μὲν γοῦν παραδίδονται Μοῖραι, Κλωθώ Λάχεσις Ἄτροπος. AB.

526. αὐτοὶ δ' ἀκηδέες: νῦν τὸ φύσει θεῖόν φησι· τὰς δὲ ποιητικὰς λυπεμένας εἰσάγει. καὶ Ἐπίκερος ἐντεῦθέ φησιν ὅτι τὸ ἀθάνατον καὶ ἄφθαρτον ἔτ' αὐτὸ πρᾶγμ' ἔχει ἔτ' ἄλλοις παρέχει· διὸ ἔτε ὀργαῖς ἔτε λύπαις συνέχεται. δηλοῖ δὲ καὶ τὸ ἀθεράπευτον. V.

527. ἐν Διὸς ἕδει: ἀπὸ μέρες τῷ οἴκῳ. B.

τῦτο πρὸς παραμυθίαν τῦ λέγοντος, ἐπεί τοι τὸ ἀληθὲς „θεοὶ δωτῆρες ἐάων." καὶ Ἡσίοδος ἐντεῦθεν τὴν ἐλπίδα τῶν κακῶν φησὶν εἶναι ἐν τῷ πίθῳ. V. μέμφεται δὲ τὴν δόξαν Πλάτων ἐν δευτέρῳ Πολιτείας (p. 98), λέγων ὡς ὁ θεὸς ἀγαθόν, ἐδὲν δὲ ἀγαθὸν βλαβερόν, ὁ δὲ μὴ βλαβερόν, ἐδὲ βλάπτει, ἔπλασεν ἂν ταῦτα ὁ ἥρως πρὸς παραμυθίαν Πριάμε ἐπεὶ καὶ ὁ ποιητὴς ὁμοίως φησίν, ὅταν λέγῃ Ζεὺς „οἱ δὲ αὐτοὶ σφῇσιν ἀταθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν" (Od. 1, 34). B.

ἡ διπλῆ, ὅτι ἐντεῦθεν Ἡσιόδῳ (O. 94) τὸ περὶ τῦ πίθε μύθευμα, καὶ ὅτι δύο τὲς πάντας λέγει πίθες. τινὲς τῶν νεωτέρων ἕνα μὲν τῶν ἀγαθῶν, δύο δὲ τῶν κακῶν ἐδέξαντο. A.

εἰς παραμυθίαν Πριάμε ὁ ποιητὴς εἰσήγαγε τὸν Ἀχιλέα λέγοντα ταῦτα, ἐπεί τοι μόνων ἀγαθῶν δωρητικὸν ἐπίσαται Ὅμηρος τὲς θεές, λέγων (Od. 8, 325) „θεοὶ δωτῆρες ἐάων·" ἴδιον γοῦν τῶν θεῶν δῶρον τὸ ἀγαθόν. ζητῦσι δέ τινες ἀπὸ τύτων τῶν ἐπῶν, πῶς ἐνταῦθα μὲν ὁ ποιητής φησιν ἐκ θεῶν εἶναι τὰ κακὰ τοῖς ἀνθρώποις, ἐν τῇ Α τῆς Ὀδυσσείας καὶ αὐτὸς φησιν ἐπισπᾶσθ τὰ κακὰ τὲς ἀνθρώπες· „οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀταθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχεσιν" (34). ῥητέον ἓν ὅτι ἐνταῦθα Ἀχιλεύς ἐσιν ὁ λέγων ἐκ θεῶν εἶναι τὰ κακά, ἀγνοῶν τὴν ἀλήθειαν· ἐν δὲ τῇ Ὀδυσσείᾳ Ζεύς, ὡς σαφῶς ἐπισάμενος, λέγει τὴν ἀλήθειαν. λύεται ἓν τὸ ζήτημα προσ[illegible]πω. AD.

528. ϛικτέον εἰς τὸ δίδωσι, ϗ δύο τȣ̀ς πίθȣς διὰ τῆς ϛιγμῆς παραδεκτέον. B.

ἡ διπλῆ, ὅτι τὸ ἑάων ἀντὶ τȣ̃ ἀγαθῶν· καὶ τὸ „υἱὸς ἑῆος" (Il. 1, 393) ἀγαθοῦ. διὰ δὲ ἄγνοιαν ὁ Ζηνόδοτος γράφει ἑοῖο. ϗ ὅτι τὸ ἕτερος ἐπὶ δύο. ἕως δὲ τȣ̃ δίδωσι βȣ́λονται ϛίζειν, ἵνα μὴ δύο πίθοι ὦσι κακῶν ϗ εἷς ἀγαθῶν, ὥσπερ ϗ ὁ Πίνδαρος ἐξεδέξατο· φησὶ γȣ̃ν „ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι." ἐχρῆν δὲ τὸ ἐπιμεριζόμενον μὴ ȣ̃τως ἐπενεχθῆναι, κακῶν ἕτερος δὲ ἑάων, ἀλλ' ὁ μὲν ἕτερος κακῶν, ὁ δὲ ἕτερος ἀγαθῶν. A.

530. κακῷ ὅγε κύρεται: ὑπὸ κακȣ̃ κύρεϑ, ὡς „Τρωσὶ δαμείς." ἢ κακῷ συντυγχάνει, ὡς τὸ „αἰὲν ἐπ' αὐχένι κῦρε" (Il. 23, 821). V.

532. βȣ́βρωϛις: σύντονος ὀδύνη μεγάλως τȣ̀ς ἔχοντας ἀναλίσκȣσα· ἐν γȣ̀ ταῖς ἀτυχίαις ὑπὸ λύπης ἑαυτȣ̀ς ἐϑίομεν, ὥσπερ Βελλεροφόντης (Il. 6, 202). οἱ δὲ ἀποδιδόντες λιμός ἀγνοȣ̃σιν ὅτι οὐ λιμώσσει Πρίαμος ἀλλ' ὀδυνᾶται. B.

κυρίως μὲν ὁ μέγας καὶ χαλεπὸς λιμός· νῦν δὲ ἀντὶ τῆς μεγάλης ἀνίας ϗ λύπης κεῖται ἡ λέξις. ἔνιοι δὲ βȣ́βρωϛιν τὸν οἶκτον ἐξεδέξαντο. AD. οἱ δὲ δαίμονα, ἥνπερ κατηρῶντο τοῖς πολεμίοις. εἶναι δὲ αὐτῆς τὸ ἱερὸν ἐν Σμύρνῃ. V.

535. πάντας γὰρ ἐπ' ἀνθρώπους: παρὰ πάντας ἀνθρώπους. V.

536. ὄλβῳ δύναται τῇ φρονήσει, εἴγε ϗ ἄνολβος παρὰ Στωϊκοῖς ὁ ἀπαίδευτος. οἱ δὲ τὴν τῶν ἀγρῶν κτῆσιν, παρὰ τὰς ὀλάς. ABV.

540. παναώριον: οἱ μὲν ἐδάσυναν, ἵνα ἐκδέξωνται τὸν κατὰ πάντα ἄωρον, οἱ δὲ ἐψίλωσαν, ἐκδεχόμενοι τὸν εἰς πάντα πεφροντισμένον. ἄμεινον δὲ τὸ πρότερον· τȣ̃το δ' ἐθέλει σημαίνειν. A.

541. γηράσκοντα κομίζω: γῆρας ἔχοντα γηρωκομῶ. B.

544. ἡ διπλῆ, ὅτι τὸ ἄνω ἀντὶ τȣ̃ ἀνά· καὶ πρὸς τὸ ἔργει, ἵν' ᾖ ἀνείργει καὶ περιορίζει. τὸ δὲ ἑξῆς, ὅσον Λέσβος ἀνείργει καὶ διορίζει. περιώρισε δὲ τὴν Πριάμου ἀρχὴν ἐκ μὲν μεσημβρίας Λέσβῳ, ἐκ δὲ ἀνατολῆς Φρυγίᾳ, ἐκ δὲ ἄρκτȣ Ἑλλησπόντῳ. AB.

Μάκαρος: Μάκαρ ὁ Ἴλου, φονεύσας τὸν ἀδελφὸν Γενάγην, ἐκεῖσε ᾤκησε, ϗ πόλιν οἰκίσας ἀπὸ τῆς γυναικὸς (γ. Ἄντισσαν V) ὠνόμασεν. ἐκαλεῖτο δὲ ἡ μὲν μήτηρ αὐτȣ̃ Μιτυλήνη, ἡ δὲ γυνὴ Λέσβος. B. τινὲς δὲ αὐτὸν Κρινάκȣ τȣ̃ Ὑρέως τȣ̃ Ποσειδῶνος ϗ Ἀλκυόνης· οἱ δὲ μητέρα αὐτȣ̃ Μιτυλήνην ϗ γυναῖκα Λέσβον. V.

ἕδος ἀντὶ τȣ̃ οἰκητήριον· ἔκτισε γȣ̀ τὴν Λέσβον Μάκαρ ὁ Κρινάκȣ, ϗ ἐβασίλευσεν αὐτῆς. AD.

545. καθύπερθεν: ἐξ ἀνατολῆς, ἐπεὶ ἔϛι καὶ ἄλλη Φρυγία μικρὰ ἀμπελόεσσα ἡ ἐπὶ Σαγγαρίῳ ὡς πρὸς δύσιν κειμένη. B. ϗ παρ' Ἀθηναίοις γάρ εἰσι δύο δῆμοι Πολάμιοι, ὧν ὁ μὲν καθύπερθεν ὁ δὲ ὑπένερθεν ὀνομάζεϑ. V.

ἡ διπλῆ, ὅτι ἑτέρα καθ' Ὅμηρον ἡ Φρυγία. οἱ δὲ νεώτεροι συγχέȣσιν. A.

546. διὰ τȣ̃ ν̄ τὸ τῶν, ἵν' ᾖ τῶν οἰκȣ́ντων τὰς προειρημένας πόλεις. B.

Ἀρίϛαρχος σὺν τῷ ν̄, τῶν σέ. A.

549. ἀλίαστον: ἀλύτως, ἢ ἀσυγχωρήτως. B. ἀνεκχωρήτως. V.

550. ἡ διπλῆ περιεϛιγμένη, ὅτι Ζηνόδοτος γράφει ἑοῖο, ϗ ὅτι λείπει ἡ περί. A.

551. ἡ διπλῆ, ὅτι ȣ̀ λέγει, ȣ̀κ ἀναϛήσεις αὐτόν, ἂν μὴ πρότερον κακὸν πάθῃς, ἀλλὰ πρότερον κακὸν πείσῃ ἢ ἀναϛήσεις αὐτόν. τοιȣ̃το δέ ἐϛι καὶ τὸ „τὴν δ' ἐγὼ οὐ λύσω, πρίν μιν ϗ γῆρας ἔπεισιν" (Il. 1, 29). A.

πρὶν ἢ ἄλλο γένηταί σοι κακόν, οἷον πολλὰ μὲν κακὰ πάθοις, ἀναϛήσεις δὲ αὐτὸν ȣ̀δαμῶς· τȣ̃το γȣ̀ ἀδύνατον. A.

554. ἀκηδής: ἠμελημένος. ἢ κηδείας παρ' ἐμοῦ μὴ τυγχάνων. B.

556. 557. ἀθετȣ̃νϑ, ὅτι ἀνάρμοϛοι τῷ προσώπῳ αἱ εὐχαὶ ϗ ἐπαυτόφωρος ἡ ὑπόκρισις. A.

557. δασύνει Δίδυμος τὸ ἕασας ἐν πρώτῳ διορθωτικῶν, ὁμοίως ϗ Ἑρμαππίας, μεταλαμβάνοντες εἰς τὸ ἥδυνας. ὁ δὲ Σιδώνιος γράφει ἐπεί με πρῶτ' ἐλέησας. Ἀρίϛαρχος δὲ ȣ̀δὲν ἀποφαίνεται, ἢ μόνον ἀθετεῖ τȣ̀ς ϛίχȣς. δύναται δὲ καὶ τὸ ψιλȣ́μενον, ὥς φησι Τρύφων, καὶ συμφωνεῖ, εἰ μὴ πλῆρές ἐϛι κατὰ τὴν φράσιν, ἔχειν ἀφορμήν, ὡς ἔτι φθεγγομένȣ ϗ ἔτι λαλȣ̃ντος τȣ̃ Πριάμου τὸν Ἀχιλλέα ἀνθυπαντῆσαι ὑπὸ ὀργῆς κεκινημένον ϗ μεσολαβῆσαι τὴν διάλεξιν· „ἀλλὰ τάχιϛα λῦσον ἵν' ὀφθαλμοῖσιν ἴδω, σὺ δὲ δέξαι ἄποινα πολλὰ τά τοι φέρομαι· σὺ δὲ τῶνδ' ἀπόναιο ϗ ἔλθοις σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἕασας. τὸν δ' ἄρ' ὑπόδρα ἰδών, μηκέτι νῦν μ' ἐρέθιζε γέρον." τὸ δὲ ἐντελὲς τȣ̃ λόγȣ τοιȣ̃τόν τι ἔϛαι, εἴασας εἰς λόγȣς σοι ἥκειν. A.

ἄλλως. ἕασας ἀντὶ τȣ̃ ἥδυνας, ηὔφρανας. ὅπερ ἀγνοήσαντές τινες ἔγραψαν ἐπεί με πρῶτ' ἐλέησας. κέχρηϑ δὲ ϗ ἐν Ὀδυσσείᾳ· „ἥσατο δ' αἰνῶς ἡδὺ ποτὸν πίνων" (Od. 9, 353). A.

ἄλλως. ȣ̃τος ὁ ϛίχος ȣ̀χ εὑρέθη ἐν τῷ παλαιῷ. A.

559. τὸν δ' ἄρ' ὑπόδρα ἰδών: ἀγριαίνεται, ὅτι νῦν αὐτὸν θέλει λαβεῖν· ὁ δὲ θεραπεῦσαι τὰ αἰκίσματα βȣ́λεται, μὴ εἰς θρῆνον ἐλθὼν ὁ Πρίαμος ταράξῃ αὐτόν. ϗ ὅτι συνεχῶς τȣ̃ ὀνόματος Ἕκτορος ἐμέμνητο. BV.

565. ἔξω τȣ̃ ν̄ ὁ κέ σύνδεσμος. A.

566. ȣ̀δὲ γὰρ ἄν: ἐν ἄλλῳ ȣ̃τε γὰρ ἄν. ἡ δὲ διπλῆ, ὅτι ȣ̃τως ἐχημάτισε τȣ̀ς φύλακας. A.

ἄλλως. ὅτι φυλακȣ́ς τῷ τόνῳ ὡς ἀγαθȣ́ς προεφέρετο ὁ Ἀρίϛαρχος. ἑνικῶς δὲ ὀχῆα· προείρηται γȣ̀ ὅτι εἷς ἦν, ὃν τρεῖς μὲν ἐπιῤῥήσεσκον Ἀχαιοί. A.

ἄλλως. Ἀρίϛαρχος κατ' ὀξεῖαν τάσιν προεφέρετο ὡς φρȣρȣ́ς. ἔϛι δὲ ϗ ὁ λόγος συναγωνιζόμενος τῇ ὀξείᾳ τάσει ȣ̃τως, ὡς τὰ εἰς κος καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβάς, παραληγόμενα τῷ ᾱ, προσηγορικὰ ἢ ἐπίθετα ὀξύνεϑ, ἀνακός

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φαρμακός φυλακός· τὰ γὰρ κύρια βαρύνεται, Φύλακος Αὔλακος. ὄντα ὀξύνεται· ἔνθεν ἀνάκοιν, Διοσκόροιν. AV.

568. ἐν ἄλγεσι: γράφεται ἐνὶ φρεσί. V.

569. ἐγκλιτικὴ νῦν ἐςὶν ἡ σέ ἀντωνυμία, καὶ ἔςι τὸ ἑξῆς ἐδ' αὐτόν σε. ὁμοίως οὖν ἀναγνωςέον τῷ „μή σε γέρον κοίλῃσιν" (Il. 1, 26). ἐκεῖ μέντοι ἐν διαςολῇ „μὴ σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ" (Od. 1, 386). A.

Ἀριςοτέλης φησὶν ἀνώμαλον εἶναι τὸ Ἀχιλλέως ἦθος. οἱ δέ φασιν ὅτι ἵνα ἀποςήσῃ αὐτὸν τοῦ ἐφ' Ἕκτορι θρήνου, διὰ τοῦτο δειδίσσει. B.

570. λείπει ἡ παρά, ἵν' ᾖ τὰς παρὰ Διός. B.

571. ἔδδεισεν: ἐξ ἀμφοῖν ἕν, δείσας ἐπείσθη. V.

572. οἴκοισι: καταχρηςικῶς τὴν κλισίαν δῶμα οἶκον δόμον εἶπεν. V.

λέων ὥς: ἡ ὁμοίωσις πρὸς τὸ εὐκίνητον καὶ ἀγριωπόν, ἵνα καταπλήξῃ Πρίαμον τῇ θέᾳ. B.

574. ἡ διπλῆ, ὅτι συγκέκοφε τὸν Ἀλκιμέδοντα Ἄλκιμον εἰπών. A.

577. ἡ διπλῆ, ὅτι τὸν Ἰδαῖον ἐπιθετικῶς καλήτορα εἶπεν. A. ἀπὸ τοῦ βοᾶν καὶ συγκαλεῖν τὸν ὄχλον. D.

τοῖο: τούτου. λείπει τὸ τοῦ ἄρθρον. BV.

578. δίφρου: εὐτελοῦς· ὁ γὰρ πολυτελὴς θρόνος. καὶ „δίφρον ἀεικέλιον καταθείς." V.

ἐϋξέςου: γράφεται ἐϋσσώτρου. A.

ἐϋσσώτρου: ἀντὶ τοῦ εὐξέςου. εὖ σευομένης διδὼς εὐτρόχε. ἀπὸ τῶν εὖ σευομένων. V.

579. ᾕρεον: δασυντέον· ἔφαμεν γὰρ τὸ περισπώμενον αἱρῶ δασύνεσθαι. A.

δασέως, ἵν' ᾖ ἀφῄρουν. τὸ δὲ ψιλὸν ἤειρον. V.

580. δύο, ἵνα τὸ μὲν ὑποτεθῇ, τὸ δὲ ἐπιτεθῇ. τὸν δὲ χιτῶνα πρὸς τὸ ἐνδύσασθαι. λαμβάνει δὲ δῶρα ὡς ἐξιλεούμενος Πάτροκλον, καὶ ἵνα πλείονα ἔχῃ εἰς τὸ ἐπιτάφιον. B. ἢ ὅτι οὕτως ἐκέλευσεν. V.

581. πυκάσας: ὥςε ἀθεώρητον εἶναι τῷ πατρί. V.

584. χόλον: Ἡρωδιανὸς γόον γράφει· ποῖον γὰρ οὗτος εἶχε χόλον, εἰ μὴ μᾶλλον γόον; B.

Ῥιανὸς κόλον, οἱ δὲ κόπον. ἄμεινον δὲ γόον, ἵνα μὴ ὑπερπαθήσας καταράσηται Ἀχιλλεῖ. V.

ἔν τισι κότον οὐ κατερύκοι. ἄμεινον δὲ χόλον. A.

589. αὐτὸς τόν γ' Ἀχιλεύς: ἐμεμάραντο γὰρ ὁ θυμός. οὐκ ἄτοπος δὲ ἡ μεταβολὴ Διὸς καὶ μητρὸς καὶ τοῦ ἱκέτου μεταβαλλόντων. V. ὁ γὰρ τοῦ γέροντος οἶκτος αὐτὸν ἐκίνησεν. B.

592. μή μοι Πάτροκλε: ὡς πρὸς παρόντα διαλέγεται τὸν Πάτροκλον οἰκτιζόμενος. V.

σκυδμαινέμεν: τοῦτο σκυδάζειν Σοφοκλῆς φησὶν ἐν τῷ Αἴαντι. A.

594. 595. ἀθετοῦνται, ὅτι οὐκ ὀρθῶς ἕνεκα δώρων λέγει ἀπολελυκέναι τὸν νεκρόν· ὑπὸ γὰρ τοῦ Διὸς ἠναγκάσθη, ἐπεὶ οὐκ ἂν τὴν ὑπὲρ Πατρόκλου τιμωρίαν δώρων ἠλλάξατο. A.

τινὲς ἀθετοῦσι· τὴν γὰρ Διὸς κέλευσιν αἰτίαν ἔδει λέγειν τῆς λύσεως. πῶς δὲ δώσει τῷ ἀποθανόντι; ἢ τάχα φησὶν ὅτι καὶ τὴν Διὸς γνώμην πληρώσας, ὅμως οὐκ ἀνάξια τῆς σῆς αἰκίας ἔλαβον. ἔθος δὲ τοὺς φόνους ἐπὶ χρήμασι λύειν. „καί ῥ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας" (Il. 9, 634) „καί κέν τίς τε κασιγνήτοιο φόνοιο ποινήν" (ib. 632). δώσει δὲ ἀποθανόντι δι' ἐπιταφίων εἰς αὐτὸν ἀγώνων. BV.

595. ἀποδάσσομαι: ὅτι καὶ μετὰ ταφὴν ἀπένεμον χρήματα. V.

598. τοῦ ἑτέρου: τοῦ πρὸς τὸ ἐξ ἐναντίας μέρος. B. τοῦ ἐναντίου. V.

601. ἄγων: οὐκ ἐν τῇ σκηνῇ, ἀλλὰ καθ' ὁδόν, ἵνα μὴ πρὸς οἶκτον κινηθῇ. B.

602. Νιόβη θυγάτηρ μὲν ἦν Ταντάλου, γυνὴ δὲ Ἀμφίονος, γαμηθεῖσα δὲ τῷ Ἀμφίονι παῖδας ἔσχε δέκα δύο. ἐπαρθεῖσα δὲ τῷ πλήθει τῶν παίδων καὶ τῇ καλλονῇ, ὠνείδιζε τῇ Λητοῖ ὅτι δύο μόνους ἐγέννησεν, Ἀπόλλωνα καὶ Ἄρτεμιν, καὶ ὅτι εὐτεκνωτέρα αὐτῆς ἐςίν. ἀγανακτήσασα δὲ ἡ θεὸς ἔπεμψεν ἰοὺς τοῖς παισὶν αὐτῆς· καὶ Ἀπόλλων μὲν τοὺς ἄῤῥενας ἀναιρεῖ κυνηγετοῦντας ἐν τῷ Κιθαιρῶνι, Ἄρτεμις δὲ τὰς θηλείας ἐπ' οἴκου ὄσας. θρηνοῦσαν οὖν τὴν Νιόβην τὸ τοιοῦτο δυςύχημα Ζεὺς ἐλεήσας εἰς λίθον μετέβαλεν, ὃς καὶ μέχρι νῦν ἐν Σιπύλῳ τῆς Φρυγίας ὁρᾶται παρὰ πάντων πηγὰς δακρύων προϊέμενος. ἡ ἱςορία παρὰ Εὐφορίωνι. AD. Λυδοὶ δέ φασιν ὅτι Αὐτονίδης (Ἀσωνίδης B) ἐρασθεὶς αὐτῆς καὶ μὴ πεισθείσης ἐπ' ἄριςον τοὺς παῖδας καλέσας ἐνέπρησεν, ἡ δὲ φυγοῦσα ηὔξατο λιθωθῆναι. τινὲς δὲ εἰς κρύσταλλον αὐτὴν μεταβεβλῆσθαί φασιν. V.

τὴν Νιόβην οἱ μὲν Πέλοπος, οἱ δὲ Ταντάλου, οἱ δὲ Ζήθου, οἱ δὲ Ἀλαλκομένεω γυναῖκά φασιν. ἡ δὲ συμφορὰ αὐτῆς, ὡς μέν τινες, ἐν Λυδίᾳ, ὡς δὲ ἔνιοι, ἐν Θήβαις ἀπολέσθαι, νοςῆσαι δὲ αὐτὴν εἰς Λυδίαν. ἡ δὲ αἰτία τῆς τῶν παίδων συμφορᾶς, ὅτι Λητοῖ παρισοῦτο, λέγουσα πλείονα τέκνα καὶ γενναιότερα τεκεῖν· ἧς οἱ παῖδες ὀργισθέντες τοὺς αὐτῆς ἀνεῖλον, ἡ μὲν θήλεια τὰς θηλείας, ὁ δὲ ἄρσην τοὺς ἄρσενας. αὐτὴ δὲ τῇ λύπῃ ἀφωνίᾳ κρατηθεῖσα ὡς λίθος ἦν ἄφωνος. οἱ δὲ λαοὶ ἀσυμπαθεῖς ὡς λίθοι ἦσαν, μισοῦντες αὐτήν. τινὲς δέ φασιν ἧττον τὸ κατὰ τὴν Νιόβην εἶναι, ὅτι οὗτος πεντήκοντα τέκνων ἐςέρηται. ἀλλ' ἐκείνη πάντων ἅμα, οὗτος δὲ οὔ. παραμυθητικὸν δὲ τὸ τῆς διηγήσεως εἶδος (μῆκος V)· κουφίζεται γὰρ τὰ πάθη ταῖς ἀλλοτρίαις συμφοραῖς. ὡς Θηβαῖον δὲ ὄντα τὸν μῦθον καὶ ἀγνοούμενον Πριάμῳ ἐπεξεργάζεται. BV.

604. υἱέες: γράφεται καὶ υἱεῖς· διχῶς οὖν. ἡ δὲ διπλῆ, ὅτι οἱ νεώτεροι διαφωνοῦσι περὶ τοῦ ἀριθμοῦ τῶν Νιόβης παίδων· οἱ μὲν γὰρ δεκατέσσαρας, οἱ δὲ εἴκοσι τοὺς Νιοβίδας λέγουσιν. A.

605. ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν. A.

ῥητορικῶς τὴν διήγησιν ἀνέςρεψεν. ὅρα δὲ τὸ κάλλος· ἔφαγε γὰρ καὶ Νιόβη. τίς δὲ αὕτη ἦν; ἡ δώδεκα ἀπολέσασα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παῖδας. ὑπὸ τίνος; ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. διὰ τί; ὑπερηφανίαν. ἴσως δὲ ὑπὸ λοιμῆ διαφθαρέντες ἐνομίθησαν ἔτω τεθνάναι. Ἱπποκράτης δὲ ἐν τῷ περὶ ὀξέων παθῶν φησὶ „τὲς ὑπὸ ὀρθοπνοίας καὶ κυνάγχης ἀπολλυμένες ᾧοντο ἀθλητὲς εἶναι διὰ τὸ αἴφνης καὶ μετ' ὀδύνης τελευτᾶν." B. καθὸ ἄστων μετὰ θάνατον ἡ πλευρὰ εὑρίσκετο διὰ τὸ μὴ ἀπηλλαγμένες τῶν ὀδυνῶν τελευτᾶν. V.

ἄλλως. ψευδὲς ἐστὶ τὸ λιθωθῆναι τὴν Νιόβην, ἀλλ' ἡ ἀλήθεια ἔτως ἔχει· θανόντων, τῶν παίδων αὐτῆς ἐποίησέ τις εἰκόνα λιθίνην, ἣν ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων, ἣν βλέποντες οἱ παριόντες ἔλεγον „Νιόβη λιθίνη ἔστηκεν ἐπὶ τῷ τύμβῳ," ὥσπερ καὶ νῦν λέγεται „παρὰ τὸν χαλκῆν Ἡρακλῆ ἐκαθέσθην." B.

608. ἡ δ' αὐτή: αὐτὴ δέ, ὡς τὸ „ὁ δ' ἐρεύγετο" (Od. 9, 374) ἀντὶ τοῦ ἐρεύγετο δέ. B. ἰδία δὲ ἡ μεταφορή· ἐκ εἶπε γὰρ „ἑαυτὴν δὲ τετοκέναι πολλάς." V.

610. ἐν φόνῳ: ἐν τῷ τόπῳ ᾧ ἐφονεύθησαν. B.

611. λίθες: ἀντὶ τῶ λιθίνες τὰς ψυχὰς καὶ ἀσυμπαθεῖς ἐποίησε πρὸς τὸ μὴ θάψαι. AD.

ἀσυμπαθεῖς· ὠργίζοντο γὰρ αὐτῇ, ἐπεὶ διὰ τὴν ἐκείνης πέβειαν ὀλίγου δεῖν ἡ σύμπασα πόλις ἀπώλετο ἄν. B. πολλάκις γὰρ καὶ ἡ ξύμπασα πόλις" (Hesiod. O. 240). A.

612. θάψαν θεοί: ταῦτα πρὸς τὸ μὴ ἀμελεῖν κηδίας, εἴγε καὶ θεομισεῖς ὄντες ἐτάφησαν. B.

613. ἡ διπλῆ πρὸς τὴν διαφωνίαν τῶν νεωτέρων· φασὶ καὶ αὐτὴν ἀπολελιθῶσθαι, Ὅμηρος δὲ ἔ. A.

614 — 617. ἀθετοῦνται οἱ στίχοι δ', ὅτι οὐκ ἀκόλουθοι τῷ δ' ἄρα σίτου μνήσατ'." εἰ γὰρ ἀπελιθώθη, πῶς σιτία προσηνέγκατο; καὶ ἡ παραμυθία γελοία· φαγέ, ἐπεὶ καὶ ἡ Νιόβη ἔφαγε καὶ ἀπελιθώθη. ἔστι δὲ καὶ Ἡσιόδεια τῷ χαρίεντι, καὶ μᾶλλόν γε τὸ „ἀμφ' Ἀχελωΐου ἐρρώσαντο." καὶ εἰς κατὰ τὸ συνεχὲς τὸ ἕν. πῶς δὲ καὶ λίθος γενομένη θεῶν κήδεα πέσσει; προηθετοῦντο δὲ καὶ παρ' Ἀριστοφάνει. A. ἀθετοῦνται δ'· πῶς γὰρ ἡ λίθος ἐγεύσατο σίτου; πῶς δὲ καὶ ἄδεα πέσσει; B. τί δὲ ὁ τῶν Αἰτωλῶν ποταμὸς ἐν Σιπύλῳ ποιεῖ; V.

615. Σίπυλος πόλις ἐστὶ Λυδίας καὶ Ἀχελῷος ποταμὸς αὐτῇ παρακείμενος. θεάων δὲ εὐνάς, ὅτι ἐκεῖσε Σεμέλῃ Ζεὺς συνεκοιμήθη. B.

Πίνδαρος πόλις Λυδίας εἴτε καὶ Λυδῆ Πέλοπός φησιν. γῆν δὲ Θηβῶν τὴν Σίπυλον, ἐπεὶ καὶ ἐκεῖ τὰ περὶ Νιόβην εἰσίν. θεῶν δὲ εὐνάς, ὅτι πατρὶς θεῶν. καὶ Πίνδαρος δέμνιον Ἀρτέμιδος τὴν Ὀρτυγίαν φησὶν (Nem. 1, 1). Ῥέα φοβηθεῖσα τὰς ἀπειλὰς Κρόνου σὺν ταῖς θυγατράσιν ἔστησε Σίπυλον κρυφίως· καὶ ἱερὸν αὐτῷ ἐκεῖ. V.

616. αἵ τ' ἀμφ' Ἀχελώϊον: αἵτινες περὶ τὸ ὕδωρ ῥέουσιν, ἤτοι ἀπὸ τῆ Ἀχελῴῳ ποταμῷ τῷ ἐν Αἰτωλίᾳ, ὠνόμασαι ἀπὸ τῆ τὰ ἄχη λύειν, ἢ ὅτι Ἀχελῷος καλεῖ πᾶν ὕδωρ. ἢ διὰ τῆ ἦ Ἀχελήϊον· Ἀχέλης γὰρ ποταμὸς ἀπὸ Σιπύλε ῥέει εἰς τὴν Σμυρναίων γῆν. ABD. τινὲς ἀμφ' Ἀχελήσιον, ποταμὸς δὲ Λυδίας, ἐξ ἧ πληρῶται Ὕλλος. καὶ Ἡρακλέος νοσήσαντος ἐπὶ τῶν τόπων, ἀναδόντων αὐτῷ θερμὰ λετρὰ τῶν ποταμῶν, τὲς παῖδας Ὕλλον ἐκάλεσε καὶ τὸν ἐξ Ὀμφάλης Ἀχέλητα, ὃς Λυδῶν ἐβασίλευεν. εἰσὶ δὲ καὶ νύμφαι Ἀχαλήτιδες, ὡς φησι Πανύασις. οἱ δὲ Ἀχελῷον ὁμώνυμον τῷ Αἰτωλῷ, εἶναί τε καὶ ἄλλον περὶ Λύμην τῆς Ἀχαΐας καὶ ἄλλον περὶ Λάρισσαν τῆς Τρωάδος. καὶ πᾶν ὕδωρ Ἀχελῷόν φασιν. ὁ γὰρ ἐν Δωδώνῃ θεὸς παρῄνεσεν Ἀχελῴῳ θύειν· ὅθεν καὶ Ἀθηναῖοι καὶ Λυμαῖοι καὶ Ῥόδιοι καὶ Σικελιῶται αὐτὸν τιμῶσιν, Ἀκαρνᾶνες δὲ καὶ ἀγῶνα αὐτῷ ἐπιτελῶσιν. V.

616. ἐρρώσαντο: φιλοσόφως καὶ ἐρρωμένως καὶ μετὰ συνέσεως ὠρχήσαντο. B. φιλοσόφως ἐρρωμένην δεῖ καὶ τὴν τῶν θηλειῶν ὄρχησιν γίνεσθαι. καὶ Ἡσίοδος ἐπὶ τῶν Μουσῶν (Th. 1). V.

617. θεῶν ἐκ κήδεα πέσσει: τὸ ἐκ πρὸς τὸ θεῶν· τὰ ἐκ θεῶν κήδεα πέσσει. A.

ἀκύρως· πῶς γὰρ ἡ λίθος πέσσει; Φιλήμων δὲ ὁ κωμικός φησιν „ἐγὼ λίθον μὲν τὴν Νιόβην μὰ τοὺς θεούς ἐδέποτε ἐπείσθην, ἐδὲ νῦν πείθομαι ὡς τᾶτ' ἐγένετο καὶ κήδεα πέσσει, ἀλλ' ὑπὸ τῶν (ὡς τ' ἔτ' ἐγένετο ἄνθρωπος ὑπὸ δὲ τῶν V) κακῶν τῶν συμπεσόντων τῇ τε συμβάντος πάθους ἐδὲν λαλῆσαι δυναμένη πρὸς ἐδένα, προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν λίθος." Φερεκύδης δὲ ἐν ἡ „ἡ δὲ Νιόβη ὑπὸ τῆ ἄχεος ἀναχωρεῖ εἰς Σίπυλον, καὶ ὁρᾷ τὴν πόλιν ἀνεραμμένην καὶ Ταντάλῳ λίθον ἐπικρεμάμενον, ἀρᾶται δὲ τῷ Διὶ λίθος γενέσθαι. ῥεῖ δὲ αὐτῆς δάκρυα, καὶ πρὸς ἄρκτον ὁρᾷ." BV.

619. σίτου: ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. χαρίεις δὲ ὁ πρὸς ἀνάκτησιν τῆ γέροντος συνδειπνῶν, καίτοι προδειπνήσας. B.

624. σημειοῦνταί τινες ὅτι Ἡσίοδος ἐποίησεν „ὤπτησαν μὲν πρῶτα, περιφραδέως δ' ἐρύσαντο." ἐδεὶς δὲ περιφραδέως ἐξέλκει κρέα, ἀλλὰ μᾶλλον ὀπτᾷ. A.

628. ἰδίως χρῆται τῷ στίχῳ· καὶ γὰρ ὁ μὲν ἐκεκόρεσο, Πρίαμον δὲ ἐκ εἰκὸς ἦν εἰς κόρον δειπνεῖν. V.

ἡ διπλῆ, ὅτι κατακέχρηται τῷ στίχῳ. ὁ γὰρ Ἀχιλλεὺς ἤδη κεκόρεσαι· λέγει γὰρ „νέον δ' ἀπέληγεν ἐδωδῆς" (475). A.

630. ὅσσος ἔην οἷός τε· ὅσος ἐν μεγέθει, οἷος ἐν κάλλει. ταῦτα δὲ πρὸς ἔκπληξιν τῶν ἀκροατῶν. B.

632. καὶ μῦθον ἀκέων: ἀπὸ κοινῆ τὸ ἀγαθόν. φησὶ γᾶν περὶ αὐτῆ „θεόφιν μήσῳρ ἀτάλαντος" (Il. 7, 366). B.

635. λέξον: κλῖνον, κοίμισον· ἡ γὰρ διὰ χρόνε τροφὴ εἰς ὕπνον αὐτὸν καλεῖ. B.

636. ταρπώμεθα: δώδεκα γὰρ νύκτας ὄντι ἀΰπνῳ ἐκ ὀλίγη ἡ νὺξ τέρψιν πορίζεται. B.

παυσώμεθα: ἔτως Ἀρίσαρχος ἀντὶ τῆ ἀναπαυσώμεθα· ἁρπρεπὲς γὰρ τὸ λέγειν τὸν Πρίαμον ταρπώμεθα. A.

ἄλλως. Ἀρίσαρχος παυσώμεθα, ἀναπαυσώμεθα δηλῶν· ὁ γὰρ εὔκαιρον τὸ ταρπώμεθα. ἢ ἐπεὶ μετὰ ιβ' ἡμέρας ἄϋπνος τέρψιν αὐτῷ μέλλει ἐπαγαγεῖν ἡ νύξ. AV.

637. οὐ γάρ: ὑπερβολικῶς· ὁ γὰρ ἐνδεκτόν. λείπει οὖν τὸ ὡς πάλαι· ἢ διάφορα ἦν τὰ πάλαι σώματα. καὶ Ὀδυσ-

σεὺς κυβερνῶν τὴν χεδίαν ιζ' ἡμέρας ἀγρυπνεῖ καὶ ἄλλας τρεῖς νήχεται. V.

639. κήδεα μυρία πέσσω: ὑπὸ μυρίων καὶ ἀναριθμήτων κακῶν ἀναλίσκομαι. B.

640. ἐν χόρτοισι: ἐν τοῖς περιφράγμασι τῆς αὐλῆς, ὅ ἐστιν ὑπαίθριος. D. Δίδυμός φησιν ὅτι χόρτῳ ἀντὶ τειχίων ἐχρῶντο. V.

648. ἔτως Ἀρίσαρχος ξόρεσαν δυϊκῶς. B.

ἐγκονέουσαι: ἐνεργῆσαι καὶ πονᾶσαι· τὸ γὰρ πονεῖν Ἰακῶς κονεῖν λέγεται. B. ὡς πόθεν κόθεν. V.

650. ἐκτὸς μὲν δὴ λέξο: ἀφίσησιν αὐτόν, ἀμάρτυρον θέλων ἔχειν τὴν νυκτερινὴν παρρησίαν πρὸς συνεσίαν, καθάπερ ἡ μήτηρ παρῆνεσεν· αἰδεῖται γὰρ εἰσφέρειν Βρισηΐδα ὑπὲρ τῆ Πριάμε. ἢ ὑπὲρ τῆ πολλαπλασιάσαι τὴν χάριν. ἢ βεβαιῶσαι θέλει τὰς ἐπαγγελίας τῆς ἀνοχῆς, ὡς πάντων δι' αὐτῆ γινομένων. ἢ ἴσως οἶδεν Ἀγαμέμνονος τὸ πρὸς τοὺς πολεμίας σκληρόν. οἰκονομεῖται γὰρ γυκτὸς ἀπελθεῖν. BV.

657. ὑφ' ἓν τὸ ποσσῆμαρ, ὡς ἐννῆμαρ· μεσότητος γάρ ἐστιν, ἀντὶ τῆ ποσήμερον. ἐπεὶ δὲ ἅπαξ πειθεὶς δίδωσι τὸν νεκρόν, προνοεῖται καὶ τῆς κηδείας. B.

ὑφ' ἕν, περισπωμένης ἴσης πρὸ τέλους, ὡς καὶ ἐν τῷ αὐτῆμαρ καὶ ἐννῆμαρ ἑξῆμαρ. προείρηται δὲ ἤδη περὶ τῆς λέξεως, ἀλλὰ καὶ ἐζήτητο ἐν ταῖς προτάσεσι. παραιτητέον ἓν τὲς κατὰ διάλυσιν ἀναγινώσκοντας. A.

ἐν ἑτέροις ὁ Ἡρωδιανός φησι, πόσα μέρη ἐξὶ τὸ ποσσῆμαρ; ἓν γὰρ ἃ δύναται εἶναι, διότι ἀδέποτε πνσματικὸν μέρος λόγε προτάσσεται ἐν συνθέσει, ἐξῃρημένε τοῦ ποδαπός· ἐπέγκειται γὰρ τὸ ποῖος τῷ δαπέδῳ. δύο δὲ πάλιν ἃ δύνανται εἶναι· εἰρήκει γὰρ ἂν πόσα ἤματα. ἀπορεμένου τοίνυν μὺτῆ, κάλλιόν ἐξι λέγειν ἓν εἶναι μέρος λόγε ὅμοιον τῷ ἐννῆμαρ. A.

658. ὄφρα: δίχα δὲ Ἀγαμέμνονος δίδωσιν· ἄρχει γὰρ τῆ ὑπαίθρε· „ὅππῃ ἄρξειεν Ἀχιλλεύς" (Od. 3, 106). V.

660. τάφον: τὴν κηδείαν. V.

663. ἀξέμεν: λείπει τὸ ὥξε, ὥξε ἀξέμεν. B. καὶ ἐπὶ ξύλων δὲ τὸ ἄγειν. ἴσως δὲ διὰ τὰς ἡμιόνες. V.

Ἀρίσαρχος μάλα γάρ, καὶ οὐ μάλα δέ. A.

Δίδυμος μάλα γάρ, οὐ δέ. V.

664. ἐννῆμαρ μέν: φιλοπενθὲς γὰρ τὸ βάρβαρον· ἢ ἅμα τῇ προφάσει τῆς κηδείας τὰ πρὸς πολιορκίαν ἑτοιμάζεται. AB. καὶ ὁ προπέπεισαι (προπείσεται?) ὡς προνοίᾳ θεῶν ἄσηπτον ἔχων τὸ σῶμα. V.

665. δαινῦτο: προπερισπαςέον, ὡς καὶ Φιλοξένῳ δοκεῖ, ἵνα ᾖ ἐκ τῆ δαινύατο τῆ ἑνικῆ συναλοιφή, ὡς πυθοίατο. ὡς ἂν τὲς νέκυας νέκυς ἔφη καὶ τὸ δαινύατο δαινῦτο, ἔτως ἔχει καὶ τὸ „λελῦτο δὲ γυῖα ἑκάςε" (Od. 18, 237). ἐδὲν δὲ θαυμαςὸν εἰ πληθυντικόν ἐξι τὸ δαινῦτο καὶ τὸ λαός ἑνικόν· τῷ γὰρ σημαινομένῳ ἡ σύνταξις ἐγένετο, ὁμοίως τῷ „ἀγρόμενοι πᾶς δῆμος" (Il. 20, 166). Φιλοξένῳ δὲ ἀρέσκει ἐν τοῖς εἰς μι λήγεσι καὶ ἑνικὸν αὐτὸ εὐκτικὸν εἶναι ἀκολόθως κεκλιμένον. A.

δαινῦτό τε λαός: ἀντὶ τοῦ ἐπιτάφιον δεῖπνον τῷ λαῷ ποιήσοιμεν. B.

ὅτι μετὰ τέτων τῶν ἡμερῶν ἔκαιον καὶ μετὰ τὴν ταφὴν τὸν δεῖπνον ἐποίεν. A.

667. εἴπερ ἀνάγκη: ἀπειρηκὼς τῷ χρόνῳ ἢ ταῖς συμφοραῖς ἀνάγκην τὸν πόλεμον ἐκάλεσεν. ἐθεράπευσε δὲ τὸ φιλότιμον Ἀχιλλέως τῷ δέει τῶν πολεμίων. B.

671. ἐπὶ καρπῷ χεῖρα γέροντος: ἐδεξιώσατο τὸν γέροντα. ἐζήτηται δὲ πῶς Ἀχιλλεὺς χωρὶς τῶν βασιλέων ἐπαγγέλλεται τῷ Πριάμῳ ταῦτα ἅπερ ὑπιχνεῖται. ῥητέον ἓν ὅτι Ἀχιλλεὺς τὰ τῶν πολεμίων ἐπετέτραπτο πάντα, καὶ αὐτὸς εἶχε τὴν ἐξέσιαν πάντων τῶν τῆ πολέμε ἀνοχῶν τε καὶ συμβολῶν. AD.

πρὸς πίσιν ἡ τῆς δεξιᾶς χειρὸς κράτησις. B.

674. πυκινὰ φρεσί; τοῦτο ἐν τῷ καθόλου, οὐ τότε μόνον. V.

676. τῷ δ' ἄρ Βρισηΐς: γράφεται τῷ δὲ Βρισηΐς. A.

679. ἀλλ' ἐχ Ἑρμείαν: δεῖ οὖν καὶ ἡμᾶς τὸ θεῖον ὡς ἄγρυπνον αἰδεμένες μὴ εἰκῇ τι πράσσειν. B.

681. ἱερὸς πυλαωρός: πιςούς, ἢ τοῦ γρατεύματος πυλαωρός. B.

πιςός. ἢ σωτῆρας· καὶ „φυλάκων ἱερὸν τέλος" (Il. 10, 56) καὶ ὑπὲρ τὴν πρόξαξιν δὲ Διὸς ποιεῖ, ἐλεῶν τὸν γέροντα, ὡς πά φησιν „ἀνδρὶ ἑταιρίσσαι" (335). V.

686. σεῖο δέκεν: ταῦτα πρὸς τὸ ἀποτρέψαι αὐτὸν τῆ ὕπνε. B.

697. γράφεται φέρον. A.

699. ἰκέλη χρυσῇ Ἀφροδίτῃ: κατ' ἐπιφορὰν εἴρηται· ἔδει γὰρ παρθένον οὖσαν Ἀρτέμιδι εἰκάζειν, ὡς Ναυσικάαν (Od. 6, 102). τοῦτο δὲ ποιεῖ διὰ τὴν συμπάθειαν· ἃ γὰρ οἶδεν αὐτὴν μάντιν ὁ ποιητής· ἀγωνιᾷ περὶ ἀδελφῆ καὶ πατρός. B.

701. ἑσαότ': Ἀρίσαρχος ἑσεῶτ'. A. διχῶς δὲ ὁ ποιητής φησι. V.

ἀσυβοώτην: ἐπιθετικῶς τὸν κήρυκα, ἀπὸ τῆ ἐν τῷ ἄσει βοᾶν. A.

703. γέγωνέ τε: ἢ χαρὰ γὰρ ἰσχὺν δίδωσι καὶ βοῆς καὶ περιόδε. ἐχάρη δὲ ἰδᾶσα τὸν νεκρὸν ἀπροσδοκήτως ἀφόμενον. B.

704. ὄψεσθε: ὡς „ἄξετε δὲ Πριάμοιο βίην" (Il. 3, 105) καὶ „οἴσετε δ' ἄρνε" (ib. 103). ἢ τὸ ἰόντι ἀντὶ τοῦ ἰόντος. V.

706. χαίρετ': ἀντὶ τῆ συνευφραίνεσθε καὶ συγχαίρετε. B.

708. ἐδὲ γυνή: ἐναργῶς καὶ τὰς γυναῖκας συνεργάσας ἐποίησεν ἐπὶ τῇ παραδύξῳ θέᾳ τῆ νεκρῆ καὶ τῇ σωτηρίᾳ τῆ βασιλέως. B.

711. τιλλέσθην: ἑαυτὰς καὶ τὰς ἰδίας κεφαλάς. B.

717. δόμονδε: γράφεται πόλινδε. A.

720. ἀοιδὲς νῦν τὲς θρηνῳδές. ἦσαν δέ ἔτοι Κλεῖ-

τος καὶ Ἐπιμήδης. AD. θρηνῳδούς· δεινοπενθεῖς γὰρ βάρβαροι. ἀθετητέος δὲ ὁ Μουσῶν ἐπ' Ἀχιλλεῖ θρῆνος. V.

721. ἐξάρχους: ἐπιλεγόντων δηλονότι τῶν ἄλλων. V.

722. οἱ μὲν ἄρ' ἐθρήνεον: ἐν ἄλλῳ οἱ μὲν δὴ ἐθρήνεον. A.

ἐξῆρχον μὲν ἐκεῖνοι τῶν λόγων, ὡς ἔοικε, καὶ διεδέχοντο αὐτοὺς αἱ γυναῖκες ἀντιφωνοῦσαι. B.

723. τῇσιν: ἐν ἄλλῳ τοῖσιν. A.

725. νέος ὤλεο: νέος ἐξεκόπης τῆς ζωῆς. ἀπὸ οἰκτροῦ δὲ ἤρξατο, τὴν ἐκκοπὴν τῆς ἥβης ὀδυρομένη· τοὺς γὰρ ἐν γήρᾳ θανόντας μᾶλλον εὐδαιμονίζομεν. B.

Ζηνόδοτος νέον ὤλεο. A.

726. πάϊς δέ τε: ἐν ἄλλῳ πάϊς δ' ἔτι. A.

730. ἔχες: ἠτυμολόγηκε τὸ ὄνομα Ἕκτορος. V.

731. νηυσὶν οἰχήσονται: ἀντὶ τοῦ ἐπὶ νηῶν πορεύσονται. B.

734. ἀεθλεύων πρὸ ἄνακτος: κακοπαθῶν ὑπὲρ δεσπότου. καὶ Πίνδαρός φησι (Pyth. 4, 72) „λυσίπονοι δεσποτῶν θεράποντες·" ὑπὲρ ἐκείνων γὰρ πλέουσι, γεωργοῦσιν, ἀχθοφοροῦσιν. B.

735. ῥίψει ἑλών: ἢ ὡς ἐκ ςοχασμοῦ, ἢ ὡς ἔθους ὄντος τοὺς μὴ δυναμένους δουλεύειν παῖδας ῥίπτεσθαι. B. οἱ δὲ νεώτεροί φασιν αὐτὸν οἰκιςὴν ὕςερον γεγενῆσθαι Τροίας καὶ ἄλλων πόλεων. V.

ἡ διπλῆ, ὅτι ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ ῥιπτόμενον κατὰ τοῦ τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγουσι τὸν Ἀςυάνακτα. AD.

739. πατὴρ τεός: νῦν περὶ αὐτοῦ, εἶτα ἀποςρέφει τὸν λόγον πρὸς αὐτὸν ἐν τῷ „ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας" (741). V.

741. ἀρητόν: ἐπάρατον, ἢ ἐπιβλαβῆ, ἢ ἀείῤῥητον. ἐκ τοῦ περὶ αὐτοῦ δὲ εἰς τὸ πρὸς αὐτόν. B.

744. οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος: ταῦτα βιωτικά· γλυκὺ γὰρ ἐν πένθεσιν αἱ τελευταῖαι τῶν φίλων φωναὶ πρὸς παραμυθίαν. πυκινὸν δὲ ἔπος τὸ πρὸς βιοτείαν λυσιτελές. B.

746. ἐπὶ δέ: οὐ μετὰ τὸ θρηνῆσαι, ἀλλὰ σὺν αὐτῇ. οὐκ ἠδύνατο δὲ πάντα ὑφ' ἓν εἰπεῖν. B.

οὐ μόνον αἱ γυναῖκες· πλείονα γὰρ ἐκίνησεν οἶκτον. V.

749. περισπαςέον τὸν ἦ. V.

τῷ μέν ἀποδίδωσι τὸν δέ. V.

750. οἱ δ' ἄρα σευ: οὐ πρὸς τὸ ῥητὸν ὑπήντησεν, ἀλλὰ πρὸς τὴν διάνοιαν. οὐ γὰρ εἶπε τὸ καὶ τεθνηκὼς πάλιν αὐτοῖς φίλος εἴη. περισσὸς ὁ πέρ. V.

752. ὅντιν' ἕλεσκε: ἐν ἄλλῳ ὅντιν' ἕλῃσι. A.

ἐπεξηγεῖται τὸ πέρνασκε διὰ τοῦ πέρην. B.

753. ἀμιχθαλόεσσαν: ἤτοι ἀπρόσμικτον, ᾗ ῥᾳδίως οὐ μίγνυται ὁ ἀπὸ τῆς θαλάσσης, καθὸ ἀλίμενός ἐςιν· ἢ διὰ τοὺς ἐνοικοῦντας ἀγρίους καὶ θηριώδεις καὶ λῃςρικὸν βίον ἐπανῃρημένους. ἔνιοι δὲ οὐχ οὕτως, ἀλλὰ τὴν ὀμιχλώδη ἀπέδοσαν. AD.

κατὰ Κυπρίους εὐδαίμονα. οἱ δὲ πετρώδη καὶ ἀπόκρημνον. οἱ δὲ ἄμικτον, διὰ τὸ ἐκ θαλάσσης δυσπρόσιτον καὶ τὴν τραχύτητα. οἱ δὲ ὀμιχλώδη καὶ ἀπροόρατον τοῖς πλέουσιν. B. διὰ τὰ ἐργαςήρια Ἡφαίςου. V.

Ἀντίμαχος μιχθαλόεσσαν. V.

755. ῥυςάζεσκεν: εἷλκεν, ἔσυρεν. A.

757. νῦν δέ μοι: ὅσῳ εὐσεβὴς ὁ τεθνεὼς δείκνυται, τοσούτῳ ὁ θρῆνος αὔξει. V.

πρόσφατος: νεωςὶ πεφονευμένος. ἢ ἀπὸ τῶν νεωςὶ πεφασμένων ἐκ γῆς φυτῶν, ἵνα δηλοῖ τὸ χλωρός. B.

758. ὅντ' ἀργυρότοξος: ἀντὶ τοῦ ὃν συνέβη αἰφνιδίῳ καὶ ὀξεῖ θανάτῳ τελευτῆσαι. AD.

759. ἀγανοῖς: πράοις διὰ τὸ ἀνώδυνον, ἢ παρὰ τὸ ἀγάσασθαι, ὅ ἐςιν ἐκπλαγῆναι. γυναικείως δὲ μακαρίζει τὸ ἑςηκέναι αὐτῷ τὸ σῶμα. BV.

κατέπεφνεν: ἐν ἄλλῳ καταπέφνῃ. A.

764. ὤφελλον ὀλέσθαι: ὤφελλ' ἀπολέσθαι. A.

ὤφελλ' ἀπολέσθαι: ὄφελον ὀλέσθαι οὕτως, ἵν' ᾖ ὅμοιον τῷ „ὥς μ' ὄφελ' ἤματι τῷ" (Il. 6, 345). V.

765. τόδε εἰκοςὸν ἔτος: ψευδές· οὐ γὰρ εἰκοςὸν ἔτος δύναται εἶναι, ἐξ οὗ εἰς τὸ Ἴλιον ἦλθεν Ἑλένη, εἴγε δεκαετὴς μὲν ὁ τοῦ πολέμου χρόνος ὁμολογεῖται γεγονέναι, εἰκοςῷ δὲ Ὀδυσσεὺς εἰς Ἰθάκην ἐπανελήλυθεν ἔτει, πολὺν ἐν τῇ πλάνῃ ἐνδιατρίψας χρόνον. ῥητέον δὲ ὅτι δέκα ἔτη ἐςρατολόγουν, χειμάζοντες ἐν ταῖς ἰδίαις καὶ θέρους εἰς Αὐλίδα ἀφικνούμενοι. καὶ γὰρ ἤκουον τὸν πλοῦτον καὶ τὴν ἰσχὺν τῶν Τρώων πολλὴν οὖσαν. καί τινες δὲ παρῃτοῦντο τὸν πόλεμον, καὶ διὰ τοῦτο ἐκεῖ καθήμενοι ἐςρατολόγουν. νῦν δὲ εἰκοςὸν ἔτος ἐςὶν ἀπὸ τῆς ἁρπαγῆς Ἑλένης. ἐπὶ δὲ Ὀδυσσέως τὰ δέκα ἔτη τῆς ςρατολογίας οὐκ ἀριθμητέον. B.

δέκα γὰρ ἔτη ἐςρατολόγουν „καμέτην δέ μοι ἵππω λαὸν ἀγειρούσῃ" (Il. 4, 27). καὶ γὰρ ἤκουον τὴν ἰσχὺν τῶν Τρώων· „καὶ γὰρ Τρῶάς φασι μαχητάς" (Od. 18, 260) πλοῦτον· „καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι" (543). τὰ δὲ δέκα ταῦτα ἔτη παρεχείμαζον. ὅθεν πού φησιν „ἐεικοςῷ ἐνιαυτῷ" (Od. 2, 175) ἴσως Ἁλιθέρσου τῇ ὑςεραίᾳ παραχειμάσει τοῦτο εἰπόντος. διὰ τοῦτο οἱ μὲν μόγις ἐςράτευον, ὡς Ὀδυσσεύς, οἱ δὲ παρῃτοῦντο, ὡς Ἐχέπωλος (Il. 23, 296)· οἵ τε Ἀτρεῖδαι δι' ἑαυτῶν ἐπρέσβευον, τῇ δὲ τοὺς περὶ Νέςορα ἔπεμπον. γεγέννηται οὖν ὁ Νεοπτόλεμος περὶ τὴν πρώτην ἔξοδον, ὡς εἶναι αὐτὸν ιη' ἐνιαυτῷ Τηλέμαχος Πεισίςρατος Μεγαπένθης Ὀρέςης. παρεχείμαζον οὖν ἐν ταῖς ἰδίαις καὶ θέρους εἰς Αὐλίδα ἀφικνοῦντο. τότε ἴσως καὶ Σκῦρον ἑλὼν Νεοπτόλεμον ἐποίησεν Ἀχιλλεύς. V.

766. καὶ ἐμῆς: ἔδει ἀπὸ τῆς ἐμῆς ἤλυθον πατρίδος. V.

λεληθότως δὲ ἐσήμανεν ὡς οἱ φρόνιμοι τῶν Τρώων πρὸς τιμῆς ἔχειν ἡγοῦντο τὴν Ἑλένην. A. καὶ διὰ τοῦτο οὐκ ἀπεδίδοσαν. V.

768. ἐνίπτοι: γράφεται ἐνίσσοι. A.

770. αἰεί: γράφεται ἦεν. A. φησὶ γὰρ „οὔ τί μοι αἰτίη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐσσί" (Il. 3, 164)· ἄτοπόν τε ἐῶντα τὸν αἴτιον τὴν ἀναίτιον μέμφεσθαι. A.

773. ἔμ' ἄμμορον: ἐμαυτήν. οἱ δὲ γράφουσιν ἐμὸν μόρον. V.

775. περίκασι: βδελύττονται. A.

776. δῆμος ἀπείρων: ὁ μόνον αἱ γυναῖκες, ἀλλὰ καὶ αὐτὸ τὸ ἄπειρον πλῆθος. ἐπὶ πλείω δὲ ἑλέσθαι καταχρῆται τὴν Ἰλιάδα· ὅθεν οἱ ῥήτορες ἐν τοῖς δικανικοῖς ἔχατον τιθέασι τὸν οἶκτον ὡς κινοῦντα τὸν ἀκροατήν. B.

777. τὸ ὃ γέρων διὰ τὸ οἰκτρὸν ἢ μᾶλλον τὸ ἔντιμον πρόσκειται, ὡς τὸ „Νέστωρ δ' ὁ γέρων ἀμογήτι ἄειρεν" (Il. 11, 636). B.

784. ἐννῆμαρ: σπεύδουσι γὰρ τῇ δεκάτῃ καὶ ἐνδεκάτῃ τελειῶσαι τὸν τάφον· ἡ γὰρ ἑξῆς εἰς πόλεμον ἐταμιεύθη. B.

ἅμα εἰς πολιορκίαν αὐτὴν ταμιεύοντες. V.

785. φαεσίμβροτος ἠώς: ἐν ἄλλῳ ῥοδοδάκτυλος ἠώς. A.

786. ἀκρυχέοντες: ἐν ἄλλῳ ἀχνύμενοι κῆρ. A.

793. τινὲς ὄσσα προπαροξυτόνως, ὡς χάλκεα. ἄμεινον δὲ παροξύνειν. A.

795. ἢ διπλῆ, ὅτι τὴν σορὸν λάρναχα εἶπεν. A.

796. καλύψαντες: τινὲς καθάψαντες. V.

799. περὶ δὲ σκοποί: στρατηγικὸν τὸ μὴ ταῖς σπονδαῖς πιστεύσαντας ἀστρατηγήτους ἑαυτοὺς τοῖς πολεμίοις Ἕλλησι παραδοῦναι, καὶ νυνεχείας πολλῆς. B.

804. ὣς οἵ γ' ἀμφίεπον: Μενεκράτης φησὶν αἰσθόμενον ἑαυτῷ ἀσθενείας τὸν ποιητὴν καὶ τῷ μὴ ὁμοίως δύνασθαι φράζειν ἐᾶσαι τὰ μεθ' Ἕκτορα. καλῶς δὲ ἐταμιεύσατο ἑαυτῷ τὰ λοιπὰ τῶν ζητημάτων εἰς τὴν Ὀδύσσειαν· μικρὰ γὰρ ἦν ἡ ὑπόθεσις περὶ τῆς οἰκίας τοῦ Ὀδυσσέως μόνον· ἐν τῷ μέσῳ δὲ τὰ περὶ Μενελάου καὶ Νέστορος καὶ Ἀγαμέμνονος καὶ ἁπλῶς περὶ τοῦ ἀπόπλου διέξεισι καὶ τοῦ δορείου ἵππου. ἄλλως τε πολιορκίαν μακρὰν οὐκ ἄξιον διηγεῖσθαι αὐτόν. B.

τινὲς γράφουσιν „ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος· ἦλθε δ' Ἀμαζών, Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο." V.

Ἀττικοὶ τὸ περίδειπνον τάφον λέγουσι. Πολύιδος δὲ τὸ μνημεῖον. V.

SCHOLIORUM

IN HOMERI ILIADEM

APPENDIX.

ADDIDIT

IMMANUEL BEKKERUS.

BEROLINI
TYPIS ET IMPENSIS GE. REIMERI
A. 1827.

D. NUTT,
FOREIGN & CLASSICAL
Bookseller,
270 STRAND LONDON

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΡΑΦΡΑΣΙΣ ΤΗΣ ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ.

Α. ΛΟΙΜΟΣ. ΜΗΝΙΣ.

ΥΠΟΘΕΣΙΣ 1. Ἄλφα λιτὰς Χρύσου, λοιμὸν στρατοῦ, ἔχθος ἀνάκτων.

2. Χρύσης ἱερεὺς τοῦ Ἀπόλλωνος παραγίνεται ἐπὶ τὸν ναύσταθμον τῶν Ἑλλήνων βουλόμενος λυτρώσασθαι τὴν θυγατέρα αὐτοῦ Χρυσηΐδα. οὐκ ἀπολαβὼν δὲ ἀλλὰ καὶ μεθ' ὕβρεως ἀποδιωχθεὶς ηὔξατο τῷ Ἀπόλλωνι κατὰ τῶν Ἑλλήνων. λοιμῆ δὲ γενομένῃ καὶ πολλῶν ὡς εἰκὸς διαφθειρομένων ἐκκλησίαν Ἀχιλλεὺς συνήγαγε. Κάλχαντος δὲ διασαφήσαντος τὴν ἀληθῆ αἰτίαν, καὶ κελεύσαντος Ἀχιλλέως ἐξιλάσκεσθαι τὸν θεόν, Ἀγαμέμνων ὀργισθεὶς διενέχθη πρὸς τὸν Ἀχιλλέα καὶ αὐτοῦ τὸ γέρας ἀπέσπασε τὴν Βρισηΐδα. ὁ δὲ ὀργίζεται τοῖς Ἕλλησι. Θέτις δὲ τοῦ υἱοῦ δεηθέντος εἰς Ὄλυμπον ἀνελθοῦσα ἠτήσατο παρὰ τοῦ Διὸς ὅπως τοὺς Τρῶας ἐπικρατεστέρους τῶν Ἑλλήνων ποιήσῃ. Ἥρα δὲ γνοῦσα διενέχθη πρὸς τὸν Δία, ἕως αὐτὸς διέλυσεν Ἥφαιστος οἰνοχοήσας ἐν ἐκπώματι χρυσῷ. οἱ δὲ τὸ λοιπὸν τῆς ἡμέρας εὐωχηθέντες εἰς ὕπνον τρέπονται.

Τὴν ὀργὴν εἰπὲ ὦ θεὰ τῷ υἱῷ Πηλέως τοῦ Ἀχιλλέως τὴν ὀλεθρίαν, ἥτις πολλὰ τοῖς Ἕλλησι κακὰ εἰργάσατο, πλείας δὲ γενναίας ψυχὰς τῷ Ἅιδῃ παρέπεμψε τῶν ἡμιθέων ἀνδρῶν, τὰ δὲ σώματα αὐτῶν ἑλκύσματα ἐποίησε τοῖς κυσὶ καὶ τοῖς σαρκοφάγοις ὄρνισιν ἅπασιν· ἡ τοῦ Διὸς δὲ ἐπληροῦτο βουλή, ἀφ' ἧς δὴ χρόνου τὴν ἀρχὴν διέζησαν φιλονεικήσαντες ὁ τοῦ Ἀτρέως παῖς Ἀγαμέμνων ὁ βασιλεὺς καὶ ὁ ἔνδοξος Ἀχιλλεύς. τίς δὴ αὐτὼ τῶν θεῶν φιλονεικίᾳ συνέβαλε πολεμεῖν; ὁ τῆς Λητοῦς καὶ τοῦ Διὸς παῖς Ἀπόλλων. ὄστις γὰρ τῷ βασιλεῖ ὀργισθεὶς νόσον κατὰ στρατόπεδον διήγειρε κακωτικήν, ἀπώλλυντο δὲ οἱ λαοί, ἐπειδὴ τὸν Χρύσην ἀτίμως ὕβρισε τὸν ἱερέα ὁ Ἀγαμέμνων. ὄστις γὰρ ἦλθεν ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων λυτρωσόμενος τὴν θυγατέρα κομίζων τε πλεῖστα λύτρα, στέφανώματα κατέχων ἐν ταῖς χερσὶ τοῦ μακροβόλου Ἀπόλλωνος περὶ τῇ χρυσῇ ῥάβδῳ· καὶ παρεκάλει πάντας τοὺς Ἕλληνας, μάλιστα δὲ τὼ δύο τοῦ Ἀτρέως παῖδας, τοὺς διανάκτορας τῶν ὅλων. "ὦ Ἀτρέως παῖδες καὶ οἱ λοιποὶ εὐόπλοι Ἕλληνες, ὑμῖν μὲν θεοὶ παράσχοιεν οἱ τὸν Ὄλυμπον κατοικοῦντες ἐκπορθῆσαι τοῦ Πριάμου τὴν πόλιν καὶ καλῶς εἰς τὰ οἰκεῖα παραγενέσθαι· τὴν προσφιλῆ δέ μοι θυγατέρα λυτρώσασθε, τὰ δὲ δῶρα δέξασθε σεβόμενοι τὸν Διὸς υἱὸν τὸν μακροβόλον Ἀπόλλωνα." τότε οἱ μὲν ἄλλοι πάντες ἐβόησαν μετ' εὐφημίας Ἕλληνες εὐλαβεῖσθαι τὸν ἱερέα καὶ τὰ λαμπρὰ δέξασθαι δῶρα· ἀλλ' ὁ τοῦ Ἀτρέως παιδὶ Ἀγαμέμνονι ἤρεσκε τῇ ψυχῇ, "ἀλλὰ μεθ' ὕβρεως τὸν ἱερέα ἀπέπεμπεν, ἀπειλητικὸν δὲ λόγον εἶπε. "μηδαμῶς σε ὦ πρεσβῦτα ἐπὶ ταῖς βαθείαις ναυσὶ καταλάβω ἢ ἐν τῷ παρόντι καιρῷ ἐγχρονίζοντα ἢ ἐκ δευτέρου πάλιν παραγενόμενον], μή πως ἐκ ἂν σοι βοηθήσῃ ἡ ῥάβδος καὶ τὰ στεφανώματα τοῦ θεοῦ. ταύτην δὲ ἐγὼ ἐκ ἀπολύσω· πρὸ τοῦ αὐτὴν τὸ γῆρας ἐπέλθῃ "ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐν τῇ Πελοποννήσῳ πόρρω τῆς πατρίδος ἐργάσαν καὶ ὑφαίνασαν καὶ τὴν ἐμὴν κοίτην μετέχουσαν (ἤτοι εὐτρεπίζουσαν). ἀλλ' ἄπιθι, μή με παρόξυνε, ὅπως σῶος ὑποστρέψῃς." ὄτως εἶπεν· ὁ δὲ γέρων ἐφοβήθη καὶ ἐπείθετο τῷ λόγῳ. ἐπορεύθη δὲ ἡσύχως παρὰ τὸν αἰγιαλὸν τῆς πολυταράχου θαλάσσης· "πολλὰ δὲ μετὰ ταῦτα ἀπόθεν πορευθεὶς ηὔχετο ὁ γέρων τῷ βασιλεῖ Ἀπόλλωνι, ὃν ἡ καλλίκομος Λητὼ ἐγέννησεν. "ἐπάκουσόν μου λαμπρότοξε, ὃς τὴν Χρύσην πόλιν ὑπερμαχεῖς καὶ τὴν θείαν καὶ θαυμαστὴν Κίλλαν, καὶ τῆς Τενέδου ἰσχυρῶς βασιλεύεις, ὦ Σμινθιεῦ· ἐάν σοί ποτε εὐχαρῆ καὶ ἐπὶ τὸν ναὸν ἐστεφάνωσα "καὶ ἐάν δή ποτέ σοι τὰ λιπαρὰ ὀστᾶ κατέκαυσα ταύρων ἢ καὶ αἰγῶν, τοῦτό μοι πλήρωσον τὸ ἐπιθύμημα· τιμωρίαν δοῖεν οἱ Ἕλληνες ἀντὶ τῶν ἐμῶν δακρύων τοῖς σοῖς βέλεσιν." ὄτως εἶπε προσευχόμενος· τότε δὲ ὑπήκουεν ὁ καθαρὸς Ἀπόλλων. ἐξέβη δὲ τῶν ἀκρωτηρίων τοῦ Ὀλύμπου ὀργιζόμενος τὴν ψυχήν, "τόξον ἐν τοῖς ὤμοις ἔχων καὶ τὴν ἀμφοτέρωθεν ἐσταμένην φαρέτραν· τὰ βέλη δὲ ἤχησαν ἐπὶ τῶν ὤμων αὐτοῦ ὀργιζομένῳ αὐτῷ συναφέντος. ὄτος δὲ ἐπαρεγένετο σκότει παραπλήσιος. ἐκαθέζετο μετὰ ταῦτα ἄποθεν τῶν πλοίων, μετὰ ταῦτα δὲ βέλος ἔπεμψεν, φοβερὸς δὲ ἦχος ἐγένετο τοῦ ἀργυροῦ τόξου τῆς νευρᾶς. "ἐπὶ τὰ ὑποζύγια πρῶτον ἐπορεύετο καὶ τοὺς λευκοὺς κύνας (ἢ τοὺς ταχεῖς)· μετὰ ταῦτα αὐτοῖς τοῖς Ἕλλησι βέλος πικρίαν ἔχον ἐπιπέμπων ἔβαλλε· διὰ παντὸς δὲ πυρκαϊαὶ νεκρῶν ἐκαίοντο συνεχεῖς καὶ πυκναί. ἐπὶ ἐννέα δὲ ἡμέρας κατὰ τὸ στρατόπεδον ἐπήρχετο τὰ βέλη τοῦ θεοῦ· τῇ δὲ δεκάτῃ ἡμέρᾳ εἰς ἐκκλησίαν συνεκαλέσατο τὸν λαὸν Ἀχιλλεύς. "τοῦτο γὰρ κατὰ νοῦν ἐποίησεν ἡ λευκοβραχίων θεὰ Ἥρα· ἐφρόντιζε γὰρ τῶν Ἑλλήνων, ὅτι δὴ ἀποθνήσκοντας αὐτοὺς ἑώρα. ὅτοι δὲ ἐπεὶ συνηγέρθησαν ὁμοῦ τε συνηθροίσθησαν, ἐν τούτοις δὲ ἀναστὰς ἐδημηγόρησεν ὁ ταχύτατος Ἀχιλλεύς. "ὦ Ἀγάμεμνον, τὰ νῦν ἡμᾶς πάλιν ὑποστρέψειν καὶ ἐπανελθεῖν [ὑπολαμβάνω], "κἂν τὸν θάνατον ὅλως διαφύγοιμεν, ἐπειδὴ ὁμοῦ ὁ πόλεμος κατακοπεῖ καὶ ὁ λοιμὸς τοὺς Ἕλληνας. [ἀλλ' εἰά τινα μάντιν ἐρωτήσωμεν ἢ ἱερέα] ἢ τὸν δι' ὀνείρων μαντευόμενον· καὶ γὰρ ὄτος ὄνειρος ἐκ τοῦ Διὸς ὑπάρχει· ὃς καὶ εἶπε διὰ τί τόσον ὠργίσθη ὁ καθαρώτατος Ἀπόλλων, "εἴτε δὴ ὄτος εὐχῆς ἕνεκα αἰτιᾶται ἢ μεγάλης θυσίας, ἐάν πως τῆς τῶν ἀρνῶν θυμιάσεως καὶ τῶν ὁλοκλήρων αἰγῶν βούλεται μεταχὼν (καὶ μεταλαβὼν) ἡμῶν μακρὰν τὸν ὄλεθρον ἀποσοβῆσαι." ὄτος δὴ ὄτως εἰπὼν ἐκαθέζετο. ἐν τούτοις δὲ ἀνέζη Κάλχας ὁ τοῦ Θέστορος υἱός, τῶν ὀρνεοσκόπων ὁ ἐξοχώτατος, "ὃς ἠπίστατο τά τε ἐνεστῶτα τά τε ἐσόμενα καὶ τὰ προγεγονότα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ταῖς ναυσὶν ἡγήσατο τῶν Ἑλλήνων εἰς τὴν Ἴλιον διὰ τὴν αὐτοῦ μαντείαν, ἥντινα ἐχαρίσατο αὐτῷ ὁ Ἀπόλλων ὅσις ἐν αὐτοῖς καλῶς φρονῶν ἐδημηγόρησε καὶ εἶπεν "ὦ τῷ Διὶ προσφιλέσατε Ἀχιλλεῦ, κελεύεις με ἐξειπεῖν καὶ φράσαι "τὴν ὀργὴν τῆ Ἀπόλλωνος τῆ μακροβόλα βασιλέως. τοιγαρῦν ἐγὼ μὲν φράσω, σὺ δὲ σύνθα καὶ ὄμοσόν μοι ὄντως δή μοι τοῖς λόγοις προθύμως καὶ ταῖς χερσὶ βοηθήσειν. ὄντως γὰρ ὑπολαμβάνω ἄνδρα παροργίσειν ὅσις μεγάλως ἁπάντων τῶν Ἑλλήνων κρατῶν ἄρχει, καὶ αὐτῷ πειθαρχῆσιν οἱ Ἕλληνες. "ἐπικρατέστερος γὰρ ὁ βασιλεύς, ἡνίνα χείρονι ἀνδρὶ ὀργίζεται· ἐάνπερ γὰρ τὴν ὀργὴν καὶ κατ' αὐτὴν τὴν ἡμέραν καταμαλάξῃ, ἀλλὰ γῆν καὶ εἰς τὰ μετὰ ταῦτα κατέχει τὴν μνησικακίαν, ὅπως αὐτὴν ἐνδείξηται, ἐν ταῖς ἑαυτῆ διανοίαις. σὺ δὲ διανοήθητι ἐάν με σώσῃς." πρὸς τῆτον δὲ ἀνταποκρινόμενος ἔφη ὁ ταχύπους Ἀχιλλεύς "εὐθαρσήσας σφόδρα φράσον τὸ ἐκ θεῆ μάντευμα ὅπερ οἶδας. ἐδαμῶς γὰρ μὰ τὸν Ἀπόλλωνα τὸν τῆ Διὸς προσφιλῆ, ᾧ [σὺ ὦ Κάλχαν] προσευχόμενος τοῖς Ἕλλησι τὰς ἐκ θεῆ προῤῥήσεις ἐκφαίνεις, ἐδείς ἐμῆ ζῶντος καὶ ἐπὶ τῆ γῆ βλεπομένε σοὶ παρὰ ταῖς βαθείαις ναυσὶ κακωτικὰς χεῖρας ἐπιβαλεῖ "πάντων ὁμῆ τῶν Ἑλλήνων· ἐδ' ἂν αὐτὸν Ἀγαμέμνονα εἴπῃς, ὅσις δὴ κατὰ πολὺ ἄριστος ἐν τῷ στρατοπέδῳ καυχᾶται εἶναι." καὶ τηνικαῦτα δὴ ἐθάρσησε καὶ εἶπεν ὁ ἀγαθὸς καὶ ἄψογος μάντις "ἔτε δὴ ἕτος εὐχῆς ἐπαιτιᾶται ἔτε δὲ μεγάλης θυσίας, ἀλλ' ἕνεκεν τῆ ἱερέως ὃν ἠτίμασεν ἐξεδένωσεν ὁ Ἀγαμέμνων· "ὁ γὰρ τὴν θυγατέρα ἀπελύτρωσεν ἐδὲ ἀπεδέξατο τὰ λύτρα. τέτε χάριν λύπας ἔδωκεν ὁ Ἀπόλλων καὶ ἔτι δώσει. ἐδαμῶς δὲ ἕτος πρότερον τῆ λοιμῆ τὰς ἰχυρὰς ἀποςήσῃ ..., πρὶν ἢ τῷ προσφιλεῖ πατρὶ ἀποδῶναι τὴν εὐόφθαλμον κόρην ἄνευ πράσεως καὶ ἄνευ λύτρων, ἀγαγεῖν τε ἱερὰν καὶ μεγάλην θυσίαν "εἰς τὴν Χρύσαν. τηνικαῦτα ἂν αὐτὸν ἐξευμενισάμενοι πείσοιμεν." ἕτος μὲν δὴ ἕτως εἰπὼν ἐκαθέζετο. ἐν τέτοις δὲ ἀνέςη ὁ ἡμίθεος υἱὸς τῆ Ἀτρέως ὁ μεγάλως κρατῶν καὶ βασιλεύων Ἀγαμέμνων λυπέμενος· δυνάμεως δὲ μεγάλης καὶ ὀργίλης αἱ διάνοιαι αὐτῷ αἱ συνεταὶ καὶ τεταραγμέναι ἐπληρῶντο, οἱ δὲ ὀφθαλμοὶ αὐτῆ πυρὶ λάμποντι ὡμοιώθησαν. "τὸν Κάλχαντα πρότερον κακῶς ὑποβλεψάμενος προσεῖπεν. "ὦ ὑποφῆτα τῶν κακῶν, ἀδέποτέ μοι τὸ ἀληθὲς ἔφρασας. ἀεί σοι τὰ κακὰ ὑπάρχει φίλα ταῖς διανοίαις προαγορεύειν καὶ λέγειν· ἀγαθὸν δέ τινα ἐδέπω εἶπας λόγον ἐδὲ ἐτελείωσας. καὶ τὰ νῦν ἐν τοῖς Ἕλλησι μαντευόμενος δημηγορεῖς "ὅτι δὴ τέτε ἕνεκεν αὐτοῖς ὁ Ἀπόλλων τὰ κακὰ ποιεῖ, διότι ἐγὼ τῆς θυγατρὸς τῆ Χρύσε τὰ λαμπρὰ δῶρα ἐκ ἠθέλησα δέξαθαι, ἐπεὶ κατὰ πολὺ βέλομαι αὐτὴν ἐν τοῖς οἴκοις παρακατέχειν· καὶ γὰρ δὴ τῆς Κλυταιμνήςρας προετίμησα τῆς ἐκ παρθενίας συναφθείσης μοι, ἐπεὶ ἐδαμῶς ἐςὶν αὐτῆς χείρων "ἐ κατὰ τὸ σῶμα ἐδὲ κατὰ τὴν ἡλικίαν ἔτε δὴ τὰς διανοίας ἔτε κατὰ τὰς πράξεις. ἀλλὰ καὶ ὅμως ἀποδῶναι βέλομαι αὖθις, εἰ τῆτό ἐςι κρεῖττον· βέλομαι ἐγὼ ρετον τιμὴν εὐθέως εὑρεπίσατε, ὅπως μὴ μόνος τῶν Ἑλλήνων ἄτιμος ὑπάρχω, ἐπειδὴ ἐδὲ προσήκει. "ὁρᾶτε γὰρ τῆτο πάντες, ὅτι ἐμῆ ἡ τιμὴ ἀλλαχοῦ πορεύεθ." πρὸς τῆτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ τοῖς ποσὶν ἐπαρκῶν Ἀχιλλεύς "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, φιλοχρηματώτατε πάντων, πῶς ἄρα σοι δώσεσι τιμὴν οἱ μεγαλόψυχοι Ἕλληνες; ἐ γάρ πω γινώσκομεν κοινὰ χρήματα ἀποκείμενα πολλά· "ἀλλ' ἅπερ μὲν ἐκ τῶν πόλεων ἐξεπορθήσαμεν, ταῦτα μεμέριςαι, τὰς δὲ ὄχλες ἐ πρέπει παλισύλλεκτα ταῦτα ἐπισυναθροίζειν. ἀλλὰ σὺ μὲν ἐπὶ τῆ παρόντος ταύτην (τὴν Χρυσηΐδα) τῷ Ἀπόλλωνι πρόπεμψον, [οἱ Ἕλληνες δὲ] τριπλασίονα καὶ τετραπλασίονά σοι ἀνταποδώσομεν, [ἐὰν ὁ Ζεὺς] παράχοι πόλιν Τρωϊκὴν καλῶς τετειχισμένην ἐκπορθῆσαι." "πρὸς τῆτον δὲ ἀποκρινόμενος εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων "μηδαμῶς ἔτως καίτοι γενναῖος ὑπάρχων, ὦ τοῖς θεοῖς ὅμοιε Ἀχιλλεῦ, παραλογίζῃ τῆ διανοίᾳ, ἐπεὶ ἐ νικήσεις ἐδὲ παραπείσεις με. ἢ βέλει ὅπως αὐτὸς ἔχῃς τιμήν, ἐμὲ δὲ ματαίως καθέζεθαι ἐπιδεόμενον καὶ χρῄζοντα, κελεύεις δέ με ταύτην ἀποδῶναι; "ἀλλ' ἐὰν μὲν παράχωσι τιμὴν οἱ μεγαλόψυχοι Ἕλληνες, ἀρέσαντες κατὰ ψυχὴν αὐτῶν (ἢ κατὰ ψυχὴν ἐμήν), ὅπως ἴσον τῆ ἐμῆ ἀξίᾳ γένηθ· ἐὰν δὲ μὴ παράχωσιν, ἐγὼ δ' ἂν αὐτὸς ἀφελοίμην ἢ τὴν σὴν ἢ τῆ Αἴαντος τιμὴν πορευθείς, ἢ τὴν τῆ Ὀδυσσέως κομίσομαι ἀφελών· ἕτος δὲ λυπήσεθ ἐφ' ὃν ἂν παραγένωμαι. "ἀλλὰ περὶ μὲν τέτων μεταβελευσόμεθα καὶ ὕςερον· τὰ νῦν δὲ φέρε βαθεῖαν ναῦν ἑλκύσωμεν εἰς τὴν θάλασσαν τὴν μεγάλην, εἰς αὐτὴν δὲ καὶ κωπηλάτας ἐπιτηδείως ἀθροίσωμεν, ἐν αὐτῇ δὲ καὶ τελείαν θυσίαν ἐνθῶμεν, καὶ αὐτὴν δὲ τὴν Χρυσηΐδα τὴν καλὰς παρειὰς ἔχεσαν ἀναβιβάσωμεν· εἷς δέ τις ἀρχηγὸς ἀνὴρ βελευτικὸς γενέσθω, ἢ ὁ Αἴας ἢ ὁ Ἰδομενεὺς ἢ ὁ ἔνδοξος Ὀδυσσεύς, ἢ σὺ Πηλέως υἱὲ Ἀχιλλεῦ, πάντων ἐκπληκτικώτατε ἀνδρῶν, ὅπως ἡμῖν τὸν πόῤῥωθεν βάλλοντα ἐξιλεώσῃ ἱερεῖα θυσιάσας." τῆτον δὲ δεινὸν ὑποβλεψάμενος προσεῖπεν ὁ ταχύτατος Ἀχιλλεύς· "φεῦ μοι ἀναισχυντίαν περιβεβλημένε, πανοῦργε τὸ φρόνημα καὶ δόλιε, "πῶς τίς σοι προθύμως λόγοις πειθείη τῶν Ἑλλήνων ἢ εἰς ὁδὸν παραγενέσθῃ ἢ τοῖς ἀνδράσιν ἰχυρῶς πολεμεῖν; ἐδαμῶς γὰρ ἐγὼ τῶν Τρώων ἕνεκεν παρεγενόμην τῶν πολεμικῶν ἐνταῦθα πολεμήσων, ἐπεὶ ἐδαμῶς μοι αἴτιοι ὑπάρχεσιν· ἐδέποτε γὰρ τὰς ἐμοὺς βόας ἀπήλασαν ἔτε μὴν τὰς ἵππας, "ἐδαμῶς δέ ποτε ἐν τῇ Φθίᾳ τῇ μεγαλοβώλῳ καὶ ἀνθρωποτρόφῳ τὰς καρποὺς ἔβλαψαν, ἐπειδὴ πάνυ πολλὰ ἀνὰ μέσον [ὄρη] συσκίασιν ἀποτελῆντα καὶ θάλασσα ἠχητικὴ καὶ ἀκτική. ἀλλὰ σοὶ ὦ μέγα ἀναιδέσατε ὁμῆ ἠκολεθήσαμεν, ὅπως σὺ χαίρῃς, τιμωρίαν ἀντικαταλλασσόμενοι Μενελάῳ καὶ σοὶ ἀναιδέσατε "παρὰ τῶν Τρώων· ὧν ἐδαμῶς ἐπισροφὴν ποιῇ ἐδὲ φροντίζεις. καὶ δή μέ τὴν τιμὴν αὐτὸς ἀφελέθῃ ἐπαπειλεῖς, ἐφ' ᾗ τινὶ πολλὰ ἐκοπίασα καὶ ἣν μοι ἔδωκαν οἱ Ἕλληνες. οὐ μὴν σοί ποτε ἴσην ἔχω τιμήν, ἡνίκα οἱ Ἕλληνες Τρωϊκὴν ἐκπορθήσεσι καλῶς οἰκεμένην πόλιν. "ἀλλὰ τὸ μὲν πλεῖςον

τῶ πολλὰς συεροφὰς ἔχοντος πολέμω αἱ ἐμαὶ χεῖρες διαπ-
γάζονθ· ἐὰν δέ ποτε διανομὴ κ᾽ μερισμὸς παραγένηθ, σοῦ
ἡ τιμὴ πολυτελεστέρα, ἐγὼ δὲ μικρὸν κ᾽ προσφιλὲς ἀπέρχο-
μαι ἔχων ἐπὶ τὰ πλοῖα, ἐπειδὰν κοπιάσω πολεμῶν. νῦν δὲ
πορεύομαι εἰς τὴν Φθίαν, ἐπειδὴ κατὰ πολὺ βέλτιόν ἐσιν
170 εἰς τὴν οἰκίαν πορευθῆναι σὺν ναυσὶ ταῖς καμπύλαις·
ἐδέ σε νομίζω ἐνταῦθα ἄτιμος ὢν περισσὰν καὶ ὄλβον
ἀπαντλήσειν." πρὸς τοῦτον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ὁ βα-
σιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "φεῦγε πάνυ, ἐάν σου ἡ
ψυχὴ ἐφίηθ. ἐδαμῶς ἐγώ σε ἱκετεύω χάριν ἐμῆ μένειν.
175 παρ᾽ ἐμοί εἰσι κ᾽ ἄλλοι "οἵτινές με τιμήσουσι, μάλιστα δὲ
ὁ βουλευτικὸς Ζεύς. ἐχθρότατος δέ μοι ὑπάρχεις τῶν εὐ-
γενῶν βασιλέων· διὰ παντὸς γάρ σοι ἡ φιλονεικία προσφι-
λὴς κ᾽ οἱ πόλεμοι κ᾽ αἱ μάχαι. εἴπερ λίαν καρτερὸς ὑπάρ-
χεις, θεός τίς σοι τοῦτο δεδώρηθ. εἰς τὴν οἰκίαν πορευθεὶς
180 σὺν ναυσὶ ταῖς σαῖς κ᾽ τοῖς σοῖς ἑταίροις "τῶν Μυρμιδό-
νων βασίλευε. ῥᾳδὲ ἐγὼ ἐδαμῶς φροντίζω ἐδ᾽ ἐπισρέφο-
μαι ὀργιζομένῳ, ἀπειλήσομαι δέ σοι κ᾽ διορίσομαι ἔτως.
ὥσπερ ἐμὲ ἀφαιρεῖται τὴν Χρυσηΐδα ὁ καθαρὸς Ἀπόλλων,
ταύτην ἐγὼ σὺν τῇ ἐμῇ νηῒ κ᾽ τοῖς ἐμοῖς ἑταίροις ἀπο-
185 πέμψω, ἐγὼ δὲ ἀπάξω τὴν Βρισηΐδα τὴν καλὰς παρειὰς
ἔχουσαν "ἐγὼ αὐτὸς παραγενόμενος εἰς τὴν σκηνήν, τὴν σὴν
ἐξαίρετον τιμήν, ὅπως καλῶς γνῷς ὁπόσον βελτίων σά εἰμι.
μισήσει δὲ κ᾽ ἕτερος ἐξ ἴσης ἐμοὶ λέγειν κ᾽ ὁμοιωθῆναι ἐξ
ἐναντίας." ἕτως εἶπε· τῷ δ᾽ Ἀχιλλεῖ λύπη ἐγένετο, ἐν δὲ
190 ἑαυτῷ ἡ ψυχὴ αὐτῶ ἐν ταῖς συνεταῖς διανοίαις διχῶς ἐμε-
ρίμνησε κ᾽ ἐβουλεύσατο, "ἢ ἔτος ξίφος ἠκονημένον σπασά-
μενος παρὰ τῶ μηρῶ τὺς μὲν "Ἕλληνας ἀναζατήσει, αὐτὸς
δὲ τὸν Ἀγαμέμνονα ἀνέλοι, ἢ τὴν ὀργὴν καταπαύσειεν κ᾽
κωλύσειε τὸν θυμόν. ἕως ἔτος ταῦτα διενοεῖτο κατὰ διά-
195 νοιαν κ᾽ κατὰ ψυχήν, εἵλκε δὲ ἐκ τῆς ξιφοθήκης τὸ μέγα
ξίφος, παρεγένετο δὲ ἡ Ἀθηνᾶ "ἐκ τῶ οὐρανῶ· προέπεμψε
γὰρ αὐτὴν ἡ θεὰ ἡ λευκοβραχίων "Ἥρα, ἀμφοτέρως ὁμοίως
τῇ ψυχῇ φιλῶσα κ᾽ φροντίζουσα. ἔσῃ δὲ ὀπίσω κ᾽ τῆς ξαν-
θῆς κόμης ἕλαβε τὸν Ἀχιλλέα, μόνῳ αὐτῷ φαινομένη·
200 τῶν δὲ λοιπῶν οὐδεὶς αὐτὴν ἑώρα. ἐφοβήθη δὲ ὁ Ἀχιλλεὺς
κ᾽ περιεσράφη, εὐθέως δὲ ἐπέγνω "τὴν πολεμικὴν Ἀθηνᾶν·
φοβεροὶ δὲ αὐτῷ οἱ ὀφθαλμοὶ αὐτῆς ἐφάνησαν. κ᾽ αὐτὴν
ἐγλώττης μέλιτος γλυκυτέρα κατέρρει ἡ φωνή. "τάτῳ δὲ
καλέσας λόγως ταχεῖς προσεφθέγξατο "τί δή ποτε τῶ αἰ-
205 γιδόχω Διὸς γέννημα παρεγένω; ἢ ὅπως τὴν ἀτιμίαν θεάσῃ
τῶ Ἀγαμέμνονος τῶ υἱῶ τῶ Ἀτρέως; ἀλλ᾽ ἐρῶ δή σοι
τοῦτο, ὅπερ κ᾽ τελειωθῆναι νομίζω· "ταῖς ἰδίαις ὑπερηφα-
νίαις ταχέως ἂν ποτε τὴν ψυχὴν ἀπολέσῃ." τοῦτον δὲ πά-
λιν προσεῖπεν ἡ θεὰ ἡ γλαυκόφθαλμος Ἀθηνᾶ "ἦλθον
ἐγὼ καταπαύσουσα τὴν σὴν ὀργήν, ἐὰν πειθῇς, ἐκ τῶ οὐ-
ρανῶ· προέπεμψε δέ με ἡ θεὰ ἡ λευκοβραχίων "Ἥρα, ἀμ-
φοτέρως ὁμοίως κατὰ ψυχὴν φιλῶσα κ᾽ φροντίζουσα. "ἀλλὰ
φέρε παύου τῆς φιλονεικίας, μηδὲ τὸ ξίφος ἕλκε τῇ χειρί·
ἀλλὰ διὰ μὲν λόγων ὕβρισον, ὥσπερ κ᾽ γενήσεθ. ἔτως γὰρ
λέξω κ᾽ ἀπαγορεύσω, ὅπερ κ᾽ τετελειωμένον ἔσαι· καί ποτέ
σοι πολλάκις τοσαῦτα παραχεθήσεθ καλὰ δῶρα ἕνεκα τῆς
ὕβρεως ταύτης. σὺ δὲ ἐπίσχες, πείθου δὲ ἡμῖν." "πρὸς
ταύτην δὲ ἀνταποκρινόμενος ἔφη ὁ ταχύπους Ἀχιλλεύς
"πρέπει μὲν τὸν ὑμέτερον ὦ θεὰ λόγον φυλάξαι καίπερ
λίαν τῇ ψυχῇ ὀργιζόμενον· οὕτως γὰ βέλτιον. ὅστις ἂν
τοῖς θεοῖς πείθηται, πλέον ἐπακούουσιν αὐτοῦ." ἔφη, κ᾽
ἐπὶ τῇ ἀργυρᾷ λαβῇ ἐπέβαλε τὴν ἰσχυρὰν χεῖρα· "πάλιν
εἰς τὴν ξιφοθήκην ὤθησε τὸ μέγα ξίφος, καὶ οὐκ ἠπεί-
θησε τῷ λόγῳ τῆς Ἀθηνᾶς. ἡ δὲ εἰς τὸν "Ολυμπον ἐπο-
ρεύθη εἰς τὸν οἶκον τοῦ αἰγιδούχου Διὸς πρὸς τὺς λοι-
ποὺς θεούς. ὁ δὲ Ἀχιλλεὺς ἐκ δευτέρου χαλεποῖς λό-
γοις τὸν Ἀγαμέμνονα προσεφθέγξατο, καὶ οὕπω ἐπαύσα-
το τῆς ὀργῆς. "ὦ οἶνῳ βεβαρημένε, κυνὸς ὀφθαλμοὺς
ἔχων, καρδίαν ὡς ἐλάφου δειλήν, οὐδέποτε εἰς πόλεμον
ὁμοῦ τῷ πλήθει καθοπλισθῆναι οὐδὲ εἰς ἐνέδραν πορευ-
θῆναι σὺν τοῖς ἀρίσοις τῶν Ἑλλήνων ἐκαρτέρησας τῇ
ψυχῇ· τοῦτο δέ σοι ὀλέθριον φαίνεται εἶναι. ἀλλ᾽ ὄντως
καλόν σοι νομίζεθ κατὰ τὸ πολὺ ῥᾴτερμα τῶν Ἑλλήνων
"τὰ δῶρα ἀφαιρεθῆναι ὅσις σῶ ἐξ ἐναντίας εἶπη. τὰ δη-
μόσια κατεσθίων σύ, ἐπειδὴ ἐδενὸς λόγ᾽ ἀξίων βασιλεύεις·
ὄντως γὰ δὴ νῦν ὦ Ἀγάμεμνον ὑσάτην ὕβριν ὕβρισας.
ἀλλ᾽ ἐρῶ δή σοι, κ᾽ ἐπομόσω μέγαν ὅρκον. ναὶ μὰ τοῦτο τὸ
σκῆπτρον, ὅπερ ἐδέποτε φύλλα κ᾽ κλάδας "ἐκφύσει, ἐπειδὴ
ἅπαξ τομὴν ἐν τοῖς ὄρεσι κατέλιπεν, ἐδὲ ἀναβλαςήσει· πε-
ριελέπισε γὰ αὐτῶ ὁ σίδηρος τά τε φύλλα κ᾽ τὸν φλοιόν·
νῦν δὲ αὐτὸ πάλιν οἱ "Ἕλληνες ἐν ταῖς χερσὶ βαςάζουσιν οἱ
δικασαί, οἵτινες τὰς νόμως παρὰ τῶ Διὸς λαβόντες φυλάτ-
τουσιν· ἔτος δέ σοι μέγας ὅρκος γενήσεθ. "ὄντως ἂν ποτε
ἐμῶ τῶ Ἀχιλλέως ζήτησις καταλήψεθ τὺς "Ἕλληνας ὁμοῦ
πάντας· τότοις ἐδὲν δυνήσῃ καίπερ λυπάμενος βοηθεῖν,
ὁπόταν πλεῖσοι ὑπὸ τῶ ἀνδροφόνω "Εκτορος ἀποθνήσκον-
τες πίπτωσι· σὺ δὲ ἔνδον τὴν ψυχὴν σπαράξεις (ἢ λυπή-
σεις), ὀργιζόμενος ὅτι τὸν ἄριςον τῶν Ἀχαιῶν κατ᾽ ἐδὲν
ἐτίμησας." "ἕτως εἶπεν ὁ Ἀχιλλεύς· τὸ δὲ σκῆπτρον ἔρ-
ριψεν ἐν τῇ γῇ τοῖς χρυσοῖς ἥλοις πεπερονημένον, ἐκάθισε
δὲ αὐτός. ὁ δὲ υἱὸς τῶ Ἀτρέως Ἀγαμέμνων παρὰ μέρος
ὠργίζετο. ἐν τότοις δὲ ὁ Νέσωρ ὁ ἡδὺς ἐν τῷ λέγειν ἀνώρ-
μησεν, ὁ ὀξὺς τῶν Πυλίων δημηγόρος, ἓ τινος ἀπὸ τῆς
γλώττης μέλιτος γλυκυτέρα κατέρρει ἡ φωνή. "τάτῳ δὲ
ἤδη δύο μὲν γενεαὶ τῶν μεμερισμένην τὴν φωνὴν ἐχόντων
ἐφθάρησαν, οἵτινες πρότερον ὑμῶ ἐτράφησαν κ᾽ ἐγεννήθη-
σαν ἐν τῇ Πύλῳ τῇ ἀγαθῇ κ᾽ πλησίᾳ, ἐν δὲ τῇ τρίτῃ γε-
νεᾷ ἐβασίλευσεν. ὅσις ἐν αὐτοῖς καλῶς νοῶν ἐδημηγόρησε
κ᾽ εἶπε "φεῦ φεῦ, ὄντως μεγάλη λύπη τὴν Ἑλληνίδα γῆν
καταλαμβάνει. "ὄντως ὢν εὐφρανθείη ὁ Πρίαμος κ᾽ πρῶ
Πριάμω οἱ υἱοὶ κ᾽ οἱ λοιποὶ Τρῶες μεγάλως ἂν εὐφραν-
θεῖεν τῇ ψυχῇ, εἴπερ ὑμῶν ταῦτα πάντα ἀκέσειαν μαχο-
μένων, οἵτινες περισσῶς μὲν κ᾽ ἐν τῇ βελῇ τῶν Ἑλλήνων
ὑπάρχετε κ᾽ ἐν τῷ μάχεσθ. ἀλλὰ πείθητε· ἀμφότεροι γὰ
μεταγενέσεροί μέ ἐσε. "ἤδη γὰ ἐγώ ποτε κ᾽ βελτίοσιν ἦπερ
ὑμῖν ἀνδράσι συνανεσράφην, κ᾽ ἐδέποτέ με ἀπεδοκίμαζον
(ἢ ἠπείθουν). ἐδαμῶς γὰ τοιούτως ἐθεασάμην ἀνθρώπως ἐδὲ

θεάσομαι ὁποῖον τόν τε Πειρίθων καὶ τὸν Δρύαντα τὸν βασιλέα τῶν ὄχλων καὶ τὸν Καινέα καὶ τὸν Ἐξάδιον καὶ τὸν ἰσόθεον Πολύφημον. "ἰχυρότατοι δὴ ἐκεῖνοι τῶν ἐπιγείων ἐτράφησαν ἀνθρώπων· ἰχυρότατοι μὲν ὑπῆρχον καὶ ἰχυροτάτοις ἐμάχοντο, θηρσὶ τοῖς ἐν ὄρεσι διαιτωμένοις, καὶ φοβερῶς διέφθειραν καὶ ἀπώλεσαν. καὶ μὴν τάτοις ἐγὼ συνεσράφην ἐκ τῆς Πύλε παραγενόμενος "πόῤῥωθεν ἐκ τῆς πολὺ ἀπεχέσης γῆς· προσεκαλέσαντο γὰ αὐτοί. καὶ ἐπολέμεν κατὰ τὴν ἐμὴν δύναμιν ἐγώ· ἐκείνοις δ' ἂν ἄν τις τάτων οἵτινες νῦν εἰσὶν ἄνθρωποι ἐπίγειοι πολεμοίη καὶ μάχοιτο. καὶ μὴν ἐμῖ τῶν συμβολιῶν ἦκον ἐπειθοντό τε καὶ τῷ λόγῳ. ἀλλὰ πείθητε καὶ ὑμεῖς, ἐπειδὴ τὸ πειθῆναι κρεῖττόν ἐστι. "μήτε σὺ τᾶτον χρηςὸς ὑπάρχων ἀφαιρᾶ καὶ ἀπόσπα τὴν κόρην, ἀλλὰ συγχώρει ὡς αὐτῷ πρῶτον ἔδωκαν τὴν τιμὴν οἱ Ἕλληνες· μήτε σὺ ὦ Ἀχιλλεῦ βάλε καὶ θέλε φιλονεικεῖν τῷ βασιλεῖ βιαίως καὶ ἐξ ἐναντίας, ἐπειδὴ ἃ τῆς ὁμοίας ἐπέτυχε τιμῆς ὁ σκηπτροφόρος βασιλεὺς καὶ ᾧ τινι ὁ Ζεὺς τὴν δόξαν ἐχαρίσατο. "ἐὰν δὲ σὺ ἰχυρὸς ὑπάρχῃς ἢ θεὰ σε ἐγέννησε μήτηρ, ἀλλ' ἅτος κρείττων ἐςίν, ἐπειδὴ πλεόνων βασιλεύει. ὦ Ἀγάμεμνον, σὺ δὲ τὴν σὴν ὀργὴν παῦσον, ἐγὼ δὲ παρακαλῶ τῷ Ἀχιλλεῖ ἀφεῖναι ὅςις μεγάλως πᾶσι τεῖχος καὶ ὀχύρωμα τοῖς Ἕλλησιν ὑπάρχει τᾷ κακοποιᾷ πολέμᾳ." "τᾶτον δὲ ἀνταποκρινόμενος ἔφη ὁ βασιλεὺς Ἀγαμέμνων "ἀληθῶς δὴ πάντα πρεσβῦτα κατὰ τάξιν εἰρηκας· ἀλλ' ἅτος ὁ ἀνὴρ θέλει περισσότερος πάντων ὑπάρχειν τῶν λοιπῶν· πάντων μὲν ἄρχειν βέλε καὶ πάντων βασιλεύειν, πᾶσι δὲ προστάσσειν, πρὸς ἃ ἃ πειθήσεσθαι νομίζω. "εἰ δὲ αὐτὸν πολεμιςὴν ἐποίησαν οἱ ἀεὶ ὄντες θεοί, τάτε χάριν προτρέχ(π)ουσιν αὐτῷ τὰ ὀνείδη καὶ τὰς ὕβρεις λέγειν;" πρὸς τᾶτον ὑποβαλὼν ἀπεκρίνατο ὁ ἔνδοξος Ἀχιλλεύς "ὄντως ἄνανδρος καὶ οὐδενὸς ἄξιος καλοίμην, εἴπερ σοι πρὸς πᾶν ἔργον πειθήσομαι, ὅπερ ἂν εἴπῃς. "ἑτέροις δὴ ταῦτα ἐντέλλε· μηδαμῶς γὰρ ἐμοὶ πρόστασσε· ἐκέτι γὰ ἐγὼ σοὶ πειθαρχεῖν ὑπολαμβάνω. ἄλλο δέ σοι ἐρῶ, σὺ δὲ ταῖς σαῖς διανοίαις ἔμβαλε. ταῖς μὲν ἐμαῖς χερσὶν ἔπω ἐγὼ πολεμήσω χάριν τῆς κόρης ἕτε σοὶ ἕτε τινὶ ἄλλῳ, ἐπεὶ οἱ δεδωκότες ἐμοὶ ἀφείλεθε· "τῶν δὲ λοιπῶν ἅτινά μοι παρὰ τῇ ταχείᾳ καὶ κοίλῃ νηΐ, ἀπὸ τούτων ἐκ ἂν τι κομίζοις ἀφελόμενος μὴ βλομένε ἐμοῦ. εἰ δ' ἐν βέλει, πειράθητι, ὅπως μάθωσι καὶ ἅτοι (καὶ οἱ λοιποὶ Ἕλληνες)· εὐθέως σοι τὸ μέλαν αἷμα ῥεύσει περὶ τῷ δόρατι." ἅτως ἅτοι ἐκαντίοις καὶ βιαίοις μαχησάμενοι λόγοις "ἀνέςησαν, διέλυσαν δὲ τὴν ἀγορὰν παρὰ τοῖς πλοίοις τῶν Ἑλλήνων. ὁ μὲν Ἀχιλλεὺς ἐπὶ τὰς σκηνὰς καὶ τὰς ναῦς τὰς ἰσοτοίχες ἐπορεύθη σὺν τῷ Πατρόκλῳ καὶ τοῖς ἑαυτῷ ἑταίροις· ὁ δὲ Ἀγαμέμνων ταχεῖαν ναῦν εἰς τὴν θάλασσαν προείλκυσεν, εἰς αὐτὴν δὲ καὶ κωπηλάτας ἐπελέξατο εἴκοσι, καὶ τελείαν θυσίαν "εἰσεβίβασε τῷ Ἀπόλλωνι· ἀναγαγὼν δὲ καὶ τὴν εὐπρόσωπον Χρυσηΐδα ἐκάθισεν ἄγων· ἀρχηγὸς δὲ ἀνέβη ὁ πολύβουλος Ὀδυσσεύς. ἅτοι μετὰ ταῦτα ἀναβάντες ἔπλεον τὴν διὰ θαλάσσης ὁδόν· τὸς δὲ ὄχλους ὁ Ἀγαμέμνων ἀποκαθαίρεσθ ἐκέλευσεν. ἅτοι δὲ ἀπεκαθαίροντο καὶ εἰς τὴν θάλασσαν τὰ καθάρσια ἔβαλλον, "ἔθυον δὲ τῷ Ἀπόλλωνι τελείας καὶ ὁλοκλήρες θυσίας ταύρων καὶ αἰγῶν παρὰ τὸν αἰγιαλὸν τῆς ἀκάρπε θαλάσσης· ἡ δὲ ἀναθυμίασις εἰς τὸν ἀρανὸν ἀφικνεῖτο περὶ τῷ καπνῷ εἰλεμένη. ἅτως ἅτοι ταῦτα ἐνήργεν κατὰ τὸ ςρατόπεδον. ὁδὲ Ἀγαμέμνων ἐπαύσατο τῆς φιλονεικίας ἦντινα πρῶτον ἠπείλησε τῷ Ἀχιλλεῖ· "ἀλλ' ἅτος πρὸς τὸν Ταλθύβιον καὶ τὸν Εὐρυβάτην εἶπεν, οἵτινες αὐτᾷ κήρυκες ἦσαν καὶ δραςικοὶ ὑπηρέται· "ἄπιτε εἰς τὴν σκηνὴν τᾶ Πηλείδε Ἀχιλλέως. τῆς χειρὸς λαβόμενοι ἀγάγετε Βρισηΐδα τὴν εὐπρόσωπον. ἐὰν δὲ μὴ δῷ, ἐγὼ δὴ αὐτὸς ἀφέλωμαι "παραγενόμενος σὺν πλείοσιν, ὅπερ αὐτῷ καὶ φοβερὸν γενήσεθ." ἅτως εἰπὼν προέπεμψεν, ἰχυρὸν δὲ λόγον ἐνετείλατο. ἅτοι δὲ ἀέκοντες ἐπορεύθησαν παρὰ τὸν αἰγιαλὸν τῆς ἀκάρπε θαλάσσης, ἐπὶ τῶν Μυρμιδόνων δὲ τὰς σκηνὰς καὶ τὰς ναῦς παρεγένοντο, τᾶτον δὲ (τὸν Ἀχιλλέα) εὗρον παρά τε τῇ σκηνῇ καὶ τῇ βαθείᾳ νηῒ "καθήμενον. ἐδαμῶς δὲ τάτες θεασάμενος ἐχάρη ὁ Ἀχιλλεύς. ἅτοι δὲ φοβηθέντες καὶ εὐλαβέμενοι τὸν βασιλέα ἔςησαν, ἐδαμῶς δὲ αὐτὸν προσεφώνησαν ἐδὲ ἠρώτησαν. αὐτὸς δὲ ἐπέγνω ταῖς αὐτᾷ διανοίαις καὶ προσεφώνησε· "χαίρετε ὦ κήρυκες, τᾷ Διὸς ἀπόςολοι καὶ τῶν ἀνθρώπων. "ἐγγὺς ἐλθετε· κατ' ἐδέν μοι ὑμεῖς μεμπτέοι, ἀλλ' ὁ Ἀγαμέμνων, ὅςις ὑμᾶς προέπεμψε χάριν τῆς θυγατρὸς τᾷ Βρισέως. ἀλλὰ φέρε ὦ εὐγενέςατε Πάτροκλε, ἐξάγαγε τὴν κόρην, καὶ αὐτοῖς παράχε ἀπάγειν. ἅτοι δὲ αὐτοὶ μάρτυροι γενέσθωσαν ἔμπροσθεν τῶν μακαρίων θεῶν καὶ ἔμπροσθεν τῶν θνητῶν ἀνθρώπων "καὶ ἔμπροσθεν τοῦ ἀπηνᾶς βασιλέως, εἴπερ δή ποτε χρεία ἐμᾶ γένηθ τὸν ἀπρεπῆ θάνατον ἀποσοβῆσαι τοῖς λοιποῖς· ὄντως γὰ ἅτος ὀλεθρίαις διανοίαις καὶ μέμηνε, ἐδαμῶς δὲ γινώσκει σκέψασθ ὁμᾶ τὰ μέλλοντα καὶ τὰ ἐνεςῶντα, ὅπως αὐτῷ παρὰ ταῖς ναυσὶ σεσωσμένοι πολεμοῖεν οἱ Ἕλληνες." "ἅτως εἶπεν· ὁ δὲ Πάτροκλος τῷ προσφιλεῖ ἐπείθη ἑταίρῳ, ἐξήγαγε δὲ ἐκ τῆς σκηνῆς τὴν Βρισηΐδα τὴν καλοπρόσωπον καὶ ἔδωκεν ἀγαγεῖν. ἅτοι δὲ ἐπανῆεσαν παρὰ τὰς νῆας τῶν Ἑλλήνων, ἡ δὲ ἄκεσα ἅμα αὐτοῖς ἡ γυνὴ ἐπορεύθη. ὁ δὲ Ἀχιλλεὺς κλαύσας τῶν ἑταίρων ταχέως ἰδίως ἐκαθέζετο χωρισθεὶς "ἐπὶ τὸν αἰγιαλὸν τῆς λευκῆς θαλάσσης, βλέπων τὴν μέλαιναν θάλασσαν, καὶ πολλὰ τῇ προσφιλεςάτῃ μητρὶ ηὔξατο, τὰς χεῖρας ἀναπετάσας. "ὦ μῆτερ, ἐπειδή με ἐγέννησας καίπερ ὀλιγοχρόνιον ὄντα, τιμὴν δέ μοι ὤφειλεν ὁ Ὀλύμπιος χαρίσασθ Ζεὺς ὁ ἐν ὕψει βροντῶν· τὰ νῦν δέ με ὐδὲ βραχὺ ἐτίμησεν. "ὄντως γὰ ὁ Ἀτρέως παῖς ὁ μέγα κρατῶν καὶ βασιλεύων Ἀγαμέμνων ἠτίμασεν· ἀφελὼν γὰ ἔχει τὴν τιμὴν αὐτὸς ἀποζερήσας." ἅτως εἶπε κλαίων· τάτε δὲ ἤκουεν ἡ σεμνὴ μήτηρ καθημένη ἐν τοῖς βάθεσι τῆς θαλάσσης παρὰ τῷ πατρὶ Νηρεῖ τῷ γέροντι. ταχέως δὲ ἀνῆλθε τῆς λευκῆς θαλάσσης καθάπερ ἀορασία, "καὶ δὴ ἔμπροσθεν αὐτᾷ ἐκαθέζετο δακρύοντος, καὶ τῇ χειρὶ αὐτὸν κατέψησε, καὶ τὸν λόγον εἶπε καὶ τὰ μέρη τᾷ λόγᾳ διεξῆλθε.

"ὦ τέκνον, τί ὀδύρῃ; τί δέ σε λύπη τὰς διανοίας κατέλαβε; ἔξειπε, μὴ κρύπτε τῷ νῷ, ἵνα γνῶμιεν ἀμφότεροι." πρὸς ταύτην δὲ βαρέως ξενάζων προσεφθέγξατο ὁ ταχὺς Ἀχιλλεύς· "γινώσκεις· τί δή ποτέ σοι ταῦτα γινώσκουσῃ πάντα διηγοῦμαι; ἐπορεύθημεν εἰς τὴν Θήβην τὴν θαυμασὴν πόλιν τῶ Ἠετίωνος, ταύτην δὲ διεπορθήσαμεν καὶ ἐκομίσαμεν ἐνταῦθα πάντα. καὶ ταῦτα μὲν καλῶς ἐμερίσαντο ἐν ἑαυτοῖς οἱ Ἕλληνες, ἐπελέξαντο δὲ τῷ Ἀγαμέμνονι [τὴν θυγατέρα τῶ Χρύσου τὴν εὐπρόσωπον. "ὁ Χρύσης δὲ ὁ ἱερεὺς τῶ μακρο]βόλου Ἀπόλλωνος ἦλθεν ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων τῶν σιδηροθωράκων τήν τε θυγατέρα ἀπολυτρωσόμενος καὶ ἄπειρα λύτρα ἐπικομιζόμενος, τὸ σκῆπτρον κατέχων ἐν ταῖς χερσὶ τῶ μακροβόλου Ἀπόλλωνος ἐπὶ τῷ τιμίῳ σκήπτρῳ· καὶ παρεκάλει πάντας τοὺς Ἕλληνας, "μάλιστα δὲ τὼ δύο Ἀτρείδα, τὼ διατάκτορε τῶν ὅχλων. τότε οἱ μὲν ἄλλοι πάντες εὐφήμουν ἐβόησαν οἱ Ἕλληνες εὐλαβεῖσθαί τε τὸν ἱερέα καὶ τὰ λαμπρὰ δέξασθαι δῶρα· ἀλλ' ὁ τῶ υἱῶ Ἀτρέως Ἀγαμέμνονος ἤρεσε τῇ ψυχῇ, ἀλλὰ κακῶς ἀπεπέμψατο, σκληρὸν δὲ μῦθον ἐνετείλατο. "λυπούμενος δὲ ὁ πρεσβύτης ἐπανῆλθε. τότε δὲ ὁ Ἀπόλλων προσευξαμένῳ ὑπήκουσεν, ἐπειδὴ πάνυ προσφιλὴς ὑπῆρχεν. ἐπαφῆκε δὲ τοῖς Ἕλλησι φθαρτικὸν βέλος· οἱ δὲ δὴ ὄχλοι ἀπέθνησκον ἐπάλληλοι καὶ συνεχεῖς. τὰ δὲ βέλη τῶ Ἀπόλλωνος ἐπεπόρευτο πανταχῆ ἀνὰ τὸ στρατόπεδον τὸ πλατὺ τῶν Ἑλλήνων. ἡμῖν δὲ ὁ μάντις "ἐμπείρως ἐδημηγόρησε τὰς μαντείας τῶ Ἀπόλλωνος. εὐθέως ἐγὼ πρῶτος ἐκέλευσα τὸν Ἀπόλλωνα ἐξιλεώσασθαι. τὸν Ἀγαμέμνονα δὲ μετὰ ταῦτα ὀργὴ ἔχεν· αὐτίκα δὲ στορευθεὶς ἠπείλησε λόγον ὅσις δὴ τετελειωμένος ὑπάρχει. τὴν μὲν γὼ Χρυσηΐδα σὺν νηῒ ταχείᾳ οἱ εὐόφθαλμοι Ἕλληνες "εἰς τὴν Χρύσην ἔπεμψαν, ἀπήγαγον δὲ δῶρα τῷ βασιλεῖ· τὴν δὲ θυγατέρα τῶ Βρισέως νεωσὶ ἐπορεύθησαν ἀπὸ τῆς σκηνῆς οἱ κήρυκες ἀπάγοντες, τὴν παῖδα τοῦ Βρισέως, ἥντινά μοι ἔδωκαν οἱ Ἕλληνες. ἀλλὰ σύ γε εἰ τέκνασαι, ὑπερμάχησον τῶ σῶ παιδός· παραγενομένη εἰς τὸν Ὄλυμπον τὸν Δία παρακάλεσον, εἴπερ ποτὲ "ἢ λόγῳ ὤφέλησας τὸν Δία ἢ καὶ ἔργῳ. πολλάκις γὼ ἐν τοῖς τῶ πατρὸς οἴκοις ἤκουσα καυχωμένης, ἡνίκα ἔλεγες τῷ μελαίνοντι νέφη Διὶ μόνη ἐν τοῖς ἀθανάτοις θεοῖς τὸν ἀπρεπῆ θάνατον ἀποσοβῆσαι, ἡνίκα αὐτὸν συνδῆσαι ἐβούλοντο οἱ ὁμοιοὶ Ὀλυμπιακοὶ θεοί, "ἥ τε Ἥρα καὶ ὁ Ποσειδῶν καὶ ἡ πολεμικὴ Ἀθηνᾶ. ἀλλὰ σὺ τῦτον ὦ θεὰ παραγενομένη ἀπέλυσω τῶν δεσμῶν, ταχέως τὸν ἑκατοντάχειρον καλέσασα εἰς τὸν μέγαν Ὄλυμπον, ὕντινα Βριάρεων καλῦσιν θεοί, οἱ δὲ ἄνθρωποι πάντες Αἰγαιῶνα· ἔτος γὼ τῇ πατρὶ τῷ ἑαυτῦ πατρὸς κρείττων. "ὅσις δὴ παρὰ τῷ Διὶ καθέζετο τῇ δόξῃ γαυριῶν· ὃν καὶ ὑπέπτηξαν οἱ μακάριοι θεοὶ καὶ ἐδαμῶς ἔδησαν αὐτόν. τάτων αὐτὸν ὑπομνήσασα παρακάθισον καὶ ἐπιλαβῦ τῶν γονάτων, ἐάν πως βουληθῇ τοῖς Τρωσὶν ἐπικουρῆσαι, τάτας δὲ κατὰ τὰς ναῦς καὶ παρὰ τὴν θάλασσαν ἐλάσαι, τοὺς Ἕλληνας, "ἀναιρουμένους, ὅπως ἂν πάντες ἀπολαύσωσι τῦ βασιλέως, μάθοι δὲ καὶ ὁ Ἀγαμέμνων ὁ μεγάλως κρατῶν καὶ βασιλεύων τὴν ἑαυτῦ βλάβην, ὅτι τὸν κράτιστον τῶν Ἑλλήνων κατ' ἐδὲν ἐτίμησεν." πρὸς τῦτον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ἡ Θέτις καταχέουσα δάκρυα· "φεῦ μοι ὦ τέκνον ἐμόν, [τί δή ποτέ σε ἔτρεφον ἐπὶ κακῷ γεννήσασα; "εἴθε ὤφελες παρὰ ταῖς νανσὶν ἄλυπος καὶ ἀβλαβὴς καθίζεσθαι, ἐπειδή σοι ἡ μοῖρα ὀλιγόχρονος καὶ ἀπάνυ πολυχρόνιος. νυνὶ δὲ ὁμῦ τε ταχυθάνατος καὶ ταλαίπωρος περισσῶς πάντων ἐγένε. διό σε κακῇ μοίρᾳ ἔτεκον ἐν τοῖς οἴκοις. τῦτον δὴ λέξασα τὸν λόγον Διὶ τῷ τοῖς κεραυνοῖς τερπομένῳ "πορεύομαι αὐτὴ πρὸς τὸν Ὄλυμπον τὸν χιονώδη, ἐάν πως πεισθῇ. ἀλλὰ σὺ μὲν νῦν ταῖς νανσὶ παρακαθήμενος ταῖς ταχυπλόοις ὀργίζου τοῖς "Ἕλλησι, τῇ πολέμῳ δὲ παῦσαι παντελῶς. ὁ γὼ Ζεὺς εἰς τὸν Ὠκεανὸν πρὸς τοὺς ἀγαθοὺς Αἰθίοπας χθὲς ἐπορεύθη ἐπὶ εὐωχίαν, οἱ δὲ θεοὶ πάντες ἠκολούθησαν· "τῇ δὲ δωδεκάτῃ ἡμέρᾳ πάλιν ἐλεύσεσθαι εἰς τὸν Ὄλυμπον. καὶ τηνικαῦτα δὴ πορεύσομαι εἰς τὰ Διὸς τὸ σφέτερον οἴκημα, καὶ αὐτὸν ἱκετεύσω, καὶ πεισθήσεταί μοι αὐτὸν ὑπολαμβάνω." ἔτως δὴ εἰποῦσα ἐπορεύθη, τῦτον δὲ αὐτόθι κατέλιπεν ὀργιζόμενον κατὰ τὴν ψυχὴν περὶ τῆς εὐζωλίας γυναικός, "ἥντινα δὴ βιαίως αὐτῦ μὴ βουλομένου ἀφείλοντο. Ὀδυσσεὺς δὲ εἰς τὴν Χρύσαν παρεγένετο φέρων μεγάλην θυσίαν. ἔτοι δὲ ὁπότε τὰ πολλὰ βάθη ἔχοντος λιμένος ἔνδον ἐγένοντο, τὰ μὲν ἄρμενα συνέσειλαν, κατέθηκαν δὲ ἐν τῷ κοιλώματι τῆς νεώς· τὸν δὲ ἰσὸν τῇ ἰσοθήκῃ προσήγγισαν τοῖς χοινίοις χαλάσαντες, "ταύτην δὲ ταχέως εἰς τὸν λιμένα προσείλκυσαν ταῖς κώπαις (ἢ προσήγγισαν)· τὰς δὲ ἀγκύρας ἐξέβαλεν (ἦγεν τὰ χοινία τῶν πρυμνησίων) καὶ τὰ ὑπόγεια χοινία ἔδησαν· ἐξέβησαν δὲ καὶ αὐτοὶ ἐπὶ τῷ αἰγιαλῷ τῆς θαλάσσης· ἐξεβίβασαν δὲ καὶ τὴν μεγάλην θυσίαν τῷ μακροβόλῳ Ἀπόλλωνι, ἐξέβη δὲ καὶ ἡ Χρυσηὶς τῆς νεὼς τῆς θαλασσοπλόου. "ταύτην μετὰ ταῦτα πρὸς τὸν βωμὸν ἀγαγὼν ὁ πολύβουλος Ὀδυσσεὺς τῷ προσφιλεῖ πατρὸς ἐν ταῖς χερσὶν ἔθηκεν, καὶ αὐτὸν προσεῖπεν "ὦ Χρύση, κατέπεμψέ με ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων καὶ τὴν θυγατέρα σοι ἀγαγεῖν καὶ τῷ Ἀπόλλωνι μεγάλην θυσίαν θῦσαι ὑπὲρ τῶν Ἑλλήνων, ὅπως ἐξιλεωσόμεθα τὸν βασιλέα, "ὅσις ἀρτίως τοῖς Ἕλλησι πολλῶν στεναγμῶν αἴτια κατέπεμψεν." ἔτως εἰπὼν ἐν ταῖς χερσὶν ἔθηκεν, ἔτος δὲ χαίρων ἀπεδέξατο τὴν προσφιλῆ θυγατέρα. ἔτοι δὲ εὐθέως τὴν ἔνδοξον θυσίαν ἐφεξῆς ἔρεξαν περὶ τὸν εὐκατασκεύαστον ναόν· τὰς δὲ χεῖρας ἐνίψαντο μετὰ ταῦτα καὶ τὰ κανᾶ ἀνελάβοντο. "ἐπὶ τούτοις δὲ ὁ Χρύσης μεγάλως ἠὔχετο, τὰς χεῖρας ἀνατείνας, "ἐπάκουσόν μου ὦ καλλίτοξε, ὅσις τὴν Χρύσαν ὑπερμαχεῖς καὶ τὴν θαυμασὴν Κίλλαν, καὶ τῆς Τενέδου ἰσχυρῶς βασιλεύεις· ἤδη μέν ποτε ἐμῦ πρότερον ἤκουσας εὐξαμένου, καὶ ἐτίμησας μὲν ἐμέ, μεγάλως δὲ ἔβλαψας τὸν λαὸν τῶν Ἑλλήνων· "ἔτι δὲ καὶ νῦν μοι τῦτο τελείωσον τὸ θέλημα· ἤδη νῦν τοῖς Ἕλλησι τὸν χαλεπὸν θάνατον ἀπόστρεψον." ἔτως εἶπε προσευχόμενος, τότε δὲ ἦκουεν ὁ κα-

θαρὸς Ἀπόλλων. ἐπειδὴ δὲ ἠΰξατο καὶ τὰς κριθὰς προεχέαν-
το, ἀνέκλασαν μὲν πρῶτον τὰς τραχήλας καὶ ἔσφαξαν καὶ
ἐξεδερμάτισαν "καὶ τὰ μηριαῖα ὀφᾶ ἐξέκοψαν καὶ τῷ λίπει
κατεκάλυψαν, διπλᾶν τὸν ἐπίπλων ποιήσαντες, ἐπ' αὐτῷ δὲ
ὠμὰ τὰ κρέα τοῖς βωμοῖς ἐπέθηκαν. ἐπέκαιε δὲ σχίδακιν
ὁ γέρων, καὶ μέλανα οἶνον ἐπίσπενδεν· οἱ δὲ νεώτατοι παρ'
αὐτὸν ὀβελίσκας ταῖς χερσὶν εἶχον. τὰ σπλάγχνα δὲ σαβλι-
σαντες ἐπάνω τῶν πυρὸς ἔβαλον. ἐπειδὴ τὰ μηριαῖα ὀστᾶ
κατεκάη καὶ τῶν ἐγκάτων ἐγεύσαντο, "εἰς μικρὰ δὴ τὰ ἄλλα
ἔκοψαν καὶ τοῖς ὀβελοῖς περιεκέντησαν καὶ ὤπτησαν ἐμπεί-
ρως, καὶ εἵλκυσαν ἅπαντα ἐκ τῶν πυρός. ἐπειδὴ δὲ ἐπαύσαντο
τῶν πόνου καὶ κατεσκεύασαν τὴν εὐωχίαν, εὐωχῶντο· ἐδαμῶς
δὲ ἔτι ἡ ψυχὴ ἐνδεὴς ὑπῆρχε τῆς εὐωχίας τῆς ἰσομοίρου.
ἐπειδὴ δὲ τῆς πόσεως καὶ τῆς βρώσεως τὴν ἐπιθυμίαν ἐπλή-
ρωσαν, "οἱ μὲν νέοι τὸς κρατῆρας ἐπλήρων τῶν ποτῶ μέχρι
τῆς ςεφανώσεως, διεμερίσαντο δὲ πᾶσι καταρξάμενοι τοῖς
ποτηρίοις· ἦτοι δὲ δι' ὅλης τῆς ἡμέρας τῇ ᾠδῇ τὸν Θεὸν
ἐξιλεῦντο καλὸν ἄδοντες παιᾶνα, οἱ νεώτεροι τῶν Ἑλλή-
νων, ἀνυμνοῦντες τὸν Ἀπόλλωνα· ἦτος δὲ τὴν διάνοιαν
ἐτέρπετο ἀκέων. "ἡνίκα δὲ ὁ ἥλιος ἔδυ καὶ τὸ σκότος ἐπῆλ-
θε, τηνικαῦτα δὴ ἐκοιμήθησαν παρὰ τὰ ὑπόγεια σχοινία
τῆς νεώς. ἡνίκα δὲ ἡ τὸν ὄρθρον γεννῶσα ἐφάνη ῥοδόχρος
ἡμέρα, καὶ τὸ τηνικαῦτα ἀπέπλεον ἐπὶ τὸ πλατὺ ςρατόπε-
δον τῶν Ἑλλήνων. τάτοις δὲ ἠροφόρον ἄνεμον ἔπεμψεν ὁ
μακροβόλος Ἀπόλλων. "ἦτοι τὸν ἰσὸν ἔςησαν καὶ τὰ λευκὰ
ἱςία ἀνεπέτασαν· ὁ δὲ ἄνεμος κατὰ μέσον ἐφύσησεν ἄρμε-
νον, τὸ δὲ κῦμα περὶ τῇ πρῴπιδι τὸ μέλαν μεγάλως
ἦχει τῆς νεὼς πορευομένης· αὕτη δὲ ἔτρεχε κατὰ τὸ κῦμα
διαπερῶσα τὴν ὁδὸν. ἐπειδὴ δὲ παρεγένοντο κατὰ τὸ πλατὺ
ςρατόπεδον τῶν Ἑλλήνων, "τὴν μὲν ναῦν ἦτοι τὴν βα-
θεῖαν ἐπὶ τῆς γῆς εἵλκυσαν ἐφ' ὕψας ἐπὶ ταῖς ψάμμοις,
καὶ τὰ ὑποςηρίγματα τὰ μεγάλα ἐνέτειναν, αὐτοὶ δὲ ἐσκορ-
πίαις, καὶ ἐδεὶς ἐκαρτέρησεν "ἐκδέξαθ' ἐπερχόμενον, ἀλλ' ἐ
πίθησαν κατὰ τὰς σκηνὰς καὶ τὰς ναῦς. ἦτος δὲ ἐμηνία
ταῖς ναυσὶ παρακαθήμενος ταῖς ταχείαις ὁ εὐγενέςατος τῶ
Πηλέως υἱός, ὁ ταχύπους Ἀχιλλεύς. "καὶ ἀδέποτε εἰς τὴν
ἐκκλησίαν ἀνεςρέφετο τὴν δοξάζουσαν τὸς ἄνδρας ἀδέ ποτε
εἰς τὸν πόλεμον· ἀλλὰ διέφθειρε τὴν προσφιλεςάτην ψυ-
χὴν αὐτόθι μένων, ἐπόθει δὲ τὴν βοὴν καὶ τὴν μάχην τῶ
πολέμω. ἀλλ' ἡνίκα δὴ ἐξ ἐκείνω δωδεκάτη ἐγένετο ἡμέρα,
τηνικαῦτα δὴ εἰς τὸν Ὄλυμπον ἐπορεύθησαν οἱ θεοὶ οἱ
ἀεὶ ὄντες "ἅπαντες ὁμῶ, ὁ δὲ Ζεὺς προηγεῖτο. ἡ δὲ Θέτις
ἐκ ἐπελάθετο τῶν ἐντολῶν τῶ υἱῶ αὐτῆς, ἀλλ' αὕτη ἀνε-
δύσατο τὸ κῦμα τῆς θαλάσσης, ὀρθρινὴ δὲ ἀνῆλθεν εἰς
τὸν μέγαν ἀρανὸν καὶ εἰς τὸν Ὄλυμπον· εὗρε δὲ τὸν μεγα-
λόφθαλμον υἱὸν τῶ Κρόνω χωρὶς τῶν λοιπῶν καθήμενον
ἐν τῇ ὑψηλοτάτῃ κορυφῇ τῶ πολλὰς ἐξοχὰς ἔχοντος Ὀλύμ-
που. "καὶ δὴ ἔμπροσθεν αὐτοῦ ἐκαθέζετο καὶ τῶν γονάτων
ἐπελάβετο τῇ ἀριςερᾷ· τῇ δεξιᾷ δὲ τῶ ὑπὸ τὸ γένειον τόπ
λαβομένη παρακαλῶσα εἶπε πρὸς τὸν Δία τὸν υἱὸν τοῦ
Κρόνω τῶ βασιλέως "ὦ Ζεῦ πάτερ, εἴπερ δή ποτέ σε ἐν
τοῖς ἀθανάτοις ὠφέλησα ἢ λόγῳ ἢ πράξει, τῶτό μοι τε-
λείωσον τὸ ἐπιθύμημα· "τίμησόν μου τὸν υἱόν, ὃςις τα-
χυθανατώτατος τῶν λοιπῶν ἐγένετο, αὐτὸν δὲ τὰ νῦν γε ὁ
βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων ἠτίμασεν· ἀφελὼν γὰ
κατέχει τὴν τιμὴν αὐτὸς ἀποσπάσας. ἀλλὰ σὺ αὐτὸν τί-
μησον ὦ Ὀλύμπιε πολυγνῶμον Ζεῦ (ἢ βαλευτικέ), τέως
δὲ ἐπὶ τοῖς Τρωσὶν ἐπιτίθει δύναμιν, ἕως ἂν οἱ Ἕλληνες
"τὸν ἐμὸν υἱὸν τιμήσωσιν, αὐξήσωσί τε αὐτὸν τῇ τιμῇ."
ἔτως εἶπεν· αὐτῇ δὲ ἐδὲν εἶπεν ὁ τὰς νεφέλας συναθροί-
ζων Ζεύς, ἀλλὰ σιωπῶν ἐπὶ πολὺν χρόνον ἐκάθητο. ἡ Θέ-
τις δὲ ὡς τῶν γονάτων ἥψατο, ἔτως εἴχετο εἱλημμένη, καὶ
ἠρώτησεν ἐκ δευτέρω πάλιν· "ἀληθὲς μὲν δή μοι ὑπόσχε
καὶ ἐπίνευσον "ἢ ἀπόειπε, ἐπειδὴ ἐδαμῶς σοί ἐςι φόβος,
ὅπως καλῶς γνῶ ὁπόσον ἐγὼ ἐν πᾶσιν ἄτιμός εἰμι τοῖς
Θεοῖς." πρὸς ταύτην δὲ μεγάλως ἀγανακτήσας εἶπεν ὁ τὰς
νεφέλας ἐγείρων Ζεύς "ὄντος δὴ ὀλέθρια ἔργα, ὅταν με
ἐχθρὸν γενέσθ προτρέπῃς τῇ Ἥρᾳ, ὅταν με παροξύνῃ ὀνει-
δισικοῖς λόγοις. "αὕτη δὲ καὶ ματαίως με διὰ παντὸς ἐν
τοῖς ἀθανάτοις θεοῖς ὀνειδίζει, καὶ φησί με ἐν τῇ μάχῃ τοῖς
Τρωσὶ βοηθεῖν. ἀλλὰ σὺ μὲν νῦν ἀρτίως ἄπιθι, μή πώς
σε θεάσηθ ἡ Ἥρα· ἐμοὶ δὲ ἂν περὶ τάτων φροντὶς γενή-
σεθ, ὅπως αὐτὰ τελέσω. φέρε δή σοι τῇ κεφαλῇ κατανεύ-
σω, ὅπως θαῤῥήσῃς· "τῶτο γὰ ἐξ ἐμῶ ἐν τοῖς Θεοῖς μέ-
γιςον σημεῖον· ἃ γὰ ἐμοὶ παλισύλλεκτον οὐδὲ ἀπατητικὸν
οὐδὲ ἀπλήρωτον ὅπερ ἂν τῇ κεφαλῇ ἐπινεύσω." εἶπε καὶ ταῖς
μελαίναις ὀφρύσιν ἐπένευσεν ὁ Ζεύς· αἱ θαυμασταὶ δὲ χαῖ-
ται ἐπεσείθησαν τῶ βασιλέως "ἀπὸ τῆς κεφαλῆς τῆς ἀθα-
νάτω· τὸν μέγαν ἔσεισεν "Ὄλυμπον (ἤτοι ἐκίνησεν). ἔτος
δὲ ἔτως βαλευσάμενοι διεχωρίσθησαν· καὶ ἡ μὲν μετὰ ταῦτα
εἰς τὴν θάλασσαν ἐπήδησε τὴν βαθεῖαν ἀπὸ τῶ λαμπροῦ
Ὀλύμπω, ὁ δὲ Ζεὺς πρὸς τὸν ἴδιον οἶκον. οἱ δὲ θεοὶ πάν-
τες ὁμῶ ἀνέςησαν ἐκ τῶν καθεδρῶν τῶ ἰδίω πατρὸς ἐξ ἐναν-
τίας, καὶ ἐδεὶς ἐκαρτέρησεν "ἐκδέξαθ ἐπερχόμενον, ἀλλ' ἐ
ναντίας ἔςησαν ἅπαντες. ἔτως ὁ μὲν ἐκεῖ ἐκάθισεν ἐπ
θρόνω· ἐδαμῶς δὲ αὐτὸν ἡ Ἥρα ἠγνόησε θεασαμένη ὅτ
αὐτῷ συνεβαλεύσατο βαλὰς ἡ λευκόπους Θέτις, ἡ θυγάτη
τῶ θαλασσίω γέροντος. εὐθέως δὲ χλευαςικοῖς λόγοις τὸ
Δία τὸν υἱὸν τῶ Κρόνω εἶπε· "τίς δή σοι ὦ δολιόβαλ
τῶν θεῶν συνεβαλεύσατο βαλάς; διὰ παντὸς προσφιλ
σοί ἐςιν ἐμῶ χωρὶς ὑπάρχοντα κρυπτὰ καὶ λαθραῖα φρο
νῶντα δικάζειν· ἐδέποτε δέ μοι προθύμως ὑπέμεινας εἰ
πεῖν λόγον ὅντινα μάθοις." πρὸς αὐτὴν δὲ ἀπεκρίνατ
μετὰ ταῦτα ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν Θεῶν (ὁ Ζεύς
"ὦ Ἥρα, μηδαμῶς ἅπαντας τὰς ἐμὰς ἐλπιζε λόγας μα
θήσειν· δυσχερεῖς σοι γενήσονθ γαμετῇ καίπερ τυγχανέσ
ἀλλ' ὃν μέν τινα προσῆκόν ἐςιν ἀκέειν, ἐδεὶς δὴ μει
ταῦτα ἔτε τῶν θεῶν πρότερος τῶτον μαθήσεθ ἔτε τῶ
ἀνθρώπων· ὃν τινα δ' ἂν ἐγὼ χωρὶς τῶν θεῶν ἐθέλ
γνῶναι, "μήτε σὺ ταῦτα πάντα ἐρώτα μηδὲ ἐξέταζε." τὸ
τον ἀνταπεκρίθη μετὰ ταῦτα ἡ εὐόφθαλμος καὶ σεβασμι
Ἥρα "χαλεπώτατε υἱὲ τῶ Κρόνω, ποῖον λόγον ἐλεξω
καὶ λίαν πρότερον ἔτε ἐρωτῶ ἔτε ἐξερευνῶ, ἀλλὰ λίαν ἡσυχι

ταῦτα βȣλεύῃ ἅτινα θέλεις. "νῦν δὲ χαλεπῶς ϗ λίαν φοβȣ̃μαι κατὰ διάνοιαν ἵνα μή σε παραλογίσηϑ ἡ τȣ̀ς πόδας ὡραίȣς ἔχȣσα Θέτις, ἡ θυγάτηρ τȣ̃ θαλασσίȣ γέροντος. πρωϊνὴ γάρ σοι παρεκάθισε ϗ ἥψατο τῶν γονάτων σου. ταύτῃ σε ὑπολαμβάνω κατακλῖναι ϗ ὑποχέσϑ ἀληθῶς ἵνα τὸν Ἀχιλλέα τιμήσῃς, φθάρῃς δὲ πολλȣ̀ς ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων." "πρὸς ταύτην ἀνταποκριθεὶς ἔφη ὁ τῆς τῶν νεφελῶν ἀθροίσεως αἴτιος Ζεύς "εὐτυχής, διὰ παντὸς ὑπονοεῖς ȣ̀δέ σε λανθάνω· πρᾶξαι δὲ ὅμως ȣ̀δὲν δυνήσῃ, ἀλλὰ μακρὰν τῆς ψυχῆς μᾶλλον ἐμȣ̃ ἔσῃ· τȣ̃το δέ σοι ϗ φοβερὸν ἔςαι. εἰ δὲ ȣ̃τως τȣ̃τό ἐςιν, ἐμοὶ ἀρέσκει ϗ φαίνεται προσφιλὲς εἶναι. "ἀλλὰ ἡσυχάζȣσα κάθησο, τῷ δὲ ἐμῷ λόγῳ πείθȣ, ἵνα μή σοι ȣ̀ βοηθήσωσιν ὅσοι θεοί εἰσιν ἐν τῷ ȣ̀ρανῷ πλησίον ἐλθόντες, ὁπηνίκα ἄν σοι τὰς ἀπροσπελάςȣς χεῖρας ἐπιβάλω." ȣ̃τως εἶπεν, ἐφοβήθη δὲ ἡ εὐόφθαλμος ϗ σεβασμία Ἥρα, ϗ δὴ λυπȣμένη ἐκάθισεν ἐπικλίνασα τὴν φίλην ψυχήν· "ἐβαρύνθησαν δὲ εἰς τὸ οἴκημα τȣ̃ Διὸς οἱ θεοὶ οἱ ȣ̀ράνιοι. τȣ́τοις δὲ ὁ Ἥφαιςος ὁ ἔνδοξος κατὰ τὰς τέχνας ἀρχὴν ἐποιήσατο λέγειν, μητρὶ τῇ ἠγαπημένῃ ἐπέραςα κομίζων τῇ ὡραίᾳ Ἥρᾳ. "ὄντως δὴ ὀλέθρια ἔργα ταῦτα ἔςαι ȣ̀δέ τι ὑπομονητά, ἐὰν ὑμεῖς ἕνεκα τῶν θνητῶν ἀνθρώπων φιλονεικῆτε ȣ̃τως, "ἐνώπιον δὲ τῶν θεῶν θόρυβον ἐγείρετε· οὐδὲ κατά τι τῆς εὐωχίας τῆς ἀγαθῆς ἔςαι ὄφελος, ἐπεὶ τὰ χείρονα νικῶσιν. τῇ μητρὶ δὲ ἐγὼ συμβȣλεύω, ϗ αὐτῇ ὅμως γινωσκȣ́σῃ, τῷ πατρὶ τῷ ἠγαπημένῳ ἐπέραςα κομίζειν Διί, ἵνα μὴ πάλιν φιλονεικήσῃ ὁ πατὴρ ϗ σὺν ἡμῖν τὴν εὐωχίαν ταράξῃ. "ἐάνπερ γ̀ ἐθέλῃ ὁ ȣ̀ράνιος τῶν ἀςραπῶν αἴτιος ἐκ τῶν καθεδρῶν ἐκβαλεῖν ϗ ἀφανίσαι, δύναϑ· ȣ̃τος γ̀ κατὰ πολὺ κρείττων ἐςίν. ἀλλὰ τȣ̃τον λόγοις ὁμάλισον ἡμέροις· εὐθὺς μετὰ ταῦτα εὐμενὴς ὁ ȣ̀ράνιος Ζεὺς ἔςαι ἡμῖν." οὕτως δὴ εἶπε, ϗ ὁρμήσας ποτήριον κυκλοτερὲς "τῇ μητρὶ τῇ προσφιλεῖ ἐν ταῖς χερσὶν ἐτίθει, καὶ πρὸς αὐτὴν εἶπεν "ὑπόμεινον μῆτερ ἐμὴ ϗ καρτέρησον καίπερ λυπȣμένη, ἵνα μή σε καίπερ ἠγαπημένην ȣ̃σαν ἐν τοῖς ὀφθαλμοῖς θεάσωμαι τυπτομένην· τότε δὲ ȣ̀δὲν δυνήσομαι καίπερ λυπȣ́μενος βοηθῆσαι· δύσκολος γ̀ ὁ ȣ̀ράνιος Ζεύς ἐςιν ἀντιςῆναι ὑπό τινος. "ποτὲ γάρ με ϗ ἄλλοτε βοηθῆσαι προθυμηθέντα ἔῤῥιψεν ἐκ τȣ̃ ποδὸς ἐκτείνας ἀπὸ τȣ̃ ἐδάφȣς τȣ̃ θείȣ· πᾶσαν δὲ τὴν ἡμέραν κατεφερόμην, ἅμα δὲ τῷ ἡλίῳ δύσαντι κατέπεσον ἐν τῇ Λήμνῳ, ὀλίγη δὲ ψυχὴ ἐν ἐμοὶ ἦν· ὅπȣ με οἱ Σίντιες ἄνδρες εὐθέως ἔλαβον πεσόντα." "ȣ̃τως εἶπεν· ἐγέλασε δὲ ἡ θεὰ ἡ λευκȣ̀ς ἔχȣσα τȣ̀ς πήχεις Ἥρα, γελάσασα δὲ ἀπὸ τȣ̃ παιδὸς αὑτῆς ἔλαβε τῇ χειρὶ τὸ ποτήριον. ȣ̃τος δὲ τοῖς ἄλλοις θεοῖς ἐκ δεξιῶν πᾶσιν ἐκίρνα γλυκὺ πόμα τῶν θεῶν ἀπὸ τȣ̃ κρατῆρος ἀντλῶν. ἄπαυςος δὲ δὴ ἐκινήθη γέλως τοῖς μακαρίοις θεοῖς, "ἐπεὶ εἶδον τὸν Ἥφαιςον εἰς τὰ οἰκήματα ἐνεργȣ̃ντα. ȣ̃τως τότε ὅλην τὴν ἡμέραν, ἕως ȣ̃ ὁ ἥλιος ἔδυ, εὐωχȣ̃ντο, ȣ̀δὲ κατά τι ἡ ψυχὴ αὐτῶν ἐςερίσκετο τῆς εὐωχίας τῆς ἴσης, ȣ̀δὲ τῆς κιθάρας τῆς ὡραίας ἣν ἐκράτει ὁ Ἀπόλλων, ϗ τῶν Μȣσῶν αἳ ἔμελπον ἀλλασσόμεναι φωνῇ καλῇ. "ἐπεὶ δὲ ἔδυ τὸ λαμπρὸν φῶς τȣ̃ ἡλίȣ, οἱ μὲν θεοὶ κοιμηθησόμενοι ἐπορεύθησαν εἰς τὸν οἶκον τὸν ἑαυτȣ̃ ἕκαςος, ὅπȣ ἑκάςῳ θεῷ οἶκον ὁ περισσῶς ἔνδοξος ϗ ἄμφω τȣ̀ς πόδας χωλός, ὁ Ἥφαιςος, ἐποίησε γινωσκȣ́σαις διανοίαις· ὁ δὲ Ζεὺς πρὸς τὴν ἰδίαν κοίτην ἐπορεύθη ὁ ȣ̀ράνιος, ὁ τῶν ἀςέρων αἴτιος, "ὅπȣ πρότερον ἐκοιμᾶτο ὅτε αὐτὸν ὁ γλυκὺς ὕπνος κατελάμβανε· ὅπȣ ἐκοιμᾶτο ἀναβάς, παρ' αὐτῷ δὲ καὶ ἡ χρυσοῦν θρόνον ἔχουσα Ἥρα.

B. ΟΝΕΙΡΟΣ. ΒΟΙΩΤΙΑ Η ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΝΕΩΝ.

ΥΠΟΘΕΣΙΣ 1. *Βῆτα δ' ὄνειρον ἔχει, ἀγορήν, καὶ νῆας ἀριθμεῖ.*

2. *Ζεὺς ὄνειρον ἐπιπέμψας Ἀγαμέμνονι παρακελεύεται τȣ̀ς Ἕλληνας ἐξάγειν ἐπὶ τὸν πόλεμον. ὁ δὲ πρότερον μὲν συνέδριον τῶν ἀρίςων, ἔπειτα δὲ ἐκκλησίαν ποιησάμενος ἀποπειρᾶται αὐτῶν παρακελευσάμενος φεύγειν εἰς τὰς πατρίδας. κατέχει δὲ αὐτȣ̀ς Ὀδυσσεὺς Ἀθηνᾶς προνοίᾳ καὶ Νέςωρ δημηγορήσας. εἶτα τροφὴν ἀνελόμενοι ἐξοπλίζονται αὐτοί τε καὶ οἱ ἡγεμόνες. ὁμοίως δὲ καὶ οἱ Τρῶες Ἴριδος αὐτοῖς ἀπαγγειλάσης. κατάλογον δὲ ὁ ποιητὴς ἐποίησε τῶν ςρατευμάτων καὶ τῶν νεῶν.*

3. *Ζεὺς (ἐμέμνητο γὰρ τῆς Θέτιδος ἱκεσίας) τῶν ἄλλων θεῶν τε καὶ ἀνθρώπων ὕπνῳ σχολαζόντων πρὸ ὀφθαλμῶν ποιȣ́μενος τιμῆσαι τὸν τȣ̃ Πηλέως, ὄνειρον Ἀγαμέμνονι πέμπει κελεύων αὐτῷ ἐμβαλεῖν πάντας Ἕλληνας εἰς τὴν μάχην, συμβȣλεύων αὐτῷ δηλαδὴ καὶ τὸν Ἀχιλλέα παρακαλέσαι. ὁ δὲ οὐ συνιεὶς τὸ ὄναρ τοῖς ἀριςεῦσιν αὐτὸ διηγεῖται, καὶ μετὰ τȣ̃το εἰς ἐκκλησίαν ἀθροίσας πάντας Ἕλληνας, ὑπόπτως πρὸς αὐτȣ̀ς διακείμενος διὰ τὸ ἡγεῖσθαι τὸν Ἀχιλλέα ἐπιτιθέμενον αὐτȣ̃ τῇ ἀρχῇ προσοικειȣ̃σθαι τὸ πᾶν πλῆθος, πειράζων φεύγειν αὐτȣ̀ς εἰς τὰς πατρίδας κελεύει. οἱ δὲ ȣ̀ συνιέντες ἐπὶ τὸ καθέλκειν τὰς ναῦς καὶ εἰς τὰς πατρίδας ἀπαλλάττεσθαι χωροῦσιν. Ὀδυσσεὺς δὲ ὑποθεμένης αὐτῷ Ἀθηνᾶς τȣ̀ς μὲν ἀρίςȣς πειθοῖ κατέχει, τῶν δὲ ςρατιωτῶν πικρῶς καθάπτεται, παύει δὲ καὶ Θερσίτην ἀμȣ́σως πρὸς τὸν βασιλέα ςασιάζοντα, καὶ τȣ̀ς Ἕλληνας μεῖναι καὶ τὴν Ἴλιον ἑλεῖν προτρέπει. συμβȣλεύσαντος δὲ καὶ Νέςορος τὰ αὐτὰ Ἀγαμέμνων θύσας τῷ Διὶ τȣ̀ς γέροντας ἑςιᾷ, καὶ προτρεψάμενος τȣ̀ς Ἕλληνας ἐπὶ τὸν πόλεμον ἐξάγει πάντας. ἑξῆς δέ ἐςιν ὁ κατάλογος τῶν νεῶν ἐφ' ὧν ἦλθον οἱ Ἕλληνες καὶ τῶν ἡγεμόνων αὐτῶν καὶ τῶν Τρώων καὶ τῶν ἐπικούρων.*

Οἱ μὲν δὴ λοιποὶ θεοί τε ϗ ἄνδρες πολεμικοὶ ἐφ' ἵππων ὁπλιζόμενοι ἐκάθευδον δι' ὅλης τῆς νυκτός, τον δὲ Δία ȣ̀ κατεῖχε γλυκὺς ὕπνος, ἀλλ' ȣ̃τος ἐφρόντιζε κατὰ διάνοιαν ὅπως τὸν μὲν Ἀχιλλέα τιμῆς ἀξιώσῃ, ἀπολέσῃ δὲ πολλȣ̀ς τῶν Ἑλλήνων ἐπὶ τοῖς πλοίοις. "αὕτη δὲ αὐτῷ κατὰ τὴν ψυχὴν καλλίςη ἐφαίνετο βȣλή, ἐπιπέμψαι τῷ Ἀτρείδῃ Ἀγαμέμνονι τὸν ὀλέθριον ὄνειρον· καὶ αὐτὸν προσκαλεσάμενος λόγȣς ταχεῖς προσεῖπε. "πορεύȣ ϗ ἄπιθι ὀλέθριε ὄνειρε ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων· παραγενόμενος εἰς τὴν σκηνὴν τȣ̃ Ἀγαμέμνονος τȣ̃ υἱȣ̃ Ἀτρέως "πάντα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λίαν ἀληθῶς ἀγόρευε (λέγε) ὡς προσάσσω. καθοπλίσαι αὐτὸν πρόσασσε τὰς τὰς κεφαλὰς κομῶντας Ἕλληνας παγκρατιᾷ· νῦν γ' ἂν λάβοι τὴν πόλιν τὴν πλατυάμφοδον τῶν Τρώων· οὐκέτι γ' διαφωνεῦσιν οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοὶ οἱ ἀθάνατοι βεβλεύονθ'· ἐπέκαμψε γ' ἅπαντας ἡ Ἥρα λιτανεύσασα, τοῖς δὲ Τρωσὶ κακὰ ἐπίκειται." ἔτως εἶπεν, ἐπορεύθη δὲ ὁ ὄνειρος, ἐπεὶ τὸν λόγον ἤκουσε. ταχέως δὲ παρεγένετο ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων, ἐπορεύθη δὲ ἐπὶ τὸν υἱὸν τῷ Ἀτρέως Ἀγαμέμνονα· τὸν δὲ κατέλαβε κοιμώμενον ἐν τῇ σκηνῇ, περιεκέχυτο δὲ αὐτῷ ὁ θεῖος ὕπνος. "ἔρχη δὲ ὑπὲρ κεφαλῆς τῷ Νηλέως παιδὶ ὁμοιωθεὶς Νέςορι, ὅντινα δὴ ἐξόχως τῶν γερόντων ἔτιμα ὁ Ἀγαμέμνων. τούτῳ αὐτῷ ὁμοιωθεὶς προσεφθέγγετο ὁ θαυμαςὸς ὄνειρος. "καθεύδεις τῷ Ἀτρέως παῖ τῷ πολεμικὸν φρόνημα ἔχοντος, τῷ τὰς ἵππους δαμάζοντος; ἀ προσῆκόν ἐςι δι' ὅλης νυκτὸς καθεύδειν βεβλευτικὸν ἄνδρα, ᾧ τινὶ οἱ λαοὶ ἐπιτεταμμένοι εἰσὶ καὶ τοσαῦτα διὰ φροντίδος ἐςί. νῦν δὲ ἐξ ἐμῆ ἄκουσον ταχέως· ἀπὸ γὰ τῷ Διός σοι ἧκω φέρων τὰς ἀγγελίας, ὅςις σε πόῤῥωθεν ὑπάρχων μεγάλως φροντίζει καὶ ἐλεεῖ. καθοπλίσαι σε προσέταξε τὰς τὰς κεφαλὰς κομῶντας Ἕλληνας συμπάσῃ ςρατιᾷ· νῦν γ' ἂν λάβοις τὴν πλατυάμφοδον πόλιν "τῶν Τρώων· ἐκέτι γ' διαφωνεῦσιν οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοὶ βεβλεύονθ'· ἐπέκαμψε γ' ἅπαντας ἡ Ἥρα λιτανεύσασα, τοῖς δὲ Τρωσὶ κακὰ ἐπήρτηθ' ἐκ τῷ Διός. ἀλλὰ σὺ ταῖς σαῖς διανοίαις μέμνησο, μηδέ σε λήθη καταλαμβανέτω, ὁπόταν σε ὁ ἡδὺς ὕπνος καταλίπῃ." "ἔτω δὴ εἰπὼν ἀπῆλθε, τὸν δὲ κατέλιπεν ἐπὶ τὸ αὐτὸ ταῦτα λογιζόμενον κατὰ τὴν ψυχὴν ἃ δὴ ἐ πληρωθήσεσθ' ἔμελλεν. ἐλογίσατο γ' ἔτος πορθήσειν τὴν τῷ Πριάμε πόλιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ ἀνόητος, ἐδὲ ταῦτα ἠπίςατο ἅτινα ὁ Ζεὺς ἐβεβλεύετο ἔργα· ποιήσειν γ' ἔτι ἔμελλεν ἐπ' αὐτὰς κακὰ καὶ ςεναγμὰς "τοῖς Τρωσὶ καὶ τοῖς Ἕλλησι κατὰ τὰς κραταιὰς μάχας. ἐγρηγόρησεν ἐκ τῷ ὕπνε, θεία δὲ αὐτὸν περιεκέχυτο κληδών. ἐκάθισε δὲ ἀναξάς, τρυφερὸν δὲ ἐνεδύσατο ἱμάτιον καλόν, νεωςὶ κατεσκευασμένον· περιεβάλλετο δὲ μέγα ἱμάτιον, τοῖς δὲ ποσὶ τοῖς εὐτραφέσιν ὑπεδήσατο καλὰ ὑποδήματα, "περιέθετο δὲ τοῖς ὤμοις σπάθην ἀργυροῖς ἥλοις διαπεπαρμένην, ἔλαβε δὲ τὴν βασιλικὴν ῥάβδον τὴν προγονικήν, τὴν ἀδιάφθορον· σὺν ταύτῃ ἐπορεύθη κατὰ τὰς ναῦς τῶν σιδηροθωράκων Ἑλλήνων. ἡ ἡμέρα μὲν δὴ πρὸς τὸν μέγαν ἀνέτειλεν Ὄλυμπον τῷ Διὶ φῶς ἐπαγγελῶσα καὶ τοῖς λοιποῖς θεοῖς· "ὁ δὲ Ἀγαμέμνων τοῖς κήρυξι τοῖς ὀξυφώνοις ἐκέλευσε συγκαλεῖν εἰς τὸ συνέδριον τὰς τὰς κεφαλὰς κομῶντας Ἕλληνας. ἔτοι μὲν ἐκήρυττον, αὐτοὶ δὲ συνηθροίζοντο πάνυ σπουδαίως. προβάλευμα δὲ τῶν μεγαλοψύχων ἐκαθέζετο πρεσβυτῶν παρὰ τῇ τῷ Νέςορος νηΐ, τῷ ἐν τῇ Πύλῳ γεγενημένῳ βασιλέως. "τούτους ἔτος συγκαλέσας σώφρονα παρεσκεύασε βουλήν. "ἀκούσατε ὦ προσφιλεῖς. θαυμαςός μοι κατὰ τοὺς ὕπνους ἦλθεν ὄνειρος [κατὰ τὴν θείαν νύκτα· μάλιςα δὲ τὸν Νέςορι τῷ ἐνδόξῳ] τὸν τῆς ὄψεως χαρακτῆρα καὶ τὸ τοῦ σώματος μέγεθος τὴν φύσιν τε ἔγγιςα ὁμοίωτο. [ἔρχη δὲ ὑπεράνω τῆς κεφαλῆς, καὶ πρὸς ἐμὲ λόγον εἶπε.] "καθεύδεις ὦ τῷ Ἀτρέως υἱὲ τῷ πολεμικῷ, τῷ τὰς ἵππους δαμάζοντος; ἀ προσῆκόν ἐςι δι' ὅλης νυκτὸς καθεύδειν βεβλευτικὸν ἄνδρα, ᾧ τινὶ οἱ λαοὶ ἐπιτεταμμένοι εἰσὶ καὶ τοσαῦτα διὰ φροντίδος ἐςί. νῦν δ' ἐξ ἐμῆ ἄκουσον ταχέως· ἀπὸ γὰ τῷ Διός σοι ἧκω φέρων τὰς ἀγγελίας, ὅςις σε πόῤῥωθεν ὑπάρχων μεγάλως φροντίζει καὶ ἐλεεῖ. "καθοπλίσαι σε προσέταξε τὰς τὰς κεφαλὰς κομῶντας Ἕλληνας πανςρατιᾷ· νῦν γ' ἂν λάβοις πόλιν τὴν πλατυάμφοδον τῶν Τρώων· ἐκέτι γ' διαφωνεῦσιν οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοὶ βεβλεύονθ'· ἐπέκαμψε γ' ἅπαντας ἡ Ἥρα λιτανεύσασα, τοῖς δὲ Τρωσὶ κακὰ ἐπήρτηθ' ἐκ τῷ Διός. ἀλλὰ σὺ ταῖς σαῖς διανοίαις μέμνησο. ἔτως μὲν δὴ ἔτος εἰπὼν ἀπήρχετο ταχέως ἀπελθών, ἐμὲ δὲ ὁ γνήσιος ὕπνος κατέλιπεν. ἀλλὰ ἄγετε ὅπως ἂν καθοπλίσωμεν τὰς Ἕλληνας. πρῶτον δὲ ἐγὼ λόγοις ἀπόπειραν λήψομαι ὡς νενόμιςαι, καὶ φεύγειν σὺν ταῖς ναυσὶ ταῖς πολυκαθέδροις προστάξω· "ὑμεῖς δὲ ἀλλαχόθεν ἄλλος κωλύειν ἐν λόγοις (ἢ κωλύετε)." ἔτως μὲν ἔτος εἰπὼν ἐκαθέζετο. ἐν τούτοις δ' ἀνέςη ὁ Νέςωρ, ὅςις δὴ τῆς Πύλε βασιλεὺς ἦν τῆς ψαμμώδες· ὅςις δὴ καλῶς φρονῶν ἐδημηγόρησεν καὶ εἶπεν αὐτοῖς "ὦ προσφιλεῖς ἡγεμόνες τῶν Ἀργείων καὶ πρόβολοι, "εἰ μέν τις τὸν ὄνειρον ἀπὸ τῶν Ἑλλήνων ἄλλος εἶπε, ψεῦδος ἂν ἐλογισάμεθα καὶ χωριζοίμεθα μᾶλλον· νῦν δὲ ἐθεάσατο ὃς μεγάλως ἄριςος τῶν Ἑλλήνων καυχᾶται εἶναι. ἀλλ' ἄγετε ὅπως ἂν καθοπλίσωμεν τὰς Ἕλληνας." ἔτω δὴ λαλήσας προηγεῖτο τῆς ἐκ τῷ προβολίε ἐξόδε· "οὗτοι δὲ ὀρθοὶ ἔςησαν καὶ ἐπείθοντο τῷ βασιλεῖ τῶν ὄχλων οἱ σκηπτροφόροι βασιλεῖς· ἐπηκολούθησαν δὲ οἱ ὄχλοι. ὃν τρόπον ἔθνη πορεύονθ' μελισσῶν τῶν ἀθρόως πετομένων ἐκ τῆς κοίλης πέτρας, διὰ παντὸς δὲ νέᾳ τῇ πτήσει χρωμένων· ὡς ἐν χήματι δὲ βότρυος πέτονται ἐπὶ τοῖς κατὰ τὸ ἔαρ γινομένοις ἄνθεσιν, καὶ αἱ μὲν ἐνταῦθα δαψιλῶς πέτονθ' αἱ δὲ ἐκεῖσε· κατὰ τοῦτον τὸν τρόπον τὰ πολλὰ πλήθη ἀπὸ τῶν νηῶν καὶ τῶν σκηνῶν τῇ αἰγιαλῇ ἔμπροσθεν τῇ βαθέος ἐν τάξει παρεγένοντο κατὰ συςροφὰς εἰς τὴν συναγωγήν. ἐν αὐτοῖς δὲ θεία φήμη διεγήγερτο παρακελευομένη παραγίνεσθ, τῇ θεῷ ἄγγελος· ἔτοι δὲ συνηθροίζοντο. "ἐτετάρακτο δὲ ἡ ἐκκλησία, ὑπέςενε δὲ ἡ γῆ τῶν ὄχλων καθεζομένων, θόρυβος δὲ ἦν. ἐννέα δὲ αὐτὰς κήρυκες βοῶντες κατεῖχον, εἴ ποτε τῆς βοῆς ἀπόσχοιντο, ἀκέσαιεν δὲ τῶν σὺν Διὶ γνώμῃ τεθραμμένων βασιλέων. δυσχερῶς δὲ ἐκαθέζετο ὁ λαός, κατεῖχον δὲ ἕκαςος τὰς ἑαυτῶν καθέδρας "παυσάμενοι τῆς κραυγῆς. ἀνέςη δὲ ὁ βασιλεὺς Ἀγαμέμνων τὸ σκῆπτρον κατέχων, ὅπερ ἂν ὁ Ἥφαιςος ἔκαμε κατασκευάσας. ὁ Ἥφαιςος μὲν ἔδωκε τῷ Διὶ τῷ τῷ Κρόνε παιδὶ βασιλεῖ· ὁ δὲ Ζεὺς ἔδωκε τῷ διαγγέλλοντι καθαρῷ φόνε Ἑρμῇ· ὁ δὲ Ἑρμῆς ὁ ἄναξ ἔδωκε Πέλοπι τῷ ἱππικῷ (ἢ πολεμικῷ)· "ὁ δὲ Πέλοψ ἔδωκεν Ἀτρεῖ τῷ βασιλεῖ τῶν ὄχλων· ὁ δὲ Ἀτρεὺς ἀποθνήσκων κατέλιπε τῷ πολυθρίμμονι Θυέςῃ

ὁ δὲ Θυέςης τῷ Ἀγαμέμνονι κατέλιπε βαςάζειν ἐν πολλαῖς νήσοις καὶ τοῦ Ἄργους παντὸς βασιλεύειν (ἤγουν ὅλης τῆς Πελοποννήσου). τούτῳ οὗτος ἑδραςθεὶς (τῷ σκήπτρῳ) ὁ Ἀγαμέμνων λόγους ἐν τοῖς Ἕλλησιν εἶπεν. "ὦ προσφιλέςατοι ἡμίθεοι Ἕλληνες, ὑπηρέται τοῦ πολέμου, ὁ Ζεύς με μεγάλως ὁ υἱὸς τοῦ Κρόνου βλάβῃ ἐνέβαλε μεγάλῃ, ὁ τοῦ ςχετλιάζειν αἴτιος, ὅςις πρότερον μέν μοι ὑπέχετο καὶ κατένευσε τὴν Ἴλιον ἐκπορθήσαντα τὴν καλῶς τετειχισμένην ἀπαλλάττεσθαι, νῦν δὲ κακὴν πλάνην ἐσκέψατο, καὶ κελεύει με "ἄδοξον εἰς τὴν Πελοπόννησον ἀπελθεῖν, διότι πολὺν ἀπώλεσα λαόν. οὕτω δὴ τῷ Διὶ ἔοικε τῷ ὑπερδυνάμῳ προσφιλὲς εἶναι, ὅςις δὴ πολλῶν πόλεων κατέλυσεν ἀκροπόλεις καὶ ἔτι δὴ καταλύσει· τούτου γὰρ ἡ δύναμίς ἐςι μεγίςη. ἀηδὲς γὰρ τοῦτό ἐςι καὶ τοῖς μεταγενεςέροις μαθεῖν, "μάτην οὕτω τοιοῦτον καὶ τοσοῦτον ὄχλον τῶν Ἑλλήνων ἀτέλεςον πόλεμον πολεμεῖν καὶ μάχεσθαι ἀνδράσιν ὀλιγωτέροις, πέρας δὲ οὐδέν τι ἐφάνη. ἐάν περ γὰρ βουληθῶμεν οἵ τε Ἕλληνες καὶ οἱ Τρῶες ὅρκους πιςοὺς δι' ἐντόμων ποιησάμενοι ἀριθμηθῆναι ἀμφότεροι, "τοὺς Τρῶας μὲν ἐπιλέξασθαι ἔποικοι ὁπόσοι εἰσίν, ἡμεῖς δὲ εἰς δεκανίας διαταχθείημεν οἱ Ἕλληνες, τῶν Τρώων δὲ ἄνδρα ἕκαςον λάβοιμεν οἰνοχοεῖν, πολλαὶ ἂν δεκανίαι ἐνδεεῖς ἐγένοντο οἰνοχόου. τοσοῦτον ἐγὼ ὑπολαμβάνω πλείονας εἶναι τοὺς Ἕλληνας "τῶν Τρώων, οἵτινες κατοικοῦσι κατὰ ταύτην τὴν Ἴλιον. ἀλλ' ἐπίκουροι ἐκ πολλῶν πόλεων πολεμικοὶ ἄνδρες εἰσίν, οἵ με μεγάλως πλανῶσι καὶ οὐ συγχωροῦσι βουλόμενον τῆς Ἰλίου ἐκπορθῆσαι τὴν καλῶς οἰκουμένην πόλιν. ἐννέα δὴ παρεληλύθασι Διὸς τοῦ μεγάλου ἐνιαυτοί, "καὶ δὴ τὰ ξύλα διασέσηπε τῶν νεῶν καὶ τὰ ςοινία διαλέλυνται, αἱ δὲ ἡμέτεραι γυναῖκες καὶ τὰ μικρὰ τέκνα ἡμῶν καθέζονται ἐν τοῖς οἴκοις προσδεχόμενα· ἡμῖν δὲ ὁ πόλεμος ὁμοίως ἀτελείωτος, οὗ τινὸς χάριν ἐνταῦθα παρεγενόμεθα. ἀλλὰ δεῦρο, καθὰ ἂν ἐγὼ εἴπω, πείσθητε πάντες· "φεύγωμεν σὺν ταῖς ναυσὶν εἰς τὴν προσφιλεςάτην πατρῴαν γῆν· οὐκέτι γὰρ τὴν Τροίαν πορθήσομεν τὴν πλατυάμφοδον." οὕτως εἶπε, τούτοις δὲ τὴν ψυχὴν ἐν τοῖς ςήθεσι διετάραξε πᾶσι κατὰ τὴν πληθύν, ὅσοι τοῦ προβουλεύματος οὐκ ἤκουσαν. διεταράχθη δὲ ἡ ἐκκλησία ὡς κύματα μεγάλα θαλάσσης "τοῦ Ἰκαρικοῦ πελάγους, ἅτινα μὲν ὁ Εὖρος καὶ ὁ Νότες ἐτάραξεν ἐφορμήσας τοῦ πατρὸς Διὸς ἐκ τῶν νεφελῶν. καθάπερ ὅτε φυσήσει Ζέφυρος μέγα καὶ σιτοφόρον χωρίον ἐλθών, σφοδρὸς ἐπικαταπνέων, ἐπικατακλίνει δὲ τοῖς ςάχυσι τοὺς ςάχυας, οὕτως τούτων πᾶσα ἡ ἐκκλησία ἐταράχθη. οὗτοι ἐπὶ τὰς ναῦς "ἐπηκολούθουν, τῶν ποδῶν δ' ὑποκάτωθεν κόνις ὑψοῦτο ἐπαιρομένη. οἱ δὲ πρὸς ἀλλήλους ἐπέταττον θιγεῖν τῶν νεῶν καὶ καθέλκειν εἰς τὴν μεγάλην θάλασσαν, καὶ τὰ ταφροειδῆ ὀρύγματα ἐξέσκαπτον· ἡ βοὴ δὲ τοῦ οὐρανοῦ ἐφικνεῖτο εἰς τὸν οἶκον ἀπιέναι προθυμούμενων· ὑφῄρουν δὲ τὰ ἐρείσματα τῶν νεῶν. "παρ' ὀλίγον τότε ἂν τοῖς Ἕλλησιν ὑπὲρ τὸ εἱμαρμένον ἡ εἰς οἶκον ἀνακόμισις (ἢ ἀναςροφὴ) ἐγένετο, εἰ μὴ πρὸς τὴν Ἀθηνᾶν ἡ Ἥρα λόγον εἶπε. "φεῦ παπαί, τοῦ αἰγίδα ἔχοντος Διὸς τέκνον ἄτρυτε καὶ ἀκαταπόνητε, οὕτω δὴ εἰς τὴν οἰκίαν, εἰς τὴν προσφιλεςάτην πατρῴαν γῆν οἱ Ἕλληνες φεύξονται ἐπὶ τὰ πλατέα καὶ μεγάλα νῶτα τῆς θαλάσσης; "καταλίποιεν δ' ἂν καύχησιν τῷ Πριάμῳ καὶ τοῖς Τρωσὶ τὴν Πελοποννησίαν Ἑλένην, ὑπὲρ ἧς πολλοὶ τῶν Ἑλλήνων ἐν τῇ Τροίᾳ ἀπώλοντο πόῤῥω τῆς προσφιλεςάτης καὶ πατρῴας γῆς. ἀλλ' ἄπιθι νῦν ἐπὶ τὸν ὄχλον τῶν Ἑλλήνων τῶν σιδηροθωράκων, τοῖς σοῖς δὲ προσηνέσι λόγοις κάτεχε ἄνδρα ἕκαςον, "μηδὲ συγχώρει τὰς ναῦς εἰς τὴν θάλασσαν καθέλκειν τὰς ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνομένας." οὕτως εἶπεν· οὐ παρήκουσε δὲ ἡ θεὰ ἡ γλαυκόφθαλμος Ἀθηνᾶ, κατέβη δὲ ἀπὸ τῶν τοῦ Ὀλύμπου ἀκρωτηρίων ὁρμήσασα, [ταχέως δὲ κατέβαινεν ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων]. κατέλαβεν ἔπειτα τὸν Ὀδυσσέα τὸν τῷ Διὶ τὴν βουλὴν ἴσον καὶ ὅμοιον "ἑςῶτα· οὐδὲ οὗτος τῆς νεὼς τῆς εὐκαθέδρου καὶ βαθείας ἥπτετο, ἐπειδὴ αὐτὸν λύπη τὴν καρδίαν καὶ τὴν ψυχὴν κατελάμβανεν. ἐγγὺς δὲ ἱςαμένη πρὸς αὐτὸν εἶπεν Ἀθηνᾶ "εὐγενέςατε Λαέρτου παῖ, πολύτεχνε Ὀδυσσεῦ, οὕτω δὴ εἰς τὸν οἶκον, εἰς τὴν προσφιλεστάτην καὶ πατρῴαν γῆν "φεύξεσθε ἐν ταῖς ναυσὶ ταῖς πολυκαθέδροις εἰσελθόντες; καταλίποιτε δ' ἂν καύχησιν τῷ Πριάμῳ καὶ τοῖς Τρωσὶ τὴν Πελοποννησίαν Ἑλένην, ὑπὲρ ἧς πολλοὶ τῶν Ἑλλήνων ἐν τῇ Τροίᾳ ἀπώλοντο πόῤῥω τῆς προσφιλεςάτης καὶ πατρῴας γῆς. ἀλλ' ἄπιθι νῦν ἐπὶ τὸν ὄχλον τῶν Ἑλλήνων, μηδὲ συγχώρει· "τοῖς σοῖς δὲ προσηνέσι λόγοις κώλυε ἄνδρα ἕκαςον, μηδὲ συγχώρει τὰς ναῦς εἰς τὴν θάλασσαν καθέλκειν τὰς ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνομένας." οὕτως εἶπεν· οὗτος δὲ συνῆκε τῆς θεᾶς τὴν φωνὴν εἰπούσης, ὥρμησε δὲ τρέχειν, ἀπεδύσατο δὲ τὴν χλαμύδα, ἣν ἐβάςασεν ὁ κῆρυξ Εὐρυβάτης ὁ ἐξ Ἰθάκης, ὅςις αὐτῷ ἠκολούθει· "αὐτὸς δὲ τοῦ Ἀτρείδου Ἀγαμέμνονος ἐξ ἐναντίας ἀπελθὼν ἐδέξατο αὐτῷ τὸ σκῆπτρον τὸ ἀδιάφθαρτον καὶ ἀθάνατον ἀεί· σὺν τούτῳ ἐπορεύθη ἐπὶ τὰς ναῦς τῶν σιδηροθωράκων Ἑλλήνων. ὅντινα μὲν βασιλέα καὶ ἐξέχοντα ἄνδρα καταλάβοι, τοῦτον προσηνέσι λόγοις ἐκώλυε παραςάς. "ὦ εὔδαιμον, οὔ σε πρέπει ὡς δειλὸν εὐλαβεῖσθαι, ἀλλὰ σὺ καθέζου καὶ τοὺς λοιποὺς ὄχλους καθέζεσθαι κέλευε. οὐ γὰρ ἀκριβῶς οἶδας ὁποῖος ὁ νοῦς τοῦ Ἀτρείδου Ἀγαμέμνονος· νῦν μὲν ἀπόπειραν λαμβάνει, ταχέως δὲ βλάψει τοὺς Ἕλληνας. οὐ πάντες δὲ ἠκούσαμεν ἐν τῇ βουλῇ ὃ εἶπε. "σκοπῶμεν ἵνα μὴ ὀργισθεὶς κακόν τι δράσῃ τοὺς Ἕλληνας. ἡ ὀργὴ δὲ μεγάλη ἐςὶ τοῦ σὺν τῇ Διὸς βουλῇ τεθραμμένου βασιλέως, ἡ τιμὴ δὲ αὐτῷ ἐκ τοῦ Διός ἐςι, φιλεῖ δὲ αὐτὸν ὁ βουλευτικώτατος Ζεύς." ὅντινα δὲ πάλιν δημοσιαςικὸν ἄνδρα ἐθέασατο καὶ βοῶντα καταλάβοι, τούτον τῇ βασιλικῇ ῥάβδῳ ἔπληττε καὶ ἠπείλει μεθ' ὕβρεως. "ὦ κακόδαιμον, μεθ' ἡσυχίας καθέζου καὶ τῶν λοιπῶν τὸν λόγον ἄκουε, οἵτινες σοῦ κρείττονές εἰσι· σὺ δ' ἀπειροπόλεμος καὶ ἀσθενής, οὔτε ποτὲ ἐν τῷ πολέμῳ καταριθμούμενος οὔτ' ἐν τῇ ἐκκλησίᾳ. οὐ μὴν ἅπαντες βασιλεύσομεν ἐνθάδε Ἕλληνες. οὐ καλὸν ἡ πολυαρχία· εἷς ἄρχων ἔςω, "εἷς βασιλεύς, ᾧ τινὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐδωρήσατο ὁ τῷ Κρόνῳ παῖς τῷ σκολιοβούλῳ τὴν ἀρχὴν καὶ τὴν κρίσιν, ἵνα τούτων βασιλεύῃ." (νόθος.) ὅτως δὴ ἕτος τὸ τῆ κοιράνῳ ἔργον ἐπιτελῶν διώκει τὸ στρατόπεδον. οἱ δὲ εἰς τὴν ἐκκλησίαν πάλιν ἐπηκολούθησαν ἀπὸ τῶν πλοίων καὶ τῶν σκηνῶν μετὰ ἦχος, καθάπερ ὅτε κῦμα τῆς πολυταράχου θαλάσσης "ἐν αἰγιαλῷ μεγάλῳ ἠχεῖ, ἠχεῖ δὲ καὶ ἡ θάλασσα. οἱ μὲν δὴ λοιποὶ ἐκαθέζοντο, κατέχον δὲ τὰς καθέδρας· ὁ Θερσίτης δὲ ἔτι μόνος ὁ ἄμετρος ἐν τῷ λέγειν ἐθορύβει, ὅστις δὴ ῥήματα ἐν ταῖς αὐτῆ διανοίαις ἀπρεπῆ καὶ πολλὰ ἠπίστατο, μάτην δὲ κατὰ τὸ πρέπον φιλονεικεῖν τοῖς βασιλεῦσιν, "ἀλλ' ὅπερ ἂν ἐνόμιζε πολλοῦ γέλωτος ἄξιον ἐν τοῖς "Ελλησιν εἶναι. αἰσχρότατος δὲ ἀνὴρ εἰς τὴν Ἴλιον παρεγένετο· τὰς ὄψεις διάστροφος ὑπῆρχε, χωλὸς δὲ τὸν ἕνα πόδα· οἱ δὲ ὦμοι αὐτῆ κυρτοί, ἐπὶ τὸ στῆθος συμπεπτωκότες· ὑπεράνωθεν δὲ ὀξὺς ἦν τὴν κεφαλήν, ἀραιὰ δὲ ἐπέκειτο τρίχωσις. "ἐχθρότατος δὲ τῷ Ἀχιλλεῖ ὑπερβαλλόντως ἦν καὶ τῷ Ὀδυσσεῖ· τούτους γὰρ προελοιδόρησεν· εἶθ' οὕτως τῷ θείῳ Ἀγαμέμνονι μεγάλα κεκραγὼς ἔλεγεν ὀνείδη. τότῳ δὲ δὴ οἱ "Ελληνες ἐκπληκτικῶς ὠργίζοντο ἐμέμφοντό τε καθ' ἑαυτούς. ὁ δὲ ἀνατεταμένως κράζων ἐκακολόγει πρὸς τὸν Ἀγαμέμνονα. """ὦ υἱὲ τῆ Ἀτρέως, τίνος δὴ κατηγορεῖς καὶ ἐπιζητεῖς (καὶ χρῄζεις); πλήρεις σοι τοῦ χαλκῆ αἱ σκηναί, πολλαὶ δὲ γυναῖκες εἰσιν ἐν ταῖς σκηναῖς ἐπίλεκτοι, ὕς σοι οἱ "Ελληνες ὡς πρώτῳ παρέχομεν, ὅταν πόλιν πορθήσωμεν. ἢ ἔτι χρυσῆ ἐνδεὴς εἶ, ὄντινα ἄν τις σοι κομίσοι "τῶν Τρώων τῶν πολεμικῶν ἐξ Ἰλίᾳ ὑπὲρ υἱῆ λύτρα, ὃν ἂν ἐγὼ δεσμεύσας ἐνέγκω ἢ ἄλλος τῶν Ἑλλήνων; ἢ γυναῖκα νεωτέραν, ἵνα μίσγῃ τῇ συνουσίᾳ, ἥντινα αὐτὸς ἄποθεν καὶ χωρὶς μόνος κατάσχῃς; οὐ μὲν ἓν πρέπει ἡγεμόνα ὑπάρχοντα κακῶν ἐπιβαίνειν τὰς "Ελληνας. "ὦ ἔκλυτοι καὶ ἀθενεῖς, κακὰ ὀνείδη, γυναῖκες, οὐκέτι ἄνδρες, εἰς τὸν οἶκον σὺν ταῖς ναυσὶ πορευώμεθα, τοῦτον δὲ (τὸν Ἀγαμέμνονα) καταλείψωμεν αὐτόθι ἐν τῇ Τροίᾳ τὰς τιμὰς κατέχειν, ὅπως μάθῃ ἆρά τι αὐτῷ καὶ ἡμεῖς προσβοηθῶμεν ἢ καὶ ἀδαμῶς· ὅσις καὶ νῦν τὸν Ἀχιλλῆ ἑαυτοῦ πολὺ βελτίονα ἄνδρα "ἠτίμασε· λαβὼν γὰρ κατέχει τὴν τιμὴν ἀφελόμενος. ἀλλὰ πάνυ οὐ τῷ Ἀχιλλεῖ ὀργὴ ἦν ἐν ταῖς διανοίαις, ἀλλὰ μελλητής ἐστιν· ὄντως γὰρ ὦ Ἀγάμεμνον νῦν ὑσάτην ὕβριν εἰργάσω." ἅτως εἶπεν ὀνειδίζων τὸν Ἀγαμέμνονα τὸν βασιλέα τῶν ὅλων ὁ Θερσίτης. τότῳ δὲ ταχέως παρέζη ὁ θεῖος Ὀδυσσεύς, "καὶ αὐτὸν δεινῶς ὑποβλεψάμενος ὀργίλῳ ἐπέπληξε λόγῳ. "ὦ Θερσῖτα πολύλογε, καίτοι ἠδὺς ὑπάρχων δημηγόρος, πέπαυσο μηδὲ βέλα μόνος φιλονεικεῖν τοῖς βασιλεῦσιν. οὐ γὰρ ἐγὼ σῆ ὑπονοῶ χείρονα φθαρτὸν ἄνθρωπον ἄλλον εἶναι, ὁπόσοι ἅμα τοῖς Ἀτρέως παισὶν εἰς τὴν Ἴλιον παρεγένοντο. "διὸ δὴ ἐκ ἂν τὲς βασιλεῖς διὰ στόματος λοιδορῶν λέγοις, καὶ τότοις ὀνείδη παραφέροις ἐπισροφήν τε ἐπιτηροίης. ἐδαμῶς δὲ ἀκριβῶς ἐπισάμεθα ὅπως γενήσεται τὰ παρόντα ἔργα, εἰ καλῶς ἢ κακῶς ὑποστρέψωμεν οἱ "Ελληνες. διὸ νῦν τῷ Ἀτρείδῃ Ἀγαμέμνονι τῷ βασιλεῖ τῶν ὅλων "καθέζῃ ὑβρίζων, ὅτινα, ὅπως μάθωμεν "εἰ ἀληθὲς ὁ Κάλχας μαντεύεται ἢ κ

αὐτῷ πάνυ πολλὰ διδόασιν οἱ ἡμίθεοι "Ελληνες· σὺ δὲ ἐρεθίζων λέγεις καὶ δημηγορεῖς. ἀλλ' ἐρῶ σοι, τοῦτο δὲ ὃ ἐρῶ καὶ τετελεσμένον ἔσαι· ἐὰν ἔτι σε ἄφρονα ὄντα καταλάβω ὅτως ὡς νῦν, μηκέτι εἰς τὸ μετέπειτα τῷ Ὀδυσσεῖ (ἐμοὶ) ἡ κεφαλὴ τοῖς ὤμοις ἐπιμείνοι, "μηδὲ ἔτι τῆ λοιποῦ τῆ Τηλεμάχῳ πατὴρ κληθείην, εἰ μὴ ἐγώ σε λαβὼν ἀποδύσω τὰ προσφιλῆ σῃ ἱμάτια, τήν τε χλανίδα καὶ τὸν χιτῶνα, ἄτινά σοι τὰ αἰδοῖα περικαλύπτῃσι, σὲ δὲ κλαίοντα ἐπὶ τὰς ταχείας ναῦς ἀποπέμψω πλήξας ἀπὸ τῆς ἐκκλησίας αἰκισικαῖς πληγαῖς." "ὅτω δὴ εἶπε, τῇ βασιλικῇ δὲ ῥάβδῳ τὸ μετάφρενον καὶ κατὰ τὲς ὦμες ἔπληξεν· ὁ δὲ ὑπ' ὀδύνης συνεκάμφθη, ἀκμαῖον δὲ αὐτῷ ἐξέπεσε δάκρυον, μώλωψ δὲ αἱματώδης ἐκ τῆ μεταφρένῳ ἐξανέζη ὑπὸ τῆς πληγῆς [ὑπὸ τῆ σκήπτρῳ τῆ χρυσοῦ· ἕτος δὲ ἐκαθέζη καὶ ἐφοβήθη]. ὀδυνηθεὶς δέ, ἀπρεπὲς καταζήσας τὸ πρόσωπον, ἀπεμάξατο τῆ προσώπῳ τὸ δάκρυον. "οἱ δὲ "Ελληνες καίτοι λυπέμενοι ἐπὶ τῇ ὄψει τῆ Θερσίτῃ ἡδέως ἐγέλασαν. ὅτως δέ τις εἶπε πρὸς ἄλλον τινὰ ἰδὼν ἐγγὺς παρεστῶτα "φεῦ παπαί, ἀληθῶς δὴ πάμπολλα ὁ Ὀδυσσεὺς ἀγαθὰ εἴργασαι συμβελίας ἐξηγούμενος ἀγαθὰς τὸν πόλεμόν τε παρασκευάζων· νῦν δὲ τῆτο μεγάλως ἄριστον ἐν τοῖς "Ελλησιν ἔπραξεν, "ὅσις τὸν ὑβριστὴν τὸν ἔπεσιν (ὃ ἐσι λόγοις) βάλλοντα ἐπέχε τῶν δημηγοριῶν. ἐκ ἐπὶ πολὺ αὐτὸν ἐκ δευτέρῳ πάλιν ἀναπείσει ἡ ἄλογος προθυμία καὶ ἡ αὐθάδης ὁρμὴ κακολογεῖν τὲς βασιλεῖς ὀνειδισικοῖς λόγοις." οὕτως εἶπε τὸ πλῆθος. ἀνέζη δὲ ὁ τὰς πόλεις πορθῶν (ὁ πολεμικὸς) Ὀδυσσεύς, τὴν βασιλικὴν ῥάβδον κατέχων· παρ' αὐτὸν δὲ ἡ γλαυκόφθαλμος Ἀθηνᾶ "ὁμοιωθεῖσα τῷ κήρυκι σιγᾶν τὸν ὄχλον ἐκέλευεν, ὅπως ὁμῆ οἱ πρῶτοί τε καὶ οἱ ἔσχατοι "Ελληνες τὸν λόγον ἀκέσαιεν καὶ ἐπισκέψαιντο (ἐπινοήσωσι) τὴν βελήν. ὅσις καλῶς ἐν τότοις φρονῶν ἐδημηγόρησε καὶ εἶπεν "ὦ υἱὲ τῆ Ἀτρέως, νῦν δή σε βασιλεῦ Θέλουσιν οἱ "Ελληνες "πᾶσιν ἐπονείδισον ποιῆσαι τοῖς ἀνθρώποις τοῖς μεμερισμένην ἔχωσι τὴν φωνήν, ἐδαμῶς δέ σοι ἐκτελῶσι τὴν σύνταξιν ἣν ὑπέχοντο ἐνταῦθα ἔτι ἐν τάξει παραγενόμενοι ἀπὸ τῆς Πελοποννήσῳ τῆς ἱπποτρόφῳ, τὴν Ἴλιον ἐκπορθήσαντα τὴν καλῶς τετειχισμένην ἐπανελθεῖν. ὥσπερ γὰρ αἱ παῖδες νέοι (μικροὶ) καὶ γυναῖκες ἀνδρῶν ἔρημοι (μονωθεῖσαι) "πρὸς ἀλλήλας θρηνεῦσιν εἰς τὸν οἶκον πορεύεσθαι. ὄντως δεῖ πονέσαι τὸν ἄνδρ' ἐκεῖνον τὸν ὑπὸ κακοπαθείας ζητοῦντα πορευθῆναι οἴκαδε (ὄντως μὲν ἓν καὶ ἄλγος ἐσὶν ἀνιαθέντα ἐπανέρχεσθαι)· καὶ γάρ τις ἕνα μῆνα μένων πόρρω τῆς ἰδίας γυναικὸς λυπεῖται σὺν τῇ νηῒ τῇ πολυκαθέδρῳ, ὄντινα αἱ χειμεριναὶ συρροαὶ τῶν ἀνέμων συγκλείσασι ταραττομένη τε θάλασσα· "ἡμῖν δὲ ἔννατός ἐσι περιερχόμενος ἐνιαυτὸς ἐνταῦθα μένοσι. διὸ δὴ ἐμέμφομαι τὲς "Ελληνας ὅτω ῥαθυμοῦντας λυπεῖσθαι παρὰ ταῖς ναυσὶ ταῖς καμπυλοπρύμνοις. ἀλλὰ καὶ ὅμως ἐφύβρισον καὶ ἀηδὲς ἐπὶ πολὺν χρόνον μένειν καὶ κενὸν (ἄπρακτον) ἐπανελθεῖν. καρτερήσατε φίλοι καὶ ὑπομείνατε χρόνον ὀλίγον δή ὄοτινα, ὅπως μάθωμεν "εἰ ἀληθὲς ὁ Κάλχας μαντεύεται ἢ κ

ἐδαμῶς. καλῶς γὰρ δὴ τῶτο οἴδαμεν ἐν ταῖς διανοίαις, ἐξὶ δὲ πάντες μάρτυρες ὅσσς μὴ προκαθαρπάσας ὁ θάνατος ἀπῆλθεν χθὲς ἢ πρώην· ὅτε εἰς τὴν Αὐλίδα αἱ ναῦς τῶν Ἑλλήνων συνηθροίζοντο κακωτικὰ τῷ Πριάμῳ καὶ τοῖς Τρωσὶ κομίζουσαι, "ἡμεῖς δὲ περί τινα κρήνην κατὰ τοὺς ἱερὰς ἢ θείας βωμὰς ἐπετελῶμεν τοῖς θεοῖς τελείας θυσίας ὑπὸ τῇ ἱερᾷ πλατάνῳ, ὅθεν ἐφέρετο καλὸν καὶ λαμπρὸν ὕδωρ, ὅπσ ἡμῖν ὠφθη τὸ μέγα σημεῖον· ὁ δράκων κατὰ τὰ νῶτα πυῤῥός, καταπληκτικός, ὅντινα δὴ ὁ Ζεὺς ἔπεμψεν εἰς τὸ φῶς, "τᾶ βωμᾶ ὑπεξελθὼν πρὸς τὴν πλάτανον δὴ ἀνώρμησεν, ὅπσ δὴ ὑπῆρχον σρυθᾶ πῶλοι, μικρὰ τέκνα, ἐφ' ὑψηλῷ ἢ ἀκροτάτῳ κλάδῳ, φύλλοις ὑποπεπτωκότες, ὀκτώ· ἡ δὲ μήτηρ ἦν ἐννάτη, ἥτις ἔτεκε τὰ τέκνα. ἐκεῖ δὲ ἕτος τούτσς ἐλεεινῶς ἀνήλισκε τρίζοντας· "ἡ μήτηρ δὲ περὶ αὐτὰς ἐπέτετο θρηνᾶσα τὰ προσφιλῆ αὐτῆς τέκνα· ταύτην δὲ ἐπισραφεὶς ἀπὸ τῆς πτέρυγος ἐκράτησε περὶ τῶν τέκνων θρηνᾶσαν. ἐπειδὴ δὲ κατέφαγε τὰ τέκνα τῆς σρυθοῦ ἢ αὐτὴν τὴν σρυθόν, τᾶτον μὲν διάδηλον ἐποίησεν ὁ θεὸς ὅσις αὐτὸν φανῆναι ἐποίησε (Ζεύς)· λίθον γὰρ αὐτὸν ἐποίησεν ὁ τᾷ Κρόνσ παῖς τᾷ σκολιοβούλᾳ. "ἡμεῖς δὲ ἐξῶτες ἐξεπληττόμεθα οἷον ἐγένετο. ὡς ἐν φοβερᾷ μέγισα σημεῖα εἰς τὰς τῶν θεῶν εἰσῆλθε θυσίας, ὁ Κάλχας εὐθέως μετὰ ταῦτα μαντευόμενος ἐδημηγόρει. τί δή ποτε ὀλεὺς Ἀγαμέμνων "ὄντος δὴ ἐν τῇ δημηγορίᾳ νικᾷς ὦ ἐνεοὶ (ἢ ἄφωνοι) ἐγεγόνειτε οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες; ἡμῖν μὲν ἓν τᾶτο ἔδειξε τέρας μέγα ὁ βελευτικώτατος Ζεύς, "βραδυχρόνιον, ὀψὲ ἢ βραδέως τελεσθησόμενον, ἧ τινὸς ἡ δόξα ἀδέποτε ἀπολεῖται. ὥσπερ ἕτος κατέφαγε τὰ τέκνα τῆς σρυθοῦ ἢ αὐτήν, ὀκτώ, ἡ δὲ μήτηρ ἐννάτη ἦν ἥτις ἔτεκε τὰ τέκνα, ἕτως ἡμεῖς τοσαῦτα ἔτη πολεμήσομεν αὐτόθι (ἐν τῇ Ἰλίῳ), τῷ δεκάτῳ δὲ ἐνιαυτῷ τὴν πόλιν πορθήσομεν τὴν πλατυάμφοδον. "ἐκεῖνος μὲν ἕτως ἐδημηγόρει, ἅπαντα δὲ ταῦτα νῦν τελεῖται. ἀλλ' ἄγετε μένετε πάντες ὦ εὔοπλοι Ἕλληνες αὐτόθι, ἕως ἂν τὴν μεγάλην πόλιν τᾷ Πριάμσ πορθήσωμεν." ἕτως εἶπεν, οἱ δὲ Ἕλληνες μεγάλως ἐβόησαν — αἱ δὲ νῆες καταπληκτικὸν περιήχησαν βοησάντων ὑπὸ ταύταις τῶν Ἑλλήνων — "τὸν λόγον ἐπαινέσαντες Ὀδυσσέως τᾷ θαυμασοῦ. ἐν τούτοις δὲ εἶπεν ὁ ἔντιμος ἢ ἐν Γερήνῃ ἀνατραφεὶς ἱππικὸς Νέσωρ "φεῦ παπαί, ὄντως παισὶν ὡμοιωμένοι δημηγορεῖτε νηπίοις, οἷς ἐδὲν διὰ φροντίδος ἐσὶ τὰ πολεμικὰ ἔργα. πᾷ οὐδὴ αἱ συνθῆκαι ἢ οἱ ὅρκοι πορευθήσονθ ἡμῖν; "ὑπὸ πυρὸς δὴ αἱ γνῶμαι ἀφανισθεῖεν ἢ τὰ βελεύματα τῶν ἀνδρῶν ἢ αἱ δι' ἀκράτς οἶνς γενόμεναι θυσίαι ἢ αἱ δεξιώσεις ἐν αἷς ἐπεπισεύκειμεν. εἰκῇ γὰρ ἢ μάτην τοῖς λύγοις ἐρίζομεν, ἐδέ τι μηχάνημα εὑρεῖν δυνάμεθα πολὺν χρόνον ἐνθάδε ὑπάρχοντες. ὦ Ἀγάμεμνον, σὺ δὲ ὡς πρότερον ἔχων ἀσφαλῆ ἢ ἀμετακίνητον γνώμην "ἡγᾶ τῶν Ἑλλήνων εἰς τὰς ἰχυρὰς μάχας· τούτσς δὲ ἓα φθείρεθ ἕνα ἢ δύο, ὅτινες ἂν τῶν Ἑλλήνων ἰδίᾳ βελεύονθ· ἐντελὴς δὲ πρᾶξις οὐ γενήσεθ αὐτῶν πρὸ τᾶ εἰς τὴν Πελοπόννησον πορευθῆναι ἡμᾶς, πρὶν ἢ τᾷ αἰγιδόχῳ γνῶμεν τὴν βελήν, εἴτε ψευδὴς ἡ ὑπόχεσις εἴτε ἢ μή. "ὑπολαμβάνω γὰρ δὴ ἐπινεῦσαι τὸν ὑπερέχοντα τῇ δυνάμει Κρόνσ υἱὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅτε ταῖς νανσὶ ταῖς ταχείαις εἰσῄεσαν οἱ Ἕλληνες τοῖς Τρωσὶ θανατηφόρον μοῖραν φέροντες, ἀσραπὰς ποιῶν ἐπιδεξίως, συμφέροντα σημεῖα δεικνύς. διὸ μηδεὶς πρότερον σπεδαζέτω εἰς τὸν οἶκον ἐπανελθεῖν, "πρὶν τοῦ παρὰ τῶν Τρώων γυναικὶ συγκοιμηθῆναι, τιμωρήσαθ δὲ τὰ τῆς Ἑλένης ἐνθυμήματα ἢ τὲς σεναγμές. εἰ δέ τις ἐξόχως βέλοιτο εἰς τὸν οἶκον ἀπελθεῖν, λαμβανέτω τῆς ἰδίας νεὼς τῆς εὐκαθέδρσ ἢ βαθείας, ὅπως πρότερον τῶν λοιπῶν θάνατον ἢ μόρον καταλάβῃ. "ἀλλ' ὦ βασιλεῦ, σύ τε καλῶς συμβελεύσ ἢ πείθ ἄλλῳ (τῷ καλῶς ξυμβελεύοντι). ἐδαμῶς σοι ἀποβολῆς ἄξιον τὸ ῥῆμα γενήσεθ ὅπερ ἂν εἴπω. διάκρινε τὲς ἄνδρας κατὰ τὰ ἴδια πλήθη ἢ κατὰ φατρίας, Ἀγάμεμνον, ὅπως ἡ ἰδία φατρία τῇ ἰδίᾳ συγγενείᾳ βοηθήσει, τὰ δὲ ἔθνη τοῖς ἔθνεσιν. εἰ δέ ποτ' ἂν ἕτως πράξοις καί σοι πειθήσονθ οἱ Ἕλληνες, "μαθήσει μετὰ ταῦτα ὅσις τῶν ἡγεμόνων ἀθενής, ὅσις δὲ τῶν ὄχλων, ἢ ὅσις ἀγαθός ἐσιν· κατὰ γὰρ τὴν ἑαυτᾶ δύναμιν ἕκασος μαχήσεθ. ἐπιγνώσῃ δὲ εἰ ἢ θεία δυνάμει ἢ γνώμῃ τὴν πόλιν ἐκπορθήσεις ἢ τῇ τῶν ἀνδρῶν δειλίᾳ ἢ τῇ ἀπειρίᾳ τῇ τοῦ πολέμς." πρὸς τᾶτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων "ὄντως δὴ ἐν τῇ δημηγορίᾳ νικᾷς ὦ γέρον τὲς Ἕλληνας. εἴθε γάρ, ὦ Ζεῦ πάτερ ἢ Ἀθηνᾶ ἢ Ἄπολλον, τοιᾶτοι δέκα μοι σύμβελοι εἴησαν τῶν Ἑλλήνων· ἕτω γὰρ ἂν ταχέως κλιθείη ἡ πόλις Πριάμς τᾷ βασιλέως ὑπὸ τῶν ἡμετέρων χειρῶν ληφθεῖσα καὶ πορθηθεῖσα. "ἀλλὰ ὁ αἰγιδῦχος παῖς τᾷ Κρόνσ Ζεὺς λύπας μοι ἔδωκεν, ὅσις με ἐπὶ τὰς ἀπράκτς φιλονεικίας ἢ κακολογίας ἐμβάλλει. ἢ γὰρ ἐγὼ ἢ ὁ Ἀχιλλεὺς ἐφιλονεικήσαμεν χάριν τῆς κόρης ἐναντίοις ἢ βιαίοις λόγοις· ἐγὼ δὲ πρῶτος ἠρχόμην ὀργιζόμενος. εἰ δέ ποτε εἰς μίαν ἢ τὴν αὐτὴν ἐκκλησίαν συμβελεύσαιμεν, ἐδαμῶς εἰς τὸ μετὰ ταῦτα "τοῖς Τρωσὶν ὑπέρθεσις τᾷ κακᾷ γενήσεθ ἐδὲ τὸ ἐλάχισον. νῦν δὲ πορεύεσθε ἐπὶ δεῖπνον, ἵνα συςήσωμεν τὸν πόλεμον. [καλῶς μέν τις τὸ δόρυ ἀκονησάτω, καλῶς δὲ τὴν ἀσπίδα ἑτοιμασάτω], καλῶς δέ τις τοῖς ἵπποις τοῖς ταχύποσι τροφὴν παραχέτω, καλῶς δέ τις τᾷ ἅρματος περισκεψάμενος τᾷ πολέμᾳ ἐπιμέλειαν ποιείσθω, "ὅπως ἂν δι' ὅλης ἡμέρας τῷ μισητῷ διακρινώμεθα πολέμῳ· ἐγὼ γὰρ κατάπαυσις ἐν ἡμῖν γενήσεθ ἐδὲ τὸ ἐλάχισον, εἰ μὴ ἡ νὺξ καταλαβοῦσα διαχωρίσει τὴν ἑκάσ ἡμῶν δύναμιν. ὑγρανθήσεθ μὲν ὑπὸ τοῦ ἱδρῶτος τᾷ πολεμᾳντός τινος ὁ ἀναφορεὺς ἐν τῷ στήθει τῆς ἀσπίδος τῆς περιεχέσης τὸν ἄνδρα, περὶ δὲ τῷ δόρατι τὴν χεῖρα κοπιάσει· "ἱδρώσει δέ τινος ὁ ἵππος τὸ καλῶς ἐξεσμένον ἅρμα τείκων. ὃν δ' ἂν ἐγὼ πόῤῥωθεν ἢ χωρὶς τῆς μάχης βελόμενον νοήσω μένειν παρὰ ταῖς καμπυλοπρύμνοις νανσίν, ἐδαμῶς αὐτῷ μετὰ ταῦτα ἀρκὲν γενήσεται διαφυγεῖν τὲς κύνας ἢ τὰ ὄρνεα." ἕτως εἶπεν· οἱ δὲ Ἕλληνες μεγάλως ἐβόησαν καθάπερ ἠνίκα κῦμα "αἰγιαλῷ ἐφ' ὑψηλῷ, ὅτε κινήσει ὁ Νότος ἐπελθὼν προβεβλημένῳ

ὑψηλῷ τόπῳ, ὄντινα ἀδεποτε τὰ κύματα λείπει τῶν παν-
ταδαπῶν ἀνέμων, ὅταν τῇδε κἀκεῖσε γένωνθ. ἀναςάντες δὲ
ὥρμων σκεδαωθέντες κατὰ τὰς ναῦς, ᾗ πῦρ ἀνῆψαν κατὰ
τὰς σκηνὰς ᾗ ἐδειπνοποιήσαντο. "ἄλλος δὲ ἄλλῳ ἔθυε
τῶν ἀθανάτων θεῶν, εὐχόμενος τὸν θάνατόν τε διαφυγεῖν
ᾗ τὸν μολυσμὸν τῆ πολέμ. ὁ δὲ βασιλεὺς τῶν ἀνδρῶν
Ἀγαμέμνων βᾶν ἔθυσε λιπαρὸν πενταετῆ τῷ ὑπερδυνά-
μῳ παιδὶ τῆ Κρόνᾳ Διΐ, ἐκάλει δὲ τὰς ἐντίμας βασιλεῖς
τῶν Ἑλλήνων, "τὸν Νέςορα μὲν πρῶτον ᾗ Ἰδομενέα τὸν
βασιλέα, ἔπειτα δὲ τὰς δύο Αἴαντας ᾗ τὸν υἱὸν τῆ Τυ-
δέως (Διομήδην), ἕκτον δὲ τὸν Ὀδυσσέα τὸν τῷ Διὶ κατὰ
τὴν βελὴν ἴσον. αὐτόκλητος δὲ αὐτῷ ἦλθεν ὁ ἐν τῷ πο-
λέμῳ γενναῖος Μενέλαος· ἠπίςατο γὰρ κατὰ ψυχὴν τὸν αὐ-
τάδελφον ᾗ ἐνήργει ὑπὲρ αὐτῆ. "περὶ δὲ τὸν βᾶν κύκλῳ
ἕςησαν ᾗ τὰς κριθὰς ἐλάβοντο. ἐν τάτοις δὲ εὐχόμενος
εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων "ὦ Ζεῦ ἐνδοξότατε, ὁ μελαί-
νων τὰ νέφη, ὁ οἰκῶν ἐν τῷ αἰθέρι, μὴ πρότερον τὸν ἥλιον
δῦναι ᾗ τὴν νύκτα ἐπελθεῖν πρίν με χαμαὶ ᾗ ἐπὶ πρόσω-
πον καταβαλεῖν τὸν τῆ Πριάμᾳ οἶκον "πυρίκαυςον, ἐμπρῆ-
σαι δὲ ᾗ διὰ καυσικῆ πυρὸς τὰς πυλῶνας, τὸν τῆ Ἕκτο-
ρος δὲ χιτῶνα ἐν τοῖς ςέρνοις διακόψαι τῷ σιδήρῳ διακο-
πησόμενον· πολλοὶ δὲ περὶ αὐτὸν φίλοι ἐπὶ πρόσωπον ἐν
τῇ γῇ τοῖς ὀδοῖσι δάκοιεν τὴν γῆν." ἅτως εἶπεν· ἀδὲ δὴπε
αὐτῆ τὸν λόγον ἐπετέλεσεν ὁ Ζεύς, "ἀλλ' ἅτος ἐδέξατο μὲν
αὐτῆ τὴν θυσίαν, τὸν πόνον δὲ τὸν ἄφθονον ηὔξανεν.
ἐπειδὴ δὲ προσηύξαντο ᾗ τὰς κριθὰς προεχέαντο, ἀνέκλα-
σαν μὲν εἰς τὰπίσω πρῶτα τὸν τράχηλον τῆ ἱερείᾳ ᾗ ἔσφα-
ξαν ᾗ ἐξέδειραν, ᾗ τὰ μηριαῖα ὀςᾶ ἐξέκοψαν, ᾗ κατεκάλυ-
ψαν τῷ λίπει τὰ μηρία διπλᾶ ποιήσαντες, ἐπ' αὐτῶν δὲ
ὠμῶν τῶν ἱερείων ἀπαρξόμενοι. "ᾗ τινὰ μὲν δὴ ἐν χίζαις
ξηραῖς κατέκαιον, τὰ δὲ δὴ σπλάγχνα διαπείραντες ὑπερά-
νω τῆ πυρὸς εἶχον. ἐπεὶ δὲ κατεκάη τὰ μηριαῖα ὀςᾶ ᾗ τῶν
ἐντοσθιδίων ἐγεύσαντο, εἰς μικρὰ διέκοψαν ᾗ τἆλλα ᾗ τοῖς
ὀβελίσκοις περιέπειραν, ὤπτησάν τε πάνυ ἐμπείρως ᾗ ἐν-
τέχνως, ᾗ εἰς τὰπίσω εἵλκυσαν πάντα τῆ πυρός. "ἐπειδὴ
δὲ ἐπαύσαντο τῆς περὶ τὴν εὐωχίαν ἀχολίας ᾗ εὐτρέπιζον
τὴν εὐωχίαν, εὐωχῆντο· ἐκέτι δὲ ἡ ψυχὴ ἐνδεὴς ἦν τῆς ἰσο-
μοίρου εὐωχίας. ἐπεὶ δὲ τῆς πόσεως ᾗ τῆς εὐωχίας ἐξεπλή-
ρωσαν τὸν τῆς τροφῆς ἔρωτα, ἐν τάτοις ἄρα ἠγεῖτο τῶν
λόγων ὁ ἐν Γερήνῃ ἀνατραφεὶς πολεμικὸς Νέςωρ. "ὦ Ἀτρεί-
δη ἐνδοξότατε, βασιλεῦ τῶν ἀνδρῶν Ἀγάμεμνον, "μηκέτι
νῦν ἐπὶ πολὺν χρόνον διαλεγώμεθα, μηδὲ ἐπὶ πολὺν χρόνον
ἀναβαλλώμεθα τὸν πόλεμον, ὅνπερ δὴ ὁ Θεὸς ἐγχειρίσει.
ἀλλ' ἄγε, κήρυκες μὲν τῶν σιδηροθωράκων Ἑλλήνων τὸν
ὄχλον κηρύσσοντες συναθροιζέτωσαν κατὰ τὰς ναῦς, ἡμεῖς
δὲ συνηθροισμένοι ὁμῆ ἅτως κατὰ τὸν πολὺν ςρατὸν τῶν
Ἑλλήνων "ἀπίωμεν, ὅπως ἂν τάχιον ἀθροίσωμεν διὰ τάχος
πόλεμον." ἅτως εἶπεν· ἐδαμῶς δὲ ἀπειθὴς ἐγένετο ὁ βα-
σιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων. παραυτίκα τοῖς κήρυξι
τοῖς ἠδυφώνοις ἐκέλευσε κηρύσσειν εἰς τὸν πόλεμον τοὺς
τὰς κεφαλὰς κομῶντας "Ελληνας. οἱ μὲν ἐκήρυσσον, ἅτοι
δὲ συνηθροίζοντο πάνυ ταχέως. "οἱ δὲ περὶ τὸν Ἀγαμέ-
μνονα εὐγενέςατοι βασιλεῖς ὥρμων διαχωρίζοντες, ἐν αὐ-
τοῖς δὲ ἡ γλαυκόφθαλμος Ἀθηνᾶ αἰγίδα φορῆσα μεγα-
λότιμον ἄφθαρτον ᾗ ἀθάνατον, ἧς τινὸς ἑκατὸν κρόσσοι
ὁλόχρυσοι ἠωρῆντο ᾗ ἐκρέμαντο, πάντες καλῶς πεπλεγμέ-
νοι, ἑκατὸν δὲ νομισμάτων χρυσῶν τιμῆς ἕκαςος. "σὺν
ταύτῃ ἐνθᾶσιῶσα διῄει τὸν ὄχλον τῶν Ἑλλήνων παρορ-
μῶσα πορευθῆναι εἰς τὸν πόλεμον· ἐνέβαλε δὲ δύναμιν εἰς
τὴν ἑκάςᾳ καρδίαν ἀκατάπαυςον πολεμεῖν ᾗ μάχεσθ. τοῖς
δὲ Ἕλλησιν εὐθέως ὁ πόλεμος ἡδύτερος ἐγένετο ἢπερ πο-
ρεύεσθ (ἐπαναςρέφειν) ἐν ταῖς ναυσὶ ταῖς βαθείαις εἰς τὴν
προσφιλεςάτην πατρῴαν γῆν. "καθάπερ πῦρ ἀδηλοποιὸν
καίει πολλὴν ὕλην ὄρες ἐν ἀκρωρείαις, πόῤῥωθεν δὲ δείκνυ
ἡ λαμπηδών, ἅτως τάτων πορευομένων ἀπὸ τῆ σιδήρᾳ τῆ
θείᾳ ᾗ θαυμαςῆ λαμπρότης πάντοθεν φαίνεσα διὰ τοῦ
ἀέρος εἰς τὸν ἀρανὸν παρεγένετο. τάτων δὲ ὥσπερ ὀρνίθων
ᾗ πετεινῶν πλήθη πολλά, "χηνῶν ἢ γεράνων ἢ κύκνων
μακροτραχήλων, ἐν τῷ τῆς Ἀσίω συμφύτῳ τόπῳ περὶ τὰ
ῥεύματα τῆ Καΰςρᾳ (ποταμῆ Λυδίας) ἐνταῦθα κἀκεῖσε
πέτονθ χαίρᾳσαι ταῖς πτέρυξι, μετὰ κλαγγῆς προκαθεζο-
μένων, ἠχεῖ δὲ ὁ σύμφυτος τόπος· ἅτως τάτων πλήθη τὰ
πολλὰ πόῤῥωθεν τῶν πλοίων ᾗ τῶν σκηνῶν "εἰς τὴν πε-
διάδα προέτρεχον τὴν παρακειμένην τῷ Σκαμάνδρῳ· ἡ δὲ
γῆ καταπληκτικὸν ἦχει ὑπὸ τῶν ποδῶν αὐτῶν τε ᾗ τῶν
ἵππων. ἵσαντο δὲ ἐν τῷ πεδίῳ τῷ τῆ Σκαμάνδρᾳ τῷ ἄνθη
φέροντι ἀμέτρητοι, ὁπόσα τε φύλλα ᾗ ἄνθη γίνονθ ἐν τῷ
καιρῷ τῆ ἔαρος. καθάπερ μυιῶν ἀθρόως πετομένων πλήθη
πολλά, "αἵτινες κατὰ τὴν ἔπαυλιν τὴν ποιμενικὴν εἱλῶνται
περὶ τὸν αὐτὸν τόπον ἐν τῇ ὥρᾳ τῆ ἔαρος, ὁπότε τὸ γάλα
τὰ γαλακτοδόχα ἀγγεῖα βρέχει, τοσῆτοι ἐπὶ τοῖς Τρωσὶν
οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες ἐν τῇ πεδιάδι εἱςήκει-
σαν διαφθεῖραι προθυμέμενοι. τέτες δὲ καθάπερ αἰγονόμοι
μεγάλα αἰγῶν αἰγονόμοι ἄνδρες "ῥᾳδίως διαχωρίσωσιν, ἐπει-
δὰν ἐν τῇ βοσκῇ ἀναμιγῶσιν, ἅτως τέτες διέτασσον τῇδε κἀ-
κεῖσε οἱ ἡγεμόνες εἰς τὴν μάχην παρᾶγενέσθ· ἐν αὐτοῖς δὲ
ὅμοιος τῷ Διὶ τῷ τερπομένῳ τοῖς κεραυνοῖς, τῷ Ἄρει δὲ τὴν
τε βοῦς ἐν τῇ ἀγέλῃ μεγάλως ἐξοχώτατος ἐγένετο πάντων
ταῦρος· ἅτος γὰρ ταῖς βοσὶ διαπρέπει ἠθροισμέναις· τοιῆτον
δὲ τὸν Ἀγαμέμνονα ἐποίησεν ὁ Ζεὺς τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ-
πρεπῆ ἐν πολλοῖς καὶ ἐξοχώτατον τῶν ἡμιθέων. λέγετέ
μοι ὦ μῆσαι νῦν αἱ τὸν Ὄλυμπον οἰκῆσαι — "ὑμεῖς γὰρ θεαὶ
τυγχάνετε ᾗ ἐν τοῖς πράγμασιν ἐςε καὶ ἐπίςαθε πάντα,
ἡμεῖς δὲ τὴν δόξαν μόνην ἀκόομεν, ἐκέτι δὲ ἐπιςάμεθα —
οἵτινες ἀρχηγοὶ τῶν Ἑλλήνων ᾗ ἡγεμόνες ἦσαν. τὸ πλῆ-
θος δ' ἐκ ἂν μυθησαίμην ἀδὲ ὀνομάσαιμι ἀδὲ εἰ μοι δέκα
μὲν γλῶσσαι δέκα δὲ ςόματα εἶεν, "φωνὴ δὲ ἀδιάῤῥηκτος,
ςερεὰ δὲ φωνή μοι ἐνῆν, εἰ μὴ αἱ τὸν Ὄλυμπον οἰκοῦσαι
μῆσαι Διὸς τῆ αἰγιδόχᾳ αἱ θυγατέρες ὑπομνήσειαν ὁπόσοι
εἰς τὴν Ἴλιον ἦλθον. τοὺς ἄρχοντας δὲ τῶν νεῶν ἐρῶ καὶ

τὰς ναῦς ἁπάσας. [τῶν μὲν Βοιωτῶν ὁ Πηνέλεως καὶ ὁ Λήϊτος ἐβασίλευον, "καὶ ὁ Ἀρκεσίλαος καὶ ὁ Προθοήνωρ καὶ ὁ Κλονίος, οἵτινες τὴν Ὑρίαν ᾤκουν καὶ Αὐλίδα τὴν πετρώδη καὶ τὴν Σχοῖνον καὶ τὴν Σκῶλον καὶ τὸν πολλὰς προβάσεις ἔχοντα Ἐτεωνὸν καὶ τὴν Θέσπειαν καὶ τὴν Γραῖαν (τὴν νῦν Τάναγραν) καὶ τὴν μεγάλην Μυκαλησσόν· οἵτινες καὶ περὶ τὸ Ἅρμα κατῴκουν καὶ τὸ Εἰλέσιον καὶ τὰς Ἐρυθράς· "οἵτινες καὶ τὸν Ἐλῶνα ᾤκουν (ἢ εἶχον) καὶ τὴν Ὕλην καὶ τὸν Πετεῶνα καὶ τὴν Ὠκαλέην καὶ τὴν Μεδεῶνα τὸ εὔκτιστον πόλισμα καὶ τὰς Κώπας καὶ τὴν Εὔτρησιν καὶ τὴν πολλὰς περιστερὰς ἔχουσαν Θίσβην· οἵτινες καὶ τὴν Κορώνειαν καὶ τὸν βοτανώδη Ἁλίαρτον· οἵτινες καὶ τὴν Πλάταιαν εἶχον· οἵτινες καὶ τὴν Γλίσαν ᾤκουν· "οἵτινες καὶ ὑπὸ τὰς Θήβας ᾤκουν τὸ εὔκτιστον πόλισμα καὶ τὸν Ὄγχηστον, τὸ ἱερὸν τοῦ Ποσειδῶνος λαμπρὸν ἄλσος· οἵτινες καὶ τὴν πολυάμπελον Ἄρνην ᾤκουν· οἵτινες καὶ τὴν Μίδειαν καὶ τὴν θαυμαστὴν Νῖσαν καὶ τὴν τελευταίαν Ἀνθηδόνα. τούτων μὲν πεντήκοντα πλοῖα ἦλθον, ἐν ἑκάστῳ δὲ πλοίῳ "νεώτεροι τῶν Βοιωτῶν ἑκατὸν καὶ εἴκοσιν ἔβαινον. οἵτινες δὲ Ἀσπληδόνα. ᾤκουν καὶ τὸν Ὀρχομενὸν τὸν Μινύου, τούτων ἡγεῖτο ὁ Ἀσκάλαφος καὶ Ἰάλμενος οἱ τοῦ Ἄρεως υἱοί, οὓς ἔτεκεν ἡ Ἀστυνόη ἐν τῷ οἴκῳ τοῦ Ἄκτορος τοῦ υἱοῦ τοῦ Ἀζείδου, ἡ αἰδουμένη παρθένος εἰς ἀνώγεον ἀνελθοῦσα "σὺν τῷ κραταιῷ Ἄρει, ὅστις (Ἄρης) παρεκοιμήθη αὐτῇ λάθρᾳ. τούτων τριάκοντα βαθεῖαι νῆες παρεγένοντο. τῶν δὲ Φωκέων ὁ Σχεδίος καὶ ὁ Ἐπίστροφος ἡγοῦντο οἱ τοῦ Ἰφίτου υἱοὶ τοῦ μεγαλοψύχου Ναυβόλου υἱοῦ· οἵτινες τὴν Κυπάρισσον ᾤκουν καὶ τὴν πετρώδη Πυθῶνα "καὶ τὴν θαυμαστὴν Κρίσσαν καὶ τὴν Δαυλίδα καὶ τὸν Πανοπέα· οἵτινες καὶ τὴν Ἀνεμώρειαν καὶ περὶ τὴν Ὑάμπολιν κατῴκουν· οἵτινες καὶ περὶ ποταμὸν Κηφισὸν τὸν μέγαν ᾤκουν· οἵτινες καὶ τὴν Λίλαιαν εἶχον ἐπὶ ταῖς τοῦ Κηφισοῦ πηγαῖς. τούτοις ὁμοῦ τεσσαράκοντα βαθεῖαι νῆες ἠκολούθουν. "καὶ οὗτοι μὲν τὰς τῶν Φωκέων τάξεις διίστων περιέποντες, τῶν Βοιωτῶν δὲ πλησίον ἐπὶ τὰ ἀριστερὰ μέρη ὡπλίζοντο. τῶν δὲ Λοκρῶν ἡγεῖτο ὁ Ὀϊλέως ταχὺς Αἴας, ἐλάττων καὶ οὐ τηλικοῦτος ὅσος ὁ τοῦ Τελαμῶνος, ἀλλὰ κατὰ πολὺ ἐλάσσων καὶ μικρὸς ὑπῆρχε, (διὰ τὴν τοξείαν) λινοῦν θώρακα ἔχων· "τῷ δὲ δόρατι ὑπερενίκα (ἢ ἐκόσμει) πάντας ὁμοῦ τοὺς Ἕλληνας. οἵτινες τόν τε Κῦνον ᾤκουν καὶ Ὀποῦντα καὶ τὴν Καλλίαρον καὶ τὴν Βῆσσαν καὶ τὴν Σκάρφην καὶ τὰς καλὰς Αὐγειὰς καὶ τὴν Τάρφην καὶ τὸ Θρόνιον περὶ τὰ τοῦ Βοαγρίου ῥεύματα. τούτῳ δὲ ὁμοῦ τεσσαράκοντα μέλανα πλοῖα ἠκολούθουν "τῶν Λοκρῶν, οἵτινες οἰκοῦσι πέραν τῆς ἱερᾶς Εὐβοίας. οἵτινες δὲ τὴν Εὔβοιαν ᾤκουν οἱ δυνατοὶ Ἄβαντες καὶ τὴν Χαλκίδα καὶ τὴν Ἐρέτριαν καὶ τὴν πολυσάφυλον Ἱστίαιαν καὶ τὴν Κήρινθον τὴν ἐπιθαλάσσιον καὶ τῆς Δίου τὴν ὑψηλὴν πόλιν· οἵτινες καὶ τὴν Κάρυστον εἶχον καὶ οἵτινες καὶ τὰ Στύρα ᾤκουν, τούτων πάλιν ἦρχεν Ἐλαφήνωρ ὁ κλάδος τοῦ πολέμου, ὁ Χαλκώδοντος παῖς, τῶν μεγαλοψύχων Ἀβάντων ἡγεμών. τούτῳ δὲ ἅμα οἱ Ἄβαντες ἠκολούθουν ταχεῖς, ὄπισθε τὰς κεφαλὰς κομῶντες, οἱ πολεμικοί, προθυμούμενοι τοῖς ἐκ χειρῶν δόρασιν (ὀρέξασθαι γὰρ τὸ τῇ χειρὶ πατάξαι) τοὺς θώρακας διακόψαι τῶν πολεμίων περὶ τὰ στήθη. "τούτῳ δὲ ὁμοῦ τεσσαράκοντα μέλανα πλοῖα ἠκολούθουν. οἵτινες δὲ δὴ τὰς Ἀθήνας ᾤκουν, τὴν εὔκτιστον πόλιν, τὸν ὄχλον τοῦ μεγαλοψύχου Ἐρεχθέως, ὅντινά ποτε ἡ Ἀθηνᾶ ἀνεθρέψατο ἡ τοῦ Διὸς θυγάτηρ, ἐγέννησε δὲ ἡ τὸ ζῆν δωρουμένη γῆ, καθίδρυσε δὲ αὐτὸν ἐν Ἀθήναις ἐν τῷ ἑαυτῆς πλουσίῳ πλήθει· "ἐκεῖ αὐτὸν τοῖς ταύροις καὶ τοῖς κριοῖς ἐξευμενίζον[illegible] οἱ νέοι τῶν Ἀθηναίων κυκλουμένων τῶν χρόνων· τούτων πάλιν ἡγεῖτο ὁ υἱὸς τοῦ Πετεῶ Μενεσθεύς, ᾧ τινὶ οὐδέποτέ τις ὅμοιος ἐπίγειος ἐγένετο ἀνὴρ εἰς τὸ τοὺς ἵππους διατάξαι καὶ ἄνδρας ἀσπιδοφόρους. "ὁ Νέστωρ μόνος ἰσοῦτο· οὗτος γὰρ παλαιότερος ἦν. τούτῳ δὲ ὁμοῦ τεσσαράκοντα μέλανα πλοῖα ἠκολούθουν. ὁ Αἴας δὲ ἐκ τᾶς Σαλαμῖνος ἤγαγε δώδεκα πλοῖα, ἔστησε δὲ ταῦτα φέρων ὅπου τῶν Ἀθηναίων ἵσταντο αἱ τάξεις. οἵτινες δὲ τὸ Ἄργος ᾤκουν καὶ τὴν τετειχισμένην Τίρυνθα "τήν τε Ἑρμιόνην καὶ τὴν Ἀσίνην τὰς βαθεῖαν κατεχούσας θάλασσαν τόν τε Τροιζῆνα καὶ τὰς Ἠϊόνας καὶ τὸν ἀμπελώδη Ἐπίδαυρον, οἵτινες καὶ τὴν Αἴγιναν ᾤκουν καὶ τὴν Μάσητα οἱ νέοι τῶν Ἑλλήνων, τούτων πάλιν ἡγεῖτο ὁ πολεμικὸς Διομήδης καὶ Σθένελος ὁ τοῦ Καπανέως τοῦ ἐνδόξου προσφιλὴς υἱός. "σὺν τούτοις καὶ ὁ Εὐρύαλος τρίτος ἐπορεύετο ἰσόθεος ἀνήρ, ὁ τοῦ Μηκιστέως υἱὸς τοῦ υἱοῦ τοῦ βασιλέως Ταλανοῦ. ὁμοῦ δὲ πάντων ἐβασίλευεν ὁ ἐν τῇ μάχῃ γενναῖος Διομήδης. τούτοις ὁμοῦ ὀγδοήκοντα βαθεῖαι νῆες ἦλθον. οἵτινες δὲ τὰς Μυκήνας ᾤκουν τὰς καλῶς ἐκτισμένας "καὶ τὴν πλουσίαν Κόρινθον καὶ τὰς καλῶς ἐκτισμένας Κλεωνὰς καὶ τὰς Ὀρνειὰς ᾤκουν καὶ τὴν ἐπιθυμητὴν (καὶ τὴν καλὴν) Ἀραιθυρέην καὶ τὸν Σικυῶνα, ὅπου ὁ Ἄδραστος τὰ πρῶτα ἐβασίλευεν. οἵτινες καὶ τὴν Ὑπερησίαν καὶ τὴν ὑψηλὴν Γονόεσσαν καὶ τὴν Πελλήνην εἶχον καὶ τὸ Αἴγιον ᾤκουν "καὶ τὸν Αἰγιαλὸν πάντα καὶ τὴν πλατεῖαν Ἀμφελίκην, τούτων (τῶν προειρημένων) ἑκατὸν νεῶν ἡγεμὼν ἦν ὁ βασιλεὺς Ἀγαμέμνων ὁ Ἀτρέως υἱός· τούτῳ δὲ ὁμοῦ κατὰ πολὺ πλεῖστοι καὶ μέγιστοι (ἢ κάλλιστοι) λαοὶ παρεγένοντο. ἐν αὐτοῖς δὲ αὐτὸς ἐνεδύσατο λαμπρὸν θώρακα τῇ δόξῃ γαυριῶν· ἐπὶ πᾶσι γὰρ τοῖς ἥρωσι διέπρεπεν, "ἐπειδὴ ἀνδρεῖος ὑπῆρχε, κατὰ πολὺ δὲ πλείστους ἦγε λαούς. οἵτινες δὲ ᾤκουν τὴν ὑπὸ ὀρῶν περιεχομένην μεγάλην Λακεδαίμονα τήν τε Φᾶριν καὶ τὴν Σπάρτην καὶ τὴν πολλὰς περιστερὰς ἔχουσαν Μεσσήνην καὶ τὰς Βρυσειὰς ᾤκουν καὶ Αὐγειὰς τὰς ἐπεράστους (καὶ καλάς)· οἵτινες δὴ καὶ τὰς Ἀμύκλας εἶχον καὶ τὸ Ἕλος τὸ ἐνθάλασσον πόλισμα· "οἵτινες καὶ τὸν Λάαν εἶχον καὶ οἵτινες καὶ τὴν Πύλον περιῴκουν, τούτων ὁ ἀδελφὸς αὐτοῦ ἡγεῖτο ὁ πολεμικώτατος Μενέλαος τῶν ἑξήκοντα πλοίων· ἄποθεν δὲ (καὶ χωρὶς) καθωπλίζοντο. ἐν αὐτοῖς δὲ αὐτὸς ἐπορεύετο ταῖς ἑαυτοῦ ὁρμαῖς τεθαῤῥηκώς (ἢ πεπιστευκώς), παρορμῶν εἰς τὸν πόλεμον· πλέον δὲ πρόθυμος ἦν τῇ ψυχῇ "ἀνταποδοῦναι τῆς Ἑλένης τὰ ὁρμήματα καὶ τοὺς στεναγμούς. οἵτινες δὲ τὴν Πύλον ἐνέμοντο καὶ τὴν ἐπέραστον Ἀρήνην καὶ τὴν Θρύον τοῦ Ἀλφειοῦ ποταμοῦ τὸν πόρον καὶ τὸ καλῶς ἐκτισμένον Αἶπυ καὶ τὸν Κυπα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρισσήεντα ϗ τὴν Ἀμφιγένειαν ᾤκȣν ϗ τὸν Πτελεὸν ϗ τὸ Ἕλος ϗ τὸ Δώριον, ὅπȣ αἱ μȣ̃σαι "συναντήσασαι τὸν Θάμυριν τὸν Θρᾷκα ἐπέχον τῆς ᾠδῆς ἀπὸ Οἰχαλίας πόλεως πορευόμενον παρὰ Εὐρύτȣ τȣ̃ Οἰχαλιέως· διεβεβαιȣ̃το γὰρ μεγαλαυχῶν νικῆσαι κἂν αὐταὶ αἱ μȣ̃σαι ᾄδοιεν αἱ θυγατέρες τȣ̃ αἰγιδȣ́χȣ Διός· αἱ δὲ ὀργισθεῖσαι τυφλὸν ἐποίησαν, ϗ τὴν ᾠδὴν αὐτȣ̃ "τὴν θείαν ἐςέρησαν ϗ ἐπιλαθέσθαι τȣ̃ κιθαρισμȣ̃ ἐποίησαν. τȣ́των πάλιν ἡγεμόνευεν ὁ ἐκ Γερήνης ἱππότης Νέςωρ. τȣ́τῳ ἐνενήκοντα κοῖλαι νῆες ἐν τάξει ἐπορεύοντο. οἵτινες δὲ εἶχον τὴν Ἀρκαδίαν ὑπὸ τὸ τῆς Κυλλήνης ὑψηλὸν ὄρος παρὰ τὸν τȣ̃ Αἰπύτȣ τάφον, ὅπȣ οἱ ἐγγὺς (ϗ συςάδην) μαχόμενοι ἄνδρες, "οἵτινες ϗ Φενεὸν ᾤκȣν ϗ Ὀρχομενὸν τὴν πολλὰ θρέμματα ἔχȣσαν καὶ τὴν Ῥίπην ϗ τὴν Στρατίην ϗ τὴν ὑπὸ ἀνέμων καταπνεομένην Ἐνίσπην ϗ τὴν Τεγέην ᾤκȣν ϗ τὴν ἐπέραςον Μαντίνειαν ϗ τὴν Στύμφαλον ᾤκȣν ϗ τὴν Ταρασίαν εἶχον, τȣ́των ἡγεῖτο ὁ τȣ̃ Ἀγκαίȣ παῖς ὁ βασιλεύων Ἀγαπήνωρ "τῶν ἑξήκοντα πλοίων. πολλοὶ δὲ ἐν ἑκάςῳ πλοίῳ ἄνδρες Ἀρκάδες ἐνέβησαν εἰδότες πολεμεῖν· αὐτὸς γὰρ αὐτοῖς ἔδωκεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων ναῦς εὐκαθέδρȣς διαπερᾶν τὸν μέλανα πόντον ὁ Ἀτρείδης, ἐπειδὴ ȣ̓δαμῶς αὐτοῖς τῶν κατὰ θάλασσαν ἔργων ἔμελεν. "οἵτινες δὲ δὴ τὸ Βȣπράσιον ϗ τὴν Ἤλιδα τὴν μεγάλην ᾤκȣν, ἐφ' ὅσον ἥ τε Ὑρμίνη ϗ τελευταία ἡ Μύρσινος ϗ ἡ Ὠλενία πέτρα (ὅρος δὲ τῆς Ἠλείας) ϗ τὸ Ἀλείσιον ἐμπεριέχει (ἢ ὁρίζει), τούτων πάλιν τέσσαρες ἀρχηγοὶ ἦσαν, δέκα δὲ ἑκάςῳ ἀνδρὶ πλοῖα ηκολȣ́θȣν ταχέα, πλεῖςοι δὲ ἐν αὐτοῖς ἦσαν Ἠλεῖοι νέοι. "τȣ́των μὲν δὴ ὁ Ἀμφίμαχος ϗ ὁ Θάλπιος ἡγήσαντο, υἱοὶ δὲ ἦσαν ὁ μὲν τȣ̃ Κτεάτȣ ὁ δὲ δὴ τȣ̃ Εὐρύτȣ Ἄκτορος παιδός. τȣ́των δὲ ὁ Ἀμαρυγκείδης ἡγήσατο ὁ καρτερὸς Διώρης. τῶν δὲ τετάρτων ἡγεῖτο Πολύξενος ὁ θεοῖς ὅμοιος, ὁ υἱὸς Ἀγασθένȣς τȣ̃ Αὐγέȣ τȣ̃ βασιλέως παιδός. "οἵτινες δὲ ἐκ τȣ̃ Δȣλιχίȣ ϗ τῶν ἱερῶν Ἐχινάδων νήσων, αἵτινες οἰκȣ̃σι πέραν τῆς Ἤλιδος θαλάσσης ἀντικρύ, τȣ́των πάλιν ἡγεῖτο Μέγης ὁ ἴσος τῷ Ἄρει Φυλείδης, ὃν ἐγέννησεν ὁ τῷ Διὶ προσφιλέςατος ἱππικὸς Φυλεύς, ὃς εἰς τὸ Δουλίχιόν ποτε ἀπῳκίσθη τῷ πατρὶ μισηθείς. "τȣ́τῳ ὁμȣ̃ τεσσαράκοντα μέλανα πλοῖα παρεγένοντο. ὁ δὲ Ὀδυσσεὺς ἠγάγετο τȣ̀ς μεγαλοψύχȣς Κεφαλλῆνας, οἵτινες δὴ τὴν Ἰθάκην ᾤκȣν ϗ τὴν κινησίφυλλον (ἢ πολύδενδρον) Νήριτον ϗ τὰ Κροκύλια ἐνέμοντο ϗ τὴν τραχεῖαν Αἰγίλιπα, οἳ ϗ τὴν Ζάκυνθον εἶχον ϗ οἳ τὴν Σάμον περιενέμοντο, "οἵτινες δὴ τὴν Ἤπειρον ᾤκȣν ϗ πέραθεν ἐτρέφοντο. τȣ́των μὲν ὁ Ὀδυσσεὺς ἀρχηγὸς ἦν ὁ τῷ Διὶ κατὰ βȣλὴν ἴσος· τȣ́τῳ δὲ ὁμȣ̃ πλοῖα ἦλθον δώδεκα μηλωτὰ τὰς πρώρας. τῶν Αἰτωλῶν δὲ ἡγεμόνευε Θόας ὁ υἱὸς τȣ̃ Ἀνδραίμονος, οἵτινες τὸν Πλευρῶνα ᾤκȣν ϗ τὸν Ὠλενον ϗ τὴν Πυλήνην "Χαλκίδα τε τὴν παραθαλάσσιον ϗ Κλυδῶνα τὴν πετρώδη. ȣ̓ γὰρ ἔτι τȣ̃ Οἰνέως τȣ̃ μεγαλοψύχȣ υἱοὶ ἦσαν, ȣ̓δὲ δὴ ἔτι αὐτὸς ἦν (ὁ Οἰνεύς), ἐτελεύτησε δὲ ὁ πυῤῥὸς Μελέαγρος· ἐπὶ δὲ τȣ́τῳ ἦν τὸ πᾶν τῆς ἐξȣσίας βασιλεύειν τοῖς Αἰτωλοῖς. τȣ́τῳ δὲ ὁμȣ̃ τεσσαράκοντα μέλανα πλοῖα παρεγένοντο. "τῶν δὲ Κρητῶν ὁ Ἰδομενεὺς ὁ ἔνδοξος περὶ τὸ δόρυ ἡγεμὼν ἦν, οἵτινες ϗ τὴν Κνωσσὸν εἶχον ϗ Γόρτυναν τὴν καλῶς τετειχισμένην ϗ τὴν Λύκτον ϗ τὴν Μίλητον ϗ τὴν λευκόγειον Λύκαςον ϗ τὸν Φαιςὸν ϗ τὸ Ῥύτιον τὰς καλῶς οἰκȣμένας πόλεις, ϗ ἄλλοι οἵτινες Κρήτην τὴν ἑκατὸν πόλεις ἔχȣσαν περιῴκȣν. "τȣ́των δὴ ὁ Ἰδομενεὺς ὁ ἔνδοξος περὶ τὸ δόρυ ἡγεμὼν ἦν ϗ Μηριόνης ὁ ὅμοιος Ἐνυαλίῳ τῷ τοὺς ἄνδρας φονεύοντι. τȣ́τοις ὁμȣ̃ ὀγδοήκοντα μέλανα πλοῖα συνῆλθον. Τληπόλεμος δὲ ὁ τοῦ Ἡρακλέȣς παῖς ὁ πλατύς τε ϗ μέγας (ἐξ ȣ̓ γενναῖος) ἐκ τῆς Ῥόδȣ ἐννέα πλοῖα ἤγαγε μετὰ τῶν Ῥοδίων τῶν αὐθαδῶν ϗ θρασέων, "οἵτινες τὴν Ῥόδον ᾤκȣν τριχῶς διαταχθέντες, ϗ τὴν Λίνδον ϗ τὴν Ἰάλυσον ϗ τὴν λευκόγειον Κάμειρον. τȣ́των μὲν Τληπόλεμος ὁ ἔνδοξος περὶ τὸ δόρυ ἡγεῖτο, ὃν ἐγέννησεν ἡ Ἀςυόχεια μετὰ τȣ̃ Ἡρακλέȣς (περιφραςικῶς), ἥντινα πρὸς γάμον ἠγάγετο ἐκ τῆς Ἐφύρης ἀπὸ τȣ̃ Σελλήεντος ποταμȣ̃, "πορθήσας πολλὰς πόλεις τῶν ὑπὸ Διὸς τραφέντων νέων. ἐπειδὴ ȣ̓ν ὁ Τληπόλεμος ἀνετράφη ἐν τῷ καλῶς κατεσκευασμένῳ οἴκῳ, παραυτίκα τȣ̃ ἰδίȣ πατρὸς τὸν τῆς μητρὸς προσφιλῆ ἀδελφὸν ἀπέκτεινεν ἤδη γεγηρακότα Λικύμνιον, τὸν κλάδον τȣ̃ πολέμȣ. ταχέως δὲ τὰς ναῦς κατεσκεύασε, πολὺν δὲ ȣ̓τος λαὸν συναθροίσας "διέβη φυγὰς τὸν πόντον· ἠπείλησαν γὰρ αὐτῷ οἱ ἄλλοι υἱοὶ ϗ οἱ τῶν υἱῶν υἱοὶ (οἱ ἔκγονοι) τȣ̃ Ἡρακλέȣς (περιφραςικῶς). ȣ̓τος δὲ εἰς τὴν Ῥόδον παρεγένετο πλανώμενος, λύπας πεπονθώς. τριχῶς δὲ ᾠκίσθησαν κατὰ φυλὰς ϗ ἐφιλήθησαν ἐκ τȣ̃ Διός, ὅστις τῶν θεῶν ϗ τῶν ἀνθρώπων βασιλεύει· "ϗ αὐτοῖς πολὺν ϗ ἀθρόον κατέπεμψε πλȣ̃τον ὁ Κρόνȣ υἱὸς Ζεύς. ὁ Νιρεὺς πάλιν ἀπὸ Αἰσύμης ἤγαγε τρεῖς ναῦς ἰσοτοίχȣς, Νιρεὺς ὁ τῆς Ἀγλαΐας υἱὸς ϗ Χαρόπȣ τȣ̃ βασιλέως, Νιρεὺς ὅστις κάλλιςος ἀνὴρ εἰς τὴν Ἴλιον παρεγένετο τῶν λοιπῶν Ἑλλήνων μετὰ τὸν ἄψογον Ἀχιλλέα τὸν Πηλέως υἱόν. "ἀλλ' ἀσθενὴς ὑπῆρχεν, ὀλίγος δὲ αὐτῷ λαὸς ἠκολȣ́θει. οἵτινες δὲ δὴ τὴν Νίσυρον ᾤκȣν ϗ τὴν Κάρπαθον ϗ τὴν Κάσον ϗ τὴν Κῶν πόλιν Εὐρυπύλȣ ϗ τὰς Καλύδνας νήσȣς, τȣ́των πάλιν ὅ τε Φείδιππος ϗ ὁ Ἄντιφος ἡγȣ̃ντο οἱ τȣ̃ Θεσσαλȣ̃ δύο υἱοὶ Ἡρακλέȣς παιδὸς τȣ̃ βασιλέως. "τȣ́των δὲ τριάκοντα κοῖλαι νῆες ἐπορεύοντο. νῦν δὴ τούτȣς ὁπόσοι τὸ Θεσσαλικὸν Ἄργος ᾤκȣν ϗ οἵτινες τὸν Ἅλον ϗ οἵτινες τὴν Ἀλόπην ϗ οἵτινες τὴν Τραχῖνα ᾤκȣν ϗ οἵτινες τὴν Φθίαν ᾤκȣν ϗ τὴν καλὰς γυναῖκας ἔχȣσαν Ἑλλάδα. "τούτων δὴ τῶν πεντήκοντα πλοίων ἦν ἀρχηγὸς Ἀχιλλεύς. ἀλλ' ȣ̓τοί γε οὐ τȣ̃ πολέμȣ τȣ̃ κακοήχȣ μνείαν ἐποιοῦντο· ȣ̓ γὰρ ἦν ἐν αὐτοῖς ὅςις ἐπὶ τὰς τάξεις καθηγήσεται· ἀργὸς γὰρ διετέλει ἐν ταῖς ναυσὶν ὁ ταχύπȣς ϗ ἔνδοξος Ἀχιλλεύς ὀργιζόμενος ὑπὲρ τῆς κόρης τοῦ Βρισέως τῆς καλλιτρίχου. "ἥντινα ἐκ τῆς Λυρνησοῦ ἐξαίρετον ἔλαβε πολλὰ κοπιάσας τὴν Λυρνησὸν πορθήσας ϗ τὰ τείχη τῆς Θήβης, κατέβαλε δὲ τὸν Μύνητα ϗ τὸν Ἐπίςροφον τοὺς περὶ τὰ δόρατα μεμορηκότας (πολεμικȣ́ς), τȣ̀ς υἱȣ̀ς τȣ̃ Εὐηνȣ̃ τȣ̃ Σεληπ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παιδὸς τῦ βασιλέως· ταύτης ἕτος ἐκειτο λυπέμενος ἕνεκα, ὀταχέως δὲ ἀναςήσεαθ ἐμελλεν. "οἵτινες δὲ εἶχον τὴν Φυλάκην καὶ τὸν ἄνθη ἔχοντα Πύρασον, τῆς Δήμητρος τὸ ἱερόν, καὶ τὴν Ἴτωνα τὴν προβατοφόρον καὶ Ἀντρῶνα τὴν παραθαλασσίαν καὶ Πτελεὸν τὸν πολλὰς βοτάνας ποιεῦντα, τούτων δὲ Πρωτεσίλαος ὁ πολεμικὸς ἡγεῖτο ζῶν· τότε δὲ ἤδη ςκατεῖχεν ἡ μεμελανωμένη γῆ. "τούτω δὲ καὶ ἀμφοτέρας τὰς παρειὰς κατεξεσμένη γυνὴ ἐν τῇ Φυλάκῃ κατελείφθη καὶ ὁ οἶκος ἄτεκνος. τῦτον δὲ ἀπέκτεινε Δάρδανος ἀνὴρ ἀποπηδῶντα τῆς νεὼς πάντων πρῶτον Ἀχαιῶν. ἀ μὴν ἀδὲ ἕτοι ἄνευ ἡγεμόνος ἦσαν· ἐζήτευν γε μὴν ἀρχηγόν· ἀλλὰ αὐτοὺς διέταξεν (ἢ καθώπλισε) Ποδάρκης ὁ κλάδος τοῦ πολέμου, "ὁ υἱὸς Ἰφίκλα τῦ πολυμήλα Φυλάκα παιδός, ὁ ἀπ' ἀμφοτέρων τῶν γονέων ἀδελφὸς τῦ μεγαλοψύχα Πρωτεσιλάα, νεώτερος κατὰ τὴν ἡλικίαν· ἕτος δὲ προγενέςερος καὶ βελτίων ὁ ἡμίθεος Πρωτεσίλαος ὁ πολεμικός. ἀδαμῶς δὲ οἱ λαοὶ ἐνδεεῖς ἦσαν ἀρχηγῦ, ἐζήτευν γε μὴν ἀγαθὸν ὑπάρχοντα. "τότῳ δὲ ὁμῦ τεσσαράκοντα μέλανα πλοῖα συνῆλθον. οἵτινες δὲ τὰς Φερὰς εἶχον παρὰ τὴν Βοιβηΐδα λίμνην, τὴν Βοίβην καὶ τὰς Γλαφυρὰς καὶ τὴν καλῶς ἐκτισμένην Ἰωλκόν, τότων ἡγεῖτο ὁ τᾶ Ἀδμήτα προσφιλὴς υἱὸς τῶν ἕνδεκα πλοίων ὁ Εὔμηλος, ὄντινα συγγενομένη τῷ Ἀδμήτῳ ἐγέννησεν ἡ θαυμαςοτάτη τῶν γυναικῶν "ἡ Ἄλκηςις, τοῦ Πελίᾳ παιδὸς τῶν θυγατέρων τῇ μορφῇ εὐειδεςάτη. οἵτινες δὲ τὴν Μηθώνην καὶ τὴν Θαυμακίαν ὦκεν καὶ τὴν Μεθώβοιαν εἶχον καὶ Ὀλιζῶνα τὴν τραχεῖαν, τότων δὲ ὁ Φιλοκτήτης ἀρχηγὸς ἦν ὁ τῆς τοξικῆς ἔμπειρος τῶν ἑπτὰ πλοίων· κωπηλάται δὲ ἐν ἑνὶ ἑκάςῳ πλοίῳ πεντήκοντα ἐνεβεβήκεισαν τῆς τοξικῆς ἔμπειροι καὶ δυνατοὶ ἐν τῷ μάχεαθαι. ἀλλ' ὁ μὲν ἐν τῇ νήσῳ ἔκειτο ἰχυρὲς πόνες ὑπονων, ἐν τῇ Λήμνῳ τῇ θείᾳ καὶ θαυμαςῇ, ὅπε αὐτὸν κα-λιπὸν οἱ Ἕλληνες ἔλκει κάμνοντα χαλεπῷ τῷ ἐκ τᾶ ὀλεθρίε ὕδρε. ἐκεῖσε δὴ ἕτος ἔκειτο λυπέμενος· ταχέως δὲ ἕλλον μνημονεύειν "οἱ Ἕλληνες παρὰ ταῖς ναυσὶ τᾶ βαλέως Φιλοκτήτε. ἀ μὴν ἀδὲ ἕτοι ἄνευ ἀρχηγῦ ἦσαν· ἐζήτευν γε μὴν ἀρχηγόν· ἀλλὰ ὁ βασιλεὺς διέταξεν ὁ Οἰλέως παλλακῆς υἱός, ὄντινα ἐγέννησεν ἡ Ῥήνη συγγενομένη τῷ Οἰλεῖ τῷ πολεμικῷ. οἵτινες δὲ τὴν Τρίκκην ὦκεν καὶ Ἰθώμιην τὴν τραχεῖαν καὶ ὀρεινήν, "καὶ οἵτινες εἶχον τὴν Οἰχαλίαν τὴν πόλιν Εὐρύτε τᾶ Οἰχαλιέως, τότων πάλιν ἡγήσαντο οἱ δύο παῖδες τᾶ Ἀσκληπιᾶ, ἰατροὶ ἀγαθοὶ καὶ καλοί, ἔτε Ποδαλείριος καὶ ὁ Μαχάων. τότοις δὲ τριάκοντα κοίλαις νῆες ἐν τάξει ἐπορεύοντο. οἵτινες δὲ τὸν Ὀρμένιον εἶχον καὶ οἵτινες εἶχον τὴν κρήνην τὴν Ὑπέρειαν, "οἵτινες καὶ τὸν Ἀςέριον εἶχον καὶ τὰ ἀκρωτήρια τὰ λευκόγεια τᾶ πάνε, τότων ἀρχηγὸς ἦν Εὐρύπυλος ὁ τᾶ Εὐαίμονος πιεντὴς υἱός· τότῳ δὲ ὁμῦ τεσσαράκοντα μέλανα πλοῖα ἐπλήθον. οἵτινες δὲ τὴν "Αργισαν εἶχον καὶ τὴν Γυρτώνην καὶ τὴν Ὄρθην καὶ τὴν Ἠλώνην καὶ τὴν εὔγειον πόλιν Ὀλοσσόνα, "τότων πάλιν ἡγεμόνευε Πολυποίτης ὁ ὑπομοκὸς ἐν τῷ πολέμῳ υἱὸς τᾶ Πειριθόα, ὄντινα ἐγέννησεν ὁ ἀθάνατος Ζεύς· ὄντινα δὴ συγγενομένη τῷ τᾶ Πειρίθα υἱῷ ἐγέννησεν ἡ ἔνδοξος Ἱπποδάμεια τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε τὲς θῆρας ἐτιμωρήσατο τὲς δασεῖς, τότας δὲ ἐκ τοῦ Πηλίε ὄρες ἐξέωσε καὶ τοῖς Λαπίθαις πλησιάσαι ἐποίησεν· "οὐ μόνος, ἅμα αὐτῷ Λεοντεὺς ὁ κλάδος τοῦ πολέμε, ὁ υἱὸς τᾶ ὑπερθύμε (ὃ ἐςι μεγαλοψύχα) Κορώνα τᾶ Καινείδα. τότῳ δὲ ὁμῦ τεσσαράκοντα μέλανα πλοῖα ὑπῆρχον. ὁ δὲ Γουνεὺς ἐκ τῆς Κύφα ἤγαγεν εἴκοσι καὶ δύο ναῦς· τότῳ δὲ οἱ Ἐνιῆνες ἠκολόθησαν καὶ Περαιβοὶ οἱ καρτερῦντες ἐν τῷ πολέμῳ, "οἵτινες περὶ Δωδώνην τὴν κακὸν χειμῶνα ἔχασαν τὰς οἰκίας ἐποίησαν· οἵτινες καὶ περὶ τὸν ἐπιθυμητὸν (καὶ ἐπέραστον) Τιταρήσιον ποταμὸν ἐγεώργουν, ὅστις δὴ εἰς τὸν ποταμὸν Πηνειὸν ἐκδίδωσι τὸ καλῶς ῥέον ὕδωρ (προεμπίπτει). ἀδαμῶς δὲ ἕτος τῷ Πηνειῷ τῷ λαμπρὰ καὶ καλὰ ῥεύματα ἔχοντι συμμίσγεθ, ἀλλὰ ἄνωθεν αὐτὸν ἐπιῤῥεῖ καθάπερ ἔλαιον· "ὅρκε γὰρ φοβερῦ τᾶ τῆς Στυγὸς ὕδατός ἐςιν ἀπορῥοή. τῶν Μαγνήτων δὲ ἡγεμὼν ὑπῆρχε Πρόθοος ὁ τᾶ Τευθρηδόνος υἱός, οἵτινες περὶ τὸν Πηνειὸν καὶ τὸ κινησίφυλλον Πήλιον ᾤκεν. τούτων μὲν Πρόθοος ὁ ταχὺς ἡγεμὼν ἦν· τότῳ δὲ ὁμῦ τεσσαράκοντα πλοῖα μέλανα συνῆλθον. "ἕτοι δὴ ἡγεμόνες τῶν Ἑλλήνων καὶ βασιλεῖς ὑπῆρχον. τίς δὴ τότων ἐξοχώτατος ἦν, σύ μοι λέγε ὦ μῆσα, αὐτῶν καὶ τῶν ἵππων, οἵτινες ἅμα τοῖς Ἀτρείδαις ἦλθον. αἱ μὲν ἵπποι μεγάλως ἄριςαι ἦσαν τᾶ Φήρητος παιδὸς Ἀδμήτα, ἄσινας Εὔμηλος ἤλαυνε τὰς ὀξύποδας ὡς ὄρνιθας, ὁμοιότριχας, ἰσοετεῖς (ὁμήλικας), ἕτως ἴσας καὶ ἀναλόγες τοῖς νώτοις ὑπὸ ςάθμοις. "ταύτας ἐν Πιερίᾳ ἐθρέψατο ὁ λαμπρότοξος Ἀπόλλων ἀμφοτέρας θηλείας, ἐπισαμένας ὅτε μὲν φεύγειν ὅτε δὲ διώκειν πολεμικόν. τῶν δὲ δὴ ἀνδρῶν μεγάλως ὑπῆρχεν ἄριςος ὁ Τελαμώνιος Αἴας, ὁπότε Ἀχιλλεὺς ὠργίζετο· ἕτος γὰ κατὰ πολὺ κρείττων ἦν ἁπάντων "καὶ οἱ ἵπποι οἵτινες ἔφερον τὸν ἄψογον Πηλέως υἱὸν (Ἀχιλλέα). ἀλλ' ὁ μὲν ἐν ταῖς ναυσὶ ταῖς καμπυλοπρύμνοις καὶ θαλασσοπλόοις ἀνέκειτο ἐπιμόνως ὀργισθεὶς Ἀγαμέμνονι τῷ βασιλεῖ τῶν ὄχλων, τῷ Ἀτρέως παιδί· οἱ δὲ λαοὶ παρὰ τῷ αἰγιαλῷ τῆς θαλάσσης βαρέσι λίθοις ἐγυμνάζοντο καὶ ἀκοντίοις ἀφιέντες (καὶ πίμποντες) "καὶ τόξοις· οἱ δὲ ἵπποι παρὰ τοῖς ἰδίοις ἅρμασιν ἔκαςος εἶδος βοτάνης ἐθθίοντες καὶ τὸ ἕλει τεθραμμένον ἢ φυόμενον σέλινον ἐςήκεισαν· τὰ δὲ ἅρματα ἐσκεπασμένα ἔκειτο τῶν δεσποτῶν ἐν ταῖς σκηναῖς· ἕτοι δὲ ἀρχηγὸν φιλοπόλεμον ζητῦντες περιήρχοντο ὧδε κἀκεῖσε ἀνὰ τὸ ςρατόπεδον, ἀδαμῶς δὲ ἐμάχοντο. "οἱ δὲ (Ἕλληνες) ἀπῆεσαν ὡς ἂν εἰ πῦρ γῆν πᾶσαν καταβόσκοιτο· ἡ δὲ γῆ ὑπέςενε καὶ ἦχει ὥσπερ ὑπὸ τᾶ τερπομένα τοῖς κεραυνοῖς Διὸς ὀργιζομένα, ὁπόταν περὶ τῷ Τυφῶνι τὴν γῆν μαςίζοι ἐν τοῖς Ἀρίμοις, ἔνθα φασὶ τᾶ Τυφῶνος εἶναι τὰς κοίτας (ἢ οἰκήσεις). ἕτω δὴ ὑπὸ τοῖς ποσὶ τότων μεγάλως ὑπέςενεν ἡ γῆ "ἐρχομένων· πάνυ δὲ ταχέως ἐπέρων διὰ τᾶ πεδίε. τοῖς δὲ Τρωσὶν ἄγγελος παρεγένετο ἢ τοῖς ποσὶ ταχεῖα Ἶρις παρὰ τᾶ αἰγιδόχα Διὸς σὺν ἀγγελίᾳ χαλεπῇ. ἕτοι δὲ λόγες ἐδημηγόρεν παρὰ τοῖς τοῦ Πριάμου

πυλῶσι πάντες ἐπὶ τὸ αὐτὸ συνηγμένοι καὶ οἱ νέοι ἠ οἱ πρεσβῦται. "ἐγγὺς δὲ ξᾶσα εἶπεν ἡ ταχύπους Ἶρις, ὠμοιώθη δὲ κατὰ φθογγὴν υἱῷ τῷ τοῦ Πριάμου Πολίτῃ, ὅσις τῶν Τρώων κατάσκοπος ἐκάθιζε, τῇ τῶν ποδῶν ταχυτῆτι τεθαρρηκώς, ἐπὶ ἀκροτάτῳ τάφῳ τῦ Αἰσυήτε γέροντος, ἐκδεχόμενος ὁπόταν ἀπὸ τῶν νεῶν ἀφορμήσωσιν οἱ Ἕλληνες. "ἐκείνῳ ὁμοιωθεῖσα προσεῖπεν ἡ τοῖς ποσὶ ταχεῖα Ἶρις "ὦ γέρον, αἰεί σοι προσφιλεῖς οἱ λόγοι οἱ ἀδιάκριτοί εἰσι ἠ πολλοί, ὥσπερ ἐν τῷ καιρῷ τῆς εἰρήνης· πόλεμος δὲ πολὺς ἠ ἀνέκκλιτος διεγήγερ̃. ὄντως μὲν πάνυ πολλάκις εἰς μάχας ἀνδρῶν ἦλθον, ἀλλ' ἀδέποτε τοιῦτον ἠ τοσῦτον λαὸν ἐώρακα· πάνυ γὰ̃ τοῖς φύλλοις ὁμοιούμενοι ἢ τοῖς ψάμμοις ἔρχονται κατὰ τοῦ πεδίε πολεμήσοντες περὶ τὴν πόλιν. ὦ Ἕκτορ, σοὶ δὲ πλέον προσάσσω ἠ ἐντέλλομαι ἔτω πρᾶξαι. πολλοὶ γὰ̃ ἀνὰ τὴν πόλιν τὴν μεγάλην τῦ Πριάμου σύμμαχοι, ἄλλη δὲ διάλεκτος ἄλλων τῶν ἐπὶ πολλὰ μέρη τῆς γῆς διεσπαρμένων ἀνθρώπων. "τούτοις ἕκαστος ἀνὴρ (ἤτοι ἡγεμὼν) προστασσέτω ὧν ἄρχει· τάτων ἀφηγείσθω διατάξας τὰς πολίτας." ἔτως ἔφη· ὁ δὲ Ἕκτωρ οὐδαμῶς τῆς θεᾶς τὸν λόγον ἠγνόησεν, εὐθέως δὲ ἔλυσε τὴν ἐκκλησίαν· ἐπὶ τὰ ὅπλα δὲ ὥρμων. ὅλαι δ' ἀνεῴγνυντο αἱ πύλαι, ἐξῄει δὲ ὁ λαός, "καὶ οἱ πεζοὶ ἠ οἱ ἱππεῖς· πολὺς δὲ θόρυβος διεγήγερτο. ἔξι δέ τις ἔμπροσθεν τῆς πόλεως ὑψηλὴ γεώλοφος ἐν τῷ πεδίῳ ἔξω τῆς πόλεως, περιτρέχεσθαι δυναμένη εἰς τε πλάτος ἠ μῆκος· ταύτην τοίνυν οἱ μὲν ἄνδρες Βατίειαν καλῦσιν, οἱ δὲ θεοὶ τάφον τῆς πολυκινήτε ἠ ταχείας Μυρίνης. "ἐκεῖσε τότε οἱ Τρῶες διεχωρίσθησαν ἠ οἱ σύμμαχοι. τῶν Τρώων μὲν ἡγεῖτο ὁ κινῶν τὴν περικεφαλαίαν μέγας Ἕκτωρ υἱὸς τῦ Πριάμε, σὺν αὐτῷ τε κατὰ πολὺ πλεῖστοι ἠ ἀνδρεῖοι λαοὶ καθωπλίζοντο προθυμέμενοι τοῖς θύρασι. τῶν Δαρδάνων πάλιν ἦρχεν ὁ ἰσχυρὸς παῖς τοῦ Ἀγχίσε Αἰνείας, ὃν τῷ Ἀγχίσῃ συγγενομένη ἐγέννησεν ἡ θαυμαστὴ Ἀφροδίτη, ἐν ταῖς προβάσεσι τῆς Ἴδης θεὰ ἀνθρώπῳ συγκοιμηθεῖσα· ἐ μόνος ἀλλὰ καὶ σὺν αὐτῷ οἱ δύο Ἀντήνορος υἱοὶ ὅ τε Ἀρχέλαος ἠ ὁ Ἀκάμας, μάχης ἐπιξήμονες ἁπάσης. οἵτινες δὲ Ζέλειαν ὤκεν ὑπὸ τὰ ἔσχατα μέρη τῆς Ἴδης "πλέσιοι, πίνοντες ὕδωρ τὸ βαθύτατον τῦ Αἰσήπε, οἱ Τρῶες, τούτων δὲ πάλιν ἦρχεν ὁ Λυκάονος χαριεντὴς υἱὸς Πάνδαρος, ᾧ τιν ἠ τόξον αὐτὸς ὁ Ἀπόλλων ἐδωρήσατο. οἵτινες δὲ τὴν Ἀδράσειαν εἶχον ἠ τὸν λαὸν τῆς Ἀπαισοῦ ἠ τὴν Πιτύειαν ὤκεν ἠ Τηρείας τὸ ὑψηλότατον ὄρος, "τάτων ἀρχηγὸς ἦν ὅ τε Ἄδραστος καὶ Ἄμφιος ὁ λινᾶν θώρακα ἔχων, οἱ δύο υἱοὶ Μέροπος τοῦ ἀπὸ Περκώπης πόλεως, ὅσις ὑπὲρ πάντας ἠπίστατο τὰς μαντείας, ἀδὲ τὰς ἰδίας παῖδας εἶα πορεύεσθαι εἰς τὴν μάχην τὴν ἄνδρας φθείρουσαν· ἦτοι δὲ αὐτῷ οὐδαμῶς ἐπείθοντο· αἱ γὰ̃ θανατηφόροι μοῖραι τῷ ὀλεθρίῳ θανάτῳ ἐξῆγον ἀνάγκη. "οἵτινες δὲ δὴ τὴν Περκώπην ἠ τὸ Πράκτιον περιῴκεν ἠ τὸν Σηστὸν ἠ τὴν Ἄβυδον εἶχον ἠ τὴν θείαν Ἀρίσβην, τάτων πάλιν ὁ Ὑρτάκε παῖς ἡγεῖτο ὁ Ἄσιος ὁ ἔξοχος τῶν ἀνδρῶν, Ἄσιος ὁ Ὑρτάκε παῖς, ὃν ἀπὸ Ἀρίσβης πόλεως ἔφερον ἵπποι οἱ θερμοὶ (ἠ ταχεῖς) καὶ μεγάλοι ἀπὸ τῦ Σελλήεντος ποταμῦ. "ὁ δὲ Ἱππόθοος ἦγε τὰ ἔθνη τῶν μεμορηκότων περὶ τὰ δόρατα Πελασγῶν, τάτων οἵτινες τὴν Λάρισσαν τὴν μεγαλόβωλον ὤκεν· τούτων ἀρχηγὸς ἦν ὅ τε Ἱππόθοος ἠ Πύλαιος ὁ κλάδος τοῦ πολέμε, οἱ δύο υἱοὶ Λήθε τοῦ Πελασγοῦ Τευτάμε παιδός. πάλιν δὲ τὰς Θρᾶικας ἠγάγετο Ἀκάμας ἠ Πείροος ὁ ἡμίθεος, "ὁπόσας Ἑλλήσποντος ὁ σφοδρῶς ῥέων ἔσωθεν ἑαυτοῦ περικλείει. Εὔφημος δὲ ἀρχηγὸς Κικόνων ἦν τῶν πολεμικῶν, ὁ υἱὸς τοῦ Τροιζήνε τῷ ὑπὸ τῦ Διὸς τεθραμμένῳ Κεάδε. πάλιν δὲ Πυραίχμης ἦγε Παίονας τὲς ἐπικαμπῆ τόξα ἔχοντας μακρόθεν ἐκ τῆς Ἀμυδῶνος ἀπὸ τῦ εἰς πλάτος ῥέοντος Ἀξιῦ ποταμῦ, "Ἀξιῦ οὗ τινὸς τὸ γονιμώτερον ὕδωρ ἐπιπορεύε̃ τὴν γῆν (ἠ σκορπίζε̃). τῶν δὲ Παφλαγόνων ἡγεῖτο τῦ Πυλαιμένες ἡ συνετὴ ψυχὴ ἐκ τῶν Ἐνετῶν, ὅθεν τῶν ἡμιόνων τὸ γένος τῶν ἀγρίων καὶ δυσδαμάστων, οἵτινες δὴ τὸ Κύτωρον εἶχον καὶ τὸ Σήσαμον περιενέμοντο καὶ περὶ τὸν Παρθένιον ποταμὸν λαμπρὰ οἰκήματα ὤκεν "ἠ Κρῶμναν ἠ τὸν Αἰγιαλὸν καὶ τὲς ὑψηλοτέρες Ἐρυθίνες. πάλιν δὲ τῶν Ἁλιζώνων ὁ Ἄδρηστος ἠ ὁ Ἐπίστροφος ἡγῆντο μακρόθεν ἐκ τῆς Ἀλύβης, ὅπε ἄργυρος γεννᾶται κάλλιστος. τῶν δὲ Μυσῶν ὁ Χρόμις ἡγεῖτο ἠ ἐπίσημος οἰωνοσκόπος· ἀλλ' ἐ διὰ τῆς οἰωνοσκοπίας ἐξέφυγε τὴν θανατηφόρον μοῖραν, "ἀλλ' ἁρπρέθη ὑπὸ τῶν χειρῶν τῦ ταχύποδος Αἰακῦ παιδὸς (Ἀχιλλέως) ἐν τῇ πορφύρᾳ τὸν ποταμὸν (Ξάνθον) μάχῃ, ὅτε τὲς Τρῶας ἀνῄρει κατὰ κράτος ἠ τὲς λοιπούς. ὁ Φόρκυς δὲ τῶν Φρυγῶν ἡγεῖτο ἠ Ἀσκάνιος ὁ θεοῖς ὅμοιος πόρρῳ τῆς (πόλεως) Ἀσκανίας ἐζήτεν δὲ τῇ μάχῃ μάχεσθαι. τῶν Μαιόνων πάλιν ὅ τε Μέσθλης ἠ ὁ Ἄντιφος ἡγήσατο, "οἱ τῦ Πυλαιμένες υἱοὶ ὃς ἐγέννησεν ἡ Γυγαία λίμνη, οἵτινες ἠ Μαίονας ἠγάγοντο τὲς ὑπὸ τῷ (ὄρει) Τμώλῳ γεγονότας. Νάσης πάλιν τῶν Καρῶν καθηγήσατο τῶν ἀγριοφώνων, οἵτινες τὴν Μίλητον εἶχον ἠ τὸ τῶν Φθειρῶν ὄρος τὸ πολύφυλλον ἠ τὰ Μαιάνδρε ποταμῦ τὰ ῥεύματα ἠ τῆς Μυκάλης τὰ ὑψηλὰ ἀκρωτήρια. "τούτων μὲν δὴ ὁ Ἀμφίμαχος ἠ ὁ Νάσης ἡγήσαντο. Νάσης δὲ ἠ Ἀμφίμαχος τοῦ Νομίονος ἦσαν χαμαιποιὰ τέκνα, ὅσις ἠ χρυσῦν κόσμον ἔχων εἰς τὸν πόλεμον παρεγένετο καθὰ κόρη, ἄφρων· ἀδαμῶς δὲ αὐτῷ [ἐβοήθησεν] εἰς τὸν χαλεπὸν ὄλεθρον, ἀλλ' ἐφονεύθη ὑπὸ τῶν χειρῶν τῦ ὀξύποδος Ἀχιλλέως "ἐν τῷ αὐτῷ ποταμῷ, τὸν χρυσῦν κόσμον ὁ Ἀχιλλεὺς ἐπορίσατο ὁ πολεμικὸν φρόνημα ἔχων. ὁ δὲ Σαρπηδὼν ἀρχηγὸς ἦν τῶν Λυκίων ἠ ὁ ἄψογος Γλαῦκος πόρρωθεν ἐκ τῆς Λυκίας ἀπὸ Ξάνθε τῆ πόλεως συφορὰς ἔχοντος.] *)

*) Catalogus navium (v. 494 — 877) codici 2690 deest, quem sumpsi a Wassenberghio.

Γ. ΟΡΚΟΙ. ΤΕΙΧΟΣΚΟΠΙΑ. ΠΑΡΙΔΟΣ ΚΑΙ ΜΕΝΕΛΑΟΥ ΜΟΝΟΜΑΧΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Γάμμα δ' ἄρ' ἀμφ' Ἑλένης οἵοις μόθος ἐςὶν ἀκοίταις.*

2. *Ἀλεξάνδρου προκαλεσαμένου Μενέλαον εἰς μονομαχίαν ἐπὶ διαλύσει τῶν ὅλων ὅρκοι γίνονται, ἐφ' ᾧ τὸν νικήσαντα τὴν Ἑλένην λαβεῖν καὶ τὰ χρήματα αὐτῆς. ἡττηθέντα δὲ Ἀλέξανδρον Ἀφροδίτη ἁρπάζει καὶ εἰς τὸν ἴδιον θάλαμον ἀπαγαγουσα μετακαλεῖται ἀπὸ τοῦ τείχους τὴν Ἑλένην. οἱ δὲ συνομιλήσαντες εἰς ὕπνον τρέπονται.*

3. *Τῶν ἡρώων ἐκ ἰδίᾳ μόνον ἑκάςου τὸ ἦθος ἀλλὰ καὶ κοινῇ παρίςησιν ἡμῖν ὁ ποιητὴς ἔν τε τοῖς ἄλλοις πᾶσι καὶ ἐπὶ ταύτης δὲ μάλιςα τῆς ῥαψῳδίας. εἰκάζει γοῦν τοὺς Τρῶας τοῖς θορυβωδεςάτοις ζώοις γεράνοις, ἄκοσμον φύσει εἰς τὸν πόλεμον αὐτῶν πρόοδον ἀφηγούμενος, τοὺς δὲ Ἕλληνας μετὰ σιωπῆς τὰς προόδους ποιεῖσθαι, οὐ λόγοις τὴν πρὸς ἀλλήλους εὔνοιαν ἐπιδεικνυμένους. καὶ ἡνίκα μὲν προῆλθον ἐπὶ τὸν πόλεμον, τὸν Ἀλέξανδρον προάγει τῶν Τρώων προμαχοῦντα καὶ γαῦρον ὁρώμενον, ἐπεὶ δὲ εἶδε τὸν πολέμιον, εἰς τὸ τῶν ἑταίρων πλῆθος ἀναχωροῦντα, αἰτιώμενον δὲ αὐτὸν Ἕκτορα καὶ ἐπιπλήσσοντα αὐτῷ, τὸν δὲ ὑπισχνούμενον μαχέσεσθαι τῷ Μενελάῳ περὶ τῆς Ἑλένης καὶ τῶν κτημάτων, ἐφ' ᾧ τὸν πόλεμον ἐν τῇ τῶν δύο σωμάτων μάχῃ τέλος λαβεῖν. δηλώσαντος δὲ ταῦτα ἀμφοτέροις τοῖς ςρατεύμασιν Ἕκτορος ὑφίςαται καὶ ὁ Μενέλαος. μεταπεμψάμενοι δὲ καὶ Πρίαμον ὅρκους καὶ εὐχὰς ποιοῦνται. καὶ ἡ Ἑλένη Πριάμῳ καὶ τοῖς περὶ Ἀντήνορα δημογέρουσι περὶ ἑνὸς ἑκάςου τῶν παρὰ τοῖς Ἕλλησιν ἀρίςων διηγεῖται. μαχεσαμένων δὲ αὐτῶν καὶ ἡττηθέντα Ἀλέξανδρον ἐξαρπάσασα Ἀφροδίτη εἰς τὸν θάλαμον ἄγει, καὶ μικρὸν ὕςερον καὶ τὴν Ἑλένην. ἡ δὲ ἀνανδρίαν ὀνειδίζει τῷ Ἀλεξάνδρῳ. καὶ οἱ μὲν ἐπὶ τὴν κοίτην τρέπονται, Ἀγαμέμνων δὲ κατὰ τοὺς ὅρκους ἀπαιτεῖ τὴν Ἑλένην καὶ τὰ ἅμα αὐτῇ ἁρπαγέντα χρήματα, σὺν αὐτῇ δὲ καὶ τὴν ὑπὲρ τοῦ ἀδικήματος τιμωρίαν.*

Ἐπειδὴ δὲ διετάχθησαν σὺν τοῖς ἡγεμόσιν ἅπαντες, οἱ μὲν Τρῶες ἐν ἤχῳ καὶ κραυγῇ ἐπορεύοντο ὡς ὄρνιθες, ὃν τρόπον βοὴ γεράνων γίνεται πρὸ τοῦ οὐρανοῦ, αἵτινες ἐπειδὴ τὸν χειμερινὸν τόπον ἔφυγον καὶ τὸν πολὺν ὑετόν, "ἐν κραυγῇ αὗταί γε πέτονται ἐπὶ τὰς τοῦ Ὠκεανοῦ ῥοὰς ἀνδράσι τοῖς πηχυαίοις (ἴσοις γρόθοις) θάνατον καὶ φθορὰν ἐπιφέρουσαι· ἑωθιναὶ δὲ αὗται κακωτικὴν φιλονεικίαν ἐπιφέρουσιν. οἱ δὲ Ἕλληνες ἀπῄεσαν ἐν σιωπῇ μετὰ πολλῆς δυνάμεως, ἐν τῇ ψυχῇ σπουδάζοντες ἐπιβοηθεῖν ἀλλήλοις. καθάπερ ἐπ' ἀκρωρείᾳ ὄρους κατέχεεν ὁ Νότος παχὺ σκότος τοῖς μὲν ποιμέσιν ἀσύμφορον, τοῖς δὲ κλέπταις καὶ νυκτὸς ὠφελιμώτερον· ἐπὶ τοσοῦτον γάρ τις βλέπει ὅσον ἐςὶ λίθου βολή (ἢ ὅσον ἐπιπέμπει λίθον)· οὕτως ἄρα ὑπὸ τῶν ποδῶν τούτων κονιορτὸς διεγήγερτο ἀελλώδης πορευομένων· πάνυ δὲ ταχέως διήνυον διὰ τῆς πεδιάδος. "ὅτοι δὲ ὁπότε πλησίον ἦσαν ἀλλήλοις ἐπερχόμενοι, τῶν Τρώων μὲν προεμάχει Ἀλέξανδρος ὁ θεοῖς ὅμοιος τὸ εἶδος (εὐπρεπής), παρδάλεως δέρμα φέρων ἐν τοῖς ὤμοις καὶ ἐπικαμπῆ τόξα καὶ ξίφος· ὁ αὐτὸς δὲ καὶ δόρατα δύο ἠκονημένα τῷ σιδήρῳ τινῶν τῶν Ἑλλήνων προεκαλεῖτο πάντας ἀρίςους "ἐξ ἐναντίας αὐτοῦ εἰς μάχην ἐλθεῖν ἐν τῇ χαλεπῇ μάχῃ. τοῦτον οὖν ὡς ἐθεάσατο ὁ πολεμικὸς Μενέλαος ἐρχόμενον ἔμπροσθεν τοῦ πλήθους, μεγάλα διαβαίνοντα, καθάπερ λέων ἐχάρη μεγάλου ζῴου ἐπιτυχών, εὑρὼν ἢ ἔλαφον μεγάλα κέρατα ἔχοντα ἢ αἶγα, "πεινῶν· πάνυ γὰρ κατατρώγει, κἂν αὐτὸν διώκωσι ταχεῖς τε κύνες καὶ ἀκμαῖοι καὶ θερμοὶ νεανίαι· οὕτως ἐχάρη ὁ Μενέλαος τὸν θεοῖς ὅμοιον τὸ εἶδος Ἀλέξανδρον τοῖς ὀφθαλμοῖς ἰδών· ἐλογίζετο γὰρ τιμωρήσασθαι τὸν ἐχθρόν. παραχρῆμα δὲ ἐκ τῶν ἁρμάτων σὺν τοῖς ὅπλοις καθήλατο εἰς τὴν γῆν. "τοῦτον δὲ ὡς ἐθεάσατο ὁ θεοῖς ὁ εἶδος ὅμοιος Ἀλέξανδρος ἐν τοῖς πρωταγωνισταῖς φαίνοντα, ἐφοβήθη τὴν προσφιλεςάτην ψυχήν, πάλιν δὲ εἰς ὀπίσω εἰς τὸ πλῆθος ἀνεχώρει φυλασσόμενος (ἐκφεύγων) τὴν θανατηφόρον μοῖραν. καθάπερ δέ τις μέγαν ὄφιν ἰδὼν εἰς τοὐπίσω ὁρμήσας ὑπεχώρησεν ἐν τοῖς γονιμωτάτοις καὶ βασίμοις τόποις τῶν ὀρῶν, ὑπέλαβέ τε φόβος τὰ γόνατα, "πάλιν δὲ εἰς τοὐπίσω ἀνεχώρησεν, ὠχρίασις δὲ αὐτὸν ἔλαβε τὰς σιαγόνας, οὕτως εἰς τοὐπίσω κατὰ τὸ πλῆθος εἰσῆλθε τῶν πολεμικῶν Τρώων φοβηθεὶς τὸν Μενέλαον ὁ θεοῖς ὅμοιος τὸ εἶδος Ἀλέξανδρος. τοῦτον δὲ ὁ Ἕκτωρ ὕβρισεν ἰδὼν ὀνειδιςικοῖς λόγοις. "ὦ ἐπὶ κακῷ ὠνομασμένε Πάρι, τὸ εἶδος βέλτιςε, ἐπὶ γυναιξὶ μαινόμενος, ἀπατεών (ψεῦστα), "εἴθε ὤφειλες μὴ γεγεννῆσθαι ἢ γεννηθεὶς πρὸ γάμου ἀπολέσθαι. καὶ δὴ τοῦτο ἤθελον· καὶ γὰρ οὕτω πολὺ βέλτιον ἦν ἡμῖν παρόπερ οὕτως ὕβριν εἶναι καὶ ἔμπροσθεν τῶν λοιπῶν ὑποβλεπόμενον. ὄντως δὴ χαίρουσιν οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες λογισάμενοι ἄριςον πρόμαχον εἶναι, διότι ἔξοχον "εἶδος ἔπεςί σοι· ἀλλ' οὐκ ἔςι δύναμις τῇ διανοίᾳ οὐδέ τις δύναμις σώματος. ἢ τοιοῦτος ὢν ἐν θαλασσοπλόοις ναυσὶ τὴν θάλασσαν ἐπιπλεύσας, φίλους εὐαρμόςους (τουτέςιν αὐτῷ ὁμοίους φίλους, ἅρπαγας) συναθροίσας, παραγενόμενος ἀλλοεθνέσι ξένοις γυναῖκα εὔμορφον διὰ θαλάσσης πλέων ἔφερες ἐξ ἀλλοδαπῆς γῆς (τῆς Πελοποννήσου), νύμφην ἀνδρῶν πολεμικῶν, "τῷ σῷ τε πατρὶ μέγα βλάβος καὶ τῇ πόλει καὶ ὅλῳ τῷ πλήθει, τοῖς δυσμενέσι δὲ καὶ ἐχθροῖς χαράν, αἰσχύνην δὲ καὶ ὄνειδος σοὶ αὐτῷ. οὐκ ἂν δὴ ὑπομείνειας τὸν πολεμικὸν Μενέλαον; μάθοις ἂν ὁποίου ἀνδρὸς ἔχεις τὴν ἀκμαίαν (νέαν) γυναῖκα. οὐκ ἂν σοι βοηθήσῃ ἡ κιθαρῳδία καὶ ἡ Ἑλένη (ἢ ὅπερ ἔχεις κάλλος) "καὶ ἡ τῆς κεφαλῆς θρὶξ καὶ ἡ μορφή, ὅταν ἀναιρεθῇς συςὰς εἰς μάχην τῷ Μενελάῳ. ἀλλὰ πάνυ οἱ Τρῶες δειλοί· νῦν γὰρ εὐθέως ἂν λίθινον ἐνεδέδυσο χιτῶνα ἕνεκα ὅσων κακῶν εἰργάσω." πρὸς τοῦτον δὲ πάλιν ἀνταπεκρίθη Ἀλέξανδρος ὁ θεῷ τὸ εἶδος ὅμοιος "ὦ Ἕκτορ, ἐπεί με κατὰ τὸ προσῆκον ὠνείδισας, οὐ παρὰ τὸ πρέπον, "διὰ παντός σοι ἡ καρδία ὡς πέλεκύς ἐςιν ἀκαταπόνητος, ὅςις εἰσέρχεται διὰ δόρατος ὑπ' ἀνδρὸς ὅςις μετὰ τέχνης νεὼς ξύλον ἐκκόπτει, αὔξει δὲ τὴν τοῦ ἀνδρὸς δύναμιν. οὕτως σοι ἐν τῷ ςήθει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄφοβος ὁ νῦς ἐσί. μή μοι τὰ δῶρα τὰ ἐπέρασα καὶ καλὰ
ὀνείδιζε τῆς καλῆς Ἀφροδίτης. "ἐδαμῶς σοι ἀποβολῆς
ἄξιά ἐσι τὰ τῶν θεῶν μεγάλως ἔνδοξα δῶρα, ὅσα ἂν αὐ-
τοὶ δῶσι, βελόμενος δὲ ἔκ ἄν τις λάβοι. νῦν ἦν εἴ με βά-
λει πολεμίζειν καὶ μάχεσθ, τὰς μὲν λοιπὰς Τρῶας καθεσθῆ-
ναι ποίησον καὶ πάντας τὰς "Ελληνας, ἐμὲ δὲ ἐν τῷ μέσῳ
καὶ τὸν πολεμικὸν Μενέλαον "συμμίξατε περὶ τῆς Ἑλένης
καὶ τῶν κτημάτων πάντων αὐτῆς μάχεσθ. ὁποῖος δ' ἂν
νικήσῃ καὶ ἰσχυρότατος φανῇ, τὰ κτήματα λαβὼν ἀκριβῶς
πάντα καὶ τὴν γυναῖκα εἰς τὸν οἶκον ἀποκομιζέτω, οἱ δὲ
λοιποὶ φιλίαν καὶ ὅρκους πισὰς ποιησάμενοι διὰ θυσιῶν κα-
τοικεῖτε τὴν μεγαλόβωλον Τροίαν, ἕτοι δὲ πορευέσθωσαν
"εἰς τὸ ἱπποτρόφον Ἄργος καὶ τὴν Ἀχαΐαν τὴν καλὰς ἔχο-
σαν γυναῖκας." ἔτως εἶπεν· ὁ δὲ "Εκτωρ ἐχάρη μεγάλως
τὸν τῆ Ἀλεξάνδρᾳ λόγον ἀκέσας, καὶ δὴ εἰς μέσον ἐλθὼν
τῶν Τρώων ἀνεῖργε καὶ ἐκώλυε τὰς φρατιωτικὰς τάξεις μέ-
σᾳ τῆ δόρατος λαβόμενος. ἕτοι δὲ ἐκάθισαν ἅπαντες. ἐπ'
αὐτὸν δὲ τὰ τόξα ἔτεινον οἱ τὰς κεφαλὰς κομῶντες "Ελλη-
ονες "τοῖς βέλεσι καταξοχαζόμενοι, λίθοις τε ἠκόντιζον· ἕτος
δὲ μέγα ἐβόησεν Ἀγαμέμνων ὁ τῶν ἀνδρῶν βασιλεύς
"παύεσθε ὦ "Ελληνες, μὴ βάλλετε νεώτεροι τῶν Ἑλλήνων·
διαβεβαιῶται γάρ τινα λόγον ἐρεῖν ὁ πολεμικὸς "Εκτωρ." οὕ-
τως εἶπεν· ἕτοι δὲ ἐπαύσαντο τῆς μάχης καὶ ἥσυχοι ἐγένοντο
"σπεδαίως. "Εκτωρ δὲ ἐν τοῖς Τρωσὶ καὶ τοῖς "Ελλησιν
ἔλεξεν "ἀκέσατέ μεΤρῶες καὶ οἱ εὔοπλοι "Ελληνες, ἵνα εἴπω
ἅτινα ἐμὲ ἡ ψυχὴ ἐν τοῖς σήθεσι κελεύει, τὸν λόγον τοῦ
Ἀλεξάνδρᾳ ἕ τινὸς χάριν ἡ φιλονεικία διεγήγερθ. τὰς μὲν
λοιπὰς κελεύει Τρῶας καὶ πάντας "Ελληνας τὰ ὅπλα τὰ καλὰ
ἀποθέσθ ἐπὶ τῇ γῇ τῇ πολλὰς τρεφέσῃ, "αὐτὸν δὲ ἐν τῷ
μέσῳ καὶ τὸν φιλοπόλεμον Μενέλαον μόνας περὶ τῆς Ἑλένης
καὶ τῶν κτημάτων αὐτῆς πάντων μάχεσθ. ὅσις δὲ πρότερος
ἂν νικήσῃ καὶ ἐπικρατέσερος γένηθ, τὰ κτήματα λαβὼν κα-
λῶς πάντα καὶ τὴν γυναῖκα εἰς τὸν οἶκον ἀποκομιζέτω, οἱ
δὲ λοιποὶ φιλίαν καὶ ὅρκους πισὰς διὰ θυσιῶν ποιήσωμεν."
"ἔτως εἶπεν· ἕτοι δὲ πάντες ἐπ' ἄκρας σιωπῆς ἐγένοντο.
ἐν τέτοις δὲ μετὰ ταῦτα εἶπεν ὁ κατὰ τὸν πόλεμον ἰσχυρὸς
Μενέλαος "ἀκέσατε νῦν καὶ ἐμοῦ· ἐξαιρέτως γὰρ λύπη κατα-
λαμβάνει τὴν ἐμὴν ψυχήν· βελεύομαι δὲ (καὶ φρονῶ) δια-
χωρισθῆναι ἤδη τὰς "Ελληνας καὶ τὰς Τρῶας, διότι πολλὰ
κακωτικὰ πεπόνθατε "ἕνεκα τῆς ἐμῆς φιλονεικίας καὶ τῆς
ὑπ' Ἀλεξάνδρᾳ ἁρπαγῆς. ἡμῶν δὲ ὁποίῳ θανεῖν εἵμαρθ,
ἀποθάνοι· οἱ δὲ λοιποὶ διαχωρισθείητε διὰ τάχος. κομίσετε
δὲ ἄρνας, τὸν μὲν ἕνα λευκὸν τὴν δὲ ἑτέραν μέλαιναν, τῇ τε
Γῇ καὶ τῷ Ἡλίῳ· τῷ δὲ Διὶ ἡμεῖς κομίσωμεν ἄλλον (ὡς ξένοι).
"ἀγάγετε δὲ καὶ τὸν Πρίαμον, ὅπως τὰς ὅρκας πισὰς ποιήσῃ
αὐτός, ἐπειδὴ οἱ υἱοὶ αὐτῆ ὑπερήφανοι καὶ ἄπιστοι, μή ποτέ τις
ἐν παραβάσει τῆ Διὸς τὰς ὅρκας βλάψῃ (τῷ παρελθεῖν αὐτάς).
ἀεὶ γὰρ τῶν νεωτέρων ἀνδρῶν αἱ διάνοιαι ἄσατοί εἰσιν· ἐν οἷς δ'
ἂν ὁ γέρων παρῇ, ὁμῆ εἰς τὸ παρὸν καὶ εἰς τὸ μέλλον "βλέπει,
ὅπως ἐξόχως ἄρισα ἐν ἀμφοτέροις γένηθ." ἔτως εἶπεν· οἱ δὲ
"Ελληνες καὶ οἱ Τρῶες ἐχάρησαν ἐλπίζοντες παύσασθ τῆ ἐπιπόνῃ
πολέμῳ. καὶ δὴ τὰς μὲν ἵππας κατέχον ἐπὶ τὰς τάξεις, ἐξῆλθον
δὲ καὶ αὐτοί, τὰ ὅπλα τε ἀπετίθεντο, ἃ δὴ καὶ κατέθεντο ἐπὶ
τῆς γῆς "σύνεγγυς ἀλλήλων· ὀλίγη δὲ ἦν ἡ μεταξὺ αὐτῶν
γῆ. ὁ δὲ "Εκτωρ πρὸς τὴν πόλιν δύο κήρυκας ἔπεμψε τα-
χέως ἄρνας κομίσαι καὶ τὸν Πρίαμον καλέσαι. ὁ δὲ βασι-
λεὺς Ἀγαμέμνων τὸν Ταλθύβιον προέπεμψεν ἐπὶ τὰς βα-
θείας ναῦς παραγενέσθ, καὶ ἄρνα ἐκέλευσε "κομίσειν· ἕτος
δὲ ὁ παρῆκεσε τοῦ εὐγενὸς Ἀγαμέμνονος. ἡ δὲ Ἶρις τῇ
λευκοβραχίονι Ἑλένῃ ἐπῆλθεν ἄγγελος, ὁμοιωθεῖσα ἀν-
δραδέλφῃ τῇ τοῦ παιδὸς Ἀντήνορος γαμετῇ, ἥντινα βα-
σιλεὺς ὁ τῆ Ἀντήνορος παῖς ἐγεγαμήκει Λυκάων, τὴν Λαο-
δίκην τὴν τὸ εἶδος ἀρίσην τῶν τοῦ Πριάμου θυγατρῶν.
"αὐτὴν δὲ κατέλαβεν ἐν τῷ οἴκῳ· ἥτις μέγαν ἱστὸν ὕφαινε
καὶ ἰσάργει, διπλῆν ἱμάτιον λευκόν· πολλὰς δὲ ἐνεποίκιλλε
πολέμων πόνας Τρώων τῶν πολεμικῶν καὶ Ἑλλήνων τῶν
σιδηροθωράκων, οὕστινας ἕνεκα αὐτῆς ὑπέμενον ὑπὸ τῶν
τῆ πολέμᾳ χειρῶν. πλησίον δὲ ἱσαμένη πρὸς αὐτὴν εἶπεν
ἡ ταχύπους Ἶρις "δεῦρο ἐλθὲ νύμφη προσφιλεσάτη, ὡς ἂν
θαυμασὰ ἔργα θεάσῃ Τρώων τῶν πολεμικῶν καὶ Ἑλλήνων
τῶν σιδηροθωράκων. οἵτινες πρότερον ἀλλήλοις ἐπέφερον
τὸν πολύδακρυν πόλεμον ἐν τῷ πεδίῳ, τῆ ὀλεθρίᾳ ἐπιθυ-
μοῦντες πολέμᾳ, ἕτοι δὴ νῦν κάθηνθ σιωπῇ, καὶ ὁ πόλεμος
πέπαυθ, "ταῖς ἀσπίσιν ἐπικείμενοι, παραπέπηγε δὲ αὐτοῖς
τὰ μακρὰ δόρατα. ὁ δὲ Ἀλέξανδρος καὶ ὁ φιλοπόλεμος Με-
νέλαος τοῖς μακροῖς δόρασι πολεμήσουσι περὶ σᾶ, τῆ δὲ νι-
κήσαντος προσφιλὴς κληθήσῃ γυνή." ἔτως εἰποῦσα ἡ Ἶρις
ἐγλυκεῖαν ἐπιθυμίαν ἐνέβαλε τῇ ψυχῇ "ἀνδρός τε τῆ πρό-
τερα καὶ τῆς πόλεως καὶ τῶν γονέων. εὐθέως δὲ λευκοῖς σκε-
πασαμένη ὑφάσμασι λινοῖς ἐξῆει ἐκ τῆ κοιτῶνος καὶ το
οἴκα, τρυφερὸν καὶ ὑγρὸν δάκρυον καταχέουσα, ἁ μόνη, σὺ
αὐτῇ δὲ καὶ θεράπαιναι (δελεύτριαι) δύο ἠκολούθουν, ἥ τ
Αἴθρα τῆ Πιτθέως ἡ θυγάτηρ καὶ Κλυμένη ἡ εὐόφθαλμος
"ταχέως δὲ ἔπειτα παρεγένοντο ὅπα αἱ Σκαιαὶ πύλαι ὑπῆρ
χον. οἱ δὲ περὶ τὸν Πρίαμον καὶ τὸν Πάνθον καὶ τὸν Θυμοίτη
καὶ τὸν Λάμπον καὶ τὸν Κλυτίον καὶ Ἱκετάονα τὸν ἰσχυρὸ
ὅ τε Οὐκαλέγων καὶ ὁ Ἀντήνωρ ἀμφότεροι φρόνιμοι (συνε
τοί) ἐκάθηντο οἱ τῆ δήμῳ ἔντιμοι ἐπὶ ταῖς Σκαιαῖς πύλαις
"διὰ τὸ γῆρας τῆ πολέμῳ παυσάμενοι, ἀλλὰ δημηγόρ
(σύμβελοι) ἀγαθοί, τέττιξι παραπλήσιοι οἵτινες κατὰ τὴ
ὕλην ἐν δένδρῳ ἐπικαθεζόμενοι φωνὴν ἐπιθυμητὴν ἀφιᾶ
σιν· τοιῆτοι δὴ τῶν Τρώων οἱ ἡγεμόνες ἐκαθέζοντο ἐπὶ τ
τείχει. ἕτοι δὴ ὡς ἐθεάσαντο τὴν Ἑλένην ἐπὶ τὸν πύργ
ἐρχομένην, "ἠρέμα πρὸς ἑαυτοὺς λόγες ταχεῖς ἔλεγον. "Ο
μέμψις τοὺς Τρῶάς τε καὶ τοὺς εὐόπλες "Ελληνάς πε
τοιαύτης γυναικὸς ἐπὶ πολὺν χρόνον δεινὰ πολλὰ πάχει
λίαν ἀπαραλλάκτως ταῖς ἀθανάτοις θεαῖς τὴν πρόσοψ
ὁμοία ἐσίν. ἀλλὰ καὶ ἔτως τοιαύτη (εὐειδὴς) ὑπάρχεσα
ταῖς ναυσὶ πορευέσθω (σὺν τοῖς "Ελλησι), "μὴ καὶ ἡμῖν
τοῖς τέκνοις μετὰ ταῦτα κακὸν καταλειφθείη." οὕτω μ
δὴ εἶπον· ὁ δὲ Πρίαμος τὴν Ἑλένην ἐκάλεσε τῇ φων
"παρελθοῦσα ἐς πρόσω δεῦρο προσφιλέσατον τέκνον καθί

παρ' ἐμοί, ὅπως θείσῃ τὸν πρότερόν σε ἄνδρα καὶ τοὺς κατ' ἐπιγαμίαν συγγενεῖς καὶ φίλους. κατ' ἀδὲν μοι αἰτία ἐπάρχεις· οἱ θεοὶ δέ μοι αἴτιοί εἰσιν, "οἵτινές μοι ἐπέλθειν καὶ ἐφορμῆσαι ἐποίησαν τὸν πολύδακρυν πόλεμον τῶν Ἑλλήνων. ὅπως μοι καὶ τοῦτον τὸν ἄνδρα τὸν μέγιστον ἐξ ὀνόματος εἴπῃς, ὅσις ἔτός ἐστιν Ἕλλην ὁ πλατὺς καὶ μέγας. τῷ μὲν εἰς ὕψος ἀναστήματι τῆς κεφαλῆς καὶ ὑψηλότεροι ἄλλοι εἰσίν· καλὸν δὲ τὴν πρόσοψιν ἔτως ἐγὼ οὐδέπω ἐθεασάμην τοῖς ὀφθαλμοῖς "οὐδὲ ἔτως ἔντιμον· βασιλεῖ γὰρ ἀνδρὶ ὅμοιός ἐστι." πρὸς τοῦτον δὲ ἡ Ἑλένη λόγοις ἀπεκρίνατο ἡ εὐγενὴς ἐν γυναιξίν. "αἰδῶς καὶ τιμῆς ἄξιος ὑπάρχεις ὦ φίλε πενθερὲ καὶ φοβερός. εἴθε ὤφειλεν ὁ θάνατός μοι ἀρέσαι ὁ πικρός, ὅτε ἐνταῦθα ἅμα τῷ σῷ παιδὶ ἠκολούθησα, τὸν οἶκον καὶ τοὺς ἀδελφοὺς καταλιποῦσα "καὶ τὴν θυγατέρα Ἑρμιόνην τὴν ἀγαπητὴν (μονογενῆ) καὶ τὰς ἐπεράσας ὁμιλίκας. ἀλλὰ ταῦτα οὐκ ἐγένοντο· διόπερ καὶ κλαίουσα ἐκτέτηκα. τοῦτο δέ σοι ἐρῶ ὅ με ἀνερωτᾷς καὶ πολυπραγμονεῖς. ὅτός ἐστιν ὁ τοῦ Ἀτρέως υἱὸς ὁ μέγας βασιλεὺς Ἀγαμέμνων, κατ' ἀμφότερα καὶ βασιλεὺς ἰσχυρὸς καὶ γενναῖος πολεμιστής· "ἀνδράδελφός τε ἐμὸς ἦν τῆς ἀναιδεστάτης ἐμοῦ, ὅτε ποτὲ ἦν." ἔτως μὲν εἶπε· τοῦτον δὲ ὁ γέρων ἐθαύμασε καὶ εἶπεν "ὦ μακαριώτατε υἱὲ τοῦ Ἀτρέως, ἀγαθῇ μοίρᾳ γεγενημένε, εὐδαιμονέστατε, εὐλόγως δή σοι πολλοὶ ὑποτεταγμένοι εἰσὶν Ἕλληνες. πάλαι γὰρ εἰς τὴν Φρυγίαν παρεγενόμην τὴν πολλὰς ἀμπέλους ἔχουσαν, "ὅπου ἐθεασάμην πάνυ πολλοὺς Φρύγας ἄνδρας ταχεῖς ἵππους ἔχοντας, ὄχλους τοῦ Ὀτρέως καὶ Μύγδονος τοῦ ἰσοθέου, οἵτινες δὴ ἐστρατοπέδευον παρὰ τὰ χείλη τοῦ Σαγγαρίου ποταμοῦ· καὶ γὰρ ἐγὼ σύμμαχος καὶ βοηθὸς ἀπὸ ξένης ὢν ἐν τούτοις κατηριθμήθην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὅτε παρεγένοντο Ἀμαζόνες αἱ ἴσαι τὴν δύναμιν ἀνδράσιν· "ἀλλ' οὐδὲ ἦτοι τοσοῦτοι ὑπῆρχον ὅσοι οἱ μελανόφθαλμοι Ἕλληνες." δεύτερον δὲ τὸν Ὀδυσσέα ἰδὼν ἀνηρώτα ὁ ἔντιμος. "ἄγε εἰπέ μοι καὶ τοῦτον ὦ φίλον τέκνον, ὁποῖός τις ἔτός ἐστιν ὁ μικρότερος μὲν τῇ κεφαλῇ τοῦ Ἀτρείδου Ἀγαμέμνονος, πλατύτερος δὲ τοῖς ὤμοις καὶ τοῖς στήθεσιν ἐν τῷ ὁρᾶσθαι. "τὰ ὅπλα μὲν αὐτοῦ τίθενται ἐπὶ τῇ γῇ τῇ πολλὰς τρεφούσῃ, αὐτὸς δὲ ὡς πρᾶος καὶ χειροήθης κριὸς ἐπέρχεται τὰς στρατιωτικὰς τάξεις τῶν ἀνδρῶν. κριῷ τοῦτον ἐγὼ ἀπεικάζω βαθυμάλλῳ, καλὸν ἔριον ἔχοντι, ὅσις τῶν προβάτων τὸ μέγα ποίμνιον διέρχεται τῶν λευκῶν." πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα Ἑλένη ἡ ἐκ τοῦ Διὸς γεννηθεῖσα. "'ὅτος δὲ πάλιν ὁ τοῦ Λαερτίου παῖς ὁ πολύβουλος (ὁ συνετὸς) Ὀδυσσεύς, ὅσις ἀνετράφη ἐν τῇ Ἰθάκῃ τῇ οὔσῃ τραχείᾳ ἐπισάμενος παντοδαπὸς δόλους καὶ βουλεύματα πολλὰ (συνετά)." ταύτην δὲ Ἀντήνωρ ὁ συνετὸς ἐξ ἐναντίας εἶπεν "ὦ γύναι, πάνυ δὴ τοῦτον τὸν λόγον ἀληθῆ εἶπας. "πάλαι καὶ ἐνταῦθά ποτε παρεγένετο ὁ εὐγενὴς Ὀδυσσεὺς σὴν χάριν πρεσβευτὴς ἅμα τῷ φιλοπολέμῳ Μενελάῳ· τούτους δὲ ἐγὼ ἐξενοδόχησα καὶ ἐν τοῖς ἐμοῖς οἴκοις μετὰ φιλοφροσύνης ἀπεδεξάμην, τῶν δύο δὲ τὴν φύσιν ἔμαθον καὶ τὴν συνετὴν βουλήν. ἀλλ' ὁπότε μὲν τοῖς Τρωσὶν ἀθροιζομένοις ἐμίγησαν, "ἑσταμένων μὲν ὀρθῶν ὁ Μενέλαος μακρότερος ἦν τὰς πλατεῖς ὤμους, ἀμφότεροι δὲ καθεζόμενοι ἐντιμότερος τὴν ὄψιν ἦν ὁ Ὀδυσσεύς. ἀλλ' ἡνίκα λόγους καὶ βουλεύματα πᾶσι φανερὰ ἐποίουν, ὁ μὲν Μενέλαος συντόμως ἔλεγεν, ὀλίγα μὲν ἀλλὰ πάνυ ἡδέως, ἐπεὶ οὐκ ἦν πολλοῖς λόγοις χρώμενος, "οὐδὲ ἀποτυγχάνων τοῦ σκοποῦ τῶν λόγων, εἰ καὶ τῇ ἡλικίᾳ νεώτερος ἦν. ἀλλ' ὅτε δὴ ὁ πολύβουλος Ὀδυσσεὺς ἀνορμήσειεν, εἰσήκει, ὑπ' αἰδῶς δὲ εἰς γῆν ἔβλεπε τοὺς ὀφθαλμοὺς ἐρείσας, τὸ σκῆπτρον δὲ ἔτε εἰς τὰ ὀπίσω ἔτε εἰς τὸ ἔμπροσθεν ἐκίνει, ἀλλ' ἀσφαλὲς καὶ ἀμετακίνητον εἶχεν, ἀπείρῳ ἀνδρὶ παραπλήσιος· "εἶπες ἂν πάνυ ὀργίλον τινὰ εἶναι καὶ ἄφρονα ὁμοίως. ἀλλ' ἡνίκα δὴ φωνὴν μεγάλην ἀπὸ τοῦ στήθους ἀπέπεμπε καὶ τοὺς πολλοὺς καὶ πυκνοὺς λόγους τοὺς νιφάσι παραπλησίους χειμεριναῖς, οὐκ ἂν δὴ μετὰ ταῦτα τῷ Ὀδυσσεῖ φιλονεικήσειεν ἄνθρωπος ἄλλος· οὐκ ἔτως τότε τὸ τοῦ Ὀδυσσέως ἐθαυμάσαμεν εἶδος ἰδόντες (ὡς τοὺς λόγους)." "τὸ τρίτον δὴ τὸν Αἴαντα ἰδὼν ἀνηρώτα ὁ γηραιός. "τίς δὲ οὗτος ὁ ἄλλος Ἕλλην ἀνὴρ ὁ πλατὺς καὶ μέγας (ἀφ' οὗ γενναῖος), ὁ ἐξοχώτατος τῶν Ἑλλήνων τὴν κεφαλὴν καὶ τοὺς πλατεῖς ὤμους;" πρὸς τοῦτον δὲ ἡ περιτεταμένον πέπλον ἔχουσα εἶπεν, ἡ ὡραία ταῖς γυναιξὶν "ἔτος ὁ Αἴας ἐστὶν ὁ μέγας, τὸ περίφραγμα τῶν Ἑλλήνων. "ὁ δὲ Ἰδομενεὺς ἐκ τοῦ ἑτέρου μέρους ἐν τοῖς Κρησὶν ὥσπερ θεὸς ἔσκε, περὶ αὐτὸν δὲ οἱ τῶν Κρητῶν ἡγεμόνες ἀθροίζονται. πολλάκις αὐτὸν ἐξενοδόχησεν ὁ φιλοπόλεμος Μενέλαος ἐν τῇ Σπάρτῃ, ἡνίκα ἀπὸ τῆς Κρήτης παρεγένετο. ἐπὶ τοῦ παρόντος δὲ τοὺς μὲν λοιποὺς ἅπαντας ὁρῶ μελανοφθάλμους Ἕλληνας, "ἕσινας ἂν ἀκριβῶς γνωρίσαιμι καὶ τὰ ὀνόματα εἴποιμι· τοὺς δύο δὲ οὐ δύναμαι θεάσασθαι διατάκτορας τῶν ὄχλων, τόν τε Κάστορα τὸν ἱππικὸν καὶ τὸν ἐν πυγμῇ γενναῖον Πολυδεύκεα, τοὺς αὐταδέλφους, ἕσινάς μοι μία ἐγέννησε μήτηρ. ἢ οὐκ ἐπηκολούθησαν (τοῖς Ἕλλησιν) ἐκ τῆς ἐπεράσας Λακεδαίμονος, "ἢ ἐνθάδε μὲν ἠκολούθησαν ἐν ταῖς θαλασσοπλόοις ναυσί, νῦν δὲ δὴ ἐβούλοντο εἰς τὸν πόλεμον κατελθεῖν τῶν ἀνδρῶν τὰς αἰχύνας φοβέμενοι καὶ τὰ πολλὰ ὀνείδη ἃ δι' ἐμὲ αὐτοῖς ἔστιν." οὕτως ἔφη· τοὺς δὲ ἤδη κατεῖχεν ἡ τὴν ζωὴν φύσασα γῆ ἐν τῇ Λακεδαιμονίᾳ αὐτόθι, ἐν τῇ προσφιλεστάτῃ πατρικῇ αὐτῶν γῇ. "οἱ κήρυκες δὲ κατὰ τὴν πόλιν τῶν θεῶν ἔφερον τοὺς πιστοὺς ὅρκους, ἄρνας δύο καὶ οἶνον τὸν εὐφραντικόν, τὸν καρπὸν τῆς γῆς, ἐν αἰγείῳ ἀσκῷ. ἐκόμισε δὲ κρατῆρα λαμπρὸν (ἀργυροῦν) ὁ κῆρυξ Ἰδαῖος καὶ χρυσᾶ ποτήρια· ἐσπέδαζε δὲ τὸν γέροντα παρισάμενος τοῖς λόγοις. "'"διεγείρε Λαομέδοντος παῖ Πρίαμε· καλοῦσιν οἱ ἄριστοι τῶν Τρώων τῶν πολεμικῶν καὶ τῶν εὐόπλων Ἑλλήνων εἰς τὴν πεδιάδα κατελθεῖν, ὅπως ὅρκους πιστοὺς ποιήσητε. ὁ δὲ Ἀλέξανδρος καὶ ὁ φιλοπόλεμος Μενέλαος τοῖς μακροῖς δόρασι μαχοῦνται περὶ τῆς γυναικός. "τῷ δὲ νικήσαντι ἂν ἡ τε γυνὴ καὶ τὰ κτήματα ἀκολουθήσαιεν, οἱ δὲ λοιποὶ φιλίαν καὶ ὅρκους πιστοὺς διὰ θυσιῶν ποιήσαντες οἰκήσαιμεν Τροίαν τὴν εὔγειον· οὗτοι

δὲ πορευέσθωσαν ἐς Ἄργος τὸ ἱπποτρόφον καὶ Ἀχαΐαν τὴν καλὰς ἔχουσαν γυναῖκας." ὣς εἶπεν· ἐφοβήθη δὲ ὁ γέρων, καὶ ἐκέλευσε τοὺς ἑταίρους τοὺς ἵππους ὑπὸ ζυγὸν ἄγειν· ἕτοι δὲ σπουδαίως ἐπείθοντο. ἀνέβη δὲ ὁ Πριαμος, κατέτεινε δὲ τὰς ἡνίας ἐπὶ τὰ ὀπίσω· παρ' αὐτῷ δὲ ὁ Ἀντήνωρ τὸ πάνυ καλὸν ἐπέβη ἅρμα. ἕτοι δὲ διὰ τῶν Σκαιῶν πυλῶν εἰς τὸ πεδίον ἤλαυνον τὰς ταχεῖς ἵππους. ἀλλ' ἡνίκα δὴ παρεγένοντο ἐπὶ τὰς Τρῶας καὶ τοὺς Ἕλληνας, "ἐκ τῶν ἵππων καταβάντες ἐπὶ τὴν γῆν τὴν πολλοὺς τρέφουσαν εἰς τὸ μέσον τῶν Τρώων καὶ Ἑλλήνων ἐν τάξει ἐπορεύοντο. ἠγέρθη δὲ παραχρῆμα μετὰ ταῦτα ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων, ἀνέζη δὲ καὶ ὁ πολύβουλος Ὀδυσσεύς· οἱ δὲ θαυμασοὶ κήρυκες ὅρκους πιστὰς συνέφερον, ἐν τῷ κρατῆρι δὲ τὸν οἶνον ἀνεμίγνυον, τοῖς δὲ βασιλεῦσιν ὕδωρ εἰς τὰς χεῖρας ἐπέβαλον. ὁ δὲ Ἀγαμέμνων σπασάμενος ταῖς χερσὶ τὸ μαχαίριον, ὅπερ αὐτοῦ παρὰ τὴν τῆ μεγάλα ξίφος θήκην διὰ παντὸς ἀπεκρέματο, ἐκ τῶν κεφαλῶν τῶν ἀρνῶν ἀπέτεμε τοὺς κορυφαίους μαλλούς· μετὰ ταῦτα δὲ οἱ κήρυκες τῶν Τρώων καὶ τῶν Ἑλλήνων διέδωκαν τοῖς ἀρίστοις. ἐν τούτοις δὲ ὁ Ἀγαμέμνων μεγάλως ηὔχετο τὰς χεῖρας ἀνατείνας. "Ζεῦ πάτερ ὁ τῆς Ἴδης βασιλεύων, ἐνδοξότατε καὶ μέγιστε, καὶ σὺ ὦ Ἥλιε, ὃς τὰ πάντα ἐπιβλέπεις καὶ πάντων ἐπακούεις, καὶ ὦ ποταμοὶ καὶ ὦ Γῆ, καὶ οἱ καταχθόνιοι δαίμονες τοὺς τελευτήσαντας ἀνθρώπους τιμωρεῖσθε ὅστις ἂν ἐπιορκήσῃ, "ὑμεῖς μάρτυρες ὑπάρχετε καὶ φυλάσσετε τοὺς πιστοὺς ὅρκους. ἐὰν μὲν τὸν Μενέλαον ὁ Ἀλέξανδρος φονεύσῃ, αὐτὸς μετὰ ταῦτα τὴν Ἑλένην κατεχέτω καὶ τὰ κτήματα πάντα, ἡμεῖς δὲ ἐν ταῖς ναυσὶ πορευόμεθα ταῖς θαλασσοπλόοις· ἐὰν δὲ τὸν Ἀλέξανδρον κτείνῃ ὁ πυρρὸς Μενέλαος, "τοὺς Τρῶας μετὰ ταῦτα τὴν Ἑλένην καὶ τὰ κτήματα πάντα ἀποδῶναι καὶ τὸ πρόστιμον (τῷ πολέμῳ) τοῖς Ἕλλησιν ἀποδιδόναι ἥντινα πρέπει, ἥτις καὶ ἐν τοῖς μεταγενεξέροις ἀνθρώποις γένηται. ἐὰν δὲ ἐμοὶ ὁ Πριαμος τὸ πρόστιμον καὶ οἱ τῷ Πριάμῳ παῖδες ἀποδιδόναι μὴ θελήσωσι τῷ Ἀλεξάνδρῳ φονευθέντος, "ἐγὼ δὲ καὶ μετὰ ταῦτα μαχοῦμαι ἕνεκα τῆς ἀντεκτίσεως ἐνταῦθα παραμένων, ἕως ἂν τὸ τέλος τῷ πολέμῳ καταλάβω." ἔφη, καὶ ἀπέτεμε τοὺς φάρυγγας τῶν ἀρνῶν τῷ σκληρῷ σιδήρῳ. καὶ τούτους μὲν κατέθετο ἐπὶ τῆς γῆς ψυχορραγοῦντας, ψυχῆς χρήζοντας· ἀφείλετο δὲ ὁ σίδηρος τὴν δύναμιν· "οἶνον δὲ ἐκ τοῦ κρατῆρος ἀπαντλήσαντες τοῖς ποτηρίοις ἐξέχυνον, καὶ ηὔχοντο τοῖς ἀθανάτοις θεοῖς τοῖς διὰ παντὸς οὖσιν. ὅτως δέ τις εἶπε τῶν τε Ἑλλήνων καὶ τῶν Τρώων "ὦ Ζεῦ ἐνδοξότατε καὶ μέγιστε καὶ οἱ λοιποὶ ἀθάνατοι θεοί· ὁτινες πρότεροι παραβῆναι τοὺς ὅρκους ἐπιχειρήσειαν, "ὅτως αὐτῶν ὁ ἐγκέφαλος ἐπὶ τῆς γῆς χέοιτο ὡς ὅτος ὁ οἶνος, αὐτῶν καὶ τῶν τέκνων, καὶ αἱ γυναῖκες αὐτῶν (αἰχμαλωτισθεῖσαι) ἄλλοις μιγῶσιν ἐν συνουσίᾳ." ὅτως εἶπον· ἀδέπω δὲ αὐτοῖς ἐπετέλεσεν ὁ Ζεύς. σὺν τούτοις δὲ ὁ τῶ Δαρδάνου παῖς Πρίαμος λόγον εἶπεν. "ἀκούσατέ μου Τρῶες καὶ εὔοπλοι Ἕλληνες. "ἐγὼ μὲν ἂν ἄπειμι πρὸς τὴν ὑψηλὴν καὶ ὑπὸ ἀνέμων καταπνεομένην Ἴλιον πάλιν, ἐπειδὴ ἀδαμῶς καρτερήσω ἐν ὀφθαλμοῖς ὁρῶν μαχόμενον τὸν προσφιλῆ υἱὸν τῷ φιλοπολέμῳ Μενελάῳ. ὁ Ζεὺς μὲν γὰρ τοῦτο γινώσκει καὶ οἱ ἀθάνατοι θεοί, ὁποίῳ αὐτῶν τῶ θανάτῳ τὸ τέλος πέπρωται." "εἶπε δή, καὶ ἐν τῷ δίφρῳ τὰς ἄρνας κατέθετο ὁ ἰσόθεος ἀνήρ, ἀνέβαινε δὲ καὶ αὐτός, κατέτεινε τὰς ἡνίας ὀπίσω· παρ' αὐτῷ δὲ ὁ Ἀντήνωρ εἰς τὸ περικαλλὲς ἀναβέβηκεν ἅρμα. ἕτοι μὲν δὴ εἰς τοὐπίσω ὁρμήσαντες πρὸς τὴν Ἴλιον ἀνεχώρουν· ὁ δὲ Ἕκτωρ ὁ τῶ Πριάμου υἱὸς καὶ ὁ εὐγενὴς Ὀδυσσεὺς "τὸν τόπον μὲν πρῶτον διεμέτρησαν, ἔπειτα δὲ τὰς κλήρους ἐν τῇ κεφαλαίᾳ τῇ χαλκῇ ἐκίνουν λαβόντες, ὁποῖος δὴ πρῶτος ἀκοντίσει τὸ σιδηροῦν δόρυ. οἱ δὲ λαοὶ προσηύξαντο καὶ τοῖς θεοῖς τὰς χεῖρας ἀνέτειναν. ὅτω δέ τις εἶπε τῶν Ἑλλήνων καὶ τῶν Τρώων "Ζεῦ πάτερ ὁ τῆς Ἴδης βασιλεύων, ἐνδοξότατε καὶ μέγιστε· ὁποῖος ταῦτα τὰ ἔργα (τῷ πολέμῳ) ἐν ἀμφοτέροις ἐποίησεν, τοῦτον παρύοχε ἀναιρεθέντα κατελθεῖν εἰς τὸν Ἅιδην, ἡμῖν δὲ φιλίαν καὶ ὅρκους πιστὰς γενέσθαι." ὅτως δὴ ἔφησαν· ἐκίνησε δὲ ὁ μέγας καὶ ποικίλος τὸν ὁπλισμὸν Ἕκτωρ "εἰς τοὐπίσω βλέπων· τοῦ δὲ Πάριδος ταχέως ἐξεπήδησεν ὁ κλῆρος. ἕτοι μὲν μετὰ ταῦτα ἐκαθέζοντο κατὰ τὰς τάξεις, ἔνθα ἑκάστῳ ἵπποι οἱ ταχεῖς τὰς πόδας καὶ τὰ διάφορα ὅπλα ἐτίθεντο· ἕτος δὲ ἐν τοῖς ὤμοις ἐνεδύσατο τὰ καλὰ ὅπλα, ὁ ὡραῖος Ἀλέξανδρος ὁ τῆς Ἑλένης ἀνὴρ τῆς εὐπλοκάμου. "τὰς κνημῖδας μὲν πρῶτον περὶ ταῖς κνήμαις περιέβαλε τὰς καλάς, καλοῖς τοῖς τῶν σφυρῶν καλύμμασιν ἁρμοσμένας· δεύτερον δὲ θώρακα ἐν τῷ στήθει ἐνεδύσατο τῷ ἰδίῳ ἀδελφοῦ Λυκάονος· ἁρμοδίως δὲ ἐποίησεν αὐτῷ. ἐν δὲ τοῖς ὤμοις περιεβάλετο ξίφος ἀργυροῦς ἥλους ἔχον, "σιδηροῦν, ἔπειτα δὲ τὴν ἀσπίδα τὴν μεγάλην καὶ ἰσχυράν. ἐπὶ δὲ τῆς κεφαλῆς τῆς ἰσχυρᾶς περικεφαλαίαν καλῶς κατεσκευασμένην περιέθετο, ἐξ ἱππείων τριχῶν ἔχουσαν τὸν λόφον· φοβερὸν δὲ ὁ λόφος ὑπεράνωθεν ἐσείετο. ἔλαβε δὲ τὸ ἰσχυρὸν δόρυ, ὅπερ αὐτῷ ἐν τῇ χειρὶ ἥρμοσο. ὡσαύτως δὲ καὶ ὁ πολεμικὸς Μενέλαος τὰ ὅπλα ἐνεδύετο. "ἐπειδὴ δὲ ἕτοι ἐξ ἑκατέρου τοῦ πλήθους καθωπλίσθησαν, εἰς τὸ μέσον τῶν Τρώων καὶ τῶν Ἑλλήνων ἐν τάξει ἐπορεύοντο φοβερῶς βλέποντες· ἔκπληξις δὲ εἶχε βλέποντας τούς τε πολεμικοὺς Τρῶας καὶ τοὺς εὐόπλους Ἕλληνας. καὶ δὴ ἐγγὺς ἔστησαν ἐν τῷ διαμεμετρημένῳ (εἰς τὴν μονομαχίαν) χωρίῳ "κινοῦντες τὰ δόρατα, ἀλλήλοις ὀργιζόμενοι. πρότερος δὲ ὁ Ἀλέξανδρος προέπεμψε τὸ μέγα καὶ μακρὰν σκιὰν ἀποτελοῦν (ἢ μακρὰν πορευόμενον) δόρυ, καὶ ἐπέτυχε κατὰ τὴν ἀσπίδα τοῦ Μενελάου τὴν κυκλοτερῆ· ἀδὲ διέκοψεν ὁ σίδηρος, ἀνεκάμφη δὲ αὐτοῦ ἡ ἐπιδορατὶς ἐν τῇ ἰσχυρᾷ ἀσπίδι. ἕτος δὲ δεύτερος ὥρμα τῷ δόρατι (ἐπὶ τῷ ἀκοντίσαι) "ὁ παῖς τοῦ Ἀτρέως Μενέλαος, προσευξάμενος τῷ πατρὶ Διὶ "Ζεῦ ἄναξ, πάραχε τιμωρήσασθαι ὅστις με πρῶτος κακῶς εἰργάσατο, τὸν φοβερὸν Ἀλέξανδρον, καὶ ὑπὸ τῶν ἐμῶν χειρῶν φονευθῆναι ποίησον, ὅπως τις εὐλαβηθῇ καὶ τῶν βραδέως καὶ μετὰ ταῦτα ἐσομένων ἀνθρώπων ξενοδόχον κακὰ πράττειν, ὅστις φι-

λίαν (ξενίαν) παράσχῃ." "ἔφη δή, καὶ ἀνασείσας προέπεμψε τὸ μακροπόρευτον δόρυ, καὶ ἐπέτυχε τῆ υἱοῦ τῆ Πριάμου κατὰ τὴν κυκλοτερῆ ἀσπίδα. διεπέρασε δὲ διὰ τῆς λαμπρᾶς ἀσπίδος τὸ ἰσχυρὸν δόρυ, καὶ διὰ τῆ θώρακος τῆ πολυκατασκευάσῳ (ποικίλῃ) ἐπεξήρικτο· ἐξ ἐναντίας δὲ παρὰ τὴν λαγόνα διέκοψε τὸν θώρακα "τὸ δόρυ. ὁ δὲ ἐνέκλινε τὸ πλεῦρον καὶ ἐξέκλινε (ἐφυλάξατο) τὸν θάνατον. ὁ δὲ Μενέλαος ἑλκύσας τὸ ξίφος τὸ ἀργυροῖς ἥλοις διαπεπαρμένον ἔπληξεν ἀνατείνας τὸ προμετωπίδιον τῆς περικεφαλαίας· περὶ αὐτῷ δὲ εἰς τρία καὶ τέσσαρα μέρη διακλασθὲν ἐξέπεσε τῆς χειρός. ὁ δὲ Μενέλαος ἐδεήθη ἀτενίσας εἰς τὸν μέγαν ἀέρα. "ὦ Ζεῦ πάτερ, ἀδεὴς σῆ τῶν θεῶν ὀλεθριώτερος ἄλλος. ἐλογισάμην γὰ δὴ τιμωρήσασθαι τὸν Ἀλέξανδρον τῆς ἀδικίας· τὰ νῦν δέ μοι ἐν ταῖς χερσὶ κατεάγη τὸ ξίφος, ἐξ ἐμῆ δὲ τὸ δόρυ ἐξέδραμε τῆς χειρὸς μάταιον, οὐδὲ ἀπέκτεινα αὐτόν." εἶπε, καὶ ἐπιδραμὼν (ἐφορμήσας) τῆς περικεφαλαίας ἐπελάβετο τῆς λόφου τρίχας ἐχούσης, "εἵλκε δὲ ἐπισραφεὶς εἰς τὰς εὐόπλους Ἕλληνας. ἦγε (ἔπνιγε) δὲ αὐτὸν ὁ πολύῤῥαφος λῶρος ὑπὸ τὸν τρυφερὸν τράχηλον, ὅσις αὐτοῦ ὑπὸ τοῦ ὑπὸ τὸ γένειον τόπα ὁ συνέχων καὶ συσφίγγων τὴν περικεφαλαίαν ἱμὰς ὑποτέτατο τῆς περικεφαλαίας τρεῖς φάλας ἐχούσης. καὶ παρ' ὀλίγον εἵλκυσε καὶ πολὺ ἀπηνέγκατο κλέος, εἰ μὴ δὴ ὀξέως ἐθεάσατο ἡ τῆ Διὸς θυγάτηρ Ἀφροδίτη, "ἥτις αὐτῷ διέκοψε τὸν δεσμὸν τὸν ἐκ τῆ βοὸς τοῦ μετὰ βίας σφαγέντος· κενὴ δὲ ἡ περικεφαλαία ὁμῆ ἠκολούθησε τῇ ἰσχυρᾷ χειρί. ταύτην μὲν ἔπειτα ὁ ἡμίθεος εἰς τὰς εὐόπλους Ἕλληνας ἔῤῥιψεν ἐπισραφείς, ἐβάσασαν δὲ οἱ εὐάρμοσοι ἑταῖροι· αὐτὸς δὲ πάλιν ἐφώρμησεν ἀποκτεῖναι προθυμούμενος "δόρατι τῷ σιδηρῷ. τῶτον δὲ ἀφανῆ ἐποίησεν ἡ Ἀφροδίτη ῥᾳδίως πάνυ ὡς θεός, ἐκάλυψε δὲ δὴ ὁρασίᾳ πολλῇ, ἐκάθισε δὲ ἐν θαλάμῳ τῷ εὐόσμῳ καὶ τεθυμιαμένῳ. αὐτὴ δὲ τὴν Ἑλένην καλέσασα ἀπῆλθεν· ταύτην δὲ κατέλαβεν ἐπὶ τῷ ὑψηλῷ τείχει, περὶ αὐτὴν δὲ αἱ Τρωϊκαὶ γυναῖκες πολλαὶ ἦσαν. "τῇ δὲ χειρὶ τῆ ἁπαλοῦ λεπτῆ ἱματίῳ ἔσεισε λαβῶσα· γραΐδι δὲ αὐτὴν ὁμοιωθεῖσα πρεσβύτιδι πρὸς αὐτὴν εἶπεν, ἐρίων ἐπιμελεμένῃ, ἥτις αὐτῇ ἐν τῇ Λακεδαίμονι κατοικέσῃ εἰργάσατο ἔρια καλῶς, ὑπερβαλλόντως δὲ αὐτὴν ἐφίλει· ταύτῃ τῇ γραΐδι ὡμοιωμένη προσεφώνει ἡ ἐνδοξοτάτη Ἀφροδίτη "'δεῦρο ἄπιθι· ὁ Ἀλέξανδρός σε καλεῖ εἰς τὸν οἶκον ἐπανελθεῖν, ἐκεῖνος ὅσις ἐν τῷ θαλάμῳ καὶ ταῖς πεποικιλμέναις κοίταις καὶ τῷ κάλλει λάμπων καὶ εἵμασιν· οὐδ' ἂν εἴποις ἀνδρὶ μαχιοθέντα τῶτον παγενέσθαι, ἀλλ' εἰς χορὸν ἀπέρχεσθαι ἢ ἐκ χορῆ νεωστὶ πεπαυμένον χρῄζειν καθισάνειν πάλιν τὸν χορόν." "οὕτως εἶπε· ταύτῃ δὲ τὴν ψυχὴν ἐν τῷ ςήθει διετάραξεν. καὶ ἡ ὡς ἐθεάσατο τὸν τῆς Θεᾶς πάνυ καλὸν τράχηλον καὶ ἃ ςήθη τὰ ἐπιθυμητὰ καὶ τὰ ὄμματα λάμποντα, ἐξεπλάγη, μετὰ ταῦτα δὲ καὶ λόγον εἶπε καὶ ἐξ ὀνόματος ἐκάλει. "ὦ κακαρία, τί με ταῦτα ἐπιθυμεῖς ἀπατᾶν; "ἦ πάλιν πώποτέ μοι πορῥωτέρω πόλεων καλῶς οἰκεμένων ἀπάξεις ἢ ἧς Φρυγίας ἢ τῆς Λυδίας τῆς ἐπεράσῃ, εἴπερ τίς σοι κἀκεῖ φίλος τῶν μεμερισμένην ἐχόντων φωνὴν ἀνθρώπων. διότι δὴ νῦν τὸν ὡραῖον Ἀλέξανδρον ὁ Μενέλαος νικήσας βάλεῖ τὴν μισητὴν ἐμὲ εἰς τὸν οἶκον ἀπαγαγεῖν, "τάτῃ χάριν τὰ νῦν ἐνταῦθα δόλια φρονῆσα παρέςηκας. κάθισον ἐγγὺς αὐτῆ πορευθεῖσα, τῶν θεῶν δὲ ἐπιλάθῃ δι' αὐτὸν καὶ τὴν συνδιαγωγήν, καὶ μηκέτι τοῖς ποσί σῃ ὑποςρίψῃς εἰς τὸν Ὄλυμπον, ἀλλ' ἀεὶ περὶ ἐκεῖνον (τὸν Ἀλέξανδρον) κακοπάθει καὶ φύλασσε αὐτόν, ἕως ἂν ἢ γαμετὴν ποιήσῃ ὅτος ἢ δούλην. "ἐκεῖσε δὲ ἐγὼ οὐ παραγίνομαι — μέμψεως γάρ μοι τῆτ' ἄξιόν ἐςιν — ἐκείνῃ ἑτοιμάσασα κοίτην. αἱ Τρωάδες εἰς τὸν μετὰ ταῦτα χρόνον ἄπασαι ψέξουσιν· ἔχω δὲ λύπας πολλὰς (ἀδιαχωρίσας) ἐν τῇ ψυχῇ." πρὸς ταύτην δὲ ὀργισθεῖσα εἶπεν ἡ ἐνδοξοτάτη Ἀφροδίτη "μή με παρόξυνε, χετλιασμοῦ καὶ μίσους ἀξία, μὴ ὀργισθεῖσα καταλείψω σε, "ὅτως δέ σε μισήσω ὡς νῦν ἐξόχως καὶ ἐκπληκτικῶς ἠγάπησα. ἐν μέσῳ δὲ ἀμφοτέρων μηχανήσομαι μίσος χαλεπὰ τῶν Τρώων καὶ τῶν Ἑλλήνων, σὺ δ' ἂν κακωτικὸν μόρον ἀπόλῃ." ὅτως εἶπεν· ἐφοβήθη δὲ ἡ Ἑλένη ἡ ἐκ Διὸς γενομένη, ἐπορεύθη δὲ κατακαλυψαμένη λεπτῷ ἱματίῳ λαμπρῷ "μετὰ σιωπῆς, πάσας δὲ τὰς Τρωϊκὰς γυναῖκας ἔλαθε· προηγεῖτο δὲ ἡ Ἀφροδίτη. αὗται δὲ ὅτε εἰς τὸν τῆ Ἀλεξάνδρῳ οἶκον τὸν περικαλλῆ παρεγένοντο, αἱ θεραπαινίδες μὲν μετὰ ταῦτα ταχέως ἐπὶ τὰ ἔργα ἐτράπησαν, αὕτη δὲ εἰς ὑψηλὸν θάλαμον ἐπορεύετο ἡ ὡραία ἐν γυναιξί. ταύτῃ δὲ θρόνον λαβῶσα ἡ φιλόγελως Ἀφροδίτη "ἐξ ἐναντίας τῆ Ἀλεξάνδρῳ ἡ θεὰ ἔθηκεν ἐνεγκᾶσα· ὅπου ἐκάθισεν ἡ Ἑλένη ἡ θυγάτηρ τῆ αἰγιδάχῳ Διὸς εἰς τοὐπίσω ἀποκλίνασα τὰς ὀφθαλμὰς (ἀποβλέψασα), τὸν ἄνδρα δὲ ἐκακολόγησεν. "παρεγένῃ ἐκ τῆ πολέμιᾳ. εἶθε ὤφελες ἐκεῖσε ἀπολέσθαι ὑπ' ἀνδρὸς δαμασθεὶς ἰσχυρῆ, ὅς ἐμὸς πρότερος ἀνὴρ ἦν. "ὄντως δὴ πρότερον ἐκαυχῶ τῆ φιλοπολέμῳ Μενελάῳ καὶ τῇ σῇ δυνάμει καὶ τοῖς ἔργοις καὶ τῷ δόρατι κρείττων εἶναι· ἀλλ' ἄπιθι νῦν, προκάλεσαι τὸν φιλοπόλεμον Μενέλαον ἐκ δευτέρᾳ πολεμῆσαι ἐξ ἐναντίας. ἀλλ' ἐγὼ δέ σε παύσαοθαι κελεύω, μηδὲ τῷ πυῤῥῷ Μενελάῳ "ἐξ ἐναντίας πόλεμον πολεμεῖν καὶ μάχεσθαι ἀπροόπτως (ἀπείρως), μή πως ταχέως ὑπ' αὐτῆ τῷ δόρατι δαμασθῇς (ἀναιρεθῇς)." πρὸς ταύτην δὲ ὁ Πάρις λόγοις ἀνταποκρινόμενος εἶπεν "μηδαμῶς με γύναι δεινοῖς ὀνειδισμοῖς τὴν ψυχὴν ἐπίπληττε. τὰ νῦν μὲν γὰ ὁ Μενέλαος ἐνίκησε σὺν τῇ γνώμῃ τῆς Ἀθηνᾶς, "ἐκεῖνον δὲ μετὰ ταῦτα ἐγώ· πάρεισι γὰ καὶ ἡμῖν συμμαχῆντες θεοί. ἀλλ' ἄγε δὴ εἰς Ἀφροδίσια τραπῶμεν συγκοιμηθέντες. ἃ γὰ πώποτέ με ἔτως ἡ ἐπιθυμία τὴν διάνοιαν κατέχεν, ἐδὲ ὁπότε σε τὴν ἀρχὴν ἐκ τῆς Λακεδαίμονος τῆς ἐπεράσῃ ἔπλεον ἁρπάσας ἐν ταῖς θαλασσοπλόοις ναυσίν, "ἐν δὲ τῇ τραχείᾳ νήσῳ ἡνώθην φιλίᾳ καὶ συνεσίᾳ, ὡς σε νῦν ἐρῶ καὶ γλυκύς με πόθος καταλαμβάνει." ἔφη δή, καὶ προηγεῖτο τῆς ἐπὶ τὴν κοίτην ὁδῆ· συνηκολούθει δὲ ἡ γαμετή. ἔτοι μὲν δὴ ἐν ἁπαλαῖς κατεκοιμήθησαν κοίταις· ὁ δὲ Μενέλαος κατὰ τὸ πλῆθος ἐνθουσιαςικῶς περιήρχετο λέοντι παραπλήσιος (κατ' ἐξοχήν),

"εἴ πȣ θεάσοιτο Ἀλέξανδρον τὸν ὅμοιον θεῷ τὸ εἶδος. ἀλλ' ȣ̓δεὶς ἠδύνατο τῶν Τρώων ϗ τῶν ἐνδόξων ἐπικȣ́ρων ὑποδεῖξαι τὸν Ἀλέξανδρον τότε τῷ φιλοπολέμῳ Μενελάῳ. ȣ̓ γ̓ διὰ φιλίαν αὐτὸν ἔκρυπτον, εἴ τις αὐτὸν ἐθεάσατο· ἐπ' ἴσης γ̓ αὐτοῖς ἐμισεῖτο θανατηφόρῳ μοίρᾳ (πάντες γ̓ αὐτὸν ἐμίσȣν ὡς θανατηφόρον μοῖραν). "ἐν τȣ́τοις δὲ εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "ἀκȣ́σατέ μου ὦ Τρῶες ϗ Δαρδανίδαι ϗ ἐπίκȣροι. ἡ μὲν νίκη φανερά ἐςι τȣ̃ φιλοπολέμȣ Μενελάȣ· ὑμεῖς δὲ τὴν Πελοποννησιακὴν Ἑλένην ϗ τὰ κτήματα σὺν αὐτῇ ἀπόδοτε, καὶ πρόςιμον ἀποδιδόναι ὅπερ προσῆκεν, "ἥτις ϗ ἐν τοῖς μεταγενεςέροις ἀνθρώποις γένηται." οὕτως εἶπεν ὁ Ἀγαμέμνων, ἐπῄνουν δὲ (καὶ συγκατετίθεντο τῇ γνώμῃ αὐτοῦ) καὶ οἱ λοιποὶ Ἕλληνες.

Δ. ΟΡΚΙΩΝ ΣΥΓΧΥΣΙΣ. ΑΓΑΜΕΜΝΟΝΟΣ ΕΠΙΠΩΛΗΣΙΣ.

ΥΠΟΘΕΣΙΣ 1. *Δέλτα θεῶν ἀγορή, ὅρκων χύσις, ἄρεος ἀρχή.*

2. *Ἔδοξε τοῖς θεοῖς τὴν Ἴλιον ἁλῶναι· διὸ Ἀθηνᾶ μὲν Μενέλαον τοξευθῆναι ὑπὸ Πανδάρȣ παρεσκεύασε. καὶ ȣ̓τω συγχυθέντων τῶν ὅρκων Μαχάων μὲν ἰᾶται Μενέλαον, Ἀγαμέμνων δὲ ἀπελθὼν τὴν ςρατιὰν παρορμᾷ εἰς τὸν πόλεμον. συμβολῆς δὲ γενομένης πολλοὶ ἑκατέρωθεν ἀναιρȣ̃νται.*

3. *Τοῦ Ἀλεξάνδρȣ ἡττηθέντος καὶ τȣ̃ Ἀγαμέμνονος ἀπαιτȣ̃ντος κατὰ τὰς συνθήκας τήν τε Ἑλένην καὶ τὰ σὺν αὐτῇ ἁρπαγέντα κτήματα καὶ τὴν ὑπὲρ τȣ̃ ἀδικήματος τιμωρίαν, ἐν Διὸς οἱ θεοὶ βȣλεύονται περὶ τῆς Ἰλίȣ. καὶ Ζεὺς προτραπεὶς ὑπὸ τῆς Ἥρας ἀποςέλλει τὴν Ἀθηνᾶν εἰς τὸ τῶν Τρώων ςράτευμα σύγχυσιν τῶν ὅρκων ἐργασομένην. ἡ δὲ παραγενομένη πείθει Πάνδαρον τὸν Ζελείτην τοξεῦσαι τὸν Μενέλαον. καὶ βληθέντος αὐτȣ̃ Ἀγαμέμνων ὀδύρεται καὶ Μαχάονα τὸν ἰατρὸν μεταπέμπεται. καὶ ἔτι περὶ τὴν θεραπείαν Μενελάȣ ἀσχολȣμένων τῶν ἀρίςων ἐπίασιν οἱ Τρῶες σὺν ὅπλοις. Ἀγαμέμνων δὲ ἐπιὼν τὸ ςρατόπεδον τȣ̀ς μὲν ἤδη παρατασσομένȣς παρακαλεῖ καὶ ἐπαινεῖ, τοῖς δὲ ἀγνοȣ̃σι τὴν ἔφοδον τῶν Τρώων ἐπιπλήσσει, καὶ οὕτως συμπεσόντων αὐτῶν εἰς τὴν μάχην ἑκατέρωθεν πίπτουσι πολλοί.*

Οἱ δὲ θεοὶ παρὰ τῷ Διὶ καθήμενοι διελέγοντο ἐν τῷ κεχρυσωμένῳ ϗ καλῷ οἴκῳ· ἐν αὐτοῖς δὲ ἡ σεβασμία Ἥβη τὸ τῶν θεῶν πόμα ἐνέχει· ȣ̃τοι δὲ χρυσοῖς ἐκπώμασιν ἐφιλοφρονȣ̃ντο ἀλλήλȣς τὴν Ἴλιον ὁρῶντες. "εὐθέως δὲ ἀπόπειραν ἐποιεῖτο ὁ Ζεὺς ἐρεθίζειν τὴν Ἥραν ἐρεθιςικοῖς λόγοις παραβολάδην (ἀπατητικῶς) δημηγορῶν. "δύο μὲν τῷ Μενελάῳ βοηθοί εἰσι τῶν θεῶν, Ἥρα τε ἡ ἐν Ἄργει τιμωμένη ϗ ἡ βοηθȣ̃σα τῇ δυνάμει Ἀθηνᾶ. ἀλλὰ αὗται μὲν χωρὶς καθήμεναι ὁρῶσαι "τέρπονται· τȣ́τῳ δὲ ἡ φιλȣ̃σα τὰ μήδεα Ἀφροδίτη ἀεὶ παραμένει καὶ τὸν θάνατον αὐτȣ̃ ἀποτρέπει, ϗ τὰ νῦν διέσωσε προσδοκῶντα ἀποθανεῖν. ἀλλ' ἡ μὲν νίκη τȣ̃ φιλοπολέμȣ Μενελάȣ· ἡμεῖς δὲ βȣλευώμεθα ὃν τρόπον γενήσεται ταῦτα τὰ ἔργα, "ἢ δὴ ἐκ δευτέρȣ τὸν κακωτικὸν πόλεμον ϗ τὴν κατὰ πλήθη τὴν δεινὴν μάχην ἐμβαλȣ̃μεν, ἢ φιλίαν Τρωσὶ ϗ Ἕλλησιν ἐν ἀμφοτέροις βάλωμεν. εἰ δὲ ȣ̃τως τȣ̃το ἅπασι προσφιλὲς ϗ ἡδὺ εἴη· οὕτως γ̓ ἂν οἰκοῖτο ἡ πόλις τȣ̃ βασιλέως Πριάμȣ, πάλιν δὲ τὴν Πελοποννησιακὴν Ἑλένην ὁ Μενέλαος ἐπανάγοιτο." "οὕτως εἶπεν· αὗται δὲ μεμυκόσι χείλεσιν ἐπεςέναξαν Ἀθηνᾶ τε ϗ Ἥρα. ἐγγὺς αὗται ἐκαθέζοντο, κακωτικὰ δὲ τοῖς Τρωσὶ διενοȣ̃ντο. ἡ μὲν Ἀθηνᾶ ἥσυχος ἦν ϗ ȣ̓δὲν ἐφθέγξατο ὀργιζομένη Διὶ τῷ πατρί· ὀργὴ δὲ αὐτὴν ἀπηνὴς κατελάμβανεν· ἡ δὲ Ἥρα ȣ̓κ ἐχώρησε κατὰ τὸ ςῆθος τὴν ὀργήν, ἀλλὰ πρὸς αὐτὸν εἶπεν ""ὦ δεινότατε υἱὲ τȣ̃ Κρόνȣ, ὁποῖον τὸν λόγον εἶπας. πῶς βούλει μάταιον ποιῆσαι τὸν κάματον ϗ ἀπλήρωτον τὸν ἱδρῶτα ὃν ἵδρωσα καμάτῳ; ἐκοπίασαν δέ μȣ οἱ ἵπποι τὸν λαὸν ἀθροιζȣ́σῃ κατὰ τȣ̃ Πριάμȣ ϗ τῶν τȣ́του παίδων. πρᾶττε· οὐ μὴν συναινȣ̃μέν σοι οἱ λοιποὶ θεοί." "πρὸς ταύτην δὲ μέγα ςενάξας εἶπεν ὁ τὰς νεφέλας συναθροίζων Ζεύς "ὦ κακόδαιμον, τί δή σε ὁ Πρίαμος ϗ οἱ τούτȣ παῖδες τοσαῦτα κακὰ πράττȣσιν, ὅτι ἀδιαλείπτως προθυμῇ τῆς Ἰλίȣ ἐκπορθῆσαι τὸ καλῶς ἐκτισμένον πόλισμα; ἐὰν δὲ σύγε εἰσελάσασα τὰς πύλας ϗ τὰ ὑψηλὰ τείχη "ὠμὸν φάγοις τὸν Πρίαμον ϗ τȣ̀ς τούτȣ παῖδας ϗ τȣ̀ς λοιπȣ̀ς Τρῶας, τότε ἂν τὴν ὀργὴν θεραπεύσειας. πρᾶξον ὅπως ἂν βȣ́λῃ· μὴ αὕτη ἡ φιλονεικία ἐν τῷ μετὰ ταῦτα χρόνῳ σοὶ καὶ ἐμοὶ μέγας παροξυσμὸς ἐν ἀμφοτέροις γένηται. ἄλλο δέ σοι ἐρῶ, σὺ δὲ ταῖς σαῖς διανοίαις ἔμβαλε. "ὁπότε ἂν ἐγὼ προθυμȣ́μενος τὴν πόλιν καταςρέψαι ἣν ἂν βȣληθῶ, ἔνθα σοι προσφιλεῖς ἄνδρες ἐγγεγένηνται (κατοικȣ̃σι), μηδαμῶς ἀναβάλλεσθαι τὴν ἐμὴν ὀργὴν ἀλλὰ συγχωρῆσαί μοι. ϗ γ̓ ἐγὼ σοὶ ἔδωκα ἄκοντι λογισμῷ. αἵτινες γ̓ ὑφ' ἡλίῳ ϗ ȣ̓ρανῷ τῷ ἀςέρας ἔχοντι "κατοικȣ̃νται πόλεις τῶν ἐπιγείων ἀνθρώπων, τȣ́των μοι ἐκ ψυχῆς ἐτιμᾶτο ἡ ἱερὰ ϗ μεγάλη Ἴλιος ϗ ὁ Πρίαμος ϗ ὁ λαὸς Πριάμȣ τȣ̃ πολεμικȣ̃. ȣ̓δὲ πώποτε γάρ μȣ ὁ βωμὸς ἐνδεὴς τῆς ἰσομοίρȣ εὐωχίας ϗ σπονδῆς ϗ ἀναθυμιάσεως· ταύτης γ̓ τῆς τιμῆς κατηξιώθημεν ὑπὸ τῶν ἀνθρώπων." "πρὸς τȣ̃τον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ἡ μεγαλόφθαλμος ϗ σεμνὴ Ἥρα "ἐμοὶ μὲν δὴ τρεῖς προσφιλέςαταί εἰσι πόλεις, τό τε Ἄργος ϗ ἡ Σπάρτη ϗ ἡ πλατυάμφοδος Μυκήνη. ταύτας ἐκπορθῆσαι, ὅταν σοι μισηθῶσιν ἐκ ψυχῆς· τȣ́των ȣ̓δαμῶς σοι ἐγὼ ὑπερμαχῶ οὐδὲ ἀντιπράττω. "εἴπερ γ̓ φθονῶ ϗ ȣ̓κ ἐῶ διαπορθῆσαι, ȣ̓δὲν ὠφελῶ φθονȣ̃σα, ἐπεὶ πολὺ κρείττων ὑπάρχεις. ἀλλὰ προσῆκόν ἐςι ϗ τὸν ἐμὸν ποιῆσαι πόνον μὴ ἀτελείωτον. ϗ γ̓ ἐγὼ θεός εἰμι, τὸ δὲ γένος ἐμοὶ ἐντεῦθέν ἐςιν ὅθεν ϗ σοί· καμε ἐντιμοτάτην ἐγέννησε Κρόνος ὁ σκολιὰ βουλευόμενος (συνετός), "κατ' ἀμφότερα, τῇ τ' εὐγενείᾳ ϗ ὅτι σὴ γαμετή εἰμι, σὺ δὲ ἐν πᾶσι τοῖς ἀθανάτοις θεοῖς βασιλεύεις. ἀλλὰ γ̓ ταῦτα συγχωρήσωμεν ἀλλήλοις, σοὶ μὲν ἐγώ, σὺ δὲ ἐμοί· ἐπακολȣθήσȣσι δὲ ϗ οἱ λοιποὶ θεοὶ (τῇ ἡμῶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γνώμῃ) οἱ ἀθάνατοι. σὺ δὲ τάχιον πρόσαξον τῇ Ἀθηνᾷ
65 ἀπιέναι εἰς τὴν τῶν Τρώων καὶ Ἑλλήνων δεινὴν μάχην
καὶ ἀπόπειραν λαβεῖν ὅπως ἂν οἱ Τρῶες τὺς ὑπεράραντας
τῇ δόξῃ Ἕλληνας προλάβωσι πρότεροι ὑπὲρ τῶ τὺς ὅρκυς
βλάψαι παρελθεῖν." ἔτως εἶπεν· ἐ παρήκεσε δὲ ὁ πατὴρ
τῶν ἀνδρῶν καὶ τῶν θεῶν, ἀλλ' εὐθέως πρὸς τὴν Ἀθηνᾶν
γολόγυς ταχεῖς εἶπεν. "ταχέως πάνυ εἰς τὸ ςρατόπεδον ἄπελ-
θε πρὸς τὺς Τρῶας καὶ τὺς Ἕλληνας, καὶ ἀπόπειραν ποιή-
σον ὅπως ἂν οἱ Τρῶες τὺς ἄγαν ἐνδόξυς Ἕλληνας προ-
λάβωσι πρότεροι ὑπὲρ τῶ τὺς ὅρκυς βλάψαι παρελθεῖν."
ἔτως εἰπὼν παρώρμησε πρῶτον προθυμεμένην τὴν Ἀθη-
ναν· ἐπορεύθη δὲ διὰ τῶν τῶ Ὀλύμπυ ἀκρωτηρίων ὁρμή-
σασα. "ὁποῖον δὲ ἀςέρα ἔπεμψεν ὁ τῶ Κρόνυ παῖς τοῦ
σκολιὰ βαλευομένυ ἢ ναύταις σημεῖον ἢ τῷ μεγάλῳ ςρα-
τοπέδῳ τῶν ὄχλων, λαμπρόν, τούτῳ δὲ (τῶ ἀςέρος) πολ-
λοὶ ἀφίενθ σπινθῆρες, τότῳ ὁμοία ὥρμησεν ἐπὶ τὴν γῆν
ἡ πολεμικὴ Ἀθηνᾶ, κατεπήδησε δὲ εἰς τὸ μέσον. ἔκπληξις
δὲ κατέχε βλέποντας "τύς τε πολεμικὺς Τρῶας καὶ τοὺς
εὐόπλυς Ἕλληνας. ἔτω δέ τις εἶπε θεασάμενος πλησίον
εἰς ἄλλον "ἢ πάλιν τις πόλεμος κακωτικὸς καὶ μάχη δεινὴ
ἔςαι, ἢ φιλίαν ἀμφοτέροις ποιεῖ ὁ Ζεύς, ὅσις τῶν ἀνθρώ-
πων ταμίας τῶ πολέμυ ὑπάρχει." "ἔτως ἄρα τις εἶπε τῶν
Ἑλλήνων καὶ τῶν Τρώων. αὕτη ἀνδρὶ ὁμοία εἰς τὸ τῶν
Τρώων κατῆλθε πλῆθος, Λαοδόκῳ τῷ παιδὶ Ἀντήνορος
τῷ ἰχυρῷ πολεμισῇ, Πάνδαρον τὸν Ἰσόθεον ζητῦσα εἰ πε
εὕροι. κατέλαβε δὲ τὸν Πάνδαρον τὸν ἄψογον καὶ ἰχυρόν
(ἤτοι τὸν ἀγαθὸν τῇ τοξικῇ) "ἑσηκότα· περὶ αὐτῷ δὲ αἱ
ἰχυραὶ τάξεις τῶν πεζῶν ὁπλιτῶν ὄχλων, αἵτινες αὐτῷ
ἠκολέθεν ἀπὸ τῶ Αἰσήπυ. ἐγγὺς δὲ ςᾶσα λόγυς ταχυτά-
τυς εἶπεν "ἆρα ἄν μοι πειθοίης, τῶ Λυκάονος παῖ συνετέ;
καρτερήσειας ἂν ἐπιπέμψαι τῷ Μενελάῳ ταχὺ βέλος;
"πάντων δὲ ἂν τῶν Τρώων χάριν καὶ δόξαν κτήσῃ, ἐξ ἁπάν-
των δὲ ὑπερβαλλόντως Ἀλεξάνδρυ τῶ βασιλέως. παρὰ τό-
τυ δὴ πάντων πρῶτον λαμπρὰς δωρεὰς ἀπενέγκοιο, ἐὰν
θεάσῃ τὸν πολεμικὸν Μενέλαον τὸν τῶ Ἀτρέως παῖδα
τῷ σῷ βέλει ἀναιρεθέντα καὶ πυρᾶς ἐπιβιβαθέντα τῆς χα-
λεπῆς. "ἀλλ' ἄγε τόξευσον κατὰ τῶ ἐνδόξυ Μενελάυ,
εὔχυ δὲ τῷ ἐν Λυκίᾳ γεγεννημένῳ Ἀπόλλωνι τῷ ἐνδόξῳ
περὶ τὴν τοξικὴν ἀρνῶν πρωτογεννήτων θύσειν ἔνδοξον
θυσίαν εἰς τὴν οἰκείαν ὑποςρέψας, εἰς τὸ πόλισμα τῆς με-
γάλης Ζελείας." ἔτως εἶπεν ἡ Ἀθηνᾶ· τότῳ δὲ τὰς διά-
νοίας τῷ ἀνοήτῳ ἔπειθεν. "εὐθέως ἐγύμνε τόξον τὸ κα-
λῶς κατεσκευασμένον τῆς πηδητικῆς αἰγὸς τῆς ἀγρίας, ἣν
ἔκανε δή ποτε αὐτὸς ὑπὸ τὸ σῆθος ἐπιτυχὼν τῆς πέτρας
ἐξιῦσαν ἐπιτηρήσας ἐν τόποις πρὸς ἐνέδραν ἐπιτηδείοις
προσκοπεῦσαι ἔβαλε πρὸς τὸ σῆθος· ἔτος δὲ ἐπὶ νῶτα ἔπε-
σεν ἐν τῇ πέτρᾳ· ταύτης κέρατα ἐκ τῆς κεφαλῆς ἐκκαίδεκα
παλαιῶν ἐβεβλαςήκει. "καὶ ταῦτα μὲν κοσμήσας ὁ κερα-
ογλύφος προσήρμοσε τοξοποιύς, ὅλον δὲ λεῖον ποιήσας (ἢ
ἔσας) χρυσῆν ἐπέβαλε κορώνην (ἢ κόκαν). καὶ τῦτο μὲν καλῶς
κατέθηκεν ἐκτείνας πρὸς τῇ γῇ, ἐπερείσας ἑαυτὸν· ἔμπροσθεν
δὲ αὐτῦ τὰς ἀσπίδας ἔχον οἱ ἀγαθοὶ ἑταῖροι, μὴ πρότερον ἀν-
ορμήσειαν οἱ πολεμικοὶ Ἕλληνες "πρὶν βλῆθῆναι Μενέλαον
τὸν πολεμικὸν τῶ Ἀτρέως παῖδα. ἔτος δὲ ἐγύμνε τὸ πῶ-
μα τῆς βελοθήκης, ἐξείλετο δὲ βέλος μηδέπω βεβλημένον
(καινόν), ταχέως φερόμενον, ἔρεισμα τῶν εἰς βάθος διηκεσῶν
ὀδυνῶν. εὐθέως δὲ ἐπὶ τῇ νευρᾷ ἥρμοζε (κατετίθει) τὸ ὀδυνη-
ρὸν βέλος, ηὔξατο δὲ τῷ ἐν Λυκίᾳ τιμωμένῳ καὶ ἐνδόξῳ τὴν το-
ξικὴν Ἀπόλλωνι "ἀρνῶν πρωΐμων θύσειν λαμπρὰν καὶ μεγά-
λην θυσίαν εἰς τὴν οἰκίαν ὑποςρέψας, εἰς τὸ πόλισμα Ζελείας
τῆς μεγάλης· εἶλκε δὲ ὁμῦ τὰς γλυφίδας λαβὼν καὶ τὴν
βοείαν νευράν. τὴν μὲν νευρὰν τῷ μαςῷ προσήγαγε, τῷ
τόξῳ δὲ τὴν ἀκμὴν τῶ βέλυς. ἐπειδὴ δὲ τὸ εὔκυκλον μέγα
τόξον ἐνέτεινεν, "ἦχόν τινα ποιὸν τὸ τόξον ἀπετέλεσεν, ἡ
δὲ νευρὰ μεγάλως ἤχησεν, ἀφήλατο δὲ τὸ βέλος τὸ ταχέως
βαλλόμενον, κατὰ τὸ πλῆθος ἐπιπετασθῆναι προθυμέμε-
νον. ἐδὲ σῦ ὦ Μενέλαε οἱ μακαρισμῦ ἄξιοι θεοὶ ἐπελά-
θοντο, οἱ ἀθάνατοι, πρώτη δὲ ἡ τῶ Διὸς θυγάτηρ ἡ Ἀθηνᾶ,
ἥτις σε προσαθεῖσα (ὑπεράσπισασα) τὸ πικρὸν βέλος ἀπεσό-
βει. "αὕτη δὲ τοσῦτον ἀπεῖργεν ἀπὸ τῶ σώματος καθάπερ μή-
τηρ (δίκην μητρός) ἀπὸ τῶ παιδὸς ἀπείργει μυῖαν, ὁπότε ἡδυ-
τάτῳ κρατηθεὶς κοιμηθῇ ὕπνῳ. αὕτη δὲ πάλιν (ἢ δαίμων)
ἐπ' εὐθείας ἐνεχθῆναι ἐποίησεν ὅπε οἱ συνέχοντες καὶ συ-
σφίγγοντες τὸν ζωςῆρα ἱμάντες οἱ χρυσοῖ συνεῖχον καὶ ὁ
διπλῶς ἀπήντα θώραξ. ἐνέπεσι δὲ ζωςῆρι τῷ εὖ ἡρμοσμέ-
νῳ τὸ πικρὸν βέλος. "διὰ μὲν δὴ τῶ ζωςῆρος διεληλύθει
τῶ πολυκατεργάςυ καὶ διὰ τῶ θώρακος τῶ πάνυ ποικίλου
ἐνεπάγη (ἡρμόθη) καὶ τῆς ζώνης ἣν ἐφόρει φύλαγμα καὶ ἀσφά-
λειαν τῶ σώματος καὶ τειχίον καὶ περίφραγμα τῶν δοράτων,
ἥτις αὐτῷ πολὺ ἐβοήθησε. διῆλθε δὲ καὶ διὰ ταύτης τὸ
βέλος, καὶ ἐξέπεσε τὴν ἐπιφάνειαν τῶ σώματος τῶ ἀνδρός·
"εὐθέως δὲ ἐφέρετο αἷμα μέλαν ἐκ τῶ τραύματος. καθά-
περ δέ τις ἐλεφάντινον ὀςῶν γυνὴ ἐρυθρῷ χρώματι βάψει,
Λυδὴ ἢ Καρίνη, παραγναθίδιον (χαλινάριον) εἶναι ἵππυ, κεῖ-
δὲ ἐν τῷ οἴκῳ, πολλοὶ δὲ αὐτὸ ηὔξαντο ἵππεις φορεῖν, βασιλεῖ
δὲ ἀπόκει καλλώπισμα, "κατ' ἄμφω κόσμος τε τῷ ἵππῳ
καὶ τῷ ἡνιόχῳ δόξα· τοιῶτοί σοι ὦ Μενέλαε ἐμολύνθησαν
τῷ αἵματι οἱ μηροὶ οἱ εὐφυεῖς αἵ τε κνῆμαι καὶ τὰ καλὰ σφυ-
ρὰ ὑποκάτωθεν. ἐφοβήθη δὲ μετὰ ταῦτα ὁ βασιλεὺς τῶν
ἀνδρῶν Ἀγαμέμνων, ἡνίκα ἐθεάσατο τὸ μέλαν αἷμα κα-
ταφερόμενον ἐκ τῶ τραύματος· "ἐφοβήθη δὲ καὶ αὐτὸς ὁ
φιλοπόλεμος Μενέλαος. ὅτε δὲ ἐθεάσατο τό τε νεῦρον καὶ
τὰς ἀκίδας τῶ βέλυς ἔξω ὄσας (ὁρωμένας), εἰς τὲπίσω πά-
λιν αὐτῷ ἡ ψυχὴ ἐν ταῖς διανοίαις ἠθροίωθη. ἐν τότοις
δὲ βαρέως ςενάζων εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων, τῆς χει-
ρὸς κρατῶν τὸν Μενέλαον — ἐπεξένιζον δὲ οἱ φίλοι — "
"ὦ
φίλτατε ἀδελφέ, τὸν θάνατον δή σοι τὲς ὅρκυς ἐποίησα
(ἀντὶ τῶ ἐπὶ τῷ σῷ θανάτῳ τὲς ὅρκυς ἐποιησάμην) μόνον
σε προσήσας ἔμπροσθεν τῶν Ἑλλήνων τοῖς Τρωσὶ πολε-
μεῖν, ὃν τρόπον σε ἔβαλον οἱ Τρῶες καταφρονήσαντες τῶν
ὅρκων. ἐδαμῶς δὲ μάταιον γενήσεθ τὸ ἐπιόρκιον αἷμα
τῶν ἀρνῶν καὶ αἱ σπονδαὶ αἱ δι' ἀκράτυ οἴνυ γινόμεναι καὶ

δοαὶ δεξιώσεις αἷς ἐπεπιστεύκειμεν. "εἴπερ γ᾽ ἀ παραχρῆμα ὁ Ζεὺς ἐκ εἰς τέλος ἤγαγεν, ἐκτελέσει δὲ μετὰ πολύ (βραδύ), σύν τε μεγάλῳ χόλῳ ἀπέδωκαν, σὺν ταῖς ἑαυτῶν κεφαλαῖς μετὰ γυναικῶν ἀ τέκνων. καλῶς γ᾽ ἐγὼ τᾶτο γινώσκω κατὰ διάνοιαν ἀ κατὰ ψυχήν· γενήσετ᾽ ἡμέρα ὅταν ποτὲ ἀπόληται ἡ ὑψηλὴ Ἴλιος "καὶ ὁ Πρίαμος ἀ ὁ λαὸς τᾶ καλῶς τᾷ μελίᾳ χρωμένω Πριάμω, ὁ Ζεὺς δὲ αὐτοῖς ὁ ἐφ᾽ ὑψηλοῦ τᾶ θρόνω καθεζόμενος, ὁ παῖς τᾶ Κρόνω ὁ ἐν αἰθέρι κατοικῶν, αὐτὸς ἐπισείσει τὴν σκοτεινὴν αἰγίδα (φοβερὰν ὀργὴν) πᾶσιν, ὑπὲρ ταύτης τῆς πλάνης ὀργιζόμενος. ταῦτα μὲν γενήσετ᾽ ἐκ ἀπλήρωτα· ἀλλά μοι δεινὴ λύπη ἕνεκα σᾶ γενήσετ᾽ ὦ Μενέλαε, "ἐὰν ἀποθάνῃς ἀ τὴν πεπρωμένην ἀναπληρώσῃς τᾶ βίᾳ (ἦγον ἀναπληρώσῃς τὸν μεμοιραμένον σοι τᾶ βίᾳ χρόνον). ἀ δὴ ἂν ἐπονείδιςος εἰς τὸ πολλοῖς ἔτεσι διῳῆσαν Ἄργος παραγενοίμην· εὐθέως γ᾽ μνείαν ποιήσονται οἱ Ἕλληνες τᾶς πατρῴας γᾶς. ἀ δὴ ἂν καύχημα τῷ Πριάμῳ ἀ τοῖς Τρωσὶ καταλείψειαν τὴν Πελοποννησιακὴν Ἑλένην. σᾷ δὲ τὰ ὀξᾶ σήψει ἡ γᾶ "πεσόντος ἐν τᾷ Τροίᾳ ἐπὶ τῷ ἀτελέςῳ ἀ ἀπλῃρώτῳ πολέμῳ. ἀ δή τις ἐρεῖ Τρώων τῶν ὑπερηφάνων, τῷ τάφῳ ἐφαλλόμενος τοῦ ἐνδόξα Μενελάα "'εἴθε ἔτως ἐφ᾽ ἅπασι τὴν ὀργὴν ἐκπληρώσειεν ὁ Ἀγαμέμνων, ὥσπερ ἀ νῦν μάταιον τὸ στράτευμα ἦγαγεν ἐνταῦθα τῶν Ἑλλήνων, "καὶ δὴ πεπόρευται οἶκαδε εἰς τὴν προσφιλῆ πατρῴαν γᾶν σὺν κεναῖς ταῖς ναυσί, καταλιπὼν τὸν ἀνδρεῖον Μενέλαον.'" ἔτω ποτέ τις ἐρεῖ· τηνικαῦτά μοι διαραίη τὸ χάσμα τᾶς γᾶς." τᾶτον εὐθαρσέσερον ἀ εὔψυχον ποιῶν εἶπεν ὁ πυῤῥὸς Μενέλαος "θάρσησον, μηδέ πω εἰς δέος ἀ φόβον ἄγε τὸν ὄχλον τῶν Ἑλλήνων. "ἐκ ἐν ἐπικινδύνῳ τόπῳ τὸ ὀξὺ βέλος ἐπάγη, ἀλλ᾽ ἔμπροσθεν ἐφύλαξεν ὁ ζωσὴρ ὁ παμποίκιλος ἀ ὑποκάτωθεν ὁ ζωσὸς χιτὼν ἀ ἡ χαλκῆ λεπίς, ἥντινα οἱ χαλκεῖς κατεσκεύασαν ἄνδρες." πρὸς τᾶτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων "εἴθε γ᾽ ἔτως γένοιτο ὦ προσφιλέσατε Μενέλαε. "τὸ δὲ τραῦμα ὁ ἰατρὸς ἐπιψηλαφήσει ἀ ἐπιθήσει ἰάματα, ἅπερ δὴ παύσῃ τὸ πάθος τῶν πικρῶν ὀδυνῶν." εἶπε, ἀ Ταλθύβιον τὸν θαυμαςὸν κήρυκα προσεφώνει. "ὦ Ταλθύβιε, ὡς τάχος τὸν Μαχάονα ἐνταῦθα κάλεσον τὸν ἀνδρεῖον τᾷ Ἀσκληπιᾷ παῖδα τᾷ ἀγαθοῦ (ἀψόγω) ἰατρᾷ, "ὅπως θεάσῃ τὸν πολεμικὸν Μενέλαον τὸν τᾷ Ἀτρέως παῖδα, ὑντινά τις τοξεύσας ἐπέτυχε τῆς τοξικῆς ἐπισήμων τῶν Τρώων ἢ τῶν Λυκίων. αὐτῷ μὲν ἡ δόξα, ἡμῖν δὲ λύπη." ἔτως εἶπεν· ἐδὲ δὴ αὐτῷ ὁ κῆρυξ παρήκεσεν ἀκέσας, διέβη δὲ κατελθεῖν κατὰ τὸν ὄχλον τῶν σιδηροθωράκων Ἑλλήνων, "περιβλεπόμενος τὸν ἡμίθεον Μαχάονα. τᾶτον δὲ ἐθεάσατο ἑςηκότα, περὶ αὐτὸν δὲ ἐχυραὶ τάξεις ὁπλιτῶν, λαῶν οἵτινες αὐτῷ ἠκολούθησαν ἐκ τῆς Τρίκης τῆς ἱπποτρόφω. πλησίον δὲ ὰς λόγως ταχεῖς πρὸς αὐτὸν εἶπεν. "διεγείρω (ἀνίςασο) ὦ Ἀσκληπιᾶ παῖ Μαχᾶον· καλεῖ σε ὁ βασιλεὺς Ἀγαμέμνων, "ὅπως θεάσῃ τὸν πολεμικὸν Μενέλαον τᾷ Ἀτρέως υἱόν, ὑντινά τις τοξεύσας ἔτρωσε τῆς τοξικῆς ἐπισήμων, τῶν Τρώων ἢ τῶν Λυκίων. αὐτῷ μὲν ἡ δόξα, ἡμῖν δὲ λύπη." ἔτως εἶπε, τούτω δὲ τὴν ψυχὴν ἐν τῷ ςήθει διετάραξεν (διήγειρεν)· ἐπορεύθησαν δὲ ἀπιέναι κατὰ τὸ πλῆθος κατὰ τὸ πολὺ ςρατόπεδον τῶν Ἑλλήνων. "ἀλλ᾽ ἡνίκα δὴ παρεγένοντο ὅπω ὁ πυῤῥὸς Μενέλαος βεβλημένος ἦν — περὶ δὲ αὐτὸν συνηθροισμένοι ἦσαν ὅσοι ἄριςοι ἐν κύκλῳ, οὗτος δὲ ἐν μέσοις εἱστήκει ὁ ἰσόθεος ἀνήρ —, εὐθέως δὲ ἐκ τω ζωςῆρος τᾶ εὖ ἡρμοσμένω ἔξω εἶλκε τὸ βέλος. τότω δὲ εἰς τὰπίσω ἑλκομένω κατεάγησαν αἱ γωνίαι ἀ ἐξοχαὶ (αἱ ὀξεῖς τῶν ἀκίδων τᾶ βέλως). "ἔλυσε δὲ αὐτᾷ τὸν παμποίκιλον θώρακα ἀ ὑποκάτωθεν. τὸν ζωσόν τε χιτῶνα καὶ τὴν μίτραν ἥντινα οἱ χαλκεῖς ἔκαμνον ἄνδρες. ἐπεὶ δὲ ἐθεάσατο τὸ τραῦμα, ὅπω ἐνέπεσε τὸ πικρὸν βέλος, τὸ αἷμα ἐκθλίψας προσηνῇ δὲ φάρμακα εἰδὼς ἐπέπασεν, ἅπερ αὐτᾷ τῷ πατρί ποτε φιλοφρονέμενος ἐδωρήσατο ὁ Χείρων. "ἕως ἔτοι περὶ τὸν Μενέλαον τὸν ἀνδρεῖον ἠχολοῦντο, ἐν τοσάτω δὲ τῶν Τρώων αἱ τάξεις ἐπῆλθον τῶν ὁπλιτῶν. οὗτοι δὲ πάλιν τὰ ὅπλα ἐνεδύσαντο, μνήμην δὲ ἐποιοῦντο τῆς μάχης. τότε ἐκ ἂν νυςάζοντα (ἀμελοῦντα) θεάσαιο τὸν ἔνδοξον Ἀγαμέμνονα ἐδὲ ἀποδειλιῶντα ἐδὲ ἐκ ἐθέλοντα πολεμεῖν, "ἀλλὰ λίαν ἐπειγόμενον εἰς τὴν μάχην τὴν δοξάζεσαν τὰς ἄνδρας. τὰς μὲν γ᾽ ἵππως κατέλειπε ἀ τὰ πεποικιλμένα ὅπλα τῷ σιδήρῳ. ἀ τότως μὲν ὁ ἡνίοχος πόῤῥωθεν εἶχεν ἀθμαίνοντας, Εὐρυμέδων ὁ παῖς Πτολεμαίᾳ τᾷ Πειραΐδα, ᾧ τινὶ πάνυ πολλὰ παρηγγυᾶτο παραχεῖν, ἡνίκα ἂν αὐτὸν "κατὰ τὰ μέλη καταλάβοι κόπος πολλὰς διατάσσοντα (ἐπερχόμενον)· ἔτος δὲ πεζὸς ὑπάρχων ἐπήρχετο τὰς τάξεις τῶν ἀνδρῶν. ἀ δὴ ὃς μὲν ἐπειγομένως θεάσοιτο Ἑλλήνων τῶν ἱππικῶν, τούτως λίαν εὐθαρσεςέρως ἐποίει παραςὰς τοῖς λόγοις. "ὦ Ἕλληνες, μηδὲν ἀμελεῖτε τῆς ὁρμητικῆς δυνάμεως· "ἐ γ᾽ τοῖς ψεύςαις ὁ πατὴρ Ζεὺς γενήσετ᾽ βοηθός, ἀλλ᾽ οἵτινες πρότεροι περὶ τὰς ὅρκως ἔβλαψαν ἀ παρῆλθον, τέτων δὴ αὐτῶν τὸ ἁπαλὸν σῶμα αἱ γῦπες φάγωσιν, ἡμεῖς δὲ τὰς προσφιλεῖς γυναῖκας ἀ τὰ μικρὰ τέκνα ἀπαγάγωμεν ἐπὶ ταῖς ναυσίν, ἐπειδὰν τὴν πόλιν πορθήσωμεν." "οὕστινας δὲ ἀμελοῦντας θεάσοιτο τᾷ μισητοῦ πολέμω, τούτως λίαν ἐκακολόγει ὀργισικοῖς λόγοις. "ὦ Ἕλληνες οἱ περὶ τὰς ἰοὺς ἀ τὰ τόξα μεμορηκότες, ἐπονείδιστοι, ἐκ ἐντρέπεσθε (ἔτε αἰδεῖσθε); τί δή ποτε ἔτως ἐςήκατε ἐκπεπληγμένοι (διελωθέντες) καθάπερ ἔλαφοι, οἵτινες ἐπειδὴ ἐκοπίασαν διὰ πολλῆς πεδιάδος τρέχεσαι "ἴσαν, ἐδέ τις ἐν ταῖς διανοίαις αὐτῶν ἐςὶ δύναμις. ἔτως ὑμεῖς ἐςήκατε πτοούμενοι ἀ ὀ πολεμεῖτε. ἢ προσμένετε τοὺς Τρῶας ἐγγὺς ἐλθεῖν, ὅπω αἱ ναῦς εἰλκυσμέναι εἰσὶν αἱ καλαὶ ἐπὶ τῷ αἰγιαλῷ τῆς λευκῆς θαλάσσης, ὅπως θεάσησθε ἐὰν ὑμῖν ὑπερεκτείνῃ τὴν χεῖρα ὁ Ζεύς." "οὕτως ἔτος βασιλικῶς διατάσσων ἐπήρχετο τὰς τάξεις τῶν ἀνδρῶν. ἦλθε δὲ ἐπὶ τοῖς Κρησὶ παραγενόμενος κατὰ τὴν τάξιν τῶν ἀνδρῶν. οἱ δὲ περὶ τὸν συνετὸν Ἰδομενέα καθωπλίζοντο· Ἰδομενεὺς μὲν ἐπὶ τοῖς πρωταγωνισαῖς κάπρῳ ὅμοιος τὴν ἀνδρίαν, ὁ δὲ Μηριόνης αὐτῷ τὰς ἐχάτας ἐπεσπέδαζε τάξεις. "τούτω

δὲ θεασάμενος ἐχάρη ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων· εὐθέως δὲ πρὸς τὸν Ἰδομενέα εἶπε προσηνέσι λόγοις "ὦ Ἰδομενεῦ, περισσῶς μέν σε τιμῶ τῶν ἱππικῶν Ἑλλήνων καὶ ἐν τῷ πολέμῳ καὶ ἄλλῳ οἱῳδήποτε ἔργῳ καὶ ἐν εὐωχίᾳ, ὁπόταν ἔντιμον (κατὰ γέρας ὅ ἐξι τιμὴν διδόμενον) οἶνον "τῶν Ἑλλήνων οἱ ἄριστοι ἐν τοῖς ποτηρίοις κιρνῶσιν. ἐάνπερ γὼ οἱ λοιποὶ οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες μεμερισμένον πίνωσιν, καὶ τὸ σὸν δὴ πλῆρες ποτήριον ἀεὶ ἔσηκεν ὥσε ἐμοί, πιεῖν ὅτε ἡ ψυχὴ κελεύοι. ἀλλ' ὁρμήθητι εἰς τὸν πόλεμον ὁποῖος πρότερος καυχῶσαι εἶναι." "πρὸς τοῦτον δὲ δὴ Ἰδομενεὺς ὁ τῶν Κρητῶν ἡγεμὼν ἐξ ἐναντίας εἶπεν "ὦ Ἀγάμεμνον, λίαν μέν σοι εὐάρμοσος ἐγὼ φίλος εἰμί, ὡς τὸ πρῶτον ὑπεχόμην καὶ συνεθέμην. ἀλλὰ τὰς λοιπὰς παρόρμα τὰς τὰς κεφαλὰς κομῶντας Ἕλληνας, ὅπως τάχιστα πολεμήσωμεν, ἐπειδὴ συνέχεαν τὰς ὅρκους "οἱ Τρῶες· τοῖς δὲ θάνατος καὶ κακὰ μετὰ ταῦτα γενήσεται, ἐπειδὴ πρότεροι ὑπὲρ τοὺς ὅρκους ἔβλαψαν." ἔτως εἶπεν· ὁ Ἀγαμέμνων δὲ παρῆλθε χαίρων τὴν ψυχήν. ἦλθε δὲ ἐπὶ τοῖς Αἴασι παραγενόμενος κατὰ τὴν τάξιν τῶν ἀνδρῶν· ἔτοι δὲ καθωπλίζοντο, ὁμοῦ δὲ πλῆθος ἠκολούθει πεζῶν. "ὥσπερ δὲ ὅταν ἀφ' ὑψηλοῦ τόπου εἶδεν ἀχλὺν αἰγονόμος ἐρχομένην κατὰ θάλασσαν ὑπὸ τῆς τοῦ ζεφύρου πνοῆς· τότε δὲ ὑρρώθεν ἐρχομένῳ μέλαν καθάπερ πίσσα φαίνεται πορευομένη κατὰ θάλασσαν, φέρει δέ τε καταφορὰν ἀνέμου μετὰ κλαυθμοῦ πολλήν· ἐφοβήθη δὲ θεασάμενος, ὑπὸ τὸ σπήλαιον εἰσήγαγε τὰ θρέμματα· "τοσαῦτ' καὶ τοιαῦτ' ὁμοῦ τοῖς Αἴασι πλεμικῶν νεανιῶν εἰς τὸν διακοπτικὸν πόλεμον πολλαὶ ἐκίνητο τάξεις μέλαιναι, ταῖς ἀσπίσι καὶ τοῖς δόρασι πεπυκνωμέναι τῇ ἀνατάσει. καὶ τότε μὲν ἐχάρη ἰδὼν ὁ βασιλεὺς Ἀγαμέμνων, καὶ πρὸς αὐτὸς φωνήσας λόγοις ταχεῖς εἶπεν. "ὦ Αἴαντες τῶν Ἑλλήνων ἡγεμόνες τῶν σιδηροθωρήκων, ὑμᾶς μέν — οὐ πρέπει γὰρ παρορμᾶν — ἀδαμῶς κελεύω· τοὶ πάνυ τὸν ὄχλον κελεύετε ἰσχυρῶς πολεμεῖν. εἴθε γὰρ πάτερ Ζεῦ καὶ Ἀθηνᾶ καὶ Ἄπολλον τοιαύτη πᾶσι προθυμία ἐν τῇ διανοίᾳ γένοιτο· "ἔτως ἂν ταχέως ὀρθωθείη ἡ πόλις Πριάμου τοῦ βασιλέως ὑπὸ τῶν ἡμετέρων χειρῶν ληφθεῖσα καὶ πορθηθεῖσα." οὕτως εἰπὼν τότε μὲν ἐν αὐτῷ τῷ τόπῳ κατέλιπεν, ἐπορεύθη δὲ πρὸς τὰς ἄλλους. ἔτε ἔτος τὸν Νέσορα κατέλαβε τὸν ἡδὺν τῶν Πυλίων δηγόρον, τὰς ἰδίας ἑταίρους ἑτοιμάζοντα καὶ παρορμῶντα πολεμεῖν "περὶ τὸν μέγαν Πελάγοντα καὶ τὸν Ἀλάσορα καὶ Χρομίον καὶ τὸν Ἄιμονα καὶ τὸν Κρέοντα καὶ Βίαντα τὸν ποιμένα τῶν ὄχλων. τοὺς ἱππεῖς μὲν ἔμπροσθεν σὺν ἵπποις ἅρμασι, τοὺς δὲ πεζοὺς ἐξ εὐωνύμων ἔσησε πολλούς τε καὶ ἀγαθούς, τεῖχος εἶναι τῷ πολέμῳ· τοὺς δὲ δειλοὺς κατὰ τὸ μέσον συνέκλεισεν, "ὅπως καὶ μὴ βουλόμενός τις τῇ ἀνάγκῃ τοῦ τείχων πολεμῇ. τοῖς ἱππεῦσι μὲν πρῶτον προσέτασσε, τοὺς δὲ ἐκέλευσεν τοὺς ἰδίους ἵππους κατέχειν μηδὲ ταράσσεσθαι τῷ πλήθει. "καὶ μηδεὶς τῇ ἱππικῇ ἐμπειρίᾳ καὶ τῇ ἑαυτοῦ ἀνδρίᾳ πεπισευκὼς (τεθαρρηκὼς) μόνος ἔμπροσθεν τῶν ἄλλων προθυμείσθω τοῖς Τρωσὶ πολεμεῖν, "μηδὲ εἰς τοὐπίσω χωρείτω· ἀσθενέστεροι γὰρ καὶ εὐχείρωτοι ἔσεσθε. ὅστις δ' ἂν ἀνὴρ ἀπὸ τῶν ἰδίων ἁρμάτων εἰς ἕτερα ἅρματα παραγένηται, τῷ δόρατι ἀπεκτεινάτω, ἐπειδὴ κατὰ πολὺ κρεῖττον ἔτως. οὕτως καὶ οἱ προγενέστεροι τάς τε πόλεις καὶ τὰ τείχη κατέστρεφον, τοῦτον τὸν νοῦν καὶ τὸν λογισμὸν ἐν ταῖς διανοίαις ἔχοντες." "οὕτως ὁ γέρων παρώρμα ἐκ πολλοῦ χρόνου τὸ πολεμεῖν ἠσκηκώς. καὶ τοῦτον μὲν ἐχάρη ἰδὼν ὁ βασιλεὺς Ἀγαμέμνων, καὶ φωνήσας πρὸς αὐτὸν λόγους ταχεῖς καὶ ἁρμοδίως εἶπεν. "ὦ πρεσβῦτα, εἴθε ὡς ἡ προθυμία ἐν ταῖς προσφιλέσι διανοίαις, ἔτως σοι καὶ τὰ γόνατα ἀκολουθοίη καὶ ἡ δύναμις ἀσφαλὴς γένοιτο. "ἀλλά σε τὸ γῆρας καταπονεῖ τὸ ὁμοίως πᾶσι χαλεπόν. εἴθε ὤφειλέ τις τῶν ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ νεωτέροις συναναστρέφεσθαι." πρὸς τοῦτον δὲ ἀπεκρίνατο ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέστωρ "ὦ Ἀτρέως παῖ, πάνυ μέν σε ἐγὼ βουλοίμην αὐτὸς ἔτως εἶναι ὡς ὅτε τὸν ἔνδοξον Ἐρευθαλίωνα ἐφόνευσα. "ἀλλ' οὐδαμῶς ὁμοῦ πάντα οἱ θεοὶ παρέχον τοῖς ἀνθρώποις. εἰ τηνικαῦτα νέος ὑπῆρχον, νῦν δέ με τὸ γῆρας κατέλαβεν. ἀλλὰ καὶ ἔτως ὢν ἅμα τοῖς ἱππεῦσιν ἔσομαι καὶ ἀφηγήσομαι βουλῇ καὶ λόγοις· αὕτη γάρ ἐστιν ἡ τῶν πρεσβυτῶν γνώμη καὶ τιμή (τὸ καλῶς συμβουλεύειν). τὰ δόρατα δὲ (ἀπὸ μέρους) ἀνακινήσουσιν οἱ νεώτεροι, οἵτινες ἁμοῦ "νεώτεροι γεγένηνται καὶ θαρρῶσι τῇ δυνάμει." οὕτως εἶπεν· ὁ δὲ Ἀγαμέμνων παρῆλθε χαίρων τὴν ψυχήν. εὗρε τὸν υἱὸν τοῦ Πετεῶ Μενεσθέα τὸν πολεμικὸν ἑστῶτα· περὶ αὐτὸν δὲ Ἀθηναῖοι εὐδήμονες τοῦ πολεμεῖν. ἐγγὺς δὲ εἱστήκει ὁ πολὺς ἐν βουλαῖς Ὀδυσσεύς· "παρ' αὐτῷ δὲ τῶν Κεφαλλήνων αἱ τάξεις αἱ ἰσχυραὶ (ἐκ ἀσθενεῖς) ἑστήκεισαν. ἃ γὰ αὐτῶν ἤκουσεν ὁ λαὸς τῆς μάχης, ἀλλὰ νεωστὶ συνταρασσόμεναι ἐκινοῦντο αἱ τάξεις τῶν πολεμικῶν Τρώων καὶ τῶν Ἑλλήνων· οἱ δὲ περιμένοντες ἑστήκεσαν, ὁπηνίκα τάξις τῶν Ἑλλήνων ἄλλη ἐπελθοῦσα κατὰ τῶν Τρώων ὁρμήσειε καὶ ἄρξαιντο τοῦ πολέμου. τότε δὲ θεασάμενος ὠνείδισεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων, καὶ πρὸς αὐτὸς φωνήσας λόγοις ταχεῖς εἶπεν. "ὦ υἱὲ τοῦ Πετεῶ τοῦ εὐγενοῦς βασιλέως καὶ σὺ ὦ τοῖς κακοποιοῖς δόλοις κεκοσμημένε, φιλοκερδέστατε (πανοῦργε), "τί δή ποτε δειλιῶντες ἄποθεν ἑστήκατε, περιμένετε δὲ ἄλλες; ὑμῖν μὲν προσήκει ἐν πρώτοις ὄντας ἑστηκέναι καὶ μάχης τῆς καυσικῆς ἀπαντῆσαι. πρῶτοι γὰρ καὶ τῆς εὐωχίας ἀκούετε τῆς ἐμῆς (ἐπὶ δαῖτα καλεῖσθε τὴν ἐμήν), ὁπηνίκα εὐωχίαν τοῖς ἐντίμοις παρασκευάζομεν οἱ Ἕλληνες· "ὅπου προσφιλῶς ὀπτὰ κρέα ἐσθίειν καὶ ποτήρια οἴνου πίνειν ἡδέος, ἕως ἐθέλητε. νῦν δὲ ἡδέως ἂν ἴδοιτε καὶ εἰ δέκα τάξεις τῶν Ἑλλήνων ὑμῶν ἔμπροσθεν μάχοιντο τῷ ἀνηλεεῖ σιδήρῳ." τοῦτον δὲ δὴ δεινῶς θεασάμενος ἔφη ὁ πολὺς ἐν βουλαῖς Ὀδυσσεύς "Ἀγάμεμνον, ποῖος λόγος ἐξέφυγε τῶν χειλέων ἦγουν πῶς δὴ λέγεις τοιαῦτα, τοῦ πολέμου ἀμελεῖν; ὁπότε οἱ Ἕλληνες Τρωσὶ τοῖς ἱππικοῖς ἐπεγείρωμεν ταχὺν πόλεμον, θεάσῃ, ἐὰν βούλῃ καὶ ἐάν σοι ταῦτα μέλῃ (διὰ φροντίδος χῆς), τοῦ Τηλεμάχου τὸν προσφιλῆ πατέρα ἐν τοῖς πρωταγωνισταῖς γενόμενον Τρώων τῶν ἱππικῶν. σὺ δὲ ταῦτα ἀνεμοφόρητα

(μάταια) λέγεις." πρὸς τȣ̃τον δὲ ἐπιμειδιάσας εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων, ὡς ἐπέγνω αὐτȣ̃ ὀργισθέντος· πάλιν δὲ ȣ̃τος ἐπανέλαβε τὸν λόγον. "ὦ εὐγενέςατε Λαέρτȣ παῖ, ἐν ταῖς βȣλαῖς ἐπαινετὲ Ὀδυσσεῦ, ȣ̃τε ὀνειδίζω σε παρὰ τὸ προσῆκον ȣ̃τε προςάσσω· "οἶδα γὰρ ὅτι σοι ἡ ψυχὴ ἐν ταῖς προσφιλέσι διανοίαις προσηνῆ βȣλεύματα οἶδε· ταῦτα γὰρ φρονεῖς ἅπερ κἀγώ. ἀλλ' ἄπιθι· ταῦτα δὲ ἐν τῷ μετὰ ταῦτα χρόνῳ ἐξιλεωσόμεθα, εἴ τι κακὸν νῦν λέλεκται. ταῦτα δὲ πάντα οἱ θεοὶ μάταια ποιήσειαν." οὕτως εἰπὼν τȣ́τȣς μὲν κατέλιπεν αὐτῷ τῷ τόπῳ, μετέβη δὲ ἐπὶ τȣ̀ς ἄλλȣς. "κατέλαβε δὲ τὸν τȣ̃ Τυδέως παῖδα τὸν μεγαλόψυχον Διομήδην ἑςηκότα σὺν τοῖς ἵπποις καὶ ἅρμασι τοῖς καλῶς συνηρμοσμένοις· παρ' αὐτῷ δὲ ἵςατο Σθένελος ὁ τȣ̃ Καπανέως υἱός. καὶ δὴ τȣ̃τον ἐκακολόγησεν ἰδὼν ὁ βασιλεὺς Ἀγαμέμνων, καὶ φωνήσας πρὸς αὐτὸν λόγȣς ταχεῖς εἶπεν. ""φεῦ μοι ὦ Τυδέως υἱὲ τȣ̃ συνετȣ̃ καὶ πολεμικȣ̃, τί κατέπτηχας, τί δὲ ἐπιτηρεῖς τὰς τȣ̃ πολέμȣ διεξόδȣς; ȣ̀δαμῶς δὴ τῷ Τυδεῖ ȣ̃τως προσφιλὲς καταπτήσσειν ἦν, ἀλλὰ πάνυ ἔμπροσθεν τῶν προσφιλῶν αὐτȣ̃ ἑταίρων τοῖς πολεμίοις πολεμεῖν. οὕτως εἶπον οἵτινες αὐτὸν ἐθεάσαντο ἐπιπονȣ̃ντα· ȣ̀δαμῶς γὰρ ἐγὼ "συνέτυχον ȣ̀δὲ ἐθεασάμην. ὑπὲρ τȣ̀ς ἄλλȣς λέγουσιν αὐτὸν γεγονέναι ἀνδρεῖον. ȣ̃τως γὰρ χωρὶς πολεμικῆς παρατάξεως εἰσῆλθεν εἰς τὰς Μυκήνας ξένος, ὁμȣ̃ τῷ ἰσοθέῳ Πολυνείκει τὸν λαὸν συνάγων. ȣ̃τοι δή ποτε ἐςρατοπεδεύοντο πρὸς τὰς Θήβας (περιφραστικῶς), καὶ δὴ πάνυ παρεκάλȣν δȣ̃ναι ἐνδόξȣς συμμάχȣς. "ȣ̃τοι δὲ ἐβȣ́λοντο δοῦναι καὶ συγκατέθεντο ὡς ἐκέλευον· ἀλλὰ Ζεὺς ἀπέςρεψεν (ἐκώλυσεν) ἐναντία σημεῖα φανερὰ ποιῶν. οὗτοι δὲ ἐπειδὴ ἐπορεύοντο καὶ προῆλθον τῆς ἐπὶ Θήβας ὁδȣ̃, τὸν δὲ Ἀσωπὸν κατέλαβον τὸν βαθεῖαν χοῖνον ἔχοντα καὶ βαθειᾶν πόαν, τότε δὴ τὸν Τυδέα ἄγγελον (ὅ ἐςι πρεσβευτήν) ἀπέςειλαν οἱ Ἕλληνες. "ȣ̃τος δὲ ἐπορεύθη, πολλȣ̀ς δὲ κατέλαβε Θηβαίȣς ἑςιωμένȣς (εὐωχȣμένȣς) κατὰ τὴν οἰκίαν τȣ̃ Ἐτεοκλέȣς. ἐκεῖσε ȣ̀δὲ ξένος ὑπάρχων ὁ ἱππηλάτης Τυδεὺς ἐφοβεῖτο, μόνος ὢν ἐν πολλοῖς Θηβαίοις· ἀλλ' ȣ̃τος ἀγωνίζεσθαι προεκαλεῖτο, ἐν παντὶ δὲ ἀγωνίσματι ἐνίκα "ῥᾳδίως (εὐκόλως)· τοιαύτη αὐτῷ βοηθὸς ἦν ἡ Ἀθηνᾶ. ȣ̃τοι δὲ ὀργισθέντες οἱ Θηβαῖοι οἱ κεντοῦντες τȣ̀ς ἵππȣς εἰς τȣ̀πίσω ἀνερχομένῳ πυκνὴν ἐνέδραν ἐκάθισαν λεληθότες, νέȣς πεντήκοντα· δύο δὲ ἡγεμόνες ὑπῆρχον, Μαίων ὁ τȣ̃ Αἵμονος παῖς ὅμοιος τοῖς θεοῖς "καὶ ὁ υἱὸς τȣ̃ Αὐτοφόνȣ ὁ ὑπομονητικὸς ἐν πολέμῳ Λυκοφόντης. ὁ Τυδεὺς μὲν καὶ ἐπὶ τȣ́τοις αἰκιςικὸν μόρον ἐπέβαλε· πάντας ἐφόνευσεν, ἕνα δὲ μόνον ἀπέλυσεν εἰς τὴν οἰκίαν ἐπανελθεῖν. τὸν Μαίονα δὴ προέπεμψε τοῖς τῶν θεῶν σημείοις πεισθείς. τοιοῦτος ἦν Τυδεὺς ὁ ἀπὸ τῆς Αἰτωλίας. ἀλλὰ τὸν τοιοῦτον παῖδα "ἐγέννησεν ἑαυτȣ̃ χείρονα ἐν τῷ πολέμῳ, ἐν δὲ τῷ δημηγορεῖν βελτίω." οὕτως εἶπε· πρὸς τȣ̃τον δὲ ȣ̀δαμῶς ἔφη ὁ ἰσχυρὸς Διομήδης, εὐλαβηθεὶς τὴν τȣ̃ βασιλέως ἐπίπληξιν τȣ̃ αἰδȣ̃ς καὶ ἐντροπῆς ἀξίȣ. πρὸς τȣ̃τον δὲ ὁ τȣ̃ Καπανέως παῖς Σθένελος ἀπεκρίνατο τȣ̃ ἐνδόξȣ "ὦ Ἀγάμεμνον, μὴ ψεύδȣ εἰδὼς (δυνάμενος) σαφῶς εἰπεῖν. "ἡμεῖς τῶν πατέρων κατὰ πολὺ βελτίονες καυχώμεθα εἶναι. ἡμεῖς καὶ τὰς Θήβας ἐπορθήσαμεν τὰς ἑπταπύλȣς, καὶ ὀλιγώτερον λαὸν ἀθροίσαντες ὑπὸ τὸ ἱερὸν τεῖχος τȣ̃ Ἄρεος, πειθαρχȣ̃ντες τοῖς σημείοις τῶν θεῶν καὶ τῇ τȣ̃ Διὸς βοηθείᾳ· ἐκεῖνοι δὲ ταῖς ἰδίαις ἁμαρτίαις καὶ ἀνοίαις ἀπώλοντο. "διὸ δὴ μηδαμῶς μοι τȣ̀ς πατέρας ποτὲ ἐν ἴσῃ συγκαταρίθμει τιμῇ." πρὸς τȣ̃τον δεινὸν ὑπιδὼν εἶπεν ὁ ἰσχυρὸς Διομήδης "ὦ τιμιώτατε, ἐν σιγῇ καθέζȣ, τῷ δὲ ἐμῷ πείθȣ λόγῳ· ȣ̀ γὰρ ἐγὼ μέμφομαι Ἀγαμέμνονι τῷ ποιμένι τῶν λαῶν παρορμῶντι πολεμεῖν τȣ̀ς εὐόπλȣς Ἕλληνας. "τȣ́τῳ μὲν γὰρ κλέος ὁμȣ̃ ἀκολȣθήσει, ἐὰν οἱ Ἕλληνες τȣ̀ς Τρῶας φονεύσωσι καὶ πορθήσωσιν Ἴλιον τὴν μεγάλην· τȣ́τῳ δὲ μεγίςη λύπη τῶν Ἑλλήνων φονευθέντων. ἀλλὰ φέρε καὶ ἡμεῖς φροντίδα ποιήσωμεν τῆς ἐνθȣσιαςικῆς δυνάμεως." ἔφη δὴ καὶ ἐκ τῶν ἁρμάτων σὺν ὅπλοις καθήλατο χαμαί· "ἐκπληκτικὸν δὲ ἤχησε τὰ ὅπλα ἐν τοῖς ςέρνοις τȣ̃ βασιλέως διεγερθέντος (ὁρμήσαντος), ὑφ' ȣ̃ ἂν ἤχȣ καὶ τὸν πάνυ καρτερὸν καὶ γενναῖον φόβος ἔλαβεν. καθάπερ δὲ ἐν αἰγιαλῷ μεγάλως ἠχȣ̃ντι κῦμα θαλάσσης διεγείρεται συνεχὲς Ζεφύρȣ ὑποκινήσαντος· ἐν τῷ πελάγει μὲν τὴν ἀρχὴν κορυφȣ̃ται, ἔπειτα δὲ "τῇ γῇ προσρησσόμενον μεγάλως ἠχεῖ, περὶ δὲ τὰ ἀκρωτήρια μετέωρον (ὑψηλὸν) ὑπάρχον διογκȣ̃ται (ἐπαίρεται, ὅ ἐςιν αὔξεται), ἀποῤῥίπτει δὲ τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα· ȣ̃τως τηνικαῦτα συνεχεῖς τῶν Ἑλλήνων ἐκινȣ̃ντο αἱ τάξει ἀδιαλείπτως εἰς τὸν πόλεμον. ἐκέλευε δὲ τοῖς ἰδίοις ἕκαςον τῶν ἡγεμόνων, οἱ δὲ λοιποὶ ἡσύχως καὶ χωρὶς θορύβȣ παρεγένοντο — ȣ̀δ' ἂν ὑπολάβοις "τοσȣ̃τον ὄχλον ἀκολȣθεῖν — κατέχοντες ἐν αὑτοῖς τὴν φωνήν, σιωπῇ δεδοικότες τοὺς ἡγεμόνας. ἅπασι δὲ τὰ πολλὰ τῷ χρώματι ὅπλα περιέλαμπεν, ἃ ἠμφιεσμένοι κατὰ τάξιν ἐπορεύοντο. οἱ Τρῶες δέ, ὥσπερ πρόβατα πολυθρέμμονος ἀνδρὸς ἐν ἐπαύλει πολλὰ ἵςαντο ἐκπιέζȣσαι γάλα λευκόν, "ἀδιαλείπτως μυκώμεναι, ἀκȣ́ȣσαι τὴν φωνὴν τῶν ἀρνῶν, ȣ̃τως Τρώων θόρυβος κατὰ τὸ πολὺ ςρατόπεδον διεγήγερτο. ȣ̀ γὰρ πάντων ἦν ὁ αὐτὸς θόρυβος ȣ̀δὲ ἡ αὐτὴ φωνή, ἀλλὰ γλῶσσαι μεμιγμέναι· ἐκ πολλῶν δὲ τόπων ἦσαν συγκεκλημένοι. διήγερε δὲ τȣ̀ς μὲν Τρῶας Ἄρης, τȣ̀ς δὲ Ἕλληνας ἡ γλαυκόφθαλμος Ἀθηνᾶ "καὶ ὁ Δεῖμος καὶ ὁ Φόβος καὶ ἡ Ἔρις ἀπλερώτως προθυμȣμένη, ἡ Ἄρεος τȣ̃ ἀνδροφόνȣ ἀδελφὴ καὶ φίλη, ἥτις (ἡ Ἔρις) μικρὰ μὲν τὴν ἀρχὴν μετεωρίζεται, μετὰ ταῦτα δὲ ἐν τῷ ȣ̀ρανῷ προσεπέλασε (ἤγγισε) τὴν κεφαλὴν καὶ ἐπὶ γῆς βαδίζει· ἥτις αὐτοῖς καὶ κατ' ἐκεῖνον τὸν χρόνον φιλονεικίαν ὁμοίως ἐνέβαλε μεταξὺ Τρώων καὶ Ἑλλήνων, "διερχομένη κατὰ τὸ πλῆθος, αὔξȣσα τὸν ςεναγμὸν τῶν ἀνδρῶν. ȣ̃τοι δὲ δὴ ὅτε εἰς τὸ ὡρισμένον χωρίον τὸν ἓν συνερχόμενοι ἀφίκοντο, συνέβαλον δὴ τὰς ἀσπίδας καὶ τὰ δόρατα καὶ τὴν δύναμιν τῶν ἀνδρῶν τῶν σιδηροθωρήκων· αἱ δὲ ἀσπίδες αἱ ὀμφαλȣ̀ς ἔχȣσαι ἐπλησίαζον, μέγα δὲ θόρυβος διεγήγερτο. "τότε δὲ ὁμȣ̃ ὀλοφυρμὸς καὶ καύχησις ἐγένετο τῶν ἀνδρῶν τῶν τε φονευόντων καὶ τῶν φονευ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένων, ἐρρεῖτο δὲ τῷ αἵματι ἡ γῆ. ὥσπερ δὲ ὅτε χειμέριοι ποταμοὶ κατὰ ὀρῶν ῥέοντες εἰς κοῖλον τόπον συμβάλλωσι πολύκρηνον ὕδωρ ἐκ μεγάλων ὀχετῶν βαθείας ἔσωθεν ἐγχαράξεως τῇ ἐδάφῃς· τέτων δὲ μακρὰν τὸν ἦχον ἐν τοῖς ὄρεσιν ἦκεσεν ὁ ποιμήν· ἕτως τέτων συνερχομένων ἐγένετο φωνὴ καὶ φόβος. πρῶτος δὲ ὁ Ἀντίλοχος τῶν Τρώων ἐφόνευσεν ἄνδρα πολεμιςήν, ἀγαθὸν (γενναῖον) ἐν τοῖς πρωταγωνιςαῖς, Θαλυσίᾳ παῖδα τὸν Ἐχέπωλον. τῆτον δὲ ἔβαλε πρῶτος κατὰ τὸ ἀνάςημα τῆς περικεφαλαίας τῆς ἐξ ἱππείων τριχῶν, ἐνήρεισε δὲ τῷ μετώπῳ· διῆλθε (διεπέρασε) δὲ εἰς τὸ ὀξὺν ἡ σιδηρᾶ ἐπιδορατίς. τῆτον δὲ σκότος τὰς ὀφθαλμὰς ἐκάλυψεν, ἔπεσε δὲ ὡς πύργος ἐν τῇ ἰσχυρᾷ μάχῃ. τῆτον δὲ πεσόντα ἐκ τῶν ποδῶν κατείληφεν ὁ βασιλεὺς Ἐλεφήνωρ ὁ τῆ Χαλκώδοντος παῖς, ὁ τῶν μεγαλοψύχων ἄρχηγὸς Ἀβάντων, ἐξήνεγκε δὲ ἔξωθεν τῶν βελῶν ἐσπαδακὼς ὅπως τάχιςα τὰ ὅπλα σκυλεύσειεν (ἀποδύσῃ). ἐπ' ὀλίγον δὲ αὐτῷ ἐγένετο ἡ ὁρμή· τὸν νεκρὸν γὰρ ἕλκοντα θεασάμενος ὁ μεγαλόψυχος Ἀγήνωρ τὰ πλεῦρα, ἅπερ αὐτῷ ἐπνεύσαντι ἐγγὺς τῆς ἀσπίδος ἐφάνη, ἐκ χειρὸς ἔτρωσε τῷ ἐξεσμένῳ δόρατι (τῷ τῷ σιδήρῳ ἡρμοσμένῳ), λυθῆναι δὲ ἐποίησε τὰ μέλη. "οὕτως τῆτον μὲν κατέλιπεν ἡ ψυχή, ἐπ' αὐτῷ δὲ πόλεμος κατεσκευάθη χαλεπὸς τῶν τε Τρώων καὶ τῶν Ἑλλήνων· ἕτοι δὲ δίκην λύκων ἐφώρμησαν ἀλλήλοις, ἀνὴρ δὲ ἄνδρα ἀνῄρει (ἐφόνευεν). τότε ἔτρωσε τοῦ Ἀνθεμίωνος τὸν υἱὸν ὁ Τελαμώνιος Αἴας, ἄγαμον (νέον) ἀκμαῖον, τὸν Σιμοείσιον (φερωνύμως)· ὄντινά ποτε ἡ μήτηρ "ἐκ τῆς Ἴδης κατερχομένη παρὰ τοῖς χείλεσι τῆ Σιμόεντος ποταμῆ ἀπεκύησεν, ἐπειδὴ τοῖς γονεῦσιν ὁμῆ ἦκον· ἐλέθησε τὰ πρόβατα ἰδεῖν (θεάσαθῃ). τότε χάριν αὐτὸν ἐκάλεσαν Σιμοείσιον. ἀδὲ τοῖς γονεῦσι τοῖς προσφιλέσι τὰ ὑπὲρ ἀνατροφῆς χαριςήρια ἀπέδωκεν, ὀλιγόβιος δὲ αὐτῷ ὁ τοῦ ζῆν χρόνος ἐγένετο ὑπὸ τῆ μεγαλοψύχε Αἴαντος τῷ δόρατι ἀναιρεθέντι. "πρῶτον γὰρ αὐτὸν ἐπιόντα ἔτρωσε τὸ σῆθος παρὰ τὸν μαζὸν τὸν δεξιόν· διαμπὰξ (ἐξ ἐναντίας) δὲ τῆ ὤμε τὸ σιδηρῆν δόρυ διῆλθεν. ἕτος δὲ ἐν τῇ γῇ πέπτωκεν ὥσπερ αἴγειρος (ἤγουν ὥσπερ δένδρον), ἥτις δὴ ἐν καθύγρῳ τόπῳ ἕλεος μεγάλε ηὐξήκει (ἀνεδίδοτο) ὁμαλῆ (λεία), οἱ δὲ κλάδοι αὐτῆς ἐπὶ ὑψηλότητι (κορυφῇ) πεφύκασι· "καὶ ταύτην μὲν ἀνὴρ ἅρματα συμπηγνύων λαμπρῷ σιδήρῳ ἐξέτεμεν, ὅπως ἁψῖδα κάμψῃ πάνυ καλῆ ἅρματος· αὕτη δὲ ξηραινομένη κεῖται παρὰ τὰ τῆ ποταμῆ χείλη· τοιῆτον δὴ τὸν τῆ Ἀνθεμίωνος παῖδα Σιμοείσιον ἐφόνευσεν Αἴας ὁ εὐγενής. κατὰ τέτε Ἄντιφος ὁ ποικιλοθώραξ "ὁ παῖς τῆ Πριάμε κατὰ τὸ πλῆθος ἠκόντισεν ὑξεῖ δόρατι. τέτε μὲν διήμαρτεν (ἀπέτυχεν), αὐτὸς δὲ Λεῦκον τὸν τῆ Ὀδυσσέως ἀγαθὸν ἑταῖρον ἔτρωσε κατὰ τὸ ἰχίον, τὸν νεκρὸν εἰς τὸ ἕτερον μέρος ἕλκοντα· κατηνέχθη (ἔπεσε) δὲ περὶ αὐτῷ, καὶ ὁ νεκρὸς αὐτῆ ἐξέπεσε τῆς χειρός. τούτε δὲ ὁ Ὀδυσσεὺς λίαν τὴν ψυχὴν ἀναιρεθέντος ἐλυπήθη· "ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιςῶν καθωπλισμένος λαμπρῷ σιδήρῳ, ἔστη δὲ λίαν ἐγγὺς ἐλθών, καὶ ἠκόντισε τῷ δόρατι τῷ λαμπρῷ περὶ αὐτὸν περιβλεψάμενος· ὑπεχώρησαν δὲ οἱ Τρῶες τῆ ἀνδρὸς ἀκοντίσαντος. ὁ δὲ ἀ μάτιον τὸ βέλος ἔπεμψεν (ἀφῆκεν), ἀλλὰ παῖδα τῆ Πριάμε ἀγνήσιον ἔβαλε τὸν Δημοκόωντα, "ὅςις αὐτῷ ἐκ τῆς Ἀβύδε παρεγεγόνει (πόλεως Ἑλλησπόντε), ἐκείνε τῆ τόπε ἐν ᾧ ἵπποι ἐγένοντο ταχεῖς. τῆτον δὴ ὁ Ὀδυσσεὺς περὶ τῆ ἑταίρε ὀργισθεὶς ἔβαλε τῷ δόρατι τὸν κρόταφον· ἡ δὲ διὰ τῆ ἑτέρε κροτάφε διῆλθε (διεπέρασεν) ἡ σιδηρᾶ ἐπιδορατίς· τέτου δὲ σκότος τὰς ὀφθαλμὰς ἐκάλυψεν. ἐκτύπησε δὲ πεσών, ἤχησε δὲ τὰ ὅπλα ἐπ' αὐτῷ. "ὑπεχώρησαν δὲ οἱ πρωταγωνισαὶ καὶ ὁ ἐπιφανὴς (ὁ λαμπρὸς) Ἕκτωρ· οἱ δὲ Ἕλληνες μέγα ἐβόησαν καὶ εἵλκυσαν τὰς νεκράς, ἐπ' εὐθείας δὲ ὥρμησαν κατὰ πολὺ ἔμπροσθεν. ἐφθόνησεν (ἐβάσκηνε) δὲ ὁ Ἀπόλλων ἐκ τῆς ἀκροπόλεως προκιών, τοῖς Τρωσὶ δὲ παρεκελεύσατο βοήσας "διεγείρεσθε (ὁρμᾶτε) ὦ ἱππικοὶ Τρῶες, μηδὲ ὑποχωρεῖτε τῆς μάχης "τοῖς Ἕλλησιν, ἐπειδὴ ἀδαμῶς αὐτοῖς τὸ σῶμα λίθος ἐδὲ σίδηρος τὸν σίδηρον ἀναδέξαθῃ (ὑπομεῖναι) τὸν τέμνοντα τὸν χρῶτα (τὸ σῶμα) τιτρωσκομένοις. οὐ μὲν ἦν ἐδὲ Ἀχιλλεὺς ὁ τῆς Θέτιδος παῖς τῆς καλλικόμε μάχε, ἀλλ' ἐπὶ ταῖς ναυσὶ τὴν ψυχὴν ἀλγῆσαν καταδαπανᾷ." οὕτως εἶπεν ἀπὸ τῆς ἀκροπόλεως ὁ φρικτὸς καὶ φοβερὸς θεός· τοὺς δὲ Ἕλληνας "διήγειρεν ἡ τῆ Διὸς θυγάτηρ ἐνδοξοτάτη Ἀθηνᾶ, πορευομένη κατὰ τὸ πλῆθος, ὅπε ἀμελῆντας θεάσαιτο (ἑώρα). τότε τὸν Ἀμαρυγκέως παῖδα Διώρην ὁ θάνατος κατέχεν (ἐπέδησε). χειροπληθεῖ λίθῳ γὰρ ἐβέβλητο κατὰ τὸν μηρὸν τραχεῖ, κατὰ τὴν δεξιὰν κνήμην· ἔβαλε δὲ ὁ τῶν Θρακῶν ἀνδρῶν ἡγεμὼν "Πείρως ὁ τῆ Ἰμβράσε παῖς, ὅςις δὴ ἀπὸ Αἴνου πόλεως παρεγεγόνει. ἀμφότερα δὲ αὐτῆ τὰ κατατείνοντα νεῦρα καὶ τὰ ὀςᾶ ὁ τραχὺς λίθος ἕως ἀπέκοψεν (δι' ὅλου ἀπεκάβρησεν)· ἕτος δὲ ἐπὶ νῶτα ἐν τῇ γῇ κατέπεσεν, ἀμφοτέρας τὰς χεῖρας τοῖς προσφιλέσιν ἑταίροις ἐκπετάσας (ἐκτείνας), τὴν ψυχὴν ἐκπνέων. ἕτος δὲ ἐπέδραμεν ὅςις δὴ "ἔβαλεν αὐτόν, "ὁ Πείρως, καὶ ἔτρωσε τῷ δόρατι παρὰ τὸν ὀμφαλόν· ἅπαντα δὲ ἀθρόως ἐξεχύθησαν εἰς γῆν τὰ ἔντερα· τέτου δὲ τὰς ὀφθαλμὰς σκότος ἐκάλυψε. τῆτον δὲ Θόας ὁ Αἰτωλὸς ἀπαλλασσόμενον (ἀπερχόμενον) ἔβαλε τῷ δόρατι κατὰ τὸ σῆθος ὑπεράνω τῆ μαζῆ, ἐκπάγη δὲ ἐν τῷ πνεύμονι ὁ σίδηρος. ἐκ τῆ σύνεγγυς δὲ αὐτῆ ἦλθεν ὁ Θόας, τὸ δὲ ἰχυρὸν δόρυ "ἐξέσπασε τῆ σήθες· εἵλκυσε δὲ τὸ ὀξὺ ξίφος· διὰ τέτε (τῆ ξίφες) ἕτος κατὰ τὴν γαςέρα ἔτυψε τὴν μέσην καὶ ἀφῃρεῖτο τὴν ψυχήν. τὰ δὲ ὅπλα οὐκ ἐξέδυσε· περιέςησαν γὰρ κύκλῳ οἱ ἑταῖροι, Θρᾷκες οἱ ἄκρως κομῶντες, τὰ μακρὰ δόρατα χερσὶ κατέχοντες, οἵτινες αὐτὸν [καίπερ] γενναῖον [ὄντα] καὶ ἰσχυρὸν καὶ λαμπρὸν "ὤθησαν ἀφ' ἑαυτῶν· ἕτος δὲ ἀναχωρήσας διεσείσθη (ἐκινήθη). οὕτως ἕτοι ἐν τῇ γῇ ἐγγὺς ἀλλήλων ἔκειντο ἐκτεταμένοι, ὁ μὲν τῶν Θρακῶν ὁ δὲ τῶν Ἠλείων τῶν σιδηροθωράκων ἡγεμόνες· πολλοὶ δὲ περὶ αὐτὲς ἀνῃρῶντο καὶ ἄλλοι. τότε δὴ ἐκέτι τὸν νῦν πόλεμον ἐκφαυλίσειεν εἰς αὐτὲς παραγενόμενος, "ὅςις ἔτι μήτε ἀπὸ διαςήματος βληθεὶς δόρατι

ἢ ὀϊζῷ μήτε δὲ ἐκ τῆ σύνεγγυς ξίφει περὶ αὐτὸν ἀναιρέφοιτο κατὰ μέσον, ἀγάγοι δὲ αὐτὸν ἡ πολεμικὴ Ἀθηνᾶ τῆς χειρὸς λαβομένη, τῶν δὲ βελῶν ἀπείργοι τὴν ὁρμήν· πλεῖσοι γὰρ τῶν Τρώων καὶ τῶν Ἑλλήνων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐπὶ πρόσωπον κείμενοι ἐν τῇ γῇ ἐπ' ἀλλήλοις ἐκτεταμένοι ἦσαν.

Ε. ΔΙΟΜΗΔΟΥΣ ΑΡΙΣΤΕΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Εἰ, βάλλει Κυθέρειαν Ἀρηά τε Τυδέος υἱός.*

2. *Διομήδης Ἀθηνᾶς αὐτῷ συλλαμβανομένης ἀριστεύει καὶ πολλοὺς ἀναιρεῖ τῶν πολεμίων, τιτρώσκει δὲ Ἀφροδίτην κατὰ τῆς χειρὸς καὶ Ἄρεα κατὰ τὸ κενεῶνος. Αἰνείαν δὲ πληγέντα ὑπ' αὐτῆ λίθῳ Ἀπόλλων διασώζει. Τληπόλεμος δὲ ὑπὸ Σαρπηδόνος ἀναιρεῖται. τῷ δὲ Ἄρει Ζεὺς ἐπιπλήττει. ἰᾶται δὲ αὐτὸν Παιήων ὁ τῶν θεῶν ἰατρός.*

3. *Ἀπαγαγὼν τὸν τῆ Πηλέως ὁ ποιητής, πρόμαχον ἕτερον τῶν Ἑλλήνων προστῆσαι θελήσας καὶ παράδοξον ἀριστείαν ἱρμηνεῦσαι, τὸν Τυδέως ἴσησι. καὶ διότι ἐχ οἷός τε ἦν ἐπ' ἴσης ἐκείνῳ τὲς πολεμίες φοβεῖν, φησὶν αὐτὸν ὑπὸ τῆς Ἀθηνᾶς βοηθεῖσθαι καὶ ἐξαιρέτῳ τιμῇ τετιμῆσθαι· ὁρᾶσθαι γᾶν ὑπὲρ τῶν ὤμων αὐτοῦ φοβερὸν πῦρ καιόμενον, ὡς τοὺς Τρῶας καταπλαγέντας ἐπὶ τῇ παρὰ τῶν θεῶν βοηθείᾳ καταφυγεῖν, φοβερώτερον αὐτὸν καὶ Ἀχιλλέως νομίζοντας. λέγει οὖν "ὣδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδείδιμεν, ὄρχαμον ἀνδρῶν, ὅνπερ φασὶ θεᾶς ἐξ ἔμμεναι. ἀλλ' ὅδε λίην μαίνεται, ὃδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν." τὸν τὸν τρόπον Διομήδης ὑπὸ τῆς Ἀθηνᾶς βοηθούμενος πολλὲς τῶν Τρώων ἀναιρεῖ καὶ Πάνδαρον τὸν παρασπονδήσαντα. τιτρώσκει δὲ καὶ Ἀφροδίτην συλλαμβανομένην τῷ παιδὶ Αἰνείᾳ, ὁμοίως δὲ καὶ Ἄρεα. τὴν μὲν οὖν Ἀφροδίτην ἡ μήτηρ Διώνη παραμυθεῖται, τὸν δὲ Ἄρεα ἰᾶται Παιήων, τοῦ Διὸς πρότερον αὐτῷ ἐπιπλήξαντος.*

*Τότε δὴ τῷ υἱῷ τῆ Τυδέως Διομήδει ἡ πολεμικὴ Ἀθηνᾶ ἔδωκε δύναμιν καὶ πεποίθησιν, ἵνα διάδηλος ἐν πᾶσι τοῖς Ἕλλησι γένηται καὶ δόξαν ἀγαθὴν ἀπενέγκοιτο. ἔλαμπε δὲ αὐτῆ ἐκ τῆς περικεφαλαίας καὶ τῆς ἀσπίδος πολὺ πῦρ (ἀκαταπόνητον), "ἀζέρι τῷ κατὰ τὸν καιρὸν τῆς ὀπώρας ἀνατέλλοντι παραπλήσιον, ὅσις κατὰ πολὺ λάμπων πανταχῆ φαίνει ἀνατέλλων ἔξω ὠκεανῆ. τοιῆτον αὐτῆ πῦρ ἀνῆπτο ἐκ τῆς περικεφαλαίας καὶ τῶν ὤμων. διήγειρε δὲ αὐτὸν κατὰ τὸ μέσον τῆς μάχης, ὅτε πολλοὶ διεταράσσοντο. ὑπῆρχε δέ τις ἐν τοῖς Τρωσὶ Δάρης, πλούσιος, ἄψογος (ἀγαθός), "ἱερεὺς τῆ Ἡφαίστῳ· δύο δὲ αὐτῷ υἱοὶ ἦσαν, ὅ τε Φηγεὺς καὶ ὁ Ἰδαῖος, [μάχης] πάσης ἐπιστήμονες· οἵτινες αὐτῷ ἀποχωριθέντες ἐξ ἐναντίας ὡρμήθησαν. ἦτοι μὲν ἀπὸ τῶν ἵππων, αὐτὸς δὲ ἀπὸ γῆς ὥρμησε πεζός. ἐπειδὴ δὲ ἦτοι ἐγγὺς ἦσαν ἀλλήλοις ἐπερχόμενοι, "ὁ Φηγεὺς δὴ πρότερος προέπεμπε τὸ μακρὸν δόρυ· τῆ Τυδείδῃ (Διομήδῃ) δὲ ὑπὲρ τὸν ὦμον τὸν ἀριστερὸν διῆλθεν ἡ ἐπιδορατὶς τῆ δόρατος, οὐκέτι δὲ αὐτὸν ἔβαλεν. ὕστερος (δεύτερος) δὲ ὥρμησε τῷ σιδήρῳ ὁ Διομήδης· τούτου δὲ οὐ μάταιον ἐξέφυγε τῆς χειρός, ἀλλ' ἔβαλε κατὰ τὸ στῆθος μεταξὺ τῶν μαζῶν, ἀπεώσατο δὲ ἀπὸ τῶν ἁρμάτων. "ὁ δὲ Ἰδαῖος ἀφώρμησε καταλιπὼν τὸ περικαλλὲς ἅρμα, οὐδὲ ἐκαρτέρησεν ὑπερμαχῆσαι τῆ ἀδελφῆ ἀναιρεθέντος. οὐδὲ γὰρ δὴ ἂν αὐτὸς ἐξέφυγε τὴν θανατηφόρον μοῖραν· ἀλλ' ὁ Ἥφαιστος ἐῤῥύσατο, ἐφύλαξε δὲ σκότει περιβαλὼν (σκεπάσας), ὅπως μὴ παντελῶς ὁ πρεσβύτης λυπέμενος εἴη. "τὲς δὲ ἵππες ἀπελάσας ὁ τῆ μεγαλοψύχῳ Τυδέως παῖς ἔδωκε τοῖς ἑταίροις καταγαγεῖν ἐπὶ τὰς βαθείας ναῦς. οἱ δὲ μεγαλόψυχοι Τρῶες ὅτε ἐθεάσαντο τὲς υἱοὺς τῆ Δάρητος τὸν μὲν ἐκκλίνοντα (φεύγοντα) τὸν δὲ ἀνῃρημένον παρὰ τοῖς ἅρμασιν, πάντων διεταράχθη ἡ ψυχή. ἡ δὲ γλαυκώπις Ἀθηνᾶ "τῆς χειρὸς λαβομένη προσεῖπε τὸν ἐνθουσιαστικὸν (εὐκίνητον ἐν πολέμῳ) Ἄρην. "ὢ Ἄρη ἀνθρωποφθόρε, μιαινόμενε φόνοις, τοῖς τείχεσι προσπελάζων, ἐκέτ' ἂν τὲς Τρῶας ἐάσωμεν καὶ τὲς Ἕλληνας μάχεσθαι, ὁποίοις αὐτῶν ὁ πατὴρ Ζεὺς δόξαν παράσχῃ; ἡμεῖς δὲ ἐκκλίνωμεν (ὑποχωρήσωμεν) καὶ τῆ Διὸς ἐκφύγωμεν τὴν ὀργήν." "ἔτως εἰποῦσα τῆς μάχης ἐξήνεγκε τὸν εὐκίνητον ἐν πολέμῳ Ἄρην. τῆτον μὲν μετὰ ταῦτα καθεθῆναι ἐποίησεν ἐπὶ τῷ αἰγιαλὸν καὶ ὄχθας ἔχοντι Σκαμάνδρῳ· τὲς δὲ Τρῶας εἰς φυγὴν ἔτρεψαν οἱ Ἕλληνες, ἀνεῖλε δὲ ἄνδρα ἕκαστος τῶν ἡγεμόνων. πρῶτος δὲ ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων τὸν ἄρχοντα τῶν Ἁλιζόνων Ὀδίον τὸν μέγαν ἐξέβαλε τῆ ἅρματος. "πρώτου γὰρ σραφέντος τῷ νώτῳ ἐνέπηξε τὸ δόρυ μεταξὺ (ἀνὰ μέσον) τῶν ὤμων, διήλασεν (ἔπληξε) δὲ διὰ τῆ στήθος. ἤχησε δὲ πεσών, καὶ ἐψόφησεν (ἤχησε) τὰ ὅπλα ἐπ' αὐτῷ. ὁ δὲ Ἰδομενεὺς τὸν Φαῖστον ἐφόνευσε, τῆ Λυδοῦ τὸν παῖδα τῆ Βώρᾳ, ὅσις ἐκ Τάρνης τῆς μεγαλοβώλα παρεγένετο. "τῆτον δὴ ὁ Ἰδομενεὺς ὁ τῷ δόρατι ἐξάκοντος τῷ μακρῷ δόρατι ἔπληξε τῶν ἵππων ἐπιβαίνειν μέλλοντα κατὰ τὸν δεξιὸν ὦμον· ἔπεσε δὲ ἐκ τῶν ἁρμάτων, μισητὸν δὲ δὴ αὐτὸν σκότος ἔλαβεν. τῆτον μὲν δὴ οἱ τῆ Ἰδομενέως ἐγύμνων ὑπηρέται· τὸν δὲ υἱὸν Στροφίν Σκαμάνδριον τὸν ἐπιστήμονα τῆς κυνηγετικῆς "ὁ τοῦ Ἀτρέως παῖς Μενέλαος ἀνεῖλε τῷ ὀξεῖ δόρατι, τὸν ἀγαθὸν κυνηγόν· ἐδίδαξε γὰρ αὐτὴ ἡ Ἄρτεμις τοξεύειν τὰ θηρία πάντα, ἅτινα τρέφει ἐν ὄρεσιν ἡ ὕλη. ἀλλ' ἐκέτι αὐτῷ τότε ἐβοήθησεν ἡ Ἄρτεμις ἡ ἰοῖς καὶ βέλεσι χαίρουσα, δὲ αἱ εὐστοχίαι αἷς τὸ πρότερον ἐκεκόσμητο· "ἀλλ' αὐτὸν ὁ Ἀτρείδης ὁ τῷ δόρατι ἔνδοξος Μενέλαος ἔμπροσθεν αὐτοῦ φεύγοντα κατὰ τὸ μετάφρενον ἔτρωσε τῷ δόρατι μεταξὺ τῶν ὤμων, διὰ τῆ στήθος δὲ διεπέρασεν. ἔπεσε δὲ ἐπὶ πρόσωπον, ἤχησε δὲ τὰ ὅπλα ἐπ' αὐτῷ. ὁ Μηριόνης δὲ τὸν Φέρεκλον ἐφόνευσε, τέκτονος παῖδα "τῆ Ἁρμονίδου παιδός, ὃς ἠπίστατο ταῖς χερσὶ ποικίλα πάντα κατασκευάζειν· ὑπερβαλλόντως γὰρ αὐτὸν ἐφίλησεν ἡ πολεμικὴ Ἀθηνᾶ

ὅςις ϗ τῷ Ἀλεξάνδρῳ κατεσκεύασε ναῦς τὰς ἰσοτοίχους τὰς ἀρχὴν κακῶν παραχȣ́σας, αἳ ἅπασι βλάβη τοῖς Τρωσὶν ἐγένοντο ϗ αὐτῷ ἐκείνῳ, ἐπειδὴ ȣ̓δαμῶς τὰ ἐκ τῶν θεῶν μαντεύματα ἠπίςατο. "τȣ̃τον μὲν ὁ Μηριόνης ἡνίκα δὴ κατελάμβανε διώκων, ἔτρωσε κατὰ τὸν δεξιὸν γλȣτόν· ἡ δὲ διόλȣ (διαμπάξ, ἐξ ἐναντίας) κατὰ τὴν φύσαν (ὅπερ ȣ̓ροδόχον ὄργανόν ἐςιν) ὑπὸ τὸ ὀςȣ̃ν ἐπέρασεν ἡ ἐπιδορατίς· ἐπὶ γόνυ δὲ ἔπεσε ςενάξας, ὁ θάνατος δὲ αὐτὸν περιεκάλυψε. τὸν δὲ Πηδαῖον ἐφόνευσε Μέγης τὸν τȣ̃ Ἀντήνορος υἱόν, "ὃς δὴ μὴ ἐκ νομίμης γυναικὸς ἦν, ἐπιμελῶς δὲ ἀνέτρεφεν ἡ ἔνδοξος Θεανώ, ἐπ' ἴσης τοῖς προσφιλεςάτοις τέκνοις, πρὸς χάριν ποιȣ̃σα τῷ ἰδίῳ ἀνδρί. τȣ̃τον μὲν ὁ τȣ̃ Φυλέως παῖς ὁ περὶ τὸ δόρυ ἔνδοξος ἐγγὺς ἐλθὼν ἔβαλε κατὰ κεφαλῆς τὸ κοῖλον τȣ̃ τένοντος τῷ ἐξ ὀξύας δένδρȣ δόρατι· δι' ὅλȣ δὲ ἀνὰ τȣ̀ς ὀδόντας τὴν γλῶσσαν ὑπέτεμεν ὁ σίδηρος. "ἔπεσε δὲ ἐν τῇ γῇ, τὸν δὲ ψυχρὸν ἔλαβε σίδηρον τοῖς ὀδȣ̃σιν. Εὐρύπυλος δὲ ὁ τȣ̃ Εὐαίμονος υἱὸς Ὑψήνορα τὸν ἔνδοξον, τὸν παῖδα τȣ̃ μεγαλοψύχου Δολοπίονος, ὃς δὴ τȣ̃ Σκαμάνδρȣ ἱερεὺς κατεσκεύαςο ὡς ἐ θεὸς ἐτιμᾶτο τῷ λαῷ, τȣ̃τον μὲν δὴ Εὐρύπυλος ὁ τοῦ Εὐαίμονος λαμπρὸς υἱὸς "ἔμπροσθεν αὐτȣ̃ φεύγοντα ἐπιφραμὼν ἔπληξε κατὰ τὸν ὦμον, τῷ ξίφει ὁρμήσας, ἀπέξεσεν (ἀπέτεμε) δὲ τὴν μεγάλην χεῖρα. ᾑμαγμένη δὲ ἡ χεὶρ ἐν τῇ γῇ ἔπεσε. τȣ́τȣ δὲ τȣ̀ς ὀφθαλμȣ̀ς ἔλαβεν ὁ δι' αἵματος θάνατος ϗ ἡ ἰςχυρὰ (θανατηφόρος) μοῖρα. ȣ̓́τως μὲν οὖν τοι ταῦτα ἐνήργȣν κατὰ τὴν ἰςχυρὰν μάχην· "τὸν δὲ Διομήδην ȣ̓κ ἂν ἐπέγνως ἐν ὁποίοις ὑπάρχῃ, ἢ ἐν τοῖς Τρωσὶ ὑναναςρέφοιτο ἢ τοῖς Ἕλλησιν· ἐμμανῶς γὰρ ὥρμα διὰ τȣ̃ ἰδίȣ ποταμῷ πλημμυρȣ̃ντι παραπλήσιος χειμερινῷ, ὃς ῥέως ῥέων διεσκόρπισε τὰς διαβάσεις (τὰς γεφύρας) τῶν ποταμῶν. τȣ̃τον δὲ δὴ ȣ̓́τε αἱ τῶν ποταμῶν διαβάσεις πεπτεφραγμέναι κωλύȣσιν, "ȣ̓́τε δὴ περιφράγματα ἐπέχει ῥίων ἀμπελοφύτων μεγάλως θαλλόντων ἐπελθόντα ἐξαίφνης, ὅταν ἐπιβαρήσει (ἢ σφοδρῶς ἐπέλθῃ) τȣ̃ Διὸς μέγας ὑός· πολλὰ δὲ ὑπ' αὐτȣ̃ γεώργια κατέβαλε καλὰ νέων. ὧς ὑπὸ τῷ Διομήδει συνεχεῖς ἐκλονȣ̃ντο αἱ τάξεις τῶν ἑνώων, ȣ̓δὲ δὴ αὐτὸν ἔμενον καίπερ πολλοὶ ὄντες. "τȣ̃τον ὡς ἐθεάσατο ὁ τȣ̃ Λυκάονος λαμπρὸς υἱὸς ἐνθȣσιωτὰς ὁρμῶντα διὰ τȣ̃ πεδίȣ, πρὸ αὐτȣ̃ ταράσσοντα τὰς τάξεις, εὐθέως ἐπὶ τῷ Διομήδει ἔτεινε τὰ ἐπικαμπῆ τόξα, ἔβαλεν ἐφορμῶντα ἐπιτυχὼν κατὰ τὸν δεξιὸν ὦμον, κατὰ τὸ κοῖλον τοῦ θώρακος. διῆλθε δὲ τὸ πικρὸν βέλος, "δι' ὃ δὲ διῆλθεν· ἐμολύνετο δὲ τῷ αἵματι ὁ θώραξ. ἐπὶ τῷ δὲ μεγάλως ἀνέκραξεν ὁ τȣ̃ Λυκάονος λαμπρὸς υἱός. "ἐγείρεσθε Τρῶες μεγαλόψυχοι, ἱππικοί· τέτρωται γὰρ ὁ ἄρος τῶν Ἑλλήνων, ȣ̓δὲ αὐτὸν ὑπολαμβάνω ἐπὶ πολὺ ἐξειν πρὸς τὴν βολὴν τὸ ἰςχυρὸν βέλος, εἰ ἀληθές με ὥρμησε (διήγειρε) βασιλεὺς ὁ υἱὸς τȣ̃ Διὸς ἀφορμῶντα τῆς Λυκίας." οὕτως εἶπεν αὐχῶν· τȣ̃τον δὲ ȣ̓δαμῶς ὀξὺ βέλος ἔτρωσεν, ἀλλ' εἰς τȣ̀πίσω ἀναποδίσας ἔμπροσθεν τῶν ἵππων ϗ τῶν ἁρμάτων ἔςη, ϗ πρὸς τὸν Σθένελον εἶπε τὸν τȣ̃ Καπανέως υἱόν "διεγείρȣ προσφιλέςατε Καπανέως υἱέ, καὶ κατάβηθι τȣ̃ δίφρȣ, "ὅπως μοι ἐκ τῶν ὤμων ἑλκύσῃς τὸ πικρὸν βέλος." ȣ̓́τω δὴ εἶπεν· ὁ δὲ Σθένελος ἀπὸ τȣ̃ ἅρματος καθήλατο εἰς τὴν γῆν, παραςὰς δὲ τὸ ὀξὺ βέλος δι' ὅλȣ ἐξείλκυσε τȣ̃ ὤμȣ· τὸ αἷμα ἀθρόως ἀνέφερε διὰ τȣ̃ ἁλυσιδωτȣ̃ σιδήρȣ. καὶ τότε μετὰ ταῦτα ηὔξατο ὁ κατὰ τὴν μάχην ἀνδρεῖος Διομήδης ""ἐπάκȣσόν μου ὦ τȣ̃ αἰγιδȣ́χȣ Διὸς τέκνον ἀγαθὸν φρονοῦσα. ἐάν ποτέ μοι ϗ τῷ πατρὶ φιλοφρονȣ̃σα παρέςης ἐν τῷ καυςικῷ πολέμῳ, ϗ νῦν δή με φίλησον Ἀθηνᾶ, δὸς δὲ τȣ̃τόν με τὸν ἄνδρα ἐν χερσὶν ἔχειν ϗ εἰς ὁρμὴν τȣ̃ δόρατος ἐλθεῖν, ὅςις με ἔβαλεν (ἐτόξευσε) φθάσας ϗ μεγαλαυχεῖ, ȣ̓δέ με λέγει "ἐπὶ πολὺ ἔτι θεάσασθαι τὸ λαμπρὸν φῶς τȣ̃ ἡλίȣ." ȣ̓́τως εἶπεν εὐχόμενος· τȣ́τȣ δὲ ἤκȣσεν ἡ πολεμικὴ Ἀθηνᾶ, τὰ μέλη δὲ ἐποίησεν εὐκίνητα, τȣ̀ς πόδας ϗ τὰς χεῖρας ἄνωθεν· πλησίον δὲ ςᾶσα λόγȣς ταχεῖς εἶπε. "θαῤῥῶν ὦ Διόμηδες τοῖς Τρωσὶ μάχȣ· "ἐν τῇ καρδίᾳ σȣ γὰρ δύναμιν πατρικὴν ἐνέθηκα ἄφοβον (ἀδεῆ), ὁποίαν εἶχεν ὁ πολεμικὸς ϗ ἱππικὸς Τυδεύς. τὴν ἀορασίαν δή σȣ τῶν ὀφθαλμῶν ἀφειλόμην, ἥτις πρὶν ἐπέκειτο (ὑπῆρχεν), ὅπως καλῶς ἐπιγινώσκῃς τόν τε αὐτοπρόσωπον θεὸν καὶ μεταβαλλόμενον. διὸ νῦν ἐὰν θεὸς ἀπόπειραν ποιȣ́μενος ἐνταῦθα ἀφίκηται, "μηδαμῶς τοι τοῖς ἀφθάρτοις θεοῖς ἐξ ἐναντίας μάχȣ τοῖς λοιποῖς· εἰ δὲ ϗ τȣ̃ Διὸς ἡ θυγάτηρ Ἀφροδίτη ἔλθοι εἰς τὸν πόλεμον, ταύτην τρῶσον τῷ ἀπὸ ὀξύας δένδρȣ δόρατι." αὕτη μὲν δὴ ȣ̓́τως εἰπȣ̃σα ἀπῆλθεν ἡ γλαυκόφθαλμος Ἀθηνᾶ, ὁ δὲ Διομήδης ἐκ δευτέρȣ πορευθεὶς τοῖς πρωταγωνιςαῖς ἡνώθη. "καίπερ τὸ πρότερον τῇ ψυχῇ προθυμȣ́μενος τοῖς Τρωσὶ μάχεσθαι, τότε δὴ αὐτὸν τρὶς τοσοῦτον ἔλαβε δύναμις, ὡς λέοντα ὃν δὴ ποιμὴν ἀγροικίᾳ ἐπὶ ἔρια ἔχȣσι προβάτοις ἐπ' ὀλίγον τὸν χρῶτα ἐπιξύσει μὲν τῆς ἐπαύλεως ὑπεραλλόμενον, ϗ ȣ̓ φονεύσει· τούτου μὲν τὴν δύναμιν διήγειρεν, ἔπειτα δὲ ȣ̓ προσβοηθεῖ, "ἀλλὰ κατὰ τὰς ἐπαύλεις κρύπτεται· ταῦτα δὲ ἠρημωμένα (τῆς τȣ̃ ποιμένος βοηθείας) φεύγει· ϗ αἱ μὲν ἐπάλληλοι πυκναὶ (πλησίον ἀλλήλων) ἅμα κεῖνται ἀθρόαι, ὁ δὲ ὑπερπροθυμȣ́μενος εἰσάλλεται εἰς τὴν βαθεῖαν ἔπαυλιν ἔνδον. ȣ̓́τω προθυμȣ́μενος τοῖς Τρωσὶν ἐμίγη ὁ ἰςχυρὸς Διομήδης. τότε ἐφόνευσε τὸν Ἀςύνȣν ϗ Ἀπείνορα τὸν βασιλέα τῶν ὄχλων, "τὸν μὲν ὑπεράνω τȣ̃ μαζȣ̃ βαλὼν τῷ σιδηρῷ δόρατι, τὸν δὲ ἕτερον τῷ μεγάλῳ ξίφει τὴν κατακλεῖδα παρὰ τὸν ὦμον ἔτρωσεν, ἀπὸ δὲ τȣ̃ αὐχένος τὸν ὦμον ἐχώρισε ϗ ἀπὸ τȣ̃ νώτȣ. τούτȣς μὲν ἀφῆκεν, αὐτὸς δὲ ἐπὶ τὸν Ἄβαντα μετήρχετο ϗ τὸν Πολύειδον, τȣ̀ς υἱȣ̀ς Εὐρυδάμαντος τοῦ ὀνειροκρίτȣ γέροντος· "οἷς ȣ̓κ ἐπανερχομένοις (ȣ̓χ ὑποςρεφομένοις) ὁ γέρων ἔκρινε τὰ ἐνύπνια, ἀλλ' αὐτȣ̀ς ὁ ἰςχυρὸς Διομήδης ἐφόνευσεν. ἐπορεύθη δὲ ἐπὶ τὸν Ξάνθον ϗ τὸν Θόωνα τȣ̀ς Φαίνοπος υἱȣ́ς· ἀμφότεροι μονογενεῖς (ἀγαπητοί), ὁ δὲ κατεπονεῖτο γήρᾳ τῷ χαλεπῷ, υἱὸν δὲ ȣ̓κέτι [ἐγέννησεν] ἄλλον ἐπὶ τοῖς κτήμασι καταλιπεῖν. "τότε ȣ̓́τος αὐτοὺς ἐφόνευσε ϗ τὴν προσφιλῆ ἀφείλετο ψυχὴν ἀμφο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τέρων, τῷ πατρὶ δὲ θρῆνον καὶ λύπας χαλεπὰς κατέλιπεν, ἐπειδὴ ἀ ζῶντας ἐκ τῆς μάχης ἐπανελθόντας ἐδέξατο, οἱ δὲ κατ' ἀδένα τρόπον προσήκοντες τῷ γένει διεμερίζοντο τὴν ἀσίαν. τότε τὰς δύο παῖδας τῆ Πριάμε ἔλαβε τοῦ Δαρδανίδα, "ἐν ἑνὶ ἅρματι ὄντας, τόν τε Ἐχέμονα καὶ τὸν Χρομίον. ὥσπερ δὲ λέων ἐν βουσὶν ἐφορμήσας αὐχένα κατεάξει (συντρίψει) δαμάλεως (μόχθ) ἢ βοὸς κατά τινα ὑλώδη καὶ σύνδενδρον τόπον βοσκομένων, ἕτω τούτους ἀμφοτέρους ἐκ τῶν ἵππων ὁ Διομήδης κατεβίβασε κακῶς ἄκοντας, ἔπειτα δὲ τὰ ὅπλα ἐσκύλευεν, "τὰς δὲ ἵππους τοῖς αὐτῆ ἑταίροις ἐδίδα ἐπὶ τὰς ναῦς ἐλάσαι. τῆτον δὲ ἐθεάσατο ὁ Αἰνείας κενῆντα (πορθῆντα) τὰς τάξεις τῶν ἀνδρῶν, μετέβη (ἐπορεύθη) δὲ ἀπελθεῖν κατὰ τὴν μάχην καὶ τὴν ταραχὴν τῶν δοράτων, Πάνδαρον τὸν Ἰσόθεον (ἢ τὸν ἐναντιάμενον τοῖς θεοῖς) ἐπιζητῶν εἴ πε καταλάβοι. κατέλαβε τῆτον τὸν Λυκάονος υἱὸν τὸν ἐπαινετὸν καὶ γενναῖον, "ἔχη δὲ ἔμπροσθεν αὐτῆ καὶ λόγον αὐτῷ ἐξ ἐναντίας εἶπε. "Πάνδαρε, πῆ σοι ἡ διὰ τῶν τόξων τέχνη καὶ τὰ ταχέα βέλη καὶ ἡ δόξα, ἐν ᾗ ἀδείς σοι ἀμιλλᾷ ἐνταῦθα γε ὢν ἀνήρ, ἀδέ τις ἐν Λυκίᾳ σου καυχᾶται εἶναι κρείττων. ἀλλὰ φέρε τῆτῳ ἐπίπεμψον τῷ ἀνδρὶ βέλος τῷ Διὶ εὐξάμενος, "ὅσις ποτέ ἐσιν ἕτος [ὃς] κρατεῖ (ἄρχει) καὶ δὴ πολλὰ κακὰ εἰργάσατο τοὺς Τρῶας, ἐπεὶ πλείσων καὶ ἀνδρείων τὰ γόνατα κατέλυσεν· εἰ μή τις θεὸς ὑπάρχοι ὀργιθεὶς τοῖς Τρωσὶν, ὑπέρ θυσιῶν ὀργιθείς· δεινὴ δὲ τῆ θεοῦ ἐσὶν ἡ ὀργή." πρὸς τῆτον δὲ εἶπεν ὁ τῆ Λυκάονος λαμπρὸς υἱός "ὦ Αἰνεία Τρώων βασιλεῦ τῶν σιδηροθωράκων, τῷ Διομήδει ἐγὼ αὐτὸν τῷ πολεμικῷ κατὰ πάντα εἰκάζω (ὁμοιῶ), ἀπὸ τῆς ἀσπίδος γνωρίζων καὶ τῆς αὐλώπιδος περικεφαλαίας, καὶ τὰς ἵππους βλέπων· σαφῶς δὲ οὐ γινώσκω εἰ θεὸς ὑπάρχει. εἰ δὲ ἕτος ἀνὴρ ὃν ὑπολαμβάνω, τῆ ἐμπειροπολέμου Τυδέως υἱός, "οὐδὲ ἕτος ἄνευ θεῆ ὀργίζε, ἀλλά τις ἐγγὺς παρέσηκε τῶν θεῶν ἀοράσιᾳ κεκαλυμμένος (περιβεβλημένος) τὰς ὤμας, ὅσις τούτε τὸ ὀξὺ βέλος κατειληφὸς (καταλαμβανόμενος) ἔτρεψεν ἀλλαχῆ. ἤδη γὲ ἐπ' αὐτῷ ἔπεμψα βέλος καὶ αὐτὸν ἔβαλον κατὰ τὸν ὦμον τὸν δεξιὸν ἐξ ἐναντίας διὰ τῆ κοίλου τῆ θώρακος· "καγὼ αὐτὸν ᾠήθην τῷ Ἄιδῃ προπέμψειν, ὅμως δὲ οὐκ ἐφόνευσα· θεὸς δή τίς ἐσιν ὀργίλος. ἵπποι δ' οὐ πάρεισι καὶ ἅρματα, ἐφ' ὧν ἂν ἐπιβαίην (ἐποχησαίμην)· ἀλλά πε ἐν τοῖς οἴκοις Λυκάονος ἔνδεκα δίφροι καλοὶ πρώτως πεπηγότες (νεοτευχεῖς), περὶ δὲ αὐτὰς πέπλοι "ἥπλωνθ, παρ' αὐτοῖς δὲ ἑκάςῳ ἀνὰ δύο ἵπποι ἐσήκασι κριθὴν λευκὴν ἐσθίοντες καὶ ζειάς. ὄντως δή μοι πάνυ πολλὰ γέρων ὁ πολεμικὸς Λυκάων παραγενομένῳ ἐνετέλλετο ἐν οἴκοις τοῖς καλῶς πεποιημένοις· τοῖς ἵπποις με ἐκέλευε καὶ τοῖς δίφροις ἐμβεβηκότα "ἡγεῖῳ τῶν Τρώων ἀνὰ τὰς ἰσχυρὰς μάχας. ἀλλ' ἐγὼ οὐκ ἐπειθόμην — ὄντως δὴ πολυκερδέστερον ἦν — τῶν ἵππων φειδόμενος, μή πώς μοι λείποιντο τροφῆς τῶν Τρώων ἐγκλειομένων, εἰθισμένοι ἐσθίειν δαψιλῶς. ἕτω κατέλιπον, πεζὸς δὲ εἰς τὴν Ἴλιον παρεγενόμην, "τῷ τόξῳ πεποιθώς, ἅπερ δή με οὐκ ἔμελλεν ὠφελήσειν. ἤδη γὰρ δυσὶν ἀρίσεῦσιν ἐπέμψα, τῷ τε Διομήδει καὶ τῷ Μενελάῳ· ἐξ ἀμφοτέρων δὲ ἀληθῶς αἷμα παρώρμησα βαλών, ἠρέθισα δὲ μᾶλλον. διὸ δὴ χαλεπῇ μοίρᾳ ἀπὸ τῆ πασσάλε τὸ ἐπικαμπὲς τόξον "τῇ ἡμέρᾳ ἐκείνῃ ἔλαβον, ὅτε εἰς Ἴλιον τὴν ἐπέραζον ἡγέμην τῶν Τρώων, κομίζων χάριν Ἕκτορι τῷ εὐγενεῖ. εἰ δὲ δὴ ἐπανέλθω καὶ εἰσβλέψω τοῖς ὀφθαλμοῖς πατρίδα τὴν ἐμὴν καὶ τὴν γαμετὴν καὶ τὸ ὑψηλόςεγον μέγα οἴκημα, εὐθέως μετὰ ταῦτα ἀπ' ἐμῆ τὴν κεφαλὴν ἀποτέμοι ἐχθρὸς ἀνήρ, "εἰ μὴ ἐγὼ τῆτο τὸ τόξον ἐν λαμπρῷ πυρὶ βάλοιμι ταῖς χερσὶ συντρίψας· ματαίως γάρ μοι ἠκολέθησε." πρὸς τῆτον δὲ δὴ Αἰνείας ὁ τῶν Τρώων ἡγεμὼν ἀπεκρίνατο· "μηδαμῶς ἕτω λέγε. πρότερον δὲ ἐ γενήσεθ ἑτέρος, πρὶν γε ἡμᾶς ἐπὶ τάτῳ τῷ ἀνδρὶ σὺν ἵπποις καὶ ἅρμασιν "ἐξεναντίας ἐλθόντας σὺν τοῖς ὅπλοις πειραθῆναι. ἀλλὰ φέρε τῶν ἐμῶν ἁρμάτων ἐπίβηθι, ὅπως θεάσῃ ὁποῖοι οἱ Τρωϊκοὶ ἵπποι ἐπισάμενοι διὰ τῆ πεδίε ταχέως πάνυ τῆδε κἀκεῖσε διώκειν καὶ φεύγειν· οἵτινες [καὶ ἡμᾶς πρὸς τὴν πόλιν σώσουσιν, εἴπερ δὴ πάλιν "Ζεὺς] ἐπὶ τῷ Διομήδει δόξαν (νίκην) παράσχῃ. ἀλλὰ φέρε νῦν τὴν μάςιγα καὶ ἡνίας τὰς λαμπρὰς ἀπόδεξαι, ἐγὼ δὲ τῶν ἵππων ἀποβήσομαι, ὅπως πολεμήσω· ἢ σὺ τῆτον παρατήρησον, διὰ φροντίδος δέ μοι οἱ ἵπποι γενήσονθ." πρὸς τῆτον δὲ εἶπεν ὁ τῆ Λυκάονος λαμπρὸς υἱός "ὦ Αἰνεία, σὺ μὲν αὐτὸς κράτει τὰς ἡνίας καὶ τοὺς σοὺς ἵππους. μᾶλλον ὑπὸ ἡνιόχῳ τῷ συνήθει τὸ ἐπικαμπὲς ἅρμα οἴσουσιν (κομίσουσιν), ἐάν περ δὴ φύγωμεν τὸν Διομήδην. μὴ ἕτοι μὲν φοβηθέντες ματαιοπραγήσουσιν οὐδὲ θελήσουσιν ἐκβαλεῖν τῆ πολέμε τὴν σὴν ἐπιποθῆντες φωνήν, "ἡμῖν δὲ ἐφορμήσας (ἐπελθὼν) τῆ μεγαλοψύχε Τυδέως ὁ υἱὸς ἡμᾶς τε φονεύσῃ καὶ ἁπελάσῃ τοὺς μονόνυχας ἵππους. ἀλλὰ σὺ αὐτὸς ἡνιόχει τὰ σὰ ἅρματα καὶ τοὺς σοὺς ἵππους· τῆτον δὲ ἐπερχόμενον ἐγὼ ὑποδέξομαι (ἐπιτηρήσω) τῷ ὀξεῖ δόρατι." οὕτως ἄρα εἰπόντες, εἰς τὰ ποικίλα ἅρματα ἀναβάντες, "προθυμέμενοι ἐπὶ τῷ Διομήδει ἠλαυνον τοὺς ταχεῖς ἵππους. τότε δὲ εἶδεν ὁ τῆ Καπανέως λαμπρὸς υἱὸς Σθένελος· ταχέως δὲ πρὸς τὸν Διομήδην λόγους ταχεῖς εἶπεν. "ὦ Τυδέως υἱὲ Διόμηδες, τῇ ἐμῇ πεφιλημένε ψυχῇ, ἄνδρας ὁρῶ ἰσχυροὺς ἐπὶ σοὶ προθυμεμένους πολεμεῖν, "δύναμιν μεγάλην ἔχοντας· ὁ μὲν τοξικὴς ἐπήσιμων ὁ Πάνδαρος, υἱὸς δὲ τῆ Λυκάονος καυχᾶται εἶναι καὶ ὁ Αἰνείας ὁ υἱὸς μὲν τῆ ἐπαινετῆ Ἀγχίσε καυχᾶται γεγενῆθ, μήτηρ δὲ αὐτῆ ἐσὶν ἡ Ἀφροδίτη. ἀλλὰ φέρε δὴ ὑποχωρήσωμεν ἐπὶ τῶν ἵππων· "μὴ ὅρμα διὰ τῶν πρωταγωνισῶν, μή πως τὴν φίλην ψυχὴν ἀπολέσῃς." πρὸς τῆτον δὲ δὴ ὀργίλως ἀποβλεψάμενος εἶπεν ὁ ἰσχυρὸς Διομήδης "μηδαμῶς περὶ φυγῆς λέγε, ἐπεὶ ἀδέν σε πείσειν οἶμαι· ἐ γάρ μοι ἐσιν εὐγενὲς φεύγοντι πολεμεῖν ἀδὲ δειλιᾶν· ἔτι μοι ἡ δύναμις βεβαία ἐσίν. "ὀκνῶ δὲ τῶν ἵππων ἐπιβῆναι· ἀλλὰ καὶ ὅμως ἐξ ἐναντίας αὐτῶν πορεύσομαι· φυγεῖν δὲ οὐ συγχωρεῖ ἡ πολεμικὴ Ἀθηνᾶ. τούτους δὲ πάλιν ἐκ εἰς τὰπίσω ἀποκομίσουσιν οἱ ταχεῖς ἵπποι ἀμφ[illegible]

τέρυς ἀφ' ἡμῶν, εἴπερ ἄν θάτερός γε φύγῃ. ἄλλο δέ σοι ἐρῶ, σὺ δὲ ταῖς σαῖς διανοίαις ἔμβαλε· "ἦ μοι ἡ πολύβουλος Ἀθηνᾶ δόξαν παράσχῃ ἀμφοτέρους ἀποκτεῖναι, σὺ δὲ τούτους τοὺς ταχεῖς ἵππους αὐτόθι κώλυε, ἐκ τῆ ἅρματος τὰς ἡνίας τείνας, τῶν Αἰνείᾳ δὲ ἐφόρμησον μνημονεύων ἵππων, ἐκ δὲ τῶν Τρώων ἐξέλασον πρὸς τοὺς ἐνόπλους Ἕλληνας. "ταύτης δὲ τῆς γενεᾶς εἰσὶν ἧς τινὸς τῷ Τρωὶ ὁ μεγαλόφθαλμος Ζεὺς ἔδωκε τῶ υἱοῦ Γανυμήδους ἀνταμοιβὴν ᾗ ἀντίχαριν· τούτου χάριν εἰσὶν ἄριστοι τῶν ἵππων ὁπόσοι εἰσὶν ὑπό τε τὴν ἠέρα ᾗ τὸν ἥλιον. ταύτης τῆς γενεᾶς ἔκλεψεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγχίσης, λάθρᾳ τῶ Λαομέδοντος ὑποβαλὼν θηλείᾳ ἵππῳ. "ἐκ τούτων αὐτῷ ἓξ ἐγένοντο ἐν τοῖς οἴκοις γενεᾶς· τοὺς μὲν τέσσαρας αὐτὸς κατέχων ἀνέτρεφεν ἐν τῇ φάτνῃ, τὼ δὲ δύο τῷ Αἰνείᾳ ἔδωκεν ἐμπειρους τῆς φυγῆς. ἐὰν τούτους λάβωμεν, κτησαίμεθα ἂν δόξαν ἀγαθήν." ὕτως ἕτοι μὲν τοιαῦτα πρὸς ἀλλήλους ἔλεγον· "ἕτοι δὲ ταχέως παρεγένοντο ἐλαύνοντες τοὺς ταχεῖς ἵππους. πρὸς τοῦτον δὲ πρότερον εἶπεν ὁ τῶ Λυκάονος λαμπρὸς υἱός "πολεμικώτατε, ἀνδρειότατε (ταῦτα δέ φησιν ἐν εἰρωνείᾳ), τῶ λαμπρῶ Τυδέως υἱέ, ὄντως λίαν σε ἀ τὸ ὀξὺ βέλος ἐδάμασεν, ὁ ἐπίπονος ὀϊστός· νῦν πάλιν τῷ δόρατι πειραθήσομαι ἐὰν ἐπιτύχω." "εἶπε δή, ᾗ ἀνασείσας προέπεμψε τὸ μακροπόρευτον δόρυ, ᾗ ἔβαλε κατὰ τῶ Διομήδους τὴν ἀσπίδα· ταύτης δὲ διὰ ὅλης ἡ ἐπιδορατὶς ἡ σιδηρῷ πτᾶσα τῷ θώρακι προσήγγισεν. ἐπὶ τούτῳ δὲ μέγα ἐβόησεν ὁ τῶ Λυκάονος υἱὸς Πάνδαρος "τέτρωσαι τὸν ὑπὸ τῆς πλευρᾶς (λαγόνος) τόπον παντελῶς, ᾗ οὐκέτι σε οἶμαι "ἐπὶ πολὺν χρόνον καρτερήσειν, ἐμοὶ δὲ μεγάλην καύχησιν ἔδωκας." πρὸς τοῦτον δὲ μὴ καταπλαγεὶς εἶπεν ὁ ἰχυρὸς Διομήδης "ἥμαρτες (ἀπέτυχες) ᾗ οὐκ ἐπέτυχες. ὑμᾶς δὲ ἀ νομίζω πρότερον ἀποπαύσασθαι πρὶν ἢ τὸν ἕτερον πεσόντα αἵματος πλησθῆναι (κορέσαι) τὸ δόρυ τὸ καρτερικὸν καὶ πολεμιστικόν." "ὕτως εἰπὼν ἠκόντισε· τὸ δὲ βέλος ἐνεχθῆναι κατ' εὐθεῖαν ἐποίησεν ἡ Ἀθηνᾶ κατὰ τοῦ μυκτῆρος παρὰ τὸν ὀφθαλμόν, ᾗ τὸς λευκὸς ἐπέρασεν ὀδόντας. τούτου δὲ τὴν μὲν γλῶσσαν τὴν ἐχάτην ἀπέτεμεν ὁ σίδηρος ὁ ἀκαταπόνητος, ἡ ἐπιδορατὶς δὲ ἐξῆλθε παρὰ τὸν ἔσχατον τῶ πώγωνος τόπον. ἔπεσε δὲ ἐκ τῶν ἁρμάτων, ἤχησε δὲ τὰ ὅπλα ἐπ' αὐτῷ "τὰ ποικίλα ᾗ πάνυ λάμποντα, ἐφοβήθησαν δὲ αὐτῷ οἱ ἵπποι οἱ ταχύποδες· τούτου δὲ αὐτόθι διελύθη ἡ ψυχὴ ᾗ ἡ δύναμις. ὁ δὲ Αἰνείας ἐφόρμησε σὺν τῇ ἀσπίδι ᾗ δόρατι τῷ μακρῷ, φοβηθεὶς μή πως αὐτῶ ἐλκύσειαν τὸ νεκρὸν σῶμα οἱ Ἕλληνες, ὑπερεμάχει δὲ αὐτῷ ᾗ περιέβαινεν ὡς λέων τῇ δυνάμει θαρρῶν, "ἔμπροσθε δὲ αὐτοῦ τό τε δόρυ εἶχε ᾗ ἀσπίδα τὴν περιφερῆ, τοῦτον ἀποκτεῖναι προθυμούμενος ὃς αὐτοῦ ἐξ ἐναντίας ἔλθοι, καταπληκτικῶς βοῶν. ἕτος δὲ χειροπληθῆ λίθον ἔλαβε τῇ χειρὶ ὁ Διομήδης, μέγα βάρος, ὅπερ οὐδὲ δύο ἄνδρες κομίσειαν ὁποῖοι οἱ νῦν ἄνθρωποί εἰσιν· ἕτος δὲ αὐτὸν ῥᾳδίως ἐκίνει μόνος. "τούτῳ ἔβαλε τὸν Αἰνείαν κατὰ τὸ ἰσχίον, ὅπερ ὁ μηρὸς τῷ ἰσχίῳ ἔνδον ῥέφει, κοτύλην δὲ αὐτὸ καλοῦσι· περιέθρυσε δὲ αὐτῆ τὴν κοτύλην, πρὸς δὲ ᾗ ἀμφότερα ἀπέρρηξε τὰ κατατεινόμενα νεῦρα, ἀπώσατο (ἀπέσυρε) δὲ τὸ δέρμα ὁ τραχὺς λίθος. ὁ δέ γε ἡμίθεος ἔζη ἐπὶ γόνυ πεσὼν ᾗ ἐπηρείσθη τῇ ἰσχυρᾷ χειρὶ "ἐπὶ τῆς γῆς· ἀμφοτέρους δὲ τοὺς ὀφθαλμοὺς φοβερὰ (σκοτεινὴ) ἀορασία ἐκάλυψε. ᾗ δὴ ἂν τότε ἠφάνιστο (ἀπώλετο) ὁ βασιλεὺς τῶν ἀνδρῶν Αἰνείας, εἰ μὴ δὴ ὄξέως ᾗ ταχέως ἡ τῶ Διὸς θυγάτηρ Ἀφροδίτη ἐθεάσατο, ἡ μήτηρ ἥτις αὐτὸν συγγενομένη τῷ Ἀγχίσῃ ἔτεκε τῷ βοῦς νέμοντι. περιέθηκε δὲ τῷ ἑαυτῆς παιδὶ τοὺς λευκοὺς πήχεις (ἢ περὶ δὲ τὸν ἴδιον υἱὸν περιεπτύξατο, περιέβαλεν), "ἔμπροσθεν δὲ αὐτῶ πέπλῳ λαμπροῦ δίπλωμα ἐκάλυψεν τεῖχος (περίφραγμα) εἶναι τῶν βελῶν, μή τις Ἑλλήνων τῶν ταχεῖς ἵππους ἐχόντων σίδηρον ἐν τῷ σήθει βαλὼν τὴν ψυχὴν ἀφέλοιτο. αὕτη μὲν τὸν προσφιλῆ παῖδα ὑπεξήγαγε τῶ πολέμῳ· ἐδὲ ὁ υἱὸς τῶ Καπανέως ἐπελάθετο τῶν συνθηκῶν (ἐντολῶν) "τότων ἃς ἐνετείλατο ὁ κατὰ τὴν μάχην γενναῖος Διομήδης, ἀλλ' ἕτος τοὺς ἑαυτῶ ἐκώλυε μονόνυχας ἵππους ἔξω ᾗ χωρὶς τῆς ταραχῆς, ἐκ τῆς ἄντυγος τὰς ἡνίας τείνας, κατὰ τῶ Αἰνείᾳ δὲ ἐφορμηθεὶς τοὺς εὐτριχας ἵππους ἐξήλασε τῶν Τρώων ἐπὶ τοὺς ἐνόπλους Ἕλληνας, "ἔδωκε δὲ Δηϊπύλῳ ἑταίρῳ τῷ φίλῳ, ὃν περισσῶς ἁπάσης ἐτίμα τῆς ὁμηλικίας, ὅτι αὐτῷ ταῖς διανοίαις ὑγιῆ ἠπίστατο, ἐπὶ ναυσὶ ταῖς κοίλαις ἐλαύνειν. ὁ δὲ ἡμίθεος τῶν ἑαυτῆ ἵππων ἐπιβὰς ἔλαβε τὰς λαμπρὰς ἡνίας, εὐθέως δὲ ἐπὶ τὸν Διομήδην ἐδίωκε τοὺς ἰσχυρόποδας ἵππους "εὐπρόθυμος. ὁ δὲ τὴν Ἀφροδίτην ἐδίωκε τῷ ἀνηλεεῖ σιδήρῳ, εἰδὼς ὅτι ἀθενὴς ἦν θεὰ ἐδὲ τῶν θεῶν τότων αἵτινες τὸν τῶν ἀνδρῶν πόλεμον βασιλικῶς διατάσσουσιν, ἔτε δὴ ἡ Ἀθηνᾶ οὔτε ἡ τὰς πόλεις πορθοῦσα Ἐννώ (μάχη). ἀλλ' ἡνίκα δὴ κατέλαβε κατὰ πολὺ πλῆθος κατόπιν διώκων, "τότε ἀπεκτείνας ὁ τῶ μεγαλοψύχου Τυδέως υἱὸς ἄκραν ἔτρωσε τὴν χεῖρα ἐπιπηδήσας τῷ ὀξεῖ δόρατι, τὴν ἀθενῆ· εὐθέως δὲ διὰ τῶ σώματος διῆλθε διὰ τῶ θείου ἱματίου, ὃ αὐτῇ αἱ Χάριτες κατεσκεύασαν, ὑπὲρ τὸ ἔσχατον μέρος τῶ θέναρος. ἔῤῥει δὲ ἄφθαρτον αἷμα τῆς θεᾶ, "ὑγρασία ὁποία ἐκρεῖ τῶν μακαρίων θεῶν (τῶν μακαρισμῶ ἀξίων). ἀ γὰ σιτία ἐ̓θίουσιν, ἐδὲ πίνουσι θερμαντικὸν οἶνον· τούτου χάριν ἄνευ αἵματός εἰσι ᾗ ἀθάνατοι καλοῦνται. αὐτὴ δὲ μέγα βοήσασα (κράξασα) ἀφ' ἑαυτῆς ἀπέῤῥιψε τὸν υἱόν. ᾗ τοῦτον μὲν ἐν ταῖς χερσὶν ἐφύλαξεν ὁ καθαρὸς Ἀπόλλων "μελαίνῃ ἀορασίᾳ, μή τις Ἑλλήνων τῶν ἱππικῶν σίδηρον ἐν τῷ σήθει βαλὼν τὴν ψυχὴν ἀφέλοιτο· ἐπὶ ταύτῃ δὲ μέγα ἐβόησεν ὁ γενναῖος τὴν μάχην Διομήδης. "ὑποχώρει Διὸς θύγατερ τῶ πολέμου ᾗ τῆς μάχης. ἦ ἐκ ἀρκετόν σοι ὅτε γυναῖκας ἀθενεῖς ἐξαπατᾷς; "ἐὰν δὲ σύ γε εἰς πόλεμον φοιτήσῃς, ὄντως σε ὑπολαμβάνω φρίξειν τὸν πόλεμον, ᾗ εἰ ἀλλαχόσε ἀκόσεις." οὕτως εἶπεν· ἡ δὲ λυπηθεῖσα ἀπῆλθε, κατεπονήθη δὲ δεινῶς. ταύτην [μὲν ἡ Ἶρις λαβομένη ἡ τοῖς ποσὶ ταχεῖα ἐξήγαγε τοῦ πλήθους βαρε]μένην ταῖς ὀδύναις· ἠμαυρῶτο

δὲ τὸ καλὸν σῶμα. "εὗρε δὲ μετὰ ταῦτα ἐπὶ τὰ ἀριστερὰ τὸν ὁρμητικὸν Ἄρην καθήμενον· ἀορασίᾳ δὲ τὸ δόρυ ἐκέκλιτο καὶ οἱ ταχεῖς ἵπποι. αὐτὴ δὲ ἐπὶ γόνυ πεσοῦσα τοῦ προσφιλοῦς ἀδελφοῦ πολλὰ παρακαλέσασα τοὺς χρυσοχαλίνους ἐζήτει ἵππους. "ὦ φίλε κασίγνητε, ἐπιμελήθητι ἐμοῦ καὶ δὸς τοὺς ἵππους ἐμοί, "ὅπως εἰς τὸν Ὄλυμπον παραγένωμαι, ὅπου τῶν θεῶν ὁ οἶκός ἐστι. πάνυ βαροῦμαι ὑπὸ τοῦ τραύματος, ὃ με φθαρτὸς ἔτρωσεν ἀνὴρ ὁ Διομήδης, ὃς τὰ νῦν καὶ τῷ πατρὶ Διὶ πολεμήσοι ἄν." οὕτως εἶπε· ταύτῃ δὲ ὁ Ἄρης ἔδωκε τοὺς χρυσοχαλίνους ἵππους. αὕτη δὲ εἰς τὸ ἅρμα ἀνέβη λυπουμένη τὴν φίλην ψυχήν, "παρ' αὐτῇ δὲ ἡ Ἶρις, καὶ τὰς ἡνίας ἔλαβε τῇ χειρί, ἐμάστιξε δὲ ἐλαύνειν ἕτοι δὲ ἑκόντες ἔτρεχον (ὑπερβολικῶς). εὐθέως μετὰ ταῦτα ἀφίκοντο εἰς τὸν τῶν θεῶν οἶκον τὸν ὑψηλὸν Ὄλυμπον, ὅπου τοὺς ἵππους ἔσχεν ἡ ἀνεμόπους καὶ ταχεῖα Ἶρις λύσασα ἐκ τῶν ἁρμάτων, παρέβαλε δὲ αὐτοῖς θεῖον ἔδεσμα (ὃ ἐσιτροφήν). "αὐτὴ δὲ ἐν τοῖς γόνασι προσέπιπτε τῆς Διώνης ἡ ἔνδοξος Ἀφροδίτη τῆς ἰδίας μητρός. αὕτη δὲ εἰς τὰς ἀγκάλας ἔλαβε τὴν ἑαυτῆς θυγατέρα, καὶ τῇ χειρὶ αὐτὴν κατέψησε, καὶ λόγον εἶπε καὶ ἐξ ὀνόματος ἐκάλει. "τίς δέ σε τοιαῦτα κατείργασαι προσφιλέστατον τέκνον τῶν ἐν οὐρανῷ οἰκούντων θεῶν ματαίως, ὥσπερ τι κακὸν πράττουσα φανερῶς;" "ταύτῃ δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ φιλόγελως Ἀφροδίτη "ἔτρωσέ με ὁ τοῦ Τυδέως υἱός, ὁ μεγαλόψυχος (ὁ γενναῖος) Διομήδης, διότι ἐγὼ τὸν προσφιλῆ υἱὸν ὑπεξήγαγον τῆ πολέμῳ Αἰνείαν, ὅσις ἐμοὶ πάντων κατὰ πολὺ φίλτατος ὑπάρχει. ἐκέτι γὰρ τῶν Τρώων καὶ τῶν Ἑλλήνων ἐστὶν ἡ δεινὴ μάχη, "ἀλλ' ἤδη γε οἱ Ἕλληνες καὶ τοῖς θεοῖς μάχονται." ταύτῃ δὲ ἀπεκρίνατο μετὰ ταῦτα Διώνη ἡ ἔνδοξος τῶν θεῶν "καρτέρησον ὦ τέκνον ἐμόν, καὶ ἀνάσχου καίπερ λυπουμένη· πολλὰ γὰρ ἐκαρτερήσαμεν οἱ τὰ τοῦ Ὀλύμπου οἰκήματα κατοικοῦντες ἐκ τῶν ἀνδρῶν, χαλεπὰς κακώσεις ἀλλήλοις ἐπιτιθέμενοι. "ἐκαρτέρησε μὲν ὁ Ἄρης, ὅτε αὐτὸν ὁ Ὦτος καὶ ὁ ἰσχυρὸς Ἐφιάλτης οἱ παῖδες τοῦ Ἀλωέως ἔδησαν ἐν ἰσχυρῷ δεσμῷ. ἐν σιδηρῷ πίθῳ ἐδεσμεῖτο τρεισκαίδεκα μῆνας. καὶ δὴ ἂν ἐκεῖ διεφθάρη Ἄρης ὁ ἀκόρεστος (ἀπλήρωτος) τῆ πολέμῳ, εἰ μὴ ἡ περικαλλὴς μητρυιὰ Ἠερίβοια "τῷ Ἑρμῇ ἀπήγγειλεν· ἔτος δὲ ἔκλεψε τὸν Ἄρην εὐθέως καταπονούμενον· ὁ κακὸς γὰρ αὐτὸν δεσμὸς ἐδάμαζεν. ὑπέμεινε δὲ ἡ Ἥρα, ὅτε αὐτὴν ὁ ἰσχυρὸς παῖς τῆ Ἀμφιτρύωνος (ἢ ὁ Ἡρακλῆς) κατὰ τὸν δεξιὸν μαζὸν βέλει τριγώνῳ ἐτετοξεύκει· τότε ἂν αὐτὸν δυσθεράπευτος ἔλαβεν ὀδύνη. "ὑπέμεινε δὲ ὁ Ἅιδης ἐν τούτοις ὁ μέγας ὀξὺ βέλος, ἡνίκα αὐτὸν ὁ αὐτὸς ἀνήρ, ὁ υἱὸς Διὸς τῆ αἰγιδέχῳ, ἐν Πύλῳ ἐν τοῖς νεκροῖς τοξεύσας ὀδύναις ἐνέβαλεν. ἔτος δ' ἐπορεύθη πρὸς τὸν οἶκον τῆ Διός, τὸν μέγαν Ὄλυμπον, κατὰ τὴν ψυχὴν λυπούμενος, ταῖς ὀδύναις ὠδεπερονημένος· τὸ δὲ βέλος "ἐν τῷ ἰσχυρῷ ὤμῳ ἐπέπηκτο, ἐλύπει δὲ τὴν ψυχήν. ἐπὶ τούτῳ δὲ ὁ Παιήων παυσώδυνα φάρμακα ἐπιπάσσων ἐθεράπευσεν· ἀ γὰρ δή τι κατάφθαρτός γε ὑπῆρχεν. ὁ ἄδικος καὶ μεγάλα ἐργαζόμενος, ὃς οὐκ ἐπισκέπτεται ἄδικα πράττων, ὃς τόξῳ ἐλύπει τὰς θεὰς οἱ ἐν Ὀλύμπῳ οἰκοῦσιν. "ἐπὶ σοὶ δὲ τοῦτον ἔπεμψεν ἡ εὐόφθαλμος Ἀθηνᾶ, ἡ ἀνόητος (ἄφρων)· οὐδὲ τοῦτο ἐγίνωσκε κατὰ διάνοιαν ὁ τοῦ Τυδέως υἱός, ὅτι οὐ πάνυ πολυχρονίσει ὃς τοῖς θεοῖς πολεμεῖ, οὐδὲ πάλιν αὐτὸν οἱ παῖδες πρὸς τοῖς γόνασι πατέρα καλέσουσιν ἐπανελθόντα ἐκ τῆ πολέμου τῆς δεινῆς μάχης. "διὸ τὰ νῦν ὁ Διομήδης, εἰ καὶ λίαν δυνατὸς ὑπάρχει, βουλευσάτω μή τις αὐτὸν σοῦ κρείττων πολεμήσῃ, μή πως καὶ ἡ Αἰγιάλεια ἡ συνετὴ Ἀδράστου θυγάτηρ ἔωθεν θρηνοῦσα τοὺς προσφιλεῖς οἰκέτας διυπνίσῃ, τὸν ἐκ παρθενίας ἄνδρα γεγαμηκότα ποθοῦσα τὸν κράτιστον Ἑλλήνων, "ἡ γενναία γαμετὴ τῷ ἱππικῷ Διομήδους." ἔφη δὴ καὶ ἀμφοτέραις χερσὶ τὸ θεῖον αἷμα τῆς χειρὸς ἀπέμασσεν· ἐθεραπεύετο ἡ χείρ, αἱ δὲ ὀδύναι κατεπραΰνοντο αἱ ἰχυραί. αὗται δὲ εἰσβλέπουσαι ἥ τε Ἀθηνᾶ καὶ ἡ "Ἥρα χλευαστικοῖς λόγοις τὸν υἱὸν τοῦ Κρόνου Δία παρῴξυνον. "ἐν τούτοις δὲ τῶν λόγων ἤρξατο θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ. "ὦ Ζεῦ πάτερ, ἆρά μοι ὀργιοῦσῃ οἷόν σοι εἴπω; ὄντως δὴ πάνυ τινὰ ἡ Ἀφροδίτη τῶν Ἑλληνίδων ἀναπείθουσα τοῖς Τρωσὶν ὁμοῦ ἀκολουθῆσαι, ἃς τὰ νῦν ἐξόχως ἠγάπησε, τούτων τινὰ παρακαθίζουσα (ὁμαλίζουσα) Ἑλληνίδων τῶν εὐζωνοτάτων "πρὸς τῇ χρυσῇ πόρπῃ ἐν τῇ περιβολῇ κατεξέουσα χεῖρα τὴν ἀθηνᾶ." ἔτως εἶπεν· ἐμειδίασε δὲ ὁ πατὴρ τῶν ἀνθρώπων καὶ θεῶν (Ζεύς), καὶ δὴ προσκαλεσάμενος τὴν χρυσῆν Ἀφροδίτην εἶπε πρὸς αὐτήν "οὔ σοι τέκνον ἐμὸν ἐδόθη τὰ πολεμικὰ ἔργα· ἀλλὰ σὺ τὰ ἐπιθυμητὰ μετέρχου ἔργα τοῦ γάμου. "ταῦτα δὲ Ἄρει τῷ ταχεῖ καὶ τῇ Ἀθηνᾷ πάντα φροντιοῦσιθήσει." ἔτως οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ὡμίλουν. τῷ δὲ Αἰνείᾳ ἐφώρμησεν ὁ τὴν μάχην γενναῖος Διομήδης, γινώσκων ὅτι αὐτῷ αὐτὸς ὑπερεῖχε τὰς χεῖρας ὁ Ἀπόλλων. ἀλλ' ἔτος γὰρ οὐδὲ τὸν μέγαν θεὸν ἐσέβετο, προεθυμεῖτο δὲ αἰεὶ "τὸν Αἰνείαν ἀνελεῖν καὶ τὰ ἔνδοξα ὅπλα ἀποδῦσαι. τρίτον μὲν μετὰ ταῦτα ἐφώρμησεν ἀποκτεῖναι προθυμούμενος· [τρίτον δὲ αὐτῷ διέσεισε τὴν λαμπρὰν ἀσπίδα ὁ Ἀπόλλων.] ἀλλ' ἡνίκα δὴ τὸ τέταρτον ἐφώρμησε θεῷ παραπλήσιος, χαλεπῶς ἀπειλήσας εἶπεν ὁ εὔσοχος Ἀπόλλων ""σκέπτου Διομήδες καὶ ἀναχώρει, καὶ μὴ τοῖς θεοῖς ἐπ' ἴσης βούλου φρονεῖν, ἐπεὶ οὐδαμῶς ἔθνος ὅμοιον τῶν ἀθανάτων θεῶν καὶ τῶν ἀποθνησκόντων ἀνθρώπων." ἔτως εἶπεν· ὁ δὲ Διομήδης ἀνεχώρει μικρὸν εἰς τοὐπίσω, τὴν ὀργὴν ἐκκλίνων τοῦ εὐσόχου Ἀπόλλωνος. "τὸν δὲ Αἰνείαν ἄποθεν τοῦ πλήθους ἔθηκεν ὁ Ἀπόλλων ἐν τῇ ὑψηλῇ ἀκροπόλει τῆς Ἰλίου, ὅπου αὐτῷ ὁ ναὸς ᾠκοδόμητο. τοῦτον μὲν δὴ ἥ τε Λητὼ καὶ ἡ "Ἀρτεμις ἡ τοῖς ἰοῖς χαίρουσα ἐν τῷ μεγάλῳ ναῷ ἐθεράπευόν τε καὶ ἔνδοξον ἐποίησαν· ἔτος δὲ φάσμα κατεσκεύασεν ὁ λαμπρότοξος Ἀπόλλων "αὐτῷ τῷ Αἰνείᾳ παρόμοιον καὶ τοῖς ὅπλοις τοιοῦτον· περὶ δὲ τῷ εἰδώλῳ οἱ Τρῶες καὶ οἱ ἔνδοξοι "Ἕλληνες διέκοπτον ἀλλήλων περὶ τὰ σήθη τὰς ἐκ βοείων βυρσῶν ἀσπίδας τὰς περιφερεῖς καὶ βέλη τὰ ἐπτερωμένα. τότε δὴ πρὸς τὸν ὁρμητικὸν Ἄρην εἶπεν ὁ καθαρὸς Ἀπόλλων ""ὦ Ἄρες

ἀνδροφόνε, μιαινόμενε φόνοις καὶ τείχη καταβάλλων, οὐκ
ἂν δὴ τοῦτον τὸν ἄνδρα τοῦ πολέμου ἐξελάσειας ἐπελθών,
τὸν Διομήδην, ὃς τὰ νῦν καὶ τῷ Διὶ ἂν πολεμοίη; τὴν
Ἀφροδίτην μὲν πρῶτον ἐγγὺς ἔτρωσε τὴν χεῖρα ἐπὶ τῷ
καρπῷ, ἔπειτα καὶ αὐτῷ ἐμοὶ ἐπῆλθε θεῷ παραπλήσιος."
ὄ"φτως εἰπὼν αὐτὸς μὲν ἐκαθέζετο ἐν τῇ ἀκροπόλει· τῶν
δὲ Τρώων τὰς τάξεις ὁ ὀλέθριος Ἄρης παρώξυνεν ἐπελ-
θών, ὁμοιωθεὶς Ἀκάμαντι τῷ ταχεῖ ἡγεμόνι τῶν Θρακῶν.
τοῖς υἱοῖς δὲ τῆ Πριάμε τοῖς εὐγενέσιν ἐκέλευσεν "ὦ υἱοὶ
τῆ Πριάμε τοῦ εὐγενῆς βασιλέως, "μέχρι τίνος φονεύεσθε
ἔτε τὸν λαὸν ὑπὸ τῶν Ἑλλήνων; ἆρα ἕως ἂν περὶ ταῖς
πύλαις ταῖς καλῶς κατεσκευασμέναις πολεμοῖεν; πεφύευθ'
ἀνὴρ ὃν ἐπ' ἴσης ἐτιμῶμεν Ἕκτορι τῷ εὐγενεῖ, ὁ Αἰνείας
ὁ υἱὸς τοῦ μεγαλοψύχε Ἀγχίσε. ἀλλὰ φέρετε ἐκ τῆς τα-
χαιρῆς σώσωμεν τὸν γενναῖον ἑταῖρον." "οὕτως εἰπὼν πα-
ρώρμησε τὴν δύναμιν καὶ τὴν ψυχὴν ἑκάστε. τότε δὴ ὁ Σαρ-
πηδὼν λίαν ὠνείδισε τὸν ἔνδοξον Ἕκτορα. "ὦ Ἕκτορ, πῆ
δή σε ἡ δύναμις πεπόευθ', ἣν πρότερον εἶχες; ἔλεγές πε
χωρὶς ὄχλων καὶ ἐπικούρων τὴν πόλιν φυλάξειν μόνος σὺν τοῖς
γαμβροῖς καὶ τοῖς ἀδελφοῖς τοῖς σοῖς, "ὧν τινῶν νῦν ἐδένα ἐγὼ
ἰδεῖν δύναμαι ἐδὲ θεάσαθ', ἀλλὰ δειλιῶσιν ὡς κύνες περὶ
λέοντα, ἡμεῖς δὲ μονομαχοῦμεν οἵτινες ὑπάρχομεν ἐπίκουροι.
καὶ γὰ ἐγὼ ἐπίκουρος ὢν πάνυ μακρόθεν παραγέγονα· μακρό-
θεν γὰ ἡ Λυκία ἐπὶ Ξάνθῳ τῷ συρροᾶς ἔχοντι, "ὅπου
γαμετὴν τὴν προσφιλῆ κατέλιπον καὶ τὸν νήπιον υἱόν, κα-
κείλιπον δὲ καὶ κτήματα πολλά, ἄτινα ἐπιθυμεῖ ὅστις ἐπι-
δεής. ἀλλὰ καὶ ὅμως τὰς Λυκίας παρορμῶ καὶ προθυμοῦμαι
αὐτὸς ἀνδρὶ πολεμεῖν. ἐμοὶ δὲ ἐκ ἔστιν ἐνταῦθα τοιοῦτον
ὁποῖον ἂν ἢ φέροιεν (ὡς ἄψυχον) οἱ Ἕλληνες ἢ ἄγοιεν
(ὡς ἔμψυχον). "σὺ δὲ ἔσηκας, καὶ ἐδὲ τοῖς λοιποῖς κελεύεις
ὄχλοις ὑπομένειν καὶ βοηθεῖν ταῖς γυναιξί. μή πως ὡς ἅμ-
πασι τῷ δικτύῳ ληφθέντες τῷ πάντα ἀγρεύοντος ἀνδράσι
πολεμίοις ἕλκυσμα καὶ εὐτύχημα γένησθε· ἔστοι δὲ ταχέως
ἐκπορθήσουσι τὴν καλῶς οἰκεμένην πόλιν ὑμῶν. "σοὶ δὲ
πρέπει ταῦτα φροντίσαι νύκτα τε καὶ ἡμέραν, τοὺς ἄρχοντας
παρακαλοῦντι τῶν ἐνδόξων ἐπικούρων ἀδιαλείπτως συνέχειν,
καὶ τὴν χαλεπὴν ἀποσοβῆσαι ἐπίπληξιν." ὄτως εἶπεν ὁ Σαρ-
πηδών, καθήψατο δὲ τὰς διανοίας τῷ Ἕκτορος ὁ λόγος.
εὐθέως δὲ ἐκ τῶν ἁρμάτων σὺν τοῖς ὅπλοις καθήλατο χα-
μαί, "διασείων δὲ τὸ ὀξὺ δόρυ κατὰ τὸ στρατόπεδον ἐπο-
ρεύετο παντοχοῦ παρορμῶν πολεμεῖν· διήγειρε δὲ μάχην
καλεπήν. ἔστοι δὲ συνεστρόφησαν καὶ ἐξ ἐναντίας ἔστησαν τῶν
Ἑλλήνων· οἱ δὲ Ἕλληνες ἐκαρτέρησαν συνηγμένοι (ἀθρόοι)
δὲ ἐφοβήθησαν. ὥσπερ δὲ ἄνεμος τὰ λεπτὰ ἄχυρα ἐλαύ-
νει κατὰ τὰς λαμπρὰς ἁλωνείας "τῶν ἀνδρῶν πτοϊζόντων,
νίκα ἡ πυρρὰ Δημήτηρ κρίνῃ ἐπειγόντων καὶ συνεχῶς καὶ
πτὰ βίας πνεόντων τῶν ἀνέμων τόν τε καρπὸν καὶ τὰ ἄχυ-
α, αὖται δὲ λευκαίνου αἱ ἀχυροθῆκαι, οὕτως τότε οἱ
Ἕλληνες λευκοὶ ὑπεράνωθεν ἐγένοντο τῷ κονιορτῷ, ὃν δὴ
ι' αὐτῶν εἰς τὸν λίαν ἰχυρὸν ἀρανὸν πλήττοντες ἤγειρον
ἱ πόδες τῶν ἵππων "εἰς τὐπίσω ἐκταραχθέντων· ὑπέρε-

φον δὲ οἱ ἡνίοχοι. ἔστοι δὲ τὰς χεῖρας ἐπ' εὐθείας ἔφερον·
ἀορασίαν δὲ καὶ ἀχλὺν ὁ ὁρμητικὸς Ἄρης περιεκάλυψεν,
ἐν τῇ μάχῃ τοῖς Τρωσὶ βοηθῶν, πανταχῆ ἐπιπορευόμε-
νος. τάτε δὲ ἐπετέλει τὰς ἐντολάς, τοῦ καθαρῆ Ἀπόλλω-
νος τῆ χρυσοφασγάνε, ὃς αὐτὸν ἐκέλευσε "τῶν Τρώων τὴν
ψυχὴν διεγεῖραι, ἐπείπερ εἶδε τὴν πολεμικὴν Ἀθηνᾶν
ἀπελθοῦσαν· αὕτη γὰ ἐγένετο τοῖς Ἕλλησι βοηθός. αὐτὸς
δὲ τὸν Αἰνείαν ἐκ τοῦ πάνυ πλησίου ναῆ ἀφῆκε, καὶ ἐν τῇ
καρδίᾳ δύναμιν ἐνέβαλε τῆ βασιλέως τῶν ὅχλων. ὁ δὲ Αἰ-
νείας ἐν τοῖς ἑταίροις ἵστατο· ἔστοι δὲ ἐχάρησαν, "ὡς ἐθεά-
σαντο ζῶντα καὶ ὑγιῆ προσερχόμενον καὶ δύναμιν ἀγαθὴν
ἔχοντα, ἐπεζήτησαν μέντοι οὐδέν. ἐ γὰ ὑπῆρχε πόνος ἕτε-
ρος, ὃν ὁ Ἀπόλλων ἤγειρε ὁ Ἄρης τε ὁ ἀνθρωποκτόνος
καὶ ἡ Ἔρις ἀπλήρωτον προθυμουμένη. τάτας δὴ οἱ δύο Αἴαν-
τοτε καὶ ὁ Ὀδυσσεὺς καὶ ὁ Διομήδης "παρώρμων τὰς "Ελλη-
νας πολεμεῖν· ἔστοι δὲ καὶ αὐτοὶ ἅτε δυνάμεις τῶν Τρώων
ἐδεδοίκεσαν (ἐφοβήθησαν) ἅτε κραυγάς, ἀλλ' ἔμενον νε-
φέλαις ὁμοῖοι ἅσπερ ὁ Ζεὺς ἔνεκεν ἀνηνεμίας (ἡσυχίας)
ἔστησεν ἐφ' ὑψηλοῖς ὄρεσιν ἐφ' ἡσυχίας, ὅταν ἠρεμῇ ἡ
δύναμις τῆ Βορέε καὶ τῶν λοιπῶν "ἄγαν χρειωδῶν (μεγά-
λως πνεόντων) ἀνέμων, οἵτινες τὰ σκιὰς ποιῆντα νέφη
πνοαῖς ἡδείαις διασκορπίζεσι πνέοντες. ὄτως οἱ Ἕλληνες
τὰς Τρῶας ἔμενον ἀμετακινήτως καὶ ἐκ ἔφευγον. ὁ δὲ
Ἀγαμέμνων ἀνὰ τὸ πλῆθος ἐπορεύετο πολλὰ παρακελευό-
μενος. "ὦ φίλοι, ἀνδρεῖοι γένεσθε καὶ ἰσχυρὰν ψυχὴν ἀνα-
λαμβάνετε, "ἀλλήλες τε ἐντρέπεσθε κατὰ τὰς ἰσχυρὰς μά-
χας. τῶν γὰ αἰδεσμένων ἀνδρῶν οἱ πλείες σώζου ἢπερ
φονεύονται· τῶν δὲ φευγόντων ἅτε τις δόξα διεγείρεται
ἅτε τις ἰσχύς." εἶπε καὶ ἠκόντισε τῷ δόρατι ταχέως, ἔβαλε
δὲ πρόμαχον ἄνδρα τοῦ Αἰνείε ἑταῖρον τῆ μεγαλοψύχου,
τὸν Δημοκόωντα "Περγάσε παῖδα, ὃν οἱ Τρῶες ὁμοίως
τοῖς Πριάμε παισὶν ἐτίμων, ἐπειδὴ ταχὺς ὑπῆρχεν ἐν τοῖς
Τρωσὶ πολεμεῖν. τῆτον δὴ κατὰ τὴν ἀσπίδα τῷ δόρατι
ἐπέτυχεν ὁ βασιλεὺς Ἀγαμέμνων· αὕτη δὲ ἐκ ἐπέσχε τὸ
δόρυ, δι' ὅλε δὲ διῆλθεν ὁ σίδηρος, κατὰ δὲ τὸ ἕχατον
μέρος τῆς γαστρὸς διὰ τῆ ζωστῆρος ἐπέρασεν. "ἔπεσε δὲ
κατὰ πρόσωπον, ἤχησε δὲ τὰ ὅπλα ἐπ' αὐτῷ. τότε δὴ ὁ
Αἰνείας τῶν Ἑλλήνων ἐφόνευσεν ἄνδρας δυνατούς, τοὺς υἱοὺς
τῆ Διοκλέος, τόν τε Κρήθωνα καὶ τὸν Ὀρσίλοχον. τούτων
δὴ ὁ πατὴρ μὲν κατῴκει ἐν τῇ καλῶς ἐκτισμένῃ Φήρῃ,
πλήσιος τὸν βίον· τὸ γένος δὲ ἦν ἐκ ποταμοῦ "τῆ Ἀλ-
φειῆ, ὃς πλατέως ῥεῖ διὰ τῆς τῶν Πυλίων γῆς· ὅστις ἐγέν-
νησε τὸν Ὀρσίλοχον πολλῶν ἀνδρῶν βασιλέα, ὁ Ὀρσίλοχος
δὲ δὴ ἐγέννησε Διοκλῆν τὸν καρτερόψυχον, ἐκ δὲ τῆ Διο-
κλέες δίδυμοι παῖδες ἐγεννήθησαν, ὅ τε Κρήθων καὶ ὁ Ὀρ-
σίλοχος, πάσης ἐπιστήμονες μάχης. "οἱ μὲν δὴ ἀκμάσαν-
τες (ἀνδρωθέντες) ἐπὶ βαθειῶν νεῶν εἰς τὴν εὐίππον Ἴλιον
σὺν τοῖς Ἕλλησι παρεγένοντο, ἀντέκτισιν τοῖς Ἀτρείδαις
τῷ τε Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ ἀντικαταλλασσόμενοι·
τούτες δὲ αὐτόθι ὁ θάνατος ἐκάλυψεν. ἔστοι δὲ ὁποῖοί
τινες λέοντες δύο ἐν ὄρες κορυφαῖς "ἐτράφησαν ὑπὸ τῇ

μητρὶ ἐν τοῖς πυκνώμασι τῆς βαθείας ὕλης· ἔτοι μὲν δὴ ἁρπάζοντες βῶς ᾗ εὐτραφῆ πρόβατα τὰς ἐπαύλεις τῶν ἀνθρώπων ἐπόρθουν, ἕως ᾗ αὐτοὶ ἐν ταῖς τῶν ἀνδρῶν χερσὶν ἐφονεύθησαν τῷ ἀξεῖ σιδήρῳ· τοιῶτοι ἔτοι ὑπὸ τῶν χειρῶν τῶ Αἰνείᾳ δαμασθέντες κατέπεσον ἐλάταις παραπλήσιοι ὑψηλαῖς. τότε δὲ πεσόντας ὤκτειρεν ὁ φιλοπόλεμος Μενέλαος, ἐπορεύθη δὲ διὰ τῶν προμάχων ὡπλισμένος μέλανι σιδήρῳ, σείων τὸ δόρυ· τότε δὲ παρώρμα τὴν δύναμιν ὁ Ἄρης ταῦτα φρονῶν, ὅπως ὑπὸ τῶν χειρῶν τῶ Αἰνείᾳ δαμασθείη. τῶτον δὲ ἐθεάσατο ὁ Ἀντίλοχος, τῶ μεγαλοψύχω Νέςορος υἱός· ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιςῶν· περισσῶς γ᾽ ἐφοβεῖτο τῷ βασιλεῖ τῶν λαῶν μή πως πάθῃ τι ᾗ μεγάλως αὐτοὺς ἀποσφαλῆναι ποιήσειε τῶ κόπῳ. ἔτοι μὲν δὴ τάς τε χεῖρας ᾗ τὰ ὀξέα δόρατα ἐξεναντίας ἀλλήλων εἶχον προθυμέμενοι πολεμεῖν· Ἀντίλοχος δὲ λίαν ἐγγὺς παρέξη τῷ βασιλεῖ τῶν ὅχλων. ὁ δὲ Αἰνείας ἐκ ἔμεινε καίπερ ὢν ταχὺς πολεμιςής, ὡς εἶδε δύο ἄνδρας ἀλλήλοις παραμένοντας. ἔτοι δὲ ἐπειδὴ τὲς νεκρὲς εἵλκυσαν πρὸς τὸν λαὸν τῶν Ἑλλήνων, τότε μὲν δὴ τοὺς ἀθλίως ἐνεχείρισαν ἐν χερσὶ τῶν ἑταίρων, αὐτοὶ δὲ γραφέντες ἐν τοῖς προμαχομένοις ἐμάχοντο. τότε τὸν Πυλαιμένην ἀνεῖλον τὸν ἴσον τῷ Ἄρει, τὸν ἄρχοντα τῶν Παφλαγόνων τῶν καρτεροψύχων ὁπλιτῶν. τῶτον μὲν δὴ ὁ υἱὸς τῶ Ἀτρέως, ὁ κατὰ τὸ δόρυ εὖςοχος Μενέλαος, ἐςῶτα τῷ δόρατι ἔτρωσε κατὰ τὴν κλεῖδα ἐπιτυχών· ὁ Ἀντίλοχος δὲ τὸν Μύδωνα ἔβαλε τὸν ἡνίοχον ᾗ θεράποντα, τὸν ἀγαθὸν Ἀτυμνίδ υἱόν — ἔτος δὲ ὑπέςρεφε τὲς μονόνυχας ἵππες — χειροπληθεῖ λίθῳ τὸν ἀγκῶνα ἐπιτυχὼν μέσον· ἐκ δὲ τῶν χειρῶν τὰ ἡνία τὰ λευκὰ ἴσως τῷ ἐλέφαντι κατέπεσον ἐν τῇ γῇ. ὁ δὲ Ἀντίλοχος ἐφορμήσας τῷ ξίφει ἔκοψε τὴν κεφαλήν· ἔτος δὲ πνευςιῶν (ὀλιγοψυχῶν) τῶ καλῶς κατεσκευασμένῳ ἐξέπεσεν ἅρματος ἐπὶ κεφαλὴν κυβισῶν ἐν τῇ γῇ ἐπὶ τὸ βρέγμα ᾗ τὲς ὦμες. πάνυ ἐκὶ πολὺ ἔστη — ἔτυχε γ᾽ βαθείας ἄμμε —, ἕως οἱ ἵπποι τύψαντες κατέβαλον ἐν τῇ γῇ, ὃς ἐμάςιξεν ὁ Ἀντίλοχος, ἐπὶ δὲ τὸν ὁρατὸν ἦλασε τῶν Ἑλλήνων. τότε δὲ ὁ Ἕκτωρ ἐθεάσατο κατὰ τὰς τάξεις, ᾗ ὥρμήθη ἐπ᾽ αὐτοὺς κραυγάζων· ὁμῶ δὲ τῶν Τρώων ἠκολέθων αἱ τάξεις αἱ ἰχυραί. ἡγεῖτο δὲ αὐτῶν ὁ Ἄρης ᾗ ἡ ἔντιμος Ἐννώ, ἡ μὲν ἔχβσα (ταραχὴν) πόλεμον τὸν ἀναιδῆ τῆς μάχης, ὁ δὲ Ἄρης ἐν ταῖς χερσὶ μέγα δόρυ ἐκίνει (μετέφερεν), ἄνεςρέφετο δὲ ἄλλοτε μὲν ἔμπροσθεν τῶ Ἕκτορος ποτὲ δὲ ὀπίσω. τῶτον δὲ ἰδὼν ἐφοβήθη ὁ κατὰ τὴν μάχην ἰχυρὸς Διομήδης. καθάπερ δὲ ἀνὴρ ἀθενὴς πορευθεὶς διὰ πολλῆς πεδιάδος ἔςη ἐπὶ ταχέως ῥέοντι ποταμῷ εἰς θάλασσαν ἐμβάλλοντι, τῷ ἀφρῷ ὁρατορασσόμενον ἰδών, ᾗ ἀνέδραμεν εἰς τὸπίσω, ἔτως τότε ὁ Διομήδης ἀνεχώρει ᾗ τῷ λαῷ εἶπεν Ὦ προσφιλέςατοι, ὁποῖον δὴ θαυμάζομεν Ἕκτορα τὸν ἔνδοξον πολεμικόν τε εἶναι ᾗ τολμηρὸν μαχητήν· τότῳ δὲ ἀεὶ πάρεςιν εἷς τῶν Θεῶν, ὃς τὸν ὄλεθρον ἀποσοβεῖ. ᾗ νῦν αὐτῷ πάρεςιν ἐκεῖνος ὁ Ἄρης φθαρτῷ ἀνδρὶ ὁμοιωθείς. Ἀλλὰ πρὸς τοὺς Τρῶας βλέποντες διὰ παντὸς εἰς τὸπίσω πρόως ὑποχωρεῖτε, ᾗ μὴ τοῖς Θεοῖς προθυμεῖῶθε ἰχυρῶς πολεμεῖν." ἔτω δὴ εἶπεν· οἱ δὲ Τρῶες λίαν ἐγγὺς ἦλθον αὐτῶν. τότε ὁ Ἕκτωρ δύο ἄνδρας ἐφόνευσεν ἐπισαμένως μάχεσθ, ἐν ἑνὶ ἅρματι ὑπάρχοντας, τόν τε Μενέσθην ᾗ τὸν Ἀγχίαλον. τότε δὲ πεσόντας ὤκτειρεν ὁ μέγας τοῦ Τελαμῶνος υἱὸς Αἴας· ἔςη δὲ λίαν ἐγγὺς ἐλθών, ᾗ ἠκόντισε τῷ δόρατι τῷ λαμπρῷ, ᾗ ἔβαλε τὸν Ἄμφιον τῶ Σελάγ τὸν υἱόν, ὃς δὴ ἐν τῇ Παισῷ πόλει ὤκει πολλὰ κτήματα ἔχων ᾗ πολλὰ λήϊα· ἀλλ᾽ αὐτὸν ἡ μοῖρα ἤγαγεν ἐπιβοηθήσοντα πρὸς Πρίαμον ᾗ τὲς υἱοὺς αὐτῦ. τοῦτον δὴ κατὰ ζωςῆρα ἔβαλεν ὁ τοῦ Τελαμῶνος υἱὸς Αἴας· ἐν τῇ κατωτάτῃ δὲ γαςρὶ ἐπάγη τὸ μακροπόρευτον δόρυ. ἐκτύπησε δὲ πεσών· ἐπέδραμε δὲ ὁ λαμπρὸς Αἴας τὰ ὅπλα σκυλεύσων. οἱ δὲ Τρῶες δόρατα ἐπ᾽ αὐτῷ ἐπέπεμψαν δαψιλῶς ταχέα, λάμποντα· ἡ δὲ ἀσπὶς αὐτῦ ἀνέλαβε πλεῖςα. τοῦτος δὲ κατὰ τὸ ςῆθος τῶ ποδὸς ἐνθορὼν ἐκ τοῦ νεκροῦ τὸ σιδηροῦν δόρυ ἀπέσπασεν· ἐκέτι δὲ τὰ λοιπὰ ἠδυνήθη ὅπλα τὰ καλὰ ἀπὸ τῶν ὤμων ἀφελέσθ, κατεπονεῖτο δὲ τοῖς βέλεσιν. ἐφοβεῖτο δὲ ἔτος τὴν ὑπερμάχησιν τὴν ἰχυρὰν Τρώων τῶν ἀλαζόνων, οἳ πολλοί τε ᾗ γενναῖοι ἐφειςήκεισαν δόρατα κατέχοντες. ἔτοι αὐτὸν καίπερ μέγαν ὄντα ᾗ ἰχυρὸν καὶ λαμπρὸν ἀπεώσαντο ἀφ᾽ ἑαυτῶν· ἔτος δὲ ἀναχωρήσας ἀπεσείσατο. ἔτως ἔτοι μὲν ἐνήργεν ἀνὰ τὴν ἰχυρὰν μάχην· τὸν δὲ Τληπόλεμον τῶ Ἡρακλέος υἱὸν τὸν ἀγαθὸν (τὸν γενναῖον) ᾗ μέγαν ἐφώρμησεν ἐπὶ τῷ ἰσοθέῳ Σαρπηδόνι ἡ θανατηφόρος ᾗ ἰχυρὰ μοῖρα. οὗτοι δὲ ἡνίκα δὴ ἐγγὺς ἐγένοντο ἀλλήλοις ἐπερχόμενοι, ὅ τε υἱὸς ᾗ ὁ υἱῶ υἱὸς τῶ τὰς νεφέλας ἀθροίζοντος Διός, πρὸς τῶτον ὁ Τληπόλεμος πρότερος λόγον εἶπεν. Ὦ Σαρπηδὼν τῶν Λυκίων πρόβελε, ποία σοι ἀνάγκη ἐςὶ φοβεῖῶθ ἐνταῦθα ὑπάρχοντα πολέμιε ἀπείρῳ ἀνδρί; ψευδόμενοι δέ σε λέγβσι Διὸς υἱὸν τῶ αἰγιδόχω εἶναι, ἐπειδὴ κατὰ πολὺ ἐκείνων ἐνδεὴς εἶ τῶν ἀνδρῶν, οἵτινες ἐκ τῶ Διὸς ἐγένοντο ἐπὶ τῶν προτέρων ἀνδρῶν. ἀλλ᾽ ὁποῖόν τινα λέγβσι τὸν Ἡρακλέα εἶναι τὸν ἐμὸν πατέρα, τολμηρόν, λεοντόψυχον. οὗτός ποτε ἐνταῦθα ἐλθὼν ἕνεκα τῶν ἵππων τῶ Λαομέδοντος σὺν ἓξ μόναις ναυσὶ ᾗ ἀνδράσιν ὀλιγωτέροις τῆς Ἰλίθ ἐξεπόρθησε τὴν πόλιν ᾗ ἐκένωσε τὰς ὁδάς. σοὶ δὲ δειλὴ μὲν ἡ ψυχὴ ἀποφθείρον δὲ οἱ ὄχλοι. οὐδέ σε νομίζω βοήθημα ἔσεσθ ἐλθόντα ἐκ τῆς Λυκίας, ἐδὲ εἰ σφόδρα ἰχυρὸς ὑπάρχεις ἀλλ᾽ ὑπ᾽ ἐμῦ δαμασθέντα εἰς ᾍδθ κατελθεῖν." πρὸς τῶτον δὲ Σαρπηδὼν ὁ τῶν Λυκίων ἡγεμὼν ἐξ ἐναντίας εἶπεν· Ὦ Τληπόλεμε, ἐκεῖνος μὲν ἐπόρθησε τὴν μεγάλην Ἴλιον ἀνδρὸς ἀνοίᾳ τῷ λαμπρῷ Λαομέδοντος, ὅσις αὐτὸν εὖ ποιήσαντα κακῷ ἐπέπληξε λόγῳ, οὐδὲ ἀπέδωκε τὲς ἵππες ὧν χάριν πόρρωθεν ἦλθε. σοὶ δὲ ἐγὼ ἐνταῦθα νομίζω φόνον ᾗ θάνατον σκοτεινὸν ἐξ ἐμῦ γενήσεσθ, ᾗ ὑπὸ τῷ ἐμῷ δόρατι δαμασθέντα ἐμοὶ μὲν ἓν καύχημα δώσειν τὴν διψυχὴν τῷ ἵππες ἐνδόξους ἔχοντι Ἄιδη." Οὕτως εἶπεν ὁ Σαρπηδών· ὁ δὲ ἀνέτεινε τὸ μακρὸν (ἢ ἀπὸ μελίας κα-

τεσκευασμένον) δόρυ ὁ Τληπόλεμος. καὶ τότων μὲν ὁμοῦ (ἀκολωθεῖ) τὰ μακρὰ δόρατα ἐκ τῶν χειρῶν ὡρμήθησαν. καὶ ὁ μὲν ἔβαλε κατὰ μέσον τὸν τράχηλον ὁ Σαρπηδών, ἡ δὲ ἐπιδορατὶς δι' ὅλου τοῦ τραχήλου διῆλθεν ἐπίπονος· τὸν δὲ κατὰ τῶν ὀφθαλμῶν σκοτεινὴ (ἤτοι ἀορασία) ἐκάλυψεν. ὁ δὲ Τληπόλεμος κατὰ τὸν μηρὸν τὸν ἀριστερὸν δόρατι τῷ μακρῷ ἔβαλεν, ἡ δὲ ἐπιδορατὶς διεξῆλθεν ἐνθουσιῶσα τῷ ὀργῷ ἐμπαγεῖσα· ὁ δὲ πατὴρ ἔτι αὐτοῦ τὸν ὄλεθρον ἀπεκώλυσεν. οἱ μὲν δὴ τὸν ἰσόθεον Σαρπηδόνα οἱ ἔνδοξοι ἑταῖροι ἐξήγαγον ἀπὸ τοῦ πολέμου. ἐβάρει δὲ αὐτὸν δόρυ τὸ μακρὸν ἐφελκόμενον, καὶ οὗτος οὐδεὶς ἐσκέψατο οὐδὲ ἐνόησεν, ἐκ τοῦ μηροῦ ἐξελκύσαι τὸ δόρυ τὸ ἐκ μελίας, ἵνα δυνηθῇ περιπατῆσαι, σπεδαζόντων αὐτῶν· τοιοῦτον γὰρ εἶχον κάματον περιέποντες αὐτόν. τὸν Τληπόλεμον δὲ ἐκ τοῦ ἑτέρου μέρους οἱ εὔοπλοι Ἕλληνες ἐξήγαγον τοῦ πολέμου. ὁ δὲ ἐδοκίμασεν ὁ ἔνδοξος Ὀδυσσεὺς "ὁ ὑπομονητικὴν ψυχὴν ἔχων· ἐταράχθη δὲ αὐτοῦ ἡ φίλη ψυχή. ἐνενόησε δὲ μετὰ ταῦτα κατὰ διάνοιαν καὶ κατὰ ψυχήν, ἆρα πρότερον τὸν τοῦ Διὸς υἱὸν τοῦ μεγαλοήχου διώκοι, ἢ ἔτος τῶν πλείστων Λυκίων ἀφέλοιτο τὴν ψυχήν. ἐδαμῶς δὴ τῷ μεγαλοψύχῳ Ὀδυσσεῖ πεπρωμένον ὑπῆρχε "τὸν ἰσχυρὸν τοῦ Διὸς υἱὸν ἀποκτεῖναι τῷ ὀξεῖ δόρατι· διὸ δὴ κατὰ τὸ πλῆθος τῶν Λυκίων ἔτρεψε τὴν ὀργὴν ἡ Ἀθηνᾶ. τότε ἔτος τὸν Κοίρανον ἀνεῖλε καὶ τὸν Ἀλάστορα καὶ τὸν Χρομίον καὶ τὸν Ἄλκανδρον καὶ τὸν Ἅλιον καὶ τὸν Νοήμονα καὶ τὸν Πρύτανιν. καὶ δὴ ἂν πλείονας τῶν Λυκίων ἐφόνευσεν ὁ ἔνδοξος Ὀδυσσεύς, "εἰ μὴ δὴ ταχέως ἐθεάσατο ὁ μέγας καὶ εὔοπλος Ἕκτωρ, ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν καθωπλισμένος λαμπρῷ σιδήρῳ, φόβον ἐπάγων τοῖς Ἕλλησιν. ἐχάρη δὲ ἐπ' αὐτῷ προσελθόντι ὁ Σαρπηδὼν ὁ τοῦ Διὸς υἱός, λόγον δὲ θρηνώδη εἶπεν. "ὦ παῖ τοῦ Πριάμου, μηδαμῶς με ἕλκυσμα τοῖς Ἕλλησι συγχωρήσῃς "προκεῖσθαι, ἀλλὰ βοήθησον. μετὰ ταῦτά με ἐπιλίποι ὁ βίος τοῦ ἀνθρώπου ἐν τῇ ὑμετέρᾳ πόλει, ἐπειδὴ ἐκ ἐκείνης ἐγὼ ἀνακομισθεὶς εἰς τὸν οἶκον καὶ εἰς τὴν προσφιλῆ πατρικὴν γῆν εὐφρανεῖν τὴν προσφιλῆ γυναῖκα καὶ τὸν νήπιον υἱόν." οὕτως εἶπε· πρὸς τοῦτον δὲ οὐδὲν εἶπεν ὁ ποικίλος τὴν περικεφαλαίαν Ἕκτωρ, "ἀλλὰ παρέδραμε προθυμούμενος, ὅπως τάχιστα ἀποδιώξειε τοὺς Ἕλληνας καὶ πολλῶν τὴν ψυχὴν ἀφέλοιτο. ἔτοι μὲν δὴ τὸν ἰσόθεον Σαρπηδόνα οἱ ἔνδοξοι ἑταῖροι καθεσθῆναι ἐποίησαν ἐπὶ τῆς τοῦ αἰγιδόχου Διὸς περικαλλοῦς δρυός· ἐκ δὲ τοῦ μηροῦ αὐτοῦ δόρυ τὸ ἐκ μελίας ἀπεώσατο ἔξω τῆς θύρας ἡ χαμᾶζε "ὁ ἰσχυρὸς Πελάγων, ὃς αὐτῷ προσφιλὴς ἦν ἑταῖρος. οὗτος δὲ ὠλιγοψύχησε, κατὰ δὲ τῶν ὀφθαλμῶν αὐτοῦ ἐχύθη ἀορασία. πάλιν δὲ ἀνέλαβεν αὐτόν, περὶ δὲ αὐτὸν ἡ πνοὴ τοῦ Βορέου εἰς τὸ ζῆν ἦγεν ἐπιπνέουσα κακῶς ἐκπεπνευκότα τὴν ψυχήν. οἱ δὲ Ἕλληνες ὑπὸ τοῦ Ἄρεως καὶ Ἕκτορος τοῦ ὡπλισμένου χαλκῷ "ἐδέποτε σφαλέντες ἔφευγον ὡς ἐπὶ τὰς μελαίνας ναῦς, ἔτε ποτὲ ἐξ ἐναντίας ἐφέροντο τῇ μάχῃ, ἀλλ' ἀεὶ ὀπίσω ἀνεχώρουν, ὡς ἦκεον ἐν τοῖς Τρωσὶν εἶναι τὸν Ἄρην. τότε τίνα πρῶτον, τίνα δὲ τελευταῖον ἐφόνευσεν Ἕκτωρ ὁ τοῦ Πριάμου παῖς καὶ ὁ ἰσχυρὸς Ἄρης; "τὸν ἰσόθεον Τεύθραντα, ἐπὶ δὲ τούτῳ τὸν ἱππικὸν Ὀρέστην Τρηχόν τε τὸν πολεμιστὴν τὸν Αἰτωλὸν καὶ τὸν Οἰνόμαον καὶ τὸν Οἰνόπου υἱὸν Ἕλενον καὶ Ὀρέσβιον τὸν ποικίλην μίτραν ἔχοντα, ὃς δὴ ἐν Ὕλῃ τῇ πόλει κατῴκει πάνυ τοῦ πλούτου πεφροντικώς, πρὸς τῇ λίμνῃ παρακείμενος τῇ Κηφισίδι. παρ' αὐτῷ δὲ οἱ ἄλλοι "κατῴκουν οἱ Βοιωτοί, λίαν εὐδαίμονα δῆμον ἔχοντες. τούτους δὲ ὡς ἐθεάσατο θεὰ ἡ λευκοβραχίων Ἥρα τοὺς Ἕλληνας φονεύοντας ἐν τῇ ἰσχυρᾷ μάχῃ, εὐθέως τὴν Ἀθηνᾶν λόγους ταχεῖς εἶπεν. "ὦ φεῦ τοῦ αἰγιδόχου Διὸς τέκνον ἀκαταπόνητε, "ἆρα μάταιον τὸν λόγον ὑπεχόμεθα τῷ Μενελάῳ τὴν Ἴλιον ἐκπορθήσαντι τὴν καλῶς τετειχισμένην ἐπανέρχεσθαι, ἐὰν ἕτω μαίνεσθαι ἐάσομεν τὸν ὀλέθριον Ἄρην. ἀλλὰ φέρε καὶ ἡμεῖς βουλευσώμεθα περὶ τῆς ὁρμητικῆς μάχης." οὕτως εἶπεν· ὑπήκουσε δὲ θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ. "αὕτη μὲν πορευθεῖσα τὰς χρυσοχαλίνους εὐτρέπιζεν ἵππους, Ἥρα ἡ πρεσβυτάτη θυγάτηρ τοῦ μεγάλου Κρόνου· ἡ δὲ Ἥβη περὶ τοῖς ἅρμασι ταχέως ἔβαλε τὰ ἐπικαμπῆ τόξα τὰ χαλκᾶ, ὀκτὼ κερκίδας ἐχόντας, ἐπὶ σιδηρῷ ἄξονι ἑκατέρωθεν. τούτων ἡ μὲν χρυσῆ περιφέρεια ἄφθαρτος· ὑπεράνω δὲ "χαλκοῖ κάνθοι προσηρμοσμένοι θαῦμα ἰδεῖν· αἱ χοινικίδες δὲ ἀπ' ἀργύρου εἰσὶ κυκλοτερεῖς ἀμφοτέρωθεν· τὸ δὲ ὄχημα χρυσοῖς καὶ ἀργυροῖς ἱμᾶσι τεταμένον ἦν· δύο δὲ περιφερεῖς ἄντυγές εἰσιν. ἐκ τότου δὲ ἀργυροῦς ῥόμος ὑπῆρχεν· ἐπὶ δὲ τῷ ἄκρῳ "ἐπέδησε χρυσοῦν ζυγὸν καλόν, ἐν αὐτῷ δὲ ἀσφαλίσματα καλὰ ἔβαλε χρυσᾶ. ὑπὸ δὲ τὸν ζυγὸν ἤγαγεν ἡ Ἥρα ἵππους τοὺς ταχύποδας, προθυμουμένη φιλονεικίας καὶ μάχης. ἡ δὲ Ἀθηνᾶ ἡ θυγάτηρ Διὸς τοῦ αἰγιδόχου τὸν μὲν πέπλον καταχεθῆναι ἐποίησε τὸν ἰσχυρὸν ἐπὶ τῷ τοῦ Διὸς ἐδάφει, "τὸν ποικίλον, ὃν δὴ αὐτὴ ἐποίησε καὶ κατεσκεύασε χερσίν· αὕτη δὲ χιτῶνα ἐνδυσαμένη Διὸς τοῦ τὰς νεφέλας συνάγοντος τοῖς ὅπλοις εἰς τὸν πόλεμον καθωπλίζετο τὸν πλήρη δακρύων. περὶ δὴ τοῖς ὤμοις περιεβάλετο αἰγίδα κροσσοὺς ἔχουσαν πανταχῇ, φοβεράν, ἣν πανταχόθεν φόβος κύκλῳ περιέκειτο· "ἐν αὐτῇ δὲ φιλονεικία καὶ δύναμις ἐνῆν καὶ φρικτὴ δίωξις, ἐν αὐτῇ δὲ καὶ γοργότητος εἰκών (κεφαλὴ τῆς Γοργόνος) τοῦ φοβεροῦ τέρατος καταπληκτικὴ καὶ φοβερά, τὸ τοῦ Διὸς σημεῖον τοῦ αἰγιδόχου. τῇ κεφαλῇ δὲ περικεφαλαίαν ἔθηκε περὶ αὐτὴν τέσσαρας ἔχουσαν φάλους, χρυσῆν, ἑκατὸν πόλεων πεζοῖς ὁπλίταις ἁρμόζουσαν. "εἰς δὲ τὰ διάπυρα ὀχήματα τοῖς ποσὶν ἀνέβη, ἔλαβε δὲ καὶ δόρυ τὸ καταπληκτικὸν καὶ ἰσχυρόν, ᾧ τινὶ δαμάζει τὰς τάξεις τῶν ἀνδρῶν τῶν ἡμιθέων, οἷς μνησικακεῖ ἡ ὄμβριμον καὶ ἰσχυρὸν καὶ γενναῖον πατέρα ἔχουσα. ἡ Ἥρα δὲ τῇ μάστιγι ταχέως ἐφήπτετο (ἔτυπτε) τοὺς ἵππους. ἀφ' ἑαυτῶν δὲ αἱ πύλαι ἤχησαν (καὶ ἀνεῴχθησαν) τοῦ οὐρανοῦ, ἃς ἐφύλαττον αἱ Ὧραι, "αἷς ἐγκεχείρισαι ὁ μέγας οὐρανὸς καὶ ὁ Ὄλυμπος καὶ ἀνακαλύψαι τὸ πυκνὸν νέφος καὶ κλεῖσαι. ἐκεῖ δι' αὐτῶν τοὺς τοῖς κέντροις (ἦγεν ταῖς μάστιξιν) ἐλαυνομένους (ἄκοντας) ἤλαυνον ἵππους. εὗρον δὲ τὸν υἱὸν τοῦ

Κρόνȣ τῶν θεῶν χωρὶς καθήμενον τῶν λοιπῶν ἐν τῇ ὑψηλοτάτῃ ἀκρωρείᾳ τȣ̃ πολλὰς ἐξοχὰς ἔχοντος Ὀλύμπȣ. "ἐκεῖ τοὺς ἵππȣς ςήσασα θεὰ ἡ λευκοβραχίων Ἥρα Δία τὸν βασιλέα ἐξηρώτα ϗ εἶπεν "ὦ Ζεῦ πάτερ, οὐ μέμφῃ τῷ Ἄρει διὰ ταῦτα τὰ ἰςχυρὰ ἔργα, ὅσον ϗ ὁποῖον ἐφόνευσε λαὸν τῶν Ἑλλήνων ματαίως ϗ ȣ̓κ εὐλόγως; ἐμοὶ δὲ λύπη τȣ̃το· ȣ̃τοι δὲ ἥσυχοι "τέρπονται, ἥ τε Ἀφροδίτη ϗ ὁ λαμπρότοξος Ἀπόλλων, τὸν ἄφρονα τȣ̃τον ἀναπείσαντες (ὑποβαλόντες), ὅςις οὐδεμίαν ἐπίςαται δίκην. ὦ Ζεῦ πάτερ, ἆρά μοι ὀργισθήσῃ, ἐὰν τὸν Ἄρην χαλεπῶς πλήξασα ἐκ τῆς μάχης ἀποδιώξω;" πρὸς ταύτην δὲ ἀνταποκρινόμενος εἶπεν ὁ πατὴρ τῶν θεῶν ϗ τῶν ἀνθρώπων ""ἄγε δὴ ἐφόρμησον αὐτῷ Ἀθηνᾶν τὴν λαφυραγωγόν, ἥτις αὐτὸν μάλιςα εἴωθε κακαῖς ὀδύναις προσφέρειν." ȣ̃τως εἶπεν· ὑπήκουσε δὲ ἡ λευκόπηχυς θεὰ Ἥρα, ἐμάςιξε δὲ τȣ̀ς ἵππȣς· οὗτοι δὲ ἑκόντες ἐπέτοντο μεταξὺ γῆς τε ϗ ȣ̓ρανοῦ τοῦ ἀςέρας ἔχοντος. "ἐφ' ὅσον δὲ τὸ βάθος τοῦ ἀέρος ἀνὴρ ἐθεάσατο τοῖς ὀφθαλμοῖς καθήμενος ἐν ὑψηλῷ τόπῳ ϗ βλέπων εἰς τὸν μέλανα πόντον, ἐπὶ τοσȣ̃τον πηδῶσι τῶν θεῶν οἱ ὑψαύχενες ἵπποι. ἀλλ' ἡνίκα δὴ εἰς τὴν Τροίαν ἀφίκοντο ϗ εἰς τοὺς δύο ῥέοντας ποταμȣ́ς, ὅπȣ τὰ ῥεύματα ὁ Σιμόεις ϗ ὁ Σκάμανδρος συμβάλλȣσιν, "ἐκεῖ τȣ̀ς ἵππȣς ἔςησε θεὰ ἡ λευκοβραχίων Ἥρα λύσασα ἐκ τῶν ἁρμάτων, περιέχει δὲ αὐτοῖς ἀορασίαν πολλήν. τȣ́τοις δὲ πόαν (ἤτοι θείαν τροφήν) ὁ Σιμόεις ἀνέδωκεν ἐσθίειν. αὐταὶ δὲ ἐπορεύοντο δειλαῖς περιςεραῖς εἰς τὰ βήματα παραπλήσιαι, τοῖς ἀνδρείοις Ἕλλησι βοηθῆσαι προθυμȣ́μεναι. "ἀλλ' ὅτε δὴ παρεγένοντο ὅπȣ πολλοὶ ϗ γενναῖοι εἱςήκεισαν περὶ τὴν ἰςχὺν Διομήδȣς τȣ̃ πολεμικȣ̃ συναθροιζόμενοι, λέȣσι παραπλήσιοι ὠμοφάγοις ἢ ἀγρίοις χοίροις, ὧν τὸ σθένος ȣ̓κ ἀνίςχυρον, ἐκεῖ ςᾶσα ἐβόησε θεὰ ἡ λευκοβραχίων Ἥρα "τῷ Στέντορι ὁμοιȣμένη τῷ ἰσχυρῷ τῷ μεγαλοφώνῳ, ὃς τοσȣ̃τον ἐφώνει ὅσον ἕτεροι πεντήκοντα. "ὦ Ἕλληνες, αἰσχύνη, ἐπονείδιςοι, τῇ εὐμορφίᾳ θαυμαςοί. ἕως μὲν εἰς τὸν πόλεμον ἀνεςρέφετο ὁ ἔνδοξος Ἀχιλλεύς, ȣ̓δέποτε οἱ Τρῶες πρὸ τῶν Δαρδανίων πυλῶν "προῄεσαν· ἐκείνȣ γὰρ ἐφοβȣ̃ντο τὸ ἰςχυρὸν δόρυ. νῦν δὲ πόῤῥω τῆς πόλεως ἐπὶ ταῖς βαθείαις ναυσὶ πολεμȣ̃σιν." οὕτως εἰπȣ̃σα παρώξυνε τὴν δύναμιν ϗ τὴν ψυχὴν ἑκάςȣ. τῷ δὲ Διομήδει ἐφώρμησε θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ· κατέλαβε δὲ τὸν ἡγεμόνα παρὰ τοῖς ἵπποις ϗ τοῖς ἅρμασι "τὸ ἕλκος καταπνεόμενον, ὅπερ αὐτὸν ἔβαλεν ὁ Πάνδαρος τῷ βέλει· ὁ γὰρ ἱδρὼς αὐτὸν ἔτειρεν ὑπὸ τȣ̃ πλατέος τελαμῶνος τῆς περιφανοῦς ἀσπίδος. τȣ́τῳ κατεπονεῖτο, ἔκαμε δὲ τὴν χεῖρα· ἀνατείνας δὲ τὸν ἀναφορέα μέλαν αἷμα ἀπέμασσεν. τȣ̃ δὲ τῶν ἵππων ζυγοῦ ἡ θεὰ ἥψατο ϗ εἶπεν ""ὄντως ȣ̓δ' ὅλως τὸν ἑαυτȣ̃ υἱὸν ὅμοιον ἐγέννησεν ὁ Τυδεύς. ὁ Τυδεὺς μικρὸς μὲν ἦν τὸ σῶμα, ἀλλὰ πολεμιςής· καὶ δὴ ὅτε αὐτὸν ἐγὼ πολεμεῖν ȣ̓κ εἴων ȣ̓δὲ ἐνθȣσιᾶν, ὅτε ἦλθε πόῤῥω ϗ χωρὶς τῶν Ἑλλήνων ἀγγελίας κομίζων εἰς Θήβας εἰς πολλοὺς Θηβαίȣς — "εὐωχεῖσθαι αὐτὸν παρεκελευόμην ἐν τοῖς οἴκοις μεθ' ἡσυχίας· ὁ δὲ τὴν ἰδίαν ψυχὴν ἔχων ἰςχυρὰν ὡς τὸ πρότερον τȣ̀ς νεωτέρȣς τῶν Θηβαίων προεκαλεῖτο, πάντα δὲ ἄνθρωπον ἐνίκα ῥᾳδίως· τοιαύτη αὐτῷ ἐγὼ βοηθὸς ἦν. οἱ δ' ἐγὼ μὲν παρίςαμαι ϗ σύνειμι ϗ φυλάττω, "καί σε προθύμως τοῖς Τρωσὶ πολεμεῖν προςάσσω· ἀλλά σȣ ὁ κόπος ὁ πολυόρμητος τὰ μέλη ὑπεισῆλθεν, ἤ σέ πȣ φόβος κατέχει ἀψυχοποιός. ȣ̓ σὺ δὲ μετὰ ταῦτα τȣ̃ Τυδέως ἀπόγονος ὑπάρχεις τȣ̃ πολεμικȣ̃ υἱοῦ τȣ̃ Οἰνέως." πρὸς ταύτην δὲ ἀνταποκριθεὶς εἶπεν ὁ ἰςχυρὸς Διομήδης ""ἐπίςαμαί σε ὦ θεά, θύγατερ Διὸς τȣ̃ αἰγιδούχȣ· διὰ τȣ̃το προθύμως λέξω τὸν λόγον ȣ̓δὲ ἐπικρύψω. ȣ̓τε τίς με φόβος κατέχει ἀψυχοποιὸς ȣ̓τε τις ῥαθυμία· ἀλλ' ἔτι τῶν σῶν μνημονεύω παραγγελιῶν ἃς προσέταξας. ȣ̓δαμῶς συνεχώρεις τοῖς μακαρισμοῦ ἀξίοις ἐξ ἐναντίας πολεμεῖν "τοῖς λοιποῖς· ἐὰν δὲ τοῦ Διὸς ἡ θυγάτηρ Ἀφροδίτη παραγένηται εἰς τὸν πόλεμον, ταύτην τιτρώσκειν τῷ ὀξεῖ σιδήρῳ. διὰ τȣ̃το νῦν αὐτός τε ἀναχωρῶ, ἀλλὰ ϗ τοὺς ἄλλȣς Ἕλληνας παρεκελευσάμην ἀθροισθῆναι ἐνταῦθα πάντας· οἶδα γὰρ τὸν Ἄρην κατὰ τὴν μάχην διατάσσοντα." "πρὸς τοῦτον δὲ ἀνταπεκρίνατο μετὰ ταῦτα θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ "ὦ Τυδέως υἱὲ Διόμηδες, τῇ ἐμῇ πεφιλημένε ψυχῇ, μήτε σὺ τὸν Ἄρην τȣ̃τον φοβȣ̃ μήτε τινὰ ἄλλον ἐκ τῶν θεῶν· τοιαύτη σοι ἐγὼ βοηθός εἰμι. ἀλλὰ φέρε ἐπὶ πρώτῳ τῷ Ἄρει ἔλαυνε τȣ̀ς μονόνυχας ἵππȣς· "πλῆξον δὲ ἐκ τοῦ σύνεγγυς, μηδὲ σέβȣ τὸν ὁρμητικὸν Ἄρην τȣ̃τον τὸν μανιώδη, τὸ πεποιημένον κακόν, ἄλλοτε ἄλλῳ φίλον· ὅςις πρότερον μὲν ἐμοὶ ϗ τῇ Ἥρᾳ ὑπέσχετο λέγων τοῖς Τρωσὶ πολεμῆσαι, τοῖς δὲ Ἕλλησι βοηθήσειν, νῦν δὲ ἐν τοῖς Τρωσὶν ἀναςρέφεται, τῶν δὲ Ἑλλήνων ἐπιλέληςαι." "οὕτως εἰπȣ̃σα τὸν μὲν Σθένελον ἀπὸ τῶν ἵππων ἔῤῥιψεν εἰς γῆν, τῇ χειρὶ εἰς τȣ̀πίσω ἑλκύσασα· οὗτος δὲ προθύμως κατέβη. ἡ δὲ Ἀθηνᾶ εἰς τὸ ἅρμα ἀνέβαινε παρὰ τὸν ἔνδοξον Διομήδην προθυμȣμένη ἡ θεά· μεγάλως δὲ ἤχησεν ὁ δρύϊνος ἄξων τῷ βάρει· φοβερὰν γὰρ [ἐφόρει] θεὰν ϗ ἄνδρα ἄριςον. "ἔλαβε δὲ τὴν μάςιγα ϗ τὰ ἡνία ἡ πολεμικὴ Ἀθηνᾶ, ϗ παραχρῆμα ἐπὶ τῷ Ἄρει πρώτῳ ἤλαυνε τοὺς μονόνυχας ἵππȣς. ϗ δὴ ὁ μὲν Ἄρης Περίφαντα τὸν μέγαν ἐφόνευσε, τῶν Αἰτωλῶν ἐξόχως τὸν ἄριςον, Ὀχησίȣ τὸν λαμπρὸν υἱόν. τοῦτον μὲν ὁ Ἄρης ἐφόνευσεν ὁ τοῖς φόνοις μιαινόμενος· ἡ δὲ Ἀθηνᾶ "ἐνεδύσατο ἀορασίαν, μή πως αὐτὴν θεάσηται ὁ ἰςχυρὸς Ἄρης. ὡς δὲ ἐθεάσατο ὁ ἀνθρωποφθόρος Ἄρης Διομήδην τὸν ἔνδοξον, οὗτος μὲν τὸν μέγαν Περίφαντα ἐκεῖσε ἀφῆκε κεῖσθαι, ὅπȣ πρῶτον φονεύων ἐξεῖλε τὴν ψυχήν, ȣ̃τος δὲ ὥρμησεν ἐπ' εὐθείας Διομήδȣς τȣ̃ πολεμικȣ̃. "ȣ̃τοι δὲ ὅτε πλησίον ἦσαν πρὸς ἀλλήλȣς ἐπερχόμενοι, πρότερος ὁ Ἄρης ἐξέτεινε τὸ δόρυ ὑπὲρ τὸν ζυγὸν ϗ τὰ ἡνία τῶν ἵππων, τῷ σιδηρῷ δόρατι προθυμούμενος ἀπολέσαι τὴν ψυχὴν αὐτȣ̃. ϗ τȣ̃το τῇ χειρὶ λαβȣ̃σα θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ ἀπέωσεν ἐκ τοῦ δίφρȣ μάταιον ὁρμηθῆναι. "δεύτερος δὲ πάλιν ὥρμησεν ὁ κατὰ τὴν μάχην ἀνδρεῖος Διομήδης δόρατι τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σιδηρῷ· ἐπεςήριξε δὲ ἡ πολεμικὴ Ἀθηνᾶ εἰς τὸν ἔχατον κενεῶνα, ὅπȣ ἐζώννυτο τὴν πολεμικὴν ζώνην. ἐκεῖσε δὴ αὐτὸν ἔτρωσεν ἐπιτυχών, διέκοψε δὲ τὸ καλὸν σῶμα, ἐξέσπασε δὲ τὸ δόρυ εἰς τȣ̓πίσω· ὁ δὲ ἰχυρὸς Ἄρης ἐβόησεν "ὁπόσον ἐννεαχίλιοι ἐβόησαν ἢ δεκαχίλιοι ἄνδρες ἐν πολέμῳ φιλονεικίαν συνιςῶντες πολέμȣ. τȣ́τȣς δὲ ὑπέλαβε τρόμος, Ἕλληνας λέγω καὶ Τρῶας, φοβηθέντας· τόσον ἐβόησεν Ἄρης ὁ ἀκόρεςος τȣ̃ πολέμȣ. ὁποία δὲ ἐκ τῶν νεφῶν σκοτεινὴ φαίνετο ἀορασία "καύματος ἐξ ἀνέμȣ χαλεπῶς πνέοντος διεγειρομένȣ, τοιȣ̃τος τῷ υἱῷ τȣ̃ Τυδέως Διομήδει ὁ ἰχυρὸς Ἄρης ἐφαίνετο ἅμα ταῖς νεφέλαις πορευόμενος εἰς τὸν πλατὺν ȣ̓ρανόν. ταχέως δὲ κατελάμβανε τὸ τῶν θεῶν οἴκημα τὸν ὑψηλὸν Ὄλυμπον, παρὰ δὲ τῷ Διὶ τῷ τȣ̃ Κρόνȣ υἱῷ ἐκάθητο τὴν ψυχὴν λυπούμενος, "ἔδειξε δὲ τὸ θεῖον αἷμα καταῤῥέον ἐκ τȣ̃ τραύματος, καὶ δὴ οἰκτιζόμενος λόγȣς ταχεῖς πρὸς αὐτὸν εἶπεν. "ὦ Ζεῦ πάτερ, οὐ μέμφῃ βλέπων ταῦτα τὰ ἰσχυρὰ ἔργα; ἀεί σοι φρικτότατα οἱ θεοὶ ὑπομεμενηκότες ἐσμὲν ἀλλήλων τῇ βȣλήσει, τοῖς δὲ ἀνθρώποις χαριζόμενοι. "διὰ σὲ πάντες μαχόμεθα· σὺ δὲ ἐγέννησας ἀσύνετον κόρην ὀλεθρίαν, ᾗ τινὶ διὰ παντὸς ἁμαρτωλὰ ἔργα πεφρόντιςαι. οἱ μὲν γὰρ λοιποὶ πάντες, ὁπόσοι θεοί εἰσιν εἰς τὸν Ὄλυμπον, σοί τε πειθαρχȣ̃σι καὶ ὑποτετάγμεθα ἕκαςος· ταύτην δὲ ȣ̓́τε λόγῳ σωφρονίζεις ȣ̓́τε ἔργῳ, "ἀλλὰ συγχωρεῖς, ἐπεὶ αὐτὸς ἐγέννησας παῖδα κακοποιόν, ἥτις νῦν τὸν Τυδέως υἱὸν τὸν μεγαλόψυχον Διομήδην μαίνεσθαι ἐπαφῆκε κατὰ τῶν ἀφθάρτων θεῶν. τὴν Ἀφροδίτην μὲν πρῶτον ἐγγὺς ἔτρωσε τὴν χεῖρα ἐπὶ τῷ καρπῷ, ἔπειτα δὲ ἐμοὶ ἐφωρμήθη θεῷ ἴσος (ὅμοιος). "ἀλλ' ἐμὲ ἐξήγαγον οἱ ταχεῖς πόδες· ὄντως ἂν ἐπὶ πολὺν χρόνον αὐτόθι κακὰ ἔπαχον ἐν ταῖς δειναῖς τάξεσι τῶν νεκρῶν, ἢ ζῶν ἂν ἀσθενὴς ἦν πρὸς ταῖς πληγαῖς τȣ̃ σιδήρȣ." πρὸς τȣ̃τον δὲ δεινῶς ὑποβλεψάμενος εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς "μηδαμῶς μοι ὦ ἄλλοτε ἄλλῳ φίλε (ἀλλόκοτε καὶ διπρόσωπε) καθεζόμενος ἠρέμα θρήνει. "ἐχθρότατος δέ μοι ὑπάρχεις τῶν θεῶν οἵτινες τὸν Ὄλυμπον οἰκȣ̃σιν· ἀεὶ γάρ σοι ἡ ἔρις προσφιλὴς καὶ οἱ πόλεμοι καὶ αἱ μάχαι. τῆς μητρός σοι ὁ τρόπος ἐςίν, ἀνυπομόνητος, ȣ̓κ εὐένδοτος, τῆς Ἥρας· ταύτην μὲν ἐγὼ μόγις δαμάζω τοῖς λόγοις. διὰ τȣ̃τό σε νομίζω παρ' ἐκείνης ταῦτα πάσχειν ταῖς βȣλήσεσιν. "ἀλλ' ȣ̓δαμῶς ἔτι σε ἐπὶ πολὺν χρόνον ἀνάχωμαι λύπας ἔχοντα· ἐξ ἐμȣ̃ γὰρ τὸ γένος ὑπάρχεις, ἐμοὶ δέ σε ἐγέννησεν ἡ μήτηρ. εἰ δ' ἔκ τινος ἄλλȣ τῶν θεῶν ἐγεννήθης ȣ̓́τως ἀφανής, καὶ δὴ ἂν ἐκ πολλοῦ ὑπῆρχες ἐλάχιςος τῶν Τιτάνων." ȣ̓́τως ἔφη, καὶ τὸν Παιήονα ἐκέλευσεν ἰάσασθαι. "ἐπὶ τȣ́τῳ δὲ ὁ Παιήων παυσώδυνα φάρμακα ἐπιπάσσων ἐθεράπευσεν· ȣ̓ γὰρ δὴ φθαρτὸς καθίςατο. ὥσπερ δὲ τὸ γαλακτῶδες τῆς συκῆς ταρασσόμενον συνεπάγη ὑγρὸν ὄν· πάνυ δὲ ταχέως περιπήγνυτο ὑπὸ τȣ̃ ταράσσοντος· οὕτω δὴ ταχέως ἐθεράπευσε τὸν ὁρμητικὸν Ἄρην. "τοῦτον δὲ ἡ Ἥβη ἔλουσε καὶ εὐχαρῆ ἱμάτια περιέβαλε· παρὰ δὲ τῷ υἱῷ τοῦ Κρόνου ἐκαθέζετο τῇ δόξῃ γαυριῶν. αὗται δὲ μετὰ ταῦτα πρὸς τὸ οἴκημα τοῦ μεγάλου Διὸς ἐπορεύοντο, ἥ τε Πελοννησιακὴ Ἥρα καὶ ἡ κατὰ δύναμιν βοηθοῦσα Ἀθηνᾶ, παύσασαι τὸν ἀνδροφόνον Ἄρην τῶν ἀνδροφονιῶν (ἀνδρῶν ἀναιρέτην).

Ζ. ΕΚΤΟΡΟΣ ΚΑΙ ΑΝΔΡΟΜΑΧΗΣ ΟΜΙΛΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Ζῆτα δ' ἄρ' Ἀνδρομάχης καὶ Ἕκτορός ἐστ' ὀαριςύς.*

2. *Τῶν θεῶν ἀποςάντων τῆς μάχης οἱ Ἕλληνες πολλȣ̀ς ἀναιρȣ̃σι τῶν Τρώων. Ἑλένου δὲ συμβȣλεύσαντος Ἕκτωρ εἰς τὴν πόλιν ἄνεισι καὶ τῇ μητρὶ Ἑκάβῃ κελεύει εὔξασθαι τῇ Ἀθηνᾷ καὶ ὑποσχέσθαι αὐτῇ δώδεκα βοῶν θυσίαν, ὅπως τὸν Διομήδην ἀποςήσειε τῆς μάχης. τέως δὲ ὄντων αὐτῶν ἐν τῷ πεδίῳ Γλαῦκος καὶ Διομήδης ἀναγνωρίσαντες φιλίαν πατρικὴν διαλλάσσουσι τὰ ὅπλα ἀλλήλοις. Ἕκτωρ δὲ διαλεχθεὶς τῇ μητρὶ Ἑκάβῃ καὶ τῇ γυναικὶ Ἀνδρομάχῃ σὺν τῷ ἀδελφῷ Ἀλεξάνδρῳ εἰς τὸν πόλεμον ἔξεισιν.*

3. *Ἀνὰ μέσον Ξάνθου καὶ Σιμȣ̃ντος τῶν ποταμῶν θάνατος Ἀκάμαντος τȣ̃ Θρᾳκός, καὶ Γλαύκȣ σύςασις καὶ ἀναγνωρισμὸς καὶ ἀμοιβὴ τῶν ὅπλων αὐτȣ̃ καὶ Διομήδȣς, καὶ ἄνοδος Ἕκτορος εἰς Ἴλιον πρὸς τὴν μητέρα Ἑκάβην, εἶτα πρὸς Ἀλέξανδρον καὶ Ἑλένην, εἶτα πρὸς Ἀνδρομάχην τὴν γυναῖκα, καὶ Ἕκτορος ἔξοδος ἐπὶ τὸν πόλεμον σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ.*

Τῶν Τρώων δὲ ἐμονώθη καὶ τῶν Ἑλλήνων μάχη χαλεπή· πολλὰ δὲ δὴ ἐνταῦθα κἀκεῖσε ἐπ' εὐθείας ἐφέρετο ἡ μάχη διὰ τȣ̃ πεδίȣ ἀλλήλους ἐπ' εὐθείας βαλλόντων μετὰ σιδηρῶν δοράτων ἀνὰ μέσον τȣ̃ Σιμȣ̃ντος καὶ τῶν Ξάνθου ῥευμάτων. "Αἴας δὲ πρῶτος ὁ τȣ̃ Τελαμῶνος, τὸ τεῖχος τῶν Ἑλλήνων, τῶν Τρώων διεχώρισε τὴν τάξιν, σωτηρίαν δὲ τοῖς ἑταίροις ἐποίησεν, ἄνδρα βαλὼν ὃς ἄριςος ἐν τοῖς Θρᾳξὶν ὑπῆρχεν, τὸν υἱὸν τȣ̃ Εὐσώρȣ τὸν Ἀκάμαντα τὸν γενναῖον καὶ μέγαν. τȣ̃τον δὴ ἔβαλε πρῶτος κατὰ τὸν φάλον τῆς περικεφαλαίας τῆς ἐξ ἱππείων τριχῶν, ἐνέπηξε δὲ τῷ μετώπῳ, διεπέρασε δὲ εἰς τὸ ὀςȣ̃ν ἐπιφορατὶς ἡ σιδηρᾶ. τούτȣ δὲ τȣ̀ς ὀφθαλμȣ̀ς σκότος ἐκάλυψε. τὸν δὲ Ἄξυλον ἐφόνευσεν ὁ γενναῖος Διομήδης, τȣ̃ Τεύθραντος τὸν παῖδα, ὅςις ᾤκει ἐν τῇ καλῶς ἐκτισμένῃ Ἀρίσβῃ πλȣ́σιος τὸν βίον, φίλος δὲ ἦν τῶν ἀνθρώπων· "πάντας γὰρ ἐξένιζεν ἐφ' ὁδῷ τὴν οἰκίαν οἰκῶν. ἀλλ' αὐτῷ ȣ̓δεὶς τῶν τότε ἐβοήθησεν εἰς τὸν χαλεπὸν θάνατον ἔμπροσθεν ὑπαντήσας· ἀλλ' ἀμφοτέρων τὴν ψυχὴν ἀφῄρηκεν, αὐτȣ̃ καὶ τȣ̃ ὑπασπιςȣ̃ Καλησίȣ, ὃς δὴ τότε τῶν ἵππων ἦν ἡνίοχος· ȣ̓́τοι δὲ οἱ δύο εἰς τὴν γῆν ἔδυσαν (εἰσῆλθον). "τὸν δὲ Δρῆσον ὁ Εὐρύαλος καὶ τὸν Ὀφέλτιον ἐφόνευσεν. ἐπορεύθη δὲ ἐπὶ τὸν Αἴσηπον καὶ τὸν Πήδασον, ȣ̓́ς ποτε ἡ νύμφη Ναΐς ἡ Ἀβαρβαρέα ἔτεκε τῷ ἀψόγῳ Βȣκολίωνι. ὁ Βȣκολίων δὲ ἦν υἱὸς τȣ̃ λαμπρȣ̃ Λαο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέδοντος, τίμιος τῇ ἡλικίᾳ· λάθρᾳ δὲ αὐτὸν ἔτεκεν ἡ μήτηρ· "ποιμαίνων δὲ ἐν τῷ τῶν προβάτων τόπῳ ἐμίγη φιλίᾳ καὶ συνουσίᾳ· αὕτη δὲ ὑπ' αὐτῇ ἔγκυος γενομένη διδύμους ἔτεκεν υἱάς. καὶ τούτων μὲν τὴν δύναμιν παρέλυσε καὶ τὰ ὡραῖα μέλη ὁ τῆ Μηκισέως παῖς, καὶ ἀπὸ τῶν ὤμων τὰ ὅπλα ἀφῃρεῖτο· τὸν δὲ Ἀσύαλον ἐφόνευσε μονοπτόλεμος ὁ Πολυποίτης, "τὸν Πηδύτην δὲ ὁ Ὀδυσσεὺς τὸν Περκώσιον ἐφόνευσεν δόρατι τῷ σιδηρῷ. ὁ δὲ Τεῦκρος Ἀρετάονα τὸν ἔνδοξον, Ἀντίλοχος δὲ τὸν Ἄϋληρον ἐφόνευσε δόρατι τῷ λαμπρῷ, ὁ τῆ Νέζορος υἱός· τὸν Ἔλατον δὲ ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων· κατῴκει δὲ τῆ ποταμῆ Φρυγίας Σατνιόεντος τῆ καλῶς ῥέοντος παρὰ τὰ χείλη "εἰς τὴν Πήδασον τὴν αἰπεινήν. τὸν δὲ Φύλακον ἀνεῖλε Λήϊτος ὁ ἥρως φεύγοντα. ὁ δὲ Εὐρύπυλος τὸν Μελάνθιον ἐφόνευσε. τὸν δὲ "Αδρηστον μετὰ ταῦτα ὁ τὴν μάχην γενναῖος Μενέλαος ζῶντα ἔλαβεν· οἱ ἵπποι γὰρ αὐτοῦ ταρασσόμενοι διὰ τῆ πεδίε ὑπὸ τῆ ὄζε ἐπιχεθέντες (ἐμποδισθέντες) τῆ μυρικίνε τὸ ἐπικαμπὲς ἅρμα "ἔθλασαν ἐν τῷ ἄκρῳ τοῦ ῥύμε· καὶ ἔτοι μὲν διέβησαν πρὸς τὴν πόλιν, ὅπε οἱ λοιποὶ ταραττόμενοι ἔφευγον, αὐτὸς δὲ ἐκ τῆ ἅρματος ἔξω τοῦ τροχῆ κατέπεσε προσνενευκὼς ἐν τῇ γῇ τὸ σόμα· παρέζη δὲ αὐτῷ ὁ τῆ Ἀτρέως παῖς Μενέλαος κατέχων μακροπόρευτον δόρυ. "ὁ δὲ "Αδρηστος μετὰ ταῦτα ἐπιλαβόμενος τῶν γονάτων αὐτῆ παρεκάλει. "ζῶντα ἄγε ὦ Μενέλαε· σὺ δὲ ὀφειλόμενα δέξαι δῶρα. πολλὰ δὲ ἐν τῷ τῆ πλησίε πατρὸς οἴκῳ ἀπόθετα χρήματα ἀπόκειται, χαλκὸς καὶ χρυσὸς καὶ ὁ πολὺν κάματον παρεχόμενος σίδηρος· ἐκ τούτων ἄν σοι παρέξει ὁ πατὴρ ἄπειρα λύτρα, "ἐάν περ ἐμὲ ζῶντα ἀναμάθῃ ἐπὶ ταῖς ναυσὶ τῶν Ἑλλήνων εἶναι." ἔτως εἶπε· τότε δὲ τὴν ψυχὴν ἐν ταῖς διανοίαις ἔπεισε· καὶ δὴ αὐτὸν ταχέως ἔμελλεν ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων δῆναι τῷ ἰδίῳ οἰκέτῃ καταγαγεῖν. ἀλλ' ὁ Ἀγαμέμνων ἐξ ἐναντίας ἦλθε τρέχων καὶ ἀπειλήσας λόγον εἶπεν. "'"ὦ φίλε, ὦ Μενέλαε, τίνος χάριν σὺ οἰκτείρεις ἔτως τὲς ἄνδρας; ἀρά σοι κάλλιςα εἴργασαι κατὰ τὸν οἶκον παρὰ τῶν Τρώων; τούτων μηδεὶς διαφύγοι τὸν χαλεπὸν θάνατον μήτε χεῖρας τὰς ἡμετέρας, μηδὲ ὃν ἐν κοιλίᾳ ἡ μήτηρ νέον ὄντα βαζάζοι· μηδὲ ἔτος διαφύγοι. ἀλλ' ἅμα πάντες "τῆς Ἰλίε ἐξαφανισθεῖεν ἀφρόντιστοι καὶ ἀνώνυμοι." οὕτως εἰπὼν μετέστρεψε τῆ ἀδελφῆ τὰς διανοίας ὁ ἡμίθεος, καθήκοντα παραμυθησάμενος. ἔτος δὲ ἀφ' ἑαυτοῦ ἀπεώσατο τῇ χειρὶ τὸν ἡμίθεον "Αδρηστον. τῆτον δὲ ὁ βασιλεὺς Ἀγαμέμνων ἔτρωσε κατὰ τὴν λαγόνα· ἔτος δὲ ἀνετράπη. ὁ δὲ Ἀτρείδης "τῷ πλατεῖ τῆ ποδὸς ἐν τῷ σήθει προσεπιβὰς ἐξήνεγκε τὸ ἐκ μελίας δόρυ. ὁ δὲ Νέζωρ τοῖς "Ελλησι παρεκελεύετο μέγα βοήσας "ὦ προσφιλέστατοι ἡμίθεοι "Ελληνες, ὑπασπισαὶ τῆ πολέμε, μηδεὶς νῦν τῶν σκύλων ἀντιποιούμενος (ἐπιθυμῶν) πρὸς τὰ ὄπιαθεν ὑπομενέτω, ὅπως ἂν πολλὰ ἐπιφερόμενος ἐπὶ τὰς ναῦς παραγένηται· "ἀλλὰ τὲς ἄνδρας φονεύσωμεν· μετὰ ταῦτα δὲ καὶ ταῦτα ῥᾴσυχοι τὲς νεκροὺς ἀνὰ τὸ πεδίον σκυλεύσετε τεθνηκότας." οὕτως εἰπὼν παρώρμησε τὴν δύναμιν καὶ τὴν ψυχὴν ἑκάςε. τότε δὴ ἂν οἱ Τρῶες ὑπὸ τῶν φιλοπολέμων Ἑλλήνων εἰς τὴν Ἴλιον εἰσέδυσαν ταῖς ἀδυναμίαις δαμασθέντες, "εἰ μὴ τῷ Αἰνείᾳ καὶ τῷ "Εκτορι εἶπε παρ' αὐτοῖς ὁ υἱὸς τῆ Πριάμε "Ελενος, τῶν μάντεων ὁ δοκιμώτατος, "ὦ Αἰνεία καὶ ὦ "Εκτορ, ἐπειδὴ θλῖψις ὑμῖν μάλιςα τῶν Τρώων καὶ τῶν Λυκίων ἐπίκειται, διότι ἱκανοί ἐςε κατὰ πᾶσαν ὁρμὴν καὶ ὀρθότητα (κατὰ πάντα τὰ μέρη τῆς μάχης καὶ τῆς φρονήσεως ὑμεῖς διαφέρετε), "σῆτε αὐτόθι καὶ τὸν λαὸν κωλύετε πρὸ τῶν πυλῶν πανταχῆ ἐπιπορευόμενοι, πρὶν αὐτὲς ἐπὶ χειρῶν γυναικῶν διωκομένες πεσεῖν καὶ τοῖς ἐχθροῖς ἐπίχαρμα γενέσθαι. ἐπειδὰν δὲ τὰς τάξεις παροτρύνητε ἁπάσας, ἡμεῖς μὲν τοῖς "Ελλησι πολεμήσομεν αὐτόθι μένοντες, "καίπερ λίαν καταπονούμενοι· ἀνάγκη γὰρ παρορμᾷ. ὦ "Εκτορ, σὺ δὲ εἰς τὴν πόλιν πορεύθητι, εἰπὲ δὲ μετὰ ταῦτα τῇ σῇ μητρὶ καὶ ἐμῇ· αὕτη δὲ συνάγουσα τὰς ἐντίμες γυναῖκας εἰς τὸν ναὸν τῆς Ἀθηνᾶς τῆς εὐοφθάλμου ἐν τῇ ἀκροπόλει, ἀνοίξασα τῷ κλειδίῳ τὰς πύλας τῆ ἱεροῦ οἴκε, "τὸν πέπλον, ὅσις αὐτῇ δοκεῖ χαριέστατος καὶ μέγιστος ὑπάρχειν ἐν τῷ οἴκῳ καὶ ὅσις κατὰ πολὺ προσφιλέστατος αὐτῇ, καταθεῖναι τῆς Ἀθηνᾶς παρὰ τοῖς γόνασι τῆς καλλικόμε, καὶ αὐτῇ ὑποσχέθη δώδεκα βῶς ἐν τῷ ναῷ ἐνιαυσίας ἀδαμάςες θυσιάσαι, ἐὰν ἐλεήσῃ "τὴν πόλιν τῶν Τρώων καὶ τὰς γυναῖκας καὶ τὰ μικρὰ παιδία, ἐάν πως τὸν τῆ Τυδέως υἱὸν διώξῃ Ἰλίε τῆς θαυμαςῆς, τὸν χαλεπὸν ἐν τῷ μάχεσθαι, τὸν ἔμπειρον τῆς φυγῆς, ὄντινα ἐγὼ ἰσχυρότατον τῶν Ἑλλήνων λέγω δεῖχθῆναι. ἐδὲ τὸν Ἀχιλλέα ἔτως ἐδοίκειμεν τὸν ἡγεμόνα τῶν ἀνδρῶν, "ὅνπερ λέγεσιν ἐκ θεᾶς γεγεννῆσθαι· ἀλλ' ἔτος λίαν ὀργίζεται, καὶ ἐδεὶς αὐτῷ δύναται κατὰ τὴν δύναμιν ἐξισῶσθαι." οὕτως εἶπεν· ὁ δὲ "Εκτωρ ἐδαμῶς τῷ ἀδελφῷ παρήκουσεν. εὐθέως δὲ ἐκ τῶν ἁρμάτων σὺν τοῖς ὅπλοις χαμαὶ ἐπήδησε, κινῶν δὲ τὰ ὀξέα δόρατα κατὰ τὸ ςρατόπεδον ἐπορεύθη πανταχῆ, "διεγείρων εἰς τὸ πολεμεῖν· διήγειρε δὲ μάχην χαλεπήν. ἔτοι δὲ συνεςράφησαν καὶ ἐξ ἐναντίας ἔςησαν τῶν Ἑλλήνων. οἱ "Ελληνες δὲ ὑπεχώρησαν καὶ ἐπαύσαντο τῶν φόνων, ὠήθησαν δέ τινα τῶν θεῶν ἐξ ἀρανῆ τῆ ἀςέρας ἔχοντος τοῖς Τρωσὶ βοηθήσοντα κατελθεῖν· ἔτως συνεςράφησαν. "ὁ "Εκτωρ δὲ τοῖς Τρωσὶ παρεκελεύσατο μέγα βοήσας "ὦ Τρῶες μεγαλόψυχοι καὶ ὦ πόρρωθεν κεκλημένοι ἐπίκουροι, ἀνδρεῖοι γένεσθε προσφιλέσατοι καὶ μνήσθητε τῆς ὁρμητικῆς μάχης ὅπως ἂν ἐγὼ πορευθῶ πρὸς τὴν Ἴλιον καὶ τοῖς γέρουσιν εἶπα τοῖς βουληφόροις καὶ ταῖς ἡμετέραις γυναιξὶ "τοῖς θεοῖς εὔξασθαι καὶ ὑποσχέθη μεγάλην θυσίαν." ἔτω δὴ εἰπὼν ἐπορεύθη ὁ τὴν περικεφαλαίαν εὐκίνητος "Εκτωρ· αὐτὸν δὲ περὶ τὰ σφυρὰ ἔτυπτε καὶ τὸν αὐχένα τὸ μέλαν δέρμα, ἐν ᾧ ἡ περιφέρεια ἡ ἐχάτη περιέτρεχε τῆς ἀσπίδος τῆς ὀμφαλὸν ἐχέσης. Γλαῦκος δὲ ὁ τῆ Ἱππολόχε υἱὸς καὶ ὁ τοῦ Τυδέως υἱὸς "ἐς τὸ μέσον ἀμφοτέρων ὁμῆ συνήρχοντο προθυμέμενοι πολεμεῖν. ἔτοι δὲ ἡνίκα δὴ ἐγγὺς ἐγένοντο ἀλλήλοις ἐπερχόμενοι, τῆτον πρῶτος προσεῖπεν ὁ τὴν μάχην

γενναῖος Διομήδης. "τίς δὲ σὺ ὑπάρχεις ὦ κράτιστε ἀπὸ
τῶν ἐνητῶν ἀνθρώπων; ἐδαμῶς γάρ ποτε εἶδον ἐν τῇ
μάχῃ τῇ δοξαζέσῃ τὲς ἄνδρας "τὸ πρότερον· ἀρτίως δὲ
κατὰ πολὺ προελήλυθας ἁπάντων τῇ σῇ δυνάμει, ὅτι τὸ
ἐμὸν μακροπόρευτον δόρυ ὑπέμεινας. τῶν δυσυχῶν δὲ οἱ
παῖδες τῇ ἐμῇ ἰχέϊ συναντῶσιν. ἐὰν δέ τις ἐκ τῶν θεῶν
ἀπὸ τᾶ ἠρανοῦ κατῆλθες, ἐδαμῶς ἔγωγε τοῖς ἐπηρανίοις
θεοῖς πολεμοίην. "ἐδὲ γᾶ ὁ τᾶ Δρύαντος υἱὸς ὁ ἰχυρὸς
Λυκοῦργος πολυχρόνιος ἐγένετο, ὃς τοῖς ἐπηρανίοις θεοῖς
ἐπολέμει· ὅσις ποτὲ τοῦ μανιοποιᾶ Διονύσα τὰς τροφοὺς
ἐδίωκε κατὰ τὴν ἄγαν θείαν Νύσαν· αὗται ὁμοῦ πᾶσαι
τὲς κλάδας χαμαὶ ἐξέχεαν ὑπὸ τοῦ ἀνδροφόνα Λυκέργου
"τυπτόμεναι τῷ πελέκει· ὁ δὲ Διόνυσος φοβηθὲὶς κατέδυ
κατὰ τὸ τῆς θαλάσσης κῦμα· ἡ δὲ Θέτις ὑπεδέξατο ἐπὶ
τῷ κόλπῳ φοβηθέντα· δυνατὸς γᾶ κατεῖχε φόβος τῇ τοῦ
ἀνδρὸς ἀπειλῇ. τέτῳ μετὰ ταῦτα ὠργίωθησαν οἱ θεοὶ οἱ
ῥᾳδίως κ' ἀπόνως ζῶντες, κ' αὐτὸν τυφλὸν ἐποίησεν ὁ Ζεύς,
κ' ἐκέτι πολυχρόνιος "ἦν, ἐπειδὴ τοῖς ἀθανάτοις πᾶσι θεοῖς
ἐμισεῖτο. ἐδ' ἂν ἐγὼ τοῖς μακαρισμοῦ ἀξίοις θεοῖς βου-
λοίμην μάχεσθ. ἐὰν δέ τις ὑπάρχῃς ἀνθρώπων, οἵτινες
γᾶς καρπὸν ἐσθίσι, πλησίον ἐλθέ, ὅπως ἂν ταχύτερον εἰς
τὰ τοῦ ὀλέθρα πείρατα παραγένῃ." πρὸς τᾶτον δὲ ὁ τοῦ
Ἱππολόχου εἶπε λαμπρὸς υἱός "'ὦ Τυδέως υἱὲ μεγαλό-
ψυχε, τί δή ποτε τὸ γένος ἐρωτᾷς; ὁποία ἡ τῶν φύλλων
φύσις, τοιαύτη κ' τῶν ἀνθρώπων. τῶν φύλλων τὰ μὲν
ἄνεμος χαμαὶ ῥίπτει, ἕτερα δὲ ἡ ὕλη ἡ ἐν εὐθαλέσι δέν-
δροις βλαστάνει κατὰ καιρὸν τᾶ ἔαρος. ἔτω τῶν ἀνθρώ-
πων τὸ γένος ποτὲ μὲν βλαστάνει ποτὲ δὲ φθείρετ. "εἰ δὲ
βάλει κ' περὶ τέτων μαθεῖν, ὅπως καλῶς γνῷς τὸ ἡμέτερον
γένος· πολλοὶ γᾶ αὐτὸ ἄνδρες γινώσκεσιν. ὑπάρχει πόλις
Ἔφύρη (ἣ νῦν καλεμένη Κόρινθος) ἐν τῷ ἐσωτάτω τόπῳ
Πελοποννήσα τῆς ἱπποτρόφα. ἐνταῦθα δὲ ὁ Σίσυφος ἐγεν-
νήθη, ὃς φρονιμώτατος ἦν τῶν ἀνθρώπων, Σίσυφος ὁ τᾶ
Αἰόλα παῖς. ἔτος γᾶ ἐγέννησε τὸν υἱὸν Γλαῦκον, "ὁ δὲ
Γλαῦκος ἐγέννησε τὸν ἄψογον Βελλεροφόντην. τέτῳ δὲ οἱ
θεοὶ κάλλος κ' ἀνδρικὴν δύναμιν ἐπέραζον (καλὴν) ἔδω-
καν· ὁ δὲ Προῖτος αὐτῷ κακὰ εἰργάσατο (ἐβούλευσατο)
κατὰ τὴν ψυχήν, ὃς δὴ αὐτὸν ἐκ τᾶ δήμα ἀπήλασεν (ἐφυ-
γάδευσεν), ὅτι κατὰ πολὺ κρείττων ἦν τῶν Ἑλλήνων·
ὁ Ζεὺς γᾶ αὐτὸν τῇ ἐξουσίᾳ ὑπέταττε. "τούτῳ δὲ ἡ γυνὴ
Προίτα ἐμάνη ἡ ἔνδοξος Ἄντεια λαθραίως καὶ μοιχικῇ
συνουσίᾳ μιγῆναι (συνελθεῖν)· ἀλλὰ τοῦτον ἐδαμᾶ ἔπειθε
σωφρονέντα τὸν συνετὸν Βελλεροφόντην. αὕτη δὲ ψευσα-
μένη πρὸς τὸν βασιλέα Προῖτον εἶπεν "ἀποθάνοις ὦ Προῖτε
ἢ ἀπόκτεινον τὸν Βελλεροφόντην, "ὅσις μοι ἐβούλετο συνε-
σίᾳ μιγῆναι μὴ βουλομένᾳ." ἔτως εἶπε· τὸν δὲ βασιλέα
ὀργὴ κατέλαβεν οἷον ἤκουσεν. ἀποκτεῖναι μὲν δὴ ἐξέκλινεν —
ἀσεβὲς γᾶ ἡγήσατο τᾶτο τῇ ψυχῇ —, ἔπεμψε δὲ αὐτὸν εἰς
τὴν Λυκίαν, παρέχετο δὲ ἔτος σημεῖα χαλεπά, γράψας ἐν
πινακιδίῳ ἐσφραγισμένῳ λυπηρὰ πλείονα. "δεῖξαι δὲ παρε-
κελεύσατο τῷ ἰδίῳ πενθερῷ, ὅπως ἀπολεσθῇ δι' αὐτοῦ.
ἔτος δὲ ἐπὶ τὴν Λυκίαν ἐπορεύθη ὑπὸ τῇ τῶν θεῶν ἀψύ-
γῳ ὁδηγίᾳ. ὅτε δὲ εἰς τὴν Λυκίαν παρεγένετο κ' τὸν ῥοώ-
δη Ξάνθον, φιλοφρόνως αὐτὸν ἐτίμα ὁ βασιλεὺς Λυκίας
τῆς πλατείας. ἐννέα ἡμέρας ἐξενοδόχησε κ' ἐννέα βοῦς
ἔκτεινεν. "ἀλλ' ἡνίκα δὴ ἡ δεκάτη ἐφάνη ῥοδόχρως ἡμέρα,
κ' τότε αὐτὴν ἀνηρώτα κ' ἤτει σημεῖον ἰδεῖν, ὅτι δὴ αὐτῷ
ἀπὸ τᾶ γαμβρᾶ αὐτᾶ τᾶ Προίτου φέροιτο. ἐπειδὴ δὲ ση-
μεῖον κακὸν παρὰ τᾶ γαμβρᾶ ἐδέξατο, πρῶτον μὲν δὴ τὴν
Χίμαιραν τὴν ἀκαταπόνητον ἐκέλευσεν "ἀποκτεῖναι. αὕτη
δὲ ἦν θεῖα γένας κ' ἐκ ἀνθρωπίνα, ἔμπροσθεν μὲν λέων,
ὄπισθεν δὲ δράκων, τὸ δὲ μέσον χίμαιρα, φοβερὰν ἀποπνέα-
σα πυρὸς δύναμιν καιομένα. κ' ταύτην μὲν ἀπέκτεινε τῶν
θεῶν τοῖς σημείοις πιςεύσας. δεύτερον δὲ τοῖς Σολύμοις
ἐμαχήσατο τοῖς ἐνδόξοις· "ἰχυρὰν δὲ ταύτην τὴν μάχην
ἔλεγε δῦναι τῶν ἀνδρῶν. τὸ τρίτον δὲ ἐφόνευσεν Ἀμαζό-
νας τὰς ἐξισαμένας τοῖς ἀνδράσιν. τέτῳ ἀπερχομένῳ συνε-
τὸν δόλον ἄλλον κατεσκεύασεν· ἐπιλεξάμενος ἐκ τῆς πλα-
τείας Λυκίας ἄνδρας βελτίσας ἐκάθισεν ἐνέδραν· ἔτοι δὲ
οὐ πάλιν εἰς τὸν οἶκον ἐπορεύοντο· "πάντας γᾶ ἀπέκτεινεν
ὁ ἄμεμπτος Βελλεροφόντης. ἀλλ' ἡνίκα δὴ ἐπέγνω τὸ τᾶ
Θεᾶ γέννημα ἀγαθὸν εἶναι, αὐτόθι αὐτὸν κατέχεν, ἔδωκε
δὲ ἔτος αὐτῷ τὴν ἑαυτᾶ θυγατέρα, ἔδωκε δὲ αὐτῷ τιμῆς
χάριν τῆς βασιλείας πάσης τὸ ἥμισυ. κ' δὴ αὐτῷ οἱ Λύ-
κιοι ἀποτετμημένην γῆν εἰργάσαντο ἐξαίρετον τῶν λοιπῶν
"περικαλλῆ ἀμπελοφόρα (σπορίμης) γῆς κ' σιτοφόρα (ἀρο-
τριασίμης), ὅπως οἰκοῖτο. αὕτη δὲ ἔτεκε τρία παιδία τῷ
συνετῷ Βελλεροφόντῃ, τόν τε Ἰσανδρον κ' τὸν Ἱππόλοχον
κ' τὴν Λαοδίκειαν. κ' τῇ Λαοδαμείᾳ μὲν παρεκοιμήθη ὁ
βελευτικὸς Ζεύς· αὕτη δὲ ἔτεκε τὸν ἰσόθεον Σαρπηδόνα
τὸν χαλκῷ ὡπλισμένον. "ἀλλ' ἡνίκα δὴ κἀκεῖνος ἐμισεῖτο
πᾶσι τοῖς θεοῖς, ἔτος μὲν δὴ κατὰ τὸ πεδίον τὸ Ἀλήϊον
μόνος ἐπλανᾶτο, τὴν ἰδίαν ψυχὴν κατεσθίων, τὴν λεωφό-
ρον τῶν ἀνθρώπων ἐκκλίνων (ἐκφεύγων), τὸν Ἴσανδρον δὲ
τὸν υἱὸν αὐτᾶ Ἄρης ὁ ἀκόρεσος τᾶ πολέμα μαχόμενον
τοῖς Σολύμοις τοῖς ἐνδόξοις ἀπέκτεινε. "ταύτην δὲ ὀρ-
γισθεῖσα ἡ χρυσᾶς ἡνίας ἔχουσα Ἄρτεμις ἀπέκτεινεν. ὁ
Ἱππόλοχος δ' ἐμὲ ἐγέννησε κ' ἐκ τούτα [λέγω] παραχθῆ-
ναι. ἔπεμψε δέ με εἰς τὴν Τροίαν, κ' πάνυ πολλά μοι ἐνε-
τείλατο διηνεκῶς ἀριςεύειν κ' ἐνδοξότερον εἶναι τῶν λοι-
πῶν, κ' μηδαμῶς τὸ πατρικὸν γένος καταισχῦναι, οἳ μεγά-
λως ἄριστοι "ἔν τε τῇ Ἐφύρᾳ ἐγένοντο κ' ἐν Λυκίᾳ τῇ
πλατείᾳ. ταύτης τῆς γενεᾶς κ' τῆς συγγενείας καυχῶμαι
ὑπάρχειν." ἔτως εἶπεν· ἐχάρη δὲ ὁ κατὰ τὴν μάχην γεν-
ναῖος Διομήδης. τὸ μὲν δὴ δόρυ κατέπηξεν ἐπὶ τῇ γῇ τῇ
πολυτρόφῳ· ἔτος δὲ προσηνέσι λόγοις προσωμίλει τῷ βα-
σιλεῖ τῶν λαῶν. "'ὄντως δή μοι φίλος παππικὸς ὑπάρχεις
παλαιός· ὁ Οἰνεὺς γάρ ποτε ὁ ἔνδοξος τὸν ἄμεμπτον Βελ-
λεροφόντην ἐξενοδόχησεν ἐν τοῖς οἴκοις εἴκοσιν ἡμέρας κα-
ταχών· ἔτοι δὲ κ' ἀλλήλοις παρέχον ξένια καλά. ὁ Οἰνεὺς
μὲν ζωσῆρα λαμπρὸν ἔδωκε φοινικῷ ἄνθει βεβαμμένον,
"ὁ δὲ Βελλεροφόντης χρυσᾶν ποτήριον δίπλοον· κ' ἐγὼ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτὸ κατέλιπον ἐρχόμενος ἐν τῷ ἐμῷ οἴκῳ. τὸν Τυδέα δ' ȣ̓ μέμνημαι, ἐπειδή με μικρὸν ὄντα κατέλιπεν, ἡνίκα ἐν Θήβαις ἀπώλετο ὁ λαὸς τῶν Ἑλλήνων. διὸ τὰ νῦν σοὶ μὲν ἐγὼ θαυμαστὸς φίλος ἐν μέσῳ τῆς Πελοποννήσου ὑπάρχω, σὺ δὲ εἰς τὴν Λυκίαν, ὁπόταν εἰς τȣ̃τον τὸν δῆμον παραγένωμαι. ἐκκλίνωμεν δὲ ἀλλήλοις ἐφιέναι τὰ δόρατα ϗ διὰ τȣ̃ πλήθȣς· πλεῖςοι μὲν ἐμοὶ Τρῶες ϗ ἔνδοξοι σύμμαχοι εἰς τὸ φονεύειν, ὃν ἂν ὁ θεὸς παράσχῃ ϗ τοῖς ποσὶ καταλάβω· πολλοὶ δὲ σοὶ Ἕλληνες ἀποκτεῖναι ὃν ἂν δυνηθῇς. "τὰ ὅπλα δὲ ἀλλήλοις καταλλάξωμεν, ὅπως ϗ ȣ̃τοι γνῶσιν ὅτι φίλοι ἀπὸ πατέρων καυχώμεθα εἶναι." οὕτω δὲ δὴ εἰπόντες, ἀπὸ τῶν ἵππων ὁρμήσαντες, τὰς χεῖρας ἀλλήλων ἔλαβον ϗ πίςεις ἐποιήσαντο ἀλλήλοις ϗ συνθήκας. τότε δὴ τῷ Γλαύκῳ ὁ τȣ̃ Κρόνȣ παῖς τὴν φρόνησιν ἀφείλετο Ζεύς, "ὅςις πρὸς τὸν υἱὸν τȣ̃ Τυδέως Διομήδην τὰ ὅπλα κατήλλασσε τὰ χρυσᾶ τῶν χαλκῶν, τὰ ἑκατὸν βοῶν ἄξια τῶν ἐννέα βοῶν ἀξίων. ὁ δὲ Ἕκτωρ ἐπειδὴ τὰς Σκαιὰς (ἀριςερὰς) πύλας τῆς Ἰλίȣ ϗ τὴν δρῦν κατέλαβεν, περὶ αὐτὸν τῶν Τρώων αἱ γυναῖκες ἔτρεχον ϗ αἱ θυγατέρες ἐρωτῶσαι περί τε τῶν παίδων ϗ ἀδελφῶν ϗ τῶν φίλων (συνήθων) "ϗ τῶν ἀνδρῶν· ȣ̃τος δὲ μετὰ ταῦτα τοῖς θεοῖς εὔχεσθ̣ ἐκέλευε πάσας ἐφεξῆς· πολλῶν δὲ κακὰ ἐξῆπτο (τȣτέςι πολλαὶ αὐτῶν ἐν κακώσει ἐγένοντο). ἀλλ' ἡνίκα δὴ τὸν τȣ̃ Πριάμȣ οἶκον κατελάμβανε τὸν περικαλλῆ, ταῖς εὐξέςοις ςοαῖς κατεσκευασμένον· ἐν αὐτῷ δὲ πεντήκοντα ὑπῆρχον θάλαμοι ἀπὸ εὐξέςȣ λίθȣ "ἐγγὺς ἀλλήλων ᾠκοδομημένοι, ὅπȣ οἱ παῖδες ἐκοιμῶντο τȣ̃ Πριάμȣ παρὰ ταῖς ἐκ μνηςείας γεγαμημέναις γυναιξί. τῶν δὲ θυγατέρων ἐκ τȣ̃ ἑτέρȣ ἐξ ἐναντίας ἔνδοθεν τῆς αὐλῆς δώδεκα ἦσαν ὑπερῷοι (ἐσκεπασμένοι) οἶκοι ἐξεσμένȣ καλȣ̃ λίθȣ, πλησίον ἀλλήλων ᾠκοδομημένοι, ὅπȣ οἱ γαμβροὶ "ἐκοιμῶντο τοῦ Πριάμȣ παρὰ ταῖς αἰδȣ̃ς ἀξίαις γυναιξίν. ἐκεῖσε ἡ τὰ ἤπια δωρȣμένη ἐξ ἐναντίας ἦλθε μήτηρ πρὸς Λαοδίκην πορευομένη τῶν θυγατέρων τὸ εἶδος ἀρίςην. ἔνθα δὴ αὐτὸν λαβȣ̃σα τῆς χειρὸς λόγον εἶπε ϗ παρῄνεσεν. "ὦ τέκνον, τί δή ποτε καταλιπὼν τὸν ἀναιδῆ πόλεμον παρεγένȣ; "ὄντως δὴ λίαν καταπονȣ̃σιν οἱ κακώνυμοι Ἕλληνες μαχόμενοι περὶ τὴν πόλιν, σὲ δὲ ἐνταῦθα ἡ ψυχὴ ἀνέπεισεν ἐλθόντα ἐκ τῆς ἀκροπόλεως τῷ Διὶ εὔξασθ̣. ἀλλὰ μεῖνον, ἕως ἂν σοι ἡδὺν οἶνον κομίσω, ὅπως θύσῃς τῷ πατρὶ Διὶ ϗ τοῖς λοιποῖς θεοῖς "ἐν πρώτοις· μετὰ ταῦτα δὲ ϗ αὐτὸς ὠφεληθήσῃ, ἐὰν πίῃς. ἀνδρὶ γ̓ κεκοπιακότι δύναμιν μεγάλως ο οἶνος αὔξει, ὡς σὺ κεκοπίακας βοηθῶν τοῖς σοῖς ἑταίροις." πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ μέγας κορυθαίολος Ἕκτωρ "μηδαμῶς μοι οἶνον πρόσφερε ἡδὺν ὦ τιμία μῆτερ, "μὴ βλάψῃς μȣ τὰ μέλη (μὴ ἐκλύσῃς με τῆς δυνάμεως) ϗ τῆς ἰσχύος ἐπιλάθωμαι. χερσὶ δὲ ῥυπαραῖς τῷ Διὶ σπένδειν μέλανα οἶνον αἰσχύνομαι· οὐδέ πως ὑπάρχει τῷ τὰ νέφη μελαίνοντι Διὶ αἵματι ϗ λύθρῳ μεμολυσμένον εὔχεσθ̣. ἀλλὰ σὺ μὲν πρὸς τὸν ναὸν τῆς Ἀθηνᾶς τῆς λαφυραγωγȣ̃ "ἀπέρχȣ σὺν θυμιάμασι, συναθροίσασα τὰς ἐντίμȣς. τὸν πέπλον δέ, ὅςις εὐειδέςατος ϗ μέγιςός ἐςιν ἐν τῷ οἴκῳ ϗ κατὰ πολὺ προσφιλέςατος αὐτῇ, τȣ̃τον κατάθες ἐπὶ τοῖς τῆς Ἀθηνᾶς γόνασι τῆς καλλικόμȣ, ϗ ὑπόσχȣ αὐτῇ δώδεκα βȣ̃ς ἐν τῷ ναῷ "ἐνιαυσίους ἀκεντρίςȣς θύσειν, ἐὰν ἐλεήσῃ τήν τε πόλιν τῶν Τρώων ϗ τὰς γυναῖκας ϗ τὰ μικρὰ παιδία, ἐάν πως τὸν Διομήδην ἀποςήσῃ Ἰλίȣ τῆς θαυμαςῆς, τὸν ἀνήμερον πολεμιςὴν ϗ ἰχυρόν, τὸν ἔμπειρον τῆς φυγῆς. ἀλλὰ σὺ μὲν πρὸς τὸν ναὸν τῆς Ἀθηνᾶς τῆς λαφυραγωγȣ̃ "παραγένȣ· ἐγὼ δὲ πρὸς τὸν Πάριν ἀπελεύσομαι, ἐάν περ θελήσῃ εἰπόντος ἀκȣ̃σαι. εἴθε αὐτῷ αὐτόθι ἡ γῆ διαςαίη ϗ καταπίοι· μεγάλην γ̓ αὐτὸν ὁ Ζεὺς ἔτρεφε βλάβην τοῖς τε Τρωσὶ ϗ Πριάμῳ τῷ μεγαλοψύχῳ ϗ τοῖς τȣ́τȣ παισίν. εἰ ἐκεῖνον θεασαίμην κατελθόντα εἰς Ἅιδȣ, "εἴποιμι ἂν κατὰ διάνοιαν τῆς ἀτέρπȣ κακοπαθείας ἐπιλαθέσθ̣." οὕτως εἶπεν· αὕτη δὲ πορευθεῖσα πρὸς τὸν οἶκον ταῖς δȣ́λαις ἐνετέλλετο· αὗται δὲ συνήθροισαν τὰς κατὰ πόλιν ἐντίμȣς. αὐτὴ δὲ εἰς τὸν θάλαμον τὸν τεθυμιαμένον κατέβη, ὅπου ἦσαν τῇ Ἑκάβῃ οἱ πέπλοι οἱ πάνυ ποικίλοι ϗ ἔργα τῶν γυναικῶν "τῶν Σιδονίων, ἃς αὐτὸς Ἀλέξανδρος ὁ τὸ εἶδος ὅμοιος θεοῖς ἤγαγεν ἀπὸ τῆς Σιδονίας, ἐπιπλεύσας τὴν πλατεῖαν θάλασσαν, κατὰ τὴν ὁδὸν ἥνπερ τὴν Ἑλένην ἀνήγαγε τὴν ἔνδοξον κατὰ πατέρα. τȣ́των τῶν πέπλων ἕνα ἄρασα ἡ Ἑκάβη προσήνεγκε δῶρον τῇ Ἀθηνᾷ, ὃς κάλλιςος ἦν τοῖς ἐνυφαινομένοις ποικίλοις ϗ μέγιςος, "ὥσπερ δὲ ἀςὴρ ἔλαμπεν, ἔκειτο δὲ ἔσχατος τῶν λοιπῶν. ἐπορεύετο δὲ ἀπιέναι, πολλαὶ δὲ ἐπηκολȣ́θȣν τῶν ἐντίμων. αὗται δὲ ὅτε τὸν ναὸν κατέλαβον τῆς Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει, ταύταις τὰς θύρας ἀνέῳξε Θεανὼ ἡ εὐπρόσωπος τȣ̃ Κισσέως θυγάτηρ, ἡ γαμετὴ Ἀντήνορος τȣ̃ ἱππικȣ̃· "ταύτην γ̓ οἱ Τρῶες ἐποίησαν τῆς Ἀθηνᾶς ἱερȣργόν. αὗται δὲ μετὰ ὀλολυγμȣ̃ πᾶσαι τῇ Ἀθηνᾷ τὰς χεῖρας ἀνεπέτασαν. αὕτη δὲ τὸν πέπλον λαβȣ̃σα, Θεανὼ ἡ εὐπρόσωπος, ἔθηκεν ἐπὶ τοῖς τῆς Ἀθηνᾶς γόνασι τῆς καλλικόμȣ, εὐχομένη δὲ προσηύχετο τῇ τȣ̃ Διὸς θυγατρὶ τȣ̃ μεγάλȣ "ὦ εὐμενεςάτη Ἀθηνᾶ ἡ τὰς πόλεις ῥυομένη, δῖα τῶν θεῶν, κλάσον δὴ τὸ δόρυ τȣ̃ Διομήδȣς, ϗ αὐτὸν δὲ ἐπὶ πρόσωπον ποίησον πεσεῖν ἔμπροσθεν τῶν Σκαιῶν πυλῶν, ὅπως εὐθέως τὰ νῦν δώδεκα βȣ̃ς ἐν τῷ ναῷ ἐνιαυσιαίȣς ἀδαμάςȣς θύσωμεν, ἐὰν ἐλεήσῃς "τὴν πόλιν τῶν Τρώων ϗ τὰς γυναῖκας ϗ τὰ μικρὰ παιδία." οὕτως εἶπεν εὐχομένη· ȣ̓χ ὑπήκȣσε δὲ ἡ πολεμικὴ Ἀθηνᾶ. ȣ̃τως αὗται μὲν δὴ ηὔχοντο τῇ κόρῃ τȣ̃ μεγάλȣ Διός· ὁ δὲ Ἕκτωρ πρὸς τὰ οἰκήματα τȣ̃ Ἀλεξάνδρου μεταβέβηκεν τὰ καλά, ἃ δὴ αὐτὸς κατεσκεύασε σὺν τοῖς ἀνδράσιν, οἳ τότε δυνατοὶ "ὑπῆρχον ἐν τῇ Τροίᾳ τῇ μεγαλοβώλῳ τεχνῖται ἄνδρες, οἵτινες αὐτῷ ἐποίησαν τὸν θάλαμον ϗ τὸν οἶκον ϗ τὴν αὐλὴν πλησίον τȣ̃ τε Πριάμου ϗ τȣ̃ Ἕκτορος ἐν τῇ ἀκροπόλει· ὅπȣ ὁ Ἕκτωρ εἰσῆλθεν ὁ τῷ Διὶ φίλος, ἐν δὲ τῇ χειρὶ δόρυ κατεῖχεν ἑνδεκάπηχυ· ἔμπροσθεν τȣ̃ δόρατος ἔλαμπεν "ἐπιδορατὶς ἡ σιδηρᾶ, περιέκειτο δὲ κύκλῳ χρυσȣ̃ς κρίκος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆτον δὲ κατέλαβεν ἐν τῷ θαλάμῳ τὰ περικαλλῆ ὅπλα
ἐπιμελέμενον (ψηλαφῶντα), τὴν ἀσπίδα καὶ τὸν θώρακα καὶ
τὰ ἐπικαμπῆ τόξα λαμπρύνοντα. ἡ δὲ Πελοποννησιακὴ
Ἑλένη σὺν ταῖς δούλαις γυναιξὶν ἐκάθητο, καὶ ταῖς δού-
λαις περίδοξα ἔργα ἐπέταττεν. "τῆτον δὲ ὁ Ἕκτωρ ὠνεί-
δισεν ἰδὼν ἀτιμοποιοῖς λόγοις. "ὦ κακόδαιμον, οὐ κα-
λῶς τὴν ὀργὴν ταύτην ἐνέθου τῇ ψυχῇ. οἱ λαοὶ μέν
διαφθείρονται περί τε τὴν πόλιν καὶ τὸ ὑψηλὸν τεῖχος
μαχόμενοι· σοῦ δὲ ἕνεκεν ἥ τε μάχη καὶ ὁ πόλεμος
περὶ τὸ πόλισμα τῆτο διεγήγερθ. σὺ δ' ἂν ἐπολέμησας
ἄλλῳ, "εἴ ποτέ τινα ἀμελῆντα εἶδες τῆ μισητῆ πολέμου
ἀλλὰ ἀνάςηθι, μὴ ταχέως ἡ πόλις διὰ πυρὸς καυσικῆ κα-
ταπαυθῇ." πρὸς τῆτον δὲ πάλιν εἶπεν ὁ Ἀλέξανδρος ὁ
τοῖς θεοῖς τὸ εἶδος ὅμοιος "ὦ Ἕκτορ, ἐπεί με κατὰ τὸ πρέ-
πον ὠνείδισας, οὐχ ὑπὲρ τὸ πρέπον, διὰ τοῦτό σοι ἐρῶ,
σὺ δὲ σύνθα καὶ ἐμῆ ἄκεσον. "ἀδαμῶς ἐγὼ τῶν Τρώων το-
σῆτον τῇ ὀργῇ ἀδὲ τῇ μέμψει ἐκαθήμην ἐν τῷ θαλάμῳ,
ἐβελόμην δὲ τὴν λύπην παραμυθήσαθαι. τὰ νῦν δὲ παρα-
πείσασα ἡ γαμετὴ ἠπίοις λόγοις παρώρμησεν εἰς τὸν πό-
λεμον. δοκεῖ δὲ κἀμοὶ αὐτῷ ἅτως ἄμεινον γενήσεθαι· ἡ νίκη
καὶ ἐναλλὰξ εἰς τὰς ἄνδρας γίνεται. "ἀλλὰ φέρε τὰ νῦν καρ-
πέρησον, ἵνα τὰ πολεμικὰ ὅπλα ἐνδύσωμαι· ἢ πορεύου,
ἐγὼ δὲ μετελεύσομαι καὶ καταλήψεσθαί σε ὑπολαμβάνω."
ἅτως εἶπε· πρὸς τῆτον δὲ ἀδὲν εἶπεν ὁ εὔοπλος Ἕκτωρ.
τῆτον δὲ ἡ Ἑλένη λόγοις προσδιελέγετο πραέσιν. "ἀνδρά-
δελφε ἐμῆ τῆς ἀναιδῆς κακοβόλε καὶ ταλαιπόρε, "εἴθε με
ὤφειλεν τῇ ἡμέρᾳ ἐκείνῃ, ὁπότε κατ' ἀρχὰς ἡ μήτηρ ἔτε-
κεν, ἀπολέσαι πόρρω φέρεσα ἢ κακὴ τῇ ἀνέμε συρροφὴ εἰς
ὄρος ἢ εἰς κῦμα πολυταράχε θαλάσσης· ἐκεῖ με τῷ ὕδατι
ἐπέκλυζε πρὶν ταῦτα τὰ ἔργα γενέθ. ἐπεὶ δὲ ταῦτα ἅτως
οἱ θεοὶ τὰ κακὰ ἐβελεύσαντο, "ἀνδρὸς μετὰ ταῦτα ἄφει-
λον ἀμείνονος εἶναι γαμετή, ὃς ἠπίσατο τήν τε μέμψιν καὶ
τὰ πολλὰ ὀνείδη τὰ αἰσχύνης ἄξια τῶν ἀνθρώπων. τάτε δὲ
καὶ δὴ τὰ νῦν αἱ διάνοιαι βέβαιοι ἔτε δὲ μετὰ ταῦτα γε-
νήσονθ· διὸ ἂν αὐτὸν μεταλήψεσθαι ὑπολαμβάνω. ἀλλ' ἄγε
καὶ νῦν εἴσελθε καὶ καθέζε ἐπὶ τάτῳ τῷ θρόνῳ "ὦ ἀνδρά-
δελφε, ἐπειδὴ σῇ μάλιςα ὁ πόνος τὰς διανοίας περιέλαβεν
ἕνεκα τῆς ἐμῆς ἀναισχυντίας καὶ τᾶ Ἀλεξάνδρᾳ ἕνεκα βλά-
βης, οἷς τισὶν ἐπέθηκεν ὁ Ζεὺς κακὸν θάνατον, ὅπως καὶ
μετὰ ταῦτα τοῖς ἀνθρώποις ὑπάρχωμεν μετ' ᾠδῆς μνη-
μονευόμενοι τοῖς γενησομένοις." πρὸς ταύτην δὲ ἀπεκρίνατο
μετὰ ταῦτα ὁ πολεμικὸς Ἕκτωρ "μηδαμῶς με κάθιζε ὦ
γύναι, καίπερ φιλᾶσα· ἀδαμῶς με πείσεις. ἤδη γάρ μοι
ἡ ψυχὴ ἐφορμᾶται ὅπως βοηθήσω τοῖς Τρωσίν, οἳ μεγά-
λως τὴν ἐμὲ ζήτησιν ἀπόντος ἔχεσιν. ἀλλὰ συμπαρόρμα
σον· σπεδαζέτω δὲ καὶ αὐτός, ὅπως ἂν ἐμὲ ἔνδον τῆς πό-
λεως καταλάβῃ ὑπάρχοντα. "καὶ γὰρ ἐγὼ εἰς τὸν οἶκον πα-
ραγενήσομαι, ὡς ἂν θεάσωμαι τὲς κατὰ τὴν οἰκίαν, τήν
τε προσφιλῆ γαμετὴν καὶ τὸν μικρὸν υἱόν. ἃ γὰρ οἶδα εἰ ἔτι
ὡς αὐτὲς ἐξ ὑποζροφῆς ἐληλυθὼς παραγενήσομαι πάλιν,
ἤδη με οἱ θεοὶ ἐν ταῖς χερσὶ δαμάσσσι τῶν Ἑλλήνων."

οὕτω δὴ εἰπὼν ἐπορεύθη ὁ εὔοπλος Ἕκτωρ. "ταχέως δὲ
μετὰ ταῦτα κατέλαβεν οἴκες τὲς καλῶς ᾠκισμένες. οὐχ
εὗρε δὲ τὴν Ἀνδρομάχην τὴν λευκοβραχίονα ἐν τοῖς οἴκοις,
ἀλλ' αὕτη σὺν τῷ παιδὶ καὶ τῇ εὐσολίςῳ δέλῃ ἐπὶ τῷ πύργῳ
εἱςήκει θρηνῆσα καὶ ὀδυρομένη. ὁ δὲ Ἕκτωρ ὡς ἐκ ἔνδον
εὗρε τὴν ἄμεμπτον γαμετήν, "ἔςη ἐπὶ τὸν βαθμὸν πορευ-
θείς, ἐπὶ δὲ ταῖς δέλαις εἶπεν "ἄγε δὴ ὦ θεράπαιναι, τὰ
ἀληθῆ εἴπατε. ποῦ ἐπορεύθη Ἀνδρομάχη ἡ λευκοβραχίων
ἐκ τῆ οἴκε; μή ποτε πρὸς ἀνδραδέλφων ἢ ἀδελφῶν γυναῖ-
κας εὐσόλες ἢ πρὸς τὸν τῆς Ἀθηνᾶς ναὸν πεπόρευθ, ὅπε
περ αἱ λοιπαὶ Τρωάδες αἱ εὐπλόκαμοι τὴν φοβερὰν θεὸν
ἐξιλεῶνθ." τῆτον δὲ δὴ ἡ δρασικὴ συνεργὸς (προσάτις) λόγοις
εἶπεν "ὦ Ἕκτορ, ἐπεὶ λίαν προσέταξας τἀληθῆ εἰπεῖν, ἔτε
πε εἰς ἀνδραδέλφων ἔτε εἰς ἀδελφῶν γυναῖκας εὐσόλες ἔτε
εἰς τὸν τῆς Ἀθηνᾶς ναὸν πεπόρευθ, ὅπε περ αἱ λοιπαὶ
Τρωάδες αἱ εὐπλόκαμοι τὴν φοβερὰν θεὸν ἐξιλεῶνθ, ἀλλ'
ἐπὶ τὸν πύργον παραγίνεθ τὸν μέγαν τῆς Ἰλίε, διότι ἤκεσε
καταπονεῖσθαι τὲς Τρῶας, μεγάλην δὲ ἰσχὺν εἶναι τῶν Ἑλ-
λήνων. αὐτὴ μὲν πρὸς τὸ τεῖχος σπεύδεσα παραγίνεται,
ἐξεσηκνία ὁμοία, κομίζει δὲ σὺν αὐτῇ τὸν παῖδα ἡ τροφός."
ἔφη γυνὴ ἡ προστάτις· ὁ δὲ Ἕκτωρ ἀπέδραμε τῆ οἴκου
διὰ τῆς ὁδῆ πάλιν κατὰ τὰς καλῶς ἐκτισμένας πλατείας.
ἠνίκα δὲ τὰς πύλας κατέλαβε διερχόμενος τὴν μεγάλην
πόλιν τὰς Σκαιάς, ἐν ᾗ δὴ ὁδῷ ἔμελλεν ἐξελθεῖν εἰς τὸ
πεδίον, ἐκεῖσε γαμετὴ ἡ πολύδωρος ἐξ ἐναντίας ἦλθε τρέ-
χεσα, "Ἀνδρομάχη ἡ θυγάτηρ τᾶ μεγαλοψύχε Ἠετίωνος,
Ἠετίων ὅστις κατῴκει ἐν τῇ ὑπὸ Πλάκῳ τῇ ὕλην ἐχέσῃ
Θήβῃ τῇ ὑποπλακίᾳ, τῶν Κιλίκων ἀνδρῶν βασιλεύων.
τάτε δὴ ἡ θυγάτηρ ἐγαμεῖτο Ἕκτορι τῷ σιδήρῳ καθω-
πλισμένῳ. ἥτις αὐτῷ μετὰ ταῦτα συνήντησεν· ὁμᾶ δὲ σὺν
αὐτῇ καὶ ἡ δέλη ἐπορεύετο "τὸν παῖδα ἐν τῷ κόλπῳ κατέ-
χεσα ἀνόητον καὶ νήπιον ὁμοίως, τὸν τᾶ Ἕκτορος υἱὸν τὸν
μονογενῆ, ὅμοιον ἀςέρι καλλίςῳ. τῆτον δὴ ὁ Ἕκτωρ ἐκάλει
Σκαμάνδριον, οἱ δὲ λοιποὶ Ἀστυάνακτα· μόνος γὰρ ἐφύ-
λαττε τὴν Ἴλιον ὁ Ἕκτωρ. ἔτος μὲν ὑπεμειδίασεν ἐμβλέψας
τὸν παῖδα μετὰ σιωπῆς· "ἡ Ἀνδρομάχη δὲ πλησίον αὐτᾶ
παρίστατο δακρυρροᾶσα. ἐμπεριλαβᾶσα δὲ αὐτὸν τῇ χειρὶ
λόγον εἶπε καὶ ἐξ ὀνόματος ἐκάλεσεν. "ὦ δαιμόνιε, φονεύσει
σε ἡ σὴ δύναμις, καὶ ἐκ ἐλεεῖς τόν τε νήπιον παῖδα καὶ ἐμὲ
τὴν κακόμοιρον, ἣ ταχέως χήρα ἀπὸ σᾶ γενήσομαι· ταχέως
γάρ σε ἀποκτενᾶσι τῶν Ἑλλήνων "πάντες ἐφορμήσαντες.
ἐμοὶ δ' ἂν ὠφελιμώτερον ὑπάρχοι σᾶ ἀποτυχέσῃ (ἀφαιρε-
θείσῃ) εἰς τὴν γῆν κατελθεῖν· ἃ γὰ ἔτι ἑτέρα ἔσαι παρα-
μυθία, ἀφ' ἧ ἂν τὸν θάνατον καταλάβῃς, ἀλλὰ λῦπαι.
οὐδὲ ὑπάρχει μοι ὁ πατὴρ καὶ ἡ εὐγενὴς μήτηρ· τὸν γὰ πα-
τέρα τὸν ἡμέτερον ἐφόνευσεν ὁ ἔνδοξος Ἀχιλλεύς, "καὶ τὴν
πόλιν ἐξεπόρθησε τῶν Κιλίκων τὴν καλῶς οἰκεμένην, Θή-
βην τὴν ὑψηλὰς πύλας ἔχεσαν, καὶ ἀπέκτεινεν Ἠετίωνα.
ἐδαμῶς δὲ αὐτὸν ἐγύμνωσεν — ἐνετράπη γὰ αὐτὸν κατὰ τὴν
ψυχήν — ἀλλ' αὐτὸν κατέκαυσε σὺν ὅπλοις τοῖς εὖ πεποι-
κιλμένοις, καὶ ἐπὶ τὸν τάφον ἐπέχεσε· περὶ αὐτὸν δὲ πτελεὰς

ἐφύτευσαν "νύμφαι αἱ ἐν τοῖς ὄρεσι διατρίβουσαι, θυγατέρες Διὸς τῆ αἰγιδόχῳ. οἱ δὲ ἑπτά μιν ἀδελφοὶ ὑπῆρχον ἐν τοῖς οἴκοις, ἕτοι μὲν πάντες ἐν μιᾷ ἐπορεύθησαν ἡμέρᾳ ἔνδον τῷ "Αιδᾳ· πάντας γὰρ ἐφύνευσεν ὁ ταχὺπους καὶ ἔνδοξος Ἀχιλλεὺς ἐπὶ ταῖς βουσὶ ταῖς εἰλίποσι τὰς πόδας καὶ τοῖς λευκοῖς προβάτοις. "τὴν μητέρα δέ, ἥτις ἐβασίλευεν ἐν τῇ Ὑποπλάκῳ ὕλην ἔχουσα, ταύτην ἐπειδὴ ἦρε καὶ ἐνταῦθα ἤγαγεν ὁμῶ τοῖς λοιποῖς κτήμασιν, εἰς τὰπίσω ἕτος ἀπέλυσεν αὐτήν, λαβὼν ἄπειρα λύτρα· ἐν δὲ τοῖς τῶ πατρὸς οἴκοις ἔβαλεν Ἄρτεμις ἡ τοῖς ἰοῖς χαίρουσα. ὦ "Εκτορ, σὺ δέ μοι ὑπάρχεις καὶ πατὴρ καὶ συμπαθὴς μήτηρ "καὶ ἀδελφός, σὺ δέ μοι ἰχυρὸς ἀνήρ. ἀλλὰ φέρε νῦν ἐλέησον καὶ αὐτόθι καρτέρησον ἐν τῷ πύργῳ, μὴ παῖδα ὀρφανὸν ποιήσῃς καὶ ἔρημον τὴν γυναῖκα. τὸν λαὸν δὲ σῆσον παρὰ τὴν ἀγρίαν συκῆν, ὅπου κατὰ πολὺ ἀνάβασιν ἔχει ἡ πόλις καὶ ἐν ᾗ ἐπιδραμεῖν ἔξι πρὸς τὸ τεῖχος. "τρίτον γὰρ ἐν ταύτῃ ἐλθόντες ἀπόπειραν ἐποιήσαντο οἱ γενναῖοι περὶ τὼ δύο Αἴαντας καὶ τὸν ἄγαν ἔνδοξον Ἰδομενέα καὶ περὶ τὼ Ἀτρέως υἱὼ καὶ περὶ τὸν τῶ Τυδέως δυνατὸν υἱόν, εἴ πά τις αὐτοῖς εἶπε τὰ ἐκ Θεῶν βουλεύματα καλῶς εἰδώς, ἢ δὴ καὶ αὐτῶν ἡ ψυχὴ παρορμᾷ καὶ παρακελεύει." "πρὸς ταύτην δὲ εἶπεν ὁ μέγας καὶ πολεμικὸς "Εκτωρ "ὄντως καὶ ἐμοὶ ταῦτα περρόντισται ὦ γύναι· ἀλλὰ λίαν δεινῶς αἰχύνομαι τὼς Τρῶας καὶ τὰς Τρωάδας τὰς ἐφελκομένας, ἐὰν ὥσπερ δειλὸς χωρὶς ἐκκλίνω (ἐκφεύγω) τὸν πόλεμον. ἐδαμῶς δέ με ἡ ψυχὴ παρακελεύει, ἐπεὶ ἔμαθον εἶναι πολεμικὸς "ἀεὶ καὶ σὺν τοῖς πρώτοις τῶν Τρώων μάχεσθαι, περιποιούμενος τῶ τε πατρὸς τὴν μεγάλην δόξαν καὶ τὴν ἐμὴν αὐτῦ. καλῶς γὰρ ἐγὼ τῶτο γινώσκω κατὰ διάνοιαν καὶ κατὰ ψυχήν· γενήσει ἡμέρα ἡνίκα ποτὲ ἀπολεῖται ἡ ὑψηλὴ Ἴλιος καὶ ὁ Πρίαμος καὶ ὁ λαὸς τῶ καλῶς τῇ μελίᾳ χρωμένω Πριάμω. "ἀλλ' ἐ τοσῶτόν μοι περὶ τῶν Τρώων μέλει τῆς ὀδύνης μετὰ ταῦτα, ἔτε αὖ τῆς τῆς Ἑκάβης ἔτε περὶ Πριάμω τῶ βασιλέως, ἔτε περὶ τῶν ἀδελφῶν, οἵτινες πολλοὶ καὶ δυνατοὶ ἐν τῇ γῇ πέσωσιν ὑπὸ ἀνδρῶν πολεμίων, ὅσον περὶ σῶ, ὁπότε τις Ἑλλήνων τῶν σιδηροθωράκων "δακρύσσαν ἀποφέρει, τὴν ἐλευθερίαν ἀφελόμενος, καὶ δὴ ἂν ἐν τῇ Πελοποννήσῳ οὖσα ὑπὸ δεσποίνῃ ἰσὸν ὑφαίνῃς καὶ ὕδωρ ἂν φέρῃς ἀπὸ τῆς Μεσσηΐδος ἢ τῆς Ὑπερείας πολλὰ βιαζομένη· ἰσχυρὰ δὲ ἐπιγενήσει ἀνάγκη. καὶ τίς ποτε εἴποι ἄν, ἰδὼν καταχέουσαν "δάκρυα, """τῶ "Εκτορος αὕτη ἡ γυνή, ὅσις ἠρίστευεν ἐν τῷ μάχεσθαι Τρώων τῶν ἱππικῶν, ὅτε περὶ τὴν Ἴλιον ἐμάχοντο." οὕτω ποτέ τις ἐρεῖ· σοὶ δὲ νεαρὰ γενήσει ὀδύνη τῇ ἐνδεία τῶ τοιούτω ἀνδρὸς ἀποσοβεῖν τὸν τῆς δηλείας χρόνον. ἀλλ' ἐμὲ ἀποθανόντα ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ καλύπτοι, "πρὶν ἢ τῆς σῆς ταραχῆς ἢ τῶ σῶ σπαραγμῶ ἀκοῦσαι." ἕτως εἰπὼν τῶ ἑαυτῦ παιδὸς ἐλάβετο ὁ λαμπρὸς "Εκτωρ. εἰς τοὐπίσω δὲ ὁ παῖς πρὸς τὸν κόλπον τῆς εὐζώλω τροφῦ ἐπέκλινε κραυγάζων, τὴν τῶ προσφιλῶς πατρὸς ἰδέαν ἐκπλαγείς, φοβηθεὶς τά τε ὅπλα καὶ τὸ ἐπανάσημα τὸ ἱππείας ἔχον τρίχας, "φοβερὸν ἀπὸ τῆς ὑψηλῆς περικεφαλαίας ἐπινεύοντα ἰδών. ἐξεγέλασε δὲ ὁ προσφιλὴς πατὴρ καὶ ἡ σεβασμία μήτηρ. εὐθέως δὲ ἀπὸ τῆς κεφαλῆς τὴν περικεφαλαίαν ἀφείλετο ὁ λαμπρὸς "Εκτωρ, καὶ ταύτην μὲν κάτω ἔθηκεν ἐν τῇ γῇ ἀπαςράπτουσαν, ἕτος δὲ τὸν προσφιλῆ αὐτῦ παῖδα ἐπειδὴ κατεφίλησε καὶ ἀνέλαβε ταῖς χερσὶ καὶ ἀνέσεισεν, "ἔφη [εὐξάμενος τῷ Διὶ καὶ τοῖς λοιποῖς θεοῖς] "ὦ Ζεῦ καὶ οἱ λοιποὶ θεοί, δότε καὶ τῶτον γενέσθαι τὸν ἐμὸν παῖδα ὥσπερ ἐγώ, εὐπρεπῆ (ἐπίσημον) τοῖς Τρωσίν, οὕτω κατὰ τὴν ψυχὴν ἀνδρεῖον καὶ τῆς Ἰλίου ἰσχυρῶς βασιλεύειν. καί ποτέ τις εἴποι """οὗτος ὁ παῖς τῦ πατρὸς κρείττων ἐξίν""" "ἐκ τῦ πολέμου ἐπανελθόντα· κομίζῃ δὲ λάφυρα ἡμαγμένα ἀποκτείνας πολέμιον ἄνδρα, ἀγαλλιάσαιτο δὲ τὴν διάνοιαν ἡ μήτηρ." οὕτως εἰπὼν γαμετῆς τῆς προσφιλοῦς ἐν ταῖς χερσὶν ἀπέθετο παῖδα τὸν ἑαυτῦ· αὕτη δὲ αὐτὸν ἐν τῷ εὐώδει ἐδέξατο κόλπῳ μετὰ δακρύων γελάσασα. ὁ δὲ ἀνὴρ ἐλέησεν ἰδών, "τῇ χειρὶ δὲ αὐτὴν κατέψησε, καὶ λόγον εἶπε καὶ ἐξ ὀνόματος ἐκάλεσεν. "ὦ μακαρία, μηδαμῶς ἄχθε (λυπῦ) τῇ ψυχῇ πάνυ· ἐδαμῶς γάρ τις παρὰ τὴν εἱμαρμένην τῷ "Αιδῃ προπέμψει. τὸν δὲ κοινὸν θάνατον ἐδένα λέγω πεφευγότα ζῆν ἐκ τῶν ἀνθρώπων, ἔτε δειλὸν ἔτε μὴν ἀνδρεῖον, ἐπειδὰν πρῶτον γεννηθῇ. "ἀλλ' εἰς τὸν οἶκον ἀπιῦσα τῶν σαυτῆς ἔργων ἐπιμελῦ, τῦ τε ἰσῦ καὶ τῆς ἠλακάτης, καὶ ταῖς δμῶαις κέλευε τῦ ἔργω ἐπιμελεῖσθαι. ὁ δὲ πόλεμος τοῖς ἀνδράσι φροντισθήσει πᾶσιν, ἐμοὶ δὲ ἐξαιρέτως, ὅσοι ἐν τῇ Ἰλίῳ ἐγεννήθησαν." ἕτω δὴ εἰπὼν τὴν περικεφαλαίαν ἔλαβεν ὁ λαμπρὸς "Εκτωρ "τὴν ἵππων ἔχασαν τρίχας· γαμετὴ δὲ ἡ προσφιλὴς εἰς τὴν οἰκίαν ἀπῆλθεν κατ' ὀλίγον καὶ συνεχῶς ἐπιςρεφομένη, ὑγρὸν καὶ ἀκμαῖον καταχέουσα δάκρυον. ταχέως δὲ μετὰ ταῦτα κατέλαβεν οἴκους τὼς καλῶς οἰκουμένους τῦ ἀνδροφόνῳ "Εκτορος· εἶρε δὲ ἔνδον πολλὰς θεραπαίνας, ταύταις δὲ θρῆνον ἐν πάσαις διήγειρεν. "αὗται μὲν ἔτι ζῶντα ἐθρήνων τὸν "Εκτορα ἐκ τῦ οἴκου· ἐκέτι γὰρ αὐτὸν ἔλεγον ἀφιγμένον ἐκ τῦ πολέμου ἐπανήξειν, ἐκφυγόντα τὴν δύναμιν καὶ τὰς χεῖρας τῶν Ἑλλήνων. ἐδὲ Ἀλέξανδρος ἐχρόνισεν ἐν τοῖς ὑψηλοῖς οἴκοις· ἀλλ' ἕτος ἐπειδὴ ἐνεδύσατο τὰ λαμπρὰ καὶ πεποικιλμένα ὅπλα τῷ σιδήρῳ, "ὥρμησε μετὰ ταῦτα κατὰ τὴν πόλιν τοῖς ταχινοῖς ποσὶ θαῤῥήσας. ὥσπερ δέ τις ἀναπεπαυμένος ἵππος, δυχεράνας ἐν τῇ φάτνῃ, τὸν δεσμὸν διαῤῥήξας τρέχει διὰ τῆς πεδιάδος κρέων τοῖς ποσίν, εἰθισμένος λέεσθαι εἰς ὕδωρ εὐρυχώρω ποταμῦ, γαυριῶν (ἐπαιρόμενος) ἐν ὕψει τὴν κεφαλὴν ἔχει, αἱ δὲ τρίχες αὐτῦ "περὶ τοῖς ὤμοις ὁρμῶσιν· ἕτος δὲ τῷ κάλλει πεποιθώς, ῥαδίως αὐτὸν τὰ γόνατα κινεῖ ἐπὶ τὰς συνήθεις τόπους καὶ τὴν νομὴν τῶν ἵππων. ἕτως ὁ τῦ Πριάμω υἱὸς Ἀλέξανδρος κατὰ τῆς ἀκροπόλεως τῆς Ἰλίου τοῖς ὅπλοις ἐπιλάμπων ὡς ἥλιος ἐπορεύετο· [αὐτίκα δὲ μετὰ ταῦτα] "Εκτορα τὸν ἔνδοξον κατέλαβεν ἀδελφόν, ἡνίκα ἔμελλε ςραφήσεσθαι ἐκ τῦ τόπου ὅπου τῇ αὐτοῦ ὡμίλει γυναικί. πρὸς τῶτον πρότερος εἶπε Ἀλέξανδρος ὁ τοῖς Θεοῖς ὅμοιος τὸ εἶδος "ὦ θαυμάσιε, ὄντως λίαν σε καὶ προθυμούμενον κατέχω βραδύνων, οὐδὲ

ὕροπαρεγενόμην καθηκόντως, ὡς ἐσήμανάς μοι." "πρὸς τᾶ- τον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ πολεμικὸς Ἕκτωρ "ὦ μα- κάριε, οὐκ ἄν σοί τις ἀνήρ, ὃς συνετὸς ἔσται, τὸ ἔρ- γον ἀτεμάσειε τοῦ πολέμου, ἐπεὶ δυνατὸς ὑπάρχεις. ἀλ- λὰ ἐκὼν ἀμελῶς διάκεισαι καὶ οὐ θέλεις πολεμεῖν· ἡ δὲ ἐμὴ ψυχὴ λυπεῖται ἐν ὀργῇ, ὅτι ὑπὲρ σοῦ αἰσχύνης ἄξια ἀκέω "ἀπὸ τῶν Τρώων, οἵτινες ἔχουσι πολὺν κό- πον ἕνεκα σᾶ. ἀλλ' ἀπίωμεν· ταῦτα δὲ μετὰ ταῦτα βα- λέυσόμεθα, ἐὰν ἄρα ὁ Ζεὺς παράσχῃ τοῖς ἐπουρανίοις θεοῖς τοῖς ἀεὶ ἔσιν κρατῆρα στῆσαι ὑπὲρ ἐλευθερίας ἐν τοῖς οἴκοις ἐκ τῆς Τροίας ἀπελάσαντα τὲς εὐόπλους "Ελ- ληνας.

Η. ΕΚΤΟΡΟΣ ΚΑΙ ΑΙΑΝΤΟΣ ΜΟΝΟΜΑΧΙΑ. ΝΕΚΡΩΝ ΑΝΑΙΡΕΣΙΣ.

ΤΠΟΘΕΣΙΣ 1. Ἦτα δ' Αἴας πολέμιζε μόνῳ μόνος Ἕκτορι δίῳ.

2. Ἑλένου συμβουλεύσαντος Ἕκτωρ προκαλεῖται τῶν Ἑλλήνων τὸν ἄριστον εἰς μονομαχίαν. ἐννέα δὲ ἀναιρέντων ἔλαχεν Αἴας ὁ Τελαμώνιος, καὶ γενναίως αὐτὸς ἀγωνισαμένους διαλύσει κήρυκες ἐσπέρας γενομένης. τῇ δ' ἑξῆς τὲς νεκρὲς ἀνελόμε- νοι θάπτουσι, καὶ τεῖχος οἱ Ἕλληνες κατασκευάζουσιν, ἐφ' ᾧ ὁ Ποσειδῶν ἠγανάκτησε. Ζεύς τε αὐτοῖς διὰ νυκτὸς σημεῖα ἐκ σεισμῶν τῶν μελλόντων δείκνυσιν.

3. Ἕκτωρ σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ κατελθὼν εἰς τὴν μάχην ἐβοήθει τοῖς Τρωσὶ κεκμηκόσιν ἤδη. καὶ συμβελεύσαντος Ἑλένου τᾶ ἀδελφᾶ μάντεως ὄντος προκαλεῖται αὐτὸς τίς αὐτῷ βούλοιτο τῶν Ἑλλήνων μονομαχῆσαι. πολλῶν δὲ προαι- ρεμένων Αἴας ὁ Τελαμώνιος κληρωθεὶς ἀνθίσταται. μαχομένας δὲ αὐτὲς κήρυκες καταπαύσι, καὶ νὺξ διαλύει τὴν μάχην. καὶ οἱ μὲν ἀλλήλοις δῶρα διδόασιν· ἐπικηρυκευσαμένων δὲ Τρώων περὶ νεκρῶν ἀναιρέσεως τὰ αὐτὰ γίγνεται παρὰ ἀμ- φοτέροις τοῖς στρατοῖς, οἵ τε Ἕλληνες πολυάνδριον κατασκευάζουσι καὶ τεῖχος τοῦ ναυσάθμου.

Οὕτως εἰπὼν τῶν πυλῶν ἐξώρμησεν ὁ λαμπρὸς Ἕκτωρ· τέτῳ δὲ ἅμα Ἀλέξανδρος ἐπορεύετο ὁ ἀδελφός· ἐν δὲ τῇ ψυχῇ ἀμφότεροι προεθυμεῦντο πολεμεῖν κὴ μάχεσθ. ὥσπερ δὲ ὁ θεὸς τοῖς ναύταις ἐπιθυμεῦσιν ἔδωκεν "ἄνεμον, ἐπει- δὰν κοπιάσωσι ταῖς εὖ ἐξεσμέναις κώπαις τὴν θάλασσαν ἐλαύνοντες, ὑπὸ δὲ καμάτε τὰ μέλη λέλυτ', ὥτω δὴ ἕτοι τοῖς Τρωσὶν ἐπιθυμεμένοις ἐφάνησαν. τότε ἀπέκτειναν ὁ μὲν Ἀλέξανδρος τὸν υἱὸν τᾶ πολεμικᾶ βασιλέως, ἐν τῇ Ἄρνῃ πόλει κατοικᾶντα, τὸν Μενέθιον, ὃν ὁ πολεμικὸς "ἐγέννησεν Ἀρηΐθοος κὴ Φιλομήδουσα ἡ εὐόφθαλμος· ὁ "Εκτωρ δὲ τὸν Δηϊονέα ἔβαλε τῷ ὀξεῖ δόρατι κατὰ τὸν αὐχένα ὑποκάτω τῆς περικεφαλαίας τῆς καλῆς· ἐλύθη δὲ αὐτᾶ τὰ μέλη. Γλαῦκος δὲ ὁ τᾶ Ἱππολόχε παῖς ὁ τῶν Λυ- κίων ἀρχηγὸς ἀνδρῶν τὸν Ἰφίνοον ἔβαλε τῷ δόρατι κατὰ τὴν ἰχυρὰν μάχην, "τὸν Δεξιάδην, ἐπιπηδῶντα κὴ ἀναβαί- νοντα τῶν ταχυτάτων ἵππων, κατὰ τὸν ὦμον· ἕτος δὲ ἐκ τῶν ἵππων αὐτᾶ κατέπεσε, διελύθη δὲ τὰ μέλη. τέτες δὲ ὡς εἶδε θεὰ ἡ γλαυκώφθαλμος Ἀθηνᾶ τὲς "Ελληνας ἀπολ- λύντας ἐν τῇ ἰχυρᾷ μάχῃ, κατέβη διὰ τῶν τᾶ Ὀλύμπου ἀκρωτηρίων ὁρμήσασα "εἰς Ἴλιον τὴν ὑψηλήν. σὺν αὐτῇ δὲ διηγείρετο ὁ Ἀπόλλων ἐκ τῆς ἀκροπόλεως ἰδών· τοῖς Τρωσὶ δὲ τὴν νίκην ἐβάλετο δοῦναι. ἀλλήλοις δὲ ἕτοι συνήντησαν παρὰ τῇ ὀρυΐ. ταύτην πρότερος προσεφθέγξα- το ἄναξ ὁ τᾶ Διὸς υἱὸς Ἀπόλλων. "τί δή ποτε σὺ προ- θυμεμένη ὦ τᾶ μεγάλε Διὸς θύγατερ "παρεγένε ἀπὸ τᾶ Ὀλύμπε; μεγάλη δέ σε ὀργὴ ἀνέπεισεν (ἐκίνησεν). ὄντως ἵνα τοῖς "Ελλησι τᾶ πολέμε ἑτεροκλινῆ τὴν νίκην παράσχῃς, ἐπειδὴ ἐδαμῶς τὲς Τρῶας διαφθειρομένες ἐλεεῖς. ἀλλ' ἐάν τί μι ὕλως ἀκέσῃς, τᾶτο ἂν πολλοῖς ὠφελιμώτατον γένοιτο. νῦν μὲν καταπαύσωμεν τὸν πόλεμον κὴ τὴν μάχην "τὴν σήμερον· μετὰ ταῦτα δὲ μαχήσον', ἕως ἂν τὸ τέλος τῆς Ἰλίε εὕρωσιν, ἐπεὶ ἔτω προσφιλὲς ὑπάρχει τῇ ψυχῇ ὑμῖν τοῖς ἀφθάρτοις, διαπορθῆσαι ταύτην τὴν πόλιν." πρὸς αὐτὸν δὴ εἶπε θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ "ἔτω γε- νέσθω εὔξοχε· ταῦτα γὼ φρονεῦσα ἐγὼ "κατῆλθον ἀπὸ τᾶ Ὀλύμπε πρὸς τὲς Τρῶας κὴ τὲς "Ελληνας. ἀλλὰ φέρε πῶς προθυμῇ τὸν πόλεμον καταπαυσθῆναι τῶν ἀνδρῶν;" πρὸς ταύτην δὲ εἶπεν ἄναξ ὁ τᾶ Διὸς υἱὸς Ἀπόλλων "τᾶ "Εκ- τορος παρορμήσωμεν τὴν ἰχυρὰν δύναμιν τᾶ ἱππικᾶ, ἵνα ποτέ τινα τῶν Ἑλλήνων προκαλέσητ' μόνος πρὸς μόνον "ἐξ ἐναντίας πολεμῆσαι ἐν τῇ δεινῇ μάχῃ. ἕτοι δὲ ἐκπλαγέν- τες οἱ σιδηρᾶς περικνημῖδας ἔχοντες "Ελληνες μόνον ἐφορ- μήσειαν πολεμεῖν τῷ ἐνδόξῳ "Εκτορι." ἕτως εἶπεν· ὑπή- κεσε θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ. τέτων δὲ "Ελενος ὁ τᾶ Πριάμε προσφιλὴς υἱὸς συνῆκεν (ἐνόησε) τῇ ψυχῇ "τὴν βελήν, ἣ δὴ τοῖς θεοῖς ἤρεσκε βελευομένοις· ἔζη δὲ παρὰ τῷ "Εκτορι πορευθείς, κὴ πρὸς αὐτὸν λόγον εἶπεν. "ὦ "Εκ- τορ υἱὲ τᾶ Πριάμε, τῷ Διὶ κατὰ τὴν βελὴν ὅμοιε, ἆρα ἄν μέ τι εἰσακέσαις; ἀδελφὸς δέ σε ὑπάρχω. τὲς μὲν λοι- πὲς καθεδθῆναι ποίησον Τρῶας κὴ πάντας "Ελληνας· "σὺ δὲ προκάλεσον τῶν Ἑλλήνων ὅσις ἐσὶ δυνατός, ἐξ ἐναν- τίας πολεμῆσαι ἐν τῇ δεινῇ μάχῃ. ἐδέ πω γάρ σοί ἐστι μεμοιραμένον ἀποθανεῖν κὴ θάνατον ἐπισπάσασθ· οὕτω γὼ ἐγὼ τῆς φωνῆς ἤκεσα τῶν θεῶν τῶν ἀεὶ ὄντων." ἕτως εἶπεν· ὁ δὲ "Εκτωρ ἐχάρη μεγάλως τὸν λόγον ἀκέσας, "κὴ δὴ εἰς τὸ μέσον πορευθεὶς τῶν Τρώων ἀπεῖργε τὰς τάξεις, ἐκ μέσε τὸ δόρυ λαβών· ἕτοι δὲ ἐκάθισαν ἅπαντες. κὴ ὁ Ἀγαμέμνων δὲ ἐκάθισε τὲς εὐόπλες "Ελληνας. κὴ ἡ Ἀθη- νᾶ δὲ καὶ ὁ λαμπρότοξος Ἀπόλλων ἐκάθισαν ὀρνέοις ὁμοιωμένοι γυψὶν "ἐπὶ τῇ δρυῒ τῇ ὑψηλῇ τᾶ πατρὸς Διὸς τᾶ αἰγιδόχε, ἐν τοῖς ἀνδρείοις ἐγκαλλωπιζόμενοι. τότων δὲ τάξεις ἐκάθηντο πυκναὶ ταῖς ἀσπίσι κὴ ταῖς περικεφαλαίαις κὴ τοῖς δόρασι πεπυκνωμέναι. ὁποία δὲ ἡ τᾶ Ζεφύρε ἐχύθη ἐπὶ θαλάσσης κίνησις μετὰ ἀφρᾶ ὁρμωμένε νεωσί, μελαί- νε δὲ ἡ θάλασσα ὑπ' αὐτᾶ, "τοιαῦται ἄρα αἱ τάξεις ἐκά- θηντο τῶν τε Τρώων κὴ τῶν Ἑλλήνων ἐν τῇ πεδιάδι. ὁ δὲ

Ἕκτωρ ἐν ἀμφοτέροις εἶπεν· "ἀκέσατέ μευ ὦ Τρῶες καὶ ὦ εὐόπλοι Ἕλληνες, ὅπως εἶπω ἅτινά με ἡ ψυχὴ ἐν ταῖς διανοίαις παρακελεύεται. τὸν μὲν ὄρκον ὁ Κρόνου υἱὸς ὁ ὑψι τὸν θρόνον ἔχων ἐκ ἐτελείωσεν, ἀλλὰ κακοποιὰ διανοούμενος βεβουλεύται ἀμφοτέροις, ἕως ἂν ἢ ὑμεῖς τὴν καλὴν ἕδραν πύργου Τροίαν λάβητε, ἢ αὐτοὶ παρὰ ταῖς νηυσὶν ἀποθάνητε ταῖς θαλασσοπλόοις. ὑμῖν μὲν γὰρ ἔνεισιν ἀριστεῖς ἐκ πάντων τῶν Ἑλλήνων· τούτων νῦν ἐάν τινα ἡ ψυχὴ ἐμοὶ πολεμῆσαι παρακελεύσηται, ἐνταῦθα παρίτω ἐκ πάντων πρόμαχος εἶναι τῷ ἐνδόξῳ Ἕκτορι. ἅτω δὲ προλέγω, καὶ ὁ Ζεὺς ἐπιμαρτυρείτω ἡμῖν. ἐὰν μὲν ἐκεῖνος φονεύσῃ τῷ ἐπιμήκει δόρατι, τὰ ὅπλα ἀπογυμνώσας κομιζέτω ἐπὶ τὰς βαθείας ναῦς, τὸ σῶμα δὲ τὸ ἐμὸν εἰς τὸν οἶκον ἀποδιδότω πάλιν, ὅπως τῷ πυρός με οἱ Τρῶες καὶ τῶν Τρώων αἱ γυναῖκες λαχεῖν ποιήσωσιν ἀποθανόντα. ἐὰν δὲ ἐγὼ τοῦτον ἀνέλω καὶ δῴη μοι καύχημα ὁ Ἀπόλλων, τὰ ὅπλα ἀφελόμενος κομίσω πρὸς τὴν ὑψηλὴν Ἴλιον καὶ κρεμάσω εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος τοῦ εὐσοχωτάτου, τὸν δὲ νεκρὸν ἐπὶ τὰς εὐκαθέδρους ναῦς ἀποδώσω, ὅπως αὐτὸν θάψωσιν οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες τάφον τε αὐτοῦ καταχώσωσιν ἐπὶ τῷ πλατεῖ τόπῳ τοῦ Ἑλλησπόντου. καί ποτέ τις εἴπῃ καὶ τῶν μεταγενεστέρων ἀνθρώπων ἐν νηῒ πολυκαθέδρῳ πλέων ἐπὶ τὴν μέλαιναν θάλασσαν· "ἀνδρείου μὲν τοῦτος ὁ τάφος ἔκπαλαι ἀποθανόντος, ὅν ποτε ἀριστέα ὄντα ἀπέκτεινεν ὁ λαμπρὸς Ἕκτωρ." ὅτω ποτέ τις ἐρεῖ, ἡ δ' ἐμὴ δόξα ἀδέποτε ἀπολεῖται." οὕτως εἶπεν· ἕτοι δὲ δὴ ἅπαντες ἀχανεῖς ἐγένοντο σιωπῇ· ἠδοῦντο μὲν ἀπαρνήσασθαι, ἐφοβήθησαν δὲ συνθέσθαι τὸν λόγον. βραδέως δὲ δὴ ὁ Μενέλαος ἀνέσχε καὶ εἶπε κακολογῶν καὶ ὀνειδίζων· μεγάλως δὲ ἔσχετο τῇ ψυχῇ. "ἰαί μοι καυχηταί, γυναῖκες, ἐκέτι ἄνδρες. ὄντως δὴ ὕβρις ταῦτα ἔσται ἐκ δεινῶν δεινά, ἐὰν μή τις τῶν Ἑλλήνων τὰ νῦν τοῦ Ἕκτορος ἐξ ἐναντίας ἔλθῃ. ἀλλ' ὑμεῖς μὲν ἅπαντες εἰς γῆν καὶ ὕδωρ διαλυθείητε καθήμενοι αὐτόθι ἕκαστοι ἄψυχοι, ἀκλεεῖς ματαίως· ἐπὶ τούτῳ δὲ ἐγὼ αὐτὸς καθοπλιοῦμαι· ὑπεράνωθεν δὲ τῆς νίκης τὰ τέλη κατέχουσι θεοί." οὕτω δὴ εἰπὼν ἐνεδύσατο τὰ περικαλλῆ ὅπλα. τότε ἄν σοι ὦ Μενέλαε ἐφάνη τῆς ζωῆς τὸ τέλος ἐν ταῖς χερσὶ τοῦ Ἕκτορος, ἐπειδὴ πολὺ κρείττων ὑπῆρχεν, ἐὰν μὴ ἀνορμήσαντες ἐπέσχον οἱ βασιλεῖς τῶν Ἑλλήνων. καὶ αὐτὸς ὁ τοῦ Ἀτρέως υἱὸς ὁ μέγας βασιλεὺς Ἀγαμέμνων τῆς δεξιᾶς ἔλαβε χειρός, καὶ λόγον εἶπε καὶ ἐξ ὀνόματος ἐκάλεσε. "παράφρονες ὦ Μενέλαε εὐγενέσατε· ἐδεμία σοι χρεία ταύτης τῆς παραφροσύνης. ἀνάσχε δὲ καίπερ λυπέμενος, μηδὲ βάλε ἐκ τῆς σῆς φιλονεικίας σῷ κρείττονι ἀνδρὶ πολεμεῖν, Ἕκτορι τῷ τοῦ Πριάμου υἱῷ, ὃν φοβοῦνται καὶ ἄλλοι. καὶ ὁ Ἀχιλλεὺς δὲ τούτῳ ἐν τῇ μάχῃ τῇ δοξαζούσῃ τοὺς ἄνδρας φοβεῖται ὑπαντῆσαι, ὅσις περ σοῦ κατὰ πολὺ κρείττων. ἀλλὰ σὺ μὲν τὰ νῦν καθέζου ἀπελθὼν πρὸς τὸ πλῆθος τῶν ἑταίρων· τούτῳ δὲ πρωταγωνιστὴν ἕτερον ἐπεγερσίν οἱ Ἕλληνες. εἴπερ ἀδεὴς (ἄφοβός) ἐστι καὶ εἰ τῆς μάχης ἐστὶν ἀκόρεσος (ἀπλήρωτος), προλέγω αὐτὸν χαριέντως ἀναπαύσεσθαι, ἐὰν διαφύγῃ ἐκ τοῦ διακοπτικοῦ πολέμου καὶ τῆς δεινῆς μάχης." ὧδε εἰπὼν ἔπεισε τοῦ ἀδελφοῦ τὴν διάνοιαν ὁ ἡμίθεος, τὰ πρέποντα παραινέσας· ἕτος δὲ ἐπείθη. τότε δὲ χαίροντες οἱ ὑπηρέται ἀπὸ τῶν ὤμων τὰ ὅπλα ἀνείλοντο (ἔλαβον). ὁ Νέστωρ δὲ ἐν τοῖς Ἕλλησιν ἀνέστη καὶ προσεφθέγξατο· "φεῦ φεῦ, ὄντως μεγάλη λύπη τὴν τῶν Ἑλλήνων γῆν καταλαμβάνει. ὄντως ἂν μεγάλως γενάξειεν ὁ ἔντιμος καὶ ἱππικὸς Πηλεύς, ὁ ἀγαθὸς τῶν Μυρμιδόνων βουλευτὴς καὶ δημηγόρος, ὅσις μέ ποτε ἐρωτῶν ἔχαιρεν ἐν τῷ ἑαυτοῦ οἴκῳ πάντων τῶν Ἑλλήνων ἐρευνῶν τοὺς πατέρας καὶ τὰ τέκνα. τούτους τὰ νῦν εἰ δειλιῶντας διὰ τὸν Ἕκτορα πάντας μάθοι, πολλὰ ἂν τοῖς θεοῖς τὰς δυνατὰς χεῖρας ἀνατείναι τὴν ψυχὴν ἀπὸ τῶν μελῶν καταδῦναι ἔνδον τοῦ Ἅιδου. εἴθε γὰρ ὦ πάτερ Ζεῦ καὶ ὦ Ἀθηνᾶ καὶ ὦ Ἀπόλλον ἀκμάζοιμι, ὥσπερ ὅτε ἐπὶ τῷ ταχυρόῳ ἠχῆντι ἐπολέμουν συνηθροισμένοι οἵ τε Πύλιοι καὶ οἱ Ἀρκάδες οἱ τοῖς δόρασι θανατέμενοι παρὰ τοῖς τῆς Φειᾶς τείχεσιν Ἰαρδάνου περὶ τὰ ῥεῖθρα. ἐν τούτοις δὲ ὁ Ἐρευθαλίων πρόμαχος εἰσήκει, ἰσόθεος ἀνήρ, τὰ ὅπλα ἔχων ἐπὶ τῶν ὤμων τοῦ Ἀρηϊθόου βασιλέως, τοῦ πολεμικοῦ Ἀρηϊθόου, ὄντινα τὴν ἐπωνυμίαν κορυνήτην οἱ ἄνδρες ἐκάλουν καὶ αἱ εὔζωνοι γυναῖκες, διότι ὁ μετὰ τόξου ἐπολέμει ἢ μετὰ μακροῦ δόρατος, ἀλλὰ μετὰ σιδηροῦ ῥοπάλου διερρήγνυε τὰς τάξεις. τοῦτον ὁ Λυκοῦργος ἐφόνευσε μετὰ δόλου, ὃ τῷ κράτει, ἐν στενῇ ὁδῷ, ὅπου δὴ ἐχ ἡ ῥάβδος αὐτοῦ τὸν θάνατον ἀπεσόβει ἡ σιδηρᾶ· πρῶτον γὰρ ὁ Λυκοῦργος προφθάσας τῷ δόρατι κατὰ τὸ μέσον διεπέρασεν· ὁ δὲ ὕπτιος τῇ γῇ ἔπεσε· τὰ δὲ ὅπλα ἐσκύλευσεν, ἃ παρέχειν αὐτῷ ὁ σιδηροῦς Ἄρης. καὶ ταῦτα μὲν αὐτὸς μετὰ ταῦτα ἐφόρει εἰς τὴν συμπλοκὴν τοῦ πολέμου· ἐπειδὴ δὲ ὁ Λυκοῦργος ἐν τῷ οἴκῳ ἦν γηράσας, ἔδωκε τῷ Ἐρευθαλίωνι τῷ προσφιλεῖ ὑπηκόῳ φορεῖν. τότε οὗτος τὰ ὅπλα φορῶν προεκάλει πάντας τοὺς γενναίους· ἕτοι δὲ λίαν ἕτερμον καὶ ἐφοβοῦντο, ἔδεις δὲ ἐκαρτέρει ἐξ ἐναντίας πολεμῆσαι ἐν τῇ φοβερᾷ μάχῃ. ἀλλ' ἐμὲ ἡ ψυχὴ ἀνέπεισεν (ἀνώρμησεν) ἡ πολλὰ ὑπομένουσα πολεμεῖν τῇ ἰδίᾳ ἰσχύϊ· τῇ δὲ ἡλικίᾳ νεώτερος ἤμην ἁπάντων. καὶ ἐπολέμησα αὐτῷ ἐγώ, ἔδωκε δέ μοι καύχημα ἡ Ἀθηνᾶ. "τοῦτον δὲ τὸν μέγιστον καὶ ἰσχυρότατον ἀπέκτεινα ἄνδρα· μέγας γάρ τις ἔκειτο ἐκλελυμένος κατὰ πλάτος καὶ μῆκος. εἴθε ἂν ἕτως ἀκμάζοιμι ἥ τε δύναμις μοι βεβαία ἦν· τούτῳ ἂν ταχέως ὑπήντησε πρὸ τῆς μάχης ὁ πολεμικὸς Ἕκτωρ. ὑμῶν δὲ οἵτινές εἰσιν ἀριστεῖς πάντων τῶν Ἑλλήνων, ἴδε ἕτοι προθύμως προαιρῆσθε τῷ Ἕκτορος ἐναντίον ἐλθεῖν." ἕτως ὠνείδισεν ὁ πρεσβύτης. ἐκ τούτων δὲ ἐννέα πάντες ἀνέσησαν. ὥρμησεν ἐν πρώτοις μὲν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων· ἐπὶ τούτῳ δὲ ὁ τοῦ Τυδέως υἱὸς ὥρμησεν, ὁ ἰσχυρὸς Διομήδης, ἐπὶ τούτοις δὲ οἱ Αἴαντες οἱ πολεμικὴν ἐνδεδυμένοι δύναμιν, ἐπὶ τούτοις δὲ ὁ Ἰδομενεὺς καὶ ὁ ἀκόλουθος τοῦ Ἰδομενέως, ὁ Μηριόνης ὁ παραπλήσιος Ἄρει τῷ ἀνδροφόνῳ· ἐπὶ τούτοις δὲ ὁ Εὐρύπυ-

λος ὁ τῆ Εὐαίμονος λαμπρὸς υἱός. ἀνέξη δὲ καὶ ὁ Θόας ὁ Ἀνδραίμονος παῖς καὶ ὁ ἔνδοξος Ὀδυσσεύς. πάντες δὲ τοῦτοι ἤθελον πολεμεῖν τῷ ἐνδόξῳ Ἕκτορι. "ἐν τέτοις εὐθέως εἶπεν ὁ ἐκ τῆς Γερήνης ἱππικὸς Νέζωρ "κλήρῳ τὰ νῦν κληρώθητε φανερῶς (ἀντικρύ), ὅσις ἂν λάχῃ· ἔτος γὰρ ὠφελήσει τὲς εὐόπλες Ἕλληνας, καὶ αὐτὸς δὲ τὴν ἑαυτοῦ ψυχὴν ὠφελήσει, ἐὰν διαφύγῃ ἐκ τῆ διακοπτικῆ πολέμε καὶ στῆς δεινῆς μάχης." "ἔτως εἶπεν· ἔτοι δὲ κλῆρον ἐσημειώσαντο ἕκασος, ἐνέβαλον δὲ ἐν τῇ περικεφαλαίᾳ τῆ Ἀτρείδα Ἀγαμέμνονος. οἱ δὲ λαοὶ ηὔξαντο, [τὰς χεῖρας δὲ τοῖς θεοῖς ἦραν. ἔτω δέ τις εἶπεν] ἀποβλέψας εἰς ἐρανὸν τὸν πλατύν "ὦ πάτερ Ζεύ, ἢ τὸν Αἴαντα κληρωθῆναι ἢ τὸν Διομήδην οἰκονόμησον "ἢ αὐτὸν τὸν βασιλέα τῆς πολυχρύσε Μυκήνης." ἔτω δὴ εἶπον· ἐκίνει δὲ ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέζωρ, ἐξώρμησε δὲ ὁ κλῆρος ἐκ τῆς περικεφαλαίας ὃν δὴ ἤθελον αὐτοί, τῆ Αἴαντος. ὁ δὲ κῆρυξ φέρων ἀνὰ τὸ πλῆθος πανταχῆ ἐπέδειξεν ἐπιδεξίως πᾶσι τοῖς ἀρίσεῦσι τῶν Ἑλλήνων. "ἔτοι δὲ ἐκ ἐπιγινώσκοντες ἀπηρτήσαντο ἕκασος. ἀλλ' ἡνίκα δὴ τῆτον κατελάμβανε φέρων εἰς τὸ ἄθροισμα πανταχῆ, ὅσις αὐτὸν γραμμαῖς ἐπισημειωσάμενος ἐν τῇ περικεφαλαίᾳ ἔβαλεν, ὁ λαμπρὸς Αἴας, ἔτος ὑπέβαλε τὴν χεῖρα καὶ ἔτος (ὁ κῆρυξ) ἐνέβαλεν ἐγγὺς παραςάς. ἐπέγνω δὲ τὸ σημεῖον ἰδὼν τῆ κλήρε, ἐχάρη δὲ τῇ ψυχῇ. "τῆτον δὲ παρὰ τὸν ἑαυτῆ πόδα χαμαὶ ἔβαλε καὶ εἶπεν "ὦ προσφιλέςατοι, ἐμὸς ὁ κλῆρος, χαίρω δὲ καὶ αὐτὸς τῇ ψυχῇ, ἐπειδὴ δοκῶ νικήσειν Ἕκτορα τὸν ἔνδοξον. ἀλλὰ φέρετε, ἕως ἂν ἐγὼ τὰ πολεμικὰ ὅπλα ἐνδύσωμαι, ἐν τοσέτῳ ὑμεῖς εὔχεσθε Διὶ τῷ υἱῷ τῆ Κρόνε τῷ βασιλεῖ ἐν σιγῇ καθ' ἑαυτές, ἵνα μὴ οἱ Τρῶες ἀκέσωσιν (αἴθωνται), ἢ καὶ φανερῶς, ἐπειδὴ ἀδένα δεδοίκαμεν ὅμως. ἀδεὶς γάρ με λαβὼν βίᾳ ἄκοντα ἐκφοβήσει, ἔτε δὴ τῇ ἀπειρίᾳ, ἐπειδὴ ἔτε ἐγὼ ἄπειρον (ἀδύνατον) ἔτως ἐλπίζω ἐν τῇ Σαλαμῖνι γεννηθῆναι καὶ τραφῆναι." "ἔτως εἶπεν· ἔτοι δὲ ηὔχοντο τῷ Διὶ τῷ υἱῷ τῆ Κρόνε τῷ βασιλεῖ. ἔτω δέ τις φθέγξατο ἐμβλέψας εἰς τὸν πλατὺν ἐρανόν "ὦ Ζεῦ πάτερ Ἴδης βασιλεύων, ἐνδοξότατε καὶ μέγιςε, παράχε νίκην τῷ Αἴαντι καὶ λαμπρὸν καύχημα λαβεῖν. ἐὰν δὲ καὶ τὸν Ἕκτορα φιλῇς καὶ φροντίζῃς αὐτῆ, "ἴσην ἀμφοτέροις δύναμιν δόξαν περιποίει (παράχε)." ἔτως δὴ εἶπεν. ὁ Αἴας δὲ καθωπλίζετο λαμπρῷ σιδήρῳ. ἐπεὶ δὲ πάντα περὶ τῷ σώματι περιεβάλετο τὰ ὅπλα, ὥρμησε μετὰ ταῦτα, ὁποῖος ὁ ἔγας παραγίνεται Ἄρης, ὅσις ἀπέρχεται εἰς τὸν πόλεμον πρὸς τὲς ἄνδρας, ὃς ὁ Ζεὺς "τῆς τὴν ψυχὴν ἐθιέσης πολυνείκεια χάριν δυνάμει ἀνέπεισε πολεμεῖν. τοιῆτος δὴ Αἴας ὥρμησεν ὁ μέγας, τὸ τεῖχος τῶν Ἑλλήνων, ὑπολῶν τοῖς καταπληκτικοῖς ὀφθαλμοῖς· κάτωθεν δὲ τοῖς ποσὶν ἐπορεύετο μεγάλα διαβαίνων, κραδαίνων (σείων) τὸ μακροπόρευτον δόρυ. τῆτον δὲ καὶ οἱ Ἕλληνες μεγάλως θαιρον βλέποντες· "τὲς δὲ Τρῶας φόβος δεινὸς ὑπεισῆλθεν ἕκασον τὰ μέλη, καὶ αὐτῷ δὲ τῷ Ἕκτορι ἡ ψυχὴ ἐν τοῖς ςήθεσιν ἐν παλμῷ καὶ κινήσει ἦν. ἀλλ' ἔπω μετὰ ταῦτα ἐδύνατο ὑποχωρῆσαι ἐδὲ ἀναςρέψαι (ἢ ὑπεισελθεῖν) εἰς τὰπίσω εἰς τὸ πλῆθος τῶν ὄχλων, ἐπειδὴ προετρέψατο ἐν τῇ μάχῃ. ὁ δὲ Αἴας ἐγγὺς παρεγένετο ἐπιφερόμενος ἀσπίδα καθάπερ πύργον, "σιδηρᾶν, ἑπτὰ βύρσας ἔχεσαν, ἣν αὐτῷ ὁ Τύχιος ἔκαμε κατασκευάσας τῶν σκυτέων ὁ ἐξόχως κρείττων, ἐν συνδένδρῳ οἰκίᾳ οἰκῶν, ὃς αὐτῷ εἰργάσατο τὴν ἀσπίδα ποικίλην ἑπτάβυρσον, ἐκ ταύρων ἄγαν εὐτραφῶν· ἐπὶ δὲ ταῖς βύρσαις ὄγδοον ἐπέβαλε τὸν χαλκόν. ταύτην ἔμπροσθεν τῆ ςήθες ἐπιφερόμενος ὁ τῆ Τελαμῶνος υἱὸς Αἴας "ἔςη δὴ λίαν ἐγγὺς τῆ Ἕκτορος, ἐπαπειλησάμενος δὲ προσεῖπεν. "ὦ Ἕκτορ, ἐπὶ μὲν τῆ παρόντος ἀκριβῶς γνώσῃ μόνος πρὸς μόνον ὁποῖοι καὶ ἐν τοῖς Ἕλλησιν ἀριςεῖς ἐνυπάρχεσιν καὶ μετὰ τὸν ἀνδρεῖον Ἀχιλλέα τὸν λεοντόψυχον. ἀλλ' ἔτος μὲν ἐν ταῖς μεγάλαις ναυσὶ ταῖς θαλασσοπλόοις "ἀνάκειτ' ὀργιωθεὶς Ἀγαμέμνονι τῷ βασιλεῖ τῶν ὄχλων· ἡμεῖς δέ ἐσμεν τοιῆτοι ὁποῖοι ἄν σοι καθυπαντήσωμεν, καὶ πλεῖοι. ἀλλὰ κατάρχε τῆς μάχης καὶ τῆ πολέμε." πρὸς τῆτον δὲ εὐθέως εἶπεν ὁ μέγας καὶ εὔοπλος Ἕκτωρ "ὦ Αἶαν ἀκαιρολόγε, ὑψηγόρε, ποῖον λόγον ἐλάλησας.*) "μηδαμῶς με καθάπερ παιδὸς ἀθενῆς διάπειραν λάμβανε, ἢ γυναικὸς ἥτις ἐκ ἐπίσαται τὰ τῆ πολέμου ἔργα. ἐγὼ δὲ καλῶς ἐπίσαμαι τὰς μάχας καὶ τὰς ἀνδροφονίας· ἐπίσαμαι καὶ ἐπὶ δεξιὰ καὶ ἐπ' ἀριςερὰ βαχάσαι τὴν ἀσπίδα τὴν ξηράν· διό μοι ὑπάρχει τλητικῶς καὶ ὑπομονητικῶς πολεμεῖν. "γινώσκω δὲ ἐν τῇ συχάδην μάχῃ τῷ πολεμικῷ μέλπεαθ' Ἄρει, ἐπίσαμαι δὲ ἐπιτεῖναι ὁρμὴν ἵππων ταχυτάτων. ἀλλὰ γὰ ὁ βάλομαί σε βαλεῖν τοιῆτον ὑπάρχοντα λάθρᾳ περιβλεψάμενος, ἀλλὰ φανερῶς, ἐὰν ἐπιτύχω." εἶπε δή, καὶ ἀνατείνας προέπεμψε τὸ μακροπόρευτον δόρυ, καὶ ἔβαλε τῆ Αἴαντος τὴν φοβερὰν ἀσπίδα τὴν ἑπτάβυρσον κατὰ τὸ ἀκρότατον πρὸς τὸν σίδηρον, ὃς ὄγδοος ἦν ἐπ' αὐτῇ. ἐξ δὲ βύρσας διῆλθε διακόπτων ὁ ἀκαταπόνητος σίδηρος· ἐν δὲ τῇ ἑβδόμῃ βύρσῃ ἐπεσχέθη. δεύτερος δὲ δὴ Αἴας ὁ εὐγενὴς προέπεμψε τὸ μακροπόρευτον δόρυ, καὶ ἔβαλε κατὰ τὴν τῆ Ἕκτορος ἀσπίδα τὴν περιφερῆ. καὶ διὰ μὲν τῆς λαμπρᾶς ἀσπίδος διῆλθε τὸ ἰχυρὸν δόρυ, καὶ διὰ τῆ πολυποικίλε θώρακος ἤρμοσε· ἐξ ἐναντίας δὲ παρὰ τὴν λαγόνα διέχισε τὸν χιτῶνα τὸ δόρυ. ἔτος δὲ ἐξέκλινε (παρεφυλάξατο) καὶ ἐξέφυγε τὸν θάνατον. "ἔτοι δὲ σπασάμενοι τὰ μακρὰ δόρατα ταῖς χερσὶν ὁμῆ ἀμφότεροι, εἰς ἑαυτὲς ἐνέπεσον λέσσιν παραπλήσιοι ὠμοφάγοις ἢ χοίροις ἄρσεσιν, ὧν ἡ δύναμις ἐκ ἀθενής. ὁ μὲν Ἕκτωρ μετὰ ταῦτα κατὰ τὸ μέσον τῆς ἀσπίδος ἔτυψε τῷ δόρατι· οὐκ ἔτεμε δὲ ὁ σίδηρος, ἀνεκάμφθη δὲ αὐτῆ ἡ ἐπιδορατίς. ὁ Αἴας δὲ τὴν ἀσπίδα ἔτυψεν ἐφαλλόμενος (ἐπιπηδήσας)· ἐδὲ δι' ὅλε διῆλθε τὸ δόρυ, ἔσεισε δὲ αὐτὸν προθυμούμενον, τμητικῶς δὲ τὸν αὐχένα διῆλθε· μέλαν δὲ ἀνῆει αἷμα. ἀλλ' ἐδὲ ἔτως ἀπεπαύετο τῆς μάχης ὁ πολεμικώτατος Ἕκτωρ, ἀλλὰ ἀναχωρήσας λίθον ἔλαβε τῇ ἰσχυρᾷ

*) Γρ. ὦ Αἶαν διογενὲς Τελαμώνιε κοίρανε λαῶν σημαίνει ὦ Αἶαν βασιλεῦ τῶν λαῶν εὐγενὲς τοῦ Τελαμῶνος υἱέ.

χειρὶ "κείμενον ἐν τῇ γῇ, μέλανα ϗ τραχὺν ϗ μέγαν· τȣ́τῳ ἔβαλε τὴν τȣ̃ Αἴαντος φοβερὰν ἀσπίδα τὴν ἑπτάβυρσον μέσον τὸ ἐπικείμενον τῷ τῆς ἀσπίδος ὀμφαλῷ· παρήχησε δὲ ὁ σίδηρος. δεύτερος δὲ δὴ ὁ Αἴας πολὺ μείζονα λίθον ἐπάρας ἔπεμψεν ἐπιςρέψας, ἐπεβάρησε δὲ ἰχὺν τὴν ἀμέτρητον·*) "ἔσω δὲ τῆς ἀσπίδος βαλὼν ἔκλασεν αὐτὴν τραχεῖ ϗ ςρογγύλῳ λίθῳ, ἔβλαψε δὲ αὐτȣ̃ τὰ προσφιλῆ γόνατα. ȣ̃τος δὲ ὕπτιος ἐξετάνθη, τῇ ἀσπίδι προσπελασθείς. τȣ̃τον δὲ ταχέως ἀνέςησεν ὁ Ἀπόλλων. ϗ δὴ ἐν τοῖς ξίφεσιν ἐκ τȣ̃ σύνεγγυς ἐτιτρώσκοντο, εἰ μὴ οἱ κήρυκες τοῦ Διὸς ϗ οἱ ἀπόςολοι τῶν ἀνθρώπων "παρεγένοντο, ὁ μὲν ἐκ τῶν Τρώων ὁ δὲ ἐκ τῶν Ἑλλήνων, ὁ Ταλθύβιος ϗ ὁ Ἰδαῖος, συνετοὶ ἀμφότεροι. ἐν μέσῳ δὲ τῶν ἀμφοτέρων τὰ σκῆπτρα ἐνέβαλον, εἶπέ τε τὸν λόγον Ἰδαῖος ὁ κῆρυξ, συνετὰ βȣλεύματα ἐπιςάμενος. "μηδαμῶς ὦ προσφιλεῖς παῖδες πολεμεῖτε μηδὲ μάχεσθε· "ἀμφοτέρȣς γ᾽ ὑμᾶς ἀγαπᾷ ὁ τὰς νεφέλας συναθροίζων Ζεύς, ἀμφότεροι δὲ πολεμιςαί· τȣ̃το δὴ ϗ γινώσκομεν πάντες. νὺξ δὲ δὴ ἐπιγίνεϑ· καλὸν ϗ τῇ νυκτὶ πείθεσθ." τȣ̃τον δὲ ἀνταποκρινόμενος προσεῖπεν ὁ τȣ̃ Τελαμῶνος Αἴας. "ὦ Ἰδαῖε, ταῦτα τὸν Ἕκτορα κελεύσατε διανοηθῆναι· "αὐτὸς γ᾽ ἐν τῇ μάχῃ προεκαλέσατο πάντας τȣ̀ς Ἕλληνας. ἀρχέτω (ὑποχωρεῖν)· ἐγὼ δὲ λίαν πεισθήσομαι, ἐάν περ οὗτος." πρὸς τȣ̃τον δὲ δὴ εἶπεν ὁ μέγας ϗ ἔνδοξος Ἕκτωρ· "ὦ Αἶαν, ἐπεί σοι παρέσχεν ὁ θεὸς μέγεθός τε ϗ δύναμιν ϗ φρόνησιν ϗ περὶ τὸ δόρυ τῶν Ἑλλήνων κρείττων ὑπάρχεις, "τὰ νῦν μὲν καταπαυσώμεθα τῆς μάχης ϗ τȣ̃ πολέμȣ τὴν σήμερον· μετὰ ταῦτα πολεμήσομεν, ἐὰν ἡ τύχη ἡμᾶς διαχωρίσῃ, παράσχῃ δὲ τῷ ἑτέρῳ μέρει νίκην. ἡ νὺξ δὲ ἀπάρτι ἐγένετο· καλὸν δὲ διὰ τὴν νύκτα πεισθῆναι, ὅπως σύ τε εὐφρανεῖς πάντας παρὰ ταῖς ναυσὶ τȣ̀ς Ἕλληνας, "ϗ τȣ̀ς σοὺς μάλιςα συγγενεῖς ϗ φίλȣς οἵτινές σοι ὑπάρχȣσιν· ἐγὼ δὲ κατὰ τὴν μεγάλην πόλιν τȣ̃ βασιλέως Πριάμȣ τȣ̀ς Τρῶας εὐφρανῶ καὶ τὰς Τρωάδας τὰς εὐςόλȣς, αἵτινές μοι εὐχόμεναι εἰς τὸ τῶν θεῶν ἀπέρχονϑ ἄθροισμα. δῶρα δὲ ἀλλήλοις περίδοξα παράσχωμεν ἀμφότεροι, "ὅπως ἄν τις ȣ̃τως εἴπῃ τῶν τε Ἑλλήνων ϗ τῶν Τρώων ""καὶ ἐπολέμησαν περὶ ἔριδος ψυχοφθόρȣ ϗ πάλιν μετὰ φιλίας διεχωρίσθησαν εἰρηνεύσαντες."" ȣ̃τω δὴ εἰπὼν ἔδωκε τὸ ἀργυρȣ̃ς ἥλȣς ἔχον ξίφος μετὰ τῆς ξιφοθήκης ἐπιφερόμενος ϗ τȣ̃ εὐκατασκευάστου ἀναφορέως· "ὁ Αἴας δὲ τὸ περίζωμα ἐδίδȣ τὸ τῷ ἐρυθήματι λαμπρόν. ȣ̃τοι δὲ διαχωρισθέντες ὁ μὲν πρὸς τὸν λαὸν τῶν Ἑλλήνων ἐπορεύθη, ὁ δὲ εἰς τὸ τῶν Τρώων πλῆθος ἀπῆλθεν. ȣ̃τοι δὲ ἐχάρησαν, ὡς ἐθεάσαντο ζῶντά τε καὶ ὑγιῆ προσερχόμενον, τȣ̃ Αἴαντος ἐκφυγόντα τὴν δύναμιν ϗ τὰς χεῖρας· "καὶ δὴ ἀπῆγον πρὸς τὴν πόλιν ȣ̀κ ἐλπίζοντες σῶον εἶναι. τὸν Αἴαντα δὲ πάλιν ἐκ τȣ̃ ἑτέρȣ μέρȣς οἱ Ἕλληνες πρὸς τὸν ἔνδοξον Ἀγαμέμνονα ἔφερον, περιχαρῆ ὄντα τῇ νίκῃ. ȣ̃τοι δὲ δὴ ἡνίκα ἐν ταῖς σκηναῖς τȣ̃ Ἀτρέως ἐγένοντο, ἐπὶ τȣ́τοις δὲ βȣ̃ν ἔθυσεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "ἄρσενα πενταετῆ τῷ ὑπερέχοντι τῇ δυνάμει Διί. τȣ̃τον δὲ ἐξέδερον ϗ ἐνήργȣν καὶ αὐτῷ διέχεον ἅπαντα, διεῖλον δὲ δὴ ἐπιςημονικῶς ϗ διεπερόνησαν τοῖς ὀβελίσκοις, ὤπτησάν τε μετ᾽ ἐπιςήμης καὶ εἵλκυσαν πάντα. ἐπειδὴ δὲ ἔληξαν τȣ̃ πόνȣ ϗ κατεσκεύασαν τὴν εὐωχίαν, "ἤσθιον· ȣ̀δαμῶς δὲ ἡ ψυχὴ ἐνδεὴς ἦν τῆς ἰσομοίρȣ εὐωχίας. τοῖς δὲ νωτίοις μέρεσι τὸν Αἴαντα τοῖς ἐπὶ πολὺ διήκȣσιν ἐτίμα ὁ ἡμίθεος υἱὸς τȣ̃ Ἀτρέως, ὁ μέγας βασιλεὺς Ἀγαμέμνων. ἐπειδὴ δὲ τῆς βρώσεως ϗ τῆς πόσεως τὴν ἐπιθυμίαν ἐπλήρωσαν, τȣ́τοις ὁ πρεσβύτης πάντων πρῶτος κατασκευάζειν ἤρξατο βȣλήν, "ὁ Νέςωρ, ȣ̃ τινὸς ϗ πρότερον κρατίςη ἐφάνη ἡ βȣλή· ὅςις ἐν αὐτοῖς καλῶς φρονῶν ἐδημηγόρησε ϗ εἶπεν "ὦ υἱὲ τοῦ Ἀτρέως ϗ οἱ λοιποὶ ἀριςεῖς πάντων Ἑλλήνων, πολλοὶ μὲν ἀπέθανον τὰς κεφαλὰς κομῶντες Ἕλληνες· τȣ́των νῦν τὸ μέλαν αἷμα περὶ τὸν καλλίρȣν Σκάμανδρον "ἐσκόρπισεν ὁ ὀξὺς πόλεμος, αἱ δὲ ψυχαὶ εἰς Ἅιδȣ κατῆλθον. διό σε χρὴ τὸν μὲν πόλεμον ὁμȣ̃ τῇ ἡμέρᾳ καταπαῦσαι τῶν Ἑλλήνων· αὐτοὶ δὲ συναθροισθέντες ἐφ᾽ ἁμαξῶν οἴσομεν ἐνταῦθα τȣ̀ς νεκροὺς μετὰ βοῶν ϗ ἡμιόνων, κατακαύσωμεν δὲ αὐτȣ̀ς μικρὸν ἄποθεν πρὸ τῶν πλοίων, ὅπως ἂν τὰ ὀςῶ τοῖς παισὶν ἕκαςος "εἰς τὴν οἰκίαν κομίσῃ, ἡνίκα ἂν πορευώμεθα εἰς τὴν πατρικὴν γῆν. τὸν τάφον δὲ ἀπὸ τῆς πυρᾶς καθ᾽ ἕνα χώσωμεν ἀδιαχώριςον ἐκ τῆς γῆς· περὶ αὐτὸν δὲ οἰκοδομήσωμεν ταχέως τεῖχος ὑψηλὸν ἀσφάλισμα τῶν πλοίων ϗ ἡμῶν αὐτῶν. ἐν δὲ τῷ τείχει (τοῖς πύργοις) πύλας κατασκευάσωμεν εὐαρμόςȣς, "ὅπως δι᾽ αὐτῶν πλατεῖα τῆς τῶν ἵππων ἐλασίας ὁδὸς ὑπάρχῃ. ἔξωθεν δὲ βαθεῖαν ὀρύξωμεν πλησίον περὶ τὸ τεῖχος ὀρυγήν, ἥτις τȣ́ τε ἵππȣς ϗ τὸν λαὸν κατέχοι πέριξ ὑπάρχȣσα, μήποτε ἐπιβαρήσῃ ὁ πόλεμος τῶν ὑπερηφάνων Τρώων." οὕτως εἶπεν· ȣ̃τοι δὲ δὴ πάντες συγκατέθεντο οἱ βασιλεῖς. "τῶν δὲ Τρώων ἡ ἐκκλησία ἐγένετο ἐν τῇ ἀκροπόλει φοβερὰ ϗ θορυβώδης, παρὰ ταῖς τȣ̃ Πριάμȣ θύραις. ἐν τȣ́τοις δὲ Ἀντήνωρ ὁ συνετὸς ἤρξατο δημηγορεῖν. "ἀκȣ́σατέ μȣ Τρῶες ϗ ὦ Δάρδανοι ϗ ἐπίκȣροι, ὅπως εἴπω ἅτινά με ἡ ψυχὴ ἐν τῇ διανοίᾳ παρακελεύεϑ. "δεῦτε ἄγετε, τὴν Πελοποννησιακὴν Ἑλένην ϗ τὰ κτήματα σὺν αὐτῇ δώσωμεν τοῖς υἱοῖς Ἀτρέως κομίσασθ. νῦν δὲ τȣ̀ς πιςȣ̀ς ὅρκους ἐπιορκήσαντες πολεμȣ̃μεν· διὰ τȣ̃το ȣ̀δαμῶς δή τι ἐπωφελὲς ἡμῖν ἐλπίζω ἐκτελεσθῆναι, ἐὰν μὴ πράξωμεν ȣ̃τως. ȣ̃τως μὲν ȣ̃τος εἰπὼν ἐκαθέσθη· ἐν τȣ́τοις δὲ ἀνέςη "ὁ ἔνδοξος Ἀλέξανδρος ὁ τῆς Ἑλένης ἀνὴρ τῆς καλλικόμου, ὅςις αὐτὸν ἀνταποκρινόμενος λόγȣς ταχεῖς εἶπεν. "ὦ Ἀντῆνορ, σὺ μὲν ȣ̀δαμῶς ἐμοὶ προσφιλῆ ταῦτα δημηγορεῖς γινώσκεις ϗ ἕτερον λόγον κρείττονα τȣ́τȣ νοῆσαι. εἰ δὲ ἀληθῶς δὴ τȣ̃τον ἀπὸ φροντίδος ϗ ἐπιμελείας (μελέτης) λέγεις, "ἀληθῶς σοι ἀπὸ τȣ̃ νῦν αὐτοὶ οἱ θεοὶ τὰς διανοίας ἐξώλεσαν. ἐγὼ δὲ ἐν Τρωσὶ τοῖς ἱππικοῖς δημηγορήσω. ἐν ἐναντίας δὲ ἀποφαίνομαι· τὴν μὲν γυναῖκα ȣ̀κ ἀποδώσω

*) Desunt vv. 270 — 316. quos dedit codex 2686.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ κτήματα δὲ ὅσα ἐκομισάμην ἐκ Πελοποννήσȣ εἰς τὸν ἐμὸν οἶκον, πάντα βȣ́λομαι ἀποδȣ̃ναι ϗ ἔτι ἐκ τῶν οἰκείων ἄλλα ἐπιβαλεῖν." "ȣ̃τως μὲν ȣ̃τος εἰπὼν ἐκάθισεν· ἐν τȣ́τοις δὲ ἀνέςη ὁ Δαρδάνȣ παῖς Πρίαμος ὁ τοῖς θεοῖς κατὰ τὴν βȣλὴν ἴσος· ὅςις ἐν αὐτοῖς καλῶς φρονῶν ἐδημηγόρησε ϗ εἶπεν "ἀκȣ́σατέ μȣ Τρῶες ϗ Δάρδανοι ϗ ἐπίκȣροι, ὅπως ἐρῶ ἅτινά με ὁ λογισμὸς ἐν διανοίᾳ κινεῖ. "νῦν μὲν δειπνήσατε κατὰ τὴν πόλιν παρὰ τοῖς ἄρχȣσι, ϗ τῆς προφυλακῆς ὑπομνήσθητε, ϗ γρηγορεῖτε ἕκαςος· ἐκ πρωΐας δὲ ὁ Ἰδαῖος κῆρυξ πορευέσθω ἐπὶ τὰς βαθείας ναῦς εἰπεῖν τοῖς υἱοῖς Ἀτρέως Ἀγαμέμνονι ϗ Μενελάῳ τὸν λόγον τȣ̃ Ἀλεξάνδρου, ȣ̃ τινὸς ἕνεκα ἡ φιλονεικία ἐκινήθη· "καὶ δὴ τȣ̃τον εἰπεῖν τὸν συνετὸν λόγον, ἐὰν θελήσωσιν ἀποςῆναι τȣ̃ πολέμȣ τȣ̃ κακοήχȣ, ἕως ἂν τȣ̀ς νεκρȣ̀ς καύσωμεν. μετὰ ταῦτα δὲ πολεμήσωμεν, ἕως ἂν ἡ τύχη ἡμᾶς διαχωρίσῃ, παράσχῃ δὲ τοῖς ἑτέροις τὴν νίκην." ȣ̃τως εἶπεν· οὗτοι δὲ αὐτȣ̃ πάνυ μὲν ἤκȣον ϗ ἐπείθοντο. "δεῖπνον δὲ ἔπειτα ἔλαβον κατὰ τὸν ςρατὸν παρὰ τοῖς ἄρχȣσιν· ἕωθεν δὲ ὁ Ἰδαῖος ἐπορεύθη ἐπὶ τὰς βαθείας ναῦς. τȣ̀ς δὲ Ἕλληνας εὗρεν (κατέλαβεν) ἐν τῇ ἐκκλησίᾳ, τȣ̀ς θεράποντας τοῦ πολέμȣ, παρὰ τῇ τῆς νεὼς πρύμνῃ τȣ̃ Ἀγαμέμνονος. αὐτὸς δὲ τȣ́τοις ἐν μέσοις ςὰς προσεφώνει ὁ μεγαλόφωνος κῆρυξ. "ὦ υἱοὶ τȣ̃ Ἀτρέως ϗ οἱ λοιποὶ ἄριςοι πάντων τῶν Ἑλλήνων, παρεκελεύσατο ὅ τε Πρίαμος ϗ οἱ λοιποὶ Τρῶες οἱ λαμπροὶ εἰπεῖν, ἐὰν ὑμῖν προσφιλὲς ϗ ἡδὺ φανείη, τὸν λόγον τȣ̃ Ἀλεξάνδρȣ, ȣ̃ δὴ ἕνεκα ἡ φιλονεικία κεκίνηθ. τὰ μὲν κτήματα ὅσα ὁ Ἀλέξανδρος ἐπὶ ταῖς βαθείαις ναυσὶν "ἤγαγεν εἰς τὴν Τροίαν, ὃς εἴθε πρὶν ὤφειλεν ἀπολέσθ, πάντα βȣ́λεθ ἀποδȣ̃ναι ϗ ἔτι ἐκ τῶν οἰκείων ἄλλα προσθεῖναι· κόρην δὲ τὴν γαμετὴν Μενελάȣ τȣ̃ ἐνδόξȣ ȣ̀κ ἀποδώσειν λέγει, καθὼς αὐτὸν οἱ Τρῶες παρακελεύονθ. ϗ τȣ̃τον δὴ προσέταξεν εἰπεῖν τὸν λόγον, ἐὰν βȣ́λησθε "παύσασθ πολέμȣ τȣ̃ κακοήχȣ, ἕως ἂν τȣ̀ς νεκρȣ̀ς καύσωμεν. μετὰ ταῦτα δὲ πολεμήσωμεν, ἕως ἂν ἡ τύχη ἡμᾶς διαχωρίσῃ, παράσχῃ δὲ τῷ ἑτέρῳ μέρει τὴν νίκην." ȣ̃τως εἶπεν· ȣ̃τοι δὲ δὴ πάντες ἥσυχοι ἐγένοντο τῇ σιωπῇ. βραδέως δὲ εἶπεν ὁ κατὰ τὴν μάχην γενναῖος Διομήδης "μήτε δὴ νῦν τις τὰ κτήματα τȣ̃ Ἀλεξάνδρȣ λαμβανέτω μήτε τὴν Ἑλένην· γνώριμον δὲ ϗ ὅςις λίαν ἀνόητός ἐςιν ὡς ἤδη τοῖς Τρωσὶ τȣ̃ ὀλέθρȣ τὰ τέλη ἐπίκειθ." οὕτως εἶπεν· ȣ̃τοι δὲ δὴ πάντες ἐπευφήμȣν οἱ υἱοὶ τῶν Ἑλλήνων, τὸν λόγον ἐπαινέσαντες Διομήδȣς τȣ̃ πολεμικȣ̃. "καὶ τότε δὴ πρὸς τὸν Ἰδαῖον εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων "ὦ Ἰδαῖε, τὸν λόγον ἤδη τῶν Ἑλλήνων αὐτὸς ἀκȣ́εις, ὅπως σοι ἀποκρίνονθ· ϗ ἐμοὶ ἀρέσκει ȣ̃τως. περὶ τȣ̀ς νεκρȣ̀ς κατακαύειν οὐδαμῶς φθονῶ· οὐδεμία δὲ φροντὶς περὶ τῶν νεκρῶν ἀποθανόντων "ὑπάρχει, ἐπειδὰν ἀποθάνωσι, διὰ πυρὸς θάπτεσθ ταχέως. τȣ̀ς ὅρκȣς δὲ ὁ Ζεὺς γινωσκέτω ὁ μεγαλόηχος ἀνὴρ τῆς Ἥρας." οὕτως εἰπὼν τὸ σκῆπτρον ἀνέκεινε πᾶσι τοῖς θεοῖς· εἰς τοὐπίσω δὲ ὁ Ἰδαῖος ἐπορεύθη πρὸς τὴν Ἴλιον τὴν θαυμαστήν. οὗτοι δὲ ἐκάθηντο ἐν τῇ ἀγορᾷ, οἵ τε Τρῶες ϗ οἱ ἀπὸ Δαρδάνȣ (πόλεως Τρωϊκῆς), "πάντες ὁμȣ̃ συνηθροισμένοι, προσδεχόμενοι ὁπότε παραγένοιτο ὁ Ἰδαῖος. ȣ̃τος δὲ παρεγένετο ϗ τὴν ἀγγελίαν ἐξεῖπε, ςὰς ἐν μέσοις. ȣ̃τοι δὲ παρεσκευάζοντο λίαν ταχέως ἀμφότερα, τȣ̀ς νεκρȣ̀ς συνάγειν, ἕτεροι δὲ ἐπὶ ξύλων συλλογήν. οἱ Ἕλληνες δὲ ἑτέρωθεν ἀπὸ τῶν εὐκαθέδρων νεῶν "παρεσκευάζοντο τȣ̀ς νεκρȣ̀ς συναγαγεῖν, ἄλλοι δὲ ἐπὶ ξύλων συγκομιδήν. ὁ ἥλιος δὲ μετὰ ταῦτα νεωςὶ ἀνέτειλεν ἐπὶ τῆς γῆς, ἐκ τοῦ ἡσύχως ϗ πράως ῥέοντος ἐπὶ βάθȣς τὸν ῥȣ̃ν ἔχοντος Ὠκεανȣ̃ εἰς τὸν οὐρανὸν ἀνερχόμενος. ȣ̃τοι δὲ ἀλλήλοις συνήντων, ὅπȣ ἐπιγνῶναι δυχερῶς ἦν ἕκαςον ἄνδρα. "ἀλλ' ὕδατι νίπτοντες τὸ μετὰ ἱδρῶτος ϗ κόνεως αἷμα, δάκρυα θερμὰ καταχέοντες ταῖς ἁμάξαις ἐπετίθεσαν. ȣ̀δὲ συνεχώρει κλαίειν ὁ μέγας Πρίαμος· ȣ̃τοι δὲ μετὰ σιωπῆς τȣ̀ς νεκρȣ̀ς ἐπὶ τῆς πυρᾶς ἐσώρευον, λυπȣ́μενοι τὴν ψυχήν, ἐμπρήσαντες δὲ τῷ πυρὶ ἐπορεύθησαν πρὸς τὴν ὑψηλὴν Ἴλιον. "ὡσαύτως δὲ ἐκ τοῦ ἑτέρου μέρȣς οἱ εὔοπλοι Ἕλληνες τοὺς νεκρȣ̀ς ἐπὶ τῆς πυρᾶς ἐσώρευον λυπȣ́μενοι τὴν ψυχήν, ἐμπρήσαντες δὲ τῷ πυρὶ ἐπορεύθησαν ἐπὶ τὰς βαθείας ναῦς. ἡνίκα δὲ ȣ̀δέπω ἡμέρα ἦν, ἔτι δὲ λυκόφως (ἤτοι βαθὺς ὄρθρος), τηνικαῦτα δὴ περὶ τὴν πυρὰν ὁ ἐκλελεγμένος συνηθροίζετο λαὸς τῶν Ἑλλήνων, "μνῆμα δὲ περὶ αὐτὴν ἐνεποίησαν ἔξω προελθόντες κεχωρισμένον ἐν τῇ γῇ, περὶ δὲ αὐτῷ τεῖχος ᾠκοδόμησαν ϗ πύργȣς ὑψηλȣ́ς, ἔρεισμα τῶν πλοίων ϗ αὐτῶν. ἐν αὐτοῖς δὲ πύλας ἐποίησαν εὐαρμόςȣς, ὅπως δι' αὐτῶν τῆς τῶν ἵππων ἐλασίας ὁδὸς ὑπάρχοι. "ἔξωθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὤρυξαν πλατεῖαν ϗ μεγάλην, καὶ ὀξέα ξύλα κατέπηξαν. οὕτως ȣ̃τοι μὲν ἐνήργȣν οἱ εὐπλόκαμοι Ἕλληνες· οἱ θεοὶ δὲ παρὰ τῷ Διὶ καθήμενοι τῷ τὰς ἀςραπὰς ποιοῦντι ἐθεῶντο (ἐθαύμαζον) τὸ μέγα ἔργον Ἑλλήνων τῶν σιδηροθωράκων. "ἐν τούτοις δὲ τοῦ λόγȣ κατήρξατο ὁ Ποσειδῶν ὁ τὴν γῆν κινῶν. "ὦ Ζεῦ πάτερ, ἆρά τις ὑπάρχει τῶν ἀνθρώπων ἐπὶ τὴν μεγάλην γῆν ὃς ἔτι τοῖς θεοῖς κατὰ τὸν νȣ̃ν ϗ τὴν βȣλὴν κακῶς λέξοι ϗ βλάψοι; οὐ βλέπεις ὅτι οἱ Ἕλληνες οἱ τὰς κεφαλὰς κομῶντες τεῖχος περιετειχίσαντο ὑπεράνω τῶν πλοίων, περὶ δὲ αὐτὸ ὄρυγμα "ἔσκαψαν, ϗ οὐδὲ τοῖς θεοῖς ἀπέδοσαν ἐντίμους θυσίας; τούτȣ δὴ τȣ̃ ἔργȣ ἡ δόξα ἔςαι καθ' ὅσον ἐφήπλωθ ἡ ἡμέρα· τούτȣ δὲ ἐπιλήσονθ, ὅτι τοῦτο ἐγὼ ϗ ὁ καθαρὸς Ἀπόλλων τῷ ἡμιθέῳ Λαομέδοντι τὴν πόλιν ἐτειχίσαμεν κακοπαθήσαντες." πρὸς τȣ̃τον δὲ μεγάλως ἀγανακτήσας εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς "φεῦ φεῦ ὁ τὴν γῆν σείων μεγαλοδύναμε, ὁποῖον εἶπες λόγον! ἄλλος τις ἂν τῶν θεῶν τοῦτο φοβηθῇ τὸ ἐννόημα, ὅστις σȣ κατὰ πολὺ ἀσθενέςερος τάς τε πράξεις ϗ τὴν δύναμιν· ἡ σὴ δὲ δόξα ἔςαι καθ' ὅσον ἐπέρχεθ ἡ ἡμέρα. ἄγε δή, ἡνίκα ἂν οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες "πορεύωνται σὺν ταῖς ναυσὶν εἰς τὴν προσφιλῆ πατρικὴν γῆν, τὸ τεῖχος ἀναῤῥήξας (διαῤῥήξας) τȣ̃το μὲν εἰς τὴν θάλασσαν ἅπαν κατάχεον (χῶσον), πάλιν δὲ τὸν μέγαν αἰγιαλὸν τῇ ψάμμῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κάλυψων, ὅπως ἂν τὸ μέγα τεῖχος ἀφανίζῃ τῶν Ἑλλήνων." οὕτως μὲν ἔτοι τοιαῦτα πρὸς ἀλλήλους ἔλεγον· "Ἕδυ δὲ ὁ ἥλιος καὶ ἐτελέθη τὸ ἔργον τῶν Ἑλλήνων. βῆς δὲ ἔθυον κατὰ τὰς σκηνὰς καὶ δεῖπνον ἔλαβον. πλοῖα δὲ ἐκ τῆς Λήμνου παρεγένοντο οἶνον φέροντα πλεῖσα, ἄτινα δὴ προέπεμψεν ὁ τῷ Ἰάσονος παῖς Εὔνηος, ὃν δὴ ἐγέννησεν Ὑψιπύλη μιγεῖσα τῷ βασιλεῖ τῶν Ἀχλων Ἰάσονι. Ἰδίᾳ δὲ τοῖς υἱοῖς Ἀτρέως Ἀγαμέμνονι καὶ Μενελάῳ ἀπέσειλεν ὁ τοῦ Ἰάσονος παῖς ἀγαγεῖν οἴνου χίλια μέτρα. τότε δὴ οἶνον ὠνοῦντο οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες, ἄλλοι μὲν διὰ χαλκοῦ, ἄλλοι δὲ διὰ λαμπρᾶ σιδήρου, ἄλλοι δὲ διὰ δούλων. παρεσκευάζοντο δὲ εὐωχίαν θάλεσαν τοῖς ἀγαθοῖς. δι' ὅλης μὲν τῆς νυκτὸς μετὰ ταῦτα οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες εὐωχῶντο· οἱ δὲ Τρῶες ὁμοίως κατὰ τὴν πόλιν καὶ οἱ ἐπίκουροι. δι' ὅλης δὲ τῆς νυκτὸς κακὰ προεμήνυσεν ὁ βουλευτικὸς Ζεύς, παραπληκτικὰ βροντῶν· τότε δὲ χλωροποιὸς φόβος κατελάμβανε, "τὸν οἶνον δὲ ἐκ τῶν ποτηρίων χαμαὶ ἔχεον· οὐδεὶς δὲ ἐκαρτέρει πρὶν πιεῖν ἢ σπεῖσαι (θῦσαι) τῷ ὑπερέχοντι τῇ δυνάμει Διΐ. ἐκοιμήθησαν δὲ δὴ μετὰ ταῦτα καὶ τοῦ ὕπνου τὸ δῶρον ἔλαβον.

Θ. ΚΟΛΟΣ ΜΑΧΗ.

ΥΠΟΘΕΣΙΣ 1. *Θῆτα θεῶν ἀγορή, Τρώων κράτος, Ἕκτορος εὐχος.*

2. *Ζεὺς ἀπαγορεύσας τοῖς θεοῖς μηδετέρῳ βοηθεῖν τῶν στρατευμάτων ἐπὶ τὴν Ἴδην κατέρχεται, καὶ πρότερον ἴσον μαχομένους τοὺς Ἕλληνας ἐλάττονας τῶν Τρώων καθίζησιν. Ἥρην δὲ καὶ Ἀθηνᾶν ἐπὶ βοήθειαν τοῖς Ἕλλησιν ἐξιόσας ἐπέσχεν Ἶρις Διὸς κελεύσαντος. ἐσπέρας δὲ γενομένης Ἕκτωρ ἐδημηγόρησεν ἐν τῷ πεδίῳ ὥστε στρατοπεδεύεσθαι καὶ πῦρ δι' ὅλης νυκτὸς καίειν.*

3. *Ζεὺς καλέσας εἰς ἐκκλησίαν τοὺς θεοὺς ἀπαγορεύει μετ' ἀπειλῆς μηδετέροις τῶν μαχομένων βοηθεῖν. Ἀθηνᾶ δὲ αἰτεῖται παρ' αὐτοῦ, εἰ καὶ μὴ φανερῶς συγχωρεῖ αὐτῇ τὴν τοῖς Ἕλλησι βοήθειαν, κἂν γνώμην τινὰ αὐτοῖς ὑποθέσθαι, ὡς μὴ παντάπασιν ἀπόλωνται. συμπεσόντων δὲ εἰς τὴν μάχην τὰ μὲν πρῶτα ἰσοπαλὴς πόλεμος γίνεται, μετὰ δὲ τοῦτο οἱ Τρῶες βελτίονι γίνονται ῥοπῇ κατὰ Διὸς γνώμην, κεραυνῷ πρὸ τῶν ἵππων τῷ Διομήδους ἐνεχθέντος καὶ τῶν ἀριστέων φοβηθέντων καὶ εἰς φυγὴν τραπέντων. καὶ Ποσειδῶν μὲν προτρεπάσης αὐτὸν Ἥρας βοηθεῖν τοῖς Ἕλλησιν ἀρνεῖται, ἀναθαρρήσαντων δὲ τῶν Ἑλλήνων Τεύκρῳ πολλὰς τοξεύσαντος Ζεὺς πάλιν τὴν νίκην ἐπὶ τοὺς Τρῶας μεταφέρει. Ἀθηνᾶ δὲ καὶ Ἥρα ὀλίγον τῶν Διὸς ἀπειλῶν φροντίσασαι κατέβασαν εἰς τὸν πόλεμον βοηθήσασαι τοῖς Ἕλλησιν· ἀλλὰ Διὸς ἐπ' αὐτὰς Ἶριν πέμψαντος μετ' ἀπειλῆς ὑποχρέφουσιν. καὶ τότε Ἕκτωρ πλησίον τῶν νεῶν ἐπαγαγὼν τοὺς Τρῶας καὶ παῤῥησιασάμενος ἐπὶ τῇ νίκῃ κελεύει αὐτὰς πῦρ καίειν πρὸ τῶν νεῶν καὶ φυλάσσειν, ὡς ἂν μὴ λάθοιεν Ἕλληνες φεύγοντες διὰ τὸ ἡττῆσθαι εἰς τὰς πατρίδας.

Ἡ ἡμέρα δὲ κροκωτὸν πέπλον ἔχεσα ἐσκορπίζετο ἐπὶ πᾶσαν τὴν γῆν· ὁ δὲ Ζεὺς τῶν θεῶν ἐκκλησίαν ἐποίησεν ὁ τερπόμενος τοῖς κεραυνοῖς τῇ ἀκρωρείᾳ τῷ πολλὰς ἀνατάσεις ἔχοντος καὶ ἕξοχὰς Ὀλύμπου. αὐτὸς δὲ αὐτοῖς ἐδημηγόρει· οἱ δὲ θεοὶ ὁμοῦ πάντες ἦκον. "Ἀκούσατέ μου θεοὶ πάντες καὶ πᾶσαι θεαί, ὅπως εἶπω ἅτινά με ἡ ψυχὴ ἐν ταῖς διανοίαις κελεύει. μήτε γῶν τις θήλεια θεὸς τῶν μήτε τις ἄρσην πειραθήτω ἀνατρέψαι τὸν ἐμὸν λόγον· ἀλλ' ὁμῶ πάντες συγκατατίθεσθε, ὅπως διὰ τάχος εἰς τέλος ἄξω ταῦτα τὰ ἔργα. "Ὅντινα δ' ἂν ἐγὼ τῶν θεῶν ἄνευθεν βουλόμενον θεάσωμαι παραγενόμενον ἢ τοῖς Τρωσὶ βοηθεῖν ἢ τοῖς Ἕλλησιν, ἔτος πληγεὶς ἀ κατὰ τὸ πρέπον ἀπελεύσεται εἰς τὸν Ὄλυμπον, ἢ αὐτὸν λαβὼν ῥίψω εἰς Τάρταρον τὸν σκοτεινότατον πόρρω πῃ λίαν, ὅπῃ βαθύτατον ὑπὸ τὴν γῆν ἐξὶ βάραθρον, "ὅπῃ αἱ σιδηραῖ πύλαι καὶ ἡ ἰχυρὰ καὶ σκληρὰ εἴσοδος, τοσοῦτον ὑποκάτω τοῦ Ἅιδεω ὅπόσον ὁ οὐρανός ἐξιν ἀπὸ τῆς γῆς· γνώῃ δὲ μετὰ ταῦτα ὁπόσον εἰμὶ τῶν θεῶν γενναιότατος ἁπάντων. εἰ δ' ἴν, φέρε πεῖραν λάβετε ὦ θεοί, ὅπως γνῶτε πάντες. ἅλυσιν χρυσῆν ἐξ οὐρανῦ κρεμάσαντες "πάντες δὲ ἐξαρτᾶσθε καὶ ἐπιλαμβάνεσθε οἱ θεοὶ καὶ πᾶσαι αἱ θεαί. ἀλλ' ἐκ ἂν με ἑλκύσαιτε ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν Δία τὸν μέγιστον βασιλέα τὸν βουλευτικώτατον, οὐδ' εἰ λίαν πολλὰ κοπιάσητε. ἀλλ' ἡνίκα δὴ ἐγὼ προθύμως βουληθῶ καθελκύσαι, σὺν αὐτῇ τῇ γῇ καὶ τοῖς ἀνθρώποις ἑλκύσαιμι καὶ πρὸς αὐτῇ τῇ θαλάσσῃ. "τὴν ἅλυσιν μὲν μετὰ ταῦτα ἂν περὶ τὸ ἄκρον τοῦ Ὀλύμπου δήσαιμι, ταῦτα δὲ δὴ μετέωρα πάντα γένοιτο. τοσοῦτον ἐγὼ διαφέρω τῇ δυνάμει τῶν θεῶν, ὑπερέχω δὲ τῇ δυνάμει τῶν ἀνθρώπων." ἔτως εἶπεν· ἔτοι δὲ δὴ πάντες ἦσυχοι ἐγένοντο τῇ σιγῇ, τὸν λόγον θαυμάσαντες· πάνυ γὰρ ἰσχυρῶς ἐδημηγόρησεν. "βραδέως δὴ εἶπε θεὰ ἡ γλαυκόφθαλμος Ἀθηνᾶ "ὦ πάτερ ἡμέτερε Ζεῦ, βασιλεῦ τῶν βασιλευόντων, σαφῶς ἤδη καὶ ἡμεῖς οἴδαμεν ὅτι σοι ἡ δύναμις ἐκ εὐσυγχώρητος. ἀλλ' ὅμως ὑπὲρ τῶν Ἑλλήνων λυπούμεθα τῶν πολεμικῶν, οἵτινες δὴ κακὸν θάνατον ἀναπληρώσαντες ἀπόλωνθ. "ἀλλὰ τῷ μὲν πολέμῳ παυσώμεθα. εἰ σὺ προσάσσεις· βουλὴν δὲ τοῖς Ἕλλησι συμβουλεύσωμεν ἥτις ὠφελήσει, ὅπως μὴ πάντες ἀπόλωνθ σῷ ὀργιζθέντος." πρὸς ταύτην δὲ ὑπομειδιάσας εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς "Θάρσει ὦ Ἀθηνᾶ, φίλτατον τέκνον· ἀδαμῶς δὴ ψυχῇ "προθυμέσῃ λέγω, θέλω δέ σοι προσηνὴς ὑπάρχειν." ἔτως εἰπὼν ὑπεζεύγνυε (ἡτοίμαζε) τῷ ἅρματι τοὺς χρυσόποδας ἵππους τὰς ταχείας, τοὺς χρυσῆς θριξὶ κομῶντας· χρυσῆν δὲ πανοπλίαν ἐνεδύσατο τῷ σώματι, ἔλαβε δὲ μάστιγα χρυσῆν εὐκατασκεύαστον· τῷ ἰδίῳ δ' ἐπέβη ἅρματος. "ἐμάστιξε δὲ ἐλαύνειν· ἔτοι δὲ ἑκόντες ἐπετάθησαν

μεταξὺ γῆς καὶ οὐρανοῦ τοῦ ἀέρας ἔχοντος (ὃ ἐξι δι' ἀέρος). τὴν Ἴδην δὲ κατέλαβε τὴν πολλὰς πηγὰς ἔχουσαν καὶ πολλὰ θηρία εἰς τὸ Γάργαρον. ἐκεῖ δὲ αὐτῷ ἦν τόπος ἱερὸς βωμός τε εὐώδης (τεθυμιαμένος), ὅπου τοὺς ἵππους ἔχησεν ὁ πατὴρ τῶν ἀνθρώπων καὶ τῶν θεῶν Ζεὺς ἐκ τῶν ἁρμάτων, ἀορασίαν δὲ πολλὴν περιέχεεν (ἐπέβαλεν). αὐτὸς δὲ ἐν ταῖς κορυφαῖς ἐκάθητο τῇ δόξῃ χαίρων, βλέπων εἰς τὴν τῶν Τρώων πόλιν καὶ τὰς ναῦς τῶν Ἑλλήνων. οὗτοι δὲ δεῖπνον ἔλαβον οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες ταχέως κατὰ τὰς σκηνάς· μετὰ δὲ τὸ δεῖπνον καθωπλίζοντο. οἱ Τρῶες δὲ ἐκ τοῦ ἑτέρου μέρους κατὰ τὴν πόλιν ὡπλίζοντο ὀλίγοι, πρόθυμοι δὲ ἦσαν ὅμως ἐν τῇ μάχῃ πολεμεῖν διὰ χρείαν ἀνάγκην ἐπιφέρουσαν καὶ ἐπεγείρουσαν ὑπὲρ τέκνων καὶ γυναικῶν. πᾶσαι δὲ ἀνεῴχθησαν αἱ πύλαι· ἐξήρχετο δὲ ὁ λαὸς καὶ πεζοὶ καὶ ἱππεῖς, πολὺς δὲ θόρυβος διηγέρθη. ἔτοι δὲ ἡνίκα δὴ εἰς τόπον τὸν αὐτὸν συνερχόμενοι παρεγένοντο, συνέβαλον δὴ τὰς βύρσας καὶ τὰ δόρατα καὶ τὴν δύναμιν τῶν ἀνδρῶν τῶν σιδηροθωράκων· αἱ δὲ ἀσπίδες αἱ ὁμφαλὼς ἔχουσαι ἐπλησίαζον ἀλλήλαις, πολὺς δὲ θόρυβος διηγέρθη. τότε δὴ ὁμοῦ θρῆνος καὶ καύχησις ἐγένετο τῶν ἀνδρῶν φονευόντων καὶ φονευομένων· περιερρεῖτο δὲ τῷ αἵματι ἡ γῆ. ἕως μὲν πρωΐα ὑπῆρχε καὶ αὔξησιν ἐλάμβανεν ἡ θαυμασὴ ἡμέρα, ἕως τότε πάνυ ἀμφοτέρων τὰ βέλη ἀπαθήπτετο, ἔπιπτε δὲ ὁ λαός· ἡνίκα δὲ ὁ ἥλιος περὶ τὸ μέσον τοῦ οὐρανοῦ ἐγένετο, καὶ τηνικαῦτα δὴ τὰς χρυσᾶς ὁ Ζεὺς ἐζυγοσάτει πλάστιγγας, ἐνετίθει δὲ τὰς δύο μοίρας τοῦ μακροκοιμήτου θανάτου τῶν τε ἱππικῶν Τρώων καὶ Ἑλλήνων τῶν σιδηροθωράκων, ἐκρέμασε δὲ μέσον λαβών· κατεβάρει δὲ ἡ μεμοιραμένη τῶν Ἑλλήνων. αἱ μὲν τῶν Ἑλλήνων μοῖραι ἐπὶ τῇ γῇ τῇ πολυτρόφῳ κατεσπάσθησαν, τῶν δὲ Τρώων πρὸς τὸν πλατὺν οὐρανὸν ἤρθησαν. αὐτὸς δὲ ἐκ τῆς Ἴδης σφοδρῶς ἐβρόντησεν, καιόμενον δὲ πῦρ ἔπεμψεν ἐπὶ τὸν λαὸν τῶν Ἑλλήνων. ἔτοι δὲ ἰδόντες ἐξεκλάγησαν, καὶ πάντας ὁ χλωροποιὸς φόβος ἔλαβε. τότε ἔτε Ἰδομενεὺς ἐκαρτέρησε μένειν οὔτε ὁ Ἀγαμέμνων· ἔτε οἱ υἱὸ Αἴαντες ἔμειναν οἱ ἐπιμεληταὶ τοῦ πολέμ. ὁ Νέσωρ δὲ μόνος ἔμεινεν ὁ ἀπὸ Γερήνης, ὁ φύλαξ τῶν Ἑλλήνων, οὐχ ἑκοσίᾳ γνώμῃ· ἀλλ' ὁ ἵππος κατεπονεῖτο, ὃν ἔβαλε κτεῖναι ὁ ἔνδοξος Ἀλέξανδρος, ὁ τῆς καλλικόμε Ἑλένης νήρ, κατὰ τὸ ἄκρον τῆς κεφαλῆς, ὅπου τὸ προκόμιόν ἐστι τῶν ἵππων, ὅπερ ἐν τῷ κρανίῳ αἱ τρίχες φύουσ· λίαν δὲ ἐπικίνδυνόν ἐστι τὸ μέρος. ὀδυνηθεὶς δὲ ἀνεχαιτίσθη, τὸ δὲ βέλος δὲ εἰς τὸν ἐγκέφαλον ἔδυ. συνετάραξε δὲ τὰς ἵππους περιδεόμενος περὶ τῷ σιδήρῳ τῶν ἐπισώτρων (ὃ ἐστι τῶν ἀνθῶν). ἕως ὁ πρεσβύτης τῷ ἵππῳ τὰς ἡνίας ἀπέκοψε τῷ ξίφει ἐφορμῶν, τότε τῷ Ἕκτορος οἱ ταχεῖς ἵπποι ἦλθον κατὰ τὸν θόρυβον τὸν κρατερὸν ἐπιβάτην φέροντες Ἕκτορα. καὶ δὴ ἂν τότε ὁ πρεσβύτης τὴν ψυχὴν ἀπώλεσεν, μὴ ὀξέως ἐθεάσατο ὁ τὴν μάχην γενναῖος Διομήδης. καταπληκτικὸν δὲ ἐβόησε διεγείρων καὶ παρορμῶν τὸν Ὀδυσσέα. "ὦ εὐγενέσατε Λαέρτα παῖ, πολύβουλε Ὀδυσσεῦ, ποῦ φεύγεις μεταβαλὼν τὰ νῶτα (καὶ ἐρέψας πρὸς τὰς πολεμίας) ὡς δειλὸς ἐν τῷ πλήθει; μή ποτέ σοί τις φεύγοντι ἐν τῷ μεταφρένῳ τὸ δόρυ πήξῃ. ἀλλὰ μένε, ὅπως ἐκ τοῦ πρεσβύτα ἀποδιώξομεν τὸν φοβερὸν ἄνδρα." οὕτως εἶπεν· οὐδὲ ἤκουσεν ὁ πολυκαρτέρητος ἔνδοξος Ὀδυσσεύς, ἀλλὰ παρέδραμεν ἐπὶ τὰς βαθείας ναῦς τῶν Ἑλλήνων. ὁ δὲ Διομήδης καίπερ μόνος ὢν τοῖς πρωταγωνισαῖς ἐμίγη, ἔστη δὲ ἔμπροσθεν τῶν ἵππων τοῦ υἱοῦ Νηλέως γέροντος, καὶ αὐτὸν φωνήσας λόγοις ταχεῖς εἶπεν. "ὦ πρεσβῦτα, ὄντως δή σε λίαν οἱ νέοι καταπολεμοῦσι πολεμισαί, ἐξηθένησε δέ σοι ἡ δύναμις, κακὸν δέ σε γῆρας κατόπιν διώκει, ἀθενὴς δὲ δή σοι ὁ θεράπων καὶ βραδεῖς οἱ ἵπποι. ἀλλὰ φέρε τῶν ἐμῶν ἁρμάτων ἐπίβηθι, ὅπως γνώσῃ ὁποῖοι οἱ Τρωϊκοὶ ἵπποι, ἐπισάμενοι διὰ τοῦ πεδίου ταχέως λίαν ὧδε κἀκεῖσε διώκειν τε καὶ φεύγειν· ἕς ποτε ἀπὸ τῶ Αἰνείᾳ ἀφειλόμην τὴν ἐμπειρίαν τῆς φυγῆς. τούτους μὲν οἱ θεράποντες θεραπευέτωσαν· τέτας δὲ ἡμεῖς ἐπὶ τοῖς ἱππικοῖς Τρωσὶν ἐπ' εὐθείας ἐλαύνωμεν, ὅπως καὶ ὁ Ἕκτωρ μάθῃ εἰ καὶ τὸ ἐμὸν δόρυ ἐνθυσιᾷ ἐν ταῖς παλάμαις." οὕτως εἶπεν· ὑπήκουσε δὲ ὁ ἀπὸ τῆς Γερήνης ἱππικὸς Νέσωρ. τὰς τῶ Νέσορος μὲν μετὰ ταῦτα ἵππους οἱ θεράποντες ἐπεμελοῦντο οἱ γενναῖοι, ὅ τε Σθένελος καὶ ὁ Εὐρυμέδων ὁ ἀγαπῶν τὴν ἀνδρίαν· ἔτοι δὲ ἀμφότεροι εἰς τὰ τῶ Διομήδες ἅρματα ἐπέβησαν. ὁ δὲ Νέσωρ ἐν ταῖς χερσὶν ἔλαβε τὰ φοινικόχροα ἡνία, ἐμάστιξε δὲ τὰς ἵππους· καὶ ταχέως τῶ Ἕκτορος ἐγγὺς ἐγένοντο. τούτω δὲ ἐπ' εὐθείας σπεύδοντος ἠκόντισεν ὁ Διομήδης· καὶ τότε μὲν ἀπέτυχεν, ἔτος δὲ τὸν ἡνίοχον καὶ θεράποντα, "τὸν υἱὸν τῶ μεγαλοψύχω Θηβαίῳ, τὸν Ἠνιοπία, τῶν ἵππων τὰς ἡνίας κατέχοντα ἔβαλεν εἰς τὸ σῆθος παρὰ τὸν μαζόν. ἔπεσε δὲ ἐκ τῶν ἁρμάτων, ὑπεχώρησαν δὲ αὐτῷ οἱ ἵπποι οἱ ταχύποδες· αὐτῷ δὲ ἐκεῖ ἡ ζωὴ διελύθη καὶ ἡ δύναμις. τὸν δὲ Ἕκτορα δεινὴ λύπη περιεκάλυψε κατὰ τὰς διανοίας ὑπὲρ τῶ ἡνιόχω. "τῶτον μὲν μετὰ ταῦτα εἴασε καίπερ λυπέμενος ὑπὲρ τῶ ἑταίρω κεῖσθ· ἔτος δὲ τὸν ἡνίοχον ἐδίωκε τὸν τολμηρόν. οὐδὲ ἐπὶ πολὺ ἔτι οἱ ἵπποι ἐνδεεῖς ἦσαν τῶ ἡνιοχήσοντος· ταχέως δὲ κατέλαβε τὸν Ἰφίτω υἱὸν Ἀρχεπτόλεμον τὸν ἀναιδῆ, ὃν δή ποτε ἐπὶ τῶν ἵππων τῶν ταχυπόδων ἐπιβῆναι ἐποίησεν, ἐδίδε δὲ αὐτῷ τιὰ λώρια ἐν ταῖς χερσίν. "τότε δὴ ὄλεθρος ἦν καὶ χαλεπὰ ἔργα ἐγένοντο. καὶ δὴ ἂν ὡς εἰς σηκὸν κατεκλείσθησαν κατὰ τὴν Ἴλιον ὥσπερ ἄρνες, εἰ μὴ δὴ ταχέως ἐθεάσατο ὁ πατὴρ τῶν ἀνθρώπων καὶ τῶν θεῶν. βροντήσας δὲ φοβερὸν ἐπαφῆκε λαμπρὸν κεραυνόν, ἔμπροσθεν δὲ κατὰ τῶν ἵππων τῶ Διομήδες ἔπεμψε χαμαί· "φοβερὰ δὲ φλὸξ διηγέρθη τῶ θεῖο κεραυνῶ καιομένω, οἱ δὲ ἵπποι φοβηθέντες κατέπτηξαν ὑπὸ τὸ ἅρμα. τὸν δὲ Νέσορα ἐξέφυγον τὰ ἀνθηρὰ καὶ λαμπρὰ ἡνία· ἐφοβήθη δὲ ἔτος ἐν τῇ ψυχῇ, πρὸς δὲ τὸν Διομήδην εἶπεν "ὦ υἱὲ τῶ Τυδέως, φέρε δὴ εἰς φυγὴν ἔλαυνε τὰς ἵππας. "ἢ οὐκ ἐπίσασαι ὅτι σοι ἐκ τοῦ Διὸς οὐκ ἐπακολουθεῖ δύναμις; τὰ νῦν μὲν γὰρ ὁ Κρόνου παῖς Ζεὺς τέτῳ τὴν δόξαν παρέχει σήμερον· μετὰ ταῦτα

δὲ κ' ἡμῖν ἐὰν βεληθῇ δώσει· ἀνὴρ δ' ἂν ἐθαμῶς τοῦ Διὸς τὴν διάνοιαν κατάχοι, ἐδὲ λίαν δυνατός, ἐπειδὴ κατὰ πολὺ κρείττων ἐσί." "πρὸς τᾶτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ τὴν μάχην γενναῖος Διομήδης "ναὶ δὴ ταῦτα ὦ πρεσβῦτα κατὰ τὸ πρέπον εἶπες. ἀλλ' αὖτη δεινὴ λύπη τὴν καρδίαν κ' τὴν ψυχὴν καταλαμβάνει· ὁ γὰρ "Εκτωρ ποτὲ φήσει ἐν τοῖς Τρωσὶ δημηγορῶν ""ὁ Διομήδης ὑπ' ἐμοῦ διωκόμενος παρεγένετο εἰς τὰς ναῦς."" "ἅτω ποτὲ καυχήσετ· πρότερον χάσματι γῆς δεχθείην (ὅ ἐσιν ἀποθάνοιμι)." πρὸς τᾶτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ ἔντιμος ἱππικὸς Νέσωρ. "φεῦ μοι ὦ Τυδέως υἱὲ τοῦ πολεμικᾶ, ὁποῖον εἶπες. εἰ μὲν γάρ σε ὁ "Εκτωρ δειλὸν κ' ἀδύνατον εἴποι, ἀλλ' οὐ πειθήσονθ οἱ Τρῶες κ' οἱ ἀπὸ Δαρδάνου καὶ τῶν Τρώων αἱ γαμεταὶ τῶν μεγαλοψύχων ὁπλιτῶν, ὧν τινῶν ἐν τῇ γῇ κατέβαλες τὰς ἀκμαίας ἄνδρας." ἅτω δὴ εἰπὼν εἰς φυγὴν ἔτρεψε τὰς ἰχυρόποδας ἵππας πάλιν ἐπὶ τὴν μάχην. ἐπὶ δὲ αὐτῷ οἱ Τρῶες κ' ὁ "Εκτωρ ἠχῇ μεγάλῃ τὰ βέλη τὰ πολλῶν ξεναγμῶν αἴτια ἐπέχεον. "ἐπὶ τούτῳ δὲ μέγα ἐβόησεν ὁ μέγας κ' εὔοπλος "Εκτωρ. "ὦ υἱὲ τᾶ Τυδέως, περισσῶς μέν σε ἐτίμων οἱ "Ελληνες οἱ ταχεῖς ἵππας ἔχοντες ἔν τε τῇ προεδρίᾳ κ' τοῖς κρέασι κ' πεπληρωμένοις ποτηρίοις· τὰ νῦν δέ σε ἀτιμάσσσιν· ἀντὶ γυναικὸς δὲ ἐγένθ. φθείρθ ἀθενὴς κόρη, ἐπεὶ ἐχ ὑποχωρήσαν- τος ἐμᾶ "τῶν ἡμετέρων· παρατάξεων ἐπιβήσῃ, οὐδὲ τὰς ἡμετέρας γυναῖκας ἀπάξεις (λάβῃς) ἐν ταῖς ναυσί· πρίν σοι κακὴν εἱμαρμένην δώσω." ἅτως εἶπεν· ὁ δὲ Διομήδης διχῶς ἐμερίμνησεν. ἐκ τρίτθ μὲν ἐμερίμνησε κατὰ διάνοιαν κ' κατὰ ψυχήν, "κ' ἐκ τρίτθ ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν ἐβρύησεν ὁ βελευτικὸς Ζεύς, σημεῖα παρέχων τοῖς Τρωσὶ τᾶ πολέμθ ἑτεροκλινῆ νίκην. ὁ δὲ "Εκτωρ τοῖς Τρωσὶ παρεκελεύετο μεγάλως βοήσας "ὦ Τρῶες κ' ὦ Λύκιοι κ' οἱ ἀπὸ Δαρδάνθ συσάδην κ' ἐκ τᾶ σύνεγγυς μαχόμενοι, ἀνδρεῖοι γίνεσθε προσφιλεῖς κ' μνήσθητε τῆς πολεμικῆς δυνάμεως. "οἶδα δὲ ὅτι μοι προθύμως ὑπέχετο ὁ Ζεὺς τὴν νίκην κ' τὴν μεγάλην δόξαν, τοῖς δὲ "Ελλησι βλάβην. ἄφρονες οἵ τινες δὴ ταῦτα τὰ τείχη ἐμηχανήσαντο κατασκευάσαι καὶ ἀσθενῆ κ' ἐδεμιᾶς φροντίδος ἄξια, ἃ δὴ τὴν ἐμὴν δύναμιν ἐ καθέξει, οἱ ἵπποι δὲ ῥᾳδίως τὴν τάφρον ὑπεραλῆνθ τὴν ὀρυκτήν. "ἀλλ' ἡνίκα ἂν ἐπὶ ταῖς βαθείαις ναυσὶ παραγένωμαι, ὑπόμνησίς τις τᾶ καυσικᾶ πυρὸς μετὰ ταῦτα γενέσθω, ὅπως τῷ πυρὶ τὰς ναῦς ἐμπρήσω, ἀποκτείνω δὲ κ' αὐτὲς τὲς "Ελληνας παρὰ ταῖς ναυσὶ ταραττομένης ὑπὸ τᾶ καπνᾶ." οὕτως εἰπὼν τοῖς ἵπποις ἐκέλευε καὶ εἶπεν "ὦ Ξάνθε κ' σὺ ὦ Πόδαργε κ' ὦ Αἴθων κ' ὦ Λάμπε ἔνδοξε, νῦν μοι ταύτην τὴν θεραπείαν (ἐπιμέλειαν) ἐκτίνετε (ἀπόδοτε) ἣν μάλα πολλὴν Ἀνδρομάχη ἡ θυγάτηρ τᾶ μεγαλοψύχθ Ἠετίωνος ὑμῖν τῶν ἄλλων πρώτοις ἡδείας κριθὰς παρέβαλεν, κ' οἶνον ἐγχέασα πιεῖν, ὁπότε ἡ ψυχὴ παρακελεύθ, "ἧπερ ἐμοί, ὅσις ἀκμαῖος αὐτῆς ἀνὴρ μεγαλαυχῶ εἶναι. ἑπακολθεῖτε κ' σπεύδετε, ὅπως λάβωμεν αὐτὸν τὸν Νέσορα, οὗ νῦν ἡ δόξα εἰς ὠρανὸν ἀφικνεῖται πᾶσαν χρυσῆν εἶναι τάς τε ῥάβδες κ' αὐτήν, ἀπὸ δὲ τῶν ὤμων Διομήδες τοῦ πολεμικᾶ "τὸν ποικίλον θώρακα, ὃν ὁ "Ηφαιςος κατεσκεύασε ποιήσας. εἰ ταῦτα ἂν λάβοιμεν, ἐλπίσαιμι ἂν κ' τὲς "Ελληνας ἐν αὐτῇ τῇ νυκτὶ τῶν νεῶν ἐπιβῆναι τῶν ταχειῶν." οὕτως εἶπε καυχώμενος· ὠργίσθη δὲ ἡ σεβασμία "Ηρα, διεκινήθη δὲ ἐν τῷ θρόνῳ, κ' ἐκίνησε τὸν μέγαν Ὄλυμπον. "κ' δὴ τὸν Ποσειδῶνα τὸν μέγαν θεὸν ἐξ ἐναντίας εἶπεν "φεῦ φεῦ ὁ τὴν γῆν σείων κ' μεγάλην δύναμιν ἔχων, ἐδαμῶς δή σοι ἀπολλυμένων τῶν Ἑλλήνων οἰκτείρει ἔνδοθεν ἡ ψυχή. ἔτοι δέ σοι εἰς τε τὴν Ἑλίκην κ' εἰς τὰς Αἰγὰς δῶρα προσάγυσι πολλά τε κ' ἐπιτερπῆ· σὺ δὲ αὐτοῖς βοηθὸς γενᾶ κ' περιποίησαι τὴν νίκην. "εἴπερ γ' ἠθελήσαμεν ὁπόσοι ἐσμὲν τοῖς "Ελλησι βοηθοὶ τὲς Τρῶας ἀποδιῶξαι κ' κατέχειν τὸν μεγαλόφθαλμον Δία, αὐτόθι ἂν ἐκεῖσε ἐλυπεῖτο καθεζόμενος μόνος ἐν τῇ Ἴδῃ." πρὸς ταύτην δὲ μεγάλως ὀργισθεὶς εἶπεν ὁ ἄναξ ὁ τὴν γῆν κινῶν "ὦ "Ηρα ἀπτόητε ἐν τῷ λέγειν ὁποῖον τὸν λόγον εἶπες. "ἐκ ἂν ἐγὼ θελήσω Διὶ τῷ υἱῷ τοῦ Κρόνθ πολεμεῖν ἡμᾶς τὲς λοιπές, ἐπειδὴ πολὺ κρείττων ἐσίν." ἅτως ἔτοι μὲν τοιαῦτα πρὸς ἀλλήλθς ἐδημηγόρθν. τάτων δὲ ὅσον ἀπὸ τῶν νεῶν ἦν διάζημα ἐπὶ τὸ τεῖχος ἐπὶ τὴν τάφρον ἐπληρᾶτο ἐκ τᾶ ὄχλθ (ἐπληρώθη δὲ) ὁμᾶ τῶν τε ἵππων κ' ἀνδρῶν ὁπλιτῶν "συναθροιζομένων· συνήθροιζε δὲ τᾷ ταχεῖ παραπλήσιος "Αρει "Εκτωρ ὁ Πριάμθ παῖς, ὅτε αὐτῷ ὁ Ζεὺς δόξαν ἔδωκε. κ' δὴ ἂν ἐνέπρησε πυρὶ καυσικῷ ναῦς τὰς ἰσοτοίχας, εἰ μὴ ἐν ταῖς διανοίαις ἔβαλε τᾶ Ἀγαμέμνονος ἡ σεπτὴ "Ηρα αὐτῷ ἐνεγήσαντι ταχέως παρορμῆσαι τὲς "Ελληνας. "ἐπορεύθη δὲ διαβῆναι παρὰ τὰς σκηνὰς κ' τὰς ναῦς τῶν Ἑλλήνων πορφυρᾶν μέγα ἱμάτιον κατέχων ἐν τῇ δυνατῇ χειρί. ἐς δὲ ἐπὶ τῇ τᾶ Ὀδυσσέως μεγάλῃ βαθείᾳ νηΐ, ἥτις ἐν τῷ μεσαιτάτῳ τόπῳ ἦν εἰς τὸ εὐσκόπως βοᾶν ἑκατέρωθθ ἀμφοτέροις, κ' ἐπὶ τὰς τᾶ Αἴαντος σκηνάς, τᾶ υἱᾶ τᾶ Τελαμῶνος, "κ' τᾶ Ἀχιλλέως· ἔτοι γ' εἰς τὸ ἔσχατον μέρος τᾶ ναυσάθμθ τὰς ἰσοτοίχας αὐτῶν ναῦς εἱλκυσαν, τῇ δυνάμει αὐτῶν τεθαρρηκότες κ' τῇ ἰσχύϊ τῶν χειρῶν. ἐβόησε δὲ ἐξάκεσον τοῖς "Ελλησιν ἐκβοῶν (κράζων) "αἰδεῖσθε "Ελληνες, κακὰ ὀνείδη, τῷ ὁραθῆναι μόνον θαυμασοί. ἀπέβησαν αἱ καυχήσεις, ὅτε δὴ ἐλέγομεν εἶναι ἀριζεῖς, ὁπότε ἐν τῇ Λήμνῳ κενὰ κ' μάταια καυχώμενοι ἐλέγετε ἐθίοντες κρέατα πολλὰ βοῶν ὀρθὰ κέρατα ἐχόντων πίνοντές τε κρατῆρας ἐπιζεφεῖς οἶνθ (ἀντὶ τοῦ πλήρεις), κ' τέναντι ἑκατὸν Τρώων κ' διακοσίων ἕκαςος μαχήσεσθ ἐν τῷ πολέμῳ. νῦν δὲ ἐδὲ ἑνὸς ἄξιοί ἐσμεν, "τᾶ "Εκτορος, ὃς ταχέως τὰς ναῦς ἐμπρήσει πυρὶ καυσικῷ. ὦ Ζεῦ πάτερ ἆρά τινα τῶν ὑπερεχόντων τῇ δυνάμει βασιλέων ταῖς τῇ λύπῃ ἔβλαψας κ' αὐτὸν τὴν μεγάλην δόξαν ἀφῄρησαι ἐδαμῶς δή ποτε ὑπολαμβάνω τὸν σὸν περικαλλῆ βωμὸν ἐν νηΐ πολυκαθέδρῳ παρελθεῖν ἐνταῦθα ἐπὶ φθορᾷ πάρα γινόμενος· "ἀλλ' ἐπὶ πᾶσι παρόδοις βοῶν λίπος καὶ μηρία ὁσᾶ ἔκαιον, προθυμέμενος Τροίαν τὴν καλῶς

τισμένην πορθῆσαι. ἀλλὰ Ζεῦ τῶτό μοι ἐπιτέλεσον τὸ ἐπιθύμημα· ἡμᾶς δ' αὐτὸς ἔασον ὑπεκφυγεῖν καὶ ἐκκλῖναι, μηδὲ ὧτω συγχώρει τοῖς Τρωσὶ τιμωρεῖσθαι τὰς Ἕλληνας." ὣς ἔφατο· τῶτον δὲ ὁ πατὴρ κατωκτείρησε δακρύοντα, ὑπέχετο δὲ αὐτῷ τὸν λαὸν σῶον εἶναι καὶ μὴ ἀπολέσθαι. εὐθέως δὲ ἀετὸν ἔπεμψε τὸν μέγιστον τῶν πετεινῶν, νεβρὸν κατέχοντα ἐν τοῖς ὄνυξι, γέννημα ἐλάφῳ ταχείας· παρὰ δὲ αὐτῷ περικαλλεῖ βωμῷ τῷ Διὸς κατέθηκε τὸν νεβρόν, ὅπερ πᾶσα ἡ φήμη ἀναφέρει καὶ ὅπερ τῷ Διὶ ἔθυον οἱ Ἕλληνες. οἵτοι δὲ ὡς ἐν ἐνόησαν ὅτι δὴ ἐκ τῷ Διὸς ἦλθεν ἀετός, πάνυ ἐπὶ τοῖς Τρωσὶν ἐφόρμων, ὑπεμνήσθησαν δὲ τῆς μάχης. τότε δὲ ὀδὴς πρότερος τῶν Ἑλλήνων καίπερ πολλῶν ὑπαρχόντων ἐκανχήσατο [τῷ Διομήδας] ἔμπροσθεν ἔχειν τὰς ἵππας τῆς τε τάφρε ἐξελάσαι καὶ ἐξ ἐναντίας πολεμῆσαι· ἀλλὰ κατὰ πολὺ πρῶτος τῶν Τρώων ἀνεῖλεν ἄνδρα πολεμιχήν, τὸν Φράδμονος υἱὸν Ἀγέλαον. ὅτος μὲν εἰς φυγὴν ἔτρεψε τὰς ἵππας· τότῳ δὲ ἐπισραφέντι ἐν τῷ μεταφρένῳ ἔπηξε τὸ δόρυ μεταξὺ τῶν ὤμων, διὰ τῆ στήθος δὲ διεπέρασεν. ἔπεσε δὲ ἐκ τῶν ἁρμάτων, ἐπήχησε δὲ τὰ ὅπλα ἐπ' αὐτῷ. μετὰ τῶτον δὲ οἱ υἱοὶ Ἀτρέως Ἀγαμέμνων καὶ Μενέλαος, ἐπὶ τότοις δὲ οἱ Αἴαντες ὁρμητικὴν ἐνδεδυμένοι δύναμιν, ἐπὶ τότοις δὲ ὁ Ἰδομενεὺς καὶ ὁ ἀκόλεθος τῷ Ἰδομενέως Μηριόνης ὁ παραπλήσιος Ἄρει τῷ ἀνδροφόνῳ· ἐπὶ τότοις ὁ Εὐρύπυλος ὁ τῷ Εὐαίμονος λαμπρὸς υἱός. ὁ Τεῦκρός τε ἔννατος ἐλήλυθε τὰ εἰς τὰ· ὄπισω τεινόμενα τόξα ἔλκων, ἔχη δὲ ὑπὸ τῇ ἀσπίδι τῷ Αἴαντος τῷ υἱῷ Τελαμῶνος. τότε ὁ μὲν Αἴας αὐτὸν ὑπεξήγαγε διὰ τῆς ἀσπίδος· ὁ δὲ ἡμίθεος περιβλεψάμενος τὸν Ἐπιάρτιν τοξεύσας ἐν τῷ πλήθει ἔτρωσε. καὶ ὅτος μὲν αὐτόθι πεσὼν τὴν ψυχὴν ἀπώλεσεν· ὅτος δὲ πορευθεὶς ὥσπερ παῖς ὑπὸ τὴν μητέρα ὑπεισήει εἰς τὸν Αἴαντα· ὅτος δὲ αὐτὸν τῇ λαμπρᾷ ἀσπίδι ἐκάλυψε. τότε τίνα πρῶτον ἀπὸ τῶν Τρώων ἀνεῖλε Τεῦκρος ὁ ἄψογος; ἐν πρώτοις μὲν τὸν Ὀρσίλοχον καὶ τὸν Ὄρμενον καὶ τὸν Ὀφελέστην καὶ τὸν Δαίτορα καὶ τὸν Χρομίον καὶ τὸν ἰσόθεον Λυκοφόντην καὶ τὸν Πολυάμονος υἱὸν Ἀμοπάονα καὶ τὸν Μελάνιππον· πάντας ἀλλεπαλλήλως προσήγγισε τῇ πολυτρύφῳ γῇ. τῶτον δὴ θεασάμενος ἐχάρη ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων ἀπὸ τῆ ἰχυρῆ τόξε τῶν Τρώων ἀπολλύντα τὰς τάξεις· ἔχη δὲ παρ' αὐτὸν πορευθείς, καὶ πρὸς αὐτὸν λόγον εἶπεν. "ὦ Τεῦκρε προσφιλεσάτη κεφαλή, Τελαμῶνος υἱέ, βασιλεῦ τῶν ὄχλων, τίτρωσκε ἕτως, ὅπως φῶς καὶ χαρὰ τοῖς Ἕλλησι γενήσῃ τῷ σῷ τε πατρὶ Τελαμῶνι, ὅσις σε ἀνεθρέψατο μικρὸν ὄντα, καί σε καίπερ ἀ γνήσιον υἱὸν ὄντα ἐπιμελείας ἠξίωσεν ἐν τῷ ἰδίῳ οἴκῳ ὡς γνήσιον. "τῶτον καὶ μακρόθεν ὑπάρχοντα δόξης ἐπιβῆναι ποίησον. ἐγὼ δέ σοι ὡς ἂν ἐξείπω, ἕτω καὶ τετελειωμένον γενήσεσθαι. ἐάν μοι παράσχῃ ὁ τε αἰγιδῦχος Ζεὺς καὶ ἡ Ἀθηνᾶ τῆς Ἰλίε ἐκπορθῆσαι τὴν καλῶς οἰκεμένην πόλιν, πρώτῳ σοι μετ' ἐμὲ τιμὴν μεγίστην ἐν χερσὶ καταθήσω, ἢ λέβητα ἢ δύο ἵππας σὺν τοῖς ἅρμασιν αὐτῶν ἢ γυναῖκα, ἥτις ἂν σοι τῆς αὐτῆς κοίτης κρινωνήσοι." πρὸς τῶτον δὲ ἀνταποκρινόμενος ἐφώνησεν ὁ ἄμωμος Τεῦκρος "ὦ υἱὲ Ἀτρέως ἐνδοξότατε, ἵνα τί με καὶ αὐτὸν ἐπειγόμενον παρορμᾷς; ἐδαμῶς μέντοι ὁπόση δύναμις ἐνυπάρχοι ἀπολύω, ἀλλ' ἀφ' οὗ εἰς τὴν Ἴλιον ἀπεδιώξαμεν τὰς Τρῶας, ἐξ ἐκείνε δὴ τοῦ χρόνε τοῖς τόξοις ἐπιτηρῶν ἄνδρας φονεύω. ὀκτὼ δὴ προέπεμψα μακρὰς ἀκίδας ἔχοντα βέλη· πάντα δὲ ἐν σώματι ἐπάγησαν τῶν πολεμικῶν νεωτέρων. τῶτον δὲ ἀδυνατῶ ἐπιτυχεῖν τὸν κύνα τὸν μανιώδη." ἔειπε, καὶ ἕτερον βέλος ἀπὸ τῆς νευρᾶς ἔπεμψεν ἐξ ἐναντίας τῷ Ἕκτορος· βαλεῖν δὲ αὐτὸν προεθυμεῖτο (ὥρμα) ἡ ψυχή. καὶ τότε μὲν δὴ ἀπέτυχεν· ὅτος δὲ τὸν ἄψογον Γοργυθίωνα, τὸν πραῢν υἱὸν τῷ Πριάμε, κατὰ τὸ σῆθος ἔτρωσε τῷ βέλει. τῶτον δὴ ἀπὸ τῆς Αἰσύμης μεμνησευμένη ἔτεκε μήτηρ ἡ καλὴ Καστάνειρα, κατὰ τὸ σῶμα ὡμοιωμένη ταῖς θεαῖς. ὡς δὲ μηκῶν εἰς ἕτερον μέρος τὴν κεφαλὴν ἔκλινεν, ἥτις ἐν κήπῳ τῷ καρπῷ βαρυμένη καὶ ψεκάσιν (δρόσοις) ἐαριναῖς, ἕτως ἑτέρωθεν ἔκλινε τὴν κεφαλὴν τῇ περικεφαλαίᾳ βαρυνθεῖσαν. ὁ Τεῦκρος δὲ ἕτερον βέλος ἀπὸ τῆς νευρᾶς ἐπαφῆκεν ἐξ ἐναντίας τῷ Ἕκτορος· βαλεῖν δὲ αὐτὸν προεθυμεῖτο ἡ ψυχή. ἀλλ' ὅτος καὶ τότε ἀπέτυχεν· σφαλῆναι γὰρ ἐποίησεν ὁ Ἀπόλλων. ἀλλὰ τὸν τολμηρὸν Ἀρχεπτόλεμον τὸν τῷ Ἕκτορος ἡνίοχον ὁρμῶντα εἰς τὸν πόλεμον ἐπέτυχεν εἰς τὸ σῆθος παρὰ τὸν μαζόν. ἔπεσε δὲ ἐκ τῷ ἅρματος, παρετράπησαν δὲ αὐτῷ οἱ ἵπποι· οἱ ταχύποδες· αὐτῷ δὲ ἐκεῖ παρελύθη ἥ τε ζωὴ καὶ ἡ δύναμις. τὸν δὲ Ἕκτορα δεινὴ λύπη συνέχε κατὰ διάνοιαν ὑπὲρ τῷ ἡνιόχε. τοῦτον μὲν ἔπειτα ἀφῆκε καίπερ λυπούμενος ὑπὲρ τῷ ἑταίρε, τὸν Κεβριόνην δὲ παρεκελεύσατο τὸν ἀδελφὸν παραπλήσιον ὑπάρχοντα τὰς τῶν ἵππων ἡνίας λαβεῖν· ὅτος δὲ ἐκ ἠπείθησεν ἀκέσας. "αὐτὸς δὲ ἐκ τῷ ἅρματος χαμαὶ ἐπήδησε τῷ ὑπερλάμπρε καταπληκτικὰ βοῶν. ὅτος δὲ χειροπληθῆ λίθον ἔλαβε τῇ χειρί, ἐπορεύθη δὲ κατ' εὐθὺ τῷ Τεύκρου· τρῶσαι δὲ αὐτὸν ἡ ψυχὴ παρεκελεύσατο. ὅτος μέντοι τῆς βελοθήκης ἐξείλκυσε τὸ πικρὸν βέλος, ἔθηκε δὲ ἐπὶ τῇ νευρᾷ· τῶτον δὲ ὁ εὔοπλος Ἕκτωρ "εἰς τοὐπίσω ἕλκοντα παρὰ τὸν ὦμον, ὅπε ἡ κατακλεὶς ἀπείργει τόν τε αὐχένα καὶ τὸ σῆθος, πάνυ δὲ ἐπικίνδυνόν ἐσιν, ταύτῃ δὴ ἐπ' αὐτῷ προθυμέμενον ἔβαλε λίθῳ τραχεῖ. ἔρρηξε δὲ αὐτῷ τὴν νευράν· ἐνάρκησε δὲ τὴν χεῖρα ἐπὶ τῷ βραχίονι, ἔχη δὲ ἐπὶ γόνυ πεσών, τὸ δὲ τόξον αὐτῷ ἐκ τῆς χειρὸς ἔπεσεν. "ὁ Αἴας δὲ ἐφρόντισε τῷ ἀδελφῷ πεσόντος· ἀλλὰ τρέχων περιέβη καὶ αὐτὸν τῇ ἀσπίδι περιεκάλυψε. τῶτον μὲν μετὰ ταῦτα ὑπελθόντες οἱ δύο εὐάρμοσοι ἑταῖροι, ὁ Μηκισεὺς ὁ τοῦ Ἐχίε παῖς καὶ ὁ ἔνδοξος Ἀλάσωρ, ἐπὶ ναῦς τὰς βαθείας ἕτερον βαρέα σενάζοντα. "πάλιν δὲ ταχέως τοῖς Τρωσὶν ὁ Ζεὺς δύναμιν ἐπήγειρεν· ὅτοι δὲ ἐπ' εὐθείας τῆς τάφρε ἀπεδίωξαν τὰς Ἕλληνας. ὁ Ἕκτωρ δὲ ἐν τοῖς πρώτοις ἐπορεύετο σφοδρῶς τῇ δυνάμει ἐπιῤῥωννύμενος. ὥσπερ δέ τις κύων συὸς ἀγρίε ἢ λέοντος ἐφάπτεται κατόπιθεν, ποσὶ θαῤῥῶν τοῖς ταχινοῖς, καὶ τὰ ἰχία καὶ τὰς γλυτὰς καὶ αὐτὸν

συρεφόμενον ἐπιτηρεῖ, ἕτως ὁ Ἕκτωρ κατεδίωκε τὲς εὐπλοκάμυς Ἕλληνας, ἀεὶ φονεύων τὸν τελευταῖον· ἕτοι δὲ ἔφευγον. ἐπειδὴ δὲ τὰ ἀπωξυμμένα ξύλα καὶ τὸν τάφρον διέβησαν διωκόμενοι, πολλοὶ δὲ ἀνῃρέθησαν ὑπὸ ταῖς τῶν Τρώων χερσίν, Ἕτοι μὲν δὴ παρὰ ταῖς νανσὶ κατείχοντο μένοντες, ἀλλήλοις τε παρακελευόμενοι καὶ πᾶσι τοῖς θεοῖς τὰς χεῖρας ἀνατείναντες μεγάλως ηὔχοντο ἕκαστος· ὁ Ἕκτωρ δὲ περιέσρεφε τὲς εὐτριχας ἵππυς Γοργόνης τε ὄμματα ἔχων καὶ τῷ ἀνθρωποκτόνῳ Ἄρεως. Τούτυς δὲ ἰδοῦσα ἠλέησε θεὰ ἡ λευκοβραχίων Ἥρα, ταχέως δὲ τὴν Ἀθηνᾶν λόγυς εὐαρμόχυς προσεῖπεν. Φεῦ φεῦ ὦ τῷ αἰγιδόχῳ Διὸς τέκνον, ἀκέτι ἡμεῖς ὑπὲρ τῶν Ἑλλήνων φροντιῶμεν (χωριωθῶμεν) τό γε ἔχατον, οἱ δὴ ἂν κακὸν μόρον ἀναπλησάντες ἀπόλλυνθ' ἀνδρὸς ἑνὸς φορῇ· ἕτος δὲ ὀργίζεθ' ἀκέτι ἀναχέτως, Ἕκτωρ ὁ υἱὸς Πριάμυ, καὶ δὴ πολλὰ κακὰ εἰργάσατο." πρὸς ταύτην δὲ εἶπε θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ "καὶ πάνυ γε ἕτος τὴν δύναμιν καὶ τὴν ψυχὴν ἀπολέσει ὑπὸ ταῖς χερσὶ τῶν Ἑλλήνων φθειρόμενος ἐν τῇ πατρικῇ γῇ· "ἀλλ' ὁ ἐμὸς πατὴρ ὐκ ἀγαθῇ διανοίᾳ ὀργίζεθ', ὁ χαλεπὸς καὶ ἀεὶ ἄδικος τῆς ἐμῆς δυνάμεως κωλυτής· καὶ ἀ μέμνηθ' τάτων, ὅτι αὐτῷ πάνυ πλεοναχῶς τὸν υἱὸν καταπονέμενον ἔσωζον ὑπὸ τῶν τῷ Εὐρυσθέως κακοπαθειῶν. ἕτος μὲν ἔκλαιε πρὸς ὠρανὸν βλέπων· ἐμὲ δὲ Ζεὺς τάτῳ ἐπιβοηθήσασαν ἀπὸ τῷ ὠρανῷ προέπεμψεν. εἰ γὰ ἐγὼ ταῦτα ἠπιςάμην ἐν ταῖς συνεταῖς διανοίαις, ὁπότε αὐτὸν εἰς Ἄιδα ἰσχυρῶς κλείοντος τὰς θύρας παρέπεμψεν ἐκ τῷ σκύτυς κομίσοντα τὸν Κέρβερον τῷ μισητῷ ἀπὸ Ἄιδα, ἀδ' ἂν ὑπεξέφυγε τῆς Στυγὸς τῷ ὕδατος τὰ χαλεπὰ ῥεῖθρα. "τὰ νῦν δὲ ἐμὲ λυπεῖ, τῆς Θέτιδος δὲ ἐξετέλεσε τὰς βελάς, ἥτις αὐτῷ τὰ γόνατα ἐφίλησε καὶ αὐτῷ ἔλαβε τῇ χειρὶ τῷ γενείυ παρακαλοῦσα τιμῆσαι Ἀχιλλέα τὸν τὰς πόλεις πορθοῦντα. ἔσαι μὴν καιρὸς ἡνίκα ἂν προσφιλῇ γλαυκώπιδα εἴπῃ. ἀλλὰ σὺ μὲν τὰ νῦν ἡμῖν ἑτοίμαζε μονόνυχας ἵππυς, "ὅπως ἂν ἐγὼ εἰσελθοῦσα εἰς τὸν τοῦ αἰγιδόχυ Διὸς οἶκον τοῖς ὅπλοις ἐς πόλεμον καθοπλιώσομαι, ὅπως θεάσωμαι εἰ ἡμῖν ὁ υἱὸς τῷ Πριάμυ ὁ εὔοπλος Ἕκτωρ χαρείη ἐπιφανείσῃ ἀνὰ τὰς διαβάσεις τοῦ πολέμυ. ὄντως τις καὶ τῶν Τρώων κορέσει τὲς κύνας καὶ τὲς οἰωνὲς "τῷ λίπει καὶ ταῖς σαρξί, πεσὼν ἐπὶ ταῖς νανσὶ τῶν Ἑλλήνων." ἕτως εἶπεν· ὑπήκυσε θεὰ ἡ λευκοβραχίων Ἥρα, καὶ αὐτὴ μὲν ἐπιπορευομένη τὲς χρυσοχαλίνυς ἡτοίμαζεν ἵππυς, Ἥρα ἡ ἐντιμοτάτη θυγάτηρ τοῦ μεγάλου Κρόνυ· ἡ δὲ Ἀθηνᾶ ἡ θυγάτηρ τῷ αἰγιδόχῳ Διὸς "πέπλον μὲν ἐφήπλωσε λαμπρὸν ἐπὶ τῷ τῷ Διὸς ἐδάφει πεποικιλμένον, ὃν αὐτὴ ἐποίησε καὶ κατεσκεύασε ταῖς χερσίν, αὐτὴ δὲ χιτῶνα ἐνδυσαμένη Διὸς τῷ τὰς νεφέλας ἐγείροντος τοῖς ὅπλοις εἰς τὸν πόλεμον καθωπλίζετο τὸν πολύδακρυν, εἰς δὲ τὰ φλογερὰ ἄρματα τοῖς ποσὶν ἐπέβη, καὶ ἔλαβε τὸ δόρυ "τὸ βαρὺ καὶ μέγα καὶ ἰσχυρόν, ἐν ᾧ δαμάζει τάξεις τῶν ἀνδρῶν τῶν ἡμιθέων, οἷς ὀργισθῇ ἡ ἐκ πατρὸς ἰσχυρὰ καὶ μεγαλοδύναμος. ἡ Ἥρα δὲ τῇ μάσιγι ταχέως ἐπέπλησσε δὴ τὲς ἵππυς. ἀφ' ἑαυτῶν δὲ αἱ πύλαι ἠνοίγησαν τῷ οὐρανῷ, ὃς ἐφύλαττον αἱ Ὧραι, αἷς ἐπιτέτραπθ' ὅ τε μέγας οὐρανὸς καὶ ὁ Ὄλυμπος, "καὶ ἀνακαλύψαι τὸ πεπυκνωμένον νέφος καὶ ἐπικαλύψαι. αὗται δὴ δι' αὐτῶν τὲς κεντριζομένυς ἤλαυνον ἵππυς. Ζεὺς δὲ ὁ πατὴρ ἐκ τῆς Ἴδης ὡς ἐθεάσατο, ὠργίωθη δεινῶς· τὴν Ἶριν δὲ παρώρμησε τὴν χρυσόπτερον καὶ ἀπαγγελτικήν. "ἄπιθι ὦ Ἶρι ταχεῖα· εἰς ὀπίσω ςρέφε καὶ μὴ ἔα ἐξ ἐναντίας "παραγίνεσθ· ἀ γὰρ καλὰ συνενεχθησόμεθα περὶ τῷ πολέμυ. ἕτω γὰ προλέγω, καὶ δὴ τετελειωμένον ἔσαι· βλάψω μὲν ὑμῶν ὑπὸ τοῖς ἅρμασι τὲς ταχεῖς ἵππυς, αὐτὰς δὲ ἐκ τῷ ἅρματος καταβαλῶ καὶ τὰ ἅρματα κατεάξω. ἀδ' ἂν εἰς δέκα περιερχομένυς ἐνιαυτὲς "τὰ ἕλκη θεραπευθήσονθ, ἅπερ ἂν καταλάβῃ ὁ κεραυνός, ὅπως γνῷ ἡ Ἀθηνᾶ ὅταν τῷ ἑαυτῆς πατρὶ πολεμῇ. τῇ Ἥρᾳ δὲ ἀδαμῶς τοσῦτον μέμφομαι οὐδὲ ὀργίζομαι· ἀεὶ γάρ μοι ἔθος ἔχει ἐμποδίζειν ὅτι ἂν εἴπω." ἕτως εἶπεν· ὥρμησε δὲ ἡ Ἶρις ἡ ταχύπτης καὶ ἀπαγγελτική, "ἐπορεύθη δὲ ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν εἰς τὸν ὑψηλὸν Ὄλυμπον. ἐν δὲ ταῖς πρώταις πύλαις τῷ πολλὰς ἐξοχὰς ἔχοντος Ὀλύμπυ ἀπαντήσασα κατέχε, τῷ Διὸς δὲ αὐταῖς εἶπε τὸν λόγον. "πῦ προθυμεῖσθε; τί ὑμῶν ἐν ταῖς διανοίαις ὀργίζεθ' ἡ ψυχή; οὐ συγχωρεῖ ὁ Κρόνυ παῖς ἐπικερεῖν τοῖς Ἕλλησιν. "ἕτω γὰ ἠπείλησεν ὁ Ζεύς, εἴπερ τελειώσει, ἀθενεῖς μὲν ποιήσειν ὑμῖν ὑπὸ τὸ ἅρμα τὲς ταχεῖς ἵππυς, ὑμᾶς δὲ ἐκ τῷ ἅρματος καταβαλεῖν καὶ τὰ ἅρματα συντρῖψαι. ἀδ' ἂν εἰς δέκα περιερχομένυς ἐνιαυτὲς τὰ τραύματα ὑγιώσητε, ἅπερ ἂν κατάχῃ ὁ κεραυνός, "ὅπως γνώσῃ ὦ Ἀθηνᾶ ὅταν τῷ ἰδίῳ πατρὶ πολεμῇς. τῇ Ἥρᾳ δὲ ὀ τοσῦτον μέμφεθ ἀδὲ ὀργίζεθ· ἀεὶ γὰ αὐτῷ ἔθος ἔχει ἐμποδίζειν εἴ τι ἂν εἴποι. ἀλλὰ σὺ ὦ δεινοτάτη καὶ ἀναιδεσάτη καὶ ἄφοβε, εἰ ἀληθές γε ὅτι καρτερήσεις ἐξ ἐναντίας τῷ Διὸς τὸ θαυμαςὸν δόρυ ἆραι." "αὕτη μὲν ἕτως εἰποῦσα ὑπέςρεψεν ἡ ταχύπτης Ἶρις· τῇ δὲ Ἀθηνᾷ ἡ Ἥρα λόγον προσεῖπε. "φεῦ φεῦ ὦ τῷ αἰγιδόχῳ Διὸς γέννημα, ἀδαμῶς ἐγὼ ἡμᾶς συγχωρῶ ἐξ ἐναντίας τῷ Διὸς ἀνθρώπων ἕνεκα πολεμεῖν. τούτων ἄλλος μὲν ἀποφθαρήτω, ἕτερος δὲ ζησάτω, "ὃς ἂν τύχῃ· ἐκεῖνος δὲ ταῦτα ἄφρονῶν ἐν τῇ ψυχῇ τοῖς Τρωσὶ καὶ τοῖς Ἕλλησι δικαζέτω, ὡς πρέπει καὶ ἐγχωρεῖ." ἕτω δὴ εἰποῦσα εἰς τὸπίσω ἔτρεπε τὸν μονόνυχας ἵππυς. ταύταις δὲ αἱ Ὧραι μὲν ἔλυσαν τὲς εὐτριχας ἵππυς, καὶ τάτυς μὲν ἔδησαν ἐπὶ ταῖς θείαις φάτναις, "τὰ δὲ ἅρματα ἔκλιναν πρὸς τὲς τοίχυς τῶν θυρῶν τὸν λάμποντας. αὐταὶ δὲ ἐπὶ χρυσοῖς ἐκαθέζοντο θρόνοις ἀναμεμιγμέναι τοῖς λοιποῖς θεοῖς, τὴν προσφιλῆ τετιμωρημέναι ψυχήν. Ζεὺς δὲ ὁ πατὴρ ἐκ τῆς Ἴδης τὸ εὔτροχον ἅρμα καὶ ἵππυς εἰς τὸν Ὄλυμπον ἤλαυνε, καὶ τῶν θεῶν κατέλαβε τὲς θρόνυς. "τότε μὲν τὲς ἵππυς ἔλυσεν ὁ ἐνδοξος Ποσειδῶν, τὰ δὲ ἅρματα περὶ τοῖς βωμοῖς ἐτίθει λινοῦν ἱμάτιον καταπετάσας· αὐτὸς δὲ ἐπὶ χρυσῦν θρόνον ὁ μεγαλόφθαλμος Ζεὺς ἐκαθέζετο· ὑπὸ δὲ τοῖς ποσὶ τάτου ὁ μέγας ἐκινεῖτο Ὄλυμπος. αὗται δὲ μόναι χωρὶς Διός, ἥτι

Ἀθηνᾶ καὶ ἡ Ἥρα, ἐκαθέσθησαν, ἀδὲν δὲ αὐτὸν προσεφθέγ-
ντο ἀδὲ ἠρώτων. αὐτὸς δὲ ἐπέγνω ἐν ταῖς αὑτοῦ δια-
οίαις καὶ εἶπε· τί δή ποτε ἧτω τεταλαιπώρηθε ὦ Ἀθηνᾶ
ε καὶ Ἥρα; ἀ μὴν δὴ ἐκοπιάσατε ἐν τῇ μάχῃ τῇ δοξαζό-
ῃ τὲς ἄνδρας ἀπολλύσαι τὲς Τρῶας, οἷς δεινὴν ὀργὴν
θήκατε. πάντως οἶδατε ὁποία ἡ ἐμὴ δύναμις καὶ χεῖρες
προσπέλαζοι· ἐκ ἂν μ' ἐκώλυσαν ὁπόσοι θεοί εἰσιν ἐν
ῷ Ὀλύμπῳ. ὑμῶν δὲ πρότερον ὑπέλαβε ... τὰ λαμπρὰ
έλη πρὶν τόν τε πόλεμον ἰδεῖν καὶ τῶ πολέμω τὰ χαλεπὰ
ργα. ἧτω γ' ἐξαγγελῶ, τῶτο δ' ἂν καὶ τετελειωμένον ἐγένε-
ο· ἐκ ἂν ἐπὶ τῶν ὑμετέρων ἁρμάτων πληγεῖσαι τῷ κεραυ-
ῷ πάλιν εἰς τὸν Ὄλυμπον παρεγένεσθε, ὅπε τῶν θεῶν ἡ
αθέδρα ἐστίν." οὕτως εἶπεν· αὗται δὲ ἐξέναξαν, ἥ τε Ἀθη-
ᾶ καὶ ἡ Ἥρα. πλησίαι τε ἐκαθέσθησαν, κακὰ δὲ τοῖς Τρωσὶ
ενοῶντο. καὶ ἡ μὲν Ἀθηνᾶ ἡσύχως ἦν καὶ ἀδὲν ἐφθέγξατο,
ὀργιζομένη τῷ πατρὶ Διί· μῆνις δὲ αὐτὴν ἀνήμερος εἶχε·
ῆς Ἥρας δὲ οὐκ ἐχώρει τὸ σῆθος τὴν ὀργήν, ἀλλ' εἶπεν
ὦ φοβερώτατε Ζεῦ, ὁποῖον τὸν λόγον εἶπες. σαφῶς δὴ καὶ
μεῖς γινώσκομεν οἵα σοι δύναμις ἀνένδοτος. ἀλλ' ὅμως
πὲρ τῶν Ἑλλήνων ἀποδυρόμεθα τῶν πολεμικῶν, "οἵτινες
ἢ κακὸν μόρον τελειώσαντες ἀπόλωνται." πρὸς ταύτην δὲ
νταποκρινόμενος εἶπεν ὁ τὰς νεφέλας ἀγείρων Ζεύς
Ἥ" ἔωθεν δὴ καὶ πάνυ τὸν μεγαλοδύναμον Δία θεάσῃ, ἐὰν
ληθῆς, εὐόφθαλμε σεβασμία Ἥρα, ἀπολλύντα τῶν Ἑλ-
ήνων πολὺ φράτευμα τῶν πολεμικῶν. ἀ πρότερον γ' ἀπο-
ήσει τοῦ πολέμου ὁ ἰχυρὸς Ἕκτωρ πρὶν διεγεῖραι παρὰ
αῖς ναυσὶ τὸν ταχύπεν Ἀχιλλέα "τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν
οι μὲν ἐπὶ ταῖς πρύμναις πολεμῶσιν ἐν ζενώματι χαλε-
ωτάτῳ περὶ τοῦ Πατρόκλε ἀποθανόντος. οὕτω γ' τε-
εσπισμένον ἐστίν. σοῦ δὲ ἐγὼ ἀ φροντίζω λυπεμένης, ἀδὲ
ν εἰς τὰ ἔχατα πέρατα ἀπέλθῃς τῆς γῆς καὶ τῆς θαλάσ-
ης, ὅπε Ἰαπετός τε καὶ ὁ Κρόνος εἰσὶ "καθήμενοι· οὔτε
ῖς αὐγαῖς τοῦ ὑπὲρ γῆν ὄντος ἡλίε εὐφραίνονται ἔτε ἐν
οῖς ἀνέμοις, σκοτεινὸς δὲ περὶ αὐτοὺς ὁ Τάρταρος. οὐδ'
ν ἐκεῖσε παραγένῃ πλανωμένη, οὐδαμῶς σε ἐγὼ ὀργιζο-
ένης λόγον ποισῦμαι, ἐπειδὴ ἀ χαλεπώτερόν ἐστιν ἄλλο."
ὕτως εἶπε· πρὸς τῶτον δὲ οὐδὲν εἶπεν ἡ λευκοβραχίων
Ἥρα. "ἐνέπεσε δὲ ἐν πῷ Ὠκεανῷ τὸ λαμπρὸν φῶς τῆ ἡλίε,
ιφερόμενον τὴν σκοτεινὴν νύκτα ἐπὶ τὴν τὸ ζῆν δωρου-
ένην γῆν. τοῖς μὲν Τρωσὶ μὴ βελομένοις ἔδυ τὸ φῶς·
οῖς δὲ Ἕλλησι χαροποιὸς πολυλιτάνευτος ἐπεγένετο ἡ
κοτεινὴ νύξ. τῶν δὲ Τρώων ἐκκλησίαν ἐποιήσατο ὁ λαμ-
ρὸς Ἕκτωρ "χωρὶς τῶν νεῶν ἀγαγὼν ἐπὶ τῷ δίνας ἔχοντι
ταμῷ ἐν καθαρῷ τόπῳ, ὅπε δὴ νεκρῶν χωρὶς ἐφαίνετο
ῆπος. ἐκ τῶν ἵππων δὲ ἀποβάντες ἐπὶ τὴν γῆν τὸν λόγον
κουον, ὃν δὴ ὁ Ἕκτωρ ἐδημηγόρει ὁ προσφιλὴς τῷ Διί·
δὲ τῇ χειρὶ δόρυ κατεῖχε πηχῶν ἕνδεκα· ἔμπροσθεν δὲ
οῦ δόρατος ἔλαμπεν "ἡ σιδηρᾶ ἐπιδορατίς, περιέτρεχε δὲ
ρυσᾶς δακτύλιος. τάτῳ ἅτος ἐπισηριχθεὶς λόγες ταχυ-
άτες ἐδημηγόρει. "ἀκέσατέ με ὦ Τρῶες καὶ οἱ ἀπὸ Δαρ-
άνε ὄντες καὶ οἱ σύμμαχοι. τὰ νῦν ἐλογισάμην τάς τε ναῦς
ἀπολέσας καὶ πάντας Ἕλληνας πάλιν ὑποζρέψαι εἰς τὴν
ἀνεμώδη Ἴλιον. ἀλλὰ προλαβὸν τὸ σκότος ἦλθεν, ὅπερ
νῦν ἔσωσε μάλιζα τές τε Ἕλληνας καὶ τὰς ναῦς ἐπὶ τῷ αἰ-
γιαλῷ τῆς θαλάσσης. ἀλλὰ νῦν μὲν πειθῶμεν τῇ σκοτώ-
δει νυκτί, δεῖπνά τε ἑτοιμάσωμεν· τοὺς δὲ εὐτριχας ἵππες
λύσατε ἐκ τῶν ἁρμάτων, παραβάλλετε δὲ αὐτοῖς τροφήν.
ἐκ δὲ τῆς πόλεως κομίσατε βόας καὶ εὐτραφῆ πρόβατα
ταχέως· οἶνον δὲ ἡδὺν ὠνησάμενοι κομίζετε καὶ σιτία ἐκ
τῶν οἰκιῶν καὶ ξύλα πολλὰ ἐπισυναγάγετε, ὅπως ἂν δι' ὅλης
νυκτὸς ἄχρις ἡμέρας τῆς γεννώσης τὸν ὄρθρον ἀνάπτω-
μεν πῦρ πολύ, τὸ δὲ φῶς εἰς οὐρανὸν παραγένηται, "μή πω
καὶ διὰ νυκτὸς οἱ εὐπλόκαμοι Ἕλληνες ὁρμήσωσι τοῦ φεύ-
γειν ἐπὶ τὰ πλατέα νῶτα τῆς θαλάσσης. μηδαμῶς δὴ χω-
ρὶς κακοπαθείας τῶν νεῶν ἐπιβῶσιν ἡσυχοι, ἀλλ' ὅπως
πάντων τούτων τις τὸ τραῦμα ἐπὶ τῆς οἰκείας θεραπεύσῃ
τρωθεὶς ἢ βέλει ἢ ὀξεῖ δόρατι, "τῆς νεὼς ἀποπηδῶν, ὅπως
φοβηθῇ καὶ ἕτερός τις ἐπὶ τοῖς ἱππικοῖς Τρωσὶν ἐπάγειν
πολύκλυσον πόλεμον. οἱ κήρυκες δὲ ἀνὰ τὴν πόλιν οἱ τῷ
Διὶ φίλοι ἀγγελλέτωσαν τοὺς παῖδας τοὺς πρώτης ἀκμῆς
καὶ τοὺς πολιὸς γέροντας κοιμηθῆναι περὶ τὴν πόλιν ἐπὶ
τῶν θεοκτίσων πύργων. "αἱ πορνικώτεραι δὲ γυναῖκες ἐν
τοῖς οἴκοις ἑκάση πῦρ μέγα καιέτωσαν. ἔγω δέ τις προ-
φυλακὴ ἔμπειρος, μή πως ἐνέδρα εἰσέλθῃ εἰς τὴν πόλιν
τῶν ὄχλων ἀπόντων. οὕτω γενέωθω ὦ Τρῶες μεγαλόψυχοι
ὥσπερ λέγω. οὗτος μὲν δὴ ὁ λόγος σῶος ὁ λελεγμένος ἔγω·
"περὶ δὲ τῶν εἰς τὴν αὔριον ἐν τοῖς Τρωσὶ τοῖς ἱππικοῖς
ἀπαγγελῶ. εὔχομαι δὲ δι' ἐλπίδος ἀγόμενος τῷ Διὶ τοῖς
τε λοιποῖς θεοῖς ἐξελάσειν τοὺς κύνας ἐκεῖθεν τοὺς θανα-
τηφόρες, οὓς αἱ μοῖραι ἐποίσασιν ἐπὶ τῶν βαθειῶν νεῶν.
ἀλλ' ἐπὶ μὲν ταύτῃ τῇ νυκτὶ διαφυλάξωμεν ἡμᾶς αὐτούς·
"πρωῒ δὲ ἐν τῷ ὄρθρῳ ἡμεῖς σὺν τοῖς ὅπλοις καθοπλι-
σθέντες ἐπὶ ταῖς βαθείαις ναυσὶ ἐγείρωμεν ταχὺν πόλε-
μον. γνώσομαι εἰ με ὁ υἱὸς τῆ Τυδέως ὁ ἰχυρὸς Διομή-
δης ἀπὸ τῶν νεῶν πρὸς τὸ τεῖχος ἀποδιώξειεν, ἢ ἂν αὐ-
τὸν ἐγὼ τῷ σιδήρῳ διακόψας λάφυρα ἡμαγμένα κομίσω.
"αὔριον τὴν ἰδίαν ἰχὺν γνωριεῖ, ἐὰν τὸ ἐμὸν δόρυ ὑπο-
μείνῃ ἐπερχόμενον. ἀλλ' ἐν πρώτοις ὑπολαμβάνω πεσεῖται
τρωθεὶς, πολλοὶ δὲ περὶ αὐτὸν φίλοι τῆ ἡλίε ἀνατέλλον-
τος αὔριον. εἴθε γ' ἐγὼ ἅτως γενοίμην ἀθάνατος καὶ χωρὶς
γήρως πάσας τὰς ἡμέρας, "τιμῶμην δὲ ὡς τιμᾶται ἡ Ἀθη-
νᾶ καὶ ὁ Ἀπόλλων, ὡς νῦν αὕτη ἡμέρα κακὸν ἐπάγει τοῖς
Ἕλλησιν." οὕτως ὁ Ἕκτωρ ἐδημηγόρει· οἱ δὲ Τρῶες ἐπε-
βόησαν μετὰ θορύβε. οὗτοι δὲ τὲς ἵππες ἔλυσαν ἀπὸ τῶ
ζυγῶ ἱδρῶντας, ἔθησαν δὲ λώροις παρὰ τοῖς ἑαυτῶ ἅρμα-
σιν ἕκασος· "ἐκ δὲ τῆς πόλεως ἔφερον βόας καὶ εὐτραφῆ
πρόβατα· ταχέως δὲ οἶνον ἡδὺν καὶ εὐφραντικὸν ἐπεκομί-
ζοντο ἄρτες τε ἐκ τῶν οἰκιῶν καὶ ξύλα πολλὰ ἐπισυνῆγον.
"τὴν δὲ ἀναθυμίασιν ἐκ γῆς οἱ ἄνεμοι ἔφερον εἰς ἐρανόν.
"οὗτοι δὲ μέγα φρονῆντες ἐν τῇ τῶ πολέμω διαβάσει ἡσύ-
χαζον δι' ὅλης νυκτός· πολλὰ δὲ ἐν αὐτοῖς ἐκαίετο πυρά.
"ὥσπερ δὲ ἐν οὐρανῷ ἄστρα περὶ τὴν λαμπρὰν σελήνην

φαίνετ' πάντ εὐπρεπῆ, ὅτε γίνετ' χωρὶς ἀνέμου ὁ ἄνω τόπος, ἐξεφάνησάν τε πάντες οἱ ὑψηλοὶ τόποι καὶ τὰ προνενευκότα τῶν ὀρῶν ἄκρα καὶ αἱ συνδενδρίαι, ἐξ ἀρανοῦ δὴ συνερράγη ὁ πολὺς αἰθήρ, πάντα δὲ τὰ ἄστρα φαίνετ', χαίρει δὲ κατὰ διάνοιαν ὁ ποιμήν, τοσαῦτα ἀνὰ μέσον τῶν πλοίων καὶ τῶν τῆ Ξάνθῳ ῥευμάτων τῶν Τρώων τὰ πυρὰ καιόντων ἐφαίνετο πρὸ τῆς Ἰλίου. χίλια δὲ ἐν τῇ γῇ φῶτα ἐκαίετο, παρὰ δὲ ἑκάστῳ ἦσαν πεντήκοντα λαμπηδόνες τοῦ πυρὸς καιομένου. οἱ δ' ἵπποι κριθὴν λευκὴν ἐσθίοντες καὶ ζειὰν ἑστῶτες παρὰ τοῖς ἅρμασι τὴν καλλίθρονον ἠμέραν ἀνέμενον.

I. ΠΡΕΣΒΕΙΑ ΠΡΟΣ ΑΧΙΛΛΕΑ. ΛΙΤΑΙ.

ΥΠΟΘΕΣΙΣ 1. Ἐξείλη δ' Ἀχιλῆος ἀπειθέος ἐξὶν Ἰῶτα.

2. Ἀγαμέμνονος συμβουλεύσαντος τοῖς Ἕλλησι φεύγειν ἴσανται τὴν ἐναντίαν ἀποφαινόμενοι γνώμην Διομήδης καὶ Νέστωρ. συμβουλεύσαντος δὲ Νέστορος πρὸς Ἀχιλλέα πέμπονται πρέσβεις. καὶ δεηθεῖσιν ἀντεῖπεν αὐτοῖς Ἀχιλλεύς. οἱ δὲ ἀπαγγέλλουσι, καὶ μετὰ ταῦτα εἰς ὕπνον τρέπονται.

3. Ἐπαυλισαμένων τῶν πολεμίων διὰ τὴν κατὰ τὸν πόλεμον εὐημερίαν παρὰ τῷ ναυσάθμῳ, Ἀγαμέμνων ἀπηλπικὼς τὴν σωτηρίαν ἐπὶ τῆς ἐκκλησίας ἀποφαινόμενος γνώμην ἀποφεύγειν ἐπιβάντας τῶν νεῶν κελεύει τοὺς Ἕλληνας. Διομήδους δὲ ἀντειπόντος Νέστωρ παραυτίκα ἀμείβεται τοῦτον, προστίθησι δὲ τὰ λείποντα αὐτῷ τοῖς λόγοις, φύλακας κελεύων ἐπὶ τὴν τάφρον ἐκπέμπειν καὶ τοὺς ἀρίστους ἀθροίσαντα βουλεύεσθαι μετ' αὐτῶν περὶ τῶν ἐπιγιόντων. πείθεται δὲ τούτοις ὁ βασιλεὺς καὶ τοὺς ἀρίστους ἐξιᾷ, ἐν οἷς πάλιν Νέστωρ Ἀγαμέμνονι σύμβουλος τῶν καλλίστων γίνεται, τῆς μὲν πρὸς τὸν Ἀχιλλέα κελεύων αὐτὸν ὀργῆς λαθέσθαι, πρὸς δὲ τὸν ἐπιγιόντα καιρὸν ἁρμόσασθαι καὶ πρεσβείαν ὡς τὸν τοῦ Πηλέως ἀποστεῖλαι. τοῦ δὲ βασιλέως καὶ δῶρα πολλὰ ὑπισχνουμένου δώσειν καὶ κηδεστὴν ἀξιώσαντος γενέσθαι, παραγίνονται πρὸς αὐτὸν πρέσβεις ὅ τε Ἰθακήσιος καὶ ὁ τοῦ Τελαμῶνος καὶ πρὸς τούτοις Φοῖνιξ. τῶν δὲ πρέσβεων ἐλθόντων καὶ τὴν δέησιν ποιουμένων καὶ τὰ κατὰ τοὺς Ἕλληνας μηνυσάντων καὶ τὴν ἔπειξιν δηλούντων, ἄτεγκτος ὁ Ἀχιλλεὺς καὶ οὐδ' ὅλως ἐνδιδοὺς πρὸς τὴν ἀκοὴν τῶν Ἑλληνικῶν πραγμάτων εὑρίσκεται, ἀλλὰ μησικακῶν μὲν τῷ Ἀγαμέμνονι, τῶν δὲ δώρων καταφρονῶν καὶ τῆς συγγενείας τοῦ βασιλέως ὑπερφρονῶν. καὶ μετὰ τοῦτο Φοῖνιξ πείθειν αὐτὸν πειρᾶται καὶ δακρύει τὴν παροῦσαν τῶν Ἑλλήνων τύχην ὡς εἰς Ἴλιον αὐτὸν ὑπάξων, καὶ τῆς περὶ τὴν πρώτην ἡλικίαν ὑπομιμνήσκει τροφῆς, καὶ ὅτι ἐχρὴ πάντα μητρὶ πείθεσθαι δι' ὧν εἶπεν αἰνίττεται παραδείγματι τῷ κατὰ τὴν παλλακίδα χρώμενος, καὶ ὡς πρὸς ἀνάγκην βοηθήσας χωρὶς τιμῆς μεταγνώσεται, τὴν Μελεάγρου μάχην καὶ Αἰτωλῶν διηγέμενος. ἔτε δὲ Φοίνιξ πρεσβευτὴς εὐτυχής· καὶ γὰρ καὶ αὐτὸς ἐπ' ἴσης τοῖς ἄλλοις ἀποτυγχάνει· ἔτε δ' ὁ συγγενὴς αὐτὸν Αἴας ἔτρεψεν ἐπιπλήσσων τε καὶ ἱκετεύων καὶ λοιδορούμενος καὶ παντὶ τρόπῳ πεῖσαι πειρώμενος. ἀλλὰ Φοίνικα μὲν παρ' ἑαυτῷ κατέχει Ἀχιλλεύς, Ὀδυσσεὺς δὲ σὺν Αἴαντι τὰ πρὸς τοῦ Ἀχιλλέως ἀποπρεσβεύεται τοῖς Ἕλλησιν· ἐφ' οἷς Διομήδης καθάπτεται μὲν Ἀχιλλέως ὡς ὑ διόντως ἀμέτρῳ ὀργῇ σχολάζοντος, τοὺς δὲ ἀρίστους ἐπὶ τὴν μάχην προτρέπεται.

Οὕτως οἱ μὲν Τρῶες τὰς φυλακὰς ἐφύλαττον· τὰς δὲ Ἕλληνας θεία ἐκρύτει μετὰ δέος φυγή, φόβα τῇ φρικτοῦ ἡ φίλη. πένθει δὲ ἀντ' ἀϊονήτῳ ἐτιτρώσκοντο πάντες ἄριστοι. ὥσπερ δὲ ἄνεμοι δύο τὴν θάλασσαν ταράττουσι τὴν ἰχθύας ἔχουσαν, ὅ τε Βορέας καὶ ὁ Ζέφυρος, οἵτινες ἀπὸ Θρᾴκης πνέουσιν, ἐλθόντες ἐξαίφνης, ὅμα δὲ τὸ μέλαν κῦμα κορυφοῦται, πολὺν δὲ ἔξω τῆς θαλάσσης χόρτον ἔχει· οὕτως ἐταράσσετο ἡ ψυχὴ ἐν τοῖς στήθεσι τῶν Ἑλλήνων. ὁ δὲ Ἀγαμέμνων μεγάλῃ λύπῃ βεβλημένος τὴν ψυχὴν περιήρχετο, τοῖς κήρυξι τοῖς ἠδυφώνοις παρακελευόμενος ἐξ ὀνόματος εἰς ἐκκλησίαν καλεῖν ἕκαστον ἄνδρα, μηδὲ μετὰ βοῆς· αὐτὸς δὲ ἐν τοῖς πρώτοις ἐνήργει. ἐκάθηντο δὲ ἐν τῇ ἐκκλησίᾳ τετιμωρημένοι· ὁ δὲ Ἀγαμέμνων ἀνίστατο δεδακρυμένος ὥστε κρήνη πολύυδρος, ἥτις ἀφ' ὑψηλῆς πέτρας μέλαν καταχέει ὕδωρ. οὕτως ἔτος ὀδυνηρῶς σενάζων λόγους ἐν τοῖς Ἕλλησιν εἶπεν. "ὦ προσφιλέστατοι τῶν Ἑλλήνων ἡγεμόνες καὶ βασιλεῖς, Ζεύς με μεγάλως ὁ Κρόνου παῖς βλάβῃ ἐνέβαλε χαλεπῇ, ὁ ἀγνώμων, ὃς μοι πρὶν ὑπέσχετο καὶ ἐπηγγείλατο τὴν Ἴλιον ἐκπορθήσαντι τὴν καλῶς τετειχισμένην ἐπανελθεῖν, τὰ νῦν δὲ δεινὴν ἀπάτην ἐβουλεύσατο καὶ κελεύει με ἄδοξον εἰς τὴν Πελοπόννησον παραγενέσθαι, ἀφ' ἧς πολὺν ἀπώλεσα λαόν. οὕτω πῃ τῷ Διὶ φαίνεται τῷ μεγαλοδυνάμῳ προσφιλὲς εἶναι, ὃς δὴ πολλῶν πόλεων κατέλυσεν ἀκροπόλεις καὶ ἔτι καταλύσει· τούτου γὰρ ἡ δύναμις ἐστὶ μεγάλη. ἀλλὰ φέρετε, ὡς ἂν ἐγὼ εἴπω, πάντες πειθώμεθα· φύγωμεν σὺν ταῖς νυσὶν εἰς τὴν προσφιλῆ πατρικὴν γῆν· οὐκέτι γὰρ τὴν Τροίαν κρατήσομεν τὴν πλατυάμφοδον." ἔτως εἶπεν· ἔτοι δὲ πάντες ἄφωνοι ἐγένοντο ἐν σιωπῇ. "ἐπὶ πολὺν χρόνον δὲ ἄφωνοι ἦσαν οἱ τεταλαιπωρημένοι υἱοὶ τῶν Ἑλλήνων. βραδέως δὲ ἀπεφθέγξατο ὁ γενναῖος τὴν μάχην Διομήδης "ὦ Ἀγάμεμνον, τῷ σῷ λόγῳ πρῶτον μαχήσομαι ἀσυνετοῦντι, καθὰ νόμος ἐστὶν ἐν τῇ ἐκκλησίᾳ λέγειν· σὺ δὲ μή τι ὀργισθῇς. περὶ τῆς δυνάμεώς μοι πρότερον ὠνείδισας ἐν τοῖς Ἕλλησιν, εἰπὼν εἶναι ἀπειροπόλεμον καὶ ἀδύνατον· ταῦτα δὲ πάντα γινώσκουσι τῶν Ἑλλήνων οἵ τε νέοι καὶ οἱ γέροντες. σοὶ δὲ τῶν δυοῖν ἕτερον ἔδωκεν ὁ τοῦ σκολιοβούλου παῖς τοῦ Κρόνου· τὴν μὲν βασιλείαν σοι ἔδωκεν εἰς τὸ τιμᾶσθαι περισσότερον πάντων, δύναμιν δὲ οὐκ ἔδωκέ σοι, ὃ κράτιστόν ἐστι καὶ μέγιστον. "ὦ κακόδαιμον, οὕτω λίαν ἐλπίζεις τοὺς υἱοὺς τῶν Ἑλλήνων ἀπειροπολέμους εἶναι καὶ ἀδυνάτους ὡς λέγεις; εἰ δέ σοι αὐτῷ ἡ ψυχὴ ἐφορμᾶται ὥστε ἐπανέρχεσθαι, πορεύου· παρὰ σοὶ ἡ ὁδός, αἱ δὲ νῆες πλησίον τῆς θαλάσσης ἕστανται, αἵτινές σοι ἠκολούθησαν ἀπὸ τῆς Μυκήνης πολλαί. "ἀλλ'

Ἕτεροι μενέδωσιν οἱ τὰς κάρας κομῶντες Ἕλληνες, ἕως ἂν περ τὴν Τροίαν διαπορθήσωμεν. ἐὰν δὲ κ' ἕτοι βέλοιντο, φευγέτωσαν σὺν ταῖς νανσὶν εἰς τὴν προσφιλῆ πατρικὴν γῆν· ἡμεῖς δέ, ἐγώ τε κ' ὁ Σθένελος, πολεμήσομεν, ἕως ἂν τὸ τέλος τῆς Ἰλίου εὑρήσομεν· σὺν θεῷ γ' παρεγενόμεθα." ὣς ἕτως εἶπεν· ἕτοι δὲ δὴ πάντες ἐπεβύησαν οἱ υἱοὶ τῶν Ἑλλήνων, τὸν λόγον θαυμάσαντες Διομήδεος τῦ ἱππικοῦ. ἐν τούτοις δὲ ἀναξὰς ἐπεφώνησεν ὁ ἱππικὸς Νέξωρ "ὦ Διόμηδες, περισσῶς μὲν ἐν τῷ πολέμω καρτερικὸς ὑπάρχεις, κ' ἐν τῇ βελῇ ὑπὲρ πάντας τὰς ὁμήλικας ἐγένε ἄριστος. καὶ ἐδεὶς σοι τὸν λόγον μέμψετ' ὁπόσοι οἱ Ἕλληνες, ἐδὲ τὰ ἐναντία σοὶ ἐρεῖ· οὐ μὴν δὲ τέλος ἐπέθηκας τῷ λόγῳ σε. ὄντως δὴ νέος ὑπάρχεις, ἐμὸς δ' ἂν παῖς νομισθείης κ' ὁ νεώτατος τῶν παίδων μ· κ' δὴ συνετὰ δημηγορεῖς πρὸς τὰς βασιλεῖς τῶν Ἑλλήνων, ἐπειδὴ κατὰ τὸ πρέπον εἶπας. ἀλλὰ φέρε, ἐγὼ ὅσις σε παλαιότερος λέγω εἶναι, ἐξείπω κ' πάντα πληρώσω· ἐδ' ἄν τίς μοι τὸν λόγον ἄτιμον ἡγήσετ', ἐδὲ ὁ βασιλεύων Ἀγαμέμνων. ἀσύνετος καὶ ἄδικος κ' ἄοικος ὑπάρχει ἐκεῖνος ὃς πολέμε ἐπιθυμεῖ ἐμφυλίε κ' χαλεποῦ. ἀλλὰ τὰ νῦν μὲν πειθῶμεν τῇ βαθείᾳ νυκτί, δεῖπνά τε ἑτοιμάσωμεν· οἱ φύλακες δὲ ἕκαστοι καταριθμείτωσαν περὶ τὴν τάφρον τὴν ὀρυκτὴν ἔξω τῦ τείχος. τοῖς νεωτέροις μὲν ταῦτα παραινῶ· μετὰ ταῦτα δὲ σοὶ Ἀγάμεμνον σὺ ἡγοῦ· σὺ γ' βασιλικώτατος εἶ. ἐπ' εὐωχίαν κάλει τοὺς ἐντίμους· πρέπει σοι κ' ἃ ἔχεις ἀπρεπές. πλήρεις σοι αἱ σκηναὶ οἴνε, ὃν αἱ νῆες τῶν Ἑλλήνων δι' ὅλης ἡμέρας ἐκ τῆς Θράκης ἐπὶ τὴν πλατεῖαν θάλασσαν φέρεσι. πάντα σοί ἐστι τὰ πρὸς δεξίωσιν, καὶ πολλῶν βασιλεύεις. πολλῶν δὲ ἀθροισθέντων τούτῳ πείθοιο, ὃς ἂν κάλλίςην βελὴν συμβελεύσῃ· πάνυ δὲ χρὴ πάντας τοὺς Ἕλληνας ἀγαθῆς κ' συνετῆς, ἡνίκα οἱ πολέμιοι ἐγγὺς τῶν πλοίων ἀνάπτεσι πυρὰν πλείσην. τίς ἂν ἐπὶ τούτοις χαρείη; ἢ νὺξ δὲ αὕτη ἢ διαφθερεῖ τὸ στράτευμα ἢ διασώσει." οὕτως εἶπεν· ἕτοι δὲ τούτε πάνυ μὲν ἤκεον κ' ἐπείθοντο. οἱ δὲ φύλακες σὺν τοῖς ὅπλοις ἐξῆσαν κ' ἐξώρμων, οἱ περὶ τὸν υἱὸν τοῦ Νέξορος τὸν Θρασυμήδην, τὸν βασιλέα λαῶν ὄχλων, κ' οἱ περὶ Ἀσκάλαφον κ' Ἰάλμενον τοὺς υἱὲς Ἄρεως, κ' οἱ περὶ τὸν Μηριόνην κ' τὸν Ἀφαρέα καὶ τὸν Δηΐπυρον, κ' οἱ περὶ τὸν Κρέοντος υἱὸν τὸν ἔνδοξον Λυκομήδη. ἑπτὰ ἦσαν οἱ ἡγεμόνες τῶν φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ νεώτεροι ὁμοῦ ἐπορεύοντο, μακρὰ δόρατα ἐν χερσὶ κατέχοντες. ἀνὰ μέσον δὲ τῆς τάφρε κ' τοῦ τείχος ἐλθόντες ἑκάθισαν· ἐκεῖσε δὲ πυρὰν ἀνῆψαν, ἐτίθεν δὲ τὰ δεῖπνα πύντες. ὁ Ἀγαμέμνων δὲ τοὺς ἐντίμους κ' ἀρίστους ἐκάλει τῶν Ἑλλήνων "εἰς τὴν σκηνήν, παρετίθει δὲ αὐτοῖς αὐτάρκη εὐωχίαν. οἱ δὲ ἐπὶ τὰ ἕτοιμα βρώματα προκείμενα τὰς χεῖρας ἐξέτειναν. ἐπεὶ δὲ τῆς πόσεως κ' τῆς ἐδωδῆς τὴν ἐπιθυμίαν ἐπλήρωσαν, ἐν τούτοις ὁ πρεσβύτης πάντων πρῶτος κατασκευάζειν ἤρξατο βελήν, ὁ Νέσωρ, οὗ κ' πρότερον καλλίςη ἐφαίνετο ἡ συμβελή· "ὃς ἐν αὐτοῖς καλῶς φρονῶν ἐθημηγόρησε κ' εἶπεν "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, βασιλεῦ τῶν ἀνδρῶν Ἀγάμεμνον, ἐν σοὶ μὲν τελειώσω, ἀπὸ σε δὲ ἄρξομαι, διότι πολλῶν λαῶν ὑπάρχεις βασιλεὺς καί σοι ὁ Ζεὺς ἐνεχείρισε τό τε σκῆπτρον κ' τὰς νομάς, ὅπως αὐτοῖς βελὰς διδῷς. "διὰ τᾶτό σε χρὴ περισσῶς βελεύεσθ λόγον κ' ἐπακέειν, τελειῶσαι δὲ κ' ἑτέρῳ, ὅταν τινὰ ἡ ψυχὴ παρακελεύηθ εἰπεῖν πρὸς τὸ συμφέρον. ἐπὶ σοὶ δὲ ἀναφέρεθ' ὅ τι ἂν συμφέρῃ. ἐγὼ δὲ ἐξείπω ὡς δοκεῖ μοι κάλλιςον εἶναι· ἀ γάρ τις ἄλλος γνώμην κρείττονα τάτε νοήσει, "ὡς ἐγὼ νοῶ κ' πρὸ τούτε κ' νῦν ἔτι, ἐξ ἐκείνε τε χρόνε ἀφ' ἕ τε εὐγενὲς διὰ τὴν τε Βρισέως θυγατέρα ὀργιζομένε Ἀχιλλέως ἐπορεύθης ἐκ τῆς σκηνῆς ἀφελών, ἐδαμῶς κατὰ τὴν ἡμετέραν γνώμην. πάνυ γάρ σοι ἐγὼ πολλὰ ἀπηγόρευον κ' ἐκώλυον· σὺ δὲ σῷ γενναίῳ θυμῷ "νικηθεὶς ἄνδρα κράτιςον, ὃν περ κ' θεοὶ ἐτίμησαν, ἠτίμασας· λαβὼν γ' κατέχεις τὴν τιμήν. ἀλλ' ἔτι κ' νῦν βελευσώμεθα, ὅπως ἂν αὐτὸν ἐξιλεωσάμενοι πείσωμεν δώροις τε λαμπροῖς κ' λόγοις πραϋντικοῖς." πρὸς τοῦτον δὲ ἐκ δευτέρε εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "ὦ πρεσβῦτα, ἐδὲν ψευδῶς τὰς ἐμὰς βλάβας εἶπας. ἐβλάβην· ἐδὲ αὐτὸς ἀρνεῦμαι. ἀντάξιος πολλῶν λαῶν ὑπάρχει ὁ ἀνὴρ ὃν ὁ Ζεὺς τῇ ψυχῇ ἀγαπήσει. ἕτω τὰ νῦν τᾶτον ἐτίμησεν, ὥλεσε δὲ τὸν λαὸν τῶν Ἑλλήνων. ἀλλ' ἐπειδὴ ἐβλάβην διανοίαις ὀλεθρίαις πειθείς, "πάλιν θέλω τᾶτον πρὸς ἀρέσκειαν ποιῆσαι, δᾶναί τε πολλὰ δῶρα. ὑμῖν δὲ ἐν πᾶσι τὰ περίδοξα δῶρα ὀνομάσω, ἑπτὰ καινουργεῖς λέβητας, δέκα δὲ χρυσοῦ τάλαντα, λαμπροὺς δὲ λέβητας εἴκοσι, κ' δώδεκα ἵππες εὐτραφεῖς γενναίες, οἳ ἔπαθλα τοῖς ἵπποσιν ἠνέγκαντο. "οὐκ ἂν ἐνδεὴς ὑπάρχοι ὁ ἀνὴρ ᾧ τοταῦτα προσγένοιτο, οὐδ' ἂν ἄνευ πλούτε κ' μεγαλοτίμου χρυσοῦ, ὁπόσα ἐμοὶ περιεποιήσαντο ἔπαθλα οἱ μονόνυχες ἵπποι. δώσω δὲ κ' ἑπτὰ γυναῖκας ἀμωμήτες, ἐργάζεσθαι εἰδυίας, τὰς ἀπὸ Λέσβε, ἃς ὅτε τὴν Λέσβον τὴν εὔκτιστον ἕλαβεν αὐτὸς "ἀφειλόμην, αἳ τῷ κάλλει ἐνίκων τὰ γένη τῶν γυναικῶν. ταύτας μὲν αὐτῷ δώσω, ἐν αὐταῖς δὲ ἕξαι κ' ἣν τηνικαῦτα ἀφειλόμην θυγατέρα τῆ Βρισέως· ἐπομῶμαι δὲ μέγαν ὅρκον μηδέποτε τῆς κοίτης ἐπιβῆναι κ' μιγῆναι ὡς νόμος ἀνθρώποις ὑπάρχει ἀνδρῶν κ' γυναικῶν. "ταῦτα μὲν ἤδη πάντα παρέξαι· ἐὰν δὲ πάλιν τὴν μεγάλην πόλιν τοῦ Πριάμε οἱ θεοὶ παράχωσιν ἐκπορθῆσαι, νῆα δαψιλῶς χρυσῷ κ' χαλκοῦ σωρευσάτω (πληρωσάτω) εἰσελθών, ἡνίκα ἂν μεριζώμεθα τὰ λάφυρα οἱ Ἕλληνες· Τρωϊκὰς δὲ γυναῖκας εἴκοσιν αὐτὸς λαβέτω, "αἳ μετὰ τὴν Πελοποννησιακὴν Ἑλένην περικαλλεῖς εἰσίν. ἐὰν δὲ εἰς τὸ Ἄργος παραγενοίμεθα, τὸν Ἑλληνικὸν κ' πίονα τόπον τῆς γῆς, γαμβρὸς ἂν μοι γένοιτο· τιμήσω δὲ αὐτὸν ἐπ' ἴσης τῷ Ὀρέςῃ, ὅς μοι μονογενὴς ἀνατέθραπθ' ἐν πολλῇ εὐωχίᾳ κ' ἀγαθοῖς. τρεῖς δέ μοι ὑπάρχεσι θυγατέρες ἐν τῷ οἴκῳ τῷ καλῶς κατεσκευασμένῳ, "ἡ Λαοδίκη ἡ Χρυσόθεμις κ' ἡ Ἰφιάνασσα· ἐκ τούτων ἣν ἂν ἐθέλῃ προσφιλῆ γυναῖκα κ' χωρὶς δώρων λαμβανέσθω κἀγέτω πρὸς τὸν οἶκον τοῦ Πηλέως· ἐγὼ δὲ εἰς προῖκα πράγματα δώσω πάνυ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολλά, ὁπόσα ἀδέπω τις τῇ ἑαυτῇ ἐπέδωκε θυγατρί. ἑπτὰ δὲ αὐτῷ παράχω εὐοικήτους πόλεις, τήν τε Καρδαμύλην καὶ τὴν Ἐνόπην καὶ Ἱρὴν τὴν βοτανώδη καὶ Φηρὰς τὰς θαυμασὰς καὶ Ἀνθειαν τὴν βαθεῖς ἔχουσαν λειμῶνας τήν τε καλὴν Αἴπειαν καὶ τὴν ἀμπελώδη Πήδασον· πᾶσαι δὲ παραθαλάσσιαί εἰσι Πύλῳ τῆς ψαμμώδους, ἐνοικοῦσι δὲ ἄνδρες πολυθρέμμονες καὶ πολλὰς βοῦς ἔχοντες· τοὶ δὲ ἄνακτι δώρεαῖς αὐτὸν ὡς θεὸν τιμήσουσι, καὶ ὑπὸ τῷ σκήπτρῳ αὐτοῦ πλησίες τελέσουσι φόρους. ταῦτα ἂν αὐτῷ ἐπιτελέσαιμι παυσαμένῳ τῆς ὀργῆς. πρῶος τοίνυν καὶ ἐπιεικὴς γενέσθω. ὁ Ἅιδης ὁ ἀμείλικτος καὶ ἀνυπότακτος· τούτου χάριν καὶ τοῖς ἀνθρώποις τῶν θεῶν ἁπάντων ἐχθρότατος ὑπάρχει. καὶ μοι ὑποταγήτω, ὅσον βασιλικώτερός εἰμι αὐτοῦ καὶ ὅσον τῇ γεννήσει πρηγενέστερος καυχῶμαι εἶναι." πρὸς ταῦτα δὲ ἀπεκρίνατο ὁ ἔντιμος ἱππικὸς Νέστωρ "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, βασιλεῦ τῶν ἀνδρῶν Ἀγάμεμνον, τὰ μὲν δῶρα οὐκέτι μεμπτὰ ἃ δίδως Ἀχιλλεῖ τῷ βασιλεῖ· ἀλλὰ φέρε ἐπιλέκτους παρορμήσωμεν, οἵτινες ἂν ταχύτατα παραγένωνται εἰς τὴν σκηνὴν τοῦ υἱοῦ Πηλέως τοῦ Ἀχιλλέως. ἀλλὰ φέρε τούτους ἐγὼ ἐπιλέξω, ὅτοι δὲ πειθέσθωσαν. ὁ Φοῖνιξ μὲν ἐν πρώτοις ὁ τῷ Διὶ προσφιλὴς ἡγείσθω (διὰ τὸ τροφέα αὐτὸν εἶναι Ἀχιλλέως), μετὰ ταῦτα δὲ ὁ Αἴας ὁ μέγας καὶ ὁ ἔνδοξος Ὀδυσσεύς· "τῶν ἀγγέλων δὲ οἵ τε Ὀδίος καὶ ὁ Εὐρυβάτης ὁμοῦ ἀκολουθείτωσαν. φέρετε δὲ ἐν ταῖς χερσὶν ὕδωρ, καὶ εὐφημῆσαι κελεύσατε, ὅπως Διὶ τῷ υἱῷ Κρόνου εὐξόμεθα, ὅπως ἂν ἐλεήσῃ." ὅτως εἶπεν· ἐν τούτοις δὲ λόγον πᾶσιν ἀρέσκοντα εἶπεν. εὐθέως δὲ οἱ μὲν κήρυκες ἐπὶ τὰς χεῖρας ὕδωρ ἔχεον, "οἱ νέοι δὲ τὰς κρατῆρας ἐγέμισαν τοῦ ποτοῦ, ἐμέρισαν δὲ πᾶσιν ἐπιχέαντες ἐν τοῖς ποτηρίοις. ἐπειδὴ δὲ ἔθυσαν καὶ ἔπιον ὅσον ἤθελεν ἡ ψυχή, ἐξώρμων τῆς σκηνῆς τοῦ υἱοῦ Ἀτρέως τοῦ Ἀγαμέμνονος. τούτοις δὲ πολλὰ ἐνετέλλετο ὁ ἔντιμος ἱππικὸς Νέστωρ "περιβλεπόμενος ἕκαστον, μάλιστα δὲ τὸν Ὀδυσσέα, πειράζειν ὅπως πεῖσαι δυνηθεῖεν τὸν ἄψογον Ἀχιλλέα. ὅτοι δὲ ἐπορεύθησαν παρὰ τὸν αἰγιαλὸν τῆς πολυταράχου θαλάσσης, πολλὰ λίαν εὐχόμενοι τῷ τὴν γῆν κινοῦντι Ποσειδῶνι εὐκόλως πείσειν δυνηθῆναι τὰς μεγάλας διανοίας τοῦ Ἀχιλλέως. "ἐπὶ δὲ τῶν Μυρμιδόνων τὰς σκηνὰς καὶ τὰς ναῦς παρεγένοντο. τοῦτον δὲ εὗρον τὴν διάνοιαν τερπόμενον τῇ κιθάρᾳ τῇ εὐήχῳ, τῇ καλῇ καὶ χρυσῇ· ἐπὶ δὲ ζυγὸν ἀργυροῦν ἐνῆν καὶ πῆχυς. ταύτην ἦρεν ἐκ τῶν λαφύρων τὴν πόλιν τοῦ Ἠετίωνος πορθήσας. ταύτῃ ἔτος τὴν ψυχὴν ἐχαροποίει, ἦδε δὲ καὶ θεάς· ἰαχὰ δὲ αὐτὸν μανία ἐπεσῆλθεν. "εὖχε δὲ ταχύτατα φανῆναι τὴν ἔνδοξον ἡμέραν· διαβεβαιοῦται γὰρ τῶν νεῶν ἀποκόψαι τὰ ἀκροστόλια καὶ τὰς κορυφάς, αὐτάς τε καύσειν διὰ ἰαχυρὸ πυρός, τὰς δὲ Ἕλληνας ἀνελεῖν παρ' αὐταῖς βλαπτομένας τῷ καπνῷ. ταῦτα δεινῶς δέδοικα κατὰ διάνοιαν, μή πως αὐτῷ τὰς ἀπειλὰς "ἐκπληρώσωσιν οἱ θεοί, ἡμῖν δὲ πεπρωμένον ᾖ διαφθαρῆναι ἐν τῇ Τροίᾳ πόρρω τῆ ἱπποτρόφω Ἄργεος. ἀλλ' ἀνάςηθι, εἰ προθυμῇ καὶ βαδίως τὰς Ἕλληνας καταπονεμένας ῥύεσθαι ὑπὸ τὸ θούριον τῶν Τρώων. καὶ σοὶ αὐτῷ μετὰ ταῦτα λύπη γενήσεται, ὅτι

χρεία ἐστίν· οἵτινες καὶ περιοργιζομένῳ μοι τῶν Ἑλλήνων φίλτατοί ἐσε." οὕτως ἄρα εἰπὼν εἰς τὸμπροσθεν ἤγαγεν ὁ ἔνδοξος Ἀχιλλεύς, "ἐκάθισε δὲ ἐν καθέδραις καὶ ἐν ὑφάσμασι πορφυροῖς. ταχέως δὲ τὸν Πάτροκλον προσεφώνει πλησίον ὄντα "μείζονα δὴ κρατῆρα ὦ Μενοιτίου υἱὲ εὐτρέπιζε, ἀκρατότερον δὲ κίρνα· ποτήριον δὲ ἐγχείρισον ἑκάστῳ. ὅτοι δὲ προσφιλεῖς μοι ὄντες ἄνδρες ὑπ' ἐμῷ εἰσιν οἴκῳ." "ὅτως εἶπεν· ὁ δὲ Πάτροκλος τῷ προσφιλεῖ ἑταίρῳ ἐπείθετο. ὅτος δὲ κρεωδόχον μέγα ἀγγεῖον κατέβαλεν ἐν τῇ τοῦ πυρὸς φλογί, ἐνέθηκε δὲ νωτιαῖον κρέας προβάτου καὶ εὐτραφοῦς αἰγὸς καὶ χοιρου λιπαρῶ νῶτον θάλλοντα τῷ λίπει. ταῦτα δὲ τὰ κρέα ἐκράτει ὁ Αὐτομέδων, ἔκοπτε δὲ ὁ εὐγενὴς Ἀχιλλεύς. "καὶ ταῦτα μὲν καλῶς διεῖλε καὶ ταῖς σάβλαις περιέπειρε. πῦρ δὲ ὁ υἱὸς Μενοιτίου ἀνῆψε μέγα, ὁ ἰσόθεος ἀνήρ. ἐπεὶ δὲ τὸ πῦρ ἀπεσβέσθη καὶ ἡ φλὸξ ἀπεμαράνθη, ἀνθρακιὰν ὑποσρώσας τὰς ὀβελίσκας ὑπεράνω ἐξέτεινεν, ἔπασσε δὲ καὶ ἅλατος θείου τῶν βάσεων ἐπάρας. "ἐπὶ δὲ ὀπτὰ ἐποίησε καὶ ἐν ταῖς τραπέζαις ἔθηκεν, ὁ μὲν Πάτροκλος ἄρτον λαβὼν ἐπεμέρισε τῇ τραπέζῃ ἐν καλοῖς κανισκίοις, τὰ δὲ κρέα ἐπέδωκεν Ἀχιλλεύς. αὐτὸς δὲ ἄντικρυς ἐκάθισε τῆ θαυμαςῆ Ὀδυσσέως ἐπὶ τῆ ἑτέρᾳ τοίχῳ, καὶ τοῖς θεοῖς θῦσαι παρεκελεύσατο "Πάτροκλον τὸν ἑαυτῆ φίλον. ὅτος δὲ ἐν τῷ πυρὶ ἔβαλε τὰς θυσίας. ὅτοι δὲ ἐπὶ τὰ ἕτοιμα βρώματα προκείμενα τὰς χεῖρας ἐξέτειναν. ἐπεὶ δὲ τῆς βρώσεώς τε καὶ πόσεως τὴν ἐπιθυμίαν ἐπλήρωσαν, διενεύσατο ὁ Αἴας τῷ Φοίνικι· ἐνόησε δὲ ὁ ἔνδοξος Ὀδυσσεύς, πληρώσας δὲ οἴνου ποτήριον ἐδεξιώσατο τὸν Ἀχιλλέα, "καὶ "χαίροις Ἀχιλλεῦ. εὐωχιάς μὲν τῆς ἰσομοίρου ἐκ ἐπιδεεῖς ἡμεῖς καὶ ἐν τῇ σκηνῇ τοῦ υἱοῦ Ἀτρέως τῷ Ἀγαμέμνονος καὶ νῦν ἐνταῦθα· πάρεσι γὰρ ἀγαθὰ πολλὰ εἰς τὸ εὐωχεῖσθαι· ἀλλ' ἐκ εὐωχίας τῆς ἐπεράσθη τὰ ἔργα πεφρόντισαι, ἀλλὰ πάνυ μεγάλην βλάβην ὧ εὐγενέσατε βλέποντες "δεδοίκαμεν, ἐν δισαγμῷ δέ ἐσμεν περισῶσαι ἢ ἀπολέσθαι ναῦς τὰς εὐκαθέδρους, εἰ μὴ σὺ ἐπενδύσῃ δύναμιν. πλησίον γὰρ τῶν νεῶν καὶ τῷ τείχει τὸν αὐλισμὸν ἐποιήσαντο Τρῶες οἱ μεγαλόψυχοι καὶ οἱ πόρρωθεν κεκλημένοι σύμμαχοι, καίοντες πυρὰ πολλὰ ἀνὰ τὸ στράτευμα· ἀδαμῶς δέ φασιν ἡμῶν ἀντισῆναι, ἀλλ' ἐν ταῖς ναυσὶ ταῖς βαθείαις ἐμπεσεῖν. ὁ δὲ Ζεὺς αὐτοῖς ὁ τῷ Κρόνου παῖς ἀγαθὰ σημεῖα δεικνὺς ἀστράπτει. ὁ δὲ "Εκτωρ τῇ δυνάμει αὐτῷ γαυριώμενος ὀργίζεθ ἐξόχως πεποιθὼς τῷ Διί, ἀδαμῶς δὲ τιμᾷ ἄνδρα οὐδὲ θεός· ἰσχυρὰ δὲ αὐτὸν μανία ἐπεσῆλθεν. "εὖχεθ δὲ ταχύτατα φανῆναι τὴν ἔνδοξον ἡμέραν· διαβεβαιοῦται γὰρ τῶν νεῶν ἀποκόψαι τὰ ἀκροστόλια καὶ τὰς κορυφάς, αὐτάς τε καύσειν διὰ ἰσχυρὸ πυρός, τοὺς δὲ Ἕλληνας ἀνελεῖν παρ' αὐταῖς βλαπτομένους τῷ καπνῷ. ταῦτα δεινῶς δέδοικα κατὰ διάνοιαν, μή πως αὐτῷ τὰς ἀπειλὰς "ἐκπληρώσωσιν οἱ θεοί, ἡμῖν δὲ πεπρωμένον ᾖ διαφθαρῆναι ἐν τῇ Τροίᾳ πόρρω τῆ ἱπποτρόφω Ἄργεος. ἀλλ' ἀνάςηθι, εἰ προθυμῇ καὶ βαδίως τοὺς Ἕλληνας καταπονεμένους ῥύεσθαι ὑπὸ τὸ θούριον τῶν Τρώων. καὶ σοὶ αὐτῷ μετὰ ταῦτα λύπη γενήσεθ, ὅτι

ὁτις μηχανὴ "τῷ κακῷ πραχθέντος ἔξαι θεραπείαν εὑρεῖν. ἀλλὰ πολὺ πρότερον βουλεύσ ὅπως τοῖς Ἕλλησιν ἀποσοβήσῃς τὴν κακὴν ἡμέραν. ὦ μακάριε, ὄντως μέν σοι πατὴρ ἐνετέλλετο ὁ Πηλεὺς τῇ ἡμέρᾳ ἐκείνῃ ὅτε σε ἐκ Φθίας τῷ Ἀγαμέμνονι παρέπεμψεν "ὦ τέκνον ἐμόν, δύναμιν μὲν ἥ τε Ἀθηνᾶ καὶ Ἥρα "δώσουσιν, ἂν θελήσωσιν· σὺ δὲ τὴν μεγαλόψυχον ὀργὴν ἔπεχε ἐν τῇ διανοίᾳ· κρεῖττον γὰρ ἡ φιλία. καὶ λῆγε τῆς φιλονεικίας τῆς κακὰ μηχανωμένης, ὅπως σε μᾶλλον τιμῶσι τῶν Ἑλλήνων καὶ οἱ νέοι καὶ οἱ γέροντες." " οὕτως σοι ἐνετέλλετο ὁ πρεσβύτης, σὺ δὲ ἐπελάθου. ἀλλ' ἔτι καὶ νῦν "παύου, ἔασον δὲ τὸν χόλον τὸν χαλεπόν. σοὶ δὲ ὁ Ἀγαμέμνων ἐπάξια δῶρα παρέξει παυσαμένῳ τῆς ὀργῆς. ἄγε σὺ μέν μοι ἄκουσον, ἐγὼ δὲ ἄν σοι καταριθμήσω, ὁπόσα ἐν ταῖς σκηναῖς ὑπέχετο δῶρα ὁ Ἀγαμέμνων, ἑπτὰ καινὸς τρίποδας καὶ δέκα χρυσοῦ τάλαντα, "τῆς χρείας δὲ λέβητας εἴκοσι, καὶ δώδεκα ἵππους εὐτραφεῖς γενναίους, οἳ ἔπαθλα τοῖς ποσὶν ἐκτήσαντο. ἐκ ἂν πένης γένοιτο ὁ ἀνὴρ ᾧ τινι ταῦτα προσγενήσεται, ὃς ἂν ἐνδεὴς τῷ μεγαλοτίμῳ χρυσῷ, ὅσα οἱ τῷ Ἀγαμέμνονος ἵπποι ἔπαθλα τοῖς ποσὶν ἀπηνέγκαντο. "δώσει καὶ ἑπτὰ γυναῖκας ἀψόγους, ἔργα ἐπισταμένας, τὰς ἀπὸ Λέσβου, ἃς ἡνίκα τὴν Λέσβον τὴν εὐκτιτον καθεῖλες αὐτὸς ἐξελέξατο, αἳ τηνικαῦτα τῷ κάλλει ἐνίκων τὰ γένη τῶν γυναικῶν. ταύτας μέν σοι παρέξει, ἐν αὐταῖς δὲ ἔσαι ἣν τότε ἀφείλετο θυγατέρα τοῦ Βρισέως· ἐπομεῖται δὲ μέγαν ὅρκον "μηδέποτε τῆς κοίτης αὐτῆς ἐπιβῆναι καὶ μιγῆναι ὡς νόμος ἐστὶν ᾧ βασιλεῦ τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν. ταῦτα μὲν πάντα παραχρῆμα παρέσαι· ἐὰν δὲ πάλιν τὴν μεγαλόπολιν τοῦ Πριάμου οἱ θεοὶ παρέξουσι πορθῆσαι, ναῦν πεπληρωμένην χρυσοῦ καὶ χαλκοῦ σωρεῦσαι, "εἰσελθὼν ὁπόταν μεριζώμεθα τὰ λάφυρα οἱ Ἕλληνες· Τρωϊκὰς δὲ γυναῖκας εἴκοσιν αὐτὸς ἐπιλέξαιο, αἵτινες ἂν μετὰ τὴν Πελοποννησιακὴν Ἑλένην εὐμορφότατοι εἶσιν. ἐὰν δὲ εἰς τὸ "Αργος παραγενώμεθα τὸ Ἑλληνικόν, τὸ εὔκαρπον καὶ πῖον τῆς γῆς, γαμβρὸς ἂν αὐτοῦ εἴης, τιμήσῃ δέ σε ἐπ' ἴσης τῷ Ὀρέστῃ, "[ὃς αὐτῷ μονογενὴς ἀνατέθραπται ἐν πολλῇ εὐωχίᾳ καὶ ἀγαθοῖς.] τρεῖς δὲ αὐτῷ εἰσὶ θυγατέρες ἐν τῷ εὐκτίτῳ οἴκῳ, ἡ Χρυσόθεμις καὶ ἡ Λαοδίκη καὶ ἡ Ἰφιάνασσα· ἐκ τούτων ἣν ἂν ἐθέλῃς γαμετὴν ἄνευ δώρων ἀγαγεῖν πρὸς τὸν οἶκον τοῦ Πηλέως· ἔτος δὲ πρωῖκα ἐπιδώσει "πάνυ πολλήν, ὅσην οὐδέπω τις τῇ ἰδίᾳ ἐπέδωκε θυγατρί. ἑπτὰ δέ σοι παρέξει καλῶς οἰκισμένας πόλεις, τήν τε Καρδαμύλην καὶ τὴν Ἐνόπην καὶ Ἱρὴν τὴν βοτανώδη καὶ Φηρὰς τὰς θαυμαστὰς καὶ "Ανθειαν τὴν βαθεῖς λειμῶνας ἔχουσαν τήν τε ἁλλὴν Αἴπειαν καὶ τὴν ἀμπελώδη Πήδασον· "πᾶσαι δὲ ἐγγὺς οἰκοῦσι τῆς θαλάσσης Πύλῳ τῆς ψαμμώδους, ἐν αὐταῖς δὲ οἰκοῦσιν ἄνδρες πολυθρέμματοι, πολλὰς βόας ἔχοντες, οἵτινες ἄν σε δωρεαῖς ὡς θεὸν φιλοτιμήσονται καὶ ὑπὸ σῷ σκήπτρῳ λαμπρὰς τελέσουσι φόρους. ταῦτά σοι τελέσειεν ἂν παυσαμένῳ τῆς ὀργῆς. "εἰ δέ σοι ὁ Ἀγαμέμνων μὲν ἐκ ψυχῆς ἐμισήθη μᾶλλον, αὐτός τε καὶ τὰ τότε δῶρα, ἀλλὰ σὺ τοὺς λοιποὺς πάντας "Ἕλληνας δαμαζομένους ἐλέησον κατὰ τὸν κρατόν, οἵ σε ὡς θεὸν τιμήσουσιν· ὄντως γὰρ ἐν αὐτοῖς πάνυ μεγάλην δόξαν λάβῃς. τὰ νῦν γὰρ τὸν "Εκτορα φονεύσῃς ἄν, ἐπειδὰν πάνυ πλησίον ἔλθοι "μανίαν ἔχων ὀλεθρίαν, ἐπειδὴ ἀδένα λέγει ὅμοιον ἑαυτῷ εἶναι τῶν Ἑλλήνων, ὃς ἐνταῦθα αἱ νῆες ἔφερον." πρὸς τοῦτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεύς "ὦ εὐγενέστατε Λαέρτου παῖ, μεγαλόβουλε Ὀδυσσεῦ, πρέπει μὲν δὴ τὸν λόγον ἀποτόμως ἀπαρνήσασθαι, "καθάπερ φρονῶ καὶ ὡς τετελειωμένον γενήσεσθαι, ὥσε μή μοι πολυλογεῖτε παρακαθήμενοι ἑτέρωθεν ἄλλος. ἐχθρὸς γάρ μοι ἔσιν ἐκεῖνος ὁμοίως ταῖς τοῦ "Αιδου πύλαις, ὃς ἄλλο μὲν ἐνθυμεῖται τῇ διανοίᾳ, ἄλλο δὲ λέγει ψευδές· ἐγὼ δὲ ἐρῶ ὥσπερ μοι φαίνεσθαι εἶναι ἄριστα. "ὅτε ἐμὲ τὸν υἱὸν Ἀτρέως Ἀγαμέμνονα πείσειν δοκῶ ἔτε τὸς λοιπὸς "Ἕλληνας, ἐπειδὴ ἀδεμία χάρις ἦν πολεμεῖν τοῖς ἐχθροῖς ἀνδράσιν ἀδιαλείπτως ἀεί. ἴση μοῖρα τῷ μένοντι καὶ εἰ λίαν τις πολεμοίη· ἐν δὲ τῇ μιᾷ καὶ αὐτῇ τιμῇ καὶ ὁ ἄνανδρος καὶ ὁ πολεμικός. "τέθνηκεν ὁμοίως ὅ τε ἀργὸς ἀνὴρ καὶ ὁ πολλὰ ἐργασάμενος. ἀδὲν δέ μοι περισσόν ἐσιν, ἐπειδὴ ἔπαθον ὀδύνας ἐν τῇ ψυχῇ, ἀεὶ τῆς ἐμῆς ψυχῆς καταφρονῶν ἐν τῷ πολεμεῖν. ὥσπερ δὲ ὄρνις τοῖς ἵπταται μὴ δυναμένοις νεοσσοῖς προφέρει τροφήν, ἐπειδὰν λάβῃ, ἄσιτος δὲ τυγχάνει αὐτή, "ὅτω κἀγὼ πολλὰς μὲν ἀΰπνους νύκτας διῆγον, ἡμέρας δὲ ἤματωμένας διήνυον πολεμίζων, ἀνδράσι μαχόμενος ἕνεκα τῶν ἡμετέρων γυναικῶν. δώδεκα δὲ πόλεις σὺν νανσὶν ἐπόρθησα ἀνθρώπων· πεζὸς δὲ ἕνδεκά φημι κατὰ τὴν Τροίαν τὴν μεγαλόβωλον. "τέτων ἐκ πασῶν κειμήλια πολλὰ καὶ καλὰ ἐξαίρετα ἔλαβον, καὶ πάντα κομίσας τῷ Ἀγαμέμνονι ἐδίδων τῷ υἱῷ τοῦ Ἀτρέως· ἔτος δὲ ὀπίσω ὢν παρὰ νανσὶ ταῖς ταχείαις δεξάμενος ὀλίγα διένειμε, πολλὰ δὲ κατέχει, ἕτερα δὲ τοῖς βασιλεῦσιν ἐδίδα τιμὰς καὶ τοῖς βασιλεῦσι. "καὶ τέτοις μὲν ἐδραῖα κεῖται· μόνον δὲ τῶν Ἑλλήνων ἀπ' ἐμοῦ ἀφείλετο, καὶ κατέχει ὁμόκοιτον τὴν συνήρη. ταύτῃ συναναπαυόμενος χαιρέτω. τί δὲ χρὴ πολεμεῖν τοῖς Τρωσὶ τὸς "Ἕλληνας; τί δὲ τὸν λαὸν συναθροίσας ἀνήγαγεν ὧδε ὁ Ἀγαμέμνων; οὐ τῆς Ἑλένης ἕνεκα τῆς καλλικόμου; "ἦ μόνοι φιλοῦσι τὰς γυναῖκας ἀπὸ πάντων ἀνθρώπων οἱ υἱοὶ τοῦ Ἀτρέως; ἐπεὶ ὅστις ἐστὶν ἀνὴρ ἀγαθὸς καὶ συνετὸς καὶ σώφρων τὴν ἑαυτοῦ φιλεῖ καὶ φροντίζει, ὥσπερ κἀγὼ τυύτην ἐκ ψυχῆς ἠγάπων καίπερ αἰχμάλωτον οὖσαν. τὰ νῦν δὲ ἐπειδὴ ἐκ τῶν χειρῶν μου τὸ γέρας ἀφείλετο καὶ ἠπάτησέ με, "μή μου ἀπόπειραν ποιείτω καλῶς εἰδότος· ἁδαμῶς δέ με πείσει. ἀλλὰ σὺν σοὶ Ὀδυσσεῦ καὶ τοῖς λοιποῖς βασιλεῦσι βουλεύσθω ἐκ τῶν νεῶν ἀποσοβῆσαι τὸ καυσικὸν πῦρ. ὄντως δὴ λίαν πολλὰ ἐνήργησε χωρὶς ἐμοῦ, καὶ δὴ τεῖχος ᾠκοδόμησε καὶ ἔσκαψε τάφρον ἐπ' αὐτῷ "πλατεῖαν καὶ μεγάλην, καὶ σκόλοπας κατέπηξεν. ἀλλ' οὐδ' ὅτως δύναται τὴν δύναμιν τοῦ ἀνδροφόνου "Εκτορος ἐπέχειν (κωλύειν). ἡνίκα δὲ ἐγὼ σὺν τοῖς "Ἕλλησιν ἐμαχόμην, οὐκ ἠδύνατο τὴν μάχην ἀπὸ τοῦ τείχους παρορμᾶν ὁ "Εκτωρ, ἀλλ' ὅσον εἰς τὰς Σκαιὰς πύ-

λας ἠ εἰς τὴν δρῦν παρεγένετο. "ἐκεῖ ποτὲ ἅπαξ ἔμεινε, μύγις δέ μ' ἐξέφυγε τὴν ὁρμήν. τὰ νῦν δέ, ἐπειδὴ ὁ βέλομαι πολεμεῖν τῷ ἐνδόξῳ Ἕκτορι, αὔριον ἱερὰς θυσίας τῷ Διὶ θύσας ἠ πᾶσι τοῖς θεοῖς, σωρεύσας καλῶς τὰς ναῦς, ἐπειδὰν εἰς τὴν θάλασσαν καθελκύσω, ὄψει, ἐὰν ἐθέλῃς ἠ ἐάν σοι ταῦτα μέλῃ, "ὄρθρου πάνυ ἐπὶ τὸν ἰχθύας ἔχοντα Ἑλλήσποντον πλεύσας ναῦς τὰς ἐμάς, ἐν αὐταῖς δὲ ἠ τοὺς ἄνδρας κωπηλατῆσαι προθυμουμένους. ἐὰν δὲ εὔπλοιαν παράσχῃ ὁ ἔνδοξος Ποσειδῶν, ἡμέρᾳ ἂν τρίτῃ εἰς τὴν λιπαρούγειον Φθίαν παραγενοίμην. ὑπάρχει δέ μοι πάνυ πολλά, ἃ κατέλιπον ἐνταῦθα παραγενόμενος· "ἕτερον δὲ ἐκ τῶν ἐνταῦθα χρυσὸν ἠ χαλκὸν πυρρὸν ἠ γυναῖκας καλλιζώνους ἠ λαμπρὸν σίδηρον ἀπαγάγω, ἅτινα ἔλαβον. καὶ ὅπερ μοι γέρας ἔδωκε, ἠ ἐκ δευτέρου μεθ' ὕβρεως ἀφείλετο ὁ βασιλεὺς Ἀγαμέμνων ὁ υἱὸς τοῦ Ἀτρέως. διὸ πάντα ἀπαγγείλατε καθὼς ἐντέλλομαι "φανερῶς, ὅπως ἠ οἱ λοιποὶ ἐπ' αὐτῷ ὀργίζωνται Ἕλληνες, ἐάν πέ τινα τῶν Ἑλλήνων ἔτι ἐλπίζει ἐξαπατήσειν ἀεὶ τὴν ἀναίδειαν ἐνδεδυμένος. ἀλλ' οὐδαμῶς ἂν ἔμοιγε ἰσχύσῃ καίπερ ἀναιδὴς ὑπάρχων εἰς ὄψιν θεαθῆναι. [ἀδὲ κατά τι αὐτῷ βελὰς συλλογίσομαι ἀδὲ δὴ πρᾶξιν]· "ἐξηπάτησε γοῦν δή με ἠ ἤμαρτεν. ἀδαμῶς δὲ πάλιν ἐξαπατήσοι λόγοις. ἀρκετὸν δὲ αὐτῷ. ἀλλὰ ἡσυχος φθειρέσθω· τὴν γοῦν αὐτοῦ διάνοιαν ἐξείλετο ὁ βουλευτικὸς Ζεύς. ἔχθισα δέ μοι αὐτῷ τὰ δῶρα, τιμῶ δὲ αὐτὸν ἐν μοίρᾳ θανάτου. ἀδὲ ἐάν μοι δεκάκις ἠ εἰκοσάκις τοσαῦτα παράσχοι "ὅσα τε αὐτῷ νῦν ὑπάρχει ἠ εἴ ποθεν ἕτερα προσγένοιτο, ἀδ' ὅσα εἰς Ὀρχομενὸν προσοδεύεται, ἀδ' ὅσα εἰς Θήβας τὰς Αἰγυπτίας, ὅπου πλεῖστα ἐν τοῖς οἴκοις κτήματα κεῖται· αἵτινες Θῆβαι ἑκατόμπυλοι λέγονται, διακόσιοι δὲ ἐν ἑκάστῃ ἄνδρες ἐξέρχονται σὺν ἵπποις ἠ ἅρμασιν. "ἀδὲ ἐάν μοι τοσαῦτα παράσχοι ὁπόσα ψάμαθος ἠ κόνις, ἀδ' ἕως ἂν τὴν ἐμὴν ψυχὴν καταπείσειεν ὁ Ἀγαμέμνων, πρὶν ἢ πᾶσαν ἐμοὶ ἀποδῶναι τὴν ὀδυνηρὰν ὕβριν. τὴν δὲ θυγατέρα πρὸς γάμον ἐ λαμβάνω τοῦ Ἀγαμέμνονος, "ἀδὲ εἰ τῇ χρυσῇ Ἀφροδίτῃ εἰς τὸ κάλλος ἐξισοῖτο, τὰς δὲ πράξεις Ἀθηνᾷ τῇ εὐοφθάλμῳ ἐξισοῖτο. ἀδ' ἕως αὐτὴν γαμῶ· ἕτος δὲ ἄλλον τῶν Ἑλλήνων ἐκλεξάσθω, ὃς αὐτῷ ἐφαρμόζει ἠ ὃς βασιλικώτατός ἐστιν. ἂν γοῦν δή με οἱ θεοὶ σώσωσι ἠ εἰς τὸν οἶκον παραγένωμαι, Πηλεὺς ἂν "ἄμοιροι μετὰ ταῦτα γυναῖκα λήψεται αὐτὸς πρὸς γάμον. "πολλαὶ γοῦν Ἑλληνίδες εἰσὶν ἀνὰ τὴν Ἑλλάδα ἠ Φθίαν, θυγατέρες ἀρίστων, αἵτινες πόλεις φυλάττουσι (σώζουσι)· τούτων ἣν ἂν ἐθελήσω προσφιλῆ ποιήσομαι γαμετήν. ἐκεῖσε δέ μοι περὶ τῆς παλλακίδος ὠργίσθη τῆς καλλικόμου, "ἣν αὐτὸς ἐφίλει ἠ ἠτίμαζε τὴν ὁμόκοιτον μητέρα τὴν ἐμήν. αὕτη δὲ ἀεὶ ἐμὲ παρεκάλει ἱκετεύουσα πρὸ τῶν ἰχνῶν τῆς παλλακίδι μιγῆναι, ἵνα μισήσῃ τὸν γέροντα. ταῦτα ἐπείθην ἠ ἔπραξα. πατὴρ δὲ ὁ ἐμὸς εὐθέως ὑπονοήσας πολλὰ κατηύχετο, ἠ τὰς μισητὰς ἐπεκαλεῖτο Ἐρινῦς, "μή ποτε τοῖς ἐμοῖς γόνασιν ἐπικαθίσαι προσφιλῆ υἱὸν ἐξ ἐμοῦ γεγεννημένον· ἐπετέλεσε δὲ οἱ θεοὶ τὰς ἀράς, ὅ τε καταχθόνιος Πλούτων ἠ ἡ δεινὴ Περσεφόνη. "τότε ἐμοὶ ἐκεῖ πανπρόβατα ἰδιόκτητοί τε λέβητες ἠ ἵπποι ξανθοκέφαλοι· ψυχὴ δὲ ἀνδρὸς εἰς τὸπίσω ἐλθεῖν ἅτε ἐκ ληιστείας κτητὴ ἅτε πάλιν ληπτή, ἐπειδὰν ἅπαξ παρέλθῃ τὸν περίβολον τῶν ὀδόντων. "ἡ μήτηρ γάρ με ἡ θεὰ ἔλεγε Θέτις ἡ λαμπρόπεπλος δύο μοίρας φέρειν τῆς τοῦ θανάτου τελευτῆς. ἐὰν μὲν αὐτόθι μένων περὶ τὴν τῶν Τρώων πόλιν μάχωμαι, ἀπώλετο μέν μοι ἡ ἐπάνοδος, ἡ δὲ δόξα ἀθάνατος ἔσται· ἐὰν δὲ εἰς τὴν οἰκίαν παραγένωμαι εἰς τὴν προσφιλῆ πατρικὴν γῆν, "ἀπώλετό μοι ἡ ἀγαθὴ δόξα, ἐπὶ πολὺν δέ μοι χρόνον ἡ ζωὴ γενήσεται, ἀδ' ἄν με ταχέως τὸ τέλος τοῦ θανάτου καταλάβοι. ἠ δὴ ἂν τοῖς λοιποῖς ἐγὼ παραινέσαιμι εἰς τὰ οἰκεῖα ἀποπλεῖν, ἐπειδὴ ἀδαμῶς εὑρήσετε τὸ τέλος Ἰλίου τῆς ὑψηλῆς· πάνυ γοῦν αὐτῆς ὁ Ζεὺς "τὴν ἑαυτοῦ χεῖρα ἐπέθηκε ἠ ἐνεδυναμώθησαν οἱ λαοί. ἀλλ' ὑμεῖς μὲν πορευθέντες τοῖς ἀρίστοις τῶν Ἑλλήνων τὴν ἀγγελίαν ἀπαγγείλατε — τοῦτο γοῦν τιμὴ ἐστὶ τῶν γερόντων —, ὅπως ἑτέραν σκέπτωνται ἐν ταῖς διανοίαις βελὴν κρείττω, ἥτις αὐτούς ἠ τὰς ναῦς σώσει ἠ τὸν λαὸν τῶν Ἑλλήνων "ἐπὶ ταῖς βαθείαις ναυσίν, ἐπεὶ ἀδαμῶς αὐτοῖς αὕτη εὔληπτος, ἣν νῦν ἐβουλεύσαντο, ἐμοῦ σφόδρα ὀργισθέντος. ὁ Φοῖνιξ δὲ αὐτόθι παρ' ἡμῖν καταμένων κοιμηθήτω, ὅπως μοι ἐν ταῖς ναυσὶν εἰς τὴν προσφιλῆ πατρίδα ἀκολουθῇ αὔριον, ἐὰν βούληται· ἀδαμῶς γοῦν αὐτὸν ἀναγκάζω." "οὕτως εἶπεν· ἕτοιμοι δὲ πάντες ἀχανεῖς ἐγένοντο τῇ σιωπῇ, τὸν λόγον θαυμάσαντες· πάνυ γοῦν ἰσχυρῶς ἀπηρνήσατο. βραδέως δὲ ἀπεκρίθη ὁ προσβύτης ὁ ἱππικὸς Φοῖνιξ, δάκρυα ἀνενεγκών· περισσῶς γοῦν ἐφοβεῖτο διὰ τὰ πλοῖα τῶν Ἑλλήνων. "εἰ μὲν δὴ τὴν ἐπάνοδον ἐν ταῖς διανοίαις ὦ λαμπρότατε Ἀχιλεῦ "ἐνέθου ἠ ἐκέτι παντελῶς βοηθεῖν ταῖς ταχείαις ναυσὶ τὸ ἀφανισικὸν πῦρ βάλει, ἐπεὶ ἡ ὀργὴ ἐνέπεσε τῇ ψυχῇ, πῶς ἂν μετὰ ταῦτα ἀπὸ σοῦ προσφιλὲς τέκνον ἀπολειφθείην μόνος; σοὶ δέ με ἔπεμπεν ὁ πρεσβύτης ἠ ἱππικὸς Πηλεὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε σε ἐκ Φθίας τῷ Ἀγαμέμνονι παρέπεμπε "σμικρότατον, ἀδέπω ἐπιξάμενον τοῦ χαλεποῦ πολέμου ἀδὲ τῶν δημηγοριῶν, ὅπου οἱ ἄνδρες διαπρέποντες ὑπάρχουσι. διὰ τοῦτό με προέπεμψε διδάσκειν ταῦτα πάντα, λόγων τε διδάσκαλον εἶναι ἠ ῥήτορα δραστικῶν ἔργων. ἕως ἂν μετὰ ταῦτα ἀπὸ σοῦ ὦ προσφιλέστατον τέκνον ἐκ ἐθέλω "ἀπολειφθῆναι· ἐ γοῦν εἴ μοι ὑπόκοιτο αὐτὸς ὁ θεὸς τὸ γῆρας ἀφελὼν ποιήσειν νέως ἀκμάζοντα, ὁποῖον ἐν πρώτοις ἀπέλιπον τὴν καλλιγύναικα Ἑλλάδα, φεύγων τὰς φιλονεικίας τοῦ πατρὸς Ἀμύντορος τοῦ Ὀρμένου παιδός, ὃς ἐπεμπε "σμικρότατον, ἀδέπω ἐπιξάμενον τοῦ χαλεποῦ πολέμου ἀδὲ τῶν δημηγοριῶν, ὅπου οἱ ἄνδρες διαπρέποντες ὑπάρχουσι. διὰ τοῦτό με προέπεμψε διδάσκειν ταῦτα πάντα, λόγων τε διδάσκαλον εἶναι ἠ ῥήτορα δραστικῶν ἔργων. ἕως ἂν μετὰ ταῦτα ἀπὸ σοῦ ὦ προσφιλέστατον τέκνον ἐκ ἐθέλω "ἀπολειφθῆναι· ἐ γοῦν εἴ μοι ὑπόκοιτο αὐτὸς ὁ θεὸς τὸ γῆρας ἀφελὼν ποιήσειν νέως ἀκμάζοντα, ὁποῖον ἐν πρώτοις ἀπέλιπον τὴν καλλιγύναικα Ἑλλάδα, φεύγων τὰς φιλονεικίας τοῦ πατρὸς Ἀμύντορος τοῦ Ὀρμένου παιδός, ὃς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τελῶς κατείχετο ἐν ταῖς διανοίαις ἡ ψυχὴ τῆ πατρὸς ὀρ-
γιζομένε κατὰ τὲς οἴκες ἀναερέφεθε. ὄντως πολλοὶ μὲν
ἑταῖροι κ' ἀδελφῶν υἱοὶ περὶ ἐμὲ ὄντες "αὐτόθι παρακα-
λῆντες κατεῖχον ἐν τοῖς οἴκοις· πολλὰ δὲ εὐτραφῆ πρό-
βατα κ' ἑλικόποδας μέλανας βῶς ἔσφαζον· πολλοὶ δὲ χοῖ-
ροι θάλλοντες τῷ λίπει ὀπτώμενοι ἐξετείνοντο διὰ τῆς φλο-
γὸς τῆ πυρός· πολλοὶ δ' ἐκ τῶν πίθων οἶνον ἔπινον τέτε
τῆ γέροντος. "ἐπὶ ἐννέα δέ μοι νύκτας παρ' αὐτῷ παρε-
κοιμῶντο τὰς νύκτας· οἱ μὲν ἐκ διαδοχῆς τὰς φυλακὰς
ἐφύλαττον· ἀδέποτε δὲ ἐσβέθη τὸ πῦρ, ἄλλο μὲν ὑπὸ τῇ
θύρᾳ τῆς αὐλῆς τῆς ἀσφαλῆ περίβολον ἐχέσης, ἕτερον δὲ
ἐν τῷ προσώπῳ ἔμπροσθεν τῶν τῆ θαλάμε θυρῶν. ἀλλ'
ἑνίκα ἡ δεκάτη μοι ἐπεγένετο σκοτεινὴ νύξ, "κ' τηνικαῦτα
ἐγὼ τῆ οἴκε τὰς θύρας ἀσφαλῶς ἡρμοσμένας ἀνοίξας ἐξῆλ-
θον, κ' ὑπερηλάμην τὸ περίφραγμα τῆς αὐλῆς εὐκόλως,
λαθὼν τὲς φύλακας ἄνδρας κ' τὰς δέλας γυναῖκας. ἔφευ-
γον μετὰ ταῦτα ἄποθεν διὰ τῆς πλατείας Ἑλλάδος, εἰς
τὴν Φθίαν δὲ παρεγενόμην τὴν μεγαλόβωλον, τὴν μητέρα
τῶν προβάτων, "πρὸς Πηλέα τὸν βασιλέα· ἔτος δέ με
προθύμως ὑπεδέξατο, κ' ἠγάπησέ με καθάπερ πατὴρ ἴδιον
παῖδα ἀγαπᾷ μόνον μονογενῆ ἐπὶ πολλοῖς κτήμασι. καί με
πλέσιον ἐποίησε, πολὺν δέ μοι παρέχε· λαόν· ᾤκεν δὲ τὰ
ἴχατα μέρη τῆς Φθίας, τῶν Δολόπων βασιλεύων. "καί σε
τοιῆτον ἐποίησα ὦ τοῖς θεοῖς ὅμοιε Ἀχιλλεῦ, ἐκ ψυχῆς
ἀγαπῶν, ἐπειδὴ ἐκ ἤθελες σὺν ἄλλῳ ἔτε εἰς εὐωχίαν πο-
ρευθῆναι ἔτε ἐν τοῖς οἴκοις γεύσαθε, πρὶν ἢ ὅτε δή σε
ἐπὶ τοῖς ἐμοῖς ἐγὼ γόνασι καθίσας προσφαγὶ κορέσαιμι
ἀποκόψας κ' οἶνον ἐπιχέων. "πολλάκις μοι κατέβρεξας ἐπὶ
τοῖς σήθεσι τὸν χιτῶνα τῆ οἴνε ἀπεμῶν ἐν τῇ χαλεπῇ
παιδοτροφίᾳ. ἔτως ἐπὶ σοὶ μάλα πολλὰ ἔπαθον κ' πολλὰ
ἐκοπίασα, ταῦτα ἐννοῶν ὅτι μοι ἀδαμῶς οἱ θεοὶ παῖδα
παρέχον ἐξ ἐμαυτῆ· ἀλλὰ σὲ παῖδα ὦ τοῖς θεοῖς παρό-
μοιε Ἀχιλλεῦ "ἐποιέμην, ἵνα μοί ποτε τὸν ἀπρεπῆ ὄλε-
θρον ἀποσοβήσῃς. ἀλλ' ὦ Ἀχιλλεῦ καταπράϋνον τὴν με-
γάλην ὀργήν· ἐ γ' χρή σε ἀπηνῆ ψυχὴν ἔχειν. εὐμετάσχε-
τοι κ' θεοὶ αὐτοί, ὧν κ' ἡ ἀρετὴ μείζων κ' ἡ τιμὴ κ' ἡ
δύναμις. κ' τέτες μὲν θυσίαις κ' εὐχαῖς προσηνέσι "κ' τῇ
σπονδῇ κ' τῇ ἀναθυμιάσει παραπείθσιν ἄνθρωποι παρα-
καλῆντες, ὁπόταν τις παραβῇ κ' ἁμάρτῃ. κ' γ' θεαὶ ὑπάρ-
χεσιν αἱ Λιταί, τῆ μεγάλε θυγατέρες Διός, χωλοποιοί τε
ῥυτίδας ἔχεσαι κ' διάςροφοι τὲς ὀφθαλμές· αἵτινες κ' εἰς
ὕςερον βλάβης φροντίζεσι παραγενόμεναι. "ἡ δὲ Ἄτη
ἰχυρά τέ ἐςι κ' ὑγιὴς τοῖς ποσί· διὰ τῆτο πάσας κατὰ
πολὺ προλαμβάνει· καταλαμβάνει δὲ κ' ἐπὶ πᾶσαν γῆν
βλάπτεσα τὲς ἀνθρώπες· αὖται δὲ ἰῶν μετὰ ταῦτα. ὃς
μέντοι αἰδεσθῇ τὰς θυγατέρας τῆ Διὸς πλησίον ἐλθέσας,
τῆτον μεγάλως ὠφέλησαν κ' τέτε ἤκεσαν εὐχομένε· "ὃς δ'
ἂν ἀπαρνήσηθ' κ' σκληρῶς ἀπείπῃ, παρακαλῆσι δὴ αὗται
τὸν Δία πορευθεῖσαι τέτῳ βλάβην ἑπακολεθῆσαι, ὅπως
ἐμποδιθεὶς ἀποδῷ τιμωρίαν. ἀλλ' ὦ Ἀχιλλεῦ παράχε κ'
σὺ ταῖς Διὸς θυγατράσι τὸ ἀκολεθεῖν τιμήν, ἢ κ' τῶν
λοιπῶν ἐπικάμπτει τὰς διανοίας τῶν ἀγαθῶν. "εἰ μὲν γ'
μὴ ἐδίδε δῶρα κ' ἕτερα μετὰ ταῦτα ὑπιχνεῖτο ὁ Ἀγαμέ-
μνων, ἀλλ' ἀεὶ ἐπιμόνως ὀργίζοιτο, ἐκ ἄν σε ἐγὼ τὴν μῆ-
νιν ἀποθέμενον ἐκέλευον τοῖς Ἕλλησι βοηθεῖν χρῄζεσί
περ ὅμως. νῦν δὲ ὁμῆ πολλὰ δίδωσι κ' τἄλλα μετὰ ταῦτα
ὑπιχνεῖται. "ἄνδρας τε παρακαλεῖν προέπεμψεν ἀρίστους
ἐπιλεξάμενος κατὰ τὸ πλῆθος τὸ Ἑλληνικόν, οἵ κ' σοὶ αὐτῷ
οἱ προσφιλέσατοι τῶν Ἑλλήνων, ὧν σὺ τὸν λόγον μηδα-
μῶς ἀτιμάσῃς μηδὲ τὴν ἄφιξιν. πρότερον δὲ οὐδαμῶς
μεμπτέον ὀργίζεσθ. ἔτω κ' τῶν πρὸ ἡμῶν ἠκέομεν ἀνδρῶν
ἐνδόξων "ἡμιθέων, ὅταν τινὶ χαλεπὴ ὀργὴ ἐπεγένετο· δώ-
ροις πειθόμενοι ἐγίνοντο κ' εὐπαραμύθητοι λόγοις. μέμνη-
μαι τᾶτο ἐγὼ πρὸ πολλᾶ κ' ὁ νεωσὶ ὡς ἐγένετο· ἐν ὑμῖν
δὲ ἐρῶ πᾶσι τοῖς φίλοις. ἐμάχοντο οἵ τε Κρῆτες κ' Αἰ-
τωλοὶ οἱ πολεμικοὶ "περὶ Καλυδῶνα τὴν πόλιν κ' ἀλλή-
λες ἐφόνευον, οἱ Αἰτωλοὶ μὲν ὑπερμαχῆντες Καλυδῶνος
τῆς ἐπεράσε, οἱ Κρῆτες δὲ διαπορθεῖν προθυμέμενοι τῷ
πολέμῳ. κ' γ' τέτοις κακωτικὸν ἡ "Αρτεμις ἡ χρυσόθρο-
νος διήγειρεν, ὀργιαθεῖσα ὅτι αὐτῇ ἐδαμῶς ἀπαρχὰς γεν-
ημάτων γῆς "ὁ Οἰνεὺς ἔθυσεν. οἱ δὲ λοιποὶ θεοὶ εὐω-
χῆντο μεγάλας θυσίας· μόνῃ δὲ ἐκ ἔθυσε τῆ μεγάλε Διὸς
τῇ θυγατρί· ἢ γὰρ ἐπελάθετο ἢ ἐκ ἐνόησεν· ἐβλάβη δὲ
μεγάλως τῇ ψυχῇ. αὕτη δὲ ὀργιαθεῖσα ἡ Διὸς θυγάτηρ,
ἡ τοξικὴ Ἄρτεμις, ἐπήγειρε τὸν ἐν χλόῃ εὐναζόμενον χοῖ-
ρον ἄγριον λευκόδοντα, "ὃς πολλὰ κακὰ εἰργάζετο κατε-
θίων τῆ Οἰνέως τὴν χώραν. πολλὰ δὲ ἔτος πρόῤῥιζα χα-
μαὶ ἔῤῥιψε δένδρα μεγάλα σὺν αὐταῖς ταῖς ῥίζαις κ' αὐ-
τοῖς τοῖς καρποῖς. τᾶτον δὲ ὁ τῆ Οἰνέως παῖς ἀπέκτεινε
Μελέαγρος, ἐκ πολλῶν πόλεων θηρευτὰς ἄνδρας ἀθροίσας
κ' κύνας· ἐδαμῶς γ' ἂν ἀπεκτάνθη ὑπὸ ὀλίγων ἀνδρῶν·
τηλικᾶτος ἦν, πλείσας δὲ τῆς πυρᾶς ἐπιβῆναι ἐποίησε τῆς
χαλεπῆς. αὕτη δὲ περὶ αὐτῷ ἐποίησε πολὺν θόρυβον κ' τα-
ραχήν, περὶ τῇ τᾶ χοίρε κεφαλῇ κ' τῷ δασεῖ δέρματι, ἀνὰ
μέσον τε τῶν Κρητῶν καὶ τῶν μεγαλοψύχων Αἰτωλῶν.
"ἕως ὅτε μὲν ἐν Μελέαγρος ὁ φιλοπόλεμος ἐμάχετο, μέχρι
τότε τοῖς Κρησι δεινὰ συνέβαινε, κ' ἐκ ἠδύναντο τοῦ
τείχες ἔξωθεν σῆναι καίπερ πολλοὶ ὑπάρχοντες. ἀλλ' ἡνίκα
δὴ τὸν Μελέαγρον ὑπεισῆλθεν ὀργή, ἢ κ' ἑτέρων εἰς ὕψος
αἴρεσθ ποιεῖ ἐν ταῖς διανοίαις τὸν νᾶν συχνῶς φρονέντων,
"ἔτος μὲν τῇ προσφιλεῖ μητρὶ Ἀλθαίᾳ ὀργιζόμενος τὴν
ψυχὴν διέτριβε παρὰ τῇ γαμετῇ τῇ καλλίςῃ Κλεοπάτρᾳ,
τῇ θυγατρὶ Μαρσίππης τῆς εὐπρεπᾶς Εὐήνε θυγατρὸς κ'
Ἴδε, ὃς κάλλιςος τῶν ἐπὶ γῆς ὑπῆρχεν ἀνδρῶν τῶν τότε,
κ' δὴ τῆ βασιλέως ἐξ ἐναντίας ἔτεινε τὸ τόξον "τοῦ λαμ-
προτόξε Ἀπόλλωνος ἕνεκα τῆς εὐπρεπᾶς νύμφης. ταύτην
δὲ τότε ἐν τοῖς οἴκοις ὁ πατὴρ κ' ἡ μήτηρ ἡ σεβασμία
Ἀλκυόνην ἐκάλεν φερώνυμον, διότι δι' αὐτῆς ἡ μήτηρ
ἀλκυόνος τῆς πολλὰ πενθέσης συμφορὰν ἔχεσα ἔκλαιεν,
ὅτε αὐτὴν ὁ μεγαλεργὸς ἀνήρπασε λαμπρότοξος Ἀπόλλων.
"ταύτῃ οὕτος παρεκοιμᾶτο, τὴν λυπηρὰν ὀργὴν παρηγο-
ρῶν, συνεχῶς διὰ τὰς τῆς μητρὸς ἀρὰς ὠργισμένος, ἢ δὴ

τοῖς θεοῖς πολλὰ λυπεμένη ἠΰχετο διὰ τὸν τῆ ἀδελφοῦ φόνον, πολλὰ δὲ κ᾽ γῆν τὴν πολλὴς τρέφεσαν ταῖς χερσὶν ἔπληττεν, ἐπικαλῆσα τὸν Ἄιδην κ᾽ τὴν φοβερὰν Περσεφόνην, "ἐπὶ τῶν γονάτων καθεζομένη — ἐβρέχοντο δὲ οἱ κόλποι τοῖς δάκρυσι —, τῷ παιδὶ δῆναι θάνατον. ταύτης δὲ ἐκ τῆ σκότες φοιτῶσα ἡ Ἐρινὺς ἤκουεν ἐκ τῆ σκότες, σκληρὰν ψυχὴν ἔχεσα. τότων δὲ περὶ τὰς πύλας ταχέως ταραχὴ ἔκτοπος διηγέρθη τῶν πύργων καταβαλλομένων. τῆτον δὲ παρεκάλεν οἱ γηραιοὶ "τῶν Αἰτωλῶν, ἔπεμπον δὲ τὲς τῶν θεῶν ἱερῆς τὲς βελτίσες, ἐξελθεῖν κ᾽ βοηθῆσαι, ἐπαγγειλάμενοι μέγα δῶρον. ὅπε λιπαρώτατον πεδίον τῆς ἐπεράσε Καλυδῶνος, ἐκεῖ αὐτὸν ἐκέλευον κλῆρον περικαλλῆ ἐπιλέξαθ᾽ πεντήκοντα πλέθρων, τὸ μὲν ἥμισυ οἰνοφόρον γῆν, "τὸ δὲ ἕτερον ἥμισυ ἄδενδρον γῆν τῆ πεδίε διατεμεῖν. πολλὰ δὲ αὐτὸν ἐκέτευεν ὁ ἔντιμος ἱππότης Οἰνεὺς τῆς φλιᾶς ἐπιβεβηκὼς τῆ ὑψηλοσέγε οἴκε, τινάσσων τὰς κεκολλημένας θύρας, ἱκετεύων τὸν υἱόν. πολλὰ δὲ τῆτον αἱ ἀδελφαὶ κ᾽ ἡ σεβασμία μήτηρ "παρεκάλεν. ἦτος δὲ μᾶλλον ἀπηρνεῖτο. πολλὰ δὲ οἱ ἑταῖροι, οἳ αὐτῷ κηδεμονικώτατοι κ᾽ προσφιλέσατοι ἦσαν ἁπάντων. ἀλλ᾽ ὃδ᾽ ἕτω τότε τὴν ψυχὴν ἐν ταῖς διανοίαις ἔπειθον, ἕως ὅτε δὴ ὁ οἶκος συνεχῶς ἐλιθάζετο, ἦτοι δὲ ἐπὶ τῶν πύργων ἀνέβαινον οἱ Κόρητες κ᾽ ἐνεπίμπρων τὴν μεγάλην πόλιν. "κ᾽ τηνικαῦτα δὴ τὸν Μελέαγρον ἡ καλλίζωνος γαμετὴ παρεκάλει ὀδυρομένη, κ᾽ αὐτῷ διηγήσατο ἅπαντα τὰ κακά, ὅσα ἀνθρώποις συμβαίνει ὧν ἡ πόλις ληφθείη· τὲς μὲν ἄνδρας κτείνεσι, τὴν δὲ πόλιν τὸ πῦρ ἀφανίζει, κ᾽ τὰ τέκνα ἄλλοι λαμβάνεσι κ᾽ τὰς εὐζώνες γυναῖκας. "τότε δὲ ἐταράχθη ἡ ψυχὴ ἀκουτιζομένε τὰ δεινὰ ἔργα. ὥρμησε δὲ πορευθῆναι, τῷ σώματι δὲ τὰ ὅπλα ἐνεδύσατο τὰ καλά. ἦτως ἦτος μὲν τοῖς Αἰτωλοῖς ἀπεσόβησε τὴν κακὴν ἡμέραν, νικηθεὶς ὑπὸ τῆς ἐπιθυμίας· τότῳ δὲ ἐδαμῶς τὰ δῶρα ἐτελείωσαν τὰ πολλὰ κ᾽ χαροποιά, ἀλλὰ κ᾽ ἕτω τὸν πόλεμον ἔπαυσεν. "ἀλλὰ σὺ μηδαμῶς μοι ταῦτα διανοῆ ἐν ταῖς διανοίαις, μηδέ σε ὁ δαίμων ἐνθάδε κατάχοι ὦ προσφιλέσατε· κακὸν δ᾽ ἂν εἴη τῆτο, ταῖς ναυσὶ καιομέναις βοηθῆσαι. ἀλλὰ μετὰ δώρων ἐλθέ· ἐπ᾽ ἴσης γάρ σε θεῷ τιμήσεσιν οἱ Ἕλληνες. εἰ δὲ χωρὶς δώρων τὸν πόλεμον τὸν ἀνθρωποφθόρον ὑπείσελθῄς, "ἐκέτι ὁμοίως τιμηθήσῃ καίπερ τὸν πόλεμον ἀποσοβήσας." πρὸς τῆτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ταχὺπες Ἀχιλλεὺς "ὦ Φοῖνιξ τροφεῦ γηραιέ, εὐγενέσατε, ἐδαμῶς μοι ταύτης χρεία τῆς τιμῆς· βέλομαι δὲ τετιμῆθ᾽ τῇ τῆ Διὸς βελήσει, ἥτις με καθέξει παρὰ ταῖς ναυσίν, ἕως ἂν ἀναπνοὴ "ἐν τοῖς σήθεσί με παραμένῃ κ᾽ τὰ γόνατά μοι ἐρρωμένα ᾖ. ἄλλο δέ σοι ἐρῶ, σὺ δ᾽ ἐν ταῖς διανοίαις ἐνθε ταῖς σαῖς· μή με λύπει τὴν ψυχὴν κλαίων κ᾽ λυπούμενος, τῷ υἱῷ Ἀτρέως τῷ ἡμιθέῳ χαριζόμενος· ἐδαμῶς δέ σε χρὴ τῆτον ἀγαπᾶν, ἵνα μή μοι ἐχθρὸς γενήσῃ φιλῆντι. "καλόν σοι σὺν ἐμοὶ τῆτον λυπεῖν ὅς ἂν ἐμὲ λυπῇ. ἐπ᾽ ἴσης ἐμοὶ βασίλευε κ᾽ τὸ ἥμισυ μερίζε τῆς τιμῆς. οὗτοι δὲ ἀπαγγελῆσι· σὺ δὲ αὐτῆ μένων κοιμήθητι ἐν ςρωμνῇ μαλακῇ· ὁμῆ δὲ τῇ ἡμέρᾳ φαινομένῃ βελευσόμεθα ἢ ποτρόκλῳ ἔτος ταῖς ὀφρύσιν ἐπένευσε μετὰ σιωπῆς τῷ Φοίνικι ςρῶσαι πυκνὴν κοίτην, ὅπως τάχισα ἐκ τῆς σκηνῆς τῆς ἐπανόδε φροντίσωσιν. ἐν τότοις δὲ ὁ Αἴας ὁ ἰσόθεος τῆ Τελαμῶνος υἱὸς λόγον μετεῖπεν. "ὦ εὐγενέσατε Λαέρτε υἱέ, πολύβελε Ὀδυσσεῦ, "πορευθῶμεν· ἐ γ᾽ δοκεῖ τὸ τοῦ λόγου τέλος ταύτῃ τῇ ὁδῷ τελειῆσθ. ἀπαγγεῖλαι δὲ ταχύτατα πρέπει τὸν λόγον τοῖς Ἕλλησι καίπερ ἐκ ἀγαθὸν ὄντα, οἵτινές πε νῦν κάθηνται ἀπεκδεχόμενοι. ὁ δὲ Ἀχιλλεὺς ἀνήμερον ἐν ταῖς διανοίαις ἐτίθετο τὴν μεγαλόψυχον ὀργήν, "ὁ δεινός, ἐδὲ φροντίζει τῆς φιλίας τῶν ἑταίρων ταύτης, οἳ αὐτὸν παρὰ ταῖς ναυσὶν ἐτιμῶμεν ἐξόχως τῶν λοιπῶν, ὁ ἀνηλεής. καί τις μὲν ὑπὲρ ἀδελφικῆ φόνε τιμωρίαν ἢ παιδὸς ἰδίε ἐδέξατο ἀποθανόντος· κ᾽ δὴ ἦτος μὲν ἐν πλήθει μένει αὐτόθι πολλὰ ἀποδές, "τούτε δὲ ἔτι κατέχει ἡ καρδία κ᾽ ἡ ψυχὴ ἡ αὐθάδης ἀντέκτισιν δεξαμένε. σοὶ δὲ ἀκατάπαυςον κακὸν χόλον ἐν τῇ καρδίᾳ οἱ θεοὶ ἔθεντο ὑπὲρ κόρης μιᾶς. τὰ νῦν δέ σοι ἑπτὰ παρέχομεν λίαν βελτίας ἄλλα τε πολλὰ πρὸς ταύταις. σὺ δὲ ἥμερον ποίησον τὴν ψυχήν, "αἰδέεθητι δὲ κ᾽ τὴν οἰκίαν. ὑπὸ δὲ τὴν αὐτήν σοι ςέγην ἐσμὲν ἐκ τῆ πλήθες τῶν Ἑλλήνων, δοκοῖμεν δέ σοι κατὰ πολὺ τῶν λοιπῶν οἰκειότατοι εἶναι κ᾽ προσφιλέσατοι ὁπόσοι οἱ "Ελληνες." πρὸς τῆτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ταχύπες Ἀχιλλεὺς "ὦ Αἶαν εὐγενέσατε Τελαμῶνος υἱέ, βασιλεῦ τῶν λαῶν, "ἅπαντά μοι καθηκόντως ἔδοξας εἰρηκέναι· ἀλλά μοι πληροῦ᾽ ἡ καρδία τῇ ὀργῇ, ὅταν ἐκείνων μνηθήσομαι, πῶς με ἀδόκιμον ἐν τοῖς Ἕλλησιν ἔκρινεν ὁ Ἀγαμέμνων ὥς τινα ἄτιμον καὶ μέτοικον. ἀλλ᾽ ὑμεῖς πορεύεθε κ᾽ τὴν ἀγγελίαν ἀπαγγείλατε. "οὐ γ᾽ πρότερον τῆ πολέμε φροντιῶ τῆ ἡμαγμένου, πρὶν ἢ τὸν υἱὸν τῆ Πριάμε τῆ συνετῆ τὸν Ἕκτορα τὸν ἔνδοξον ἐπί τε τὰς σκηνὰς τῶν Μυρμιδόνων κ᾽ τὰς ναῦς παραγενέθ᾽ ἀποκτείνοντα τὲς Ἕλληνας, κ᾽ κατακαῦσαι τῷ πυρὶ τὰς ναῦς· περὶ δὲ τῇ ἐμῇ σκηνῇ κ᾽ τῇ βαθείᾳ νηῒ τὸν Ἕκτορα κ᾽ προθυμέμενον τῇ μάχῃ κωλυθῆναι ὑπολαμβάνω." ἦτως εἶπεν· ἦτοι δὲ ἕκαςος λαβὼν ποτήριον ςρογγύλον θύσαντες παρὰ τὰς ναῦς εἰς τὰπίσω ἐπορεύθησαν· ἡγεῖτο δὲ Ὀδυσσεύς. ὁ δὲ Πάτροκλος τοῖς ἑταίροις κ᾽ ταῖς δούλαις ἐκέλευσε τῷ Φοίνικι εὐτρεπίσαι πυκνὴν κοίτην λίαν ταχύτατα· "αὗται δὲ πειθόμεναι ἔρωσαν κοίτην ὡς ἐκέλευσε, κώδια κ᾽ βεβαμμένον ἱμάτιον κ᾽ λινᾶν ἐφάπλωμα, ὅπε ὁ πρεσβύτης ἐκοιμήθη [κ᾽ τὴν ἔνδοξον ἡμέραν ἀνέμενεν. ὁ Ἀχιλλεὺς δὲ ἐκάθευδεν] ἐν τῷ ἐνδοτάτῳ τόπῳ τῆς σκηνῆς· τότῳ δὲ προσεκοιμήθη γυνὴ ἣν ἀπὸ Λέσβε ἤγαγε, "τῆ Φόρβαντος ἡ θυγάτηρ, ἡ εὐπρόσωπος Διομήδη. ὁ δὲ Πάτροκλος ἑτέρωθεν ἐκοιμήθη· παρ᾽ αὐτῷ δὲ δὴ Ἶφις ἡ εὐζωνος, ἣν αὐτῷ παρέχεν ὁ ἔνδοξος Ἀχιλλεὺς τὴν Σκῦρον πορθήσας τὴν ὑψηλήν, τοῦ Ἐνυέως τὴν πόλιν. ἦτοι δὲ δὴ ἡνίκα ἐν ταῖς σκηναῖς τῷ Ἀγαμέμνονος παρεγένοντο, "τότες μὲν δὴ χρυσοῖς ποτηρίοις οἱ

Ἕλληνες ἐδεξιῶντο ἑτέρωθεν ἄλλος ἀναςάντες ϗ ἠρώτων. πρῶτος δὲ ἠρώτησεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγάμεμνων. "φέρε εἰπὲ ὦ ἐπαινετὲ Ὀδυσσεῦ, μέγα κλέος τῶν Ἑλλήνων, ἆρα θέλει τῶν νεῶν ἀποδιῶξαι τὸ καυςικὸν πῦρ "ἢ ἀπηγόρευσεν, ἡ δὲ ὀργὴ ἔτι κατέχει τὴν μεγαλοδύναμον ψυχήν." πρὸς τȣ̃τον δὲ πάλιν εἶπεν ὁ πολυκαρτέρητος ὁ ἔνδοξος Ὀδυσσεύς "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, βασιλεῦ τῶν ἀνδρῶν Ἀγάμεμνον, ἐκεῖνος ȣ̓ βȣ́λεϑ καταπρᾶϋναι τὴν ὀργήν, ἀλλ' ἔτι πλέον πληρȣ̃ται τῆς ὀργῆς, σὲ δὲ παραιτεῖται ϗ τὰ σὰ δῶρα. "σὲ αὐτὸν βȣλεύεσϑ ἐν τοῖς Ἕλλησιν ἐκέλευσεν ὅπως ἂν τάς τε ναῦς σώσῃς ϗ τὸν λαὸν τῶν Ἑλλήνων. αὐτὸς δὲ διωρίσατο ϗ εἶπεν ἅμα τῇ ἡμέρᾳ φαινομένῃ ναῦς τὰς εὐκαθέδρȣς εἰς τὴν θάλασσαν καθέλκειν. ϗ δὴ ἂν τοῖς λοιποῖς ἔφη προτρέψασϑ ϗ συμβȣλεῦσαι "εἰς τὰ οἰκεῖα ἀποπλεῖν, ἐπειδὴ ȣ̓κέτι εὑρήσετε τέλος Τροίας τῆς ὑψηλῆς· λίαν γὰρ ἐκεῖσε ὁ μεγαλόφθαλμος Ζεὺς τὴν ἑαυτȣ̃ χεῖρα ἐξέτεινε ϗ εὐθαρσεῖς ἐγένοντο οἱ λαοί. οὕτως εἶπεν· ὑπάρχȣσι δὲ ϗ ȣ̃τοι ταῦτα εἰπεῖν οἵ μοι ἠκολȣ́θησαν, ὁ Αἴας ϗ οἱ δύο κήρυκες συνετοὶ ἀμφότεροι. "ὁ Φοῖνιξ δὲ αὐτόθι ὁ πρεσβύτης κεκοίμηϑ· ȣ̃τω γὰρ ἐκέλευσεν, ὅπως αὐτῷ ἐν ταῖς ναυσὶν εἰς τὴν προσφιλῆ πατρίδα ἀκολȣθήσῃ αὔριον, ἐὰν ἐθέλῃ· ἀνάγκῃ δὲ αὐτὸν ȣ̓δαμῶς ἀγάγῃ." ȣ̃τως εἶπεν· ȣ̃τοι δὲ πάντες ἀχανεῖς ἐγένοντο τῇ σιωπῇ, τὸν λόγον θαυμάσαντες· λίαν γὰρ ἰσχυρῶς ἀπεῖπεν. "ἐπὶ πολὺ δὲ ἄφωνοι ὑπῆρχον λυπȣ́μενοι οἱ Ἕλληνες· βραδέως δὲ ὁ γενναῖος Διομήδης ἀπεκρίθη "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, βασιλεῦ τῶν ἀνδρῶν Ἀγάμεμνον, ȣ̓κ ὤφελες παρακαλεῖν τὸν ἄμωμον Ἀχιλλέα πολλὰ δῶρα διδȣ́ς. οὗτος δὲ ὑπερήφανός ἐςι ϗ ἑτέρως· "τὰ νῦν δὲ αὐτὸν πολὺ μᾶλλον ταῖς ὑπερηφανίαις ηὔξησας. ἀλλ' ἐκεῖνον μὲν ἀφῶμεν, ἐάν τε παραγένηϑ ἐάν τε μένῃ. τότε δὲ αὖτε πολεμήσει, ἡνίκα ἂν αὐτὸν ἡ ψυχὴ ἐν ταῖς διανοίαις ταράξῃ ϗ θεὸς παρορμήσῃ. ἀλλὰ φέρετε, ὡς ἂν ἐγὼ εἴπω, πεισθῶμεν οἱ πάντες. "τὰ νῦν μὲν κοιμήθητε κορέσαντες τὴν προσφιλῆ ψυχὴν τροφῆς ϗ οἴνȣ· τȣ̃το γὰρ ἰσχύς ἐςι ϗ δύναμις. ἐπειδὰν φανῇ ἡ καλὴ ϗ ῥοδόχρȣς ἡμέρα, ταχέως πρὸ τῶν νεῶν ἐλαύνειν τόν τε λαὸν ϗ τȣ̀ς ἵππȣς διεγείρων, ϗ αὐτὸς δὲ σὺ ἐν τοῖς πρώτοις μάχεσϑ." "οὕτως εἶπεν· ȣ̃τοι δὲ δὴ πάντες ἐπεφήμησαν οἱ βασιλεῖς, τὸν λόγον θαυμάσαντες τȣ̃ ἱππικȣ̃ Διομήδȣς. ϗ τότε δὴ θύσαντες ἐπορεύθησαν εἰς τὴν σκηνὴν ἕκαςος, ἐκεῖ δὲ ἐκοιμήθησαν καὶ τὴν ἀνάπαυσιν τȣ̃ ὕπνȣ ἔλαβον.

Κ. ΔΟΛΩΝΕΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Κάππα δὲ Ῥήσου τὴν κεφαλὴν ἕλε Τυδέος υἱός.*

2. *Ἀγαμέμνων ἀγρυπνήσας ἀνίςησι τȣ̀ς ἀρίςȣς τῶν Ἑλλήνων αὐτός τε καὶ Μενέλαος· καὶ ἐπὶ τῆς τάφρου συμβȣλευσάμενοι πέμπȣσι κατασκόπȣς εἰς τὸ τῶν Τρώων ςρατόπεδον Ὀδυσσέα καὶ Διομήδην, οἳ Δόλωνα μὲν συναντήσαντες ἀναιρȣ̃σι, πυθόμενοι δὲ παρ' αὐτȣ̃ Ῥῆσόν τινα βασιλέα καὶ Θρᾷκας παρεῖναι, ἔνθα τε ἐςρατοπεδεύσαντο, ἐπελθόντες δολοφονȣ̃σι τὸν Ῥῆσον καὶ τῶν ἑταίρων τινάς, τȣ́ς τε ἵππȣς αὐτȣ̃ ἀπελάσαντες εἰς τὸν ναύςαθμον παραγίνονται.*

Οἱ μὲν λοιποὶ παρὰ ταῖς ναυσὶν ἀριςεῖς πάντων τῶν Ἑλλήνων ἐκοιμῶντο δι' ὅλης νυκτὸς τῷ ἡδεῖ κατεχόμενοι ὕπνῳ· ἀλλ' ȣ̓ τὸν Ἀτρέως υἱὸν Ἀγαμέμνονα τὸν βασιλέα τῶν λαῶν ὁ ἡδὺς ὕπνος κατελάμβανε πολλὰ ταῖς διανοίαις περιμνῶντα· "ὥσπερ δ' ὅταν ἀςράπτῃ ὁ τῆς καλλικόμου Ἥρας ἀνὴρ Ζεύς, ποιῶν ἢ πολὺν ὄμβρον ἢ χάλαζαν ἄπειρον ἢ νιφετόν, ὅτε δὴ ἡ χιὼν ἐλεύκανε τὴν γῆν, ἢ πȣ πολέμȣ τὸ μέγα ςόμα τȣ̃ πικρȣ̃, ȣ̃τω συνεχῶς ἐν ταῖς διανοίαις ἐςέναζεν ὁ Ἀγαμέμνων "κάτωθεν ἐκ τῆς καρδίας· τρεμον αὐτȣ̃ ἐντὸς αἱ διάνοιαι. ὅταν εἰς τὸ πεδίον τῶν Τρώων ἀπίδοι, ἐθαύμαζε μὲν τὰ πολλὰ πυρὰ ἅπερ ἐκαίετο πρὸ τῆς Ἰλίȣ, τῶν τε αὐλῶν ϗ τῶν συρίγγων τὸν ἦχον ϗ παραχὴν τῶν ἀνθρώπων· ὅτε δὲ εἰς τὰς ναῦς ἀπίδῃ ϗ τὸν λαὸν τῶν Ἑλλήνων, "πολλὰς ἐκ τῆς κεφαλῆς προῤῥίζους ἐφῃρεῖτο τρίχας ὑψόθι ὄντι τῷ Διί, μεγάλως δὲ ἐςέναζεν ἡ συνετὴ ψυχή. αὕτη δὲ αὐτῷ κατὰ ψυχὴν καλλίςη ἐδόκει βȣλή, πρῶτον ἐπὶ τὸν Νέςορα τȣ̃ Νηλέως παραγενέσϑ καὶ πάντων ἀνδρῶν, ὅπως αὐτῷ τινὰ συμβȣλὴν ἀγαθὴν ἐπόθοιτο, "ἥτις ἀποτρεπτικὴ τῶν κακῶν πᾶσι τοῖς Ἕλλησι γένοιτο. ἀναςὰς δὲ ἐνεδύσατο περὶ τὸ σῶμα τὸν χιτῶνα, ἀπὸ δὲ τοῖς εὐτραφέσι ποσὶν ὑπεδήσατο καλὰ ὑποδήματα· ἔπειτα δὲ φονευτικȣ̃ ἠμφιάσατο δέρμα λέοντος διαπύρȣ ϗ μεγάλȣ, μέχρι τῶν ποδῶν διῆκον, ἔλαβε δὲ τὸ δόρυ. "ὡσαύτως δὲ ϗ τὸν Μενέλαον περιέχε τρόμος· ȣ̓δ' αὐτῷ γὰρ ὕπνος ἐπὶ βλεφάροις ἐπήρχετο, μή τι πάθοιεν οἱ Ἕλληνες, οἵτινες αὐτȣ̃ ἕνεκα ἐπὶ πολλὴν θάλασσαν ἦλθον εἰς Τροίαν πόλεμον τολμηρὸν παρορμῶντες. πρῶτα μὲν παρδάλεως δέρματι τὸ πλατὺ μετάφρενον ἐκάλυψε "ποικίλῳ, περικεφαλαίαν δὲ ἐπὶ τῇ κεφαλῇ ἄρας ἐπέθηκε σιδηρᾶν, δόρυ δὲ ἔλαβε τῇ ἰσχυρᾷ χειρί. ἐπορεύθη δὲ ἀναςήσων τὸν αὑτȣ̃ ἀδελφόν, ὃς μεγάλως πάντων τῶν Ἑλλήνων ἐβασίλευε ϗ ὡς θεὸς ἐτιμᾶτο ἐν τῷ πλήθει. τȣ̃τον δὲ εὗρε τοῖς ὤμοις περιβαλόμενον τὰ καλὰ ὅπλα "παρὰ τῇ τῆς νεὼς πρύμνῃ· τȣ́τῳ δὲ ἡδὺς ἐγένετο ἐλθών. πρὸς τȣ̃τον δὲ πρότερος εἶπεν ὁ κατὰ τὴν μάχην γενναῖος Μενέλαος "τί δή ποτε ὦ θεῖε ȣ̃τω καθοπλίζῃ; ἤ τινα τῶν φίλων παρορμᾷς τοῖς Τρωσὶ κατάσκοπον; ἀλλὰ λίαν δεινῶς δέδοικα μή πως ȣ̓δείς σοι ἐπαγγείληϑ τȣ̃το τὸ ἔργον, "ἄνδρας πολεμίȣς κατασκοπεῖν μόνος ἐπελθὼν κατὰ τὴν θείαν νύκτα· λίαν τις τολμηρὸς ἔςαι." πρὸς τȣ̃τον ἀνταποκρινόμενος ἔφη ὁ βασιλεὺς Ἀγαμέμνων "χρεία συμβȣλῆς ἐμοὶ ϗ σοὶ ὦ εὐγενέςατε Μενέλαε ὠφελίμȣ, ἣ φυλάξοι ἂν ϗ διασώσοι "τȣ́ς τε Ἕλληνας ϗ τὰς ναῦς, ἐπεὶ ὁ Ζεὺς μετετράπη τῇ γνώμῃ ϗ τȣ̃ Ἕκτορος δὴ μᾶλλον ἐθεραπεῦθη ταῖς θυσίαις. ȣ̓δέποτε γὰρ ἐθεασάμην ȣ̓δὲ ἤκȣσα εἰπόντος τινὸς ἄνδρα ἕνα τοσαῦτα χαλεπὰ ἐν μιᾷ ἡμέρᾳ ἐργάσασϑ ὅσα ὁ Ἕκτωρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔπραξεν ὁ τῷ Διὶ φίλος τὰς υἱὰς τῶν Ἑλλήνων, "μάτην, ἅτε θεᾶς υἱὸς ὢν προσφιλὴς ἅτε θεῖ. ἔργα δὲ ἔπραξεν ὅσα λέγω φροντίσειν τοῖς Ἕλλησιν ἐπὶ πολὺν κ μακρὸν χρόνον· τόσα γ κακὰ ἐποίησε τὰς Ἕλληνας. ἀλλ' ἄπιθι νῦν τὸν Αἴαντα κ τὸν Ἰδομενέα κάλεσον, ταχέως τρέχων ἐπὶ τὰς ναῦς· ἐγὼ δὲ ἐπὶ τὸν ἔνδοξον Νέςορα "πορεύσομαι κ παρορμῶ ἀναςῆναι, ἐάν γε θέλῃ παραγενέσθ εἰς τὸ τῶν φυλάκων μέγα τάγμα κ ἐντείλασθ. ἐκεῖνῳ γ ἂν μάλιςα πειθοῖεν· τέτε γ ὁ υἱὸς προςάσσει τοῖς φύλαξι καὶ τῷ Ἰδομενέως ὁ θεράπων ὁ Μηριόνης· τέτοις γ ἐπετρέψαμεν μάλιςα." "πρὸς τῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ γενναῖος Μενέλαος "πῶς γάρ μοι τῷ σῷ λόγῳ προςάσσεις κ παρακελεύεις; αὐτόθι κ μένω ἐν τοῖς φύλαξι παραμένων ἕως ἂν ἔλθῃς, ἢ δράμω ἐπὶ σὲ πάλιν, ἐπειδὰν καλῶς αὐτοῖς διορίσωμαι." πρὸς τῦτον δὲ πάλιν εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "αὐτόθι μένειν παρακελεύω, μή πως ἀποτύχωμεν ἀλλήλων ἐρχόμενοι· πολλαὶ γ ἀνὰ τὸ στράτευμά εἰσιν ὁδοί. φθέγγε δὲ ἔνθα πορευθεὶς κ ἐγρηγορέναι παρακέλευε, ἐκ πατρῴας γένας ὀνομάζων ἕκαςον ἄνδρα, πάντας δοξάζων· κ μὴ ἐπαίρε τῇ διανοίᾳ δι' ὑπερηφανίαν, "ἀλλὰ κ ἡμεῖς κακοπαθῶμεν. ἅτω πε ἡμῖν τοῖς γενομένοις ὁ Ζεὺς ἔπεμψε κακοπάθειαν μεγάλην." ἅτος εἰπὼν ἐξέπεμψε τὸν ἀδελφὸν καλῶς ἐντειλάμενος· ἅτος δὲ ἐπορεύθη ἀπελθὼν πρὸς Νέςορα τὸν ἡγεμόνα τῶν λαῶν. τῦτον δὲ κατέλαβε παρὰ τῇ σκηνῇ καὶ τῇ βαθείᾳ νηῒ "ἐν τῇ ἁπαλῇ στρωμνῇ· παρ' αὐτῷ δὲ κ τὰ ποικίλα ὅπλα ἔκειτο, ἀσπὶς κ δόρατα δύο κ λαμπρὰ περικεφαλαία. παρέκειτο δὲ ζωςὴρ παμποίκιλος, ᾧ δὴ ὁ πρεσβύτης ἐζώννυτο, ἡνίκα εἰς πόλεμον τὸν φθαρτικὸν ὁπλίζοιτο τὸν λαὸν ἄγων, ἐπειδὴ ἀδαμῶς ὑπὸ τῆ χαλεπῆ γήρως ἐνικᾶτο. "ἐπερεισάμενος δὲ ἐπὶ τῇ ἀγκῶνος κ τὴν κεφαλὴν ἐπάρας πρὸς τὸν Ἀγαμέμνονα εἶπε κ ἀνηρώτα τῷ λόγῳ. "τίς δὲ ἅτος κατὰ τὰς ναῦς ἀνὰ τὸ στράτευμα ἔρχετ μόνος διὰ τῆς σκοτεινῆς νυκτός, ὅτε κοιμῶντ οἱ λοιποὶ ἄνθρωποι, ἢ τινα τῶν ἡμιόνων ζητῶν ἢ τινα τῶν ἑταίρων; "φθέγγε κ μὴ ἡσύχως ἐπ' ἐμὲ παραγίνε. τίνος δὲ χρεία;" πρὸς τῦτον δὲ μετὰ ταῦτα εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "ὦ Νηλέως υἱὲ Νέςορ, μέγα κλέος τῶν Ἑλλήνων, γνώσῃ τὸν Ἀτρέως υἱὸν Ἀγαμέμνονα, ὃν περισσότερον πάντων ὁ Ζεὺς ἐνέβαλε τῇ κακοπαθείᾳ δι' ὅλου, μέχρις οὗ ἡ ἀναπνοὴ "ἐν τοῖς ςήθεσιν ἔνεςι κ τὰ προσφιλῆ μοι γόνατα ὁρμᾷ. πλανῶμαι οὕτως, ἐπειδὴ ἀδαμῶς μοι τοῖς ὀφθαλμοῖς ἡδὺς ὕπνος ἐπέρχετ, ἀλλὰ ἐλπίζετ ὁ πόλεμος κ αἱ λῦπαι τῶν Ἑλλήνων. δεινῶς γ περὶ τῶν Ἑλλήνων δέδοικα, κ ἀδαμῶς μοι ἡ ψυχὴ βεβαία ἐςίν, ἀλλ' ἠπόρημαι. ἡ καρδία δέ μοι ἔξω "τῶν ςηθῶν ἐξάλλετ, ὑποςέλλει δὲ τὰ λαμπρὰ μέλη. ἀλλ' εἴ τι δύνασαι δρᾶσαι, ἐπεὶ ἀδὲ σὲ ὁ ὕπνος κατέχει, δεῦρο εἰς τὰς φύλακας καταβῶμεν, ὅπως ἴδωμεν μή πως ἅτοι μὲν κακοπαθείᾳ κορεσθέντες (δαμασθέντες) κ τῷ ὕπνῳ κατακοιμηθήσονθ), τῆς δὲ φυλακῆς ὅλως ἐπιλάθωνθ. "πολέμιοι δὲ ἄνδρες ἐγγὺς κάθηνθ· ἀδέπω οἶδαμεν μή πως κ διὰ τῆς νυκτὸς προθυμηθῶσι πολεμῆσαι." πρὸς τῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέςωρ "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, βασιλεῦ τῶν ἀρίςων Ἀγάμεμνον, ἀδαμῶς δὲ τῷ Ἕκτορι πάντα τὰ νοήματα ὁ βελευτικώτατος Ζεὺς "τελειώσει, ὁπόσα νῦν ἐλπίζει· ἀλλ' αὐτὸν ὑπολαμβάνω κακοῖς ἐνταλαιπωρήσειν κ πολλοῖς, ἐὰν ὁ Ἀχιλλεὺς ἐκ τῆς χαλεπῆς ὀργῆς ἐπιςρέψῃ τὴν προσφιλῆ ψυχήν. σοὶ δὲ ἐγὼ εὐμενῶς ἀκολεθήσω. πρὸς τέτοις δὲ κ τὲς ἄλλες ἐγείρωμεν, Τυδείδην μὲν τὸν τῷ δόρατι ἔνδοξον κ τὸν Ὀδυσσέα "καὶ Αἴαντα τὸν ταχύτατον κ Μέγητα τὸν τῆ Φυλέως ἰχυρὸν υἱόν. ἀλλ' εἴθε τις κ τέτες ἐπ' αὐτὲς ἀπελθὼν καλέσειε, τύν τε Ἰσόθεον Αἴαντα κ Ἰδομενέα τὸν βασιλέα· τέτων γ αἱ ναῦς εἰσὶ πορρώτατω κ ἀπάνυ ἐγγύς. ἀλλὰ καίπερ προσφιλῆ ὄντα κ αἰδέσιμον τὸν Μενέλαον "κακολογήσω, εἴπερ μοι κ μέμψῃ, ἀδὲ ἀποκρύψω, ὅτι καθεύδει, σοὶ δὲ μόνῳ ἐπίσευσε κάμνειν. τὰ νῦν ὤφειλε κατὰ πάντας τὰς ἀρισείας ἐνεργεῖν παρακαλῶν· χρεία γ κατέλαβεν ἀκέτι ὑπομονητή." πρὸς τῦτον δὲ πάλιν εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "ὦ πρεσβῦτα, ἐν ἄλλῳ σε καιρῷ κ μέμφοιμ παρεκέλευσα· πολλάκις γ ἀμελεῖ τε κ ἀ βέλετ ἐνεργεῖν, ὅτε τῇ ῥαθυμίᾳ ὑπείκων ἅτε ἀσθενείᾳ λογισμᾷ, ἀλλ' εἰς ἐμὲ τε βλέπων κ τὴν ἐμὴν προσδεχόμενος ὁρμήν. τὰ νῦν δὲ πρότερον ἐμὲ λίαν ὑπανέςη κάμοι ἐπέςη. "τῦτον μὲν ἐγὼ προέπεμψα καλεῖν ὃς σὺ ἐπιζητεῖς. ἀλλὰ ἀπέλθωμεν, ἐκείνες δὲ καταληψόμεθα πρὸ τῶν πυλῶν ἐν τοῖς φύλαξιν· ἐκεῖ γ αὐτὲς ἐκέλευσα συναθροισθῆναι." τῦτον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ὁ ἔντιμος ἱππικὸς Νέςωρ "ἅτως ποιῆτε, ἀδεὶς αὐτῷ μέμψετ ἀδὲ ἀπειθήσει "τῶν Ἑλλήνων, ὅτινα διεγείρῃ κ παρακελεύηθ." ἅτως εἰπὼν ἐνεδύσατο περὶ τὸ σῶμα τὸν χιτῶνα, ἐν δὲ τοῖς εὐτραφέσι ποσὶν ὑπεδήσατο καλὰ ὑποδήματα. πρὸς τέτοις δὲ ἐθῆτα περιεβάλετο φοινικόεσσαν, περόναις συνδήσας, παχεῖαν ἐκτεταμένην· ἁπαλὴ δ' ἐπέκειτο δασύτης τῶν τριχῶν. "ἔλαβε δὲ τὸ ἰχνρὸν δόρυ τὸ ἠκονημένον ὀξεῖ σιδήρῳ. ἐπορεύθη δὲ ἀπέναντι ἐπὶ τὰς ναῦς Ἑλλήνων τῶν σιδηροθωράκων. πρῶτον μετὰ ταῦτα τὸν Ὀδυσσέα τῷ Διὶ τὴν βελὴν ὅμοιον ἐκ τῆ ὑπνε ἀνέγησεν ὁ ἔντιμος ἱππότης Νέςωρ φωνήσας· ταχέως δὲ περὶ τὰς διανοίας αὐτὸν ἦλθεν ἡ φωνή, "ἐξῆλθε δὲ τῆς σκηνῆς, κ φωνήσας πρὸς αὐτὲς λόγον εἶπε. "τί δὴ ἅτως ἐπὶ τὰς ναῦς ἐπὶ τὸ στρατόπεδον μόνοι πλανᾶθε διὰ τῆς σκοτεινῆς νυκτός; τί δὴ χρεία τοσαύτη παρεγένετο (ἐπῆλθε);" πρὸς τῦτον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέςωρ "ὦ εὐγενέςατε παῖ τῆ Λαέρτε, ἀρισόβουλε Ὀδυσσεῦ, "μὴ μέμφε· τοιαύτη γ λύπη περιέχει τὲς Ἕλληνας. ἀλλ' ἀκολέθει, ὅπως κ ἄλλον ἐξεγείρωμεν, ὅντινα πρέπει βελὰς συμβελεύειν ἢ φεύγειν ἢ πολεμεῖν." ἅτος εἰπεν· ἅτος δὲ εἰς τὴν σκηνὴν πορευθεὶς ὁ Ὀδυσσεὺς ποικίλον περιέθετο τοῖς ὤμοις σάκος, ἐπορεύθη δὲ πρὸς αὐτές. "ἐπορεύθησαν δὲ ἐπὶ τὸν υἱὸν τῆ Τυδέως Διομήδην. τῦτον δὲ κατέλαβον ἔξωθεν μακρόθεν τῆς σκηνῆς σὺν τοῖς

ὅπλοις· περὶ δὲ αὐτὸν οἱ ἑταῖροι ἐκοιμῶντο, ὑπὸ δὲ ταῖς κεφαλαῖς εἶχον ἀσπίδας· τὰ δόρατα δὲ αὐτῶν ὀρθὰ ἐπὶ τῆς ἀρχῆς τȣ̃ ξύλȣ τȣ̃ δόρατος ἐπεπήγει· πόῤῥω δὲ ὁ σίδηρος ἔλαμπεν ὡς ἀςραπὴ τȣ̃ πατρὸς Διός. ȣ̃τος δὲ ὁ ἡμίθεος "ἐκάθευδεν, ὑπέςρωτο δέρμα βοὸς ἐν ἀγρῷ αὐλιζομένȣ· ὑπὸ δὲ τῇ κεφαλῇ ὑφήπλωτο τάπης λαμπρός. τȣ̃τον παραςὰς ἀνήγειρεν ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέςωρ λακτικῶς τῷ ποδὶ κινήσας, παρώρμησέ τε ϗ ὠνείδισεν ἄντικρυς. 'διεγέρθητι ὦ Τυδέως υἱέ· τί δι' ὅλης νυκτὸς καθεύδεις; "ȣ̓κ ἀκȣσης ὅπως οἱ Τρῶες ἐπὶ τῷ ὑψηλῷ τόπῳ τȣ̃ Ἰλιακοῦ πεδίȣ εἰσὶν ἐγγὺς τῶν νεῶν, μικρὸν δὲ διάςημα διείργει;" ȣ̃τως εἶπεν· ȣ̃τος ἐξ ὕπνȣ μάλα ταχέως ἀνώρμησε, ϗ πρὸς αὐτὸν φωνήσας λόγȣς ταχεῖς εἶπε. "καρτερικὸς ὑπάρχεις ὦ πρεσβῦτα· σὺ μὲν τῆς κακοπαθείας ȣ̓δέπω παύῃ. "ȣ̓χὶ ϗ ἄλλοι νεώτεροί εἰσιν υἱοὶ τῶν Ἑλλήνων, οἵτινες ἂν μετὰ ταῦτα ἕκαςον διεγείρειαν τῶν βασιλέων πανταχȣ̃ ἐπιπορευόμενοι; σὺ δὲ ἀδύνατος εἶ ὦ πρεσβῦτα." πρὸς τȣ̃τον δὲ εἶπεν ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέςωρ "ναὶ δὴ ταῦτα κατὰ τὸ πρέπον ὦ φίλε εἶπες. "εἰσὶ μέν μοι παῖδες ἄμεμπτοι, ὑπάρχȣσι δέ μοι ϗ λαοὶ ϗ πλεῖςοι· τȣ́των ἄν τις ἐπιπορευόμενος καλέσειεν. ἀλλὰ πάνυ μεγάλη χρεία κατέλαβε τȣ̀ς Ἕλληνας· τὰ νῦν γ̓ δὴ πᾶσιν ἐν ἐχάτῳ κινδύνῳ τὰ πράγματά εἰσιν, ἢ λίαν χαλεπὸς ὄλεθρος τοῖς Ἕλλησιν ἢ ζῆσαι. "ἀλλ' ἄπιθι νῦν τὸν Αἴαντα ϗ τὸν Φυλέως υἱὸν Μέγητα ἀνάςησον — σὺ γ̓ εἶ νεώτερος —, ἐάν με λεῇς." ȣ̃τως εἶπεν· ȣ̃τος δὲ περὶ τοῖς ὤμοις ἐνεδύσατο δέρμα λέοντος πυῤῥοῦ μεγάλȣ, μέχρι ποδῶν διῆκον· ἔλαβε δὲ τὸ δόρυ, προέβη δὲ πορευθῆναι, τȣ́τȣς δὲ ἐντεῦθεν ἀναςήσας ἤγαγεν ὁ ἡμίθεος. "ȣ̃τοι δὲ ἡνίκα τοῖς φύλαξιν ἐθροιζομένοις ἐμίγησαν, ȣ̓δαμῶς μὲν καθεύδοντας τῶν φυλάκων τȣ̀ς ἡγεμόνας εὗρον, ἀλλ' ἐγρηγορότως σὺν τοῖς ὅπλοις ἐκάθηντο πάντες. ὥσπερ δὲ κύνες περὶ τὰ πρόβατα καλῶς φυλάξȣσιν ἐν μάνδρᾳ λέοντος ἀκȣ́σαντες ἰχυρȣ̃, ὅςις κατὰ δασύτητα "ἔρχεϑ διὰ τȣ̃ ὄρȣς, πολὺς δὲ θόρυβος ἐπ' αὐτῷ γίνεϑ τῶν ἀνδρῶν ϗ τῶν κυνῶν· ἀπ' αὐτῶν δὲ ὁ ὕπνος ἀπέδρα· ȣ̃τω πάντων ὁ ἡδὺς ὕπνος ἀπὸ τῶν βλεφάρων ἀπέςη τῶν νύκτα φυλασσόντων τὴν κακοποιόν· εἰς τὸ πεδίον γ̓ διὰ παντὸς τετραμμένοι ἦσαν, ὅπως ἂν τῶν Τρώων ἀκȣ́σωσιν ἐπιόντων. "τȣ́τȣς δὲ θεασάμενος ὁ πρεσβύτης ἐχάρη ϗ τῷ λόγῳ παρεθάῤῥυνε ϗ πρὸς αὐτȣ̀ς φωνήσας λόγȣς ταχεῖς εἶπεν. "ȣ̃τω τὰ νῦν προσφιλῆ τέκνα φυλάσσετε, μηδέ τινα ὁ ὕπνος νικάτω, μή πως ἐπίχαρμα γενώμεθα τοῖς πολεμίοις." ȣ̃τως εἰπὼν διὰ τῆς τάφρȣ ὥρμησεν· ȣ̃τοι δὲ ἅμα ἠκολȣ́θȣν, "οἱ τῶν Ἑλλήνων βασιλεῖς, ὅσοι κεκλημένοι ἦσαν εἰς τὸ συμβȣ́λιον. τȣ́τοις δὲ ἐκȣ̃ ὁ Μηριόνης ϗ ὁ τȣ̃ Νέςορος λαμπρὸς υἱὸς ἐπορεύοντο· αὐτοὶ δὲ ἐκάλȣν κοινῇ γνώμῃ βȣλεύσασθ. διεξελθόντες δὲ τὴν τάφρον τὴν ὀρυκτὴν ἐκαθέζοντο ἐν καθαρῷ τόπῳ, ὅπȣ ὁ τῶν νεκρῶν διεδείκνυτο τόπος "κειμένων, ὅθεν εἰς τȣ̀πίσω ἀπεςράφη ὁ ἰχυρὸς Ἕκτωρ φθείρων τȣ̀ς Ἕλληνας, ὅτε δὴ νὺξ περιεκάλυψε γῆν ϗ τȣ̀ς ἐν γῇ· ὅπου καθεζόμενοι λόγȣς ἀλλήλοις ἔλεγον. ἐν τȣ́τοις δὲ τῶν λόγων ἤρξατο ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέςωρ. "ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεισθείη τῇ ἑαυτȣ̃ ψυχῇ "τῇ καρτερικῇ πρὸς τȣ̀ς μεγαλοψύχȣς Τρῶας ἀπελθεῖν, ἐάν τινά πȣ τῶν πολεμίων λάβοι ἔχατον ὑπολειπόμενον, ἐάν τινά που καὶ κληδόνα ἐν τοῖς Τρωσὶ μάθοιεν ἅτινα δὴ βȣλεύονϑ μετ' ἀλλήλων, ἢ προτεθύμηνϑ αὐτόθι μένειν παρὰ ταῖς ναυσὶ πόῤῥωθεν, ἢ εἰς τὴν πόλιν "πάλιν ἀναχωρήσȣσιν, ἐπεὶ πολλȣ̀ς ἀπέκτειναν Ἕλληνας. ταῦτα πάντα ἀναμάθοι ϗ πάλιν εἰς ἡμᾶς ἀφίκοιτο ἀβλαβής· μέγα ἂν αὐτῷ ἕως ȣ̓ρανοῦ ἐξικνȣ́μενον τὸ κλέος εἴη ἐπὶ πάντας ἀνθρώπȣς. ϗ τȣ́τῳ δωρεὰ γεννήσεϑ ἀγαθή· ὁπόσοι γ̓ ἐν ταῖς ναυσὶν ἄρχȣσιν ἀριςεῖς, "τȣ́των πάντων ἕκαςος αὐτῷ πρόβατον παρέξȣσι μέλαν θῆλυ ὕπαρνον ἔγκυον· τȣ́τῳ μὲν ȣ̓δὲν κτῆμα ὅμοιον. διὰ παντὸς δὲ ἐν ταῖς εὐωχίαις ϗ ταῖς ἑορταῖς παρέσται ἡμῖν." ȣ̃τως εἶπεν· ȣ̃τοι δὲ δὴ πάντες ἥσυχοι ἐγένοντο τῇ σιωπῇ. ἐν τȣ́τοις δὲ ϗ προσεῖπεν ὁ κατὰ τὴν μάχην γενναῖος Διομήδης. ""ὦ Νέςορ, ἐμὲ παρορμᾷ ἡ καρδία ϗ ἡ γενναία ψυχὴ εἰς τὸ τῶν πολεμίων ἀνδρῶν κατελθεῖν ςράτευμα ἐγγὺς ὄντων τῶν Τρώων. ἀλλ' εἴ τίς μοι ἀνὴρ ὁμȣ̃ ἀκολȣθοίη ϗ ἕτερος, μᾶλλον ἡδονὴ ϗ θάλψις ϗ θαρσαλεώτερον γενήσεϑ· συνερχόμενοι γ̓ δύο ϗ πρὸ τȣ̃ ἑτέρου ὁ ἕτερος ἐνόησέ τι, "ὅπως κοινωφελὲς εἴη. ὁ μόνος δὲ εἴ περ καί τι νοήσοι, ἀλλ' αὐτȣ̃ βραδύτερος ὁ νȣ̃ς ϗ ἀσθενὴς ἡ βȣλή." ȣ̃τως εἶπεν· οἱ δὲ ἤθελον τῷ Διομήδει πολλοὶ ἀκολȣθεῖν. ἤθελον οἱ δύο Αἴαντες οἱ πολεμικώτατοι, οἱ ὑπȣργοὶ τȣ̃ πολέμȣ· ἤθελε ϗ ὁ Μηριόνης, πάνυ δὲ ἤθελεν ὁ τȣ̃ Νέςορος υἱὸς Θριασυμήδης· "ἤθελε ϗ ὁ τȣ̃ Ἀτρέως υἱὸς ὁ τῷ δόρατι κλεινὸς Μενέλαος, ἤθελε ϗ ὁ καρτερικὸς Ὀδυσσεὺς κατελθεῖν εἰς τὸ πλῆθος τῶν Τρώων· ἀεὶ γ̓ αὐτȣ̃ ἐν ταῖς διανοίαις ἡ ψυχὴ ἐτόλμα. ἐν τȣ́τοις δὲ εἶπεν ὁ τῶν ἀρίςων βασιλεὺς Ἀγαμέμνων "ὦ Τυδέως υἱὲ Διόμηδες, τῇ ἐμῇ κεχαριτωμένε ϗ πεφιλημένε ψυχῇ, "ἐκ τȣ́των μὲν δὴ ἑταῖρον ϗ συνεργὸν ἐπίλεξαι ὃν ἂν βȣληθῇς, ἐκ τῶν φαινομένων τὸν ἄριςον, ἐπειδὴ λίαν πολλοὶ προτεθύμηνϑ. μηδὲ σὺ εὐλαβȣ́μενος ταῖς διανοίαις τὸν μὲν βελτίονα καταλίπῃς, τὸν δὲ χείρονα προσλάβῃς ὀπαδὸν αἰδοῖ νικώμενος, εἰς τὸ γένος ἀποβλέπων, μηδὲ εἰ βασιλικώτερός ἐςιν." "ȣ̃τως εἶπεν· ἐφοβήθη δὲ διὰ τὸν ξανθὸν Μενέλαον. ἐν τȣ́τοις εἶπεν ὁ τὴν μάχην ἰχυρὸς Διομήδης "εἰ μὲν δὴ ἑταῖρόν γε κελεύετε ἐμὲ αὐτὸν ἐπιλέξασθ, πῶς ἂν μετὰ ταῦτα τȣ̃ Ὀδυσσέως ἐγὼ τȣ̃ θαυμαςȣ̃ ἐπιλαθοίμην; ȣ̃ περισσῶς μὲν πρόθυμος ἡ καρδία ϗ ἡ ψυχὴ ἄγαν ἀνδρεία "ἐν πᾶσιν ἔργοις, ἀγαπᾷ δὲ αὐτὸν ἡ πολεμικὴ Ἀθηνᾶ. τȣ́τȣ ἐπακολȣθȣ̃ντος ϗ ἐκ πυρὸς καιομένȣ ἀμφότεροι ἐπανέλθωμεν, ἐπεὶ περισσῶς ἐπίςαϑ νοῆσαι." πρὸς τȣ̃τον δὲ πάλιν εἶπεν ὁ καρτερικὸς ϗ ἔνδοξος Ὀδυσσεύς "ὦ Διόμηδες, μηδαμῶς λίαν ἐπαίνει μήτε κατά τι ψέγε· "ἐν γ̓ τοῖς εἰδόσι τὰ τοιαῦτα Ἕλλησι λέγεις. ἀλλὰ πορευθῶμεν· λίαν γ̓ ἡ νὺξ ἀνύεϑ, ἐγγὺς δὲ ἡ ἡμέρα, τὰ δὲ ἄςρα δὴ προκεχώρηκε, παρέδραμε δὲ ἡ πλείων νὺξ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δύό μοιρῶν, ἡ τρίτη δὲ μοῖρα ὑπολέλειπτ." ἔτως εἰπόν-
τες ἐν τοῖς ὅπλοις τοῖς φοβεροῖς ἐδύθησαν. "καὶ τῷ μὲν
Διομήδει ἔδωκεν ὁ καρτεροπόλεμος Θρασυμήδης ξίφος
ἀμφοτέρωθεν ἠκονημένον — τὸ δὲ ἴδιον αὐτῷ παρὰ τῇ
νηῒ κατελείφθη — καὶ ἀσπίδα· περὶ δὲ τῇ κεφαλῇ αὐτῷ πε-
ρικεφαλαίαν ἐπέθηκε βοείαν, χωρὶς λόφῳ καὶ προμετωπίδος,
ἥτις καταῖτυξ ἦτοι ... καλεῖται, φυλάττει δὲ τὰς κεφαλὰς
τῶν ἀκμαζόντων νέων. "ὁ δὲ Μηριόνης τῷ Ὀδυσσεῖ ἔδωκε
τόξον καὶ βελοθήκην καὶ σπάθην, περὶ δὲ τῇ αὐτῇ κεφαλῇ
περικεφαλαίαν ἔθηκεν ἐκ δέρματος γεγονυῖαν· πολλοῖς δὲ
τῶν ἐντὸς λώροις ἐνεδέδετο ἰσχυρῶς, ἔξωθεν δὲ λευκοὶ ὀδόν-
τες λευκόδοντος κοίρου συνεχεῖς ἐφύλαττον πανταχῇ "καλῶς
καὶ ἐπισημονικῶς· μέσον δὲ τὸ πεπιλημένον ἔριον ἦρμοσο.
ταύτην δή ποτε ἐξ Ἐλεῶνος τῆς πόλεως Ἀμύντορος Ὀρ-
μένῃ παιδὸς ἔλαβεν ὁ Αὐτόλυκος, ἰσχυρὸν οἶκον διορύξας,
ἐς Σκάνδειαν δὲ ἔδωκε τῷ ἐν Κυθήροις Ἀμφιδάμαντι·
ὁδὲ Ἀμφιδάμας ἔδωκε τῷ Μόλῳ ξένιον ὑπάρχειν· "ὁ δὲ
τῷ Μηριόνῃ ἔδωκε τῷ οἰκείῳ παιδὶ φορεῖν. τότε δὴ τοῦ
Ὀδυσσέως ἐσκέπασε τὴν κεφαλὴν περιτεθεῖσα. ἔτοι δὲ ἐπει-
δὴ τοῖς ὅπλοις τοῖς φοβεροῖς ἐνεδύσαντο, προέβησαν ἀπελ-
θεῖν, κατέλιπον δὲ αὐτῷ πάντας τοὺς ἀρίστους. τότοις δὲ
δεξιὸν ἐπαφῆκεν ἐρωδιὸν ἐγγὺς τῆς ὁδῷ "ἡ πολεμικὴ Ἀθη-
νᾶ. ἔτοι δὲ οὐκ ἔβλεπον τοῖς ὀφθαλμοῖς διὰ τὴν σκοτεινὴν
νύκτα, ἀλλὰ φωνήσαντος ἤκουσαν. ἔχαιρε δὲ τῷ ὀρνέῳ ὁ
Ὀδυσσεύς, ηὔχετο δὲ τῇ Ἀθηνᾷ. "ἐπάκουσόν μου ὦ τῆς αἰ-
γιδόχου Διὸς γέννημα, ἥτις μοι ἀεὶ ἐν πᾶσι τοῖς πόνοις
παρίστασαι· ἀδαμῶς σε λανθάνω "κινήμενος. καὶ νῦν πάλιν
κατὰ πολύ με φίλει ὦ Ἀθηνᾶ, παράσχε δὲ πάλιν ἐπὶ τοὺς
ναῦς μετὰ δόξης παραγενέσθαι, πράξαντας μέγα ἔργον, ὅπερ
ἂν τοῖς Τρωσὶ φροντισθήσετ." δεύτερος πάλιν ηὔχετο ὁ
γενναῖος Διομήδης "ἐπάκουσον νῦν καὶ ἐμοῦ ὦ τοῦ Διὸς τέκνον
ἀκαταπόνητε. "ἑσπευ μοι ὥσπερ ὅτε τῷ πατρὶ ὁμοῦ ἠκο-
λούθησας Τυδεῖ τῷ ἐνδόξῳ εἰς Θήβας, ὅτε ὑπὲρ τῶν Ἑλ-
λήνων πρεσβευτὴς ἀπῆλθε. τότες δ' ἐπὶ τῷ Ἀσωπῷ κα-
τέλιπε τοὺς σιθροθωράκας Ἕλληνας· ὁ δὲ Τυδεὺς προσηνῆ
λόγον ἔφερε τοῖς Θηβαίοις ἐκεῖσε· πάλιν δὲ λείπων αὐτὰ
ολίαν συνετὰ ἐβουλεύσατο ἔργα "μετὰ τῆς σῆς συνεργίας ὦ
θεά, ὅτε αὐτῷ πρόθυμος παρέζης. ἕτω νῦν κἀμοὶ μετὰ
προθυμίας παρίστασο καὶ φύλασσε. σοὶ δὲ ἐγὼ θύσω βοῦν
ἐνιαυσιαῖον πλατυμέτωπον, ἀδάμαστον, ἣν ἐνέπω ὑπὸ ζυγὸν
ἤγαγεν ἀνὴρ (ἦτοι νέαν ἄζευκτον)· ταύτην σοι ἐγὼ ἱερευ-
γήσω χρυσὸν τοῖς κέρασι περιθείς." "ἔτως εἶπον εὐχόμε-
νοι· τότων δὲ ἤκουεν ἡ πολεμικὴ Ἀθηνᾶ. ἔτοι δὲ ἐπειδὴ
ηὔξαντο τῇ τοῦ μεγάλου Διὸς θυγατρί, ἐπορεύθησαν ὥσπερ
δύο λέοντες διὰ τῆς σκοτεινῆς νυκτὸς εἰς τὸν φόνον καὶ
τοὺς νεκροὺς διὰ τῶν ὅπλων καὶ τοῦ μέλανος αἵματος. ὁ μὴν
δὲ Τρῶας τοὺς ἀνδρείους εἶασεν ὁ "Ἕκτωρ "καθεύδειν, ἀλλ'
ὁμοῦ ἐκάλει πάντας τοὺς ἀρίστους, ὅσοι ὑπῆρχον τῶν Τρώων
ἡγεμόνες καὶ βασιλεῖς. τότες δὲ ἕτος συγκαλέσας συνετὴν
κατεσκεύαζε βουλήν. "τίς ἂν μοι τοῦτο τὸ ἔργον ἐπαγγειλά-
μενος ἐκτελέσειεν ἐπὶ μεγάλῃ δωρεᾷ; μισθὸς δὲ αὐτῷ οὐ-
τάρχης ἔσαι· "παράσχω γοῦν ἅρμα καὶ δύο μεγαλοτραχήλους
ἵππους, οἵτινες ἂν ἄριστοι εἶσιν ἐπὶ ταῖς ταχείαις νανσὶ τῶν
Ἑλλήνων, ὅσις ἂν τολμήσῃ, κἀκεῖνος ἑαυτῷ δόξαν ἐπε-
νέγκοιτο, τῶν ταχυπλόων νεῶν ἐγγὺς παραγενέσθαι καὶ ἀνά-
μαθεῖν ἢ φυλάσσονται αἱ ταχεῖαι ναῦς ὡς τὸ πρότερον,
ἢ ἄρτι ὑπὸ τῶν ἡμετέρων χειρῶν δαμασθέντες περὶ φυγῆς
σκέπτονθ' μετ' ἀλλήλων καὶ οὐ βάλονθ' διὰ νυκτὸς φυλάσ-
σειν τῷ δεινῷ κόπῳ καμόντες." ἔτως εἶπον· οἱ δὲ πάντες
ἡσυχοι ἐγένοντο τῇ σιωπῇ. ὑπῆρχε δέ τις ἐν τοῖς Τρωσὶ
Δόλων, υἱὸς τῷ Εὐμήδους "τῷ θαυμαστῷ κήρυκος, πολὺν
χρυσὸν καὶ χαλκὸν ἔχων· ὃς δὴ τὴν μὲν ἰδέαν ἦν ἄμορφος,
ἀλλὰ ταχύπους. ἦτος δὲ μόνος ἦν ἄρρην σὺν πέντε ἀδελ-
φαῖς· ὃς δὴ τότε τοῖς Τρωσὶ καὶ τῷ "Εκτορι λόγον εἶπε.
"ὦ "Εκτωρ, ἐμὲ παρορμᾷ ἡ καρδία καὶ ἡ ἀνδρεία ψυχὴ "τῶν
ταχυπλόων νεῶν ἐγγὺς ἐλθεῖν καὶ ἀναμαθεῖν. ἀλλὰ φέρε
μοι τὸ σκῆπτρον ἀνάτεινον καὶ ὄμοσον ὄντως δὴ τὰς ἵππους
καὶ τὰ ἅρματα τὰ σιδηροποίκιλτα παραχεῖν, οἳ φέρουσι τὸν
ἄμεμπτον Ἀχιλλέα. ἐγὼ δέ σοι οὐ μάταιος κατάσκοπος
γενήσομαι ἀδ' ἀπὸ δοκήσεως· "ἐπὶ τοσοῦτον γοῦν εἰς τὸ στρα-
τόπεδον παραγενήσομαι δι' ὅλης, ἕως ἂν ἔλθω εἰς τὴν τῆ
Ἀγαμέμνονος ναῦν, ὅπου μέλλουσιν οἱ ἄριστοι τὰς βουλὰς
συμβουλεύειν ἢ περὶ φυγῆς ἢ περὶ πολέμου." οὕτως εἶπεν·
ἦτος δὲ ἐν ταῖς χερσὶ τὸ σκῆπτρον ἔλαβε καὶ ὤμοσεν αὐτῷ.
"μαρτυρείτω νῦν ὁ Ζεὺς ὁ μεγαλόκτυπος ἀνὴρ τῆς Ἥρας,
"ἐκ ἂν τότων τῶν ἵππων ἀνὴρ ἕτερος ἐπιβῇ ἢ τῶν ὀχη-
μάτων τῶν Τρώων· ἀλλὰ σέ φημι μέχρι τέλους καλλω-
πιοῦνται." ἔτως εἶπε καὶ διώμοσεν ὅρκον, τῦτον δὲ παρώρ-
μησεν. εὐθέως δὲ περιεβάλλετο τοῖς ὤμοις τὰ ἐπικαμπῆ
τόξα, ἐνεδύσατο δὲ ἔξωθεν δέρμα λευκῆ λύκα, "ἐπὶ δὲ τῇ
κεφαλῇ ἐξακτίνα περικεφαλαίαν· ἔλαβε δὲ καὶ ἀκόντιον,
ἐπορεύετο δὲ ἀπελθεῖν εἰς τὰς ναῦς ἀπὸ τῆ στρατῆ. ἀλλ'
ἐκ ἔμελλεν ἐλθὼν ἐκ τῶν πλοίων πάλιν τῷ "Εκτορι λόγον
ἀποκομίσαι. ἀλλ' ἡνίκα δὴ τῶν τε ἵππων καὶ τῶν ἀνδρῶν
κατέλιπε τὸ πλῆθος, ἐπορεύετο τὴν ὁδὸν πρόθυμος. τῦτον
δὲ εἶδε προσερχόμενον "ὁ εὐγενὴς Ὀδυσσεύς, καὶ πρὸς τὸν
Διομήδην εἶπεν "ἦτος ὦ Διόμηδες ἀπὸ τῆ στρατῆ ἔρχετ
ὁ ἀνήρ, ἐκ οἶδα ἢ ταῖς νανσὶ κατάσκοπος ταῖς ἡμετέραις
ἢ τινα κλέψων ἀπὸ τῶν νεκρῶν τῶν ἀποθανόντων. ἀλλ'
ἐῶμεν αὐτὸν πρῶτον παρεξελθεῖν τῆ πεδίῃ "μικρόν· εἶτα
ἂν αὐτὸν ἐφορμήσαντες λάβοιμεν ταχέως. ἐὰν δὲ ἡμᾶς
παραδράμοι τοῖς ποσίν, ἀεὶ αὐτὸν ἐπὶ τὰς ναῦς ἀπὸ τῆς
ὁδῆ συνελαύνειν τῷ δόρατι ἐφορμῶν, μή πως πρὸς τὴν
πόλιν ἐκκλίνῃ." ἕτω δὴ εἰπόντες ἔξω τῆς ὁδῆ ἐν τοῖς
νεκροῖς "ἐκρύβησαν." ἦτος δὲ ταχέως παρῆλθεν ἀνοήτως·
ἀλλ' ἡνίκα δὴ αὐτῶν διειζήκει ὅσον ὁρμήματα γίνονται
ἡμιόνων — αὗται γοῦν τῶν βοῶν ταχύτεραι ὑπάρχουσιν ἕλκειν
διὰ νειοῦ βαθείας σιδηρόπηκτον ἄροτρον —, ἔτοι μὲν ἐπε-
δραμον, ἦτος δὲ ἔζη τὸν κτύπον ἀκούσας· "ἤλπιζε γοῦν κατὰ
ψυχὴν ἀποσρέφοντας εἶναι ἑταίρους ἐκ τῶν Τρώων, ὑπο-
σρέφειν εἰς τὰπίσω τῆ "Εκτορος κελεύσαντος. ἀλλ' ἡνίκα
δὴ ἀφίσαντο δόρατος βολὴν ἢ καὶ ἔλαττον, ἐπέγνω τοὺς

πολεμίες ἄνδρας, τὰ ταχέα δὲ γόνατα ἐκίνει ἀποδρᾶναι· αὐτοὶ δὲ ταχέως κατατρέχειν ὥρμησαν. "ὥσπερ δὲ ὅτε δύο κύνες τραχυόδοντες, ἔμπειροι θηρευτικῆς, ἢ δορκάδα ἢ λαγὼ ἐπείγουσι διώκοντες ἐπιμόνως ἀεὶ ἀνὰ τὸν ὑλώδη τόπον, ἕτος δὲ ἔμπροσθεν τρέχει φθεγγόμενος, ἕτω τῶτον ὁ Διομήδης καὶ ὁ τὰς πόλεις πορθῶν Ὀδυσσεὺς τῶ λαοῦ ἀποχωρισθέντες ἐδίωκον ἐπιμόνως ἀεί. "ἀλλ' ἡνίκα δὴ ταχέως ἔμελλε μιγῆναι τοῖς φύλαξι φεύγων ἐπὶ τὰς ναῦς, τηνικαῦτα δὴ ἰχὺν ἐνέβαλεν ἡ Ἀθηνᾶ τῷ Διομήδει, ὅπως μή τις τῶν Ἑλλήνων τῶν εὐόπλων φθάσειε καυχησάμενος βαλεῖν, ἕτος δὲ δεύτερος φανῇ. τῷ δόρατι δὲ ἐφορμιῶν εἶπεν ὁ ἰχυρὸς Διομήδης "'ἢ μεῖνον ἢ τῷ δόρατί σε πλήξω· ἀδαμῶς δέ σε νομίζω ἐπὶ πολὺ ἀπὸ τῆς ἐμῆς χειρὸς διαφυγεῖν τὸν χαλεπὸν ὄλεθρον." εἶπε δὴ καὶ δόρυ ἐπαφῆκε, θέλων δὲ ἀπέτυχε τῶ ἀνδρός· ὑπερελθῶσα δὲ τὸν δεξιὸν ὦμον τῶ εὐξέστω δόρατος ἡ ὀξύτης ἐν τῇ γῇ ἐπάγη. ἕτος δὲ ἐξάθη ἐφοβήθη τε "τρέμων — ἦχος δὲ τῶν ὀδόντων ἐγένετο διὰ τῶ σώματος — χλωρὸς ὑπὸ τοῦ φόβου. ἕτοι δὲ ἀθμαίνοντες κατέλαβον καὶ τῶν χειρῶν καθήψαντο. ἕτος δὲ δακρύσας λόγον εἶπεν. "ζῶντά με φυλάττετε. ἐγὼ δὲ ἐμαυτὸν λυτρώσομαι· ἔστι γὰρ ἐν τῷ οἴκῳ μοι χαλκὸς καὶ χρυσὸς καὶ ὁ πολύπονος σίδηρος. "ἐκ τῶτων ὑμῖν παράσχοιτο ὁ πατὴρ πολλὰ καὶ ἄπειρα λύτρα, ἐάν περ ἐμὲ ζῶντα μάθῃ ἐπὶ ταῖς νανσὶ τῶν Ἑλλήνων." πρὸς τῶτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ πολύβολος Ὀδυσσεύς "θάρσει, καὶ μηδαμῶς σοι ὁ θάνατος κατὰ διάνοιαν ἔστω. ἀλλὰ φέρε μοι τῶτο εἰπὲ καὶ ἀληθῶς ἀπάγγειλον· "τί ποτε ἕτως ἐπὶ τὰς ναῦς ἀπὸ τῶ στρατῶ παραγίνῃ μόνος διὰ τῆς νυκτὸς τῆς σκοτεινῆς, ὅτε κοιμῶνται οἱ λοιποὶ ἄνθρωποι; ἢ τινα τῶν νεκρῶν ἀφελόμενος τῶν ἀποθανόντων, ἢ ὁ Ἕκτωρ σε παρέπεμψε κατασκοπῆσαι ἔκαστα ἐπὶ τὰς βαθείας ναῦς, ἢ σὲ αὐτὸν ἡ ψυχὴ παρέπεισε." "τῶτον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ὁ Δόλων· ὑπέτρεμε δὲ τὰ μέλη. "πολλαῖς με ἀπάταις παρεξέβαλε τὸν νῶν καὶ ἤγαγεν ὁ Ἕκτωρ, ὅστις μοι τοῦ λαμπρῶ Ἀχιλλέως τὺς μονύνυχας ἵππως δῶναι ἐπηγγείλατο καὶ ἅρματα τῷ σιδήρῳ πεποικιλμένα, παρεκελεύσατο δέ μοι ἐλθόντα διὰ τῆς ταχείας καὶ σκοτεινῆς νυκτὸς ἐπὶ τῶν πολεμίων ἀνδρῶν ἐγγὺς ἐλθεῖν καὶ μαθεῖν ἢ φυλάσσονται αἱ ταχεῖαι ναῦς ὡς τὸ πρότερον, ἢ ἤδη ὑπὸ ταῖς ἡμετέραις χερσὶ δαμασθέντες φυγὴν βεβλεύτε μετ' ἀλλήλων καὶ ὰ θέλετε τὴν νύκτα φυλάσσειν κεκμηκότες τῷ δεινῷ κόπῳ ἀηδῶς διακείμενοι." "πρὸς τῶτον δὲ ὑπομειδιάσας εἶπεν ὁ μεγαλόβολος Ὀδυσσεύς "ὄντως δή σοι μεγάλων δώρων ἐπεθύμει ἡ ψυχή, τῶν ἵππων Ἀχιλλέως τῶ πολεμικῶ. ἕτοι δὲ χαλεποὶ τοῖς θνητοῖς ἀνθρώποις δαμασθῆναι καὶ ἡνιοχηθῆναι ἑτέρῳ ἢ τῷ Ἀχιλλεῖ, ὃν ἀθάνατος ἔτεκε μήτηρ. "ἀλλὰ φέρε, τῶτό μοι εἰπὲ καὶ ἀληθῶς ἀπάγγειλον· πῶ νῦν ἐνταῦθα ἐλθὼν κατέλιπες Ἕκτορα τὸν βασιλέα τῶν λαῶν; πῶ δὲ τὰ ὅπλα αὐτῶ κεῖται τὰ πολεμικά; καὶ πῶ εἰσὶν αὐτῶ οἱ ἵπποι; πῶς δὲ τῶν λοιπῶν Τρώων αἵ τε φυλακαὶ καὶ αἱ κοῖται; καὶ ἄτινα δὴ βεβλεύσει μεθ' ἑαυτῶν· ἢ προτεθύμηνται "αὐτόθι μένειν παρὰ ταῖς νανσὶν ἔμπροσθεν, ἢ εἰς τὴν πόλιν πάλιν ἀναχωρήσσσιν, ἐπεὶ πολλὰς ἀπέκτειναν Ἕλληνας." πρὸς τῶτον δὲ εἶπε Δόλων ὁ τοῦ Εὐμήδης υἱός "τοιγαρῶν ἐγώ σοι ταῦτα λίαν ἀπαγγείλω ἀληθῶς. ὁ μὲν Ἕκτωρ σὺν τέτοις ὁπόσοι βελευτικοί εἰσι "βελὰς κατασκευάζει παρὰ τῷ τάφῳ τῶ θαυμαξῶ Ἴλω, ἄποθεν καὶ χωρὶς τῶ θορύβω· τὰς δὲ φυλακὰς ἃς ἐρωτᾷς ὦ γενναῖε, ἐδαμῶς τις ἐπιλελεγμένη σώζει τὸ στράτευμα ἐδὲ φυλάσσει. ὁπόσαι μὲν παρὰ τοῖς Τρωσὶ πυρὸς ἔσιαι, τέτοις ἐξ ἀνάγκης τὸ φυλάσσειν· οἵτινες ἐγρηγορότες εἰσὶ καὶ φυλάσσειν παρακελεύον "ἀλλήλοις. οἱ δὲ ἐκ πολλῶν κληθέντες σύμμαχοι κοιμῶν· τοῖς γὰρ Τρωσὶ φυλάσσειν ἐπέτρεψαν· ἐ γὰρ αὐτῶν οἱ παῖδες ἐγγὺς κάθην· ἐδὲ αἱ γυναῖκες." πρὸς τοῦτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ πολύβολος Ὀδυσσεύς "τίνα τρόπον νῦν ἐν τοῖς Τρωσὶν ἀναμεμιγμένοι τοῖς ἱππικοῖς "κοιμῶν" ἢ ἄποθεν; ἀκριβῶς μοι διασάφησον, ὅπως μάθω." πρὸς τῶτον δὲ ἀνταπεκρίνατο ὁ Δόλων μετὰ ταῦτα, ὁ τῶ Εὐμήδης υἱός· "τοιγαρῶν ἐγὼ καὶ ταῦτα λίαν ἀληθῶς ἀπαγγελῶ. ἐν μὲν τῷ πρὸς θάλασσαν μέρει οἱ Κᾶρες καὶ Παίονες οἱ ἀγκυλότοξοι καὶ οἱ Λέλεγες καὶ οἱ Καύκωνες καὶ οἱ ἔνδοξοι Πελασγοί· "πρὸς δὲ τὸ Θύμβραιον πεδίον ἔλαχον οἱ Λύκιοι καὶ οἱ ἀνδρεῖοι Μυσοὶ καὶ Φρύγες οἱ ἱππικοὶ καὶ Λυδοὶ οἱ ἐφ' ἵππων καθοπλιζόμενοι. ἀλλὰ διὰ τί δὴ ἐμὲ ταῦτα διερωτᾶτε ἔκαστα; εἰ γὰρ δὴ προθυμηθείητε εἰς τὸ Τρώων κατελθεῖν πλῆθος, οἱ Θρᾷκες ἄποθεν νεωστὶ ἐληλύθοτες ἔχατοι τῶν λοιπῶν, "ἐν αὐτοῖς δὲ Ῥῆσος ὁ βασιλεύς, ὁ παῖς τῶ Ἠϊονέως. τέτω δὴ καλλίστας ἵππως ἐθεασάμην καὶ μεγίστας· λευκότεροί εἰσι τῆς χιόνος, εἰς δὲ τὸ τρέχειν ἀνέμοις παραπλήσιοι. τὰ δὲ ἅρματα αὐτῷ χρυσῷ τε καὶ ἀργύρῳ ἐντέχνως κεκαλλώπισαι, καὶ τὰ ὅπλα χρυσᾶ καὶ μεγάλα θαυμαστά τε τῷ ἰδεῖν "ἦλθεν ἔχων. ταῦτα μὲν ἀδαμῶς θνητοῖς πρέπει ἀνδράσι φορεῖν, ἀλλὰ τοῖς ἀθανάτοις θεοῖς. ἀλλ' ἐμὲ νῦν ἐπὶ ταῖς νανσὶν ἀπαγάγετε ταῖς ταχυπλόοις, ἢ δήσαντές με καταλίπετε αὐτόθι σφοδρῷ δεσμῷ, ἕως ἂν ἐπανέλθητε καὶ πεῖράν με λάβητε, "εἰ ἄρα κατὰ τὸ πρέπον εἶπον ὑμῖν ἢ καὶ ἐχί." πρὸς τῶτον δὲ δεινῶς ὑποβλεψάμενος εἶπεν ὁ ἰχυρὸς Διομήδης "μηδαμῶς με περὶ φυγῆς ὦ Δόλων ἐν τῇ ψυχῇ ἐντίθε, καίπερ ἀγαθὰ ἀπαγγείλας, ἐπεὶ εἰς τὰς ἐμὰς ἦλθες χεῖρας. ἐὰν μὲν γάρ σε τὰ νῦν ἀπολύσωμεν ἢ ἀμελήσαιμεν ἄνευ δώρων, "ὄντος καὶ ὕστερον ἥξεις ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων, ἢ κατασκοπήσων ἢ καὶ ἐξ ἐναντίας πολεμήσων. ἐὰν δὲ ὑπὸ τῶν ἐμῶν δαμαθεὶς χειρῶν τὴν ψυχὴν ἀπολέσῃς, ἐκέτι μετὰ ταῦτα σὺ βλάβη ποτὲ γενήσῃ τοῖς "Ἕλλησιν." εἶπεν· καὶ ὁ μὲν Δόλων αὐτῶ ἔμελλε τῷ γενείῳ τῇ δυνατῇ χειρὶ ἅψάμενος παρακαλεῖν· ἕτος δὲ κατὰ τὸ μέσον τὸν αὐχένα ἔτεμε τῷ ξίφει ἐφορμήσας, ἀπέκοψε δὲ ἀμφοτέρους τὺς τένοντας. λαλοῦντος δὴ τέτε ἡ κεφαλὴ τῇ γῇ ἠνώθη, ἀπὸ δὲ τούτε τὴν ἐξ ἰκτίδος περικεφαλαίαν ἐκ τῆς κεφαλῆς ἔλαβον καὶ τὴν ἀπὸ λύκε καὶ τίξα τὰ ὀπίσω τεινόμενα καὶ τὸ μακρὸν δόρυ. "καὶ ταῦτα τῇ λαφυραγωγῷ Ἀθηνᾷ ὁ

ἔνδοξος Ὀδυσσεὺς εἰς τὸ ὕψος ἀνέχε τῇ χειρί, καὶ εὐχόμενος λόγον εἶπε. "χαῖρε ὦ θεὰ ἐν τούτοις· σὲ γὰρ ἐν τῷ Ὀλύμπῳ πρώτην πάντων τῶν θεῶν εἰς βοήθειαν ἐπικαλεσόμεθα. ἀλλὰ καὶ ἐκ δευτέρου πέμψον ἐπὶ τῶν Θρᾳκῶν ἀνδρῶν τούς τε ἵππους καὶ τὰς στρωμνάς." "οὕτω δὴ ἀπεφθέγξατο, καὶ ἀφ' ἑαυτοῦ εἰς ὕψος ἄρας ἔθηκεν ἐπὶ μυρίκην· εὔδηλον δὲ σημεῖον ἐπέθηκεν, συνδήσας καλάμους καὶ τῆς μυρίκης τοὺς εὐθαλεῖς κλάδους, ἵνα μὴ λάθοι εἰς τοὐπίσω ἐπανερχομένους διὰ τῆς ταχείας καὶ σκοτεινῆς νυκτός. οὗτοι δὲ ἐπορεύθησαν εἰς τὰ ἔμπροσθεν διὰ τῶν ὅπλων καὶ τοῦ μέλανος αἵματος, "ταχέως δὲ ἐπὶ τὸ τῶν Θρᾳκῶν ἀνδρῶν τάγμα ἵκοντο πορευόμενοι. οὗτοι δὲ ἐκάθευδον τῷ κόπῳ καμόντες· τὰ δὲ ὅπλα αὐτῶν παρ' αὐτοῖς ἐν τῇ γῇ ἔκειντο καλῶς καὶ κοσμίως ἐπὶ τρεῖς τάξεις· παρ' αὐτοῖς δὲ ἑκάστῳ δύο ἵπποι ὑπὸ ζυγὸν ἀγόμενοι. ὁ δὲ Ῥῆσος ἐν μέσῳ ἐκάθευδεν, καὶ παρ' αὐτῷ οἱ ταχεῖς ἵπποι "ἐκ τῆς ἐσχάτης ἐπιδιφριάδος λώροις ἦσαν δεδεμένοι. τούτους δὲ ὁ Ὀδυσσεὺς ἔμπροσθεν ἰδὼν τῷ Διομήδει ἔδειξεν. "οὗτος ὦ Διόμηδες ὁ ἀνὴρ καὶ οὗτοι δὲ οἱ ἵπποι, οὓς ἡμῖν ἔλεγεν ὁ Δόλων ὃν ἡμεῖς ἐφονεύσαμεν. ἀλλὰ φέρε δή, φανερὰν ποίει τὴν ἰσχυρὰν δύναμιν· οὐδέ σε χρὴ "ἑστάναι ἀργὸν καὶ μάταιον σὺν τοῖς ὅπλοις. τοὺς ἵππους λύε, ἢ τοὺς ἄνδρας σὺ φόνευε, ἐμοὶ δὲ φροντισθήσονται οἱ ἵπποι." οὕτως εἶπε· τούτῳ δὲ ἐνέπνευσε δύναμιν ἡ εὐόφθαλμος Ἀθηνᾶ. ἐφόνευε δὲ εὐτόνως· τούτων δὲ ὁ στεναγμὸς διηγείρετο χαλεπὸς τῷ ξίφει φονευομένων· ἐφοινίσσετο δὲ τῷ αἵματι ἡ γῆ. "ὥσπερ δὲ λέων προβάτοις ἀφυλάκτοις ἐπελθών, αἰξὶν ἢ προβάτοις, δεινὰ φρονῶν ἐφορμήσει, οὕτως τοὺς μὲν Θρᾷκας ἄνδρας ἐπήρχετο ὁ τοῦ Τυδέως υἱός, ἕως ἀπέκτεινε δώδεκα. ὁ δὲ πολύβουλος Ὀδυσσεύς, ὅντινα ὁ Διομήδης τῷ ξίφει ἔτρωσε παραστάς, "τοῦτον ὁ Ὀδυσσεὺς εἰς τοὐπίσω ἐκ τοῦ ποδὸς λαμβάνων μεθεῖλκε, ταῦτα φρονῶν κατὰ ψυχήν, ὅπως οἱ εὔτριχες ἵπποι εὐκόλως διέλθοιεν καὶ μὴ φοβοῖντο τῇ ψυχῇ ἐν τοῖς νεκροῖς διαβαίνοντες· ἀήθεις γὰρ αὐτῶν ἦσαν ἔτι. ἀλλ' ὅτε δὴ τὸν βασιλέα κατέλαβεν ὁ Διομήδης, "τοῦτον τρισκαιδέκατον τὴν γλυκυτάτην ψυχὴν ἀφῄρηκε πνευστιῶντα· κακὸς γὰρ ὁ ὄνειρος ἐπὶ κεφαλῆς ἐπέστη τὴν νύκτα, ὁ τοῦ Οἰνείδου παῖς, διὰ τὴν βουλὴν τῆς Ἀθηνᾶς. ἕως τότε δὴ ὁ καρτερικὸς Ὀδυσσεὺς ἔλυε τοὺς μονόνυχας ἵππους, συνεδέσμει δὲ τοῖς λώροις, καὶ ἐξήλαυνε τοῦ πλήθους "τῷ τόξῳ μαστίζων καὶ ἐλαύνων, ἐπειδὴ οὐ τὴν στιλπνὴν μάστιγα ἐκ τοῦ ποικίλου ἅρματος διενοήθη λαβεῖν ταῖς χερσίν. ἐβόησε δὲ ἀνάρθρως λέγων τῷ ἐνδόξῳ Διομήδει· οὗτος δὲ ἐφρόντιζε μένων τί χαλεπώτερον πράττοι, ἢ οὗτος τοῦ ἅρματος λαβών, ὅπου τὰ ποικίλα ὅπλα ἔκειτο, "τοῦ ῥυμοῦ ἐξέλκοι ἢ ἐξαγάγοι εἰς ὕψος ἄρας, ἢ ἔτι τῶν πολλῶν Θρᾳκῶν τὴν ψυχὴν ἀφέλοιτο. ἕως δὲ οὗτος ταῦτα ἐμερίμνα κατὰ νοῦν, τότε ἡ Ἀθηνᾶ ἐγγὺς στᾶσα εἶπε πρὸς τὸν ἔνδοξον Διομήδη "τῆς ἐπανόδου μνήσθητι ὦ τοῦ μεγαλοψύχου Τυδέως υἱὲ "ἐπὶ τὰς βαθείας ναῦς, μὴ μετὰ φυγῆς ἐπανέλθῃς, μή πού τις καὶ τοὺς Τρῶας διαναστήσει θεὸς ἕτερος."

οὕτως εἶπεν· οὗτος δὲ συνῆκε τῆς θεᾶς τὴν φωνὴν φωνησάσης, ταχέως δὲ τῶν ἵππων ἐπέβη, ἔτυπτε δὲ ὁ Ὀδυσσεὺς τῷ τόξῳ. οὗτοι δὲ ἠκολούθουν ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων. "ἀλλ' οὐ μάταιον σκοπὸν εἶχεν ὁ λαμπρότοξος Ἀπόλλων, ὡς εἶδε τὴν Ἀθηνᾶν τῷ υἱῷ τοῦ Τυδέως ἑπομένην καὶ συνεργοῦσαν. ταύτῃ ὀργιζόμενος εἰς τὸ τῶν Τρώων κατέδυ πολὺ πλῆθος, διήγειρε δὲ τὸν τῶν Θρᾳκῶν βουλευτικώτατον Ἱπποκόωντα τοῦ Ῥήσου ἀνεψιόν, τὸν ἀγαθόν. οὗτος δὲ ἐκ τοῦ ὕπνου ἀναστάς, "ὡς ἐθεάσατο τὸν τόπον ἔρημον ὅπου ἵσταντο οἱ ταχεῖς ἵπποι τούς τε ἄνδρας ψυχορραγοῦντας ἐν τοῖς χαλεποῖς φόνοις, ἐστέναξε δὴ καὶ τὸν προσφιλῆ ἑταῖρον ἐξ ὀνόματος ἐκάλεσε. τῶν δὲ Τρώων ταραχή τε καὶ πολὺς ἠγέρθη θόρυβος συντρεχόντων ὁμοῦ· ἐξεπλήττοντο δὲ τὰ θαυμαστὰ ἔργα, "ὅσα οἱ ἄνδρες πράξαντες ἐπορεύθησαν ἐπὶ τὰς βαθείας ναῦς. οὗτοι δὲ ἡνίκα παρεγένοντο ἔνθα τὸν κατάσκοπον τοῦ Ἕκτορος ἐφόνευσαν, τότε ὁ μὲν Ὀδυσσεὺς ἐπέσχεν ὁ τῷ Διὶ φίλος τοὺς ταχεῖς ἵππους, ὁ Διομήδης δὲ χαμαὶ πηδήσας τὰ ᾑμαγμένα λάφυρα ἐν ταῖς χερσὶν τοῦ Ὀδυσσέως ἐτίθει καὶ τῶν ἵππων ἐπέβη. "ἐτύπτησε δὲ ὁ Ὀδυσσεύς· οὗτοι δὲ ἑκόντες ἐπετάσθησαν ἐπὶ τὰς βαθείας ναῦς· ἐκεῖσε γὰρ προσφιλὲς ὑπηρχε τῇ ψυχῇ. ὁ Νέστωρ δὲ πρῶτος τὸν κτύπον ἤκουσε καὶ ἐφώνησεν "ὦ προσφιλέστατοι τῶν Ἑλλήνων ἡγεμόνες καὶ βασιλεῖς, ψεύσομαι ἢ ἀληθῶς ἐρῶ; παρακελεύεται δέ με ἡ ψυχή. "ἵππων με ταχυπόδων ἦχος τὰ ὦτα περικτυπεῖ. εἴθε γὰρ δὴ ὁ Ὀδυσσεὺς καὶ ὁ ἰσχυρὸς Διομήδης οὕτω ταχέως ἐκ τῶν Τρώων ἐλάσειαν τοὺς ἰσχυρόποδας ἵππους. ἀλλὰ λίαν φοβοῦμαι κατὰ διάνοιαν μή πως πάθωσί τι τῶν Ἑλλήνων οἱ ἀριστεῖς ὑπὸ τοῦ θορύβου τῶν Τρώων." "οὐδέπω ὁ πᾶς ἐλέχθη λόγος, ὅτε δὴ αὐτοὶ παρεγένοντο. καὶ οὗτοι μὲν κατέβησαν ἐκ τῶν ἁρμάτων ἐπὶ τὴν γῆν· αὐτοὶ δὲ εὐφρανθέντες τῇ τε δεξιᾷ ἠσπάζοντο καὶ τοῖς προσηνέσι λόγοις. πρῶτος δὲ ἀνηρώτα ὁ ἀπὸ Γερήνης ἱππικὸς Νέστωρ "φέρε εἰπέ μοι ὦ θαυμαστότατε Ὀδυσσεῦ, μέγα κλέος τῶν Ἑλλήνων, "πῶς τούτους τοὺς ἵππους ἐλάβετε, κατελθόντες εἰς τὸ πλῆθος τῶν Τρώων, ἤ τις ὑμῖν παρέσχε θεὸς περιτυχών; λίαν ταῖς ἀκτῖσιν ὅμοιοι τοῦ ἡλίου. ἀεὶ μὲν τοῖς Τρωσὶν ἐν τῇ μάχῃ σύνειμι καὶ οὐδαμῶς λέγω παραμένειν ἐν ταῖς ναυσὶ καίπερ γέρων ὑπάρχων πολεμιστής· "ἀλλ' οὐδέπω τοιούτους ἵππους εἶδον οὐδὲ ἐγνώρισα (ἢ ὠψόμην). ἀλλά τινα ὑμῖν δοκῶ δοῦναι θεὸν συναντήσαντα· ἀμφοτέρους γὰρ ὑμᾶς φιλεῖ ὁ τὰς νεφέλας συναθροίζων Ζεὺς καὶ ἡ θυγάτηρ τοῦ αἰγιδούχου Διὸς ἡ εὐόφθαλμος Ἀθηνᾶ." πρὸς τοῦτον δὲ ἀνταποκριθεὶς εἶπεν ὁ πολύβουλος Ὀδυσσεύς "ὦ Νέστου Νηλέως υἱέ, μεγάλη δόξα τῶν Ἑλλήνων, ῥᾳδίως ὁ θεὸς ἐὰν βουληθῇ καὶ κρείττονας ἢ οὗτοι ἵππους παράσχοι, ἐπειδὴ λίαν κρείττων ἐστίν. οἱ ἵπποι δὲ οὗτοι ὦ πρεσβῦτα νεωστὶ εἰσιν ἐληλυθότες, περὶ ὧν ἐρωτᾷς, Θρᾳκικοί· τὸν δὲ βασιλέα τούτων ὁ ἰσχυρὸς Διομήδης "ἐφόνευσε, παρ' αὐτῷ τοὺς ἑταίρους δώδεκα πάντας γενναίους. καὶ τρισκαιδέκατον τὸν κατάσκοπον Δόλωνα ἐλάβομεν πλησίον τῶν νεῶν· τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τον δὲ κατάσκοπον τῶ ϛρατῶ εἶναι τοῦ ἡμετέρϐ ὁ Ἕκτωρ τε προέπεμψε ϗ οἱ λοιποὶ Τρῶες οἱ λαμπροί." οὕτως εἰπὼν διὰ τῆς τάφρϐ ἤλασε τὸς ἰχνυρόποδας ἵππϐς· ἅμα δὲ οἱ λοιποὶ ἐπορεύθησαν Ἕλληνες. ἔϛοι δὲ ἡνίκα εἰς τὴν σκηνὴν τοῦ Διομήδες τὴν εὐκατασκεύαϛον παρεγέ-νοντο, τοὺς μὲν ἵππϐς ἐδέσμευσαν τοῖς εὖ τετμημένοις λώροις ἐπὶ τῇ τῶν ἵππων φάτνῃ, ὅπϐ περ τοῦ Διομήδους ροὶ ἵπποι ἐϛήκασιν οἱ ταχύποδες, ἡδὺν σῖτον ἐϐϐόντες· ἐν δὲ τῇ πρύμνῃ τῆς νεὼς τὰ λάφυρα τὰ ἡμαγμένα τῶ Δόλωνος ἔθηκεν ὁ Ὀδυσσεύς, ὅπως σφάγιον παρασκευάσωσι τῇ Ἀθηνᾷ. αὐτοὶ δὲ τὸν πολὺν ἱδρῶτα ἀπενίπτοντο ἐν τῇ θαλάσσῃ εἰσελθόντες, τάς τε κνήμας ϗ τὸν αὐχένα ϗ τὲς μηρὲς ἀμφοτέρϐς. ἐπειδὴ δὲ αὐτῶν τὸ κῦμα τῆς θαλάσσης τὸν πολὺν ἱδρῶτα ἀπένιψε τῶ σώματος ϗ ἀνεκτήσαντο τὴν προσφιλῆ ψυχήν, εἰς τὰς λεκάνας ἐμβάντες τὰς καλῶς ἐξεσμένας ἐλέσαντο. ἔϛοι δὲ λεσάμενοι ϗ ἀλειψάμενοι λιπαρῷ ἐλαίῳ τῷ δείπνῳ παρεκάθιζον, ἀπὸ δὲ τῶ κρατῆρος τῇ Ἀθηνᾷ τῶ πεπληρωμένϐ ἀπαντλήσαντες ἔϐπενδον ἡδὺν οἶνον.

Λ. ΑΓΑΜΕΜΝΟΝΟΣ ΑΡΙΣΤΕΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Λάμβδα δ' ἀρισῆας Δαναῶν βάλον Ἕκτορος ἄνδρες.*

2. *Ἀγαμέμνων αὐτός τε ὁπλισάμενος καὶ τὲς ἄλλες καθοπλίσας Ἕλληνας ἐξάγει ἐπὶ τὸν πόλεμον. Ἕκτωρ δὲ Διὸς κελεύσαντος ἀναχωρεῖ τῆς μάχης, ἕως Ἀγαμέμνων ἐπὶ τὸν ναύϛαθμον διασώϐεται. μετὰ ταῦτα Ὀδυσσεὺς κυκλωσαμένων αὐτὸν τῶν Τρώων ἀμύνεται αὐτούς, Αἴαντος καὶ Μενελάϐ βοηθησάντων αὐτῷ. τιτρώσκονται μέντοι τῶν Ἑλλήνων οἱ ἄριϛοι, Ἀγαμέμνων μὲν ὑπὸ Κόωνος, Ὀδυσσεὺς δὲ ὑπὸ Σώκϐ· ὑπὸ δὲ Ἀλεξάνδρου τοξεύονται Διομήδης καὶ Εὐρύπυλος καὶ Μαχάων, ὃν ἐπανιόντα σὺν Νέϛορι ϑεασάμενος Ἀχιλλεὺς διαπέμπεται Πάτροκλον μαθησόμενον τίς εἴη ὁ τετρωμένος. ὁ δὲ ἀφικόμενος καὶ μαθὼν Μαχάονα εἶναι, παρὰ τοῦ Νέϛορος προτρέπεται ἢ τὸν Ἀχιλλέα πεῖσαι συμμαχῆσαι τοῖς Ἕλλησιν ἢ αὐτὸς γοῦν λαβὼν τὴν παντευχίαν τῶ Ἀχιλλέως ἐξελθεῖν εἰς μάχην. ἐπανερχόμενος δὲ περιτυχὼν Εὐρυπύλῳ κομίσας εἰς τὰς ναῦς ϑεραπεύει.*

3. *Τὴν Λ ῥαψῳδίαν Ἀγαμέμνονος ἀριϛείαν ἐπιγράφουϲι· παράγουϲι γὰρ τὸν Ἀγαμέμνονα ὑπὸ τῆς Ἥρας καὶ Ἀθηνᾶς βοηθούμενον καὶ πολλὴν τροπὴν τῶν Τρώων ἐργαζόμενον, ὡς καὶ τὸν Δία Ἶριν πέμψαντα ἀπάγειν Ἕκτορα εἰς ὅϐον Ἀγαμέμνων ἠρίϛευϲε. τρωθέντος δὲ ὑπὸ Κόωνος τὴν χεῖρα καὶ ἀναχωρήϲαντος ἐπὶ τὰς ναῦς καὶ Ἕκτορος ἐλθόντος εἰς τὸν πόλεμον, καρτερᾶς γενομένης μάχης ἐξ ἀμφοτέρων πίπτουϲι καὶ τιτρώϲκονται πολλοὶ καὶ Διομήδης καὶ Ὀδυσσεύς. καὶ Μαχάονα ϑεασάμενος Ἀχιλλεὺς ὑπὸ τοῦ Νέϛορος ἐπὶ τὰς ναῦς ἀγόμενον πέμπει Πάτροκλον μαθησόμενον τίς εἴη ὁ τετρωμένος. ἀφικομένῳ δὲ αὐτῷ Νέϛορ τὰ τῶν Ἑλλήνων ὀδύρεται πταίϲματα, καὶ παρακαλεῖ μάλιϲα μὲν αὐτὸν πεῖϲαι τὸν Ἀχιλλέα ϲυμμαχῆϲαι τοῖς Ἕλλησιν, εἰ δὲ ἐκεῖνος μὴ βούλοιτο, σὺν τοῖς Μυρμιδόϲι τὸν Πάτροκλον πέμψαι δόντα τὴν ἰδίαν αὐτῷ παντευχίαν· τοὺς γὰρ Τρῶας καταπλαγήϲεϑαι καὶ οἰηθέντας αὐτὸν παρεῖναι τὸν Ἀχιλλέα φεύξεϲθαι. ἐπανερχόμενος δὲ ὁ Πάτροκλος πρὸς Ἀχιλλέα, περιτυχὼν Εὐρυπύλῳ τετρωμένῳ βαϲάζει τε αὐτὸν καὶ ἐπὶ τὰς ναῦς κομίϲας ϑεραπεύει.*

Ἡ ἡμέρα δὲ ἐκ τῆς κοίτης παρὰ τῶ λαμπρῶ Τιθωνῶ ὦρμηϲεν, ἵνα τοῖς ϑεοῖς ϗ τοῖς ἀνθρώποις φῶς κομίϲῃ. ὁ Ζεὺς δὲ τὴν Ἔριδα προέπεμψεν ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων τὴν τὰ ἄλγη ἐπιφέρϐϲαν, πολέμϐ ϲημεῖα ἐν ταῖς χερϲὶν ἔχϐϲαν. ἔϛη δὲ ἐπὶ τῇ τῶ Ὀδυϲϲέως πλατείᾳ καὶ βαθείᾳ νηΐ, ἥτις ἐν τῷ μεϲαιτάτῳ ὑπῆρχεν εἰς τὸ βοᾶν ἑκατέρωθεν ἐπί τε τὰς τῶ Αἴαντος ϲκηνὰς τῶ υἱῶ Τελαμῶνος ϗ ἐπὶ τὰς τῶ Ἀχιλλέως· ἔϐτοι γ' περὶ τὰ ἄκρα τὰς ναῦς εἵλκυϲαν, τῇ δυνάμει ϑαῤῥῦνϐντες ϗ τῇ ἰχίῃ τῶν χειρῶν. ἐκεῖ ϛᾶϲα ἐβόηϲεν ἡ ϑεὰ μέγα ϗ φοβερόν, ὀρθῶς ϗ ἀνατεταμένως, τοῖς Ἕλληϲι δὲ μέγα κράτος ἐνέβαλε πᾶϲι τῇ καρδίᾳ ἀκατάπαυϲα πολεμεῖν ϗ μάχεϑ. τάτοις δὲ ὁ πόλεμος ἡδίων ἐγένετο ἢπερ τὸ ἐπανελθεῖν μετὰ τῶν βαθειῶν νεῶν εἰς τὴν προσφιλῆ ϗ πατρικὴν γῆν. ὁ δὲ Ἀγαμέμνων ἐβόηϲε ϗ καθοπλίζεϑ ἐκέλευϲε τὲς Ἕλληνας, καὶ αὐτὸς δὲ ἐνεδύϲατο λαμπρὸν σίδηρον. τὰς περικνημῖδας μὲν πρῶτα περὶ ταῖς κνήμαις ἐπέθηκε καλάς, ἐπὶ τὰ λαμπρὰ αὐτῶ ἀϲράγαλα ἡρμοϲμένας. δεύτερον δὲ θώρακα περὶ τοῖς ϛήθεϲιν ἐνεδύϲατο, ὅντινά ποτε ὁ Κινύρης ἔδωκε ξεῖνιον ὑπάρχειν· ἠκέατο γ' ἕως Κύπρϐ ἡ μεγάλη φήμη ὅτι οἱ Ἕλληνες εἰς τὴν Τροίαν μετὰ τῶν νεῶν ἔμελλον τὸν πλῶν ποιήϲαϑ· διὰ τῶτο τῶτον αὐτῷ παρέχε χαριζόμενος τῷ βαϲιλεῖ. τάτϐ δὴ δέκα ὁδοὶ ὑπῆρχον ἀπὸ χρώματος κυανῶ, δώδεκα δὲ ἀπὸ χρυϲῶ ϗ εἴκοϲιν ἀπὸ καϲϲιτέρου. κυάνεοι δὲ δράκοντες ἐξετέταντο περὶ τὸν τράχηλον τρεῖς ἑκατέρωθεν, ταῖς ἴριϲι παραπλήϲιοι ἃς ὁ Ζεὺς ἐν τῷ νέφει ἔϛηϲε ϲημεῖον τῶν πολυγλώϲϲων ἀνθρώπων. ἐν δὲ τοῖς ὠμοις περιεβάλλετο ϲπάθην· ἐν αὐτῇ δὲ ἦλοι ἀπὸ χρυϲῶ πανταχῆ ἔλαμπον· περὶ δὲ αὐτὴν ξιφοθήκη ἦν ἀργυρᾶ, χρυϲοῖς κρεμαϲῆρϲιν ἡρμοϲμένη. ἔλαβε δὲ τὴν μεγάλην πολυποίκιλον ἀϲπίδα κάφην, τὴν καλήν, περὶ ἣν κύκλοι δέκα ὑπῆρχον ἀπὸ χαλκῶ. ἐν αὐτῇ δὲ ὀφθαλμοὶ ὑπῆρχον εἴκοϲιν ἀπὸ καϲϲιτέρϐ λευκοί· ἐν μέϲοις δὲ ἦν ἀπὸ μέλανος κυανῶ. ἐπὶ ταύτῃ δὲ ἡ μὲν Γοργὼ καταπληκτικὴ περιέκειτο φοβερὸν βλέπϐϲα· περιῆν δὲ ϗ ὁ Δεῖμος ϗ ὁ Φόβος. ἐκ ταύτης δὲ ἀργύρεος ἀναφορεὺς ἦν· ἐπ' αὐτῷ δὲ κυάνεος περιειλεῖτο δράκων· κεφαλαὶ δὲ αὐτῷ ὑπῆρχον τρεῖς ϲυμπεπλεγμέναι, ἑνὸς τραχήλϐ ἐξερχόμεναι. ἐπὶ δὲ τῇ κεφαλῇ ἀμφοτέρωθεν φάλες ἔχϐϲαν περικεφαλαίαν ἔθετο τετράλοφον, ἐξ ἱππείων τριχῶν· φοβερὸν δὲ ἄνωθεν ὁ λόφος ἐκινεῖτο. ἔλαβε δὲ ἰχυρὰ δύο δόρατα, ἐϲομωμένα ϲιδήρῳ, ὀξέα· πύῤῥῳ δὲ ὁ σίδηρος ἀπ' αὐτῶν ἔνδον τῶ ὐρανῶ ἔλαμπεν.

ἐπήχησαν δὴ ἥ τε Ἀθηνῶ ϗ ἡ Ἥρα τιμῶσαι τὸν βασιλέα τῆς πλησίας Μυκήνης. μετὰ ταῦτα μὲν τῷ ἰδίῳ ἡνιόχῳ προσέταττεν ἕκαστος τὰς ἵππους καλῶς ϗ κοσμίως κατέχειν αὐτόθι ἐπὶ τῇ τάφρῳ· αὐτοὶ δὲ πεζοὶ ὁπλῖται σὺν ὅπλοις καθοπλισθέντες ΄ὥρμησαν· ἄπυστος δὲ ταραχὴ ἐγένετο πρὸ τῆς τῶ ἡλίῳ ἀνατολῆς. προέφθασαν δὲ τὰς ἱππεῖς ἐπὶ τῇ τάφρῳ μεγάλως ὁπλισθέντες, οἱ δὲ ἱππεῖς μετ' ὀλίγον ἐπορεύοντο. ἐν αὐτοῖς δὲ θόρυβον ἤγειρε κακὸν ὁ Ζεύς, καθῆκε δὲ ἄνωθεν δρόσους αἵματι διαβρόχους ἐκ τῶ αἰθέρος, διότι ἔμελλε ΄πολλὰς ἰφθυμὰς κεφαλὰς τῷ ΄Αἰδῃ παραπέμψειν. οἱ Τρῶες δὲ πάλιν ἑτέρωθεν ἐπὶ τῷ ὑψηλῷ τόπῳ τῶ πεδίῳ περί τε τὸν μέγαν Ἕκτορα ϗ τὸν αἰνετὸν Πολυδάμαντα ϗ τὸν Αἰνείαν, ὅσις Τρωσὶν ὥσπερ θεὸς ἐτιμᾶτο ἐν τῷ πλήθει, ϗ τὰς τρεῖς Ἀντήνορος παῖδας, τὸν Πόλυβον ϗ τὸν Ἀγήνορα τὸν ἔνδοξον ΄καὶ τὸν ἄγαμον Ἀκάμαντα τὸν παρόμοιον θεοῖς. ὁ δὲ Ἕκτωρ ἐν τοῖς πρώτοις ἐπεφέρετο κυκλοτερῆ ἀσπίδα. οἷος δὲ ἐκ τῶν νεφῶν ἀναφαίνει ὀλέθριος ἀϛὴρ πανταχῆ λάμπων, ὁτὲ δὲ καταδύεῖ εἰς τὰ σκιώδη νέφη, ἕως ὁ Ἕκτωρ ποτὲ μὲν ἐν τοῖς πρώτοις ἐφαίνετο ΄ἄλλοτε δὲ ἐν τοῖς ἐσχάτοις διατασσόμενος· ὅλως δὲ τῷ σιδήρῳ ἔλαμπεν ὥσπερ ἀϛραπὴ τῆ πατρὸς Διὸς τῆ αἰγιδόχῃ. ἕτοι δὲ ὥσπερ θερισαὶ ἐρίζοντες ἀλλήλοις χῶρον θερίζουσιν ἀνδρὸς πλουσίᾳ κατὰ χώραν ἢ γῆν σίτων ἢ κριθῶν, τὰ δὲ δράγματα συνεχῶς πίπτει, ὥτως οἱ Τρῶες ϗ οἱ Ἕλληνες ἐπ' ἀλλήλοις ὁρμήσαντες ἔβαλον, ϗ ἐδέτεροι μνείαν ἐποιοῦντο τῆς ὀλεθρίας φυγῆς, ἐπ' ἴσης δὲ ἐν τῇ μάχῃ τὰς κεφαλὰς εἶχον· ἕτοι δὲ ὡς λύκοι ὤρμων. ἔχαιρε δὲ ἡ Ἔρις ἡ πολυσένακτος βλέπουσα· μόνη γὰ τῶν θεῶν παρῆν μαχομένοις· ΄οἱ δὲ λοιποὶ οὐκ ἐν τούτοις παρῆσαν θεοί, ἀλλ' ἡσυχοι ἐν τοῖς ἑαυτῶν οἴκοις ἐκάθηντο, ἔνθα ἑκάστῳ οἰκήματα περικαλλῆ κατεσκεύαστο κατὰ τὰς ἐξοχὰς τῆ Ὀλύμπου. πάντες ἠνιῶντο τὸν τὰ νέφη μελαίνοντα Δία, διότι τοῖς Τρωσὶν ἐβάλετο δόξαν παραχεῖν. ΄τάτων μὲν δὴ ἐκ ἐφρόντιζεν ὁ πατήρ, αὐτὸς δὲ διαχωριθεὶς τῶν λοιπῶν μακρὰν ἐκάθητο τῇ δόξῃ αὐχῶν, βλέπων εἰς τε τὴν πόλιν τῶν Τρώων ϗ εἰς τὰς ναῦς τῶν Ἑλλήνων τῆ τε σιδήρῳ τὴν λαμπηδόνα τάς τε φονεύοντας ϗ φονευομένας. ἕως μὲν πρωΐα ἦν ϗ ηὐξάνετο ἡ μεγάλη ἡμέρα, ΄μέχρι τότε λίαν ἀμφοτέρων τὰ βέλη ἔπιπτετο, ἔπιπτε δὲ ὁ λαός· ἡνίκα δὲ ὅ τε ὑλοτόμος ἀνὴρ παρεσκεύασατο δεῖπνον ἐν δασεῖ ὄρει, ἐπεὶ ἐκορέσσατο καμὼν τὰς χεῖρας τέμνων τὰ μεγάλα δένδρα, κόρος δὲ αὐτὸν κατὰ ψυχὴν ἐλάβετο, ἄρτα τε γλυκερῆ κατὰ διάνοιαν ἐπιθυμία κατέλαβε, ΄τηνικαῦτα τῇ ἑαυτῶν ἀρετῇ οἱ Ἕλληνες διέῤῥηξαν τὰς τάξεις, παρακελευόμενοι τοῖς ἑταίροις κατὰ τάξεις. ἐν τούτοις δὲ ὁ Ἀγαμέμνων πρῶτος ὥρμησεν, ἀνεῖλε δὲ ἄνδρα Βιάνορα βασιλέα τῶν ὄχλων, ἑκεῖνον, μετὰ ταῦτα δὲ τὸν ἑαυτῆ ἑταῖρον Ὀϊλέα τὸν ἱππικόν. οὗτος μὲν ἐκ τῶν ἵππων καταπηδήσας ἐξ ἐναντίας ἔζη· ΄τῆτον δὲ ἐπ' εὐθείας προθυμούμενον κατὰ τὸ μέτωπον τῷ ὀξεῖ δόρατι ἔκρωσεν. ἐδὲ ἡ περικεφαλαία τὸ δόρυ αὐτῆ κατέσχεν ἡ ἰσχυρὰ τῷ χαλκῷ βαρυμένη, ἀλλὰ δι' αὐτῆς ἐπέρασε ϗ τῆ ὀξέϊ· ὁ δὲ ἐγκέφαλος ἐντὸς ὅλος ἐμολύνετο· ἐφόνευσε δὲ αὐτὸν προθυμούμενον. ϗ τάτες μὲν αὐτόθι κατέλιπεν βασιλεὺς τῶν ἀρίστων Ἀγαμέμνων ΄τοῖς σήθεσι λάμποντας (ἤτοι γυμνούς), ἐπεὶ τὰς χιτῶνας ἐξέδυσεν. ὁ δὲ ἐπορεύθη τὸν τε Ἴσον ϗ τὸν Ἀντιφον φονεύσων τὰς δίο υἱοὺς τῆ Πριάμιδ, τὸν νόθον ϗ τὸν γνήσιον, ἀμφοτέρας ἐν ἑνὶ ἅρματι ὄντας· ὁ μὲν γὰ νόθος ἡνίοχος ἦν, ὁ δὲ Ἀντιφος ἐμάχετο ὁ περίδοξος· ὅς ποτε Ἀχιλλεὺς ΄ἐν τοῖς τῆς Ἴδης κρημνοῖς ἔδησεν ἁπαλοῖς κλάδοις ποιμαίνοντας ἐπὶ τοῖς ποιμνίοις συλλαβών, ϗ ἔλυσε διὰ λύτρων. τότε δὴ ὁ υἱὸς τῆ Ἀτρέως ὁ μέγας βασιλεὺς Ἀγαμέμνων τὸν μὲν Ἴσον ἄνω τῆ μαζῆ κατὰ τὸ σῆθος ἔτρωσε τῷ δόρατι, τὸν δὲ Ἄντιφον παρὰ τὸ ὦς ἔβαλε τῷ ξίφει ϗ ἐξέβαλε τῶν ἵππων. ΄σπεύσας δὲ ἀπ' αὐτῶν ἀφῃρεῖτο τὰ καλὰ ὅπλα ἐπιζάμενος· καὶ γὰρ αὐτοὺς πρότερον ἐν ταῖς ταχείαις ναυσὶν ἐθεάσατο, ὅτε ἐξ Ἴδης ἤγαγεν ὁ ταχύπους Ἀχιλλεύς. ὥσπερ δὲ λέων ἐλάφῳ ταχείας μικρὰ τέκνα ῥᾳδίως συντρίψει λαβὼν τοῖς ἰσχυροῖς ὀδοῦσι, ΄παραγενόμενος εἰς τὴν κοίτην, τήν τε νέαν αὐτῶν ἀφαιρεῖται ψυχήν, αὖτη δὲ εἴπερ ϗ παρέσται λίαν ἐγγὺς αὐτῶν οὐ δύναῦ βοηθεῖν· αὐτὴν γὰ αὐτὴν τρόμος δεινὸς καταλαμβάνει· ταχέως δὲ ὥρμησεν ἐπὶ τὰς δρυμῶνας ϗ τὴν ὕλην κατεπειγομένη καὶ ἱδρῶσα ὑπὸ τῆς ὁρμῆς τῶ ἰσχυρῶ θηρός· ΄ὥτω δὴ τότοις ἐδεῖς ἐδύνατο ἀποσοβῆσαι τὸν θάνατον ἐκ τῶν Τρώων, ἀλλὰ ϗ αὐτοὶ ὑπὸ τῶν Ἑλλήνων εἰς φυγὴν ἐτρέποντο. οὗτος δὲ ὁ Ἀγαμέμνων τόν τε Πείσανδρον ϗ τὸν καρτερικὸν Ἱππόλοχον, τὰς υἱὰς Ἀντιμάχῃ τῆ συνετῆ, ὃς δὴ μάλιςα τὸν χρυσὸν παρὰ τῆ Ἀλεξάνδρᾳ δεξάμενος λαμπρὰ δῶρα ΄οὐ συνεχώρει τὴν Ἑλένην δοῦναι τῷ πυῤῥῷ Μενελάῳ, τότε τὼ δύο παῖδας συνέλαβεν ὁ βασιλεὺς Ἀγαμέμνων ἐν ἑνὶ ἅρματι ὑπάρχοντας· ὁμῶ δὲ ἤλαυνον τοὺς ταχεῖς ἵππους. ἐξέφυγον γὰ τῶν χειρῶν αὐτῶν τὰ πεποικιλμένα ἡνία· ἕτοι δὲ ἐταράχθησαν. ἕτος δὲ ἐρισικῶς ὥρμησεν ὡς λέων ΄ὁ Ἀγαμέμνων· ἕτοι δὲ πάλιν ἐκ τῶ ἅρματος τῶν γονάτων ἥπτοντο. ΄ζῶντας ἄγρευε Ἀτρέως υἱέ, σὺ δὲ ἀντάξια δέξαι λύτρα· πολλὰ γὰ ἐν τοῖς τῆ Ἀντιμάχῃ οἴκοις ἀπόθετα χρήματα κεῖται, χαλκὸς ϗ χρυσὸς ϗ ὁ πολλὰ ἐργαζόμενος σίδηρος· ἐκ τούτων ἄν σοι παράσχοι ὁ πατὴρ ἄπειρα λύτρα, ΄εἰ ἡμᾶς ζῶντας ἀναμάθῃ ἐπὶ ταῖς ναυσὶ τῶν Ἑλλήνων." ἕτως ἕτοι κλαίοντες προσεφώνουν πρὸς τὸν βασιλέα προσηνέσι λόγοις· σκληρὸν δὲ λόγον ἤκουσαν. ΄"εἰ μὲν Ἀντιμάχῃ τῆ συνετοῦ υἱοί ἐσε, ὅς ποτε ἐν τῇ τῶν Τρώων συναγωγῇ τὸν Μενέλαον παρεκελεύετο εἰς πρεσβείαν ἐλθόντα σὺν τῷ ἰσοθέῳ Ὀδυσσεῖ αὐτόθι ἀποκτεῖναι ϗ μὴ ἐκπέμψαι ὀπίσω πρὸς τὰς Ἕλληνας, νῦν μὲν δὴ τῆ πατρὸς τὴν χαλεπὴν εἰσπραχθήσεσθε ὕβριν." εἶπε, ϗ τὸν Πείσανδρον μὲν ἀπὸ τῶν ἵππων ὤθησε χαμαί, τῷ δόρατι βαλὼν ἐν τῷ σήθει· ἕτος δὲ ὕπτιος ἐς γῆν ἔπεσεν. ΄ὁ δὲ Ἱππόλοχος ἀπέβη· τῆτον δὲ χαμαὶ ἀπέκτεινε, τὰς χεῖρας τῷ ξίφει ἀποκόψας ϗ τὸν τράχηλον. ὅλμου δὲ

δίκην εἵασεν αὐτὸν ῥίψας κυλίεσθ διὰ τᾶ πλήθας. τούτας μὲν εἵασεν, αὐτὸς δὲ ὅπα πλεῖσαι συνεσρέφοντο τάξεις, ἐκεῖ ἐξώρμησεν, ἅμα τε οἱ λοιποὶ εὔοπλοι Ἕλληνες. πεζοὶ μὲν πεζὰς ἀνῆρων φεύγοντας μετ' ἀνάγκης, οἱ δὲ ἱππεῖς τὰς ἐφίππας· ὑπ' αὐτῶν δὲ διηγείρετο κονιορτὸς ἐκ τοῦ πεδίω, ὃν διήγειραν οἱ μεγαλόκτυποι πόδες τῶν ἵππων τᾷ σιδήρᾳ διακόπτοντες. ὁ δὲ βασιλεὺς Ἀγαμέμνων ἀδιαλείπτως φονεύων ἠκολάθει τοῖς Ἕλλησι παρακελευόμενος. ὥσπερ δὲ ὅτε πῦρ ἀφανισικὸν ἐν πολυξύλῳ ὕλᾳ ἐμπέσῃ, πανταχᾶ τε συσρέφων ὁ ἄνεμος φέρει, αἱ δὲ συνδενδρίαι ἀπὸ ῥιζῶν πίπτωσι συνελαυνόμεναι τᾷ τᾶ πυρὸς ὁρμᾷ, ἔτω δὴ ὑπὸ τᾶ Ἀγαμέμνονος ἔπιπτον αἱ κεφαλαὶ τῶν Τρώων διωκομένων. πολλοὶ δὲ μεγαλοτράχηλοι ἵπποι κενοῖς ἅρμασιν ἠχὴν ἐποίων ἕλκοντες ἀνὰ τὰς διαβάσεις τᾶ πολέμω, τὼς ἡνιόχως ποθῶντες· τὼς ἀψόγως· ἦτοι δὲ ἐν τᾷ γᾷ ἔκειντο τοῖς γυψὶ προσφιλέστατοι πλεῖον ἢ ταῖς γαμεταῖς. τὸν δὲ Ἕκτορα ἐκτὸς τῶν βελῶν ἐξήγαγεν ὁ Ζεὺς ἐκ κονιορτᾶ ἐκτὸς ἐκτός τε ἀνδροφονίας καὶ τᾶ αἵματος καὶ τᾶς κραυγᾶς. ὁ δὲ Ἀγαμέμνων ἠκολάθει σφοδρὸν τοῖς Ἕλλησι κελεύων. ἦτοι δὲ παρὰ τὸν τᾶ Ἴλα τάφον τᾶ παλαιᾶ παιδὸς τοῦ Δαρδάνω κατὰ τὸ πεδίον μέσον παρὰ τὴν ἄγριαν συκῆν ὡρμῶντο, ποθῶντες ἀνελθεῖν ἐπὶ τὴν πόλιν· ἦτος δὲ βοῶν ἐπηκολάθει ὁ Ἀγαμέμνων, τᾷ δὲ λύθρᾳ ἐμολύνετο τὰς χεῖρας. ἀλλ' ὅτε δὴ εἰς τὰς Σκαιὰς πύλας καὶ τὴν δρῦν παρεγένοντο, ἐκεῖσε δὲ ἵσαντο καὶ ἀλλήλως προσεκαρτέρων. οἱ δὲ Τρῶες ἔτι κατὰ μέσον τᾶς πεδιάδος ἔφευγον ὥσπερ βόες, ἃς λέων ἐφόβησε παραγενόμενος ἐν νυκτὶ βαθείᾳ πάσας· μιᾷ δέ τινι αὐτῶν ἐπέρχεθ χαλεπὸς ὄλεθρος· ταύτης δὲ τὸν αὐχένα συνέτριψε λαβὼν τοῖς ἰσχυροῖς ὀδῶσι πρότερον, ἔπειτα δὲ τὸ αἷμα καὶ τὰ ἐντόσθια πάντα καταβρόφει. οὕτως τέτους ὁ Ἀτρέως υἱὸς κατεδίωκεν ὁ βασιλεὺς Ἀγαμέμνων, ἀεὶ φονεύων τὸν ὄπιθεν εὑρισκόμενον· ἦτοι δὲ ἔφευγον. πολλοὶ δὲ πρηνεῖς καὶ ὕπτιοι τῶν ἵππων Τρῶες ἐξέπεσον ὑπὸ τῶν τᾶ Ἀγαμέμνονος χειρῶν· περισσῶς γὰ πρὸ αὐτᾶ ἔσειε τὸ δόρυ. ἀλλ' ὅτε δὴ ταχέως ἔμελλεν ὑπὸ τὴν πόλιν καὶ τὸ ὑψηλὸν τεῖχος παραγενέσθ, τηνικαῦτα δὴ ὁ πατὴρ τῶν ἀνδρῶν τε καὶ τῶν θεῶν ἐν ταῖς τᾶς Ἴδης κορυφαῖς ἐκαθέζετο τᾶς πηγὰς ἐχέσης, ἐκ τᾶ ἀρανᾶ καταβάς, κατεῖχε δὲ ἀσραπὴν ἐν χερσίν. τὴν Ἶριν παρώρμησε τὴν χρυσόπτερον ἀπαγγελᾶσαν. ἄπιθι ὦ Ἶρι ταχεῖα· τᾶτον τὸν λόγον εἰπὲ τῷ Ἕκτορι. ἕως μὲν ἂν ὁρᾷ τὸν βασιλέα τῶν λαῶν Ἀγαμέμνονα ὁρμῶντα ἐν τοῖς πρωταγωνισαῖς καὶ ἀναιροῦντα τὰς τάξεις τῶν ἀνδρῶν, ἕως τότε ἀναχωρείτω, τὸν δὲ λοιπὸν λαὸν κελευέτω μάχεσθαι τοῖς πολεμίοις ἀνὰ τὴν ἰσχυρὰν μάχην. ἐπειδὰν δὲ ἢ δόρατι τρωθεὶς ἢ βληθεὶς βέλει εἰς τὸ ὄρμια ἀνέλθῃ, τότε αὐτῷ ἰσχὺν παρέξομαι φονεύειν ἕως ἂν εἰς τὰς ναῦς τὰς εὐκαθέδρους παραγένηθ δύῃ τε ὁ ἥλιος καὶ ἐπέλθῃ τὸ μέγα σκότος." οὕτως εἰπὲν· ὑπήκεσε δὲ ἡ ἀνεμόπες ταχεῖα Ἶρις, ἐπορεύθη δὲ ἀπὸ τῶν τᾶς Ἴδης ὀρῶν εἰς τὴν ὑψηλὴν Ἴλιον. εὗρε δὲ τὸν υἱὸν τᾷ Πριάμω τᾷ συνετᾷ Ἕκτορα τὸν ἔνδοξον ἐξῶτα ἐκεῖ σὺν τοῖς ἵπποις καὶ τοῖς ἅρμασι τοῖς εὐκολλήτοις· ἐγγὺς δὲ στᾶσα εἶπεν ἡ τοῖς ποσὶ ταχεῖα Ἶρις "ὦ Ἕκτορ υἱὲ Πριάμω, τῷ Διὶ κατὰ τὴν βελὴν παρόμοιε, ὁ πατήρ με Ζεὺς προέπεμψέ σοι ταῦτα ἀπαγγεῖλαι. ἕως ἂν μὲν ἔν ὁρᾷς τὸν Ἀγαμέμνονα τὸν βασιλέα τῶν ὅχλων ὁρμῶντα ἐν τοῖς πρωταγωνισαῖς καὶ ἀναιροῦντα τὰς τάξεις τῶν ἀνδρῶν, ἕως τότε ὑποχώρει τᾶς μάχης, τὸν δὲ λοιπὸν λαὸν κέλευε μάχεσθ τοῖς πολεμίοις ἀνὰ τὴν ἰσχυρὰν μάχην. ἐπειδὰν δὲ ἢ δόρατι τρωθεὶς ἢ βληθεὶς δόρατι εἰς τοὺς ἵππας ἀνέλθῃ, τότε σοι ἰσχὺν παρέξει φονεύειν ἕως ἂν εἰς τὰς ναῦς τὰς εὐκαθέδρους παραγένῃ καὶ δύῃ ὁ ἥλιος καὶ ἐπέλθῃ ἡ ἱερὰ νύξ." αὕτη μὲν ἔτως εἰποῦσα ἀπῆλθεν ἡ τοῖς ποσὶ ταχεῖα Ἶρις· ὁ Ἕκτωρ δὲ ἐκ τῶν ἁρμάτων σὺν τοῖς ὅπλοις ἐπήδησεν εἰς γᾶν, σείων δὲ τὰ ὀξέα δόρατα κατὰ τὸ στράτευμα πανταχᾶ ἐπορεύετο παρορμῶν μάχεσθ, ἤγειρε δὲ χαλεπὴν ὑσμίνην. ἦτοι δὲ συνεστράφησαν καὶ ἐξ ἐναντίας ἔστησαν τῶν Ἑλλήνων. οἱ δὲ Ἕλληνες ἐκ τᾶ ἑτέρω μέρως ἰσχυροποίησαν τὰς τάξεις αὐτῶν. παρητοιμάθη δὲ ὁ πόλεμος, ἔστησαν δὲ ἐξ ἐναντίας. ὁ δὲ Ἀγαμέμνων πρῶτος ἐξώρμησεν, ἤθελε δὲ μάλιστα προμάχεσθ τῶν πάντων. εἰπάτε νῦν μοι ὦ Μῶσαι αἱ τὰ τᾶ Ὀλύμπω οἰκήματα οἰκῶσαι, ὅς δὴ πρῶτος τοῦ Ἀγαμέμνονος ἐξ ἐναντίας ἦλθεν ἢ αὐτῶν τῶν Τρώων ἢ τῶν ἐπαινετῶν ἐπικούρων. Ἰφιδάμας ὁ τᾶ Ἀντήνορος υἱὸς ὁ ἀγαθὸς γενναῖός τε καὶ μέγας, ὃς ἀνετράφη ἐν τᾷ Θρᾴκᾳ τᾷ μεγαλοβώλῳ καὶ πολυθρέμμονι. ὁ Κισεὺς τᾶτον ἔθρεψεν ἐν τοῖς οἴκοις μικρὸν ὄντα, ὁ τᾶς μητρὸς πατήρ, ὃς ἐγέννησε Θεανὼ τὴν εὐπρόσωπον. ἐπειδὴ δὲ ἀκμᾶς τᾶς μεγαλοδόξω ἀφίκετο εἰς μέτρον, αὐτόθι τοῦτον κατέσχεν, ἔδωκε δὲ ἦτος τὴν ἰδίαν θυγατέρα. γήμας δὲ μετὰ τὸν θάλαμον πρὸς τὴν ἀκοὴν ἀφίκετο τῶν Ἑλλήνων μετὰ δώδεκα νεῶν καμπυλοπρύμνων, αἳ ἠκολάθησαν αὐτῷ. ταύτας μὲν μετὰ ταῦτα ἐν Περκώπᾳ ἀπέλιπε τὰς ἰσοτοίχως ναῦς· οὗτος δὲ πεζὸς ὑπάρχων εἰς τὴν Ἴλιον παρεγένετο. ὃς δὴ τότε τᾷ Ἀτρέως υἱοῦ τοῦ Ἀγαμέμνονος ἐναντίος ἦλθεν. ἦτοι δὲ ἡνίκα ἐγγὺς ὑπῆρχον ἀλλήλοις ἐπιόντες, ὁ μὲν Ἀγαμέμνων ἀπέτυχε, παρεξέκλινε δὲ αὐτοῦ τὸ δόρυ· ὁ δὲ Ἰφιδάμας κατὰ τὴν ζώνην τοῦ θώρακος ὑποκάτωθεν ἔτρωσε, συνῶθησε δὲ αὐτὸς τᾷ ἰσχυρᾷ χειρὶ θαρρήσας. ὁ δὲ ἔκοψε δὲ τὸν παμποίκιλον ζωστῆρα, ἀλλὰ πολὺ πρότερον τῷ ἀργύρω ὑπαντήσασα ὡς μόλιβδος ἐνεκλάσθη ἡ ἐπιδορατίς. καὶ τᾶτο τᾷ χειρὶ λαβόμενος ὁ μέγας βασιλεὺς Ἀγαμέμνων εἵλκεν ἐπ' αὐτῷ προθυμέμενος ὡς λέων, ἐκ δὲ τᾶς χειρὸς αὐτοῦ ἀφείλετο· τᾶτον δὲ ξίφει ἔπληξε κατὰ τὸν αὐχένα καὶ ἔλυσε τὰ μέλη. ἔτως αὐτὸς μὲν αὐτόθι πεσὼν ἀπέθανε τὸν διὰ ξίφως θάνατον ἐλέους ἄξιος, πόρῳ τᾶς γαμετᾶς, τοῖς ἰδίοις πολίταις βοηθῶν, τᾶς παρθένω παρ' ἧς ἀδὲν αὐτῷ χάριεν ἐγένετο, πολλὰ δὲ ἔδωκε. πρῶτον μὲν ἑκατὸν βόας ἔδωκε, μετὰ ταῦτα δὲ χίλια ὑπέσχετο αἶγας ὁμᾷ καὶ πρόβατα, ἅπερ αὐτῷ πολλὰ ἐποιμαίνοντο. τότε δὴ ὁ υἱὸς τοῦ Ἀτρέως Ἀγαμέμνων ἐσκύλευ-

σεν (ἐφόνευσεν) αὐτόν, ἀπῆλθε δὲ φέρων ἀνὰ τὸ πλῆθος τῶν Ἑλλήνων τὰ καλὰ ὅπλα. τῆτον δὲ ὡς ἐθεάσατο Κόων ὁ ἐνδοξότατος τῶν ἀνδρῶν, ὁ πρεσβύτατος Ἀντήνορος παῖς, ἰχυρὸς αὐτὸν κλαυθμὸς τὲς ὀφθαλμοὺς ἐκάλυψε τοῦ ἀδελφῆ ἀποθανόντος. ἔξη δὲ ἐκ τῆ πλαγίε σὺν τῷ δόρατι, λαθὼν Ἀγαμέμνονα τὸν μέγαν, ἔτρωσε δὲ αὐτὸν κατὰ μέσην τὴν χεῖρα ὑποκάτω τῆ ἀγκῶνος· ἐξ ἐναντίας δὲ διῆλθε τῆ λαμπρῆ δόρατος ἡ ἐπιδορατίς. ἐφοβήθη δὲ μετὰ ταῦτα ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων· "ἀλλ' ὀδ' ἔτως ἐπαύετο τῆς μάχης καὶ τῆ πολέμε, ἀλλ' ὥρμησε κατὰ τῆ Κόωνος κατέχων εὐκίνητον δόρυ. ἔτος μὲν τὸν Ἰφιδάμαντα τὸν ἀδελφὸν καὶ ὁμοπάτριον εἵλκεν ἐκ τῆ ποδὸς προθυμέμενος, καὶ ἐκάλει πάντας ἀρίσες· τῆτον δὲ ἕλκοντα ἀνὰ τὸ πλῆθος ὑπὸ τῆς ἀσπίδος τῆς ὁμφαλὲς ἐχάσης "ἔτρωσεν εὐξέςῳ σιδήρῳ καὶ παρέλυσεν αὐτῆ τὰ μέλη. τότε δὲ ἐπὶ τῷ Ἰφιδάμαντι ὄντος τὴν κεφαλὴν ἀπέκοψε παραξάς. ἐκεῖ τῆ Ἀντήνορος οἱ υἱοὶ ὑπὸ τῷ βασιλεῖ Ἀγαμέμνονι τὸν μόρον πληρώσαντες κατέδυσαν εἰς τὸν "Αιδην. ἔτος δὲ τὰς τῶν λοιπῶν ἐπήρχετο τάξεις ἀνδρῶν "τῷ τε δόρατι καὶ τῷ ξίφει καὶ μεγάλοις λίθοις χειροπληθέσιν, ἕως αὐτῆ τὸ αἷμα ἔτι θερμὸν ἀνεφέρετο ἐκ τῆς πληγῆς. ἐπεὶ δὲ τὸ μὲν ἕλκος ἐξηράνθη ἐπαύσατο δὲ τὸ αἷμα, σφοδραὶ ὀδύναι περιέχον τὴν τῆ Ἀγαμέμνονος δύναμιν. ὥσπερ δὲ ὅταν τὴν τίκτεσαν κατέχῃ γυναῖκα σφοδρὰ ὀδύνη "καὶ δριμεῖα, ἣν προπέμπεσιν αἱ τὲς πόνες τίκτεσαι γυναῖκαι, τῆς Ἥρας αἱ θυγατέρες πικρὰς ἀλγηδόνας ἔχεσαι, ἔτως αἱ πικραὶ ὀδύναι κατεδύοντο εἰς τὴν ψυχὴν τῆ Ἀγαμέμνονος. εἰς δὲ τὸ ἅρμα ἀνῆλθε, καὶ τῷ ἡνιόχῳ ἐνετείλατο ἐπὶ ταῖς βαθείαις ναυσὶν ἐλαύνειν· ἐλυπεῖτο γὰρ τὴν ψυχήν. "ἐβόησε δὲ ἐξακέσον τοῖς "Ελλησι παρακελευόμενος. "ὦ προσφιλέςατοι τῶν Ἑλλήνων ἡγεμόνες καὶ βασιλεῖς, ὑμεῖς μὲν νῦν ταῖς ναυσὶ βοηθεῖτε ταῖς θαλασσοπλόοις εἰς τὴν μάχην τὴν χαλεπήν, ἐπεὶ ἐμὲ ὁ βελευτικὸς Ζεὺς ἐκ εἴασε τοῖς Τρωσὶ δι' ὅλης τῆς ἡμέρας πολεμεῖν." "ἔτως εἶπεν· ὁ δὲ ἡνίοχος ἐμάςιζε τὲς καλλίτριχας ἵππες ἐπὶ τὰς βαθείας ναῦς· ἔτοι δὲ ἑκόντες ἐπετάθησαν — ἐπληρᾶτο δὲ ἀφρῆ τὰ ςήθη, ἐμολύνετο δὲ κάτωθεν τῇ κόνει — καταπονούμενον τὸν βασιλέα τῆς μάχης ἄποθεν φέροντες. ὁ δὲ "Εκτωρ ὡς εἶδε τὸν Ἀγαμέμνονα χωρὶς πορευόμενον, "τοῖς Τρωσὶ καὶ τοῖς Λυκίοις παρεκελεύετο μέγα βοήσας. "ὦ Τρῶες καὶ ὦ Λύκιοι καὶ ὦ Δάρδανοι οἱ πλησίον μαχόμενοι, ἀνδρεῖοι γένεθε προσφιλέςατοι· μνήσθητε τῆς ταχυτάτης ἰσχύος. ἀνεχώρησεν ἀνὴρ ἄριςος, ἐμοὶ δὲ κλέος μέγα ἔδωκε Ζεὺς ὁ Κρόνε παῖς. ἀλλ' ἐπ' εὐθείας ἐλαύνετε τὲς μονόνυχας ἵππες "τῶν ἰχυροψύχων Ἑλλήνων, ἵνα μέγα καύχημα λάβητε." ἔτως εἰπὼν παρώρμησε τὴν δύναμιν καὶ τὴν ψυχὴν ἐκάςε. ὥσπερ δέ τις κυνηγέτης κύνας λευκόδοντας ἐφορμήσει ἐπ' ἀγρίῳ χοίρῳ (κάπρῳ) ἢ λέοντι, ἔτως ἐπὶ τοῖς "Ελλησι παρεκίνει τὲς μεγαλοψύχες Τρῶας "Εκτωρ ὁ Πριάμε υἱός, τῷ ἀνδροκτόνῳ παρόμοιος Ἄρει. αὐτὸς δὲ ἐν τοῖς πρωταγωνισαῖς μέγα φρονῶν ἐπορεύθη, ἐνέπεσε δὲ μάχῃ πολὺ πνέσῃ ὅμοιος συρροφῇ ἀνέμε, ἥτις καταπνέσα τὸν μέλανα πόντον ταράσσει. τότε τίνα πρῶτον, τίνα δ' ἔκατον ἐφόνευσεν "Εκτωρ ὁ Πριάμε υἱός, ὅτε αὐτῷ ὁ Ζεὺς δόξαν ἔδωκεν; τὸν Ἀσαῖον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ τὸν Ὀπίτην καὶ Δόλοπα τὸν Κλυτίε υἱὸν καὶ τὸν Ὀφέλτιον καὶ Ἀγέλαον καὶ τὸν Αἴσυμνον καὶ Ὦρον καὶ Ἵππόνοον τὸν πολεμικόν. τότες δὴ ἔτος τὲς ἡγεμόνας τῶν Ἑλλήνων ἀνεῖλε, μετὰ ταῦτα δὲ "πληθὺν ὥσπερ ἠνίκα Ζέφυρος νέφη συνταράξει τῆ λευκῆ Νότε ἰχυρᾷ καταιγίδι φυσῶν, ἐπὶ πολὺ δὲ τὸ εὐτραφὲς κῦμα κυλίει, εἰς ὕψος δὲ ὁ ἀφρὸς σκορπίζει ἐκ τῆ ἀνέμε τῆς πολυπλανήτε πνοῆς. ἔτω δὴ πυκναὶ κεφαλαὶ ὑπὸ τῆ "Εκτορος ἐδαμάζετο τῶν λαῶν. "ἐκεῖ γᾶν ὅλεθρος ἦν καὶ χαλεπὰ ἔργα ἐγένοντο, καὶ δὴ ἐν αὐταῖς ναυσὶν εἰσῆλθον φεύγοντες οἱ "Ελληνες, εἰ μὴ τῷ υἱῷ Τυδέως Διομήδει παρεκελεύσατο Ὀδυσσεύς. "ὦ Διόμηδες, τί παθόντες ἐπιλελήσμεθα τῆς πολεμικῆς δυνάμεως; ἀλλὰ φέρε μακάριε, ἐγγύς με ἵςασο· αἰσχύνη γὰρ δὴ "γενήσει, εἰ τὰς ναῦς λάβῃ ὁ εὔοπλος καὶ πολεμικὸς "Εκτωρ." πρὸς τῆτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ἰχυρὸς Διομήδης "ἐγὼ παραμενῶ καὶ ςήσομαι. ἀλλ' ἐπ' ὀλίγον χρόνον ἡμῖν ἔσαι ἡ ὠφέλεια, ἐπεὶ ὁ τὰς νεφέλας ἀγείρων Ζεὺς τοῖς Τρωσὶ δὴ βάλει παραχεῖν δύναμιν καὶ ἐχ ἡμῖν." εἶπε, καὶ τὸν μὲν Θύμβραιον ἀπὸ τῶν ἵππων ὤθησε χαμαί, τῷ δόρατι πλήξας κατὰ τὸν ἀριςερὸν μαζόν, ὁ δὲ Ὀδυσσεὺς τὸν ἰσόθεον Θεραπευτικὸν Μολίονα αὐτῆ τοῦ βασιλέως. τούτες μὲν μετὰ ταῦτα εἴασαν, ἐπειδὴ τῆ πολέμε ἀπέπαυσαν· οὗτοι δὲ ἀνὰ τὸ πλῆθος πορευόμενοι ἐθορύβων, ὡς ὅτε κάπροι "ἐν κυσὶ θηρατικοῖς μέγα φρονῆντες ἐμπέσωσιν. ἔτως ἔφθειρον τὲς Τρῶας ἐκ τῆς φυγῆς ςραφέντες· οἱ δὲ "Ελληνες ἡδέως φεύγοντες ἀνάπνευσιν ἐποίεν πρὸς τὸν "Εκτορα τὸν ἔνδοξον. τότε ἔλαβον ἅρματα καὶ ἄνδρας δημότας ἀρίσες, υἱοὺς τὲς δύο ἀνθρώπε ἀπὸ Περκώτης πόλεως, ὃς πλέον πάντων "ἠπίςατο μαντείας καὶ ὀδ' ὅλως τὲς ἑαυτῆ παῖδας συνεχώρει παραγίνεσθ εἰς τὸν φθαρτικὸν πόλεμον. ἔτοι δὲ αὐτῷ ὀδαμῶς ἐπείθησαν· αἱ γὰρ θανατηφόροι μοῖραι ἦγον τῆ σκοτεινῆ θανάτε. τούτες μὲν ὁ Διομήδης ὁ τῷ δόρατι ἐπαινετὸς δυνάμεως καὶ ψυχῆς ἐρήσας τὰ καλὰ ὅπλα ἀφῆρείτο· "τὸν δὲ Ἱππόδαμον ὁ Ὀδυσσεὺς καὶ τὸν Ὑπείροχον ἐφόνευσε. τότε ἐξ ἴσα αὐτοῖς τὴν μάχην ἐξέτεινεν ὁ Κρόνε παῖς ἐκ τῆς Ἴδης καθορῶν· οὗτοι δὲ ἀλλήλες ἐφόνευον. καὶ ὁ μὲν Τυδέως υἱὸς τὸν Ἀγάςροφον ἔτρωσε τῷ δόρατι Παίονος υἱὸν τὸν ἡμίθεον κατὰ τὸ ἰχίον· ὁ γὰρ αὐτῆ οἱ ἵπποι "ἐγγὺς ὑπῆρχον πρὸς τὸ φυγεῖν, ἐβλάβη δὲ μεγάλως τῇ ψυχῇ. τούτες μὲν γὰρ ὁ θεράπων ἄποθεν ἤλαυνεν· ἔτος δὲ πεζὸς ὥρμα διὰ τῶν πρωταγωνισῶν, ἕως τὴν προσφιλῆ ψυχὴν ἀπώλεσεν. ὁ "Εκτωρ δὲ ταχὺ ἐνόησε κατὰ τὰς τάξεις, ὥρμησε δὲ ἐπ' αὐτὲς μετὰ κραυγῆς· ὁμῆ δὲ τῶν Τρώων ἐπηκολόθει τὰ πλῆθη. "τῆτον δὲ ἰδὼν ἐφοβήθη ὁ κατὰ τὴν μάχην γενναῖος Διομήδης· εὐθέως δὲ τὸν Ὀδυσσέα προσεφώνει πλησίον ὑπάρχοντα. "ἡμῖν δὴ αὖτη .... ἐπέρχει ὁ ἰχυρὸς "Εκτωρ· ἀλλὰ φέρε δὴ σῶμεν καὶ ἀμυνώμεθα μένοντες." εἶπε δή,

δοκὴ ἀνατείνας προέπεμψε τὸ μακροπόρευτον δόρυ, "καὶ ἔβαλεν ἡνιόχῳ ἐνετέλλετο "ἐπὶ ταῖς βαθείαις ναυσὶν ἐλαύνειν· ἐβα-
ὐδ' ἀπέτυχε καταοχαζόμενος τὴν κεφαλὴν κατὰ τὴν ἄκραν ρεῖτο γὰρ τὴν ψυχήν. ἐμονώθη δὲ ὁ Ὀδυσσεὺς ὁ πολεμι-
τῆς περικεφαλαίας· ἀπεκρώσθη δὲ ὁ σίδηρος ὑπ' αὐτῆς, κός, καὶ ἐδείς αὐτῷ τῶν Ἑλλήνων παρέμεινεν, ἐπειδὴ φό-
ὐδ' ἀφίκετο εἰς τὸ καλὸν σῶμα· ἐκώλυσε γὰρ ἡ περικεφα- βος ἔλαβε πάντας. ζενάξας δὲ δὴ εἶπε πρὸς τὴν ἑαυτοῦ
λαία ἡ τρεῖς ἔχουσα πτυχὰς καὶ αὐλός, ἣν αὐτῷ παρέσχεν ὁ ψυχήν "οἴμοι ἐγὼ τί ποιήσω; μέγα μὲν κακὸν ἐὰν φύγω
καθαρὸς Ἀπόλλων. ὁ δὲ Ἕκτωρ ταχέως πολλὴν γῆν ἀνέ- τὸ πλῆθος φοβηθείς· τῆτο μέντοι χαλεπὸν ἐὰν ληφθῶ
δραμε καὶ ἠνώθη τῷ πλήθει, "ἔζη δὲ ἐπὶ γόνυ πεσών, καὶ μόνος. τὰς δὲ λοιπὰς Ἕλληνας ἐφόβησεν ὁ Κρόνε παῖς.
ἐπεχειρίχθη τῇ δυνατῇ χειρὶ ἐπὶ τῆς γῆς· περὶ δὲ τοὺς ἀλλὰ τί δή μοι ταῦτα ἡ φίλη διελογίσατο ψυχή; γινώσκω
ὀφθαλμοὺς σκοτεινὴ νὺξ ἐκάλυψεν. ἕως ὁ Διομήδης ἐπὶ γὰρ ὅτι οἱ μὲν δειλοὶ φεύγεσιν ἐκ τῆ πολέμε, ὅς δ' ἂν ἀρ-
τὴν τῆ ὁράτος ἐπορεύθη ὁρμὴν μακρὰν διὰ τῶν πρωτα- ζεύῃ ἐν τῇ μάχῃ, τοῦτον πάνυ χρὴ "ἔσθαι ἰχυρῶς κἂν
γωνιστῶν, ὅπε αὐτῷ κατῆλθεν ἐπὶ γῆς, τηνικαῦτα δὲ ὁ "Ἐκ- τε τρωθῇ κἂν ἄλλον τρώσῃ." ἕως ἔτος ταῦτα διενοεῖτο
τορ ἀνεκτήθη, καὶ πάλιν εἰς τὸ ἅρμα ἀνελθὼν "ἐξέδραμεν κατὰ διάνοιαν καὶ κατὰ ψυχήν, τηνικαῦτα τῶν ὁπλιτῶν
εἰς τὸ πλῆθος καὶ ἐξέκλινε τὴν θανάσιμον μοῖραν. τῷ δὲ Τρώων αἱ τάξεις ἐπῆλθον, συνέκλεισαν δὲ ἐν μέσῳ μετ'
δόρατι ἐφορμῶν εἶπεν ὁ ἰχυρὸς Διομήδης "νῦν δὴ ἐξέφυ- ἀλλήλων ζάλην ἐργαζόμενοι. ὥσπερ δὲ ὅτε περὶ κάπρον
γες τὸν θάνατον ἀναιδέστε. ἕτως δή σοι ἐγγὺς ἦλθε τὸ κύνες καὶ ἀκμαῖοι νεανίσκοι "ἐπέρχονθ, ἕτος δὲ προέρχεται
κακόν. νῦν δέ σε ἐλυτρώσατο ὁ καθαρὸς Ἀπόλλων, ᾧ τινὶ ἐκ βαθείας ὕλης ξυλώσθς ἀκονῶν τὸν λευκὸν ὀδόντα ἐν
μέλλεις εὐχεσθ ἐλθὼν εἰς κτύπον τῶν δοράτων. "ὄντως δή ταῖς ἐπικαμπέσι σιαγόσιν, ἐπ' αὐτόν γε ὁρμῶσιν· ὑπὸ δὲ
σε φονεύσω καὶ εἰς τέλος ἄξω καὶ ὕστερον συναντήσας, εἴ πέ τῶν ὀδόντων ψόφος γίνεθ· οὗτοι δὲ προσμένεσι ῥαδίως
τις καὶ ἐμοὶ τῶν θεῶν βοηθός ἐστι. νῦν δὲ τὰς λοιπὰς ἐπε- καίπερ φοβερὸν ὄντα· ἕτω δὴ τότε περὶ τὸν Ὀδυσσέα τὸν
λεύσομαι, ὃν ἂν καταφθάσω." εἶπε, καὶ τὸν Παίονος υἱὸν προσφιλῆ τῷ Διὶ ὥρμησαν "οἱ Τρῶες. ἕτος δὲ ἐν πρώτοις
τὸν ἐπαινετὸν τῷ δόρατι ἐφόνευσεν. ὁ δὲ Ἀλέξανδρος ὁ μὲν τὸν ἄψογον Δηϊοπίτην ἔτρωσεν ὑπεράνωθεν τῆ ὤμου
ητῆς Ἑλένης ἀνὴρ τῆς εὐκόμε "ἐπὶ τῷ Διομήδει τὰ τόξα ἐπιπηδήσας τῷ ὀξεῖ δόρατι· μετὰ ταῦτα δὲ τὸν Θόωνα καὶ
ἀνέτεινε τῷ βασιλεῖ τῶν λαῶν, ἐπὶ τῇ σήλῃ κεκλιμένος τῷ τὸν "Ἔννομον ἐφόνευσεν. τὸν Χερσιδάμαντα δὲ μετὰ ταῦτα
ὑπ' ἀνδρὸς κατεσκευασμένῳ τάφῳ, Ἴλε τῆ Δαρδάνε παι- καταπηδήσαντα ἐκ τῶν ἵππων τῷ δόρατι κατὰ τὴν λαγόνα
δὸς τῆ παλαιῆ δημηγόρε γέροντος. ἕτος μὲν τὸν Θώρακα ὑπὸ τῆς ὀμφαλὲς ἐχέσης ἀσπίδος "ἔπληξεν· ἕτος δὲ ἐν
τῆ Ἀγασρόφε τῆ γενναίε ἀφῃρεῖτο ἀπὸ τῶν σηθῶν τὸν τῇ γῇ πεσὼν ἔλαβε τὴν γῆν ταῖς χερσί. τότες μὲν ἀφῆκεν,
παμποίκιλον καὶ τὴν ἀσπίδα τῶν ὤμων "καὶ τὴν περικεφα- αὐτὸς δὲ τὸν Ἱππάσε υἱὸν Χάροπα ἔτρωσε τῷ δόρατι, τὸν
λαίαν τὴν ἰχυράν· ἕτος δὲ ἐπὶ τόξε βέλος ἀείλκε καὶ ἔβα- αὐτάδελφον τῆ εὐγενοῦς Σώκε. τότῳ δὲ ἐπιβοηθήσων ὁ
λεν. ἀ μάταιον δὲ αὐτοῦ τὸ βέλος ἐξῆλθε τῆς χειρός, διὰ Σῶκος ἐπορεύετο ὁ ἰσόθεος ἀνήρ, ἔζη δὲ λίαν ἐγγὺς πο-
δὲ τοῦ ταρσῆ τῆ δεξιῆ ποδὸς διαπεράσαν τὸ βέλος ἐν τῇ ρευθείς, καὶ πρὸς αὐτὸν λόγον εἶπεν. "ὦ Ὀδυσσεῦ πολύ-
γῇ κατεπάγη. ἕτος δὲ λίαν γελάσας ἡδὺ ἐκ τῆς ἐνέδρας αινε, τῆς βλάβης ἀκόρεσε καὶ τῆ πόνε, σήμερον ἢ τοῖς δυσὶν
ἀνεπήδησε καὶ καυχώμενος λόγον εἶπε. "τέτρωσαι καὶ οὐ ἐπικαυχήσῃ τῆ Ἱππάσε παισί, τοιότες ἄνδρας ἀποκτείνας
μάταιον τὸ βέλος ἐξέφυγεν. εἴθε ὄφελόν σοι κατώτερον εἰς καὶ τὰ ὅπλα ἀφελόμενος, ἢ ὑπὸ τῷ ἐμῷ ἂν δόρατι τρωθεὶς
τὴν λαγόνα βαλὼν τὴν ψυχὴν ἐξελέσθ· ἕτως ἂν καὶ οἱ Τρῶες τὴν ψυχὴν ἀπολέσεις." ἕτως εἰπὼν ἔτυψε κατὰ τῆς ἀσπί-
ἀνέπνευσαν τῆς κακώσεως, οἵ σε φοβῦνθ ὡς λέοντα μη- δος τῆς πανταχόσε ἴσης. "διῆλθε μὲν διὰ τῆς λαμπρᾶς
κάδες αἶγες." πρὸς τῆτον δὲ μὴ δειλιάσας εἶπεν ὁ ἰχυρὸς ἀσπίδος τὸ ἰσχυρὸν δόρυ, καὶ διὰ τῆ Θώρακος τῆ ποικίλε
Διομήδης "ὦ διὰ τῶν τόξων βλάπτων, δειλέ, εὔθριξ, ἠρείθη· ὅλην δὲ τὴν ἐπιφάνειαν τῶν πλευρῶν ἔξυσε, καὶ
γυναιμανές· εἰ μὲν ἐξ ἐναντίας σὺν ὅπλοις πεῖράν με λά- ἐκ εἴασεν ἡ πολεμικὴ Ἀθηνᾶ μιγῆναι τοῖς ἐγκάτοις τοῦ
βῃς, ἐκ ἂν σοι βοηθήσειε τὸ τόξον καὶ τὰ πολλὰ βέλη· νῦν ἀνδρός. ἔγνω δὲ ὁ Ὀδυσσεὺς ὅτι ἐδαμῶς τὸ βέλος κατὰ
δέ μ' ἐπιξέσας ἁπλῶς κατὰ τὸν τῆ ποδὸς ταρσὸν καυχᾶσαι κίνδυνον ἦλθεν, "εἰς τὸπίσω δὲ ἀναχωρήσας πρὸς τὸν Σῶ-
μάτην. ἀ φροντίζω, ὡς ἄν με γυνὴ βάλοι ἢ παῖς ἀνόητος· κον λόγον εἶπεν. "ὦ δειλέ, ὄντως δὴ λίαν σε ἐπέρχεθ χα-
"ἀσθενὲς γὰρ βέλος ἀνδρὸς ἀνάνδρε καὶ ἐδενὸς ἀξίε. ὄντως λεπὸς ὄλεθρος. ἐμὲ μὲν ἔπαυσας ἐπὶ τοῖς Τρωσὶ πολε-
δὴ ἑτέρως ὑπ' ἐμῆ πέμπεθ, εἰ καὶ ὀλίγον περ ἐπιψαύσοι· μεῖν· σοὶ δὲ ἐγὼ ἐνταῦθα προλέγω θάνατον καὶ μοῖραν
πικρὸν βέλος γίνεθ καὶ ἄψυχον ταχέως ἀπεργάζεθ. τούτε δὲ σκοτεινὴν ἐν ταύτῃ τῇ ἡμέρᾳ γενήσεσθ, ὑπὸ δὲ τῷ ἐμῷ
τῆς μὲν γυναικὸς ἐσπαραγμένα εἰσὶ τὰ πρόσωπα, οἱ παῖ- δόρατι δαμασθέντα "καύχημα ἐμοὶ παραχεῖν, τὴν ψυχὴν
δες δὲ ὀρφανοί· οὗτος δὲ τῷ αἵματι τὴν γῆν φοινίσσων δὲ τῷ "Αιδῃ τῷ ἰχυρὸς ἵππος ἔχοντι." εἶπεν· καὶ ἕτος μὲν
"σήπεθ· τὰ ὄρνεα δὲ περὶ αὐτὸν πλείονα ἢπερ αἱ γυναῖ- ἐκ τῆς φυγῆς πάλιν ὑποσρέψας ἐπορεύθη, τῷ δὲ (Σώκῳ)
κες." οὕτως εἶπε· τούτε δὲ Ὀδυσσεὺς ὁ τῷ δόρατι ἐνδοξος ἐπισραφέντι ἐν τῷ μεταφρένῳ τὸ δόρυ ἔπηξεν μέσον τῶν
ἐγγὺς ἐλθὼν ἔζη ἔμπροσθεν. ἕτος δὲ ὄπιθεν καθεζόμενος ὤμων, διήλασε δὲ διὰ τῶν σηθῶν. ἤχησε δὲ πεσών. ὁ δὲ
τὸ ὀξὺ βέλος ἐκ τῆ ποδὸς ἐξεῖλκεν· ὀδύνη δὲ διὰ τῆ σώ- ἐνδοξος Ὀδυσσεὺς ἐκαυχήσατο. "ὦ Σῶκε Ἱππάσε υἱὲ τῆ
ματος ἦλθε χαλεπή. εἰς τὸ ἅρμα δὲ ἀνεπήδησε, καὶ τῷ συνετῆ καὶ πολεμικῆ, ἔφθασέ σε τὸ τῆ θανάτε τέλος κατα-

λαβὸν ἀδὲ ἐξέφυγες. ὦ ἄθλιε, οὐδαμῶς μέν σοι ὁ πατὴρ
καὶ ἡ σεβασμία μήτηρ τὰς ὀφθαλμὰς καλύψουσιν ἀποθα-
νόντι, ἀλλ' οἱ γῦπες οἱ ὠμοφάγοι ἑλκύσουσι περιβαλόντες
τὰ πυκνὰ πτερά. "ἐγὼ δὲ ἐπειδὰν ἀποθάνω, θάψουσί με οἱ
ἔνδοξοι Ἕλληνες." ἔτως εἰπὼν τῷ συνετῷ Σάκῃ τὸ ἰχυρὸν
δόρυ ἔξω τῷ σώματος εἵλκυσε καὶ τῆς ἀσπίδος τῆς ὁμφα-
λὸς ἐχώσης· αἷμα δὲ αὐτῷ ἐκβληθέντος ἀνηκόντισεν, ἐλύ-
πει δὲ τὴν ψυχήν. οἱ δὲ μεγαλόψυχοι Τρῶες ἐπεὶ ἐθεά-
σαντο τὸ αἷμα τῷ Ὀδυσσέως, "παρακελευόμενοι κατὰ τὸ
πλῆθος πάντες ἐπ' αὐτῷ ἔδραμον. ἔτος δὲ εἰς τὸ πίσω
ἀνεχώρει, ἐκάλει δὲ τὰς ἑταίρας. ἐκ τρίτης μὲν μετὰ ταῦτα
ἐβόησεν, ὅσον κεφαλὴ ἐχώρει τοῦ ἀνδρός· ἐκ τρίτης δὲ ἤκου-
σε φωνοῦντος ὁ φιλοπόλεμος Μενέλαος, εὐθέως δὲ δὴ τὸν
Αἴαντα προσεφώνει ἐγγὺς ὑπάρχοντα. "'ὦ Αἴαν διογενὲς
Τελαμῶνος υἱέ, βασιλεῦ τῶν λαῶν, περὶ ἐμὲ τὸ Ὀδυσσέως
τοῦ καρτερικῶ ἦλθε φωνὴ τούτῳ ὁμοία ὡς ἂν αὐτὸν βιά-
ζοιντο μόνον ὑπάρχοντα οἱ Τρῶες ἀποχωρίσαντες τῶ οἰ-
κείω ἑταίρου ἐν τῇ ἰχυρᾷ μάχῃ. ἀλλ' ἀπέλθωμεν κατὰ τὸ
ὁπλῆθος· βοηθῆσαι γὰρ βέλτιον. "δέδοικα μή τι πάθοι ἐν
τοῖς Τρωσὶ μόνος ἀποληφθείς, ἀγαθὸς ὤν, μεγάλη δὲ ζή-
τησις τοῖς Ἕλλησι γένηται." ἔτως εἰπὼν αὐτὸς μὲν προη-
γεῖτο, οὗτος δὲ ὁμῶ ἠκολούθει ὁ ἰσόθεος ἀνήρ. εὗρον μετὰ
ταῦτα τὸν Ὀδυσσέα τὸν Διὶ προσφιλῆ· περὶ δὲ αὐτὸν οἱ
Τρῶες ἐνήργων ὥσπερ φόνιοι θῆρες ἐν τοῖς ὄρεσι "περὶ
ἔλαφον κέρατα ἔχοντα τετρωμένον, ὃν ἔτρωσεν ἀνὴρ τῷ
βέλει ἀπὸ τῆς νευρᾶς· τοῦτον μέντοι ἐξέφυγε τοῖς ποσὶ
φεύγων, ἕως τὸ αἷμά ἐξι θερμὸν καὶ τὰ γόνατα ἰσχύει· ἐπει-
δὴ δὲ τοῦτον διαφθείρει τὸ ὀξὺ βέλος, οἱ ὠμοφάγοι αὐτὸν
πάνθηρες ἐν τοῖς ὄρεσι κατεσθίουσιν "ἐν συνδένδρῳ τόπῳ
καὶ σκιερῷ, καὶ λέοντα ἐπήγαγεν ὁ θεὸς βλαπτικόν· οἱ δὲ
θῶες σὺν δέει ἔφυγον, ἔτος δὲ κατεσθίει. οὕτω δὴ τότε
περὶ τὸν Ὀδυσσέα τὸν συνετὸν καὶ ποικιλόβουλον οἱ Τρῶες
ἐπηκολούθουν πολλοὶ καὶ δυνατοί· ἔτος δὲ ὁ ἡμίθεος ὁρμῶν
τῷ ἰδίῳ δόρατι ἀπεσόβει τὴν ἀνηλεῆ ἡμέραν. "ὁ Αἴας δ'
ἐγγὺς παρεγένετο ἐπαγόμενος ἀσπίδα καθάπερ πύργον, ἔζη
δὲ παρ' αὐτόν· οἱ δὲ Τρῶες σὺν φόβῳ ἔφευγον ἄλλος ἀλ-
λαχοῦ. καὶ τὸν μὲν Ὀδυσσέα ὁ πολεμικὸς Μενέλαος ἐξήγα-
γεν ἐκ τοῦ πλήθους, τῆς χειρὸς λαβόμενος, ἕως ὁ ὑπασπι-
στὴς πλησίον ἦλασε τοὺς ἵππους. ὁ δὲ Αἴας τοῖς Τρωσὶν
ἐπιπηδῶν ἀνεῖλε τὸν Δόρυκλον "τὸν Πριάμου υἱὸν ἀγνή-
σιον· μετὰ ταῦτα δὲ τὸν Πάνδοκον ἔτρωσεν, ἔτρωσε δὲ
τὸν Λύσανδρον καὶ τὸν Πύρασον καὶ τὸν Πυλάρτην. ὥσπερ
δὲ ὅτε πλήρης ποταμὸς εἰς πεδίον κατέρχεται ἐν χειμῶνι
ῥέων ἀπὸ τῶν ὀρῶν, κατεπειγόμενος τῷ τοῦ Διὸς ὄμβρῳ,
πολλὰς δὲ ξηρὰς δρῦς καὶ πολλὰς πεύκας "ἐπιφέρει καὶ
πολὺν συρφετὸν εἰς τὴν θάλασσαν βάλλει, οὕτως ἐπηκο-
λούθει κλονῶν εἰς τὸ πεδίον τότε ὁ λαμπρὸς Αἴας, δια-
κόπτων ἵππους τε καὶ ἄνδρας. ἔπω δὲ ὁ "Ἕκτωρ ἦκεν, ἐπει-
δὴ τῆς μάχης πάσης ἐπ' ἀριστερὰ ἐμάχετο περὶ τὰς ὄχθας
ποταμῷ τῷ Σκαμάνδρῳ. ἐκεῖ δὲ μάλιστα "ἀνδρῶν ἔπιπτον
κεφαλαί, ταραχὴ δὲ ἄπαυστος ἐγήγερτο περί τε τὸν μέγαν
Νέστορα καὶ τὸν πολεμικὸν Ἰδομενέα. ὁ μὲν "Ἕκτωρ μετὰ
τούτων ἀνεστρέφετο μερίμνης ἄξια πράττων τῷ τε δόρατι
καὶ τῇ ἱππικῇ, τῶν δὲ νέων ἐπόρθησε τὰς τάξεις. ἔπω δὲ
ἐχώρουν τῆς ὁδῷ οἱ ἔνδοξοι "Ἕλληνες, "εἰ μὴ ὁ Ἀλέ-
ξανδρος ὁ τῆς Ἑλένης ἀνὴρ τῆς καλλικόμου ἔπαυσεν ἰσχύ-
ρῶς πολεμίοντα Μαχάονα τὸν βασιλέα τῶν λαῶν, βέλει
τρεῖς ἀκίδας ἔχοντι τρώσας κατὰ τὸν δεξιὸν ὦμον. ἐπὶ
τούτῳ δὲ περισσῶς ἐφοβήθησαν οἱ δύναμιν πνέοντες Ἕλ-
ληνες, μή πως αὐτὸν τῷ πολέμῳ μετακλιθέντος λάβοιεν.
"εὐθέως δὲ ὁ Ἰδομενεὺς πρὸς τὸν ἔνδοξον Νέστορα ἔλεγεν
"ὦ Νέστορ Νηλέως υἱέ, μέγα κλέος τῶν Ἑλλήνων, φέρε δὴ
τῶν σῶν ἁρμάτων ἐπίβηθι, παρὰ σοὶ δὲ ὁ Μαχάων ἐπι-
βαινέτω· εἰς δὲ τὰς ναῦς ταχὺ ἔλαυνε τὰς μονόνυχας ἵπ-
πους. ἰατρὸς γὰρ ἀνὴρ ἀντὶ πολλῶν τῷ σώζεσθαι ἄξιος ὑπάρχει
"τὰ βέλη ἐκβάλλειν καὶ πραϋντικὰ φάρμακα ἐπιπάσσειν."
οὕτως εἶπεν· ὑπήκουσε δὲ ὁ ἔντιμος ἱππικὸς Νέστωρ. εὐθέως
δὲ τῶν ἑαυτῷ ἁρμάτων ἐπέβη, παρ' αὐτῷ δὲ ὁ Μαχάων
ἐπέβη τῷ Ἀσκληπιῷ υἱὸς τῷ ἀμέμπτω ἰατρῷ. ἐμάστιξεν ἐλαύ-
νειν· ἔτοι δὲ ἑκόντες ἐπετάθησαν "ἐπὶ τὰς βαθείας ναῦς·
ἐκεῖ γὰρ προσφιλὲς ὑπῆρχε τῇ ψυχῇ. ὁ Κεβριόνης δὲ τοὺς
Τρῶας ἐθεάσατο ταρασσομένους παρὰ τῷ "Ἕκτορι ἡνιόχων,
καὶ πρὸς αὐτὸν λόγον εἶπεν. "ὦ "Ἕκτορ, ἡμεῖς μὲν ἐνταῦθα
συναναστρεφόμεθα τοῖς "Ἕλλησιν ἐν τῷ ἐχάτῳ μέρει τοῦ
κακοήχα πολέμου· οἱ δὲ λοιποὶ "Τρῶες ταράσσονται ἀναμε-
μιγμένοι οἵ τε ἵπποι καὶ οἱ ἄνδρες, ὁ δὲ Αἴας ταράττει ὁ
Τελαμώνιος· καλῶς δὲ αὐτὸν ἔγνων· πλατεῖαν γὰρ ἐν τοῖς
ὤμοις φέρει ἀσπίδα. ἀλλὰ καὶ ἡμεῖς ἐκεῖσε τούς τε ἵππους καὶ
τὰ ἅρματα ἐπ' εὐθείας ἀγάγωμεν, ὅπου μάλιστα οἵ τε ἱππεῖς
καὶ οἱ πεζοὶ κακὴν φιλονεικίαν ἐρίσαντες "ἀλλήλους ἀναι-
ρῶσι, ταραχὴ δὲ ἄπαυστος γέγονεν." ἔτω δὴ φωνήσας τὰς
εὐτρίχους ἵππους ἐμάστιξεν μάστιγι τῇ ὀξείᾳ· ἔτοι δὲ τῆς πλη-
γῆς αἰσθόμενοι εὐκόλως ἔφερον τὸ ταχὺ ἅρμα ἐπὶ τοὺς
Τρῶας καὶ τοὺς "Ἕλληνας, πατοῦντες τοὺς νεκροὺς καὶ τοὺς ἀσπί-
δας· τῷ δὲ αἵματι ὁ ἄξων "κάτωθεν ὅλος ἐμολύνετο καὶ αἱ
περιφέρειαι αἱ περὶ τὸ ἅρμα, ὡς δὴ ἀπὸ τῶν ἱππείων ὀνύ-
χων αἱ ῥανίδες ἔπεμπον, αἵτινες ἀπὸ τῶν κάνθων. οὗτος
δὲ ἐπορεύετο δῦναι εἰς τὸ πλῆθος τῶν ἀνδρῶν διαῤῥῆξαί
τε μεταπηδήσας. θόρυβον δὲ ἐνέθηκε κακὸν τοῖς "Ἕλλη-
σιν, ὀλίγον δὲ ὑπεχώρει τῷ δόρατι. "οὗτος δὲ τῶν λοιπῶν
ἐπῆρχετο τὰς τάξεις τῶν ἀνδρῶν τῷ τε ξίφει καὶ τοῖς μεγά-
λοις χειροπληθέσι λίθοις· τοῦ δὲ Αἴαντος ἐξέκλινε τὴν
μάχην τὸ υἱοῦ τὸ Τελαμῶνος. Ζεὺς δὲ ὁ πατὴρ τῷ Αἴαντι
ὑψίθρονος φόβον ἐνέβαλεν. "ἔζη δὲ ἐκπλαγείς, ὄπιθεν
δὲ ἀσπίδα περιεβάλετο ἑπτάβυρσον, ἐφοβήθη δὲ σκοπή-
σας ἐπὶ τὸ πλῆθος θηρὶ παραπλήσιος, ἐπιστρεφόμενος κατ'
ὀλίγον, τὸν πόδα τῷ ποδὸς ἐναλλάσσων. ὥσπερ δὲ διάπυ-
ρον λέοντα ἀπὸ τῆς τῶν βοῶν ἐπαύλεως ἐδίωκον οἵ τε
κύνες καὶ οἱ ἄνδρες οἱ ἀγρῶται, "οἵτινες αὐτὸν ἐκ ἐῶσιν ἐκ
τάτων βοῶν λιπαρωτάτην λαβεῖν δι' ὅλης νυκτὸς γρηγορῶν-
τες· οὗτος δὲ κρεῶν ἐπιθυμῶν ἐπ' εὐθείας ὁρμᾷ, ἀλλ'
οὐδὲν πράσσει· συνεχῆ γὰρ ἀκόντια ἐναντία ὁρμῶσιν ἀπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τολμηρῶν χειρῶν καιόμεναί τε λαμπάδες, ἃς φοβεῖται καὶ
ὁ προθυμούμενος· "ἔωθεν δὲ ἀπ' αὐτῶν ἐχωρίσθη λελυ-
σμένος τὴν ψυχήν· ὕτως ὁ Αἴας τότε ἀπὸ τῶν Τρώων
λελυπημένος τὴν ψυχὴν ἐπορεύετο λίαν ἄχων· ἐφοβεῖτο γὰρ
περὶ τῶν νεῶν τῶν Ἑλλήνων. ὥσπερ δὲ ὄνος παρὰ ἀρόσι-
μον χώραν ἀπιὼν ἐβιάσατο τὰς παῖδας, βραδύς, ᾧ δὴ
πολλὰ ξύλα περιεκλάσθησαν, "κατεσθίει τε εἰσελθὼν τὸ
βαθὺ χωράφιον· οἱ δὲ παῖδες τύπτουσι τοῖς ξύλοις· ἡ δύ-
ναμις δὲ αὐτῶν ἀσθενής, μετὰ σπουδῆς τε ἐξήλασαν ἀφ'
οὗ τ' ἐκορέσθη τροφῆς· ὕτω τότε ἐπὶ τὸν Αἴαντα τὸν μέ-
γαν τὸν τῦ Τελαμῶνος υἱὸν οἱ Τρῶες οἱ μεγαλόψυχοι καὶ
θοὶ πόρρωθεν κεκλημένοι ἐπίκουροι "πλήσσοντες τοῖς δόρασι
κατὰ μέσην τὴν ἀσπίδα ἀεὶ ἠκολούθουν. ὁ δὲ Αἴας ποτὲ
μὲν μνήμην ἐποιεῖτο τῆς πολεμικῆς δυνάμεως ὀπίσω ὑπο-
χωρεῖς, καὶ ἀπεῖργε τὰς φάλαγγας Τρώων τῶν πολεμικῶν·
ὁτὲ δὲ ἐτρέπετο φεύγειν. πάντας δὲ τὰς Τρῶας ἀπεῖργεν
ἀπὸ τὰς ταχείας ναῦς ὁδεύειν, "αὐτὸς δὲ τῶν Τρώων
καὶ τῶν Ἑλλήνων εἰς τὸ μέσον ὡρμᾶτο ἰσάμενος. τὰ δὲ δό-
ρατα ἀπὸ τῶν ἰσχυρῶν χειρῶν ἄλλα μὲν ἐν ἀσπίδι τῇ με-
γάλῃ ἐπάγη ὁρμῶντα ἐπὶ τὸ ἔμπροσθεν, πολλὰ δὲ καὶ κατὰ
τὸ μέσον πρὸ τῦ τὸ λευκὸν σῶμα ἐφάψασθαι ἐν τῇ γῇ
ἔζηντο ἐπιθυμοῦντα σώματος κορεσθῆναι. "τοῦτον δὲ ὡς
εἶγνω ὁ τοῦ Εὐαίμονος λαμπρὸς υἱὸς Εὐρύπυλος πολλοῖς
βιαζόμενον βέλεσιν, ἔζη δὴ πρὸς αὐτὸν ἀπιών, καὶ ἠκόντισε
τὸ λαμπρὸν δόρυ, καὶ ἔβαλε τὸν τοῦ Φαύσιο υἱὸν Ἀπισάονα
τὸν ἡγεμόνα τῶν λαῶν κατὰ τὸ ἧπαρ ὑπὸ τὰς φρένας,
εὐθέως δὲ παρέλυσε τὰ γόνατα. "ὁ δὲ Εὐρύπυλος ἐφώρ-
μησε καὶ ἀφῆρηκε τὰ ὅπλα ἀπὸ τῶν ὤμων. τοῦτον δὲ ὡς
εἶγνω ὁ θεοειδὴς Ἀλέξανδρος τὰ ὅπλα ἀφαιρούμενον τοῦ
Ἀπισάονος, εὐθὺς τὸ τόξον ἐνέτεινεν ἐπὶ τῷ Εὐρυπύλῳ,
καὶ ἔτρωσεν αὐτῦ τὸν μηρὸν τῷ βέλει τὸν δεξιόν. ἐκλάσθη
δὲ ὁ κάλαμος καὶ ἐκάκωσε τὸν μηρόν. "ὀπίσω δὲ εἰς τὸ τῶν
φίλων πλῆθος ὑπεχώρει, τὸν θάνατον ἐκκλίνων, ἐβόησε δὲ
ἐξακουστὸν τοῖς "Ελλησι προσφωνῶν. "ὦ προσφιλέσατοι τῶν
Ἑλλήνων ἡγεμόνες καὶ βασιλῆς, σῆτε ἐπισταφίντες καὶ ἀπο-
πρόσωθε τὴν ἀνηλεῆ ἡμέραν ἀπὸ τῦ Αἴαντος, ὃς βέλεσι
βιάζει· δὲ αὐτὸν δοκῶ "διαφυγεῖν ἐκ τῦ πολέμου τῦ λυ-
γροῦ. ἀλλὰ λίαν ἐξ ἐναντίας ἕσασθε περὶ τὸν Αἴαντα τὸν
μέγαν τῦ Τελαμῶνος υἱόν." οὕτως εἶπεν ὁ Εὐρύπυλος τε-
τρωμένος· ἕτοι δὲ πυρ' αὐτὸν πλησίον ἔσησαν, τὰς ἀσπί-
δας τοῖς ὤμοις ἐρείσαντες, τὰ δόρατα ἀνατείναντες. τού-
των δὲ κατὰ πρόσωπον ἦλθεν ὁ Αἴας, "ἔση δὲ μετακινη-
θεὶς ἀφ' ἧ κατέλαβε τὸ πλῆθος τῶν φίλων. οὕτως οὗτοι
μὲν ἰμάχοντο δίκην πυρὸς καιομένω· τὸν δὲ Νέσορα ἐκ τῦ
πολέμου ἐξῆγον αἱ τῦ Νηλέως ἵπποι ἱδρῶτι καταῤῥεόμενοι·
ἔφερον δὲ Μαχάονα τὸν ἡγεμόνα τῶν λαῶν. τοῦτον δὲ
προσχὼν ἐπέγνω ὁ ταχύπους εὐγενὴς Ἀχιλλεύς· "εἰσήκει γὰρ
ἐπὶ τῇ πρύμνῃ τῆς εὐρυχώρου νεώς, εἰσβλέπων τὸν χαλε-
πὸν πόνον καὶ τὴν φυγὴν τὴν δακρυόεσσαν. ταχέως δὲ τὸν
ἑαυτῦ ἑταῖρον Πάτροκλον προσεῖπε φθεγξάμενος ἀπὸ τῆς
νεώς· ἕτος δὲ ἐκ τῆς σκηνῆς ἀκέσας ἐξῆλθεν ὅμοιος τῷ
Ἄρει· τῦ κακοῦ δὲ ἐξεγένετο ἡ ἀρχή. "πρὸς τοῦτον πρό-
τερος εἶπεν ὁ τῦ Μενοιτίου δυνατὸς υἱός "τί δὴ ποτέ με
καλεῖς Ἀχιλλεῦ; τίνα δέ μοι χρείαν ἔχεις;" πρὸς τοῦτον
δὲ ἀνταποκρινόμενος εἶπεν ὁ τοῖς ποσὶ ταχὺς Ἀχιλλεύς
"ὦ ἐνδοξε Μενοιτίου παῖ, τῇ ἐμῇ περιλειμένε ψυχῇ, νῦν
ὑπολαμβάνω περὶ τὰ ἐμὰ γόνατα σῆσεσθαι τοὺς Ἕλληνας
"παρακαλέντας· χρεία γὰρ κατέλαβεν ἀκαρτέρητος. ἀλλ'
ἄπιθι νῦν Πάτροκλε τῷ Διὶ προσφίλεσατε, τὸν Νέστορα
ἐρώτησον τίνα τοῦτον εἶναι ὃν ἐξάγει τετρωμένον ἐκ τῦ πο-
λέμου. τὰ μὲν γὰρ ὀπίσω μέρη τῦ σώματος κατὰ πάντα τῷ
Μαχάονι ὅμοιος τῷ Ἀσκληπιῦ υἱῷ· ἐκ εἶδον δὲ τοῖς
ὀφθαλμοῖς τὸν ἄνδρα· "αἱ ἵπποι γάρ με παρέδραμον εἰς
τὸ ἔμπροσθεν προθυμέμενοι." ὕτως εἶπεν· ὁ δὲ Πάτροκλος
τῷ προσφιλεῖ ἑταίρῳ ἐπείθη, ἐπορεύθη δὲ τρέχων πρός
τε τὰς σκηνὰς καὶ τὰς ναῦς τῶν Ἑλλήνων. ἕτοι δὲ ἡνίκα
εἰς τὴν σκηνὴν τῦ Νέσορος ἀφίκοντο, αὐτοὶ μὲν δὴ ἀπέ-
βησαν ἐπὶ τὴν γῆν τὴν πολλὴν τρέφουσαν, "τὰς δὲ ἵππους
ὁ Εὐρυμέδων ὁ ὑπήκοος ἔλυσε τάχα τῦ γέροντος ἐκ τῶν
ἁρμάτων. αὐτοὶ δὲ τὸν ἱδρῶτα ἐξηραίνοντο τῶν χιτώνων,
ἰσάμενοι πρὸς τὴν αὔραν παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσ-
σης. εἰς τὴν σκηνὴν παραγενόμενοι ἐν ταῖς καθέδραις ἐκά-
θισαν· τούτοις δὲ κατεσκεύασε ποτὸν ἡ εὔτριχος Ἑκαμήδη,
"ἣν δὴ ἔλαβεν ἐκ τῆς Τενέδου, ὅτε ἐπόρθησεν ὁ Ἀχιλλεύς,
τὴν θυγατέρα τῦ Ἀρσινόου τοῦ μεγαλοψύχου, ἣν αὐτῷ οἱ
Ἕλληνες ἐξαίρετον ἔδωκαν, διότι τῇ βουλῇ κρείττων ἦν
ἁπάντων· ἥτις αὐτοῖς ἐν πρώτοις μὲν ἐπ' αὐτοῖς παρέ-
θηκε τράπεζαν καλήν, μελανόπυν, εὔξεστον, ἐπ' αὐτῆς δὲ
σιδηρῦν κανῆν· ἐπέθηκε δὲ καὶ κρόμυον ποτικὸν ὄψον καὶ
μέλι πρόσφατον, παρ' αὐτῷ δὲ ἔθηκε καὶ ἄρτον. παρῆν δὲ
καὶ ποτήριον περικαλλές, ὑπὲρ ἐξ οἴκου παρήγαγεν ὁ γηραιός,
χρυσοῖς ἥλοις πεπερονημένον· ὦτα δὲ αὐτῷ τέσσαρα ὑπῆρ-
χον· δύω δὲ περισταὶ περὶ ἕκαστον "χρυσαῖ ἐνέμοντο, δύο
δὲ πυθμένες ὑπῆρχον. ἄλλος μὲν κακοπαθῶν ἀπεκίνει τῆς
τραπέζης πεπληρωμένον ὃν· Νέσορι δὲ ὁ γέρων εὐκόλως
αὐτὸ ἦρεν. ἐν τούτῳ δὴ αὐτοῖς τὸν κυκεῶνα ἐποίησεν ἡ
γυνὴ ἡ ὁμοία ταῖς θεαῖς οἴνῳ τῷ πραΰνοντι τὰς φρένας,
καὶ ἐπέκοπτε δὲ καὶ τυρὸν αἴγειον "τῇ σιδηρᾷ μαχαίρᾳ, ἐπέπασε
δὲ καὶ ἄλφιτα λευκά, πιεῖν δὲ παρεκελεύετο, ἐπεὶ παρεσκεύα-
σε τὸν ποτόν. ἕτοι δὲ ἐπειδὴ πίνοντες ἀφῆκαν τὴν ξηραν-
τικὴν δίψαν, εἰς τέρψιν ἦγοντο τοῖς λόγοις πρὸς ἀλλήλους
διαλεγόμενοι. ὁ δὲ Πάτροκλος ταῖς θύραις ἐπέβη ὁ ἰσόθεος ἀνήρ. "τοῦτον δὲ ἰδὼν ὁ πρεσβύτης ἀπὸ τῦ θρόνου
ἀνέβη τῇ λαμπρῇ, εἰσήγαγε δὲ τῆς χειρὸς λαβόμενος καὶ
καθέζεσθαι παρεκελεύετο. ὁ Πάτροκλος δὲ ἐκ τῦ ἑτέρου μέ-
ρους ἀπηρνεῖτο εἰπέ τε λόγον. "ὦ καιρούς ἐσί μοι καθέδρας
ὦ πρεσβῦτα, οὐδὲ πείσεις με· αἰδοῦς ἄξιος καὶ φιλομεμφὴς ὅς
με προέπεμψεν ἐρωτῆσαι "τίνα τοῦτον φέρεις τετρωμένον.
ἀλλὰ καὶ ἐγὼ αὐτὸς ἐπίσταμαι, βλέπω δὲ Μαχάονα τὸν βα-
σιλέα τῶν λαῶν. νῦν δὲ λόγον ἐρῶν εἰς τὰπίσω μηνυτὴς
ἄπειμι τῷ Ἀχιλλεῖ. καλῶς δὲ σὺ οἶδας, πρεσβῦτα εὐγε-
νέσατε, ὁποῖος ἐκεῖνός ἐσιν φοβερὸς ἀνήρ· τάχα ἂν καὶ τὸν

655 ἀναίτιον μέμψοιτο." "πρὸς τῶτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα
ὁ ἔντιμος ἱππότης Νέσωρ "τί δή ποτε ἔτως ὁ Ἀχιλλεὺς
οἰκτείρει τὰς Ἕλληνας, ὁπόσοι δὴ τοῖς βέλεσιν ἐτρώθησαν; 710 τῶν δὲ οἱ Μολίονος παῖδες ὡπλίζοντο "νήπιοι ἔτι ὑπάρ-
ἐδαμῶς δὲ ἐπίσαται ϗ τὸ πένθος ὅσον ἐγίνετο κατὰ τὸ
στράτευμα· οἱ γὰρ ἀριστῆες ἐν ταῖς ναυσὶ κεῖνθ βεβλημένοι ϗ
660 τετρωμένοι. "τέτρωθ μὲν ὁ υἱὸς τῦ Τυδέως ὁ ἰχυρὸς Διο-
μήδης, τέτρωθ δὲ ὁ Ὀδυσσεὺς ὁ τῷ δόρατι ἀνδρεῖος ϗ
ὁ Ἀγαμέμνων, τέτρωθ δὲ ὁ Εὐρύπυλος κατὰ τὸν μηρὸν 715 διάδος διήλθοσαν, ἡμῖν δὲ ἡ Ἀθηνᾶ "μηνυτὴς παρεγέ-
τῷ βέλει. τῶτον δὲ ἕτερον ἐγὼ νεωστὶ ἤγαγον ἐκ τῦ πολέμυ νετο τρέχυσα ἀπὸ τῦ Ὀλύμπυ, καθοπλίζεσθϳ λέγουσα ἐν
665 βέλει ἀπὸ τῆς νευρᾶς βληθέντα. ὁ δὲ Ἀχιλλεὺς "πολε- νυκτί. ἐκ ἄκοντα δὲ κατὰ Πύλον τὸν λαὸν ἤθροισεν, ἀλλὰ
τες οἱ δύο Αἴαντες οἱ πολεμισαὶ τὰ ὅπλα ἀφείλοντο. τὴν δὲ κεφαλὴν ἀπὸ τᾶ ἀπαλᾶ τραχήλα ἔκοψεν ὁ τᾶ Οἰλέως παῖς ὀργιζόμενος ὑπὲρ τᾶ Ἀμφιμάχα, ἀφῆκε δὲ δίκην σφαίρας συγραφεὶς διὰ τᾶ πλήθας· "ἔμπροσθεν δὲ τῶν τᾶ Ἕκτορος ποδῶν ἔπεσεν ἐν τᾷ γᾷ. κ' τότε δὴ περισσῶς τᾷ ψυχᾷ ὁ Ποσειδῶν ὠργίσθη τᾶ υἱωνᾶ αὐτᾶ ἀποθανόντος ἐν τᾷ χαλεπᾷ μάχᾳ· ἀπέβη δὲ πορευθῆναι παρά τε τὰς σκηνὰς κ' τὰς ναῦς τῶν Ἑλλήνων, παρορμιῶν τὰς Ἕλληνας, τοὶ δὲ Τρωσὶ .... κατεσκεύαζεν. "ὁ δὲ δὴ Ἰδομενεὺς ὁ πολεμικὸς ὡτᾷ συνήντησε παραγενόμενος ἐκ τᾶ ἑταίρου, ὅσις αὐτῷ νεωστὶ ἐκ τᾶ πολέμα παρεγένετο κατὰ τὸ ὀπίσω τᾶ γόνατος τετρωμένος τῷ ὀξεῖ σιδήρῳ. τᾶτον μὲν οἱ ἑταῖροι ἐκόμισαν, οὗτος δὲ ἰατροῖς ἐντειλάμενος ἐπορεύετο ἐκ τᾶς σκηνᾶς· ἔτι γὰ τοῦ πολέμα προεθυμεῖτο "μεταλαμβάνειν. πρὸς τᾶτον δὲ εἶπεν ὁ βασιλεύων Ποσειδῶν, ὁμοιωθεὶς κατὰ τὰν φωνὰν τῷ τᾶ Ἀνδραίμονος υἱῷ Θόαντι, ὅσις πάσης τᾶς Πλευρῶνος κ' τᾶς ὑψηλᾶς Καλυδῶνος καὶ τῶν Αἰτωλῶν ἐβασίλευεν, ὡς δὲ θεὸς ἐτιμᾶτο ὑπὸ τοῦ δήμα. "ὦ Ἰδομενεῦ τῶν Κρητῶν σύμβολε, πᾶ σοι αἱ ἀπειλαὶ "ἀπῆλθον, ἃς τοῖς Τρωσὶν ἠπείλεν οἱ Ἕλληνες;" πρὸς τᾶτον δὲ ὁ Ἰδομενεὺς ὁ τῶν Κρητῶν ἀρχηγὸς ἐξεναντίας εἶπεν "ὦ Θόαν, ἀδεὶς τῶν νῦν ἀνδρῶν ἐξὶν αἴτιος, ὁπόσον ἐγὼ γνωρίζω· πάντες γὰ δυνάμεθα μάχεσθ. οὔτε τινὰ φόβος ἐπέχει ἀψυχοποιός, ἔτε τις τᾷ ὄκνῳ ὑποχωρῶν ἀναδύεν τὸν κακοποιὸν πόλεμον. ἀλλὰ δήπου ἔτως ἔοικε δὴ προσφιλὲς εἶναι τᾷ ὑπερέχοντι τᾷ δυνάμει Διί, ἀνωνύμως ἀπολέσθαι ἀπὸ τᾶς Πελοποννάσω ἐνταῦθα τὰς Ἕλληνας. ἀλλ' ὦ Θόαν· κ' γὰ τὸ πρότερον καρτερικὸς ὑπῆρχες, παρορμᾷς δὲ κ' ἕτερον, ἡνίκα ἀμελῆντα θεώσῃ "διὸ τὰ νῦν μήτε παύου, παρακελεύα δὲ ἀνδρὶ ἑκάστῳ." πρὸς τᾶτον δὲ ἀπεκρίθη μετὰ ταῦτα ὁ τὴν γῆν σείων Ποσειδῶν "ὦ Ἰδομενεῦ, μηδαμῶς ἐκεῖνος ἀνὴρ ἔτι ἐπανέλθοι ἐκ τᾶς Τροίας, ἀλλ' αὐτόθι κυνῶν παίγνια γένοιτο, ὅσις ἐν ταύτᾳ τᾷ ἡμέρᾳ ἑκὼν ἀμελεῖ πολεμεῖν. "ἀλλὰ φέρε τὰ ὅπλα ἐνταῦθα λαβὼν πορεύα· ταῦτα δὲ ὁμοῦ πρέπει ἐνεργεῖν, ἐάν πέρ τι ὄφελος γενώμεθα καίπερ δύο ὑπάρχοντες. συμφέρεσα δὲ ἀρετὰ γίνεν ἀνδρῶν κ' λίαν ἀσθενῶν· ἡμεῖς δὲ κ' ἀνδρείοις δυναίμεθ' ἂν μάχεσθ." οὕτως εἰπὼν ὁ μὲν Θεὸς πάλιν ἐπορεύθη ἐπὶ τὸν πόλεμον τῶν ἀνδρῶν· "ὁ Ἰδομενεὺς δὲ ὅτε τὴν εὐκατάσκευον σκηνὴν κατέλαβεν, ἐνεδύσατο τὰ ὅπλα τὰ καλὰ περὶ τὸ σῶμα ἔλαβε δόρατα, ἀπέβη δὲ πορευθῆναι ἀσφαλῶς ὅμοιος, ἡνίκα ὁ υἱὸς τᾶ Κρόνα τᾷ χειρὶ λαβὼν ἐξέτεινεν ἀπὸ τοῦ λαμπρᾶ Ὀλύμπα, δεικνὺς σημεῖον τοῖς ἀνθρώποις· ἔκδηλοι δὲ ἄγαν αἱ λαμπηδόνες εἰσίν. "οὕτω τᾶτον τὰ ὅπλα ἔλαμπε περὶ τοῖς σήθεσι τρέχοντος. ὁ δὲ Μηριόνης αὐτῷ ὁ ὑπασπιστὴς ὁ ἀγαθὸς συνήντησε πλησίον ἔτι τᾶς σκηνᾶς· ἀπῆει γὰ χαλκᾶν ἔγχος κομίσων. πρὸς τᾶτον δὲ ἔφη ὁ Ἰδομενεύς "ὦ Μηριόνη Μόλα υἱέ, ταχινὲ τὰς πύδας, φίλτατε τῶν ἡλίκων, "τί δή ποτε παρεγένα τόν τε πόλεμον λιπὼν κ' τὴν μάχην; ἢ τέτρωσαί τι μέρος τᾶ σώματος, τᾶ βέλος δέ σε καταπονεῖ ἢ ἐπιδορατίς; ἢ περί τινος ἀγγελίας πρὸς ἐμὲ παραγέγονας; ἐδὲ ἐγὼ αὐτὸς καθέζεσθ ἐν τᾷ σκηνᾷ προθυμᾶμαι ἀλλὰ πολεμεῖν." πρὸς τᾶτον δὲ Μηριόνης ὁ πολεμικὸς ἐξ ἐναντίας εἶπεν "ὦ Ἰδομενεῦ τῶν Κρητῶν σύμβολε τῶν σιδηροθωράκων, παραγίνομαι, ἐάν τί σοι δόρυ ἐν τᾷ σκηνᾷ ἀπολέλειπεν, κομίσων· ἐκεῖνο γὰ ἐκλάσαμεν ὅπερ πρότερον εἶχον, εἰς τὴν ἀσπίδα τᾶ Δηϊφόβα ἐμβαλὼν τᾶ ὑπερέχοντος τᾷ δυνάμει." πρὸς τοῦτον δὲ δὴ ὁ Ἰδομενεὺς ὁ τῶν Κρητῶν ἀρχηγὸς ἐξ ἐναντίας εἶπεν "ὄδορατα δέ, ἐὰν θέλῃς, ἔν κ' εἴκοσιν εὑρήσεις ἂν ἐξῶτα ἐν τᾷ σκηνᾷ ἀντικρὺ τῶν εἰσόδων, Τρωϊκά, ἃ ἀπὸ τῶν ἀναιρεμένων ἀφαιρᾶμαι· ἐ γὰ οἶδα τῶν ἀνδρῶν τῶν πολεμίων μακρὰν ἑσάμενος μάχεσθ· διό μοι δόρατα ὑπάρχει κ' ἀσπίδες ὁμφαλόεσσαι "κ' περικεφαλαῖαι κ' θώρακες λαμπρῶς ἀπολάμποντες." πρὸς τᾶτον δὲ ὁ συνετὸς Μηριόνης ἐξ ἐναντίας εἶπε "κ' ἐμοὶ δὴ παρά τε τᾷ σκηνᾷ κ' τᾷ βαθείᾳ νηῒ πολλὰ σκῦλα τῶν Τρώων· ἀλλ' ἐκ ἔξι μοι ἐγγὺς ὥστε λαβεῖν. ἐδαμῶς γὰ ἐδὲ ἐμὲ λέγω ἐπιλελησμένον εἶναι τᾶς ἰσχύος, "ἀλλ' ἐν τοῖς πρωταγωνισαῖς εἰς τὴν τὲς ἄνδρας δοξάζεσαν μάχην παρίσαμαι, ὁπότε φιλονεικία διεγερθῇ τᾷ πολέμα. ἕτερόν πα μᾶλλόν τινα τῶν Ἑλλήνων τῶν σιδηροθωράκων λανθάνω μαχόμενος· σὲ δὲ αὐτὸν εἰδέναι νομίζω." πρὸς τᾶτον δὲ ὁ Ἰδομενεὺς ὁ τῶν Κρητῶν ἀρχηγὸς ἐξ ἐναντίας εἶπε ""γινώσκω τὴν ἀρετὴν οἷος εἶ· τί χρή σε περὶ τάτων λέγειν; εἰ γὰ νῦν ἐν ταῖς ναυσὶ πάντες καταριθμοίμεθα οἱ ἄριστοι εἰς ἐνέδραν, ὅπα μάλιστα δείκνυν ἡ ἀρετὴ τῶν ἀνδρῶν — ἐκεῖ ὅ τε δειλὸς ἀνὴρ κ' ὅστις δυνατὸς φανερᾶται. τοῦ μὲν γὰ δειλᾶ μετατρέπεν τὸ σῶμα ἄλλοτε ἄλλως, "ἐδὲ ἄτρομος αὐτᾶ καθέζεσθ κατέχεν ἐν ταῖς διανοίαις, ἀλλὰ μετακαθίζει κ' ἐπ' ἀμφοτέρας πόδας κλίνει τὰ γόνατα, ἐν αὐτῷ δὲ ἡ καρδία μεγάλως ἐν τῷ σήθει πηδᾷ θάνατον προσδοκῶντι, κτύπος δὲ γίνεν τῶν ὀδόντων. τᾶ δὲ ἀνδρείᾳ ἔτε μετάβαλλεν τὸ σῶμα ἔτε πάνυ τι "δειλᾷ, ἐπὰν ἅπαξ καθεθῇ ἐν τᾷ ἐνέδρᾳ τῶν ἀνδρῶν· εὔχεν δὲ ὁ γενναῖος ἀνὴρ τὴν ταχίστην συμβαλεῖν τοῖς πολεμίοις. οὐδ' ἂν ἐνταῦθά τις καταμέμψοιτό σα τὴν δύναμιν κ' τὴν προθυμίαν. εἰ γὰ βληθείης ἐνεργῶν (πολεμῶν) ἢ ἐκ χειρὸς τρωθείης, ἐκ ἂν ἐν τῷ αὐχένι ὀπίσωθεν ἐμπέσοι τὸ βέλος ἐδὲ ἐν τοῖς νώτοις, "ἀλλ' ἐπὶ τᾶ σήθους ἢ τᾶς γαστρὸς ἀπαντήσοι ἂν κ' ἔλθοι, ἔμπροσθεν ὁρμῶντος ἐν τᾷ τῶν πρωταγωνισῶν ὁμιλίᾳ κ' συναναστροφᾷ. ἀλλὰ φέρε, μηδαμῶς ταῦτα διαλεγώμεθα κ' ὁμιλῶμεν ὡς ἄφρονες ἐξῶτες, μή πά τις ὑπερηφάνως ἡμᾶς μέμψοιτο· ἀλλὰ σὺ εἰς τὴν σκηνὴν ἀπελθὼν ἄρον τὸ σιβαρὸν δόρυ." "ὥτως εἰπὼν ὁ δὲ Μηρίονης τῷ ταχεῖ ὅμοιος Ἄρει ταχέως ἐκ τᾶς σκηνᾶς ἀνέλαβε τὸ ἰσχυρὸν δόρυ, ἐπορεύθη δὲ πρὸς τὸν Ἰδομενέα μεγάλως τᾶ πολέμα ἐπιμέλειαν ποιούμενος. ὁποῖος δὴ ὁ ἀνθρωποφθόρος πόλεμος πρὸς τὸν πόλεμον παραγίνεν, τάτῳ δὲ Φόβος ὁ προσφιλὴς υἱὸς ὁμοῦ ἰσχυρὸς κ' ἄφοβος "εἵπετο, ὅσις δὴ ἐφόβησε τὸν καρτερικὸν κ' ὑπομονητικὸν φρόνημα ἔχοντα πολεμισήν. ἔτοι μὲν δὴ ἐκ

τῆς Θρᾴκης ἐπὶ τοὺς Ἐφυραίȣς καθωπλίζοντο ἢ πρὸς τȣ̀ς μεγαλοψύχȣς Φλεγύας· ȣ̓δαμῶς δὲ δὴ ȣ̃τοι ἤκουον ἀλλήλων, ἑτέροις δὲ ἀνθρώποις δόξαν παρέχον. τοιȣ̃τοι ὅ τε Μηριόνης ϗ Ἰδομενεὺς ἀρχηγοὶ τῶν ἀνδρῶν "ἐπορεύθησαν εἰς τὸν πόλεμον, καθωπλισμένοι τῷ λαμπρῷ σιδήρῳ. τοῦτον πρότερος ὁ Μηριόνης λόγον προσεῖπεν. "ὦ Δευκαλίωνος υἱέ, πȣ̃ δὴ προθυμῇ κατελθεῖν εἰς τὸ πλῆθος; ἐπὶ τὰ δεξιὰ παντὸς τοῦ ϛρατεύματος ἢ κατὰ τȣ̀ς μέσȣς ἢ ἐπὶ τὰ ἀριϛερά, ἐπειδὴ ȣ̓δαμῶς ἐλπίζω ȣ̃τω "προσδεῖσθ τοῦ πολέμȣ τȣ̀ς τὰς κεφαλὰς κομῶντας Ἕλληνας." πρὸς τȣ̃τον δὲ πάλιν ὁ Ἰδομενεὺς τῶν Κρητῶν ἀρχηγὸς ἐξ ἐναντίας εἶπεν "ἐν τῷ μέσῳ μὲν τῶν νεῶν ὑπερμαχεῖν εἰσὶ ϗ ἕτεροι, οἵ τε δύο Αἴαντες ϗ ὁ Τεῦκρος, ὅϛις κράτιϛος τῶν Ἑλλήνων τῇ τοξικῇ, ἀνδρεῖος δὲ ἐν τῇ κατὰ συϛάδην μάχῃ, "οἵτινες αὐτὸν εἰς κόρον ἐλῶσι ϗ κωλύωσι ϗ προθυμίαν ἔχοντα τȣ̃ πολέμȣ, Ἕκτορα τὸν υἱὸν Πριάμȣ. ϗ εἰ λίαν ἰϛυρὸς ὑπάρχει, μέγα ϗ φοβερὸν αὐτῷ γενήσεθ, λίαν προθυμίαν ἔχοντι μάχεσθ, ἐκείνων νικήσαντα τὴν δύναμιν ϗ τὰς ἀηττήτȣς χεῖρας τὰς ναῦς ἐμπρῆσαι, εἰ μὴ αὐτὸς ὁ Ζεὺς "ἐμβάλοι καιόμενον δαλὸν ἐν ταῖς ταχείαις ναυσίν. ὑπ' ἀνδρὸς ȣ̓χ ἡττηθήσεθ ὁ μέγας Αἴας τȣ̃ Τελαμῶνος, ὅϛις θνητὸς εἴη ϗ ἐσθίοι σῖτον, σιδηρότρωτος ὑπάρχοι ϗ μεγάλοις λίθοις. ȣ̓δαμῶς ἂν τῷ Ἀχιλλεῖ τῷ ἀνδρείῳ παραχωρήσειεν "ἔν γε τῇ συϛάδην μάχῃ· τοῖς δὲ ποσὶν ȣ̓δαμῶς ὑπάρχει ἐξισȣ̃σθ. ἡμῖν δὲ ἐνταῦθα ἐπ' ἀριϛερὰ ἔλαυνε τȣ̃ ϛρατȣ̃, ὅπως ταχύτατα εἰδῶμεν ἤ τινι καύχημα παράϛωμεν ἤ τις ἡμῖν." ȣ̃τως εἶπεν· ὁ δὲ Μηριόνης ὁ τῷ ταχεῖ ὅμοιος Ἄρει προηγεῖτο πορεύεσθ, ἕως ἂν παρεγένοντο κατὰ τὸ ϛράτευμα ὅπȣ αὐτὸν ἐκέλευεν. "ȣ̃τοι δὲ ὡς ἐθεάσαντο τὸν Ἰδομενέα φλογὶ ὅμοιον κατὰ τὴν δύναμιν, παρακελευόμενοι κατὰ τὸ πλῆθος ἐπ' αὐτῷ πάντες ἐπορεύθησαν. τȣ́των δὲ ἐπ' ἴσης ἦν ἡ μάχη ἐπὶ ταῖς μεγαλοπρύμνοις ναυσίν. ὥσπερ δὲ ὑπὸ ὀξέων ἀνέμων διεγείρονθ συϛροφαὶ "τῇ ἡμέρᾳ ἐκείνῃ, ἡνίκα πολλὴ κόνις περὶ τὰς ὀδȣ́ς, οἵτινες ὁμȣ̃ κατὰ τῆς κόνεως μεγάλην συνάγȣσιν ὀμίχλην, ȣ̃τω δὴ τȣ́των εἰς τὸ αὐτὸ ἦλθεν ἡ μάχη, πρόθυμοι δὲ ἦσαν τῇ ψυχῇ ἀλλήλȣς καθ' ὅμιλον φονεύειν τῷ ὀξεῖ σιδήρῳ. ἐπυκνώθη δὲ ἡ μάχη ἡ φθείρȣσα τȣ̀ς ἀνθρώπȣς ὑπὸ τοῖς δόρασι τοῖς "ἐπιμήκεσιν, ἃ εἶχον τμητικὰ τȣ̃ χρωτός· τȣ̀ς ὀφθαλμȣ̀ς δὲ ἠμαύρȣ ἡ λαμπηδὼν τῶν σιδηρῶν περικεφαλαιῶν τῶν πόῤῥωθεν λαμπȣσῶν ϗ τῶν νεοσμήκτων θωράκων ϗ τῶν λαμπρῶν ἀσπίδων παραγινομένων ὁμȣ̃. λίαν ἂν τολμηρὸς ὑπάρχοι ὅϛις τότε χαρείη ἰδὼν τὸν ἀγῶνα ϗ ȣ̓ λυπηθείη. "ȣ̃τοι δὲ κεχωρισμένα φρονȣ̃ντες οἱ δύο υἱοὶ τȣ̃ Κρόνȣ οἱ κραταιοὶ τοῖς ἡμιθέοις ἀνδράσι κατεσκεύαζον ἄλγη χαλεπά. ὁ μὲν δὴ Ζεὺς τοῖς Τρωσὶ ϗ τῷ Ἕκτορι τὴν νίκην ἐβȣ́λετο, δοξάζων τὸν Ἀχιλλέα τὸν ταχύποδα· ȣ̓ παντελῶς δὲ ἐβȣ́λετο τὸν λαὸν ἀπολέσθ τὸν Ἑλληνικὸν πρὸ τῆς Ἰλίȣ, "ἀλλὰ τὴν Θέτιν ἐδόξαζε ϗ τὸν καρτερόψυχον υἱόν. τȣ̀ς δὲ Ἕλληνας ὁ Ποσειδῶν παρώρμησεν ἐπελθών, λαθραίως ἀναδὺς τῆς θαλάσσης τῆς λευκῆς· ἐλυπεῖτο γ' δὴ ὑπὸ Τρώων ἀναιρȣμένȣς, ϗ τῷ Διὶ δυνατῶς ἐμέμφετο. ὄντως δὴ ἀμφοτέροις ὅμοιον γένος ϗ μία πατρίς· "ἀλλὰ Ζεὺς πρότερος ἐγένετο ϗ πλείονα ἠπίϛατο. διὰ τȣ̃το δὴ ϗ φανερῶς μὲν ἐπιβοηθῆσαι ἐξέκλινεν, λαθραίως δὲ ἀεὶ παρώρμα κατὰ τὸ ϛράτευμα ἀνδρὶ ὅμοιος. ȣ̃τοι δὲ τῆς ἰϛυρᾶς φιλονεικίας ϗ τȣ̃ ὁμοίȣ πολέμȣ τὰ πέρατα ἐπιπλέξαντες κατ' ἀμφοτέρων ἐξέτειναν "ἀδιάσπαϛον ϗ ἄλυτον, ὅπερ πολλȣ̀ς ἀπώλεσε. τότε καίπερ μιξοπόλιος ὢν τοῖς Ἕλλησι παρακελευόμενος ὁ Ἰδομενεὺς τοῖς Τρωσὶν ἐπιπηδήσας ἐνέβαλε φυγήν. ἐφόνευσε γ' τὸν Ὀθρυονέα ἐκ τῆς Καβήδȣ ἔνδοξον ὑπάρχοντα, ὅϛις δὴ νεωϛὶ εἰς τὴν τȣ̃ πολέμȣ δόξαν παρεγένετο. "ᾔτει δὲ τῶν Πριάμȣ θυγατρῶν τῇ μορφῇ καλλίϛην τὴν Κασάνδραν ἄνευ πρὸ γάμȣ δώρων ὑπιϛνεῖτο δὲ μέγα ἔργον, ἐκ τῆς Τροίας ἄκοντας διῶξαι τȣ̀ς τῶν Ἑλλήνων παῖδας. τȣ́τῳ δὲ ὁ πρεσβύτης Πρίαμος ὑπέϛετο ϗ κατένευσε δώσειν· ὁ δὲ ἐμάχετο ταῖς ὑποϛέσεσι πιϛεύσας. "ὁ Ἰδομενεὺς δὲ αὐτȣ̃ κατεϛοχάζετο τῷ λαμπρῷ δόρατι, ϗ ἔβαλεν ὑψηλὰ βαίνοντα (ἢ κενοδοξȣ̃ντα) ἐπιτυχών· ȣ̓κ ἐβοήθησε δὲ ὁ θώραξ ὁ σιδηρȣ̃ς ὃν ἐφόρει, ἐν μέσῳ δὲ τῆς γαϛρὸς ἔπηξεν. ἐψόφησεν (ἀπέθανεν ἢ ἐκτύπησεν) πεσών· ȣ̃τος δὲ ἐπεκαυχήσατο ϗ εἶπεν "ὦ Ὀθρυονεῦ, περισσῶς δή σε ἀνθρώπων ἐπαινῶ ἁπάντων, "ἐὰν ἀληθῶς δὴ πάντα τελειώσεις ὅσα ἐπηγγείλω τῷ υἱῷ Δαρδάνȣ Πριάμῳ· ȣ̃τος δὲ ὑπέϛετο τὴν ἑαυτȣ̃ θυγατέρα. ϗ ἡμεῖς ἂν τὰ αὐτὰ δή σοι ἐπαγγειλάμενοι τελειώσομεν, δώσομεν δὲ τῶν τȣ̃ Ἀγαμέμνονος θυγατέρων τὴν εὐμορφοτάτην ἐκ τῆς Πελοπονήσȣ ἐξαγαγόντες εἰς γάμον λαβεῖν, ἐὰν σὺν ἡμῖν "τῆς Ἰλίȣ ἐκπορθήσῃς τὴν καλῶς οἰκȣμένην πόλιν. ἀλλ' ἕπου, ὅπως ἐπὶ ταῖς ναυσὶ συνθήκας ποιήσομεν ταῖς ποντοπόροις πρὸ γάμȣ, ἐπειδὴ ȣ̓ κηδεϛαὶ ϗ πενθεροὶ κακοί ἐσμεν." ȣ̃τως εἰπὼν ἐκ τȣ̃ ποδὸς ἔσυρε κατὰ τὴν ἰϛυρὰν μάχην ὁ ἥρως Ἰδομενεύς. τȣ́τῳ δὲ ὁ Ἄσιος ἦλθε βοηθός, "πεζὸς ἔμπροσθε τῶν ἵππων· ȣ̃τοι δὲ καταπνέοντες αὐτȣ̃ τὸ μετάφρενον ἀεὶ περιεῖχεν ὁ ἡνίοχος ϗ ὑπασπιϛής. οὗτος δὲ προεθυμεῖτο τῇ ψυχῇ τὸν Ἰδομενέα ἐπιτυχεῖν. οὗτος δὲ αὐτὸν προφθάσας ἔβαλε τῷ δόρατι κατὰ τὸν λαιμὸν ὑποκάτω τȣ̃ γενείȣ, διήλασε δὲ (ἤγȣν διεπέρασε) τὸν σίδηρον δι' ὅλȣ. ἔπεσε δὲ ὥσπερ τις δρῦς ἔπεσεν ἢ λεύκη "ἢ πίτυς μακρά, ἥντινα ἐν ὄρεσι τέκτονες ἄνδρες ἐξέκοψαν ἀξίναις νεωϛὶ ἠκονημέναις ναυπηγώσιμον εἶναι. ȣ̃τως ȣ̃τος ἔμπροσθεν τῶν ἵππων ϗ τȣ̃ ἅρματος ἔκειτο ἁπλωθείς, βρυχώμενος τȣ̀ς ὀδόντας, κόνεως δραξάμενος ᾑμαγμένης. ἐξεπλάγη δὲ (ϗ ἔκφρων ἐγένετο) αὐτȣ̃ ὁ ἡνίοχος τὰς διανοίας ἃς πρότερον εἶχεν· "ȣ̓κ ἐτόλμησε δὲ ȣ̃τος ὑπεκφυγὼν τῶν πολεμίων τὰς χεῖρας εἰς τȣ̀πίσω ϛρέψαι τȣ̀ς ἵππȣς. τȣ̃τον δὲ ὁ καρτερικὸς Ἀντίλοχος τῷ δόρατι ἐπιτυχὼν κατὰ τὸ μέσον ἔπηξεν· ȣ̓κ ἐβοήθησε δὲ ὁ θώραξ ὁ σιδηρȣ̃ς ὃν ἐφόρει, ἐν μέσῃ δὲ τῇ κοιλίᾳ ἔπηξεν. ȣ̃τος δὲ ψυχοῤῥαγῶν τȣ̃ εὐκατασκευάϛȣ ἔπεσεν ἅρματος, "τȣ̀ς ἵππȣς δὲ ὁ Ἀντίλοχος ὁ τȣ̃ μεγαλοψύχȣ Νέϛορος υἱὸς ἐκ τῶν Τρώων ἐδίωξε πρὸς τȣ̀ς εὐόπλȣς Ἕλληνας. ὁ δὲ Δηΐφοβος λίαν ἐγγὺς πα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρεγένετο τῆ Ἰδομενέως ὑπὲρ τῆ Ἀσίῃ λελυπημένος, ᾗ ἠκόν-
τισε τῳ λαμπρῷ δόρατι. ἀλλ' ἔτος μὲν ἐξ ἐναντίας ἰδὼν
ἐξέκλινε τὸ σιδηρᾶν δόρυ, "ὁ Ἰδομενεύς· ἐκρύβη γὰρ ὑπὸ
τὴν πανταχόθεν ἴσην ἀσπίδα, ἣν δὴ ἕτος δέρματι βοῶν
ᾗ λαμπρῷ σιδήρῳ εὖ περιδεδινημένην ἐφόρει, δύο ῥάβδοις
ἠρμοσμένην. ὑπὸ ταύτης πᾶς συνεχάλη· τᾶτον δὲ ὑπερέβη
τὸ σιδηρᾶν δόρυ, ξηρὸν δὲ αὐτᾶ ἡ ἀσπὶς ἐπιψαύσαντος
οὐῆκησε "τᾶ δόρατος. ἐδαμῶς δὲ μάταιον τῆς ἰσχυρᾶς χειρὸς
ἀπέπεμψεν, ἀλλ' ἔβαλε τὸν Ἱππάσω υἱὸν Ὑψήνορα τὸν
βασιλέα τῶν ἀνδρῶν, καθ' ὃ μέρος αἱ φρένες εἰσίν· εὐθέως
δὲ τὰ γόνατα αὐτᾶ παρέλυσεν. ὁ δὲ Δηΐφοβος ἐξόχως ἐπε-
καυχήσατο μέγα βοήσας "ὰ μὴν ἀτιμώρητος κεῖται Ἄσιος,
ἀλλ' αὐτὸν λέγω "εἰς τὸν τόπον τᾶ Ἄιδα ὄντα τᾶ τὰς πύ-
λας ἰσχυρῶς ἐφαρμόζοντος (τᾶ πικρᾶ) ἀγαλλιᾶσθ κατὰ ψυ-
χήν, ἐπειδὴ αὐτῳ ἔπεμψα συνοδοίπορον." ἔτως εἶπε· τοῖς
Ἕλλησι δὲ λύπη προσεγένετο καυχησαμένα. τῷ Ἀντιλόχῳ
μάλιστα τῷ συνετῷ τὴν ψυχὴν ἐτάραξεν. ἀλλ' ὐδὲ λυπού-
μενος περ τᾶ ἑαυτᾶ ἠμέλησε φίλα, "ἀλλὰ τρέχων ἐπέσχε ᾗ
περιεκάλυψεν αὐτὸν μετὰ τῆς ἀσπίδος. τᾶτον μὲν μετὰ
ταῦτα ὑποβασάσαντες δύο εὐάρμοσοι ἑταῖροι, Μηκισεὺς ὁ
τᾶ Ἐχίᾳ παῖς ᾗ ὁ ἔνδοξος Ἀλάσωρ, ἐπὶ τὰς βαθείας ναῦς
ἔφερον βαρέως ςενάζοντα. ὁ δὲ Ἰδομενεὺς ἐκ ἔπαυσε τὴν
ὀργήν, προεθυμεῖτο δὲ ἀεὶ "ἤ πού τινα τῶν Τρώων τῇ
σκοτεινῇ νυκτὶ καλύψαι, ἢ αὐτὸς ἀποθανεῖν ἀποσοβῶν τὸν
ὄλεθρον τοῖς Ἕλλησι. τότε Αἰσυήτᾳ τᾶ εὐγενᾶς τὸν προσ-
ριλῆ υἱόν, τὸν γενναῖον Ἀλκάθοα — γαμβρὸς δὲ ἦν τοῦ
Ἀγχίσα, τὴν πρεσβυτάτην δὲ ἐγεγαμήκει τῶν θυγατέρων
Ἱπποδάμειαν. "ταύτην περισσῶς τῇ ψυχῇ ἠγάπησεν ὅ τε
πατὴρ ᾗ ἡ σεβασμία μήτηρ ἐν τῷ οἴκῳ· ὑπὲρ πάσας γὰρ
τὰς ὁμήλικας ἐκεκόσμητο τῷ τε κάλλει ᾗ ταῖς πράξεσι ᾗ
τῇ συνέσει, ᾗ διὰ τᾶτο αὐτὴν ἔγημεν ἀνὴρ ἄριστος ἐν τῇ
μεγάλῃ Τροίᾳ. τᾶτον τότε ὑπὸ τᾶ Ἰδομενέως ὁ Ποσειδᾶν
ἐφόνευσεν, "βλάψας τὰς λαμπρὰς ὀφθαλμάς, ἐδέσμησε δὲ
τὰ λαμπρὰ μέλη. ἔτε γὰρ εἰς τὰπίσω φυγεῖν ἐδύνατο οὔτ'
ἐκκλῖναι, ἀλλ' ὥσπερ κίονα ἢ δένδρον ἐφ' ὕψος τὰ φύλλα
ἔχοντα ἀφόβως ἑξῆτα κατὰ μέσον τᾶ σήθεος ἔτρωσε τῷ
δόρατι ὁ γενναῖος Ἰδομενεύς, περιέχισε δὲ αὐτᾶ τὸν θώ-
ακα "τὸν σιδηρᾶν, ὅσις αὐτᾶ ἔμπροσθεν τᾶ σώματος ἀπε-
λωκε τὸν ὄλεθρον. τότε δὴ ξηρὸν ἐφώνησε διακοπτόμενος
τὰ τᾶ δόρατος. ἐκτύπησε δὲ πεσών· τὸ δὲ δόρυ ἐν τῇ
καρδίᾳ ἐπάγη, ἥτις δὴ ἐν αὐτῳ πάλλεσα ᾗ τὸν σαυρωτῆρα
πέσεισε τᾶ δόρατος, καθ' ὃ μέρος ἀφῆκε τὴν ἰσχὺν ὁ ἰσχυ-
ρὸς σίδηρος. "ὁ δὲ Ἰδομενεὺς ἔξοχον ἐκαυχήσατο μέγα
βοήσας. "ὦ Δηΐφοβε, ἆρα ἀξίως ᾗ δεόντως δοκεῖμεν αὐ-
τεῖν τρεῖς ἀνθ' ἑνὸς πεφονευκότες; ἐπεὶ σὺ καυχᾶσαι μα-
ταίως. ὦ κακόδαιμον, ἀλλὰ ᾗ αὐτός, εἰ βάλει, ἀντικρὺ ἐμᾶ
ἔσθι, ὔπως γνῷς ὁποῖος τᾶ Διὸς παῖς ἐνταῦθα παραγένω-
ται, "ὅσις (Ζεὺς) πρῶτον ἐγέννησε τὸν Μίνωα τὸν Κρή-
της φύλακα, ὁ Μίνως δὲ δὴ ἐγέννησεν υἱὸν τὸν ἄμεμπτον
Δευκαλίωνα, ὁ Δευκαλίων δὲ ἐμὲ ἐγέννησε πολλῶν ἀνδρῶν
ἀσιλέα ἐν τῇ πλατείᾳ Κρήτῃ. νῦν δὲ ἐνταῦθα αἱ νῆες
ἦγαγον σοί τε κακοποιὸν ᾗ τῷ πατρὶ ᾗ τοῖς λοιποῖς Τρω-
σίν." "ἔτως εἶπεν· ὁ δὲ Δηΐφοβος δισσῶς ἐμερίμνησεν,
ἢ τινά πα τῶν Τρώων ἑταῖρον ᾗ συνεργὸν λάβοι τῶν γεν-
ναίων εἰς τὰπίσω ἀναχωρήσας, ἢ πειραθείη ᾗ μόνος. ἔτω
δὲ αὐτῷ φρονεῦντι ἔδοξεν ὠφελιμώτερον εἶναι πορευθῆναι
πρὸς Αἰνείαν. τᾶτον ἑκατὸν εὗρε τᾶ πλήθος "ἑσῶτα· ἀεὶ
γὰρ τῷ εὐγενεῖ Πριάμῳ ἐπιμόνως ὠργίζετο τῷ ἐνδόξῳ, ἐπει-
δὴ ἄριστον ὄντα ἐ σὺν τοῖς ἀρίστοις ἐτίμα. πλησίον δὲ ἰσά-
μενος λόγες ταχείᾶς εἶπεν. "ὦ Αἰνεία, τῶν Τρώων βωλευ-
τικέ, τὰ νῦν δέ σε μάλα προσήκει τῷ γαμβρῷ βοηθῆσαι,
εάν πέρ τί σε λύπη ἐφικνῆται. "ἀλλ' ἑπακολούθει· τῷ Ἀλ-
καθόῳ βοηθήσωμεν, ὅσις σε πρότερον γαμβρὸς ὑπάρχων
ἐθρέψατο ἐν τοῖς οἴκοις μικρὸν ὄντα· τᾶτον δὲ δὴ ὁ Ἰδο-
μενεὺς ὁ πολεμικὸς ἐφόνευσεν," ἔτως εἶπε· τότου δὲ τὴν
ψυχὴν ἐν ταῖς διανοίαις ἐτάραξεν· ἐπορεύθη δὲ πρὸς τὸν
Ἰδομενέα μεγάλως τοῦ πολέμα φροντίζων. "ἀλλ' ἐδαμῶς
τὸν Ἰδομενέα φόβος ἔλαβεν ὡς νήπιον μονογενῆ, ἀλλ' ἔμε-
νεν ὥσπερ χοῖρος ἐν ὄρεσι τῇ δυνάμει θαρρῶν, ὅσις ὑπο-
μένει τὴν ταραχὴν ἐπιοῦσαν πολλὴν τῶν ἀνδρῶν, ἐν τόπῳ
ἐν ᾧ πρόβατα ἀναςρέφονθ', ἴσησι δὲ χαίτην ὑπεράνωθεν·
οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς πῦρ λάμπουσι· τοὺς δὲ ὀδόντας
"ἀκονᾶ ἀποδιῶξαι προθυμέμενος τός τε κύνας ᾗ τὸς ἄν-
δρας. ἔτω προσέμενεν ὁ Ἰδομενεὺς ὁ τῷ δόρατι ἔνδοξος
ᾗ ἐχ ὑπεχώρει τὸν Αἰνείαν ἐπερχόμενον, τὸν ἐν τῇ μάχῃ
ταχύν· ἐφώνει δὲ τὸς ἑταίρος, τόν τε Ἀσκάλαφον βλέ-
πων ᾗ τὸν Φαρέα ᾗ τὸν Δηΐπυρον τόν τε Μηριόνην καὶ
τὸν Ἀντίλοχον τὸς ἐμπείρως τῆς μάχης. "τούτως οὕτος
παρορμῶν λόγες ταχείᾶς προσεῖπεν. "ἔλθετε φίλοι κἀμοὶ
μόνῳ βοηθήσατε· πεφόβημαι χαλεπῶς Αἰνείαν ἐπερχόμε-
νον τὸν ταχύποδα, ὅσις μοι ἐπέρχεθ· ὅσις λίαν δυνατὸς
ὑπάρχει ἐν τῇ μάχῃ τὸς ἄνδρας φονεύειν, ἔχει δὲ τὸ ἀκρό-
τατον τῆς ἀκμῆς, ἡνίκα ἡ δύναμις ἔσι μεγίςη. "εἰ γὰρ ὁμή-
λικοι ἐτύχθημεν ἐπὶ ταύτῃ τῇ ψυχῇ, εὐθέως ἂν ἢ ἀπη-
νέγκατο μέγα καύχημα ἢ ἀπηνεγκάμην ἐγώ." ἔτως εἶπεν·
ἕτοι δὲ δὴ πάντες ἓν ᾗ τὸ αὐτὸ φρονεῦντες ἐγγὺς ἐςάθη-
σαν, τὰς ἀσπίδας τοῖς ὤμοις ἐρείσαντες, ὁ δὲ Αἰνείας ἐκ
τᾶ ἑτέρα μέρες παρεκελεύετο τοῖς ἑαυτᾶ ἑταίροις, "τόν τε
Δηΐφοβον ᾗ τὸν Πάριν βλέπων ᾗ τὸν ἔνδοξον Ἀγήνορα,
οἵτινες αὐτῷ ὁμᾶ ἡγεμόνες Τρώων ἦσαν. οἱ λαοὶ ἠκολού-
θεν ὥσπερ μετὰ κριὸν ἑπακολουθεῖ πρόβατα πιεῖν μέλλοντα
ἀπὸ τροφῆς· χαίρει δὲ αὐτῷ κατὰ διάνοιαν ὁ ποιμήν.
ἔτω τῷ Αἰνείᾳ ἡ ψυχὴ ἐν ταῖς διανοίαις ἔχαιρεν "ὡς ἐθεά-
σατο τῶν λαῶν τὸ πλῆθος ἑπακολουθᾶν αὐτῷ. οἱ δὲ περὶ
τὸν Ἀλκάθοον ἐκ τᾶ σύνεγγυς ὥρμησαν μακροῖς δόρασι·
περὶ δὲ τοῖς σήθεσιν ὁ σίδηρος καταπληκτικὸν ἦχει κα-
ταςοχαζομένων ἀνὰ τὸ πλῆθος ἀλλήλων. δύο δὲ ἄνδρες
πολεμικοὶ ἐξόχως τῶν λοιπῶν, "ὁ Αἰνείας τε ᾗ Ἰδομενεύς,
παραπλήσιοι τῷ Ἄρει, προεθυμοῦντο ἀλλήλων τεμεῖν τὸ
σῶμα τῷ ἀνηλεεῖ σιδήρῳ. ὁ Αἰνείας δὲ πρῶτος ἠκόντισε
κατὰ τᾶ Ἰδομενέως· ἀλλ' ἔτος μὲν ἄντικρυς ἰδὼν ἐξέκλινε
τὸ σιδηρᾶν δόρυ· ἡ δὲ ἐπιδορατὶς τᾶ Αἰνείᾳ παλασσομένη

κατὰ γῆς "ἐπορεύετο, ἐπειδὴ ματαίως ἀπὸ τῆς ἰχυρᾶς χειρὸς ὥρμησεν. ὁ δὲ Ἰδομενεὺς τὸν Οἰνόμαον ἔβαλε κατὰ μέσην τὴν γαστέρα· διέῤῥηξε τὸ κοῖλον τῷ Θώρακος, τὰ δὲ ἔντερα ὁ σίδηρος διέκοψεν· ἧτος δὲ ἐν τῇ γῇ πεσὼν ἔλαβε τὴν γῆν τῷ ἀγκῶνι. ὁ δὲ Ἰδομενεὺς ἐκ μὲν τῆ νεκροῦ τὸ μακροπόρευτον δόρυ "ἀπέσπασεν, ἐδαμῶς δὲ ἔτι τὰ λοιπὰ ὅπλα ἐδυνήθη τὰ καλὰ ὅπλα ἐκ τῶν ὤμων ἀφελέσθ· συνείχετο γὰ τοῖς βέλεσιν. ἐδαμῶς γὰ ἔτι ἀσφαλῆ τὰ μέλη τῶν ποδῶν ἦν ὁρμῆσαι μέλλοντι ἄτε δὴ ἐφορμῆσαι μετὰ τὸ ἴδιον βέλος ἄτε ὑποχωρεῖν. διὸ δὴ ᾗ ἐν μὲν τῇ κατὰ συςάδην μάχῃ ἀπεσόβησε τὴν ἀνηλεῆ ἡμέραν, "φυγεῖν δ' οὐκέτι ῥᾳδίως οἱ πόδες ἔφερον ἐκ τοῦ πολέμ. τότε δὲ ἠρέμα ἀπερχομένα ἠκόντισε τῷ λαμπρῷ δόρατι ὁ Δηΐφοβος· ὄντως γὰ ἐπιμόνως αὐτῷ ὠργίζετο. ἀλλ' ἧτος ᾗ τότε ἀπέτυχεν, ἧτος δὲ τὸν Ἀσκάλαφον ἔβαλε τῷ δόρατι τὸν υἱὸν τοῦ Ἄρεως. διὰ δὲ τᾶ ὤμα τὸ ἰχυρὸν δόρυ "διῆλθεν· ἧτος δὲ ἐν τῇ γῇ πεσὼν ἔλαβε τὴν γῆν τῷ ἀγκῶνι. ἐδέπω δέ τι ἠκηκόει ὁ βαρύφωνος ᾗ ἰχυρὸς Ἄρης τᾶ ἑαυτᾶ υἱᾶ ἀποθανόντος ἐν τῇ ἰχυρᾷ μάχῃ· ἀλλ' ἧτος ἐν τῷ ὑψηλῷ Ὀλύμπῳ ὑπὸ τοῖς χρυσοῖς νέφεσιν ἐκάθητο, ταῖς Διὸς βαλαῖς συγκεκλεισμένος, ὅπα περ ᾗ οἱ λοιποὶ "ἀθάνατοι θεοὶ ὑπῆρχον κωλυόμενοι τᾶ πολέμ. ἧτοι δὲ περὶ τῷ Ἀσκαλάφῳ ἐκ τᾶ σύνεγγυς ὡρμήθησαν. ὁ μὲν Δηΐφοβος ἀπὸ τᾶ Ἀσκαλάφ τὴν λαμπρὰν περικεφαλαίαν ταχέως ἀφείλετο· ὁ δὲ Μηριόνης ὁ τῷ ταχεῖ παραπλήσιος Ἄρει τῷ δόρατι τὸν βραχίονα ἔτυψεν ἐπιπηδήσας· ἐκ δὲ τῆς χειρὸς "ἡ αὐλὸς ἔχουσα περικεφαλαία χαμαὶ πεσᾶσα ἤχησεν. ὁ δὲ Μηριόνης εὐθέως ἐφαλλόμενος ὥσπερ γὺψ ἐξείλκυσεν ἐκ τᾶ ἐχάτᾳ βραχίονος τὸ ἰχυρὸν δόρυ, πάλιν δὲ εἰς τὸ πλῆθος τῶν ἑταίρων ἀνεχώρει. τᾶτον δὲ ὁ Πολίτης αὐτάδελφος περὶ τὰ μέσα τὰς χεῖρας ἐκτείνας "ἐξήγαγε τᾶ κακοήχ πολέμ, ἕως ἔ παρεγένετο εἰς τὰς ἵππας τὰς ταχεῖς, οἵτινες αὐτῷ ὄπιθεν τῆς μάχης ᾗ τᾶ πολέμ ἵαντο, τόν τε ἡνίοχον ᾗ τὰ ποικίλα ἅρματα φέροντες· οἵτινες τᾶτον πρὸς τὴν πόλιν ἦγον ὀδυνηρὰ ζενάζοντα, καταπονέμενον· τὸ δὲ αἷμα τῆς νεοτρώτα κατέῤῥει χειρός. "οἱ δὲ λοιποὶ ἐμάχοντο, ταραχὴ δὲ ἄπαυστος ἐγένετο. τότε ὁ Αἰνείας τὸν Ἄφαρέα τὸν τοῦ Καλήτορος υἱὸν ἐφορμήσας κατὰ τὸν τελαμῶνα ἔτυψεν ἐπ' αὐτὸν βλέποντα τῷ ὀξεῖ δόρατι· ἔκλινε δὲ εἰς ἕτερον μέρος τὴν κεφαλήν, ἐπικατηνέχθη δὲ αὐτῷ ἡ ἀσπὶς ᾗ ἡ περικεφαλαία· ὁ δὲ θάνατος αὐτῷ περικέχυτο ὁ τὴν ψυχὴν φθείρων. "ὁ δὲ Ἀντίλοχος τὸν Θόωνα ἐπισραφέντα σκοπήσας ἔτρωσεν ἐφορμήσας, ἀπέκοψε δὲ ὅλην τὴν φλέβα ἥτις κατὰ τὰ νῶτα τεταμένη δι' ὅλα τὸν αὐχένα κυκλοῖ· ταύτην πᾶσαν ἀπέκοψεν. ἧτος δὲ ὕπτιος ἐν τῇ γῇ κατέπεσεν ἀμφοτέρας τὰς χεῖρας τοῖς προσφιλέσιν ἑταίροις ἐκτείνας. "ὁ δὲ Ἀντίλοχος ἐφώρμησε ᾗ ἀφῃρεῖτο τὰ ὅπλα ἀπὸ τῶν ὤμων περιβλεπόμενος· οἱ δὲ Τρῶες περισάμενοι ἄλλοθεν ἄλλος ἐτίτρωσκον τὴν μεγάλην ἀσπίδα· ἐδαμῶς δὲ ἠδύναντο ἔσω ἐπιξέσαι τὸ ἁπαλὸν σῶμα τῷ ἀνηλεεῖ σιδήρῳ τὸ τᾶ Ἀντιλόχ· θαυμαςῶς γὰ δὴ ὁ τὴν γῆν σείων Ποσειδῶν "τὸν τᾶ Νέςορος υἱὸν ἐῤῥύσατο ᾗ ἀπὸ πολλῶν βελῶν. ἐδέποτε γὰ ἄνευ πολεμίων ὑπῆρχεν, ἀλλ' ἐν μέσῳ αὐτῶν ἀνεςρέφετο· οὐδαμῶς δὲ αὐτοῦ τὸ δόρυ εἶχεν ἄσειςον, ἀλλὰ πάνυ ἀεὶ σειόμενον συνεςρέφετο, κατεςοχάζετο δὲ ταῖς ἰδίαις φρεσὶν ἢ κατά τινος ἀκοντίσαι ἢ ἐκ τᾶ σύνεγγυς ὁρμῆσαι. "ἀλλ' ἐκ ἔλαβε τὸν Ἀδάμαντα καταςοχαζόμενος κατὰ τὸ πλῆθος τὸν Ἀσίᾳ υἱόν, ὅςις αὐτὸν ἔτρωσε κατὰ τὸ μέσον τῆς ἀσπίδος τῷ ὀξεῖ σιδήρῳ ἐκ τᾶ σύνεγγυς ὁρμήσας. ἀθενὲς δὲ ἐποίησεν αὐτᾶ τὸ δόρυ ὁ μελανόθριξ Ποσειδῶν, τᾶς ζωᾶς αὐτὸν φθονήσας. ᾗ τὸ μὲν ἥμισυ τᾶ δόρατος ἔμεινεν ὥσπερ τις σκόλοψ πυρὶ κεκαυμένος "ἐν τῇ ἀσπίδι τᾶ Ἀντιλόχ, τὸ δὲ ἥμισυ ἔκειτο ἐπὶ τῆς γῆς· πάλιν δὲ εἰς τὸ πλῆθος τῶν ἑταίρων ἀνεχώρει τὴν θανατηφόρον μοῖραν ἐκκλίνων. ὁ Μηριόνης δὲ ἀπερχόμενον ἐπιδιώξας ἔβαλε τῷ δόρατι ἀνὰ μέσον τῶν αἰδοίων ᾗ τᾶ ὀμφαλᾶ, ὅπα μάλιςα γίνεται τὸ τραῦμα χαλεπὸν τοῖς ταλαιπώροις ἀνθρώποις. "ἐκεῖ αὐτᾶ τὸ δόρυ ἔπηξεν· ἧτος δὲ περιπαρεὶς τῷ δόρατι ἐσκάριζεν ὡς ὅτε βᾶς, ὃν ἐν τοῖς ὄρεσι βενόμοι ἄνδρες δεσμοῖς μὴ βαλόμενον μετὰ βίας δήσαντες ἔλκουσιν. ἕως ἧτος τρωθεὶς ἐψυχορῥάγει ὀλίγον χρόνον, ἀ πάνυ πολύν, ἕως ἐκ τᾶ σώματος αὐτᾶ τὸ δόρυ ἐξήνεγκε πλησίον ἐλθὼν "ὁ γενναῖος Μηριόνης· τᾶτον δὲ σκότος κατὰ τὰς ὀφθαλμοὺς ἐκάλυψε. τὸν δὲ Δηΐπυρον ὁ Ἕλενος ξίφει ἐγγὺς ἔτρωσε κατὰ τὸν κρόταφον Θρᾳκικῷ μεγάλῳ· ἀπέκοψε δὲ τὴν περικεφαλαίαν. αὕτη μὲν ἀποκρυσθεῖσα χαμαὶ ἔπεσε, καί τις τῶν Ἑλλήνων τῶν μαχομένων ἐν τοῖς ποσὶ κυλιομένην ἀνελάβετο· "τᾶτον δὲ κατὰ τῶν ὀφθαλμῶν σκοτεινὴ νὺξ ἐκάλυψε. τὸν δὲ Ἀτρέως υἱὸν λύπη κατέχε τὸν ἀνδρεῖον Μενέλαον· ἐπορεύθη δὲ ἐπαπειλησάμενος Ἑλένῳ τῷ ἡμιθέῳ βασιλεῖ, τὸ ὀξὺ δόρυ σείων. ἧτος δὲ τὸ τόξον ἀνείλκυσεν. ἧτοι δὲ ὁμᾶ ἐπαφῆκαν· ὁ μὲν τῷ ὀξεῖ δόρατι "προεθυμεῖτο ἀκοντίσαι, ὁ δὲ ἀπὸ τῆς νευρᾶς τῷ βέλει. ὁ Πριάμ παῖς ἔπειτα κατὰ τὸ σῆθος ἔβαλε τῷ βέλει τὸ κοῖλον τᾶ Θώρακος, διέπτη δὲ τὸ πικρὸν βέλος. ὥσπερ δὲ ὅτε ἀπὸ πλατέος πτύου κατὰ μεγάλην ἄλω ἀποπηδῶσιν οἱ κύαμοι οἱ μελανόχρωτες ἢ ἐρέβινθοι "ὑπὸ τῆ ὀξέως πνεύσῃ αὔρᾳ ᾗ τῇ τᾶ λικμῶντος δυνάμει, ἧτως ἀπὸ τοῦ Θώρακος τοῦ ἐνδόξ Μενελάᾳ κατὰ πολὺ ἀποκρυσθεὶς πόῤῥω ἀπέπτη τὸ πικρὸν βέλος. ὁ δὲ Ἀτρέως παῖς τὴν χεῖρα, ὁ ἀνδρεῖος Μενέλαος, ἣν ἔτρωσεν ἥτις κατεῖχε τὸ τόξον τὸ εὔξεσον ἐν δὲ τῷ τόξῳ "ἐξ ἐναντίας διὰ τῆς χειρὸς ἐνεπάγη τὸ σιδηρᾶν δόρυ. πάλιν δὲ εἰς τὸ τῶν ἑταίρων πλῆθος ἀνεχώρει τὸν θάνατον ἐκφυγών, τὴν χεῖρα κρεμάσας· τὸ δὲ ἐν μελίας δόρυ ἐσύρετο. ᾗ τᾶτο μὲν ἐκ τῆς χειρὸς ἐξείλκυσε ὁ μεγαλόψυχος Ἀγήνωρ, τὴν δὲ χεῖρα συνέδησε καλῶς περιειλαμμένῳ ἐρίῳ, "σφενδόνῃ, ἣν δὴ αὐτᾶ ὁ ὑπασπιςὴς εἶχε τᾶ βασιλέως τῶν λαῶν. ὁ δὲ Πείσανδρος ἐπ' εὐθείᾳ τᾶ περιδόξ Μενελάᾳ ἐπορεύετο. τᾶτον ἦγεν ἡ κακὴ τύχη ᾗ τᾶ θανάτᾳ τὸ τέλος ὑπὸ σᾶ Μενέλαε φονευθῆναι ἐν τῇ χαλεπῇ μάχῃ. ἧτοι δὲ ἡνίκα ἐγγὺς ἐγένοντο ἀλλήλοις ἐπερ-

χόμενοι, "ὁ μὲν Μενέλαος ἀπέτυχε, παρετράπη δὲ αὐτοῦ τὸ δόρυ· ὁ δὲ Πείσανδρος τὴν ἀσπίδα τȣ̃ περιδόξȣ Μενελάȣ ἔτρωσεν, ȣ̓κ ἐδυνήθη δὲ δι' ὅλȣ τὸν σίδηρον περάσαι· ἐκώλυσε δὲ ἡ πλατεῖα ἀσπίς, κατεκλάσθη δὲ κατὰ τὸ ἄκρον τὸ δόρυ. ȣ̃τος δὲ ταῖς ἰδίαις διανοίαις ἐχάρη κ̀ ἤλπιζε τὴν νίκην. "ὁ Μενέλαος δὲ ἐξαγαγὼν τὸ ἀργυρȣ̃ς ἥλους ἔχον ξίφος ἐφήλατο ἐπὶ τῷ Πεισάνδρῳ. ȣ̃τος δὲ ὑπὸ τῆς ἀσπίδος εἵλετο καλὴν ἀξίνην εὔςομον περὶ τῷ τȣ̃ πελέκεως ςειλειῷ ἐξ ἐλαίας πεποιημένῳ, τῷ μακρῷ κ̀ εὐπελεκήτῳ· ἐπὶ τὸ αὐτὸ δὲ ἔτυχον ἀλλήλων. κ̀ ὁ μὲν τῆς περικεφαλαίας τὸ ὀξὺ ἔτυψε τῆς ἱππείας τρίχας ἐχȣ́σης· "ὑπ' αὐτὸν τὸν ἄκρον λόφον, ȣ̃τος δὲ προσερχόμενον κατὰ τὸ μέτωπον τὸν ὑπὲρ τὴν ῥῖνα ἔχατον τόπον· ἤχησε δὲ τὰ ὀςᾶ, τῶν δὲ ὀφθαλμῶν αὐτȣ̃ τὰ ὑγρὰ μετὰ τȣ̃ αἵματος χαμαὶ ἔπεσον ἐν τῇ γῇ, ἐκάμφθη δὲ πεσών. ȣ̃τος δὲ τοῖς ποσὶν ἐν τῷ ςήθει ἐπιβαίνων τὰ ὅπλα αὐτȣ̃ ἐξέδυσε κ̀ καυχώμενος λόγον προσεῖπεν. ""ȣ̃τω φονευόμενοι καταλείψατε τῶν ταχεῖς ἵππȣς ἐχόντων Ἑλλήνων τὰς ναῦς ὦ Τρῶες ὑπερήφανοι, τῆς δεινῆς μάχης ἀκόρεςοι κ̀ ἀπλήρωτοι, ἄλλης μὲν βλάβης κ̀ αἰσχύνης ȣ̓κ ἐνδεεῖς, ἥντινα βλάβην ἐμὲ ἐβλάβετε ὦ κακοὶ κ̀ ἀναιδεῖς, ȣ̓δ' ἐν τῇ ψυχῇ ὑμῶν τȣ̃ μεγαλοκτύπȣ Διὸς τὴν χαλεπὴν ὀργὴν ἐφοβήθητε "τȣ̃ ξενίȣ, ὅστις ποτὲ τὴν ὑμετέραν πόλιν τὴν ὑψηλὴν διαφθείρει· οἵτινες ἐπ' ἐμȣ̃ τὴν ἐκ παρθενίας μȣ γυναῖκα κ̀ τὰ πολλὰ κτήματα ματαίως ἀφελόμενοι ἐπορεύθητε, ἐπειδὴ παρ' αὐτῇ φιλοφρονήθητε. κ̀ νῦν πάλιν ἐν ταῖς θαλασσοπλόοις ναυσὶ προθυμεῖσθε τὸ ὀλέθριον πῦρ ἐμβαλεῖν κ̀ τȣ̀ς ἡμιθέους Ἕλληνας φονεῦσαι. "ἀλλὰ κατακρατηθήσεσθε καίπερ τοῦ πολέμȣ προθυμȣ́μενοι. ὦ πάτερ Ζεῦ, ὄντως δή σε λέγȣσι περισσῶς κατὰ τὰς διανοίας πάντων εἶναι κ̀ τῶν ἀνδρῶν τῶν θεῶν· ἐκ σȣ̃ δὲ ταῦτα πάντα γίνονϑ. ὁποῖον δὴ τοῖς ὑβριςικοῖς ἀνδράσι χάριν προσποιῇ κ̀ βοηθεῖς τοῖς ἔρωσίν, ὧν τινῶν ἡ δύναμις ἀεὶ ἀπαίδευτός ἐςιν, ȣ̓δὲ δύνανϑ "τῆς μάχης κορεσθῆναι κ̀ τȣ̃ δεινȣ̃ πολέμȣ. ἁπάντων ἐν κόρος ὑπάρχει, κ̀ τȣ̃ ὕπνȣ κ̀ τῆς φιλίας κ̀ τῆς ᾠδῆς τῆς γλυκερᾶς κ̀ τοῦ ἀψόγȣ κ̀ καλȣ̃ ὀρχηθμȣ̃. τούτων μάλιςά τις ἐπιθυμεῖ τὸν ἔρωτα ἐκβαλεῖν κ̀ εἰς κόρον εἶναι ἤπερ τȣ̃ πολέμȣ· οἱ δὲ Τρῶες τῆς μάχης ἀκόρεςοι ὑπάρχȣσιν." οὕτως εἰπὼν τὰ μὲν ὅπλα αὐτοῦ ἀπὸ τȣ̃ σώματος αἱμαρύδη σκυλεύσας κ̀ λαβὼν ὁ ἄψογος Μενέλαος τοῖς ἑταίροις αὐτοῦ ἐδίδȣ, αὐτὸς δὲ πάλιν ἐκ δευτέρȣ πορευθεὶς τοῖς πρωταγωνιςαῖς ἐμίγη. τότε δὴ ἐπ' αὐτῷ ἐπεπήδησεν ὁ υἱὸς τȣ̃ Πυλαιμενέως τȣ̃ βασιλέως ὁ Ἁρπαλίων, ὅστις δὴ τῷ προσφιλεςάτῳ αὐτοῦ πατρὶ ἐπηκολȣ́θει πολεμεῖν εἰς τὴν Τροίαν, ȣ̓δαμῶς δὲ πάλιν ὑπεςράφη εἰς τὴν πατρικὴν αὐτοῦ γῆν· ὅςις δὴ τȣ̃ υἱοῦ τȣ̃ Ἀτρέως τὴν ἀσπίδα τῷ δόρατι ἔτρωσεν ἐκ τȣ̃ σύνεγγυς. ȣ̓δαμῶς δὲ ἠδυνήθη δι' ὅλȣ τὸν χαλκὸν περάσαι, εἰς τȣ̀πίσω δὲ εἰς τὸ τῶν ἑταίρων πλῆθος ὑπεχώρει τὸν θάνατον ἐκκλίνων, πανταχόθεν περιβλεπόμενος μή τις τῷ χαλκῷ τὸν χρῶτα αὐτοῦ πλήξῃ. "τȣ́του δὲ ἀναχωρȣ̃ντος ὁ Μηριόνης τὸ τῷ χαλκῷ ἡρμοσμένον βέλος ἔπεμψεν, κ̀ δὴ αὐτὸν ἔβαλε κατὰ τὴν ἁρμογὴν τοῦ μηρȣ̃ τὴν δεξιάν· τὸ δὲ βέλος ἐξ ἐναντίας κατὰ τὴν κύςιν ὑπὸ τὸ ὀςȣ̃ν διεπέρασεν. ȣ̃τος δὲ ἐνταῦθα καθεσθεὶς ἐν ταῖς τῶν προσφιλῶν ἑταίρων χερσίν, τὴν ψυχὴν αὐτȣ̃ ἀποπνέων, καθάπερ σκώληξ ἐν τῇ γῇ "ἐξαπλωθεὶς ἔκειτο· ἐξ αὐτȣ̃ δὲ τὸ μέλαν αἷμα κατέῤῥει κ̀ τὴν γῆν ἔβρεχε. κ̀ περὶ τȣ̃τον μὲν οἱ μεγαλόψυχοι Παφλαγόνες ἐνήργȣν, εἰς τὸ ὦμα δὲ αὐτȣ̃ ἀναβιβάσαντες ἦγον πρὸς τὴν ἱερὰν Ἴλιον λυπόμενοι. ἐν αὐτοῖς δὲ ὁ πατὴρ αὐτȣ̃ ἐπορεύετο τὰ δάκρυα αὐτȣ̃ καταρέων, ἀντέκτισις δὲ κ̀ τιμωρία ȣ̓κ ἐγένετό τις τȣ̃ παιδὸς αὐτȣ̃ ἀποθανόντος. "τȣ́τȣ δὲ ἀποθανόντος ὁ Πάρις λίαν κατὰ τὴν ψυχὴν αὐτοῦ ὠργίσθη· φίλος γὰρ αὐτȣ̃ ἦν ἐν τοῖς πολλοῖς Παφλαγόσιν. ὑπὲρ τούτȣ ȣ̃τος ὁ Πάρις ὀργιζόμενος προέπεμψε τὸ σιδηρῷ ἡρμοσμένον αὐτοῦ βέλος. ὑπῆρχε δέ τις Εὐχήνωρ τοῦ Πολυΐδȣ μάντεως υἱός, πλȣ́σιος κ̀ ἀγαθός, ἐν τῇ Κορίνθῳ τὴν οἰκίαν αὐτȣ̃ ἔχων, "ὅστις καλῶς ἐπιςάμενος τὴν ὀλεθρίαν αὐτȣ̃ μοῖραν ἐπὶ τῆς νεὼς αὐτȣ̃ διέβαινε· πολλάκις γὰρ αὐτῷ εἶπεν ὁ γέρων ὁ ἀγαθὸς Πολύϊδος ἐν νόσῳ χαλεπῇ φθαρῆναι ἐν τοῖς ἰδίοις οἴκοις ἢ μετὰ τῶν Ἑλλήνων ἐν ταῖς ναυσὶν ὑπὸ τῶν Τρώων δαμασθῆναι. διὰ τȣ̃το δὴ ὁμȣ̃ κ̀ τὴν χαλεπὴν ζημίαν τῶν Ἑλλήνων ἐξέκλινε "κ̀ τὴν μισητὴν νόσον, ἵνα μὴ τῇ ψυχῇ αὐτȣ̃ λύπην ὑπομείνῃ. τȣ̃τον ὑποκάτω τȣ̃ ὠτὸς κ̀ τȣ̃ γναθμȣ̃ ἔβαλε· ταχέως δὲ αὐτȣ̃ ἡ ψυχὴ ἀπὸ τῶν μελῶν αὐτȣ̃ ἐξῆλθεν, ὁ δὲ μισητὸς θάνατος αὐτὸν ἔλαβεν. ȣ̃τως δὴ ȣ̃τοι ἐμάχοντο ὡς σῶμα πυρὸς καιομένȣ (ἤγȣν ὡς πῦρ). ὁ δὲ Ἕκτωρ ὁ τῷ Διὶ προσφιλὴς ȣ̓πω τȣ̃το ἔγνω ȣ̓δὲ ἠπίςατο "ὅτι δὴ ἐπὶ τὰ ἀριςερὰ μέρη τῶν πλοίων διεκόπτοντο οἱ ὄχλοι ὑπὸ τῶν Ἑλλήνων, ἴσως δὲ κ̀ δόξα τῶν Ἑλλήνων ἐγένετο — τοιȣ̃τος γὰρ ὁ τὴν γῆν ὀχῶν κ̀ κινῶν κ̀ σείων Ποσειδῶν τοὺς Ἕλληνας διήγειρε, προσεβοήθει δὲ κ̀ αὐτὸς τῇ δυνάμει αὐτȣ̃ (ἢ αὐτῶν τῶν Ἑλλήνων) — ἀλλ' εἶχεν ὁ Ἕκτωρ κ̀ ἦν ὅπȣ τὰ πρῶτα εἰς τὰς πύλας κ̀ εἰς τὸ τεῖχος εἰσῆλθεν, "τῶν Ἑλλήνων διαῤῥήξας τὰς πυκνὰς τάξεις τῶν ἀσπιδιφόρων, ὅπȣ ὑπῆρχον τȣ̃ Αἴαντος αἱ νῆες κ̀ τȣ̃ Πρωτεσιλάȣ ἐπὶ τὸν αἰγιαλὸν τῆς λευκῆς θαλάσσης εἱλκυσμέναι, ὑπεράνωθεν δὲ τὸ τεῖχος χαμηλότατον κατεσκεύαςο, ὅπȣ λίαν κ̀ πάνυ ἄγαν χρειώδεις γίνονϑ ἐν τῇ μάχῃ αὐτοὶ κ̀ οἱ πεζοὶ κ̀ οἱ ἱππικοί· "ὅπȣ οἱ Βοιωτοὶ κ̀ οἱ Ἴωνες οἱ τȣ̀ς χιτῶνας σύροντες κ̀ οἱ Λοκροὶ κ̀ οἱ Φθῖοι κ̀ οἱ λαμπροὶ Ἐπειοὶ μόλις ἐφορμῶντα κατὰ τῶν νεῶν ἐκώλυον, κ̀ οὐκ ἐδύναντο ἀπώσασθαι ἀφ' ἑαυτῶν τὸν ὅμοιον τῇ φλογὶ ἔνδοξον Ἕκτορα, οἱ μὲν τῶν Ἀθηναίων προκατηριθμημένοι· ἐν αὐτοῖς δὲ "προηγεῖτο ὁ υἱὸς τοῦ Πετεῶ ὁ Μενεσθεύς· οἱ δὲ ὁμȣ̃ ἠκολȣ́θȣν, ὅ τε Φείδας κ̀ ὁ Στιχίος κ̀ ὁ ἀγαθὸς Βίας· τῶν δὲ Ἐπειῶν ὁ τοῦ Φυλέως παῖς Μέγης κ̀ Ἀμφίων κ̀ ὁ Δράκιος, πρὸ τῶν Φθίων δὲ ὁ Μέδων κ̀ ὁ τοῖς ποσὶν ἐπαρκῶν Μενεπτόλεμος. κ̀ ὁ μὲν νόθος υἱὸς τȣ̃ θαυμαςοῦ Ὀϊλέως "ὑπῆρχεν ὁ Μέδων, τοῦ Αἴαντος ἀδελφός, κατῴκει δὲ ἐν πόλει Φυλάκῃ τῆς πατρίδος πόῤῥω,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄνδρα ἀποκτείνας, ἀδελφὸν τῆς μητρυιᾶς Ἐριώπιδος, ᾗ συνῴκει ὁ Ὀϊλεύς· ὁ δὲ ἕτερος Ἰφίκλȣ ἦν παῖς τοῦ Φυλάκȣ παιδός. ȣ̃τοι μὲν τῶν μεγαλοψύχων Φθίων καθοπλισθέντες "ταῖς ναυσὶ βοηθȣ̃ντες μετὰ τῶν Βοιωτῶν ἐμάχοντο. ὁ δὲ Αἴας ȣ̓κέτι παντελῶς ὁ τȣ̃ Ὀϊλέως ταχὺς υἱὸς διεχωρίζετο ἀπὸ τȣ̃ Αἴαντος τȣ̃ υἱοῦ Τελαμῶνος ȣ̓δ' ἐπ' ὀλίγον· ἀλλ' ὥστε ἐν γῇ μέλανες βόες σιδηρόπηκτον ἄροτρον ἴσην προθυμίαν ἔχοντες ἕλκουσι, περὶ δὲ αὐτῶν "τοῖς ἐσχάτοις μέρεσι τῶν κεράτων πολὺς ἀναφέρεται ἱδρώς· ȣ̃τοι μέντοι μόνον τὸν εὔξεστον ζυγὸν ἀμφοτέρωθεν ἕλκȣσι προθυμȣ́μενοι κατὰ τὴν ἀλλακα, τέμνεται δὲ εἰς βάθος ἡ γῆ· οὕτως ȣ̃τοι παραβεβηκότες ἐγγὺς ἔστησαν ἀλλήλων. ἀλλὰ τῷ μὲν Τελαμῶνος υἱῷ πολλοὶ καὶ γενναῖοι "λαοὶ ἐπηκολȣ́θȣν ἑταῖροι, οἵτινες αὐτȣ̃ τὴν ἀσπίδα διεδέχοντο, ἡνίκα κόπος αὐτὸν καὶ ἱδρὼς τὸ γόνατα ἐπεγένετο· ȣ̓δαμῶς δὲ τῷ Ὀϊλέως υἱῷ τῷ μεγαλοψύχῳ οἱ Λοκροὶ ἠκολȣ́θȣν. οὐ γὰρ αὐτῶν ἐν τῇ κατὰ συστάδην μάχῃ ἐπέμενεν ἡ προσφιλὴς ψυχή· ȣ̓ γὰρ εἶχον περικεφαλαίας σιδηρᾶς ἱππείας τρίχας ἐχȣ́σας, "ȣ̓δ' εἶχον περιφερεῖς ἀσπίδας καὶ ἐκ μελίας δόρατα, ἀλλὰ δὴ τόξοις μόνοις καὶ εὐστρεφεῖ προβάτȣ ἐρίῳ εἰς τὴν Ἴλιον τότε παρεγένοντο θαῤῥȣ̃ντες, οἷς τισὶ μετὰ ταῦτα συνεχῶς τοξεύοντες τῶν Τρώων διεῤῥήγνυον τὰς τάξεις. τότε δὴ οὗτοι μὲν ἔμπροσθεν σὺν τοῖς ποικίλοις ὅπλοις "ἐμάχοντο τοῖς Τρωσὶ καὶ Ἕκτορι τῷ πολεμικῷ· ἐκεῖνοι δὲ ὄπισθεν ἀκοντίζοντες ἀφανεῖς ἦσαν. ȣ̓δαμοῦ δὲ τῆς μάχης οἱ Τρῶες ἐπεμελȣ̃ντο· συνετάρασσον γὰρ αὐτȣ̀ς τὰ βέλη. τότε ἂν ὀλεθρίως πόῤῥω τῶν νεῶν καὶ τῶν σκηνῶν οἱ Τρῶες ὑπεχώρησαν εἰς τὴν ἀνεμώδη Ἴλιον, "ἐὰν μὴ ὁ Πολυδάμας τὸν αὐθάδη Ἕκτορα παραστὰς εἶπεν "ὦ Ἕκτορ, ἄτεχνος ὑπάρχεις παραινετικοῖς λόγοις πεῖσαι. ἐπειδή σοι περισσῶς ἔδωκεν ὁ θεὸς τὰ τȣ̃ πολέμȣ ἔργα, τούτȣ χάριν καὶ τῇ βȣλῇ ὀφείλεις περισσῶς εἰδέναι τῶν λοιπῶν. ἀλλ' οὐδαμῶς κατὰ τὸ αὐτὸ πάντα δυνήσεται ὁ αὐτὸς λαβεῖν· "ἄλλῳ μὲν γὰρ παρέχε θεὸς τὰ τȣ̃ πολέμȣ ἔργα, ἄλλῳ δὲ τὴν ὄρχησιν, ἑτέρῳ δὲ τὴν κιθαρῳδίαν καὶ τραγῳδίαν· ἄλλῳ δὲ ἐν ταῖς διανοίαις τιθεῖ νȣ̃ν ὁ μεγαλόφθαλμος Ζεὺς ἀγαθόν. τȣ́τȣ δὲ πλεῖστοι ἐπιτυγχάνȣσι τῶν ἀνθρώπων, καὶ δὴ πολλȣ̀ς ἔσωσεν, ἐξαιρέτως δὲ καὶ αὐτὸς ἐγνώρισε (τῆς συνέσεως τὸ ἀγαθόν). "ἐγὼ δὲ ἀπαγγελῶ ὡς δοκεῖ μοι μάλιστα εἶναι. πανταχόθεν γάρ σε περιεκύκλωσαν οἱ πολέμιοι ἐμπείρως· οἱ δὲ μεγαλόψυχοι Τρῶες ἐπειδὴ καὶ τὸ τεῖχος ὑπερέβησαν, οἱ μὲν ἀφεστήκασι σὺν τοῖς ὅπλοις, αὐτοὶ δὲ πολεμȣ̃σιν ὀλιγώτεροι τοῖς πλείοσι σκορπισθέντες κατὰ τὰς ναῦς. "ἀλλ' ἀναχωρήσας κάλεσον ἐνταῦθα πάντας τȣ̀ς γενναίȣς. ȣ̃τω δ' ἂν λίαν πᾶσαν ἐπινοήσωμεν τὴν βȣλήν, ἐάν περ ἐν ταῖς ναυσὶ ταῖς πολυκαθέδροις εἰσέλθωμεν, ἐάν περ θέλῃ θεὸς δοῦναι ἰσχὺν καὶ νίκην, ἐάν γε μετὰ ταῦτα παρέλθοιμεν διὰ τῶν νεῶν ἀβλαβεῖς. ὄντως γὰρ ἐγὼ "δέδοικα μή πως τὴν χθεσινὴν ἀνταποδῶσιν οἱ Ἕλληνες τὴν ἧτταν, ἐπειδὴ παρὰ ταῖς ναυσὶν ἀνὴρ ἀκόρεστος τȣ̃ πολέμȣ μένει, ὃν ȣ̓κέτι τελείως τῆς μάχης ἐπισχεθήσεσθαι νομίζω." οὕτως εἶπεν ὁ Πολυδάμας· ἤρεσε δὲ ὁ ἀβλαβὴς λόγος τῷ Ἕκτορι. εὐθέως δὲ ἐκ τῶν ἁρμάτων σὺν ὅπλοις κατεπήδησε χαμαί, "καὶ αὐτὸν προσφωνήσας λόγȣς ταχεῖς εἶπεν. "ὦ Πολυδάμα, σὺ μὲν αὐτόθι κάτεχε πάντας τοὺς ἀριστεῖς, ἐγὼ δὲ ἐκεῖσε πορεύομαι καὶ μεταλήψομαι τȣ̃ πολέμȣ· ταχέως δὲ ἐλεύσομαι πάλιν, ἐπειδὰν καλῶς τούτους διατάξω." εἶπε δὴ καὶ ὥρμησεν ὄρει χιονιζομένῳ παραπλήσιος. "κραυγάζων διά τε τῶν Τρώων ἐπέτατο καὶ τῶν συμμάχων· ȣ̃τοι δὲ εἰς τὸν πολεμικὸν Πάνθȣ υἱὸν τὸν Πολυδάμαντα πάντες προσήρχοντο, ἐπειδὴ τὴν τȣ̃ Ἕκτορος ἤκȣον φωνήν. ȣ̃τος δὲ τόν τε Δηΐφοβον καὶ πρὸς Ἕλενον τὸν βασιλέα καὶ πρὸς τὸν Ἀσίȣ υἱὸν τὸν Ἀδάμαντα καὶ Ἄσιον τὸν Ὑρτάκȣ υἱὸν "περιήρχετο τȣ̀ς πρωταγωνιστὰς ἐπιζητῶν, ἐάν πȣ εὕρῃ. τούτȣς δὲ εὗρεν ȣ̓κέτι παντελῶς ἀβλαβεῖς ȣ̓δὲ χωρὶς ὀλέθρȣ· ἀλλ' οἱ μὲν δὴ ἐν ταῖς ναυσὶ ταῖς μεγάλαις τῶν Ἑλλήνων ὑπὸ ταῖς χερσὶ τῶν Ἑλλήνων ἔκειντο τὰς ψυχὰς ἀπολέσαντες, οἱ δὲ ἔνδον τȣ̃ τείχους ὑπῆρχον βεβλημένοι καὶ τετρωμένοι. "τȣ̃τον δὲ ταχέως εὗρεν ἐπὶ τὰ ἀριστερὰ τῆς δακρυώδȣς μάχης, τὸν ἔνδοξον Ἀλέξανδρον τῆς καλλικόμȣ Ἑλένης ἄνδρα, διεγείροντα τȣ̀ς ἑταίρȣς καὶ παρορμῶντα μάχεσθαι. ἐγγὺς δὲ αὐτȣ̃ σταθεὶς προσεῖπεν ἀπηνέσι λόγοις. "ὦ ἐπὶ κακῷ κεκλημένε Πάρι, τὴν μορφὴν κάλλιστε, γυναιξὶν ἐπιμαινόμενε, ἀπατεών, "πȣ̃ σοι ὁ Δηΐφοβός ἐστι καὶ ἡ δύναμις τȣ̃ βασιλέως Ἑλένȣ καὶ ὁ Ἀσίȣ παῖς Ἀδάμας καὶ Ἄσιος ὁ Ὑρτάκȣ παῖς; πȣ̃ δέ σοι ὁ Ὀθρυονεύς; τὰ νῦν ἀπώλετο πᾶσα παντελῶς ἡ θαυμαστὴ Ἴλιος. νῦν ȣ̓δὲν ἐλλείπει σοι πρὸς ἀπώλειαν." πρὸς τȣ̃τον δὲ αὖθις Ἀλέξανδρος ὁ θεοῖς ὅμοιος εἶπεν "ὦ Ἕκτορ, ἐπειδή σοι προθυμία ἐστὶ τὸν ἀναίτιον αἰτιᾶσθαι, ἐν ἄλλῳ δή ποτε καιρῷ μᾶλλον ὑποχωρῆσαι τȣ̃ πολέμȣ ἔοικα, ἐπειδὴ ȣ̓δὲ ἐμὲ παντελῶς ἀδύνατον ἐγέννησεν ἡ μήτηρ. ἀφ' οὗ γὰρ παρὰ ταῖς ναυσὶ τὸν πόλεμον ἤθροισας τῶν ἑταίρων, ἔκτοτε ἐνταῦθα ὄντες συμπλεκόμεθα τοῖς Ἕλλησι "προθύμως. οἱ δὲ ἑταῖροι ἀπεκτάνθησαν ȣ̃ς σὺ ἐπιζητεῖς. μόνοι ὅ τε Δηΐφοβος καὶ Ἕλενος ὁ βασιλεὺς ἀνεχώρησαν τοῖς μακροῖς τετρωμένοι δόρασιν ἑκάτεροι κατὰ τὴν χεῖρα· τὸν φόνον δὲ ἐκώλυσεν ὁ Ζεύς. τὰ νῦν δὲ ἡγοῦ ὅπȣ σε ἡ καρδία καὶ ἡ ψυχὴ παρακελεύεται· "ἡμεῖς δὲ προθυμούμενοι ὁμοῦ ἀκολȣθήσομεν. ȣ̓δαμοῦ δὲ λέγω ἰσχύος ἐνδεηθῆναι, ὁπόση δύναμις ἐνυπάρχει· ὑπὲρ δύναμιν δὲ ȣ̓χ ὑπάρχει καὶ προθυμȣ́μενον πολεμεῖν." οὕτως εἰπὼν ἐβεβαίωσε τȣ̃ ἀδελφοῦ τὰς διανοίας. ἀπέβησαν δὲ πορευθῆναι ὅπȣ κατὰ πολὺ μάχη καὶ πόλεμος ἦν "περί τε τὸν Κεβριόνην καὶ τὸν ἄμεμπτον Πολυδάμαντα καὶ τὸν Φάλκην καὶ τὸν Ὄρθαιον καὶ τὸν ἰσόθεον Πολυφώτην καὶ τὸν Πάλμην καὶ τὸν Ἀσκάνιον καὶ τὸν Μόρυν τοὺς υἱοὺς Ἱπποτίωνος, οἵτινες δὴ ἐκ τῆς μεγαλοβώλȣ Ἀσκανίας παρεγένοντο ἐξ ἀμοιβῆς βοηθοὶ τῇ προτέρᾳ ἡμέρᾳ· τηνικαῦτα δὲ ὁ Ζεὺς παρώρμησε μάχεσθαι. "ȣ̃τοι δὲ ἐπορεύοντο χαλεπῶν ἀνέμων παραπλήσιοι συστροφῇ καὶ καταιγίδι, ἥτις δὴ ὑπὸ τῆς βροντῆς τȣ̃ πατρὸς Διὸς κατέρχεται εἰς τὸ ἔδαφος· τῷ μεγάλῳ δὲ θορύβῳ τῇ θα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λάσσῃ ἐνῆται· πολλὰ δὲ ἐν αὐτῇ κύματα ἀναζέοντα καὶ ἠχοῦντα τῆς πολυταράχου θαλάσσης ὑψηλὰ λευκανίζοντα ἀλλεπάλληλα καὶ συνεχῆ. "οὕτως οἱ Τρῶες πρὸ ἄλλων δὲ ὁρμοσμένοι ἄλλοι συνεχεῖς τῷ σιδήρῳ λάμποντες ὁμῶ τοῖς ἡγεμόσιν ἠκολούθων. ὁ δὲ Ἕκτωρ προηγεῖτο τῷ ἀνθρωτοκτόνῳ ὅμοιος Ἄρει, ὁ Πριάμιδ παῖς· ἔμπροσθεν δὲ εἶχεν ἰσπίδα πανταχόσε ἴσην δέρματι πεπυκνωμένην· πολὺς δὲ ἐπικατεσκεύαζο σίδηρος· "περὶ δὲ τοῖς κροτάφοις αὐτῆ ἠμπρὰ ἐσείετο περικεφαλαία σφοδρῶς ἐνεργοῦντος. παναχοῦ δὲ περὶ τὰς τάξεις ἀπόπειραν ἐποιεῖτο ἐφαλλόμενος ἴ πως αὐτῷ ὑποχωρήσειαν μετὰ τῆς ἀσπίδος προσιόντι. ἀλλ' ἐκ ἐθορύβει τὴν ψυχὴν ἐν ταῖς διανοίαις τῶν Ἑλ-830ήνων. πρῶτος δὲ ὁ Αἴας προσεκαλέσατο μεγάλα διαβαίων (ἢ βοῶντι). "'ὦ κακόδαιμον, ἐγγὺς ἐλθέ. τί δή ποτε φοβεῖς ματαίως τοὺς Ἕλληνας; οὐδαμῶς δὴ τῆς μάχης ἀθεῖς ὑπάρχομεν, ἀλλὰ τῇ τῶ Διὸς κακῇ πληγῇ ἐδαάθημεν οἱ Ἕλληνες. ὄντως δή πῶ σοι ἡ προθυμία ἐπι-835μεῖ ἐκπορθῆσειν τὰς ναῦς· εὐθέως δὲ χεῖρες εἰς τὸ κωιώειν εἰσὶ κἠμῖν. "ὄντως ἂν κατὰ πολὺ προλάβοι ἡ καῦς οἰκεμένη πόλις ἡμῶν ὑπὸ τῶν ἡμετέρων χειρῶν ληφθεῖκ πορθηθεῖσα. καὶ σοὶ αὐτῷ προλέγω ἐγγὺς ὑπάρχοντι, ἡνίκα φεύγων εὖξῃ τῷ πατρὶ Διὶ κἠ τοῖς λοιποῖς ἀθανάτοις ταχυτέρας ἱεράκων εἶναι τὰς εὐτριχας ἵππας, "οἵτινές σε εἰς τὴν πόλιν ἀγάγωσι κονιορτὸν ἐγείροντες διὰ τῶ πεδίο." ἔτω δὴ αὐτῷ εἰπόντι ἐπετάθη ὁ ἀληθινὸς ὄρνις, ἀετὸς εἰς ὕψος πετώμενος. ἐπεβόησε δὲ ὁ λαὸς τῶν Ἑλλήνων τεθαρρηκὼς τῷ οἰωνῷ. ὁ δὲ λαμπρὸς Ἕκτωρ ἀπεκρίνατο "ὦ Αἶαν ἁμαρτάνων ἐν τῷ λέγειν, μεγάλως γαυριῶν, ὁποῖον εἶπες. "εἴθε γ' ἐγὼ ἔτω τῶ Διὸς παῖς τῶ αἰγιδόχο συνήμην πάσας τὰς ἡμέρας, ἔτεκε δέ με ἡ σεβασμία Ἥρα, τιμώμην δὲ ὡς τιμᾶται ἡ Ἀθηνᾶ κὠ Ἀπόλλων, ὡς νῦν αὕτη ἡ ἡμέρα κακὸν ἐπάγει τοῖς Ἕλλησι πᾶσιν ἐξαιρέτως. κὠ σὺ ἐν τέτοις φονευθήσῃ, ἐὰν ὑπομείνῃς "καρτερῆσαι τὸ ἐμὸν μακρὸν δόρυ, ὅπερ σοι τὰ τρυφερὰ μέλη διακόψει· τῶν δὲ Τρώων κορέσεις τὰς κύνας κὠ τὰς γῦπας τῷ λίπει κὠ ταῖς σαρξὶ πεσὼν παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων." ἔτω δὴ εἰπὼν προεπορεύθη· ἕτοι δὲ ὁμοῦ ἐπηκολούθησαν μετὰ βοῆς μεγάλης, ἐπεβόα δὲ ὁ λαὸς ὄπιθεν. "οἱ δὲ Ἕλληνες ἐκ τοῦ ἑτέρο μέρος ἐπεβόων, ἐκ ἐπιλάθοντο δὲ τῆς μάχης, ἀλλ' ἐκαρτέρουν τῶν Τρώων ἐπερχομένους τὰς ἀριστείας. ἡ δὲ ταραχὴ ἀμφοτέρων ἀφίκετο τὸν αἰθέρα καὶ τῶ Διὸς τὰς ἐκλάμψεις.

Ξ. ΔΙΟΣ ΑΠΑΤΗ.

ΤΟΘΕΣΙΣ 1. Ἣ Κρονίδην λεχέεσσι καὶ ὕπνῳ ἧπαφεν Ἥρη.

2. Ἀγαμέμνων συμπαραλαβὼν τὸν τραυματίαν καὶ Νέσορα σὺν αὐτοῖς ἔξεισιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης κατέρχεται, καὶ τὸν ὕπνον πείσασα κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ, καὶ πολὺς φόνος γίνεται τῶν Τρώων. Αἴας δὲ λίθῳ βαλὼν Ἕκτορα πλήσσει· ὁ δὲ ἀναγαγὼν αἷμα λειποψυχεῖ. ἀριστεύει δὲ καὶ Αἴας ὁ Λοκρός.

Τὸν Νέσορα δὲ οὐκ ἔλαθεν ἡ ἠχὴ καίπερ ὅμως πίνοντα, ἀλλὰ πρὸς τὸν Ἀσκληπιοῦ υἱὸν λόγες ταχεῖς εἶπεν. "βλεύσῃ ὦ ἔνδοξε Μαχᾶον ὅπως γενήσε) ταῦτα τὰ ἔργα· μάλη δὴ ταραχὴ τῶν ἀκμαζόντων νέων. "ἀλλὰ σὺ μὲν νῦν πῖθι καθήμενος μέλανα οἶνον, ἕως ἂν θερμὰ λατὶ ἡ εὔτριχος Ἑκαμήδη θερμάνῃ κὠ ἀπολέσῃ τὸν μολσμὸν τὸν ἡματωμένον· ἐγὼ δὲ ἐλθὼν ταχέως εἰς τόπον ὑηλὸν γνώσομαι." οὕτως εἰπὼν ἀσπίδα ἔλαβε κατεσκευμένην τῇ ἰδίᾳ υἱοῦ, "κειμένην ἐν τῇ σκηνῇ, Θρασυμήὸ τοῦ ἱππικῦ, τῷ σιδήρῳ λελαμπρυσμένην — ὁ δὲ υἱὸς ε τὴν ἀσπίδα τῇ ἰδίᾳ πατρός —, ἔλαβε δὲ ἰχυρὸν δόρυ ἠνημένον ὀξεῖ σιδήρῳ· ἔξῃ δὲ ἔξωθεν τῆς σκηνῆς, ταχέως δείδε τὸ ἀπρεπὲς ἔργον, τὲς μὲν ταρασσομένες, τοὺς δὲ νῦντας ὄπιθεν, "τὲς μεγαλοψύχες Τρῶας· κατεβέβλητο τὸ τεῖχος τῶς Ἑλλήνων. ὥσπερ δὲ ὅτε ταράσσε) πέος μέγα κύματι ἀήχῳ, προσδεχόμενον σφοδρῶν ἀνέμιων εἰας (θαλασσίας) ὁρμάς, ματαίως, ἀδαμῶς δὲ προσωκυλίε) ἀδὲ εἰς ἕτερον μέρος (τετέσιν οὔτε ὧδε οὔτε), πρίν τινα ἀφωρισμένον καταβῆναι ἐκ τῷ Διὸς ὁρμαίτιον ἄνεμον· "οὕτως ὁ πρεσβύτης διενοεῖτο διαμενος κατὰ τὴν ψυχὴν διχῶς, ἆρα πρὸς τὸ πλῆθος ευθῇ τῶν ταχυίππων Ἑλλήνων, ἢ πρὸς τὸν Ἀτρέως Ἀγαμέμνονα τὸν βασιλέα τῶν λαῶν. ἕτω δὲ αὐτῷ φρονοῦντι ἔδοξεν ὠφελιμώτερον εἶναι πορευθῆναι πρὸς τὸν Ἀγαμέμνονα. ἕτοι δὲ ἀλλήλες ἐφώνευον "μαχόμενοι· ἦχει αὐτῶν περὶ τὸ σῶμα ὁ ἀκαταπόνητος σίδηρος τιτρωσκομένων τοῖς ξίφεσι κὠ δόρασι τοῖς ἀμφισόμοις. τῷ Νέσορι συνέτυχον οἱ εὐγενεῖς βασιλεῖς ἀπὸ τῶν νεῶν ἀνερχόμενοι, ὅσοι βεβλημένοι ἦσαν τῷ σιδήρῳ, ὅ τε Διομήδης καὶ ὁ Ὀδυσσεὺς κὠ ὁ παῖς Ἀτρέως Ἀγαμέμνων. "κατὰ πολὺ γ' ἀποθεν τῆς μάχης εἱλκυσμέναι ἦσαν αἱ νῆες ἐπὶ τὸν αἰγιαλὸν τῆς λευκῆς θαλάσσης· ταύτας γ' πρώτας εἰς τὸ πεδίον εἵλκυσαν, τὸ δὲ τεῖχος ἐπὶ ταῖς πρύμναις ᾠκοδόμησαν. ἐδαμῶς γ' καίπερ πλατὺς ὢν ἐδυνήθη πάσας ὁ αἰγιαλὸς τὰς ναῦς χωρεῖν· ἐξενοχωροῦντο δὲ οἱ λαοί. "διὸ δὴ ἄλλην πρὸ ἄλλης εἵλκυσαν, κὠ ἐπλήρωσαν ἅπαντος τῷ αἰγιαλῷ τὴν μεγάλην εἴσοδον, ὅσον συνέκλειον αἱ ἄκραι. διὸ δὴ ἕτοι ὀπτικῶς ἔχοντες περὶ τῆς ταραχῆς κὠ τοῦ πολέμο τῷ δόρατι ἐπερειδόμενοι ἐπορεύοντο ὁμῶ· ἐλυπεῖτο δὲ αὐτῶν ἡ ψυχὴ ἐν ταῖς διανοίαις. ὁ δὲ πρέσβυτης ὑπήντα "ὁ Νέσωρ· κατέπιπτε δὲ τὴν ψυχὴν ἐν ταῖς διανοίαις τῶν Ἑλλήνων. πρὸς τῆτον κὠ φωνήσας εἶπεν ὁ βασιλεὺς Ἀγαμέμνων "ὦ Νέσορ Νηλέως υἱέ, μεγάλη δόξα τῶν Ἑλλήνων, τί δή ποτε ἀπολιπὼν τὸν πόλεμον τὸν φθείροντα τὰς δυνάμεις ἐνταῦθα ἦλθες; δέδοικα μή πώς μοι ἐπιτελεσθῇ ὁ λόγος τοῦ δυνατῦ Ἕκτορος, "ὥσπερ ἐπηπείλησέ ποτε ἐν

τοῖς Τρωσὶ δημηγορῶν, μὴ πρότερον ἐκ τῶν νεῶν πρὸς τὴν Ἴλιον πορευθῆναι πρὶν ἢ τὰς ναῦς ἐμπρῆσαι, ἀποκτεῖναι δὲ κ' ἡμᾶς. ἐκεῖνος ἅτως ἐδημηγόρει· ἅπερ δὴ τὰ νῦν πάντα πληροῦται. φεῦ φεῦ, ὄντως δὴ κ' οἱ λοιποὶ εὔοπλοι Ἕλληνες "ἐν τῇ ψυχῇ ὀργίζονταί μοι ὥσπερ ὁ Ἀχιλλεύς, κ' ἐ θέλωσι πολεμεῖν ἐπὶ ταῖς μεγάλαις ναυσίν." πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ ἔντιμος ἱππικὸς Νέσωρ "ὄντως δὴ ταῦτα φανερῶς κατεσκεύασαι. ἐδαμῶ ἂν ἑτέρως Ζεὺς ὁ ἐν ὕψει βροντῶν αὐτὸς παρετεχνάσατο κ' ἐπενόησε. "τὸ τεῖχος μὲν κατέπεσεν ᾧ τινὶ ἐθαῤῥοῦμεν, τὸ σερεόν, τῶν τε νεῶν κ' τῶ λαοῦ ἀσφάλειαν ἔσεσθ· ἕτοι δὲ ἐπὶ ταῖς ταχείαις ναυσὶ μάχην ἄπαυσον ἔχουσιν ἀδιαλείπτως. οὐδαμῶς δ' ἂν γνῷς ἔτι λίαν περισκοπῶν κατὰ ποῖον μέρος οἱ Ἕλληνες ταρασσόμενοι κλονοῦνθ· "οὕτως ἀναμεμιγμένως φονεύονθ, ἡ δὲ βοὴ εἰς οὐρανὸν ἀφικνεῖται. ἡμεῖς δὲ βαλευσόμεθα ὅπως γενήσεθ ταῦτα τὰ ἔργα, εἴ τι ὁ νῶς ἐπιχορηγεῖ. εἰς δὲ τὸν πόλεμον ἐχ ὑμᾶς κελεύω πορευθῆναι· ἐδέπω γ' τὸν τετρωμένον δίκαιον ὑπάρχει πολεμεῖν." πρὸς τοῦτον δὲ εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "ὦ Νέσορ, ἐπειδὴ ἐν ταῖς ναυσὶ ταῖς μελαίναις μάχονθ, τὸ δὲ τεῖχος οὐκ ἐβοήθησε τὸ κατεσκευασμένον οὐδὲ ἡ τάφρος, ἐφ' ᾗ τινὶ πολλὰ ἐκοπίασαν οἱ Ἕλληνες, ἤλπιζον δὲ τῇ ψυχῇ ἀῤῥαγῆ τῶν τε νεῶν κ' αὐτῶν ἀσφάλειαν γενήσεσθ· οὕτω πᾳ τῷ Διὶ φαίνεθ τῷ ὑπερέχοντι τῇ δυνάμει "προσφιλὲς εἶναι ἀνωνύμως ἀπολέσθ ἀπὸ τᾶ Ἄργος ἐνταῦθα τὰς Ἕλληνας. ἤδειν μὲν γ' ὅτε προθύμως τοῖς Ἕλλησιν ἐβοήθει, γινώσκω δὲ νῦν ὅτι τὰς μὲν ὁμοίως τοῖς μακαρίοις θεοῖς δοξάζει, τὴν ἡμετέραν δὲ δύναμιν κ' τὰς χεῖρας ἔδησεν. ἀλλὰ φέρετε, ὡς ἂν εἴπω ἐγώ, πάντες πειθησόμεθα. "τὰς ναῦς ἁπάσας ὅσαι εἰς ἀρχὴν εἰλκυσμέναι εἰσὶν ἐγγὺς τῆς θαλάσσης, ἑλκύσωμεν, πάσας δὲ ἑλκύσωμεν εἰς τὴν μεγάλην θάλασσαν, ἐφ' ὕψας δὲ ἐπὶ τῶν ἀγκυρῶν ὁρμήσωμεν, ἕως ἂν παραγένηθ ἡ νὺξ ἡ θαυμασή, ἐὰν ἄρα κ' ἐν αὐτῇ ἀποσῶσι τᾷ πολέμᾳ οἱ Τρῶες. μετὰ ταῦτα δ' ἔπειτ' ἂν καθελκύσωμεν πάσας τὰς ναῦς. "ἀ γάρ τις μέμψις ἐξέσται φυγεῖν τὸ κακόν, ἐδὲ κατὰ τὴν νύκτα· κρεῖττον ὅσις φεύγων πρότερον φεύγῃ τὸ κακὸν ἢ ληφθῇ." πρὸς τοῦτον δὲ δρασικῶς ὑπιδὼν εἶπεν ὁ πολύβουλος Ὀδυσσεύς "ὦ Ἀγάμεμνον, ὁποῖος λόγος σε ἐξέφυγεν ἐκ τῶν χειλέων. ὀλέθριε, εἴθε ὤφειλες εὐκαταφρονήτᾳ λαῷ ἑτέρᾳ στρατῷ "ἄρχειν, μηδαμῶς δὲ ἡμῶν βασιλεύειν, οἷς δὴ ὁ Ζεὺς ἐκ νεότητος παρέχε κ' ἕως γήρως κατεργάζεσθ χαλεπὸς πολέμους, ἕως ἂν φθαρῶμεν ἕκαστος. ἅτω δὴ προθυμῇ τῶν Τρώων τὴν πλατυάμφοδον πόλιν καταλείψειν, ἧς ἕνεκα ὑπεμείναμεν κακὰ πολλά; "σιώπα, μή τις ἕτερος τῶν Ἑλλήνων τοῦτον ἐνωτισθῇ τὸν λόγον, ὃν ἐκ ἂν ἀνήρ γε ὢν ἐπὶ στόματος ὅλως ἀγάγοι, ὅσις ἤδει ταῖς ἑαυτῷ διανοίαις συνετὰ λέγειν βασιλεύς τε ὑπάρχει κ' ἐπείθοντο αὐτῷ οἱ ὄχλοι τοσῆτοι δὲ ὅπόσων σὺ τοῖς Ἕλλησι βασιλεύεις. "τὰ νῦν δέ σε ἐμεμψάμην παντελῶς τὰς διανοίας ὁποῖον εἶπες, ὅσις παρακελεύῃ τῇ πολέμᾳ συνεχῶτος κ' τῆς μάχης τὰς εὐκαθέδρους ναῦς εἰς τὴν θάλασσαν καθελκύσαι, ὅπως ἔτι μᾶλλον τοῖς Τρωσὶν ἄξια γένηθ, καίπερ ὅμως ἐπικρατέστεροί εἰσιν, ἡμῖν δὲ χαλεπὸς ὄλεθρος ἐπιβαρεῖ· οὐδαμῶς γ' οἱ Ἕλληνες "ὑπομενοῦσι τὸν πόλεμον τῶν πλοίων εἰς τὴν θάλασσαν καθελκομένων, ἀλλὰ ἀλλαχῆ ἀποβλέψουσι, ἀμελήσουσι δὲ τῆς μάχης· τότε ἂν ἡ σὴ βελὴ βλάβῃ ᾗ καθηγεμὼν τῶν λαῶν." πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "ὦ Ὀδυσσεῦ, πάνυ πώς με καθήψω τὴν ψυχὴν ἐπιπλήξει "τῇ χαλεπῇ. ἐγὼ δὲ ἐδαμῶς ἄκοντά σε παρεκελευσάμην τὰς εὐκαθέδρους ναῦς εἰς τὴν θάλασσαν καθελκύσαι τὰς Ἕλληνας. τὰ νῦν δὲ γένοιτο ὅστις ταύτης κρείττονα συμβουλὴν εἴποι, ἢ νεώτερος ἢ πρεσβύτης· ἐμοὶ δὲ ἂν χαίροντι ὑπάρχοι." ἐν τούτοις δὲ ἐφθέγξατο ὁ ἀνδρεῖος Διομήδης. "'ἐγγὺς ὁ συμβουλεύων· ἐ πορρῶ ἐπιζητήσομεν, ἐὰν θέλητε πειθῆναι κ' μηδαμῶς μετ' ὀργῆς κ' φθόνῳ μέμψεσθε ἕκαστος, διότι δὴ τῇ ἡλικίᾳ νέος ὑπάρχω παρ' ὑμῖν. ἐκ πατρὸς δὲ ἀνδρείου κ' ἐγὼ τὴν γενεὰν καυχῶμαι εἶναι, τᾷ Τυδέως, ὃν ἐν ταῖς Θήβαις ἡ κεχευμένη γῆ κατεκάλυψεν. "τῷ Πορθεῖ γ' τρεῖς υἱοὶ ἄμεμπτοι ἐγεννήθησαν, κατῴκεν δὲ ἐν τῇ Πλευρῶνι κ' τῇ θαυμαζῇ Καλυδῶνι, Ἄγριος κ' ὁ Μέλας· τρίτος δὲ ἦν ὁ ἱππικὸς Οἰνεύς, ὁ τᾶ ἐμᾶ πατρὸς πατήρ· τῇ δὲ εὐδαιμονίᾳ κρείττων ἦν αὐτῶν. ἀλλ' ἕτος μὲν αὐτόθι ἔμεινεν· ὁ δὲ ἐμὸς πατὴρ ἐν τῇ Πελοποννήσῳ μετῳκίθη "ἀποπλανηθείς· ἕτω πᾳ γ' ὁ Ζεὺς ἠβουλήθη κ' οἱ λοιποὶ θεοί. ἐκ δὲ τῶν Ἀδράστ θυγατέρων ἔγημε, κατῴκει δὲ οἴκημα πλούσιον τῇ περισσίᾳ· ἱκανῶς δὲ αὐτῷ ὑπῆρχον ἄρουραι σιτοφόροι, πολλοὶ δὲ φυτῶν ὑπῆρχον κῆποι ἑκατέρωθεν, καὶ πολλὰ μὲν αὐτῷ πρόβατα ὑπῆρχον, ἐκεκόσμητο δὲ ὑπὲρ πάντας τὰς Ἕλληνας "τῷ δόρατι. ταῦτα δὲ εἰκὸς ὑμᾶς ἀκῆσαι ὡς ἀληθῆ ὑπάρχοντα. διὸ ἐδαμῶς ἄν με δυσγενῆ κ' ἄνανδρον εἰπόντες τὸν λόγον ἀτιμάσητε τὸν καλῶς εἰρημένον, ὃν εἶπω. δεῦτε πορευθῶμεν εἰς τὸν πόλεμον καίπερ τετρωμένοι δι' ἀνάγκην· ἐκεῖ δὲ μετὰ ταῦτα αὐτοὶ μὲν ἀπεχώμεθα τῆς μάχης, "μή πά τις ἐκ τῶν βελῶν ἐπὶ τῷ τραύματι τραῦμα δέξηθ· τοὺς ἄλλους δὲ διεγείροντες παρορμήσωμεν, οἵτινες τὸ πρότερον τῇ ψυχῇ τὴν ἀρίστην χαριζόμενοι ἀφίσανθ κ' ἐ μάχονθ." ἅτως εἶπεν· ἕτοι δὲ τάτε πάνυ ἤκουον κ' ἐπείθοντο, ἀπέβησαν δὲ πορευθῆναι προηγεῖτο δὲ αὐτῶν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων. "οὐ ματαίως δὲ τὴν κατασκοπὴν εἴχετο ὁ βασιλεὺς Ποσειδῶν, ἀλλὰ πρὸς αὐτοὺς παρεγένετο γηραιῷ παρόμοιος ἀνδρί, τὴν δεξιὰν δὲ χεῖρα ἔλαβε τᾷ υἱοῦ Ἀτρέως Ἀγαμέμνονος, κ' πρὸς αὐτὸν φωνήσας λόγους ταχεῖς εἶπεν. "ὦ Ἀγάμεμνον, τὰ νῦν δή πᾳ τᾷ Ἀχιλλέως ἡ ὀλεθρία ψυχὴ "χαίρει ἐν τοῖς σήθεσι θάνατον κ' τὴν φυγὴν τῶν Ἑλλήνων ὁρῶντος, ἐπειδὴ ἐδαμῶς αὐτῷ ἔνεισι διάνοιαι ἐδὲ ἀλίγαι. ἀλλ' οὗτος μὲν ἅτως ἀπόλοιτο· ὁ θεὸς αὐτὸν τυφλώσειεν· σοὶ δὲ ἐδέπω λίαν δι' ὅλα οἱ μακάριοι θεοὶ ὀργίζονται, ἀλλ' ἔτι τῶν Τρώων οἱ ἡγεμόνες κ' βασιλεῖς "κατὰ τὸ πλατὺ πεδίον κόνιν ἐγείρσι, σὺ δὲ ἐπόψει αὐτὸς φεύ-

γοντας πρὸς τὴν πόλιν ἄποθεν τῶν νεῶν καὶ τῶν σκηνῶν." ταύτην δὲ δόλια φρονοῦσα εἶπεν ἡ σεβασμία Ἥρα "παράχες νῦν μοι τὴν φιλίαν καὶ τὴν ἐπιθυμίαν ᾗ τινὶ σὺ πάντας
ἔτως εἰποῦν μέγα ἐβόησεν ἐφορμῶν διὰ τῆς πεδιάδος. ὁπόσον ἐννέα χιλιάδες ἐπεβόησαν ἢ δέκα χιλιάδες, ἄνδρες ἐν δαμάζεις τὰς ἀθανάτας θεὰς καὶ θνητοὺς ἀνθρώπους. "ἀπέρχομαι γὰρ ὀψομένη τῆς πολυτρόφου γῆς τὰ τέλη καὶ Ὠκεανὸν
στῷ πολέμῳ τὴν φιλονεικίαν συνάγοντες τοῦ πολέμου, "τοσαύτην ἐκ τῶν σηθῶν φωνὴν ὁ βασιλεὺς Ποσειδῶν ἀπέπεμψε· τῶν Ἑλλήνων δὲ ἑκάστῳ μεγάλην ἐνέβαλε δύναμιν ἐν τῇ καρδίᾳ ἄπαυστον πολεμεῖν καὶ μάχεσθαι. εἰσέβλεψε δὲ ἡ Ἥρα ἡ χρυσοῦν ἔχουσα θρόνον τοῖς ὀφθαλμοῖς ᾗσα ἀπὸ τοῦ ἀκρωτηρίου τοῦ Ὀλύμπου· εὐθέως δὲ ἐνόησε "τοῦτον μὲν τούτους ἀπέρχομαι ὀψομένη, καὶ τὰς πολλὰς φιλονεικίας
ἐνεργοῦντα κατὰ τὴν τοῦ ἄνδρας δοξάζουσαν μάχην τὸν αὐτάδελφον καὶ ἀνδρὸς ἀδελφόν, ἔχαιρε δὲ τῇ ψυχῇ· τὸν Δία διαλύσω· ἤδη γὰρ ἐπὶ πολὺν χρόνον ἀλλήλων κεχωρισμένοι
ἐπὶ τῆς ὑψηλοτάτης κορυφῆς τῆς πολλὰς ἐχούσης πηγὰς εἰσὶν τῆς κοίτης καὶ τῆς συνουσίας, ἐπειδὴ ὀργὴ ἐνέπεσεν ἐν
Ἴδης καθήμενον εἰσέβλεψε, μισητὸς δὲ αὐτῇ ὑπῆρχε τῇ τῇ ψυχῇ αὐτῶν. εἰ ἐκείνης λόγοις παραπείσασα τὴν προσ-
ψυχῇ. ἐμερίμνησε δὲ μετὰ ταῦτα ἡ εὐόφθαλμος καὶ σε- φιλῆ ψυχὴν εἰς κοίτην ἀναπείσαιμι εἰς ὁμόνοιαν ἐλθεῖν
βασμία Ἥρα "ὅπως ἐξαπατήσειε τὸν αἰγιδοῦχον Διὸς τὴν διά- τῇ συνουσίᾳ, "ἀεὶ ἂν αὐτοῖς προσφιλὴς καὶ αἰδοῦς ἀξία γε-
νοιαν. αὕτη δὲ αὐτῇ κατὰ τὴν ψυχὴν καλλίστη ἐφαίνετο νοίμην." πρὸς ταύτην δὲ πάλιν εἶπεν ἡ φιλόγελως Ἀφρο-
βουλή, παραγενέσθαι εἰς τὴν Ἴδην καλῶς εὐτρεπίσασαν ἑαυ- δίτη "οὐχ ὑπάρχει σοὶ δὲ προσήκει τὸν σὸν λόγον παρακοῦσαι·
τήν, εἴ πως ἐραθῇ κατακοιμηθῆναι τῇ συνουσίᾳ τῷ ἰδίῳ Διὸς γὰρ τοῦ κρατίστου ἐν ταῖς ἀγκάλαις ἐπαναπαύῃ." εἶπε,
ὄχρωτί, τούτῳ δὲ ὕπνον ἀβλαβῆ τε καὶ ἡδὺν "καταχέῃ ἐπὶ καὶ ἀπὸ τῶν σηθῶν ἔλυσε τὸν κεντητὸν ζωστῆρα "τὸν πε-
τοῖς βλεφάροις καὶ ταῖς συνετοῖς διανοίαις. ἀπέβη δὲ πο- ποικιλμένον, ὅπου αὐτῆς πάντα τὰ ἀπατηλὰ κατεσκεύαστο,
ρευθῆναι εἰς τὸν θάλαμον, ὃν αὐτῇ ὁ προσφιλὴς υἱὸς πα- ὅπου ἐνυπῆρχεν ἡ φιλότης, ἐνυπῆρχε δὲ καὶ ἐπιθυμία καὶ ὁμι-
ρεσκεύασεν ὁ Ἥφαιστος, τὰς δὲ πυκνὰς θύρας ταῖς παρα- λία παραλογιστική, ἥτις ἠπάτησε τὸν νοῦν τῶν συνετῶς
σάσεσιν ἐφήρμοσε κλειδὶ κρυπτῇ. ταύτην δὲ θεὸς ἄλλος φρονούντων. τοῦτον αὐτῆς ἐνέβαλε ταῖς χερσὶ καὶ λόγον εἶπε
ἐκ ἠνοιξεν. ἐκεῖσε αὕτη εἰσελθοῦσα ἀπέκλεισε τὰς λαμπρὰς καὶ παρῆνεσε. "λαβὲ τοῦτον τὸν ζωστῆρα, ἐν δὲ τῷ σῷ κατά-
θύρας. "ἀθανασίᾳ μὲν πρῶτον ἀπὸ τοῦ ἐπεράσθ σώματος θου κόλπῳ "τὸν ποικίλον, ἐν ᾧ πάντα κατεσκεύασαι. ἐδα-
πάντα τὸν ῥύπον ἐκάθηρεν, ἠλείψατο δὲ λιπαρῷ ἐλαίῳ, μῶς δέ σε οἶμαι ἄπρακτον ἐπανελθεῖν, εἴ τι ταῖς σαῖς δια-
θείῳ καὶ εὐώδει, ὅπερ δὴ αὐτῇ τεθυμιαμένον ἦν. τότου καὶ νοίαις προθυμῇ." ἔτως εἶπεν· ἐγέλασε δὲ ἡ μεγαλόφθαλ-
σαλευομένῃ πρὸς τὸ σεμνὸν τοῦ Διὸς οἴκημα ὅμως εἰς τὸν μος καὶ σεβασμιωτάτη Ἥρα, γελάσασα δὲ μετὰ ταῦτα τῷ
οὐρανὸν καὶ εἰς τὴν γῆν ἀφικνεῖτο ἡ πνοή. "τότῳ δὴ αὕτη ἑαυτῆς ἐγκατέθετο κόλπῳ. καὶ αὕτη μὲν ἐπορεύθη πρὸς τὸν
τὸ καλὸν σῶμα τῷ ἐλαίῳ ἀλειψαμένη καὶ τὰς τρίχας κτενι- οἶκον, ἡ τοῦ Διὸς θυγάτηρ Ἀφροδίτη· "ἡ δὲ Ἥρα ὁρμήσασα κατέλιπε τὸ ἀκρωτήριον τοῦ Ὀλύμπου. τὴν Πιερίαν δὲ
σαμένη χερσὶ τὰς πλοκάμους ἔπλεξε τὰς λαμπρούς, τοὺς καλοὺς καὶ ἀθανάτους ἐκ τῆς ἀθανάτου κεφαλῆς. θεῖον καὶ θαυ- ἐπιβᾶσα καὶ Ἡμαθίαν τὴν ἐπέρασον ὥρμησεν ἐπὶ τῶν ἱππικῶν Θρᾳκῶν τὰ χιονιζόμενα ὄρη, τὰς ὑψηλοτάτας κο-
μαστὸν περιεβάλετο, ὃν αὐτῇ ἡ Ἀθηνᾶ κατεσκεύασε μετ' ρυφάς· ἐκ ἐπάτει δὲ τὴν γῆν τοῖς ποσίν. ἐκ δὲ τοῦ Ἄθω
ἐπιμελείας, ἐνετίθει δὲ ποικίλματα πολλά· "χρυσαῖς δὲ τὴν θάλασσαν ἐπέβη τὴν κυματουμένην, "εἰς τὴν Λῆμνον
περόναις κατὰ τὸ σῆθος ἐπερονᾶτο. ἐζώσατο δὲ ζώνην ἑκα- δὲ ἀφικνεῖτο, νῆσον τοῦ Θόαντος. ἐκεῖ τῷ Ὕπνῳ συνήντησε τῷ ἀδελφῷ τοῦ Θανάτου· συνεπλάκη δὲ αὐτῷ τῇ
τὸν κροσοῖς ἡρμοσμένην. ἐνέβαλε δὲ ἐνώτια ἐν τοῖς καλῶς χειρί, καὶ λόγον εἶπε καὶ προσηγόρευσεν. "ὦ Ὕπνε βασιλεῦ
τετρημένοις ἄκροις τῶν ὠτίων πολλῆς θέας ἄξια, δυσκα- πάντων τῶν θεῶν καὶ τῶν ἀνθρώπων, ἐὰν μέν δή ποτε ἄλλοτε
τασκεύαστα· καλλονὴ δὲ ἀπέλαμπε πολλή. καλύπτρῳ δὲ τὸν ἐμὸν λόγον ἤκουσας, καὶ νῦν ἔτι "πείθου· ἐγὼ δ' ἄν σοι
ὑπεράνωθεν κατεκαλύψατο ἡ ἔνδοξος τῶν θεῶν "καλλίστῃ ὁμολογήσω χάριν πάσας τὰς ἡμέρας. κοιμηθῆναι ποίησόν
καὶ νεωστὶ γεγονότι· λευκὸν δὲ ὑπῆρχεν ὡς ὁ ἥλιος. ὑπὸ δὲ μοι τοῦ Διὸς ὑπὸ τὰς ὀφρῦς τὰς λαμπρὰς ὀφθαλμούς· εὐ-
τοῖς εὐτραφέσι ποσὶν ὑπεδήσατο καλὰ ὑποδήματα. ἐπειδὴ θέως δ' ἂν ἐγὼ παρακοιμηθήσομαι ἐν συνουσίᾳ. δῶρα δέ σοι
δὲ πάντα περὶ τὸ σῶμα περιεβάλετο τὸν κόσμιον, ἐπορεύθη παρέξω καλὸν θρόνον ἄφθαρτον ἀεί, χρυσοῦν· ὁ Ἥφαιστος
δ' ἐξελθεῖν ἐκ τοῦ θαλάμου· προσκαλεσαμένη δὲ τὴν Ἀφρο- ὁ ἐμὸς παῖς, ὁ ἀμφοτέρωθεν χωλός, "κατασκευάσῃ
δίτην ἄποθεν τῶν λοιπῶν θεῶν λόγον προσεῖπεν. "ἆρα ἂν ὁ ἐμὸς παῖς, ὁ ἀμφοτέρωθεν χωλός, "κατασκευάσῃ ἐπιμεληθείς, ὑποπόδιον δὲ τοῖς ποσὶν ὑποθήσει· τούτῳ ἂν
ἂν μοι πειθοῖς ὦ προσφιλὲς τέκνον ὅ τι ἂν εἴπω; ἢ ἀπαρ- ἐπιθήσεις τὰς εὐτραφεῖς πόδας εὐωχούμενος." πρὸς ταύτην
νήσῃ ἂν ὀργιζομένη κατὰ ψυχὴν εἰς τοῦτο τὸ λόγιον, διότι δὲ ἀνταποκρινάμενος [εἶπεν] ὁ ἡδὺς Ὕπνος "ὦ Ἥρα πρέσ-
ἐγὼ τοῖς Ἕλλησι, σὺ δὲ τοῖς Τρωσὶ βοηθεῖς." πρὸς ταύ- βειρα θεῶν, θύγατερ τοῦ μεγάλου Κρόνου, ἕτερον μὲν ἔγωγε
την δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ τοῦ Διὸς θυγάτηρ Ἀφρο- ἂν τῶν ἀεὶ ὄντων θεῶν "εὐκόλως κατακοιμήσαιμι, καὶ ἂν
δίτη "ὦ Ἥρα θύγατερ τοῦ μεγάλου Κρόνου, ἐντιμοτάτη θεά, ἦσαν τὰ ῥεύματα τοῦ Ὠκεανοῦ, ὅσις ἀρχὴ πάντων ἐστί· τοῦ
εἶλέγε ὅ τι φρονεῖς· τελειῶσαι δέ με ἡ ψυχὴ παρακελεύεται, δὲ Διὸς ἐγὼ τοῦ υἱοῦ τοῦ Κρόνου ἐκ ἂν πλησίον ἐκοίμην

ἐδὲ κατακοιμήσαιμι, ὁπότε μὴ αὐτὸς βέλοιτο. ἤδη γὰρ καὶ ἄλλοτέ με ἡ σὴ ἐσωφρόνισεν ἐντολή, "τῇ ἡμέρᾳ ἐκείνῃ ὅτε ἐκεῖνος ὁ μεγαλόψυχος τοῦ Διὸς υἱὸς ἔπλεεν ἀπὸ τῆς Ἰλίου, τὴν Τρώων πόλιν πορθήσας. ἐγὼ μὲν δὴ κατεκοίμησα τὸν αἰγιδόχου Διὸς τὸν νῶν ἡδὺς περιχυθείς· σὺ δὲ αὐτῷ κακὰ ἐβουλεύσω τῇ ψυχῇ, διεγείρασα τῶν χαλεπῶν ἀνέμων ἐπὶ τὴν θάλασσαν τὰς πνοάς. "καὶ μετὰ ταῦτα αὐτὸν εἰς τὴν Κῶ τὴν καλῶς οἰκεμένην ἀπήγαγες ἄποθεν πάντων τῶν φίλων· ὁ δὲ Ζεὺς ἐγερθεὶς ὠργίζετο διαῤῥίπτων κατὰ τὸν οὐρανὸν τοὺς θεούς. ἐμὲ δὲ πάντων μάλιστα ἐζήτει, καὶ ἀφανῆ με ἂν ἀπὸ τοῦ αἰθέρος ἐνέβαλεν εἰς τὴν θάλασσαν, ἐὰν μὴ ἡ ἄρχουσα νὺξ τῶν θεῶν καὶ τῶν ἀνθρώπων ἔσωσε. "πρὸς ταύτην παρεγενόμην φεύγων, ἕτος δὲ ἐπαύσατο καίπερ λυπέμενος· ἐνετρέπετο γὰρ μὴ ταχεῖα νυκτὶ ἀπαρέσκοντα πράξοι. τὰ νῦν δὴ τοῦτό μοι ἐκέλευσας ἀδύνατον ἄλλο πρᾶξαι." πρὸς τοῦτον δὲ πάλιν εἶπεν ἡ μεγαλόφθαλμος καὶ σεβασμία Ἥρα "ὦ Ὕπνε, τί δή ποτε σὺ ταῦτα ἐν ταῖς σαῖς διανοίαις σπεδάζεις; "ἆρα λέγεις ὅτῳ τοῖς Τρωσὶ βοηθῆσαι τὸν μεγαλόφθαλμον Δία, ὥσπερ περὶ τοῦ Ἡρακλέος ὠργίσθη τῷ ἰδίᾳ παιδός; ἀλλ' ἄπιθι, ἐγὼ δέ ἄν σοι τῶν Χαρίτων μίαν τῶν νεωτέρων παρέξω γῆμαι καὶ σὴν καλεῖσθαι γαμετήν, τὴν Πασιθέαν, ἧς τινὸς διηνεκῶς ἐπιθυμεῖς πάσας τὰς ἡμέρας." "οὕτως εἶπεν· ἐχάρη δὲ ὁ Ὕπνος, ἀνταποκρινόμενος δὲ εἶπεν "ἄγε δὴ νῦν μοι ὄμοσον τὸ ἐπιβλαβὲς τῆς Στυγὸς ὕδωρ — χειρὶ μὲν τῇ μιᾷ λαβὲ τὴν γῆν τὴν πολλὰς τρέφουσαν, τῇ δὲ ἑτέρᾳ τὴν λευκὴν θάλασσαν, ἵνα ἡμῖν ἅπαντες μάρτυροι ὦσιν ὅσοι κατώτεροι θεοὶ περὶ τὸν Κρόνον ὑπάρχοντες — "ὄντως μὲν ἐμοὶ παραχεῖν τῶν Χαρίτων τῶν νεωτέρων μίαν, τὴν Πασιθέαν, ἧς τινὸς αὐτὸς ἐπιθυμῶ πάσας τὰς ἡμέρας." ἕτως εἶπεν, ἐπείσθη δὲ ἡ λευκοβραχίων θεὸς Ἥρα, ὤμοσε δὲ ὡς ἐκέλευσε καὶ τοὺς θεοὺς ὠνόμασεν ἅπαντας τοὺς ὑπὸ τὸν Τάρταρον ὄντας, οἵτινες Τιτᾶνες καλοῦνται. "ἐπειδὴ δὲ ὤμοσε καὶ ἐτελείωσε τὸν ὅρκον, ἕτοι ἀπέβησαν τῆς τε Λήμνου καὶ Ἴμβρου τὴν πόλιν λιπόντες, ἀορασίαν ἐσκεπασμένοι, ῥᾳδίως κόπτοντες τὴν ὁδόν. εἰς τὴν Ἴδην ἀφίκοντο τὴν πολύπηγον καὶ πολλὰς θῆρας τρέφουσαν, εἰς τὸ Λέκτον, ὅπου πρῶτον ἀπέλιπον τὴν θάλασσαν. ἕτοι δὲ ἐπὶ τῆς γῆς "ἐπορεύθησαν· ὑπὸ δὲ τὰ ἄκρα τῶν ποδῶν ἐσαλεύετο ὕλη· ὅπου ὁ μὲν Ὕπνος ἔμεινε πρὶν τοῦ Διὸς τοὺς ὀφθαλμοὺς ἰδεῖν, εἰς ἐλάτην ἀναβὰς πάνυ ὑψηλήν, ἥτις τηνικαῦτα ἐν τῇ Ἴδῃ μακροτάτη γεγονυῖα διὰ τοῦ ἀέρος εἰς αἰθέρα ἀφικνεῖτο. ἐκεῖ ἐκαθέζθη ἐν τοῖς κλάδοις ἐσκεπασμένος τοῖς ἐλατίνοις, "ὀρνέῳ ἡδυφώνῳ ὅμοιος, ὅπερ ἐν τοῖς ὄρεσι χαλκίδα καλοῦσιν οἱ θεοί, οἱ δὲ ἄνθρωποι κύμινδιν. ἡ Ἥρα δὲ ταχέως ἀνῆλθεν εἰς τὸ ὑψηλὸν ἀκρωτήριον τῆς ὑψηλῆς Ἴδης. ἐθεάσατο δὲ ὁ τὰς νεφέλας συναθροίζων Ζεύς. ὡς δὲ εἶδεν, ἕτως αὐτὸν ὁ ἔρως τὰς συνέτρεφε τὰς φρένας περιεκάλυψεν, "ὥσπερ ὅτε ἐν πρώτοις ἐμίγησαν αὐτοὶ τῇ συνουσίᾳ εἰς τὴν κοίτην παραγενόμενοι, ἐλαθόν τε τοὺς προσφιλεῖς γονεῖς. ἔζη δὲ ἔμπροσθεν αὐτῆς καὶ λόγον εἶπε καὶ ἐπύθετο. "ὦ Ἥρα, πῇ ὁρμήσασα κατὰ τὸν Ὄλυμπον ἐν ταῦθα παρεγένου; ἐ πάρεισι δὲ ἵπποι καὶ ἅρματα, ὡς ἂν ἐπιβῇς." "πρὸς τοῦτον δὲ δόλια φρονοῦσα εἶπεν ἡ σεβασμία Ἥρα "παραγίνομαι μέλλουσα θεάσασθαι τῆς πολυτρόφου τὰ πέρατα γῆς καὶ Ὠκεανὸν τὸν τῶν θεῶν πατέρα καὶ μητέρα τὴν τροφόν, οἵτινές με ἐν τοῖς ἑαυτῶν οἴκοις καλῶς ἔτρεφον καὶ ἐπεμελοῦντο. τούτους ἀπέρχομαι θεάσασθαι καὶ τὰς πολλὰς αὐτῶν φιλονεικίας διαλύσαι· "ἤδη γὰρ πολὺν χρόνον ἀλλήλων ἐχωρίσθησαν τῆς κοίτης καὶ τῆς συνουσίας, ἐπειδὴ ὀργὴ ἐνέπεσεν ἐν τῇ ψυχῇ αὐτῶν. οἱ δὲ ἵπποι ἐν τῷ ἐχάτῳ τοῦ ὄρους τῆς πολλὰς πηγὰς ἐχούσης Ἴδης ἑστήκασιν, οἵτινές με ἀπάξουσιν ἐπί τε τὴν γῆν καὶ τὴν θάλασσαν. τὰ νῦν δὲ σοῦ χάριν ἐνταῦθα ἀπὸ τοῦ Ὀλύμπου ἄρτι ἀφῖγμαι, "μή πώς μοι μετὰ ταῦτα ὀργισθήσῃ, ἐὰν μετὰ σιωπῆς ἀπελεύσομαι πρὸς τὸν οἶκον τοῦ βαθείας ῥοὰς ἔχοντος Ὠκεανοῦ." πρὸς ταύτην δὲ ἀνταποκρινόμενος εἶπεν ὁ νεφεληγερέτης Ζεύς "ὦ Ἥρα, ἐκεῖσε μὲν δυνατόν ἐστι καὶ μετὰ ταῦτα ἀπελθεῖν, ἡμεῖς δὲ φέρε ἐν συνουσίᾳ τραπῶμεν κοιμηθέντες· "ἐδέπω γάρ με ὅτῳ θεᾶς ἐπιθυμία οὐδὲ γυναικὸς τὴν ψυχὴν ἐν ταῖς διανοίαις περιπεσοῦσα ὑπέταξεν, οὐδὲ ὁπότε ἠράσθην τῆς Ἰξίονος γυναικὸς Δίας, ἥτις ἔτεκε τὸν Πειρίθοον τοῖς θεοῖς τῇ βουλῇ ὅμοιον· οὐδ' ὅτε τῆς Δανάης τῆς καλλισφύρου Ἀκρισίου παιδός, "ἥτις ἔτεκε τὸν Περσέα πάντων εὐπρεπέστατον ἀνδρῶν· οὐδὲ ὅτε τῆς Φοίνικος θυγατρὸς τῆς ἄγαν ἐνδόξου Εὐρώπης, ἥτις μοι ἔτεκε τόν τε Μίνωα καὶ τὸν Ῥαδάμανθυν· οὐδὲ ὅτε τῆς Σεμέλης οὐδὲ Ἀλκμήνης ἐν ταῖς Θήβαις, ἥτις δὴ τὸν καρτερόφρονα Ἡρακλέα ἐγέννησε παῖδα, "ἡ δὲ Σεμέλη τὸν Διόνυσον ἔτεκε χαρὰν τοῖς ἀνθρώποις· οὐδὲ ὅτε τῆς Δήμητρος τῆς καλλιτρίχου βασιλίσσης· οὐδὲ ἠνίκα τῆς μεγαλοδόξου Λητοῦς, οὐδὲ σοῦ αὐτῆς, ὥσπερ σοὶ τὰ νῦν ἠράσθην καὶ γλυκείᾳ με ἐπιθυμία κατέχει." πρὸς δὲ τοῦτον ἀπατητικὰ φρονοῦσα εἶπεν ἡ σεβασμία Ἥρα "ὦ φοβερώτατε Κρόνου παῖ, ὁποῖον τὸν λόγον εἶπες. εἰ τὰ νῦν ἐν συνουσίᾳ προθυμῇ κοιμηθῆναι ἐν ταῖς κορυφαῖς τῆς Ἴδης, ταῦτα δὲ προφανῆ εἰσὶν ἅπαντα· πῶς ἂν γένοιτο ἡμᾶς ἐάν τις τῶν θεῶν τῶν ἀεὶ ὑπαρχόντων κοιμωμένους ἴδῃ, ἐν πᾶσι δὲ τοῖς θεοῖς ἐλθὼν "δηλώσειεν; οὐδαμῶς ἂν ἐγὼ πρὸς τὸν οἶκημα ἐπανέλθοιμι ἐκ τῆς κοίτης ἀναζᾶσα, μεμπτὸν δ' ἂν εἴη. ἀλλ' ἐὰν δὴ ἐθέλῃς καὶ προσφιλές σοι ἐγένετο τῇ ψυχῇ, ὑπάρχει δὴ θάλαμος, ὃν σοι ὁ προσφιλὴς υἱὸς ἐποίησεν Ἥφαιστος, ἐπεπυκασμένους δὲ θύρας τοῖς παραξάταις ἐφήρμοσεν· "ἐκεῖ πορευθῶμεν κοιμηθησόμενοι, ἐπειδή σοι ἥρεσκεν ἡ κοίτη." πρὸς ταύτην δὲ ἀνταποκρινόμενος εἶπεν ὁ νεφεληγερέτης Ζεὺς "ὦ Ἥρα, μήτε θεὸν εἰς τοῦτο φοβοῦ μήτε τινὰ ἀνθρώπων θεάσασθαι· τοιοῦτόν σοι ἐγὼ νέφος περικαλύψω χρυσοῦν. ἁδαμῶς δ' ἂν ἡμᾶς κατοπτεύσῃ ὁ ἥλιος, "ὅ τινος καὶ ταχύτατόν ἐστι τὸ φῶς εἰσβλέπεσθαι." εἶπε, καὶ εἰς τὰς ἀγκάλας συνελάμβανεν ὁ Ζεὺς τὴν ἰδίαν γαμετήν. ὑπὸ δὲ τοῦτοις ἡ θαυμασὴ γῆ ἀνέδωκε χλωρὰν βοτάνην, λωτὸν δροσώδη καὶ κρόκον καὶ ὑάκινθον πεπυκνωμένον καὶ ἁπαλόν, ὃς ἀπὸ τῆς γῆς εἰς ὕψος αὐτοὺς ἀνεῖλκεν. "ἐν τούτῳ κατεκοι-

μήθησαν, νεφέλην δὲ ἐπεκαλύψαντο καλλίχην κεχρυσωμέ-
νην· λαμπροὶ δὲ ἀπέπιπτον σαλαγμοί. ὅτως ὄτος μὲν ἄφο-
βος ἐκοιμᾶτο ὁ πατὴρ κατὰ τὸ ὑψηλὸν ἀκρωτήριον, τῷ
ὕπνῳ καὶ τῇ συνουσίᾳ δαμασθείς, εἶχε δὲ εἰς τὰς ἀγκάλας
τὴν γαμετήν· ἀπέβη δὲ τρέχειν ἐπὶ τὰς ναῦς τῶν Ἑλλή-
νων ὁ ἡδὺς Ὕπνος, τὴν ἀγγελίαν μηνύων τῷ τὴν γῆν
ἰόχθντι Ποσειδῶνι. ἐγγὺς δὲ ἱσάμενος λόγες ταχεῖς εἶπεν.
"προθύμως νῦν τοῖς Ἕλλησιν ὦ Ποσειδῶν ἐπιβοήθησον,
κὰ δόξαν αὐτοῖς πάρεχε ἐπ' ὀλίγον, ἕως ἔτι κοιμᾶται ὁ
Ζεύς, ἐπειδὴ αὐτῷ ἐγὼ ἄπαλὸν ὕπνον περιέθηκα, Ἥρα
δὲ ἐν συνουσίᾳ ἐξηπάτησε κοιμηθῆναι." ὅτως εἰπὼν αὐτὸς
μὲν ἀνεχώρει ἐπὶ τὰ ἔνδοξα γένη τῶν ἀνθρώπων, τῶτον δὲ
ἔτι μᾶλλον διήγειρε βοηθεῖν τοῖς Ἕλλησιν. εὐθέως δὲ ἐν
πρώτοις μεγάλως προπηδήσας παρεκελεύετο. "ὦ Ἕλληνες, κὰ
πάλιν δὴ παραχωρεῖτε τῷ Ἕκτορι νίκης τῷ Πριάμε παι-
δί, ἵνα τὰς ναῦς λάβῃ κὰ δόξαν κομίσῃ; ἀλλ' ὅτος μὲν
ὥτω λέγει κὰ καυχᾶται, διότι ὁ Ἀχιλλεὺς ἐπὶ ταῖς βαθείαις
ναυσὶ μένει ὠργισμένος τὴν ψυχήν· ἐκεῖνε δὲ ἀδαμοῦ πάνυ
χρεία γενήσεται, ἐὰν οἱ λοιποὶ ἡμεῖς παρορμώμεθα ἐπιβοη-
θεῖν ἀλλήλοις. "ἀλλὰ φέρετε, ὡς ἂν ἐγὼ εἴπω, πειθῶμεν
πάντες. ἀσπίδες ὁπόσαι κάλλισαι κὰ μέγισαι ἐν τῷ στρατο-
πέδῳ περιθέμενοι, τὰς κεφαλὰς λαμπραῖς περικεφαλαίαις
καλύψαντες, κὰ ταῖς χερσὶ τὰ μακρότατα δόρατα λαβόντες
πορευθῶμεν· ἐγὼ δὲ πορεύσομαι. ἀκέτι δὲ ὑπολαμβάνω
τὸν υἱὸν Πριάμε Ἕκτορα μενεῖν καίπερ πάνυ προθυμέ-
μενον. ὅσις δὲ ἀνὴρ ὑπομονητικὸς ἔχει μικρὰν ἀσπίδα τῷ
ὤμῳ, ἀδυνάτῳ ἑτέρῳ ἀνδρὶ δότω, ὅτος δὲ μεγάλην ἀσπίδα
ἐνδυσάσθω." ὅτως εἶπεν· ὅτοι δὲ τότε πανυ ἤκεον κὰ ἐπεί-
θοντο. τότες δὲ αὐτοὶ οἱ βασιλεῖς διέτασσον καίπερ τε-
τρωμένοι, "ὅ τε Διομήδης κὰ ὁ Ὀδυσσεὺς κὰ ὁ Ἀτρέως παῖς
Ἀγαμέμνων· ἐπιπορευόμενοι δὲ εἰς πάντας τὰ πολεμικὰ
πλα ἤλλασσον. τὰ μὲν γενναῖα ὁ δυνατὸς ἐνεδύετο, τὰ
είρονα δὲ τῷ ἀνάνδρῳ ἐδίδου. ἐπειδὴ δὲ ἐνεδύσαντο περὶ
ὸ σῶμα τὸν λαμπρὸν σίδηρον, ἀπέβησαν πορευθῆναι,
προηγεῖτο δὲ αὐτῶν Ποσειδῶν ὁ τὴν γῆν σείων, "φοβερὸν
φος μακρὸν ἠκονημένον κατέχων ἐν τῇ δυνατῇ χειρί,
οιον ἁρπῇ. τότῳ δὲ ἐ πρέπον ἐσὶ μιγῆναι ἐν τῇ θα-
τηφόρῳ μάχῃ, ἀλλὰ φόβος κατέχει τὲς ἄνδρας. τὲς δὲ
ρῶας ἐκ τοῦ ἑτέρε μέρες διετάττετο ὁ λαμπρὸς Ἕκτωρ.
ότε δὴ δεινοτάτην μάχην τοῦ πολέμε ἐξήπλωσαν "ὅ τε
λανόθριξ Ποσειδῶν κὰ ὁ λαμπρὸς Ἕκτωρ, ὁ μὲν δὴ τοῖς
ρωσὶν ὁ δὲ τοῖς Ἕλλησι βοηθῶν. ἐπέκλυσε δὲ ἡ θάλασ-
πρός τε τὰς σκηνὰς κὰ τὰς ναῦς τῶν Ἑλλήνων· ὅτοι
συνήρχοντο ἐν μεγάλῳ θορύβῳ. ὅτε τὸ τῆς θαλάσσης
μα τοσῶτον ἠχεῖ πρὸς τὴν γῆν, "ἐκ τοῦ πόντου διεγει-
μενον τῇ χαλεπῇ πνοῇ τῷ Βορέᾳ· ὅτε τῷ πυρὸς τοσοῦ-
ς ποτε καιομένε ὁ ἦχος ἐν τοῖς τῷ ὄρες βασίμοις τό-
ες, ὅτε ὥρμησε καίειν τὴν ὕλην· ὅτε ἄνεμος τοσοῦτον
ρὶ δένδροις ὑψηλοῖς ἠχεῖ, ὁπότε κατὰ πολὺ μεγάλως
οντῷ πνέων, "ὅση δὴ τῶν Τρώων καὶ τῶν Ἑλλήνων
ῆρχε φωνὴ φοβερὸν βοησάντων, ἠνίκα κατ' ἀλλήλων ὥρμησαν. κατὰ τῷ Αἴαντος δὲ πρῶτος ἠκόντισεν ὁ λαμπρὸς Ἕκτωρ τῷ δόρατι, ἐπεὶ τροπὴν ἐποιήσατο κατ' αὐτοῦ· ἐκ ἀπέτυχε δέ, ὅπου δὴ οἱ δύο τελαμῶνες περὶ τοῖς ἤθεσιν ἐξετέταντο, "ὁ μὲν τῆς ἀσπίδος ὁ δὲ τῷ ξίφες τῷ ἀργυροήλῳ· ὅτοι αὐτῷ ἐῤῥύσαντο τὸ ἄπαλὸν σῶμα. ὠργίσθη δὲ ὁ Ἕκτωρ, ὅτι δὴ τὸ ὀξὺ αὐτῷ βέλος μάταιον τῆς χειρὸς ἐξέφυγε· πάλιν δὲ εἰς τὸ πλῆθος τῶν ἑταίρων ἀνεχώρει τὴν θανατηφόρον μοῖραν ἐκκλίνων. τῶτον μὲν μετὰ ταῦτα ἀπερχόμενον ὁ μέγας Αἴας τῷ Τελαμῶνος "λίθῳ μεγάλῳ, ἃ δὴ πολλὰ τῶν ταχειῶν νεῶν ὑποζηρίγματα παρὰ τοῖς ποσὶ μαχομένων ἐκυλίετο· τότων ἕνα ἄρας κατὰ τὸ σῆθος ἔβαλεν ὑπεράνω τῆς περιφερείας τῷ ἅρματος ἐγγὺς τῷ τροχῷ. ὡς δὲ ῥόμβον κινεῖθ αὐτὸν ἐποίησε βαλών, περιῆλθε δὲ πανταχοῦ. ὥσπερ δὲ κὰ ὅτε ὑπὸ τῷ Διὸς ἐκπέ-
σοι δρῦς "μέχρι ῥιζῶν, χαλεπὴ δὲ τοῦ κεραυνῷ γίνεται ἡ πνοὴ παραχρῆμα· τῶτον δὲ ἀδαμιῶς ἔχει ἰσχύς, ὅστις ἂν θεάσῃ πλησίον ὤν, φοβερὸς δε τοῦ μεγάλε Διὸς ὁ κεραυνός· οὕτως ἔπεσεν ἡ ταχεῖα τοῦ Ἕκτορος δύναμις χαμαὶ ἐν τῇ γῇ, κὰ ἐκ τῆς χειρὸς αὐτῷ τὸ δόρυ ἐξέβαλεν, ἐπικατηνέχθη δὲ αὐτῷ ἡ ἀσπὶς "καὶ ἡ περικεφαλαία· περὶ δὲ αὐτὸν ἤχησεν ὅπλα τὰ πεποικιλμένα σιδήρῳ. ὅτοι δὲ μεγάλα βοῶντες ἐπέδραμον οἱ Ἕλληνες, ἐλπίζοντες ἐφέλκεσθαι, ἠκόντιζον δὲ συνεχῶς τὰ δόρατα· ἀλλ' ἐδεὶς ἠδυνήθη τὸν βασιλέα τῶν ὄχλων τρῶσαι ἢ ἐπιτυχεῖν, πρότε-
ρον δὲ ὑπερεμάχησαν οἱ ἄριστοι, "ὅ τε Πολυδάμας κὰ ὁ Αἰνείας κὰ ὁ ἔνδοξος Ἀγήνωρ ὁ Σαρπηδών τε κὰ ὁ ἀρχηγὸς τῶν Λυκίων ὁ ἀμώμητος Γλαῦκος. τῶν δὲ λοιπῶν οὐδεὶς αὐτῷ ἠμέλησεν, ἀλλ' ἔμπροσθεν τὰς εὐκύκλες ἀσπίδας κατέχον αὐτόθι. τῶτον δὲ οἱ φίλοι ταῖς χερσὶν ἄραντες ἔφε-
ρον ἐκ τῷ πολέμε, ἕως ἦλθεν εἰς τὲς ἵππες "τὲς ταχεῖς, οἵτινες ὄπιθεν αὐτοῦ τῆς μάχης κὰ τῷ πολέμε ἐσήκασι τὸν ἡνίοχον κὰ τὰ πεποικιλμένα ἅρματα κατέχοντες· οἵτινες αὐτὸν πρὸς τὴν πόλιν ἔφερον ὀδυνηρὰ σενάζοντα. ἀλλ' ἡνίκα δὴ εἰς τὸν πόρον παρεγένοντο τῷ πλατέος ποταμοῦ Ξάνθε τῷ ῥευματώδες, ὃν ὁ ἀθάνατος Ζεὺς ἔτεκεν, "ἐκεῖ αὐτὸν ἐκ τῶν ἵππων κατήγαγον εἰς τὴν γῆν, κατ' αὐτοῦ δὲ ὕδωρ ἐπέχεαν. ὅτος δὲ πνοὴν ἀνέλαβε κὰ ἀνέβλεψε τοῖς ὀφθαλμοῖς, καθεζόμενος δὲ ἐπὶ τὰ γόνατα μέλαν αἷμα ἀπήμεσεν. εὐθέως δὲ ἐξοπίσω προσεπελάθη τῇ γῇ· τὲς δὲ ὀφθαλμὲς αὐτῷ νὺξ κατεκάλυψε σκοτεινή, τὸ δὲ βέλος ἔτι τὴν ψυχὴν αὐτῷ ἐδάμαζεν. "οἱ δὲ Ἕλληνες ὡς ἐθεάσαντο τὸν Ἕκτορα πόῤῥω ἀπερχόμενον, μᾶλλον ἐπὶ τοῖς Τρωσὶν ἐπέδραμον, ὑπεμνήθησαν δὲ τῆς μάχης. τότε κατὰ πολὺ πρῶτος ὁ τῷ Ὀϊλέως ταχὺς Αἴας τὸν Σάτνιον ἔτρωσε τῷ δόρατι τῷ ὀξεῖ ἐφαλλόμενος, τὸν Ἤνοπος υἱόν, ὃν δὴ ἡ νύμφη ἔτεκεν ἡ ἀμώμητος Νηὶς "τῷ Ἤνοπι βᾶς βόσκοντι παρὰ ταῖς ὄχθαις τῷ Σατνιόεντος. τῶτον μὲν ὁ Ὀϊλέως παῖς ὁ πολεμικὸς ἐγγὺς ἐλθὼν ἔτρωσε κατὰ τὴν λαγόνα· ὅτος δὲ ἀνετράπη, περὶ δὲ αὐτῷ οἱ Τρῶες κὰ οἱ Ἕλληνες συνῆγον ἰσχυρὰν μάχην. ἐπὶ τότῳ δὲ ὁ Πολυδάμας τὸ δόρυ
σείων ἦλθε βοηθός, "ὁ Πάνθε υἱός· ἐπέτυχε δὲ Προθοή-

νορα κατὰ τὸν δεξιὸν ὦμον τὸν τῆ Ἀρηϊλύκῃ υἱόν· διὰ δὲ τῆ ὤμῳ τὸ ἰχυρὸν δόρυ διῆλθεν· ἔτος δὲ ἐν τῇ γῇ πεσὼν ἔλαβε τὴν γῆν ταῖς ἀγκάλαις. ὁ δὲ Πολυδάμας ἔξο-
χον ἐκαυχήσατο μέγα βοήσας. "ἐδαμῶς δὴ ὑπολαμβάνω
455ἀπὸ τῆς δυνατῆς χειρὸς "μάταιον ἐκπηδῆσαι τὸ δόρυ (ἀντὶ τῆ καταπεπηδηκέναι καὶ ὡρμηκέναι), ἀλλὰ τῶν Ἑλλήνων τις ὑπεδέξατο ἐν τῷ σώματι, καὶ οἶμαι αὐτὸν ἐπερειδόμενον ἐν αὐτῷ κατελθεῖν ἔνδον τῆ ἄδθ." ἔτως εἶπε· τοῖς Ἕλλησι δὲ
λύπη ἐγένετο καυχησαμένῳ. κατὰ πολὺ δὲ τῷ συνετῷ Αἰαν-
460τι τὴν ψυχὴν ἐτάραξε, "τῷ τῆ Τελαμῶνος υἱῷ· τότε γὰρ μάλιστα πλησίον ἔπεσε. ταχέως δὲ ἀπερχομένῳ ἠκόντισε τῷ λαμπρῷ δόρατι. ὁ δὲ Πολυδάμας αὐτὸς μὲν ἐξέκλινε τὴν θανατηφόρον μοῖραν εἰς πλάγιον ὁρμήσας· ὑπεδέξατο δὲ
ὁ τῆ Ἀντήνορος υἱὸς Ἀρχέλοχος· τότῳ γὰ δὴ οἱ θεοὶ
465ἐβουλεύσαντο ἀπώλειαν. "τῆτον δὴ ἔβαλε κατὰ τῆς κεφαλῆς ἐν τῇ συναφῇ τῆ αὐχένος κατὰ τὸν ἔχατον σπονδίλον, ἀπέκοψε δὲ ἀμφοτέρας τὰς τένοντας· τότε δὴ πολὺ προτέρα ἡ κεφαλὴ καὶ τὸ ζόμα καὶ αἱ ῥῖνες τῷ ἐδάφει πρὸσε-
πελάθησαν ἤπερ αἱ κνῆμαι καὶ τὰ γόνατα πεσόντος. ὁ Αἴας
470δὲ εὐθέως ἐφώνησε τῷ ἀψόγῳ Πολυδάμαντι "· "βλέπε ὦ Πολυδάμα, καί μοι τὸ ἀληθὲς εἰπέ· ἆρα ἦχ ἔτος ἀνὴρ ἀντὶ τῆ Προθοήνορος πεφονεῦσθαι ἄξιος; ἐδαμῶς μοι ἀδύνατος εἶδεῖ ἐδ' ἐξ ἀνάνδρων προελθών, ἀλλ' αὐτάδελφος
475Ἀντήνορος τῆ ἱππικῆ καὶ πολεμικῆ ἢ υἱός· τότῳ γὰ τὴν ἡλικίαν ἐγγύτατα ὡμοίωτο." "εἶπε καλῶς εἰδώς· τοὺς δὲ Τρῶας λύπη ἔλαβε κατὰ τὴν ψυχήν. τότε ὁ Ἀκάμας τὸν Πρόμαχον τὸν ἐκ Βοιωτίας ἔτρωσε τῷ δόρατι, περιβεβηκὼς τῷ ἀδελφῷ· ἔτος δὲ ἀπὸ τῶν ποδῶν εἶλκεν. ἐπὶ τότῳ
δὲ ὁ Ἀκάμας καταπληκτικὸν ἐκαυχήσατο μέγα βοήσας. "ὦ Ἕλληνες οἱ βέλεσιν ἀποθνήσκοντες, τῶν καυχήσεων
480ἀκόρεσοι, "ἐδαμῶς δὲ μόνοις κακοπάθεια ἔσαι καὶ ταλαιπωρία ἡμῖν, ἀλλ' ἔτω ποτὲ ἀποκτανθήσεσθε καὶ ὑμεῖς. βλέπετε ὡς ὁ Πρόμαχος ὑμῖν ἀνῃρημένος καθεύδει τῷ ἐμῷ δόρατι, ἵνα μηδαμῶς τοῦ ἀδελφοῦ ἡ τιμωρία ἐπὶ πολὺ
485ἀνεκδίκητος ᾖ· διὸ ἂν καί τις εὐχεῖ ἀνὴρ "ἀδελφὸν ἐν τοῖς οἴκοις τῆ φόνῳ τιμωρὸν ἀπολιπεῖν." ἔτως εἶπε, τοῖς δὲ Ἕλλησι λύπη ἐγένετο καυχησαμένῳ. κατὰ πολὺ δὲ τῷ

Πηνέλεῳ τῷ συνετῷ τὴν ψυχὴν ἐτάραξεν. ὥρμησε δὲ κατὰ τῆ Ἀκάμαντος· ἔτος δὲ ἐκαρτέρησε τὴν ὁρμὴν Πηνέλεω-
490τῆ βασιλέως. ἔτος δὲ ἔτρωσε τὸν Ἰλιονέα "τὸν υἱὸν τοῦ Φόρβαντος τῆ πολυκτήμονος, ὅντινα δὴ κατὰ πολὺ ὁ Ἑρμῆς τῶν Τρώων ἠγάπα καὶ κτῆσιν ἐχαρίσατο· ὑπὸ δὲ τότῳ ἡ μήτηρ μόνον ἔτεκε τὸν Ἰλιονέα. τῆτον τότε ὑπὸ τὴν
ὀφρὺν ἔτρωσε κατὰ τὰς βάσεις τῆ ὀφθαλμῆ, ἐξέωσε δὲ
495τὴν κόρην· δι' ὅλε δὲ τῆ ὀφθαλμῆ τὸ δόρυ "καὶ διὰ τοῦ νεύρε διῆλθεν. ἔτος δὲ ἐκαθέζετο τὰς χεῖρας ἁπλώσας ἀμφοτέρας· ὁ δὲ Πηνέλεως ἑλκύσας τὸ ξίφος μέσον τὸν τράχηλον ἔτυψεν, ἀπετίναξε δὲ χαμαὶ σὺν αὐτῇ τῇ περικεφαλαίᾳ τὴν κεφαλήν· ἔτι δὲ τὸ ἰχυρὸν δόρυ ὑπῆρχεν ἐν τῷ
500ὀφθαλμῷ. ἔτος δὲ εἶπε τὴν κεφαλὴν ἀνατείνας, "ἐπέδειξε δὲ τοῖς Τρωσὶ καὶ καυχώμενος λόγον εἶπεν "εἶπατέ μοι ὦ Τρῶες τῆ λαμπρῆ Ἰλιονέως τῷ προσφιλεῖ πατρὶ καὶ τῇ μητρὶ θρηνεῖν ἐν τοῖς οἴκοις. ἐδὲ γὰ ἡ τῆ Προμάχε γυνὴ τῆ Ἀλεγήνορος παιδὸς παραγενομένῳ τῷ προσφιλεῖ ἀνδρὶ
505συγχαρήσεῖ, ὁπότ' ἂν δὴ "ἐκ τῆς Τροίας σὺν ταῖς ναυσὶν ἀπερχώμεθα οἱ νεώτεροι τῶν Ἑλλήνων." ἔτως εἶπε· τότες δὲ δὴ πάντας τρόμος ὑπέλαβε τὰ μέλη, περιεβλέπετο δὲ ἕκαστος ὅπε διαφύγοι τὸν χαλεπὸν ὄλεθρον. λέγεί μοι ὦ Μῶσαι αἱ τὰ Ὀλύμπε οἰκήματα οἰκῶσαι, ὅστις δὴ
510πρὸ τῶν λοιπῶν ἀνθρώπινα σκῦλα τῶν Ἑλλήνων "ἔλαβεν, ἐπειδὴ ἔτρεψε τὴν μάχην ὁ ἔνδοξος Ποσειδῶν. πρῶτος δὴ ὁ τῆ Τελαμῶνος Αἴας τὸν Ὕρτιον ἔτρωσε Γυρτίε παῖδα, τῶν Μυσῶν ἡγεμόνα τῶν ἰσχυροψύχων. τὸν δὲ Φάλκην ὁ Ἀντίλοχος καὶ τὸν Μέρμερον ἐφόνευσεν. ὁ δὲ Μηριόνης
515τόν τε Μόρυν καὶ τὸν Ἱπποτίωνα ἀπέκτεινεν. "ὁ Τεῦκρος δὲ τόν τε Προθόωνα ἐφόνευσε καὶ τὸν Περιφήτην. ὁ δὲ δὴ Ἀγαμέμνων μετὰ ταῦτα τὸν βασιλέα τῶν ὄχλων Ὑπερήνορα ἔτρωσε κατὰ τὴν λαγόνα, διήντλησε δὲ τὰ ἔντερα ὁ σίδηρος διακόψας· ἡ δὲ ψυχὴ κατὰ τὴν τετρωμένην πλη-
γὴν ὥρμησε σπεύδουσα· τῆτον δὲ σκότος τὰς ὀφθαλμοὺς
520ἐκάλυψε. "παμπόλλας δὲ ὁ Αἴας ἀνεῖλεν ὁ τῆ Οἰλέος ταχὺς υἱός· ἐ γάρ τις αὐτῷ παραπλήσιος ἐπιδραμεῖν τοῖς ποσὶν ἦν τῶν ἀνδρῶν εἰς φυγὴν τραπέντων, ἡνίκα ὁ Ζεὺς εἰς φυγὴν ἐμβάλῃ.

Ο. ΠΑΛΙΩΞΙΣ ΠΑΡΑ ΤΩΝ ΝΕΩΝ.

ΥΠΟΘΕΣΙΣ 1. *Οὐ Κρονίδης κεχόλωτο Ποσειδάωνι καὶ Ἥρῃ.*

2. *Ζεὺς ἐγερθεὶς καὶ θεασάμενος τὸς Τρῶας νικωμένους Ἥρᾳ ἐπιπλήσσει, καὶ Ἶριν μὲν μεταπέμπει πρὸς Ποσειδῶνα, κελεύων ἀφίσασθαι τῆ πολέμε, Ἀπόλλωνα δὲ ὅπως ἀναῤῥώσῃ τὸν Ἕκτορα, ὃς ἀναλαβὼν αἰγίδα τὸς Ἕλληνας εἰς φυγὴν τρέπει. καὶ μέχρι τῶν νεῶν συνδιωχθέντων Αἴας ὁ Τελαμώνιος πολλοὺς ἀναιρεῖ τῶν πολεμίων τὸς ταῖς ναυσὶ πῦρ ἐπιφέροντας.*

Ἐπειδὴ τούς τε σκόλοπας καὶ τὴν τάφρον διέβησαν φεύγοντες, πολλοὶ δὲ ἀπέθανον ὑπὸ ταῖς τῶν Ἑλλήνων χερσίν, οὗτοι μὲν παρὰ τοῖς ὅπλοις κατείχοντο μένοντες, χλωροὶ ὑπὸ τῆ δέος, ἐκπεπληγμένοι· ὁ δὲ Ζεὺς διηγέρθη
5"ἐν ταῖς κορυφαῖς τῆς Ἴδης παρὰ τῆς χρυσῆν θρόνον ἐχέσης Ἥρας. ἀνορμήσας δὲ ἔζη, ἐθεάσατο δὲ τὸς Τρῶας καὶ τὸς Ἕλληνας, τὸς μὲν ταρασσομένος τὸς δὲ ταράσσοντας ὄπιθεν, τὸς Ἕλληνας, ἐν αὐτοῖς δὲ Ποσειδῶνα τὸν βασιλέα. τὸν δὲ Ἕκτορα εἶδεν ἐν τῇ πέδῃ κείμενον· περὶ
10αὐτὸν δὲ οἱ φίλοι "ἐκάθηντο· ἔτος δὲ ὑπὸ ἄθματι χαλεπῷ συνείχετο τὴν ψυχὴν ἐξεσηκώς, αἷμα ἐμῶν, ἐπειδὴ ἐδαμῶς αὐτὸν ὁ ἀθενέστατος ἔτρωσε τῶν Ἑλλήνων. τῆτον δὲ ἰδὼν ἠλέησεν ὁ πατὴρ τῶν θεῶν καὶ τῶν ἀνδρῶν. δεινῶς δὲ καὶ δρασικῶς ὑπιδὼν πρὸς τὴν Ἥραν λόγον εἶπεν·

"Ὄντως δὴ λίαν ὁ ἐπὶ κακῷ τετεχνασμένος σὸς δόλος, κα-
κομήχανε Ἥρα, "τὸν ἔνδοξον Ἕκτορα τῆ πολέμῳ ἔπαυσε καὶ
εἰς φυγὴν ἔτρεψε τὸς λαούς. ἀδαμῶς δὲ οἶδα εἰ δὴ τῆς ἐπι-
μύχθη κακοβελίας πρώτη ἀπολαύσεις καί σε πληγαῖς μα-
στίξω. ἢ ἐπελάθη ὅτε ἐκρέμασο ἀπὸ ὕψους, ἐκ δὲ τῶν πο-
δῶν βάρη σιδηρᾶ δύο ἐπαφῆκα, περὶ δὲ ταῖς χερσὶ δεσμὸν
περιέβαλον "χρυσῆν καὶ ξερεόν· σὺ δὲ ἐν τῷ αἰθέρι καὶ ταῖς
νεφέλαις ἐκρέμασο. ἐδείνοπάθεν δὲ οἱ θεοὶ κατὰ τὸν με-
γάλον Ὄλυμπον, ἐκ ἐδύναντο δὲ λῦσαι· ὃν δὲ ἕλαβον πα-
ρεξῶτά σοι, ἐρρίπτεν ἐκτείνας ἀπὸ τῆ βαθμῆ, ἕως ἂν πα-
ραγένηθ εἰς τὴν γῆν ὀλιγοψυχῶν. ἐμὲ δὲ ἔτως ἡ ὀργὴ
ἀφῆκεν "ἣ ἀδιάλειπτος τῇ ὀδύνῃ τῆ θαυμαξῆ Ἡρακλέης,
ὃν σὺ σὺν Βορέᾳ ἀνέμῳ πείσασα τὰς συμβολὰς τῶν ἀνέ-
μων ἔπεμψας ἐπὶ τὴν ἄκαρπον θάλασσαν κακὰ βεβλευο-
μένη, καὶ μετὰ ταῦτα αὐτὸν εἰς τὴν Κῶν τὴν καλῶς οἰκα-
μένην ἀπήγαγες. τῆτον ἐγὼ ἐκεῖθεν ἐρρυσάμην καὶ ἀνεκό-
μισα πάλιν "εἰς τὴν ἱπποτρόφον Πελοπόννησον καίπερ
πολλὰ κακοπαθήσαντα. τάτων σε πάλιν ὑπομνήσω, ἵν'
ἀποπαύσῃ τῶν ἀπατήσεων, ὅπως μάθῃς ἐάν σοι βοηθῇ
ἢ συνεσία καὶ φιλία, ἣν ἐλθοῦσα ἠνώθης ἄποθεν τῶν θεῶν
καὶ ἠπάτησάς με." οὕτως εἶπεν· ἐφοβήθη δὲ ἡ μεγαλόφθαλ-
μος καὶ σεβασμία Ἥρα, "καὶ φωνήσασα πρὸς αὐτὸν λόγους
ταχεῖς εἶπεν. "γινωσκέτω τὰ νῦν τᾶτο ἡ γῆ καὶ ὁ πλατὺς
οὐρανὸς ὑπεράνωθεν καὶ τὸ καταῤῥέον τῆς Στυγὸς ὕδωρ,
ὅρκις μέγιστος ὑπάρχει ὅρκος καὶ φοβερώτατος τοῖς μακαρίοις
θεοῖς, καὶ ἡ σὴ μεγάλη κεφαλὴ καὶ ἡμῶν αὐτῶν ἡ κοίτη
"ἡ παρθενική· τᾶτο μὲν ἐδαμῶς ἐγώ ποτε ματαίως ὀμό-
σαιμι. οὐ δι' ἐμὴν βέλησιν ὁ σείων τὴν γῆν Ποσειδῶν
πλάπτει τὸς Τρῶας καὶ τὸν Ἕκτορα, τοῖς Ἕλλησι δὲ βοη-
θεῖ, ἀλλ' ὀργή τις αὐτὸν διεγείρει καὶ παρακελεύθ, ταλαι-
πωρεμένες δὲ ἐπὶ ταῖς ναυσὶν ἰδὼν τὸς Ἕλληνας ᾤκτει-
ρεν. "σοὶ δὲ κἀκείνῳ ἐγὼ συμβελεύσαιμι ἐκεῖ ἀπέρχεσθ,
ὅπε δὴ ἂν σὺ ὦ μελανοφὲς προσάττεις." οὕτως εἶπεν·
ἐγέλασε δὲ ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν, καὶ πρὸς αὐ-
τὴν ἀνταποκρινόμενος λόγες ταχεῖς εἶπεν. "ἐὰν μὲν δὴ σὺ
μετὰ ταῦτα εὐόφθαλμε καὶ σεβασμία Ἥρα "τὰ αὐτὰ ἐμοὶ
φρονῆσα ἐν τοῖς θεοῖς καθέζῃ, τηνικαῦτα ἂν ὁ Ποσειδῶν,
καὶ εἰ λίαν ἑτέρως βεβελεύθ, ταχέως μεταβάλοι τὸν νῶν ἐπὶ
τὸ σοὶ καὶ ἐμοὶ ἀρεσόν. ἀλλ' ἐὰν δὴ μετ' ἀληθείας καὶ ἀψευ-
δῶς λέγεις, ἄπιθι τὰ νῦν πρὸς τὰ τῶν θεῶν γένη, καὶ ἐν-
καῦθα κάλεσον "τήν τε Ἶριν παραγενέσθ καὶ τὸν τοξικὸν
Ἀπόλλωνα, ὅπως αὖτη μὲν πρὸς τὸν λαὸν τῶν σιδηρο-
θωράκων Ἑλλήνων παραγένηθ, καὶ εἶπη Ποσειδῶνι τῷ βα-
σιλεῖ ἀποληξάντα τῆ πολέμῳ πρὸς τὰ ἴδια οἰκήματα πα-
ραγενέσθ· τὸν δὲ "Εκτορα διεγερεῖ εἰς τὸν πόλεμον ὁ κα-
θαρὸς Ἀπόλλων, "πάλιν δὲ ἐμβάλῃ δύναμιν καὶ εἰς λήθην
ἀγάγῃ τῶν ὀδυνῶν, αἵτινες νῦν αὐτὸν καταπονῆσι κατὰ
τὰς διανοίας, τὸς δὲ "Ελληνας εἰς τὰπίσω πάλιν ἀποστρέψῃ
ἰαθεὶς φυγὴν ἐμβαλών. φεύγοντες δὲ ἐν ταῖς ναυσὶ ταῖς
πολυκαθέδροις ἐμπέσωσι τῷ υἱοῦ Πηλέως Ἀχιλλέως. ἔτος
δὲ τὸν ἴδιον ἑταῖρον ἀναςήσει "τὸν Πάτροκλον. τῆτον δὲ
ἀποκτενεῖ τῷ δόρατι ὁ λαμπρὸς "Εκτωρ ἔμπροσθεν τῆς
Ἰλίε πολλὰς ἀπολέσαντα νεωτέρας τὰς ἄλλας, πρὸς τάτοις
δὲ τὸν ἐμὸν υἱὸν Σαρπηδόνα. ὑπὲρ τάτε ὀργισθεὶς ἀποκ-
τενεῖ τὸν "Εκτορα ὁ ἔνδοξος Ἀχιλλεύς. ἐκ δὴ τάτε τοῦ
χρόνε μετὰ ταῦτα εἰς τὰπίσω δίωξιν ἀπὸ τῶν νεῶν "ἀεὶ
ἐγὼ διὰ παντὸς κατασκευάζω, ἕως ἂν οἱ "Ελληνες τὴν ὑψη-
λὴν Ἴλιον λάβοιεν διὰ τὰς συμβελίας τῆς Ἀθηνᾶς. οὐ
πρότερον δὲ ἐγὼ ἀποπαύσω τὴν ὀργήν, ἔτε τινὰ τῶν ἄλ-
λων θεῶν τοῖς "Ελλησι βοηθεῖν ἐνταῦθα συγχωρήσω, πρὶν
ἢ τὸ τῆ υἱοῦ Πηλέως τελειωθῆναι ἐπιθύμημα, "ὥσπερ
αὐτῷ ὑπεχόμην πρότερον καὶ τῇ ἐμῇ κεφαλῇ κατένευσα τῇ
ἡμέρᾳ ἐκείνῃ, ὅτε με θεὰ ἡ Θέτις ἥψατο τῶν γονάτων,
παρακαλοῦσα τιμῆσαι Ἀχιλλέα τὸν τὰς πόλεις πορθοῦντα."
οὕτως εἶπεν· ὑπήκοσε δὲ ἡ θεὰ ἡ λευκοβραχίων "Ηρα,
ἐπορεύθη δὲ κατὰ τῶν τῆς Ἴδης ὀρῶν εἰς τὸν μέγαν
Ὄλυμπον. "ὥσπερ δὲ ὅταν ὁρμήσῃ νῆς ἀνδρὸς ὃς ἐπὶ πολ-
λὴν περιελθὼν γῆν ταῖς συνεταῖς φρεσὶν ἐννοήσει "ἐνταῦθα
ἢ ἐκεῖσε ἦν" διανοηθείη τε πολλά, ἔτω ταχέως προθυμε-
μένη διέπτη ἡ σεβασμία "Ηρα. παρεγένετο δὲ εἰς τὸν ὑψη-
λὸν Ὄλυμπον, συνηθροισμένοις δὲ ἐπέζη "τοῖς ἀθανάτοις
θεοῖς ἐν τῷ τῆ Διὸς οἴκῳ. ἔτοι δὲ ἰδόντες πάντες ἀνώρ-
μησαν καὶ ἐδεξιῶντο ποτηρίοις. αὐτὴ δὲ τὲς μὲν λοιποὺς
εἴασε, παρὰ δὲ τῆς εὐπροσώπε Θέμιδος ἐδέξατο ποτήριον.
πρώτη δὲ ἐξ ἐναντίας ἦλθε τρέχουσα, καὶ πρὸς αὐτὴν φω-
νήσασα λόγες ταχεῖς καὶ ἐπαρμένες εἶπεν. ""ὦ "Ηρα, τί
δή ποτε πεπόρευσαι; ταραττομένη δὲ ἔοικας. ὄντως ἀκρι-
βῶς δή σε ἐπτόησεν ὁ Κρόνε παῖς, ὅσις ὑπάρχει ἀνήρ."
πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ λευκοβραχίων
"Ηρα "μηδαμῶς με ὦ θεὰ Θέμι ταῦτα διερώτα· γινώσκεις
καὶ αὐτὴ ὁποία ἡ ἐκείνε ὀργὴ ὑπερήφανος καὶ σκληρά. "ἀλλὰ
κατάρχε σὺ τοῖς θεοῖς ἐν τοῖς οἴκοις τῆς ἰσομοίρε εὐωχίας.
ταῦτα δὲ καὶ παρὰ πάντων ἀκέσῃ τῶν θεῶν, ὁποῖα κακὰ
ἔργα ὁ Ζεὺς μηχανᾶται. ἐχ ὑπολαμβάνω δὲ πᾶσιν ὁμοίως
κατὰ τὴν ψυχὴν χαρῆναι ἔτε ἀνθρώποις ἔτε θεοῖς, ἐάν
περ ἔτι τις τὰ νῦν εὐωχῆται εὐφραινόμενος." "αὕτη μὲν
δὴ ἔτως εἰποῦσα ἡ σεβασμία "Ηρα ἐκαθέζετο, ἐλυπήθησαν
δὲ κατὰ τὸ τῆ Διὸς οἴκημα οἱ θεοί. ἐγέλασε δὲ αὐτὴ τοῖς
χείλεσιν· ἐδαμῶς δὲ τὸ πρόσωπον ἐπὶ ταῖς μελαίναις ὀφρύ-
σιν εὐφράνθη. ἐν πᾶσι δὲ μεμψαμένη εἶπεν "ἀνόητοι, οἵ-
τινες τῷ Διὶ ὀργιζόμεθα μωραίνοντες. "ὄντως ἔτι αὐτὸν
προεθυμήθημεν καταπαύσειν ἐγγὺς ἀφικόμενοι ἢ λόγῳ ἢ
ἰσχύϊ· ἔτος δὲ πόῤῥω καθεζόμενος οὐ ποιεῖται φροντίδα
οὐδὲ ἐπισρέφεθ· λέγει γὰρ ἐν τοῖς ἀθανάτοις θεοῖς τῷ τε
κράτει καὶ τῇ ἰσχύϊ διακεκριμένως εἶναι ἄριστος. διὸ ἀνέχεσθε
ὅ τι ἂν ὑμῖν ἐπιπέμπῃ ἑκάστῳ κακόν. "ἀρτίως γὰρ νῦν ἐλπί-
ζω τῷ Ἄρει βλάβην κατασκευασθῆναι· υἱὸς γὰρ αὐτῆ ἀπώ-
λετο ἐν τῇ μάχῃ ὁ προσφιλέστατος ἀνδρῶν, Ἀσκάλαφος,
ὃν λέγει ἑαυτῆ υἱὸν ὑπάρχειν ὁ ἰσχυρὸς Ἄρης." ἔτως εἶπεν·
ὁ δὲ Ἄρης τὲς εὐθαλεῖς μηρὲς ἐπλήγετο χερσὶ κατωφε-
ρέσιν, ὀδυρόμενος δὲ εἶπεν ""μηδαμῶς νῦν μοι μέμψηθε
οἱ τὰ τῆ Ὀλύμπε οἰκοῦντες οἰκήματα ἀνταποδοῦναι τὸν

φόνον τοῦ υἱῆ πορευθέντα ἐπὶ ταῖς ναυσὶ τῶν Ἑλλήνων, ἐάν πέρ μοι καὶ ἢ τῆ Διὸς μοῖρα τῷ κραυνῷ πληγέντι κατακεῖσθαι σὺν τοῖς νεκροῖς μετὰ αἵματος καὶ κόνεως." ἔτως εἰπε, καὶ δὴ τὰς ἵππας ἐκέλευσε καὶ τὸν Δεῖμον καὶ τὸν Φόβον ζευγνύειν, αὐτὸς δὲ τὰ ὅπλα τὰ σίλβοντα ἐνεδύσατο. τότε δὴ μείζων καὶ χαλεπώτερος ἄλλος παρὰ τῆ Διὸς τοῖς θεοῖς χόλος καὶ ὀργὴ ἐπεγένετο, ἐὰν μὴ ἡ Ἀθηνᾶ πᾶσι περισσῶς φοβηθεῖσα τοῖς θεοῖς ἐξῆλθε τῶν θυρῶν, ἀπέλιπε δὲ τὸν θρόνον ἔνθα ἐκαθέζετο, ἀπὸ δὲ τῆς κεφαλῆς τότε τὴν περικεφαλαίαν ἔλαβε καὶ τὴν ἀσπίδα ἐκ τῶν ὤμων, τὸ δόρυ δὲ ἔχησεν ἀπὸ τῆς ἰσχυρᾶς λαβοῦσα χειρὸς τὸ σιδηροῦν. αὕτη δὲ λόγοις ἐπέπληττε τὸν ταχὺν Ἄρεα. "ὦ μανιῶδες, τὰς φρένας μάταιε, διεφθάρης. ἢ ματαίως σοι τὰ ὦτα πρὸς τὸ ἀκήκοεν εἰσίν, ὃ νῦς δὲ ἀπώλετο καὶ ἡ ἐντροπή. ἐκ ἀκούεις ἅπερ λέγει καὶ ἡ λευκοβραχίων Ἥρα, ἥτις δὴ τὰ νῦν παρὰ τῆ Διὸς τῆ Ὀλυμπικῆ ἐλήλυθεν; ἢ βάλει αὐτὸς μὲν ἀναπληρώσας πολλὰ κακὰ πάλιν ἐπανελθεῖν εἰς τὸν Ὄλυμπον καίπερ λυπέμενος τῆ ἀνάγκη, ἔτος δὲ τοῖς λοιποῖς κακοποιὸν μέγα πᾶσιν ἐργάσαθ; ἔτω μὲν γὰ Τρῶάς τε καὶ τὰς μεγαλοψύχας Ἕλληνας καταλείψει, ἔτος δὲ πρὸς ἡμᾶς ἐλεύσεθ θορυβήσων εἰς τὸν Ὄλυμπον, συλλήψεθ δὲ ἐπὶ τιμωρίαν ἐφεξῆς τάς τε αἰτίας καὶ τὰς ἀναιτίας. διὸ δὴ νῦν σε παρακελεύομαι ἀπολιπεῖν τὴν ὀργὴν τῆ ἰδίᾳ υἱοῦ· ἤδη γὰ τότε τις κατὰ τὴν ἰσχὺν καὶ τὴν ἀνδρείαν κρείττων ἢ πεφόνευθ ἢ καὶ μετὰ ταῦτα φονευθήσεθ· ἀδύνατον δὲ θεῷ πάντων ἀνθρώπων ῥύσαθ τάς τε γονεῖς καὶ τὸ γένος ἐκ θανάτᾳ." ἔτως εἰπῶσα καθῆθ ἐποίησεν ἐν τῷ θρόνῳ τὸν ταχὺν Ἄρην. ἡ δὲ Ἥρα τὸν Ἀπόλλωνα ἐκάλεσεν ἔξω τᾶ οἴκᾳ καὶ τὴν Ἶριν, ἥτις ἐν τοῖς θεοῖς τοῖς ἀθανάτοις ἄγγελος ὑπάρχει· "καὶ φωνήσασα πρὸς αὐτες λόγες ταχεῖς εἶπεν. "ὁ Ζεὺς ὑμᾶς εἰς τὴν Ἴδην κελεύει ἐλθεῖν ταχέως· ἐπὰν δὲ παραγένηθε καὶ εἰς ὄψιν τᾶ Διὸς θεαθῆτε, πράττειν εἴ τι ἂν ἐκεῖνος διεγείρῃ καὶ παρακελεύηθ." αὕτη μὲν ἔτως εἰποῦσα εἰς τὰπίσω ἐπορεύθη ἡ σεβασμία Ἥρα, ἐκαθέζετο δὲ ἐν τῷ θρόνῳ· ἔτοι δὲ ὁρμήσαντες ἐπετάσθησαν καὶ εἰς τὴν Ἴδην ἀπῆλθον τὴν πολύνδρον, τὴν πολλὰς θῆρας τρέφουσαν. εὗρον δὲ τὸν μεγαλόφωνον Κρόνᾳ υἱὸν ἐν τῷ ὑψηλῷ Γαργάρῳ καθήμενον· περὶ δὲ αὐτὸν εὐῶδες νέφος περιέκειτο. αὐτοὶ δὲ ἔμπροσθεν ἐλθόντες τᾶ νεφεληγερέτᾳ Διὸς ἔστησαν· ἐδαμῶς δὲ ἰδὼν αὐτὰς ὠργίσθη τῇ ψυχῇ, διότι ταχέως τοῖς λόγοις τῆς φίλης αὐτᾶ γυναικὸς ἐπείθησαν. πρὸς τὴν Ἶριν δὲ πρότερον λόγες ταχεῖς εἶπεν. "ἄπιθι πορεύᾳ ὦ ταχεῖα Ἶρι· τῷ βασιλεῖ Ποσειδῶνι ταῦτα ἀνάγγειλον, καὶ μὴ ψευδὴς ἄγγελος ἔσο. "κέλευσον αὐτὸν παυσάμενον τῆς μάχης καὶ τᾶ πολέμου παραγενέσθ πρὸς τὰ τῶν θεῶν γένη ἢ εἰς τὴν μεγάλην θάλασσαν. ἐὰν δέ μοι ἃ πειθῇ τοῖς λόγοις ἀλλὰ καταφρονήσῃ, λογιζέσθω δὲ μετὰ ταῦτα κατὰ διάνοιαν καὶ κατὰ ψυχὴν μή πως οὐδὲ δυνατός περ ὢν ἐπελθόντα καρτερήσῃ "ὑπομεῖναι, ἐπειδὴ αὐτᾶ οἶμαι τῇ δυνάμει κατὰ πολὺ κρείττων εἰμὶ καὶ τᾶ γένει ἀρχαιότερος. τότε δὲ ἐκ ἐντρέπεθ ἡ φίλη ψυχὴ ὅμοιον ἐμοὶ αὐτὸν εἰπεῖν, ὄντινα φοβᾶνθ καὶ ἕτεροι." ἔτως εἰπεν· ὑπήκουσε δὲ ἡ ἀνεμόπους καὶ ταχεῖα Ἶρις, ἐπορεύθη δὲ κατὰ τῶν τῆς Ἴδης ὀρῶν εἰς τὴν ἱερὰν Ἴλιον. "ὥσπερ δὲ ὅταν ἐκ νεφῶν καταβαίνῃ ψεκὰς ἢ χάλαζα ψυχρὰ ὑπὸ τῆς πνοῆς τᾶ τὴν αἰθρίαν γεννῶντος Βορέᾳ, ἔτω ταχέως προθυμένη διέπτη ἡ ταχεῖα Ἶρις. ἐγγὺς δὲ παραζᾶσα εἶπε πρὸς τὸν ἔνδοξον Ποσειδῶνα "ἀγγελίαν τινά σοι ὦ Ποσειδῶν μελανόθριξ ἦλθον ἐνταῦθα κομίζουσα παρὰ τᾶ αἰγιδάχου Διός. ἐκέλευσε παυσάμενόν σε τῆς μάχης καὶ τᾶ πολέμου παραγενέσθ πρὸς τὰ πλήθη τῶν θεῶν ἢ εἰς τὴν μεγάλην θάλασσαν. ἐὰν δὲ τοῖς λόγοις αὐτᾶ ἃ πειθῇς ἀλλὰ παραλογήσῃ, ἐπηγγείλατο κἀκεῖνος ἐξ ἐναντίας μαχησόμενος ἐνταῦθα παραγενέσθ, σὲ δὲ ὑπεκκλῖναι κελεύει τὰς αὐτᾶ χεῖρας, ἐπεί σε τῇ δυνάμει κατὰ πολὺ κρείττων εἶναι καὶ τᾶ γένει πρεσβύτερος. σᾶ δὲ ἐκ ἐπισρέφεθ ἡ φίλη ψυχὴ ἴσον αὐτᾶ λέγειν ἑαυτόν, ὄντινα φοβᾶνθ καὶ ἄλλοι." πρὸς ταῦτα δὲ μέγα ξενάξας εἶπεν ὁ ἔνδοξος Ποσειδῶν "φεῦ φεῦ, ὄντως δὴ ἀγαθὸς ὢν ὑπερήφανον ἐφθέγξατο, ἐάν με ὁμότιμον ὄντα τῇ δυνάμει ἄκοντα ὑποτάξῃ. τρεῖς γὰ ἐκ τᾶ Κρόνᾳ ἐσμὲν ἀδελφοί, ἃς ἔτεκεν ἡ Ῥέα, ὁ Ζεὺς καὶ ἐγώ, τρίτος δὲ ὁ Ἄιδης ἐν τοῖς ὑπὸ γῆν νεκροῖς βασιλεύων. τριχῶς δὲ πάντα μεμέρισται, ἕκαςος δὲ ἔλαχε τιμῆς. ἐγὼ μὲν ἔλαχον τὴν λευκὴν θάλασσαν κατοικεῖν διὰ παντὸς κλήρῳ μεριζομένων, ὁ δὲ Ἄιδης ἔλαχε τὸν ἀερώδη σκότον, ὁ δὲ Ζεὺς ἔλαχε τὸν πλατὺν ὠρανὸν ἐν τῷ αἰθέρι καὶ ταῖς νεφέλαις. γῆ δὲ ἔτι κοινὴ πάντων καὶ ὁ μέγας Ὄλυμπος. διὸ δὴ ἃ κατὰ τὴν τᾶ Διὸς βᾳλὴν βιώσομαι ταῖς φρεσίν, ἀλλ' ἥσυχος καίπερ δυνατὸς ὢν μενέτω ἐν τῇ τρίτῃ μοίρᾳ. ταῖς δὲ χερσὶ μηδαμῶς με τελείως ὥσπερ δειλὸν ἐκφοβείτω. ταῖς θυγατράσιν αὐτᾶ καὶ τοῖς υἱοῖς ἐπωφελὴς εἴη καταπληκτικοῖς λόγοις ἐπιπλήττειν, ἃς αὐτὸς ἔτεκεν, οἵτινες αὐτᾶ προσάσσοντος ἀναγκαίως πειθήσονθ." "πρὸς τᾶτον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ἡ ἀνεμόπους ταχεῖα Ἶρις "ἔτω γὰ δή σοι ὦ Πόσειδον μελαίνας ἔχων τρίχας τᾶτον κομίζω τῷ Διὶ τὸν λόγον σκληρόν τε καὶ δυνατόν, ἢ τι μεταβαλεῖς; εὐμετάτρεπτοι δὲ αἱ γνῶμαι τῶν ἀγαθῶν. γινώσκεις ὅπως τοῖς προγενεξέροις ἐκδικίαι ἀπὸ τῶν Ἐρινύων ἀεὶ ἑπακολουθῶσι." "πρὸς ταύτην δὲ πάλιν εἶπε Ποσειδῶν ὁ τὴν γῆν σείων "ὦ Ἶρι θεά, πάνυ τᾶτον τὸν λόγον κατὰ τὸ πρέπον εἶπες· ἀγαθὸν καὶ τᾶτο γεγένηθ, ὁπότε ἄγγελος τὰ πρέποντα γνώσεθ. ἀλλ' αὕτη χαλεπὴ λύπη τὴν καρδίαν καὶ τὴν ψυχὴν καταλαμβάνει, ὁπότε ἂν τὸν ἴσης μερίδος καὶ ὁμοίᾳ μεμοιραμένον τύχῃ "φιλονεικεῖν ἐθέλῃ ὀργίλοις λόγοις. ἀλλὰ τὰ νῦν μὲν ἂν αἰδεσθεὶς ὑποχωρήσω· ἕτερον δέ σοι ἐρῶ καὶ ἀπειλήσω τᾶτο τῇ ψυχῇ. ἐάν περ ἄνευ ἐμᾶ καὶ Ἀθηνᾶς τῆς λαφυραγωγᾶ τῆς τε Ἥρας καὶ τᾶ Ἑρμᾶ καὶ τᾶ βασιλέως Ἡφαίσᾳ "τῆς θαυμαςῆς Ἰλίᾳ φείσεθ καὶ οὐ βᾳλησθείη ἐκπορθῆσαι, παραχεῖν δὲ μεγάλην νίκην τοῖς Ἕλλησι, γινωσκέτω τᾶτο ὅτι ἡμῖν ἀθεράπευτος ὀργὴ προσέσαι." ἔτως εἰπὼν ἀπέλιπε τὸν λαὸν τὸν Ἑλληνικὸν ὁ Ποσειδῶν, ἀπελθὼν δὲ εἰς τὴν θάλασσαν κατέδυ. ἐπε-

οζήτην δὲ αὐτὸν "οἱ ἀνδρεῖοι "Ελληνες. ϗ τότε πρὸς τὸν
'Απόλλωνα εἶπεν ὁ νεφελοποιὸς Ζεύς "ἄπιθι ὦ προσφι-
λέςατε Φοῖβε πρὸς τὸν πολεμικὸν "Εκτορα. ἄρτι μὲν γ᾽
Ποσειδῶν ὁ σείων τὴν γῆν πεπόρευ᾽ εἰς τὴν μεγάλην θά-
λασσαν, ἐκκλίνων τὴν χαλεπὴν ὀργὴν τὴν ἡμετέραν· πάνυ
γ᾽ τῆς μάχης πεῖραν ἔλαβον ϗ οἱ λοιποί, "οἵτινες κατιότι-
ροι θεοί εἰσι περὶ τὸν Κρόνον τυγχάνοντες. ἀλλὰ τᾶτο ϗ
ἐμοὶ ὠφελιμώτερον ϗ αὐτῷ ἐκείνῳ ἐγένετο, ὅτι πρὸ τούτε
παίδεσθεὶς ὑπεχώρησε τὰς ἐμὰς χεῖρας, ἐπεὶ ἐδαμῶς ἂν
χωρὶς κακοπαθείας ἐτελειώθη. ἀλλὰ σὺ ἐν ταῖς χερσὶ λα-
βὲ αἰγίδα τὴν κροσσὰς ἔχουσαν· "ταύτης ἐπαπειλησόμενος
φοβήσας τὰς ἀνδρείας "Ελληνας. σοὶ δὲ αὐτῷ διὰ φροντί-
δος ἔσω "Απολλον ὁ λαμπρὸς "Εκτωρ· τέως γ᾽ αὐτᾶ πα-
ρόρμησον τὴν μεγάλην δύναμιν, ἕως ἂν οἱ "Ελληνες φεύ-
γοντες εἰς τε τὰς ναῦς ϗ εἰς τὴν θάλασσαν παραγένων᾽.
ἐκεῖθεν δὲ αὐτὸς ἐγὼ βϐλεύσομαι ϗ πρᾶξιν καὶ βουλήν,
"ὅπως ἂν πάλιν οἱ "Ελληνες ἄνεσιν λάβωσι τᾷ κόπᾳ." οὗ-
τος εἶπεν· ἐδαμῶς δὲ τᾷ πατρὸς παρήκουσεν ὁ 'Απόλλων,
ἐπορεύθη δὲ κατὰ τῶν "Ιδης ὀρῶν εἵρακι ὅμοιος ταχεῖ,
τῷ φάσας φονεύοντι, ὅσις ταχύτατος τῶν ὀρνέων ἐςίν.
εὗρε δὲ τὸν υἱὸν τᾷ συνετᾷ Πριάμε τὸν ἔνδοξον "Εκτορα
"καθήμενον· ἐκέτι δὲ ἔκειτο, νεωςὶ δὲ ἠθροίζετο κατὰ
ψυχήν, ϗ τὰς περὶ αὐτὸν ἐπιγινώσκων φίλας· ἡ δὲ συνε-
χὴς ἀτμὶς ϗ ἱδρὼς ἐπαύετο, ἐπειδὴ αὐτὸν ἀνεκτήσατο ἡ
τοῦ αἰγιδόχε Διὸς πρόνοια. ἐγγὺς δὲ ἱςάμενος εἶπεν ὁ μα-
κροβόλος 'Απόλλων "ὦ "Εκτορ υἱὲ Πριάμε, τί δή ποτε
δὴ χωρὶς τῶν λοιπῶν "κάθῃ ὀλιγοψυχῶν; ἆρά πε λύπη
τέ τις καταλαμβάνει;" πρὸς τᾶτον δὲ ὀλίγον ἰσχύων εἶπεν
εὔοπλος "Εκτωρ "τίς δὲ εἶ σὺ ὦ ἀνδρειότατε τῶν θεῶν,
ὅσις με πυνθάνῃ ἐξ ἐναντίας; ἐκ ἀκᾴεις ὅτι με ἐν ταῖς
ναυσὶ ταῖς βαθείαις τῶν 'Ελλήνων τὰς αὐτᾷ ἑταίρας ἀναι-
ρᾶντα ὁ ἀνδρεῖος ἔβαλεν Αἴας "λίθῳ μεγάλῳ πρὸς τὸ
κῆθος, ἐκώλυσε δὲ τῆς ταχείας μάχης; ϗ δὴ ὑπέλαβον ἐγὼ
ὡς νεκρὸς ϗ τὸ οἴκημα τᾷ "Αιδε τῇ ἡμέρᾳ ταύτῃ θεά-
σασθαι, ἐπειδὴ ἠθόμην ἀλγήσας τὴν ψυχήν." πρὸς τᾶτον
δὲ εἶπε πάλιν ὁ τᾷ Διὸς υἱὸς βασιλεὺς 'Απόλλων "μὴ
δοβᾶ νῦν· τοιᾶτον βοηθὸν ὁ Κρόνε παῖς "ἐκ τῆς "Ιδης
προὔπεμψε παρίσασθαι ϗ βοηθεῖν τὸν καθαρὸν 'Απόλλωνα
χρυσοφάσγανον, ὅσις σε ϗ πρὸ τᾶ ἐῤῥύμην ὁμοίως αὐ-
τόν τε ϗ τὸ ὑψηλὸν πόλισμα. ἀλλὰ φέρε νῦν τοῖς ἱππεῦσι
τοῖς πολλοῖς παρακέλευσον ἐπὶ ταῖς βαθείαις ναυσὶν ἐλαύ-
νειν τὰς ταχεῖς ἵππας. "ἐγὼ δὲ ἔμπροσθεν πορευόμενος τοῖς
ἵπποις ὁδὸν πᾶσαν ὁμαλὴν ποιήσω, τραπῆναι δὲ παρα-
κευάσω τὰς "Ελληνας εἰς φυγήν." ἅτως εἰπὼν ἔπνευσε
δύναμιν μεγάλην τᾷ βασιλεῖ τῶν λαῶν. ὥσπερ δὲ ὅτε τις
ἵππος ἀναπεπαυμένος, εὐτραφὴς γενόμενος ἐν φάτνῃ, τὸν
δεσμὸν ἀποῤῥήξας τρέχει κατὰ τῆς πεδιάδος τοῖς ποσὶ
θρούων, "ἔθος ἔχων λέεσθαι ἐπὶ καλῶς ῥέοντος ποταμοῦ,
θρῳπόμενος· εἰς ὕψος δὲ ἔχει τὴν κεφαλήν, αἱ δὲ τρίχες
περὶ τοῖς ὤμοις σείον᾽· ἅτος δὲ τῇ λαμπρότητι θαῤῥῶν
τοῖς γόνασι κινεῖ πρὸς τὰς διατριβὰς ϗ τὰς
νομὰς τῶν ἵππων· ἅτως ὁ "Εκτωρ ταχέως τὰς πόδας καὶ
τὰ γόνατα ἐκίνει, "παρορμῶν τὰς ἵππας, ἐπεὶ τᾷ θεᾷ ἤκουσε
τὴν φωνήν. ἅτοι δὲ ὥσπερ ὅτε ἢ ἔλαφον κέρατα ἔχοντα ἢ
αἶγα ἄγριον ἐπέτρεχον κύνες ϗ ἄνδρες ἀγρόται· ταύτην
μὲν ἡ ὑψηλὴ πέτρα ϗ πολύδενδρος ὕλη ἐῤῥύσατο· ἐδα-
μῶς δὲ αὐτοῖς καταλαβεῖν εἱμαρμένον ἦν· "ὑπὸ δὲ τῆς
τάτων βοῆς ἐφάνη λέων δασὺ γένειον ἔχων εἰς ὁδόν, ταχέως
δὲ πάντας τραπῆναι ἐποίησε ϗ προθυμεμένας· ἅτως οἱ
"Ελληνες ἕως μὲν ἀθρόως ἀεὶ ἐπηκολέθουν τιτρώσκοντες
τοῖς ξίφεσι ϗ τοῖς ἀμφισόμοις δόρασιν· ἐπειδὴ δὲ εἶδον
τὸν "Εκτορα ἐπιπορευόμενον τὰς τάξεις τῶν ἀνδρῶν, "ἐφο-
βήθησαν, πάντων δὲ ἐταπεινώθη ϗ κατέπεσεν ἡ ψυχή. ἐν
τάτοις δὲ μετὰ ταῦτα ἐδημηγόρει Θόας ὁ τᾷ 'Ανδραίμο-
νος υἱός, ὁ τῶν Αἰτωλῶν ἐξόχως ἄριςος, ἔμπειρος μὲν τῷ
δόρατι ἀγαθὸς δὲ ἐν τῇ κατὰ συςάδην μάχῃ· τῇ δὲ δη-
μηγορίᾳ αὐτὸν ὀλίγοι τῶν 'Ελλήνων ἐνίκων, ἡνίκα οἱ νεώ-
τεροι ἔριν ἐποίεν περὶ λόγων· "ὅσις ἐν αὐτοῖς καλῶς φρο-
νῶν ἐδημηγόρησε ϗ εἶπε "φεῦ φεῦ, ὄντως μέγα θαῦμα
τᾶτο τοῖς ὀφθαλμοῖς ὁρῶ· ὁποῖον δὴ πάλιν μετὰ ταῦτα
ἀνέςη τὰς θανατηφόρας μοίρας ἐκφυγὼν ὁ "Εκτωρ. ὄντως
δὴ αὐτὸν πάλιν ἤλπιζεν ἡ ἑκάςε ψυχὴ ὑπὸ ταῖς χερσὶ τᾷ
Αἴαντος ἀποθανεῖν τᾷ Τελαμῶνος παιδός· "ἀλλά τις πά-
λιν τῶν θεῶν ἐῤῥύσατο ϗ ἔσωσεν "Εκτορα, ὅσις δὴ πολ-
λῶν 'Ελλήνων παρέλυσε γόνατα. ἅτως ϗ νῦν νομίζω γενή-
σεσθαι· ἐδαμῶς γ᾽ χωρὶς τᾷ μεγαλοκτύπε Διὸς πρόμαχος
ἴσα᾽ ὧδε προθυμέμενος. ἀλλὰ φέρετε, ὡς ἂν ἐγὼ εἴπω,
πάντες πειθησόμεθα. "τὸ πλῆθος μὲν πρὸς τὰς ναῦς κε-
λεύσομεν ἀπέρχεσθαι· ἡμεῖς δὲ ὁπόσοι δυνατοὶ ἐν τῷ ςρατῷ
καυχώμεθα ὑπάρχειν, ςῶμεν, εἴ πως ἂν ἐν πρώτοις κω-
λύσωμεν ὑπαντήσαντες, τὰ δόρατα ἀνατείναντες. τᾶτον δὲ
νομίζω ἢ προθυμέμεσον τῇ ψυχῇ φοβηθήσεσθαι τῶν 'Ελ-
λήνων εἰς τὸ πλῆθος καταδῦναι." "ἅτως εἶπεν· αὐτοὶ δὲ
τάτε ἤκουν πάνυ ϗ ἐπείθοντο. οἱ μὲν δὴ περὶ τὸν Αἴαντα
ϗ 'Ιδομενέα τὸν βασιλέα ϗ Τεῦκρον ϗ τὸν Μηριόνην καὶ
Μέγην τὸν ὅμοιον τῷ "Αρει μάχην κατεσκεύαζον, τοὺς
ἀρισεῖς προσκαλεσάμενοι, τῷ "Εκτορι ϗ τοῖς Τρωσὶν ἐξ
ἐναντίας· ὀπίσω δὲ "τὸ πλῆθος ἐπὶ τῶν 'Ελλήνων τὰς
ναῦς ἐπανήρχοντο. οἱ Τρῶες δὲ προήρξαντο ὁμᾷ· προη-
γεῖτο δὲ ὁ "Εκτωρ μεγάλως προβαίνων· ἔμπροσθεν δὲ αὐ-
τοῦ ἐπορευέτο ὁ καθαρὸς 'Απόλλων ἐνδεδυμένος τοῖς ὤμοις
νεφέλην, κατεῖχε δὲ τὴν ὁρμητικὴν αἰγίδα, τὴν φοβερὰν ϗ
ἀμφοτέρωθεν δασεῖαν ϗ ἀριπρεπεςάτην, ἣν δὴ ὁ χαλκεὺς
"Ηφαιςος τῷ Διὶ ἔδωκε φορεῖν εἰς φόβον τῶν ἀνδρῶν.
ταύτην δὴ ἅτος ἐν ταῖς χερσὶ κατέχων προηγεῖτο τῶν λαῶν.
οἱ δὲ "Ελληνες ἐκαρτέρησαν ὁμᾷ. διεγήγερτο δὲ βοὴ χα-
λεπὴ ἀμφοτέρωθεν· ἀπὸ δὲ τῆς νευρᾶς τὰ βέλη ἐπήδων·
πολλὰ δὲ δόρατα ἀπὸ τῶν ἰσχυρῶν χειρῶν "ἄλλα μὲν ἐν
σώματι ἐπήγνυτο τῶν ταχέων νεωτέρων, πολλὰ δὲ ϗ εἰς
τὸ μέσον, πρὶν ἢ σῶμα λευκὸν ἐφάψασθαι, ἐν τῇ γῇ ἵσαντο
προθυμέμενα σώματος κορεσθῆναι. ἕως μὲν τὴν αἰγίδα
ταῖς χερσὶ κατεῖχεν ἠσύχως ὁ 'Απόλλων, ἕως τότε λίαν

ἀμφοτέρων τὰ βέλη ἥπτετο, ἔπιπτε δὲ ὁ λαός· "ἐπεὶ δὲ κατὰ πρόσοψιν ἰδὼν Ἑλλήνων τῶν ταχεῖς ἵππους ἐχόντων ἔσεισε καὶ αὐτὸς ἐπεβόα πάνυ μέγα, τέτοις δὲ τὴν ψυχὴν ἐν τοῖς σήθεσιν ἠπάτησεν, ἐπελάθοντο δὲ τῆς πολεμικῆς δυνάμεως. ἦτοι δὲ ὥσπερ ἢ βοῶν ἀγέλην ἢ μέγα ποίμνιον προβάτων θῆρες δύο συνταράττουσιν ἐν τῷ τῆς σκοτεινῆς νυκτὸς μέσῳ, "ἐπελθόντες ἐξαίφνης τῶ ποιμένος ἀπόντος, ἔτως ἐφοβήθησαν οἱ Ἕλληνες ὡς ἀδύνατοι· ὁ Ἀπόλλων δ' ἐνέβαλε τὸν φόβον, τοῖς δὲ Τρωσὶ καὶ Ἕκτορι δόξαν παρεῖχε· τότε ἀνὴρ ἀνεῖλεν ἄνδρα διαλυθείσης τῆς μάχης· ὁ Ἕκτωρ μὲν τόν τε Στιχίον καὶ τὸν Ἀρκεσίλαον ἐφόνευσε, "τὸν ἕνα μὲν Βοιωτῶν ἡγεμόνα τῶν σιδηροθωράκων, τὸν δὲ ἕτερον τῷ μεγαλοψύχῳ Μενεσθέως πιστὸν φίλον. ὁ δὲ Αἰνείας τὸν Μέδοντα καὶ τὸν Ἴασον ἐφόνευσε· καὶ ὁ μὲν υἱὸς ἦν γνήσιος τῷ θαυμασῷ Ὀϊλέως ὑπῆρχεν ὁ Μέδων, τῷ Αἴαντος ἀδελφός, κατῴκει δὲ "ἐν τῇ γῇ τῆς Φυλάκης ἀποθεν τῆς πατρίδος, ἄνδρα ἀποκτείνας, ἀδελφὸν τῆς μητρυιᾶς Ἐριώπιδος, ἣν ἐγεγαμήκει ὁ Ὀϊλεύς. ὁ δὲ Ἴασος πάλιν ἀρχηγὸς μὲν τῶν Ἀθηναίων ἐγεγόνει, υἱὸς δὲ τῷ Σφήλου ἐκαλεῖτο τῷ Βοκολίδῃ. τὸν δὲ Μηκισέα ἀνεῖλεν ὁ Πολυδάμας καὶ τὸν Ὀχίον ὁ Πολίτης "ἐν τῇ πρώτῃ ξάσει τῆς μάχης. τὸν δὲ Κλόνιον ἀνεῖλεν ὁ Ἀγήνωρ. τὸν Δηΐοχον δὲ ὁ Ἀλέξανδρος ἔβαλε κατὰ τὸ ἔχατον τῷ ὤμῳ ὀπίσω φεύγοντα ἐν τοῖς πρωταγωνισαῖς, δι' ὅλε δὲ τὸν σίδηρον ἐπέρασεν. ἕως ἕ ἦτοι τέτες ἐσκύλευον ἀφαιρέμενοι τὰ ὅπλα, τηνικαῦτα οἱ "Ἕλληνες ἐν τῇ τάφρῳ καὶ τοῖς σκόλοψιν ἐμπεσόντες τῇ ἐσκαμμένῃ "ἔνθεν κἀκεῖθεν ἔφευγον, εἰσῆεσαν δὲ εἰς τὸ τεῖχος ἐξ ἀνάγκης. ὁ "Ἕκτωρ δὲ τοῖς Τρωσὶν ἐκέλευε μέγα βοήσας ἐν ταῖς ναυσὶν ἐφορμᾶν, ἐᾶν δὲ τὰ ἡμαγμένα σκῦλα. "ὅντινα δ' ἂν ἐγὼ ὑπεράνωθεν τῶν νεῶν ἐτέρωθι θεύσωμαι, αὐτόθι τὸν θάνατον αὐτῷ ἐργάσομαι. ἁδαμῶς δὲ δὴ τέτον "οἵ τε συγγενεῖς καὶ αἱ συγγενίδες τῷ πυρὸς μεταχεῖν ποιήσωσιν ἀποθανόντα, ἀλλὰ κύνες ἑλκύσσι πρὸ τῆς ἡμετέρας πόλεως." ἔτως εἰπὼν τῇ μάστιγι κατὰ τῶν ὤμων ἔτυπε τὲς ἵππες, παρακελευόμενος τοῖς Τρωσὶ κατὰ τάξεις. ἦτοι δὲ σὺν αὐτῷ πάντες παρακελευσάμενοι ἦλαυνον τὲς ἕλκοντας τὰ ἅρματα ἵππες "σὺν βοῇ μεγάλῃ. ἔμπροσθεν δὲ ὁ λαμπρὸς Ἀπόλλων ῥᾳδίως τὰ χείλη τῆς βαθείας τάφρε ἐν τοῖς ποσὶ καταβαλὼν εἰς τὸ μέσον συνέῤῥηξε, διαβατὴν δὲ τὴν ὁδὸν ἐποίησε τὴν μεγάλην καὶ πλατεῖαν, ἐφ' ὅσον ἡ ὁρμὴ τῷ δύρατος ἐκτρέχει, ὁπότε ἀνὴρ τῆς δυνάμεως πεῖραν ποιέμενος πέμψει. "διὰ ταυτης ἦτοι διήρχοντο κατὰ τάξεις, ἔμπροσθεν δὲ ὁ Ἀπόλλων τὴν μεγαλότιμον αἰγίδα κατέχων· κατέβαλε δὲ τὸ τεῖχος τῶν Ἑλλήνων εὐκόλως πάνυ, ὥσπερ ὅτε ψάμμιον παῖς ἐγγὺς τῆς θαλάσσης, ὅσις ἐπειδὰν ποιήσῃ παίγνια ταῖς ἀφροσύναις, πάλιν μετὰ ταῦτα συνέχει τοῖς ποσὶ καὶ ταῖς χερσὶ παίζων. "οὕτω δὴ σὺ ὦ τοξικὲ "Απολλον πολὺν κόπον καὶ ταλαιπωρίαν συνέχεας τῶν Ἑλλήνων, αὐτὲς δὲ εἰς φυγὴν ἔτρεψας. ἔτως ἦτοι μὲν παρὰ ταῖς ναυσὶ κατείχοντο καρτερῶντες, ἀλλήλοις τε παρακελευόμενοι, καὶ τοῖς θεοῖς πᾶσι τὰς χεῖρας ἀνατείνοντες μεγάλως ἕκαστος ηὔχοντο· "ὁ Νέστωρ δὲ κατὰ πολὺ ὁ ἔντιμος φύλαξ τῶν Ἑλλήνων ηὔχετο τὰς χεῖρας ἀνατείνων εἰς ἀρανὸν τὸν ἀςέρας ἔχοντα. "ὦ πάτερ Ζεῦ, ἐάν σοί τίς ποτε ἐν τῇ σιτοφόρῳ Πελοποννήσῳ ἢ βοὸς ἢ προβάτε λιπαρὰ μηριαῖα ὀςᾶ κατακαίων ηὔχετο ἐπανελθεῖν, σὺ δὲ ὑπέχε καὶ κατένευσας, "τέτων μνήσθητι καὶ ἀποσόβησον ὦ Ὀλυμπιακὲ τὴν ἀνηλεῆ ἡμέραν, καὶ μὴ ἔτως ἔα ὑπὸ τῶν Τρώων δαμάζεσθ τοὺς "Ἕλληνας." ἔτως εἶπεν εὐχόμενος· μεγάλως δὲ ἐβρόντησεν ὁ Ζεὺς τῶν εὐχῶν ἐπακέε Νέστορος τῷ πρεσβύτε. οἱ δὲ Τρῶες ὡς ἤκεσαν τῷ αἰγιδόχε Διὸς τὸν νῶν, "μᾶλλον ἐπεπήδησαν τοῖς Ἕλλησι καὶ ἀνεμνήσθησαν τῆς μάχης. ἦτοι δὲ ὥσπερ μέγα κῦμα τῆς εὐρυχώρε θαλάσσης ὑπὲρ τῶν τοίχων τῆς νεὼς εἰσέλθῃ, ὁπότε ἐπισπεύσει ἡ τῷ ἀνέμε δύναμις — αὕτη δ' κατὰ πολὺ τὰ κύματα αὔξει —, ἔτως οἱ Τρῶες μεγάλῃ βοῇ κατέβαινον εἰς τὸ τεῖχος, "τὲς ἵππες δὲ εἰσαγαγόντες ἐπὶ ταῖς πρύμναις ἐμάχοντο δόρασιν ἀμφιζόμοις ἐκ τῷ σύνεγγυς, οἱ μὲν ἀπὸ τῶν ἵππων, οἱ δὲ ἀπὸ τῶν πλοίων τῶν ὑψηλῶν καὶ βαθέων ἐπελθόντες μακροῖς δόρασιν, ἅπερ αὐτοῖς ἐπὶ ταῖς ναυσὶν ὑπῆρχον πρὸς ναυμαχίαν ἐπιτήδεια, κολλητά, κατὰ τὸ ἄκρον ἐνδεδυμένα σιδήρῳ. "ὁ δὲ Πάτροκλος ἕως μὲν οἵ τε "Ἕλληνες καὶ οἱ Τρῶες περὶ τὸ τεῖχος ἐμάχοντο ἔξωθεν τῶν ταχειῶν νεῶν, τηνικαῦτα ἦτος ἐν τῇ σκηνῇ τῷ ἀγαπῶντος τὴν ἀνδρίαν Εὐρυπύλε ἐκάθητο καὶ τέτον λόγοις ἐχαροποίει, ἐπὶ δὲ τῷ χαλεπῷ τραύματι φάρμακα θεραπευτικὰ ἐπετίθει τῶν μεγάλων ὀδυνῶν· "ἐπειδὴ δὲ εἰς τὸ τεῖχος ἐπελθόντας ἐθεάσατο τὲς Τρῶας, τῶν δὲ Ἑλλήνων ἐγένετο ταραχή τε καὶ φυγή, ἐξέναξε δὴ μετὰ ταῦτα καὶ τὲς ἑαυτῷ μηρὲς ἐπλήγη καταφορικαῖς χερσίν, ὀδυρόμενος δὲ εἶπεν "ὦ Εὐρύπυλε οὐκέτι σοι δύναμαι καίπερ ὅμως χρῄζοντι "ἐνταῦθα παραμένειν· μεγάλη δ' δὴ φιλονεικία ἐγένετο. ἀλλὰ σὲ μὲν ὁ οἰκέτης παραμυθείσθω, ἐγὼ δὲ σπεύσω πρὸς τὸν Ἀχιλλέα ἵνα παρορμήσω πολεμεῖν. τίς δὲ οἶδεν ἐὰν αὐτοῦ σὺν θεῷ τὴν ψυχὴν διεγείρω παραινέσας; καλλίη δὲ ἡ παραίνεσις παρὰ φίλε." "τῶτον μὲν δὴ ἔτως εἰπόντα οἱ πόδες ἀπηγον· οἱ δὲ "Ἕλληνες τὲς Τρῶας ἐπιόντας ὑπέμενον ἀκίνητοι, ἐκ ἐδύναντο δὲ καίπερ ὀλιγωτέρες ὄντας ἀποδιῶξαι τῶν νεῶν. ὅπω δὲ οἱ Τρῶες τῶν Ἑλλήνων ἐδύναντο τὰς τάξεις διακόψαντες ἐν ταῖς σκηναῖς πλησιάσαι ἀδὲ τὰς ναυσὶν· "ἀλλ' ὥσπερ τεκτονικὸν ἐργαλεῖον ξύλον ναυπηγήσιμον ἐξισοῖ ἐν ταῖς χερσὶ τῷ ἐπιςήμονος ναυπηγοῦ, ὃς δὴ πάσης ἐπιςήμων ἐςὶ τεκτονικῆς ταῖς διδασκαλίαις τῆς Ἀθηνᾶς, ἕτω μὲν τέτων ἐπ' ἴσης ἡ μάχη καὶ ὁ πόλεμος ἐξετάθη. ἄλλοι δὲ κατ' ἄλλο μέρος τῶν νεῶν ἐμάχοντο· "ὁ δὲ "Ἕκτωρ ἀντικρὺ τοῦ Αἴαντος ἐφάνη τοῦ ἐνδόξου. ἦτοι δὲ περὶ μιᾶς νεὼς ἐκοπίων, καὶ ἐκ ἐδύναντο ἅτε οὖσι τέτον ἀπελάσαι [καὶ καῦσαι πυρὶ τὰς ναῦς, ἅτε ἦτος τῶν εἰς τὰπίσω ἀπώσαθ,] ἐπειδὴ πλησιάσαι αὐτὸν ἡ τύχη ἐποίησεν. τότε τὸν υἱὸν τῷ Κλυτίε Καλήτορα ὁ λαμπρὸς Αἴας "πῦρ ἐπιφέροντα εἰς τὴν ναῦν κατὰ τὸ σῆθος ἔβαλε

τῷ δόρατι· ἐκτύπησε δὲ πεσών, ὁ δὲ δαλὸς ἐξέπεσε τῆς χειρός. ὁ δὲ Ἕκτωρ ὡς ἐθεάσατο τὸν ἀνεψιὸν τοῖς ὀφθαλμοῖς ἐν τῇ γῇ καταπεσόντα ἔμπροσθεν τῆς βαθείας νεώς, τοῖς τε Τρωσὶ καὶ τοῖς Λυκίοις παρεκελεύετο μέγα βοήσας. "ὦ Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι οἱ ἐκ τῆς σύνεγγυς μαχόμενοι, μήπω δὴ ἀναχωρεῖτε ἐν τῇ ξενοχωρίᾳ ταύτῃ τῆς λύπης, ἀλλὰ τὸν υἱὸν Κλυτίε σώσατε, μή πως αὐτοῦ οἱ Ἕλληνες τὰ ὅπλα ἀφέλωνται ἐν τῷ τῶν νεῶν ἀθροίσματι πεσόντα." ἔτως εἰπὼν κατὰ τῆς Αἴαντος ἠκόντισε τῷ λαμπρῷ δόρατι. "τότε μὲν ἀπέτυχεν· ἕτος δὲ μετὰ ταῦτα Λυκόφρονα τὸν υἱὸν Μάσορος, τῆς Αἴαντος ὑπασπιστὴν ἀπὸ Κυθήρων, ὃς δὴ παρ' αὐτῷ κατῴκει ἐπεὶ ἄνδρα ἀπέκτεινεν ἐν τοῖς θαυμασοῖς Κυθήροις, τοῦτον δὲ ἔβαλε κατὰ τὴν κεφαλὴν ὑπὲρ τὸ ὠτίον ὀξεῖ σιδήρῳ, ἐξῶτα ἐγγὺς τῆς Αἴαντος. οὗτος δὲ ὕπτιος ἐν τῇ γῇ "ἀπὸ τῆς πρύμνης τῆς βαθείας νεὸς χαμαὶ ἔπεσε, παρελύθησαν δὲ αὐτῆς τὰ μέλη. ὁ δὲ Αἴας ἐφοβήθη καὶ πρὸς τὸν ἀδελφὸν εἶπεν "ὦ προσφιλέστατε Τεῦκρε, ἡμῶν δὲ πεφόνευται πιστὸς φίλος, ὁ Μάσορος υἱός, ὃν ἡμεῖς ἀπὸ Κυθήρων ἐπιδεδημηκότα ἐπ' ἴσης τοῖς φιλτάτοις γονεῦσιν ἐτιμῶμεν ἐν τοῖς οἴκοις· "τῶτον δὲ Ἕκτωρ ὁ μεγαλόψυχος ἐφόνευσε. πῆ δή σοι τὰ βέλη τὰ ταχὺν θάνατον ἐπάγοντα καὶ τὸ τόξον ὅ σοι ἐχαρίσατο ὁ καθαρὸς Ἀπόλλων;" ἔτως εἶπεν· ὁ δὲ συνῆκε, τρέχων δὲ ἐγγὺς αὐτοῦ παρέστη, τόξον ἔχων ἐν τῇ χειρὶ εἰς τὲπίσω ὁλκόμενον καὶ φαρέτραν τὰ βέλη δεχομένην· πάνυ δὲ ταχέως τὰ βέλη τοῖς Τρωσὶν ἔπεμπε. "καὶ δὴ ἔτρωσε Κλύτον τῆ Πεισήνορος τὸν λαμπρὸν υἱόν, τὸν τῆ Πολυδάμαντος φίλον τῆ λαμπρῆ υἱοῦ τῆ Πάνθε, τὰ ἡνία ταῖς χερσὶ κατέχοντα. ἕτος μὲν ἐνήργει κατὰ τὲς ἵππες· ἐκεῖ γὰρ ἤλαυνεν ὅπε δὴ κατὰ πολὺ πλεῖσαι ἐταράσσοντο τάξεις, τῷ Ἕκτορι καὶ τοῖς Τρωσὶ χαριζόμενος· ταχέως δὲ ἐπ' αὐτῷ "ἦλθε νάκωσις, ἣν ἀδεὶς ἀπ' αὐτῆ ἐκώλυσε πολλῶν προθυμιμένων. ἐν τῷ τραχήλῳ γὰρ αὐτῆ ὄπιθεν πολυσένακτον ἔπεσε βέλος· κατέπεσε δὲ ἐκ τῶν ἁρμάτων, ὑπεχώρησαν δὲ αὐτῆ οἱ ἵπποι κενὰ τὰ ἅρματα κατακροτῆντες. ὁ δεσπότης δὲ ταχὺ ἐθεάσατο ὁ Πολυδάμας, καὶ πρῶτος κατεναντίον τῶν ἵππων ἦλθεν. "τότες μὲν ἕτος τῷ Ἀσυνόῳ τῷ Προμάονος υἱῷ ἔδωκε, πολλὰ δὲ παρῄνεσεν ἐγγὺς κατέχειν ἀσορῶντα τὲς ἵππες· αὐτὸς δὲ πάλιν πορευθεὶς τοῖς πρωταγωνισαῖς ἐμίγη. ὁ δὲ Τεῦκρος ἕτερον βέλος ἐπὶ τῷ εὐπλῳ Ἕκτορι ἔβαλε, καὶ ἔπαυσεν ἂν τῆς μάχης ἐπὶ ταῖς ναυσὶ τῶν Ἑλλήνων, "εἴπερ αὐτὸν ἀριζεύοντα βαλὼν ἐξήγεγκε τὴν ψυχήν. ἀλλ' ἐκ ἔλαθε τῆ Διὸς τὸν συνετὸν νῆν, ὃς δὴ ἐφύλαττε τὸν Ἕκτορα, Τεύκρου δὲ τῆ Τελαμῶνος τὴν καύχησιν ἀφείλετο· ὅσις αὐτῆ τὴν εὐῤροφον νευρὰν ἐν τῷ ἀψόγῳ τόξῳ διέῤῥηξεν ἐπὶ τότῳ ἕλκοντι· παρηνέχθη δὲ ἀλλαχῆ "βέλος τὸ σιδήρῳ βαρέμενον, τὸ τόξον δὲ αὐτοῦ ἐξέπεσε τῆς χειρός. ὁ δὲ Τεῦκρος ἐφοβήθη καὶ πρὸς τὸν ἀδελφὸν εἶπε "φεῦ φεῦ, ὄντως δὴ παντελῶς ἐπικόπτει τῆς μάχης τὴν ὁρμὴν τῆς ἡμετέρας τις τῶν θεῶν, ὅστις οἱ τὸ τόξον τῆς χειρὸς ἐξέβαλε καὶ τὴν νευρὰν διέῤῥηξε νοτὴν εὐῤροφον, ἣν ἐν αὐτῷ ἔδησα "ἔωθεν, ὅπως μένοι πυκνῶς πηδῶντα τὰ βέλη." πρὸς τῶτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ μέγας υἱὸς τῆ Τελαμῶνος ὁ Αἴας "ὦ φίλτατε, ἀλλὰ τὸ μὲν τόξον ἄφες καὶ τὰ ὀξέα βέλη κεῖσθ, ἐπεὶ συνέχεεν ὁ θεὸς τοῖς Ἕλλησι φθονήσας· ταῖς δὲ χερσὶ λαβὼν τὸ μακρὸν δόρυ καὶ τὴν ἀσπίδα ἐπὶ τῶν ὤμων "μάχου τε τοῖς Τρωσὶ καὶ ἑτέρες λαὲς παρόρμησον. μὴ καὶ χωρὶς κακοπαθείας καταπονήσαντες λάβοιεν τὰς εὐκαθέδρες ναῦς, ἀλλ' ὑπομνηθῶμεν τῆς μάχης." ἔτως εἶπεν· ἕτος δὲ τὸ μὲν τόξον ἐν ταῖς σκηναῖς κατέθηκεν, οὗτος δὲ περὶ τοὺς ὤμες τὴν ἀσπίδα ἐπέθετο τὴν τετράβυρσον, "ἐπὶ δὲ τῇ κεφαλῇ περικεφαλαίαν εὐκατασκεύαςον ἐπέθηκεν, ἔλαβε δὲ τὸ ἰχυρὸν ἐςομιωμένον δόρυ ὀξεῖ σιδήρῳ, ἀπέβη δὲ πορευθῆναι, μάλα δὲ ταχέως τρέχων τῷ Αἴαντι παρέςη. ὁ δὲ Ἕκτωρ ὡς εἶδε τῆ Τεύκρε κωλυθέντα τὰ βέλη, "τοῖς Τρωσὶ καὶ τοῖς Λυκίοις παρῄνει μέγα βοήσας. "ὦ Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἐκ τῆ σύνεγγυς μαχόμενοι, ἀνδρεῖοι γίνεσθε ὦ προσφιλέστατοι, ὑπομνήσθητε δὲ τῆς μάχης κατὰ τὰς βαθείας ναῦς. εἶδον γὰρ δὴ τοῖς ὀφθαλμοῖς ἀνδρὸς ἀρίζου ἐκ τῆ Διὸς ἐπιχεθέντα τὰ βέλη. "ῥᾳδίως δὲ διάδηλος ἡ τῆ Διὸς τοῖς ἀνδράσι γίνετ βοήθεια, καὶ οἷς τισὶ δόξαν ὑπερέχεσαν χαρίσετ καὶ ὅτι τινὸς ἐλαττοῖ καὶ ἐκ ἐθέλει βοηθεῖν, ὡς νῦν τῶν Ἑλλήνων μειοῖ τὴν δύναμιν, ἡμῖν δὲ συμμαχεῖ. ἀλλὰ πολεμεῖτε ἐν ταῖς ναυσὶ συνηθροισμένοι. ὃς δ' ἂν ἐξ ὑμῶν "τοξευθεὶς ἢ ἐκ χειρὸς τρωθεὶς θάνατον καὶ μόρον καταλάβοι, θνησκέτω. ἐκ ἀπρεπὲς αὐτῷ ἀγωνιζομένῳ περὶ τῆς πατρίδος ἀποθανεῖν, ἀλλ' ἥ τε γυνὴ σώζετ καὶ οἱ παῖδες μετὰ ταῦτα καὶ ὁ οἶκος καὶ ἡ περιουσία ἄφθαρτος, ἐὰν οἱ Ἕλληνες ἀναχωρήσωσι σὺν ταῖς ναυσὶν εἰς τὴν προσφιλῆ πατρικὴν γῆν." "ἔτως εἰπὼν παρώρμησε τὴν προθυμίαν καὶ τὴν ψυχὴν ἐκάςε. ὁ Αἴας δὲ ἐκ τῆ ἑτέρε μέρες παρεκελεύετο τοῖς ἰδίοις φίλοις. "αἰδέσθητε ὦ Ἕλληνες. νῦν αὖταρκες ἢ ἀπολέσθ ἢ σωθῆναι καὶ ἀποδιῶξαι τὰ κακοποιὰ ἀπὸ τῶν νεῶν. ἢ ἐλπίζετε, ἐὰν τὰς ναῦς λάβῃ ὁ εὔοπλος Ἕκτωρ, "πεζῇ βαίνοντες ἀπελθεῖν εἰς τὴν ἑαυτῆ πατρικὴν γῆν ἕκαςος; ἢ ἐκ ἀκέετε παρορμῶντος ἅπαντα λαὸν τῆ Ἕκτορος, ὅσις δὴ τὰς ναῦς ἐμπρῆσαι προθυμεῖται; ἐδαμῶς δὲ δὴ εἰς χορείαν παρακελεύει ἐλθεῖν ἀλλὰ μάχεσθ. ἡμῖν δὲ ἀδεμία τις τότε ἐπίνοια καὶ βελὴ κρείττων "παρὸ ἐκ τῆ σύνεγγυς μίξαι τάς τε χεῖρας καὶ τὴν ἰσχύν· βέλτιον γὰρ πρὸς βραχὺ κινδυνεῦσαι καὶ ἐπ' ὀλίγον χρόνον ζῆσαι ἢ ἐπὶ πολὺ δαμάζεσθ ἐν τῇ χαλεπῇ μάχῃ ἕτω ματαίως παρὰ ταῖς ναυσὶν ὑπὸ ἀνδρῶν χειρόνων." οὕτως εἰπὼν παρώρμησε τὴν δύναμιν καὶ τὴν ψυχὴν ἐκάςε. "τότε μὲν ὁ Ἕκτωρ ἀνεῖλε Σχεδίον τὸν Περιμήδες υἱόν, ἄρχοντα τῶν Φωκέων. ὁ δὲ Αἴας ἀνεῖλε τὸν Λαοδάμαντα ἡγεμόνα πεζῶν ὁπλιτῶν, τῆ Ἀντήνορος τὸν λαμπρὸν υἱόν. ὁ δὲ Πολυδάμας Ὦτον τὸν ἀπὸ Ἀρκαδίας ἐφόνευσε, τὸν τῆ υἱῆ Φυλέως φίλον, τῶν μεγαλοψύχων Ἠλείων ἀρχηγόν. "ἐπὶ τότῳ δὲ ἰδὼν ὁ Μέγης ὥρμησεν· ἕτος δὲ ἰδὼν εἰς πλάγιον ἐξέκλινεν εἰς τοὔμπροσθεν ὁ Πολυδάμας. καὶ τότε

μὲν ἀπέτυχεν, οὐδαμῶς δὲ Ἀπόλλων συνεχώρει τοῦ Πάνθου τὸν υἱὸν ἐν τοῖς πρωταγωνισταῖς ἀναιρεθῆναι· οὗτος δὲ τοῦ Κροίσμου τὸ στῆθος κατὰ τὸ μέσον ἔτρωσε τῷ δόρατι. ἐκτύπησε δὲ πεσών· οὗτος δὲ ἀπὸ τῶν ὤμων τὰ ὅπλα ἀφῃρεῖτο. "τηνικαῦτα δὲ ἐπὶ τοῦτον ὥρμησε Δόλοψ ὁ ἔμπειρος τοῦ πολέμου, Λάμπου υἱός, ὃν Λάμπος ἐγέννησεν ὁ κρείττων τῶν ἀνδρῶν, ὁ Λαομέδοντος υἱός, ἐπιστήμονα τῆς πολεμικῆς μάχης· ὅστις τότε τοῦ υἱοῦ Φυλέως κατὰ τὸ μέσον τὴν ἀσπίδα ἔτρωσε τῷ δόρατι, ἐκ τοῦ σύνεγγυς ὁρμήσας. ὁ πυκνὸς δὲ αὐτῷ ἐβοήθησε θώραξ, "ὃν δὴ ἐφόρει ἐν ταῖς συναφαῖς ἡρμοσμένον· ὃν Φυλεύς ποτε ἐκόμισεν ἐκ τῆς Ἐφύρης ἀπὸ τοῦ Σελλήεντος ποταμοῦ· φίλος γὰρ αὐτῷ παρέσχεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Εὐφήτης εἰς τὸν πόλεμον φορεῖν πολεμίων ἀνδρῶν ἀποτροπήν· ὅστις καὶ τότε ἀπὸ τοῦ σώματος αὐτοῦ ἀπεσόβει τὸν θάνατον. "τούτου δὴ ὁ Μέγης τῆς περικεφαλαίας τῆς σιδηρᾶς καὶ ἱππείας τρίχας ἐχούσης κατὰ τὸ ἀκρότατον καὶ κενὸν ἔνυξε τῷ ὀξεῖ δόρατι, ἐπέῤῥηξε δὲ αὐτὸν τὸν ἵππειον λόφον· ὅλος δὲ χαμαὶ κατέπεσεν ἐν τῇ γῇ νεωστὶ τῷ ἐρυθρῷ βεβαμμένος χρώματι. ἕως οὗτος τούτῳ ἐπολέμει καρτερῶν, ἔτι δὲ τὴν νίκην ἤλπιζε, "τηνικαῦτα αὐτῷ ὁ Μενέλαος ὁ πολεμικὸς ἦλθε βοηθός, ἔστη δὲ ἐκ πλαγίου λαθὼν σὺν δόρατι, ἔβαλε δὲ κατὰ τὸν ὦμον ὄπισθεν· ἡ δὲ ἐπιδορατὶς διὰ τοῦ στήθους διεξῆλθεν ὁρμῶσα εἰς τοὔμπροσθεν προθυμουμένη, αὐτὸς δὲ ἐπὶ πρόσωπον ἐκυλίσθη. οὗτοι δὲ ὥρμησαν τὰ σιδηρᾶ ὅπλα ἀπὸ τῶν ὤμων "σκυλεύσειν. ὁ δὲ Ἕκτωρ τοῖς συγγενέσιν ἐκέλευσεν ἅπασι λίαν· ἐν πρώτοις δὲ τὸν Ἱκετάονος υἱὸν ἐπέπληξεν, τὸν ἀνδρεῖον Μελάνιππον. οὗτος δὲ τέως τοὺς εἰλοῦντας τοὺς πόδας βοῦς ἔβοσκεν ἐν τῇ Περκώπῃ τῶν πολεμίων πόῤῥω ὄντων· ἐπειδὴ δὲ τῶν Ἑλλήνων αἱ νῆες ἦλθον αἱ ταχεῖαι, "πάλιν εἰς τὴν Ἴλιον ἦλθεν, εὐπρεπὴς δὲ ἦν τοῖς Τρωσίν, ᾤκει δὲ παρὰ τῷ Πριάμῳ· οὗτος δὲ αὐτὸν ἐτίμα ἴσα τοῖς τέκνοις. τοῦτον δὲ ὁ Ἕκτωρ ἐπέπληξε καὶ λόγον εἶπε καὶ παρῄνεσεν. "οὕτω δὴ ὦ Μελάνιππε ἀμελήσωμεν; οὐδαμῶς δή σοι ἐπιστρέφεται ἡ προσφιλὴς ψυχὴ τοῦ ἀνεψιοῦ ἀποκτανθέντος. "οὐχ ὁρᾷς ὁποῖον τοῦ Δόλοπος περιέπουσι καὶ ἐνεργοῦσι τὰ ὅπλα; ἀλλ᾽ ἐπακολούθει· οὐ γὰρ ἔτι ὑπάρχει ἐκ διαστήματος τοῖς Ἕλλησι μάχεσθαι, πρὶν ἢ ἀποκτανθῆναι ἢ παντελῶς τὴν ὑψηλὴν Ἴλιον λαβεῖν καὶ ἀποκτεῖναι τοὺς πολίτας." οὕτως εἰπὼν αὐτὸς μὲν προηγεῖτο, ὁ δὲ ἰσόθεος ἀνὴρ ὁμοῦ ἐπηκολούθει. "τοὺς Ἕλληνας δὲ παρώρμα ὁ μέγας Αἴας ὁ τοῦ Τελαμῶνος. "ὦ προσφιλέστατοι, ἀνδρεῖοι γίνεσθε καὶ αἰδέσθητε τῇ ψυχῇ. τῶν αἰδουμένων δὲ ἀνδρῶν πλείονες σώζονται ἢ ἀπόλλυνται· τῶν δὲ φευγόντων οὔτε δόξα ἐπέρχεται οὔτε τις ἰσχύς." "οὕτως εἶπεν· οὗτοι δὲ καὶ αὐτοὶ βοηθῆσαι προεθύμουν, ἐν τῇ ψυχῇ δὲ τὸν λόγον ἔθεντο, περιετείχισαν δὲ τὰς ναῦς τῷ κύκλῳ τῶν ἀσπίδων. ἐπ᾽ αὐτοὺς δὲ ὁ Ζεὺς τοὺς Τρῶας ἤγειρε. τὸν δὲ Ἀντίλοχον παρώρμησεν ὁ κατὰ τὴν μάχην γενναῖος Μενέλαος. "ὦ Ἀντίλοχε, οὐδεὶς σου μικρότερος ἄλλος τῶν Ἑλλήνων, "οὐδὲ τοῖς ποσὶ ταχύτερος, οὔτε δυνατὸς ὡς σὺ πολεμεῖν. εἴθε πού τινα τῶν Τρώων ἐκπηδήσας ἄνδρα τρώσοις." οὕτως εἰπὼν οὗτος μὲν πάλιν ἀνεχώρησε, τοῦτον δὲ παρώρμησεν. ἐκ δὲ τῶν πρωταγωνιστῶν ἐξεπήδησε καὶ ἠκόντισε τῷ λαμπρῷ δόρατι, περὶ αὐτὸν περιβλεψάμενος· ὑπεχώρησαν δὲ οἱ Τρῶες "τοῦ ἀνδρὸς ἀκόντιον ῥίψαντος. οὗτος δὲ οὐ μάταιον τὸ βέλος ἔπεμψεν, ἀλλὰ τὸν τοῦ Ἱκετάονος υἱὸν τὸν ἀνδρεῖον Μελάνιππον σπουδάζοντα εἰς τὸν πόλεμον ἔτρωσεν εἰς τὸ στῆθος παρὰ τὸν μαζόν. ἐψόφησε δὲ πεσών, ἤχησε δὲ ἐπ᾽ αὐτὸν τὰ ὅπλα. ὁ δὲ Ἀντίλοχος ἐφώρμησεν ὡς κύων, ὅστις ἐπὶ νεογνῷ ἐλάφῳ "τετρωμένῳ ὁρμήσει, ὅντινα ἐκ τῆς κοίτης ὁρμῶντα κυνηγέτης ἐπέτυχε τοξεύσας, παρέλυσε δὲ αὐτοῦ τὰ μέλη. οὕτως ἐπὶ σοὶ ὦ Μελάνιππε ὥρμησεν ὁ καρτερικὸς Ἀντίλοχος [τὰ ὅπλα ἀφαιρησόμενος. ἀλλ᾽ οὐκ ἔλαθε τὸν ἐνδοξότατον Ἕκτορα,] ὅστις δὴ κατὰ πρόσωπον ἦλθε τρέχων ἀνὰ τὴν μάχην. "ὁ Ἀντίλοχος δὲ οὐκ ἐκαρτέρησε καίπερ ταχὺς ὢν πολεμιστής, ἀλλ᾽ οὗτος δὴ σὺν δέει ἔφυγε θηρὶ ὅμοιος κακὸν πράξαντι, ὅστις κύνας ἀποκτείνας ἢ βουνόμον περὶ ταῖς βουσὶν φεύγει πρὶν ἢ τὸ πλῆθος συναθροισθῆναι τῶν ἀνδρῶν. οὕτω φόβῳ ἔφυγεν ὁ Νέστορος υἱός, ἐπ᾽ αὐτῷ δὲ οἱ Τρῶες καὶ ὁ Ἕκτωρ "βοῇ θαυμαστῇ βέλη τὰ στεναγμοῦ αἴτια ἔπεμπον· ἔστη δὲ ἐπιστραφείς, ἐπεὶ εἰς τὸ τῶν ἑταίρων πλῆθος ἀφίκετο. οἱ δὲ Τρῶες λέουσιν ὅμοιοι τοῖς τὰ ὠμὰ ἐσθίουσιν ἐν ταῖς ναυσὶν ἐφώρμων καὶ τοῦ Διὸς ἐτέλουν τὰς ἐντολάς, ὅστις αὐτοῖς δύναμιν παρεῖχε μεγάλην, ἠγάπα δὲ τὴν ψυχὴν "τῶν Ἑλλήνων καὶ τὴν δόξαν ἀφῃρεῖτο, τούτους δὲ διήγειρεν. ἐβούλετο γὰρ αὐτοῦ ἡ ψυχὴ τῷ Ἕκτορι δόξαν παρασχεῖν τῷ Πριάμου υἱῷ, ἵνα ταῖς βαθείαις ναυσὶ καυστικὸν καὶ θεῖον πῦρ ἐμβάλῃ, Θέτιδος δὲ τὴν ἀπρεπῆ εὐχὴν πᾶσαν ἐπιτελέσειε. τοῦτο γὰρ ἀνέμενεν ὁ Ζεύς, "νεὼς καιομένης λαμπηδόνα τοῖς ὀφθαλμοῖς θεάσασθαι· ἐκ τούτου γὰρ δὴ τοῦ καιροῦ ἔμελλεν εἰς τοὔπισω δίωξιν ἀπὸ τῶν νεῶν ἐπιτελέσειν τῶν Τρώων, τοῖς Ἕλλησι δὲ δόξαν παρασχεῖν. ταῦτα φρονῶν ἐπὶ ταῖς ναυσὶ ταῖς βαθείαις παρώρμησεν Ἕκτορα τὸν Πριάμου παῖδα καίπερ αὐτὸν λίαν "προθυμούμενον. "σφοδρῶς δὲ ἐνήργει ὥσπερ ὅτε Ἄρης ὁ πολεμικὸς ἢ τὸ ὀλέθριον πῦρ ἐν ὄρεσιν ἐνθουσιᾷ ἐν τοῖς τῆς βαθείας ὕλης πυκνώμασιν. ἀφρὸς δὲ περὶ τὸ στόμα ἐγίνετο· οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ἔλαμπον ὑπὸ ταῖς φοβεραῖς ὀφρύσιν· ἡ δὲ περικεφαλαία καταπληκτικὸν περὶ τοῖς κροτάφοις ἐσείετο μαχομένου "τοῦ Ἕκτορος· αὐτὸς γὰρ αὐτῷ ἀπὸ τοῦ αἰθέρος ἦν βοηθὸς ὁ Ζεύς, ὅστις αὐτὸν ἐν πλείοσιν ἀνδράσιν μόνον ὑπάρχοντα ἐτίμα καὶ ἐδόξαζεν· ὀλιγόχρονος γὰρ ἔμελλε γενήσεσθαι· ἤδη γὰρ αὐτῷ ἔπεμπε τὴν εἱμαρμένην ἡμέραν ἡ πολεμικὴ Ἀθηνᾶ ὑπὸ τῇ τοῦ Ἀχιλλέως δυνάμει. "καὶ δὴ ἤθελε διακόψαι τὰς τάξεις τῶν ἀνδρῶν ἀπόπειραν ποιούμενος, ὅπου δὴ πλῆθος πολὺ ἑώρα καὶ κάλλιστα ὅπλα. ἀλλ᾽ οὐδ᾽ οὕτως ἐδύνατο διακόψαι καίπερ λίαν προθυμούμενος· ἐκώλυον γὰρ δίκην πύργου ἡρμοσμένοι καθάπερ πέτρα ὑψηλὴ καὶ μεγάλη ἐγγὺς τῆς λευκῆς θαλάσσης οὖσα, "ἥτις ὑπομένει τῶν ὀξέων ἀνέμων τὰς ἰσχυρὰς κινήσεις καὶ τὰ εὐτραφῆ κύματα, ἃ μετὰ ἤχου πρὸς αὐτὴν φέρονται. οὕτως οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἕλληνες τὲς Τρῶας ὑπέμενον ἀσάλευτοι ϗ ὐκ ἔφυγον. οὗτος δὲ καταλαμπόμενος πυρὶ πανταχόθεν ἐνήλατο εἰς τὸ πλῆθος. ἐνέπεσε δὲ ὥσπερ ὅτε κῦμα ἐν ταχείᾳ νηῒ ἐμπέσῃ μέγα ἀθρόον ὑπὸ τῶν νεφῶν ὑπ' ἀνέμου· πᾶσα δὲ ἡ ναῦς ὑπὸ τῆς ἄχνης ἐσκεπάθη, ὅτε τοῦ ἀνέμε τὸ χαλεπὸν πνεῦμα ἐν τῷ ἱσίῳ μετὰ ἦχου πνεῖ· δειλιῶσι δὲ κατὰ διάνοιαν οἱ ναῦται φοβέμενοι· βραχὺ γάρ ἐσι τὸ διεῖργον αὐτοὺς τοῦ θανάτε. ὅτως ἐμερίζετο ἡ ψυχὴ ἐν τοῖς ϛήθεσι τῶν Ἑλ-
λήνων. "ὁ δὲ Ἕκτωρ ὥσπερ λέων δεινὰ φρονῶν βεσὶν ἐμπεσών, οἵτινες δὴ ἐν καθύγρῳ συμφύτε τόπε μεγάλου βόσκονται πολλαί· ἐν ταύταις δὲ ὁ βοσκὸς ἀδέπιο ἐμπείριος ἐπισάμενος πολεμεῖν ϑηρίῳ περὶ ἀνῃρημένης βοὸς μελαίνης· ὅτος μὲν ἐν ταῖς πρώταις ἢ ἐν ταῖς ἐχάταις βουσὶν αἰεὶ συμπαρακολεθεῖ, ὁ δὲ ϑὴρ ἐν μέσαις ὁρμήσας βοῦν ἐϑίει· αὗται δὲ πᾶσαι ἐφοβήθησαν. ὅτω τότε οἱ Ἕλληνες μεγάλως ἐφοβήθησαν ὑπὸ τῆ Ἕκτορος ϗ τῆ πατρὸς Διὸς πάντες· οὗτος δὲ μόνον ἐφόνευσε τὸν ἀπὸ Μυκήνης Περιφήτην, τὸν τοῦ Κοπρέως προσφιλῆ υἱόν, ὅσις Εὐρυϑέως τοῦ βασιλέως "ἄγγελος παρεγένετο τῷ δυνατῷ Ἡρακλεῖ. ὅτος ἐγεννήϑη ἐκ πατρὸς κατὰ πολὺ χείρονος κρείττων υἱὸς παντοδαπὴν ἀρετήν, τῇ τε τῶν ποδῶν ταχυτῆτι καὶ τῷ πολέμῳ ϗ τῇ φρονήσει ἐν τοῖς πρώτοις τῶν Μυκηναίων ἐγένετο· ὅσις δὴ τότε τῷ Ἕκτορι μεγάλην δόξαν ἐχαρίσατο. "ἐπισραφεὶς γὰ εἰς τὰπίσω ἐν τῇ περιφερείᾳ τῆς ἀσπίδος ἐνεπλάκη, ἣν αὐτὸς ἐφόρει μέγιζον περίφραγμα τῶν ἀκοντίων. ταύτῃ ὅτος ἐμποδιωθεὶς ἔπεσεν ὕπτιος· περὶ αὐτὸν δὲ ἡ περικεφαλαία καταπληκτικὸν ἦχησε περὶ τοὺς κροτάφες πεσόντος. ὁ δὲ Ἕκτωρ ταχὺ ἐϑεάσατο, τρέχων δὲ ἐγγὺς αὐτῷ παρέζη, "ἐν τῷ ϛήθει δὲ τὸ δόρυ ἔπηξεν, ἔμπροσθεν δὲ τῶν προσφιλῶν αὐτῷ ἑταίρων ἀπέκτεινεν· ὅτοι δὲ ὐκ ἐδύναντο ϗ ὑπὲρ τοῦ ἑταίρε λυπέμενοι βοηθῆσαι· αὐτοὶ γὰ λίαν ἐφοβήθησαν τὸν ἔνδοξον Ἕκτορα. ἐνδότεροι δὲ τῶν νεῶν ἐγένοντο, περιεκάλυψαν δὲ αὐτὲς αἱ πρῶραι ϗ ναῦς ὅσαι ἐν πρώτοις ἦσαν εἰλκυσμέναι. ὅτοι δὲ ἐπηνέχθησαν. "οἱ δὲ Ἕλληνες τῶν μὲν νεῶν ἀνεχώρησαν ϗ ὑπ' ἀνάγκης τῶν πρώτων ϗ ἄκρων, αὐτοὶ δὲ παρὰ ταῖς σκηναῖς ἐκαρτέρων συνεραμμένοι ϗ ὐκ ἐσκορπίϑησαν ἀνὰ τὸ ϛράτευμα· ἐκώλυσε δὲ αἰχύνη ϗ ὁ φόβος· ἀδιαλείπτως δὲ παρεκελεύοντο ἀλλήλοις. κατὰ πολὺ δὲ δὴ ὁ ἔντιμος Νέϛωρ ὁ φύλαξ τῶν Ἑλλήνων "παρεκάλει ὑπὲρ τῶν τέκνων κετεύων ἕκαϛον ἄνδρα. "ὦ προσφιλέϛατοι, ἀνδρεῖοι ἔϛε ϗ μὴ δέσϑητε ἐν τῇ ψυχῇ τὲς λοιπὲς ἀνθρώπες, ἐπιμνήσϑητε δὲ ἕκαϛος τῶν παίδων ϗ τῆς γυναικὸς ϗ τῆς κτήσεως ϗ τῶν γονέων, ϗ ᾧ τινὶ ζῶσι ϗ ᾧ τινὶ τεθνήκασιν. "ὑπὲρ τύτων ἐγὼ ἐνταῦϑα οὐ παρόντων παρακαλῶ ἵσταϑε γενναίως ϗ μὴ τρέπεϑε εἰς φυγήν." ὅτως εἰπὼν παρώρμησε τὴν δύναμιν ϗ τὴν ψυχὴν ἑκάϛε. τύτων δὲ ἀπὸ τῶν ὀφθαλμῶν τὸ νέφος τῆς σκοτίας ἐπαύσατο ἡ Ἀθηνᾶ τὸ μέγα· παύ δὲ αὐτοῖς σωτηρία ἐγένετο ἀμφοτέρωθεν, "ἔκ τε τῶν θεῶν ϗ τοῦ ἴσε ϗ ὁμοίε πολέμε. τὸν δὲ Ἕκτορα ἐϑεάσαντο τὸν γενναῖον τὴν μάχην ϗ τὲς ἑταίρες αὐτοῦ, καὶ ὁπόσοι ἐξόπισθεν ἀπὸ τῶν πόρρω ἵσαντο ϗ ὐκ ἐμάχοντο ϗ ὁπόσοι παρὰ ταῖς ναυσὶ μάχην ἐμάχοντο ταῖς ταχείαις. ἐκέτι δὲ τῷ μεγαλοψύχῳ Αἴαντι ἤρεσκε τῇ ψυχῇ "ἵσαϑ ὅπε οἱ λοιποὶ μακρόϑεν ἵσαντο Ἕλληνες· ἀλλ' ὅτος τῶν νεῶν τὰ σανιδώματα ἐπέτρεχε μεγάλα προβαίνων, ἐκίνει δὲ τὸ μέγα δόρυ πρὸς ναυμαχίαν ἐπιτήδειον χερσί, κεκολλημένον γόμφοις, εἴκοσι δύο πηχῶν ὄν. ὥσπερ δὲ ὅτε ἀνὴρ ἵππες ἐλαύνῃ καλῶς ἐπισάμενος, "ὅσις ἐπειδὰν ἐκ πόλεως τέσσαρας συλλέξῃ ἵππες, ὁρμήσας ἐκ τῆς πεδιάδος πρὸς τὴν μεγάλην πόλιν διώκει κατὰ τὴν κοινὴν ὁδόν, πολλοί τε ἰδόντες ἐθαύμασαν ἄνδρες ϗ γυναῖκες· ὅτος δὲ βεβαίως ϗ ἀσφαλῶς ἀεὶ πηδῶν ἄλλοσε ἄλλον ὑπαλλάττει, ὅτοι δὲ πέτανται· "ὅτως ὁ Αἴας ἐπὶ τὰ πολλὰ τῶν ταχειῶν νεῶν σανιδώματα ἐπῄει μεγάλα προβαίνων. ἡ δὲ φωνὴ αὐτῷ εἰς τὸν αἰϑέρα ἀφικνεῖτο· ἀεὶ δὲ καταπληκτικὸν βοῶν τοῖς Ἕλλησι παρεκελεύετο ταῖς τε ναυσὶ ϗ ταῖς σκηναῖς βοηθεῖν. ἐδαμῶς δὲ ὁ Ἕκτωρ ἔμεινεν ἐν τῷ τῶν Τρώων πλήϑει τῶν πυκνῶς καϑωπλισμένων, "ἀλλ' ὥσπερ ὅτε ὀρνίϑων ἀετὸς μέλας (ἢ σφόδρα καταπλήττων ἢ διάπυρος) πλῆϑος ἐπιτρέχει παρὰ ποταμὸν βοσκομένων χηνῶν ἢ γεράνων ἢ κύκνων μακροτραχήλων, ὅτως ὁ Ἕκτωρ ὥρμησε κατὰ τῆς μελανοπρώρε νεὸς ἐξ ἐναντίας πηδήσας. τὅτον δὲ ὁ Ζεὺς συνώθησεν ἐκ τῶν ὀπίσω "δυνάμει πάνυ μεγάλῃ, διήγειρε δὲ τὸν λαὸν σὺν αὐτῷ. πάλιν δὲ ὀξεῖα μάχη παρὰ ταῖς ναυσὶν ἐγένετο· εἶπες ἂν ἀκαταπονήτες ϗ ἀκοπιάσες ἀλλήλοις συναντῆσαι ἐν τῷ πολέμῳ· ὅτω προθύμως ἐμάχοντο. τύτοις δὲ μαχομένοις αὕτη ἦν ἡ διάνοια· οἱ μὲν Ἕλληνες "ὐχ ὑπελάμβανον ἐκφυγεῖν ἐκ τῆ κακοῦ ἀλλ' ἀπολέσθαι· τοῖς δὲ Τρωσὶν ἤλπιζεν ἡ ψυχὴ ἐν ταῖς διανοίαις ἑκάϛε τὰς ναῦς ἐμπρήσειν, ἀποκτεῖναι δὲ τὲς γενναίους Ἕλληνας. ὅτοι μὲν ταῦτα φρονῆντες ἐφίσαντο ἀλλήλοις· ὁ δὲ Ἕκτωρ τῆς πρύμνης τῆς νεὼς ἐπελάβετο τῆς θαλασσοπλόε, "καλῆς, ταχέως πλεύσης, ἥτις Πρωτεσίλαον ἐκόμισεν εἰς τὴν Τροίαν, ὐκ ἀνεκόμισε δὲ εἰς τὰπίσω εἰς πατρικὴν γῆν. περὶ τῆς νεὼς δὴ τότε οἵ τε Τρῶες ϗ οἱ Ἕλληνες διέκοπτον ἀλλήλες ἐκ τῆ σύνεγγυς. ἐδαμῶς δὲ ὅτοι τῶν τόξων τὰς βολὰς περιέμενον ἐδὲ τῶν ἀκοντίων, "ἀλλ' ὅτοι ἐκ τῆ σύνεγγυς ἰσάμενοι, μίαν ψυχὴν ἔχοντες, ὀξέσι δὴ πελέκεσι ϗ ἀξίναις ἐμάχοντο ϗ μεγάλοις ξίφεσι ϗ δόρασιν ἀμφισόμοις. πολλὰ δὲ ξίφη κάλλιϛα σιδηρόδετα, μεγάλας λαβὰς ἔχοντα, ἄλλα μὲν ἐκ τῆς χειρὸς χαμαὶ ἔπεσον, ἕτερα δὲ ἀπὸ τῶν ὤμων "τῶν μαχομένων ἀνδρῶν· περιερῥεῖτο δὲ τῷ αἵματι ἡ μέλαινα γῆ. ὁ δὲ Ἕκτωρ ἐπεὶ τῆς πρύμνης ἐπελάβετο, ϗ συνεχώρει τὸ ἀκροζόλιον ἐν ταῖς χερσὶ κρατῶν, ϗ τοῖς Τρωσὶ παρεκελεύετο. "κομίσατε πῦρ, ὁμῆ δὲ ϗ αὐτοὶ συνηγμένοι ἐνεργεῖτε τὴν μάχην. τὰ νῦν ἡμῖν ἀντὶ πάντων ὁ Ζεὺς ἀξίαν ἡμέραν παρέχε, "τὰς ναῦς λαβεῖν αἵτινες ἐνταῦϑα τῶν ϑεῶν μὴ βελομένων ἐλθοῦσαι πολλὰς βλάβας ἡμῖν ἐνεποίησαν τῇ ἀβελίᾳ τῶν γερόντων, οἵτινές με βελόμενον πολεμεῖν ἐν ταῖς μεγάλαις ναυσὶν ἐμέ τε αὐτὸν ἐκώλυον ϗ τὸν λαὸν ἐπεῖχον. ἀλλ' εἰ ϗ τότε

ἐνεπόδιζε τὰς διανοίας ὁ μεγαλόφθαλμος Ζεὺς "τὰς ἡμετέρας, νῦν αὐτὸς διεγείρει καὶ παρακελεύεθ'." ἕτως εἶπεν, αὐτοὶ δὲ δὴ πλειόνως ἐπὶ τοῖς Ἕλλησιν ὥρμησαν. ὁ δὲ Αἴας ἐκέτι ἐκαρτέρει — κατεπονεῖτο γὰρ τοῖς βέλεσιν —, ἀλλ' ὑπανεχώρει μικρὸν ὑπολαμβάνων ἀποθανεῖσθαι ἐπὶ τὸ ἑπτὰ πόδας ἔχον ὑποπόδιον, ὑπέλιπε δὲ τὰ σανιδώματα τῆς νεώς, "ὅπερ δὴ ἕτος εἰσήκει ἐπιτηρῶν, τῷ δὲ δόρατι διὰ παντὸς τὰς Τρῶας ἀπεσόβει τῶν νεῶν ὅσις κομίζοι καυσικὸν πῦρ. ἀεὶ δὲ καταπληκτικὸν βοῶν τοῖς Ἕλλησι παρεκελεύετο. "ὦ προσφιλέσατοι ἀνδρεῖοι Ἕλληνες, θεραπευταὶ τῆ πολέμιε· ἀνδρεῖοι ἔσε ὦ προσφιλέσατοι, ὑπομνήσθητε δὲ τῆς τῆ πολέμιε δυνάμεως, "ἢ ἑτέρας τινὰς οἰόμεθα εἶναι βοηθὰς εἰς τὰ μετὰ ταῦτα ἢ πολεμικὸν τεῖχος, ὅπερ ἂν τοῖς ἀνδράσι τὸν θάνατον ἀποδιώξῃ; ἐδεμία ἐστὶν ἐγγὺς πόλις πύργοις ἠσφαλισμένη, δι' ἧς ἀμυνόμεθα τὰς πολεμίας, δῆμον ἔχοντες δυνάμενον βοηθῆσαι τοῖς κεκτημένοις· ἀλλ' ἐν τῇ πεδιάδι τῶν Τρώων τῶν ἐπιμελῶς καθωπλισμένων "ἐν τῇ θαλάσσῃ κεκλιμένοι πόρρω καθήμεθα τῆς πατρικῆς γῆς. διὸ ἐν ταῖς χερσὶν ἡμῶν καὶ τῷ μάχεσθαι ἡ σωτηρία, οὐκ ἐν τῷ πράσσειν εἶναι τῷ πολέμιῳ." εἶπε καὶ ἀκατασχέτως ὁρμῶν ἐπεδίωκε τῷ ὀξεῖ δόρατι. ὅστις δὲ ἐκ τῶν Τρώων ἐπὶ τὰς βαθείας ναῦς ἤρχετο σὺν πυρὶ καυστικῷ εἰς χάριν τοῦ "Ἕκτορος παρορμῶντος, "τοῦτον ὁ Αἴας ἐτίτρωσκεν ἐπιτηρῶν τῷ ὀξεῖ δόρατι. δώδεκα δὲ ἔμπροσθεν τῶν νεῶν ἐκ τοῦ σύνεγγυς ἔτρωσεν.

Π. ΠΑΤΡΟΚΛΕΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Πὶ Πάτροκλον ἔπεφνεν Ἀρήϊον Ἕκτορος αἰχμή.*

2. *Πατρόκλῳ δεηθέντι Ἀχιλλεὺς ἐπιτρέπει τὴν ἑαυτῦ πανοπλίαν ἀναλαβεῖν καὶ τὸς Μυρμιδόνας ἐξάγειν ἐπὶ τὸν πόλεμον· οἱ δὲ ἐξελθόντες ἔτρεψαν τὸς Τρῶας. Πάτροκλος δὲ Σαρπηδόνα τὸν Διὸς ἀναιρεῖ, τὸν παρήορον ἵππον τοῦ Ἀχιλλέως ἀνελόντα Πήδασον. ἔπειτα δὲ Πάτροκλον Ἕκτωρ ἀναιρεῖ πληγέντα πρότερον ὑπὸ Εὐφόρβου, Ἀπόλλωνος ἀφελομένου τὴν πανοπλίαν αὐτοῦ.*

Οὕτως οἱ μὲν περὶ τῆς εὐκαθέδρα νεὼς ἐμάχοντο· ὁ δὲ Πάτροκλος τῷ Ἀχιλλεῖ παρίσατο τῷ βασιλεῖ τῶν λαῶν πολλὰ δάκρυα ῥέων, καθάπερ κρήνη πολύυδρος ἥτις ἀφ' ὑψηλῆς πέτρας μέλαν καταχεῖ ὕδωρ. "τὸν δὲ ἰδὼν ἠλέησεν ὁ ταχύπους καὶ ἔνδοξος Ἀχιλλεύς, καὶ φωνήσας πρὸς αὐτὸν λόγος ταχεῖς ἔλεγε. "τί δή ποτε κλαίεις ὦ Πάτροκλε καθάπερ γυνὴ μικρά, ἥτις ἅμα τῇ μητρὶ πορευομένη λαβεῖν αὐτὴν παρακελεύεθ' τῷ ἱματίου προσψαύσασα, καὶ σπεύδουσαν κωλύει, "δακρύουσα δὲ πρὸς αὐτὴν βλέπει ἕως ἂν ἀναλάβῃ. ταύτῃ ὅμοιος ὦ Πάτροκλε τρυφερὸν ῥάζεις δάκρυον. ἦ τι τοῖς Μυρμιδόσιν ἐμφανίζεις καὶ ἐμοὶ αὐτῷ, ἢ πά τινα ἀγγελίαν ἀπὸ Φθίας ἤκουσας μόνος; ζῇ δὲ ἔτε φασὶ τὸν Μενοίτιον τὸν τῆ Ἀκτορος υἱόν, "ζῇ δὲ καὶ ὁ τῆ Αἰακῆ υἱὸς ὁ Πηλεὺς ἐν τοῖς Μυρμιδόσιν, περὶ ὧν ἀμφοτέρων ἂν λυπηθείημεν ἀποθανόντων. ἢ σὺ ὑπὲρ τῶν Ἑλλήνων θρηνεῖς, ὅπως ἀπόλλυνθ' ἐπὶ ταῖς βαθείαις νανσὶν ἕνεκα τῆς αὐτῶν παραβάσεως; ὁμολόγει καὶ μὴ κρύπτε τῷ ὀνῷ, ἵνα γνῶμεν ἀμφότεροι." "πρὸς τᾶτον δὲ βαρέως σεναζων εἶπεν ὁ ἱππικὸς Πάτροκλος "ὦ Πηλέως υἱὲ Ἀχιλλεῦ, μεγάλως ἰσχυρότατε τῶν Ἑλλήνων, μὴ μέμφε· τοιαύτη γὰρ λύπη περιεκύκλωσε τὸς Ἕλληνας. ἔτοι μὲν γὰρ δὴ πάντες, ὁπόσοι πρότερον ὑπῆρχον ἀριστεῖς, ἐν ταῖς νανσὶ κεῖνται βεβλημένοι καὶ τετρωμένοι. "βέβληθ' μὲν ὁ τῆ Τυδέως υἱὸς ὁ γενναῖος Διομήδης, τέτρωθ' δὲ καὶ Ὀδυσσεὺς ὁ τῷ δόρατι ἔνδοξος καὶ ὁ Ἀγαμέμνων, πέπληκθ' δὲ καὶ ὁ Εὐρύπυλος κατὰ τὸν μηρὸν τῷ βέλει. τᾶτον μὲν οἱ πολλὰ φάρμακα ἔχοντες ἰατροὶ ἐπιμελῶνθ' τὰ ἕλκη θεραπεύοντες· σὺ δὲ ἀκαμπὴς γεγένα Ἀχιλλεῦ. "μηδαμῶς ἦν ἐμὲ τοιαύτη ἐπιλάβοι ὀργή, ἣν σὺ ἐπὶ πολὺ κατέχεις. ὦ ἐπὶ κακῷ τὴν ἀνδρείαν ἔχων, τίς ἐκ σῆ ἕτερος ὄνησιν εὕροι μεταγενέστερος, ἐάν περ μὴ τοῖς Ἕλλησι τὸν ἀπρεπῆ ὄλεθρον ἀποσοβήσῃς; ὦ ὠμότατε, ἐδαμῶς σοι πατὴρ ὑπῆρχεν ὁ ἱππικὸς Πηλεὺς οὐδὲ μήτηρ ἡ Θέτις· ἡ καταπληκτικὴ δέ σε ἔτεκε θάλασσα "καὶ αἱ ὑψηλαὶ πέτραι, ὅτι σοι ἡ ψυχὴ ἐξι σκληρά. ἐὰν δέ τινα ταῖς σαῖς διανοίαις μαντείαν ἐκκλίνῃς καὶ παρὰ τῆ Διός σοί τινα εἶπεν ἡ σεβασμία μήτηρ, ἀλλὰ κἂν ἐμὲ πρόπεμψον ταχέως, ἅμα δὲ τὸν λοιπὸν λαὸν δὸς τῶν Μυρμιδόνων, ἐάν πέ τις σωτηρία τοῖς Ἕλλησι γένωμαι. "δὸς δέ μοι τοῖς ὦμοις τὰ σὰ ὅπλα καθοπλισθῆναι, ἐάν πώς με σοὶ εἰκάζοντες ἀποσήσονθ' τῆ πολέμιε [οἱ Τρῶες, ἀναπαύσωνθ' δὲ οἱ πολεμικοὶ υἱοὶ τῶν Ἑλλήνων καταπονέμενοι· ἡ ἀνάπαυσις δὲ τῆ πολέμιε παρὰ μικρὰν ῥοπὴν γίνεθ'.] ῥᾳδίως δὲ ἂν οἱ ἀκόπωτοι τὰς κεκοπωμένας ἄνδρας τῷ πολέμιῳ "διώξωμεν πρὸς τὴν πόλιν ἄποθεν τῶν νεῶν καὶ τῶν σκηνῶν." ἕτως εἶπε παρακαλῶν ὁ ἀφρονέστατος· ὄντως γὰρ ἔμελλεν αὐτὸς ἑαυτῷ θάνατον χαλεπὸν καὶ μοῖραν παρακαλεῖν. πρὸς τᾶτον δὲ μεγάλως ἀγανακτήσας εἶπεν ὁ ταχύπους Ἀχιλλεύς "φεῦ μοι ὦ εὐγενέστατε Πάτροκλε, ὁποῖον ἀπέφθεγξω. ἔτε μαντείας φροντίζω ἤντινα ἐπίσαμαι, ἔτε τί μοι παρὰ τῆ Διὸς ἀπήγγειλεν ἡ σεβασμία μήτηρ· ἀλλ' αὕτη ἡ δεινὴ λύπη εἰς τὴν καρδίαν καὶ τὴν ψυχὴν ἀφικνεῖται, ἡνίκα δὴ τὸν ὅμοιον ἀνὴρ ἐθέλει ἀποσερῆσαι καὶ τὴν τιμὴν πάλιν ἀφελέσθ, ὁπότ' ἂν τῷ κρατεῖν προέχει. "δεινὴ λύπη μοί ἐστιν, ἐπειδὴ ὠδυνήθην τῇ ψυχῇ. τὴν κόρην ἣν δή μοι εἰς τιμὴν ἐξαίρετον ἔδωκαν οἱ Ἕλληνες καὶ τῷ ἐμῷ δόρατι ἐκτησάμην πόλιν καλῶς τετειχισμένην πορθήσας, ταύτην πάλιν ἐκ τῶν χειρῶν ἔλαβεν ὁ βασιλεὺς Ἀγαμέμνων ὁ τῆ Ἀτρέως υἱὸς ὥσπερ τινὰ ἄτιμον ἐξ ἀλλης χώρας ἐλθόντα. "ἀλλὰ τὰ μὲν προγεγονότα καταλίπωμεν· οὐδὲ γὰρ δυνατὸν ἦν ἀδιαλείπτως ὀργίζεθ' ἐν ταῖς διανοίαις. καίτοι ἐλογισάμην ἐ πρότερον τὴν ὀργὴν καταπαύσειν, ἀλλ' ἡνίκα δὴ καὶ τὰς ἐμὰς ναῦς παραγένηθ' ἡ ταραχὴ καὶ ὁ πόλεμος. σὺ δὲ

τοῖς μὲν ὤμοις τὰ ἐμὰ περικαλλῆ ὅπλα ἔνδυσαι, "προηγῶ δὲ τοῖς Μυρμιδόσι τοῖς φιλοπολέμοις μάχεσθ, ἐπειδὴ τὸ μέλαν τῶν Τρώων πλῆθος περιεκύκλωσε ταῖς ναυσὶν ἰχυρῶς, ἔτοι δὲ ἐν τῷ αἰγιαλῷ τῆς θαλάσσης ἐτράπησαν γῆς ὀλίγην μοῖραν κατέχοντες οἱ "Ελληνες, τῶν δὲ Τρώων τὸ πλῆθος ἅπαν ἐπῆλθε "μετὰ θάρσεος. ἐ γ' τῆς ἐμῆς περικεφαλαίας βλέπεσι τὰ ἐμπρόσθια ἐκ τῆ σύνεγγυς λαμπούσης· τάχα ἂν φεύγοντες τὰς διαβάσεις πληρώσωσι νεκρῶν, ἐάν μοι ὁ βασιλεὺς Ἀγαμέμνων προσηνῶς ἀποδέξοιτο. νῦν δὲ περὶ τὸν σρατὸν μάχονθ. ἐ γ' τῆ υἱοῦ Τυδέως Διομήδους ἐν ταῖς χερσὶν "ἐνθεσιαστικῶς ὁρμῇ τὸ δόρυ ἀποσοβῆσαι τῶν Ἑλλήνων τὸν ὄλεθρον. ἐδαμῶς τῆς τῆ Ἀγαμέμνονος φωνῆς ἦκεν φωνήσαντος ἐκ τῆς ἐχθρᾶς κεφαλῆς· ἀλλὰ τῆ ἀνδροφόνῃ "Εκτορος τοῖς Τρωσὶ κελεύοντος περιηχεῖ, ἔτοι δὲ πολλῷ θορύβῳ ἅπασαν πεδιάδα κατέχεσι νικῶντες τὰς "Ελληνας ἐν τῇ μάχῃ. "ἀλλὰ ἔτως ὦ Πάτροκλε ἐκ τῶν νεῶν τὸν ὄλεθρον ἀποδιώκων ἐλθὲ κραταιῶς, μὴ δὴ διὰ πυρὸς καιομένῃ τὰς ναῦς ἐμπρήσωσι ἀφέλωνθ τὴν προσφιλῆ ἐπάνοδον. πείθε δὲ καθώς σοι τῆ λόγῳ τὸ πέρας ἐν ταῖς διανοίαις ἐμβάλω, ὅπως ἂν μοι τιμὴν μεγάλην ἐ δόξαν λάβοις "παρὰ πάντων τῶν Ἑλλήνων, ἔτοι δὲ τὴν περικαλλῆ κόρην εἰς τὸπίσω ἀποκαταςήσωσι, προσπορίσωσι δὲ ἐ τὰ λαμπρὰ δῶρα. ἐκ τῶν νεῶν ἀπελάσας ἐλθὲ πάλιν· ἐὰν δὲ δή σοι παράσχοι δόξαν λαβεῖν ὁ μεγαλόκτυπος ἀνὴρ τῆς Ἥρας, μηδαμῶς σὺ χωρὶς ἐμῆ προθυμιᾶ πολεμεῖν "τοῖς φιλοπολέμοις Τρωσίν· ἀτιμότερον δέ με ποιήσῃς. μηδὲ σεμνυνόμενος τῷ πολέμῳ ἐ τῇ μάχῃ τὲς Τρῶας φονεύων ἐπὶ τὴν Ἴλιον προηγεῖσθαι, μή τις τῶν θεῶν ἀπὸ τῆ Ὀλύμπε τῶν ἀεὶ ὑπαρχόντων ἐμποδὼν ςῇ· πάνυ γ' τότες ἀγαπᾷ ὁ μακροβόλος Ἀπόλλων. "ἀλλ' εἰς τὸπίσω ἀναχρέφειν, ἐπειδὰν σωτηρίαν ἐν ταῖς ναυσὶ ποιήσῃς, τότες δὲ ἄφες κατὰ τὸ πεδίον μάχεσθ. εἴθε γ' ὦ πάτερ Ζεῦ ἐ ὦ Ἀθηνᾶ ἐ ὦ "Απολλον μήτε τῶν Τρώων τις τὸν θάνατον διαφύγοι ὁπόσοι εἰσὶ μήτε τις τῶν Ἑλλήνων, ἡμεῖς δὲ διαφύγοιμεν τὸν ὄλεθρον, ὅπως μόνοι τὰ μεγάλα τῆς Τροίας τείχη διαλύοιμεν." ἔτως ἔτοι μὲν τοιαῦτα πρὸς ἀλλήλες ἔλεγον. ὁ δὲ Αἴας ἐκέτι ἐκαρτέρει· συνείχετο γ' τοῖς βέλεσιν· ἐδάμαζε γ' αὐτὸν ἡ τῆ Διὸς βελὴ ἐ οἱ λαμπροὶ Τρῶες ἀκοντίζοντες. φοβερὰ δὲ ἡ περὶ τοῖς κροτάφοις λαμπρὰ "περικεφαλαία τυπτομένη ψόφον ἐποίει, ἐτύπτετο δὲ ἀεὶ κατὰ τὰ εὐκατασκεύαςα προμετωπίδια. οὗτος δὲ τὸν ἀριστερὸν ὦμον ἔκαμνεν ἀκίνητον ἔχων ἀεὶ τὴν ἀσπίδα τὴν ποικίλην· ἐκ ἐδύναντο δὲ περὶ αὐτῷ διασεῖσαι ὠθοῦντες τοῖς βέλεσιν. ἀεὶ δὲ τῷ χαλεπῷ συνείχετο ἄθματι· κατ' αὐτὸ δὲ ὁ ἱδρὼς "πανταχόθεν ἐκ τῶν μελῶν πολὺς κατέῤῥει· οὐδαμῶς δὲ εἶχεν ἀναπνεῦσαι, πανταχῆ δὲ κακὸν τῷ κακῷ διεδέχετο. εἰπατέ μοι ὦ Μῶσαι αἱ τὰ τῆ Ὀλύμπε οἰκεῖσαι οἰκήματα ποίῳ τρόπῳ ἐν πρώτοις τὸ πῦρ ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων ἔπεσεν. ὁ "Εκτωρ τῆ Αἴαντος τὸ μέλινον δόρυ πλησίον παραςὰς "ἔπληξε τῷ μεγάλῳ ξίφει παρὰ τὸ ἄκρον τῆς ἐπιδορατίδος ὄπισθεν, ἐξ ἐναντίας δὲ ἔκοψε. τῆτο μὲν ὁ Τελαμώνιος Αἴας ἐκίνει ματαίως ἐν τῇ χειρὶ τὸ κόλοβον δόρυ· πόῤῥω δὲ ἀπ' αὐτῆ ἡ σιδηρᾶ ἐπιδορατὶς χαμαὶ ἦχησε πεσοῦσα. ἔγνω δὲ ὁ Αἴας κατὰ τὴν ψυχὴν τὴν ἄψογον ἐ ἐφοβήθη "τὰ τῶν θεῶν ἔργα, ὅτι δὴ τελείως ἐπικόπτει τὰ βελεύματα τῆ πολέμε Ζεὺς ὁ ἐν ὕψει βροντῶν, τοῖς δὲ Τρωσὶ τὴν νίκην παρεῖχεν. ὑπανεχώρει δὲ ἐκ τῶν βελῶν· ἔτοι δὲ ἐνέβαλον καυσικὸν πῦρ ἐν ταχείᾳ νηΐ· ταύτης δὲ ταχέως κατεχύθη δυσκατάσβεσον πῦρ. ἕτω περὶ τὴν πρύμνην ταύτης τὸ πῦρ ἐνήργει· ὁ δὲ Ἀχιλλεὺς "τὲς μηρὲς πλήξας πρὸς τὸν Πάτροκλον εἶπεν "διεγέρθητι ὦ εὐγενέσατε Πάτροκλε ἱππικέ. βλέπω δὴ παρὰ ταῖς ναυσὶ πυρὸς καυσικῆ ὁρμήν, ἵνα μὴ τὰς ναῦς λάβωσι ἐ ἐκέτι σωτηρία ἔσαι. ἔνδυσαι δὲ τὰ ὅπλα τάχιον· ἐγὼ δὲ τὸν λαὸν παρορμήσω." "ἕτως εἶπεν· ὁ δὲ Πάτροκλος ὡπλίζετο τῷ εὐήχῳ σιδήρῳ. ἐν πρώτοις μὲν τὰς κνημῖδας περὶ ταῖς κνήμαις ἔθηκεν τὰς καλλίσας, ἀργυροῖς ἐπικαλύμμασι τῶν σφυρῶν ἡρμοσμένας· ἐκ δευτέρε δὲ θώρακα ἐν τοῖς ςήθεσιν ἐνεδύσατο πεποικιλμένον λαμπρὸν τῆ ταχύποδος Ἀχιλλέως. "περὶ δὲ τὲς ὤμους ἔθετο ξίφος ἀργυρᾶς ἥλες ἔχον σιδηρᾶν, μετὰ ταῦτα δὲ ἀσπίδα μεγάλην ἐ δυνατήν. ἐπὶ δὲ τῇ κεφαλῇ περικεφαλαίαν εὐκατασκεύαςον ἔθηκεν ἱππείας τρίχας ἔχουσαν· φοβερὸν ὁ λόφος ὑπεράνωθεν ἐσείετο. ἔλαβε δὲ ἰχυρὰ δόρατα, ἃ ταῖς χερσὶν αὐτῆ ἥρμοζον. "τὸ δόρυ δὲ ἓκ ἔλαβε μόνον τῆ ἀμέμπτε Ἀχιλλέως τὸ βαρὺ ἐ μέγα ἐ ἰχυρόν· τῆτο γ' ἓκ ἠδύνατο ἄλλος τῶν Ἑλλήνων κινεῖν, ἀλλ' αὐτὸ μόνος ἠδύνατο σείσαι ὁ Ἀχιλλεύς, τὴν ἐκ Πηλίε ὄρες ἐσαν, ἣν τῷ προσφιλεῖ πατρὶ ἐχαρίσατο ὁ Χείρων, ἐκ τῆς κορυφῆς τῆ Πηλίε ὄρες τεμὼν εἰς ἀναίρεσιν εἶναι τοῖς ἀνδρείοις. "τὸν δὲ Αὐτομέδοντα τὸν ἵππες ταχέως ζευγνύναι ἐκέλευσεν, ὃν μετὰ τὸν ἀνδρεῖον Ἀχιλλέα ἐτίμα κατὰ πολύ, πιςότατος δὲ αὐτῆ ὑπῆρχεν ἐν τῇ μάχῃ μεῖναι τὴν ἀπειλήν. τότῳ ἓ ὁ Αὐτομέδων ὑπὸ τὸν ζυγὸν ἦγε τὲς ταχεῖς ἵππες τὸν Ξάνθον ἐ τὸν Βάλιον, οἵτινες ὁμοίως ἀνέμοις ἐπέταντο. "τότες ἔτεκε τῷ Ζεφύρῳ ἀνέμῳ ἡ ταχυτάτη "Αρπυια βοσκομένη ἐν τῷ λειμῶνι παρὰ τὸν ῥῶν τῆ Ὠκεανῆ. ἐν δὲ ταῖς ἔξω τῆ ζυγοῦ ἡνίαις Πήδασον τὸν κρείττονα ἡφίει, ὃν δὴ τῆ Ἠετίωνος λαβὼν τὴν πόλιν ἦγαγεν ὁ Ἀχιλλεύς· ὅςις καίπερ θνητὸς ὢν ἐπηκολούθει τοῖς ἀθανάτοις ἵπποις. "τὲς δὲ Μυρμιδόνας ἐπιπορευόμενος καθώπλισεν ὁ Ἀχιλλεὺς πάντας κατὰ τὰς σκηνὰς σὺν ὅπλοις· οἱ δὲ ὥσπερ λύκοι ὠμὰ ἐθίοντες — ἐν τότοις περὶ τὰς διανοίας πολλὴ δύναμις· οἵτινες ἔλαφον μεγαλόκερων ἐν τοῖς ὄρεσι σπαράξαντες ἐθίσσιν· ἐν πᾶσι δὲ περὶ τὰς σιαγόνας τὸ πυῤῥὸν αἷμα· "ἐ αὗται κατὰ ἀγέλας πορεύονθ ἀπὸ πηγῆς μέλαν ὕδωρ ἐχούσης ἀναῤῥοφήσαντες ταῖς λεπταῖς γλώσσαις τὸ μέλαν ὕδωρ, ἀπ' ἄκρε τῆ ςόματος ἐρευγόμενοι τὸν φόνον τῆ αἵματος· ἡ δὲ ψυχὴ αὐτῶν ἐν τοῖς ςήθεσιν ἄφοβος ὑπάρχει, περισεχωρεῖται δὲ αὐτῶν ἡ ςαγήν. τοιῆτοι οἱ τῶν Μυρμιδόνων ἡγεμόνες ἐ βασιλεῖς "περὶ τὸν ἀνδρεῖον θεράποντα

τῆ ταχύποδος Ἀχιλλέως ἕσπευδον. ἐν τέτοις δὲ ἵζατο ὁ πολεμικὸς Ἀχιλλεὺς παρορμῶν τές τε ἵππες καὶ τὲς ὁπλίτας ἄνδρας. πεντήκοντα ὑπῆρχον ταχεῖαι ναῦς αἷς τισὶν ὁ Ἀχιλλεὺς εἰς τὴν Τροίαν ἐπεξάτει ὁ τῷ Διὶ προσφιλής· ἐν ἑκάςῃ δὲ πεντήκοντα ἦσαν ἄνδρες ἐπὶ ταῖς καθέδραις ναῦται· πέντε δὲ ἄρχοντας ἐποίησεν ἐν οἷς τισὶν ἐθάῤῥει διατάττειν· αὐτὸς δὲ μεγάλως κρατῶν ἐβασίλευε. τῆς μὲν μιᾶς τάξεως ἡγεῖτο Μενέσθιος ὁ ποικιλοθώραξ υἱὸς Σπερχειῆ τῆ ἐκ Διὸς πεπτωκότος ποταμῆ Θεσσαλίας, ὃν ἔτεκεν ἡ τῆ Πηλέως θυγάτηρ ἡ καλλίςη Πολυδώρα Σπερχειῷ τῷ γενναίῳ γυνὴ θεῷ συγκοιμηθεῖσα, κατ' ἐπίκλησιν δὲ Βώρᾳ τῆ Περιήρεως υἱῆ, ὃς δὴ φανερῶς συνώκει παρέχων πολλὰ δῶρα. τῆς δὲ ἑτέρας τάξεως Εὔδωρος ὁ πολεμικὸς ἡγεῖτο, ὃ ἐκ νομιζομένης γεννηθεὶς παρθένε, ὃν ἔτεκεν ἐν τῷ χορεύειν ἡ καλλίςη Πολυμήλα ἡ Φύλαντος θυγάτηρ. ταύτης δὲ ὁ ἰχυρὸς Ἑρμῆς ὁ τὸν Ἄργον φονεύσας ἠράθη, τοῖς ὀφθαλμοῖς ἰδὼν ἐν ταῖς ἀδούσαις ἐν τῷ χορῷ τῆς Ἀρτέμιδος τῆς χρυσοτόξε, τῆς κυνηγετικῆς· εὐθέως δὲ εἰς ὑπερῷον οἴκημα ἀνελθὼν παρεκοιμήθη λάθρᾳ. Ἑρμῆς ὁ ἄκακος, παρέχε δὲ αὐτῇ λαμπρὸν υἱὸν τὸν Εὔδωρον, περὶ τὸ τρέχειν μὲν ταχὺν καὶ πολεμικόν. ἐπειδὴ δὲ τᾶτον ἡ λοχεύτρια Εἰλήθυια, ἡ μογᾶσα περὶ τὲς τόκες, ἐξήγαγε πρὸς τὸ φῶς καὶ τὰς τᾶ ἡλίε εἶδεν αὐγάς, ταύτην μὲν τᾶ Ἐχεκλέος ἡ ἰχυρὰ δύναμις τᾶ υἱῆ Ἄκτορος ἤγαγετο πρὸς τὰ οἰκήματα, ἐπειδὴ παρέχε πολλὰ δῶρα· τᾶτον δὲ ὁ Φύλας ὁ πρεσβύτης καλῶς ἔτρεφε καὶ ἐπεμελεῖτο, φιλοφρονέμενος καὶ ἀγαπῶν ὥσπερ ἑαυτοῦ υἱὸν ὄντα. τῆς τρίτης δὲ Πείσανδρος ὁ πολεμικὸς ἡγεῖτο, ὁ Μαιμάλε υἱός, ὃς πᾶσι τοῖς Μυρμιδόσιν εὐπρεπὴς ἦν ἐν τῷ μάχεσθ τῷ δόρατι μετὰ τὸν τᾶ Ἀχιλλέως ἑταῖρον. τῆς δὲ τετάρτης ἡγεῖτο ὁ πρεσβύτης καὶ ἱππικὸς Φοῖνιξ, τῆς δὲ πέμπτης ὁ Ἀλκιμέδων ὁ τᾶ Λαέρκεος ἄμεμπτος υἱός. ἐπειδὴ δὲ πάντας ὕμα τοῖς ἡγεμόσιν ὁ Ἀχιλλεὺς ἔςησε καλῶς διαχωρίσας δυνατὸν λόγον ἐνετείλατο. "ὦ Μυρμιδόνες, μηδαμῶς μοί τις τῶν ἀπειλῶν ἐπιλαθέσθω, ἃς ἐπὶ ταῖς ταχείαις ναυσὶν ἠπειλεῖτε τοῖς Τρωσὶν ὑπὸ πάντα τὸν τῆς ὀργῆς καιρόν, καὶ ἐμέμφεσθέ με ἕκαςος. "ὦ ἄγνωμον Πηλέως υἱέ, τῇ χολῇ ἄρα σε ἡ μήτηρ ἔτρεφεν. ἀσύμπαθες, ὃς παρὰ ταῖς ναυσὶ κατέχεις ἄκοντας τὲς ὁπλίτας. "εἰς τὲς οἴκες σὺν ταῖς ναυσὶ πορευθῶμεν ταῖς θαλασσοπλόοις πάλιν, ἐπειδή σοι ἕτω κακὴ ὀργὴ τῇ ψυχῇ ἐνέπεσε." ταῦτα παρορμῶντες συνεχῶς ἐλέγετε. νῦν δὲ πεφανέρωθ τῆς κατὰ τὸ πλῆθος μάχης τὸ μέγα ἔργον, ἧς πρότερον ἐπεθυμεῖτε, ὅπε τις δυνατὴν ψυχὴν ἔχων τοῖς Τρωσὶ πολεμείτω." "ἕτως εἰπὼν διήγειρε τὴν δύναμιν καὶ τὴν προθυμίαν ἑκάςε. μᾶλλον δὲ αἱ τάξεις ἡρμόσθησαν, ἐπειδὴ ἦκεσαν τᾶ βασιλέως. ὥσπερ δὲ ὅτε τοῖχον ἀνὴρ ἁρμόσει συνεχέσι λίθοις οἰκήματος ὑψηλᾶ, πνοὰς τῶν ἀνέμων ἐκκλίνων, ἕτως ἡρμόσθησαν αἵ τε περικεφαλαῖαι καὶ ἀσπίδες αἱ ὀμφαλὲς ἔχεσαι. "ἀσπὶς δὲ ἀσπίδα ὑπεςήριζε, περικεφαλαία τὴν περικεφαλαίαν καὶ ἀνὴρ ἄνδρα· ἤπτοντο δὲ αἱ περικεφαλαῖαι τοῖς λαμπροῖς λόφοις σειομένων· ἕτω συνεχεῖς ἐπ' ἀλλήλοις ἔςησαν. ἔμπροσθεν δὲ πάντων δῦο ἄνδρες καθωπλίζοντο, ὅ τε Πάτροκλος καὶ ὁ Αὐτομέδων, μίαν προθυμίαν ἔχοντες "ἔμπροσθεν τῶν Μυρμιδόνων πολεμεῖν. ὁ δὲ Ἀχιλλεὺς ἀπέβη πορευθῆναι εἰς τὴν σκηνήν, ἀνέῳξε δὲ τῆς κιβωτᾶ τὸ σκέπασμα, καλλίςης καὶ ποικίλης, ἣν αὐτῷ ἡ λευκώλενος Θέτις ἔθηκεν ἐπὶ τῆς νεὼς ἐπιφέρεσθ, καλῶς πληρώσασα χιτώνων χλαινῶν τε σκεπόντων ἀπὸ ἀνέμε καὶ δασέων ταπήτων. "ἐκεῖ δὲ αὐτοῦ ποτήριον ἦν κατεσκευασμένον· ἀδεὶς ἕτερος ἔτε ἀνδρῶν εἰς τᾶτο ἔπινεν ἐξ αὐτᾶ γλυκὺν οἶνον, ἔτε τινὶ ἔσπενδε θεῶν πλὴν τῷ Διὶ πατρί. τᾶτο δὴ τότε ἐκ τᾶ κιβωτίε λαβὼν ἐκαθάρισε τῷ θυμιάματι ἐν πρώτοις, μετὰ ταῦτα δὲ ἔνιψε ταῖς καλαῖς ῥοαῖς τᾶ ὕδατος. "ἐνίψατο δὲ καὶ αὐτὸς τὰς χεῖρας, ἤντλησε δὲ ἐρυθρὸν οἶνον· [ἤχετο δὲ μετὰ ταῦτα εἰς ἐν τῷ μέσῳ τᾶ περιφράγματος τῆς σκηνῆς, ἔσπενδε δὲ τὸν οἶνον] εἰς ἀρανὸν ἀναβλέψας· ἐκ ἔλαθε δὲ τὸν τερπόμενον τοῖς κεραυνοῖς Δία. "ὦ Ζεῦ βασιλεῦ, ὁ ἐν Δωδώνῃ τιμώμενος, Θεσπαλικέ, πόῤῥω οἰκῶν, τῆς Δωδώνης βασιλεύων τῆς κακὸν χειμῶνα ἐχόσης· οἱ δὲ Σελλοὶ "παρὰ σοὶ οἰκᾶσιν οἱ ἱερεῖς, οἱ ἄνιπτοι τοῖς ποσὶ καὶ χαμαὶ κοιμώμενοι. ἐάν ποτε ἐμὸν λόγον ἤκεσας εὐξαμένε, ἐμὲ μὲν ἐτίμησας, μεγάλως δὲ ἔβλαψας τὸν λαὸν τῶν Ἑλλήνων, καὶ τὰ νῦν ἔτι τᾶτο τελείωσον τὸ ἐπιθύμημα. ἐγὼ μὲν γὰ αὐτὸς προσμένω ἐν τῷ ἁθροίσματι τῶν νεῶν· "ἀλλὰ τὸν θεράποντα πέμπω μετὰ πολλῶν Μυρμιδόνων μάχεσθαι. τάτῳ δόξαν ἅμα πρόπεμψον ὦ μεγαλόφωνε Ζεῦ, παραθάῤῥυνον δὲ αὐτᾶ τὴν ψυχὴν ἐν ταῖς διανοίαις, ὅπως καὶ ὁ "Ἕκτωρ γνώσῃ ὀντι ὄντως καὶ μόνος ἐπίσαται πολεμεῖν ὁ ἡμέτερος θεράπων, καὶ τότε αὐτᾶ χεῖρες ἀκαταμάχητοι "ἐνθουσιαζικῶς ὁρμῶσιν, ὁπότ' ἂν ἐγὼ πέμψω πρὸς τὴν συμπλοκὴν τᾶ πολέμε. ἐπειδὰν δὲ ἀπὸ τῶν νεῶν τὴν μάχην καὶ τὴν ταραχὴν διώξῃ, ἀβλαβής μοι μετὰ ταῦτα ἐπὶ τὰς ταχείας ναῦς παραγένοιτο σὺν πᾶσί τε τοῖς ὅπλοις καὶ τοῖς πολεμικοῖς ἑταίροις." ἕτως εἶπεν εὐχόμενος· τάτε δὲ ἤκεσεν ὁ βελευτικὸς Ζεύς. "τάτων μὲν ἓν ἔδωκεν ὁ πατήρ, τὸ δὲ ἕτερον ἀνένευσεν· ἐκ μὲν τῶν νεῶν αὐτὸν ἀποδιῶξαι τόν τε πόλεμον καὶ τὴν μάχην ἔδωκε, σωζόμενον δὲ ἀνένευσεν ἐκ τῆς μάχης ἐπανελθεῖν. ἕτος μὲν θύσας καὶ εὐξάμενος τῷ πατρὶ Διὶ πάλιν εἰς τὴν σκηνὴν εἰσῆλθε καὶ τὸ ποτήριον ἀπέθετο ἐν τῇ κιβωτῷ, "ἔξη δὲ ἔμπροσθεν ἐλθὼν τῆς σκηνῆς· ἔτι δὲ ἐβέλετο τῇ ψυχῇ εἰσβλέπειν τῶν Τρώων καὶ τῶν Ἑλλήνων τὴν χαλεπὴν μάχην. ἕτοι δὲ ἅμα τῷ μεγαλοψύχῳ Πατρόκλῳ ὁπλισθέντες ἐπορεύοντο, ἕως ἂν τοῖς Τρωσὶ μεγαλοφρονῆντες ἐπέβησαν. εὐθέως σφῆξιν ὅμοιοι ἐπετίθεντο ἀθρόως ἐξιόντες "παρόδιοις, ἃς παῖδες παροξύνεσι συνήθεις ἀεὶ ἐρεθίζοντες ἐφ' ὁδῷ τὴν οἰκίαν ἔχοντας, ἄφρονες· κοινὸν δὲ κακὸν πολλοῖς τιθέασιν. τάτες δὲ ἐάν περ παρερχόμενός τις ἄνθρωπος ὁδοιπόρος παρορμήσει ἄκων, ἕτοι δὲ ἰχυρὰν ψυχὴν ἔχοντες "εἰς τὲμπροσθεν πᾶς πέτα καὶ βοηθεῖ τοῖς ἑαυτῆ τέκνοις. τάτων τότε ο

Μυρμιδόνες τὴν καρδίαν καὶ τὴν ψυχὴν ἔχοντες ἐκ τῶν νεῶν ἀθρόως ἐξήεσαν· ταραχὴ δὲ ἄπαυστος ἐγένετο. ὁ δὲ Πάτροκλος τοῖς ἑταίροις ἐκέλευε μέγα βοήσας. "ὦ Μυρμιδόνες σύμμαχοι τῷ υἱῷ Πηλέως Ἀχιλλέως, "ἀνδρεῖοι ἔστε προσφιλέστατοι, μνήσθητε δὲ τῆς πολεμικῆς δυνάμεως, ὅπως ἂν τὸν Ἀχιλλέα τιμήσωμεν ὅστις μεγάλως ἀριστεὺς παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων καὶ ἓ πολεμικοὶ οἱ θεράποντες. γνώτω δὲ καὶ Ἀτρείδης Ἀγαμέμνων ὁ μεγάλως βασιλεύων τὴν ἰδίαν βλάβην, ὅτι τὸν ἀριστέα τῶν Ἑλλήνων κατ' ἐδὲν ἐτίμησεν." "ὅτως εἰπὼν παρώρμησε τὴν δύναμιν καὶ τὴν ψυχὴν ἔκαυσε. ἐπέθεντο δὲ τοῖς Τρωσὶ συνηγμένοι· αἱ δὲ ναῦς καταπληκτικὸν περιήχησαν ὑπὸ τῶν Ἑλλήνων βοησάντων. οἱ δὲ Τρῶες ὡς ἐθεάσαντο τὸν Μενοιτίδ ἰσχυρὸν υἱὸν αὐτὸν καὶ ὑπασπιστὴν σὺν τοῖς ὅπλοις ἀπολάμποντας, "πάντων ἐταράχθη ἡ ψυχή, ἐταράχθησαν δὲ αἱ τάξεις, ἐλπίζοντες παρὰ ταῖς ναυσὶ τὸν ταχύπεδ Ἀχιλλέα τὴν μὲν ὀργὴν ἀποῤῥῖψαι, φιλίαν δὲ ἀναλαβεῖν. περιέβλεπε δὲ ἕκαστος ὅπε φύγοι τὸν χαλεπὸν θάνατον. πρῶτος δὲ ὁ Πάτροκλος ἠκόντισε τῷ λαμπρῷ δόρατι "ἐξ ἐναντίας κατὰ μέσον, ὅπε οἱ πλεῖστοι συνεῤῥέφοντο, παρὰ τῇ μεγάλῃ νηῒ τῷ μεγαλοψύχῳ Πρωτεσιλάε· καὶ ἔτυχε τὸν Πυραίμην, ὃς τὸς ἱππικὸς Παίονας ἦγαγεν ἐκ τῆς Ἀμυδῶνος ἀπὸ τοῦ ποταμοῦ Ἀξιοῦ τοῦ μεγάλως ῥέοντος. τοῦτον ἔτρωσε κατὰ τὸν δεξιὸν ὦμον· ὅτος δὲ ἐπὶ νώτε ἐν τῇ γῇ "κατέπεσε χενάξας. οἱ δὲ ἑταῖροι αὐτοῦ ἑκατέρωθεν ἔφυγον οἱ Παίονες· ὁ γὰ Πάτροκλος πᾶσι φόβον ἐνέθηκε τὸν ἄρχοντα ἀποκτείνας, ὅσις ἄριστος ἦν τῷ μάχεσθ. ἀπήλασε δὲ αὐτὸς ἐκ τῶν νεῶν, ἀπέσβεσε δὲ τὸ καιόμενον πῦρ. ἡμίκαυστος δὲ ἄρα ἡ ναῦς κατελείφθη ἐκεῖ. ὅτοι δὲ ἔφυγον "οἱ Τρῶες ὑπὸ τῆς πολλῆς ταραχῆς· οἱ δὲ "Ελληνες ἐπετίθεντο κατὰ τὰς βαθείας ναῦς, θόρυβος δὲ ἀκατάπαυστος ἐγένετο. ὥσπερ δὲ ὅτε ἀπὸ ὑψηλῆς κορυφῆς μεγάλε ὄρες κινήσει παχεῖαν νεφέλην ὁ ἀστραπτικὸς Ζεύς, ἐξεφάνησαν δὲ πάντα τὰ σκοπευτήρια καὶ αἱ ἐξοχαὶ τῶν ὀρῶν αἱ ὑψηλαὶ "καὶ οἱ σύμφυτοι τόποι, ἀπὸ τοῦ ὠρανοῦ δὲ ἐξέλαμψεν ὁ πολὺς αἰθήρ, ὅτως οἱ "Ελληνες ἀπὸ μὲν τῶν νεῶν ἀποδιώξαντες τὸ καυσικὸν πῦρ πρὸς ὀλίγον ἄνεσιν ἔλαβον, τῇ δὲ πολέμε οὐκ ἐγίνετο ἀνακωχή· ἐνθέπω γὰ οἱ Τρῶες ὑπὸ τῶν φιλοπολέμων Ἑλλήνων ἠπειγμένως ἔφυγον ἀπὸ τῶν βαθειῶν νεῶν, "ἀλλ' ἔτι δὴ ἀντεπολέμεν, τῶν δὲ νεῶν ὑπεχώρησαν ἐξ ἀνάγκης. τότε δὴ ἀνὴρ ἀνεῖλεν ἄνδρα διασκεδασθείσης τῆς μάχης τῶν ἀρχόντων. ἐν πρώτοις δὲ ὁ Μενοιτίδ ἰσχυρὸς υἱὸς εὐθέως δὴ ἐπισραφέντος τῷ Ἀρητίλυκε κατὰ μηρὸν ἐπέτυχε τῷ ὀξεῖ δόρατι, δι' ὅλε δὲ διεπέρασε τὸν σίδηρον. "διέῤῥηξε δὲ τὸ ὀστῶν τὸ οὖρυ· ὅτος δὲ ἐπὶ πρόσωπον ἐν τῇ γῇ κατέπεσεν. ὁ δὲ Μενέλαος ὁ πολεμικὸς ἔτρωσε τὸν θώρακα κατὰ τὸ σῆθος γυμνωθέντα ἐκτὸς τῆς ἀσπίδος, ἔλυσε δὲ αὐτῷ τὰ μέλη. ὁ δὲ Φυλέως υἱὸς τὸν Ἀμφικλον ἐπερχόμενον καταφοχασάμενος ἔφθασε τύψας τὸ ἔσχατον μέρος τῷ σκέλες, ὅπε ὁ παχὺς "μυὼν τῷ ἀνθρώπε ὑπάρχει· περὶ δὲ τῇ τῷ δόρατος αἰχμῇ τὰ νεῦρα διεχίθη· τότου δὲ τὸς ὀφθαλμὸς νὺξ ἐκάλυψεν. οἱ δὲ τῷ Νέςορος υἱοὶ ὁ μὲν ἔτρωσεν Ἀτύμνιον τῷ ὀξεῖ δόρατι, ὁ Ἀντίλοχος, διὰ δὲ τῆς λαγόνος διεπέρασε τὸ σιδηροῦν δόρυ, κατέπεσε δὲ ἔμπροσθεν. ὁ δὲ Μάρις παραχρῆμα τῷ δόρατι "κατὰ τῷ Ἀντιλόχε ἐφωρμήθη ὑπὲρ τῷ ἀδελφῷ ὀργισθείς, ςαθεὶς ἔμπροσθεν τῷ νεκρῷ· τότε δὲ ὁ ἰσόθεος Θρασυμήδης προέλαβεν ἀκοντίσας πρὸ τῷ τρῶσαι, ἐκ ἀπέτυχε δέ. εὐθέως ἐπὶ τὸ ἔχατον τῷ ὤμε τὸν βραχίονα ἡ αἰχμὴ τοῦ δόρατος ἀπέξεσεν ἀπὸ τῶν μυώνων, ἄχρι δὲ τῷ ὀξέε τὴν σάρκα ἀπέσυρεν. "ἐκτύπησε δὲ πεσών, κατεκάλυψε δὲ σκότος τοῖς ὀφθαλμοῖς αὐτῷ. ὅτως ὅτοι οἱ δύο αὐτάδελφοι ἀποθανόντες ἐπορεύθησαν εἰς σκότος, οἱ τῷ Σαρπηδόνος ἀγαθοὶ ἑταῖροι, υἱοὶ τῷ Ἀμισωδάρε ἀκοντισαί, ὅστις δὴ τὴν Χίμαιραν ἀνέθρεψε τὴν ἀκαταμάχητον, τὴν κακοποιὸν "ὀπολλῶν ἀνθρώπων. "ὁ δὲ Αἴας τὸν Κλεόβολον ὁ τῷ Οἰλέως ἐφορμήσας ζῶντα συνέλαβεν ἐπιχεθέντα κατὰ συρροφήν· ἀλλ' αὐτόθι αὐτῷ παρέλυσε τὴν δύναμιν, τρώσας τῷ λαβὴν ἔχοντι ξίφει τὸν αὐχένα. πᾶν δὲ τὸ ξίφος ἐβαπτίσθη τῷ αἵματι· τοῦτον δὲ κατὰ τὸς ὀφθαλμὸς ἔλαβεν ὁ σκοτεινὸς θάνατος καὶ ἡ ἀπαραίτητος μοῖρα. "ὁ δὲ Πηνέλεως καὶ ὁ Λύκων ἐκ τῷ σύνεγγυς ἐμίχθησαν. [δόρασι μὲν γὰ ἀπέτυχον ἀλλήλων, ματαίως δὲ ἔβαλον ἀμφότεροι· ὅτοι δὲ αὖθις ξίφεσι συνέβαλον.] τότε ὁ μὲν Λύκων τῆς ἱπποτρίχε περικεφαλαίας τὸ ἄκρον ἔτυψε· τὸ δὲ κάλλιςον αὐτῷ συνετρίβη ξίφος. ὅτος δὲ ὑποκάτω τῷ ὠτὸς τὸν τράχηλον ἔκοψεν "ὁ Πηνέλεως· ὅλον δὲ τὸ ξίφος ἔνδον εἰσέδυ, ἐκράτει δὲ μόνον τὸ δέρμα, ἀπεκρεμάσθη δὲ ἡ κεφαλή, παρελύθη δὲ αὐτῷ τὰ μέλη. ὁ Μηριόνης δὲ τὸν Ἀκάμαντα καταλαβὼν τοῖς ταχυτάτοις ποσὶν ἔτρωσε τῶν ἵππων ἐπιβήσεσθ μέλλοντα κατὰ τὸν δεξιὸν ὦμον· [κατέπεσε δὲ ἐκ τῷ ὀχήματος, σκότος δὲ κατὰ τῶν ὀφθαλμῶν ἐπεχύθη.] "ὁ δὲ Ἰδομενεὺς τὸν Ἐρύμαντα κατὰ τὸ ςόμα τῷ ἀνηλεεῖ σιδήρῳ ἔτρωσε· τοῦτο δὲ ἐξ ἐναντίας τὸ σιδηροῦν δόρυ διεπέρασεν ὑπὸ τὴν ἐγκέφαλον, συνέτριψε δὲ τὰ ὀςέα τὰ λευκά, ἐξετινάχθησαν δὲ οἱ ὀδόντες, ἐπληρώθησαν δὲ ἀμφότεροι οἱ ὀφθαλμοὶ αὐτῷ αἵματος· τοῦτο δὲ ἀνὰ τὸ ςόμα καὶ τὰς ῥῖνας "μετὰ πνεύματος ἐξέδωκε· τῷ δὲ θανάτε τὸ σκοτεινὸν νέφος περιεκάλυψεν αὐτόν. ὅτοι δὲ ἡγήτορες τῶν Ἑλλήνων ἀνεῖλον ἕκαςος ἄνδρα. ὥσπερ δὲ λύκοι ἄρνεσιν ἐφώρμησαν ἢ ἐρίφοις βλαπτικοί, ὑφαιρεθέντα τὰ λιπαρὰ τῶν βοσκημάτων, αἵτινες ἐν ὄρεσιν ταῖς τῷ ποιμένος ἀμελείαις διεσκορπίσθησαν· ὅτοι δὲ ἰδόντες "ταχέως διαρπάζουσιν ἀθενῆ τὴν ψυχὴν ἔχοντα· ὅτως οἱ "Ελληνες μετὰ βίας τοῖς Τρωσὶν ἐπῆλθον· ὅτοι δὲ τῷ φόβε κακὸν ἦχον ἀποτελοῦντος ὑπεμνήσθησαν, ἐπελάθοντο δὲ τῆς πολεμικῆς δυνάμεως. Αἴας δὲ ὁ μέγας διὰ παντὸς ἐπὶ τῷ σιδηροθωράκῳ "Ἕκτορι ἔσπευδεν ἀκοντίσαι· ὅτος δὲ ἐμπειρίᾳ τῇ πολεμικῇ "ἀσπίδι ἀπὸ βύρσης ταύρε κεκαλυμμένος τὲς πλατεῖς ὤμες ἐσκέπτετο ἀπὸ τῷ ἦχε τῶν βελῶν καὶ τῷ κτύπε τῶν ἀκοντίων. ὄντως δὴ ἐγίνωσκε τῆς μάχης τὴν ἑτεροκλινῆ νίκην, ἀλλὰ καὶ ὅτως ἀνέμενεν, ἔσωζε δὲ τὲς

εὐαρμόςȣς ἑταίρȣς. ὥσπερ δὲ ὅτε ἀπὸ τȣ̃ Ὀλύμπȣ νέφος εἰσέρχεϑ εἰς τὸν ȣ̓ρανὸν "αἰθέρος τȣ̃ εὐδίαν ἔχοντος, ὅταν ὁ Ζεὺς συςροφὴν ἀνέμȣ ποιῇ, ȣ̃τως ἐκ τῶν νεῶν τούτων ἐγένετο ταραχὴ ϰ̀ φυγή· ȣ̓δὲ κατὰ τὸ πρέπον διεπέρων αὖθις. τὸν δὲ Ἕκτορα οἱ ἵπποι ἐξέφερον οἱ ταχύποδες σὺν ὅπλοις, κατέλιπε δὲ τὸν λαὸν τὸν Τρωϊκόν, ȣ̃ς ἄκοντας ἡ ὀρυκτὴ τάφρος ἐκώλυε. "πλεῖςοι δὲ ἐν τῇ τάφρῳ ἕλκοντες ἅρματα ταχεῖς ἵπποι συνέκλασάν τε ἐν τῷ πρώτῳ ῥύμῳ ϰ̀ ἀπέλιπον τὰ ἅρματα τῶν δεσποτῶν. ὁ δὲ Πάτροκλος ἐπηκολȣ́θει σφοδρῶς τοῖς Ἕλλησι προςάσσων, κακοποιὰ τοῖς Τρωσὶ φρονῶν· οὗτοι δὲ τῇ ταραχῇ ϰ̀ τῇ διώξει πάσας ἔπλησαν τὰς ὁδȣ́ς, ἐπειδὴ διεσκεδάϰθησαν. εἰς ὕψος δὲ ἡ κόνις "ἐσκορπίζετο ὑπὸ τῶν νεφῶν. ἔτρεχον δὲ οἱ ἰσχυρόποδες ἵπποι ὀπιϰθόρμητοι πρὸς τὴν πόλιν ἀπὸ τῶν νεῶν ϰ̀ τῶν σκηνῶν. ὁ δὲ Πάτροκλος ὅπȣ τὸ πλεῖςον ταρασσόμενον εἶδε τὸν λαόν, ἐκεῖ ἤλαυνεν ἐπαπειλησάμενος· ὑπὸ τοῖς ἄξοσι δὲ ἔπιπτον οἱ ἄνδρες ἐπὶ πρόσωπον ἐκ τῶν ἁρμάτων, τὰ δὲ ἅρματα ἀνετρέποντο· "ἐξ ἐναντίας δὲ ἀνὰ τὴν τάφρον ὑπερεπήδων οἱ ταχεῖς ἵπποι εἰς τὸ πρόσω πορευόμενοι· προεθυμεῖτο δὲ ἡ ψυχὴ τȣ̃ Πατρόκλȣ ὥςε βαλεῖν· τȣ̃τον δὲ ἐξήγαγον οἱ ταχύτατοι ἵπποι. ὥσπερ δὲ ὑπὸ συςροφῆς πᾶσα ἡ μέλαινα βαρεῖται γῆ "ἐν ἡμέρᾳ χειμερινῇ, ἡνίκα σφοδρότατον κατάγει ὕδωρ ὁ Ζεύς, ὁπότε δὴ ἀνδράσι μηνίσας ὀργιϰθῇ, οἵτινες βιαίως ἐν τῇ ἀγορᾷ ȣ̓κ ὀρθὰς κρίνȣσι δίκας, ἐξελάσωσι δὲ τὸ δίκαιον τὴν ἐκ θεῶν ἐπιςροφὴν ȣ̓ φροντίζοντες· ἐκ δὲ τῶν ὑδάτων οἱ ποταμοὶ πάντες πλημμύρȣσι φερόμενοι· "πολλὰς δ' ἐξοχὰς ϰ̀ ἀποκλύσεις τῶν ὀρῶν τότε ἀποτέμνȣσιν αἱ χαράδραι, εἰς δὲ τὴν μέλαιναν θάλασσαν μεγάλως ἠχȣ̃σι κατερχόμενοι ἐκ τῶν ὀρῶν εἰς τὸ κάταντες, ἐλαττȣ̃ται δὲ τὰ ἔργα τῶν ἀνθρώπων· ȣ̃τως ἵπποι αἱ Τρωϊκαὶ μεγάλως ἐςέναζον τρέχȣσαι. ὁ δὲ Πάτροκλος ἐπειδὴ τὰς πρώτας ἀπέτεμε τάξεις, "ὀπίσω ἐπὶ τὰς ναῦς συνήλαυνεν εἰς τὰ ὀπίσω πεπτωκυίας, . . . τῆς πόλεως] συνεχώρει προθυμȣ́μενȣς ἐπιβῆναι, ἀλλὰ κατὰ τὸ μέσον τῶν νεῶν ϰ̀ τȣ̃ ποταμȣ̃ ϰ̀ τοῦ ὑψηλȣ̃ τείχȣς ἔκτεινε μεταδιώκων, πολλῶν δὲ εἰσεπράττετο δίκην. τότε δὴ τὸν Πρόνοον ἔβαλε τῷ λαμπρῷ δόρατι "κατὰ τὸ ςῆθος γυμνωθέντα ἐκτὸς τῆς ἀσπίδος, ἔλυσε δὲ τὰ μέλη· ἐκτύπησε δὲ πεσών. ȣ̃τος δὲ Θέςορα τὸν Ἤνοπος υἱὸν ἐκ δευτέρȣ ὁρμήσας — ȣ̃τος μὲν ἐν τῷ εὐκατασκευάςῳ ἅρματι ἐκάθητο συςραφείς· ἐξεπλάγη γ̓ τὴν διάνοιαν, ἐκ δὲ τῶν χειρῶν αὐτȣ̃ οἱ χαλινοὶ ἀπελύθησαν· ȣ̃τος δὲ παραςὰς τῷ δόρατι ἔτρωσε "τὴν δεξιὰν σιαγόνα, διεπέρασε δὲ διὰ τῶν ὀδόντων αὐτȣ̃, εἷλκε δὲ διὰ τȣ̃ δόρατος λαβὼν ὑπεράνω τῆς περικεφαλαίας, ὥς τις ἄνθρωπος ἐπὶ πέτρᾳ προβεβλημένῃ καθεζόμενος μέγαν ἰχθὺν ἐκ τῆς θαλάσσης ἔξω τῇ ὁρμιᾷ ϰ̀ τῷ σιδηρῷ ἀγκίςρῳ. ȣ̃τως εἷλκεν ἐκ τȣ̃ ἅρματος τῷ λαμπρῷ δόρατι χαίνοντα, "κατέῤῥιψε δὲ ἐπὶ ςόμα· πεσόντα δὲ αὐτὸν ἀπέλιπεν ἡ ψυχή. μετὰ ταῦτα δὲ τὸν Εὐρύαλον ἐφορμῶντα ἔβαλε λίθῳ κατὰ τὸ μέσον τῆς κεφαλῆς· αὕτη δὲ πᾶσα διχῶς ἐκλάϰθη ἐν τῇ μεγάλῃ περικεφαλαίᾳ· ȣ̃τος δὲ ἐπὶ πρόσωπον ἐν τῇ γῇ κατέπεσε· περὶ δὲ αὐτὸν ὁ θάνατος ἐχύθη ὁ ψυχοφθόρος. "μετὰ ταῦτα δὲ τὸν Ἐρύμαντα ϰ̀ τὸν Ἀμφότερον ϰ̀ τὸν Ἐπάλτην τόν τε Τληπόλεμον ϰ̀ τὸν υἱὸν τȣ̃ Δαμάςορος ϰ̀ τὸν Ἐχίον ϰ̀ τὸν Πύριν ϰ̀ τὸν Ἰφέα ϰ̀ τὸν Ἔνιππον ϰ̀ τὸν Ἀργέȣ υἱὸν τὸν Πολυθρέμμονα πάντας ἀλλεπαλλήλȣς ἔμιξε τῇ πολλȣ̀ς τρεφȣ́σῃ γῇ. ὡς δὲ ἐθεάσατο Σαρπηδὼν τȣ̀ς ἑταίρȣς ἀζώςȣς "ὑπὸ τῶν χειρῶν Πατρόκλȣ τοῦ Μενοιτίȣ υἱȣ̃ ἀποθανόντας, παρεκελεύετο δὴ τοῖς ἰσοθέοις Λυκίοις προσονειδίζων. "αἰδέϰθητε ὦ Λύκιοι. πȣ̃ φεύγετε; τὰ νῦν ταχεῖς ὑπάρχετε. ἐναντίος δὲ ἔλθω ἐγὼ τȣ́τȣ τοῦ ἀνδρός, ὅπως γνώσωμαι ὅςις ȣ̃τος νικᾷ ϰ̀ δὴ πολλὰ κακὰ εἰργάσατο "τȣ̀ς Τρῶας, ἐπειδὴ πολλῶν ϰ̀ ἀνδρείων τὴν ἰσχὺν παρέλυσεν." εἶπε δή, ϰ̀ ἐκ τῶν ἁρμάτων σὺν τοῖς ὅπλοις ἐπήδησε χαμαί. ὁ δὲ Πάτροκλος ἐκ τȣ̃ ἑτέρȣ μέρȣς ἐπειδὴ εἶδεν ἐκ τȣ̃ ἅρματος ἐξήλατο. ȣ̃τοι δὲ ὥσπερ γῦπες μεγαλώνυχες, ἐπικαμπῆ ῥάμφη ἔχοντες, ἐπὶ τῇ ὑψηλῇ πέτρᾳ μεγάλα βοῶντες μάχονϑ, "ȣ̃τως ȣ̃τοι κράζοντες κατ' ἀλλήλων ὥρμησαν. τȣ́τȣς δὲ ἰδὼν ἠλέησεν ὁ τȣ̃ σκολιοβȣ́λȣ Κρόνȣ παῖς· πρὸς δὲ τὴν Ἥραν εἶπε τὴν ἀδελφὴν ϰ̀ ὁμόζυγον "φεῦ μοι ἐγώ, ὁπότε τὸν Σαρπηδόνα τὸν προσφιλέςατον τῶν ἀνδρῶν μεμοίραϑ ὑπὸ Πατρόκλȣ τȣ̃ υἱȣ̃ Μενοιτίȣ φονευθῆναι. "διχῶς δέ μοι ἡ καρδία διανοεῖται ἐν ταῖς διανοίαις προθυμȣμένῳ, ἢ αὐτὸν ζῶντα ὑπάρχοντα ἀπὸ τῆς πολυδακρύτȣ μάχης κατάθωμαι ἐξαρπάσας ἐν τῷ εὐτραφεῖ πλήθει τῶν Λυκίων, ἢ ἀπάρτι ὑπὸ ταῖς χερσὶ τȣ̃ υἱοῦ Μενοιτίου φονευθῆναι ποιήσω." πρὸς τȣ̃τον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ εὐόφθαλμος ϰ̀ σεβασμία Ἥρα "ὦ φοβερώτατε Κρόνȣ παῖ, ποῖον τὸν λόγον εἶπες. ἄνδρα θνητὸν ὑπάρχοντα, πάλαι εἱμαρμένον τῇ μοίρᾳ, αὖθις βȣ́λει ἐκ τȣ̃ θανάτȣ τȣ̃ κακοήχȣ ἀναςρέψαι. πρᾶττε, ἡμεῖς δὲ πάντες ȣ̓ σοι ἐπιμαρτυρȣ̃μεν οἱ λοιποὶ θεοί. ἕτερόν σοι ἐρῶ, σὺ δὲ ταῖς διανοίαις ταῖς σαῖς ἔνθȣ ϰ̀ ἔμβαλε. "ἐάν περ ζῶντα ἐξαποςείλῃς Σαρπηδόνα εἰς τὸν ἑαυτȣ̃ οἶκον, ὅρα μή τις μετὰ ταῦτα τῶν θεῶν βȣληθείη καὶ ἕτερος πέμπειν τὸν ἑαυτȣ̃ προσφιλῆ υἱὸν ἀπὸ τῆς ἰσχυρᾶς μάχης· πλεῖςοι γ̓ περὶ τὴν μεγάλην πόλιν Πριάμȣ μάχονϑ υἱοὶ τῶν ἀθανάτων· τȣ́τοις φιλονεικίαν δεινὴν ἐμβαλεῖς. "ἀλλ' ἐάν σοι προσφιλὲς ὑπάρχοι ϰ̀ ἡ σὴ ὀδυνᾶται ψυχή, αὐτὸν μὲν δὴ ἄφες ἐν τῇ ἰσχυρᾷ μάχῃ ὑπὸ ταῖς χερσὶ τȣ̃ Πατρόκλȣ τȣ̃ υἱȣ̃ Μενοιτίȣ φονευθῆναι· ἐπειδὰν δὲ τȣ̃τον ἀπολίπῃ ἥ τε ψυχὴ ϰ̀ ὁ χρόνος τῆς ζωῆς, εὐδόκησον αὐτὸν τόν τε θάνατον ὑποφέρειν ϰ̀ τὸν ἡδὺν ὕπνον, "ἕως ἂν εἰς τὸν τῆς μεγάλης Λυκίας παραγένωνϑ δῆμον, ὅπȣ αὐτὸν θάψȣσιν οἵ τε ἀδελφοὶ ϰ̀ οἱ πολῖται ἐν τάφῳ ϰ̀ στήλῃ· τȣ̃το γ̓ τιμή ἐςι τῶν ἀποθανόντων." ȣ̃τως εἶπεν· ὑπήκȣσε δὲ ὁ πατὴρ τῶν ἀνδρῶν ϰ̀ τῶν θεῶν, αἱματώδεις δὲ ψεκάδας κατέςαζεν εἰς τὴν γῆν "τὸν προσφιλῆ παῖδα τιμῶν, ὃν αὐτȣ̃ ὁ Πάτροκλος ἔμελλεν ἀπολέσειν ἐν τῇ εὐκάρπῳ Τροίᾳ πόῤῥω τῆς πατρίδος. ȣ̃τοι δὲ ἡνίκα ἐγγὺς ἐγένοντο ἀλλήλοις ἐπερχόμενοι, τότε δὴ ὁ Πάτροκλος τὸν ἔνδοξον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θρασυμήδην, ὅσις δὴ ἀγαθὸς ὑπασπιστὴς τῶ βασιλέως Σαρ-
πηδόνος ἦν, "τῶτον ἔτρωσε κατὰ τὸ ἔχατον τῆς γαστρός,
παρέλυσε δὲ τὰ μέλη. ὁ δὲ Σαρπηδὼν αὐτῶ μὲν ἀπέτυχε
τῷ λαμπρῷ δόρατι ἐκ δευτέρης ὁρμήσας· ἦτος δὲ τὸν Πή-
δασον ἵππον ἔτρωσε τῷ δόρατι κατὰ τὸν δεξιὸν ὦμον. οὗ-
τος δὲ ἤχησε τὴν ψυχὴν ἀποπνέων, κατέπεσεν ἐν τῇ γῇ
μυκησάμενος, ἀπέπτη δὲ ἡ ψυχή. "ἦτοι δὲ διέρησαν ἀπ'
ἀλλήλων, ἤχησε δὲ ὁ ζυγός· τὰ δὲ ἡνία αὐτῶν συνεκέχυν-
το, ἐπειδὴ ἔκειτο ὁ ἔξω τῶ ζυγῶ ἵππος ἐν τῇ γῇ. τῶτον ὁ
μὲν Αὐτομέδων ὁ πολεμικὸς τέλος εὕρατο· ἑλκύσας τὸ μέγα
ξίφος παρὰ τῶ εὐτραφῶς μηροῦ ὁρμήσας ἀπέκοψε τὸ τοῦ
παρηόρου ἡνίον, ἁδὲ ἑματαιοπράγησεν· "οὗτοι δὲ ἐπ' εὐ-
θείας ἔρησαν, ἐν δὲ τοῖς χαλινοῖς ἀπευθύνθησαν. ἦτοι δὲ
πάλιν συνῆλθον περὶ τῆς ψυχοφθόρου φιλονεικίας. τότε δὴ
ὁ μὲν Σαρπηδὼν ἀπέτυχε τῷ λαμπρῷ δόρατι, ὑπὲρ δὲ τὸν
ὦμον τῶ Πατρόκλου τὸν ἀριστερὸν ἦλθεν ἡ ἐπιδορατὶς τοῦ
δόρατος, ἐκ ἔτρωσε δὲ αὐτόν· ἦτος δὲ ὕστερος ὡρμήθη τῷ
σιδήρῳ "ὁ Πάτροκλος. τῶτο δὲ ἐ μάταιον τὸ βέλος ἐξέ-
φυγε τῆς χειρός, ἀλλ' ἔτυχεν ὅπου δὴ αἱ φρένες συνέχον
περὶ τὴν συνετὴν ψυχήν. ἔπεσε δὲ ὥσπερ ὅτε τις δρῦς κα-
τέπεσεν ἢ λεύκη ἢ πίτυς μεγάλη, ἣν ἐν ὕρεσι τέκτονες ἄν-
δρες ἐξέκοψαν ἀξίναις ἠκονημέναις ναυπηγήσιμον εἶναι.
"ὣτως ἦτος ἔμπροσθεν τῶν ἵππων καὶ τῶ ἅρματος ἔκειτο
ἁπλωθείς, σενάζων, κόνεως δεδραγμένος ἡματωμένης. καὶ
καθάπερ ταῦρον ἐφόνευσε λέων ἐν ἀγέλῃ ἐπελθὼν διάπυ-
ρον μεγαλόψυχον ἐπὶ βασὶν εἰλάσσας τὰς πόδας, ἀπώλετό
τε σενάζων ὑπὸ ταῖς σιαγόσι τῶ λέοντος, "ὣτως ὑπὸ τοῦ
Πατρόκλου ὁ τῶν ὁπλιτῶν Λυκίων ἡγεμὼν φονευόμενος
ἐλειποψύχει. τὸν προσφιλῆ δὲ ἐκάλεσεν ἑταῖρον. "ὦ μα-
κάριε Γλαῦκε, πολεμιστὰ ἐν τοῖς ἀνδρείοις, νῦν σε πάνυ
χρὴ πολεμικόν τε εἶναι καὶ ἀνδρεῖον πολεμιστήν. "ἐν πρώ-
τοις μὲν παρόρμησον τῶν Λυκίων τὺς ἡγεμόνας ἄνδρας
πανταχῆ ἐπιπορευόμενος περὶ τῶ Σαρπηδόνος πολεμεῖν·
μετὰ ταῦτα δὲ καὶ αὐτὸς περὶ ἐμῆ πολέμει τῷ σιδήρῳ. ἐγὼ
γάρ σοι καὶ μετὰ ταῦτα κατήφεια καὶ ὄνειδος γενήσομαι δι'
ἅλε τῶ αἰῶνος διὰ παντός, ἐάν με οἱ "Ελληνες "τὰ ὅπλα
φέλων ἐν τῷ τῶν νεῶν πολέμῳ ἀποθανόντα. ἀλλ' ἴσασο
δυνατῶς, παρόρμησον δὲ καὶ πάντα τὸν λαόν." ἔτω δὴ αὐ-
τὸν εἰπόντα τὸ τῶ θανάτου τέλος ἐκάλυψε τύς τε ὀφθαλ-
μοὺς καὶ τὰς ῥῖνας· ἦτος δὲ τῷ ποδὶ ἐν τοῖς σήθεσιν ἐπι-
βὰς ἐκ τῶ σώματος εἵλκε τὸ δόρυ· προσείχοντο δὲ αὐτῷ
αἱ φρένες· "τότε δὲ ἅμα τὴν ψυχὴν καὶ τὴν τῶ δόρατος
ἰχμὴν ἐξείλκυσεν. οἱ δὲ Μυρμιδόνες περιέχον αὐτῶ τὰς
ἵππους ἀθυμαίνοντας, προθυμουμένους φεύγειν, ἐπεὶ ἀπέλιπον
τοὺς δεσποτῶν τὰ ἅρματα. τῷ δὲ Γλαύκῳ δεινὴ λύπη ἐγέ-
ετο τῶ χρειετισμῶ ἀκόντος, ἐταράχθη δὲ αὐτῶ ἡ ψυχὴ ὅτι
τι ἐκ ἠδύνατο βοηθῆσαι. "τῇ δὲ χειρὶ λαβὼν ἐξέθλιβε
ὸν βραχίονα· κατεπόνει γὰρ αὐτὸν τὸ τραῦμα ὕπερ Τεῦκρος
ὐτὸν ἐφορμῶντα ἔτρωσε βέλει ἀπὸ τῶ ὑψηλῶ τείχους, τὴν
λάβην ἀπὸ τῶν ἑταίρων ἀποσοβῶν. εὐχόμενος δὲ δὴ εἶπε
τῷ μακροβόλῳ Ἀπόλλωνι "ἄκουσον ὦ βασιλεῦ, ὅσις ἐν τῷ

τῆς Λυκίας πλουσίῳ δήμῳ "ὑπάρχεις ἢ ἐν Τροίᾳ· δύνασαι
δὲ σὺ παντοχόθεν ἀκέειν ἀνδρὸς ὀδυνωμένου ὥσπερ νῦν
ἐμὲ ὀδύνη κατέχει. τραῦμα μὲν γὰρ ἔχω τῶτο ἰσχυρόν, ἡ χεὶρ
δέ μοι δριμείαις ὀδύναις περιξειχίζεται, ἐδαμῶς δέ μοι τὸ
αἷμα ἀναξηρανθῆναι δύναται· ὠδυνήθη δέ μοι ὁ ὦμος ὑπ'
αὐτῶ. "τὸ δόρυ δὲ ἐ δύναμαι καταχεῖν βεβαίως ἐδὲ πο-
λεμεῖν παραγενόμενος ἐν τοῖς ἐχθροῖς, ὁ ἄριστος δὲ ἀνὴρ
ἀπώλετο Σαρπηδὼν ὁ τῶ Διὸς υἱός. ἦτος δὲ ἐδὲ τῷ ἰδίῳ
παιδὶ βοηθεῖ. ἀλλὰ σύ μοι ὦ βασιλεῦ τῶτο τὸ δυνατὸν
τραῦμα θεράπευσον, καταπράϋνον δὲ τὰς ὀδύνας, παράχε
δὲ ἰχύν, ὅπως τοῖς ἑταίροις "τοῖς Λυκίοις παρακελευόμε-
νος διεγείρω πολεμεῖν, ἐγὼ δὲ περὶ τῷ νεκρῷ τῷ ἀποθα-
νόντι μάχωμαι." ἔτως εἶπεν εὐχόμενος, τότε δὲ ἤκουσεν ὁ
καθαρὸς Ἀπόλλων. εὐθέως δὲ ἔπαυσε τὰς ὀδύνας, ἀπὸ δὲ
τῶ χαλεπῶ τραύματος τὸ μέλαν αἷμα ἀνεξήρανε, δυναμιν
δὲ αὐτῶ ἐνέβαλε τῇ ψυχῇ. "ὁ δὲ Γλαῦκος ἐπέγνω ταῖς
αὐτῶ διανοίαις καὶ ἐχάρη, ὅτι αὐτῶ ταχέως ἤκουσεν ὁ μέγας
θεὸς εὐξαμένῳ. ἐν πρώτοις μὲν παρώρμησε τῶν Λυκίων
τὺς ἀνδρείους ἡγεμόνας πανταχῆ ἐπιπορευόμενος περὶ τοῦ
Σαρπηδόνος πολεμεῖν· μετὰ ταῦτα δὲ πρὸς τὺς Τρῶας
ἐπορεύετο μεγάλα προβαίνων "ἐπὶ τὸν Πάνθου υἱὸν Πολυ-
δάμαντα καὶ τὸν ἔνδοξον Ἀγήνορα. ἐπορεύθη δὲ πρὸς τὸν
Αἰνείαν καὶ τὸν εὔοπλον "Εκτορα. πλησίον δὲ ἱσάμενος λό-
γους ταχεῖς εἶπεν. "ὦ "Εκτωρ, νῦν δὴ παντελῶς ἐπιλελησμέ-
νος εἶ τῶν συμμάχων, οἵτινες σᾶ ἕνεκεν πόρρω τῶν φίλων
καὶ τῆς πατρικῆς γῆς "τὴν ψυχὴν διαφθείρουσι· σὺ δὲ οὐ
θέλεις ἐπιβοηθεῖν. πεφόνευται Σαρπηδὼν ὁ τῶν ὁπλιτῶν
Λυκίων ἀρχηγός, ὅσις τὴν Λυκίαν ἔσωζε ταῖς τε δικαιο-
σύναις καὶ τῇ δυνάμει αὐτῶ. τῶτον δὲ ὑπὸ τῷ Πατρόκλῳ
ἀπέκτεινεν τῷ δόρατι ὁ σίδηρος. ἀλλ' ὦ φίλοι, παράσχετε
μεμπτὸν ἡγήσασθε τῇ ψυχῇ, "μή πως ἀφέλωνται τὰ ὅπλα,
ὑβρίσωσι δὲ τὸν νεκρὸν οἱ Μυρμιδόνες ὑπὲρ τῶν Ἑλλή-
νων ὀργιζόμενοι, ὅπόσοι ἀπώλοντο, ὃς ἐπὶ ταῖς ταχείαις
ναυσὶν ἐφονεύσαμεν τοῖς δόρασιν." ἔτως εἶπε, τὰς δὲ Τρῶας
κατὰ κράτος ἔλαβε πένθος ἀνεπίχετον, ἐχ ὑπομόνητον,
ἐπειδὴ αὐτοῖς ὑποσήριγμα τῆς πόλεως "ὑπῆρχε καίπερ ξένος
ὢν· πολλοὶ γὰρ αὐτῷ ἅμα λαοὶ ἐπηκολόθουν, αὐτὸς δὲ ἐνίκα
ἐν τῷ πολεμεῖν. ἐπορεύθησαν δὲ κατὰ τῶν Ἑλλήνων πρό-
θυμοι, ἡγεῖτο δὲ αὐτῶν ὁ "Εκτωρ λυπούμενος ὑπὲρ τῶ Σαρ-
πηδόνος. τὺς δὲ "Ελληνας διήγειρε τῶ υἱῶ Μενοιτίου Πα-
τρόκλου ἡ συνετὴ ψυχή. "πρός τε τὺς Αἴαντας πρῶτον
εἶπε θυμουμένους καὶ αὐτός "ὦ Αἴαντες, τὰ νῦν ἡμῖν βοηθεῖν
προσφιλὲς γενέσθω, ὁποῖοί περ πρότερον ὑπήρχετε ἐν τοῖς
ἀνδρείοις ἢ καὶ κρείττους. πεφόνευται ἀνὴρ ὅσις πρῶτος εἰσε-
πήδησεν εἰς τὸ τεῖχος τῶν Ἑλλήνων, ὁ Σαρπηδών. ἀλλ'
εἴθε αὐτὸν ἐχειρωσάμεθα λαβόντες, "τά τε ὅπλα ἐκ τῶν
ὤμων λύβοιμεν, καί τινα τῶν ἑταίρων ὑπὲρ αὐτῶ ἀγωνι-
ζόμενον ἀποκτείνωμεν τῷ ἀνηλεεῖ σιδήρῳ." ἔτως εἶπεν·
ἦτοι δὲ καὶ αὐτοὶ βοηθῆσαι προεθύμουν. ἦτοι δὲ ἐπειδὴ ἑκα-
τέρωθεν ἰσχυροποίησαν τὰς τάξεις, οἵ τε Τρῶες καὶ οἱ Λύ-
κιοι καὶ οἱ Μυρμιδόνες καὶ οἱ "Ελληνες, "συνέβαλον περὶ τῷ

νεκρῷ ἀποθανόντι πολεμεῖν, φοβερὸν βοήσαντες· μεγάλως δὲ ἤχει τὰ ὅπλα τῶν ἀνδρῶν. ὁ δὲ Ζεὺς ὀλεθρίαν νύκτα ἐφήπλωσε τῇ ἰσχυρᾷ μάχῃ, ὅπως περὶ τῷ προσφιλεῖ παιδὶ τῆς μάχης ὀλέθριος πόνος ὑπάρχοι. ἀπεδίωξαν δὲ πρότεροι Τρῶες τοὺς εὐοφθάλμους Ἕλληνας· ἐτέτρωτο γὰρ οὐδαμῶς ἄνανδρος ἀνὴρ ἐν τοῖς Μυρμιδόσιν, υἱὸς τοῦ μεγαλοψύχου Ἀγακλέους ὁ ἔνδοξος Ἐπηγεύς, ὅστις δὴ ἐν τῷ Βουδίῳ τῷ καλῶς οἰκουμένῳ ἐβασίλευε πρότερον, τότε δὲ ἀνδρεῖον ἀδελφόπαιδα φονεύσας εἰς τὸν Πηλέα ἱκέτης ἐγένετο καὶ εἰς τὴν λευκόπουν Θέτιν· οὗτοι δὲ ἅμα τῷ ἀνδρείῳ Ἀχιλλεῖ ἔπεμπον ἐπακολουθεῖν εἰς τὴν εὔιππον Ἴλιον, ἵνα τοῖς Τρωσὶ πολεμοίη. τοῦτον δὴ τότε ψαύοντα τοῦ νεκροῦ ἔβαλεν ὁ λαμπρὸς Ἕκτωρ λίθῳ μεγάλῳ τὴν κεφαλήν· αὕτη δὲ διχῶς πᾶσα ἐσχίσθη ἐν τῇ μεγάλῃ περικεφαλαίᾳ· οὗτος δὲ ἐπὶ πρόσωπον ἐπὶ τῷ νεκρῷ κατέπεσε, περὶ δὲ αὐτὸν θάνατος ἐκέχυτο ψυχοφθόρος. τῷ δὲ Πατρόκλῳ λύπη ἐγένετο ἀποθανόντος τοῦ ἑταίρου. ὥρμησε δὲ διὰ τῶν πρωταγωνιστῶν παρόμοιος ἱέρακι ταχεῖ, ὅστις εἰς φυγὴν ἐνέβαλε κολοιοὺς καὶ ψᾶρας. οὕτως εὐθέως κατὰ τῶν Λυκίων ὦ ἱππικὲ Πάτροκλε ὥρμησας καὶ τῶν Τρώων, ὠργίσθης δὲ τὴν ψυχὴν ὑπὲρ τοῦ φίλου. καὶ δὴ ἔβαλε τὸν Σθενέλαον τὸν Ἰθαιμένεος προσφιλῆ υἱὸν κατὰ τὸν τράχηλον λίθῳ μεγάλῳ, ἀπέῤῥηξε δὲ αὐτοῦ τοὺς τένοντας· ὑπεχώρησαν δὲ οἱ πρωταγωνισταὶ καὶ ὁ λαμπρὸς Ἕκτωρ. ὁπόση δὲ ἀκοντίου βολὴ ἐκτεταμένου γίνεται, ἥντινα δὴ ἀνὴρ ἔῤῥιψεν ἀπόπειραν ποιούμενος ἢ ἐν ἀγῶνι ἢ καὶ ἐν τῷ πολέμῳ ὑπὸ τῶν ψυχοφθόρων πολεμίων, τοσοῦτον ὑπεχώρησαν οἱ Τρῶες, ἀπώσαντο δὲ οἱ Ἕλληνες. πρῶτος δὲ ὁ Γλαῦκος τῶν ὁπλιτῶν Λυκίων ὁ ἀρχηγὸς τροπὴν ἐποίησεν, ἀπέκτεινε δὲ τὸν μεγαλόψυχον Βαθυκλέα Χάλκωνος τὸν προσφιλῆ υἱόν, ὅστις ἐν τῇ Ἑλλάδι οἰκῶν εὐδαιμονίᾳ τε καὶ πλούτῳ εὐπρεπὴς ἦν ἐν τοῖς Μυρμιδόσι. τοῦτον μὲν δὴ ὁ Γλαῦκος κατὰ τὸ μέσον τοῦ στήθους ἔτρωσε τῷ δόρατι ἐπιστραφεὶς ἐξαίφνης, ὅτε αὐτὸν κατελάμβανε διώκων. ἐκτύπησε δὲ πεσών. σφοδρὰ δὲ λύπη ἔλαβε τοὺς Ἕλληνας ὡς ἔπεσεν ἀγαθὸς ἀνήρ· μεγάλως δὲ οἱ Τρῶες ἐχάρησαν, περὶ δὲ αὐτὸν ἔστησαν ἐλθόντες συνηθροισμένοι. οὐδαμῶς τῆς δυνάμεως ἐπελάθοντο, ἐπ' εὐθείας δὲ αὐτῶν τὴν δύναμιν ἔφερον. τότε δὴ ὁ Μηριόνης τῶν Τρώων ἀνεῖλεν ἄνδρα πολεμιστήν, Λαόγονον τὸν ἀνδρεῖον υἱὸν τοῦ Ὀνήτορος, ὃς δὴ τοῦ Διὸς ἱερεὺς τοῦ ἐν Ἴδῃ τιμωμένου ἐγένετο, ὡς δὲ θεὸς ἐτιμᾶτο παρὰ τοῦ δήμου. τοῦτον ἔβαλεν ὑπὸ τῆς σιαγόνος καὶ τοῦ ὠτός. ταχέως δὲ ἡ ψυχὴ ἀφίπτατο ἀπὸ τῶν μελῶν, μισητὸν δὲ αὐτὸν σκότος ἔλαβεν. ὁ δὲ Αἰνείας ἐπὶ τῷ Μηριόνῃ δόρυ σιδηροῦν ἔπεμψεν· ἤλπιζε γὰρ ἐπιτυχεῖν ὑπὸ τὴν ἀσπίδα προβαίνοντος. ἀλλ' οὗτος μὲν ἐξ ἐναντίας ἰδὼν ἐξέκλινε τὸ σιδηροῦν δόρυ, εἰς τοὔμπροσθεν δὲ κατέκυψε· τὸ δὲ μακρὸν δόρυ ἐν τῷ ἐδάφει ἐπάγη, τὸ δὲ ὄπισθεν ἐσείσθη· τότε δὲ μετὰ ταῦτα τὴν δύναμιν ὁ ἰσχυρὸς σίδηρος ἔπεμψεν. τὸ δόρυ δὲ τοῦ Αἰνείου κινηθεῖσα κατὰ γῆς ᾤχετο, ἐπειδὴ μάταιον ἀπὸ τῆς ἰσχυρᾶς ἀπῆλθε χειρός. ὁ Αἰνείας δὲ κατὰ ψυχὴν ἐλυπήθη καὶ εἶπεν "ὦ Μηριόνη, τάχα ἄν σε καὶ εὐκίνητον ὄντα κατὰ τὸν πόλεμον τὸ ἐμὸν δόρυ κατέπαυσε δι' ὅλου, εἴπερ σε ἐπέτυχον." πρὸς τοῦτον δὲ δὴ ὁ πολεμικὸς Μηριόνης ἐξ ἐναντίας εἶπεν "ὦ Αἰνεία, δύσκολόν σε καίπερ δυνατὸν ὄντα πάντων ἀνθρώπων παῦσαι τὴν δύναμιν, ὃς ἄν σου ἐξ ἐναντίας ἔλθῃ μαχόμενος. θνητὸς δὲ καὶ σὺ ὑπάρχεις. ἐὰν καὶ ἐγὼ βάλοιμι ἐπιτυχὼν κατὰ τὸ μέσον τῷ ὀξεῖ δόρατι, ταχέως ἂν καίπερ δυνατὸς ὢν καὶ ταῖς χερσὶ θαῤῥῶν καύχημα ἐμοὶ παρέξεις, τὴν δὲ ψυχὴν τῷ Ἅιδῃ τῷ ταχεῖς ἵππους ἔχοντι." οὕτως εἶπε· τοῦτον δὲ ἐπέπληξεν ὁ ἰσχυρὸς τοῦ Μενοιτίου υἱός. "ὦ Μηριόνη, ἵνα τί σὺ ταῦτα καίπερ ἀνδρεῖος ὢν λέγεις; ὦ ἔκλυτε, οὐ γὰρ ὀνειδιζόμενοι οὐδὲ κακολογούμενοι οἱ Τρῶες ἀπείξουσι τοῦ νεκροῦ, πρίν τινα ἡ γῆ κατάσχῃ· ἐν γὰρ ταῖς χερσὶ τὸ τοῦ πολέμου τέλος, ἐν δὲ τῇ βουλῇ χρεία τῶν λόγων. διὸ οὐδαμῶς σε χρὴ τὸν λόγον αὔξειν, ἀλλὰ πολεμεῖν." οὕτως εἰπὼν ὁ μὲν προηγεῖτο, ὁ δὲ ἰσόθεος ἀνὴρ ἐπηκολούθει. τούτων δὲ ὥσπερ ὑλοτόμων ἀνδρῶν θόρυβος γίνεται ἐν τοῖς βασίμοις τόποις τοῦ ὄρους, πόῤῥωθεν δὲ γίνεται ὁ ἦχος, οὕτω τούτων ἠγείρετο κτύπος ἀπὸ τῆς πλατείας γῆς τοῦ τε σιδήρου καὶ τῆς ἀσπίδος καὶ τῶν εὐκατασκεύων βυρσῶν τιτρωσκομένων τοῖς ξίφεσι καὶ τοῖς ἀμφοτεροχρήστοις δόρασιν. οὐδαμῶς ἂν ἔτι καὶ διορατικὸς ἀνὴρ τὸν ἔνδοξον Σαρπηδόνα ἐπέγνω, ἐπειδὴ τοῖς βέλεσι καὶ τῷ αἵματι καὶ τῇ κόνει ἐκ τῆς κεφαλῆς ἐκεκάλυπτο δι' ὅλου μέχρι ποδῶν ἄκρων. οὗτοι δὲ διὰ παντὸς περὶ τὸν νεκρὸν ἀνεστρέφοντο ὥσπερ ὅτε μυῖαι ἐν ἐπαύλει ἦχον ποιοῦσι περὶ γαλακτώδη ἀγγεῖα ἐν τῇ ἔαρος ὥρᾳ, ὅτε τὸ γάλα τὰ ἀγγεῖα βρέχει· οὕτω δὴ οὗτοι περὶ τὸν νεκρὸν ἀνεστρέφοντο. οὔποτε δὲ ὁ Ζεὺς ἔτρεψεν ἀπὸ τῆς ἰσχυρᾶς μάχης τοὺς λαμπροὺς ὀφθαλμούς, ἀλλὰ πρὸς αὐτοὺς ἀεὶ ἑώρα καὶ διενοεῖτο τῇ ψυχῇ, πολλὰ πάνυ περὶ τῷ φόνῳ τοῦ Πατρόκλου μεριμνῶν, ἢ ἀπάρτι κἀκεῖνον ἐν τῇ ἰσχυρᾷ μάχῃ αὐτόθι ἐπὶ τῷ ἰσοθέῳ Σαρπηδόνι ὁ περιφανὴς Ἕκτωρ τῷ σιδήρῳ διακόψῃ, ἀφέληται δὲ τὰ ὅπλα ἀπὸ τῶν ὤμων, ἢ ἔτι καὶ πλείοσιν αὐξήσει τὸν χαλεπὸν θάνατον. οὕτω δὲ αὐτῷ φρονοῦντι ἔδοξεν ὠφελιμώτερον εἶναι, ὅπως ἀγαθὸς ὑπασπιστὴς τοῦ υἱοῦ Πηλέως Ἀχιλλέως μετὰ ταῦτα τούς τε Τρῶας καὶ τὸν εὔοπλον Ἕκτορα ἀποδιώξοι πρὸς τὴν πόλιν, πολλῶν δὲ τὴν ψυχὴν ἀφέλοιτο. πρώτῳ δὲ τῷ Ἕκτορι ἄνανδρον φυγὴν ἐνέβαλεν. εἰς τὸ ἅρμα δὲ ἀναβὰς εἰς φυγὴν ἐτράπη καὶ τοὺς λοιποὺς ἐκέλευσε Τρῶας φεύγειν· ἔγνω δὲ τοῦ Διὸς τὰ μεγάλα ζυγά. τότε οὐδὲ οἱ δυνατοὶ Λύκιοι ἔμενον, ἀλλ' ἔφευγον ἅπαντες, ἐπειδὴ εἶδον τὸν βασιλέα βεβλημένον τὴν ψυχὴν κείμενον ἐν τῷ τῶν νεκρῶν ἀθροίσματι. πολλοὶ δὲ ἐπάνω αὐτοῦ κατέπεσον, ἡνίκα τὴν ἰσχυρὰν μάχην ἐξήπλωσεν ὁ Ζεύς. οὗτοι δὲ ἀπὸ τῶν ὤμων τοῦ Σαρπηδόνος ἔλαβον τὰ ὅπλα τὰ σιδηρᾶ καὶ ἐκλάμποντα. καὶ ταῦτα μὲν ἐπὶ τὰς βαθείας ναῦς τοῖς ἑταίροις ἔδωκε φέρειν ὁ τοῦ Μενοιτίου δυνατὸς υἱός. καὶ τότε πρὸς τὸν Ἀπόλλωνα εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς "φερε δὴ νῦν φίλε Ἄπολλον, τὸ μέλαν αἷμα ἀποκάθαρον παραγενόμενος ἐκ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βελῶν τὸν Σαρπηδόνα, κ̀ μετὰ ταῦτα αὐτὸν πολὺ πόρρω-
θεν ἀγαγὼν λῦσον ἐν ταῖς ῥοαῖς τῆ ποταμῆ, "χρῖσον δὲ
ἀθανασίᾳ, περίβαλε δὲ ἄφθαρτα ἱμάτια, πέμπε δὲ αὐτὸν
τοῖς παραπέμπουσιν ὁμοῦ τοῖς ταχέσιν ἀπάγουσι, τῷ ὕπνῳ
κ̀ τῷ θανάτῳ τοῖς διδύμοις, οἵτινες ταχέως αὐτὸν κατα-
θήσουσιν ἐν τῷ τῆς πλατείας Λυκίας εὐτραφεῖ δήμῳ, ὅπου
αὐτὸν θάψουσιν οἵ τε ἀδελφοὶ κ̀ οἱ πολῖται "τάφῳ τε καὶ
στήλῃ· τοῦτο γ̀ τιμὴ ἔστι τῶν ἀποθανόντων." ὅτως εἶπεν·
ἡδαμῶς δὲ τῆ πατρὸς παρήκουσεν ὁ Ἀπόλλων, κατέβη δὲ
ἀπὸ τῶν τῆς Ἴδης ὀρῶν εἰς τὴν χαλεπὴν μάχην. εὐθέως
δὲ ἐκ τῶν βελῶν τὸν ἔνδοξον Σαρπηδόνα ἄρας, πολὺ πόρ-
ρωθεν ἐξαγαγὼν ἔλουσεν ἐν ταῖς ῥοαῖς τῆ ποταμῆ, "ἤλειψε
δὲ ἀφθαρσίαν, περιέθηκε δὲ ἄφθαρτα ἱμάτια, ἔπεμψε δὲ
αὐτὸν τοῖς ἀποκομίζουσιν ὁμῆ τοῖς ταχινοῖς ἀπάγουσι, τῷ
ὕπνῳ κ̀ τῷ θανάτῳ τοῖς διδύμοις, οἳ δὴ αὐτον ταχέως
κατέθηκαν ἐν τῷ τῆς Λυκίας πολυπλήθει δήμῳ. ὁ δὲ Πά-
τροκλος τοῖς ἵπποις κ̀ τῷ Αὐτομέδοντι ἐντειλάμενος "τὸς
Τρῶας κ̀ Λυκίους ἀπεδίωκε, κ̀ μεγάλως ἐβλάβη ὁ ἀνόητος·
εἰ δὲ τὸν λόγον τῆ Ἀχιλλέως ἐφύλαξεν, ὄντως ἂν ἐξέφυγε
τὴν κακὴν μοῖραν τῆ σκοτεινῆ θανάτ. ἀλλ' ἀεὶ τῆ Διὸς
κρείττων ὁ νῶς ἤπερ ὁ τῶν ἀνθρώπων, ὅσις κ̀ δυνατὸν
ἄνδρα φοβεῖ κ̀ τὴν νίκην ἀφαιρεῖται "ῥᾳδίως, ποτὲ δὲ αὖ-
τὸς ἀνιχύει εἰς τὸ πολεμεῖν· ὅσις σοι κ̀ τότε τὴν ψυχὴν ἐν
ταῖς διανοίαις ἀνέπεισεν. τηνικαῦτα δὲ τίνα πρῶτον, τίνα
δὲ ἔχατον ἐφόνευσας ὦ Πάτροκλε, ὅτε δή σε οἱ θεοὶ εἰς
τὸν θάνατον προσεκαλέσαντο; τὸν Ἄδρηστον μὲν ἐν πρώ-
τοις κ̀ τὸν Αὐτόνοον κ̀ τὸν Ἔχεκλον "κ̀ Πέριμνον τὸν τῆ
Μέγη παῖδα κ̀ τὸν Ἐπίσορα κ̀ Μελάνιππον. μετὰ ταῦτα
δὲ τὸν Ἔλασον κ̀ τὸν Βάλιον κ̀ τὸν Πυλάρτην ζῶντας
ἔλαβεν· οἱ δὲ λοιποὶ τῆς φυγῆς μνήμην ἐποιοῦντο ἕκαστος.
τότε ἂν τὴν μεγάλην Τροίαν ἔλαβον οἱ Ἕλληνες ὑπὸ ταῖς
χερσὶ τῆ Πατρόκλε· περισσῶς γ̀ τῷ δόρατι ὥρμα· "εἰ μὴ
καθαρὸς Ἀπόλλων ἐπὶ τῆ εὐοικοδομήτε πύργε ἐσάθη
τότῳ ὀλέθρια φρονῶν, τοῖς δὲ Τρωσὶ βοηθῶν. ἐκ τρίτου
μὲν ἐπὶ τῆς ἐξοχῆς τῆ τείχους ἐπέβη τῆ ὑψηλῆ ὁ Πάτροκλος,
κ̀ τρίτε δὲ αὐτὸν ἀπεσείσατο ὁ Ἀπόλλων ταῖς ἀθανάτοις
χερσὶ τὴν λαμπρὰν ἀσπίδα τιτρώσκων. "ἀλλ' ἡνίκα δὴ τὸ
τέταρτον ἐφώρμησεν θεῷ ὅμοιος, φοβερὰ δὴ ἀπειλήσας
ἔπεν ὁ μακροβόλος Ἀπόλλων "ὑποχώρει ὦ εὐγενέσατε Πά-
τροκλε. ἔπω δὴ εἱμαρμένη ὑπὸ τῷ σῷ δόρατι πόλιν πορ-
θῆσαι τῶν μεγαλοδόξων Τρώων, ἀδὲ ὑπὸ τῆ Ἀχιλλέως
ἄρεις σε πολὺ κρείττων ἐστίν." "ὅτως εἶπεν· ὁ δὲ Πάτρο-
κλος ἀνεχώρει πολὺ εἰς τὰπίσω, τὴν ὀργὴν ἐκκλίνων τοῦ
μακροβόλε Ἀπόλλωνος. ὁ δὲ Ἕκτωρ ἐν ταῖς σκηναῖς ἤλαυ-
νε τὸς ἰχυρόποδας ἵππους· ἐδίωκε γ̀ ἡ πολεμοίη κατὰ τα-
χὴν πάλιν ἐάσας, ἢ τὸς ὄχλους εἰς τὸ τεῖχος κελεύσειε
συρραφῆναι. "ταῦτα δὴ αὐτῷ φρονοῦντι παρέζη ὁ μακάριος
Ἀπόλλων, ἀνδρὶ ὁμοιωθεὶς νεωτέρῳ τε κ̀ δυνατῷ, τῷ
Ἀσίῳ, ὅσις μητράδελφος ἦν τῆ ἱππικῆ Ἕκτορος, αὐτά-
δελφος τῆς Ἑκάβης κ̀ υἱὸς τῆ Δύμαντος· ὅσις ἐν τῇ Φρυ-
γίᾳ κατῴκει ἐπὶ ταῖς ῥοαῖς τῆ Σαγγαρίε. "τότῳ ὁμοιωθεὶς
εἶπεν ὁ τῆ Διὸς υἱὸς Ἀπόλλων "ὦ Ἕκτορ, τί δή ποτε τῆς
μάχης παύῃ; ἐδαμῶς σε προσήκει. εἴθε ὁπόσον ἐλάττων
εἰμί, τοσῆτόν σε κρείττων γενοίμην· διὸ ἂν ταχέως μισ-
τὸς τῆ πολέμε ἀπεχώρησας. ἀλλὰ φέρε ἐπὶ τῷ Πατρόκλῳ
ὥρμα τὰς ἰχυρόποδας ἵππους, "ἐάν πως αὐτὸν ἀνέλῃς, πα-
ράκοι δέ σοι καύχησιν ὁ Ἀπόλλων." ὅτως εἰπὼν ὁ μὲν
μετὰ ταῦτα ἐπορεύθη ὁ θεὸς ἀνὰ τὸν πόλεμον τῶν ἀν-
δρῶν· τῷ δὲ συνετῷ Κεβριόνῃ ἐκέλευσεν ὁ λαμπρὸς Ἕκ-
τωρ τὰς ἵππους εἰς τὸν πόλεμον μαστίζειν. ὁ δὲ Ἀπόλλων
εἰσῆλθεν εἰς τὸ πλῆθος πορευθείς, θόρυβον δὲ τοῖς Ἕλ-
λησιν "ἐνέβαλε κακοποιόν, τοῖς δὲ Τρωσὶ κ̀ τῷ Ἕκτορι
δόξαν ἐδίδε. ὁ δὲ Ἕκτωρ τὰς μὲν λοιπὰς Ἕλληνας ἠφίει
κ̀ ἐκ ἐφόνευεν· οὗτος δὲ ἐπὶ τῷ Πατρόκλῳ ἤλαυνε τοὺς
ἰχυρόποδας ἵππους. ὁ δὲ Πάτροκλος ἐκ τῆ ἑτέρε μέρους
ἀπὸ τῶν ἵππων ἐπήδησε χαμαί, τῇ μὲν ἀριστερᾷ τὸ δόρυ
κρατῶν, τῇ δὲ ἑτέρᾳ ἔλαβε λίθον "μάρμαρον τραχύν, ὃν
περιέλαβεν ἡ χεὶρ αὐτῆ. ἔπεμψε δὲ πᾶσαν εἰσενεγκάμενος
δύναμιν· ἐδ' ἐπὶ πολὺν χρόνον ἀπείχετο τῆ ἀνδρός, οὐδὲ
μάταιον τὸν λίθον ἐποίησεν, ἐπέτυχε δὲ τὸν ἡνίοχον τοῦ
Ἕκτορος τὸν Κεβριόνην, ὃ γνήσιον υἱὸν τῆ ἄγαν ἐνδόξου
Πριάμε, τῶν ἵππων τὰ χαλινὰ ἔχοντα, κατὰ τὸ τῆ μετώ-
πε μέρος· τῷ ὀξεῖ λίθῳ. "ἀμφοτέρας δὲ τὰς ὀφρῦς συνέ-
τριψεν ὁ λίθος, ἐδ' ἐπέσχεν αὐτῆ τὸ ὀστῆν· οἱ δὲ ὀφθαλμοὶ
χαμαὶ ἔπεσον ἐν τῇ γῇ ἔμπροσθεν τῶν ποδῶν αὐτῆ· ἧτος
δὲ κυβιστητῆρι ὁμοιωθεὶς κατέπεσεν ἀπὸ τῆ ἅρματος, ἀπέ-
λιπε δὲ τὰ ὀστᾶ ἡ ψυχή. πρὸς δὲ τῆτον ἐπιχλευάζων εἶπες
ὦ ἱππικὲ Πάτροκλε "'φεῦ φεῦ, ὄντως λίαν εὐκίνητος ἀνήρ,
ὅσις ῥᾳδίως κολυμβᾷ. ἐὰν δή πε κ̀ ἐν θαλάσσῃ τῇ ἰχθύας
ἐχέσῃ γένοιτο, πολλὰς ἂν χορτάσειεν ἧτος ὁ ἀνὴρ ὄστρεα
ζητῶν, ἀπὸ τῆς νεὼς πηδῶν, εἰ κ̀ δυσκίνητος εἴη. ὡς νῦν
ἐν πεδίῳ ἐκ τῶν ἵππων ῥᾳδίως κολυμβᾷ. "ὄντως δὲ κ̀ ἐν
τοῖς Τρωσὶ κολυμβηταί εἰσιν." ὅτως εἰπὼν ἐπὶ τῷ γεν-
ναίῳ Κεβριόνῃ ἐπορεύθη, ὅρμημα λέοντος ἔχων, ὅσις τὰς
ἐπαύλεις διαφθείρων ἐτέτρωτο πρὸς τὸ σῆθος, ἡ οἰκεία τε
αὐτὸν ἀπώλεσεν ἰχύς. ὅτως ἐπὶ τῷ Κεβριόνῃ ὦ Πάτροκλε
ὥρμησας προθυμούμενος. "ὁ Ἕκτωρ δὲ πάλιν ἐκ τῆ ἑτέρε
μέρους ἀπὸ τῶν ἵππων ἐπήδησε χαμαί. ὅτως περὶ τῆ Κε-
βριόνε ὡς λέοντες ἐφιλονείκησαν ἐν τῇ μάχῃ, οἵτινες ἐν
ὄρεσι κορυφαῖς περὶ ἀποκτανθείσης ἐλάφε ἀμφότεροι πει-
νῶντες μέγα φρονοῦντες μάχονθ. ὅτω περὶ τῆ Κεβριόνε οἱ
δύο ἔμπειροι τῆς μάχης, "Πάτροκλός τε ὁ Μενοιτίε παῖς
κ̀ ὁ ἔνδοξος Ἕκτωρ, προεθυμοῦντο ἀλλήλων τεμεῖν τὸ σῶμα
τῷ ἀνηλεεῖ σιδήρῳ. ὁ Ἕκτωρ μὲν ἐκ τῆς κεφαλῆς ἐπεὶ
ἔλαβεν ἐ συνεχώρει· ὁ δὲ Πάτροκλος ἐκ τῆ ἑτέρε μέρους
ἐλάβετο τῆ ποδός. οἱ δὲ λοιποὶ Τρῶες κ̀ Ἕλληνες συνέβα-
λον κρατερὰν μάχην. "ὥσπερ δὲ ὅτε ὁ Εὖρος κ̀ ὁ Νότος
ἐρίζουσιν ἀλλήλοις ἐν βασίμοις τόποις τῆ ὄρεος βαθεῖαν
κινεῖν ὕλην, τήν τε φηγὸν κ̀ τὴν μελίαν κ̀ τὴν μακρόφλοιον
κράνειαν, αἵτινες πρὸς ἀλλήλας ἐνέβαλον τὰς μακρὰς κλά-
δας σὺν ταραχῇ μεγάλῃ, ψόφος δὲ γίνεθ συγκλωμένων·
ὅτως οἱ Τρῶες κ̀ οἱ Ἕλληνες ἐπ' ἀλλήλοις ἐπιπηδῶντες

διέκοπτον, καὶ ἐδὲ ἓν μέρος μνείαν ἐποιεῦντο τῆς ὀλεθρίας φυγῆς. πλεῖσα δὲ περὶ τὸν Κεβριονην ὀξέα δόρατα ἐπέπηγει καὶ βέλη ἐπτερωμένα ἀπὸ τῆς νευρᾶς ἐκπηδῶντα· πολλοὶ δὲ χειροπληθεῖς λίθοι μεγάλοι τὰς ἀσπίδας διέσειον σαν "περὶ αὐτὸν μαχομένων. ἕτος δὲ ἐν τῇ συεροφῇ τῆς γῆς ἔκειτο μέγας ἐπὶ μέγαν τόπον, ἐπιλελησμένος τῆς ἱππηλασίας. ἕως μὲν ὁ ἥλιος κατὰ τὸ μέσον τᾶ ἀρανᾶ ἦλθεν, ἕως τότε πάνυ τῶν ἀμφοτέρων τὰ βέλη ἤπτετο, ἔπιπτε δὲ ὁ λαός· ἡνίκα δὲ ὁ ἥλιος παρῆλθε τὸ μέσον τῆς ἡμέρας, "καὶ τηνικαῦτα ὑπὲρ τὸ πρέπον οἱ "Ελληνες κρείττονες ἦσαν. καὶ Κεβριόνην μὲν τὸν ἡμίθεον ἐκ τῶν βελῶν εἵλκυσαν ἐκ τῆς μάχης τῶν Τρώων, καὶ ἀπὸ τῶν ὤμων τὰ ὅπλα ἐλάβον· ὁ δὲ Πάτροκλος τοῖς Τρωσὶ κακοποιὰ φρονῶν ἐφώρμησεν. ἐκ τρίτᾳ μετὰ ταῦτα μὲν ἐφώρμησεν τῷ ταχεῖ ὅμοιος "Αρει, "καταπληκτικὰ βοῶν· ἐκ τρίτᾳ δὲ ἐννέα ἄνδρας ἐφόνευσεν. ἀλλ' ἡνίκα δὴ τὸ τέταρτον ἐπῆλθε θεῷ παραπλήσιος, τότε δή σοι ὦ Πάτροκλε ἐφάνη τᾷ βίᾳ ἡ τελευτή· ὑπήντησε γάρ σοι ὁ 'Απόλλων ἐν τῇ ἰσχυρᾷ μάχῃ φοβερός. ὁ μὲν τᾶτον ἐλθόντα κατὰ τὸν θόρυβον ἐκ εἶδεν· "ἀορασίᾳ δὲ πολλῇ ἐσκεπασμένος ὑπήντησεν. ἔσῃ δὲ ὀπίσωθεν, καὶ ἔπληξε τὸ μετάφρενον καὶ τὰς πλατεῖς ὦμας χειρὶ κατεσραμμένῃ· περιερράφησαν δὲ αὐτοῦ οἱ ὀφθαλμοί. τᾷ δὲ ἀπὸ μὲν τῆς κεφαλῆς τὴν περικεφαλαίαν ἔῤῥιψεν ὁ καθαρὸς 'Απόλλων· αὕτη δὲ κυλιομένη ἦχον ἐποίει ὑπὸ τῶν ποδῶν τῶν ἵππων, "ἁ αὐλὸν ἔχουσα περικεφαλαία· ἐμολύνθησαν δὲ αἱ κόμαι τῷ αἵματι καὶ τῇ κόνει. πρότερόν γε μὴν ἐκ ἦν θεμιτὸν τὴν ἱππείας τρίχας ἔχουσαν περικεφαλαίαν μολύνεσθ ἐν τῇ γῇ, ἀλλὰ θείᾳ ἀνδρὸς τὴν κεφαλὴν καὶ τὸ κεχαρισμένον μέτωπον ἐφύλαττε, τᾷ 'Αχιλλέως· τότε δὲ ὁ Ζεὺς τῷ "Εκτορι ἔδωκε "τῇ ἑαυτᾷ κεφαλῇ φορεῖν· ἐγγὺς δὲ αὐτᾷ ἦν ὄλεθρος. ὅλον δὲ ἐν ταῖς χερσὶν αὐτᾷ ἐκλάθη τὸ μακροπόρευτον δόρυ, τὸ βαρύ, τὸ μέγα, τὸ ἰσχυρόν, τὸ ἐσομωμένον· ἀπὸ δὲ τῶν ὤμων ἁ ἀσπὶς σὺν τῷ ἀναφορεῖ χαμαὶ ἔπεσεν ὁ ποδήρης. ἔλυσε δὲ αὐτᾷ τὸν Θώρακα ὁ βασιλεὺς 'Απόλλων ὁ τᾶ Διὸς υἱός. "τᾶτον δὲ βλάβη κατὰ τὰς διανοίας ἔλαβε, παρελύθησαν δὲ τὰ λαμπρὰ μέλη· ἔστη δὲ ἐκπλαγείς. ὄπιαθεν δὲ τὸ μετάφρενον αὐτᾷ ὀξεῖ δόρατι κατὰ μέσον τῶν ὤμων ἐγγύθεν ἔβαλεν ἀπὸ Δαρδάνᾳ καταγόμενος ἀνήρ, ὁ Πάνθᾳ παῖς Εὔφορβος, ὅσις κατὰ τὴν ἡλικίαν τὰς ἡλικιώτας ὑπερεῖχε καὶ τῷ δόρατι καὶ τῇ ἱππικῇ καὶ τοῖς ταχέσι ποσί. "καὶ γὰ δή ποτε ἄνδρας εἴκοσι κατεβίβασεν ἀπὸ τῶν ἵππων, ἐν πρώτοις γὰ ἐλθὼν σὺν ὥρμασιν, ἐκμανθάνων τοῦ πολέμιᾳ. ὅσις σοι πρῶτος ἐπαφῆκε βέλος ὦ Πάτροκλε ἱππικέ, ἀλλ' οἰκ ἐφόνευσεν. ἕτος δὲ πάλιν ἀνεχώρησε καὶ ἐμίγη τῷ πλήθει, ἐκ τᾶ σώματος ἁρπάσας τὸ μείλινον δόρυ, καὶ ἐκ ἐκαρτέρησε "τὸν Πάτροκλον καίπερ γυμνὸν ὑπάρχοντα ἐν τῇ μάχῃ. ὁ δὲ Πάτροκλος τῇ τᾶ θεᾶ πληγῇ καὶ τῷ δόρατι καταπονηθεὶς ὀπίσω εἰς τὸ πλῆθος τῶν ἑταίρων ἀνεχώρει, τὸν Θάνατον ἐκκλίνων. ὁ δὲ "Εκτωρ ὡς ἐθεάσατο τὸν μεγαλόψυχον Πάτροκλον εἰς τὲπίσω ἀναχωρῆντα τετρωμένον τῷ ὀξεῖ σιδήρῳ, "σύνεγγυς δὴ αὐτᾷ ἦλθε κατὰ τὰς τάξεις, ἔτρωσε δὲ δόρατι εἰς τὸ ἔσχατον τῆς λαγόνος, δι' ὅλᾳ δὲ ἐπέρασε τὸν σίδηρον· ἐκτύπησε δὲ πεσών, μεγάλως δὲ ἐλύπησε τὸν λαὸν τῶν 'Ελλήνων. ὥσπερ δὲ ὅτε χοῖρον μέγιστον λέων ἐβιάσατο ἐν μάχῃ, οἵτινες ἐν κορυφαῖς ὄρας μέγα φρονῆντες μάχονθ "περὶ πηγῆς μικρᾶς, ἐθέλουσι δὲ πιεῖν ἀμφότεροι· πολλὰ δὲ λειποθυμέντα ὁ λέων ἐφόνευσε τῇ δυνάμει· ἕτως πολλὲς φονεύοντα τὸν ἰχυρὸν τᾷ Μενοιτίᾳ υἱὸν "Εκτωρ ὁ Πριάμᾳ παῖς ἐγγὺς τῷ δόρατι τὴν ψυχὴν ἀφῃρεῖτο. καὶ ἐπ' αὐτῷ καυχώμενος λόγες ταχεῖς ἔλεγεν. ""ὦ Πάτροκλε, ὄντως πᾳ ἔλεγες πόλιν ἐκπορθεῖν τὴν ἐμήν, τὰς δὲ Τρωϊκὰς γυναῖκας τὴν ἐλευθέραν ἡμέραν ἀφελὼν ἀπαγαγεῖν ἐν ταῖς ναυσιν εἰς τὴν προσφιλῆ πατρικὴν γῆν. ἀνόητε, τέτων δὲ πρόσθεν οἱ τᾶ "Εκτορος ταχεῖς ἵπποι τοῖς ποσὶν ἐκτείνονθ πολεμεῖν· ἐγὼ δὲ αὐτὸς τῷ δόρατι "ἐν τοῖς φιλοπολέμοις Τρωσὶν εὐπρεπὴς εἰμι, ὃς ἐπαμύνω αὐτοῖς ἡμέραν ἀνάγκης. σὲ δὲ ἐνταῦθα οἱ γῦπες φάγονθ. ὦ ἄθλιε, ἐδαμῶς σοι ἀνδρεῖος ὢν ἐβοήθησεν ὁ 'Αχιλλεύς, ὅσις σοι πάνυ πολλὰ ἐκεῖ ὢν ἐνετέλλετο ἀπερχομένῳ ""μηδαμῶς μοι πρότερον ἐπανέρχε ὦ ἱππικὲ Πάτροκλε "ἀνὰ τὰς βαθείας ναῦς, πρὶν ἢ τᾶ ἀνδροφόνου "Εκτορος ἡμαγμένον τὸν χιτῶνα περὶ τοῖς σῇσι διακόψαι."" ἔτω πᾳ σε προετρέψατο, σοὶ δὲ τῷ ἄφρονι ἔπεισε τὰς φρένας." πρὸς τᾶτον δὲ ὀλίγον ἰσχύων ἐκ τῶν τοῦ σώματος μελῶν ἔφης ἱππικὲ Πάτροκλε "ὄντως νῦν ὦ "Εκτορ μεγάλα καυχᾶ· σοὶ δὲ παρέσχετο "τὴν νίκην ὁ Κρόνᾳ παῖς Ζεὺς καὶ ὁ 'Απόλλων, οἵτινές με ἐταπείνωσαν ῥᾳδίως· αὐτοὶ γὰ ἀπὸ τῶν ὤμων τὰ ὅπλα ἀφείλοντο. τοιᾶτοι δὲ οἷοι σὺ ἐάν περ εἴκοσι συνήντησαν, πάντες ἂν αὐτίκα ἀπώλοντο ὑπὸ τῷ ἐμῷ δόρατι ἀποθανόντες. ἀλλά με ἡ ὀλεθρία τύχη καὶ ὁ τῆς Λητᾶς ἀπέκτεινεν υἱός, "ἀνδρῶν δὲ ὁ Εὔφορβος· σὺ δέ με τρίτος φονεύεις. ἄλλα δέ σοι προλέγω, σὺ δὲ ἐν ταῖς διανοίαις ἐνθᾶ· ἐδαμῶς ἐδ' αὐτὸς ἐπὶ πολὺν χρόνον βιώσῃ, ἀλλά σοι ἀπάρτι ἐγγὺς παρέσηκεν ὁ θάνατος καὶ ἡ ἰσχυρὰ μοῖρα ὑπὸ χειρῶν ἀποθανόντος 'Αχιλλέως τᾷ ἀμέμπτε ἐκγόνᾳ τοῦ Αἰακᾶ." "ἔτω δὴ αὐτὸν εἰπόντα τὸ τοῦ θανάτε τέλος ἐκάλυψεν· ἡ δὲ ψυχὴ ἀπὸ τᾶ σώματος ἀποπτᾶσα εἰς τὸν "Αιδην ἐπορεύθη, τὸν ἴδιον μόρον θρηνᾶσα, καταλιπᾶσα τὴν ἀνδρίαν καὶ τὴν νεότητα. πρὸς τᾶτον δὲ ἀποθανόντα εἶπεν ὁ λαμπρὸς "Εκτωρ "ὦ Πάτροκλε, τί δή μοι προλέγεις τὸν χαλεπὸν θάνατον; "τίς οἶδεν εἰ καὶ 'Αχιλλεὺς ὁ τῆς καλλικόμᾳ Θέτιδος υἱὸς φθάσῃ ὑπὸ τῷ ἐμῷ δόρατι τρωθεὶς τὴν ψυχὴν ἀπολέσαι;" ἔτω δὴ φωνήσας τὸ σιδηρᾶν δόρυ ἐκ τῆς πληγῆς ἐξείλκυσε, προβὰς τοῖς ποσὶ· τᾶτον δὲ ὕπτιον ἄθησεν ἀπὸ τᾶ δόρατος. εὐθέως σὺν τῷ δόρατι πρὸς τὸν Αὐτομέδοντα ἐπορεύθη "τὸν ἰσόθεον ὑπασπιστὴν τᾶ ταχύποδος 'Αχιλλέως· προεθυμεῖτο γὰ βαλεῖν. τᾶτον δὲ ἐξήγαγον οἱ ταχεῖς ἵπποι οἱ θεῖοι, ἃ τῷ Πηλεῖ ἔδοσαν οἱ θεοὶ λαμπρὰ δῶρα.

Ρ. ΜΕΝΕΛΑΟΥ ΑΡΙΣΤΕΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Ῥῶ Δαναοὶ Τρῶές τε νέκυν πέρι χεῖρας ἔμισγον.*

2. *Περὶ τȣ̃ Πατρόκλου σώματος κρατερὰ συνίςαται μάχη, καθ' ἣν Εὔφορβος μὲν ἀναιρεῖται ὑπὸ Μενελάου, Ἕκτωρ δὲ τὴν Ἀχιλλέως ἐνδύεται πανοπλίαν καὶ ἀνθίςαται τοῖς Ἕλλησιν. οἱ δὲ περὶ Μενέλαον Ἀντίλοχον διαπέμπονται πρὸς Ἀχιλλέα τὸν Πατρόκλου θάνατον ἀγγελȣ̃ντα, ὑποδύντες δὲ καὶ ἀράμενοι τὸ σῶμα τοῖς ὤμοις ἐκφέρȣσι τῆς μάχης· οἱ δὲ Αἴαντες προμαχȣ̃σι καὶ ἀπείργουσι τοὺς πολεμίους.*

Οὐκ ἔλαθε δὲ τὸν Ἀτρέως υἱὸν τὸν φιλοπόλεμον Μενέλαον ὁ Πάτροκλος ὑπὸ τῶν Τρώων ἀναιρεθεὶς ἐν τῇ μάχῃ· ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιςῶν καθωπλισμένος μέλανι σιδήρῳ, ὑπερεμάχει δὲ αὐτȣ̃ οἷά τις μήτηρ περὶ παιδὸς "πρώτως τεκȣ̃σα, θρηνητική, ȣ̓ πρότερον ȣ̓σα ἔμπειρος τοκέτȣ· ȣ̓τως ὑπερεμάχει τῷ Πατρόκλῳ ὁ πυῤῥὸς Μενέλαος. ἔμπροσθεν δὲ αὐτȣ̃ τό τε δόρυ εἶχε ϗ τὴν πανταχόθεν ἴσην ἀσπίδα, τȣ̃τον ἀποκτεῖναι προθυμȣ́μενος ὅςις τȣ́τȣ ἐξ ἐναντίας ἔλθοι. ȣ̓δαμῶς δὲ ὁ τοῦ Πάνθου υἱὸς ὁ πολεμικὸς ἠμέλησε "τȣ̃ ἀμέμπτȣ Πατρόκλȣ πεσόντος· πλησίον δὴ αὐτȣ̃ ἐςάθη ϗ εἶπε πρὸς τὸν φιλοπόλεμον Μενέλαον "ὦ Ἀτρέως παῖ Μενέλαε, εὐγενὲς ἡγεμὼν τῶν ὄχλων, ὑποχώρει, κατάλιπε δὲ τὸν νεκρόν, ἄφες δὲ ϗ τὰ ἡμαγμένα σκῦλα· ȣ̓δεὶς γ̓ πρότερον τῶν Τρώων ϗ τῶν ἐνδόξων συμμάχων "τὸν Πάτροκλον ἔβαλε τῷ δόρατι κατὰ τὴν ἰχυρὰν μάχην. διό με συγχώρει δόξαν ἀγαθὴν ἐν τοῖς Τρωσὶν ἀπενέγκασθ, μή πώς σε βάλω, ἀφέλωμαι δέ σου τὴν προσφιλεςάτην ψυχήν." πρὸς τȣ̃τον δὲ μεγάλως ἀγανακτήσας εἶπεν ὁ πυῤῥὸς Μενέλαος "ὦ πάτερ Ζεῦ, ȣ̓δαμῶς καλὸν ὑπερηφάνως αὐχεῖν. "ȣ̓τε ȣ̓ν τȣ̃ παρδάλεως τοσȣ̃τον ἡ ἰχὺς ȣ̓τε τȣ̃ λέοντος ȣ̓τε χοίρȣ ἄρσενος ὀλέθρια φρονȣ̃ντος, ȣ̓ τινὸς μέγιςος ὁ θυμὸς ἐν τῷ ςήθει περὶ τὸ αὐτȣ̃ σθένος ἐνθȣσιωδῶς βλέπει, ὁπόσον οἱ τȣ̃ Πάνθου υἱοὶ τῷ δόρατι μέγα φρονȣ̃σιν. ȣ̓δὲ μὴν ȣ̓δὲ ἡ ἰχὺς τοῦ ἱππικȣ̃ Ὑπερήνορος "τῆς ἰδίας ἀκμῆς ἀπέλαυσεν, ὅτε με ἐξεφαύλισε ϗ ἐλογίσατό με ἐν τοῖς Ἕλλησιν ἐπονείδιςον πολεμιςὴν εἶναι. ȣ̓δὲ ὑπολαμβάνω αὐτὸν τοῖς ἰδίοις ποσὶ πορευθέντα εὐφρᾶναι τήν τε ὁμόκοιτον τὴν προσφιλῆ τȣ́ς τε ἐντίμȣς γονεῖς. ȣ̓τω δὴ ϗ τὴν σὴν ἐγὼ λύσω δύναμιν, ἐάν περ ἐξ ἐναντίας "ςῇς. ἀλλ' ἐγώ σε ἀναχωρήσαντα παρακελεύομαι εἰς τὸ πλῆθος παραγενέσθ, μηδὲ ἐξ ἐναντίας ἔςασο ἐμȣ̃, πρὸ τȣ̃ κακόν τι παθεῖν· πραχθὲν δέ τε κακὸν ἀνόητος ἐπέγνω." ȣ̓τως εἶπε· τȣ̃τον δὲ ȣ̓κ ἔπεισεν, ἀνταποκρινόμενος δὲ εἶπεν "τὰ νῦν δὲ ὦ Μενέλαε εὐγενέςατε ὄντως ταχέως τιμωρίαν δώσεις "διὰ τὸν ἐμὸν ἀδελφόν, ὃν φόνευσας, ἐπικαυχώμενος δὲ δημηγορεῖς, χήραν δὲ τὴν αὐτȣ̃ γυναῖκα ἐποίησας ἔνδον τȣ̃ νέȣ θαλάμȣ, ἀπευκτὸν δὲ τοῖς γονεῦσι θρῆνον ϗ πένθος ἐποίησας. ὄντως δὴ αὐτοῖς τοῖς ἀθλίοις τȣ̃ θρήνȣ κατάπαυσις φανείην, ἐάν περ ἐγὼ τὴν σὴν κεφαλὴν ϗ τὰ ὅπλα ἀπενεγκὼν "ἐν ταῖς χερσὶ τȣ̃ Πάνθȣ βάλω ϗ τῆς ἐνδόξȣ Φρόντιδος. ἀλλ' ȣ̓δαμῶς ἐπὶ πολὺν χρόνον ἔτι χωρὶς πείρας ὁ πόνος ἔςαι ȣ̓τε χωρὶς μάχης ȣ̓τε δυνάμεως χωρὶς ȣ̓τε φυγῆς." ȣ̓τως εἰπὼν ἔτυψε τὴν πανταχόθεν ἴσην ἀσπίδα· ȣ̓ διέῤῥηξε δὲ ὁ σίδηρος, ἀνεκλάσθη δὲ αὐτȣ̃ ἡ ἐπιδορατὶς "ἐν τῇ ἰχυρᾷ ἀσπίδι. ȣ̓τος δὲ δεύτερος ὡρμήθη τῷ σιδήρῳ, ὁ Ἀτρέως παῖς Μενέλαος, ἐπευξάμενος τῷ πατρὶ Διί. ὀπίσω δὲ ἀναχωρȣ̃ντος κατὰ τὴν ἀρχὴν ϗ θέσιν τοῦ ςομάχȣ ἔτρωσεν, ἐπεβάρησε δὲ ἐπακολȣθήσας χειρὶ τῇ ἰχυρᾷ. ἐξ ἐναντίας δὲ διὰ τοῦ ἁπαλȣ̃ αὐχένος διῆλθεν ἡ ἐπιδορατίς. "ἐψόφησε δὲ πεσών, ἤχησε δὲ τὰ ὅπλα ἐπ' αὐτῷ· τῷ δὲ αἵματι αὐτοῦ ἐβρέχοντο αἱ κόμαι αἱ ταῖς τῶν Χαρίτων κόμαις ἴσαι ϗ οἱ πλόκαμοι, οἵτινες τῷ τε χρυσῷ ϗ τῷ ἀργύρῳ ἐσφιγμένοι ἦσαν. ὁποῖον δὲ τρέφει φυτὸν ἀνὴρ ἀγαθὸν θαλλὸν τῆς ἐλαίας ἐν τόπῳ ἐρήμῳ, ὅπȣ ἀθρόον ἀναδίδοθ ὕδωρ "κάλλιςον εὐθαλές· τȣ̃το δὲ πνοαὶ διασείȣσι τῶν παντοδαπῶν ἀνέμων· ϗ δὴ θάλλει τῷ λευκῷ ἄνθει· ἐλθὼν δ' ἐξαίφνης ὁ ἄνεμος σὺν πολλῇ σφοδρότητι τοῦ τε βάθους ἐξέςρεψε ϗ ἐξέτεινεν ἐν τῇ γῇ· τοιȣ̃τον τὸν Πάνθου υἱὸν τὸν πολεμικὸν Εὔφορβον "ὁ Ἀτρέως παῖς Μενέλαος ἐπειδὴ ἐφόνευσε τὰ ὅπλα ἀφῃρεῖτο. ὥσπερ δὲ ὅτε τις λέων ἐν ὄρεσι τεθραμμένος, τῇ δυνάμει θαῤῥῶν, ἀγέλης βοσκομένης ἁρπάσῃ βȣ̃ν ἥτις καλλίςη, ἧς ἐκ τȣ̃ αὐχένος λαβὼν συνέτριψε τοῖς ἰχυροῖς ὀδȣ̃σιν ἐν πρώτοις, μετὰ ταῦτα δὲ τὸ αἷμα ϗ τὰ ἐντόσθια κατεσθίει "διακόπτων· περὶ δὲ τȣ̃τον κύνες ϗ οἱ νέμοντες ἄνδρες πολλὰ πάνυ φωνȣ̃σιν ἔμπροσθεν, ȣ̓κ ἐθέλȣσι δὲ ἐξ ἐναντίας ἐλθεῖν· πάνυ γ̓ χλωροποιὸς φόβος λαμβάνει· ȣ̓τω τȣ́των ȣ̓δενὶ ἡ ψυχὴ ἐν ταῖς διανοίαις ἐτόλμα ἐξ ἐναντίας ἐλθεῖν τοῦ ἐνδόξȣ Μενελάȣ. "τότε ἂν ῥᾳδίως ἀπηνέγκατο τὰ περικαλλῆ ὅπλα τȣ̃ Πάνθȣ ὁ Μενέλαος, εἰ μὴ αὐτῷ ἐφθόνησεν ὁ καθαρὸς Ἀπόλλων, ὅςις δὴ αὐτῷ τὸν Ἕκτορα ἐπήγειρε τὸν τῷ ταχεῖ Ἄρει παραπλήσιον, ἀνδρὶ ὁμοιωθεὶς τῷ τῶν Κικόνων ἡγεμόνι Μέντῃ. ϗ πρὸς αὐτὸν φωνήσας λόγȣς ταχεῖς εἶπεν. "ὦ Ἕκτορ, σὺ δὲ τὰ νῦν ȣ̓τω τρέχεις ἀκαταλήπτως διώκων τȣ̀ς ἵππȣς τοῦ συνετȣ̃ Ἀχιλλέως· ȣ̓τοι δὲ δυχείρωτοι θνητοῖς ἀνθρώποις τυπτηθῆναι ἢ ἐποχηθῆναι ἑτέρῳ ἀλλ' ἢ τῷ Ἀχιλλεῖ, ὃν ἡ ἀθάνατος ἔτεκε μήτηρ. ἐν τοσȣ́τῳ δέ σοι ὁ πολεμικὸς Μενέλαος τȣ̃ Ἀτρέως υἱὸς "ὑπερμαχήσας τῷ Πατρόκλῳ τὸν ἀριςέα τῶν Τρώων ἐφόνευσε, τὸν Πάνθȣ υἱὸν Εὔφορβον, ἔπαυσε δὲ τῆς πολεμικῆς δυνάμεως." ȣ̓τως εἰπὼν ὁ μὲν θεὸς πάλιν ἐπορεύθη ἀνὰ τὴν μάχην τῶν ἀνδρῶν, τὸν δὲ Ἕκτορα δεινὴ λύπη περιέχε περὶ τὰς συνετὰς διανοίας. περιεβλέπετο δὲ ἔπειτα κατὰ τὰς τάξεις, εὐθέως δὲ εἶδε "τὸν μὲν ἀφαιρȣ́μενον τὰ περίδοξα ὅπλα, τȣ̃τον δὲ ἐπὶ τῆς γῆς κείμενον· κατέῤῥει δὲ τὸ αἷμα κατὰ τὴν τρωθεῖσαν πληγήν. ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιςῶν καθωπλισμένος τῷ μέλανι σιδήρῳ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεγάλα βοῶν, τῇ φλογὶ ὅμοιος τῷ πυρὸς τῇ ἀσβέστῳ. οὐκ ἔλαθε δὲ τὸν Μενέλαον μέγα βοήσας. "ἀγανακτήσας δὲ δὴ εἶπε πρὸς τὴν ἑαυτῷ καρτερικὴν ψυχήν "φεῦ μοι ἐγώ, ἐὰν μὲν καταλίπω τὰ κάλλιστα ὅπλα καὶ τὸν Πάτροκλον, ὃς περὶ ἐμοῦ ἕνεκεν τῆς τιμηθῆναί με ἐνταῦθα, μή πώς μοι τῶν Ἑλλήνων τις μέμψηται ὃς ἂν θεάσηται. ἐὰν δὲ τῷ Ἕκτορι μόνος ὢν καὶ τοῖς Τρωσὶ μαχήσωμαι "ἐντραπείς, μή πώς με περισοιχήσωσιν τὸν ἕνα οἱ πολλοί, τὰς Τρῶας δὲ πάντας ἐνταῦθα ἀπάγει ὁ εὔοπλος Ἕκτωρ. ἀλλὰ τί δή ποτέ μοι ταῦτα ἡ φίλη διελογίσατο ψυχή; ὅτε ἀνὴρ θέλει δι' ἀνθρώπου μάχεσθαι πρὸς θεὸν ἦλθεν ὃν ἂν ὁ θεὸς ἄνδρα τιμᾷ, ταχέως αὐτῷ μέγα κακὸν ἐπῆλθεν. "διό με ἐδαμῶς τις τῶν Ἑλλήνων μέμψεται ὃς ἂν θεάσηται τῷ Ἕκτορι ὑποχωρήσαντα, ἐπειδὴ ἐκ προῤῥήσεως θεᾶ πολεμεῖ. ἐὰν δέ πε τὴν τοῦ Αἴαντος τοῦ ἀνδρείου βοὴν ἀκούσωμι, ἀμφότεροι ἂν πορευθέντες μνήμην ποιησόμεθα τῆς μάχης καὶ πρὸς αὐτὸν θεὸν πολεμήσωμεν, εἴ πως ἐλκύσαιμεν τὸν νεκρὸν "πρὸς τὸν υἱὸν τοῦ Πηλέως Ἀχιλλέα· ἐκ δὲ τῶν πολλῶν κακῶν ἄριστον εἴη." ἕως ὅτος ταῦτα διελογίζετο κατὰ διάνοιαν καὶ κατὰ ψυχήν, τηνικαῦτα τῶν Τρώων ἐπῆλθον αἱ τάξεις, προηγεῖτο δὲ δὴ ὁ Ἕκτωρ. ὅτος δὲ δὴ εἰς τὰπίσω ἀνεχώρει, κατέλιπε δὲ τὸν νεκρόν, ἐπιστρεφόμενος συνεχῶς ὥσπερ τις λέων καλὸν γένειον ἔχων, "ὃν δὴ κύνες καὶ ἄνδρες ἀπὸ τῆς ἐπαύλεως τῆς αὐλείας θύρας διώξωσι τοῖς δόρασι καὶ τῇ βοῇ· τότε δὲ ἐν ταῖς διανοίαις ἡ ἰχυρὰ ψυχὴ συσέλλει, ἄκων δὲ ἀπέβη ἀπὸ μέσης τῆς ἐπαύλεως. ὅτως ἀπὸ τοῦ Πατρόκλου ἐπορεύετο ὁ πυῤῥὸς Μενέλαος, ἔζη δὲ ἐπισραφείς, ἐπεὶ εἰς τὸ πλῆθος ἀφίκετο τῶν ἑταίρων, "περισκοπῶν τὸν Αἴαντα τὸν μέγαν τοῦ Τελαμῶνος υἱόν. τοῦτον δὲ πάνυ ταχέως ἐθεάσατο ἐπὶ τὰ ἀριστερὰ πάσης τῆς μάχης παραθαῤῥύνοντα τοὺς ἑταίρους καὶ παρορμῶντα πολεμεῖν· μέγαν γὰρ αὐτοῖς φόβον ἔθηκεν ὁ καθαρὸς Ἀπόλλων. τρέχων δὲ ἐπορεύθη, εὐθέως δὲ παραγὰς λόγον εἶπεν. "" ὦ Αἶαν προσφιλέσατε, δεῦρο περὶ τοῦ Πατρόκλου ἀποθανόντος σπεύδωμεν, ὅπως ἂν καὶ τὸν νεκρὸν τῷ Ἀχιλλεῖ κομίσωμεν γυμνόν· τὰ δὲ ὅπλα αὐτοῦ φορεῖ ὁ εὔοπλος Ἕκτωρ." ὅτως εἶπε, τῷ δὲ Αἴαντι τῷ συνετῷ κατὰ ψυχὴν ἐτάραξεν. ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν, σὺν αὐτῷ δὲ ὁ πυῤῥὸς Μενέλαος. "ὁ μὲν δὴ Ἕκτωρ ἐπεὶ τὸν Πάτροκλον τὰ πολύτιμα ὅπλα ἀφείλετο, εἶλκεν, ἵνα ἀπὸ τῶν ὤμων τὴν κεφαλὴν ἀποτέμῃ τῷ ὀξεῖ σιδήρῳ, τὸν δὲ νεκρὸν ταῖς Τρωϊκαῖς ἑλκύσας δοίη κυσίν. ὁ δὲ Αἴας ἐγγὺς ἦλθεν ἐπιφερόμενος ἀσπίδα μεγάλην. ὁ δὲ Ἕκτωρ πάλιν εἰς τὸ ὅπλῆθος ἐλθὼν τῶν ἑταίρων ὑπεχώρει, "εἰς δὲ τὸ ἅρμα ἀνῆλθεν· ἐδίδε δὲ ὅτος τὰ καλὰ ὅπλα τοῖς Τρωσὶ κομίζειν πρὸς τὴν πόλιν μεγάλην δόξαν αὐτῷ εἶναι. ὁ δὲ Αἴας τῷ Πατρόκλῳ ἀσπίδα μεγάλην περικαλύψας εἰσήκει ὥσπερ τις λέων περὶ τοῖς ἑαυτοῦ τέκνοις, ᾧ τινι δὴ τὰς σκύμνους ἐπιφερομένῳ συναντήσωσιν ἐν συνδενδρίᾳ "ἄνδρες κυνηγοί· ὅτος δὲ τῇ δυνάμει θαῤῥεῖ, πᾶν δὲ τὸ τοῦ μετώπου δέρμα κάτω ἕλκει τὰς ὀφθαλμοὺς καλύπτων. ὅτως ὁ Αἴας περὶ τῷ Πατρόκλῳ τῷ γενναίῳ ὑπερεμάχει· ὁ δὲ Ἀτρέως παῖς ἑτέρωθεν ὁ φιλοπόλεμος Μενέλαος εἰσήκει μέγαν ὀδυρμὸν ἐν τοῖς σήθεσιν αὔξων. "Γλαῦκος δὲ ὁ τοῦ Ἱππολόχου παῖς, τῶν Λυκίων ἀνδρῶν ἀρχηγός, τὸν Ἕκτορα δραξικῶς ὑπιδὼν δεινῷ ἐπέπληξε λόγῳ. "ὦ Ἕκτορ, τὸ εἶδος ἄριστε, τοῦ πολέμου κατὰ πολὺ ἐνδεὴς εἶ. ὄντως ματαίως φήμη ἀγαθή σε ἔχει φυγάδα ὑπάρχοντα. βουλεύου τὰ νῦν ὅπως ἂν τὴν πόλιν καὶ τὰς ἐν τῇ πόλει σώσεις "μόνος σὺν τοῖς λαοῖς οἵτινες ἐν τῇ Ἰλίῳ οἰκοῦσιν· ἐδεὶς γὰρ τῶν Λυκίων πολεμήσων τοῖς Ἕλλησι πορεύσεται περὶ τῆς πόλεως, ἐπειδὴ ἐδαμῶς χάρις τις ἦν πολεμεῖν τοῖς πολεμίοις ἀνδράσιν ἀδιαλείπτως ἀεί. πῶς ἂν σὺ χείρονα ἄνδρα σωσείας κατὰ τὸ ὅπλῆθος "ὦ δειλέ, ἐπεὶ τὸν Σαρπηδόνα ὁμῶ φίλον καὶ ἑταῖρον κατέλιπες τοῖς Ἕλλησι σπάραγμα καὶ κύρμα γενέσθαι, ὅς σοι μέγα ὄφελος ἦν τῇ πόλει καὶ αὐτῷ σοὶ ζῶν ὑπάρχων· νῦν δὲ ἐδαμῶς αὐτῷ ἀποδιώξαι τὰς κύνας ἐκαρτέρησας. διὰ τοῦτο νῦν, εἴ τις ἐμοὶ τῶν Λυκίων ἀνδρῶν πειθῇ, "εἰς τὴν οἰκίαν πορευθῆναι· τῇ Τροίᾳ δὲ προφανὴς ἔσαι ὁ χαλεπὸς ὄλεθρος. εἰ γὰρ νῦν τοῖς Τρωσὶ δύναμις θάρσος παρέχουσα ἐνυπῆρχεν, ἄφοβον, ὁποῖον ἄνδρας ἐπεισέρχεται οἵτινες περὶ τῆς πατρίδος ἀνδράσι πολεμίοις μάχην καὶ φιλονεικίαν ἔχουσι, ταχέως ἂν τὸν Πάτροκλον ἐλκύσαιμεν ἔνδον τῆς Ἰλίου. "ἐὰν δὲ ὅτος πρὸς τὴν μεγάλην πόλιν Πριάμου τοῦ βασιλέως παραγένηται ὁ νεκρὸς καὶ αὐτὸν ἑλκύσαιμεν τῷ πολέμῳ, ταχέως ἂν οἱ Ἕλληνες τοῦ Σαρπηδόνος τὰ καλὰ ὅπλα ἀποδοῖεν καὶ αὐτὸν ἂν κομισαίμεθα ἔνδον τῆς Ἰλίου. τοιοῦτος γὰρ θεραπευτὴς πεφύκει ἀνδρός, ὃς μέγ' ἄριστος "παρὰ ταῖς τῶν Ἑλλήνων ναυσὶ καὶ πολεμικοὶ οἱ θεραπευταί. ἀλλὰ σὺ τοῦ μεγαλοψύχου Αἴαντος ἐκ ἐκαρτέρησας ἐξ ἐναντίας σῆναι ἰδὼν τὰς ὀφθαλμὰς ἐν τῇ τῶν πολεμίων μάχῃ ἀδ' ἐπ' εὐθείας πολεμῆσαι, ἐπειδή σου κρείττων ἐσί." πρὸς τοῦτον δὲ δραξικῶς ὑπιδὼν εἶπεν ὁ εὔοπλος Ἕκτωρ "" ὦ Γλαῦκε, τί δή ποτε σὺ τοιοῦτος ὢν ὑπερήφανον εἶπες; ὦ προσφιλέσατε, ὄντως ὑπελάμβανόν σε περισσότερον εἶναι τῇ φρονήσει τῶν λοιπῶν τούτων, ὁπόσοι Λυκίαν τὴν μεγαλόβωλον οἰκοῦσι. τὰ νῦν δέ σου ἐμεμψάμην παντελῶς τὰς διανοίας ὁποῖον εἶπες· ὅστις με λέγεις Αἴαντα τὸν μέγαν μὴ καρτερῆσαι. ἐδαμῶς ἐγὼ ἐφοβήθην τὴν μάχην οὐδὲ κτύπον τῶν ἵππων· ἀλλ' ἀεὶ τοῦ Διὸς ἡ διάνοια δυνατωτέρα ὑπὲρ τοῦ ἀνθρώπου, ὅστις καὶ δυνατὸν ἄνδρα φοβεῖ καὶ ἀφαιρεῖται τὴν νίκην ῥᾳδίως, ὅτε δὲ αὐτὸς παρορμᾷ πολεμεῖν. ἀλλὰ φέρε ἐνταῦθα σὺν ἐμοὶ ἵσασο καὶ θέασαι ἔργον, "εἰ ἄρα δειλὸς γενήσομαι ὡς λέγεις, ἢ τινα καὶ τῶν Ἑλλήνων δυνάμει καὶ περ πάνυ προθυμέμενον κωλύσω βοηθῆσαι περὶ τοῦ ἀποθανόντος Πατρόκλου." ὅτως εἰπὼν τοῖς Τρωσὶν ἐκέλευσε μέγα βοῆσαι. "ὦ Τρῶες καὶ ὦ Λύκιοι καὶ οἱ ἀπὸ Δαρδάνου πολεμικοί, "ἀνδρεῖοι ἔσε προσφιλέσατοι, ὑπομνήσθητε δὲ τῆς πολεμικῆς δυνάμεως, ὅπως ἂν ἐγὼ τοῦ ἀψύχου Ἀχιλλέως τὰ ὅπλα ἐνδύσωμαι τὰ κάλλιστα, ἅπερ τὴν Πατρόκλου ἰχὺν ἐσκύλευσα ἀποκτείνας." ὅτω δὴ εἰπὼν ἐπορεύθη ὁ

εὔοπλος Ἕκτωρ ἐκ τȣ̃ διακοπτικȣ̃ πολέμȣ, τρέχων δὲ κατέλαβε τȣ̀ς ἑταίρȣς "πάνυ ταχέως ϗ ȣ̓δαμῶς πόῤῥω τοῖς ταχέσι ποσὶν ἐπιδραμών, οἵτινες πρὸς τὴν πόλιν ἔφερον τὰ περίδοξα ὅπλα τȣ̃ Ἀχιλλέως. ϛὰς δὲ ἄποθεν τῆς μάχης τῆς πολυδακρύτȣ τὰ ὅπλα ἤλλαξε, ϗ ȣ̃τος μὲν τὰ ἴδια ἔδωκεν ἀπαγαγεῖν πρὸς τὴν ἱερὰν Ἴλιον τοῖς φιλοπολέμοις Τρωσίν, ȣ̃τος δὲ τὰ θεῖα ὅπλα ἐνεδύσατο "τȣ̃ υἱȣ̃ Πηλέως Ἀχιλλέως, ἅπερ αὐτῷ οἱ ȣ̓ράνιοι θεοὶ τῷ προσφιλεῖ πατρὶ παρέχον. ȣ̃τος δὲ τῷ ἰδίῳ ἔδωκε παιδὶ γηράσας· ἀλλ' ȣ̓χ ὁ υἱὸς ἐν τοῖς πατρικοῖς ὅπλοις ἐγήρασε. τȣ̃τον δὲ ὡς εἶδεν ἄνωθεν ὁ νεφεληγερέτης Ζεὺς τοῖς ὅπλοις τȣ̃ Ἀχιλλέως τȣ̃ θαυμαϛȣ̃ καθοπλιζόμενον, "κινήσας δὴ τὴν κεφαλὴν πρὸς τὴν αὑτȣ̃ διελέξατο ψυχήν. "ὦ ταλαίπωρε, ȣ̓δαμῶς σοι ὁ θάνατος ἐν τῇ ψυχῇ ἐϛίν, ὅϛις δή σοι ἐγγὺς ὑπάρχει. σὺ δὲ θεῖα ὅπλα ὑπενδύῃ ἀνδρὸς ἀριϛέως, ὅνπερ ϗ ἕτεροι τρέμȣσιν. τȣ́τȣ δὴ τὸν ἑταῖρον ἐφόνευσας τὸν προσηνῆ τε ϗ ἀνδρεῖον, "τὰ ὅπλα δὲ ȣ̓ κατὰ τὸ προσῆκον ἀπό τε τῆς κεφαλῆς ϗ τῶν ὤμων ἀφείλȣ. νῦν δέ σοι μεγάλην δόξαν παρέξω, τȣ́των ἀμοιβὴν διό σοι ȣ̓δαμῶς τȣ̃ πολέμȣ ἐπανελθόντι ὑποδέξεϑ Ἀνδρομάχη τὰ ἔνδοξα ὅπλα τȣ̃ Ἀχιλλέως." εἶπε ϗ ταῖς βαθείαις ὀφρύσιν ὑπένευσεν ὁ Ζεύς· "τὰ δὲ ὅπλα ἥρμοσεν ἐπὶ τῷ Ἕκτορος σώματι, εἰσῆλθε δὲ αὐτῷ πολεμικὴ δύναμις φοβερὰ ϗ ἀκαταμάχητος, ἐπληρώθησαν δὲ αὐτȣ̃ τὰ μέλη ἔνδον δυνάμεως καὶ ἰϛύος. πρὸς δὲ τȣ̀ς ἐνδόξȣς συμμάχȣς ἐπορεύθη μεγάλα βοῶν. ὡμοιȣ̃το δὲ αὐτοῖς πᾶσι τοῖς ὅπλοις ἀϛραπτόμενος τȣ̃ μεγαλοψύχȣ Ἀχιλλέως. "παρώρμα δὲ ἕκαϛον παριϛάμενος τοῖς λόγοις, τόν τε Μέϑλην ϗ τὸν Γλαῦκον ϗ τὸν Μέδοντα ϗ τὸν Ὀρσίλοχον τόν τε Ἀϛεροπαῖον ϗ τὸν Βιήνορα ϗ τὸν Ἱππόθοον τόν τε Φόρκυν ϗ τὸν Χρομίον καὶ Ἔννομον τὸν μάντιν. τȣ́τȣς ȣ̃τος παρορμῶν ταχεῖς λόγȣς εἶπεν. ""ἀκȣ́σατε τὰ πολλὰ γένη τῶν περιοικȣ́ντων συμμάχων· ȣ̓ γ̀ πλήθȣς ἐγὼ δεόμενος ȣ̓δὲ χρῄζων ἐνταῦθα ἀπὸ τῶν ὑμετέρων πόλεων ἐπανέϛησα ἕκαϛον, ἀλλ' ἵνα μοι τὰς τῶν Τρώων γυναῖκας ϗ τὰ μικρὰ παιδία προθύμως σώζοιτε ὑπὸ τῶν φιλοπολέμων Ἑλλήνων. "ταῦτα λογιζόμενος τοῖς δώροις ἀνιῶ ϗ τῇ τροφῇ τὸ πλῆθος, ἑκάϛȣ δὲ ὑμῶν τὴν προθυμίαν αὔξω. διὸ ἐπ' εὐθείας τις ὁρμῶν ἢ διαφθειρέϑω ἢ σωθήτω· αὕτη γ̀ τȣ̃ πολέμȣ ἡ ἀρετή. ὅϛις δ' ἂν τὸν Πάτροκλον καίπερ ὅμως ἀποθανόντα "εἰς τȣ̀ς ἱππικȣ̀ς Τρῶας ἑλκύσῃ, ὑποχωρήσει δὲ αὐτῷ ὁ Αἴας, τὸ ἥμισυ τῶν λαφύρων ἀπομερίσω, τὸ δὲ ἥμισυ αὐτὸς ἐγὼ καθέξω· ἡ δὲ αὐτῷ δόξα προσέϛαι ὅση περ ϗ ἐμοί." ȣ̃τως εἶπεν· ȣ̃τοι δὲ ἐπ' εὐθείας τῶν Ἑλλήνων βαρήσαντες ἐπορεύθησαν, τὰ δόρατα ἀνατείναντες· πάνυ γ̀ αὐτῶν ἤλπιζεν ἡ ψυχὴ "τὸν νεκρὸν ἑλκύειν ὑπὸ τȣ̃ Αἴαντος τȣ̃ Τελαμῶνος παιδός, οἱ ἀνόητοι· πολλῶν γ̀ ἐπ' αὐτῷ τὴν ψυχὴν ἀφείλετο. ϗ τότε δὴ ὁ Αἴας εἶπε πρὸς τὸν ἀνδρεῖον Μενέλαον "ὦ προσφιλέϛατε, ὦ Μενέλαε εὐγενέϛατε, ȣ̓κέτι ἡμᾶς ἐλπίζω αὐτȣ̀ς ἐπανελθεῖν ἐκ τȣ̃ πολέμȣ. "ȣ̓δαμῶς τοτȣ̃τον περὶ τȣ̃ νεκρȣ̃ τȣ̃ Πατρόκλȣ φοβȣ̃μαι, ὅϛις ἂν ταχὺ τῶν Τρώων ἐμπλήσῃ τȣ̀ς κύνας ϗ τȣ̀ς γῦπας, ὅσον ἐπ' ἐμαυτȣ̃ φοβȣ̃μαι ϗ σȣ̃, μή τι πάθωμεν, ἐπεὶ πανταχόθεν ἡμᾶς ἐσκότισεν ὁ Ἕκτωρ καθάπερ νέφος, ἡμῖν δὲ ἀναδείκνυται χαλεπὸς ὄλεθρος. "ἀλλὰ φέρε τȣ̀ς ἀρίϛους τῶν Ἑλλήνων κάλεσον, ἐάν τις ἀκȣ́σῃ." οὕτως εἶπεν· ὑπήκȣσε δὲ ὁ ἀνδρεῖος ϗ πολεμικὸς Μενέλαος, ἐβόησε δὲ μέγα ϗ λαμπρὸν τοῖς Ἕλλησι προσκαλȣ́μενος. "ὦ προσφιλέϛατοι τῶν Ἑλλήνων ἡγεμόνες ϗ βασιλεῖς, οἵ τε παρὰ τοῖς παισὶ τοῦ Ἀτρέως τῷ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ "δημόσια ϗ κοινὰ πίνȣσι ϗ κελεύȣσιν ἕκαϛος τοῖς λαοῖς, τιμὴ δὲ ἐκ τȣ̃ Διὸς ϗ δόξα ἐπακολȣθεῖ. δυσέφικτον δέ μοί ἐϛι διασκέπτεϑϛ ἕκαϛον τῶν ἡγητόρων· τοσαύτη γ̀ ἅμιλλα τȣ̃ πολέμȣ διεγήγερϑ. ἀλλ' ἀφ' ἑαυτȣ̃ τις ἐλθέτω, μέμψεως δὲ ἄξιον ἡγείϑω τῇ ψυχῇ "τὸν Πάτροκλον τοῖς Τρωϊκοῖς κυσὶ παίγνια γενέϑϛ." ȣ̃τως εἶπε· ταχέως δὲ ἤκȣσεν ὁ Ὀϊλέως ταχὺς Αἴας, πρῶτος δ' ἐξ ἐναντίας ἦλθε τρέχων ἀνὰ τὴν μάχην, μετ' αὐτὸν δὲ ὁ Ἰδομενεὺς ϗ ὁ ἀκόλȣθος τοῦ Ἰδομενέως ὁ Μηριόνης παραπλήσιος Ἄρει τῷ ἀνδροφόνῳ. "τῶν δὲ λοιπῶν τίς ἂν ταῖς ἰδίαις διανοίαις τὰ ὀνόματα εἴποι, ὁπόσοι δὴ μετὰ ταῦτα τὸν πόλεμον ἤθροισαν τῶν Ἑλλήνων; οἱ Τρῶες δὲ προκατῆρξαν ἀθρόοι, προηγεῖτο δὲ ὁ Ἕκτωρ. ὥσπερ δὲ ὅτε ἐν προχύσεσι κατωφερȣ̃ς ποταμȣ̃ ἠχεῖ μεγάλως τὸ κῦμα ἐπὶ τὸν ῥȣ̃ν, αἱ δὲ ἄκραι "τῶν αἰγιαλῶν περιηχȣ̃σιν ϗ βρασσομένης τῆς θαλάσσης ἔξω, τοσαύτη δὲ τῶν Τρώων ἡ βοὴ ἐγένετο. οἱ δὲ Ἕλληνες περιέϛησαν τῷ Πατρόκλῳ μίαν προθυμίαν ἔχοντες, σκεπαϑέντες ἀσπίσι σιδηραῖς. περὶ δὲ αὐτȣ̀ς ταῖς λαμπραῖς περικεφαλαίαις ὁ Ζεὺς ἀορασίαν πολλὴν "κατέχεεν, ἐπειδὴ ȣ̓δὲ τὸν Πάτροκλον ἐμίσει πρότερον, ἕως ζῶν ὑπάρχων θεραπευτὴς ἦν Ἀχιλλέως, ἐμίσει δὲ αὐτὸν πολεμίων κυσὶ σπάραγμα γενέϑϛ τοῖς Τρωϊκοῖς· διὸ ϗ βοηθῆσαι αὐτῷ διήγειρε τȣ̀ς ἑταίρȣς. ὤθησαν δὲ πρότεροι οἱ Τρῶες τοὺς εὐοφθάλμȣς Ἕλληνας· "ἀπολιπόντες δὲ τὸν νεκρὸν ὑπὸ δέȣς ἔφυγον· ȣ̓δένα δὲ αὐτῶν οἱ μεγαλόψυχοι Τρῶες ἀνεῖλον τοῖς δόρασι καίπερ προθυμȣ́μενοι, ἀλλὰ τὸν νεκρὸν εἵλκυον. παρ' ὀλίγον δὲ τȣ́τȣ οἱ Ἕλληνες ἔμελλον ἀφίϛαϑϛ· πάνυ γ̀ ταχέως αὐτȣ̀ς ἐτάραξεν ὁ Αἴας, ὅϛις διέφερε τῇ ἰδέᾳ ϗ τοῖς ἔργοις κρείττων ὑπῆρχε "τῶν λοιπῶν Ἑλλήνων μετὰ τὸν ἄψογον Ἀχιλλέα. ὥρμησε δὲ διὰ τῶν πρωταγωνιϛῶν χοίρῳ ὅμοιος τὴν ἰϛύν, κάπρῳ, ὅϛις ἐν ὄρεσι τȣ̀ς κύνας ϗ τȣ̀ς ἀκμάζοντας νέȣς εὐκόλως ἐσκόρπισε συϛραφεὶς διὰ βασίμων τόπων. ȣ̃τως ὁ υἱὸς τȣ̃ λαμπρȣ̃ Τελαμῶνος ὁ λαμπρὸς Αἴας "ῥᾳδίως μετελθὼν τῶν Τρώων διέϛισε τὰς τάξεις, ὅσοι περιέβησαν τῷ Πατρόκλῳ, διενοȣ̃ντο δὲ μάλιϛα πρὸς τὴν ἑαυτῶν πόλιν ἑλκύειν ϗ δόξαν ἀπενέγκαϑϛ. τȣ̃τον μὲν ὁ τȣ̃ Πελασγȣ̃ Λήθȣ λαμπρὸς υἱὸς ὁ Ἱππόθοος ἐκ τȣ̃ ποδὸς εἷλκεν ἀνὰ τὴν ἰϛυρὰν μάχην, "δήσας τῷ ἀναφορεῖ παρὰ τὸν ἀϛράγαλον τȣ̃ τένοντος, τῷ Ἕκτορι ϗ τοῖς Τρωσὶ χάριν ποιῶν· ταχέως δὲ αὐτῷ ἐπῆλθεν ὄλεθρος, ὃν ȣ̓δεὶς αὐτȣ̃ ἀπεκώλυσε καίπερ προθυμȣμένῳ. τȣ̃τον δὲ ὁ υἱὸς τȣ̃ Τελαμῶνος ἐφορμήσας διὰ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλήθος ἔπληξεν ἀπὸ χειρῶν διὰ τῆς σιδηρογνάθου περικεφαλαίας. "διεχίθη δὲ ἡ ἱππόλοφος περικεφαλαία περὶ τῇ τοῦ δόρατος ἐπιδορατίδι, πληγεῖσα τῷ μεγάλῳ δόρατι καὶ τῇ δυνατῇ χειρί· ὁ δὲ ἐγκέφαλος παρὰ τὴν ἀνάτασιν τοῦ δόρατος ἐκ τοῦ τραύματος ἀνέδραμεν ἡματωμένος. τόνου δὲ αὐτόθι παρελύθη ἡ δύναμις, ἐκ δὲ τῶν χειρῶν τοῦ μεγαλοψύχου Πατρόκλου τὸν πόδα ἀφῆκε χαμαὶ "κεῖθι. ἕτος δὲ ἐγγὺς αὐτοῦ ἔπεσε κατὰ πρόσωπον ἐπὶ τῷ νεκρῷ, πόρρω ἀπὸ τῆς εὐγείου Λαρίσσης· ἀδαμῶς δὲ τοῖς γονεῦσι τὰ τροφεῖα τοῖς προσφιλέσιν ἀπέδωκεν· ὀλιγοχρόνιος δὲ αὐτῷ ἡ ζωὴ ἐγένετο ὑπὸ τοῦ μεγαλοψύχου Αἴαντος τῷ δόρατι φονευθέντι. ὁ δὲ "Εκτωρ αὖθις κατὰ τοῦ Αἴαντος ἠκόντισε τῷ λαμπρῷ δόρατι· "ἀλλ' ὁ μὲν ἐξ ἐναντίας περιβλεψάμενος ἐξέκλινε τὸ σιδηροῦν δόρυ [πρὸς βραχύ, αὐτὸς δὲ Σχεδίον τὸν υἱὸν τοῦ μεγαλοψύχου Ἰφίτου] τὸν ἐξόχως ἄριστον τῶν Φωκέων, ὅσις ἐν τῇ περιδόξῳ Πανοπεῖ οἰκία κατῴκει πολλῶν ἀνδρῶν βασιλεύων, τοῦτον ἔβαλε κατὰ τὸ μέσον τὴν ζεῦξιν· δι' ὅλου δὲ τῇ ἄκρᾳ "σιδηρᾷ ἐπιδορατίδι τὸ ἕτερον τοῦ ἔχατον τοῦ ὤμου κατεχέθη. ἐκτύπησε δὲ πεσών, ἦχησε δὲ αὐτοῦ τὰ ὅπλα ἐπ' αὐτῷ. ὁ δὲ Αἴας πάλιν τὸν συνετὸν Φόρκυνα τὸν Φαίνοπος υἱόν, ὑπερασπίζοντα τοῦ Ἱππόθου, κατὰ μέσην τὴν γαστέρα ἔτυψε, διέρρηξε δὲ τοῦ θώρακος τὸ κοῖλον· τὰ δὲ ἔντερα ὁ σίδηρος "διέκοψεν. ἕτος δὲ ἐν τῇ γῇ πεσὼν ἔλαβε τὴν γῆν τῷ ἀγκῶνι. ὑπεχώρησαν δὲ οἵ τε πρωταγωνισταὶ καὶ ὁ λαμπρὸς "Εκτωρ. οἱ δὲ "Ελληνες μεγάλως ἐβόησαν καὶ εἵλκυσαν τοὺς νεκρούς, τόν τε Φόρκυνα καὶ τὸν Ἱππόθοον, ἔλυον δὲ τῶν ὤμων τὰ ὅπλα. τότε δὴ ἂν οἱ Τρῶες ὑπὸ τῶν φιλοπολέμων "Ελλήνων "εἰς τὴν Ἴλιον ἀνέδραμον τῇ ἀδυναμίᾳ δαμασθέντες, οἱ "Ελληνες δὲ ἂν δόξαν ἀνῆραν καὶ χωρὶς τῆς τοῦ θεοῦ βελῆς τῷ κράτει καὶ τῇ δυνάμει αὐτῶν· ἀλλ' ὁ Ἀπόλλων αὐτὸς τὸν Αἰνείαν παρώρμησε, κατὰ τὸ σῶμα τῷ Περίφαντι ὁμοιωθεὶς τῷ κήρυκι τῷ Ἠπύτου παιδί, ὃς παρὰ τῷ πατρὶ αὐτοῦ τῷ πρεσβύτῃ "κατηγόρα κηρύσσων, προσφιλῆ βουλεύματα τῇ διανοίᾳ εἰδώς. [τούτῳ ὁμοιωθεὶς εἶπε πρὸς αὐτὸν Ἀπόλλων ὁ υἱὸς τοῦ Διός] "ὦ Αἰνεία, πῶς ἂν καὶ παρὰ γνώμην θεᾶ σώσητε τὴν ὑψηλὴν Ἴλιον; ἔτω δὴ εἶδον καὶ ἑτέρους ἄνδρας τῷ τε κράτει καὶ τῇ ἰσχύϊ πεποιθότας καὶ τῇ ἀνδρίᾳ τοῦ σώματος ο"καὶ τῷ ἑαυτῶν πλήθει καὶ ὑπεράγοντα τῇ δυνάμει λαὸν ἔχοντας ἀντιτάττεσθ. [ἡμῖν δὲ ὁ μὲν Ζεὺς μᾶλλον βέλεσθ' ἢ τοῖς "Ελλησι] νίκην παραχεῖν· ἀλλ' αὐτοὶ φοβεῖσθε πολὺ καὶ ὀ πολεμεῖτε." ἕτως εἶπεν· ὁ δὲ Αἰνείας τὸν μακροβόλον Ἀπόλλωνα ἐπέγνω ἐξ ἐναντίας περιβλεψάμενος, μέγα δὲ βοήσας πρὸς τὸν "Εκτορα εἶπεν "'"ὦ "Εκτορ καὶ οἱ λοιποὶ τῶν Τρώων καὶ τῶν συμμάχων ἀρχηγοί, αἰσχύνη μὲν τὰ νῦν ἕτως ἀπὸ τῶν φιλοπολέμων "Ελλήνων εἰς τὴν Ἴλιον ἀνελθεῖν ταῖς ἀδυναμίαις φοβηθέντας. ἀλλὰ γ' ἔτι φησί τις τῶν θεῶν ἐγγὺς ἐμοὶ παρασὰς Διὸς τὸν μέγιστον βουλευτὴν τοῦ πολέμου βοηθὸν ὑπάρχειν· "διὸ δὴ ἐπ' εὐθείας τῶν "Ελλήνων πορευθῶμεν, καὶ μηδαμῶς ἕτοι μετὰ ἀδείας τὸν Πάτροκλον ἐν ταῖς ναυσὶ προσεγγίσουσιν ἀποθανόντα." ἕτως εἶπε, καὶ δὴ κατὰ πολὺ πρὸ τῶν πρωταγωνιστῶν πηδήσας ἐξάθη· ἕτοι δὲ συνεσράφησαν καὶ ἐξ ἐναντίας τῶν "Ελλήνων ἕστησαν. τότε δὴ ὁ Αἰνείας τὸν Λειώκριτον ἔτρωσε τῷ δόρατι, "τὸν υἱὸν Ἀρίσβαντος, τὸν τοῦ Λυκομήδους ἀγαθὸν φίλον. τοῦτον δὲ πεσόντα ἠλέησεν ὁ φιλοπόλεμος Λυκομήδης, ἔπη δὲ πάνυ ἐγγὺς πορευθεὶς καὶ ἠκόντισε τῷ λαμπρῷ δόρατι, καὶ ἔτυχε τὸν Ἱππάσου υἱὸν Ἀπισάονα τὸν βασιλέα τῶν ὄχλων τῷ ἥπατι, ἐν ᾧ τόπῳ εἰσὶν αἱ φρένες· εὐθέως δὲ παρέλυσε τὰ γόνατα· "ὅσις δὴ ἐκ Παιονίας τῆς μεγαλοβώλου παρεγένετο, καὶ μετὰ τὸν Ἀξεροπαῖον δὲ ἠνδραγάθει ἐν τῷ μάχεσθ. τοῦτον δὲ πεσόντα ᾠκτειρεν ὁ πολεμικὸς Ἀξεροπαῖος· ὥρμησε δὲ καὶ ἕτος προθύμως τοῖς "Ελλησι μαχέσασθ. ἀλλ' ἀδέπω ἔτι ἐκαρτέρει· ἀσπίσι γὰρ περιπεφραγμένοι ἦσαν πανταχόθεν, "περιεσῶτες τῷ Πατρόκλῳ, πρὸ ἑαυτῶν δὲ εἶχον τὰ δόρατα. ὁ γὰρ Αἴας πάντας ἐπεπορεύετο πολλὰ παρακελεύων, ἔτε τινὰ ἐξοπίσω ἐκ τοῦ νεκροῦ ἀναχωρεῖν ἐκέλευεν, ἔτε τινὰ πολεμεῖν τῶν λοιπῶν "Ελλήνων ὑπερέχοντα, ἀλλὰ πάνυ ὑπερμαχεῖν αὐτοῦ καὶ ἐκ τοῦ σύνεγγυς πολεμεῖν. "ἕτως ὁ μέγας Αἴας ἐνετέλλετο· τῷ δὲ αἵματι ἡ γῆ ἐπληρᾶτο τῷ μέλανι. ἕτοι δὲ ἀλλεπάλληλοι ἔπιπτον νεκροὶ ὁμοῦ τῶν τε Τρώων καὶ τῶν ὑπερεχόντων τῇ δυνάμει συμμάχων καὶ τῶν "Ελλήνων· ἀδὲ γ' ἕτοι χωρὶς αἵματος ἐπολέμουν. κατὰ πολὺ δὲ ὀλιγώτεροι ἀπέθνησκον· μνείαν γ' ἐποιοῦντο ἀεὶ "ἀλλήλων κατὰ τὸ πλῆθος ἀποδιδόσαι τὸν χαλεπὸν θάνατον. ἕτως ἕτοι μὲν ἐμάχοντο δίκην πυρός· οὐδ' ἂν εἴπες ἔτε τὸν ἥλιον ποτε ὁλόκληρον ἔτε τὴν σελήνην ὑπάρχειν· ἀορασίᾳ γ' κατείχοντο ἐπὶ τῆς μάχης ὁπόσοι ἀρίστης περιεσήκασι τῷ Πατρόκλῳ ἀποθανόντι. "οἱ δὲ λοιποὶ Τρῶες καὶ οἱ εὐόπλοι "Ελληνες ἡσυχοι ἐπολέμουν ὑπὸ τὸν ἀέρα. ἐξηπλώθη δὲ τὸ φῶς τοῦ ἡλίου τὸ διαυγές, ἐκ ἐφαίνετο δὲ διὰ πάσης ἔτε τῆς γῆς ἔτε τῶν ὀρῶν· ἐκ διαδοχῆς δὲ ἐπολέμουν, ἀλλήλων ἐκκλίνοντες τὰ ἐσομοιμένα βέλη, "κατὰ πολὺ ἐφεστηκότες. ἕτοι δὲ ἐν μέσῳ πόνου ἔφερον τῇ ἀορασίᾳ καὶ τῷ πολέμῳ. κατεπονοῦντο δὲ τῷ ἀνηλεεῖ σιδήρῳ ὁπόσοι ἀρίστης ὑπῆρχον. δύο δὲ ἄνδρες ἀδέπω ἔμαθον, ἄνδρες περίδοξοι, ὅ τε Θρασυμήδης καὶ ὁ Ἀντίλοχος, τοῦ Πατρόκλου ἀποθανόντος τοῦ ἀμέμπτου, ἀλλ' ἔτι ὑπελάμβανον "ζῶντα αὐτὸν ἐν τοῖς πρωταγωνισταῖς τοῖς Τρωσὶ μάχεσθ. ἕτοι δὲ περισκοποῦντες τὸν θάνατον καὶ τὴν φυγὴν τῶν ἑταίρων ἰδίᾳ καὶ χωρὶς ἐμάχοντο, ἐπειδὴ ἕτω παρεκελεύετο ὁ Νέσωρ, παρορμῶν εἰς τὸν πόλεμον ἀπὸ τῶν βαθειῶν νεῶν. τούτοις δὲ δι' ὅλης τῆς μάχης μεγάλη φιλονεικία ἐγένετο "τῆς χαλεπῆς· τῷ δὲ ἀγῶνι καὶ τῷ ἱδρῶτι ἀδιαλείπτως ἀεὶ τά τε γόνατα καὶ αἱ κνῆμαι οἵ τε πόδες ὑποκάτωθεν ἑκάστου καὶ αἱ χεῖρες καὶ οἱ ὀφθαλμοὶ ἐμολύνοντο μαχομένων περὶ τὸν ἀνδρεῖον θεραπευτὴν τοῦ ταχύποδος Ἀχιλλέως. ὥσπερ δὲ ὅτε ἀνὴρ ταύρου βοὸς μεγάλου βύρσαν "λαοῖς παράσχοι ἐκτείνειν βεβρεγμένην τῷ λίπει, ἀπολαβόντες δὲ ἕτοι χωρισθέντες ἐκτείνουσι κυκλόθεν, ταχέως δὲ ἡ ὑγρασία διέρχεται τοῦ σέατος ὅσα ἐλαιώδης πολλῶν ἀποτεινομένων, ἐκτείνεται δὲ πᾶσα δι' ὅλου, ἕτως ἕτοι ἐνταῦθα κἀκεῖ τὸν νεκρὸν ἐν ὀλίγῃ

γῇ "εἶλκον ἑκάτεροι· πάνυ δὲ αὐτοῖς ἤλπιζεν ἡ ψυχὴ τοῖς Πριάμιο παῖς ἐπιβήσειν· ἃ γῶ συγχωρήσω. "ἦ ἐκ ἀρκεῖ ὅτι
μὲν Τρωσὶν ἑλκύειν πρὸς τὴν Ἴλιον, τοῖς δὲ Ἕλλησιν ἀνὰ καὶ τὰ ὅπλα φορεῖ καὶ ἐπικαυχᾶται ματαίως; ἐν δὲ τοῖς γό-
τὰς βαθείας ναῦς. περὶ δὲ αὐτῷ Ἄρης ἐγένετο σφόδρα· νασιν ὑμῶν ἐμβαλῶ ἰχὺν καὶ ἐν τῷ θυμῷ, ὅπως καὶ τὸν Αὐ-
οὐδ' ἂν ὁ Ἄρης ὁ τὰς λαὰς σώζων ἐδὲ ἡ Ἀθηνᾶ τοῦτον τομέδοντα διασώσητε ἐκ τοῦ πολέμου ἐπὶ τὰς βαθείας ναῦς·
ἰδοῦσα μέμψοιτο, ἐδὲ εἰ λίαν αὐτὴν ὀργὴ καταλάβῃ· "τοιῦ- ἔτι γῶ αὐτοῖς δόξαν χαρίσομαι φονεύειν, ἕως ἂν εἰς τὰς
τον ὁ Ζεὺς ἐπὶ τῷ Πατρόκλῳ τῶν τε ἀνδρῶν καὶ τῶν ἵππων ναῦς τὰς εὐκαθέδρους παραγένωμαι "δύνῃ τε καὶ ὁ ἥλιος καὶ
τῇ ἡμέρᾳ ἐκείνῃ ἐξέτεινε κακὸν κάματον. ἐδαμῶς δέ πω τὸ βαθὺ σκότος ἐπέλθῃ." ἔτως εἰπὼν τοῖς ἵπποις ἐνέπνευσε
ᾔδει τὸν Πάτροκλον ἀποθανόντα ὁ ἔνδοξος Ἀχιλλεύς· δύναμιν ἀγαθήν· ἔτοι δὲ ἀπὸ τῶν τριχῶν τὴν κόνιν εἰς τὴν
πολὺ γῶ ἄποθεν τῶν ταχειῶν νεῶν ἐμάχοντο ὑπὸ τῷ τείχει γῆν βαλόντες ταχέως ἔφερον τὸ ταχὺ ἅρμα πρὸς τὰς Τρῶας
τῶν Τρώων. διὰ τᾶτο αὐτὸν ἐδέπω ἤλπιζε τῇ ψυχῇ "ἀπο- καὶ τὲς Ἕλληνας. ἐπ' αὐτοῖς δὲ Αὐτομέδων ἐμάχετο καίπερ
θανεῖν, ἀλλὰ ζῶντα ἐπιχεθέντα ἐν ταῖς πύλαις εἰς τὲπίσω ὀλυπέμενος ὑπὲρ τᾶ ἑταίρᾳ, "σὺν τοῖς ἵπποις ὁρμῶν ὥσπερ
ἐπανελθεῖν, ἐπεὶ ἐδὲ τᾶτο ἤλπιζε τελείως ἐκπορθήσειν τὴν τις γὺψ πρὸς χῆνας. εὐκόλως γῶ ἔφευγεν ἀπὸ τῆς ταραχῆς
πόλιν χωρὶς αὐτᾶ ἐδὲ σὺν αὐτῷ· πολλάκις γῶ τᾶτο παρὰ τῶν Τρώων, ῥᾳδίως δὲ ἐφώρμα κατὰ πολὺ πλῆθος διώ-
τῆς μητρὸς ἐμάνθανεν ἰδίᾳ καὶ χωρὶς ἀκόων, ἥτις αὐτῷ κων. ἀλλ' οὐκ ἀνῄρει τὲς ἄνδρας, ἡνίκα διώκειν ὥρμησεν·
ἀπήγγειλε τᾶ μεγάλᾳ Διὸς τὴν βολήν. "τότε δὴ ἐδαμῶς ἐδαμῶς γῶ ὑπῆρχε μόνον ὄντα ἐν τῷ μεγάλῳ ἅρματι "τῷ
αὐτῷ εἶπεν τοσᾶτον κακὸν ὅσον ἐγένετο ἡ μήτηρ, ὅτι δὴ δόρατι ἐφορμᾶν καὶ ἐπέχειν τοὺς ταχεῖς ἵππας. βραδέως δὲ
αὐτοῦ πολὺ προσφιλέστατος ἀπώλετο ἑταῖρος. ἔτοι δὲ ἀεὶ αὐτὸν ἀνὴρ ἑταῖρος εἶδε τοῖς ὀφθαλμοῖς, Ἀλκιμέδων ὁ υἱὸς
περὶ τὸν νεκρὸν ὀξέα δόρατα ἔχοντες ἀδιαλείπτως προσήγ- Λαέρκους τᾶ Αἵμονος παιδός· ἔζη δὲ ὄπιθεν τᾶ ἅρματος
γιζον καὶ ἀλλήλους ἐφόνευον. οὕτω δέ τις εἶπεν Ἑλλήνων καὶ πρὸς τὸν Αὐτομέδοντα εἶπεν "ὦ Αὐτόμεδον, τίς δή σοι
τῶν σιδηροθωράκων· ""ὦ προσφιλέστατοι, ἐδαμῶς ἡμῖν τοτῶν θεῶν τὴν ἀνωφελῆ βουλὴν "ἐν ταῖς διανοίαις ἐνέβαλε
πρέπον ἐπανελθεῖν ἐπὶ τὰς κοίλας ναῦς, ἀλλ' ἐν αὐτῷ καὶ τὴν ἀγαθὴν ἐξείλετο φρόνησιν; ὁποῖος πρὸς Τρῶας πο-
τῷ τόπῳ πάντας γῆς χάσματα δεχθείη. τοῦτο ἂν ὄντως λεμεῖς ἐν τῇ πρώτῃ τάξει μόνος· ὁ δὲ δή σοι ἑταῖρος πε-
ἡμῖν προχείρως ὠφελιμώτερον ἐγένετο, ἐὰν τᾶτον τοῖς Τρω- φόνευται, τὰ δὲ ὅπλα ὁ Ἕκτωρ αὐτὸς φορῶν τοῖς ὤμοις
σὶ συγχωρήσωμεν τοῖς ἱππικοῖς πρὸς τὴν ἑαυτῶν πόλιν σεμνύνῃ τᾶ Ἀχιλλέως." πρὸς τᾶτον δὲ ὁ Αὐτομέδων εἶ-
ἑλκύσαι καὶ δόξαν ἀπενέγκαωμ." "ἔτω δὲ δή τις τῶν μεγα- πεν ὁ τᾶ Διώρεος υἱός ""ὦ Ἀλκίμεδον, τίς γῶ σοὶ τῶν
λοψύχων Τρώων εἶπεν· "ὦ προσφιλέστατοι, εἰ καὶ μεμοίραν παρὰ τῷ ἀνδρὶ τάτῳ ἀποθανεῖν πάντας ὁμᾶ, μηδαμῶς τις Ἑλλήνων ἕτερος παραπλήσιος τῶν ταχυτάτων ἵππων ἔχειν
ἀναχωρείτω τᾶ πολέμᾳ." ἔτω δή τις εἶπε, τὴν δὲ δύναμιν ὑποταγήν τε καὶ ἰχύν, εἰ μὴ Πάτροκλος τοῖς θεοῖς τῇ ἐμ-
ἑκάστου διήγειρεν. ἔτως ἔτοι ἐμάχοντο· τῶν δὲ σιδήρων ὁ πειρίᾳ παρόμοιος, ζῶν ὑπάρχων· νῦν δὲ δὴ θάνατος καὶ εἱ-
ἦχος "εἰς τὸν στερεὸν ἀρανὸν ἀφίκετο διὰ τᾶ ἀκάρπᾳ αἰθέ- μαρμένη καταλαμβάνει. ἀλλὰ σὺ μὲν τὴν μάστιγα καὶ τὰ
ρος. οἱ δὲ τοῦ Ἀχιλλέως ἵπποι πόρρω τῆς μάχης ὄντες λαμπρὰ ἡνία "ὑπόδεξαι, ἐγὼ δὲ ἐκ τῶν ἵππων ἀποβήσομαι
ἔκλαιον, ἐπειδὴ ἐξ ἀρχῆς ἤκουσαν περὶ τᾶ ἡνιόχᾳ ἐν τῇ γῇ ὅπως πολεμῶ." ἔτως εἶπεν· ὁ δὲ Ἀλκιμέδων εἰς τὸ ταχύ-
πεσόντος ὑπὸ τᾶ ἀνδροφόνᾳ Ἕκτορος. καίτοι δὴ Αὐτομέ- τατον ἅρμα ἐπιβὰς ταχέως τὴν μάστιγα καὶ τὰ ἡνία ἔλαβε
δουδων ὁ τοῦ Διώρεος δυνατὸς υἱὸς "πολλὰ μὲν τῇ εὐκινήτῳ ταῖς χερσίν. ὁ δὲ Αὐτομέδων ἀπέβη. ἐθεάσατο δὲ ὁ λαμ-
μάστιγι ἐκινεῖτο τύπτων, πολλὰ δὲ κολακευτικῶς προσεφθέγ- πρὸς Ἕκτωρ· εὐθέως δὲ τὸν Αἰνείαν εἶπε πλησίον ὑπάρ-
γετο, πολλὰ δὲ ἀπειλῇ. ἔτοι δὲ εἰς τὲπίσω ἐπὶ τὰς ναῦς χοντα ""ὦ Αἰνεία βελευτικὲ τῶν σιδηροθωράκων Τρώων,
ἐπὶ τὴν πλατεῖαν θάλασσαν ἤθελον πορευθῆναι, ἐδὲ εἰς τὲς ἵππας τάτας εἶδον τᾶ ταχύποδος Ἀχιλλέως εἰς τὸν
τὸν πόλεμον πρὸς τὲς Ἕλληνας. ἀλλ' ὥσπερ τις σῆλη μέ- πόλεμον προφανέντας μετὰ δειλῶν ἡνιόχων. τάτας ἐλπίζω
νει πάγιος ἥτις ἐπὶ τάφῳ "ἀνδρὸς ἀποθανόντος εἰσῆκει ἢ ἂν ἐδαμῶς ἀπελθόντες ἡμεῖς "καρτερήσαιεν ἐξ ἐναντίας
γυναικός, ἔτως ἵσαντο ἀσφαλῶς τὸ περικαλλὲς ἅρμα ἔχον- ἐλάσαντες συμπλακῆναι ἐν τῷ πολέμῳ." ἔτως εἶπεν· ὑπήκουσε
τες, τῷ ἐδάφει πελάσαντες τὰς κεφαλάς· τὰ δὲ δάκρυα δὲ ὁ ἀγαθὸς παῖς τᾶ Ἀγχίσα. ἔτοι δὲ ἐπ' εὐθείας ἐπορεύ-
αὐτῶν χλιαρὰ ἀπὸ τῶν βλεφάρων χαμαὶ ἔῤῥει ὀδυρομένων θησαν, βύρσαις ἐσκεπασμένοι τὲς ὤμας ξηραῖς καὶ στερεαῖς·
τῷ πόθῳ τᾶ ἡνιόχᾳ· ἡ δὲ εὐθαλὴς χαίτη ἐμιαίνετο "ἐκ- πολὺς δὲ ἐπέκειτο σίδηρος. σὺν τάτοις δὲ ὁ Χρομίος καὶ ὁ
πίπτουσα τῆς ζεύγλης παρὰ τὸν ζυγὸν ἑκατέρωθεν. ὀδυρο- τοῖς θεοῖς ὅμοιος Ἄρητος "ἐπορεύθησαν ἀμφότεροι· λίαν
μένες δὲ τάτας ἰδὼν ἠλέησεν ὁ Ζεύς, σείσας δὲ τὴν κε- δὲ αὐτῶν ἤλπιζεν ἡ ψυχὴ αὐτές τε ἀποκτεῖναι καὶ ἐξελάσαι
φαλὴν πρὸς τὴν ἑαυτᾶ εἶπε ψυχήν "ὦ δειλότατε, ἵνα τί τὲς μεγαλοτραχήλας ἵππας, οἱ ἀνόητοι· ἐδαμῶς δὲ ἔμελλον
ὑμεῖς ἐδόθητε Πηλεῖ τῷ βασιλεῖ φθαρτῷ, ὑμεῖς δὲ ἐστε χωρὶς αἵματος ὑποῤῥέφειν εἰς τοὐπίσω ἀπὸ τᾶ Αὐτομέ-
ἄφθαρτοι καὶ ἀθάνατοι. "ἢ ἵνα σὺν τοῖς δυσυχέσιν ἀνδράσι δοντος. ἔτος δὲ εὐξάμενος τῷ Διὶ πατρὶ δυνάμεως καὶ ἰχύος
λύπας ἔχοιτε; ἐδαμῶς γῶ πώ ἐσί τι ταλαιπωρότερον ἀνδρὸς ἐπλήσθη περὶ τὰς συνετὰς φρένας. "εὐθέως δὲ πρὸς τὸν
πάντων ὅσα ζῶα ἐπὶ τῆς γῆς ἕρπει καὶ κινεῖται βαδίζοντα. Ἀλκιμέδοντα εἶπε τὸν πιστὸν φίλον "ὦ Ἀλκίμεδον, μηδα-
ἀλλ' ἐδαμῶς ἂν ὑμῖν καὶ τοῖς ποικίλοις ἅρμασιν Ἕκτωρ ὁ μῶς μοι πόῤῥωθεν ἔπεχε τὲς ἵππας, ἀλλὰ λίαν καταφυ-

σῶντες τὸ μετάφρενον· ἐδαμῶς γ' ἐγὼ Ἕκτορα τὸν Πριά- ἐγγύθεν αὐτῆς ἦν —, ὁμοιωθεῖσα τῷ Φοίνικι κατὰ τὸ
μᾳ παῖδα τὴν δύναμιν ὑπενεγκεῖν νομίζω, πρὶν ἐπὶ τοῦ σῶμα καὶ τὴν ἀδάμαντον φωνήν. "σοὶ μὲν δὴ ὦ Μενέλαε
Ἀχιλλέως τὰς εὐτριχας πορευθῆναι ἵππους Ἥμιθεν ἀποκτεί- συγγνότης καὶ ὄνειδος γενήσεται, ἐὰν τῆ λαμπρῆ Ἀχιλλέως τὸν
ναντα, φοβῆσαι δὲ τὰς τάξεις τῶν ἀνδρῶν τῶν Ἑλλήνων, φίλον ὑπὸ τῷ τείχει τῶν Τρώων ταχεῖς κύνες σπαράξω-
ἢ καὶ αὐτὸς ἂν ἐν τοῖς πρωταγωνισταῖς κρατηθῇ." ἔτως εἰπὼν σιν. ἀλλ' ἴσασο ἰχυρῶς, διέγειρον δὲ ἅπαντα λαόν." πρὸς
τὰς Αἴαντας ἐκάλεσε καὶ τὸν Μενέλαον. "ὦ Αἴαντες τῶν ταύτην δὲ αὖθις εἶπεν ὁ ἀνδρεῖος Μενέλαος "ὦ Φοῖνιξ
Ἑλλήνων ἡγεμόνες καὶ ὦ Μενέλαε, τοῦτον μὲν δὴ τὸν τροφεῦ πρεσβῦτα παλαιότατε, εἴθε ἡ Ἀθηνᾶ παρά-
νεκρὸν ἐπιτετραμμένοι ἔστε ὅσοι ἀνδρεῖοι ὑπερασπίζειν σχοι ἐμοὶ κράτος καὶ τῶν βελῶν ἀποκωλύσοι τὴν ὁρμήν·
αὐτοῦ καὶ ἀποτρέπειν τὰς τάξεις τῶν ἀνδρῶν· ἡμῖν δὲ διὸ ἂν ἐγὼ θέλοιμι παρεξάναι καὶ βοηθεῖν τῷ Πατρόκλῳ·
ζῶσι βοηθεῖτε ἀποσοβοῦντες τὴν ἀνηλεῆ ἡμέραν. ἐν ταύτῃ πάνυ γάρ με θανὼν ἐλύπησε κατὰ ψυχήν. "ἀλλ' ὁ Ἕκτωρ
γ' κατεβάρησαν τὸν πόλεμον τὸν δακρύων αἴτιον ὅ τε Ἕκ- πυρὸς δεινὴν ἔχει δύναμιν καὶ ἐκ ἀποπαύει τῷ σιδήρῳ δια-
τωρ καὶ ὁ Αἰνείας, οἵτινες τῶν Τρώων εἰσὶν ἀριστεῖς. ἀλλὰ κόπτων· τάτῳ γ' ὁ Ζεὺς δόξαν παρέχει." ἔτως εἰπὼν ἐχάρη
ταῦτα μὲν παράκειται ἢ ἐν ἐξουσίᾳ τῶν θεῶν ἐσίν. "ἀκον- δὲ ἡ εὐόφθαλμος ἡ Ἀθηνᾶ, ὅτι δὴ αὐτῇ πάνυ πρώτῃ τῶν
τίσω γ' ἐγώ· ταῦτα δ' ἂν τῷ Διὶ πάντα φροντισθείη." θεῶν ηὔξατο πάντων· δύναμιν δὲ τοῖς ὤμοις καὶ τοῖς γόνα-
εἶπε δή, καὶ ἀνατείνας προέπεμψε τὸ μακροπόρευτον δόρυ, τοσιν ἐνέβαλε, "καὶ μυίας αὐτῷ θάρσος ἐν ταῖς διανοίαις ἐνέ-
καὶ ἔβαλε κατὰ τοῦ Ἀρήτε τὴν περιφερῆ ἀσπίδα. αὕτη δὲ βαλεν, ἥτις καὶ κωλυομένη περ σώματος ἀνθρωπείᾳ ἐπιθυ-
ἐκ ἐκώλυσε τὸ δόρυ· δι' ὅλε δὲ διῆλθεν ὁ σίδηρος, ἐν τῇ μεῖ δακεῖν· γλυκὺ δὲ αὐτῇ τῆ ἀνθρώπε αἷμα. τοιῆτον αὖ-
κατωτάτω δὲ κοιλίᾳ διὰ τῆ ζωστῆρος ἐπέρασεν. "ὥσπερ δὲ τὸν θάρσος ἐνέπλησε περὶ τὰς συνετὰς διανοίας. ἐπορεύθη
ὅταν ὀξὺν πέλεκυν ἔχων νέος ἀνὴρ κόψας ἐξόπισθεν τῶν δὲ ἐπὶ τῷ Πατρόκλῳ καὶ ἔρρῖψε τὸ λαμπρὸν δόρυ. "ὑπῆρχε
κεράτων βοὸς ἐν ἀγρῷ αὐλιζομένου τὸ νεῦρον ἅπαν διατέμῃ, ἕτος δὲ προορμήσας πέσῃ, ἕτω δὴ ἕτος προπηδήσας ἔπεσεν ὕπτιος· τὸ δὲ δόρυ αὐτῆ ἐν τοῖς σπλάγχνις δὲ ἐν τοῖς Τρωσὶ Ποδῆς υἱὸς Ἠετίωνος, τῆς Ἀνδρομάχης
ἀδελφός, πλάσιος καὶ ἀνδρεῖος, κατὰ πολὺ δὲ αὐτὸν ὁ Ἕκ-
τωρ ἐτίμα ἐκ τῆ πλήθος, ἐπειδὴ αὐτῆ ἑταῖρος ἦν προσφιλὴς
καὶ ὁμοτράπεζος. τῆτον δὴ κατὰ τὸν ζωστῆρα ἐπέτυχεν ὁ
πυρρὸς Μενέλαος ὁρμήσαντα εἰς φυγήν, δι' ὅλε δὲ τὸν σι-
δηρον ἐπέρασεν· "ἐκτύπησε δὲ πεσών. ὁ δὲ Ἀτρέως παῖς
Μενέλαος τὸν νεκρὸν ἐξήγαγε πρὸς τὸ πλῆθος τῶν ἑταί-
ρων. τὸν Ἕκτορα δὲ πλησίον ἱστάμενος παρώρμησεν ὁ
Ἀπόλλων, Φαίνοπι τῷ τοῦ Ἀσίου παιδὶ ὅμιος ὤν, ὃς
αὐτῷ ἁπάντων τῶν φίλων προσφιλέστατος ἦν ἐν Ἀβύδῳ
κατοικῶν. "τάτῳ αὐτὸν ὁμοιωθεὶς εἶπεν ὁ μακροβόλος Ἀ-
πόλλων "ὦ Ἕκτορ, τίς ἂν σε ἔτι ἕτερος τῶν Ἑλλήνων φο-
βηθείη, ὁποῖον δὴ τὸν Μενέλαον ἐφοβήθης ὅστις τὸ πρό-
τερον ἦν μαλακὸς πολεμιστής. τὰ νῦν δὲ πορεύεται μόνος
ἄρας τὸν νεκρὸν ἐκ τῶν Τρώων, τὸν σὸν δὲ πιστὸν φίλον
ἀπέκτεινεν "ἀγαθὸν ἐν τοῖς πρωταγωνισταῖς, Ποδῆν τὸν υἱὸν
Ἠετίωνος." ἔτως εἰπὲ· τοῦτον δὲ τῆς λύπης νεφέλη σκο-
τεινὴ περιεκάλυψεν, ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν
καθωπλισμένος μέλανι σιδήρῳ. καὶ τότε δὴ ὁ Κρόνου υἱὸς
ἔλαβε τὴν κροσσὰς ἔχουσαν αἰγίδα, τὴν λαμπράν, τὴν δὲ
Ἴδην νέφεσι κατεκάλυψεν, "ἀστράψας δὲ λίαν μεγάλα ἐβρόν-
τησε, ταύτην δὲ ἔσεισε, τὴν νίκην δὲ τοῖς Τρωσὶν ἐδίδου,
εἰς φυγὴν δὲ ἔτρεψε τὲς Ἕλληνας. ἐν πρώτοις Πηνέλεως
ἀπὸ Βοιωτίας κατήρξατο τῆς φυγῆς· ἐβέβλητο γ' τὸν ὦμον
τῷ δόρατι εἰς τοὔμπροσθεν ἀεὶ τετραμμένος, ἃ κατὰ βάθος
ὀλλ' ἐπ' ὀλίγον· ἔξεσε δὲ αὐτὸν μέχρις ὀσέε "ἡ τῆ Πολυ-
δάμαντος ἐπιδορατίς· ἕτος γ' ἔβαλεν ἐγγὺς ἐλθών. τὸν δὲ
Λήϊτον ὁ Ἕκτωρ ἐγγὺς ἐπὶ τῷ καρπῷ τὴν χεῖρα ἔτρωσε,
τὸν υἱὸν τῆ μεγαλοψύχε Ἀλεκτρύονος, ἀπέπαυσε δὲ τῆς
μάχης. ἐφοβήθη δὲ περιβλεψάμενος, ἐπειδὴ ἐκ ἤλπιζε τῇ
ψυχῇ τὸ δόρυ κατέχον ἐν τῇ χειρὶ πολεμήσειν τοῖς Τρωσί.
"τὸν Ἕκτορα δὲ ὁ Ἰδομενεὺς πρὸς τὸν Λήϊτον ὁρμήσαντα

ἐρεβλήκει κατὰ τὸν θώρακα εἰς τὸ σῆθος παρὰ τὸν μαζόν· ἐν τῷ ἄκρῳ δὲ ἐκλάσθη τὸ μακρὸν δόρυ· ἕστοι δὲ ἐβόησαν οἱ Τρῶες. ἕστος δὲ κατὰ τῆ Ἰδομενέως ἠκόντισε τοῦ υἱῆ Δευκαλίωνος ἐπὶ τῆ ἅρματος ἑρῶτος· τάτη δὲ παρ' ὀλίγον ἀπέτυχεν, "ἕστος δὲ τὸν τῆ Μηριόνη ἀκόλεθον καὶ ἡνίοχον τὸν Κοίρανον, ὅστις ἐκ τῆς Ἀύκτη τῆς εὐκτίτου ἠκολάθει αὐτῷ· πεζὸς γᾶ παρὰ τὴν ἀρχὴν ἀπολιπὼν τὰς ταχείας ναῦς ἦλθε, κὴ δὴ ἂν τοῖς Τρωσὶ μεγάλην ἰσχὺν παρέχεν, ἐὰν μὴ ὁ Κοίρανος ταχέως τὲς ταχύποδας ἤλασεν ἵππες. "κὴ τάτῳ μὲν σωτηρία ἐλήλυθεν, ἀπεσόβει δὲ τὴν ἀνηλεῆ ἡμέραν, αὐτὸς δὲ ἀπώλεσε τὴν ψυχὴν ὑπὸ τῆ ἀνδροφόνε "Εκτορος. τάτον ἔβαλεν ὑπὸ τὴν σιαγόνα κὴ τὸ ὠτίον· τὲς δὲ ὀδόντας ἐξῶσε τὸ ἑκατον τῆ δόρατος, διέκοψε δὲ τὴν γλῶσσαν μέσην. ἔπεσε δὲ ἐκ τῶν ἁρμάτων, ἀπέῤῥιψε δὲ τὰ ἡνία εἰς τὴν γῆν. "κὴ ταῦτα ὁ Μηριόνης ἀνέλαβε ταῖς προσφιλέσι χερσὶ κύψας ἐκ τῆς γῆς, κὴ πρὸς τὸν Ἰδομενέα εἶπεν "τύπτε τὰ νῦν, ἕως ἂν ἐπὶ τὰς ταχείας ναῦς παραγένῃ. ἐπίσασαι δὲ καὶ αὐτὸς ὅτι ἀδαμῶς ἔτι ἡ νίκη ἔσαι τῶν Ἑλλήνων." ἕτως εἶπεν· ὁ δὲ Ἰδομενεὺς ἐμάχιζεν τὲς εὐτριχας ἵππες "ἐπὶ τὰς βαθείας ναῦς· φόβος δὴ δὴ ἔπεσεν ἐν τῇ ψυχῇ. ἀδαμῶς δὲ ἐλαθε τὸν Αἴαντα τὸν μεγαλόψυχον κὴ τὸν Μενέλαον ὁ Ζεύς, ἡνίκα δὴ τοῖς Τρωσὶν ἐδίδη ἑτεροκλινῆ τὴν νίκην. ἐν τάτοις δὲ προηγεῖτο τῶν λόγων ὁ μέγας τῆ Τελαμῶνος Αἴας. "φεῦ παπαί, ὄντως δὴ κὴ ὅσις λίαν ἀνόητός ἐσι "γνώσεται ὅτι τοῖς Τρωσὶν ὁ Ζεὺς ὁ πατὴρ βοηθεῖ. τούτων μὲν γᾶ πάντων τὰ βέλη πιτρώσκει, ὅσις πέμψῃ, ἢ δειλὸς ἢ ἀνδρεῖος· ὁ Ζεὺς δ' ἡμῖν πάντα ἀπευθύνει· ἡμῖν δὲ ὡς ἔτυχε πᾶσι μάταια πίπτει εἰς τὴν γῆν. ἀλλὰ φέρετε, αὐτοὶ βελευσώμεθα βελτίην καλλίσην, "ὅπως τὸν νεκρὸν τάτον ἑλκύσωμεν, ἀλλὰ κὴ αὐτοὶ χαρμονὴ τοῖς προσφιλέσιν ἑταίροις γενώμεθα ἐπαλθόντες, οἵτινές πα ἐνταῦθα ὁρῶντες λυπῆνται, ἀδαμῶς λέγσιν Ἕκτορος τῆ ἀνδροφόνε δύναμιν κὴ τὰς ἀπτοήτους χεῖρας ὑπενεγκεῖν, ἀλλ' ἐν ταῖς βαθείαις νανσὶν ἐμεσεῖν. "πορευθείη δὲ ἑταῖρος ὅσις ἀπαγγείλειε τάχισα τῷ Ἀχιλλεῖ, ἐπειδὴ ἀδαμῶς αὐτὸν οἶμαι ἀδὲ ἀκηκοέναι τῆς κλεπῆς ἀγγελίας, ὅτι αὐτῆ ὁ προσφιλὴς ἑταῖρος ἀπώλετο. ἀλ' ἀδαμῶς δύναμαι ἰδεῖν τοιᾶτον ἐκ τῶν Ἑλλήνων· ἀσσίᾳ γᾶ κατέχονται ὁμοίως αὐτοί τε κὴ οἱ ἵπποι. "ὦ Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ἐκ τῆς ἀορασίας τὲς Ἕλληνας, ποίησον δὲ εὖδιον ἀέρα, παραχῶ δὲ τοῖς ὀφθαλμοῖς ἰδεῖν, ἐνεργὸν δὲ τῷ φωτὶ κὴ ἀπόλεσον, ἐπειδὴ ἤρεσεν ἕτως." ἕτως εἶπεν· τὸν δὲ ὁ Ζεὺς ὠκτειρε δακρύοντα, εὐθέως δὲ τὴν μὲν ἀὴν ἐχώρισε κὴ ἀπώθησε τὴν ὁμίχλην, "ὁ ἥλιος δὲ ἐπέλαμψεν, ἐξεφάνη δὲ πᾶς ὁ πόλεμος. κὴ τότε δὴ ὁ Αἴας ἔπε πρὸς τὸν γενναῖον Μενέλαον "σκέπτε νῦν ὦ Μενέλαε, ἐὰν θεάσῃ ζῶντα ἔτι τὸν Ἀντίλοχον τῆ μεγανύχε Νέσορος υἱόν, παρόρμησον δὲ τῷ συνετῷ Ἀχιλλεῖ ἴον πορευθέντα "εἰπεῖν ὅτι δὴ αὐτῆ ὁ κατὰ πολὺ προσφιλέστατος ἀπώλετο ἑταῖρος." ἕτως εἶπεν· ὑπήκουσε δὲ ὁ ἀνδρεῖος Μενέλαος, ἀπέβη δὲ πορευθῆναι ὥσπερ τις λέων ἀπὸ μέσης αὐλῆς, ὅσις ἐπειδὰν κοπιάσῃ τὲς τε κύνας κὴ τὲς ἄνδρας παροξύνων, οἵτινες αὐτὸν ἐκ ἐῶσι βοῶν τὴν λιπαρὰν ὁλκέξασθαι "δι' ὅλης νυκτὸς γρηγορῶντα· ἕτος δὲ κρεῶν ἐπιθυμῶν ὁρμᾷ· ἀλλ' ἐδὲν ἀνύει· συνεχῆ γᾶ ἀκόντια ἐξ ἐναντίας ὁρμῶσιν ἀπὸ τολμηρῶν χειρῶν καιόμεναί τε λαμπάδες, ὣς φοβεῖται καίπερ προθυμέμενος, πρωΐθεν δὲ ἀπ' αὐτῶν ἀπέβη λελυπημένῃ ψυχῇ· "ἕτως ἀπὸ τῆ Πατρόκλε ὁ ἀνδρεῖος Μενέλαος ὥρμησε κατὰ πολὺ μὴ θέλων· περισσῶς γᾶ ἐφοβεῖτο μὴ αὐτὸν οἱ "Ελληνες ὑπὸ τῆ χαλεπῆ φόβε σκύλευμα τοῖς ἐχθροῖς καταλίποιεν. πλεῖστα δὲ τῷ τε Μηριόνῃ κὴ τοῖς Αἴασιν ἐνέτελλετο. "ὦ Αἴαντες τῶν Ἑλλήνων ἡγεμόνες κὴ σὺ ὦ Μηριόνη, "νῦν τῆς πραότητος τῆς τοῦ ἀθλίε Πατρόκλε μνήσασθε· ἐν πᾶσι γᾶ ἤδει προσηνὴς εἶναι ζῶν ὑπάρχων· νῦν δὲ θάνατος κὴ εἱμαρμένη κατέλαβεν." ἕτω δὴ εἰπὼν ἐπορεύθη ὁ πυῤῥὸς Μενέλαος πανταχῆ περιβλεπόμενος, ὥσπερ τις ἀετός, ὃν δὴ λέγσιν "ὀξύτατον εἰς τὸ βλέπειν τῶν μεγάλων ὀρνέων· ὄντινα κὴ ἐν τῷ ὕψει ὄντα ἐκ ἔλαθεν ὁ ταχύπες λαγωὸς ὑπὸ πανταχόθεν δασεῖ θάμνῳ κατακείμενος, ἀλλ' ἐπ' αὐτῷ ὥρμησε, κὴ δὴ αὐτὸν ταχέως λαβὼν ἀφείλετο τὴν ψυχήν. ἕτω τότε σοὶ ὦ εὐγενέστατε Μενέλαε οἱ λαμπροὶ ὀφθαλμοὶ "πανταχῆ περιερέφοντο κατὰ τὸ πλῆθος τῶν πολλῶν ἑταίρων, ἐάν πε τὸν τῆ Νέσορος υἱὸν ζῶντα θεάσοιο. τοῦτον δὲ λίαν ταχέως εἶδεν ἐπὶ τὰ ἀριστερὰ τῆ πολέμου παντὸς παρορμῶντα τὲς ἑταίρες κὴ διεγείροντα πολεμεῖν. ἐγγὺς δὲ ἑσάμενος εἶπεν ὁ πυῤῥὸς Μενέλαος "'"ὦ Ἀντίλοχε, ἄγε δὴ ἐνταῦθα εὐγενέσατε ὅπως ἀκέσῃς χαλεπῆς ἀγγελίας, ἥτις εἴθε μὴ ὄφειλε γενέσθαι. ἀπάρτι μέν σε κὴ αὐτὸν ὑπολαμβάνω βλέποντα εἰδέναι ὅτι βλάβην ὁ θεὸς τοῖς "Ελλησι κατασκευάζει, ἡ δὲ νίκη τῶν Τρώων ἐσί· πεφόνευται δὲ ὁ ἄριστος τῶν Ἑλλήνων "ὁ Πάτροκλος, μεγάλη δὲ ζήτησις τοῖς "Ελλησιν ἐγένετο. ἀλλὰ σὺ ταχέως τῷ Ἀχιλλεῖ τρέχων ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων εἰπέ, ὅπως ταχύτατα τὸν νεκρὸν ἐπὶ τὰς ναῦς διασώσῃ ἄοπλον· τὰ γᾶ ὅπλα κατέχει ὁ εὔοπλος "Εκτωρ." ἕτως εἶπεν· ὁ δὲ Ἀντίλοχος ἐλυπήθη τὸν λόγον ἀκέσας· "ἐπὶ πολὺ δὲ αὐτὸν ἀφωνία τῶν λόγων ἔλαβεν, οἱ δὲ ὀφθαλμοὶ αὐτῆ δακρύων ἐπλήσθησαν, ἡ δὲ τρυφερὰ αὐτῆ ἀπεκρατήθη φωνή· ἀλλ' ἐδ' ἕτω τῆς τῆ Μενελάε συμβολῆς ἠμέλησεν, ἀπέβη δὲ τρέχειν· τὰ δὲ ὅπλα αὐτῆ τὰ ἄμεμπτα ἑταίρῳ ἔδωκεν τῷ Λαοδόκῳ, ὃς αὐτῷ ἡνιόχει τὲς ἰσχυρόποδας ἵππες. "τάτον μὲν δακρύοντα ἐξέφερον οἱ πόδες ἐκ τῆ πολέμε τῷ Πηλέως υἱῷ Ἀχιλλεῖ λυπηρὸν λόγον ἀπαγγελοῦντα· ἀδαμῶς δέ σοι ὦ Μενέλαε εὐγενέσατε ἤθελεν ἡ ψυχὴ καταπονεμένοις τοῖς ἑταίροις βοηθεῖν ἔνθεν ἀπῆλθεν ὁ Ἀντίλοχος, μεγάλη δὲ ζήτησις τοῖς Πυλίοις ἐγένετο· "ἀλλ' ἕτος τότοις μὲν τὸν ἔνδοξον Θρασυμήδην ἀφῆκεν, αὐτὸς δὲ ἐπὶ τῷ Πατρόκλῳ τῷ ἡμιθέῳ ἐπορεύθη, ἔχη δὲ παρὰ τοῖς Αἴασι τρέχων, εὐθέως δὲ προσεῖπεν. "ἐκεῖνον μὲν δὴ ἐπὶ ταῖς νανσὶ προέπεμψα ταῖς ταχείαις παραγενέσθαι εἰς τὸν ταχύποδα Ἀχιλλέα· ἀδαμῶς δὲ ὑπολαμβάνω αὐτὸν "νῦν ἐλθεῖν καίπερ λίαν ὠργισμένον τῷ ἐνδόξῳ "Εκτορι·

ἐ γ' ἄοπλος ὢν τοῖς Τρωσὶ μαχήσε. ἡμεῖς δὲ αὐτοὶ βα-
λευσόμεθα βελὴν καλλίσην, ᾗ ὅπως τὸν νεκρὸν ἀνελώμεθα,
ἀλλὰ ᾗ αὐτοὶ ἐκ τῆς μάχης τῶν Τρώων τὸν θάνατον ᾖ
τὴν εἱμαρμένην φύγοιμεν." "πρὸς τᾶτον δὲ ἀπεκρίνατο με-
τὰ ταῦτα ὁ τᾷ Τελαμῶνος μέγας Αἴας "κατὰ τὸ πρέπον
εἶπες πάντα ὦ λίαν ἔνδοξε Μενέλαε. ἀλλὰ σὺ μὲν ᾗ ὁ Μη-
ριόνης ὑποδύντες λίαν ταχέως τὸν νεκρὸν ἄραντες ἐξαγά-
γετε τᾷ πολέμᾳ· μετὰ ταῦτα δὲ ἡμεῖς πολεμήσομεν τοῖς
Τρωσὶ ᾗ τῷ θείῳ "Εκτορι, "ὁμοίαν ᾗ αὐτοὶ προθυμίαν
ἔχοντες εἰς τὸν πόλεμον, οἵτινες τὸ πρότερον ἐκαρτερᾶμεν
τὸν ἀθρόον πόλεμον σὺν ἀλλήλοις ἰσάμενοι." οὕτως εἶπεν,
ἔτοι δὲ τὸν νεκρὸν ἀπὸ τῆς γῆς ἐνηγκαλίζοντο ὑψώσαντες
πάνυ πολύ. ἐπεδίωκε δὲ μετὰ βοῆς τὸ πλῆθος ὄπιθεν τῶν
Τρώων, ὡς ἐθεάσαντο τὸν νεκρὸν ἀφαιρουμένας τὰς "Ελ-
ληνας. "ὥρμησαν δὲ κυσὶν ὅμοιοι, οἵτινες ἐπὶ χοίρῳ ἀῤρένι
τετρωμένῳ ὁρμήσασιν ἔμπροσθεν νεωτέρων κυνηγῶν· ἕως
μὲν γ' τρέχεσι διαφθεῖραι προθυμέμενοι· ἀλλ' ἡνίκα δὴ
ἐν τᾶτοις ἐπισραφῇ τῇ δυνάμει θαρρῶν, πάλιν ὑπεχώρη-
σαν, ἔφευγον δὲ ἄλλος ἀλλαχᾷ. "ἔτως οἱ Τρῶες ἕως μὲν
ἀεὶ ὁμοῦ ἐπηκολάθεν τιτρώσκοντες τοῖς ξίφεσι ᾗ τοῖς ἀμ-
φισύμοις δόρασιν· ἀλλ' ἡνίκα δὴ οἱ Αἴαντες ἐπισραφέντε
πρὸς αὐτὲς ἔσησαν, τᾶτων δὲ ἐνηλλάσσετο ἡ χροιά· ἐδείσ
γ' ἑκαρτέρει εἰς τοὔμπροσθεν ὁρμήσας περὶ τᾷ νεκρᾷ μά-
χεσθ. "ἔτως ἔτοι προθυμέμενοι τὸν νεκρὸν ἐκ τᾶ πολέμα
ἦγον ἐπὶ τὰς βαθείας ναῦς· ἐπετείνετο δὲ αὐτοῖς ὁ πόλε-
μος ἀνήμερος, καθάπερ πῦρ ὅτε ἐφορμῆσαν πόλιν ἀνδρῶν
διεγειρόμενον ἐξαίφνης φλέγει, διαφθείρονθ' δὲ οἰκίαι ἐν
τῇ μεγάλῃ φλογί· τᾶτο δὲ ἠχεῖν ποιεῖ δύναμις ἀνέμα. "ἔτω
μὲν τότοις τῶν ἵππων ᾗ τῶν πολεμικῶν ἀνδρῶν συνεχὴς
θόρυβος ὑπῆρχε πορευομένοις. ἔτοι δὲ ὥσπερ ἡμίονοι τὴν
δύναμιν ἀντερείσαντες ἕλκεσιν ἐξ ὄρεος κατὰ τραχεῖαν καὶ
ξηρὰν ὁδὸν ἢ δοκὸν ἢ ξύλον μέγα ναυπηγήσιμον, ἢ δὲ
ψυχὴ αὐτῶν "ταλαιπωρεῖται ὁμᾶ τῷ τε κόπῳ ᾗ τῷ ἱδρῶτι
ἐπειγομένοις, ἔτως ἔτοι προθυμέμενοι τὸν νεκρὸν ἔφερον,
ὄπιαθεν δὲ οἱ Αἴαντες ἐκώλυον, ὥσπερ ἔξοχὴ ὄρος κωλύει
ὕδωρ ξυλώδης διὰ τᾶ πεδίε ἠχητικῶς παρατεινόμενον,
ὅσις ᾗ τῶν ἰσχυρῶν ποταμῶν τὰ μεγάλα ῥεύματα "ἐπέχει,
εὐθέως δὲ πᾶσι τὸν ῥοῦν εἰς τὸ πεδίον εἰσβάλλει προσπε-
λάζων· ἁδαμῶς δὲ αὐτὸν ἰσχυρῶς ῥέοντες ῥηγνύεσιν. ἔτως
οἱ Αἴαντες τὸν πόλεμον ἀπεῖργον εἰς τοὐπίσω τῶν Τρώων.
ἔτοι δὲ ὁμᾷ ἐπηκολάθεν, δύο δὲ ἐν τότοις μάλισα, ὁ τοῦ
Λυκίσε παῖς Αἰνείας ᾗ ὁ λαμπρὸς "Εκτωρ. "τότων δὲ
ὥσπερ ψαρῶν πλῆθος ἢ κολοιῶν πορεύονθ' ὀξὺ ᾗ πυκνὸν
βοῶντες, ὅτε προγνῶσιν ἐπερχόμενον ἱέρακα, ὅστις ταῖς
μικραῖς ὄρνισι φόνον φέρει, ἕτω δὴ ὑπὸ τῷ τε Αἰνείᾳ ᾗ
τῷ "Εκτορι οἱ νεώτεροι τῶν Ἑλλήνων ὀξὺ βοῶντες ἐπο-
ρεύοντο, ἐπελάθοντο δὲ τῆς μάχης. "πλεῖσα δὲ ὅπλα καλὰ
ἔπεσον πανταχόθεν τῆς τάφρα φευγόντων τῶν Ἑλλήνων·
τᾷ πολέμα δὲ ἐκ ἐγένετο ἀνακωχή.

Σ. ΟΠΛΟΠΟΙΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. *Σίγμα Θέτις Ἀχιλῆϊ παρ' Ἡφαίσου φέρεν ὅπλα.*

2. *Ἀχιλλεὺς τὸν Πατρόκλε θάνατον ἐπιγνὺς ὀδύρεται. ἀνελθοῦσα δὲ ἡ Θέτις ἐκ τῆς θαλάσσης παρηγορεῖ αὐτόν, καὶ πα-
ραινεῖ ἀπέχεσθαι τοῦ πολέμου ἕως ἂν αὐτῷ ὅπλα κομίσῃ παρὰ τοῦ Ἡφαίσου. κελευσάσης δὲ Ἥρας ἄοπλος προσελθὼν
ἐπὶ τὴν τάφρον ἐπιφαίνεται τοῖς πολεμίοις, καὶ αὐτὸν ἐκπλαγέντες φεύγουσιν, καὶ κατὰ τὴν φυγὴν πολλοὶ διαφθείρονται·
τὸ δὲ τοῦ Πατρόκλου σῶμα διασώσαντες οἱ Μυρμιδόνες λούουσιν. Ἥφαιστος δὲ Ἀχιλλεῖ πανοπλίαν κατασκευάζει.*

Οὕτω δὴ ἔτοι ἐμάχοντο δίκην πυρὸς θερμᾷ. ὁ δὲ Ἀντί-
λοχος τῷ Ἀχιλλεῖ ταχύπες ἄγγελος ἦλθεν. τᾶτον δὲ εὗρεν
ἔμπροσθεν τῶν ὀρθοπρύμνων νεῶν ταῦτα φρονᾶντα κατὰ
ψυχὴν ἃ τελειωθήσεσθαι ἔμελλεν. "στενάξας δὲ δὴ εἶπε
πρὸς τὴν ἑαυτᾷ καρτερικὴν ψυχήν "φεῦ μοι ἐγώ, τί δή
ποτε πάλιν οἱ εὔοπλοι Ἕλληνες ἐπὶ ταῖς νανσὶ συστρέφον
φοβέμενοι κατὰ τὸ πεδίον; μηδαμῶς τελειώσωσιν οἱ θεοὶ
τὰς κακὰς λύπας τῆς ψυχῆς, ὥσπερ μοι ἡ μήτηρ ποτὲ
διεσάφησε ᾗ εἶπε "Μυρμιδόνων τὸν ἀνδρειότατον ἔτι ζῶν-
τος ἐμᾷ ὑπὸ ταῖς χερσὶ τῶν Τρώων ἀπολιπεῖν τὸ τᾷ ἡλίᾳ
φῶς. ὄντως δὴ τέθνηκεν ὁ τοῦ Μενοιτίου δυνατὸς υἱὸς ὁ
ἐλεεινός. ὄντως ἐκέλευον ἀποδιώξαντα τὸ πολεμικὸν πῦρ
ἐπὶ τὰς ναῦς πάλιν ὑποστρέψαι, μηδαμῶς δὲ τῷ "Εκτορι
δυνατῶς μάχεσθ." "ἕως ἔτος ταῦτα διενοεῖτο κατὰ διά-
νοιαν ᾗ κατὰ ψυχήν, τηνικαῦτα πλησίον αὐτᾷ ἦλθεν ὁ τᾶ
λαμπρᾷ Νέχορος υἱός, θερμὰ δάκρυα καταχέων, εἶπε δὲ
τὴν χαλεπὴν ἀγγελίαν. "φεῦ μοι ὦ τᾷ συνετᾷ Πηλέως υἱέ,
ὄντως πάνυ χαλεπὴν ἀγγελίαν ἀκετιθήσῃ, ἥτις εἴθε μὴ
ἐγένετο. "πεφόνευν Πάτροκλος, περὶ δὲ τᾷ νεκρᾷ μάχονται
ἄοπλου· τὰ δὲ ὅπλα φορεῖ ὁ εὔοπλος "Εκτωρ." ἔτως εἶπε·
τᾶτον δὲ πλῆθος λύπης ἐζοφωμένης περιέχει. ἀμφοτέραις
δὲ ταῖς χερσὶ λαβὼν σποδὸν κεκαυμένην κατὰ τῆς κεφα-
λῆς αὐτᾷ κατέχεεν, τὸ δὲ χαροποιὸν ἠτίμασε πρόσωπον·
τῷ δὲ καθαρῷ χιτῶνι μέλαινα περιεκάθητο τέφρα. αὐτὸς
δὲ ἐν τῇ γῇ μέγας ἐπὶ πολὺν τόπον ἁπλωθεὶς ἔκειτο, ταῖς
δὲ προσφιλέσι χερσὶ τὴν κόμην ἠχρόησε σπαράττων. αἱ
δὲ δᾶλαι ἃς ὁ Ἀχιλλεὺς ᾗ ὁ Πάτροκλος ἠχμαλώτευσαν,
κατὰ ψυχὴν λυπέμεναι μεγάλως ἐβόησαν, ἔξω δὲ τῆς θύ-
ρας "ἔδραμον περὶ τὸν Ἀχιλλέα τὸν συνετόν· πᾶσαι δὲ
ταῖς χερσὶν τὸ ςῆθος ἔπλησσον, παρελύθη δὲ τὰ μέλη ἑκά-
σης. ὁ δὲ Ἀντίλοχος ἐκ τᾶ ἑτέρα μέρας ἔκλαιε δακρυχέων,
τὰς χεῖρας κρατῶν τᾷ Ἀχιλλέως· ἔτος δὲ ἐξέναζε τὴν ἔν-
δοξον ψυχήν· ἐφοβεῖτο γ' μή πως τὸν φάρυγγα ἀποτίμῃ
τῷ ξίφει. "καταπληκτικὸν δὲ ἐξέναξε. ᾗ ἤκεσεν ἡ σεβασμία
μήτηρ καθημένη ἐν τοῖς βάθεσι τῆς θαλάσσης παρὰ τῷ
πρεσβύτῃ πατρί. ἐθρήνησε δὲ μετὰ ταῦτα· αἱ δὲ θεαὶ πᾶσαι
αὐτὴν συνηθροίζοντο, πᾶσαι ὁπόσαι κατὰ τὸ βάθος τῆς
θαλάσσης Νηρηίδες ὑπῆρχον, ὅπα δὴ ἦν ἥ τε Γλαύκη ᾗ

ἡ Θάλεια καὶ ἡ Κυμοδόκη "καὶ ἡ Νησαία καὶ ἡ Σπειὼ ἥ τε Θόη καὶ ἡ εὐόφθαλμος Ἀλία καὶ ἡ Κυμοθόη καὶ ἡ Ἀκταία καὶ ἡ Λιμνώρεια καὶ ἡ Μελίτη καὶ ἡ Ἀρία καὶ ἡ Ἀμφιθόη καὶ ἡ Ἀγαύη ἥ τε Δωτὼ καὶ ἡ Πρωτὼ καὶ ἡ Φέρουσα καὶ ἡ Δυναμένη καὶ ἡ Δεξαμενὴ καὶ ἡ Ἀμφινόμη καὶ ἡ Καλλιάνειρα "καὶ ἡ Δωρὶς καὶ ἡ Πανόπη καὶ ἡ ἀγαν ἔνδοξος Γαλάτεια καὶ ἡ Νημερτὴς καὶ ἡ Ἀψευδὴς καὶ ἡ Καλλιάνασσα. ἐκεῖ δὲ ἦν ἡ Κλυμένη ἡ Ἄνειρα καὶ ἡ Ἰάνασσα καὶ ἡ Μαῖρα καὶ Ὠρείθυια καὶ εὔκομος Ἀμάθεια, καὶ αἱ λοιπαὶ αἱ κατὰ τὸ βάθος τῆς θαλάσσης ὑπῆρχον Νηρηΐδες. "τάτων δὲ καὶ τὸ λαμπρὸν πληρᾶτο σπήλαιον· αὗται δὲ ὁμοῦ πᾶσαι τὰ ςήθη ἔπλησσον· ἡ δὲ Θέτις προηγεῖτο τῶ θρήνω. "ἀκούσατε ὦ ἀδελφαὶ Νηρηΐδες, ὅπως καλῶς πᾶσαι μάθητε ἀκούσαι ὅσα ἐν ἐμῇ θλιβερᾷ ψυχῇ ἐςίν. φεῦ μοι ἐγὼ ἡ ἀθλία, φεῦ μοι τῆς ἐπὶ δυσχίαν εὐτέκνω, "ἥτις ἐπειδὴ ἔτεκον υἱὸν ἄψορον καὶ ἀνδρεῖον ὑπερέχοντα τῶν ἡμιθέων, ἕτος δὲ ταχέως ἀπηύξησεν ἐπ' ἴσης φυτῷ, τοῦτον μὲν ἐγὼ θρέψασα ὡς αὐτὸν ἐν γονιμωτάτῳ τόπῳ τῆς γῆς ἐπὶ ταῖς ναυσὶ πρὸς Ἴλιον τοῖς Τρωσὶ πολεμήσοντα· τοῦτον δὲ οὐκ ὑποδέξομαι πάλιν "εἰς τὴν οἰκίαν ἐπανελθόντα, εἰς τὸν τῦ Πηλέως οἶκον. ἕως δέ μοι ζῇ καὶ ὁρᾷ τὸ τῦ ἡλίου φῶς, λυπεῖται, οὐδὲν δὲ αὐτῷ δύναμαι βοηθῆσαι ἀπελθοῦσα. ἀλλ' ἀπελεύσομαι, ὅπως ὄψομαι τὸ προσφιλὲς τέκνον καὶ ἐπακούσω ὅπερ αὐτῷ ἦλθε πένθος χωρὶς ὄντι τοῦ πολέμου." "ὅτω δὴ εἰποῦσα ἀπέλιπε τὸ σπήλαιον· αὗται δὲ σὺν αὐτῇ δεδακρυμέναι ἐπορεύοντο. τὸ δὲ κῦμα αὐταῖς τῆς θαλάσσης περιερρήγνυτο· αὗται δὲ ἡνίκα εἰς τὴν μεγαλόβωλον Τροίαν παρεγένοντο, εἰς τὸν αἰγιαλὸν ἀνέβαινον ἐφεξῆς, ὅπου συνεχεῖς τῶν Μυρμιδόνων εἱλκυσμέναι ἦσαν αἱ νῆες περὶ τὸν Ἀχιλλέα. "τότῳ δὲ βαρέα ςενάζοντι παρίςατο ἡ φίλη μήτηρ· μέγα δὲ βοήσασα τὴν κεφαλὴν ἔλαβε τοῦ ἑαυτῆς παιδός, καὶ θρηνοῦσα λόγους ταχεῖς εἶπεν. "ὦ τέκνον, τί κλαίεις; ἵνα τί δέ σε κατὰ φρένας ἦλθεν ἡ λύπη; λέγε φανερῶς, μὴ κρύπτε. ταῦτα μὲν δὴ τετέλεσται ἐκ τοῦ Διός, ᾧ τινὶ δὴ πρότερον ἠῦχε χεῖρας ἀνατείνας, πάντας ἐπὶ ταῖς ναυσὶ συγκλειοθῆναι τοὺς Ἕλληνας σοῦ προσδεομένους καὶ παθεῖν χαλεπὰ ἔργα." πρὸς ταύτην δὲ λυπούμενος σφόδρα εἶπεν ὁ ταχύπους Ἀχιλλεύς "ὦ μῆτερ ἐμή, ταῦτα μὲν δή μοι ὁ Ζεὺς ἐτελείωσεν· "ἀλλὰ ποία μοι δονὴ τάτων, ἐπεὶ ὁ προσφιλὴς ἀπώλετο ἑταῖρος ὁ Πάροκλος, ὄντινα ἐγὼ περισσότερον πάντων ἐτίμων ἑταίρων, ἴ' ἴσης τῇ ἐμῇ κεφαλῇ. τοῦτον ἀπώλεσα, τὰ δὲ ὅπλα ὁ Ἕκτωρ διακόψας ἀπέδυσε τὰ μεγάλα καὶ θαυμαςὰ τὸ εἶδος κάλλιςα. ταῦτα μὲν τῷ Πηλεῖ οἱ θεοὶ ἔδωκαν λαμπρὰ δῶρα "τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε σε τῷ θνητῷ ἀνδρὸς ἐνέβαλον λέκτρῳ. εἶτε ὤφειλες σὺ μὲν αὐτόθι ἐν ταῖς θαλασσίαις θεαῖς κεῖν, ὁ δὲ Πηλεὺς θνητὴν ἀγαγέσθαι γυναῖκα. νῦν δὲ ἵνα σοὶ πένθος ἐν ταῖς διανοίαις πολὺ ἐνυπάρχῃ τῷ παιδός φθαρέντος, ὄντινα οὐκ ὑποδέξῃ πάλιν "εἰς τὸν οἶκον ἐπανελθόντα, ἐπειδὴ ἐδαμῶς ἡ ψυχὴ προτρέπει ζῆν οὐδὲ ἀνάσσι συνεῖναι, ἐὰν μὴ ὁ Ἕκτωρ πρότερος ὑπὸ τῷ ἐμῷ δόρατι τρωθεὶς τὴν ψυχὴν ἀπολέσῃ, ὑπὲρ δὲ τῆς τῦ Πατρόπλου ἀναιρέσεως τῦ Μενοιτίου παιδὸς τιμωρίαν ἀνταποδῶσιν ἀξίαν." πρὸς τοῦτον δὲ πάλιν εἶπεν ἡ Θέτις δάκρυα καταχέουσα "ταχυθάνατος δὴ ὦ τέκνον γενήσῃ, οἷα λέγεις· παρευθὺς γάρ σοι μετὰ ταῦτα μετὰ τὸν Ἕκτορα ὁ θάνατος ἕτοιμος." πρὸς ταύτην δὲ μέγα οἰμώξας ὁ ταχύπους Ἀχιλλεὺς "παρευθὺς ἀποθανοίμην, ἐπεὶ ἐδαμῶς δὴ ἔμελλον τῷ ἑταίρῳ ἀναιρεμένῳ βοηθῆσαι. ἧτος πάνυ πόρρω τῆς πατρίδος "διεφθάρη, ἐμὲ δὲ διεκώλυσε τῦ φόνου βοηθὸν γενέσθαι. νῦν δὲ ἐπειδὴ ἐκ ἐπανέρχομαι εἰς τὴν προσφιλῆ πατρίδα καὶ ἐδαμῶς τῷ Πατρόκλῳ ἐγενόμην σωτηρία ἐδὲ τοῖς ἑταίροις τοῖς λοιποῖς, οἵτινες δὴ πολλοὶ .... ὑπὸ τῦ ἐνδόξου "Ἕκτορος, ἀλλὰ κάθημαι παρὰ ταῖς ναυσὶ μάταιον βάρος τῆς γῆς, "τοιῦτος ὢν ὁποῖος ἐκ ἄλλος Ἑλλήνων τῶν σιδηροθωράκων ἐν πολέμῳ· ἐν δὲ τῇ δημηγορίᾳ κρείττους εἰσὶ καὶ ἕτεροι. εἶθε ἡ φιλονεικία ἐκ τε τῶν θεῶν ἐκ τε τῶν ἀνθρώπων ἠφάνιστο καὶ ἡ ὀργή, ἥτις παρώρμησε καὶ τὸν πολλὰ φρονῦντα ὀργισθῆναι· ἥτις πολὺ γλυκυτέρα τοῦ καταστάζοντος μέλιτος "ἐν ταῖς διανοίαις τῶν ἀνδρῶν αὔξεται καθάπερ καπνός· ἕτως ἐμὲ τὰ νῦν ὀργισθῆναι ἐποίησεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων. ἀλλὰ τὰ μὲν προγεγονότα καταλίπωμεν καίπερ λυπέμενοι, τὴν προσφιλῆ ψυχὴν ἐν ταῖς διανοίαις καταπραΰναντες ὑπ' ἀνάγκης. νῦν δὲ πορεύσομαι, ὅπως τῆς φίλης κεφαλῆς τὸν φονευτὴν καταλάβω "Ἕκτορα. τὸν θάνατον δὲ ἐγὼ τότε δέξομαι ὁπότ' ἂν δὴ ὁ Ζεὺς θελήσῃ ἐργάσασθαι καὶ οἱ λοιποὶ ἀθάνατοι θεοί. οὐδὲ γὰρ ἡ τῦ Ἡρακλέους δύναμις ἐξέφυγε τὸν θάνατον, ὃς φίλτατος ὑπῆρχε Διὶ τῷ υἱῷ Κρόνου τῷ βασιλεῖ· ἀλλ' εἱμαρμένη αὐτὸν ἔφθειρε καὶ ἡ χαλεπὴ ὀργὴ τῆς Ἥρας. "ὅτω κἀγώ, ἐὰν δή μοι ὁμοία εἱμαρμένη κατασκευασθῇ, κοιμηθήσομαι, ἐπειδὰν θάνω. νῦν δὲ δόξαν ἀγαθὴν κομισαίμην, καί τινα τῶν Τρωϊκῶν γυναικῶν καὶ τῶν ἀπὸ Δαρδάνου πλατυχιτώνων ἀμφοτέραις ταῖς χερσὶ τῶν εὐειδῶν προσώπων τὰ δάκρυα ἀποψησαμένην μακρὸν σενάξαι ἀναγκάσαιμι. "γνώσονται ὡς ἐπὶ πολὺ δὴ ἐγὼ τῦ πολέμου ἀπέςην. μηδαμῶς δέ με κώλυε τῆς μάχης καίπερ φιλοῦσα· ἐδαμῶς δέ με πείσεις." πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα θεὰ Θέτις ἡ λευκόπους "ναὶ δὴ ταῦτα ὦ τέκνον ἀληθὲς ἐ κακόν ἐσι, καταπονουμένοις τοῖς ἑταίροις ἀποδιῶξαι τὸν χαλεπὸν θάνατον· "ἀλλὰ τὰ ὅπλα σου τὰ κάλλιςα ἐν τοῖς Τρωσὶ κατέχονται, τὰ σιδηρᾶ καὶ ἀπολάμποντα, ἃ ὁ μὲν εὔοπλος "Ἕκτωρ αὖτως φορῶν ἐν τοῖς ὤμοις χαίρει. ἐδαμῶς δὲ αὐτὸν οἶμαι ἐπὶ πολὺ ἀγαλλιάσεσθαι, ἐπειδὴ ἐγγὺς αὐτῷ ὁ θάνατος, ἀλλὰ σὺ μὲν μή πως κατέλθῃς εἰς τὴν συμπλοκὴν τῦ πολέμου, "πρὶν ἐμὲ ἐνταῦθα ἐλθοῦσαν τοῖς ὀφθαλμοῖς θεάσῃ· ἕωθεν γὰρ πορεύσομαι ὅπλα τῷ ἡλίῳ ἀνατέλλοντι ὅπλα καλὰ κομίζουσα παρὰ Ἡφαίςου τοῦ βασιλέως." ὅτω δὴ φθεγξαμένη εἰς τὰπίσω ἐςράφη ἐκ τῦ ἰδίου υἱοῦ, καὶ ςραφεῖσα ταῖς θαλασσίαις ἀδελφαῖς προσεῖπεν "ὑμεῖς μὲν νῦν ὑπεισέλθετε εἰς τὸν μέγαν κόλπον τῆς θαλάσσης θεασόμεναί τε τὸν θαλάσσιον γέροντα καὶ τὰ τῦ

πατρὸς οἰκήματα, καὶ πάντα αὐτῷ εἴπατε· ἐγὼ δὲ εἰς τὸν μέγαν Ὄλυμπον πορεύσομαι πρὸς τὸν ἐνδοξότεχνον Ἥφαιστον, ἐὰν θελήσῃ τῷ ἐμῷ υἱῷ δοῦναι ἔνδοξα ὅπλα καὶ λαμπρά." οὕτως εἶπεν, αὗται δὲ τὸ τῆς θαλάσσης κῦμα εὐθέως ὑπεισέδυσαν. αὕτη δὲ πάλιν εἰς τὸν Ὄλυμπον ἡ λευκόπους θεὰ Θέτις ἐπορεύετο, ὅπως τῷ προσφιλεῖ παιδὶ ἔνδοξα ὅπλα κομίσῃ. ταύτην μὲν δὴ εἰς τὸν Ὄλυμπον οἱ πόδες ἔφερον· οἱ δὲ Ἕλληνες μεγάλῳ θορύβῳ ὑπὸ τοῦ ἀνδροφόνου Ἕκτορος φεύγοντες εἴς τε τὰς ναῦς καὶ εἰς τὴν θάλασσαν ἀφίκοντο. οὐδ' ἂν τὸν Πάτροκλον οἱ εὔοπλοι Ἕλληνες ἐκ τῶν βελῶν ἐῤῥύσαντο τὸν νεκρόν, τὸν θεράποντα τοῦ Ἀχιλλέως· πάλιν γὰρ τοῦτον κατέλαβον ὅ τε λαὸς καὶ οἱ ἵπποι Ἕκτωρ τε ὁ τοῦ Πριάμου παῖς, ὅμοιος φλογὶ κατὰ τὴν δύναμιν. "τρίτον μὲν αὐτὸν ἐκ τῶν ποδῶν ὄπισθεν ἔλαβεν ὁ λαμπρὸς Ἕκτωρ ἑλκύσαι προθυμούμενος, μεγάλως δὲ τοῖς Τρωσὶν ἠπείλει· ἐκ τρίτου δὲ οἱ δύο Αἴαντες ὁρμητικὴν ἐνδεδυμένοι δύναμιν ἐκ τοῦ νεκροῦ ἀπεδίωξαν. ὅτος δὲ βεβαίως τῇ δυνάμει θαῤῥῶν ποτὲ μὲν ἐφώρμα κατὰ τὸν πόλεμον, ἄλλοτε δὲ πάλιν ἵστατο μεγάλως βοῶν· εἰς τοὐπίσω δὲ οὐκ ἀνεχώρει παντελῶς. ὡς δὲ οὐδαμῶς ἀπὸ τροφῆς λέοντα ἔκθερμον δύναντο ποιμένες ἐν ἀγρῷ μεγάλως πεινῶντα διώκειν, οὕτω δὴ τοῦτον οὐκ ἐδύναντο οἱ δύο μαχηταὶ Αἴαντες τὸν Πριάμου υἱὸν Ἕκτορα ἐκ τοῦ νεκροῦ ἀποδιῶξαι. "καὶ δὴ ἂν εἵλκυσέ τε καὶ μεγάλην ἔλαβε δόξαν, ἐὰν μὴ τῷ Ἀχιλλεῖ ἡ ἀνεμόπους ταχεῖα Ἶρις ἄγγελος ἦλθε τρέχουσα ἀπὸ τοῦ Ὀλύμπου καθοπλίζεσθαι, λάθρᾳ τοῦ Διὸς καὶ τῶν λοιπῶν θεῶν· προέπεμψε γὰρ αὐτὴν ἡ Ἥρα. ἐγγὺς δὲ ἱσταμένη λόγους ταχεῖς προσεῖπε." "διεγέρθητι ὦ Ἀχιλλεῦ, πάντων ἐξοχώτατε ἀνδρείων· τῷ Πατρόκλῳ βοήθησον, οὗ ἕνεκεν ἡ χαλεπὴ μάχη ἕστηκε πρὸ τῶν νεῶν, οὗτοι δὲ ἀλλήλους φονεύουσιν, οἱ μὲν ἀγωνιζόμενοι περὶ νεκροῦ τοῦ τεθνηκότος, οἱ δὲ ἑλκύσαι πρὸς τὴν ὑψηλὴν καὶ ἀνεμώδη Ἴλιον "οἱ Τρῶες ἐφορμῶσι, κατὰ πολὺ δὲ ὁ λαμπρὸς Ἕκτωρ ἑλκύσαι προθυμεῖται· τὴν κεφαλὴν δὲ αὐτοῦ ἡ ψυχὴ ἐκέλευσεν πῆξαι ἀνὰ σκόλοψι, τέμνοντα ἀπὸ τοῦ ἁπαλοῦ τραχήλου. ἀλλ' ἀνάστηθι καὶ μὴ ἀργῶς διατέλει· αἰδὼς δέ σου τὴν ψυχὴν λαβέτω τὸν Πάτροκλον ταῖς Τρωϊκαῖς χερσὶ παίγνια γενέσθαι. "σοὶ αἰσχύνη, ἐάν τι ὁ νεκρὸς ὑβρισμένος ἀπέλθῃ." πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ ταχὺς καὶ ἔνδοξος Ἀχιλλεύς "ὦ Ἶρι θεά, τίς ἄρα σε τῶν θεῶν ἄγγελον ἐμοὶ ἔπεμψε;" πρὸς τοῦτον δὲ πάλιν εἶπεν ἡ ἀνεμόπους ταχεῖα Ἶρις "ἡ Ἥρα με προέπεμψεν ἡ τοῦ Διὸς ἔνδοξος γαμετή. "οὐκ ἔγνω δὲ ὁ ὑψίθρονος Ζεὺς οὐδέ τις ἕτερος τῶν θεῶν οἵτινες περὶ τὸν ἄγαν χιονιζόμενον οἰκοῦσι." πρὸς ταύτην δὲ ἀνταποκρινόμενος εἶπεν ὁ τοὺς πόδας ταχὺς Ἀχιλλεύς "πῶς δὴ ἀπέλθω εἰς τὴν μάχην; κατέχουσι δὲ ἐκεῖνοι τὰ ὅπλα, ἡ δὲ φίλη μήτηρ πρότερον οὐδαμῶς συνεχώρει ὁπλίζεσθαι "πρὶν αὐτὴν παραγενομένην τοῖς ὀφθαλμοῖς θεάσομαι· διεβεβαιώσατο γὰρ παρὰ τοῦ Ἡφαίστου κομίσαι ὅπλα κάλλιστα. ἀλλ' οὐδενὸς οἶδα ἂν ἁρμόζουσάν μοι πανοπλίαν, εἰ μὴ τὴν τοῦ Αἴαντος ἀσπίδα τοῦ Τελαμῶνος παιδός· ἀλλὰ καὶ αὐτὸς οὗτος ἐλπίζω ἐν τοῖς πρωταγωνισταῖς ἀναστρέφεται "τῷ δόρατι πολεμῶν περὶ τοῦ ἀποθανόντος Πατρόκλου." πρὸς τοῦτον δὲ πάλιν εἶπεν ἡ ἀνεμόπους ταχεῖα Ἶρις "καλῶς δὴ καὶ ἡμεῖς γινώσκομεν ὅτι σοῦ τὰ καλὰ ὅπλα κατέχονται· ἀλλ' οὕτως ἐπὶ τὴν τάφρον ἐλθὼν τοῖς Τρωσὶ φάνηθι, εἴ πως ἄν σε φοβηθέντες ἀποστῶσι τοῦ πολέμου "οἱ Τρῶες, ἀναπνεύσωσι δὲ οἱ πολεμικοὶ Ἕλληνες." αὕτη μὲν δὴ οὕτως εἰποῦσα ἐπορεύθη ἡ ταχύπους Ἶρις· ὁ δὲ Ἀχιλλεὺς ὥρμησεν ὁ τῷ Διὶ προσφιλής. ἡ δὲ Ἀθηνᾶ περὶ τοῖς δυνατοῖς ὤμοις ἔθηκε τὴν κροσσοὺς ἔχουσαν αἰγίδα· "περὶ δὲ τῇ κεφαλῇ αὐτοῦ νέφος ἔσκεπεν ἡ ἐνδοξοτάτη τῶν θεῶν χρυσοῦν, ἐξ αὐτοῦ δὲ ἔκαιε φλόγα πανταχοῦ λάμπουσαν. ὥσπερ δὲ ὅτε καπνὸς ἀνερχόμενος ἐκ πόλεως εἰς τὸν αἰθέρα ἀφίκηται πόῤῥωθεν ἐκ νήσου, περὶ ἣν πολέμιοι μάχονται, οἵτινες δι' ὅλης τῆς ἡμέρας τῷ μισητῷ δοκιμάζονται πολέμῳ "ἐκ τῆς αὐτῶν πόλεως· ὁμοῦ δὲ τῇ καταδύσει τοῦ ἡλίου λαμπηδόνες ἅπτουσι συνεχεῖς· εἰς ὕψος δὲ τὸ φῶς ἀνέρχεται μεθ' ὁρμῆς τοῖς περιοίκοις δειχθῆναι, ἐάν που σὺν ταῖς ναυσὶ τοῦ πολέμου ἀποτρεπτικοὶ γένωνται· οὕτως ἀπὸ τοῦ Ἀχιλλέως κεφαλῆς λαμπηδὼν εἰς τὸν αἰθέρα ἀφικνεῖτο. "πορευθεὶς δὲ ἔστη ἐπὶ τὴν τάφρον ἄποθεν τοῦ τείχους, οὐδὲ εἰς τοὺς Ἕλληνας ἐμίγνυτο· τῆς γὰρ μητρὸς τὴν συνετὴν ἐφύλασσεν ἐντολήν. ἐκεῖ στὰς ἐβόησε· πόῤῥωθεν δὲ ἡ πολεμικὴ Ἀθηνᾶ ἐφθέγξατο. ὁ δὲ τοῖς Τρωσὶ μέγαν ἤγειρε θόρυβον. ὥσπερ δὲ ὅτε μεγάλη φωνή, ὁπότε ἠχεῖ σάλπιγξ "πόλιν περιερχομένων πολεμίων τῶν τῆς ψυχῆς φθαρτικῶν, οὕτω τότε ἄγαν ἔκδηλος φωνὴ ἐγένετο τοῦ Ἀχιλλέως. οὗτοι δὲ οὖν ὡς ἤκουον φωνὴν στερεὰν τοῦ Ἀχιλλέως, πάντων ἐταράχθη ἡ ψυχή. οἱ δὲ εὔτριχες ἵπποι εἰς τοὐπίσω τὰ ἅρματα ἔτρεπον· προεώρων γὰρ τὰς λύπας τῇ ψυχῇ. "οἱ δὲ ἡνίοχοι ἐξεπλάγησαν, ἐπεὶ ἐθεάσαντο τὸ πολὺ πῦρ φοβερὸν ὑπὲρ τῆς κεφαλῆς τοῦ μεγαλοψύχου Ἀχιλλέως καιόμενον· τοῦτο δὲ ἔκαιεν ἡ εὐόφθαλμος θεὰ ἡ Ἀθηνᾶ. ἐκ τρίτου μὲν ὑπεράνω τῆς τάφρου ἐβόησεν ὁ ἔνδοξος Ἀχιλλεύς, ἐκ τρίτου δὲ ἐταράχθησαν οἵ τε Τρῶες καὶ οἱ ἔνδοξοι σύμμαχοι. "τότε δὲ καὶ ἀπώλοντο ἐκεῖ δώδεκα ἄνδρες ἀριστεῖς περὶ τοῖς ἑαυτῶν ἅρμασι καὶ τοῖς δόρασιν. οἱ δὲ Ἕλληνες μετὰ περιχαρείας τὸν Πάτροκλον ἐκ τῶν βελῶν ὑφελκύσαντες κατέθηκαν ἐν κοίτῃ, περιέστησαν δὲ οἱ προσφιλεῖς ἑταῖροι ὀδυρόμενοι. ἐν αὐτοῖς δὲ ὁ ταχύπους ἐπηκολούθει Ἀχιλλεὺς "δάκρυα θερμὰ χέων, ἐπειδὴ ἐθεάσατο τὸν πιστὸν ἑταῖρον κείμενον ἐν τῷ φορείῳ τετρωμένον τῷ ὀξεῖ σιδήρῳ, ὅντινα μὲν δὴ ἔπεμψε σὺν ἵπποις καὶ ἅρμασιν εἰς τὸν πόλεμον, οὐδαμῶς δὲ πάλιν ἐδέξατο ἐπανελθόντα. τὸν δὲ ἀκοπίαστον ἥλιον ἡ μεγαλόφθαλμος σεβασμία Ἥρα "ἔπεμψεν ἐπὶ τὰς τοῦ Ὠκεανοῦ ῥοὰς ἄκοντα πορεύεσθαι. καὶ ὁ μὲν ἥλιος ἔδυ, ἐπαύοντο δὲ οἱ ἔνδοξοι Ἕλληνες τῆς μάχης τῆς ἰσχυρᾶς καὶ τοῦ ὁμοίου πολέμου. οἱ Τρῶες δὲ πάλιν ἑτέρωθεν ἀπὸ τῆς ἰσχυρᾶς μάχης ἀναχωρήσαντες ἔλυσαν ἀπὸ τῶν ἁρμάτων τοὺς ταχεῖς ἵππους, "εἰς ἐκκλησίαν δὲ συνηθροίζοντο πρὶν φροντίζειν τοῦ δείπνου. ὀρθῶς δ' ἑστώτων ἐκκλησία γέγονεν· οὐδεὶς δὲ ἐτόλμα καθέζεσθαι· κατεῖχε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ πάντας φόβος, διότι ὁ Ἀχιλλεὺς ἀνεφάνη, ἐπὶ πολὺ δὲ τῆς μάχης τῆς ὀδυνηρᾶς ἐπαύσατο. ἐν τούτοις δὲ ὁ Πολυδάμας ὁ συνετὸς ἤρξατο δημηγορεῖν, ὁ Πάνθου υἱός. ἕτος γὰρ μόνος ἤδει τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν. τῷ δὲ Ἕκτορι ὑπῆρχεν ἑταῖρος, ἐν μιᾷ δὲ νυκτὶ ἐγεννήθησαν· ἀλλ' ἕτος μὲν δὴ τοῖς λόγοις ὁ δὲ τῷ δόρατι κατὰ πολὺ ἐνίκα. ἴστις ἐν αὐτοῖς καλῶς φρονῶν ἐδημηγόρησε καὶ εἶπε· πάνυ φίλοι περισκέπτεσθε· παρακελεύομαι γὰ ἐγὼ εἰς τὴν πόλιν νῦν πορευθῆναι καὶ μὴ περιμένειν τὴν ἔνδοξον ἡμέραν ἐν τῇ πεδιάδι παρὰ ταῖς ναυσί· πύργῳ δὲ τῷ τείχει ἐσμέν. ἕως μὲν γὰ ἕτος ὁ ἀνὴρ τῷ ἐνδόξῳ Ἀγαμέμνονι ὠργίζετο, τηνικαῦτα εὐκαταγωνιστότεροι ἐν τῷ πολεμεῖν ἦσαν οἱ Ἕλληνες· ἔχαιρον γὰ ἔγωγε ἐπὶ ταῦτα ταῖς ταχείαις ναυσὶ οδιατρίβων, ἐλπίζων τὰς ναῦς λαβεῖν τὰς ἀμφοτέρωθεν ἐλαννομένας. νῦν δὲ δειγῶς δέδοικα τὸν ταχύποδα Ἀχιλλέα. ὁποία ἐκείνῃ ἡ ψυχὴ ὑπερήφανος, ὃκ ἐθελήσει μένειν ἐν τῇ πεδίαδι, ὅπου οἱ Τρῶες καὶ οἱ Ἕλληνες ἐν τῷ μέσῳ ἑκά- στεροι τὸν κίνδυνον τῷ πολέμῳ μερίζονται, ἀλλὰ περί τε τῆς πόλεως καὶ τῶν γυναικῶν πολεμήσει. ἀλλὰ πορευθῶμεν πρὸς τὴν πόλιν. πείσθητέ μοι. ἴτω γὰ ἔσαι. τὰ νῦν μὲν ἡ νὺξ ἔπαυσε τὸν ταχύπον Ἀχιλλέα ἡ θαυμασή· ἐὰν δὲ ἡμᾶς καταλάβῃ ἐνταῦθα ὄντας αὔριον ὁρμήσας σὺν ὅπλοις, καλῶς δή τις αὐτὸν ἐπιγνώσεται· περιχαρῶς γὰ παραγενήσεται εἰς τὴν ὑψηλὴν Ἴλιον ὅστις ἂν φύγῃ, πολλὰς δὲ κύνες καὶ γῦπες φάγονται τῶν Τρώων. εἴθε γὰ δή μοι μὴ ἀκῶσαι ταῦτα [γένοιτο]. ἐὰν δὲ τοῖς ἐμοῖς λόγοις πειθῶμεν καίπερ λυπέμενοι, διανυκτερεῦσαι ἐν ἐκκλησίᾳ ἰσχὺν προσλάβωμεν. τὴν δὲ πόλιν οἱ πύργοι καὶ αἱ ὑψηλαὶ πύλαι καὶ ἐπ' αὐταῖς ἡρμοσμέναι σανίδες αἱ μεγάλαι καὶ εὐκατασκεύαστοι καὶ ἐζευγμέναι φυλάξουσι. πρωὶ δὲ ὑπὸ τὴν ἕω σὺν ὅπλοις θωρακισθέντες ἐσόμεθα κατὰ τοὺς πύργους. τούτῳ δὲ λυπηρόν, ἐὰν καὶ ἐθελήσῃ παραγενόμενος ἐκ τῶν πλοίων περὶ τῷ τείχει ἡμᾶς πολεμεῖν. εἰς τὸπίσω πάλιν ἐπὶ τὰς ναῦς ἄπεισιν, ἐπειδὰν τὰς μεγαλοτραχήλους ἵππους παντοίᾳ δρόμῳ κορέσῃ ὑπὸ τὴν πόλιν περιεχόμενος. ἔνδον δὲ ἀδαμῶς αὐτὸν ἡ ψυχὴ ἐφορμήσαι συγχωρήσει, ἀδὲ ἐκπορθήσει ποτέ· πρὶν αὐτὸν κύνες λευκοὶ φάγωσι." πρὸς τοῦτον δὲ δρασικῶς ὑπιδὼν εἶπεν ὁ εὔοπλος Ἕκτωρ "ὦ Πολυδάμα, σὺ μὲν ἐκτί ἐμοὶ προσφιλῆ ταῦτα λέγεις, ὅσις κελεύεις εἰς τὴν πόλιν συγκλειωθῆναι εἰς τὸπίσω πορευθέντας. ἦ ἀδέπω ἐχορτάσθητε συγκεκλεισμένοι ἔνδον τῶν πύργων; πρότερον μὲν γὰ τὴν Πριάμῳ πόλιν οἱ μεμερισμένοι τὴν φωνὴν ἄνθρωποι πάντες ἔλεγον πολύχρυσον καὶ πολύχαλκον· νῦν δὲ ἐκ τῶν οἴκων ἀπώλετο τὰ κάλλιστα σκεύη, πολλὰ δὲ τὴν Φρυγίαν καὶ τὴν ἐπέραιον Λυδίαν κτήματα πιπρασκόμενα ἀφίκετο, ἐπειδὴ ὁ μέγας Ζεὺς ὠργίσθη. νῦν δὲ ὅτε μοι ἐχαρίσατο ὁ τῷ σκολιοβόλῳ Κρόνῳ παῖς δόξαν λαβεῖν ἐπὶ ταῖς ναυσὶν ἐν τῇ θαλάσσῃ τε συγκλεῖσαι τοὺς Ἕλληνας, ὦ ἀνότητε μηδαμῶς ταῦτα τὰ βελεύματα λέγε ἐν τῷ πλήθει· ἀδεὶς γὰ τῶν Τρώων πεισθήσεται· ἐ γὰ συγχωρήσω. ἀλλὰ ῥέρετε, ὡς ἂν εἴπω ἐγώ, πεισθησώμεθα πάντες. τὰ νῦν δὲ δεῖπνον ποιήσατε κατὰ τὸ σράτευμα ἐν τοῖς τάγμασιν, καὶ τῆς φυλακῆς φροντίσατε καὶ γρηγορήσατε ἕκαστος. τῶν δὲ Τρώων ὅσις τοῖς χρήμασιν ὑπερβαλλόντως ἀνιᾶται, συλλέξας τοῖς λαοῖς παρεχέτω καταδαπανῆσαι· τούτων τινὰ βέλτιον ὑπάρχει ἀπολαῦσαι ἢπερ τὰς Ἕλληνας. τὸ πρωὶ δὲ ταχὺ σὺν ὅπλοις θωρακισθέντες ἐπὶ ταῖς βαθείαις ναυσὶ συναθροίσωμεν σφοδρὸν πόλεμον." εἰ δὲ ἀληθὲς ἐκ τῶν νεῶν ἀνέξη ὁ ἔνδοξος Ἀχιλλεύς, ἀλγεινόν, ἐὰν καὶ θελήσῃ, τὸ μάχεσθαι γενήσεται. ἀδαμῶς αὐτὸν ἐγὼ ἐκ τοῦ πολέμου φεύξομαι τοῦ κακοῦ, ἀλλὰ λίαν ἐξ ἐναντίας σαθήσομαι, ἢ ἂν ἀπενέγκηται μεγάλην δόξαν ἢ ἐγὼ ἐν ἀπενέγκωμι. κοινὴ ἡ τοῦ πολέμου τύχη, καὶ δὴ τὸν ἀποκτείνοντα ἀποκτενεῖ." "ἕτως ὁ Ἕκτωρ ἔλεγεν, οἱ δὲ Τρῶες ἐπευφήμησαν οἱ ἀνόητοι· τὴν γὰ φρόνησιν αὐτῶν ἀφείλετο ἡ πολεμικὴ Ἀθηνᾶ· τῷ μὲν γὰ Ἕκτορι ἐπήνεσαν κακοποιὰ βελευομένῳ, τῷ δὲ Πολυδάμαντι ἀδεῖς, ὅσις ἀγαθὴν ἐβελεύετο βελήν. μετὰ ταῦτα δὲ δεῖπνον κατὰ τὸ σρατόπεδον ἔλαβον. οἱ δὲ Ἕλληνες "δι' ὅλης νυκτὸς τὸν Πάτροκλον ἀπεξέναζον θρηνῦντες. ἐν τούτοις δὲ ὁ Ἀχιλλεὺς τᾷ οἰκτρᾷ ἐξῆρχε θρήνᾳ, τὰς ἀνδροφόνους χεῖρας ἐπιθεὶς τοῖς τᾷ ἑταίρᾳ στήθεσι, πάνυ πικρῶς ξενάζων. ὥσπερ δὲ λέων καλὸν γένειον ἔχων, ᾧ τινὸς δὴ τοὺς σκύμνους κυνηγὸς ἀνὴρ ἁρπάσει "ἐκ δασείας καὶ πυκνῆς ὕλης· ἕτος δὲ ἔχατος ἐλθὼν λυπεῖται, πολλὰς δὲ συνδενδρίας ἐπῆλθε τὰ τῶν ἀνδρῶν ἴχνη ἐρευνῶν, εἴ πᾳ ἐφεύροι· λίαν γὰ ὀξεῖα ὀργὴ κατέχει· ἕτως ἕτος ὀδυνηρὰ ξενάζων προσεφώνει τοῖς Μυρμιδόσι. "φεῦ φεῦ, ὄντως δὴ μάταιον λόγον ἐφθεγξάμην τῇ ἡμέρᾳ ἐκείνῃ "παραθαρρύνων τὸν ἡμίθεον Μενοίτιον ἐν τοῖς οἴκοις. ἔφην δὲ αὐτῷ εἰς Ὀπῆντα πόλιν τὸν περίδοξον υἱὸν ἀπαγαγεῖν τὴν Ἴλιον ἐκπορθήσαντα, λαβόντα καὶ τῆς αἰχμαλωσίας μοῖραν. ἀλλ' ἀδαμῶς ὁ Ζεὺς τοῖς ἀνδράσι τὰ νοήματα πάντα τελειοῖ. ἀμφοτέροις γὰρ ὁμοίρα τὴν αὐτὴν γῆν φοινίξαι "αὐτόθι ἐν Τροίᾳ, ἐπειδὴ ἀδὲ ἐμὲ ἐπανελθόντα ἀπολήψεται ἐν τοῖς οἴκοις ὁ ἱππικὸς πρεσβύτης Πηλεὺς ἀδὲ ἡ μήτηρ Θέτις, ἀλλ' αὐτόθι ἡ γῆ καθέξει. νῦν δὲ ἐπειδὴ ὦ Πάτροκλε ὕσερός σε εἰσέρχομαι ὑπὸ γῆν, ἀδαμῶς σε πρότερον θάψω πρὶν τοῦ Ἕκτορος ἐνταῦθα κομίσαι "τὰ ὅπλα καὶ τὴν κεφαλήν, τᾷ σᾷ μεγαλοψύχῳ φονέως. δώδεκα δὲ ἔμπροσθεν τῆς πυρᾶς ἀποκεφαλίσω Τρώων εὐειδῆ τέκνα, σᾷ φονευθέντος ὀργισθείς. τέως δέ μοι περὶ ταῖς ναυσὶ ταῖς μεγάλαις κείσῃ ἕτως. περὶ σὲ δὲ Τρωϊκὴ γυναῖκες καὶ Δαρδανίδες μεγαλοχίτωνες "κλαύσονται τάς τε νύκτας καὶ τὰς ἡμέρας δακρύουσαι, ἃς αὐτοὶ κοπιάσαντες ἐκτησάμεθα τῇ τε δυνάμει καὶ τῷ μακρῷ δόρατι πλησίας πορθῆντες πόλεις παντοδαπῶν ἀνθρώπων." ἕτως εἰπὼν τοῖς ἑταίροις ἐκέλευσεν ὁ ἔνδοξος Ἀχιλλεὺς ἐν τῷ πυρὶ σῆσαι λέβητα μέγιστον, ὅπως ταχύτατα "τὸν Πάτροκλον ἀπολούσειαν τὸν αἱματώδη μολυσμόν. οὗτοι δὲ λουτρικὸν λέβητα ἴσων ἐν πυρὶ καυσικῷ, ἐνέχεαν δὲ καὶ ὕδωρ καὶ λαβόντες ξύλα ὑπέκαιον. τὸ μὲν πλάτος τοῦ λέβητος τὸ πῦρ περιελάμβανεν, ἐθερμαίνετο δὲ τὸ ὕδωρ. ἐπειδὴ δὲ ἔζεσε τὸ ὕδωρ ἐν τῷ λαμπρῷ λέβητι, "καὶ τότε δὴ ἔλουσάν τε καὶ ἤλειψαν λιπαρῷ ἐλαίῳ, ἐνέπλησαν δὲ τὰς πληγὰς ἀλείμματος ἐννεα-

τᾶς. ἐν κοίτῃ δὲ κατατιθέμενοι ἐν ὑφάσματι λιτῷ ἐσκέπασαν μέχρι ποδῶν ἀπὸ κεφαλῆς, ὑπεράνωθεν δὲ λευκῷ ἱματίῳ. δι' ὅλης δὲ τῆς νυκτὸς μετὰ ταῦτα περὶ τὸν ταχύποδα Ἀχιλλέα οἱ Μυρμιδόνες τὸν Πάτροκλον ἐνεκαλοῦντο ὀδυρόμενοι. ὁ δὲ Ζεὺς πρὸς τὴν Ἥραν εἶπε τὴν ἀδελφὴν καὶ ὁμόλεχον "ἐξετέλεσας δὴ πάλιν ὃ ἤθελες ὦ εὐόφθαλμε καὶ σεβασμία Ἥρα, διεγείρασα τὸν ταχύποδα Ἀχιλλέα. ἆρα δὴ σᾷ ἐξ αὐτῆς ἐγεννήθησαν οἱ εὔκοσμοι Ἕλληνες;" τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ εὐόφθαλμος καὶ σεβασμία Ἥρα "ὦ φοβερώτατε Κρόνου παῖ, ὁποῖον λόγον εἶπες. καὶ μὴν μέλλει δή πού τις ἄνθρωπος ἀνθρώπῳ κακὸν κατασκευάσαι, ὅσις φθαρτὸς ὑπάρχει καὶ ἐ τοιαῦτα βουλεύματα ἐπίσταται. πόσον δὴ ἐγὼ ἥτις λέγω θεῶν εἶναι καλλίστη "κατ' ἄμφω, τῇ τε εὐγενείᾳ καὶ διότι σὴ γαμετὴ ἐκλήθην, σὺ δὲ ἐν πᾶσι τοῖς θεοῖς βασιλεύεις, ἐκ ὤφειλον τοῖς Τρωσὶν ὀργισθεῖσα κακὰ μηχανήσασθαι;" ἕτως οὗτοι μὲν τοιαῦτα πρὸς ἀλλήλους ἔλεγον. εἰς δὲ τὸν Ἡφαίστου οἶκον ἀφικνεῖτο ἡ λευκώλενος Θέτις "τὸν ἄφθαρτον καὶ κατηστερισμένον ἐν τοῖς θεοῖς, τὸν σιδηρᾶν, ὃν δὴ αὐτὸς κατεσκεύασεν ὁ χωλός. τοῦτον δὲ εὗρεν ἱδρῶντα καὶ ἐνεργῶντα περὶ τὰς φυσητῆρας ἐπειγόμενον· λέβητας γὰρ εἴκοσι πάντας κατεσκεύαζεν ἑστηκέναι περὶ τὸν τοῖχον τᾶ εὐποιήτᾳ οἴκου. χρυσᾶς δὲ αὐτοῖς τροχὰς ἑκάστῳ πυθμένι ὑπέθηκεν, ὅπως αὐτοὶ ἀφ' ἑαυτῶν εἰς τὰ τῶν θεῶν κατέλθωσι τεμένη καὶ ἀθροίσματα καὶ πάλιν πρὸς τὸν οἶκον ἐπανέρχοντο θαυμαστῶς. οὗτοι δὲ τόσον εἶχον τέλος, τὰ ὦτα δὲ οὔπω τὰ ποικίλα προσήρμοσο· ταῦτα δὲ ἐποίει, ἐχάλκευε δὲ ἦλας. "ἕως ἕτος ταῦτα εἰργάζετο ταῖς ἐπιστημονικαῖς διανοίαις, καὶ μετὰ ταῦτα εὐθὺς ἦλθε θεὰ Θέτις ἀργυρόπεζα. ταύτην δὲ εἶδε προελθοῦσα Χάρις ἡ εὐζαλὴς καὶ λαμπρὰς ἔχουσα τῇ κεφαλῇ περιβόλας, ἡ καλλίστη, ἣν συνῴκει ὁ περίδοξος Ἥφαιστος· περιεπλάκη δὲ αὐτῇ τῇ χειρί, λόγον τε εἶπε καὶ προσηγόρευσε. "τί δή ποτε ὦ Θέτις κοσμία παραγίνῃ εἰς τὸ ἡμέτερον οἴκημα τιμία καὶ προσφιλεστάτη; πρὸ τότε γε μὴν ἐ πυκνῶς παρεγίνου. ἀλλ' εἴσελθε ἐνδοτέρω, ἵνα σοι ἐδέσματα παραθήσω." ἕτως ἄρα εἰποῦσα ἔνδον ἤγαγεν ἡ ἐνδοξοτάτη τῶν θεῶν. καὶ ταύτην μὲν μετὰ ταῦτα καθίσαι ἐποίησεν ἐπὶ θρόνου ἀργυροῦς ἥλους ἔχοντος, "καλλίστου καὶ ποικίλου, ὑπὸ δὲ τοῖς ποσὶν ὑποπόδιον ἦν· ἐκάλει δὲ Ἥφαιστον τὸν ἀρίστοτέχνην καὶ λόγον εἶπεν. "ὦ Ἥφαιστε πρόελθε οὕτως· ἡ Θέτις σε χρῄζει." πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ περίδοξος Ἥφαιστος "ἆρα δή μοι θαυμαστὴ καὶ αἰδεσιμωτάτη θεὰ ἔνδον, "ἥτις με ἔσωσεν ὅτε με ἡ λύπη ἐπεγένετο πόρρω πεσόντα τῇ τῆς ἐμῆς μητρὸς βελήσει τῆς ἀναισχύντου, ἥτις με ἠθέλησεν ἀφανίσαι χωλὸν ὄντα. τότε ἂν ὑπέμεινα λύπας τῇ ψυχῇ, ἐὰν μή με ἥ τε Εὐρυνόμη καὶ ἡ Θέτις ἐν τῷ κόλπῳ ὑπεδέξαντο, Εὐρυνόμη ἡ θυγάτηρ τᾶ ὠκυματώδος Ὠκεανᾶ. "παρ' αὐταῖς ἐπὶ ἐννέα ἔτη ἐχάλκευον πολλὰ ἐρισκίσματα, περόνας τε ἐπικαμπεῖς καὶ ἑλικοειδεῖς σωληνίσκας τε καὶ περιτραχήλια, ἐν σπηλαίῳ βαθυτάτῳ· ὁ δὲ ῥεῖς τᾶ Ὠκεανᾶ τῷ ἀφρῷ περιζέων ἔῤῥει πολύς· ἐδεὶς δὲ ἕτερος ἐγίνωσκεν ἔτε τῶν θεῶν ἔτε τῶν θνητῶν ἀνθρώπων, "ἀλλ' ἥ τε Θέτις καὶ ἡ Εὐρυνόμη ὑπῆρχον αἵτινές με ἔσωσαν· ἥτις νῦν εἰς τὸν ἡμέτερον οἶκον ἀφίκετο. διό με προσήκει πάντα τῇ εὐπλοκάμῳ Θέτιδι τὰ ζωῆς χαρισήρια ἀποδοῦναι. ἀλλὰ σὺ μὲν νῦν αὐτῇ παράθες ἐδέσματα κάλλιστα, ἕως ἂν ἐγὼ τὰς φυσητῆρας ἀπόθωμαι καὶ τὰ χαλκευτικὰ ἐργαλεῖα πάντα." "εἶπε, καὶ ἀπὸ τᾶ ἀκμοθέτα μεγάλως ὁρμήσας ἀνέζη σκάζων· αἱ δὲ κνῆμαι αὐτᾷ ὑπεκινοῦντο αἱ ἀσθενεῖς. τὰς μὲν φυσητῆρας ἄποθεν τᾶ πυρὸς ἐτίθει, καὶ πάντα τὰ ἐργαλεῖα εἰς ἀργυρᾶν κιβωτὸν συνέζειλεν οἷς ἐνήργει· σπογγῷ δὲ ἀμφότερα τὰ πρόσωπα καὶ ἀμφοτέρας τὰς χεῖρας ἀπεκάθηρεν "καὶ τὸν εὐτραφῆ τράχηλον καὶ τὰ τετριχωμένα στήθη. ἐνεδύσατο δὲ χιτῶνα καὶ ἔλαβε βακτηρίαν καὶ ἐπορεύθη ἔξω τῆς θύρας σκάζων. αἱ δὲ θεραπαινίδες συνεξώρμων τῷ δεσπότῃ κεχρυσωμέναι, ζωαῖς νεωτέραις παραπλήσιαι· αἷς ἐνυπάρχει φρόνησις ἐν ταῖς διανοίαις καὶ φωνὴ "καὶ δύναμις, παρὰ δὲ τῶν θεῶν τὰ ἔργα εἰσὶ δεδιδαγμέναι. αὗται δὲ ἔμπροσθεν τᾶ δεσπότᾳ ἐνήργων· ἕτος δὲ μόλις παραγενόμενος ἐγγὺς ὤν, ὅπα περ ἡ Θέτις, ἐπὶ λαμπρᾶ θρόνᾳ ἐκαθέζετο, περιέλαβε δὲ αὐτὴν τῇ χειρί, καὶ λόγον εἶπε καὶ προσηγόρευσε. "τί δή ποτε ὦ Θέτι μεγαλοχίτων παρεγένου εἰς τὸν ἐμὸν οἶκον "τιμία καὶ προσφιλεστάτη; πρότερόν γε μὴν ἐ πυκνῶς ἦρχε. λέγε εἴ τι βέλει, τελειῶσαι δέ με ἡ ψυχὴ κελεύει, εἴ γε δύναμαι ἐνεργῆσαι καὶ ἐνδεχόμενόν ἐστι γενέσθαι." πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ Θέτις δάκρυα καταχέουσα "ὦ Ἥφαιστε, ἆρα ἂν δή τις, ὁπόσαι θεαὶ ἐν τῷ Ὀλύμπῳ εἰσί, "τοσαῦτα ἐν τῇ ἰδίᾳ διανοίᾳ ὑπέμεινε λύπας χαλεπάς, ὅσας ἐμοὶ ἐκ πασῶν ὁ υἱὸς τᾶ Κρόνου Ζεὺς ὀδύνας ἔδωκεν; ἐκ μὲν τῶν λοιπῶν θαλασσίων Νηρηΐδων ἀνδρὶ με συνέζευξεν, τῷ υἱῷ Αἰακᾶ Πηλεῖ, καὶ ὑπέμεινα ἀνδρὸς κοίτην πλεῖσα λίαν μὴ βελομένη. ἕτος μὲν δὴ τῷ χαλεπῷ γήραϊ "κεῖθ' ἐν τοῖς οἴκοις παρειμένος· ἕτερα δέ μοι νῦν πεποίηκεν. ἐπειδή μοι παρέσχεν υἱὸν γεννηθῆναί τε καὶ τραφῆναι ὑπερέχοντα τῶν ἡμιθέων, ἕτος δὲ ἠΰξησε κλαδὶ δίκην, [τοῦτον μὲν ἐγὼ ἀναθρέψασα καθάπερ φυτὸν ἐν τῷ γονίμῳ τᾶ συμφύτᾳ χωρίᾳ] ἐπὶ ταῖς μεγάλαις ναυσὶ προέπεμψα ἔνδον εἰς τὴν Ἴλιον "τοῖς Τρωσὶ πολεμήσοντα· τοῦτον δὲ οὐκ ὑποδέξομαι πάλιν εἰς τὸν οἶκον ἐπανελθόντα ἔνδον τῆς πατρικῆς οἰκίας. ἕως δέ μοι ζῇ καὶ ὁρᾷ τὸ τοῦ ἡλίου φῶς, λυπεῖται, οὐδὲν δὲ αὐτῷ δύναμαι πορευθεῖσα βοηθῆσαι. τὴν κόρην ἣν δὴ αὐτῷ εἰς τιμὴν ἐξαίρετον ἔδωκαν οἱ Ἕλληνες, "ταύτην πάλιν ἐκ τῶν χειρῶν ἔλαβεν ὁ βασιλεὺς Ἀγαμέμνων. καὶ δὴ ἕτος ὑπὲρ ταύτης λυπέμενος τὰς διανοίας ἔτηκε. τοὺς δὲ Ἕλληνας οἱ Τρῶες ἐπὶ ταῖς ναυσὶ συνέκλειον, οὐδὲ ἔξω τῆς θύρας συνεχώρουν ἐξέρχεσθαι. τοῦτον δὲ ἐλιπάρουν οἱ ἔντιμοι τῶν Ἑλλήνων, καὶ πλεῖσα περίδοξα δῶρα ὑπισχνοῦντο. "τότε αὐτὸς μὲν ἀπηρνεῖτο τὸν ὄλεθρον ἀποσοβῆσαι· ἔπειτα δὲ οὗτος τὸν Πάτροκλον τὰ μὲν ἴδια περιέβαλεν ὅπλα, ἔπεμψε δὲ αὐτὸν εἰς τὸν πόλεμον καὶ πολὺν λαὸν ὁμοῦ παρέσχε. δι' ὅλης δὲ ἡμέρας ἐμάχοντο παρὰ ταῖς Σκαιαῖς πύλαις. καὶ δὴ ἂν αὐτῇ

τῇ ἡμέρᾳ τὴν πόλιν ἐπόρθησαν, εἰ μὴ ὁ Ἀπόλλων "πολλὰ κακὰ πράξαντα τὸν Μενοιτίδ ἀνδρεῖον υἱὸν ἀπέκτονεν ἐν τοῖς πρωταγωνισαῖς ϗ τῷ Ἕκτορι δόξαν ἔδωκε. τότε χάριν ὁραν πόλιν δύο στρατεύματα περιεκάθηντο λαῶν, "τοῖς ὅπλοις τὰ σὰ γόνατα ἱκετεύω, εἴ γε θελήσειας τῷ ἐμῷ ταχυθανάτῳ υἱῷ δᾶναι ἀσπίδα ϗ περικεφαλαίαν ϗ καλλίσας περικνημίδας τὰς τῶν σφυρῶν τοῖς σκεπάσμασιν ἡρμοσμένας "ϗ θώρακα· ὅς γ' ἦν αὐτῷ, ἀπώλεσεν ὁ πιστὸς ἑταῖρος ὑπὸ τῶν Τρώων φονευθείς· ἕτος δὲ κεῖται ἐπὶ τὴν γῆν τὴν ψυχὴν λυπέμενος." πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ περίδοξος Ἥφαιστος "χαῖρε. μηδαμῶς σοι ταῦτα ἐν ταῖς διανοίαις μελέτωσαν. εἴθε γ' αὐτὸν τῆ κακοήχῳ θανάτου ἕτω δυνηθείην "ἰδίᾳ ἀποκρύψαι, ὅτε αὐτὸν ὄλεθρος δεινὸς καταλάβοι, ὥσπερ αὐτῷ ὅπλα καλὰ γενήσετ', ὁποῖα δή τις ἐκ τῶν πολλῶν ἀνθρώπων θαυμάσει ὅσις ἂν θεάσηται." ἕτως εἰπὼν ταύτην μὲν ἀπέλιπεν αὐτόθι, ἐπορεύθη δὲ ἐπὶ τὰς φυσητῆρας. τότε δὲ εἰς τὸ πῦρ ἐπέστρεψε ϗ ἐκέλευσε φυσᾶν. "οἱ φυσητῆρες δὲ ἐν τοῖς χωνευτηρίοις εἴκοσι πᾶσαι ἐφύσων, παντοδαπὴν εὐφύσητον πνοὴν ἀφιεῖσαι, ἄλλοτε μὲν ἐπειγομένῳ συμπαρεῖναι, ἄλλοτε δὲ δὴ πρὸς ὃ ὁ Ἥφαιστος βόλοιτο ϗ τὸ ἔργον ἐτελειῶτο. σίδηρον δὲ ἐν τῷ πυρὶ ἔβαλεν τὸν ἀκαταπόνητον ϗ κασσίτερον "ϗ χρυσὸν τίμιον ϗ ἄργυρον. μετὰ ταῦτα δὲ ἔθηκεν ἐν τῷ κορμῷ τὸν μέγαν ἄκμονα· ἔλαβε δὲ τῇ χειρὶ τὴν δυνατὴν σφῦραν, τῇ δὲ ἑτέρᾳ ἔλαβε τὸν ὀξύλαβον. πρότερον δὲ ἐποίει τὴν ἀσπίδα τὴν μεγάλην ϗ ἰσχυράν, εἰς πᾶν μέρος ποικίλλων αὐτήν· περιέβαλε δὲ λαμπρὰν περιφέρειαν· "τρίπτυχον σίλβουσαν, ϗ ἀργυρᾶν ἀναφορέα. αὐτῆς δὲ δὴ πέντε ἦσαν τῆς ἀσπίδος αἱ πτύχες· ἐν αὐτῇ δὲ ἐποίει ποικίλματα πλεῖστα ταῖς ἐπισημονικαῖς διανοίαις. ἐν αὐτῇ δὲ κατεσκεύασε γῆν ϗ οὐρανὸν ϗ θάλασσαν, ἥλιόν τε τὸν ἀκαταπόνητον ϗ σελήνην πλήθουσαν, "ϗ τὰ ἄστρα πάντα οἷς κεκόσμηται ὁ οὐρανός, ϗ τὰς Πλειάδας ϗ τὰς Ὑάδας ϗ αὐτὸν τὸν Ὠρίωνα τήν τε ἄρκτον, ἣν ϗ ἅμαξαν τὴν προσωνυμίαν καλοῦσιν, ἥτις ἐπὶ τῷ αὐτῷ τύπῳ στρέφεται ϗ τὸν Ὠρίωνα ἐπιτηρεῖ, μόνη δὲ ἀμέτοχος ὑπάρχει τῆς τοῦ Ὠκεανοῦ καταδύσεως. "ἐγκατεσκεύασε δὲ ϗ πόλεις δύο ἐπιγείων ἀνθρώπων καλλίστας. ἐν μὲν τῇ μιᾷ γάμοι ὑπῆρχον ϗ ἑορταί· τὰς δὲ νεογάμους ἐκ τῶν θαλάμων μετὰ λαμπάδων ϗ φώτων ἦγον κατὰ τὴν πόλιν, πλείστη δὲ γαμήλιος ᾠδὴ ἐξῆπτο. νέοι δὲ ὀρχησταὶ ἀνεστρέφοντο· ἐν τούτοις δὲ "αὐλοί τε ϗ κιθάραι ἦχον ἀπετέλουν. αἱ δὲ γυναῖκες ἱστάμεναι ἐξεπλήττοντο ἔμπροσθεν τῶν θυρῶν ἑκάστη. οἱ δὲ λαοὶ ἦσαν ἐν τῇ ἀγορᾷ συνηγμένοι· ἐκεῖσε φιλονεικία διεγήγερτο, δύο δὲ ἄνδρες ἐφιλονείκουν ἕνεκα τιμωρίας ἀνδρὸς ἀποθανόντος. ὁ μὲν εἷς διεβεβαιῶτο πάντα ἀποδᾶναι, "τῷ πλήθει ἐμφανίζων· ὁ δὲ ἕτερος ἀπηρνεῖτο μηδὲν λαβεῖν. οἱ δὲ λαοὶ ἀμφότεροι ἐπεβόων ἑκατέρων βοηθοί. ἀμφότεροι δὲ ἐπορεύοντο ἐπὶ μάρτυρι πείρας λαβεῖν τῆς δίκης. οἱ δὲ κήρυκες τὸν λαὸν κατεῖχον. οἱ δὲ πρεσβῦται ἐκάθηντο ἐπὶ ἐξέδροις λίθοις ἐν τῷ μεγίστῳ δικαστηρίῳ, "τὰς δὲ ῥάβδους τῶν κηρύκων τῶν μεγαλοφώνων κατεῖχον ἐν χερσί· τότοις τὸν λαὸν ὥρμων, κατ' ἐναλλαγὴν δὲ ἐδίκαζον. ἔκειτο δὲ ἐν μέσῳ αὐτῶν δύο τάλαντα χρυσᾶ, τότῳ δοθῆναι ὃς ἐν αὐτοῖς δίκην ὀρθότατα δικάσει. τὴν δὲ ἑτέρᾳ πόλιν δύο στρατεύματα περιεκάθηντο λαῶν, "τοῖς ὅπλοις ἀσφάπτοντες· διχῶς δὲ αὐτοῖς ἤρεσεν ἡ βολή, ἢ ἐκπορθεῖν τὴν πόλιν ἢ διχῶς πάντα ἀπομερίσασθαι, τὴν κτῆσιν ὅσην ἡ πόλις ἐπέρασον ἐντὸς κατέχει. ἕτοι δὲ ἀδέπω ἐπείθοντο, εἰς ἐνέδραν δὲ παρεσκευάζοντο. ϗ τὸ μὲν τεῖχος αἱ φίλαι γυναῖκες ϗ τὰ μικρὰ παιδία "ἐφύλαττον ἐφεζῶτες μετὰ τῶν γερόντων ἀνδρῶν, ἕτοι δὲ ἐπορεύοντο. προηγεῖτο δὲ αὐτῶν ὁ Ἄρης ϗ ἡ πολεμικὴ Ἀθηνᾶ οἱ δύο κεχρυσωμένοι, χρυσᾶ δὲ ἱμάτια περιβεβλημένοι ἦσαν, κάλλιστοι ϗ μέγιστοι σὺν τοῖς ὅπλοις ὥσπερ θεοί, χωρὶς ἑκάτεροι διάδηλοι· οἱ δὲ ὄχλοι ἐλάτονες ἦσαν. "ἕτοι δὲ ἦνίκα παρεγένοντο ὅπα αὐτοῖς ἐνεχώρει ἐνεδρεῦσαι, ἐν ποταμῷ ὅπα ποτισμὸς ἦν πᾶσι τοῖς βοσκήμασιν, ἐκεῖ δὴ αὐτοὶ ἐκαθέζοντο κεκαλυμμένοι τῷ λαμπρῷ σιδήρῳ. τότοις δὲ πόρρωθεν ἐκάθηντο δύο κατάσκοποι λαῶν, ἐκδεχόμενοι πότε ἴδωσι τὰ πρόβατα ϗ τὰς ἑλικοειδῆ κέρατα ἐχέσας βᾶς. "ἕτοι δὲ ταχέως παρεγένοντο, δύο δὲ ἐπηκολούθων ποιμένες τερπόμενοι τοῖς αὐλοῖς· τὴν ἐνέδραν δὲ ἐδαμῶς προέγνωσαν. ἐκεῖνοι δὲ ταῦτα προϊδόντες ἐπῆλθον, ταχέως δὲ μετὰ ταῦτα ἐχώριζον τὰς τῶν βοῶν ἀγέλας ϗ τὰ κάλλιστα ποίμνια τῶν λευκῶν προβάτων, ἀπέκτειναν δὲ τοὺς νομεῖς. "ἕτοι δὲ ὡς ἤκουσαν τὸν πολὺν θόρυβον ἐν ταῖς βασὶν πρὸ τῶν ἐκκλησιῶν καθήμενοι, εὐθὺς ἐπὶ τῶν ἵππων ἀναβάντες τῶν ταχυπόδων ἔτρεχον, ταχέως δὲ ἦλθον· συμάντες δὲ εἰς μάχην ἐπολέμουν παρὰ τὰς ὄχθας τῆ ποταμῆ, ἐτίτρωσκον δὲ ἀλλήλους σιδηροῖς δόρασι. "φιλονεικία δὲ ϗ ταραχὴ ἐνυπῆρχον ϗ ἡ ὀλεθρία μοῖρα, ἄλλον ζῶντα κατέχουσα νεότρωτον, ἄλλον ἄτρωτον, ἄλλον ἀποθανόντα κατὰ τὴν μάχην ἕσυρεν ἐκ τῶν ποδῶν· ἱμάτιον δὲ εἶχε περὶ τοῖς ὤμοις ἐρυθρὸν τῷ τῶν ἀνδρῶν αἵματι. συνεστρέφοντο δὲ ὥσπερ ζῶντες ἄνθρωποι ϗ ἐμάχοντο, "τάς τε ἀλλήλων νεκροὺς εἷλκον ἀποκτεινομένους. ἐνετίθει δὲ γῆν ἀπαλήν, λιπαρόγεων χώραν, πλατεῖαν, τρὶς ἠροτριασμένην· πλεῖστοι δὲ ἐν αὐτῇ ἀροτῆρες τὰ ζεύγη συστρέφοντες ἤλαυνον ὧδε κἀκεῖσε. ἕτοι δὲ ἡνίκα στρέψαντες παρεγένοντο εἰς τὸ τέλος τῆς ἀρόρας, "τότοις μετὰ ταῦτα ἐν ταῖς χερσὶ ποτήριον γλυκέος οἴνου ἐδίδου ἀνὴρ ἐπερχόμενος· ἕτοι δὲ ἐστρέφοντο ἀνὰ τὰς αὔλακας προθυμούμενοι εἰς τὸ τῆς εὐγείου ἀρούρας πέρας ἀφικέσθαι. αὕτη δὲ βαθεῖα ἐγένετο ὄπισθεν, ἠροτριασμένη δὲ ἐφαίνετο καίπερ χρυσῆ ὑπάρχουσα· τοῦτο δὲ μέγα θαῦμα ἐγένετο. "ἐνετίθει δὲ χωρίον εὔγειον σιτοφόρον· ἐκεῖ δὲ γεωργοὶ ἐθέριζον ἠκονημένας δρεπάνας ἐν ταῖς χερσὶ κρατοῦντες. τὰ δράγματα δὲ ἄλλα πρὸς τὴν αὔλακα συνεχῆ ἔπιπτον ἐπὶ τῆς γῆς, ἕτερα δὲ οἱ δραγματοδέται ἐν δεσμοῖς ἐδέσμουν. τρεῖς δὲ δραγματοδέται ἐφεξήκεσαν· ὄπισθεν δὲ "παῖδες δράγματα συνάγοντες ϗ ἐν ταῖς ἀγκάλαις φέροντες ἀδιαλείπτως ἐδίδουν. ὁ δὲ δεσπότης ἐν τότοις μετὰ σιωπῆς ῥάβδον κατέχων ἑστήκει ἐπὶ τῆς αὔλακος, χαίρων τὴν ψυχήν. οἱ δὲ κήρυκες πόρρωθεν ὑποκάτωθεν δένδρα εὐφυῆ ἠτρέπιζον, βᾶν δὲ θύσαντες μέγαν περὶ αὐτὸν ἠχολοῦντο. αἱ

δὲ γυναῖκες "δεῖπνον τοῖς ἐργάταις ἐποίων ἠ λευκὰ ἄλευρα ὅτε ἠ σκηνὰς ἐσεγασμένας ἠ περιβόλας. "ἐνεποίκιλε δὲ ἠ
πολλὰ ἔβρεχον. ἐνετίθει δὲ ἠ σαφύλαις βαρυμένην μεγάλως χορῷ τόπον ὁ περίδοξος ἀμφοτερόχωλος, τάτῳ ὅμοιον
ἄμπελον, καλλίσην, κεχρυσωμένην· μέλανες δὲ ἐννυπῆρχον ὁποῖόν ποτε ἐν τῇ πλατείᾳ Κνωσσῷ μηχανικῶς ὁ Δαίδαλος
βότρυες· εἰσήκει δὲ χαρακώμασι δι' ὅλε ἀργυροῖς βαζαζο- κατεσκεύασε τῇ καλλιτρίχῳ Ἀριάδνῃ. ἐκεῖ μὲν οἱ ἀκμά-
μένη. περιέθηκε δὲ βαθεῖαν τάφρον ἠ τοιχίον περιέβαλεν ζοντες ἠ αἱ ἔντιμοι παρθένοι ὠρχοῦντο ἐπὶ τῇ παλάμῃ
"ἀπὸ κασσιτέρε. μία δὲ μόνη ὁδὸς ὑπῆρχεν ἐπ' αὐτήν· ἀλλήλων τὰς χεῖρας κρατοῦντες. "τάτων αἱ μὲν διαφανῆ
ταύτῃ ἐπορεύοντο οἱ καρποφόροι, ὅτε ἐτρύγων τὴν ἄμπε- ἱμάτια ἐφόρεν, οἱ δὲ χιτῶνας ἐνεδέδυντο εὖ νενησμένους,
λον. παρθένοι δὲ ἠ ἄγαμοι ἤπια φρονέντες ἐν πλεκτοῖς ἠρέμα σίλβοντας ἔλαιον. ἠ δὴ αἱ μὲν καλλίσας στεφάνας
καλαθίσκοις ἐκόμιζον τὸν γλυκὺν καρπόν. ἐν μέσοις δὲ κατεῖχον, οἱ δὲ μαχαίρας ἐκράτεν χρυσᾶς ἐξ ἀργυρῶν λώ-
τοιούτοις παῖς κιθάρᾳ ἡδυτάτῃ "ἐπέραζον ἐκιθάριζε ἠ καλ- ρων. ἦτοι δὲ ὁτὲ μὲν ἐν κύκλῳ ἔτρεχον τοῖς ἐπιστημονικοῖς
λίσην ᾠδὴν ὑπέψαλλε λεπτοτάτῃ φωνῇ· αὐτοὶ δὲ κροτῶν- ποσὶν "εὐκόλως πάνυ, ὥσπερ ὅτε τις τροχὸν ἡρμοσμένον
τες ὁμᾶ ᾠδῇ τε ἠ συριγμῷ, τοῖς ποσὶ σκιρτῶντες, ἐπη- ἐν ταῖς παλάμαις καθεζόμενος κεραμεὺς πεῖραν ποιέμενος
κολάθεν. ἐνεποίκιλε δὲ ἠ ἀγέλην βοῶν ὀρθὰ κέρατα ἐχόν- κινήσει ἐὰν τρέχῃ· ἄλλοτε δὲ ἔτρεχον κατὰ τάξιν ἀλλήλων.
των. αἱ δὲ βᾶς ἐκ χρυσᾶ ἠ κασσιτέρε κατεσκευάσθησαν. πολὺ δὲ τὸν ἐπέραζον χορὸν περιίζατο πλῆθος ἡδόμενοι.
"μυκηθμῷ δὲ ἀπὸ τᾶ βοοσασίε ἐφώρμιον ἐπὶ τὴν νομὴν "δύο δὲ ὀρχησαὶ ἐπ' αὐτὲς τῆς ᾠδῆς ἀρχὴν ποιούμενοι
παρὰ ποταμὸν ἠχῆντα, παρὰ ῥοδανὸν τὸν καλαμιώδη. κε- ἐξρέφοντο κατὰ τὸ μέσον. ἐγκατεσκεύαζε δὲ τᾶ ποταμοῖ
χρυσωμένοι δὲ οἱ βοσκοὶ τοῖς βασὶν ἐπηκολάθων τέσσαρες· Ὠκεανᾶ μεγάλην δύναμιν παρὰ τὴν ἐχάτην περιφέρειαν
ἐννέα δὲ αὐτοῖς κύνες ταχύποδες ἠκολάθουν. καταπλη- ἀσπίδος τῆς ἐπιμελῶς κατεσκευασμένης. ἐπειδὴ δὲ κατε-
κτικοὶ δὲ λέοντες δύο ἐν ταῖς προαγέσαις βασὶ "ταῦρον μεγαλόφωνον κατεῖχον· ἕτος δὲ μεγάλως μυκώμενος εἵλ- σκεύασε τὴν ἀσπίδα τὴν μεγάλην ἠ δυνατήν, "κατεσκεύα-
κετο. τᾶτον δὲ κύνες ἐπεδίωκον ἠ νεώτεροι. ἦτοι μὲν ἀνα- σεν αὐτῷ ἠ θώρακα λαμπρότερον τᾶς ἀυγᾶς τᾶ πυρός,
χίσαντες τᾶ μεγάλε βοὸς τὸ δέρμα τὰ ἐντόσθια ἠ τὸ μέ- κατεσκεύασε δὲ αὐτῷ περικεφαλαίαν τοῖς κροτάφοις ἁρμό-
λαν αἷμα ἀθρόως ἤσθιον· οἱ δὲ βυσκοὶ ματαίως ἐνέβαλον ζεσαν καλλίσην ἠ ποικίλην· ἐπέθηκε δὲ χρυσᾶν λόφον.
τὲς ταχεῖς κύνας παρορμῶντες. "ἦτοι δακεῖν μὲν ἀπετρέ- κατεσκεύασε δὲ αὐτῷ περικνημῖδας ἀπὸ εὐδιαχύτε κασσι-
ποντο ὑπὸ τῶν λεόντων, ἰσάμενοι δὲ πάνυ ἐγγὺς ὑλάκτεν τέρε. ἐπεὶ δὲ πάντα τὰ ὅπλα ἔκαμεν ὁ ἔνδοξος Ἥφαιστος,
ἠ ἐξέκλιναν. ἐγκατεσκεύασε δὲ ἠ νομὴν ὁ περίδοξος Ἥφαι- "τῆς μητρὸς τᾶ Ἀχιλλέως ἔθηκεν ἔμπροσθεν ἄρας. αὕτη
στος ἐν καλῇ κοιλάδι μεγάλην προβάτων λευκῶν ἐπαύλεις δὲ ὥσπερ ἱέραξ ἐπήδησεν ἀπὸ τᾶ χιονώδες Ὀλύμπου, τὰ
ἀπολάμποντα ὅπλα παρὰ τᾶ Ἥφαίσε κομίζεσα.

Τ. ΜΗΝΙΔΟΣ ΑΠΟΡΡΗΣΙΣ.

ΥΠΟΘΕΣΙΣ 1. Ταῦ δ' ἀπέληγε χόλοιο καὶ ἔκθορε δῖος Ἀχιλλεύς.

2. Θέτιδος κομιζούσης Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἥφαίσε, συναγαγὼν εἰς ἐκκλησίαν τὸς Ἕλληνας ὁ ἥρως ἀπόῤῥησιν ποιεῖται τῆς μήνιδος, καὶ λαμβάνει τὰ δῶρα ἅπερ αὐτῷ Ἀγαμέμνων δώσειν ὑπέσχετο. τροφὴν δὲ ἀνελομένων ἐκείνων αὐτὸς ἄσιτος διαμείνας ὁπλίζεται καὶ σραιτείαν ἐξάγει ἐπὶ τὸν πόλεμον. ὁ δὲ ὕστερος τῶν ἵππων αὐτῷ Ξάνθος τὴν ἐσομένην αὐτῷ ἀναίρεσιν καταμαντεύεται, ᾧ ἐπιπλήττει.

Ἥ μὲν κροκοειδὴς ἡμέρα ἀπὸ τῶν Ὠκεανᾶ ῥοῶν ὥρ- λαμπὰς ἐξεφάνησαν. ἐτέρφθη δὲ ἐν ταῖς χερσὶν ἔχων τὰ
μησεν, ἵνα τοῖς θεοῖς τὸ φῶς κομίσῃ ἠ τοῖς ἀνθρώποις· τᾶ θεᾶ λαμπρὰ δῶρα. ἐπειδὴ δὲ ταῖς ἑαυτᾶ διανοίαις ἐτέρφθη
αὕτη δὲ εἰς τὰς ναῦς παρεγένετο παρὰ τᾶ Θεᾶ δῶρα φέ- τὰ ποικίλματα βλέπων, "εὐθέως πρὸς τὴν ἑαυτᾶ μητέρα
ρουσα, εὗρε δὲ τῷ Πατρόκλῳ περιπεπλεγμένον τὸν ἑαυτῆς λύγες ταχεῖς εἶπεν. "ὦ μῆτερ ἐμή, τὰ ὅπλα μὲν ὁ Θεὸς
προσφιλῆ υἱόν, "κλαίοντα περιπαθῶς· πολλοὶ δὲ περὶ αὐ- παρίσχεν οἷα ἔπρεπεν ἔργα ὑπάρχειν Θεῶν ἠ μὴ θνητὸν
τὸν ἑταῖροι ἐθρήνεν. αὕτη δὲ ἐν τάτοις παρίσατο ἡ ἐνδο- ἄνθρωπον ἐργάσαθ· τὰ νῦν δὲ ἐγὼ ὁπλισθήσομαι. ἀλλὰ
ξοτάτη τῶν Θεῶν, ἐμπεριέλαβε δὲ αὐτὸν τῇ χειρὶ ἠ λόγον πάνυ δεινῶς φοβᾶμαι μή πώς μοι τηνικαῦτα εἰς τὸν τοῦ
εἶπε ἠ προσηγόρευσεν. "ὦ τέκνον ἐμόν, τᾶτον μὲν κατα- Μενοιτίε δυνατὸν υἱὸν "μυῖαι κατελθοῦσαι κατὰ τὰς σι-
λίπωμεν καίπερ λυπέμενοι κεῖσθ, ἐπεὶ τὴν ἀρχὴν τῇ τῶν δηροτρώτες πληγὰς σκώληκας γεννήσωσιν, ἀφανίσωσι δὲ
θεῶν βαλήσει τέθνηκεν· "σὺ δὲ παρὰ τᾶ Ἥφαίσου τὰ πε- τὸν νεκρόν, φθαρῇ δὲ ἠ ὁ νωτιαῖος μυελός, κατασαπῇ δὲ
ρίδοξα ὅπλα δέδεξο, πάνυ καλά, ὁποῖα ἐδέπω τις ἀνὴρ ἅπαν τὸ σῶμα." πρὸς τᾶτον δὲ ἀπεκρίνατο πάλιν ἡ λευ-
τοῖς ὤμοις περιβάλετο." ἔτω δὴ εἰποῦσα ἡ θεὰ κατέθηκε κώλενος Θεὰ Θέτις "ὦ τέκνον, μηδαμῶς σοι ταῦτα ἐν ταῖς
τὰ ὅπλα ἔμπροσθεν τᾶ Ἀχιλλέως· τὰ δὲ ποικίλα ταῦτα σαῖς διανοίαις μελέτωσαν. "τάτῳ μὲν ἐγὼ πειραθήσομαι
ἤχησε. πάντας δὲ τὲς Μυρμιδόνας ἔλαβε φόβος· οὐδεὶς ἀποσοβεῖν τὰ ἀνήμερα γένη, τὰς μυίας, αἳ δὴ τὲς ἄνδρας
δὲ ἔφερεν "ἐξ ἐναντίας βλέπειν, ἀλλ' ἐφοβήθησαν. ὁ τὲς σιδηροπλήκτες ἐθέσιν· ἐάν περ κείσεθ εἰς ὁλόκληρον
δὲ Ἀχιλλεὺς ὡς ἐθεάσατο, ἦτως αὐτὸν ὑπεισῆλθεν ὀργή· ἐνιαυτόν, διὰ παντὸς ἔσαι τάτῳ τὸ σῶμα ἀδιάφθορον ἢ ἠ
ἐν αὐτῷ δὲ οἱ ὀφθαλμοὶ φοβερῶς ὑπὸ τῶν βλεφάρων ὡσεὶ κρεῖττον. ἀλλὰ σὺ εἰς ἐκκλησίαν καλέσας τὲς γενναίους

Ἕλληνας, "τὴν ὀργὴν ἀποθέμενος τῷ βασιλεῖ τῶν ἀνδρῶν
Ἀγαμέμνονι ταχέως πάνυ εἰς τὸν πόλεμον ὁπλίζῃ, ἐπέν-
δυσαι δὲ ἰσχύν." ὅτως ἄρα εἰπῶσα δύναμιν θαρρητικὴν
ἐνέβαλε· τῷ δὲ Πατρόκλῳ θείαν βρῶσιν καὶ πόμα θεῶν.
ἐρυθρὸν ἔσαζε κατὰ ῥινῶν, ἵνα τὸ σῶμα αὐτῇ ἄφθαρτον
ᾖ. "ὅτος δὲ ἐπορεύθη πρὸς τὸν αἰγιαλὸν τῆς θαλάσσης ὁ
ἔνδοξος Ἀχιλλεὺς καταπληκτικὸν βοῶν, διήγειρε δὲ τὲς γεν-
ναίες Ἕλληνας. καὶ δὴ οἵτινες τὸ πρότερον ἐν τῷ ἀθροίσματι
τῶν νεῶν ἔμενον, οἵ τε κυβερνῆ καὶ οἳ κατεῖχον τὰ τῶν νεῶν
πηδάλια, καὶ οἱ φύλακες παρὰ ταῖς ναυσὶν ἦσαν, τῆς τροφῆς
χορηγοί, "καὶ μὴν ὅτοι τότε εἰς τὴν ἐκκλησίαν ἐπορεύθησαν,
διότι ὁ Ἀχιλλεὺς προῆλθεν· ἐπὶ πολὺ γὰ ἔπαυσε τῆς χα-
λεπῆς μάχης. δύο δὲ οὗτοι ἐπορεύοντο χωλεύοντες τοῦ
πολέμε ἐμπειρότατοι, Διομήδης τε ὁ καρτερικὸς καὶ ὁ ἔν-
δοξος Ὀδυσσεύς, τοῖς δόραξιν ἐπιστηριζόμενοι· ἔτι γὰ εἶχον
τὰ χαλεπὰ ἕλκη· "ἐν δὲ τῇ προεδρίᾳ πορευθέντες ἐκάθισαν.
ὅτος δὲ δεύτερος ἦλθεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων,
τραῦμα ἔχων· καὶ γὰ αὐτὸν ἐν τῇ ἰσχυρᾷ μάχῃ ἔτρωσε Κόων
ὁ Ἀντήνορος παῖς τῷ σιδηρῷ δόραξι. ἐπεὶ δὲ πάντες
συνηθροίσθησαν οἱ Ἕλληνες, "ἐν τούτοις δὴ ἀναστὰς εἶπεν
ὁ ταχύπες Ἀχιλλεὺς "ὦ Ἀγάμεμνον, ἆρα δή τι τῶτο ἐν
ἀμφοτέροις βέλτιον ἐγένετο, σοὶ καὶ ἐμοί, ὁπότε ἡμῖν λυπε-
μένοις τὴν ψυχὴν τῇ ψυχοφθόρῳ φιλονεικίᾳ ὠργιζόμεθα
ἕνεκα κόρης, ἣν ὤφειλεν ἐν ταῖς ναυσὶν ἀποκτεῖναι ἡ Ἄρ-
τεμις τῷ βέλει "τῇ ἡμέρᾳ ἐκείνῃ ὅτε ἐγὼ ἔλαβον τὴν Λυρ-
νησσὸν πορθήσας. ὅτως ἂν ὲ τοσῶτοι Ἕλληνες ὐδῶσι τὴν
πολλὴν γῆν ἔλαβον ὑπὸ ταῖς τῶν πολεμίων χερσὶν ἐμοῦ
ὀργισθέντος. τῷ μὲν Ἕκτορι καὶ τοῖς Τρωσὶ τῶτο ὠφέλιμον·
τὲς δὲ Ἕλληνας ἐπὶ πολὺ τῆς ἐμῆς καὶ σῆς φιλονεικίας μνή-
σεσθαι ὑπολαμβάνω. "ἀλλὰ τὰ μὲν προγεγονότα καταλί-
πωμεν καίπερ λυπέμενοι, τὴν φίλην ὀργὴν ἐν ταῖς δια-
νοίαις ὑποτάξαντες ἀνάγκῃ. νῦν μὲν δὴ ἐγὼ καταπαύσω
τὴν ὀργήν· οὐδαμῶς δέ με προσήκει ἀμετατρέπτως ἀεὶ
ὀργίζεσθαι. ἀλλὰ φέρε τάχιον παρόρμησον εἰς τὸν πόλεμον
τὲς εὐκόμες Ἕλληνας, "ὅπως ἔτι καὶ τῶν Τρώων πεῖραν
λήψωμαι ἐξ ἐναντίας ἐλθών, ἐὰν θελήσωσιν ἐπὶ ταῖς ναυσὶ
διατρίβειν. ἀλλά τινα ὑπολαμβάνω ἤδεως αὐτὸν τὸ γόνυ
κλῖναι, ὅσις ἂν φύγῃ ἐκ τῆ διακοπτικοῦ πολέμε ὑπὸ τοῦ
ἡμετέρε δόρατος βληθείς." ὅτως εἶπεν· αὐτοὶ δὲ ἐχάρησαν
οἱ εὔοπλοι Ἕλληνες "τὴν ὀργὴν ἀποθεμένου τῆ μεγαλο-
ψύχε Ἀχιλλέως. ἐν τούτοις δὲ εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν
Ἀγαμέμνων ἐξ αὐτῆς τῆς καθέδρας, ἀδὲ ἐν τῷ μέσῳ ἀνα-
στάς, "ὦ προσφιλέστατοι γενναῖοι Ἕλληνες, θεραπευταὶ τῆ
πολέμε, καλὸν μὲν ἑξῶτος ἀκέειν, ἀδαμῶς δὲ προσήκει
ἐμποδίζειν τὸν λέγοντα· δύσκολον γὰ καίπερ ἔμπειρον
ὄντα. ἐν πολλῷ δὲ πλήθει ἀνδρῶν πῶς ἄν τις ἀκούσαι
ἢ λέξοι; ἐμποδίζοι δὲ καίπερ ἠδὺς ὢν δημηγόρος. τῷ μὲν
Ἀχιλλεῖ ἐγὼ ἀπολογήσομαι· ὑμεῖς δὲ οἱ λοιποὶ συγκατά-
θεσθε Ἕλληνες, τόν τε λόγον καλῶς νοήσατε ἕκαστος.
πολλάκις δὴ τῶτον οἱ Ἕλληνες τὸν λόγον εἶπον, καὶ δή με
φιλονείκεν. ὐκ εἰμὶ δὲ ἐγὼ αἴτιος ἀλλ' ὁ Ζεὺς καὶ ἡ εἱ-
μαρμένη καὶ ἡ ἀοράτως φοιτῶσα Ἐρινύς, οἵτινές μοι τῇ
δημιγορίᾳ ἐν ταῖς διανοίαις ἐνέβαλον ἀνήμερον βλάβην,
τῇ ἡμέρᾳ ἐκείνῃ ὅτε τὴν Ἀχιλλέως ἐξαίρετον τιμὴν ἐγὼ
ἀφειλόμην. "ἀλλὰ τί ἂν πράξαιμι; θεὸς πάντα τελειοῖ
Ἄτη ἡ ἔντιμος τῷ Διὸς θυγάτηρ, ἥτις πάντας βλάπτει
ἡ ὀλεθρία. ταύτης μὲν οἱ πόδες ἁπαλοί· ἐ γὰ τῷ ἐδάφει
προσπελάζει, ἀλλ' αὐτη δὴ κατὰ τὰς τῶν ἀνδρῶν κεφα-
λὰς ἐπιβαίνει, βλάπτεσα τὲς ἀνθρώπες· ἕνα γᾶν τινὰ
ἔβλαψεν. "καὶ γὰ δή ποτε τὸν Δία ἔβλαψεν, ὅνπερ κρείττονα
τῶν ἀνδρῶν καὶ τῶν θεῶν φασὶν εἶναι. ἀλλὰ δὴ καὶ τοῦτον
ἡ Ἥρα θήλεια οὖσα τῇ πανεργίᾳ ἠπάτησε, τῇ ἡμέρᾳ
ἐκείνῃ ὅτε ἔμελλεν αὐτὸν τὸν Ἡρακλῆν ἡ Ἀλκμήνην τεκεῖν
ἐν τῇ εὐτειχίσῳ Θήβῃ. "ὅτος μὲν δὴ καυχώμενος εἶπε
πᾶσι τοῖς θεοῖς ""ἀκέσατέ μα πάντες θεοὶ καὶ πᾶσαι θεαί,
ὅπως εἴπω ἅπερ ἡ ψυχὴ ἐν ταῖς διανοίαις κελεύει. σήμερον
ἄνδρα εἰς φῶς ἡ περὶ τὲς τόκες μογῆσα Εἰλείθυια ἐκφα-
νεῖ, ὅσις πάντων τῶν περιοίκων βασιλεύσει, "ἐκ τῆς γενεᾶς
τέτων τῶν ἀνδρῶν οἵτινες ἐκ τῶ ἐμῶ γένες εἰσίν."" πρὸς
τῶτον δὲ ἀπατηλὰ φρονῆσα εἶπεν ἡ σεβασμία Ἥρα ""ψεύδῃ
καὶ ἀδαμῶς ἐπιθήσεις τέλος τῷ λόγῳ. φέρε ἔν ἤδη νῦν μοι
ὄμοσον Ὀλυμπικὲ δυνατὸν ὅρκον, εἰ ἄρα τῶτον τῶν πε-
ριοίκων βασιλεύσειν, "ὅσις ἂν ἐν τῇ ἡμέρᾳ ταύτῃ πέσῃ
ἐν ποσὶ γυναικὸς τέτων τῶν ἀνδρῶν οἵτινες ἐκ τῆς γενεᾶς
τῶ σπέρματός σέ εἰσιν."" ὅτως εἶπεν· ὁ δὲ Ζεὺς ἀδαμῶς
τὴν ἀπάτην ἐνόησεν, ἀλλ' ὤμοσε μέγιστον ὅρκον, μετὰ ταῦτα
δὲ πλεῖστον ἐβλάβη. ἡ Ἥρα δὲ ὁρμήσασα ἀπέλιπε τὸ ἀκ-
ρωτήριον τῶ Ὀλύμπε, "ταχέως δὲ ἦλθεν εἰς τὸ Ἄργος
τὸ Ἑλληνικόν, ὅπε δὴ ἐγίνωσκε τὴν ἀγαθὴν γαμετὴν Σθε-
νέλε τῶ Περσέως υἱῶ. αὕτη δὲ κατὰ γαςέρα εἶχε προσφιλῆ
υἱόν· ἑβδομος ἔτος εἰςήκει μήν. ἐξήγαγεν αὐτὸν πρὸς τὸ φῶς
ἀτελῆ κατὰ τὸν χρόνον ὄντα, τῆς δὲ Ἀλκμήνης ἐκώλυσε
τὸν τόκον, ἐπέχε δὲ τὰς μογοσόκες. "αὕτη δὲ ἀπαγγέλλεσα
πρὸς τὸν Δία τὸν τῶ Κρόνε υἱὸν εἶπεν ""ὦ πάτερ Ζεῦ
τερπικέραυνε, λόγον τινά σοι διηγήσομαι. ἤδη ἀνὴρ ἐγεν-
νήθη ἀγαθός, ὅσις τῶν Ἑλλήνων βασιλεύσει, Εὐρυσθεὺς
ὁ Σθενέλε παῖς τῶ Περσέως υἱῶ, τῆς σῆς γενεᾶς· ἐ χα-
λεπὸν αὐτῷ βασιλεύειν τῶν Ἑλλήνων."" "ὅτως εἶπε· τῶ-
τον δὲ δριμεῖα λύπη κατὰ τὴν συνετὴν διάνοιαν ἔτυψεν.
εὐθέως δὲ ἔλαβε τὴν βλάβην ἀπὸ τῆς εὐτρίχε κεφαλῆς
ὀργιζόμενος ταῖς ἑαυτῶ διανοίαις, καὶ ὤμοσε δυνατὸν ὅρκον
μηδέποτε εἰς τὸν Ὄλυμπον καὶ τὸν ἀςέρας ἔχοντα ἐρανὸν
ὀπάλιν παραγενέσθαι τὴν βλάβην, ἥτις βλάπτει πάντας. "ὅ-
τως εἰπὼν ἐρρίψεν ἀπὸ τῶ ἐρανῶ τῶ ἀςέρας ἔχοντος περι-
ρέψας τῇ χειρί. ταχέως δὲ παρεγένετο εἰς τὰ τῶν ἀνθρώ-
πων ἔργα· δι' ἣν ἀεὶ ἐξέναζεν ὅτε τὸν ἑαυτῶ προσφιλῆ
υἱὸν ἔβλεπεν ἔργον ἀπρεπὲς ἔχοντα ὑπὸ τῶν ἄθλων τοῦ
Εὐρυσθέως. ἔτω κἀγώ, ὅτε δὴ ὁ μέγας καὶ εὔοπλος Ἕκτωρ
τὲς Ἕλληνας ἀνῄρει ἐπὶ ταῖς μεγάλαις ναυσίν, ὐκ ἐδυ-
νάμην ἐπιλαθέσθαι τῆς βλάβης ἣ πρότερον ἐβλάβην. ἀλλ'
ἐπειδὴ ἐβλάβην καὶ μα τὴν φρόνησιν ἀφείλετο ὁ Ζεύς, πά-
λιν θέλω φιλοφρονήσασθαι δῶναί τε πλεῖστα δῶρα. ἄλλο

διεγέρθητι εἰς τὸν πόλεμον καὶ τὰς λοιπὰς λαὰς διέγειρον.
"τὰ δῶρα δὲ ἐγὼ πάντα παρέξομαι αὐτός, ὁπόσα σοι
παραγενόμενος χθὲς ἐν ταῖς σκηναῖς ἐπηγγείλατο ὁ ἔνδοξος
Ὀδυσσεύς. ἐὰν δὲ θέλῃς, ἔκδεξαι καίπερ σπεύδων εἰς τὸν
πόλεμον· τὰ δῶρα δέ σοι οἱ ὑπασπισαὶ παρὰ τῆς ἐμῆς
νεὼς λαβόντες κομίσσουσιν, ὅπως γνῷς ὅτι σοι ἀρέσκοντα
δώσω." "πρὸς τοῦτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ταχύπους
Ἀχιλλεὺς "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, βασιλεῦ τῶν
ἀνδρῶν Ἀγάμεμνον, τὰ μὲν δῶρα ἐὰν θέλῃς παραχεῖν,
ὡς ἔξι πρέπον, ἢ κατέχειν· παρὰ σοί ἐσι· νῦν δὲ ὑπομνηθῶμεν τῆς μάχης πάνυ ταχέως. ἐ γ' προσήκει πολυλογεῖν ἐνταῦθα ὄντας "ἐδὲ ἐγχρονίζειν· ἔτι γ' τὸ μέγα ἔργον
ἄπρακτόν ἐσιν, ὅπως ἄν τις τὸν Ἀχιλλέα ἐν τοῖς πρωταγωνισαῖς θείσῃ τῷ σιδηρῷ δόρατι ἀπολλύντα τὰς τῶν
Τρώων τάξεις. ἕτω τις ὑμῶν μεμνημένος πρὸς ἄνδρα πολεμείτω." πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ πολύβουλος
Ὀδυσσεὺς "" μηδαμῶς ἕτω καίπερ ἀνδρεῖος ὢν ὦ θεοῖς
ὅμοιε Ἀχιλλεῦ νησικοὺς παρόρμια πρὸς τὴν Ἴλιον τοὺς
Ἕλληνας τοῖς Τρωσὶ πολεμήσοντας, ἐπειδὴ ἐ πρὸς βραχὺν
χρόνον ἔχαι ἡ μάχη, ἐπειδὰν ἅπαξ εἰς ταὐτὸν συνέλθωσιν
αἱ τάξεις τῶν ἀνδρῶν, ἐμπνεύσῃ δὲ ὁ θεὸς δύναμιν ἀμφοτέροις. "ἀλλὰ γεύσασθε κέλευσον ἐπὶ ταῖς ταχείαις ναυσὶ
τὰς Ἕλληνας τροφῆς καὶ ποτῆ· τοῦτο γ' δύναμίς ἐσι καὶ ἰσχύς.
ἐ γ' δι' ὅλης ἡμέρας ἀνὴρ μέχρις ἡλίε δύσεως ἄγευσος
τροφῆς δυνήσεται ἐξ ἐναντίας πολεμεῖν. ἐάν περ γ' τῇ προθυμίᾳ προθυμῆται πολεμεῖν, "ἀλλ' ἀφανῶς αὐτῆ τὰ μέλη
ἀδυνατεῖ καὶ καταλαμβάνει αὐτὸν ἡ δίψα καὶ ὁ λιμός, ἐμποδίζει δὲ τὰ γόνατα πορευομένῳ. ὅσις δ' ἀνὴρ οἴνῳ χορταθεὶς καὶ τροφῆς ἀνδράσι πολεμίοις δι' ὅλης ἡμέρας πολεμεῖ, τολμηρὰ αὐτῆ ἡ ψυχὴ ἐν ταῖς διανοίαις, ἐδὲ τὰ μέλη "πρότερον κοπιᾷ πρὶν πάντας ὑποχωρῆσαι τῆ πολέμι.
ἀλλὰ φέρε τὸν μὲν λαὸν σκόρπισον καὶ δεῖπνον κέλευσον παρασκευάζειν· τὰ δὲ δῶρα ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων κομισάτω εἰς μέσον τῆ συνεδρίῳ, ὅπως πάντες οἱ
Ἕλληνες τοῖς ὀφθαλμοῖς θεάσωνται, σὺ δὲ ἐν ταῖς διανοίαις
ταῖς σαῖς χαίρῃς. "ὀμνύετω δέ σοι ὅρκον ἐν τοῖς "Ελλησιν
ἀναξὰς μηδαμῶς ποτὲ τῆς κοίτης ἐπιβῆναι ἢ ἐνωθῆναι. καὶ
σοὶ δὲ αὐτῆ ἡ ψυχὴ ἐν ταῖς διανοίαις εὐμενὴς γενέσθω.
μετὰ ταῦτα δέ σε τῇ εὐωχίᾳ ἐν τῇ σκηνῇ φιλοφρονησάσθω
δαψιλεῖ, ὅπως μηδὲν τῶν ὀφειλόντων πραχθῆναι ἐνδεὲς
ἔχῃς. ὦ Ἀγάμεμνον, σὺ δὲ μετὰ ταῦτα δικαιότερος καὶ
ἄλλῳ γενήσῃ· ἐδαμῶς γ' μειπτὸν ὑπάρχει βασιλέα ἄνδρα
ἀποθεραπεῦσαι, ὁπότε τις πρότερον ἀδικήσει." πρὸς τοῦτον
δὲ πάλιν εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων "" χαίρω
ὦ Λαέρτα παῖ σῆ τὸν λόγον ἀκέσας· κατὰ τάξιν γ' πάντας
διεξῆλθες καὶ ἐσόρησας. ταῦτα δὲ καὶ ἐγὼ θέλω ὀμόσαι, παρακελεύῃ δέ με ἡ ψυχή, ἐδαμῶς δὲ ἐπιορκήσω κατὰ θεῶν. ὁ δὲ Ἀχιλλεὺς μενέτω αὐτόθι τέως καίπερ σπεύδων
εἰς τὸν πόλεμον. "μείνατε δὲ καὶ οἱ λοιποὶ πάντες ἠθροισμένοι, ἕως ἂν τὰ δῶρα ἐκ τῆς νεὼς παραγένηται καὶ ὅρκους
ἔσπισὰς ποιήσωμεν. σοὶ δὲ αὐτῷ τοῦτο παρακελεύομαι καὶ
προσάσσω· ἐπιλεξάμενος νέας ἀρίσας ἐκ πάντων τῶν Ἑλλήνων τὰ δῶρα παρὰ τῆς νεὼς ἔνεγκε, ὁπόσα τῷ Ἀχιλλεῖ
χθὲς ὑπεχόμεθα δῶναι, ἀγαγεῖν δὲ καὶ τὰς γυναῖκας. ὁ Ταλθύβιος δέ μοι ταχέως κατὰ τὸ πλατὺ σρατόπεδον τῶν
Ἑλλήνων χοῖρον εὐτρεπισάτω διχοτομήσαι τῷ τε Διὶ καὶ τῷ
Ἡλίῳ." πρὸς τοῦτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ταχύπους
Ἀχιλλεὺς "ὦ Ἀτρέως υἱὲ ἐνδοξότατε, βασιλεῦ τῶν ἀνδρῶν
Ἀγάμεμνον, "ἄλλοτέ ποτε μᾶλλον ὀφείλετε ταῦτα ἐνεργεῖν,
ὁπότε τις ἀνάπαυσις τῆ πολέμῳ γενήσεται καὶ ἐ τοσαύτη ὀργὴ
ὑπάρχει ἐν ταῖς ἐμαῖς διανοίαις. τὰ νῦν δὲ οἱ μὲν κεῖνται τετρωμένοι, ὃς ἔτρωσεν "Ἕκτωρ ὁ Πριάμε παῖς, ὅτε αὐτῷ
ὁ Ζεὺς δόξαν παρέχεν· "ὑμεῖς δὲ ἐπὶ τὴν βρῶσιν σπεύδετε.
ὄντως ἂν ἐγωγε νῦν μὲν παρακελεύσαιμι πολεμεῖν τὰς "Ελληνας νήσεις καὶ ἀγεύσους, μετὰ δὲ τὴν τῆ ἡλίε δύσιν ποιῆσαι
μέγα δεῖπνον, ἐπειδὰν ἐκδικήσωμεν τὴν βλάβην τῶν ἀποθανόντων. πρότερον δὲ ἐδαμῶς ἂν ἐμοὶ κατὰ τὸν προσφιλῆ
"λαιμὸν εἰσέλθῃ ἔτε πόσις ἔτε βρῶσις, τῆ ἑταίρε ἀποθανόντος, ὅσις ἐμοὶ τῇ σκηνῇ τετρωμένος τῷ ὀξεῖ σιδήρῳ κεῖται
κατὰ τὸν πρόθυρον τεταμένος· περὶ αὐτὸν δὲ οἱ φίλοι
θρηνῶσι. διό μοι ἐδὲν κατὰ διάνοιαν ταῦτα πεφρόντισαι,
ἀλλ' ὁ φόνος καὶ τὸ αἷμα καὶ ὁ χαλεπὸς ξεναγμὸς τῶν ἀνδρῶν." "πρὸς τοῦτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ πολύβουλος
Ὀδυσσεὺς "ὦ Πηλέως υἱὲ Ἀχιλλεῦ, μεγάλως ἐχοχώτατε
τῶν Ἑλλήνων, κρείσσων ὑπάρχεις ἐμῆ καὶ βελτίων ἐ μικρὸν
τῷ δόρατι· ἐγὼ δ' ἂν σῆ τῷ φρονήματι ὑπερνικήσοιμι,
ἐπειδὴ πρεσβύτερος ὑπάρχω καὶ πλείονα ἐπίσαμαι. "διό σε
καρτερησάτω ἡ καρδία τοῖς ἐμοῖς λόγοις. ταχέως γ' τῆς
μάχης γίνεται κόρος τοῖς ἀνθρώποις, ἧς τινὸς (μάχης) πολλὴν
καλάμην ἐν τῇ γῇ ὁ σίδηρος ἔβαλεν, θερισμὸς δὲ ὀλίγος,
ἐπειδὰν τροπὴν ἐργάσηται ὁ Ζεύς, ὅσις φύλαξ τοῖς ἀνθρώποις τῆ πολέμῳ γεγένηται. "τῇ γαρεὶ δὲ ἐδαμῶς ὑπάρχει
τὸν νεκρὸν θρηνῆσαι τὰς "Ελληνας· λίαν γ' πολλοὶ καὶ
ἀλλεπάλληλοι πάσας τὰς ἡμέρας ἀναιρῆται· πότε ἄν τις
ἄνεσιν λάβῃ τῶν θλίψεων; ἀλλὰ πρέπει τοῦτον μὲν θάπτειν
ὅσις ἀποθάνοι, ἀταπείνωτον ψυχὴν ἔχοντας, ἐπὶ μιᾷ ἡμέρᾳ
κλαύσαντας· "ὁπόσοι δ' ἂν τῆ πολέμῳ τῆ μισητῆ λίπωνται,
μνείαν πεποιῆσθαι τῆ ἐσθίειν καὶ πίνειν, ὅπως κατὰ πολὺ ἔτι
τοῖς πολεμίοις ἀνδράσι μαχώμεθα ἀδιαλείπτως ἀεί, ἐνδυνάμενοι τῷ σώματι σίδηρον ἀκαταπόνητον. καὶ μηδεὶς ἑτέραν τῶν ὄχλων παρακέλευσιν ἐκδεχόμενος ἀναμενέτω· "αὕτη
γ' ἡ παρακέλευσις κακὸν γενήσεται, ὅσις ἂν ἀπολειφθῇ ἐπὶ
ταῖς ναυσὶ τῶν Ἑλλήνων. ἀλλ' ὁμῆ ὁρμήσαντες ἐπὶ τοῖς
ἱππικοῖς Τρωσὶ συνάψωμεν δυνατὸν πόλεμον." εἶπε, καὶ τὸν
Νέσορος υἱὸς ἀκολάθος ἔλαβε τῆ ἐνδόξῳ τόν τε Φυλέως
υἱὸν Μέγητα καὶ τὸν Θόαντα καὶ τὸν Μηριόνην "καὶ τὸν
Κρείοντος υἱὸν Λυκομήδην καὶ τὸν Μελάνιππον. ἐπορεύθησαν δὲ εἰς τὴν σκηνὴν τῆ υἱῆ Ἀτρέως Ἀγαμέμνονος.
εὐθέως δὲ μετὰ ταῦτα ἅμα τῷ λόγῳ ἐτετέλεσο καὶ τὸ ἔργον·
ἑπτὰ μὲν ἐκ τῆς σκηνῆς τρίποδας ἔφερον, ὃς αὐτῷ ὑπεσχέτο, διαπύρους δὲ λέβητας εἴκοσι καὶ δώδεκα ἵππους· "ἤγαγον δὲ εὐθέως γυναῖκας ἄψογα ἔργα ἐπισαμένας ἑπτά,

ὀγδόην δὲ τὴν εὐπρόσωπον Βρισηΐδα. χρημάτων δὲ σαθμήσας ὁ Ὀδυσσεὺς τάλαντα ὁμῶ δέκα προηγεῖτο, ὁμοῦ δὲ οἱ λοιποὶ δῶρα ἔφερον οἱ νέοι τῶν Ἑλλήνων. ἠ ταῦτα μὲν ἐν μέσῃ τῇ ἐκκλησίᾳ ἔθηκαν, ὁ δὲ Ἀγαμέμνων ἀνίσατο· ὁ δὲ Ταλθύβιος ὁ θεῷ κατὰ τὴν φωνὴν ὅμοιος κάπρον κατέχων ἐν τῇ χειρὶ παρίσατο τῷ Ἀγαμέμνονι. ὁ δὲ Ἀγαμέμνων ἑλκύσας ταῖς χερσὶ τὴν μάχαιραν, ἥτις αὐτῷ παρὰ τὴν τῆ ξίφος μεγάλην ξιφοθήκην ἐκρέματο, ἀρξάμενος ἀπὸ τῶν τριχῶν τῆ κάπρῳ, τῷ Διὶ τὰς χεῖρας ἀνατείνας ἠύχετο. ἕτοι δὲ ὁμῆ πάντες ἐπὶ τῆ αὐτῆ τόπου ἐκάθηντο σιωπῇ οἱ Ἕλληνες, κατὰ τὸ προσῆκον ἀκέοντες τῆ βασιλέως. εὐξάμενος δὲ εἶπεν εἰς τὸν πλατὺν οὐρανὸν βλέψας "γινωσκέτω ἐν πρώτοις ὁ Ζεὺς τῶν θεῶν ὁ πρῶτος ἠ κρείττων ἥ τε Γῆ ἠ ὁ Ἥλιος ἠ οἱ καταχθόνιοι δαίμονες, οἵτινες ὑπὸ γῆν τιμωρῶ τοῖς ἀνθρώποις ὅσις ἂν ἐπιορκήσῃ ὁμόσας, ὡς ἐδαμῶς μὲν ἐγὼ τὴν Βρισηΐδα κόρην τὰς χεῖρας ἐπέβαλον ἔτε προφάσει συνεσίας χρώμενος ἔτε τινὸς ἑτέρᾳ, ἀλλ' ἔμενεν ἀνύβριστος ἐν ταῖς ἐμαῖς σκηναῖς. ἐὰν δέ τι τάτων ἐπιορκῆ, λύπας μοι δοῖεν οἱ θεοὶ πάντας, ὁπόσας διδύασιν ὅσις αὐτοῖς ἁμάρτῃ ἐπιορκήσας." εἶπε, ἠ τὸν τράχηλον τῆ κάπρῳ ἐπέτεμε τῷ ἀνηλεεῖ σιδήρῳ. ἠ τῆτον μὲν ὁ Ταλθύβιος εἰς τὸ τῆς λευκῆς θαλάσσης μέγα κῦμα συσρέψας ἔῤῥιψε τροφὴν τοῖς ἰχθύσιν· ὁ δὲ Ἀχιλλεὺς ἀναβὰς τοῖς φιλοπολέμοις Ἕλλησιν εἶπεν· "ὦ πάτερ Ζεῦ, ὄντως μεγάλας λύπας τοῖς ἀνδράσι διδοῖς. ἐδαμῶς ἂν δή ποτε τὴν ψυχὴν ἐν ταῖς ἐμαῖς διανοίαις ὁ Ἀγαμέμνων ἐτάραξε δι' ὅλῳ, ἀδ' ἂν τὴν κόρην ἀπηνέγκατο ἄκοντος ἐμῆ πολυμήχανος· ἀλλὰ πόῤῥωθεν ὁ Ζεὺς ἐβέλετο τοῖς Ἕλλησι θάνατον τοῖς πολλοῖς ἐπιγενέῳ. "νῦν δὲ ἔρχεθε ἐπὶ τὸν δεῖπνον, ἵνα ββλευσόμεθα περὶ τῆ πολέμῳ." ἕτω δὴ ἐφώνησεν, ἔλυσε δὲ τὴν ταχέως ἀθροισθεῖσαν ἐκκλησίαν. ἕτοι μὲν δὴ ἐσκορπίζοντο ἐπὶ τὴν ἑαυτοῦ ναῦν ἕκαος· τὰ δὲ δῶρα οἱ Μυρμιδόνες οἱ μεγαλόψυχοι συνεξέλλοντο, ἐπορεύθησαν δὲ ἐπὶ τὴν ναῦν φέροντες τῆ θαυμαξῆ Ἀχιλλέος. "ἠ ταῦτα μὲν ἐν ταῖς σκηναῖς ἔθηκαν, ἐκάθισαν δὲ τὰς γυναῖκας, ἠ τὰς ἵππᾳς εἰς τὴν ἀγέλην ἤλασαν οἱ θαυμασοὶ θεράποντες. ἡ δὲ Βρισηΐς μετὰ ταῦτα ἡ ὁμοία τῇ χρυσοφόρῳ Ἀφροδίτῃ ὡς ἐθεάσατο τὸν Πάτροκλον διακεκομμένον τῷ ὀξεῖ σιδήρῳ, περιπλακεῖσα αὐτῷ ὀξέως ἐθρήνει, ταῖς δὲ χερσὶν ἔξεε "τὰ ςήθη ἠ τὸν ἁπαλὸν τράχηλον ἠ τὰ κάλλιςα πρόσωπα. ἐφθέγξατο δὲ κλαίουσα ἡ γυνὴ ἥ ὁμοία ταῖς θεαῖς "ὦ Πάτροκλε, ἐμοὶ τῇ ἀθλίᾳ παρὰ πολὺ ἠγαπημένε τῇ ψυχῇ, ζῶντα μέν σε κατέλιπον ἐγὼ ἐκ τῆς σκηνῆς ἐξερχομένη, τὰ νῦν δέ σε ἀποθανόντα ἀπολαμβάνω ὦ ἡγεμὼν τῶν ὄχλων "εἰς τὰ πίσω ἐλθόντα. ἕτω μοι διαδέχεθ θλῖψις ἐκ θλίψεως ἀεί. τὸν ἄνδρα μὲν ᾧ με συνῆψαν ὁ πατὴρ ἠ ἡ σεβασμία μήτηρ, ἐθεασάμην πρὸ τῆς πόλεως διακεκομμένον τῷ ὀξεῖ σιδήρῳ τές τε τρεῖς ἀδελφές, ἕς μοι ἡ αὐτὴ μήτηρ ἐγέννησεν εὐνοσάτας, οἵτινες πάντες ὀλεθρίαν ἡμέραν ἔλαβον. "ἐδαμῶς δέ με συνεχώρεις, ὅταν τὸν ἄνδρα μα ὁ ταχὺς Ἀχιλλεὺς ἐφόνευσεν, ἐπόρθησε δὲ τὴν πόλιν τῆ θείᾳ Μύνητος, κλαίειν, ἀλλ' ἔλεγές μοι τῆ θαυμαξῆ Ἀχιλλέος σύνευνον ἠ γαμετὴν ποιήσειν, κομίσειν δὲ ἐπὶ ταῖς ναυσὶν εἰς τὴν Φθίαν, ποιήσειν δὲ γάμον ἐν τοῖς Μυρμιδόνεσι. "διὰ τῆτο ἀπλήρωτον κλαίω σε ἀποθανόντα, συμπαθητικὸν ἀεί." ἕως εἶπε θρηνῆσα, ἐπεξέναζον δὲ αἱ γυναῖκες ὡς ἐπὶ προφάσει τῆ Πατρόκλῳ, ἑκάση δὲ τὴν ἑαυτῆς συμφοράν. περὶ αὐτὸν δὲ οἱ γέροντες τῶν Ἑλλήνων συνηθροίζοντο παρακαλῆντες φαγεῖν· ἕτος δὲ ἀπηρνεῖτο σενάζων. "παρακαλῶ, εἴ τις ἐμοὶ τῶν προσφιλῶν ἑταίρων πείθεθ, μή με πρότερον ἄρτᾳ κελεύετε μηδὲ ποτῆ κορέσαι τὴν προσφιλῆ ψυχήν, ἐπειδή με λύπη δεινὴ κατέλαβε. μενῶ δὲ τὴν τῆ ἡλίᾳ δύσιν καὶ καρτερήσω ὅμως." ἕτως εἰπὼν τὰς μὲν ἄλλας ἀπεπέμψατο βασιλεῖς· "οἱ δύο δ' Ἀτρεΐδαι ἔμειναν ἠ ὁ ἔνδοξος Ὀδυσσεὺς ἠ ὁ Νέσωρ ἠ ὁ Ἰδομενεὺς ἠ ὁ ἱππικὸς πρεσβύτης Φοῖνιξ, παρηγορῆντες συνετῶς λυπέμενον. ἐδαμῶς δὲ τῇ ψυχῇ παρεμυθεῖτο, πρὶν εἰς τὸ τῆ πολέμᾳ σόμα καταδῦναι τῆ αἱματώδας. ὑπομνηθεὶς δὲ ἀθρόως ἀνεξέναξε ἠ εἶπεν "ὄντως δή μοι ἠ σύ ποτε κακοθάνατε, προσφιλέςατε τῶν ἑταίρων, αὐτὸς ἐν τῇ σκηνῇ ἡδὺν παρέθηκας δεῖπνον ἐνεργῶς ἠ σπεδαίως, ὅτε ἐταράσσοντο οἱ Ἕλληνες ἐπὶ τοῖς ἱππικοῖς Τρωσὶν ἐπάγειν πολύδακρυν Ἄρην. νῦν δὲ σὺ μὲν τέθνηκας τρωθείς, ἡ δὲ ἐμὴ ψυχὴ "ἄγευςος πόσιος ἠ τροφῆς ἔνδον ὑπαρχόντων τῇ σῇ ἐπιθυμίᾳ· ἐδαμῶς γάρ τι ὀδυνηρότερον ἄλλο πάθω, ἐδὲ ἐάν τε τῆ πατρὸς ἀποθανόντος ἠκηκόειν, ὅσις ἐν τῇ Φθίᾳ νῦν ἀπαλὸν καταςάζει δάκρυον ἐρήσει τῆ ἑαυτῆ υἱῆ· ἕτος ἐν ἀλλοτρίῳ πλήθει "ἕνεκεν τῆς χαλεπῆς Ἑλένης τοῖς Τρωσὶ πολεμῶ. ἡ τῆτον ὅσις μοι ἐν Σκύρῳ τρέφεθ προσφιλὴς υἱός, ἐάν πᾳ ἔτι ζῇ ὁ θεοειδὴς Νεοπτόλεμος. πρότερον γάρ μοι ἡ ψυχὴ ἐν ταῖς διανοίαις ἤλπιζε μόνον ἐμὲ ἀποθανεῖσθ ἀπὸ τῆ ἱπποτρόφᾳ Ἄργας "αὐτόθι ἐν τῇ Τροίᾳ, σὲ δὲ εἰς τὴν Φθίαν ἐπανέρχεσθ, ὅπως ἂν μοι τὸν παῖδα σὺν τῇ ταχείᾳ ἠ βαθείᾳ νηῒ ἐκ τῆς Σκύρᾳ ἐξαγάγοις ἠ ὑποδείξαις αὐτῷ ἕκαςα, τὴν ἐμὴν κτῆσιν ἠ τὰς δάῃς ἠ τὸ ὑψηλὸν μέγα οἴκημα. ἀπάρτι γὰρ τὸν Πηλέα οἶμαι ἢ τελείως "ἀποθανεῖν ἢ πᾳ βραχὺ ἔτι ζῶντα λυπεῖσθ τῷ τε μισητῷ γήρᾳ ἠ τὴν ἐμὴν προσδεχόμενον ἀεὶ χαλεπὴν ἀγγελίαν, ὁπότε ἀποθανόντος ἀκέσει." ἕτως εἶπε κλαίων, ἐπεξέναζον δὲ οἱ πρεσβῦται μνηθέντες ἅπερ ἕκαςος ἐν τοῖς οἴκοις κατέλιπεν. "θρηνῆντας δὲ θεασάμενος ἠλέησεν ὁ Ζεύς, εὐθέως δὲ πρὸς τὴν Ἀθηνᾶν λόγες ταχεῖς εἶπεν. "ὦ τέκνον ἐμόν, [παντελῶς ἤδη κεχώρισαι ἀνδρὸς ἀγαθῆ. ὄντως πᾳ ἐκέτι πάνυ σοι ἐν τῇ διανοίᾳ διὰ φροντίδος ἐςὶν ὁ Ἀχιλλεὺς ἐκεῖνος,] ὅσις ἔμπροσθεν τῶν ὀρθοπρύμνων νεῶν "κάθη κλαίων τὸν προσφιλῆ ἑταῖρον· οἱ δὲ δὴ λοιποὶ ἐπορεύθησαν ἐπὶ τὸ δειπνῆσαι· ἕτος δὲ νῆσις ἠ ἄγευςος. ἀλλ' ἄπιθι αὐτῷ θεῖον πόμα ἠ θείαν τροφὴν ἐπέραςον ἐπίχεε ἐν τοῖς ςήθεσιν, ἵνα μὴ αὐτὸν λιμὸς καταλάβῃ." ἕτως εἰπὼν παρώρμησε ἠ πρότερον προθυμεμένην τὴν Ἀθηνᾶν· "αὐτὴ δὲ ἰκτίδι ὁμοιωθεῖσα μακροπτερύγῳ ἡδυφώνῳ ἐκ τῆ ἀρανῆ καθήλατο διὰ τῆ αἰ-

θέρος. οἱ δὲ Ἕλληνες εὐθέως καθωπλίζοντο κατὰ τὸ ςρατόπεδον. ἡ δὲ τῷ Ἀχιλλεῖ θεῖον πόμα ἐν τοῖς ςήθεσι καὶ θείαν τροφὴν ἐπιθυμητὴν ἐπέςαξεν, ἵνα μὴ αὐτὸν λιμὸς ἀηδὴς τὰ γόνατα καταλάβῃ. "αὕτη δὲ πρὸς τοῦ πατρὸς τοῦ ἰσχυροῦ τὸ ἀσφαλὲς οἴκημα ἐπορεύθη. οὗτοι δὲ ἄποθεν τῶν ταχειῶν νεῶν ὥρμων. ὥσπερ δὲ ὅτε συνεχεῖς ςαγόνες ἐκ τοῦ Διὸς πέτονται κρυμώδεις ὑπὸ τῆς ὁρμῆς τοῦ αἰθρίαν ποιοῦντος Βορέου, οὕτως τότε πυκναὶ περικεφαλαῖαι φαιδρῶς λάμπουσαι "[ἐκ τῶν νεῶν ἐφέροντο καὶ αἱ ὀμφαλοὺς ἔχουσαι ἀσπίδες] καὶ θώρακες ἰσχυροὶ καὶ μείλινα δόρατα. ἡ δὲ λαμπηδὼν εἰς οὐρανὸν ἀφικνεῖτο· περιελάμπετο πᾶσα ἡ γῆ ὑπὸ τῆς ἀςραπῆς τοῦ σιδήρου· ὑπὸ δὲ τῶν ποδῶν κτύπος ἐγένετο τῶν ἀνδρῶν. ἐν μέσῳ δὲ ὡπλίζετο ὁ ἔνδοξος Ἀχιλλεύς. "τούτου καὶ τῶν ὀδόντων μὲν ψόφος ἐγένετο· οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ἔλαμπον ὥσπερ πυρὸς αὐγή, ἐν δὲ τῇ ψυχῇ αὐτοῦ εἰσῆλθε λύπη ἀκαρτέρητος. οὗτος δὲ τοῖς Τρωσὶν ὀργιζόμενος ἐνεδύσατο τὰ τοῦ θεοῦ δῶρα, ἃ αὐτῷ ὁ Ἥφαιςος κάμνων κατεσκεύασε. πρῶτον μὲν τὰς κνημῖδας περὶ τὰς κνήμας ἔθηκεν, "τὰς καλλίςας, ἀργυροῖς καλύμμασιν ἡρμοσμένας· δεύτερον δὲ τὸν θώρακα περὶ τοῖς ςήθεσιν ἐνεδύσατο· τοῖς δὲ ὤμοις περιεβάλετο ξίφος ἀργυροῦς ἥλους ἔχον, σιδηροῦν· μετὰ ταῦτα δὲ ἀσπίδα μεγάλην καὶ ἰσχυρὰν ἔλαβε· τούτου δὲ πόῤῥωθεν λαμπηδὼν ἦν καθάπερ σελήνης. "ὥσπερ δὲ ὅταν ἐκ θαλάσσης φῶς τοῖς ναύταις φανῇ καιομένου πυρός· τοῦτο δὲ καίεται ἐν ὄρεσιν ἐν ἐπαύλει προβάτων· τούτους δὲ μὴ βουλομένους ἄνεμοι ἐπὶ τὸν ἰχθύας ἔχοντα πόντον τῶν φίλων πόῤῥωθεν ἀπάγουσιν· οὕτως ἀπὸ τῆς ἀσπίδος τοῦ Ἀχιλλέως τὸν αἰθέρα τὸ φῶς κατελάμβανε, "τῆς καλλίςης καὶ ποικίλης. τὴν περικεφαλαίαν ἄρας ἐπέθετο τῇ κεφαλῇ τὴν βαρεῖαν· αὕτη δὲ ὡς ἀςὴρ ἀπέλαμπεν, ἡ ἱππείας τρίχας ἔχουσα περικεφαλαία· περιεκινοῦντο δὲ αἱ τρίχες αἱ χρυσαῖ, ἃς ὁ Ἥφαιςος ἐνέθετο περὶ τὸ ὀξὺ τῆς περικεφαλαίας. ἀπόπειραν δὲ ἐποιεῖτο αὐτὸς ἑαυτοῦ ἐν τοῖς ὅπλοις ὁ ἔνδοξος Ἀχιλλεύς, "εἰ αὐτῷ ἐφαρμόσειε καὶ εὐκίνητα ᾖ τὰ λαμπρὰ δῶρα· τούτῳ δὲ καθάπερ πτερὰ ἐγένετο, ἐκούφισε δὲ τὸν βασιλέα τῶν ὄχλων. ἐκ δὲ τῆς δορατοθήκης τὸ πατρικὸν ἀφείλετο δόρυ τὸ μέγα καὶ βαρὺ καὶ ςιβαρόν, ὅπερ οὐκ ἐδύνατο ἕτερος τῶν Ἑλλήνων κινεῖν, ἀλλὰ μόνος αὐτὸ ἐδύνατο σεῖσαι ὁ Ἀχιλλεύς, "τὴν ἀπὸ Πηλίου ὄρους οὖσαν μελίαν, ἣν τῷ προσφιλεῖ πατρὶ ἔτεμεν ὁ Χείρων ἐκ τῆς κορυφῆς τοῦ Πηλίου ὄρους φονευτικὴν εἶναι τῶν ἀνδρῶν. τοὺς δὲ ἵππους ὅ τε Αὐτομέδων καὶ ὁ Ἀλκιμέδων περιπονούμενοι ἐζεύγνυον, καὶ τοὺς καλλίςους μαχαλιςῆρας περιέβαλον, καὶ τοὺς χαλινοὺς περὶ ταῖς σιαγόσιν ἐνέβαλον· κατέτεινε δὲ τὰ χαλινὰ ὀπίσω "πρὸς τὸ κεκολλημένον ἅρμα. οὗτος δὲ τὴν λαμπρὰν μάςιγα τῇ χειρὶ λαβὼν ἁρμόζουσαν ἐπὶ τοὺς ἵππους ἀνώρμησεν ὁ Αὐτομέδων. ὄπισθεν ὁπλισάμενος ἐπέβη ὁ Ἀχιλλεύς, τοῖς ὅπλοις ἀπολάμπων ὡς ἥλιος ὑπὲρ ἡμᾶς ἀνατέλλων. καταπληκτικὸν δὲ τοῖς ἵπποις παρεκελεύετο τοῦ ἑαυτοῦ πατρός. "ὦ Ξάνθε καὶ Βάλιε, πάνυ ἔνδοξα τέκνα τῆς Ποδάργης, κατ' ἄλλον τρόπον βουλεύεσθε διασώσειν τοὺς ἡνιόχους πάλιν εἰς τὸ πλῆθος τῶν Ἑλλήνων, ἐπειδὰν κορεσθῶμεν τοῦ πολέμου, καὶ μὴ ὡς τὸν Πάτροκλον λίπετε αὐτοῦ τεθνηκότα." πρὸς τοῦτον δ' ἄρ' ὑπὸ ζυγοῦ εἶπεν ὁ ταχύπους ἵππος "ὁ Ξάνθος· εὐθέως δὲ ἔκλινε τὴν κεφαλήν, πᾶσαι δὲ αἱ τρίχες ἐκ τῆς ζεύγλης ἐκπεσοῦσαι εἰς τὴν γῆν ἀπὸ τοῦ ζυγοῦ ἔπεσον. φωνητικὸν δὲ αὐτὸν ἐποίησεν ἡ λευκοβραχίων θεὰ Ἥρα. "καὶ πάνυ σε νῦν ἔτι διασώσομεν ὦ δυνατὲ Ἀχιλλεῦ· ἀλλ' ἐγγύς σοι ἡ ὀλεθρία ἡμέρα. οὐδαμῶς δὲ ἡμεῖς "αἴτιοι ἀλλ' ὁ μέγας θεὸς καὶ ἡ ἰσχυρὰ εἱμαρμένη. οὐδαμῶς γὰρ ἡμετέρᾳ βραδυτῆτι καὶ ἀμελείᾳ οἱ Τρῶες ἀπὸ τῶν ὤμων τοῦ Πατρόκλου τὰ ὅπλα ἀφείλοντο· ἀλλὰ τῶν θεῶν ὁ κράτιςος, ὃν ἡ καλλίκομος ἔτεκε Λητώ, ἀπέκτεινεν ἐν τοῖς πρωταγωνιςαῖς καὶ τῷ Ἕκτορι δόξαν παρέχεν. "ἡμεῖς δὲ ὁμοίως τῇ πνοῇ τοῦ Ζεφύρου τρέχοιμεν, ἥνπερ κουφοτάτην φασὶν εἶναι. ἀλλὰ σοὶ αὐτῷ εἱμαρμένον ἐςὶν ὑπό τε θεοῦ καὶ ἀνδρὸς ἰσχυρῶς ἀποθανεῖν." οὕτω δὴ εἰπόντος τοῦ ἵππου οἱ δαίμονες ἐπέχον τὴν φωνὴν αὐτοῦ. πρὸς τοῦτον δὲ μεγάλως ἀγανακτήσας εἶπεν ὁ ταχύπους Ἀχιλλεὺς "ὦ Ξάνθε, διὰ τί μοι τὸν θάνατον μαντεύῃ; οὐδαμῶς προσήκει. καλῶς δὴ καὶ αὐτὸς ἐπίςαμαι ὅτι μοι μόρος ἐνθάδε ὀλέσθαι πόῤῥωθεν τοῦ προσφιλοῦς πατρὸς καὶ τῆς μητρός. ἀλλ' ὅμως οὐ παύσομαι πρὶν τοὺς Τρῶας ἱκανῶς ἀπελάσαι εἰς κόρον τοῦ πολέμου." ἔφη καὶ ἐν τοῖς πρωταγωνιςαῖς βοῶν ἤλαυνε τοὺς ἰσχυρόποδας ἵππους.

Υ. ΘΕΟΜΑΧΙΑ.

ΥΠΟΘΕΣΙΣ 1. Ὑ μακάρων ἔρις ὦρτο, φέρει δ' ἐπὶ κάρτος Ἀχαιοῖς.

2. Διὸς ἐπιτρέψαντος κατέρχονται βοηθήσοντες οἱ θεοὶ πάντες, τοῖς μὲν Ἕλλησιν Ἥρα τε καὶ Ἀθηνᾶ καὶ Ποσειδῶν καὶ Ἥφαιςος καὶ Ἑρμῆς, τοῖς δὲ Τρωσὶν Ἀφροδίτη καὶ Ἀπόλλων, ἔτι δὲ καὶ Ἄρτεμις καὶ Λητὼ Ἄρης τε καὶ Σκάμανδρος. Αἰνείαν δὲ ἀντιςάντα Ἀχιλλεῖ σώζει Ποσειδῶν νεφέλῃ καλύψας. Ἀχιλλεὺς δὲ ἄλλους τε ἀναιρεῖ καὶ Πολύδωρον τὸν Πριάμου παῖδα. Ἕκτωρ δὲ ἀντιςὰς αὐτῷ φεύγει, Ἀπόλλωνος σώσαντος αὐτόν. τοὺς δὲ ἄλλους Ἀχιλλεὺς ἐπὶ τὴν πόλιν φεύγοντας κατεπείγει.

Οὕτως οὗτοι μὲν παρὰ ταῖς ναυσὶ ταῖς μεγάλαις καθωπλίζοντο περὶ σὲ ὦ Πηλέως υἱέ, οἱ ἀκόρεςοι τῆς μάχης Ἕλληνες· οἱ δὲ Τρῶες ἐκ τοῦ ἑτέρου μέρους ἐπὶ τῷ ὑψηλῷ τόπῳ τοῦ πεδίου. ὁ δὲ Ζεὺς τῇ Θέμιδι ἐκέλευσε τοὺς θεοὺς εἰς ἐκκλησίαν ἀθροῖσαι "ἀπὸ τῆς κορυφῆς τοῦ πολλὰς ἐξοχὰς ἔχοντος Ὀλύμπου. αὕτη δὲ πανταχοῦ ἀπελθοῦσα ἐκέλευσε πρὸς τὸ τοῦ Διὸς οἴκημα πορεύεσθαι. οὐδεὶς οὖν οὔτε τῶν ποταμῶν ἀπῆν ἄνευ τοῦ Ὠκεανοῦ, οὔτε δὴ τῶν νυμφῶν αἵτινες τὰ καλὰ ἄλση νέμονται καὶ τὰς πηγὰς τῶν ποταμῶν ὑδατώδεις τόποι καὶ βοτανώδη χωρία, "παραγενόμενοι δὲ εἰς τὸ οἴκημα τοῦ νεφεληγερέτου Διὸς ταῖς εὐξέςοις ςοαῖς ἐπεκάθηντο, ἃς τῷ Διὶ πατρὶ ὁ Ἥφαιςος κατεσκεύασε ταῖς ἐπιςημο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νικαῖς διανοίαις. οὕτως οὗτοι μὲν ἔνδον τοῦ Διὸς ἠθροίζοντο· οὐδὲ ὁ Ποσειδῶν παρήκουσε τῆς θεᾶς, ἀλλ' ἐκ τῆς θαλάσσης παρεγένετο πρὸς αὐτούς, "ἐκάθισε δὲ ἐν μέσῳ αὐτῶν, ϗ τοῦ Διὸς ἐπύθετο τὴν βουλήν. "τί δή ποτε ὦ ταχυκέραυνε τοὺς θεοὺς εἰς ἐκκλησίαν ἐκάλεσας; ἆρά τι ἕνεκεν τῶν Τρώων ϗ τῶν Ἑλλήνων μεριμνᾷς; τούτων γὰρ νῦν ἐγγὺς ἡ μάχη ϗ ὁ πόλεμος φαίνεται." πρὸς τοῦτον δὲ ἀνταποκρινόμενος εἶπεν νεφελοποιὸς Ζεύς "ἐπέγνως ὦ Πόσειδον τὴν ἐμὴν ἐν διανοίαις βουλήν, ὧν τινῶν χάριν ἤθροισα ὑμᾶς· διὰ φροντίδος μοί εἰσι καίπερ ἀπολλύμενοι. ἀλλ' ἐγὼ ἤδη προσμενῶ ἐν τῇ ἐξοχῇ τοῦ Ὀλύμπου καθήμενος, ὅθεν βλέπων κατὰ διάνοιαν τερφθήσομαι· οἱ δὲ λοιποὶ πορεύεσθε ἕως ἂν παραγένησθε πρὸς τοὺς Τρῶας ϗ τοὺς Ἕλληνας, "ἀμφοτέροις δὲ βοηθεῖτε, ὅπου ἡ διάνοια βούλεται ἑκάστου. ἐὰν γὰρ ὁ Ἀχιλλεὺς μόνος πρὸς τοὺς Τρῶας πολεμήσῃ, οὐδὲ πρὸς βραχὺ ἂν ἀνθέξουσι τὸν ταχύποδα Ἀχιλλέα. ϗ δὴ αὐτὸν ϗ ἔμπροσθεν ὑπέτρεμον βλέποντες· νῦν δὲ ὅτε δὴ ϗ τὴν ψυχὴν τοῦ ἑταίρου λυπεῖται δεινῶς, "δέδοικα μή πως ϗ τὸ τεῖχος παρὰ τὸ δέον πορθήσῃ." οὕτως εἶπεν ὁ Κρόνου παῖς, πόλεμον δὲ χαλεπὸν ἤγειρεν. ἀπέβησαν δὲ πορευθῆναι εἰς τὸν πόλεμον οἱ θεοὶ διχῶς τὴν ψυχὴν ἔχοντες, ἡ μὲν Ἥρα πρὸς τὴν συναγωγὴν τῶν πλοίων ϗ ἡ πολεμικὴ Ἀθηνᾶ ϗ ὁ Ποσειδῶν ὁ τὴν γῆν ὀχῶν ϗ ὁ μεγαλωφελὴς "Ἑρμῆς, ὃς ἐν ταῖς ἐπιστημονικαῖς διανοίαις κεκόσμηται. ὁμοῦ δὲ τούτοις ὁ Ἥφαιστος ἐπορεύετο τῇ δυνάμει ἐπιῤῥωννύμενος, σκάζων· αἱ δὲ κνῆμαι ὑφόρμων αἱ ἀσθενεῖς. εἰς δὲ τοὺς Τρῶας Ἄρης ὁ εὔοπλος, ὁμοῦ δὲ σὺν αὐτῷ Ἀπόλλων ὁ μὴ κειρόμενος τὴν κόμην ϗ ἡ πολεμικὴ Ἄρτεμις "ϗ ἡ Λητὼ ϗ ὁ Ξάνθος ϗ ἡ φιλόγελως Ἀφροδίτη. ἕως μὲν δὴ πόῤῥωθεν οἱ θεοὶ τῶν θνητῶν ἦσαν ἀνδρῶν, τέως οἱ μὲν Ἕλληνες μεγάλως ἐσεμνύνοντο, διότι ὁ Ἀχιλλεὺς ἀνεφάνη· ἐπὶ πολὺν γὰρ χρόνον τῆς χαλεπῆς ἐπέπαυτο μάχης. τοὺς δὲ Τρῶας δεινὸς φόβος ὑπεισῆλθε κατὰ τὰ μέλη ἕκαστον "φοβουμένους, ὅτι που ἑώρων τὸν ταχύπουν Ἀχιλλέα τοῖς ὅπλοις ἀστράπτοντα, τῷ ἀνθρωποκτόνῳ ὅμοιον Ἄρει. ἐπειδὴ δὲ πρὸς τὸ πλῆθος οἱ θεοὶ ἦλθον τῶν ἀνδρῶν, διηγέρθη δὲ ἰσχυρὰ φιλονεικία τοὺς λαοὺς σώζουσα· ἐφώνει δὲ ἡ Ἀθηνᾶ στᾶσα ποτὲ μὲν περὶ τὴν ὀρυκτὴν τάφρον τοῦ τείχους ἐκτός, "ἄλλοτε ἐπὶ τὸν μεγαλόηχον αἰγιαλὸν μεγάλως ἐβόα. ἐφώνει δὲ ὁ Ἄρης ἑτέρωθεν σκοτεινῇ καταιγίδι ὅμοιος μέγα, κατὰ τὸ ἄκρον τῆς πόλεως τοῖς Τρωσὶ παρακελευόμενος, ἄλλοτε παρὰ τῷ Σιμοῦντι ἐπὶ τῷ ἱερῷ τῶν θεῶν τόπῳ. οὕτω τούτους ἀμφοτέρους οἱ μακάριοι θεοὶ διεγείροντες "συνῆπτον, ἐν αὐτοῖς δὲ φιλονεικίαν ἐνέβαλον βαρεῖαν. φοβερὸν δὲ ἐβρόντησεν ὁ πατὴρ τῶν ἀνδρῶν ϗ τῶν θεῶν ἄνωθεν· ὑποκάτωθεν δὲ ὁ Ποσειδῶν διέσεισε τὴν ἄπειρον ϗ μεγάλην γῆν τῶν τε ὀρῶν τὰ ὑψηλὰ ἀκρωτήρια. πάντες δ' ἐταράσσοντο οἱ πρόποδες τῆς πολλὰς πηγὰς ἐχούσης Ἴδης "ϗ αἱ κεφαλαὶ ϗ ἡ τῶν Τρώων πόλις ϗ αἱ ναῦς τῶν Ἑλλήνων. ἐφοβήθη δὲ ὑποκάτωθεν ὁ βασιλεὺς τῶν νεκρῶν "Ἅιδης, φοβηθεὶς δὲ ἐκ τοῦ θρόνου ἀνέστη ϗ ἐβόα μή πως ὑποκάτωθεν αὐτοῦ τὴν γῆν ἀναῤῥήξῃ ὁ τὴν γῆν σείων Ποσειδῶν, τὰ οἰκήματα δὲ τοῖς ἀνθρώποις ϗ τοῖς θεοῖς φανερωθῇ "τὰ φοβερὰ ϗ σκοτεινά, ἅπερ ϗ οἱ θεοὶ φοβοῦνται. τοσοῦτος ἄρα κτύπος γέγονε τῶν θεῶν τῇ μάχῃ συμβαλόντων. ἐξ ἐναντίας μὲν Ποσειδῶνος τοῦ βασιλέως ἵστατο ὁ καθαρὸς Ἀπόλλων, κατέχων ἐπτερωμένα βέλη· ἐξ ἐναντίας δὲ τοῦ Ἄρεος ἡ εὐόφθαλμος θεὸς ἡ Ἀθηνᾶ. "τῇ δὲ Ἥρᾳ ἀντέστη ἡ χρυσότοξος κυνηγετικὴ Ἄρτεμις ἡ τοῖς ἰοῖς χαίρουσα ἀδελφὴ τοῦ Ἀπόλλωνος. τῇ δὲ Λητοῖ ἀντέστη ὁ ἰσχυρὸς ϗ μεγαλωφελὴς Ἑρμῆς. ἐξ ἐναντίας δὲ τοῦ Ἡφαίστου ὁ μέγας ποταμὸς ϗ βαθύῤῥους, ὃν οἱ θεοὶ Ξάνθον καλοῦσιν, οἱ δὲ ἄνθρωποι Σκάμανδρον. "οὕτως οἱ μὲν θεοὶ ἐξ ἐναντίας τῶν θεῶν ἦλθον. ὁ δὲ Ἀχιλλεὺς ἐξ ἐναντίας τοῦ Ἕκτορος μάλιστα ἐπεθύμει καταδῦναι εἰς τὸ πλῆθος, τοῦ Πριάμου παιδός· τούτου γὰρ δὴ μάλιστα ἡ ψυχὴ ἐκέλευε τοῦ αἵματος πληρῶσαι "Ἄρεα τὸν καρτερικὸν πολεμιστήν. τὸν δὲ Αἰνείαν ἐπ' εὐθείας ὁ λαοὺς σώζων ἤγειρεν Ἀπόλλων "ἐξ ἐναντίας τοῦ Ἀχιλλέως, ἐνέπνευσε δὲ αὐτῷ δύναμιν μεγάλην. τῷ δὲ υἱῷ Πριάμου Λυκάονι ὡμοιώθη τὴν φωνήν. τούτῳ αὐτὸν ὁμοιώσας εἶπεν ὁ ἔνδοξος Ἀπόλλων "ὦ Αἰνεία τῶν Τρώων σύμβουλε, ποῦ σοι αἱ καυχήσεις ἃς τοῖς τῶν Τρώων βασιλεῦσιν ὑπέσχου εὐωχούμενος, "τοῦ υἱοῦ Πηλέως Ἀχιλλέως ἐξ ἐναντίας πολεμεῖν;" πρὸς τοῦτον δὲ ὁ Αἰνείας ἀποκρινόμενος εἶπεν "ὦ Πριάμου υἱέ, ἵνα τί με ταῦτα ϗ μὴ βουλόμενον προστάσσεις, ἐξ ἐναντίας τοῦ Ἀχιλλέως τοῦ μεγαλοψύχου πολεμεῖν; οὐδαμῶς νῦν ἐν πρώτοις ἐναντίον τοῦ ταχύποδος Ἀχιλλέως "σωθήσομαι, ἀλλὰ ϗ πρίν με ἄλλοτε τῷ δόρατι ἐφόβησεν ἐκ τῆς Ἴδης, ἡνίκα ταῖς βουσὶν ἐπῆλθε ταῖς ἡμετέραις· ἐπόρθησε δὲ τὴν Λυρνησόν, ἐμὲ δὲ ὁ Ζεὺς ἐῤῥύσατο, ὅς μοι παρέσχε δύναμιν ϗ ταχύτατα γόνατα. ἦ ἂν ἀνῃρέθην ὑπὸ τῶν χειρῶν τοῦ Ἀχιλλέως ϗ τῆς Ἀθηνᾶς, "ἥτις ἔμπροσθεν αὐτοῦ πορευομένη ἐποίει φῶς ϗ ἐκέλευε σιδηρῷ δόρατι τοὺς Λέλεγας ϗ τοὺς Τρῶας φονεύειν. διὸ οὐ δυνατὸν τοῦ Ἀχιλλέως ἐξ ἐναντίας ἄνδρα πολεμεῖν· ἀεὶ γὰρ πάρεστιν εἷς τῶν θεῶν, ὅστις τὸν ὄλεθρον ἀποσοβεῖ. ϗ ἄλλως δὲ τούτου ἐπ' εὐθείας τὸ βέλος πέτεται· οὐκ ἀποπαύεται "πρὶν σώματος ἀνθρωπείου ἐπιτυχεῖν. ἐάν περ δὲ θεὸς ἐπ' ἴσης ποιήσῃ τὸ τοῦ πολέμου τέλος, οὐδαμῶς με ῥᾳδίως πάνυ νικήσῃ, οὐδ' εἰ ὁλοσίδηρος καυχᾶται ὑπάρχειν." πρὸς τοῦτον δὲ εἶπεν ὁ τοῦ Διὸς υἱὸς βασιλεὺς Ἀπόλλων "ὦ ἡμίθεε, ἀλλ' ἄρα φέρε ϗ σὺ τοῖς ἀεὶ οὖσι θεοῖς "εὔχου· φασὶ δὲ ϗ σὲ ἐκ τοῦ Διὸς θυγατρὸς Ἀφροδίτης γεννηθῆναι. ἐκεῖνος δὲ ἐκ χείρονος θεοῦ ὑπάρχει· ἡ μὲν τοῦ Διός ἐστιν, ἡ δὲ ἐκ τοῦ θαλασσίου γέροντος. ἀλλ' ἐπ' εὐθείας φέρε τὸν ἀκαταπόνητον σίδηρον, ϗ μή σε παντελῶς τοῖς χαλεποῖς λόγοις ἀποτρεπέτω ϗ τῇ ἀπειλῇ." "οὕτως εἰπὼν ἐνέπνευσε δύναμιν μεγάλην τῷ βασιλεῖ τῶν ὄχλων. ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν ὡπλισμένος τῷ λαμπρῷ σιδήρῳ. οὐκ ἔλαθε δὲ ὁ Ἀγχίσου παῖς τὴν λευκοβραχίονα Ἥραν ἐξ ἐναντίας τοῦ Ἀχιλλέως ἐρχόμενος κατὰ τὴν συστροφὴν τῶν ἀνδρῶν. αὕτη δὲ καλέσασα τοὺς θεοὺς ἐν αὐτοῖς λόγον εἶπεν. "σκο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πήσατε δὴ ὑμεῖς ὦ Πόσειδον καὶ Ἀθηνᾶ ἐν ταῖς ὑμετέραις διανοίαις ὅπως γενήσεσθαι ταῦτα τὰ ἔργα. ὁ Αἰνείας ἕπεται ἐπορεύθη καθωπλισμένος τῷ λαμπρῷ σιδήρῳ ἐξ ἐναντίας τῷ Ἀχιλλέως, ἐπαφῆκε δὲ αὐτὸν ὁ καθαρὸς Ἀπόλλων. ἀλλὰ φέρετε καὶ ἡμεῖς αὐτὸν ἀποστρέψωμεν εἰς τὰπισω ἐξ αὐτοῦ ἤ τις μετὰ ταῦτα καὶ ἐξ ἡμῶν τῷ Ἀχιλλεῖ παραςῇ, δῶ δὲ νίκην μεγάλην. μηδαμῶς δὲ τῇ ψυχῇ προσδείσθω, ὅπως γνῷ ὅτι αὐτὸν φιλοῦσιν οἱ κάλλιστοι τῶν θεῶν, ἕτοι δὲ μάταιοι οἵτινες ἐξ ἀρχῆς τοῖς Τρωσὶ βοηθοῦσι κατά τε τὸν πόλεμον καὶ τὴν μάχην. "πάντες δὲ ἐκ τοῦ Ὀλύμπου κατήλθομεν ἀντιλαμβανόμενοι ταύτης τῆς μάχης, ὅπως μηδὲν ἐν τοῖς Τρωσὶ πάθῃ σήμερον· ὕστερον δὲ ταῦτα ὑπομενεῖ ἃ αὐτῷ ἡ μοῖρα γεννωμένῳ ἀπέκλωσε λίνῳ, ὅτε αὐτὸν ἔτεκεν ἡ μήτηρ. εἰ δὲ Ἀχιλλεὺς ἐκ τῶν θεῶν ταῦτα ἀκούσεται διὰ θείας φωνῆς, "φοβηθήσεται, ὅταν τις αὐτῷ μετὰ ταῦτα ἐναντίον ἔλθῃ ἐν τῷ πολέμῳ· δεινοὶ δὲ οἱ θεοὶ φαινόμενοι φανερῶς." πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα Ποσειδῶν ὁ τὴν γῆν κινῶν "ὦ Ἥρα, μὴ δυσχέραινε ἀνοήτως· ἐδαμῶς δέ σε χρή. ἐκ ἂν ἐγὼ θελήσαιμι τὸν θεὸν εἰς φιλονεικίαν ἐμβαλεῖν. "ἀλλ' ἡμεῖς μὲν μετὰ ταῦτα ἀπελθόντες καθεδώμεθα ἐκ τῆς ὁδοῦ εἰς σκοπευτήριον, ὁ δὲ πόλεμος τοῖς ἀνδράσι φροντιθείη. ἐὰν δὲ ὁ Ἄρης ἄρξῃ καὶ ὁ καθαρὸς Ἀπόλλων, ἢ τὸν Ἀχιλλέα κωλύουσι καὶ οὐ συγχωρῆσι πολεμεῖν, "εὐθέως μετὰ ταῦτα καὶ ἡμῖν πρὸς αὐτὸν φιλονεικία γενήσεται περὶ τῆς μάχης· πάνυ δὲ ταχέως διαχωριωθέντας οἶμαι πάλιν πορευθῆναι εἰς τὸν Ὄλυμπον εἰς τὴν τῶν λοιπῶν θεῶν ἄθροισιν, ὑπὸ τῶν ἡμετέρων χειρῶν ἰσχυρῶς ὑπ' ἀνάγκης ἀποθανόντας." ἕτω δὴ εἰπὼν ἐπορεύθη ὁ μελανόθριξ "εἰς τὸ περικεχωσμένον τεῖχος τοῦ θαυμαστοῦ Ἡρακλέους, τὸ ὑψηλόν, ὅπερ αὐτοὶ οἱ Τρῶες καὶ ἡ πολεμικὴ Ἀθηνᾶ ἐποίησαν, ὅπως τὸ κῆτος ὑπεκφυγὼν παρεκκλίνοι, ὁπότε αὐτὸν ἐπιδιώκοι ἀπὸ τοῦ αἰγιαλοῦ εἰς τὸ πεδίον. ἐκεῖ ὁ Ποσειδῶν ἐκαθέζθη καὶ οἱ λοιποὶ θεοί, "παχεῖαν δὲ νεφέλην τοῖς ὤμοις περιεβάλλοντο. οἱ δὲ ἑτέρωθεν ἐκαθέζοντο ἐπὶ τῆς ἐξοχῆς τοῦ ἱεροῦ περὶ σὲ τοξικὲ Ἄπολλον καὶ Ἄρεα τὸν πορθητὰ τὰς πόλεις. ἕτως ἕτοιμοι μὲν ἑκατέρωθεν ἐκάθηντο βεβουλευμένοι βεβλάς· ἄρξασθαι δὲ τοῦ χαλεποῦ πολέμου "ὤκνων ἀμφότεροι, ὁ δὲ Ζεὺς καθήμενος ἐν τῷ ὕψει ἐκέλευε. τούτων δὲ ἁπάντων ἐπληρώθη τὸ πεδίον καὶ κατελάμπετο τοῖς ὅπλοις ἐκ τῶν ἀνδρῶν καὶ τῶν ἵππων. ἤχει δὲ ἡ γῆ ὑπὸ τῶν ποδῶν πορευομένων ἀθρόως. δύο δὲ ἄνδρες κατὰ πολὺ ἄριστοι εἰς τὸ μέσον τῶν ἀμφοτέρων συνεπορεύοντο προθυμούμενοι πολεμεῖν "Αἰνείας ὁ Ἀγχίσου υἱὸς καὶ ὁ ἔνδοξος Ἀχιλλεύς. ὁ Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐπορεύετο, ἐπινεύων τῇ σιβαρᾷ περικεφαλαίᾳ· τὴν δὲ πολεμικὴν ἀσπίδα ἔμπροσθεν τοῦ σήθους εἶχεν, ἐκίνει δὲ τὸ σιδηροῦν δόρυ. ὁ δὲ Ἀχιλλεὺς ἐκ τοῦ ἑτέρου μέρους ἐξ ἐναντίας ὥρμησεν ὥσπερ λέων "βλαπτικός, ὄντινα καὶ ἄνδρες ἀποκτεῖναι προθυμοῦσι συναθροιζόμενοι πᾶς ὁ δῆμος· ἕτος δὲ πρῶτος κρεῶν ἐπιθυμῶν παραγίνεται· ἀλλ' ὁπόταν τις τῶν ταχυτάτων νεωτέρων τῷ δόρατι τύχῃ, συνεράφη δὲ χανών, καὶ ἀφρὸς περὶ τοὺς ὀδόντας γίνεται, ἐν δὲ τῇ καρδίᾳ αὐτοῦ ξενοχωρεῖται ἡ δυνατὴ ψυχή, "τῇ δὲ ἀρᾷ τάς τε πλευρὰς καὶ τὰ ἰσχία ἀμφοτέρωθεν μαίζεται, αὐτὸς δὲ ἑαυτὸν παροξύνει μάχεσθαι· ἀγριόμενος δὲ ἐπ' εὐθείας φέρεται τῇ δυνάμει, ἐάν τινα ἀποκτείνῃ ἐκ τῶν ἀνδρῶν ἢ αὐτὸς φθείρεται ἐν τῇ πρώτῃ τάξει. ἕτω τὸν Ἀχιλλέα παρώρμα ἡ δύναμις καὶ ἡ ἀνδρεία ψυχὴ "ἐξ ἐναντίας ἐλθεῖν τῷ μεγαλοψύχῳ Αἰνείᾳ. ἕτοι δὲ ἡνίκα ἐγένοντο ἐγγὺς ἀλλήλοις ἐπερχόμενοι, πρὸς τοῦτον πρότερον εἶπεν ὁ ταχὺς καὶ ἔνδοξος Ἀχιλλεὺς "ὦ Αἰνεία, τί δὴ τοσοῦτον τῷ πλήθει πολὺ ἀποχωρισθεὶς ἐσάθης; ἢ ἡ ψυχή σε ἐμοὶ πολεμεῖν παρακελεύεται, "ἐλπίζοντα ἐν τοῖς Τρωσὶ βασιλεύσειν τοῖς ἱππικοῖς τῆς τοῦ Πριάμου φιλοτιμίας; εἴπερ δὲ ἂν ἐμὲ φονεύσεις, ἐδαμῶς σοι τοῦτο χάριν ὁ Πρίαμος τιμὴν ἐν χερσὶ κατάθησται· ὑπάρχουσι γοῦν αὐτῷ παῖδες, ἕτος δὲ βέβαιος καὶ ἀταιόφρων. ἢ δή σοι οἱ Τρῶες κλῆρον παρέχουσιν ἐξαίρετον τῶν λοιπῶν, "κάλλιστον ἀμπελοφύτου γῆς καὶ σπορίμου, ὅπως ἐντρυφᾷς, ἐάν περ ἐμὲ ἀποκτείνῃς; δυσκόλως γοῦν σε ἐλπίζω τοῦτο πράξειν. ἤδη μέν σε ὑπολαμβάνω καὶ ἄλλοτε τῷ δόρατι φοβῆσαι. ἢ ἐ μέμνησαι ὅτε σε πόρρω τῶν βοῶν μόνον ὄντα ἐδίωκον κατὰ τῶν τῆς Ἴδης ὀρῶν τοῖς ταχινοῖς ποσὶν "ἐσπευσμένως; τότε δὲ ἐδαμῶς ἐπεστρέφου φεύγων, ἐντεῦθεν δὲ εἰς τὴν Λυρνησὸν ὑπεξέφυγες. ἐγὼ δὲ ταύτην ἐπόρθησα μετελθὼν σὺν τῇ Ἀθηνᾷ καὶ τῷ πατρὶ Διί, τὰς δὲ αἰχμαλώτους γυναῖκας τὴν ἐλευθερίαν ἀφελόμενος ἔφερον· σὲ δὲ ὁ Ζεὺς ἔσωσε καὶ οἱ λοιποὶ θεοί. "ἀλλ' ἐ νῦν σε ῥύσασθαι οἶμαι· ἕτως κατὰ διάνοιαν ἐνθυμοῦ· ἀλλ' ἐγώ σε συμβεβλεύκω ἀναχωρήσαντα εἰς τὸ πλῆθος πορευθῆναι, μηδὲ ἐξ ἐναντίας ἐμοῦ ἴσασο, πρὶν κακόν τι παθεῖν· ὁ γοῦν ἄνεος μετὰ τὸ πραχθῆναι νοεῖ τὸ κακόν." πρὸς τοῦτον δὲ ὁ Αἰνείας ἀπεκρίθη καὶ εἶπεν ""ὦ Ἀχιλλεῦ, μηδαμῶς μοι λόγοις ὥσπερ ἄφρονα ἐλπίσαι φοβῆσειν, ἐπειδὴ σαφῶς ἐγὼ ἐπίσταμαι καὶ ἀπάτας καὶ κακουργίας καὶ χλευαστικοὺς λόγους εἰπεῖν. ἐπιστάμεθα ἀλλήλων τὴν γενεάν, ἐπιστάμεθα δὲ καὶ τοὺς γονεῖς, παλαιοὺς ἀκούοντες λόγους φθαρτῶν ἀνθρώπων. "ὄψει δὲ ἐδέπω τοὺς ἐμοὺς γονεῖς ἐθεάσω ἔτε τοὺς σοὺς ἐγώ. φασὶ σὲ μὲν Πηλέως τοῦ ἀμέμπτου υἱὸν εἶναι, ἐκ δὲ μητρὸς τῆς Θέτιδος τῆς εὐτρίχου καὶ θαλασσίας· ἐγὼ δὲ υἱὸς τοῦ μεγαλοψύχου Ἀγχίσου καυχῶμαι γεγενῆσθαι, μήτηρ δέ μοί ἐστιν Ἀφροδίτη. "τούτων δὴ ἕτεροι νῦν τὸν προσφιλῆ παῖδα κλαύσουσι σήμερον· ἀ γάρ φημι λόγοις ἀφρονεστάτοις ἕτω διαχωρισθέντας ἐκ τῆς μάχης ἐπανελθεῖν. εἰ δὲ θέλεις καὶ ταῦτα εἰδέναι, ὅπως καλῶς γνῷς τὴν ἡμετέραν γενεάν· πολλοὶ δὲ αὐτὴν ἄνδρες ἐπίστανται. "τὸν Δάρδανον δὲ ἐν πρώτοις ἔτεκεν ὁ νεφεληγερέτης Ζεύς· ἔκτισε δὲ τὴν Δαρδανίαν πόλιν, ἐπειδὴ ἐδέπω ἡ θαυμαστὴ Ἴλιος ἐν τῇ πεδιάδι ἔκτιστο πόλις τῶν παντοδαπῶν ἀνθρώπων, ἀλλ' ἔτι τὰς ὑπερορείας ᾤκουν τῆς πολυπήγα Ἴδης. ὁ δὲ Δάρδανος ἔτεκεν υἱὸν Ἐριχθόνιον τὸν βασιλέα, "ὃς πλουσιώτατος ἐγένετο τῶν ἐπιγείων ἀνθρώπων. ἕτε τρισχίλιαι ἵπποι κατὰ τὴν ὕλην ἐβόσκοντο θήλειαι, μικραὶ ἵπποις

συνευφραινόμεναι ἀπαλαῖς. ἐκ τούτων καὶ ὁ Βορρᾶς βοσκομένων ἠράσθη, ἵππῳ δὲ ὁμοιωθεὶς μελανότριχι συνεγένετο· αὗται δὲ ἐγκυμονήσασαι ἐγέννησαν δώδεκα πώλους. αὗται δὲ ὅτε μὲν ἐσκίρτων ἐπὶ τὴν τὸ ζῆν δωρουμένην γῆν, ἐπὶ τὸ ἄκρον τῶν καρπῶν τῶν ἀσαχύων ἔτρεχον καὶ ἐκ ἔκλων αὐτούς· ἀλλ' ἡνίκα ἐσκίρτων ἐπὶ τὴν πλατεῖαν θάλασσαν, ἐπὶ τὸ ἄκρον τῶν κυμάτων τῆς λευκῆς θαλάσσης ἔτρεχον. Ὁ δὲ Ἐριχθόνιος ἐγέννησε Τρῶα τῶν Τρώων βασιλέα. ἐκ δὲ τοῦ Τρωὸς τρεῖς παῖδες ἐγεννήθησαν τῷ ἀψόγῳ, ὅ τε Ἴλος καὶ ὁ Ἀσσάρακος καὶ ὁ Ἰσόθεος Γανυμήδης, ὅσις δὴ κάλλιστος ἐγένετο τῶν φθαρτῶν ἀνθρώπων· ὃν καὶ ἀνήρπασαν οἱ θεοὶ τῷ Διὶ οἰνοχοεύειν διὰ τὸ κάλλος αὐτῷ, ἵνα συνῇ τοῖς θεοῖς. ὁ δὲ Ἴλος ἐγέννησεν υἱὸν τὸν ἄμεμπτον Λαομέδοντα· ὁ δὲ Λαομέδων τὸν Τιθωνὸν ἐγέννησε καὶ τὸν Πρίαμον καὶ τὸν Λάμπον καὶ τὸν Κλυτίον καὶ Ἱκετάονα τὸν κλάδον τοῦ πολέμου, ὁ δὲ Ἀσσάρακος τὸν Κάπυν. ὅστος δὲ παῖδα ἐγέννησε τὸν Ἀγχίσην, ἐμὲ δὲ ὁ Ἀγχίσης. ὁ δὲ Πρίαμος ἐγέννησε τὸν ἔνδοξον Ἕκτορα. ἐκ δὲ τῆς τοιαύτης γενεᾶς καὶ τῆς φυλῆς καυχῶμαι εἶναι· ὁ δὲ Ζεὺς τὴν ἀνδρικὴν ἰσχὺν τοῖς ἀνδράσι καὶ αὔξει καὶ μειοῖ ὅπως ἂν ἐθέλῃ· ὅστος γὰρ δυνατώτατος πάντων. ἀλλὰ φέρε μηκέτι ταῦτα διαλεγώμεθα ὥσπερ ἄφρονες, ἐσῶτες ἐν μέσῃ τῇ μάχῃ τῷ πολέμου. ὑπάρχει γὰρ ἐν ἀμφοτέροις ὀνειδισικὰ εἰπεῖν πολλὰ πάνυ· ὧδ' ἂν ναῦς ἑκατὸν καθέδρας ἔχουσα τὸ βάρος φέροι. εὐκίνητος δέ ἐστιν ἡ γλῶσσα τῶν ἀνθρώπων, πολλοὶ δὲ ἐνεισι λόγοι παντοδαποί· τῶν δὲ λόγων πολλὴ πληθὺς ἑκατέρωθεν. Ὁποῖον δ' ἂν εἴποις λόγον, τοιοῦτον ἀκούσαις. ἀλλὰ τί δή ποτε φιλονεικίας καὶ ὀνείδη ἡμᾶς ἀνάγκη ὀνειδίζειν ἀλλήλοις ἐξ ἐναντίας ὥσπερ τινὰς γυναῖκας, αἵτινες ὀργισθεῖσαι περὶ ψυχοφθόρα φιλονεικίας φιλονεικοῦσιν ἀλλήλαις εἰς μέσην ἄμφοδον προελθοῦσαι πολλὰ μὲν ἀληθῆ καὶ ἐκ ἀληθῆ· ἡ ὀργὴ δὲ ταύτας προτρέπει. ἐκ τῆς μάχης δέ με ἐδαμῶς λόγοις ἀποτρέψῃ προθυμούμενον πρὶν τῷ σιδήρῳ πολεμῆσαι ἐξ ἐναντίας. ἀλλὰ φέρε τάχιον ἀψώμεθα ἀλλήλων σιδηροῖς δόρασιν." ἔφη δὴ καὶ ἐν τῇ βαρείᾳ ἀσπίδι ἔπληξε μετὰ τοῦ σιδηροῦ δόρατος τοῦ καταπληκτικοῦ· περὶ δὲ τὴν μεγάλην ἀσπίδα ἤχησεν ἡ τοῦ δόρατος ἐπιδορατίς. ὁ δὲ Ἀχιλλεὺς τὴν μὲν ἀσπίδα ἀφ' ἑαυτοῦ τῇ δυνατῇ χειρὶ ἐπέχε φοβηθείς· ὑπέλαβε γὰρ τὸ μακροπόρευτον δόρυ εὐκόλως διελθεῖν τὸ μεγαλοψύχου Αἰνείου, ὁ ἄφρων, καὶ ἐκ ἐλογίσατο κατὰ διάνοιαν καὶ κατὰ ψυχὴν "ὡς ἐ ῥᾴδια ὑπάρχει τῶν θεῶν τὰ μεγαλόδοξα δῶρα ὑπὸ θνητῶν ἀνθρώπων ὑπείκειν καὶ διακόπτεσθαι. ἔτι τότε τοῦ συνετοῦ Αἰνείου τὸ σιβαρὸν δόρυ διέῤῥηξε τὴν ἀσπίδα· ὁ γὰρ χρυσοῦς τὰ τοῦ θεοῦ δῶρα ἐκώλυσεν· ἀλλὰ τὰς μὲν δύο διεπέρασε πτυχάς, ἔτι δὲ αἱ τρεῖς ὑπῆρχον, ἐπειδὴ πέντε πτυχὰς ἐχάλκευσεν ὁ Ἥφαιστος, τὰς δύο σιδηρᾶς, τὰς δὲ δύο ἔνδον ἀπὸ κασσιτέρου, τὴν δὲ ἄλλην χρυσῆν· ἐν ταύτῃ ἐπεχέθη τὸ σιδηροῦν δόρυ. δεύτερος δὲ ὁ Ἀχιλλεὺς προέπεμψε τὸ μακροπόρευτον δόρυ, καὶ ἔβαλε κατὰ τοῦ Αἰνείου τὴν ἀσπίδα τὴν πανταχόθεν ἴσην κατὰ τὸν ἔξωθεν κύκλον, καθ' ὃ μέρος λεπτότατος ἦν ὁ χαλκός, λεπτοτάτη δ' ἐπῆν δέρματος βοείου. αὕτη δὲ δι' ὅλης ἡ ἀπὸ Πηλίου ὄρους ὥρμησε μελία, ἤχησε δὲ ἡ ἀσπὶς ὑπ' αὐτῆς. ὁ δὲ Αἰνείας συνεσάλη καὶ ἀφ' ἑαυτοῦ ἀνέτεινε τὴν ἀσπίδα φοβηθείς· ἡ δὲ ἐπιδορατὶς ὑπὲρ τοῦ νώτου ἐν τῇ γῇ ἔσχη ἐπειγομένη, ἀμφοτέρους δὲ διέκοψε τοὺς κύκλους τῆς μεγάλης ἀσπίδος. ὅστος δὲ ἐκκλίνας τὸ μακρὸν δόρυ ἔσχη· κατεχύθη δὲ αὐτῷ λύπη πολλὴ τοῖς ὀφθαλμοῖς φοβηθέντι ὅτι περ ἐγγὺς αὐτοῦ ἐπάγη τὸ βέλος. ὁ δὲ Ἀχιλλεὺς προθυμέμενος ἐφώρμησεν ἑλκύσας τὸ ὀξὺ ξίφος, "καταπληκτικὰ βοῶν. ὅστος δὲ λίθον μέγαν ἔλαβε τῇ χειρὶ ὁ Αἰνείας, μέγιστον ἔργον, ὅνπερ οὐδὲ δύο ἄνδρες ἄροιεν, ὁποῖοι τὰ νῦν εἰσὶν ἄνθρωποι· ὅστος δὲ αὐτὸν ῥᾳδίως ἐκίνει μόνος. τότε ἂν ὁ Αἰνείας ἐφορμῶν τῷ λίθῳ ἔβαλεν ἢ τὴν περικεφαλαίαν ἢ τὴν ἀσπίδα, ἢ χαλεπὸν αὐτῷ θάνατον ἀπεσόβησεν, "τοῦτον δ' ἂν ὁ Ἀχιλλεὺς παρ' ὀλίγον τῷ ξίφει τὴν ψυχὴν ἀφῃρεῖτο, εἰ μὴ ταχέως ἔγνω ὁ τὴν γῆν σείων Ποσειδῶν. εὐθέως δὴ ἐν τοῖς ἀφθάρτοις θεοῖς λόγον ἐφθέγξατο. "φεῦ φεῦ, ὅτως μοι λύπη ἐστὶν ὑπὲρ τοῦ μεγαλοψύχου Αἰνείου, ὅσις ὑπὸ τοῦ Ἀχιλλέως ταχέως φονευθεὶς εἰς τὸν Ἅιδην κατέρχεται, "πειθόμενος τοῖς λόγοις τοῦ τοξικοῦ Ἀπόλλωνος, ὁ ἀνόητος· ἐδαμῶς δὲ αὐτῷ βοηθήσει εἰς τὸν χαλεπὸν ὄλεθρον. ἀλλὰ τί δή ποτε ὅστος νῦν ἀναίτιος ἀναιρεῖται ματαίως ἕνεκεν ἀλλοτρίων θλίψεων; κεχαριτωμένα δὲ ἀεὶ δῶρα τοῖς θεοῖς παρέχει οἵτινες τὸν πλατὺν οὐρανὸν οἰκοῦσιν. "ἀλλὰ φέρετε ἡμεῖς αὐτὸν τοῦ θανάτου ὑπεξαγάγωμεν, μή πως καὶ ὁ Κρόνου παῖς ὀργισθῇ, ἐὰν ὁ Ἀχιλλεὺς τοῦτον ἀποκτείνῃ. εἱμαρμένον δέ ἐστιν αὐτῷ διασωθῆναι, ὅπως μὴ ἄγονος ἡ γενεὰ καὶ ἀφανὴς ἀπόληται τοῦ Δαρδάνου, ὃν ὁ Ζεὺς περισσῶς πάντων ἠγάπησε τῶν παίδων, "οἵτινες ἐξ αὐτοῦ ἐγεννήθησαν ἐκ τῶν θνητῶν γυναικῶν. ἀπάρτι γὰρ τὴν τοῦ Πριάμου γενεὰν ἐμίσησεν ὁ Ζεύς· νῦν δὲ ὁ Αἰνείας σὺν τοῖς Τρωσὶ βασιλεύσει καὶ τῶν παίδων οἱ παῖδες, οἳ ἂν εἰς τὸ μέλλον γενηθῶσι." πρὸς τοῦτον δὲ ἀπεκρίθη μετὰ ταῦτα ἡ εὐόφθαλμος καὶ σεβασμία Ἥρα "Ὦ Πόσειδον, σὺ αὐτὸς ἐν ταῖς σαῖς διανοίαις ἐννόησον τὸν Αἰνείαν, ἢ ἂν αὐτὸν ῥύσῃ ἢ ἂν παραχωρήσῃς κακοπαθεῖν. ἡμεῖς μὲν πολλοὺς ὠμόσαμεν ὅρκους ἐν πᾶσι τοῖς θεοῖς, ἐγὼ καὶ ἡ πολεμικὴ Ἀθηνᾶ, "μή ποτε ἀπὸ τῶν Τρώων ἀπαμῦναι κακοποιὸν ἡμέραν, μηδ' ὁπόταν ἡ Τροία καυσικῷ πυρὶ πᾶσα καίηται ἀναπτομένη, καίωσι δὲ οἱ πολεμικοὶ τῶν Ἑλλήνων παῖδες." ἐπειδὴ δὲ τοῦτο ἤκουσεν ὁ τὴν γῆν σείων Ποσειδῶν, ἀπέβη πορευθῆναι κατὰ τὴν μάχην καὶ κατὰ τὸν κτύπον τῶν δοράτων, "παρεγένετο δὲ ὅπου ὁ Αἰνείας καὶ ὁ ἔνδοξος Ἀχιλλεύς. εὐθέως τότῳ μὲν μετὰ ταῦτα κατὰ τῶν ὀφθαλμῶν ἐπέχεεν ἀορασίαν, τῷ Πηλέως υἱῷ Ἀχιλλεῖ. ὅστος δὲ καὶ τὸ εὔσομον δόρυ ἐκ τῆς ἀσπίδος ἐξείλκυσε τοῦ μεγαλοψύχου Αἰνείου καὶ τοῦτο μὲν ἔμπροσθεν τῶν τοῦ Ἀχιλλέως ποδῶν ἔθηκεν, "τὸν δὲ Αἰνείαν ἐκόφισεν ἀπὸ τῆς γῆς εἰς ὕψος ἄρας. πολλὰς δὲ τάξεις ἡρώων, πλείσας δὲ καὶ ἵππων Αἰνείας ὑπερεπήδα, ἀπὸ τῆς τοῦ θεοῦ χειρὸς ἀποφυγών. ἐκά-

Θισε δὲ ἐπὶ τὰ ἕχατα τῆ πολυορμήτε πόλεμε, ὅπε δὴ οἵ
Καύκωνες πρὸς τὸν πόλεμον καθωπλίζοντο. "πάνυ δὲ τότῳ
ἐπληρίασεν ὁ τὴν γῆν σείων Ποσειδῶν, ϗ πρὸς αὐτὸν φω-
νήσας λόγες ταχεῖς εἶπεν. "ὦ Αἰνεία, τίς σε τῶν θεῶν
ἔτως ἀφραίνοντα κελεύει ἐξ ἐναντίας τῆ Ἀχιλλέως πολε-
μεῖν ϗ μάχεσθ, ὅσις σε ὁμῆ βελτίων ἐςὶ ϗ πεφιλημένος
τοῖς θεοῖς. "ἀλλ' ὑποχώρει, ὁπότ' ἂν συμβληθῇς αὐτῷ,
μή πως ϗ ὑπὲρ τὴν εἱμαρμένην εἰς τὸν τῆ Ἄιδε οἶκον
παραγένῃ. ἐπειδὰν δὲ ὁ Ἀχιλλεὺς θάνατον ϗ ταφὴν λάβῃ,
θαῤῥήσας μετὰ ταῦτα μετὰ τῶν πρωταγωνισῶν μάχου·
ὀδαμῶς γάρ τις ἕτερος τῶν Ἑλλήνων ἀποκτενεῖ σε." "ἕτως
εἰπὼν κατέλιπεν αὐτόθι, ἐπεὶ διεσάφησε πάντα. ταχέως
δὲ μετὰ ταῦτα τῆ Ἀχιλλέως ἀπὸ τῶν ὀφθαλμῶν ἐσκόρ-
πισε τὴν ἀχλὺν τὴν πολλήν· ἕτος δὲ μετὰ ταῦτα μέγα
φῶς ἐθεάσατο τοῖς ὀφθαλμοῖς. ἀγανακτήσας δὲ εἶπε πρὸς
τὴν ἀνδρείαν ἑαυτῆ ψυχήν "φεῦ φεῦ, ὄντως μέγα θαῦμα
τοῖς ὀφθαλμοῖς κατανοῶ. "τὸ μὲν δόρυ τῆτο κεῖται ἐπὶ
τῆς γῆς, ἀδαμῶς δὲ τὸν ἄνδρα βλέπω ᾧ τινὶ ἐῤῥίψα ἀποκ-
τεῖναι προθυμέμενος. ὄντως δὴ ϗ ὁ Αἰνείας προσφιλὴς
τοῖς ἀθανάτοις θεοῖς ὑπάρχει· ὑπέλαβον δὲ αὐτὸν ματαίως
ἕτω καυχᾶσθ. φθειρέσθω· ἀδαμῶς αὐτῷ προθυμία ἐμοῦ
ἔτι πειραθῆναι "γενήσετ, ὃς ϗ νῦν ἐφυγε χαίρων ἐκ τοῦ
θανάτε. ἀλλὰ φέρε δὴ τοῖς "Ελλησι τοῖς φιλοπολέμοις
κελεύσας τῶν λοιπῶν Τρώων πεῖραν λήψομαι ἐναντίος
ἐλθών." ἔφη, ϗ ἐπὶ τὰς τάξεις ἤλατο, ἐκέλευε δὲ ἑκάςῳ
ἀνδρί. "μηκέτι νῦν πόῤῥω τῶν Τρώων ἔσεσθε ἔνδοξοι "Ελ-
ληνες, "ἀλλὰ φέρε ἀνὴρ ἀνδρὶ συμπλεκέσθω ϗ προθυμείτω
πολεμεῖν. ἀδύνατον δέ μοι ὑπάρχει καίπερ ἀνδρείῳ ὄντι το-
σάτες ἀνθρώπες ἐπιδιώκειν ϗ πᾶσι πολεμεῖν. ἀδ' ἂν ὁ
Ἄρης, ὅσις θεός ἐςιν ἀθάνατος, ἀδ' ἂν ἡ Ἀθηνᾶ τοσάτε
πλήθες ἐπάρχοιτο σίςασιν ϗ ἀγωνίζοιτο. "ἀλλ' ὁπόσον
μὲν ἐγὼ ἰσχύω ταῖς χερσὶ ϗ τοῖς ποσὶ ϗ τῇ δυνάμει, ἀδα-
μῶς φημὶ ἀμελήσειν ἐδὲ πρὸς βραχύ, ἀλλὰ διὰ τῆς τά-
ξεως ἐλεύσομαι δι' ὅλης ϗ ἀδέκα οἶμαι τῶν Τρώων χαρῆ-
ναι ὅσις ἐγγὺς ἐξ ἐναντίας με γένῃ." ἕτως εἶπε παρορ-
μῶν. τοῖς δὲ Τρωσὶν ὁ λαμπρὸς "Εκτωρ "παρεκελεύετο
ἀπειλήσας, ἔφη δὲ ἄντικρυς ἐλθεῖν τῆ Ἀχιλλέως. "ὦ Τρῶες
μεγαλόψυχοι, μὴ φοβηθῆτε τὸν Ἀχιλλέα. ϗ ἐγὼ ἂν τοῖς
λόγοις ϗ τοῖς θεοῖς πολεμήσαιμι· τῷ δόρατι δὲ χαλεπὸν
τῆτο, ἐπειδὴ πολὺ κρείττες εἰσίν. ἀδὲ ὁ Ἀχιλλεὺς πᾶσι
τέλος τοῖς λόγοις ἐπιθήσει, "ἀλλὰ τὸ μὲν τελειώσει, τὸ
δὲ ἀτελείωτον ἐάσει. τότε δὲ ἐγὼ ἄντικρυς ἐλεύσομαι ϗ
εἰ πυρὶ παραπλήσιος τὰς χεῖρας, εἰ πυρὶ τὰς χεῖρας ὅμοι-
ός ἐσι, τὴν δὲ δύναμιν τῷ λαμπρῷ σιδήρῳ." ἕτως εἶπε
παρορμῶν· οἱ δὲ ἐξ ἐναντίας τὰ δόρατα ἦραν οἱ Τρῶες·
τάτων δὲ ἀθρόως ἠνώθη ἡ δύναμις, ἐγένετο δὲ βοή. "ϗ
τότε δὴ πρὸς τὸν "Εκτορα εἶπε παρυσὰς ὁ καθαρὸς Ἀπόλ-
λων "ὦ "Εκτορ, μηκέτι παντελῶς τῷ Ἀχιλλεῖ προπολέμει,
ἀλλὰ κατά τε τὸ πλῆθος ϗ ἐκ τῆς ταραχῆς δέχε, μή πως
ἡ διὰ βολῆς τρώσῃ σε ἢ ἐκ τῆ σύνεγγυς ἐξίφει τύψῃ."
ἕτως εἶπεν· ὁ δὲ "Εκτωρ εὐθὺς κατέδυ εἰς τὸ πλῆθος τῶν
ἀνδρῶν "φοβηθείς, ὅτι ἤκεσε τὴν τῆ Θεῆ φωνὴν καλέ-
σαντος. ἐν δὲ τοῖς Τρωσὶν Ἀχιλλεὺς εἰσεπήδησε, ταῖς
διανοίαις περιχείμενος δύναμιν, καταπληκτικὰ βοῶν. ἐν
πρώτοις δὲ ἀνεῖλε τὸν Ἰφιτίωνα τὸν ἀνδρεῖον Ὀτρυντέως
παῖδα, πολλῶν ἡγεμόνα λαῶν, ὃν νύμφη Ναὶς ἔτεκε τῷ
πόλεις πορθοῦντι Ὀτρυντεῖ "ὑπὸ τῷ χιονώδει Τμώλῳ ἐν
τῷ τῆς "Υλης εὐδαίμονι πλήθει. τῆτον δ' ἐπ' εὐθείας
προθυμέμενον ἔβαλε τῷ δόρατι ὁ ἔνδοξος Ἀχιλλεὺς κατὰ
μέσην τὴν κεφαλήν· αὕτη δὲ πᾶσα διχῶς ἐχίσθη· ἐκτύπησε
δὲ πεσών. ὁ δὲ ἔνδοξος Ἀχιλλεὺς ἐπεκαυχήσατο "κεῖσαι
ὦ Ὀτρυντέως παῖ, πάντων ἀνδρῶν φοβερώτατε. "ἐνταῦθα
δή σοι ὁ θάνατος, ἡ δὲ γενεά σέ ἐσιν ἐν τῇ λίμνῃ τῇ τῆ
Γύγε, ὅπε σοι ἱερὸν χωρίον πατρικὸν ὑπάρχει, ἐπὶ τῷ
ἰχθῦς ἔχοντι "Υλῳ ποταμῷ ϗ τῷ ῥευματώδει "Ερμῳ." ἕτως
εἶπε καυχώμενος, τὰς δὲ ὀφθαλμὰς αὐτῆ σκότος ἐκάλυψε.
τῆτον μὲν τῶν Ἑλλήνων οἱ ἵπποι τοῖς τροχοῖς διέκοπτον
"ἐν τῇ πρώτῃ συμπλοκῇ· ἕτος δὲ σὺν αὐτῷ Δημολέοντα
τὸν ἀγαθὸν ἀποτρεπτὸν τῆ πολέμε υἱὸν τῆ Ἀντήνορος
ἔτρωσε κατὰ τὸν κρόταφον διὰ τῆς σιδηρογνάθε περικε-
φαλαίας. ἀδαμῶς δὲ ἡ σιδηρᾶ περικεφαλαία ἐκώλυσεν,
ἀλλὰ δι' αὐτῆς τὸ δόρυ εἰσερχόμενον ἔκλασε τὸ ὀςᾶν· ὁ
δὲ ἐγκέφαλος "ἅπας ἔνδον ἐτέθρυπτο· ἀπέκτεινε δὲ αὐτὸν
προθυμέμενον. τὸν δὲ Ἱππόδαμαντα μετὰ ταῦτα μετὰ τῶν
ἵππων τρέχοντα ἔμπροσθεν αὐτῆ φεύγοντα, κατὰ τὸ με-
τάφρενον ἔτρωσε τῷ δόρατι· ἕτος δὲ τὴν ψυχὴν ἐξέπνευσε
ϗ ἐμυκήσατο ὡς ὅτε ταῦρος ἐμυκήσατο ἑλκόμενος περὶ
τὸν Ἑλικώνιον βασιλέα "νεωτέρων ἑλκόντων· χαίρει δὲ
ἐπὶ τάτοις ὁ Ποσειδῶν. ἕτω δὴ τῆτον μυκώμενον ἀπέλιπε
τὰ ὀςᾶ ἡ ἀνδρεία ψυχή. ἕτος δὲ ἐπορεύθη σὺν τῷ δόρατι
πρὸς τὸν ἰσόθεον Πολύδωρον τὸν Πριάμε παῖδα. τῆτον
δὲ ἀδαμῶς ὁ πατὴρ συνεχώρει πολεμεῖν, διότι ἐν τοῖς παι-
σὶν αὐτῆ ἔχατος ἦν τῶν παίδων. "τότε δὴ ταῖς ἀνοίαις
τὴν τῶν ποδῶν ταχυτῆτα δεικνὺς ὥρμα διὰ τῶν πρωτα-
γωνισῶν, ἕως τὴν προσφιλῆ ἀπώλεσε ψυχήν. τῆτον ἔτρωσε
κατὰ τὸ μέσον τῷ δόρατι ὁ ταχύπες ϗ ἔνδοξος Ἀχιλλεύς,
τὰ νῶτα παρακινῆντος, ὅπε τῆ ζωῆρος οἱ ἀναφορεῖς "οἱ
διάχρυσοι συνεῖχον ϗ διπλῶς ὑπήντα ὁ θώραξ. ἐξ ἐναν-
τίας δὲ διῆλθε παρὰ τὸν ὀφθαλμὸν τῆ δόρατος ἡ αἰχμή.
ἐπὶ γόνυ δὲ ἔπεσε ϛενάξας· νεφέλη δὲ αὐτὸν περιεκάλυψε
μέλαινα· πρὸς ἑαυτὸν δὲ ἕλαβε τὰ ἔντερα χερσὶ χωριθείς.
ὁ δὲ "Εκτωρ ὡς ἐθεάσατο τὸν ἀδελφὸν Πολύδωρον "τὰ
ἔντερα χερσὶ κρατοῦντα, κατακλινόμενον πρὸς τὴν γῆν,
κατέχυτο κατὰ τῶν ὀφθαλμῶν αὐτῆ ἀχλύς, ἐκέτι δὲ ἐκαρ-
τέρησεν ἐπὶ πολὺ πόῤῥω διατρίβειν, ἀλλ' ἐξ ἐναντίας ἦλθε
τῆ Ἀχιλλέως τὸ ὀξὺ δόρυ σείων ὅμοιος φλογί. ὁ δὲ Ἀχιλ-
λεὺς ὡς εἶδεν, ἀνεπήδησε ϗ καυχησάμενος λόγον εἶπεν.
"πλησίον ἀνὴρ ὅσις τὴν ἐμὴν κατὰ πολὺ ἐλύπησε ψυχήν·
ὅσις τὸν ἐμὸν τετιμημένον ἑταῖρον ἐφόνευσεν. ἀδὲ ἔτι ἐπὶ
πολὺν χρόνον ἀλλήλας δειλιῶμεν κατὰ τὰς διαβάσεις τῆ
πολέμε." ἔφη, ϗ δρασικῶς ὑπιδὼν προσιφώνει τὸν ἔνδοξον
"Εκτορα. "πλησίον ἐλθέ, ὡς ἂν τάχιον εἰς τὰ τῆ θανάτου

δοτέλη φθάσης." Τὸν δὲ φοβηθεὶς εἶπεν ὁ εὔοπλος Ἕκτωρ "ὦ Ἀχιλλεῦ, μὴ δὴ λόγοις με ὥσπερ ἀνόητον ἔλπιζε φοβήσειν, ἐπειδὴ σαφῶς κἀγὼ οἶδα καὶ εἰρωνικὸς λόγους καὶ ἀπειλὰς εἰπεῖν. ἐπίσαμαι δὲ ὅτι σὺ μὲν ἀνδρεῖος, ἐγὼ δὲ πολὺ ἀσθενέστερος. ἀλλὰ ταῦτα μὲν δὴ ἐν τῇ τῶν θεῶν βουλῇ κεῖται, ἐάν σε καίπερ ἀδυνατώτερος ὢν τὴν ψυχὴν ἀφέλωμαι τῷ δόρατι ἐπιτυχών, ἐπεὶ καὶ τὸ ἐμὸν ὀξὺ βέλος ἔμπροσθέν ἐστιν." εἶπε δή, καὶ ἀνατινάξας προέπεμψε τὸ δόρυ. καὶ τοῦτο ἡ Ἀθηνᾶ τῷ πνεύματι τῷ Ἀχιλλέως εἰς ὀπίσω ἀπέστρεψε τῶν ἐνδόξων, ἧκεν καταπνεύσασα. τοῦτο δὲ πάλιν ἦλθεν εἰς τὸν ἔνδοξον Ἕκτορα, ἔμπροσθεν δὲ τῶν ποδῶν αὐτῷ ἔπεσεν. ὁ δὲ Ἀχιλλεὺς μετὰ προθυμίας ἐφώρμησεν ἀποκτεῖναι προθυμούμενος, καταπληκτικὰ βοῶν. τὸν δὲ Ἕκτορα ὁ Ἀπόλλων διέσωσε ῥᾳδίως πάνυ ὥσπερ θεός, ἐσκέπασε δὲ ἀορασίᾳ πολλῇ. ἐκ τρίτου μετὰ ταῦτα ἐφώρμησεν ὁ ταχύπους καὶ ἔνδοξος Ἀχιλλεὺς μετὰ τοῦ σιδηροῦ δόρατος· ἐκ τρίτου δὲ ἔκρυσε τὴν βαθεῖαν σκοτιάν. ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσειεν δαίμονι ἴσος, φοβερῶς δὲ ἀπειλήσας λόγους ταχεῖς εἶπεν. "ἐξέφυγες τὸν θάνατον ὀνῦν ἀναίχυντε. ὄντως σοι πλησίον Ὄλεθρος. νῦν δέ σε ἔσωσεν ὁ καθαρὸς Ἀπόλλων, ᾧ τινὶ ἔοικας εὐχεσθ πορευόμενος εἰς τὴν ἄφεσιν τῶν δοράτων. ἀλλ' ὅμως ἀποκτενῶ σε καὶ μετὰ ταῦτα συναντήσας, ἐάν πω καὶ ἐμοί τις τῶν θεῶν βοηθὸς ὑπάρχῃ. νῦν δὲ τοὺς λοιποὺς Τρῶας ἐπελεύσομαι, ὧν ἂν καταλάβω." Εἶπὼν τὸν Δρύοπα ἔτρωσε κατὰ μέσον τὸν αὐχένα τῷ δόρατι· ἔπεσε δὲ ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ. ὁ δὲ τοῦτον μὲν ἀφῆκεν, τὸν δὲ Δημοῦχον τὸν τοῦ Φιλήτορος υἱὸν ἀνδρεῖον ὄντα καὶ μέγιστον, κατὰ τὸ γόνυ τῷ δόρατι τυχὼν ἔπεχε. καὶ τοῦτον μὲν μετὰ ταῦτα τιτρώσκων τῷ μεγάλῳ ξίφει ἄφηρεῖτο τὴν ψυχήν· Ἕτος δὲ τὸν Λαόγονον καὶ τὸν Δάρδανον τοὺς υἱοὺς τοῦ Βίαντος ἀμφοτέρους ἐπιδραμὼν ἐκ τῶν ἵππων ὥσε χαμαί, τοῦτον μὲν τῷ δόρατι τρώσας, τὸν δὲ ἐκ τοῦ σύνεγγυς ξίφει τρώσας. Τρῶα δὲ τὸν Ἀλάστορος υἱόν — ὁ μὲν κατέναντι τῶν γονάτων αὐτοῦ ἦλθεν, εἴ πως αὐτῷ φείσοιτο λαβὼν καὶ ζῶντα καταλίποι καὶ φονεύσειε τὴν ἡλικίαν οἰκτείρας, ὁ ἀνόητος· ἔκ ἐγίνωσκε δὲ τοῦτο ὅτι ἀ πειθήσεσθ ἐμελλεν ᾧ προσηνὴς τῇ ψυχῇ ἀνὴρ ὑπῆρχεν οὐδὲ πρᾶος τὸ φρόνημα, ἀλλὰ λίαν μεμηνώς. ὁ μὲν ἥπτετο ταῖς χερσὶ τῶν γονάτων θέλων ἐξιλεοῦσθ· Ἕτος δὲ ξίφει κατὰ τοῦ ἥπατος ἔτρωσεν. ἐξέπεσε δὲ αὐτοῦ τὸ ἦπαρ, μέλαν δὲ αἷμα ἐξ αὐτοῦ τὸν κόλπον ἐπλήρωσε· τοῦτον δὲ κατ' ὀφθαλμοὺς σκότος ἐκάλυψε τῆς ψυχῆς ζερόμενον. Ἕτος δὲ τὸν Μέλιον παραξὰς ἔτρωσε δόρατι κατὰ τὸ οὖς· εὐθέως δὲ κατὰ τοῦ ἑτέρου ὠτὸς ἐπέρασεν ἡ σιδηρᾶ ἐπιδορατίς. Ἕτος δὲ τοῦ Ἀγήνορος υἱὸν Ἔχεκλον κατὰ μέσην τὴν κεφαλὴν ξίφει κόπτοντι ἔτεμε, πᾶν δὲ τὸ ξίφος ἐβαπτίσθη τῷ αἵματι· τοῦτον κατ' ὀφθαλμοὺς ἔλαβε σκοτεινὸς θάνατος καὶ ἡ ἀπαραίτητος εἱμαρμένη. μετὰ ταῦτα δὲ τὸν Δευκαλίωνα, ὅπου τε συνέχεσιν οἱ τένοντες τοῦ ἀγκῶνος, ἐνταῦθα τοῦτον διὰ τῆς φιλοσης χειρὸς ἔπειρεν τῇ σιδηρᾷ ἐπιδορατίδι. ὁ δὲ τὴν χεῖρα αὐτοῦ βαρυνθεὶς ἔμεινε, πρὸ ὀφθαλμῶν ἰδὼν τὸν θάνατον. Ἕτος ξίφει τὸν αὐχένα τύψας πύῤῥω τὴν κεφαλὴν σὺν τῇ περικεφαλαίᾳ ἔῤῥιψεν· ὁ δὲ μυελὸς ἐκ τῶν σφονδύλων ἐξεπήδησεν· Ἕτος δὲ ἐν τῇ γῇ ἔκειτο ἁπλωθείς. Ἕτος δὲ ἀπέβη πορευθῆναι πρὸς τὸν ἄψογον τοῦ Πείρεως υἱὸν Ῥῆσον, ὃς ἐκ τῆς Θρᾴκης τῆς μεγαλοβώλου παρεγένετο. τοῦτον ἔτρωσε κατὰ τὸ μέσον τῷ δόρατι· ἐπάγη δὲ ἐν τῇ γαστρὶ ὁ σίδηρος· ἔπεσε δὲ ἐκ τῶν ἁρμάτων. Ἕτος δὲ Ἀρηϊθοον τὸν ὑπασπιστὴν εἰς τὰ ὀπίσω τοὺς ἵππους στρέψαντα κατὰ τὸ μετάφρενον τῷ ὀξεῖ δόρατι ἔτρωσε καὶ κατήνεγκεν ἀπὸ τοῦ ἅρματος· ἐταράχθησαν δὲ αὐτῷ οἱ ἵπποι. Ὡς δὲ νέμεται εἰς βαθεῖαν ὕλην τὸ θεῖον πῦρ ἐπ' ὄρους ξηροῦ, ἡ πολλὴ δὲ καιομένη ὕλη, πανταχῇ τε συσρέφων ὁ ἄνεμος τὴν φλόγα εἰλεῖ, ὥτως ἕτος πανταχῇ ὥρμα σὺν τῷ δόρατι θεῷ ὅμοιος, ἐπιδιώκων τοὺς κτεινομένους· ἡ δὲ γῆ περιερρεῖτο αἵματι. Ὥσπερ δὲ ὅτε τις ζεύξει βόας ἀῤῥενας πλατυμετώπους ἀλοᾶν κριθὴν λευκὴν ἐν ἀλῶνι εὐκατασκευάσῳ· ταχέως λεπτὰ ἐγένοντο ὑπὸ τοῖς ποσὶ τῶν βοῶν τῶν μεγάλως μυκωμένων· ὥτως ὑπὸ τοῦ μεγαλοψύχου Ἀχιλλέως οἱ μονώνυχες ἵπποι ἐπάτησαν ὁμοῦ τούς τε νεκροὺς καὶ τὰς ἀσπίδας· τῷ δὲ αἵματι ὁ ἄξων Κάτωθεν ἅπας ἐμολύνετο καὶ αἱ περιφέρειαι τοῦ ἅρματος, ὃς δὴ ὑπὸ τῶν ἱππείων ὀνύχων αἱ ῥανίδες ἔπεμπον καὶ ἀπὸ τῶν τροχῶν. Ἕτος δὲ προεθυμεῖτο δόξαν λαβεῖν, ὁ Ἀχιλλεύς, τῷ δὲ λύθρῳ ἐμολύνετο τὰς ἀηττήτους χεῖρας.

Φ. ΜΑΧΗ ΠΑΡΑΠΟΤΑΜΙΟΣ.

ΥΠΟΘΕΣΙΣ 1. *Φῦλ μόγος Αἰακίδαο παρ' ἠϊόνας ποταμοῖο.*

2. *Τῶν Τρώων εἰς δύο διαιρεθέντων μέρη, τὸ μὲν εἰς τὴν πόλιν τὸ δὲ εἰς τὸν Σκάμανδρον Ἀχιλλεὺς διώκει, καὶ δεκαδύο νεανίας ζωγρεῖ εἰς ποινὴν Πατρόκλου, τὸν δὲ Πριάμου υἱὸν Λυκάονα καὶ Ἀστεροπαῖον ἀναιρεῖ. ἔπειτα τῷ ποταμῷ πλημμύραντος κινδυνεύοντα αὐτὸν σώζει Ἥφαιστος, ἐμπρήσας τὸν ποταμὸν καὶ τὸ πεδίον. μετὰ ταῦτα θεῶν μάχη γίνεται πρὸς ἀλλήλους. Ἀχιλλέα δὲ Ἀπόλλων ἔργει Ἀγήνορι ὁμοιωθείς, καὶ φεύγων ἐξαπατᾷ, ἕως οἱ Τρῶες διασώζονται εἰς τὴν πόλιν.*

Ἀλλ' ἡνίκα δὴ εἰς τὸν πόρον ἀφίκοντο τοῦ καλοῦ ῥεύματα ἔχοντος ποταμοῦ Ξάνθου τοῦ ῥευματώδους, ὃν ὁ ἀθάνατος ἐγέννησε Ζεύς, ἐκεῖ διαχωρίσας αὐτοὺς εἰς δύο τοὺς μὲν εἰς τὸ πεδίον ἐδίωκεν πρὸς τὴν πόλιν, ὅπερ οἱ λοιποὶ ἐκπληττόμενοι ἔφευγον Ἕκτορι τῇ προτέρᾳ ἡμέρᾳ, ὁπότε φίζετο ὁ λαμπρὸς Ἕκτωρ. ἐκεῖ δὴ ἕτοι ἀθρόοι ἔφευγον πεφοβημένοι· ἀορασίαν δὲ ἡ Ἥρα ἡ σεβασμία ἐξέτεινεν ἔμπροσθεν βαθεῖαν κωλύειν. οἱ δὲ ἥμισεις εἰς τὸν ποταμὸν εἱλοῦντο τὸν βαθύῤῥοα καὶ ἀργυροδίνην, ἐνέπεσον δὲ ἐν τῇ μεγάλῃ βοῇ, ἦχει δὲ τὰ βαθέα ῥεῖθρα, τὰ δὲ τῶν ποταμίων χείλη μεγάλως περιήχει. ἕτοι δὲ μετὰ θορύβου ἐνήχοντο ἐνταῦθα κἀκεῖσε συσρεφόμενοι κατὰ συσρο-

φάς. ὥσπερ δὲ ὅτε ὑπὸ ὁρμῆς πυρὸς ἀκρίδες εἰς ἀέρα αἴρονθ φεύγειν εἰς τὸν ποταμόν, τὸ δὲ πολὺ πῦρ φλέγει διεγερθὲν ἐξαίφνης· αὖται δὲ καταδύσνθ εἰς τὸ ὕδωρ· "ὅτως ὑπὸ τῆ Ἀχιλλέως τῆ βαθυῤῥόᾳ Ξάνθᾳ ἐπληρᾶτο ὁ ῥῆς ἠχῶν ἐπιμεμιγμένος τῶν τε ἵππων καὶ τῶν ἀνδρῶν. ὅτος δὲ ὁ εὐγενὴς τὸ μὲν δόρυ κατέλιπεν αὐτῆ περὶ τὰ χείλη ὑπὸ μυρικῶν περιεχόμενον, ὅτος δὲ εἰσεπήδησε θεῷ ὅμοιος ὀξίφος μόνον κατέχων, κακοποιὰ δὲ ἔργα ἐβέλετο, "ἔτυπτε δὲ συνεχῶς ἐπισρεφόμενος· τέτων δὲ ὁ ςεναγμὸς ἀπρεπὴς ἐγένετο τῷ ξίφει φονευομένων, ἐρυθρὸν δὲ ἐγένετο τὸ ὕδωρ ὑπὸ τῆ αἵματος. ὥσπερ δὲ ὑπὸ μεγάλα δελφῖνος ἰχθύες ἕτεροι φεύγοντες πληρᾶσι τὲς ἔνδον τόπες τῆ εὐορμήτου λιμένος φοβέμενοι· σφοδρῶς γὰ κατατρώγει ὃν ἂν λάβῃ· "ὅτως οἱ Τρῶες κατὰ τῆ ποταμῆ τῆ φοβερῆ τὰ ῥεῖθρα ἐκρύπτοντο ὑπὸ τὰς ὄχθας. ὅτος δὲ ἐπειδὴ ἐκοπίασε φονεύων, ζῶντας ἐκ τῆ ποταμῆ δώδεκα ἐπελέξατο νέας εἰς ποινὴν ἀντὶ Πατρόκλα τῆ υἱῆ Μενοιτίε τῆ ἀποθανόντος. τέτες δὲ ἐξήγαγεν ἔξω φοβεμένες καθάπερ ἔλαφον γεννήματα, "ἔδησε δὲ ὀπίσω τὰς χεῖρας αὐτῶν εὖ κεκυσμημένοις λώροις, ὃς αὐτοὶ ἐφόρεν ἐπὶ τοῖς εὐκλώςοις χιτῶσιν· ἔδωκε δὲ τοῖς ἑταίροις κατάγειν ἐπὶ τας βαθείας ναῦς. ὅτος δὲ πάλιν ἐφώρμησεν ἀποκτείνειν προθυμέμενος. ἐκεῖ τῷ υἱῷ τοῦ Πριάμε τῆ υἱῆ Δαρδάνε συνήντησεν "ἐκ τῆ ποταμῆ φεύγοντί, τῷ Λυκάονι, ὃν δὴ αὐτός ποτε ἔφερε λαβὼν ἐκ τῆς πατρικῆς γῆς μὴ βελόμενον, διὰ νυκτὸς προελθών. ὅτος δὲ συκῆς ἀγρίας ὀξεῖ σιδήρῳ ἔκοπτε νέας κλάδας, ὅπως τῆ ἅρματος περιφέρειαι εἶεν. τέτῳ δὲ ἀνυπονόητον κακὸν ἦλθεν ὁ ἔνδοξος Ἀχιλλεύς. "καὶ τότε μὲν αὐτὸν εἰς τὴν Λῆμνον τὴν εὔκτιςον περάσας ἐπώλησεν ἐν ταῖς ναυσὶ φέρων· ὁ δὲ υἱὸς τῆ Ἰάσονος τὴν τιμὴν ἔδωκεν. ἐκεῖθεν δὲ φίλος αὐτὸν ἐλυτρώσατο, πολλὰ δὲ παρέχεν, ἀπὸ Ἴμβρα νήσε Ἠετίων· ἔπεμψε δὲ εἰς τὴν ἔνδοξον Ἀρίσβην. ἐκεῖθεν διαφυγὼν εἰς τὸν πατρικὸν ἀφίκετο οἶκον. "ἕνδεκα δὲ ἡμέρας εὐφραίνετο κατὰ τὴν ψυχὴν μετὰ τῶν ἑαυτῆ φίλων, παραγενόμενος ἐκ Λήμνε· τῇ δωδεκάτῃ δὲ αὐτὸν πάλιν ἐν ταῖς χερσὶ τῆ Ἀχιλλέως ὁ θεὸς ἐνέβαλεν, ὅςις αὐτὸν ἔμελλεν παραπέμψειν εἰς Ἅιδε καὶ μὴ θέλοντα πορεύεσθ. ὡς ἓν ἐθεάσατο αὐτὸν ὁ ταχύπες ἔνδοξος Ἀχιλλεὺς "ἄοπλον καὶ χωρὶς περικεφαλαίας καὶ ἀσπίδος· ἐδὲ δόρυ εἶχεν, ἀλλὰ ταῦτα μὲν πάντα ἀπέθετο ἐν τῇ γῇ, κατεπόνει δὲ αὐτὸν ὁ ἱδρὼς φεύγοντα ἐκ τῆ ποταμῆ, ὁ κόπος δὲ αὐτῆ τὰ γόνατα ἐδάμαζε. ςενάξας δὲ εἶπε πρὸς τὴν ἑαυτῆ ἀνδρείαν ψυχήν "φεῦ φεῦ, ὄντως μέγα θαῦμα τῆτο τοῖς ὀφθαλμοῖς ὁρῶ. "ὄντως δὴ οἱ Τρῶες οἱ μεγαλόψυχοι ἕσπερ ἐφόνευσα πάλιν ἀναςήσονθ ἀπὸ τῆ ζοφερῆ Ἅιδε, ὁποῖον δὴ καὶ ὅτος παρεγένετο φυγὼν τὴν ἀνηλεῆ ἡμέραν, εἰς τὴν ἄγαν θαυμαςὴν Λῆμνον πεπραμένος· ἐκ ἐκώλυσε δὲ αὐτὸν ἡ λευκὴ θάλασσα ἥτις πολλὰς ἄκοντας κωλύει. "ἀλλὰ φέρε δὴ καὶ τῆς ἐπιδορατίδος τῆ ἡμετέρε δόρατος πειραθήσεθ, ὅπως γνῶ καὶ κατὰ διάνοιαν μάθω εἰάν περ δὴ ὁμοίως κἀκεῖθεν ἔλθῃ ἢ κωλύσῃ αὐτὸν ἡ τὴν ζωὴν φύσα γῆ, ἥτις καὶ τὸν ἰσχυρὸν κατέχει." ὅτω δεινοεῖτο μένων· ὅτος δὲ ἐγγὺς ἦλθεν ἐκπεπληγμένος, "τῶν γονάτων ἅψασθ προθυμέμενος· περισσῶς δὲ ἠθέλησε κατὰ ψυχὴν ἀποφυγεῖν τόν τε κακὸν θάνατον καὶ τὴν σκοτεινὴν εἱμαρμένην. ὅτος μὲν τὸ μακρὸν δόρυ ἀνέτεινεν ὁ ἔνδοξος Ἀχιλλεὺς τρῶσαι προθυμέμενος· ὅτος δὲ ὑπεισῆλθε καὶ ἐπελάβετο τῶν γονάτων πεσών· τὸ δὲ ἔγχος ὑπὲρ τῆ νώτε αὐτῆ παρελθὸν ἐν τῇ γῇ "ἐνεπάγη, προθυμέμενον κορεσθῆναι τῆ σώματος τῆ ἀνθρωπίνε. ὅτος δὲ τῇ ἑτέρᾳ χειρὶ λαβόμενος ἐλιτάνευε τῶν γονάτων, τῇ δὲ ἑτέρᾳ ἐκράτει τὸ δόρυ τὸ ἠκονημένον καὶ ὰ συνεχώρει. καὶ δὴ παρακαλῶν αὐτὸν λόγε ταχεῖς εἶπεν. "ἱκετεύω σε ὦ Ἀχιλλεῦ· σὺ δέ με αἰδέσθητι καὶ ἐλέησον· "ἀντὶ γὰ ἱκέτε σά εἰμι ὦ εὐγενέςατε αἰδῆς ἀξίε· παρὰ σοὶ γὰ πρώτῳ ἐγευσάμην τῆ τῆς γῆς καρπῆ τῇ ἡμέρᾳ ὅτε με ἔλαβες ἐν τῷ εὐκατασκεύαςῳ κηπῷ, καὶ ἐπέρασάς με πόῤῥωθεν ἄγων τοῦ τε πατρὸς καὶ τῶν φίλων εἰς τὴν θαυμαςὴν Λῆμνον· ἑκατὸν δὲ βοῶν τιμήν σοι εὗρον. "νῦν δὲ ἐλυτρωσάμην πολλῷ πλείονα παρέχων· ἡμέρα δέ μοί ἐςιν αὕτη δωδεκάτη ἐξ ὅτε εἰς τὴν Ἴλιον ἦλθον πολλὰ τιμωρηθείς. νῦν δέ με ἐν ταῖς σαῖς χερσὶν ἔθηκεν ἡ ὀλεθρία εἱμαρμένη. ἐοικά πε μισεῖσθ ὑπὸ τῆ Διός, ὅςις μέ σοι πάλιν ἔδωκεν. ὀλιγοχρόνιον δέ με ἡ μήτηρ "ἐγέννησεν ἡ Λαοθόη ἡ θυγάτηρ τῆ πρεσβύτε Ἄλτε, ὅςις ἐν τοῖς Δελέγεσι τοῖς φιλοπολέμοις βασιλεύει, Πήδασον τὴν ὑψηλὴν οἰκῶν ὑπὸ τῷ Σατνιόεντι ποταμῷ Τροίας. τάτε ἡ θυγάτηρ συνῴκει Πριάμῳ, πλείσας δὲ καὶ ἄλλας. ἐκ ταύτης δὲ δύο ἐγεννήθημεν, σὺ δ' ἀμφοτέρως ἀποκεφαλήσεις. "τοῦτον μὲν ἐν πρώτοις ἐν τοῖς πεζοῖς ἀπέκτεινας, τὸν ἰσόθεον Πολύδωρον, ἐπεὶ ἔτυχες τῷ ὀξεῖ δόρατι· νῦν δὲ δὴ ἐνταῦθα ἐμοὶ κακὸν ἔσῃ· ὰ γὰ οἶμαι τὰς σὰς χεῖρας διαφυγεῖν, ἐπειδὴ ὁ θεὸς ἐγγὺς ἤνεγκεν. ἕτερόν σοι λέξω, σὺ δὲ ἐν ταῖς σαῖς διανοίαις βαλέ. "μηδαμῶς με ἀπόκτεινε, ἐπειδὴ ἐκ αὐτάδελφός εἰμι "Εκτορος, ὅςις σοι τὸν ἑταῖρον ἐφόνευσε τὸν προσηνῆ καὶ ἀνδρεῖον." ὅτω δὴ πρὸς αὐτὸν ὁ τῆ Πριάμε ἔλεγε λαμπρὸς υἱός, παρακαλῶν λόγοις, σκληρὰν δὲ φωνὴν ἧκεν. "ὦ ἀνόητε, μηδαμῶς μοι λύτρα ἐπαγγέλλε μηδὲ λέγε. "πρὸ τῆ μὲν γὰ τὸν Πάτροκλον πληρῶσαι τὴν ἀποκειμένην ἡμέραν, τύφρα τί μοι φείδεσθ ἐν διανοίαις προσφιλὲς ἦν τῶν Τρώων. πολλὲς ζῶντας ἔλαβον καὶ ἐπώλησα. νῦν δὲ ἐκ ἔςιν ὅςις τὸν θάνατον διαφύγοι, ὃν ἂν ὁ θεὸς ἔμπροσθεν τῆς Ἰλίε ἐν ταῖς ἐμαῖς χερσὶ βάλῃ, "καὶ πάντων τῶν Τρώων, περισσότερον δὲ τῶν Πριάμε παίδων. ἀλλ' ὦ φίλε ἀπόθανε καὶ σύ· τί δή ποτε ὅτω θρηνεῖς; ἀπέθανε καὶ ὁ Πάτροκλος, ὅςις σε πολλῷ κρείττων. ἐχ ὁρᾷς ὁποῖος ἐγὼ καλός τε καὶ μέγιςος; πατρὸς δέ εἰμι ἀνδρείε, θεὰ δέ με μήτηρ ἐγέννησεν. "ἀλλ' ἐπειδὴ καὶ ἐμοὶ θάνατος καὶ ἀπαραίτητος εἱμαρμένη, γενήσεται ἢ πρωῒ ἢ δείλης ἢ ἐν μέσῃ ἡμέρᾳ, ὁπότε τις ἐξ ἐμῆ τὴν ψυχὴν ἀφέλῃ τῷ σιδήρῳ ἢ δόρατι ἐπιτυχὼν ἢ ἀπὸ τῆ τόξε βέλει." ὅτως εἶπεν· αὐτῆ δὲ παρελύθη τὰ γόνατα καὶ ἡ φίλη ψυχή. "τὸ μὲν δὴ δόρυ ἀπέλιπεν, ὅτος δὲ ἐκαθέ-

ζετο τὰς χεῖρας ἁπλώσας ἀμφοτέρας· ὁ δὲ Ἀχιλλεὺς ἑλκύσας τὸ ὀξὺ ξίφος ἔκρουσε κατὰ τὴν ζεῦξιν παρὰ τὸν τράχηλον. ὅλον δὲ αὐτοῦ ἔνδον εἰσῆλθε τὸ ἀμφοτέρωθεν ἠκονημένον ξίφος· ἕτος δὲ ἐπὶ πρόσωπον ἐν τῇ γῇ ἔκειτο ἁπλωθείς, τὸ δὲ μέλαν αἷμα ἐξέῤῥεεν, ἔβρεχε δὲ τὴν γῆν. τοῦτον δὲ ὁ Ἀχιλλεὺς εἰς τὸν ποταμὸν τῷ ποδὸς λαβὼν ἀφῆκε φέρεσθ, καὶ ἐπ' αὐτῷ καυχώμενος λόγους ταχεῖς εἶπεν. "αὐτόθι νῦν κεῖσο ἐν τοῖς ἰχθύσιν, οἵτινές σου τοῦ τραύματος τὸ αἷμα ἀπολείξουσιν ἀφρόντιστοι. οὐδαμῶς σε ἡ μήτηρ ἐν τῇ κοίτῃ θεῖσα θρηνήσει, ἀλλὰ ὁ Σκάμανδρος ὃ ἀπαγάγῃ ὁ ῥευματώδης ἔνδον τῆς θαλάσσης εἰς τὸν πλατὺν κόλπον. πηδῶν τις κατὰ κῦμα ὑπὸ τὴν μέλαιναν φρῖκα κατελεύσεῖ ὁ ἰχθύς, ὅστις ἂν φάγῃ τῶ Λυκάονος τὸ λευκὸν λίπος. φθείρεσθε, ἕως ἂν τὴν πόλιν καταλάβωμεν τῆς ὑψηλῆς Ἴλιος, ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δὲ ὄπισθεν διωκόπτων. "ἀδαμῶς δὲ ὑμῖν ὁ ποταμὸς ὁ καλὰ ῥεύματα ἔχων καὶ λαμπρὰς συῤῥοφὰς ἀρκέσει, ᾧ τινὶ δὴ ἐπὶ πολὺν χρόνον πολλὰς ἐθύετε ταύρους, ζῶντας δὲ ἐν τοῖς ῥεύμασιν ἐνετίθετε μονώνυχας ἵππους. ἀλλὰ καὶ ὧτω φθείρεσθε κακὸν θάνατον, ἕως ἂν πάντες τιμωρήσεσθε ὑπὲρ τῶ φόνου Πατρόκλου καὶ τῶ ὀλέθρου τῶν Ἑλλήνων, "ὃς ἐπὶ ταῖς ταχείαις ναυσὶν ἐφονεύετε χωρὶς ἐμοῦ." ὧτω δὴ εἶπεν· ὁ δὲ ποταμὸς μᾶλλον ὠργίσθη ἐκ ψυχῆς. διενοεῖτο δὲ κατὰ ψυχὴν ὅπως κωλύσῃ τῶ φόνου τὸν ἔνδοξον Ἀχιλλέα, τοῖς δὲ Τρωσὶ τὸν ὄλεθρον ἀποσρέψῃ. τέως δὲ ὁ τῶ Πηλέως υἱὸς κατέχων ἐτὸ μακροπόρευτον δόρυ "τῷ Ἀσεροπαίῳ ἐπεπήδησεν ἀποκτεῖναι προθυμέμενος, τῷ υἱῷ Πηλεγόνος. τοῦτον δὲ Ἀξιὸς ὁ πλατέα ῥεῖθρα ἔχων καὶ ἡ Περίβοια ἐγέννησε τῶν Ἀκεσαμενῶ θυγατρῶν ἡ πρώτη· ταύτη γὰ ἐμίγη ὁ βαθύῤῥοος ποταμός. τότε δὲ ὁ Ἀχιλλεὺς ἐπέδραμεν. ἕτος δὲ ἀντιπρόσωπον ἐκ τῶ ποταμῶ "ἐμάθη, κατέχων δύο δόρατα· δύναμιν δὲ αὐτῷ ταῖς διανοίαις ἐνέβαλεν ὁ Ξάνθος, ἐπεὶ ὠργίζετο ὑπὲῤ τῶν ἐν πολέμῳ ἀναιρεμένων νέων, ὃς ὁ Ἀχιλλεὺς διέφθειρε κατὰ τὸ ῥεῦμα καὶ ἐκ ἠλέει. ἕτοι δὲ ὅτε ἐγγὺς ἐγένοντο ἀλλήλοις ἐπιόντες, πρὸς τοῦτον πρότερος εἶπεν ὁ ταχὺς καὶ ἔνδοξος Ἀχιλλεύς "τίς καὶ ἐκ ποίων ἀνδρῶν ὑπάρχεις, ὅτι ἐτόλμησας ἐξ ἐναντίας μοι σῆναι; οἱ τῶν δυσυχῶν δὲ παῖδες τῇ ἐμῇ δυνάμει ἀπαντῶσιν." πρὸς τοῦτον δὲ ὁ τῶ Πηλεγόνος εἶπε λαμπρὸς υἱὸς "ὦ μεγαλόψυχε Ἀχιλλεῦ, τί δή ποτε τὴν γενεὴν ἐρωτᾷς; ἐκ μὲν εὐγείου Παιονίας εἰμὶ πόῤῥωθεν ὑπαρχόσης, Παιόνων ἀνδρῶν σρατηγῶν μακροδοράτων· αὖτη δέ μοι νῦν ἡμέρα ἑνδεκάτη ἐσὶν ὅτε εἰς τὴν Ἴλιον ἦλθον. ἐμοὶ δὲ ἡ γενεὰ ἐξ Ἀξιῶ τῶ πλατέα ῥεύματα ἔχοντος ποταμοῦ, ὅσις ἐγέννησε Πηλεγόνα τὸν ἔνδοξον τῷ δόρατι. τοῦτον δέ φασιν ἐμὲ γεννῆσαι. νῦν δὲ μαχησόμεθα ὦ ἔνδοξε Ἀχιλλεῦ." ἕτως ἔπε καυχησάμενος· ὁ δὲ ἔνδοξος ἀνέτεινεν Ἀχιλλεὺς τὸ ἀπὸ Πηλίδ ὄρας δόρυ. ὁ δὲ ὁμῶ ἀμφότερα ἀφῆκε τὰ δόρατα ὁ ἀνδρεῖος Ἀσεροπαῖος, ἐπεὶ ἀμφοτεροδέξιος ἦν. καὶ τῷ μὲν ἑνὶ δόρατι τὴν ἀσπίδα ἔτρωσεν· ἀδαμῶς δὲ διὰ ὗλιν ἔῤῥηξε τὴν ἀσπίδα· ὁ γὰ χρυσὸς ἐκώλυσε τὸ τῶ θεοῦ δῶρον. τῷ δὲ ἑτέρῳ τὸν πῆχυν αὐτῆ τῆς χειρὸς ἐπιξεσικῶς ἔτρωσε τῆς δεξιᾶς· ἐῤῥύη δὲ μέλαν αἷμα, καὶ ὑπεράνω αὐτῆ διελθὸν ἐν τῇ γῇ ἐνεπάγη προθυμέμενον σώματος κορεσθῆναι. δεύτερον δὲ δὴ ὁ Ἀχιλλεὺς δόρυ τὸ ἐπ' εὐθείας φερόμενον "ἐπὶ τῷ Ἀσεροπαίῳ ἔπεμψεν ἀποκτεῖναι προθυμέμενος. καὶ τότε μὲν δὴ ἀπέτυχεν, τὴν ὑψηλὴν δὲ ὄχθην ἕτος ἔβαλεν, ἕως τῆ μέσα δὲ πεπηγὸς ἔζησε κατὰ τῆς ὄχθης τὸ μείλινον δόρυ. ὁ δὲ Ἀχιλλεὺς ξίφος ὀξὺ ἑλκύσας ἀπὸ τῆ μηρῆ ἐπεπήδησεν αὐτῷ προθυμέμενος. ἕτος δὲ τὸ δόρυ τῆ Ἀχιλλέως "ἐκ ἐδύνατο ἐκ τῆ κρημνῆ ἑλκύσαι τῇ δυνατῇ χειρί. ἐκ τρίτε μὲν αὐτὸ ἔσεισεν ἕλκειν προθυμέμενος, ἐκ τρίτε δὲ εἴασε βία. τὸ δὲ τέταρτον ἤθελε κατὰ ψυχὴν κλάσαι ἐπικάμψας τὸ δόρυ τὸ ἀπὸ μελίας τῆ Ἀχιλλέως· ἀλλ' αὐτῆ πρότερον ὁ Ἀχιλλεὺς ἐγγὺς τῷ ξίφει τὴν ψυχὴν ἀφῃρεῖτο. "κατὰ τὴν γαςέρα αὐτὸν ἔτρωσε παρὰ τὸν ὀμφαλόν· πάντα δὲ ἐξεχύθη χαμαὶ τὰ ἔντερα αὐτῆ· τότε δὲ τὸς ὀφθαλμὸς αὐτῆ σκότος ἐκάλυψεν ἐκπνέοντα. ὁ δὲ Ἀχιλλεὺς ἐν τοῖς σήθεσιν ὁρμήσας τά τε ὅπλα ἐσκύλευσε καὶ καυχώμενος λόγον εἶπεν. "ὧτω κεῖσο. ἀδύνατόν σοι τῆ μεγαλοδυνάμε Διὸς "τοῖς παισὶ φιλονεικεῖν καίπερ ἐκ τῆ ποταμῆ γεννηθέντι. εἶπας σὺ μὲν ἀπὸ ποταμῆ τὸ γένος ἔχειν μεγάλως ῥέοντος· ἐγὼ δὲ τὴν γενεὰν τῆ μεγάλε Διὸς καυχῶμαι ἔχειν, ἐγέννησε δέ με ἀνὴρ πολλῶν βασιλεύων Μυρμιδόνων, Πηλεὺς ὁ Αἰακῆ παῖς· ὁ Αἰακὸς δὲ ἐκ τῆ Διὸς ἦν. "διὸ βελτίων μὲν ὁ Ζεὺς ποταμῶν τῶν εἰς θάλασσαν ῥεόντων, βελτίων δὲ ἡ τῆ Διὸς γενεὰ τῆ ποταμῆ ὑπάρχει. καὶ γὰ παρὰ σοὶ ποταμὸς ἔσιν ὁ μέγας, ἐάν σοι δύνηῖ βοηθεῖν. ἀλλ' ἐχ ὑπάρχει δυνατὸν τῷ υἱῷ Κρόνε μάχεσθ Διί. τότω ἔτε ὁ μείζων τῶν λοιπῶν Ἀχελῶος ἐξισᾶται, "ἔτε τῆ βαθυῤῥόε ἡ μεγάλη δύναμις Ὠκεανῆ, ἐξ ἧ πάντες οἱ ποταμοὶ καὶ πᾶσα ἡ θάλασσα καὶ κρῆναι πᾶσαι καὶ φρέατα τὰ βαθέα ῥέεσιν· ἀλλὰ καὶ ἕτος δέδοικε τῆ μεγάλε Διὸς τὸν κεραυνὸν καὶ τὴν φοβερὰν βροντήν, ὅτε ἀπὸ τῆ ὀρανῆ κτυπήσει." "ἔφη δή, καὶ ἐκ τῆς ὄχθης εἵλκυσε τὸ σιδηρᾶν δόρυ, τοῦτον δὲ κατέλιπεν, ἐπεὶ τὴν προσφιλῆ ψυχὴν ἀφείλετο, κείμενον ἐν τῇ ψάμμῳ, ἔβρεχε δὲ αὐτὸν τὸ μέλαν ὕδωρ. τοῦτον δὲ αἵ τε ἐγχέλυες καὶ οἱ ἰχθύες διενέμοντο, τὸ λίπος κατεσθίοντες καὶ τὸ ἐπινεφρίδιον διασπῶντες." ἕτος δὲ ἀπέβη πορευθῆναι πρὸς τὰς ἱππικὰς Παίονας, οἵτινες ἔτι παρὰ τὸν ποταμὸν ἐκρύπτοντο τὸν δίνας ἔχοντα, ὡς ἐθεάσαντο τὸν κράτιςον ἐν τῇ ἰσχυρῇ μάχῃ ὑπὸ τῶν χειρῶν τῆ Ἀχιλλέως καὶ τῷ ξίφει ἰσχυρῶς ἀποκτανθέντα. ἔνθα ἀνεῖλε τόν τε Θρασύλοχον καὶ τὸν Μύδονα καὶ τὸν Ἀσύπυλον "τόν τε Μνῆσον καὶ τὸν Θράσιον καὶ τὸν Αἴνιον καὶ τὸν Ὀφελέσην. καὶ δὴ ἂν ἔτι πλείονας ἀπέκτεινε Παίονας ὁ ταχὺς Ἀχιλλεύς, εἰ μὴ ὀργισθεὶς ἐφθέγξατο ὁ βαθείας συῤῥοφὰς ἔχων ποταμὸς ἀνδρὶ ὁμοιωθείς· ἐκ τῆς βαθείας δὲ ἐφθέγξατο συῤῥοφῆς. "ὦ Ἀχιλλεῦ, περισσῶς μὲν ἰσχύεις, περισσῶς δὲ ἀπρεπῆ πράττεις "τῶν ἀνδρῶν· ἀεὶ γάρ σοι βοηθῶσιν αὐτοὶ οἱ θεοί. ἐπειδὴ καὶ ἔδωκέ σοι τὰς Τρῶας ὁ Ζεὺς πάντας ἀπο-

λέσαι, ἐξ ἐμῆ ἀπελάσας εἰς τὸ πεδίον μεμεριμνημένα πρᾶσσε. πληρῶται γὼ δή μοι νεκρῶν τὰ ἐπέραια ῥεῖθρα, ἐδαμῶς δὲ δύναμαι προχεῖν τὸν ῥῶν εἰς τὴν μεγάλην θάλασσαν ξενοχωρέμενος ὑπὸ τῶν νεκρῶν· σὺ δὲ φονεύεις ἀφανισικῶς. ἀλλὰ φέρε δὴ ἀπόσχηθι· ἔκπληξις δέ με ἔχει ὦ ἡγεμὼν τῶν ὄχλων." πρὸς τοῦτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεύς "γενήσεῖ ταῦτα ὦ Σκάμανδρε εὐγενέστατε, ὡς σὺ βέλει· ἀ πρότερον δὲ παύσομαι τὸς Τρῶας τὸς ὑπερηφάνες ἀναιρῶν, "πρὶν ἢ συνελάσαι κατὰ τὴν πόλιν κὴ τῆ "Εκτορος πεῖραν λαβεῖν ἐξ ἐναντίας, ἢ ἀποκτενεῖ ἂν με ἢ ἐγὼ ἂν αὐτόν." ἔτως εἰπὼν ἐπὶ τοῖς Τρωσὶν ὥρμησε θεῷ παραπλήσιος. κὴ τότε πρὸς τὸν Ἀπόλλωνα εἶπεν ὁ βαθύῤῥες ποταμὸς "φεῦ φεῦ παπαί, τοῦ αἰγιδέχε Διὸς τέκνον, ἀ σὺ τὰς συμβολὰς "ἐφύλαξας τῆ Διός, ὅσις πάνυ σοι πολλὰ ἐνετέλλετο τοῖς Τρωσὶ παρεσάναι κὴ βοηθεῖν, ἕως ἂν ἔλθῃ ἡ ὀψινὴ κατάδυσις τοῦ ἠλίε, σκιάσαι δὲ τὴν εὔγειον γῆν." ἔφη· κὴ ὁ μὲν πολεμικὸς Ἀχιλλεὺς ἐν τῷ μέσῳ ἐνεπήδησεν ἀπὸ τῆ κρημνοῦ πηδήσας, ἔτος δὲ ἐφωρμήθη τῷ κύματι πληθύνων, "πάντα δὲ ἐτάραξε τὰ ῥεῖθρα ταρασσόμενος, ὤθησε δὲ τὸς νεκρὸς τὸς πλείσες, οἵτινες κατ' αὐτὸν ἱκανοὶ ἦσαν, οὓς ἔκτεινεν ὁ Ἀχιλλεύς. τότες ἐξέβαλεν ἔξω, ἠχὴν ποιῶν καθάπερ ταῦρος, εἰς τὴν χέρσον· τὸς ζῶντας δὲ ἔσωζε κατὰ τὰ κάλλιςα ῥεῖθρα κρύπτων ἐν ταῖς συρροαῖς ταῖς βαθείαις κὴ μεγάλαις. "φοβερὸν δὲ περὶ τὸν Ἀχιλλέα ταρασσόμενον διηγείρετο κῦμα, ὤθει δὲ ἐν τῇ ἀσπίδι προσρηγνύμενος ὁ ῥῶς· ἐδαμῶς δὲ τοῖς ποσὶν ἐδύνατο σῆναι. ἔτος δὲ τὴν πτελεὰν ἔλαβε ταῖς χερσὶν εὐθαλῆ κὴ μεγάλην· αὕτη δὲ ἐκ ῥιζῶν πεσοῦσα ἅπαντα τὸν κρημνὸν συνέχεεν, ἐπέχε δὲ τὰ κάλλιςα ῥεῖθρα "τοῖς πεπυκνωμένοις κλάδοις, διαβατὸν δὲ ἐποίησεν αὐτὸν ἔνδον πᾶσα πεσοῦσα. οὗτος δὲ ἐκ τῆς συρροφῆς ἀνορμήσας ἐπήδησε τοῖς ποσὶν εἰς τὴν γῆν τοῖς ταχέσι φέρεσθ φοβηθείς. ἐκ ἐπαύσατο δὲ ὁ μέγας Θεός, διεγήγερτο δὲ ἐπ' αὐτῷ τὸ ἄνω μέρος τῶν κυμάτων μελαινόμενος, ἵνα παύσῃ αὐτὸν τῇ φόνε "τὸν ἔνδοξον Ἀχιλλέα, τοῖς δὲ Τρωσὶ τὸν ὄλεθρον ἀποςρέψῃ. ὁ δὲ Ἀχιλλεὺς ἐφώρμησεν ὁπόσον ἀπέρχεθ τὸ δόρυ, ἀετῆ ὥρμημα ἔχων τῇ μέλανος κὴ θηρευτικῆ, ὅσις ὁμῆ τε ἰσχυρότατος κὴ τάχιςος τῶν πετεινῶν. τότῳ ὁμοιωθεὶς ὥρμησε περὶ δὲ τοῖς σήθεσι τὰ ὅπλα "καταπληκτικὸν ἤχησεν· ἐκ πλαγίε δὲ αὐτῆ ἐκκλίνας ἔφευγεν. ἔτος δὲ ὄπιθεν ῥέων ἠκολέθει σὺν μεγάλῳ ἤχῳ. ὥσπερ δὲ ἀνὴρ ὑδραγωγὸς ἀπὸ τῆς γῆς μέλαν ὕδωρ ἐχέσης κὴ τὰ φυτὰ κὴ τὸς κήπες τὸν τῆ ὕδατος ῥῶν προηγεῖται, ταῖς χερσὶ κατέχων ἐργαλεῖον, τῆς ὑδροῤῥόης τὰ κωλύματα ἐκβάλλων· "τότε μέντοι κατερχομένε πᾶσαι αἱ μικραὶ λιθάδες συγκινῆνθ· τοῦτο δὲ ταχέως καταῤῥέον ἦχον ἀποτελεῖ ἐν γῇ κατωφερεῖ, προλαμβάνει δὲ τὸν ὑδραγωγῆντα· ἔτως ἀεὶ τὸν Ἀχιλλέα κατελάμβανε τῆ κύματος τὸ ῥεῦμα καίπερ ταχὺν ὑπάρχοντα· κρείττονες δὲ οἱ Θεοὶ τῶν ἀνδρῶν. "ὁσάκις δὲ ὥρμησεν ὁ ταχύπους κὴ ἔνδοξος Ἀχιλλεὺς σῆναι ἐξ ἐναντίας κὴ γνῶναι εἰ αὐτὸν ἅπαντες οἱ Θεοὶ διώκεσιν, οἵτινες τὸν πλατὺν ἐρανὸν οἰκοῦσι, τοσαυτάκις αὐτὸν τῆ ἐκ τῆ Διὸς ἐρχομένε ποταμῆ ἀπώθει τὲς ὤμες ὑπερώνωθεν. ἔτος δὲ εἰς ὕψος τοῖς ποσὶν ἐπήδα "τῇ ψυχῇ λυπέμενος· ὑπὸ δὲ τὰ γύνατα ὁ ποταμὸς κατεπόνει αὐτὸν ἀθρόως ἔμπροσθεν αὐτῆ ῥέων, τὴν κόνιν δὲ ὑπέσυρεν ἐκ τῶν ποδῶν αὐτῆ. ὁ δὲ Ἀχιλλεὺς ἐσέναξεν ἐμβλέψας εἰς τὸν πλατὺν ἐρανόν. "ὦ πάτερ Ζεῦ, ὡς ἑδείς με θεῶν ἐλέες ἄξιον ἠθέλησεν ἐκ τῆ ποταμῆ σῶσαι. μετὰ δὲ τοῦτο τί δεῖ με παθεῖν; "ἕτερος δέ μοι ἑδεὶς τοσῆτος αἴτιος τῶν ἐρανίων θεῶν, ἀλλ' ἢ προσφιλὴς μήτηρ ἥτις με τοῖς ψεύδεσιν ἠπάτα, ἥτις μοι ἔλεγεν ὑπὸ τῶν Τρώων τῶν εὐόπλων τῷ τείχει τοῖς ταχέσιν ἀπολέθῃ τῆ Ἀπόλλωνος βέλεσιν. εἴθε με ὤφειλεν ὁ Ἕκτωρ ἀποκτεῖναι, ὃς ἄριςος ὢν ἐνταῦθα ἀνετράφη· "ἔτως ἀνδρεῖος μὲν ἂν ἐφύνευσεν, ἀνδρεῖον δὲ ἀπέκτεινε. νῦν δέ με ἀδόξῳ θανάτῳ εἱμαρμένον καταδικασθῆναι, πνιγέντα ἐν μεγάλῳ ποταμῷ ὥσπερ παῖδα χοιροβοσκόν, ὃν δὴ χείμαρος πνίξει ἐν χειμῶνι περῶντα." ἔτως εἶπεν· ἔτοι δὲ πάνυ ταχέως ὁ Ποσειδῶν κὴ ἡ Ἀθηνᾶ "ἐγγὺς ἐλθόντες ἔζησαν· κατὰ τὸ σῶμα δὲ ἀνδράσιν ὡμοιῶντο. ταῖς χερσὶ τὴν χεῖρα λαβόντες ἐπληροφόρησαν λόγοις. ἐν τέτοις δὲ τῶν λόγων ἦρχε Ποσειδῶν κὴ ἡ Ἀθηνᾶ. "ὦ Ἀχιλλεῦ, μηδαμῶς δὴ πάνυ δειλία μηδὲ φοβῆ· τοιῆτοι γάρ σοι ἐκ τῶν θεῶν βοηθοὶ παραγινόμεθα "τῆ Διὸς συγκαταθεμένε, ἐγώ τε κὴ ἡ πολεμικὴ Ἀθηνᾶ, ὡς ἐδαμῶς σοι ἐν ποταμῷ δαμασθῆναι καθῆκον ὑπάρχει. ἀλλ' ἔτος μὲν ταχέως λήξει, σὺ δὲ αὐτὸς γνώσῃ. συνετῶς δέ σε διδάξομεν, ἐὰν ἄρα πείθῃ. μὴ πρότερον λήγειν χερσὶν τῆ ἴσε πολέμε, "πρὶν κατὰ τῆς Ἰλίε τὰ ἔνδοξα τείχη τὸν λαὸν συνελάσαι τὸν Τρωϊκόν, ὅσις ἂν διαφύγῃ. σὺ δὲ τῆ "Εκτορος τὴν ψυχὴν ἀφελὼν εἰς τὰπίσω ἐπὶ τὰς ναῦς πορεύε· παρέξομεν δέ σοι καύχημα λαβεῖν." ἔτοι μὲν δὴ ἔτως εἰπόντες πρὸς τὲς θεὲς ἐπορεύθησαν· ἔτος δὲ ἐπορεύθη — μεγάλως δὴ αὐτὸν ἡ τῶν θεῶν διήγειρε παραίνεσις — "εἰς τὸ πεδίον. πᾶν δὲ τοῦτο ἐπληρῶτο ὕδατος ἐκκεχυμένε, πλεῖςα δὲ ὅπλα κάλλιςα τῶν ἀναιρεθέντων νεωτέρων ἔπλεον κὴ νεκροί. τότε δὲ εἰς ὕψος τὰ γύνατα ἐπήδα πρὸς τὸ ῥεῦμα ὁρμῶντος ἐπ' εὐθείας. ἐδαμῶς δὲ αὐτὸν ἐκώλυσεν ὁ ῥευματώδης ποταμός, μεγάλην δὲ ἰσχὺν ἐνέβαλεν ἡ Ἀθηνᾶ. "ἐδὲ ὁ Σκάμανδρος ἐπέπαυε τὴν ἰδίαν δύναμιν, ἀλλ' ἔτι μᾶλλον ὠργίζετο τῷ Ἀχιλλεῖ, ὕψωσε δὲ τὸ κῦμα τῆ ῥείματος εἰς ὕψος διεγειρόμενος. τῷ δὲ Σιμοῆντι φωνήσας ἐκέλευεν "ὦ φίλε ἀδελφέ, τὴν δύναμιν τῆ ἀνδρὸς οἱ δύο ἐπίσχωμεν, ἐπεὶ ταχέως τὴν Πριάμε τῆ βασιλέως "ἐκπορθήσει, οἱ δὲ Τρῶες κατὰ τὴν μάχην ἐ προσμενοῦσιν. ἀλλ' ἐπικέρησον ταχύτατα κὴ πλήρωσον τὰ ῥεῖθρα ὕδατος ἐκ τῶν πηγῶν, πάντας δὲ διέγειρον τὲς χειμάῤῥες, ἀνάςησον δὲ μέγα κῦμα, πολὺν δὲ θόρυβον ἔγειρον τῶν κορμῶν κὴ λίθων, ἵνα παύσωμεν ἀνήμερον ἄνδρα, "ὅσις δὴ νῦν ὑπερνικᾷ· προθυμεῖται δὲ ἔτος ἐπ' ἴσης τοῖς Θεοῖς. οἶμαι γὼ ἔτε δύναμιν βοηθῆσαι ἔτε ἄλλο τι ἔτε κάλλιςα ὅπλα, ἅπερ που

λίαν κάτωθεν τῆς λίμνης κεῖται ὑπὸ τῶ πηλῶ κεκαλυμμένα. αὐτὸν δὲ τῶτον κατακαλύψω ψάμμῳ, ἱκανὸν φορυτὸν λιθάδος περιχέας πλεῖσον. ἐδαμῶς δὲ τὰ ὀςᾶ αὐτῶ γνώσονθ οἱ Ἕλληνες ἀναλέξαι· τοσαύτην αὐτῷ ἰλὺν ὑπεράνωθεν καλύψω. αὐτόθι αὐτῷ ϗ τάφος κατασκευαθήσεθ· ἐδαμῶς δὲ αὐτῷ χρεία γενήσεθ χωστοῦ τάφου, ὅτε αὐτὸν θάπτεσιν οἱ Ἕλληνες." ἔφη, ϗ ἐφώρμησε κατὰ Ἀχιλλέως ταραισσόμενος, εἰς ὕψος ὁρμῶν, παφλάζων τῷ τε ἀφρῷ ϗ τῷ αἵματι ϗ τοῖς νεκροῖς. τὸ δὲ πορφυρᾶν κῦμα τοῦ ἐκ Διὸς αὐξανομένε ποταμῦ ἵσατο διειρύμενον, κατελάμβανε δὲ τὸν Ἀχιλλέα. ἡ δὲ Ἥρα μεγάλως ἐβόησε περισσῶς φοβηθεῖσα διὰ τὸν Ἀχιλλέα, μή πως αὐτὸν πνίξειεν ὁ μέγας ϗ ῥευματώδης ποταμός. εὐθέως δὲ πρὸς τὸν Ἥφαιστον ἔλεγε τὸν ἑαυτῆς προσφιλῆ υἱὸν "διεγέρθητι ὦ Ἥφαιστε, τέκνον ἐμόν, ἐξ ἐναντίας· ϗ σῦ γὰρ τὸν ῥευματώδη Ξάνθον ἐν τῇ μάχῃ ἄξιον ἀνταγωνιςὴν ἡγούμεθα. ἀλλὰ βοήθησον ταχύτατα, διέγειρον δὲ φλόγα πολλήν. ἐγὼ δὲ τοῦ Ζεφύρε ϗ τῦ ταχυτάτε Νότε πορεύσομαι ἐκ τῆς Θαλάσσης δεινὴν διεγείρασα καταιγίδα, ἥτις ἂν τῶν Τρώων τὰς κεφαλὰς ϗ τὰ ὅπλα καύσῃ, φλόγωσιν κακὴν φέρουσα. σὺ δὲ παρὰ τὰς ὄχθας τῶ Ξάνθε τὰ δένδρα καῦσον ϗ αὐτὸν περίβαλε πυρί. ϗ μή σε παντελῶς προσηνέσι λόγοις ἀποτρεπέτω ϗ ἀπειλῇ. "ϗ μὴ πρότερον παῦε τὴν δύναμιν, ἀλλ' ὁπόταν δὴ φθέγξωμαι ἐγὼ βοῶσα, τότε παῦσαι τὸ πολὺ πῦρ." ἔτως εἶπεν· ὁ δὲ Ἥφαιστος παρεσκευάζετο τὸ πολὺ πῦρ. πρῶτα μὲν ἐν τῇ πεδιάδι πῦρ ἐκαίετο, ἔκαιε δὲ τὰς νεκρὰς πλείσας, οἵτινες κατ' αὐτὸν ἱκανῶς ἦσαν, οὓς ἐφόνευσεν ὁ Ἀχιλλεύς· "πᾶσα δὲ ἡ πεδιὰς ἐξηράνθη, ἐπεχέθη δὲ τὸ λαμπρὸν ὕδωρ. ὥσπερ δὲ ὁ κατὰ καιρὸν τῆς ὀπώρας Βορέας πνέων νεοπότιςον γῆν ἀναξηράνῃ ταχέως· χαίρει δὲ ἐπ' αὐτην ὅςις ἐξ ἔθες ἔχει κύπτειν· ἔτως ἐξηράνθη πᾶν τὸ πεδίον, τὰς δὲ δὴ νεκρὰς κατέκαιεν. ἔτος δὲ εἰς τὸν ποταμὸν ἔτρεψε τὴν πανταχῆ φαίνεσαν φλόγα. "ἐκαίοντό τε αἱ πτελέαι ϗ ἰτέαι ϗ αἱ μυρῖκαι, ἐκαίετο δὲ ὁ λωτὸς ϗ τὸ θρύον ϗ τὸ κύπειρον, ἅπερ περὶ τὰ κάλλιςα ῥεῖθρα τῶ ποταμῶ ἱκανῶς ἐφύετο. ἐταλαιπωρῶντο αἵ τε ἐγχέλυς ϗ ἰχθύες οἱ κατὰ τὰς συρροφάς, ϗ οἱ κατὰ τὰ κάλλιςα ῥεῖθρα ἐκολύμβων ὧδε κἀκεῖσε, "τῇ θέρμῃ καταπονέμενοι τῶ πολυβέλε Ἡφαίςε. ἐκαίετο δὲ ἡ δύναμις τῶ ποταμῶ· λόγον δὲ εἶπεν ϗ προσηγόρευσεν. "ὦ Ἥφαιστε, ἐδείς σοι τῶν θεῶν δύναθ ἐναντιῶσθ· ἐδὲ ἐγὼ ἂν σοι ἐνταῦθα σὺν τῷ καίοντι πυρὶ πολεμοίην. παύε τῆς μάχης· τοὺς δὲ Τρῶας ϗ πάλιν ὁ ἔνδοξος Ἀχιλλεὺς "τῆς πόλεως διώξειε. τίς μοι χρεία μάχης ϗ βοηθείας;" ἔφη τῷ πυρὶ φλεγόμενος, ἀνέζει δὲ τὰ κάλλιςα ῥεῖθρα. ὥσπερ δὲ λέβης βράζει ἔνδον συνωθέμενος πυρὶ πολλῷ, τὰ λίπη κατατήκων εὐτραφὲς χοίρε, πάντοθεν ἀναπέμπων· ξύλα δὲ ξηρὰ ὑπόκειθ· "ἔτω τότε τὰ καλὰ ῥεῖθρα περιεκαίετο, ἔζει δὲ τὸ ὕδωρ. οὐκ ἐδύνατο δὲ προπορεύεσθ ἀλλ' ἐκωλύετο· κατεπόνει δὲ ἡ πνοὴ τῶ Ἡφαίςε βιαίως τῶ συνετῶ. ἔτος δὲ τὴν Ἥραν πλεῖσα παρακαλῶν λόγες ταχεῖς πρὸς αὐτὴν εἶπεν. "ὦ Ἥρα, τί δή ποτε ὁ σὸς υἱὸς τὸν ἐμὸν ῥοῦν ἐπέθετο βλάπτειν "ἐκ τῶν λοιπῶν; ἐδαμῶς μέντοι ἐγὼ τόσον αἴτιός εἰμι ὅπόσον οἱ λοιποὶ πάντες, ὅσοι τῶν Τρώων βοηθοί. ἀλλ' ἐγὼ μὲν παύσομαι, ἐὰν σὺ κελεύῃς· παυσάσθω δὲ ϗ ἕτος. ἐγὼ δὲ ἐπομόσω τῶτο, μηδέποτε τοῖς Τρωσὶν ἀποδιώξειν τὸν ὄλεθρον, "μηδὲ ὁπόταν ἡ Τροία καυσικῷ πυρὶ πᾶσα φλέγηθ καιομένη, καίωσι δὲ οἱ πολεμικοὶ υἱοὶ τῶν Ἑλλήνων." ἐπεὶ δὲ τῶτο ἤκουσεν ἡ λευκοβραχίων θεά, εὐθέως πρὸς τὸν Ἥφαιστον εἶπε τὸν ἑαυτῆς προσφιλῆ υἱόν "ὦ τέκνον Ἥφαιστε ἄγαν ἔνδοξε, ἐπίχες· οὐ πρέπει "ἄφθαρτον θεὸν ἕτως ἕνεκεν φθαρτῶν ταράττεσθ." ἕτως εἶπεν· ὁ δὲ Ἥφαιστος κατέσβεσε τὸ λαμπρὸν πῦρ, εἰς τὐπίσω δὲ τὸ κῦμα κατὰ τὰ καλὰ ῥεῖθρα ὥρμησεν. ἐπεὶ δὲ τῇ Ξάνθε ἐπαύθη ἡ δύναμις, ἕτοι δὲ μετὰ ταῦτα ἐπαύσαντο· ἡ Ἥρα γὰρ ἐκώλυσε καίπερ λυπεμένη. "ἐν δὲ τοῖς ἄλλοις θεοῖς φιλονεικία συνέπεσε βαρεῖα χαλεπή· διχῶς δὲ αὐτῶν ἐν ταῖς διανοίαις ἡ ψυχὴ ὥρμητο. συνήχθησαν δὲ μεγάλῳ ψόφῳ, ἤχησε δὲ ἡ πλατεῖα γῆ, περιήχησε δὲ ὁ μέγας ὐρανός. ἤκουσε δὲ ὁ Ζεὺς καθήμενος ἐν τῷ Ὀλύμπῳ, ἐγέλασε δὲ αὐτῶ ἡ φίλη ψυχὴ "τῇ χαρᾷ, ὅτι ἑώρα τὲς θεὲς φιλονεικῶντας. τότε ἕτοι ἐκέτι ἐπὶ πολὺν χρόνον ἀφειςήκεισαν· ἡγεῖτο δὲ ὁ Ἄρης ὁ τὰ δέρματα κόπτων, ϗ πρῶτος τῇ Ἀθηνᾷ ἐφώρμησεν σιδηρᾶν δόρυ κατέχων, ϗ ὑβριςικὸν εἶπε λόγον. "τί δή ποτε ὦ ἀναιδεςάτη τὲς θεὲς εἰς μάχην συμβάλλεις, "θάρσος μέγιςον ἔχουσα; ἡ μεγάλη δέ σε προθυμία ἀνέπεισεν. ἢ οὐ μνημονεύεις ὅτε τὸν υἱὸν Τυδέως τὸν Διομήδην ἀνέπεισας τρῶσαι, αὐτὴ δὲ ὑπὸ πάντων ὁρωμένη δόρυ λαβῶσα ἐπ' εὐθείας κατ' ἐμῦ ὥρμησας, διέκοψας δὲ τὸ καλὸν σῶμα; διό σε νῦν οἶμαι ἀποδῶναι ὅσα με κατειργάσω." "οὕτως εἰπὼν ἔτρωσε κατὰ τὴν κροσσὸς ἔχουσαν αἰγίδα τὴν καταπληκτικήν, ἣν ἐδὲ ὁ τῶ Διὸς διατέμνει κεραυνός· ἐν ταύτῃ αὐτὴν Ἄρης ἔτρωσεν ὁ φόνοις μιαινόμενος δόρατι μακρῷ. αὕτη δὲ ὑποχωρήσασα λίθον ἔβαλε τῇ χειρὶ, κείμενον ἐν τῇ γῇ, μέλανα τραχύν τε ϗ μέγαν, "ὃν οἱ πρότεροι ἄνδρες ἔθηκαν ὅρον εἶναι τῆς χώρας. τότῳ ἔβαλε τὸν πολεμικὸν Ἄρην κατὰ τὴν ἀσπίδα, παρέλυσε δὲ τὰ μέλη· ἑπτὰ δὲ μέτρα κατέχε πεσών, ἐκόνισε δὲ αὐτῶ τὰς τρίχας, περιήχησε δὲ τὰ ὅπλα. ἐγέλασε δὲ ἡ πολεμικὴ Ἀθηνᾶ, ϗ ἐπ' αὐτῷ καυχωμένη λόγες ταχεῖς εἶπεν. "ὦ ἀνόητε, ἐδέπω δή ποτε ἐπέγνως ὅσον βελτίων εὔχομαι ἐγὼ ὑπάρχειν, ὅτι μοι κατὰ τὴν δύναμιν ἐξισῶσαι. ἕτως ἂν τῆς μητρὸς αἱ Ἐρινύες σε μετέλθοιεν, ἥτις σοι ὀργιζομένη κακὰ βελεύεθ, διότι τὲς Ἕλληνας κατέλιπες, τοῖς δὲ Τρωσὶ τοῖς ἐπιόρκοις βοηθεῖς." "ἔτω δὴ εἰποῦσα ἀπέρεψε τὲς λαμπρὲς ὀφθαλμές. τῶτον δὲ ἦγε τῆς χειρὸς λαβομένη ἡ φιλόγελως Ἀφροδίτη, πάνυ πυκνῶς ςενάζοντα· μόλις δὲ ἀνεκτήσατο τὴν ψυχήν. ταύτην δὲ ὡς ἐθεάσατο θεὰ ἡ λευκοβραχίων Ἥρα, εὐθέως πρὸς τὴν Ἀθηνᾶν ταχεῖς λόγες εἶπεν. "'φεῦ παπαί, τῇ αἰγιδέχε Διὸς τέκνον ἀκαταπόνητε, ϗ πάλιν δὴ ἡ ἀναιδὴς αὕτη ἄγει τὸν ἀνθρωπόλεθρον Ἄρην ἐκ τῦ διακοπτικοῦ

πολέμῳ κατὰ τὴν ταραχήν. ἀλλὰ παραγενῶ τιμωρὸς ἐπ' αὐτήν." ὥτως εἶπεν· ἡ δὲ Ἀθηνᾶ ἐφώρμησεν, ἔχαιρε δὲ τῇ ψυχῇ. καὶ δὴ ἐφορμήσασα πρὸς τὰ σήθη τῇ δυνατῇ χειρὶ Ἔτρωσε· ταύτης δὲ αὐτόθι παρελύθη τὰ γόνατα καὶ ἡ προσφιλὴς ψυχή. ἕτοι μὲν δὴ ἀμφότεροι ἔκειντο πρὸς τῇ πολλὲς τρεφόσῃ γῇ· αὕτη δὲ ἐπικαυχωμένη λόγως εἶπε ταχεῖς. "τοιῶτοι νῦν ἅπαντες ὁπόσοι τοῖς Τρωσὶ βοηθοὶ γένοιντο, ὅτε τοῖς Ἕλλησι μάχοιντο τοῖς τεθωρακισμένοις, ὥτω δὴ εὐθαρσεῖς καὶ καρτερικοὶ ὡς ἡ Ἀφροδίτη ἦλθε τῷ Ἄρει βοηθός, τῇ ἐμῇ δυνάμει ἐναντισμένη. ὥτω δὴ ἂν ἡμεῖς πάλαι ἐπαυσάμεθα τῆ πολέμῳ, τῆς Ἰλίθ πορθήσαντες τὴν καλῶς ἐκτισμένην πόλιν." "πρὸς δὲ τὸν Ἀπόλλωνα εἶπεν ὁ βασιλεύων Ποσειδῶν "ὦ Ἄπολλον, τί δὴ ἡμεῖς διέχημεν; ἐδαμῶς δὲ προσήκει τῶν ἄλλων ἀρξαμένων. τῆτο ἐφύβριζον, ἐὰν χωρὶς μάχης ἐπανέλθωμεν εἰς τὸν Ὄλυμπον πρὸς τὸ τῆ Διὸς σερεὸν οἴκημα. προηγῆ σὺ γὰ κατὰ τὸ γένος μεταγενέσερος· ἐκ ἐμοὶ γὰ "καλόν, ἐπειδὴ πρῶτος ἐγεννήθην καὶ πλείονα ἐπίσαμαι. ὦ ἀνόητε, ὡς ἄφρονα τὴν καρδίαν ὑπενόεις· ἐδὲ τάτων δὴ μιμνήσκῃ, ὅσα δὴ ἐπάθομεν κακὰ περὶ τὴν Ἴλιον μόνοι ἡμεῖς ἐκ τῶν Θεῶν, ὅτε τῷ αὐθάδει Λαομέδοντι παρὰ τῆ Διὸς ἐλθόντες ἐδηλεύσαμεν εἰς χρόνον ἐπὶ ὡρισμένῳ μισθῷ· οὗτος δὲ ἄρχων ἐνετέλλετο. καὶ ἐγὼ μὲν τοῖς Τρωσὶ περὶ τὴν πόλιν τὸ τεῖχος ᾠκοδόμησα πλατύ τε καὶ πάνυ κάλλιςον, ὅπως ἀσάλευτος ὑπάρχῃ ἡ πόλις· Ἄπολλον, σὺ δὲ τὲς εἰλῆντας τὲς πόδας βῆς ἑλικοκεράτες ἔβοσκες ἐν τοῖς Ἴδης κρημνοῖς τῆς πολυενδόξε καὶ ξυλώδες. "ἀλλ' ὅτε δὴ τὸ τῆ μισθῆ τέλος αἱ πολλὴν χαρὰν ἐμποιῆσαι Ὧραι ἀπεπλήρεν, τότε ἡμᾶς ἀπεξέρησεν ἅπαντα τὸν μισθὸν Λαομέδων ὁ ὑπερήφανος, ἀπειλήσας δὲ ἀπέπεμψε. σοὶ μὲν ἕτος ἠπείλησε τὲς πόδας καὶ τὰς χεῖρος ὑπεράνω συνδῆσαι καὶ περᾶσαι ἐπὶ τῶν πόῤῥω ἐσῶν νήσων· "διεβεβαιῆτο δὲ ἕτος ἀμφοτέρων ἀποκόψαι τὰ ὦτα σιδήρῳ. ἡμεῖς δὲ εἰς τὲπίσω ἐπορευόμεθα ὀργιζόμενοι τῇ ψυχῇ, ὑπὲρ τῆ μισθῆ λυπέμενοι ὧν ὑποχόμενος ἐκ ἀπέδωκεν. ὑπὲρ τάτε νῦν τοῖς λαοῖς χαρίζῃ, καὶ ἐχὶ μεθ' ἡμῶν ἀπόπειραν ποιῇ ὅπως ἂν οἱ Τρῶες οἱ ὑπερήφανοι ἀπόλων" "πάνυ κακῶς σὺν τοῖς παισὶ καὶ ταῖς ἐντίμοις γυναιξίν." πρὸς τῆτον δὴ αὐτίκα εἶπεν ὁ μακροβόλος Ἀπόλλων "ὦ Πόσειδον, οὐδαμῶς ἂν με σώφρονα εἴπῃς εἶναι, ἐὰν δή σοι ἕνεκεν ἀνθρώπων πολεμήσω τῶν ἀθλίων, οἳ φύλλοις ὅμοιοι ὄντες ἄλλοτε μὲν "ἄγαν θάλλοντες ὑπάρχεσι, γῆς καρπὸν ἐθίοντες, ἄλλοτε δὲ φθείρονθ' ἁψυχοι. ἀλλὰ ταχύτατα παυσώμεθα τῆς μάχης· ἕτοι δὲ αὐτοὶ φιλονεικείτωσαν." ὥτω δὴ εἰπὼν εἰς τὲπίσω ἐςρέφετο· ἠχύνετο γὰ δὴ ταῖς τῆ πατραδέλφε συμπλακῆναι χερσί. "τῆτον δὲ ἡ ἀδελφὴ πάνυ ἐφιλονείκησεν ἡ φοβερὰ τοῖς θηρσίν, Ἄρτεμις ἡ κυνηγετική, καὶ ὀνειδισικὸν εἶπε λόγον. "φεύγεις δὴ ὦ Ἄπολλον, τῷ δὲ Ποσειδῶνι τὴν νίκην πᾶσαν παρεχώρησας, ματαίαν δὲ αὐτῷ καύχησιν ἔδωκας. ὦ ἀνόητε, τί δὴ τόξον ἔχεις ἄπρακτον ματαίως; μηδαμῶς ἔτι σε νῦν πατρὸς ἐν τοῖς οἴκοις ἀκέσω καυχώμενε, ὡς τὸ πρότερον, ἐν τοῖς ἀθανάτοις θεοῖς ἐξ ἐναντίας τῆ Ποσειδῶνος ἰσοδυνάμως πολεμήσειν." ὥτως εἶπε· πρὸς ταύτην δὲ οὐδὲν εἶπεν ὁ μακροβόλος Ἀπόλλων, ἀλλ' ὀργισθεῖσα ἡ αἰδὲς ἀξία τοῦ Διὸς γυνὴ "πῶς δὲ νῦν παρωρμήθης ἀναιδεσάτη καὶ ἄφοβε ἐξ ἐναντίας μου σῆναι; φοβερά σοι ἐγὼ κατὰ δύναμιν ἐναντιοῦσθαι καίπερ τοξικῇ ὑπαρχόσῃ, ἐπεί σε ἐπικίνδυνον ταῖς γυναιξὶν ὁ Ζεὺς ἐποίησεν καὶ παρέχεν ἀποκτεῖναι ἣν ἐθέλῃς. "βέλτιον δέ σοι ἐςι κατὰ τὰ ὄρη θηρία φονεύειν καὶ ἀγρίας ἐλάφες ἢ τοῖς κρείττοσιν ἰσχυρῶς πολεμεῖν. εἰ δὲ θέλεις τὸν πόλεμον μαθεῖν, ὅπως καλῶς γνῶς ὁπόσον κρειττών εἰμί, ὅτι μοι κατὰ δύναμιν ἐναντιῶσαι." ἔφη δή, καὶ ἀμφοτέρας τὰς χεῖρας συνελάβετο τῶν καρπῶν "τῇ ἀριςερᾷ, τῇ δεξιᾷ δὲ ἀπὸ τῶν ὤμων τὰ τόξα ἀφῃρεῖτο, ἔτυπτε δὲ αὐτῆς τὰ ὦτα γελῶσα ἐπισρέφομένη· τὰ δὲ ταχέα ἔπιπτον βέλη. δεδακρυμένη δὲ μετὰ ταῦτα ἡ Θεὰ ἔφυγεν· ὥςε περισερά, ἥτις δὴ ὑπὸ ἱέρακος εἰς κοίλην πέτραν εἰσεπετάσθη "εἰς κατάδυσιν· ἐδαμῶς δὲ ταύτῃ ληφθῆναι εἱμαρμένον ἦν. ὥτως αὕτη δακρύσα ἔφυγε, κατέλιπε δὲ αὐτόθι τὰ τόξα. πρὸς δὲ τὴν Λητὼ εἶπεν Ἑρμῆς ὁ τὸν "Αργον φονεύσας "ὦ Λητοῖ, ἐγὼ δέ σοι ἐδαμῶς μαχήσομαι· χαλεπὸν γὰ σασιάζειν μετὰ τῶν γυναικῶν τῆ νεφεληγερέτε Διός. "ἀλλὰ λίαν προθύμως ἐν τοῖς ἀθανάτοις θεοῖς καυχῶ ἐμὲ νικῆσαι τῇ ἰσχυρᾷ δυνάμει." ὥτως εἶπεν· ἡ δὲ Λητὼ συνέλαβε τὰ ἐπικαμπῆ τόξα πεπτωκότα ἀλλεπάλληλα ἐν τῇ συςροφῇ τῆς γῆς. αὕτη μὲν τὰ τόξα λαβῆσα εἰς τὲπίσω ἐπορεύετο τῆς ἑαυτῆς θυγατρός· "ἡ δὲ κατέλαβε τὸν Ὄλυμπον εἰς τὸ τῆ Διὸς ἱερὸν οἴκημα, δεδακρυμένη δὲ τοῖς τῆ πατρὸς παρεκαθέζετο γόνασιν ἡ κόρη· περὶ αὐτὴν δὲ ὁ ἄφθαρτος πέπλος ἔτρεμε. ταύτην δὲ πρὸς ἑαυτὸν ἕλαβεν ὁ πατὴρ ὁ Κρόνε παῖς, καὶ ἀνηρώτα ἡδὺ γελάσας "τίς δή σε τοιαῦτα κατεπράξατο ὦ προσφιλὲς τέκνον τῶν θεῶν;" "πρὸς τῆτον δὲ αὖθις εἶπεν ἡ καλλιςέφανος ἠχητική "ἡ σὴ γαμετὴ λελύπηκεν ὦ πατερ, ἡ λευκοβραχίων Ἥρα, ἐξ ἧς τοῖς θεοῖς ἡ μάχη καὶ ἡ φιλονεικία ἐπικρέμαθ'." ὥτως ἕτοι μὲν τοιαῦτα πρὸς ἀλλήλης ἔλεγον. "ὁ δὲ καθαρὸς Ἀπόλλων κατέδυ εἰς τὴν θαυμαςὴν Ἴλιον· ἔμελε γὰ αὐτῷ διὰ τὸ εὐκατασκεύασον τεῖχος τῆς πόλεως, μή πως οἱ Ἕλληνες πορθήσειαν ὑπὲρ τὸ καθῆκον τῇ ἡμέρᾳ ἐκείνῃ. οἱ λοιποὶ δὲ πρὸς τὸν Ὄλυμπον ἐπορεύθησαν θεοὶ οἱ ἀεὶ ὑπάρχοντες, οἱ μὲν λυπέμενοι, οἱ δὲ μεγάλως χαίροντες· "ἐκαθέζοντο δὲ παρὰ τῷ πατρὶ τῷ μελαίνοντι τὰ νέφη. ὁ δὲ Ἀχιλλεὺς αὐτούς τε τὲς Τρῶας ὁμοίως διέφθορε καὶ τὲς μονώνυχας ἵππες. ὥσπερ δὲ ὅτε καπνὸς ἰὼν εἰς τὸν πλατὺν ἀρανὸν ἀφικνεῖται πόλεως καιομένης· θεῶν δὲ αὐτὸν ὀργὴ ἀνῆψε, πᾶσι δὲ ἐποίησε θλῖψιν, πολλοῖς δὲ βλάβην ἔπεμψεν· "ὥτως ὁ Ἀχιλλεὺς πόνον τοῖς Τρωσὶ καὶ φροντίδα προέπεμψεν. εἰςήκει δὲ γέρων ὁ Πρίαμος ἐπὶ τῆ θαυμαςῆ πύργε. εἰσέβλεψε τὸν Ἀχιλλέα τὸν μέγαν· ὑπ' αὐτῆ δὲ οἱ Τρῶες εὐθέως ἐκλονῆντο πεφευγότες, ἐδέ τις βοήθεια ἐγίνετο. ἕτος δὲ γενάξας ἀπὸ τῆ πύργε κατέβαινε χαμαί, "παρορμῶν

παρὰ τὸ τεῖχος τὰς ἐνδόξας πυλωρούς. "ἀνεῳγμένας ἐν χερσὶ τὰς πύλας ἔχετε, ἕως ἂν οἱ λαοὶ εἰσέλθωσι πρὸς τὴν πόλιν φεύγοντες· ὄντως γὰρ ὁ Ἀχιλλεὺς ἐγγὺς οὗτος συρφετῶν. νῦν οἱμαι ὀλέθρια γενήσεσθαι. ἐπειδὰν δὲ εἰς τὸ τεῖχος ἀναπαυθῶσι συρραφέντες, πάλιν ἐπικλεῖσαι τὰς θύρας τὰς πυκνῶς ἡρμοσμένας· δέδοικα γὰρ μή πως ὁ ὀλέθριος ἀνὴρ εἰς τὸ τεῖχος εἰσπηδήσῃ." ὅτως εἶπεν· οἱ δὲ ἀνέῳξαν τὰς πύλας καὶ ἀπώθησαν τὰς μοχλούς. αὗται δὲ ἀνοιχθεῖσαι ἐποίησαν φῶς. ὁ δὲ Ἀπόλλων ἐξ ἐναντίας ἐπῆδησε τῶν Τρώων, ὅπως τὸν ὄλεθρον ἀποσρέψαι. ὅτοι δὲ ἐπ' εὐθείας τῆς πόλεως καὶ τῷ ὑψηλῷ τείχει, κατάξηροι ὑπὸ δίψης κεκονιορτωμένοι ἀπὸ τῆς πεδιάδος ἔφευγον. ὅτος δὲ ἐσπευσμένος ἐπηκολούθει τῷ δόρατι· μανία δὲ αὐτῶν τὴν ψυχὴν ἀεὶ κατεῖχεν ἰσχυρά, προεθυμεῖτο δὲ δύξαν λαβεῖν. τότε ἂν τὴν ὑψίπυλον Τροίαν ἕλαβον οἱ Ἕλληνες, εἰ μὴ ὁ καθαρὸς Ἀπόλλων τὸν ἔνδοξον Ἀγήνορα ἀνέπεισεν, ἄνδρα τὸν υἱὸν Ἀντήνορος τὸν ἄμεμπτόν τε καὶ ἰσχυρόν. ἐν μὲν τῇ καρδίᾳ αὐτῷ εὐθάρσειαν ἐνέβαλεν, αὐτὸς δὲ αὐτῷ παρέσῃ, ὅπως ἐκ τῶν θανάτων τὰς χεῖρας ἀποκωλύσῃ, πεπρακεκαλυμμένος ὑπὸ δρυός· ἐσκέπασο δὲ ἀορασίᾳ πολλῇ. "ὅτος δὲ ὡς ἐθεάσατο τὸν Ἀχιλλέα τὸν τὰς πόλεις πορθοῦντα, ἔσῃ, πλεῖσα δὲ αὐτῷ ἡ καρδία ἐμερίμνησεν ἰσαμένη. σενάξας δὲ εἶπε πρὸς τὴν ἑαυτῶ ἀνδρείαν ψυχήν· "φεῦ μοι ἐγώ. ἐὰν μὲν δὴ ὑπὸ τῶ ἰσχυρῶ Ἀχιλλέως φεύγω ὅπερ οἱ λοιποὶ ταρασσόμενοι φεύγουσιν, λήψεταί με καὶ ὅτως ὡς ἀδύνατον καρατομήσει. ἐὰν δὲ ἐγὼ τέτας μὲν ταράσσεσθαι συγχωρήσω ὑπὸ τῶ υἱῶ Πηλέως Ἀχιλλέως, τοῖς δὲ ποσὶν ἀπὸ τῶ τείχους ἀλλαχῆ φεύγω πρὸς τὸ Ἴδιον πεδίον, ἕως ἂν παραγένωμαι Ἴδης τε κνήμας κατά τε ὀδάσεα τῆς ὕλης καταδύσω, διὰ δὲ τῆς ἑσπέρας μετὰ ταῦτα λουσάμενος ἐν τῷ ποταμῷ, τὸν ἱδρῶτα ἀπομαξάμενος πρὸς τὴν Ἴλιον ἐπανέλθοιμι. ἀλλὰ τί δή ποτέ μοι ταῦτα ἡ προσφιλὴς διελογίσατο ψυχή; μή πώς με ἀπαίροντα ἐκ τῆς πόλεως εἰς τὸ πεδίον θεάσῃ καὶ με ἐπιπηδήσας καταλάβῃ τοῖς ταχέσι ποσίν· "ἐκέτι μετὰ ταῦτα γενήσεσθαι τὸν θάνατον καὶ τὴν μοῖραν ἐκφυγεῖν. πάνυ γὰρ ἰσχυρὸς περισσῶς πάντων ἐστὶν ἀνθρώπων. ἐὰν δὲ ἔμπροσθεν αὐτῶ τῆς πόλεως κατεναντίον ἐλεύσομαι — καὶ γὰρ δὴ τέτῳ τρωτὸν τὸ σῶμα τῷ ὀξεῖ σιδήρῳ, ἑνὶ δὲ αὐτῷ μία ψυχή, θνητὸν δὲ αὐτὸν λέγουσιν ἄνθρωποι εἶναι· ὁ δὲ υἱὸς τῶ Κρόνου αὐτῷ δόξαν Ζεὺς δίδωσιν." ὅτως εἰπὼν τὸν Ἀχιλλέα συσραφεὶς ἔμενεν, ἐν αὐτῷ δὲ ἡ ψυχὴ ἡ δυνατὴ ὥρμᾶτο πολεμεῖν καὶ μάχεσθαι. καθάπερ πάρδαλις ἐξέλθοι ἐξ ὕλης βαθείης ἐξ ἐναντίας ἀνδρὸς κυνηγῶ· ἐδαμῶς τῇ ψυχῇ δειλιᾷ ἐδὲ φοβεῖται, ἐπειδὰν ὑλακὴν ἀκούσῃ, ἐάν περ καὶ καταλάβῃ αὐτήν τις ἢ τρώσῃ ἢ τοξεύσῃ, ἀλλὰ καίπερ τῷ δόρατι τετρωμένη ἐ παύεται τῆς δυνάμεως πρὶν συμβαλεῖν ἢ ἀποκτανθῆναι· ὅτως ὁ τῶ λαμπρῶ Ἀντήνορος υἱὸς εὐγενὴς Ἀγήνωρ "ἐκ ἐβάλετο φεύγειν πρὶν πεῖραν λαβεῖν τῶ Ἀχιλλέως. ἀλλ' ὅτος μὲν τὴν ἀσπίδα ἔμπροσθεν ἔχε τὴν εὔκυκλον, τῷ δόρατι δὲ κατεσοχάζετο αὐτῶ καὶ μεγάλως ἐβόα. "ὄντως δή πε λίαν ἐλπίζεις ἐν ταῖς διανοίαις ὦ λαμπρὲ Ἀχιλλεῦ ταύτῃ τῇ ἡμέρᾳ τὴν πόλιν πορθήσειν τῶν εὐγενῶν Τρώων. "νήπιε, ὄντως ἔτι πλείσας ὑπομενεῖς λύπας ἐπ' αὐτῇ· ἐν αὐτῇ γὰρ πλεῖσοι καὶ δυνατοὶ ἄνδρες ἐσμέν, οἵτινες ἔμπροσθεν τῶν φίλων γονέων καὶ τῶν γυναικῶν καὶ τέκνων τὴν Ἴλιον φυλάττομεν. σὺ δὲ ἐνταῦθα ἀποθάνῃς ὅτως ὑπερήφανος ὢν καὶ εὔθαρσὴς πολεμισής." "ἔφη δή, καὶ τὸ ὀξὺ δόρυ ἀπὸ τῆς δυνατῆς χειρὸς ἔπεμψε, καὶ δὴ ἔλαβε τὴν κνήμην ὑποκάτω τῶ γόνατος, ἐκ ἀπέτυχε δέ. περὶ αὐτὴν δὲ ἡ κνημὶς ἡ ἀπὸ νεοκατασκευάσε κασσιτέρε κάταπληκτικὸν ἤχησεν· εἰς τἀπίσω δὲ ὁ σίδηρος ὥρμησεν ἀπὸ τῶ βληθέντος τόπε καὶ ἐκ ἐπέρασε· τῶ γὰρ Ἡφαίσου ἐσάμενε. τὰ δῶρα ἐκώλυσεν. "ὁ δὲ Ἀχιλλεὺς ὥρμησε κατὰ τῶ ἰσοθέε Ἀγήνορος ἕκατος· ἐδαμῶς δὲ εἴασεν ὁ Ἀπόλλων δύξαν λαβεῖν, ἀλλ' ἐξήρπασεν αὐτὸν καὶ ἐκάλυψεν ἀορασίᾳ πολλῇ, ἄφοβον δὲ αὐτὸν ἐκ τῶ πολέμε ἐξέπεμψε πορεύεσθαι. ὅτος δὲ τὸν Ἀχιλλέα δόλῳ ἀπεῖργεν ἐκ τῶ πλήθες. "αὐτῷ γὰρ δὴ ὁ Ἀπόλλων τῷ Ἀγήνορι κατὰ πάντα ὁμοιωθεὶς ἔσῃ ἔμπροσθεν τῶν ποδῶν αὐτῶ· ὅτος δὲ ἐφώρμα τοῖς ποσὶ διώκειν. ἕως ὅτος τῶτον διὰ τῶ σιτοφόρε πεδίε ἐδίωκε τρέψας παρὰ τὸν πόταμὸν τὸν βαθύῤῥοον Σκάμανδρον, μικρὸν ἔμπροσθεν αὐτῶ φεύγοντα — δόλῳ δὲ αὐτὸν ἡπάτα ὁ Ἀπόλλων, "ὅπως ἀεὶ ἐλπίζῃ καταλήψεσθαι τοῖς ἑαυτοῦ ποσί —, τηνικαῦτα οἱ λοιποὶ Τρῶες πεφευγότες ἦλθον ἐν τῷ πλήθει περιχαρεῖς εἰς τὴν πόλιν· ἡ δὲ πόλις ἐπληρώθη τῶν ἀποκλειοθέντων. ἐδαμῶς δὲ ὅτοι ἐκαρτέρησαν ἔξω τῆς πόλεως καὶ τῶ τείχους ἐκτὸς προσμεῖναί τε ἀλλήλες καὶ γνῶναι ὅσις διέφυγε "καὶ ὅσις ἀπέθανεν ἐν τῷ πολέμῳ· ἀλλ' ἡδέως εἰσῆλθον ἀθρόως εἰς τὴν πόλιν, ὄντινα τούτων οἱ πόδες καὶ τὰ γόνατα ἔσωσαν.

X. ΕΚΤΟΡΟΣ ΑΝΑΙΡΕΣΙΣ.

ΥΠΟΘΕΣΙΣ 1. Χὶ δ' ἄρα τρὶς περὶ τεῖχος ἄγων κτάνεν Ἕκτορ' Ἀχιλλεύς.

2. Τῶν Τρώων ἐγκλεισθέντων εἰς τὴν πόλιν μόνος Ἕκτωρ ὑπομείνας Ἀχιλλέα τὸ μὲν πρῶτον φεύγει, ἔπειτα δὲ ἀνθίζαται Ἀθηνᾶς αὐτὸν πεισάσης καὶ ἀναιρεῖται. ἐξάψας δὲ αὐτὸν τῶ ἅρματος Ἀχιλλεὺς διὰ τῶ πεδίε ἐπὶ τὸν ναύσαθμον ἕλκει. οἱ δὲ κατὰ τὴν πόλιν ὀδύρονται ταῦτα ὁρῶντες ἐγκεκλεισμένοι.

Οὕτως οἱ μὲν κατὰ τὴν πόλιν ἐκπεπληγμένοι καθάπερ ἔλαφων γεννήματα τὸν ἱδρῶτα ἀνεξηραίνοντο ἔπιόν τε καὶ ἰάσαντο τὴν δίψαν, προσκεκλιμένοι τοῖς καλοῖς προμαχῶσιν· οἱ δὲ Ἕλληνες ἐγγὺς τοῦ τείχους παρεγένοντο, τοὺς ὤμους ταῖς ἀσπίσι καλύψαντες. "τὸν Ἕκτορα δὲ αὐτόθι προσμεῖναι ἡ ὀλεθρία μοῖρα ἐδέσμευσεν τῆς Ἰλίε ἔμπροσθεν καὶ τῶν Σκαιῶν πυλῶν. πρὸς δὲ τὸν Ἀχιλλέα εἶπεν ὁ λαμπρότοξος Ἀπόλλων "τί δή ποτέ με ὦ Ἀχιλλεῦ τοῖς

ταχυτάτοις ποσὶ διώκεις σὺ θνητὸς ὑπάρχων θεὸν ἄφθαρτον; ἀδέ πη δέ με ἐπέγνως ὅτι θεὸς ὑπάρχω· σὺ δὲ ἀδιαλείπτως προθυμῇ. ἦ δή σοι ἀδαμῶς μέλει τὸ κατὰ Τρώων ἔργον, ὃς ἔτρεψας, οἵτινες δὴ εἰς τὴν πόλιν ἔφευγον, σὺ δὲ ἐνταῦθα ἐχωρίσθης. ἀδαμῶς μέντοι ἀποκτενεῖς με, ἐπειδὴ ἀδαμῶς σοι μεμοιραμένος εἰμί." πρὸς τοῦτον δὲ μεγάλως ἀγανακτήσας εἶπεν ὁ ταχύπους Ἀχιλλεὺς "ἐνεπόδισάς με ὦ Ἄπολλον, πάντων θεῶν ὀλεθριώτατε, ἐνταῦθα νῦν πλανήσας ἀπὸ τῆ τείχους. ὄντως ἂν ἔτι πλεῖοι τὴν γῆν τοῖς ὀδοῦσιν ἔλαβον πρὶν εἰς τὴν Ἴλιον παραγενέσθ. νῦν δὲ ἐμὲ μεγάλην δόξαν ἀφεῖλες, τούτους δὲ ἔσωσας εὐκόλως, ἐπειδὴ ἀδαμῶς τιμωρίαν ἐφοβήθης ἐξοπίσω. "ὄντως σε ἂν ἐτιμωρησάμην, εἰ̓ν μοι δύναμις ὑπῆρχεν." οὕτως εἰπὼν πρὸς τὴν πόλιν μέγα φρονῶν ἐπορεύθη, ὁρμήσας ὥσπερ ἵππος ἀγωνιστὴς σὺν ἅρμασιν, ὅσις δὴ εὐκόλως τρέχει ἐκτεινόμενος διὰ τῆ πεδίῳ. οὕτως ὁ Ἀχιλλεὺς ταχέως τὰς πόδας καὶ τὰ γόνατα ἐκίνει. "τοῦτον δὲ Πρίαμος ὁ πρεσβύτης πρῶτος ἐθεάσατο τοῖς ὀφθαλμοῖς, πανταχῆ φαίνοντα ὡς ἀστέρα ἐπερχόμενον διὰ τῆ πεδίῳ, ὅσις κατὰ τὸν καιρὸν τῆς ὀπώρας ἀνατέλλει, λαμπραὶ δὲ αὐτῆ αἱ αὐγαὶ φαίνονται ἐν τοῖς πολλοῖς ἄστροις ἐν τῷ μέσῳ τῆς νυκτός· οὗτινα κύνα Ὠρίωνος τὸ ἐπίκλην καλοῦσιν. "λαμπρότατος μὲν ἑτός ἐστι, κακὸν δὲ σημεῖον γίνεται, καὶ φέρει ἔκκαυσιν πολλὴν τοῖς δειλαίοις ἀνθρώποις. οὕτω τότε τὰ ὅπλα ἔλαμπε περὶ τοῖς στήθεσι τρέχοντος. ἐξένυξε δὲ ὁ Πρίαμος καὶ τὴν κεφαλὴν ὅτος ἔτυψε χερσίν, εἰς ὕψος ἀνατείνας. μέγα δὲ ξενάξας ἐφώνησε "παρακαλῶν τὸν προσφιλῆ υἱόν. ὅτος δὲ ἔμπροσθεν τῶν πυλῶν εἰσήκει ἀπλήρωτον προθυμέμενος τῷ Ἀχιλλεῖ μάχεσθ. πρὸς τοῦτον δὲ ὁ γέρων ἔλεγεν ἐλεεινῶς τὰς χεῖρας ἐκτείνας "ὦ Ἕκτορ, μηδαμῶς πρόσμενε ὦ προσφιλὲς τέκνον τὸν ἄνδρα τοῦτον μόνος χωρὶς τῶν ἄλλων, ἵνα μὴ ταχέως τὸν θάνατον λάβῃς "ὑπὸ Ἀχιλλέως ἀναιρεθείς, ἐπειδὴ πολὺ κρείττων ἐστὶν ὁ ἄδικος. εἴθε τοῖς θεοῖς προσφιλὴς τοσοῦτον γένοιτο ὁπόσον ἐμοί· τάχα ἂν αὐτὸν κύνες καὶ γῦπες ἔφαγον κείμενον. οὕτως ἂν μοι ἡ δεινὴ ἀπὸ τῆς διανοίας λύπη ἀπῆλθεν. ὅσις με υἱῶν πολλῶν καὶ ἀνδρείων ἐστερημένον ἐποίησεν "ἀποκτείνων καὶ πιπράσκων ἐπ' ἀλλοδαπῶν νήσων. καὶ γὰ νῦν δύο παῖδας Λυκάονα καὶ Πολύδωρον ἐ δύναμαι ἰδεῖν τῶν Τρώων εἰς τὴν πόλιν συγκλειωθέντων, ὃς μοι ἡ Λαοθόη ἔτεκεν ἡ ὑπερέχουσα τῶν γυναικῶν. ἀλλ' εἰ μὲν ζῶσιν ἐν τῷ στρατῷ, οὕτως ἂν μετὰ ταῦτα "διὰ χαλκοῦ καὶ χρυσοῦ ἀπολυτρωσόμεθα· ὑπάρχει γὰ ἔνδον· πλεῖστα γὰ παρέχει τῷ παιδὶ ὁ ἔνδοξος γέρων "Ἀλτης. ἐὰν δὲ ἤδη τεθνήκασι καὶ ἐν τοῖς τοῦ Ἅιδου οἴκοις εἰσίν, θλῖψις τῇ ἐμῇ ψυχῇ καὶ τῇ μητρί, οἵτινες αὐτὸς ἐγεννήσαμεν, τοῖς δὲ λοιποῖς λαοῖς ὀλιγοχρονιωτέρα λύπη "γενήσεται, ἐὰν μὴ καὶ σὺ ἀποθάνῃς ὑπὸ Ἀχιλλέως ἀναιρεθείς. ἀλλ' εἰσέρχου εἰς τὸ τεῖχος ὦ τέκνον ἐμόν, ὅπως διασώσῃς τὲς Τρῶας καὶ τὰς Τρῳάδας καὶ μὴ παράσχῃς μεγάλην δόξαν τῷ Ἀχιλλεῖ, σὺ δὲ αὐτὸς τῆς προσφιλοῦς ζωῆς στερηθήσῃ. πρὸς τούτοις δὲ ἐμὲ τὸν ἄθλιον ἔτι σῶα φρονοῦντα ἐλέησον, "τὸν δυσθάνατον, ὃν δὴ ὁ πατὴρ Ζεὺς ἐπὶ τῷ τελείῳ γήρως ἐν χαλεπῇ μοίρᾳ φθάρῃ κακὰ πολλὰ θεασάμενον, τές τε υἱὺς ἀπολλυμένους καὶ τὰς θυγατέρας αἰχμαλωτισθείσας καὶ τὲς οἴκους πορθουμένους καὶ τὰ μικρὰ παιδία προσρηγνύμενα τῇ γῇ ἐν τῇ χαλεπῇ μάχῃ, "ἑλκομένας τε τὰς νύμφας ὑπὸ τῶν ὀλεθρίων χειρῶν τῶν Ἑλλήνων. ἐμὲ δ' αὐτὸν ἂν ἔχατον κύνες πρὸ τῶν πυλῶν τῶν προαυλίων ὠμοφάγοι ἑλκύσωσιν, ἐπειδάν τις ὀξεῖ σιδήρῳ κράσας ἢ τοξεύσας ἐκ τῶν μελῶν τὴν ψυχὴν λάβῃ, οὓς (κύνας) ἔτρεφον ἐν τοῖς οἴκοις ἐκ τῆς τραπέζης τρεφομένους πυλωρούς, "οἵτινες ἂν τὸ ἐμὸν αἷμα πίνοντες δυσφορῆντες τῇ ψυχῇ πεσοῦνται ἐν τοῖς προθύροις. τῷ νέῳ δὲ πάντα πρέπει ἐν πολέμῳ ἀποθανόντι, διακοπέντι ὀξεῖ σιδήρῳ κεῖσθ· κάλλιστα δὲ πάντα ἀποθανόντι κατὰ πολὺ φανήσεται. ἀλλ' ἡνίκα δὴ πολιὸν τὴν κεφαλὴν καὶ πολιὸν τὸ γένειον "αἰδοῦς ἄξιον αἰσχύνωσι κύνες ἀποκταν θέντος, τοῦτο δὴ οἰκτρὸν ὑπάρχει τοῖς ἀθλίοις ἀνθρώποις." ἔφη δὴ ὁ γέρων· τὰς δὲ πολιὰς τρίχας ἀνεῖλκε ταῖς χερσὶ κύπτων ἐκ τῆς κεφαλῆς. ἀδαμῶς δὲ τῷ Ἕκτορος τὴν ψυχὴν ἔπειθεν. ἡ δὲ μήτηρ πάλιν ἐτέρωθεν ὠδύρετο δακρυρροοῦσα, "τὸ σῆθος ἀπογυμνοῦσα· τῇ ἑτέρᾳ δὲ τὸν μαζὸν ἀνέτεινε. καὶ πρὸς αὐτὸν δακρυρροοῦσα λόγους ταχεῖς ἔλεγεν. "ὦ Ἕκτορ τέκνον ἐμόν, ταῦτά τε αἰδέσθητι καὶ ἐμὲ ἐλέησον αὐτήν, ἐάν ποτέ σοι τὸν λήθην κακῶν τοῖς παισὶν ἐμποιοῦντα μαζὸν ἐπέδωκα. τούτων ὑπομνήσθητι προσφιλὲς τέκνον, ἀποσύβησον δὲ τὸν πολεμικὸν ἄνδρα "ἐντὸς τοῦ τείχους ὑπάρχων, καὶ μὴ πρόμαχος ἴσασο τούτῳ τῷ ἀγνώμονι. ἐάν περ γάρ σε ἀποκτείνῃ, ἐκέτι σε ἐγὼ κλαύσομαι ἐν ταῖς κοίταις προσφιλὲς βλάστημα, οὗ ἕτεκον αὐτή, οὐδὲ ἡ πολλά σοι δωρησαμένη γυνή· πόρρωθεν δέ σε πολλὰ ἀφ' ἡμῶν παρὰ ταῖς τῶν Ἑλλήνων ναυσὶ κύνες ταχεῖς καταφάγονται." "ὅτως ἔτοι κλαίοντες πρὸς τὸν προσφιλῆ υἱὸν ἔλεγον πλεῖστα παρακαλοῦντες· ἀδαμῶς δὲ τῷ Ἕκτορι τὴν ψυχὴν ἔπειθον, ἀλλ' ὅτος ἔμενε τὸν Ἀχιλλέα τὸν μέγαν ἐγγὺς ἐπερχόμενον. ὥσπερ δὲ δράκων ἐπὶ τῇ καταδύσει ἐν ὄρει διατρίβων ἄνδρα μένει, φαγὼν κακοποιὰ φάρμακα, ὑπεισῆλθε δὲ αὐτὸν ὀργὴ χαλεπή, "καταπληκτικὸν δὲ βλέπει συστρεφόμενος περὶ τῇ ὀπῇ, ὅτως ὁ Ἕκτωρ ἄπαυστον ἔχων δύναμιν ἐχ ὑπεχώρει, ἐπὶ τῷ προέχοντι πύργῳ τὴν λαμπρὰν ἀσπίδα ἐρείσας. ἀμηχανήσας δὲ εἶπε πρὸς τὴν ἑαυτῆ καρτερικὴν ψυχήν "φεῦ μοι ἐγώ. ἐὰν μὲν εἰς τὰς πύλας καὶ εἰς τὰ τείχη εἰσέλθω, "ὁ Πολυδάμας μοι πρῶτος ὄνειδος προσάψει, ὅσις με ἐκέλευε τοῖς Τρωσὶ πρὸς τὴν πόλιν πορευθῆναι ὑπὸ ταύτην τὴν ὀλεθρίαν νύκτα, ὅτε ὥρμησεν ὁ ἔνδοξος Ἀχιλλεύς. ἀλλ' ἐγὼ ἐκ ἐπειθόμην· ὄντως ἂν πολὺ ὠφελιμώτερον ἦν. νῦν δὲ ἐπεὶ τὸν λαὸν ἀπώλεσα ταῖς ἐμαῖς φρενοβλαβείαις, "αἰδοῦμαι καὶ ἄνδρας καὶ γυναῖκας τὰς ἑλκύσας τὰ ἱμάτια, μή ποτέ τις εἴπῃ περὶ ἐμοῦ "ἀσθενέστερος ἄλλος ""ὁ Ἕκτωρ τῇ ἑαυτοῦ δυνάμει θαρρήσας ἀπώλεσε τὸν λαόν."" ὅτως ἐροῦσιν, ἐμοὶ δὲ τότε ἂν πολὺ ὠφελιμώτερον εἴη ἀντικρυς ἢ τὸν Ἀχιλλέα ἀποκτείναντα

ιοέπανελθεῖν "ἢ ἐμὲ ἂν αὐτὸν ἀπολέσῃ εὐκλεῶς πρὸ τῆς πόλεως. ἐὰν δὲ τὴν μὲν ἀσπίδα κατάθωμαι τὴν περιφερῆ καὶ τὴν βαρεῖαν περικεφαλαίαν, τό τε δόρυ πρὸς τὸ τεῖχος στήσας, μόνος πορευθεὶς χωρὶς ὅπλων τῷ ἀψόγῳ Ἀχιλλέως κατὰ πρόσωπον ἀπέλθω, καὶ ὑπόχωμαι αὐτῷ τὴν Ἑλένην καὶ σὺν αὐτῇ τὰ κτήματα "πάντα λίαν, ὅσα ὁ Ἀλέξανδρος ἐπὶ ταῖς βαθείαις ναυσὶν ἤγαγεν εἰς τὴν Τροίαν, ὅθενι ἐγένετο ἡ τῆς φιλονεικίας ἀρχή, δῆναι τοῖς Ἀτρέως υἱοῖς ἀγαγεῖν, ὁμοῦ καὶ χωρὶς τοῖς Ἕλλησιν τὰ λοιπὰ ἀπομερίσαντι ὅσα τε ἡ πόλις αὕτη κατέχει· τοῖς δὲ Τρωσὶ μετὰ ταῦτα τὸν ἔντιμον ὅρκον ἀπαιτήσω "μηδαμῶς τι κρύψειν ἀλλὰ διχῶς πάντα μερίσαντι, κτῆσιν ὅσην ἡ ἐπέρασος πόλις ἐντὸς κατέχει. ἀλλὰ τί δή ποτέ μοι ταῦτα ἡ προσφιλὴς ψυχὴ διελογίσατο; [μὴ ἐγὼ μὲν πορευόμενος ἀφίκωμαι παρ' αὐτόν, ὅτος δέ με ἐκ οἰκτείρῃ] ἐδὲ ἐντραπήσεται, ἀποκτενεῖ δὲ με ἄοπλον ὄντα "ὅτως ὥσπερ γυναῖκα, ἐπειδὰν τὰ ὅπλα ἀποδύσωμαι. ἐδαμῶς ἓν νῦν ὑπάρχει ἀπὸ δρυὸς ἐδὲ ἀπὸ πέτρας τέτῳ διαλέγεσθαι, καθάπερ παρθένος καὶ νέος, ἢ παρθένος καὶ ὁ νεώτερος διαλέγονται ἀλλήλοις. βέλτιον δὲ τῇ φιλονεικίᾳ συμβαλεῖν ὅτι τάχιστα· "μάθωμεν ὁποίῳ ἂν ὁ Ζεὺς καύχημα δώσει." ὅτως ἐμερίμνα μένων· ὁ δὲ Ἀχιλλεὺς ἐγγὺς αὐτὸ ἦλθεν ὁμοίως τῷ "Ἄρει τῷ τὴν περικεφαλαίαν κινοῦντι πολεμιστῇ, κραδαίνων τὸ ἀπὸ μελίας δόρυ κατὰ τὸν δεξιὸν ὦμον τὸ φοβερόν· περὶ αὐτὸ δὲ ὁ σίδηρος κατέλαμπεν ὅμοιος φωτὶ "ἢ πυρὸς καιομένῳ ἢ τῷ ἡλίῳ ἀνατέλλοντι. ὁ "Εκτωρ δὲ ὡς ἐθεάσατο, ἔλαβε τρόμος· ἐδαμῶς δὲ ἐκαρτέρησεν αὐτόθι μένειν, ὀπίσω δὲ τὰς πύλας ἀπέλιπεν, ἐπορεύθη δὲ φοβηθείς. ὁ δὲ Ἀχιλλεὺς ἐφώρμησε τοῖς ταχέσι ποσὶ θαῤῥῶν. καθάπερ ἱέραξ ἐν ὄρεσιν κεφότατος τῶν ὀρνέων "ῥᾳδίως ὥρμησε πρὸς δειλὴν περιστερήν· αὕτη δὲ ἔμπροσθεν φεύγει· ὅτος δὲ ἐγγύθεν ὀξὺν ἦχον ποιῶν συνεχῶς ἐπιτρέχει, λαβεῖν τε αὐτὴν ἡ ψυχὴ κελεύει· ὅτω δὴ ὅτος προθύμως ἐπ' εὐθείας ἔτρεχεν, ἐφοβήθη δὲ ὁ "Εκτωρ ὑπὸ τὸ τεῖχος τῶν Τρώων· ταχέως δὲ τὰ γόνατα ἐκίνει. "ὅτοι δὲ περὶ τὸ σκοπευτήριον καὶ τὴν συκῆν τὰ καταπνεύμενα διὰ τεῖχος ἀεὶ διὰ τὴν ἀμαξευομένην ὁδὸν ἔτρεχον· τὸν δὲ καλὰς ῥοὰς ἔχοντα κατελάμβανον κρουνόν, ὅπου πηγαὶ δύο ἀνέρχονται τῷ ῥευματούσῃ Σκαμάνδρῳ. ἡ μὲν γὰρ ὕδατι χλιαρῷ ῥεῖ, περὶ αὐτὴν δὲ καπνὸς "γίνεται ἐξ αὐτῆς ὡς ἀπὸ πυρὸς καιομένου· ἡ δὲ ἑτέρα ἐν θέρει προρεῖ ὁμοία ἴσα χαλάζῃ ἢ ψυχρῷ χιόνι ἢ τῷ ἐξ ὕδατος κρυσταλλῳ. ἐκεῖσε δὲ ἐπ' αὐτῆς πλυνῆρες πλατεῖς ἐγγὺς ὑπάρχουσιν, κάλλιστοι λίθινοι, ὅπου τὰ ποικίλα ἱμάτια "ἔπλυνον τῶν Τρώων αἱ γυναῖκες καὶ κάλλισται θυγατέρες τὸ πρότερον ἐπὶ τῆς εἰρήνης πρὸ τοῦ ἁλῶναι τὰς "Ἰλληνας· ὅπου δὴ παρέδραμον ὁ μὲν φεύγων δὲ διώκων ὄπιθεν. ἔμπροσθεν δὲ ἀνδρεῖος ἔφευγεν, ἐδίωκε δὲ αὐτὸν πολὺ κρείσσων ταχέως, ἐπειδὴ ὲ διὰ ἱερεῖον ἐδὲ διὰ βύρσαν "τὸν ἀγῶνα ἐποιοῦντο, ἅτινα ποσὶν ἀγωνίσματα γίνεται ἀνδρῶν, ἀλλὰ τὸν περὶ ψυχῆς ἔτρεχον τῷ ἵππικῷ "Εκτορος. ὥσπερ δὲ ἀγωνισταὶ περὶ τὰς καμπτῆρας ἰχυρόποδες ἵπποι ταχέως πάνυ τρέχουσιν, ἀπόκειται δὲ τὸ μέγα ἆθλον, ἢ λέβης ἢ γυνὴ ἀποθανόντος, "ὅτως ὅτοι ἐκ τρίτου τὴν τῷ Πριάμῳ πόλιν περιῆλθον τῷ δρόμῳ τοῖς ταχέσι ποσίν. οἱ δὲ θεοὶ πάντες ἔβλεπον. ἐν τέτοις λόγων ἀρχὴν ἐποιεῖτο ὁ τῶν ἀνδρῶν καὶ τῶν θεῶν πατήρ. "φεῦ παπαί, ὄντως προσφιλῆ ἄνδρα διωκόμενον περὶ τὸ τεῖχος τοῖς ὀφθαλμοῖς βλέπω· ἡ ἐμὴ δὲ λυπεῖται ψυχὴ "ὑπὲρ τῷ Ἕκτορος, ὅσις μοι πλεῖσα βοῶν μηριαῖα ὀξᾶ ἐπέκαυσεν ἐν ταῖς κορυφαῖς τῆς "Ἰδης τῆς πολυεξόχου, ἄλλοτε δὲ πάλιν ἐν τῇ ἀκροπόλει· νῦν δὲ αὐτὸν ὁ εὐγενὴς Ἀχιλλεὺς περὶ τὴν τῷ Πριάμῳ πόλιν τοῖς ταχέσι ποσὶ διώκει. ἀλλὰ φέρετε συνίετε ὦ θεοὶ καὶ βουλεύσασθε, "ἢ αὐτὸν ἐκ τῷ θανάτῳ σώσομεν ἢ αὐτὸν νῦν ὑπὸ τῷ υἱῷ Πηλέως Ἀχιλλέως ἐάσομεν ἀναιρεθῆναι ἀνδρεῖον ὄντα." πρὸς τῦτον δὲ εἶπεν ἡ εὐόφθαλμος θεὰ Ἀθηνᾶ "ὦ ταχυκέραυνε πάτερ, τὰ νέφη μελαίνων, ὁποῖον εἶπες. ἄνδρα θνητὸν ὄντα πάλαι εἱμαρμένον μοίρᾳ "εἰς τὸπίσω θέλεις ἐκ θανάτῳ τῷ κακοήχου ἀναῤῥίφεσθαι; πρᾶττε· οὐδαμῶς δέ σοι πάντες οἱ λοιποὶ θεοὶ συγκατατιθέμεθα." πρὸς ταύτην δὲ ἀνταποκρινόμενος εἶπεν ὁ νεφελοποιὸς Ζεύς "θάῤῥει ὦ φίλον τέκνον Ἀθηνᾶ· ἐδαμῶς δή σοι ἀπὸ ψυχῆς προθύμως ταῦτα λέγω, θέλω δέ σοι πρᾶος εἶναι. "πρᾶξον ὡς βέλει, μηδὲ ἔτι ἀποπαύου." οὕτως εἰπὼν παρώρμησε πρότερον προθυμουμένην τὴν Ἀθηνᾶν· ἐπορεύθη δὲ διὰ τῶν τοῦ Ὀλύμπου ἀκρωτηρίων ὁρμήσασα. τὸν "Εκτορα δὲ ἀδιαλείπτως κλονῶν ἐδίωκεν ὁ ταχὺς Ἀχιλλεύς. ὥσπερ δὲ ἐν ὄρεσι γέννημα ἐλάφου κύων διώξει, "διεγείρας ἐκ τῆς κοίτης, διὰ κοίλων καὶ βασίμων τόπων· τῦτον δὲ εἴπερ καὶ λάθῃ κρυβεὶς ὑπὸ συμφύτῳ τόπῳ καὶ ὑλώδει, ἀλλ' ἀνιχνηλατῶν τρέχει συνεχῶς, ἕως ἂν εὕρῃ· ὅτως ὁ "Εκτωρ ἐκ ἐλάνθανε τὸν ταχὺν Ἀχιλλέα. ὁσάκις δὲ ὥρμησεν ἐπὶ τὰς Δαρδανίους πύλας "ἀντικρὺ ὁρμῆσαι ὑπὸ τοὺς εὐκτίστους πύργους, εἴ πως αὐτῷ ἄνωθεν βοηθοῖεν τοῖς βέλεσιν, τοσαυτάκις αὐτὸν ἔμπροσθεν ἀπέστρεφεν προσλαμβάνων πρὸς τὸ πεδίον· αὐτὸς δὲ πρὸ τῆς πόλεως ἀεὶ ἐπέτετο. ὥσπερ ὄναρ ὁράματι ὲ δύναται τὸν φεύγοντά τις διώκειν, "ὅτε δὴ ὅτος τῦτον ἐκφυγεῖν δύναται ὅτε ὅτος διώκειν, ὅτως ὅτος τῦτον ἐκ ἐδύνατο καταλαβεῖν τοῖς ποσὶν ἐδὲ ὅτος ἐκφυγεῖν. πῶς δ' ἂν ὁ "Εκτωρ τὰς θανατηφόρας μοίρας ὑπεξέφυγεν, εἰ μὴ τελευταῖον αὐτῷ καὶ ἔχατον ἐνέτυχεν ὁ Ἀπόλλων ἐκ τῆ σύνεγγυς, ὅσις αὐτῷ παρέχε δύναμιν καὶ ταχέα γόνατα. "τοῖς ὄχλοις δὲ τῇ κεφαλῇ ἀπέτρεπεν ὁ ἔνδοξος Ἀχιλλεύς, ἐδὲ συνεχώρει πέμπειν ἐπὶ "Εκτορι τὰ πικρὰ βέλη, μή πώς τις ἐπιτυχὼν τὴν δόξαν λάβῃ, ὅτος δὲ ἀδοξότατος φανῇ. ἀλλ' ἡνίκα δὴ τὸ τέταρτον ἐπὶ τὲς κρουνὸς ἦλθον, καὶ τότε δὴ τὰ χρυσᾶ ὁ Ζεὺς ἐξέτεινε ζυγά, "ἐνέβαλε δὲ δύο μοίρας τῷ μακροκοιμήτῳ θανάτῳ, τὴν μὲν Ἀχιλλέως τὴν δὲ τῷ "Εκτορος τῷ ἱππικοῦ. εἶλκε δὲ λαβὼν ἐκ τοῦ μέσου· ἐβάρει δὲ τῷ "Εκτορος ἡ πεπρωμένη ἡμέρα, ἐπορεύθη δὲ ἕως Ἅιδου· κατέλιπε δὲ αὐτὸν ὁ Ἀπόλλων. εἰς δὲ τὸν Ἀχιλλέα ἀφίκετο ἡ εὐόφθαλμος θεὰ Ἀθηνᾶ,

πλησίον δὲ στᾶσα λόγους ταχυτάτους εἶπε. "νῦν δὴ ἡμᾶς ἐλπίζω προσφιλέστατε τῷ Διὶ Ἀχιλλεῦ κομίσασθαι μεγάλην δόξαν τοῖς Ἕλλησι πρὸς τὰς ναῦς, τὸν Ἕκτορα διακόψαντες τῆς μάχης καίπερ ἀκόρεστον ὄντα. ἀδύνατον αὐτῷ ἐστὶ νῦν διαφυγεῖν ἡμᾶς καὶ ἀποδρᾶσαι, οὐδὲ ἂν πάνυ πολλὰ κοπιάσῃ ὁ κακόβολος Ἀπόλλων πρὸ τῶν ποδῶν κυλινδέμενος τοῦ αἰγιδούχου πατρὸς Διός. ἀλλὰ σὺ μὲν στῆθι νῦν καὶ ἀναπαύου· τοῦτον δὲ ἐγὼ σοι πορευθεῖσα πείσω κατὰ πρόσωπον μαχέσασθαι." οὕτως εἶπεν ἡ Ἀθηνᾶ· οὗτος δὲ ἐπείσθη, ἔχαιρε δὲ τῇ ψυχῇ, ἔστη δὲ ἐπὶ τοῦ δόρατος τοῦ χαλκᾶς γωνίας ἔχοντος στηριχθείς. ἡ δὲ Ἀθηνᾶ τοῦτον μὲν ἀπέλιπεν, κατέλαβε δὲ τὸν ἔνδοξον Ἕκτορα τῷ Δηϊφόβῳ ὁμοιωθεῖσα τὸ σῶμα καὶ τὴν ἀδάμαστον φωνήν. ἐγγὺς δὲ ἱσταμένη λόγους ταχεῖς ἔλεγεν. "ὦ ἀδελφέ, ὄντως δή σε πάνυ βιάζεται ὁ ταχὺς Ἀχιλλεὺς περὶ τὴν τοῦ Πριάμου πόλιν τοῖς ταχέσι ποσὶ διώκων. ἀλλὰ φέρε δὴ στῶμεν καὶ ἀποσοβήσωμεν μένοντες." πρὸς ταύτην δὲ εἶπεν ὁ μέγας καὶ εὔοπλος Ἕκτωρ "ὦ Δηΐφοβε, ὄντως μέν μοι πρότερος κατὰ πολὺ φίλτατος ὑπῆρχες τῶν ἀδελφῶν, οὓς ἡ Ἑκάβη καὶ ὁ Πρίαμος ἔτεκε παῖδας· νῦν δὲ ἔτι καὶ μᾶλλον βούλομαι ταῖς διανοίαις τιμῆσαί σε, ὅστις ἐτόλμησας ἕνεκεν ἐμοῦ, ἐπεὶ τοῖς ὀφθαλμοῖς ἐθεάσω, τοῦ τείχους ἐξελθεῖν, οἱ δὲ λοιποὶ ἔσω προσμένουσιν." πρὸς τοῦτον δὲ αὖθις εἶπεν ἡ εὐόφθαλμος Ἀθηνᾶ "ὦ τίμιε, ὄντως πολλὰ μὲν ὁ πατὴρ καὶ ἡ σεβασμία μήτηρ ἐλιπάρουν ἐφεξῆς ἱκετεύοντες, σὺν τούτοις δὲ καὶ οἱ φίλοι, αὐτόθι μένειν· οὕτω γὰρ ὑποπτήσσουσιν ἅπαντες. ἀλλ' ἡ ἐμὴ ἔνδοθεν ψυχὴ ἐτιμωρεῖτο πένθει χαλεπῷ. νῦν δὲ ἐπ' εὐθείας πρόθυμοι μαχώμεθα, μηδαμῶς δὲ τῶν δοράτων ἔστω φειδώ, ὅπως γνῶμεν ἐὰν ὁ Ἀχιλλεὺς ἡμᾶς ἀποκτείνας τὰ ᾑμαγμένα σκῦλα κομίσηται ἐπὶ τὰς βαθείας ναῦς, ἢ σὺν τῷ σῷ δόρατι ἀναιρεθῇ." οὕτως εἰποῦσα ἐν πονηρίᾳ καὶ ἀπάτῃ προηγήσατο ἡ Ἀθηνᾶ. οὗτοι δ' ἡνίκα ἐγγὺς ἐγένοντο ἀλλήλοις ἐπιόντες, πρὸς τοῦτον πρότερος εἶπεν ὁ μέγας καὶ εὔοπλος Ἕκτωρ. "οὐδαμῶς σε ἔτι ὦ Ἀχιλλεῦ φοβήσομαι, ὡς τὸ πρότερον τρίτον περὶ τὴν μεγάλην πόλιν τοῦ Πριάμου ἐδίωκες, οὐδαμῶς δὲ ἐκαρτέρησα προσμεῖναι ἐπιδιώκοντα. νῦν δέ με ἡ ψυχὴ ἀνέπεισε στῆναι κατὰ πρόσωπόν σου, κτείναιμι ἂν ἢ κτανθείην. ἀλλὰ φέρε ἐνταῦθα θεοὺς ὀμόσωμεν· οὗτοι γὰρ κάλλιστοι μάρτυρες γενήσονται καὶ ἔφοροι τῶν συνθηκῶν. οὐ γὰρ ἐγώ σε ἀπρεπῶς καθυβρίσω, ἐάν μοι ὁ Ζεὺς παράσχῃ κατὰ μόνας νίκην καὶ τὴν σὴν ἀφέλωμαι ψυχήν· ἀλλ' ἐπειδὰν σκυλεύσω τὰ ἔνδοξα ὅπλα ὦ Ἀχιλλεῦ, τὸ σῶμα τοῖς Ἕλλησιν εἰς τοὐπίσω δώσω. οὕτω δὲ καὶ σὺ πράττειν." πρὸς τοῦτον δὲ δραστικῶς ὑπιδὼν εἶπεν ὁ ταχύπους Ἀχιλλεὺς "ὦ Ἕκτορ, μηδαμῶς μοι πάντως συνθήκας καὶ πλάνας ἀγόρευε. καθάπερ οὐχ ὑπάρχει λέουσι καὶ ἀνδράσιν ὅρκοι πιστοί, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα ψυχὴν ἔχουσιν, ἀλλὰ κακοποιὰ φρονοῦσι δι' ὅλου κατ' ἀλλήλων, οὕτως οὐκ ἔστιν ἐμὲ καὶ σὲ φιληθῆναι· οὐδέ τι ἡμῖν ὅρκοι γενήσονται πρὶν ἢ τὸν ἕνα πεσόντα αἵματος πληρῶσαι τὸν σίδηρον τὸν καρτερικὸν πολεμιστήν. πάσης ἐμπειρίας πολεμικῆς μνείαν ποιοῦ· ἀρτίως δὲ πάνυ πρέπει θρασυκάρδιον εἶναι καὶ ἰσχυρὸν πολεμιστήν. οὐδαμῶς σοι ἔσται ὑπεκφυγή· ταχέως δέ σε ἡ πολεμικὴ Ἀθηνᾶ τῷ ἐμῷ δόρατι θανατώσει· νῦν δὲ ὁμοῦ πάντα ἀποδώσεις τὰ ἄλγη τῶν ἐμῶν ἑταίρων, οὓς ἀνεῖλες τῷ δόρατι ὁρμῶν." ἔφη δή, καὶ ἀνατείνας προέπεμψε τὸ μακροπόρευτον δόρυ. καὶ τοῦτο μὲν ἐξ ἐναντίας ἰδὼν ἐξέκλινεν ὁ λαμπρὸς Ἕκτωρ· ἐκάθισε γὰρ προϊδών, τὸ δὲ σιδηροῦν δόρυ ὑπερεπετάσθη καὶ ἐν τῇ γῇ ἐπάγη. ἀνήρπασε δὲ αὐτὸ ἡ πολεμικὴ Ἀθηνᾶ, πάλιν δὲ τῷ Ἀχιλλεῖ ἐδίδου, ἔλαθε δὲ τὸν βασιλέα τῶν ὄχλων. ὁ δὲ Ἕκτωρ ἐφθέγξατο πρὸς τὸν ἀμώμητον Ἀχιλλέα "ἀπέτυχες. οὐδέπω ὦ θεοῖς ὅμοιε Ἀχιλλεῦ ἐκ τοῦ Διὸς ᾔδεις τὸν ἐμὸν θάνατον, καίτοι ἔλεγες. ἀλλὰ περιεσκεμμένος τις καὶ πανοῦργος ἐγένου διὰ λόγων, ὅπως σε ὑποπτήρας τῆς δυνάμεως καὶ τῆς μάχης λήθην λάβω. οὐδαμῶς μέντοι φεύγοντί μοι ἐν τῷ μεταφρένῳ τὸ δόρυ πήξεις· ἀλλ' ἐπ' εὐθείας προθυμουμένῳ διὰ τῶν στηθῶν τρῶσον, ἐάν σοι παρέχῃ ὁ θεός. νῦν δὲ ἐμὸν δόρυ παραφυλάττου τὸ σιδηροῦν. εἴθε δὴ αὐτὸ ἐν τῷ σῷ ὑποδέξῃ σώματι· καὶ δὴ εὐκολώτερον ὁ πόλεμος τοῖς Τρωσὶ γενήσεται σοῦ καταφθαρέντος· σὺ γὰρ αὐτοῖς βλάβη μεγίστη." εἶπε δή, καὶ ἀνατείνας προέπεμψε τὸ μακροπόρευτον δόρυ, καὶ ἔτυχε τοῦ Ἀχιλλέως κατὰ μέσην τὴν ἀσπίδα, οὐδὲ ἀπέτυχεν· πόῤῥω δὲ τῆς ἀσπίδος ἀπεπλανήθη τὸ δόρυ. ὠργίσθη δὲ ὁ Ἕκτωρ ὅτι δὴ αὐτοῦ τὸ ὀξὺ βέλος μάταιον ἐξέφυγεν ἐκ τῆς χειρός. ἔστη δὲ στυγνάσας· οὐκ εἶχε γὰρ ἕτερον δόρυ. τὸν Δηΐφοβον δὲ ἐκάλει τὸν λαμπρὰν ἀσπίδα ἔχοντα μέγα βοήσας, ἐξῄτει δὲ αὐτὸν δόρυ μακρόν· οὗτος δὲ οὐδαμῶς αὐτοῦ ἐγγὺς ἦν. ὁ δὲ Ἕκτωρ ἐνόησεν ἐν ταῖς ἑαυτοῦ διανοίαις, καὶ ἐβόησε "φεῦ παπαί, ὄντως πάνυ δή με οἱ θεοὶ ἐπὶ θάνατον ἐκάλεσαν· τὸν γὰρ Δηΐφοβον ᾤμην ἐγὼ τὸν ἀνδρεῖον παρεῖναι· ἀλλ' οὗτος μὲν ἐν τῷ τείχει ἐστίν, ἐμὲ δὲ ἡ Ἀθηνᾶ ἐξηπάτησε. νῦν δὲ δή μου ἐγγὺς ὁ θάνατος ὁ κακὸς καὶ οὐκέτι πόῤῥωθεν, οὐδὲ ἀποφυγή· ὄντως γὰρ δὴ πάλαι τοῦτο ἥδιον ὑπῆρχε τῷ Διὶ καὶ τῷ υἱῷ τοῦ Διὸς τῷ Ἀπόλλωνι, οἵτινές με πρότερον πρόθυμοι ἐῤῥύοντο· νῦν δέ με ἡ εἱμαρμένη καταλαμβάνει. μηδαμῶς οὖν χωρὶς κακοπαθείας καὶ ἀδόξως ἀναιρεθείην, ἀλλὰ μέγα τι πράξας καὶ τοῖς γεννηθησομένοις ἀκουσθῆναι." οὕτω δὴ εἰπὼν εἵλκυσε τὸ ὀξὺ ξίφος, ὃ ὑπὸ τῶν αὐτοῦ μηρῶν ἐκρέματο μέγα τε καὶ ἰσχυρόν, ὥρμησε δὲ ἐπιστραφεὶς ὥσπερ ἀετὸς ὑψιπέτης, ὅστις ἔρχεται εἰς τὸ πεδίον διὰ τῶν σκοτεινῶν νεφῶν ἁρπάζων ἢ ἄρνα ἁπαλὸν ἢ δειλὸν λαγωόν. οὕτως ὁ Ἕκτωρ ὥρμησε σείων τὸ ξίφος. ὥρμησε δὲ καὶ ὁ Ἀχιλλεύς, δυνάμεως δὲ ἐνέπλησε τὴν ψυχὴν ἀνημέρου· ἔμπροσθεν δὲ τὴν ἀσπίδα τὸ στῆθος ἐσκέπασε τὴν καλλίστην καὶ ποικίλην· τῇ δὲ λαμπρᾷ περικεφαλαίᾳ ἐπένευσε, τῇ τέσσαρας ἐχούσῃ φάλους· αἱ δὲ καλαὶ τρίχες περιεσείοντο, αἱ χρυσαῖ, ἃς ὁ Ἥφαιστος ἐπέβαλεν ἐπὶ τὸ ἀνάστημα τῆς περικεφαλαίας συχνῶς. ὁποῖος δὲ ἀστὴρ πορεύεται ἐν τοῖς ἄστροις ἐν τῷ μέσῳ τῆς νυκτὸς ὁ ἑσπέριος, ὅστις κάλλιστος ἐν τῷ οὐρανῷ ἵσταται ἀστήρ, οὕτω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ἐπιδορατίδος ἀπέλαμπε καλῶς ἠκονημένης, ἣν δὴ ὁ Ἀχιλλεὺς ″ἔσειεν ἐν τῇ δεξιᾷ κακὰ φρονῶν κατὰ τȣ̃ θείȣ Ἕκτορος, εἰσβλέπων τὸ καλὸν σῶμα, ὅπȣ κατὰ πολὺ χωρήσειεν. τούτȣ δὴ τὸ μὲν λοιπὸν σῶμα τὰ σιδηρᾶ ὅπλα ἐκάλυπτε, τὰ κάλλιςα, ἃ τὸν Πάτροκλον ἀφείλετο ἀποκτείνας· ἐφαίνοντο δὲ καθ᾽ ὃ μέρος αἱ κατακλεῖδες ἀπὸ τῶν ὤμων αἳ τὸν αὐχένα ἔχουσιν ″τοῦ λαιμοῦ, ὅπȣ τε τῆς ψυχῆς ταχύτατος γίνεται θάνατος. ἐκεῖ ἐπ᾽ αὐτῷ προθυμούμενος ἔτρωσε τῷ δόρατι ὁ θεῖος Ἀχιλλεύς. ἐξ ἐναντίας δὴ διὰ τȣ̃ τραχήλȣ διῆλθεν ἡ ἐπιδορατίς. οὐδαμῶς δὲ ὅλον τὸν φάρυγγα τὸ δόρυ ἀπέτεμεν τὸ βαρούμενον τῷ σιδήρῳ, ὅπως πρὸς αὐτὸν εἴποι τι ἀνταποκρινόμενος λόγοις. ″ἔπεσε δὲ ἐν τῇ γῇ· ὁ δὲ ἔνδοξος Ἀχιλλεὺς ἐκαυχήσατο. ″ὦ Ἕκτορ, ἔλεγές πȣ ἴσως φονεύων τὸν Πάτροκλον σῶος ἔσεσθαι, ἐμὲ δὲ ȣ̓δὲν ἐφρόντιζες πόῤῥω ὄντα. ὦ ἀνόητε, τοιȣ̃τος δὲ ἄποθεν βοηθὸς μεγάλως κρείττων ἐπὶ ταῖς βαθείαις ναυσὶν ἐγὼ μετὰ ταῦτα ὑπελείφθην, ″ὅςις σȣ παρέλυσα τὴν δύναμιν. καὶ σὲ μὲν κύνες καὶ ὄρνεα ἑλκύσȣσιν αἰκιςικῶς, τȣ̃τον δὲ θάψȣσιν οἱ Ἕλληνες.″ πρὸς τȣ̃τον δὲ ὀλιγοδυναμῶν εἶπεν ὁ εὔοπλος Ἕκτωρ ″ἱκετεύω σε πρὸς τῶν γονάτων καὶ τῆς ψυχῆς καὶ τῶν σῶν γεννητόρων, μηδαμῶς ἐμὲ ἐάσῃς παρὰ ταῖς ναυσὶ τȣ̀ς κύνας καταφαγεῖν τῶν Ἑλλήνων· ″ἀλλὰ σὺ μὲν χαλκόν τε ἱκανὸν καὶ χρυσὸν ἀπόδεξαι, δῶρα ἅπερ σοι παρέξȣσιν ο πατὴρ καὶ ἡ σεβασμία μήτηρ· τὸ δὲ ἐμὸν σῶμα εἰς τὸν οἶκον πάλιν ἀπόδος, ὅπως διὰ πυρός με οἱ Τρῶες καὶ αἱ γυναῖκες τȣ́των θάψȣσιν ἀποθανόντα.″ πρὸς τȣ̃τον δὲ δραςικῶς ὑπιδὼν εἶπεν ὁ ταχύπȣς Ἀχιλλεύς ″″μηδαμῶς ἐμὲ ὦ κύον πρὸς τῶν γονάτων ἱκέτευε μηδὲ πρὸς τῶν γονέων. εἴθε γάρ πως ἐμὲ αὐτὸν ἡ δύναμις καὶ ἡ ψυχὴ ἀνέπεισεν ὠμὰ τὰ κρέατα ἀποτεμόντα ἐσθίειν, ὁποῖά με εἰργάσω. ὅτι ȣ̓κ ἔςαι ὅςις τȣ̀ς κύνας τῆς σῆς κεφαλῆς ἀποκωλύσοι, οὐδὲ ἐὰν δεκαπλασίονα καὶ εἰκοσάκις ἐξισȣ́μενα δῶρα ″παραςήσωσιν ἐνταῦθα φέροντες, ὑπόσχωνται δὲ καὶ ἕτερα· ȣ̓δὲ ἐὰν σαυτὸν χρυσῷ ἀντιςαθμίσαι θελήσῃ ὁ Δαρδάνου παῖς Πρίαμος. ȣ̓δ᾽ ȣ̃τω σε ἡ σεβασμία μήτηρ ἐνθεῖσα τῇ κοίτῃ θρηνήσει, ὃν αὐτὴ ἐγέννησεν, ἀλλὰ κύνες τε καὶ ὄρνεα καταμερίσονται πάντα.″ ″πρὸς τȣ̃τον δὲ ἀποθνήσκων εἶπεν ὁ εὔοπλος Ἕκτωρ ″ὄντως σε καλῶς εἰδὼς προορῶ. ȣ̓δαμῶς δὲ ἔμελλον πείσειν· ὄντως γάρ σοι ἐν ταῖς διανοίαις σιδηρᾶ ἡ ψυχή. σκέπτȣ νῦν μή πώς σοί τις τῶν θεῶν αἴτιος γίνωμαι τῇ ἡμέρᾳ ἐπείνῃ, ὁπόταν σε Πάρις καὶ ὁ καθαρὸς Ἀπόλλων ″ἀνδρεῖον ὄντα ἀπολέσωσιν ἐν ταῖς Σκαιαῖς πύλαις.″ ȣ̃τω δὴ εἰπόντα τὸ τȣ̃ θανάτȣ τέλος ἐκάλυψεν· ἡ δὲ ψυχὴ ἐκ τῶν μελῶν ἀποπτᾶσα εἰς τὸν Ἅιδην ἐπορεύθη, τὴν ἰδίαν τελευτὴν θρηνȣ̃σα, λιπȣ̃σα τὴν ἀνδρίαν καὶ τὴν ἀκμήν. πρὸς τȣ̃τον δὲ ἀποθανόντα εἶπεν ὁ θαυμαςὸς Ἀχιλλεὺς ″″θνῆξον· ἐγὼ δὲ τὸν θάνατον ἐπισπάσομαι, ὁπότ᾽ ἂν δὴ ὁ Ζεὺς θελήσῃ τελειῶσαι καὶ οἱ λοιποὶ θεοί.″ εἶπε, καὶ ἐκ τȣ̃ νεκρȣ̃ εἵλκυσε τὸ σιδηρȣ̃ν δόρυ, καὶ τȣ̃το ἄποθεν ἔθηκεν· ȣ̃τος δὲ ἀπὸ τῶν ὤμων τὰ ὅπλα ἀφῃρεῖτο ᾑμαγμένα. οἱ δὲ λοιποὶ συνέδραμον Ἕλληνες, ″οἳ καὶ ἐθαύμασαν ἡλικίαν καὶ εἶδος θαυμαςὸν τȣ̃ Ἕκτορος. ȣ̓δαμῶς δὲ αὐτῷ τις χωρὶς τȣ̃ ἐπιτιτρώσκειν παρέςη. ȣ̃τω δέ τις εἶπεν ἐπιβλέψας εἰς ἕτερον πλησίον ″φεῦ φεῦ, ὄντως δὴ πάνυ ἁπαλώτερος ψηλαφᾶσθαι ὁ Ἕκτωρ παρ᾽ ὁπότε τὰς ναῦς ἐνέπρησε πυρὶ καυςικῷ.″ ″ȣ̃τω δή τις ἔλεγε καὶ ἐτίτρωσκε παραςάς. ἐπεὶ δὲ τȣ̃τον ἐσκύλευσεν ὁ ταχύπȣς καὶ θαυμαςὸς Ἀχιλλεύς, ςὰς ἐν τοῖς Ἕλλησι λόγȣς ταχεῖς ἔλεγεν. ″ὦ προσφιλέςατοι τῶν Ἑλλήνων ἡγεμόνες καὶ βασιλεῖς, ἐπειδὴ τȣ̃τον τὸν ἄνδρα οἱ θεοὶ παρέχον φονευθῆναι ″ὅςις πολλὰ κακὰ ἔπραττεν, ὁπόσα ȣ̓χ οἱ λοιποὶ ἅπαντες, νῦν φέρετε περὶ τὴν πόλιν σὺν ὅπλοις πειραθῶμεν, ὅπως ἂν γνῶμεν ἔτι τὸν τῶν Τρώων νȣ̃ν, ὅντινα ἔχȣσιν, ἆρα καταλείψȣσι τὴν ἀκρόπολιν τȣ́τȣ ἀποθανόντος, ἢ μένειν προθυμȣ̃νται καὶ τȣ̃ Ἕκτορος ȣ̓κέτι ὄντος. ″ἀλλὰ τί δή ποτέ μοι ταῦτα ἡ προσφιλὴς ψυχὴ διελογίσατο; κεῖται παρὰ ταῖς ναυσὶ νεκρὸς ἀθρήνητος ἄταφος ὁ Πάτροκλος. τȣ́τȣ δὲ ȣ̓κ ἐπιλάθωμαι, ἕως ἂν ἔγωγε ἐν τοῖς ζῶσιν ὑπάρχω καὶ τὰ προσφιλῆ μȣ γόνατα ὁρμᾷ. εἴπερ δὲ τῶν θανόντων ἐπιλανθάνονται ἐν Ἅιδῃ, ″ἐγὼ δὲ κἀκεῖσε τȣ̃ προσφιλȣ̃ς ἑταίρȣ μνησθήσομαι. νῦν δὲ φέρε ᾄδοντες ὕμνον οἱ νεώτεροι τῶν Ἑλλήνων ἐπὶ ταῖς βαθείαις ναυσὶ πορευθῶμεν καὶ τȣ̃τον ἀγάγωμεν. ἐκτησάμεθα μεγάλην δόξαν, ἐφονεύσαμεν τὸν μέγαν Ἕκτορα, ᾧ τινὶ οἱ Τρῶες κατὰ τὴν πόλιν ὡς θεῷ ηὔχοντο.″ ″εἶπε δή, καὶ τὸν μέγαν Ἕκτορα ἀπρεπῆ ἐβȣλεύετο ἔργα. ἀμφοτέρων ἐξόπισθεν τῶν ποδῶν ἐτρύπησε τὰ νεῦρα ἀπὸ τȣ̃ σφυρȣ̃ ἕως τῆς πτέρνης, βοείȣς δὲ ἔδησε λώρȣς, ἐκ τȣ̃ ἅρματος δὲ προσέδησε, τὴν κεφαλὴν δὲ σύρεσθαι εἴασεν· εἰς τὸ ἅρμα δὲ ἀναβάς, ἀναλαβὼν καὶ τὰ ἔνδοξα ὅπλα, ″ἐμάςιξεν ἐλαύνειν· ȣ̃τοι δὲ ἑκόντες ἐπετάσθησαν. τούτου δὲ ἑλκομένȣ ἀνήρχετο κονιορτός, αἱ δὲ τρίχες αἱ μέλαιναι ἐπλησίαζον τῇ γῇ, ἡ κεφαλὴ δὲ ἅπασα ἐν τῇ γῇ ἔκειτο ἡ πρὸ τούτου κεχαριτωμένη· τότε δὲ ὁ Ζεὺς τοῖς ἐχθροῖς ἔδωκε καθυβρίσαι ἐν τῇ ἑαυτȣ̃ πατρικῇ γῇ. ″ȣ̃τω τȣ́του μὲν ἐκονιορτȣ̃το ἡ κεφαλὴ ἅπασα· ἡ δὲ μήτηρ ἔκοπτε τὰς τρίχας, ἀπέῤῥιψε δὲ τὴν λαμπρὰν καλύπτραν πόῤῥω, θρηνῶδες δὲ ἐβόησε πάνυ μεγάλως βλέψασα εἰς τὸν υἱόν. ἐςέναζε δὲ ἐλεεινῶς πατὴρ ὁ προσφιλής· περὶ αὐτὸν δὲ οἱ λαοὶ θρήνῳ τε κατείχοντο καὶ ὀδυρμῷ κατὰ τὴν πόλιν. ″τȣ́τῳ δὲ κατὰ πολὺ ὑπῆρχε παραπλήσιον ὥσπερ ἡ ἅπασα Ἴλιος εἰς ὕψος ἐπῃρμένη πυρὶ καταφλέγοιτο. οἱ μὲν δὴ λαοὶ τὸν γέροντα μόλις κατεῖχον λυπȣ́μενον, ἐξελθεῖν προθυμȣ́μενον τῶν τȣ̃ Δαρδάνȣ πυλῶν. πάντας δὲ παρεκάλει κυλιόμενος κατὰ τὴν κόπρον, ″ἐξ ὀνόματος καλῶν καὶ ὀνομάζων ἕκαςον ἄνδρα. ″ἐπίχετε ὦ προσφιλέςατοι, καὶ ἐμὲ μόνον ἐάσατε καίπερ λυπȣ́μενον ἐξελθόντα τῆς πόλεως παραγενέσθαι ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων. παρακαλέσω τȣ̃τον τὸν ἄνδρα τὸν ἄδικον καὶ μεγάλα ὀργιζόμενον, ἐάν πως τὴν παλαιότητά μȣ αἰδεσθήσεται καὶ ἐλεήσῃ ″τὸ γῆρας. καὶ τȣ́τῳ δὲ πατὴρ τοιȣ̃τος γενήσεται ὁ Πηλεύς, ὅςις αὐτὸν ἔσπειρε καὶ ἀνέθρεψε βλάβην γενέσθαι τοῖς Τρωσί, κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολὺ δὲ ἐμοὶ περισσότερον πάντων λύπην ἐποίησε· τοσό-
τας γ' μοι παῖδας ἀπέκτεινεν εὐθαλεῖς. τάτων πάντων οὐ
τοσσῶτον ὀδύρομαι καίπερ λυπέμενος ὡς τῶ ἑνός, ὃ τινός
με ἢ ἀθρόα λύπη κατάγοι ἔνδον τῶ Ἄιδε, τῶ Ἕκτορος.
εἶθε ὤφειλεν ἀποθανεῖν ἐν ταῖς ἐμαῖς χερσίν· ὄντως ἂν
ἐκορέσθημεν κλαίοντές τε καὶ ὀδυρόμενοι, ἥ τε μήτηρ ἥτις
αὐτὸν ἐγέννησεν ἡ δυστυχὴς κἀγὼ αὐτός." οὕτως ἐφθέγξατο
ὀκλαίων, ἐπεξέναζον δὲ οἱ πολῖται. "ταῖς Τρωϊκαῖς δὲ γυ-
ναιξὶν ἡ Ἑκάβη τῶ ἐλεεινῶ θρήνω προηγεῖτο. "ὦ τέκνον
ἐγὼ ἡ δειλαία. εἰς τί ἔτι βιώσομαι δεινὰ παθοῦσα σῶ ἀπο-
θανόντος, ὅστις μοι νύκτωρ καὶ μεθ' ἡμέραν καύχημα κατὰ
τὴν πόλιν ὑπῆρχες καὶ πᾶσιν ὄφελος, τοῖς τε ἀνδράσι καὶ
ταῖς γυναιξὶ κατὰ τὴν πόλιν, οἵτινές σε ὡς θεὸν "ἐξεδέ-
χοντο· ὄντως γὰρ δὴ αὐτοῖς μεγάλη δόξα ὑπῆρχες ζῶν
ὑπάρχων. νῦν δὲ ὁ θάνατος καὶ ἡ πεπρωμένη καταλαμβά-
νει." ὕτως εἶπε κλαίουσα· ἡ δὲ γαμετὴ ἀδέπω τι ἠκηκόει
τῶ Ἕκτορος· ἀδεὶς γὰρ αὐτῇ ἀληθὴς ἄγγελος ἐλθὼν ἀπήγ-
γειλεν ὅτι ὁ ἀνὴρ αὐτῆς ἔξωθεν τῶν πυλῶν ὑπελείφθη·
ὀ"ἀλλ' αὖτη ἐσὸν ὕφαινεν ἐνδοτάτω τῶ ὑψηλῶ οἴκω, δίμι-
τον πορφυρῶν, ἐνεποίκιλλε καὶ διάφορα ἄνθη. παρεκελεύετο
δὲ ταῖς δέλαις ταῖς εὐτρίχοις κατὰ τὸν οἶκον περὶ τῇ πυρῇ
σῆσαι λέβητα μέγαν, ὅπως γένοιτο τῷ Ἕκτορι θερμὰ
λετρὰ ἐκ τῆς μάχης ἐπανελθόντι, "ἦ ἀνόητος, ἐδὲ ἐπέγνω
ὅτι αὐτὸν πάνυ πόρρω τῶν λετρῶν ὑπὸ τῶν τῶ Ἀχιλλέως
χειρῶν ἐφόνευσεν ἡ εὐόφθαλμος Ἀθηνᾶ. τῆς δὲ βοῆς
ἤκουσε καὶ τῶ θρήνω ἀπὸ τῶ πύργω. ταύτης δὲ διεσείθη τὰ
μέλη, χαμαὶ δὲ ἐξ αὐτῆς ἔπεσεν ἡ περόνη· αὕτη δὲ εὐθὺς
οταῖς δέλαις ταῖς εὐτρίχοις προσεφώνει ""δεῦτε δύο μοι
ἀκολαθήσατε· θεασώμεθα ὅποῖα ἔργα πέπρακε τῆς αἰδε-
σίμου πενθερᾶς φωνῆς ἤκουσα· ἐν ἐμοὶ δὲ αὐτῇ ἐν τοῖς
σήθεσι δονεῖται ἡ ψυχὴ ἀνὰ σόμα, κάτω δὲ τὰ γόνατα
ἀπολιθῶται. ἐγγύς τι κακοποιὸν τοῖς τῶ Πριάμω τέκνοις.
εἴθε γὰρ μὴ ἤκουσά ποτε τῶ λόγω τῶτω, ἀλλὰ μάλα χαλεπῶς
"φοβῶμαι μή πώς μοι τὸν πολεμικὸν Ἕκτορα ὁ ἔνδοξος
Ἀχιλλεὺς μόνον χωρίσας ἀπὸ τῆς πόλεως εἰς τὸ πεδίον
διώκει, καὶ δὴ αὐτὸν ἀποπαύσῃ τῆς χαλεπῆς αὐθαδίας,
ἥτις αὐτὸν εἶχεν, ἐπειδὴ ἀδέποτε ἐν τῷ πλήθει τῶν ἀν-
δρῶν ἔμενεν ἀλλὰ κατὰ πολὺ προέτρεχε, τὴν ἑαυτῶ δύνα-
ομιν ἀδενὶ ὑποτάσσων." "ἔτως εἰποῦσα ἐξῆλθε τῶ οἴκω μαι-
νομένῃ παραπλησία, κραδαινομένη καρδίαν· ἅμα δὲ αὐτῇ
ἐπορεύοντο καὶ αἱ δῶλαι. ἐπειδὴ δὲ εἰς τὸν πύργον καὶ εἰς τὸ
τῶν ἀνδρῶν πλῆθος ὐφίκετο, ἐξῆ περιβλεψαμένη ἐπὶ τὸ
τεῖχος. τῶτον δὲ ἐθεάσατο συρόμενον πρὸ τῆς πόλεως· οἱ
ταχεῖς δὲ αὐτὸν ἵπποι "εἵλκον ἀνηλεῶς ἐπὶ τὰς βαθείας
ναῦς τῶν Ἑλλήνων. ταύτην δὲ κατὰ τῶν ὀφθαλμῶν σκο-
τεινὴ νὺξ ἐκάλυψεν· ἔπεσε δὲ ἐξοπίσω καὶ ἀπέπνευσε τὴν
ψυχήν. πόρρω δὲ ἀπὸ τῆς κεφαλῆς ἔρριψε τὰ ποικίλα
κόσμια, τόν τε σφενδόνην καὶ τὸ σαδάριον καὶ τὴν πεπλεγμέ-
νην μίτραν, "τό τε κεφαλοδέσμιον, ὃ αὐτῇ ἔδωκεν ἡ χρυ-
σοφόρος Ἀφροδίτη τῇ ἡμέρᾳ ἐκείνῃ ὅτε αὐτὴν ὁ εὔοπλος
ἠγάγετο Ἕκτωρ ἐκ τοῦ οἴκου Ἠετίωνος, ἐπειδὴ παρέσχε
πολλὴν προῖκα. περὶ αὐτὴν δὲ αἵ τε ἀνδράδελφαι καὶ αἱ
τῶν ἀδελφῶν γυναῖκες ἱκανῶς ἦσαν, αἵτινες αὐτὴν περιεῖ-
χον ἐν ἑαυταῖς ταρασσομένην ἀπολέσθαι. "αὐτὴ δὲ ἐπεὶ ἐν
ἀνέπνευσε καὶ κατὰ διάνοιαν ἡ ψυχὴ ἐγένετο, μετὰ γενναίως
θρηνῶσα ἐν ταῖς θεραπαίναις εἶπεν "ὦ Ἕκτορ, ἐγὼ ἡ δυ-
συχής. ἐν μιᾷ μοίρᾳ ἐγεννήθημεν ἀμφότεροι, σὺ μὲν ἐν
τῇ Τροίᾳ κατὰ τὸν οἶκον τῶ Πριάμω, ἐγὼ δὲ ἐν ταῖς ὑπο-
πλακίαις Θήβαις καὶ ξυλώδεσιν "ἐν τῷ οἴκῳ τῶ Ἠετίωνος,
ὅστις μ' ἔτρεφε μικρὰν ἔσαν, ὁ δυσυχὴς τὴν κακοθάνατον·
εἴθε μὴ ὤφειλε γεννῆσαί με. νῦν δὲ σὺ μὲν εἰς τὸς οἴκους
Ἄιδα ὑπὸ τοὺς κρυπτῆρας τῆς γῆς παραγίνῃ, ἐμὲ δὲ ἐν
μισητῷ πένθει καταλιμπάνεις ἔρημον ἐν τοῖς οἴκοις. ὁ δὲ
παῖς ἔτι νήπιος οὗτος, "ὃν ἐτέκομεν ἐγώ τε καὶ σὺ οἱ δυ-
συχεῖς. ἔτε σὺ τάτῳ γενήσῃ ὦ Ἕκτορ ὄφελος, ἐπεὶ ἀπέ-
θανες, ἔτε ἔτος σοί. ἐάνπερ γὰρ τὸν πόλεμον διαφύγῃ τὸν
πολυδάκρυτον τῶν Ἑλλήνων, διὰ παντὸς τάτῳ ταλαιπω-
ρία καὶ θλῖψις μετὰ ταῦτα ἔσονται, ἕτεροι δὲ αὐτῶ ἀφαιρή-
σονται τὰς ἀρέρας. "ἡμέρα δὲ τῆς ὀρφανίας πάντων ἡλι-
κιωτῶν ἐξερημένον ποιεῖ τὸν παῖδα. πάντα δὲ κατεζύγνακε,
δεδακρυμένα δέ εἰσι τὰ πρόσωπα αὐτῶ. ἐνδεὴς δὲ ὢν ἀπέρ-
χεται ὁ παῖς εἰς τὸς τῶ πατρὸς φίλους, ἄλλον μὲν ἀπὸ τοῦ
ἱματίω σύρων ἕτερον δὲ ἀπὸ τῶ χιτῶνος. τάτων δὲ οἰκτει-
ρησάντων κοτύλην τις μικρὰν ἀπέδωκε, "ἧ τὰ μὲν χείλη
ἔβρεξε, τὴν ὑπερῴαν δὲ ἐκ ἔβρεξε. τὸν δὲ καὶ ἀμφοτέρους
γονεῖς ἔχων ἐκ τῆς εὐωχίας ἀπεδίωξε, ταῖς χερσὶ πλήττων
καὶ ὀνειδισικῶς κακολογῶν. """φθείρῃ ὡς ἔχεις. ἀχ ὁ σὸς
πατὴρ συνευωχεῖται ἡμῖν."" δεδακρυμένος δὲ ἐπανέρχε-
ὁ παῖς πρὸς τὴν χήραν μητέρα, "ὁ πόλεως βασιλεύς,
ὅστις πρότερον μὲν ἐν τοῖς τῶ ἰδίω πατρὸς γόνασι μυελὸν
μόνον ἤσθιε καὶ προβάτων λιπαρὸν δημόν, ἐπειδὰν δὲ αὐ-
τὸν ὁ ὕπνος λάβοι καὶ παύσε νηπιευόμενον, κεκοίμη ἐν
κοίτῃ ἐν ταῖς ἀγκάλαις τῆς τροφῶ, ἐν μαλακῇ στρωμνῇ,
πάντων τῶν πρὸς τὸ θάλλειν ἐμπληθείς. "τὰ νῦν δὲ πλεῖστα
ἂν πάθῃ τῶ προσφιλῶς πατρὸς ἀποτυχὼν ὁ βασιλεὺς τῆς
πόλεως, ὃν Τρῶες τὴν ἐπίκλησιν ἔτω καλῶσιν· μόνος γὰρ
αὐτοῖς ἔσωζες πύλας καὶ τὰ μεγάλα τείχη. νῦν δὲ σὲ μὲν
παρὰ ταῖς μεγάλαις ναυσὶ κεχωρισμένον τῶν γονέων αἱ ποι-
κίλαι σκώληκες φάγονται, ἐπειδὰν οἱ κύνες χορτασθῶσιν, "γε-
γυμνωμένον· τὰ δὲ ἱμάτιά σε ἐν τοῖς οἴκοις κεῖται λεπτά τε
κεχαριτωμένα, ὑπὸ χειρῶν γυναικῶν κατεσκευασμένα. ἀλλὰ
ταῦτα μὲν πάντα καύσω πυρὶ καυσικῷ· ἐδὲν γάρ σοι τού-
των ὄφελος, ἐπειδὴ ἐκ ἐν αὐτοῖς κατακείσῃ, ἀλλὰ πρὸς
Τρώων καὶ Τρωάδων κλέος εἶναι." "ἔτως εἶπε κλαίουσα,
ἐξέναζον δὲ αἱ γυναῖκες.

Ψ. ΑΘΛΑ ΕΠΙ ΠΑΤΡΟΚΛΩΙ.

ΥΠΟΘΕΣΙΣ 1. *Ψῆ Δαναοῖσιν ἀγῶνα διδὺς ἐτέλεσσεν Ἀχιλλεύς.*

2. *Ἀχιλλεὺς τῶν νενομισμένων ἐπὶ τοῖς νεκροῖς μεταδίδωσι Πατρόκλῳ τυραννήσας καὶ σφάξας ἐπ' αὐτῷ δυοκαίδεκα Τρωϊκὰς νεανίσκους καὶ πύνας καὶ ἵππους καὶ ἄλλα ἱερεῖα. ἔπειτα καὶ ἀγῶνα ἐπιτάφιον ποιεῖ, ἐν ᾧ νικᾷ ἵπποις μὲν Διομήδης, δρόμῳ δὲ Ὀδυσσεύς, ἄλλοι δὲ ἄλλως· καὶ οὕτως ὁ ἀγὼν διαλύεται.*

Οὕτως ἕτοι μὲν ἐξέναζον κατὰ τὴν πόλιν· οἱ δὲ Ἕλληνες ἐπειδὴ εἵς τε τὰς ναῦς καὶ τὴν θάλασσαν ἀφίκοντο, αὐτοὶ μὲν διεσκορπίσθησαν ἐπὶ τὴν ἰδίαν ναῦν ἕκαστος, τὰς δὲ Μυρμιδόνας ἀ συνεχώρει διασκορπίζεσθ᾽ ὁ Ἀχιλλεύς, "ἀλλ᾽ ἕτος τοῖς ἑαυτῶ ἑταίροις τοῖς φιλοπολέμοις εἶπεν "ὦ Μυρμιδόνες οἱ ταχεῖς ἵππας ἔχοντες, ἐμοὶ εὐάρμοσοι φίλοι, μηδαμῶς ἀπὸ τῶν ἁρμάτων λύσωμεν τοὺς ἰχυρόποδας ἵππας, ἀλλὰ σὺν αὐτοῖς ἵπποις καὶ ἅρμασι πλησίον ἐλθόντες Πάτροκλον θρηνήσωμεν· τᾶτο γὰρ τιμὴ ἐστὶ τοτῶν ἀποθανόντων. "ἐπειδὰν δὲ τᾶ ὀλεθρίᾳ κορεσθῶμεν θρήνᾳ, τὰς ἵππας λύσαντες δειπνήσωμεν ἐνταῦθα πάντες." ἕτως εἶπεν· οἱ δὲ ἐξέναξαν ὁμᾶ, προηγεῖτο δὲ ὁ Ἀχιλλεύς. ἕτοι δὲ ἐκ τρίτᾳ περὶ τὸν νεκρὸν τὰς καλλίτριχας ἤλασαν ἵππας ὀδυρόμενοι· ἐν αὐτοῖς δὲ Θέτις τᾷ θρήνᾳ ἐπιθυμίαν ἐνέβαλεν. "ἐβρέχετο ἡ ψάμμος, ἐβρέχοντο τὰ ὅπλα τῶν ἀνδρῶν τοῖς δάκρυσιν· ἕτω γὰ ἐπύθεν τὸν ἔμπειρον τᾷ πολέμᾳ. ἐν τούτοις δὲ ὁ Ἀχιλλεὺς τᾷ συνετᾷ ἐξῆρχε θρήνᾳ, τὰς ἀνδροφόνας χεῖρας ἐπιθεὶς τοῖς σήθεσι τοῦ φίλᾳ, "χαῖρέ μοι" λέγων" ὦ Πάτροκλε καὶ ἐν τοῖς τᾶ Ἄιδᾳ οἴκοις· "πάντα γὰ δή σοι ἤδη τελῶ ἃ πρότερον ἐπηγγειλάμην, τὸν Ἕκτορα ἐνταῦθα ἑλκύσας δώσειν τοῖς κυσὶν ὠμᾶς φαγεῖν, δώδεκα δὲ ἔμπροσθεν τᾶς πυρᾶς ἀποκεφαλίσειν τῶν Τρώων εὐειδᾶ παιδία σᾶ ἀποκταθέντος ὀργιωθείς." εἶπε δή, καὶ κατὰ τὸν ἔνδοξον Ἕκτορα ἀπρεπᾶ ἐβουλεύετο ἔργα, "ἐπὶ πρόσωπον παρὰ ταῖς κοίταις τᾶ Πατρόκλᾳ ἁπλώσας ἐν τᾷ γᾷ· ἕτοι δὲ τὰ ὅπλα ἀπετίθεντο ἕκαστος σιδηρᾶ ἀπολάμποντα, ἕλυον δὲ τὰς ἰχυρόποδας ἵππας, ἐκάθιζον δὲ παρὰ τᾷ νηῒ τᾷ ταχύποδος Ἀχιλλέος πολλοί. ἕτος δὲ αὐτοῖς δεῖπνον θυμήρη εὐώχει. "πλεῖστοι μὲν βόες λευκοὶ ἀπεκτείνοντο περὶ τῷ σιδήρῳ σφαζόμενοι, πολλὰ δὲ πρόβατα καὶ μηκώμεναι αἶγες, πολλοὶ δὲ λευκόδοντες χοῖροι θάλλοντες τῷ λίπει ὑπτώμενοι ἐξηπλᾶντο διὰ τᾶς φλογὸς τᾶ πυρός. πανταχᾶ δὲ περὶ τὸν νεκρὸν πλεῖστον ἔῤῥει αἷμα. "τὸν δέ γε βασιλέα τὸν ταχύπων Ἀχιλλέα πρὸς τὸν ἔνδοξον Ἀγαμέμνονα ἦγον οἱ βασιλεῖς τῶν Ἑλλήνων, μόλις πεισαντες, ὑπὲρ τᾶ ἑταίρᾳ λυπέμενον τὴν ψυχήν. ἕτοι δὲ δὴ ὅτε εἰς τὴν σκηνὴν τᾶ Ἀγαμέμνονος συνῆλθον πυραγενόμενοι, παραχρῆμα τοῖς κήρυξι τοῖς ἠδυφώνοις ἐκέλευσαν "περὶ τῷ πυρὶ ξῆσαι λέβητα μέγιστον, ὅπως πείσειεν τὸν Ἀχιλλέα ἀπολέσασθ᾽ τὸν αἱματώδη μολυσμόν. ἕτος δὲ ἀπηρνεῖτο σφοδρῶς, ἐπώμοσε δὲ καὶ ὅρκον. "οὐ μὰ τὸν Δία, ὅσις τῶν θεῶν μέγιστος καὶ κράτιστος, ἃ δίκαιόν ἐστι λατρὰ πλησίον τᾶς κεφαλᾶς ἐλθεῖν "πρὶν ἢ τὸν Πάτροκλον καταθεῖναι ἐν τῷ πυρὶ καὶ εἰς τὸν τάφον χῶσαι κειρασθαί τε τὴν κόμην, ἐπειδὴ ἐκεῖ με ἔχατον ἕτως καταλάβῃ κακὸν κατὰ τὴν καρδίαν, ἕως ἂν ἐν τοῖς ζῶσιν ὑπάρχω. ἀλλὰ νῦν μὲν τᾷ χαλεπᾷ πειθώμεθα εὐωχίᾳ· πρωΐθεν δὲ κέλευσον ὦ βασιλεῦ τῶν ἀνδρῶν Ἀγάμεμνον κομίσαι τε ὕλην καὶ παραχεῖν, ὡς ἔξι πρέπον τὸν νεκρὸν ἔχοντα πορεύεσθ᾽ ὑπὸ τὸν σκοτεινὸν Ἄιδην, ὅπως τᾶτον μὲν καταφλέξῃ τὸ πολὺ πῦρ τάχιον ἀπὸ τῶν ὀφθαλμιῶν ἡμῶν, οἱ λαοὶ δὲ ἐπὶ τὰ ἔργα τραπήσονθ᾽." ἕτως εἶπεν, ἕτοι δὲ τάτᾳ λίαν μὲν ἤκουον καὶ ἐπείθοντο. "προθύμως δὲ δεῖπνον παρασκευάσαντες ἕκαστοι εὐωχᾶντο· ἐδαμῶς δὲ ἡ ψυχὴ ἐνδεὴς ἦν τᾶς ἰσομοίρου εὐωχίας. ἐπεὶ δὲ τᾶς πόσεως καὶ τᾶς τροφᾶς ἐκορέσθησαν, ἕτοι μὲν κατακοιμηθησόμενοι ἔβησαν εἰς τὴν σκηνὴν ἕκαστος· ὁ δὲ Ἀχιλλεὺς ἐπὶ τῷ αἰγιαλῷ τᾶς πολυταράχε θαλάσσης "ἔκειτο βαρέως ξενάζων ἐν τοῖς πολλοῖς Μυρμιδόσιν, ἐν καθαρῷ τόπῳ, ὅπου τὰ κύματα ἀπὸ τᾶ αἰγιαλᾶ ἐπέκλυζον. ἡνίκα δὲ ὁ ὕπνος τᾶτον κατέλαβε λύων τὰς φροντίδας τᾶς ψυχᾶς, ἡδὺς περιχυθείς — πάνυ γὰ ἐκοπίασε τὰ λαμπρὰ μέλη τὸν Ἕκτορα ἐπιδιώκων πρὸ τᾶς ἀνεμώδες Ἰλίᾳ —, "ἐπῆλθεν ἡ ψυχὴ τᾷ ἀθλίᾳ Πατρόκλᾳ, κατὰ πάντα αὐτῷ τό τε μέγεθος καὶ τὰ καλὰ ὄμματα ὁμοία καὶ τὴν φωνήν, καὶ τοιαῦτα περὶ τῷ σώματι ἱμάτια ἠμφίεσο. ἔζη δὲ ὑπὲρ κεφαλᾶς αὐτᾷ καὶ πρὸς αὐτὸν λόγον εἶπεν. "καθεύδεις, ἐμᾶ δὲ ἐπιλελησμένος ἐγένᾳ ὦ Ἀχιλλεῦ. "ἐδαμῶς ζῶντός με ἠμέλεις, ἀλλὰ ἀποθανόντος. θάπτε με ταχύτατα· τὰς τᾶ Ἄιδου πύλας περάσω. πόῤῥω ἀποκωλύουσιν αἱ ψυχαὶ τὰ ἀπεικονίσματα τῶν τεθνηκότων, ἐδαμῶς δέ με μίγνυσθ᾽ ὑπὲρ τᾶ ποταμᾶ συγχωρᾶσιν· ἀλλ᾽ ἕτω πλανῶμαι ἀνὰ τὸ πλατύπυλον τᾶ Ἄιδου οἴκημα. "καὶ δός μοι τὴν χεῖρα, ἵνα θρηνῶ. ἐκέτι γὰ πάλιν ἐπανέρχομαι ἐκ τᾶ Ἄιδου, ἐπειδάν με διὰ πυρὸς θάψητε. ἐδαμῶς μὲν γὰ ζῶντες ἄποθεν τῶν προσφιλῶν ἑταίρων καθεζόμενοι βουλὰς βουλεύσομεν· ἀλλ᾽ ἐμὲ ἡ θανατηφόρος μοῖρα κατέπιεν ἡ μισητή, ἥτις με ἔλαχε γενόμενον. "καὶ σοὶ αὐτῷ ἡ εἱμαρμένη ὦ τοῖς Θεοῖς ὅμοιε Ἀχιλλεῦ ὑπὸ τῷ τείχει τῶν εὐγενῶν Τρώων ἀπολέσθαι. ἕτερον δέ σοι ἐρῶ καὶ ἐντελᾶμαι, ἐὰν πείθῃ. μηδαμῶς τὰ ἐμὰ πόῤῥω τῶν σῶν καταθεῖναι ὀστᾶ ὦ Ἀχιλλεῦ, ἀλλ᾽ ὁμᾶ ὥσπερ ἐτράφημεν ἐν τοῖς ὑμετέροις οἴκοις, "ἡνίκα με μικρὸν ὄντα ὁ Μενοίτιος ἐξ Ὀπᾶντος ἤγαγεν εἰς τὸν ὑμέτερον οἶκον ἀπὸ τᾶς χαλεπᾶς ἀνδροφονίας, τᾷ ἡμέρᾳ ἐκείνᾳ ὅτε παῖδα ἐφόνευσα τᾷ Ἀμφιδάμαντος ὁ ἀνόητος, μὴ βουλόμενος, περὶ ἀσραγάλων ὀργισθείς. τότε με ὑποδεξάμενος ἐν τοῖς οἴκοις ὁ ἱππικὸς Πηλεὺς "ἔτρεφέ με ἐπιμελῶς καὶ σὸν θεράποντα ὠνόμασεν. ἕτω δὲ καὶ ἡμῶν ὀστᾶ ἡ αὐτὴ σορὸς ἀμφικαλύψοι, χρυσᾶν ἀμφώτιον, ὅ σοι παρέχεν ἡ σεβασμία μήτηρ." πρὸς τᾶτον δὲ ἀνταποκρινόμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεύς "τί δή ποτε ὦ θεία κεφαλὴ ἐνταῦθα ἐλήλυθας "καὶ ταῦτά μοι ἔκαστα προσάττεις; ἐγὼ

